Bible. O.T. Greek. Septuagint. Irving M. Levey 1931.

# Η ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ.

---

# VETUS TESTAMENTUM GRAECE IUXTA LXX INTERPRETES.

---

TEXTUM VATICANUM ROMANUM EMENDATIUS EDIDIT, ARGUMENTA ET LOCOS *NOVI TESTAMENTI* PARALLELOS NOTAVIT, OMNEM LECTIONIS VARIETATEM CODICUM VETUSTISSIMORUM ALEXANDRINI, EPHRAEMI SYRI, FRIDERICO-*AUGUSTANI* SUBIUNXIT, PROLEGOMENIS ET EPILEGOMENIS INSTRUXIT

## CONSTANTINUS TISCHENDORF.

---

EDITIO ALTERA CORRECTIOR ET AUCTIOR.

---

TOMUS PRIMUS.

---

LIPSIAE:
F. A. BROCKHAUS.

1856.

Digitized by Google

BS741
.T58
1856

Digitized by Google

POTENTISSIMO ET CLEMENTISSIMO PRINCIPI

# FRIDERICO GUILIELMO IV.

AUGUSTISSIMO BORUSSIAE REGI

GERMANICI NOMINIS DECORI IMMORTALI

LITTERARUM BONARUM MAGNANIMO PATRONO

FIDELI FIDEI SACRAE DEFENSORI

MENTE VENERABUNDA AC DEVOTA

ITERATOS SUOS CIRCA SACRUM HUNC TEXTUM LABORES

DAT DICAT DEDICAT

CONSTANTINUS TISCHENDORF.

Ἐγὼ δὲ καὶ ἡ οἰκία μου λατρεύσομεν Κυρίῳ.
Ἰησοῦς Ναυῆ XXIV, 15.

Digitized by Google

Digitized by Google

PRINCETON UNIVERSITY LIBRARY PAIR
32101 019367505

# QUIBUS ALTERA EDITIO A PRIORE DIFFERAT.

Divenditis intra quadriennium[1]) exemplis mille et ducentis nova huius libri editio paranda erat. Quae quum non ita parari posset ut tota singulis partibus eam rationem assumeret quae mihi post annos hos quattuor studiorum criticorum plenissimos videretur optima, quoniam opus totum ab initio formis litterarum fixis exscriptum esset: tamen emendatio suscepta est eiusmodi quae non indigna videretur omnium eorum studio qui ad investigandos textus sacros paullo sunt curiosiores. Pertinebat autem cura nostra quum ad ipsum textum cum notis locorum parallelorum et apparatu critico, tum ad Prolegomena et Epilegomena. In textu enim et notis et apparatu non modo si quid typis male exscriptum erat emendatum est[2]), sed etiam correctiones aliquot vel ab editorum Romanorum calamo profectae (ut Psalm. 7, 5. 13, 13.) vel critica ratione facillimae eaedemque commendatissimae (ut Exod. 12, 10. ἀπολείψετε pro ἀπολείψεται; Deut. 6, 2. φυλάσσεσθαι pro φυλάσσεσθε) in textum receptae sunt, item notatio locorum Novi Testamenti plenior perfectiorque exhibita nec non apparatus aliquoties correctus est. Multo vero plus laboris in emendandis augendisque Prolegomenis positum est. Sectiones enim I. II. III. IV. V. VI., quibus de origine et fatis deque auctoritate editionis Septuagintaviralis explicatur, novae sunt, item sectionis VII. nota uberior de historia editionum Complutensis et Venetae. Per sectiones quae sequuntur ab VIII. usque ad XV. nonnihil mutatum, passim etiam aliquid novi additum est. Sectio XVI. ubi de mutationibus gravioribus in editionem nostram textus Romani receptis refertur, passim mutata passim amplificata est, maxime inde quod examine repetito plures inveni editionis principis emendationes calamo factas. Sectio XVIII. de textu prophetae Danielis Septuagintavirali tota nunc demum accessit; item fere tota XIX. de variis textus Romani repetitionibus. Quae in sectione XXI. de Holmesii apparatu exponuntur, nunc auctiora quam antea sunt. Sectio XXII. de lectionibus codicis Vaticani in editione Romana haud expressis maximam partem nova est. Plane vero

1) Primum prodiit exeunte anno 1850.

2) Si qui sunt qui ex frequenti usu errores typographicos vel alios editionis nostrae noverint, gratissimum nobis fecerint si nobis indicare voluerint.

Digitized by Google

novae sectiones XXIII. et XXIV. ubi quum de universo apparatu critico tum maxime de codicibus Graecis uncialibus agitur, allatis lectionis speciminibus ex iis qui Holmesio nondum innotuerant. Passim tantum mutatae sectiones de codicibus ad apparatum nostrum continuum adhibitis: XXV. usque XXVIII., XXX. et XXXI., XXXIII. et XXXIV. Rursus vero novae sunt sectio XXIX. in qua oratio Manassis ex Alexandrino potissimum codice exscribitur, sectio XXXII. ubi varietas lectionis ex eo quod nuperrime in lucem protraxi fragmento codicis Friderico-Augustani affertur, sectiones XXXV. et XXXVI. cum supplementis variantium lectionum ad duos locos qui in Alexandrino codice perierunt: I Βασ. 12, 17. usque 14, 9. et Psalm. 49, 19. usque 79, 12. Denique notabile editioni nostrae supplementum accessit textus prophetae Danielis Septuagintaviralis, quemadmodum ex codice Chisiano editus passimque e Syriaco codice Mediolanensi emendatus est. Qua de re accuratius explicatur in Prolegg. sect. XVIII.

Quae quum ita sint, sperare licet etiam hac altera editione nostra multorum studia circa hoc tam grave tamque sanctum antiquae fidei monumentum et excitatum et adiutum iri. Quo consilio edendi laborem in me susceperim satis dixi (cf. inprimis Prol. sect. VIII.): id quod aequos existimatores memores esse velim, ne forte me non praestitisse arguant quod nunc quidem praestare animus nec erat nec poterat esse. Duae vero res in editione paranda repetendaque animum meum assidue occupabant; quum enim quantus laborum campus pateret criticis circa textum Graecum Veteris Testamenti studiis, tum hoc intellegebam qauntum inde esset frugis redundaturum ad Novi Testamenti studia: quod non tantum de sermone dico quo libri apostolorum conscripti sunt, sed etiam de universa ratione quae inter utrumque Foedus intercedit expedienda atque illustranda. Quem laborum campum ut ipse pro virili parte emetiar, si Deus vult ac vitam viresque dederit, constanter operam dabo. Nec enimvero dubito quin severa studia in his sacris textibus posita non modo a pietate hominis Christiani non abhorreant, sed ipsi ecclesiae, cui veritas divina summo loco est, fructus bonos atque eiusmodi quos dies non deleat sint latura.

Scribebam Lipsiae die mensis Ianuarii XVIII., anno salutis 1855.

Digitized by Google

# PROLEGOMENA.

I. Inter docta antiquitatis sacrae monumenta insignem locum occupat Septuagintaviralis quae dicitur librorum Veteris Testamenti interpretatio. Huius de origine antiquus exstat libellus, a quo veteres qui de eadem re scripserunt fere omnes pependisse videntur. Circumfertur nomine Aristeae, formamque epistulae habet ab Aristea scriptae Philocrati fratri [1]). Narrat igitur Aristeas, quem virum apud Ptolemaeum Philadelphum Aegypti regem magno in honore constitutum ipsa epistula testatur et Iosephus eidem regi a custodia corporis fuisse perhibet, Demetrium Phalereum bibliothecae Alexandrinae praepositum regi Ptolemaeo Philadelpho — regnavit ab anno ante Chr. 284. usque 246. — bibliothecam, quam ad augendam praecipua eius cura pertineret, quondam inspicienti praesente ipso Aristea suasorem exstitisse ut etiam Iudaeorum leges (*καὶ τῶν Ἰουδαίων νόμιμα*) in Graecum sermonem converterentur atque in bibliothecam regiam conferrentur. Cui proposito ut satisfieret, regem ad Iudaeorum pontificem litteras se daturum promisisse. Eventus autem praeparandi caussa regem eodem Aristea suasore Iudaeis omnibus vel a patre Ptolemaeo Lagi filio vel iam antea in captivitatem abductis cum eximia quadam animi magnitudine libertatem impertivisse. Tum vero repetito Demetrii consilio, testantis legis Mosaicae libros negligentius neque ut revera essent interpretatos esse, quippe quibus regii animi cura non contigisset [2]), scripsisse regem

---

1) Epistulae Aristeae post editionem principem Graecam Latinam Basileensem a. 1561. variae editiones prodierunt, ut Francofurtensis iuxta exemplar Vaticanum — sed id non celeberrimum bibliorum exemplar est — emendata, ex recensione Eldani de Parchum a. 1610., item Oxoniensis a. 1692., repetita in dissertatione Antonii van Dale Oxonii 1705. atque ibidem eodemque anno ab Humfr. Hodio praemissa libris IV de bibliorum textibus originalibus. Sed novis laboribus criticis et digna et satis indigens est; quos propediem suscipere propositum est.

2) τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει· τυγχάνει γὰρ Ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα· ἀμελέστερον δὲ καὶ οὐχ ὡς ὑπάρχει σεσήμανται, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται, προνοίας γὰρ βασιλικῆς ου τέτευχε. Grave in his atque ambiguum est illud σεσήμανται. Mihi quidem pro contextu non videtur aliter quam interpretationis sensu accipiendum esse.

Digitized by Google

Eleazaro Iudaeorum pontifici, ut ad se mitteret una cum legis exemplari viros seniores septuaginta et duo, electos ex quaque tribu sex, quum aliis virtutibus tum interpretandi facultate pollentes. Quibus litteris cum donariis magnificis ab Andrea et Aristea Hierosolymam perlatis, Eleazarum regi Aegyptiorum per omnia morem gessisse, legatos eius rebus Iudaeorum mirum in modum delectatos cum lege aureis litteris perscripta aliisque muneribus, quibus regem remuneraretur, auxisse et cum probatissimis viris septuaginta et duobus, quorum ipsa nomina afferuntur, Alexandriam remisisse. Iudaeos Alexandriam perductos et a rege splendide exceptos propterque sapientiam inter convivia luculenter probatam admiratione affectos undecimo post adventum die legis interpretationem aggressos esse. Hoc autem ita esse institutum ut Demetrio duce in Pharum insulam traiicerent ibique omnia factis per singula conlationibus ad perfectam convenientiam elaborarent atque Demetrio dictarent. Opere intra dies septuaginta et duo absoluto statutum esse diem quo interpretatio coram Iudaeis atque Aegyptiis praelegeretur; praelectam ipsos Iudaeos magna laude affecisse, dira insuper Demetrio rogante imprecantes ei qui aliquid de textu immutaturus esset. Rebus ita gestis regem laetatum esse atque admiratione ipsius Iudäeorum legislatoris plenum interrogasse cur nemo poetarum aut historicorum tanti operis mentionem fecisset. Respondisse Demetrium, legem, qua singulari esset sanctitate, non potuisse nisi cum periculo usurpari ab exteris, ab eaque re Theopompum et Theodecten poenis divinis coërcitos esse. Quibus auditis regem veneratione legem prosecutum libros interpretum religiose servari iussisse ipsosque interpretes muneribus regiis ornatos in patriam remisisse.

II. Haec igitur epistulae Aristeae summa. Iamvero post Aristeam de Graeca librorum legis interpretatione mentionem fecit Aristobulus Iudaeus philosophus, Ptolemaei Philometoris aequalis [1]). Is testibus Clemente et Eusebio [2]) quum totam

---

1) De aetate Aristobuli conferendus omnino est Valckenaer in diatribe de Aristobulo Iudaeo etc. 1806. pag. 27 sqq. Errorem Anatolii apud Euseb. hist. eccl. 7, 32. tractat pag. 24 sqq.

2) Eusebio teste in Praep. Evang. IX, 6. (ed. Gaisf. II. pag. 356.) et XIII, 12. (ed. Gaisf. III, pag. 310.) Aristobulus haec scripsit: Φανερὸν ὅτι κατηκολούθηκεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ, καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. διηρμήνευται γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως, δι' ἑτέρων (ὑφ' ἑτέρων, ὑφ' ἑτέρου), πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑβραίων, ἡμετέρων δὲ πολιτῶν, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια καὶ κράτησις τῆς χώρας καὶ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις --- ἡ δὲ ὅλη ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων ἐπὶ τοῦ

Digitized by Google

legis interpretationem sub Ptolemaeo Philadelpho factam esse, tum antea iam varia plura ex Iudaeorum historia ad exterorum cognitionem pervenisse asseruit.

Duobus fere saeculis post Philo Iudaeus eadem de re haec tradidit. Ptolemaeum Philadelphum summis illum laudibus dignum interpretandae legis caussa (ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν) ad Iudaeorum pontificem eundemque et regem legatos misisse. Hunc regis consilio tamquam divinitus dato magnopere delectatum misisse ad eum probatissimos quosque utriusque linguae gnaros. Qui ubi advenissent, a rege liberaliter exceptos responsis ad difficiles quaestiones sapientiam approbasse, tum vero interpretationis faciundae caussa in Pharum insulam tranquillitate insignem solos se cum libris suis recepisse ac deo mirabiliter ipsorum precibus favente ita vertisse ut omnia penitus inter se convenirent. Interpretationis virtutem iudicio hominum et Chaldaice et Graece doctorum revera tantam inventam esse ut non interpretes illos sed vates et prophetas haberent (οὐχ ἑρμηνεῖς ἐκείνους ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωυσέως καθαρωτάτῳ πνεύματι). Proptereaque quotannis tantae rei gratam memoriam in Pharo insula celebrari, non a Iudaeis modo verum etiam ab aliis multis [1]).

*Philonem*, qui circa Christum natum lucem adspexit, Iosephus excepit, anno post Christum 37. natus. Is ipse dicit historiam de interpretatione librorum legis ex Aristaei — hanc enim nominis formam usurpat, Ἀρισταῖος, non Ἀριστέας — epistula se hausisse: cuius textum, quemadmodum in antiquis nostris libris scriptis legitur, etsi saepe immutavit atque ad suum conformavit usum, tamen in summa rei nihil inter utrumque interest [2]).

III. Ab illis ad patres ecclesiae pervenimus, quorum in hac caussa princeps Iustinus Martyr est. Is historiam de accersitis a Ptolemaeo Philadelpho interpretibus, quorum numerum septuagenarium facit, non modo repetiit, verum etiam

---

προσαγορευθέντος Φιλαδέλφου βασιλέως --- προσενεγκαμένου μείζονα φιλοτιμίαν, Δημητρίου τοῦ Φαληρέως πραγματευσαμένου τὰ περὶ τούτων. Eadem fere, exceptis ultimis, apud Clementem Strom. I. pag. 410.

1) Vide Phil. de vita Moys. II. § 5 — 7. (ed. Mang. pag. 139 sqq.)

2) Vide Ioseph. Antiqq. XII. II. 1 — 15. Locus supra a nobis ex Aristeae textu allatus apud Iosephum sic legitur: δηλῶ σοι τὰ τῆς Ἰουδαίων νομοθεσίας βιβλία λείπειν ἡμῖν σὺν ἑτέροις· χαρακτῆρσι γὰρ Ἑβραϊκοῖς καὶ φωνῇ τῇ ἐθνικῇ ἐστὶν ἡμῖν ἀσαφῆ. συμβέβηκε δὲ αὐτὰ καὶ ἀμελέστερον ἢ ἔχει σεσημάνθαι, διὰ τὸ βασιλικῆς οὔπω τετυχηκέναι προνοίας. Statim subsequitur: ἔστι δὲ ἀναγκαῖον εἶναι καὶ ταῦτα παρὰ σοὶ διηκριβωμένα. Nec praeteriit Iosephus quae Aristeas de Theopompo et Theodecte tradiderat. Cf. l. l. XII. II. 14.

Digitized by Google

ita auxit atque excoluit ut interpretationem non ad legem sed ad Moysis ceterorumque prophetarum scripta [1]) referret atque ipsos Septuaginta interpretes ad interpretandi opus totidem cellulis inclusos atque sic a mutuo congressu prohibitos esse, nihilo vero secius unam eandemque omnes interpretationem protulisse faceret, rege hanc rem ut divinam admirante. In cuius narrationis fidem relata a se ab indigenis Alexandrinis accepisse illarumque cellularum rudera in Pharo insula suis oculis vidisse se testatur. Denique ex aliis quoque scriptoribus ac potissimum ex Philone et Iosepho idem disci posse notat [2]).

Quam in his Iustinus divinam virtutem interpretibus Septuaginta tribuerat, eam Irenaeus et Clemens ac post eos alii plurimi confirmarunt, quamvis singulas historiae partes, ut quae est de septuaginta cellulis, non omnes repeterent vel non eodem prorsus modo traderent. Sed duo inprimis digni sunt de quibus paullo accuratius videamus, Epiphanius et Hieronymus. Ille [3]) enim a traditione Iustini circa cellulas discedit eo quod duo et septuaginta interpretes in cellulis triginta sex et quidem in singulis binos inclusos dicit, ad eumque modum alia plura conformat. Dicit enim viginti septem i. e. omnes scripturae sacrae libros in sermonem Graecum conversos esse, remque totam ita narrat ut «mirum in modum »et ex singulari dei providentia sanctique spiritus consensu» gestam esse probet. Inprimis vero multis grave visum est quod ea quae Ptolemaeus Philadelphus Hierosolymam scribit, primum librorum prophetarum [4]), secundum interpretum Hebraici textus ad se mittendorum caussa, magnopere ab iis differunt quae in libello Aristeae atque etiam apud Iosephum leguntur, quamvis Epiphanius in ea re ad ipsum provocet Aristeam [5]).

Longe aliter Hieronymus. Ipsa eius verba in prologo ad Genesin haec sunt: «Nescio quis primus auctor LXX cellulas »Alexandriae mendacio suo exstruxerit, quibus divisi eadem »scriptitarint, quum Aristeas eiusdem Ptolemaei ὑπερασπιστής »et multo post tempore Iosephus nihil tale retulerint, sed in »una basilica congregatos contulisse scribant, non prophetasse.

1) τὴν τοῦ Μωυσέως καὶ τῶν ἄλλων προφητῶν.

2) Vide Cohort. ad gentes cap. 13. Rursus alio loco (in Apologia I. § 31.) eandem historiam tangens libros prophetarum (τὰς βίβλους τῶν προφητειῶν) a Ptolemaeo rege expetitos confirmat; in eo vero tempora confundit quod ad Herodem regem legatos Aegyptios missos dicit.

3) Vide Epiph. de mensuris et ponderibus tom. II. pag. 161. (Col. 1682.)

4) βίβλοι προφητῶν περὶ θεοῦ καὶ κοσμοποιίας δηλοῦσαι.

5) ὡς ἐξέδωκεν ὁ Ἀρισταῖος ἐν τῷ συντάγματι.

Digitized by Google

»Aliud est enim vatem, aliud interpretem esse: ibi spiritus »ventura praedicit, hic eruditio et verborum copia ea quae »intellegit transfert.» Item identidem eorum refutat opinionem quibus omnes Veteris Testamenti libri a Septuaginta interpretibus translati videbantur, ut comm. in Ezech. V. habet: «Quamquam et Aristeas et Iosephus et omnis schola Iudaeo»rum quinque tantum libros Moysis a LXX translatos asse»rant.»

IV. Atque haec quidem a Graecis atque Latinis fontibus hausta sunt. Videndum vero etiam est quid Hebraei eadem de re senserint: quamquam, si verum quaerimus, non tam ab Hebraeis quam ab Hellenistis originem versionis Graecae discendam esse inde apparet quod Hebraeorum plerique sanctae linguae veneratione ducti versionem illam contemtui habuerunt[1]). Invenitur autem Hebraeorum de re nostra traditio duobus potissimum locis talmudicis, quorum alter Babylonici, alter Hierosolymitani talmudis est. Priore (talm. Babyl. Megill. 9.) Rabbi Iehuda mentionem facit de senioribus septuaginta duobus a Ptolemaeo rege in totidem cellulas convocatis eiusque iussu Pentateuchum deo mirabiliter favente summa consensione interpretatis; sed locos quindecim taxat propterea quod sanctum textum mutatum exhibeant. Altero loco (talm. Hieros. Megill. 6.) eadem res tractatur, sed nihil de Ptolemaeo rege summo interpretationis auctore legitur, nihil de septuagenario seniorum numero, nihil de cellulis, neque magis ad solum Pentateuchum interpretatio valuisse dicitur, quamquam loci tredecim qui tamquam ab Hebraeo diversi afferuntur non sunt nisi de Pentateucho petiti[2]). Posterior igitur locus priore simplicior est videturque Hebraeis sanior; sed videndum potius est uter opiniones quae in ipsa antiquitate circumferebantur magis repraesentet.

V. His vero expositis omnibus quae fides habenda sit quaeritur. Per saecula plus quindecim libello Aristeae plena fides habita est, atque homines critici, ut magnus ille Hieronymus, eo tantum a vulgata traditione discedebant quod quibus narratio Aristeae post exculta atque aucta erat sano iudicio aspernabantur. Ex quo vero tempore Ludovico de Vivis in commentario ad Augustini libros de civitate dei (Basileae 1522.), ad XVIII, 42. fides libelli Aristeae in suspicionem venit, plures fuerunt qui probarent et totum libellum suppositicium et ipsam rem fictam esse. Quae sententia ab Humfredo Hodio acute ac

1) Cf. Humfr. Hodii de biblior. text. origin. pag. 218 sqq. inprimis pag. 227.

2) Hebraeum horum locorum textum vide apud Frankel: Vorstudien zu der Septuaginta, pag. 25 sqq.

Digitized by Google

docte defensa [1]) mox tantopere recepta est, ut vix esset qui dissentiret. Nec igitur Ptolemaei Philadelphi nomen ad vulgatam Graecam versionem ullo modo pertinuisse, nec LXX interpretes mirum in modum consensisse aut omnino exstitisse, nec divini quicquam in interpretatione accidisse aut revera inesse, longe plurimorum hodie opinio fert [2]). Nec dubium est quin multa contra fidem epistulae Aristeae earumque quas scriptores Christiani celebrabant traditionum suo iure dicantur [3]). Tamenvero videndum est ne a varietate formarum quas traditio induit concludatur facile ad totius traditionis mendacium: ita enim fere fit ut pro dubitandi libidine una cum fabulosis etiam vera vel certe probabilia abiiciantur. Etiamsi Aristeae libellus pro apocrypho habeatur, ita ut non sit cuius esse dicitur ac plura contineat ab historica fide prorsus aliena, tamen non sequitur totam quam tradit historiam in mera ponendam esse fabula, nec magis originem libelli cum Antonio van Dale [4]) ad multo recentiora tempora revocandam esse. De aetate enimvero ipsius versionis Graecae si quaeritur, id ipsum quod sub Ptolemaeo Philadelpho facta dicitur, qua de re magna veterum scriptorum consensio est, a vero minime abhorret, praesertim quum de solo Pentateucho, qui ut ante omnes libros reliquos verteretur eximia eius in cultu gravitas facere debebat, apud Aristeam Aristobulum Philonem Iosephum sermo sit [5]). Cui sententiae quum plura sunt quae favent, tum inprimis diuturna Iudaeorum a Ptolemaeo Lagi filio in Aegyptum deductorum captivitas et insigne Ptolemaeorum studium Graecas propagandi litteras: quamquam verisimilius est usui horum Iudaeorum consulendi caussa quam pro curiositate regis ver-

1) Hoc fecit primum in dissertatione contra historiam Aristeae de LXX interpretibus, Oxonii 1685., rursus in libris IV de bibliorum textibus originalibus, versionibus Graecis et Latina vulgata, Oxonii 1705.

2) Iis qui hodieque aliter sentiunt ducem se praebet Const. Oiconomos, Atheniensis, qui quattuor volumina eruditionis et studii plena nuper edidit hoc titulo: Περὶ τῶν ο' ἑρμηνευτῶν τῆς παλαιᾶς θείας γραφῆς βιβλία δ. Συνταχθέντα ὑπὸ τοῦ πρεσβυτέρου καὶ οἰκονόμου τοῦ οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου, Κωνσταντίνου τοῦ ἐξ Οἰκονόμων. Ἀθήνησιν. ͵αωμδ' et seqq. Oiconomo vero vix cedere videtur doctus Anglus Grinfield, auctor libri: An Apology for the Septuagint. London 1850.

3) Cf. prae aliis Montfaucon in iis quae Hexaplis Origenis praeposuit Praeliminariis cap. III. sect. II. § VI sqq.

4) Is in dissertatione sua super Aristea Amst. 1705. pag. 4 sq. probare studuit hunc Pseudaristeam inter Philonis et Iosephi tempora prodisse, sed omnino posteriorem Philone esse. Si quo tempore dudum omnes libri sacri Graece legebantur, tum demum liber Aristeae confictus esset, non in eo acquievisset auctor ut solum Pentateuchum ab interpretibus illis versum diceret.

5) Ipso textu omnino invito (vide supra) Oiconomos aliique, ut Valckenaer, Haevernick, veterrima traditione de totius Veteris Testamenti interpretatione agi contendunt.

Digitized by Google

sionem susceptam esse. Huc etiam aliquid valet prologus libri Iesu Siracidae, ubi interpres anno tricesimo octavo Ptolemaei Euergetae i. e. anno ante Christum 131. Graecae omnium librorum sacrorum versionis[1]) testimonium perhibet, atque eum quidem in modum ut rem minime novam sed omnibus ex ipso usu notissimam ponere videatur. Quod ad testimonium accedit additamentorum ad librum Estherae subscriptio, in omnibus antiquissimis codicibus nostris, etiam in Friderico-Augustano exhibita, qua liber iste sub Ptolemaeo et Cleopatra i. e. ut plerisque videtur sub Ptolemaeo Philometore inter 181 et 145 ante Christum in Graecum translatus dicitur. Nimirum hoc tempore canonici Iudaeorum libri una cum ipsorum hagiographis iam versi fuisse videntur; Estherae enim liber, ut ex Iosepho et Hieronymo constat, non modo ultimum omnium locum tenebat, sed etiam separatim a legis, prophetarum atque hagiographorum voluminibus et scribi et asservari solebat. Iamvero si circa initium alterius ante Chr. saeculi Graeca librorum sacrorum versio in Hellenistarum usu fuisse statuendum est, haud absonum fidei est, quinquaginta vel sexaginta annis ante initium eius versionis Pentateucho factum esse.

VI. Sed ut haec ad coniiciendam versionis Graecae aetatem haud improbabiliter dicta sint, difficilior quaestio est de veris auctoribus deque legibus quas vertendo secuti sint. Illud quidem dubitari nequit, quin non iidem omnes sed alii alios libros et variis illi quidem temporibus converterint[2]). Hinc enim factum est ut singuli libri magnopere inter se differant versionis bonitate totoque ingenio et ratione; quemadmodum quinque Moysis libri[3]) maximam certe partem multo melius

1) Hoc planissimum certissimumque est; nec erat quod Frankel: Vorstudien zu der LXX pag. 22. dubitaret, verba prologi: οὐ γὰρ ἰσοδυναμεῖ usque ἐν ἑαυτοῖς λεγόμενα, utrum de Chaldaica an de Graeca versione librorum sacrorum accipienda essent. Quum enim ipse interpres Graece scribat deque sua Graeca interpretatione loquatur, quod de lege, de prophetis librisque reliquis dicit non potest aliter quam de Graece versis eademque lingua pervulgatis intellegi. Similiter idem doctus Iudaeorum magister in eo offendit quod αἱ προφητεῖαι, non οἱ προφῆται scriptum sit. Quae quam male distinxerit, ex Iustino poterit discere qui (vide supra pag. XII. nota 2.) eundem prorsus in modum τὰς βίβλους τῶν προφητειῶν dixit.

2) Plures fuisse interpretes luculenter inde demonstratur quod eaedem voces Hebraicae non eodem in omnibus libris modo expressae sunt. Cuius rei exempla aliquot vide apud Eichhornium in introductione ad Vetus Testamentum 1823. vol. I. pag. 467 sq. Huc etiam pertinet scripturae differentia qua in variis libris nomina propria leguntur: quamquam videndum est ne inconstantiam codicum ipsis interpretibus imputemus.

3) In singulos qui esse videntur ipsius Pentateuchi auctores nuper docte inquisivit Frankel: Ueber den Einfluss der palästinensischen Exegese auf die alexandrinische Hermeneutik pag. 4—227. cum epicrisi pag. 228 sq.

Digitized by Google

quam prophetae Graece redditi sunt. Sed multum abest ut sciatur quot interpretum studia in textibus nostris distingui queant. Plerosque ex Iudaeis Alexandrinis fuisse, idoneis argumentis efficitur [1]). Potest etiam textus primum editus manum correctricem subisse, unde maior singulorum unitas fieret.

Difficillimum vero dictu est unde interpretes ea hauserint quae apud ipsos ab Hebraeorum textu differunt. Fuerunt qui Graeca ex Chaldaica potius versione vel paraphrasi quam ex ipso textu Hebraeo fluxisse dicerent [2]); aliis satis videbatur hunc ipsum nullis punctis signatum proptereaque erratu proclivi dicere. Alii Pentateuchum certe derivarunt ex codice Samaritanorum, quocum revera Graeca versio duobus fere locorum millibus consentit; alii ut Gesenius [3]) utrosque et Samaritanos et Graecos interpretes libros Moysis ex eodem fonte hausisse statuerunt; contra Frankelius Samaritanum ad Graeca conformatum censet [4]).

Quae quidem, sive hoc sive illud adsumis, non ita comparata sunt ut rationem quae est inter Graecum textum et Masoreticum Hebraicum satis explicent; nec enim satis est codicum unde interpretatio fluxerit inquirere proprietatem, sed etiam in hermeneuticis quas interpretes secuti sunt legibus momentum magnum est positum. Sunt haec omnia eiusmodi quae ut ad claritatem et ad ipsam probabilitatem perveniant novis variisque laboribus opus habent; neque vero, opinor, ulla res est quae post sanctos Novi Foederis libros doctorum theologorum studio industria diligentia dignior sit quam Graecus Veteris Testamenti textus. Is enim unde tantam in re sacra auctoritatem habeat, nemini dubium esse potest. Habet enim inde quod saepe invito ipso Hebraeo textu eximia cum gravitate ad sanctorum apostolorum scripta adhibita est. Quod inde auctoritatis iam a Philone et Iosepho [5]) magnopere

---

1) Exposuit hac de re post Hodium (De biblior. textib. origin. pag. 110 sqq.), a quo multa mutuavit, Eichhornius l. l. vol. I. pag. 472 sqq. Exempla Hodii impugnavit Frankel: Vorstudien etc. pag. 40 sqq.; tamen et ipse concedit plerosque libros ab Alexandrinis Iudaeis versos esse, nec nisi partem Asiaticis vindicat. Quod eo loco titulum primi libri Moysis: γενεσις του κοσμου, non ab ipsis interpretibus positum vult, id ab illa est cupidine contra ipsa certiora ab incertis rebus disserendi, cui vir doctissimus passim nimis indulget. Ceterum idem in utroque quem identidem vidimus libello probabiliter de multis exposuit quae ad totius interpretationis ingenium et ad singulorum interpretum rationem rectius cognoscendam faciunt.

2) De hac tota re conferendus est Frankel: Vorstudien etc. pag. 32 sqq.

3) Cf. eius dissertatio de Pentateuchi Samaritani origine, indole et auctoritate. 1815.

4) Cf. Ueber den Einfluss der palästinens. Exegese etc. pag. 238 sqq.

5) Philo constanter et Iosephus plerumque Graeco textu, non Hebraeo, in scriptis suis usi sunt.

Digitized by Google

comprobatae insigne incrementum cepit, ut fovit multorum patrum credulitatem et, quam Hieronymus iam explosit, superstitiosam sedulitatem circa veterem de interpretationis origine traditionem, ita non potuit non ipsius ecclesiae fide atque usu confirmari. Quam rem luculenter testantur interpretationes eiusdem Graeci textus, quae a primis inde post Christum saeculis quum in orientalibus tum in occidentalibus Christiani orbis partibus prodierunt. Nam Syri et Armeni, Copti et Aethiopes, Arabes, Iberi et Slavi, pariter atque Latini Vetus suum Testamentum vel solum vel inprimis e celebri textu Graeco petierunt. Ac quum Hieronymus in locum eius quem ipse antea magno studio correxerat popularium suorum textus novam interpretationem eamque ex Hebraeo fonte haustam substituisset, magnam illa quidem auctoritatem in Latina ecclesia sensim nacta est, tamen non tantum valuit ut Graecus ille textus antiquam dignitatem amitteret aut communi usu depelleretur.

VII. Hinc factum est ut, ubi primum post diuturnas medii aevi tenebras nova litterarum lux exorta est, non modo homines docti aeque ac pii in adornandis LXX interpretum editionibus strenua studia ponerent, sed ipsi Pontifices Romani, quippe bene consulturi Christiano orbi, eorum edendorum curam in se susciperent. Salutis enim anno 1587. editio prodiit Sixti V., qui iam antequam apostolicam sedem conscenderat Gregorio XIII. suscipiendi operis suasor atque auctor exstiterat [1]). Quae editio mox tantam assecuta est famam ut et Venetae et Complutensi, quae iam ante annos plus sexaginta iuris publici factae erant, ubique terrarum anteponeretur, neque magis postea Alexandrino codice Ernesti Grabii studiis in lucem emisso principatu deiiceretur. Quem principatum habuit inde

1) Ad eandem rem iam Pius V. animum attenderat, quamquam nulla eius fit mentio nec in epistula dedicatoria Antonii Carafae ad Sixtum V. nec in praefatione ad lectorem nec in decreto Papae. Testatur vero Ios. Silos, qui in Hist. clericor. regul. P. I. lib. XIII. ad annum 1575. haec habet: »Cavit accurate huic divinarum Scripturarum nitori sacrosanctum concilium »Tridentinum, ac iuxta eius decreta Pius Pontifex V. illarum correctionem »est aggressus; cumque in eiusmodi sacrorum bibliorum eruditione et littera»tura insigni tunc laude floreret Romae Agellius, linguarum maxime peritia »instructus, agi de iis gravissimae rei momentis non potuit quin ipse inter »paucos consuleretur adhibereturque operi. Igitur, ut testatur ipsemet data »ad Latinum Latinium epistula, demandatum hoc illi negotium fuit una cum »viris doctissimis Mariano Victorio episc. Reatino, Paulino e Dominicana »familia et P. Emanuele Sa societatis Iesu.» Ista ne de Latinis potius, ad quae certe concilii Tridentini decreta spectant, quam de Graecis bibliis dicta videantur, ea quae sequuntur vetant, ubi ipsi LXX memorantur. Ceterum cf. infra (sect. X. med.) quae Ant. Carafa in epistula dedicatoria scribit de actis concilii Tridentini nondum pervulgatis.



Digitized by Google

quod editores Romani antiquissimo codice Vaticano editionis fundamento se usos professi sunt ac fere revera usi sunt, quum utraque quae praecesserat editio ad posteriorum codicum fidem non sine arbitrio conformata esset[1]), Grabiana[2]) vero non modo Alexandrinum codicem iusto pluris faceret

1) Editio Complutensis exstat in Polyglottis Complutensibus: Biblia hebr. chald. graec. et lat. nunc primum impressa in Complutensi universitate de mandato et sumptibus Franc. Ximenii de Cisneros (archiepisc. Toletani) industria Arn. Gu. de Brocario 1514—1517. 6 voll. (Sed publicata demum est brevi post annum 1522.) Mira est de hac editione dissensio inter editores atque eos qui post examinarunt. Ut enim ipsi editores exemplaria vetustissima simul et emendatissima, a Leone X. ex ipsa apostolica bibliotheca Complutum missa a se expressa simulque adhibita alia non pauca, etiam castigatissimum Bessarionis codicem, praedicarunt: ita Waltonus in Prolegg. bibl. polygl. IX, 28. omnibus inferiorem esse et a genuino LXX versione omnium longissime abesse dixit; novam enim versionem et mixtam esse, partim ex LXX, partim ex Origenis additamentis ex Theodotione, partim ex Aquilae, Symmachi aliorumque interpretum, imo et commentatorum Graecorum verbis consarcinatam, ut hoc modo textui Hebraeo per columnas aptius responderet. Ita igitur Waltonus, nec fere aliter alii multi iudicarunt. Quae reprehensio iusto iniquior esse videtur; certe enim longe plurima Compluti edita ex codicibus confirmantur. Tamen vero pro dubia eius editionis fide multo praestat lectiones Complutenses ad ipsos codices exigere quam ficta auctoritate donare. Nihilominus ante haec duo saecula textus Complutensis aliquoties repetitus est: Antwerpiae (studio Livineii et Canteri, Latine ab Ario Montano) in Regiis bibl. polygl. 1572., ex officina Sanctandreana in Polyglottis quae Vatabli plerumque dicuntur 1586. (eadem editio in aliis exemplaribus 1587. prodisse dicitur, in aliis 1599. Heidelbergae, item 1616. ex officina Commeliniana. Qua de re cf. Bibliothecam Sacram Andreae Gottl. Masch, p. I. cap. III. § VIII.); Hamburgi 1596. in Bibl. polygl. Wolderi (non ad Aldinam hunc textum conformatum esse, contra Fabricium monuit Masch in Biblioth. sacr. p. II. vol. II. sect. I. § LII.), Parisiis in Polyglottis (auctore potissimum D. Michaeli de Iay) 1645. — Qui rursus nuperrime in editione Theilii et Stieri polyglotta a Boeckelio editionis Complutensis usus est factus, eum a sana ratione critica prorsus alienum iudico.

Editio Veneta s. Aldina tribus voluminibus quae et V. et N. T. Graece complectuntur ex aedibus Aldi et Asulani soceri prodiit anno 1518. Quae quamquam dudum Complutensi purior et Romanae editioni propior dicta est, tamen et ipsa vario modo et graviter a vero deflexit, quemadmodum iam Usserius his notavit: «Observavi eam sequi interdum non LXX sed Aquilae »lectiones, glossemata quoque plurima in manuscriptorum marginibus pri»mum notata et in textum postea admissa hic occurrere, eaque non ex »variis solum editionibus et versionibus petita, sed etiam in locis quos »citaverunt apostoli a vulgata Graeca τῶν ο′ lectione discrepantes.» Etiam haec editio (vitiis insuper plurimis typographi deformata) fidei dubiae est; nec enim satis constat e quibus codicibus fluxerit, nec magis quanta diligentia, quanta religione editores auctoritatem librorum mss. sint secuti. Repetitus est textus Aldinus Argentorati 1526. a Wolph. Cephaleo (novo titulo Arg. et ut alibi est Basil. 1529.); Basileae 1545. a Io. Hervagio, et ibidem 1550. a Nicol. Brylengero (denuo emissa 1582.); Francofurti ad Moenum typis Wechelianis 1597. (rursus Venetiis 1687.).

2) De Grabiana editione, item de Turicensi Breitingeri vide infra ad codicem Alexandrinum.

Digitized by Google

sed etiam parum recte ad editionis Origenianae hexaplaris similitudinem accederet. Nihilominus inter viros doctos qui textus sacros penitus cognitos habent satis constat, suas virtutes quum unicuique harum trium editionum tum maxime Alexandrinae esse, ipsam vero Vaticanam minime omnibus esse numeris absolutam.

VIII. Quae quum ita essent, quid faciundum erat novam nuper editionem cogitanti? Apparatum criticum si haberemus eiusmodi qui et multos maximeque antiquissimos testes complecteretur et lectionum varietatem plene atque accurate referret, arduum opus recensendi textum suscipi debebat; certe enim poterat. Quem ut habeamus tantum abest ut a celebri Holmesiano opere ne proficiscendum quidem sit, si quis talem apparatum conficere voluerit. Neque vero exiguae temeritatis fuisset, textus Septuagintaviralis novam recensionem parare et quam imperfectis perfectae recensionis subsidiis uti liceret bene scire. Debebam vero etiam nunc quidem eo magis a recensendo textu abstinere quoniam quam editionem cogitabam communi destinabam usui, non doctae paucorum hominum curiositati. Tamen si quid possem editione nova manuali ad rem criticam caute sed vere promovendam conferre, haud recusandum duxi. Propterea hanc viam ingressus sum, ut textum per haec tria fere saecula probatissimum repeterem, mutatis tantummodo quibus mutatione maxime opus esset, addita vero plena lectionis varietate ex tribus codicibus antiquissimis, quos fere solos utpote editos [1]) confidenter adhibere licebat. Ita enim providere videbar ne quae in textu Vaticano minus recte aut male haberent pro veris aut certis venditarentur, neve magis aliquid temere mutaretur aut dubium pro dubio reponeretur.

Sed explicatius dicendum erit quum quas in repetendo textu Romano leges secuti simus et quos locos mutatos dederimus, tum quos codices et quo modo ad apparatum adhibuerimus. Quo loco simul de universo apparatu critico quo Graecus Veteris Testamenti utitur exponetur, et nostri apparatus supplementa ex gravissimis quibusdam codicibus afferentur. Ante haec vero omnia de ipsa editione Vaticana paullo uberius referendum videtur.

IX. Editio Romana hunc titulum habet: η παλαια διαθηκη κατα τους εβδομηκοντα δι αυθεντιας ξυστου ε' ακρου αρχιερεως εκδοθεισα. Vetus Testamentum iuxta Septua-

1) Hoc potissimum ad annum 1850. valet, ubi editio haec stereotypa primum prodiit. Quae nuperrime demum ipse in oriente detexi insignia fragmenta textus antiquissimi, de iis vide infra. Etiam supplementa apparatus nostri inde afferentur.

ginta ex auctoritate Sixti V. Pont. Max. editum. Liber est formae maximae, paginarum 783, accedentibus duabus cum addendis et corrigendis, de quibus infra dicemus. Textus quavis pagina in duas columnas divisus est, quarum unaquaeque 55 circiter linearum est. Observatur capitum distinctio, non item versuum. In ipso textu nec nomina propria nec alia ulla nec initia enuntiationum littera maiori sive initiali notantur. Exeunte capite plerumque adduntur notae [1]), in quibus Aquilae, Symmachi, Theodotionis, editionum quae dicuntur Quintae et Sextae, aliorumque vel patrum vel interpretationum vel codicum lectiones afferuntur, item loci obscuriores explicantur. Ita sub Genesis capite I. haec leguntur:

α Η δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος] Aquila, κένωσις καὶ οὐδέν. Symmachus, ἀργὸν καὶ ἀδιάκριτον. Theodotio, κενὸν καὶ οὐθέν. β [Συναχθήτω τὸ ὕδωρ] A. et S. συστήτω. γ [Σπεῖρον σπέρμα] A. σπερματίζον εἰς τὸ γένος αὐτῶν. δ [Εἰς φαῦσιν ἐπὶ τῆς γῆς] L. V. εἰς φαῦσιν τῆς γῆς.

Item sub Exodi cap. VIII: α Καὶ ἐξαποστελῶ αὐτούς] AA. LL. τὸν λαόν. β [Σκνίφες] Ita VV. LL. et S. Augustinus. AA. LL. σκνίπες. quae scriptura reperitur apud Origenem et Philonem lib. 1. περὶ βίου μωυσέως. σκνιπῶν φορὰ ἐχύθη. Schol. ἄλλος. φθεῖρες. γ [Κυνόμυιαν] Schol. τὸ σαμαρειτικόν. κοραχα. κοινόμυιαν autem legendum non esse, sed κυνομυιαν, intelligi potest vel ex etymologia, quam Philo explicat lib. 1. περὶ βίου μωυσέως. δ [Μὴ προσθῇς ἔτι φαραὼ ἐξαπατῆσαι] Aquila et Symmachus παραλογίσασθαι.

Item sub Psalmo III: α Ψαλμός.] Schol. ᾠδή, καὶ δι' ὅλης τῆς βίβλου ὁμοίως. β [διάψαλμα] Schol. Θεοδοτίων καὶ Σύμμαχος, διάψαλμα. ἡ δὲ πέμπτη ἔκδοσις. διαπαντός. καὶ δι' ὅλης δὲ τῆς βίβλου ἐπὶ τοῦ διαψάλματος ὁμοίως ἐκδεδώκασιν. De hoc autem disputatum est a S. Hieronymo in epist. ad Marcellam. γ [ἐξ ὄρους ἁγίου αὐτοῦ.] Aquila, ἡγιασμένου. Symmachus, ἁγίου ἑαυτοῦ. δ [ἀντιλήψεταί μου] Iustinus legit, ἀντελάβετό μου. et ita est in paraphrasi Chaldaica, Psalterio Aethiopico, et Arabico. Item in translationibus Latinis, suscepit me.

---

1) Inprimis ad has notas contulisse se profitetur Petrus Morinus in epistula ad Silvium Antonianum haec scribens: *Mihi uni data est provincia commentariorum in Vetus Testamentum Vaticanorum, quae catenae dicuntur, evolvendorum ac perlegendorum, ut ex iis varias lectiones variasque interpretationes Aquilae, Symmachi et Theodotionis, Quintae praeterea ac Sextae editionis exciperem et in annotationes transferrem, quas itidem scribendas susceperam. Immensum id opus tam multa legendi aliquot annis exhausi ac pleraque correxi ex Hebraicae linguae coniectura.* De ceteris qui in paranda editione partem habuerunt vide infra pag. XXIV. nota 1.

Digitized by Google

Textui vero praemissa haec sunt:

1. ταξις των της παλαιας διαθηκης βιβλιων εν τηιδε τηι εκδοσει. [1])

2. Dedicatoria epistula Antonii Carafae Cardinalis sanctae sedis apostolicae bibliothecarii ad Sixtum Quintum P. M.

3. Praefatio ad lectorem.

4. Sixti Papae V. de ea editione decretum.

X. In ea epistula quae secundo loco posita est, Sixto Quinto P. M. Antonius Carafa haec scribit:

Annus agitur iam fere octavus ex quo Sanctitas vestra pro singulari suo de sacris litteris benemerendi studio auctor fuit beatae memoriae Gregorio XIII. Pont. Max. ut sacrosancta Septuaginta Interpretum Biblia, quibus Ecclesia tum Graeca tum Latina iam inde ab Apostolorum temporibus usa est, ad fidem probatissimorum codicum emendarentur. Quod enim Sanctitas V. pro accurata sua in perlegendis divinis scripturis diligentia animadvertisset, infinitos pene locos ex iis non eodem modo ab antiquis sacris scriptoribus afferri quo in vulgatis Bibliorum Graecis editionibus circumferrentur, existimassetque non aliunde eam lectionum varietatem quam e multiplici eaque confusa veterum interpretatione fluxisse; rectissime censuit ad optimae notae exemplaria provocandum esse, ex quibus, quoad fieri posset, ea quae vera et sincera esset Septuaginta Interpretum scriptura eliceretur. Ex quo fit ut vestram non solum pietatem sed etiam sapientiam magnopere admirer; cum videam S. V. de Graecis Bibliis expoliendis idem multos post annos in mentem venisse quod sanctos illos Patres Tridenti congregatos auctoritate ac reverentia ductos verae ac purae Septuaginta interpretationis olim cogitasse cognovi ex actis eius Concilii nondum pervulgatis. Huius autem expolitionis constituendae munus cum mihi demandatum esset a Gregorio XIII., cuius cogitationes eo maxime spectabant ut Christiana Religio quam latissime propagaretur, operam dedi ut in celebrioribus Italiae bibliothecis optima quaeque exemplaria perquirerentur atque ex iis lectionum varietates descriptae ad me mitterentur. Quibus sane doctorum hominum quos ad id delegeram industria et iudicio clarae memoriae Gulielmi Cardinalis Sirleti (quem propter excellentem doctrinam et multiplicem linguarum peritiam in locis obscurioribus mihi consulendum proposueram) persaepe examinatis et cum vestro Vaticanae bibliothecae (cui me benignitas vestra

---

1) Quem editio Vaticana singulorum librorum ordinem habet, expressum illum quidem ad fidem codicis Vaticani, is nec a nobis mutatus est. Ceterum de eo breviter explicat Morinus in praefatione ad lectorem. Vide infra pag. XXVI.

Digitized by Google

nuper praefecit) exemplari diligenter collatis; intelleximus cum ex ipsa collatione tum e sacrorum veterum scriptorum consensione, Vaticanum codicem non solum vetustate verum etiam bonitate caeteris anteire; quodque caput est, ad ipsam quam quaerebamus Septuaginta interpretationem, si non toto libro, maiori certe ex parte, quam proxime accedere. Quod mihi cum multis aliis argumentis constaret, vel ipso etiam libri titulo, qui est κατὰ τοὺς ἑβδομήκοντα, curavi de consilio et sententia eorum quos supra nominavi, huius libri editionem ad Vaticanum exemplar emendandam; vel potius exemplar ipsum, quod eius valde probaretur auctoritas, de verbo ad verbum repraesentandum, accurate prius sicubi opus fuit recognitum et notationibus etiam auctum. Factum est autem providentia sane divina, ut quod Sanctitate vestra suadente sui Cardinalatus tempore inchoatum est, id variis de causis aliquoties intermissum per ipsa fere initia Pontificatus sui fuerit absolutum; scilicet ut hoc praeclarum opus, vestro Sanctissimo nomini dicatum, quasi monumentum quoddam perpetuum esset futurum apud omnes bonos et vestrae erga Rempublicam Christianam voluntatis et meae erga Sanctitatem vestram observantiae.

XI. Praefatio vero ad lectorem, quam Petrum Morinum scripsisse constat, sic habet:

Qui sunt in sacrosanctis scripturis accuratius versati, fatentur omnes Graecam Septuaginta Interpretum editionem longe aliis omnibus quibus Graeci usi sunt et antiquiorem esse et probatiorem. Constat enim eos Interpretes, natione quidem Iudaeos, doctos vero Graece, trecentis uno plus annis ante Christi adventum, cum in Aegypto regnaret Ptolemaeus Philadelphus, Spiritu sancto plenos sacra Biblia interpretatos esse, eamque interpretationem a primis Ecclesiae nascentis temporibus tum publice in Ecclesiis ad legendum propositam fuisse, tum privatim receptam et explanatam ab Ecclesiasticis scriptoribus qui vixerunt ante B. Hieronymum, Latinae vulgatae editionis auctorem. Nam Aquila quidem Sinopensis, qui secundus post Septuaginta eosdem libros ex Hebraeo in Graecum convertit et multo post tempore sub Hadriano principe floruit, et eius interpretatio, (quod ea quae de Christo in scripturis praedicta fuerant, ut a Iudaeis gratiam iniret aliter quam Septuaginta vertendo, subdola obscuritate involverit) iamdiu est cum a recte sentientibus, licet in hexaplis haberetur, aliquibus locis non est probata. Hunc vero qui subsequuti sunt, Symmachus et Theodotio, alter Samaritanus sub L. Vero, alter Ephesius sub Imp. Commodo, uterque (quamvis et ipsi in hexaplis circumferrentur) parum fidus interpres habitus est. Symmachus, quod Samaritanis offensus, ut placeret Iudaeis, non unum sanctae scripturae locum perturbato sensu corruperit;

Digitized by Google

Theodotio, quod Marcionis haeretici sectator nonnullis locis perverterit potius quam converterit sacros libros. Fuerunt praeter has apud Graecos aliae duae editiones incertae auctoritatis: altera Antonio Caracalla Imp. apud Hierichuntem, altera apud Nicopolim sub Alexandro Severo in doliis repertae: quae quod in octaplis inter Graecas editiones quintum et sextum locum obtinerent, Quintae et Sextae editionis nomen retinuerunt. Sed nec hae satis fidae interpretationes habitae sunt. His additur alia quaedam editio sancti Luciani martyris, qui vixit sub Diocletiano et Maximiano Impp., valde illa quidem probata, sed quae cum Septuaginta Interpretibus comparari nullo modo possit, vel ipsis etiam Graecis scriptoribus testantibus et Niceta confirmante his plane verbis in commentario Psalmorum: ἡμεῖς δὲ καὶ την τοιαύτην ἔκδοσιν σεβαζόμενοι, τῇ τῶν ἑβδομήκοντα προσκείμεϑα μάλιστα, ὅτι διῃρημένως τὴν τῆς διαλέκτου μεταβολὴν ποιησάμενοι μίαν ἐν ἑκάστοις ἔννοιαν καὶ λέξιν ἀποδεδώκασιν.

Adeo Septuaginta Interpretum editio magni nominis apud omnes fuit; nimirum quae instinctu quodam divinitatis elaborata bono generis humani prodierit in lucem. Sed haec etiam ipsa, quod in hexaplis ita primum ab Origene collocata fuerit ut eius e regione aliae editiones quo inter se comparari commodius possent ad legendum propositae essent, deinde vero varietates tantum ex iis ad illam sub obelis et asteriscis notari essent coeptae, factum est ut vetustate notis obliteratis insincera nimis et valde sui dissimilis ad nos pervenerit: quippe quae insertis ubique aliorum interpretationibus, aliquibus autem locis duplici atque etiam triplici eiusdem sententiae interpretatione intrusa, male praeterea a librariis accepta, suum ob id nitorem integritatemque amiserit. Hinc illae lectionum penitus inter se dissidentes varietates et, quod doctissimorum hominum ingenia mentesque diu torsit, ipsae exemplarium non solum inter se sed a veteribus etiam scriptoribus dissensiones. Quod malum primo a multis ignoratum, ab aliis postea neglectum, quotidie longius serpens, principem librum, et a quo tota lex divina et Christiana pendent instituta, non levibus maculis inquinavit.

Quo nomine dici non potest quantum omnes boni debeant Sixto V. Pont. Max. Is enim quod in sacris litteris, unde sanctissimam hausit doctrinam, aetatem fere totam contriverit, quodque in hoc libro cum veterum scriptis conferendo singularem quandam diligentiam adhibuerit, vidit primus qua ratione huic malo medendum esset; nec vidit solum, sed auctoritate etiam sua effecit ut summus Pontifex Gregorius XIII. Graeca Septuaginta Interpretum Biblia, adhibita diligenti castigatione, in pristinum splendorem restituenda curaret. Quam rem exe-

Digitized by Google

quendam cum ille demandasset Antonio Carafae Cardinali, viro veteris sanctitatis et omnium honestarum artium cultori, nulla is interposita mora delectum habuit doctissimorum hominum [1]) qui domi suae statis diebus exemplaria manuscripta, quae permulta undique conquisierat, conferrent et ex iis optimas quasque lectiones elicerent; quibus deinde cum codice Vaticanae bibliothecae saepe ac diligenter comparatis intellectum est, eum codicem omnium qui extant longe optimum esse, ac operae pretium fore si ad eius fidem nova haec editio pararetur.

Sed emendationis consilio iam explicato, ipsa quoque ratio quae in emendando adhibita est nunc erit aperienda, in primisque Vaticanus liber describendus, ad cuius praescriptum haec editio expolita est. Codex is, quantum ex forma characterum coniici potest, cum sit maioribus litteris quas vere antiquas vocant exaratus, ante millesimum ducentesimum annum, hoc est ante tempora B. Hieronymi et non infra scriptus videtur [2]). Ex omnibus autem libris qui in manibus fuerunt unus hic prae aliis, quia ex editione Septuaginta si non toto libro certe maiorem partem constare visus est, mirum in modum institutam emendationem adiuvit; post eum vero alii duo qui

1) In elaboranda editione Romana, praeside Antonio Carafa Cardinali inprimis studia posuerunt sua iam sub Pio V, qui primus rem aggressus est, praeter Gulielm. Sirletum, cuius Carafa in ipsa dedicatione libri mentionem fecit, Antonius Agellius, Latinus Latinius, Marianus Victorius, Paulinus Dominicanus, Emmanuel Sa, Petrus Parra; tum sub Gregorio XIII. accessere praeter Petrum Morinum, quem de labore suo ipsum testantem iam vidimus, Petr. Ciaconius, Latinis potissimum libris occupatus, Francisc. Turrianus, Paulus Comitolus, Fulv. Ursinus, Laelius Carafae theologus, Ioh. Maldonatus, Ioh. Livineius, Bartholom. Valverda, Rob. Bellarminus, Franciscus Toletus.

2) Ex quo tempore haec Romae edita sunt, multa a multis circa aetatem Vaticani libri disputata sunt, quamquam ii tantum aliquid in his scire possunt qui quam plurimos summae antiquitatis libros ipsi viderunt et quaecunque ad definiendam aetatem faciunt omni diligentia observarunt. Argumentum maximae vetustatis quod editores Romani a litteris Vaticani codicis sumpserunt, id per se quidem non satis est, etsi revera perfecto uncialium litterarum genere ab Herculanensibus scripturis nonnullis vix diverso utitur; sed accedunt plura quibus illorum sententia, qua is codex quarto saeculo adscribitur, maiorem in modum confirmatur. Eiusmodi est interpunctionis simplicitas summaque raritas, item quod scriptura nondum initiales quas dicunt litteras reliquis maiores habet. Alia argumenta a Novo potissimum Testamento sumpta sunt. De quibus omnibus nuper exposui in Studiis et criticis theologicis Heidelbergensibus 1847. I. pag. 129 sqq. et in Prolegomenis codicis mei Friderico-Augustani 1846. Eandem sententiam tuitus est etiam Hugius in programmate «de antiquitate codicis Vaticani» Friburgi Brisgoviae 1810. Is iam correxerat graves Birchii circa hunc codicem errores.

Digitized by Google

ad eius vetustatem proximi quidem sed longo proximi intervallo accedunt, unus Venetus ex bibliotheca Bessarionis Cardinalis, et is quoque grandioribus litteris scriptus [1]; alter qui ex Magna Graecia advectus nunc est Carafae Cardinalis [2]: qui liber cum Vaticano codice ita in omnibus consentit ut credi possit ex eodem archetypo descriptus esse. Praeter hos magno etiam usui fuerunt libri ex Medicea bibliotheca Florentiae collati, qui Vaticanas lectiones multis locis aut confirmarunt aut illustrarunt. Sed libri Vaticani bonitas non tam ex horum codicum miro consensu perspecta est, quam ex iis locis qui partim adducuntur partim explicantur ab antiquis sacris scriptoribus; qui fere nusquam huius exemplaris lectiones non exhibent ac reponunt, nisi ubi aliorum Interpretum locum aliquem afferunt, non Septuaginta. Quorum editio cum esset nova emendatione perpolienda, recte ad huius libri normam, qui longe omnium antiquissimus, solus [3] iuxta Septuaginta inscribitur, perpolita est; vel potius rectissime liber ipse ad litteram, quoad fieri potuit per antiquam orthographiam aut per librarii lapsus, est expressus. Nam vetus illa et iam obsoleta eius aetatis scriptura aliquibus locis repraesentata non est; cum tamen in aliis omnibus, nisi ubi manifestus apparebat librarii lapsus, ne latum quidem unguem, ut aiunt, ab huius libri auctoritate discessum sit [4], ne in iis quidem quae si minus mendo, certe suspicione mendi videbantur non carere.

---

1) Iacobo Morellio in Bibliotheca ms. Marciana gr. et lat. (Bassani 1802.) est codex I., quem tom. I. pag. 3—6. descripsit. Continet Iobi librum a cap. XXX, Proverbia, Ecclesiasten, Canticum, Sapientiam Salomonis, Siracidem, Prophetas omnes, Tobiam, Iudith, Maccabaeorum libros tres. Ipse examinavi anno 1843., ac plura inde descripsi luce digna. Saeculo nono scriptum putavit cum aliis Morellius; nescio an octavum praestet. Variantes lectiones inde excerptas Holmes et Parsons in apparatu editionis Oxoniensis protulerunt, qui quum sero resciscerent uncialibus litteris scriptum esse, per errorem accidit ut codicem numero 23. insignirent. Ceterum hic codex inprimis valuisse videtur ad edendos Maccabaeorum libros quippe qui in ipso Vaticano prorsus desint.

2) Catalogus librorum mss. Carafae Cardinalis in bibliotheca Vaticana servatur. Cf. Blume in Itineris Italici tom. III. Hinc verosimile est ipsos libros mss. ex manibus Carafae in eam bibliothecam transisse. Hunc codicem inprimis ad Genesin edendam adhibitum esse credibile est, cuius longe maiorem partem in ipso Vaticano perisse constat. Deest vero etiam Psalmorum pars: quam si Carafae liber una cum Genesi praebuit, totum ille Vetus Testamentum continuisse credendus erit.

3) Perquam notabilis est subscriptio Proverbiorum Salomonis in codice Ephraemi Syri rescripti a nobis eruta: παροιμιαι σολομωντος παρα εβδομηκοντα. Ita enim eiusdem laudis, quam soli Vaticano tribuerunt editores Romani, codex Ephraemi Syri particeps est factus.

4) Hoc Morinus quo iure dicat, probabitur infra, ubi ex ipso Vaticano codice variantes lectiones afferentur.

Digitized by Google

Satius enim visum est locos vel aliquo modo suspectos (nec enim fieri potest ut in quantumvis expurgato exemplari non aliqua supersit macula) quemadmodum habentur in archetypo relinqui quam eos ex alicuius ingenio aut coniectura emendari: quod multa quae primo vel mendosa vel mutilata in hoc codice videbantur, ea postea cum aliis libris collata vera et sincera reperirentur. Nam in libris Prophetarum, qui maxime in hoc exemplari (uno excepto Daniele) puram Septuaginta editionem resipiunt, mirum quam multa non habeantur; quae tamen recte abesse et eorum Interpretum non esse, intellectum est tum ex commentariis veterum scriptorum Graecis et Latinis, tum ex libris manuscriptis in quibus illa addita sunt sub asteriscis.

Atque haec ratio in notationibus quoque servata est, in quibus cum multa sint ex commentariis Graecis petita quae in codicibus manuscriptis partim mutilata partim varie scripta aliquibus locis circumferuntur, ea non aliter atque in archetypis exemplaribus reperiuntur descripta sunt, quo uniuscuiusque arbitratu adiuvantibus libris restitui possint. Nec vero illud omittendum, quod item pertinet ad notationes; non omnia in iis repraesentata esse quae aut ad confirmandas lectiones Vaticanas e scriptoribus vulgatis aut ad explenda quae in Septuaginta non habentur, ex aliorum editionibus afferri potuissent, quod in communibus libris cum legantur, inde sibi unusquisque nullo negotio ea parare possit. Quae vero in libris manuscriptis reperta, vel ad indicandas antiquarum tum lectionum tum interpretationum varietates (sub scholii illas nomine, quod ipsarum incerta esset auctoritas, nonnunquam relatas) vel ad stabiliendam scripturam Vaticanam et eius obscuriores locos illustrandos pertinere visa sunt, ea certe non sunt praetermissa.

Ordo autem librorum in Vaticano exemplari cum idem fere sit cum eo qui apud Graecos circumfertur, a vulgatis tamen editionibus variat in hoc quod primo habet duodecim Prophetas et hos ipsos aliter dispositos; deinde reliquos quattuor, quemadmodum vulgo editi sunt. Atque hunc ordinem verum esse intelligimus ex eo quod illum agnoscunt et probant veteres Ecclesiastici scriptores. Et cum toto exemplari nulla capitum divisio sit, (nam in nova editione consultum est legentium commoditati) in libro tamen quattuor Prophetarum distinctio quaedam apparet subobscura, illi paene similis quam describit sanctus Dorotheus martyr, qui vixit sub Magno Constantino.

Maccabaeorum libri absunt ab hoc exemplari, atque item liber Genesis fere totus; nam longo aevo consumptis membranis mutilatus est ab initio libri usque ad caput XLVII;

Digitized by Google

et liber item Psalmorum, qui a Psalmo CV. usque ad CXXXVIII. nimia vetustate mancus est. Sed haec ex aliorum codicum collatione emendata sunt [1]).

Quod si aliqua videbuntur in hac editione, ut ait B. Hieronymus, vel lacerata vel inversa, quod ea sub obelis et asteriscis ab Origene suppleta et distincta non sint; vel obscura et perturbata, quod cum Latina vulgata non consentiant, et in aliquibus aliis editionibus apertius et expressius habeantur; eris lector admonendus, non eo spectasse huius expolitionis industriam ut haec editio ex permixtis eorum qui supra nominati sunt interpretationibus (instar eius quam scribit B. Hieronymus a Graecis κοινήν, a nostris appellatam Communem) concinnata, Latinae vulgatae editioni, hoc est Hebraeo, ad verbum respondeat; sed ut ad eam quam Septuaginta Interpretes Spiritus sancti auctoritatem sequuti ediderunt, quantum per veteres libros fieri potest, quam proxime accedat. Quam nunc novis emendationibus illustratam et aliorum Interpretum reliquiis quae supersunt auctam, non parum profuturam ad Latinae vulgatae intelligentiam, dubitabit nemo qui hanc cum illa accurate comparaverit.

Quae si doctis viris et pie sentientibus, ut aequum est, probabuntur, reliquum erit ut Sixto V. Pont. Max. huius boni auctori gratias agant et ab omnipotenti Deo publicis votis poscant, optimum Principem nobis florentem quam diutissime servet. Qui cum omnes curas cogitationesque suas in amplificandam ornandamque Ecclesiae dignitatem contulerit, dubitandum non est quin Rep. Christiana optimis legibus et sanctissimis institutis per eum reformata, religione ac pietate, revocatis antiquis ritibus, in suum splendorem restituta, in hoc quoque publicam causam sit adiuturus ut sacri veteres libri, hominum incuria vel improbitate corrupti, pro sua eximia benignitate ab omni labe vindicati, quam emendatissimi pervulgentur.

XII. Denique Sixti Papae V. decretum additur, datum Romae die VIII. Octobr. 1586, cuius priora ita habent;

Ad perpetuam rei memoriam. Cupientes, quantum in nobis est, commissi nobis gregis saluti quacunque ratione ac via prospicere, ad pastoralem nostram curam pertinere vehementer arbitramur, Sacrae Scripturae libros, quibus salutaris doctrina continetur, ab omnibus maculis expurgatos integros purosque pervulgari. Id nos in inferiori gradu constituti, quantum potuimus, studio et diligentia nostra praestitimus,

---

1) Vide supra pag. XXV. not. 2. Tamen ipsis verbis id non dictum est ex codicibus illis lacunas Vaticani expletas esse.

Digitized by Google

et in hac altissima specula a Deo collocati assidue mentis nostrae oculis spectare non desistimus. Cum itaque superioribus annis piae recordationis Gregorius Papa XIII. praedecessor noster, nobis suggerentibus, Graecum Vetus Testamentum iuxta Septuaginta Interpretum editionem, qua ipsi etiam Apostoli nonnunquam usi fuerunt, ad emendatissimorum codicum fidem expoliendum mandaverit, eius rei cura dilecto filio nostro Antonio Sanctae Romanae Ecclesiae Presbytero Cardinali Carafae, et ad id per eum delectis eruditis aliquot viris demandata, et iam expolitio huiusmodi, permultis exemplaribus ex diversis Italiae bibliothecis et praecipue ex nostra Vaticana diligenter collatis matureque examinatis, absoluta sit: volumus et sancimus ad Dei gloriam et Ecclesiae utilitatem, ut Vetus Graecum Testamentum iuxta Septuaginta ita recognitum et expolitum ab omnibus recipiatur ac retineatur, quo potissimum ad Latinae vulgatae editionis et veterum Sanctorum Patrum intelligentiam utantur.

XIII. Ad calcem libri duabus paginis exhibentur: Addenda in notationibus et: Animadvertenda; item Corrigenda in notationibus Psalterii et aliquot aliis locis. Haec postrema non modo ad notas verum etiam ad textum pertinent; sunt vero ab iis qui postea Vaticanum textum ediderunt, ut a Reineccio, ab Holmes et Parsons, a Leandro van Ess, a Iagero, etiam a Breitingero in lectionum Vaticanarum indice maximam partem praetermissa. Potiora haec sunt: Βασ. δ' 4, 31. ἐπέθηκε legendum dicitur pro ἀπέθηκε, item Psalm. 94, 8. πειρασμοῦ pro πικρασμοῦ, Ierem. 22, 19. ταφήσεται pro ταφήσονται, Dan. 8, 11. ἐράχθη pro ἐταράχθη, posito ἐταράχθη quod etiam in cod. Alexandrino est, in variis lectionibus. Accedunt quas plerique receperunt duae Psalmorum correctiones; Psalm. enim 118, 173. ᾑρετισάμην pro ἡρετισάμην et 143, 12. ἑδρυμένα pro ἑδρουμένα legendum esse scriptum est.

Praeterea vero aliae quoque emendationes in exemplaribus editionis principis ut videtur omnibus inveniuntur. Sunt enim loci in ipso textu editorum manu correcti calamo. Neque magis vero hos diligenter observarunt qui textum Vaticanum repetendum curarunt. Nos passim in apparatu id ipsum indicavimus, esse aliquid in editione Romana correctum calamo, ut tom. II. p. 60. Psalm. 46, 5; tom. II. p. 234. Mich. 7, 16; tom. II. p. 241. Ion. 4, 8; tom. II. p. 264. Malach. 2, 17. Sed de his correctionibus omnibus accuratius post videbimus.

XIV. Iam dicendum est quibus rebus in repetendo Vaticano textu ab ipsa editione Vaticana a nobis discessum sit. Ac primum quidem interpunctio per totum librum emendatricem manum poscere videbatur. Universa enim eiusmodi est quam obsoletam aeque ac legentibus incommodam dicas.

Digitized by Google

Quod quum in frequentia signorum, ab antiquissimis Graecorum codicibus satis aliena, tum in eo cernitur quod puncti signum saepissime positum est ubi rationibus nostris parum convenit. Quaevis pagina poterit exemplo esse. Ita Genes. 23, 1 sqq. in Romana editione sic leguntur:

'Εγένετο δὲ ἡ ζωὴ σάῤῥας, ἔτη ἑκατὸν εἰκοσιεπτά. καὶ ἀπέθανε σάῤῥα ἐν πόλει ἀρβόκ, ἥ ἐστιν ἐν τῷ κοιλώματι. αὕτη ἐστι χεβρὼν ἐν τῇ γῇ χαναάν. ἦλθε δὲ ἀβραὰμ κόψασθαι σάῤῥαν, καὶ πενθῆσαι. καὶ ἀνέστη ἀβραὰμ ἀπὸ τοῦ νεκροῦ αὐτοῦ. καὶ εἶπεν ἀβραὰμ τοῖς υἱοῖς τοῦ χέτ, λέγων. πάροικος καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν. δότε μοι οὖν κτῆσιν τάφου μεθ' ὑμῶν, καὶ θ'ψω τὸν νεκρόν μου ἀπ' ἐμοῦ. ἀπεκρίθησαν δὲ οἱ υἱοὶ χὲτ πρὸς ἀβραὰμ, λέγοντες. μὴ κύριε. ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. οὐδεὶς γάρ etc.

Eadem apud nos in hunc modum scripta sunt:

'Εγένετο δὲ ἡ ζωὴ Σάῤῥας ἔτη ἑκατὸν εἰκοσιεπτά. [2] καὶ ἀπέθανε Σάῤῥα ἐν πόλει 'Αρβόκ, ἥ ἐστιν ἐν τῷ κοιλώματι· αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν. ἦλθε δὲ 'Αβραὰμ κόψασθαι Σάῤῥαν καὶ πενθῆσαι. [3] καὶ ἀνέστη 'Αβραὰμ ἀπὸ τοῦ νεκροῦ αὐτοῦ· καὶ εἶπεν 'Αβραὰμ τοῖς υἱοῖς τοῦ Χὲτ λέγων [4] Πάροικος καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν· δότε μοι οὖν κτῆσιν τάφου μεθ' ὑμῶν, καὶ θάψω τὸν νεκρόν μου ἀπ' ἐμοῦ. [5] ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Χὲτ πρὸς 'Αβραὰμ λέγοντες [6] Μή, κύριε· ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γάρ etc.

Praeterea vero loci sunt plurimi qui in editione Romana minus recte, sunt etiam qui male distincti videbantur. In quibus leviora quidem correximus, lectorem de differentia Romanae editionis non monentes; saepissime vero maximeque per posteriorem operis partem ipsa Romana interpunctio in notis est exhibita. Ita Exod. 19, 15. pro γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί, scripsimus Γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, μὴ προσέλθητε γυναικί. Item Exod. 22, 30. pro οὕτω ποιήσεις. τὸν μόσχον σου καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου ἑπτὰ ἡμέρας ἔσται ὑπὸ τὴν μητέρα etc., scripsimus οὕτω ποιήσεις τὸν μόσχον σου καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου· ἑπτὰ ἡμέρας ἔσται ὑ. τ. μ. etc. Item Exod. 30, 36. pro ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν. ἅγιον τῶν ἁγίων ἔσται ὑμῖν θυμίαμα. κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς etc. dedimus ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν· ἅγιον τῶν ἁγίων ἔσται ὑμῖν. [37] θυμίαμα κατὰ τὴν σύνθεσιν ταύτην οὐ π. ὑ. ἑ. etc. Relata vero est Romana interpunctio exempli caussa Ezech. 25, 9 et 10. 26, 2. 27, 25 et 26.

Tamen vero in interpunctione emendanda ita nobis temperavimus ut non mutaremus nisi mutatio maximam probabilitatis

Digitized by Google

speciem haberet. Hinc e. c. II Βασ. 22, 12. κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων. ἐπάχυνεν ἐν νεφέλαις ἀέρος intactum reliquimus, etsi praestare videbatur cum Alexandrino codice σκότος ὑδάτων cum iis quae sequuntur coniungere, favente ipso Hebraeo textu. Neque magis locos tetigimus eiusmodi qui emendari non possent nisi ipsa lectione mutata, ut Ezech. 21, 12.

Porro usum maiorum litterarum initialium, praecipue in scribendis nominibus propriis, ab aliis editoribus textus Romani, in quo ipso non est, recepimus. Item maiore littera, quae quasi interpunctionis locum teneret, initia orationum, interrogationes et responsa similiaque notare placuit. Qui quamvis non sit antiquorum codicum usus, tamen intelligentibus viris probatum iri spes est.

In distinguendis versibus plerumque secuti sumus exemplum priorum editorum, qui Graecum textum ad Latina exemplaria, a quibus is mos ad Hebraea quoque transiit, interpungere consueverunt. Tamen Graecus textus et ipse suam sibi rationem poscit, cui ubi ex re videbatur ita satisfactum est ut et Latinum et Graecum versuum ordinem duplicatis numeris exhiberemus. Simili modo usi sumus ubi capitum differentia inventa est. Inprimis huc spectat altera pars libri Ieremiae, quam ut lectores cum Hebraeo textu, cuius sectiones diversissimum a Latinis ordinem habent, facile conferre possent, data est opera.

XV. Ad accentus transeo. His in corrigendis multum laboris consumptum est. Ita, ut aliquid exemplorum afferam, in nominibus substantivis scriptum est:

Ἆπις pro Ἄπις ἀνθρακιά pro ἀνθρακία ἀρνάσι pro ἄρνασι βοῤῥᾶν constanter pro βοῤῥάν τὰς γᾶς pro τὰς γάς γαλῆ pro γαλή γρῦπα et γῦπα pro -ύ- γομόρ pro γόμορ; utrumque enim in ed. Rom. erat. δυναστῶν, item σατραπῶν, pro δυνάστων et σατράπων, similiaque εὔθυναν pro εὐθύναν ἐνέδραν pro ἔνεδραν θερμάστρεις pro θερμαστρεῖς θῦμα pro θύμα κηλῖδα pro κηλίδα κλῖμαξ pro κλίμαξ κρηπῖδος pro κρηπίδος χρίμα ubique; ed. Rom. modo χρίμα modo χρῖμα habet[1]) κύτος pro κῦτος λαῖλαψ pro λαίλαψ λάρον pro λᾶρον λεχώς pro λεχῶς μεγιστᾶνας pro μεγιστάνας μυῖαν pro μυΐαν μύσος pro μῦσος ὀσφύν, quod ipsum in ed. Rom. calamo restitutum est, pro ὀσφῦν πλήμμυρα pro πλημμύρα ποία semper; ed. Rom. ποία et ποιά habet; πούς semper; fluctuat ed. Rom. inter πούς et ποῦς

1) Utrumque in antiquis libris haberi constat, quemadmodum Aeschylus iota produxit, Nonnus corripuit. Videtur illud antiquitati Graecae, hoc Alexandrinae aetati placuisse.

Digitized by Google

πρᾶσις pro -ά- πρεσβῦται pro πρεσβύται σκῦλα semper; passim enim σκύλα erat; σκνῖφες pro σκνίφες σμῖλαξ pro σμίλαξ σμάραγδος pro σμαράγδος στῦλοι pro στύλοι σῦς pro σύς σφηκιάν pro σφηκίαν σφραγῖδος pro σφραγίδος σφῦραν pro σφύραν τεχνῖται pro τεχνίται χώρα pro χῶρα χρῖσμα et χρῖσις pro -ί- ψῦχος pro -ύ- etc.

In nominibus adiectivis:
βαρεῖα pro βαρεία ἐρυθράν pro ἐρυθρᾶν, quod saepe in ed. Rom. reperitur. λινᾶ et λινᾶς pro -ά- πλησίοι pro πλήσιοι χαλκοῖ χαλκοῦς et χρυσοῖ χρυσοῦς pro -οί et -ούς ὡραία pro ὡραῖα etc. Adde pron. Αὗται pro Αὗται Gen. 10, 1.

In verbis:
ἔνειρας pro ἐνείρας ἑστάναι pro ἑστᾶναι ἐκφάνωσι pro ἐκφανῶσι εὑρέ, εἰπόν pro εὗρε, εἶπον[1]) λῦε pro λύε πρᾶσσε pro πράσσε περιέσχον pro περίεσχον συνιῶν, συνιεῖς etc. (ut alibi συνιεῖν), ἀφιῶσι (ut alibi ἀφιοῦσι) constanter scriptum est[2]) ὤσας pro ὦσας. Item ὀλαρῦναι, μεγαλῦναι, πληθῦναι, λεπτῦνον, σῦρον pro -ύ-; καμμῦσαι, κηρῦξαι, ἰσχῦσαι, κατισχῦσαι, ἐνισχῦσαι pro -ύ-; ἐκκλῖναι, θλῖψαι, συντρῖψαι, ῥῖψον, χρῖσαι pro -ί-; μιᾶναι, πικρᾶναι, γηρᾶσαι pro -ά-. Item κεραννύντες, ὀμνύντες, σβεννύντι pro -ῦ-; ἐκβιάσαι, ἐκσπάσαι, κρεμάσαι pro -ᾶ-; καθυβρίσαι pro -ῖ-; item alia id genus multa[3]).

In adverbiis: ἐπιμῖξ pro ἐπίμιξ etc.

Pertinent huc etiam eiusmodi ut Exod. 11, 9. ἵνα πληθύνω ubi ed. Rom. ἵνα πληθυνῶ; Deut. 8, 8. et 9. ἀποστεῖλαι et ἀναστῆσαι, ubi male ed. Rom. -στεῖλαι et -στῆσαι habet.

Multa corrigenda erant in nominibus gentilibus, ut Σπαρτιᾶται pro -άται, ut Μωαβῖται, Ἀμμωνῖτις, Γαλααδῖτις, Σωμανῖτις, quae ubique -ίται et -ίτις scripta erant. Simili ratione utitur Λευῖται, quod Λευίται edi solebat.

Nec nihil in eo positum est studii ut nomina propria eodem constanter et accentu et spiritu ederentur, ut Ἀμράμ[4]), Βαρνή, Γασιών Γαβέρ, Δεββώρα, Ἐδραΐν, Ἐλεαλήν, Ἐλιάβ, Ἐλισάφ, Ἐλισαφάν, Ἐλισούρ, Ἐσεβών, Ἡράμ, Ἡσαῦ, Ζακχού, Ἱεριχώ, Ἰεμινί, Ἰησοῦς, Ἰού, Ἰωζάβδος, Ἰωύαν, Ἰωάθαμ, Κῦρος, Μάγδωλον, Μαρών, Νουά, Ὄλδα, Ὀζιήλ, Σελμωνᾶ, Χάλεβ.

1) Uterque in his imperativis accentus librorum scriptorum veterum auctoritate defendi potest. Nec magis alia de quibus hic exponitur multa eodem ubique accentu a veteribus scribis notata sunt.

2) Haec enim pro formis contractis a radice ἰέω habere praestat, quamquam nec συνίοντος (quod posui pro συνιόντος) apud LXX inauditum est; cf. II Παραλ. 26, 5.

3) A πειράω et πειράζω admisimus et πειρᾶσαι et πειράσαι; item ἁμαρτῶν (quemadmodum II Παραλ. 6, 39. est ἁμαρτῶντι) et ἁμαρτών.

4) Ed. Rom. Num. 26, 58. ἄμραμ et 59. ἀμράμ. Contra Exod. 6, 18. Ἀμβράμ.

Digitized by Google

Item ne eadem nomina modo diaeresis puncta haberent modo non haberent, ut Ἀμισαδαΐ, Ἀρμαθαΐμ, Ἐφραΐμ[1]), Ἰεϊήλ. In his vero omnibus dici non potest quanta sit editionis Romanae ceterarumque inconstantia; quam non solum ad accentus et spiritus sed ad ipsas litteras[2]) pertinere, infra probabitur. Hinc etsi multa a nobis emendata sunt, tamen sperare non licet, Romanae inconstantiae nunc quidem nulla vestigia remansisse.

Porro saepe accidit ut editores Romani iique qui secuti sunt genitivos nominum propriorum in -ᾶς accentu nominativorum in -άς insignirent. Hinc, quemadmodum recte in ipsa Rom. editione est ζελφᾶς Gen. 46, 18., restituimus Ἀδᾶς Gen. 36, 10 sqq. Βαλλᾶς Gen. 46, 15. Μελχᾶς Gen. 24, 15. et 24. Μασεκκᾶς Gen. 36, 36. Ὀλιβεμᾶς Gen. 36, 14. et 18. Σωφᾶς I Chron. 7, 36. Item ἀπὸ Μαρισῆς (alibi habetur Μαρισά, Μαρησά) et similia.

In vocibus encliticis, quarum ratio etiam in antiquis libris scriptis admodum fluctuat, maxime probabilia secuti nobis videmur[3]).

In ed. Rom. scribitur ἀναμέσον, διαπαντός, καίγε etc. Nos maluimus scribere ἀνὰ μέσον, ἀπ' ἀρχῆς[4]), ἀφ' ὅτε, διὰ παντός, διὰ κενῆς, διὰ τί, εἰς αὔριον, ἐπὶ τὸ αὐτό, ἵνα τί, καί γε, πρὶν ἤ, τὸ δεύτερον, τὸ δειλινόν, τὸ πρότερον, τὸ πρωΐ, τὸ τάχος, et quae huius generis alia sunt; quamquam quos ea lex fines habeat difficile dictu est. Similia enim ut καθόλου, διόλου, οὐκέτι certe non ubique disiuncta scribere aequum erit[5]).

---

1) ἐφραΐμ postquam ed. Rom. aliquoties habuit, plerumque sequitur ἐφραίμ. Nos ubique Ἐφραΐμ edidimus; in Alexandrino codice (item in FA I Chron. 12, 30.) plerumque εφραιμ est, quod non ubique adnotavimus. Vide infra.

2) Passim a diversitate scriptionis diversitas accentus commendari videbitur, ut in Κισων, Κεισων, Κισσων; in Φισων et Φεισων; in Γεων et Γηων. Tamen in his quoque eundem nos accentum posuimus.

3) Passim confusum esse visum est τίς, ubi pronominis relativi vicem sustinet, cum indefinito τὶς, ut Lev. 14, 35. 21, 17. ubi τίνος (pro τινὸς) αὐτοῦ et τίνι (pro τινὶ) ἐάν edidimus. Nec magis vero ferendum erat Num. 22, 38. δυνατὸς ἔσομαι λαλῆσαι τί. Scripsimus λαλῆσαί τι, suadente ipso textu Hebraeo.

4) Sed I Βασ. 2, 29. ἀπαρχῆς servavimus quum ab ἀπαρχή derivandum videretur. Sap. Sal. 14, 23. ἐξάλλων (ab ἔξαλλος) pro ἐξ ἄλλων scripsimus.

5) Ita etiam pro μὴ δὲ, quod frequens est in ed. Rom., μηδὲ scripsimus. Pertinet huc etiam scriptura προςελθων, εις ελθων etc. cum ς non σ. Servavimus hac in re plerarumque editionum morem. Sed a scriptis libris plus auctoritatis habet scriptura, quae etiam in ed. Rom. principe invenitur, προσελθων, εισελθων etc.; nisi quod constantiae caussa ex auctoritate librorum scriptorum etiam εἰσ πρὸσ ὡσ et similia ubi per se posita sunt edenda sunt.

Digitized by Google

Spiritus varietatem iam tetigimus ubi de nominibus propriis diximus. Prae aliis (ut ἑλικτά scripsimus pro ἐλικτά Lev. 6, 21.) huc pertinet pronomen reflexivum αὑτοῦ, αὑτῷ etc. quod ubi pro more plerorumque editorum Novi Testamenti aliorumque operum Graecorum exspectas, editores Romani rectissime casus obliquos pronominis demonstrativi αὐτοῦ, αὐτῷ etc. ponere consueverunt. Reflexionem enim quam vocant iis certe temporibus quibus et Graecus Veteris Testamenti textus et libri Novi Testamenti debentur[1]) multo saepius neglectam quam observatam esse, admodum probabile est. Quod quum antiquorum auctoritate codicum spiritibus et accentibus instructorum inde ab octavo fere saeculo, tum potissimum eo probatur quod multis locis ubi utrum αὐτοῦ an αὑτοῦ etc. legendum sit dubium esse possit praeposita inveniuntur ἀπ' ἀντ' ἐπ' κατ' μετ', non ἀφ' ἀνθ' ἐφ' καθ' μεθ'. Quam in rem in LXX interpretum libris cf. I Βασ. 9, 5. μετ' αὐτοῦ 18, 13. ἀπ' αὐτοῦ II Βασ. 13, 19. ἐπ' αὐτῆς IV Βασ. 3, 27. ἀντ' αὐτοῦ Iudic. 3, 23. κατ' αὐτοῦ I Παραλ. 15, 15. ἐπ' αὐτούς (cod. Alex. ἐφ' ἑαυτούς[2])), atque quod eiusdem rationis est II Παραλ. 29, 9. οὐκ (cod. Alex. οὐχ) αὐτῶν. Quorum exemplorum gravissima ea sunt ubi vel maxime contrarium exspectes, ut IV Βασ. 3, 27. Iudic. 3, 23.[3]) Accedunt vero etiam alia, praepositione nulla apposita, quibus quae in his Romanorum editorum ratio fuerit luculenter probatur, ut Sirac. 27, 25. Ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν α'τοῦ βάλλει. Quae quum ita sint, eos quoque locos ubi a sua illi ratione desciverunt[4]) ad eandem revocandos duximus. Itaque αὐτοῦ repositum est pro αὑτοῦ Gen. 41, 11. 46, 1. II Βασ. 1, 11. 15, 14; αὐτῆς pro αὑτῆς II Βασ. 11, 4. 13, 19; αὐτῷ pro αὑτῷ Deut. 12, 18. 17, 16. 18. 29, 13; αὐτῶν pro αὑτῶν Deut. 25, 2. II Βασ. 13, 19; eademque paucis locis aliis, excepto uno eoque solo nisi fallor, II Παραλ. 8, 1. ubi formae reflexivae singulare momentum esse videbatur.

Aliae mutationes non in ipso quidem spiritu factae sunt sed tamen a spiritu pendent. Inveniuntur enim in ed. Rom. aliquot loci ubi ante adspiratas syllabas οὐκ, rursusque ante non adspiratas οὐχ est editum. Quod etsi potissimum ex Vati-

1) Antiquiorum etiam Graecorum usum vereor ne multi nimis ad editiones parum accuratas et ad codices recentioris aetatis iudicaverint.

2) Scilicet ubi reflexivum pronomen posterior aetas volebat, pleniorem formam ἑαυτοῦ breviori αὑτοῦ praetulisse videtur. Cf. etiam Gen. 39, 6. ubi pro καθ' αὑτόν in ed. Rom. codex Alex. habet καθ εαυτον.

3) Rarum est quod contra sit, ut III Βασ. 11, 18. μεθ' αὐτῶν (cod. Alex. μετ' αὐτῶν), ut certe editum est.

4) Factum est etiam ut ipsi se corrigerent calamo, ut I Maccab. 8, 3. ubi pro τὰ σκεύη αὑτοῦ calamo editorum repositum est τ. σκ. αὐτοῦ.



Digitized by Google

cano libro fluxisse videtur, quemadmodum haud raro accedit Alexandrini codicis auctoritas (ut Exod. 16, 27. ουκ ευρον), doctisque rationibus defendi potest, tamen invitis accidisse editoribus inde sequitur quod passim ipsorum calamus correxit, ut Exod. 12, 19. ubi ante εὑρεθήσεται ex οὐκ restitutum est οὐχ; item Iob. 31, 26. ubi οὐχ ὁρῶμεν· correctum est pro eo quod primum scriptum erat οὐκ ὁρῶμεν (ὁ: sic). Hinc etiam reliquos locos emendandos curavimus. Sunt autem fere hi: Gen. 34, 7. οὐκ οὕτως Deut. 21, 7. οὐκ ἑωράκασιν III Βασ. 8, 46. οὐκ αμαρτήσεται I Ἔσδρ. 8, 66. οὐχ ἐχώρισεν II Ἔσδρ. 3, 13. οὐχ ἦν et 9, 1. οὐχ ἐχωρίσθη Nehem. 13, 26. οὐχ ἦν Psalm. 105, 11. ουκ ὑπελείφθη Prov. 29, 7. οὐκ ὑπάρχει Sirac. 44, 19. οὐκ εὑρέθη et 48, 13. οὐκ ὑπερῆρεν. Accedunt qui ex eodem genere sunt, II Ἔσδρ. 6, 11. καθ' ἐμέ et III Macc. 2, 22. καθ' ἐδάφους.

Praetereo quae circa iota subscriptum aliter a nobis quam a Romanis editoribus edita sunt, ut ζῆν pro ζῇν, ἦρεν pro ἦρεν etc.; item quod iota adscriptum quod plerumque[1]) in Ἄισωμεν, Ὠιδή[2]) ab illis editum est non posuimus.

Satis autem nos exercuit ν ἐφελκυστικόν, saepe praeter morem nec opinor sine negligentia in ed. Rom. modo additum modo omissum; ut Deut. 1, 21. παραδέδωκε ἡμῖν 4, 20. ἔλαβε ὁ θεός 23, 22. ἔστι ἐν σοί Ios. 24, 27. εἶπε Ἰησοῦς 6, 22. τοῖς κατασκοπεύσασι εἶπεν Iudic. 19, 14. ἔστι ἐν I Βασ. 17, 8. ἀνεβόησε εἰς; item Exod. 14, 14. ἐξήγαγεν κύριος 23, 22. ἔστιν πᾶσα 26, 18. εἴκοσιν στύλους 38, 10. ἐποίησεν τοῖς Num. 22, 11. κεκάλυφεν τήν Ios. 18, 3. ἔδωκεν κύριος. In his intacta non reliquimus nisi quae aut ab inhibendo orationis cursu aut alia aliqua idonea caussa defendi posse viderentur, ut Iob. 36, 16. προςεπιηπάτησέν σε. Item ubique restituimus εἴκοσι, etiamsi vocalis sequitur. Quod quum bene observet ed. Rom. IV Βασ. 16, 2. εἴκοσι ἐτῶν et II Βασ. 3, 20. εἴκοσι ἄνδρες, aliquot aliis locis ut Gen. 6, 3. Iudic. 4, 3. I Βασ. 4, 18. 14, 14.[3]) non observat. Sic vero constanter, paucissimis locis exceptis, in libris scriptis antiquissimis omnibus haberi edoctus sum, quamquam cum Etymolog. Magn. pag. 297, 51. Ludovicus Dindorf aliter statuit; v. Steph. Thes. Gr. ling. sub εἴκοσι et εἰκοσιεννέα.

XVI. Referendum est de correctionibus maioris momenti. Harum pars haud exigua conformata est ad calami

---

1) plerumque, sed non constanter; quemadmodum pag. 475. ter legitur Ὠιδή, semel Ὠδή.

2) Ab Alexandrino aliisque vetustissimis codicibus ea scriptio abhorret; ubique enim Ασωμεν, Ωδη scriptum est.

3) Hoc loco atque alibi perperam Grabius ex Alexandrino codice εἴκοσιν edidit. Rursus alibi ut IV Βασ. 16, 2. accurate edidit εἴκοσι ἐτῶν.

Digitized by Google

emendationes [1]) in ed. Rom. exhibitas; quarum quas non recepimus una indicabimus. Alia quae correximus, per errorem in ed. Rom. scripta esse tam est manifestum, ut mireris plerosque qui Vaticanum textum repetierunt fideliter repetenda curasse. Alia denique idoneis de caussis a nobis atque aliis [2]), pauciora enim primi dedimus, emendata esse nemini dubium erit.

Genesis 19, 5. scripsimus πρὸς ἡμᾶς pro πρ. ὑμᾶς 20, 14. et 16. δίδραχμα, quemadmodum est 23, 15. 16. atque alibi, pro δίδραγμα 21, 21. lectio Romana a Morino, Reineccio, Essio, editore Veneto 1822. aliisque [3]) retenta sic habet: ἐν τῇ ἐρήμῳ. καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναῖκα ἐκ φαρὰν αἰγύπτου. Sed calamo post ἐρήμῳ additum est φαράν, ac pro ἐκ φαράν emendatum est ἐκ τῆς. Utraque correctio quum prope ad Alexandrinum codicem accedit (habet ἐν τῇ ἐρήμῳ τῇ Φαράν et ἐκ γῆς Αἰγύπτου), tum aliis testibus multis commendatur, nisi quod plerique cum Alexandrino τῇ addunt et γῆς pro τῆς habent. 23, 8. scripsimus Ἐφρών, ut statim v. 20. subsequitur, pro Ἐφρώμ 27, 45. τῶν δύο ὑμῶν pro τ. δ. ἡμῶν 33, 18. παρενέβαλε pro παρενέλαβε 36, 37. Σαμαδά ex emendatione calami pro Σαμαά [4]). 41, 1. ἐπὶ τοῦ ποταμοῦ pro ἐπὶ καὶ ποταμοῦ 50, 23. Μαχίρ, ut bis est 46, 20., pro Μαχείρ Exodi 10, 26. τῷ θεῷ ἡμῶν pro τ. θ. ὑμῶν 12, 10. edidimus ἀπολείψετε pro ἀπολείψεται. Cod. Alex. habet ἀπολείψεσθε. 16, 22. Μωυσεῖ cum editoribus Romanis edidimus, sed apud illos calamo correctum est Μωυσῇ. Constat inter utramque formam antiquos libros scriptos in iisdem scriptoribus saepe fluctuare. 30, 33. ὃς ἂν δῷ scripsimus ex emendatione calami pro ὡς ἂν δῷ item 31, 5. λιθουργικά ex emendatione calami pro λειτουργικά 33, 16. μεθ' ἡμῶν pro μ. ὑμῶν 34, 11. ἐντέλλομαι, ut iam in ed. Rom. calamo correctum est, pro ἐντέλλωμαι 35, 7. ἠρυθροδανωμένα, ut bis praecessit, pro ἠρυθρωδανωμένα 35, 13. nihil mutavi; sed τούς secundum, quod in aliquot testibus Holmesii deest, calamo in ed. Rom. confossum est. Levitici 8, 26. ἔλαβεν. Praemiserant editores Rom. καί, sed rursus calamo deleverunt. 18, 3. ἐπ' αὐτῇ edidimus ex emendatione calami pro ἐπ' αὐτῆς Numerorum 1, 10. Φαδασσούρ scripsimus, ut capp. 2. et 7. quater est, pro Φαδασούρ 1, 13. Φαγεήλ,

---

1) Vide supra sect. XIII.

2) Inprimis huc pertinent Waltonus, Lambertus Bos, Ernestus Grabe.

3) Neque Breitinger correxit. Holmesius vero per incuriam in textu habere videtur: non enim calami, ut alibi solet, mentionem facit; quid quod apparatum ad impressum textum Romanum, non ad correctum conformavit.

4) Minus recte ad h. l. Breitinger in Proll. notat, Σαμαά ex vitio typographi pro Σαλαμά editum esse. Quum enim Σαμαδά (non ut in Alex. cod. Σαλαμά) praecederet, etiam h. l. Σαμαδά debebat edi.



Digitized by Google

ut 2, 27. et cap. 7. bis est, pro Φαγαϊήλ 6, 20. στηθυνίου pro στηθηνίου 7, 42. Ἐλισάφ, quemadmodum et praecessit et sequitur, pro Ἐλεισάφ 10, 19. Σουρισαδαί, ut 2, 12. 7, 36. et 41. est, pro Σουρισεδαΐ 10, 22. υἱὸς Ἐμιούδ, ut 2, 18. 7, 48. et 53., pro υἱὸς Σεμιούδ (Alius est 34, 20. Σαλαμιὴλ υἱὸς Σεμιούδ.) 14, 29. ἐγόγγυσαν pro ἐγόγγυζαν 16, 1. Ἰσσάαρ, ut aliquoties antea, pro Ἰσαάρ 21, 14 sq. χειμάῤῥους pro χιμάῤῥους 26, 39. δῆμος ὁ Σουδαλαΐ, quemadmodum recte nota sub textu habet, nisi quod τ cum δ confusum est, pro δ. ὁ Σουδαλάν 26, 60. ἐγεννήθησαν correximus pro ἐγενήθησαν, retento etiam a Reineccio, Holmesio aliisque 28, 4. τὸ πρωΐ pro τὸ τοπρωΐ 33. semper edidimus Αἰλείμ, ut ed. Rom. et Exod. 25, 27. et Num. 33, 10. habet; contra 33, 9. scriptum erat Αἰλίμ. 33, 14. 15., ut ubique ante, Ῥαφιδείν edidimus pro Ῥαφιδίν 34, 8. Αἱμάθ, ut 13, 22., pro Ἐμάθ Deuteronomii 2, 13 sq. Ζαρέδ ut Num. 21, 12. pro Ζαρέτ (Alex. cod. Num. 21, 12. ζαρε habet; Deut. 2, 13 sq. inter ζαρε et ζαρετ fluctuat.) 4, 43. Γαλαάδ, quemadmodum supra erat, pro Γαλαάθ dedimus 6, 2. φυλάσσεσθαι pro -σθε correximus, quamquam pro more confundendi αι et ε nec Alex. cod. -σθαι tuetur. Ceterum haud dubie in aliis codd. multis ipsum -σθαι reperitur. 11, 11. in ed. Rom. post εἰςπορεύῃ additum est ὑμεῖς, sed rursus calamo confossum. Id ad paucos posteriores editores transiit. 14, 17. πελεκᾶνα, ut Lev. 11, 18. est, pro πελακᾶνα edidimus 14, 8. μηρυκᾶται, ut Lev. 11, 26., pro μαρυκᾶται. Essius corrupte edidit μυρηκᾶται. Alexandrinus codex utroque loco αναμαρυκαται habet 28, 29. ὡς εἴ τις pro ὡςεί τις correximus 28, 57. χόριον, quod idem Alex. cod. tuetur, intactum reliquimus. Sed calamo correctum est in ed. Rom. κόριον 29, 18. τίνος ἡ διάνοια ἐξέκλινεν correximus pro τινὸς ἡ διάνοια ἐξέκλινον (iam calamo correctum est ἐξέκλινεν. Errat Breitinger ἐξέκλιναν editioni Romanae, ἐξέκλινον emendationi Morini tribuens). Apud Waltonum et Bosium indeque apud Essium est: τινὸς ἡ διάν. ἐξέκλινεν 32, 39. restituimus ad normam eorum quae subsequuntur ἀποκτενῶ (etiam cod. Alex. habet) pro ἀποκτέννω. Waltono et Bosio magis placuit ἀποκτείνω.

Iosuae 2, 19. scripsimus ἡμεῖς δέ pro ὑμεῖς δέ 7, 12. ἐγενήθησαν pro ἐγεννήθησαν 13, 22. Βεώρ, ut ante semper, pro Βαιώρ 14, 13 sq. 15 sq. Ἰεφοννῆ, ut alibi saepissime, pro Ἰεφονή et Ἰεφονῆ 15, 63. ἠδυνάσθησαν (ita post alios, etiam Essium) pro ἠδυνάθησαν (quod servat Holmes!). Reineccius aliique ediderunt ἠδυνήθησαν Iudicum 1, 24. Δεῖξον ἡμῖν pro Δ. ὑμῖν 3, 8. Χουσαρσαθαίμ ante ἔτη, quemadmodum eodem versu praecedit et v. 10. ter sequitur, reponi debebat pro Κουσαρσαθαίμ 5, 1. ᾖσαν pro ἦσαν 6, 3. ἀνέ-

Digitized by Google

βαινον pro ἀνέβαιναν 9, 23. ἠθέτησαν, ut calamo correctum in ed. Rom., pro ἠθέτισαν. Ad hoc inepte ab ipso servatum Holmes nullam lectionis varietatem notat. 11, 24. κληρονομήσομεν ex emend. calami pro κληρονομήσωμεν 16, 9. στυππίου posuimus pro στιππύου, collatis 15, 14. Lev. 13, 47. et 59. Alex. quidem codex constanter alteram formam tuetur, quam nec nos mutavimus in prophetis. 18, 14. ὅ τι (Alex. cod. τι) pro ὅτι edidimus 20, 6. ἐμέλισα, quod iam calamus restituit editioni Romanae, pro ἐμέλησα 21. semper edidimus Ἰαβεῖς Γαλαάδ. Ed. Rom. eodem capite modo -βίς ut vv. 9. 14., modo -βεῖς ut vv. 8. 10. 12. habet. Ruth 2, 13. εὕροιμι, ut iam calamo correctum est, pro εὕροιμοι 6, 11. Δείαν, ut ubique ante, pro Δίαν scripsimus.

I Βασ. 1, 15. scripsimus ἡμέρᾳ pro ἡμέρα 3, 21. τοῦ προφήτης ex ed. Rom. retinuimus, quamquam calamo correctum est τοῦ προφήτας: quae quidem correctio errori videtur deberi 8, 20. δικάσει ex emendatione calami in ed. Rom. pro δικάσῃ edidimus 10, 5. restituimus cum Reineccio, Essio aliisque ἀνάστημα (ita etiam cod. Alex.) pro ἀν'στεμα 25, 10. πεπληθυμμένοι ex emendatione calami in ed. Rom. pro πεπληθυμένοι 25, 29. ἐνδεδυμένη correximus pro ἐνδεδυμένῃ, quod quamvis ineptum repetiit Essius 25, 35. ᾑρέτισα pro ἡρέτισα, quemadmodum in emendationibus ad calcem editionis Rom. exhibitis Psalm. 118, 173. ᾑρετισάμην pro ἡρετισάμην restitutum est. II Βασ. 3, 10. Βηρσαβεέ, ut alibi saepe, pro Βηρσεβεέ 18, 4. ὑμῶν pro ἡμῶν 23, 4. οὐ, quod iam in ed. Rom. calamus restituit sed nihilominus Essius cum aliis neglexit, pro οὗ III Βασ. 2, 23. ἀρχιστράτηγος, ut alibi, pro ἀρχηστράτηγος 3, 3. Σαλωμών pro Σαλωμόν ex emendatione calami in ed. Rom. 3, 36. Οἰκοδόμησον pro ᾠκοδόμησον 4, 12. ἐκ Βηθσάν pro ἐκβηθσάν 7, 35. τὰς ἐπαρύστρεις pro τ. ἐπαρύστρις 8, 37. λιμός pro λοιμός ex emendatione calami. Eiusdem cap. versu 41. inter σου et οὗτος male editum erat οὗ, sed delevit calamus. 12, 24. πρὸς τοὺς ἀδελφοὺς ὑμῶν pro --- ἡμῶν 13, 11. κατῴκει pro κατῴκῃ 13, 20. ἐπὶ τῆς τραπέζης pro ἐπὶ τῆς τε τρ. In ed. Rom. τε delevit calamus. 15, 23. δυναστεία, quemadmodum statim sequitur 16, 5. et 28., pro δυναστία 16, 28. Συρίᾳ Νασίβ· καί pro συρίᾳ. νασίβ καί [1]) IV Βασ. 4, 31. ἐπέθηκε, ut ad calcem ed. Rom. corrigitur, pro ἀπέθηκε 5, 17. inter ἡμιόνων et ὅτι οὐ editum erat καὶ σύ μοι δώσεις ἐκ τῆς γῆς τῆς πυῤῥᾶς, sed ea omnia calamus delevit, nota sub textu in hunc modum scripta:

---

1) III Βασ. 20, 20. αἱ κύνες non mutavimus. Alii, ut Reineccius et Holmes, ediderunt οἱ κύνες.

Digitized by Google

«In nonnullis libris sequitur καὶ σὺ --- πυῤῥᾶς.» 8, 8 sq. bis posuimus ἀῤῥωστίας. Ed. Rom. v. 8. -ίας, v. 9. -είας 16, 10. correximus Θαλγαϑφελλασάρ pro Θαλγαφϑελλασάρ 17, 16. et 32. (priore loco) ex ἑαυτῆς, quod ineptum erat, calamo correctum est ἑαυτοῖς 18, 34. Σεπφαρουαΐμ pro Σεπφαουραΐμ edidimus. Certe enim aliis locis omnibus -ρουα-, non -ουρα- scriptum est. 19, 25. συνήγαγον, quod iam in ed. Rom. restituit calamus, reposuimus pro ἤγαγον 19, 28. ἐν τοῖς pro ἐκ τοῖς. (Nil mutavit Ess.) 19, 30. οἴκου ex emendatione calami pro οἶκον 21, 4. τὸ ὄνομα pro τῷ ὄνομα. (Fideliter Ess. repetiit.) Eadem correctio in ipsa ed. Rom. II Παραλ. 26, 8. facta est calamo. 22, 19. ὅσα ἐλάλησα pro ὅσα ἐλάλησας. ς iam deletum calamo in ed. Rom. etiam Ess. servavit.

I Παραλ. 2, 9. Ἱεραμεήλ, ut vv. 26. 27. legitur et hoc loco iam calamo correctum est, dedimus pro Ἱεραμαήλ 7, 6. ante Βαλέ delevimus καί, quemadmodum iam in ed. Rom. calamus exstinxit 5, 23. Βαὰλ Ἑρμών, ut alibi, pro Βάαλ, Ἐρμών 18, 1. Γέϑ, ut alibi, pro Γὲδ 27, 16. Ῥουβήν ex emendatione calami pro Ῥουβίν II Παραλ. 3, 16. Δαβίρ, ut subsequitur 4, 20. 5, 9., pro Δαυίρ 5, 7. et 8. ter Χερουβίμ ex emendatione calami pro Χερουβίν 18, 7. λαλείτω pro λαλήτω 18, 21. ψευδές pro ἀψευδές. Sed α iam exstinctum est calamo. 30, 18. Ἰσσάχαρ καὶ Ζαβουλών pro Ἰσσάχαρ. Ζαβουλών 36, 22. Κύρου, ut iam restituit calamus, pro κυρίου.

I Ἔσδρ. 1, 33. αὐτὸν in ed. Rom. calamus restituit pro αὐτός 4, 56. φρουροῦσι post alios correximus pro φροροῦσι 5, 69. in ed. Rom. impressum est καὶ βουλὰς καὶ, sed alterum καί calamus exstinxit. 6, 21. dedimus εὑρίσκηται ex emendatione calami pro εὑρίσκητε, servato a plerisque. 9, 12. στήτωσαν pro στήτωταν II Ἔσδρ. 2, 61. ἐκλήϑη pro ἐκκλήϑη 4, 10. τὸ κατάλοιπον pro τὸ κατάλιπον Nehemiae 1, 9. ἡ διασπορὰ ὑμῶν pro ἡ δ. ἡμῶν 2, 18. ἐκραταιώϑησαν pro ἐκκραταιώϑησαν 3, 22. ἄνδρες Ἐχχεχάρ scripsimus. Eodem modo in ed. Rom. (ἐκχεχάρ) scriptum esse videtur, sed Essius cum aliis edidit ἐκ Χεχάρ. 4, 11. φονεύσωμεν pro φωνεύσωμεν correximus 10, 30. τῆς γῆς ex calami emendatione pro τοῖς γῆς, quod cum aliis etiam Holmesius retinuit. Tobiae 1, 7. αὐτὰ ἐν Ἱεροσολύμοις pro α. εἰς Ἱεροσολύμοις 2, 7. ὀρύξας, ut calamo correctum est, pro ὠρύξας 3, 9. ἡμᾶς pro ὑμᾶς 3, 10. ὥστε ex emendatione calami pro ὅς τε[1]) Iudith 6, 5. Ἀμμὼν pro Ἀμμώμ 9, 6. εἶπαν ex emendatione calami pro εἶπα 12, 1.

---

1) Tob. 7, 3. ἐκ Νινευή non mutavi. Holmesius cum Alex. cod. posuit ἐν Νινευή, sed ἐκ ex ipso codice Vaticano laudat.

Digitized by Google

αὐτοῦ καὶ συνέταξε correximus, qui verborum ordo in ipsa ed. Rom. calamo indicatus est. Esther 2, 7. τῷ εἴδει pro τὸ (quod Ess. servat) εἴδει 8, 14. ἐν Σούσοις pro ἐκ (etiam apud Essium retento) Σούσοις.

Iobi 3, 25. ἐδεδοίκειν pro ἐνδεδοίκειν 5, 15. ἀπόλοιντο pro ἀπώλοιντο emendavimus 9, 4. διανοίᾳ edidimus. Idem est in ed. Romana, sed iota subscriptum tantum non evanuit. Hinc Holmesius, Essius aliique διανοία sine iota ediderunt! 9, 14. διακρινεῖ pro διακρίνει[1]) 18, 11. ὀδύναι, ut est calamo correctum, pro ὠδύναι (servavit Ess.) 18, 17. ἀπόλοιτο pro ἀπώλοιτο 19, 2. ποιήσετε pro ποιήσητε 21, 31. ἀνταποδώσει pro ἀνταπωδώσει 25, 5. σελήνη pro σελήνη 30, 14. κέχρηται ex emendatione calami pro κέκριται 39, 24. ὀργῇ pro ὀργή 42, 8. ὑμᾶς pro ἡμᾶς Psalmorum 6, 2. ἐλέγξῃς pro ἐλλέγξῃς 7, 5. ἄρα ἀπὸ τῶν ex emendatione calami pro ἄρα τῶν 9, 29. ἐνέδρᾳ, ut recte iam Ess; ed. Rom. ἐνέδρα, Bos Reineccius Holmes ἔνεδρα 13, 3. addidimus ὑπὸ ante τὰ χείλη ex emendatione calami 17, 41. ἐξωλόθρευσας in ed. Rom. calamo restitutum pro ἐξολώθρευσας 21, 9. correximus σωσάτω pro σωσάτο[2]) 34, 26. μεγαλοῤῥημονοῦντες pro μεγαλοῤῥημοῦντες 42, 1. ἀνθρώπου ex emendatione calami pro προςώπου 44, 6. cum Waltono, Bosio aliisque omisimus μου ante τοῦ βασιλέως, quemadmodum etiam in ipsa ed. Rom. in nota sub textu deest. 47, 5. οἱ βασιλεῖς edidimus pro οἱ βασ. τῆς γῆς. Istud enim additamentum, quamquam in Alex. codice est, ipsorum editorum calamus delevit. 62, 12. correximus ἐπαινεθήσεται pro ἐπαινεσθήσεται 67, 8. τὴν ἔρημον pro τὸν ἔρημον 67, 22. τριχός pro θριχός 77, 1. προςέχετε pro προςέσχετε 88, 1. Ἰσραηλίτῃ pro Ἰσραηλίθῃ; ibidem v. 50. ὤμοσας pro ὤμωσας 89, 14. εὐφρανθείημεν intactum reliquimus cum Waltono, Bosio etc. (Reineccius sic interpunxit: ἡμῶν. Εὐφρανθείημεν, ἀνθ'). Sed ed. Rom. calamo confossum habet nec agnoscit in notis. Cf. cod. Alex.[3]). 101, 4. συνεφρύγησαν pro συνεφρύγισαν 101, 28. et 103, 29. ἐκλείψουσιν pro ἐκκλείψουσιν 107, 7. σου post τῇ δεξιᾷ in ed. Rom. additum calamo, item 121, 1. ἐπί ante τοῖς et 131, 16. ἀγαλλιάσει ante ἀγαλλιάσονται[4]) Prover-

---

1) Iob. 9, 11. οὐδ' ὧς non mutandum duxi, quamquam Holmesius et Essius ac fortasse etiam alii ediderunt οὐδ' ὥς.

2) Huius generis plura, ut πρόν pro πρός, γένοιτε, πλάπος, ἄνθρωτος, ἄνσθρωπος etc. in hunc catalogum non relata sunt. Nec magis omnia quorum vitiosam scripturam calamo correxerunt, ut ἀποβε [βε calamo additum] βληχυῖα Iesai. 1., ακουσε [σε calamo exstinctum] σεσθε Ierem. 87.

3) Psalm. 94, 1. ἀγαλλιασόμεθα non mutavimus. Holmes aliique ἀγαλλιασώμεθα ediderunt.

4) Psalm. 118, 129. ἐξερεύνησεν non attigi. Holmes corrigendum duxit ἐξηρεύνησεν. Vide notam pag. XLI. ad Ierem. 13, 19.

Digitized by Google

biorum 6, 14. edidimus διεστραμμένῃ καρδίᾳ pro διεστραμμένη καρδία 24, 21. μηδετέρῳ pro μηϑ' ἑτέρῳ 25, 3. ἀνεξέλεγκτος pro ἀνεξέλεγτος 29, 2. ἐγκωμιαζομένων pro ἐγκωμιαζωμένων 29, 9. κρίνει pro κρινεῖ 29, 27. ἀδίκῳ ex emendatione calami pro δικαίῳ 33, 20. οἰνοπότης pro οἰνοπόϑης Ecclesiast. 5, 17. πιεῖν pro ποιεῖν 6, 10. ἰσχυροτέρου pro ἰσχυρωτέρου Cantici 5, 11. ἐλάται pro ἐλαταί Sap. Sal. 15, 18. ἀνοίᾳ pro ἄνοια 16, 16. ἐν ἰσχύϊ pro ἐν ἰσχύει Sirac. 3, 28. ἐπαγωγῇ pro ἐπαγώγή 4, 17. διεστραμμένως ex emendatione calami pro διεστραμένως; ibidem παιδείᾳ pro παιδιᾷ 4, 31. ἐκτεταμένη pro ἐκτεταγμένη 11, 12. rursus ἰσχύϊ pro ἰσχύει 12, 11. φύλαξαι pro φύλαξε 22, 11. restituimus ἐξέλιπε γάρ ante φῶς, quae in ed. Rom. per errorem excidisse in promtu est. 27, 14. πολυόρκου correximus pro πολιόρκου 30, 9. σύμπαιξον pro σύμπαιζον 30, 15. 16. ὑγίεια et ὑγιείας pro υἰγεία et υἰγείας 32, 12. καϑ' εὕρεμα pro καϑεύρεμα 32, 25. κρίνῃ pro κρινῇ [1]) 37, 6. ἀμνημονήσῃς pro ἀμνημοσύνης (Ess. post alios ἀμνημονεύσῃς correxerat) 38, 16. ἔναρξαι pro ἔναρξε 39, 7. κατευϑυνεῖ pro κατευϑύνει 39, 13. εἰςακούσατε pro εἰςακούσετε 46, 12. ἀντικαταλλασσόμενον pro ἀντικαταλασσόμενον 51, 2. ἀπωλείας pro ἀπολείας; ibidem βοηϑός ex emendatione calami pro βοηϑάς.

Hoseae 14, 3. correximus μὴ εἴπωμεν pro μὴ εἴπομεν Amosi 1, 10. ϑεμέλια calamo effectum est ex ϑεμέλεια Michae 5, 4. rursus ἰσχύϊ pro ἰσχύει 6, 14. παραδοϑήσονται pro παραδωϑήσονται 7, 16. ἀποκωφωϑήσεται ex calami emendatione pro ἀποκωφωϑήσοται 7, 17. ὄφεις pro ὄφις Iohel. 2, 4. ὡς ὅρασις pro ὃς ὅρασις 2, 16. μαστοῦ pro μαστοῦ 2, 30. δώσω pro δώσωσι [2]) Ion. 4, 8. ζῆν, ut calamo emendatum est, pro ζεῖν Habac. 3, 8. ὠργίσϑης pro ὠργήσϑης 3, 9. τοῦ ἐπικαλεῖσϑαι pro τ. ἐπικαλεῖσϑε (etiam apud Essium!) Hagg. 1, 6. εἰςηνέγκατε pro εἰςενέγκατε Zachar. 7, 11. ἠπείϑησαν pro ἠπείϑεισαν Malach. 2, 17. παρωξύναμεν ex emendatione calami pro παροξύναμεν.

Esaiae 1, 8. πολιορκουμένη pro πολιουρκουμένη 4, 1. ἡμῶν bis pro ὑμῶν 5, 5. καϑελῶ pro κατελῶ 8, 10. μεϑ' ἡμῶν pro μεϑ' ὑμῶν 9, 6. συναναπαύσεται ex calami emendatione pro συναπαύσεται; ibidem βοσκηϑήσονται pro βοσκηνϑήσονται 9, 7. Δαυίδ pro Δαβίδ 15, 8. Μωαβίτιδος ex calami emendatione pro Μωαβείτιδος 16, 4. διώκοντος pro διώκοντες 19, 3. νομὸς ἐπὶ νομόν pro νόμ. ἐ. νόμ. 23, 15. χρόνος βασιλέως ex emendatione calami pro χρόνον βασιλέως 33, 18. non admisimus

1) Sirac. 34, 21. non mutandum videbatur μεσοπωρῶν. Maluit Henricus Stephanus in Thesauro cum aliis μεσοπορῶν.

2) Hos Iohelis locos primus ut videtur Lamb. Bos emendavit.

Digitized by Google

οἱ συνεβουλεύοντες, quod in ed. Rom. calamo factum est ex οἱ συμβουλεύοντες 34, 2. τὰ ἔθνη correximus pro τὰ ἔθνει 38, 2. τοῖχον pro τεῖχον 40, 18. ὁμοιώματι pro ὠμοιώματι 41, 23. ἐπερχόμενα pro ἐπεχόμενα 42, 24. τίς pro οἷς 43, 28. ἀπολέσαι pro ἀπωλέσαι 53, 10. servato δῶτε[1]) scribendum visum est ὑμῶν pro ἡμῶν 61, 3. καταστολήν pro κατὰ στολήν Ieremiae 11, 20. pro πρὸ σέ correximus πρὸς σέ[2]) 15, 11. κατευθυνόντων posuimus pro καθευθυνόντων 19, 6. servavimus Ἐννώμ sed ex emendatione calami assentientibus Alex. et Fr. Aug. scribendum erat Ἐννόμ 27, 21. ἐντέλλομαι ex emendatione calami pro ἐντέλλωμαι edidimus 31, 33. οὐκ ἐποίησαν αἶδε[3]). ³⁴ἀπό pro οὐκ ἐποίησαν, αἱ δὲ ³⁴ἀπό 39, 17. rursus τῇ ἰσχύϊ pro τῇ ἰσχύει 45, 27. ἠρώτησαν pro ἠρώθησαν Threnorum 3, 26. ψυχῇ pro ψυχή 3, 31. οἰκτειρήσει pro οἰκτηρήσει 4, 21. ἀποχεεῖς pro ἀποχέεις Epist. Ierem. 1, 19. τὸν ἱματισμόν pro τὸ ἱματισμόν Ezech. 17, 17. ἐν χαρακοβολίᾳ. Cavit Essius ne iota subscriptum, quod omiserant sive editores sive typographi Romani, ipse adderet. 18, 25. κατευθύνει secundo loco pro κατευθυνεῖ. Debebat enim v. 25. ad v. 29. corrigi. 23, 21. ἐπεσκέψω pro ἐπισκέψω 25, 7. χωρῶν pro χειρῶν 26, 4. λεωπετρίαν, ut subsequitur v. 14., pro λεοπετρίαν[4]) 39, 2. τὰ ὄρη τὰ Ἰσρ. edidimus, ut statim v. 4. subsequitur, pro τὰ ὄρη τῷ Ἰσρ. Cod. Alex. utroque loco τοῦ Ἰσρ. 40, 22. 26. 31. 34. item 43, 17. κλιμακτῆρσιν et κλιμακτῆρες ex emendatione calami pro κλημακτ. 41, 15. κατόπισθεν pro κατώπισθεν 45, 7. τὰ ὅρια τά pro τὰ ὅρια τάς 45, 17. ἐν τοῖς σαββάτοις pro ἐν ταῖς σαββ. Dan. 5, 4. λιθίνους pro ληθίνους 5, 23. τοῦ οἴκου αὐτοῦ pro τοῦ οἴκου. Ipsi editores αὐτοῦ calamo addiderunt. 6, 25. ἐν πασῇ τῇ γῇ pro ἐν πᾶσι (fideliter servat Ess) τῇ γῇ.

I Macc. 2, 66. πολεμήσει πόλεμον pro πολ. πόλεμος 3, 37. τὰς καταλειφθείσας pro τ. καταλειφθήσας 3, 45. κατάλυμα pro κατάλυμμα 3, 49. ἱερωσύνης pro ἱεροσύνης 4, 45. ἐπέπεσεν αὐτοῖς pro ἐπ. αὐτῆς 7, 23. τὰ ἔθνη pro τὰ ἔθνει ab Essio non mutato 9, 48. ἐνεπήδησεν pro ἐνεπίδησεν. Videtur

---

1) In eo nihil subesse incuriae, ex commentario editionis Rom. clarum fit, qui sic habet: «[ἐὰν δῶτε περὶ ἁμαρτίας]. Sic legit S. Hieronymus, sic etiam Cyrillus. Aliquot vero libri habent δῶται, quod etiam Iustinus martyr habet.»

2) Ierem. 13, 19. ἀποικίσθη nec a Romanis editoribus nec a nobis mutatum est. Similiter alibi in editione habentur ἐξολόθρευσεν, εὐοδώθη, ἐξερεύνησεν. Fuerunt qui corrigerent ἀπῳκίσθη, ἐξωλόθρευσεν, εὐωδώθη, ἐξηρεύνησεν. Sed Romana illa omnia ex Vaticano codice fluxisse videntur.

3) Nescio an rectius Grabe scribat Αἰδέ.

4) Ezech. 28, 24. σκόλωψ intactum reliqui. Ediderunt alii σκόλοψ.

Digitized by Google

vero in ipsa ed. Rom. η, non ι fuisse, nisi quod dimidia littera in typis periit[1]). 15, 10. αἱ δυνάμεις pro αἱ δυνάμις II Macc. 3, 13. πάντως ex emendatione calami pro πάντων 9, 24. τὴν χώραν pro τ. χώρην 11, 4. ταῖς μυριάσι pro τ. μυριάσει 13, 15. πρωτεύοντα pro πρωτεύνοντα 14, 8. ἀνηκόντων pro ἀνηκότων 14, 42. item III Macc. 3, 16. ἀλιτηρίοις pro ἀλητηρίοις 15, 4. In ἀποφηναμένων litterae φην super rasuram scriptae sunt. Quid ante fuerit, non video. 15, 30. πρωταγωνιστής pro πρωταγονιστής III Macc.[2]) 1, 23. θαῤῥαλέως pro θαῤῥαλλέως 4, 2. ὀλεθρίαν ex emendatione calami pro ὀλετρίαν 4, 5. πεπυκασμένων pro πεπηκασμένων 5, 19. ἀγηοχέναι pro ἠγηοχέναι. Fortasse tamen erunt qui formam ἠγηοχέναι, ad quam lectio Alexandrini codicis ἡγιοχέναι proxime accedit, non prorsus improbandam existiment.

Praeterea aliquoties Μωυσῆς (ut Ierem. 15, 1. Mich. 6, 4.), ἀνδρεία, λειτουργία (ut I Παραλ. 23, 24. 26. 28.; 24, 3.), quae plerumque ed. Rom. habet, restituimus pro Μωσῆς, ἀνδρία, λειτουργεία; item ἐνενήκοντα pro ἐννενήκοντα Gen. 5, 9. (illud ipsum eiusdem capitis versu 17. sequitur). Sed aegre fero quod eadem non ubique restituimus. Item praestabat, ni fallor, non admittere duplices formas ἔνατος et ἔννατος, ἀέναος et ἀένναος. Sed quae eius generis sunt pleraque aut omnia ad unam eandemque formam revocari non poterunt nisi nova atque accurata totius textus recensione instituta. Ut enim levior videatur varietas quae est in ζωγρεία et ζωγρία, ἀργία et ἀργεία, ὑπερηφανία et ὑπερηφάνεια[3]), χαυῶνες et καυῶνες, χλιδῶνες et χλιδόνες, εὕρεμα et εὕρημα, σύστημα et σύστεμα, φυλάσσειν et φυλάττειν, similibusque: non minimam difficultatem habet mira nominum propriorum varietas, quae ut passim tanta est ut dubites an alterum nomen cum altero conveniat, ita plerumque in liberrima litterarum maximeque affinium commutatione aut duplicatione nec non syllabarum conversione conspicua est. Exempla sunt: Ἀβινεεμ et Ἀβινειμ, Ἀβεσσαΐ et Ἀμεσσαΐ, Ἀμβραμ et Ἀμραμ, Ἀχιμελεχ et Ἀβιμελεχ, Ἀχιναομ et Ἀχινοομ, Αὐναν et Αὐν Βαλταμ et Βαλταν, Βαιθλεεμ et Βηθλεεμ, Βεθσαμυς et Βαιθσαμυς, Βαριμωθ Καδης et Μαριμωθ Καδημ Γεων et Γηων, Γηρσων et Γεδσων Ἐδραΐν et

1) Similis ratio est loci I Macc. 14, 9. ubi Essius edidit κάθηντο. Romana vero editio ἐκάθηντο habet, nisi quod ἐ praeter morem pallidum ac paene evanidum in nostro certe exemplari est.

2) Tertium Maccabaeorum librum editio Romana non in capita distributum habet.

3) Quum in prioribus libris plerumque ὑπερηφανεια legatur, post plerumque in notis ad Alexandrini codicis lectionem (ὑπερηφανια) notavimus eandem in ipso textu esse. Ceterum nec Alex. codex eandem semper formam habet; cf. Amos 8, 7.

Digitized by Google

Ἐδραειν, Ἐλιακιμ et Ἐλιακειμ, Ἐφωδ et Ἐφουδ Θιρας et Θειρας Ἰεζραελ et Ἰεζραηλ, Ἰεσσεμου et Ἰεσσαιμου Κιτιεων et Κιτιαιων, Κισων Κισσων et Κεισων Μαγεδδω et Μαγγεδω, Μαδιαμ et Μαδιαν, Μαλαα et Μααλα, Μαρησα et Μαρισα, Μελχιηλ et Μελχιλ, Μεραρι et Μεραρει, Μηδεια et Μηδια, Μωδεϊν et Μωδεειμ Νινευη et Νινευι, Ναϑινιμ et Ναϑανιμ Ὁμουσι Ὁμουσει et ὁ Μουσι Ῥαψακης et Ῥαβσακης, Ῥαγαυ et Ῥαγαν Σεπφαρουαΐμ[1]), Σεπφαρουαΐν, Ἐπφαρουαΐμ[2]), Σηλωμ et Σηλω, Σιδων et Σειδων, Σολομων Σαλομων Σαλωμων Φαλλος et Φαλλους, Φισων et Φεισων Χετιειμ Χεττιειμ Χεττειειμ, Χαρμι et Χαρμει. Quae varietas quamvis ad quaestionem quae est de unitate totius interpretationis Veteris Testamenti Graecae satis momenti habeat, praetereaque non satis certum sit libri Graece scripti ad eandemne legem atque Graece versi exigendi sint, tamen confido nomina ista pleraque ex diligenti recensione multo aliter atque nunc sunt aliquando proditura esse. Nunc quidem in eo acquiescendum erat lectionibus Alexandrini codicis itemque passim Friderico-Augustani et Parisiensis rescripti Vaticano textui substratis facilem saepe emendationis viam monstrasse, quamquam homines rei criticae studiosi probe scient, codices ipsos praestantissimos eadem nomina easdem voces non eodem semper modo exhibere.

XVII. Quibus emendationibus in textum receptis subiungamus aliquot lectiones alias, quae Romanis quin praestent vix dubium est. Pleraeque ita comparatae sunt ut comprobent quanta sit in emendanda Romana lectione Alexandrini codicis praestantia[3]); nec paucae vero iam iisdem pla-

---

1) IV Βασ. 18, 34. certe -ρουα-, quod alibi constanter legitur, pro -ουρα- correximus.

2) -αΐμ Esai. 36, 19. 37, 13. pro -αίμ reposuimus, quum idem nomen IV Βασ. 18. 19. ubique cum punctis diaereticis editum esset. Ceterum mira lectionis varietas conspicua est locis his parallelis: IV Βασ. 18. 19. et Esai. 36. 37. Hoc quidem modo ab eodem interprete scripti esse nequeunt.

3) Obiter tangam locos duos difficillimos, quos et ipsos Grabii acumen coniecturis adiit: Gen. 31, 7. et 41. Amos 3, 12. Prioribus Genesis locis δέκα ἀμνῶν (unus cod. apud Holmesium μνῶν) et δέκα ἀμνάσιν legitur. Quod male habere iam Hieronymus docuit verbis his: *Pro eo quod nos posuimus «decem vicibus» LXX interpretes posuerunt «decem agnis», nescio qua opinione ducti.* Grabius vero ad haec sic: *Atqui non LXX sed librarii sunt in culpa si recta sit nostra emendatio.* Emendat enim δέκα μνῶν et δέκα μναῖς, collatis III Reg. 10, 17. Esdr. 2, 69. Neh. 7, 71 sq. (Ezech. 45, 12.) ubi LXX מנים (מָנִים) pariter atque his Gen. locis מנים (מֹנִים) per μνᾶς reddidisse videantur. Quae si recte habent, pro simili vocalium permutatione conferendi erunt celebres loci Psalm. 87, 11. Esai. 26, 14. Altero vero loco Amosi plerumque legitur ἱερεῖς, cum ἀκούσατε coniunctum. Edidit Grabius Ἱερεῖς, cum ἐν Δαμασκῷ coniunctum. (Qua in re male fecit quod non notavit, in Alex. codice ιερεις cum ακουσατε manifesto coniungi.) LXX enim ערש (quod Luciano versum sit κλινη) per Ἱερεῖς reddidisse Grabio

cuerunt quibuscum, ut notavimus, ipsi passim textum nostrum correximus.

Exod. 2, 8. omnino ἡ νεᾶνις legendum est, ut ex ipso Vaticano codice apud Holmesium laudatur. 8, 29. post ἡ κυνόμυια male excidit ἀπὸ σοῦ, quod Alex. cod. aliique multi testantur. Eadem in ipso Vaticano apud Holmesium ante ἡ κυνόμυια legi dicuntur. Quod alii testes multi habent: ἀπὸ Φαραώ, id textui illatum videtur postquam genuinum ἀπὸ σοῦ iam excidisset. Lev. 5, 4. mira lectio ἡ ἄνομος ἡ, quam Alex. cod. plane confirmat, (super ἡ enim priore lineola exprimit spiritum, et ante ἡ alterum interpungitur) corrigenda est ex testibus aliis multis nulla mutata littera: ἢ ἂν ὀμόσῃ 11, 5. cum Alex. lege ὅτι ἀν'γει pro ὅτι οὐκ ἀνάγει, quemadmodum iam Nobilius editor veteris textus Latini in notis ad h. l. dicit in quosdam libros Graecos per errorem οὐκ irrepsisse. 26, 22. cum Alex. cod. legendum est ἀποστελῶ pro ἀποστέλλω Num. 22, 34. ἀρέσκει lectio Alexandrini codicis multo praestat Romanae lectioni ἀρκέσει 30, 7. ante οὓς ὡρίσατο omnino deesse videntur verba, quamquam Holmes ex nullo codice affert, καὶ οἱ ὁρισμοί. Aliter Alex. codex cum aliis multis locum sanat, ὅσα pro οὓς substituto. Deut. 19, 19. cum Alex. lege τὸν πονηρόν pro τὸ πονηρόν 21, 12. cum eodem lege εἰςάξεις pro εἰςάξῃς.

Iosuae 10, 21. ὑγιεῖς ferri quidem potest; sed quum toties antiqui libri mss. ει et η confundant, ὑγιής[1]) reponendum duco. 15, 8. corrige cum Alex. ἐπὶ βορρᾶν pro ἐπὶ βορρᾶ 22, 32. cum Alex. lege ἐκ γῆς Γαλαάδ pro ἐκ τῆς Γαλαάδ.

Iudic. 6, 32. malo αὐτόν pro αὐτό 15, 6. nescio an praestet τῳ ἐκ τῶν φίλων quam τῷ ἐκ τῶν φίλων, si tamen ista forma Attica apud LXX ferenda videatur.

I Βασ. 4, 3. ἔπαισεν pro ἔπταισεν (quod nec Grabe mutavit) repone 23, 1. τοὺς ἅλω, quod in ipso Alex. cod. est, vitiosum videtur pro τοὺς ἅλως (ἅλωας) II Βασ. 6, 17. cum Alex. lege καὶ εἰρηνικάς III Βασ. 2, 28. pro κεκληκὼς cum Alex. corrige κεκλικώς[2]) 2, 30. cum Alex. lege πορεύσομαι pro

---

visi sunt. Id quod similibus satis confirmatur. Sed rursus iam Hieronymus corruptam loci interpretationem his verbis testatus est: *Quod in principio capituli iuxta Septuaginta positum est «sacerdos», in Hebraico non habetur, sed pro hoc verbo legitur* ערש, *quod Aquila interpretatus est «grabatum.» Et puto LXX ipsum verbum posuisse Hebraicum, quod quidam non intelligentes pro* ערש *posuerunt* ἱερεῖς *«sacerdotes.»* Hinc quod Grabius edidit ipsius Hieronymi commendatur coniectura.

1) Id non recte Grabe et Breitinger ex Alex. hauserunt; is enim υγιεις confirmat.

2) Mirum est, hanc lectionem a Grabio non modo non in textum admissam sed ne exscriptam quidem esse ex Alexandrino codice.

Digitized by Google

πορεύομαι 8, 59. cum Alex. lege οὓς pro ὡς 15, 30. malim ὡς pro ὃς legere, collato loco 16, 13. IV Βασ. 5, 21. post καὶ εἶπεν Εἰρήνη omnino excidit alterum καὶ εἶπεν Εἰρήνη, quemadmodum recte addit Alex. codex. 17, 6. scribendum est κατῴκισεν pro κατῴκησεν[1]); item 17, 11. ἀπῴκισε cum Alex. pro ἀπῴκησε.

I Παραλ. 21, 10. editur αἱρῶ. Videtur αἴρω scribendum esse, quemadmodum est II Βασ. 24, 12. Tamen in ipso Hebraeo textu altero loco legitur נטה, altero נטל II Παραλ. 28, 3. mirum est ἐν γέ. Praestat Alexandrini lectio ἐν γῇ.

Iob. 8, 20. praestat cum Alex. legere ἀποποιήσεται quam ἀποποιήσηται 28, 8. αὐτήν corrigendum videtur cum AC (sic) pro αὐτ΄ν 28, 12 et 13. nescio an εὑρέθη cum εὑρεθῇ commutandum sit. 34, 20. editum est ἐκκλεινομένων. Aut ἐκκλειομένων cum Alex. aut ἐκκλινομένων reponendum videtur. 36, 29. pro ἐὰν συνῇ ἀπέκτασις[2]) scribendum videtur ἐὰν συνῇ ἀπεκτάσεις. Ipsa ed. Rom. sub textu notat: «Nonnulli libri habent ἐπεκτάσεις» 37, 3. praeferendum videtur βοήσεται φωνή pro β. φωνῇ.

Psalm. 4, 7. cum Alex. ἡμῖν pro ὑμῖν, item 113, 5. σοί pro σύ legere praestat. 104, 21. κτίσεως, quamquam idem Alex. aliique (sed Parsons confudisse videtur) habent, ex itacismo pro κτήσεως editum est[3]). 130, 2. praetulerim ἀνταπόδοσις (Alex. ανταποδοσεις) receptae lectioni ἀνταποδώσεις 138, 9. corrige cum Alex. κατ᾽ ὄρθρον pro κατ᾽ ὀρθόν 142. in inscriptione nescio an praestet κατεδίωκεν pro κατεδιώκει.

Prov. 8, 8. cum Alex. lege ἐν αὐτοῖς pro ἑαυτοῖς 9, 18. lege ὄμμα cum Alex. pro ὄνομα 12, 18. μαχαίρᾳ pro μάχαιραι reponendum videtur. Alex. cod. μάχαιραν habet. 16, 30. repone διαλογίζεται vel cum AC λογίζεται pro διαλογίσεται 18, 4. ἀναπηδύει et ed. Rom. et Alex. codex tuentur. Tamen id probabile est ex itacismo pro ἀναπιδύει positum esse. 24, 73. (31, 5.) ἐπιλάθονται (de qua forma cf. Steph. Thesaur.) commutandum videtur cum ἐπιλάθωνται.

Sap. Salom. 19, 4. cum AC lege προςαναπληρώσωσι pro προαναπληρώσωσι.

Sirac. 10, 10. ἰατρόν lege pro ἰατρός 37, 5. pro πολέμου substitue πολεμίου 38, 22. Alexandrina lectio οὕτως praestat Romanae οὕτω ὡς; item 38, 28. τήξει in Alex. cod. praestat recepto πήξει 40, 1. cum AC legendum est ἐπιταφῆς pro ἐπὶ ταφῇ 43, 23. mira est lectio ab ipsis AC confirmata:

---

1) κατῴκησεν etiam Alex. cod. tuetur, non ut Grabe refert κατῴκισεν.

2) Hoc loco interpunctionem editionis Vaticanae retinui, quum nec mutata interpunctione locus videretur restitui posse.

3) De Psalm. 103, 24. aliter sentio. Grabius quidem rursus κτήσεως emendandum censet, docto in Prolegomenis praemisso commentario, quem vide.

Digitized by Google

ἐφύτευσεν αὐτὴν Ἰησοῦς. Legendum est ἐφύτευσεν ἐν αὐτῇ νήσους 43, 31. nescio an μεγαλυνεῖ praestet quam μεγαλύνει 45, 24. legendum est προστατεῖν pro προστάτην.

Hoseae 14, 1. corrige cum Alex. ἠσθένησας pro ἠσθένησαν Habac. 2, 18. pro γλυπτὸν, τι (sic plane in ed. Rom. est) legendum videtur γλυπτὸν ὅτι cum cod. Alex. Esai. 30, 22. cum eodem pro ποιήσῃς κ. λικμήσῃς reponendum est ποιήσεις κ. λικμήσεις 30, 30. pro δεῖξαι scribendum videtur, quamvis invito Alex. codice, δείξει 53, 10. restituendum videtur δῶται cum ἡμῶν. De quo loco cf. supra. Ierem. 22, 15. pro βασιλεύσῃς lege cum Ax FA βασιλεύσεις, item 22, 18. pro Καὶ ἐπί lege cum Ax (in FA neutrum est; cf. commentarium) Οὐαὶ ἐπί 23, 32. cum Ax FA omitte οὐ 36, 28. ἀπέστειλε (-λεν) prius delendum videtur. Ezech. 16, 41. pro δώσω ex Alex. reponendum δῷς, item 17, 16. ἄξει pro ἄξῃ 40, 29. pro τῷ αἰλαμμῶν cum Alex. corrige τὰ αἰλ. Dan. 9, 16. Alexandrini codicis lectio ἐν πάσῃ ἐλεημοσύνῃ praestat receptae: ἐν πᾶσιν ἐλεημοσύνῃ.

Praeterea alia multa quum a pluribus tum a Schleusnero (in opusculis criticis ad versiones Graecas V. Ti. 1812.) ad emendandos Graecos Veteris Testamenti textus in medium prolata sunt. Qui quamvis passim ipsos interpretes non restituisse sed ex Hebraeo fonte correxisse videatur, egregie tamen novam textus recensionem instituturum adiuvabit; nec enim pauca observavit quae non tantum ingenio valent sed etiam magna probabilitate commendantur. Cuius rei probandae copiam facturus aliquid exemplorum apponam, etsi passim iam notavi quae acumen eius non fugerunt. Sunt autem vel ab eo primo proposita vel commendatione eius confirmata.

Gen. 19, 33. et 35. recte praefert lectionem multorum codicum αὐτήν receptae αὐτόν Exod. 16, 14. λεπτόν pro λευκόν proponit. Iudic. 5, 16. tribus modis sanare studet; vult enim ἐκάθισας, διγωνίας et ἀγελῶν (postremum iam a Lamberto Bos eiusque asseclis pro Vaticana lectione substitutum est) legi. I Βασ. 11, 7. recte commendat ἔβησαν pro ἐβόησαν, rursusque 13, 4. ἀνεβόησαν pro ἀνέβησαν IV Βασ. 23, 5. et 11. κατέπαυσε pro κατέκαυσε legendum censet (cf. infra ad Iob. 3, 17.). I Παραλ. 4, 40. mavult πίονας quam πλείονας (saepissime πλιονας scriptum); quod idem ad Esai. 17, 4. et Psalm. 77, 35. applicat. Iob. 4, 6. ἀκακία pro κακία commendat; ibidem 11, 12. νήφεται pro νήχεται; 13, 16. δόλιος pro δόλος; 12, 18. οὕτως pro οὗτος Psalm. 47, 9. proponit ναοῦ pro λαοῦ, item Sirac. 49, 12. ναόν pro λαόν[1]) 58, 4.

---

1) Ita Psalm. 26, 4. in antiquissimo codice Londinensi papyraceo nuperrime a me in Monum. sacr. ined. nova collectione edito τον λαον αυτου pro τον ναον αυτου scriptum est.

Digitized by Google

κατεύθυναν pro κατεύθυνα legi vult. 63, 7. pro ἐξερευνήσει commendat ἐξερευνήσεις. Equidem maluerim ἐξερεύνησιν (quod ipsum « exereunesin » in antiquissimo Psalterio Veronensi est), quum ν in εξερευνησειν (ut saepe scribitur) sequente π facillime absorberi potuerit. 69, 1. proponit ὁ θεὸς εἰς τὸ σῶσαί με, κύριε εἰς τὴν β. μ. πρόσχες. Equidem ab edito textu vix recedens sic legendum puto: Εἰς τὸ σῶσαί με κύριε· ὁ θεός, εἰς τὴν etc. 78, 9. pro κύριε reponi vult καί. Rectissime; saepe enim ~~κε~~ et και (κε, ϗ) confusa sunt in libris scriptis. Prov. 9, 12. pro ἂν ἀντλήσεις sive ἀνατλήσεις sive cum Grabio ἂν τλήσεις legi vult. Equidem cum Grabio facio. 15, 10. παιδεία κακοῦ reponi vult pro παιδ. ἀκάκου, quae emendatio nullam a legibus criticis difficultatem habet. 26, 7. παροιμίαν pro παρανομίαν, ibidem 28, 28. στέγουσι pro στένουσι legi vult. Cantic. 1, 7. pro ἑταίρων commendat ἑτέρων, quod ipsum in codice C est. 6, 11. ἔγνων ἡ pro ἔγνω ἡ commendat. Certe η et ν litterarum antiqua forma simillima est. Ierem. 5, 31. ἐπεκράτησαν mavult quam ἐπεκρότησαν, rursusque Amosi 6, 5. ἐπικροτοῦντες pro ἐπικρατοῦντες; Nah. 8, 12. κατ' ἀρχῶν pro κατάρχων; Malach. 1, 10. ἀνάψετε pro ἀνάψεται. Identidem voces transscriptis ipsis litteris Hebraicis constantes a librariis non ab interpretibus detortas esse docet: hos enim dedisse III Βασ. 18, 32. 35. 38. θααλαν, non θαλασσαν; II Παραλ. 3, 4. αυλαμ, non αιλαμ; Esth. 9, 26. 28. 29. φουραι, non φρουραι; Esai. 66, 19. Φουλ, non Φουδ; Ierem. 17, 26. μαναα, non μαννα. Multa vero quae iam editores Romani in notis exhibuerunt iubet in textum recipi, ut Gen. 15, 15. ταφείς pro τραφείς (Ed. Rom.: « Omnes LL. VV. τραφείς; nusquam ταφείς. » Vitium igitur illi quidem non librariorum sed interpretum esse statuerunt, nec codex inventus est qui a communi lectione discederet. Nihilominus Complutensis editio ταφείς indeque etiam auctore Boeckelio editio nupera Theilii polyglotta habet.); Iob. 3, 17. ἐξέπαυσαν pro ἐξέκαυσαν; Psalm. 88, 21. et 91, 10. ἐλαίῳ pro ἐλέει et ἐλέῳ; Eccles. 7, 19. μὴ ἀνῇς pro μὴ μιάνῃς.

XVIII. Atque haec quidem de singulis Vaticani textus locis qui manum criticam vel flagitant vel iam experti sunt. Reddenda vero etiam ratio est de libro prophetae Danielis cum additamentis de Susanna deque Belo et Dracone a nobis ad calcem Vaticani textus adiecto. Iam in ipsa antiquitate Christiana Graecum libri Danielis textum non tam ex LXX virorum interpretatione quam iuxta Theodotionem legi solitum esse, testis est Hieronymus, cuius in praefatione in Danielem haec verba leguntur: « Danielem prophetam iuxta LXX inter» pretes ecclesiae non legunt, utentes Theodotionis editione; » et hoc cur acciderit nescio. » Eius rei caussam, quam Hieronymus ultimis verbis quae attulimus ignorare se professus est,

Digitized by Google

fuerunt qui in eo positam dicerent quod Origenes in hexaplare opus suum versionem Danielis septuagintaviralem utpote ab ipso Hebraeo et a ceteris interpretationibus admodum diversam non recepisset, textu Theodotionis prae ceteris textui LXX virorum simili in eius locum substituto. A celeberrimo enim illo Origenis opere quum totius ecclesiae usus tantopere penderet, factum esse ut Theodotionis textus mox in communem reciperetur usum, alter vero apud plerosque negligeretur. Sed ab ipso quidem Origene non prorsus esse neglectum, sed in Tetrapla receptum, «ubi», quae Simonis de Magistris verba sunt, «quoniam textus Hebraeus deesset, illa varietas etsi »deprehensa fuisset reprehendi non posset.» Tetrapla vero multo rarius quam hexaplarem textum describi solitum. Quae explicatio maxime eo laborat quod dubia distinctione Hexaplorum et Tetraplorum nititur. Illud quidem certum est, ipsi Origeni deberi quod saeculo superiore versio Danielis septuagintaviralis post diuturnam oblivionem Romae e codice Chisiano in lucem protrahi posset; hunc enim codicem ex Origenis Tetraplis depromptum fuisse, subscriptio testatur capiti Danielis ultimo apposita. Vide editionis nostrae pag. 612.

Quum igitur in Vaticana editione textus Danielis iuxta Theodotionem exhibitus indeque a nobis repetitus esset, ceteris libris omnibus ex LXX interpretibus qui vocantur petitis, consentaneum nobis visum est illum Danielis textum qui ad eosdem LXX interpretes refertur appendicis loco addere. Qua in re secuti sumus praeeuntibus aliis[1]) editionem Romanam Simonis de Magistris[2]) sed correctam ex collatione ipsius codicis apud Holmesium exhibita[3]) nec neglectis iis quae e Syriaco textu, tetraplari et ipso, sedecim annis post ex codice Medio-

---

1) Michaelem dico (Gottingae 1773., rursus 1774.), Segaarium (Trai. ad Rhenum 1775.), Parsons (in editionis LXX Holmesianae tomo II. 1818.) et editorem Oxoniensem (1848.).

2) Daniel secundum Septuaginta ex Tetraplis Origenis nunc primum editus e singulari Chisiano codice annorum supra IↃCCC. Romae 1772. Ceterum ex eodem codice anno 1840. ibidem prodiit liber Ezechielis, docto apparatu instructus. Librum impressum in ipsa vidi bibliotheca Chisiana anno 1843.; sed tum nullum exemplar finibus Italiae egressum erat.

3) Est codex Holmesii nr. 88. Cuius de aetate Holmesius vel potius Parsons parum sibi constitit. Postquam enim ad Danielem saeculi XI (volebat IX?) dixit, ad Ieremiam notat: Videtur esse transscriptus anno 880. Mihi ipsi anno 1843. examinanti videbatur undecimi fere saeculi esse. De editionis Romanae ad ipsum codicem ratione gravis est Iacobi Parsons nota haec: «expressa, quoad textum, ut videtur, Septuagintaviralem ex apographo »codicis 88. mei in usum cl. Francisci Blanchini exarato.» Hinc quae in editione Romana a collatione Holmesiana differunt in mero apographi errore posita esse videntur. Videntur certe.

Digitized by Google

lanensi a Caietano Bugato edito[1]), ad emendandum Chisianum textum hauriri poterant. Syrum autem adhibuimus duce potissimum Henr. Aug. Hahnio, qui in nupera Danielis editione sua[2]) non satis habuit e Syro passim Graecum emendare, sed etiam locos in utroque codice corruptos[3]) docte restituere conatus est[4]). Ipsi pro instituto nostro maluimus Graeca codicis Chisiani plerumque edere, notatis sub textu signis Origenianis unaque Syriacorum differentia, quam ipsum pristinum textum critice restitutum edere: quippe quod pro testium penuria ac ratione passim quidem sed non ubique cum aliqua probabilitate fieri potest.

De signis Origenianis in commentario a nobis expressis haec adnotanda sunt. Frequentissimus est ※ asteriscus: hunc Origenes iis praeposuit quae quamquam in Hebraeo legebantur, a LXX interpretibus non reddita erant, proptereaque ab ipso Origene ex aliis interpretibus, maxime ex Theodotione, adsumebantur. Contrariam vim in ÷ obelo esse voluit; istum enim iis praefixit quae LXX interpretes invito Hebraeo textu habebant. De quo utroque signo quum inter omnes conveniat, tum magna est de lemnisco ÷ et hypolemnisco ⸓[5]) dubitatio. Si Isidoro Hispalensi fides est, positi sunt eum in finem ut interpretes non singulis quidem verbis sed eodem sensu convenire significent. A qua sententia si proficiscimur, lemniscus et hypolemniscus, ut unum e pluribus dicam, ita inter se differre poterant ut alter omnes tres (Aquilam Symmachum et Theodotionem) cum LXX consentire, alter unum tantum eorum ab iisdem discedere significaret[6]). Reliquum signum est /. quod metobelum dixerunt. Id nunquam per se

1) Daniel secundum editionem LXX interpretum ex Tetraplis desumptam. Ex codice Syro-estranghelo bibliothecae Ambrosianae Syriace edidit, Latine vertit notisque criticis illustravit Caietanus Bugati. Mediol. 1788.

2) Δανιηλ κατα τους εβδομηκοντα. E codice Chisiano post Segaarium edidit, secundum versionem Syriaco-hexaplarem recognovit, annotationibus criticis et philologicis illustravit Henr. Aug. Hahn, Phil. Dr. et Theol. Cand. Lipsiae 1845.

3) Inter hos eminet VIII, 11.

4) Raro clariss. Hahnium in notanda codicis lectione errasse vidimus, ut II, 9. III, 21. IV, 5. XII, 14. Ubicumque ν ἐφελκ. ante consonam edidimus, repetitum est ex ed. Rom., sed puto in ipso codice multo saepius quam in editione reperiri. Male in ed. Rom. et apud posteriores editores II, 14. et 15. Ἀριωχῇ et Ἀριώχης editum est; nec magis Αἰθιωπίας III, 1. cum iisdem repetendum censuimus. Contra στυπίον, qua in voce magna est scripturae varietas, III, 46. intactum reliquimus.

5) In Chisiano codice etiam ⸓ invenitur, teste editore Romano. Id ab errore librarii esse videtur, cuius quidem quanta in ponendis illis signis omnibus negligentia fuerit, per priora capita satis indicavimus.

6) Cf. quae circa hanc rem disputavit Montfaucon in praeliminariis in Hexapla Origenis cap. IV. sect. IV. (in editione Bahrdtii pag. 80 sqq.)



Digitized by Google

positum est sed aliud signum quod praecessit excipit; habet autem eam vim ut eorum verborum, ad quae signum praefixum pertinet, finem indicet. In aliis libris, ut in antiquissimis Octateuchi fragmentis Sarravianis, in locum metobeli duo puncta substituta sunt.

XIX. Ab hac disputatione discedere non possum quin breviter dicam de editionibus LXX interpretum cum antiquioribus tum recentioribus quae Vaticanam ducem habuerunt. Prima est editio Parisiensis quae accurante Iohanne Morino anno 1628. (rursus mutato tantummodo primo folio 1641.) prodiit. (In adornanda ipsa Rom. ed. partes habuit Petrus Morinus.) Hac in editione primum textus LXX interpretum versibus distinctus est ad normam vulgatae Latinae. Atque e regione Graeci textus apposita est Latina translatio, quam Morinus repetiit ex opere Flaminii Nobilii (V. T. secundum LXX Latine redditum et ex auctoritate Sixti V. P. M. editum cum annotationibus et scholiis, studio et cura Flaminii Nobilii cum ipsius praefatione, iuvantibus Ant. Agellio, Laelio, Barthol. Valverda et Petr. Morino. Romae 1588.), quo ille dederat operam ut veterem Latinam sive Italam textus Graeci versionem restitueret.

Altera et tertia prodierunt Londini 1653. et 1657. Posterior est pars celeberrimi operis polyglotti a Briano Waltono editi. Etiam haec Graeco textui appositum habet veterem Latinum eumque Flaminii Nobilii labore compilatum. Praeterea Waltoni et Morini editiones in eo quoque conveniunt quod Romanum textum passim emendatum habent, ut Gen. 19, 5. πρὸς ἡμᾶς pro πρὸς ὑμᾶς 27, 45. ἀπὸ τῶν δύο ὑμῶν pro ἀ. τ. δ. ἡμῶν Exod. 10, 26. τῷ θεῷ ἡμῶν pro τ. θ. ὑμῶν Num. 10, 19. Σουρισαδαΐ pro Σουρισεδαΐ: quae quidem laudabiliter mutata esse apparet. Minus vero recte alia habent, ut Gen. 10, 19. Σεβωΐν pro Σεβωΐμ 41, 39. et Deut. 2, 16. ἐπειδάν pro ἐπειδή Gen. 34, 15. υἱοῦ Ἡσαῦ pro υἱοὶ Ἡσαῦ.

Hac utraque multo inferior est tertia, i. e. altera Londinensis editio iam ante Waltoni biblia anno 1653. publicata. Quae quanta licentia a Romano exemplari discedat quantisque sit vitiis deformata, allato magno exemplorum numero ostendit Lambertus Bos in Prolegomenis editionis suae, unde etiam Breitinger exscripsit. Nihilominus ea Londinensis editio ter repetita est: primum Cantabrigiae 1665. cum praefatione Iohannis Pearson, tum Amstelodami 1683. curante Iohanne Leusden, tertium Lipsiae 1697. auctoribus Clavero et Klumpfio. Contra magis Morini et Waltoni exemplum secutus est Lambertus Bos, cuius editio Franequerae Frisiorum prodiit anno 1709. Qui ut multis locis revera emendavit lectionem Romanam, ita saepe deseruit nulla idonea de caussa neque indicata Romanae edi-

Digitized by Google

tionis diversitate. Multa vero etiam immutata reliquit quae partim ad ipsius Rom. editionis emendationes vel calamo factas vel in calce libri (ut IV Βασ. 4, 31.) notatas conformare par erat. Praeterea textui subiecit apparatum criticum sed satis illum quidem imperfectum, ut iam docuit Breitingerus in praefatione in novam suam Grabiani operis editionem. A qua Bosii editione pependerunt Davidis Millii Amstelodamensis a. 1725.; Lipsiensis Reineccii 1730. et 1757. (cf. exempli caussa lectiones Bosio proprias Gen. 44, 20. et 32. Exod. 1, 4. Lev. 23, 39. Num. 20, 23. 30, 5. Iudic. 5, 16.; contra nec ipse correxit vitia editionis Romanae Deut. 14, 17. πελακᾶνα [Lev. 11, 18. recte πελεκᾶνα], 1 Regg. 25, 10. πεπληϑυμένοι Lev. 8, 26. καὶ ἔλαβεν Num. 26, 35. [39.] δῆμος ὁ Σουϑαλάν etc.), item Oxoniensis 1805. Similiter editio Londinensis in aedibus Valpianis 1819. impressa « ex editionibus Holmesii (vide post) et Lamberti Bos » petita ipso titulo dicitur. Veneta vero editio quae 1822. prodiit, iuxta exemplar Vaticanum Romae editum et Anglicanum Londini excusum, ut ipse titulus habet, instituta est. Quae prorsus eadem quum titulus editionis Lipsiensis 1697. habeat, videtur inprimis hanc editor Venetus secutus esse.

Supersunt quattuor: Lipsiensis Leandri van Ess stereotypa, primum 1824. edita, Parisiensis Iageri 1839., Oxoniensis 1848. (tomis tribus 12°.), cuius in titulo est: « Accedit » potior varietas codicis Alexandrini », denique Londinensis apud Sam. Bagster filiosque nuperrime impressa. Nuperrimam Londinensem non vidi. Oxoniensis non emendatior est reliquis, cuius rei exempla post dabimus. Parisiensis Latina translatione (Flaminii illa Nobilii) atque, ut in titulo est, « animad» versionibus et complementis ex aliis manuscriptis » aucta est. Tanta vero inconcinnitate laborat ut recte Lückius (Göttinger Gelehrte Anzeigen 1840. I. pag. 647.) dixerit hominem a criticis rationibus non prorsus abhorrentem unum hoc inde discere posse quomodo non sit edendum. Passim quidem editor Parisinus correctiones Vaticani textus assumpsit quales supra recensuimus, ut Gen. 19, 5. 20, 14. et 16. 23, 8. 27, 45. 36, 37. 41, 1.; multo vero plura, quamquam partim iam calamo correcta, partim etiam haud dubie vitiosa et inepta, intacta reliquit; cf. exempli caussa locos in indicem nostram relatos hos: Gen. 21, 21. 33, 18. 50, 23. Exod. 35, 7. Lev. 8, 26. Num. 6, 20. 10, 19. 21, 14 sq. 26, 39. 28, 4. Deut. 4, 43. 14, 17. 1 Regg. 25, 10. Etiam eiusmodi male retinuit ut λᾶρον Deut. 14, 15. et λάρον Lev. 11, 15.; Αὐνάν Gen. 14, 13. et Αὐνᾶν Gen. 14, 24.: quae quidem eadem inconcinnitate retenta sunt apud Reineccium, Holmesium aliosque [1]).

1) Item in ed. Oxon. 1848. In eadem etsi passim emendatum est, ut Gen. 19, 5. 23, 8. 27, 45. 33, 18. 36, 37. 41, 1., tamen multo plura



Digitized by Google

Denique de Lipsiensi dicendum est editione quae nomen Leandri van Ess prae se fert. De ea multus fui in priore editione mea 1850. ubi in Prolegg. pag. XXIX sq. haec scripta sunt: «verum est incredibilem in eo opere »fidem servatam esse ipsis manifestis Vaticani exemplaris »vitiis; quod ut aliquot locis iam supra indicatum est» (ea etiamnum repetii), «ita longe pluribus, si quis catalogum »correctionum modo exhibitum cum Essiana editione conferre »voluerit clarissimum erit. Accedit vero vitiorum quae ipsa »plane sua vindicat numerus tantus ut Romanam editionem »longe superaverit. Exempla pauca ex prioribus libris affe»ramus» etc. Sed eadem non amplius repetere licet; quum enim ipse nuper viro generosissimo Carolo Tauchnitio, cuius in typis Essiana editio exscripta exstat, auctor exstitissem typorum ad meas notas expoliendorum, ille id diligenter faciundum curavit, unde propediem editio multo correctior proditura est.

XX. Argumenta in margine superiore notata editionem nostram adhibituris grata fore spero. Quorum conscribendorum pro spatii ratione passim non exigua difficultas erat. Propterea neque neglectum est si quid subsidii a similibus aliorum laboribus peti poterat.

In adscribendis Novi Testamenti locis parallelis distinctum est inter eos quibus ad locum aliquem Veteris Testamenti alluditur et eos quibus ipsum dictum aliquod sive affertur sive dicitur afferri. Illis quibus alluditur asteriscum praefiximus, alteris non praefiximus. Ubi in evangeliis synopticis aliquid ex V. T. laudatur, aliquoties unius tantum locum adscripsimus, ad quem reliquorum geminos conferre facile esset; plerumque vero apposita nota «pp» (i. e. et locos parallelos) id ipsum significatum est.

XXI. Restat ut de apparatu critico explicemus. Superstitum codicum Graecorum qui textum Veteris Testamenti continent magnus numerus est[1]); ad plus trecentos apud Holmesium recensitos fere centum accedunt alii, ab eo nondum notati. Inveniuntur dispersi per Europam atque orientales terras, inprimis Romae, Parisiis, Florentiae, Vindobonae, Londini, Oxonii, Venetiis. Plurimi a decimo inde saeculo litteris minutis exarati sunt; pauci, quorum Holmes quindecim commemorat, a quarto

intacta manserunt, ut Gen. 20, 14 et 16. 21, 21. 50, 23. Ex. 35, 7. Lev. 8, 26. Num. 6, 20. 10, 19. 21, 14 sq. 26, 39. 28, 4. 1 Regg. 25, 10. Deut. 14, 17. Extremo loco ad vitiosum πελαχᾶνα ne notatur quidem Alex. codicis differentia.

1) Multo etiam plures codices Novi Testamenti superesse constat; explent enim millenarium numerum.

Digitized by Google

fere usque ad nonum vel decimum saeculum uncialibus litteris. Ex his omnibus ne decem quidem totum V. T. complectuntur; Pentateuchi vel libros omnes vel partes plus octoginta, Psalmos fere centum quinquaginta, Esaiam et Danielem fere quadraginta, Iobum fere triginta, Proverbia, Ecclesiasten et Canticum, item librum Baruchi fere viginti, et paullo pauciores libros Tobit, Iudith, Sap. Sal., Ecclesiastici et Maccabaeorum. Plurimorum codicum collationes magno sumtu institutae sunt in usum editionis Holmesianae (Tom. I. Oxonii 1798. ed. Holmes; II—V. Oxonii 1810—1827. ed. Parsons). Eae vero quemadmodum in editis habentur non modo universae graviter differunt inter se fide atque accuratione, sed ad ipsos principales testes tam negligenter tamque male factae sunt ut etiam atque etiam dolendum sit tantos numos raro liberalitate per Angliam suppeditatos [1]) criticae sacrae parum profuisse. Quod quum ab intellegentibus viris iam satis intellectum sit, exemplis tantummodo paucis demonstrabo.

Pessime fecit quod ad repraesentandum codicem Alexandrinum, locupletissimum testem, non usus est nisi editione Grabiana. Quid enim tandem editori Oxoniensi facilius esse poterat quam ipsum sequi codicem Londini patentem? Atque non modo in editis Grabianis, de quorum exigua fide infra dicemus, acquievit, sed nec ipsum quidem Grabium diligenter vidit: de quibus enim iste lectionibus studiose in Prolegg. explicuerat, quoniam in edito ipsius textu non comparebant, eae ab Holmesio plane sunt praetermissae, etsi passim similia ex aliis codicibus afferenda ducebat. Rursus textum Grabii solum quum sequebatur, multas res inepte imputavit codici quae editori debentur. Cuius generis est I Βασ. 2, 29.: «ἀπ' ἀρχῆς (sic) Alex.»; quod idem ad δι' ἐκβολάς Zachar. 9, 10.; ἐξ αἰρέσεως Gen. 49, 5.; αὑτῆς pro αὐτῆς II Βασ. 6, 17. et similia alibi quadrat [2]). Quum enim in Prolegg. differentiam codicis, si qua sit, ab editione ita se distincturum profiteatur ut «III.» de illo, «Alex.» de hac ponat, ea quibus non appositum est nisi «Alex.» de utroque interpretari fas est [3]). Denique parum

---

1) Catalogo fautorum tom. I. a. 1798. exhibito hanc notam adiecit editor: Ii ergo fuerunt fautores quorum ab auctoritate factum est ut potuerim huc usque rem institutam assequi, et quorum ex subsidiis pecuniariis in hoc opus de anno in annum munificentissime collatis id mihi suppetebat, unde iam valuerim ad hanc collationem et editionem impendere ultra septem millia librarum Sterlingorum (circa 50,000 thaleros Boruss.).

2) Similiter in notanda interpunctione versatur; quam quum saepe Grabius ex arbitrio fecisset invito ipso codice, Holmesius ex sola editione petiit.

3) Exempla quae attuli eiusmodi sunt ut possint in codice haberi; talibus enim locis vitandae ambiguitatis caussa passim in antiquissimis libris scriptis appositus est spiritus, sed his ipsis locis non habentur nisi apud Grabium.

Digitized by Google

accurate versatus est circa lectiones «charactere minore» apud Grabium expressas. De iis Holmesius sic: «Sunt lectiones »nonnullae quae, ut in codice Alex. omissae, ad textum editionis »Alexandrinae sub minori charactere admoventur.» Rursus ad Genesin: «In hanc editionem inducta fuerunt aliqua vocabula »quae non habebantur in codice Alexandrino, et ea impresse»runt editores in charactere litterarum minore.» Iamvero saepe, ubi Alex. codex cum Vaticana editione consentit, apud Holmesium non liquet quae litteris minoribus apud Grabium scripta referuntur utrum suppleant an corrigant Alex. codicem. Nec magis ubi et «III.» et «Alex.» affert accurate affert, ut Exod. 19, 7. ubi habet: «λαου] Ισραηλ III. λαοῦ in charact. minore Alex.» At Alex. codex Ισραηλ pro τοῦ λαοῦ habet, neque λαοῦ sed τοῦ λαοῦ litteris minoribus exhibet editio Grabii.

Deinde, ut iam supra indicatum est, Holmesius passim manifestos editionis Romanae errores repetiit; ad hos vero quod vel paucos vel nullos codices notat qui differant, incredibilis est negligentiae. Ita, ut iam vidimus, Iudic. 9, 23. ἠθέτισαν repetit neque ex ullo cod. ἠθέτησαν affert. Quod ne socordiae potius quam ignorantiae esse dicamus, vetamur eo quod addit, ipsum ἠθέτησαν legi «Arm. 1. Arm. ed. Georg. Slav. mosq.» Item Iosuae 2, 19. repetit ὑμεῖς δὲ ἀθῷοι. Quod quum ferri plane non posset, dudum plerique ediderunt ἡμεῖς δ. ἀ. Teste vero Holmesio a vitioso ὑμεῖς quattuor tantum codd. differunt. Item Deut. 14, 17. vitiosum πελακᾶνα repetit, ab eo 16 codd. differre significans; at videntur tantum non omnes differre. Item Nehem. 10, 30. ineptum τοῖς γῆς (quod iam editores Rom. correxerunt calamo) repetit, significans novem codd. aliter habere; item Iob. 9, 4. nihil mali suspicans edit διανοία absque iota subscripto, quod in ed. Rom. expalluit.

Quam negligenter denique prae ceteris res grammaticas, magni illas quidem in re critica momenti, curaverit, quum plurimis possim, paucis probabo. Ad προςεύξατο Ion. 4, 2. prorsus nullam codicum differentiam, nec magis ad παροργισμένην Sirac. 4, 3. aut εὐφράνθη Sirac. 30, 5. refert. At tribus iis locis omnibus differre plurimos, certissimum est; ipse Alex. codex προςηύξατο, παρωργισμενην, ηὐφρανθη habet. Similiter Gen. 47, 27. praeterit Alex. codicis lectionem εὐξήθησαν, sed eodem versu nec omissum γῇ nec ἐκληρονομήθησαν pro ἐκληρονόμησαν Alexandrino codici adscribit, quamquam testes earundem lectionum alios multos affert. Item Deut. 12, 20. ἐπιθυμήσει pro ἐπιθυμήσῃ in margine codicis 131, ibidem 12, 29. κατακληρονομήσεις pro κατακληρονομήσῃς, κατοικήσεις pro κατοικήσῃς, 17, 4. ἐκζητήσεις pro ἐκζητήσῃς, Psalm. 47, 4. ἀντιλαμβάνεται pro ἀντιλαμβάνηται in codd. multis inveniri

Digitized by Google

testatur, male praetermissa Alexandrini codicis mentione. Exod. 5, 13. ἐδίδετο ex Alex. codice affert, sed ibidem 2, 21. ἐξέδετο, item 5, 22. ἀπέσταλκες non affert.

XXII. Prae aliis vero multis quae ex Holmesiano opere utiliter disci possunt magni faciunda est collatio ipsius Vaticani codicis ad singulos instituta libros, exceptis Prophetis Proverbiis Ecclesiaste Cantico Sapientia Salomonis et Siracide; unde quod dudum suspicari facile erat luculenter comprobatum est, editores Romanos non tantum, ut professi sunt, in orthographicis — quae quidem ipse Holmesii collator plerumque neglexit [1]) — sed in lectionibus sat multis ab exemplari scripto discessisse. Exempli caussa videamus lectiones per ultima quattuor Genesis capita, a quibus Vaticanus textus incipit, ex ipso codice a collatore exscriptas. Distinguamus autem eas quas Vaticanus codex ut videtur solus tuetur, ab iis quas cum aliis communes habet. Prioris generis sunt: XLVII, 2. omittit αυτου, v. 19. omittit ουκ, v. 26. habet επι γην pro επι γης (alii nonnulli επι την γην), v. 29. om. του ante αποθανειν, XLVIII, 3. habet ωφθη μοι ο θεος μου, v. 4. om. σε primum et secundum (posterius accedente cod. 75.), v. 5. habet εις Αιγυπτον προς σε, v. 16. το ονομα μου εν αυτοις, XLIX, 28. in fine add. ο πατηρ (alius unus ο πατηρ αυτων), L, 5. ο πατηρ με ωρκισε, v. 13. και ανελαβ. αυτ. εκει, v. 18. om. σοι, v. 19. habet εγω ειμι. Alterius generis: XLVII, 11. omittit αυτου prius (item Alex. Coisl. aliique plus decem) et habet εν γη Αιγυπτου, v. 14. habet το αργυριον παν (accedit solus cod. 75.), v. 17. omittit αυτων prius (item Cotton. Alex. Ambr. Coisl. aliique plurimi), v. 19. om. τω ante Φαραω (item Cotton. Alex. Coisl. aliique multi), item v. 20. loco tertio, v. 24. omittit και ante δωσετε (item Alex. Coisl. aliique plurimi), v. 25. om. τω ante Φαραω, v. 28. habet ετη δεκαεπτα ετη, posteriore ετη tribus punctis improbato, ibidem εγενοντο δε. XLVIII, 1. om. και primum (cum aliquot versionibus), v. 5. om. γη (item Cotton. aliique multi), v. 10. habet οι δε οφθαλμοι (item Cotton. aliique multi), v. 12. Ιωσηφ αυτους (cum solo cod. 75.), v. 15. ηυλογησεν (item Alex. aliique) et εναντιον (item Cotton. aliique multi), v. 17. om. την χειρα (item Cotton. aliique plurimi). Post hunc versum usque XLIX, 16. collatio deficit. XLIX, 16. habet εαυτου λαον (item Cotton. aliique multi), v. 26. επ ευλογιαις (item Cotton. Alex. Ambr. Coisl. aliique permulti). L, 1. habet

1) Dubitari nequit quin orthographica ratio universa in Vaticano codice eadem sit atque in Alexandrino similibusque. Collator Holmesianus in universum certe indicavit, ubique prima manu scriptum esse λημψομαι, ελημφθη cum similibus, item τεσσερα etc., ολεθρευειν, item λευει, σεινα, εναχειμ, μωαβειταις, ραφαειν.

το προσωπον, v. 6. omittit τω Ιωσηφ, v. 10. habet εποιησαν, v. 11. εν αλωνι (item Cotton. Alex. Ambr. Coisl. aliique plurimi), v. 15. ειπον, v. 16. παρεγενοντο et λεγοντες pro ειπαν, v. 20. ινα τραφη, v. 21. ειπε δε, v. 24 et 25. υμας ο θεος (item alii plurimi).

XXIII. Itaque ut ad apparatum perveniatur eiusmodi, unde textus Veteris Testamenti Graeci tum antiquissima ratio ea qua per antiquos testes licet probabilitate restituatur tum historia accurate discatur, non ab opere Holmesiano, ut iam supra diximus, sed a novis circa ipsos testes studiis criticis proficiscendum est. Constat tria instrumentorum criticorum genera esse, codices Graecos, versiones antiquas, patres aliosque scriptores veteres. Haec tria genera omnia summo studio ac labore in rem criticam convertenda sunt; sed maxima prae reliquis auctoritas est ipsis Graecis codicibus. Propterea nunc quidem, ut editionis huius ratio fert, missis interpretationibus [1]), patribus [2])

---

1) Fluxerunt ex LXX interpretum textu versiones inprimis hae: Latina vetus sive Itala, tertio vel secundo iam saeculo instituta; Aegyptiacae (Sahidica, Memphitica sive Coptica, Basmurica) tertii vel quarti saeculi; Aethiopica quarti vel quinti saeculi; Gothica quarti saeculi; Armeniaca quinti saeculi; Georgiana sexti saeculi; Syriacae aliquot, inprimis quae dicitur hexaplaris Pauli episcopi Telensis saeculo septimo ineunte facta; Slavonica noni saeculi; denique Arabicae aliquot aetate dubia sed non admodum antiquae. Inter has omnes primum in re critica locum obtinet Latina vetus, iam egregiis illa quidem laboribus tractata, sed multo pluribus indigens. De ceteris inprimis momentum criticum habent Aegyptiacae, Aethiopica, cui nunc clarissimi Dillmanni studiis nova lux affulget, Syriaca et Armeniaca.

2) Inter hos summum locum obtinet Origenes, cuius circa textum Veteris Testamenti Graecum studia magnam per totum orbem Christianum claritatem sunt assecuta. In magno opere suo quod Hexapla (item Tetrapla omissis Hebraeis?) inscripsit, columnis sex iuxta positis synopsin quam dicunt instituit Hebraei textus primum propriis tum Graecis litteris scripti et quattuor interpretationum Graecarum. Prima erat Aquilae qui in usum popularium suorum «diligentissimus verborum Hebraicorum explorator» exstitit, «studiose verbum ad verbum interpretans»; secunda Symmachi perspicua et eleganti versione Graecis auribus consulentis; tertia ipsorum LXX interpretum, quos Origenes ex reliquis maxime Theodotione praeposito signo ⋇ auxit iis quae invito Hebraeo minus erant, obelis sive virgulis designans ea quae ex superfluo sive invito Hebraeo apposita videbantur. Quarta denique interpretatio Theodotionis erat qui maxime id egerat ut textum Septuagintaviralem ex Hebraeo et Aquila emendaret. «Nonnulli vero libri», ut Hieronymi verbis pergam, «et maxime hi qui apud Hebraeos »versu compositi sunt, tres alias editiones additas habent, quam Quintam »et Sextam et Septimam translationem vocant, auctoritatem sine nomi»nibus interpretum consecutas.» Magnopere optandum est ut, quibus antehac Morinus, Drusius, Montefalconius, Bahrdtius, Schleusnerus aliique de sacris litteris promeruere, studia colligendorum omnium eorum quae ex opere Origenis passim etiamnum supersunt repetantur promoveanturque. Ceterum ille textus Origenis hexaplaris, sive textus Septuagintaviralis ex recensione Origenis, ab eruditis magni factus saepiusque repetitus, a communi sive

Digitized by Google

et scriptoribus aliis[1]), ex iis tantum antiquissimis codicibus Graecis apparatum confecimus quorum utpote criticum in usum iam editorum lectiones omni cum fiducia afferri possent. Quos antequam accuratius videamus, breviter dicere placet, quot et quinam codices ante decimum saeculum litteris potissimum uncialibus scripti ad nostra tempora pervenerint. Ab illis enim, ubi religiose excussi fuerint, inprimis pendebunt restituendorum LXX interpretum studia.

Holmesius quidem codices eiusmodi tredecim ad apparatum suum adhibuit. Praeter principales enim duos, Vaticanum (II. apud Holm.) et Alexandrinum (III. Holm.), quos quippe totum fere V. T. complectentes nullus alius ambitu aequiparat, adhibuit ad Pentateuchum tres maiore ambitu: Ambrosianum (VII. Holm.) quinti fere saeculi, Coislinianum sexti fere saeculi (X. Holm.), Basiliano-Vaticanum (XI. Holm.) a medio Levitico incipientem noni fere saeculi; item tres fragmentorum codices: Cottonianum (I. Holm.) Genesis quinti fere saeculi, incendio illum quidem dudum deletum sed ante incendium a Grabio potissimum et Usserio collatum, Vindobonensem (VI. Holm.) Genesis purpureum sexti fere saeculi, Sarravianum partim Lugduni Batavorum (IV. Holm.) partim Parisiis (V.) et Petropoli (V.) asservatum, saeculi fere quarti. Ex his octo (apud Holm. novem) codicibus Coislinianus etiam libros Iosuae, Iudicum, Ruth et Regum tres complectitur; Ambrosianus etiam Iosuae librum fere dimidium cum duobus prophetarum foliis, altero Iesaiae, altero Malachiae; Basiliano-Vaticanus etiam libros omnes a Iosua usque Esdram, Nehemiam et Esther; Sarravianus etiam aliquot fragmenta Iosuae et Iudicum (quorum folium unum Petropolitana bibliotheca habet). Ad ceteros libros Holmesius praeter praecipuum illud par unciales codices habebat quinque: 1. codicem Marchalianium Claromontanum olim, nunc Vaticanum (XII. Holm.), octavi fere saeculi, ad prophetas omnes; 2. Dublinensem (VIII. Holm.) rescriptum cum Iesaiae fragmentis, sexti fere saeculi; 3. Venetum Marcianum (nr. 23. Holm.) octavi vel noni saeculi, ad alteram libri Iob partem, Proverbia, Ecclesiasten, Canticum, Sapientiam Salomonis, Ecclesiasticum, Prophetas omnes, Tobit, Iudith et

κοινῇ i. e. immuni illa a criticis Origenis studiis distingui solebat. Mox vero ille ipse novae corruptionis caussa eo exstitit quod homines imperiti, qui describendo operam dabant, signa Origenis modo confundebant modo omittebant, praetereaque continuo textui immiscebant quae eos qui primum descripserant ut Pamphilum ut Eusebium ex reliquis columnis in margine adnotasse probabile est.

1) Inter hos maxime eminent Philo et Iosephus, quorum in scriptis tot antiquissimi LXX interpretum textus testimonia inveniuntur.

Digitized by Google

Maccabaeorum libros tres; 4. fragmenta Psalmorum Parisiensia (nr. 43. Holm.) in codice multis picturis ornato, noni fere saeculi; 5. codicem Vaticanum libri Iob cum picturis, eiusdem fere saeculi (nr. 258. Holm.).

XXIV. Quem ad catalogum Holmesianorum codicum uncialium accedunt alii undecim antiquitatis laude praestantes sed magnam partem ambitu exiguo. Eorum septem (1. 6. 7. 8. 9. 10. 11.) a me ipso in oriente detecti indeque in Europam allati atque etiam duobus exceptis (6. 11.) iam editi sunt; alii vero duo (2. 5.) in bibliothecis Parisiensi et Londinensi a me primum eruti et publicati sunt.

Primus est codex Friderico-Augustanus Lipsiensis, quarti fere saeculi, alter codex Ephraemi Syri rescriptus Parisiensis, quinti fere saeculi, de quorum utroque accuratius post dicemus. Tertius est codex Psalmorum Veronensis, Latinis ille litteris quinti vel sexti saeculi scriptus, apposita insuper interpretatione Latina. Quartus est Psalmorum codex Turicensis purpureus quinti vel sexti saeculi. Quintus codex papyraceus Londinensis cum fragmentis psalterii, cuius aetas saeculum quartum superare videtur. Sextus est codex nuperrime a me ex oriente allatus, in quo maxima pars est libri Genesis, saeculi fere octavi. Septimus ex eodem itinere meo orientali in Europam allatus palimpsestus est, saeculi fere sexti, cum maxima libri Numerorum parte. Octavus codex est Tischendorfianus II. Lipsiensis, saeculi fere septimi, cum fragmentis Numerorum, Deuteronomii, Iosuae, Iudicum. Nonus, decimus, undecimus, pariter a me in oriente reperti atque huc allati, non continent nisi pauca fragmenta: nonus saeculi fere septimi sex foliis palimpsestis fragmenta Iesaiae, decimus eiusdem ut videtur saeculi foliis tribus palimpsestis fragmenta secundi et tertii libri Regum, undecimus saeculi fere quinti foliis duobus Psalmorum fragmenta continet. His denique addi potuerit alius codex ex oriente a me allatus et nuperrime Musei Britannici factus, continens totos libros Iudicum et Ruth cum extrema parte libri Iosuae. Scriptus est enim litteris minusculis noni saeculi, formarum Alexandrinarum constantia prae plerisque codicibus antiquioribus insignis.

Hos autem omnes a tertio usque ad duodecimum lectionis aliquot speciminibus illustrabimus. Ac primum quidem de Psalterio Veronensi videndum est, quod edidit Blanchinus additum Vindiciis suis canonicarum scripturarum etc. Romae 1740. hoc titulo: *Psalterium duplex cum canticis iuxta vulgatam Graecam LXX seniorum et antiquam Latinam Italam versionem. Prodit ex insigni cod. Graeco-latino Ampl. Capituli Veronensis uncial. charact. ante VII. saec. exarato.* Speciminis loco partem Psalmi 142. describam a Blanchino in tabulis aeri

Digitized by Google

incisis exhibitam. Distinguam autem in utraque columna voces in ipso codice scriptas continuo.

| | |
|---|---|
| psalmos to dauid | psalmus ipsi dauid |
| ote auton ediocen abessalom | quando eum filius suus |
| o yios autu | persequebatur |
| quirie isacuson tes proseuces mu | dne exaudi orationem meam |
| enotise ten deesin mu | auribus percipe praecem meam |
| en te alethia su | in veritate tua |
| isacuson mu en te diceosyne su | exaudi me in tua iustitia |
| ce me iseltes is crisin | et ne intres in iudicio |
| meta tu dulu su | cum seruo tuo |
| oti u diceothesete | quoniam non iustificabitur |
| enopion su pas zon | coram te omnis uiuens |
| oti catedioxen | quoniam persecutus est |
| o etros (sic) ten psycen mu | inimicus animam meam |
| etapinosen is gen ten zoen mu | humilavit in terra vita mea |
| ecatisau me en scotinys | collocaverunt me in tenebrosis |
| os necrus eonos | sicut mortuos saeculi |
| ce acediasen en emy | et tedium passus est in me |
| to pneuma mu | sps meus |
| en emy etaracte e cardia mu | in me conturuatum est cor meum |
| emneste imeron | memoratus sum dierum |
| arceon | antiquorum |
| ce emeletesa en pasin | et meditatus sum in omnibus |
| tys ergys su | operibus tuis |
| en pyemasin ton ciron su | in facturis manum tuarum |
| emeleton | meditatus sum |
| diepetasa pros se tas ciras mu | extendi manus meas ad te |
| e psyce mu os ge | anima mea sicut terra |

Ceterum confirmat hic codex etiam formas ut λήμψομαι, ἀντιλήμπτωρ, ἐξολεθρεῦσαι, χεῖραν, hunc in modum: lempsome, antilemtor, exolethreuse, chiran.

2. (4.) Psalmorum codex Turicensis commentatorem invenit Ioannem Iacobum Breitinger, qui Turici 1748. libellum edidit hoc titulo: *De antiquissimo Turicensis bibliothecae Graeco Psalmorum libro in membrana purpurea titulis aureis ac litteris argenteis exarato, epistola ad Ang. Mar. Card. Quirinum.* Qua in commentatione postquam de scripturae codicis ratione grammatica expositum est, consentiente illa quidem in rei summa cum codice Alexandrino et similibus, lectio locorum potissimum eiusmodi affertur quos quomodo Hieronymus vel Iustinus legerit sciri possit. Ita Ps. 26, 6. a quo psalmo codicis Turicensis initium fit, habet και νυν ιδου υψωσεν κεφαλην μου, omisso contra Vat. et Alex. articulo, quemadmodum iam Hieronymus

in Graeco inventum testatur. Ibidem v. 8. tuetur lectionem iam ab Hieronymo allatam εξεζητησεν σε το προσωπον μου, quorum loco Vat. et Alex. habent: εξεζητησα το προσωπον σου. Item Ps. 27, 2. κυριε post εισακουσον invitis Vat. et Alex. habet, quod et ipsum Hieronymus ut « additum » in Graeco esse testatur. Ps. 36, 23. cum Alex. cod. post ϑελησει habet σφοδρα. Hoc rursus Hieronymus in Graeco additum nec apud quemquam haberi interpretum dicit. Ps. 38, 12. omittit cum Alex. cod. vocem ταράσσεται. Quem in locum Hieronymus: *Et dicitis in Graeco vos non invenisse conturbatur. Sed et hoc sub veru additum est in LXX. Et hinc apud vos et apud plerosque error exoritur quod scriptorum negligentia virgulis et asteriscis subtractis distinctio universa confunditur.* Ps. 39, 12. cum Alex. cod. pro προσχες habet σπευσον, quod ipsum Hieronymus in Graeco repertum dicit. Ps. 40, 7. de voce εἰ Hieronymus sic: *Et dicitis quod si in Graeco non sit positum, cum manifestissime et in Hebraeo et in cunctis interpretibus scriptum sit et LXX transtulerint.* Sed revera cod. Turic. cum Alex. cod. omittit εἰ. Ps. 43, 10. post εξελευσῃ cum Alex. addit ο ϑεος, quod Hieronymus in Graeco repertum quamquam superfluum dicit. Ps. 47, 9. Vat. ed. οὕτως καὶ εἴδομεν, Alex. cod. ουτως ιδαμεν. Sed Hier. testatur καί illud in Graeco repertum quamquam superfluum. Turic. cod. ουτως και ιδαμεν.

3. (5.) Insigne hoc monumentum papyraceum, quo nullus codicum sacrorum antiquior videtur, Musei Britannici est. Psalmos tres et viginti (inter decimum et trigesimum sextum) quos foliis triginta continet hoc ipso anno edidi in Monumentorum sacrorum ineditorum nova collectione, vol. I. pag. 217—278. Quo in textu mira vitiositas mixta est cum antiquissima scripturae ratione. Exemplum sumam a pag. 241. cum quinque prioribus versibus pag. 242., quibus continetur Ps. 20, 14. — 21, 10. Singula verba seiungamus, accentibus praeter acutum, in quo nulla difficultas est, additis signis quae prope accedant expressis.

εν ταισ δυναστείαισ σου εσ τό τελος
υπερ τησ αντιλήμψεωσ τησ εώϑι
κα' νησ́ ψαλμοσ τω δαυειδ ο ϑ̅σ̅ ο ϑ̅σ̅ μου
προσχεσ μοι ἵνα τί εγκατέλειπέσ με
μαχράν απο τησ σωτηρίασ μου οι
λογοι των παραπτωμάτων μου
ο ϑ̅σ̅ μου καικράξομαι ημέρασ προσ
σε και ουκ=εισακούσῃ μου και νυκτοσ
και ουκ εισ άνοιάν εμοῖ συ δε εν α
γίοισ κατηκεισ́ ο έπαινοσ του ι̅η̅λ̅
επι σοί ήλπισαν οι π̅ρ̅ε̅σ̅ ημων

Digitized by Google

ηλπισαν και ἐρρύσω αυτουσ
προσ σέ εκέκραξαν και εσώϑη
σαν επι σοί ἠλπισαν και ου [κατησ]
χύνϑησαν εγώ δε εμί σκώληξ
και ουκ ααnοσ όνειδοσ ανων
και εξουδένημα λαου πάντασ
οι ϑεωρούντεσ με εξεμυκτη

ρισαν με και ελάλησαν ἐν χείλε
σι και εκίνησαν κεφαλην και
είπαν ἤλπισεν επι κν ρυ
σάσϑω αυτὼν σωσάτω αυτον
ε ϑέλει αυτου ὅτι σϋ εί ὁ εκπά

4. (6.) De hoc Genesis codice breviter exposui in meis Anecdotis sacris et profanis (Lipsiae 1855.) pag. 6 et sq. unde haec adscribam: «Lectionis bonitate tantopere excellit ut non dubitem quin egregie facturus sit ad pristinam integritatem Genesi Graecae reddendam; ipsi enim Alexandrino codici, quocum saepe facit, non raro praestare videtur. Cum Vaticanus liber, unde Romana editio fluxit, tota fere Genesi careat, inventum hunc thesaurum maximi faciundum existimo. Exemplum textus esto Gen. 31, 31—47. Ibi lectiones quadraginta quinque ab ed. Rom. differunt. Locis tredecim cum Alexandrino cod. consentit; aliis vero novem accedente sexies (ter hiat) codice Cottoniano illo qui incendio periit (vide supra) contra Alexandrinum est. Porro saepe cum Cottoniano consentit invitis Alex. codice et Rom. editione, ut v. 32. (transposita sunt καὶ εἶπεν --- ἡμῶν etc.) et v. 40. (ἐγινόμην et παγετός). Versu 33. cum Vind. codice purpureo omittit εἰς contra ed. Rom. et Alex. codicem. Notabilis etiam est consensio nostri codicis et codicis Veneti, de quo Holmesius, apud quem numero 72. notatur, sic iudicat: Est sane codex in suo genere singularis et maximi faciundus; continet enim textum hucusque incognitum. Cum eo cod. noster solus v. 36. omittit ἀποκριϑεὶς usque Λάβαν, item v. 37. cum eodem solus corruptam lectionem ϑέσω δέ pro ϑὲς ὧδε tuetur. Quum vero plura alia tantum non solus praebeat, ut vv. 45. 47. 42. ubi habet εἰς στήλην, ἐκάλεσεν δέ, ἐχϑές, vv. 37 et 46. ubi omittit ὅτι et ἐκεῖ, tum multis locis plane propria habet, ut v. 33. εἰσῆλϑεν εἰς, v. 37. ἠραύνηκας (reliqui ἠρεύνησας, alii tres ἠρεύνηκας), ibidem εὕρηκας (reliqui εὗρες), v. 38. αἱ βόες (pro αἱ αἶγες), v. 41. τοῖς πρόβασιν (reliqui τ. προβάτοις), v. 43. ἃ σ' ὁρᾷς ὅλα pro ὅσα σὺ ὁρᾷς» etc.

5. (7.) Hunc Numerorum codicem palimpsestum edidi in Monumentorum sacrorum ineditorum nova collectione, vol. I. pag. 49—138. De textu vero in Anecdotis meis sacris et pro-

fanis pag. 1 et seq. haec adnotavi: «Textu consentit saepe cum Alexandrino codice contra editionem Vaticanam Romanam, neque raro cum reliquis testibus nostris antiquissimis contra utrumque facit. Sunt etiam quae omnium solus eaque bene tueatur. Ita, ut exempli caussa ipsum primum folium videamus, quod continet 26, 54. — 27, 2. τὴν κληρονομίαν αὐτῶν usque τῶν ἀρχόντων καί, v. 57. habet δῆμος ὁ Γεδσών (pro Γεδσωνί) et δῆμος ὁ Καάϑ (pro Καᾶϑί): quae scriptura conferenda est cum δῆμ. ὁ Χεβρών v. seq. in codice Alex. Versu 58. codex palimps. noster ubique facit cum Alexandrino; in utroque enim legitur καὶ δῆμος ὁ Χεβρών· καὶ δῆμ. ὁ Ὁμουσὶ καὶ δῆμ. ὁ Κορέ, item Ἀμβράμ. Versu 59. rursus in utroque est τῆς γυναικὸς Ἀμβρὰμ Ἰωχαβέϑ, item postea Ἀμβράμ. Versu 60. uterque habet ἐτέχϑησαν pro ἐγενήϑησαν; item v. 62. συνεπεσκ. ἐν τοῖς υἱοῖς pro συνεπ. ἐν μέσῳ υἱῶν, et κλῆρ. ἐμμέσῳ pro κλ. ἐν μέσῳ. Versu 63. Alex. solus οἵ cum ὅτι commutat et v. 65. omittit κύριος: quod utrumque male habet. Exeunte vero capite et Alex. codex et noster υἱὸς Ναυή pro ὁ τοῦ Ναυή praebent. Versu 1. capitis 27. lectiones codicis Alex. Μαχείρ et Αἰγλά etiam in nostro codice sunt, non item Μαννασσῆ et Μαλά. Versu 2. noster codex ubique habet ἐναντίον pro ἔναντι. Lectionum inprimis notabilium nec dum alibi inventarum exempla haec habe: 14, 23. ἣν ὤμοσα τοῖς πατράσιν σου. Pro σου plerumque legitur αὐτῶν, nisi quod in uno codice est ὑμῶν. 31, 16. ἕνεκεν Βεελφεγώρ. Eadem nominis forma — hoc certe loco — unus utitur Origenes pro vulgato Φογώρ. 33, 3. Ῥαμασσῆ, quod cum solo interprete Copto commune habet pro vulgari lectione Ῥαμεσσῆ.

6. (8.) Etiam huius codicis palimpsesti quae supersunt fragmenta biblica in novam meam collectionem Monumentorum sacrorum ineditorum recepi, ubi paginas complent 38 a pag. 139. usque 176. Lectionis exemplum de fragmentis Iosuae quorum textus maxime insignis est desumam. Locus Ios. 11, 6. usque 11. sic ibi scriptus est:

Και ειπεν κ͞σ προσ
ι͞ν· μη φοβηϑησ
απο προσωπου αυ
των· οτι αυριον
την ωραν ταυτην
παραδιδωμι αυ
τουσ τετροπω
μενουσ εναντιον
ι͞η͞λ· τουσ ιππουσ
αυτων νευροκο
πησεισ· και τα αρ
ματα αυτων κατα

κατεδιωκον εωσ
σιδωνοσ τησ με
γαλησ· και εωσ
μασερημωϑ' απο
ϑαλασσησ· και ε
ωσ των πεδιων
μασφαν κατα α
νατολασ· και εκο
ψαν αυτουσ· εωσ
του μη καταλει
φϑηναι εξ αυτων
σεσωσμενον· και

Digitized by Google

καυσεισ πυρι· και
πασ ο λαοσ ο πολεμι
στησ· επ αυτουσ ε
πι το υδωρ' μαρων
εξαπεινα· και ε
πεσον επ αυτουσ
εν τη ορινη· και
παρεδωκεν αυτους
$\overline{κσ}$ υποχειριουσ
τω $\overline{ιηλ}$' · και επατα
ξαν αυτουσ· και
κοπτοντεσ αυτουσ
διαπεφευγοτα·
και εποιησεν αυ
τοισ $\overline{ισ}$· καθοτι ειπεν
αυτω $\overline{κσ}$· τουσ ιπ
πουσ αυτων ενευ
ροκοπησεν· και τα
αρματα αυτων ενε
πρησεν πυρι: και
επεστραφη $\overline{ισ}$· και
πασ $\overline{ιηλ}$ μετ αυτου
εν τω καιρω εκει
νω: και κατελα

7. (9.) Haec fragmenta prophetae Iesaiae ex foliis Armeniacis palimpsestis magna cum difficultate eruta in collectione mea nova Monumentorum sacrorum ineditorum a pag. 185. usque 198. edidi. Sunt ex capitibus tertio, quinto, vigesimo nono, quadragesimo quarto, quadragesimo quinto. Textum optimae notae esse in Anecdotis meis sacr. et prof. pag. 9. exemplis his probavi: 3, 8—14. bis facit cum Alex. codice, v. 10. γενηματα et v. 12. την τριβον tuens; praeterea v. 8. διο et v. 11. συμβ. αυτω κατα cum perpaucis codd. habet; v. 10. δησομεν cum solo Eusebio, v. 14. αυτος ο κυριος cum solo Procopio. Item 5, 2—7. cum Alexandrino consentit sexies; v. 4. ινα ποιησω (item v. 7.) cum paucis codd. minusc. tuetur, assentientibus Origene, Basilio, Chrysostomo, et v. 5. νυν ουν assentientibus praeter aliquot minusculos codice olim Claromontano nunc Vaticano in margine (XII. Holm.) et Severo.

8. (10.) Haec fragmenta alterius (ex cap. 22. et 23.) et tertii (ex capp. 13. 16. 17.) libri Regum palimpsesta in eadem mea Monumentorum sacrorum collectione edita sunt a pag. 177. usque 184. In Anecdotis sacr. et profanis pag. 9. illustravi his: Ad recensionem pertinent perquam antiquam a Vaticana editione admodum diversam inprimis cum Holmesii codicibus X. (Coislin.) et XI. (Basiliano-Vatic.) consentientem. Ita folio primo per priores decem versus cum utroque contra ed. Rom. tuetur και ου μη αναστωσιν, επ εμε, και παιδευων, φοβον θεου, και ante ανατειλαι; item cum iisdem et Alexandrino ου παρηλθεν, item επανιστανομενους cum II. (Vatic.) et XI. (Alex. επανισταμενους), cum Alex. ο θεος ο φυλαξ, cum X. et Alex. ο ηλιος, cum Alex. ουτος ο οικος, cum duobus tantum codd. minusc. δυναμιν, cum uno Holm. nr. 64. εν ανθρωποις, denique ο διδους solus, reliquis κυριος vel κυρ. ο θεος praemittentibus.

9. (11.) Hoc fragmentum Psalterii antiquissimi stichometrice scripti Psalm. 141(2), 7—8. 142(3), 1—3. 144(5), 7—13. continet. De eo breviter dixi in Anecd. sacr. et prof. pag. 12. allata

Digitized by Google

inscriptione psalmi 142., quae sic habet: ψαλμοσ τω δαυειδ' οτε αυτον εδιωκεν αβεσσαλωμ' ο υιοσ αυτου. In codd. Vat. et Alex. scriptum est: ψαλμοσ τω δαδ οτε αυτον ο υιοσ κατεδιωκει (Alex. -ιωξεν). Noster vero textus plane convenit cum eo quem supra ex Psalterio Veronensi Latinis litteris scripto attulimus.

10. (12.) Quem ultimo loco posui codicem minusculum noni saeculi, de eo in Anecd. sacr. et profan. pag. 7. haec dicta sunt. Formas Alexandrinas antiquas pauci codices summae antiquitatis tam fideliter conservarunt quam hic codex. Exempla haec excerpsimus: λήμψη, ἐξολεθρευθείς, βενιαμείν, σεραφείν, σύνσημον, ἤλθοσαν, ἴδαμεν, ἐριμμένην, ἐρύσαντο, τοῖς λάψανσιν, ἐξηραύνησαν, ἐξένεγκον, ἀνέβεννεν. Textum vero praebet inprimis notabilem et gravem, profectum a recensione quae nondum innotuit. Quod quo iure dicam, iudicari poterit ad priores capitis primi versus 27.: per hos enim quinquaginta locis a Romana editione discedit, duodevicies cum Alexandrino codice consentiens (ut v. 17. Σεφέρ cum Alex. solo et v. 27. Μαγεδών cum solis Alex. et cod. X. apud Holm. habet), tredecies cum aliis codd. uncialibus, porro alia cum paucis codd. minusc. communia habens, alia sociis plane nullis. Huius quod ultimo loco dixi generis sunt: v. 1. ἐν τῷ κυρίῳ, v. 5. omissum τόν prius, v. 7. ἑβδομήκ. ἄνδρας (quod reliqui omnes omittunt) βασιλεῖς, ibidem καὶ ἀποκεκομμένοι, v. 10. γεσί (ed. Rom. γεσσί, cod. Alex. γεθθί), v. 11. πόλις γραμματέων, v. 14. ἐβόησεν pro ἐγόγγυζε, v. 16. addita εἰς γῆν ἰούδα post τῶν υἱῶν. Uno tantum socio habet v. 4. εἰς χεῖρας (cum cod. 58., de quo Holmes: «quantivis pretii est»), v. 8. ἐνέπρησαν πυρί, v. 17. ἔκοψαν.

XXV. Iamvero ab his transeundum est ad tres codices eos quos ad apparatum nostrum continuum adhibuimus. Acquievimus iis tribus, quoniam tum quum primum hanc Veteris Testamenti editionem parabamus, nullus alius aetate vel auctoritate similis criticum in usum editus erat; nimirum Psalterium Veronense natura sua parum aptum videbatur quod in manualem hanc editionem transferremus [1]). Continet autem **Alexandrinus** codex totum Vetus Testamentum exceptis I Reg. (I Sam.) 12, 17. — 14, 9. Psalm. 49, 19. — 79, 12.[2]) paucisque alibi versibus vel vocibus. Qua in re ex antiquis similem non habet nisi Vaticanum, in quo desunt priora Genesis capita 46, Psalmi triginta tres (105—138.) et tres Macca-

1) Collationem ceterorum codicum antiquissimorum ex Holmesio repetere ab hac editione stereotypa prorsus alienum erat; quippe enim nullus ea qua nostris ex rationibus opus est diligentia in opere Holmesiano exhibitus est. Ex numero vero codicum minusculorum fragmenta Pentateuchi Lipsiensia non indigna erant quorum ratio haberetur.

2) Ad utrosque locos infra supplementa apparatus nostri data sunt.

Digitized by Google

baeorum libri. His igitur textus partibus nullum Alexandrinus codex nec antiquiorem nec parem habet. Maccabaeorum quidem libri praeterea in duobus codd. uncialibus octavi et noni fere saeculi inventi sunt. Codice autem Friderico-Augustano quae continentur: fragmenta I Chron. et II Esdrae, item Nehemiae et Estherae libri toti, praeter Alexandrinum et Vaticanum ex uno tantum codice unciali eoque saeculi fere octavi, qui est ex Basiliano-Vaticanis, innotuerunt. Porro Tobiae liber, cuius primum caput et quod excedit in Friderico-Augustano est, praeter Alex. et Vatic. testem alterum uncialem habet codicem Venetum octavi vel noni saeculi. Ieremias denique, cuius maximam partem Friderico-Augustanus exhibet, praeter par illud nobile etiam in duobus est uncialibus codicibus octavi ac noni fere saeculi. Codicis denique celeberrimi Parisiensis rescripti fragmenta ex libris Iobi, Proverbiorum, Ecclesiastae, Cantici, Sapientiae Salomonis, Ecclesiastici, praeter Vaticanum et Alexandrinum non inventa sunt nisi in duobus codicibus uncialibus, quorum alter Venetus inde a cap. 30. libri Iobi incipiens octavi, alter Vaticanus cum solo Iobi libro noni fere saeculi est.

Sed de his singulis iam paullo fusius dicendum est.

XXVI. Codex Alexandrinus Musei Britannici factus est, postquam, ut in ipso codice praenotatur, cubiculo patriarchali (Alexandriae) anno 1098. dono datus fuerat rursusque anno 1628. a Cyrillo Lucari patriarcha primum Alexandrino post Constantinopolitano dono missus Carolo I. Britanniae regi. Idem Cyrillus Lucaris sua manu traditionem testatur ex qua hic codex «manu Theclae nobilis feminae Aegyptiae paullo post concilium Nicaenum» scriptus dicitur. Quae traditio multis excogitata videtur ad venerandi libri gloriam. Quodsi verum est, ut in veteri est proverbio, non facile spargi rumorem quin aliquid subsit, ex celebri S. Theclae coenobio Seleucensi, quod iam Gregorii Nazianzeni tempore florebat [1]), Alexandrinus codex prodisse recte visus est; unde facile fieri poterat ut ipsius Theclae manu exaratus diceretur. Praeterea vero litterarum forma, interpunctionis simplicitas, compendiorum raritas ac quicquid denique ad definiendam libri aetatem facit, sive in Veteri sive in Novo Testamento, eiusmodi est ut quinto saeculo scriptus esse maxima cum probabilitate existimetur.

De quo codice ad rem criticam adhibendo post merita

---

1) Quemadmodum est in vita Gregorii Nazianzeni: Τῆς ἐκκλησίας ὑπανεχώρησε, καὶ καταλαβὼν Σελεύκειαν τῷ παρθενῶνι τῆς πανάγνου Θέκλης ἐνδιαιτᾶται etc. Neque aliter ipse Gregorius de se in iambis habet: Πρῶτον μὲν ἦλθον εἰς Σελεύκειαν φυγάς, Τὸν παρθενῶνα τῆς ἀοιδίμου κόρης Θέκλας· etc. Vide Grabii Prolegg. initio.

Waltoni, qui variantes lectiones Alexandri Huissi opera excerpendas suisque Polyglottis Bibliis inserendas curaverat, egregie promeruit vir multis nominibus clarus, Ernestus Grabe [1]). Is enim ipsius codicis edendi curam suscepit. Prodiit opus Oxonii 1707—1720. voluminibus quattuor formae maximae, quorum ab ipso Grabio primum et quartum publicata sunt; reliqua duo a duobus defuncti amicis, quorum alter, Franciscus Lee, et ipse volumini tertio doctam commentationem praeposuit. Cuius editionis quae ratio sit, ipse Grabius uberrime exponit in Prolegomenis. Asserit autem codicis lectiones omnes vel in ipso textu suo vel in margine a se expressas, exceptis iis de quibus in Prolegg. explicuisse satis habuit. Huiusmodi sunt quum omnes qui manifesti videbantur librarii errores, tum quae «priscorum librariorum scribendi rationi a nostra diversae» tribuit. Tamenvero ex istis [2]) pauca quaedam, ut συνπροπέμψαι Gen. 12, 20. atque alibi, item plerumque ν ἐφελκ. ante consonam se retinuisse testatur. Errores vero illos [3]) antequam recenset, praemittit haec: «Quod inter haec sphalmata occurrant aliqua quorum tamen similia vel eadem alibi in margine textus sunt posita, id diversis rationibus vel contrariis subinde amicorum consiliis est tribuendum; quorum alii modo exteriorem libri oram paucioribus maculandam, alii contra paucissima erratis annumeranda monuere.» Accedit quod locis antiqua manu mutatis plerumque non retulit nisi alterius manus emendationem [4]); ubi vero male quid mutaverat antiquus corrector, non admisit nisi ipsam primam manum. Quibus in rebus quamvis difficillimum sit omnibus satisfacere, atque etiam par sit editorem ex ipsius consilio non ex diversis aliorum rationibus metiri, tamen facile afferre possum multa quibus

---

1) «Natione Borussus» ab editoribus voluminum II. et III. in ipso titulo nuncupatur, quamquam «Germaniam suam illi haud satis gratam» Franc. Lee in Prolegg. dicit.

2) In his non modo ponuntur ν assimilatum in εμ μεσω, εγ γαστρι; ν assimilatione neglecta, ut in συνκαλυμμα, ενχωριον, ενπνεον; ρ omissum in ορθισας, χεαγρας; neglecta aspiratio ut in εκθρος (item εκχθρος); μ retentum in coniugatione verbi λαμβανω, ut ελημφθην; ν finale accusativorum in α desinentium, ut ακριδαν, νυκταν: sed etiam confusa ε cum α in τεσσερακοντα, εκαθερισεν; α cum ε, ut in εραυναν; item formae quales διαβεννεις, εριψεν, κροσωτα; confusum saepissime ημεις, ημων etc. cum υμεις, υμων etc.

3) In his sunt: Gen. 1, 29. παν pro παντα (vide infra); 11, 17. Φαλεκ pro Φαλεγ; 14, 1. Σελλασαρ pro Ελλασαρ; 14, 5. Σομαιους pro Ομαιους; 24, 32. επεσαξεν pro απεσαξεν; 25, 27. αβλαστος pro απλαστος; 27, 1. Ισακ pro Ισαακ; 46, 20. Πετρεφη pro Πετεφρη; Exod. 5, 22. απεσταλκες; 8, 6. ἡ βάτραχος etc.

4) Ita Exod. 8, 8. refert tantum in Alex. post φυραμασιν σου addi και εν τοις φρεασιν. At primae manus lectio φρεασιν pro φυραμασι, quae et ipsa in aliis codd. est, non debebat praeteriri silentio.

Digitized by Google

ille libere correctis, ipsius codicis lectione nec in margine nec in Prolegg. notata, ab officio edendi codicis haud dubie discessit [1]). Praeterea per quattuor volumina Grabiana haud pauca in quibus nec vitium nec prisca orthographia est male ex codice exscripta reperiuntur [2]).

Atque haec quidem de solo Alexandrino codice apud Grabium dicta sunt. Quo edendo ille haud acquiescens adnixus est ut celebrem Origenianam editionem imitaretur. Hinc aliis quae ex Theodotione aut alio interprete ad LXX interpretum textum accessisse videbantur praefixit asteriscos, alia quae in Graeco quidem sed non in Hebraeo exstant textu obelis vel lemniscis vel hypolemniscis notavit. Qua de re non est quod hoc loco accuratius videamus; tamen hoc in promtu est, rem a Grabio susceptam quum difficillimam tum talem fuisse quae vix cum editione Alexandrini codicis conveniret facileque erroris ansam daret [3]).

---

1) Huiusmodi sunt Gen. 24, 21. ευωδωκεν apud Grabium pro ευοδωκεν in codice; Exod. 15, 17. κατειργασω pro κατηργασω, qualia alibi saepe; item Gen. 32, 7. μεϑ αυτου pro μετ αυτου; I Βασ. 18, 13. αφ αυτου pro απ αυτου; III Βασ. 11, 18. μεϑ αυτων pro μετ αυτων, quod genus tacitae correctionis frequens est; item Gen. 38, 9. οὐχ αὐτῷ pro ουκ αυτω; Gen. 42, 27. 28. μαρσιπος ter pro μαρσιππος; Lev. 18, 4. πορευεσϑαι pro πορευεσϑε (ut in ed. Rom.); 18, 6. προςελευσετε pro προςελευσεται (ut in ed. Rom.); Num. 31, 3. [και] παραταξασϑαι pro και παραταξασϑε (ut ed. Rom.); Deut. 15, 6. δανειη pro δανιη (ed. Rom. δανιεῖς); Deut. 17, 16. αποστρεψει pro αποστρεψη (quod ipsum in ed. Rom.); I Βασ. 8, 17. διακρυψεις pro διακρυψης (ed. Rom. δη κρυψης); Exod. 25, 16. πηχεως, sed Alex. cum Vat. πηχεος; Exod. 6, 5. ὧν οἱ, sed Alex. cum Vat. ὃν οἱ; Exod. 16, 17 sq. quater ῷ pro ὁ, quod Alex. tuetur cum ed. Vat., ibidem τω γομορ pro το γομορ; Lev. 25, 16. οὗτος pro οὕτως, ut etiam ed. Rom. habet; Lev. 10, 16. Μωσης, sed Alex. cum Vat. Μωυσης; IV Βασ. 17, 9. ημφιεσαντο pro ημφιασαντο, ibidem 16, 5. εδυναντο pro ηδυναντο; Lev. 19, 29. εμπλησϑησεται pro εμπληϑησεται, atque item alia plurima, quae si corrigenda Grabio visa sunt, certe correctioni debebat apponi quod in ipso codice est.

2) Pauca de multis exempla haec sunt: Exod. 4, 13. αλλον δυναμενον pro δυν. αλλον; 18, 15. ϑυω τω κυριω pro ϑ. τ. ϑεω; 16, 6. ειπεν pro ειπεν δε Lev. 2, 3. απο ϑυσιων pro απο των ϑυσιων; 10, 10. και διαστειλαι, sed και deest; 11, 10. εν χειμαρροις et 11, 11. εν τοις χειμ., sed codex habet τοις 11, 10. non item 11, 11.; 13, 5. ημερα pro τη ημερα; 24, 11. της γυναικος Ισρ., sed est τ. γυν. της Ισρ.; 25, 10. εις και εκαστος pro εις κατ εκαστος I Βασ. 1, 21. non deest ἐν; 1, 26. non deest κυριε, sed pro eo legitur κυριος; 3, 7. refert και πριν, sed πριν non est in codice; 7, 12. non omittitur Μασσηφαϑ, sed pro eo est Μασηφα; 17, 11. non est ηκουσαν sed ηκουσεν (17, 18. στρυφαλιδας, non στρυνφαλιδας); II Βασ. 2, 13. non deest την ante κρηνην; III Βασ. 10, 1. deest ἐν teste Grabio, sed codex habet αιν ενιγμασιν etc. Mirum quid accidit in extrema libri Habacuci parte, ubi προςευχὴ Ἀμβακούμ traditur. Hanc enim is qui Grabianum opus continuavit non ex continuo prophetae textu ut debebat petiit, sed ex hymnorum collectione Psalterio adiuncta, in qua multa ab illo differunt.

3) Grabii studia circa codicem Alexandrinum totumque LXX interpretum textum diligenter secutus est Breitinger, qui edidit Tiguri Hel-



Digitized by Google

XXVII. Quae quum ita sint, mirum non est quod centum fere annis post mortem Grabii doctos Anglos immortali thesauri sui laude plenos cupido incessit editionis parandae eiusmodi quae exemplar scriptum totum quam splendidissime ac fidelissime repraesentaret. Hinc magno sumtu typis ad codicis similitudinem fusis edendi cura demandata est Henrico Hervejo Baber. Absolutum est opus intra annos quattuordecim; primum enim volumen anno 1812. prodiit, tertium cum Prolegomenis 1826. Quam veram Alexandrini codicis editionem immensum praestare Grabianae in promtu est. Ipsi igitur

---

vetiorum 1730—1732. voluminibus quattuor «*V. T. ex versione LXX interpretum. Olim ad fidem codicis ms. Alex. summo studio et incredibili diligentia expressum, emendatum ac suppletum a Jo. Ern. Grabe S. T. P. Nunc vero exemplaris Vaticani aliorumque mss. codd. lectionibus Var. nec non criticis dissertationibus illustratum insigniterque locupletatum.*» Quo in opere quaecumque Grabius peccaverat fideliter repetita sunt. Deinde lectionibus Vaticanae editionis (editionis, non codicis; praeterea «*aliorumque mss. codd.*» omnino male in titulo est) saepe opposuit Grabii emendationes cum Alexandrinis lectionibus confusas. Exempla vide sub nota 1. pag. LXVII.: Exod. 6, 5.; 16, 17.; 25, 16. Lev. 16, 5.; 18, 4. 6.; 25, 16. Deut. 17, 16. In quibus ut vitare non poterat a Grabio tacito in textum recepta, ita debebat corrigere de quibus ille explicuerat in Prolegomenis. Huiusmodi sunt Exod. 14, 13. ποιησει υμιν (Alex. cum Vat. ημιν); Deut. 12, 9. θεος υμων (Alex. cum Vat. ημων); Ios. 8, 10. προςωπου υμων (Alex. cum Vat. ημων); υμων bis Ios. 10, 19. Item αποστειλω I Βασ. 21, 2. cuius loco in Prolegg. recte notatum est codicem habere αποστελω (per errorem apud Grabium est αποτελω, quod ipsum fideliter repetiit Breitinger). Praeterea passim accidit ut Breitinger minutas Grabii litteras cum maioribus confunderet, i. e. Grabii emendationes cum ipsius codicis lectionibus, ut Deut. 29, 12. ubi σε την διαθηκην pro codicis lectione venditat, sed σε de suo addidit Grabius idque recte minoribus litteris expressit. Post Breitingerum etiam Reineccius ad repraesentandum codicem Alexandrinum editione Grabii usus est in Bibliis quae edidit Lipsiae 1751. quadrilinguibus, quorum in praefatione haec leguntur: «Graeca τῶν ο′ interpretatio ad Grabianam codicis Alex. ἔκδοσιν conformata quidem est, eidem vero etiam variantes codicis» (lege editionis) «Vaticani lectiones aliorumque interpretum Graecorum maioris momenti subiectae sunt expositiones.»

Praeterea nuper Mosquae editio LXX interpretum ad opus Grabianum instituta est, emendationibus ipsius Grabii sine scrupulo in textum admissis. Cuique parti — totum V. T. in quattuor partes distributum est — additae sunt appendices, in quibus lectiones Alex. codicis a Grabio in marginem relegatae recensentur; omnia vero ea quae Grabius, minutis litteris a reliquo textu distincta, ad eum codicem addidit, mirum in modum absque ullo commentario in ipsam editionem sunt recepta. Libri titulus sic habet: Τα βιβλια, τουτεστιν, η θεια γραφη της παλαιας τε και καινης διαθηκης, και η μεν παλαια κατα τους εβδομηκοντα, εκ του ως οιον τε ακριβως εκδοθεντος αρχαιου αλεξανδρινου χειρογραφου, η δε καινη εκ της κατ επικυρωσιν του της Κωνσταντινουπολεως πατριαρχου Κυριλλου εκδοσεως ετει αωι. γενομενης, εξετυπωθη δι ευλογιας της αγιωτατης διοικουσης συνοδου πασων των Ρωσσιων, παρα της κατα την Μοσχαν ιεροβιβλιακης κοινοτητος. Εν Μοσχα. ετει αωκά (i. e. 1821.)

Digitized by Google

Baberi opus ubique ad apparatum nostrum adhibuimus; quapropter nostra non ad Grabium aut, quod etiam peius est, ad Breitingerum iudicari poterunt. Quorum uterque quum in conficiendo apparatu plerumque nobis ad manus esset, notavimus permulta quibus ex Babero corrigendi sunt; unde exempla pauca attulimus supra.

De suis circa codicem studiis exponens Baber in Prolegg. pag. XXXIV. «labores plane Herculeos in libros Veteris Testamenti typis codicis Alexandrini palaeographiae assimilibus describendo se exantlasse» fatetur; «plagulas enim terque quaterque, aliquando etiam sexies cum autographo se contulisse.» Quod quale sit plane scio, qui toties desudaverim in eodem laborum genere; et grato agnosco animo quam bene ille de criticis his studiis promeruerit. Tamenvero arduae rei quam suscepit nequaquam satisfecit ita ut non saepe a religione editoris subtilitateque discesserit cum magno operis sui detrimento. Primum enim in editione Baberi incredibilis copia est errorum sive typographi sive editoris, quorum quum magnam partem ipse in appendice correxerit, alios non correxit. Ita per solum Genesis librum notati sunt plus triginta. Ad Proverb. VI. in dimidia pagina indicantur tres, ad quos accedit ni fallor quartus non notatus; μηϑε enim ibidem pro μησε editum est. Porro exempla errorum quos appendix non corrigit haec sunt: I Βασ. 4, 10. χιαιαδες (pro χιλιαδες); ibidem 16, 3. ον ϑαν (pro εαν) ειπω; IV Βασ. 22, 1. εβασιλευσεν ιλημ (pro εν ιλημ); I Esdr. 8, 56. στιαβοντα (pro στιλβοντα); Iob. 3, 23. ηδος (pro η οδος). Haec omnia quum per se eiusmodi sint ut multo magis ab editore quam a librario profecta videantur, tum nullo modo tanguntur in appendice quae alia similia pleraque tractat; denique nec inveniuntur apud Grabium in indice errorum codicis. Ita etiam Gen. 46, 10. Αωδ atque ibidem v. 16. Αρσηλεις cum Grabio pro lectione codicis habui, quum Αωδ et Αρσηδεις omnino ex errore fluxisse videantur Baberi. Gen. 46, 31. ο ante οικος, item 47, 4. ρ in γαρ voce suppleta sunt calamo in editione Baberi. Neque raro fit ut appendice textui contradicente quid codex habeat vel dubium sit vel plane non liqueat. Ita I Esdr. 1, 23. in editione est καλχαμυς, sed in appendice: «χαλχαμυς. Ita in cod. ms.» Quod posterius quum idem Grabius testetur secutus sum. Item IV Βασ. 2, 3. quum editio habeat επανωϑεν, in appendice est: «απανωϑεν. Sic cum cdd. mss. plurimis legit codex noster.» Quum απανωϑεν etiam Grabius tueatur, επανωϑεν omnino ex errore Baberi est. Item Ierem. 31, 36. editio: κειδαρεις, quod idem Grabius et iam ante eum Waltonus testatus est; appendix: «κειραδας. Ita habet cod. ms.» Recepi prius; vitium

Digitized by Google

enim in appendice, non in textu esse visum est. Eadem ratio loci I Macc. 4, 52. est, ubi textus: χασ· ελεου, appendix: «χασ· ελου. Sic cod. ms.» At illud etiam Grabius testatur. Item Gen. 50, 8. textus συγγενειαν cum Grabio, appendix male ut videtur συγγενεσιαν; item Esth. 6, 1. textus cum Grabio εις-φερων, appendix per errorem ut videtur Romanam lectionem εισφερειν habet. Contra I Macc. 8, 17. editum αχχως, quamquam idem Grabius tuetur, erroneum visum est, quum in appendice esset: «ακκως. Sic cum duplici κ.» Porro incerta mihi res mansit III Macc. 7, 17. Editio: ροδοφονον, item Grabius; appendix vero: «ροδοφορον. Sic legit cod. ms.» Hinc in apparatu meo est: «ροδοφονον (?)» Item Gen. 49, 21. ubi Baber edidit γεννηματι [1]), Grabe γενηματι. Hoc loco ad Romanam lectionem γεννηματι nihil notavimus; praestabat vero γενηματι cum dubii significatione ex Grabio recipere [2]), quemadmodum III Βασ. 18, 12. «ουκ ευρησει (?)» ex Grabio petivimus, quorum loco ουχ ευρησει apud Baberum legitur, differentia Grabii non notata. Mitto eiusmodi alia quae nos exercuerunt, nec nisi omnibus circumspectis a nobis expedita sunt.

Deinde vero minime probo Baberi studia circa locos alteram manum passos, quibus plerisque ita se expedivit ut diceret: «Quid a prima fuerit non liquet.» At debebat ex erasarum litterarum vestigiis atque ex ratione spatii, caute adhibito Holmesii apparatu, si non omnibus certe plurimis locis probabilia coniicere [3]). Neque enim pleraque tam recondita videntur ut strenuam investigationem frustrentur. Unde factum est ut passim ipsi quod nobis e coniectura visum est, addito interrogationis signo vel nota «videtur» «vdtr», in apparatu poneremus. Cui rei quam ille parum subtilitatis attulerit, paucis exemplis probabo ab ipso in appendice tractatis. II Παραλ. 19, 7. edidit γενεσθω |||| φοβος, significans unam erasam esse litteram. Ad quem locum in appendice habet: «Littera quaedam perperam scripta derasa est.» At nihil perperam scriptum erat, sed ὁ articulus quem multi codices tuentur a prima manu additus fuerat. Item II Παραλ. 29, 10. inter διαθεσθαι et διαθηκην κυριου decem fere litteras erasas significat, quod in appendice his illustrat: «Vox quaedam forsan bis perperam scripta erasa est.» At quod eo ipso loco editio Vaticana addit:

---

1) Eadem forma in Alexandrino est alibi, ut Iob. 39, 4.

2) Non magis de Lev. 13, 49. certus sum. Grabe edidit πυριζουσα; Baber πυρριζουσα (ut in ed. Rom. est), addita nota: «πυρριζουσα pro πυριζουσα.» Secutus sum Baberum nulla differentiae Grabianae mentione facta.

3) Loci a correctoribus vexati frequentissimi sunt in Novi Testamenti fragmentis codicis Ephraemi Syri rescripti; sed pauci sunt quorum lectionem reconditiorem non probabiliter elicuisse mihi videar. Cuius rei in rescripto codice maiorem quam in ceteris difficultatem esse facile intellegitur.

διαϑηκην μου, idem in Alexandrino codice erasum esse apparet. Item Ierem. 9, 12. post διοδευεσϑαι quinque litteras erasas indicat, notans in appendice: «Ut ope vitreorum cerni potest librarius bis scripserat και ειπεν.» At nihil probabilius est quam αυτην, quod in Vaticano textu est, correctori displicuisse. Item II Παραλ. 6, 26. edidit οτῖ cum hoc commentario: «Correctio manus serioris.» At eo loco pro ratione spatii debet clarum esse utrum οταν an οτε a prima datum fuerit. Porro alibi nihil notat ubi nota vel maxime desideratur; ut ad I Esdr. 4, 7. ubi αποκτεῖνουσιν edidit, quo et antiquiorem et recentiorem lectionem sed neutram perspicuam significat. Quo loco quum Grabius αποκτεινουσιν edidisset, hoc ipsum secundae, αποκτεννουσιν vero primae manus esse conieci. Item Num. 7, 8. in textu Baberi est: αμνο-ενα, quod sic a librario scriptum esse nequit. Fuerat, nisi fallor, αμνō, ad quod corrector ενα addidit [1]).

Neque magis Baber operam dedit ut varios correctores recte distingueret, sed promiscue posuit omnia, nisi quod ambiguis commentarii verbis rem magis etiam implicuit quam explicuit. Ibi enim modo est «manu antiqua», modo «manu perantiqua», modo «corrector quidam vetustissimus», modo «corrector vetustus», modo similia alia. Quae quidem ab accurato codicis examine multum abhorrent.

Tertio denique loco totius appendicis imperfectissima ratio taxanda est. Quid tandem millies ac decies millies repetit esse in codice ειπεν pro ειπε, εποιησεν pro εποιησε etc.? Postquam autem coeptum est de omnibus referri quae vitiosa aut singularia sunt, rursus multa eiusdem generis non notantur, ita ut dubites utrum librario an typographo debeantur. Eadem inconstantia in notandis iis est quae in Grabii libro male de codice exscripta sunt. Denique passim talia proferuntur quae editorem rei quam tractat parum gnarum prodant, quale est ad III Βασ. 20, 9. και ε̄γεγραπτο: «linea est a manu quadam vetustissima.» Scilicet lineola super ε omnino ab ipso librario esse ac speciem spiritus habere videtur, qua και et ε iuxta posita (γεγραπτο ineunte versu proximo sequitur) separantur; quemadmodum passim fit in Alexandrino aliisque antiquissimis codd. Item ad Sirac. 46, 26. δοιη in commentario notatur: «Forsan pro δωη.» Quod notarum genus haud infrequens est.

XXVIII. Nostra igitur ex editione Baberi fluxisse, quamvis opera data sit ut corrigerentur quae apud hunc male habere viderentur, iam supra vel dictum vel significatum est. Quam

---

1) Ex Grabio supplevi quod Num. 2, 3. ex ουτοι corrector restituit οι, item quod Ios. 6, 5. εις την πολιν κατα προσωπον transposuit ad modum Vaticani textus: κατα πρ. εις τ. πολ.

Digitized by Google

in rem pauca addenda sunt. Lectionum variantium notatio quum hoc difficile habeat quod aliis notabilia videntur quae aliis non videntur, ipsi quidem dando quam negando displicere maluimus. Notavimus enim multa quae in scriptura antiqui librarii vel vitiosa vel negligenti vel singulari sunt posita. Sed sunt saepe per se quidem vitiosa ac nullius momenti quae curiosius indagantem ad probabilia aut ad verum ducant. Nihilominus providendum erat ne exscribendis fideliter omnibus quae inepte aut levissime differunt et nimis cresceret apparatus et utentibus molestior quam utilior fieret. Hinc plerumque praetermisimus ν ἐφελκυστικόν in Alexandrino fere ubique praeter morem additum; item ubi αι et ε differunt et differentia prorsus nihili est, e. c. υμεις οψεται, αυτος λεγετε, εν παιδες pro εν πεδαις (IV Βασ. 25, 7.); item passim confusa οι et υ (ut Tob. 3, 2. σοι κρινεις; Psalm. 118, 114. εἶ σοι), η et ι (ut Prov. 10, 12. φηλια; IV Βασ. 16, 17. λιϑηνην; Gen. 21, 23. αδικισιν pro αδικησειν; Lev. 11. διχιλουν pro διχηλουν; modo enim hoc modo illud in codice est), η et ει (ut Gen. 39, 9. υπεξειρηται pro υπεξηρηται; Prov. 17, 1. μεϑ ειδονης), ι et οι (ut φινικης Esai. 23, 2.), η et υ (quod rarissimum est, sed e. c. Exod. 28, 27. υποδητην); item plerumque ν ante labiales et palatinas non mutatum neque ante liquidas assimilatum, ut ενπνουν, συνπεπτωκα, συνβιωτης, πανφυλων; ενκατελιπες, απεκτανκατε, ενχειριδιον, ενχρισαι, συνγραφην; ut ενμινατε, συνμισγειν, συνμειγη. Plerumque, ut notavimus, in codice est εμ μεσω (nescio an praestet εμ μεσω quam εμμεσω, εγ γαστρι quam εγγαστρι scribere); sed etiam εν μεσω invenitur ut Ezech. 7, 14. 9, 2.; plerumque est — quod passim praetermisimus, ut Gen. 16, 11. 38, 18 sqq. — εγ γαστρι, sed nec εν γαστρι vitatur ut Exod. 2, 22. II Βασ. 11, 5. [1]). Huc pertinent etiam, cuiusmodi alibi plerumque (ut Esai. 49, 12. εγ γης) indicavi, εχ χαραν Gen. 29, 4.; διακεχχυμενοι I Βασ. 30, 16.; item quod Gen. 26, 21. Deut. 28, 48. omisimus εχχϑρια et εχχϑροις; item aliquoties ορϑου (ut Ios. 6, 15.) ορϑισας (ut Exod. 34, 4,) pro ορϑρου ορϑρισας (ut Exod. 32, 7. et alibi), quamquam similia quae identidem recurrunt (ut κεαγρας, επαρυστιδας) curiose indicavimus. Prae ceteris vero hoc loco de ι et ει confusis explicandum est. Haec enim confusio tam frequens ac tam parum sibi constans est ut inutile visum sit eam ubique accuratis-

1) Similis inconstantia in aliis est, quemadmodum plerumque τεσσερακοντα et εξολεϑρευειν habet, sed aliquoties ut Nehem. 6, 15. Exod. 16, 35. τεσσαρακοντα, item ut I Βασ. 2, 31. 33. εξολοϑρευειν. Item saepe εραυναν, sed passim etiam ερευναν legitur. Item similia alia, quae quidem omnia diligenter relata sunt. Erunt quibus etiam τεσσαρες (frequentissimum est τεσσερας) βοας Num. 7, 7. notabile videatur.

Digitized by Google

sime in apparatu exprimere. Relata vero est multo saepius in posteriore quam in priore operis parte[1]), neque facile neglecta ubi momentum aliquod (ut nusquam omissum est ειδεα, aliquoties obvium in ipso Vaticano textu, et alia) vel certe aliquam constantiae speciem (ut in αλιμμα, καταλελιμμενος et similibus) haberet. Neglleximus vero ισραηλειται ισμαηλειται μωαβειται, ubi proxime ab iis posita erant ισραηλιται ισμαηλιται μωαβιται; item saepe οικτειρμοι οικτειρμων pro -ι-; item passim tacuimus ubi modo φλεια πλημμελεια δουλεια αγχιστεια πανοικεια, modo φλια πλημμελια δουλια αγχιστια πανοικια repertum est; item quae promiscue ponuntur λειτουργια λειτουργεια, λιτουργια λιτουργεια, κλιτος et κλειτος (paucis versibus continuis Exod. 25. scribuntur κλειτος κλειτη κλιτεσι κλιτων κλειτους κλιτους) saepius praeterita quam relata sunt. Item aliquoties εζεκειας praetermisimus quum plerumque esset εζεκιας; item saepe ιδωλον pro ειδωλον, quamquam saepius relatum est. Huc accedit magna mendorum copia eiusmodi quae non valeant nisi ad probandum, Alexandrinum codicem aeque ac tot monumenta similia alia multis vitiis deformatum esse; id quod iam iis satis testatum est quae ut in commentario referremus aliqua ratio suasit. Quale vitiorum genus dicam, haec exempla docebunt: Gen. 3, 10. περιπαντος pro περιπατουντος 10, 9. τιγας pro γιγας, alibi κην pro γην, οιγον pro οικον 13, 17. bis scriptum αυτης 24, 14. εν του pro εν τουτω 37, 3. ηγα pro ηγαπα 41, 27. επτα εστη (pro ετη) Exod. 14, 25. αυξονας pro αξονας 15, 21. αναβατηρ pro -την Lev. 25, 13. εστωεπι pro εν τω ετει I Βασ. 7, 12. ανα βεσον (pro μεσον) Gen. 28, 22. αποδεκατωσοι pro -τωσω Gen. 40, 20. εποιου pro εποιει Deut. 10, 8. επεχευσθαι pro επευχεσθαι, aliquoties in Genesi αβραν pro αβραμ; item οις (pro εις) οικον, ον (pro εν) οδυνη, διανεβαι pro διαβαινε, ν (pro η) καρδια[2]), επληθυνθν (I Βασ. 1, 12.) pro επληθυνεν; item εωσσου pro εως ου, οι δουλοισσου etc.; item Ios. 4, 23. εποιησαν κυριος ο θεος Gen. 47, 24. το πεμπτος 19, 31. προς την νεωτερα 7, 9. τον. (et praecedit et sequitur την) κιβωτον

1) Per aliquot Genesis capita praetermisimus etiam plerumque ιδεν, ιδον pro ειδεν, ειδον posita. Quae quamquam promiscue scribi videntur (cf. ειδεν 9, 22. 29, 32, item **ειδεν 1, 4. 31, 2.), atque etiam ειδειν 44, 23. ειδοντες 37, 3. et similia inveniuntur, tamen praetermissa hoc loco supplebimus. Est igitur ιδεν in Alexandrino: VIII, 13. (locus rescriptus est) XIII, 10. XVIII, 2. XIX, 28. XXI, 19. XXII, 4. 13. 14. XXIV, 30. 63. 64. XXVI, 8. XXIX, 10. XXX, 8. XXXI, 42. XXXII, 25. XXXIII, 1. (locus rescriptus) 5. XXXIV, 2. Item ιδον: VII, 1. IX, 23. XVI, 13. 14. XXXII, 30. XXXIII, 10. Item IV, 4. ἐπιδεν. In ipsa ed. Rom. Gen. XII, 15. ιδον habetur, multoque saepius eadem forma in Vat. cod. inveniri credibile est.

2) Vitia eiusmodi diligenter videndum est ne error oculorum codici imputaverit.

Digitized by Google

Exod. 7, 17. μεταβασιλει pro μεταβαλει Gen. 41, 51. επελαθεσθαι; item prorsus inepta Gen. 38, 16. προς με pro πρ. σε 27, 6. ισαακ pro ιακωβ 27, 17. ρεβεκκας pro ιακωβ I Βασ. 15, 5. πολεμων pro πολεων Deut. 28, 31. οινος pro ονος; item confusa υμεις et ημεις etc. locis eiusmodi ut I Macc. 3, 22. ημεις δε μη φοβηθητε Ierem. 3, 22. υμεις εσομεθα Ios. 9, 19. τα ιματια ημων και τα υποδημ. υμων, ibidem v. 30. εφοβηθημεν περι τ. ψυχων υμων απο προςωπου υμων [1]).

Contra saepe idoneis de caussis referenda duximus quae obiter intuenti nihili videbuntur, ut II Βασ. 22, 40. δυναμι pro δυναμει, ubi inter δυναμιν et δυναμει coniectura fluctuare potest. Item I Βασ. 4, 15. αυτων pro αυτου; in illo enim αυτω lectio latere potest. Item Deut. 13, 15. αναιλων αναιλεις pro αναιρων ανελεις retuli ut quam facile ab altero ad alterum transiri posset appareret. Item II Παραλ. 18, 26. αποθεσθαι pro αποθεσθε propter locum geminum III Βασ. 22, 27. exhibui. Item passim εξελουμαι sive εξελου μαι pro εξ. με relatum est, quamvis vix aliud momentum habeat quam quod dormitantem librarium de futuri forma propter soni similitudinem cogitasse demonstret. Item Ion. 1, 15. σαλους αυτης exscripsi adiuncta nota «(? σαλου εαυτης?).» Nisi enim forte ab editore codicis σ cum ε confusum est, omnino eadem confudisse librarius censendus erit.

Praeterea, ut alia transeam quae commentario non egere videntur, notandum est ea quae per compendium in codice scripta sunt plerumque a nobis plene esse scripta, ut κ̅ς̅ θ̅ς̅ π̅η̅ρ̅ μ̅η̅ρ̅ α̅ν̅ο̅ς̅ ο̅υ̅ν̅ο̅ς̅ π̅ν̅α̅ ι̅λ̅η̅μ̅ ι̅η̅λ̅. Pertinet huc inprimis δ̅α̅δ̅, quod dubitare possis utrum δαυιδ (ut nos dedimus) an δαυειδ reddendum sit.

Denique exhibendus est ordo librorum, quem in Alexandrino codice ab editione Vaticana diversum esse in commentario significari non poterat. Quam in rem potero indicem transscribere, in ipso codice antiqua manu textui praemissum. Habet autem ita: Γενεσις κοσμου Εξοδος αιγυπτου Λευιτικον Αριθμοι Δευτερονομιον Ιησους Ναυη Κριται Ρουθ. Hoc loco additur: Ομου βιβλια η̅. Pergitur: Βασιλειων α̅ Βασιλειων β̅ Βασιλειων γ̅ Βασιλειων δ̅ Παραλειπομενων α̅ Παραλειπομενων β̅. Rursus additur: Ομου βιβλια ϛ̅. Sequuntur: Προφηται ιϛ̅ in hunc modum: Ωσηε α̅ Αμως β̅ Μιχαιας γ̅ Ιωηλ δ̅ Αβδειου ε̅ Ιωνας ϛ Ναουμ ζ̅ Αμβακουμ η̅ Σοφονιας θ̅ Αγγαιος ι̅ Ζαχαριας ια̅ Μα-

1) Ex alio genere sunt soloecismi ut παν χορτον, παν τεκτονα, παν οικον, παν πονον, παν λογον, modo in Alex. modo in Vatic. modo in utroque codice positi, ac passim etiam in Rom. editione servati: cuiusmodi a nobis ubique relata sunt.

Digitized by Google

λαχιας ιβ Ησαϊας ιγ Ιερεμιας ιδ [1]) Ιεζεκιηλ ιε Δανιηλ ιϛ Εσϑηρ Τωβιτ Ιουδειϑ Εσζρας α ιερευς [2]) Εσζρας β ιερευς [3]) Μακκαβαιων λογος α Μακκαβαιων λογος β Μακκαβαιων λογος γ Μακκαβαιων λογος δ Ψαλτηριον μετ ωδων [4]) Ιωβ Παροιμιαι Εκκλησιαστης Ασματα ασματων Σοφια η πανaρετος Σοφια Ιησου υιου Σιραχ.

XXIX. Oratio Mannassis quae dicitur, quum passim cum LXX interpretibus coniuncta habeatur tum in libris antiquis scriptis tum in editionibus impressis (primum in ed. Waltoni polyglotta), Vaticanae editionis, si quis vult, supplendae caussa ex Alexandrino codice, in quo inter hymnos Psalterio adiunctos legitur, hoc loco adscribam [5]). Προςευχὴ Μανναςσῆ. Κύριε παντοκράτωρ ἐπουράνιε, Ὁ ϑεὸς τῶν πατέρων ἡμῶν, Τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου, Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, Ὁ πεδήσας τὴν ϑάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, Ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· Ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου, Ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, Καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, Ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος (cod. ελαιον) τῆς ἐπαγγελίας σου· Ὅτι σὺ εἶ κύριος ὕψιστος, Εὔσπλαγχνος μακρόϑυμος καὶ πολυέλεος, Καὶ μετανοῶν ἐπὶ κακίαις ἀνϑρώπων. (Alibi plura h. l. adduntur in hunc modum: σὺ κύριε κατὰ τὸ πλῆϑος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσιν σοι, καὶ τῷ πλήϑει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σω-

1) Post hunc in textu distinguuntur Βαρουχ, Θρηνοι et Επιστολη Ιερεμιου.

2) Inscriptum est textui: ο ιερευς, subscriptum: εζρας α.

3) Ipsius libri inscriptio est: ιερευς. Quem librum excipit Nehemias, ab eo qui praecedit libro non seiunctus.

4) Psalterio praefixa sunt: 1. Αϑανασιου αρχιεπισκοπου Αλεξανδρειας εις τους ψαλμους. (Est Athanasii ad Marcellinum epistula.) 2. Υποϑεσεις (ita codex) Ευσεβειου του Παμφυλου. 3. Περιοχαι εις τους ψαλμους. 4. Κανονες ημερινοι ψαλμων. 5. Κανονες νυκτερινοι ψαλμων. Sequuntur vero ad calcem Psalterii: υμνοι α′ usque ιδ′. α′ est oda Mosis Exod. 15, 1 sqq. β′ oda Mosis Deut. 32, 1 sqq. Sub γ′ usque ϑ′ exhibentur precationes Annae matris Samuelis, Esaiae, Ionae, Habacuci, Hiskiae, Mannassis (vide supra), Azariae. ι′ est υμνος των πατερων ημων Dan. 3, 52 sqq. ια′ προςευχη Μαριας της ϑεοτοκου Luc. 1, 46 sqq. ιβ′ προςευχη Συμεων Luc. 2, 29 sqq. ιγ′ προςευχη Ζαχαριου Luc. 1, 68 sqq. ιδ′ υμνος εωϑινος. Incipit Δοξα εν υψιστοις ϑεω και επι γης ειρηνη; exit: Παρατεινον το ελεος σου τοις γινωσκουσιν σε.

5) Ex editione Baberi III, 567. Ipsius codicis scriptura a nostro textu differt his: κλισας, φριττι, μεγαλοπρεπια, πολυελαιος, ανομειαι, ιδιν (prima manu), σειδηρου, ανανευσε, προσοχϑεισματα, δαιομενος, αιτουμε (totum verbum rescriptum) τηρησεις, διξης, σωσις, ελαιος, δυναμεις.

Digitized by Google

τηρίαν.) Σὺ οὖν κύριε ὁ θεὸς τῶν δικαίων Οὐκ ἔθου μετάνοιαν δικαίοις, Τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοῖς οὐχ ἡμαρτηκόσιν σοι, Ἀλλ' ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ, Διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ὅτι ἐπλήθυναν αἱ ἀνομίαι μου, (alibi additur κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου) Καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου εἰς τὸ ἀνανεῦσαι με ὑπὲρ ἁμαρτιῶν μου (alibi εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου), καὶ οὐκ ἔστιν μοι ἄνεσις, Διότι παρώργισα τὸν θυμόν σου Καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα (alibi additur μὴ ποιήσας τὸ θέλημά σου καὶ μὴ φυλάξας τὰ προστάγματά σου), Στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα. Καὶ νῦν κλίνω γόνυ καρδίας (alibi additur μου) δεόμενος τῆς παρὰ σοῦ χρηστότητος· Ἡμάρτηκα, κύριε, ἡμάρτηκα, Καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω. Αἰτοῦμαι (alibi Ἀλλ' αἰτ.) δεόμενός σου, Ἄνες μοι, κύριε, ἄνες μοι, Μὴ (alibi Καὶ μὴ) συναπολέσῃς με ταῖς ἀνομίαις μου, Μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, Μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς, Ὅτι σὺ εἶ, κύριε (alibi θεός), ὁ θεὸς τῶν μετανοούντων, Καὶ ἐν ἐμοὶ δείξῃς τὴν (alibi δείξεις πᾶσαν τὴν) ἀγαθωσύνην σου, Ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου. Καὶ αἰνέσω σε διὰ παντὸς ἐν (alibi additur πάσαις) ταῖς ἡμέραις τῆς ζωῆς μου· Ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, Καὶ σοῦ ἐστὶν ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.[1])

XXX. Transeo ad alterum locupletissimum apparatus nostri instrumentum, codicem Friderico-Augustanum. Hunc, quum anno 1844. celeberrimis Europae bibliothecis perlustratis orientales terras et quae ibi monasteria vigent adibam, in abiectis lacerorum voluminum reliquiis detexi. Inventum thesaurum eodem anno ex oriente attuli in patriam, ornatumque nomine Friderici Augusti regis Saxoniae, cuius auspiciis iter susceperam, non sine grati animi testificatione iis cessi penes quos tunc supremum administrandae patriae consilium erat. Horum ex voluntate quum in publica bibliotheca universitatis Lipsiensis depositus esset, accuratissimam et splendidissimam paravi editionem hoc titulo: Codex Friderico-Augustanus, sive Fragmenta Veteris Testamenti e codice Graeco omnium qui in Europa supersunt facile antiquissimo. In oriente detexit, in patriam attulit, ad modum codicis edidit Const. Tischendorf. Lipsiae 1846.[2]). Cui operi quae praefatus sum, in iis, ut cetera praeteream, de patria, de antiquitate, de correcto-

1) Ceterum ista oratio locum nacta est in Constitutionum Apostolicarum libro II. cap. 22. Vide editionis Guil. Ueltzen pag. 36 sq.

2) Prodiit praeter Prolegomena totus e lithographeo Uckermanni.

Digitized by Google

ribus et notis uberius explicatum est. Quibus de rebus breviter hoc loco dicturus plura quaerentem ad codicis editionem delegare possum.

Ac patria quidem codicis nescio an ipsa ea Aegypti pars fuerit ex qua LXX virorum interpretatio primum prodisse traditur; quod si minus, certe in uno de monasteriis Aegypto inferiori proximis elaboratus videtur. Cf. § 10.

De aetate codicis § 11. dixi. Ibi ab eo exorsus sum quod hominum ceteroquin doctorum quae prava esset licentia in aestimanda codicum antiquorum aetate exposui; quorum alteros antiquitatis laudem omni modo elevare, alteros omni modo extollere, ignorare vero id quod res esset saepe utrosque; nec enim scire quemquam posse nisi id studiorum genus diligenter exercuerit; ad quod prae ceteris pertinere ut quicquid papyrorum ac membranarum summae antiquitatis Graecae aetatem tulit suis oculis viderit. Quibus expositis summae antiquitatis indicia in codice nostro conspicua ita tractata sunt ut similes codices antiquissimos quos ipse vidi conferrem, ut Vaticanum biblicum, Vaticanum Dionis Cassii, fragmenta Iohannea Borgiana, Vindobonenses Genesis et utrumque Dioscoridis, Pentateuchi fragmenta Parisina et Leidensia, Institutionum Florentinum, codicem Alexandrinum et Ephraemi Syri rescriptum. Qua conlatione hoc effectum est, nullum esse codicem qui Friderico-Augustanum aetate antecedat, perpaucos, ut Vaticanum biblicum et Pentateuchi illa fragmenta, qui fere aequiparent. Cuius rei argumenta prae ceteris haec urgentur:

1. Litterarum uncialium genus tam et simplex et elegans tamque sibi constans est ut cum nonnullis papyris Herculanensibus prae omnibus codicibus Graecis conveniat.

2. Scriptura nullas prorsus initiales quas vocant litteras habet. Quod ut in voluminibus Herculanensibus aliisque papyris, item in Vaticano codice biblico atque in celeberrimis Pentateuchi fragmentis est, ita iam abhorret ab antiquissimis et ipsis Alexandrino, Dionis Cassii, Ephraemi Syri, Genesis Vindobonensi, Cantabrigiensi, aliisque codicibus qui quinto fere saeculo idoneis de caussis putantur scripti esse.

3. Interpunctionis tanta simplicitas atque raritas est ut e. c. per duas secundi folii columnas nusquam, tertia semel, quarta bis punctum inveniatur (cf. § 5.), quam rem nescio an cum nullo codice praeter Vaticanum biblicum communem habeat.

4. Soli omnium codici Friderico-Augustano proprium hoc est quod textum quavis pagina in quattuor columnas divisum habet; qua re proxime ad voluminum papyraceorum qualia Herculanum dedit similitudinem accedit. Quod quam grave antiquitatis argumentum sit, ex eo intellegitur quod alii codices

Digitized by Google

antiquissimi iique soli, ut Vaticanus biblicus, ut Dionis Cassii, ut duo Pentateuchi Samaritani exemplaria veterrima quae Naplusi in Syria vidi, (ut codex Syrus e Nitria nuper Londinum advectus quem quarti saeculi esse subscriptio probat, ut fragmenta Pentateuchi Latini Lugdunensia antiquissima,) trium columnarum usum habent.

Accedunt alia minus peculiaria, prae quibus correctorum ratio momentum habet. Horum enim alterum atque tertium quum aliquot fere saeculis post attigisse codicem probabile sit, tum ipsi sexto saeculo exeunte non posteriores videntur. Quibus omnibus caute diligenterque perpensis quod conclusi, codicem Friderico-Augustanum medio fere saeculo quarto scriptum videri, de eo neque nunc aliter sentio. Quod si quis et docte et religiose examinare voluerit, gratissimum fecerit; vagae enimvero dubitandi libidini aut ignorantiae quamvis arroganti nihil tribuo.

De textus ratione nec in Prolegomenis codicis fusius disserui neque id hoc loco facere animus est. Sed illud quidem, quod ab aliis nuper luculentér doctum est, nunquam dubitavi, codicem Friderico-Augustanum in praestantissimis textus LXX virorum restituendi instrumentis habendum esse.

XXXI. Quae autem codice Friderico-Augustano continentur haec sunt:

Foliis 4 prioribus inest I Chronic. (Παραλ.) 11, 22 — 19, 17. -βασαηλ ουτος επαταξεν usque και επολεμησεν αυτον. Sequitur II Esdr. 9, 9. (κυριος ο θεος ημων) usque finem libri; item Nehemiae et Estherae libri toti cum libro Tobiae usque 2, 2. πτωχον των αδελφων ημων. Fol. 5—19. Inde a folio 20. usque folium 42. legitur Ierem. 10, 25. επι γενεας usque finem Ieremiae. Denique adduntur Threni usque 2, 20. ιερεα και προφη-. Quas ad sacri textus partes accessit nuperrime fragmentum in Monumentorum sacror. ined. nova collectione a me exhibitum, continens Iesaiae 66, 12—24. Ierem. 1, 1—7. unde in fine huius sectionis lectiones variantes afferam[1]).

Gravis vero in hoc codice plurium manuum diversitas est. Is qui primus auctorem codicis subsecutus est ex numero eorum videtur qui antiquis διορθωταί vocabantur, i. e. qui id officii habebant ut recens scripta ad exemplar unde descripta erant curiosius recognoscerent. Huic quae debentur duobus asteriscis (**) in apparatu notavimus, sed fere non sunt nisi quae utpote perperam scripta emendari debebant. Sequuntur

1) Hoc fragmentum ad alteras pertinere partes codicis Friderico-Augustani et ipsas in oriente a me detectas meisque Lipsiensibus multo ampliores, in Prolegomenis Fragmentorum sacrorum ineditorum sect. VII. pag. XL. significavi. Quem locum eos quorum intererit conferre velim.

Digitized by Google

manus tertia et quarta sive correctores alter et tertius (in apparatu *.* et ::). Uterque multos locos attigit maximeque additamentis auxit. Multa conveniunt inter utrumque; quemadmodum enim tertius corrector quae secundus scripserat passim vel mutavit vel delevit, ita ipsi tertio quae nec mutavit nec delevit comprobata videntur[1]). Utrique enim commune hoc est quod ex opere Origenis hexaplari petierunt quae inferrent textui. Id quod duplex nota secundi correctoris a tertio recognita testatur. Exeunte enim libro Εσδρας β̄ tertia manu adscripta haec sunt: Αντεβληϑη προς παλαιωτατον λιαν αντιγραφον δεδιορϑωμενον χειρι του αγιου μαρτυρος παμφιλου· οπερ αντιγραφον προς τω τελει υποσημειωσις τις ιδιοχειρος αυτου υπεκειτο εχουσα ουτως: μετελημφϑη και διορϑωϑη προς τα εξαπλα ωριγενους αντωνινος αντεβαλεν· παμφιλος διορϑωσα: — quae quidem eadem manu uberius ac definitius nec non rectius exeunte libro Esther in hunc modum repetita leguntur: αντεβληϑη προς παλαιωτατον λιαν αντιγραφον δεδιορϑωμενον χειρι του αγιου μαρτυρος παμφιλου· προς δε τω τελει του αυτου παλαιωτατου βιβλιου οπερ αρχην μεν ειχεν απο της πρωτης των βασιλειων· εις δε την εσϑηρ εληγεν· τοιαυτη τις εν πλάτει ιδιωχειρος (ex ω correctum est ο) υποσημιωσις (correctum est -μει- pro -μι-) του αυτου μαρτυρος υπεκειτο εχουσα ουτως: μετεληµφϑη και διορϑωϑη προς τα εξαπλα ωριγενους υπ αυτου διορϑωμενα· αντωνινος ομολογητης αντεβαλεν· παμφιλος διορϑωσα το τευχος εν τη φυλακη· δια την του ϑεου πολλην και χαριν και πλατυσμον· και ει γε μη βαρυ ειπειν τουτω τω αντιγραφω παραπλησιον ευρειν αντιγραφον ου ραδιον: — διεφωνη δε το αυτο παλαιωτατον βιβλιον προς τοδε το τευχος εις τα (ex τα correctum est τινα) κυρια ονοματα. Ex hac nota simul clarum fit cur usque ad finem libri Estherae multo plura adnotata sunt quam per fragmenta Ieremiae. Priora vero folia quattuor ex Chronicorum libris, quos ipsos exemplar Pamphili praebuisse testatur, qui factum sit ut iidem correctores adeo non attigerint, ex iis intellegitur quae tertia manu exeunte folio quarto adscripta reperiuntur, signo crucis ter apposito. Ea sic habent: Μεχρι του σημειου των τριων σταυρων εστιν το τελος των επτα φυλλων των περισσων και μη οντων του εσδρα. Testantur igitur, ista folia quattuor una cum tribus aliis dudum deperditis alieno loco non tam

1) Quum magna sit in distinguendis correctoribus secundo et tertio difficultas quum in ipso libro scripto tum in eius editione, ea quae studiose eruta in apparatu huius libri posuimus commentarii loco haberi poterunt. Praeterea in multis nominibus propriis aliisque quae ϊ habent dici nequit utrum puncta diaeresis soli correctori debeantur an corrector iam inventa instauraverit. Idem signum dubito an ubique a Babero (Grabe quidem quae sibi ipsi videbantur praebuit) recte ex Alexandrino codice exscriptum sit.

Digitized by Google

codici inserta quam ex librarii errore illata ac fortasse bis exarata esse. Propterea que, opinor, is qui recognovit praetermisit. Quinta denique manus, quae potissimum id egit ut passim pallentes litteras instauraret vel potius deformaret, quae in apparatum reciperemus semel tantum adscripsit: istis praefiximus signum *.*.*. Cf. Ierem. 52, 12.

Ceterum in lectionibus huius codicis notandis eandem atque in Alexandrino codice legem secuti sumus, nisi quod pauciora etiam ex iis quae minus ad talem apparatum pertinent (cf. XXVIII.) praetermissa sunt. Pauca tantum addam memoratu haud indigna. Saepius enim quam in apparatu expressum est οι et υ confusa leguntur, ut Neh. 9, 6. σοι (quod idem in Alex.[1])) pro συ (σὺ εἶ αὐτός), item Ierem. 22, 6. (σοι μοι); Esth. 1, 6. σχυνιοις; Ierem. 15, 18. λοιπουντες. Identidem in verbo φευγειν et similibus eiectum est (a prima manu) γ, ut Ierem. 27, 28. φευοντων; 45, 19. πεφευοτων. Similem rationem habent βιβιον[2]) bis Ierem. 28, 60. 63.; aliquoties ιουμαια pro ιδουμαια. Ad ει et ι confusa pertinent, quae suo loco referri poterant, I Chron. 12, 26. λευει (h. l. etiam in Alex.); 15, 4. λευειτας; Thren. 1, 6. ευπρεπια. Εφραιμ, non εφραΐμ, ad modum Alexandrini esse in FA I Chron. 12, 30. iam supra notatum est.

XXXII. Hoc loco suppleam lectionis varietatem inventam in fragmento eiusdem codicis Friderico-Augustani nuperrime a me edito.

Iesaiae 66, 13. codex habet ουτως καγω υμας παρακαλεσω 14. υμων η καρδια ... τοις σεβομενοις αυτον ... απιληση 15. om. αυτου secundum et tertium 17. *κρεα υεια, *.*κρεας υειον 18. τ. λογισμ. αυτ. επισταμαι ... γλωσσας αυτων 19. θαρσεις κ. φουθ κ. λουθ ... και θοβελ ... ουδε εωρακασιν μου τα εργα και την δοξ. κ. αναγγ. μου την δοξαν 21. λημψομε εμοι ιερεις 22. ενωπιον μου ειπεν κυριος ουτως 23. μηνα εκ μηνος ... και ηξι πασα σαρξ ενωπιον μου προσκυνησε ... ειπεν κυριος ο θεος. Subscriptum est: προφητης ησαιας. Ieremiae 1, 1. inscriptum est: ιερεμιας. 1. *ος κατοικησει, **ος κατοικει 2. ος εγενηθη ... ιωσεια 3. ιωσεια (sed postea ιωσια) ... εως συντελιας ενδεκατου ετους σεδεκια.

XXXIII. Tertius LXX interpretum testis quem in apparatum recepimus codex est Ephraemi Syri rescriptus cum fragmentis librorum eorum qui iam antiquis, teste Gregorio Nazianzeno aliisque, βίβλοι στιχηραί dici ac per versus scribi

---

1) Magis etiam mirum quod in utroque est προστομα (pro προς στομα) Nehem. 2, 13.

2) Fortasse quispiam conferendum duxerit Italorum *bibbia* et similia.

Digitized by Google

solebant[1]). Haec fragmenta, omnino aequali quamquam non eadem manu scripta[2]), fragmentis Novi Testamenti immixta sunt, quibus per haec duo saecula tantam celebritatem is codex nactus est. Ad haec enim quum plurium doctorum virorum studia antequam ipse anno 1843. ederem pertinuissent, tum Veteris Testamenti fragmenta tantum non sepulta atque in oblivione iacebant. Praeterquam enim quod Wetstenius passim inspexit, quemadmodum ad I Thess. 2, 8. lectionem ὁμείρονται Iob. 3, 21. ex AC laudat; item quod auctor catalogi bibliothecae Regiae ad quos Veteris Testamenti libros pleraque folia pertinerent recte indicavit, nemo inventus est qui explorando hoc antiquitatis sacrae thesauro laudem quaereret. Tanto magis laboribus meis circa Novi Testamenti fragmenta feliciter absolutis meum esse existimavi, etiam Veteris Testamenti venerandas reliquias ex diuturnis tenebris in lucem vindicare. Quicquid igitur de antiquo textu ante tot saeculorum seriem de industria exstincto data opera erui poterat, id omne erui erutumque accurate edidi anno 1845. hoc titulo: Codex Ephraemi Syri rescriptus sive Fragmenta Veteris Testamenti e codice Graeco Parisiensi celeberrimo quinti ut videtur p. Chr. saeculi.

In Prolegomenis istius editionis, atque magis etiam in iis quae ad fragmenta Novi Testamenti[3]) praefati sumus, uberius expositum est de antiquitate codicis Ephraemi (quod nomen a tractatibus Ephraemi Syri iisque Graece versis antiquae scripturae superscriptis assumpsit). Ibi igitur argumenta vide quibus ducti medio fere saeculo quinto adscribendum diximus, ita ut Alexandrinum codicem, si non praestat utrumque aetate parem habere, paullo antecedere videatur.

Item de patria codicis ad Prolegg. Novi Testamenti dictum est pluribus quae probarent, Alexandriae vel certe in Aegypto codicem exaratum esse, inde in Palaestinam vel Syriam vel Asiam minorem transmigrasse, denique Constantinopolin advectum saeculo duodecimo manum eius expertum esse qui antiquis deletis nova superscriberet. Constantinopoli vero Andr. Io. Lascaris, a Laurentio de Medicis librorum emen-

---

1) In hanc rem locum confer epistulae Blanchini ad Garbellium in Vindiciis canonicarum scripturarum pag. CCXIX: *Ex sacris vero Voluminibus libri septem, nempe Psalterium, Proverbia, Canticum Canticorum, Ecclesiastes, Iob, Sapientia, et Ecclesiasticus per versus scribebantur antiquitus. Et nullus dubito (verbis utor Ven. Card. Thomasii in Praef. ad Psalterium Vulg. Ed.) quin a LXX Interpretibus ipsis iuxta vetustissimos suos Codices Hebraicos id factum fuerit in quinque Libris prioribus, et in duobus posterioribus a suis Auctoribus etc.*

2) Cf. Prolegg. ad meam horum fragmentorum editionem § 1. et 2.

3) Haec edidi Lipsiae 1843. Utraque fragmenta coniuncta hunc titulum habent: Codex Ephraemi Syri rescriptus sive Fragmenta utriusque Testamenti e codice Graeco Parisiensi celeberrimo etc. Lipsiae 1845.

dorum caussa in orientem missus, attulit in Italiam, unde, postquam ad Catharinam de Medicis pervenisset, bibliothecae Regiae Parisiensis factus est.

Emendationes antiqui textus per haec Veteris Testamenti fragmenta pauciores inveniuntur quam per Novum Testamentum. Manus cui debentur simillima est primi Novi Test. correctoris, quem septimo fere saeculo vixisse conieci.

Textus codicis Ephraemi inter Vaticanum atque Alexandrinum medium quiddam tenet. Quantopere vero prae ceteris ad sinceram scripturam LXX interpretum accedat, quos ipsos sequi se Proverbiorum subscriptione [1]) profitetur, satis inde intellegitur quod hexaplaribus studiis ut videtur immunis est.

XXIV. Exhibendus est catalogus fragmentorum quae in codice Ephraemi supersunt. In quibus ipsis quum passim multa tantopere perierint ut legi nullo modo possent, ne quis codicem Ephraemi cum textu Romano edito consentire ponat ubi lectus non est, una indicabo quae deperdita sunt.

Iob. 2, 12 — 4, 12. -ρηξαντες εκαστος — εν λογοις σου 5, 27 — 7, 7. συ δε — ιδειν (Desunt plura verba post σεαυτω 5, 27.; item passim plura usque ισχυς μου 6, 12., pauca usque παντων 6, 18.; a quo inde usque μελετα 6, 30. plurima desunt; item aliqua usque 7, 7.) 10, 9 — 12, 2. μνησθητι — εστε ανθρωποι (Ab initio usque η και 11, 2. quovis versu aliquid deest; rursus duo verba post αμεμπτος 11, 4. Reliqua fere integra sunt.) 13, 18 — 18, 9. οιδα εγω — παγιδες (Inde a μου αντ- 16, 8. usque ανοικητος 18, 4. plura passim desiderantur.) 19, 27 — 22, 14. α ο οφθαλμος — ου κρινει νεφ- (fere integra.) 24, 7 — 30, 1. γυμνους — εν μερει (Inter αδικως 24, 10 — usque ορφανων 24, 20. pauca passim desunt; item 25, 1. 26, 1.[2]); item post μεωθησονται usque και ουκ 26, 5. 6.) 31, 6 — 35, 16. εσταμαι — οργην αυτου (Inter αυτου 31, 23. et και ει δε επιχαρης 31, 29. aliqua periere; reliqua fere integra sunt.) 37, 5 — 38, 17. βροντησει — θανατου (Periit utpote minio scriptum 38, 1.) 40, 20 — 42, 17. -σεις δε φορβεαν — βασιλευς (Perpauca perierunt inter 40, 20. et 42, 4.)

Proverb. 1, 1 — 2, 8. νοησε τε (quae praecedunt minio scripta erant ac prorsus evanuerunt) — διαφυλαξαι 15, 29 — 17, 1. κρεισσων — μετα μαχης 18, 11 — 19, 26. η δε δοξα — εσται (Inter καρδια αυτου 19, 3. et -μωρητος 19, 5. permulta desunt.) 22, 17 — 23, 25. την δε σην — η τε-

---

1) Vide supra pag. XXV. notam 3.

2) Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει, Ὑπολαβὼν δὲ Ἰὼβ λέγει: haec atque similia quippe minio scripta fere ubique prorsus evanuerunt.

Digitized by Google

χουσα σε 24, 23 (i. e. 29, 27.) — 56 (i. e. 30, 21.) ωςτε αβρωτα — σειεται η γη 26, 23 — 28, 2. χειλη λεια — αυτας 29, 30 — 31. ψευδεις — ο ανηρ αυτης.

Eccles. 1, 1 — 14. ματαιοτης ματ. τα (priora minio scripta evanuerunt) — προαιρεσεις πνευματος 2, 18 — 12, 24. υπο τον ηλιον — πονηρον (Inter τον χουν 3, 20. et και τινι εγω 4, 8. plura desunt; item nil liquet inter πεσωσιν et τον μετοχον 4, 10.; item pauca passim latent inter του βασι- 4, 13. et αγαθον 5, 4.

Cant. Cantic. 1, 1 (sed incipit post tres versus evanidos: και οσμη) — 3, 9. σαλωμων (post σύσκιος usque κεδροι 1, 16. 17., item post ιλημ fere usque εαν 2, 7., item aliqua alia passim non liquent.)

Sap. Salom. 8, 5 — 12, 10. -ζομενης — μετανοιας 14, 19 — 17, 18. ο μεν γαρ — ευμελης 18, 24 — 19, 22. επι γαρ — περισταμ. (Perpauca passim evanuerunt, ut litterae inter γη σκν et αντι.)

Siracid. Prolog. — 7, 14. -φητων (priora non liquent) — πρεσβυτερων (In Prologo quae sunt inter υπερ ων et τον ισλ, inter εννομου et -ην ηρμενειαν (sic) et aliae litterae paucae latent; item latet 1, 1 et 2. Seqq. fere integra sunt.) 8, 15 — 11, 17. αυτος γαρ — ευσεβεσιν 12, 16 — 16, 1. και εαν — αχρηστον (Inter τι κοινω- 13, 2. et μη επεχε 13, 11. aliqua passim desunt; item permulta inter ανηρ 13, 16. et και εν τοις 14, 4.; item multa inter παρελθατω 14, 14. et εν καταλυματι 14, 25.; item pauca in seqq.) 17, 12 — 20, 5. διαθηκην — σοφος (fere integra.) 21, 12 — 22, 19. ου παιδευθησεται — αισθησιν 27, 19 — 28, 25. και ως — σταθμον 30, 8 — 31, 5. ιππος — καρδια 32, 22 — 34, 22. και ο κυριος — ου μη σοι (Pauca passim desunt.) 37, 11 — 38, 15. μετα γυναικος — εις χε- (Pauca passim desunt.) 39, 7 — 43, 27. αυτος κατευθυνει — εφικωμεθα (Inter αναστρεφει et η χιλιοι 40, 11. et 41, 12. passim aliqua desiderantur; item pauca inter 42, 18. et 43, 19. χεει.) 45, 24 — 49, 12. ινα — ιωσεδεκ (Sed inde a 45, 25. usque 46, 9. plurima interierunt; item aliqua inter 46, 9. et 47, 4. Post τυραννιδα 47, 21. usque εν αρματι 48, 9. pleraque desunt; item aliqua in seqq.; nihil liquet post ανεβη σεννα- 48, 18. usque εποιησεν 48, 22.; rursus plurima desunt usque finem horum fragmentorum.)

Quomodo in variis lectionibus notandis versati simus, iam dictum est; quae enim de codice FA in eam rem diximus, eadem de codice Ephraemi valent. Accurate ex hoc notata sunt εμ μεσω, λιγμα, λαρυξ et similia. Ad συνβασταχθησεται (notatum Iob. 28, 16. 19.) plura alia eius generis accedunt, ut συνβιωσις Sap. Sal. 8, 9. 16. ενκρατης ibidem 8, 21. ενκατελιπεν etc., quamquam etiam εγκαταλειψει Sirac. 4, 19. et alia

passim leguntur. Ad ορϑινη (notatum Sap. Sal. 11, 23.) adde ορϑιζοντες Sirac. 4, 12.; sed Sirac. 6, 36. est ορϑριζει. Confusum η et ει relatum est saepe, ut παϑηνους Iob. 29, 25.; οιη bis in Iobo; η τι Eccles. 6, 10.; η καλη bis Cantic. 1, 15.: quibus locis omnibus aliquid momenti habere visum est. Aliter est in επιτημησιν Eccles. 7, 5.; συνηδησει Eccles. 10, 19.; πλισιον Cantic. 1, 15.; μηδιασει Sirac. 21, 10.; ϑεισεις Sirac. 7, 6.; διηρτησαι Iob. 33, 5.; διμιουργων Sap. Sal. 15, 13. paucisque aliis locis. Contra relata sunt ρειπου et φενικων Iob. 14, 4. et 40, 25. Fere quinquies confusa sunt οι et υ, quemadmodum retulimus λοιμαινεται ad Prov. 27, 13. (adde λοιμαινειται Prov. 23, 8.), σοι pro συ Iob. 15, 4. διανυξει Iob. 11, 5.[1])

XXXV. Supplementum variarum lectionum ex opere Holmesiano petitum ad I Βασ. XII, 18 — XIV, 9.[2])

12, 18. κύριος: codd. quinque omittunt ... ἐφοβήϑησαν: codd. quattuor ἐφοβήϑη ... σφόδρα: X. aliique sex omittunt, XI. aliique multi (i. e. plus decem) ante τὸν κύριον ponunt. 19. εἶπαν: codd. multi εἶπεν ... πρὸς Σαμουήλ: alii quattuor πρ. τὸν Σαμ. ... ὑπὲρ τῶν: alii quattuor περὶ τῶν ... ϑεόν σου: XI. aliique sex τὸν ϑε. σου ... καὶ οὐ μή: alii tres ἵνα μή 20. καρδίᾳ: alii quattuor τῇ καρδίᾳ 21. παραβῆτε: alii quattuor ἐκκλίνητε ... οἳ οὐ: X. XI. aliique multi ἃ οὐ, alii quinque οὐ ... οἳ οὐκ: X. XI. aliique multi om. οἳ ... ὅτι οὐϑέν: alii decem ὅτι οὐ ϑεοί 22. ὅτι οὐκ: X. XI. aliique multi διότι οὐκ ... ἀπώσεται: alii tres ἀπολέσεται 23. καὶ ἐμοὶ μηδαμῶς: alii quattuor ἐμοὶ δὲ μὴ γένοιτο ... τῷ κυρίῳ: alii quattuor ἐνώπιον (τοῦ) κυρίου ... ἀνιέναι: XI. aliique sex ἀνεῖναι ... ἀνιέναι τοῦ προσεύχεσϑαι (alii προσεύξασϑαι): alii quattuor τοῦ διαλείπειν (διαλιπεῖν, ita etiam pro ἀνιέναι X. in margine) προσευχόμενον ... περὶ ὑμῶν: alii quattuor praemittunt ἐνώπιον (τοῦ) κυρίου ... δείξω: alii quattuor δηλώσω 24. καὶ ἐν: alii tres om. καί ... ἅ: alii quinque ὅσα, alii quattuor ὅτι 25. προστεϑήσεσϑε: alii quinque ἀπολεῖσϑε.

13, 2. ἑαυτῷ (alii quinque αὐτῷ) Σαούλ: II. alii duo Σα.

---

1) Hac occasione data hi errores in ed. mea codicis Ephraemi corrigendi sunt: Pag. 11, 26. lege αυτοις; 22, 30. (Iob. 28, 8.) αυτην; 50, 30. αμπελων; 75, 16. μηλοις pro μημηλοις; 95, 2. ηκολουϑηκοτων; 115, 14. μη πορευου (et 135, 3. φυλης pro φυλπς); 68, 2. (Eccles. 9, 12.) exeunte male praetermissum est κακω; item exeuntibus 69, 30. et 80, 5. verba: σου βασιλεα μη καταραση et εαν μη ο ϑ̅ς δω per incuriam praetermissa sunt. 88, 25. Sap. Sal. 16, 17. πλεον pro πλειον quum dubitarem an recte ex codice edidissem, cel. Hase mihi rescripsit nunc quidem prae nigredine loci nihil prorsus cerni posse.

2) Cod. X. est codex Coislin. sexti vel septimi saeculi; XI. Basiliano-Vaticanus noni fere saeculi; II. celeberrimus est Vaticanus, unde editio Romana fluxit.

Digitized by Google

ἑαυτῷ ... ἀνδρῶν Ἰσραήλ: XI. alii tres υἱῶν Ἰσραήλ ... οἵ: II. X. XI. alii multi omittunt ... Μαχμάς: II. XI. alii quinque Μαχεμάς (XI. -αι-) ... καὶ χίλιοι: II. alii tres om. καί ... Γαβαά: II. X. alii multi Γαβεέ, XI. Γαβεαί ... καὶ τό: alii quinque καὶ ἐπὶ τό 3. Νασίβ: alii Νασείβ, alii Ἀσείβ ... τὸν ἐν: alii tres om. τόν ... ἀκούουσιν: alii quattuor ἤκουσαν ... σάλπ. σαλπίζει: XI. aliique, item X. aliique σαλπίζ. (alii ἐσάλπισε, X. aliique add. ἐν) σάλπιγγι ... λέγων: alii tres om. 4. ἤκουσε: X. XI. aliique multi ἤκουσαν ... πέπαικε (alii 4 ἔκοψε) X. XI. aliique multi praemittunt ὅτι ... ᾐσχύνθησαν: X. marg. ᾐσχύνθη, XI. aliique multi ἐξουδένωσεν ... ἀνέβησαν: alii multi ἀνέβη, alii 6 ανεβόησεν (-σαν) ... οἱ υἱοὶ Ἰσραήλ: X. XI. aliique permulti ὁ λαὸς (X. addit Ἰσρ.) 5. καὶ λαός: XI. aliique καὶ ὁ λαός ... παρὰ τὴν θάλασσαν: alii multi παρὰ τὸ χεῖλος τῆς θαλάσσης ... Μαχμάς: alii Μαχεμάς vel Μαχαιμάς 6. κ. ἐκρ. ὁ λαός: alii quattuor κ. ἀνεχώρησεν ὁ λαὸς καὶ ἐκρύβη 11. ὅτι εἶδον ὡς: alii δι'τι εἶδ. ὅτι ... X. παραγείνου ... alii ἐν τ. μαρτ. τῶν ἡμερ. ὡς διέταξας ... XI. aliique ἐν Μαχμάς (X. Μαχεμάς, al. -αι-) 12. alii quattuor εἶπον ... X. XI. aliique multi τ. προσώπου κυρίου 13. II. X. XI. aliique multi ἕως αἰῶνος ἐπὶ Ἰσρ. 14. σοι prius: II. XI. aliique multi omittunt. 15. X. XI. aliique multi ἀπῆλθ. ἐκ Γαλγ. εἰς ὁδὸν αὐτοῦ ... X. aliique παραγινομένων 16. X. XI. aliique multi ὁ υἱὸς αὐτοῦ ... II. aliique Γαβεέ ... II. X. aliique εἰς Μαχεμάς 17. ἐπὶ γῆν: II. aliique ἐπὶ τήν, X. marg. aliique ἐπὶ πηγήν ... alii quattuor Σωβάλ 18. ab initio II. aliique καὶ ἡ μία ἀρχή ... II. X. aliique multi Γαβεέ ... X. XI. aliique multi ἐκκύπτουσαν 19. XI. aliique ηὑρίσκετο ... XI. aliique ἐν πάσῃ τῇ γῇ ... X. XI. aliique εἶπαν ... X. δόρατα 20. alii quinque εἰς ἕκαστος ... X. aliique multi τὸ θεριστήριον 21. δρεπάνῳ: alii quattuor add. καὶ τοῦ κατορθῶσαι τὸ βούκεντρον 22. X. aliique rursus Μαχεμάς vel Μαχαιμάς 23. XI. aliique ἐξῆλθον ... X. XI. aliique multi om. τήν ... X. aliique εἰς τὸ πέραν.

14, 1. X. XI. om. Καὶ γίνεται (alii 5 ἐγενήθη) ἡ (alii multi om.) ἡμέρα 2. ἐκάθητο: X. XI. aliique multi add. ἐν τῷ βουνῷ... ἐν Μαγδών: II. εκ Μαγων, alii 3 ἐν Μαγεδδώ, alii aliter ... κ. ἦσαν μ. αὐτοῦ: alii 4 καὶ ὁ λαὸς ὁ μ. αὐτοῦ ... X. aliique om. ὡς 3. Ἀχιά: X. et alius Ἀχιάς ... Ἰωχαβήδ: II. Ἰωχαβήλ, alii Ἰωχαβήθ, Ἰωαβήδ et aliter ... alii quinque ἐν Σηλώ 4. οὗ: alii 5 om., alii δι' ἧς ... II. διαβ. ὑπόστασιν ἀλλοφύλων, καὶ ἀκρωτήριον πέτρας ἔνθεν, καὶ ἀκρωτήριον πέτρας ἔνθεν, καὶ ὀδοὺς πέτρας ἐκ τούτου, ὄνομα τῷ ἑνὶ Βαζές (ita etiam X. XI. aliique), καὶ ὄνομα τῷ ἄλλῳ Σενναάρ (Σενναάρ etiam alii). Varie differunt alii. 5. ἐρχομένῳ bis: X. XI. aliique ἐρχομένων ... X. aliique multi Γαβεέ 6. XI. aliique multi Δεῦρ. καὶ διαβῶμεν ... Μεσσάβ: II. Μεσσάφ; differunt alii ... alii multi εἴ πως ποιήσει ... II. X.

Digitized by Google

XI. aliique multi ἡμῖν κύριος 7. X. XI. aliique ὃ ἄν ... XI. aliique multi μετ' σοῦ εἰμί 8. X. om. καί alterum 9. alii 6 ἀναγγείλωμεν ... X. XI. aliique multi ἐφ' ἑαυτούς ... X. XI. aliique διαβῶμεν.

XXXVI. Supplementum variarum lectionum ad Psalm. 49—79. Hoc sumam a codice Tischendorfiano V. bibliothecae universitatis Lipsiensis, saeculi duodecimi [1]), de quo uberius exposui in Anecdotis meis sacris et profanis pag. 31 sqq. Consentit is inprimis cum Alexandrino codice, locisque iis ubi et Vatic. et Alex. textum deserit alios testes permultos assentientes habere solet. Adnotabo notatu digniora omnia, unaque indicabo tum ad quas lectiones alii tantum pauci accedunt, tum quae praeterea insigni codicum auctoritate commendantur.

49, 1. Δαυίδ pro Ἀσάφ 3. ἐνώπιον αὐτοῦ 4. τοῦ διακρῖναι 6. ὁ θεός 6. et 15. om. διάψαλμα 10. ἀγροῦ pro δρυμοῦ 15. θλίψεώς σου 16. ἐκδιηγῇ 18. μετὰ μοιχοῦ 19. κακίας et δολιότητας 21. κατὰ πρόσωπ. σ. τὰς ἁμαρτίας σου 22. καὶ οὐ μή 23. alii pl. ὁδὸς ἣν ... τὸ σωτήριόν μου 50, 1. ab initio om. εἰς τὸ τέλος ... al. multi Βηρσαβ. τὴν γυναῖκα (al. om.) τοῦ Οὐρίου 6. νικήσεις 10. al. multi ἀκουτιεῖς μοι ... ὀστέα (solus) 13. τὸ πν. σου τὸ ἅγιον 51, 5. ὑπὲρ τοῦ λαλῆσαι 6. om. τά 7. al. pl. καθελεῖ ... ἀπὸ σκην. σου 8. om. καί prim. 9. habet ἐπὶ τῷ πλήθει 5. et 7. om. διάψαλμα 52, 2. διεφθάρησαν 5. ἐν βρώσει 6. ἐδειλίασαν φόβῳ pro ἐφοβ. φόβον 7. ἐν τῷ ἐπιστρέψαι τὸν θεόν 53, 3. κρινεῖς με 5. καὶ οὐ προέθ. et om. διάψ. 54, 1. al. multi τῷ Ἀσάφ 4. al. multi ἀνομίαι 8. et 20. om. διάψ. 9. habet τὸν θεὸν τὸν σώζοντα et ἀπὸ καταιγίδος 11. καὶ ἀνομία καὶ κόπος 13. εἰ ὁ ἐχθρός et ὠνείδ. μοι, item ὁ μισῶν με et ἐμεγαλορημόνησεν 15. ὡς ἐπὶ τὸ αὐτό et ἐγλ. μοι 16. ἐλθέτω δή 20. ὅτι οὐκ ἐφοβ. 22. ἤγγισαν αἱ καρδίαι αὐτῶν, item οἱ λόγοι αὐτῶν 24. ἐγὼ δὲ κύριε ἐλπ. ἐπὶ σέ 55, 3 et seq. est ὅλην τὴν ἡμέραν· ὅτι πολλ. οἱ πολ. με ἀπὸ ὕψους· ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπ. ἐπὶ σέ 5. om. ὅλην τ. ἡμέραν et habet ἐπὶ τ. θ. ἤλπισα 7. habet ὑπέμειναν τὴν ψυχήν μου 8. ὥσεις 10. post εἰς τὰ ὀπίσω maiore distinctione posita, ἐν ᾗ ἄν etc. cum ἰδοὺ ἔγνων coniuncta habet. 12. al. pl. om. αἱ 13. habet ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τ. π. μ. ἀπὸ ὀλισθήματος· εὐαρεστήσω ἐν. κυρίου etc. 56, 2. habet ἐπὶ σέ (cum paucissimis) ... al. multi παρέλθοι 3. et 7. om. διάψαλμα 5. habet ὅπλα 7. παγίδα et ἐνέπεσον 8. ψαλῶ ἐν τῇ δόξῃ μου 57, 2. εὐθείας κρίνατε ... al. pl. om. οἱ 3. ἀνομίαν 6. φωνῆς et φαρμακοῦται φαρμακευομένη, 7. συντρίψει 8. ὡσεὶ ὕδωρ ... al. pl. ἀσθενήσωσιν 9. κηρὸς ταχείς et πῦρ ἐπ' αὐτούς

---

1) Codex est palimpsestus; antiquior scriptura saeculi fere noni est.

Digitized by Google

10. καταπίεται αὐτούς 11. om. ἀσεβῶν 58, 6. et 14. om. διάψαλμα 8. habet ἰδοὺ αὐτοί 9. ἐκγελάσεις 11. δείξῃ μοι (c. pauc.) 13. ἁμαρτία et λόγος 14. ἐν συντελείᾳ, ὑπάρξωσι, δεσπ. τοῦ Ἰακ. καὶ τῶν 16. γογγύσωσιν 17. al. pl. τὴν δύναμίν σου 18. βοηϑ. μου εἶ (al. permult. add. σύ) et ὅτι ὁ ϑεός 59, 1. al. pl. om. ἔτι 2. ἀνεπύρισε et ἐπάταξεν (al. pl. add. τὸν Ἐδώμ) ἐν τῇ φάραγγι 6. om. διάψ. 9. habet Μανασσῆς et Ἐφραίμ 11. ἢ τίς ὁδηγήσει 14. ποιήσωμεν 60, 1. post Δαυίδ addit ψαλμός 5. ἐν τῇ σκέπῃ et om. διάψαλμα 6. est εὐχῶν 7. ἡμέραν ἐφ' ἡμέρας τοῦ βασ. 8. om. αὐτῶν 9. est εἰς τοὺς αἰῶνας τοῦ ἀπ. με 61, 1. Ἰδιϑούμ 2. παρ' αὐτῷ 4. πάντες ὑμεῖς 5. et 9. deest διάψ. 6. est ὑποταγήσεται (cum uno) et παρ' αὐτῷ 7. καὶ γὰρ αὐτός 9. λαῶν et ἐκχέατε ... al. pl. βοηϑὸς ὑμῶν 11. ἅρπαγμα 62, 1. τῆς Ἰουδαίας 2. ἐδίψ. σε 6. ὡς ἐκ στέατος et αἰνέσει τὸ στόμα μου 9. ἐμοῦ δέ 63, 2. φωνῆς pro τῆς προσευχ. 3. σκέπασον 4. τόξον αὐτῶν 5. φοβηϑήσεται 6. παγίδα ... al. pl. εἶπον 7. ἐξερεύνησαν (nullus ap. Holm.) et ἐξερευνήσεις 9. ἐξησϑένησαν ἐπ' αὐτούς 64, 1. post ᾠδή additum est Ἱερεμίου καὶ Ἰεζεκιὴλ καὶ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσϑαι, 2. est εὐχὴ ἐν Ἱερουσαλήμ 4. ταῖς ἀσεβείαις 6. ἐν ϑαλάσσῃ μακρᾷ (c. pauc.) 7. ἐν τῇ ἰσχ. αὐτοῦ 8. ἦχ. κυμ. αὐτ. τίς ὑποστήσεται 11. al. permulti τὰς αὔλακας ... γενήματα 13. πιανϑήσονται τὰ ὡραῖα 65, 1. τῷ κυρίῳ 2. al. multi ἐν αἰν. αὐτ. 4. ψαλάτωσαν δὴ τῷ ὀν. σου, ὕψιστε. Ibidem et vv. 7. et 15. om. διάψαλμα 5. est ὡς φοβερός 15. ἀνοίσω σοι 16. διηγ. ὑμῖν 18. μὴ εἰσακ. μου 19. τῆς δεήσεώς μου 66, 1. al. pl. ψαλμ. ᾠδῆς 2. ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς, omisso διάψ., quod idem v. 5. deest. 67, 2. ἀπὸ πρ. αὐτ. οἱ μισ. αὐτόν 3. ἐκλειπέτωσαν ... al. pl. ἀπολοῦνται 6. ταραχϑήτωσαν 7. ἐν ἀνδρίᾳ 8. 20. 33. om. διάψ. 8. est ἐν τῇ ἐρήμῳ, 13. ὁ βασ. τ. δυν. τοῦ ἀγαπ., τῇ ὡρ. 17. ὑπολαμβάνητε (c. pauc.) 18. ἐν Σιναΐν, al. mult. ἐν Σινὰ ἦν 19. ἀνέβης et ἐν ἀνϑρώποις ... al. pl. ἀπειϑοῦντας 20. κατευοδώσει absque καί 21. καὶ τοῦ κυρίου κυρίου 26. est ἐχόμενα 27. κύριον absque τόν 28. Νεφϑαλείμ 29. κατειργάσω 31. τοῦ ἐκκλεισϑῆναι (al. pl. ἐγκλεισϑ.) 34. om. ψάλ. τ. ϑεῷ et ἐν 36. est ἁγίοις 68, 1. ψαλμὸς τῷ Δαυ. 5. est ἥρπαζον 6. οὐκ ἀπεκρύβησαν 7. deest ἐπ' ἐμέ prius (c. pauc.), tum est κύριε, κύριε τ. δυνάμεων· μηδέ 11. συνεκάλυψα et ἐγενήϑην 13. ἐν πύλαις et οἱ πίνοντες οἶνον, 15. ἐκ τῶν βαϑέων 17. omittitur μου (c. pauc.), item v. 18. καί 21. est παρακαλοῦντας 28. ἐπὶ τῇ ἀνομίᾳ 30. ἐγώ, ἡ σωτηρία σου, ὁ ϑεός 33. ζήσεται ἡ ψυχὴ ὑμῶν 35. ἐν αὐτῇ 37. τῶν δούλ. σου et τὸ ὄνομά σου 69, 1. Εἰς τ. τέλ. ψαλμός et κύριε, 2. exeunte add. κύριε, εἰς τὸ βοηϑῆσαί μοι σπεῦσον 3. αἰσχυνϑήτωσαν κ. ἐντραπήτωσαν, item ἀποστραφήτωσαν et καταισχυνϑήτωσαν 4. ἀποστραφήτωσαν 5. οἱ ζητ. σε ὁ ϑεός

Digitized by Google

6. πτωχ. εἰμί 70, 1. ante Δαυ. add. ψαλμός, al. m. post Δαυ.; tum est τῶν υἱῶν, item τῶν πρῶτον (al. πρώτως) αἰχμ. ἀνεπίγραφος παρ' Ἑβραίοις 7. βοηθός μου κρατ. 9. al. pl. γήρως 10. al. pl. εἶπον 12. ὁ θεός μου 13. ἐκλειπέτωσαν 14. ἐλπιῶ ἐπὶ σέ 15. ἀναγγελεῖ et γραμματίας 17. ὁ θεός μου, ἃ ἐδίδαξάς με et μέχρι τοῦ νῦν 18. γήρως, tum ὁ θεός μου, ἕως οὗ et τῇ γενεᾷ πάσῃ 19. ἕως τῶν ὑψίστων, ἃ ἐπ. μοι 20. om. πάλιν 21. est ἐπλ. ἐπ' ἐμὲ τ. μεγαλωσύνην σου 22. ἐξομ. σοι ἐν λαοῖς κύριε et ἐν σκεύεσι 23. ἀγαλλιάσεται et ψάλλω 71. Inscribitur ψαλμὸς εἰς 3. est τῷ λαῷ καὶ οἱ βουν. δικαιοσύνην· κρινεῖ 6. σταγὼν ἡ στάζουσα ἐπὶ τῆς γῆς 8. ἀπὸ ποταμῶν 10. Θαρσεῖς et καὶ νῆσοι 11. πάντ. οἱ βασιλ. τῆς γῆς 14. τὸ ὄνομα αὐτοῦ ἐν. αὐτῶν 17. ἔσται, διαμένει, ἐνευλογηθήσονται 18. ὁ θεὸς Ἰσραήλ 19. εὐλογημένον et καὶ εἰς τὸν αἰῶνα 72, 1. post Ἀσάφ additur ᾠδὴ πρὸς τὸν Ἀσσύριον 1. est τῇ καρδίᾳ 6. ἡ ὑπερηφανία εἰς τέλος, tum περιεβάλλοντο et ἑαυτῶν 7. διήλθοσαν 12. οὗτοι ἁμαρτωλοί 15. ἠσυνθέτηκας 16. ἐνώπιόν μου 17. ἕως οὗ et καὶ συνῶ ε. τ. ἐσχ. αὐτῶν 18. δολιότ. αὐτῶν ἔθ. αὐτ. κακά 19. εἰς ἐρήμωσιν ἐξάπινα· ἐξέλιπον 20. al. pl. ἐξεγειρομένων 21. ὅτι ἐξεκαύθη 22. ἐγενήθην 24. καὶ ἐν 28. τοῦ ἐξαγγ. με 73, 1. ὁ θεὸς ἀπώσω 2. ῥάβδῳ 3. ἐν τῷ ἁγίῳ σου 5. εἰς τ. ἔξοδον 7. σου· εἰς τὴν γῆν ἐβεβ. 8. al. pl. εἶπον ... αἱ συγγένειαι et δεῦτε καὶ καταπαύσωμεν πάσας τ. ἑορτ. τοῦ θεοῦ ἀπὸ τ. γ. 9. τὰ σημ. αὐτῶν 14. al. pl. σὺ συνέθλασας ... τὴν κεφαλήν 16. φαῦσιν καὶ ἥλιον 17. al. pl. τὰ ὡραῖα ... ἔαρ σὺ ἔπλασας αὐτά 18. om. τῆς κτ. σου 20. οἱ ἐσκοτισμένοι 21. om. καί prius 22. τοῦ ὀνειδισμοῦ σου τοῦ 23. οἰκετῶν et ἀνέβη, omissis πρὸς σέ 74. Inscribitur ψαλμ. τῷ Ἀσάφ, omissis reliquis. Versu 2. ἐξομ. σοι καί 3. ἐγώ ad priora trahitur 4. οἱ κατοικ. ἐν αὐτῇ et om. διάψ. 5. est παρανομεῖτε 6. καὶ μὴ λαλ. 7. ἐξ ἐξόδων 10. συνθλάσω et τὸ κέρας 75, 4. et 10. deest διάψ. 7. est τοῖς ἵπποις 8. ἀπὸ τότε ἡ ὀργή σου 10. πραεῖς τῆς γῆς 76, 1. Ἰδιθούμ 2. ἐκέκραξα, φωνῇ μου πρός 4. ηὐφράνθην 4. 10. 16. deest διάψ. 5. φυλακὰς οἱ ὀφθαλμοί μου 7. ἔσκαλε (al. mult. ἔσκαλλε) 9. τὸ ἔλ. αὐτοῦ ἀποκόψει; συνετέλεσε ῥῆμα ἀπὸ γεν. εἰς γενεάν 10. μὴ ἐπιλ. 17. om. καί secundum 18. πλήθους 19. αἱ ἀστρ. αὐτοῦ (c. paucis) 20. αἱ ὁδοί 77, 1. est τῷ νόμῳ 4. τοῦ κυρίου 5. ὅσα ἐνετ. et τοῦ γνωρ. αὐτά 6. om. οἱ 8. κατεύθυνε τὴν καρδίαν ἑαυτῆς 9. Ἐφραίμ (ita ubique), et τόξοις 10. οὐκ ἠβουλήθησαν 13. παρέστησεν 19. εἶπον 20. δύναται 26. ἐν τῇ δυνάμει 27. χνοῦν 28. al. pl. ἐπέπεσεν ... ἐν μέσῳ 29. ἔφαγον 30. om. αὐτῶν secundum 31. πλείοσιν 32. ἐπίστ. ἐν τοῖς 34. τότε ἐξεζήτουν 36. ἐψ. αὐτόν 46. τοὺς καρπούς 48. εἰς χάλαζαν 51. παντὸς πόνου αὐτῶν 52. καὶ ἀνήγαγεν 53. ἐπ' ἐλπίδι 57. ἠθέτησαν 58. ἐν τοῖς βουνοῖς 60. σκήνωμα ὃ

Digitized by Google

κατεσκήνωσεν 61. εἰς χεῖρας ἐχϑρῶν 62. al. pl. ἐν ῥομφαίᾳ 63. ἐπενϑήϑησαν 65. καὶ κεκραιπ. 69. μονοκέρωτος 72. ἐν ταῖς συνέσεσι 78, 1. est ὡς ὀπωροφ. 3. ὡσεὶ ὕδωρ 4. om. εἰς 6. ἐπὶ τὰ ἔϑνη et γινώσκοντα 8. κύριε ὅτι 9. ἕνεκεν bis 10. τὰ ἔϑνη 12. ἑπταπλασίονα 13. ἡμεῖς δέ 14. ἀνϑομ. σοι ὁ ϑεός 79, 2. est πρόβατον 5. τῶν δούλων 8. om. διάψ. 10. est ἐπλήρωσε τὴν γῆν 12. ποταμῶν 13. αὐτῆς ὗς 15. καὶ ἐπίβλεψον.

---

## SIGNA ET SCRIPTURAE COMPENDIA IN APPARATU ADHIBITA.

| | | |
|---|---|---|
| FA | significat | codicem Friderico-Augustanum. |
| Ax sive A | - - | codicem Alexandrinum (vide infra). |
| C | - - | codicem Ephraemi Syri rescriptum. |
| *, ** etc. | - - | manum primam, secundam etc. |
| add | - - | addit. |
| om | - - | omittit. |
| in f. | - - | in fine. |

Praeterea lectiones omnes quibus nullum in apparatu signum praepositum est Alexandrini sunt codicis.

---

Digitized by Google

# PROLEGOMENORUM INDEX.


I. De interpretationis LXX virorum origine. De ea quid tradiderit Aristeas in epistula ad Philocratem fratrem ....... pag. IX. X.

II. Aristobuli testimonium, item Philonis et Iosephi ......... X. XI.

III. Testimonia Iustini Martyris, Epiphanii, Hieronymi ...... XI — XIII.

IV. Hebraeorum de eadem re traditiones ............... XIII.

V. De fide libelli Aristeae, deque vera interpretationis LXX virorum origine, ambitu, aetate ..................... XIII — XV.

VI. De veris auctoribus et legibus quas interpretando secuti sint. De textus Septuagintaviralis auctoritate et antiquis versionibus ..................................... XV — XVII.

VII. De Sixto V. editore LXX interpretum. Sixtinam editionem excellere praestantia editionum reliquarum: Complutensis, Venetae, Alexandrinae sive Grabianae. In nota explicatur de Complutensi et Veneta editionibus deque utriusque repetitionibus. (Ibidem etiam mentio fit editionis nuperrimae polyglottae Theilianae, cuius textum Septuagintaviralem innumeris vitiis deformatum esse comperimus.) ........... XVII — XIX.

VIII. De huius editionis consilio et ratione ............... XIX.

IX. Romana editio describitur. Notarum sub textu auctor atque exempla ............................................. XIX — XXI.

X. Antonii Carafae ad Sixtum Quintum epistula dedicatoria cum praecipua Vaticani codicis laude ...................... XXI. XXII.

XI. Praefatio Petri Morini ad lectorem. LXX interpretes spiritu sancto plenos Biblia interpretatos esse. De Aquila, Symmacho, Theodotione, editione Quinta et Sexta, item de Luciano. Hexapla Origenis corruptorum codicum caussam exstitisse. Merita Sixti V. et Gregorii XIII. (In nota pag. XXIV. a nobis explicatur de Pio V. et nomina collaboratorum Carafae referuntur.) Vaticanum librum cum duobus aliis, altero Veneto, altero ipsius Carafae, Romanae editionis fundamentum esse. (In nota pag. XXIV. a nobis de antiquitate libri Vaticani disseritur, item notis 1. et 2. pag. XXV. de duobus codd. reliquis ad editionem Vaticanam adhibitis.) De subscriptione: κατα (sive παρα) εβδομηκοντα, in cod. Vatic. (item in cod. Ephraemi Syri rescripto) inventa. De notationibus sub textu ed. Romanae. Quem codex Vaticanus singulorum librorum ordinem habeat; quae partes textus in eo perierint. Quae inter Latinum textum et Graecum ratio sit. Sixti V. laudes ........................................ XXII — XXVII.

XII. Ex decreto Sixti V. de ed. Romana .................. XXVII. XXVIII.

XIII. De indice corrigendorum et de emendationibus calami in ed. Romana ........................................ XXVIII.


Digitized by Google

XIV. Quibus rebus haec editio ab ipsa Romana discesserit. Interpunctio. Litterae initiales. Versus et capita ........ XXVIII — XXX.
XV. Accentuum emendatio, cuius plurima omnis generis exempla afferuntur. Puncta diaeretica. εις ελθων et εισελθων. Voces encliticae. Adverbiorum compositorum scriptio continua et separata. Spirituum varietas: αὐτοῦ et αὑτοῦ. οὐχ ante adspiratas syllabas et similia. Iota subscriptum et adscriptum. ν ἐφελκυστικόν ante consonantem. εἴκοσι, non εἴκοσιν ........ XXX — XXXIV.
XVI. Correctiones maioris momenti in textum nostrum receptae, inclusis iis quas ipsorum dedit editorum Romanorum calamus.

Gen. 19, 5. 20, 14 et 16. 21, 21. 23, 8. 27, 45. 33, 18. 36, 37. 41, 1. 50, 23.
Exod. 10, 26. 12, 10. 16, 22. 30, 33. 31, 5. 33, 16. 34, 11. 35, 7. (35, 13.)
Lev. 8, 26. 18, 3.
Num. 1, 10. 1, 13. 6, 20. 7, 42. 10, 19 et 22. 14, 29. 16, 1. 21, 14 sq. 26, 39. (ibi adde versu 40. in ed. Rom. male editum esse σουταλά) 26, 60. 28, 4. 33, 9. 14. 15. 34, 8.
Deut. 2, 13 sq. 4, 43. 6, 2. 11, 11. 14, 8 et 17. 28, 29. (28, 57.) 29, 18. 32, 39.
Ios. 2, 19. 7, 12. 13, 22. 14, 13 sqq. 15, 63.
Iudic. 1, 24. 3, 8. 5, 1. 6, 3. 9, 23. 11, 24. 16, 9. 18, 14. 20, 6. 21, 9 et 14.
Ruth 2, 13. 6, 11.
I Βασ. 1, 15. (3, 21.) 8, 20. 10, 5. 25, 10. 29. 35. II Βασ. 3, 10. 18, 4. 23, 4. III Βασ. 2, 23. 3, 3 et 36. 4, 12. 7, 35. 8, 37 et 41. 12, 24. 13, 11 et 20. 15, 23. 16, 28. (20, 20.) IV Βασ. 4, 31. 5, 17. 8, 8 sq. 16, 10. 17, 16 et 32. 18, 34. 19, 25. 28. 30. 21, 4. 22, 19.
I Παραλ. 2, 9. 5, 23. 7, 6. 18, 1. 27, 16. II Παραλ. 3, 16. 5, 7 et 8. 18, 7 et 21. 30, 18. 36, 22.
I Ἔσδρ. 1, 33. 4, 56. 5, 69. 6, 21. 9, 12. II Ἔσδρ. 2, 61. 4, 10.
Nehem. 1, 9. 2, 18. 3, 22. 4, 11. 10, 30.
Tob. 1, 7. 2, 7. 3, 9 et 10. (7, 3.) Iudith 6, 5. 9, 6. 12, 1. Esther 2, 7. 8, 14.
Iob. 3, 25. 5, 15. 9, 4 et 14. (9, 11.) 18, 11 et 17. 19, 2. 21, 31. 25, 5. 30, 14. 42, 8.
Psalm. 6, 2. 7, 5. 9, 29. 13, 3. 17, 41. 21, 9. 34, 26. 42, 1. 44, 6. 47, 5. 62, 12. 67, 8 et 22. 77, 1. 88, 1. 89, 14. (94, 1.) 101, 4. 101, 28. 103, 29. 107, 7. (118, 129.) 121, 1. 131, 16.
Proverb. 6, 14. 24, 21. 25, 3. 29, 2. 9. 27. 33, 20. Eccles. 5, 17. 6, 10. Cantic. 5, 11.
Sap. Sal. 15, 18. 16, 16. Sirac. 3, 28. 4, 17 et 31. 11, 12. 12, 11. 22, 11. 27, 14. 30, 9 et 15 sq. 32, 12 et 25. (34, 21.) 37, 6. 38, 16. 39, 7 et 13. 46, 12. 51, 2.
Hos. 14, 3. Amos. 1, 10. Mich. 5, 4. 6, 14. 7, 16 et 17. Ioel 2, 4. 16. 30. Ion. 4, 8. Habac. 3, 8 et 9. Hagg. 1, 6. Zachar. 7, 11. Malach. 2, 17.
Esai. 1, 8. 4, 1. 5, 5. 8, 10. 9, 6 et 7. 15, 8. 16, 4. 19, 3. 23, 15. (33, 18.) 34, 2. 38, 2. 40. 18. 41, 23. 42, 24. 43, 28. 53, 10. 61, 3.

Digitized by Google

Ierem. 11, 20. (13, 19.) 15, 11. 19, 6. 27, 21. 31, 33. 39, 17. 45, 27. Thren. 3, 26 et 31. 4, 21. Epist. Ierem. 1, 19.
Ezech. 17, 17. 18, 25. 23, 21. 25, 7. 26, 4. 39, 2. 40, 22. 26. 31. 34. 41, 15. 43, 17. 45, 7 et 17.
Dan. 5, 4 et 23. 6, 25.
I Macc. 2, 66. 3, 37. 45. 49. 4, 45. 7, 23. 9, 48. 15, 10.
II Macc. 3, 13. 9, 24. 11, 4. 13, 15. 14, 8 et 42. 15, 4 et 30.
III Macc. 1, 23. 3, 16. 4, 2 et 5. 5, 19.
De Μωυσῆς et Μωσῆς, ἀνδρεία et ἀνδρία, λειτουργία et λειτουργεία, ἐνενήκοντα, ἔνατος, ἀέναος, ὑπερηφάνεια et ὑπερηφανία et similibus. De mira nominum propriorum varietate ........ XXXIV — XLIII.

XVII. Emendationes in textum non receptae.
De Gen. 31, 7 et 41.; item de Amos. 3, 12. in nota pag. XLIII. explicatur.
Exod. 2, 8. 8, 29. Lev. 5, 4. 11, 5. 26, 22. Num. 22, 34. 30, 7. Deut. 19, 19. 21, 12.
Ios. 10, 21. 15, 8. 22. 32. Iudic. 6, 32. 15, 6.
I Βασ. 4, 3. 23, 1. II Βασ. 6, 17. III Βασ. 2, 28. 2, 30. 8, 59. 15, 30. IV Βασ. 5, 21. 17, 6 et 11.
I Παραλ. 21, 10. II Παραλ. 28, 3.
Iob. 8, 20. 28, 8. 28, 12 et 13. 34, 20. 36, 29. 37, 3.
Psalm. 4, 7. 104, 21. 130, 2. 138, 9. 142, 1.
Proverb. 8, 8. 9, 18. 12, 18. 16, 30. 18, 4. 24, 73.
Sap. Sal. 19, 4. Sirac. 10, 10. 37, 5. 38, 22 et 28. 40, 1. 43, 23 et 31. 45, 24.
Hos. 14, 1. Habac. 2, 18. Esai. 30, 22 et 30. 53, 10. Ierem. 22, 15 et 18. 23, 32. 36, 28. Ezech. 16, 41. 17, 16. 40, 29. Dan. 9, 16. ........ XLIII — XLVI.
Emendationes Schleusneri.
Gen. 19, 33 et 35. Exod. 16, 14. Iudic. 5, 16. I Βασ. 11, 7. 13, 4. IV Βασ. 23, 5 et 11. I Παραλ. 4, 40. Iob. 4, 6. 11, 12. 13, 16. 42, 18. Psalm. 47, 9. Sirac. 49, 12. 58, 4. 63, 7. 69, 1. 78, 9. Proverb. 9, 12. 15, 10. 26, 7. 28, 28. Cantic. 1, 7. 6, 11. Ierem. 5, 31. Amos. 6, 5. Nah. 3, 12. Malach. 1, 10.
III Βασ. 18, 32. 35. 38. II Παραλ. 3, 4. Esth. 9, 26. 28. 29. Esai. 66, 19. Ierem. 17, 26.
Gen. 15, 15. Iob. 3, 17. Psalm. 88, 21. 91, 10. Eccles. 7, 19. ........ XLVI sq.

XVIII. De libro Danielis ex Theodotionis editione et secundum LXX. De textu Septuagintavirali hausto e codice Chisiano, emendato e Syriaco cod. Mediolanensi, indeque ad finem editionis nostrae addito ........ XLVII — L.

XIX. De repetitionibus textus Vaticani: editione Parisiensi Iohannis Morini a. 1628.; (de Latino opere Flaminii Nobilii 1588.) editionibus Londinensibus anni 1653. et (quae pars est operis polyglotti Waltoni) 1657.; editione Lamberti Bosii 1709.; Amstelodamensi 1725.; Reineccii 1730. et 1757.; Oxoniensi 1805.; Oxoniensi Valpiana 1819.; Veneta 1822.; Oxoniensi 1848.; Parisiensi Iageri 1839.; Lipsiensi Leandri van Ess 1824. et postea. Notatur etiam recentissima Londinensis. (Oxoniensis a. 1817. praeterita est. Ea hunc habet titulum: V. T. Gr. iuxta exempl. Vat. Rom. ed. Acced. var. lectt. e cod. Alex. nec non introduct. Carpzovii.) ........ L — LII.

Digitized by Google

XX. De argumentorum et locorum Novi Testamenti geminorum notatione .......... LII.
XXI. De apparatu critico. Codices Graeci LXX interpretum. Quam male habeat editionis Holmesianae apparatus, exemplis aliquot probatur .......... LII — LV.
XXII. De lectionibus Vaticani codicis ab editoribus non receptis. Afferuntur ex Holmesio ad Genes. 47 — 50. .......... LV. LVI.
XXIII. De tribus instrumentorum criticorum generibus, versionibus, patribus, codicibus. In nota 1. pag. LVI. breviter de versionibus explicatur ad textum Septuagintaviralem institutis, item in nota 2. de Hexaplis Origenis. Codices Holmesii ante decimum saeculum scripti, numero tredecim ... LVI — LVIII.
XXIV. Codices unciales undecim ab Holmesio nondum adhibiti. Horum singulorum quae ratio sit, lectionis exemplis docetur. Primus est Psalmorum Veronensis (pag. LVIII sq.), secundus Psalmorum purpureus Turicensis (pag. LIX sq.), tertius Psalmorum papyraceus Londinensis (pag. LX sq.), quartus Genesis codex ab editore nuperrime in oriente detectus (pag. LXI.), quintus Numerorum codex palimpsestus ab editore et detectus et publicatus (pag. LXI sq.), sextus cum fragmentis Octateuchi Tischendorfianus Lipsiensis (pag. LXII sq.). Septimus octavus nonus sunt fragmenta palimpsesta Iesaiae, librorum Regum, Psalmorum, nuperrime ab editore in lucem protracta (pag. LXIII sq.). Accedit decimus cum libris Iudicum et Ruth atque extrema parte libri Iosuae, minusculis litteris noni saeculi scriptus, nunc Londinensis. De duobus reliquis post speciatim explicatur .......... LVIII — LXIV.
XXV. De auctoritate atque ambitu trium codicum veterrimorum ad apparatum continuum adhibitorum, Alexandrini, Friderico-Augustani, Ephraemi Syri rescripti .......... LXIV. LXV.
XXVI. De Alexandrino codice. Qua sit aetate, qua patria. Ernesti Grabii editio parum accurata. In nota 3. pag. LXVII. de Breitingeri editione exponitur ad Grabianam instituta, item de Reineccii Bibliis quadrilinguibus et Mosquensi editione anni 1821. .......... LXV — LXVIII.
XXVII. Editio Henrici Herveii Baber. Incredibili eam errorum copia partim correctorum partim non correctorum deformari. De exiguis Baberi studiis circa locos alteram manum passos. De imperfecta appendicis ratione .......... LXVIII — LXXI.
XXVIII. Quomodo lectiones Alexandrini codicis ad apparatum nostrum adhibitae sint; quae sint praetermissae. Nota 1. pag. LXXIII. aliquot supplentur loci libri Genesis, ubi cod. Alex. ιδον, ιδεν, επιδεν pro ειδον, ειδεν, επειδεν habet. Compendia scripturae in eodem codice et singulorum librorum ordo .......... LXXI — LXXV.
XXIX. Oratio Mannassis ex cod. Alex. affertur, addita lectionis varietate .......... LXXV. LXXVI.
XXX. De codice Friderico-Augustano. De editoris circa eum studiis. De patria eius atque aetate deque textus praestantia .......... LXXVI — LXXVIII.
XXXI. Quas textus sacri partes contineat codex Friderico-Augustanus. De correctoribus codicis; de subscriptione eius gravissima .......... LXXVIII — LXXX.
XXXII. Suppletur lectionis varietas inventa in fragmento codicis Friderico-Augustani nuperrime in lucem protracto ... LXXX.

Digitized by Google

XXXIII. De codice Ephraemi Syri rescripto. Qua sit aetate, qua patria, qua textus praestantia .................... LXXX — LXXXII.
XXXIV. Fragmenta codicis Ephraemi accurate recensentur, indicatis quae in his ipsis sunt lacunis. De variantium lectionum notatione. Nota 1. pag. LXXXIV. indicantur quae in editione codicis Ephraemi errata sunt ............. LXXXII — LXXXIV.
XXXV. Supplementum variarum lectionum ex opere Holmesiano petitum ad I Βασ. XII, 18 — XIV, 9. ubi Alex. cod. deficit ........................................ LXXXIV — LXXXVI.
XXXVI. Supplementum variarum lectionum ad Psalm. 49 — 79. e cod. Tischend. V. bibl. univ. Lips. desumptum .... LXXXVI — LXXXIX.

Digitized by Google

# ΓΕΝΕΣΙΣ.

## I.

Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. [2] ἡ δὲ γῆ ἦν ἀόρατος 2
καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα θεοῦ ἐπε-
*He. 11, 3. φέρετο ἐπάνω τοῦ ὕδατος. [3] καὶ εἶπεν ὁ θεός Γενηθήτω φῶς. καὶ ἐγένετο 3
φῶς. [4] καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι καλόν. καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον 4
τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· [5] καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν 5
καὶ τὸ σκότος ἐκάλεσε νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα μία.
*2 Pe. 3, 5. [6] καὶ εἶπεν ὁ θεός Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω δια- 6
χωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. [7] καὶ ἐποίησεν ὁ 7
θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω
τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. [8] καὶ 8
ἐκάλεσεν ὁ θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο
ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα δευτέρα. [9] καὶ εἶπεν ὁ θεός Συναχθήτω τὸ 9
ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ
ἐγένετο οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συνα-
γωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. [10] καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν καὶ 10
τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν.
[11] καὶ εἶπεν ὁ θεός Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ 11
γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα
αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. [12] καὶ ἐξήνεγκεν 12
ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον
κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς.
[13] καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα 13
τρίτη. [14] καὶ εἶπεν ὁ θεός Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ 14
οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ
ἀνὰ μέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέ-
ρας καὶ εἰς ἐνιαυτούς· [15] καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐ- 15
ρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. [16] καὶ ἐποίησεν ὁ θεὸς 16
τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς
ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέ-
ρας. [17] καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν 17
ἐπὶ τῆς γῆς, [18] καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀνὰ 18
μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. [19] καὶ 19
ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα τετάρτη. [20] καὶ εἶπεν ὁ θεός Ἐξα- 20
γαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ
τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως. [21] καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη 21
τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη
αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς ὅτι καλά.
[22] καὶ εὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώ- 22
σατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς

---

**Inscriptio**: γενεσις κοσμου. I. 4. * ιδεν, item ιδεν vv. 8. 10. 13. 18. 21. 10. συστεματα 11. κ. γ. εις ομοιοτητα επι της 14. φαυσιν της γης· και αρχειν της ημερας και της νυκτος· και διαχωριζ. 21. πτερ. και πα (παν) γενος 22. ηυλογησεν



Digitized by Google

23 γῆς. [23] καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη. [24] καὶ εἶπεν ὁ
24 θεός Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ
25 θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως. [25] καὶ ἐποίησεν ὁ θεὸς τὰ θηρία
τῆς γῆς κατὰ γένος καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν καὶ πάντα τὰ ἑρπετὰ
26 τῆς γῆς κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. [26] καὶ εἶπεν ὁ θεός Ποιή-
σωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν
ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πά-
27 σης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. [27] καὶ ἐποίη- *1 Co. 11, 7.
σεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ Mt. 19,
28 ἐποίησεν αὐτούς. [28] καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων Αὐξάνεσθε καὶ πλη- 4.
θύνεσθε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν
ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν
29 καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. [29] καὶ
εἶπεν ὁ θεός Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ
ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρ-
30 ματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν. [30] καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ
πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ
ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο
31 οὕτως. [31] καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ λίαν. καὶ
ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

## II.

1 Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. [2] καὶ
συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε· καὶ κα-
τέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε. He. 4, 4.
3 [3] καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν
αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι.
4 [4] αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησε
5 κύριος ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, [5] καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ
γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ
6 ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν· [6] πηγὴ
7 δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. [7] καὶ ἔπλα-
σεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσ-
8 ωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. [8] καὶ 1 Co. 15, 45.
ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν
9 ἄνθρωπον ὃν ἔπλασε. [9] καὶ ἐξανέτειλεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον
εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν· καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παρα- *Ap. 22,
10 δείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. [10] ποταμὸς δὲ 2.
ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσα-
11 ρας ἀρχάς. [11] ὄνομα τῷ ἑνὶ Φισῶν, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ,
12 ἐκεῖ οὗ ἔστι τὸ χρυσίον· [12] τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ
13 ἔστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. [13] καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ
14 Γεών, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. [14] καὶ ὁ ποταμὸς ὁ τρίτος
Τίγρις, οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρ-
15 τος Εὐφράτης. [15] καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε καὶ ἔθετο
16 αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. [16] καὶ
ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ πα-
17 ραδείσῳ βρώσει φαγῇ· [17] ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν,

25. τα κτηνη κατα γενος και π. τ. ερπ. τ. γ. κατα γενος αυτων ... ιδεν, item 31. et alibi (v. Prolegg.) 28. ηυλογησεν 29. παν χορτον σποριμον σπειρων 30. παντι τω ερπετ. τω ερπ. II. 3. ηυλογησεν 5. εργαζεσθ. την γην 6. ανεβεννεν 8. κυριος ο θεος 9. εμμεσω τω παραδεισω 11. φεισων ... ευειλατ 13. γηων 14. ο πορευομενος ο τετ. ουτος 15. om της τρυφης

Digitized by Google

οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθα-
νεῖσθε. 18 καὶ εἶπε κύριος ὁ θεός Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιή- 18
σωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. 19 καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα 19
τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ
πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ
ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ. 20 καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς 20
κτήνεσι καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ·
τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. 21 καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν 21
ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλή-
*1 Co. 11, 8. ρωσε σάρκα ἀντ' αὐτῆς. 22 καὶ ᾠκοδόμησεν ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν 22
ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα· καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ. 23 καὶ εἶπεν 23
*Eph. 5, 30. Ἀδάμ Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου·
Mt. 19, 5. αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. 24 ἕνεκεν τούτου 24
Eph. 5, 31. καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσε-
1 Co. 6, 16. ται πρὸς τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

## III.

Καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύ-
*Ap. 12, 9. νοντο. ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς ὧν
ἐποίησε κύριος ὁ θεός. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Τί ὅτι εἶπεν ὁ θεός Οὐ
μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; 2 καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει 2
Ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ παραδείσου φαγούμεθα· 3 ἀπὸ δὲ τοῦ καρποῦ 3
τοῦ ξύλου ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεός Οὐ φάγεσθε ἀπ'
αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. 4 καὶ εἶπεν ὁ ὄφις τῇ γυ- 4
ναικί Οὐ θανάτῳ ἀποθανεῖσθε· 5 ᾔδει γὰρ ὁ θεὸς ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε 5
ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοί, γινώ-
σκοντες καλὸν καὶ πονηρόν. 6 καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, 6
καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ
λαβοῦσα ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ'
αὐτῆς, καὶ ἔφαγον. 7 καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν 7
ὅτι γυμνοὶ ἦσαν· καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.
8 καὶ ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ 8
τὸ δειλινόν· καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου
τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. 9 καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν 9
Ἀδὰμ καὶ εἶπεν αὐτῷ Ἀδάμ, ποῦ εἶ; 10 καὶ εἶπεν αὐτῷ Τῆς φωνῆς σου 10
ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ
ἐκρύβην. 11 καὶ εἶπεν αὐτῷ ὁ θεὸς Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ 11
τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;
12 καὶ εἶπεν ὁ Ἀδὰμ Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ 12
τοῦ ξύλου, καὶ ἔφαγον. 13 καὶ εἶπε κύριος ὁ θεὸς τῇ γυναικί Τί τοῦτο ἐποίη- 13
*2 Co. 11, 3. σας; καὶ εἶπεν ἡ γυνή Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. 14 καὶ εἶπε κύριος 14
ὁ θεὸς τῷ ὄφει Ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτη-
νῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ
τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. 15 καὶ 15
ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ
σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφα-
λήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. 16 καὶ τῇ γυναικὶ εἶπε Πληθύνων πλη- 16

17. ημ. φαγησθε 19. ον. αυτου 20. τω τε 22. κύριος ο θε. 23. * om οστουν ... αυτ. ελημφθη αυτη 24. προσκολλ. τη γυναικι αυτ. III. 1. * του εν τω παραδεισω (?) 2. ** απο παντος ξυλου ... φαγομεθα 3. απο δε καρπου ... εμμεσω 5. οτι εν η ... φαγησθε 6. ιδεν ... om απο 8. την φωνην ... εμμεσω 10. την φωνην 11. om ο θεος 14. * om των επι



Digitized by Google

θυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς
17 τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. 17 τῷ δὲ Ἀδὰμ* *1Co. 11,
εἶπεν Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ 3.
ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ
γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·
18 18 ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. 19 ἐν
19 ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν
20 γῆν ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. 20 καὶ ἐκάλεσεν Ἀδὰμ
21 τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι μήτηρ πάντων τῶν ζώντων. 21 καὶ
ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους,
22 καὶ ἐνέδυσεν αὐτούς. 22 καὶ εἶπεν ὁ θεός Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν
τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ
23 καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. 23 καὶ
ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι
24 τὴν γῆν ἐξ ἧς ἐλήφθη. 24 καὶ ἐξέβαλε τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέ-
ναντι τοῦ παραδείσου τῆς τρυφῆς, καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην
ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

## IV.

Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν.
2 καὶ εἶπεν Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. 2 καὶ προσέθηκε τεκεῖν τὸν ἀδελ-
φὸν αὐτοῦ τὸν Ἄβελ. καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων· Κάϊν δὲ ἦν ἐργα-
3 ζόμενος τὴν γῆν. 3 καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς
4 γῆς θυσίαν τῷ κυρίῳ· 4 καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν
προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ *He. 11,
5 καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· 5 ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσ- 4.
6 έσχε. καὶ ἐλυπήθη Κάϊν λίαν καὶ συνέπεσε τῷ προσώπῳ αὐτοῦ. 6 καὶ εἶπε
κύριος ὁ θεὸς τῷ Κάϊν Ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσ-
7 ωπόν σου; 7 οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύ-
8 χασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. 8 καὶ εἶπε Κάϊν *Mt. 23,
πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ Διέλθωμεν εἰς τὸ πεδίον. καὶ ἐγένετο ἐν τῷ 35. *He. 12, 24.
εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέ- *1Jo. 3,
9 κτεινεν αὐτόν. 9 καὶ εἶπε κύριος ὁ θεὸς πρὸς Κάϊν Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελ- 12. *Jud. 11.
10 φός σου; καὶ εἶπεν Οὐ γινώσκω· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ; 10 καὶ
εἶπε κύριος Τί πεποίηκας; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ
11 τῆς γῆς. 11 καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς
12 δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου. 12 ὅτε ἐργᾷ τὴν γῆν,
καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι· στένων καὶ τρέμων ἔσῃ ἐπὶ
13 τῆς γῆς. 13 καὶ εἶπε Κάϊν πρὸς κύριον τὸν θεόν Μείζων ἡ αἰτία μου τοῦ
14 ἀφεθῆναί με. 14 εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ
προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς· καὶ
15 ἔσται πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. 15 καὶ εἶπεν αὐτῷ κύριος ὁ θεὸς Οὐχ
οὕτω· πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει. καὶ ἔθετο κύριος
ὁ θεὸς σημεῖον τῷ Κάϊν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.
16 16 ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν γῇ Ναΐδ κατέναντι
17 Ἐδέμ. 17 καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ.
καὶ ἦν οἰκοδομῶν πόλιν· καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ

---

19. ελημφθης 20. om αυτου ... οτι αυτη μητ. 22. κυριος ο θεος ... τ. χειρα και λαβη του 23. ελημφθη 24. χερουβειν IV. 1. και συνελαβεν και 5. ελυπησεν τον ... om αυτου 8. και ανεστη 9. om κυριος ... ο δε ειπεν 10. κ. ε. ο θεος τι εποιησας 11. συ επι της 12. οτι εργα 13. προς τον κυριον· μειζ. 14. εκβαλεις 15. ουτως

Digitized by Google

αὐτοῦ Ἐνώχ. [18] ἐγεννήθη δὲ τῷ Ἐνὼχ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μα- 18
λελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν
Λάμεχ. [19] καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδά, καὶ 19
ὄνομα τῇ δευτέρᾳ Σελλά. [20] καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν πατὴρ 20
οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. [21] καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· 21
οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. [22] Σελλὰ δὲ καὶ αὐτὴ ἔτεκε 22
τὸν Θόβελ· καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου. ἀδελφὴ δὲ Θόβελ
Νοεμά. [23] εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν, Ἀδὰ καὶ Σελλά Ἀκούσατέ 23
μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους· ὅτι ἄνδρα
ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί· [24] ὅτι ἑπτάκις 24
ἐκδεδίκηται ἐκ Καΐν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. [25] ἔγνω δὲ Ἀδὰμ 25
Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν. καὶ ἐπωνόμασε τὸ
ὄνομα αὐτοῦ Σήθ λέγουσα Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ
Ἄβελ, ὃν ἀπέκτεινε Καΐν. [26] καὶ τῷ Σὴθ ἐγένετο υἱός, ἐπωνόμασε δὲ τὸ 26
ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

## V.

Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ,
κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· [2] ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εὐλό- 2
γησεν αὐτούς. καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐ-
τούς. [3] ἔζησε δὲ Ἀδὰμ τριάκοντα καὶ διακόσια ἔτη, καὶ ἐγέννησε κατὰ τὴν 3
ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ
Σήθ. [4] ἐγένοντο δὲ αἱ ἡμέραι Ἀδὰμ ἃς ἔζησε μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν 4
Σὴθ ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [5] καὶ ἐγένοντο πᾶσαι 5
αἱ ἡμέραι Ἀδὰμ ἃς ἔζησε τριάκοντα καὶ ἐννακόσια ἔτη, καὶ ἀπέθανεν. [6] ἔζησε 6
δὲ Σὴθ πέντε καὶ διακόσια ἔτη καὶ ἐγέννησε τὸν Ἐνώς. [7] καὶ ἔζησε Σὴθ 7
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνὼς ἑπτὰ ἔτη καὶ ἑπτακόσια, καὶ ἐγέννησεν
υἱοὺς καὶ θυγατέρας. [8] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σὴθ δώδεκα καὶ ἐννα- 8
κόσια ἔτη, καὶ ἀπέθανε. [9] καὶ ἔζησεν Ἐνὼς ἔτη ἑκατὸν ἐνενήκοντα καὶ ἐγέν- 9
νησε τὸν Καϊνᾶν. [10] καὶ ἔζησεν Ἐνὼς μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν 10
πεντεκαίδεκα ἔτη καὶ ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [11] καὶ 11
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼς πέντε ἔτη καὶ ἐννακόσια, καὶ ἀπέθανε. [12] καὶ 12
ἔζησε Καϊνᾶν ἑβδομήκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησε τὸν Μαλελεήλ. [13] καὶ 13
ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαλελεὴλ τεσσαράκοντα καὶ ἑπτα-
κόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [14] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι 14
Καϊνᾶν δέκα ἔτη καὶ ἐννακόσια, καὶ ἀπέθανε. [15] καὶ ἔζησε Μαλελεὴλ πέντε 15
καὶ ἑξήκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησε τὸν Ἰάρεδ. [16] καὶ ἔζησε Μαλελεὴλ 16
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἰάρεδ ἔτη τριάκοντα καὶ ἑπτακόσια, καὶ ἐγέν-
νησεν υἱοὺς καὶ θυγατέρας. [17] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαλελεὴλ ἔτη 17
πέντε καὶ ἐνενήκοντα καὶ ὀκτακόσια, καὶ ἀπέθανε. [18] καὶ ἔζησεν Ἰάρεδ δύο 18
καὶ ἑξήκοντα ἔτη καὶ ἑκατὸν καὶ ἐγέννησε τὸν Ἐνώχ. [19] καὶ ἔζησεν Ἰάρεδ 19
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνὼχ ὀκτακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ
θυγατέρας. [20] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἰάρεδ δύο καὶ ἑξήκοντα καὶ ἐννα- 20

---

18. εγενηθη... τον μαιηλ· και μαιηλ. 20. ιωβελ...: ην ο πατηρ 22. ετεκε και αυτη V. 2. ** τ. ονομ. αυτων 3. διακοσ. κ. τριακ... ειδεαν 4. ** om ας εζησε... επτακ. ετη 5. εννακ. κ. τριακ. 6. διακ. κ. πεντ. 7. επτακ. κ. επτ. 8. εννακοσ. και (** om και) δωδ. 9. εκατ. ενενηκ. ετη 10. επτακοσ. κ. δεκαπεντε ετη 11. εννακοσ. κ. πεντ. ετη 12. εκατον εβδομηκ. ετη 13. επτακοσ. κ. τεσσερακ. ετη 14. εννακοσ. κ. δεκ. ετη 15. εκατον και εξηκ. πεντε ετη 16. επτακ. κ. τριακ. ετη 17. οκτακ. κ. ενενηκ. πεντ. ετη 18. ιαρετ... εκατ. κ. εξηκ. δυο ετη 20. εννακ. κ. εξηκ. δυο ετη

21 κόσια ἔτη, καὶ ἀπέθανε. [21] καὶ ἔζησεν Ἐνὼχ πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν
22 ἔτη καὶ ἐγέννησε τὸν Μαθουσάλα. [22] εὐηρέστησε δὲ Ἐνὼχ τῷ θεῷ μετὰ τὸ
γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα διακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγα-
23 τέρας. [23] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼχ πέντε καὶ ἑξήκοντα καὶ τρια-
24 κόσια ἔτη. [24] καὶ εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ· καὶ οὐχ εὑρίσκετο, ὅτι μετέ- He. 11, 5.
25 θηκεν αὐτὸν ὁ θεός. [25] καὶ ἔζησε Μαθουσάλα ἑπτὰ ἔτη καὶ ἑξήκοντα καὶ ἑκα-
26 τὸν καὶ ἐγέννησε τὸν Λάμεχ. [26] καὶ ἔζησε Μαθουσάλα μετὰ τὸ γεννῆσαι αὐτὸν
27 τὸν Λάμεχ δύο καὶ ὀκτακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [27] καὶ
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαθουσάλα ἃς ἔζησεν ἐννέα καὶ ἑξήκοντα καὶ ἐννα-
28 κόσια ἔτη, καὶ ἀπέθανε. [28] καὶ ἔζησε Λάμεχ ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκα-
29 τὸν ἔτη καὶ ἐγέννησεν υἱόν. [29] καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Νῶε λέγων
Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν καὶ ἀπὸ τῶν λυπῶν τῶν χει-
30 ρῶν ἡμῶν καὶ ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεός. [30] καὶ ἔζησε Λάμεχ
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Νῶε πεντακόσια καὶ ἑξήκοντα καὶ πέντε ἔτη, καὶ
31 ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [31] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Λάμεχ ἑπτα-
κόσια καὶ πεντήκοντα τρία ἔτη, καὶ ἀπέθανε.

## VI.

Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων καὶ ἐγέννησε τρεῖς υἱούς, τὸν Σήμ, τὸν
Χάμ, τὸν Ἰάφεθ. καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ
2 τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. [2] ἰδόντες δὲ υἱοὶ τοῦ θεοῦ τὰς
θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πα-
3 σῶν ὧν ἐξελέξαντο. [3] καὶ εἶπε κύριος ὁ θεός Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά
μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας·
4 ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη. [4] οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς
γῆς ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ μετ᾽ ἐκεῖνο ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ
θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν αὐτοῖς· ἐκεῖνοι ἦσαν
5 οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. [5] ἰδὼν δὲ κύριος ὁ θεὸς *Mt. 24,
ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖ- 37. *Lc. 17, 26.
6 ται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας· [6] καὶ *1 Pe. 3,
7 ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη. [7] καὶ 20. *2 Pe. 2, 5. 3, 6.
εἶπεν ὁ θεός Ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς,
ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ· ὅτι
8 ἐνεθυμήθην ὅτι ἐποίησα αὐτούς. [8] Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ.
9 [9] αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ *Mt. 24,
10 αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε. [10] ἐγέννησε δὲ Νῶε τρεῖς υἱούς, τὸν Σήμ, 37. *Lc. 17, 26.
11 τὸν Χάμ, τὸν Ἰάφεθ. [11] ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ
12 γῆ ἀδικίας. [12] καὶ εἶδε κύριος ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι
13 κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. [13] καὶ εἶπε κύριος ὁ θεὸς
τῷ Νῶε Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας
14 ἀπ᾽ αὐτῶν· καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν. [14] ποίησον οὖν σεαυ-
τῷ κιβωτὸν ἐκ ξύλων τετραγώνων· νοσσιὰς ποιήσεις τὴν κιβωτόν, καὶ ἀσφαλ-
15 τώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ. [15] καὶ οὕτω ποιήσεις τὴν κιβω-
τόν· τριακοσίων πηχέων τὸ μῆκος τῆς κιβωτοῦ, καὶ πεντήκοντα πηχέων τὸ
16 πλάτος, καὶ τριάκοντα πηχέων τὸ ὕψος αὐτῆς. [16] ἐπισυνάγων ποιήσεις τὴν

---

21. εκατ. κ. εξηκ. πεντε ετη 23. τριακ. εξηκ. πεντ. ετη 24. ηυρισκετο διοτι 25. εκατ. κ. εξηκ. (** ογδοηκ.) επτα ετη 26. ** επτακοσια και ογδοηκοντα δυο ετη 27. ενναχοσ. κ. εξηκ. εννεα ετη 28. εκατ. ογδοηκ. οκτ. ετη 30. om και ante πεντε VI. 1. εγενν. νωε τρ... τον χαφ... γεινεσθαι... εγενηθησαν 2. δε οι αγγελοι του 4. εγενν. εαυτοις 7. εως των πετειν. ... οτι εθυμωθην 10. τον χαφ 12. ιδεν 13. κ. ειπ. ο θεος προς νωε 15 ουτως

Digitized by Google

κιβωτόν, καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν τῆς κιβωτοῦ
ποιήσεις ἐκ πλαγίων, κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτήν. [17] ἐγὼ 17
δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν ὕδωρ ἐπὶ τὴν γῆν, καταφθεῖραι πᾶσαν σάρκα
ἐν ᾗ ἐστὶ πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ· καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς
τελευτήσει. [18] καὶ στήσω τὴν διαθήκην μου μετὰ σοῦ· εἰςελεύσῃ δὲ εἰς τὴν 18
κιβωτόν, σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου
μετὰ σοῦ. [19] καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν καὶ 19
ἀπὸ πάντων τῶν θηρίων καὶ ἀπὸ πάσης σαρκός, δύο δύο ἀπὸ πάντων εἰςά-
ξεις εἰς τὴν κιβωτὸν ἵνα τρέφῃς μετὰ σεαυτοῦ· ἄρσεν καὶ θῆλυ ἔσονται.
[20] ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν 20
κτηνῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς
κατὰ γένος αὐτῶν, δύο δύο ἀπὸ πάντων εἰςελεύσονται πρὸς σὲ τρέφεσθαι μετὰ
σοῦ, ἄρσεν καὶ θῆλυ. [21] σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμάτων ἃ 21
*He. 11, ἔδεσθε καὶ συνάξεις πρὸς σεαυτόν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν. [22] καὶ 22
7. *ἐποίησε Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός, οὕτως ἐποίησε.

## VII.

Καὶ εἶπε κύριος ὁ θεὸς πρὸς Νῶε Εἴςελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς
τὴν κιβωτόν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου ἐν τῇ γενεᾷ ταύτῃ. [2] ἀπὸ δὲ 2
τῶν κτηνῶν τῶν καθαρῶν εἰςάγαγε πρὸς σὲ ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, ἀπὸ
δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο ἄρσεν καὶ θῆλυ· [3] καὶ ἀπὸ τῶν πε- 3
τεινῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ πάντων
τῶν πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο ἄρσεν καὶ θῆλυ, διαθρέψαι σπέρμα ἐπὶ
πᾶσαν τὴν γῆν. [4] ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαρά- 4
κοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶν τὸ ἀνάστημα ὃ
ἐποίησα ἀπὸ προςώπου πάσης τῆς γῆς. [5] καὶ ἐποίησε Νῶε πάντα ὅσα ἐνετείλατο 5
αὐτῷ κύριος ὁ θεός. [6] Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος 6
ἐγένετο ἐπὶ τῆς γῆς. [7] εἰςῆλθε δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ 7
αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατα-
κλυσμοῦ. [8] καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ 8
καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ κα-
θαρῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς [9] δύο δύο εἰςῆλθον πρὸς 9
*1 Pe. 3, Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε. [10] καὶ 10
20. *2 Pe. 2, 5. ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς
3, 6. γῆς. [11] ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε τοῦ δευτέρου μηνός, ἑβδόμῃ 11
καὶ εἰκάδι τοῦ μηνός· τῇ ἡμέρᾳ ταύτῃ ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου,
καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν· [12] καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς 12
γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. [13] ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰς- 13
ῆλθε Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, οἱ υἱοὶ Νῶε, καὶ ἡ γυνὴ Νῶε καὶ αἱ τρεῖς
γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτόν. [14] καὶ πάντα τὰ θηρία 14
κατὰ γένος καὶ πάντα τὰ κτήνη κατὰ γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς
γῆς κατὰ γένος καὶ πᾶν ὄρνεον πετεινὸν κατὰ γένος αὐτοῦ [15] εἰςῆλθον πρὸς Νῶε 15
εἰς τὴν κιβωτόν, δύο δύο ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς ἐν ᾧ ἐστὶ πνεῦμα
ζωῆς. [16] καὶ τὰ εἰςπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰςῆλθε, 16
καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε· καὶ ἔκλεισε κύριος ὁ θεὸς τὴν κιβωτὸν ἔξωθεν
αὐτοῦ. [17] καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα 17

17. εν η εστιν εν αυτη ... οσα εαν 18. τ. διαθ. μ. προς σε 21. λημψη
VII. 4. τεσσεραχοντα bis ... om πασης 6. κ. ο κατακλυσμος ην επι 8. **
κ. απο τ. πετειν. και α. τ. κτην. των καθαρ. κ. α. τ. κτην. των μη καθ.
και α. τ. πετεινων και απο παντ. τ. ερπ. των επι 9. ενετ. αυτω ο θ.
11. καταραχται 12. τεσσεραχοντα bis 13. om οι 14. om ορνεον ... om
αυτου 17. επι της γης τεσσεραχ. η. κ. τεσσεραχ. ν. επι τ. γ. κ. επληθυνθη.

Digitized by Google

νύκτας ἐπὶ τῆς γῆς· καὶ ἐπεπληθύνθη τὸ ὕδωρ καὶ ἐπῆρε τὴν κιβωτόν, καὶ
18 ὑψώθη ἀπὸ τῆς γῆς. [18] καὶ ἐπεκράτει τὸ ὕδωρ καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς
19 γῆς. καὶ ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος. [19] τὸ δὲ ὕδωρ ἐπεκράτει σφό
δρα σφόδρα ἐπὶ τῆς γῆς, καὶ ἐκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλὰ ἃ ἦν ὑποκάτω
20 τοῦ οὐρανοῦ. [20] πεντεκαίδεκα πήχεις ὑπεράνω ὑψώθη τὸ ὕδωρ, καὶ ἐπεκάλυψε
21 πάντα τὰ ὄρη τὰ ὑψηλά. [21] καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν
πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς
22 γῆς καὶ πᾶς ἄνθρωπος· [22] καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς καὶ πᾶν ὃ ἦν ἐπὶ τῆς
23 ξηρᾶς ἀπέθανε. [23] καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα ὃ ἦν ἐπὶ προςώπου τῆς γῆς,
ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ· καὶ
ἐξηλείφησαν ἀπὸ τῆς γῆς. καὶ κατελείφθη μόνος Νῶε καὶ οἱ μετ' αὐτοῦ ἐν τῇ
24 κιβωτῷ. [24] καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα.

## VIII.

Καὶ ἀνεμνήσθη ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων καὶ πάντων τῶν
κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ὅσα ἦν
μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ· καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκό-
2 πασε τὸ ὕδωρ. [2] καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ καταῤῥάκται
3 τοῦ οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ, [3] καὶ ἐνεδίδου τὸ ὕδωρ
πορευόμενον ἀπὸ τῆς γῆς· καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκα-
4 τὸν ἡμέρας. [4] καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι
5 τοῦ μηνός, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. [5] τὸ δὲ ὕδωρ ἠλαττονοῦτο ἕως τοῦ δεκάτου
μηνός· καὶ ἐν τῷ δεκάτῳ μηνί, τῇ πρώτῃ τοῦ μηνός, ὤφθησαν αἱ κεφαλαὶ
6 τῶν ὀρέων. [6] καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν θυρίδα
7 τῆς κιβωτοῦ ἣν ἐποίησε, καὶ ἀπέστειλε τὸν κόρακα· [7] καὶ ἐξελθὼν οὐχ ἀνέστρε-
8 ψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. [8] καὶ ἀπέστειλε τὴν περιστερὰν
9 ὀπίσω αὐτοῦ ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. [9] καὶ οὐχ εὑροῦσα ἡ πε-
ριστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς ἀνέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι
ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτὴν
10 καὶ εἰςήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν. [10] καὶ ἐπισχὼν ἔτι ἡμέρας
11 ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ. [11] καὶ ἀνέστρεψε
πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν, καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ
12 στόματι αὐτῆς· καὶ ἔγνω Νῶε ὅτι κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. [12] καὶ ἐπι-
σχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλε τὴν περιστεράν, καὶ οὐ προς-
13 έθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι. [13] καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ
ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνὸς μιᾷ τοῦ μηνός, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ
τῆς γῆς· καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ ἣν ἐποίησε, καὶ εἶδεν ὅτι
14 ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. [14] ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ
15 γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός. [15] καὶ εἶπε κύριος ὁ θεὸς πρὸς Νῶε λέγων
16 [16] Ἔξελθε ἐκ τῆς κιβωτοῦ, σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες
17 τῶν υἱῶν σου μετὰ σοῦ, [17] καὶ πάντα τὰ θηρία ὅσα ἐστὶ μετὰ σοῦ, καὶ πᾶσα
σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν· καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξά-
18 γαγε μετὰ σεαυτοῦ. καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. [18] καὶ ἐξῆλθε
Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ'

---

19. σφ. σφοδρως ... επεκαλ. 20. δεκαπεντε π. επανω 22. πας ος ην
23. αναστεμα ... πασης τ. γης ... εξηλειφθησ. VIII. 1. εμνησθη ... om τ. ερποντ.
2. απεκαλυφθησαν ... καταρακται 3. γης· ενεδιδου το υδωρ και ηλαττ. μετα
5. υδ. πορευομενον ηλαττ... μηνος· εν δε τω ενδεκατω 6. τεσσερακοντα...
κορακα του ιδειν ει κεκοπακεν το υδωρ· και εξ. 7. ουχ υπεστρεψεν 9. επι
παντι προσωπω πασης τ. γ... τ. χειρ. αυτου 13. του μηνος του πρωτου...
εξελειπεν bis ... ** om ην εποιησε 14. τω μηνι τω δευτερ. εβδ. κ. ειχ.
τ. μην. εξηρ. η γη 15. τω νωε 17. εξαγαγ. μετα σου 18. * om μετ αυτου

Digitized by Google

αὐτοῦ· [19] καὶ πάντα τὰ ϑηρία καὶ πάντα τὰ κτήνη καὶ πᾶν πετεινὸν καὶ πᾶν 19
ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν ἐξήλϑοσαν ἐκ τῆς κιβωτοῦ.
[20] καὶ ᾠκοδόμησε Νῶε ϑυσιαστήριον τῷ κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν 20
κτηνῶν τῶν καϑαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καϑαρῶν, καὶ ἀνήνεγ-
κεν εἰς ὁλοκάρπωσιν ἐπὶ τὸ ϑυσιαστήριον. [21] καὶ ὠσφράνϑη κύριος ὁ ϑεὸς ὀσμὴν 21
εὐωδίας, καὶ εἶπε κύριος ὁ ϑεὸς διανοηϑεὶς Οὐ προσϑήσω ἔτι καταράσασϑαι τὴν
γῆν διὰ τὰ ἔργα τῶν ἀνϑρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνϑρώπου ἐπιμελῶς
ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐ προσϑήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα
ζῶσαν καϑὼς ἐποίησα. [22] πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα καὶ ϑερισμός, ψῦ- 22
χος καὶ καῦμα, ϑέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσι.

## IX.

Καὶ εὐλόγησεν ὁ ϑεὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς Αὐ-
ξάνεσϑε καὶ πληϑύνεσϑε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς.
[2] καὶ ὁ τρόμος καὶ ὁ φόβος ὑμῶν ἔσται ἐπὶ πᾶσι τοῖς ϑηρίοις τῆς γῆς, ἐπὶ πάντα 2
τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ πάντας
τοὺς ἰχϑύας τῆς ϑαλάσσης· ὑπὸ χεῖρας ὑμῖν δέδωκα. [3] καὶ πᾶν ἑρπετὸν ὅ ἐστι 3
ζῶν ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. [4] πλὴν 4
κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσϑε· [5] καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν 5
ὑμῶν, ἐκ χειρὸς πάντων τῶν ϑηρίων ἐκζητήσω αὐτό· καὶ ἐκ χειρὸς ἀνϑρώπου
*Ap. 13, 10. ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνϑρώπου. [6] ὁ ἐκχέων αἷμα ἀνϑρώπου ἀντὶ 6
τοῦ αἵματος αὐτοῦ ἐκχυϑήσεται, ὅτι ἐν εἰκόνι ϑεοῦ ἐποίησα τὸν ἄνϑρωπον.
[7] ὑμεῖς δὲ αὐξάνεσϑε καὶ πληϑύνεσϑε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύ- 7
σατε αὐτῆς. [8] καὶ εἶπεν ὁ ϑεὸς τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ λέγων 8
[9] Καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαϑήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν μεϑ' 9
ὑμᾶς [10] καὶ πάσῃ ψυχῇ ζώσῃ μεϑ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ 10
πᾶσι τοῖς ϑηρίοις τῆς γῆς ὅσα ἐστὶ μεϑ' ὑμῶν ἀπὸ πάντων τῶν ἐξελϑόντων ἐκ
τῆς κιβωτοῦ. [11] καὶ στήσω τὴν διαϑήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποϑανεῖται 11
πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ οὐκέτι ἔσται κατακλυσμὸς
ὕδατος καταφϑεῖραι πᾶσαν τὴν γῆν. [12] καὶ εἶπε κύριος ὁ ϑεὸς πρὸς Νῶε Τοῦτο 12
τὸ σημεῖον τῆς διαϑήκης ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον
πάσης ψυχῆς ζώσης ἥ ἐστι μεϑ' ὑμῶν εἰς γενεὰς αἰωνίους· [13] τὸ τόξον μου τί- 13
ϑημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον διαϑήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς
γῆς. [14] καὶ ἔσται ἐν τῷ συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν ὀφϑήσεται τὸ τόξον 14
ἐν τῇ νεφέλῃ, [15] καὶ μνησϑήσομαι τῆς διαϑήκης μου, ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ 15
καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί· καὶ οὐκ ἔσται ἔτι
τὸ ὕδωρ εἰς κατακλυσμόν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα. [16] καὶ ἔσται τὸ τόξον 16
μου ἐν τῇ νεφέλῃ, καὶ ὄψομαι τοῦ μνησϑῆναι διαϑήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ
καὶ τῆς γῆς καὶ ἀνὰ μέσον ψυχῆς ζώσης ἐν πάσῃ σαρκὶ ἥ ἐστιν ἐπὶ τῆς γῆς.
[17] καὶ εἶπεν ὁ ϑεὸς τῷ Νῶε Τοῦτο τὸ σημεῖον τῆς διαϑήκης ἧς διεϑέμην ἀνὰ 17
μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης σαρκὸς ἥ ἐστιν ἐπὶ τῆς γῆς. [18] ἦσαν δὲ οἱ 18
υἱοὶ Νῶε οἱ ἐξελϑόντες ἐκ τῆς κιβωτοῦ Σήμ, Χάμ, Ἰάφεϑ· Χὰμ δὲ ἦν πατὴρ
Χαναάν. [19] τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε· ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν 19
γῆν. [20] καὶ ἤρξατο Νῶε ἄνϑρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα. 20
[21] καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεϑύσϑη, καὶ ἐγυμνώϑη ἐν τῷ οἴκῳ αὐτοῦ. 21

---

20. ϑυσ. τω ϑεω· και ... om εις 21. ετι του καταρ... om αυτου
IX. 1. ηυλογησεν 2. υμων και ο φοβ. εσται ... γης και επι π. τ. ορνεα
τ. ουρ... ** om επι ultim. 3. εδωκα 5. * εκζητησω· εκ χ. π. τ. ϑ. εκζ. α.
7. και πληϑυνεσϑε επι της γης pro κ. κατακυρ. αυτ. 9. om και ... εγω ιδου
10. *απ. των κτην. (?) ... om εστι 11. ουκ εσται ετι ... υδατ. του καταφϑ.
14. τ. τοξ. μου εν 16. * οψ. αυτην sive αυτο του μν. (?) ... om και της
γης ... μεσ. πασης ψυχ. 18. om δε ante ην 19. οι υιοι

Digitized by Google

22 22 καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξελθὼν
23 ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. 23 καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ
ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ
συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν· καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθο-
24 φανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. 24 ἐξένηψε δὲ Νῶε ἀπὸ
25 τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. 25 καὶ εἶπεν
26 Ἐπικατάρατος Χαναὰν παῖς· οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. 26 καὶ εἶπεν
Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ.
27 27 πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σήμ· καὶ
28 γενηθήτω Χαναὰν παῖς αὐτοῦ. 28 ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη
29 τριακόσια πεντήκοντα. 29 καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια πεντή-
κοντα ἔτη, καὶ ἀπέθανεν.

## X.

Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ· καὶ ἐγεννήθησαν
2 αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν. 2 υἱοὶ Ἰάφεθ· Γαμὲρ καὶ Μαγὼγ καὶ Μαδοὶ
3 καὶ Ἰωύαν καὶ Ἐλισὰ καὶ Θοβὲλ καὶ Μοσὸχ καὶ Θείρας. 3 καὶ υἱοὶ Γαμέρ·
4 Ἀσχανὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά. 4 καὶ υἱοὶ Ἰωύαν· Ἐλισὰ καὶ Θάρσεις,
5 Κήτιοι, Ῥόδιοι. 5 ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν·
6 ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. 6 υἱοὶ
7 δὲ Χάμ· Χοὺς καὶ Μεσραῒν, Φοὺδ καὶ Χαναάν. 7 υἱοὶ δὲ Χούς· Σαβὰ καὶ
Εὐιλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμὰ καὶ Σαβαθακά. υἱοὶ δὲ Ῥεγμά· Σαβὰ καὶ Δα-
8 δάν. 8 Χοὺς δὲ ἐγέννησε τὸν Νεβρώδ· οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς.
9 9 οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου τοῦ θεοῦ· διὰ τοῦτο ἐροῦσιν Ὡς Νε-
10 βρὼδ γίγας κυνηγὸς ἐναντίον κυρίου. 10 καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ
11 Βαβυλὼν καὶ Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάννη ἐν τῇ γῇ Σεναάρ. 11 ἐκ τῆς γῆς
ἐκείνης ἐξῆλθεν Ἀσσούρ· καὶ ᾠκοδόμησε τὴν Νινευὶ καὶ τὴν Ῥοωβὼθ πόλιν καὶ
12 τὴν Χαλὰχ 12 καὶ τὴν Δασή, ἀνὰ μέσον Νινευὶ καὶ ἀνὰ μέσον Χαλάχ· αὕτη ἡ
13 πόλις μεγάλη. 13 καὶ Μεσραῒν ἐγέννησε τοὺς Λουδιεὶμ καὶ τοὺς Νεφθαλεὶμ καὶ
14 τοὺς Ἐνεμετιεὶμ καὶ τοὺς Λαβιεὶμ καὶ τοὺς Πατροσωνιεὶμ 14 καὶ τοὺς Χασμω-
15 νιείμ, ὅθεν ἐξῆλθε Φυλιστιείμ, καὶ τοὺς Γαφθοριείμ. 15 Χαναὰν δὲ ἐγέννησε
16 τὸν Σιδῶνα πρωτότοκον αὐτοῦ, 16 καὶ τὸν Χετταῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν
17 Ἀμορραῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀρουκαῖον 17 καὶ τὸν
18 Ἀσενναῖον καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί. 18 καὶ μετὰ
19 τοῦτο διεσπάρησαν αἱ φυλαὶ τῶν Χαναναίων· 19 καὶ ἐγένετο τὰ ὅρια τῶν Χανα-
ναίων ἀπὸ Σιδῶνος ἕως ἐλθεῖν εἰς Γεραρὰ καὶ Γαζάν, ἕως ἐλθεῖν ἕως Σοδόμων
20 καὶ Γομόρρας, Ἀδαμὰ καὶ Σεβωὶμ ἕως Δασά. 20 οὗτοι υἱοὶ Χὰμ ἐν ταῖς φυλαῖς
αὐτῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.
21 21 καὶ τῷ Σὴμ ἐγεννήθη καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν Ἔβερ, ἀδελφῷ Ἰά-
22 φεθ τοῦ μείζονος. 22 υἱοὶ Σήμ· Ἐλὰμ καὶ Ἀσσοὺρ καὶ Ἀρφαξὰδ καὶ Λοὺδ καὶ
23 Ἀρὰμ καὶ Καϊνᾶν. 23 καὶ υἱοὶ Ἀράμ· Οὒζ καὶ Οὒλ καὶ Γατὲρ καὶ Μοσόχ.
24 24 καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνᾶν, καὶ Καϊνᾶν ἐγέννησε τὸν Σαλά, Σαλὰ
25 δὲ ἐγέννησε τὸν Ἔβερ. 25 καὶ τῷ Ἔβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ
Φαλέγ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνομα τῷ ἀδελφῷ αὐ-

23. επεθηκαν ... οπιστοφανως ... αυτων οπισ - - φανες. 26. om οικετης
27. παις αυτων 28. τριακ. πεντηκ. ετη X. 1. εγενηθησαν 2. μαδαι
3. θεργαμα 4. θαρσις 7. ρεγχμα bis ... σαβαχαθα 10. σεννααρ 11. νι-
νευη ... ροωβως ... και χαλαχ 12. δασεμ ... νινευη ... η μεγαλη 13. νεφ-
θαλιειμ ... αινεμετιειμ 14. οθ. εξηλθ. εκειθεν ... χαφθοριειμ 15. om αυτου
19. εγενοντο ... om των 21. εγενηθη 22. αιλαμ ... ** και αραμων, omisso
και καινᾶν 23. ως pro ουζ ... γαθερ 24. * om τον primum (?) ... καιναμ
bis 25. φαλεκ

Digitized by Google

τοῦ Ἰεκτάν. [26] Ἰεκτὰν δὲ ἐγέννησε τὸν Ἐλμωδὰδ καὶ Σαλὲθ καὶ τὸν Σαρμὼθ 26
καὶ Ἰαρὰχ [27] καὶ Ὀδορρὰ καὶ Αἰβὴλ καὶ Δεκλὰ [28] καὶ Εὐὰλ καὶ Ἀβιμαὲλ καὶ 27 28
Σαβὰ [29] καὶ Οὐφεὶρ καὶ Εὐειλὰ καὶ Ἰωβάβ. πάντες οὗτοι υἱοὶ Ἰεκτάν. [30] καὶ 29 30
ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ Μασσῆ ἕως ἐλθεῖν εἰς Σαφηρὰ ὄρος ἀνατολῶν.
[31] οὗτοι υἱοὶ Σὴμ ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώραις 31
αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. [32] αὗται αἱ φυλαὶ υἱῶν Νῶε κατὰ γενέσεις 32
αὐτῶν, κατὰ ἔθνη αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς
γῆς μετὰ τὸν κατακλυσμόν.

## XI.

Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. [2] καὶ ἐγένετο ἐν τῷ κι- 2
νῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν εὗρον πεδίον ἐν γῇ Σεναὰρ καὶ κατῴκησαν ἐκεῖ.
[3] καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον αὐτοῦ Δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτή- 3
σωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν
αὐτοῖς ὁ πηλός. [4] καὶ εἶπαν Δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ 4
ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ δια-
σπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς. [5] καὶ κατέβη κύριος ἰδεῖν τὴν 5
πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. [6] καὶ εἶπε κύριος 6
Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ
ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν. [7] δεῦτε καὶ καταβάντες συγ- 7
χέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ
πλησίον. [8] καὶ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόςωπον πάσης τῆς γῆς, 8
καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον. [9] διὰ τοῦτο ἐκλήθη τὸ 9
ὄνομα αὐτῆς Σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ
ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς. [10] καὶ αὗται αἱ 10
γενέσεις Σήμ. καὶ ἦν Σὴμ υἱὸς ἑκατὸν ἐτῶν ὅτε ἐγέννησε τὸν Ἀρφαξάδ, δευτέ-
ρου ἔτους μετὰ τὸν κατακλυσμόν. [11] καὶ ἔζησε Σὴμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν 11
Ἀρφαξὰδ ἔτη πεντακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε.
[12] καὶ ἔζησεν Ἀρφαξὰδ ἑκατὸν τριακονταπέντε ἔτη καὶ ἐγέννησε τὸν Καϊνᾶν. 12
[13] καὶ ἔζησεν Ἀρφαξὰδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν ἔτη τετρακόσια, 13
καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε. καὶ ἔζησε Καϊνᾶν ἑκατὸν καὶ
τριάκοντα ἔτη καὶ ἐγέννησε τὸν Σαλά. καὶ ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐ-
τὸν τὸν Σαλὰ ἔτη τριακόσια τριάκοντα, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ
ἀπέθανε. [14] καὶ ἔζησε Σαλὰ ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησε τὸν Ἔβερ. 14
[15] καὶ ἔζησε Σαλὰ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἔβερ τριακόσια τριάκοντα ἔτη, 15
καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε. [16] καὶ ἔζησεν Ἔβερ ἑκατὸν 16
τριακοντατέσσαρα ἔτη καὶ ἐγέννησε τὸν Φαλέγ. [17] καὶ ἔζησεν Ἔβερ μετὰ τὸ 17
γεννῆσαι αὐτὸν τὸν Φαλὲγ ἔτη διακόσια ἑβδομήκοντα, καὶ ἐγέννησεν υἱοὺς καὶ
θυγατέρας, καὶ ἀπέθανε. [18] καὶ ἔζησε Φαλὲγ τριάκοντα καὶ ἑκατὸν ἔτη καὶ 18
ἐγέννησε τὸν Ῥαγαῦ. [19] καὶ ἔζησε Φαλὲγ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ῥαγαῦ 19
ἐννέα καὶ διακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε. [20] καὶ 20
ἔζησε Ῥαγαῦ ἑκατὸν τριάκοντα καὶ δύο ἔτη καὶ ἐγέννησε τὸν Σερούχ. [21] καὶ 21
ἔζησε Ῥαγαῦ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σεροὺχ διακόσια ἑπτὰ ἔτη, καὶ ἐγέν-
νησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε. [22] καὶ ἔζησε Σεροὺχ ἑκατὸν τριάκοντα 22

---

26. ελμωδ. κ. τον σαλεφ ... ** ασαρμωθ 27. ιαραδ ... αιζηλ 28. om και ευαλ ... αβιμεηλ κ. σαβευ 30. μασσηε ... σωφηρα 31. ουτ. οι υιοι σηθ 32. κατ. τα εθνη XI. 2. σενναар 3. om αυτου 4. ου η κεφ. εστ. ... ποιησομεν εαυτων ... om ημ. 6. εκλ. εξ ... επιθ. ποιησαι 7. εκ. αυτ. 9. το ονομ. αυτου ... αυτ. κυριος ο θεος επι 10. om και ην ... ετων εκατον 11. πενταкοσ. ετη 13. ad τετρακοσια add τριακοντα ... εκατον τριακ. ετη 16. τεσσερα ... φαλεκ 17. φαλεκ ... ετη τριακοσια εβδ. 18. φαλεκ ... εκατον τριακοντ. ετη 19. φαλεκ ... διακοσ. ενν. 20. εκατ. τριακ. δυο

Digitized by Google

23 ἔτη καὶ ἐγέννησε τὸν Ναχώρ. [23] καὶ ἔζησε Σεροὺχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν
24 Ναχὼρ ἔτη διακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ ϑυγατέρας, καὶ ἀπέϑανε. [24] καὶ
25 ἔζησε Ναχὼρ ἔτη ἑκατὸν ἑβδομηκονταεννέα καὶ ἐγέννησε τὸν Θάῤῥα. [25] καὶ
ἔζησε Ναχὼρ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Θάῤῥα ἔτη ἑκατὸν εἰκοσιπέντε, καὶ
26 ἐγέννησεν υἱοὺς καὶ ϑυγατέρας, καὶ ἀπέϑανε. [26] καὶ ἔζησε Θάῤῥα ἑβδομήκοντα
27 ἔτη καὶ ἐγέννησε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν. [27] αὗται δὲ αἱ
γενέσεις Θάῤῥα· Θάῤῥα ἐγέννησε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν,
28 καὶ Ἀῤῥὰν ἐγέννησε τὸν Λώτ. [28] καὶ ἀπέϑανεν Ἀῤῥὰν ἐνώπιον Θάῤῥα τοῦ πα-
29 τρὸς αὐτοῦ ἐν τῇ γῇ ᾗ ἐγεννήϑη, ἐν τῇ χώρᾳ τῶν Χαλδαίων. [29] καὶ ἔλαβον
Ἅβραμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἅβραμ Σάρα, καὶ
ὄνομα τῇ γυναικὶ Ναχὼρ Μελχά, ϑυγάτηρ Ἀῤῥάν, καὶ πατὴρ Μελχὰ καὶ πατὴρ
30 Ἰεσχά. [30] καὶ ἦν Σάρα στεῖρα καὶ οὐκ ἐτεκνοποίει. [31] καὶ ἔλαβε Θάῤῥα τὸν
31 Ἅβραμ υἱὸν αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν Ἀῤῥάν, υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σά-
ραν τὴν νύμφην αὐτοῦ, γυναῖκα Ἅβραμ τοῦ υἱοῦ αὐτοῦ, καὶ ἐξήγαγεν αὐτοὺς ἐκ
τῆς χώρας τῶν Χαλδαίων πορευϑῆναι εἰς γῆν Χαναάν· καὶ ἦλϑον ἕως Χαῤῥάν,
32 καὶ κατῴκησεν ἐκεῖ. [32] καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἐν γῇ Χαῤῥὰν δια-
κόσια πέντε ἔτη. καὶ ἀπέϑανε Θάῤῥα ἐν Χαῤῥάν.

## XII.

Καὶ εἶπε κύριος τῷ Ἅβραμ Ἔξελϑε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας Act.7,3.
σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω.
2 [2] καὶ ποιήσω σε εἰς ἔϑνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου,
3 καὶ ἔσῃ εὐλογημένος· [3] καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμέ-
νους σε καταράσομαι, καὶ ἐνευλογηϑήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ga.3,8. Act.3,25.
4 [4] καὶ ἐπορεύϑη Ἅβραμ καϑάπερ ἐλάλησεν αὐτῷ κύριος, καὶ ᾤχετο μετ' αὐτοῦ *He.11,
5 Λώτ· Ἅβραμ δὲ ἦν ἐτῶν ἑβδομηκονταπέντε ὅτε ἐξῆλϑεν ἐκ Χαῤῥάν. [5] καὶ ἔλα- 8.
βεν Ἅβραμ Σάραν τὴν γυναῖκα αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ
καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν ὅσα ἐκτήσαντο καὶ πᾶσαν ψυχὴν ἣν ἐκτήσαντο
6 ἐκ Χαῤῥάν, καὶ ἐξήλϑοσαν πορευϑῆναι εἰς γῆν Χαναάν. [6] καὶ διώδευσεν Ἅβραμ* Act.7,4.
τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς ἕως τοῦ τόπου Συχέμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν·
7 οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τὴν γῆν. [7] καὶ ὤφϑη κύριος τῷ Ἅβραμ καὶ *He.11.
εἶπεν αὐτῷ Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην· καὶ ᾠκοδόμησεν ἐκεῖ 9.
8 Ἅβραμ ϑυσιαστήριον κυρίῳ τῷ ὀφϑέντι αὐτῷ. [8] καὶ ἀπέστη ἐκεῖϑεν εἰς τὸ ὄρος
κατὰ ἀνατολὰς Βαιϑήλ, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ ἐν Βαιϑὴλ κατὰ
ϑάλασσαν καὶ Ἀγγαὶ κατὰ ἀνατολάς· καὶ ᾠκοδόμησεν ἐκεῖ ϑυσιαστήριον τῷ
9 κυρίῳ καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου. [9] καὶ ἀπῆρεν Ἅβραμ καὶ πορευ-
10 ϑεὶς ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. [10] καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς· καὶ κατέβη
11 Ἅβραμ εἰς Αἴγυπτον παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς. [11] ἐγέ-
νετο δὲ ἡνίκα ἤγγισεν Ἅβραμ εἰσελϑεῖν εἰς Αἴγυπτον, εἶπεν Ἅβραμ Σάρᾳ τῇ
12 γυναικί Γινώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ· [12] ἔσται οὖν ὡς ἂν ἴδωσί σε οἱ
Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ ἐστιν αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περι-
13 ποιήσονται. [13] εἰπὸν οὖν ὅτι ἀδελφὴ αὐτοῦ εἰμί, ὅπως ἂν εὖ μοι γένηται διὰ σὲ
14 καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. [14] ἐγένετο δὲ ἡνίκα εἰσῆλϑεν Ἅβραμ εἰς

---

24. om εκατον ... ϑαρα 25. ϑαρα ... εκατ. εικοσιεννεα 26. ϑαρα 27. ** ϑαρα bis (* ϑαρρα) ... ϑαρ. δε εγενν. 28. αρρα ενωπ. ϑαρρα ... εγενηϑη 31. ϑαρα ... τ. αβρ. τον υι. α... om αβραμ post γυναικα ... εις την γην ... ηλϑεν 32. om πασαι ... ϑαρα bis ... om γη XII. 1. om κ. δευ. 2. εση ευλογητος 3. ευλογηϑησονται 5. την σαρα γυναικ. αυτ. 5. post χαναακ add και ηλϑον εις γην χαναακ 6. om την γην prius 8. κατ ανατολας bis ... * in fine add τω οφϑεντι αυτω sive simile quid (?) 11. τ. γυναικ. αυτου

Digitized by Google

Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα αὐτοῦ ὅτι καλὴ ἦν σφόδρα· 15 καὶ 15
ἴδον αὐτὴν οἱ ἄρχοντες Φαραὼ καὶ ἐπῄνεσαν αὐτὴν πρὸς Φαραὼ καὶ εἰσήγαγον
αὐτὴν εἰς τὸν οἶκον Φαραώ. 16 καὶ τῷ Ἄβραμ εὖ ἐχρήσαντο δι' αὐτήν, καὶ ἐγέ- 16
νοντο αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι καὶ παῖδες καὶ παιδίσκαι καὶ ἡμίονοι
καὶ κάμηλοι. 17 καὶ ἤτασεν ὁ ϑεὸς τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς 17
καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάρας τῆς γυναικὸς Ἄβραμ. 18 καλέσας δὲ Φαραὼ τὸν 18
Ἄβραμ εἶπεν Τί τοῦτο ἐποίησάς μοι, ὅτι οὐκ ἀπήγγειλάς μοι ὅτι γυνή σού ἐστιν;
19 ἵνα τί εἶπας ὅτι ἀδελφή μού ἐστιν; καὶ ἔλαβον αὐτὴν ἐμαυτῷ γυναῖκα. καὶ 19
νῦν ἰδοὺ ἡ γυνή σου ἔναντί σου, λαβὼν ἀπότρεχε. 20 καὶ ἐνετείλατο Φαραὼ ἀν- 20
δράσι περὶ Ἄβραμ συμπροπέμψαι αὐτὸν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ πάντα ὅσα
ἦν αὐτῷ.

## XIII.

Ἀνέβη δὲ Ἄβραμ ἐξ Αἰγύπτου αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ πάντα τὰ αὐ-
τοῦ καὶ Λὼτ μετ' αὐτοῦ εἰς τὴν ἔρημον. 2 Ἄβραμ δὲ ἦν πλούσιος σφόδρα κτή- 2
νεσι καὶ ἀργυρίῳ καὶ χρυσίῳ. 3 καὶ ἐπορεύϑη ὅϑεν ἦλϑεν εἰς τὴν ἔρημον ἕως 3
Βαιϑήλ, ἕως τοῦ τόπου οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον, ἀνὰ μέσον Βαιϑὴλ
καὶ ἀνὰ μέσον Ἀγγαί, 4 εἰς τὸν τόπον τοῦ ϑυσιαστηρίου οὗ ἐποίησεν ἐκεῖ τὴν 4
ἀρχήν· καὶ ἐπεκαλέσατο ἐκεῖ Ἄβραμ τὸ ὄνομα τοῦ κυρίου. 5 καὶ Λὼτ τῷ συμ- 5
πορευομένῳ μετὰ Ἄβραμ ἦν πρόβατα καὶ βόες καὶ σκηναί. 6 καὶ οὐκ ἐχώρει 6
αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά· καὶ οὐκ ἐχώρει
αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα. 7 καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων τῶν 7
κτηνῶν τοῦ Ἄβραμ καὶ ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Λώτ· οἱ δὲ
Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν. 8 εἶπε δὲ Ἄβραμ τῷ Λώτ 8
Μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τῶν ποιμένων μοῦ καὶ
ἀνὰ μέσον τῶν ποιμένων σοῦ, ὅτι ἄνϑρωποι ἀδελφοί ἐσμεν ἡμεῖς. 9 οὐκ ἰδοὺ 9
πᾶσα ἡ γῆ ἐναντίον σού ἐστι; διαχωρίσϑητι ἀπ' ἐμοῦ. εἰ σὺ εἰς ἀριστερά, ἐγὼ
εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά, ἐγὼ εἰς ἀριστερά. 10 καὶ ἐπάρας Λὼτ τοὺς ὀφϑαλ- 10
μοὺς αὐτοῦ ἐπεῖδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη
πρὸ τοῦ καταστρέψαι τὸν ϑεὸν Σόδομα καὶ Γόμοῤῥα ὡς ὁ παράδεισος τοῦ ϑεοῦ
καὶ ὡς ἡ γῆ Αἰγύπτου, ἕως ἐλϑεῖν εἰς Ζόγορα. 11 καὶ ἐξελέξατο ἑαυτῷ Λὼτ 11
πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἀπῆρε Λὼτ ἀπὸ ἀνατολῶν· καὶ διε-
χωρίσϑησαν ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ. 12 Ἄβραμ δὲ κατῴκησεν ἐν γῇ 12
Χαναάν· Λὼτ δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων καὶ ἐσκήνωσεν ἐν Σοδό-
μοις. 13 οἱ δὲ ἄνϑρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ 13
ϑεοῦ σφόδρα. 14 ὁ δὲ ϑεὸς εἶπε τῷ Ἄβραμ μετὰ τὸ διαχωρισϑῆναι τὸν Λὼτ ἀπ' 14
αὐτοῦ Ἀνάβλεψον τοῖς ὀφϑαλμοῖς σου καὶ ἴδε ἀπὸ τοῦ τόπου οὗ νῦν σὺ εἶ πρὸς
βοῤῥᾶν καὶ λίβα καὶ ἀνατολὰς καὶ ϑάλασσαν· 15 ὅτι πᾶσαν τὴν γῆν ἣν σὺ ὁρᾷς, 15
σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. 16 καὶ ποιήσω τὸ σπέρμα σου 16
ὡς τὴν ἄμμον τῆς γῆς· εἰ δύναταί τις ἐξαριϑμῆσαι τὴν ἄμμον τῆς γῆς, καὶ τὸ
σπέρμα σου ἐξαριϑμηϑήσεται. 17 ἀναστὰς διόδευσον τὴν γῆν εἴς τε τὸ μῆκος 17
αὐτῆς καὶ εἰς τὸ πλάτος· ὅτι σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου εἰς τὸν
αἰῶνα. 18 καὶ ἀποσκηνώσας Ἄβραμ ἐλϑὼν κατῴκησε παρὰ τὴν δρῦν τὴν Μαμ- 18
βρῆ, ἣ ἦν ἐν Χεβρώμ· καὶ ᾠκοδόμησεν ἐκεῖ ϑυσιαστήριον τῷ κυρίῳ.

---

15. εισηγ. αυτ. προς φαραω 16. om και ante παιδες et ante ημιονοι
19. εμαυτ. εις γυναικα ... εναντιον σου 20. συνπροπεμψαι ... οσα ην αυτω
και λωτ μετ αυτου XIII. 4. σκηνην pro αρχην ... το ονομα κυριου
5. κτηνη pro σκηναι 6. πολλα· κ. ουκ εδυναντο κατοικειν αμα 8. τ.
ποιμ. σου κ. α. μ. τ. ποιμ. μου ... ημεις εσμεν 9. και ιδου ... om εστι ...
* om δε 12. ενσκηνωσεν 15. εως του αιωνος 16. αριϑμηϑησεται 18. μαμ-
βρην ... χεβρων ... om τω

Digitized by Google

## XIV.

Ἐγένετο δὲ ἐν τῇ βασιλείᾳ τῇ Ἀμαρφὰλ βασιλέως Σενναὰρ καὶ Ἀριὼχ
βασιλέως Ἑλλασάρ, Χοδολλογομὸρ βασιλεὺς Ἐλὰμ καὶ Θαργὰλ βασιλεὺς ἐθνῶν
2 [2] ἐποίησαν πόλεμον μετὰ Βαλλὰ βασιλέως Σοδόμων καὶ μετὰ Βαρσὰ βασιλέως
Γομόῤῥας καὶ μετὰ Σενναὰρ βασιλέως Ἀδαμὰ καὶ μετὰ Συμοβὸρ βασιλέως Σε-
3 βωεὶμ καὶ βασιλέως Βαλάκ· αὕτη ἐστὶ Σηγώρ. [3] πάντες οὗτοι συνεφώνησαν ἐπὶ
4 τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θάλασσα τῶν ἁλῶν. [4] δώδεκα ἔτη αὐτοὶ
5 ἐδούλευσαν τῷ Χοδολλογομόρ, τῷ δὲ τρισκαιδεκάτῳ ἔτει ἀπέστησαν. [5] ἐν δὲ
τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει ἦλθε Χοδολλογομὸρ καὶ οἱ βασιλεῖς μετ' αὐτοῦ, καὶ
κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσταρὼθ καὶ Καρναΐν, καὶ ἔθνη ἰσχυρὰ ἅμα
6 αὐτοῖς, καὶ τοὺς Ὀμμαίους τοὺς ἐν Σαυῇ τῇ πόλει, [6] καὶ τοὺς Χοῤῥαίους τοὺς
7 ἐν τοῖς ὄρεσι Σηεὶρ ἕως τῆς τερεβίνθου τῆς Φαράν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ. [7] καὶ
ἀναστρέψαντες ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως, αὕτη ἐστὶ Κάδης, καὶ κατέ-
κοψαν πάντας τοὺς ἄρχοντας Ἀμαλὴκ καὶ τοὺς Ἀμοῤῥαίους τοὺς κατοικοῦντας
8 ἐν Ἀσασονθαμάρ. [8] ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων καὶ βασιλεὺς Γομόῤῥας καὶ
βασιλεὺς Ἀδαμὰ καὶ βασιλεὺς Σεβωεὶμ καὶ βασιλεὺς Βαλάκ, αὕτη ἐστὶ Σηγώρ,
9 καὶ παρετάξαντο αὐτοῖς εἰς πόλεμον ἐν τῇ κοιλάδι τῇ ἁλυκῇ [9] πρὸς Χοδολλογο-
μὸρ βασιλέα Ἐλὰμ καὶ Θαργὰλ βασιλέα ἐθνῶν καὶ Ἀμαρφὰλ βασιλέα Σενναὰρ
10 καὶ Ἀριὼχ βασιλέα Ἑλλασάρ, οἱ τέσσαρες βασιλεῖς πρὸς τοὺς πέντε. [10] ἡ δὲ
κοιλὰς ἡ ἁλυκὴ φρέατα ἀσφάλτου. ἔφυγε δὲ βασιλεὺς Σοδόμων καὶ βασιλεὺς
Γομόῤῥας, καὶ ἐνέπεσαν ἐκεῖ· οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν ἔφυγον.
11 [11] ἔλαβον δὲ τὴν ἵππον πᾶσαν τὴν Σοδόμων καὶ Γομόῤῥας καὶ πάντα τὰ βρώ-
12 ματα αὐτῶν, καὶ ἀπῆλθον. [12] ἔλαβον δὲ καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ
Ἅβραμ καὶ τὴν ἀποσκευὴν αὐτοῦ, καὶ ἀπῴχοντο· ἦν γὰρ κατοικῶν ἐν Σοδόμοις.
13 [13] παραγενόμενος δὲ τῶν ἀνασωθέντων τις ἀπήγγειλεν Ἅβραμ τῷ περάτῃ· αὐ-
τὸς δὲ κατῴκει παρὰ τῇ δρυῒ τῇ Μαμβρῇ Ἀμοῤῥαίου τοῦ ἀδελφοῦ Ἐσχὼλ καὶ
14 τοῦ ἀδελφοῦ Αὐνάν, οἳ ἦσαν συνωμόται τοῦ Ἅβραμ. [14] ἀκούσας δὲ Ἅβραμ ὅτι
ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ,
15 τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν. [15] καὶ ἐπέ-
πεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς καὶ
16 κατεδίωξεν αὐτοὺς ἕως Χοβά, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. [16] καὶ ἀπέστρεψε
πᾶσαν τὴν ἵππον Σοδόμων· καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε καὶ
17 πάντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ τὰς γυναῖκας καὶ τὸν λαόν. [17] ἐξῆλθε δὲ βασι-
λεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς
τοῦ Χοδολλογομὸρ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβύ·
18 τοῦτο ἦν τὸ πεδίον τῶν βασιλέων. [18] καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκε *He.7,1
19 ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. [19] καὶ εὐλόγησε τὸν
Ἅβραμ καὶ εἶπεν Εὐλογημένος Ἅβραμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρα-
20 νὸν καὶ τὴν γῆν· [20] καὶ εὐλογητὸς ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθροὺς
21 σου ὑποχειρίους σοι. καὶ ἔδωκεν αὐτῷ Ἅβραμ δεκάτην ἀπὸ πάντων. [21] εἶπε δὲ He.7,2
βασιλεὺς Σοδόμων πρὸς Ἅβραμ Δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ.
22 [22] εἶπε δὲ Ἅβραμ πρὸς τὸν βασιλέα Σοδόμων Ἐκτενῶ τὴν χεῖρά μου πρὸς κύριον

---

XIV. 1. σενναααρ αριωχ βασιλευς σελλασαρ και ο χοδολλ... αιλαμ κ. θαλγα βασ. 2. και σενναααρ βασ. αδ. και συμ. (** συμοβορ ... * ?) β. σεβ. κ. μετα βασ. β. 4. om αυτοι ... εδουλευον 5. οι β. οι μετ ... om και ante καρναϊν ... κ. τ. σομαιους 6. τερεμινθου 7. ηλθοσαν ... ασασανθαμαρ 9. αιλαμ ... θαλγαλ ... om και ante αριωχ ... οι τεσσ. ουτοι βασ. 11. ελαβεν 12. τον λωτ υιον 13. εν τη δρυι τ. μ. ο αμορις του ... συνομοται 14. ηχμαλωτευθη λ. ο αδελφος α... inde ab και κατ - - usque βασιλεων v. 17. periit. 17. τ. κοιλ. την σαυην ... το πεδ. βασιλ... ** βασιλεως 19. ηυλογησεν 20. om αβραμ ante δεκατην 22. προς βασιλεα ... om κυριον

Digitized by Google

τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, 23 εἰ ἀπὸ σπαρτίου 23
ἕως σφυρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν· ἵνα μὴ εἴπῃς ὅτι
ἐγὼ ἐπλούτισα τὸν Ἄβραμ. 24 πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι καὶ τῆς μερίδος τῶν 24
ἀνδρῶν τῶν συμπορευθέντων μετ' ἐμοῦ, Ἐσχώλ, Αὐνάν, Μαμβρῆ· οὗτοι λή-
ψονται μερίδα.

## XV.

Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἄβραμ ἐν ὁράματι
λέγων Μὴ φοβοῦ, Ἄβραμ· ἐγὼ ὑπερασπίζω σου· ὁ μισθός σου πολὺς ἔσται
σφόδρα. 2 λέγει δὲ Ἄβραμ Δέσποτα κύριε, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι 2
ἄτεκνος· ὁ δὲ υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου, οὗτος Δαμασκὸς Ἐλιέζερ. 3 καὶ 3
εἶπεν Ἄβραμ Ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονο-
μήσει με. 4 καὶ εὐθὺς φωνὴ κυρίου ἐγένετο πρὸς αὐτὸν λέγουσα Οὐ κληρονομή- 4
σει σε οὗτος· ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. 5 ἐξήγαγε δὲ 5
Ro.4,18. αὐτὸν ἔξω καὶ εἶπεν αὐτῷ Ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς
ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν Οὕτως ἔσται τὸ σπέρμα σου.
Ro.4,3. Ja.2,23. 6 καὶ ἐπίστευσεν Ἄβραμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. 7 εἶπε δὲ 6 7
Ga.3,6. πρὸς αὐτὸν Ἐγὼ ὁ θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι
τὴν γῆν ταύτην κληρονομῆσαι. 8 εἶπε δέ Δέσποτα κύριε, κατὰ τί γνώσομαι ὅτι 8
κληρονομήσω αὐτήν; 9 εἶπε δὲ αὐτῷ Λάβε μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα 9
τριετίζουσαν καὶ κριὸν τριετίζοντα καὶ τρυγόνα καὶ περιστεράν. 10 ἔλαβε δὲ 10
αὐτῷ πάντα ταῦτα, καὶ διεῖλεν αὐτὰ μέσα, καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσωπα ἀλ-
λήλοις· τὰ δὲ ὄρνεα οὐ διεῖλε. 11 κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα, ἐπὶ τὰ διχο- 11
τομήματα αὐτῶν· καὶ συνεκάθισεν αὐτοῖς Ἄβραμ. 12 περὶ δὲ ἡλίου δυσμὰς ἔκ- 12
στασις ἐπέπεσε τῷ Ἄβραμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ·
Act.7,6. 13 καὶ ἐῤῥέθη πρὸς Ἄβραμ Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου 13
ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν αὐτοὺς καὶ ταπεινώ-
Act.7,7. σουσιν αὐτοὺς τετρακόσια ἔτη. 14 τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ· 14
μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. 15 σὺ δὲ ἀπελεύσῃ 15
πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς ἐν γήρᾳ καλῷ. 16 τετάρτη δὲ γενεᾷ 16
ἀποστραφήσονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων
ἕως τοῦ νῦν. 17 ἐπεὶ δὲ ὁ ἥλιος ἐγένετο πρὸς δυσμάς, φλὸξ ἐγένετο· καὶ ἰδοὺ 17
κλίβανος καπνιζόμενος καὶ λαμπάδες πυρός, αἳ διῆλθον ἀνὰ μέσον τῶν διχοτο-
μημάτων τούτων. 18 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέθετο κύριος τῷ Ἄβραμ διαθήκην 18
λέγων Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως
τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου· 19 τοὺς Κεναίους καὶ τοὺς Κενεζαίους καὶ 19
τοὺς Κεδμωναίους 20 καὶ τοὺς Χετταίους καὶ τοὺς Φερεζαίους καὶ τοὺς Ῥαφαεὶν 20
καὶ τοὺς Ἀμοῤῥαίους καὶ τοὺς Χαναναίους καὶ τοὺς Εὐαίους καὶ τοὺς Γεργε-
σαίους καὶ τοὺς Ἰεβουσαίους.

## XVI.

Σάρα δὲ ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ· ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία
ᾗ ὄνομα Ἄγαρ. 2 εἶπε δὲ Σάρα πρὸς Ἄβραμ Ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ 2
τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσωμαι ἐξ αὐτῆς.
ὑπήκουσε δὲ Ἄβραμ τῆς φωνῆς Σάρας. 3 καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἄβραμ 3
Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἄβραμ

---

23. σφαιρωτηρος ... λημψομαι 24. εισχωλ ... λημψονται XV. 4. inde a σου πο -- periit usque v. 6. και επιστευσεν 7. ειπ. δε αυτω 11. om επι post σωματα 13. αβραν ... ιδια, και κακωσουσιν αυτο και δουλωσουσιν αυτους κ. ταπ. α. 15. μετ ειρηνης ... εν γηρει Vv. 16. 17. 18. 19. periere. XVI. 2. * om ουν (?) ... ινα τεκνοποιησεις εξ ... τ. φωνης αυτης

Digitized by Google

4 ἐν γῇ Χαναάν, ἔδωκεν αὐτὴν τῷ Ἄβραμ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα. [4] καὶ
εἰσῆλθε πρὸς Ἄγαρ καὶ συνέλαβε· καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη
5 ἡ κυρία ἐναντίον αὐτῆς. [5] εἶπε δὲ Σάρα πρὸς Ἄβραμ Ἀδικοῦμαι ἐκ σοῦ· ἐγὼ
δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου· ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει,
6 ἠτιμάσθην ἐναντίον αὐτῆς. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. [6] εἶπε δὲ
Ἄβραμ πρὸς Σάραν Ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ ὡς ἂν
σοι ἀρεστὸν ᾖ. καὶ ἐκάκωσεν αὐτὴν Σάρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς.
7 [7] εὗρε δὲ αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς
8 πηγῆς ἐν τῇ ὁδῷ Σούρ. [8] καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου Ἄγαρ παιδίσκη Σά-
ρας, πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ εἶπεν Ἀπὸ προσώπου Σάρας τῆς κυρίας
9 μου ἐγὼ ἀποδιδράσκω. [9] εἶπε δὲ αὐτῇ ὁ ἄγγελος κυρίου Ἀποστράφηθι πρὸς τὴν
10 κυρίαν σου καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς. [10] καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος
κυρίου Πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ
11 πλήθους. [11] καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ
υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει
12 σου. [12] οὗτος ἔσται ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας καὶ αἱ χεῖ-
ρες πάντων ἐπ᾽ αὐτόν, καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοι-
13 κήσει. [13] καὶ ἐκάλεσε τὸ ὄνομα κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν Σὺ ὁ θεὸς ὁ
14 ἐπιδών με· ὅτι εἶπε Καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι. [14] ἕνεκεν τούτου ἐκά-
λεσε τὸ φρέαρ Φρέαρ οὗ ἐνώπιον εἶδον· ἰδοὺ ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον
15 Βαράδ. [15] καὶ ἔτεκεν Ἄγαρ τῷ Ἄβραμ υἱόν, καὶ ἐκάλεσεν Ἄβραμ τὸ ὄνομα τοῦ
16 υἱοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Ἄγαρ, Ἰσμαήλ. [16] Ἄβραμ δὲ ἦν ἐτῶν ὀγδοηκον-
ταέξ ἡνίκα ἔτεκεν Ἄγαρ τῷ Ἄβραμ τὸν Ἰσμαήλ.

## XVII.

Ἐγένετο δὲ Ἄβραμ ἐτῶν ἐνενηκονταεννέα, καὶ ὤφθη κύριος τῷ Ἄβραμ
καὶ εἶπεν αὐτῷ Ἐγώ εἰμι ὁ θεός σου· εὐαρέστει ἐνώπιον ἐμοῦ, καὶ γίνου ἄμεμ-
2 πτος· [2] καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, καὶ
3 πληθυνῶ σε σφόδρα. [3] καὶ ἔπεσεν Ἄβραμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐλάλησεν
4 αὐτῷ ὁ θεὸς λέγων [4] Καὶ ἐγὼ ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ· καὶ ἔσῃ πατὴρ
5 πλήθους ἐθνῶν. [5] καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἄβραμ, ἀλλ᾽ ἔσται τὸ
6 ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. [6] καὶ αὐξανῶ σε Ro.4,17.
7 σφόδρα σφόδρα, καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. [7] καὶ *Lc.1,
στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ 55.
σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον εἶναί σου θεὸς καὶ τοῦ σπέρμα-
8 τός σου μετὰ σέ. [8] καὶ δώσω σοὶ καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν ἣν πα-
ροικεῖς, πᾶσαν τὴν γῆν Χαναὰν εἰς κατάσχεσιν αἰώνιον· καὶ ἔσομαι αὐτοῖς εἰς
9 θεόν. [9] καὶ εἶπεν ὁ θεὸς πρὸς Ἀβραάμ Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ
10 καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. [10] καὶ αὕτη ἡ διαθήκη ἣν *Act.7,
διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ 8. *Ro.
11 σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικόν. [11] καὶ περιτμη- 4,11.
θήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ
12 μέσον ἐμοῦ καὶ ὑμῶν. [12] καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν πᾶν
ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν· καὶ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος ἀπὸ παντὸς
13 υἱοῦ ἀλλοτρίου, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου, [13] περιτομῇ περιτμηθήσε-
ται, ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος. καὶ ἔσται ἡ διαθήκη μου

---

3. και εδωκεν 6. εναντιον σ. pro ε. τ. χερσι σ. ... desunt seqq. usque και ειπεν v. 10. 10. αριθμησεται απο 13. εκαλ. αγαρ το ... εφιδων 16. ογδοηκονταεξ ετων ... τον ισμ. τω αβρ. XVII. 4. εναντιον εμου 5. α. εστ. αβρααμ τ. ον. σου 6. om σφοδρα alterum 7. μου ανα μεσον εμου και α. μεσ. σου και ... εις γενεας 8. εσομ. αυτ. θεος (*) 11. εν σημειω 12. υμων· ο οικογενης της οικιας σου

Digitized by Google

ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον. 14 καὶ ἀπερίτμητος ἄρσην, ὃς οὐ 14
περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολο-
θρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς· ὅτι τὴν διαθήκην μου διεσκέ-
δασε. 15 καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραάμ Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα 15
αὐτῆς Σάρα, Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς· 16 εὐλογήσω δὲ αὐτήν, καὶ δώσω 16
σοι ἐξ αὐτῆς τέκνον. καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς
ἐθνῶν ἐξ αὐτοῦ ἔσονται. 17 καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἐγέλασε 17
καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων, εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱός, καὶ εἰ
ἡ Σάῤῥα ἐνενήκοντα ἐτῶν τέξεται. 18 εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν θεόν Ἰσμαὴλ 18
οὗτος ζήτω ἐναντίον σου. 19 εἶπε δὲ ὁ θεὸς πρὸς Ἀβραάμ Ναί· ἰδοὺ Σάῤῥα ἡ 19
γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν
διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, εἶναι αὐτῷ θεὸς καὶ τῷ σπέρ-
ματι αὐτοῦ μετ᾽ αὐτόν. 20 περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· καὶ ἰδοὺ εὐλό- 20
γηκα αὐτόν, καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεν-
νήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. 21 τὴν δὲ διαθήκην μου στήσω πρὸς 21
Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ.
22 συνετέλεσε δὲ λαλῶν πρὸς αὐτόν, καὶ ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ. 23 καὶ ἔλα- 22 23
βεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν ἑαυτοῦ καὶ πάντας τοὺς οἰκογενεῖς αὐτοῦ καὶ πάν-
τας τοὺς ἀργυρωνήτους καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ Ἀβραάμ,
καὶ περιέτεμε τὰς ἀκροβυστίας αὐτῶν, ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης καθὰ
ἐλάλησεν αὐτῷ ὁ θεός. 24 Ἀβραὰμ δὲ ἐνενηκονταεννέα ἦν ἐτῶν ἡνίκα περιετέ- 24
μετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ· 25 Ἰσμαὴλ δὲ ὁ υἱὸς αὐτοῦ ἦν ἐτῶν 25
δεκατριῶν ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. 26 ἐν δὲ τῷ 26
καιρῷ τῆς ἡμέρας ἐκείνης περιετμήθη Ἀβραὰμ καὶ Ἰσμαὴλ ὁ υἱὸς αὐτοῦ 27 καὶ 27
πάντες οἱ ἄνδρες τοῦ οἴκου αὐτοῦ καὶ οἱ οἰκογενεῖς αὐτοῦ καὶ οἱ ἀργυρώνητοι ἐξ
ἀλλογενῶν ἐθνῶν.

## XVIII.

Ὤφθη δὲ αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ
τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. 2 ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ 2
εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ. καὶ ἰδὼν προσέδραμεν
εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ
τὴν γῆν 3 καὶ εἶπε Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν 3
παῖδά σου. 4 ληφθήτω δὴ ὕδωρ καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύ- 4
ξατε ὑπὸ τὸ δένδρον. 5 καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε· καὶ μετὰ τοῦτο πα- 5
ρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ
εἶπεν Οὕτω ποίησον καθὼς εἴρηκας. 6 καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνὴν 6
πρὸς Σάῤῥαν καὶ εἶπεν αὐτῇ Σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως καὶ
ποίησον ἐγκρυφίας. 7 καὶ εἰς τὰς βόας ἔδραμεν Ἀβραάμ, καὶ ἔλαβεν ἁπαλὸν 7
μοσχάριον καὶ καλόν, καὶ ἔδωκε τῷ παιδί, καὶ ἐτάχυνε τοῦ ποιῆσαι αὐτό.
8 ἔλαβε δὲ βούτυρον καὶ γάλα καὶ τὸ μοσχάριον ὃ ἐποίησε, καὶ παρέθηκεν αὐ- 8
τοῖς, καὶ ἔφαγον· αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. 9 εἶπε δὲ πρὸς 9
αὐτόν Ποῦ Σάῤῥα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς εἶπεν Ἰδοὺ ἐν τῇ σκηνῇ. 10 εἶπε 10
Ro. 9, 9. δὲ Ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν
Σάῤῥα ἡ γυνή σου. Σάῤῥα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς οὖσα ὄπισθεν

14. εξολεθρευθησεται 15. ειπεν δε ... σαρα αλλα σαρρα 16. αυτον pro αυτο 17. ε. προσωπον και ... ει σαρρα ε. ε. γενησεται 19. ο θεος τω αβρ ... om ειναι αυτ. θεος 20. και (omisso ιδου) ευλογησα 23. τ. υιον αυτου 24. δε ην ενεν. ετ. ην. περιετεμεν 25. ετ. δεκατρ. ηνικα περιετμηθη 26. om δε 27. om αυτου post οικογενεις ... εθνων περιετεμεν αυτους XVIII. 4. λημφθητω ... νιψατω 5. λημψομαι ... ου εινεκεν ... ουτως 7. ελαβον μοσχ. απαλον και καλ. 8. εφαγοσαν



Digitized by Google

11 αὐτοῦ. [11]Ἀβραὰμ δὲ καὶ Σάῤῥα πρεσβύτεροι προβεβηκότες ἡμερῶν· ἐξέλιπε δὲ
12 τῇ Σάῤῥᾳ γίνεσθαι τὰ γυναικεῖα. [12]ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ λέγουσα Οὔπω
13 μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος. [13]καὶ εἶπε κύριος *1 Pe.3, 6.
πρὸς Ἀβραάμ Τί ὅτι ἐγέλασε Σάῤῥα ἐν ἑαυτῇ λέγουσα Ἀρά γε ἀληθῶς τέξομαι;
14 ἐγὼ δὲ γεγήρακα· [14]μὴ ἀδυνατήσει παρὰ τῷ θεῷ ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον
15 ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός. [15]ἠρνήσατο δὲ Σάῤῥα
λέγουσα Οὐκ ἐγέλασα· ἐφοβήθη γάρ. καὶ εἶπεν αὐτῇ Οὐχί, ἀλλὰ ἐγέλασας.
16 [16]ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ
17 Γομόῤῥας· Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν συμπροπέμπων αὐτούς. [17]ὁ δὲ
κύριος εἶπεν Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ.
18 [18]Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται
19 ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. [19]ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ
τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου ποιεῖν δικαιοσύνην
καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα ὅσα ἐλάλησε πρὸς αὐτόν.
20 [20]εἶπε δὲ κύριος Κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται πρός μέ, καὶ αἱ
21 ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. [21]καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν
22 αὐτῶν τὴν ἐρχομένην πρός μὲ συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. [22]καὶ ἀπο-
στρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα· Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς
23 ἐναντίον κυρίου. [23]καὶ ἐγγίσας Ἀβραὰμ εἶπε Μὴ συναπολέσῃς δίκαιον μετὰ
24 ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· [24]ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν
τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα
25 δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; [25]μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο τοῦ
ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς.
26 ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν; [26]εἶπε δὲ κύριος Ἐὰν ὦσιν ἐν
Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν καὶ πάντα τὸν
27 τόπον δι' αὐτούς. [27]καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε Νῦν ἠρξάμην λαλῆσαι πρὸς
28 τὸν κύριόν μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· [28]ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντή-
κοντα δίκαιοι εἰς τεσσαρακονταπέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν τὴν πό-
29 λιν; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἐὰν εὕρω ἐκεῖ τεσσαρακονταπέντε. [29]καὶ προς-
έθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν καὶ εἶπεν Ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα;
30 καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα. [30]καὶ εἶπε Μή τι, κύριε,
ἐὰν λαλήσω· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἕνε-
31 κεν τῶν τριάκοντα. [31]καὶ εἶπεν Ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον, ἐὰν δὲ
32 εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἐὰν εὕρω ἐκεῖ εἴκοσι. [32]καὶ
εἶπε Μή τι, κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ
33 εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. [33]ἀπῆλθε δὲ ὁ κύριος ὡς ἐπαύσατο λα-
λῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

## XIX.

Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ τὴν *2 Pe.2,
πύλην Σοδόμων. ἰδὼν δὲ Λὼτ ἐξανέστη εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησε 6 sqq. *Jud.7.
2 τῷ προσώπῳ ἐπὶ τὴν γῆν [2]καὶ εἶπεν Ἰδού, κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ
παιδὸς ὑμῶν καὶ καταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες
ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπαν Οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσο-

11. εξελειπεν δε σαρρα γεινεσθ. τ. γυναικια 13. om τι 14. αδυνατει 15. om αυτη 16 συνπροπεμπων 17. om ου 18. γεινομενος 19. μεθ εαυτον ... ελαλησεν επ αυτον 20. om προς με 22. om ετι 24. πεντ. εν τ. π. δικαιοι ... om παντα 26. εαν ευρω εν σοδ. πεντ. δικαιους ... om ολην τ. πολ. και 27. om μου 28. οι πεντ. δικ. πεντε, απολεις ... οτι ου μη ... τεσσεραχονταπ. 29. τεσσεραχοντα bis 30. απολεσω εαν ευρεθωσιν εκει τριακοντα 31. απολεσω ενεκεν των εικοσι 33. δε κυριος XIX. 1. ανεστη 2. προς τον οικον ... νιψατε ... ειπαν δε ... αλλ η εν

Digitized by Google

μεν. 3 καὶ κατεβιάσατο αὐτούς, καὶ ἐξέκλιναν πρὸς αὐτόν. καὶ εἰςῆλθον εἰς τὸν 3
οἶκον αὐτοῦ· καὶ ἐποίησεν αὐτοῖς πότον καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον.
4 πρὸ τοῦ κοιμηθῆναι δὲ οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν 4
οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα. 5 καὶ ἐξεκαλοῦντο τὸν 5
Λὼτ καὶ ἔλεγον πρὸς αὐτόν Ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰςελθόντες πρὸς σὲ τὴν
νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. 6 ἐξῆλθε δὲ Λὼτ 6
πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέῳξεν ὀπίσω αὐτοῦ. 7 εἶπε δὲ 7
πρὸς αὐτούς Μηδαμῶς, ἀδελφοί, μὴ πονηρεύσησθε. 8 εἰσὶ δέ μοι δύο θυγατέ- 8
ρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς καθὰ
ἂν ἀρέσκῃ ὑμῖν· μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, οὗ εἵνεκεν
εἰςῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. 9 εἶπαν δὲ αὐτῷ Ἀπόστα ἐκεῖ· εἰςῆλ- 9
θες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σὲ κακώσωμεν μᾶλλον ἢ ἐκείνους.
καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν Λὼτ σφόδρα, καὶ ἤγγισαν συντρίψαι τὴν θύραν.
10 ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰςεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς 10
τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· 11 τοὺς δὲ ἄνδρας τοὺς ὄντας 11
ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἐν ἀορασίᾳ, ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ
παρελύθησαν ζητοῦντες τὴν θύραν. 12 εἶπαν δὲ οἱ ἄνδρες πρὸς τὸν Λὼτ Εἰσί σοι 12
ὧδε γαμβροὶ ἢ υἱοὶ ἢ θυγατέρες, ἢ εἴ τις σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει, ἐξάγαγε
ἐκ τοῦ τόπου τούτου· 13 ὅτι ἡμεῖς ἀπόλλυμεν τὸν τόπον τοῦτον, ὅτι ὑψώθη ἡ 13
κραυγὴ αὐτῶν ἔναντι κυρίου καὶ ἀπέστειλεν ἡμᾶς κύριος ἐκτρίψαι αὐτήν. 14 ἐξ- 14
ῆλθε δὲ Λὼτ καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγα-
τέρας αὐτοῦ καὶ εἶπεν Ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρί-
βει κύριος τὴν πόλιν. ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. 15 ἡνίκα 15
δὲ ὄρθρος ἐγένετο, ἐσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες Ἀναστὰς λάβε τὴν
γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου ἃς ἔχεις καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ
συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. 16 καὶ ἐταράχθησαν, καὶ ἐκράτησαν οἱ 16
ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ καὶ τῶν χειρῶν τῶν
δύο θυγατέρων αὐτοῦ ἐν τῷ φείσασθαι κύριον αὐτοῦ. 17 καὶ ἐγένετο ἡνίκα ἐξή- 17
γαγον αὐτοὺς ἔξω καὶ εἶπαν Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς
τὰ ὀπίσω μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μή ποτε συμ-
παραληφθῇς. 18 εἶπε δὲ Λὼτ πρὸς αὐτούς Δέομαι, κύριε, 19 ἐπειδὴ εὗρεν ὁ 18 19
παῖς σου ἔλεος ἐναντίον σου καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ᾿
ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μή
ποτε καταλάβῃ με τὰ κακὰ καὶ ἀποθάνω. 20 ἰδοὺ πόλις αὕτη ἐγγὺς τοῦ κατα- 20
φυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρά· καὶ ἐκεῖ διασωθήσομαι. οὐ μικρά ἐστι; καὶ
ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. 21 καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἐθαύμασά σου τὸ πρός- 21
ωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν πόλιν περὶ ἧς ἐλάλη-
σας· 22 σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως 22
τοῦ ἐλθεῖν σε ἐκεῖ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ. 23 ὁ 23
ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν καὶ Λὼτ εἰςῆλθεν εἰς Σηγώρ, 24 καὶ κύριος ἔβρεξεν 24
*Lc. 17, 29. ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐξ οὐρανοῦ, 25 καὶ κατέ- 25
στρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦν-

---

3. παρεβιαζετο ... εις την οικιαν αυτ. 3. 4. εφαγον προ τ. κοιμηθηναι. και οι 6. om προς το προθυρον ... και την θυραν 8. και χρησασθε ... καθα αρεσκη ... μηδεν αδικον ... στεγην pro σκεπην 9. om αυτω ... κρισ. κριναι ... κακωσομεν 11. om εν 12. προς λωτ Εστιν τις σοι ωδε 13. απολλυμεν ημεις ... εναντιον 14. εξελθατε 15. εγινετο ... επεσπουδαζον ... * ανδρες pro αγγελοι (?) ... om και συ 16. οι αγγ. τ. χ. αυτων 17. περιβλεψης ... συνπαραλημφθης 19. om ποτε 20. η πολις αυτη ... η εστ. μικρ. εκει σωθησομαι 22. του σε ελθ... επωνομασεν το ον. 24. εκ του ουρανου 25. τ. πολ. ταυτ. εν αις κατωκει εν αυταις λωτ κ. πασαν περιοικον και



Digitized by Google

26 τας ἐν ταῖς πόλεσι καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς. [26] καὶ ἐπέβλεψεν ἡ γυνὴ *Lc. 17, 32.
27 αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός. [27] ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωὶ
28 εἰς τὸν τόπον οὗ εἱστήκει ἐναντίον κυρίου, [28] καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδό-
μων καὶ Γομόῤῥας καὶ ἐπὶ πρόσωπον τῆς περιχώρου, καὶ εἶδε· καὶ ἰδοὺ ἀνέ-
29 βαινε φλὸξ ἐκ τῆς γῆς ὡςεὶ ἀτμὶς καμίνου. [29] καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι τὸν
θεὸν πάσας τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξαπέ-
στειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς, ἐν τῷ καταστρέψαι κύριον τὰς πό-
30 λεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λώτ. [30] ἀνέβη δὲ Λὼτ ἐκ Σηγώρ, καὶ ἐκάθητο
ἐν τῷ ὄρει αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾽ αὐτοῦ· ἐφοβήθη γὰρ κατοι-
κῆσαι ἐν Σηγώρ· καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ δύο θυγατέρες
31 αὐτοῦ μετ᾽ αὐτοῦ. [31] εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ὁ πατὴρ ἡμῶν
πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς ὃς εἰςελεύσεται πρὸς ἡμᾶς, ὡς κα-
32 θήκει πάσῃ τῇ γῇ· [32] δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμη-
33 θῶμεν μετ᾽ αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. [33] ἐπότι-
σαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἰςελθοῦσα ἡ πρεσβυτέρα
ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νυκτὶ ἐκείνῃ· καὶ οὐκ ᾔδει ἐν τῷ κοι-
34 μηθῆναι αὐτὸν καὶ ἐν τῷ ἀναστῆναι. [34] ἐγένετο δὲ ἐν τῇ ἐπαύριον καὶ εἶπεν ἡ
πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν·
ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰςελθοῦσα κοιμήθητι μετ᾽
35 αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. [35] ἐπότισαν δὲ καὶ ἐν
τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰςελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη
μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἀναστῆναι.
36 [36] καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ τοῦ πατρὸς αὐτῶν. [37] καὶ ἔτεκεν ἡ
37 πρεσβυτέρα υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα Ἐκ τοῦ πατρός
38 μου· οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. [38] ἔτεκε δὲ καὶ ἡ νεω-
τέρα υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὰν λέγουσα Υἱὸς γένους μου· οὗτος
πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας.

## XX.

Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον
2 Κάδης καὶ ἀνὰ μέσον Σούρ· καὶ παρῴκησεν ἐν Γεράροις. [2] εἶπε δὲ Ἀβραὰμ
περὶ Σάῤῥας τῆς γυναικὸς αὐτοῦ ὅτι ἀδελφή μού ἐστιν· ἐφοβήθη γὰρ εἰπεῖν
ὅτι γυνή μού ἐστι, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι᾽ αὐτήν.
3 ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων καὶ ἔλαβε τὴν Σάῤῥαν. [3] καὶ εἰςῆλ-
θεν ὁ θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν Ἰδοὺ σὺ ἀποθνήσκεις
4 περὶ τῆς γυναικὸς ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. [4] Ἀβιμέλεχ δὲ
5 οὐχ ἥψατο αὐτῆς, καὶ εἶπε Κύριε, ἔθνος ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς; [5] οὐκ
αὐτός μοι εἶπεν Ἀδελφή μού ἐστι; καὶ αὕτη μοι εἶπεν Ἀδελφός μού ἐστιν; ἐν
6 καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο. [6] εἶπε δὲ αὐτῷ ὁ θεὸς
καθ᾽ ὕπνον Κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφεισάμην
σου τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ· ἕνεκα τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς.
7 [7] νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται
περὶ σοῦ καὶ ζήσῃ· εἰ δὲ μὴ ἀποδίδως, γνώσῃ ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ
8 σά. [8] καὶ ὤρθρισεν Ἀβιμέλεχ τῷ πρωὶ καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ,
καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν· ἐφοβήθησαν δὲ πάντες
9 οἱ ἄνθρωποι σφόδρα. [9] καὶ ἐκάλεσεν Ἀβιμέλεχ τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ Τί

---

25. κ. παντα τα αν. 27. το πρωι 28. της γης της περιχ. ... om εκ 29. εκτριψ. κυριον πασ. 30. και εξηλθεν pro ανεβ. δε ... om αυτος ... και ωκησεν 32. δευρο ουν ποτισ. 33. ε. τ. νυκτ. ταυτη ... την νυκτα εκεινην ... κοιμηθ. αυτην και αναστην. 34. δε τη επαυρ. ... εχθες ... οινον και την νυκτα ταυτην 35. κοιμηθ. αυτην 38. αμμαν ο υιος του γενους μου XX. 3. ειπεν αυτω 6. εφεισ. εγω σου ... ενεκεν 7. γνωθι οτι 8. το πρωι

Digitized by Google

τοῦτο ἐποίησας ἡμῖν; μή τι ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ
τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον ὃ οὐδεὶς ποιήσει πεποίηκάς μοι.
10 εἶπε δὲ Ἀβιμέλεχ τῷ Ἀβραάμ Τί ἐνιδὼν ἐποίησας τοῦτο; 11 εἶπε δὲ Ἀβραάμ 10 11
Εἶπα γάρ Ἄρα οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν
ἕνεκεν τῆς γυναικός μου. 12 καὶ γὰρ ἀληθῶς ἀδελφή μού ἐστιν ἐκ πατρὸς ἀλλ' 12
οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα. 13 ἐγένετο δὲ ἡνίκα ἐξήγαγέ με ὁ 13
θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ εἶπα αὐτῇ Ταύτην τὴν δικαιοσύνην ποιή-
σεις εἰς ἐμέ, εἰς πάντα τόπον οὗ ἐὰν εἰςέλθωμεν ἐκεῖ, εἰπὸν ἐμὲ ὅτι ἀδελφός
μού ἐστιν. 14 ἔλαβε δὲ Ἀβιμέλεχ χίλια δίδραχμα καὶ πρόβατα καὶ μόσχους καὶ 14
παῖδας καὶ παιδίσκας, καὶ ἔδωκε τῷ Ἀβραάμ· καὶ ἀπέδωκεν αὐτῷ Σάῤῥαν
τὴν γυναῖκα αὐτοῦ. 15 καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραάμ Ἰδοὺ ἡ γῆ μου ἐναντίον 15
σου· οὗ ἂν σοι ἀρέσκῃ κατοίκει. 16 τῇ δὲ Σάῤῥᾳ εἶπεν Ἰδοὺ δέδωκα χίλια δί- 16
δραχμα τῷ ἀδελφῷ σου· ταῦτα ἔσται σοι εἰς τιμὴν τοῦ προςώπου σου καὶ πά-
σαις ταῖς μετὰ σοῦ, καὶ πάντα ἀλήθευσον. 17 προςηύξατο δὲ Ἀβραὰμ πρὸς τὸν 17
θεόν, καὶ ἰάσατο ὁ θεὸς τὸν Ἀβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδί-
σκας αὐτοῦ, καὶ ἔτεκον· 18 ὅτι συγκλείων συνέκλεισε κύριος ἔξωθεν πᾶσαν μή- 18
τραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ ἕνεκεν Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ.

## XXI.

Καὶ κύριος ἐπεσκέψατο τὴν Σάῤῥαν καθὰ εἶπε· καὶ ἐποίησε κύριος τῇ
*He. 11, 11. *Ga. 4, 22. Σάῤῥᾳ καθὰ ἐλάλησε. 2 καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, 2
εἰς τὸν καιρὸν καθὰ ἐλάλησεν αὐτῷ κύριος. 3 καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα 3
τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, Ἰσαάκ· 4 περιέ- 4
τεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ ὁ θεός.
5 καὶ Ἀβραὰμ ἦν ἑκατὸν ἐτῶν ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. 6 εἶπε 5 6
δὲ Σάῤῥα Γέλωτά μοι ἐποίησε κύριος· ὃς γὰρ ἂν ἀκούσῃ συγχαρεῖταί μοι. 7 καὶ 7
εἶπε Τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ ὅτι θηλάζει παιδίον Σάῤῥα, ὅτι ἔτεκον υἱὸν ἐν
τῷ γήρᾳ μου; 8 καὶ ηὐξήθη τὸ παιδίον καὶ ἀπεγαλακτίσθη· καὶ ἐποίησεν 8
Ἀβραὰμ δοχὴν μεγάλην ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. 9 ἰδοῦσα 9
δὲ Σάῤῥα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ
Ga. 4, 30. Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς, 10 καὶ εἶπε τῷ Ἀβραὰμ Ἔκβαλε τὴν παιδίσκην ταύτην 10
καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ
τοῦ υἱοῦ μου Ἰσαάκ. 11 σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ 11
περὶ τοῦ υἱοῦ αὐτοῦ. 12 εἶπε δὲ ὁ θεὸς τῷ Ἀβραὰμ Μὴ σκληρὸν ἔστω ἐναντίον 12
σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης· πάντα ὅσα ἂν εἴπῃ σοι Σάῤῥα,
Ro. 9, 7. He. 11, 18. ἄκουε τῆς φωνῆς αὐτῆς· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. 13 καὶ τὸν υἱὸν 13
δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα ποιήσω αὐτόν, ὅτι σπέρμα σόν ἐστιν.
14 ἀνέστη δὲ Ἀβραὰμ τὸ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν 14
τῇ Ἄγαρ· καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον αὐτῆς τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν.
ἀπελθοῦσα δὲ ἐπλανᾶτο κατὰ τὴν ἔρημον, κατὰ τὸ φρέαρ τοῦ ὅρκου. 15 ἐξέλιπε 15
δὲ τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ, καὶ ἔῤῥιψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης· 16 ἀπελ- 16
θοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν ὡσεὶ τόξου βολήν· εἶπε γάρ Οὐ
μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθισεν ἀπέναντι αὐτοῦ· ἀναβοήσαν
δὲ τὸ παιδίον ἔκλαυσεν. 17 εἰςήκουσε δὲ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ 17
τόπου οὗ ἦν, καὶ ἐκάλεσεν ἄγγελος θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν
αὐτῇ Τί ἐστιν, Ἄγαρ; μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου

---

13. ποιησον επ εμε 14. διδραχμα προβατα ... τω αβραμ 15. ου εαν 18. om συγκλειων ... του αβιμελεχ XXI. 2. ετεκεν σαρρα τω 4. τη ογδοη ημερα 5. αβρ. δε ην 6. γαρ εαν 7. γηρει 9. τ. υι. εαυτης 10. om ταυτης 11. υι. αυτου ισμαηλ 12. εστω το ρημα εναντιον ... οσα εαν 14. εδωκεν αγαρ ... ωμον και το ... επλανατο την ερημον 15. εξελειπεν 16. μακροτερον ... τ. παιδ. μου. και εκαθητο απ. α. μακροθεν 17. τ. π. σου εκ

18 ἐκ τοῦ τόπου οὗ ἐστίν. [18] ἀνάστηθι καὶ λάβε τὸ παιδίον, καὶ κράτησον τῇ χειρί
19 σου αὐτό· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. [19] καὶ ἀνέῳξεν ὁ θεὸς τοὺς ὀφθαλ-
μοὺς αὐτῆς καὶ εἶδε φρέαρ ὕδατος ζῶντος· καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκὸν
20 ὕδατος καὶ ἐπότισε τὸ παιδίον. [20] καὶ ἦν ὁ θεὸς μετὰ τοῦ παιδίου, καὶ ηὐξήθη
21 καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ· ἐγένετο δὲ τοξότης. [21] καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ
22 Φαράν· καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναῖκα ἐκ τῆς Αἰγύπτου. [22] ἐγένετο δὲ ἐν
τῷ καιρῷ ἐκείνῳ καὶ εἶπεν Ἀβιμέλεχ καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ
Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ πρὸς Ἀβραὰμ λέγων Ὁ θεὸς μετὰ
23 σοῦ ἐν πᾶσιν οἷς ἐὰν ποιῇς. [23] νῦν οὖν ὄμοσόν μοι τὸν θεόν, μὴ ἀδικήσειν με
μηδὲ τὸ σπέρμα μου μηδὲ τὸ ὄνομά μου· ἀλλὰ κατὰ τὴν δικαιοσύνην ἣν
ἐποίησα μετὰ σοῦ ποιήσεις μετ᾽ ἐμοῦ, καὶ τῇ γῇ ᾗ σὺ παρῴκησας ἐν αὐτῇ.
24 25 [24] καὶ εἶπεν Ἀβραάμ Ἐγὼ ὀμοῦμαι. [25] καὶ ἤλεγξεν Ἀβραὰμ τὸν Ἀβιμέλεχ
26 περὶ τῶν φρεάτων τοῦ ὕδατος ὧν ἀφείλοντο οἱ παῖδες τοῦ Ἀβιμέλεχ. [26] καὶ
εἶπεν αὐτῷ Ἀβιμέλεχ Οὐκ ἔγνων τίς ἐποίησέ σοι τὸ ῥῆμα τοῦτο· οὐδὲ σύ μοι
27 ἀπήγγειλας, οὐδὲ ἐγὼ ἤκουσα ἀλλ᾽ ἢ σήμερον. [27] καὶ ἔλαβεν Ἀβραὰμ πρόβατα
28 καὶ μόσχους καὶ ἔδωκε τῷ Ἀβιμέλεχ· καὶ διέθεντο ἀμφότεροι διαθήκην. [28] καὶ
29 ἔστησεν Ἀβραὰμ ἑπτὰ ἀμνάδας προβάτων μόνας. [29] καὶ εἶπεν Ἀβιμέλεχ τῷ
Ἀβραάμ Τί εἰσιν αἱ ἑπτὰ ἀμνάδες τῶν προβάτων τούτων ἃς ἔστησας μόνας;
30 [30] καὶ εἶπεν Ἀβραὰμ ὅτι τὰς ἑπτὰ ἀμνάδας λήψῃ παρ᾽ ἐμοῦ, ἵνα ὦσί μοι εἰς
31 μαρτύριον ὅτι ἐγὼ ὤρυξα τὸ φρέαρ τοῦτο. [31] διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ
32 τόπου ἐκείνου Φρέαρ ὁρκισμοῦ, ὅτι ἐκεῖ ὤμοσαν ἀμφότεροι. [32] καὶ διέθεντο δια-
θήκην ἐν τῷ φρέατι τοῦ ὁρκισμοῦ. ἀνέστη δὲ Ἀβιμέλεχ, Ὀχοζὰθ ὁ νυμφαγω-
γὸς αὐτοῦ καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς
33 τὴν γῆν τῶν Φυλιστιείμ. [33] καὶ ἐφύτευσεν Ἀβραὰμ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ
34 ὅρκου, καὶ ἐπεκαλέσατο ἐκεῖ τὸ ὄνομα κυρίου, θεὸς αἰώνιος. [34] παρῴκησε δὲ
Ἀβραὰμ ἐν τῇ γῇ τῶν Φυλιστιείμ ἡμέρας πολλάς.

## XXII.

Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ θεὸς ἐπείρασε τὸν Ἀβραὰμ καὶ εἶπεν *Hc. 11
2 αὐτῷ Ἀβραὰμ Ἀβραάμ. καὶ εἶπεν Ἰδοὺ ἐγώ. [2] καὶ εἶπε Λάβε τὸν υἱόν σου τὸν 17.
ἀγαπητὸν ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλήν, καὶ
3 ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾽ ἓν τῶν ὀρέων ὧν ἄν σοι εἴπω. [3] ἀνα-
στὰς δὲ Ἀβραὰμ τὸ πρωὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾽ ἑαυτοῦ
δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀνα-
στὰς ἐπορεύθη. καὶ ἦλθεν ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ
4 τρίτῃ. [4] καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε τὸν τόπον μακρό-
5 θεν· [5] καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ Καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου·
ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες ἀναστρέ-
6 ψομεν πρὸς ὑμᾶς. [6] ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν
Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ
7 ἐπορεύθησαν οἱ δύο ἅμα. [7] εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ Πά-
τερ. ὁ δὲ εἶπε Τί ἐστι, τέκνον; εἶπε δέ Ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἔστι τὸ
8 πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; [8] εἶπε δὲ Ἀβραάμ Ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβα-
9 τον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα [9] ἦλθον ἐπὶ τὸν
τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον καὶ

---

18. ποιησω αυτον 21. ερημω τη φαραν ... εκ γης αιγυπτου 22. φικολ 25. αφειλαντο 26. εποιησεν το πραγμα τουτο ... αλλα σημερον 30. αμν. ταυτας λημψη ... om μοι 32. φρ. του ορκου ... και οχοζαθ ... φικολ XXII. 1. επειραζεν ... ειπ. προς αυτον ... ο δε ειπεν 2. ανενεγκον 4. om αυτου 5. το παιδιον ... αναστρεψωμεν 6. ελαβ. δε και το πυρ μετα χειρα και τ. μαχ. 7. και ειπεν ισαακ ... αυτου ειπας πατερ ... τεκνον λεγων ιδου το π. 9. εκει αβρααμ θυσιαστηριον

Digitized by Google

*Ja.2,21. ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ
θυσιαστήριον ἐπάνω τῶν ξύλων. 10 καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λα- 10
βεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ. 11 καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος κυ- 11
ρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν Ἀβραὰμ Ἀβραάμ. ὁ δὲ εἶπεν Ἰδοὺ ἐγώ. 12 καὶ 12
εἶπε Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν·
*He.11,17. νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν θεόν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ
δι' ἐμέ. 13 καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς 13
εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων. καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε
τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ.
14 καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Κύριος εἶδεν· ἵνα εἴπωσι 14
σήμερον Ἐν τῷ ὄρει κύριος ὤφθη. 15 καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ 15
*Lc.1,73. δεύτερον ἐκ τοῦ οὐρανοῦ λέγων 16 Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ εἵνε- 16
κεν ἐποίησας τὸ ῥῆμα τοῦτο καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ,
He.6,14. 17 ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς 17
ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ
Act.3,25. *Ga.3,16. κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων, 18 καὶ ἐνευλογηθήσον- 18
ται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς
φωνῆς. 19 ἀπεστράφη δὲ Ἀβραὰμ πρὸς τοὺς παῖδας αὐτοῦ, καὶ ἀναστάντες ἐπο- 19
ρεύθησαν ἅμα ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου· καὶ κατῴκησεν Ἀβραὰμ ἐπὶ τὸ φρέαρ
τοῦ ὅρκου. 20 ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀνηγγέλη τῷ Ἀβραὰμ λέ- 20
γοντες Ἰδοὺ τέτοκε Μελχὰ καὶ αὐτὴ υἱοὺς τῷ Ναχὼρ τῷ ἀδελφῷ σου, 21 τὸν 21
Οὒζ πρωτότοκον καὶ τὸν Βαὺξ ἀδελφὸν αὐτοῦ, καὶ τὸν Καμουὴλ πατέρα Σύ-
ρων, 22 καὶ τὸν Χαζὰδ καὶ Ἀζαῦ καὶ τὸν Φαλδὲς καὶ τὸν Ἰελδὰφ καὶ τὸν Βα- 22
θουήλ. 23 Βαθουὴλ δὲ ἐγέννησε τὴν Ῥεβέκκαν. ὀκτὼ οὗτοι υἱοὶ οὓς ἔτεκε Μελχὰ 23
τῷ Ναχὼρ τῷ ἀδελφῷ Ἀβραάμ. 24 καὶ ἡ παλλακὴ αὐτοῦ ᾗ ὄνομα Ῥεύμα, 24
ἔτεκε καὶ αὐτὴ τὸν Ταβὲκ καὶ τὸν Ταὰμ καὶ τὸν Τοχὸς καὶ τὸν Μοχά.

## XXIII.

Ἐγένετο δὲ ἡ ζωὴ Σάῤῥας ἔτη ἑκατὸν εἰκοσιεπτά. 2 καὶ ἀπέθανε Σάῤῥα 2
ἐν πόλει Ἀρβόκ, ἥ ἐστιν ἐν τῷ κοιλώματι· αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν.
ἦλθε δὲ Ἀβραὰμ κόψασθαι Σάῤῥαν καὶ πενθῆσαι. 3 καὶ ἀνέστη Ἀβραὰμ ἀπὸ 3
τοῦ νεκροῦ αὐτοῦ· καὶ εἶπεν Ἀβραὰμ τοῖς υἱοῖς τοῦ Χὲτ λέγων 4 Πάροικος καὶ 4
παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν· δότε μοι οὖν κτῆσιν τάφου μεθ' ὑμῶν, καὶ
θάψω τὸν νεκρόν μου ἀπ' ἐμοῦ. 5 ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Χὲτ πρὸς Ἀβραὰμ λέ- 5
γοντες 6 Μή, κύριε· ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν, ἐν
τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ
κωλύσει τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ, τοῦ θάψαι τὸν νεκρόν σου ἐκεῖ. 7 ἀναστὰς 7
δὲ Ἀβραὰμ προσεκύνησε τῷ λαῷ τῆς γῆς, τοῖς υἱοῖς τοῦ Χέτ. 8 καὶ ἐλάλησε 8
πρὸς αὐτοὺς Ἀβραὰμ λέγων Εἰ ἔχετε τῇ ψυχῇ ὑμῶν ὥστε θάψαι τὸν νεκρόν μου
ἀπὸ προσώπου μου, ἀκούσατέ μου καὶ λαλήσατε περὶ ἐμοῦ Ἐφρὼν τῷ τοῦ
Σαάρ· 9 καὶ δότω μοι τὸ σπήλαιον τὸ διπλοῦν ὅ ἐστιν αὐτῷ, τὸ ὂν ἐν μέρει 9
τοῦ ἀγροῦ αὐτοῦ· ἀργυρίου τοῦ ἀξίου δότω μοι αὐτὸ ἐν ὑμῖν εἰς κτῆσιν μνη-
μείου. 10 Ἐφρὼν δὲ ἐκάθητο ἐν μέσῳ τῶν υἱῶν Χέτ· ἀποκριθεὶς δὲ Ἐφρὼν ὁ 10
Χετταῖος πρὸς Ἀβραὰμ εἶπεν, ἀκουόντων τῶν υἱῶν Χὲτ καὶ τῶν εἰσπορευομέ-
νων εἰς τὴν πόλιν πάντων, λέγων 11 Παρ' ἐμοὶ γενοῦ, κύριε, καὶ ἄκουσόν μου. 11

---

11. και ειπεν αυτω ... om ο δε ειπεν 12. τον θεον συ 17. ει μην 18. om της γης 19. om αμα ... κατ. αβρ. επι τω φρεατι 20. om τω ante ναχωρ 21. ωξ pro ουζ 22. χασζαδ ... και τον αζαυ κ. τ. φαλδας 23. και βαθουηλ εγενν. 24. η ονομα ρεηρα ... μωχα XXIII. 2. εν γη χανααν 3. τ. υιοις χετ 4. δοτε ουν μοι ... εκει pro απ εμου 6. γαρ ημ. το μνημ. αυτ. κωλ. απ. σ. 7. τ. υιοις χετ 9. εν μεριδι ... δοτε μ. αυτ. 10. εμμεσω ... κ. παντων τ. εισπ. ε. τ. πολ. λεγ.

Digitized by Google

τὸν ἀγρὸν καὶ τὸ σπήλαιον τὸ ἐν αὐτῷ σοὶ δίδωμι· ἐναντίον πάντων τῶν πολι-
12 τῶν μου δέδωκά σοι· θάψον τὸν νεκρόν σου. [12] καὶ προςεκύνησεν Ἀβραὰμ ἐναν-
13 τίον τοῦ λαοῦ τῆς γῆς, [13] καὶ εἶπε τῷ Ἐφρὼν εἰς τὰ ὦτα ἐναντίον τοῦ λαοῦ τῆς
γῆς Ἐπειδὴ πρὸς ἐμοῦ εἶ, ἄκουσόν μου· τὸ ἀργύριον τοῦ ἀγροῦ λάβε παρ' ἐμοῦ,
14 καὶ θάψω τὸν νεκρόν μου ἐκεῖ. [14] ἀπεκρίθη δὲ Ἐφρὼν τῷ Ἀβραὰμ λέγων
15 [15] Οὐχί, κύριε· ἀκήκοα γάρ, γῆ τετρακοσίων διδράχμων ἀργυρίου· ἀλλὰ τί ἂν
16 εἴη τοῦτο ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; σὺ δὲ τὸν νεκρόν σου θάψον. [16] καὶ ἤκουσεν
Ἀβραὰμ τοῦ Ἐφρών· καὶ ἀπεκατέστησεν Ἀβραὰμ τῷ Ἐφρὼν τὸ ἀργύριον ὃ
ἐλάλησεν εἰς τὰ ὦτα τῶν υἱῶν Χέτ, τετρακόσια δίδραχμα ἀργυρίου δοκίμου ἐμ-
17 πόροις. [17] καὶ ἔστη ὁ ἀγρὸς Ἐφρών, ὅς ἦν ἐν τῷ διπλῷ σπηλαίῳ, ὅς ἐστι κατὰ
πρόςωπον Μαμβρῆ, ὁ ἀγρὸς καὶ τὸ σπήλαιον ὃ ἦν ἐν αὐτῷ, καὶ πᾶν δένδρον ὃ
18 ἦν ἐν τῷ ἀγρῷ, καὶ πᾶν ὅ ἐστιν ἐν τοῖς ὁρίοις αὐτοῦ κύκλῳ [18] τῷ Ἀβραὰμ εἰς
κτῆσιν ἐναντίον τῶν υἱῶν Χὲτ καὶ πάντων τῶν εἰςπορευομένων εἰς τὴν πόλιν.
19 [19] μετὰ ταῦτα ἔθαψεν Ἀβραὰμ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ
ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ· αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χα-
20 ναάν. [20] καὶ ἐκυρώθη ὁ ἀγρὸς καὶ τὸ σπήλαιον ὃ ἦν ἐν αὐτῷ τῷ Ἀβραὰμ εἰς
κτῆσιν τάφου παρὰ τῶν υἱῶν Χέτ.

## XXIV.

Καὶ Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμερῶν, καὶ κύριος ηὐλόγησε
2 τὸν Ἀβραὰμ κατὰ πάντα. [2] καὶ εἶπεν Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ
τῆς οἰκίας αὐτοῦ τῷ ἄρχοντι πάντων τῶν αὐτοῦ Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μη-
3 ρόν μου, [3] καὶ ἐξορκιῶ σε κύριον τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τὸν θεὸν τῆς γῆς,
ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων,
4 μεθ' ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς· [4] ἀλλ' ἢ εἰς τὴν γῆν μου οὗ ἐγεννήθην πορεύσῃ καὶ
5 εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. [5] εἶπε δὲ
πρὸς αὐτὸν ὁ παῖς Μή ποτε οὐ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ ὀπίσω εἰς
τὴν γῆν ταύτην, ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν ὅθεν ἐξῆλθες ἐκεῖθεν;
6 [6] εἶπε δὲ πρὸς αὐτὸν Ἀβραὰμ Πρόςεχε σεαυτῷ μὴ ἀποστρέψῃς τὸν υἱόν μου
7 ἐκεῖ· [7] κύριος ὁ θεὸς τοῦ οὐρανοῦ καὶ ὁ θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου
τοῦ πατρός μου καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι καὶ ὃς ὤμοσέ
μοι λέγων Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου· αὐτὸς ἀποστελεῖ τὸν
8 ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. [8] ἐὰν δὲ
μὴ θέλῃ ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καθαρὸς ἔσῃ ἀπὸ τοῦ
9 ὅρκου μου· μόνον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. [9] καὶ ἔθηκεν ὁ παῖς τὴν
χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν Ἀβραὰμ τοῦ κυρίου αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ περὶ
10 τοῦ ῥήματος τούτου. [10] καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ
κυρίου αὐτοῦ καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ μεθ' ἑαυτοῦ, καὶ
11 ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ. [11] καὶ ἐκοίμισε
τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα
12 ἐκπορεύονται αἱ ὑδρευόμεναι. [12] καὶ εἶπε Κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ,
εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.
13 [13] ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων
14 τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ· [14] καὶ ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω
Ἐπίκλινον τὴν ὑδρίαν σου ἵνα πίω, καὶ εἴπῃ μοι Πίε σύ, καὶ τὰς καμήλους

---

11. om παντων 13. παντος του λαου ... θαψον 15. om γη ... αργυριου· ανα μεσον εμ. κ. σ. τι αν ειη τουτο 16. κ. ηκ. αβρ. τω εφρ. ... ενποροις 17. om εν ante αυτω et και παν ante ο 20. om εν XXIV. 1. ευλογησεν 3. *εξορκισω ... τ. ουρ. και της γης ... μετ αυτων pro εν αυτοις 4. αλλα εις ... ου εγενομην ... λημψη 5. βουλεται 7. εγενηθην ... om ος ante ωμοσε ... λημψη ... μου ισαακ εκειθ. 8. του ορκου τουτου· 9. *om αβρααμ (?) 11. εκοιμησεν 12. om μου prius

Digitized by Google

σου ποτιῶ ἕως ἂν παύσωνται πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου τῷ
Ἰσαάκ· καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.
15 καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἰδοὺ 15
Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουήλ, υἱῷ Μελχᾶς τῆς γυναικὸς Ναχώρ,
ἀδελφοῦ δὲ Ἀβραάμ, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆς. 16 ἡ δὲ παρθέ- 16
νος ἦν καλὴ τῇ ὄψει σφόδρα· παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ
ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν αὐτῆς, καὶ ἀνέβη. 17 ἐπέδραμε δὲ ὁ παῖς εἰς 17
συνάντησιν αὐτῆς καὶ εἶπε Πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου. 18 ἡ δὲ 18
εἶπε Πίε, κύριε· καὶ ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς
καὶ ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων. 19 καὶ εἶπε Καὶ ταῖς καμήλοις σου 19
ὑδρεύσομαι ἕως ἂν πᾶσαι πίωσι. 20 καὶ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς 20
τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι πάλιν, καὶ ὑδρεύσατο πά-
σαις ταῖς καμήλοις. 21 ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτήν, καὶ παρεσιώπα τοῦ 21
γνῶναι εἰ εὐόδωκε κύριος τὴν ὁδὸν αὐτοῦ ἢ οὔ. 22 ἐγένετο δὲ ἡνίκα ἐπαύσαντο 22
πᾶσαι αἱ κάμηλοι πίνουσαι, ἔλαβεν ὁ ἄνθρωπος ἐνώτια χρυσᾶ ἀνὰ δραχμὴν
ὁλκῆς καὶ δύο ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῆς· δέκα χρυσῶν ὁλκὴ αὐτῶν. 23 καὶ 23
ἐπηρώτησεν αὐτὴν καὶ εἶπε Θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι· εἰ ἔστι παρὰ τῷ
πατρί σου τόπος ἡμῖν τοῦ καταλῦσαι; 24 ἡ δὲ εἶπεν αὐτῷ Θυγάτηρ Βαθουήλ εἰμι 24
τοῦ Μελχᾶς, ὃν ἔτεκε τῷ Ναχώρ. 25 καὶ εἶπεν αὐτῷ Καὶ ἄχυρα καὶ χορτάσματα 25
πολλὰ παρ' ἡμῖν καὶ τόπος τοῦ καταλῦσαι. 26 καὶ εὐδοκήσας ὁ ἄνθρωπος προς- 26
εκύνησε τῷ κυρίῳ καὶ εἶπεν 27 Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, 27
ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου·
ἐμέ τ' εὐόδωκε κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. 28 καὶ δραμοῦσα 28
ἡ παῖς ἀνήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. 29 τῇ 29
δὲ Ῥεβέκκᾳ ἀδελφὸς ἦν ᾧ ὄνομα Λάβαν· καὶ ἔδραμε Λάβαν πρὸς τὸν ἄνθρω-
πον ἔξω ἐπὶ τὴν πηγήν. 30 καὶ ἐγένετο ἡνίκα εἶδε τὰ ἐνώτια καὶ τὰ ψέλλια ἐν 30
ταῖς χερσὶ τῆς ἀδελφῆς αὐτοῦ, καὶ ὅτε ἤκουσε τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελ-
φῆς αὐτοῦ λεγούσης Οὕτω λελάληκέ μοι ὁ ἄνθρωπος, καὶ ἦλθε πρὸς τὸν ἄνθρω-
πον, ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς πηγῆς, 31 καὶ εἶπεν αὐτῷ Δεῦρο 31
εἴσελθε, εὐλογητὸς κυρίου· ἵνα τί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμασα τὴν οἰκίαν
καὶ τόπον ταῖς καμήλοις. 32 εἰσῆλθε δὲ ὁ ἄνθρωπος εἰς τὴν οἰκίαν, καὶ ἀπέσαξε 32
τὰς καμήλους· καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα ταῖς καμήλοις, καὶ ὕδωρ
νίψασθαι τοῖς ποσὶν αὐτοῦ καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ, 33 καὶ παρ- 33
έθηκεν αὐτοῖς ἄρτους φαγεῖν. καὶ εἶπεν Οὐ μὴ φάγω ἕως τοῦ λαλῆσαί με τὰ
ῥήματά μου. καὶ εἶπε Λάλησον. 34 καὶ εἶπε Παῖς Ἀβραὰμ ἐγώ εἰμι. 35 κύριος 34 35
δὲ ηὐλόγησε τὸν κύριόν μου σφόδρα, καὶ ὑψώθη· καὶ ἔδωκεν αὐτῷ πρόβατα
καὶ μόσχους καὶ ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ
ὄνους. 36 καὶ ἔτεκε Σάῤῥα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ 36
τὸ γηρᾶσαι αὐτόν· καὶ ἔδωκεν αὐτῷ ὅσα ἦν αὐτῷ. 37 καὶ ὥρκισέ με ὁ κύριός 37
μου λέγων Οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων,
ἐν οἷς ἐγὼ παροικῶ ἐν τῇ γῇ αὐτῶν· 38 ἀλλ' εἰς τὸν οἶκον τοῦ πατρός μου πο- 38
ρεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. 39 εἶπα 39
δὲ τῷ κυρίῳ μου Μή ποτε οὐ πορεύσεται ἡ γυνὴ μετ' ἐμοῦ. 40 καὶ εἶπέ μοι Κύ- 40
ριος ὁ θεός, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἐξαποστελεῖ τὸν ἄγγελον αὐ-

14. om τω ante ισαακ ... ελεος τω κυριω μ. αβρ. 15. om αυτου post διανοια 20. επι το ποτιστηρ. ... αντλησαι υδωρ και υδρ. 21. γνων. η ευοδωκεν 22. ανα δραχμης ολκ. ... ψελια 23. om του 24. και ειπεν αυτω ... ειμι εγω του ... ετεκ. αυτω ναχωρ 25. χορτασμα πολυ 26. om τω 27. εγκατελειπεν τ. δικ. και τ. αλ. ... εμε ευοδωκεν 28. απηγγειλεν 30. ψελια επι τας χειρας ... ουτως 31. ευλογητος κυριος 32. επεσαξεν ... om νιψασθαι 33. κ. ειπαν λαλησον 35. ευλογησεν 37. λημψη 38. αλλ η εις ... λημψη 39. πορευθη

Digitized by Google

τοῦ μετὰ σοῦ καὶ εὐοδώσει τὴν ὁδόν σου· καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκ τῆς
41 φυλῆς μου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου. [41] τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς
μου· ἡνίκα γὰρ ἐὰν ἔλθῃς εἰς τὴν φυλήν μου καὶ μή σοι δῶσι, καὶ ἔσῃ ἀθῷος
42 ἀπὸ τοῦ ὁρκισμοῦ μου. [42] καὶ ἐλθὼν σήμερον ἐπὶ τὴν πηγὴν εἶπα Κύριε ὁ θεὸς
τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν μου, ἐν ᾗ νῦν ἐγὼ πορεύομαι
43 ἐν αὐτῇ· [43] ἰδοὺ ἐγὼ ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, καὶ αἱ θυγατέρες
τῶν ἀνθρώπων τῆς πόλεως ἐκπορεύονται ἀντλῆσαι ὕδωρ, καὶ ἔσται ἡ παρθένος ᾗ
44 ἂν ἐγὼ εἴπω Πότισόν με ἐκ τῆς ὑδρίας σου μικρὸν ὕδωρ, [44] καὶ εἴπῃ μοι Καὶ
σὺ πίε καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνὴ ἣν ἡτοίμασε κύριος τῷ
ἑαυτοῦ θεράποντι Ἰσαάκ· καὶ ἐν τούτῳ γνώσομαι ὅτι πεποίηκας ἔλεος τῷ κυρίῳ
45 μου Ἀβραάμ. [45] καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ μου
εὐθὺς Ῥεβέκκα ἐξεπορεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων, καὶ κατέβη ἐπὶ τὴν
46 πηγὴν καὶ ὑδρεύσατο. εἶπα δὲ αὐτῇ Πότισόν με. [46] καὶ σπεύσασα καθεῖλε τὴν
ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς ἀφ᾽ ἑαυτῆς καὶ εἶπε Πίε σύ, καὶ τὰς καμήλους σου
47 ποτιῶ· καὶ ἔπιον, καὶ τὰς καμήλους ἐπότισε. [47] καὶ ἠρώτησα αὐτὴν καὶ εἶπα Θυ-
γάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι. ἡ δὲ ἔφη Θυγάτηρ Βαθουὴλ εἰμι υἱοῦ τοῦ Ναχώρ,
ὃν ἔτεκεν αὐτῷ Μελχά. καὶ περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια περὶ τὰς
48 χεῖρας αὐτῆς· [48] καὶ εὐδοκήσας προσεκύνησα τῷ κυρίῳ, καὶ εὐλόγησα κύριον τὸν
θεὸν τοῦ κυρίου μου Ἀβραάμ, ὃς εὐώδωσέ με ἐν ὁδῷ ἀληθείας λαβεῖν τὴν θυγα-
49 τέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου τῷ υἱῷ αὐτοῦ. [49] εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος
καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου· εἰ δὲ μή, ἀπαγγείλατέ μοι, ἵνα ἐπιστρέψω
50 εἰς δεξιὰν ἢ ἀριστεράν. [50] ἀποκριθεὶς δὲ Λάβαν καὶ Βαθουὴλ εἶπαν Παρὰ κυ-
ρίου ἐξῆλθε τὸ πρᾶγμα τοῦτο· οὐ δυνησόμεθά σοι ἀντειπεῖν κακὸν ἢ καλόν.
51 [51] ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου, λαβὼν ἀπότρεχε· καὶ ἔστω γυνὴ τῷ υἱῷ τοῦ κυ-
52 ρίου σου, καθὰ ἐλάλησε κύριος. [52] ἐγένετο δὲ ἐν τῷ ἀκοῦσαι τὸν παῖδα τοῦ
53 Ἀβραὰμ τῶν ῥημάτων αὐτῶν, προσεκύνησεν ἐπὶ τὴν γῆν τῷ κυρίῳ. [53] καὶ ἐξε-
νέγκας ὁ παῖς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν ἔδωκε τῇ Ῥεβέκκᾳ, καὶ
54 δῶρα ἔδωκε τῷ ἀδελφῷ αὐτῆς καὶ τῇ μητρὶ αὐτῆς. [54] καὶ ἔφαγον καὶ ἔπιον
καὶ αὐτὸς καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ ὄντες, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς τὸ
55 πρωὶ εἶπεν Ἐκπέμψατέ με ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. [55] εἶπαν δὲ οἱ
ἀδελφοὶ αὐτῆς καὶ ἡ μήτηρ Μεινάτω ἡ παρθένος μεθ᾽ ἡμῶν ἡμέρας ὡσεὶ δέκα,
56 καὶ μετὰ ταῦτα ἀπελεύσεται. [56] ὁ δὲ εἶπε πρὸς αὐτούς Μὴ κατέχετέ με· καὶ
κύριος εὐώδωσε τὴν ὁδόν μου ἐν ἐμοί· ἐκπέμψατέ με ἵνα ἀπέλθω πρὸς τὸν κύ-
57 ριόν μου. [57] οἱ δὲ εἶπαν Καλέσωμεν τὴν παῖδα καὶ ἐρωτήσωμεν τὸ στόμα αὐτῆς.
58 [58] καὶ ἐκάλεσαν τὴν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ Πορεύσῃ μετὰ τοῦ ἀνθρώπου
59 τούτου; ἡ δὲ εἶπε Πορεύσομαι. [59] καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐ-
τῶν καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ᾽ αὐτοῦ.
60 [60] καὶ εὐλόγησαν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ Ἀδελφὴ ἡμῶν εἶ· γίνου εἰς χιλιά-
δας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων.
61 [61] ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ
ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου· καὶ ἀναλαβὼν ὁ παῖς τὴν Ῥεβέκκαν ἀπῆλθεν.
62 [62] Ἰσαὰκ δὲ διεπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· αὐτὸς δὲ

---

40. λημψη 41. εση εκ της ... κ. μη δωσιν σοι 42. ην νυν εγ. πορ. επ αυτην 43. ** εστηκα ... επι την πηγην ... εξελευσονται υδρευσασθαι υδωρ ... με μικρον υδωρ εκ τ. υ. σ. 44. μοι πιε συ 46. τ. καμ. μου εποτ. 47. τινος θυγ. ει ... ειμι εγω του υιου ναχωρ ... ψελια επι τας 48. om τω ante κυριω ... ευοδωσεν μοι εν 49. om ει δε μη ... η εις αριστ. 50. το προσταγμα τουτο ... ου δυν. ουν σοι αντ. κακον καλω 52. τ. παιδ. τον αβρ. ... τ. ρημ. τουτων ... om τω ante κυριω 53. εδωκεν ρεβεκκα 54. επιον αυτος ... αναστας πρωι 56. ευοδωσεν ... om εν εμοι 57. επερωτησωμεν 58. om την ... και pro η δε 59. τ. παιδ. τον αβρ. 60. ρεβεκκ. την αδελφην αυτων και 62. επορευετο

Digitized by Google

κατῴκει ἐν τῇ γῇ τῇ πρὸς λίβα. 63 καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πε- 63
δίον τὸ πρὸς δείλης, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε καμήλους ἐρχο-
μένας. 64 καὶ ἀναβλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς εἶδε τὸν Ἰσαὰκ καὶ κατε- 64
πήδησεν ἀπὸ τῆς καμήλου, 65 καὶ εἶπε τῷ παιδί Τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ 65
πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῖν; εἶπε δὲ ὁ παῖς Οὗτός ἐστιν ὁ
κύριός μου· ἡ δὲ λαβοῦσα τὸ θέριστρον περιεβάλετο. 66 καὶ διηγήσατο ὁ παῖς 66
τῷ Ἰσαὰκ πάντα τὰ ῥήματα ἃ ἐποίησεν. 67 εἰσῆλθε δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς 67
μητρὸς αὐτοῦ καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτοῦ γυνή, καὶ ἠγάπησεν
αὐτήν· καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάῤῥας τῆς μητρὸς αὐτοῦ.

## XXV.

Προσθέμενος δὲ Ἀβραὰμ ἔλαβε γυναῖκα ᾗ ὄνομα Χεττούρα. 2 ἔτεκε δὲ 2
αὐτῷ τὸν Ζομβρᾶν καὶ τὸν Ἰεζὰν καὶ τὸν Μαδὰλ καὶ τὸν Μαδιὰμ καὶ τὸν Ἰε-
σβὼκ καὶ τὸν Σωιέ. 3 Ἰεζὰν δὲ ἐγέννησε τὸν Σαβὰ καὶ τὸν Δεδάν· υἱοὶ δὲ Δεδὰν 3
Ἀσσουριεὶμ καὶ Λατουσιεὶμ καὶ Λαωμείμ· 4 υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ καὶ Ἀφεὶρ 4
καὶ Ἐνὼχ καὶ Ἀβειδὰ καὶ Ἐλδαγά. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττούρας. 5 ἔδωκε 5
δὲ Ἀβραὰμ πάντα τὰ ὑπάρχοντα αὐτοῦ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· 6 καὶ τοῖς υἱοῖς 6
τῶν παλλακῶν αὐτοῦ ἔδωκεν Ἀβραὰμ δόματα, καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ
Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ ἔτι ζῶντος αὐτοῦ πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν. 7 ταῦτα 7
δὲ τὰ ἔτη ἡμερῶν τῆς ζωῆς Ἀβραὰμ ὅσα ἔζησεν, ἑκατὸν ἑβδομηκονταπέντε ἔτη·
8 καὶ ἐκλείπων ἀπέθανεν Ἀβραὰμ ἐν γήρᾳ καλῷ πρεσβύτης καὶ πλήρης ἡμερῶν, 8
καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. 9 καὶ ἔθαψαν αὐτὸν Ἰσαὰκ καὶ Ἰσμαὴλ οἱ 9
υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν, εἰς τὸν ἀγρὸν Ἐφρὼν τοῦ Σαὰρ τοῦ
Χετταίου, ὅς ἐστιν ἀπέναντι Μαμβρῆ· 10 τὸν ἀγρὸν καὶ τὸ σπήλαιον ὃ ἐκτήσατο 10
Ἀβραὰμ παρὰ τῶν υἱῶν τοῦ Χέτ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα
αὐτοῦ. 11 ἐγένετο δὲ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ εὐλόγησεν ὁ θεὸς τὸν Ἰσαὰκ 11
υἱὸν αὐτοῦ· καὶ κατῴκησεν Ἰσαὰκ παρὰ τὸ φρέαρ τῆς ὁράσεως. 12 αὗται δὲ αἱ 12
γενέσεις Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ὃν ἔτεκεν Ἄγαρ ἡ Αἰγυπτία ἡ παιδίσκη
Σάῤῥας τῷ Ἀβραάμ. 13 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσμαὴλ κατ' ὀνόματα 13
τῶν γενεῶν αὐτοῦ· πρωτότοκος Ἰσμαήλ, καὶ Ναβαϊὼθ καὶ Κηδὰρ καὶ Ναβδεὴλ
καὶ Μασσὰμ 14 καὶ Μασμὰ καὶ Δουμὰ καὶ Μασσῆ 15 καὶ Χοδδὰν καὶ Θαιμὰν 14 15
καὶ Ἰετοὺρ καὶ Ναφὲς καὶ Κεδμά. 16 οὗτοί εἰσιν οἱ υἱοὶ Ἰσμαήλ, καὶ ταῦτα τὰ 16
ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν καὶ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν· δώδεκα
ἄρχοντες κατὰ ἔθνη αὐτῶν. 17 καὶ ταῦτα τὰ ἔτη τῆς ζωῆς Ἰσμαήλ, ἑκατὸν τρια- 17
κονταεπτὰ ἔτη· καὶ ἐκλείπων ἀπέθανε, καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ.
18 κατῴκησε δὲ ἀπὸ Εὐιλὰτ ἕως Σούρ, ἥ ἐστι κατὰ πρόσωπον Αἰγύπτου ἕως 18
ἐλθεῖν πρὸς Ἀσσυρίους· κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησε.
19 καὶ αὗται αἱ γενέσεις Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. 19
20 ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαράκοντα ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουὴλ 20
τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας Συρίας, ἀδελφὴν Λαβὰν τοῦ Σύρου, ἑαυτῷ
εἰς γυναῖκα. 21 ἐδέετο δὲ Ἰσαὰκ κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι 21
στεῖρα ἦν· ἐπήκουσε δὲ αὐτοῦ ὁ θεός, καὶ συνέλαβεν ἐν γαστρὶ Ῥεβέκκα ἡ
γυνὴ αὐτοῦ. 22 ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ· εἶπε δέ Εἰ οὕτω μοι μέλλει 22

---

63. om αυτου XXV. 2. * ζεβραν, ** ζεμβραν ... ** ιεξαν, * ιεκξαν s. ιεηξαν (?) ... * μαδαιμ, ** μαδαι (?) pro μαδαλ ... ιεσβοκ ... σωυε 3. ** ιεξαν (* ιεζαν?) ... τον σαβαν και τον θαιμαν και τον δαιδαν ... υ. δ. δαιδαν εγενοντο ραβουηλ και ναβδεηλ και ασουριμ κ. λατ. κ. λοωμειν 4. κ. αφερ ... κ. αβιρα κ. θεργαμα ... ουτοι παντες 7. om της 8. εν γηρει 9. οι δυο υιοι αυτ. ... ο εστιν 10. υιων χετ 11. τ. ισ. τον υ. α. 12. om η αιγυπτια 13. κατ ονομα ... om και ante ναβαιωδ 14. κ. ιδουμα 16. κατα εθνος 18. ευειλατ ε. σουηλ 20. τεσσερακοντα ... om συριας ... om εις 21. εδειτο ... και ελαβεν εγγαστρι 22. ουτως

Digitized by Google

23 γίνεσθαι, ἵνα τί μοι τοῦτο; ἐπορεύθη δὲ πυθέσθαι παρὰ κυρίου. [23] καὶ εἶπε κύ-
ριος αὐτῇ Δύο ἔθνη ἐν γαστρί σού εἰσι, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διαστα-
24 λήσονται· καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. [24] καὶ Ro.9,12.
ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ τῇδε ἦν δίδυμα ἐν τῇ κοιλίᾳ αὐ-
25 τῆς. [25] ἐξῆλθε δὲ ὁ πρωτότοκος πυῤῥάκης, ὅλος ὡσεὶ δορὰ δασύς· ἐπωνόμασε
26 δὲ τὸ ὄνομα αὐτοῦ Ἠσαῦ. [26] καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ
χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἠσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰα-
27 κώβ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα ὅτε ἔτεκεν αὐτοὺς Ῥεβέκκα. [27] ηὐξήθησαν δὲ
οἱ νεανίσκοι· καὶ ἦν Ἠσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος· Ἰακὼβ δὲ
28 ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν. [28] ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἠσαῦ, ὅτι ἡ θήρα
29 αὐτοῦ βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ. [29] ἥψησε δὲ Ἰακὼβ ἕψημα·
30 ἦλθε δὲ Ἠσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων. [30] καὶ εἶπεν Ἠσαῦ τῷ Ἰακὼβ Γεῦσόν
με ἀπὸ τοῦ ἑψήματος πυῤῥοῦ τούτου, ὅτι ἐκλείπω· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα
31 αὐτοῦ Ἐδώμ. [31] εἶπε δὲ Ἰακὼβ τῷ Ἠσαῦ Ἀπόδου μοι σήμερον τὰ πρωτοτόκιά
32 σου ἐμοί. [32] καὶ εἶπεν Ἠσαῦ Ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα
33 τὰ πρωτοτόκια; [33] καὶ εἶπεν αὐτῷ Ἰακὼβ Ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν
34 αὐτῷ· ἀπέδοτο δὲ Ἠσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ. [34] Ἰακὼβ δὲ ἔδωκε τῷ *He.12,16.
Ἠσαῦ ἄρτον καὶ ἕψημα φακοῦ· καὶ ἔφαγε καὶ ἔπιε, καὶ ἀναστὰς ᾤχετο· καὶ
ἐφαύλισεν Ἠσαῦ τὰ πρωτοτόκια.

## XXVI.

Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον ὃς ἐγένετο
ἐν τῷ καιρῷ τοῦ Ἀβραάμ· ἐπορεύθη δὲ Ἰσαὰκ πρὸς Ἀβιμέλεχ βασιλέα Φυλι-
2 στιεὶμ εἰς Γέραρα. [2] ὤφθη δὲ αὐτῷ κύριος καὶ εἶπε Μὴ καταβῇς εἰς Αἴγυπτον·
3 κατοίκησον δὲ ἐν τῇ γῇ ᾗ ἄν σοι εἴπω. [3] καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ καὶ ἔσο-
μαι μετὰ σοῦ καὶ εὐλογήσω σε· σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πᾶσαν τὴν
γῆν ταύτην, καὶ στήσω τὸν ὅρκον μου ὃν ὤμοσα τῷ Ἀβραὰμ τῷ πατρί σου.
4 [4] καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ· καὶ δώσω τῷ σπέρ-
ματί σου πᾶσαν τὴν γῆν ταύτην· καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα
5 τὰ ἔθνη τῆς γῆς· [5] ἀνθ᾽ ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς,
καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά μου
6 7 καὶ τὰ νόμιμά μου. [6] κατῴκησε δὲ Ἰσαὰκ ἐν Γεράροις. [7] ἐπηρώτησαν δὲ οἱ ἄν-
δρες τοῦ τόπου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ εἶπεν Ἀδελφή μού ἐστιν·
ἐφοβήθη γὰρ εἰπεῖν ὅτι γυνή μού ἐστι, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες
8 τοῦ τόπου περὶ Ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. [8] ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ·
καὶ παρακύψας Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων διὰ τῆς θυρίδος εἶδε τὸν Ἰσαὰκ
9 παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. [9] ἐκάλεσε δὲ Ἀβιμέλεχ τὸν Ἰσαὰκ
καὶ εἶπεν αὐτῷ Ἆρά γε γυνή σού ἐστι; τί ὅτι εἶπας Ἀδελφή μού ἐστιν; εἶπε
10 δὲ αὐτῷ Ἰσαάκ Εἶπα γάρ Μή ποτε ἀποθάνω δι᾽ αὐτήν. [10] εἶπε δὲ αὐτῷ Ἀβι-
μέλεχ Τί τοῦτο ἐποίησας ἡμῖν; μικροῦ ἐκοιμήθη τις ἐκ τοῦ γένους μου μετὰ τῆς
11 γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ᾽ ἡμᾶς ἄγνοιαν. [11] συνέταξε δὲ Ἀβιμέλεχ
παντὶ τῷ λαῷ αὐτοῦ λέγων Πᾶς ὁ ἀψάμενος τοῦ ἀνθρώπου τούτου καὶ τῆς γυ-
12 ναικὸς αὐτοῦ θανάτῳ ἔνοχος ἔσται. [12] ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ
εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν· εὐλόγησε δὲ αὐτὸν κύριος.
13 [13] καὶ ὑψώθη ὁ ἄνθρωπος, καὶ προβαίνων μείζων ἐγένετο ἕως οὗ μέγας ἐγένετο

---

23. εν τη γαστρι 24. εν τη γαστρι αυτης 25. δε ο υιος ο πρωτοτ. 26. εγεννησεν pro ετεκεν 27. ιακ. δε ην ... (αβλαστος) 29. εψεμα 30. εψεματος του π. τουτ. ... εκλειπ. εγω· δια το εκλ. 32. ειπεν δε ησ. ... πρωτοτοκεια (etiam 33. 34; contra πρωτοτοκια 31.) 34. εψεμα XXVI. 1. ος εγενηθη ε. τ. χρονω 3. ωμοσα αβρααμ 4. ενευλογηθησονται 6. και κατωκησεν 7. ειπεν οτι αδελφη 8. εκει· παρακ. δε (9. αποθανη) 10. om εκ ... om αν 11. απτομενος ... τουτου η της ... θανατου 13. εγινετο bis

Digitized by Google

σφόδρα· 14 ἐγένετο δὲ αὐτῷ κτήνη προβάτων καὶ κτήνη βοῶν καὶ γεώργια πολλά. 14
ἐζήλωσαν δὲ αὐτὸν οἱ Φυλιστιείμ· 15 καὶ πάντα τὰ φρέατα ἃ ὤρυξαν οἱ παῖδες 15
τοῦ πατρὸς αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ οἱ Φυλι-
στιεὶμ καὶ ἔπλησαν αὐτὰ γῆς. 16 εἶπε δὲ Ἀβιμέλεχ πρὸς Ἰσαάκ Ἄπελθε ἀφ' 16
ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. 17 καὶ ἀπῆλθεν ἐκεῖθεν Ἰσαὰκ 17
καὶ κατέλυσεν ἐν τῇ φάραγγι Γεράρων, καὶ κατῴκησεν ἐκεῖ. 18 καὶ πάλιν Ἰσαὰκ 18
ὤρυξε τὰ φρέατα τοῦ ὕδατος ἃ ὤρυξαν οἱ παῖδες Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ καὶ
ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ τὸν πατέρα αὐτοῦ·
καὶ ἐπωνόμασεν αὐτοῖς ὀνόματα κατὰ τὰ ὀνόματα ἃ ὠνόμασεν ὁ πατὴρ αὐτοῦ.
19 καὶ ὤρυξαν οἱ παῖδες Ἰσαὰκ ἐν τῇ φάραγγι Γεράρων, καὶ εὗρον ἐκεῖ φρέαρ 19
ὕδατος ζῶντος. 20 καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων μετὰ τῶν ποιμένων 20
Ἰσαάκ, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ· καὶ ἐκάλεσαν τὸ ὄνομα τοῦ φρέατος
Ἀδικία· ἠδίκησαν γὰρ αὐτόν. 21 ἀπάρας δὲ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον· ἐκρί- 21
νοντο δὲ καὶ περὶ ἐκείνου, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐχθρία. 22 ἀπάρας δὲ 22
ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ· καὶ ἐπωνόμασε
τὸ ὄνομα αὐτοῦ Εὐρυχωρία, λέγων Διότι νῦν ἐπλάτυνε κύριος ἡμῖν καὶ ηὔξησεν
ἡμᾶς ἐπὶ τῆς γῆς. 23 ἀνέβη δὲ ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. 24 καὶ ὤφθη 23 24
αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός
σου, μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε καὶ πληθυνῶ τὸ σπέρμα
σου δι' Ἀβραὰμ τὸν πατέρα σου. 25 καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπε- 25
καλέσατο τὸ ὄνομα κυρίου, καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ· ὤρυξαν δὲ ἐκεῖ
οἱ παῖδες Ἰσαὰκ φρέαρ ἐν τῇ φάραγγι Γεράρων. 26 καὶ Ἀβιμέλεχ ἐπορεύθη 26
πρὸς αὐτὸν ἀπὸ Γεράρων, καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φιχὼλ ὁ ἀρ-
χιστράτηγος τῆς δυνάμεως αὐτοῦ. 27 καὶ εἶπεν αὐτοῖς Ἰσαάκ Ἵνα τί ἤλθετε πρὸς 27
μέ; ὑμεῖς δὲ ἐμισήσατέ με καὶ ἐξαπεστείλατέ με ἀφ' ὑμῶν. 28 οἱ δὲ εἶπαν 28
Ἰδόντες ἑωράκαμεν ὅτι ἦν κύριος μετὰ σοῦ, καὶ εἴπαμεν Γενέσθω ἀρὰ ἀνὰ μέ-
σον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ, καὶ διαθησόμεθα μετὰ σοῦ διαθήκην 29 μὴ ποιῆ- 29
σαι μεθ' ἡμῶν κακόν, καθότι οὐκ ἐβδελυξάμεθά σε ἡμεῖς, καὶ ὃν τρόπον ἐχρη-
σάμεθά σοι καλῶς καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης· καὶ νῦν εὐλογημένος σὺ
ὑπὸ κυρίου. 30 καὶ ἐποίησεν αὐτοῖς δοχήν· καὶ ἔφαγον καὶ ἔπιον. 31 καὶ ἀνα- 30 31
στάντες τὸ πρωΐ, ὤμοσεν ἕκαστος τῷ πλησίον· καὶ ἐξαπέστειλεν αὐτοὺς Ἰσαάκ,
καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας. 32 ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ 32
παραγενόμενοι οἱ παῖδες Ἰσαὰκ ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν,
καὶ εἶπαν Οὐχ εὕρομεν ὕδωρ. 33 καὶ ἐκάλεσεν αὐτὸ Ὅρκος· διὰ τοῦτο ἐκάλεσεν 33
ὄνομα τῇ πόλει ἐκείνῃ Φρέαρ ὅρκου ἕως τῆς σήμερον ἡμέρας. 34 ἦν δὲ Ἡσαῦ 34
ἐτῶν τεσσαράκοντα καὶ ἔλαβε γυναῖκα Ἰουδίθ, θυγατέρα Βεὼχ τοῦ Χετταίου,
καὶ τὴν Βασεμάθ, θυγατέρα Ἐλὼν Χετταίου· 35 καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ 35
καὶ τῇ Ῥεβέκκᾳ.

## XXVII.

Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαὰκ καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ
αὐτοῦ τοῦ ὁρᾶν· καὶ ἐκάλεσεν Ἡσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον καὶ εἶπεν
αὐτῷ Υἱέ μου. καὶ εἶπεν Ἰδοὺ ἐγώ. 2 καὶ εἶπεν Ἰδοὺ γεγήρακα, καὶ οὐ γινώ- 2
σκω τὴν ἡμέραν τῆς τελευτῆς μου· 3 νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέ- 3

(14. αυτη pro αυτω) 18. ωνομ. αβρααμ ο πατ. α. 19. ωρυξαν δε 20. εκαλεσεν ... τ. φρεατος εκεινου 21. απ. δε ισαακ 24. δια αβρ. 25. om εν τη φαρ. γεραρ. 26. φιχολ 27. ηλθατε ... απεστειλατε 28. και pro οι δε 29. μη ποιησειν ... ** κακα, καθοτι ημεις σε ουκ εβδελυξ. ... εχρημεθα ... κ. ν. συ ευλογητος υ. κ. 31. ωμοσαν ανθρωπος τω πλησ. αυτου 33. το ονομα αυτου pro αυτο ... το ονομα ... om εκεινη 34. τεσσερακοντα ... ιουθιν θυγ. βεηρ ... μασεμμαθ θυγ. αιλωμ του ευαιου XXVII. 1. γηρασαι ισαχ ... κ. ειπ. αυτω ιδ. εγ. 3. om σου

Digitized by Google

4 τραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν· [4]καὶ
ποίησόν μοι ἐδέσματα ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι ἵνα φάγω· ὅπως εὐλογήσῃ
5 σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με. [5]Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς
Ἡσαῦ τὸν υἱὸν αὐτοῦ· ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ
6 πατρὶ αὐτοῦ. [6]Ῥεβέκκα δὲ εἶπε πρὸς τὸν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω
Ἴδε, ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου λέγοντος
7 [7]Ἔνεγκόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα· ἵνα φαγὼν εὐλογήσω σε ἐναν-
8 τίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. [8]νῦν οὖν, υἱέ μου, ἄκουσόν μου καθὰ ἐγώ
9 σοι ἐντέλλομαι· [9]καὶ πορευθεὶς εἰς τὰ πρόβατα λάβε μοι ἐκεῖθεν δύο ἐρίφους
ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου ὡς φιλεῖ·
10 [10]καὶ εἰςοίσεις τῷ πατρί σου, καὶ φάγεται· ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ
11 τοῦ ἀποθανεῖν αὐτόν. [11]εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκκαν τὴν μητέρα αὐτοῦ
12 Ἔστιν Ἡσαῦ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος· [12]μή ποτε ψηλα-
φήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐπ'
13 ἐμαυτὸν κατάραν καὶ οὐκ εὐλογίαν. [13]εἶπε δὲ αὐτῷ ἡ μήτηρ Ἐπ' ἐμὲ ἡ κα-
τάρα σου, τέκνον· μόνον ἐπάκουσόν μου τῆς φωνῆς, καὶ πορευθεὶς ἔνεγκέ μοι.
14 [14]πορευθεὶς δὲ ἔλαβε καὶ ἤνεγκε τῇ μητρί· καὶ ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἐδέ-
15 σματα καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. [15]καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν Ἡσαῦ
τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ' αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέ-
16 δυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον· [16]καὶ τὰ δέρματα τῶν ἐρί-
φων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐ-
17 τοῦ· [17]καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους οὓς ἐποίησεν εἰς τὰς χεῖρας
18 Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς. [18]καὶ εἰςήνεγκε τῷ πατρὶ αὐτοῦ· εἶπε δέ Πάτερ. ὁ δὲ
19 εἶπεν Ἰδοὺ ἐγώ· τίς εἶ σύ, τέκνον; [19]καὶ εἶπεν Ἰακὼβ τῷ πατρί Ἐγὼ Ἡσαῦ
ὁ πρωτότοκός σου, πεποίηκα καθὰ ἐλάλησάς μοι· ἀναστὰς κάθισον καὶ φάγε
20 ἀπὸ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. [20]εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ
αὐτοῦ Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον; ὁ δὲ εἶπεν Ὃ παρέδωκε κύριος ὁ θεός
21 σου ἐναντίον μου. [21]εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακὼβ Ἔγγισόν μοι καὶ ψηλαφήσω σε,
22 τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ ἢ οὔ. [22]ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν
πατέρα αὐτοῦ· καὶ ἐψηλάφησεν αὐτὸν καὶ εἶπεν Ἡ μὲν φωνὴ φωνὴ Ἰακώβ,
23 αἱ δὲ χεῖρες χεῖρες Ἡσαῦ. [23]καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ
24 ὡς αἱ χεῖρες Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι· καὶ εὐλόγησεν αὐτόν [24]καὶ
25 εἶπε Σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; ὁ δὲ εἶπεν Ἐγώ. [25]καὶ εἶπε Προσάγαγέ μοι καὶ
φάγομαι ἀπὸ τῆς θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προς-
26 ήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰςήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε. [26]καὶ εἶπεν
27 αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ Ἔγγισόν μοι καὶ φίλησόν με, τέκνον. [27]καὶ ἐγγί-
σας ἐφίλησεν αὐτόν· καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλό- *He. 11, 20.
γησεν αὐτὸν καὶ εἶπεν Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐ-
28 λόγησε κύριος. [28]καὶ δῴη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς
29 πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου· [29]καὶ δουλευσάτωσάν σοι ἔθνη,
καὶ προςκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ
προςκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου· ὁ καταρώμενός σε ἐπικατάρατος, ὁ
30 δὲ εὐλογῶν σε εὐλογημένος. [30]καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦντα
Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὡς ἂν ἐξῆλθεν Ἰακὼβ ἀπὸ προςώπου Ἰσαὰκ
31 τοῦ πατρὸς αὐτοῦ, καὶ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας. [31]καὶ

---

4. ενεγκον ... προ του αποθ. μ. 6. om τον primum ... ιδε εγω 8. om μου prius ... εγ. εντελλ. σοι 12. ο πατ. μου 13. υπακουσον τ. φ. μου 15. και ενεδυσεν ιακωβ 18. πατερ μου ... εγω. ο δε ειπεν τις 19. ιακωβ ο υιος αυτου τω πατρι αυτου ... εποιησα ... om απο 20. om σου 22. om μεν 23. * om ησαυ (?) ... ηυλογησεν 25. οπως pro ινα 27. ηυλογησεν bis 28. ουρανου ανωθεν 29. κ. προσκυνησουσιν σοι αρχ. ... προςκυνησ. σε οι 30. τον ιακ. τον ... om αν ... θηρας αυτου

Digitized by Google

ἐποίησε καὶ αὐτὸς ἐδέσματα καὶ προςήνεγκε τῷ πατρὶ αὐτοῦ· καὶ εἶπε τῷ πα-
τρί Ἀναστήτω ὁ πατήρ μου καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως
εὐλογήσῃ με ἡ ψυχή σου. [32] καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ Τίς εἶ σύ; 32
ὁ δὲ εἶπεν Ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ. [33] ἐξέστη δὲ Ἰσαὰκ ἔκ- 33
στασιν μεγάλην σφόδρα καὶ εἶπε Τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰςενέγκας
μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ ἐλθεῖν σε; καὶ εὐλόγησα αὐτόν, καὶ εὐλο-
*Hebr. 12, 17. γημένος ἔσται. [34] ἐγένετο δὲ ἡνίκα ἤκουσεν Ἡσαῦ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ 34
Ἰσαάκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα, καὶ εἶπεν Εὐλόγησον δὴ
κἀμέ, πάτερ. [35] εἶπε δὲ αὐτῷ Ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβε τὴν 35
εὐλογίαν σου. [36] καὶ εἶπε Δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε 36
γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε, καὶ νῦν ἔλαβε τὴν
εὐλογίαν μου. καὶ εἶπεν Ἡσαῦ τῷ πατρὶ αὐτοῦ Οὐχ ὑπελίπου μοι εὐλογίαν,
πάτερ; [37] ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπε τῷ Ἡσαῦ Εἰ κύριον αὐτὸν πεποίηκά σου, 37
καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστή-
ριξα αὐτόν· σοὶ δὲ τί ποιήσω, τέκνον; [38] εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ 38
Μὴ εὐλογία μία σοί ἐστι, πάτερ; εὐλόγησον δὴ κἀμέ, πάτερ. κατανυχθέντος
'Hebr. 11, 20. δὲ Ἰσαὰκ ἀνεβόησε φωνῇ Ἡσαῦ καὶ ἔκλαυσεν. [39] ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πα- 39
τὴρ αὐτοῦ εἶπεν αὐτῷ Ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου
καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν· [40] καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ 40
τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἐὰν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν
αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. [41] καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλο- 41
γίας ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ· εἶπε δὲ Ἡσαῦ ἐν τῇ διανοίᾳ αὐτοῦ
Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ
τὸν ἀδελφόν μου. [42] ἀπηγγέλη δὲ Ῥεβέκκᾳ τὰ ῥήματα Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς 42
τοῦ πρεσβυτέρου· καὶ πέμψασα ἐκάλεσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον
καὶ εἶπεν αὐτῷ Ἰδοὺ Ἡσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ ἀποκτεῖναί σε.
[43] νῦν οὖν, τέκνον, ἄκουσόν μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν 43
Μεσοποταμίαν πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαρράν· [44] καὶ οἴκησον μετ' 44
αὐτοῦ ἡμέρας τινάς, [45] ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελ- 45
φοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ· καὶ ἀποστείλασα μετα-
πέμψομαί σε ἐκεῖθεν, μή ποτε ἀποτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.
[46] εἶπε δὲ Ῥεβέκκα πρὸς Ἰσαάκ Προςώχθικα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας 46
τῶν υἱῶν Χέτ· εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης,
ἵνα τί μοι τὸ ζῆν;

## XXVIII.

Προςκαλεσάμενος δὲ Ἰσαὰκ τὸν Ἰακὼβ εὐλόγησεν αὐτόν, καὶ ἐνετείλατο
αὐτῷ λέγων Οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων· [2] ἀναστὰς 2
ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον Βαθουὴλ τοῦ πατρός τῆς μητρός
σου, καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν τοῦ ἀδελφοῦ
τῆς μητρός σου. [3] ὁ δὲ θεός μου εὐλογήσαι σε καὶ αὐξήσαι σε καὶ πληθύναι σε, 3
καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν· [4] καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός 4
μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς
σου, ἣν ἔδωκεν ὁ θεὸς τῷ Ἀβραάμ. [5] καὶ ἀπέστειλεν Ἰσαὰκ τὸν Ἰακώβ· καὶ 5

---

31. κ. ειπ. τ. πατρι αυτου ... om απο ... οπως ευλογησει 33. προ του σε εισελθειν ... ηυλογησα ... ευλογ. εστω 34. ισααχ του πατρ. αυτ. ... ανεβ. ησαυ φ. ... * πατηρ (?) 36. ηδη pro ιδου ... πρωτοτοκεια ... ειληφεν pro ελαβε ... υπελειπω 37. εποιησα bis pro πεποιηκα ... εστηρισα 38. προς ισααχ τον ... om κατανυχθεντ. usque εκλαυσεν 40. μαχαιρη ... εκλυσεις 45. ατεκνωθω ... (ed. r. ημων) 46. προσοχθεικα ... λημψεται ... om το XXVIII. 1. λημψη ... θυγατερων χανααν 2. μεσοποταμ. συριας 4. δεδωκεν

Digitized by Google

ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελ-
6 φὸν Ῥεβέκκας τῆς μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ. [6] Ἴδε δὲ Ἠσαῦ ὅτι εὐλόγησεν
Ἰσαὰκ τὸν Ἰακὼβ καὶ ἀπέστειλεν εἰς τὴν Μεσοποταμίαν Συρίας λαβεῖν ἑαυτῷ
γυναῖκα ἐκεῖθεν ἐν τῷ εὐλογεῖν αὐτόν, καὶ ἐνετείλατο αὐτῷ λέγων Οὐ λήψῃ
7 γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων· [7] καὶ ἤκουσεν Ἰακὼβ τοῦ πατρὸς
8 καὶ τῆς μητρὸς αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν Συρίας. [8] ἰδὼν δὲ
καὶ Ἠσαῦ ὅτι πονηραί εἰσιν αἱ θυγατέρες Χαναὰν ἐναντίον Ἰσαὰκ τοῦ πατρὸς
9 αὐτοῦ, [9] ἐπορεύθη Ἠσαῦ πρὸς Ἰσμαήλ, καὶ ἔλαβε τὴν Μαελὲθ θυγατέρα
Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ἀδελφὴν Ναβεώθ, πρὸς ταῖς γυναιξὶν αὐτοῦ γυναῖκα.
10 [10] καὶ ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥάν.
11 [11] καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν
λίθων τοῦ τόπου καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ
12 ἐκείνῳ. [12] καὶ ἐνυπνιάσθη· καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ
ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' *Jo. 1, 52.
13 αὐτῇ· [13] ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς. καὶ εἶπεν Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ
τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ, μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ'
14 αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. [14] καὶ ἔσται τὸ σπέρμα σου ὡς
ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβα καὶ βοῤῥᾶν καὶ ἐπ'
ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρ-
15 ματί σου. [15] καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ οὗ
ἂν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω
16 ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. [16] καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ
ὕπνου αὐτοῦ καὶ εἶπεν ὅτι ἔστι κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν.
17 [17] καὶ ἐφοβήθη, καὶ εἶπεν Ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο ἀλλ' ἢ
18 οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. [18] καὶ ἀνέστη Ἰακὼβ τὸ πρωί, καὶ
ἔλαβε τὸν λίθον ὃν ὑπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ καὶ ἔστησεν αὐτὸν στή-
19 λην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς. [19] καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου
20 ἐκείνου Οἶκος θεοῦ· καὶ Οὐλαμλοὺζ ἦν ὄνομα τῇ πόλει τὸ πρότερον. [20] καὶ
ηὔξατο Ἰακὼβ εὐχὴν λέγων Ἐὰν ᾖ κύριος ὁ θεὸς μετ' ἐμοῦ, καὶ διαφυλάξῃ με
ἐν τῇ ὁδῷ ταύτῃ ᾗ ἐγὼ πορεύομαι, καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περι-
21 βαλέσθαι, [21] καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου·
22 καὶ ἔσται κύριός μοι εἰς θεόν· [22] καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται
μοι οἶκος θεοῦ· καὶ πάντων ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι.

## XXIX.

Καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας ἐπορεύθη εἰς γῆν ἀνατολῶν πρὸς Λάβαν τὸν
υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν δὲ Ῥεβέκκας μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ.
2 [2] καὶ ὁρᾷ, καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ. ἦσαν δὲ ἐκεῖ τρία ποίμνια προβάτων
ἀναπαυόμενα ἐπ' αὐτοῦ· ἐκ γὰρ τοῦ φρέατος ἐκείνου ἐπότιζον τὰ ποίμνια· λί-
3 θος δὲ ἦν μέγας ἐπὶ τῷ στόματι τοῦ φρέατος. [3] καὶ συνήγοντο ἐκεῖ πάντα τὰ
ποίμνια, καὶ ἀπεκύλιον τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ἐπότιζον
τὰ πρόβατα, καὶ ἀπεκαθίστων τὸν λίθον ἐπὶ τὸ στόμα τοῦ φρέατος εἰς τὸν τόπον
4 αὐτοῦ. [4] εἶπε δὲ αὐτοῖς Ἰακὼβ Ἀδελφοί, πόθεν ἐστὲ ὑμεῖς; οἱ δὲ εἶπαν Ἐκ
5 Χαῤῥάν ἐσμεν. [5] εἶπε δὲ αὐτοῖς Γινώσκετε Λάβαν τὸν υἱὸν Ναχώρ; οἱ δὲ εἶπαν
6 Γινώσκομεν. [6] εἶπε δὲ αὐτοῖς Ὑγιαίνει; οἱ δὲ εἶπαν Ὑγιαίνει. καὶ ἰδοὺ Ῥαχὴλ

---

5. αδελφ. δε ρεβ. 6. απωχετο pro απεστειλεν ... om εκειθεν ... λημψη γυν. απο των θυγ. χαναναν 7. εαυτου ... om συριας 8. και ιδεν ησαυ 9. και επορευθη ... ναβαιωθ 11. επεθηκε 12. επ αυτης 13. om ειμι 14. θαλασσης pro γης ... και επι λιβαν και επι βορραν και επ ανατολ. 15. om ειμι ... ου εαν ... εγκαταλειπω 16. απο pro εκ 18. ον εθηκεν 19. κ. εκαλ. ιακωβ ... ουλαμμαυς 21. μοι κυριος XXIX. 2. αναπ. επι το αυτο 6. ετι αυτου λαλουντος, και ιδου

Digitized by Google

ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων. 7 καὶ εἶπεν Ἰακὼβ Ἔτι ἐστὶν 7
ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη· ποτίσαντες τὰ πρόβατα ἀπελ-
θόντες βόσκετε. 8 οἱ δὲ εἶπαν Οὐ δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς 8
ποιμένας, καὶ ἀποκυλίσουσι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ πο-
τιοῦμεν τὰ πρόβατα. 9 ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς, καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ 9
Λάβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὐτὴ γὰρ ἔβοσκε τὰ πρό-
βατα τοῦ πατρὸς αὐτῆς. 10 ἐγένετο δὲ ὡς εἶδεν Ἰακὼβ τὴν Ῥαχὴλ τὴν θυγατέρα 10
Λάβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ καὶ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μη-
τρὸς αὐτοῦ, καὶ προσελθὼν Ἰακὼβ ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ
φρέατος, καὶ ἐπότιζε τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ. 11 καὶ 11
ἐφίλησεν Ἰακὼβ τὴν Ῥαχήλ, καὶ βοήσας τῇ φωνῇ αὐτοῦ ἔκλαυσε. 12 καὶ ἀπήγ- 12
γειλε τῇ Ῥαχὴλ ὅτι ἀδελφὸς τοῦ πατρὸς αὐτῆς ἐστί, καὶ ὅτι υἱὸς Ῥεβέκκας
ἐστί· καὶ δραμοῦσα ἀπήγγειλε τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. 13 ἐγέ- 13
νετο δὲ ὡς ἤκουσε Λάβαν τὸ ὄνομα Ἰακὼβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδρα-
μεν εἰς συνάντησιν αὐτῷ, καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ εἰςήγαγεν αὐτὸν
εἰς τὸν οἶκον αὐτοῦ· καὶ διηγήσατο τῷ Λάβαν πάντας τοὺς λόγους τούτους.
14 καὶ εἶπεν αὐτῷ Λάβαν Ἐκ τῶν ὀστῶν μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ· καὶ 14
ἦν μετ᾽ αὐτοῦ μῆνα ἡμερῶν. 15 εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Ὅτι γὰρ ἀδελφός μου 15
εἶ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι τίς ὁ μισθός σού ἐστι. 16 τῷ δὲ 16
Λάβαν ἦσαν δύο θυγατέρες· ὄνομα τῇ μείζονι Λεία, καὶ ὄνομα τῇ νεωτέρᾳ
Ῥαχήλ. 17 οἱ δὲ ὀφθαλμοὶ Λείας ἀσθενεῖς· Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει καὶ 17
ὡραία τῇ ὄψει σφόδρα. 18 ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχήλ, καὶ εἶπε Δουλεύσω 18
σοι ἑπτὰ ἔτη περὶ τῆς Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας. 19 εἶπε δὲ αὐτῷ 19
Λάβαν Βέλτιον δοῦναί με αὐτὴν σοὶ ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον
μετ᾽ ἐμοῦ. 20 καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη· καὶ ἦσαν ἐναντίον 20
αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. 21 εἶπε δὲ Ἰακὼβ τῷ 21
Λάβαν Δός μοι τὴν γυναῖκά μου· πεπλήρωνται γὰρ αἱ ἡμέραι ὅπως εἰςέλθω
πρὸς αὐτήν. 22 συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησε 22
γάμον. 23 καὶ ἐγένετο ἑσπέρα· καὶ λαβὼν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰςήγαγεν 23
πρὸς Ἰακώβ, καὶ εἰςῆλθε πρὸς αὐτὴν Ἰακώβ. 24 ἔδωκε δὲ Λάβαν Λείᾳ τῇ θυ- 24
γατρὶ αὐτοῦ Ζελφὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. 25 ἐγένετο δὲ πρωΐ, 25
καὶ ἰδοὺ ἦν Λεία· εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν Τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ
Ῥαχὴλ ἐδούλευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με; 26 ἀπεκρίθη δὲ Λάβαν 26
Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέ-
ραν· 27 συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς 27
ἐργασίας ἧς ἐργᾷ παρ᾽ ἐμοὶ ἔτι ἑπτὰ ἔτη ἕτερα. 28 ἐποίησε δὲ Ἰακὼβ οὕτως, 28
καὶ ἀνεπλήρωσε τὰ ἕβδομα ταύτης· καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ τὴν θυγα-
τέρα αὐτοῦ αὐτῷ γυναῖκα. 29 ἔδωκε δὲ Λάβαν τῇ θυγατρὶ αὐτοῦ Βαλλὰν τὴν 29
παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. 30 καὶ εἰςῆλθε πρὸς Ῥαχήλ· ἠγάπησε δὲ Ῥα- 30
χὴλ μᾶλλον ἢ Λείαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα. 31 ἰδὼν δὲ κύριος ὁ 31
θεὸς ὅτι ἐμισεῖτο Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. 32 καὶ 32
συνέλαβε Λεία καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὴν
λέγουσα Διότι εἶδέ μου κύριος τὴν ταπείνωσιν καὶ ἔδωκέ μοι υἱόν· νῦν οὖν ἀγα-

---

6. 7. προβατων του πατρος αυτης· αυτη γαρ εβοσκεν τα προβατα του πατρος αυτης. και ειπεν ιακ. 8. αποκυλισωσι 9. om ιδου 10. om την ante θυγατερα ... om και τα προβ. λαβ. τ. αδ. τ. μ. αυτου ... εποτισεν 12. ανηγγειλεν 13. και εγενετο ως ... συναντ. αυτου 17. om σφοδρα 18. περι ραχηλ 20. om και ησαν usque αυτον αυτην 21. αποδος pro δος ... ημερ. μου οπως 23. εισηγ. αυτην προς 24. λαβαν ζελφαν λεια τ. θυγ. αυτ. 25. om τω ... om παρα 26. ειπεν δε λαβαν 28. εδωκεν λαβαν 29. λαβ. ραχηλ τη 31. οτι μισειται 32. om και εδωκε μοι υιον ... om ουν



Digitized by Google

33 πήσει με ὁ ἀνήρ μου. [33] καὶ συνέλαβε πάλιν καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ,
καὶ εἶπεν ὅτι ἤκουσε κύριος ὅτι μισοῦμαι, καὶ προςέδωκέ μοι καὶ τοῦτον· καὶ
34 ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. [34] καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱόν, καὶ
εἶπεν Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ τρεῖς
35 υἱούς· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λευεί. [35] καὶ συλλαβοῦσα ἔτι ἔτεκεν
υἱόν, καὶ εἶπε Νῦν ἔτι τοῦτο ἐξομολογήσομαι κυρίῳ· διὰ τοῦτο ἐκάλεσε τὸ
ὄνομα αὐτοῦ Ἰούδαν. καὶ ἔστη τοῦ τίκτειν.

## XXX.

Ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν
ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ.
2 [2] θυμωθεὶς δὲ Ἰακὼβ τῇ Ῥαχὴλ εἶπεν αὐτῇ Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέ-
3 ρησέ σε καρπὸν κοιλίας; [3] εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακώβ Ἰδοὺ ἡ παιδίσκη μου
Βαλλά, εἴςελθε πρὸς αὐτήν· καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιή-
4 σομαι κἀγὼ ἐξ αὐτῆς. [4] καὶ ἔδωκεν αὐτῷ Βαλλὰν τὴν παιδίσκην αὐτῆς αὐτῷ
5 γυναῖκα, καὶ εἰςῆλθε πρὸς αὐτὴν Ἰακώβ· [5] καὶ συνέλαβε Βαλλὰ ἡ παιδίσκη
6 Ῥαχὴλ καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. [6] καὶ εἶπε Ῥαχὴλ Ἔκρινέ μοι ὁ θεὸς καὶ
ἐπήκουσε τῆς φωνῆς μου καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐ-
7 τοῦ Δάν. [7] καὶ συνέλαβεν ἔτι Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκεν υἱὸν δεύτερον
8 τῷ Ἰακώβ. [8] καὶ εἶπε Ῥαχὴλ Συναντελάβετό μου ὁ θεός, καὶ συνανεστράφην
9 τῇ ἀδελφῇ μου, καὶ ἠδυνάσθην· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλεί. [9] εἶδε
δὲ Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ ἔλαβε Ζελφὰν τὴν παιδίσκην αὐτῆς καὶ ἔδω-
10 κεν αὐτὴν τῷ Ἰακὼβ γυναῖκα. [10] καὶ εἰςῆλθε πρὸς αὐτήν· καὶ συνέλαβε Ζελφὰ
11 ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. [11] καὶ εἶπε Λεία Ἐν τύχῃ· καὶ
12 ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ. [12] καὶ συνέλαβεν ἔτι Ζελφὰ ἡ παιδίσκη Λείας
13 καὶ ἔτεκε τῷ Ἰακὼβ υἱὸν δεύτερον. [13] καὶ εἶπε Λεία Μακαρία ἐγώ, ὅτι μακα-
14 ριοῦσί με αἱ γυναῖκες· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ. [14] ἐπορεύθη δὲ Ῥου-
βὴν ἐν ἡμέρᾳ θερισμοῦ πυρῶν καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ
ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ· εἶπε δὲ Ῥαχὴλ τῇ Λείᾳ τῇ ἀδελφῇ
15 αὐτῆς Δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. [15] εἶπε δὲ Λεία Οὐχ ἱκανόν σοι
ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε
δὲ Ῥαχὴλ Οὐχ οὕτως· κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μαν-
16 δραγορῶν τοῦ υἱοῦ σου. [16] εἰςῆλθε δὲ Ἰακὼβ ἐξ ἀγροῦ ἑσπέρας, καὶ ἐξῆλθε
Λεία εἰς συνάντησιν αὐτῷ καὶ εἶπε Πρός ἐμὲ εἰςελεύσῃ σήμερον· μεμίσθωμαι
γάρ σε ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου· καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς τὴν νύκτα
17 ἐκείνην. [17] καὶ ἐπήκουσεν ὁ θεὸς Λείας, καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱὸν
18 πέμπτον. [18] καὶ εἶπε Λεία Δέδωκέ μοι ὁ θεὸς τὸν μισθόν μου ἀνθ᾽ οὗ ἔδωκα τὴν
παιδίσκην μου τῷ ἀνδρί μου· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ, ὅ ἐστι
19 20 μισθός. [19] καὶ συνέλαβεν ἔτι Λεία καὶ ἔτεκεν υἱὸν ἕκτον τῷ Ἰακώβ. [20] καὶ εἶπε
Λεία Δεδώρηται ὁ θεός μοι δῶρον καλὸν ἐν τῷ νῦν καιρῷ· αἱρετιεῖ με ὁ ἀνήρ
21 μου, τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. [21] καὶ
22 μετὰ τοῦτο ἔτεκε θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δείνα. [22] ἐμνήσθη δὲ
ὁ θεὸς τῆς Ῥαχήλ· καὶ ἐπήκουσεν αὐτῆς ὁ θεός, καὶ ἀνέῳξεν αὐτῆς τὴν μή-
23 τραν· [23] καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχὴλ Ἀφεῖλεν ὁ θεός
24 μου τὸ ὄνειδος· [24] καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ λέγουσα Προςθέτω ὁ
25 θεός μοι υἱὸν ἕτερον. [25] ἐγένετο δὲ ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ

---

33. παλιν λεια 34. εκληθη pro εκαλεσε ... λευι 35. ιουδα XXX. 2. εθυμωθη δε ... και ειπεν ... του θεου 3. μου ινα τεκνοποιησωμαι 8. συνεβαλετο μοι ο θεος 10. εισηλθεν δε πρ. αυτ. ιακωβ 12. ετεκεν ετι τω 13. μακαριζουσιν με πασαι αι γυν. 14. εν ημεραις ... μανδραγορου ... om τη αδελφ. αυτης 15. μανδραγορους ... λημψη 17. κ. επηκ. αυτης ο θεος, και 18. ανθ ων 21. δεινα· και εστη του τικτειν 22. om της

Digitized by Google

τῷ Λάβαν Ἀπόστειλόν με ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου.
[26] ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία μου, περὶ ὧν δεδούλευκά σοι, ἵνα 26
ἀπέλθω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν ἣν δεδούλευκά σοι. [27] εἶπε δὲ αὐτῷ 27
Λάβαν Εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐλόγησε γάρ με ὁ θεὸς
ἐπὶ τῇ σῇ εἰσόδῳ. [28] διάστειλον τὸν μισθόν σου πρὸς μέ, καὶ δώσω. [29] εἶπε δὲ 28 29
Ἰακὼβ Σὺ γινώσκεις ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ. [30] μι- 30
κρὰ γὰρ ἦν ὅσα σοι ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος· καὶ εὐλόγησέ σε
κύριος ὁ θεὸς ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;
[31] καὶ εἶπεν αὐτῷ Λάβαν Τί σοι δώσω; εἶπε δὲ αὐτῷ Ἰακὼβ Οὐ δώσεις μοι 31
οὐθέν· ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου καὶ
φυλάξω. [32] παρελθέτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν 32
πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἀρνάσι καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξίν,
ἔσται μοι μισθός. [33] ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ ἐπαύ- 33
ριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον
ἐν ταῖς αἰξὶ καὶ φαιὸν ἐν τοῖς ἀρνάσι, κεκλεμμένον ἔσται παρ' ἐμοί. [34] εἶπε δὲ 34
αὐτῷ Λάβαν Ἔστω κατὰ τὸ ῥῆμά σου. [35] καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 35
τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους, καὶ πάσας τὰς αἶγας τὰς ῥαν-
τὰς καὶ τὰς διαλεύκους, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἀρνάσι καὶ πᾶν ὃ ἦν λευκὸν
ἐν αὐτοῖς, καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ. [36] καὶ ἀπέστησεν ὁδὸν τριῶν 36
ἡμερῶν καὶ ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ· Ἰακὼβ δὲ ἐποίμαινε τὰ
πρόβατα Λάβαν τὰ ὑπολειφθέντα. [37] ἔλαβε δὲ ἑαυτῷ Ἰακὼβ ῥάβδον στυρακίνην 37
χλωρὰν καὶ καρυΐνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς Ἰακὼβ λεπίσματα
λευκά· καὶ περισύρων τὸ χλωρόν, ἐφαίνετο ἐπὶ ταῖς ῥάβδοις τὸ λευκὸν ὃ ἐλέπισε
ποικίλον. [38] καὶ παρέθηκε τὰς ῥάβδους ἃς ἐλέπισεν ἐν τοῖς ληνοῖς τῶν ποτιστη- 38
ρίων τοῦ ὕδατος, ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν, ἐνώπιον τῶν ῥάβδων ἐλ-
θόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. [39] καὶ 39
ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους, καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ
ποικίλα καὶ σποδοειδῆ ῥαντά. [40] τοὺς δὲ ἀμνοὺς διέστειλεν Ἰακώβ, καὶ ἔστησεν 40
ἐναντίον τῶν προβάτων κριὸν διάλευκον καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ
διεχώρισεν ἑαυτῷ ποίμνια καθ' ἑαυτόν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα
Λάβαν. [41] ἐγένετο δὲ ἐν τῷ καιρῷ ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβά- 41
νοντα ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων ἐν τοῖς ληνοῖς, τοῦ
ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους· [42] ἡνίκα δ' ἂν ἔτεκε τὰ πρόβατα, οὐκ ἐτί- 42
θει· ἐγένετο δὲ τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ. [43] καὶ 43
ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα· καὶ ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ
βόες καὶ παῖδες καὶ παιδίσκαι καὶ κάμηλοι καὶ ὄνοι.

## XXXI.

Ἤκουσε δὲ Ἰακὼβ τὰ ῥήματα τῶν υἱῶν Λάβαν λεγόντων Εἴληφεν Ἰακὼβ
πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν
δόξαν ταύτην. [2] καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς 2
αὐτὸν ὡσεὶ χθὲς καὶ τρίτην ἡμέραν. [3] εἶπε δὲ κύριος πρὸς Ἰακὼβ Ἀποστρέφου 3
εἰς τὴν γῆν τοῦ πατρός σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ. [4] ἀπο- 4

---

26. απ. μοι τ. γυν. και τ. παιδ. περι ... δουλιαν 27. om επι 28. δωσω σοι 29. ειπ. δ. αυτω ιαχ. 30. ην οσα ην εναντ. μου ... ηυλογησεν ... om ο θεος ... * om καγω (?) 31. εαν ποιησεις 32. παρελθατω ... om παντα ... κ. παν διαραντον και λευκον 33. τη αυριον 35. κ. παν ο ην λευκ. εν αυτοις κ. παν ο ην φαιον ε. τ. αρνασιν 36. ημερων ανα 37. αυτω pro εαυτω ... om και ante περισυρων ... εφαινετο δε (... τοις ραβδ.) 38. εν ταις ληνοις ... ραβδων και ελθοντων 39. om και ενεκ. usque ραβδους 41. ε. ταις ληνοις ... 42. ηνικα γαρ ετεχον ... om μεν XXXI. 2. om του ... ως εχθες

στείλας δὲ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον οὗ ἦν τὰ ποίμνια,
5 [5] καὶ εἶπεν αὐταῖς Ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν ὅτι οὐκ ἔστι πρὸς
ἐμοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ·
6 [6] καὶ αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν.
7 [7] ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα
8 ἀμνῶν, καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς κακοποιῆσαί με. [8] ἐὰν οὕτως εἴπῃ Τὰ
ποικίλα ἔσται σου μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα· ἐὰν δὲ εἴπῃ
9 Τὰ λευκὰ ἔσται σου μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα λευκά· [9] καὶ ἀφεί-
10 λετο ὁ θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν καὶ ἔδωκέ μοι αὐτά. [10] καὶ ἐγέ-
νετο ἡνίκα ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, καὶ εἶδον τοῖς ὀφθαλ-
μοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρό-
11 βατα καὶ τὰς αἶγας διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. [11] καὶ εἶπέ
12 μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον Ἰακώβ. ἐγὼ δὲ εἶπα Τί ἐστι; [12] καὶ εἶπεν
Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαί-
νοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς
13 ῥαντούς· ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ. [13] ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν
τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνά-
στηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου,
14 καὶ ἔσομαι μετὰ σοῦ. [14] καὶ ἀποκριθεῖσαι Ῥαχὴλ καὶ Λεία εἶπαν αὐτῷ Μὴ
15 ἔστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; [15] οὐχ ὡς αἱ
ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ καταβρώσει κατέφαγε τὸ
16 ἀργύριον ἡμῶν. [16] πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν ἣν ἀφείλετο ὁ θεὸς τοῦ πα-
τρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν· νῦν οὖν ὅσα σοι εἴρηκεν ὁ θεὸς
17 ποίει. [17] ἀναστὰς δὲ Ἰακὼβ ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία αὐτοῦ ἐπὶ
18 τὰς καμήλους· [18] καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτῷ καὶ πᾶσαν τὴν ἀπο-
σκευὴν αὐτοῦ, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ,
19 ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς γῆν Χαναάν. [19] Λάβαν δὲ ᾤχετο
κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς.
20 [20] ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδρά-
21 σκει· [21] καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμόν, καὶ
22 ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ. [22] ἀνηγγέλη δὲ Λάβαν τῷ Σύρῳ τῇ ἡμέρᾳ τῇ
23 τρίτῃ ὅτι ἀπέδρα Ἰακώβ· [23] καὶ παραλαβὼν τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ
ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά, καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γα-
24 λαάδ. [24] ἦλθε δὲ ὁ θεὸς πρὸς Λάβαν τὸν Σύρον καθ' ὕπνον τὴν νύκτα καὶ εἶπεν
25 αὐτῷ Φύλαξαι σεαυτὸν μή ποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά. [25] καὶ κατέλαβε
Λάβαν τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λάβαν δὲ
26 ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλαάδ. [26] εἶπε δὲ Λάβαν τῷ Ἰακώβ
Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες
27 τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ; [27] καὶ εἰ ἀνήγγειλάς μοι, ἐξα-
πέστειλα ἄν σε μετ' εὐφροσύνης, καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθά-
28 ρας· [28] καὶ οὐκ ἠξιώθην καταφιλῆσαι τὰ παιδία μου καὶ τὰς θυγατέρας μου·
29 νῦν δὲ ἀφρόνως ἔπραξας. [29] καὶ νῦν ἰσχύει ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ
θεὸς τοῦ πατρός σου χθὲς εἶπε πρὸς μὲ λέγων Φύλαξαι σεαυτὸν μή ποτε λαλήσῃς
30 μετὰ Ἰακὼβ πονηρά. [30] νῦν οὖν πεπόρευσαι· ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελ-

---

4. ραχηλ και λιαν ... om ην 5. μετ εμου pro προς εμου 6. om τη 9. αφειλατο 10. om εν γαστρι λαμβαν. ... ιδον εν τοις ... om μου ... αναβαιν. ησαν επι 11. ιακωβ ιακωβ 13. εν τω τοπω ω ηλιψας ... απελθε pro εξελθε 14. αποκριθεισα 15. κατεφαγεν καταβρωσει 16. αφειλατο ... οσα ειρηκ. ο θ. σοι 17. om αυτου prius 18. υπαρχοντα αυτου 21. και παντα τα αυτου 22. τη τριτη ημερα 23. παραλαβ. παντας τους 26. κρυβη 27. om και ante τυμπανων 28. om και prius 29. εχθες

Digitized by Google

ϑεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου· ἵνα τί ἔκλεψας τοὺς ϑεούς μου; [31] ἀποκρι- 31
ϑεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν ὅτι ἐφοβήϑην· εἶπα γάρ Μή ποτε ἀφέλῃ τὰς
ϑυγατέρας σου ἀπ' ἐμοῦ καὶ πάντα τὰ ἐμά. [32] καὶ εἶπεν Ἰακὼβ Παρ' ᾧ ἂν 32
εὕρῃς τοὺς ϑεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν· ἐπίγνωϑι τί
ἐστι παρ' ἐμοὶ τῶν σῶν καὶ λάβε. καὶ οὐκ ἐπέγνω παρ' αὐτῷ οὐϑέν· οὐκ ᾔδει
δὲ Ἰακὼβ ὅτι Ῥαχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς. [33] εἰςελϑὼν δὲ Λάβαν ἠρεύ- 33
νησεν εἰς τὸν οἶκον Λείας, καὶ οὐχ εὗρεν· καὶ ἐξῆλϑεν ἐκ τοῦ οἴκου Λείας, καὶ
ἠρεύνησε τὸν οἶκον Ἰακὼβ καὶ ἐν τῷ οἴκῳ τῶν δύο παιδισκῶν, καὶ οὐχ εὗρεν·
εἰςῆλϑε δὲ καὶ εἰς τὸν οἶκον Ῥαχήλ. [34] Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα καὶ ἐνέβα- 34
λεν αὐτὰ εἰς τὰ σάγματα τῆς καμήλου καὶ ἐπεκάϑισεν αὐτοῖς, [35] καὶ εἶπε τῷ 35
πατρὶ αὐτῆς Μὴ βαρέως φέρε, κύριε, οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι
τὰ κατ' ἐϑισμὸν τῶν γυναικῶν μοί ἐστιν. ἠρεύνησε Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ, καὶ
οὐχ εὗρε τὰ εἴδωλα. [36] ὠργίσϑη δὲ Ἰακὼβ καὶ ἐμαχέσατο τῷ Λάβαν· ἀποκρι- 36
ϑεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν Τί τὸ ἀδίκημά μου; καὶ τί τὸ ἁμάρτημά μου,
ὅτι κατεδίωξας ὀπίσω μου, [37] καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη τοῦ οἴκου 37
μου; τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; ϑὲς ὧδε ἐνώπιον τῶν
ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν.
[38] ταῦτά μοι εἴκοσι ἔτη ἐγώ εἰμι μετὰ σοῦ· τὰ πρόβατά σου καὶ αἱ αἶγές σου 38
οὐκ ἠτεκνώϑησαν· κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον· [39] ϑηριάλωτον οὐκ 39
ἐνήνοχά σοι· ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα
νυκτός· [40] ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ τῷ παγετῷ τῆς 40
νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος μου ἀπὸ τῶν ὀφϑαλμῶν μου. [41] ταῦτά μοι εἴκοσι 41
ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου· ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο
ϑυγατέρων σου καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισϑόν
μου δέκα ἀμνάσιν. [42] εἰ μὴ ὁ ϑεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ φόβος Ἰσαὰκ 42
ἦν μοι, νῦν ἂν κενόν με ἐξαπέστειλας· τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν
χειρῶν μου εἶδεν ὁ ϑεός, καὶ ἤλεγξέ σε χϑές. [43] ἀποκριϑεὶς δὲ Λάβαν εἶπε τῷ 43
Ἰακὼβ Αἱ ϑυγατέρες ϑυγατέρες μοῦ, καὶ υἱοὶ υἱοὶ μοῦ, καὶ τὰ κτήνη κτήνη μοῦ,
καὶ πάντα ὅσα σὺ ὁρᾷς ἐμά ἐστι καὶ τῶν ϑυγατέρων μου· τί ποιήσω ταύταις
σήμερον ἢ τοῖς τέκνοις αὐτῶν οἷς ἔτεκον; [44] νῦν οὖν δεῦρο διαϑῶμαι διαϑήκην 44
ἐγώ τε καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. εἶπε δὲ αὐτῷ
Ἰδοὺ οὐϑεὶς μεϑ' ἡμῶν ἐστίν· ἴδε ὁ ϑεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. [45] λα- 45
βὼν δὲ Ἰακὼβ λίϑον ἔστησεν αὐτὸν στήλην. [46] εἶπε δὲ Ἰακὼβ τοῖς ἀδελφοῖς αὐ- 46
τοῦ Συλλέγετε λίϑους. καὶ συνέλεξαν λίϑους, καὶ ἐποίησαν βουνόν· καὶ ἔφαγον
ἐκεῖ ἐπὶ τοῦ βουνοῦ. καὶ εἶπεν αὐτῷ Λάβαν Ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον
ἐμοῦ καὶ σοῦ σήμερον· [47] καὶ ἐκάλεσεν αὐτὸν Λάβαν Βουνὸς τῆς μαρτυρίας, 47
Ἰακὼβ δὲ ἐκάλεσεν αὐτὸν Βουνὸς μάρτυς. [48] εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Ἰδοὺ ὁ 48
βουνὸς οὗτος καὶ ἡ στήλη ἣν ἔστησα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ· μαρτυρεῖ ὁ βουνὸς
οὗτος, καὶ μαρτυρεῖ ἡ στήλη αὕτη· διὰ τοῦτο ἐκλήϑη τὸ ὄνομα Βουνὸς μαρτυρεῖ,
[49] καὶ ἡ ὅρασις ἣν εἶπεν Ἐπίδοι ὁ ϑεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησό- 49
μεϑα ἕτερος ἀφ' ἑτέρου. [50] εἰ ταπεινώσεις τὰς ϑυγατέρας μου, εἰ λάβῃς γυναῖ- 50

---

30. τ. πατρ. σου απελϑειν· και ινα τι 31. om οτι εφοβηϑην ... αφελης 32. κ. ειπ. αυτω ιακ. π. ω εαν ... των σων παρ εμοι 33. ηραυνησεν ... και εξελϑων ε. τ. ο. λειας ηραυνησεν εις τον 35. * καϑ εϑισμ. ... των γυναικιων μου εστιν ... ηρευν. δε 37. ωδε εναντιον των 39. ουκ ανενηνοχα ... απ εμαυτου ... της νυκτος 40. τω καυσωνι και παγετω 41. δεκα και τεσσερα ... * om δυο 43. αι ϑυγατ. σου ϑυγατ. μου κ. οι υιοι σου υιοι μου κ. τ. κτηνη σου κτ. μου ... εμα εστ. κ. ταις ϑυγατερες μ. 44. ** (* διαϑωμεν?) διαϑωμεϑα ... om τε ... αυτω ιακωβ 46. και εφαγον και επιον εκει 47. μαρτυς pro της μαρτυριας et μαρτυρει pro μαρτυς 48. η στηλη αυτη ην εστησα ... τ. ονομα αυτου 49. εφιδοι ... απο του pro αφ 50. ει λημψη γ. επι ταις

Digitized by Google

κας πρὸς ταῖς θυγατράσι μου, ὅρα, οὐθεὶς μεθ' ἡμῶν ἐστιν ὁρῶν· θεὸς μάρτυς
51 μεταξὺ ἐμοῦ καὶ μεταξὺ σοῦ. 51 καὶ εἶπε Λάβαν τῷ Ἰακώβ Ἰδοὺ ὁ βουνὸς οὗτος
52 καὶ μάρτυς ἡ στήλη αὕτη· 52 ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σὲ μήτε σὺ διαβῇς
53 πρὸς μὲ τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ· 53 ὁ θεὸς Ἀβραὰμ
54 καὶ ὁ θεὸς Ναχὼρ κρίναι ἀνὰ μέσον ἡμῶν. 54 καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φό-
βου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. καὶ ἔθυσε θυσίαν ἐν τῷ ὄρει· καὶ ἐκάλεσε τοὺς
55 ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. 55 ἀνα-
στὰς δὲ Λάβαν τὸ πρωὶ κατεφίλησε τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ
εὐλόγησεν αὐτούς· καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ.

## XXXII.

Καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ὁδὸν ἑαυτοῦ· καὶ ἀναβλέψας εἶδε παρεμβολὴν
2 θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ θεοῦ. 2 εἶπε δὲ
Ἰακὼβ ἡνίκα εἶδεν αὐτούς Παρεμβολὴ θεοῦ αὕτη· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ
3 τόπου ἐκείνου Παρεμβολαί. 3 ἀπέστειλε δὲ Ἰακὼβ ἀγγέλους ἔμπροσθεν αὐτοῦ
4 πρὸς Ἠσαῦ τὸν ἀδελφὸν αὐτοῦ εἰς γῆν Σηεὶρ εἰς χώραν Ἐδώμ, 4 καὶ ἐνετείλατο
αὐτοῖς λέγων Οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἠσαῦ Οὕτως λέγει ὁ παῖς σου Ἰακώβ·
5 μετὰ Λάβαν παρῴκησα καὶ ἐχρόνισα ἕως τοῦ νῦν· 5 καὶ ἐγένοντό μοι βόες καὶ
ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι· καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ
6 μου Ἠσαῦ, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου. 6 καὶ ἀνέστρεψαν οἱ ἄγγε-
λοι πρὸς Ἰακὼβ λέγοντες Ἤλθομεν πρὸς τὸν ἀδελφόν σου Ἠσαῦ, καὶ ἰδοὺ αὐ-
7 τὸς ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. 7 ἐφοβήθη
δὲ Ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο· καὶ διεῖλε τὸν λαὸν τὸν μεθ' ἑαυτοῦ καὶ τοὺς
8 βόας καὶ τὰς καμήλους καὶ τὰ πρόβατα εἰς δύο παρεμβολάς. 8 καὶ εἶπεν Ἰακώβ
Ἐὰν ἔλθῃ Ἠσαῦ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἔσται ἡ παρεμβολὴ ἡ
9 δευτέρα εἰς τὸ σώζεσθαι. 9 εἶπε δὲ Ἰακώβ Ὁ θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ
ὁ θεὸς τοῦ πατρός μου Ἰσαάκ, κύριε σὺ ὁ εἰπών μοι Ἀπότρεχε εἰς τὴν γῆν τῆς
10 γενέσεώς σου, καὶ εὖ σε ποιήσω· 10 ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης καὶ
ἀπὸ πάσης ἀληθείας ἧς ἐποίησας τῷ παιδί σου· ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ
11 διέβην τὸν Ἰορδάνην τοῦτον, νυνὶ δὲ γέγονα εἰς δύο παρεμβολάς. 11 ἐξελοῦ με
ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου, ἐκ χειρὸς Ἠσαῦ· ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μή
12 ποτε ἐλθὼν πατάξῃ με καὶ μητέρα ἐπὶ τέκνοις. 12 σὺ δὲ εἶπας Εὖ σε ποιήσω,
καὶ θήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται
13 ὑπὸ τοῦ πλήθους. 13 καὶ ἐκοιμήθη ἐκεῖ τὴν νύκτα ἐκείνην. καὶ ἔλαβεν ὧν ἔφερε
14 δῶρα καὶ ἐξαπέστειλεν Ἠσαῦ τῷ ἀδελφῷ αὐτοῦ, 14 αἶγας διακοσίας, τράγους
15 εἴκοσι, πρόβατα διακόσια, κριοὺς εἴκοσι, 15 καμήλους θηλαζούσας καὶ τὰ
παιδία αὐτῶν τριάκοντα, βόας τεσσαράκοντα, ταύρους δέκα, ὄνους εἴκοσι καὶ
16 πώλους δέκα· 16 καὶ ἔδωκεν αὐτὰ τοῖς παισὶν αὐτοῦ ποίμνιον κατὰ μόνας. εἶπε
δὲ τοῖς παισὶν αὐτοῦ Προπορεύεσθε ἔμπροσθέν μου, καὶ διάστημα ποιεῖτε ἀνὰ
17 μέσον ποίμνης καὶ ποίμνης. 17 καὶ ἐνετείλατο τῷ πρώτῳ λέγων Ἐάν σοι συναν-
τήσῃ Ἠσαῦ ὁ ἀδελφός μου καὶ ἐρωτᾷ σε λέγων Τίνος εἶ; καὶ ποῦ πορεύῃ; καὶ
18 τίνος ταῦτα τὰ προπορευόμενά σου; 18 ἐρεῖς Τοῦ παιδός σου Ἰακώβ· δῶρα
19 ἀπέσταλκε τῷ κυρίῳ μου Ἠσαῦ, καὶ ἰδοὺ αὐτὸς ὀπίσω ἡμῶν. 19 καὶ ἐνετείλατο
τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ καὶ πᾶσι τοῖς προπορευομένοις ὀπίσω

---

50. 51. om ορων usque η στηλη αυτη 52. μηδε 53. κρινει 54. εθυσεν ιακωβ 55. τ. υιους αυτου **XXXII.** 1. εαυτου οδον ... αναβλ. τοις οφθαλμοις ιδεν 3. om εμπροσθεν αυτου 5. βοες pro παιδες 6. om ιδου αυτος ... σοι pro σου 7. εφοβειτο ... τον μετ αυτου ... om και τας καμηλους 8. εκκοψη 9. κυριε ο ειπας μοι 10. ικανουσαι μοι ... om ταυτη ... νυν δε 11. εξελουμαι εκ ... om εκ χειρος ante ησαυ 12. ειπας καλως ευ ... απο pro υπο 15. τεσσερακοντα ... om και ante πωλους 16. κ. εδωκ. δια χειρος τ. παισ. α. 18. και ερεις

Digitized by Google

τῶν ποιμνίων τούτων λέγων Κατὰ τὸ ῥῆμα τοῦτο λαλήσατε Ἡσαῦ ἐν τῷ εὑρεῖν
ὑμᾶς αὐτόν, [20] καὶ ἐρεῖτε Ἰδοὺ ὁ παῖς σου Ἰακὼβ παραγίνεται ὀπίσω ἡμῶν. 20
εἶπε γὰρ Ἐξιλάσομαι τὸ πρόσωπον αὐτοῦ ἐν τοῖς δώροις τοῖς προπορευομένοις
αὐτοῦ, καὶ μετὰ τοῦτο ὄψομαι τὸ πρόσωπον αὐτοῦ· ἴσως γὰρ προσδέξεται τὸ
πρόσωπόν μου. [21] καὶ προεπορεύετο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ· αὐτὸς δὲ 21
ἐκοιμήθη τὴν νύκτα ἐκείνην ἐν τῇ παρεμβολῇ. [22] ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην 22
ἔλαβε τὰς δύο γυναῖκας καὶ τὰς δύο παιδίσκας καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ,
καὶ διέβη τὴν διάβασιν τοῦ Ἰαβώχ. [23] καὶ ἔλαβεν αὐτοὺς καὶ διέβη τὸν χειμάῤ- 23
ῥουν, καὶ διεβίβασε πάντα τὰ αὐτοῦ. [24] ὑπελείφθη δὲ Ἰακὼβ μόνος, καὶ ἐπά- 24
λαιεν ἄνθρωπος μετ᾽ αὐτοῦ ἕως πρωΐ. [25] εἶδε δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ 25
ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰα-
κὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ· [26] καὶ εἶπεν αὐτῷ Ἀπόστειλόν με· ἀνέβη 26
γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν Οὐ μή σε ἀποστείλω ἐὰν μή με εὐλογήσῃς. [27] εἶπε 27
δὲ αὐτῷ Τί τὸ ὄνομά σού ἐστιν; ὁ δὲ εἶπεν Ἰακώβ. [28] καὶ εἶπεν αὐτῷ Οὐ κλη- 28
θήσεται ἔτι τὸ ὄνομά σου Ἰακώβ, ἀλλ᾽ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνί-
σχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. [29] ἠρώτησε δὲ Ἰακὼβ 29
καὶ εἶπεν Ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν Ἵνα τί τοῦτο ἐρωτᾷς σὺ τὸ
ὄνομά μου; καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. [30] καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ 30
τόπου ἐκείνου Εἶδος θεοῦ· εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη
μου ἡ ψυχή. [31] ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ· αὐ- 31
τὸς δὲ ἐπέσκαζε τῷ μηρῷ αὐτοῦ. [32] ἕνεκεν τούτου οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ 32
τὸ νεῦρον ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ, ἕως τῆς ἡμέρας
ταύτης· ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ἰακὼβ τοῦ νεύρου ὃ ἐνάρκησεν.

## XXXIII.

Ἀναβλέψας δὲ Ἰακὼβ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ Ἡσαῦ ὁ ἀδελ-
φὸς αὐτοῦ ἐρχόμενος, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. καὶ διεῖλεν Ἰακὼβ
τὰ παιδία ἐπὶ Λείαν καὶ ἐπὶ Ῥαχὴλ καὶ τὰς δύο παιδίσκας· [2] καὶ ἔθετο τὰς 2
δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ Λείαν καὶ τὰ παιδία αὐτῆς
ὀπίσω, καὶ Ῥαχὴλ καὶ Ἰωσὴφ ἐσχάτους. [3] αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν· 3
καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις ἕως τοῦ ἐγγίσαι τῷ ἀδελφῷ αὐτοῦ. [4] καὶ 4
προσέδραμεν Ἡσαῦ εἰς συνάντησιν αὐτῷ, καὶ περιλαβὼν αὐτὸν προσέπεσεν ἐπὶ
τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν· καὶ ἔκλαυσαν ἀμφότεροι. [5] καὶ 5
ἀναβλέψας Ἡσαῦ εἶδε τὰς γυναῖκας καὶ τὰ παιδία, καὶ εἶπε Τί ταῦτά σοί
ἐστιν; ὁ δὲ εἶπε Τὰ παιδία οἷς ἠλέησεν ὁ θεὸς τὸν παῖδά σου. [6] καὶ προσήγγι- 6
σαν αἱ παιδίσκαι καὶ τὰ τέκνα αὐτῶν, καὶ προσεκύνησαν· [7] καὶ προσήγγισε 7
Λεία καὶ τὰ τέκνα αὐτῆς, καὶ προσεκύνησαν· καὶ μετὰ ταῦτα προσήγγισε Ῥα-
χὴλ καὶ Ἰωσήφ, καὶ προσεκύνησαν. [8] καὶ εἶπε Τί ταῦτά σοί ἐστιν, πᾶσαι αἱ 8
παρεμβολαὶ αὗται αἷς ἀπήντηκα; ὁ δὲ εἶπεν Ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναν-
τίον σου, κύριε. [9] εἶπε δὲ Ἡσαῦ Ἔστι μοι πολλά, ἀδελφέ· ἔστω σοι τὰ σά. 9
[10] εἶπε δὲ Ἰακὼβ Εἰ εὗρον χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα διὰ τῶν ἐμῶν 10
χειρῶν· ἕνεκεν τούτου εἶδον τὸ πρόσωπόν σου ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ,
καὶ εὐδοκήσεις με· [11] λάβε τὰς εὐλογίας μου ἃς ἤνεγκά σοι, ὅτι ἠλέησέ με ὁ 11
θεὸς καὶ ἔστι μοι πάντα. καὶ ἐβιάσατο αὐτόν, καὶ ἔλαβε. [12] καὶ εἶπεν Ἀπά- 12

---

19. τω ησαυ 21. προεπορευοντο 22. ιαβοχ 24. μετ αυτου ανθρωπος 26. μη ευλογ. με 28. αλλα ισρ. το ον. σ. εσται ... om εση 29. συ ερωτ. το ον. μ. ... ηυλογησεν 32. ενεχ. γαρ τουτου ... οι υιοι ... ** του μηρου ιακωβ εως ... ** νευρου και εναρκησεν XXXIII. 1. ** (etiam * ?) om τοις οφθαλμ. αυτου ... ** ερχ. αυτος και τετρ. ... και επιδιειλεν 2. εποιησεν pro εθετο 3. παρηλθεν ... του αδελφου 4. εφιλησεν και προσεπεσεν, omissis κ. κατεφ. αυτ. 5. om ησαυ 6. παιδια pro τεκνα 8. χαριν εν οφθαλμοις σου 10. ει ευρηκα

Digitized by Google

13 ραντες πορευσώμεθα ἐπ᾽ εὐθεῖαν. [13] εἶπε δὲ αὐτῷ Ὁ κύριός μου γινώσκει ὅτι
τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται ἐπ᾽ ἐμέ· ἐὰν
14 οὖν καταδιώξω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται πάντα τὰ κτήνη. [14] προελθέτω
ὁ κύριός μου ἔμπροσθεν τοῦ παιδὸς αὐτοῦ· ἐγὼ δὲ ἐνισχύσω ἐν τῇ ὁδῷ κατὰ
σχολὴν τῆς πορεύσεως τῆς ἐναντίον μου καὶ κατὰ πόδα τῶν παιδαρίων, ἕως τοῦ
15 ἐλθεῖν με πρὸς τὸν κύριόν μου εἰς Σηείρ. [15] εἶπε δὲ Ἠσαῦ Καταλείψω μετὰ σοῦ
ἀπὸ τοῦ λαοῦ τοῦ μετ᾽ ἐμοῦ. ὁ δὲ εἶπεν Ἵνα τί τοῦτο; ἱκανὸν ὅτι εὗρον χάριν
16 ἐναντίον σου, κύριε. [16] ἀπέστρεψε δὲ Ἠσαῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὴν ὁδὸν
17 αὐτοῦ εἰς Σηείρ. [17] καὶ Ἰακὼβ ἀπαίρει εἰς Σκηνάς· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ
οἰκίας, καὶ τοῖς κτήνεσιν αὐτοῦ ἐποίησε σκηνάς· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα
18 τοῦ τόπου ἐκείνου Σκηναί. [18] καὶ ἦλθεν Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σηκίμων, ἥ
ἐστιν ἐν γῇ Χαναάν, ὅτε ἐπανῆλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας· καὶ παρεν-
19 έβαλε κατὰ πρόσωπον τῆς πόλεως. [19] καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ, οὗ
ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, παρὰ Ἐμμὼρ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν·
20 [20] καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸν θεὸν Ἰσραήλ.

## XXXIV.

Ἐξῆλθε δὲ Δεῖνα ἡ θυγάτηρ Λείας, ἣν ἔτεκε τῷ Ἰακώβ, καταμαθεῖν τὰς
2 θυγατέρας τῶν ἐγχωρίων. [2] καὶ εἶδεν αὐτὴν Συχὲμ ὁ υἱὸς Ἐμμὼρ ὁ Εὐαῖος, ὁ
ἄρχων τῆς γῆς· καὶ λαβὼν αὐτὴν ἐκοιμήθη μετ᾽ αὐτῆς, καὶ ἐταπείνωσεν αὐτήν.
3 [3] καὶ προσέσχε τῇ ψυχῇ Δείνας τῆς θυγατρὸς Ἰακώβ, καὶ ἠγάπησε τὴν παρθέ-
4 νον, καὶ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ. [4] εἶπε Συχὲμ πρὸς
Ἐμμὼρ τὸν πατέρα αὐτοῦ λέγων Λάβε μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα.
5 [5] Ἰακὼβ δὲ ἤκουσεν ὅτι ἐμίανεν ὁ υἱὸς Ἐμμὼρ Δεῖναν τὴν θυγατέρα αὐτοῦ· οἱ
δὲ υἱοὶ αὐτοῦ ἦσαν μετὰ τῶν κτηνῶν αὐτοῦ ἐν τῷ πεδίῳ· παρεσιώπησε δὲ Ἰα-
6 κὼβ ἕως τοῦ ἐλθεῖν αὐτούς. [6] ἐξῆλθε δὲ Ἐμμὼρ ὁ πατὴρ Συχὲμ πρὸς Ἰακὼβ
7 λαλῆσαι αὐτῷ. [7] οἱ δὲ υἱοὶ Ἰακὼβ ἦλθον ἐκ τοῦ πεδίου· ὡς δὲ ἤκουσαν, κατε-
νύγησαν οἱ ἄνδρες, καὶ λυπηρὸν ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν
8 Ἰσραήλ, κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ἰακώβ· καὶ οὐχ οὕτως ἔσται. [8] καὶ ἐλά-
λησεν Ἐμμὼρ αὐτοῖς λέγων Συχὲμ ὁ υἱός μου προείλετο τῇ ψυχῇ τὴν θυγατέρα
9 ὑμῶν· δότε οὖν αὐτὴν αὐτῷ γυναῖκα. [9] καὶ ἐπιγαμβρεύσασθε ἡμῖν· τὰς θυγα-
10 τέρας ὑμῶν δότε ἡμῖν, καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν. [10] καὶ
ἐν ἡμῖν κατοικεῖτε, καὶ ἡ γῆ ἰδοὺ πλατεῖα ἐναντίον ὑμῶν· κατοικεῖτε καὶ ἐμπο-
11 ρεύεσθε ἐπ᾽ αὐτῆς καὶ ἐγκτᾶσθε ἐν αὐτῇ. [11] εἶπε δὲ Συχὲμ πρὸς τὸν πατέρα
αὐτῆς καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτῆς Εὕροιμι χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν
12 εἴπητε δώσομεν. [12] πληθύνατε τὴν φερνὴν σφόδρα, καὶ δώσω καθότι ἂν εἴπητέ
13 μοι, καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα. [13] ἀπεκρίθησαν δὲ οἱ υἱοὶ
Ἰακὼβ τῷ Συχὲμ καὶ Ἐμμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου, καὶ ἐλάλησαν αὐ-
14 τοῖς, ὅτι ἐμίαναν Δεῖναν τὴν ἀδελφὴν αὐτῶν. [14] καὶ εἶπαν αὐτοῖς Συμεὼν καὶ
Λευὶ οἱ ἀδελφοὶ Δείνας Οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν
15 ἀδελφὴν ἡμῶν ἀνθρώπῳ ὃς ἔχει ἀκροβυστίαν· ἔστι γὰρ ὄνειδος ἡμῖν. [15] μόνον
ἐν τούτῳ ὁμοιωθησόμεθα ὑμῖν καὶ κατοικήσομεν ἐν ὑμῖν, ἐὰν γένησθε ὡς ἡμεῖς
16 καὶ ὑμεῖς ἐν τῷ περιτμηθῆναι ὑμῶν πᾶν ἀρσενικόν· [16] καὶ δώσομεν τὰς θυγα-
τέρας ἡμῶν ὑμῖν, καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν ληψόμεθα ἡμῖν γυναῖκας, καὶ
17 οἰκήσομεν παρ᾽ ὑμῖν, καὶ ἐσόμεθα ὡς γένος ἕν. [17] ἐὰν δὲ μὴ εἰσακούσητε ἡμῶν

12. πορευθωμεν 13. αυτους pro αυτα 14. * προσελθατω ** προελθατω ... om αυτου ... με ελθειν 17. αυτω pro εαυτω 18. σικιμων ... οτε ηλθεν εκ XXXIV. 2. εμμωρ ο χορραιος 4. ειπεν δε ... την παιδισκην ταυτ. 7. κατενυχθησαν ... συχεμ εν ισραηλ 8. αυτοις εμμωρ ... προειλατο 9. om και ... επιγαμβρευσατε 10. κ. ιδου η γη 11. ειπ. ημιν δωσομ. 14. δεινας, υιοι δε λειας ... om το ρημα 15. om μονον ... κατοικησωμεν 16. λημψομεθα ... οικησωμεν

Digitized by Google

τοῦ περιτεμέσθαι, λαβόντες τὴν θυγατέρα ἡμῶν ἀπελευσόμεθα. [18] καὶ ἤρεσαν 18
οἱ λόγοι ἐναντίον Ἐμμὼρ καὶ ἐναντίον Συχὲμ τοῦ υἱοῦ Ἐμμώρ. [19] καὶ οὐκ ἐχρό- 19
νισεν ὁ νεανίσκος τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο· ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ἰακώβ·
αὐτὸς δὲ ἦν ἐνδοξότατος πάντων τῶν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. [20] ἦλθε δὲ 20
Ἐμμὼρ καὶ Συχὲμ ὁ υἱὸς αὐτοῦ πρὸς τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ ἐλά-
λησαν πρὸς τοὺς ἄνδρας τῆς πόλεως αὐτῶν λέγοντες [21] Οἱ ἄνθρωποι οὗτοι εἰρη- 21
νικοί εἰσι, μεθ' ἡμῶν οἰκείτωσαν ἐπὶ τῆς γῆς καὶ ἐμπορευέσθωσαν αὐτήν, ἡ δὲ
γῆ ἰδοὺ πλατεῖα ἐναντίον αὐτῶν· τὰς θυγατέρας αὐτῶν ληψόμεθα ἡμῖν γυναῖ-
κας, καὶ τὰς θυγατέρας ἡμῶν δώσομεν αὐτοῖς. [22] ἐν τούτῳ μόνον ὁμοιωθήσονται 22
ἡμῖν οἱ ἄνθρωποι τοῦ κατοικεῖν μεθ' ἡμῶν ὥστε εἶναι λαὸν ἕνα, ἐν τῷ περιτε-
μέσθαι ἡμῶν πᾶν ἀρσενικόν, καθὰ καὶ αὐτοὶ περιτέτμηνται. [23] καὶ τὰ κτήνη 23
αὐτῶν καὶ τὰ τετράποδα καὶ τὰ ὑπάρχοντα αὐτῶν οὐχ ἡμῶν ἔσται; μόνον ἐν
τούτῳ ὁμοιωθῶμεν αὐτοῖς, καὶ οἰκήσουσι μεθ' ἡμῶν. [24] καὶ εἰσήκουσαν Ἐμμὼρ 24
καὶ Συχὲμ τοῦ υἱοῦ αὐτοῦ πάντες οἱ ἐμπορευόμενοι τὴν πύλην τῆς πόλεως αὐ-
τῶν, καὶ περιετέμοντο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν πᾶς ἄρσην. [25] ἐγένετο 25
δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὅτε ἦσαν ἐν τῷ πόνῳ, ἔλαβον οἱ δύο υἱοὶ Ἰακὼβ Συ-
μεὼν καὶ Λευί, ἀδελφοὶ Δείνας, ἕκαστος τὴν μάχαιραν αὐτοῦ, καὶ εἰσῆλθον
εἰς τὴν πόλιν ἀσφαλῶς καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν· [26] τόν τε Ἐμμὼρ καὶ 26
Συχὲμ τὸν υἱὸν αὐτοῦ ἀπέκτειναν ἐν στόματι μαχαίρας, καὶ ἔλαβον τὴν Δείναν
ἐκ τοῦ οἴκου τοῦ Συχέμ, καὶ ἐξῆλθον. [27] οἱ δὲ υἱοὶ Ἰακὼβ εἰσῆλθον ἐπὶ τοὺς 27
τραυματίας, καὶ διήρπασαν τὴν πόλιν ἐν ᾗ ἐμίαναν Δείναν τὴν ἀδελφὴν αὐτῶν·
[28] καὶ τὰ πρόβατα αὐτῶν καὶ τοὺς βόας αὐτῶν καὶ τοὺς ὄνους αὐτῶν, ὅσα τε ἦν 28
ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν τῷ πεδίῳ, ἔλαβον. [29] καὶ πάντα τὰ σώματα αὐτῶν 29
καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν καὶ τὰς γυναῖκας αὐτῶν ᾐχμαλώτευσαν· καὶ
διήρπασαν ὅσα τε ἦν ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν ταῖς οἰκίαις. [30] εἶπε δὲ Ἰακὼβ 30
πρὸς Συμεὼν καὶ Λευί Μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι πᾶσι
τοῖς κατοικοῦσι τὴν γῆν ἔν τε τοῖς Χαναναίοις καὶ ἐν τοῖς Φερεζαίοις· ἐγὼ δὲ
ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτρι-
βήσομαι ἐγὼ καὶ ὁ οἶκός μου. [31] οἱ δὲ εἶπαν Ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ 31
ἀδελφῇ ἡμῶν;

## XXXV.

Εἶπε δὲ ὁ θεὸς πρὸς Ἰακώβ Ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ
οἴκει ἐκεῖ· καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ θεῷ τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδι-
δράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου. [2] εἶπε δὲ Ἰακὼβ τῷ οἴκῳ 2
αὐτοῦ καὶ πᾶσι τοῖς μετ' αὐτοῦ Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ'
ὑμῶν ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν· [3] καὶ 3
ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ θεῷ τῷ
ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ καὶ διέσωσέ με ἐν τῇ ὁδῷ
ᾗ ἐπορεύθην. [4] καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους οἳ ἦσαν ἐν 4
ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν· καὶ κατέκρυψεν αὐτὰ
Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σηκίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμε-
ρον ἡμέρας. [5] καὶ ἐξῆρεν Ἰσραὴλ ἐκ Σηκίμων· καὶ ἐγένετο φόβος θεοῦ ἐπὶ τὰς 5
πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. [6] ἦλθε δὲ 6
Ἰακὼβ εἰς Λουζὰ ἥ ἐστιν ἐν γῇ Χαναάν, ἥ ἐστι Βαιθήλ, αὐτὸς καὶ πᾶς ὁ λαὸς

17. περιτεμνεσθαι ... λαβ. τας θυγατερας 21. εισιν μεθ ημων· οικειτωσαν ... λημψομεθα 22. μονον εν τουτω ... περιτεμνεσθαι ... περιτετετμηνται 23. κ. τα υπαρχοντα και τ. τετραπ. αυτων κ. τ. υπαρχ. αυτων (extrema κ. τ. υπ. αυτ. corrector improbavit) 24. εισηκουσεν ... εκπορευομενοι 26. και τον συχεμ ... την δεινα 30. om προς ... om πασι ... και τοις φερεζεοις ... εκτριβομαι 31. χρησωνται XXXV. 2. om τους μεθ υμων ... και καθαρισασθε 3. επακ. μοι ... επορευομην 4. εν σικιμοις 5. εκ σικιμων

Digitized by Google

7 ὃς ἦν μετ' αὐτοῦ. 7 καὶ ᾠκοδόμησεν ἐκεῖ ϑυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα
τοῦ τόπου Βαιϑήλ· ἐκεῖ γὰρ ἐφάνη αὐτῷ ὁ ϑεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν
8 ἀπὸ προςώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. 8 ἀπέϑανε δὲ Δεβόῤῥα ἡ τροφὸς Ῥε-
βέκκας, καὶ ἐτάφη κατώτερον Βαιϑὴλ ὑπὸ τὴν βάλανον· καὶ ἐκάλεσεν Ἰακὼβ
9 τὸ ὄνομα αὐτῆς Βάλανος πένϑους. 9 ὤφϑη δὲ ὁ ϑεὸς τῷ Ἰακὼβ ἔτι ἐν Λουζᾷ,
ὅτε παρεγένετο ἐκ Μεσοποταμίας τῆς Συρίας, καὶ εὐλόγησεν αὐτὸν ὁ ϑεός.
10 10 καὶ εἶπεν αὐτῷ ὁ ϑεός Τὸ ὄνομά σου οὐ κληϑήσεται ἔτι Ἰακώβ, ἀλλ' Ἰσραὴλ
11 ἔσται τὸ ὄνομά σου· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσραήλ. 11 εἶπε δὲ αὐτῷ ὁ
ϑεός Ἐγὼ ὁ ϑεός σου· αὐξάνου καὶ πληϑύνου· ἔϑνη καὶ συναγωγαὶ ἐϑνῶν ἔσον-
12 ται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. 12 καὶ τὴν γῆν ἣν
ἔδωκα Ἀβραὰμ καὶ Ἰσαάκ, σοὶ δέδωκα αὐτήν· σοὶ ἔσται, καὶ τῷ σπέρματί
13 σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην. 13 ἀνέβη δὲ ὁ ϑεὸς ἀπ' αὐτοῦ ἐκ τοῦ τόπου
14 οὗ ἐλάλησε μετ' αὐτοῦ. 14 καὶ ἔστησεν Ἰακὼβ στήλην ἐν τῷ τόπῳ ᾧ ἐλάλησε
μετ' αὐτοῦ ὁ ϑεός, στήλην λιϑίνην· καὶ ἔσπεισεν ἐπ' αὐτὴν σπονδήν, καὶ ἐπέ-
15 χεεν ἐπ' αὐτὴν ἔλαιον. 15 καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλά-
16 λησε μετ' αὐτοῦ ἐκεῖ ὁ ϑεός, Βαιϑήλ. 16 ἀπάρας δὲ Ἰακὼβ ἐκ Βαιϑὴλ ἔπηξε
τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδέρ. ἐγένετο δὲ ἡνίκα ἤγγισεν εἰς
Χαβραϑὰ τοῦ ἐλϑεῖν εἰς τὴν Ἐφραϑά, ἔτεκε Ῥαχήλ· καὶ ἐδυςτόκησεν ἐν τῷ
17 τοκετῷ. 17 ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν εἶπεν αὐτῇ ἡ μαῖα Θάρσει,
18 καὶ γὰρ οὗτός σοί ἐστιν υἱός. 18 ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν,
ἀπέϑνησκε γάρ, ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Υἱὸς ὀδύνης μου· ὁ δὲ πατὴρ ἐκάλεσε
19 τὸ ὄνομα αὐτοῦ Βενιαμίν. 19 ἀπέϑανε δὲ Ῥαχήλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ τοῦ ἱπ-
20 ποδρόμου Ἐφραϑά· αὕτη ἐστὶ Βηϑλεέμ. 20 καὶ ἔστησεν Ἰακὼβ στήλην ἐπὶ τοῦ
μνημείου αὐτῆς· αὕτη ἐστὶν ἡ στήλη ἐπὶ τοῦ μνημείου Ῥαχὴλ ἕως τῆς ἡμέρας
21 ταύτης. 21 ἐγένετο δὲ ἡνίκα κατῴκησεν Ἰσραὴλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύϑη Ῥου-
βὴν καὶ ἐκοιμήϑη μετὰ Βαλλᾶς τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ Ἰακώβ· καὶ
22 ἤκουσεν Ἰσραήλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ. 22 ἦσαν δὲ οἱ υἱοὶ Ἰακὼβ
23 δώδεκα· 23 υἱοὶ Λείας πρωτότοκος Ἰακώβ, Ῥουβήν, Συμεών, Λευί, Ἰούδας,
24 25 Ἰσσάχαρ, Ζαβουλών· 24 υἱοὶ δὲ Ῥαχὴλ Ἰωσὴφ καὶ Βενιαμίν· 25 υἱοὶ δὲ Βαλλᾶς
26 παιδίσκης Ῥαχὴλ Δὰν καὶ Νεφϑαλείμ· 26 υἱοὶ δὲ Ζελφᾶς παιδίσκης Λείας Γὰδ
καὶ Ἀσήρ· οὗτοι υἱοὶ Ἰακώβ, οἳ ἐγένοντο αὐτῷ ἐν Μεσοποταμίᾳ τῆς Συρίας.
27 27 ἦλϑε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς Μαμβρῆ, εἰς πόλιν τοῦ πε-
δίου· αὕτη ἐστὶ Χεβρὼν ἐν γῇ Χαναάν, οὗ παρῴκησεν Ἀβραὰμ καὶ Ἰσαάκ.
28 29 28 ἐγένοντο δὲ αἱ ἡμέραι Ἰσαὰκ ἃς ἔζησεν ἔτη ἑκατὸν ὀγδοήκοντα. 29 καὶ ἐκλεί-
πων Ἰσαὰκ ἀπέϑανε, καὶ προσετέϑη πρὸς τὸ γένος αὐτοῦ πρεσβύτερος καὶ πλή-
ρης ἡμερῶν· καὶ ἔϑαψαν αὐτὸν Ἡσαῦ καὶ Ἰακὼβ οἱ υἱοὶ αὐτοῦ.

## XXXVI.

2 Αὗται δὲ αἱ γενέσεις Ἡσαῦ· αὐτός ἐστιν Ἐδώμ. 2 Ἡσαῦ δὲ ἔλαβε τὰς
γυναῖκας ἑαυτῷ ἀπὸ τῶν ϑυγατέρων τῶν Χαναναίων· τὴν Ἀδά, ϑυγατέρα Αἰ-
λὼμ τοῦ Χετταίου, καὶ τὴν Ὀλιβεμά, ϑυγατέρα Ἀνὰ τοῦ υἱοῦ Σεβεγὼν τοῦ
3 4 Εὐαίου, 3 καὶ τὴν Βασεμάϑ, ϑυγατέρα Ἰσμαήλ, ἀδελφὴν Ναβαιώϑ. 4 ἔτεκε δὲ
5 αὐτῷ Ἀδὰ τὸν Ἐλιφάς, καὶ Βασεμὰϑ ἔτεκε τὸν Ῥαγουήλ, 5 καὶ Ὀλιβεμὰ
ἔτεκε τὸν Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ· οὗτοι υἱοὶ Ἡσαῦ, οἳ ἐγένοντο

7. επεφανη 8. δεββωρα ... om και εταφη 9. om τω ... ηυλογησεν 10. * om ετι (?) ... om και εκαλ. τ. ο. α. ισρ. 11. και εϑνη και 12. ην δεδωκα ... om σοι εσται 14. om ο ϑεος 16. ηγγεισεν χαβραϑα εις γην ελϑειν εφραϑα 17. om σοι 18. πατ. αυτου εκαλ. αυτον βενιαμειν 19. om του ιπποδρομου 20. εστιν στηλη μνημειου ραχ. ε. τ. σημερον ημερας 21. om ιακωβ 23. λευεις 24. βενιαμειν 26. ουτοι οι υιοι 29. εκλιπων ... om ισαακ XXXVI. 2. om τας ... ελωμ 3. βασεμμαϑ 4. δε αδα τω ησαυ (... βασεμ)

Digitized by Google

αὐτῷ ἐν γῇ Χαναάν. [6] ἔλαβε δὲ Ἡσαῦ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ 6
καὶ τὰς θυγατέρας αὐτοῦ καὶ πάντα τὰ σώματα τοῦ οἴκου αὐτοῦ, καὶ πάντα τὰ
ὑπάρχοντα αὐτοῦ καὶ πάντα τὰ κτήνη, καὶ πάντα ὅσα ἐκτήσατο καὶ πάντα ὅσα
περιεποιήσατο ἐν γῇ Χαναάν· καὶ ἐπορεύθη Ἡσαῦ ἐκ τῆς γῆς Χαναὰν ἀπὸ
προσώπου Ἰακὼβ τοῦ ἀδελφοῦ αὐτοῦ. [7] ἦν γὰρ αὐτῶν τὰ ὑπάρχοντα πολλὰ τοῦ 7
οἰκεῖν ἅμα, καὶ οὐκ ἠδύνατο ἡ γῆ τῆς παροικήσεως αὐτῶν φέρειν αὐτοὺς ἀπὸ
τοῦ πλήθους τῶν ὑπαρχόντων αὐτῶν. [8] κατῴκησε δὲ Ἡσαῦ ἐν τῷ ὄρει Σηείρ· 8
Ἡσαῦ αὐτός ἐστιν Ἐδώμ. [9] αὗται δὲ αἱ γενέσεις Ἡσαῦ πατρὸς Ἐδὼμ ἐν τῷ 9
ὄρει Σηείρ. [10] καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἡσαῦ· Ἐλιφάς, υἱὸς Ἀδᾶς γυ- 10
ναικὸς Ἡσαῦ, καὶ Ῥαγουήλ, υἱὸς Βασεμὰθ γυναικὸς Ἡσαῦ. [11] ἐγένοντο δὲ 11
Ἐλιφὰς υἱοί· Θαιμάν, Ὠμάρ, Σωφάρ, Γοθὼμ καὶ Κενέζ. [12] Θαμνὰ δὲ ἦν 12
παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ, καὶ ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλήκ. οὗτοι
υἱοὶ Ἀδᾶς γυναικὸς Ἡσαῦ. [13] οὗτοι δὲ υἱοὶ Ῥαγουήλ· Ναχόθ, Ζαρέ, Σομὲ 13
καὶ Μοζέ· οὗτοι ἦσαν υἱοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ. [14] οὗτοι δὲ υἱοὶ Ὀλιβεμᾶς 14
θυγατρὸς Ἀνὰ τοῦ υἱοῦ Σεβεγών, γυναικὸς Ἡσαῦ· ἔτεκε δὲ τῷ Ἡσαῦ τὸν
Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ. [15] οὗτοι ἡγεμόνες υἱοὶ Ἡσαῦ. υἱοὶ Ἐλιφὰς 15
πρωτοτόκου Ἡσαῦ· ἡγεμὼν Θαιμάν, ἡγεμὼν Ὠμάρ, ἡγεμὼν Σωφάρ, ἡγε-
μὼν Κενέζ, [16] ἡγεμὼν Κορέ, ἡγεμὼν Γοθώμ, ἡγεμὼν Ἀμαλήκ· οὗτοι ἡγεμό- 16
νες Ἐλιφὰς ἐν γῇ Ἰδουμαίᾳ, οὗτοι υἱοὶ Ἀδᾶς. [17] καὶ οὗτοι υἱοὶ Ῥαγουὴλ υἱοῦ 17
Ἡσαῦ· ἡγεμὼν Ναχώθ, ἡγεμὼν Ζαρέ, ἡγεμὼν Σομέ, ἡγεμὼν Μοζέ· οὗτοι
ἡγεμόνες Ῥαγουὴλ ἐν γῇ Ἐδώμ, οὗτοι υἱοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ. [18] οὗτοι 18
δὲ υἱοὶ Ὀλιβεμᾶς γυναικὸς Ἡσαῦ· ἡγεμὼν Ἰεούλ, ἡγεμὼν Ἰεγλόμ, ἡγεμὼν
Κορέ· οὗτοι ἡγεμόνες Ὀλιβεμᾶς θυγατρὸς Ἀνὰ γυναικὸς Ἡσαῦ. [19] οὗτοι υἱοὶ 19
Ἡσαῦ, καὶ οὗτοι ἡγεμόνες αὐτῶν· οὗτοί εἰσιν υἱοὶ Ἐδώμ. [20] οὗτοι δὲ υἱοὶ 20
Σηεὶρ τοῦ Χορραίου τοῦ κατοικοῦντος τὴν γῆν· Λωτάν, Σωβάλ, Σεβεγών,
Ἀνὰ [21] καὶ Δησὼν καὶ Ἀσὰρ καὶ Ῥισών· οὗτοι ἡγεμόνες τοῦ Χορραίου τοῦ 21
υἱοῦ Σηεὶρ ἐν τῇ γῇ Ἐδώμ. [22] ἐγένοντο δὲ υἱοὶ Λωτὰν Χορρὶ καὶ Αἱμάν· 22
ἀδελφὴ δὲ Λωτὰν Θαμνά. [23] οὗτοι δὲ υἱοὶ Σωβάλ· Γωλὰμ καὶ Μαναχὰθ καὶ 23
Γαιβὴλ καὶ Σωφὰρ καὶ Ὠμάρ. [24] καὶ οὗτοι υἱοὶ Σεβεγών· Ἀϊὲ καὶ Ἀνά· οὗ- 24
τός ἐστιν Ἀνὰ ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβε-
γὼν τοῦ πατρὸς αὐτοῦ. [25] οὗτοι δὲ υἱοὶ Ἀνά· Δησὼν καὶ Ὀλιβεμὰ θυγάτηρ 25
Ἀνά. [26] οὗτοι δὲ υἱοὶ Δησών· Ἀμαδὰ καὶ Ἀσβὰν καὶ Ἰθρὰν καὶ Χαρράν. 26
[27] οὗτοι δὲ υἱοὶ Ἀσάρ· Βαλαὰμ καὶ Ζουκὰμ καὶ Ἰουκάμ. [28] οὗτοι δὲ υἱοὶ Ῥι- 27 28
σών· Ὢς καὶ Ἀράν. [29] οὗτοι δὲ ἡγεμόνες Χορρί· ἡγεμὼν Λωτάν, ἡγεμὼν Σω- 29
βάλ, ἡγεμὼν Σεβεγών, ἡγεμὼν Ἀνά, [30] ἡγεμὼν Δησών, ἡγεμὼν Ἀσάρ, ἡγε- 30
μὼν Ῥισών· οὗτοι ἡγεμόνες Χορρὶ ἐν ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Ἐδώμ.
[31] καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ πρὸ τοῦ βασιλεῦσαι βασιλέα 31
ἐν Ἰσραήλ. [32] καὶ ἐβασίλευσεν ἐν Ἐδὼμ Βαλὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει 32
αὐτοῦ Δενναβά. [33] ἀπέθανε δὲ Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ἰωβὰβ υἱὸς 33
Ζαρὰ ἐκ Βοσόρρας. [34] ἀπέθανε δὲ Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ἀσὼμ 34

---

6. κ. τ. υιους και τ. θυγ. και ... κ. π. τ. υπαρχ. και τα κτηνη ... και οσα περιεπ. ... om ησαυ ... εκ γης 7. εδυνατο 8. ωκησεν 10. υιος αδα ... βασεμμαθ 11. δε οι υιοι ελιφας θαιμ., ωμαν, σωφαρ, γοθομ 12. ουτοι οι υιοι αδα 13. ναχομ ... μασεμμαθ 14. ελιβεμας ... τον ιευς 15. ουτοι οι ηγεμονες υιου ησ. 16. γοθα 17. ναχοθ ... ηγ. μοζε, ηγ. σομε ... μασεμμαθ 18. ελιβεμας, omissis θυγ. α. γυν. ησαυ 19. ουτ. δε υιοι ... κ. ουτ. οι ηγεμ. αυτ. ουτοι εισιν οι ηγεμονες αυτων· υιοι εδωμ. 21. 21. σααρ κ. ρεισων· ουτ. οι ηγεμ. 22. χορρει 23. γωλων κ. μανναχαθ κ. γαιβηλ, σωφ και ωμαν 24. και ωναν· ουτ. εστ. ο ωνας 26. ιεθραν 27. σααρ· βαλααν κ. ζ. κ. ιωυχαμ και ουχαν 28. ρεισων ... αραμ 29. om δε ... χορρει 30. ηγεμ. σααρ ηγ. ρεισων ... χορρει 31. εν ιερουσαλημ 32. υι. του βεωρ (33. ιωβαθ)

Digitized by Google

35 ἐκ τῆς γῆς Θαιμανών. [35] ἀπέθανε δὲ Ἀσώμ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ
υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ
36 Γεθθαίμ. [36] ἀπέθανε δὲ Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαμαδὰ ἐκ Μασ-
37 σεκκᾶς. [37] ἀπέθανε δὲ Σαμαδά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαοὺλ ἐκ Ῥοωβὼθ
38 τῆς παρὰ ποταμόν. [38] ἀπέθανε δὲ Σαούλ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Βαλλε-
39 νὼν υἱὸς Ἀχοβώρ. [39] ἀπέθανε δὲ Βαλλενὼν υἱὸς Ἀχοβώρ, καὶ ἐβασίλευσεν ἀντ'
αὐτοῦ Ἀρὰδ υἱὸς Βαράδ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογώρ· ὄνομα δὲ τῇ γυ-
40 ναικὶ αὐτοῦ Μετεβεήλ, θυγάτηρ Ματραὶθ υἱοῦ Μαιζοώβ. [40] ταῦτα τὰ ὀνόματα
τῶν ἡγεμόνων Ἡσαῦ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις
αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν· ἡγεμὼν Θαμνά, ἡγεμὼν Γωλά, ἡγεμὼν
41 42 Ἰεθέρ, [41] ἡγεμὼν Ὀλιβεμάς, ἡγεμὼν Ἠλάς, ἡγεμὼν Φινών, [42] ἡγεμὼν Κενέζ,
43 ἡγεμὼν Θαιμάν, ἡγεμὼν Μαζάρ, [43] ἡγεμὼν Μαγεδιήλ, ἡγεμὼν Ζαφωίν· οὗτοι
ἡγεμόνες Ἐδὼμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κτήσεως αὐτῶν. οὗτος
1 Ἡσαῦ πατὴρ Ἐδώμ. [1] κατῴκει δὲ Ἰακὼβ ἐν τῇ γῇ οὗ παρῴκησεν ὁ πατὴρ αὐ-
2 τοῦ, ἐν γῇ Χαναάν· [2] αὗται δὲ αἱ γενέσεις Ἰακώβ.

## XXXVII.

Ἰωσὴφ δὲ δέκα καὶ ἑπτὰ ἐτῶν ἦν, ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐ-
τοῦ μετὰ τῶν ἀδελφῶν αὐτοῦ, ὢν νέος μετὰ τῶν υἱῶν Βαλλᾶς καὶ μετὰ τῶν
υἱῶν Ζελφᾶς τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ· κατήνεγκαν δὲ Ἰωσὴφ ψόγον
3 πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν. [3] Ἰακὼβ δὲ ἠγάπα τὸν Ἰωσὴφ παρὰ
πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ· ἐποίησε δὲ αὐτῷ χιτῶνα
4 ποικίλον. [4] ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν
υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτόν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.
5 6 [5] ἐνυπνιασθεὶς δὲ Ἰωσὴφ ἐνύπνιον ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελφοῖς αὐτοῦ, [6] καὶ
7 εἶπεν αὐτοῖς Ἀκούσατε τοῦ ἐνυπνίου τούτου οὗ ἐνυπνιάσθην. [7] ᾤμην ὑμᾶς δε-
σμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ· καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ὠρθώ-
8 θη· περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα. [8] εἶ-
παν δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ Μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμᾶς, ἢ κυριεύων
κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ
9 καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ. [9] εἶδε δὲ ἐνύπνιον ἕτερον, καὶ διηγήσατο αὐτὸ
τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν Ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον
10 ἕτερον· ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. [10] καὶ
ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ εἶπεν αὐτῷ Τί τὸ ἐνύπνιον τοῦτο ὃ ἐνυ-
πνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί
11 σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; [11] ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· ὁ δὲ *Act. 7, 9.
12 πατὴρ αὐτοῦ διετήρησε τὸ ῥῆμα. [12] ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ βόσκειν
13 τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχέμ. [13] καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ
Οὐχὶ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς.
14 εἶπε δὲ αὐτῷ Ἰδοὺ ἐγώ. [14] εἶπε δὲ αὐτῷ Ἰσραὴλ Πορευθεὶς ἴδε εἰ ὑγιαίνουσιν
οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. καὶ ἀπέστειλεν αὐτὸν ἐκ
15 τῆς κοιλάδος τῆς Χεβρών· καὶ ἦλθεν εἰς Συχέμ. [15] καὶ εὗρεν αὐτὸν ἄνθρωπος
16 πλανώμενον ἐν τῷ πεδίῳ· ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος λέγων Τί ζητεῖς; [16] ὁ

---

34. ασομ ... εκ γης θεμανων 35. ασομ ... γεθθαιμ 36. σαλαμα εκ μασεκκας 37. σαλαμα 38. βαλαεννων ... * χοβωρ (v. 39. απεθ. usque αχοβ. suppletum est) 39. αραθ ... βαραθ ... ματραειθ υι. μεζοοβ 40. ιεβερ pro ιεθερ 41. ελιβεμας ... φινες 43. μετοδιηλ ... ζαφωει XXXVII. 1. om δε ... δεκα επτα ... ποιμ. μ. τ. αδελφ. αυτ. τα προβατα· ων 3. γηρους 4. ειδοντες ... αυτον εφιλει ο πατηρ αυτου εκ ... εδυναντο 7. δραχματα εμμεσω ... δραγχματα et δραγχμα 8. om αυτου primum 9. ιδεν ... ενυπνιασθην 10. om αυτω post ειπεν 13. ουχ οι ... εν συχεμ 14. ει αναγγ. pro και αναγγ.

Digitized by Google

δὲ εἶπε Τοὺς ἀδελφούς μου ζητῶ· ἀπάγγειλόν μοι ποῦ βόσκουσιν. [17] εἶπε δὲ 17
αὐτῷ ὁ ἄνθρωπος Ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων Πορευ-
θῶμεν εἰς Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπισθε τῶν ἀδελφῶν αὐτοῦ, καὶ
εὗρεν αὐτοὺς ἐν Δωθαείμ. [18] προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν 18
πρὸς αὐτούς· καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. [19] εἶπε δὲ ἕκαστος πρὸς 19
τὸν ἀδελφὸν αὐτοῦ Ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· [20] νῦν οὖν δεῦτε ἀπο- 20
κτείνωμεν αὐτόν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν Θηρίον
πονηρὸν κατέφαγεν αὐτόν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. [21] ἀκούσας 21
δὲ Ῥουβὴν ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ εἶπεν Οὐ πατάξωμεν αὐ-
τὸν εἰς ψυχήν. [22] εἶπε δὲ αὐτοῖς Ῥουβήν Μὴ ἐκχέητε αἷμα· ἐμβάλλετε αὐτὸν 22
εἰς ἕνα τῶν λάκκων τούτων τῶν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ·
ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ.
[23] ἐγένετο δὲ ἡνίκα ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν Ἰωσὴφ 23
τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν, [24] καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν 24
λάκκον· ὁ δὲ λάκκος κενός, ὕδωρ οὐκ εἶχεν. [25] ἐκάθισαν δὲ φαγεῖν ἄρτον· καὶ 25
ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς εἶδον, καὶ ἰδοὺ ὁδοιπόροι Ἰσμαηλῖται ἤρχοντο ἐκ
Γαλαάδ, καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμον θυμιαμάτων καὶ ῥητίνης καὶ στακτῆς·
ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον. [26] εἶπε δὲ Ἰούδας πρὸς τοὺς ἀδελφοὺς 26
αὐτοῦ Τί χρήσιμον ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν καὶ κρύψωμεν τὸ αἷμα
αὐτοῦ; [27] δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν 27
μὴ ἔστωσαν ἐπ' αὐτόν, ὅτι ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστίν. ἤκουσαν δὲ οἱ
ἀδελφοὶ αὐτοῦ. [28] καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι ἔμποροι, καὶ 28
Act. 7, 9. ἐξείλκυσαν καὶ ἀνεβίβασαν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου· καὶ ἀπέδοντο τὸν Ἰωσὴφ
τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν· καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον.
[29] ἀνέστρεψε δὲ Ῥουβὴν ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ· 29
καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. [30] καὶ ἐπέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ 30
εἶπε Τὸ παιδάριον οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ πορεύομαι ἔτι; [31] λαβόντες δὲ τὸν 31
χιτῶνα τοῦ Ἰωσὴφ ἔσφαξαν ἔριφον αἰγῶν, καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ αἵματι.
[32] καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικίλον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν, καὶ 32
εἶπαν Τοῦτον εὕρομεν, ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν ἢ οὔ. [33] καὶ ἐπέ- 33
γνω αὐτὸν καὶ εἶπε Χιτὼν τοῦ υἱοῦ μού ἐστι· θηρίον πονηρὸν κατέφαγεν αὐτόν,
θηρίον ἥρπασε τὸν Ἰωσήφ. [34] διέρρηξε δὲ Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο 34
σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. [35] συν- 35
ἤχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες, καὶ ἦλθον παρακαλέσαι αὐ-
τόν· καὶ οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου
πενθῶν εἰς ᾅδου· καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. [36] οἱ δὲ Μαδιηναῖοι ἀπέ- 36
δοντο τὸν Ἰωσὴφ εἰς Αἴγυπτον τῷ Πετεφρῇ τῷ σπάδοντι Φαραὼ ἀρχιμαγείρῳ.

## XXXVIII.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ κατέβη Ἰούδας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ,
καὶ ἀφίκετο ἕως πρὸς ἄνθρωπόν τινα Ὀδολλαμίτην ᾧ ὄνομα Εἱράς. [2] καὶ εἶδεν 2
ἐκεῖ Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου ᾗ ὄνομα Σαυά· καὶ ἔλαβεν αὐτὴν
καὶ εἰσῆλθε πρὸς αὐτήν. [3] καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα 3
αὐτοῦ Ἤρ. [4] καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν ἔτι, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Αὐ- 4
νάν. [5] καὶ προσθεῖσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σηλώμ· αὕτη 5
δὲ ἦν ἐν Χασβὶ ἡνίκα ἔτεκεν αὐτούς. [6] καὶ ἔλαβεν Ἰούδας γυναῖκα Ἤρ τῷ πρω- 6

17. κατοπισθεν ... * om κ. ευρ. αυτους (?) ... εις δωθαειμ 18. προιδον ... και επορευοντο αποκτ. αυτ. 19. ειπαν δε 20. ριψομεν ... τι εστιν 21. εξειλατο ... παταξομεν 22. εμβαλετε δε αυτον ... om τουτων 23. εξεδ. τον ιωσ. 24. εκεινος pro κενος 25. ιδον ... οι χαμηλοι ... ριτινης 28. οι μαδ. οι εμπορ. 30. ανεστρεψεν 31. om τω 34. ημερ. τινας 36. τω πετρεφη XXXVIII. 1. οδολλαμειτην (* om τινα ?) 2. ιδεν 4. συλλ. ετι ετ. υιον 5. προσθ. ετι

Digitized by Google

7 τοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ. [7] ἐγένετο δὲ Ἢρ πρωτότοκος Ἰούδα πονηρὸς
8 ἔναντι κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ ϑεός. [8] εἶπε δὲ Ἰούδας τῷ Αὐνὰν Εἴςελϑε
πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου καὶ ἐπιγάμβρευσαι αὐτήν, καὶ ἀνάστησον
9 σπέρμα τῷ ἀδελφῷ σου. [9] γνοὺς δὲ Αὐνὰν ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ἐγέ-
νετο ὅταν εἰςήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ τὴν γῆν
10 τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. [10] πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ
11 ϑεοῦ ὅτι ἐποίησε τοῦτο, καὶ ἐϑανάτωσε καὶ τοῦτον. [11] εἶπε δὲ Ἰούδας Θάμαρ
τῇ νύμφῃ αὐτοῦ Κάϑου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου ἕως μέγας γένηται
Σηλὼμ ὁ υἱός μου· εἶπε γάρ Μή ποτε ἀποϑάνῃ καὶ οὗτος ὥςπερ καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ. ἀπελϑοῦσα δὲ Θάμαρ ἐκάϑητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς.
12 [12] ἐπληϑύνϑησαν δὲ αἱ ἡμέραι καὶ ἀπέϑανε Σαυὰ ἡ γυνὴ Ἰούδα· καὶ παρακλη-
ϑεὶς Ἰούδας ἀνέβη ἐπὶ τοὺς κείροντας τὰ πρόβατα αὐτοῦ, αὐτὸς καὶ Εἱρὰς ὁ
13 ποιμὴν αὐτοῦ ὁ Ὀδολλαμίτης, εἰς Θαμνά. [13] καὶ ἀπηγγέλη Θάμαρ τῇ νύμφῃ
αὐτοῦ λέγοντες Ἰδοὺ ὁ πενϑερός σου ἀναβαίνει εἰς Θαμνὰ κεῖραι τὰ πρόβατα
14 αὐτοῦ. [14] καὶ περιελομένη τὰ ἱμάτια τῆς χηρεύσεως ἀφ᾽ ἑαυτῆς περιέβαλε τὸ
ϑέριστρον καὶ ἐκαλλωπίσατο, καὶ ἐκάϑισε πρὸς ταῖς πύλαις Αἰνάν, ἥ ἐστιν ἐν
παρόδῳ Θαμνά· ἴδε γὰρ ὅτι μέγας γέγονε Σηλώμ, αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν
15 αὐτῷ γυναῖκα. [15] καὶ ἰδὼν αὐτὴν Ἰούδας ἔδοξεν αὐτὴν πόρνην εἶναι· κατεκα-
16 λύψατο γὰρ τὸ πρόςωπον αὐτῆς, καὶ οὐκ ἐπέγνω αὐτήν. [16] ἐξέκλινε δὲ πρὸς
αὐτὴν τὴν ὁδὸν καὶ εἶπεν αὐτῇ Ἔασόν με εἰςελϑεῖν πρὸς σέ· οὐ γὰρ ἔγνω ὅτι
17 νύμφη αὐτοῦ ἐστίν. ἡ δὲ εἶπε Τί μοι δώσεις ἐὰν εἰςέλϑῃς πρὸς μέ; [17] ὁ δὲ
εἶπεν Ἐγώ σοι ἀποστελῶ ἔριφον αἰγῶν ἐκ τῶν προβάτων μου. ἡ δὲ εἶπεν Ἐὰν
18 δῷς μοι ἀῤῥαβῶνα ἕως τοῦ ἀποστεῖλαί σε. [18] ὁ δὲ εἶπε Τίνα τὸν ἀῤῥαβῶνά σοι
δώσω; ἡ δὲ εἶπε Τὸν δακτύλιόν σου καὶ τὸν ὁρμίσκον καὶ τὴν ῥάβδον τὴν ἐν τῇ
χειρί σου. καὶ ἔδωκεν αὐτῇ, καὶ εἰςῆλϑε πρὸς αὐτήν· καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ
19 αὐτοῦ. [19] καὶ ἀναστᾶσα ἀπῆλϑε, καὶ περιείλετο τὸ ϑέριστρον αὐτῆς ἀφ᾽ ἑαυτῆς,
20 καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς. [20] ἀπέστειλε δὲ Ἰούδας τὸν ἔρι-
φον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ τοῦ Ὀδολλαμίτου, κομίσασϑαι παρὰ
21 τῆς γυναικὸς τὸν ἀῤῥαβῶνα· καὶ οὐχ εὗρεν αὐτήν. [21] ἐπηρώτησε δὲ τοὺς ἄνδρας
τοὺς ἐκ τοῦ τόπου Ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ
22 εἶπαν Οὐκ ἦν ἐνταῦϑα πόρνη. [22] καὶ ἀπεστράφη πρὸς Ἰούδαν καὶ εἶπεν Οὐχ
23 εὗρον, καὶ οἱ ἄνϑρωποι οἱ ἐκ τοῦ τόπου λέγουσι μὴ εἶναι ὧδε πόρνην. [23] εἶπε δὲ
Ἰούδας Ἐχέτω αὐτά, ἀλλὰ μή ποτε καταγελασϑῶμεν· ἐγὼ μὲν ἀπέσταλκα
24 τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας. [24] ἐγένετο δὲ μετὰ τρίμηνον ἀνηγγέλη
τῷ Ἰούδᾳ λέγοντες Ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ
25 ἔχει ἐκ πορνείας. εἶπε δὲ Ἰούδας Ἐξαγάγετε αὐτὴν καὶ κατακαυϑήτω. [25] αὐτὴ
δὲ ἀγομένη ἀπέστειλε πρὸς τὸν πενϑερὸν αὐτῆς λέγουσα Ἐκ τοῦ ἀνϑρώπου οὗτι-
νος ταῦτά ἐστιν ἐγὼ ἐν γαστρὶ ἔχω· καὶ εἶπεν Ἐπίγνωϑι τίνος ὁ δακτύλιος καὶ
26 ὁ ὁρμίσκος καὶ ἡ ῥάβδος αὕτη. [26] ἐπέγνω δὲ Ἰούδας καὶ εἶπε Δεδικαίωται Θά-
μαρ ἢ ἐγώ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου· καὶ οὐ προςέϑετο
27 ἔτι τοῦ γνῶναι αὐτήν. [27] ἐγένετο δὲ ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ
28 γαστρὶ αὐτῆς. [28] ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν ὁ εἷς προεξήνεγκε τὴν χεῖρα·
λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα Οὗτος ἐξε-
29 λεύσεται πρότερος. [29] ὡς δὲ ἐπισυνήγαγε τὴν χεῖρα, καὶ εὐϑὺς ἐξῆλϑεν ὁ ἀδελ-
φὸς αὐτοῦ. ἡ δὲ εἶπε Τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐ-

---

7. εναντιον 8. και γαμβρευσαι 9. εγινετο 10. εφανη το ρημα εναντ 11. ωςπερ οι αδ. 12. ο οδολλαμειτης ... (ϑαιμνα) 13. ανεβη 14. περιεβαλετο ϑεριστρω ... σηλωμ ο υιος αυτου 16. οτι η νυμφη 17. αποστελλω ... om μου et μοι 19. * αναστας ... περιεβαλετο τ. ϑερ. αφ εαυτ. ... (in fine add αφ εαυτης) 20. οδολλαμειτου ... τ. αρραβ. παρ. τ. γυν. 21. τους επι του 22. ειν. ενταυϑα πορν. 24. απηγγελη 25. τινος pro ουτινος 26. ειvεκεν 27. ηνικα ετεκεν ... κοιλια pro γαστρι

Digitized by Google

τοῦ Φαρές. [30] καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ' ᾧ ἦν ἐπὶ τῇ χειρὶ 30
αὐτοῦ τὸ κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρά.

## XXXIX.

Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον· καὶ ἐκτήσατο αὐτὸν Πετεφρὴς ὁ εὐνοῦ-
χος Φαραὼ ὁ ἀρχιμάγειρος, ἀνὴρ Αἰγύπτιος, ἐκ χειρῶν τῶν Ἰσμαηλιτῶν, οἳ
κατήγαγον αὐτὸν ἐκεῖ. [2] καὶ ἦν κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων· 2
καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ αὐτοῦ τῷ Αἰγυπτίῳ. [3] ᾔδει δὲ ὁ κύριος 3
αὐτοῦ ὅτι ὁ κύριος ἦν μετ' αὐτοῦ, καὶ ὅσα ἐὰν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερ-
σὶν αὐτοῦ. [4] καὶ εὗρεν Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ καὶ εὐηρέστησεν 4
αὐτῷ· καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ
ἔδωκε διὰ χειρὸς Ἰωσήφ. [5] ἐγένετο δὲ μετὰ τὸ καταστῆναι αὐτὸν ἐπὶ τοῦ οἴκου 5
αὐτοῦ καὶ ἐπὶ πάντα ὅσα ἦν αὐτῷ, καὶ ηὐλόγησε κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου
διὰ Ἰωσήφ· καὶ ἐγενήθη εὐλογία κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ
οἴκῳ καὶ ἐν τῷ ἀγρῷ αὐτοῦ. [6] καὶ ἐπέτρεψε πάντα ὅσα ἦν αὐτῷ εἰς χεῖρας Ἰω- 6
σήφ, καὶ οὐκ ᾔδει τῶν καθ' αὐτὸν οὐδὲν πλὴν τοῦ ἄρτου οὗ ἤσθιεν αὐτός. καὶ
ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα. [7] καὶ ἐγένετο μετὰ τὰ 7
ῥήματα ταῦτα καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ
Ἰωσήφ, καὶ εἶπεν Κοιμήθητι μετ' ἐμοῦ. [8] ὁ δὲ οὐκ ἤθελεν, εἶπε δὲ τῇ γυναικὶ 8
τοῦ κυρίου αὐτοῦ Εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ,
καὶ πάντα ὅσα ἐστὶν αὐτῷ ἔδωκεν εἰς τὰς χεῖράς μου, [9] καὶ οὐχ ὑπερέχει ἐν τῇ 9
οἰκίᾳ ταύτῃ οὐθὲν ἐμοῦ οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδέν, πλὴν σοῦ διὰ τὸ σὲ
γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο καὶ ἁμαρτήσο-
μαι ἐναντίον τοῦ θεοῦ; [10] ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας, καὶ 10
οὐχ ὑπήκουεν αὐτῇ καθεύδειν μετ' αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ. [11] ἐγένετο δὲ 11
τοιαύτη τις ἡμέρα καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ
οὐθεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω· [12] καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων λέγουσα 12
Κοιμήθητι μετ' ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς
ἔφυγε καὶ ἐξῆλθεν ἔξω. [13] καὶ ἐγένετο ὡς εἶδεν ὅτι καταλιπὼν τὰ ἱμάτια αὐτοῦ 13
ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω, [14] καὶ ἐκάλεσε τοὺς ὄντας ἐν τῇ 14
οἰκίᾳ καὶ εἶπεν αὐτοῖς λέγουσα Ἴδετε, εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον ἐμπαίζειν
ἡμῖν· εἰσῆλθε πρός με λέγων Κοιμήθητι μετ' ἐμοῦ· καὶ ἐβόησα φωνῇ μεγάλῃ.
[15] ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν 15
τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω. [16] καὶ καταλιμπάνει τὰ ἱμά- 16
τια παρ' ἑαυτῇ ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ. [17] καὶ ἐλάλησεν αὐτῷ 17
κατὰ τὰ ῥήματα ταῦτα λέγουσα Εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος, ὃν εἰς-
ήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι, καὶ εἶπέ μοι Κοιμηθήσομαι μετὰ σοῦ. [18] ὡς 18
δὲ ἤκουσεν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ
παρ' ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω. [19] ἐγένετο δὲ ὡς ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ 19
ῥήματα τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησε πρὸς αὐτὸν λέγουσα Οὕτως ἐποίησέ
μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ. [20] καὶ λαβὼν ὁ κύριος Ἰωσὴφ ἐνέβαλεν αὐ- 20
τὸν εἰς τὸ ὀχύρωμα, εἰς τὸν τόπον ἐν ᾧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται
ἐκεῖ ἐν τῷ ὀχυρώματι. [21] καὶ ἦν κύριος μετὰ Ἰωσὴφ καὶ κατέχεεν αὐτοῦ ἔλεος, 21
καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος. [22] καὶ ἔδωκεν ὁ ἀρχι- 22

---

30. ** μετα τουτον ... επι την χειρα α. XXXIX. 1. om των 2. om αυτου 3. οτι κυριος μετ αυτου ... οσα αν 4. ευηρεστει δε αυτω 5. κατασταθηναι ... κυρ. επι πασιν ... om αυτου 6. επεστρεψεν ... καθ εαυτον 9. οικ. αυτου ουθ. 10. om τω 11. om και prius ... του ποιειν ... om αυτων 12. ιματ. αυτου 12. καταλειπων ... om εν τ. χερσ. αυτης 13. οτι κατελειπεν ... και εφυγεν 14. ειδετε 15. καταλειπων 17. μοι Κοιμηθητι μετ εμου 18. κατελειπεν ... και εφυγεν 19. om αυτου prius 20. και ελαβεν ... και ενεβαλεν

Digitized by Google

δεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ἰωσὴφ καὶ πάντας τοὺς ἀπηγμένους
23 ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα ὅσα ποιοῦσιν ἐκεῖ αὐτὸς ἦν ποιῶν. [23] οὐκ
ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι' αὐτὸν οὐθέν· πάντα γὰρ
ἦν διὰ χειρὸς Ἰωσὴφ διὰ τὸ τὸν κύριον μετ' αὐτοῦ εἶναι· καὶ ὅσα αὐτὸς ἐποίει,
ὁ κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ.

## XL.

Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα ἥμαρτεν ὁ ἀρχιοινοχόος τοῦ βασιλέως
2 Αἰγύπτου καὶ ὁ ἀρχισιτοποιὸς τῷ κυρίῳ αὐτῶν βασιλεῖ Αἰγύπτου. [2] καὶ ὠργίσθη
Φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ τῷ ἀρχισι-
3 τοποιῷ· [3] καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ εἰς τὸ δεσμωτήριον, εἰς τὸν τόπον οὗ
4 Ἰωσὴφ ἀπῆκτο ἐκεῖ. [4] καὶ συνέστησεν ὁ ἀρχιδεσμώτης τῷ Ἰωσὴφ αὐτούς, καὶ
5 παρέστη αὐτοῖς· ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ. [5] καὶ εἶδον ἀμφότεροι ἐνύπνιον
ἐν μιᾷ νυκτί· ἡ δὲ ὅρασις τοῦ ἐνυπνίου τοῦ ἀρχιοινοχόου καὶ ἀρχισιτοποιοῦ, οἳ
6 ἦσαν τῷ βασιλεῖ Αἰγύπτου, οἱ ὄντες ἐν τῷ δεσμωτηρίῳ, ἦν αὕτη. [6] εἰσῆλθε
7 πρὸς αὐτοὺς Ἰωσὴφ τὸ πρωΐ, καὶ εἶδεν αὐτοὺς καὶ ἦσαν τεταραγμένοι. [7] καὶ
ἠρώτα τοὺς εὐνούχους Φαραώ, οἳ ἦσαν μετ' αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ κυ-
8 ρίῳ αὐτοῦ, λέγων Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; [8] οἱ δὲ εἶπαν
αὐτῷ Ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπε δὲ αὐτοῖς Ἰω-
9 σήφ Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; διηγήσασθε οὖν μοι. [9] καὶ
διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύπνιον αὐτοῦ τῷ Ἰωσὴφ καὶ εἶπεν Ἐν τῷ ὕπνῳ
10 μου ἦν ἄμπελος ἐναντίον μου· [10] ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ
11 θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι οἱ βότρυες σταφυλῆς. [11] καὶ τὸ πο-
τήριον Φαραὼ ἐν τῇ χειρί μου· καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν
12 εἰς τὸ ποτήριον, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ. [12] καὶ εἶπεν αὐτῷ
13 Ἰωσήφ Τοῦτο ἡ σύγκρισις αὐτοῦ. οἱ τρεῖς πυθμένες τρεῖς ἡμέραι εἰσίν· [13] ἔτι
τρεῖς ἡμέραι καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχῆς σου, καὶ ἀποκαταστήσει σε
ἐπὶ τὴν ἀρχιοινοχοΐαν σου, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ
14 κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν. [14] ἀλλὰ μνήσθητί μου
διὰ σεαυτοῦ ὅταν εὖ γένηταί σοι, καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος, καὶ μνησθήσῃ
15 περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου· [15] ὅτι κλοπῇ
ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς
16 τὸν λάκκον τοῦτον. [16] καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς ὅτι ὀρθῶς συνέκρινε, καὶ εἶπε
τῷ Ἰωσήφ Κἀγὼ εἶδον ἐνύπνιον, καὶ ᾤμην τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς
17 κεφαλῆς μου· [17] ἐν δὲ κανῷ τῷ ἐπάνω ἀπὸ πάντων τῶν γενῶν ὧν Φαραὼ
ἐσθίει, ἔργον σιτοποιοῦ· καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατήσθιεν αὐτὰ ἀπὸ τοῦ
18 κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου. [18] ἀποκριθεὶς δὲ Ἰωσὴφ εἶπεν αὐτῷ Αὕτη
19 ἡ σύγκρισις αὐτοῦ. τὰ τρία κανᾶ τρεῖς ἡμέραι εἰσίν· [19] ἔτι τριῶν ἡμερῶν καὶ
ἀφελεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φά-
20 γεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου ἀπὸ σοῦ. [20] ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ
τῇ τρίτῃ ἡμέρα γενέσεως ἦν Φαραώ, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ·
καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ οἰνοχόου καὶ τῆς ἀρχῆς τοῦ σιτοποιοῦ ἐν μέσῳ τῶν
21 παίδων αὐτοῦ. [21] καὶ ἀποκατέστησε τὸν ἀρχιοινοχόον ἐπὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ
22 ἔδωκε τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ· [22] τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασεν,

---

22. om αυτος ην ποιων 23. om του δεσμωτηριου ... εποιει, κυριος ευοδοι XL. 3. εν φυλ. παρα τω αρχιδεσμοφυλακι εις το 5. κ. ιδον αμφ. ενυπν. εκατερος ενυπνιον εν μ. νυκτι· ορασις τ. ενυπν. αυτου· ο αρχιοιν. κ. ο αρχισ.... om ην αυτη 6. εισηλθ. δε πρ. α. το πρ. ιωσηφ ... ιδεν 8. ιδομεν ... αυτο ουκ εστιν 11. εις τας χειρας φαρ. 14. ευ σοι γενηται ... περι εμου φαραω 16. ιδεν ... ιδον 17. εν δε τω κ. τω ... τ. γενηματων ων ο βασιλευς φαρ. εσθ. 19. om και ante αφελει 20. του αρχιοινοχοου ... του αρχισιτοποιου 21. απεκατεστησεν

Digitized by Google

καθὰ συνέκρινεν αὐτοῖς Ἰωσήφ. 23 καὶ οὐκ ἐμνήσθη ὁ ἀρχιοινοχόος τοῦ Ἰωσὴφ 23
ἀλλ᾽ ἐπελάθετο αὐτοῦ.

## XLI.

Ἐγένετο δὲ μετὰ δύο ἔτη ἡμερῶν Φαραὼ εἶδεν ἐνύπνιον. ᾤετο ἑστάναι
ἐπὶ τοῦ ποταμοῦ, 2 καὶ ἰδοὺ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ 2
τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξί, καὶ ἐβόσκοντο ἐν τῷ ἄχει· 3 ἄλλαι δὲ ἑπτὰ 3
βόες ἀνέβαινον μετὰ ταύτας ἐκ τοῦ ποταμοῦ, αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς
σαρξί, καὶ ἐνέμοντο παρὰ τὰς βόας ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ· 4 καὶ κατέφα- 4
γον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ καὶ λεπταὶ ταῖς σαρξὶ τὰς ἑπτὰ βόας τὰς καλὰς τῷ
εἴδει καὶ τὰς ἐκλεκτὰς ταῖς σαρξίν. ἠγέρθη δὲ Φαραώ, 5 καὶ ἐνυπνιάσθη τὸ δεύ- 5
τερον. καὶ ἰδοὺ ἑπτὰ στάχυες ἀνέβαινον ἐν τῷ πυθμένι ἑνὶ ἐκλεκτοὶ καὶ καλοί·
6 καὶ ἰδοὺ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο μετ᾽ αὐτούς· 7 καὶ 6 7
κατέπιον οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς
ἐκλεκτοὺς καὶ τοὺς πλήρεις. ἠγέρθη δὲ Φαραώ, καὶ ἦν ἐνύπνιον. 8 ἐγένετο δὲ 8
πρωὶ καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ· καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγη-
τὰς Αἰγύπτου καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραὼ τὸ
ἐνύπνιον αὐτοῦ· καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραῷ. 9 καὶ ἐλάλησεν ὁ 9
ἀρχιοινοχόος πρὸς Φαραὼ λέγων Τὴν ἁμαρτίαν μου ἀναμιμνήσκω σήμερον.
10 Φαραὼ ὠργίσθη τοῖς παισὶν αὐτοῦ καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ἐν τῷ οἴκῳ τοῦ 10
ἀρχιμαγείρου, ἐμέ τε καὶ τὸν ἀρχισιτοποιόν· 11 καὶ εἴδομεν ἐνύπνιον ἀμφότεροι 11
ἐν νυκτὶ μιᾷ, ἐγὼ καὶ αὐτός· ἕκαστος κατὰ τὸ αὐτοῦ ἐνύπνιον εἴδομεν. 12 ἦν δὲ 12
ἐκεῖ μεθ᾽ ἡμῶν νεανίσκος παῖς Ἑβραῖος τοῦ ἀρχιμαγείρου, καὶ διηγησάμεθα
αὐτῷ, καὶ συνέκρινεν ἡμῖν. 13 ἐγενήθη δὲ καθὼς συνέκρινεν ἡμῖν, οὕτω καὶ 13
συνέβη, ἐμέ τε ἀποκατασταθῆναι ἐπὶ τὴν ἀρχήν μου, ἐκεῖνον δὲ κρεμασθῆναι.
14 ἀποστείλας δὲ Φαραὼ ἐκάλεσε τὸν Ἰωσήφ. καὶ ἐξήγαγον αὐτὸν ἀπὸ τοῦ ὀχυ- 14
ρώματος, καὶ ἐξύρησαν αὐτὸν καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ· καὶ ἦλθε πρὸς
Φαραώ. 15 εἶπε δὲ Φαραὼ πρὸς Ἰωσὴφ Ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων 15
οὐκ ἔστιν αὐτό· ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια συγ-
κρῖναι αὐτά. 16 ἀποκριθεὶς δὲ Ἰωσὴφ τῷ Φαραῷ εἶπεν Ἄνευ τοῦ θεοῦ οὐκ ἀπο- 16
κριθήσεται τὸ σωτήριον Φαραώ. 17 ἐλάλησε δὲ Φαραὼ τῷ Ἰωσὴφ λέγων Ἐν τῷ 17
ὕπνῳ μου ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, 18 καὶ ὥσπερ ἐκ τοῦ πο- 18
ταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξί, καὶ ἐνέμοντο
ἐν τῷ ἄχει· 19 καὶ ἰδοὺ ἑπτὰ βόες ἕτεραι ἀνέβαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποτα- 19
μοῦ, πονηραὶ καὶ αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς σαρξίν, οἵας οὐκ εἶδον τοι-
αύτας ἐν ὅλῃ γῇ Αἰγύπτου αἰσχροτέρας· 20 καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰ- 20
σχραὶ καὶ λεπταὶ τὰς ἑπτὰ βόας τὰς πρώτας τὰς καλὰς καὶ τὰς ἐκλεκτάς, 21 καὶ 21
εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν· καὶ οὐ διάδηλοι ἐγένοντο ὅτι εἰσῆλθον εἰς τὰς
κοιλίας αὐτῶν, καὶ αἱ ὄψεις αὐτῶν αἰσχραὶ καθὰ καὶ τὴν ἀρχήν. ἐξεγερθεὶς δὲ
ἐκοιμήθην. 22 καὶ εἶδον πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὥσπερ ἑπτὰ στάχυες ἀνέ- 22
βαινον ἐν πυθμένι ἑνὶ πλήρεις καὶ καλοί· 23 ἄλλοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ 23
ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι αὐτῶν· 24 καὶ κατέπιον οἱ ἑπτὰ στάχυες οἱ 24
λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς καλοὺς καὶ τοὺς πλήρεις. εἶπα
οὖν τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι αὐτό. 25 καὶ εἶπεν Ἰωσὴφ 25
τῷ Φαραῷ Τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστιν· ὅσα ὁ θεὸς ποιεῖ ἔδειξε τῷ Φαραῷ.

---

23. ουκ εμν. δε ... αλλα επελ. XLI. 1. ιδεν 3. κ. ενεμ. αι βοες παρα το χ. τ. π. εν τω αχει 4. τας εκλεκτας, omisso τ. σαρξ. 5. εν πυθμενι ενι 6. αλλοι δε επτα sine κ. ιδου 8. το ενυπν. sine αυτου 10. οικ. του αρχιδεσμοφυλακος 11. ιδομεν bis ... om αμφοτεροι ... * om εκαστος ... * κατα το αυτο 13. ουτως 14. εξηγαγεν α. εκ 15. φαρ. τω ιωσηφ ... αυτο ουκ εστ. 17. εσταν. επι το 19. τ. σαρξιν, και ενεμοντο εν τω αχει οιας ... εν ολη αιγυπτω 20. και εκλεκτας 22. ιδον 24. om αυτο



Digitized by Google

26 [26] αἱ ἑπτὰ βόες αἱ καλαὶ ἑπτὰ ἔτη ἐστί, καὶ οἱ ἑπτὰ στάχυες οἱ καλοὶ ἑπτὰ ἔτη
27 ἐστί· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι. [27] καὶ αἱ ἑπτὰ βόες αἱ λεπταὶ αἱ ἀναβαίνου-
σαι ὀπίσω αὐτῶν ἑπτὰ ἔτη ἐστί, καὶ οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθο-
28 ροι ἑπτὰ ἔτη ἐστίν· ἔσονται ἑπτὰ ἔτη λιμοῦ. [28] τὸ δὲ ῥῆμα ὃ εἴρηκα Φαραὼ
29 Ὅσα ὁ θεὸς ποιεῖ ἔδειξε τῷ Φαραῷ, [29] ἰδοὺ ἑπτὰ ἔτη ἔρχεται εὐθηνία πολλὴ ἐν
30 πάσῃ γῇ Αἰγύπτου· [30] ἥξει δὲ ἑπτὰ ἔτη λιμοῦ μετὰ ταῦτα, καὶ ἐπιλήσονται τῆς
31 πλησμονῆς τῆς ἐσομένης ἐν ὅλῃ Αἰγύπτῳ, καὶ ἀναλώσει ὁ λιμὸς τὴν γῆν· [31] καὶ
οὐκ ἐπιγνωσθήσεται ἡ εὐθηνία ἐπὶ τῆς γῆς ἀπὸ τοῦ λιμοῦ τοῦ ἐσομένου μετὰ
32 ταῦτα, ἰσχυρὸς γὰρ ἔσται σφόδρα. [32] περὶ δὲ τοῦ δευτερῶσαι τὸ ἐνύπνιον Φα-
ραὼ δίς, ὅτι ἀληθὲς ἔσται τὸ ῥῆμα τὸ παρὰ τοῦ θεοῦ, καὶ ταχυνεῖ ὁ θεὸς τοῦ
33 ποιῆσαι αὐτό. [33] νῦν οὖν σκέψαι ἄνθρωπον φρόνιμον καὶ συνετόν, καὶ κατάστη-
34 σον αὐτὸν ἐπὶ γῆς Αἰγύπτου· [34] καὶ ποιησάτω Φαραὼ καὶ καταστησάτω το-
πάρχας ἐπὶ τῆς γῆς, καὶ ἀποπεμπτωσάτωσαν πάντα τὰ γεννήματα τῆς γῆς
35 Αἰγύπτου τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας, [35] καὶ συναγαγέτωσαν πάντα τὰ βρώ-
ματα τῶν ἑπτὰ ἐτῶν τῶν ἐρχομένων τῶν καλῶν τούτων· καὶ συναχθήτω ὁ σῖτος
36 ὑπὸ χεῖρα Φαραώ, βρώματα ἐν ταῖς πόλεσι φυλαχθήτω. [36] καὶ ἔσται τὰ βρώ-
ματα τὰ πεφυλαγμένα τῇ γῇ εἰς τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ ἃ ἔσονται ἐν γῇ Αἰγύ-
37 πτου, καὶ οὐκ ἐκτριβήσεται ἡ γῆ ἐν τῷ λιμῷ. [37] ἤρεσε δὲ τὸ ῥῆμα ἐναντίον
38 Φαραὼ καὶ ἐναντίον πάντων τῶν παίδων αὐτοῦ· [38] καὶ εἶπε Φαραὼ πᾶσι τοῖς
παισὶν αὐτοῦ Μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον ὃς ἔχει πνεῦμα θεοῦ ἐν αὐτῷ;
39 [39] εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ Ἐπειδὴ ἔδειξεν ὁ θεός σοι πάντα ταῦτα, οὐκ ἔστιν
40 ἄνθρωπος φρονιμώτερος καὶ συνετώτερος σοῦ. [40] σὺ ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ
ἐπὶ τῷ στόματί σου ὑπακούσεται πᾶς ὁ λαός μου· πλὴν τὸν θρόνον ὑπερέξω σου
41 ἐγώ. [41] εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ Ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσῃ γῇ
42 Αἰγύπτου. [42] καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ πε-
ριέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ἰωσήφ, καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην, καὶ
43 περιέθηκε κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ· [43] καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ
τὸ ἅρμα τὸ δεύτερον τῶν αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κήρυξ· καὶ κα-
44 τέστησεν αὐτὸν ἐφ᾽ ὅλης γῆς Αἰγύπτου. [44] εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ Ἐγὼ Φα-
ραώ, ἄνευ σοῦ οὐκ ἐξαρεῖ οὐθεὶς τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσης γῆς Αἰγύπτου.
45 [45] καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσὴφ Ψονθομφανήχ· καὶ ἔδωκεν αὐτῷ τὴν
46 Ἀσενὲθ θυγατέρα Πετεφρῆ ἱερέως Ἡλιουπόλεως αὐτῷ εἰς γυναῖκα. [46] Ἰωσὴφ
δὲ ἦν ἐτῶν τριάκοντα ὅτε ἔστη ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου. ἐξῆλθε δὲ
47 Ἰωσὴφ ἀπὸ προσώπου Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου. [47] καὶ ἐποίη-
48 σεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα· [48] καὶ συνήγαγε πάντα
τὰ βρώματα τῶν ἑπτὰ ἐτῶν ἐν οἷς ἦν ἡ εὐθηνία ἐν τῇ γῇ Αἰγύπτου, καὶ ἔθηκε
τὰ βρώματα ἐν ταῖς πόλεσι· βρώματα τῶν πεδίων τῆς πόλεως τῶν κύκλῳ αὐτῆς
49 ἔθηκεν ἐν αὐτῇ. [49] καὶ συνήγαγεν Ἰωσὴφ σῖτον ὡσεὶ τὴν ἄμμον τῆς θαλάσσης
50 πολὺν σφόδρα, ἕως οὐκ ἠδύνατο ἀριθμηθῆναι· οὐ γὰρ ἦν ἀριθμός. [50] τῷ δὲ
Ἰωσὴφ ἐγένοντο υἱοὶ δύο πρὸ τοῦ ἐλθεῖν τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ, οὓς ἔτεκεν
51 αὐτῷ Ἀσενὲθ ἡ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡλιουπόλεως. [51] ἐκάλεσε δὲ Ἰωσὴφ
τὸ ὄνομα τοῦ πρωτοτόκου Μανασσῆ, ὅτι ἐπιλαθέσθαι με ἐποίησεν ὁ θεὸς πάν-
52 των τῶν πόνων μου καὶ πάντων τῶν τοῦ πατρός μου· [52] τὸ δὲ ὄνομα τοῦ δευτέρου

27. om επτ. ετ. εστι ante εσονται 29. γη αιγυπτω 30. επιλησθησονται ... om της εσομενης ... εν ολη τη γη αιγ. 33. επι της γης αιγ. 34. γενηματα 35. ε. τ. πολ. συναχθητω 36. τα βρωμ. πεφυλαγμενα ... τ. λιμου εσονται εν γ. αιγυπτω 37. τα ρηματα 39. σου ante και συνετωτ. ponit 41. επι πασης γης 43. εφ ολ. της γης 44. επι παση γη 45. ασεννεθ ... πετρεφη ... ιλιουπολεως 46. εκ προσωπου 48. εν γη ... αυτης ων εθηκ. 49. αριθμησαι 50. ασεννεθ θυγατηρ πετρεφη ... ιλιουπολεως 51. μαννασση λεγων οτι

Digitized by Google

ἐκάλεσεν Ἐφραΐμ, ὅτι ηὔξησέ με ὁ θεὸς ἐν γῇ ταπεινώσεώς μου. [53] παρῆλθον 53
δὲ τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας ἃ ἐγένοντο ἐν τῇ γῇ Αἰγύπτου, [54] καὶ ἤρξατο τὰ 54
ἑπτὰ ἔτη τοῦ λιμοῦ ἔρχεσθαι, καθὰ εἶπεν Ἰωσήφ. καὶ ἐγένετο λιμὸς ἐν πάσῃ
τῇ γῇ· ἐν δὲ πάσῃ τῇ γῇ Αἰγύπτου ἦσαν ἄρτοι. [55] καὶ ἐπείνασε πᾶσα ἡ γῆ Αἰ- 55
γύπτου, ἔκραξε δὲ ὁ λαὸς πρὸς Φαραὼ περὶ ἄρτων· εἶπε δὲ Φαραὼ πᾶσι τοῖς
Αἰγυπτίοις Πορεύεσθε πρὸς Ἰωσήφ, καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν ποιήσατε. [56] καὶ ὁ 56
λιμὸς ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς· ἀνέῳξε δὲ Ἰωσὴφ πάντας τοὺς σιτοβο-
λῶνας, καὶ ἐπώλει πᾶσι τοῖς Αἰγυπτίοις. [57] καὶ πᾶσαι αἱ χῶραι ἦλθον εἰς Αἴ- 57
γυπτον ἀγοράζειν πρὸς Ἰωσήφ· ἐπεκράτησε γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ.

## XLII.

Ἰδὼν δὲ Ἰακὼβ ὅτι ἐστὶ πρᾶσις ἐν Αἰγύπτῳ εἶπε τοῖς υἱοῖς αὐτοῦ Ἵνα τί
ῥᾳθυμεῖτε; [2] ἰδοὺ ἀκήκοα ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ· κατάβητε ἐκεῖ καὶ πρία- 2
σθε ἡμῖν μικρὰ βρώματα, ἵνα ζήσωμεν καὶ μὴ ἀποθάνωμεν. [3] κατέβησαν δὲ οἱ 3
ἀδελφοὶ Ἰωσὴφ οἱ δέκα πρίασθαι σῖτον ἐξ Αἰγύπτου· [4] τὸν δὲ Βενιαμὶν τὸν 4
ἀδελφὸν Ἰωσὴφ οὐκ ἀπέστειλε μετὰ τῶν ἀδελφῶν αὐτοῦ· εἶπε γάρ Μή ποτε
συμβῇ αὐτῷ μαλακία. [5] ἦλθον δὲ οἱ υἱοὶ Ἰσραὴλ ἀγοράζειν μετὰ τῶν ἐρχομέ- 5
νων· ἦν γὰρ ὁ λιμὸς ἐν γῇ Χαναάν. [6] Ἰωσὴφ δὲ ἦν ὁ ἄρχων τῆς γῆς, οὗτος 6
ἐπώλει παντὶ τῷ λαῷ τῆς γῆς· ἐλθόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ προσεκύνησαν
αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. [7] ἰδὼν δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπέγνω, 7
καὶ ἠλλοτριοῦτο ἀπ᾽ αὐτῶν καὶ ἐλάλησεν αὐτοῖς σκληρά, καὶ εἶπεν αὐτοῖς Πόθεν
ἥκατε; οἱ δὲ εἶπον Ἐκ γῆς Χαναάν, ἀγοράσαι βρώματα. [8] ἐπέγνω δὲ Ἰωσὴφ 8
τοὺς ἀδελφοὺς αὐτοῦ, αὐτοὶ δὲ οὐκ ἐπέγνωσαν αὐτόν· [9] καὶ ἐμνήσθη Ἰωσὴφ 9
τῶν ἐνυπνίων αὐτοῦ ὧν εἶδεν αὐτός. καὶ εἶπεν αὐτοῖς Κατάσκοποί ἐστε, κατα-
νοῆσαι τὰ ἴχνη τῆς χώρας ἥκατε. [10] οἱ δὲ εἶπαν Οὐχί, κύριε· οἱ παῖδές σου 10
ἤλθομεν πρίασθαι βρώματα· [11] πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί 11
ἐσμεν· οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι. [12] εἶπε δὲ αὐτοῖς Οὐχί, ἀλλὰ τὰ 12
ἴχνη τῆς γῆς ἤλθετε ἰδεῖν. [13] οἱ δὲ εἶπαν Δώδεκά ἐσμεν οἱ παῖδές σου ἀδελφοὶ 13
ἐν γῇ Χαναάν· καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον, ὁ δὲ ἕτε-
ρος οὐχ ὑπάρχει. [14] εἶπε δὲ αὐτοῖς Ἰωσὴφ Τοῦτό ἐστιν ὃ εἴρηκα ὑμῖν, λέγων 14
ὅτι κατάσκοποί ἐστε· [15] ἐν τούτῳ φανεῖσθε· νὴ τὴν ὑγίειαν Φαραώ, οὐ μὴ 15
ἐξέλθητε ἐντεῦθεν ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ἔλθῃ ὧδε. [16] ἀποστείλατε 16
ἐξ ὑμῶν ἕνα, καὶ λάβετε τὸν ἀδελφὸν ὑμῶν· ὑμεῖς δὲ ἀπάχθητε ἕως τοῦ φανερὰ
γενέσθαι τὰ ῥήματα ὑμῶν, εἰ ἀληθεύετε ἢ οὔ· εἰ δὲ μή, νὴ τὴν ὑγίειαν Φα-
ραώ, ἦ μὴν κατάσκοποί ἐστε. [17] καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ ἡμέρας τρεῖς· 17
[18] εἶπε δὲ αὐτοῖς τῇ ἡμέρᾳ τῇ τρίτῃ Τοῦτο ποιήσατε, καὶ ζήσεσθε· τὸν θεὸν 18
γὰρ ἐγὼ φοβοῦμαι. [19] εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν κατασχεθήτω εἰς ἐν τῇ 19
φυλακῇ· αὐτοὶ δὲ βαδίσατε καὶ ἀπαγάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν,
[20] καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρὸς μέ, καὶ πιστευθήσονται 20
τὰ ῥήματα ὑμῶν· εἰ δὲ μή, ἀποθανεῖσθε. ἐποίησαν δὲ οὕτως. [21] καὶ εἶπεν 21
ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ναί, ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελ-
φοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ ὅτε κατεδέετο ἡμῶν
καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ· καὶ ἕνεκεν τούτου ἐπῆλθεν ἐφ᾽ ἡμᾶς ἡ θλῖψις αὕτη.
[22] ἀποκριθεὶς δὲ Ῥουβὴν εἶπεν αὐτοῖς Οὐκ ἐλάλησα ὑμῖν λέγων Μὴ ἀδικήσητε 22
τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου; καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται.
[23] αὐτοὶ δὲ οὐκ ᾔδεισαν ὅτι ἀκούει Ἰωσήφ, ὁ γὰρ ἑρμηνευτὴς ἀνὰ μέσον αὐτῶν 23

---

52. εφραιμ, οτι υψωσεν με 53. ευθηνειας α εγενετο εν γη αιγυπτω 54. ηρξαντο ... εν δε παση γη αιγ. ουκ ησαν 55. εκεκραξεν δε πας ο λαος XLII. 2. ινα ζωμεν 4. βενιαμειν 6. ην αρχων 7. ειπαν 9. om αυτου ... ιδεν 10. πριασασθαι 12. ηλθατε 14. εστιν το ειρηκα 15. υγιαν 16. υγιαν 17. ει μην 19. εις κατασχεθητω 20. καταγαγετε 21. εν αμαρτια ... υπεριδομεν ... om και ante ενεκεν



Digitized by Google

24 ἦν· [24] ἀποστραφεὶς δὲ ἀπ' αὐτῶν ἔκλαυσεν Ἰωσήφ. καὶ πάλιν προσῆλθε πρὸς
αὐτοὺς καὶ εἶπεν αὐτοῖς· καὶ ἔλαβε τὸν Συμεὼν ἀπ' αὐτῶν, καὶ ἔδησεν αὐτὸν
25 ἐναντίον αὐτῶν. [25] ἐνετείλατο δὲ Ἰωσὴφ ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου, καὶ
ἀποδοῦναι τὸ ἀργύριον αὐτῶν ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ, καὶ δοῦναι αὐτοῖς
26 ἐπισιτισμὸν εἰς τὴν ὁδόν. καὶ ἐγενήθη αὐτοῖς οὕτως· [26] καὶ ἐπιθέντες τὸν σῖτον
27 ἐπὶ τοὺς ὄνους αὐτῶν ἀπῆλθον ἐκεῖθεν. [27] λύσας δὲ εἷς τὸν μάρσιππον αὐτοῦ,
δοῦναι χορτάσματα τοῖς ὄνοις αὐτοῦ οὗ κατέλυσαν, καὶ εἶδε τὸν δεσμὸν τοῦ ἀρ-
28 γυρίου αὐτοῦ, καὶ ἦν ἐπάνω τοῦ στόματος τοῦ μαρσίππου· [28] καὶ εἶπε τοῖς
ἀδελφοῖς αὐτοῦ Ἀπεδόθη μοι τὸ ἀργύριον, καὶ ἰδοὺ τοῦτο ἐν τῷ μαρσίππῳ μου.
καὶ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν πρὸς ἀλλήλους λέγοντες Τί τοῦτο
29 ἐποίησεν ὁ θεὸς ἡμῖν; [29] ἦλθον δὲ πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν εἰς γῆν Χα-
30 ναάν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα τὰ συμβάντα αὐτοῖς λέγοντες [30] Λελάληκεν
ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς πρὸς ἡμᾶς σκληρά, καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ὡς
31 κατασκοπεύοντας τὴν γῆν. [31] εἴπαμεν δὲ αὐτῷ Εἰρηνικοί ἐσμεν, οὐκ ἐσμὲν κα-
32 τάσκοποι· [32] δώδεκα ἀδελφοί ἐσμεν, υἱοὶ τοῦ πατρὸς ἡμῶν· ὁ εἷς οὐχ ὑπάρχει,
33 ὁ δὲ μικρὸς μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον ἐν γῇ Χαναάν. [33] εἶπε δὲ ἡμῖν ὁ
ἄνθρωπος ὁ κύριος τῆς γῆς Ἐν τούτῳ γνώσομαι ὅτι εἰρηνικοί ἐστε· ἀδελφὸν ἕνα
ἄφετε ὧδε μετ' ἐμοῦ, τὸν δὲ ἀγορασμὸν τῆς σιτοδοσίας τοῦ οἴκου ὑμῶν λαβόν-
34 τες ἀπέλθατε, [34] καὶ ἀγάγετε πρὸς μὲ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον. καὶ γνώ-
σομαι ὅτι οὐ κατάσκοποί ἐστε, ἀλλ' ὅτι εἰρηνικοί ἐστε· καὶ τὸν ἀδελφὸν ὑμῶν
35 ἀποδώσω ὑμῖν, καὶ τῇ γῇ ἐμπορεύσεσθε. [35] ἐγένετο δὲ ἐν τῷ κατακενοῦν αὐτοὺς
τοὺς σάκκους αὐτῶν καὶ ἦν ἑκάστου ὁ δεσμὸς τοῦ ἀργυρίου ἐν τῷ σάκκῳ αὐτῶν·
καὶ εἶδον τοὺς δεσμοὺς τοῦ ἀργυρίου αὐτῶν αὐτοὶ καὶ ὁ πατὴρ αὐτῶν, καὶ ἐφο-
36 βήθησαν. [36] εἶπε δὲ αὐτοῖς Ἰακὼβ ὁ πατὴρ αὐτῶν Ἐμὲ ἠτεκνώσατε· Ἰωσὴφ
οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένετο ταῦτα
37 πάντα. [37] εἶπε δὲ Ῥουβὴν τῷ πατρὶ αὐτῶν λέγων Τοὺς δύο υἱούς μου ἀπόκτει-
νον ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ· δὸς αὐτὸν εἰς τὴν χεῖρά μου, κἀγὼ ἀνάξω
38 αὐτὸν πρὸς σέ. [38] ὁ δὲ εἶπεν Οὐ καταβήσεται ὁ υἱός μου μεθ' ὑμῶν, ὅτι ὁ ἀδελ-
φὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται· καὶ συμβήσεται αὐτὸν
μαλακισθῆναι ἐν τῇ ὁδῷ ᾗ ἐὰν πορεύησθε, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ
λύπης εἰς ᾅδου.

## XLIII.

39 [39] Ὁ δὲ λιμὸς ἐνίσχυσεν ἐπὶ τῆς γῆς. [1] ἐγένετο δὲ ἡνίκα συνετέλεσαν κατα-
φαγεῖν τὸν σῖτον ὃν ἤνεγκαν ἐξ Αἰγύπτου, καὶ εἶπεν αὐτοῖς ὁ πατὴρ αὐτῶν Πά-
2 λιν πορευθέντες πρίασθε ἡμῖν μικρὰ βρώματα. [2] εἶπε δὲ αὐτῷ Ἰούδας λέγων
Διαμαρτυρίᾳ μεμαρτύρηται ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς λέγων Οὐκ ὄψε-
3 σθε τὸ πρόσωπόν μου ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ' ὑμῶν ᾖ. [3] εἰ μὲν
οὖν ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν μεθ' ἡμῶν, καταβησόμεθα καὶ ἀγοράσομέν
4 σοι βρώματα· [4] εἰ δὲ μὴ ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν μεθ' ἡμῶν, οὐ πορευ-
σόμεθα· ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν λέγων Οὐκ ὄψεσθέ μου τὸ πρόσωπον ἐὰν
5 μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ' ὑμῶν ᾖ. [5] εἶπε δὲ Ἰσραὴλ Τί ἐκακοποιή-
6 σατέ με, ἀναγγείλαντες τῷ ἀνθρώπῳ ὅτι ἐστὶν ὑμῖν ἀδελφός; [6] οἱ δὲ εἶπαν
Ἐρωτῶν ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος καὶ τὴν γενεὰν ἡμῶν, λέγων Εἰ ἔτι ὁ
πατὴρ ὑμῶν ζῇ καὶ εἰ ἔστιν ὑμῖν ἀδελφός; καὶ ἀπηγγείλαμεν αὐτῷ κατὰ τὴν

---

25. αγγια ... το αργυριον εκαστου εις 27. κατελυσαν, ιδεν 29. συμβεβηκοτα 32. ο δε μικροτερος ... εις γην χαν. 33. γνωσομεθα ... om του οικου 34. εμπορευεσθε 35. ιδον 36. βενιαμειν λημψεσθε ... παντα ταυτα 38. η αν πορευεσθε XLII. 2. διαμαρτ. διαμεμαρτυρηται ... om ο κυριος της γης ... ο νεωτερ. καταβη προς με 3. αποστελλεις ... αγορασωμεν 4. αποστελλεις 5. μοι pro με ... ει pro οτι 6. ζη, ει εστιν

Digitized by Google

ἐπερώτησιν ταύτην. μὴ ᾔδειμεν ὅτι ἐρεῖ ἡμῖν Ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν;
7 εἶπε δὲ Ἰούδας πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτοῦ Ἀπόστειλον τὸ παιδάριον μετ' 7
ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν καὶ ἡμεῖς
καὶ σὺ καὶ ἡ ἀποσκευὴ ἡμῶν. 8 ἐγὼ δὲ ἐκδέχομαι αὐτόν, ἐκ χειρός μου ζήτη- 8
σον αὐτόν· ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐναντίον σου, ἡμαρ-
τηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας. 9 εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπε- 9
στρέψαμεν δίς. 10 εἶπε δὲ αὐτοῖς Ἰσραὴλ ὁ πατὴρ αὐτῶν Εἰ οὕτως ἐστί, τοῦτο 10
ποιήσατε· λάβετε ἀπὸ τῶν καρπῶν τῆς γῆς ἐν τοῖς ἀγγείοις ὑμῶν, καὶ κατα-
γάγετε τῷ ἀνθρώπῳ δῶρα τῆς ῥητίνης καὶ τοῦ μέλιτος, θυμίαμά τε καὶ στα-
κτὴν καὶ τερέβινθον καὶ κάρυα. 11 καὶ τὸ ἀργύριον δισσὸν λάβετε ἐν ταῖς χερσὶν 11
ὑμῶν, καὶ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ὑμῶν ἀποστρέψατε
μεθ' ὑμῶν· μή ποτε ἀγνόημά ἐστι. 12 καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀνα- 12
στάντες κατάβητε πρὸς τὸν ἄνθρωπον. 13 ὁ δὲ θεός μου δῴη ὑμῖν χάριν ἐναντίον 13
τοῦ ἀνθρώπου, καὶ ἀποστεῖλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμίν·
ἐγὼ μὲν γὰρ καθάπερ ἠτέκνωμαι, ἠτέκνωμαι. 14 λαβόντες δὲ οἱ ἄνδρες τὰ δῶρα 14
ταῦτα καὶ τὸ ἀργύριον διπλοῦν ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὸν Βενιαμίν·
καὶ ἀναστάντες κατέβησαν εἰς Αἴγυπτον, καὶ ἔστησαν ἐναντίον Ἰωσήφ. 15 εἶδε 15
δὲ Ἰωσὴφ αὐτοὺς καὶ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπε
τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ Εἰςάγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν, καὶ σφάξον
θύματα καὶ ἑτοίμασον· μετ' ἐμοῦ γὰρ φάγονται οἱ ἄνθρωποι ἄρτους τὴν με-
σημβρίαν. 16 ἐποίησε δὲ ὁ ἄνθρωπος καθὰ εἶπεν Ἰωσήφ, καὶ εἰςήγαγε τοὺς ἀν- 16
θρώπους εἰς τὸν οἶκον Ἰωσήφ. 17 ἰδόντες δὲ οἱ ἄνδρες ὅτι εἰςήχθησαν εἰς τὸν 17
οἶκον τοῦ Ἰωσὴφ εἶπαν Διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις
ἡμῶν τὴν ἀρχὴν ἡμεῖς εἰςαγόμεθα, τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν,
τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας καὶ τοὺς ὄνους ἡμῶν. 18 προςελθόντες δὲ πρὸς τὸν 18
ἄνθρωπον τὸν ἐπὶ τοῦ οἴκου τοῦ Ἰωσὴφ ἐλάλησαν αὐτῷ ἐν τῷ πυλῶνι τοῦ οἴκου
19 λέγοντες Δεόμεθα, κύριε. κατέβημεν τὴν ἀρχὴν πρίασθαι βρώματα· 20 ἐγέ- 19 20
νετο δὲ ἡνίκα ἤλθομεν εἰς τὸ καταλῦσαι καὶ ἠνοίξαμεν τοὺς μαρσίππους ἡμῶν,
καὶ τόδε τὸ ἀργύριον ἑκάστου ἐν τῷ μαρσίππῳ αὐτοῦ. τὸ ἀργύριον ἡμῶν ἐν
σταθμῷ ἀπεστρέψαμεν νῦν ἐν ταῖς χερσὶν ἡμῶν, 21 καὶ ἀργύριον ἕτερον ἠνέγκα- 21
μεν μεθ' ἑαυτῶν ἀγοράσαι βρώματα· οὐκ οἴδαμεν τίς ἐνέβαλε τὸ ἀργύριον εἰς
τοὺς μαρσίππους ἡμῶν. 22 εἶπε δὲ αὐτοῖς Ἵλεως ὑμῖν, μὴ φοβεῖσθε· ὁ θεὸς 22
ὑμῶν καὶ ὁ θεὸς τῶν πατέρων ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις
ὑμῶν, καὶ τὸ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. καὶ ἐξήγαγε πρὸς αὐτοὺς τὸν
Συμεών, 23 καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν, καὶ ἔδωκε χορτάσματα 23
τοῖς ὄνοις αὐτῶν. 24 ἡτοίμασαν δὲ τὰ δῶρα ἕως τοῦ ἐλθεῖν τὸν Ἰωσὴφ μεσημ- 24
βρίας· ἤκουσαν γὰρ ὅτι ἐκεῖ μέλλει ἀριστᾶν. 25 εἰςῆλθε δὲ Ἰωσὴφ εἰς τὴν 25
οἰκίαν, καὶ προςήνεγκαν αὐτῷ τὰ δῶρα ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν εἰς τὸν
οἶκον, καὶ προςεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. 26 ἠρώτησε δὲ αὐ- 26
τούς Πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς Εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν ὁ πρεσβύτης ὃν
εἴπατε, ἔτι ζῇ; 27 οἱ δὲ εἶπαν Ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ. καὶ 27
εἶπεν Εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ θεῷ· καὶ κύψαντες προςεκύνησαν
αὐτῷ. 28 ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ Ἰωσὴφ εἶδε Βενιαμὶν τὸν ἀδελ- 28
φὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπεν Οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν

---

6. τ. επερωτ. αυτου ... ει ερει 8. εσομ. προς σε 10. * om ισραηλ ... αγγιοις ... ριτινης ... om τε ... τερεμινθον 11. om και secund. 13. βενιαμειν ... καθα 14. βενιαμειν 15. ιδεν ... βενιαμειν ... κ. ενετειλατο τω επι ... εισαγαγειν 16. εις την οικιαν 17. οτι εισηνεχθησαν ... οικον ιωσηφ 18. οικου ιωσηφ 20. και εγενετο ηνικα ... νυν εν τοις μαρσιπποις ημων 22. αυτοις ο ανθρωπος ... υμων · το δε ... om τον ante συμεων 23. ηνεγκεν pro εδωκε 24. ελθειν ιωσηφ μεσημβρια 26. ο πρεσβυτερος 27. ευλογητος ... om αυτω 28. om αυτου prius ... ιδεν βενιαμειν ... κ. ειπεν αυτοις Ουτος εστιν ο αδ.

Digitized by Google

29 εἴπατε πρός με ἀγαγεῖν; καὶ εἶπεν Ὁ ϑεὸς ἐλεήσαι σε, τέκνον. [29] ἐταράχϑη δὲ
Ἰωσήφ· συνεστρέφετο γὰρ τὰ ἔγκατα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐζήτει
30 κλαῦσαι· εἰςελϑὼν δὲ εἰς τὸ ταμεῖον ἔκλαυσεν ἐκεῖ. [30] καὶ νιψάμενος τὸ πρός-
31 ωπον ἐξελϑὼν ἐνεκρατεύσατο, καὶ εἶπε Παράϑετε ἄρτους. [31] καὶ παρέϑηκαν
αὐτῷ μόνῳ, καὶ αὐτοῖς καϑ' ἑαυτούς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι
μετ' αὐτοῦ καϑ' ἑαυτούς· οὐ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσϑίειν μετὰ τῶν
32 Ἑβραίων ἄρτους, βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις. [32] ἐκάϑισαν δὲ ἐναντίον
αὐτοῦ, ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα
33 αὐτοῦ· ἐξίσταντο δὲ οἱ ἄνϑρωποι ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. [33] ἦραν δὲ
μερίδας παρ' αὐτοῦ πρὸς ἑαυτούς· ἐμεγαλύνϑη δὲ ἡ μερὶς Βενιαμὶν παρὰ τὰς
μερίδας πάντων πενταπλασίως πρὸς τὰς ἐκείνων· ἔπιον δὲ καὶ ἐμεϑύσϑησαν
μετ' αὐτοῦ.

## XLIV.

Καὶ ἐνετείλατο ὁ Ἰωσὴφ τῷ ὄντι ἐπὶ τῆς οἰκίας αὐτοῦ λέγων Πλήσατε
τοὺς μαρσίππους τῶν ἀνϑρώπων βρωμάτων ὅσα ἐὰν δύνωνται ἆραι, καὶ ἐμβά-
2 λετε ἑκάστου τὸ ἀργύριον ἐπὶ τοῦ στόματος τοῦ μαρσίππου· [2] καὶ τὸ κόνδυ μου
τὸ ἀργυροῦν ἐμβάλετε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου, καὶ τὴν τιμὴν τοῦ σίτου
3 αὐτοῦ. ἐγενήϑη δὲ κατὰ τὸ ῥῆμα Ἰωσὴφ καϑὼς εἶπε. [3] τὸ πρωὶ διέφαυσε καὶ
4 οἱ ἄνϑρωποι ἀπεστάλησαν, αὐτοὶ καὶ οἱ ὄνοι αὐτῶν. [4] ἐξελϑόντων δὲ αὐτῶν τὴν
πόλιν οὐκ ἀπέσχον μακράν, καὶ Ἰωσὴφ εἶπε τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ Ἀναστὰς
ἐπιδίωξον ὀπίσω τῶν ἀνϑρώπων καὶ καταλήψῃ αὐτούς, καὶ ἐρεῖς αὐτοῖς Τί ὅτι
ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν; ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν;
5 [5] οὐ τοῦτό ἐστιν ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ·
6 πονηρὰ συντετελέκατε ἃ πεποιήκατε. [6] εὑρὼν δὲ αὐτοὺς εἶπεν αὐτοῖς κατὰ τὰ
7 ῥήματα ταῦτα. [7] οἱ δὲ εἶπαν αὐτῷ Ἵνα τί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα
8 ταῦτα; μὴ γένοιτο τοῖς παισί σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο. [8] εἰ τὸ μὲν ἀρ-
γύριον ὃ εὕρομεν ἐν τοῖς μαρσίπποις ἡμῶν ἀπεστρέψαμεν πρὸς σὲ ἐκ γῆς Χα-
9 ναάν, πῶς ἂν κλέψαιμεν ἐκ τοῦ οἴκου τοῦ κυρίου σου ἀργύριον ἢ χρυσίον; [9] παρ'
ᾧ ἂν εὕρῃς τὸ κόνδυ τῶν παίδων σου, ἀποϑνησκέτω· καὶ ἡμεῖς δὲ ἐσόμεϑα
10 παῖδες τῷ κυρίῳ ἡμῶν. [10] ὁ δὲ εἶπε Καὶ νῦν ὡς λέγετε, οὕτως ἔσται· παρ' ᾧ
11 ἂν εὑρεϑῇ τὸ κόνδυ, ἔσται μου παῖς, ὑμεῖς δὲ ἔσεσϑε καϑαροί. [11] καὶ ἔσπευ-
σαν καὶ καϑεῖλαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἤνοιξαν ἕκα-
12 στος τὸν μάρσιππον αὐτοῦ. [12] ἠρεύνησε δὲ ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος ἕως
13 ἦλϑεν ἐπὶ τὸν νεώτερον, καὶ εὗρε τὸ κόνδυ ἐν τῷ μαρσίππῳ τοῦ Βενιαμίν. [13] καὶ
διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέϑηκαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὸν
14 ὄνον αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν. [14] εἰςῆλϑε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ
αὐτοῦ πρὸς Ἰωσήφ, ἔτι αὐτοῦ ὄντος ἐκεῖ· καὶ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν
15 γῆν. [15] εἶπε δὲ αὐτοῖς Ἰωσὴφ Τί τὸ πρᾶγμα τοῦτο ἐποιήσατε; οὐκ οἴδατε ὅτι
16 οἰωνισμῷ οἰωνιεῖται ὁ ἄνϑρωπος οἷος ἐγώ; [16] εἶπε δὲ Ἰούδας Τί ἀντεροῦμεν τῷ
κυρίῳ ἢ τί λαλήσομεν ἢ τί δικαιωϑῶμεν; ὁ ϑεὸς δὲ εὗρε τὴν ἀδικίαν τῶν παί-
δων σου· ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς καὶ παρ' ᾧ εὑρέϑη τὸ
17 κόνδυ. [17] εἶπε δὲ Ἰωσὴφ Μή μοι γένοιτο ποιῆσαι τὸ ῥῆμα τοῦτο· ὁ ἄνϑρωπος
παρ' ᾧ εὑρέϑη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς· ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτη-
18 ρίας πρὸς τὸν πατέρα ὑμῶν. [18] ἐγγίσας δὲ αὐτῷ Ἰούδας εἶπε Δέομαι, κύριε·

---

29. τα εντερα αυτου ... ταμιειον 31. τοις αιγυπτ. πας ποιμην προβατων 33. μεριδα ... προς αυτους ... βενιαμειν XLIV. 1. ιωσηφ pro ο ιωσηφ ... εμβαλατε ... του μαρσιππου αυτου 2. εμβαλατε 4. λεγων Αναστας ... καταλημψη ... μοι πονηρα 5. συντετελεσϑαι 7. ** ειπον ... ** ποιησαι το ρημ. τ. 8. ευραμεν 9. ευρεϑη 10. ο ανϑρωπος παρ ω ... αυτος εσται 11. ηνοιξεν 12. ηραυνα ... τω βενιαμειν 15. om ο ante ανϑρωπ. 16. λαλησωμεν ... ο δε ϑεος,

Digitized by Google

λαλησάτω ὁ παῖς σου ῥῆμα ἐναντίον σου, καὶ μὴ ϑυμωϑῇς τῷ παιδί σου, ὅτι
σὺ εἶ μετὰ Φαραώ. [19] κύριε, σὺ ἠρώτησας τοὺς παῖδάς σου λέγων Εἰ ἔχετε 19
πατέρα ἢ ἀδελφόν; [20] καὶ εἴπαμεν τῷ κυρίῳ Ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος, 20
καὶ παιδίον γήρους νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέϑανεν, αὐτὸς δὲ
μόνος ὑπελείφϑη τῇ μητρὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν. [21] εἶπας δὲ τοῖς 21
παισί σου Καταγάγετε αὐτὸν πρός μέ, καὶ ἐπιμελοῦμαι αὐτοῦ. [22] καὶ εἴπαμεν 22
τῷ κυρίῳ Οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν τὸν πατέρα αὐτοῦ· ἐὰν δὲ κατα-
λίπῃ τὸν πατέρα, ἀποϑανεῖται. [23] σὺ δὲ εἶπας τοῖς παισί σου Ἐὰν μὴ καταβῇ 23
ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεϑ' ὑμῶν, οὐ προςϑήσεσϑε ἰδεῖν τὸ πρόςωπόν μου.
[24] ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου πατέρα ἡμῶν, ἀπηγγείλαμεν 24
αὐτῷ τὰ ῥήματα τοῦ κυρίου ἡμῶν. [25] εἶπε δὲ ὁ πατὴρ ἡμῶν Βαδίσατε πάλιν 25
καὶ ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. [26] ἡμεῖς δὲ εἴπομεν Οὐ δυνησόμεϑα κα- 26
ταβῆναι· ἀλλ' εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος καταβαίνει μεϑ' ἡμῶν, κατα-
βησόμεϑα· οὐ γὰρ δυνησόμεϑα ἰδεῖν τὸ πρόςωπον τοῦ ἀνϑρώπου, τοῦ ἀδελφοῦ
ἡμῶν τοῦ νεωτέρου μὴ ὄντος μεϑ' ἡμῶν. [27] εἶπε δὲ ὁ παῖς σου πατὴρ ἡμῶν 27
πρὸς ἡμᾶς Ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή· [28] καὶ ἐξῆλϑεν ὁ εἷς ἀπ' 28
ἐμοῦ, καὶ εἴπατε ὅτι ϑηριόβρωτος γέγονεν, καὶ οὐκ ἴδον αὐτὸν ἄχρι νῦν· [29] ἐὰν 29
οὖν λάβητε καὶ τοῦτον ἐκ τοῦ προσώπου μου καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ
ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. [30] νῦν οὖν ἐὰν εἰςπο- 30
ρεύωμαι πρὸς τὸν παῖδά σου πατέρα δὲ ἡμῶν, καὶ τὸ παιδίον μὴ ᾖ μεϑ' ἡμῶν,
ἡ δὲ ψυχὴ αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυχῆς, [31] καὶ ἔσται ἐν τῷ ἰδεῖν 31
αὐτὸν μὴ ὂν τὸ παιδίον μεϑ' ἡμῶν, τελευτήσει, καὶ κατάξουσιν οἱ παῖδές σου
τὸ γῆρας τοῦ παιδός σου πατρὸς δὲ ἡμῶν μετὰ λύπης εἰς ᾅδου. [32] ὁ γὰρ παῖς 32
σου παρὰ τοῦ πατρὸς λέγων ἐκδέδεκται τὸ παιδίον Ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς
σὲ καὶ στήσω αὐτὸν ἐνώπιόν σου, ἡμαρτηκὼς ἔσομαι εἰς τὸν πατέρα πάσας τὰς
ἡμέρας. [33] νῦν οὖν παραμενῶ σοι παῖς ἀντὶ τοῦ παιδίου, οἰκέτης τοῦ κυρίου· 33
τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀδελφῶν αὐτοῦ. [34] πῶς γὰρ ἀναβήσομαι πρὸς 34
τὸν πατέρα, τοῦ παιδίου μὴ ὄντος μεϑ' ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακὰ ἃ εὑρήσει
τὸν πατέρα μου.

## XLV.

Καὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσϑαι πάντων τῶν παρεστηκότων αὐτῷ, ἀλλ'
εἶπεν Ἐξαποστείλατε πάντας ἀπ' ἐμοῦ· καὶ οὐ παρειστήκει οὐδεὶς τῷ Ἰωσὴφ
ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ. [2] καὶ ἀφῆκε φωνὴν μετὰ κλαυϑμοῦ· 2
ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραώ.
[3] εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγώ εἰμι Ἰωσήφ· ἔτι ὁ πατήρ μου 3
ζῇ; καὶ οὐκ ἠδύναντο οἱ ἀδελφοὶ ἀποκριϑῆναι αὐτῷ· ἐταράχϑησαν γάρ. [4] εἶπε 4
δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγγίσατε πρός μέ. καὶ ἤγγισαν, καὶ εἶπεν
Ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσϑε εἰς Αἴγυπτον. [5] νῦν οὖν μὴ 5
λυπεῖσϑε, μηδὲ σκληρὸν ὑμῖν φανήτω ὅτι ἀπέδοσϑέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέ-
στειλέ με ὁ ϑεὸς ἔμπροσϑεν ὑμῶν· [6] τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, 6
καὶ ἔτι λοιπὰ πέντε ἔτη ἐν οἷς οὐκ ἔστιν ἀροτρίασις οὐδὲ ἀμητός· [7] ἀπέστειλε 7

---

19. om σου 20. νεωτερον γηρως ... υπελ. τω πατρι αυτου 21. οτι καταγαγετε 22. τον πατερα· εαν δε καταλειπη 23. προςϑ. ετι ειδειν 24. πατερα δε ημων ... om ημων posterius 25. ειπ. δε ημιν ... om και 26. ειπαμεν ... om ημων ante του νεωτ. 27. ο πατηρ ημ. 28. om οτι ... ετι pro αχρι νυν 29. om του 30. εαν ειςπορευομαι ... το παιδαριον 31. το παιδαριον ... μετ οδυνης εις 32. σου εκδεδεκται το παιδιον παρα τ. πατρ. λεγων εαν μη ... εναντιον σου ... εσομ. προς τον 33. om αυτου XLV. 1. παριστηκει ουδ. ετι τω ... ανεγν. ιωσηφ τοις 3. ε. ειμ. ιωσ. (seqq. usque γαρ **) ο αδελφος υμων ον απεδοσϑε εις αιγυπτον· ετι ... εδυναντο 4. om ειπε δε ιωσηφ usque ηγγισαν 6. ουχ εσται

Digitized by Google

γάρ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς καὶ
8 ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην. 8 νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε
ἀλλὰ ὁ θεός, καὶ ἐποίησέ με ὡς πατέρα Φαραὼ καὶ κύριον παντὸς τοῦ οἴκου
9 αὐτοῦ καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου. 9 σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν
πατέρα μου καὶ εἴπατε αὐτῷ Τάδε λέγει ὁ υἱός σου Ἰωσήφ Ἐποίησέ με ὁ θεὸς
10 κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρὸς μέ, καὶ μὴ μείνῃς· 10 καὶ κα-
τοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας, καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου καὶ οἱ
11 υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ οἱ βόες σου καὶ ὅσα σοί ἐστι· 11 καὶ
ἐκθρέψω σε ἐκεῖ, ἔτι γὰρ πέντε ἔτη λιμός· ἵνα μὴ ἐκτριβῇς σὺ καὶ οἱ υἱοί σου
12 καὶ πάντα τὰ ὑπάρχοντά σου. 12 ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι καὶ οἱ ὀφθαλ-
13 μοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς. 13 ἀπαγ-
γείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ καὶ ὅσα ἴδετε,
14 καὶ ταχύναντες καταγάγετε τὸν πατέρα μου ὧδε. 14 καὶ ἐπιπεσὼν ἐπὶ τὸν τρά-
χηλον Βενιαμὶν τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ Βενιαμὶν ἔκλαυσεν
15 ἐπὶ τῷ τραχήλῳ αὐτοῦ. 15 καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἔκλαυ-
16 σεν ἐπ' αὐτοῖς, καὶ μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν. 16 καὶ
διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ λέγοντες Ἥκασιν οἱ ἀδελφοὶ Ἰωσήφ·
17 ἐχάρη δὲ Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ. 17 εἶπε δὲ Φαραὼ πρὸς Ἰωσήφ Εἰπὸν
τοῖς ἀδελφοῖς σου Τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν καὶ ἀπέλθετε εἰς
18 γῆν Χαναάν, 18 καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν καὶ τὰ ὑπάρχοντα ὑμῶν
ἥκετε πρὸς μέ· καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν
19 μυελὸν τῆς γῆς. 19 σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοῖς ἁμάξας ἐκ γῆς Αἰγύπτου
τοῖς παιδίοις ὑμῶν καὶ ταῖς γυναιξὶν ὑμῶν, καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν
20 παραγίνεσθε· 20 καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν, τὰ γὰρ
21 πάντα ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται. 21 ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ· ἔδωκε
δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰ εἰρημένα ὑπὸ Φαραὼ τοῦ βασιλέως, καὶ
22 ἔδωκεν αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν· 22 καὶ πᾶσιν ἔδωκε δισσὰς στολάς, τῷ
23 δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς καὶ πέντε ἐξαλλασσούσας στολάς· 23 καὶ
τῷ πατρὶ αὐτοῦ ἀπέστειλε κατὰ τὰ αὐτά, καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων
τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἰρούσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς
24 ὁδόν. 24 ἐξαπέστειλε δὲ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς
25 Μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ. 25 καὶ ἀνέβησαν ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χα-
26 ναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, 26 καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες ὅτι ὁ υἱός
σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη τῇ διανοίᾳ
27 Ἰακώβ, οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. 27 ἐλάλησαν δὲ αὐτῷ πάντα τὰ ῥηθέντα ὑπὸ
Ἰωσὴφ ὅσα εἶπεν αὐτοῖς· ἰδὼν δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ὥστε
28 ἀναλαβεῖν αὐτόν, ἀνεζωπύρησε τὸ πνεῦμα Ἰακὼβ τοῦ πατρὸς αὐτῶν. 28 εἶπε
δὲ Ἰσραὴλ Μέγα μοί ἐστιν εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου ζῇ· πορευθεὶς ὄψομαι αὐ-
τὸν πρὸ τοῦ ἀποθανεῖν με.

## XLVI.

Ἀπάρας δὲ Ἰσραήλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ
2 ὅρκου, καὶ ἔθυσε θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. 2 εἶπε δὲ ὁ θεὸς τῷ
Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτὸς εἰπών Ἰακὼβ Ἰακώβ. ὁ δὲ εἶπε Τί ἐστιν;

---

7. υπολειπ. υμων κατ. 8. αλλ η ο θεος 10. αι βοες ... εκει pro εστι 12. βενιαμειν 14. βενιαμειν τ. α. α. επεπεσεν ε. α. κ. βενιαμειν 17. τα πορια υμων κ. απελθατε 18. παραλαβοντες 19. γυναιξιν absque υμων ... παραγεινεσθε 20. υμων των σκευων· τα γαρ 22. και τω βενιαμειν ... αλλασσουσας (23. αιροντ. α. π. τ. αγ. αιγ. αιροντας) 26. και ουτος αρχει π. της γ. αιγ. κ. ε. η διανοια 27. ελαλησεν δε ... ανεζωπυρισεν 28. ο υιος μου ιωσηφ XLVI. 1. ηλθον ... κ. εθυσεν εκει θυσ. 2. ο θεος ισραηλ ... ειπας

[3] ὁ δὲ λέγει αὐτῷ Ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς 3
Αἴγυπτον, εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ· [4] καὶ ἐγὼ καταβήσομαι μετὰ 4
σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς
χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. [5] ἀνέστη δὲ Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ 5
ὅρκου, καὶ ἀνέλαβον οἱ υἱοὶ Ἰσραὴλ τὸν πατέρα αὐτῶν καὶ τὴν ἀποσκευὴν καὶ
τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας ἃς ἀπέστειλεν Ἰωσὴφ ἆραι αὐτόν· [6] καὶ 6
ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν καὶ πᾶσαν τὴν κτῆσιν ἣν ἐκτήσαντο ἐν γῇ
Χαναὰν εἰςῆλθον εἰς Αἴγυπτον, Ἰακὼβ καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ᾽ αὐτοῦ,
[7] υἱοὶ καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ, θυγατέρες καὶ θυγατέρες τῶν θυγα- 7
τέρων αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον. [8] ταῦτα δὲ τὰ 8
ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰςελθόντων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ
αὐτῶν. Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ· πρωτότοκος Ἰακὼβ Ῥουβήν. [9] υἱοὶ δὲ Ῥου- 9
βήν· Ἐνὼχ καὶ Φαλλός, Ἀσρὼν καὶ Χαρμί. [10] υἱοὶ δὲ Συμεών· Ἰεμουὴλ καὶ 10
Ἰαμεὶν καὶ Ἀὼδ καὶ Ἀχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ υἱὸς τῆς Χαναντίδος. [11] υἱοὶ 11
δὲ Λευί· Γηρσών, Καὰθ καὶ Μεραρί. [12] υἱοὶ δὲ Ἰούδα· Ἢρ καὶ Αὐνὰν καὶ Ση- 12
λὼμ καὶ Φαρὲς καὶ Ζαρά· ἀπέθανε δὲ Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν· ἐγένοντο
δὲ υἱοὶ Φαρὲς Ἐσρὼν καὶ Ἰεμουήλ. [13] υἱοὶ δὲ Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ 13
Ἀσοὺμ καὶ Σαμβράν. [14] υἱοὶ δὲ Ζαβουλών· Σερὲδ καὶ Ἀλλὼν καὶ Ἀχοήλ. 14
[15] οὗτοι υἱοὶ Λείας, οὓς ἔτεκε τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας, καὶ Δεί- 15
ναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ καὶ θυγατέρες, τριάκοντα τρεῖς.
[16] υἱοὶ δὲ Γάδ· Σαφὼν καὶ Ἀγγὶς καὶ Σαννὶς καὶ Θασοβὰν καὶ Ἀηδεὶς καὶ 16
Ἀροηδεὶς καὶ Ἀρεηλείς. [17] υἱοὶ δὲ Ἀσήρ· Ἰεμνά, Ἰεσσουὰ καὶ Ἰεοὺλ καὶ Βα- 17
ριὰ καὶ Σάρα ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαριά· Χοβὸρ καὶ Μελχιήλ. [18] οὗτοι υἱοὶ 18
Ζελφᾶς, ἣν ἔδωκε Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακώβ,
δεκαὲξ ψυχάς. [19] υἱοὶ δὲ Ῥαχὴλ γυναικὸς Ἰακώβ· Ἰωσὴφ καὶ Βενιαμίν. [20] ἐγέ- 19 20
νοντο δὲ υἱοὶ Ἰωσὴφ ἐν γῇ Αἰγύπτου, οὓς ἔτεκεν αὐτῷ Ἀσενὲθ θυγάτηρ Πετε-
φρῆ ἱερέως Ἡλιουπόλεως, τὸν Μανασσῆ καὶ τὸν Ἐφραΐμ. ἐγένοντο δὲ υἱοὶ Μα-
νασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχίρ· Μαχὶρ δὲ ἐγέννησε
τὸν Γαλαάδ. υἱοὶ δὲ Ἐφραῒμ ἀδελφοῦ Μανασσῆ· Σουταλαὰμ καὶ Ταάμ, υἱοὶ
δὲ Σουταλαάμ· Ἐδώμ. [21] υἱοὶ δὲ Βενιαμίν· Βαλὰ καὶ Βοχὸρ καὶ Ἀσβήλ. ἐγέ- 21
νοντο δὲ υἱοὶ Βαλὰ Γηρὰ καὶ Νοεμὰν καὶ Ἀγχὶς καὶ Ῥὼς καὶ Μαμφίμ· Γηρὰ
δὲ ἐγέννησε τὸν Ἀράδ. [22] οὗτοι υἱοὶ Ῥαχὴλ οὓς ἔτεκε τῷ Ἰακώβ· πᾶσαι αἱ ψυ- 22
χαὶ δεκαοκτώ. [23] υἱοὶ δὲ Δάν· Ἀσόμ. [24] καὶ υἱοὶ Νεφθαλί· Ἀσιὴλ καὶ Γωνὶ 23 24
καὶ Ἰσσάαρ καὶ Σολλήμ. [25] οὗτοι υἱοὶ Βαλλᾶς, ἣν ἔδωκε Λάβαν Ῥαχὴλ τῇ θυ- 25
γατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ ἑπτά. [26] πᾶσαι δὲ 26
ψυχαὶ αἱ εἰςελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν
αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ἰακώβ, πᾶσαι αἱ ψυχαὶ ἑξηκονταέξ. [27] υἱοὶ δὲ 27
Ἰωσὴφ οἱ γενόμενοι αὐτῷ ἐν γῇ Αἰγύπτῳ ψυχαὶ ἐννέα. πᾶσαι ψυχαὶ οἴκου Ἰα-
κὼβ αἱ εἰςελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον ψυχαὶ ἑβδομηκονταπέντε. [28] τὸν 28

---

3. λεγων pro ο δε λεγ. αυτ. 4. τας χειρ. σου 6. εκ γης χαναακ και εισηλθεν ιακωβ εις αιγ. και 7. υι. κ. οι υιοι ... υιων pro θυγατερων ... αυτου μετ αυτου· και παν 8. om αμα ιακ. τ. π. αυτ. 9. φαλλουδ 10. και ιαχειμ ... και σαμουηλ υιος 11. μεραρει 12. ασρων 13. και ιασουφ και ζαμβραμ 14. σερ. κ. ασρων κ. αλοηλ 15. και αι θυγατ. 16. αγγεις κ. σαυνις ... αηδις κ. αροηδις κ. αροηλεις 17. ιεμνα και ιεσσαι ... σααρ pro σαρα ... χοβωρ κ. μελχιηλ 19. βενιαμειν 20. ε. γ. αιγυπτω ... ασεννεθ ... πετρεφη ... ιλιουπολεως ... μαννασση ter ... εφραιμ (ita semper, non εφραϊμ) ... μαχειρ bis ... εδεμ 21. βενιαμειν ... χοβωρ pro βοχορ ... αγχεις ... μαμφειν και οφιμιν· γηρα 22. ους εγεννησεν ιακωβ ... om αι 23. δε δαιδαν 24. γωυνι pro γωνι ... συλλημ 25. om αι 26. om αι ante ψυχαι 27. om μετα ιακωβ ... om ψυχαι extremum

Digitized by Google

δὲ Ἰούδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ἰωσὴφ συναντῆσαι αὐτῷ καθ'
29 Ἡρώων πόλιν εἰς γῆν Ῥαμεσσῆ. [29] ζεύξας δὲ Ἰωσὴφ τὰ ἅρματα αὐτοῦ ἀνέβη εἰς
συνάντησιν Ἰσραὴλ τῷ πατρὶ αὐτοῦ καθ' Ἡρώων πόλιν· καὶ ὀφθεὶς αὐτῷ ἐπέ-
30 πεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πίονι. [30] καὶ εἶπεν Ἰσραὴλ
πρὸς Ἰωσήφ Ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου· ἔτι
31 γὰρ σὺ ζῇς. [31] εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἀναβὰς ἀπαγγελῶ
τῷ Φαραῷ καὶ ἐρῶ αὐτῷ Οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου, οἳ ἦσαν
32 ἐν γῇ Χαναάν, ἥκασι πρὸς μέ· [32] οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες γὰρ κτη-
νοτρόφοι ἦσαν· καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ αὐτῶν ἀγηόχασιν.
33 34 [33] ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραὼ καὶ εἴπῃ ὑμῖν Τί τὸ ἔργον ὑμῶν ἐστίν; [34] ἐρεῖτε
Ἄνδρες κτηνοτρόφοι ἐσμὲν οἱ παῖδές σου ἐκ παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς καὶ
οἱ πατέρες ἡμῶν· ἵνα κατοικήσητε ἐν γῇ Γεσὲμ Ἀραβίας. βδέλυγμα γάρ ἐστιν
Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων.

## XLVII.

Ἐλθὼν δὲ Ἰωσὴφ ἀπήγγειλε τῷ Φαραῷ λέγων Ὁ πατήρ μου καὶ οἱ ἀδελ-
φοί μου καὶ τὰ κτήνη καὶ οἱ βόες αὐτῶν καὶ πάντα τὰ αὐτῶν ἦλθον ἐκ γῆς Χα-
2 ναάν, καὶ ἰδού εἰσιν ἐν γῇ Γεσέμ. [2] ἀπὸ δὲ τῶν ἀδελφῶν αὐτοῦ παρέλαβε πέντε
3 ἄνδρας καὶ ἔστησεν αὐτοὺς ἐναντίον Φαραώ. [3] καὶ εἶπε Φαραὼ τοῖς ἀδελφοῖς
Ἰωσήφ Τί τὸ ἔργον ὑμῶν; οἱ δὲ εἶπαν τῷ Φαραῷ Ποιμένες προβάτων οἱ παῖδές
4 σου, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν. [4] εἶπαν δὲ τῷ Φαραῷ Παροικεῖν ἐν τῇ γῇ
ἥκαμεν· οὐ γάρ ἐστι νομὴ τοῖς κτήνεσι τῶν παίδων σου, ἐνίσχυσε γὰρ ὁ λιμὸς
5 ἐν γῇ Χαναάν· νῦν οὖν κατοικήσομεν ἐν γῇ Γεσέμ. [5] εἶπε δὲ Φαραὼ τῷ Ἰω-
σήφ Κατοικείτωσαν ἐν γῇ Γεσέμ· εἰ δὲ ἐπίστῃ ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνα-
τοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. ἦλθον δὲ εἰς Αἴγυπτον
πρὸς Ἰωσὴφ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ· καὶ ἤκουσε Φαραὼ βασιλεὺς Αἰγύπτου.
καὶ εἶπε Φαραὼ πρὸς Ἰωσὴφ λέγων Ὁ πατήρ σου καὶ οἱ ἀδελφοί σου ἥκασι
6 πρὸς σέ· [6] ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σού ἐστιν, ἐν τῇ βελτίστῃ γῇ κατοίκι-
7 σον τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου. [7] εἰσήγαγε δὲ Ἰωσὴφ Ἰακὼβ τὸν
πατέρα αὐτοῦ καὶ ἔστησεν αὐτὸν ἐναντίον Φαραώ· καὶ ηὐλόγησεν Ἰακὼβ τὸν
8 9 Φαραώ. [8] εἶπε δὲ Φαραὼ τῷ Ἰακώβ Πόσα ἔτη ἡμερῶν τῆς ζωῆς σου; [9] καὶ
εἶπεν Ἰακὼβ τῷ Φαραῷ Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ ἑκατὸν Hr. 11,
τριάκοντα ἔτη· μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς 13.
μου, οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου, ἃς
10 ἡμέρας παρῴκησαν. [10] καὶ εὐλογήσας Ἰακὼβ τὸν Φαραὼ ἐξῆλθεν ἀπ' αὐτοῦ.
11 [11] καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔδω-
κεν αὐτοῖς κατάσχεσιν ἐν γῇ Αἰγύπτῳ ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ῥαμεσσῆ,
12 καθὰ προσέταξε Φαραώ. [12] καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς
13 ἀδελφοῖς καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα. [13] σῖτος δὲ
οὐκ ἦν ἐν πάσῃ τῇ γῇ, ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα· ἐξέλιπε δὲ ἡ γῆ Αἰγύ-
14 πτου καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ. [14] συνήγαγε δὲ Ἰωσὴφ πᾶν τὸ ἀργύριον
τὸ εὑρεθὲν ἐν γῇ Αἰγύπτου καὶ ἐν γῇ Χαναὰν τοῦ σίτου οὗ ἠγόραζον, καὶ ἐσιτο-
μέτρει αὐτοῖς· καὶ εἰσήνεγκεν Ἰωσὴφ πᾶν τὸ ἀργύριον εἰς τὸν οἶκον Φαραώ.
15 [15] καὶ ἐξέλιπε πᾶν τὸ ἀργύριον ἐκ γῆς Αἰγύπτου καὶ ἐκ γῆς Χαναάν· ἦλθον δὲ
πάντες οἱ Αἰγύπτιοι πρὸς Ἰωσὴφ λέγοντες Δὸς ἡμῖν ἄρτους, καὶ ἵνα τί ἀποθνή-
16 σκομεν ἐναντίον σου; ἐκλέλοιπε γὰρ τὸ ἀργύριον ἡμῶν. [16] εἶπε δὲ αὐτοῖς Ἰωσήφ

---

28. εμπροσθ. αυτων 29. κλαυθμ. πλιονι 33. om εστιν 34. κτην. οι παιδ. σ. εσμεν ... αραβια ... τοις αιγυπτιοις XLVII. 1. δε φαραω απηγγ. ιωσηφ 3. πατ. ημ. εκ παιδιοθεν εως του νυν 4. κατοικησωμεν οι παιδες σου εν 6. κατοικησον 7. ευλογησεν 8. om της 9. αφεικετο 11. κατωκησεν ιωσ. τ. πατερα και 12. τω πατρι και τοις αδ. αυτου 13. εξελειπεν 14. εν γη αιγυπτω 15. εξελειπεν ... om παν

Digitized by Google

Φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν ὑμῶν, εἰ ἐκ-
λέλοιπε τὸ ἀργύριον ὑμῶν. [17] ἤγαγον δὲ τὰ κτήνη αὐτῶν πρὸς Ἰωσήφ, καὶ ἔδω- 17
κεν αὐτοῖς Ἰωσὴφ ἄρτους ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν προβάτων καὶ ἀντὶ τῶν
βοῶν καὶ ἀντὶ τῶν ὄνων· καὶ ἐξέθρεψεν αὐτοὺς ἐν ἄρτοις ἀντὶ πάντων τῶν κτη-
νῶν αὐτῶν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. [18] ἐξῆλθε δὲ τὸ ἔτος ἐκεῖνο, καὶ ἦλθον πρὸς 18
αὐτὸν ἐν τῷ ἔτει τῷ δευτέρῳ καὶ εἶπαν αὐτῷ Μή ποτε ἐκτριβῶμεν ἀπὸ τοῦ κυ-
ρίου ἡμῶν; εἰ γὰρ ἐκλέλοιπε τὸ ἀργύριον ἡμῶν καὶ τὰ ὑπάρχοντα καὶ τὰ κτήνη
πρὸς σὲ τὸν κύριον, καὶ οὐχ ὑπολέλειπται ἡμῖν ἐναντίον τοῦ κυρίου ἡμῶν ἀλλ᾽ ἢ
τὸ ἴδιον σῶμα καὶ ἡ γῆ ἡμῶν. [19] ἵνα οὖν μὴ ἀποθάνωμεν ἐναντίον σου καὶ ἡ γῆ 19
ἐρημωθῇ, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ ἄρτων, καὶ ἐσόμεθα ἡμεῖς καὶ
ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραῷ· δὸς σπέρμα ἵνα σπείρωμεν, καὶ ζῶμεν καὶ μὴ
ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται. [20] καὶ ἐκτήσατο Ἰωσὴφ πᾶσαν τὴν 20
γῆν τῶν Αἰγυπτίων τῷ Φαραῷ· ἀπέδοντο γὰρ οἱ Αἰγύπτιοι τὴν γῆν αὐτῶν τῷ
Φαραῷ, ἐπεκράτησε γὰρ αὐτῶν ὁ λιμός, καὶ ἐγένετο ἡ γῆ τῷ Φαραῷ· [21] καὶ 21
τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας, ἀπ᾽ ἄκρων ὁρίων Αἰγύπτου ἕως τῶν
ἄκρων, [22] χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον. οὐκ ἐκτήσατο ταύτην Ἰωσήφ· ἐν 22
δόσει γὰρ ἔδωκε δόμα τοῖς ἱερεῦσι Φαραώ, καὶ ἤσθιον τὴν δόσιν ἣν ἔδωκεν
αὐτοῖς Φαραώ· διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν. [23] εἶπε δὲ Ἰωσὴφ πᾶσι 23
τοῖς Αἰγυπτίοις Ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ Φαραῷ,
λάβετε ἑαυτοῖς σπέρμα καὶ σπείρατε τὴν γῆν· [24] καὶ ἔσται τὰ γεννήματα αὐτῆς, 24
καὶ δώσετε τὸ πέμπτον μέρος τῷ Φαραῷ· τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐ-
τοῖς εἰς σπέρμα τῇ γῇ καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς ἐν τοῖς οἴκοις ὑμῶν.
[25] καὶ εἶπαν Σέσωκας ἡμᾶς, εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν, καὶ ἐσό- 25
μεθα παῖδες τῷ Φαραῷ. [26] καὶ ἔθετο αὐτοῖς Ἰωσὴφ εἰς πρόσταγμα ἕως τῆς 26
ἡμέρας ταύτης ἐπὶ γῆς Αἰγύπτου τῷ Φαραῷ ἀποπεμπτοῦν, χωρὶς τῆς γῆς τῶν
ἱερέων μόνον· οὐκ ἦν τῷ Φαραῷ. [27] κατῴκησε δὲ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ ἐπὶ 27
γῆς Γεσέμ· καὶ ἐκληρονόμησαν ἐπ᾽ αὐτῆς, καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν
σφόδρα. [28] ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δεκαεπτὰ ἔτη· καὶ ἐγένοντο αἱ 28
ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ ἑκατὸν τεσσαρακονταεπτὰ ἔτη. [29] ἤγγι- 29
σαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ
καὶ εἶπεν αὐτῷ Εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν
μηρόν μου, καὶ ποιήσεις ἐπ᾽ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν τοῦ μή με θάψαι ἐν
Αἰγύπτῳ· [30] ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύ- 30
πτου καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν Ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά
He. 11, 21. σου. [31] εἶπε δέ Ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ· καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ 31
τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

## XLVIII.

Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀπηγγέλη τῷ Ἰωσὴφ ὅτι ὁ πατήρ
σου ἐνοχλεῖται· καὶ ἀναλαβὼν τοὺς δύο υἱοὺς αὐτοῦ, τὸν Μανασσῆ καὶ τὸν
Ἐφραΐμ, ἦλθε πρὸς Ἰακώβ. [2] ἀπηγγέλη δὲ τῷ Ἰακὼβ λέγοντες Ἰδοὺ ὁ υἱός 2
σου Ἰωσὴφ ἔρχεται πρὸς σέ· καὶ ἐνισχύσας Ἰσραὴλ ἐκάθισεν ἐπὶ τὴν κλίνην.
[3] καὶ εἶπεν Ἰακὼβ τῷ Ἰωσὴφ Ὁ θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χαναάν, 3
καὶ εὐλόγησέ με [4] καὶ εἶπέ μοι Ἰδοὺ ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ σε καὶ ποιήσω 4

17. τα κτηνη προς 18. το αργυριον και ... ουχ υπολειπεται εναντιον 19. ερημωθησεται ... παιδες φαραω ... σπερματα ... ζησωμεν ... * om ουκ 20. γαρ ο λιμ. αυτων 21. αυτων pro αυτω 22. om ταυτην ... δοματα 23. σπερματα 24. τ. γενηματα αυτης δωσετε ... μερος φαραω ... τεσσερα ... εις σπερματα 25. ευραμεν 26. αποπεμπτ. τω φαραω ... μονων 27. om γη ... εκληρονομηθησαν ... ευξηθησαν 28. τεσσερακοντα 29. μη θαψαι με XLVIII. 1. ανηγγελη ... αυτου μετ αυτου ... μαννασση 3. εν γη χαν. εν λουζα ... ηυλογησεν

Digitized by Google

σε εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου
5 μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον. 5 νῦν οὖν οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν
γῇ Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον ἐμοί εἰσιν, Ἐφραῒμ καὶ
6 Μανασσῆ, ὡς Ῥουβὴν καὶ Συμεὼν ἔσονταί μοι· 6 τὰ δὲ ἔκγονα ἃ ἐὰν γεννήσῃς
μετὰ ταῦτα ἔσονται ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν, κληθήσονται ἐπὶ τοῖς
7 ἐκείνων κλήροις. 7 ἐγὼ δὲ ἡνίκα ἠρχόμην ἐκ Μεσοποταμίας τῆς Συρίας, ἀπέ-
θανε Ῥαχὴλ ἡ μήτηρ σου ἐν γῇ Χαναάν, ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον
Χαβραθὰ τῆς γῆς τοῦ ἐλθεῖν Ἐφραθά· καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ
8 ἱπποδρόμου, αὕτη ἐστὶ Βηθλεέμ. 8 ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ εἶπε
9 Τίνες σοι οὗτοι; 9 εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ Υἱοί μού εἰσιν οὓς ἔδωκέ μοι *Hebr. 11,
ὁ θεὸς ἐνταῦθα. καὶ εἶπεν Ἰακὼβ Προσάγαγέ μοι αὐτοὺς ἵνα εὐλογήσω αὐτούς. 21.
10 10 οἱ ὀφθαλμοὶ δὲ Ἰσραὴλ ἐβαρυώπησαν ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύνατο βλέ-
πειν· καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν, καὶ ἐφίλησεν αὐτοὺς καὶ περιέλαβεν αὐ-
11 τούς. 11 καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ Ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην,
12 καὶ ἰδοὺ ἔδειξέ μοι ὁ θεὸς καὶ τὸ σπέρμα σου. 12 καὶ ἐξήγαγεν αὐτοὺς Ἰωσὴφ
ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς.
13 13 λαβὼν δὲ Ἰωσὴφ τοὺς δύο υἱοὺς αὐτοῦ, τόν τε Ἐφραῒμ ἐν τῇ δεξιᾷ, ἐξ ἀρι-
στερῶν δὲ Ἰσραήλ, τὸν δὲ Μανασσῆ ἐξ ἀριστερῶν, ἐκ δεξιῶν δὲ Ἰσραήλ, ἤγγι-
14 σεν αὐτοὺς αὐτῷ. 14 ἐκτείνας δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν δεξιὰν ἐπέβαλεν ἐπὶ τὴν
κεφαλὴν Ἐφραΐμ, οὗτος δὲ ἦν ὁ νεώτερος, καὶ τὴν ἀριστερὰν ἐπὶ τὴν κεφαλὴν
15 Μανασσῆ, ἐναλλὰξ τὰς χεῖρας. 15 καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν Ὁ θεὸς ᾧ
εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ θεὸς ὁ τρέ-
16 φων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, 16 ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ
πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα· καὶ ἐπικληθήσεται ἐν αὐτοῖς
τὸ ὄνομά μου καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ πληθυν-
17 θείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς. 17 ἰδὼν δὲ Ἰωσὴφ ὅτι ἐπέβαλεν ὁ πατὴρ
αὐτοῦ τὴν χεῖρα τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν κεφαλὴν Ἐφραΐμ, βαρὺ αὐτῷ κατε-
φάνη· καὶ ἀντελάβετο Ἰωσὴφ τῆς χειρὸς τοῦ πατρὸς αὐτοῦ ἀφελεῖν αὐτὴν ἀπὸ
8 τῆς κεφαλῆς Ἐφραΐμ ἐπὶ τὴν κεφαλὴν Μανασσῆ. 18 εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ
αὐτοῦ Οὐχ οὕτως, πάτερ· οὗτος γὰρ ὁ πρωτότοκος, ἐπίθες τὴν δεξιάν σου ἐπὶ
19 τὴν κεφαλὴν αὐτοῦ. 19 καὶ οὐκ ἠθέλησεν, ἀλλ᾽ εἶπεν Οἶδα, τέκνον, οἶδα· καὶ
οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ᾽ ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος
20 μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν. 20 καὶ εὐλό-
γησεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων Ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγον-
τες Ποιήσαι σε ὁ θεὸς ὡς Ἐφραῒμ καὶ ὡς Μανασσῆ· καὶ ἔθηκε τὸν Ἐφραῒμ
21 ἔμπροσθεν τοῦ Μανασσῆ. 21 εἶπε δὲ Ἰσραὴλ τῷ Ἰωσὴφ Ἰδοὺ ἐγὼ ἀποθνήσκω,
καὶ ἔσται ὁ θεὸς μεθ᾽ ὑμῶν καὶ ἀποστρέψει ὑμᾶς εἰς τὴν γῆν τῶν πατέρων
22 ὑμῶν· 22 ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλα-
βον ἐκ χειρὸς Ἀμοῤῥαίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ.

## IL.

Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς Συνάχθητε, ἵνα
2 ἀναγγείλω ὑμῖν τί ἀπαντήσει ὑμῖν ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν· 2 συνάχθητε καὶ
ἀκούσατέ μου, υἱοὶ Ἰακώβ· ἀκούσατε Ἰσραήλ, ἀκούσατε τοῦ πατρὸς ὑμῶν.
3 3 Ῥουβὴν πρωτότοκός μου, σὺ ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρε-

---

5. μαννασση ... και ως συμεων 6. α αν γ. μ. τ. σοι εσονται ... κληθ. εν τοις 10. δε αυτου εβαρυωπ. ... ουχ εδυναντο (sed omnia inde a και ουχ εδυν. usque απο των γον. v. 12. **) ... και εγγεισεν δε αυτ. 13. μαννασση εν τη αριστερα 14. μαννασση 15. ηυλογησεν 17. μαννασση 19. αλλα ο αδελφ. 20. ηυλογησεν ... μαννασση bis 21. υμας εκ της γης ταυτης εις 22. εν μαχαιρη IL. 1. om αυτοις 2. αθροισθητε και ακουσατε, υιοι ιακωβ· ακουσ. ισρ. του πατρ. υμ.

Digitized by Google

σθαι καὶ σκληρὸς αὐθάδης. [4] ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ 4
τὴν κοίτην τοῦ πατρός σου, τότε ἐμίανας τὴν στρωμνὴν οὗ ἀνέβης. [5] Συμεὼν 5
καὶ Λευὶ ἀδελφοὶ συνετέλεσαν ἀδικίαν ἐξαιρέσεως αὐτῶν· [6] εἰς βουλὴν αὐτῶν 6
μὴ ἔλθοι ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρίσαι τὰ ἥπατά μου· ὅτι
ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκό-
πησαν ταῦρον. [7] ἐπικατάρατος ὁ θυμὸς αὐτῶν ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν 7
ὅτι ἐσκληρύνθη· διαμεριῶ αὐτοὺς ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.
[8] Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν 8
*Ap.5,5. σου, προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. [9] σκύμνος λέοντος Ἰούδα· ἐκ 9
βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς
ἐγερεῖ αὐτόν; [10] οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐ- 10
τοῦ ἕως ἐὰν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν· [11] δε- 11
σμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ,
πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ·
[12] χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὑπὲρ οἶνον, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. 12
[13] Ζαβουλὼν παράλιος κατοικήσει καὶ αὐτὸς παρ' ὅρμον πλοίων, καὶ παρατενεῖ 13
ἕως Σιδῶνος. [14] Ἰσσάχαρ τὸ καλὸν ἐπεθύμησεν, ἀναπαυόμενος ἀνὰ μέσον τῶν 14
κλήρων· [15] καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλή, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε 15
τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν, καὶ ἐγενήθη ἀνὴρ γεωργός. [16] Δὰν κρινεῖ τὸν λαὸν 16
αὐτοῦ, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ. [17] καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκα- 17
θήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω,
[18] τὴν σωτηρίαν περιμένων κυρίου. [19] Γάδ, πειρατήριον πειρατεύσει αὐτόν· 18 19
αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας. [20] Ἀσήρ, πίων αὐτοῦ ὁ ἄρτος· καὶ 20
αὐτὸς δώσει τρυφὴν ἄρχουσι. [21] Νεφθαλὶ στέλεχος ἀνειμένον, ἐπιδιδοὺς ἐν τῷ 21
γεννήματι κάλλος. [22] υἱὸς ηὐξημένος Ἰωσήφ, υἱὸς ηὐξημένος μου ζηλωτός, υἱός 22
μου νεώτατος, πρὸς μὲ ἀνάστρεψον. [23] εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν, καὶ 23
ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων· [24] καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν, 24
καὶ ἐξελύθη τὰ νεῦρα βραχιόνων χειρὸς αὐτῶν διὰ χεῖρα δυνάστου Ἰακώβ· ἐκεῖ-
θεν ὁ κατισχύσας Ἰσραὴλ παρὰ θεοῦ τοῦ πατρός σου. [25] καὶ ἐβοήθησέ σοι ὁ θεὸς 25
ὁ ἐμός, καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν καὶ εὐλογίαν γῆς ἐχούσης
πάντα, εἵνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, [26] εὐλογίας πατρός σου καὶ μη- 26
τρός σου· ὑπερίσχυσεν ὑπὲρ εὐλογίας ὀρέων μονίμων καὶ ἐπ' εὐλογίαις θινῶν
ἀενάων· ἔσονται ἐπὶ κεφαλὴν Ἰωσὴφ καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν.
[27] Βενιαμὶν λύκος ἅρπαξ, τὸ πρωινὸν ἔδεται ἔτι καὶ εἰς τὸ ἑσπέρας δίδωσι τρο- 27
φήν. [28] πάντες οὗτοι υἱοὶ Ἰακὼβ δώδεκα, καὶ ταῦτα ἐλάλησεν αὐτοῖς ὁ πατὴρ 28
αὐτῶν καὶ εὐλόγησεν αὐτούς· ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ εὐλόγησεν αὐ-
τούς. [29] καὶ εἶπεν αὐτοῖς Ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν· θάψετέ με 29
μετὰ τῶν πατέρων μου ἐν τῷ σπηλαίῳ ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετ-
ταίου, [30] ἐν τῷ σπηλαίῳ τῷ διπλῷ τῷ ἀπέναντι Μαμβρῆ ἐν γῇ Χαναάν, ὃ 30
ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον παρὰ Ἐφρὼν τοῦ Χετταίου ἐν κτήσει μνημείου.
[31] ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· ἐκεῖ ἔθαψαν Ἰσαὰκ 31
καὶ Ῥεβέκκαν τὴν γυναῖκα αὐτοῦ· ἐκεῖ ἔθαψαν Λείαν, [32] ἐν κτήσει τοῦ ἀγροῦ 32
καὶ τοῦ σπηλαίου τοῦ ὄντος ἐν αὐτῷ παρὰ τῶν υἱῶν Χέτ. [33] καὶ κατέπαυσεν 33

---

7. διασκορπιω pro διασπερω 8. προςκυν. σε 10. εως αν 12. απο οινου 14. εμμεσω 17. και εγενηθη τω δαν οφ. επ οδ. 19. πειρ. αυτων κατα 20. διαδωσει τροφην 21. νεφθαλειμ 22. om μου prius 24. χειρων αυτων ... κατισχ. σε ιακωβ παρα του θεου του 25. ευλ. της γης ... ενεκεν ... μαστων μητρας 26. υπερισχ. επ ευλογιαις μονιμων ... επι κεφαλης 27. βενιαμειν ... διαδωσει τροφην 28. παντ. οι υιοι ιακωβ ... αυτοις ελαλησεν ... ηυλογησεν his 29. (εγω προστιθεμεν) ... θαψατε ... εστιν εφρων εν τω αγρ. του χ. 30. εν τη γη 31. αυτου· και εκει εθ. ισαακ ... και εκει εθ. λ.

Digitized by Google

Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην
ἐξέλιπε· καὶ προςετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

## L.

Καὶ ἐπιπεσὼν Ἰωσὴφ ἐπὶ πρόςωπον τοῦ πατρὸς αὐτοῦ ἔκλαυσεν αὐτὸν καὶ
2 ἐφίλησεν αὐτόν. [2] καὶ προςέταξεν Ἰωσὴφ τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς
ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ· καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ἰσραήλ.
3 [3] καὶ ἐπλήρωσαν αὐτοῦ τεσσαράκοντα ἡμέρας· οὕτω γὰρ καταριθμοῦνται αἱ
4 ἡμέραι τῆς ταφῆς· καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας. [4] ἐπεὶ
δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ἰωσὴφ πρὸς τοὺς δυναστὰς
Φαραὼ λέγων Εἰ εὗρον χάριν ἐναντίον ὑμῶν, λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα
5 Φαραὼ λέγοντες [5] Ὁ πατήρ μου ὥρκισέ με λέγων Ἐν τῷ μνημείῳ ᾧ ὤρυξα
ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις. νῦν οὖν ἀναβὰς θάψω τὸν πατέρα μου,
6 καὶ ἐπανελεύσομαι. [6] καὶ εἶπε Φαραὼ τῷ Ἰωσὴφ Ἀνάβηθι θάψον τὸν πατέρα
7 σου καθάπερ ὥρκισέ σε. [7] καὶ ἀνέβη Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ· καὶ
συνανέβησαν μετ' αὐτοῦ πάντες οἱ παῖδες Φαραὼ καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου
8 αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι τῆς γῆς Αἰγύπτου, [8] καὶ πᾶσα ἡ πανοικία
Ἰωσὴφ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ καὶ ἡ συγγέ-
9 νεια αὐτοῦ· καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑπελίποντο ἐν γῇ Γεσέμ. [9] καὶ συν-
ανέβησαν μετ' αὐτοῦ καὶ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη
10 σφόδρα. [10] καὶ παρεγένοντο εἰς ἅλωνα Ἀτάδ, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου, καὶ
ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα· καὶ ἐποίησε τὸ πένθος τῷ
11 πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας. [11] καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς Χαναὰν τὸ πένθος
ἐπὶ ἅλωνι Ἀτὰδ καὶ εἶπαν Πένθος μέγα τοῦτό ἐστι τοῖς Αἰγυπτίοις· διὰ τοῦτο
12 ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου. [12] καὶ
13 ἐποίησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ. [13] καὶ ἀνέλαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν
Χαναάν, καὶ ἔθαψαν αὐτὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτήσατο Ἀβραὰμ
τὸ σπήλαιον ἐν κτήσει μνημείου παρὰ Ἐφρὼν τοῦ Χετταίου, κατέναντι Μαμβρῆ.
14 [14] καὶ ὑπέστρεψεν Ἰωσὴφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συν-
15 αναβάντες θάψαι τὸν πατέρα αὐτοῦ. [15] ἰδόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ ὅτι τέθνη-
κεν ὁ πατὴρ αὐτῶν εἶπαν Μή ποτε μνησικακήσῃ ἡμῖν Ἰωσήφ, καὶ ἀνταπόδομα
16 ἀνταποδῷ ἡμῖν πάντα τὰ κακὰ ἃ ἐνεδειξάμεθα εἰς αὐτόν. [16] καὶ παραγενόμενοι
17 πρὸς Ἰωσὴφ εἶπαν Ὁ πατήρ σου ὥρκισε πρὸ τοῦ τελευτῆσαι αὐτὸν λέγων [17] Οὕ-
τως εἴπατε Ἰωσὴφ Ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν, ὅτι πο-
νηρά σοι ἐνεδείξαντο· καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ θεοῦ τοῦ
18 πατρός σου. καὶ ἔκλαυσεν Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν. [18] καὶ ἐλθόντες
19 πρὸς αὐτὸν εἶπαν Οἴδε ἡμεῖς σοὶ οἰκέται. [19] καὶ εἶπεν αὐτοῖς Ἰωσὴφ Μὴ φοβεῖ-
20 σθε, τοῦ γὰρ θεοῦ εἰμι ἐγώ· [20] ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ εἰς πονηρά, ὁ
δὲ θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθά, ὅπως ἂν γενηθῇ ὡς σήμερον καὶ
21 τραφῇ λαὸς πολύς. [21] καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε· ἐγὼ διαθρέψω ὑμᾶς καὶ
τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν.
22 [22] καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα
23 ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ· καὶ ἔζησεν Ἰωσὴφ ἔτη ἑκατὸν δέκα. [23] καὶ εἶδεν
Ἰωσὴφ Ἐφραῒμ παιδία ἕως τρίτης γενεᾶς· καὶ οἱ υἱοὶ Μαχὶρ τοῦ υἱοῦ Μανασσῆ

---

33. εξαρ. ιακωβ τ. ποδας επι ... εξελειπεν L. 1. επι τον τραχηλον του π. α. εκλ. επ αυτον 3. τεσσερακοντα 4. επειδη παρηλθ. 5. με προ του τελευτησαι λεγων ... επελευσομαι 7. της αιγυπτου 8. και την συγγενειαν κ. τα ... υπελειποντο 10. παρεγενετο εφ αλωνα 11. ιδον ... εν αλωνι ... εστιν τουτο ... το ονομα του τοπου εκεινου 12. οι υιοι ισραηλ καθως ενετειλατο αυτοις 14. επεστρεψεν ... οι συναναβ. παντες 15. ενεδειξ. αυτω 17. om και την αμαρτιαν 18. ειπον 19. om ιωσηφ 20. σημερον ινα διατραφη 22. εις αιγυπτον 23. ιδεν ... και υιοι μαχειρ ... μαννασση

Digitized by Google

*He. 11, ἐτέχθησαν ἐπὶ μηρῶν Ἰωσήφ. 24 καὶ εἶπεν Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων 24
22. Ἐγὼ ἀποθνήσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται ὁ θεὸς ὑμᾶς, καὶ ἀνάξει ὑμᾶς ἐκ
τῆς γῆς ταύτης εἰς τὴν γῆν ἣν ὤμοσεν ὁ θεὸς τοῖς πατράσιν ἡμῶν, Ἀβραάμ,
*He. 11, Ἰσαὰκ καὶ Ἰακώβ. 25 καὶ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων Ἐν τῇ ἐπι- 25
22. σκοπῇ ᾗ ἐπισκέψηται ὁ θεὸς ὑμᾶς καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ'
ὑμῶν. 26 καὶ ἐτελεύτησεν Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν καὶ 26
ἔθηκαν ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

# Ε Ξ Ο Δ Ο Σ.

## I.

Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰςπεπορευμένων εἰς Αἴγυπτον
ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν· ἕκαστος πανοικὶ αὐτῶν εἰςήλθοσαν· 2 Ῥουβήν, 2
Συμεών, Λευί, Ἰούδας, 3 Ἰσσάχαρ, Ζαβουλών, Βενιαμίν, 4 Δὰν καὶ Νεφθαλί, 3 4
Γὰδ καὶ Ἀσήρ. 5 Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ· ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ 5
πέντε καὶ ἑβδομήκοντα. 6 ἐτελεύτησε δὲ Ἰωσὴφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ 6
*Act. 7, καὶ πᾶσα ἡ γενεὰ ἐκείνη. 7 οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν, 7
17. καὶ χυδαῖοι ἐγένοντο, καὶ κατίσχυον σφόδρα σφόδρα· ἐπλήθυνε δὲ ἡ γῆ αὐτούς.
Act. 7, 18. 8 ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. 9 εἶπε δὲ 8 9
τῷ ἔθνει αὐτοῦ Ἰδοὺ τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος, καὶ ἰσχύει ὑπὲρ
ἡμᾶς· 10 δεῦτε οὖν κατασοφισώμεθα αὐτούς μή ποτε πληθυνθῇ, καὶ ἡνίκα ἂν 10
συμβῇ ἡμῖν πόλεμος προςτεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ ἐκ-
πολεμήσαντες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς. 11 καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας 11
τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδόμησαν πόλεις ὀχυ-
ρὰς τῷ Φαραῷ, τήν τε Πειθὼ καὶ Ῥαμεσσῆ καὶ Ὤν, ἥ ἐστιν Ἡλιούπολις.
12 καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίγνοντο, καὶ ἴσχυον σφόδρα 12
σφόδρα· καὶ ἐβδελύσσοντο οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραήλ. 13 καὶ κατεδυ- 13
νάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ, 14 καὶ κατωδύνων αὐτῶν τὴν 14
ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ καὶ πᾶσι τοῖς
ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ
βίας. 15 καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων, τῇ μιᾷ 15
*Act. 7, αὐτῶν ὄνομα Σεπφώρα καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά, 16 καὶ εἶπεν Ὅταν 16
19. μαιοῦσθε τὰς Ἑβραίας καὶ ὦσι πρὸς τῷ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε
αὐτό· ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό. 17 ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν θεόν, 17
καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐζωογόνουν
τὰ ἄρσενα. 18 ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας καὶ εἶπεν αὐταῖς Τί 18
ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο καὶ ἐζωογονεῖτε τὰ ἄρσενα; 19 εἶπαν δὲ αἱ 19
μαῖαι τῷ Φαραῷ Οὐχ ὡς γυναῖκες Αἰγύπτου αἱ Ἑβραῖαι· τίκτουσι γὰρ πρὶν ἢ
εἰςελθεῖν πρὸς αὐτὰς τὰς μαίας, καὶ ἔτικτον. 20 εὖ δὲ ἐποίει ὁ θεὸς ταῖς μαίαις, 20
καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυε σφόδρα. 21 ἐπεὶ δὲ ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν, 21

---

24. om λεγων ... om τοις πατρασιν ημων ... αβρ. και ισ. και 25. επισκεψεται 26. εθηκαν αυτον

Subscriptio (eadem atque inscriptio): γενεσις κοσμου.

---

Inscriptio: εξοδος αιγυπτου

I. 1. πανοικια 2. ιουδα 3. ζαβ. και βενιαμειν 7. κατισχυσαν 9. om αυτου ... ιδου το εθνος 10. om ουν ... ηνικα εαν 11. ινα κακωσουσιν ... την δε πιθωμ ... ηλιουπολεις 12. εγινοντο 15. αυτων η ονομα 21. επειδη εφοβ.

Digitized by Google

22 ἐποίησαν ἑαυταῖς οἰκίας. [22] συνέταξε δὲ Φαραὼ παντὶ τῷ λαῷ αὐτοῦ λέγων
Πᾶν ἄρσεν ὃ ἐὰν τεχθῇ τοῖς Ἑβραίοις εἰς τὸν ποταμὸν ῥίψατε, καὶ πᾶν θῆλυ
ζωογονεῖτε αὐτό.

## II.

1 Ἦν δέ τις ἐκ τῆς φυλῆς Λευὶ ὃς ἔλαβε τῶν θυγατέρων Λευί. [2] καὶ ἐν γα- *Act. 7, 20.
στρὶ ἔλαβε καὶ ἔτεκεν ἄρσεν· ἰδόντες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας *He. 11, 23.
3 τρεῖς. [3] ἐπεὶ δὲ οὐκ ἐδύναντο αὐτὸ ἔτι κρύπτειν, ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ
θῖβιν καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλε τὸ παιδίον εἰς αὐτήν,
4 καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν. [4] καὶ κατεσκόπευεν ἡ ἀδελφὴ
5 αὐτοῦ μακρόθεν μαθεῖν τί τὸ ἀποβησόμενον αὐτῷ. [5] κατέβη δὲ ἡ θυγάτηρ Φα-
ραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν, καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν
ποταμόν· καὶ ἰδοῦσα τὴν θῖβιν ἐν τῷ ἕλει ἀποστείλασα τὴν ἅβραν ἀνείλατο αὐ- *Act. 7, 21.
6 τήν. [6] ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει· καὶ ἐφείσατο αὐτοῦ ἡ θυγά-
7 τηρ Φαραώ, καὶ ἔφη Ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο. [7] καὶ εἶπεν ἡ
ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ Θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ
8 τῶν Ἑβραίων, καὶ θηλάσει σοι τὸ παιδίον; [8] ἡ δὲ εἶπεν ἡ θυγάτηρ Φαραώ
9 Πορεύου. ἐλθοῦσα δὲ ἡ νεᾶνις ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου. [9] εἶπε δὲ πρὸς
αὐτὴν ἡ θυγάτηρ Φαραώ Διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ θήλασόν μοι
αὐτό, ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν
10 αὐτό. [10] ἁδρυνθέντος δὲ τοῦ παιδίου εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ, *Act. 7, 21.
καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωυσῆν λέγουσα Ἐκ
11 τοῦ ὕδατος αὐτὸν ἀνειλόμην. [11] ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκεί-
ναις μέγας γενόμενος Μωυσῆς ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς
Ἰσραήλ. κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρωπον Αἰγύπτιον τύπτοντα *Act. 7, 24.
12 τινὰ Ἑβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ· [12] περιβλεψάμενος δὲ ὧδε
καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα, καὶ πατάξας τὸν Αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ.
13 [13] ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομέ- *Act. 7, 26.
14 νους, καὶ λέγει τῷ ἀδικοῦντι Διὰ τί σὺ τύπτεις τὸν πλησίον; [14] ὁ δὲ εἶπε Τίς Act. 7, 27. 28.
σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν; μὴ ἀνελεῖν με σὺ θέλεις ὃν
τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ἐφοβήθη δὲ Μωυσῆς καὶ εἶπεν Εἰ οὕτως
15 ἐμφανὲς γέγονε τὸ ῥῆμα τοῦτο; [15] ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο, καὶ ἐζήτει
ἀνελεῖν Μωυσῆν· ἀνεχώρησε δὲ Μωυσῆς ἀπὸ προσώπου Φαραὼ καὶ ᾤκησεν ἐν *Act. 7, 29. *He. 11, 27.
16 γῇ Μαδιάμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιὰμ ἐκάθισεν ἐπὶ τοῦ φρέατος. [16] τῷ δὲ ἱερεῖ
Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ
Ἰοθόρ· παραγενόμεναι δὲ ἤντλουν ἕως ἔπλησαν τὰς δεξαμενάς, ποτίσαι τὰ πρό-
17 βατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ. [17] παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλλον αὐ-
τάς· ἀναστὰς δὲ Μωυσῆς ἐρρύσατο αὐτάς, καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισε τὰ
18 πρόβατα αὐτῶν. [18] παρεγένοντο δὲ πρὸς Ῥαγουὴλ τὸν πατέρα αὐτῶν· ὁ δὲ εἶπεν
19 αὐταῖς Διὰ τί ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον; [19] αἱ δὲ εἶπαν Ἄνθρωπος
Αἰγύπτιος ἐρρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων, καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισε τὰ
20 πρόβατα ἡμῶν. [20] ὁ δὲ εἶπε ταῖς θυγατράσιν αὐτοῦ Καὶ ποῦ ἐστιν; καὶ ἵνα τί
21 καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐτὸν ὅπως φάγῃ ἄρτον. [21] κατῳ-
κίσθη δὲ Μωυσῆς παρὰ τῷ ἀνθρώπῳ· καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα

---

II. 2. και εσχεν αυτην κ. εγγαστ. ελ. 3. επειδη δε ... ετι κρυπτ. αυτο ... ελαβεν η μητηρ αυτω θιβιν 4. om τι 5. παρεπορ. επι τον 7. και θηλαθη σοι 8. αυτη η θυγατηρ ... η νεανις 10. μωυση ... ανειλ. αυτον 11. των αδελφων αυτου 13. * om εβραιους ... om συ 14. η pro μη ... τον αιγυπτ. χθες 15. και κατωχησεν 16. ποιμαιν. τ. π. ιοθορ του πατρ. αυτων ... * om ιοθορ posterius 17. εξεβαλον ... om και ηντλησ. αυταις 18. προς ιοθορ ... αυταις τι οτι 19. ειπον ... om ημων 20. om και ante που ... ουτως καταλελοιπ. 21. εξεδετο ... μωυσει

Digitized by Google

*Act. 7, αὐτοῦ Μωυσῇ γυναῖκα. [22] ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν· καὶ ἐπω- 22
29. νόμασε Μωυσῆς τὸ ὄνομα αὐτοῦ Γηρσάμ, λέγων ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλο-
τρίᾳ. [23] μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύ- 23
πτου· καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν, καὶ
ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεὸν ἀπὸ τῶν ἔργων. [24] καὶ εἰσήκουσεν ὁ θεὸς τὸν 24
στεναγμὸν αὐτῶν, καὶ ἐμνήσθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακώβ· [25] καὶ ἐπεῖδεν ὁ θεὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγνώσθη 25
αὐτοῖς.

## III.

Καὶ Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ
ἱερέως Μαδιάμ, καὶ ἤγαγε τὰ πρόβατα ὑπὸ τὴν ἔρημον, καὶ ἦλθεν εἰς τὸ ὄρος
Act. 7, Χωρήβ. [2] ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν πυρὶ φλογὸς ἐκ τοῦ βάτου· καὶ ὁρᾷ 2
30. ὅτι ὁ βάτος καίεται πυρί, ὁ δὲ βάτος οὐ κατεκαίετο. [3] εἶπε δὲ Μωυσῆς Παρελ- 3
θὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, ὅτι οὐ κατακαίεται ὁ βάτος. [4] ὡς δὲ εἶδε 4
κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων Μωυσῆ
Act. 7, 33. Μωυσῆ. ὁ δὲ εἶπε Τί ἐστιν; [5] ὁ δὲ εἶπε Μὴ ἐγγίσῃς ὧδε· λῦσαι τὸ ὑπόδημα ἐκ 5
Act. 7, τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστί. [6] καὶ εἶπεν Ἐγώ 6
32. Mt. εἰμι ὁ θεὸς τοῦ πατρός σου, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ.
22, 32. ἀπέστρεψε δὲ Μωυσῆς τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον
Act. 7, τοῦ θεοῦ. [7] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου 7
34. τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα
γὰρ τὴν ὀδύνην αὐτῶν, [8] καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς τῶν Αἰγυπτίων 8
καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης, καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν
καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς τὸν τόπον τῶν Χαναναίων καὶ
Χετταίων καὶ Ἀμορραίων καὶ Φερεζαίων καὶ Γεργεσαίων καὶ Εὐαίων καὶ Ἰε-
βουσαίων. [9] καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει πρός με, κἀγὼ ἑώρακα 9
Act. 7, τὸν θλιμμὸν ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς· [10] καὶ νῦν δεῦρο ἀποστείλω σε 10
34. πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς Ἰσραὴλ ἐκ
γῆς Αἰγύπτου. [11] καὶ εἶπε Μωυσῆς πρὸς τὸν θεόν Τίς εἰμι ἐγὼ ὅτι πορεύσομαι 11
πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύ-
πτου; [12] εἶπε δὲ ὁ θεὸς Μωυσῇ λέγων ὅτι ἔσομαι μετὰ σοῦ· καὶ τοῦτό σοι τὸ 12
σημεῖον ὅτι ἐγώ σε ἐξαποστελῶ, ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου ἐξ Αἰγύπτου,
*Act. 7, καὶ λατρεύσετε τῷ θεῷ ἐν τῷ ὄρει τούτῳ. [13] καὶ εἶπε Μωυσῆς πρὸς τὸν θεόν 13
7. Ἰδοὺ ἐγὼ ἐξελεύσομαι πρὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἐρῶ πρὸς αὐτοὺς Ὁ θεὸς τῶν
πατέρων ἡμῶν ἀπέσταλκέ με πρὸς ὑμᾶς· ἐρωτήσουσί με Τί ὄνομα αὐτῷ; τί
ἐρῶ πρὸς αὐτούς; [14] καὶ εἶπεν ὁ θεὸς πρὸς Μωυσῆν λέγων Ἐγώ εἰμι ὁ ὤν, καὶ 14
εἶπεν Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. [15] καὶ 15
εἶπεν ὁ θεὸς πάλιν πρὸς Μωυσῆν Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ Κύριος ὁ θεὸς
τῶν πατέρων ἡμῶν, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, ἀπέσταλκέ
με πρὸς ὑμᾶς· τοῦτό μού ἐστιν ὄνομα αἰώνιον καὶ μνημόσυνον γενεῶν γενεαῖς.
[16] ἐλθὼν οὖν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτοὺς 16
Κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν ὦπταί μοι, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ
καὶ θεὸς Ἰακώβ, λέγων Ἐπισκοπῇ ἐπέσκεμμαι ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν
ἐν Αἰγύπτῳ· [17] καὶ εἶπεν Ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς 17

---

22. om μωυσης ... om οτι 25. και εισιδεν III. 1. και ηγεν 2. εν φλογι πυρος ... τουτο· τι οτι 4. ιδεν 5. και ειπεν ... om συ 6. και ειπεν αυτω ... ο θεος αβρααμ 7. ιδων ιδον 8. χειρος αιγυπτιων ... om και εισαγαγειν αυτους ... κ. ευαιων κ. γεργεσ. 9. και εγω 11. * om εγω (?) 12. om ο θεος μωυση λεγων ... αποστελλω ... σε εξαγαγειν ... μου additur in marg. 13. εγω ελευσομαι ... τ. πατ. υμων 14. om λεγων 15. τ. πατ. υμων ... om γενεων 16. om ουν ... τ. πατ. υμων 17. και ειπα



Digitized by Google

τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ Φερεζαίων καὶ Γερ-
18 γεσαίων καὶ Εὐαίων καὶ Ἰεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. [18] καὶ
εἰςακούσονταί σου τῆς φωνῆς· καὶ εἰςελεύσῃ σὺ καὶ ἡ γερουσία Ἰσραὴλ πρὸς
Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐρεῖς πρὸς αὐτόν Ὁ θεὸς τῶν Ἑβραίων προς-
κέκληται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ἵνα θύσω-
19 μεν τῷ θεῷ ἡμῶν. [19] ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς Φαραὼ βασιλεὺς Αἰ-
20 γύπτου πορευθῆναι ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς· [20] καὶ ἐκτείνας τὴν χεῖρα
πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις μου οἷς ποιήσω ἐν αὐτοῖς, καὶ
21 μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς. [21] καὶ δώσω χάριν τῷ λαῷ τούτῳ ἐναντίον τῶν
22 Αἰγυπτίων· ὅταν δὲ ἀποτρέχητε, οὐκ ἀπελεύσεσθε κενοί· [22] ἀλλὰ αἰτήσει γυνὴ
παρὰ γείτονος καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν, καὶ
ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν, καὶ σκυλεύσατε
τοὺς Αἰγυπτίους.

## IV.

Ἀπεκρίθη δὲ Μωυσῆς καὶ εἶπεν Ἐὰν μὴ πιστεύσωσί μοι μηδὲ εἰςακού-
σωσι τῆς φωνῆς μου, ἐροῦσι γὰρ ὅτι οὐκ ὦπταί σοι ὁ θεός, τί ἐρῶ πρὸς αὐτούς;
2 [2] εἶπε δὲ αὐτῷ κύριος Τί τοῦτό ἐστι τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπε Ῥάβδος.
3 [3] καὶ εἶπεν Ῥῖψον αὐτὴν ἐπὶ τὴν γῆν. καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγέ-
4 νετο ὄφις· καὶ ἔφυγε Μωυσῆς ἀπ' αὐτοῦ. [4] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἔκ-
τεινον τὴν χεῖρα καὶ ἐπιλαβοῦ τῆς κέρκου. ἐκτείνας οὖν τὴν χεῖρα ἐπελάβετο τῆς
5 κέρκου, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ· [5] ἵνα πιστεύσωσί σοι ὅτι ὦπταί
σοι ὁ θεὸς τῶν πατέρων αὐτῶν, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ.
6 [6] εἶπε δὲ αὐτῷ κύριος πάλιν Εἰςένεγκον τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ
εἰςήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ· καὶ ἐξήνεγκε τὴν χεῖρα αὐτοῦ
7 ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ ἐγενήθη ἡ χεὶρ αὐτοῦ ὡςεὶ χιών. [7] καὶ εἶπε πάλιν
Εἰςένεγκον τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ εἰςήνεγκε τὴν χεῖρα εἰς τὸν
κόλπον αὐτοῦ· καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ πάλιν ἀπεκατέστη
8 εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτῆς. [8] ἐὰν δὲ μὴ πιστεύσωσί σοι μηδὲ εἰςακούσωσι
τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῆς φωνῆς τοῦ σημείου τοῦ
9 δευτέρου· [9] καὶ ἔσται ἐὰν μὴ πιστεύσωσί σοι τοῖς δυσὶ σημείοις τούτοις μηδὲ
εἰςακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ
τὸ ξηρόν, καὶ ἔσται τὸ ὕδωρ ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ αἷμα ἐπὶ τοῦ ξηροῦ.
10 [10] εἶπε δὲ Μωυσῆς πρὸς κύριον Δέομαι, κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθὲς
οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου· ἰσχνό-
11 φωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι. [11] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Τίς ἔδωκε
στόμα ἀνθρώπῳ, καὶ τίς ἐποίησε δύςκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν;
12 οὐκ ἐγὼ ὁ θεός; [12] καὶ νῦν πορεύου καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμ-
13 βιβάσω σε ὃ μέλλεις λαλῆσαι. [13] καὶ εἶπε Μωυσῆς Δέομαι, κύριε, προχείρισαι
14 δυνάμενον ἄλλον ὃν ἀποστελεῖς. [14] καὶ θυμωθεὶς ὀργῇ κύριος ἐπὶ Μωυσῆν εἶπεν
Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευίτης; ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός
σοι· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν
15 ἑαυτῷ. [15] καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ·
καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ, καὶ συμβιβάσω ὑμᾶς ἃ ποιή-
16 σετε. [16] καὶ αὐτός σοι λαλήσει πρὸς τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα· σὺ
17 δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν. [17] καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς

---

18. πορευσωμεθα 22. om αλλα ... και συσκευασετε τ. αιγ. IV.
1. εαν ουν μη ... κυριος ο θεος 5. σοι κυριος ο θεος 6. εισενεγκαι ... η
χειρ μωυσεως ωσει 7. εισενεγκαι ... και εισην. τ. χ. αυτου ... τ. σαρκος
αυτου 8. πρωτου, πιστευσωσιν σοι τ. φ. τ. σ. του εσχατου ... λημψη
10. προς τον θεον ... εχθες και προ 11. κυριος τω μωυσει ... εγω κυριος
ο θεος 12. α μελλεις 13. προχειρησαι 16. προσλαλησει προς

Digitized by Google

ὄφιν λήψῃ ἐν τῇ χειρί σου, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα. [18]ἐπορεύθη δὲ 18
Μωυσῆς καὶ ἀπέστρεψε πρὸς Ἰοθὸρ τὸν γαμβρὸν αὐτοῦ καὶ λέγει Πορεύσομαι καὶ
ἀποστρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν Αἰγύπτῳ, καὶ ὄψομαι εἰ ἔτι ζῶσι.
καὶ εἶπεν Ἰοθὸρ Μωυσῇ Βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς
ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου. [19]εἶπε δὲ κύριος πρὸς Μωυσῆν ἐν 19
Μαδιὰμ Βάδιζε ἄπελθε εἰς Αἴγυπτον· τεθνήκασι γὰρ πάντες οἱ ζητοῦντές σου
τὴν ψυχήν. [20]ἀναλαβὼν δὲ Μωυσῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν 20
αὐτὰ ἐπὶ τὰ ὑποζύγια, καὶ ἐπέστρεψεν εἰς Αἴγυπτον· ἔλαβε δὲ Μωυσῆς τὴν
ῥάβδον τὴν παρὰ τοῦ θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ. [21]εἶπε δὲ κύριος πρὸς Μωυσῆν 21
Πορευομένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον, ὅρα πάντα τὰ τέρατα ἃ δέ-
δωκα ἐν ταῖς χερσί σου, ποιήσεις αὐτὰ ἐναντίον Φαραώ· ἐγὼ δὲ σκληρυνῶ τὴν
καρδίαν αὐτοῦ, καὶ οὐ μὴ ἐξαποστείλῃ τὸν λαόν. [22]σὺ δὲ ἐρεῖς τῷ Φαραῷ 22
Τάδε λέγει κύριος Υἱὸς πρωτότοκός μου Ἰσραήλ· [23]εἶπα δέ σοι Ἐξαπόστειλον 23
τὸν λαόν μου ἵνα μοι λατρεύσῃ· εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι αὐτούς, ὅρα
οὖν ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον. [24]ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ 24
καταλύματι συνήντησεν αὐτῷ ἄγγελος κυρίου, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.
[25]καὶ λαβοῦσα Σεπφώρα ψῆφον περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς, καὶ 25
προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ καὶ εἶπεν Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ
παιδίου μου. [26]καὶ ἀπῆλθεν ἀπ᾽ αὐτοῦ διότι εἶπεν Ἔστη τὸ αἷμα τῆς περιτο- 26
μῆς τοῦ παιδίου μου. [27]εἶπε δὲ κύριος πρὸς Ἀαρὼν Πορεύθητι εἰς συνάντησιν 27
Μωυσῇ εἰς τὴν ἔρημον· καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ θεοῦ,
καὶ κατεφίλησαν ἀλλήλους. [28]καὶ ἀνήγγειλε Μωυσῆς τῷ Ἀαρὼν πάντας τοὺς 28
λόγους κυρίου οὓς ἀπέστειλε καὶ πάντα τὰ ῥήματα ἃ ἐνετείλατο αὐτῷ. [29]ἐπο- 29
ρεύθη δὲ Μωυσῆς καὶ Ἀαρών, καὶ συνήγαγον τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ.
[30]καὶ ἐλάλησεν Ἀαρὼν πάντα τὰ ῥήματα ταῦτα ἃ ἐλάλησεν ὁ θεὸς πρὸς Μωυ- 30
σῆν, καὶ ἐποίησε τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ. [31]καὶ ἐπίστευσεν ὁ λαός, καὶ 31
ἐχάρη ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν·
κύψας δὲ ὁ λαὸς προσεκύνησε.

## V.

Καὶ μετὰ ταῦτα εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν πρὸς Φαραὼ καὶ εἶπαν αὐτῷ
Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι ἑορτάσω-
σιν ἐν τῇ ἐρήμῳ. [2]καὶ εἶπε Φαραώ Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐ- 2
τοῦ ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν κύριον, καὶ τὸν
Ἰσραὴλ οὐκ ἐξαποστέλλω. [3]καὶ λέγουσιν αὐτῷ Ὁ θεὸς τῶν Ἑβραίων προσκέ- 3
κληται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ὅπως θύσω-
μεν κυρίῳ τῷ θεῷ ἡμῶν, μή ποτε συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος. [4]καὶ εἶπεν 4
αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου Ἵνα τί, Μωυσῆ καὶ Ἀαρών, διαστρέφετε τὸν λαὸν
ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ. [5]καὶ εἶπε Φα- 5
ραώ Ἰδοὺ νῦν πολυπληθεῖ ὁ λαός, μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων.
[6]συνέταξε δὲ Φαραὼ τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμματεῦσι λέγων 6
[7]Οὐκέτι προστεθήσεσθε διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν πλινθουργίαν καθάπερ 7
χθὲς καὶ τρίτην ἡμέραν, ἀλλ᾽ αὐτοὶ πορευέσθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς
ἄχυρα· [8]καὶ τὴν σύνταξιν τῆς πλινθείας ἧς αὐτοὶ ποιοῦσι καθ᾽ ἑκάστην ἡμέραν 8
ἐπιβαλεῖς αὐτοῖς, οὐκ ἀφελεῖς οὐδέν· σχολάζουσι γάρ, διὰ τοῦτο κεκράγασι
λέγοντες Ἐγερθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν. [9]βαρυνέσθω τὰ ἔργα τῶν ἀν- 9

17. λημψη 18. επεστρεψεν 20. εν χειρι αυτ. 21. α εδωκα ... αυτου τ. καρδ. 23. βουλη 25. om αυτου 26. om μου 27. μωυσει 28. μωυσης ααρων ... π. τα σημεια 31. ιδεν V. 1. ινα εορτασ. μοι 2. τ. εστ. θεος ου 3. om κυριω ... συναντησει 4. τον λαον μου 5. ο λαος της γης 7. * om την ... εχθες ... ημεραν και το της σημερον ... om αλλ 8. της πλινθουργιας ... πορευθωμεν pro εγερθωμεν



Digitized by Google

θρώπων τούτων, καὶ μεριμνάτωσαν ταῦτα, καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις
10 κενοῖς. [10] κατέσπευδον δὲ αὐτοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς, καὶ ἔλεγον
11 πρὸς τὸν λαὸν λέγοντες Τάδε λέγει Φαραώ Οὐκέτι δίδωμι ὑμῖν ἄχυρα· [11] αὐτοὶ
ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα ὅθεν ἐὰν εὕρητε, οὐ γὰρ ἀφαιρεῖται
12 ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν. [12] καὶ διεσπάρη ὁ λαὸς ἐν ὅλῃ γῇ Αἰγύπτῳ
13 συναγαγεῖν καλάμην εἰς ἄχυρα· [13] οἱ δὲ ἐργοδιῶκται κατέσπευδον αὐτοὺς λέγον-
τες Συντελεῖτε τὰ ἔργα τὰ καθήκοντα καθ' ἡμέραν καθάπερ καὶ ὅτε τὸ ἄχυρον
14 ἐδίδοτο ὑμῖν. [14] καὶ ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τῶν υἱῶν Ἰσραὴλ
οἱ κατασταθέντες ἐπ' αὐτοὺς ὑπὸ τῶν ἐπιστατῶν τοῦ Φαραώ, λέγοντες Διὰ τί
οὐ συνετελέσατε τὰς συντάξεις ὑμῶν τῆς πλινθείας καθάπερ χθὲς καὶ τρίτην
15 ἡμέραν καὶ τὸ τῆς σήμερον; [15] εἰσελθόντες δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ
κατεβόησαν πρὸς Φαραὼ λέγοντες Ἵνα τί σὺ οὕτως ποιεῖς τοῖς σοῖς οἰκέταις;
16 [16] ἄχυρον οὐ δίδοται τοῖς οἰκέταις σου, καὶ τὴν πλίνθον ἡμῖν λέγουσι ποιεῖν,
17 καὶ ἰδοὺ οἱ παῖδές σου μεμαστίγωνται· ἀδικήσεις οὖν τὸν λαόν σου. [17] καὶ εἶπεν
αὐτοῖς Σχολάζετε, σχολασταί ἐστε· διὰ τοῦτο λέγετε Πορευθῶμεν θύσωμεν
18 τῷ θεῷ ἡμῶν. [18] νῦν οὖν πορευθέντες ἐργάζεσθε· τὸ γὰρ ἄχυρον οὐ δοθήσεται
19 ὑμῖν, καὶ τὴν σύνταξιν τῆς πλινθείας ἀποδώσετε. [19] ἑώρων δὲ οἱ γραμματεῖς
τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς λέγοντες Οὐκ ἀπολείψετε τῆς πλινθείας
20 τὸ καθῆκον τῇ ἡμέρᾳ. [20] συνήντησαν δὲ Μωυσῇ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συν-
21 άντησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραώ, [21] καὶ εἶπαν αὐτοῖς Ἴδοι ὁ
θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐναντίον Φαραὼ καὶ ἐναν-
τίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι
22 ἡμᾶς. [22] ἐπέστρεψε δὲ Μωυσῆς πρὸς κύριον καὶ εἶπε Δέομαι, κύριε, τί ἐκάκω-
23 σας τὸν λαὸν τοῦτον; καὶ ἵνα τί ἀπέσταλκάς με; [23] καὶ ἀφ' οὗ πεπόρευμαι
πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ
ἐρρύσω τὸν λαόν σου.

## VI.

Καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραῷ· ἐν γὰρ
χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτούς, καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ *Act.13,
2 τῆς γῆς αὐτοῦ. [2] ἐλάλησε δὲ ὁ θεὸς πρὸς Μωυσῆν καὶ εἶπε πρὸς αὐτόν Ἐγὼ 17.
3 κύριος, [3] καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν, καὶ
4 τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς· [4] καὶ ἔστησα τὴν διαθήκην μου πρὸς
αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων, τὴν γῆν ἣν παρῳκήκα-
5 σιν, ἐν ᾗ καὶ παρῴκησαν ἐπ' αὐτῆς· [5] καὶ ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν
υἱῶν Ἰσραήλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς δια-
6 θήκης ὑμῶν. [6] βάδιζε εἰπὸν τοῖς υἱοῖς Ἰσραὴλ λέγων Ἐγὼ κύριος, καὶ ἐξάξω
ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων, καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας,
7 καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει μεγάλῃ· [7] καὶ λήψομαι *Act.13,
ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοί, καὶ ἔσομαι ὑμῶν θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος 17.
8 ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας τῶν Αἰγυπτίων· [8] καὶ
εἰσάξω ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι αὐτὴν τῷ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ δώσω ὑμῖν αὐτὴν ἐν κλήρῳ, ἐγὼ κύριος.
9 [9] ἐλάλησε δὲ Μωυσῆς οὕτω τοῖς υἱοῖς Ἰσραήλ· καὶ οὐκ εἰσήκουσαν Μωυσῇ ἀπὸ
10 τῆς ὀλιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. [10] εἶπε δὲ κύριος πρὸς Μωυ-
11 σῆν λέγων [11] Εἴσελθε λάλησον Φαραῷ βασιλεῖ Αἰγύπτου ἵνα ἐξαποστείλῃ τοὺς
12 υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. [12] ἐλάλησε δὲ Μωυσῆς ἔναντι κυρίου λέγων

---

9. μεριμνασθωσαν bis 11. αφαιρειτε 12. om γη 13. εδιδετο 14. εχθες 15. om συ 17. πορευθ. και θυσωμ. 18. απελθοντες εργαζ. (21. ειπεν) 22. ειπεν Κυριε δια τι εκακ. ... απεσταλκες 23. λαλησαι αυτω επι ... ερυσω VI. 1. οψη 5. καταδουλωσιν 6. δουλιας 7. λημψομαι υμ. εμαυτ. 8. αυτην υμιν 9. ουτως 12. εναντιον

Digitized by Google

Ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰςήκουσάν μου, καὶ πῶς εἰςακούσεταί μου Φαραώ;
ἐγὼ δὲ ἄλογός εἰμι. 13 εἶπε δὲ κύριος πρὸς Μωυσῆν καὶ Ἀαρών, καὶ συνέταξεν 13
αὐτοῖς πρὸς Φαραὼ βασιλέα Αἰγύπτου ὥςτε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ
γῆς Αἰγύπτου. 14 καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ Ῥουβὴν πρωτο- 14
τόκου Ἰσραήλ· Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼν καὶ Χαρμί· αὕτη ἡ συγγένεια
Ῥουβήν. 15 καὶ υἱοὶ Συμεών· Ἰεμουὴλ καὶ Ἰαμεὶμ καὶ Ἀὼδ καὶ Ἰαχεὶν καὶ 15
Σαὰρ καὶ Σαοὺλ ὁ ἐκ τῆς Φοινίσσης· αὗται αἱ πατριαὶ τῶν υἱῶν Συμεών.
16 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Λευὶ κατὰ συγγενείας αὐτῶν· Γεδσών, 16
Καὰϑ καὶ Μεραρί· καὶ τὰ ἔτη τῆς ζωῆς Λευὶ ἑκατὸν τριακονταεπτά. 17 καὶ 17
οὗτοι υἱοὶ Γεδσών· Λοβενὶ καὶ Σεμεΐ, οἶκοι πατριᾶς αὐτῶν. 18 καὶ υἱοὶ 18
Καάϑ· Ἀμβρὰμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ· καὶ τὰ ἔτη τῆς ζωῆς Καὰϑ
ἑκατὸν τριακοντατρία ἔτη. 19 καὶ υἱοὶ Μεραρί· Μοολὶ καὶ Ὁμουσί. οὗτοι οἱ 19
οἶκοι πατριῶν Λευὶ κατὰ συγγενείας αὐτῶν. 20 καὶ ἔλαβεν Ἀμβρὰμ τὴν Ἰωχα- 20
βὲδ ϑυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ ἑαυτῷ εἰς γυναῖκα, καὶ ἐγέννησεν
αὐτῷ τόν τε Ἀαρὼν καὶ τὸν Μωυσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν· τὰ δὲ
ἔτη τῆς ζωῆς Ἀμβρὰμ ἑκατὸν τριακονταδύο ἔτη. 21 καὶ υἱοὶ Ἰσσάαρ· Κορὲ καὶ 21
Ναφὲκ καὶ Ζεχρεί. 22 καὶ υἱοὶ Ὀζιήλ· Μισαὴλ καὶ Ἐλισαφὰν καὶ Σεγρεί. 22
23 ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλισαβὲϑ ϑυγατέρα Ἀμιναδὰβ ἀδελφὴν Ναασσὼν 23
αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τόν τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ τὸν Ἐλεάζαρ
καὶ Ἰϑάμαρ. 24 υἱοὶ δὲ Κορέ· Ἀσεὶρ καὶ Ἑλκανὰ καὶ Ἀβιάσαρ· αὗται αἱ γενέ- 24
σεις Κορέ. 25 καὶ Ἐλεάζαρ ὁ τοῦ Ἀαρὼν ἔλαβε τῶν ϑυγατέρων Φουτιὴλ αὐτῷ 25
γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Φινεές· αὗται αἱ ἀρχαὶ πατριᾶς Λευιτῶν κατὰ
γενέσεις αὐτῶν. 26 οὗτος Ἀαρὼν καὶ Μωυσῆς, οἷς εἶπεν αὐτοῖς ὁ ϑεὸς ἐξαγαγεῖν 26
τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν. 27 οὗτοί εἰσιν οἱ διαλε- 27
γόμενοι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου· καὶ ἐξήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐκ
γῆς Αἰγύπτου, αὐτὸς Ἀαρὼν καὶ Μωυσῆς, 28 ᾗ ἡμέρᾳ ἐλάλησε κύριος Μωυσῇ 28
ἐν γῇ Αἰγύπτῳ. 29 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων Ἐγὼ κύριος· λάλη- 29
σον πρὸς Φαραὼ βασιλέα Αἰγύπτου ὅσα ἐγὼ λέγω πρὸς σέ. 30 καὶ εἶπε Μωυσῆς 30
ἐναντίον κυρίου Ἰδοὺ ἐγὼ ἰσχνόφωνός εἰμι, καὶ πῶς εἰςακούσεταί μου Φαραώ;

## VII.

Καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων Ἰδοὺ δέδωκά σε ϑεὸν Φαραῷ, καὶ
Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης· 2 σὺ δὲ λαλήσεις αὐτῷ πάντα ὅσα 2
σοι ἐντέλλομαι, ὁ δὲ Ἀαρὼν ὁ ἀδελφός σου λαλήσει πρὸς Φαραὼ ὥςτε ἐξαπο-
στεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. 3 ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν 3
Act. 7, 36. Φαραώ, καὶ πληϑυνῶ τὰ σημεῖά μου καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ· 4 καὶ οὐκ 4
εἰςακούσεται ὑμῶν Φαραώ. καὶ ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ' Αἴγυπτον, καὶ ἐξάξω
σὺν δυνάμει μου τὸν λαόν μου τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν ἐκδικήσει
μεγάλῃ· 5 καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος, ἐκτείνων τὴν 5
χεῖρά μου ἐπ' Αἴγυπτον, καὶ ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ μέσου αὐτῶν.
6 ἐποίησε δὲ Μωυσῆς καὶ Ἀαρὼν καϑάπερ ἐνετείλατο αὐτοῖς κύριος, οὕτως 6
ἐποίησαν. 7 Μωυσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ ἐτῶν 7
ὀγδοηκοντατριῶν, ἡνίκα ἐλάλησε πρὸς Φαραώ. 8 καὶ εἶπε κύριος πρὸς Μωυσῆν 8

---

13. ωςτε εξαγαγειν 15. ιαμειν κ. ιαωαδι κ. ιαχει 16. γηρσων ... μεραρει ... λευει secundo loco (priore et v. 19. λευι) 17. σεμει 18. οζειηλ ... εκ. τριακοντα ετ. 19. κ. οι υιοι ... μοολει κ. ομουσει ... ουτοι οικοι 20. και μωυσην ... τριακονταεξ 22. και οι υιοι ... om μισαηλ και ... σεϑρει 23. τ. ελισαβετ ... αμιναδαμ ... * νασσων (?) ... αβισουρ pro αβιουδ ... και ελεαζαρ 24. ασηρ 26. ο αρων (sic) κ. μωσης (?) ... ο ϑεος αυτοις ... εξ αιγυπτου 27. εξ αιγυπτου 28. εν ημερα . VII. 3. τα σημεια και τερατα μου 5. * om μου ... εκ μεσ. αυτης 7. αυτου ογδοηκοντατριων ετων ην ... ελαλησαν

Digitized by Google

9 καὶ Ἀαρὼν λέγων [9] Καὶ ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ λέγων Δότε ἡμῖν σημεῖον
ἢ τέρας, καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σου Λάβε τὴν ῥάβδον καὶ ῥίψον ἐπὶ τὴν
γῆν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἔσται δράκων.
10 [10] εἰσῆλθε δὲ Μωυσῆς καὶ Ἀαρὼν ἐναντίον Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ,
καὶ ἐποίησαν οὕτως καθάπερ ἐνετείλατο αὐτοῖς κύριος· καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν
ῥάβδον ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δρά-
11 κων. [11] συνεκάλεσε δὲ Φαραὼ τοὺς σοφιστὰς Αἰγύπτου καὶ τοὺς φαρμακούς· *2 Tim. 3, 8.
καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακίαις αὐτῶν ὡσαύτως,
12 [12] καὶ ἔῤῥιψαν ἕκαστος τὴν ῥάβδον αὐτῶν, καὶ ἐγένοντο δράκοντες· καὶ κατέ-
13 πιεν ἡ ῥάβδος ἡ Ἀαρὼν τὰς ἐκείνων ῥάβδους. [13] καὶ κατίσχυσεν ἡ καρδία Φα-
14 ραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος. [14] εἶπε δὲ
κύριος πρὸς Μωυσῆν Βεβάρηται ἡ καρδία Φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν.
15 [15] βάδισον πρὸς Φαραὼ τὸ πρωΐ· ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ ἔσῃ
συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ· καὶ τὴν ῥάβδον τὴν στραφεῖσαν εἰς
16 ὄφιν λήψῃ ἐν τῇ χειρί σου, [16] καὶ ἐρεῖς πρὸς αὐτόν Κύριος ὁ θεὸς τῶν Ἑβραίων
ἀπέσταλκέ με πρὸς σὲ λέγων Ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσῃ ἐν
17 τῇ ἐρήμῳ· καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου. [17] τάδε λέγει κύριος Ἐν τούτῳ
γνώσῃ ὅτι ἐγὼ κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ
18 ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα· [18] καὶ οἱ ἰχθύες οἱ ἐν τῷ πο-
ταμῷ τελευτήσουσι, καὶ ἐποζέσει ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι
19 πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. [19] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ἀαρὼν τῷ
ἀδελφῷ σου Λάβε τὴν ῥάβδον σου ἐν τῇ χειρί σου, καὶ ἔκτεινον τὴν χεῖρά σου
ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐ- *Ap. 9. 6.
τῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν, καὶ ἔσται αἷμα·
καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου, ἔν τε τοῖς ξύλοις καὶ ἐν τοῖς λίθοις.
20 [20] καὶ ἐποίησαν οὕτως Μωυσῆς καὶ Ἀαρὼν καθάπερ ἐνετείλατο αὐτοῖς κύριος·
καὶ ἐπάρας τῇ ῥάβδῳ αὐτοῦ ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φα-
ραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν τῷ
21 ποταμῷ εἰς αἷμα. [21] καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν
ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν
22 τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου. [22] ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰ- *2 Tim. 3, 8.
γυπτίων ταῖς φαρμακίαις αὐτῶν· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ
23 εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπε κύριος. [23] ἐπιστραφεὶς δὲ Φαραὼ εἰσῆλθεν εἰς
24 τὸν οἶκον αὐτοῦ, καὶ οὐκ ἐπέστησε τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ. [24] ὤρυξαν
δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο
25 πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ· [25] καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πα-
τάξαι κύριον τὸν ποταμόν.

## VIII.

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν Εἴσελθε πρὸς Φαραὼ καὶ ἐρεῖς πρὸς αὐτόν
2 Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσωσιν· [2] εἰ δὲ μὴ
βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου τοῖς βατράχοις.
3 [3] καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους· καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς
οἴκους σου καὶ εἰς τὰ ταμιεῖα τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου, καὶ ἐπὶ
τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου, καὶ ἐν τοῖς φυράμασί σου
4 καὶ ἐν τοῖς κλιβάνοις σου· [4] καὶ ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν

---

9. ριψον αυτην επι 10. εριψεν 12. ερριψεν ε. τ. ρ. αυτου 13. καθαπ. ελαλησεν αυτ. 14. και ειπεν κυρ. 15. και στηση συναντων ... λημψη 19. om εν τη χειρ. σου ... τ. χειρα επι του ποταμου pro αιγυπτου ... γη αιγυπτω 20. επαρας ααρων την ραβδον VIII. 2. βουλη ... om τοις 3. εις τους οικους pro επι τους οικους ... * φρεασιν pro φυραμασι, ** κ. ε. τ. φυραμασιν σου και εν τοις φρεασιν σου κ. ε. τ. κ. σ.

Digitized by Google

λαόν σου ἀναβήσονται οἱ βάτραχοι. 5 εἶπε δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ἀαρὼν 5
τῷ ἀδελφῷ σου Ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς καὶ ἐπὶ
τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη, καὶ ἀνάγαγε τοὺς βατράχους. 6 καὶ ἐξέτεινεν 6
Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἀνήγαγε τοὺς βατράχους· καὶ
ἀνεβιβάσθη ὁ βάτραχος, καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου. 7 ἐποίησαν δὲ ὡσαύ- 7
τως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακίαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς
βατράχους ἐπὶ γῆν Αἰγύπτου. 8 καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν καὶ 8
εἶπεν Εὔξασθε περὶ ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ
καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ αὐτοὺς καὶ θύσωσι τῷ κυρίῳ. 9 εἶπε 9
δὲ Μωυσῆς πρὸς Φαραώ Τάξαι πρός με πότε εὔξομαι περὶ σοῦ καὶ περὶ τῶν
θεραπόντων σου καὶ τοῦ λαοῦ σου, ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ
τοῦ λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν· πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.
10 ὁ δὲ εἶπεν Εἰς αὔριον. εἶπεν οὖν Ὡς εἴρηκας· ἵνα εἰδῇς ὅτι οὐκ ἔστιν ἄλλος 10
πλὴν κυρίου· 11 καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ καὶ ἀπὸ τῶν οἰκιῶν 11
ὑμῶν καὶ ἀπὸ τῶν ἐπαύλεων καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ
σου· πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται. 12 ἐξῆλθε δὲ Μωυσῆς καὶ Ἀαρὼν 12
ἀπὸ Φαραώ· καὶ ἐβόησε Μωυσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων,
ὡς ἐτάξατο Φαραώ. 13 ἐποίησε δὲ κύριος καθάπερ εἶπε Μωυσῆς, καὶ ἐτελεύ- 13
τησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν·
14 καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας, καὶ ὤζεσεν ἡ γῆ. 15 ἰδὼν δὲ Φα- 14 15
ραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ καὶ οὐκ εἰσήκουσεν αὐτῶν,
καθάπερ ἐλάλησε κύριος. 16 εἶπε δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ἀαρὼν Ἔκτει- 16
νον τῇ χειρὶ τὴν ῥάβδον σου καὶ πάταξον τὸ χῶμα τῆς γῆς, καὶ ἔσονται σκνῖφες
ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι καὶ ἐν πάσῃ γῇ Αἰγύπτου. 17 ἐξέτει- 17
νεν οὖν Ἀαρὼν τῇ χειρὶ τὴν ῥάβδον καὶ ἐπάταξε τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο
οἱ σκνῖφες ἐν τοῖς ἀνθρώποις, ἔν τε τοῖς τετράποσι καὶ ἐν παντὶ χώματι τῆς γῆς
ἐγένοντο οἱ σκνῖφες. 18 ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακίαις 18
αὐτῶν ἐξαγαγεῖν τὸν σκνῖφα, καὶ οὐκ ἠδύναντο· καὶ ἐγένοντο οἱ σκνῖφες ἔν τε
τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν. 19 εἶπαν οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραῷ 19
Δάκτυλος θεοῦ ἐστὶ τοῦτο· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκου-
σεν αὐτῶν, καθάπερ ἐλάλησε κύριος. 20 εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον 20
τὸ πρωὶ καὶ στῆθι ἐναντίον Φαραώ· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ,
καὶ ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι
λατρεύσωσιν ἐν τῇ ἐρήμῳ· 21 ἐὰν δὲ μὴ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ 21
ἐγὼ ἐξαποστέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου καὶ
ἐπὶ τοὺς οἴκους ὑμῶν κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων τῆς
κυνομυίης, καὶ εἰς τὴν γῆν ἐφ' ἧς εἰσιν ἐπ' αὐτῆς. 22 καὶ παραδοξάσω ἐν τῇ 22
ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσέμ, ἐφ' ἧς ὁ λαός μου ἔπεστιν ἐπ' αὐτῆς, ἐφ' ἧς οὐκ
ἔσται ἐκεῖ ἡ κυνόμυια· ἵνα εἰδῇς ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς πάσης τῆς γῆς.
23 καὶ δώσω διαστολὴν ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ· 23
ἐν δὲ τῇ αὔριον ἔσται τοῦτο ἐπὶ τῆς γῆς. 24 ἐποίησε δὲ κύριος οὕτως, καὶ παρε- 24
γένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραὼ καὶ εἰς τοὺς οἴκους τῶν θερα-
πόντων αὐτοῦ καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου· καὶ ἐξωλοθρεύθη ἡ γῆ ἀπὸ τῆς

---

5. συναγαγε 6. η βατραχος 7. εν ταις επαοιδαις αυτων ... επι πασαν γην 8. ευξε ... και εξαποστελω τον λαον κ. θυσωσιν κυριω. 9. οικειων 10. πλην κυριος 11. και εκ των οικειων υμ. κ. εκ των επ. 13. οικειων 14. θειμωνιας θειμωνιας 17. εν τε τοις ανθρ. και εν τοις τετραποσιν ... γης· εγενοντο οι σκνιφες εν παση γη αιγυπτου 18. φαρμακειαις (VII, 11. et 22. φαρμακιαις) ... τον σκνιφαν ... εδυναντο ... om τε 20. φαραω· ιδου αυτ. εκπορευεται ... λατρευση 21. βουλη ... της κυνομυιας 22. εφ η ουκ ... om ειμι 23. εσται το σημειον τουτο 24. πασαν γην ... εξωλεθρευθη

Digitized by Google

25 κυνομυίης. [25] ἐκάλεσε δὲ Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν λέγων Ἐλθόντες θύσατε
26 κυρίῳ τῷ θεῷ ὑμῶν ἐν τῇ γῇ. [26] καὶ εἶπε Μωυσῆς Οὐ δυνατὸν γενέσθαι οὕτως,
τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν κυρίῳ τῷ θεῷ ἡμῶν· ἐὰν γὰρ θύ-
σωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναντίον αὐτῶν, λιθοβοληθησόμεθα.
27 [27] ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν ἔρημον, καὶ θύσομεν τῷ θεῷ ἡμῶν
28 καθάπερ εἶπε κύριος ἡμῖν. [28] καὶ εἶπε Φαραὼ Ἐγὼ ἀποστέλλω ὑμᾶς, καὶ θύ-
σατε τῷ θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ, ἀλλ' οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι· εὔ-
29 ξασθε οὖν περὶ ἐμοῦ πρὸς κύριον. [29] εἶπε δὲ Μωυσῆς Ὁ δὲ ἐγὼ ἐξελεύσομαι
ἀπὸ σοῦ καὶ εὔξομαι πρὸς τὸν θεόν, καὶ ἀπελεύσεται ἡ κυνόμυια καὶ ἀπὸ τῶν
θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου αὔριον· μὴ προσθῇς ἔτι Φαραὼ ἐξαπα-
30 τῆσαι τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι κυρίῳ. [30] ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ
31 Φαραὼ καὶ ηὔξατο πρὸς τὸν θεόν· [31] ἐποίησε δὲ κύριος καθάπερ εἶπε Μωυσῆς,
καὶ περιεῖλε τὴν κυνόμυιαν ἀπὸ Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ καὶ τοῦ
32 λαοῦ αὐτοῦ, καὶ οὐ κατελείφθη οὐδεμία. [32] καὶ ἐβάρυνε Φαραὼ τὴν καρδίαν
αὐτοῦ καὶ ἐπὶ τοῦ καιροῦ τούτου, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν λαόν.

## IX.

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν Εἴσελθε πρὸς Φαραὼ καὶ ἐρεῖς αὐτῷ Τάδε
λέγει κύριος ὁ θεὸς τῶν Ἑβραίων Ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύ-
2 σωσιν· [2] εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου ἀλλὰ ἔτι ἐγκρατεῖς
3 αὐτοῦ, [3] ἰδοὺ χεὶρ κυρίου ἐπέσται ἐν τοῖς κτήνεσί σου τοῖς ἐν τοῖς πεδίοις, ἔν
τε τοῖς ἵπποις καὶ ἐν τοῖς ὑποζυγίοις καὶ ταῖς καμήλοις καὶ βουσὶ καὶ προβάτοις
4 θάνατος μέγας σφόδρα. [4] καὶ παραδοξάσω ἐγὼ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὰ μέσον
τῶν κτηνῶν τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῶν κτηνῶν τῶν υἱῶν Ἰσραήλ· οὐ
5 τελευτήσει ἀπὸ πάντων τῶν τοῦ Ἰσραὴλ υἱῶν ῥητόν. [5] καὶ ἔδωκεν ὁ θεὸς ὅρον
6 λέγων Ἐν τῇ αὔριον ποιήσει κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς. [6] καὶ ἐποίησε
κύριος τὸ ῥῆμα τοῦτο τῇ ἐπαύριον, καὶ ἐτελεύτησε πάντα τὰ κτήνη τῶν Αἰγυ-
7 πτίων· ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδέν. [7] ἰδὼν δὲ
Φαραὼ ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ πάντων τῶν κτηνῶν των υἱῶν Ἰσραὴλ οὐδέν,
8 ἐβαρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ ἐξαπέστειλε τὸν λαόν. [8] εἶπε δὲ κύριος
πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων Λάβετε ὑμεῖς πλήρεις τὰς χεῖρας αἰθάλης κα-
μιναίας, καὶ πασάτω Μωυσῆς εἰς τὸν οὐρανὸν ἐναντίον Φαραὼ καὶ ἐναντίον
9 τῶν θεραπόντων αὐτοῦ, [9] καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου·
καὶ ἔσται ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ τετράποδα ἕλκη, φλυκτίδες ἀναζέου- *Ap. 16, 2.
10 σαι, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν ἐν πάσῃ γῇ Αἰγύπτου. [10] καὶ
ἔλαβε τὴν αἰθάλην τῆς καμιναίας ἐναντίον Φαραὼ καὶ ἔπασεν αὐτὴν Μωυσῆς
εἰς τὸν οὐρανόν, καὶ ἐγένετο ἕλκη, φλυκτίδες ἀναζέουσαι, ἔν τε τοῖς ἀνθρώ-
11 ποις καὶ ἐν τοῖς τετράποσι. [11] καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον
Μωυσῆ διὰ τὰ ἕλκη· ἐγένετο γὰρ τὰ ἕλκη ἐν τοῖς φαρμακοῖς καὶ ἐν πάσῃ γῇ
12 Αἰγύπτου. [12] ἐσκλήρυνε δὲ κύριος τὴν καρδίαν Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐ-
13 τῶν, καθὰ συνέταξε κύριος. [13] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον τὸ πρωὶ

---

24. κυνομυιας 26. θυσωμεν pro θυσομεν 27. πορευσωμεθα ... θυσωμεν κυριω τ. θ. ημ. ... om κυριος 28. εξαποστελλω ... θυσετε κυριω τ. θ. υ. 29. απο σου και απο των ... * om και απο του λαου σου ... απατησαι 31. και απο των ... και απο του IX. 1. λατρευσωσιν μοι 2. βουλη ... και pro αλλα 3. εσται εν ... * om εν τε τοις ιπποις ... και εν τοις καμηλοις 4. * om εν τ. καιρ. εκεινω ... κτηνων του ισραηλ· και ου τ. α. π. των κτηνων των υιων ισρ. ρητον 5. 6. 7. ab ορον usque λαον ** 5. ** λεγων αυριον ... ** γης αιγυπτου 6. ** κτηνων του ισρ. 7. ** om παντων 8. λαβετε υμιν πλ. ... ** καμινιαιας 9. πασαν γην ... και εν παση 10. και ελαβον ... ** καμινιαιας (inde a -νιαιας usque ad finem v. 12. omnia **) ... ** εγενοντο ελκη 11. ** εγενοντο γαρ 12. ** συνετ. κυρ. τω μωυση

Digitized by Google

καὶ στῆθι ἐναντίον Φαραώ, καὶ ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος ὁ θεὸς τῶν
Ἑβραίων Ἐξαπόστειλον τὸν λαόν μου ἵνα λατρεύσωσί μοι. [14] ἐν τῷ γὰρ νῦν 14
καιρῷ ἐγὼ ἐξαποστέλλω πάντα τὰ συναντήματά μου εἰς τὴν καρδίαν σου καὶ
τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου, ἵνα εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ἐγὼ ἄλλος
ἐν πάσῃ τῇ γῇ. [15] νῦν γὰρ ἀποστείλας τὴν χεῖρα πατάξω σε, καὶ τὸν λαόν σου 15
Ro. 9, 17. θανατώσω, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς· [16] καὶ ἕνεκεν τούτου διετηρήθης ἵνα 16
ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.
[17] ἔτι οὖν σὺ ἐμποιῇ τοῦ λαοῦ μου τοῦ μὴ ἐξαποστεῖλαι αὐτούς; [18] ἰδοὺ ἐγὼ 17 18
ὕω ταύτην τὴν ὥραν αὔριον χάλαζαν πολλὴν σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν
ἐν Αἰγύπτῳ ἀφ᾽ ἧς ἡμέρας ἔκτισται ἕως τῆς ἡμέρας ταύτης. [19] νῦν οὖν κατά- 19
σπευσον συναγαγεῖν τὰ κτήνη σου καὶ ὅσα σοί ἐστιν ἐν τῷ πεδίῳ· πάντες γὰρ
οἱ ἄνθρωποι καὶ τὰ κτήνη ὅσα ἐὰν εὑρεθῇ ἐν τοῖς πεδίοις καὶ μὴ εἰσέλθῃ εἰς
οἰκίαν, πέσῃ δὲ ἐπ᾽ αὐτὰ ἡ χάλαζα, τελευτήσει. [20] ὁ φοβούμενος τὸ ῥῆμα κυ- 20
ρίου τῶν θεραπόντων Φαραὼ συνήγαγε τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους· [21] ὃς 21
δὲ μὴ προσέσχε τῇ διανοίᾳ εἰς τὸ ῥῆμα κυρίου, ἀφῆκε τὰ κτήνη ἐν τοῖς πεδίοις.
[22] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν, καὶ 22
ἔσται χάλαζα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου, ἐπί τε τοὺς ἀνθρώπους καὶ τὰ κτήνη
Ἀp. 8, 7. καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν ἐπὶ τῆς γῆς. [23] ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν 23
οὐρανόν, καὶ κύριος ἔδωκε φωνὰς καὶ χάλαζαν, καὶ διέτρεχε τὸ πῦρ ἐπὶ τῆς
γῆς· καὶ ἔβρεξε κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου. [24] ἦν δὲ ἡ χάλαζα καὶ 24
τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ· ἡ δὲ χάλαζα πολλὴ σφόδρα, ἥτις τοιαύτη οὐ
γέγονεν ἐν Αἰγύπτῳ ἀφ᾽ ἧς ἡμέρας γεγένηται ἐπ᾽ αὐτῆς ἔθνος. [25] ἐπάταξε δὲ ἡ 25
χάλαζα ἐν πάσῃ γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ πᾶσαν βοτάνην
τὴν ἐν τῷ πεδίῳ ἐπάταξεν ἡ χάλαζα, καὶ πάντα τὰ ξύλα τὰ ἐν τοῖς πεδίοις
συνέτριψεν ἡ χάλαζα· [26] πλὴν ἐν γῇ Γεσέμ, οὗ ἦσαν οἱ υἱοὶ Ἰσραήλ, οὐκ ἐγέ- 26
νετο ἡ χάλαζα. [27] ἀποστείλας δὲ Φαραὼ ἐκάλεσε Μωυσῆν καὶ Ἀαρὼν καὶ εἶπεν 27
αὐτοῖς Ἡμάρτηκα τὸ νῦν· ὁ κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς.
[28] εὔξασθε οὖν περὶ ἐμοῦ πρὸς κύριον, καὶ παυσάσθω τοῦ γενηθῆναι φωνὰς 28
θεοῦ καὶ χάλαζαν καὶ πῦρ· καὶ ἐξαποστελῶ ὑμᾶς, καὶ οὐκέτι προστεθήσεσθε
μένειν. [29] εἶπε δὲ αὐτῷ Μωυσῆς Ὡς ἂν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖ- 29
ράς μου πρὸς τὸν κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς
*1 Co. 10, 26. οὐκ ἔσται ἔτι· ἵνα γνῷς ὅτι τοῦ κυρίου ἡ γῆ. [30] καὶ σὺ καὶ οἱ θεράποντές σου 30
ἐπίσταμαι ὅτι οὐδέπω πεφόβησθε τὸν κύριον. [31] τὸ δὲ λίνον καὶ ἡ κριθὴ ἐπλήγη· 31
ἡ γὰρ κριθὴ παρεστηκυῖα, τὸ δὲ λίνον σπερματίζον· [32] ὁ δὲ πυρὸς καὶ ἡ ὀλύρα 32
οὐκ ἐπλήγησαν, ὄψιμα γὰρ ἦν. [33] ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ ἐκτὸς τῆς 33
πόλεως καὶ ἐξέτεινε τὰς χεῖρας πρὸς κύριον· καὶ αἱ φωναὶ ἐπαύσαντο, καὶ ἡ
χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσταξεν ἔτι ἐπὶ τὴν γῆν. [34] ἰδὼν δὲ Φαραὼ ὅτι πέπαυ- 34
ται ὁ ὑετὸς καὶ ἡ χάλαζα καὶ αἱ φωναί, προσέθετο τοῦ ἁμαρτάνειν, καὶ ἐβά-
ρυνεν αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ. [35] καὶ ἐσκληρύνθη ἡ καρ- 35
δία Φαραώ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ, καθάπερ ἐλάλησε κύριος
τῷ Μωυσῇ.

---

14. om αλλος 15. τ. χειρ. μου ... * θανατω pro θανατωσω και (?) ... δυναμιν pro ισχυν 17. ενποιη συ 18. υων 19. σου οσα σοι εισιν εν ... ** οσα αν ευρεθη (* οσα σοι εστιν?) ... εν τω πεδιω ... η χαλαζα επ αυτα 21. εν τω πεδιω 24. σφοδρα σφοδρα ... ητις ου γεγ. τοιαυτη ... αφ ου γεγενηται 25. γη αιγυπτω ... * om η χαλαζα extremum 28. om περι εμου ... * om και πυρ ... προσθησεσθε 29. προς τον θεον εις τον ουρανον, και αι 31. παρεστηκ. και το λινον 32. επληγη 33. κ. εξεπετασεν τ. χ. αυτου ... εσταξαν 34. την καρδ. αυτου 35. om τω

Digitized by Google

## X.

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν λέγων Εἴςελθε πρὸς Φαραώ· ἐγὼ γὰρ ἐσκλή-
ρυνα αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἑξῆς ἐπέλθῃ τὰ σημεῖα
2 ταῦτα ἐπ' αὐτούς· [2] ὅπως διηγήσησθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν καὶ τοῖς
τέκνοις τῶν τέκνων ὑμῶν ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις, καὶ τὰ σημεῖά μου
3 ἃ ἐποίησα ἐν αὐτοῖς, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος. [3] εἰςῆλθε δὲ Μωυσῆς καὶ
Ἀαρὼν ἐναντίον Φαραὼ καὶ εἶπαν αὐτῷ Τάδε λέγει κύριος ὁ θεὸς τῶν Ἑβραίων
Ἕως τίνος οὐ βούλει ἐντραπῆναί με; ἐξαπόστειλον τὸν λαόν μου ἵνα λατρεύσωσί
4 μοι. [4] ἐὰν δὲ μὴ θέλῃς σὺ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπάγω ταύτην
5 τὴν ὥραν αὔριον ἀκρίδα πολλὴν ἐπὶ πάντα τὰ ὅριά σου· [5] καὶ καλύψει τὴν ὄψιν
τῆς γῆς, καὶ οὐ δυνήσῃ κατιδεῖν τὴν γῆν· καὶ κατέδεται πᾶν τὸ περισσὸν τῆς
γῆς τὸ καταλειφθέν, ὃ κατέλιπεν ὑμῖν ἡ χάλαζα, καὶ κατέδεται πᾶν ξύλον τὸ
6 φυόμενον ὑμῖν ἐπὶ τῆς γῆς· [6] καὶ πλησθήσονταί σου αἱ οἰκίαι καὶ αἱ οἰκίαι τῶν
θεραπόντων σου καὶ πᾶσαι αἱ οἰκίαι ἐν πάσῃ γῇ τῶν Αἰγυπτίων, ἃ οὐδέποτε
ἑωράκασιν οἱ πατέρες σου οὐδ' οἱ πρόπαπποι αὐτῶν, ἀφ' ἧς ἡμέρας γεγόνασιν
ἐπὶ τῆς γῆς ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκκλίνας Μωυσῆς ἐξῆλθεν ἀπὸ Φαραώ.
7 [7] καὶ λέγουσιν οἱ θεράποντες Φαραὼ πρὸς αὐτόν Ἕως τίνος ἔσται τοῦτο ἡμῖν
σκῶλον; ἐξαπόστειλον τοὺς ἀνθρώπους ὅπως λατρεύσωσι τῷ θεῷ αὐτῶν· ἢ εἰδέ-
8 ναι βούλει ὅτι ἀπόλωλεν Αἴγυπτος; [8] καὶ ἀπέστρεψαν τόν τε Μωυσῆν καὶ Ἀα-
ρὼν πρὸς Φαραώ, καὶ εἶπεν αὐτοῖς Πορεύεσθε καὶ λατρεύσατε κυρίῳ τῷ θεῷ
9 ὑμῶν· τίνες δὲ καὶ τίνες εἰσὶν οἱ πορευόμενοι; [9] καὶ λέγει Μωυσῆς Σὺν τοῖς
νεανίσκοις καὶ πρεσβυτέροις πορευσόμεθα, σὺν τοῖς υἱοῖς καὶ θυγατράσι καὶ
10 προβάτοις καὶ βουσὶν ἡμῶν· ἔστι γὰρ ἑορτὴ κυρίου. [10] καὶ εἶπε πρὸς αὐτούς
Ἔστω οὕτω κύριος μεθ' ὑμῶν· καθότι ἀποστέλλω ὑμᾶς, μὴ καὶ τὴν ἀποσκευὴν
11 ὑμῶν; ἴδετε ὅτι πονηρία πρόσκειται ὑμῖν. [11] μὴ οὕτως· πορευέσθωσαν δὲ οἱ
ἄνδρες καὶ λατρευσάτωσαν τῷ θεῷ· τοῦτο γὰρ αὐτοὶ ἐκζητεῖτε. ἐξέβαλον δὲ
12 αὐτοὺς ἀπὸ προσώπου Φαραώ. [12] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν
χεῖρα ἐπὶ γῆν Αἰγύπτου, καὶ ἀναβήτω ἀκρὶς ἐπὶ τὴν γῆν, καὶ κατέδεται πᾶσαν
13 βοτάνην τῆς γῆς καὶ πάντα τὸν καρπὸν τῶν ξύλων ὃν ὑπελίπετο ἡ χάλαζα. [13] καὶ
ἐπῆρε Μωυσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανόν, καὶ κύριος ἐπήγαγεν ἄνεμον νότον
ἐπὶ τὴν γῆν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα· τὸ πρωὶ ἐγενήθη καὶ
14 ὁ ἄνεμος ὁ νότος ἀνέλαβε τὴν ἀκρίδα [14] καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν γῆν Αἰ-
γύπτου, καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια Αἰγύπτου πολλὴ σφόδρα· προτέρα
15 αὐτῆς οὐ γέγονε τοιαύτη ἀκρὶς καὶ μετὰ ταῦτα οὐχ ἔσται οὕτως. [15] καὶ ἐκάλυψε
τὴν ὄψιν τῆς γῆς, καὶ ἐφθάρη ἡ γῆ· καὶ κατέφαγε πᾶσαν βοτάνην τῆς γῆς καὶ
πάντα τὸν καρπὸν τῶν ξύλων ὃς ὑπελείφθη ἀπὸ τῆς χαλάζης· οὐχ ὑπελείφθη
χλωρὸν οὐδὲν ἐν τοῖς ξύλοις καὶ ἐν πάσῃ βοτάνῃ τοῦ πεδίου ἐν πάσῃ γῇ Αἰγύ-
16 πτου. [16] κατέσπευδε δὲ Φαραὼ καλέσαι Μωυσῆν καὶ Ἀαρὼν λέγων Ἡμάρτηκα
17 ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν καὶ εἰς ὑμᾶς· [17] προσδέξασθε οὖν μου τὴν ἁμαρ-
τίαν ἔτι νῦν, καὶ προσεύξασθε πρὸς κύριον τὸν θεὸν ὑμῶν, καὶ περιελέτω ἀπ'
18 ἐμοῦ τὸν θάνατον τοῦτον. [18] ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ καὶ ηὔξατο πρὸς
19 τὸν θεόν. [19] καὶ μετέβαλε κύριος ἄνεμον ἀπὸ θαλάσσης σφοδρόν, καὶ ἀνέλαβε

---

X. 1. εβαρυνα την καρδ. αυτου ... τα σημ. μου ταυτα 2. ενπεπαιχα ... οσα εποιησα ... εγω ειμι κυρ. 4. om συ ... ακριδαν 5. om της γης ... κατελειπεν .. παν το ξυλ. 6. γη αιγυπτου, ο ουδεποτε ... om μωυσης 7. λεγουσιν δε ... * εσται ημιν, ** εσται ημιν τουτο ... κυριω τω θ. αυτ. 8. επεστρεψαν ... αυτοις φαραω Πορευεσθε λατρευσ. 9. λεγει δε ... νεαν. ημων κ. τοις πρεσβυταις ... κυριου του θεου ημων 10. ** ειπεν φαραω προς ... ουτως ... προκειται 11. om δε ... λατρευσατε τω κυριω ... ζητειτε 12. τ. χειρα σου ... α υπελειπετο 13. om ανεμον 14. και μετ αυτην ουκ 15. ου κατελειφθη χλωρ. 18. προς κυριον 19. κυρ. απο θαλασσ. ανεμον ...

Digitized by Google

τὴν ἀκρίδα καὶ ἔβαλεν αὐτὴν εἰς τὴν ἐρυθρὰν θάλασσαν· καὶ οὐχ ὑπελείφθη
ἀκρὶς μία ἐν πάσῃ γῇ Αἰγύπτου. [20] καὶ ἐσκλήρυνε κύριος τὴν καρδίαν Φαραώ, 20
καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ. [21] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἔκτει- 21
νον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν, καὶ γενηθήτω σκότος ἐπὶ γῆς Αἰγύπτου, ψη-
λαφητὸν σκότος. [22] ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν, καὶ ἐγένετο 22
σκότος γνόφος θύελλα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου τρεῖς ἡμέρας· [23] καὶ οὐκ εἶδεν 23
οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ τρεῖς ἡμέρας, καὶ οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης
αὐτοῦ τρεῖς ἡμέρας· πᾶσι δὲ τοῖς υἱοῖς Ἰσραὴλ φῶς ἦν ἐν πᾶσιν οἷς κατεγίνοντο.
[24] καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν λέγων Βαδίζετε λατρεύσατε κυρίῳ 24
τῷ θεῷ ὑμῶν· πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑπολείπεσθε, καὶ ἡ ἀποσκευὴ
ὑμῶν ἀποτρεχέτω μεθ' ὑμῶν. [25] καὶ εἶπε Μωυσῆς Ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν 25
ὁλοκαυτώματα καὶ θυσίας ἃ ποιήσομεν κυρίῳ τῷ θεῷ ἡμῶν, [26] καὶ τὰ κτήνη 26
ἡμῶν πορεύσεται μεθ' ἡμῶν, καὶ οὐχ ὑπολειψόμεθα ὁπλήν· ἀπ' αὐτῶν γὰρ
ληψόμεθα λατρεῦσαι κυρίῳ τῷ θεῷ ἡμῶν· ἡμεῖς δὲ οὐκ οἴδαμεν τί λατρεύσο-
μεν κυρίῳ τῷ θεῷ ἡμῶν ἕως τοῦ ἐλθεῖν ἡμᾶς ἐκεῖ. [27] ἐσκλήρυνε δὲ κύριος τὴν 27
καρδίαν Φαραώ, καὶ οὐκ ἐβουλήθη ἐξαποστεῖλαι αὐτούς. [28] καὶ λέγει Φαραὼ 28
Ἄπελθε ἀπ' ἐμοῦ, πρόσεχε σεαυτῷ ἔτι προσθεῖναι ἰδεῖν μου τὸ πρόσωπον· ᾗ δ'
ἂν ἡμέρᾳ ὀφθῇς μοι, ἀποθανῇ. [29] λέγει δὲ Μωυσῆς Εἴρηκας· οὐκ ἔτι ὀφθήσο- 29
μαί σοι εἰς πρόσωπον.

## XI.

Εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἔτι μίαν πληγὴν ἐγὼ ἐπάξω ἐπὶ Φαραὼ καὶ
ἐπ' Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς ἐντεῦθεν· ὅταν δὲ ἐξαποστέλλῃ
ὑμᾶς σὺν παντί, ἐκβαλεῖ ὑμᾶς ἐκβολῇ. [2] λάλησον οὖν κρυφῇ εἰς τὰ ὦτα τοῦ 2
λαοῦ, καὶ αἰτησάτω ἕκαστος παρὰ τοῦ πλησίον σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ
ἱματισμόν. [3] κύριος δὲ ἔδωκε τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων, 3
καὶ ἔχρησαν αὐτοῖς· καὶ ὁ ἄνθρωπος Μωυσῆς μέγας ἐγενήθη σφόδρα ἐναντίον
τῶν Αἰγυπτίων καὶ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ. [4] καὶ 4
εἶπε Μωυσῆς Τάδε λέγει κύριος Περὶ μέσας νύκτας ἐγὼ εἰςπορεύομαι εἰς μέσον
Αἰγύπτου, [5] καὶ τελευτήσει πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκου 5
Φαραώ, ὃς κάθηται ἐπὶ τοῦ θρόνου, καὶ ἕως πρωτοτόκου τῆς θεραπαίνης τῆς
παρὰ τὸν μύλον καὶ ἕως πρωτοτόκου παντὸς κτήνους· [6] καὶ ἔσται κραυγὴ με- 6
γάλη κατὰ πᾶσαν γῆν Αἰγύπτου, ἥτις τοιαύτη οὐ γέγονε καὶ τοιαύτη οὐκ ἔτι
προστεθήσεται. [7] καὶ ἐν πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐ- 7
τοῦ, ἀπὸ ἀνθρώπου ἕως κτήνους· ὅπως εἰδῇς ὅσα παραδοξάσει κύριος ἀνὰ μέ-
σον τῶν Αἰγυπτίων καὶ τοῦ Ἰσραήλ. [8] καὶ καταβήσονται πάντες οἱ παῖδές σου 8
οὗτοι πρὸς μὲ καὶ προςκυνήσουσί με λέγοντες Ἔξελθε σὺ καὶ πᾶς ὁ λαός σου
οὗ σὺ ἀφηγῇ· καὶ μετὰ ταῦτα ἐξελεύσομαι. ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ
μετὰ θυμοῦ. [9] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Οὐκ εἰςακούσεται ὑμῶν Φαραὼ ἵνα 9
πληθύνων πληθύνω μου τὰ σημεῖα καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ. [10] Μωυσῆς 10
δὲ καὶ Ἀαρὼν ἐποίησαν πάντα τὰ σημεῖα καὶ τὰ τέρατα ταῦτα ἐν γῇ Αἰγύπτῳ
ἐναντίον Φαραώ· ἐσκλήρυνε δὲ κύριος τὴν καρδίαν Φαραώ, καὶ οὐκ εἰςήκουσεν
ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

19. και ενεβαλεν αυτην ε. τ. θαλασσ. την ερυθρ. 21. επι γην 22. τ. χειρα αυτου 23. ουχ ειδεν ... om τρεις ημερ. prius ... ανεστη ... ην φως ... κατεγεινοντο 25. ποιησωμεν 26. λημψομεθα ... λατρευσωμεν 28. αυτω φαραω ... ειδειν XI. 1. om εγω ... δε αποστελλη ... εκβολη εκβαλει υμας 2. πλησιον, και γυνη παρα της πλησιον 5. θρονου, εως του πρωτοτ. 7. εν δε πασιν ... ανα μεσον αιγυπτ. κ. ανα μεσον του ισρ. 9. om πληθυνων ... τα σημ. μου κ. τα τερ. μου 10. * om τα σημεια και (?), ** add τα σημεια και ante παντα τα τερ. ... * om εν γη αιγυπτω (?) ... ηθελησεν prο εισηκουσεν ... εκ της γης αυτου

Digitized by Google

## XII.

2 Εἶπε δὲ κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου λέγων [2] Ὁ μὴν
3 οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. [3] λάλη-
σον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου
λαβέτωσαν ἕκαστος πρόβατον κατ᾽ οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ᾽
4 οἰκίαν. [4] ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ ὥστε μὴ εἶναι ἱκανοὺς εἰς πρόβατον,
συλλήψεται μεθ᾽ ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ· κατὰ ἀριθμὸν ψυχῶν
5 ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον. [5] πρόβατον τέλειον, ἄρ-
6 σεν, ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων λήψεσθε. [6] καὶ ἔσται
ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεςκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφά-
7 ξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν. [7] καὶ λήψον-
ται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν καὶ ἐπὶ τὴν φλιάν,
8 ἐν τοῖς οἴκοις ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν αὐτοῖς. [8] καὶ φάγονται τὰ κρέα τῇ
9 νυκτὶ ταύτῃ ὀπτὰ πυρί, καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. [9] οὐκ ἔδεσθε ἀπ᾽ αὐ-
τῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι ἀλλ᾽ ἢ ὀπτὰ πυρί, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ
10 τοῖς ἐνδοσθίοις. [10] οὐκ ἀπολείψετε ἀπ᾽ αὐτοῦ ἕως πρωί, καὶ ὀστοῦν οὐ συντρί-
ψετε ἀπ᾽ αὐτοῦ· τὰ δὲ καταλειπόμενα ἀπ᾽ αὐτοῦ ἕως πρωὶ ἐν πυρὶ κατακαύ-
11 σετε. [11] οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑπο-
δήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε
12 αὐτὸ μετὰ σπουδῆς· πάσχα ἐστὶ κυρίῳ. [12] καὶ διελεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν
τῇ νυκτὶ ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως
κτήνους, καὶ ἐν πᾶσι τοῖς θεοῖς τῶν Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν, ἐγὼ κύ-
13 ριος. [13] καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν ἐν αἷς ὑμεῖς ἐστὲ
ἐκεῖ· καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ
14 τοῦ ἐκτριβῆναι ὅταν παίω ἐν γῇ Αἰγύπτῳ. [14] καὶ ἔσται ἡ ἡμέρα ὑμῖν αὕτη μνη-
μόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν κυρίῳ εἰς πάσας τὰς γενεὰς ὑμῶν· νόμι-
15 μον αἰώνιον ἑορτάσετε αὐτήν. [15] ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς ἡμέ-
ρας τῆς πρώτης ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν· πᾶς ὃς ἂν φάγῃ ζύμην,
ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως
16 τῆς ἡμέρας τῆς ἑβδόμης. [16] καὶ ἡ ἡμέρα ἡ πρώτη κληθήσεται ἁγία, καὶ ἡ
ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν
αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν.
17 [17] καὶ φυλάξετε τὴν ἐντολὴν ταύτην· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν
ὑμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς γενεὰς ὑμῶν νόμι-
18 μον αἰώνιον· [18] ἐναρχόμενοι τῇ τεσσαρεςκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώ-
του ἀφ᾽ ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως
19 ἑσπέρας. [19] ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν· πᾶς ὃς
ἂν φάγῃ ζυμωτόν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς Ἰσραήλ, ἔν
20 τε τοῖς γειώραις καὶ αὐτόχθοσι τῆς γῆς· [20] πᾶν ζυμωτὸν οὐκ ἔδεσθε, ἐν παντὶ
21 δὲ κατοικητηρίῳ ὑμῶν ἔδεσθε ἄζυμα. [21] ἐκάλεσε δὲ Μωυσῆς πᾶσαν γερουσίαν
υἱῶν Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς Ἀπελθόντες λάβετε ὑμῖν αὐτοῖς πρόβατον *He. 11, 28.

---

XII. 1. εν γη αιγυπτω 3. * om εκαστος secundum (?) 4. ωσιν οι εν ... ικανους ειναι ... συλλημψεται 5. αμνων pro αρνων ... λημψεσθε 6. των υιων 7. λημψονται ... φλειαν ... αν φαγωσιν αυτο 10. απολειψεσθε ... εις το πρωι ... συντριψεται et κατακαυσεται 11. ουτως ... υποδημ. υμων ... βακτηρ. υμων ... εστιν κυριου 12. πασι θεοις αιγυπτιων 13. κατοικειτε pro εστε 14. αυτη υμιν ... om πασας ... om νομιμον αιωνιον 15. δε της πρωτης ημερας ... εξολεθρευθησεται 16. κεκλησεται ... ου ποιησεται εν 17. φυλαξασθε ... ε. γ. υ. νομ. αιων. εις τας γενεας υμων 18. εναρχομενου ... om εως ante εσπερας 19. εξολεθρευθησεται 20. om δε 21. om υιων ... προβατα

Digitized by Google

κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα. [22] λήψεσθε δὲ δέσμην ὑσσώπου, 22
καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν καθίξετε τῆς φλιᾶς καὶ ἐπ᾽
ἀμφοτέρων τῶν σταθμῶν, ἀπὸ τοῦ αἵματος ὅ ἐστι παρὰ τὴν θύραν· ὑμεῖς δὲ
οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ. [23] καὶ παρελεύ- 23
σεται κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ
*He. 11, 28. ἐπ᾽ ἀμφοτέρων τῶν σταθμῶν· καὶ παρελεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφή-
σει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. [24] καὶ φυλάξασθε τὸ 24
ῥῆμα τοῦτο νόμιμον σεαυτῷ καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος. [25] ἐὰν δὲ εἰσέλθητε 25
εἰς τὴν γῆν ἣν ἂν δῷ κύριος ὑμῖν καθότι ἐλάλησε, φυλάξασθε τὴν λατρείαν ταύ-
την· [26] καὶ ἔσται ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν Τίς ἡ λατρεία αὕτη; 26
[27] καὶ ἐρεῖτε αὐτοῖς Θυσία τὸ πάσχα τοῦτο κυρίῳ, ὡς ἐσκέπασε τοὺς οἴκους τῶν 27
υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴκους ἡμῶν
ἐρρύσατο· καὶ κύψας ὁ λαὸς προσεκύνησε. [28] καὶ ἀπελθόντες ἐποίησαν οἱ υἱοὶ 28
Ἰσραὴλ καθὰ ἐνετείλατο κύριος τῷ Μωυσῇ καὶ Ἀαρών, οὕτως ἐποίησαν. [29] ἐγε- 29
νήθη δὲ μεσούσης τῆς νυκτὸς καὶ κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύ-
πτῳ, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου ἕως πρωτοτόκου
τῆς αἰχμαλωτίδος τῆς ἐν τῷ λάκκῳ, καὶ ἕως πρωτοτόκου παντὸς κτήνους.
[30] καὶ ἀναστὰς Φαραὼ νυκτὸς καὶ οἱ θεράποντες αὐτοῦ καὶ πάντες οἱ Αἰγύπτιοι, 30
καὶ ἐγενήθη κραυγὴ μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτῳ· οὐ γὰρ ἦν οἰκία ἐν ᾗ οὐκ ἦν
ἐν αὐτῇ τεθνηκώς. [31] καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν νυκτὸς καὶ εἶπεν 31
αὐτοῖς Ἀνάστητε καὶ ἐξέλθατε ἐκ τοῦ λαοῦ μου, καὶ ὑμεῖς καὶ οἱ υἱοὶ Ἰσραήλ·
βαδίζετε καὶ λατρεύσατε κυρίῳ τῷ θεῷ ὑμῶν καθὰ λέγετε· [32] καὶ τὰ πρόβατα 32
καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, εὐλογήσατε δὴ κἀμέ. [33] καὶ κατε- 33
βιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς· εἶπαν γὰρ
ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν. [34] ἀνέλαβε δὲ ὁ λαὸς τὸ σταῖς αὐτῶν πρὸ τοῦ 34
ζυμωθῆναι τὰ φυράματα αὐτῶν ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν ἐπὶ τῶν
ὤμων. [35] οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθὰ συνέταξεν αὐτοῖς Μωυσῆς, καὶ ᾔτη- 35
σαν παρὰ τῶν Αἰγυπτίων σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν. [36] καὶ ἔδωκε 36
κύριος τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἔχρησαν αὐτοῖς·
καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους. [37] ἀπάραντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς 37
Σοκχὼθ εἰς ἑξακοσίας χιλιάδας πεζῶν οἱ ἄνδρες, πλὴν τῆς ἀποσκευῆς· [38] καὶ 38
ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες καὶ κτήνη πολλὰ σφό-
δρα. [39] καὶ ἔπεψαν τὸ σταῖς ὃ ἐξήνεγκαν ἐξ Αἰγύπτου ἐγκρυφίας ἀζύμους, οὐ 39
γὰρ ἐζυμώθη· ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἠδυνήθησαν ἐπιμεῖ-
*Ga. 3, ναι, οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν. [40] ἡ δὲ κατοίκησις τῶν 40
17. *Act. υἱῶν Ἰσραὴλ ἣν κατῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν ἔτη τετρακόσια
7, 6. *He. 11, τριάκοντα· [41] καὶ ἐγένετο μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη ἐξῆλθε πᾶσα ἡ 41
27. δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός. [42] προφυλακή ἐστι τῷ κυρίῳ ὥστε 42
ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ἐκείνη ἡ νὺξ αὕτη προφυλακὴ κυρίῳ,
ὥστε πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἶναι εἰς γενεὰς αὐτῶν. [43] εἶπε δὲ κύριος πρὸς 43
Μωυσῆν καὶ Ἀαρών Οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ᾽ 44
αὐτοῦ· [44] καὶ πάντα οἰκέτην ἢ ἀργυρώνητον περιτεμεῖς αὐτόν, καὶ τότε φάγε-
ται ἀπ᾽ αὐτοῦ· [45] πάροικος ἢ μισθωτὸς οὐκ ἔδεται ἀπ᾽ αὐτοῦ. [46] ἐν οἰκίᾳ μιᾷ 45 46

---

22. λημψεσθε ... απο της φλειας 23. φλειας ... ολεθρευοντα 24. νομ. αιωνιον σεαυτω 28. om και ααρων 29. θρονου και εως ... λακκω και παν πρωτοτοκον κτηνους 30. και ανεστη ... κ. παντες οι θεραπ. 31. βαδιζετε λατρευετε 32. δε καμε 33. απο της γης 35. χρυσα και αργυρα 36. κυριος εδωκεν 37. απηραν δε οι υιοι ... πλην αποσκευης 39. ου γαρ εδυνασθησαν υπομειναι 40. παροικησις ... παρωκησαν ... χανααν αυτοι και οι πατερες αυτων ετη 41. εγενετο δε ... om νυκτος 44. οικετην τινος και αργυρ. 45. παρ. και μισθ.

Digitized by Google

βρωθήσεται, καὶ οὐκ ἐξοίσετε ἐκ τῆς οἰκίας τῶν κρεῶν ἔξω, καὶ ὀστοῦν οὐ συν- Jo. 19, 36.
47 48 τρίψετε ἀπ' αὐτοῦ. [47] πᾶσα *συναγωγὴ υἱῶν Ἰσραὴλ ποιήσει αὐτό. [48] ἐὰν δέ
τις προςέλθῃ πρὸς ὑμᾶς προςήλυτος ποιῆσαι τὸ πάσχα κυρίῳ, περιτεμεῖς αὐτοῦ
πᾶν ἀρσενικόν· καὶ τότε προςελεύσεται ποιῆσαι αὐτό, καὶ ἔσται ὥςπερ καὶ ὁ
49 αὐτόχθων τῆς γῆς· πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ. [49] νόμος εἷς ἔσται
50 τῷ ἐγχωρίῳ καὶ τῷ προςελθόντι προςηλύτῳ ἐν ὑμῖν. [50] καὶ ἐποίησαν οἱ υἱοὶ
51 Ἰσραὴλ καθὰ ἐνετείλατο κύριος τῷ Μωυσῇ καὶ Ἀαρὼν πρὸς αὐτούς, οὕτως
ἐποίησαν. [51] καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξήγαγε κύριος τοὺς υἱοὺς Ἰσραὴλ
ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν.

## XIII.

2 Εἶπε δὲ κύριος πρὸς Μωυσῆν λέγων [2] Ἁγίασόν μοι πᾶν πρωτότοκον πρω- Lc. 2, 23.
τογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ ἀνθρώπου ἕως κτή-
3 νους, ἐμοί ἐστιν. [3] εἶπε δὲ Μωυσῆς πρὸς τὸν λαόν Μνημονεύετε τὴν ἡμέραν
ταύτην ἐν ᾗ ἐξήλθατε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· ἐν γὰρ χειρὶ κρα-
4 ταιᾷ ἐξήγαγεν ὑμᾶς κύριος ἐντεῦθεν· καὶ οὐ βρωθήσεται ζύμη. [4] ἐν γὰρ τῇ σή-
5 μερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων. [5] καὶ ἔσται ἡνίκα ἐὰν εἰσαγάγῃ σε
κύριος ὁ θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ
Εὐαίων καὶ Ἰεβουσαίων καὶ Γεργεσαίων καὶ Φερεζαίων, ἣν ὤμοσε τοῖς πατράσι
σου δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ ποιήσεις τὴν λατρείαν ταύτην ἐν
6 τῷ μηνὶ τούτῳ. [6] ἓξ ἡμέρας ἔδεσθε ἄζυμα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ κυ-
7 ρίου· [7] ἄζυμα ἔδεσθε ἑπτὰ ἡμέρας, οὐκ ὀφθήσεταί σοι ζυμωτὸν οὐδὲ ἔσται σοι
8 ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου. [8] καὶ ἀναγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
λέγων Διὰ τοῦτο ἐποίησε κύριος ὁ θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου.
9 [9] καὶ ἔσται σοι σημεῖον ἐπὶ τῆς χειρός σου καὶ μνημόσυνον πρὸ ὀφθαλμῶν σου,
ὅπως ἂν γένηται ὁ νόμος κυρίου ἐν τῷ στόματί σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξή-
10 γαγέ σε κύριος ὁ θεὸς ἐξ Αἰγύπτου. [10] καὶ φυλάξασθε τὸν νόμον τοῦτον κατὰ
11 καιροὺς ὡρῶν, ἀφ' ἡμερῶν εἰς ἡμέρας. [11] καὶ ἔσται ὡς ἂν εἰσαγάγῃ σε κύριος
ὁ θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ
12 δώσει σοι αὐτήν, [12] καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ·
πᾶν διανοῖγον μήτραν ἐκ βουκολίων ἢ ἐν τοῖς κτήνεσί σου ὅσα ἐὰν γένηταί σοι,
13 τὰ ἀρσενικὰ ἁγιάσεις τῷ κυρίῳ. [13] πᾶν διανοῖγον μήτραν ὄνου ἀλλάξεις προ-
βάτῳ· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό· πᾶν πρωτότοκον ἀνθρώπου τῶν υἱῶν
14 σου λυτρώσῃ. [14] ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων Τί τοῦτο; καὶ
ἐρεῖς αὐτῷ ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγε κύριος ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἐξ
15 οἴκου δουλείας· [15] ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε
πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων
κτηνῶν· διὰ τοῦτο ἐγὼ θύω πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ, καὶ
16 πᾶν πρωτότοκον τῶν υἱῶν μου λυτρώσομαι. [16] καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χει-
ρός σου, καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε
17 κύριος ἐξ Αἰγύπτου. [17] ὡς δὲ ἐξαπέστειλε Φαραὼ τὸν λαόν, οὐχ ὡδήγησεν αὐ-
τοὺς ὁ θεὸς ὁδὸν γῆς Φυλιστιείμ, ὅτι ἐγγὺς ἦν· εἶπε γὰρ ὁ θεός Μή ποτε μετα-
18 μελήσῃ τῷ λαῷ ἰδόντι πόλεμον, καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον. [18] καὶ ἐκύκλωσεν
ὁ θεὸς τὸν λαὸν ὁδὸν τὴν εἰς τὴν ἔρημον, εἰς τὴν ἐρυθρὰν θάλασσαν· πέμπτη

46. βρωθησεται· ου καταλειψετε απο των κρεων εις το πρωι· ουκ εξοισετε ... συντριψεται 47. ποιησει τουτο 48. προςηλ. και ποιη το ... ωςπερ ο αυτοχθ. 49. εγχωρ. και τω προςηλυτω τω προςκειμενω εν υμιν 50. ο κυριος ... om προς αυτους XIII. 2. πρωτ. και διαν. 3. εξ αιγυπτου 7. τας επτα ημερας 9. om ο θεος 11. και δω σοι 12. και αφοριεις παν ... ** τα αρσ. αγιασεις τω ... βουκ. και εν ... οσα αν ... * om αγιασεις (?) 14. ημας κυριος 15. απο πρωτοτοκου α. εως πρωτοτοκου ... θυω τω θεω ... om τω κυριω 17. αποστρεψει

Digitized by Google

δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου. [19] καὶ ἔλαβε Μωυσῆς τὰ 19
ὀστᾶ Ἰωσὴφ μεϑ' ἑαυτοῦ· ὅρκῳ γὰρ ὥρκισε τοὺς υἱοὺς Ἰσραὴλ λέγων Ἐπι-
σκοπῇ ἐπισκέψεται ὑμᾶς κύριος, καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦϑεν μεϑ'
ὑμῶν. [20] ἐξάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼϑ ἐστρατοπέδευσαν ἐν Ὀϑὼμ 20
*1Co. 10, παρὰ τὴν ἔρημον. [21] ὁ δὲ ϑεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης 21
1. δεῖξαι αὐτοῖς τὴν ὁδόν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός· [22] οὐκ ἐξέλιπε δὲ ὁ στῦ- 22
λος τῆς νεφέλης ἡμέρας καὶ ὁ στῦλος τοῦ πυρὸς νυκτὸς ἐναντίον τοῦ λαοῦ παντός.

## XIV.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ 2
ἀποστρέψαντες στρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐπαύλεως, ἀνὰ μέσον Μαγ-
δώλου καὶ ἀνὰ μέσον τῆς ϑαλάσσης, ἐξεναντίας Βεελσεπφῶν· ἐνώπιον αὐτῶν
στρατοπεδεύσεις ἐπὶ τῆς ϑαλάσσης. [3] καὶ ἐρεῖ Φαραὼ τῷ λαῷ αὐτοῦ Οἱ υἱοὶ 3
Ἰσραὴλ πλανῶνται οὗτοι ἐν τῇ γῇ· συγκέκλεικε γὰρ αὐτοὺς ἡ ἔρημος. [4] ἐγὼ δὲ 4
σκληρυνῶ τὴν καρδίαν Φαραώ, καὶ καταδιώξεται ὀπίσω αὐτῶν· καὶ ἐνδοξα-
σϑήσομαι ἐν Φαραῷ καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ γνώσονται πάντες οἱ
Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος. καὶ ἐποίησαν οὕτως. [5] καὶ ἀνηγγέλη τῷ βασιλεῖ 5
τῶν Αἰγυπτίων ὅτι πέφευγεν ὁ λαός· καὶ μετεστράφη ἡ καρδία Φαραὼ καὶ τῶν
ϑεραπόντων αὐτοῦ ἐπὶ τὸν λαόν, καὶ εἶπαν Τί τοῦτο ἐποιήσαμεν τοῦ ἐξαποστεῖ-
λαι τοὺς υἱοὺς Ἰσραὴλ τοῦ μὴ δουλεύειν ἡμῖν; [6] ἔζευξεν οὖν Φαραὼ τὰ ἅρματα 6
αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ συναπήγαγε μεϑ' ἑαυτοῦ, [7] καὶ λαβὼν ἑξακό- 7
σια ἅρματα ἐκλεκτὰ καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων καὶ τριστάτας ἐπὶ
πάντων. [8] καὶ ἐσκλήρυνε κύριος τὴν καρδίαν Φαραὼ βασιλέως Αἰγύπτου καὶ 8
τῶν ϑεραπόντων αὐτοῦ, καὶ κατεδίωξεν ὀπίσω τῶν υἱῶν Ἰσραήλ· οἱ δὲ υἱοὶ
Ἰσραὴλ ἐξεπορεύοντο ἐν χειρὶ ὑψηλῇ. [9] καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω αὐ- 9
τῶν, καὶ εὕροσαν αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν ϑάλασσαν· καὶ πᾶσα ἡ
ἵππος καὶ τὰ ἅρματα Φαραὼ καὶ οἱ ἱππεῖς καὶ ἡ στρατιὰ αὐτοῦ ἀπέναντι τῆς
ἐπαύλεως, ἐξεναντίας Βεελσεπφῶν. [10] καὶ Φαραὼ προσῆγε· καὶ ἀναβλέψαντες 10
οἱ υἱοὶ Ἰσραὴλ τοῖς ὀφϑαλμοῖς ὁρῶσι, καὶ οἱ Αἰγύπτιοι ἐστρατοπέδευσαν ὀπίσω
αὐτῶν, καὶ ἐφοβήϑησαν σφόδρα. ἀνεβόησαν δὲ οἱ υἱοὶ Ἰσραὴλ πρὸς κύριον,
[11] καὶ εἶπαν πρὸς Μωυσῆν Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν γῇ Αἰγύπτῳ ἐξή- 11
γαγες ἡμᾶς ϑανατῶσαι ἐν τῇ ἐρήμῳ· τί τοῦτο ἐποίησας ἡμῖν ἐξαγαγὼν ἐξ Αἰ-
γύπτου; [12] οὐ τοῦτο ἦν τὸ ῥῆμα ὃ ἐλαλήσαμεν πρὸς σὲ ἐν Αἰγύπτῳ λέγοντες 12
Πάρες ἡμᾶς ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν
τοῖς Αἰγυπτίοις ἢ ἀποϑανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ. [13] εἶπε δὲ Μωυσῆς πρὸς τὸν 13
λαόν Θαρσεῖτε στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ κυρίου, ἣν ποιή-
σει ἡμῖν σήμερον· ὃν τρόπον γὰρ ἑωράκατε τοὺς Αἰγυπτίους σήμερον, οὐ προσ-
ϑήσεσϑε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον· [14] κύριος πολεμήσει περὶ ὑμῶν, 14
καὶ ὑμεῖς σιγήσετε. [15] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Τί βοᾷς πρὸς μέ; λάλησον 15
τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀναζευξάτωσαν· [16] καὶ σὺ ἔπαρον τῇ ῥάβδῳ σου, καὶ 16
ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν ϑάλασσαν καὶ ῥῆξον αὐτήν, καὶ εἰςελϑάτωσαν οἱ
υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς ϑαλάσσης κατὰ τὸ ξηρόν. [17] καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ 17
τὴν καρδίαν Φαραὼ καὶ τῶν Αἰγυπτίων πάντων, καὶ εἰςελεύσονται ὀπίσω

---

18. εξ αιγυπτου 19. κυριος υμας ... τα οστα μου 20. οϑομ 21. νυκταν 22. ουκ εξελειπεν ο στυλος ... παντ. του λαου XIV. 2. βεελσεφων 3. * om τω λαω αυτου (?) ... περι των υιων ισραηλ Πλανωνται ουτοι ... om γαρ 4. στρατεια ... επιγνωσονται 5. ανηγγ. τω φαραω λεγοντες οτι ... ειπον ... πεποιηκαμεν 7. και ελαβεν 8. 9. inde a βασιλεως usque παρεμβε omnia rescripta 8. * om βασιλ. αιγ. (?) ... ** και την καρδιαν των ϑεραπ. α. κ. κατεδιωξαν 9. ** ευρον ... βεελσεφων 10. προσηγαγεν ... * om τοις οφϑαλμοις ... και οιδε οι αιγ. 11. εξηγ. ϑανατωσαι ημας ... ημ. εξαγαγ. ημας 13. στηκετε ... την παρα τ. ϑεου 16. την ραβδον

Digitized by Google

αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ ἐν
18 τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. [18] καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι
ἐγώ εἰμι κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ καὶ ἐν τοῖς ἅρμασι καὶ ἵπποις
19 αὐτοῦ. [19] ἐξῆρε δὲ ὁ ἄγγελος τοῦ θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν
υἱῶν Ἰσραήλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης
20 ἀπὸ προσώπου αὐτῶν, καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν. [20] καὶ εἰσῆλθεν ἀνὰ μέσον
τῆς παρεμβολῆς τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς Ἰσραήλ, καὶ
ἔστη· καὶ ἐγένετο σκότος καὶ γνόφος, καὶ διῆλθεν ἡ νύξ, καὶ οὐ συνέμιξαν ἀλ-
21 λήλοις ὅλην τὴν νύκτα. [21] ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν· καὶ
ὑπήγαγε κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε
22 τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ. [22] καὶ εἰσῆλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς *1 Co. 10, 1.
μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν, καὶ τὸ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν καὶ *He. 11, 29.
23 τεῖχος ἐξ εὐωνύμων· [23] καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν
καὶ πᾶς ἵππος Φαραὼ καὶ τὰ ἅρματα καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης.
24 [24] ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ καὶ ἐπέβλεψε κύριος ἐπὶ τὴν παρεμβολὴν
τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης, καὶ συνετάραξε τὴν παρεμβολὴν
25 τῶν Αἰγυπτίων, [25] καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγεν
αὐτοὺς μετὰ βίας. καὶ εἶπαν οἱ Αἰγύπτιοι Φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ· ὁ
26 γὰρ κύριος πολεμεῖ περὶ αὐτῶν τοὺς Αἰγυπτίους. [26] εἶπε δὲ κύριος πρὸς Μωυσῆν
Ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκαταστήτω τὸ ὕδωρ καὶ
27 ἐπικαλυψάτω τοὺς Αἰγυπτίους, ἐπί τε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας. [27] ἐξέτεινε
δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν
ἐπὶ χώρας· οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ, καὶ ἐξετίναξε κύριος τοὺς Αἰ-
28 γυπτίους μέσον τῆς θαλάσσης. [28] καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρ- *He. 11, 29.
ματα καὶ τοὺς ἀναβάτας καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, τοὺς εἰσπεπορευμένους
29 ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν· καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. [29] οἱ δὲ
υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης, τὸ δὲ ὕδωρ αὐτοῖς
30 τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων. [30] καὶ ἐρρύσατο κύριος τὸν Ἰσραὴλ ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς τῶν Αἰγυπτίων· καὶ εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους
31 τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης. [31] εἶδε δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν
μεγάλην, ἃ ἐποίησε κύριος τοῖς Αἰγυπτίοις· ἐφοβήθη δὲ ὁ λαὸς τὸν κύριον, καὶ
ἐπίστευσαν τῷ θεῷ καὶ Μωυσῇ τῷ θεράποντι αὐτοῦ.

## XV.

Τότε ᾖσε Μωυσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ θεῷ, καὶ εἶπαν *Ap. 15, 3.
λέγοντες Ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην
2 ἔρριψεν εἰς θάλασσαν. [2] βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός
3 μου θεός, καὶ δοξάσω αὐτόν· θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν. [3] κύριος
4 συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ. [4] ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ
ἔρριψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας· κατεπόθησαν ἐν ἐρυθρᾷ
5 6 θαλάσσῃ. [5] πόντῳ ἐκάλυψεν αὐτούς· κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. [6] ἡ δεξιά σου, *He. 11, 29.
7 κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, κύριε, ἔθραυσεν ἐχθρούς. [7] καὶ τῷ
πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· ἀπέστειλας τὴν ὀργήν σου,
8 κατέφαγεν αὐτοὺς ὡς καλάμην. [8] καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ
ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

---

17. στρατεια 21. διεσχισθη 22. αυτοις pro αυτης 23. κατεδιωξ. δε ... εισηλθεν οπ. αυτ. πασα η ιππος ... και εισηλθον εις μεσον 24. εις pro επι 25. ηγεν ... τους αιγ. περι αυτ. 26. και επι τους αναβ. 28. om και ante ου κατελ. 29. εμμεσω 30. χειρος αιγυπτιων ... ιδεν 31. και ιδεν ισρ. ... και εφοβηθη XV. 1. * om και οι υιοι ισρ. ... ταυτην τω κυριω, και ειπαν τω λεγειν 2. ουτ. θεος μου 4. κατεποντισεν εν 7. και κατεφαγεν 8. εμμεσω

Digitized by Google

9 εἶπεν ὁ ἐχϑρός Διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ 9
τῇ μαχαίρῃ μου, κυριεύσει ἡ χείρ μου. 10 ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν 10
αὐτοὺς ϑάλασσα· ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ. 11 τίς ὅμοιός σοι ἐν 11
ϑεοῖς, κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, ϑαυμαστὸς ἐν δόξαις, ποιῶν
τέρατα. 12 ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. 13 ὡδήγησας τῇ 12 13
δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς
κατάλυμα ἅγιόν σου. 14 ἤκουσαν ἔϑνη, καὶ ὠργίσϑησαν· ὠδῖνες ἔλαβον κατοι- 14
κοῦντας Φυλιστιείμ. 15 τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ καὶ ἄρχοντες Μωαβιτῶν· 15
ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν. 16 ἐπιπέσοι 16
ἐπ᾽ αὐτοὺς τρόμος καὶ φόβος, μεγέϑει βραχίονός σου ἀπολιϑωϑήτωσαν, ἕως
παρέλϑῃ ὁ λαός σου, κύριε, ἕως ἂν παρέλϑῃ ὁ λαός σου οὗτος ὃν ἐκτήσω.
17 εἰςαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοι- 17
κητήριόν σου ὃ κατηρτίσω, κύριε, ἁγίασμα, κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.
18 κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι. 19 ὅτι εἰςῆλϑεν ἵππος 18 19
Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς ϑάλασσαν, καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς κύ-
ριος τὸ ὕδωρ τῆς ϑαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύϑησαν διὰ ξηρᾶς ἐν μέσῳ
τῆς ϑαλάσσης. 20 λαβοῦσα δὲ Μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπα- 20
νον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξήλϑοσαν πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμ-
πάνων καὶ χορῶν. 21 ἐξῆρχε δὲ αὐτῶν Μαριὰμ λέγουσα Ἄσωμεν τῷ κυρίῳ, ἐν- 21
δόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς ϑάλασσαν. 22 ἐξῆρε δὲ 22
Μωυσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ ϑαλάσσης ἐρυϑρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν
ἔρημον Σούρ· καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ ηὕρισκον
ὕδωρ ὥστε πιεῖν. 23 ἦλϑον δὲ εἰς Μερρᾶ, καὶ οὐκ ἠδύναντο πιεῖν ἐκ Μερρᾶς, 23
πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πικρία.
24 καὶ διεγόγγυζεν ὁ λαὸς ἐπὶ Μωυσῇ λέγοντες Τί πιόμεϑα; 25 ἐβόησε δὲ 24 25
Μωυσῆς πρὸς κύριον· καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς
τὸ ὕδωρ, καὶ ἐγλυκάνϑη τὸ ὕδωρ. ἐκεῖ ἔϑετο αὐτῷ δικαιώματα καὶ κρίσεις,
καὶ ἐκεῖ αὐτὸν ἐπείρασε, 26 καὶ εἶπεν Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς κυρίου 26
τοῦ ϑεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐναντίον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ ταῖς ἐντο-
λαῖς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπή-
γαγον τοῖς Αἰγυπτίοις οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γάρ εἰμι κύριος ὁ ϑεός σου ὁ ἰώ-
μενός σε. 27 καὶ ἦλϑοσαν εἰς Αἰλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ 27
ἑβδομήκοντα στελέχη φοινίκων· παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα.

## XVI.

Ἀπῆραν δὲ ἐξ Αἰλείμ, καὶ ἦλϑοσαν πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν
ἔρημον Σίν, ὅ ἐστιν ἀνὰ μέσον Αἰλεὶμ καὶ ἀνὰ μέσον Σινᾶ. τῇ δὲ πεντεκαι-
δεκάτῃ ἡμέρᾳ τῷ μηνὶ τῷ δευτέρῳ ἐξεληλυϑότων αὐτῶν ἐκ γῆς Αἰγύπτου
2 διεγόγγυζε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐπὶ Μωυσῆν καὶ Ἀαρών· 3 καὶ εἶπαν 2 3
πρὸς αὐτοὺς οἱ υἱοὶ Ἰσραήλ Ὄφελον ἀπεϑάνομεν πληγέντες ὑπὸ κυρίου ἐν γῇ
Αἰγύπτῳ, ὅταν ἐκαϑίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν καὶ ἠσϑίομεν ἄρτους
εἰς πλησμονήν· ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι πᾶσαν
τὴν συναγωγὴν ταύτην ἐν λιμῷ. 4 εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγὼ ὕω 4
ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ λαὸς καὶ συλλέξουσι τὸ τῆς
ἡμέρας εἰς ἡμέραν, ὅπως πειράσω αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ μου ἢ οὔ·

9. καταλημψομαι 10. και εκαλυψεν 12. και κατεπιεν αυτ. η γη 14. εφοβηϑησαν pro ωργισϑησαν 16. φοβος κ. τρομος ... απολιϑ. εως αν ... ουτος ον ελυτρωσω 17. κατηργασω pro κατηρτισω 18. κυριε βασιλευων 19. αναβατ. αυτου εις ... κυριος επ αυτους ... εμμεσω 20. ελαβεν δε μαριαμ ... εξηλϑον 23. εις μερραν ... εδυναντο π. υδωρ εκ ... επωνομασϑη 24. κατα μωυση 25. επειραζεν αυτον 26. om ο ϑεος σου 27. ηλϑον ... επι τα υδατα XVI. 1. ηλϑον 4. ονοματι pro νομω



Digitized by Google

5 5 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἑτοιμάσουσιν ὃ ἐὰν εἰςενέγκωσι, καὶ ἔσται
6 διπλοῦν ὃ ἐὰν συναγάγωσι τὸ καθ᾽ ἡμέραν εἰς ἡμέραν. 6 καὶ εἶπε Μωυσῆς καὶ
Ἀαρὼν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ Ἑσπέρας γνώσεσθε ὅτι κύριος ἐξή-
7 γαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, 7 καὶ πρωὶ ὄψεσθε τὴν δόξαν κυρίου ἐν τῷ εἰς-
ακοῦσαι τὸν γογγυσμὸν ὑμῶν ἐπὶ τῷ θεῷ· ἡμεῖς δὲ τί ἐσμεν ὅτι διαγογγύζετε
8 καθ᾽ ἡμῶν; 8 καὶ εἶπε Μωυσῆς Ἐν τῷ διδόναι κύριον ὑμῖν ἑσπέρας κρέα φα-
γεῖν καὶ ἄρτους τὸ πρωὶ εἰς πλησμονήν, διὰ τὸ εἰςακοῦσαι κύριον τὸν γογγυ-
σμὸν ὑμῶν ὃν ὑμεῖς διαγογγύζετε καθ᾽ ἡμῶν· ἡμεῖς δὲ τί ἐσμεν; οὐ γὰρ καθ᾽
9 ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν ἀλλ᾽ ἢ κατὰ τοῦ θεοῦ. 9 εἶπε δὲ Μωυσῆς πρὸς
Ἀαρὼν Εἰπὸν πάσῃ συναγωγῇ υἱῶν Ἰσραὴλ Προςέλθετε ἐναντίον τοῦ θεοῦ· εἰς-
10 ακήκοε γὰρ τὸν γογγυσμὸν ὑμῶν. 10 ἡνίκα δὲ ἐλάλει Ἀαρὼν πάσῃ συναγωγῇ
υἱῶν Ἰσραήλ, καὶ ἐπεστράφησαν εἰς τὴν ἔρημον, καὶ ἡ δόξα κυρίου ὤφθη ἐν
11 12 νεφέλῃ. 11 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 12 Εἰςακήκοα τὸν γογγυσμὸν
τῶν υἱῶν Ἰσραήλ· λάλησον πρὸς αὐτοὺς λέγων Τὸ πρὸς ἑσπέραν ἔδεσθε κρέα,
καὶ τὸ πρωὶ πλησθήσεσθε ἄρτων· καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.
13 13 ἐγένετο δὲ ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα καὶ ἐκάλυψε τὴν παρεμβολήν·
14 τὸ πρωὶ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς· 14 καὶ ἰδοὺ
ἐπὶ πρόςωπον τῆς ἐρήμου λεπτὸν ὡςεὶ κόριον λευκόν, ὡςεὶ πάγος ἐπὶ τῆς γῆς.
15 15 ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν ἕτερος τῷ ἑτέρῳ Τί ἐστι τοῦτο; οὐ γὰρ
ᾔδεισαν τί ἦν. εἶπε δὲ Μωυσῆς αὐτοῖς Οὗτος ὁ ἄρτος ὃν ἔδωκε κύριος ὑμῖν φα- *Jo. 6, 49. 50.
16 γεῖν· 16 τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος Συναγάγετε ἀπ᾽ αὐτοῦ ἕκαστος εἰς *1 Co.
τοὺς καθήκοντας, γομὸρ κατὰ κεφαλὴν κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν· ἕκαστος 10, 3.
17 σὺν τοῖς συσκηνίοις ὑμῶν συλλέξατε. 17 ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ, καὶ
18 συνέλεξαν ὁ τὸ πολὺ καὶ ὁ τὸ ἔλαττον· 18 καὶ μετρήσαντες γομόρ, οὐκ ἐπλεό- 2 Co. 8,
νασεν ὁ τὸ πολύ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττόνησεν· ἕκαστος εἰς τοὺς καθή- 15.
19 κοντας παρ᾽ ἑαυτῷ συνέλεξαν. 19 εἶπε δὲ Μωυσῆς πρὸς αὐτούς Μηδεὶς καταλει-
20 πέτω ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωί. 20 καὶ οὐκ εἰςήκουσαν Μωυσῆ, ἀλλὰ κατέλιπόν
τινες ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωί· καὶ ἐξέζεσε σκώληκας καὶ ἐπώζεσε· καὶ ἐπι-
21 κράνθη ἐπ᾽ αὐτοῖς Μωυσῆς. 21 καὶ συνέλεξαν αὐτὸ πρωὶ πρωὶ ἕκαστος τὸ καθῆ-
22 κον αὐτῷ· ἡνίκα δὲ διεθέρμαινεν ὁ ἥλιος, ἐτήκετο. 22 ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ
ἕκτῃ συνέλεξαν τὰ δέοντα διπλᾶ, δύο γομὸρ τῷ ἑνί· εἰςῆλθοσαν δὲ πάντες οἱ
23 ἄρχοντες τῆς συναγωγῆς καὶ ἀνήγγειλαν Μωυσεῖ. 23 εἶπε δὲ Μωυσῆς πρὸς αὐ-
τούς Οὐ τοῦτο τὸ ῥῆμά ἐστιν ὃ ἐλάλησε κύριος; Σάββατα ἀνάπαυσις ἁγία τῷ
κυρίῳ αὔριον· ὅσα ἐὰν πέσσητε πέσσετε, καὶ ὅσα ἐὰν ἕψητε ἕψετε· καὶ πᾶν
24 τὸ πλεονάζον καταλείπετε αὐτὸ εἰς ἀποθήκην εἰς τὸ πρωί. 24 καὶ κατελίποσαν
ἀπ᾽ αὐτοῦ ἕως πρωί, καθὼς συνέταξεν αὐτοῖς Μωυσῆς· καὶ οὐκ ἐπώζεσεν,
25 οὐδὲ σκώληξ ἐγένετο ἐν αὐτῷ. 25 εἶπε δὲ Μωυσῆς Φάγετε σήμερον· ἔστι γὰρ
26 σάββατα σήμερον τῷ κυρίῳ, οὐχ εὑρεθήσεται ἐν τῷ πεδίῳ. 26 ἓξ ἡμέρας συλ-
27 λέξετε· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ὅτι οὐκ ἔσται ἐν αὐτῇ. 27 ἐγένετο
δὲ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξήλθοσάν τινες ἐκ τοῦ λαοῦ συλλέξαι, καὶ οὐχ
28 εὗρον. 28 εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἕως τίνος οὐ βούλεσθε εἰςακούειν τὰς

5. ετοιμασωσιν ο αν ... διπλουν ο αν εισενεγκωσιν το 6. ειπεν δε 7. την δοξ. του θεου εν τ. εισαχ. κυριον τ. γογγ. ... οτι γογγυζετε 8. ο γογγ. υμων εστιν 9. προσελθατε ... υμων τον γογγυσμ. 13. και εγενετο εσπ. ... το πρωι δε 15. ειδοντες ... om αυτο ... μωυσ. προς αυτους 16. εν τοις συσκηνοις 17. και εποιησαν ουτως ... ελαττον ουχ ηλαττονησεν VV. 18—21 toti rescripti sunt. 18. ** το γομορ ... ** ολιγον pro ελαττον ... ** παρ αυτω συνελεξεν 19. ** εις το πρωι απ αυτου 20. ** κατελειπον ... ** και εζεσεν σκ. ... ** μωυσης επ αυτοις 22. εισηλθον ... μωυση 23. om Ου ... οσα αν εψητε ... καταλειπετω ... εως πρωι 24. και κατελειπον ... καθαπερ συνεταξ. 25. σαββ. τω κυρ. σημερ., ουχ ευρησετε 26. om οτι 27. εξηλθον ... κ. ουχ ευρον

Digitized by Google

ἐντολάς μου καὶ τὸν νόμον μου; [29] ἴδετε, ὁ γὰρ κύριος ἔδωκεν ὑμῖν σάββατα 29
τὴν ἡμέραν ταύτην· διὰ τοῦτο αὐτὸς ἔδωκεν ὑμῖν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρτους
δύο ἡμερῶν· καθίσεσθε ἕκαστος εἰς τοὺς οἴκους ὑμῶν, μηδεὶς ἐκπορευέσθω ἐκ
τοῦ τόπου αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. [30] καὶ ἐσαββάτισεν ὁ λαὸς τῇ ἡμέρᾳ τῇ 30
ἑβδόμῃ. [31] καὶ ἐπωνόμασαν αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ τὸ ὄνομα αὐτοῦ μάν· ἦν δὲ 31
ὡσεὶ σπέρμα κορίου λευκόν, τὸ δὲ γεῦμα αὐτοῦ ὡς ἐγκρὶς ἐν μέλιτι. [32] εἶπε δὲ 32
Μωυσῆς Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος Πλήσατε τὸ γομὸρ τοῦ μὰν εἰς
ἀποθήκην εἰς τὰς γενεὰς ὑμῶν, ἵνα ἴδωσι τὸν ἄρτον ὃν ἐφάγετε ὑμεῖς ἐν τῇ
ἐρήμῳ ὡς ἐξήγαγεν ὑμᾶς κύριος ἐκ γῆς Αἰγύπτου. [33] καὶ εἶπε Μωυσῆς πρὸς 33
*He. 9, 4. Ἀαρὼν Λάβε στάμνον χρυσοῦν ἕνα καὶ ἔμβαλε εἰς αὐτὸν πλῆρες τὸ γομὸρ τοῦ
μάν, καὶ ἀποθήσεις αὐτὸ ἐναντίον τοῦ θεοῦ εἰς διατήρησιν εἰς τὰς γενεὰς ὑμῶν,
[34] ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. καὶ ἀπέθηκεν Ἀαρὼν ἐναντίον τοῦ 34
μαρτυρίου εἰς διατήρησιν. [35] οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μὰν ἔτη τεσσαράκον- 35
τα· ἕως ἦλθον εἰς τὴν οἰκουμένην ἐφάγοσαν τὸ μάν, ἕως παρεγένοντο εἰς μέρος
τῆς Φοινίκης. [36] τὸ δὲ γομὸρ τὸ δέκατον τῶν τριῶν μέτρων ἦν. 36

## XVII.

Καὶ ἀπῆρε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐκ τῆς ἐρήμου Σὶν κατὰ παρεμ-
βολὰς αὐτῶν διὰ ῥήματος κυρίου, καὶ παρενεβάλοσαν ἐν Ῥαφιδείν· οὐκ ἦν δὲ
ὕδωρ τῷ λαῷ πιεῖν. [2] καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες Δὸς ἡμῖν 2
ὕδωρ ἵνα πίωμεν. καὶ εἶπεν αὐτοῖς Μωυσῆς Τί λοιδορεῖσθέ μοι, καὶ τί πειρά-
ζετε κύριον; [3] ἐδίψησε δὲ ἐκεῖ ὁ λαὸς ὕδατι· καὶ διεγόγγυζεν ἐκεῖ ὁ λαὸς πρὸς 3
Μωυσῆν λέγοντες Ἵνα τί τοῦτο; ἀνεβίβασας ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι
ἡμᾶς καὶ τὰ τέκνα ἡμῶν καὶ τὰ κτήνη τῷ δίψει; [4] ἐβόησε δὲ Μωυσῆς πρὸς 4
κύριον λέγων Τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με.
[5] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Προπορεύου τοῦ λαοῦ τούτου, λάβε δὲ σεαυτῷ 5
ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ τὴν ῥάβδον, ἐν ᾗ ἐπάταξας τὸν ποταμόν,
λάβε ἐν τῇ χειρί σου καὶ πορεύσῃ. [6] ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σὲ ἐπὶ τῆς 6
*1 Co. 10, 4. πέτρας ἐν Χωρήβ· καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ,
καὶ πίεται ὁ λαός. ἐποίησε δὲ Μωυσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ. [7] καὶ 7
ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πειρασμὸς καὶ Λοιδόρησις, διὰ τὴν
λοιδορίαν τῶν υἱῶν Ἰσραὴλ καὶ διὰ τὸ πειράζειν κύριον λέγοντας Εἰ ἔστι κύ-
ριος ἐν ἡμῖν ἢ οὔ. [8] ἦλθε δὲ Ἀμαλὴκ καὶ ἐπολέμει Ἰσραὴλ ἐν Ῥαφιδείν. 8
[9] εἶπε δὲ Μωυσῆς τῷ Ἰησοῖ Ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς καὶ ἐξελθὼν 9
παράταξαι τῷ Ἀμαλὴκ αὔριον· καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ
βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ θεοῦ ἐν τῇ χειρί μου. [10] καὶ ἐποίησεν Ἰησοῦς 10
καθάπερ εἶπεν αὐτῷ Μωυσῆς, καὶ ἐξελθὼν παρετάξατο τῷ Ἀμαλήκ· καὶ
Μωυσῆς καὶ Ἀαρὼν καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ. [11] καὶ 11
ἐγένετο ὅταν ἐπῆρε Μωυσῆς τὰς χεῖρας, κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκε
τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ. [12] αἱ δὲ χεῖρες Μωυσῆ βαρεῖαι· καὶ λαβόντες 12
λίθον ὑπέθηκαν ὑπ᾽ αὐτόν, καὶ ἐκάθητο ἐπ᾽ αὐτοῦ· καὶ Ἀαρὼν καὶ Ὢρ
ἐστήριζον τὰς χεῖρας αὐτοῦ, ἐντεῦθεν εἷς καὶ ἐντεῦθεν εἷς· καὶ ἐγένοντο αἱ
χεῖρες Μωυσῆ ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου. [13] καὶ ἐτρέψατο Ἰησοῦς τὸν 13
Ἀμαλὴκ καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας. [14] εἶπε δὲ κύριος 14

---

29. υμιν την ημ. ταυτ. και τα σαββατα ... καθησεσθε ... μηδεις υμων εκπ. εκαστος εκ τ. οικου 31. om αυτο ... δε ως σπερμα 32. ειδωσιν 34. και απεθετο 35. το μαννα ... εις γην οικουμενην το μαν εφαγον XVII. 1. παρενεβαλον 2. μωυσην και ελεγον δος 3. και εγογγυζεν ο λαος επι μωυσην 4. om δε 5. om τουτου ... και λαβε μετα σεαυτου 6. * om εκει (?) ... σε ελθειν επι ... και εποιησεν μωυσ. 8. επορευθη pro επολεμει 9. τω ιησου ... om δυνατους 10. om εξελθων 11. εγινετο 12. υπεθηκ. επ αυτον κ. εκαθ. επ αυτον· ααρ. δε ... τας χειρας εντευθεν 14. και ειπεν



Digitized by Google

πρὸς Μωυσῆν Κατάγραψον τοῦτο εἰς μνημόσυνον εἰς βιβλίον, καὶ δὸς εἰς τὰ
ὦτα Ἰησοῖ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐ-
15 ρανόν. [15] καὶ ᾠκοδόμησε Μωυσῆς θυσιαστήριον κυρίῳ, καὶ ἐπωνόμασε τὸ
16 ὄνομα αὐτοῦ Κύριος καταφυγή μου· [16] ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ κύριος
ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.

## XVIII.

Ἤκουσε δὲ Ἰοθὸρ ἱερεὺς Μαδιὰμ ὁ γαμβρὸς Μωυσῆ πάντα ὅσα ἐποίησε
κύριος Ἰσραὴλ τῷ ἑαυτοῦ λαῷ· ἐξήγαγε γὰρ κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου.
2 [2] ἔλαβε δὲ Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ Σεπφώραν τὴν γυναῖκα Μωυσῆ, μετὰ
3 τὴν ἄφεσιν αὐτῆς, [3] καὶ τοὺς δύο υἱοὺς αὐτῆς· ὄνομα τῷ ἑνὶ αὐτῶν Γηρσάμ,
4 λέγων Πάροικος ἤμην ἐν γῇ ἀλλοτρίᾳ· [4] καὶ τὸ ὄνομα τοῦ δευτέρου Ἑλιέζερ,
λέγων Ὁ γὰρ θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐξείλατό με ἐκ χειρὸς
5 Φαραώ. [5] καὶ ἐξῆλθεν Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ πρὸς
6 Μωυσῆν εἰς τὴν ἔρημον, οὗ παρενέβαλεν ἐπ᾽ ὄρους τοῦ θεοῦ. [6] ἀνηγγέλη δὲ
Μωυσῇ λέγοντες Ἰδοὺ ὁ γαμβρός σου Ἰοθὸρ παραγίνεται πρὸς σέ, καὶ ἡ γυνὴ
7 καὶ οἱ δύο υἱοί σου μετ᾽ αὐτοῦ. [7] ἐξῆλθε δὲ Μωυσῆς εἰς συνάντησιν τῷ γαμ-
βρῷ, καὶ προσεκύνησεν αὐτῷ καὶ ἐφίλησεν αὐτόν, καὶ ἠσπάσαντο ἀλλήλους·
8 καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν σκηνήν. [8] καὶ διηγήσατο Μωυσῆς τῷ γαμβρῷ
πάντα ὅσα ἐποίησε κύριος τῷ Φαραῷ καὶ πᾶσι τοῖς Αἰγυπτίοις ἕνεκεν τοῦ
Ἰσραήλ, καὶ πάντα τὸν μόχθον τὸν γενόμενον αὐτοῖς ἐν τῇ ὁδῷ, καὶ ὅτι ἐξεί-
9 λατο αὐτοὺς κύριος ἐκ χειρὸς Φαραὼ καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων. [9] ἐξέστη
δὲ Ἰοθὸρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς οἷς ἐποίησεν αὐτοῖς κύριος, ὅτι ἐξείλατο
10 αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ. [10] καὶ εἶπεν Ἰοθὸρ Εὐλο-
γητὸς κύριος, ὅτι ἐξείλατο αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ·
11 [11] νῦν ἔγνων ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεούς, ἕνεκεν τούτου ὅτι
12 ἐπέθεντο αὐτοῖς. [12] καὶ ἔλαβεν Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ ὁλοκαυτώματα καὶ
θυσίας τῷ θεῷ· παρεγένετο δὲ Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ
13 συμφαγεῖν ἄρτον μετὰ τοῦ γαμβροῦ Μωυσῆ ἐναντίον τοῦ θεοῦ. [13] καὶ ἐγένετο
μετὰ τὴν ἐπαύριον συνεκάθισε Μωυσῆς κρίνειν τὸν λαόν· παρειστήκει δὲ πᾶς
14 ὁ λαὸς Μωυσῇ ἀπὸ πρωΐθεν ἕως δείλης. [14] καὶ ἰδὼν Ἰοθὸρ πάντα ὅσα ποιεῖ
τῷ λαῷ λέγει Τί τοῦτο ὃ σὺ ποιεῖς τῷ λαῷ; διὰ τί σὺ κάθησαι μόνος, πᾶς
15 δὲ ὁ λαὸς παρέστηκέ σοι ἀπὸ πρωΐθεν ἕως δείλης; [15] καὶ λέγει Μωυσῆς τῷ
γαμβρῷ Ὅτι παραγίνεται πρὸς μὲ ὁ λαὸς ἐκζητῆσαι κρίσιν παρὰ τοῦ θεοῦ·
16 [16] ὅταν γὰρ γένηται αὐτοῖς ἀντιλογία καὶ ἔλθωσι πρὸς μέ, διακρίνω ἕκαστον,
17 καὶ συμβιβάζω αὐτοὺς τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον αὐτοῦ. [17] εἶπε
18 δὲ ὁ γαμβρὸς Μωυσῆ πρὸς αὐτόν [18] Οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο·
φθορᾷ καταφθαρήσῃ ἀνυπομονήτῳ καὶ σὺ καὶ πᾶς ὁ λαὸς οὗτος ὅς ἐστι μετὰ
19 σοῦ· βαρύ σοι τὸ ῥῆμα τοῦτο, οὐ δυνήσῃ ποιεῖν σὺ μόνος. [19] νῦν οὖν ἄκου-
σόν μου, καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ θεὸς μετὰ σοῦ. γίνου σὺ τῷ
20 λαῷ τὰ πρὸς τὸν θεόν, καὶ ἀνοίσεις τοὺς λόγους αὐτῶν πρὸς τὸν θεόν· [20] καὶ
διαμαρτύρῃ αὐτοῖς τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον αὐτοῦ, καὶ ση-
μανεῖς αὐτοῖς τὰς ὁδοὺς ἐν αἷς πορεύσονται ἐν αὐταῖς, καὶ τὰ ἔργα ἃ ποιή-

---

14. εν βιβλιω ... ωτα ιησου ... εξαλειψω τον αμαληκ 15. om κυριω ... το ονομα του τοπου κυριος μου καταφυγη 16. πολεμησει XVIII. 1. ιοθορ ο γαμβρ. μωυσ. ο ιερ. μαδ. 3. υιους αυτου ... om αυτων 4. om λεγων 5. και ηλθεν ... εις το ορος 6. απηγγελη ... ιδου ιοθορ ο γ. σ. παραγειναι ... η γυνη σου 7. γαμβρω αυτου 8. om πασι 9. κυριος αυτοις ... εξειλατο κυριος ... των αιγυπτιων 10. εξειλατο τον λαον αυτου 11. om οτι ante επεθεντο 12. και ααρων και ... φαγειν αρτον 13. παριστηκει ... εως εσπερας 14. εποιει ... απο πρωι 15. παραγεινεται 18. ** ανυπονοητω ... λαος σου ουτος ... om βαρυ σοι usque ο θεος μετα σου v. 19.

Digitized by Google

σουσι. [21] καὶ σὺ σεαυτῷ σκέψαι ἀπὸ παντὸς τοῦ λαοῦ ἄνδρας δυνατούς, θεο- 21
σεβεῖς, ἄνδρας δικαίους, μισοῦντας ὑπερηφανίαν, καὶ καταστήσεις ἐπ' αὐτῶν
χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκαδάρχους, [22] καὶ 22
κρινοῦσι τὸν λαὸν πᾶσαν ὥραν· τὸ δὲ ῥῆμα τὸ ὑπέρογκον ἀνοίσουσιν ἐπὶ σέ,
τὰ δὲ βραχέα τῶν κριμάτων κρινοῦσιν αὐτοί, καὶ κουφιοῦσιν ἀπὸ σοῦ καὶ
συναντιλήψονταί σοι. [23] ἐὰν τὸ ῥῆμα τοῦτο ποιήσῃς, κατισχύσει σε ὁ θεὸς καὶ 23
δυνήσῃ παραστῆναι, καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὸν ἑαυτοῦ τόπον μετ' εἰρήνης
ἥξει. [24] ἤκουσε δὲ Μωυσῆς τῆς φωνῆς τοῦ γαμβροῦ, καὶ ἐποίησεν ὅσα εἶπεν 24
αὐτῷ. [25] καὶ ἐπέλεξε Μωυσῆς ἄνδρας δυνατοὺς ἀπὸ παντὸς Ἰσραήλ, καὶ ἐποίη- 25
σεν αὐτοὺς ἐπ' αὐτῶν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ
δεκαδάρχους, [26] καὶ ἐκρίνοσαν τὸν λαὸν πᾶσαν ὥραν· πᾶν δὲ ῥῆμα ὑπέρογκον 26
ἀνεφέροσαν ἐπὶ Μωυσῆν, πᾶν δὲ ῥῆμα ἐλαφρὸν ἐκρίνοσαν αὐτοί. [27] ἐξαπέστειλε 27
δὲ Μωυσῆς τὸν ἑαυτοῦ γαμβρόν, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

## XIX.

Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου
τῇ ἡμέρᾳ ταύτῃ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινᾶ. [2] καὶ ἀπῆραν ἐκ Ῥαφιδεὶν 2
καὶ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινᾶ, καὶ παρενέβαλεν ἐκεῖ Ἰσραὴλ κατ-
*Act. 7, 38. ἔναντι τοῦ ὄρους. [3] καὶ Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ· καὶ ἐκάλεσεν 3
αὐτὸν ὁ θεὸς ἐκ τοῦ ὄρους λέγων Τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακὼβ καὶ ἀναγγελεῖς
τοῖς υἱοῖς Ἰσραήλ [4] Αὐτοὶ ἑωράκατε ὅσα πεποίηκα τοῖς Αἰγυπτίοις, καὶ ἀνέλα- 4
βον ὑμᾶς ὡσεὶ ἐπὶ πτερύγων ἀετῶν, καὶ προσηγαγόμην ὑμᾶς πρὸς ἐμαυτόν.
[5] καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ φυλάξητε τὴν διαθήκην 5
*1 Pe. 2, 9. *Ap. 1, 6. μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα
ἡ γῆ, [6] ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον. ταῦτα τὰ 6
ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ. [7] ἦλθε δὲ Μωυσῆς καὶ ἐκάλεσε τοὺς πρεσβυ- 7
τέρους τοῦ λαοῦ, καὶ παρέθηκεν αὐτοῖς πάντας τοὺς λόγους τούτους οὓς συν-
έταξεν αὐτοῖς ὁ θεός. [8] ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς ὁμοθυμαδὸν καὶ εἶπαν Πάντα 8
ὅσα εἶπεν ὁ θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα· ἀνήνεγκε δὲ Μωυσῆς τοὺς λόγους
τούτους πρὸς τὸν θεόν. [9] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγὼ παραγίνομαι 9
πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ καὶ
σοὶ πιστεύσωσιν εἰς τὸν αἰῶνα. ἀνήγγειλε δὲ Μωυσῆς τὰ ῥήματα τοῦ λαοῦ
πρὸς κύριον. [10] εἶπε δὲ κύριος πρὸς Μωυσῆν Καταβὰς διαμάρτυραι τῷ λαῷ, 10
καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, [11] καὶ 11
ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ κατα-
βήσεται κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ ἐναντίον παντὸς τοῦ λαοῦ. [12] καὶ ἀφοριεῖς 12
τὸν λαὸν κύκλῳ λέγων Προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος καὶ θιγεῖν
*He. 12, 20. τι αὐτοῦ· πᾶς ὁ ἁψάμενος τοῦ ὄρους θανάτῳ τελευτήσει. [13] οὐχ ἅψεται αὐτοῦ 13
χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται ἢ βολίδι κατατοξευθήσεται· ἐάν τε κτῆνος
ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. ὅταν αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη
ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος. [14] κατέβη δὲ Μω- 14
υσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαόν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια.
[15] καὶ εἶπε τῷ λαῷ Γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, μὴ προσέλθητε γυναικί. 15
*Act. 7, 38. [16] ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, καὶ ἐγένοντο φωναὶ 16

---

21. αυτους επ αυτων ... δεκαδαρχ. και γραμματοεισαγωγεις 22. κουφισουσιν ... συναντιλημψονται σου 23. ηξει εις τον τοπον αυτου μετ ειρηνης 24. οσα αυτω ειπεν 25. δεκαδαρχ. και γραμματοεισαγωγεις 26. και εκρινον ... το δε ρημα το υπερογκ. ανεφερον προς ... εκρινον αυτοι 27. τον γαμβρ. εαυτου XIX. 1. ηλθον ... ερημον σινα 2. και εξηραν ... ηλθον 5. της φωνης μου 7. τ. πρεσβυτ. ισραηλ 8. και απεκριθη πας ... του λαου pro τουτους 9. παραγεινομαι 10. και πλυνουσιν 11. το ορος σινα 14. απο του ορους 16. γεννηθεντος πρ. ορθρ. εγινοντο

Digitized by Google

καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ᾽ ὄρους Σινᾶ, φωνὴ τῆς σάλπιγγος ἤχει *He. 12,
17 μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ὁ ἐν τῇ παρεμβολῇ. [17] καὶ ἐξήγαγε Μωυσῆς 19.
τὸν λαὸν εἰς συνάντησιν τοῦ θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ
18 ὄρος. [18] τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι ἐπ᾽ αὐτὸ τὸν *He. 12,
θεὸν ἐν πυρί, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡςεὶ καπνὸς καμίνου· καὶ ἐξέστη πᾶς 18.
19 ὁ λαὸς σφόδρα. [19] ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρό- *Ap. 9 2.
20 τεραι σφόδρα· Μωυσῆς ἐλάλησεν, ὁ δὲ θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. [20] κατέβη
δὲ κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἐκάλεσε κύ-
21 ριος Μωυσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἀνέβη Μωυσῆς. [21] καὶ εἶπεν ὁ
θεὸς πρὸς Μωυσῆν λέγων Καταβὰς διαμάρτυραι τῷ λαῷ, μή ποτε ἐγγίσωσι
22 πρὸς τὸν θεὸν κατανοῆσαι, καὶ πέσωσιν ἐξ αὐτῶν πλῆθος· [22] καὶ οἱ ἱερεῖς οἱ
ἐγγίζοντες κυρίῳ τῷ θεῷ ἁγιασθήτωσαν, μή ποτε ἀπαλλάξῃ ἀπ᾽ αὐτῶν κύριος.
23 [23] καὶ εἶπε Μωυσῆς πρὸς τὸν θεόν Οὐ δυνήσεται ὁ λαὸς προσαναβῆναι πρὸς
τὸ ὄρος τὸ Σινᾶ· σὺ γὰρ διαμεμαρτύρησαι ἡμῖν λέγων Ἀφόρισαι τὸ ὄρος καὶ
24 ἁγίασαι αὐτό. [24] εἶπε δὲ αὐτῷ κύριος Βάδιζε κατάβηθι καὶ ἀνάβηθι σὺ καὶ
Ἀαρὼν μετὰ σοῦ· οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέσθωσαν ἀναβῆναι πρὸς
25 τὸν θεόν, μή ποτε ἀπολέσῃ ἀπ᾽ αὐτῶν κύριος. [25] κατέβη δὲ Μωυσῆς πρὸς τὸν
λαὸν καὶ εἶπεν αὐτοῖς.

## XX.

2 Καὶ ἐλάλησε κύριος πάντας τοὺς λόγους τούτους λέγων [2] Ἐγώ εἰμι κύριος
3 ὁ θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. [3] οὐκ ἔσον-
4 ταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. [4] οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς
ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς
5 ὕδασιν ὑποκάτω τῆς γῆς. [5] οὐ προςκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσεις αὐτοῖς·
ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων
6 ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με, [6] καὶ ποιῶν ἔλεος
7 εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ τοῖς φυλάσσουσι τὰ προςτάγματά μου. [7] οὐ
λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ κύριος
8 ὁ θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. [8] μνήσθητι τὴν ἡμέ-
9 ραν τῶν σαββάτων ἁγιάζειν αὐτήν· [9] ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ
10 ἔργα σου, [10] τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ θεῷ σου· οὐ ποιήσεις
ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ
ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου, καὶ
11 ὁ προςήλυτος ὁ παροικῶν ἐν σοί. [11] ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε κύριος τὸν
οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατ-
έπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο εὐλόγησε κύριος τὴν ἡμέραν τὴν ἑβδό- Mt. 15, 4.
12 μην καὶ ἡγίασεν αὐτήν. [12] τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ 19, 19.
σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς ἧς κύριος ὁ Eph. 6, 2. 3.
13—16 θεός σου δίδωσί σοι. [13] οὐ μοιχεύσεις. [14] οὐ κλέψεις. [15] οὐ φονεύσεις. [16] οὐ Mt. 19,
17 ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. [17] οὐκ ἐπιθυμήσεις 18. 5, 21.
τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου 27. Ro. 13, 9. Ja.
οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε 2, 11.
τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε Ro. 7, 7.

---

16. ο λαος εν 17. εις την συναντ. 18. το δε ορος σινα ... τον θεον εν πυρι επ αυτο· ανεβαινεν δε ... ως pro ωςει 19. ελαλει 20. ορος σινα 21. πεση 22. και οι ιερ. δε ... om κυριω ... πληθος pro κυριος 24. και ειπεν αυτω XX. 1. κυριος προς μωυσην παντ. 2. σου ο εξαγαγων σε 5. λατρευσης ... επι τριτην και τεταρτην γενεαν 7. λημψη ... om ο θεος σου 10. om κυριω ... * οι υιοι ... * om ο ante προςηλυτος 11. τον τε ουρανον ... ηυλογησεν 12. om σου ινα ευ σοι γενηται 13. 14. 15. ου φονευσεις. ου μοιχευσεις. ου κλεψεις 17. ουδε τ. αγρ. α. ουδε τ. π. α. ουδε την

Digitized by Google

ὅσα τῷ πλησίον σού ἐστι. 18 καὶ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνὴν καὶ τὰς λαμ- 18
πάδας καὶ τὴν φωνὴν τῆς σάλπιγγος καὶ τὸ ὄρος τὸ καπνίζον· φοβηθέντες δὲ
πᾶς ὁ λαὸς ἔστησαν μακρόθεν, 19 καὶ εἶπαν πρὸς Μωυσῆν Λάλησον σὺ ἡμῖν, 19
καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μὴ ἀποθάνωμεν. 20 καὶ λέγει αὐτοῖς Μωυ- 20
σῆς Θαρσεῖτε· ἕνεκεν γὰρ τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ θεὸς πρὸς ὑμᾶς,
ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. 21 εἱστήκει δὲ 21
ὁ λαὸς μακρόθεν, Μωυσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον οὗ ἦν ὁ θεός. 22 εἶπε 22
δὲ κύριος πρὸς Μωυσῆν Τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακὼβ καὶ ἀναγγελεῖς τοῖς υἱοῖς
Ἰσραήλ Ὑμεῖς ἑωράκατε ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς· 23 οὐ ποιή- 23
σετε ὑμῖν αὐτοῖς θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς.
24 θυσιαστήριον ἐκ γῆς ποιήσετέ μοι, καὶ θύσετε ἐπ᾿ αὐτοῦ τὰ ὁλοκαυτώματα 24
ὑμῶν καὶ τὰ σωτήρια ὑμῶν καὶ τὰ πρόβατα καὶ τοὺς μόσχους ὑμῶν ἐν παντὶ
τόπῳ οὗ ἐὰν ἐπονομάσω τὸ ὄνομά μου ἐκεῖ· καὶ ἥξω πρὸς σὲ καὶ εὐλογήσω
σε. 25 ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιῇς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμη- 25
τούς· τὸ γὰρ ἐγχειρίδιόν σου ἐπιβέβληκας ἐπ᾿ αὐτοὺς καὶ μεμίανται. 26 οὐκ 26
ἀναβήσῃ ἐν ἀναβαθμίσιν ἐπὶ τὸ θυσιαστήριόν μου, ὅπως ἂν μὴ ἀποκαλύψῃς
τὴν ἀσχημοσύνην σου ἐπ᾿ αὐτοῦ.

## XXI.

Καὶ ταῦτα τὰ δικαιώματα ἃ παραθήσῃ ἐνώπιον αὐτῶν. 2 ἐὰν κτήσῃ παῖδα 2
Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι· τῷ δὲ ἑβδόμῳ ἔτει ἀπελεύσεται ἐλεύθερος
δωρεάν. 3 ἐὰν αὐτὸς μόνος εἰσέλθῃ, καὶ μόνος ἐξελεύσεται· ἐὰν δὲ γυνὴ συν- 3
εισέλθῃ μετ᾿ αὐτοῦ, ἐξελεύσεται καὶ ἡ γυνὴ αὐτοῦ. 4 καὶ ἐὰν δὲ ὁ κύριος δῷ 4
αὐτῷ γυναῖκα, καὶ τέκῃ αὐτῷ υἱοὺς ἢ θυγατέρας, ἡ γυνὴ καὶ τὰ παιδία ἔσται
τῷ κυρίῳ αὐτοῦ, αὐτὸς δὲ μόνος ἐξελεύσεται. 5 ἐὰν δὲ ἀποκριθεὶς εἴπῃ ὁ παῖς 5
Ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκα καὶ τὰ παιδία, οὐκ ἀποτρέχω ἐλεύ-
θερος· 6 προςάξει αὐτὸν ὁ κύριος αὐτοῦ πρὸς τὸ κριτήριον τοῦ θεοῦ, καὶ τότε 6
προςάξει αὐτὸν ἐπὶ τὴν θύραν ἐπὶ τὸν σταθμὸν καὶ τρυπήσει ὁ κύριος αὐτοῦ
τὸ οὖς τῷ ὀπητίῳ, καὶ δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα. 7 ἐὰν δέ τις ἀποδῶται 7
τὴν ἑαυτοῦ θυγατέρα οἰκέτιν, οὐκ ἀπελεύσεται ὥςπερ ἀποτρέχουσιν αἱ δοῦλαι.
8 ἐὰν μὴ εὐαρεστήσῃ τῷ κυρίῳ αὐτῆς ἣ αὐτῷ καθωμολογήσατο, ἀπολυτρώσει 8
αὐτήν· ἔθνει δὲ ἀλλοτρίῳ οὐ κύριός ἐστι πωλεῖν αὐτήν, ὅτι ἠθέτησεν ἐν αὐτῇ.
9 ἐὰν δὲ τῷ υἱῷ καθομολογήσηται αὐτήν, κατὰ τὸ δικαίωμα τῶν θυγατέρων 9
ποιήσει αὐτῇ. 10 ἐὰν δὲ ἄλλην λάβῃ ἑαυτῷ, τὰ δέοντα καὶ τὸν ἱματισμὸν καὶ 10
τὴν ὁμιλίαν αὐτῆς οὐκ ἀποστερήσει. 11 ἐὰν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ αὐτῇ, 11
ἐξελεύσεται δωρεὰν ἄνευ ἀργυρίου. 12 ἐὰν δὲ πατάξῃ τίς τινα καὶ ἀποθάνῃ, 12
θανάτῳ θανατούσθω· 13 ὁ δὲ οὐχ ἑκών, ἀλλὰ ὁ θεὸς παρέδωκεν εἰς τὰς χεῖρας 13
αὐτοῦ, δώσω σοι τόπον οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας. 14 ἐὰν δέ τις ἐπιθῆται 14
τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου
λήψῃ αὐτὸν θανατῶσαι. 15 ὃς τύπτει πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ 15
Mt.15,4. θανατούσθω. 16 ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ τελευτήσει θανάτῳ. 16
17 ὃς ἐὰν κλέψῃ τίς τινα τῶν υἱῶν Ἰσραὴλ καὶ καταδυναστεύσας αὐτὸν ἀπο- 17

---

19. μη ποτε αποθαν. 21. ιστηκει ... ου ην εκει 23. ου ποιησετε εαυτοις ... ου ποιησ. υμιν αυτοις 24. επ αυτο τα ολοκ. και ... om και ante τα προβ. 25. ενχειριδ. μου επιβ. επ αυτο 26. * om εν ... om αν **XXI.** 1. παραθησεις 2. τω δε ετει τω εβδ. εξαποστελεις αυτον ελευθερον 3. και η γυνη εξελευσεται μετ αυτου 4. om και ab initio ... και τεκη υιους και θυγ. ... κυριω αυτης 6. προς την θυραν ... τρυπ. αυτου ο κυριος το 8. εαν δε μη ... αυτης ην ου καθωμολ. αυτω, **sed** αυτης ην **et** αυτω (* αυτην) **rescripta sunt** 9. καθομολογησεται 10. λαβη αυτω 12. * εαν δε και (?) 13. παρεδωκεν αυτον εις ... om εκει 14. λημψη 15. * om αυτου **secundum** (?) 16. θανατω τελευτατω 17. ος αν

Digitized by Google

18 δῶται καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ τελευτάτω. [18] ἐὰν δὲ λοιδορῶνται δύο
ἄνδρες καὶ πατάξωσι τὸν πλησίον λίθῳ ἢ πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατα-
19 κλιθῇ δὲ ἐπὶ τὴν κοίτην, [19] ἐὰν ἐξαναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ
ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας· πλὴν τῆς ἀργείας αὐτοῦ ἀποτίσει καὶ τὰ
20 ἰατρεῖα. [20] ἐὰν δέ τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν
21 ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται. [21] ἐὰν δὲ
διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήτω· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν.
22 [22] ἐὰν δὲ μάχωνται δύο ἄνδρες καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ
ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται· καθότι
23 ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικός, δώσει μετὰ ἀξιώματος· [23] ἐὰν δὲ ἐξεικο-
24 νισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς, [24] ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα Mt.5,38
25 ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός, [25] κατάκαυμα ἀντὶ κατα-
26 καύματος, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος. [26] ἐὰν δέ τις πα-
τάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ,
καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν.
27 [27] ἐὰν δὲ τὸν ὀδόντα τοῦ οἰκέτου ἢ τὸν ὀδόντα τῆς θεραπαίνης αὐτοῦ ἐκκόψῃ,
28 ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀδόντος αὐτῶν. [28] ἐὰν δὲ κερατίσῃ
ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ
29 οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ· ὁ δὲ κύριος τοῦ ταύρου ἀθῷος ἔσται. [29] ἐὰν
δὲ ὁ ταῦρος κερατιστὴς ᾖ πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διαμαρτύ-
ρωνται τῷ κυρίῳ αὐτοῦ καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα,
30 ὁ ταῦρος λιθοβοληθήσεται καὶ ὁ κύριος αὐτοῦ προσαποθανεῖται. [30] ἐὰν δὲ λύτρα
ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ ὅσα ἐὰν ἐπιβάλωσιν αὐτῷ.
31 [31] ἐὰν δὲ υἱὸν ἢ θυγατέρα κερατίσῃ, κατὰ τὸ δικαίωμα τοῦτο ποιήσωσιν αὐτῷ.
32 [32] ἐὰν δὲ παῖδα κερατίσῃ ὁ ταῦρος ἢ παιδίσκην, ἀργυρίου τριάκοντα δίδραχμα
33 δώσει τῷ κυρίῳ αὐτῶν, καὶ ὁ ταῦρος λιθοβοληθήσεται. [33] ἐὰν δέ τις ἀνοίξῃ
λάκκον ἢ λατομήσῃ λάκκον καὶ μὴ καλύψῃ αὐτόν, καὶ ἐμπέσῃ ἐκεῖ μόσχος
34 ἢ ὄνος, [34] ὁ κύριος τοῦ λάκκου ἀποτίσει, ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν,
35 τὸ δὲ τετελευτηκὸς αὐτῷ ἔσται. [35] ἐὰν δὲ κερατίσῃ τινὸς ταῦρος τὸν ταῦρον τοῦ
πλησίον καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον τὸν ζῶντα καὶ διελοῦνται
36 τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται. [36] ἐὰν δὲ γνω-
ρίζηται ὁ ταῦρος ὅτι κερατιστής ἐστι πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης ἡμέρας,
καὶ διαμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀποτίσει
ταῦρον ἀντὶ ταύρου, ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται.

## XXII.

Ἐὰν δέ τις κλέψῃ μόσχον ἢ πρόβατον καὶ σφάξῃ ἢ ἀποδῶται, πέντε
μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου.
2 [2] ἐὰν δὲ ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν
3 αὐτῷ φόνος· [3] ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος ἐπ' αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθα-
4 νεῖται. ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος. [4] ἐὰν δὲ κα-
ταλειφθῇ καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπό τε ὄνου ἕως προβά-
5 του ζῶντα, διπλᾶ αὐτὰ ἀποτίσει. [5] ἐὰν δὲ καταβοσκήσῃ τις ἀγρὸν ἢ ἀμπε-
λῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ
ἀγροῦ αὐτοῦ κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ,

---

17. θανατω θανατουσθω 18. και παταξη τις 19. εαν δε ... ιατρια 21. διαβωσιν ... ουκ εκδικηθησεται 22. καθ. εαν ... και δωσει 24. * om χειρα αντι χειρος 26. παταξη οφθαλμον ... εξαποστελεις 29. εχθες ... τω κυριω αυτων 30. οσα αν επιβαλη 31. υιον κερατιση η θυγατερα ... ποιησουσιν 33. om η λατομ. λακκον 34. το δε τεθνηκος 35. τελευτησει 36. εχθες ... om ημερας XXII. 1. σφαξη αυτο η ... τεσσερα 3. αποθανειται 4. καταλημφθη ... απο ονου ... om αυτα

Digitized by Google

τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ καὶ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει.
6 ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας καὶ προςεμπρήσῃ ἅλωνας ἢ στάχυς ἢ πεδίον, 6
ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας. 7 ἐὰν δέ τις δῷ τῷ πλησίον ἀργύριον ἢ σκεύη 7
φυλάξαι καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, ἀπο-
τίσει τὸ διπλοῦν· 8 ἐὰν δὲ μὴ εὑρεθῇ ὁ κλέψας, προςελεύσεται ὁ κύριος τῆς 8
οἰκίας ἐνώπιον τοῦ θεοῦ καὶ ὀμεῖται, ἦ μὴν μὴ αὐτὸν πεπονηρεῦσθαι ἐφ᾽ ὅλης
τῆς παρακαταθήκης τοῦ πλησίον. 9 κατὰ πᾶν ῥητὸν ἀδίκημα, περί τε μόσχου 9
καὶ ὑποζυγίου καὶ προβάτου καὶ ἱματίου καὶ πάσης ἀπωλείας τῆς ἐγκαλου-
μένης, ὅ τι οὖν ἂν ᾖ, ἐνώπιον τοῦ θεοῦ ἐλεύσεται ἡ κρίσις ἀμφοτέρων, καὶ
ὁ ἁλοὺς διὰ τοῦ θεοῦ ἀποτίσει διπλοῦν τῷ πλησίον. 10 ἐὰν δέ τις δῷ τῷ πλη- 10
σίον ὑποζύγιον ἢ μόσχον ἢ πρόβατον ἢ πᾶν κτῆνος φυλάξαι, καὶ συντριβῇ ἢ
τελευτήσῃ ἢ αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ, 11 ὅρκος ἔσται τοῦ θεοῦ 11
ἀνὰ μέσον ἀμφοτέρων, ἦ μὴν μὴ αὐτὸν πεπονηρεῦσθαι καθόλου τῆς παρα-
καταθήκης τοῦ πλησίον· καὶ οὕτως προςδέξεται ὁ κύριος αὐτοῦ, καὶ οὐκ ἀπο-
τίσει. 12 ἐὰν δὲ κλαπῇ παρ᾽ αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ. 13 ἐὰν δὲ θηριάλωτον 12 13
γένηται, ἄξει αὐτὸν ἐπὶ τὴν θήραν, καὶ οὐκ ἀποτίσει. 14 ἐὰν δὲ αἰτήσῃ τις 14
παρὰ τοῦ πλησίον, καὶ συντριβῇ ἢ ἀποθάνῃ ἢ αἰχμάλωτον γένηται, ὁ δὲ κύ-
ριος μὴ ᾖ μετ᾽ αὐτοῦ, ἀποτίσει· 15 ἐὰν δὲ ὁ κύριος ᾖ μετ᾽ αὐτοῦ, οὐκ ἀπο- 15
τίσει· ἐὰν δὲ μισθωτὸς ᾖ, ἔσται αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ. 16 ἐὰν δὲ ἀπα- 16
τήσῃ τις παρθένον ἀμνήστευτον καὶ κοιμηθῇ μετ᾽ αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν
αὐτῷ γυναῖκα. 17 ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς 17
δοῦναι αὐτὴν αὐτῷ γυναῖκα, ἀργύριον ἀποτίσει τῷ πατρὶ καθ᾽ ὅσον ἐστὶν ἡ
φερνὴ τῶν παρθένων. 18 φαρμακοὺς οὐ περιποιήσετε. 19 πᾶν κοιμώμενον μετὰ 18 19
κτήνους θανάτῳ ἀποκτενεῖτε αὐτούς. 20 ὁ θυσιάζων θεοῖς θανάτῳ ἐξολοθρευ- 20
θήσεται, πλὴν κυρίῳ μόνῳ. 21 καὶ προςήλυτον οὐ κακώσετε οὐδὲ μὴ θλίψητε 21
αὐτόν· ἦτε γὰρ προςήλυτοι ἐν γῇ Αἰγύπτῳ. 22 πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ 22
κακώσετε· 23 ἐὰν δὲ κακίᾳ κακώσητε αὐτοὺς καὶ κεκράξαντες καταβοήσωσι 23
πρός μέ, ἀκοῇ εἰςακούσομαι τῆς φωνῆς αὐτῶν, 24 καὶ ὀργισθήσομαι θυμῷ 24
καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι καὶ τὰ
παιδία ὑμῶν ὀρφανά. 25 ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ τῷ πενιχρῷ 25
παρὰ σοί, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον. 26 ἐὰν δὲ 26
ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις
αὐτῷ· 27 ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ, μόνον τοῦτο τὸ ἱμάτιον ἀσχημο- 27
σύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός μέ, εἰςακού-
Act. 23, σομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι. 28 θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ 28
5. λαοῦ σου οὐ κακῶς ἐρεῖς. 29 ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ σου οὐ καθυστερήσεις· 29
τὰ πρωτότοκα τῶν υἱῶν σου δώσεις ἐμοί. 30 οὕτω ποιήσεις τὸν μόσχον σου 30
καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου· ἑπτὰ ἡμέρας ἔσται ὑπὸ τὴν μη-
τέρα, τῇ δὲ ὀγδόῃ ἡμέρᾳ ἀποδώσεις μοι αὐτό. 31 καὶ ἄνδρες ἅγιοι ἔσεσθέ μοι· 31
καὶ κρέας θηριάλωτον οὐκ ἔδεσθε, τῷ κυνὶ ἀπορρίψατε αὐτό.

## XXIII.

Οὐ παραδέξῃ ἀκοὴν ματαίαν· οὐ συγκαταθήσῃ μετὰ τοῦ ἀδίκου γενέ-
σθαι μάρτυς ἄδικος. 2 οὐχ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ· οὐ προστεθήσῃ μετὰ 2

---

5. αυτου η τα βελτ. 6. αλωνα 7. αποτισει διπλουν 8. η μην αυτος πεπονηρ. 9. οτι ου εαν η ... διπλον 10. η προβατον η μοσχον ... και τελευτησει η συντριβη 11. εφ ολης pro καθολου ... και ου μη αποτιση 12. αποτισει τω πλησιον 14. * om η αιχμαλ. γενηται 15. μετ αυτου η 17. αυτω pro τω πατρι 18. περιβιωσετε 19. αποκτενειτε sine αυτους 20. θεοις ετεροις εξολεθρευθησεται 21. ουτε μη θλιψετε 25. * λαω pro αδελφω (?) 28. ουχ ερεις κακως 30. ουτως ... τ. μητερα αυτου, τη δε ημερα τη ογδοη δωσεις 31. αποριψετε

Digitized by Google

3 πλήθους ἐκκλῖναι μετὰ τῶν πλειόνων ὥστε ἐκκλεῖσαι κρίσιν. [3] καὶ πένητα οὐκ
4 ἐλεήσεις ἐν κρίσει. [4] ἐὰν δὲ συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυ-
5 γίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ. [5] ἐὰν δὲ ἴδῃς τὸ ὑπο-
ζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό,
6 ἀλλὰ συναρεῖς αὐτὸ μετ᾽ αὐτοῦ. [6] οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ.
7 [7] ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσῃ. ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς,
8 καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων. [8] καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα
9 ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια. [9] καὶ προσήλυ-
τον οὐ θλίψετε· ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου· αὐτοὶ γὰρ προσ-
10 ήλυτοι ἦτε ἐν γῇ Αἰγύπτῳ. [10] ἓξ ἔτη σπερεῖς τὴν γῆν σου καὶ συνάξεις τὰ
11 γεννήματα αὐτῆς· [11] τῷ δὲ ἑβδόμῳ ἄφεσιν ποιήσεις καὶ ἀνήσεις αὐτήν, καὶ
ἔδονται οἱ πτωχοὶ τοῦ ἔθνους σου· τὰ δὲ ὑπολειπόμενα ἔδεται τὰ ἄγρια θηρία.
12 οὕτω ποιήσεις τὸν ἀμπελῶνά σου καὶ τὸν ἐλαιῶνά σου. [12] ἓξ ἡμέρας ποιήσεις
τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνάπαυσις· ἵνα ἀναπαύσηται ὁ βοῦς
σου καὶ τὸ ὑποζύγιόν σου, καὶ ἵνα ἀναψύξῃ ὁ υἱὸς τῆς παιδίσκης σου καὶ
13 ὁ προσήλυτος. [13] πάντα ὅσα εἴρηκα πρὸς ὑμᾶς φυλάξασθε· καὶ ὄνομα θεῶν
14 ἑτέρων οὐκ ἀναμνησθήσεσθε, οὐδὲ μὴ ἀκουσθῇ ἐκ τοῦ στόματος ὑμῶν. [14] τρεῖς
15 καιροὺς τοῦ ἐνιαυτοῦ ἑορτάσατέ μοι. [15] τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξασθε
ποιεῖν· ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα, καθάπερ ἐνετειλάμην σοι, κατὰ τὸν και-
ρὸν τοῦ μηνὸς τῶν νέων· ἐν γὰρ αὐτῷ ἐξῆλθες ἐξ Αἰγύπτου. οὐκ ὀφθήσῃ ἐνώ-
16 πιόν μου κενός. [16] καὶ ἑορτὴν θερισμοῦ πρωτογεννημάτων ποιήσεις τῶν ἔργων
σου ὧν ἐὰν σπείρῃς ἐν τῷ ἀγρῷ σου, καὶ ἑορτὴν συντελείας ἐπ᾽ ἐξόδου τοῦ
17 ἐνιαυτοῦ ἐν τῇ συναγωγῇ τῶν ἔργων σου τῶν ἐκ τοῦ ἀγροῦ σου. [17] τρεῖς και-
ροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ σου.
18 [18] ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη ἀπὸ προσώπου σου καὶ ἐμπλατύνω τὰ ὅριά σου,
οὐ θύσεις ἐπὶ ζύμῃ αἷμα θυμιάματός μου, οὐδὲ μὴ κοιμηθῇ στέαρ τῆς ἑορ-
19 τῆς μου ἕως πρωΐ. [19] τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς σου εἰσοί-
σεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς
20 αὐτοῦ. [20] καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου ἵνα *Mt. 11
21 φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν ἣν ἡτοίμασά σοι. [21] πρόσ- 10.
εχε σεαυτῷ καὶ εἰσάκουε αὐτοῦ καὶ μὴ ἀπείθει αὐτῷ, οὐ γὰρ μὴ ὑποστείληταί
22 σε· τὸ γὰρ ὄνομά μού ἐστιν ἐπ᾽ αὐτῷ. [22] ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς,
καὶ ποιήσῃς πάντα ὅσα ἂν ἐντείλωμαί σοι, καὶ φυλάξητε τὴν διαθήκην μου,
ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ
γῆ, ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα *1Pe. 2
ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ Ἐὰν ἀκοῇ ἀκούσητε τῆς φωνῆς μου, καὶ ποιήσητε 9. *Ap.
πάντα ὅσα ἂν εἴπω σοι, ἐχθρεύσω τοῖς ἐχθροῖς σου καὶ ἀντικείσομαι τοῖς ἀν- 1, 6.
23 τικειμένοις σοι. [23] πορεύσεται γὰρ ὁ ἄγγελός μου ἡγούμενός σου, καὶ εἰσάξει
σε πρὸς τὸν Ἀμορραῖον καὶ Χετταῖον καὶ Φερεζαῖον καὶ Χαναναῖον καὶ Γερ-
24 γεσαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον, καὶ ἐκτρίψω αὐτούς. [24] οὐ προσκυνήσεις τοῖς
θεοῖς αὐτῶν, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς· οὐ ποιήσεις κατὰ τὰ ἔργα αὐτῶν, ἀλλὰ
25 καθαιρέσει καθελεῖς καὶ συντρίβων συντρίψεις τὰς στήλας αὐτῶν. [25] καὶ λατρεύ-
σεις κυρίῳ τῷ θεῷ σου, καὶ εὐλογήσω τὸν ἄρτον σου καὶ τὸν οἶνόν σου καὶ

XXIII. 2. εκκλειναι μετα πλειονων ωςτε εκκλειναι κρ. 5. αλλα εγερεις 8. λημψη 9. προσηλ. ου κακωσετε ουδε μη θλιψετε 10. * ειςαξεις ... γενηματα 11. εβδομ. ετει ... τα θηρια τα αγρια ... ουτως ... και ελαιωνα σ. 12. αναπαυση pro αναπαυσις 13. οσα λελαληκα ... φυλαξεσθε 14. εορτασετε 15. φυλαξεσθε sine ποιειν 16. του θερισμου πρωτογενηματων ... επ εξοδω 17. om σου prius 18. * ου θυμιασεις ... * θυσιασματος 19. πρωτογενηματων 21. om και secundum 22. ακουση της φωνης μου ... οσα εντελλομαι ... εμου γαρ εστιν, ** εμου γαρ εσται ... Εαν ακουσης ... ποιησης ... εχθροις 24. αλλα και 25. * om και τον οινον σου

Digitized by Google

τὸ ὕδωρ σου, καὶ ἀποστρέψω μαλακίαν ἀφ᾽ ὑμῶν. 26 οὐκ ἔσται ἄγονος οὐδὲ 26
στεῖρα ἐπὶ τῆς γῆς σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρῶν ἀναπληρώσω.
27 καὶ τὸν φόβον ἀποστελῶ ἡγούμενόν σου, καὶ ἐκστήσω πάντα τὰ ἔθνη εἰς 27
οὓς σὺ εἰςπορεύῃ εἰς αὐτούς, καὶ δώσω πάντας τοὺς ὑπεναντίους σου φυγάδας.
28 καὶ ἀποστελῶ τὰς σφηκίας προτέρας σου, καὶ ἐκβαλεῖς τοὺς Ἀμορραίους 28
καὶ τοὺς Εὐαίους καὶ τοὺς Χαναναίους καὶ τοὺς Χετταίους ἀπὸ σοῦ. 29 οὐκ 29
ἐκβαλῶ αὐτοὺς ἐν ἐνιαυτῷ ἑνί, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος καὶ πολλὰ γένη-
ται ἐπὶ σὲ τὰ θηρία τῆς γῆς· 30 κατὰ μικρὸν ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ, ἕως 30
ἂν αὐξηθῇς καὶ κληρονομήσῃς τὴν γῆν. 31 καὶ θήσω τὰ ὅριά σου ἀπὸ τῆς 31
ἐρυθρᾶς θαλάσσης ἕως τῆς θαλάσσης τῆς Φυλιστιείμ, καὶ ἀπὸ τῆς ἐρήμου
ἕως τοῦ μεγάλου ποταμοῦ Εὐφράτου· καὶ παραδώσω εἰς τὰς χεῖρας ὑμῶν
τοὺς ἐγκαθημένους ἐν τῇ γῇ, καὶ ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ. 32 οὐ συγκαταθήσῃ 32
αὐτοῖς καὶ τοῖς θεοῖς αὐτῶν διαθήκην· 33 καὶ οὐκ ἐγκαθήσονται ἐν τῇ γῇ σου, 33
ἵνα μὴ ἁμαρτεῖν σε ποιήσωσι πρὸς μέ· ἐὰν γὰρ δουλεύσῃς τοῖς θεοῖς αὐτῶν,
οὗτοι ἔσονταί σοι πρόςκομμα.

## XXIV.

Καὶ Μωυσῇ εἶπεν Ἀνάβηθι πρὸς τὸν κύριον σὺ καὶ Ἀαρὼν καὶ Ναδὰβ
καὶ Ἀβιοὺδ καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ, καὶ προςκυνήσουσι
μακρόθεν τῷ κυρίῳ. 2 καὶ ἐγγιεῖ Μωυσῆς μόνος πρὸς τὸν θεόν, αὐτοὶ δὲ οὐκ 2
He. 9, 19. ἐγγιοῦσιν· ὁ δὲ λαὸς οὐ συναναβήσεται μετ᾽ αὐτῶν. 3 εἰςῆλθε δὲ Μωυσῆς καὶ 3
διηγήσατο τῷ λαῷ πάντα τὰ ῥήματα τοῦ θεοῦ καὶ τὰ δικαιώματα· ἀπεκρίθη
δὲ πᾶς ὁ λαὸς φωνῇ μιᾷ λέγοντες Πάντας τοὺς λόγους οὓς ἐλάλησε κύριος
ποιήσομεν καὶ ἀκουσόμεθα. 4 καὶ ἔγραψε Μωυσῆς πάντα τὰ ῥήματα κυρίου. 4
ὀρθρίσας δὲ Μωυσῆς τὸ πρωὶ ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος καὶ δώδεκα
λίθους εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, 5 καὶ ἐξαπέστειλε τοὺς νεανίσκους 5
τῶν υἱῶν Ἰσραὴλ καὶ ἀνήνεγκαν ὁλοκαυτώματα, καὶ ἔθυσαν θυσίαν σωτηρίου
τῷ θεῷ μοσχάρια. 6 λαβὼν δὲ Μωυσῆς τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρα- 6
τῆρας· τὸ δὲ ἥμισυ τοῦ αἵματος προσέχεε πρὸς τὸ θυσιαστήριον. 7 καὶ λαβὼν 7
τὸ βιβλίον τῆς διαθήκης ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ εἶπαν Πάντα ὅσα
ἐλάλησε κύριος ποιήσομεν καὶ ἀκουσόμεθα. 8 λαβὼν δὲ Μωυσῆς τὸ αἷμα κατε- 8
He. 9, 20. σκέδασε τοῦ λαοῦ καὶ εἶπεν Ἰδοὺ τὸ αἷμα τῆς διαθήκης ἧς διέθετο κύριος
πρὸς ὑμᾶς περὶ πάντων τῶν λόγων τούτων. 9 καὶ ἀνέβη Μωυσῆς καὶ Ἀαρὼν 9
καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ, 10 καὶ εἶδον 10
τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ· καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡςεὶ
ἔργον πλίνθου σαπφείρου, καὶ ὥςπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ
καθαριότητι. 11 καὶ τῶν ἐπιλέκτων τοῦ Ἰσραὴλ οὐ διεφώνησεν οὐδὲ εἷς· καὶ 11
ὤφθησαν ἐν τῷ τόπῳ τοῦ θεοῦ, καὶ ἔφαγον καὶ ἔπιον. 12 καὶ εἶπε κύριος πρὸς 12
Μωυσῆν Ἀνάβηθι πρὸς μὲ εἰς τὸ ὄρος καὶ ἴσθι ἐκεῖ· καὶ δώσω σοι τὰ πυξία
τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολὰς ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς. 13 καὶ 13
ἀναστὰς Μωυσῆς καὶ Ἰησοῦς ὁ παρεστηκὼς αὐτῷ ἀνέβησαν εἰς τὸ ὄρος τοῦ
θεοῦ, 14 καὶ τοῖς πρεσβυτέροις εἶπαν Ἡσυχάζετε αὐτοῦ ἕως ἀναστρέψωμεν πρὸς 14
ὑμᾶς· καὶ ἰδοὺ Ἀαρὼν καὶ Ὢρ μεθ᾽ ὑμῶν· ἐάν τινι συμβῇ κρίσις, προς-
πορευέσθωσαν αὐτοῖς. 15 καὶ ἀνέβη Μωυσῆς καὶ Ἰησοῦς εἰς τὸ ὄρος, καὶ ἐκά- 15
λυψεν ἡ νεφέλη τὸ ὄρος. 16 καὶ κατέβη ἡ δόξα τοῦ θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, 16
καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας· καὶ ἐκάλεσε κύριος τὸν Μωυσῆν τῇ

26. om αναπληρων 28. και εκβαλω 30. κατα μικρον μικρον 31. εως του ποταμου του μεγαλου ... εις χειρας XXIV. 1. προς κυριον 4. (et * et ** ορθισας) * om το πρωι 5. ανηνεγκεν ... εθυσεν 6. εις κρατηρα 9. εβδομηκ. των πρεσβυτερων ισραηλ 10. ιδον ... ου ιστηκει εκει ... πλινθου σαπφειρος ... τη καθαροτητι 13. (* om και ιησους) ... επι το ορος 14. ειπεν 15. om και ιησους 16. ορος σινα ... κυριος μωυσην

Digitized by Google

17 ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης. [17] τὸ δὲ εἶδος τῆς δόξης κυρίου ὡςεὶ
18 πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους ἐναντίον τῶν υἱῶν Ἰσραήλ. [18] καὶ εἰς-
ῆλθε Μωυσῆς εἰς τὸ μέσον τῆς νεφέλης καὶ ἀνέβη εἰς τὸ ὄρος, καὶ ἦν ἐκεῖ
ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

## XXV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Εἰπὸν τοῖς υἱοῖς Ἰσραήλ, καὶ
λάβετε ἀπαρχὰς παρὰ πάντων οἷς ἂν δόξῃ τῇ καρδίᾳ, καὶ λήψεσθε τὰς ἀπαρ-
3 χάς μου. [3] καὶ αὕτη ἐστὶν ἡ ἀπαρχὴ ἣν λήψεσθε παρ' αὐτῶν· χρυσίον καὶ
4 ἀργύριον καὶ χαλκόν, [4] καὶ ὑάκινθον καὶ πορφύραν καὶ κόκκινον διπλοῦν καὶ
5 βύσσον κεκλωσμένην, καὶ τρίχας αἰγείας, [5] καὶ δέρματα κριῶν ἠρυθροδανω-
6 μένα καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, [6] καὶ λίθους σαρδίου καὶ
7 λίθους εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα καὶ τὸν ποδήρη.* [7] καὶ ποιήσεις μοι *Act. 7, 44.
8 ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν· [8] καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα σοι
δεικνύω ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς καὶ τὸ παράδειγμα πάντων
9 τῶν σκευῶν αὐτῆς, οὕτω ποιήσεις. [9] καὶ ποιήσεις κιβωτὸν μαρτυρίου ἐκ ξύλων
ἀσήπτων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεος καὶ ἡμίσους τὸ
10 πλάτος, καὶ πήχεος καὶ ἡμίσους τὸ ὕψος. [10] καὶ καταχρυσώσεις αὐτὴν χρυσίῳ *He. 9, 4.
καθαρῷ, ἔσωθεν καὶ ἔξωθεν χρυσώσεις αὐτήν· καὶ ποιήσεις αὐτῇ κυμάτια
11 χρυσᾶ στρεπτὰ κύκλῳ. [11] καὶ ἐλάσεις αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς καὶ
ἐπιθήσεις ἐπὶ τὰ τέσσαρα κλίτη· δύο δακτυλίους ἐπὶ τὸ κλίτος τὸ ἕν, καὶ δύο
12 δακτυλίους ἐπὶ τὸ κλίτος τὸ δεύτερον. [12] ποιήσεις δὲ ἀναφορεῖς ξύλα ἄσηπτα,
13 καὶ καταχρυσώσεις αὐτὰ χρυσίῳ· [13] καὶ εἰςάξεις τοὺς ἀναφορεῖς εἰς τοὺς δακτυ-
14 λίους τοὺς ἐν τοῖς κλίτεσι τῆς κιβωτοῦ, αἴρειν τὴν κιβωτὸν ἐν αὐτοῖς· [14] ἐν
15 τοῖς δακτυλίοις τῆς κιβωτοῦ ἔσονται οἱ ἀναφορεῖς ἀκίνητοι. [15] καὶ ἐμβαλεῖς εἰς
16 τὴν κιβωτὸν τὰ μαρτύρια ἃ ἂν δῶ σοι. [16] καὶ ποιήσεις ἱλαστήριον ἐπίθεμα *He. 9, 4.
χρυσίου καθαροῦ, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεος καὶ ἡμίσους
17 τὸ πλάτος. [17] καὶ ποιήσεις δύο Χερουβὶμ χρυσοτορευτά, καὶ ἐπιθήσεις αὐτὰ
18 ἐξ ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου· [18] ποιηθήσονται Χεροὺβ εἷς ἐκ τοῦ
κλίτους τούτου καὶ Χεροὺβ εἷς ἐκ τοῦ κλίτους τοῦ δευτέρου τοῦ ἱλαστηρίου·
19 καὶ ποιήσεις τοὺς δύο Χερουβὶμ ἐπὶ τὰ δύο κλίτη. [19] ἔσονται οἱ Χερουβὶμ ἐκ- *He. 9, 5.
τείνοντες τὰς πτέρυγας ἐπάνωθεν, συσκιάζοντες ἐν ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τοῦ
ἱλαστηρίου, καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλληλα· εἰς τὸ ἱλαστήριον ἔσονται τὰ
20 πρόσωπα τῶν Χερουβίμ. [20] καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ τὴν κιβωτὸν ἄνω-
21 θεν, καὶ εἰς τὴν κιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια ἃ ἂν δῶ σοι. [21] καὶ γνωσθή-
σομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δύο
Χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ κατὰ πάντα ὅσα
22 ἐὰν ἐντείλωμαί σοι πρὸς τοὺς υἱοὺς Ἰσραήλ. [22] καὶ ποιήσεις τράπεζαν χρυσῆν
χρυσίου καθαροῦ, δύο πήχεων τὸ μῆκος, καὶ πήχεος τὸ εὖρος, καὶ πήχεος
23 καὶ ἡμίσους τὸ ὕψος. [23] καὶ ποιήσεις αὐτῇ στρεπτὰ κυμάτια χρυσᾶ κύκλῳ·
24 καὶ ποιήσεις αὐτῇ στεφάνην παλαιστοῦ κύκλῳ· [24] καὶ ποιήσεις στρεπτὸν κυ-
25 μάτιον τῇ στεφάνῃ κύκλῳ. [25] καὶ ποιήσεις τέσσαρας δακτυλίους χρυσοῦς, καὶ
ἐπιθήσεις τοὺς τέσσαρας δακτυλίους ἐπὶ τὰ τέσσαρα μέρη τῶν ποδῶν αὐτῆς

---

17. εναντι 18. εις μεσον ... εκαθητο pro ην ... τεσσερακοντα bis
XXV. 2. λαβετε μοι ... om και ante λημψεσθε 3. λημψεσθε ... om και ante χαλκον 5. ηρυθοδανωμενα 6. γλυφην και εις (7. ποιησης) 8. οσα εγω διγνυω σοι ... ουτως 9. ημισυς ter ... πηχεως bis (v. 16. 22. πηχεος) 10. om χρυσα 11. τεσσερα 12. εκ ξυλων ασηπτων 14. δακτυλ. της διαθηκης 16. ημισυς bis 17. χερουβειμ χρυσα τορευτα 18. χερουβειμ 19. χερουβειν bis ... συσκιαζοντες ταις 21. χερουβειν ... οσα αν 22. om χρυσην ... ημισυς 23. στρεπτον κυματιον χρυσουν 24. στρεπτ. κυμ. χρυσουν 25. om και επιθησ. τ. τεσσ. δακτυλιους ... επι τα τεσσερα

Digitized by Google

ὑπὸ τὴν στεφάνην· [26]καὶ ἔσονται οἱ δακτύλιοι εἰς θήκας τοῖς ἀναφορεῦσιν, 26
ὥςτε αἴρειν ἐν αὐτοῖς τὴν τράπεζαν. [27]καὶ ποιήσεις τοὺς ἀναφορεῖς ἐκ ξύλων 27
ἀσήπτων, καὶ καταχρυσώσεις αὐτοὺς χρυσίῳ καθαρῷ, καὶ ἀρθήσεται ἐν αὐ-
τοῖς ἡ τράπεζα. [28]καὶ ποιήσεις τὰ τρυβλία αὐτῆς καὶ τὰς θυΐσκας καὶ τὰ 28
σπονδεῖα καὶ τοὺς κυάθους, ἐν οἷς σπείσεις ἐν αὐτοῖς, ἐκ χρυσίου καθαροῦ
ποιήσεις αὐτά. [29]καὶ ἐπιθήσεις ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους ἐναντίον μου 29
διὰ παντός. [30]καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου καθαροῦ, τορευτὴν ποιήσεις 30
τὴν λυχνίαν· ὁ καυλὸς αὐτῆς καὶ οἱ καλαμίσκοι καὶ οἱ κρατῆρες καὶ οἱ σφαι-
ρωτῆρες καὶ τὰ κρίνα ἐξ αὐτῆς ἔσται. [31]ἓξ δὲ καλαμίσκοι ἐκπορευόμενοι ἐκ 31
πλαγίων, τρεῖς καλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ κλίτους τοῦ ἑνὸς αὐτῆς, καὶ
τρεῖς καλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ κλίτους τοῦ δευτέρου. [32]καὶ τρεῖς κρατῆρες 32
ἐκτετυπωμένοι καρυΐσκους· ἐν τῷ ἑνὶ καλαμίσκῳ σφαιρωτὴρ καὶ κρίνον· οὕτω
τοῖς ἓξ καλαμίσκοις τοῖς ἐκπορευομένοις ἐκ τῆς λυχνίας. [33]καὶ ἐν τῇ λυχνίᾳ 33
τέσσαρες κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους· ἐν τῷ ἑνὶ καλαμίσκῳ σφαιρω-
τῆρες καὶ τὰ κρίνα αὐτῆς. [34]ὁ σφαιρωτὴρ ὑπὸ τοὺς δύο καλαμίσκους ἐξ αὐτῆς, 34
καὶ σφαιρωτὴρ ὑπὸ τοὺς τέσσαρας καλαμίσκους ἐξ αὐτῆς· οὕτω τοῖς ἓξ καλα-
μίσκοις τοῖς ἐκπορευομένοις ἐκ τῆς λυχνίας. [35]καὶ ἐν τῇ λυχνίᾳ τέσσαρες κρα- 35
τῆρες ἐκτετυπωμένοι καρυΐσκους. [36]οἱ σφαιρωτῆρες καὶ οἱ καλαμίσκοι ἐξ αὐτῆς 36
ἔστωσαν· ὅλη τορευτὴ ἐξ ἑνὸς χρυσίου καθαροῦ. [37]καὶ ποιήσεις τοὺς λύχνους 37
αὐτῆς ἑπτά· καὶ ἐπιθήσεις τοὺς λύχνους, καὶ φανοῦσιν ἐκ τοῦ ἑνὸς προςώπου.
[38]καὶ τὸν ἐπαρυστῆρα αὐτῆς καὶ τὰ ὑποθέματα αὐτῆς ἐκ χρυσίου καθαροῦ 38
*He.8,5. ποιήσεις. [39]πάντα τὰ σκεύη ταῦτα τάλαντον χρυσίου καθαροῦ. [40]ὅρα ποιήσεις 39 40
κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει.

## XXVI.

Καὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας ἐκ βύσσου κεκλωσμένης καὶ ὑακίν-
θου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου· Χερουβὶμ ἐργασίᾳ ὑφάντου ποιή-
σεις αὐτάς. [2]μῆκος τῆς αὐλαίας τῆς μιᾶς ὀκτὼ καὶ εἴκοσι πήχεων, καὶ εὖρος 2
τεσσάρων πήχεων ἡ αὐλαία ἡ μία ἔσται· μέτρον τὸ αὐτὸ ἔσται πάσαις ταῖς
αὐλαίαις. [3]πέντε δὲ αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων ἐχόμεναι ἡ ἑτέρα ἐκ τῆς ἑτέ- 3
ρας, καὶ πέντε αὐλαῖαι ἔσονται συνεχόμεναι ἑτέρα τῇ ἑτέρᾳ. [4]καὶ ποιήσεις 4
αὐταῖς ἀγκύλας ὑακινθίνας ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς ἐκ τοῦ ἑνὸς
μέρους εἰς τὴν συμβολήν· καὶ οὕτω ποιήσεις ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς
ἐξωτέρας πρὸς τῇ συμβολῇ τῇ δευτέρᾳ. [5]πεντήκοντα ἀγκύλας ποιήσεις τῇ αὐ- 5
λαίᾳ τῇ μιᾷ, καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐκ τοῦ μέρους τῆς αὐλαίας
κατὰ τὴν συμβολὴν τῆς δευτέρας· ἀντιπρόςωποι ἀντιπίπτουσαι ἀλλήλαις εἰς
ἑκάστην. [6]καὶ ποιήσεις κρίκους πεντήκοντα χρυσοῦς, καὶ συνάψεις τὰς αὐλαίας 6
ἑτέραν τῇ ἑτέρᾳ τοῖς κρίκοις· καὶ ἔσται ἡ σκηνὴ μία. [7]καὶ ποιήσεις δέῤῥεις 7

---

26. την τραπ. εν αυτοις 28. σπονδια ... om εκ 31. om δε ... αυτης του ενος ... om της λυχνιας sec. 32. εν καρυισκ. τω ενι ... ουτως 33. και εκ της λυχνιας ... εν καλαμισκ. τω ενι σφαιρωτηρ κ. κρινον et pergitur: τοις εξ καλαμισκ. τοις εκπορ. εκ της λυχν., omissis v. 34. ο σφαιρωτηρ usque εξ αυτης. 35. και εκ της λυχνιας. Post v. 35. add οι σφαιρωτηρες και τα κρινα αυτης. Ο σφαιρωτηρ υπο τους δυο καλαμισκους εξ αυτης· και σφαιρωτηρ υπο τους τεσσαρας καλαμισκους εξ αυτης· (haec * scripsit, ** rescripsit omissis και σφαιρωτηρ υπο τ. τεσσ. καλ. ε. αυτ.) ουτως τοις εξ καλαμισκοις τοις εκπορευομενοις εκ της λυχνιας. Haec vs. 36. sequitur. 37. λυχν. αυτης και φανουσιν 38. om ποιησεις 39. ταλαντ. χρ. καθ. ποιησεις παντα τα σκ. ταυτ. XXVI. 1. χερουβειν 2. * om κ. ευρ. τεσσ. πηχ. ... εσται το αυτο ... om πασαις 3. εσονται συνεχομεναι ετερα εκ της ετερας ... ετερα εκ της ετερας 4. (αυτας pro αυταις) ... ουτως 5. πεντηκ. δε αγκ. π. τη ... εις αλληλας εκαστη

Digitized by Google

8 τριχίνας σκέπην ἐπὶ τῆς σκηνῆς· ἕνδεκα δέῤῥεις ποιήσεις αὐτάς. [8] τὸ μῆκος
τῆς δέῤῥεως τῆς μιᾶς τριάκοντα πήχεων, καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς
9 δέῤῥεως τῆς μιᾶς· τὸ αὐτὸ μέτρον ἔσται ταῖς ἕνδεκα δέῤῥεσι. [9] καὶ συνάψεις
τὰς πέντε δέῤῥεις ἐπὶ τὸ αὐτό, καὶ τὰς ἓξ δέῤῥεις ἐπὶ τὸ αὐτό· καὶ ἐπιδιπλώ-
10 σεις τὴν δέῤῥιν τὴν ἕκτην κατὰ πρόςωπον τῆς σκηνῆς. [10] καὶ ποιήσεις ἀγκύλας
πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς μιᾶς τῆς ἀνὰ μέσον κατὰ συμ-
βολήν· καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς
11 συναπτούσης τῆς δευτέρας. [11] καὶ ποιήσεις κρίκους χαλκοῦς πεντήκοντα, καὶ
συνάψεις τοὺς κρίκους ἐκ τῶν ἀγκυλῶν, καὶ συνάψεις τὰς δέῤῥεις καὶ ἔσται ἕν.
12 [12] καὶ ὑποθήσεις τὸ πλεονάζον ἐν ταῖς δέῤῥεσι τῆς σκηνῆς· τὸ ἥμισυ τῆς δέῤῥεως
τὸ ὑπολελειμμένον ὑποκαλύψεις εἰς τὸ πλεονάζον τῶν δέῤῥεων τῆς σκηνῆς, ὑπο-
13 καλύψεις ὀπίσω τῆς σκηνῆς· [13] πῆχυν ἐκ τούτου καὶ πῆχυν ἐκ τούτου, ἐκ τοῦ
ὑπερέχοντος τῶν δέῤῥεων, ἐκ τοῦ μήκους τῶν δέῤῥεων τῆς σκηνῆς· ἔσται συγ-
14 καλύπτον ἐπὶ τὰ πλάγια τῆς σκηνῆς ἔνθεν καὶ ἔνθεν ἵνα καλύπτῃ. [14] καὶ ποιή-
σεις κατακάλυμμα τῇ σκηνῇ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ ἐπικαλύμ-
15 ματα δέρματα ὑακίνθινα ἐπάνωθεν. [15] καὶ ποιήσεις στύλους τῆς σκηνῆς ἐκ ξύλων
16 ἀσήπτων· [16] δέκα πήχεων ποιήσεις τὸν στῦλον τὸν ἕνα, καὶ πήχεως ἑνὸς καὶ
17 ἡμίσους τὸ πλάτος τοῦ στύλου τοῦ ἑνός· [17] δύο ἀγκωνίσκους τῷ στύλῳ τῷ ἑνί,
ἀντιπίπτοντας ἕτερον τῷ ἑτέρῳ· οὕτω ποιήσεις πᾶσι τοῖς στύλοις τῆς σκηνῆς.
18 [18] καὶ ποιήσεις στύλους τῇ σκηνῇ, εἴκοσι στύλους ἐκ τοῦ κλίτους τοῦ πρὸς βοῤῥᾶν.
19 [19] καὶ τεσσαράκοντα βάσεις ἀργυρᾶς ποιήσεις τοῖς εἴκοσι στύλοις, δύο βάσεις
τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ
20 ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ. [20] καὶ τὸ κλίτος τὸ δεύτερον τὸ πρὸς νότον
21 εἴκοσι στύλους· [21] καὶ τεσσαράκοντα βάσεις αὐτῶν ἀργυρᾶς, δύο βάσεις τῷ
στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ
22 εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ. [22] καὶ ἐκ τῶν ὀπίσω τῆς σκηνῆς κατὰ τὸ μέρος
23 τὸ πρὸς θάλασσαν ποιήσεις ἓξ στύλους. [23] καὶ δύο στύλους ποιήσεις ἐπὶ τῶν
24 γωνιῶν τῆς σκηνῆς ἐκ τῶν ὀπισθίων, [24] καὶ ἔσται ἐξ ἴσου κάτωθεν· κατὰ τὸ
αὐτὸ ἔσονται ἴσοι ἐκ τῶν κεφαλῶν εἰς σύμβλησιν μίαν· οὕτω ποιήσεις ἀμφο-
25 τέραις ταῖς δυσὶ γωνίαις, ἴσαι ἔστωσαν. [25] καὶ ἔσονται ὀκτὼ στῦλοι, καὶ αἱ
βάσεις αὐτῶν ἀργυραῖ δεκαέξ· δύο βάσεις τῷ ἑνὶ στύλῳ εἰς ἀμφότερα τὰ μέρη
26 αὐτοῦ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνί. [26] καὶ ποιήσεις μοχλοὺς ἐκ ξύλων ἀση-
27 πτων πέντε τῷ ἑνὶ στύλῳ ἐκ τοῦ ἑνὸς μέρους τῆς σκηνῆς, [27] καὶ πέντε μοχλοὺς
τῷ στύλῳ τῷ ἑνὶ κλίτει τῆς σκηνῆς τῷ δευτέρῳ, καὶ πέντε μοχλοὺς τῷ στύλῳ
28 τῷ ὀπισθίῳ τῷ κλίτει τῆς σκηνῆς τῷ πρὸς θάλασσαν· [28] καὶ ὁ μοχλὸς ὁ μέσος
ἀνὰ μέσον τῶν στύλων διικνείσθω ἀπὸ τοῦ ἑνὸς κλίτους εἰς τὸ ἕτερον κλίτος.
29 [29] καὶ τοὺς στύλους καταχρυσώσεις χρυσίῳ, καὶ τοὺς δακτυλίους ποιήσεις χρυ-
σοῦς εἰς οὓς εἰςάξεις τοὺς μοχλούς, καὶ καταχρυσώσεις τοὺς μοχλοὺς χρυσίῳ.
30 [30] καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ εἶδος τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει.
31 [31] καὶ ποιήσεις καταπέτασμα ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλω-
32 σμένου καὶ βύσσου νενησμένης· ἔργον ὑφαντὸν ποιήσεις αὐτὸ Χερουβίμ. [32] καὶ
ἐπιθήσεις αὐτὸ ἐπὶ τεσσάρων στύλων ἀσήπτων κεχρυσωμένων χρυσίῳ· καὶ αἱ
33 κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ. [33] καὶ θήσεις

---

7. σκεπειν 8. μιας εσται τριακ. ... μετρον το αυτο εσται 9. * om κ. τ. εξ δερρ. ε. τ. αυτο 10. κατα την συμβολ. 11. και εσονται εν 12. om το ημ. της δερρεως ... υποκαλυψεις το ... επικαλυψεις 13. om εκ τ. μηκ. τ. δερρ. 14. ηρυθοδανωμενα 15. τη σκηνη 16. om ποιησεις ... πηχεος 17. ουτως 19. τεσσεραχοντα ... om και δυο βασ. usque αυτου 20. εικοσι στυλ. το προς νοτ. 21. τεσσεραχ. β. αυτοις 24. εσονται pro εσται ... κατωθ. και κατα ... κεφαλιδων εις συμβολην μ. ουτως 25. και βασεις ... δ. β. τω στυλω τω ενι και δυο β. τ. στ. τ. ενι εις αμφοτ. τα μερ. αυτου 27. om ενι ... τω οπισθιω κλιτει (30. αναστησης) 31. χερουβειν

Digitized by Google

τὸ καταπέτασμα ἐπὶ τῶν στύλων, καὶ εἰςοίσεις ἐκεῖ ἐσώτερον τοῦ καταπετά-
σματος τὴν κιβωτὸν τοῦ μαρτυρίου· καὶ διοριεῖ τὸ καταπέτασμα ὑμῖν ἀνὰ μέσον
τοῦ ἁγίου καὶ ἀνὰ μέσον τοῦ ἁγίου τῶν ἁγίων. [34] καὶ κατακαλύψεις τῷ κατα- 34
πετάσματι τὴν κιβωτὸν τοῦ μαρτυρίου ἐν τῷ ἁγίῳ τῶν ἁγίων. [35] καὶ ἐπιθήσεις 35
τὴν τράπεζαν ἔξωθεν τοῦ καταπετάσματος, καὶ τὴν λυχνίαν ἀπέναντι τῆς τρα-
πέζης ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς νότον· καὶ τὴν τράπεζαν θήσεις ἐπὶ μέρους
τῆς σκηνῆς τὸ πρὸς βορρᾶν. [36] καὶ ποιήσεις ἐπίσπαστρον τῇ θύρᾳ τῆς σκηνῆς 36
ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμέ-
νης, ἔργον ποικιλτοῦ. [37] καὶ ποιήσεις τῷ καταπετάσματι πέντε στύλους, καὶ 37
χρυσώσεις αὐτοὺς χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ χωνεύσεις
αὐτοῖς πέντε βάσεις χαλκᾶς.

## XXVII.

Καὶ ποιήσεις θυσιαστήριον ἐκ ξύλων ἀσήπτων, πέντε πήχεων τὸ μῆκος,
καὶ πέντε πήχεων τὸ εὖρος· τετράγωνον ἔσται τὸ θυσιαστήριον, καὶ τριῶν πή-
χεων τὸ ὕψος αὐτοῦ. [2] καὶ ποιήσεις τὰ κέρατα ἐπὶ τῶν τεσσάρων γωνιῶν· ἐξ 2
αὐτοῦ ἔσται τὰ κέρατα, καὶ καλύψεις αὐτὰ χαλκῷ. [3] καὶ ποιήσεις στεφάνην 3
τῷ θυσιαστηρίῳ, καὶ τὸν καλυπτῆρα αὐτοῦ καὶ τὰς φιάλας αὐτοῦ καὶ τὰς
κρεάγρας αὐτοῦ καὶ τὸ πυρεῖον αὐτοῦ· καὶ πάντα τὰ σκεύη αὐτοῦ ποιήσεις
χαλκᾶ. [4] καὶ ποιήσεις αὐτῷ ἐσχάραν ἔργῳ δικτυωτῷ χαλκῆν· καὶ ποιήσεις τῇ 4
ἐσχάρᾳ τέσσαρας δακτυλίους χαλκοῦς ὑπὸ τὰ τέσσαρα κλίτη. [5] καὶ ὑποθήσεις 5
αὐτοὺς ὑπὸ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου κάτωθεν· ἔσται δὲ ἡ ἐσχάρα ἕως
τοῦ ἡμίσους τοῦ θυσιαστηρίου. [6] καὶ ποιήσεις τῷ θυσιαστηρίῳ ἀναφορεῖς ἐκ 6
ξύλων ἀσήπτων, καὶ περιχαλκώσεις αὐτοὺς χαλκῷ. [7] καὶ εἰςάξεις τοὺς ἀναφο- 7
ρεῖς εἰς τοὺς δακτυλίους· καὶ ἔστωσαν ἀναφορεῖς κατὰ πλευρὰ τοῦ θυσιαστη-
ρίου ἐν τῷ αἴρειν αὐτό. [8] κοῖλον σανιδωτὸν ποιήσεις αὐτό· κατὰ τὸ παραδειχθέν 8
σοι ἐν τῷ ὄρει, οὕτω ποιήσεις αὐτό. [9] καὶ ποιήσεις αὐλὴν τῇ σκηνῇ· εἰς τὸ 9
κλίτος τὸ πρὸς λίβα ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης, μῆκος ἑκατὸν
πήχεων τῷ ἑνὶ κλίτει· [10] καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν 10
εἴκοσι χαλκαῖ, καὶ οἱ κρίκοι αὐτῶν καὶ αἱ ψαλίδες ἀργυραῖ. [11] οὕτως τῷ κλίτει 11
τῷ πρὸς ἀπηλιώτην ἱστία ἑκατὸν πήχεων μῆκος· καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι,
καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ, καὶ οἱ κρίκοι καὶ αἱ ψαλίδες τῶν στύλων
καὶ αἱ βάσεις αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ. [12] τὸ δὲ εὖρος τῆς αὐλῆς τὸ 12
κατὰ θάλασσαν ἱστία πεντήκοντα πήχεων· στῦλοι αὐτῶν δέκα, καὶ βάσεις
αὐτῶν δέκα. [13] καὶ εὖρος τῆς αὐλῆς τῆς πρὸς νότον ἱστία πεντήκοντα πήχεων· 13
στῦλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα. [14] καὶ πεντεκαίδεκα πήχεων τὸ 14
ὕψος τῶν ἱστίων τῷ κλίτει τῷ ἑνί· στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν
τρεῖς. [15] καὶ τὸ κλίτος τὸ δεύτερον δεκαπέντε πήχεων τῶν ἱστίων τὸ ὕψος· 15
στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. [16] καὶ τῇ πύλῃ τῆς αὐλῆς κά- 16
λυμμα, εἴκοσι πήχεων τὸ ὕψος, ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλω-
σμένου καὶ βύσσου κεκλωσμένης τῇ ποικιλίᾳ τοῦ ῥαφιδευτοῦ· στῦλοι αὐτῶν
τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες. [17] πάντες οἱ στῦλοι τῆς αὐλῆς κύκλῳ 17
κατηργυρωμένοι ἀργυρίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν ἀργυραῖ, καὶ αἱ βάσεις αὐ-

33. επι τους στυλους 35. θησεις pro επιθησεις 36. om τη θυρα της σκην. XXVII. 1. μηκος et ευρος sine articulo 3. κεαγρας (cf. 38, 23.) ... om και ante παντα ... om αυτου 4. επι pro υπο ... τεσσερα 5. εως ημισυς 6. φορεις τω θυσιαστ. εκ 7. τους φορεις ... εστωσ. οι φορεις κατα τα δυο πλευρα 8. ουτως ... om αυτο secund. 10. και στυλοι ... και βασεις ... ψαλιδ. αυτων αργ. 11. πορραν pro απηλιωτην ... * om και αι βασ. αυτ. εικοσι ... * χαλκοι ... κρικοι αυτων και ... om αυτων ante περιηργ. 13. αυλης το προς ανατολας 14. των ιστιων το υψος ... και βασεις 15. πεντεκαιδεκα ... και βασεις 16. και βασεις 17. αργυραι pro αργυριω

Digitized by Google

18 τῶν χαλκαῖ. [18] τὸ δὲ μῆκος τῆς αὐλῆς ἑκατὸν ἐφ' ἑκατόν, καὶ εὖρος πεντή-
κοντα ἐπὶ πεντήκοντα, καὶ ὕψος πέντε πήχεων ἐκ βύσσου κεκλωσμένης, καὶ
19 βάσεις αὐτῶν χαλκαῖ. [19] καὶ πᾶσα ἡ κατασκευὴ καὶ πάντα τὰ ἐργαλεῖα καὶ
20 οἱ πάσσαλοι τῆς αὐλῆς χαλκοῖ. [20] καὶ σὺ σύνταξον τοῖς υἱοῖς Ἰσραήλ, καὶ λα-
βέτωσάν σοι ἔλαιον ἐξ ἐλαίων ἄτρυγον καθαρὸν κεκομμένον εἰς φῶς καῦσαι,
21 ἵνα καίηται λύχνος διὰ παντὸς [21] ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἔξωθεν τοῦ κατα-
πετάσματος τοῦ ἐπὶ τῆς διαθήκης· καύσει αὐτὸ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ'
ἑσπέρας ἕως πρωὶ ἐναντίον κυρίου· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν παρὰ
τῶν υἱῶν Ἰσραήλ.

## XXVIII.

Καὶ σὺ προςαγάγου πρὸς σεαυτὸν τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου καὶ
τοὺς υἱοὺς αὐτοῦ ἐκ τῶν υἱῶν Ἰσραὴλ ἱερατεύειν μοι, Ἀαρὼν καὶ Ναδὰβ
2 καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ υἱοὺς Ἀαρών. [2] καὶ ποιήσεις στολὴν
3 ἁγίαν Ἀαρὼν τῷ ἀδελφῷ σου εἰς τιμὴν καὶ δόξαν. [3] καὶ σὺ λάλησον πᾶσι τοῖς
σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεύματος σοφίας καὶ αἰσθήσεως, καὶ ποιή-
4 σουσι τὴν στολὴν τὴν ἁγίαν Ἀαρὼν εἰς τὸ ἅγιον, ἐν ᾗ ἱερατεύσει μοι. [4] καὶ
αὗται αἱ στολαὶ ἃς ποιήσουσι· τὸ περιστήθιον καὶ τὴν ἐπωμίδα καὶ τὸν πο-
δήρη καὶ χιτῶνα κοσυμβωτὸν καὶ κίδαριν καὶ ζώνην· καὶ ποιήσουσι στολὰς
5 ἁγίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς τὸ ἱερατεύειν μοι. [5] καὶ αὐτοὶ λήψονται
τὸ χρυσίον καὶ τὸν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον καὶ τὴν βύσ-
6 σον, [6] καὶ ποιήσουσι τὴν ἐπωμίδα ἐκ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν ποι-
7 κιλτοῦ· [7] δύο ἐπωμίδες συνέχουσαι ἔσονται αὐτῷ ἑτέρα τὴν ἑτέραν, ἐπὶ τοῖς
8 δυσὶ μέρεσιν ἐξηρτημέναι· [8] καὶ τὸ ὕφασμα τῶν ἐπωμίδων, ὅ ἐστιν ἐπ' αὐτῷ,
κατὰ τὴν ποίησιν ἐξ αὐτοῦ ἔσται ἐκ χρυσίου καθαροῦ καὶ ὑακίνθου καὶ πορ-
9 φύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης. [9] καὶ λήψῃ τοὺς
δύο λίθους, λίθους σμαράγδου, καὶ γλύψεις ἐν αὐτοῖς τὰ ὀνόματα τῶν υἱῶν
10 Ἰσραήλ· [10] ἓξ ὀνόματα ἐπὶ τὸν λίθον τὸν ἕνα καὶ τὰ ἓξ ὀνόματα τὰ λοιπὰ ἐπὶ
11 τὸν λίθον τὸν δεύτερον κατὰ τὰς γενέσεις αὐτῶν, [11] ἔργον λιθουργικῆς τέχνης·
γλύμμα σφραγῖδος διαγλύψεις τοὺς δύο λίθους ἐπὶ τοῖς ὀνόμασι τῶν υἱῶν Ἰσραήλ.
12 [12] καὶ θήσεις τοὺς δύο λίθους ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος· λίθοι μνημοσύνου
εἰσὶ τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἀναλήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ
13 ἔναντι κυρίου ἐπὶ τῶν δύο ὤμων αὐτοῦ, μνημόσυνον περὶ αὐτῶν. [13] καὶ ποιή-
14 σεις ἀσπιδίσκας ἐκ χρυσίου καθαροῦ· [14] καὶ ποιήσεις δύο κροσσωτὰ ἐκ χρυ-
σίου καθαροῦ, καταμεμιγμένα ἐν ἄνθεσιν, ἔργον πλοκῆς· καὶ ἐπιθήσεις τὰ
κροσσωτὰ τὰ πεπλεγμένα ἐπὶ τὰς ἀσπιδίσκας κατὰ τὰς παρωμίδας αὐτῶν ἐκ
15 τῶν ἐμπροσθίων. [15] καὶ ποιήσεις λογεῖον τῶν κρίσεων ἔργον ποικιλτοῦ· κατὰ
τὸν ῥυθμὸν τῆς ἐπωμίδος ποιήσεις αὐτὸ ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας
16 καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμένης. [16] ποιήσεις αὐτὸ τετράγω-
17 νον, ἔσται διπλοῦν· σπιθαμῆς τὸ μῆκος αὐτοῦ καὶ σπιθαμῆς τὸ εὖρος. [17] καὶ
καθυφανεῖς ἐν αὐτῷ ὕφασμα κατάλιθον τετράστιχον. στίχος λίθων ἔσται· σάρ-
18 διον, τοπάζιον καὶ σμάραγδος. ὁ στίχος ὁ εἷς· [18] καὶ ὁ στίχος ὁ δεύτερος ἄν-
19 θραξ καὶ σάπφειρος καὶ ἴασπις· [19] καὶ ὁ στίχος ὁ τρίτος λιγύριον, ἀχάτης,
20 ἀμέθυστος· [20] καὶ ὁ στίχος ὁ τέταρτος χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον·

---

18. και αι βασεις 19. η αποσκευη 20. ατρυγητον ... om καυσαι 21. καυσει αυτον ... εναντι κυριου XXVIII. 1. om και ante εκ ... τους υιους ααρ. 3. ενεπλησας πνευματος αισθησεως 5. λημψονται ... την υακινθον 7. εσοντ. αυτω συνεχουσαι αυτω ... εξηρτισμεναι 8. om καθαρου 9. λημψη ... επ αυτοις 11. διαγλυψ. τ. δ. λιθ. διαγλυψεις 12. αναλημψεται ... μνημοσυν. εναντι κυριου περι 14. κροσωτα bis 15. λογιον (βυσσ. κεκλωσμενου) 16. om αυτου 17. om και ante σμαραγδ. 19. και αχατης και αμεθ. (20. βιρυλλιον)

Digitized by Google

περικεκαλυμμένα χρυσίῳ, συνδεδεμένα ἐν χρυσίῳ, ἔστωσαν κατὰ στίχον αὐ-
τῶν. [21] καὶ οἱ λίθοι ἔστωσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δεκαδύο κατὰ 21
τὰ ὀνόματα αὐτῶν· γλυφαὶ σφραγίδων ἕκαστος κατὰ τὸ ὄνομα ἔστωσαν εἰς
δεκαδύο φυλάς. [22] καὶ ποιήσεις ἐπὶ τὸ λογεῖον κρωσσοὺς συμπεπλεγμένους, ἔρ- 22
γον ἀλυσιδωτὸν ἐκ χρυσίου καθαροῦ. [23] καὶ λήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν 23
υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ λογείου τῆς κρίσεως ἐπὶ τοῦ στήθους, εἰςιόντι εἰς τὸ
ἅγιον, μνημόσυνον ἐναντίον τοῦ θεοῦ. [24] καὶ θήσεις ἐπὶ τὸ λογεῖον τῆς κρί- 24
σεως τοὺς κρωσσούς· τὰ ἀλυσιδωτὰ ἐπ' ἀμφοτέρων τῶν κλιτῶν τοῦ λογείου
ἐπιθήσεις, [25] καὶ τὰς δύο ἀσπιδίσκας ἐπιθήσεις ἐπ' ἀμφοτέρους τοὺς ὤμους 25
τῆς ἐπωμίδος κατὰ πρόςωπον. [26] καὶ ἐπιθήσεις ἐπὶ τὸ λογεῖον τῆς κρίσεως τὴν 26
δήλωσιν καὶ τὴν ἀλήθειαν· καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρὼν ὅταν εἰςπο-
ρεύηται εἰς τὸ ἅγιον ἔναντι κυρίου· καὶ οἴσει Ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν
Ἰσραὴλ ἐπὶ τοῦ στήθους ἔναντι κυρίου διὰ παντός. [27] καὶ ποιήσεις ὑποδύτην 27
ποδήρη ὅλον ὑακίνθινον. [28] καὶ ἔσται τὸ περιστόμιον ἐξ αὐτοῦ μέσον, ὤαν ἔχον 28
κύκλῳ τοῦ περιστομίου, ἔργον ὑφάντου, τὴν συμβολὴν συνυφασμένην ἐξ αὐ-
τοῦ, ἵνα μὴ ῥαγῇ. [29] καὶ ποιήσεις ὑπὸ τὸ λῶμα τοῦ ὑποδύτου κάτωθεν ὡςεὶ 29
ἐξανθούσης ῥόας ῥοΐσκους ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμέ-
νου καὶ βύσσου κεκλωσμένης, ὑπὸ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ· τὸ αὐτὸ
εἶδος ῥοΐσκους χρυσοῦς, καὶ κώδωνας ἀνὰ μέσον τούτων περικύκλῳ· [30] παρὰ 30
ῥοΐσκον χρυσοῦν κώδωνα, καὶ ἄνθινον ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ.
[31] καὶ ἔσται Ἀαρὼν ἐν τῷ λειτουργεῖν ἀκουστὴ ἡ φωνὴ αὐτοῦ, εἰςιόντι εἰς τὸ 31
ἅγιον ἔναντι κυρίου καὶ ἐξιόντι, ἵνα μὴ ἀποθάνῃ. [32] καὶ ποιήσεις πέταλον χρυ- 32
σοῦν καθαρόν, καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγῖδος, ἁγίασμα κυρίου.
[33] καὶ ἐπιθήσεις αὐτὸ ἐπὶ ὑακίνθου κεκλωσμένης, καὶ ἔσται ἐπὶ τῆς μίτρας, 33
κατὰ πρόςωπον τῆς μίτρας ἔσται· [34] καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρών, καὶ 34
ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν ἁγίων ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραὴλ
παντὸς δόματος τῶν ἁγίων αὐτῶν· καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρὼν διὰ
παντὸς δεκτὸν αὐτοῖς ἔναντι κυρίου. [35] καὶ οἱ κοσυμβωτοὶ τῶν χιτώνων ἐκ 35
βύσσου· καὶ ποιήσεις κίδαριν βυσσίνην, καὶ ζώνην ποιήσεις, ἔργον ποικιλτοῦ.
[36] καὶ τοῖς υἱοῖς Ἀαρὼν ποιήσεις χιτῶνας καὶ ζώνας, καὶ κιδάρεις ποιήσεις 36
αὐτοῖς εἰς τιμὴν καὶ δόξαν. [37] καὶ ἐνδύσεις αὐτὰ Ἀαρὼν τὸν ἀδελφόν σου καὶ 37
τοὺς υἱοὺς αὐτοῦ μετ' αὐτοῦ· καὶ χρίσεις αὐτούς, καὶ ἐμπλήσεις αὐτῶν τὰς
χεῖρας· καὶ ἁγιάσεις αὐτοὺς ἵνα ἱερατεύωσί μοι. [38] καὶ ποιήσεις αὐτοῖς περι- 38
σκελῆ λίνα καλύψαι ἀσχημοσύνην χρωτὸς αὐτῶν, ἀπὸ ὀσφύος ἕως μηρῶν ἔσται.
[39] καὶ ἕξει Ἀαρὼν αὐτὰ καὶ οἱ υἱοὶ αὐτοῦ ὅταν εἰςπορεύωνται εἰς τὴν σκηνὴν 39
τοῦ μαρτυρίου, ἢ ὅταν προςπορεύωνται λειτουργεῖν πρὸς τὸ θυσιαστήριον τοῦ
ἁγίου· καὶ οὐκ ἐπάξονται πρὸς ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσι· νόμι-
μον αἰώνιον αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν.

## XXIX.

Καὶ ταῦτά ἐστιν ἃ ποιήσεις αὐτοῖς· ἁγιάσεις αὐτοὺς ὥςτε ἱερατεύειν μοι
αὐτούς· λήψῃ δὲ μοσχάριον ἐκ βοῶν ἓν καὶ κριοὺς ἀμώμους δύο, [2] καὶ ἄρ- 2
τους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ·
σεμίδαλιν ἐκ πυρῶν ποιήσεις αὐτά. [3] καὶ ἐπιθήσεις αὐτὰ ἐπὶ κανοῦν ἕν· καὶ 3

20. και συνδεδ. ... * om εν χρυσιω 21. ισραηλ δωδεκα κατα τας γενεσεις αυτων κατα τα ονομ. αυτων ... εκαστου ... εις τας δωδεκα φυλας 22. λογιον ... κροσους ... om εκ 23. λημψεται ... επι το λογιον ... εναντι 24. λογιον ... κροσους ... λαγιου 26. λογιον 27. ολον ποδηρη 28. ωιαν 29. επι το λωμα τ. υ. κυκλοθεν ... επι του λωματος ... το δε αυτο 35. οι κοσυμβοι 37. ιερατευσωσιν 39. εφ εαυτοις αμαρτιαν XXIX. 1. αγιασαι ... λημψη μοσχαριον εκ βοων αμωμον και 2. om και λαγ. αζ. κεχρ. εν ελ. 3. om κ. επιθ. αυτ.



Digitized by Google

4 προςοίσεις αὐτὰ ἐπὶ τῷ κανῷ, καὶ τὸ μοσχάριον καὶ τοὺς δύο κριούς· [4] καὶ
Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ προςάξεις ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυ-
5 ρίου, καὶ λούσεις αὐτοὺς ἐν ὕδατι. [5] καὶ λαβὼν τὰς στολὰς ἐνδύσεις Ἀαρὼν
τὸν ἀδελφόν σου, καὶ τὸν χιτῶνα τὸν ποδήρη καὶ τὴν ἐπωμίδα καὶ τὸ λο-
6 γεῖον· καὶ συνάψεις αὐτῷ τὸ λογεῖον πρὸς τὴν ἐπωμίδα. [6] καὶ ἐπιθήσεις τὴν
μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπιθήσεις τὸ πέταλον τὸ ἁγίασμα ἐπὶ τὴν
7 μίτραν. [7] καὶ λήψῃ τοῦ ἐλαίου τοῦ χρίσματος καὶ ἐπιχεεῖς αὐτὸ ἐπὶ τὴν κε-
8 φαλὴν αὐτοῦ, καὶ χρίσεις αὐτόν. [8] καὶ τοὺς υἱοὺς αὐτοῦ προςάξεις καὶ ἐνδύ-
9 σεις αὐτοὺς χιτῶνας· [9] καὶ ζώσεις αὐτοὺς ταῖς ζώναις, καὶ περιθήσεις αὐτοῖς
τὰς κιδάρεις· καὶ ἔσται αὐτοῖς ἱερατεία μοι εἰς τὸν αἰῶνα· καὶ τελειώσεις
10 Ἀαρὼν τὰς χεῖρας αὐτοῦ καὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ. [10] καὶ προςάξεις τὸν
μόσχον ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ
οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι κυρίου παρὰ
11 τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· [11] καὶ σφάξεις τὸν μόσχον ἔναντι κυρίου
12 παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. [12] καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ
μόσχου καὶ θήσεις ἐπὶ τῶν κεράτων τοῦ θυσιαστηρίου τῷ δακτύλῳ σου· τὸ δὲ
13 λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου. [13] καὶ λήψῃ πᾶν τὸ
στέαρ τὸ ἐπὶ τῆς κοιλίας καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ
14 τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν, καὶ ἐπιθήσεις ἐπὶ τὸ θυσιαστήριον. [14] τὰ δὲ κρέατα *He. 13, 11.
τοῦ μόσχου καὶ τὸ δέρμα καὶ τὴν κόπρον κατακαύσεις πυρὶ ἔξω τῆς παρεμ-
15 βολῆς· ἁμαρτίας γάρ ἐστι. [15] καὶ τὸν κριὸν λήψῃ τὸν ἕνα, καὶ ἐπιθήσουσιν Ἀα-
16 ρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ· [16] καὶ
σφάξεις αὐτόν, καὶ λαβὼν τὸ αἷμα προςχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ.
17 [17] καὶ τὸν κριὸν διχοτομήσεις κατὰ μέλη, καὶ πλυνεῖς τὰ ἐνδόσθια καὶ τοὺς
18 πόδας ὕδατι, παὶ ἐπιθήσεις ἐπὶ τὰ διχοτομήματα σὺν τῇ κεφαλῇ. [18] καὶ ἀνοίσεις
ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὁλοκαύτωμα τῷ κυρίῳ εἰς ὀσμὴν εὐωδίας·
19 θυμίαμα κυρίῳ ἐστί. [19] καὶ λήψῃ τὸν κριὸν τὸν δεύτερον, καὶ ἐπιθήσει Ἀα-
20 ρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ, [20] καὶ
σφάξεις αὐτόν· καὶ λήψῃ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τοῦ
ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς καὶ ἐπὶ τὸ ἄκρον
τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων τῶν υἱῶν αὐτοῦ τῶν δεξιῶν
καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν
21 αὐτῶν τῶν δεξιῶν. [21] καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ ἀπὸ τοῦ θυσιαστηρίου καὶ
ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ῥανεῖς ἐπὶ Ἀαρὼν καὶ ἐπὶ τὴν στολὴν αὐτοῦ,
καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ· καὶ
ἁγιασθήσεται αὐτὸς καὶ ἡ στολὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ στολαὶ τῶν
υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ· τὸ δὲ αἷμα τοῦ κριοῦ προςχεεῖς πρὸς τὸ θυσιαστή-
22 ριον κύκλῳ. [22] καὶ λήψῃ ἀπὸ τοῦ κριοῦ τὸ στέαρ αὐτοῦ καὶ τὸ στέαρ τὸ κα-
τακαλύπτον τὴν κοιλίαν, καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ
τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν, καὶ τὸν βραχίονα τὸν δεξιόν· ἔστι γὰρ τελείωσις
23 αὕτη· [23] καὶ ἄρτον ἕνα ἐξ ἐλαίου, καὶ λάγανον ἓν ἀπὸ τοῦ κανοῦ τῶν ἀζύ-
24 μων τῶν προτεθειμένων ἔναντι κυρίου· [24] καὶ ἐπιθήσεις τὰ πάντα ἐπὶ τὰς χεῖ-

---

4. om και primum 5. ενδυσεις αυτα ... λογιον bis 7. λημψη 9. εμοι ... inde ab αιωνα usque του μαρτυριου v. 10. extr. rescripta ... ** τας χειρας ααρων και 11. om totum v. 12. λημψη ... * αιματος του (** h. l. add μοσχου και θησεις επι των κερατων του) θυσιαστηριου και επιθησεις επι τ. κ. τ. θυσ. ... om παν 13. λημψη 14. κρεα 15. λημψη 16. κ. σφαξ. τον κριον 17. * om υδατι 18. τον κριον ολον ... θυσιασμα τω κυρ. ε. 19. om ληψη 20. λημψη ... της χειρος της δεξιας 21. λημψη ... αιματος του θυσιαστηριου .. om κ. επι τ. στολην αυτου ... om κ. οι υι. αυτου 22. λημψη ... κ. τους δ. νεφρ. και τον λοβ. τ. ηπατος ... το επ αυτων

Digitized by Google

ρας Ἀαρὼν καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ, καὶ ἀφοριεῖς αὐτὰ ἀφόρισμα
ἔναντι κυρίου. 25 καὶ λήψῃ αὐτὰ ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀνοίσεις ἐπὶ τὸ 25
θυσιαστήριον τῆς ὁλοκαυτώσεως εἰς ὀσμὴν εὐωδίας ἔναντι κυρίου· κάρπωμά
ἐστι κυρίῳ. 26 καὶ λήψῃ τὸ στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως ὅ ἐστιν 26
Ἀαρών, καὶ ἀφοριεῖς αὐτὸ ἀφόρισμα ἔναντι κυρίου, καὶ ἔσται σοι ἐν μερίδι.
27 καὶ ἁγιάσεις τὸ στηθύνιον ἀφόρισμα καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος, ὃς 27
ἀφώρισται καὶ ὃς ἀφῄρηται ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως ἀπὸ τοῦ Ἀαρὼν
καὶ ἀπὸ τῶν υἱῶν αὐτοῦ· 28 καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ νόμιμον 28
αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ· ἔστι γὰρ ἀφόρισμα τοῦτο, καὶ ἀφαίρεμα ἔσται
παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυμάτων τῶν σωτηρίων τῶν υἱῶν Ἰσραήλ,
ἀφαίρεμα κυρίῳ. 29 καὶ ἡ στολὴ τοῦ ἁγίου ἥ ἐστιν Ἀαρὼν ἔσται τοῖς υἱοῖς 29
αὐτοῦ μετ' αὐτόν, χρισθῆναι αὐτοὺς ἐν αὐτοῖς καὶ τελειῶσαι τὰς χεῖρας αὐ-
τῶν· 30 ἑπτὰ ἡμέρας ἐνδύσεται αὐτὰ ὁ ἱερεὺς ὁ ἀντ' αὐτοῦ ἐκ τῶν υἱῶν αὐ- 30
τοῦ, ὃς εἰςελεύσεται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λειτουργεῖν ἐν τοῖς ἁγίοις.
31 καὶ τὸν κριὸν τῆς τελειώσεως λήψῃ καὶ ἑψήσεις τὰ κρέα ἐν τόπῳ ἁγίῳ· 31
32 καὶ ἔδονται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰ κρέα τοῦ κριοῦ καὶ τοὺς ἄρτους 32
τοὺς ἐν τῷ κανῷ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· 33 ἔδονται αὐτὰ 33
ἐν οἷς ἡγιάσθησαν ἐν αὐτοῖς τελειῶσαι τὰς χεῖρας αὐτῶν ἁγιάσαι αὐτούς· καὶ
ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτῶν, ἔστι γὰρ ἅγια. 34 ἐὰν δὲ καταλειφθῇ ἀπὸ 34
τῶν κρεῶν τῆς θυσίας τῆς τελειώσεως καὶ τῶν ἄρτων ἕως πρωί, κατακαύσεις
τὰ λοιπὰ πυρί· οὐ βρωθήσεται, ἁγίασμα γάρ ἐστι. 35 καὶ ποιήσεις Ἀαρὼν καὶ 35
τοῖς υἱοῖς αὐτοῦ οὕτω κατὰ πάντα ὅσα ἐνετειλάμην σοι· ἑπτὰ ἡμέρας τελειώ-
σεις τὰς χεῖρας αὐτῶν. 36 καὶ τὸ μοσχάριον τῆς ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ 36
τοῦ καθαρισμοῦ, καὶ καθαριεῖς τὸ θυσιαστήριον ἐν τῷ ἁγιάζειν σε ἐπ' αὐτῷ,
καὶ χρίσεις αὐτὸ ὥςτε ἁγιάσαι αὐτό. 37 ἑπτὰ ἡμέρας καθαριεῖς τὸ θυσιαστή- 37
ριον καὶ ἁγιάσεις αὐτό, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τοῦ ἁγίου· πᾶς ὁ
ἁπτόμενος τοῦ θυσιαστηρίου ἁγιασθήσεται. 38 καὶ ταῦτά ἐστιν ἃ ποιήσεις ἐπὶ 38
τοῦ θυσιαστηρίου· ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν ἐπὶ τὸ θυσια-
στήριον ἐνδελεχῶς, κάρπωμα ἐνδελεχισμοῦ· 39 τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ 39
πρωί, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν· 40 καὶ δέκατον σεμι- 40
δάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομμένῳ τῷ τετάρτῳ τοῦ εἲν καὶ σπονδὴν
τὸ τέταρτον τοῦ εἲν οἴνου τῷ ἀμνῷ τῷ ἑνί· 41 καὶ τὸν ἀμνὸν τὸν δεύτερον 41
ποιήσεις τὸ δειλινὸν κατὰ τὴν θυσίαν τὴν πρωινὴν καὶ κατὰ τὴν σπονδὴν αὐ-
τοῦ· ποιήσεις εἰς ὀσμὴν εὐωδίας κάρπωμα κυρίῳ, 42 θυσίαν ἐνδελεχισμοῦ εἰς 42
γενεὰς ὑμῶν, ἐπὶ θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι κυρίου, ἐν οἷς γνω-
σθήσομαί σοι ἐκεῖθεν ὥςτε λαλῆσαί σοι. 43 καὶ τάξομαι ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ 43
καὶ ἁγιασθήσομαι ἐν δόξῃ μου· 44 καὶ ἁγιάσω τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ 44
τὸ θυσιαστήριον, καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἁγιάσω ἱερατεύειν μοι·
45 καὶ ἐπικληθήσομαι ἐν τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἔσομαι αὐτῶν θεός· 46 καὶ 45 46
γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ὁ ἐξαγαγὼν αὐτοὺς ἐκ γῆς Αἰγύ-
πτου, ἐπικληθῆναι αὐτοῖς καὶ εἶναι αὐτῶν θεός.

## XXX.

Καὶ ποιήσεις θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων· 2 καὶ ποιήσεις 2
αὐτὸ πήχεως τὸ μῆκος καὶ πήχεως τὸ εὖρος, τετράγωνον ἔσται, καὶ δύο πή-

---

24. αφοριεις αυτους 25. και δεξη αυτα ... ανοισεις αυτα 26. λημψη 28. γαρ αφαιρεμα τουτο κ. αφαιρεμα ... * om των υι. ισρ. 29. και η στ. ααρων η εσται του αγιου εσται τοις 31. λημψη 32. παρα την θυραν 33. και αγιασαι 35. ουτως 36. το μοσχ. το της ... * om ωστε αγ. αυτο 38. οσα ποιησεις ... post την ημεραν ** add επτα ημερας 40. του τεταρτου (pro τω τετ.) του ιν ... του ιν (30, 24. ειν habet) 41. om εις 42. εις τας γ. υ. επι τας θυρ. (46. και γνωσομαι) XXX. 2. πηχεος sec. loco



Digitized by Google

3 χεων τὸ ὕψος· ἐξ αὐτοῦ ἔσται τὰ κέρατα αὐτοῦ. 3 καὶ καταχρυσώσεις χρυσίῳ
καθαρῷ τὴν ἐσχάραν αὐτοῦ καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ καὶ τὰ κέρατα αὐ-
4 τοῦ, καὶ ποιήσεις αὐτῷ στρεπτὴν στεφάνην χρυσῆν κύκλῳ. 4 καὶ δύο δακτυ-
λίους χρυσοῦς καθαροὺς ποιήσεις ὑπὸ τὴν στρεπτὴν στεφάνην αὐτοῦ, εἰς τὰ
δύο κλίτη ποιήσεις ἐν τοῖς δυσὶ πλευροῖς· καὶ ἔσονται ψαλίδες ταῖς σκυτάλαις,
5 ὥςτε αἴρειν αὐτὸ ἐν αὐταῖς. 5 καὶ ποιήσεις σκυτάλας ἐκ ξύλων ἀσήπτων, καὶ
6 καταχρυσώσεις αὐτὰς χρυσίῳ. 6 καὶ θήσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσμα-
τος τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ-
7 θεν. 7 καὶ θυμιάσει ἐπ' αὐτοῦ Ἀαρὼν θυμίαμα σύνθετον λεπτὸν τὸ πρωὶ πρωί·
8 ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτοῦ, 8 καὶ ὅταν ἐξάπτῃ Ἀαρὼν
τοὺς λύχνους, ὀψὲ θυμιάσει ἐπ' αὐτοῦ· θυμίαμα ἐνδελεχισμοῦ διὰ παντὸς ἔναντι
9 κυρίου εἰς γενεὰς αὐτῶν. 9 καὶ οὐκ ἀνοίσεις ἐπ' αὐτοῦ θυμίαμα ἕτερον, κάρπωμα
10 θυσίαν καὶ σπονδὴν οὐ σπείσεις ἐπ' αὐτοῦ. 10 καὶ ἐξιλάσεται ἐπ' αὐτοῦ Ἀαρὼν * He. 9, 7.
ἐπὶ τῶν κεράτων αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ· ἀπὸ τοῦ αἵματος τοῦ καθαρισμοῦ
11 καθαριεῖ αὐτό· εἰς γενεὰς αὐτῶν ἅγιον τῶν ἁγίων ἐστὶ κυρίῳ. 11 καὶ ἐλάλησε
12 κύριος πρὸς Μωυσῆν λέγων 12 Ἐὰν λάβῃς τὸν συλλογισμὸν τῶν υἱῶν Ἰσραὴλ
ἐν τῇ ἐπισκοπῇ αὐτῶν, καὶ δώσουσιν ἕκαστος λύτρα τῆς ψυχῆς αὐτοῦ κυρίῳ,
13 καὶ οὐκ ἔσται ἐν αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν. 13 καὶ τοῦτό ἐστιν ὃ
δώσουσιν ὅσοι ἂν παραπορεύωνται τὴν ἐπίσκεψιν, τὸ ἥμισυ τοῦ διδράχμου,
ὅ ἐστι κατὰ τὸ δίδραχμον τὸ ἅγιον, εἴκοσι ὀβολοὶ τὸ δίδραχμον· τὸ δὲ ἥμισυ
14 τοῦ διδράχμου εἰςφορὰ κυρίῳ. 14 πᾶς ὁ παραπορευόμενος εἰς τὴν ἐπίσκεψιν
15 ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω δώσουσι τὴν εἰςφορὰν κυρίῳ. 15 ὁ πλουτῶν οὐ
προςθήσει καὶ ὁ πενόμενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσεως τοῦ διδράχμου
16 ἐν τῷ διδόναι τὴν εἰςφορὰν κυρίῳ, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν. 16 καὶ
λήψῃ τὸ ἀργύριον τῆς εἰςφορᾶς παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ δώσεις αὐτὸ εἰς
τὸ κάτεργον τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ μνημό-
17 συνον ἔναντι κυρίου, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν. 17 καὶ ἐλάλησε κύ-
18 ριος πρὸς Μωυσῆν λέγων 18 Ποίησον λουτῆρα χαλκοῦν καὶ βάσιν αὐτῷ χαλκῆν,
ὥςτε νίπτεσθαι· καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ
19 ἀνὰ μέσον τοῦ θυσιαστηρίου, καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ· 19 καὶ νίψεται Ἀα-
20 ρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι. 20 ὅταν
εἰςπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι καὶ οὐ μὴ ἀπο-
θάνωσιν· ὅταν προςπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν καὶ ἀναφέ-
21 ρειν τὰ ὁλοκαυτώματα κυρίῳ, 21 νίψονται τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι·
ὅταν εἰςπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι ἵνα μὴ ἀπο-
θάνωσι· καὶ ἔσται αὐτοῖς νόμιμον αἰώνιον, αὐτῷ καὶ ταῖς γενεαῖς αὐτοῦ μετ'
22 23 αὐτόν. 22 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 23 Καὶ σὺ λάβε ἡδύσματα,
τὸ ἄνθος σμύρνης ἐκλεκτῆς πεντακοσίους σίκλους, καὶ κινναμώμου εὐώδους τὸ
ἥμισυ τούτου διακοσίους πεντήκοντα, καὶ καλάμου εὐώδους διακοσίους πεν-
24 τήκοντα, 24 καὶ ἴρεως πεντακοσίους σίκλους τοῦ ἁγίου, καὶ ἔλαιον ἐξ ἐλαιῶν
25 εἶν· 25 καὶ ποιήσεις αὐτὸ ἔλαιον χρῖσμα ἅγιον μύρον μυρεψικὸν τέχνῃ μυρε-

---

3. καταχρ. αυτα ... εσχαριδα 4. ποιησ. αυτους υπο 5. αυτα 6. εκει 7. οταν επισκευαζει 8. * απτη ... * om δια παντος ... εις τας γεν. 9. ανοισεται ... σπεισεται 10. ** κ. εξιλ. επ αυτο και επιθησει επι των ... τ. καθαρισμου των αμαρτιων του εξιλασμου απαξ του ενιαυτου καθαριεις αυτο εις τας γεν. ... εστιν τω κυρ. 12. τα λυτρα ... τω κυριω 13. κατα το διδραχμα το αγ. 14. δωσουσιν ειςφοραν 15. ελαττονωσει ... του ημισυς 16. λημψη 19. τας χειρας αυτων εξ αυτου ... * om υδατι 20. οταν ειςπορευονται ab initio ... αποθανωσ. η οταν ... τω κυριω 21. ** και ου μη pro ινα μη ... ** om αυτω ... ** γεν. αυτων μετ αυτους (totum v. 21. rescripsit corrector) 23. ανθον (sic) omisso το ... διαχ. και πεντηχ. ... * om κ. καλ. ε. διαχ. πεντ. (** διαχ. και πεντ.) 25. * om ελαιον prius

Digitized by Google

ψοῦ· ἔλαιον χρῖσμα ἅγιον ἔσται. [26] καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρ- 26
τυρίου, καὶ τὴν κιβωτὸν τῆς σκηνῆς τοῦ μαρτυρίου [27] καὶ πάντα τὰ σκεύη 27
αὐτῆς, καὶ τὴν λυχνίαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον τοῦ
θυμιάματος, [28] καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ πάντα αὐτοῦ τὰ 28
σκεύη, καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸν λουτῆρα· [29] καὶ 29
ἁγιάσεις αὐτά, καὶ ἔσται ἅγια τῶν ἁγίων· πᾶς ὁ ἁπτόμενος αὐτῶν ἁγιασθή-
σεται. [30] καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ χρίσεις, καὶ ἁγιάσεις αὐτοὺς ἱερα- 30
τεύειν μοι. [31] καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων Ἔλαιον ἄλειμμα χρίσεως 31
ἅγιον ἔσται τοῦτο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν· [32] ἐπὶ σάρκα ἀνθρώπου οὐ χρι- 32
σθήσεται, καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς ὡσαύτως·
ἅγιόν ἐστι, καὶ ἁγίασμα ἔσται ὑμῖν. [33] ὃς ἂν ποιήσῃ ὡσαύτως, καὶ ὃς ἂν δῷ 33
ἀπ᾽ αὐτοῦ ἀλλογενεῖ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ. [34] καὶ εἶπε κύριος 34
πρὸς Μωυσῆν Λάβε σεαυτῷ ἡδύσματα, στακτήν, ὄνυχα, χαλβάνην ἡδυσμοῦ
καὶ λίβανον διαφανῆ· ἴσον ἴσῳ ἔσται· [35] καὶ ποιήσουσιν ἐν αὐτῷ θυμίαμα μυρε- 35
ψικὸν ἔργον μυρεψοῦ μεμιγμένον, καθαρὸν ἔργον ἅγιον. [36] καὶ συγκόψεις ἐκ 36
τούτων λεπτὸν καὶ θήσεις ἀπέναντι τῶν μαρτυρίων ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,
ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν· ἅγιον τῶν ἁγίων ἔσται ὑμῖν. [37] θυμίαμα κατὰ 37
τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς· ἁγίασμα ἔσται ὑμῖν κυρίῳ· [38] ὃς 38
ἂν ποιήσῃ ὡσαύτως ὥστε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἀπολεῖται ἐκ τοῦ λαοῦ αὐτοῦ.

## XXXI.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Ἰδοὺ ἀνακέκλημαι ἐξ ὀνόματος 2
τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρείου τὸν Ὢρ ἐκ τῆς φυλῆς Ἰούδα, [3] καὶ ἐνέπλησα 3
αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης ἐν παντὶ ἔργῳ, [4] δια- 4
νοεῖσθαι καὶ ἀρχιτεκτονῆσαι, ἐργάζεσθαι τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν
χαλκόν, καὶ τὴν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον τὸ νηστόν, [5] καὶ 5
τὰ λιθουργικά, καὶ εἰς τὰ ἔργα τὰ τεκτονικὰ τῶν ξύλων, ἐργάζεσθαι κατὰ
πάντα τὰ ἔργα. [6] καὶ ἐγὼ ἔδωκα αὐτὸν καὶ τὸν Ἐλιὰβ τὸν τοῦ Ἀχισαμὰχ ἐκ 6
φυλῆς Δάν, καὶ παντὶ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν, καὶ ποιήσουσι πάντα
ὅσα συνέταξά σοι· [7] τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν τῆς διαθήκης 7
καὶ τὸ ἱλαστήριον τὸ ἐπ᾽ αὐτῆς, καὶ τὴν διασκευὴν τῆς σκηνῆς, [8] καὶ τὰ θυ- 8
σιαστήρια, καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν
τὴν καθαρὰν καὶ πάντα τὰ σκεύη αὐτῆς, [9] καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν 9
αὐτοῦ, [10] καὶ τὰς στολὰς τὰς λειτουργικὰς Ἀαρὼν καὶ τὰς στολὰς τῶν υἱῶν 10
αὐτοῦ ἱερατεύειν μοι, [11] καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συν- 11
θέσεως τοῦ ἁγίου· κατὰ πάντα ὅσα ἐγὼ ἐνετειλάμην σοι ποιήσουσι. [12] καὶ ἐλά- 12
λησε κύριος πρὸς Μωυσῆν λέγων [13] Καὶ σὺ σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ λέγων 13
Ὁρᾶτε καὶ τὰ σάββατά μου φυλάξεσθε· σημεῖόν ἐστι παρ᾽ ἐμοὶ καὶ ἐν ὑμῖν
εἰς τὰς γενεὰς ὑμῶν, ἵνα γνῶτε ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς. [14] καὶ φυ- 14
λάξεσθε τὰ σάββατα, ὅτι ἅγιον τοῦτό ἐστι κυρίῳ ὑμῖν· ὁ βεβηλῶν αὐτὸ θα-
νάτῳ θανατωθήσεται· πᾶς ὃς ποιήσει ἐν αὐτῷ ἔργον, ἐξολοθρευθήσεται ἡ ψυχὴ
ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτοῦ. [15] ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ 15
ἑβδόμῃ σάββατα, ἀνάπαυσις ἁγία τῷ κυρίῳ· πᾶς ὃς ποιήσει ἔργον τῇ ἡμέρᾳ

---

26. om της σκηνης 28. λουτηρα και την βασιν αυτου 33. εξολεθρευθησεται ... om αυτου 34. και χαρβανην 35. ** αυτο pro εν αυτω ... ** μεμιγμ. συνθεσεως καθ. (* ?) XXXI. 2. του ουρι υιου ωρ της 3. conjungit εν π. εργω διανοεισθαι ... αρχιτεκτονειν 4. νηστον και την βυσσον την κεκλωσμενην 5. om και ante εις ... εργα και τα 6. ποιησουσιν pro ποιησουσι 10. εις το ιερατ. μοι 11. εντεταλμαι 13. εστιν γαρ σημειον 14. φυλαξασθε το σαββατον οτι αγιον εσται υμιν 14. πας οστις π. εν αυτη εργ. εξολεθρευθησεται ... λαου αυτης 15. πας οστις π. ε. τη ημ. του σαββατου

Digitized by Google

16 τῇ ἑβδόμῃ θανατωθήσεται. [16] καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ σάββατα ποιεῖν
17 αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν· διαθήκη αἰώνιος [17] ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραήλ,
σημεῖόν ἐστιν ἐν ἐμοὶ αἰώνιον· ὅτι ἓξ ἡμέραις ἐποίησε κύριος τὸν οὐρανὸν καὶ
18 τὴν γῆν, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσε καὶ ἐπαύσατο. [18] καὶ ἔδωκε
Μωυσῇ, ἡνίκα κατέπαυσε λαλῶν αὐτῷ ἐν τῷ ὄρει τῷ Σινᾶ, τὰς δύο πλάκας
τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ θεοῦ.

## XXXII.

Καὶ ἰδὼν ὁ λαὸς ὅτι κεχρόνικε Μωυσῆς καταβῆναι ἐκ τοῦ ὄρους, συνέστη
ὁ λαὸς ἐπὶ Ἀαρὼν καὶ λέγουσιν αὐτῷ Ἀνάστηθι καὶ ποίησον ἡμῖν θεοὺς οἳ Act. 7,
προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ 40.
2 γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. [2] καὶ λέγει αὐτοῖς Ἀαρὼν Περιέ-
λεσθε τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν καὶ θυγατέρων
3 καὶ ἐνέγκατε πρός μέ. [3] καὶ περιείλαντο πᾶς ὁ λαὸς τὰ ἐνώτια τὰ χρυσᾶ τὰ
4 ἐν τοῖς ὠσὶν αὐτῶν καὶ ἤνεγκαν πρὸς Ἀαρών. [4] καὶ ἐδέξατο ἐκ τῶν χειρῶν
αὐτῶν καὶ ἔπλασεν αὐτὰ ἐν τῇ γραφίδι, καὶ ἐποίησεν αὐτὰ μόσχον χωνευτόν
καὶ εἶπεν Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου.
5 [5] καὶ ἰδὼν Ἀαρὼν ᾠκοδόμησε θυσιαστήριον κατέναντι αὐτοῦ· καὶ ἐκήρυξεν
6 Ἀαρὼν λέγων Ἑορτὴ τοῦ κυρίου αὔριον. [6] καὶ ὀρθρίσας τῇ ἐπαύριον ἀνεβίβασεν
ὁλοκαυτώματα, καὶ προσήνεγκε θυσίαν σωτηρίου· καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν 1 Co. 10.
7 καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. [7] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 7.
Βάδιζε τὸ τάχος κατάβηθι ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός σου ὃν ἐξήγαγες ἐκ
8 γῆς Αἰγύπτου. [8] παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς· ἐποίησαν
ἑαυτοῖς μόσχον, καὶ προσκεκυνήκασιν αὐτῷ καὶ τεθύκασιν αὐτῷ καὶ εἶπαν
9 10 [9] Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. [10] καὶ
νῦν ἔασόν με καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε
11 εἰς ἔθνος μέγα. [11] καὶ ἐδεήθη Μωυσῆς ἔναντι κυρίου τοῦ θεοῦ καὶ εἶπεν Ἵνα
τί, κύριε, θυμοῖ ὀργῇ εἰς τὸν λαόν σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν ἰσχύϊ
12 μεγάλῃ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ; [12] μή ποτε εἴπωσιν οἱ Αἰγύπτιοι
λέγοντες Μετὰ πονηρίας ἐξήγαγεν αὐτοὺς ἀποκτεῖναι ἐν τοῖς ὄρεσι καὶ ἐξανα-
λῶσαι αὐτοὺς ἀπὸ τῆς γῆς. παῦσαι τῆς ὀργῆς τοῦ θυμοῦ σου, καὶ ἵλεως γενοῦ
13 ἐπὶ τῇ κακίᾳ τοῦ λαοῦ σου, [13] μνησθεὶς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν
σῶν οἰκετῶν, οἷς ὤμοσας κατὰ σεαυτοῦ καὶ ἐλάλησας πρὸς αὐτοὺς λέγων Πολὺ
πληθυνῶ τὸ σπέρμα ὑμῶν ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ πᾶσαν
τὴν γῆν ταύτην ἣν εἶπας δοῦναι αὐτοῖς, καὶ καθέξουσιν αὐτὴν εἰς τὸν αἰῶνα.
14 15 [14] καὶ ἱλάσθη κύριος περιποιῆσαι τὸν λαὸν αὐτοῦ. [15] καὶ ἀποστρέψας Μωυσῆς
κατέβη ἀπὸ τοῦ ὄρους· καὶ αἱ δύο πλάκες τοῦ μαρτυρίου ἐν ταῖς χερσὶν αὐτοῦ,
πλάκες λίθιναι, καταγεγραμμέναι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῶν, ἔνθεν καὶ
16 ἔνθεν ἦσαν γεγραμμέναι· [16] καὶ αἱ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γραφὴ γραφὴ
17 θεοῦ κεκολαμμένη ἐν ταῖς πλαξί. [17] καὶ ἀκούσας Ἰησοῦς τῆς φωνῆς τοῦ λαοῦ
18 κραζόντων λέγει πρὸς Μωυσῆν Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. [18] καὶ λέγει
Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ
19 φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω. [19] καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ

---

15. θανατω θανατωθησεται 16. 17. conjung. αυτων διαθ. αιων. εν εμοι 17. om εν εμοι ... οτι εν εξ ... τον τε ουρανον ... επαυσατο και κατεπαυσεν 18. λαλων προς αυτον εν XXXII. 1. και ελεγον αυτω 3. ωσιν των γυναικων αυτων κ. ηνεγκ. 4. επλ. αυτο εν γραφιδι ... εποιησ. αυτο ... και ειπαν 5. εορτη κυριου 7. καταβηθι το ταχος ... ους εξηγ. 11. κατεναντι του θεου αυτου ... κ. εν βραχιονι υψηλω 13. οις ωμοσας αυτοις κ. σαυτου ... δουναι τω σπερματι αυτων 14. κυριος περι της κακιας ης ειπεν ποιησαι τον λ. αυτ. 15. γεγραμμεναι pro καταγεγρ. 16. εστιν κεκολαμμενη 17. την φωνην 19. ηνικα δε ηγγισεν

Digitized by Google

τὸν μόσχον καὶ τοὺς χορούς· καὶ ὀργισθεὶς θυμῷ Μωυσῆς ἔρριψεν ἀπὸ τῶν
χειρῶν αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς ὑπὸ τὸ ὄρος· [20] καὶ λαβὼν 20
τὸν μόσχον ὃν ἐποίησαν κατέκαυσεν αὐτὸν ἐν πυρί, καὶ κατήλεσεν αὐτὸν λεπτὸν
καὶ ἔσπειρεν αὐτὸν ὑπὸ τὸ ὕδωρ, καὶ ἐπότισεν αὐτὸ τοὺς υἱοὺς Ἰσραήλ. [21] καὶ 21
εἶπε Μωυσῆς τῷ Ἀαρὼν Τί ἐποίησέ σοι ὁ λαὸς οὗτος ὅτι ἐπήγαγες ἐπ᾿ αὐτοὺς
ἁμαρτίαν μεγάλην; [22] καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν Μὴ ὀργίζου, κύριε· σὺ 22
γὰρ οἶδας τὸ ὅρμημα τοῦ λαοῦ τούτου. [23] λέγουσι γάρ μοι Ποίησον ἡμῖν θεοὺς 23
οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς
ἐξ Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. [24] καὶ εἶπα αὐτοῖς Εἴ τινι ὑπάρχει 24
χρυσία, περιέλεσθε. καὶ ἔδωκάν μοι· καὶ ἔρριψα εἰς τὸ πῦρ, καὶ ἐξῆλθεν ὁ
μόσχος οὗτος. [25] καὶ ἰδὼν Μωυσῆς τὸν λαὸν ὅτι διεσκέδασται, διεσκέδασε γὰρ 25
αὐτοὺς Ἀαρὼν ἐπίχαρμα τοῖς ὑπεναντίοις αὐτῶν· [26] ἔστη δὲ Μωυσῆς ἐπὶ τῆς 26
πύλης τῆς παρεμβολῆς καὶ εἶπε Τίς πρὸς κύριον; ἴτω πρός με. συνῆλθον οὖν
πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευί. [27] καὶ λέγει αὐτοῖς Τάδε λέγει κύριος ὁ θεὸς 27
Ἰσραὴλ Θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομφαίαν ἐπὶ τὸν μηρόν, καὶ διέλθατε καὶ
ἀνακάμψατε ἀπὸ πύλης ἐπὶ πύλην διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκα-
στος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἔγγι-
στα αὐτοῦ. [28] καὶ ἐποίησαν οἱ υἱοὶ Λευὶ καθὰ ἐλάλησεν αὐτοῖς Μωυσῆς· καὶ 28
ἔπεσαν ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας. [29] καὶ εἶπεν 29
αὐτοῖς Μωυσῆς Ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον κυρίῳ, ἕκαστος ἐν τῷ
υἱῷ ἢ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ᾿ ὑμᾶς εὐλογίαν. [30] καὶ ἐγένετο μετὰ 30
τὴν αὔριον εἶπε Μωυσῆς πρὸς τὸν λαόν Ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην·
καὶ νῦν ἀναβήσομαι πρὸς τὸν θεὸν ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν.
[31] ὑπέστρεψε δὲ Μωυσῆς πρὸς κύριον καὶ εἶπε Δέομαι, κύριε· ἡμάρτηκεν ὁ 31
λαὸς οὗτος ἁμαρτίαν μεγάλην, καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς· [32] καὶ νῦν 32
εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ
τῆς βίβλου σου ἧς ἔγραψας. [33] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Εἴ τις ἡμάρτηκεν 33
ἐνώπιόν μου, ἐξαλείψω αὐτοὺς ἐκ τῆς βίβλου μου. [34] νυνὶ δὲ βάδιζε κατάβηθι 34
καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον ὃν εἶπά σοι· ἰδοὺ ὁ ἄγγελός μου
προπορεύσεται πρὸ προσώπου σου· ᾗ δ᾿ ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ᾿
αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν. [35] καὶ ἐπάταξε κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως 35
τοῦ μόσχου οὗ ἐποίησεν Ἀαρών.

## XXXIII.

Καὶ εἶπε κύριος πρὸς Μωυσῆν Προπορεύου ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ
λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, εἰς τὴν γῆν ἣν ὤμοσα τῷ Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων Τῷ σπέρματι ὑμῶν δώσω αὐτήν. [2] καὶ συναπο- 2
στελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, καὶ ἐκβαλεῖ τὸν Ἀμορραῖον καὶ
Χετταῖον καὶ Φερεζαῖον καὶ Γεργεσαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον [3] καὶ Χα- 3
ναναῖον, καὶ εἰσάξω σε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι· οὐ γὰρ μὴ συναναβῶ
μετὰ σοῦ διὰ τὸ λαὸν σκληροτράχηλόν σε εἶναι, ἵνα μὴ ἐξαναλώσω σε ἐν
τῇ ὁδῷ. [4] καὶ ἀκούσας ὁ λαὸς τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο κατεπένθησεν ἐν 4
πενθικοῖς. [5] καὶ εἶπε κύριος τοῖς υἱοῖς Ἰσραὴλ Ὑμεῖς λαὸς σκληροτράχηλος· 5
ὁρᾶτε μὴ πληγὴν ἄλλην ἐπάξω ἐγὼ ἐφ᾿ ὑμᾶς καὶ ἐξαναλώσω ὑμᾶς· νῦν οὖν

---

**20.** κατεκαυσεν πυρι κ. κατηλασεν λεπτον ... επι το υδωρ **21.** προς αρων **22.** προς μωυσ. λεγων **23.** εκ γης αιγυπτου **24.** om ει **26.** συνηλθοσαν **27.** κ. ειπεν αυτοις ... τ. ρομφ. εαυτου ... πυλης pro πυλην **28.** τη ημερα εκεινη **29.** σημ. τω κυριω ... υιω και εν ... om αυτου **30.** και ειπεν **31.** επεστρεψεν **32.** om αυτων ... καμε εκ **33.** εξαλ. αυτον **34.** om καταβηθι **35.** μοσχου ον **XXXIII. 2.** μου προτερον σου κ. εκβ. τον χαναναιον και τον αμορρ. κ. τον χετт. και φερεζ. κ. γεργ. κ. ευ. κ. ιεβ. **3.** om κ. χαναναιον ... εισαξει ... om μη prius **4.** κατεπενθησαν **5.** εγω επαγω

Digitized by Google

ἀφέλεσθε τὰς στολὰς τῶν δοξῶν ὑμῶν καὶ τὸν κόσμον, καὶ δείξω σοι ἃ ποιήσω
6 σοι. [6]καὶ περιείλαντο οἱ υἱοὶ Ἰσραὴλ τὸν κόσμον αὐτῶν καὶ τὴν περιστολὴν ἀπὸ
7 τοῦ ὄρους τοῦ Χωρήβ. [7]καὶ λαβὼν Μωυσῆς τὴν σκηνὴν αὐτοῦ ἔπηξεν ἔξω τῆς
παρεμβολῆς, μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου· καὶ
ἐγένετο πᾶς ὁ ζητῶν κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν τὴν ἔξω τῆς παρεμ-
8 βολῆς. [8]ἡνίκα δ' ἂν εἰςεπορεύετο Μωυσῆς εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβο-
λῆς, εἱστήκει πᾶς ὁ λαὸς σκοπεύοντες ἕκαστος παρὰ τὰς θύρας τῆς σκηνῆς
αὐτοῦ· καὶ κατενοοῦσαν ἀπιόντος Μωυσῆ ἕως τοῦ εἰςελθεῖν αὐτὸν εἰς τὴν σκη-
9 νήν. [9]ὡς δ' ἂν εἰςῆλθε Μωυσῆς εἰς τὴν σκηνήν, κατέβαινεν ὁ στῦλος τῆς νεφέ-
10 λης καὶ ἵστατο ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἐλάλει Μωυσῇ· [10]καὶ ἑώρα
πᾶς ὁ λαὸς τὸν στῦλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῆς θύρας τῆς σκηνῆς· καὶ
στάντες πᾶς ὁ λαὸς προσεκύνησαν ἕκαστος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ.
11 [11]καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσαι πρὸς
τὸν ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων Ἰησοῦς
12 υἱὸς Ναυὴ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. [12]καὶ εἶπε Μωυσῆς πρὸς κύριον
Ἰδοὺ σύ μοι λέγεις Ἀνάγαγε τὸν λαὸν τοῦτον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι ὃν
συναποστελεῖς μετ' ἐμοῦ· σὺ δέ μοι εἶπας Οἶδά σε παρὰ πάντας, καὶ χάριν
13 ἔχεις παρ' ἐμοί. [13]εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτὸν
γνωστῶς ἵνα ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ
14 ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο. [14]καὶ λέγει Αὐτὸς προπορεύσομαί σου
15 καὶ καταπαύσω σε. [15]καὶ λέγει πρὸς αὐτόν Εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή
16 με ἀναγάγῃς ἐντεῦθεν. [16]καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς ὅτι εὕρηκα χάριν
παρὰ σοί, ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν;
καὶ ἐνδοξασθήσομαι ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη ὅσα ἐπὶ τῆς
17 γῆς ἐστίν. [17]καὶ εἶπε κύριος πρὸς Μωυσῆν Καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρη-
18 κας ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας. [18]καὶ
19 λέγει Ἐμφάνισόν μοι σεαυτόν. [19]καὶ εἶπεν Ἐγὼ παρελεύσομαι πρότερός σου
τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματί μου κύριος ἐναντίον σου· καὶ ἐλεήσω Ro. 9
20 ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. [20]καὶ εἶπεν Οὐ δυνήσῃ ἰδεῖν τὸ 15.
21 πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. [21]καὶ
22 εἶπε κύριος Ἰδοὺ τόπος παρ' ἐμοί, στήσῃ ἐπὶ τῆς πέτρας· [22]ἡνίκα δ' ἂν παρ-
έλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί
23 μου ἐπὶ σὲ ἕως ἂν παρέλθω· [23]καὶ ἀφελῶ τὴν χεῖρα, καὶ τότε ὄψει τὰ ὀπίσω
μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

## XXXIV.

Καὶ εἶπε κύριος πρὸς Μωυσῆν Λάξευσον σεαυτῷ δύο πλάκας λιθίνας κα-
θὼς καὶ αἱ πρῶται, καὶ ἀνάβηθι πρὸς μὲ εἰς τὸ ὄρος, καὶ γράψω ἐπὶ τῶν
2 πλακῶν τὰ ῥήματα ἃ ἦν ἐν ταῖς πλαξὶ ταῖς πρώταις αἷς συνέτριψας. [2]καὶ
γίνου ἕτοιμος εἰς τὸ πρωΐ, καὶ ἀναβήσῃ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ στήσῃ μοι
3 ἐκεῖ ἐπ' ἄκρου τοῦ ὄρους. [3]καὶ μηδεὶς ἀναβήτω μετὰ σοῦ μηδὲ ὀφθήτω ἐν
παντὶ τῷ ὄρει· καὶ τὰ πρόβατα καὶ βόες μὴ νεμέσθωσαν πλησίον τοῦ ὄρους
4 ἐκείνου. [4]καὶ ἐλάξευσε δύο πλάκας λιθίνας καθάπερ καὶ αἱ πρῶται· καὶ

---

5. αφελετε 6. ορους χωρηβ 7. om και εγενετο ... σκηνην εξω 8. om εξω της παρεμβολης ... κατενοουν ... ελθειν 9. επι των θυρων 10. και εορα ... επι των θυρων ... post αυτου add και κατενοουν απιοντος μωυση 11. προς εαυτου 13. om ινα ante ιδω ... om αν ... ενωπιον σου ... ' om το μεγα 15. και ειπεν ... συ αυτος συμπορευση μεθ ημων 16. ενδοξασθησομεθα 17. ειπεν δε 18. κ. λεγ. Δειξον μοι την σεαυτου δοξαν 19. τω ον. κυριου εναντ. σ. 21. και στηση 23. οψη XXXIV. 1. εις το ορος προς με ... επι pro εν ... ας συνετρ. 2. εις το ορος 3. σου και μηδεις αφθητω ... και αι βοες 4. καθαπερ αι πρωται

Digitized by Google

ὀρθρίσας Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τὸ Σινᾶ, καθότι συνέταξεν αὐτῷ κύριος·
καὶ ἔλαβε Μωυσῆς τὰς δύο πλάκας τὰς λιθίνας. 5 καὶ κατέβη κύριος ἐν νεφέλῃ 5
καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσε τῷ ὀνόματι κυρίου. 6 καὶ παρῆλθε κύριος 6
πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε Κύριος ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μα-
κρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, 7 καὶ δικαιοσύνην διατηρῶν καὶ ἔλεος 7
εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ οὐ καθαριεῖ τὸν
ἔνοχον, ἐπάγων ἀνομίας πατέρων ἐπὶ τέκνα καὶ ἐπὶ τέκνα τέκνων ἐπὶ τρίτην
καὶ τετάρτην γενεάν. 8 καὶ σπεύσας Μωυσῆς κύψας ἐπὶ τὴν γῆν προσεκύνησε, 8
9 καὶ εἶπεν Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, συμπορευθήτω ὁ κύριός μου μεθ' 9
ἡμῶν· ὁ λαὸς γὰρ σκληροτράχηλός ἐστι, καὶ ἀφελεῖς σὺ τὰς ἁμαρτίας ἡμῶν
καὶ τὰς ἀνομίας ἡμῶν, καὶ ἐσόμεθα σοί. 10 καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἰδοὺ 10
ἐγὼ τίθημί σοι διαθήκην ἐνώπιον παντὸς τοῦ λαοῦ σου· ποιήσω ἔνδοξα ἃ οὐ
γέγονεν ἐν πάσῃ τῇ γῇ καὶ ἐν παντὶ ἔθνει· καὶ ὄψεται πᾶς ὁ λαός, ἐν οἷς
εἶ σύ, τὰ ἔργα κυρίου, ὅτι θαυμαστά ἐστιν ἃ ἐγὼ ποιήσω σοι. 11 πρόσεχε σὺ 11
πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι· ἰδοὺ ἐγὼ ἐκβάλλω πρὸ προσώπου ὑμῶν τὸν
Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερεζαῖον καὶ Χετταῖον καὶ Εὐαῖον καὶ Γερ-
γεσαῖον καὶ Ἰεβουσαῖον· 12 πρόσεχε σεαυτῷ μή ποτε θῇς διαθήκην τοῖς ἐγκα- 12
θημένοις ἐπὶ τῆς γῆς εἰς ἣν εἰσπορεύῃ εἰς αὐτήν, μή σοι γένηται πρόσκομμα
ἐν ὑμῖν. 13 τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, 13
καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε
ἐν πυρί. 14 οὐ γὰρ μὴ προσκυνήσητε θεοῖς ἑτέροις· ὁ γὰρ κύριος ὁ θεὸς ζηλω- 14
τὸν ὄνομα, θεὸς ζηλωτής ἐστι. 15 μή ποτε θῇς διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ 15
τῆς γῆς, καὶ ἐκπορνεύσωσιν ὀπίσω τῶν θεῶν αὐτῶν, καὶ θύσωσι τοῖς θεοῖς
αὐτῶν, καὶ καλέσωσί σε καὶ φάγῃς τῶν αὐτῶν, 16 καὶ λάβῃς τῶν θυγατέρων 16
αὐτῶν τοῖς υἱοῖς σου, καὶ τῶν θυγατέρων σου δῷς τοῖς υἱοῖς αὐτῶν, καὶ ἐκ-
πορνεύσωσιν αἱ θυγατέρες σου ὀπίσω τῶν θεῶν αὐτῶν, καὶ ἐκπορνεύσωσιν οἱ
υἱοί σου ὀπίσω τῶν θεῶν αὐτῶν. 17 καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ. 17
18 καὶ τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξῃ· ἑπτὰ ἡμέρας φαγῇ ἄζυμα, καθάπερ 18
ἐντέταλμαί σοι, εἰς τὸν καιρὸν ἐν μηνὶ τῶν νέων· ἐν γὰρ μηνὶ τῶν νέων ἐξῆλ-
θες ἐξ Αἰγύπτου. 19 πᾶν διανοῖγον μήτραν ἐμοὶ τὰ ἀρσενικά, πᾶν πρωτότοκον 19
μόσχου καὶ πρωτότοκον προβάτου. 20 καὶ πρωτότοκον ὑποζυγίου λυτρώσῃ προ- 20
βάτῳ· ἐὰν δὲ μὴ λυτρώσῃ αὐτό, τιμὴν δώσεις. πᾶν πρωτότοκον τῶν υἱῶν σου
λυτρώσῃ· οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός. 21 ἓξ ἡμέρας ἐργᾷ, τῇ δὲ ἑβδόμῃ 21
καταπαύσεις· τῷ σπόρῳ καὶ τῷ ἀμητῷ κατάπαυσις. 22 καὶ ἑορτὴν ἑβδομάδων 22
ποιήσεις μοι, ἀρχὴν θερισμοῦ πυροῦ, καὶ ἑορτὴν συναγωγῆς μεσοῦντος τοῦ
ἐνιαυτοῦ. 23 τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον 23
κυρίου τοῦ θεοῦ Ἰσραήλ. 24 ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη πρὸ προσώπου σου καὶ 24
πλατύνω τὰ ὅριά σου, οὐκ ἐπιθυμήσει οὐθεὶς τῆς γῆς σου, ἡνίκα ἂν ἀναβαί-
νῃς ὀφθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ. 25 οὐ 25

---

4. (ορθισας) ... το πρωι ανεβη ... καθα συνετ. ... μεθ εαυτου τας δυο 6. εκαλ. Κυριος κυριος 7. και ποιων ελεος ... και τον ενοχ. ου καθαριει ... επαγ. αμαρτιας πατ. 9. ει ευρον ... συμπορευθητω κυριος μεθ ημ. ... om ημων post αμαρτιας 10. και ελαλησεν κυρ. et * pergit και ειπεν Ιδου (?); ** pergit πρ. μωυσ. Ιδου ... om σοι utroque loco 11. απο προσωπου σου ... και τον χαναν. κ. τον χεττ. κ. τον φερεζ. κ. τον ευ. κ. τον γεργ. κ. τον ιεβ. 12. διαθη pro θης ... μη ποτε γενηται 13. om και τα αλση α. εκκ. ... om εν 14. προσκ. θεω ετερω 15. διαθη pro θης ... ** εγκαθημ. προς αλλοφυλους επι ... φαγης των θυσιων αυτων 16. δωσεις ... εκπορνευσουσιν ... om και εκπορν. οι υιοι usque αυτων 18. εν γαρ τω μηνι 19. om παν secund. 20. * om προβατω ... oin αυτο ... τιμ. δωσ. αυτου 21. τη δε ημερα τη εβδομη ... αμητω καταπαυσεις 22. πυρων 24. απο προσωπου σου κ. εμπλατυνω ... ηνικ. εαν

Digitized by Google

σφάξεις ἐπὶ ζύμῃ αἷμα θυμιαμάτων μου, καὶ οὐ κοιμηθήσεται εἰς τὸ πρωὶ
26 θύματα ἑορτῆς τοῦ πάσχα. [26] τὰ πρωτογεννήματα τῆς γῆς σου θήσεις εἰς τὸν
27 οἶκον κυρίου τοῦ θεοῦ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ. [27] καὶ
εἶπε κύριος πρὸς Μωυσῆν Γράψον σεαυτῷ τὰ ῥήματα ταῦτα· ἐπὶ γὰρ τῶν
28 λόγων τούτων τέθειμαι σοὶ διαθήκην καὶ τῷ Ἰσραήλ. [28] καὶ ἦν ἐκεῖ Μωυσῆς
ἐναντίον κυρίου τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ
ἔφαγε καὶ ὕδωρ οὐκ ἔπιε, καὶ ἔγραψεν ἐπὶ τῶν πλακῶν τὰ ῥήματα ταῦτα τῆς
29 διαθήκης, τοὺς δέκα λόγους. [29] ὡς δὲ κατέβαινε Μωυσῆς ἐκ τοῦ ὄρους, καὶ
αἱ δύο πλάκες ἐπὶ τῶν χειρῶν Μωυσῆ· καταβαίνοντος δὲ αὐτοῦ ἐκ τοῦ ὄρους,
Μωυσῆς οὐκ ᾔδει ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρώματος τοῦ προσώπου αὐτοῦ ἐν
30 τῷ λαλεῖν αὐτὸν αὐτῷ· [30] καὶ εἶδεν Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ
τὸν Μωυσῆν, καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρώματος τοῦ προσώπου αὐτοῦ· * 2Co. 3, 7.
31 καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ. [31] καὶ ἐκάλεσεν αὐτοὺς Μωυσῆς, καὶ ἐπεστρά-
φησαν πρὸς αὐτὸν Ἀαρὼν καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς· καὶ ἐλάλη-
32 σεν αὐτοῖς Μωυσῆς. [32] καὶ μετὰ ταῦτα προσῆλθον πρὸς αὐτὸν πάντες οἱ υἱοὶ
Ἰσραήλ· καὶ ἐνετείλατο αὐτοῖς πάντα ὅσα ἐνετείλατο κύριος πρὸς αὐτὸν ἐν τῷ
33 ὄρει Σινᾶ. [33] καὶ ἐπειδὴ κατέπαυσε λαλῶν πρὸς αὐτούς, ἐπέθηκεν ἐπὶ τὸ πρός- * 2Co. 3, 13.
34 ωπον αὐτοῦ κάλυμμα. [34] ἡνίκα δ' ἂν εἰςεπορεύετο Μωυσῆς ἔναντι κυρίου λαλεῖν
αὐτῷ, περιῃρεῖτο τὸ κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι· καὶ ἐξελθὼν ἐλάλει πᾶσι
35 τοῖς υἱοῖς Ἰσραὴλ ὅσα ἐνετείλατο αὐτῷ κύριος. [35] καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ
πρόςωπον Μωυσέως ὅτι δεδόξασται· καὶ περιέθηκε Μωυσῆς κάλυμμα ἐπὶ τὸ
πρόςωπον ἑαυτοῦ, ἕως ἂν εἰςέλθῃ συλλαλεῖν αὐτῷ.

## XXXV.

Καὶ συνήθροισε Μωυσῆς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ καὶ εἶπεν Οὗτοι
2 οἱ λόγοι οὓς εἶπε κύριος ποιῆσαι αὐτούς. [2] ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ
ἡμέρᾳ τῇ ἑβδόμῃ κατάπαυσις, ἅγια σάββατα, ἀνάπαυσις κυρίῳ· πᾶς ὁ ποιῶν
3 ἔργον ἐν αὐτῇ τελευτάτω. [3] οὐ καύσετε πῦρ ἐν πάσῃ κατοικίᾳ ὑμῶν τῇ ἡμέρᾳ
4 τῶν σαββάτων· ἐγὼ κύριος. [4] καὶ εἶπε Μωυσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν
5 Ἰσραὴλ λέγων Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος λέγων [5] Λάβετε παρ' ὑμῶν
αὐτῶν ἀφαίρεμα κυρίῳ· πᾶς ὁ καταδεχόμενος τῇ καρδίᾳ οἰσουσι τὰς ἀπαρχὰς
6 κυρίῳ, χρυσίον ἀργύριον χαλκόν, [6] ὑάκινθον πορφύραν κόκκινον διπλοῦν δια-
7 νενησμένον καὶ βύσσον κεκλωσμένην, καὶ τρίχας αἰγείας, [7] καὶ δέρματα κριῶν
8 ἠρυθροδανωμένα καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, [8] καὶ λίθους σαρ-
9 δίου καὶ λίθους εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα καὶ τὸν ποδήρη. [9] καὶ πᾶς
10 σοφὸς τῇ καρδίᾳ ἐν ὑμῖν ἐλθὼν ἐργαζέσθω πάντα ὅσα συνέταξε κύριος· [10] τὴν
σκηνὴν καὶ τὰ παραρύματα καὶ τὰ κατακαλύμματα καὶ τὰ διατόνια καὶ τοὺς
11 μοχλοὺς καὶ τοὺς στύλους, [11] καὶ τὴν κιβωτὸν τοῦ μαρτυρίου καὶ τοὺς ἀναφο-
12 ρεῖς αὐτῆς καὶ τὸ ἱλαστήριον αὐτῆς καὶ τὸ καταπέτασμα, [12] καὶ τὰ ἱστία τῆς
13 14 αὐλῆς καὶ τοὺς στύλους αὐτῆς, [13] καὶ τοὺς λίθους τοὺς τῆς σμαράγδου, [14] καὶ
15 τὸ θυμίαμα, καὶ τὸ ἔλαιον τοῦ χρίσματος, [15] καὶ τὴν τράπεζαν καὶ πάντα τὰ

---

25. θυσιασματων ... θυμιαμα εορτης 26. πρωτογενηματα ... εισοισεις pro θησεις 28. εναντι κυρ. τεσσερακοντα ... τεσσερακοντα ... των δυο πλακων 29. απο του ορους σινα και ιδου αι πλακες ... απο του ορους και μωυσης ... χρωτος pro χρωματος 30. ιδεν ... υιοι pro πρεσβυτεροι ... του χρωτος 31. ελαλ. μωυσ. προς αυτους 32. * υιοι pro πρεσβυτεροι ... οσα ελαλησεν κυρ. 33. κατεπ. μωυσης λαλ. 34. εως ου εκπ. 35. ιδον ... τ. προς. μωυση ... το καλυμμα ε. τ. πρ. αυτου XXXV. 1. πασαν την ... ειπεν προς αυτους 2. καταπαυσεις αγιον σαββατον αναπαυσεις τω κυριω ... εν αυτη εργον 3. εν τη ημερα 6. * om διανενησμενον 7. ηρυθοδανωμενα 8. κ. εις τον 9. σοφ. τη διανοια ... om παντα 10. γλυμματα pro κατακαλυμματα 14. τα θυμιαματα (sed vv. 14. et 15. rescripti sunt)

Digitized by Google

σκεύη αὐτῆς, [16] καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς, [17] καὶ 16 17
τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ, [18] καὶ τὰς στολὰς τὰς ἁγίας 18
Ἀαρὼν τοῦ ἱερέως, καὶ τὰς στολὰς ἐν αἷς λειτουργήσουσιν ἐν αὐταῖς, [19] καὶ 19
τοὺς χιτῶνας τοῖς υἱοῖς Ἀαρὼν τῆς ἱερατείας, καὶ τὸ ἔλαιον τοῦ χρίσματος,
καὶ τὸ θυμίαμα τῆς συνθέσεως. [20] καὶ ἐξῆλθε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ 20
ἀπὸ Μωυσῆ. [21] καὶ ἤνεγκαν ἕκαστος ὧν ἔφερεν ἡ καρδία αὐτῶν, καὶ ὅσοις 21
ἔδοξε τῇ ψυχῇ αὐτῶν ἀφαίρεμα· καὶ ἤνεγκαν ἀφαίρεμα κυρίῳ εἰς πάντα τὰ
ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ εἰς πάντα τὰ κάτεργα αὐτῆς, καὶ εἰς
πάσας τὰς στολὰς τοῦ ἁγίου. [22] καὶ ἤνεγκαν οἱ ἄνδρες παρὰ τῶν γυναικῶν, 22
πᾶς ᾧ ἔδοξε τῇ διανοίᾳ ἤνεγκαν σφραγῖδας καὶ ἐνώτια καὶ δακτυλίους καὶ
ἐμπλόκια καὶ περιδέξια, πᾶν σκεῦος χρυσοῦν· καὶ πάντες ὅσοι ἤνεγκαν ἀφαι-
ρέματα χρυσίου κυρίῳ. [23] καὶ παρ' ᾧ εὑρέθη βύσσος, καὶ δέρματα ὑακίνθινα 23
καὶ δέρματα κριῶν ἠρυθροδανωμένα ἤνεγκαν. [24] καὶ πᾶς ὁ ἀφαιρῶν ἀφαίρεμα 24
ἤνεγκαν ἀργύριον καὶ χαλκόν, τὰ ἀφαιρέματα κυρίῳ· καὶ παρ' οἷς εὑρέθη ξύλα
ἄσηπτα, καὶ εἰς πάντα τὰ ἔργα τῆς παρασκευῆς ἤνεγκαν. [25] καὶ πᾶσα γυνὴ 25
σοφὴ τῇ διανοίᾳ ταῖς χερσὶ νήθειν ἤνεγκαν νενησμένα, τὴν ὑάκινθον καὶ τὴν
πορφύραν καὶ τὸ κόκκινον καὶ τὴν βύσσον· [26] καὶ πᾶσαι αἱ γυναῖκες αἷς ἔδοξε 26
τῇ διανοίᾳ αὐτῶν ἐν σοφίᾳ ἔνησαν τὰς τρίχας τὰς αἰγείας. [27] καὶ οἱ ἄρχοντες 27
ἤνεγκαν τοὺς λίθους τῆς σμαράγδου καὶ τοὺς λίθους τῆς πληρώσεως εἰς τὴν
ἐπωμίδα καὶ τὸ λογεῖον, [28] καὶ τὰς συνθέσεις, καὶ εἰς τὸ ἔλαιον τῆς χρίσεως, 28
καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος. [29] καὶ πᾶς ἀνὴρ καὶ γυνὴ ὧν ἔφερεν ἡ διά- 29
νοια αὐτῶν εἰσελθόντας ποιεῖν πάντα τὰ ἔργα ὅσα συνέταξε κύριος ποιῆσαι αὐτὰ
διὰ Μωυσῆ, ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ ἀφαίρεμα κυρίῳ. [30] καὶ εἶπε Μωυσῆς τοῖς 30
υἱοῖς Ἰσραὴλ Ἰδοὺ ἀνακέκληκεν ὁ θεὸς ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐ-
ρίου τὸν Ὢρ ἐκ τῆς φυλῆς Ἰούδα, [31] καὶ ἐνέπλησεν αὐτὸν πνεῦμα θεῖον σοφίας 31
καὶ συνέσεως καὶ ἐπιστήμης πάντων, [32] ἀρχιτεκτονεῖν κατὰ πάντα τὰ ἔργα τῆς 32
ἀρχιτεκτονίας, ποιεῖν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκόν, [33] καὶ λι- 33
θουργῆσαι τὸν λίθον, καὶ κατεργάζεσθαι τὰ ξύλα, καὶ ποιεῖν ἐν παντὶ ἔργῳ
σοφίας· [34] καὶ προβιβάσαι γε ἔδωκεν ἐν τῇ διανοίᾳ αὐτῷ τε καὶ τῷ Ἐλιὰβ 34
τῷ τοῦ Ἀχισαμὰχ ἐκ φυλῆς Δάν· [35] καὶ ἐνέπλησεν αὐτοὺς σοφίας συνέσεως δια- 35
νοίας, πάντα συνιέναι ποιῆσαι τὰ ἔργα τοῦ ἁγίου, καὶ τὰ ὑφαντὰ καὶ ποικιλτὰ
ὑφᾶναι τῷ κοκκίνῳ καὶ τῇ βύσσῳ, ποιεῖν πᾶν ἔργον ἀρχιτεκτονίας ποικιλίας.

## XXXVI.

Καὶ ἐποίησε Βεσελεὴλ καὶ Ἐλιὰβ καὶ πᾶς σοφὸς τῇ διανοίᾳ, ᾧ ἐδόθη
σοφία καὶ ἐπιστήμη ἐν αὐτοῖς συνιέναι ποιεῖν πάντα τὰ ἔργα κατὰ τὰ ἅγια
καθήκοντα, κατὰ πάντα ὅσα συνέταξε κύριος. [2] καὶ ἐκάλεσε Μωυσῆς Βεσελεὴλ 2
καὶ Ἐλιὰβ καὶ πάντας τοὺς ἔχοντας τὴν σοφίαν, ᾧ ἔδωκεν ὁ θεὸς ἐπιστήμην
ἐν τῇ καρδίᾳ, καὶ πάντας τοὺς ἑκουσίως βουλομένους προσπορεύεσθαι πρὸς τὰ
ἔργα ὥστε συντελεῖν αὐτά· [3] καὶ ἔλαβον παρὰ Μωυσῆ πάντα τὰ ἀφαιρέματα 3
ἃ ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου ποιεῖν αὐτά· καὶ αὐτοὶ
προσεδέχοντο ἔτι τὰ προσφερόμενα παρὰ τῶν φερόντων τὸ πρωί. [4] καὶ παρεγί- 4
νοντο πάντες οἱ σοφοὶ οἱ ποιοῦντες τὰ ἔργα τοῦ ἁγίου, ἕκαστος κατὰ τὸ αὐτοῦ

---

16. ponitur post v. 17. 18. λειτουργουσιν ε. αυτ. εν τω αγιω 21. οις pro οσοις ... om αφαιρεμα και 22. γυναικ. αυτων ... αφαιρεμα 23. και πας ω ευρεθη παρ αυτω υακινθος και πορφυρα και κοκκινον και βυσσ. και ... ηρυθροδανωμενα et pergit και δερματα αγια ηνεγκαν 24. om και ab initio ... αργ. κ. χαλκ. ηνεγκ. ... om και ult. ... της κατασκευης 26. αγιας pro αιγειας 27. 28. εις το λογειον της συνθεσεως, και το ελαιον 29. ανηρ η γυνη ... παντα εργα 30. του ουρι υιου ωρ 34. om γε 35. om συνεσεως ... συνιεναι ποιησ. παντα τ. ε. τ. αγιου τα υφαντ. κ. τα XXXVI. 1. κ. τα αγ. τα καθηκ. 2. τον βεσελεηλ 3. το πρωι πρωι 4. και παραγενομενοι

Digitized by Google

5 ἔργον ὃ εἰργάζοντο αὐτοί, [5] καὶ εἶπε πρὸς Μωυσῆν ὅτι πλῆθος φέρει ὁ λαὸς
6 κατὰ τὰ ἔργα ὅσα συνέταξε κύριος ποιῆσαι. [6] καὶ προςέταξε Μωυσῆς καὶ ἐκή-
ρυξεν ἐν τῇ παρεμβολῇ λέγων Ἀνὴρ καὶ γυνὴ μηκέτι ἐργαζέσθωσαν εἰς τὰς
7 ἀπαρχὰς τοῦ ἁγίου· καὶ ἐκωλύθη ὁ λαὸς ἔτι προςφέρειν. [7] καὶ τὰ ἔργα ἦν αὐ-
8 τοῖς ἱκανὰ εἰς τὴν κατασκευὴν ποιῆσαι, καὶ προςκατέλιπον. [8] καὶ ἐποίησε πᾶς
σοφὸς ἐν τοῖς ἐργαζομένοις (39, 1.) τὰς στολὰς τῶν ἁγίων, αἵ εἰσιν Ἀαρὼν
9 (2) τῷ ἱερεῖ, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ. [9] καὶ ἐποίησε τὴν ἐπωμίδα ἐκ
χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλω-
10 (3) σμένης. [10] καὶ ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου τρίχες, ὥςτε συνυφᾶναι σὺν τῇ
ὑακίνθῳ καὶ τῇ πορφύρᾳ, καὶ σὺν τῷ κοκκίνῳ τῷ διανενησμένῳ καὶ τῇ βύσσῳ
11 (4) τῇ κεκλωσμένῃ· ἔργον ὑφαντὸν ἐποίησαν αὐτό· [11] ἐπωμίδας συνεχούσας ἐξ
ἀμφοτέρων τῶν μερῶν, ἔργον ὑφαντὸν εἰς ἄλληλα συμπεπλεγμένα καθ' ἑαυτό.
12 (5) [12] ἐξ αὐτοῦ ἐποίησαν αὐτὸ κατὰ τὴν αὐτοῦ ποίησιν, ἐκ χρυσίου καὶ ὑακίνθου
καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης, καθὰ συν-
13 (6) έταξε κύριος τῷ Μωυσῇ. [13] καὶ ἐποίησαν ἀμφοτέρους τοὺς λίθους τῆς σμα-
ράγδου συμπεπορπημένους καὶ περισεσιαλωμένους χρυσίῳ, γεγλυμμένους καὶ
ἐκκεκολαμμένους ἐγκόλαμμα σφραγῖδος ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ·
14 (7) [14] καὶ ἐπέθηκεν αὐτοὺς ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος, λίθους μνημοσύνου
15 (8) τῶν υἱῶν Ἰσραήλ, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ. [15] καὶ ἐποίησαν λογεῖον
ἔργον ὑφαντὸν ποικιλίᾳ κατὰ τὸ ἔργον τῆς ἐπωμίδος, ἐκ χρυσίου καὶ ὑακίνθου
16 (9) καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης· [16] τετρά-
γωνον διπλοῦν ἐποίησαν τὸ λογεῖον, σπιθαμῆς τὸ μῆκος καὶ σπιθαμῆς τὸ εὖρος
17 (10) διπλοῦν. [17] καὶ συνυφάνθη ἐν αὐτῷ ὕφασμα κατάλιθον τετράστιχον, στί-
18 (11) χος λίθων· σάρδιον καὶ τοπάζιον καὶ σμάραγδος ὁ στίχος ὁ εἷς· [18] καὶ
19 (12) ὁ στίχος ὁ δεύτερος ἄνθραξ καὶ σάπφειρος καὶ ἴασπις· [19] καὶ ὁ στίχος ὁ
20 (13) τρίτος λιγύριον καὶ ἀχάτης καὶ ἀμέθυστος· [20] καὶ ὁ στίχος ὁ τέταρτος χρυ-
σόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον, περικεκυκλωμένα χρυσίῳ καὶ συνδεδεμένα
21 (14) χρυσίῳ. [21] καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δώδεκα,
ἐκ τῶν ὀνομάτων αὐτῶν ἐγγεγλυμμένα εἰς σφραγῖδας, ἕκαστος ἐκ τοῦ ἑαυτοῦ
22 (15) ὀνόματος εἰς τὰς δώδεκα φυλάς. [22] καὶ ἐποίησαν ἐπὶ τὸ λογεῖον κρωσσοὺς
23 (16) συμπεπλεγμένους, ἔργον ἐμπλοκίου, ἐκ χρυσίου καθαροῦ· [23] καὶ ἐποίησαν
24 δύο ἀσπιδίσκας χρυσᾶς καὶ δύο δακτυλίους χρυσοῦς. [24] καὶ ἐπέθηκαν τοὺς δύο
25 (17) δακτυλίους τοὺς χρυσοῦς ἐπ' ἀμφοτέρας τὰς ἀρχὰς τοῦ λογείου· [25] καὶ ἐπέ-
θηκαν τὰ ἐμπλόκια ἐκ χρυσίου ἐπὶ τοὺς δακτυλίους ἐπ' ἀμφοτέρων τῶν μερῶν
26 τοῦ λογείου, (18) καὶ εἰς τὰς δύο συμβολὰς τὰ δύο ἐμπλόκια, [26] καὶ ἐπέθηκαν
ἐπὶ τὰς δύο ἀσπιδίσκας· καὶ ἐπέθηκαν ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος ἐξεναν-
27 (19) τίας κατὰ πρόσωπον. [27] καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ ἐπέ-
θηκαν ἐπὶ τὰ δύο πτερύγια ἐπ' ἄκρου τοῦ λογείου καὶ ἐπὶ τὸ ἄκρον τοῦ ὀπι-
28 (20) σθίου τῆς ἐπωμίδος ἔσωθεν. [28] καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ
ἐπέθηκαν ἐπ' ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κάτωθεν αὐτοῦ κατὰ πρός-
29 (21) ωπον κατὰ τὴν συμβολήν, ἄνωθεν τῆς συνυφῆς τῆς ἐπωμίδος. [29] καὶ συν-
έσφιγξε τὸ λογεῖον ἀπὸ τῶν δακτυλίων τῶν ἐπ' αὐτοῦ εἰς τοὺς δακτυλίους τῆς
ἐπωμίδος, συνεχομένους ἐκ τῆς ὑακίνθου, συμπεπλεγμένους εἰς τὸ ὕφασμα
τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται τὸ λογεῖον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξε

---

4. ο αυτοι ηργαζοντο 5. και ειπαν πρ. μ. λεγοντες ... παρα pro κατα 7. ικανα ην αυτοις ... προςκατελειπον 8. εποιησαν ... σοφος τη διανοια 9. εποιησαν 10. και συν τη βυσσω 11. μερων αυτου ... συνπεπλεγμενον 12. om αυτο κατα τ. α. ποιησιν 13. συνπεπορπ. ... om και εκκεκολαμμ. ... εκκολαμμα 15. εποιησεν το λογιον 16. λογιον ... μηκ. αυτου ... ευρ. αυτου διπλ. 20. συνδεδ. εν χρυσ. 21. δωδεκα κατα ονοματα αυτ. εγγ. σφραγιδες 22. λογιον χροσσους 24. λογιου 25. τους δυο δακτυλ. εξ αμφ. ... λογιου 26. προσωπ. αυτου 27. λογιου επι το 29. λογιον bis

Digitized by Google

κύριος τῷ Μωυσῇ. [30] καὶ ἐποίησαν τὸν ὑποδύτην ὑπὸ τὴν ἐπωμίδα, ἔργον (22) 30
ὑφαντὸν ὅλον ὑακίνθινον· [31] τὸ δὲ περιστόμιον τοῦ ὑποδύτου ἐν τῷ μέσῳ (23) 31
διυφασμένον συμπλεκτόν, ὤαν ἔχον κύκλῳ τὸ περιστόμιον ἀδιάλυτον. [32] καὶ (24) 32
ἐποίησαν ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κάτωθεν ὡς ἐξανθούσης ῥόας ῥοΐσκους,
ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης.
[33] καὶ ἐποίησαν κώδωνας χρυσοῦς, καὶ ἐπέθηκαν τοὺς κώδωνας ἐπὶ τὸ λῶμα (25) 33
τοῦ ὑποδύτου κύκλῳ ἀνὰ μέσον τῶν ῥοΐσκων· [34] κώδων χρυσοῦς καὶ ῥοΐσκος (26) 34
ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ, εἰς τὸ λειτουργεῖν, καθὰ συνέταξε κύ-
ριος τῷ Μωυσῇ. [35] καὶ ἐποίησαν χιτῶνας βυσσίνους ἔργον ὑφαντὸν Ἀαρὼν (27) 35
καὶ τοῖς υἱοῖς αὐτοῦ, [36] καὶ τὰς κιδάρεις ἐκ βύσσου, καὶ τὴν μίτραν ἐκ (28) 36
βύσσου, καὶ τὰ περισκέλη ἐκ βύσσου κεκλωσμένης, [37] καὶ τὰς ζώνας αὐτῶν (29) 37
ἐκ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου, ἔργον ποικιλ-
τοῦ, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. [38] καὶ ἐποίησαν τὸ πέταλον τὸ (30) 38
χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου, χρυσίου καθαροῦ· [39] καὶ ἔγραψεν ἐπ᾽ αὐτοῦ 39
γράμματα ἐκτετυπωμένα σφραγῖδος Ἁγίασμα κυρίῳ· [40] καὶ ἐπέθηκαν ἐπὶ (31) 40
τὸ λῶμα ὑακίνθινον, ὥστε ἐπικεῖσθαι ἐπὶ τὴν μίτραν ἄνωθεν, ὃν τρόπον συν-
έταξε κύριος τῷ Μωυσῇ.

## XXXVII.

(36, 8.) Καὶ ἐποίησαν τῇ σκηνῇ δέκα αὐλαίας· [2] ὀκτὼ καὶ εἴκοσι πή- (9) 2
χεων μῆκος τῆς αὐλαίας τῆς μιᾶς· τὸ αὐτὸ ἦν πάσαις· καὶ τεσσάρων πήχεων
τὸ εὖρος τῆς αὐλαίας τῆς μιᾶς. [3] καὶ ἐποίησαν τὸ καταπέτασμα ἐξ ὑακίν- (35) 3
θου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης, ἔργον
ὑφαντὸν Χερουβίμ· [4] καὶ ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας στύλους ἀσήπτους (36) 4
κατακεχρυσωμένους ἐν χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις
αὐτῶν τέσσαρες ἀργυραῖ. [5] καὶ ἐποίησαν τὸ καταπέτασμα τῆς θύρας τῆς (37) 5
σκηνῆς τοῦ μαρτυρίου ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ
βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν Χερουβίμ, [6] καὶ τοὺς στύλους αὐτῶν (38) 6
πέντε καὶ τοὺς κρίκους· καὶ τὰς κεφαλίδας αὐτῶν καὶ τὰς ψαλίδας αὐτῶν
κατεχρύσωσαν χρυσίῳ, καὶ αἱ βάσεις αὐτῶν πέντε χαλκαῖ. (38, 9.) [7] καὶ 7
ἐποίησαν τὴν αὐλὴν τὰ πρὸς λίβα, ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης
ἑκατὸν ἐφ᾽ ἑκατόν· [8] καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι. (10) 8
[9] καὶ τὸ κλίτος τὸ πρὸς βορρᾶν ἑκατὸν ἐφ᾽ ἑκατόν. καὶ τὸ κλίτος τὸ πρὸς (11) 9
νότον ἑκατὸν ἐφ᾽ ἑκατόν· καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν
εἴκοσι. [10] καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν αὐλαῖαι πεντήκοντα πήχεων· (12) 10
στῦλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις αὐτῶν δέκα. [11] καὶ τὸ κλίτος τὸ πρὸς (13) 11
ἀνατολὰς πεντήκοντα πήχεων, ἱστία [12] πεντεκαίδεκα πηχῶν τὸ κατὰ νώτου· (14) 12
καὶ οἱ στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. [13] καὶ ἐπὶ τοῦ νώτου (15) 13
τοῦ δευτέρου ἔνθεν καὶ ἔνθεν κατὰ τὴν πύλην τῆς αὐλῆς αὐλαῖαι πεντεκαίδεκα
πήχεων· στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. [14] πᾶσαι αἱ αὐ- (16) 14
λαῖαι τῆς σκηνῆς ἐκ βύσσου κεκλωσμένης· [15] καὶ αἱ βάσεις τῶν στύλων (17) 15
αὐτῶν χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν πε-
ριηργυρωμέναι ἀργυρίῳ, καὶ οἱ στῦλοι περιηργυρωμένοι ἀργυρίῳ, πάντες οἱ

---

31. συνπλεκτον ωιαν ... διαλυτον 34. επι το λωμα (sed locus est **) 36. και περισκελη 39. τα γραμματα εντετυπωμενα XXXVII. 2. εικοσι πηχων ... το αυτο ησαν πασαι 3. χερουβειν 4. om εν 5. * om της θυρας ... εργ. υφαντου χερουβειν 6. και τους χερουβειν και τους στυλους αυτ. ... κρικ. αυτων ... και τας βασεις α. π. χαλκας 7. * τα προς νοτον (?) 8. in fine add χαλκαι Vv. 9. 10. 11. 12. rescripti. 9. ** om και το κλ. το πρ. νοτον εκ. εφ εκατον ... ** in fine add χαλκαι 10. ** om πηχεων ... ** και βασεις 12. ** πηχεων τα κατα 13. και οι στυλοι 14. πασ. αι πυλαι αι της αυλης εκ 15. om αυτων primum ... και παντες

Digitized by Google

16 (18) στῦλοι τῆς αὐλῆς. 16 καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς ἔργον ποι-
κιλτοῦ ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλω-
σμένης, εἴκοσι πήχεων τὸ μῆκος, καὶ τὸ ὕψος καὶ τὸ εὖρος πέντε πήχεων,
17 (19) ἐξισούμενον τοῖς ἱστίοις τῆς αὐλῆς· 17 καὶ οἱ στῦλοι αὐτῶν τέσσαρες, καὶ
αἱ βάσεις αὐτῶν τέσσαρες χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ
18 (20) κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ. 18 καὶ πάντες οἱ πάσσαλοι τῆς
19 (21) αὐλῆς κύκλῳ χαλκοῖ, καὶ αὐτοὶ περιηργυρωμένοι ἀργυρίῳ. 19 καὶ αὕτη ἡ
σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου, καθὰ συνετάγη Μωυσῇ, τὴν λειτουργίαν
20 (22) εἶναι τῶν Λευιτῶν διὰ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. 20 καὶ Βεσε-
λεὴλ ὁ τοῦ Οὐρείου ἐκ φυλῆς Ἰούδα ἐποίησε καθὰ συνέταξε κύριος τῷ Μωυσῇ,
21 (23) 21 καὶ Ἐλιὰβ ὁ τοῦ Ἀχισαμὰχ ἐκ φυλῆς Δάν, ὃς ἠρχιτεκτόνησε τὰ ὑφαντὰ
καὶ τὰ ῥαφιδευτὰ καὶ ποικιλτικά, ὑφᾶναι τῷ κοκκίνῳ καὶ τῇ βύσσῳ.

## XXXVIII.

2 (2) (37, 1.) Καὶ ἐποίησε Βεσελεὴλ τὴν κιβωτόν, 2 καὶ κατεχρύσωσεν αὐτὴν
3 (3) χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν. 3 καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυ-
λίους χρυσοῦς, δύο ἐπὶ τὸ κλίτος τὸ ἓν καὶ δύο ἐπὶ τὸ κλίτος τὸ δεύτερον,
4 5 (5 6) 4 εὐρεῖς τοῖς διωστῆρσιν ὥστε αἴρειν αὐτὴν ἐν αὐτοῖς. 5 καὶ ἐποίησε τὸ ἱλα-
6 (7) στήριον ἐπάνωθεν τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ, 6 καὶ τοὺς δύο Χερου-
7 (8) βὶμ χρυσοῦς· 7 Χεροὺβ ἕνα ἐπὶ τὸ ἄκρον τοῦ ἱλαστηρίου τὸ ἓν καὶ Χεροὺβ
8 (9) ἕνα ἐπὶ τὸ ἄκρον τοῦ ἱλαστηρίου τὸ δεύτερον, 8 σκιάζοντα ταῖς πτέρυξιν
9 (10) αὐτῶν ἐπὶ τὸ ἱλαστήριον. 9 καὶ ἐποίησε τὴν τράπεζαν τὴν προκειμένην (11)
10 (13) ἐκ χρυσίου καθαροῦ, 10 καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους, δύο ἐπὶ
τοῦ κλίτους τοῦ ἑνὸς καὶ δύο ἐπὶ τοῦ κλίτους τοῦ δευτέρου, (14) εὐρεῖς ὥστε
11 (15) αἴρειν τοῖς διωστῆρσιν ἐν αὐτοῖς. 11 καὶ τοὺς διωστῆρας τῆς κιβωτοῦ καὶ
12 (16) τῆς τραπέζης ἐποίησε, καὶ κατεχρύσωσεν αὐτοὺς χρυσίῳ. 12 καὶ ἐποίησε
τὰ σκεύη τῆς τραπέζης, τά τε τρυβλία καὶ τὰς θυΐσκας καὶ τοὺς κυάθους καὶ
13 (17) τὰ σπονδεῖα, ἐν οἷς σπείσει ἐν αὐτοῖς, χρυσᾶ. 13 καὶ ἐποίησε τὴν λυχνίαν
14 ἣ φωτίζει χρυσῆν, 14 στερεὰν τὸν καυλόν, καὶ τοὺς καλαμίσκους ἐξ ἀμφοτέρων
15 (18) τῶν μερῶν αὐτῆς· 15 ἐκ τῶν καλαμίσκων αὐτῆς οἱ βλαστοὶ ἐξέχοντες, τρεῖς
16 (19—22) ἐκ τούτου καὶ τρεῖς ἐκ τούτου, ἐξισούμενοι ἀλλήλοις· 16 καὶ τὰ λαμ-
πάδια αὐτῶν ἅ ἐστιν ἐπὶ τῶν ἄκρων, καρυωτὰ ἐξ αὐτῶν· καὶ τὰ ἐνθέμια ἐξ
αὐτῶν, ἵνα ὦσιν οἱ λύχνοι ἐπ' αὐτῶν· καὶ τὸ ἐνθέμιον τὸ ἕβδομον τὸ ἐπ'
17 (23) ἄκρου τοῦ λαμπαδίου ἐπὶ τῆς κορυφῆς ἄνωθεν, στερεὸν ὅλον χρυσοῦν· 17 καὶ
ἑπτὰ λύχνους ἐπ' αὐτῆς χρυσοῦς, καὶ τὰς λαβίδας αὐτῆς χρυσᾶς, καὶ τὰς
18 ἐπαρυστρίδας αὐτῶν χρυσᾶς. (36, 34—36.) 18 οὗτος περιηργύρωσε τοὺς
στύλους, καὶ ἐχώνευσε τῷ στύλῳ δακτυλίους χρυσοῦς, καὶ ἐχρύσωσε τοὺς
μοχλοὺς χρυσίῳ, καὶ κατεχρύσωσε τοὺς στύλους τοῦ καταπετάσματος χρυσίῳ,

---

16. κατακαλυμμα pro καταπετασμα 17. in fine add και αυτοι περιηργυρωμεναι (sic) αργυριω 18. om και αυτοι περιηργ. αργ. 20. του Ουρι 21. και ραφιδευτα και ποικιλτα XXXVIII. 1. in fine add δυο πηχεων και ημισυς το μηκος αυτης και πηχεως και ημισυς το πλατος αυτης και πηχεως και ημισυς το υψος αυτης 3. και εποιησεν αυτη κυματιον χρυσουν κυκλω· κ. εχωνευσ. ... χρυσ. επι τα τεσσερα μερη αυτης, δυο επ. 4. ευρος 5. ανωθεν 6. και εποιησεν δυο χερουβειν 7. και χερ. ab initio ... το δευτερον του ιλαστηριου 8. αυτων κατα προσωπον αυτων επι 10. δακτυλ. χρυσους, δυο δακτυλιους επι το κλιτος το εν και δυο δακτυλιους επι το κλιτος το δευτερον 11. χρυσιω καθαρω 12. om τε ... σπονδια ... σπεισεις 14. χρυσην στερεαν· τον ita dist. 16. ακρων αυτων ... om εξ post ενθεμια ... εξ pro επ ... εβδομον του επ ακρ. 17. λυχν. αυτη επ αυτης ... επαρυστρ. αυτης 18. εχωνευσ. τοις στυλοις

Digitized by Google

καὶ ἐποίησε τὰς ἀγκύλας χρυσᾶς. [19] οὗτος ἐποίησε καὶ τοὺς κρίκους τῆς σκη- 19
νῆς χρυσοῦς, καὶ τοὺς κρίκους τῆς αὐλῆς καὶ κρίκους εἰς τὸ ἐκτείνειν τὸ κατα-
κάλυμμα ἄνωθεν χαλκοῦς. [20] οὗτος ἐχώνευσε τὰς κεφαλίδας τὰς ἀργυρᾶς τῆς 20
σκηνῆς, καὶ τὰς κεφαλίδας τὰς χαλκᾶς τῆς θύρας τῆς σκηνῆς, καὶ τὴν πύ-
λην τῆς αὐλῆς· καὶ ἀγκύλας ἐποίησε τοῖς στύλοις ἀργυρᾶς ἐπὶ τῶν στύλων·
οὗτος περιηργύρωσεν αὐτάς. (38, 20.) [21] οὗτος ἐποίησε τοὺς πασσάλους τῆς 21
σκηνῆς καὶ τοὺς πασσάλους τῆς αὐλῆς χαλκοῦς. [22] οὗτος ἐποίησε τὸ θυσια- (1) 22
στήριον τὸ χαλκοῦν ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦσαν τοῖς ἀνδράσι τοῖς
καταστασιάσασι μετὰ τῆς Κορὲ συναγωγῆς. [23] οὗτος ἐποίησε πάντα τὰ (3) 23
σκεύη τοῦ θυσιαστηρίου, καὶ τὸ πυρεῖον αὐτοῦ καὶ τὴν βάσιν καὶ τὰς φιάλας
καὶ τὰς κρεάγρας τὰς χαλκᾶς. [24] οὗτος ἐποίησε θυσιαστηρίῳ παράθεμα, ἔργον (4) 24
δικτυωτὸν κάτωθεν τοῦ πυρείου ὑπὸ αὐτὸ ἕως τοῦ ἡμίσους αὐτοῦ· (5. 6) καὶ
ἐπέθηκεν αὐτῷ τέσσαρας δακτυλίους ἐκ τῶν τεσσάρων μερῶν τοῦ παραθέματος
τοῦ θυσιαστηρίου χαλκοῦς, (7) εὐρεῖς τοῖς μοχλοῖς ὥςτε αἴρειν ἐν αὐτοῖς τὸ
θυσιαστήριον. (37, 29.) [25] οὗτος ἐποίησε τὸ ἔλαιον τῆς χρίσεως τὸ ἅγιον 25
καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος, καθαρὸν ἔργον μυρεψοῦ. (38, 8.) [26] οὗτος 26
ἐποίησε τὸν λουτῆρα τὸν χαλκοῦν καὶ τὴν βάσιν αὐτοῦ χαλκῆν ἐκ τῶν κατό-
πτρων τῶν νηστευσασῶν, αἳ ἐνήστευσαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρ-
τυρίου, ἐν ᾗ ἡμέρᾳ ἔπηξεν αὐτήν· (40, 30. 31.) [27] καὶ ἐποίησε τὸν λου- 27
τῆρα, ἵνα νίπτωνται ἐξ αὐτοῦ Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας
αὐτῶν καὶ τοὺς πόδας, (32) εἰςπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυ-
ρίου· ἢ ὅταν προςπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, ἐνίπτοντο ἐξ
αὐτοῦ, καθάπερ συνέταξε κύριος τῷ Μωυσῇ.

## XXXIX.

(38, 24.) Πᾶν τὸ χρυσίον ὃ κατειργάσθη εἰς τὰ ἔργα κατὰ πᾶσαν τὴν
ἐργασίαν τῶν ἁγίων ἐγένετο χρυσίου τοῦ τῆς ἀπαρχῆς, ἐννέα καὶ εἴκοσι τά-
λαντα καὶ ἑπτακόσιοι εἴκοσι σίκλοι, κατὰ τὸν σίκλον τὸν ἅγιον. [2] καὶ ἀρ- (25) 2
γυρίου ἀφαίρεμα παρὰ τῶν ἐπεσκεμμένων ἀνδρῶν τῆς συναγωγῆς ἑκατὸν τά-
λαντα καὶ χίλιοι ἑπτακόσιοι ἑβδομηκονταπέντε σίκλοι· (26) δραχμὴ μία τῇ
κεφαλῇ τὸ ἥμισυ τοῦ σίκλου, κατὰ τὸν σίκλον τὸν ἅγιον. [3] πᾶς ὁ παραπορευό- 3
μενος τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω εἰς τὰς ἑξήκοντα μυριάδας
καὶ τριςχίλιοι πεντακόσιοι καὶ πεντήκοντα. [4] καὶ ἐγενήθη τὰ ἑκατὸν τάλαντα (27) 4
τοῦ ἀργυρίου εἰς τὴν χώνευσιν τῶν ἑκατὸν κεφαλίδων τῆς σκηνῆς καὶ εἰς τὰς
κεφαλίδας τοῦ καταπετάσματος, [5] ἑκατὸν κεφαλίδες εἰς τὰ ἑκατὸν τάλαντα, 5
τάλαντον τῇ κεφαλίδι. [6] καὶ τοὺς χιλίους ἑπτακοσίους ἑβδομηκονταπέντε (28) 6
σίκλους ἐποίησεν εἰς τὰς ἀγκύλας τοῖς στύλοις, καὶ κατεχρύσωσε τὰς κεφα-
λίδας αὐτῶν καὶ κατεκόσμησεν αὐτούς. [7] καὶ ὁ χαλκὸς τοῦ ἀφαιρέματος (29) 7
ἑβδομήκοντα τάλαντα καὶ χίλιοι πεντακόσιοι σίκλοι. [8] καὶ ἐποίησαν ἐξ (30) 8
αὐτοῦ τὰς βάσεις τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, [9] καὶ τὰς βάσεις τῆς 9

19. ουτ. εποιησ. τους στυλους pro ουτ. επ. και τ. κρικους ... ανωθεν το καταχαλ. 20. ** τας αργυρ. τοις στυλοις και (* om της σκηνης prius) ..., και τη πυλη της αυλ. κ. αγκ. εποιησαν αργ. επι των ... περιηργ. αυτους 22. om το secund. ... πυριων ... α ην τοις 23. και την βασ. αυτου και το πυρειον αυτ. ... τας κεαγρας (cf. 27, 3.) χαλκας 24. τω θυσιαστηρ. περιθεμα ... εις αυτο εως του ημισυς ... το θυσιαστηρ. εν αυτοις 25. του χρισματος pro της χρισ. 34. τας χειρ. και τ. ποδ. αυτων XXXIX. 1. εγεν. εκ χρυσ. ... επτακοσιοι και τριακοντα σικλοι 2. χιλ. και επτ. και εβδομ. ... κεφ. και το ημ. 3. κ. τριςχιλιους και πεντακοσιους και π. 4. om εκατον secund. 5. ταλαντον εν τη 6. χιλ. και επτ. και εβδομ. σ. εποιησαν ε. τ. α. των στυλων 7. τετρακοσια εβδομηκοντα ... διςχιλιοι και τετρακοσιοι σικλ.

Digitized by Google

αὐλῆς κύκλῳ, (31) καὶ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς, καὶ τοὺς πασσάλους
10 τῆς σκηνῆς, καὶ τοὺς πασσάλους τῆς αὐλῆς κύκλῳ, [10] καὶ τὸ παράθεμα τὸ
χαλκοῦν τοῦ θυσιαστηρίου, καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, καὶ πάντα
11 τὰ ἐργαλεῖα τῆς σκηνῆς τοῦ μαρτυρίου. (39, 32.) [11] καὶ ἐποίησαν οἱ υἱοὶ
12 Ἰσραὴλ καθὰ συνέταξε κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν. [12] τὸ δὲ λοιπὸν
χρυσίον τοῦ ἀφαιρέματος ἐποίησαν σκεύη εἰς τὸ λειτουργεῖν ἐν αὐτοῖς ἔναντι
13 (1) κυρίου· [13] καὶ τὴν καταλειφθεῖσαν ὑάκινθον καὶ πορφύραν καὶ τὸ κόκκινον
ἐποίησαν στολὰς λειτουργικὰς Ἀαρών, ὥστε λειτουργεῖν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ.
14 (33) [14] καὶ ἤνεγκαν τὰς στολὰς πρὸς Μωυσῆν, καὶ τὴν σκηνὴν καὶ τὰ σκεύη
15 (35) αὐτῆς, τὰς βάσεις καὶ τοὺς μοχλοὺς αὐτῆς καὶ τοὺς στύλους, [15] καὶ τὴν
κιβωτὸν τῆς διαθήκης καὶ τοὺς διωστῆρας αὐτῆς, (38) καὶ τὸ θυσιαστήριον καὶ
16 πάντα τὰ σκεύη αὐτοῦ, [16] καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸ θυμίαμα τῆς
17 συνθέσεως, (37) καὶ τὴν λυχνίαν τὴν καθαρὰν [17] καὶ τοὺς λύχνους αὐτῆς, λύ-
18 (36) χνους τῆς καύσεως καὶ τὸ ἔλαιον τοῦ φωτός, [18] καὶ τὴν τράπεζαν τῆς
προθέσεως καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τοὺς ἄρτους τοὺς προκειμένους,
19 (41) [19] καὶ τὰς στολὰς τοῦ ἁγίου αἵ εἰσιν Ἀαρών, καὶ τὰς στολὰς τῶν υἱῶν
20 (40) αὐτοῦ εἰς τὴν ἱερατείαν, [20] καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τοὺς στύλους, καὶ
21 τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς καὶ τῆς πύλης τῆς αὐλῆς, [21] καὶ πάντα
τὰ σκεύη τῆς σκηνῆς καὶ πάντα τὰ ἐργαλεῖα αὐτῆς, (34) καὶ τὰς διφθέρας
δέρματα κριῶν ἠρυθροδανωμένα καὶ τὰ καλύμματα ὑακίνθινα καὶ τῶν λοι-
πῶν τὰ ἐπικαλύμματα, (40) καὶ τοὺς πασσάλους καὶ πάντα τὰ ἐργαλεῖα τὰ
22 (42) εἰς τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου· [22] ὅσα συνέταξε κύριος τῷ Μωυσῇ,
23 (43) οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ πᾶσαν τὴν ἀποσκευήν. [23] καὶ εἶδε Μωυσῆς
πάντα τὰ ἔργα, καὶ ἦσαν πεποιηκότες αὐτὰ ὃν τρόπον συνέταξε κύριος τῷ
Μωυσῇ, οὕτως ἐποίησαν αὐτά· καὶ εὐλόγησεν αὐτοὺς Μωυσῆς.

## XL.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς
3 τοῦ πρώτου νουμηνίᾳ στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου· [3] καὶ θήσεις τὴν
4 κιβωτὸν τοῦ μαρτυρίου, καὶ σκεπάσεις τὴν κιβωτὸν τῷ καταπετάσματι· [4] καὶ
εἰσοίσεις τὴν τράπεζαν, καὶ προθήσεις τὴν πρόθεσιν αὐτῆς· καὶ εἰσοίσεις τὴν
5 λυχνίαν, καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς· [5] καὶ θήσεις τὸ θυσιαστήριον τὸ
χρυσοῦν εἰς τὸ θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ· καὶ ἐπιθήσεις κάλυμμα καταπε-
6 τάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· [6] καὶ τὸ θυσιαστήριον
τῶν καρπωμάτων θήσεις παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· (8) καὶ
7 (9) περιθήσεις τὴν σκηνήν, καὶ πάντα τὰ αὐτῆς ἁγιάσεις κύκλῳ. [7] καὶ λήψῃ
τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ
8 (10) ἁγιάσεις αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ ἔσται ἁγία. [8] καὶ χρίσεις
9 τὸ θυσιαστήριον τῶν καρπωμάτων καὶ πάντα τὰ σκεύη αὐτοῦ, [9] καὶ ἁγιάσεις
10 (12) τὸ θυσιαστήριον, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων. [10] καὶ προς-
άξεις Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,
11 (13) καὶ λούσεις αὐτοὺς ὕδατι· [11] καὶ ἐνδύσεις Ἀαρὼν τὰς στολὰς τὰς ἁγίας,

---

9. σκηνης pro αυλης ab initio 10. χαλκ. κυκλω του θυσ. 13. κοκκιν. και βυσσον εποιησ. 14. om τας βασεις ... μοχλους sine αυτης ... στυλους και τας βασεις αυτης 18. 19. 20. inde a προθεσεως usque τα ιστια rescripta s. 18. ** π. αυτης τα σκευη κ. τ. αρτ. της προθεσεως 20. στυλους και τας βασεις αυτης και το 21. om παντα secund. ... ηρυθοδανωμενα κ. τ. καταχαλυμματα δερματα υακινθινα ... τα εις εργα 22. παρασκευην 23. ιδεν XL. 2. om μια 5. ενωπιον της κιβωτ. του μαρτυριου· και θησεις το καλ. του καταπ. 6. παρα την θυραν ... την αυλην κυκλω pro την σκηνην omissis reliquis 7. λημψη ... ελαιον της χρισεως 8. παντ. αυτου τα σκευη

Digitized by Google

καὶ χρίσεις αὐτὸν καὶ ἁγιάσεις αὐτόν, καὶ ἱερατεύσει μοι· 12 καὶ τοὺς (14) 12
υἱοὺς αὐτοῦ προσάξεις, καὶ ἐνδύσεις αὐτοὺς χιτῶνας, 13 καὶ ἀλείψεις αὐτοὺς (15) 13
ὃν τρόπον ἤλειψας τὸν πατέρα αὐτῶν, καὶ ἱερατεύσουσί μοι· καὶ ἔσται ὥστε
εἶναι αὐτοῖς χρῖσμα ἱερατείας εἰς τὸν αἰῶνα, εἰς τὰς γενεὰς αὐτῶν. 14 καὶ (16) 14
ἐποίησε Μωυσῆς πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος, οὕτως ἐποίησε. 15 καὶ (17) 15
ἐγένετο ἐν τῷ μηνὶ τῷ πρώτῳ, τῷ δευτέρῳ ἔτει ἐκπορευομένων αὐτῶν ἐξ
Αἰγύπτου νουμηνίᾳ, ἐστάθη ἡ σκηνή· 16 καὶ ἔστησε Μωυσῆς τὴν σκηνήν, (18) 16
καὶ ἐπέθηκε τὰς κεφαλίδας καὶ διενέβαλε τοὺς μοχλοὺς καὶ ἔστησε τοὺς
στύλους· 17 καὶ ἐξέτεινε τὰς αὐλαίας ἐπὶ τὴν σκηνήν, καὶ ἐπέθηκε τὸ κα- (19) 17
τακάλυμμα τῆς σκηνῆς ἐπ᾽ αὐτὴν ἄνωθεν, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ.
18 καὶ λαβὼν τὰ μαρτύρια ἐνέβαλεν εἰς τὴν κιβωτόν, καὶ ὑπέθηκε τοὺς (20) 18
διωστῆρας ὑπὸ τὴν κιβωτόν, 19 καὶ εἰσήνεγκε τὴν κιβωτὸν εἰς τὴν σκηνὴν (21) 19
καὶ ἐπέθηκε τὸ κατακάλυμμα τοῦ καταπετάσματος, καὶ ἐσκέπασε τὴν κιβω-
τὸν τοῦ μαρτυρίου, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. 20 καὶ ἐπέθηκε (22) 20
τὴν τράπεζαν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου τὸ πρὸς βορρᾶν ἔξωθεν τοῦ κα-
ταπετάσματος τῆς σκηνῆς, 21 καὶ προσέθηκεν ἐπ᾽ αὐτῆς ἄρτους τῆς προ- (23) 21
θέσεως ἔναντι κυρίου, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. 22 καὶ ἔθηκε (24) 22
τὴν λυχνίαν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, εἰς τὸ κλίτος τῆς σκηνῆς τὸ πρὸς
νότον, 23 καὶ ἐπέθηκε τοὺς λύχνους αὐτῆς ἔναντι κυρίου, ὃν τρόπον συνέ- (25) 23
ταξε κύριος τῷ Μωυσῇ. 24 καὶ ἔθηκε τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐν τῇ (26) 24
σκηνῇ τοῦ μαρτυρίου ἀπέναντι τοῦ καταπετάσματος, 25 καὶ ἐθυμίασεν ἐπ᾽ (27) 25
αὐτοῦ θυμίαμα τῆς συνθέσεως, καθάπερ συνέταξε κύριος τῷ Μωυσῇ. 26 καὶ (29) 26
τὸ θυσιαστήριον τῶν καρπωμάτων ἔθηκε παρὰ τὰς θύρας τῆς σκηνῆς, 27 καὶ (33) 27
ἔστησε τὴν αὐλὴν κύκλῳ τῆς σκηνῆς καὶ τοῦ θυσιαστηρίου· καὶ συνετέλεσε
Μωυσῆς πάντα τὰ ἔργα. 28 καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρ- (34) 28
τυρίου, καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή· 29 καὶ οὐκ ἠδυνάσθη Μωυ- (35) 29
σῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ᾽ αὐτὴν ἡ νε-
φέλη, καὶ δόξης κυρίου ἐνεπλήσθη ἡ σκηνή. 30 ἡνίκα δ᾽ ἂν ἀνέβη ἡ νε- (36) 30
φέλη ἀπὸ τῆς σκηνῆς, ἀνεζεύγνυσαν οἱ υἱοὶ Ἰσραὴλ σὺν τῇ ἀπαρτίᾳ αὐτῶν·
31 εἰ δὲ μὴ ἀνέβη ἡ νεφέλη, οὐκ ἀνεζεύγνυσαν ἕως ἡμέρας ἧς ἀνέβη ἡ (37) 31
νεφέλη. 32 νεφέλη γὰρ ἦν ἐπὶ τῆς σκηνῆς ἡμέρας, καὶ πῦρ ἦν ἐπ᾽ αὐτῆς (38) 32
νυκτὸς ἐναντίον παντὸς Ἰσραήλ, ἐν πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

Τέλος τῆς ἐξόδου.

---

# ΛΕΥΙΤΙΚΟΝ.

## I.

Καὶ ἀνεκάλεσε Μωυσῆν καὶ ἐλάλησε κύριος αὐτῷ ἐκ τῆς σκηνῆς τοῦ
μαρτυρίου λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἄνθρω- 2

---

14. οσα συνεταξεν κυριος 15. om τω ante δευτερω 16. κεφαλιδ. αυτης ... στυλους αυτης 18. ενεβαλεν εις αυτην και επεθηκεν τους διωστηρ. 19. * εθηκεν 20. και εθηκεν ... μαρτυριου επι το κλιτος της σκηνης του μαρτυριου προς βορρ. 21. εναντιον 23. εναντιον 25. ον τροπον pro καθαπερ 26. ** της σκηνης του μαρτυριου 27. ** om και εστησε usque θυσιαστηριου 29. ηδυνηθη ... επλησθη 31. εως της ημερας ... * επ αυτην

Subscriptio: εξοδος των υιων ιηλ εξ αιγυπτου

Inscriptio: λευειτικον    I. 1. μωσην



Digitized by Google

πος ἐξ ὑμῶν ἐὰν προςαγάγῃ δῶρα τῷ κυρίῳ, ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν
3 βοῶν καὶ ἀπὸ τῶν προβάτων προςοίσετε τὰ δῶρα ὑμῶν. [3] ἐὰν ὁλοκαύτωμα τὸ
δῶρον αὐτοῦ ἐκ τῶν βοῶν, ἄρσεν ἄμωμον προςάξει· πρὸς τὴν θύραν τῆς σκη-
4 νῆς τοῦ μαρτυρίου προςοίσει αὐτὸ δεκτὸν ἐναντίον κυρίου, [4] καὶ ἐπιθήσει τὴν
χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ καρπώματος, δεκτὸν αὐτῷ ἐξιλάσασθαι περὶ αὐ-
5 τοῦ. [5] καὶ σφάξουσι τὸν μόσχον ἔναντι κυρίου· καὶ προςοίσουσιν οἱ υἱοὶ Ἀα-
ρὼν οἱ ἱερεῖς τὸ αἷμα, καὶ προςχεοῦσι τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ
6 τὸ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς τοῦ μαρτυρίου· [6] καὶ ἐκδείραντες τὸ ὁλοκαύ-
7 τωμα μελιοῦσιν αὐτὸ κατὰ μέλη· [7] καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς
8 πῦρ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπιστοιβάσουσι ξύλα ἐπὶ τὸ πῦρ· [8] καὶ ἐπιστοι-
βάσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὰ διχοτομήματα καὶ τὴν κεφαλὴν καὶ τὸ
9 στέαρ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ὄντα ἐπὶ τοῦ θυσιαστηρίου, [9] τὰ δὲ
ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι· καὶ ἐπιθήσουσιν οἱ ἱερεῖς τὰ πάντα
10 ἐπὶ τὸ θυσιαστήριον· κάρπωμά ἐστι θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ. [10] ἐὰν δὲ
ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, ἀπό τε τῶν ἀρνῶν καὶ τῶν
ἐρίφων εἰς ὁλοκαυτώματα, ἄρσεν ἄμωμον προςάξει αὐτό, καὶ ἐπιθήσει τὴν
11 χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. [11] καὶ σφάξουσιν αὐτὸ ἐκ πλαγίων τοῦ θυσια-
στηρίου πρὸς βοῤῥᾶν ἔναντι κυρίου· καὶ προςχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς
12 τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον κύκλῳ· [12] καὶ διελοῦσιν αὐτὸ κατὰ μέλη,
καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ· καὶ ἐπιστοιβάσουσιν οἱ ἱερεῖς αὐτὰ ἐπὶ τὰ
13 ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ἐπὶ τοῦ θυσιαστηρίου, [13] καὶ τὰ ἐγκοίλια καὶ τοὺς
πόδας πλυνοῦσιν ὕδατι· καὶ προςοίσει ὁ ἱερεὺς τὰ πάντα καὶ ἐπιθήσει ἐπὶ
14 τὸ θυσιαστήριον· κάρπωμά ἐστι θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ. [14] ἐὰν δὲ ἀπὸ
τῶν πετεινῶν κάρπωμα προσφέρει δῶρον αὐτοῦ τῷ κυρίῳ, καὶ προςοίσει ἀπὸ
15 τῶν τρυγόνων ἢ ἀπὸ τῶν περιστερῶν τὸ δῶρον αὐτοῦ· [15] καὶ προςοίσει αὐτὸ
ὁ ἱερεὺς πρὸς τὸ θυσιαστήριον, καὶ ἀποκνίσει τὴν κεφαλήν· καὶ ἐπιθήσει ὁ
ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, καὶ στραγγιεῖ τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυ-
16 σιαστηρίου· [16] καὶ ἀφελεῖ τὸν πρόλοβον σὺν τοῖς πτεροῖς, καὶ ἐκβαλεῖ αὐτὸ
17 παρὰ τὸ θυσιαστήριον κατ' ἀνατολὰς εἰς τὸν τόπον τῆς σποδοῦ· [17] καὶ ἐκ-
κλάσει αὐτὸ ἐκ τῶν πτερύγων καὶ οὐ διελεῖ· καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ
τὸ θυσιαστήριον ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρός· κάρπωμά ἐστι θυσία ὀσμὴ
εὐωδίας τῷ κυρίῳ.

## II.

Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶρον θυσίαν τῷ κυρίῳ, σεμίδαλις ἔσται τὸ δῶ-
ρον αὐτοῦ· καὶ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, καὶ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον· θυσία
2 ἐστί. [2] καὶ οἴσει πρὸς τοὺς υἱοὺς Ἀαρὼν τοὺς ἱερεῖς· καὶ δραξάμενος ἀπ' αὐ-
τῆς πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ ἐλαίῳ καὶ πάντα τὸν λί-
βανον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἐπὶ τὸ θυσιαστή-
3 ριον· θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ. [3] καὶ τὸ λοιπὸν ἀπὸ τῆς θυσίας Ἀαρὼν
4 καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγιον τῶν ἁγίων ἀπὸ τῶν θυσιῶν κυρίου. [4] ἐὰν δὲ
προσφέρῃ δῶρον θυσίαν πεπεμμένην ἐκ κλιβάνου δῶρον κυρίῳ ἐκ σεμιδάλεως,
ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα διακεχρισμένα ἐν

---

2. εαν προσφερη ... κτηνων· απο 3. εναντι 6. δειραντες 7. στοιβασουσιν 8. * om οι ιερεις ... επι τα διχοτ. ... στεαρ και τα ξυλα επι 9. επιθησει ο ιερευς 10. εις ολοκαυτωμα 12. αυτο οι ιερεις ε. τ. ξυλα επι 13. κυριω sine τω 14. προσφερης δωρον τω κυριω (... * προςοιση) 15. om αυτο ... επι pro προς 16. κατα ανατολας 17. καρπωμα εστιν· θυσια ita disting. II. 4. προσφερης (... εκ λιβανου) ... κυριω· εκ sic disting. 5. αζυμ. εσται 7. om σεμιδαλις 8. ποιη 13. διαπαυσ. αλα ... απο pro επι 14. προσφερη ... πρωτογενηματων bis ... απαλον νεα ... προσοισει III. 1. θυσιαν ... βοων αυτου πρ. 2. om εναντιον κυριου

Digitized by Google

ἐλαίῳ. [5] ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις πεφυραμένη ἐν 5
ἐλαίῳ ἄζυμά ἐστι· [6] καὶ διαθρύψεις αὐτὰ κλάσματα, καὶ ἐπιχεεῖς ἐπ' αὐτὰ 6
ἔλαιον· θυσία ἐστὶ κυρίῳ. [7] ἐὰν δὲ θυσία ἀπὸ ἐσχάρας τὸ δῶρόν σου, σεμί- 7
δαλις ἐν ἐλαίῳ ποιηθήσεται. [8] καὶ προσοίσει τὴν θυσίαν ἣν ἂν ποιήσῃ ἐκ τού- 8
των τῷ κυρίῳ, καὶ προσοίσει πρὸς τὸν ἱερέα· καὶ προσεγγίσας πρὸς τὸ θυσια-
στήριον [9] ἀφελεῖ ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ ἐπιθήσει 9
ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· κάρπωμα ὀσμὴ εὐωδίας κυρίῳ. [10] τὸ δὲ κατα- 10
λειφθὲν ἀπὸ τῆς θυσίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγια τῶν ἁγίων ἀπὸ
τῶν καρπωμάτων κυρίου. [11] πᾶσαν θυσίαν ἣν ἂν προσφέρητε κυρίῳ οὐ ποιή- 11
σετε ζυμωτόν· πᾶσαν γὰρ ζύμην καὶ πᾶν μέλι, οὐ προσοίσετε ἀπ' αὐτοῦ καρ-
πῶσαι κυρίῳ. [12] δῶρον ἀπαρχῆς προσοίσετε αὐτὰ κυρίῳ· ἐπὶ δὲ τὸ θυσιαστή- 12
ριον οὐκ ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [13] καὶ πᾶν δῶρον θυσίας 13
*Mc. 9, 49. ὑμῶν ἀλλ ἁλισθήσεται· οὐ διαπαύσατε ἅλας διαθήκης κυρίου ἀπὸ θυσιασμά-
των ὑμῶν· ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε κυρίῳ τῷ θεῷ ὑμῶν ἅλας.
[14] ἐὰν δὲ προσφέρῃς θυσίαν πρωτογεννημάτων τῷ κυρίῳ, νέα πεφρυγμένα χίδρα 14
ἐρικτὰ τῷ κυρίῳ, καὶ προσοίσεις τὴν θυσίαν τῶν πρωτογεννημάτων· [15] καὶ 15
ἐπιχεεῖς ἐπ' αὐτὴν ἔλαιον, καὶ ἐπιθήσεις ἐπ' αὐτὴν λίβανον· θυσία ἐστί. [16] καὶ 16
ἀνοίσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἀπὸ τῶν χίδρων σὺν τῷ ἐλαίῳ καὶ πάντα
τὸν λίβανον αὐτῆς· κάρπωμά ἐστι κυρίῳ.

## III

Ἐὰν δὲ θυσία σωτηρίου τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν
αὐτὸ προσαγάγῃ, ἐάν τε ἄρσεν ἐάν τε θῆλυ, ἄμωμον προσάξει αὐτὸ ἔναντι
κυρίου· [2] καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου, καὶ σφάξει 2
αὐτὸ ἐναντίον κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ προς-
χεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτω-
μάτων κύκλῳ. [3] καὶ προσάξουσιν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα κυρίῳ, 3
τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας,
[4] καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ 4
τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ· [5] καὶ ἀνοίσουσιν αὐτὰ 5
οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὰ ὁλοκαυτώματα ἐπὶ τὰ ξύλα
τὰ ἐπὶ τοῦ πυρὸς ἐπὶ τοῦ θυσιαστηρίου· κάρπωμα ὀσμὴ εὐωδίας κυρίῳ. [6] ἐὰν 6
δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ θυσία σωτηρίου τῷ κυρίῳ, ἄρσεν ἢ
θῆλυ, ἄμωμον προσοίσει αὐτό. [7] ἐὰν ἄρνα προσαγάγῃ τὸ δῶρον αὐτοῦ, προς- 7
άξει αὐτὸ ἔναντι κυρίου· [8] καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου 8
αὐτοῦ, καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ προς-
χεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ. [9] καὶ 9
προσοίσει ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα τῷ κυρίῳ, τὸ στέαρ καὶ
τὴν ὀσφὺν ἄμωμον σὺν ταῖς ψόαις περιελεῖ αὐτό· καὶ πᾶν τὸ στέαρ τὸ κατα-
καλύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, [10] καὶ ἀμφοτέρους 10
τοὺς νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν
τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελὼν [11] ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσια- 11
στήριον· ὀσμὴ εὐωδίας κάρπωμα κυρίῳ. [12] ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον 12
αὐτοῦ, καὶ προσάξει ἔναντι κυρίου· [13] καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφα- 13
λὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἔναντι κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ
μαρτυρίου· καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστή-
ριον κύκλῳ. [14] καὶ ἀνοίσει ἀπ' αὐτοῦ κάρπωμα κυρίῳ, τὸ στέαρ τὸ κατακα- 14
λύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, [15] καὶ ἀμφοτέρους 15

5. τ. ολοχ. τα επι 6. θυσιαν ... * προσοισεις 9. καρπ. τω θεω· το ... om και παν το στ. το κατ. τ. κοιλιαν ... και το στεαρ της κοιλιας 11. οσμην 13. σφαξουσ. αυτον 14. επ αυτου ... το καλυπτον ... * om και παν usque κοιλιας



Digitized by Google

τοὺς νεφροὺς καὶ πᾶν τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν
16 λοβὸν τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ· [16]καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ
θυσιαστήριον· κάρπωμα ὀσμὴ εὐωδίας τῷ κυρίῳ. πᾶν τὸ στέαρ τῷ κυρίῳ·
17 [17]νόμιμον εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν· πᾶν
στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδεσθε.

## IV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2]Λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ
λέγων Ψυχὴ ἐὰν ἁμάρτῃ ἔναντι κυρίου ἀκουσίως ἀπὸ πάντων τῶν προσταγμά-
3 των κυρίου ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιήσῃ ἕν τι ἀπ᾽ αὐτῶν· [3]ἐὰν μὲν ὁ ἀρχιε-
ρεὺς ὁ κεχρισμένος ἁμάρτῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς
ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε μόσχον ἐκ βοῶν ἄμωμον τῷ κυρίῳ περὶ τῆς ἁμαρ-
4 τίας. [4]καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου
ἔναντι κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι
5 κυρίου, καὶ σφάξει τὸν μόσχον ἐνώπιον κυρίου. [5]καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς
ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ εἰςοίσει αὐτὸ
6 εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· [6]καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα,
καὶ προςρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις ἔναντι κυρίου κατὰ τὸ καταπέτασμα
7 τὸ ἅγιον· [7]καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα
τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τῆς συνθέσεως τοῦ ἐναντίον κυρίου, ὅ ἐστιν
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν
βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὅ ἐστι παρὰ τὰς θύρας τῆς σκη-
8 νῆς τοῦ μαρτυρίου. [8]καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας, περιε-
λεῖ ἀπ᾽ αὐτοῦ τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια καὶ πᾶν τὸ στέαρ τὸ
9 ἐπὶ τῶν ἐνδοσθίων, [9]καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν, ὅ
ἐστιν ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς
10 περιελεῖ αὐτό, [10]ὃν τρόπον ἀφαιρεῖται αὐτὸ ἀπὸ τοῦ μόσχου τοῦ τῆς θυσίας
11 τοῦ σωτηρίου· καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως. [11]καὶ
τὸ δέρμα τοῦ μόσχου καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα σὺν τῇ κεφαλῇ καὶ τοῖς
12 ἀκρωτηρίοις καὶ τῇ κοιλίᾳ καὶ τῇ κόπρῳ, [12]καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον
ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν οὗ ἐκχεοῦσι τὴν σποδιάν, καὶ κατα-
καύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρί· ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται.
13 [13]ἐὰν δὲ πᾶσα συναγωγὴ Ἰσραὴλ ἀγνοήσῃ ἀκουσίως, καὶ λάθῃ ῥῆμα ἐξ
ὀφθαλμῶν τῆς συναγωγῆς, καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου
14 ἣ οὐ ποιηθήσεται καὶ πλημμελήσωσι, [14]καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία ἣν
ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς
15 ἁμαρτίας, καὶ προσάξει αὐτὸν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. [15]καὶ
ἐπιθήσουσιν οἱ πρεσβύτεροι τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν
16 τοῦ μόσχου ἔναντι κυρίου, καὶ σφάξουσι τὸν μόσχον ἔναντι κυρίου. [16]καὶ εἰς-
οίσει ὁ ἱερεὺς ὁ χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρ-
17 τυρίου· [17]καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ
18 ῥανεῖ ἑπτάκις ἔναντι κυρίου κατενώπιον τοῦ καταπετάσματος τοῦ ἁγίου· [18]καὶ
ἀπὸ τοῦ αἵματος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν θυ-
μιαμάτων τῆς συνθέσεως, ὅ ἐστιν ἐνώπιον κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ
μαρτυρίου· καὶ τὸ πᾶν αἷμα ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν
19 καρπώσεων τοῦ πρὸς τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου. [19]καὶ τὸ πᾶν στέαρ
20 περιελεῖ ἀπ᾽ αὐτοῦ καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον· [20]καὶ ποιήσει τὸν μόσχον

---

15. om παν 16. 17. κυριω νομιμον sine distinct. IV. 2. om παντων ... ποιησει 3. του λαου ... add αυτου in fine 5. οισει α. επι την 7. εναντι 8. και το παν ab initio 9. το επι pro ο εστιν επι 10. αφελειται ... om αυτο (... διανοισει pro και ανοισει) 13. παντων pro πασων ... πλημμελησουσιν 17. ενωπιον 18. των προς την θυραν

Digitized by Google

ὃν τρόπον ἐποίησε τὸν μόσχον τὸν τῆς ἁμαρτίας, οὕτω ποιηθήσεται· καὶ ἐξι-
λάσεται περὶ αὐτῶν ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία. [21] καὶ ἐξοί- 21
σουσι τὸν μόσχον ὅλον ἔξω τῆς παρεμβολῆς, καὶ κατακαύσουσι τὸν μόσχον
ὃν τρόπον κατέκαυσαν τὸν μόσχον τὸν πρότερον· ἁμαρτία συναγωγῆς ἐστίν.
[22] ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου 22
τοῦ θεοῦ αὐτοῦ ἣ οὐ ποιηθήσεται ἀκουσίως, καὶ ἁμάρτῃ καὶ πλημμελήσῃ,
[23] καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ προςοίσει τὸ δῶρον 23
αὐτοῦ χίμαρον ἐξ αἰγῶν ἄρσεν ἄμωμον. [24] καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν 24
κεφαλὴν τοῦ χιμάρου, καὶ σφάξουσιν αὐτὸν ἐν τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυ-
τώματα ἐνώπιον κυρίου· ἁμαρτία ἐστί. [25] καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵμα- 25
τος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλο-
καυτωμάτων, καὶ τὸ πᾶν αἷμα αὐτοῦ ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστη-
ρίου τῶν ὁλοκαυτωμάτων. [26] καὶ τὸ πᾶν στέαρ αὐτοῦ ἀνοίσει ἐπὶ τὸ θυσια- 26
στήριον ὥςπερ τὸ στέαρ θυσίας σωτηρίου· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς
ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ. [27] ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ 27
ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν
κυρίου ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ, [28] καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία 28
ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει χίμαιραν ἐξ αἰγῶν· θήλειαν ἄμωμον οἴσει περὶ
τῆς ἁμαρτίας ἧς ἥμαρτε. [29] καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ ἁμαρ- 29
τήματος αὐτοῦ, καὶ σφάξουσι τὴν χίμαιραν τὴν τῆς ἁμαρτίας ἐν τῷ τόπῳ οὗ
σφάζουσι τὰ ὁλοκαυτώματα. [30] καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς 30
τῷ δακτύλῳ καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμά-
των, καὶ πᾶν τὸ αἷμα αὐτῆς ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου. [31] καὶ 31
πᾶν τὸ στέαρ περιελεῖ ὃν τρόπον περιαιρεῖται στέαρ ἀπὸ θυσίας σωτηρίου, καὶ
ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας κυρίῳ· καὶ ἐξιλάσε-
ται περὶ αὐτοῦ ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτῷ. [32] ἐὰν δὲ πρόβατον προςενέγκῃ 32
τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας, θῆλυ ἄμωμον προςοίσει αὐτό. [33] καὶ ἐπι- 33
θήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ τῆς ἁμαρτίας, καὶ σφάξουσιν αὐτὸ ἐν
τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα. [34] καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος 34
τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῆς
ὁλοκαρπώσεως, καὶ πᾶν αὐτοῦ τὸ αἷμα ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστη-
ρίου τῆς ὁλοκαυτώσεως. [35] καὶ πᾶν αὐτοῦ τὸ στέαρ περιελεῖ ὃν τρόπον περιαι- 35
ρεῖται στέαρ προβάτου ἐκ τῆς θυσίας τοῦ σωτηρίου, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς
ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὸ ὁλοκαύτωμα κυρίου· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ
ἱερεὺς περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.

## V.

Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς
ἢ ἑώρακεν ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, λήψεται τὴν ἁμαρτίαν. [2] ἡ ψυχὴ 2
ἐκείνη ἥτις ἐὰν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ θνησιμαίου ἢ θηρια-
λώτου ἀκαθάρτου ἢ τῶν θνησιμαίων βδελυγμάτων τῶν ἀκαθάρτων ἢ τῶν θνη-
σιμαίων κτηνῶν τῶν ἀκαθάρτων· [3] ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ 3
πάσης ἀκαθαρσίας αὐτοῦ ἧς ἂν ἁψάμενος μιανθῇ, καὶ ἔλαθεν αὐτόν, μετὰ
τοῦτο δὲ γνῷ, καὶ πλημμελήσῃ· [4] ἡ ψυχὴ ἡ ἄνομος ἡ διαστέλλουσα τοῖς χεί- 4
λεσι κακοποιῆσαι ἢ καλῶς ποιῆσαι κατὰ πάντα ὅσα ἐὰν διαστείλῃ ὁ ἄνθρω-
πος μεθ᾽ ὅρκου, καὶ λάθῃ αὐτὸν πρὸ ὀφθαλμῶν, καὶ οὗτος γνῷ, καὶ ἁμάρτῃ
ἕν τι τούτων· [5] καὶ ἐξαγορεύσει τὴν ἁμαρτίαν περὶ ὧν ἡμάρτηκε κατ᾽ αὐτῆς, 5

---

20. ουτως 21. om ολον 22. θεου αυτων 23. ημαρτησεν ... χειμαρρον 24. χειμαρρου ... τοπω ω 27. παντων pro πασων 28. χειμερραν 29. χειμεραν ... εν τοπω ω 30. λημψεται 32. εις αμαρτιαν 34. ολοκαυτωσεως pro ολοκαρπωσεως V. 1. ει εωρ. ει συνοιδ. ... λημψεται 2. om εκεινη 2. ante βδελυγμ. add η των 4. μετ ορχου 5. και εξαγορευση

Digitized by Google

6 [6] καὶ οἴσει περὶ ὧν ἐπλημμέλησε κυρίῳ, περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, θῆλυ
ἀπὸ τῶν προβάτων ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν περὶ ἁμαρτίας· καὶ ἐξιλά-
σεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε, καὶ ἀφεθή-
7 σεται αὐτῷ ἡ ἁμαρτία. [7] ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς τὸ πρό-
βατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε δύο τρυγόνας ἢ δύο νοσσοὺς
8 περιστερῶν κυρίῳ, ἕνα περὶ ἁμαρτίας καὶ ἕνα εἰς ὁλοκαύτωμα, [8] καὶ οἴσει
αὐτὰ πρὸς τὸν ἱερέα. καὶ προσάξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον·
καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ σφονδύλου καὶ οὐ διελεῖ,
9 [9] καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας ἐπὶ τὸν τοῖχον τοῦ θυσια-
στηρίου, τὸ δὲ κατάλοιπον τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυ-
10 σιαστηρίου· ἁμαρτία γάρ ἐστι. [10] καὶ τὸ δεύτερον ποιήσει ὁλοκάρπωμα ὡς
καθήκει· καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε, καὶ
11 ἀφεθήσεται αὐτῷ. [11] ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων ἢ δύο
νοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ περὶ οὗ ἥμαρτε τὸ δέκατον τοῦ
οἰφὶ σεμιδάλεως περὶ ἁμαρτίας· οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον οὐδὲ ἐπιθήσει
12 ἐπ' αὐτῷ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστί· [12] καὶ οἴσει αὐτὸ πρὸς τὸν ἱερέα.
καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτῆς πλήρη τὴν δράκα τὸ μνημόσυνον αὐτῆς
13 ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων κυρίῳ· ἁμαρτία ἐστί. [13] καὶ
ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτεν ἀφ' ἑνὸς
τούτων, καὶ ἀφεθήσεται αὐτῷ· τὸ δὲ καταλειφθὲν ἔσται τῷ ἱερεῖ, ὡς θυσία
14 15 τῆς σεμιδάλεως. [14] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [15] Ψυχὴ ἣ ἂν
λάθῃ αὐτὸν λήθῃ καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων κυρίου, καὶ οἴσει τῆς
πλημμελείας αὐτοῦ τῷ κυρίῳ κριὸν ἄμωμον ἐκ τῶν προβάτων τιμῆς ἀργυρίου
16 σίκλων, τῷ σίκλῳ τῶν ἁγίων, περὶ οὗ ἐπλημμέλησε· [16] καὶ ὃ ἥμαρτεν ἀπὸ
τῶν ἁγίων ἀποτίσει αὐτό, καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ' αὐτό, καὶ δώσει
αὐτὸ τῷ ἱερεῖ· καὶ ὁ ἱερεὺς ἐξιλάσεται περὶ αὐτοῦ ἐν τῷ κριῷ τῆς πλημμε-
17 λείας, καὶ ἀφεθήσεται αὐτῷ. [17] καὶ ἡ ψυχὴ ἣ ἂν ἁμάρτῃ καὶ ποιήσει μίαν
ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημ-
18 μελήσῃ καὶ λάβῃ τὴν ἁμαρτίαν, [18] καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προβάτων
τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ
ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ ἧς ἠγνόησε καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσε-
19 ται αὐτῷ· [19] ἐπλημμέλησε γὰρ πλημμελείᾳ ἔναντι κυρίου.

## VI.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Ψυχὴ ἣ ἂν ἁμάρτῃ καὶ παρ-
ιδὼν παρίδῃ τὰς ἐντολὰς κυρίου, καὶ ψεύσηται τὰ πρὸς τὸν πλησίον ἐν παρα-
3 θήκῃ ἢ περὶ κοινωνίας ἢ περὶ ἁρπαγῆς, ἢ ἠδίκησέ τι τὸν πλησίον, [3] ἢ εὗρεν
ἀπώλειαν καὶ ψεύσηται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων
4 ὧν ἐὰν ποιήσῃ ὁ ἄνθρωπος ὥστε ἁμαρτεῖν ἐν τούτοις· [4] καὶ ἔσται ἡνίκα ἐὰν
ἁμάρτῃ καὶ πλημμελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπαγμα ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα
ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν ἣν εὗρεν,
5 [5] ἀπὸ παντὸς πράγματος οὗ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ
κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ' αὐτό· τίνος ἐστίν, αὐτῷ ἀπο-
6 δώσει ᾗ ἡμέρᾳ ἐλεγχθῇ. [6] καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ κυρίῳ κριὸν
7 ἀπὸ τῶν προβάτων ἄμωμον τιμῆς εἰς ὃ ἐπλημμέλησε· [7] καὶ ἐξιλάσεται περὶ
αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ ἑνὸς ἀπὸ πάντων ὧν

---

6. χειμεραν 7. ισχυι ... εις προβατον ... νεοσσους 8. περι αμαρτιας 9. αμαρτιας γαρ 10. ποιησεις ... περι αμαρτιας 11. αυτου η χειρ ... νεοσσους ... σεμιδαλιν ... επ αυτο λιβανον 12. απ αυτης ο ιερευς 15. ψυχη εαν λαθη ... του σικλου των αγιων 16. και ημαρτεν omisso ὃ ... αποτισαι 17. και ψυχη εαν α. κ. ποιηση 19. πλημμελησιν pro πλημμελεια VI. 2. ψυχη εαν 4. ηρπασεν, το αδ. 5. * το πεμπτον 6. οισει κυριω

Digitized by Google

ἐποίησε καὶ ἐπλημμέλησεν ἐν αὐτῷ. [8]καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 8
[9]Ἔντειλαι τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων Οὗτος ὁ νόμος τῆς ὁλοκαυ- 9
τώσεως· αὐτὴ ἡ ὁλοκαύτωσις ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ ϑυσιαστηρίου
ὅλην τὴν νύκτα ἕως τὸ πρωΐ, καὶ τὸ πῦρ τοῦ ϑυσιαστηρίου καυϑήσεται ἐπ'
αὐτοῦ, οὐ σβεσϑήσεται. [10]καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν, καὶ περισκε- 10
λὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν ἣν
ἂν καταναλώσῃ τὸ πῦρ, τὴν ὁλοκαύτωσιν ἀπὸ τοῦ ϑυσιαστηρίου, καὶ παρα-
ϑήσει αὐτὸ ἐχόμενον τοῦ ϑυσιαστηρίου· [11]καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ καὶ 11
ἐνδύσεται στολὴν ἄλλην, καὶ ἐξοίσει τὴν κατακάρπωσιν ἔξω τῆς παρεμβολῆς
εἰς τόπον καϑαρόν. [12]καὶ πῦρ ἐπὶ τὸ ϑυσιαστήριον καυϑήσεται ἀπ' αὐτοῦ, καὶ 12
οὐ σβεσϑήσεται· καὶ καύσει ἐπ' αὐτοῦ ὁ ἱερεὺς ξύλα τὸ πρωῒ πρωΐ, καὶ στοι-
βάσει ἐπ' αὐτοῦ τὴν ὁλοκαύτωσιν, καὶ ἐπιϑήσει ἐπ' αὐτὸ τὸ στέαρ τοῦ σω-
τηρίου· [13]καὶ πῦρ διὰ παντὸς καυϑήσεται ἐπὶ τὸ ϑυσιαστήριον, οὐ σβεσϑήσεται. 13
[14]οὗτος ὁ νόμος τῆς ϑυσίας ἣν προσάξουσιν αὐτὴν οἱ υἱοὶ Ἀαρὼν ἔναντι κυρίου 14
ἀπέναντι τοῦ ϑυσιαστηρίου· [15]καὶ ἀφελεῖ ἀπ' αὐτοῦ τῇ δρακὶ ἀπὸ τῆς σεμι- 15
δάλεως τῆς ϑυσίας σὺν τῷ ἐλαίῳ αὐτῆς καὶ σὺν παντὶ τῷ λιβάνῳ αὐτῆς τὰ
ὄντα ἐπὶ τῆς ϑυσίας, καὶ ἀνοίσει ἐπὶ τὸ ϑυσιαστήριον κάρπωμα ὀσμὴν εὐω-
δίας τὸ μνημόσυνον αὐτῆς τῷ κυρίῳ. [16]τὸ δὲ καταλειφϑὲν ἀπ' αὐτῆς ἔδεται 16
Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ· ἄζυμα βρωϑήσεται ἐν τόπῳ ἁγίῳ, ἐν αὐλῇ τῆς σκη-
νῆς τοῦ μαρτυρίου ἔδονται αὐτήν. [17]οὐ πεφϑήσεται ἐζυμωμένη· μερίδα αὐτὴν 17
ἔδωκα αὐτοῖς ἀπὸ τῶν καρπωμάτων κυρίου· ἅγια ἁγίων ἐστίν, ὥσπερ τὸ τῆς
ἁμαρτίας καὶ ὥσπερ τὸ τῆς πλημμελείας. [18]πᾶν ἀρσενικὸν τῶν ἱερέων ἔδονται 18
αὐτήν· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἀπὸ τῶν καρπωμάτων κυρίου·
πᾶς ὃς ἐὰν ἅψηται αὐτῶν ἁγιασϑήσεται. [19]καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν 19
λέγων [20]Τοῦτο τὸ δῶρον Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ ὃ προσοίσουσι κυρίῳ ἐν 20
τῇ ἡμέρᾳ ᾗ ἂν χρίσῃς αὐτόν, τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως εἰς ϑυσίαν διὰ
παντός, τὸ ἥμισυ αὐτῆς τὸ πρωῒ καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινόν. [21]ἐπὶ τηγά- 21
νου ἐν ἐλαίῳ ποιηϑήσεται, πεφυραμένην οἴσει αὐτὴν ἑλικτά, ϑυσίαν ἐκ κλα-
σμάτων, ϑυσίαν εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [22]ὁ ἱερεὺς ὁ χριστὸς ὁ ἀντ' αὐτοῦ 22
ἐκ τῶν υἱῶν αὐτοῦ ποιήσει αὐτήν· νόμος αἰώνιος, ἅπαν ἐπιτελεσϑήσεται· [23]καὶ 23
πᾶσα ϑυσία ἱερέως ὁλόκαυτος ἔσται καὶ οὐ βρωϑήσεται. [24]καὶ ἐλάλησε κύριος 24
πρὸς Μωυσῆν λέγων [25]Λάλησον τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων Οὗτος 25
ὁ νόμος τῆς ἁμαρτίας· ἐν τόπῳ οὗ σφάζουσι τὸ ὁλοκαύτωμα σφάξουσι τὰ περὶ
τῆς ἁμαρτίας ἔναντι κυρίου· ἅγια ἁγίων ἐστίν. [26]ὁ ἱερεὺς ὁ ἀναφέρων αὐτὴν 26
ἔδεται αὐτήν· ἐν τόπῳ ἁγίῳ βρωϑήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου.
[27]πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς ἁγιασϑήσεται· καὶ ᾧ ἐὰν ἐπιῤῥαντισϑῇ 27
ἀπὸ τοῦ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃς ἐὰν ῥαντισϑῇ ἐπ' αὐτό, πλυϑήσεται
ἐν τόπῳ ἁγίῳ. [28]καὶ σκεῦος ὀστράκινον οὗ ἐὰν ἑψηϑῇ ἐν αὐτῷ συντριβήσεται· 28
ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑψηϑῇ, ἐκτρίψει αὐτὸ καὶ ἐκκλύσει ὕδατι. [29]πᾶς ἄρ- 29
σην ἐν τοῖς ἱερεῦσι φάγεται αὐτά, ἅγια ἁγίων ἐστὶ κυρίῳ· [30]καὶ πάντα τὰ 30
περὶ τῆς ἁμαρτίας ὧν ἐὰν εἰσενεχϑῇ ἀπὸ τοῦ αἵματος αὐτῶν εἰς τὴν σκηνὴν
τοῦ μαρτυρίου ἐξιλάσασϑαι ἐν τῷ ἁγίῳ οὐ βρωϑήσεται, ἐν πυρὶ κατακαυϑή-
σεται. (7, 1) [31]καὶ οὗτος ὁ νόμος τοῦ κριοῦ τοῦ περὶ τῆς πλημμελείας· ἅγια 31
ἁγίων ἐστίν. [32]ἐν τόπῳ οὗ σφάζουσι τὸ ὁλοκαύτωμα σφάξουσι τὸν κριὸν (2) 32
τῆς πλημμελείας ἔναντι κυρίου, καὶ τὸ αἷμα προσχεεῖ ἐπὶ τὴν βάσιν τοῦ ϑυ-
σιαστηρίου κύκλῳ· [33]καὶ πᾶν τὸ στέαρ αὐτοῦ προσοίσει ἀπ' αὐτοῦ, καὶ (3) 33

---

7. επλημμελησεν αυτω 8. εντειλαι ααρων 10. om περι ... καταναλωσει 12. καυϑησ. επ αυτου ... καυσ. ο ιερ. επ αυτο ... om πρωι alterum 15. om παντι ... οσμη 17. om εστιν 18. πας ος αν VV. 19. 20. 21. 22. 23. praetermissi sunt 25. λαλησον αρων ... εν τοπω ω ... σφαξουσιν τας αμαρτιας 27. επιραντισϑη 28. om εν αυτω ... εψεϑη bis 29. εστιν κυριου 30. ων αν ... εξιλασ. εν τοπω αγ.

Digitized by Google

τὴν ὀσφὺν καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια καὶ πᾶν τὸ στέαρ
34 (4) τὸ ἐπὶ τῶν ἐνδοσθίων, 34 καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ' αὐ-
τῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς
35 (5) περιελεῖ αὐτά· 35 καὶ ἀνοίσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον κάρπωμα
36 (6) τῷ κυρίῳ· περὶ πλημμελείας ἐστί. 36 πᾶς ἄρσην ἐκ τῶν ἱερέων ἔδεται αὐτά,
37 (7) ἐν τόπῳ ἁγίῳ ἔδονται αὐτά· ἅγια ἁγίων ἐστίν. 37 ὥσπερ τὸ περὶ τῆς ἁμαρ-
τίας οὕτω καὶ τὸ τῆς πλημμελείας, νόμος εἷς αὐτῶν· ὁ ἱερεὺς ὅστις ἐξιλάσε-
38 (8) ται ἐν αὐτῷ, αὐτῷ ἔσται. 38 καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλοκαύτωμα ἀνθρώ-
39 (9) που, τὸ δέρμα τῆς ὁλοκαυτώσεως ἧς προσφέρει αὐτὸς αὐτῷ ἔσται. 39 καὶ
πᾶσα θυσία ἥτις ποιηθήσεται ἐν τῷ κλιβάνῳ, καὶ πᾶσα ἥτις ποιηθήσεται ἐπ'
ἐσχάρας ἢ ἐπὶ τηγάνου τοῦ ἱερέως τοῦ προσφέροντος αὐτήν, αὐτῷ ἔσται.
40 (10) 40 καὶ πᾶσα θυσία ἀναπεποιημένη ἐν ἐλαίῳ καὶ μὴ ἀναπεποιημένη πᾶσι
τοῖς υἱοῖς Ἀαρὼν ἔσται, ἑκάστῳ τὸ ἴσον.

## VII.

2 (11. 12) 1 Οὗτος ὁ νόμος θυσίας σωτηρίου ἣν προσοίσουσι κυρίῳ. 2 ἐὰν μὲν
περὶ αἰνέσεως προσφέρῃ αὐτήν, καὶ προσοίσει ἐπὶ τῆς θυσίας τῆς αἰνέσεως
ἄρτους ἐκ σεμιδάλεως ἀναπεποιημένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα διακε-
3 (13) χρισμένα ἐν ἐλαίῳ, καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ· 3 ἐπ' ἄρτοις
4 (14) ζυμίταις προσοίσει τὰ δῶρα αὐτοῦ ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίου. 4 καὶ προς-
άξει ἓν ἀπὸ πάντων τῶν δώρων αὐτοῦ ἀφαίρεμα κυρίῳ· τῷ ἱερεῖ τῷ προς-
5 (15) χέοντι τὸ αἷμα τοῦ σωτηρίου, αὐτῷ ἔσται· 5 καὶ τὰ κρέα θυσίας αἰνέσεως
σωτηρίου, αὐτῷ ἔσται· καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται βρωθήσεται, οὐ καταλεί-
6 (16) ψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ. 6 καὶ ἐὰν εὐχὴ ἢ ἡ ἑκούσιον θυσιάζῃ τὸ
δῶρον αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ προσαγάγῃ τὴν θυσίαν αὐτοῦ βρωθήσεται καὶ τῇ
7 (17) αὔριον· 7 καὶ τὸ καταλειφθὲν ἀπὸ τῶν κρεῶν τῆς θυσίας ἕως ἡμέρας τρίτης
8 (18) ἐν πυρὶ κατακαυθήσεται. 8 ἐὰν δὲ φαγὼν φάγῃ ἀπὸ τῶν κρεῶν τῇ ἡμέρᾳ
τῇ τρίτῃ, οὐ δεχθήσεται αὐτῷ τῷ προσφέροντι αὐτό, οὐ λογισθήσεται αὐτῷ,
μίασμά ἐστιν· ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀπ' αὐτοῦ τὴν ἁμαρτίαν λήψεται.
9 (19) 9 καὶ κρέα ὅσα ἐὰν ἅψηται παντὸς ἀκαθάρτου οὐ βρωθήσεται, ἐν πυρὶ
10 (20) κατακαυθήσεται· πᾶς καθαρὸς φάγεται κρέα. 10 ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ
ἀπὸ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου ὅ ἐστι κυρίου, καὶ ἡ ἀκαθαρσία αὐτοῦ
11 (21) ἐπ' αὐτῷ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. 11 καὶ ἡ ψυχὴ ἣ
ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ ἀπὸ ἀκαθαρσίας ἀνθρώπου ἢ τῶν
τετραπόδων τῶν ἀκαθάρτων ἢ παντὸς βδελύγματος ἀκαθάρτου, καὶ φάγῃ ἀπὸ
τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου ὅ ἐστι κυρίου, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη
12 13 (22. 23) ἐκ τοῦ λαοῦ αὐτῆς. 12 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 13 Λά-
λησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων Πᾶν στέαρ βοῶν καὶ προβάτων καὶ αἰγῶν οὐκ
14 (24) ἔδεσθε· 14 καὶ στέαρ θνησιμαίων καὶ θηριαλώτων ποιηθήσεται εἰς πᾶν
15 (25) ἔργον, καὶ εἰς βρῶσιν οὐ βρωθήσεται· 15 πᾶς ὁ ἔσθων στέαρ ἀπὸ τῶν κτη-
νῶν ὧν προσάξει ἀπ' αὐτῶν κάρπωμα κυρίῳ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἀπὸ
16 (26) τοῦ λαοῦ αὐτῆς. 16 πᾶν αἷμα οὐκ ἔδεσθε ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν ἀπό
17 (27) τε τῶν κτηνῶν καὶ ἀπὸ τῶν πετεινῶν· 17 πᾶσα ψυχὴ ἣ ἂν φάγῃ αἷμα,
18 (28) ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἀπὸ τοῦ λαοῦ αὐτῆς. 18 καὶ ἐλάλησε κύριος πρὸς
19 (29) Μωυσῆν λέγων 19 Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων Ὁ προσφέρων

37. εξιλασ. εν αυτω εσται 38. ης αυτος προςφερ. 39. επ εσχαρας επι 40. om αναπεποιημενη secund. VII. 2. εαν μεντοι ... om και ante λαγανα 3. ** το δωρον αυτ. επι θυσιαν (inde a -χρισμενα v. 2. usque αινεσεως v. 3. rescripta) 6. ευχη η εκουσιον 8. λογισεται ... λημψεται 9. ος αν αψηται 10. ου εστιν κυριου ... αυτου επ αυτου 11. και ψυχη 14. θνησιμαιον κ. θηριαλωτον ου ποιηθησεται ... φαγεται pro βρωθησεται 15. * απ ... εκ pro απο 16. τ. πετεινων κ. απο τ. κτηνων

Digitized by Google

θυσίαν σωτηρίου οἴσει τὸ δῶρον αὐτοῦ κυρίῳ καὶ ἀπὸ τῆς θυσίας τοῦ σωτη-
ρίου· [20] αἱ χεῖρες αὐτοῦ προσοίσουσι τὰ καρπώματα κυρίῳ· τὸ στέαρ τὸ ἐπὶ (30) 20
τοῦ στηθυνίου καὶ τὸν λοβὸν τοῦ ἥπατος προσοίσει αὐτὰ ὥστε ἐπιθεῖναι δόμα
ἔναντι κυρίου. [21] καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ στέαρ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ (31) 21
ἔσται τὸ στηθύνιον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ. [22] καὶ τὸν βραχίονα τὸν (32) 22
δεξιὸν δώσετε ἀφαίρεμα τῷ ἱερεῖ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν· [23] ὁ (33) 23
προσφέρων τὸ αἷμα τοῦ σωτηρίου καὶ τὸ στέαρ τὸ ἀπὸ τῶν υἱῶν Ἀαρών, αὐτῷ
ἔσται ὁ βραχίων ὁ δεξιὸς ἐν μερίδι. [24] τὸ γὰρ στηθύνιον τοῦ ἐπιθέματος καὶ (34) 24
τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυ-
σιῶν τοῦ σωτηρίου ὑμῶν, καὶ ἔδωκα αὐτὰ Ἀαρὼν τῷ ἱερεῖ καὶ τοῖς υἱοῖς
αὐτοῦ, νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ. [25] αὕτη ἡ χρῖσις Ἀαρὼν καὶ (35) 25
ἡ χρῖσις τῶν υἱῶν αὐτοῦ ἀπὸ τῶν καρπωμάτων κυρίου, ἐν ᾗ ἡμέρᾳ προσηγά-
γετο αὐτοὺς τοῦ ἱερατεύειν τῷ κυρίῳ, [26] καθὰ ἐνετείλατο κύριος δοῦναι (36) 26
αὐτοῖς ᾗ ἡμέρᾳ ἔχρισεν αὐτοὺς παρὰ τῶν υἱῶν Ἰσραήλ· νόμιμον αἰώνιον εἰς
τὰς γενεὰς αὐτῶν. [27] οὗτος ὁ νόμος τῶν ὁλοκαυτωμάτων καὶ θυσίας καὶ (37) 27
περὶ ἁμαρτίας καὶ τῆς πλημμελείας καὶ τῆς τελειώσεως καὶ τῆς θυσίας τοῦ
σωτηρίου, [28] ὃν τρόπον ἐνετείλατο κύριος τῷ Μωυσῇ ἐν τῷ ὄρει Σινᾶ, ᾗ (38) 28
ἡμέρᾳ ἐνετείλατο τοῖς υἱοῖς Ἰσραὴλ προσφέρειν τὰ δῶρα αὐτῶν ἔναντι κυρίου
ἐν τῇ ἐρήμῳ Σινᾶ.

## VIII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάβε Ἀαρὼν καὶ τοὺς υἱοὺς 2
αὐτοῦ καὶ τὰς στολὰς αὐτοῦ, καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸν μόσχον τὸν
περὶ τῆς ἁμαρτίας καὶ τοὺς δύο κριοὺς καὶ τὸ κανοῦν τῶν ἀζύμων· [3] καὶ πᾶ- 3
σαν τὴν συναγωγὴν ἐκκλησίασον ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.
[4] καὶ ἐποίησε Μωυσῆς ὃν τρόπον συνέταξεν αὐτῷ κύριος, καὶ ἐξεκκλησίασε 4
τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. [5] καὶ εἶπε Μωυσῆς 5
τῇ συναγωγῇ Τοῦτό ἐστι τὸ ῥῆμα ὃ ἐνετείλατο κύριος ποιῆσαι. [6] καὶ προσ- 6
ήνεγκε Μωυσῆς τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἔλουσεν αὐτοὺς ὕδατι·
[7] καὶ ἐνέδυσεν αὐτὸν τὸν χιτῶνα καὶ ἔζωσεν αὐτὸν τὴν ζώνην, καὶ ἐνέδυσεν 7
αὐτὸν τὸν ὑποδύτην καὶ ἐπέθηκεν ἐπ' αὐτὸν τὴν ἐπωμίδα, καὶ συνέζωσεν αὐ-
τὸν κατὰ τὴν ποίησιν τῆς ἐπωμίδος καὶ συνέσφιγξεν αὐτὸν ἐν αὐτῇ· [8] καὶ ἐπέ- 8
θηκεν ἐπ' αὐτὴν τὸ λογεῖον, καὶ ἐπέθηκεν ἐπὶ τὸ λογεῖον τὴν δήλωσιν καὶ τὴν
ἀλήθειαν· [9] καὶ ἐπέθηκε τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ 9
τὴν μίτραν κατὰ πρόσωπον αὐτοῦ τὸ πέταλον τὸ χρυσοῦν τὸ καθηγιασμένον
ἅγιον, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. [10] καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ 10
ἐλαίου τῆς χρίσεως, [11] καὶ ἔρρανεν ἀπ' αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ἑπτάκις· 11
καὶ ἔχρισε τὸ θυσιαστήριον καὶ ἡγίασεν αὐτό, καὶ πάντα τὰ ἐν αὐτῇ καὶ τὸν
λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἡγίασεν αὐτά· καὶ ἔχρισε τὴν σκηνὴν καὶ
πάντα τὰ σκεύη αὐτῆς, καὶ ἡγίασεν αὐτήν. [12] καὶ ἐπέχεε Μωυσῆς ἀπὸ τοῦ 12
ἐλαίου τῆς χρίσεως ἐπὶ τὴν κεφαλὴν Ἀαρών, καὶ ἔχρισεν αὐτὸν καὶ ἡγίασεν
αὐτόν. [13] καὶ προσήγαγε Μωυσῆς τοὺς υἱοὺς Ἀαρών, καὶ ἐνέδυσεν αὐτοὺς χιτῶ- 13
νας καὶ ἔζωσεν αὐτοὺς ζώνας καὶ περιέθηκεν αὐτοῖς κιδάρεις, καθάπερ συν-
έταξε κύριος τῷ Μωυσῇ. [14] καὶ προσήγαγε Μωυσῆς τὸν μόσχον τὸν περὶ τῆς 14
ἁμαρτίας, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας ἐπὶ τὴν κεφα-
λὴν τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας· [15] καὶ ἔσφαξεν αὐτόν, καὶ ἔλαβε Μωυσῆς 15
ἀπὸ τοῦ αἵματος καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ τῷ

19. σωτηριου κυριου οισει 20. επιθειναι 21. δωσεται VIII. 4. αυτω συνεταξεν 5. add τουτο εστιν ante ο ενετειλ. 7. ενεδ. αυτους ... εζωσ. αυτους ... αυτον επενδυτην ... επεθηκεν αυτω 8. επ αυτο το λογιον ... λογιον 11. ερανεν επ αυτου ... τα σκευη αυτου pro τα εν αυτη ... τα εν αυτη pro τα σκευη αυτης 13. καθα 14. και υιοι ααρων

Digitized by Google

δακτύλῳ, καὶ ἐκαθάρισε τὸ θυσιαστήριον· καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν
16 τοῦ θυσιαστηρίου καὶ ἡγίασεν αὐτὸ τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ. 16 καὶ ἔλαβε
Μωυσῆς πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπα-
τος καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ ἀνήνεγκε
17 Μωυσῆς ἐπὶ τὸ θυσιαστήριον· 17 καὶ τὸν μόσχον καὶ τὴν βύρσαν αὐτοῦ καὶ
τὰ κρέα αὐτοῦ καὶ τὴν κόπρον αὐτοῦ κατέκαυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμ-
18 βολῆς, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. 18 καὶ προςήγαγε Μωυσῆς τὸν
κριὸν τὸν εἰς ὁλοκαύτωμα, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ υἱοὶ αὐτοῦ τὰς χεῖρας
19 αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ. 19 καὶ ἔσφαξε Μωυσῆς τὸν κριόν· καὶ προς-
20 έχεε Μωυσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, 20 καὶ τὸν κριὸν ἐκρεανό-
μησε κατὰ μέλη· καὶ ἀνήνεγκε Μωυσῆς τὴν κεφαλὴν καὶ τὰ μέλη καὶ τὸ
21 στέαρ, 21 καὶ τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι· καὶ ἀνήνεγκε Μω-
υσῆς ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον· ὁλοκαύτωμά ἐστιν εἰς ὀσμὴν εὐω-
22 δίας, κάρπωμά ἐστι τῷ κυρίῳ, καθάπερ ἐνετείλατο κύριος τῷ Μωυσῇ. 22 καὶ
προςήγαγε Μωυσῆς τὸν κριόν, τὸν δεύτερον κριὸν τελειώσεως· καὶ ἐπέθηκεν
23 Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ. 23 καὶ
ἔσφαξεν αὐτόν, καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ αἵματος αὐτοῦ καὶ ἐπέθηκεν ἐπὶ
τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς
24 καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ. 24 καὶ προςήγαγε Μωυσῆς τοὺς υἱοὺς
Ἀαρών· καὶ ἐπέθηκε Μωυσῆς ἀπὸ τοῦ αἵματος ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων
τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα
τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν· καὶ προςέχεε Μωυσῆς τὸ αἷμα ἐπὶ τὸ θυσια-
25 στήριον κύκλῳ. 25 καὶ ἔλαβε τὸ στέαρ καὶ τὴν ὀσφὺν καὶ τὸ στέαρ τὸ ἐπὶ τῆς
κοιλίας καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ'
26 αὐτῶν καὶ τὸν βραχίονα τὸν δεξιόν· 26 καὶ ἀπὸ τοῦ κανοῦ τῆς τελειώσεως
τοῦ ὄντος ἔναντι κυρίου ἔλαβεν ἄρτον ἕνα ἄζυμον καὶ ἄρτον ἐξ ἐλαίου ἕνα καὶ
27 λάγανον ἕν, καὶ ἐπέθηκεν ἐπὶ τὸ στέαρ καὶ τὸν βραχίονα τὸν δεξιόν· 27 καὶ
ἐπέθηκεν ἅπαντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ,
28 καὶ ἀνήνεγκεν αὐτὰ ἀφαίρεμα ἔναντι κυρίου. 28 καὶ ἔλαβε Μωυσῆς ἀπὸ τῶν
χειρῶν αὐτῶν, καὶ ἀνήνεγκεν αὐτὰ Μωυσῆς ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὸ ὁλο-
καύτωμα τῆς τελειώσεως, ὅ ἐστιν ὀσμὴ εὐωδίας, κάρπωμά ἐστι τῷ κυρίῳ.
29 29 καὶ λαβὼν Μωυσῆς τὸ στηθύνιον ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἔναντι κυρίου, ἀπὸ
τοῦ κριοῦ τῆς τελειώσεως· καὶ ἐγένετο Μωυσῇ ἐν μερίδι, καθὰ ἐνετείλατο
30 κύριος τῷ Μωυσῇ. 30 καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως καὶ ἀπὸ
τοῦ αἵματος τοῦ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ προςέῤῥανεν ἐπὶ Ἀαρὼν καὶ τὰς
στολὰς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐ-
τοῦ· καὶ ἡγίασεν Ἀαρὼν καὶ τὰς στολὰς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς
31 στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ. 31 καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ τοὺς
υἱοὺς αὐτοῦ Ἑψήσατε τὰ κρέα ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τόπῳ
ἁγίῳ, καὶ ἐκεῖ φάγεσθε αὐτὰ καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώ-
σεως, ὃν τρόπον συντέτακταί μοι λέγων Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ φάγονται
32 αὐτά· 32 καὶ τὸ καταλειφθὲν τῶν κρεῶν καὶ τῶν ἄρτων ἐν πυρὶ κατακαύσατε.
33 33 καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας,
ἕως ἡμέρα πληρωθῇ, ἡμέρα τελειώσεως ὑμῶν· ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς
34 χεῖρας ὑμῶν, 34 καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἣ ἐνετείλατο κύριος τοῦ
35 ποιῆσαι ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν. 35 καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ

15. και εξεχ. το αιμα ... εξιλασ. περι αυτου 17. και τα κρεα αυτ. και την βυρσαν αυτ. κ. τ. κ. α. και κατεκαυσ. α. παρεξω 18. και οι υιοι 21. ολοκαυτ. ο εστιν 22. της τελειωσεως 24. ποδων pro χειρων ... χειρων pro ποδων 29. αφειλεν το επιθεμα 30. προσερανεν ... τους υιους αυτου μετ αυτου κ. τας ... om και ηγιασεν ααρων usque υιων αυτου μ. αυτου 31. φαγονται ταυτα ... κατακαυθησεται 33. om ημερα ante τελειωσεως

Digitized by Google

μαρτυρίου καθήσεσθε ἑπτὰ ἡμέρας ἡμέραν καὶ νύκτα· φυλάξεσθε τὰ φυλά-
γματα κυρίου, ἵνα μὴ ἀποθάνητε· οὕτω γὰρ ἐνετείλατό μοι κύριος ὁ θεός.
36 καὶ ἐποίησεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ πάντας τοὺς λόγους οὓς συνέταξε 36
κύριος τῷ Μωυσῇ.

## IX.

Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐκάλεσε Μωυσῆς Ἀαρὼν καὶ τοὺς υἱοὺς
αὐτοῦ καὶ τὴν γερουσίαν Ἰσραήλ· 2 καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών Λάβε σεαυ- 2
τῷ μοσχάριον ἐκ βοῶν περὶ ἁμαρτίας καὶ κριὸν εἰς ὁλοκαύτωμα ἄμωμα, καὶ
προσένεγκε αὐτὰ ἔναντι κυρίου· 3 καὶ τῇ γερουσίᾳ Ἰσραὴλ λάλησον λέγων Λά- 3
βετε χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ μοσχάριον καὶ ἀμνὸν ἐνιαύσιον
εἰς ὁλοκάρπωσιν ἄμωμα, 4 καὶ μόσχον καὶ κριὸν εἰς θυσίαν σωτηρίου ἔναντι 4
κυρίου, καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ· ὅτι σήμερον κύριος ὀφθήσεται
ἐν ὑμῖν. 5 καὶ ἔλαβον καθὸ ἐνετείλατο Μωυσῆς ἀπέναντι τῆς σκηνῆς τοῦ μαρ- 5
τυρίου· καὶ προςῆλθε πᾶσα συναγωγή, καὶ ἔστησαν ἔναντι κυρίου. 6 καὶ εἶπε 6
Μωυσῆς Τοῦτο τὸ ῥῆμα ὃ εἶπε κύριος Ποιήσατε, καὶ ὀφθήσεται ἐν ὑμῖν ἡ
δόξα κυρίου. 7 καὶ εἶπε Μωυσῆς τῷ Ἀαρών Πρόςελθε πρὸς τὸ θυσιαστήριον, 7
καὶ ποίησον τὸ περὶ τῆς ἁμαρτίας σου καὶ τὸ ὁλοκαύτωμά σου, καὶ ἐξίλασαι
περὶ σεαυτοῦ καὶ τοῦ οἴκου σου· καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ, καὶ ἐξίλασαι
περὶ αὐτῶν, καθάπερ ἐνετείλατο κύριος τῷ Μωυσῇ. 8 καὶ προςῆλθεν Ἀαρὼν 8
πρὸς τὸ θυσιαστήριον, καὶ ἔσφαξε τὸ μοσχάριον τὸ περὶ τῆς ἁμαρτίας αὐτοῦ·
9 καὶ προςήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ ἔβαψε τὸν δάκτυλον 9
εἰς τὸ αἷμα καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ τὸ αἷμα ἐξέχεεν
ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου· 10 καὶ τὸ στέαρ καὶ τοὺς νεφροὺς καὶ τὸν 10
λοβὸν τοῦ ἥπατος τοῦ περὶ τῆς ἁμαρτίας ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον, ὃν
τρόπον ἐνετείλατο κύριος τῷ Μωυσῇ· 11 καὶ τὰ κρέα καὶ τὴν βύρσαν κατέ- 11
καυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμβολῆς. 12 καὶ ἔσφαξε τὸ ὁλοκαύτωμα· καὶ 12
προςήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ προσέχεεν ἐπὶ τὸ θυσια-
στήριον κύκλῳ· 13 καὶ τὸ ὁλοκαύτωμα προςήνεγκαν αὐτὸ κατὰ μέλη, αὐτὰ καὶ 13
τὴν κεφαλὴν ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον· 14 καὶ ἔπλυνε τὴν κοιλίαν καὶ τοὺς 14
πόδας ὕδατι, καὶ ἐπέθηκεν ἐπὶ τὸ ὁλοκαύτωμα ἐπὶ τὸ θυσιαστήριον. 15 καὶ 15
προςήνεγκε τὸ δῶρον τοῦ λαοῦ· καὶ ἔλαβε τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας
τοῦ λαοῦ, καὶ ἔσφαξεν αὐτὸν καὶ ἐκαθάρισεν αὐτὸν καθὰ καὶ τὸν πρῶτον.
16 καὶ προςήνεγκε τὸ ὁλοκαύτωμα, καὶ ἐποίησεν αὐτὸ ὡς καθήκει. 17 καὶ προς- 16 17
ήνεγκε τὴν θυσίαν, καὶ ἔπλησε τὰς χεῖρας ἀπ᾽ αὐτῆς, καὶ ἐπέθηκεν ἐπὶ τὸ
θυσιαστήριον χωρὶς τοῦ ὁλοκαυτώματος τοῦ πρωινοῦ. 18 καὶ ἔσφαξε τὸν μόσχον 18
καὶ τὸν κριὸν τῆς θυσίας τοῦ σωτηρίου τῆς τοῦ λαοῦ· καὶ προςήνεγκαν οἱ υἱοὶ
Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ προσέχεε πρὸς τὸ θυσιαστήριον κύκλῳ· 19 καὶ 19
τὸ στέαρ τὸ ἀπὸ τοῦ μόσχου καὶ τοῦ κριοῦ, τὴν ὀσφὺν καὶ τὸ στέαρ τὸ κατα-
καλύπτον ἐπὶ τῆς κοιλίας καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν
καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος· 20 καὶ ἐπέθηκε τὰ στέατα ἐπὶ τὰ στηθύ- 20
νια, καὶ ἀνήνεγκε τὰ στέατα ἐπὶ τὸ θυσιαστήριον· 21 καὶ τὸ στηθύνιον καὶ τὸν 21
βραχίονα τὸν δεξιὸν ἀφεῖλεν Ἀαρὼν ἀφαίρεμα ἔναντι κυρίου, ὃν τρόπον συν-
έταξε κύριος τῷ Μωυσῇ. 22 καὶ ἐξάρας Ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαὸν εὐλό- 22
γησεν αὐτούς, καὶ κατέβη ποιήσας τὸ περὶ τῆς ἁμαρτίας καὶ τὰ ὁλοκαυτώ-
ματα καὶ τὰ τοῦ σωτηρίου. 23 καὶ εἰςῆλθε Μωυσῆς καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν 23

---

35. επτα ημερας· ημερας και νυκτας φυλαξασθε ... ουτως IX. 3. χειμαρρον ... εις ολοκαρπ. ενιαυσιον 5. ελαβον καθως 6. δοξα pro η δοξα 7. εξιλαση π. σεαυτου 8. om αυτου 13. και επεθηκεν 15. χειμαρρον ... εσφαξεν αυτο ... * om και εκαθαρισεν αυτον, ** και εκαθαρισεν καθο (* καθο?) 17. προϊνου 22. ολοκαυτ. του σωτηριου, omissis και τα

Digitized by Google

τοῦ μαρτυρίου, καὶ ἐξελθόντες εὐλόγησαν πάντα τὸν λαόν· καὶ ὤφθη δόξα
24 κυρίου παντὶ τῷ λαῷ. [24] καὶ ἐξῆλθε πῦρ παρὰ κυρίου, καὶ κατέφαγε τὰ ἐπὶ
τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέατα· καὶ εἶδε πᾶς ὁ λαὸς
καὶ ἐξέστη, καὶ ἔπεσαν ἐπὶ πρόςωπον.

## X.

Καὶ λαβόντες οἱ δύο υἱοὶ Ἀαρὼν Ναδὰβ καὶ Ἀβιοὺδ ἕκαστος τὸ πυρεῖον
αὐτοῦ ἐπέθηκαν ἐπ' αὐτὸ πῦρ καὶ ἐπέβαλον ἐπ' αὐτὸ θυμίαμα, καὶ προς-
2 ήνεγκαν ἔναντι κυρίου πῦρ ἀλλότριον ὃ οὐ προςέταξε κύριος αὐτοῖς. [2] καὶ ἐξῆλθε
3 πῦρ παρὰ κυρίου καὶ κατέφαγεν αὐτούς, καὶ ἀπέθανον ἔναντι κυρίου. [3] καὶ
εἶπε Μωυσῆς πρὸς Ἀαρὼν Τοῦτό ἐστιν ὃ εἶπε κύριος λέγων Ἐν τοῖς ἐγγίζουσί
μοι ἁγιασθήσομαι, καὶ ἐν πάσῃ τῇ συναγωγῇ δοξασθήσομαι· καὶ κατενύχθη
4 Ἀαρών. [4] καὶ ἐκάλεσε Μωυσῆς τὸν Μισαδάη καὶ τὸν Ἐλισαφάν, υἱοὺς Ὀζιήλ,
υἱοὺς τοῦ ἀδελφοῦ τοῦ πατρὸς Ἀαρών, καὶ εἶπεν αὐτοῖς Προςέλθατε καὶ ἄρατε
5 τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προςώπου τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς. [5] καὶ προς-
ῆλθον καὶ ἦραν αὐτοὺς ἐν τοῖς χιτῶσιν αὐτῶν ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον
6 εἶπε Μωυσῆς. [6] καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς
υἱοὺς αὐτοῦ τοὺς καταλελειμμένους Τὴν κεφαλὴν ὑμῶν οὐκ ἀποκιδαρώσετε
καὶ τὰ ἱμάτια ὑμῶν οὐ διαῤῥήξετε, ἵνα μὴ ἀποθάνητε καὶ ἐπὶ πᾶσαν τὴν
συναγωγὴν ἔσται θυμός· οἱ δὲ ἀδελφοὶ ὑμῶν πᾶς ὁ οἶκος Ἰσραὴλ κλαύσονται
7 τὸν ἐμπυρισμὸν ὃν ἐνεπυρίσθησαν ὑπὸ κυρίου. [7] καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς
τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, ἵνα μὴ ἀποθάνητε· τὸ ἔλαιον γὰρ τῆς χρί-
8 σεως τὸ παρὰ κυρίου ἐφ' ὑμῖν. καὶ ἐποίησαν κατὰ τὸ ῥῆμα Μωυσῆ. [8] καὶ
9 ἐλάλησε κύριος τῷ Ἀαρὼν λέγων [9] Οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ
υἱοί σου μετὰ σοῦ, ἡνίκα ἐὰν εἰςπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἢ
προςπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον, καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον
10 αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν· [10] διαστεῖλαι ἀνὰ μέσον τῶν ἁγίων καὶ τῶν βεβή-
11 λων, καὶ ἀνὰ μέσον τῶν ἀκαθάρτων καὶ τῶν καθαρῶν, [11] καὶ συμβιβάζειν
τοὺς υἱοὺς Ἰσραὴλ ἅπαντα τὰ νόμιμα ἃ ἐλάλησε κύριος πρὸς αὐτοὺς διὰ χειρὸς
12 Μωυσῆ. [12] καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ πρὸς Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς
υἱοὺς Ἀαρὼν τοὺς καταλειφθέντας Λάβετε τὴν θυσίαν τὴν καταλειφθεῖσαν ἀπὸ
τῶν καρπωμάτων κυρίου, καὶ φάγεσθε ἄζυμα παρὰ τὸ θυσιαστήριον, ἅγια
13 ἁγίων ἐστί. [13] καὶ φάγεσθε αὐτὴν ἐν τόπῳ ἁγίῳ· νόμιμον γάρ σοί ἐστι καὶ
νόμιμον τοῖς υἱοῖς σου τοῦτο ἀπὸ τῶν καρπωμάτων κυρίου· οὕτω γὰρ ἐντέ-
14 ταλταί μοι. [14] καὶ τὸ στηθύνιον τοῦ ἀφορίσματος καὶ τὸν βραχίονα τοῦ ἀφαι-
ρέματος φάγεσθε ἐν τόπῳ ἁγίῳ, σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκός σου μετὰ
σοῦ· νόμιμον γὰρ σοὶ καὶ νόμιμον τοῖς υἱοῖς σου ἐδόθη ἀπὸ τῶν θυσιῶν τοῦ
15 σωτηρίου τῶν υἱῶν Ἰσραήλ. [15] τὸν βραχίονα τοῦ ἀφαιρέματος καὶ τὸ στηθύνιον
τοῦ ἀφορίσματος ἐπὶ τῶν καρπωμάτων τῶν στεάτων προςοίσουσιν ἀφόρισμα
ἀφορίσαι ἔναντι κυρίου· καὶ ἔσται σοὶ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι
16 σου μετὰ σοῦ νόμιμον αἰώνιον, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῆ. [16] καὶ
τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ζητῶν ἐξεζήτησε Μωυσῆς, καὶ ὅδε ἐνεπε-
πύριστο· καὶ ἐθυμώθη Μωυσῆς ἐπὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς υἱοὺς Ἀαρὼν
17 τοὺς καταλελειμμένους λέγων [17] Διὰ τί οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν
τόπῳ ἁγίῳ; ὅτι γὰρ ἅγια ἁγίων ἐστί, τοῦτο ἔδωκεν ὑμῖν φαγεῖν, ἵνα ἀφέ-
λητε τὴν ἁμαρτίαν τῆς συναγωγῆς καὶ ἐξιλάσησθε περὶ αὐτῶν ἔναντι κυρίου.

---

23. ηυλογησαν ... η δοξα X. 1. om δυο ... πυριον ... εθηκαν ... επ αυτα θυμιαματα 4. μισαδαι 5. (προςηλθεν ...) om αυτους 6. μωυσης τω ααρων ... οι αδελφ. υμ. πας οικος 7. το γαρ ελαιον 9. ηνικα αν 11. και συμβιβασεις ... παντα 12. παρα του θυσιαστηριου 14. * om των υιων ισραηλ 15. αφοριεις pro αφορισαι 16. εμπεπυριστο ... τους ιερεις τ. υιους

Digitized by Google

[18] οὐ γὰρ εἰςήχϑη τοῦ αἵματος αὐτοῦ εἰς τὸ ἅγιον· κατὰ πρόςωπον ἔσω φά- 18
γεσϑε αὐτὸ ἐν τόπῳ ἁγίῳ, ὃν τρόπον μοι συνέταξε κύριος. [19] καὶ ἐλάλησεν 19
Ἀαρὼν πρὸς Μωυσῆν λέγων Εἰ σήμερον προςαγηόχασι τὰ περὶ τῆς ἁμαρτίας
αὐτῶν καὶ τὰ ὁλοκαυτώματα αὐτῶν ἔναντι κυρίου, καὶ συμβέβηκέ μοι τοι-
αῦτα, καὶ φάγομαι τὰ περὶ τῆς ἁμαρτίας σήμερον, μὴ ἀρεστὸν ἔσται κυρίῳ;
[20] καὶ ἤκουσε Μωυσῆς, καὶ ἤρεσεν αὐτῷ. 20

## XI.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [2] Λαλήσατε τοῖς υἱοῖς 2
Ἰσραὴλ λέγοντες Ταῦτα τὰ κτήνη ἃ φάγεσϑε ἀπὸ πάντων τῶν κτηνῶν τῶν
ἐπὶ τῆς γῆς· [3] πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χηλῶν 3
καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσϑε. [4] πλὴν ἀπὸ τούτων 4
οὐ φάγεσϑε, ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν καὶ ἀπὸ τῶν διχηλούντων τὰς
ὁπλὰς καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον, ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο
ὁπλὴν δὲ οὐ διχηλεῖ, ἀκάϑαρτον τοῦτο ὑμῖν· [5] καὶ τὸν δασύποδα, ὅτι οὐκ 5
ἀνάγει μηρυκισμὸν τοῦτο καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάϑαρτον τοῦτο ὑμῖν· [6] καὶ 6
τὸν χοιρογρύλλιον, ὅτι οὐκ ἀνάγει μηρυκισμὸν τοῦτο καὶ ὁπλὴν οὐ διχηλεῖ,
ἀκάϑαρτον τοῦτο ὑμῖν· [7] καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο καὶ ὀνυχίζει 7
ὄνυχας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀνάγει μηρυκισμόν, ἀκάϑαρτον τοῦτο ὑμῖν. [8] ἀπὸ 8
τῶν κρεῶν αὐτῶν οὐ φάγεσϑε, καὶ τῶν ϑνησιμαίων αὐτῶν οὐχ ἅψεσϑε· ἀκά-
ϑαρτα ταῦτα ὑμῖν. [9] καὶ ταῦτα ἃ φάγεσϑε ἀπὸ πάντων τῶν ἐν τοῖς ὕδασι· 9
πάντα ὅσα ἐστὶν αὐτοῖς πτερύγια καὶ λεπίδες ἐν τοῖς ὕδασι καὶ ἐν ταῖς ϑα-
λάσσαις καὶ ἐν τοῖς χειμάῤῥοις, ταῦτα φάγεσϑε. [10] καὶ πάντα ὅσα οὐκ ἔστιν 10
αὐτοῖς πτερύγια οὐδὲ λεπίδες ἐν τῷ ὕδατι ἢ ἐν ταῖς ϑαλάσσαις καὶ ἐν τοῖς
χειμάῤῥοις, ἀπὸ πάντων ὧν ἐρεύγεται τὰ ὕδατα καὶ ἀπὸ πάσης ψυχῆς τῆς
ζώσης ἐν τῷ ὕδατι, βδέλυγμά ἐστι, [11] καὶ βδελύγματα ἔσονται ὑμῖν· ἀπὸ τῶν 11
κρεῶν αὐτῶν οὐκ ἔδεσϑε, καὶ τὰ ϑνησιμαῖα αὐτῶν βδελύξεσϑε. [12] καὶ πάντα 12
ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια οὐδὲ λεπίδες τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα
τοῦτό ἐστιν ὑμῖν. [13] καὶ ταῦτα ἃ βδελύξεσϑε ἀπὸ τῶν πετεινῶν, καὶ οὐ βρω- 13
ϑήσεται, βδέλυγμά ἐστι· τὸν ἀετὸν καὶ τὸν γρῦπα καὶ τὸν ἁλιαίετον, [14] καὶ 14
τὸν γῦπα καὶ τὸν ἴκτινον καὶ τὰ ὅμοια αὐτῷ, [15] καὶ στρουϑὸν καὶ γλαῦκα 15
καὶ λάρον καὶ τὰ ὅμοια αὐτῷ, [16] καὶ πάντα κόρακα καὶ τὰ ὅμοια αὐτῷ, καὶ 16
ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ, [17] καὶ νυκτικόρακα καὶ καταράκτην καὶ ἶβιν [18] καὶ 17 18
πορφυρίωνα καὶ πελεκᾶνα καὶ κύκνον [19] καὶ ἐρωδιὸν καὶ χαραδριὸν καὶ τὰ 19
ὅμοια αὐτῷ, καὶ ἔποπα καὶ νυκτερίδα. [20] καὶ πάντα τὰ ἑρπετὰ τῶν πετει- 20
νῶν ἃ πορεύεται ἐπὶ τέσσαρα βδελύγματά ἐστιν ὑμῖν. [21] ἀλλὰ ταῦτα φάγεσϑε 21
ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν ἃ πορεύεται ἐπὶ τέσσαρα, ἃ ἔχει σκέλη ἀνώ-
τερον τῶν ποδῶν αὐτοῦ πηδᾶν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς, [22] καὶ ταῦτα φάγεσϑε 22
ἀπ᾽ αὐτῶν· τὸν βροῦχον καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὸν ἀττάκην καὶ τὰ ὅμοια
αὐτῷ, καὶ ὀφιομάχην καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὴν ἀκρίδα καὶ τὰ ὅμοια αὐτῇ.
[23] πᾶν ἑρπετὸν ἀπὸ τῶν πετεινῶν οἷς εἰσὶ τέσσαρες πόδες βδελύγματά ἐστιν 23
ὑμῖν, [24] καὶ ἐν τούτοις μιανϑήσεσϑε· πᾶς ὁ ἁπτόμενος τῶν ϑνησιμαίων αὐτῶν 24
ἀκάϑαρτος ἔσται ἕως ἑσπέρας, [25] καὶ πᾶς ὁ αἴρων τῶν ϑνησιμαίων αὐτῶν 25

---

18. εως pro εσω 19. (προςαγειοχασιν ...) ταυτα pro τοιαυτα 20. μωσης XI. 4. om πλην α. τ. ου φαγεσϑε 5. οτι αναγει 6. (χυρογλυλλιον ...) οτι αναγει 8. ϑνησιμαιων ουκ αψεσϑε οτι 9. om παντα οσα εστιν usque υδασι 10. και εν χειμαρροις ... ψυχης ζωσης 12. πτερ. και λεπιδες εν τω υδατι ... εσται υμιν 13. και ταυτα βδελυξεσϑε 13. γυπα κ. τ. αλιετον 14. κ. τ. γρυπα και ιχτινα ... ομοια αυτων 15. ομοια αυτων 16. om totus v. 18. πορφυρωνα 19. και γλαυκα και αρωδιον ... ομοια αυτων 20. τεσσερα 21. τεσσερα εχει 22. κ. την ακριδα κ. τ. ο. αυτη κ. τον οφιομαχην κ. τ. ο. αυτω 23. οις ἐστιν ... υμιν εστιν

Digitized by Google

26 πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ϰαὶ ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας. 26 ϰαὶ ἐν πᾶσι τοῖς
ϰτήνεσιν ὅ ἐστι διχηλοῦν ὁπλὴν ϰαὶ ὀνυχιστῆρας ὀνυχίζει ϰαὶ μηρυϰισμὸν οὐ
μηρυϰᾶται, ἀϰάϑαρτα ἔσονται ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν ϑνησιμαίων αὐτῶν
27 ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας. 27 ϰαὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν ἐν πᾶσι
τοῖς ϑηρίοις ἃ πορεύεται ἐπὶ τέσσαρα ἀϰάϑαρτά ἐστιν ὑμῖν· πᾶς ὁ ἁπτόμενος
28 τῶν ϑνησιμαίων αὐτῶν ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας, 28 ϰαὶ ὁ αἴρων τῶν
ϑνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ϰαὶ ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας·
29 ἀϰάϑαρτα ταῦτά ἐστιν ὑμῖν. 29 ϰαὶ ταῦτα ὑμῖν ἀϰάϑαρτα ἀπὸ τῶν ἑρπετῶν
30 τῶν ἐπὶ τῆς γῆς· ἡ γαλῆ ϰαὶ ὁ μῦς ϰαὶ ὁ ϰροϰόδειλος ὁ χερσαῖος, 30 μυγάλη
31 ϰαὶ χαμαιλέων ϰαὶ χαλαβώτης ϰαὶ σαῦρα ϰαὶ ἀσπάλαξ. 31 ταῦτα ἀϰάϑαρτα
ὑμῖν ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς· πᾶς ὁ ἁπτόμενος αὐτῶν
32 τεϑνηϰότων ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας. 32 ϰαὶ πᾶν ἐφ' ὃ ἂν ἐπιπέσῃ ἀπ'
αὐτῶν ἐπ' αὐτὸ τεϑνηϰότων αὐτῶν ἀϰάϑαρτον ἔσται, ἀπὸ παντὸς σϰεύους ξυλί-
νου ἢ ἱματίου ἢ δέρματος ἢ σάϰϰου· πᾶν σϰεῦος ὃ ἂν ποιηϑῇ ἔργον ἐν αὐτῷ
εἰς ὕδωρ βαφήσεται ϰαὶ ἀϰάϑαρτον ἔσται ἕως ἑσπέρας, ϰαὶ ϰαϑαρὸν ἔσται·
33 33 ϰαὶ πᾶν σϰεῦος ὀστράϰινον εἰς ὃ ἐὰν πέσῃ ἀπὸ τούτων ἔνδον, ὅσα ἐὰν ἔνδον
34 ᾖ ἀϰάϑαρτα ἔσται, ϰαὶ αὐτὸ συντριβήσεται. 34 ϰαὶ πᾶν βρῶμα ὃ ἔσϑεται, εἰς
ὃ ἂν ἐπέλϑῃ ἐπ' αὐτὸ ὕδωρ, ἀϰάϑαρτον ἔσται· ϰαὶ πᾶν ποτὸν ὃ πίνεται ἐν
35 παντὶ ἀγγείῳ ἀϰάϑαρτον ἔσται. 35 ϰαὶ πᾶν ὃ ἐὰν ἐπιπέσῃ ἀπὸ τῶν ϑνησιμαίων
αὐτῶν ἐπ' αὐτὸ ἀϰάϑαρτον ἔσται· ϰλίβανοι ϰαὶ χυτρόποδες ϰαϑαιρεϑήσονται·
36 ἀϰάϑαρτα ταῦτά ἐστι, ϰαὶ ἀϰάϑαρτα ταῦτα ὑμῖν ἔσονται. 36 πλὴν πηγῶν ὑδά-
των ϰαὶ λάϰϰου ϰαὶ συναγωγῆς ὕδατος ἔσται ϰαϑαρόν· ὁ δὲ ἁπτόμενος τῶν
37 ϑνησιμαίων αὐτῶν ἀϰάϑαρτος ἔσται. 37 ἐὰν δὲ ἐπιπέσῃ ἀπὸ τῶν ϑνησιμαίων
38 αὐτῶν ἐπὶ πᾶν σπέρμα σπόριμον ὃ σπαρήσεται, ϰαϑαρὸν ἔσται· 38 ἐὰν δὲ
ἐπιχυϑῇ ὕδωρ ἐπὶ πᾶν σπέρμα, ϰαὶ ἐπιπέσῃ τῶν ϑνησιμαίων αὐτῶν ἐπ' αὐτό,
39 ἀϰάϑαρτόν ἐστιν ὑμῖν. 39 ἐὰν δὲ ἀποϑάνῃ τῶν ϰτηνῶν ὅ ἐστιν ὑμῖν φαγεῖν τοῦτο,
40 ὁ ἁπτόμενος τῶν ϑνησιμαίων αὐτῶν ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας· 40 ϰαὶ ὁ
ἐσϑίων ἀπὸ τῶν ϑνησιμαίων τούτων πλυνεῖ τὰ ἱμάτια, ϰαὶ ἀϰάϑαρτος ἔσται
ἕως ἑσπέρας· ϰαὶ ὁ αἴρων ἀπὸ ϑνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια ϰαὶ λούσε-
41 ται ὕδατι, ϰαὶ ἀϰάϑαρτος ἔσται ἕως ἑσπέρας. 41 ϰαὶ πᾶν ἑρπετὸν ὃ ἕρπει ἐπὶ
42 τῆς γῆς, βδέλυγμα ἔσται τοῦτο ὑμῖν, οὐ βρωϑήσεται. 42 ϰαὶ πᾶς ὁ πορευόμε-
νος ἐπὶ ϰοιλίας, ϰαὶ πᾶς ὁ πορευόμενος ἐπὶ τέσσαρα διὰ παντός, ὃ πολυπλη-
ϑεῖ ποσὶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, οὐ φάγεσϑε αὐτό,
43 ὅτι βδέλυγμα ὑμῖν ἐστί. 43 ϰαὶ οὐ μὴ βδελύξητε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς
ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, ϰαὶ οὐ μιανϑήσεσϑε ἐν τούτοις, ϰαὶ οὐϰ
44 ἀϰάϑαρτοι ἔσεσϑε ἐν αὐτοῖς, 44 ὅτι ἐγώ εἰμι ϰύριος ὁ ϑεὸς ὑμῶν· ϰαὶ ἁγια-
σϑήσεσϑε ϰαὶ ἅγιοι ἔσεσϑε, ὅτι ἅγιός εἰμι ἐγὼ ϰύριος ὁ ϑεὸς ὑμῶν· ϰαὶ οὐ 1 Pe. 1, 16.
μιανεῖτε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ϰινουμένοις ἐπὶ τῆς γῆς,
45 45 ὅτι ἐγώ εἰμι ϰύριος ὁ ἀναγαγὼν ὑμᾶς ἐϰ γῆς Αἰγύπτου εἶναι ὑμῶν ϑεός·
46 ϰαὶ ἔσεσϑε ἅγιοι, ὅτι ἅγιός εἰμι ἐγὼ ϰύριος. 46 οὗτος ὁ νόμος περὶ τῶν ϰτη-
νῶν ϰαὶ τῶν πετεινῶν ϰαὶ πάσης ψυχῆς τῆς ϰινουμένης ἐν τῷ ὕδατι ϰαὶ πάσης
47 ψυχῆς ἑρπούσης ἐπὶ τῆς γῆς, 47 διαστεῖλαι ἀνὰ μέσον τῶν ἀϰαϑάρτων ϰαὶ
ἀνὰ μέσον τῶν ϰαϑαρῶν, ϰαὶ ἀνὰ μέσον τῶν ζωογονούντων τὰ ἐσϑιόμενα ϰαὶ
ἀνὰ μέσον τῶν ζωογονούντων τὰ μὴ ἐσϑιόμενα.

---

25. τα ιματια ϰαι αϰ. 26. ουϰ αναμαρυϰαται 27. τεσσερα ... εσται υμιν 28. om αυτου ... υμιν εστιν 29. γαλη pro η γαλη ... ϰορϰοδιλος 30. χαμηλεον ... ϰαλαβωτης ... ** σπαλαξ (* om ϰ. σπαλ.) 31. εστιν υμιν 32. επιπεση απο των τεϑνηϰ. αυτων ... ξυλινου η δερματινου η σαϰϰου ... ο εαν ποιηϑη 33. εις ο αν 34. εσϑετε ... εις ο εαν απελϑη ... αγγιω 35. ο εαν πεση 37. om απο ... * om σποριμον 39. αποϑ. απο των ... τουτο φαγειν 40. post ιματια prius add ϰαι λουσεται υδατι (sed ab αϰαϑαρτος seq. usque αϰαϑαρτος proximum * om) 41. τουτο εσται 42. τεσσερα 45. ϰαι αγιοι εσεσϑε

Digitized by Google

## XII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ 2
ἐρεῖς πρὸς αὐτούς Γυνὴ ἥτις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, καὶ ἀκάθαρ-
τος ἔσται ἑπτὰ ἡμέρας, κατὰ τὰς ἡμέρας τοῦ χωρισμοῦ τῆς ἀφέδρου αὐτῆς
*Jo. 7, ἀκάθαρτος ἔσται· 3 καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκρο- 3
22. *Lc. 2, 21. βυστίας αὐτοῦ· 4 καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας καθήσεται ἐν αἵματι ἀκα- 4
θάρτῳ αὐτῆς· παντὸς ἁγίου οὐχ ἅψεται καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰςελεύ-
*Lc. 2, 22. σεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς. 5 ἐὰν δὲ θῆλυ τέκῃ, 5
καὶ ἀκάθαρτος ἔσται δὶς ἑπτὰ ἡμέρας κατὰ τὴν ἄφεδρον αὐτῆς· καὶ ἑξήκοντα
ἡμέρας καὶ ἓξ καθεσθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς. 6 καὶ ὅταν ἀναπλη- 6
ρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς ἐφ' υἱῷ ἢ ἐπὶ θυγατρί, προςοίσει ἀμνὸν
ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα καὶ νοσσὸν περιστερᾶς ἢ τρυγόνα περὶ ἁμαρ-
τίας ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα· 7 καὶ προςοίσει 7
αὐτὸν ἔναντι κυρίου, καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς, καὶ καθαριεῖ αὐτὴν
ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς· οὗτος ὁ νόμος τῆς τικτούσης ἄρσεν ἢ θῆλυ.
Lc. 2, 24. 8 ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτῆς τὸ ἱκανὸν εἰς ἀμνόν, καὶ λήψεται δύο τρυ- 8
γόνας ἢ δύο νοσσοὺς περιστερῶν, μίαν εἰς ὁλοκαύτωμα καὶ μίαν περὶ ἁμαρ-
τίας, καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς, καὶ καθαρισθήσεται.

## XIII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων 2 Ἀνθρώπῳ ἐάν τινι 2
γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ σημασίας τηλαυγής, καὶ γένηται ἐν
δέρματι χρωτὸς αὐτοῦ ἁφὴ λέπρας, ἀχθήσεται πρὸς Ἀαρὼν τὸν ἱερέα ἢ ἕνα
τῶν υἱῶν αὐτοῦ τῶν ἱερέων. 3 καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν δέρματι τοῦ 3
χρωτὸς αὐτοῦ, καὶ ἡ θρὶξ ἐν τῇ ἁφῇ μεταβάλῃ λευκή, καὶ ἡ ὄψις τῆς ἁφῆς
ταπεινὴ ἀπὸ τοῦ δέρματος τοῦ χρωτός, ἁφὴ λέπρας ἐστί· καὶ ὄψεται ὁ ἱερεύς,
καὶ μιανεῖ αὐτόν. 4 ἐὰν δὲ καὶ τηλαυγὴς λευκὴ ᾖ ἐν τῷ δέρματι τοῦ χρωτὸς 4
αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτῆς ἀπὸ τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ
οὐ μετέβαλε τρίχα λευκήν, αὐτὴ δέ ἐστιν ἀμαυρά, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν
ἁφὴν ἑπτὰ ἡμέρας· 5 καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ 5
ἰδοὺ ἡ ἁφὴ μένει ἐναντίον αὐτοῦ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν τῷ δέρματι, καὶ
ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον· 6 καὶ ὄψεται ὁ ἱερεὺς αὐτὸν 6
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον, καὶ ἰδοὺ ἀμαυρὰ ἡ ἁφή, οὐ μετέπεσεν ἡ
ἁφὴ ἐν τῷ δέρματι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· σημασία γάρ ἐστι, καὶ
πλυνάμενος τὰ ἱμάτια αὐτοῦ καθαρὸς ἔσται. 7 ἐὰν δὲ μεταβαλοῦσα μεταπέσῃ 7
ἡ σημασία ἐν τῷ δέρματι· μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα τοῦ καθαρίσαι αὐτόν,
καὶ ὀφθήσεται τὸ δεύτερον τῷ ἱερεῖ· 8 καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ 8
μετέπεσεν ἡ σημασία ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· λέπρα ἐστί.
9 καὶ ἁφὴ λέπρας ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἥξει πρὸς τὸν ἱερέα· 10 καὶ 9 10
ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ οὐλὴ λευκὴ ἐν τῷ δέρματι, καὶ αὕτη μετέβαλε τρίχα
λευκήν, καὶ ἀπὸ τοῦ ὑγιοῦς τῆς σαρκὸς τῆς ζώσης ἐν τῇ οὐλῇ, 11 λέπρα πα- 11
λαιουμένη ἐστὶν ἐν τῷ δέρματι τοῦ χρωτός· καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς καὶ
ἀφοριεῖ αὐτόν, ὅτι ἀκάθαρτός ἐστιν. 12 ἐὰν δὲ ἀνθοῦσα ἐξανθήσῃ λέπρα ἐν τῷ 12

---

XII. 4. κ. τριακοντα ημερας και δεκα καθ. εν ιματιω ... παντος αγγιου ... εως ου πληρ. 5. αφεδρον pro αφ. αυτης ... μιαν pro εξ ... καθησεται 6. η δυο τρυγονας 7. om αυτον 8. λημψεται ... νεοσσους
XIII. 2. ανθρ. τινι εαν ... σημασια ... και αχθησεται 3. μεταβαλη εν τη αφη 4. εαν δε τηλαυγ. λευκ. ην ... om αυτου prius ... om μη η 6. αυτον ο ιερευς ... om και ante καθαριει ... ιματια pro ιμ. αυτου 7. το καθαρισαι 9. εν τω ανθρωπω (10. ηλιους pro υγιους) 11. χρωτος εστιν 12. εξανθουσα εξανθησει η λεπρα

Digitized by Google

δέρματι, καὶ καλύψῃ ἡ λέπρα πᾶν τὸ δέρμα τῆς ἁφῆς ἀπὸ κεφαλῆς ἕως ποδῶν
13 καθ᾽ ὅλην τὴν ὅρασιν τοῦ ἱερέως, [13] καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἐκάλυψεν
ἡ λέπρα πᾶν τὸ δέρμα τοῦ χρωτός, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς τὴν ἁφήν·
14 ὅτι πᾶν μετέβαλε λευκόν, καθαρόν ἐστι. [14] καὶ ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ
15 χρὼς ζῶν, μιανθήσεται· [15] καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶτα τὸν ὑγιῆ, καὶ μιανεῖ
16 αὐτὸν ὁ χρὼς ὁ ὑγιής, ὅτι ἀκάθαρτός ἐστι· λέπρα ἐστίν. [16] ἐὰν δὲ ἀποκατα-
17 στῇ ὁ χρὼς ὁ ὑγιὴς καὶ μεταβάλῃ λευκή, καὶ ἐλεύσεται πρὸς τὸν ἱερέα· [17] καὶ
ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλεν ἡ ἁφὴ εἰς τὸ λευκόν, καὶ καθαριεῖ ὁ
18 ἱερεὺς τὴν ἁφήν, καθαρός ἐστι. [18] καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ
19 ἕλκος, καὶ ὑγιασθῇ, [19] καὶ γένηται ἐν τῷ τόπῳ τοῦ ἕλκους οὐλὴ λευκὴ ἢ τηλαυ-
20 γὴς λευκαίνουσα ἢ πυῤῥίζουσα, καὶ ὀφθήσεται τῷ ἱερεῖ· [20] καὶ ὄψεται ὁ ἱερεύς,
καὶ ἰδοὺ ἡ ὄψις ταπεινοτέρα τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτῆς μετέβαλεν εἰς
λευκήν, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ὅτι λέπρα ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν.
21 [21] ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ ἰδοὺ οὐκ ἔστιν ἐν αὐτῷ θρὶξ λευκή, καὶ ταπεινὸν
μὴ ᾖ ἀπὸ τοῦ δέρματος τοῦ χρωτός, καὶ αὐτὴ ᾖ ἀμαυρά, καὶ ἀφοριεῖ αὐτὸν
22 ὁ ἱερεὺς ἑπτὰ ἡμέρας. [22] ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρματι, καὶ μιανεῖ
23 αὐτὸν ὁ ἱερεύς· ἁφὴ λέπρας ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν. [23] ἐὰν δὲ κατὰ
χώραν μείνῃ τὸ τηλαύγημα καὶ μὴ διαχέηται, οὐλὴ τοῦ ἕλκους ἐστί, καὶ κα-
24 θαριεῖ αὐτὸν ὁ ἱερεύς. [24] καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ κατά-
καυμα πυρός, καὶ γένηται ἐν τῷ δέρματι αὐτοῦ τὸ ὑγιασθὲν τοῦ κατακαύ-
25 ματος αὐγάζον τηλαυγὲς λευκόν, ὑποπυῤῥίζον ἢ ἔκλευκον, [25] καὶ ὄψεται αὐτὸν
ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλε θρὶξ λευκὴ εἰς τὸ αὐγάζον, καὶ ἡ ὄψις αὐτοῦ
ταπεινὴ ἀπὸ τοῦ δέρματος, λέπρα ἐστίν, ἐν τῷ κατακαύματι ἐξήνθησε· καὶ
26 μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστίν. [26] ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ ἰδοὺ
οὐκ ἔστιν ἐν τῷ αὐγάζοντι θρὶξ λευκή, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος,
27 αὐτὸ δὲ ἀμαυρόν, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας· [27] καὶ ὄψεται αὐ-
τὸν ὁ ἱερεὺς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρματι,
28 καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· ἁφὴ λέπρας ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν. [28] ἐὰν
δὲ κατὰ χώραν μείνῃ τὸ αὐγάζον καὶ μὴ διαχυθῇ ἐν τῷ δέρματι, αὐτὴ δὲ
ἀμαυρὰ ᾖ, οὐλὴ τοῦ κατακαύματός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· ὁ γὰρ
29 χαρακτὴρ τοῦ κατακαύματός ἐστι. [29] καὶ ἀνδρὶ ἢ γυναικὶ ἐὰν γένηται ἐν αὐτοῖς
30 ἁφὴ λέπρας ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ πώγωνι, [30] καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφήν,
καὶ ἰδοὺ ἡ ὄψις αὐτῆς ἐγκοιλοτέρα τοῦ δέρματος, ἐν αὐτῇ δὲ θρὶξ ξανθίζουσα
λεπτή, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· θραῦσμά ἐστι, λέπρα τῆς κεφαλῆς ἢ λέπρα
31 τοῦ πώγωνός ἐστι. [31] καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος, καὶ ἰδοὺ
οὐχ ἡ ὄψις ἐγκοιλοτέρα τοῦ δέρματος, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ,
32 καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος ἑπτὰ ἡμέρας· [32] καὶ ὄψεται
ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ θραῦσμα,
καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι
33 κοίλη ἀπὸ τοῦ δέρματος, [33] καὶ ξυρηθήσεται τὸ δέρμα, τὸ δὲ θραῦσμα οὐ
34 ξυρηθήσεται, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὸ θραῦσμα ἑπτὰ ἡμέρας τὸ δεύτερον· [34] καὶ
ὄψεται ὁ ἱερεὺς τὸ θραῦσμα τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ
θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ ξυρηθῆναι αὐτόν, καὶ ἡ ὄψις τοῦ θραύσματος
οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· καὶ πλυνά-
35 μενος τὰ ἱμάτια καθαρὸς ἔσται. [35] ἐὰν δὲ διαχύσει διαχέηται τὸ θραῦσμα ἐν
36 τῷ δέρματι μετὰ τὸ καθαρισθῆναι αὐτόν, [36] καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ
διακέχυται τὸ θραῦσμα ἐν τῷ δέρματι, οὐκ ἐπισκέψεται ὁ ἱερεὺς περὶ τῆς

12. καλυψει 15. τον χρωτα υγιην 17. και καθαρος εσται 20. om οτι ante λεπρα 21. om και ante αφοριει 22. om διαχυσει 24. om το ante υγιασθεν 25. οψεται αυτο (... * om εν τω καταχ. usque εστιν) ... ** μιανει αυτο 28. η αμαυρα ... η ουλη 29. κ. ανδρ. και γυν. 30. λεπρα εστιν της 31. του τραυματος bis ... ουχ η οψις

Digitized by Google

τριχὸς τῆς ξανθῆς, ὅτι ἀκάθαρτός ἐστιν· [37] ἐὰν δὲ ἐνώπιον μείνῃ ἐπὶ χώρας 37
τὸ θραῦσμα καὶ θρὶξ μέλαινα ἀνατείλῃ ἐν αὐτῷ, ὑγίακε τὸ θραῦσμα, καθα-
ρός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς. [38] καὶ ἀνδρὶ ἢ γυναικὶ ἐὰν γένηται ἐν 38
δέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, [39] καὶ ὄψεται 39
ὁ ἱερεύς, καὶ ἰδοὺ ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευ-
κανθίζοντα, ἀλφός ἐστιν, ἐξανθεῖ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καθαρός
ἐστιν. [40] ἐὰν δέ τινι μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, φαλακρός ἐστι, καθαρός ἐστιν· 40
[41] ἐὰν δὲ κατὰ πρόσωπον μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, ἀναφάλαντός ἐστι, κα- 41
θαρός ἐστιν. [42] ἐὰν δὲ γένηται ἐν τῷ φαλακρώματι αὐτοῦ ἢ ἐν τῷ ἀναφαλαν- 42
τώματι αὐτοῦ ἀφὴ λευκὴ ἢ πυῤῥίζουσα, λέπρα ἐστὶν ἐν τῷ φαλακρώματι αὐ-
τοῦ ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ· [43] καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ 43
ἡ ὄψις τῆς ἀφῆς λευκὴ ἢ πυῤῥίζουσα ἐν τῷ φαλακρώματι αὐτοῦ ἢ ἐν τῷ
φαλαντώματι αὐτοῦ, ὡς εἶδος λέπρας ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ, [44] ἄν- 44
θρωπος λεπρός ἐστι· μιάνσει μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἐν τῇ κεφαλῇ αὐτοῦ ἡ
ἀφὴ αὐτοῦ. [45] καὶ ὁ λεπρὸς ἐν ᾧ ἐστιν ἡ ἀφή, τὰ ἱμάτια αὐτοῦ ἔστω παρα- 45
λελυμένα καὶ ἡ κεφαλὴ αὐτοῦ ἀκάλυπτος καὶ περὶ τὸ στόμα αὐτοῦ περιβα-
λέσθω, καὶ ἀκάθαρτος κεκλήσεται· [46] πάσας τὰς ἡμέρας ὅσας ἐὰν ᾖ ἐπ' αὐτὸν 46
ἡ ἀφή, ἀκάθαρτος ὢν ἀκάθαρτος ἔσται, κεχωρισμένος καθήσεται, ἔξω τῆς
παρεμβολῆς αὐτοῦ ἔσται ἡ διατριβή. [47] καὶ ἱματίῳ ἐὰν γένηται ἀφὴ ἐν αὐτῷ 47
λέπρας, ἐν ἱματίῳ ἐρέῳ ἢ ἐν ἱματίῳ στυππυΐνῳ, [48] ἢ ἐν στήμονι ἢ ἐν κρόκῃ, 48
ἢ ἐν τοῖς λινοῖς ἢ ἐν τοῖς ἐρέοις, ἢ ἐν δέρματι ἢ ἐν παντὶ ἐργασίμῳ δέρματι,
[49] καὶ γένηται ἡ ἀφὴ χλωρίζουσα ἢ πυῤῥίζουσα ἐν τῷ δέρματι ἢ ἐν τῷ ἱματίῳ 49
ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν παντὶ σκεύει ἐργασίμῳ δέρματος, ἀφὴ
λέπρας ἐστί, καὶ δείξει τῷ ἱερεῖ· [50] καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφήν, καὶ ἀφο- 50
ριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας. [51] καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν τῇ ἡμέρᾳ 51
τῇ ἑβδόμῃ· ἐὰν δὲ διαχέηται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ
κρόκῃ ἢ ἐν τῷ δέρματι, κατὰ πάντα ὅσα ἐὰν ποιηθῇ δέρματα ἐν τῇ ἐργασίᾳ,
λέπρα ἔμμονός ἐστιν ἡ ἀφή, ἀκάθαρτός ἐστι. [52] κατακαύσει τὸ ἱμάτιον ἢ τὸν 52
στήμονα ἢ τὴν κρόκην, ἐν τοῖς ἐρέοις ἢ ἐν τοῖς λινοῖς ἢ ἐν παντὶ σκεύει
δερματίνῳ ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ ἡ ἀφή· ὅτι λέπρα ἔμμονός ἐστιν, ἐν πυρὶ κα-
τακαυθήσεται. [53] ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ μὴ διαχέηται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ 53
ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν παντὶ σκεύει δερματίνῳ, [54] καὶ συν- 54
τάξει ὁ ἱερεύς, καὶ πλυνεῖ ἐφ' οὗ ἐὰν ᾖ ἐπ' αὐτοῦ ἡ ἀφή, καὶ ἀφοριεῖ ὁ
ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας τὸ δεύτερον. [55] καὶ ὄψεται ὁ ἱερεὺς μετὰ τὸ 55
πλυθῆναι αὐτὸ τὴν ἀφήν, καὶ ἥδε οὐ μὴ μετέβαλεν ἡ ἀφὴ τὴν ὄψιν, καὶ ἡ
ἀφὴ οὐ διαχεῖται, ἀκάθαρτόν ἐστιν, ἐν πυρὶ κατακαυθήσεται· ἐστήρικται ἐν
τῷ ἱματίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ. [56] καὶ ἐὰν ἴδῃ ὁ ἱερεύς, καὶ ᾖ 56
ἀμαυρὰ ἡ ἀφὴ μετὰ τὸ πλυθῆναι αὐτό, ἀποῤῥήξει αὐτὸ ἀπὸ τοῦ ἱματίου ἢ
ἀπὸ τοῦ στήμονος ἢ ἀπὸ τῆς κρόκης ἢ ἀπὸ τοῦ δέρματος. [57] ἐὰν δὲ ὀφθῇ 57
ἔτι ἐν τῷ ἱματίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν παντὶ σκεύει δερμα-
τίνῳ, λέπρα ἐξανθοῦσά ἐστιν· ἐν πυρὶ κατακαυθήσεται ἐν ᾧ ἐστὶν ἡ ἀφή. [58] καὶ 58
τὸ ἱμάτιον ἢ ὁ στήμων ἢ ἡ κρόκη ἢ πᾶν σκεῦος δερμάτινον ὃ πλυθήσεται καὶ
ἀποστήσεται ἀπ' αὐτοῦ ἡ ἀφή, καὶ πλυθήσεται τὸ δεύτερον, καὶ καθαρὸν ἔσται.

---

37. το θραυσμ. επι χωρας 38. αυγασμα ... λευκαθιζοντα 39. λευκαθιζοντα ... post αλφος εστιν add καθαρος εστιν (altero non omisso) 43. αναφαλαντωματι 44. om μιανσει 45. εσται pro εστω ... ακατακαλυπτος ... περιβαλλεσθω 46. οσας αν η επ αυτου αφη ... ακαθαρτος εστιν ... εσται αυτου η διατρ. 47. εν αυτω αφη ... στιππυινω 51. εμμονος εστιν· η αφη ακ. ε. ita disting. 52. εν ω εαν γενηται η αφη· οτι λεπρα· εν 55. πλυθ. αυτου την αφην ... μη pro ου μη ... την οψιν η αφη ... διαχεειται ... εστηρισται 56. μετα το καυθηναι αυτον ... η α. τ. δερματος η α. τ. στημ. η α. τ. κροχης 57. οφθησεται pro οφθ. ετι 58. om και ante καθαρον



Digitized by Google

59 [59] οὗτος ὁ νόμος ἁφῆς λέπρας ἱματίου ἐρέου ἢ στυππυΐνου ἢ στήμονος ἢ κρόκης
ἢ παντὸς σκεύους δερματίνου, εἰς τὸ καθαρίσαι αὐτὸ ἢ μιᾶναι αὐτό.

## XIV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Οὗτος ὁ νόμος τοῦ λεπροῦ·
3 ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ, καὶ προςαχθήσεται πρὸς τὸν ἱερέα· [3] καὶ ἐξελεύσεται *Mt.8,4.
ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἴαται ἡ ἁφὴ τῆς
4 λέπρας ἀπὸ τοῦ λεπροῦ. [4] καὶ προστάξει ὁ ἱερεὺς καὶ λήψονται τῷ κεκαθαρι-
σμένῳ δύο ὀρνίθια ζῶντα καθαρά, καὶ ξύλον κέδρινον καὶ κεκλωσμένον κόκ-
5 κινον καὶ ὕσσωπον· [5] καὶ προστάξει ὁ ἱερεὺς καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ ἓν
6 εἰς ἀγγεῖον ὀστράκινον ἐφ' ὕδατι ζῶντι· [6] καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτό,
καὶ τὸ ξύλον τὸ κέδρινον καὶ τὸ κλωστὸν κόκκινον καὶ τὸν ὕσσωπον, καὶ βά-
ψει αὐτὰ καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ'
7 ὕδατι ζῶντι· [7] καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις,
8 καὶ καθαρὸς ἔσται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον. [8] καὶ
πλυνεῖ ὁ καθαρισθεὶς τὰ ἱμάτια αὐτοῦ, καὶ ξυρηθήσεται αὐτοῦ πᾶσαν τὴν
τρίχα, καὶ λούσεται ἐν ὕδατι, καὶ καθαρὸς ἔσται· καὶ μετὰ ταῦτα εἰςελεύ-
σεται εἰς τὴν παρεμβολήν, καὶ διατρίψει ἔξω τοῦ οἴκου αὐτοῦ ἑπτὰ ἡμέρας.
9 [9] καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται πᾶσαν τὴν τρίχα αὐτοῦ, τὴν
κεφαλὴν αὐτοῦ καὶ τὸν πώγωνα καὶ τὰς ὀφρῦς, καὶ πᾶσαν τὴν τρίχα αὐτοῦ
ξυρηθήσεται· καὶ πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ
10 καθαρὸς ἔσται. [10] καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται δύο ἀμνοὺς ἀμώμους ἐνιαυ-
σίους, καὶ πρόβατον ἄμωμον ἐνιαύσιον, καὶ τρία δέκατα σεμιδάλεως εἰς θυσίαν
11 πεφυραμένης ἐν ἐλαίῳ, καὶ κοτύλην ἐλαίου μίαν· [11] καὶ στήσει ὁ ἱερεὺς ὁ
καθαρίζων τὸν ἄνθρωπον τὸν καθαριζόμενον καὶ ταῦτα ἔναντι κυρίου, ἐπὶ τὴν
12 θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. [12] καὶ λήψεται ὁ ἱερεὺς τὸν ἀμνὸν τὸν ἕνα,
καὶ προςάξει αὐτὸν τῆς πλημμελείας, καὶ τὴν κοτύλην τοῦ ἐλαίου, καὶ ἀφο-
13 ριεῖ αὐτὰ ἀφόρισμα ἔναντι κυρίου. [13] καὶ σφάξουσι τὸν ἀμνὸν ἐν τόπῳ οὗ σφά-
ζουσι τὰ ὁλοκαυτώματα καὶ τὰ περὶ ἁμαρτίας, ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ τὸ
περὶ ἁμαρτίας ὥσπερ τὸ τῆς πλημμελείας ἐστὶ τῷ ἱερεῖ, ἅγια ἁγίων ἐστί.
14 [14] καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημμελείας, καὶ ἐπιθήσει
ὁ ἱερεὺς ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ
15 ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ· [15] καὶ
λαβὼν ὁ ἱερεὺς ἀπὸ τῆς κοτύλης τοῦ ἐλαίου ἐπιχεεῖ ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως
16 τὴν ἀριστεράν, [16] καὶ βάψει τὸν δάκτυλον τὸν δεξιὸν ἀπὸ τοῦ ἐλαίου τοῦ ὄντος
ἐπὶ τῆς χειρὸς αὐτοῦ τῆς ἀριστερᾶς, καὶ ῥανεῖ τῷ δακτύλῳ ἑπτάκις ἔναντι
17 κυρίου. [17] τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ὂν ἐν τῇ χειρὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ
τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς
τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, ἐπὶ τὸν τόπον τοῦ αἵματος
18 τοῦ τῆς πλημμελείας· [18] τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ἐπὶ τῆς χειρὸς τοῦ ἱερέως
ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὴν κεφαλὴν τοῦ καθαρισθέντος, καὶ ἐξιλάσεται περὶ
19 αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου. [19] καὶ ποιήσει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας,
καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τοῦ καθαριζομένου ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ· καὶ
20 μετὰ τοῦτο σφάξει ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα. [20] καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ ὁλοκαύ-
τωμα καὶ τὴν θυσίαν ἐπὶ τὸ θυσιαστήριον ἔναντι κυρίου· καὶ ἐξιλάσεται περὶ
21 αὐτοῦ ὁ ἱερεύς, καὶ καθαρισθήσεται. [21] ἐὰν δὲ πένηται καὶ ἡ χεὶρ αὐτοῦ μὴ

---

59. αφη λεπρας ... om ερεου η στυππ. XIV. 4. λημψονται 5. αγγιον 6. λημψεται ... κεκλωσμενον 7. περιρανιει 9. τας οφρυας 10. λημψεται ... ενιαυσιους αμωμους ... προβ. εις ενιαυσ. αμωμον 11. om ο ante καθαριζων 12. λημψεται ... αφορ. αυτο 13. εν τοπω ω 14. λημψεται 16. om αυτου ... κ. ρανιει ο ιερευς 17. το εν τη 19. περι του ακαθαρτου του καθαριζομενου 20. ** και οισει (inde ab ολοκαυτωμα v. 20. usque καθαρισθησεται v. 21. **)

Digitized by Google

εὑρίσκῃ, λήψεται ἀμνὸν ἕνα εἰς ὃ ἐπλημμέλησεν εἰς ἀφαίρεμα ὥςτε ἐξιλά-
σασθαι περὶ αὐτοῦ, καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ εἰς θυ-
σίαν, καὶ κοτύλην ἐλαίου μίαν, [22] καὶ δύο τρυγόνας ἢ δύο νοσσοὺς περιστε- 22
ρῶν, ὅσα εὗρεν ἡ χεὶρ αὐτοῦ, καὶ ἔσται ἡ μία περὶ ἁμαρτίας καὶ ἡ μία εἰς
ὁλοκαύτωμα· [23] καὶ προςοίσει αὐτὰ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ εἰς τὸ καθαρίσαι αὐτὸν 23
πρὸς τὸν ἱερέα, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι κυρίου. [24] καὶ 24
λαβὼν ὁ ἱερεὺς τὸν ἀμνὸν τῆς πλημμελείας καὶ τὴν κοτύλην τοῦ ἐλαίου ἐπι-
θήσει αὐτὰ ἐπίθεμα ἔναντι κυρίου. [25] καὶ σφάξει τὸν ἀμνὸν τὸν τῆς πλημμε- 25
λείας, καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημμελείας, καὶ ἐπι-
θήσει ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον
τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ. [26] καὶ ἀπὸ τοῦ 26
ἐλαίου ἐπιχεεῖ ὁ ἱερεὺς ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν ἀριστεράν· [27] καὶ ῥανεῖ 27
ὁ ἱερεὺς τῷ δακτύλῳ τῷ δεξιῷ ἀπὸ τοῦ ἐλαίου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ τῇ ἀρι-
στερᾷ ἑπτάκις ἔναντι κυρίου· [28] καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ 28
τῆς χειρὸς αὐτοῦ ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ
ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ
τοῦ δεξιοῦ, ἐπὶ τὸν τόπον τοῦ αἵματος τοῦ τῆς πλημμελείας· [29] τὸ δὲ κατα- 29
λειφθὲν ἀπὸ τοῦ ἐλαίου τὸ ὂν ἐπὶ τῆς χειρὸς τοῦ ἱερέως ἐπιθήσει ἐπὶ τὴν κεφα-
λὴν τοῦ καθαρισθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου.
[30] καὶ ποιήσει μίαν ἀπὸ τῶν τρυγόνων ἢ ἀπὸ τῶν νοσσῶν τῶν περιστερῶν, 30
καθότι εὗρεν αὐτοῦ ἡ χείρ, [31] τὴν μίαν περὶ ἁμαρτίας καὶ τὴν μίαν εἰς ὁλο- 31
καύτωμα σὺν τῇ θυσίᾳ· καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τοῦ καθαριζομένου ἔναντι
κυρίου. [32] οὗτος ὁ νόμος ἐν ᾧ ἐστὶν ἡ ἀφὴ τῆς λέπρας καὶ τοῦ μὴ εὑρίσκον- 32
τος τῇ χειρὶ εἰς τὸν καθαρισμὸν αὐτοῦ. [33] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν 33
καὶ Ἀαρὼν λέγων [34] Ὡς ἂν εἰςέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ 34
δίδωμι ὑμῖν ἐν κτήσει, καὶ δώσω ἀφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς
ἐγκτήτου ὑμῖν, [35] καὶ ἥξει τίνος αὐτοῦ ἡ οἰκία καὶ ἀναγγελεῖ τῷ ἱερεῖ λέγων 35
Ὥςπερ ἀφὴ ἑώραταί μοι ἐν τῇ οἰκίᾳ. [36] καὶ προστάξει ὁ ἱερεὺς ἀποσκευάσαι 36
τὴν οἰκίαν πρὸ τοῦ εἰςελθόντα τὸν ἱερέα ἰδεῖν τὴν ἀφήν, καὶ οὐ μὴ ἀκάθαρτα
γένηται ὅσα ἂν ᾖ ἐν τῇ οἰκίᾳ· καὶ μετὰ ταῦτα εἰςελεύσεται ὁ ἱερεὺς κατα-
μαθεῖν τὴν οἰκίαν. [37] καὶ ὄψεται τὴν ἀφήν, καὶ ἰδοὺ ἡ ἀφὴ ἐν τοῖς τοίχοις 37
τῆς οἰκίας, κοιλάδας χλωριζούσας ἢ πυῤῥιζούσας, καὶ ἡ ὄψις αὐτῶν ταπεινο-
τέρα τῶν τοίχων· [38] καὶ ἐξελθὼν ὁ ἱερεὺς ἐκ τῆς οἰκίας ἐπὶ τὴν θύραν τῆς 38
οἰκίας, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν ἑπτὰ ἡμέρας. [39] καὶ ἐπανήξει ὁ ἱερεὺς 39
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ ὄψεται τὴν οἰκίαν, καὶ ἰδοὺ διεχύθη ἡ ἀφὴ ἐν τοῖς
τοίχοις τῆς οἰκίας· [40] καὶ προστάξει ὁ ἱερεὺς καὶ ἐξελοῦσι τοὺς λίθους ἐν οἷς 40
ἐστὶν ἡ ἀφή, καὶ ἐκβαλοῦσιν αὐτοὺς ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον·
[41] καὶ τὴν οἰκίαν ἀποξύσουσιν ἔσωθεν κύκλῳ, καὶ ἐκχεοῦσι τὸν χοῦν τὸν ἀπε- 41
ξυσμένον ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον· [42] καὶ λήψονται λίθους ἀπε- 42
ξυσμένους ἑτέρους καὶ ἀντιθήσουσιν ἀντὶ τῶν λίθων, καὶ χοῦν ἕτερον λήψονται
καὶ ἐξαλείψουσι τὴν οἰκίαν. [43] ἐὰν δὲ ἐπέλθῃ πάλιν ἡ ἀφὴ καὶ ἀνατείλῃ ἐν 43
τῇ οἰκίᾳ μετὰ τὸ ἐξελεῖν τοὺς λίθους καὶ μετὰ τὸ ἀποξυσθῆναι τὴν οἰκίαν καὶ
μετὰ τὸ ἐξαλειφθῆναι, [44] καὶ εἰςελεύσεται ὁ ἱερεὺς καὶ ὄψεται· εἰ διακέχυται 44
ἡ ἀφὴ ἐν τῇ οἰκίᾳ, λέπρα ἔμμονός ἐστιν ἐν τῇ οἰκίᾳ, ἀκάθαρτός ἐστι. [45] καὶ 45
καθελοῦσι τὴν οἰκίαν, καὶ τὰ ξύλα αὐτῆς καὶ τοὺς λίθους αὐτῆς καὶ πάντα

---

21. λημψεται 22. η δυο τρυγ. η δυο νεοσσους 25. τον αμνον της πλημμ. ... ληιμψεται ... του δεξ. τ. καθαριζομ. 29. του καθαριζομενου 30. μιαν των τρυγονων ... νεοσσων (** ? * ?) 32. η αφη λεπρας 35. αναγγειλη ... εωρατ. μου εν 36. ιδειν τον ιερεα την οικιαν ... οσα εαν 37. om και ιδου η αφη ... om η πυρριζουσας 39. ιδ. ου διεχυθη 41. αποξυσ. τ. οικιαν ... om τον απεξυσμενον 42. ληιμψονται bis ... στερεους pro ετερους 43. παλιν αφη 44. οψεται ει sine distinct.



Digitized by Google

46 τὸν χοῦν ἐξοίσουσιν ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον· [46] καὶ ὁ εἰσπορευό-
μενος εἰς τὴν οἰκίαν πάσας τὰς ἡμέρας ἃς ἀφωρισμένη ἐστὶν ἀκάθαρτος ἔσται
47 ἕως ἑσπέρας, [47] καὶ ὁ κοιμώμενος ἐν τῇ οἰκίᾳ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ
ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καὶ ὁ ἔσθων ἐν τῇ οἰκίᾳ πλυνεῖ τὰ ἱμάτια
48 αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [48] ἐὰν δὲ παραγενόμενος εἰσέλθῃ ὁ
ἱερεὺς καὶ ἴδῃ, καὶ ἰδοὺ διαχύσει οὐ διαχεῖται ἡ ἀφὴ ἐν τῇ οἰκίᾳ μετὰ τὸ
ἐξαλειφθῆναι τὴν οἰκίαν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν, ὅτι ἰάθη ἡ ἀφή.
49 [49] καὶ λήψεται ἀφαγνίσαι τὴν οἰκίαν δύο ὀρνίθια ζῶντα καθαρὰ καὶ ξύλον
50 κέδρινον καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον· [50] καὶ σφάξει τὸ ὀρνίθιον
51 τὸ ἓν εἰς σκεῦος ὀστράκινον ἐφ' ὕδατι ζῶντι, [51] καὶ λήψεται τὸ ξύλον τὸ κέ-
δρινον καὶ τὸ κεκλωσμένον κόκκινον καὶ τὸν ὕσσωπον καὶ τὸ ὀρνίθιον τὸ ζῶν,
καὶ βάψει αὐτὸ εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ ἐσφαγμένου ἐφ' ὕδατι ζῶντι,
52 καὶ περιῤῥανεῖ ἐν αὐτοῖς ἐπὶ τὴν οἰκίαν ἑπτάκις. [52] καὶ ἀφαγνιεῖ τὴν οἰκίαν
ἐν τῷ αἵματι τοῦ ὀρνιθίου καὶ ἐν τῷ ὕδατι τῷ ζῶντι καὶ ἐν τῷ ὀρνιθίῳ τῷ
ζῶντι καὶ ἐν τῷ ξύλῳ τῷ κεδρίνῳ καὶ ἐν τῷ ὑσσώπῳ καὶ ἐν τῷ κεκλωσμένῳ
53 κοκκίνῳ· [53] καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν ἔξω τῆς πόλεως εἰς τὸ πεδίον,
54 καὶ ἐξιλάσεται περὶ τῆς οἰκίας, καὶ καθαρὰ ἔσται. [54] οὗτος ὁ νόμος κατὰ πᾶσαν
55 56 ἀφὴν λέπρας καὶ θραύσματος, [55] καὶ τῆς λέπρας ἱματίου καὶ οἰκίας, [56] καὶ
57 οὐλῆς καὶ σημασίας καὶ τοῦ αὐγάζοντος, [57] καὶ τοῦ ἐξηγήσασθαι ᾗ ἡμέρᾳ
ἀκάθαρτον καὶ ᾗ ἡμέρᾳ καθαρισθήσεται· οὗτος ὁ νόμος τῆς λέπρας.

## XV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [2] Λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς αὐτοῖς Ἀνδρὶ ἀνδρὶ ᾧ ἐὰν γένηται ῥύσις ἐκ τοῦ σώματος
3 αὐτοῦ, ἡ ῥύσις αὐτοῦ ἀκάθαρτός ἐστι. [3] καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρσίας
αὐτοῦ· ῥέων γόνον ἐκ σώματος αὐτοῦ ἐκ τῆς ῥύσεως ἧς συνέστηκε τὸ σῶμα
αὐτοῦ διὰ τῆς ῥύσεως, αὕτη ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ· πᾶσαι αἱ ἡμέραι
ῥύσεως σώματος αὐτοῦ ᾗ συνέστηκε τὸ σῶμα αὐτοῦ διὰ τῆς ῥύσεως ἀκαθαρ-
4 σία αὐτοῦ ἐστί. [4] πᾶσα κοίτη ἐφ' ἧς ἂν κοιμηθῇ ἐπ' αὐτῆς ὁ γονοῤῥυὴς ἀκά-
θαρτός ἐστι, καὶ πᾶν σκεῦος ἐφ' ὃ ἂν καθίσῃ ἐπ' αὐτὸ ὁ γονοῤῥυὴς ἀκάθαρ-
5 τον ἔσται. [5] καὶ ἄνθρωπος ὃς ἐὰν ἅψηται τῆς κοίτης αὐτοῦ πλυνεῖ τὰ ἱμάτια
6 αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· [6] καὶ ὁ καθή-
μενος ἐπὶ τοῦ σκεύους ἐφ' ὃ ἂν καθίσῃ ὁ γονοῤῥυὴς πλυνεῖ τὰ ἱμάτια αὐτοῦ
7 καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [7] καὶ ὁ ἁπτόμενος τοῦ
χρωτὸς τοῦ γονοῤῥυοῦς πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος
8 ἔσται ἕως ἑσπέρας· [8] ἐὰν δὲ προσσιελίσῃ ὁ γονοῤῥυὴς ἐπὶ τὸν καθαρόν, πλυνεῖ
9 τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [9] καὶ
πᾶν ἐπίσαγμα ὄνου ἐφ' ὃ ἂν ἐπιβῇ ἐπ' αὐτὸ ὁ γονοῤῥυὴς ἀκάθαρτον ἔσται
10 ἕως ἑσπέρας. [10] καὶ πᾶς ὁ ἁπτόμενος ὅσα ἂν ᾖ ὑποκάτω αὐτοῦ ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· καὶ ὁ αἴρων αὐτὰ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται
11 ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [11] καὶ ὅσων ἐὰν ἅψηται ὁ γονοῤῥυὴς
καὶ τὰς χεῖρας οὐ νένιπται ὕδατι, πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα
12 ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [12] καὶ σκεῦος ὀστράκινον οὗ ἂν ἅψη-
ται ὁ γονοῤῥυὴς συντριβήσεται· καὶ σκεῦος ξύλινον νιφήσεται ὕδατι, καὶ
13 καθαρὸν ἔσται. [13] ἐὰν δὲ καθαρισθῇ ὁ γονοῤῥυὴς ἐκ τῆς ῥύσεως αὐτοῦ, καὶ
ἐξαριθμηθήσεται αὐτῷ ἑπτὰ ἡμέρας εἰς τὸν καθαρισμὸν αὐτοῦ, καὶ πλυνεῖ τὰ

---

48. ιδου ου διαχυσ. ου διαχ. 49. λημψεται 51. λημψεται ... περι-ρανει 53. εξω πολεως 56. * om του XV. 2. om η ρυσις αυτου ... ακαθ. εσται 4. εφ η αν κοιμ. επ αυτη 5. ος αν 7. om του prius 8. εαν δε προσεγγιση ... om αυτου 9. και επι παν ... καθιση pro επιβη 10. ος εαν η 11. om υδατι 12. ου εαν 13. εξαριθμησεται εαυτω ... καθαρισμον sine αυτου

Digitized by Google

ἱμάτια αὐτοῦ καὶ λούσεται τὸ σῶμα ὕδατι, καὶ καθαρὸς ἔσται. [14] καὶ τῇ 14
ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται ἑαυτῷ δύο τρυγόνας ἢ δύο νοσσοὺς περιστερῶν καὶ
οἴσει αὐτὰ ἔναντι κυρίου ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώ-
σει αὐτὰ τῷ ἱερεῖ· [15] καὶ ποιήσει αὐτὰ ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας καὶ μίαν 15
εἰς ὁλοκαύτωμα καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου ἀπὸ τῆς
ῥύσεως αὐτοῦ. [16] καὶ ἄνθρωπος ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, καὶ 16
λούσεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· [17] καὶ 17
πᾶν ἱμάτιον καὶ πᾶν δέρμα ἐφ' ὃ ἂν ᾖ ἐπ' αὐτὸ κοίτη σπέρματος, καὶ πλυ-
θήσεται ὕδατι καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας. [18] καὶ γυνὴ ἐὰν κοιμηθῇ 18
ἀνὴρ μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λούσονται ὕδατι καὶ ἀκάθαρτοι ἔσονται
ἕως ἑσπέρας. [19] καὶ γυνὴ ἥτις ἂν ᾖ ῥέουσα αἵματι, καὶ ἔσται ἡ ῥύσις αὐτῆς 19
ἐν τῷ σώματι αὐτῆς, ἑπτὰ ἡμέρας ἔσται ἐν τῇ ἀφέδρῳ αὐτῆς· πᾶς ὁ ἁπτό-
μενος αὐτῆς ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, [20] καὶ πᾶν ἐφ' ὃ ἂν κοιτάζηται 20
ἐπ' αὐτὸ ἐν τῇ ἀφέδρῳ αὐτῆς ἀκάθαρτον ἔσται, καὶ πᾶν ἐφ' ὃ ἂν ἐπικαθίσῃ
ἐπ' αὐτὸ ἀκάθαρτον ἔσται. [21] καὶ πᾶς ὃς ἂν ἅψηται τῆς κοίτης αὐτῆς πλυνεῖ 21
τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος ἔσται
ἕως ἑσπέρας· [22] καὶ πᾶς ὁ ἁπτόμενος παντὸς σκεύους οὗ ἐὰν καθίσῃ ἐπ' αὐτὸ 22
πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
[23] ἐὰν δὲ ἐν τῇ κοίτῃ αὐτῆς οὔσης ἢ ἐπὶ τοῦ σκεύους οὗ ἐὰν καθίσῃ ἐπ' αὐτῷ 23
ἐν τῷ ἅπτεσθαι αὐτὸν αὐτῆς, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [24] ἐὰν δὲ κοίτῃ 24
κοιμηθῇ τις μετ' αὐτῆς καὶ γένηται ἡ ἀκαθαρσία αὐτῆς ἐπ' αὐτῷ, ἀκάθαρτος
ἔσται ἑπτὰ ἡμέρας· καὶ πᾶσα κοίτη ἐφ' ᾗ ἂν κοιμηθῇ ἐπ' αὐτῇ ἀκάθαρτος
ἔσται. [25] καὶ γυνὴ ἐὰν ῥέῃ ῥύσει αἵματος ἡμέρας πλείους οὐκ ἐν καιρῷ τῆς 25
ἀφέδρου αὐτῆς, ἐὰν καὶ ῥέῃ μετὰ τὴν ἄφεδρον αὐτῆς, πᾶσαι αἱ ἡμέραι ῥύσεως
ἀκαθαρσίας αὐτῆς καθάπερ αἱ ἡμέραι τῆς ἀφέδρου αὐτῆς, ἔσται ἀκάθαρτος·
[26] καὶ πᾶσα κοίτη ἐφ' ἧς ἂν κοιμηθῇ ἐπ' αὐτῆς πάσας τὰς ἡμέρας τῆς ῥύσεως 26
κατὰ τὴν κοίτην τῆς ἀφέδρου ἔσται αὐτῇ, καὶ πᾶν σκεῦος ἐφ' ὃ ἂν καθίσῃ
ἐπ' αὐτὸ ἀκάθαρτον ἔσται κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀφέδρου· [27] πᾶς ὁ ἁπτό- 27
μενος αὐτῆς ἀκάθαρτος ἔσται, καὶ πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα
ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [28] ἐὰν δὲ καθαρισθῇ ἀπὸ τῆς ῥύσεως, 28
καὶ ἐξαριθμήσεται αὐτῇ ἑπτὰ ἡμέρας, καὶ μετὰ ταῦτα καθαρισθήσεται. [29] καὶ 29
τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται αὕτη δύο τρυγόνας ἢ δύο νοσσοὺς περιστερῶν, καὶ
οἴσει αὐτὰ πρὸς τὸν ἱερέα ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· [30] καὶ 30
ποιήσει ὁ ἱερεὺς τὴν μίαν περὶ ἁμαρτίας καὶ τὴν μίαν εἰς ὁλοκαύτωμα, καὶ
ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεὺς ἔναντι κυρίου ἀπὸ ῥύσεως ἀκαθαρσίας αὐτῆς.
[31] καὶ εὐλαβεῖς ποιήσετε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν, καὶ 31
οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκη-
νήν μου τὴν ἐν αὐτοῖς. [32] οὗτος ὁ νόμος τοῦ γονοῤῥυοῦς, καὶ ἐάν τινι ἐξέλθῃ 32
ἐξ αὐτοῦ κοίτη σπέρματος ὥστε μιανθῆναι ἐν αὐτῇ, [33] καὶ τῇ αἱμοῤῥοούσῃ ἐν 33
τῇ ἀφέδρῳ αὐτῆς, καὶ ὁ γονοῤῥυὴς ἐν τῇ ῥύσει αὐτοῦ τῷ ἄρσενι ἢ τῇ θηλείᾳ,
καὶ τῷ ἀνδρὶ ὃς ἂν κοιμηθῇ μετὰ ἀποκαθημένης.

## XVI.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν μετὰ τὸ τελευτῆσαι τοὺς δύο υἱοὺς Ἀαρών, ἐν τῷ προσάγειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι κυρίου καὶ ἐτελεύτησαν·

---

14. ληψμεται ... νεοσσους 15. περι της ρυσ. 16. ος εαν εξελθη 17. εφ ο εαν ... πλυνθησεται 19. ητις εαν ... αιματι εσται ... εστω εν τη 20. εαν pro παν ab initio 21. ος εαν 23. ου εαν αυτη καθηται επ αυτω· εν δε τω 24. τις κοιμηθη ... και ακαθαρτος ... επ αυτης ακαθαρτος 25. om αυτης extr. ... ακαθ. εσται 26. πασαν κοιτην εφ ην 29. ληψμεται δυο ... νεοσσους 31. om αυτων post ακαθαρσιαν 33. αυτης, ο γονορρυης ... και εν τω ανδρι

Digitized by Google

2 [2] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Λάλησον πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ
μὴ εἰςπορευέσθω πᾶσαν ὥραν εἰς τὸ ἅγιον ἐσώτερον τοῦ καταπετάσματος εἰς
πρόςωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ
3 ἀποθανεῖται· ἐν γὰρ νεφέλῃ ὀφθήσομαι ἐπὶ τοῦ ἱλαστηρίου. [3] οὕτως εἰςελεύ-
σεται Ἀαρὼν εἰς τὸ ἅγιον· ἐν μόσχῳ ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ κριὸν εἰς
4 ὁλοκαύτωμα. [4] καὶ χιτῶνα λινοῦν ἡγιασμένον ἐνδύσεται, καὶ περισκελὲς λινοῦν
ἔσται ἐπὶ τοῦ χρωτὸς αὐτοῦ, καὶ ζώνῃ λινῇ ζώσεται, καὶ κίδαριν λινῆν περι-
θήσεται· ἱμάτια ἅγιά ἐστι, καὶ λούσεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ καὶ ἐν-
5 δύσεται αὐτά. [5] καὶ παρὰ τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραὴλ λήψεται δύο χιμά-
6 ρους ἐξ αἰγῶν περὶ ἁμαρτίας καὶ κριὸν ἕνα εἰς ὁλοκαύτωμα. [6] καὶ προςάξει
Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ
7 καὶ τοῦ οἴκου αὐτοῦ. [7] καὶ λήψεται τοὺς δύο χιμάρους καὶ στήσει αὐτοὺς
8 ἔναντι κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· [8] καὶ ἐπιθήσει Ἀαρὼν
ἐπὶ τοὺς δύο χιμάρους κλήρους, κλῆρον ἕνα τῷ κυρίῳ καὶ κλῆρον ἕνα τῷ ἀπο-
9 πομπαίῳ. [9] καὶ προςάξει Ἀαρὼν τὸν χίμαρον ἐφ' ὃν ἐπῆλθεν ἐπ' αὐτὸν ὁ κλῆ-
10 ρος τῷ κυρίῳ, καὶ προςοίσει περὶ ἁμαρτίας· [10] καὶ τὸν χίμαρον ἐφ' ὃν ἐπῆλ-
θεν ἐπ' αὐτὸν ὁ κλῆρος τοῦ ἀποπομπαίου, στήσει αὐτὸν ζῶντα ἔναντι κυρίου
τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ ὥστε ἀποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν, καὶ
11 ἀφήσει αὐτὸν εἰς τὴν ἔρημον. [11] καὶ προςάξει Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς
ἁμαρτίας αὐτοῦ, καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ καὶ τοῦ οἴκου, καὶ σφάξει τὸν
12 μόσχον περὶ τῆς ἁμαρτίας αὐτοῦ. [12] καὶ λήψεται τὸ πυρεῖον πλῆρες ἀνθράκων
πυρὸς ἀπὸ τοῦ θυσιαστηρίου τοῦ ἀπέναντι κυρίου, καὶ πλήσει τὰς χεῖρας θυ-
13 μιάματος συνθέσεως λεπτῆς καὶ εἰςοίσει ἐσώτερον τοῦ καταπετάσματος, [13] καὶ
ἐπιθήσει τὸ θυμίαμα ἐπὶ τὸ πῦρ ἔναντι κυρίου· καὶ καλύψει ἡ ἀτμὶς τοῦ θυ-
14 μιάματος τὸ ἱλαστήριον τὸ ἐπὶ τῶν μαρτυρίων, καὶ οὐκ ἀποθανεῖται. [14] καὶ
λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ῥανεῖ τῷ δακτύλῳ ἐπὶ τὸ ἱλαστή-
ριον κατὰ ἀνατολάς· κατὰ πρόςωπον τοῦ ἱλαστηρίου ῥανεῖ ἑπτάκις ἀπὸ τοῦ
15 αἵματος τῷ δακτύλῳ. [15] καὶ σφάξει τὸν χίμαρον τὸν περὶ ἁμαρτίας τὸν περὶ
τοῦ λαοῦ ἔναντι κυρίου, καὶ εἰςοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ κατα-
πετάσματος, καὶ ποιήσει τὸ αἷμα αὐτοῦ ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μό-
σχου, καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον κατὰ πρόςωπον τοῦ ἱλαστη-
16 ρίου, [16] καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραὴλ καὶ
ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· καὶ οὕτω ποιή-
σει τῇ σκηνῇ τοῦ μαρτυρίου τῇ ἐκτισμένῃ ἐν αὐτοῖς ἐν μέσῳ τῆς ἀκαθαρσίας
17 αὐτῶν. [17] καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου εἰςπορευο-
μένου αὐτοῦ ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ ἕως ἂν ἐξέλθῃ· καὶ ἐξιλάσεται περὶ ἑαυ-
18 τοῦ καὶ τοῦ οἴκου αὐτοῦ, καὶ περὶ πάσης συναγωγῆς υἱῶν Ἰσραήλ. [18] καὶ
ἐξελεύσεται ἐπὶ τὸ θυσιαστήριον τὸ ὂν ἀπέναντι κυρίου καὶ ἐξιλάσεται ἐπ'
αὐτοῦ· καὶ λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ἀπὸ τοῦ αἵματος τοῦ
19 χιμάρου καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ, [19] καὶ ῥανεῖ
ἐπ' αὐτὸ ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ ἑπτάκις καὶ καθαριεῖ αὐτό, καὶ ἁγιά-
20 σει αὐτὸ ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραήλ. [20] καὶ συντελέσει ἐξιλασκό-

---

XVI. 2. μωυσην λεγων ... ειςπορευεσθωσαν 4. χρωτ. αυτου και κιδαρεις περι τον τραχηλον αυτου, και ζωνη λινη ζωσεται, αγιασμα εστιν· και λουσεται 5. λημψεται δ. χειμαρρους 7. λημψεται ... χειμαρρους 8. χειμαρρους κληρον ενα 9. χειμαρρον ... αυτου κληρος 10. χειμαρρον ... αποπομπην αφησει 11. αμαρτιας τον αυτου και του οικου αυτου μονον, και εξιλ. π. αυτου κ. τ. οικ. αυτου ... τον μοσχον τον ... αμαρτ. τον αυτου 12. λημψεται τ. πυριον 14. λημψεται ... κατ ανατολας 15. χειμαρρον τ. π. της αμαρτιας ... και οισουσιν απο του 16. αμαρτιων αυτου· και ουτως ... εμμεσω 17. ως αν εξελθη ... αυτου pro εαυτου 18. απ αυτου και λημψεται ... χειμαρρου 19. επ αυτου απο ... om των ante υιων

Digitized by Google

μενος τὸ ἅγιον καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον, καὶ περὶ
τῶν ἱερέων καθαριεῖ· καὶ προςάξει τὸν χίμαρον τὸν ζῶντα. [21] καὶ ἐπιθήσει 21
Ἀαρὼν τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξα-
γορεύσει ἐπ᾽ αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ καὶ πάσας τὰς ἀδι-
κίας αὐτῶν καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν, καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφα-
λὴν τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου ἑτοίμου εἰς
τὴν ἔρημον· [22] καὶ λήψεται ὁ χίμαρος ἐφ᾽ ἑαυτῷ τὰς ἀδικίας αὐτῶν εἰς γῆν 22
ἄβατον, καὶ ἐξαποστελεῖ τὸν χίμαρον εἰς τὴν ἔρημον. [23] καὶ εἰςελεύσεται Ἀαρὼν 23
εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐκδύσεται τὴν στολὴν τὴν λινῆν ἣν ἐνδε-
δύκει εἰςπορευομένου αὐτοῦ εἰς τὸ ἅγιον, καὶ ἀποθήσει αὐτὴν ἐκεῖ· [24] καὶ λού- 24
σεται τὸ σῶμα αὐτοῦ ὕδατι ἐν τόπῳ ἁγίῳ καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ,
καὶ ἐξελθὼν ποιήσει τὸ ὁλοκαύτωμα αὐτοῦ καὶ τὸ ὁλοκάρπωμα τοῦ λαοῦ, καὶ
ἐξιλάσεται περὶ αὐτοῦ καὶ περὶ τοῦ οἴκου αὐτοῦ καὶ περὶ τοῦ λαοῦ ὡς περὶ
τῶν ἱερέων· [25] καὶ τὸ στέαρ τὸ περὶ τῶν ἁμαρτιῶν ἀνοίσει ἐπὶ τὸ θυσιαστή- 25
ριον. [26] καὶ ὁ ἐξαποστέλλων τὸν χίμαρον τὸν διεσταλμένον εἰς ἄφεσιν πλυνεῖ 26
τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ μετὰ ταῦτα εἰςελεύσεται
εἰς τὴν παρεμβολήν. [27] καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας καὶ τὸν χίμα- 27
ρον τὸν περὶ τῆς ἁμαρτίας, ὧν τὸ αἷμα εἰςηνέχθη ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ,
*He. 13, 11. ἐξοίσουσιν αὐτὰ ἔξω τῆς παρεμβολῆς καὶ κατακαύσουσιν αὐτὰ ἐν πυρί, καὶ
τὰ δέρματα αὐτῶν καὶ τὰ κρέα αὐτῶν καὶ τὴν κόπρον αὐτῶν· [28] ὁ δὲ κατα- 28
καίων αὐτὰ πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ μετὰ
ταῦτα εἰςελεύσεται εἰς τὴν παρεμβολήν. [29] καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώ- 29
νιον· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ τοῦ μηνὸς ταπεινώσετε τὰς ψυχὰς ὑμῶν
καὶ πᾶν ἔργον οὐ ποιήσετε, ὁ αὐτόχθων καὶ ὁ προςήλυτος ὁ προςκείμενος ἐν
ὑμῖν· [30] ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξιλάσεται περὶ ὑμῶν, καθαρίσαι ὑμᾶς ἀπὸ 30
πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ἔναντι κυρίου, καὶ καθαρισθήσεσθε. [31] σάββατα 31
σαββάτων ἀνάπαυσις αὕτη ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· νόμι-
μον αἰώνιον. [32] ἐξιλάσεται ὁ ἱερεύς, ὃν ἂν χρίσωσιν αὐτὸν καὶ ὃν ἂν τελειώ- 32
σωσι τὰς χεῖρας αὐτοῦ ἱερατεύειν μετὰ τὸν πατέρα αὐτοῦ, καὶ ἐνδύσεται τὴν
στολὴν τὴν λινῆν, στολὴν ἁγίαν· [33] καὶ ἐξιλάσεται τὸ ἅγιον τοῦ ἁγίου, καὶ τὴν 33
σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον ἐξιλάσεται, καὶ περὶ τῶν ἱερέων
καὶ περὶ πάσης συναγωγῆς ἐξιλάσεται. [34] καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώνιον 34
ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· ἅπαξ
τοῦ ἐνιαυτοῦ ποιηθήσεται, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ.

## XVII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον πρὸς Ἀαρὼν καὶ 2
πρὸς τοὺς υἱοὺς αὐτοῦ καὶ πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς
Τοῦτο τὸ ῥῆμα ὃ ἐνετείλατο κύριος λέγων [3] Ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν 3
Ἰσραὴλ ἢ τῶν προςηλύτων τῶν προςκειμένων ἐν ὑμῖν ὃς ἐὰν σφάξῃ μόσχον
ἢ πρόβατον ἢ αἶγα ἐν τῇ παρεμβολῇ, καὶ ὃς ἂν σφάξῃ ἔξω τῆς παρεμβολῆς
[4] καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ ὥστε ποιῆσαι αὐτὸ 4
εἰς ὁλοκαύτωμα ἢ σωτήριον κυρίῳ δεκτὸν εἰς ὀσμὴν εὐωδίας, καὶ ὃς ἂν σφάξῃ
ἔξω καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ αὐτὸ ὥστε προς-
ενέγκαι δῶρον τῷ κυρίῳ ἀπέναντι τῆς σκηνῆς κυρίου, καὶ λογισθήσεται τῷ ἀν-

---

20. προςαξ. αρων τ. χειμαρρον 21. προςαξει pro επιθησει ... χειμαρρου bis ... * om ετοιμου (?) 22. λημψεται ο χειμαρρος ... χειμαρρον (23. ενεδυκει) 24. εκδυσεται ... ολοκαρπωμα pro ολοκαυτωμα ... om περι ante του οικου ... om και περι του λαου 26. 27. χειμαρρον 29. om δεκατη τ. μηνος ... ταπεινωσατε 32. τελειωσουσιν 34. καθαπερ XVII. 2. παντας τους υιους 3. προςηλ. η των προςχ. ... αν pro εαν 4. σωτηριον κυριου ... ωςτε μη προσενεγκαι δωρ. κυριω

Digitized by Google

θρώπῳ ἐκείνῳ αἷμα· αἷμα ἐξέχεεν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ
5 λαοῦ αὐτῆς. [5] ὅπως ἀναφέρωσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν ὅσας αὐτοὶ
σφάξουσιν ἐν τοῖς πεδίοις, καὶ οἴσουσι τῷ κυρίῳ ἐπὶ τὰς θύρας τῆς σκηνῆς
τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα, καὶ θύσουσι θυσίαν σωτηρίου τῷ κυρίῳ αὐτά·
6 [6] καὶ προςχεεῖ ὁ ἱερεὺς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ ἀπέναντι κυρίου
παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀνοίσει τὸ στέαρ εἰς ὀσμὴν
7 εὐωδίας κυρίῳ· [7] καὶ οὐ θύσουσιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, οἷς αὐτοὶ
ἐκπορνεύουσιν ὀπίσω αὐτῶν· νόμιμον αἰώνιον ἔσται ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν.
8 [8] καὶ ἐρεῖς πρὸς αὐτούς Ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ ἀπὸ τῶν υἱῶν
τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν ὃς ἂν ποιήσῃ ὁλοκαύτωμα ἢ θυ-
9 σίαν [9] καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ ποιῆσαι αὐτὸ
10 τῷ κυρίῳ, ἐξολοθρευθήσεται ὁ ἄνθρωπος ἐκεῖνος ἐκ τοῦ λαοῦ αὐτοῦ. [10] καὶ
ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν
ὑμῖν ὃς ἂν φάγῃ πᾶν αἷμα, καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν
11 τὴν ἔσθουσαν τὸ αἷμα καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς. [11] ἡ γὰρ ψυχὴ
πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστί, καὶ ἐγὼ δέδωκα αὐτὸ ὑμῖν ἐπὶ τοῦ θυσιαστη-
ρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ ψυχῆς ἐξι-
12 λάσεται. [12] διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραὴλ Πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φά-
13 γεται αἷμα, καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν οὐ φάγεται αἷμα. [13] καὶ
ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν
ὑμῖν ὃς ἂν θηρεύσῃ θήρευμα θηρίον ἢ πετεινὸν ὃ ἔσθεται, καὶ ἐκχεεῖ τὸ αἷμα
14 καὶ καλύψει αὐτὸ τῇ γῇ· [14] ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστί. καὶ
εἶπα τοῖς υἱοῖς Ἰσραὴλ Αἷμα πάσης σαρκὸς οὐ φάγεσθε, ὅτι ἡ ψυχὴ πάσης
15 σαρκὸς αἷμα αὐτοῦ ἐστί· πᾶς ὁ ἔσθων αὐτὸ ἐξολοθρευθήσεται. [15] καὶ πᾶσα
ψυχὴ ἥτις φάγεται θνησιμαῖον ἢ θηριάλωτον, ἐν τοῖς αὐτόχθοσιν ἢ ἐν τοῖς προς-
ηλύτοις, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως
16 ἑσπέρας, καὶ καθαρὸς ἔσται· [16] ἐὰν δὲ μὴ πλύνῃ τὰ ἱμάτια καὶ τὸ σῶμα μὴ
λούσηται ὕδατι, καὶ λήψεται ἀνόμημα αὐτοῦ.

## XVIII.

2 Καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ
3 ἐρεῖς πρὸς αὐτούς Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [3] κατὰ τὰ ἐπιτηδεύματα Αἰγύ-
πτου, ἐν ᾗ κατῳκήσατε ἐπ' αὐτῇ, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς
Χαναάν, εἰς ἣν ἐγὼ εἰςάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν
4 οὐ πορεύσεσθε. [4] τὰ κρίματά μου ποιήσετε καὶ τὰ προστάγματά μου φυλά-
5 ξεσθε καὶ πορεύεσθε ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [5] καὶ φυλάξεσθε
πάντα τὰ προστάγματά μου καὶ πάντα τὰ κρίματα μου, καὶ ποιήσετε αὐτά·
6 ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [6] ἄν- Ro. 10,
θρωπος ἄνθρωπος πρὸς πάντα οἰκεῖα σαρκὸς αὐτοῦ οὐ προσελεύσεται ἀποκα- 5. Ga.3,
7 λύψαι ἀσχημοσύνην· ἐγὼ κύριος. [7] ἀσχημοσύνην πατρός σου καὶ ἀσχημοσύνην 12. *Lc. 10, 28.
μητρός σου οὐκ ἀποκαλύψεις· μήτηρ γάρ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχη-
8 μοσύνην αὐτῆς. [8] ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις· ἀσχη-
9 μοσύνη πατρός σού ἐστιν. [9] ἀσχημοσύνην τῆς ἀδελφῆς σου ἐκ πατρός σου ἢ
ἐκ μητρός σου, ἐνδογενοῦς ἢ γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις ἀσχημοσύ-
10 νην αὐτῶν. [10] ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου ἢ θυγατρὸς θυγατρός σου, οὐκ

4. εξολεθρευθησεται 5. σφαξωσιν 7. θυσουσ. επι τας θυρας αυτων τοις 8. ισραηλ και απο 9. ** (etiam * ?) om και ab initio ... εξολεθρευθησεται 10. των pro η των ... λαου αυτου 11. αντι της ψυχης 13. ισραηλ και των ... το αιμα αυτου 14. εξολεθρευθησεται 16. λημψεται XVIII. 3. γης αιγυπτου ... επ αυτης ... και εν τοις 4. om και ante πορευεσθε 5. φυλαξασθε ... om αυτα poster. 7. εστιν, και ουκ 9. ενδογ. γεγενν. η εξω ... ασχημοσ. αυτης 10. om θυγατρος σου

Digitized by Google

ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι σὴ ἀσχημοσύνη ἐστίν. 11 ἀσχημο- 11
σύνην θυγατρὸς γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις· ὁμοπατρία ἀδελφή σού
ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. 12 ἀσχημοσύνην ἀδελφῆς πα- 12
τρός σου οὐκ ἀποκαλύψεις· οἰκεία γὰρ πατρός σού ἐστιν. 13 ἀσχημοσύνην ἀδελ- 13
φῆς μητρός σου οὐκ ἀποκαλύψεις· οἰκεία γὰρ μητρός σού ἐστιν. 14 ἀσχημο- 14
σύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀποκαλύψεις, καὶ πρὸς τὴν γυναῖκα αὐ-
τοῦ οὐκ εἰςελεύσῃ· συγγενὴς γάρ σού ἐστιν. 15 ἀσχημοσύνην νύμφης σου οὐκ 15
ἀποκαλύψεις· γυνὴ γὰρ υἱοῦ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐ-
τῆς. 16 ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις· ἀσχημοσύνη ἀδελ- 16
φοῦ σού ἐστιν. 17 ἀσχημοσύνην γυναικὸς καὶ θυγατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις· 17
τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς καὶ τὴν θυγατέρα τῆς θυγατρὸς αὐτῆς οὐ λήψῃ
ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῶν· οἰκεῖαι γάρ σού εἰσιν, ἀσέβημά ἐστι.
18 γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύ- 18
νην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς. 19 καὶ πρὸς γυναῖκα ἐν χωρισμῷ ἀκα- 19
θαρσίας αὐτῆς οὐκ εἰςελεύσῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς. 20 καὶ πρὸς 20
τὴν γυναῖκα τοῦ πλησίον σου οὐ δώσεις κοίτην σπέρματός σου ἐκμιανθῆναι πρὸς
αὐτήν. 21 καὶ ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι, καὶ οὐ βε- 21
βηλώσεις τὸ ὄνομα τὸ ἅγιον· ἐγὼ κύριος. 22 καὶ μετὰ ἄρσενος οὐ κοιμηθήσῃ 22
κοίτην γυναικείαν· βδέλυγμα γάρ ἐστι. 23 καὶ πρὸς πᾶν τετράπουν οὐ δώσεις 23
τὴν κοίτην σου εἰς σπερματισμὸν ἐκμιανθῆναι πρὸς αὐτό· καὶ γυνὴ οὐ στή-
σεται πρὸς πᾶν τετράπουν βιβασθῆναι· μυσαρὸν γάρ ἐστι. 24 μὴ μιαίνεσθε ἐν 24
πᾶσι τούτοις· ἐν πᾶσι γὰρ τούτοις ἐμιάνθησαν τὰ ἔθνη ἃ ἐγὼ ἐξαποστέλλω
πρὸ προσώπου ὑμῶν, 25 καὶ ἐξεμιάνθη ἡ γῆ· καὶ ἀνταπέδωκα ἀδικίαν αὐτοῖς 25
δι' αὐτήν, καὶ προσώχθισεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ' αὐτῆς. 26 καὶ φυλά- 26
ξεσθε πάντα τὰ νόμιμά μου καὶ πάντα τὰ προστάγματά μου, καὶ οὐ ποιήσετε
ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ὁ ἐγχώριος καὶ ὁ προςγενόμενος προςή-
λυτος ἐν ὑμῖν· 27 πάντα γὰρ τὰ βδελύγματα ταῦτα ἐποίησαν οἱ ἄνθρωποι τῆς 27
γῆς οἱ ὄντες πρότερον ὑμῶν, καὶ ἐμιάνθη ἡ γῆ· 28 καὶ ἵνα μὴ προςοχθίσῃ 28
ὑμῖν ἡ γῆ ἐν τῷ μιαίνειν ὑμᾶς αὐτήν, ὃν τρόπον προςώχθισε τοῖς ἔθνεσι τοῖς
πρὸ ὑμῶν· 29 ὅτι πᾶς ὃς ἐὰν ποιήσῃ ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, 29
ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι ἐκ τοῦ λαοῦ αὐτῶν. 30 καὶ φυλάξετε 30
τὰ προστάγματά μου, ὅπως μὴ ποιήσητε ἀπὸ πάντων τῶν νομίμων τῶν ἐβδε-
λυγμένων ἃ γέγονε πρὸ τοῦ ὑμᾶς, καὶ οὐ μιανθήσεσθε ἐν αὐτοῖς, ὅτι ἐγὼ κύ-
ριος ὁ θεὸς ὑμῶν.

## XIX.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Λάλησον τῇ συναγωγῇ τῶν 2
1 Pe. 1, υἱῶν Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ κύριος ὁ
16. θεὸς ὑμῶν. 3 ἕκαστος πατέρα αὐτοῦ καὶ μητέρα αὐτοῦ φοβείσθω, καὶ τὰ σάβ- 3
βατά μου φυλάξεσθε· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. 4 οὐκ ἐπακολουθήσετε εἰδώ- 4
λοις, καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσετε ὑμῖν· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. 5 καὶ 5
ἐὰν θύσητε θυσίαν σωτηρίου τῷ κυρίῳ, δεκτὴν ὑμῶν θύσετε· 6 ᾗ ἂν ἡμέρᾳ 6
θύσετε βρωθήσεται καὶ τῇ αὔριον· καὶ ἐὰν καταλειφθῇ ἕως ἡμέρας τρίτης,
ἐν πυρὶ κατακαυθήσεται. 7 ἐὰν δὲ βρώσει βρωθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄθυτόν 7

---

10. om σὴ 12. οικ. γαρ μητρος 13. om versus 16. γυνη γαρ pro ασχημοσυνη 17. 18. λημψη 19. ου προσελευση 22. κοιτην γυναικος 23. δωσεις κοιτην ... μυσερον 24. εξαποστελω 25. εμιανθη ... αδικιαν αυτων ... η γη εν τοις εγκαταλελιμμενοις 26. om και παντα τ. προστ. μου ... ο εγχ. η ο προςηλ. ο προςγεν. 27. προτεροι υμων· εμιανθη 28. προςωχθεισεν εν τοις 29. ος αν ... εξολεθρευθησονται 30. ανομων pro νομιμων ... ο γεγονεν ... αυτοις· εγω XIX. 2. εγω αγιος 3. om και μητερα αυτου 5. δεκατην υμων 6. θυσητε

Digitized by Google

8 ἐστιν, οὐ δεχθήσεται· [8]ὁ δὲ ἔσθων αὐτὸ ἁμαρτίαν λήψεται, ὅτι τὰ ἅγια κυ-
ρίου ἐβεβήλωσε· καὶ ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ἔσθουσαι ἐκ τοῦ λαοῦ
9 αὐτῶν. [9]καὶ ἐκθεριζόντων ὑμῶν τὸν θερισμὸν τῆς γῆς ὑμῶν οὐ συντελέσετε
τὸν θερισμὸν ὑμῶν τοῦ ἀγροῦ σου ἐκθερίσαι, καὶ τὰ ἀποπίπτοντα τοῦ θερι-
10 σμοῦ σου οὐ συλλέξεις· [10]καὶ τὸν ἀμπελῶνά σου οὐκ ἐπανατρυγήσεις, οὐδὲ
τὰς ῥῶγας τοῦ ἀμπελῶνός σου συλλέξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ κα-
11 ταλείψεις αὐτά· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [11]οὐ κλέψετε, οὐ ψεύσεσθε,
12 οὐδὲ συκοφαντήσει ἕκαστος τὸν πλησίον. [12]καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου
ἐπ' ἀδίκῳ, καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τὸ ἅγιον τοῦ θεοῦ ὑμῶν· ἐγώ εἰμι* Mt. 5, 33.
13 κύριος ὁ θεὸς ὑμῶν. [13]οὐκ ἀδικήσεις τὸν πλησίον, καὶ οὐχ ἁρπᾷ, καὶ οὐ μὴ
14 κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ σου παρὰ σοὶ ἕως πρωΐ. [14]οὐ κακῶς
ἐρεῖς κωφόν, καὶ ἀπέναντι τυφλοῦ οὐ προσθήσεις σκάνδαλον· καὶ φοβηθήσῃ
15 κύριον τὸν θεόν σου, ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [15]οὐ ποιήσετε ἄδικον ἐν
κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου,
16 ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου. [16]οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου·
17 οὐκ ἐπιστήσῃ ἐφ' αἷμα τοῦ πλησίον σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [17]οὐ μι-
σήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου,
18 καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. [18]καὶ οὐκ ἐκδικᾶταί σου ἡ χείρ, καὶ οὐ
μηνιεῖς τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·* Mt. 19, 19. 22, 39. 5, 43. Ro. 13, 9. Ga. 5, 14. Ja. 2, 8.
19 ἐγώ εἰμι κύριος. [19]τὸν νόμον μου φυλάξεσθε· τὰ κτήνη σου οὐ κατοχεύσεις
ἑτεροζύγῳ, καὶ τὸν ἀμπελῶνά σου οὐ κατασπερεῖς διάφορον, καὶ ἱμάτιον ἐκ
20 δύο ὑφασμένον κίβδηλον οὐκ ἐπιβαλεῖς σεαυτῷ. [20]καὶ ἐάν τις κοιμηθῇ μετὰ
γυναικὸς κοίτην σπέρματος, καὶ αὕτη ᾖ οἰκέτις διαπεφυλαγμένη ἀνθρώπῳ, καὶ
αὕτη λύτροις οὐ λελύτρωται ἢ ἐλευθερία οὐκ ἐδόθη αὐτῇ, ἐπισκοπὴ ἔσται αὐ-
21 τοῖς· οὐκ ἀποθανοῦνται, ὅτι οὐκ ἀπηλευθερώθη· [21]καὶ προσάξει τῆς πλημ-
μελείας αὐτοῦ τῷ κυρίῳ παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου κριὸν πλημ-
22 μελείας· [22]καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ τῆς πλημμελείας
ἔναντι κυρίου περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρ-
23 τία ἣν ἥμαρτεν. [23]ὅταν δὲ εἰσέλθητε εἰς τὴν γῆν ἣν κύριος ὁ θεὸς ὑμῶν δί-
δωσιν ὑμῖν, καὶ καταφυτεύσετε πᾶν ξύλον βρώσιμον, καὶ περικαθαριεῖτε τὴν
ἀκαθαρσίαν αὐτοῦ· ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ὑμῖν ἀπερικάθαρτος, οὐ
24 βρωθήσεται. [24]καὶ τῷ ἔτει τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος αἱ-
25 νετὸς τῷ κυρίῳ, [25]ἐν δὲ τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν, πρόσθεμα
26 ὑμῖν τὰ γεννήματα αὐτοῦ· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [26]μὴ ἔσθετε ἐπὶ
27 τῶν ὀρέων, καὶ οὐκ οἰωνιεῖσθε οὐδὲ ὀρνιθοσκοπήσεσθε. [27]οὐ ποιήσετε σισόην
ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν.
28 [28]καὶ ἐντομίδας οὐ ποιήσετε ἐπὶ ψυχῇ ἐν τῷ σώματι ὑμῶν, καὶ γράμματα
29 στικτὰ οὐ ποιήσετε ἐν ὑμῖν· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [29]οὐ βεβηλώσεις
τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτήν· καὶ οὐκ ἐκπορνεύσει ἡ γῆ, καὶ ἡ γῆ
30 πλησθήσεται ἀνομίας. [30]τὰ σάββατά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου
31 φοβηθήσεσθε· ἐγώ εἰμι κύριος. [31]οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις καὶ τοῖς
ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε ἐκμιανθῆναι ἐν αὐτοῖς· ἐγώ εἰμι κύριος ὁ θεὸς
32 ὑμῶν. [32]ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέ-
33 ρου· καὶ φοβηθήσῃ τὸν θεόν σου, ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [33]ἐὰν δέ τις

---

8. λημψεται ... εξολεθρευθησονται (9. om ου συντ. τ. θ. υμων) 10. τους ρωγας 11. ου συκοφ. 12. βεβηλωσεται ... om το αγιον ... om ειμι 13. ουκ αρπασεις ... του μισθιου παρα 14. προθησεις 15. λημψη ... ου θαυμασεις 16. εφ αιματι 17. λημψη 18 μηνιοις 19. φυλαξασθε 20. αυτη οικετις 23. καταφυτευσητε ... om ο καρπος αυτου ... απερικαθαρτον 25. γενηματα 26. οιωνισθε ... ορνιθοσκοπηθησεσθε 28. επι ψυχης ου ποιησετε ... om ειμι 29. εμπληθησεται 31. επακολουθησεσθε εγγαστριμυθοις

Digitized by Google

προςέλθῃ ὑμῖν προςήλυτος ἐν τῇ γῇ ὑμῶν, οὐ θλίψετε αὐτόν· [34] ὡς ὁ αὐτό- 34
χθων ἐν ὑμῖν ἔσται ὁ προςήλυτος ὁ προςπορευόμενος πρὸς ὑμᾶς, καὶ ἀγαπή-
σεις αὐτὸν ὡς σεαυτόν· ὅτι προςήλυτοι ἐγενήθητε ἐν γῇ Αἰγύπτῳ· ἐγώ εἰμι
κύριος ὁ θεὸς ὑμῶν. [35] οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις καὶ ἐν στα- 35
θμίοις καὶ ἐν ζυγοῖς· [36] ζυγὰ δίκαια καὶ σταθμία δίκαια καὶ χοῦς δίκαιος 36
ἔσται ἐν ὑμῖν· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰ-
γύπτου. [37] καὶ φυλάξεσθε πάντα τὸν νόμον μου καὶ πάντα τὰ προςτάγματά μου, 37
καὶ ποιήσετε αὐτά· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.

## XX.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λα- 2
λήσεις Ἐάν τις ἀπὸ τῶν υἱῶν Ἰσραὴλ ἢ ἀπὸ τῶν γεγενημένων προςηλύτων
ἐν Ἰσραὴλ ὃς ἂν δῷ τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, θανάτῳ θανατούσθω·
τὸ ἔθνος τὸ ἐπὶ τῆς γῆς λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις. [3] καὶ ἐγὼ ἐπιστήσω 3
τὸ πρόςωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον καὶ ἀπολῶ αὐτὸν ἐκ τοῦ λαοῦ
αὐτοῦ, ὅτι τοῦ σπέρματος αὐτοῦ ἔδωκεν ἄρχοντι, ἵνα μιάνῃ τὰ ἅγιά μου καὶ
βεβηλώσῃ τὸ ὄνομα τῶν ἡγιασμένων μοι. [4] ἐὰν δὲ ὑπερόψει ὑπερίδωσιν οἱ αὐ- 4
τόχθονες τῆς γῆς τοῖς ὀφθαλμοῖς αὐτῶν ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου, ἐν τῷ
δοῦναι αὐτὸν τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, τοῦ μὴ ἀποκτεῖναι αὐτόν· [5] καὶ 5
ἐπιστήσω τὸ πρόςωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον καὶ τὴν συγγένειαν αὐ-
τοῦ, καὶ ἀπολῶ αὐτὸν καὶ πάντας τοὺς ὁμονοοῦντας αὐτῷ ὥςτε ἐκπορνεύειν
αὐτὸν εἰς τοὺς ἄρχοντας, ἐκ τοῦ λαοῦ αὐτῶν. [6] καὶ ψυχὴ ἣ ἂν ἐπακολουθήσῃ 6
ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς ὥςτε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόςω-
πόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς. [7] καὶ 7
ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [8] καὶ φυλάξεσθε τὰ προς- 8
τάγματά μου καὶ ποιήσετε αὐτά, ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς. [9] ἄνθρωπος ἄν- 9
θρωπος ὃς ἂν κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ θανάτῳ
θανατούσθω· πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ κακῶς εἶπεν, ἔνοχος ἔσται. [10] ἄν- 10
θρωπος ὃς ἂν μοιχεύσηται γυναῖκα ἀνδρός, ἢ ὃς ἂν μοιχεύσηται γυναῖκα τοῦ
Jo. 8, 5. πλησίον, θανάτῳ θανατούσθωσαν ὁ μοιχεύων καὶ ἡ μοιχευομένη. [11] καὶ ἐάν 11
τις κοιμηθῇ μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ἀσχημοσύνην τοῦ πατρὸς αὐτοῦ
ἀπεκάλυψε, θανάτῳ θανατούσθωσαν ἀμφότεροι, ἔνοχοί εἰσι. [12] καὶ ἐάν τις κοι- 12
μηθῇ μετὰ νύμφης αὐτοῦ, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· ἠσεβήκασι γάρ,
ἔνοχοί εἰσιν. [13] καὶ ὃς ἂν κοιμηθῇ μετὰ ἄρσενος κοίτην γυναικός, βδέλυγμα 13
ἐποίησαν ἀμφότεροι· θανάτῳ θανατούσθωσαν, ἔνοχοί εἰσιν. [14] ὃς ἂν λάβῃ γυ- 14
ναῖκα καὶ τὴν μητέρα αὐτῆς, ἀνόμημά ἐστιν· ἐν πυρὶ κατακαύσουσιν αὐτὸν
καὶ αὐτάς, καὶ οὐκ ἔσται ἀνομία ἐν ὑμῖν. [15] καὶ ὃς ἂν δῷ κοιτασίαν αὐτοῦ 15
ἐν τετράποδι, θανάτῳ θανατούσθω, καὶ τὸ τετράπουν ἀποκτενεῖτε. [16] καὶ γυνὴ 16
ἥτις προςελεύσεται πρὸς πᾶν κτῆνος βιβασθῆναι αὐτὴν ὑπ᾽ αὐτοῦ, ἀποκτενεῖτε
τὴν γυναῖκα καὶ τὸ κτῆνος· θανάτῳ θανατούσθωσαν, ἔνοχοί εἰσιν. [17] ὃς ἂν 17
λάβῃ τὴν ἀδελφὴν αὐτοῦ ἐκ πατρὸς αὐτοῦ ἢ ἐκ μητρὸς αὐτοῦ, καὶ ἴδῃ τὴν
ἀσχημοσύνην αὐτῆς καὶ αὕτη ἴδῃ τὴν ἀσχημοσύνην αὐτοῦ, ὄνειδός ἐστιν, ἐξο-
λοθρευθήσονται ἐνώπιον υἱῶν γένους αὐτῶν· ἀσχημοσύνην ἀδελφῆς αὐτοῦ ἀπε-
κάλυψεν, ἁμαρτίαν κομιοῦνται. [18] καὶ ἀνὴρ ὃς ἂν κοιμηθῇ μετὰ γυναικὸς ἀπο- 18
καθημένης καὶ ἀποκαλύψῃ τὴν ἀσχημοσύνην αὐτῆς, τὴν πηγὴν αὐτῆς ἀπεκά-
λυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς, ἐξολοθρευθήσονται

33. προσηλυτος υμιν 34. ως αυτοχθων 36. εσται υμιν 37. φυλαξασθε XX. 2. η των προσγεγεννημενων προσηλ. εν τω ισρ. ... δω απο του 4. om του ante μη 6. ψυχη εαν ... λαου αυτου 7. οτι εγω κυρ. ο θ. υμ. αγιος ειμι 8. κυρ. ο θεος υμων ο αγ. υμ. 9. ος ειπη κακως 11. om και ab initio 12. om και 13. εποιησεν ... om θανατω 14. ανομημα pro ανομια 16. απ αυτου 17. εξολεθρευθησονται 18. εξολεθρευθησονται

Digitized by Google

19 ἀμφότεροι ἐκ τῆς γενεᾶς αὐτῶν. [19] καὶ ἀσχημοσύνην ἀδελφῆς πατρός σου καὶ
ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις· τὴν γὰρ οἰκειότητα ἀπεκάλυψεν, ἁμαρ-
20 τίαν ἀποίσονται. [20] ὃς ἂν κοιμηθῇ μετὰ τῆς συγγενοῦς αὐτοῦ, ἀσχημοσύνην
21 τῆς συγγενείας αὐτοῦ ἀπεκάλυψεν· ἄτεκνοι ἀποθανοῦνται. [21] ὃς ἐὰν λάβῃ γυ-
ναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἀκαθαρσία ἐστίν· ἀσχημοσύνην τοῦ ἀδελφοῦ αὐ-
22 τοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται. [22] καὶ φυλάξασθε πάντα τὰ προστά-
γματά μου καὶ τὰ κρίματά μου, καὶ ποιήσετε αὐτά· καὶ οὐ μὴ προσοχθίσῃ
23 ὑμῖν ἡ γῆ εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ κατοικεῖν ἐπ' αὐτῆς. [23] καὶ οὐχὶ πο-
ρεύεσθε τοῖς νομίμοις τῶν ἐθνῶν, οὓς ἐξαποστέλλω ἀφ' ὑμῶν, ὅτι ταῦτα πάντα
24 ἐποίησαν, καὶ ἐβδελυξάμην αὐτούς. [24] καὶ εἶπα ὑμῖν Ὑμεῖς κληρονομήσετε τὴν
γῆν αὐτῶν, καὶ ἐγὼ δώσω ὑμῖν αὐτὴν ἐν κτήσει, γῆν ῥέουσαν γάλα καὶ μέλι·
25 ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὃς διώρισα ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν. [25] καὶ ἀφο-
ριεῖτε αὐτοὺς ἀνὰ μέσον τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀνὰ μέσον τῶν κτηνῶν
τῶν ἀκαθάρτων, καὶ ἀνὰ μέσον τῶν πετεινῶν τῶν καθαρῶν καὶ τῶν ἀκαθάρ-
των· καὶ οὐ βδελύξετε τὰς ψυχὰς ὑμῶν ἐν τοῖς κτήνεσι καὶ ἐν τοῖς πετει-
νοῖς καὶ ἐν πᾶσι τοῖς ἑρπετοῖς τῆς γῆς ἃ ἐγὼ ἀφώρισα ὑμῖν ἐν ἀκαθαρσίᾳ.
26 [26] καὶ ἔσεσθέ μοι ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι κύριος ὁ θεὸς ὑμῶν, ὁ ἀφορίσας
27 ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν εἶναί μοι. [27] καὶ ἀνὴρ ἢ γυνὴ ὃς ἂν γένηται
αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδός, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· λίθοις
λιθοβολήσετε αὐτούς, ἔνοχοί εἰσι.

## XXI.

Καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων Εἰπὸν τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀα-
ρὼν καὶ ἐρεῖς πρὸς αὐτοὺς Ἐν ταῖς ψυχαῖς οὐ μιανθήσονται ἐν τῷ ἔθνει αὐ-
2 τῶν, [2] ἀλλ' ἢ ἐν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτῶν, ἐπὶ πατρὶ καὶ μητρί, καὶ υἱοῖς
3 καὶ θυγατράσιν, ἐπ' ἀδελφῷ [3] καὶ ἐπ' ἀδελφῇ παρθένῳ τῇ ἐγγιζούσῃ αὐτῷ
4 τῇ μὴ ἐκδεδομένῃ ἀνδρί, ἐπὶ τούτοις μιανθήσεται. [4] οὐ μιανθήσεται ἐξάπινα
5 ἐν τῷ λαῷ αὐτοῦ εἰς βεβήλωσιν αὐτοῦ. [5] καὶ φαλάκρωμα οὐ ξυρηθήσεσθε τὴν
κεφαλὴν ἐπὶ νεκρῷ, καὶ τὴν ὄψιν τοῦ πώγωνος οὐ ξυρήσονται, καὶ ἐπὶ τὰς
6 σάρκας αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας. [6] ἅγιοι ἔσονται τῷ θεῷ αὐτῶν, καὶ
οὐ βεβηλώσουσι τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν· τὰς γὰρ θυσίας κυρίου δῶρα τοῦ
7 θεοῦ αὐτῶν αὐτοὶ προσφέρουσι, καὶ ἔσονται ἅγιοι. [7] γυναῖκα πόρνην καὶ βε-
βηλωμένην οὐ λήψονται καὶ γυναῖκα ἐκβεβλημένην ἀπὸ ἀνδρὸς αὐτῆς, ὅτι
8 ἅγιός ἐστι κυρίῳ τῷ θεῷ αὐτοῦ. [8] καὶ ἁγιάσεις αὐτόν· τὰ δῶρα κυρίου τοῦ
θεοῦ ὑμῶν οὗτος προσφέρει· ἅγιος ἔσται, ὅτι ἅγιος ἐγὼ κύριος ὁ ἁγιάζων
9 αὐτούς. [9] καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν βεβηλωθῇ τοῦ ἐκπορνεῦσαι, τὸ
10 ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ· ἐπὶ πυρὸς κατακαυθήσεται. [10] καὶ ὁ
ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπικεχυμένου ἐπὶ τὴν κεφαλὴν
τοῦ ἐλαίου τοῦ χριστοῦ καὶ τετελειωμένου ἐνδύσασθαι τὰ ἱμάτια, τὴν κεφα-
11 λὴν οὐκ ἀποκιδαρώσει καὶ τὰ ἱμάτια οὐ διαρρήξει, [11] καὶ ἐπὶ πάσῃ ψυχῇ
τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται, ἐπὶ πατρὶ αὐτοῦ οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ οὐ
12 μιανθήσεται, [12] καὶ ἐκ τῶν ἁγίων οὐκ ἐξελεύσεται καὶ οὐ βεβηλώσει τὸ ἡγια-
σμένον τοῦ θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον ἔλαιον τὸ χριστὸν τοῦ θεοῦ ἐπ' αὐτῷ·
13 14 ἐγὼ κύριος. [13] οὗτος γυναῖκα παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήψεται· [14] χήραν
δὲ καὶ ἐκβεβλημένην καὶ βεβηλωμένην καὶ πόρνην, ταύτας οὐ λήψεται, ἀλλ'

---

18. εκ του γενους 19. οικειοτ. απεκαλυψας 21. ος αν λαβ. την γυν. 22. μου ποιειν αυτα ... προσοχθ. υμας 23. εξαποστελω 25. και των πετεινων τ. ακαθαρτων και των καθαρων ... εγω pro α εγω 26. ειναι εμοι 27. λιθοβολησατε XXI. 1. μιανθησεσθε 2. και επι μητρι κ. επι υι. κ. επι θυγ. 3. τη μη εγγιζουση ανδρι ... μιανθησεσθαι 4. om ου μιανθησεται 5. ξυρησεται 7. λημψονται ... om οτι ... κυριω θεω 8. αγιασει 13. om γυναικα ... λημψεται 14. εβδελυγμενην pro εκβεβλημενην ... λημψεται bis

Digitized by Google

ἢ παρθένον ἐκ τοῦ λαοῦ αὐτοῦ λήψεται γυναῖκα· [15] καὶ οὐ βεβηλώσει τὸ 15
σπέρμα αὐτοῦ ἐν τῷ λαῷ αὐτοῦ· ἐγὼ κύριος ὁ ἁγιάζων αὐτόν. [16] καὶ ἐλά- 16
λησε κύριος πρὸς Μωυσῆν λέγων [17] Εἰπὸν Ἀαρών Ἄνθρωπος ἐκ τοῦ γένους 17
σου εἰς τὰς γενεὰς ὑμῶν, τίνι ἐὰν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται προσ-
φέρειν τὰ δῶρα τοῦ θεοῦ αὐτοῦ. [18] πᾶς ἄνθρωπος ᾧ ἐστιν ἐν αὐτῷ μῶμος 18
οὐ προσελεύσεται· ἄνθρωπος τυφλὸς ἢ χωλὸς ἢ κολοβόριν ἢ ὠτότμητος, [19] ἢ ἄν- 19
θρωπος ᾧ ἂν ᾖ ἐν αὐτῷ σύντριμμα χειρὸς ἢ σύντριμμα ποδός, [20] ἢ κυρτὸς 20
ἢ ἔφηλος ἢ πτίλλος τοὺς ὀφθαλμούς, ἢ ἄνθρωπος ᾧ ἂν ᾖ ἐν αὐτῷ ψώρα
ἀγρία ἢ λειχὴν ἢ μονόρχις, [21] πᾶς ᾧ ἐστιν ἐν αὐτῷ μῶμος ἐκ τοῦ σπέρμα- 21
τος Ἀαρὼν τοῦ ἱερέως οὐκ ἐγγιεῖ τοῦ προσενεγκεῖν τὰς θυσίας τῷ θεῷ σου,
ὅτι μῶμος ἐν αὐτῷ· τὰ δῶρα τοῦ θεοῦ οὐ προσελεύσεται προσενεγκεῖν. [22] τὰ 22
δῶρα τοῦ θεοῦ τὰ ἅγια τῶν ἁγίων καὶ ἀπὸ τῶν ἁγίων φάγεται· [23] πλὴν πρὸς 23
τὸ καταπέτασμα οὐ προσελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ, ὅτι
μῶμον ἔχει· καὶ οὐ βεβηλώσει τὸ ἅγιον τοῦ θεοῦ αὐτοῦ, ὅτι ἐγώ εἰμι κύριος
ὁ ἁγιάζων αὐτούς. [24] καὶ ἐλάλησε Μωυσῆς πρὸς Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐ- 24
τοῦ καὶ πρὸς πάντας υἱοὺς Ἰσραήλ.

## XXII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Εἰπὸν Ἀαρὼν καὶ τοῖς υἱοῖς 2
αὐτοῦ Καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν υἱῶν Ἰσραήλ, καὶ οὐ βεβηλώ-
σουσι τὸ ὄνομα τὸ ἅγιόν μου, ὅσα αὐτοὶ ἁγιάζουσί μοι· ἐγὼ κύριος. [3] εἰπὸν 3
αὐτοῖς Εἰς τὰς γενεὰς ὑμῶν πᾶς ἄνθρωπος ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ
σπέρματος ὑμῶν πρὸς τὰ ἅγια ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ κυρίῳ,
καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτῷ ᾖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ᾽
ἐμοῦ· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [4] καὶ ἄνθρωπος ἐκ τοῦ σπέρματος Ἀαρὼν 4
τοῦ ἱερέως, καὶ οὗτος λεπρᾷ ἢ γονοῤῥυεῖ, τῶν ἁγίων οὐκ ἔδεται ἕως ἂν κα-
θαρισθῇ· καὶ ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς, ἢ ἄνθρωπος ᾧ ἂν ἐξέλθῃ
ἐξ αὐτοῦ κοίτη σπέρματος, [5] ἢ ὅστις ἂν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου ὃ 5
μιανεῖ αὐτόν, ἢ ἐπ᾽ ἀνθρώπῳ ἐν ᾧ μιανεῖ αὐτὸν κατὰ πᾶσαν ἀκαθαρσίαν
αὐτοῦ, [6] ψυχὴ ἥτις ἐὰν ἅψηται αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· οὐκ 6
ἔδεται ἀπὸ τῶν ἁγίων ἐὰν μὴ λούσηται τὸ σῶμα αὐτοῦ ὕδατι [7] καὶ δύῃ ὁ 7
ἥλιος καὶ καθαρὸς ἔσται· καὶ τότε φάγεται τῶν ἁγίων, ὅτι ἄρτος αὐτοῦ ἐστί.
[8] θνησιμαῖον καὶ θηριάλωτον οὐ φάγεται, μιανθῆναι αὐτὸν ἐν αὐτοῖς· ἐγὼ 8
κύριος. [9] καὶ φυλάξονται τὰ φυλάγματά μου, ἵνα μὴ λάβωσι δι᾽ αὐτὰ ἁμαρ- 9
τίαν, καὶ ἀποθάνωσι δι᾽ αὐτὰ ἐὰν βεβηλώσουσιν αὐτά· ἐγὼ κύριος ὁ θεὸς ὁ
ἁγιάζων αὐτούς. [10] καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται ἅγια· πάροικος ἱερέως ἢ 10
μισθωτὸς οὐ φάγεται ἅγια. [11] ἐὰν δὲ ἱερεὺς κτήσηται ψυχὴν ἔγκτητον ἀργυ- 11
ρίου, οὗτος φάγεται ἐκ τῶν ἄρτων αὐτοῦ· καὶ οἱ οἰκογενεῖς αὐτοῦ καὶ οὗτοι
φάγονται τῶν ἄρτων αὐτοῦ. [12] καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν γένηται 12
ἀνδρὶ ἀλλογενεῖ, αὐτὴ τῶν ἀπαρχῶν ἁγίου οὐ φάγεται. [13] καὶ θυγάτηρ ἱερέως 13
ἐὰν γένηται χήρα ἢ ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ αὐτῇ, ἐπαναστρέψει ἐπὶ
τὸν οἶκον τὸν πατρικὸν κατὰ τὴν νεότητα αὐτῆς, ἀπὸ τῶν ἄρτων τοῦ πατρὸς
αὐτῆς φάγεται· καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται ἀπ᾽ αὐτῶν. [14] καὶ ἄνθρωπος 14

---

14. om λαου 17. ην εν αυτω ... προσφερων 18. ω εαν η εν ... χωλος η τυφλος 19. om η ab initio ... ανθρ. ω εστιν εν αυτω 20. πτιλος τοις οφθαλμοις ... ανθρ. ος εαν η εν ... λιχην 21. πας ος εστιν ... ου προσεγγιει ... θυσιας του θεου 23. om αυτου 24. ελαλ. κυριος προς μωυσην και ααρ.
XXII. 2. αγιων υιων 3. αυτοις εις sine distinct. ... παντος σπερματος ... επ αυτω, εξολεθρευθησεται 4. λεπρος η γονορρυης 5. om η ab initio 6. ητις αψηται 7. εστιν αυτου 8. ουκ εδεται 9. φυλαξουσιν ... δι αυτο· εαν δε βεβηλωσιν αυτα 11. εκ των εργων αυτ. 12. τ. απ. των αγιων 13. ανθρωπου ιερεως ... χηρα εκβεβλημενη ... μη ην αυτη

Digitized by Google

ὃς ἂν φάγῃ ἅγια κατ' ἄγνοιαν, καὶ προςθήσει τὸ ἐπίπεμπτον αὐτοῦ ἐπ' αὐτὸ
15 καὶ δώσει τῷ ἱερεῖ τὸ ἅγιον. 15 καὶ οὐ βεβηλώσουσι τὰ ἅγια τῶν υἱῶν Ἰ-
16 σραὴλ ἃ αὐτοὶ ἀφαιροῦσι τῷ κυρίῳ, 16 καὶ ἐπάξουσιν ἐφ' ἑαυτοὺς ἀνομίαν
πλημμελείας ἐν τῷ ἐσθίειν αὐτοὺς τὰ ἅγια αὐτῶν, ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων
17 18 αὐτούς. 17 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 18 Λάλησον Ἀαρὼν καὶ
τοῖς υἱοῖς αὐτοῦ καὶ πάσῃ συναγωγῇ Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς Ἄνθρω-
πος ἀπὸ τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προςηλύτων τῶν προςκειμένων πρὸς αὐτοὺς
ἐν Ἰσραήλ, ὃς ἂν προςενέγκῃ τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν ὁμολογίαν αὐτῶν
ἢ κατὰ πᾶσαν αἵρεσιν αὐτῶν, ὅσα ἂν προςενέγκωσι τῷ θεῷ εἰς ὁλοκαύτωμα,
19 19 δεκτὰ ὑμῖν ἄμωμα ἄρσενα ἐκ τῶν βουκολίων ἢ ἐκ τῶν προβάτων καὶ ἐκ
20 τῶν αἰγῶν· 20 πάντα ὅσα ἂν ἔχῃ μῶμον ἐν αὐτῷ οὐ προςάξουσι κυρίῳ, διότι
21 οὐ δεκτὸν ἔσται ὑμῖν. 21 καὶ ἄνθρωπος ὃς ἂν προςενέγκῃ θυσίαν σωτηρίου τῷ
κυρίῳ, διαστείλας εὐχὴν ἢ κατὰ αἵρεσιν ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν, ἐκ τῶν βου-
κολίων ἢ ἐκ τῶν προβάτων, ἄμωμον ἔσται εἰςδεκτόν, πᾶς μῶμος οὐκ ἔσται
22 ἐν αὐτῷ. 22 τυφλὸν ἢ συντετριμμένον ἢ γλωσσότμητον ἢ μυρμηκιῶντα ἢ ψω-
ραγριῶντα ἢ λειχῆνας ἔχοντα, οὐ προςάξουσι ταῦτα τῷ κυρίῳ, καὶ εἰς κάρ-
23 πωσιν οὐ δώσετε ἀπ' αὐτῶν ἐπὶ τὸ θυσιαστήριον τῷ κυρίῳ. 23 καὶ μόσχον
ἢ πρόβατον ὠτότμητον ἢ κολοβόκερκον σφάγια ποιήσεις αὐτὰ σεαυτῷ, εἰς δὲ
24 εὐχήν σου οὐ δεχθήσεται. 24 θλαδίαν καὶ ἐκτεθλιμμένον καὶ ἐκτομίαν καὶ
ἀπεσπασμένον οὐ προςάξεις αὐτὰ τῷ κυρίῳ, καὶ ἐπὶ τῆς γῆς ὑμῶν οὐ ποιή-
25 σετε. 25 καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προςοίσετε τὰ δῶρα τοῦ θεοῦ ὑμῶν ἀπὸ
πάντων τούτων, ὅτι φθάρματά ἐστιν ἐν αὐτοῖς, μῶμος ἐν αὐτοῖς· οὐ δεχθή-
26 27 σεται ταῦτα ὑμῖν. 26 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 27 Μόσχον ἢ
πρόβατον ἢ αἶγα, ὡς ἂν τεχθῇ, καὶ ἔσται ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα, τῇ
δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα δεχθήσεται εἰς δῶρα, κάρπωμα κυρίῳ.
28 28 καὶ μόσχον καὶ πρόβατον, αὐτὴν καὶ τὰ παιδία αὐτῆς, οὐ σφάξεις ἐν ἡμέρᾳ
29 μιᾷ. 29 ἐὰν δὲ θύσῃς θυσίαν εὐχὴν χαρμοσύνης κυρίῳ, εἰςδεκτὸν ὑμῖν θύσετε
30 αὐτό· 30 αὐτῇ τῇ ἡμέρᾳ ἐκείνῃ βρωθήσεται, οὐκ ἀπολείψετε ἀπὸ τῶν κρεῶν
31 εἰς τὸ πρωΐ· ἐγώ εἰμι κύριος. 31 καὶ φυλάξετε τὰς ἐντολάς μου καὶ ποιήσετε
32 αὐτάς. 32 καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τοῦ ἁγίου, καὶ ἁγιασθήσομαι ἐν μέσῳ
33 τῶν υἱῶν Ἰσραήλ· ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς, 33 ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς
Αἰγύπτου ὥςτε εἶναι ὑμῶν θεός· ἐγὼ κύριος.

## XXIII.

2 Καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ
ἐρεῖς πρὸς αὐτούς Αἱ ἑορταὶ κυρίου ἃς καλέσετε αὐτὰς κλητὰς ἁγίας, αὗταί
3 εἰσιν αἱ ἑορταί μου. 3 ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάβ-
βατα ἀνάπαυσις κλητὴ ἁγία τῷ κυρίῳ· πᾶν ἔργον οὐ ποιήσεις, σάββατά
4 ἐστι τῷ κυρίῳ ἐν πάσῃ κατοικίᾳ ὑμῶν. 4 αὗται αἱ ἑορταὶ τῷ κυρίῳ κληταὶ
5 ἅγιαι ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν. 5 ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ
τεσσαρεςκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυ-
6 ρίῳ. 6 καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων
7 τῷ κυρίῳ, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. 7 καὶ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία

---

14. κατα αγνοιαν ... om και extr. 15. αυτοι προσφερουσιν 18. η απο των υιων των προσηλ. 19. και εκ των προβ. 20. οτι ου δ. υμιν εστιν 21. ευχην κατα αιρεσιν εν ταις 22. 23. toti **. 22. ** μυρμικιωντα et λιχηνας ... ** προσαξ. αυτα 23. ** αποθησεις αυτα ... ** εις ευχην σ. ου προσδεχθησεται 24. εκτομιδα ... προσαξετε 25. οτι φθαρτα ... om μωμος εν αυτοις 28. η προβατον ... αυτην η τα 32. εμμεσω XXIII. 2. εισιν εορται 3. και τη ημερα ... κυρ. υμων εν 4. τ. κυριω και αυται αγιας καλεσατε αυτας 7. και η ημερα

Digitized by Google

ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· [8] καὶ προςάξετε ὁλοκαυτώματα 8
τῷ κυρίῳ ἑπτὰ ἡμέρας, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν
ἔργον λατρευτὸν οὐ ποιήσετε. [9] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [10] Εἰπὸν 9 10
τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὅταν εἰςέλθητε εἰς τὴν γῆν ἣν ἐγὼ
δίδωμι ὑμῖν καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε τὸ δράγμα ἀπαρ-
χὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα· [11] καὶ ἀνοίσει τὸ δράγμα ἔναντι κυ- 11
ρίου δεκτὸν ὑμῖν, τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτὸ ὁ ἱερεύς. [12] καὶ ποιή- 12
σετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε τὸ δράγμα πρόβατον ἄμωμον ἐνιαύσιον
εἰς ὁλοκαύτωμα τῷ κυρίῳ· [13] καὶ τὴν θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως 13
ἀναπεποιημένης ἐν ἐλαίῳ, θυσία τῷ κυρίῳ, ὀσμὴ εὐωδίας κυρίῳ, καὶ σπον-
δὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἳν οἴνου· [14] καὶ ἄρτον καὶ πεφρυγμένα χίδρα νέα 14
οὐ φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε ὑμεῖς
τὰ δῶρα τῷ θεῷ ὑμῶν· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κα-
τοικίᾳ ὑμῶν. [15] καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων ἀπὸ 15
τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος ἑπτὰ ἑβδομάδας
ὁλοκλήρους, [16] ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντή- 16
κοντα ἡμέρας, καὶ προςοίσετε θυσίαν νέαν τῷ κυρίῳ. [17] ἀπὸ τῆς κατοικίας 17
ὑμῶν προςοίσετε ἄρτους ἐπίθεμα, δύο ἄρτους· ἐκ δύο δεκάτων σεμιδάλεως
ἔσονται, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ κυρίῳ· [18] καὶ προςά- 18
ξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ μόσχον ἕνα ἐκ
βουκολίου καὶ κριοὺς δύο ἀμώμους, καὶ ἔσονται ὁλοκαύτωμα τῷ κυρίῳ· καὶ
αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ· [19] καὶ 19
ποιήσουσι χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας καὶ δύο ἀμνοὺς ἐνιαυσίους εἰς
θυσίαν σωτηρίου μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος· [20] καὶ ἐπιθήσει αὐτὰ 20
ὁ ἱερεὺς μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος ἐπίθεμα ἐναντίον κυρίου μετὰ
τῶν δύο ἀμνῶν· ἅγια ἔσονται τῷ κυρίῳ, τῷ ἱερεῖ τῷ προσφέροντι αὐτὰ αὐτῷ
ἔσται. [21] καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλητήν· ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον 21
λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ
τῇ κατοικίᾳ ὑμῶν. [22] καὶ ὅταν θερίζητε τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συν- 22
τελέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ τοῦ ἀγροῦ σου ἐν τῷ θερίζειν σε, καὶ τὰ
ἀποπίπτοντα τοῦ θερισμοῦ σου οὐ συλλέξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ
ὑπολείψεις αὐτά· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [23] καὶ ἐλάλησε κύριος πρὸς Μωυ- 23
σῆν λέγων [24] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων Τοῦ μηνὸς τοῦ ἑβδόμου μιᾷ 24
τοῦ μηνὸς ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλπίγγων, κλητὴ ἁγία ἔσται
ὑμῖν· [25] πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, καὶ προςάξετε ὁλοκαύτωμα κυρίῳ. 25
[26] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [27] Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ 26 27
ἑβδόμου τούτου ἡμέρα ἐξιλασμοῦ, κλητὴ ἁγία ἔσται ὑμῖν· καὶ ταπεινώσετε
τὰς ψυχὰς ὑμῶν, καὶ προςάξετε ὁλοκαύτωμα τῷ κυρίῳ. [28] πᾶν ἔργον οὐ ποιή- 28
σετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ· ἔστι γὰρ ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν, ἐξιλά-
σασθαι περὶ ὑμῶν ἔναντι κυρίου τοῦ θεοῦ ὑμῶν. [29] πᾶσα ψυχὴ ἥτις μὴ τα- 29
πεινωθήσεται ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.
[30] καὶ πᾶσα ψυχὴ ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ 30
ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. [31] πᾶν ἔργον οὐ ποιήσετε· νόμιμον αἰώνιον 31
εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις κατοικίαις ὑμῶν. [32] σάββατα σαββάτων ἔσται 32
ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· ἀπὸ ἐνάτης τοῦ μηνὸς ἀπὸ ἑσπέρας

8. και η εβδομη ημερα 10. τα δραγματα 11. αυτα ο ιερευς 12. εν η εαν 13. ευωδ. τω κυριω ... σπονδη αυτω 14. του θεου ... εις τας γενεας υμων νομιμ. αιων. 15. αριθμ. υμεις απο 16. εσχατ. εβδομης 17. πρωτογενηματων 18. προςαξει ... εκ βουκολιων ... om και ante εσονται ... θυσιαν οσμην 19. χιμαρρον 19. 20. πρωτογενηματος 20. εναντι 21. ημεραν κλητη 22. υπολειψη ... κυριος θεος 25. τω κυριω 28. om εν 29. εξολεθρευθησεται

Digitized by Google

33 ἕως ἑσπέρας σαββατιεῖτε τὰ σάββατα ὑμῶν. [33] καὶ ἐλάλησε κύριος πρὸς Μωυ-
34 σῆν λέγων [34] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων Τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς
35 τοῦ ἑβδόμου τούτου ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ κυρίῳ. [35] καὶ ἡ ἡμέρα ἡ
36 πρώτη κλητὴ ἁγία, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· [36] ἑπτὰ ἡμέρας προσά-
ξετε ὁλοκαυτώματα τῷ κυρίῳ· καὶ ἡ ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ὑμῖν,
καὶ προσάξετε ὁλοκαυτώματα κυρίῳ· ἐξόδιόν ἐστι, πᾶν ἔργον λατρευτὸν οὐ
37 ποιήσετε. [37] αὗται ἑορταὶ κυρίῳ ἃς καλέσετε κλητὰς ἁγίας ὥστε προσενέγκαι
καρπώματα τῷ κυρίῳ, ὁλοκαυτώματα καὶ θυσίας αὐτῶν καὶ σπονδὰς αὐτῶν
38 τὸ καθ' ἡμέραν εἰς ἡμέραν, [38] πλὴν τῶν σαββάτων κυρίου καὶ πλὴν τῶν δο-
μάτων ὑμῶν καὶ πλὴν πασῶν τῶν εὐχῶν ὑμῶν καὶ πλὴν τῶν ἑκουσίων ὑμῶν
39 ἃ ἂν δῶτε τῷ κυρίῳ. [39] καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδό-
μου τούτου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς γῆς, ἑορτάσατε τῷ κυρίῳ
ἑπτὰ ἡμέρας· τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάπαυσις, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνά-
40 παυσις. [40] καὶ λήψεσθε τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύλου ὡραῖον καὶ κάλ-
λυνθρα φοινίκων καὶ κλάδους ξύλου δασεῖς καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ
χειμάῤῥου, εὐφρανθῆναι ἔναντι κυρίου τοῦ θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνι-
41 αυτοῦ· [41] νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορ-
42 τάσετε αὐτήν· [42] ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας, πᾶς ὁ αὐτόχθων ἐν
43 Ἰσραὴλ κατοικήσει ἐν σκηναῖς, [43] ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν ὅτι ἐν σκηναῖς
κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ γῆς Αἰγύπτου·
44 ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [44] καὶ ἐλάλησε Μωυσῆς τὰς ἑορτὰς κυρίου τοῖς
υἱοῖς Ἰσραήλ.

## XXIV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Ἔντειλαι τοῖς υἱοῖς Ἰσραήλ,
καὶ λαβέτωσάν σοι ἔλαιον ἐλάϊνον καθαρὸν κεκομμένον εἰς φῶς, καῦσαι λύ-
3 χνον διὰ παντὸς [3] ἔξωθεν τοῦ καταπετάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,
καὶ καύσουσιν αὐτὸ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέρας ἕως πρωὶ ἐνώ-
4 πιον κυρίου ἐνδελεχῶς· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν· [4] ἐπὶ τῆς λυ-
χνίας τῆς καθαρᾶς καύσετε τοὺς λύχνους ἐναντίον κυρίου ἕως εἰς τὸ πρωί.
5 [5] καὶ λήψεσθε σεμίδαλιν καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους, δύο δεκάτων
6 ἔσται ὁ ἄρτος ὁ εἷς· [6] καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα, ἓξ ἄρτους τὸ ἓν θέμα,
7 ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν ἔναντι κυρίου· [7] καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα
λίβανον καθαρὸν καὶ ἅλα, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν προκείμενα
8 τῷ κυρίῳ· [8] τῇ ἡμέρᾳ τῶν σαββάτων προςθήσεται ἔναντι κυρίου διὰ παντὸς
9 ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, διαθήκην αἰώνιον. [9] καὶ ἔσται Ἀαρὼν καὶ τοῖς
υἱοῖς αὐτοῦ, καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ ἅγια τῶν ἁγίων
10 τοῦτο αὐτῶν ἀπὸ τῶν θυσιαζομένων τῷ κυρίῳ, νόμιμον αἰώνιον. [10] καὶ ἐξῆλ-
θεν υἱὸς γυναικὸς Ἰσραηλίτιδος, καὶ οὗτος ἦν υἱὸς Αἰγυπτίου ἐν τοῖς υἱοῖς
Ἰσραήλ· καὶ ἐμαχέσαντο ἐν τῇ παρεμβολῇ ὁ ἐκ τῆς Ἰσραηλίτιδος καὶ ὁ ἄν-
11 θρωπος ὁ Ἰσραηλίτης, [11] καὶ ἐπονομάσας ὁ υἱὸς τῆς γυναικὸς τῆς Ἰσραηλίτι-
δος τὸ ὄνομα κατηράσατο. καὶ ἤγαγον αὐτὸν πρὸς Μωυσῆν· καὶ τὸ ὄνομα
12 τῆς μητρὸς αὐτοῦ Σαλωμειθ θυγάτηρ Δαβρεὶ ἐκ τῆς φυλῆς Δάν· [12] καὶ ἀπέ-
13 θεντο αὐτὸν εἰς φυλακὴν διακρῖναι αὐτὸν διὰ προστάγματος κυρίου. [13] καὶ
14 ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [14] Ἐξάγαγε τὸν καταρασάμενον ἔξω τῆς
παρεμβολῆς, καὶ ἐπιθήσουσι πάντες οἱ ἀκούσαντες τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν

36. ολοκαυτωμα bis ... τω κυριω pro κυριω 37. αυται αι εορτ. τω κυρ. 38. παντων των ευχων 39. add τη ante ημερα ... γενηματα ... εορτασετε 40. λημψεσθε ... om τη ημερα ... ξυλων ... εχχειμαρρου (43. κατωκησα) XXIV. 2. λαβετωσαν μοι 3. απ εσπερας 4. εναντι κυριου εως πρωι 5. λημψεσθε 8. προθησεται 9. τουτο αυτω απο 10. γυναικ. ιεζραηλιτιδος 11. υιος pro ο υιος ... δαβρι 12. εν φυλακη

Digitized by Google

κεφαλὴν αὐτοῦ, καὶ λιθοβολήσουσιν αὐτὸν πᾶσα ἡ συναγωγή. 15 καὶ τοῖς υἱοῖς 15
Ἰσραὴλ λάλησον καὶ ἐρεῖς πρὸς αὐτούς Ἄνθρωπος ὃς ἐὰν καταράσηται θεὸν
*Jo.19,7. ἁμαρτίαν λήψεται, 16 ὀνομάζων δὲ τὸ ὄνομα κυρίου θανάτῳ θανατούσθω· λί- 16
θοις λιθοβολείτω αὐτὸν πᾶσα ἡ συναγωγὴ Ἰσραήλ· ἐάν τε προσήλυτος ἐάν τε
αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα κυρίου τελευτάτω. 17 καὶ ἄνθρω- 17
πος ὃς ἂν πατάξῃ ψυχὴν ἀνθρώπου, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω. 18 καὶ 18
ὃς ἂν πατάξῃ κτῆνος, καὶ ἀποθάνῃ, ἀποτισάτω ψυχὴν ἀντὶ ψυχῆς. 19 καὶ 19
ἐάν τις δῷ μῶμον τῷ πλησίον, ὡς ἐποίησεν αὐτῷ, ὡσαύτως ἀντιποιηθήσεται
*Mt.5,38. αὐτῷ· 20 σύντριμμα ἀντὶ συντρίμματος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα 20
ἀντὶ ὀδόντος, καθότι ἂν δῷ μῶμον τῷ ἀνθρώπῳ, οὕτω δοθήσεται αὐτῷ. 21 ὃς 21
ἂν πατάξῃ ἄνθρωπον, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω· 22 δικαίωσις μία 22
ἔσται τῷ προσηλύτῳ καὶ τῷ ἐγχωρίῳ, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. 23 καὶ 23
ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐξήγαγον τὸν καταρασάμενον ἔξω
τῆς παρεμβολῆς καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις· καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐποίη-
σαν καθάπερ συνέταξε κύριος τῷ Μωυσῇ.

## XXV.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐν τῷ ὄρει Σινᾶ λέγων 2 Λάλησον 2
τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὅταν εἰσέλθητε εἰς τὴν γῆν ἣν
ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ ἣν ἐγὼ δίδωμι ὑμῖν σάββατα τῷ
κυρίῳ. 3 ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου, καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου 3
καὶ συνάξεις τὸν καρπὸν αὐτῆς· 4 τῷ δὲ ἔτει τῷ ἑβδόμῳ σάββατα ἀνάπαυσις 4
ἔσται τῇ γῇ, σάββατα τῷ κυρίῳ· τὸν ἀγρόν σου οὐ σπερεῖς καὶ τὴν ἄμπε-
λόν σου οὐ τεμεῖς, 5 καὶ τὰ αὐτόματα ἀναβαίνοντα τοῦ ἀγροῦ σου οὐκ ἐκθε- 5
ρίσεις καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός σου οὐκ ἐκτρυγήσεις· ἐνιαυτὸς ἀνα-
παύσεως ἔσται τῇ γῇ. 6 καὶ ἔσται τὰ σάββατα τῆς γῆς βρώματά σοι καὶ τῷ 6
παιδί σου καὶ τῇ παιδίσκῃ σου καὶ τῷ μισθωτῷ σου καὶ τῷ παροίκῳ τῷ
προσκειμένῳ πρὸς σέ· 7 καὶ τοῖς κτήνεσί σου καὶ τοῖς θηρίοις τοῖς ἐν τῇ γῇ 7
σου ἔσται πᾶν τὸ γέννημα αὐτοῦ εἰς βρῶσιν. 8 καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ 8
ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις· καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν
ἐννέα καὶ τεσσαράκοντα ἔτη. 9 διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ 9
ὑμῶν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ,
διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν. 10 καὶ ἁγιάσετε τὸ ἔτος τὸν πεν- 10
τηκοστὸν ἐνιαυτόν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν
αὐτήν· ἐνιαυτὸς ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν, καὶ ἀπελεύσεται εἰς
ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύ-
σεσθε. 11 ἀφέσεως σημασία αὕτη τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτὸς ἔσται ὑμῖν· 11
οὐ σπερεῖτε, οὐδὲ ἀμήσετε τὰ αὐτόματα ἀναβαίνοντα αὐτῆς, καὶ οὐ τρυγή-
σετε τὰ ἡγιασμένα αὐτῆς· 12 ὅτι ἀφέσεως σημασία ἐστίν, ἅγιον ἔσται ὑμῖν, 12
ἀπὸ τῶν πεδίων φάγεσθε τὰ γεννήματα αὐτῆς. 13 ἐν τῷ ἔτει τῆς ἀφέσεως 13
σημασίας αὐτῆς ἐπανελεύσεται εἰς τὴν ἔγκτησιν αὐτοῦ. 14 ἐὰν δὲ ἀποδῷ πρᾶ- 14
σιν τῷ πλησίον σου, ἐὰν δὲ καὶ κτήσῃ παρὰ τοῦ πλησίον σου, μὴ θλιβέτω
ἄνθρωπος τὸν πλησίον· 15 κατὰ ἀριθμὸν ἐτῶν μετὰ τὴν σημασίαν κτήσῃ παρὰ 15
τοῦ πλησίον, κατὰ ἀριθμὸν ἐνιαυτῶν γεννημάτων ἀποδώσεταί σοι. 16 καθότι 16

---

15. λημψεται 16. om η 17. ανθρωπος εαν (19. δη pro δω) 20. ουτως 22. και εγχωριω 23. καθα XXV. 2. εαν εισελθητε 5. τα αυτοματα τα ... αγιασματος μου 7. γενημα σου 8. τεσσεραχοντα 9. και διαγγελειτε ... υμων τω μηνι ... *om τη δεκατη et** add post μηνος 10. αγιασατε ... εις κατ εκαστος ... την πατριδα 11. ουδε μη αμησητε 12. 13. φαγεσθε· τα γενηματα αυτης εστω επι της αφεσεως· σημασια αυτη· επαν. εκαστος ε. τ. κτησιν α. 14. εαν και κτηση 15. om ετων μετα usque αριθμον ... γενηματων



Digitized by Google

αν πλεῖον τῶν ἐτῶν πληθυνεῖ τὴν ἔγκτησιν αὐτοῦ, καὶ καθότι ἂν ἔλαττον
τῶν ἐτῶν ἐλαττονώσει τὴν ἔγκτησιν αὐτοῦ· ὅτι ἀριθμὸν γεννημάτων αὐτοῦ,
17 οὕτως ἀποδώσεταί σοι. 17 μὴ θλιβέτω ἄνθρωπος τὸν πλησίον, καὶ φοβηθήσῃ
18 κύριον τὸν θεόν σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. 18 καὶ ποιήσετε πάντα
τὰ δικαιώματά μου καὶ πάσας τὰς κρίσεις μου, καὶ φυλάξασθε καὶ ποιήσετε
19 αὐτά, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς πεποιθότες· 19 καὶ δώσει ἡ γῆ τὰ ἐκφό-
ρια αὐτῆς, καὶ φάγεσθε εἰς πλησμονήν, καὶ κατοικήσετε πεποιθότες ἐπ᾽ αὐ-
20 τῆς. 20 ἐὰν δὲ λέγητε Τί φαγόμεθα ἐν τῷ ἔτει τῷ ἑβδόμῳ τούτῳ ἐὰν μὴ
21 σπείρωμεν μηδὲ συναγάγωμεν τὰ γεννήματα ἡμῶν; 21 καὶ ἀποστελλῶ τὴν
εὐλογίαν μου ὑμῖν ἐν τῷ ἔτει τῷ ἕκτῳ, καὶ ποιήσει τὰ γεννήματα αὐτῆς εἰς
22 τὰ τρία ἔτη. 22 καὶ σπερεῖτε τὸ ἔτος τὸ ὄγδοον, καὶ φάγεσθε ἀπὸ τῶν γεννη-
μάτων παλαιὰ ἕως τοῦ ἔτους τοῦ ἐνάτου· ἕως ἂν ἔλθῃ τὸ γέννημα αὐτῆς,
23 φάγεσθε παλαιὰ παλαιῶν. 23 καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν· ἐμὴ γάρ
24 ἐστιν ἡ γῆ, διότι προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστὲ ἐναντίον μου· 24 καὶ* 1 Pe. 2, 11.
25 κατὰ πᾶσαν γῆν κατασχέσεως ὑμῶν λύτρα δώσετε τῆς γῆς. 25 ἐὰν δὲ πένη-
ται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ καὶ ἀποδῶται ἀπὸ τῆς κατασχέσεως αὐτοῦ,
καὶ ἔλθῃ ὁ ἀγχιστεύων ὁ ἐγγίζων αὐτῷ καὶ λυτρώσεται τὴν πρᾶσιν τοῦ ἀδελ-
26 φοῦ αὐτοῦ. 26 ἐὰν δὲ μὴ ᾖ τινι ὁ ἀγχιστεύων, καὶ εὐπορηθῇ τῇ χειρὶ καὶ
27 εὑρεθῇ αὐτῷ τὸ ἱκανὸν λύτρα αὐτοῦ, 27 καὶ συλλογιεῖται τὰ ἔτη τῆς πράσεως
αὐτοῦ, καὶ ἀποδώσει ὃ ὑπερέχει τῷ ἀνθρώπῳ ᾧ ἀπέδοτο αὐτὸ αὐτῷ, καὶ
28 ἀπελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ. 28 ἐὰν δὲ μὴ εὐπορηθῇ αὐτοῦ ἡ χεὶρ
τὸ ἱκανὸν ὥστε ἀποδοῦναι αὐτῷ, καὶ ἔσται ἡ πρᾶσις τῷ κτησαμένῳ αὐτὰ
ἕως τοῦ ἕκτου ἔτους τῆς ἀφέσεως, καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ ἀπε-
29 λεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ. 29 ἐὰν δέ τις ἀποδῶται οἰκίαν οἰκητὴν ἐν
πόλει τετειχισμένῃ, καὶ ἔσται ἡ λύτρωσις αὐτῆς· ἕως πληρωθῇ ἐνιαυτὸς ἡμε-
30 ρῶν, ἔσται ἡ λύτρωσις αὐτῆς. 30 ἐὰν δὲ μὴ λυτρωθῇ ἕως ἂν πληρωθῇ αὐτῆς
ἐνιαυτὸς ὅλος, κυρωθήσεται ἡ οἰκία ἡ οὖσα ἐν πόλει τῇ ἐχούσῃ τεῖχος βε-
βαίως τῷ κτησαμένῳ αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ, καὶ οὐκ ἐξελεύσεται ἐν
31 τῇ ἀφέσει. 31 αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν, αἷς οὐκ ἔστιν ἐν αὐταῖς τεῖχος
κύκλῳ, πρὸς τὸν ἀγρὸν τῆς γῆς λογισθήσονται· λυτρωταὶ διὰ παντὸς ἔσονται
32 καὶ ἐν τῇ ἀφέσει ἐξελεύσονται. 32 καὶ αἱ πόλεις Λευιτῶν, οἰκίαι τῶν πόλεων
33 κατασχέσεως αὐτῶν, λυτρωταὶ διὰ παντὸς ἔσονται τοῖς Λευίταις· 33 καὶ ὃς
ἂν λυτρώσηται παρὰ τῶν Λευιτῶν, καὶ ἐξελεύσεται ἡ διάπρασις αὐτῶν οἰ-
κιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν τῇ ἀφέσει, ὅτι οἰκίαι τῶν πόλεων τῶν
34 Λευιτῶν κατάσχεσις αὐτῶν ἐν μέσῳ υἱῶν Ἰσραήλ. 34 καὶ οἱ ἀγροὶ ἀφωρισμέ-
νοι ταῖς πόλεσιν αὐτῶν οὐ πραθήσονται, ὅτι κατάσχεσις αἰωνία τοῦτο αὐτῶν
35 ἐστίν. 35 ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ καὶ ἀδυνατήσῃ ταῖς
χερσὶ παρὰ σοί, ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου, καὶ ζήσεται
36 ὁ ἀδελφός σου μετὰ σοῦ. 36 οὐ λήψῃ παρ᾽ αὐτοῦ τόκον οὐδὲ ἐπὶ πλήθει, καὶ
φοβηθήσῃ τὸν θεόν σου, ἐγὼ κύριος, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ.
37 37 τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐπὶ τόκῳ, καὶ ἐπὶ πλεονασμῷ οὐ δώσεις

16. πληθυνη ... om και ante καθοτι ... om ελαττ. τ. ετ. ... ελαττονωση τ. κτησιν (priore loco εκτησιν scribitur) ... γενηματων (17. θλιψετω) 18. ποιησατε αυτας ... κατοικησητε ... om επι τ. γης 20. om δε ... γενηματα 21. αποστελω ... γενηματα 22. γενηματων et γενημα 23. *και γη 25. και αποδωσεται ... ο αγχιστευων εγγιζων εγγιστα αυτου 26. ευρεθη pro ευπορηθη 27. συλλογιειτε τα επι της ... αποδωσ. οπερ εχει ... απεδ. αυτον εαυτω 28. μη ευρεθη η χειρ αυτου ... αποδουν. αυτα ... εξελευσ. την αφεσιν ... καταπαυσιν pro κατασχεσιν 31. αι ουκ εστιν αυταις ... λογισθητωσαν 32. οικειαι ... αυτων κατασχεσεως 33. λυτρωσαμενος ... εμμεσω 35. om ο μετα σου ... παρα σου ... αντιλημψη 36. λημψη (... το κακον pro τοκον) ... θεον· εγω 37. και πλεονασμον ου

Digitized by Google

αὐτῷ τὰ βρώματά σου. [38] ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς 38
Αἰγύπτου, δοῦναι ὑμῖν τὴν γῆν Χανάαν ὥστε εἶναι ὑμῶν θεός. [39] ἐὰν δὲ τα- 39
πεινωθῇ ὁ ἀδελφός σου παρὰ σοὶ καὶ πραθῇ σοι, οὐ δουλεύσει σοι δουλείαν
οἰκέτου· [40] ὡς μισθωτὸς ἢ πάροικος ἔσται σοι, ἕως τοῦ ἔτους τῆς ἀφέσεως 40
ἐργᾶται παρὰ σοί· [41] καὶ ἐξελεύσεται τῇ ἀφέσει καὶ τὰ τέκνα αὐτοῦ μετ’ 41
αὐτοῦ, καὶ ἀπελεύσεται εἰς τὴν γενεὰν αὐτοῦ, εἰς τὴν κατάσχεσιν τὴν πα-
τρικὴν ἀποδραμεῖται. [42] διότι οἰκέται μού εἰσιν οὗτοι οὓς ἐξήγαγον ἐκ γῆς 42
Αἰγύπτου, οὐ πραθήσεται ἐν πράσει οἰκέτου· [43] οὐ κατατενεῖς αὐτὸν ἐν τῷ 43
μόχθῳ, καὶ φοβηθήσῃ κύριον τὸν θεόν σου. [44] καὶ παῖς καὶ παιδίσκη ὅσοι 44
ἂν γένωνταί σοι ἀπὸ τῶν ἐθνῶν ὅσοι κύκλῳ σού εἰσιν, ἀπ’ αὐτῶν κτήσεσθε
δοῦλον καὶ δούλην· [45] καὶ ἀπὸ τῶν υἱῶν τῶν παροίκων τῶν ὄντων ἐν ὑμῖν, 45
ἀπὸ τούτων κτήσεσθε καὶ ἀπὸ τῶν συγγενῶν αὐτῶν ὅσοι ἂν γένωνται ἐν τῇ
γῇ ὑμῶν, ἔστωσαν ὑμῖν εἰς κατάσχεσιν. [46] καὶ καταμεριεῖτε αὐτοὺς τοῖς τέ- 46
κνοις ὑμῶν μεθ’ ὑμᾶς, καὶ ἔσονται ὑμῖν κατόχιμοι εἰς τὸν αἰῶνα· τῶν δὲ
ἀδελφῶν ὑμῶν τῶν υἱῶν Ἰσραὴλ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ οὐ κατατενεῖ
αὐτὸν ἐν τοῖς μόχθοις. [47] ἐὰν δὲ εὕρῃ ἡ χεὶρ τοῦ προσηλύτου ἢ τοῦ παροί- 47
κου τοῦ παρὰ σοί, καὶ ἀπορηθεὶς ὁ ἀδελφός σου πραθῇ τῷ προσηλύτῳ ἢ
τῷ παροίκῳ τῷ παρὰ σοὶ ἢ ἐκ γενετῆς προσηλύτῳ, [48] μετὰ τὸ πραθῆναι 48
αὐτῷ λύτρωσις ἔσται αὐτοῦ· εἷς τῶν ἀδελφῶν αὐτοῦ λυτρώσεται αὐτόν,
[49] ἀδελφὸς πατρὸς αὐτοῦ ἢ υἱὸς ἀδελφοῦ πατρὸς λυτρώσεται αὐτόν, ἢ ἀπὸ 49
τῶν οἰκείων τῶν σαρκῶν αὐτοῦ ἐκ τῆς φυλῆς αὐτοῦ λυτρώσεται αὐτόν· ἐὰν δὲ
εὐπορηθεὶς ταῖς χερσί, λυτρῶται ἑαυτόν. [50] καὶ συλλογιεῖται πρὸς τὸν κεκτη- 50
μένον αὐτὸν ἀπὸ τοῦ ἔτους οὗ ἀπέδοτο ἑαυτὸν αὐτῷ ἕως τοῦ ἐνιαυτοῦ τῆς
ἀφέσεως, καὶ ἔσται τὸ ἀργύριον τῆς πράσεως αὐτοῦ ὡς μισθίου· ἔτος ἐξ
ἔτους ἔσται μετ’ αὐτοῦ. [51] ἐὰν δέ τινι πλεῖον τῶν ἐτῶν ᾖ, πρὸς ταῦτα ἀπο- 51
δώσει τὰ λύτρα αὐτοῦ ἀπὸ τοῦ ἀργυρίου τῆς πράσεως αὐτοῦ· [52] ἐὰν δὲ ὀλί- 52
γον καταλειφθῇ ἀπὸ τῶν ἐτῶν εἰς τὸν ἐνιαυτὸν τῆς ἀφέσεως, καὶ συλλογιεῖ-
ται αὐτῷ κατὰ τὰ ἔτη αὐτοῦ, καὶ ἀποδώσει τὰ λύτρα αὐτοῦ ὡς μισθωτός·
[53] ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ ἔσται μετ’ αὐτοῦ· οὐ κατατενεῖς αὐτὸν ἐν τῷ μόχθῳ 53
ἐνώπιόν σου. [54] ἐὰν δὲ μὴ λυτρῶται κατὰ ταῦτα, ἐξελεύσεται ἐν τῷ ἔτει τῆς 54
ἀφέσεως αὐτὸς καὶ τὰ παιδία αὐτοῦ μετ’ αὐτοῦ· [55] ὅτι ἐμοὶ οἱ υἱοὶ Ἰσραὴλ 55
οἰκέται εἰσίν, παῖδές μου οὗτοί εἰσιν οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου.

## XXVI.

Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· οὐ ποιήσετε ὑμῖν αὐτοῖς χειροποίητα οὐδὲ
γλυπτά, οὐδὲ στήλην ἀναστήσετε ὑμῖν, οὐδὲ λίθον σκοπὸν θήσετε ἐν τῇ γῇ
ὑμῶν προσκυνῆσαι αὐτῷ· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [2] τὰ σάββατά μου 2
φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε· ἐγώ εἰμι κύριος. [3] ἐὰν τοῖς 3
προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε καὶ ποιήσητε
αὐτάς, [4] καὶ δώσω τὸν ὑετὸν ὑμῖν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεν- 4
νήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν· [5] καὶ 5
καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητόν, καὶ ὁ τρυγητὸς καταλήψεται τὸν
σπόρον, καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν, καὶ κατοικήσετε μετὰ
ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν·

---

39. δουλιαν 40. ο μισθωτος 41. εις την γην εαυτου ... αποθανειται 43. *om και 44. κτησασθε 46. των αδελφων ... om αυτον 47. om η ante εκ γενετης 48. εσται αυτω 49. πατρος η υιος ... φυλης της σαρκος αυτου λυτρωσεται ... λυτρωσηται εαυτον 50. συλλογιειτε ... απεδοτο εαυτω εως 51. πλεον 52. συλλογιειτε 53. ενιαυτος ... κατατενισης 54. μετα ταυτα ... ενιαυτω pro ετει 55. οικεται, παιδες XXVI. 1. Εγω κυρ. ο θ. υμ. ad antecedd. trahit 4. γενηματα 5. καταλημψεται (bis) υμ. ο αμητος



Digitized by Google

6 [6]καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ κοιμηθήσεσθε καὶ οὐκ ἔσται ὑμᾶς ὁ
7 ἐκφοβῶν, καὶ ἀπολῶ θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν· [7]καὶ διώξεσθε τοὺς
8 ἐχθροὺς ὑμῶν, καὶ πεσοῦνται ἐναντίον ὑμῶν φόνῳ· [8]καὶ διώξονται ἐξ ὑμῶν
πέντε ἑκατόν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας, καὶ πεσοῦνται οἱ ἐχθροὶ
9 ὑμῶν ἐναντίον ὑμῶν μαχαίρᾳ· [9]καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς
10 καὶ πληθυνῶ ὑμᾶς, καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν· [10]καὶ φάγεσθε
11 παλαιὰ καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε· [11]καὶ
12 θήσω τὴν σκηνήν μου ἐν ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς· [12]καὶ
ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεὸς καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· 2 Co. 6, 16.
13 [13]ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ὄντων
ὑμῶν δούλων, καὶ συνέτριψα τὸν δεσμὸν τοῦ ζυγοῦ ὑμῶν καὶ ἤγαγον ὑμᾶς
14 μετὰ παῤῥησίας. [14]ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστά-
15 γματά μου ταῦτα [15]ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου προσοχθίσῃ
ἡ ψυχὴ ὑμῶν ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, ὥστε διασκε-
16 δάσαι τὴν διαθήκην μου, [16]καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν, καὶ ἐπιστήσω ἐφ'
ὑμᾶς τὴν ἀπορίαν τήν τε ψώραν καὶ τὸν ἴκτερα σφακελίζοντα τοὺς ὀφθαλ-
μοὺς ὑμῶν καὶ τὴν ψυχὴν ὑμῶν ἐκτήκουσαν· καὶ σπερεῖτε διὰ κενῆς τὰ
17 σπέρματα ὑμῶν καὶ ἔδονται οἱ ὑπεναντίοι ὑμῶν· [17]καὶ ἐπιστήσω τὸ πρόσω-
πόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται
18 ὑμᾶς οἱ μισοῦντες ὑμᾶς καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς. [18]καὶ ἐὰν
ἕως τούτου μὴ ὑπακούσητέ μου, καὶ προσθήσω τοῦ παιδεῦσαι ὑμᾶς ἑπτάκις
19 ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν· [19]καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν,
20 καὶ θήσω τὸν οὐρανὸν ὑμῖν σιδηροῦν καὶ τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν· [20]καὶ
ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ οὐ δώσει ἡ γῆ ὑμῶν τὸν σπόρον αὐτῆς,
21 καὶ τὸ ξύλον τοῦ ἀγροῦ ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐτοῦ. [21]καὶ ἐὰν μετὰ ταῦτα
πορεύησθε πλάγιοι καὶ μὴ βούλησθε ὑπακούειν μου, προσθήσω ὑμῖν πληγὰς
22 ἑπτὰ κατὰ τὰς ἁμαρτίας ὑμῶν· [22]καὶ ἀποστέλλω ἐφ' ὑμᾶς τὰ θηρία τὰ
ἄγρια τῆς γῆς καὶ κατέδεται ὑμᾶς καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλι-
23 γοστοὺς ποιήσω ὑμᾶς, καὶ ἐρημωθήσονται αἱ ὁδοὶ ὑμῶν. [23]καὶ ἐπὶ τούτοις
24 ἐὰν μὴ παιδευθῆτε ἀλλὰ πορεύησθε πρός με πλάγιοι, [24]πορεύσομαι κἀγὼ
μεθ' ὑμῶν θυμῷ πλαγίῳ, καὶ πατάξω ὑμᾶς κἀγὼ ἑπτάκις ἀντὶ τῶν ἁμαρ-
25 τιῶν ὑμῶν· [25]καὶ ἐπάξω ἐφ' ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην διαθήκης,
καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν· καὶ ἐξαποστελῶ θάνατον εἰς ὑμᾶς,
26 καὶ παραδοθήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν· [26]ἐν τῷ θλῖψαι ὑμᾶς σιτοδείᾳ
ἄρτων, καὶ πέψουσι δέκα γυναῖκες τοὺς ἄρτους ὑμῶν ἐν κλιβάνῳ ἑνί, καὶ
ἀποδώσουσι τοὺς ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγεσθε καὶ οὐ μὴ ἐμπλη-
27 σθῆτε. [27]ἐὰν δὲ ἐπὶ τούτοις μὴ ὑπακούσητέ μου καὶ πορεύησθε πρός με
28 πλάγιοι, [28]καὶ αὐτὸς πορεύσομαι μεθ' ὑμῶν ἐν θυμῷ πλαγίῳ, καὶ παιδεύσω
29 ὑμᾶς ἐγὼ ἑπτάκις κατὰ τὰς ἁμαρτίας ὑμῶν· [29]καὶ φάγεσθε τὰς σάρκας
30 τῶν υἱῶν ὑμῶν, καὶ τὰς σάρκας τῶν θυγατέρων ὑμῶν φάγεσθε· [30]καὶ ἐρη-
μώσω τὰς στήλας ὑμῶν, καὶ ἐξολοθρεύσω τὰ ξύλινα χειροποίητα ὑμῶν, καὶ
θήσω τὰ κῶλα ὑμῶν ἐπὶ τὰ κῶλα τῶν εἰδώλων ὑμῶν, καὶ προσοχθιεῖ ἡ
31 ψυχή μου ὑμῖν· [31]καὶ θήσω τὰς πόλεις ὑμῶν ἐρήμους, καὶ ἐξερημώσω τὰ
32 ἅγια ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ τῆς ὀσμῆς τῶν θυσιῶν ὑμῶν· [32]καὶ ἐξε-
ρημώσω ἐγὼ τὴν γῆν ὑμῶν, καὶ θαυμάσονται ἐπ' αὐτῇ οἱ ἐχθροὶ ὑμῶν οἱ
33 ἐνοικοῦντες ἐν αὐτῇ· [33]καὶ διασπερῶ ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσει ὑμᾶς
ἐπιπορευομένη ἡ μάχαιρα· καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος, καὶ αἱ πόλεις ὑμῶν

---

7. και πολεμος ου διελευσεται δια της γης υμων και διωξεσθε 11. την διαθηκην μου 12. μου λαος 16. επισυστησω ... ικτερον και σφακελιζοντας 17. om και φευξεσθε usque υμας 18. προσθησω παιδευσαι 21. πορευεσθε 22. αποστελω ... ποιησει 23. πορευσησθε 25. χειρας εχθρων 26. εις το θλιψαι ... **σιτοδιαν 27. πορευσησθε πλαγιοι 30. εξολεθρευσω

Digitized by Google

ἔσονται ἔρημοι. 34 τότε εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς πάσας τὰς ἡμέρας 34
τῆς ἐρημώσεως αὐτῆς, καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· τότε
σαββατιεῖ ἡ γῆ, καὶ εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς 35 πάσας τὰς ἡμέ- 35
ρας τῆς ἐρημώσεως αὐτῆς, σαββατιεῖ ἃ οὐκ ἐσαββάτισεν ἐν τοῖς σαββάτοις
ὑμῶν, ἡνίκα κατῳκεῖτε αὐτήν. 36 καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω 36
δουλείαν εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, καὶ διώξεται
αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου,
καὶ πεσοῦνται οὐθενὸς διώκοντος· 37 καὶ ὑπερόψεται ὁ ἀδελφὸς τὸν ἀδελφὸν 37
ὡσεὶ ἐν πολέμῳ οὐθενὸς κατατρέχοντος, καὶ οὐ δυνήσεσθε ἀντιστῆναι τοῖς
ἐχθροῖς ὑμῶν· 38 καὶ ἀπολεῖσθε ἐν τοῖς ἔθνεσι, καὶ κατέδεται ὑμᾶς ἡ γῆ τῶν 38
ἐχθρῶν ὑμῶν. 39 καὶ οἱ καταλειφθέντες ἀφ᾿ ὑμῶν καταφθαρήσονται διὰ τὰς 39
ἁμαρτίας αὐτῶν καὶ διὰ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ἐν τῇ γῇ τῶν
ἐχθρῶν αὐτῶν τακήσονται. 40 καὶ ἐξαγορεύσουσι τὰς ἁμαρτίας αὐτῶν καὶ τὰς 40
ἁμαρτίας τῶν πατέρων αὐτῶν, ὅτι παρέβησαν καὶ ὑπερεῖδόν με, καὶ ὅτι ἐπο-
ρεύθησαν ἐναντίον μου πλάγιοι 41 καὶ ἐγὼ ἐπορεύθην μετ᾿ αὐτῶν ἐν θυμῷ 41
πλαγίῳ· καὶ ἀπολῶ αὐτοὺς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν· τότε ἐντραπήσεται
ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος, καὶ τότε εὐδοκήσουσι τὰς ἁμαρτίας αὐτῶν.
42 καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακώβ, καὶ τῆς διαθήκης Ἰσαὰκ καὶ τῆς 42
διαθήκης Ἀβραὰμ μνησθήσομαι· καὶ τῆς γῆς μνησθήσομαι, 43 καὶ ἡ γῆ ἐγκα- 43
ταλειφθήσεται ἀπ᾿ αὐτῶν· τότε προςδέξεται ἡ γῆ τὰ σάββατα αὐτῆς ἐν τῷ
ἐρημωθῆναι αὐτὴν δι᾿ αὐτούς, καὶ αὐτοὶ προςδέξονται τὰς αὐτῶν ἀνομίας
ἀνθ᾿ ὧν τὰ κρίματά μου ὑπερεῖδον καὶ τοῖς προστάγμασί μου προςώχθισαν
τῇ ψυχῇ αὐτῶν. 44 καὶ οὐδ᾿ ὡς ὄντων αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν 44
οὐχ ὑπερεῖδον αὐτούς, οὐδὲ προςώχθισα αὐτοῖς ὥστε ἐξαναλῶσαι αὐτοὺς τοῦ
διασκεδάσαι τὴν διαθήκην μου τὴν πρὸς αὐτούς· ἐγὼ γάρ εἰμι κύριος ὁ θεὸς
αὐτῶν. 45 καὶ μνησθήσομαι διαθήκης αὐτῶν τῆς προτέρας ὅτε ἐξήγαγον αὐ- 45
τοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας, ἔναντι τῶν ἐθνῶν τοῦ εἶναι αὐτῶν
θεός· ἐγώ εἰμι κύριος. 46 ταῦτα τὰ κρίματά μου καὶ τὰ προστάγματά μου, 46
καὶ ὁ νόμος ὃν ἔδωκε κύριος ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ μέσον τῶν υἱῶν Ἰσραὴλ
ἐν τῷ ὄρει Σινᾶ ἐν χειρὶ Μωυσῆ.

## XXVII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ 2
καὶ ἐρεῖς αὐτοῖς Ὃς ἂν εὔξηται εὐχὴν ὥστε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ κυ-
ρίῳ, 3 ἔσται ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς, ἔσται 3
αὐτοῦ ἡ τιμὴ πεντήκοντα δίδραχμα ἀργυρίου τῷ σταθμῷ τῷ ἁγίῳ· 4 τῆς δὲ 4
θηλείας ἔσται ἡ συντίμησις τριάκοντα δίδραχμα. 5 ἐὰν δὲ ἀπὸ πενταετοῦς ἕως 5
εἴκοσι ἐτῶν, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος εἴκοσι δίδραχμα, τῆς δὲ θηλείας δέκα
δίδραχμα. 6 ἀπὸ δὲ μηνιαίου ἕως πενταετοῦς ἔσται ἡ τιμὴ τοῦ ἄρσενος πέντε 6
δίδραχμα, τῆς δὲ θηλείας τρία δίδραχμα ἀργυρίου. 7 ἐὰν δὲ ἀπὸ ἑξηκονταε- 7
τῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρσεν ᾖ, ἔσται ἡ τιμὴ αὐτοῦ πεντεκαίδεκα δίδραχμα
ἀργυρίου, ἐὰν δὲ θήλεια, δέκα δίδραχμα. 8 ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ, στή- 8
σεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεύς· καθάπερ ἰσχύει ἡ
χεὶρ τοῦ εὐξαμένου τιμήσεται αὐτὸν ὁ ἱερεύς. 9 ἐὰν δὲ ἀπὸ τῶν κτηνῶν τῶν 9
προςφερομένων ἀπ᾿ αὐτῶν δῶρον τῷ κυρίῳ, ὃς ἂν δῷ ἀπὸ τούτων τῷ κυ-

---

34. αυτης και πασας 36. διλιαν pro δουλειαν 39. αμαρτιας υμων ... om και δια τ. αμ. τ. πατ. αυτων 40. εναντ. εμου 43. και εγκαταλειφθ. η γη υπ αυτων ... υπεριδον 44. υπεριδον ... οτι εγω ειμι 45. αυτων της διαθηκης της XXVII. 2. 3. αυτου· τω κυριω εσται· sic distincta 3. εως εξηκοστου ετους 5. εως εικοστου ετους εστω 6. πεντε διδρ. αργυριου ... om αργυριου 7. om αυτου 8. χειρ αυτου ευξ. (9. δη pro δω)

Digitized by Google

10 ρίῳ, ἔσται ἅγιον. 10 οὐκ ἀλλάξει αὐτὸ καλὸν πονηρῷ οὐδὲ πονηρὸν καλῷ· ἐὰν
δὲ ἀλλάσσων ἀλλάξῃ αὐτὸ κτῆνος κτήνει, ἔσται αὐτὸ καὶ τὸ ἄλλαγμα ἅγια.
11 11 ἐὰν δὲ πᾶν κτῆνος ἀκάθαρτον, ἀφ' ὧν οὐ προςφέρεται ἀπ' αὐτῶν δῶρον
12 τῷ κυρίῳ, στήσει τὸ κτῆνος ἔναντι τοῦ ἱερέως, 12 καὶ τιμήσεται αὐτὸ ὁ ἱερεὺς
ἀνὰ μέσον καλοῦ καὶ ἀνὰ μέσον πονηροῦ· καὶ καθότι ἂν τιμήσηται αὐτὸ ὁ
13 ἱερεύς, οὕτω στήσεται. 13 ἐὰν δὲ λυτρούμενος λυτρώσηται αὐτό, προςθήσει τὸ
14 ἐπίπεμπτον πρὸς τὴν τιμὴν αὐτοῦ. 14 καὶ ἄνθρωπος ὃς ἂν ἁγιάσῃ τὴν οἰκίαν
αὐτοῦ ἁγίαν τῷ κυρίῳ, καὶ τιμήσεται αὐτὴν ὁ ἱερεὺς ἀνὰ μέσον καλῆς καὶ
15 ἀνὰ μέσον πονηρᾶς· ὡς ἂν τιμήσηται αὐτὴν ὁ ἱερεύς, οὕτω σταθήσεται. 15 ἐὰν
δὲ ὁ ἁγιάσας αὐτὴν λυτρῶται τὴν οἰκίαν αὐτοῦ, προςθήσει ἐπ' αὐτὸ τὸ ἐπί-
16 πεμπτον τοῦ ἀργυρίου τῆς τιμῆς, καὶ ἔσται αὐτῷ. 16 ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ
τῆς κατασχέσεως αὐτοῦ ἁγιάσῃ ἄνθρωπος τῷ κυρίῳ, καὶ ἔσται ἡ τιμὴ κατὰ
17 τὸν σπόρον αὐτοῦ, κόρου κριθῶν πεντήκοντα δίδραχμα ἀργυρίου. 17 ἐὰν δὲ ἀπὸ
τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, κατὰ τὴν τιμὴν αὐτοῦ
18 στήσεται. 18 ἐὰν δὲ ἔσχατον μετὰ τὴν ἄφεσιν ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, προς-
λογιεῖται αὐτῷ ὁ ἱερεὺς τὸ ἀργύριον ἐπὶ τὰ ἔτη τὰ ἐπίλοιπα ἕως εἰς τὸν ἐνι-
19 αυτὸν τῆς ἀφέσεως, καὶ ἀνθυφαιρεθήσεται ἀπὸ τῆς συντιμήσεως αὐτοῦ. 19 ἐὰν
δὲ λυτρῶται τὸν ἀγρὸν ὁ ἁγιάσας αὐτόν, προςθήσει τὸ ἐπίπεμπτον τοῦ ἀργυ-
20 ρίου πρὸς τὴν τιμὴν αὐτοῦ, καὶ ἔσται αὐτῷ. 20 ἐὰν δὲ μὴ λυτρῶται τὸν ἀγρόν,
21 καὶ ἀποδῶται τὸν ἀγρὸν ἀνθρώπῳ ἑτέρῳ, οὐκέτι μὴ λυτρώσηται αὐτόν· 21 ἀλλ'
ἔσται ὁ ἀγρὸς ἐξεληλυθυίας τῆς ἀφέσεως ἅγιος τῷ κυρίῳ, ὥςπερ ἡ γῆ ἡ ἀφω-
22 ρισμένη τῷ ἱερεῖ ἔσται κατάσχεσις αὐτοῦ. 22 ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ οὗ κέκτη-
ται, ὃς οὐκ ἔστιν ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ, ἁγιάσῃ τῷ κυρίῳ,
23 23 λογιεῖται πρὸς αὐτὸν ὁ ἱερεὺς τὸ τέλος τῆς τιμῆς ἐκ τοῦ ἐνιαυτοῦ τῆς ἀφέ-
24 σεως, καὶ ἀποδώσει τὴν τιμὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἁγίαν τῷ κυρίῳ· 24 καὶ
ἐν τῷ ἐνιαυτῷ τῆς ἀφέσεως ἀποδοθήσεται ὁ ἀγρὸς τῷ ἀνθρώπῳ παρ' οὗ κέ-
25 κτηται αὐτόν, οὗ ἦν ἡ κατάσχεσις τῆς γῆς. 25 καὶ πᾶσα τιμὴ ἔσται σταθμίοις
26 ἁγίοις, εἴκοσι ὀβολοὶ ἔσται τὸ δίδραχμον. 26 καὶ πᾶν πρωτότοκον ὃ ἐὰν γένη-
ται ἐν τοῖς κτήνεσί σου ἔσται τῷ κυρίῳ, καὶ οὐ καθαγιάσει αὐτὸ οὐδείς· ἐάν
27 τε πρόβατον, τῷ κυρίῳ ἐστίν. 27 ἐὰν δὲ τῶν τετραπόδων τῶν ἀκαθάρτων ἀλ-
λάξῃ κατὰ τὴν τιμὴν αὐτοῦ, καὶ προςθήσει τὸ ἐπίπεμπτον πρὸς αὐτό, καὶ
28 ἔσται αὐτῷ· ἐὰν δὲ μὴ λυτρῶται, πραθήσεται κατὰ τὸ τίμημα αὐτοῦ. 28 πᾶν
δὲ ἀνάθεμα ὃ ἂν ἀναθῇ ἄνθρωπος τῷ κυρίῳ ἀπὸ πάντων ὅσα αὐτῷ ἐστίν,
ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἀγροῦ κατασχέσεως αὐτοῦ, οὐκ ἀπο-
29 δώσεται οὐδὲ λυτρώσεται· πᾶν ἀνάθεμα ἅγιον ἁγίων ἔσται τῷ κυρίῳ· 29 καὶ
πᾶν ὃ ἐὰν ἀνατεθῇ ἀπὸ τῶν ἀνθρώπων οὐ λυτρωθήσεται, ἀλλὰ θανάτῳ θα-
30 νατωθήσεται. 30 πᾶσα δεκάτη τῆς γῆς ἀπὸ τοῦ σπέρματος τῆς γῆς καὶ τοῦ
31 καρποῦ τοῦ ξυλίνου τῷ κυρίῳ ἐστίν, ἅγιον τῷ κυρίῳ. 31 ἐὰν δὲ λυτρῶται λύ-
τρῳ ἄνθρωπος τὴν δεκάτην αὐτοῦ, τὸ ἐπίπεμπτον προςθήσει πρὸς αὐτόν, καὶ
32 ἔσται αὐτῷ. 32 καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν ἔλθῃ ἐν
33 τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔσται ἅγιον τῷ κυρίῳ. 33 οὐκ ἀλλά-
ξεις καλὸν πονηρῷ οὐδὲ πονηρὸν καλῷ· ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃς αὐτό, καὶ
34 τὸ ἄλλαγμα αὐτοῦ ἔσται ἅγιον, οὐ λυτρωθήσεται. 34 αὗταί εἰσιν αἱ ἐντολαὶ
ἃς ἐνετείλατο κύριος τῷ Μωυσῇ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ.

---

10. αγιον 11. προςφερετε ... εναντιον 12. τιμησει ... τιμησεται ο ιερευς ουτως 14. αγιασει ... αγιον ... ως αν τιμησεται ... ουτως 15. λυτρωσηται ... om της τιμης 19. λυτρουται 20. λυτρωσεται 21. η γη αφωρισμενη ... om αυτου 23. αγιον 26. καθαγιασει ουθεις 27. αλλαξει 28. ο εαν 29. λυτρωσεται 31. προς αυτο 32. ο εαν 33. om ουδε πονηρον καλω ... αλλαξεις pro αλλαξης
Subscriptio: λευειτικον

Digitized by Google

# ΑΡΙΘΜΟΙ.

## I.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ τῇ Σινᾶ, ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου, ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους δευτέρου ἐξελθόντων
αὐτῶν ἐκ γῆς Αἰγύπτου, λέγων [2] Λάβετε ἀρχὴν πάσης συναγωγῆς Ἰσραὴλ 2
κατὰ συγγενείας, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν,
κατὰ κεφαλὴν αὐτῶν, [3] πᾶς ἄρσην ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκ- 3
πορευόμενος ἐν δυνάμει Ἰσραήλ, ἐπισκέψασθε αὐτοὺς σὺν δυνάμει αὐτῶν, σὺ
καὶ Ἀαρὼν ἐπισκέψασθε αὐτούς· [4] καὶ μεθ' ὑμῶν ἔσονται ἕκαστος κατὰ φυλὴν 4
ἑκάστου ἀρχόντων, κατ' οἴκους πατριῶν ἔσονται. [5] καὶ ταῦτα τὰ ὀνόματα τῶν 5
ἀνδρῶν οἵτινες παραστήσονται μεθ' ὑμῶν· τῶν Ῥουβὴν Ἐλισοὺρ υἱὸς Σεδιούρ·
[6] τῶν Συμεὼν Σαλαμιὴλ υἱὸς Σουρισαδαί· [7] τῶν Ἰούδα Ναασσὼν υἱὸς Ἀμι- 6 7
ναδάβ· [8] τῶν Ἰσσάχαρ Ναθαναὴλ υἱὸς Σωγάρ· [9] τῶν Ζαβουλὼν Ἐλιὰβ υἱὸς 8 9
Χαιλών· τῶν υἱῶν Ἰωσήφ, τῶν Ἐφραΐμ Ἐλισαμὰ υἱὸς Ἐμιούδ, [10] τῶν Μα- 10
νασσῆ Γαμαλιὴλ υἱὸς Φαδασσούρ· [11] τῶν Βενιαμὶν Ἀβιδὰν υἱὸς Γαδεωνί· 11
[12] τῶν Δὰν Ἀχιέζερ υἱὸς Ἀμισαδαΐ· [13] τῶν Ἀσὴρ Φαγεὴλ υἱὸς Ἐχράν· 12 13
[14] τῶν Γὰδ Ἐλισὰφ υἱὸς Ῥαγουήλ· [15] τῶν Νεφθαλὶ Ἀχιρὲ υἱὸς Αἰνάν. 14 15
[16] οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, ἄρχοντες τῶν φυλῶν κατὰ πατριὰς αὐτῶν, 16
χιλίαρχοι Ἰσραὴλ εἰσι. [17] καὶ ἔλαβε Μωυσῆς καὶ Ἀαρὼν τοὺς ἄνδρας τούτους 17
τοὺς ἀνακληθέντας ἐξ ὀνόματος, [18] καὶ πᾶσαν τὴν συναγωγὴν συνήγαγον ἐν μιᾷ 18
τοῦ μηνὸς τοῦ δευτέρου ἔτους, καὶ ἐπηξονοῦσαν κατὰ γενέσεις αὐτῶν, κατὰ
πατριὰς αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω,
πᾶν ἀρσενικὸν κατὰ κεφαλὴν αὐτῶν, [19] ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ· 19
καὶ ἐπεσκέπησαν ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ. [20] καὶ ἐγένοντο οἱ υἱοὶ Ῥουβὴν πρω- 20
τοτόκου Ἰσραὴλ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴκους
πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα
ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,
[21] ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ῥουβὴν ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ 21
πεντακόσιοι. [22] τοῖς υἱοῖς Συμεὼν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, 22
κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν
τῇ δυνάμει, [23] ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Συμεὼν ἐννέα καὶ πεντήκοντα 23
χιλιάδες καὶ τριακόσιοι. [24] τοῖς υἱοῖς Ἰούδα κατὰ συγγενείας αὐτῶν, κατὰ (26) 24
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν,
κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ
ἐκπορευόμενος ἐν τῇ δυνάμει, [25] ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰούδα (27) 25
τέσσαρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι. [26] τοῖς υἱοῖς Ἰσσάχαρ (28) 26
κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, [27] ἡ ἐπίσκεψις (29) 27
αὐτῶν ἐκ τῆς φυλῆς Ἰσσάχαρ τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρα-
κόσιοι. [28] τοῖς υἱοῖς Ζαβουλὼν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, (30) 28

---

Inscriptio: αριθμοι

I. 2. συναγ. υιων ισραηλ ... συγγενειας αυτων 4. εκαστος εκαστος 5. τω ρουβην ... υιος εδιουρ 6. τω συμεων 7. τω ιουδα 9. υιος σεμιουδ 10. μαννασση 11. βενιαμειν 12. αμισαδαι (non αμισαδαΐ) 13. φαγαιηλ (non φαγαΐηλ) 18. πασαν συναγωγ. εξεκκλησιασαν επεσκεπησαν pro επηξονουσαν 21. τεσσερακοντα

Digitized by Google

κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν
29 (31) τῇ δυνάμει, 29 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ζαβουλὼν ἑπτὰ καὶ πεν-
30 (32) τήκοντα χιλιάδες καὶ τετρακόσιοι. 30 τοῖς υἱοῖς Ἰωσὴφ υἱοῖς Ἐφραῒμ κατὰ
συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκο-
31 (33) σαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 31 ἡ ἐπίσκεψις
32 (34) αὐτῶν ἐκ τῆς φυλῆς Ἐφραῒμ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. 32 τοῖς
υἱοῖς Μανασσῆ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πα-
τριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα
ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,
33 (35) 33 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Μανασσῆ δύο καὶ τριάκοντα χιλιάδες
34 (36) καὶ διακόσιοι. 34 τοῖς υἱοῖς Βενιαμὶν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους
αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπο-
35 (37) ρευόμενος ἐν τῇ δυνάμει, 35 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Βενιαμὶν
36 (24) πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι. 36 τοῖς υἱοῖς Γὰδ κατὰ συγ-
γενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀρι-
θμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς
37 (25) καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 37 ἡ ἐπίσκεψις αὐτῶν ἐκ
τῆς φυλῆς Γὰδ πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντή-
38 κοντα. 38 τοῖς υἱοῖς Δὰν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ'
οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν,
πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνά-
39 μει, 39 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Δὰν δύο καὶ ἑξήκοντα χιλιάδες καὶ
40 ἑπτακόσιοι. 40 τοῖς υἱοῖς Ἀσὴρ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν,
κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν
41 τῇ δυνάμει, 41 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἀσὴρ μία καὶ τεσσαράκοντα
42 χιλιάδες καὶ πεντακόσιοι. 42 τοῖς υἱοῖς Νεφθαλὶ κατὰ συγγενείας αὐτῶν, κατὰ
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν,
κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπο-
43 ρευόμενος ἐν τῇ δυνάμει, 43 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Νεφθαλὶ τρεῖς
44 καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. 44 αὕτη ἡ ἐπίσκεψις ἣν ἐπεσκέψαντο
Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραήλ, δώδεκα ἄνδρες· ἀνὴρ εἷς κατὰ
45 φυλὴν μίαν, κατὰ φυλὴν οἴκων πατριᾶς ἦσαν. 45 καὶ ἐγένετο πᾶσα ἡ ἐπίσκε-
ψις υἱῶν Ἰσραὴλ σὺν δυνάμει αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκ-
46 πορευόμενος παρατάξασθαι ἐν Ἰσραήλ, 46 ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ
47 πεντακόσιοι καὶ πεντήκοντα. 47 οἱ δὲ Λευῖται ἐκ τῆς φυλῆς πατριᾶς αὐτῶν οὐκ
48 ἐπεσκέπησαν ἐν τοῖς υἱοῖς Ἰσραήλ. 48 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων
49 49 Ὅρα τὴν φυλὴν Λευὶ οὐ συνεπισκέψῃ, καὶ τὸν ἀριθμὸν αὐτῶν οὐ λήψῃ ἐν
50 μέσῳ υἱῶν Ἰσραήλ. 50 καὶ σὺ ἐπίστησον τοὺς Λευίτας ἐπὶ τὴν σκηνὴν τοῦ
μαρτυρίου καὶ ἐπὶ πάντα τὰ σκεύη αὐτῆς καὶ ἐπὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ·
ἀροῦσιν αὐτοὶ τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ αὐτοὶ λειτουργή-
51 σουσιν ἐν αὐτῇ, καὶ κύκλῳ τῆς σκηνῆς παρεμβαλοῦσι· 51 καὶ ἐν τῷ ἐξαίρειν
τὴν σκηνὴν καθελοῦσιν αὐτὴν οἱ Λευῖται, καὶ ἐν τῷ παρεμβάλλειν τὴν σκηνὴν

---

29. ** πενταχοσιοι (ab εκ της φυλης usque πενταχοσιοι **) (31. τησσεραχοντα) 32. 33. μαννασση 34. 35. βενιαμειν 37. 41. τεσσεραχοντα 44. επεσχεψατο ... ** δωδεχα αρχοντες ... πατριας αυτων 45. των υιων 47. om φυλης ... ου συνεπεσχεπησαν 49. λημψη εμμεσω των ... ** των αδελφων αυτων των υιων ισρ. 50. αυτοι αρουσιν ... om και ante χυχλω

ἀναστήσουσι· καὶ ὁ ἀλλογενὴς ὁ προςπορευόμενος ἀποϑανέτω. [52] καὶ παρεμ- 52
βαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ ἀνὴρ ἐν τῇ ἑαυτοῦ τάξει καὶ ἀνὴρ κατὰ τὴν ἑαυτοῦ
ἡγεμονίαν σὺν δυνάμει αὐτῶν· [53] οἱ δὲ Λευῖται παρεμβαλλέτωσαν ἐναντίοι κύκλῳ 53
τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ οὐκ ἔσται ἁμάρτημα ἐν υἱοῖς Ἰσραήλ· καὶ
φυλάξουσιν οἱ Λευῖται αὐτοὶ τὴν φυλακὴν τῆς σκηνῆς τοῦ μαρτυρίου. [54] καὶ 54
ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ κατὰ πάντα ἃ ἐνετείλατο κύριος τῷ Μωυσῇ καὶ
Ἀαρών, οὕτως ἐποίησαν.

## II.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [2] Ἄνϑρωπος ἐχό- 2
μενος αὐτοῦ κατὰ τάγμα, κατὰ σημαίας, κατ' οἴκους πατριῶν αὐτῶν, παρεμ-
βαλλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ ἐναντίοι, κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου παρεμ-
βαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ. [3] καὶ οἱ παρεμβάλλοντες πρῶτοι κατὰ ἀνατολὰς τάγμα 3
παρεμβολῆς Ἰούδα σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰούδα Ναασ-
σὼν υἱὸς Ἀμιναδάβ· [4] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τέσσαρες καὶ ἑβδομή- 4
κοντα χιλιάδες καὶ ἑξακόσιοι. [5] καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ἰσσά- 5
χαρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰσσάχαρ Ναϑαναὴλ υἱὸς Σωγάρ· [6] δύναμις αὐτοῦ 6
οἱ ἐπεσκεμμένοι τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. [7] καὶ οἱ 7
παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ζαβουλών, καὶ ὁ ἄρχων τῶν υἱῶν Ζαβουλὼν
Ἐλιὰβ υἱὸς Χαιλών· [8] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι ἑπτὰ καὶ πεντήκοντα 8
χιλιάδες καὶ τετρακόσιοι. [9] πάντες οἱ ἐπεσκεμμένοι ἐκ τῆς παρεμβολῆς Ἰούδα 9
ἑκατὸν ὀγδοήκοντα χιλιάδες καὶ ἑξακιςχίλιοι καὶ τετρακόσιοι, σὺν δυνάμει αὐ-
τῶν πρῶτοι ἐξαροῦσι. [10] τάγματα παρεμβολῆς Ῥουβὴν πρὸς λίβα δύναμις αὐτῶν, 10
καὶ ὁ ἄρχων τῶν υἱῶν Ῥουβὴν Ἐλισοὺρ υἱὸς Σεδιούρ· [11] δύναμις αὐτοῦ οἱ 11
ἐπεσκεμμένοι ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. [12] καὶ οἱ παρεμ- 12
βάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Συμεών, καὶ ὁ ἄρχων τῶν υἱῶν Συμεὼν Σα-
λαμιὴλ υἱὸς Σουρισαδαί· [13] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι ἐννέα καὶ πεντή- 13
κοντα χιλιάδες καὶ τριακόσιοι. [14] καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλὴ 14
Γάδ, καὶ ὁ ἄρχων τῶν υἱῶν Γὰδ Ἐλισὰφ υἱὸς Ῥαγουήλ· [15] δύναμις αὐτοῦ 15
οἱ ἐπεσκεμμένοι πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντήκοντα.
[16] πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ῥουβὴν ἑκατὸν πεντήκοντα μία 16
χιλιάδες καὶ τετρακόσιοι καὶ πεντήκοντα, σὺν δυνάμει αὐτῶν δεύτεροι ἐξα-
ροῦσι. [17] καὶ ἀρϑήσεται ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ ἡ παρεμβολὴ τῶν Λευιτῶν 17
μέσον τῶν παρεμβολῶν· ὡς καὶ παρεμβαλοῦσιν, οὕτω καὶ ἐξαροῦσιν ἕκαστος
ἐχόμενος καϑ' ἡγεμονίας. [18] τάγμα παρεμβολῆς Ἐφραὶμ παρὰ ϑάλασσαν σὺν 18
δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἐφραὶμ Ἐλισαμὰ υἱὸς Ἐμιούδ· [19] δύ- 19
ναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. [20] καὶ 20
οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Μανασσῆ, καὶ ὁ ἄρχων τῶν υἱῶν Μανασσῆ
Γαμαλιὴλ υἱὸς Φαδασσούρ· [21] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι δύο καὶ τριά- 21
κοντα χιλιάδες καὶ διακόσιοι. [22] καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Βενια- 22
μίν, καὶ ὁ ἄρχων τῶν υἱῶν Βενιαμὶν Ἀβιδὰν υἱὸς Γαδεωνί· [23] δύναμις αὐτοῦ 23

---

51. αναστησουσιν αυτην 52. εν τη αυτου 53. παρεμβαλετωσαν 54. οσα ενετειλατο II. 2. κατα ταγμα αυτου και κατα τας σημ. ... παρεμβαλετωσαν ... εναντιον κυριου 3. και ουτοι (** οι) π. π. κατ ανατολας 4. 6. ηριϑμημενοι pro επεσκεμμενοι 6. τεσσερες 9. φυλης ιουδα ... εκ. και ογδοηκ. ... πρωτ. αναζευξουσιν 10. ταγμα ... λιβα συν δυναμει αυτων ... υιος εδιουρ 11. οι ηριϑμημενοι ... τεσσερακοντα 12. φυλη συμεων 13. 15. 16. οι ηριϑμημενοι 15. τεσσερακοντα 16. ρουβην μια και πεντηκοντα και εκατον χιλ. ... δευτεροι αναζευξουσιν 17. ανα μεσων παρεμβολων· ως παρεμβαλλουσιν, ουτως και αναζευξουσιν ... εχομ. κατα ταγμα αυτων 18. κατα ϑαλασσαν 19. τεσσερακοντα 20. φυλη (** φυλης) μαννασση (bis) 21. * τριακοσιοι 22. βενιαμειν bis ... αβειδαν

Digitized by Google

24 οἱ ἐπεσκεμμένοι πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι. 24 πάντες οἱ
ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ἐφραΐμ ἑκατὸν χιλιάδες καὶ ὀκτακισχίλιοι καὶ
25 ἑκατόν, σὺν δυνάμει αὐτῶν τρίτοι ἐξαροῦσι. 25 τάγμα παρεμβολῆς Δὰν πρὸς
βοῤῥᾶν σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Δὰν Ἀχιέζερ υἱὸς Ἀμισα-
26 δαΐ· 26 δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτα-
27 κόσιοι. 27 καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλὴ Ἀσήρ, καὶ ὁ ἄρχων
28 τῶν υἱῶν Ἀσὴρ Φαγεὴλ υἱὸς Ἐχράν· 28 δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι μία
29 καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. 29 καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι
30 φυλῆς Νεφθαλί, καὶ ὁ ἄρχων τῶν υἱῶν Νεφθαλὶ Ἀχιρὲ υἱὸς Αἰνάν· 30 δύνα-
μις αὐτοῦ οἱ ἐπεσκεμμένοι τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.
31 31 πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Δὰν ἑκατὸν καὶ πεντηκονταεπτὰ
32 χιλιάδες καὶ ἑξακόσιοι, ἔσχατοι ἐξαροῦσι κατὰ τάγμα αὐτῶν. 32 αὕτη ἡ ἐπί-
σκεψις τῶν υἱῶν Ἰσραὴλ κατ᾽ οἴκους πατριῶν αὐτῶν· πᾶσα ἡ ἐπίσκεψις τῶν
παρεμβολῶν σὺν ταῖς δυνάμεσιν αὐτῶν ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι πεν-
33 τακόσιοι πεντήκοντα. 33 οἱ δὲ Λευῖται οὐ συνεπεσκέπησαν ἐν αὐτοῖς, καθὰ ἐνε-
34 τείλατο κύριος τῷ Μωυσῇ. 34 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ πάντα ὅσα συνέ-
ταξε κύριος τῷ Μωυσῇ· οὕτω παρενέβαλον κατὰ τάγμα αὐτῶν, καὶ οὕτως
ἐξῆρον ἕκαστος ἐχόμενοι κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν.

## III.

Καὶ αὗται αἱ γενέσεις Ἀαρὼν καὶ Μωυσῆ, ἐν ᾗ ἡμέρᾳ ἐλάλησε κύριος
2 τῷ Μωυσῇ ἐν ὄρει Σινᾶ. 2 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἀαρών· πρωτό-
3 τοκος Ναδὰβ καὶ Ἀβιοὺδ, Ἐλεάζαρ καὶ Ἰθάμαρ· 3 ταῦτα τὰ ὀνόματα τῶν
υἱῶν Ἀαρών, οἱ ἱερεῖς οἱ ἠλειμμένοι, οὓς ἐτελείωσαν τὰς χεῖρας αὐτῶν ἱερα-
4 τεύειν. 4 καὶ ἐτελεύτησε Ναδὰβ καὶ Ἀβιοὺδ ἔναντι κυρίου, προσφερόντων αὐτῶν
πῦρ ἀλλότριον ἔναντι κυρίου ἐν τῇ ἐρήμῳ Σινᾶ, καὶ παιδία οὐκ ἦν αὐτοῖς·
5 καὶ ἱεράτευσεν Ἐλεάζαρ καὶ Ἰθάμαρ μετὰ Ἀαρὼν τοῦ πατρὸς αὐτῶν. 5 καὶ
6 ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 6 Λάβε τὴν φυλὴν Λευὶ καὶ στήσεις αὐ-
7 τοὺς ἐναντίον Ἀαρὼν τοῦ ἱερέως, καὶ λειτουργήσουσιν αὐτῷ· 7 καὶ φυλάξουσι
τὰς φυλακὰς αὐτοῦ καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ ἔναντι τῆς σκηνῆς τοῦ
8 μαρτυρίου, ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς· 8 καὶ φυλάξουσι πάντα τὰ σκεύη
τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ κατὰ πάντα τὰ
9 ἔργα τῆς σκηνῆς· 9 καὶ δώσεις τοὺς Λευίτας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ τοῖς
10 ἱερεῦσι· δεδομένοι δόμα οὗτοί μοί εἰσιν ἀπὸ τῶν υἱῶν Ἰσραήλ. 10 καὶ Ἀαρὼν
καὶ τοὺς υἱοὺς αὐτοῦ καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ φυλά-
ξουσι τὴν ἱερατείαν αὐτῶν καὶ πάντα τὰ κατὰ τὸν βωμὸν καὶ ἔσω τοῦ κατα-
11 πετάσματος· καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀποθανεῖται. 11 καὶ ἐλάλησε κύριος
12 πρὸς Μωυσῆν λέγων 12 Καὶ ἰδοὺ ἐγὼ εἴληφα τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν
Ἰσραὴλ ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ·
13 λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται. 13 ἐμοὶ γὰρ πᾶν πρωτότο-
κον· ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἡγίασα ἐμοὶ πᾶν
πρωτότοκον ἐν Ἰσραήλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους ἐμοὶ ἔσονται· ἐγὼ κύριος.
14 15 14 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινᾶ λέγων 15 Ἐπίσκεψαι
τοὺς υἱοὺς Λευὶ κατ᾽ οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν· πᾶν ἀρσε-

---

24. οι ηριθμημενοι ... τριτ. αναζευξουσιν 25. σαμισαδαι 26. οι ηριθμημενοι 27. φαγαιηλ 28. τεσσερακοντα 29. παρεμβαλοντες ... νεφθαλειμ bis 31. οι αριθμηθεντες ... επτα και πεντηκ. και εκατον χιλ. κ. εξακ. συν δυναμει αυτων ... αναζευξουσιν 32. και πεντακοσ. και πεντηκ. 33. om εν 34. ισραηλ καθα ενετειλατο κυρ. III. 1. εν τω ορει 2. και ελεαζαρ 3. και οι ηλιμμενοι ... χειρας του ιερατευειν 6. την λευι 9. ααρων τω αδελφω σου ... δομα δεδομενοι ... μονοι pro μοι 10. και τα εσω 12. εγω ιδου (... ηλιφα) 13. ηγιασας 15. ante παν add κατα συγγενειας αυτων

Digitized by Google

νικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω ἐπισκέψασθε αὐτούς. [16] καὶ ἐπεσκέψαντο αὐ- 16
τοὺς Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου, ὃν τρόπον συνέταξεν αὐτοῖς κύριος.
[17] καὶ ἦσαν οὗτοι οἱ υἱοὶ Λευὶ ἐξ ὀνομάτων αὐτῶν· Γεδσών, Καὰθ καὶ Με- 17
ραρί. [18] καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσὼν κατὰ δήμους αὐτῶν· Λοβενὶ 18
καὶ Σεμεΐ. [19] καὶ υἱοὶ Καὰθ κατὰ δήμους αὐτῶν· Ἀμρὰμ καὶ Ἰσσάαρ, Χε- 19
βρὼν καὶ Ὀζιήλ. [20] καὶ υἱοὶ Μεραρὶ κατὰ δήμους αὐτῶν· Μοολὶ καὶ Μουσί. 20
οὗτοί εἰσι δῆμοι τῶν Λευιτῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν. [21] τῷ Γεδσὼν δῆμος 21
τοῦ Λοβενὶ καὶ δῆμος τοῦ Σεμεΐ· οὗτοι δῆμοι τοῦ Γεδσών. [22] ἡ ἐπίσκεψις 22
αὐτῶν κατὰ ἀριθμὸν παντὸς ἀρσενικοῦ ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἡ ἐπίσκεψις
αὐτῶν ἑπτακισχίλιοι καὶ πεντακόσιοι. [23] καὶ οἱ υἱοὶ Γεδσὼν ὀπίσω τῆς σκηνῆς 23
παρεμβαλοῦσι παρὰ θάλασσαν· [24] καὶ ὁ ἄρχων οἴκου πατριᾶς τοῦ δήμου τοῦ 24
Γεδσὼν Ἐλισὰφ υἱὸς Δαήλ. [25] καὶ ἡ φυλακὴ υἱῶν Γεδσὼν ἐν τῇ σκηνῇ τοῦ 25
μαρτυρίου· ἡ σκηνὴ καὶ τὸ κάλυμμα, καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς
σκηνῆς τοῦ μαρτυρίου, [26] καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ τὸ καταπέτασμα τῆς 26
πύλης τῆς αὐλῆς τῆς οὔσης ἐπὶ τῆς σκηνῆς, καὶ τὰ κατάλοιπα πάντων τῶν
ἔργων αὐτοῦ. [27] τῷ Καὰθ δῆμος ὁ Ἀμρὰμ εἷς, καὶ δῆμος ὁ Ἰσσάαρ εἷς, καὶ 27
δῆμος ὁ Χεβρὼν εἷς, καὶ δῆμος ὁ Ὀζιὴλ εἷς· οὗτοί εἰσιν οἱ δῆμοι τοῦ Καάθ,
[28] κατὰ ἀριθμόν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὀκτακισχίλιοι καὶ 28
ἑξακόσιοι, φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων. [29] οἱ δῆμοι τῶν υἱῶν Καὰθ 29
παρεμβαλοῦσιν ἐκ πλαγίων τῆς σκηνῆς κατὰ λίβα· [30] καὶ ὁ ἄρχων οἴκου πα- 30
τριῶν τῶν δήμων τοῦ Καὰθ Ἐλισαφὰν υἱὸς Ὀζιήλ. [31] καὶ ἡ φυλακὴ αὐτῶν 31
ἡ κιβωτὸς καὶ ἡ τράπεζα καὶ ἡ λυχνία καὶ τὰ θυσιαστήρια, καὶ τὰ σκεύη
τοῦ ἁγίου ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς, καὶ τὸ κατακάλυμμα καὶ πάντα τὰ
ἔργα αὐτῶν. [32] καὶ ὁ ἄρχων ἐπὶ τῶν ἀρχόντων τῶν Λευιτῶν Ἐλεάζαρ ὁ υἱὸς 32
Ἀαρὼν τοῦ ἱερέως, καθεσταμένος φυλάσσειν τὰς φυλακὰς τῶν ἁγίων. [33] τῷ 33
Μεραρὶ δῆμος ὁ Μοολὶ καὶ δῆμος ὁ Μουσί· οὗτοί εἰσι δῆμοι τοῦ Μεραρί. [34] ἡ 34
ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμόν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἑξα-
κισχίλιοι καὶ πεντήκοντα· [35] καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ δήμου τοῦ Με- 35
ραρὶ Σουριὴλ υἱὸς Ἀβιχαίλ· ἐκ πλαγίων τῆς σκηνῆς παρεμβαλοῦσι πρὸς βοῤῥᾶν.
[36] ἡ ἐπίσκεψις τῆς φυλακῆς υἱῶν Μεραρί· τὰς κεφαλίδας τῆς σκηνῆς καὶ τοὺς 36
μοχλοὺς αὐτῆς καὶ τοὺς στύλους αὐτῆς καὶ τὰς βάσεις αὐτῆς, καὶ πάντα τὰ
σκεύη αὐτῶν καὶ τὰ ἔργα αὐτῶν, [37] καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ καὶ 37
τὰς βάσεις αὐτῶν, καὶ τοὺς πασσάλους καὶ τοὺς κάλους αὐτῶν. [38] οἱ παρεμ- 38
βάλλοντες κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ ἀνατολῆς Μωυσῆς καὶ
Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, φυλάσσοντες τὰς φυλακὰς τοῦ ἁγίου εἰς τὰς φυλακὰς
τῶν υἱῶν Ἰσραήλ· καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀποθανεῖται. [39] πᾶσα ἡ ἐπίσκε- 39
ψις τῶν Λευιτῶν οὓς ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου κατὰ
δήμους αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, δύο καὶ εἴκοσι χιλιά-
δες. [40] καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων Ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν 40
τῶν υἱῶν Ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω, καὶ λάβετε τὸν ἀριθμὸν ἐξ ὀνό-
ματος· [41] καὶ λήψῃ τοὺς Λευίτας ἐμοί, ἐγὼ κύριος, ἀντὶ πάντων τῶν πρωτο- 41
τόκων τῶν υἱῶν Ἰσραήλ, καὶ τὰ κτήνη τῶν Λευιτῶν ἀντὶ πάντων τῶν πρω-
τοτόκων ἐν τοῖς κτήνεσι τῶν υἱῶν Ἰσραήλ. [42] καὶ ἐπεσκέψατο Μωυσῆς ὃν τρό- 42
πον ἐνετείλατο κύριος πᾶν πρωτότοκον ἐν τοῖς υἱοῖς Ἰσραήλ· [43] καὶ ἐγένοντο 43

15. επανω αριθμησονται αυτους 16. και ηριθμησεν αυτους ... καθα συνετ. 17. ουτοι υιοι 19. αμβραμ 20. ουτοι υιοι ... ομουσι 21. σεμει (v. 18. σεμεΐ) 22. επανω ο αριθμος αυτων 23. κατα θαλασσαν 25. * om της θυρας 27. αμβρααμ ... σααρ ... εισιν δημοι 29. * κατα νοτον 30. om των 32. ο επι ... υιος pro ο υιος 33. ο ομουσι 36. * βασεις αυτων 37. πασσαλ. αυτων κ. τ. κλαδους α. 38. και οι παρεμβ. ... ανατολων ... προςπορευομενος pro απτομενος 40. λαβε τ. αρ. αυτων 41. λημψη 42. κυριος αυτω

Digitized by Google

πάντα τὰ πρωτότοκα τὰ ἀρσενικὰ κατὰ ἀριθμὸν ἐξ ὀνόματος ἀπὸ μηνιαίου
καὶ ἐπάνω ἐκ τῆς ἐπισκέψεως αὐτῶν δύο καὶ εἴκοσι χιλιάδες καὶ τρεῖς καὶ
44 45 ἑβδομήκοντα καὶ διακόσιοι. [44] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [45] Λάβε
τοὺς Λευίτας ἀντὶ πάντων τῶν πρωτοτόκων υἱῶν Ἰσραήλ, καὶ τὰ κτήνη τῶν
Λευιτῶν ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται· ἐγὼ κύριος.
46 [46] καὶ τὰ λύτρα τριῶν καὶ ἑβδομήκοντα καὶ διακοσίων οἱ πλεονάζοντες παρὰ
47 τοὺς Λευίτας ἀπὸ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ· [47] καὶ λήψῃ πέντε σί-
κλους κατὰ κεφαλήν, κατὰ τὸ δίδραχμον τὸ ἅγιον λήψῃ, εἴκοσι ὀβολοὺς τοῦ
48 σίκλου· [48] καὶ δώσεις τὸ ἀργύριον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λύτρα τῶν
49 πλεοναζόντων ἐν αὐτοῖς.· [49] καὶ ἔλαβε Μωυσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεο-
50 ναζόντων εἰς τὴν ἐκλύτρωσιν τῶν Λευιτῶν· [50] παρὰ τῶν πρωτοτόκων τῶν υἱῶν
Ἰσραὴλ ἔλαβε τὸ ἀργύριον, χιλίους τριακοσίους ἑξηκονταπέντε σίκλους, κατὰ
51 τὸν σίκλον τὸν ἅγιον. [51] καὶ ἔδωκε Μωυσῆς τὰ λύτρα τῶν πλεοναζόντων Ἀαρὼν
καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ φωνῆς κυρίου, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ.

## IV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [2] Λάβε τὸ κεφάλαιον
τῶν υἱῶν Καὰθ ἐκ μέσου υἱῶν Λευί, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πα-
3 τριῶν αὐτῶν, [3] ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν καὶ ἐπάνω ἕως πεντήκοντα ἐτῶν,
πᾶς ὁ εἰςπορευόμενος λειτουργεῖν ποιῆσαι πάντα τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρ-
4 τυρίου. [4] καὶ ταῦτα τὰ ἔργα τῶν υἱῶν Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἅγιον
5 τῶν ἁγίων. [5] καὶ εἰςελεύσεται Ἀαρὼν καὶ υἱοὶ αὐτοῦ ὅταν ἐξαίρῃ ἡ παρεμβολή,
καὶ καθελοῦσι τὸ καταπέτασμα τὸ συσκιάζον, καὶ κατακαλύψουσιν ἐν αὐτῷ
6 τὴν κιβωτὸν τοῦ μαρτυρίου· [6] καὶ ἐπιθήσουσιν ἐπ' αὐτὸ κατακάλυμμα δέρμα
ὑακίνθινον, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον ὑακίνθινον ἄνωθεν, καὶ
7 διεμβαλοῦσι τοὺς ἀναφορεῖς. [7] καὶ ἐπὶ τὴν τράπεζαν τὴν προκειμένην ἐπιβα-
λοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὁλοπόρφυρον καὶ τὰ τρυβλία καὶ τὰς θυΐσκας καὶ
τοὺς κυάθους καὶ τὰ σπονδεῖα ἐν οἷς σπένδει, καὶ οἱ ἄρτοι οἱ διὰ παντὸς ἐπ'
8 αὐτῆς ἔσονται· [8] καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον κόκκινον, καὶ καλύψουσιν
αὐτὴν καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι δι' αὐτῆς τοὺς ἀνα-
9 φορεῖς. [9] καὶ λήψονται ἱμάτιον ὑακίνθινον καὶ καλύψουσι τὴν λυχνίαν τὴν φω-
τίζουσαν, καὶ τοὺς λύχνους αὐτῆς καὶ τὰς λαβίδας αὐτῆς καὶ τὰς ἐπαρυστρίδας
10 αὐτῆς, καὶ πάντα τὰ ἀγγεῖα τοῦ ἐλαίου οἷς λειτουργοῦσιν ἐν αὐτοῖς· [10] καὶ
ἐμβαλοῦσιν αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς εἰς κάλυμμα δερμάτινον ὑακίν-
11 θινον, καὶ ἐπιθήσουσιν αὐτὴν ἐπ' ἀναφορέων. [11] καὶ ἐπὶ τὸ θυσιαστήριον τὸ
χρυσοῦν ἐπικαλύψουσιν ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὸ καλύμματι
12 δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ. [12] καὶ λήψονται
πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις,
καὶ ἐμβαλοῦσιν εἰς ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὰ καλύμματι δερ-
13 ματίνῳ ὑακινθίνῳ, καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς. [13] καὶ τὸν καλυπτῆρα ἐπι-
θήσει ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπικαλύψουσιν ἐπ' αὐτὸ ἱμάτιον ὁλοπόρφυρον·
14 [14] καὶ ἐπιθήσουσιν ἐπ' αὐτὸ πάντα τὰ σκεύη ὅσοις λειτουργοῦσιν ἐπ' αὐτῷ ἐν
αὐτοῖς, καὶ τὰ πυρεῖα καὶ τὰς κρεάγρας καὶ τὰς φιάλας καὶ τὸν καλυπτῆρα

---

43. om τα ante αρσενικα ... χιλιαδες τρεις 45. των υιων 47. λημψη bis ... εικ. οβολοι ο σικλος 49. om τα 50. πεντε και εξηκοντα και τριακοσιους και χιλιους κατα IV. 2. καθ 3. απο εικοσαετους και επανω 4. κααθ εκ μεσου υιων λευι κατα δημους αυτων κατ οικους πατριων αυτων 5. εισελευσονται ... οι υιοι ... σκηνην pro κιβωτον 8. διεμβαλ. τους αναφορεις αυτης 9. λημψονται (... επαρυστιδας) ... αγια τ. ελ. αυτης οσοι λειτ. 11. επικαλυψουσιν pro καλυψουσιν ... δερματι 12. λημψονται 12. δερματι 13. και επιθησεις τον καλυπτηρα 14. σκευη αυτου οσοι ... om επ αυτω ... κεαγρας

Digitized by Google

καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου· καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὸ κάλυμμα
δερμάτινον ὑακίνθινον, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ· καὶ λήψονται
ἱμάτιον πορφυροῦν καὶ συγκαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ
ἐμβαλοῦσιν αὐτὸ εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιθήσουσιν ἐπὶ ἀνα-
φορεῖς. 15 καὶ συντελέσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ καλύπτοντες τὰ ἅγια 15
καὶ πάντα τὰ σκεύη τὰ ἅγια, ἐν τῷ ἐξαίρειν τὴν παρεμβολήν· καὶ μετὰ ταῦτα
εἰςελεύσονται υἱοὶ Καὰθ αἴρειν, καὶ οὐχ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθά-
νωσι· ταῦτα ἀροῦσιν οἱ υἱοὶ Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. 16 ἐπίσκοπος 16
Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως, τὸ ἔλαιον τοῦ φωτὸς καὶ τὸ θυμίαμα τῆς
συνθέσεως καὶ ἡ θυσία ἡ καθ' ἡμέραν καὶ τὸ ἔλαιον τῆς χρίσεως, ἡ ἐπισκοπὴ
ὅλης τῆς σκηνῆς καὶ ὅσα ἐστὶν ἐν αὐτῇ ἐν τῷ ἁγίῳ, ἐν πᾶσι τοῖς ἔργοις.
17 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων 18 Μὴ ὀλοθρεύσητε τῆς 17 18
φυλῆς τὸν δῆμον τὸν Καὰθ ἐκ μέσου τῶν Λευιτῶν· 19 τοῦτο ποιήσατε αὐτοῖς, 19
καὶ ζήσονται καὶ οὐ μὴ ἀποθάνωσι· προςπορευομένων αὐτῶν πρὸς τὰ ἅγια τῶν
ἁγίων Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ προςπορευέσθωσαν, καὶ καταστήσουσιν αὐτοὺς
ἕκαστον κατὰ τὴν ἀναφορὰν αὐτοῦ· 20 καὶ οὐ μὴ εἰςέλθωσιν ἰδεῖν ἐξάπινα 20
τὰ ἅγια, καὶ ἀποθανοῦνται. 21 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 22 Λάβε 21 22
τὴν ἀρχὴν τῶν υἱῶν Γεδσών, καὶ τούτους κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ
δήμους αὐτῶν, 23 ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς 23
ἐπίσκεψαι αὐτούς, πᾶς ὁ εἰςπορευόμενος λειτουργεῖν, ποιεῖν τὰ ἔργα αὐτοῦ ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου. 24 αὕτη ἡ λειτουργία τοῦ δήμου τοῦ Γεδσών, λει- 24
τουργεῖν καὶ αἴρειν· 25 καὶ ἀρεῖ τὰς δέρρεις τῆς σκηνῆς, καὶ τὴν σκηνὴν τοῦ 25
μαρτυρίου καὶ τὸ κάλυμμα αὐτῆς, καὶ τὸ κατακάλυμμα τὸ ὑακίνθινον τὸ ὂν
ἐπ' αὐτῆς ἄνωθεν, καὶ τὸ κάλυμμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,
26 καὶ τὰ ἱστία τῆς αὐλῆς ὅσα ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ περισσὰ 26
καὶ πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ποιήσουσι·
27 κατὰ στόμα Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ ἔσται ἡ λειτουργία τῶν υἱῶν Γεδ- 27
σὼν κατὰ πάσας τὰς λειτουργίας αὐτῶν καὶ κατὰ πάντα τὰ ἔργα αὐτῶν· καὶ
ἐπισκέψῃ αὐτοὺς ἐξ ὀνόματος πάντα τὰ ἀρτὰ ὑπ' αὐτῶν. 28 αὕτη ἡ λειτουρ- 28
γία τῶν υἱῶν Γεδσὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἡ φυλακὴ αὐτῶν ἐν
χειρὶ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. 29 οἱ υἱοὶ Μεραρὶ κατὰ δήμους αὐ- 29
τῶν, κατ' οἴκους πατριῶν αὐτῶν ἐπισκέψασθε αὐτούς, 30 ἀπὸ πέντε καὶ εἰκο- 30
σαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς ἐπισκέψασθε αὐτούς, πᾶς ὁ εἰςπο-
ρευόμενος λειτουργεῖν τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου. 31 καὶ ταῦτα τὰ 31
φυλάγματα τῶν αἰρομένων ὑπ' αὐτῶν κατὰ πάντα τὰ ἔργα αὐτῶν ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου· τὰς κεφαλίδας τῆς σκηνῆς καὶ τοὺς μοχλοὺς καὶ τοὺς στύλους
αὐτῆς καὶ τὰς βάσεις αὐτῆς, καὶ τὸ κατακάλυμμα καὶ αἱ βάσεις αὐτῶν καὶ
οἱ στῦλοι αὐτῶν, καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς σκηνῆς, 32 καὶ τοὺς 32
στύλους τῆς αὐλῆς κύκλῳ καὶ αἱ βάσεις αὐτῶν, καὶ τοὺς στύλους τοῦ κατα-
πετάσματος τῆς πύλης τῆς αὐλῆς καὶ τὰς βάσεις αὐτῶν καὶ τοὺς πασσάλους
αὐτῶν καὶ τοὺς κάλους αὐτῶν, καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ πάντα τὰ
λειτουργήματα αὐτῶν, ἐξ ὀνομάτων ἐπισκέψασθε αὐτοὺς καὶ πάντα τὰ σκεύη
τῆς φυλακῆς τῶν αἰρομένων ὑπ' αὐτῶν. 33 αὕτη ἡ λειτουργία δήμου υἱῶν 33
Μεραρὶ ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἐν χειρὶ Ἰθάμαρ

---

14. εμβαλουσιν pro διεμβαλουσιν ... λημψονται ... εμβαλ. αυτα 15. εισελ. οι υιοι 16. και εν πασι 18. εξολεθρευσητε 19. εισπορευεσθωσαν 20. το αγιον 22. om και τουτους ... om κατα δημους αυτ. 23. επισκεψασθαι ... και ποιειν τ. εργ. της σκηνης τ. μαρτ. 24. δημου γεδσων 25. κατακαλυμμα bis pro καλυμμα ... επ αυτην 26. περισσα αυτων ... λειτουργικα αυτων και οσα 27. om και ante κατα ... αρτα δι αυτων pro εργα αυτων ... εξ ονοματων 31. υπ αυτου ... μοχλους αυτης ... κατακαλυμμ. της σκηνης ... το καλυμμα της 32. κλαδους pro καλους

Digitized by Google

34 τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. 34 καὶ ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ
ἄρχοντες Ἰσραὴλ τοὺς υἱοὺς Καὰθ κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν
35 αὐτῶν, 35 ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς
36 ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· 36 καὶ
ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν δισχίλιοι ἑπτακόσιοι πεντήκοντα.
37 37 αὕτη ἡ ἐπίσκεψις δήμου Καάθ, πᾶς ὁ λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρ-
τυρίου, καθὰ ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου ἐν χειρὶ
38 Μωυσῆ. 38 καὶ ἐπεσκέπησαν υἱοὶ Γεδσὼν κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους
39 πατριῶν αὐτῶν, 39 ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς,
πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρ-
40 τυρίου· 40 καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους
41 πατριῶν αὐτῶν, δισχίλιοι ἑξακόσιοι τριάκοντα· 41 αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν
Γεδσών, πᾶς ὁ λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, οὓς ἐπεσκέψατο Μωυ-
42 σῆς καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου ἐν χειρὶ Μωυσῆ. 42 ἐπεσκέπησαν δὲ καὶ
43 δῆμος υἱῶν Μεραρὶ κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν, 43 ἀπὸ
πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος
44 λειτουργεῖν πρὸς τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου· 44 καὶ ἐγενήθη ἡ ἐπί-
σκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν, τρισχίλιοι καὶ
45 διακόσιοι· 45 αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν Μεραρί, οὓς ἐπεσκέψατο Μωυσῆς
46 καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου ἐν χειρὶ Μωυσῆ. 46 πάντες οἱ ἐπεσκεμμένοι οὓς
ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραὴλ τοὺς Λευίτας, κατὰ
47 δήμους καὶ κατ᾽ οἴκους πατριῶν αὐτῶν, 47 ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ
ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος πρὸς τὸ ἔργον τῶν ἔργων
48 καὶ τὰ ἔργα τὰ αἰρόμενα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· 48 καὶ ἐγενήθησαν οἱ
49 ἐπισκεπέντες ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοήκοντα. 49 διὰ φωνῆς κυρίου ἐπε-
σκέψατο αὐτοὺς ἐν χειρὶ Μωυσῆ ἄνδρα κατὰ ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν καὶ
ἐπὶ ὧν αἴρουσιν αὐτοί, καὶ ἐπεσκέπησαν ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ.

## V.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Πρόσταξον τοῖς υἱοῖς Ἰσραήλ,
καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν καὶ πάντα γονοῤῥυῆ
3 καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ, 3 ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ, ἐξαποστείλατε
ἔξω τῆς παρεμβολῆς, καὶ οὐ μὴ μιανοῦσι τὰς παρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ
4 καταγίνομαι ἐν αὐτοῖς. 4 καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐξαπέστει-
λαν αὐτοὺς ἔξω τῆς παρεμβολῆς· καθὰ ἐλάλησε κύριος Μωυσῇ, οὕτως ἐποίη-
5 6 σαν οἱ υἱοὶ Ἰσραήλ. 5 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 6 Λάλησον τοῖς
υἱοῖς Ἰσραὴλ λέγων Ἀνὴρ ἢ γυνὴ ὅστις ἂν ποιήσῃ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν
7 τῶν ἀνθρωπίνων, καὶ παριδὼν παρίδῃ καὶ πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη, 7 ἐξα-
γορεύσει τὴν ἁμαρτίαν ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν, τὸ κεφά-
λαιον, καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ᾽ αὐτό, καὶ ἀποδώσει τίνι ἐπλημ-
8 μέλησεν αὐτῷ. 8 ἐὰν δὲ μὴ ᾖ τῷ ἀνθρώπῳ ὁ ἀγχιστεύων ὥστε ἀποδοῦναι αὐτῷ
τὸ πλημμέλημα πρὸς αὐτόν, τὸ πλημμέλημα τὸ ἀποδιδόμενον κυρίῳ τῷ ἱερεῖ
ἔσται, πλὴν τοῦ κριοῦ τοῦ ἱλασμοῦ δι᾽ οὗ ἐξιλάσεται ἐν αὐτῷ περὶ αὐτοῦ.
9 9 καὶ πᾶσα ἀπαρχὴ κατὰ πάντα τὰ ἁγιαζόμενα ἐν υἱοῖς Ἰσραήλ, ὅσα ἐὰν

35. ποιειν τα εργα της σκηνης-τ. μαρτ. 36. δισχιλ. τριακοντα πεντηκ. 38. οι υιοι 39. και εως pro εως 40. om και εγεν. η επ. αυτων 44. κ. εγενετο η επισκ. της συγγενειας αυτων κατ οικ. 46. υιων ισραηλ ... δημους αυτων κατ 48. om και ... οι επεσκεμμενοι ... και πεντηκοντα pro ογδοηκοντα 49. ους επεσκεψ. αυτ. V. 2. εκ της συναγωγης 3. ου μιανουσιν 4. om αυτους ... τω μωυση 6. οστις εαν ... om πασων 7. ην ημαρτεν 8. ανθρωπω αγχιστευων ... τω κυριω ... εξιλασμου 9. απαρχη και παντα

Digitized by Google

προσφέρωσι κυρίῳ, τῷ ἱερεῖ αὐτῷ ἔσται· 10 καὶ ἑκάστου τὰ ἡγιασμένα αὐτοῦ 10
ἔσται· καὶ ἀνὴρ ὃς ἂν δῷ τῷ ἱερεῖ, αὐτῷ ἔσται. 11 καὶ ἐλάλησε κύριος πρὸς 11
Μωυσῆν λέγων 12 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἀνδρὸς 12
ἀνδρὸς ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ καὶ ὑπεριδοῦσα παρίδῃ αὐτόν, 13 καὶ κοι- 13
μηθῇ τις μετ᾽ αὐτῆς κοίτην σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς
αὐτῆς καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασμένη, καὶ μάρτυς μὴ ἦν μετ᾽ αὐτῆς
καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη, 14 καὶ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως καὶ ζη- 14
λώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώ-
σεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιασμένη, 15 καὶ ἄξει 15
ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα, καὶ προσοίσει τὸ δῶρον περὶ
αὐτῆς τὸ δέκατον τοῦ οἰφὶ ἄλευρον κρίθινον· οὐκ ἐπιχεεῖ ἐπ᾽ αὐτὸ ἔλαιον
οὐδὲ ἐπιθήσει ἐπ᾽ αὐτὸ λίβανον, ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύ-
νου ἀναμιμνήσκουσα ἁμαρτίαν. 16 καὶ προσάξει αὐτὴν ὁ ἱερεύς, καὶ στήσει 16
αὐτὴν ἔναντι κυρίου· 17 καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ 17
ὀστρακίνῳ, καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ· 18 καὶ στήσει ὁ ἱερεὺς τὴν 18
γυναῖκα ἔναντι κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικός, καὶ δώ-
σει ἐπὶ τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλο-
τυπίας· ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικατα-
ρωμένου τούτου. 19 καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς καὶ ἐρεῖ τῇ γυναικί Εἰ μὴ κεκοί- 19
μηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυ-
τῆς, ἀθῴα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου·
20 εἰ δὲ σὺ παραβέβηκας ὕπανδρος οὖσα ἢ μεμίανσαι, καὶ ἔδωκέ τις τὴν κοίτην 20
αὐτοῦ ἐν σοὶ πλὴν τοῦ ἀνδρός σου, 21 καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς 21
ὅρκοις τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί Δῴη σε κύριος ἐν ἀρᾷ
καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι κύριον τὸν μηρόν σου δια-
πεπτωκότα καὶ τὴν κοιλίαν σου πεπρησμένην· 22 καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ 22
ἐπικαταρώμενον τοῦτο εἰς τὴν κοιλίαν σου πρῆσαι γαστέρα καὶ διαπεσεῖν μη-
ρόν σου. καὶ ἐρεῖ ἡ γυνή Γένοιτο, γένοιτο. 23 καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς 23
ταύτας εἰς βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρω-
μένου· 24 καὶ ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου, 24
καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦ ἐλεγμοῦ. 25 καὶ 25
λήψεται ὁ ἱερεὺς ἐκ χειρὸς τῆς γυναικὸς τὴν θυσίαν τῆς ζηλοτυπίας, καὶ ἐπι-
θήσει τὴν θυσίαν ἔναντι κυρίου καὶ προσοίσει αὐτὴν πρὸς τὸ θυσιαστήριον·
26 καὶ δράξεται ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς καὶ ἀνοίσεται 26
αὐτὸ ἐπὶ τὸ θυσιαστήριον, καὶ μετὰ ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ. 27 καὶ 27
ἔσται ἐὰν ᾖ μεμιασμένη καὶ λήθῃ λάθῃ τὸν ἄνδρα αὐτῆς, καὶ εἰσελεύσεται
εἰς αὐτὴν τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τὸ ἐπικαταρώμενον, καὶ πρησθήσεται τὴν κοι-
λίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀρὰν τῷ λαῷ
αὐτῆς· 28 ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνὴ καὶ καθαρὰ ᾖ, καὶ ἀθῴα ἔσται καὶ ἐκ- 28
σπερματιεῖ σπέρμα. 29 οὗτος ὁ νόμος τῆς ζηλοτυπίας, ᾧ ἂν παραβῇ ἡ γυνὴ 29
ὕπανδρος οὖσα καὶ μιανθῇ· 30 ἢ ἄνθρωπος ὃς ἐὰν ἐπέλθῃ ἐπ᾽ αὐτὸν πνεῦμα 30
ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ στήσῃ τὴν γυναῖκα αὐτοῦ ἔναντι
κυρίου, καὶ ποιήσει αὐτῇ ὁ ἱερεὺς πάντα τὸν νόμον τοῦτον· 31 καὶ ἀθῷος ἔσται 31
ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας, καὶ γυνὴ ἐκείνη λήψεται τὴν ἁμαρτίαν αὐτῆς.

---

12. παριδη αυτον υπεριδουσα 13. μετ αυτης τις ... δε μη η μεμιαμμενη ... μη η μετ 14. ** (* ?) αυτη μεμιανται ... μεμιαμμενη 15. και οισει 17. λημψεται ... αγγιω 18. το επικαταρωμενον τουτο 19. προς τον ανδρα 21. εμμεσω 25. λημψεται ... επι το θυσιαστ. 26. ανοισει 27. εαν μεν η μεμιαμμενη ... αραν εν τω 30. ω εαν ... στησει 31. ** και η γυνη (* ?) ... λημψεται

Digitized by Google

# VI.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ
ἐρεῖς πρὸς αὐτούς Ἀνὴρ ἢ γυνὴ ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι
3 ἁγνείαν κυρίῳ, [3] ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου καὶ *Lc. 1, 15.
ὄξος ἐκ σίκερα οὐ πίεται, καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται, καὶ
4 σταφυλὴν πρόσφατον καὶ σταφίδα οὐ φάγεται, [4] πάσας τὰς ἡμέρας τῆς εὐχῆς
αὐτοῦ ἀπὸ πάντων ὅσα γίνεται ἐξ ἀμπέλου οἶνον ἀπὸ στεμφύλων ἕως γιγάρ-
5 του οὐ φάγεται· [5] πάσας τὰς ἡμέρας τοῦ ἁγνισμοῦ ξυρὸν οὐκ ἐπελεύσεται ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι ὅσας ηὔξατο κυρίῳ, ἅγιος
6 ἔσται τρέφων κόμην τρίχα κεφαλῆς· [6] πάσας τὰς ἡμέρας τῆς εὐχῆς κυρίῳ ἐπὶ
7 πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰςελεύσεται. [7] ἐπὶ πατρὶ καὶ μητρί, καὶ ἐπ'
ἀδελφῷ καὶ ἐπ' ἀδελφῇ, οὐ μιανθήσεται ἐπ' αὐτοῖς ἀποθανόντων αὐτῶν, ὅτι
8 εὐχὴ θεοῦ αὐτοῦ ἐπ' αὐτῷ ἐπὶ κεφαλῆς αὐτοῦ· [8] πάσας τὰς ἡμέρας τῆς εὐχῆς
9 αὐτοῦ ἅγιος ἔσται κυρίῳ. [9] ἐὰν δέ τις ἀποθάνῃ ἐπ' αὐτῷ ἐξάπινα, παρα-
χρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ
10 ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ· τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται. [10] καὶ τῇ ἡμέρᾳ
τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας ἢ δύο νοσσοὺς περιστερῶν πρὸς τὸν ἱερέα ἐπὶ τὰς
11 θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, [11] καὶ ποιήσει ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας
καὶ μίαν εἰς ὁλοκαύτωμα· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ ὧν ἥμαρτε
12 περὶ τῆς ψυχῆς, καὶ ἁγιάσει τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ [12] ᾗ ἡγιά-
σθη κυρίῳ τὰς ἡμέρας τῆς εὐχῆς, καὶ προσάξει ἀμνὸν ἐνιαύσιον εἰς πλημμέ-
λειαν· καὶ αἱ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς
13 αὐτοῦ. [13] καὶ οὗτος ὁ νόμος τοῦ εὐξαμένου· ᾗ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς
14 αὐτοῦ προσοίσει αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· [14] καὶ προς-
άξει τὸ δῶρον αὐτοῦ κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον ἕνα εἰς ὁλοκαύτωσιν, καὶ
ἀμνάδα ἐνιαυσίαν μίαν ἄμωμον εἰς ἁμαρτίαν, καὶ κριὸν ἕνα ἄμωμον εἰς σω-
15 τήριον, [15] καὶ κανοῦν ἀζύμων σεμιδάλεως ἄρτους ἀναπεποιημένους ἐν ἐλαίῳ,
καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν καὶ σπονδὴν αὐτῶν.
16 [16] καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ
17 καὶ τὸ ὁλοκαύτωμα αὐτοῦ, [17] καὶ τὸν κριὸν ποιήσει θυσίαν σωτηρίου τῷ κυρίῳ
ἐπὶ τῷ κανῷ τῶν ἀζύμων, καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν αὐτοῦ καὶ τὴν
18 σπονδὴν αὐτοῦ. [18] καὶ ξυρήσεται ὁ ηὐγμένος παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ
μαρτυρίου τὴν κεφαλὴν τῆς εὐχῆς αὐτοῦ, καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ
19 ὅ ἐστιν ὑπὸ τὴν θυσίαν τοῦ σωτηρίου. [19] καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα
ἑφθὸν ἀπὸ τοῦ κριοῦ καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ τοῦ κανοῦ καὶ λάγανον ἄζυ-
μον ἕν, καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου μετὰ τὸ ξυρήσασθαι αὐτὸν
20 τὴν εὐχὴν αὐτοῦ, [20] καὶ προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι κυρίου· ἅγιον
ἔσται τῷ ἱερεῖ ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέματος καὶ ἐπὶ τοῦ βραχίονος τοῦ
21 ἀφαιρέματος· καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶνον. [21] οὗτος ὁ νόμος τοῦ
εὐξαμένου ὃς ἂν εὔξηται κυρίῳ δῶρον αὐτοῦ κυρίῳ περὶ τῆς εὐχῆς, χωρὶς ὧν
ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ κατὰ δύναμιν τῆς εὐχῆς αὐτοῦ ἣν ἂν εὔξηται κατὰ
22 23 νόμον ἁγνείας. [22] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [23] Λάλησον Ἀαρὼν

---

VI. 2. ος εαν ... αγνιαν 3. σικερα· αγνισθησεται απο οινου 4. αυτου· απο πασων οσα γεινεται ... στεμφυλλων 5. της ευχης του αγνισμου αυτου ... ας ηυξατο 7. και επι μητρι 9. θανατω αποθανη ... * εβδομη καθαρισθησεται (?) 10. τη δε ημερα ... νεοσσους 12. ηγιασεν (omisso η) κυριω πασας τας ... αι προτερον ... οτε εμιανθη κεφαλη 14. εις ολοκαυτωμα ... αμωμον μιαν ... om ενα 17. κυριω pro τω κυρ. 18. * ευγμενος ... εστιν επι την 19. λημψεται ... αζυμον ενα ... * ευγμενου ... κεφαλην pro ευχην 20. * ευγμενος 21. δυναμιν ευχης αυτ. ης αν ... κατα τον νομ. αγνιας Inter v. 23. et v. 24. inseritur v. 27.

Digitized by Google

καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων Οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ λέγοντες αὐτοῖς
24 Εὐλογήσαι σε κύριος καὶ φυλάξαι σε· 25 ἐπιφάναι κύριος τὸ πρόσωπον αὐτοῦ 24 25
ἐπὶ σὲ καὶ ἐλεήσαι σε· 26 ἐπάραι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δῴη σοι
εἰρήνην. 27 καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγὼ κύριος
εὐλογήσω αὐτούς.

## VII.

Καὶ ἐγένετο ᾗ ἡμέρᾳ συνετέλεσε Μωυσῆς ὥστε ἀναστῆσαι τὴν σκηνήν,
καὶ ἔχρισεν αὐτὴν καὶ ἡγίασεν αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυ-
σιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἔχρισεν αὐτὰ καὶ ἡγίασεν αὐτά·
2 καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραήλ, δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐ- 2
τῶν· οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς·
3 καὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν ἔναντι κυρίου ἓξ ἁμάξας λαμπηνικὰς καὶ δώ- 3
δεκα βόας, ἅμαξαν παρὰ δύο ἀρχόντων καὶ μόσχον παρὰ ἑκάστου, καὶ προσή-
γαγον ἐναντίον τῆς σκηνῆς. 4 καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων 5 Λάβε παρ' 4 5
αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου,
καὶ δώσεις αὐτὰ τοῖς Λευίταις ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν. 6 καὶ λα- 6
βὼν Μωυσῆς τὰς ἁμάξας καὶ τοὺς βόας ἔδωκεν αὐτὰ τοῖς Λευίταις, 7 καὶ 7
τὰς δύο ἁμάξας καὶ τοὺς τέσσαρας βόας ἔδωκε τοῖς υἱοῖς Γεδσὼν κατὰ τὰς
λειτουργίας αὐτῶν, 8 καὶ τὰς τέσσαρας ἁμάξας καὶ τοὺς ὀκτὼ βόας ἔδωκε 8
τοῖς υἱοῖς Μεραρὶ κατὰ τὰς λειτουργίας αὐτῶν διὰ Ἰθάμαρ υἱοῦ Ἀαρὼν τοῦ
ἱερέως· 9 καὶ τοῖς υἱοῖς Καὰθ οὐ δέδωκεν, ὅτι τὰ λειτουργήματα τοῦ ἁγίου 9
ἔχουσιν· ἐπ' ὤμων ἀροῦσιν. 10 καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαι- 10
νισμὸν τοῦ θυσιαστηρίου ἐν τῇ ἡμέρᾳ ᾗ ἔχρισεν αὐτό, καὶ προσήνεγκαν οἱ
ἄρχοντες τὰ δῶρα αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου. 11 καὶ εἶπε κύριος πρὸς 11
Μωυσῆν Ἄρχων εἷς καθ' ἡμέραν, ἄρχων καθ' ἡμέραν προσοίσουσι τὰ δῶρα
αὐτῶν εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου. 12 καὶ ἦν ὁ προσφέρων ἐν τῇ 12
ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτοῦ Ναασσὼν υἱὸς Ἀμιναδάβ, ἄρχων τῆς φυ-
λῆς Ἰούδα· 13 καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριά- 13
κοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ
τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ
εἰς θυσίαν· 14 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· 15 μόσχον ἕνα 14 15
ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 16 καὶ χίμαρον ἐξ 16
αἰγῶν ἕνα περὶ ἁμαρτίας· 17 καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς 17
πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο δῶρον Ναασσὼν υἱοῦ
Ἀμιναδάβ. 18 τῇ ἡμέρᾳ τῇ δευτέρᾳ προσήνεγκε Ναθαναὴλ υἱὸς Σωγάρ, ὁ ἄρ- 18
χων τῆς φυλῆς Ἰσσάχαρ. 19 καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυ- 19
ροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα
σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιη-
μένης ἐν ἐλαίῳ εἰς θυσίαν· 20 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· 20
21 μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 22 καὶ 21 22
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 23 καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις 23
δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον
Ναθαναὴλ υἱοῦ Σωγάρ. 24 τῇ ἡμέρᾳ τῇ τρίτῃ ἄρχων τῶν υἱῶν Ζαβουλών, 24
Ἐλιὰβ υἱὸς Χαιλών· 25 τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ 25
ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σί-
κλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 26 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· 27 μόσχον ἕνα ἐκ 26 27

---

VII. 1. τη ημερα η 2. ουτοι αρχοντες ... παραστηκοντες 3. τα δωρα ... κ. προσηνεγκαν εναντιον 7. om και ab initio 7. του υιου 9. ουχ εδωκεν 12. το δωρον αυτου τη ημ. τ. πρωτη 16. χειμαρρον 17. τουτο το δωρ. 18. σωγαρ αρχων 22. χειμαρρον



Digitized by Google

28 βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [28] καὶ χίμαρον ἐξ αἰ-
29 γῶν ἕνα περὶ ἁμαρτίας· [29] καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον Ἐλιὰβ υἱοῦ Χαι-
30 λών. [30] τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἄρχων τῶν υἱῶν Ῥουβήν, Ἐλισοὺρ υἱὸς Σεδιούρ·
31 [31] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ,
φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμ-
32 φότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν· [32] θυΐσκην
33 μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· [33] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα,
34 ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [34] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-
35 τίας· [35] καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε,
36 ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον Ἐλισοὺρ υἱοῦ Σεδιούρ. [36] τῇ ἡμέρᾳ
37 τῇ πέμπτῃ ἄρχων τῶν υἱῶν Συμεών, Σαλαμιὴλ υἱὸς Σουρισαδαΐ· [37] τὸ δῶρον
αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν
ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη
38 σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν· [38] θυΐσκην μίαν δέκα χρυ-
39 σῶν, πλήρη θυμιάματος· [39] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύ-
40 41 σιον εἰς ὁλοκαύτωμα· [40] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [41] καὶ εἰς
θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυ-
42 σίας πέντε· τοῦτο τὸ δῶρον Σαλαμιὴλ υἱοῦ Σουρισαδαΐ. [42] τῇ ἡμέρᾳ τῇ ἕκτῃ
43 ἄρχων τῶν υἱῶν Γάδ, Ἐλισὰφ υἱὸς Ῥαγουήλ· [43] τὸ δῶρον αὐτοῦ τρυβλίον
ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδο-
μήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀνα-
44 πεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν· [44] θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυ-
45 μιάματος· [45] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύ-
46 47 τωμα· [46] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [47] καὶ εἰς θυσίαν σωτη-
ρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε·
48 τοῦτο τὸ δῶρον Ἐλισὰφ υἱοῦ Ῥαγουήλ. [48] τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἄρχων τῶν
49 υἱῶν Ἐφραΐμ, Ἐλισαμὰ υἱὸς Ἐμιούδ· [49] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν
ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σί-
κλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημέ-
50 νης ἐν ἐλαίῳ εἰς θυσίαν· [50] θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος·
51 52 [51] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [52] καὶ
53 χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [53] καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις
δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον
54 Ἐλισαμὰ υἱοῦ Ἐμιούδ. [54] τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἄρχων τῶν υἱῶν Μανασσῆ, Γα-
55 μαλιὴλ υἱὸς Φαδασσούρ· [55] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα
καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν
σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
56 57 θυσίαν· [56] θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· [57] μόσχον ἕνα ἐκ
58 βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [58] καὶ χίμαρον ἐξ αἰ-
59 γῶν ἕνα περὶ ἁμαρτίας· [59] καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον Γαμαλιὴλ υἱοῦ Φα-
60 δασσούρ. [60] τῇ ἡμέρᾳ τῇ ἐνάτῃ ἄρχων τῶν υἱῶν Βενιαμίν, Ἀβιδὰν υἱὸς Γα-
61 δεωνί· [61] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον,
62 ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν· [62] θυΐσκην
63 μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος· [63] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα,
64 ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [64] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-

28. χειμαρρον 33. αμνον ενιαυσιον 35. om κριους πεντε 40. χειμαρρον 45. αμνον ενιαυσιον 46. χειμαρρον 51. αμνον ενιαυσιον 52. χειμαρρον 54. μαννασση ... φαδασουρ 57. αμνον ενιαυσιον 58. χειμαρρον 60. βενιαμειν 63. αμνον ενιαυσιον 64. χειμαρρον

Digitized by Google

τίας· [65] καὶ εἰς ϑυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, 65
ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον Ἀβιδὰν υἱοῦ Γαδεωνί. [66] τῇ ἡμέρᾳ 66
τῇ δεκάτῃ ἄρχων τῶν υἱῶν Δάν, Ἀχιέζερ υἱὸς Ἀμισαδαΐ· [67] τὸ δῶρον αὐτοῦ 67
τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυ-
ρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμι-
δάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς ϑυσίαν· [68] ϑυΐσκην μίαν δέκα χρυσῶν, 68
πλήρη ϑυμιάματος· [69] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον 69
εἰς ὁλοκαύτωμα· [70] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [71] καὶ εἰς ϑυ- 70 71
σίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας
πέντε· τοῦτο τὸ δῶρον Ἀχιέζερ υἱοῦ Ἀμισαδαΐ. [72] τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ ἄρ- 72
χων τῶν υἱῶν Ἀσήρ, Φαγεὴλ υἱὸς Ἐχράν. [73] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυ- 73
ροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα
σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιη-
μένης ἐν ἐλαίῳ εἰς ϑυσίαν· [74] ϑυΐσκην μίαν δέκα χρυσῶν, πλήρη ϑυμιάματος· 74
[75] μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἐνιαύσιον ἕνα εἰς ὁλοκαύτωμα· [76] καὶ 75 76
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [77] καὶ εἰς ϑυσίαν σωτηρίου δαμάλεις 77
δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον
Φαγεὴλ υἱοῦ Ἐχράν. [78] τῇ ἡμέρᾳ τῇ δωδεκάτῃ ἄρχων τῶν υἱῶν Νεφϑαλί, 78
Ἀχιρὲ υἱὸς Αἰνάν· [79] τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ 79
ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σί-
κλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
ϑυσίαν· [80] ϑυΐσκην μίαν δέκα χρυσῶν, πλήρη ϑυμιάματος· [81] μόσχον ἕνα ἐκ 80 81
βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [82] καὶ χίμαρον ἐξ αἰ- 82
γῶν ἕνα περὶ ἁμαρτίας· [83] καὶ εἰς ϑυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, 83
ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον Ἀχιρὲ υἱοῦ Αἰνάν. [84] οὗτος ὁ ἐγκαι- 84
νισμὸς τοῦ ϑυσιαστηρίου ᾗ ἡμέρᾳ ἔχρισεν αὐτὸ παρὰ τῶν ἀρχόντων τῶν υἱῶν
Ἰσραήλ· τρυβλία ἀργυρᾶ δώδεκα, φιάλαι ἀργυραῖ δώδεκα, ϑυΐσκαι χρυσαῖ
δώδεκα. [85] τριάκοντα καὶ ἑκατὸν σίκλων τὸ τρυβλίον τὸ ἕν, καὶ ἑβδομήκοντα 85
σίκλων ἡ φιάλη ἡ μία· πᾶν τὸ ἀργύριον τῶν σκευῶν δισχίλιοι καὶ τετρακό-
σιοι σίκλοι, σίκλοι ἐν τῷ σίκλῳ τῷ ἁγίῳ. [86] ϑυΐσκαι χρυσαῖ δώδεκα, πλήρεις 86
ϑυμιάματος· πᾶν τὸ χρυσίον τῶν ϑυΐσκων εἴκοσι καὶ ἑκατὸν χρυσοῖ. [87] πᾶσαι 87
αἱ βόες αἱ εἰς ὁλοκαύτωσιν μόσχοι δώδεκα, κριοὶ δώδεκα, ἀμνοὶ ἐνιαύσιοι
δώδεκα, καὶ αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν· καὶ χίμαροι ἐξ αἰγῶν
δώδεκα περὶ ἁμαρτίας· [88] πᾶσαι αἱ βόες εἰς ϑυσίαν σωτηρίου δαμάλεις εἰκο- 88
σιτέσσαρες, κριοὶ ἑξήκοντα, τράγοι ἑξήκοντα ἐνιαύσιοι, ἀμνάδες ἑξήκοντα ἐνιαύ-
σιοι ἄμωμοι. αὕτη ἡ ἐγκαίνωσις τοῦ ϑυσιαστηρίου μετὰ τὸ πληρῶσαι τὰς χεῖ-
ρας αὐτοῦ καὶ μετὰ τὸ χρῖσαι αὐτόν, [89] ἐν τῷ εἰςπορεύεσϑαι Μωυσῆν εἰς τὴν 89
σκηνὴν τοῦ μαρτυρίου λαλῆσαι αὐτῷ· καὶ ἤκουσε τὴν φωνὴν κυρίου λαλοῦν-
τος πρὸς αὐτὸν ἄνωϑεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυ-
ρίου ἀνὰ μέσον τῶν δύο Χερουβίμ, καὶ ἐλάλει πρὸς αὐτόν.

## VIII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον τῷ Ἀαρὼν καὶ ἐρεῖς 2
πρὸς αὐτόν Ὅταν ἐπιτιϑῇς τοὺς λύχνους, ἐκ μέρους κατὰ πρόσωπον τῆς λυχνίας

---

65. αβειδαν 66. 71. αμισαδαι (non αμισαδαϊ) 69. αμν. ενα ενιαυσ. αμωμον 70. χειμαρρον 72. 77. φαγαιηλ 75. om ενα tertium 76. χειμαρρον 81. * om ενα tertium 82. χειμαρον 84. om φιαλ. αργ. δωδ. 85. om σικλοι alterum 86. ** post ϑυμιαματος add φιαλαι αργυραι δωδεκα, praeterea sequitur η ϑυισκη εν τω σικλω των αγιων 87. βοες εις ... om και ante αι ϑυσιαι ... χειμαροι 88. om ενιαυσιοι prius ... ενιαυσιαι ... εγκαινισις 89. nec cod. Alex. ante εν τω εις πορ. distinguit .. χερουβειμ



Digitized by Google

3 φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι. 3 καὶ ἐποίησεν οὕτως Ἀαρών· ἐκ τοῦ ἑνὸς μέρους
κατὰ πρόςωπον τῆς λυχνίας ἐξῆψε τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξε κύριος
4 τῷ Μωυσῇ. 4 καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας· στερεὰ χρυσῆ ὁ καυλὸς αὐτῆς,
καὶ τὰ κρίνα αὐτῆς στερεὰ ὅλη· κατὰ τὸ εἶδος ὃ ἔδειξε κύριος τῷ Μωυσῇ,
5 6 οὕτως ἐποίησε τὴν λυχνίαν. 5 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 6 Λάβε
7 τοὺς Λευίτας ἐκ μέσου υἱῶν Ἰσραὴλ καὶ ἀφαγνιεῖς αὐτούς. 7 καὶ οὕτω ποιή-
σεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν· περιῤῥανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ, καὶ ἐπε-
λεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ
8 καθαροὶ ἔσονται. 8 καὶ λήψονται μόσχον ἕνα ἐκ βοῶν καὶ τούτου θυσίαν σεμί-
δαλιν ἀναπεποιημένην ἐν ἐλαίῳ, καὶ μόσχον ἐνιαύσιον ἐκ βοῶν λήψῃ περὶ ἁμαρ-
9 τίας. 9 καὶ προςάξεις τοὺς Λευίτας ἔναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ συν-
10 άξεις πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ· 10 καὶ προςάξεις τοὺς Λευίτας ἔναντι
κυρίου, καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Λευίτας·
11 11 καὶ ἀφοριεῖ Ἀαρὼν τοὺς Λευίτας ἀπόδομα ἔναντι κυρίου παρὰ τῶν υἱῶν Ἰσραήλ,
12 καὶ ἔσονται ὥςτε ἐργάζεσθαι τὰ ἔργα κυρίου. 12 οἱ δὲ Λευῖται ἐπιθήσουσι τὰς
χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων, καὶ ποιήσεις τὸν ἕνα περὶ ἁμαρτίας καὶ τὸν
13 ἕνα εἰς ὁλοκαύτωμα κυρίῳ ἐξιλάσασθαι περὶ αὐτῶν· 13 καὶ στήσεις τοὺς Λευίτας
ἔναντι κυρίου καὶ ἔναντι Ἀαρὼν καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ, καὶ ἀποδώσεις αὐτοὺς
14 ἀπόδομα ἔναντι κυρίου· 14 καὶ διαστελεῖς τοὺς Λευίτας ἐκ μέσου υἱῶν Ἰσραήλ,
15 καὶ ἔσονται μοί. 15 καὶ μετὰ ταῦτα εἰςελεύσονται οἱ Λευῖται ἐργάζεσθαι τὰ
ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ καθαριεῖς αὐτούς, καὶ ἀποδώσεις αὐτοὺς
16 ἔναντι κυρίου· 16 ὅτι ἀπόδομα ἀποδεδομένοι οὗτοί μοί εἰσιν ἐκ μέσου υἱῶν
Ἰσραήλ, ἀντὶ τῶν διανοιγόντων πᾶσαν μήτραν πρωτοτόκων πάντων ἐκ τῶν υἱῶν
17 Ἰσραὴλ εἴληφα αὐτοὺς ἐμοί· 17 ὅτι ἐμοὶ πᾶν πρωτότοκον ἐν υἱοῖς Ἰσραὴλ ἀπὸ
ἀνθρώπων ἕως κτήνους· ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου
18 ἡγίασα αὐτοὺς ἐμοί, 18 καὶ ἔλαβον τοὺς Λευίτας ἀντὶ παντὸς πρωτοτόκου ἐν
19 υἱοῖς Ἰσραήλ. 19 καὶ ἀπέδωκα τοὺς Λευίτας ἀπόδομα δεδομένους Ἀαρὼν καὶ
τοῖς υἱοῖς αὐτοῦ ἐκ μέσου υἱῶν Ἰσραήλ, ἐργάζεσθαι τὰ ἔργα τῶν υἱῶν Ἰσραὴλ
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσραήλ· καὶ οὐκ
20 ἔσται ἐν τοῖς υἱοῖς Ἰσραὴλ προςεγγίζων πρὸς τὰ ἅγια. 20 καὶ ἐποίησε Μωυσῆς καὶ
Ἀαρὼν καὶ πᾶσα ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ τοῖς Λευίταις· καθὰ ἐνετείλατο κύ-
21 ριος τῷ Μωυσῇ περὶ τῶν Λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς οἱ υἱοὶ Ἰσραήλ. 21 καὶ
ἡγνίσαντο οἱ Λευῖται καὶ ἐπλύναντο τὰ ἱμάτια· καὶ ἀπέδωκεν αὐτοὺς Ἀαρὼν
ἀπόδομα ἔναντι κυρίου, καὶ ἐξιλάσατο περὶ αὐτῶν Ἀαρὼν ἀφαγνίσασθαι αὐτούς.
22 22 καὶ μετὰ ταῦτα εἰςῆλθον οἱ Λευῖται λειτουργεῖν τὴν λειτουργίαν αὐτῶν ἐν τῇ
σκηνῇ τοῦ μαρτυρίου ἔναντι Ἀαρὼν καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ· καθὰ συνέταξε
23 κύριος τῷ Μωυσῇ περὶ τῶν Λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς. 23 καὶ ἐλάλησε κύ-
24 ριος πρὸς Μωυσῆν λέγων 24 Τοῦτό ἐστι τὸ περὶ τῶν Λευιτῶν· ἀπὸ πέντε καὶ εἰ-
25 κοσαετοῦς καὶ ἐπάνω εἰςελεύσονται ἐνεργεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· 25 καὶ
ἀπὸ πεντηκονταετοῦς ἀποστήσεται ἀπὸ τῆς λειτουργίας καὶ οὐκ ἐργᾶται ἔτι,
26 26 καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου φυλάσσειν φυλα-
κάς, ἔργα δὲ οὐκ ἐργᾶται. οὕτως ποιήσεις τοῖς Λευίταις ἐν ταῖς φυλακαῖς αὐτῶν.

## IX.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινᾶ ἐν τῷ ἔτει τῷ δευτέρῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ λέγων

VIII. 4. om αυτης prius 6. των υιων 7. ουτως ... om αυτοις ... περιρανεις ... om παν 8. λημψονται ... λημψη 12. χειρας αυτων ... ποιησει 13. αποδομα κυριω 14. εμοι 17. εξ υιων ... απο ανθρωπου ... εν γη αιγυπτω 19. add των υιων ισραηλ post προςεγγιζων 20. πασα συναγωγη 21. επλυναν τ. ιμ. αυτων· κ. απεδωκαν 22. εισηλθοσαν 24. τουτ εστιν ... εισελ. λειτουργειν λειτουργειαν εν εργοις εν τη 25. ουχι εργ.

Digitized by Google

2 Εἰπὸν καὶ ποιείτωσαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα καθ᾽ ὥραν αὐτοῦ· 3 τῇ τεσ- 3
σαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν ποιήσεις αὐτὸ
κατὰ καιρούς, κατὰ τὸν νόμον αὐτοῦ καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσεις
αὐτό. 4 καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ ποιῆσαι τὸ πάσχα 5 ἐναρχο- 4 5
μένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ· καθὰ
συνέταξε κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ. 6 καὶ παρεγένοντο 6
οἱ ἄνδρες οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου καὶ οὐκ ἠδύναντο ποιῆσαι
τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ προσῆλθον ἐναντίον Μωυσῆ καὶ Ἀαρὼν ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ· 7 καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτόν Ἡμεῖς ἀκάθαρ- 7
τοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν προσενέγκαι τὸ δῶρον κυρίῳ κατὰ
καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσραήλ; 8 καὶ εἶπε πρὸς αὐτοὺς Μωυσῆς Στῆτε 8
αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται κύριος περὶ ὑμῶν. 9 καὶ ἐλάλησε κύριος 9
πρὸς Μωυσῆν λέγων 10 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων Ἄνθρωπος ἄνθρω- 10
πος ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν
ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πάσχα κυρίῳ· 11 ἐν τῷ μηνὶ τῷ δευ- 11
τέρῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τὸ πρὸς ἑσπέραν ποιήσουσιν αὐτό, ἐπ᾽
ἀζύμων καὶ πικρίδων φάγονται αὐτό, 12 οὐ καταλείψουσιν ἀπ᾽ αὐτοῦ εἰς τὸ 12
πρωὶ καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ᾽ αὐτοῦ· κατὰ τὸν νόμον τοῦ πάσχα ποιή-
σουσιν αὐτό. 13 καὶ ἄνθρωπος ὃς ἐὰν καθαρὸς ᾖ καὶ ἐν ὁδῷ μακρὰν οὐκ ἔστι 13
καὶ ὑστερήσῃ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς· ὅτι τὸ δῶρον κυρίῳ οὐ προσήνεγκε κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν
αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος. 14 ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυ- 14
τος ἐν τῇ γῇ ὑμῶν καὶ ποιήσῃ τὸ πάσχα κυρίῳ, κατὰ τὸν νόμον τοῦ πάσχα
καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ ποιήσει αὐτό· νόμος εἷς ἔσται ὑμῖν, καὶ τῷ
προσηλύτῳ καὶ τῷ αὐτόχθονι τῆς γῆς. 15 καὶ τῇ ἡμέρᾳ ᾗ ἐστάθη ἡ σκηνή, 15
ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνήν, τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ ἑσπέρας ἦν
ἐπὶ τῆς σκηνῆς ὡς εἶδος πυρὸς ἕως πρωί. 16 οὕτως ἐγίνετο διὰ παντός, ἡ νε- 16
φέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας καὶ εἶδος πυρὸς τὴν νύκτα. 17 καὶ ἡνίκα ἀνέβη 17
ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, καὶ μετὰ ταῦτα ἀπῆραν οἱ υἱοὶ Ἰσραήλ· καὶ ἐν
τῷ τόπῳ οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον οἱ υἱοὶ Ἰσραήλ. 18 διὰ προσ- 18
τάγματος κυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ, καὶ διὰ προστάγματος κυρίου
ἀπαροῦσι· πάσας τὰς ἡμέρας ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς πα-
ρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ. 19 καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς 19
ἡμέρας πλείους, καὶ φυλάξονται οἱ υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ θεοῦ καὶ
οὐ μὴ ἐξάρωσι· 20 καὶ ἔσται ὅταν σκεπάζῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ τῆς 20
σκηνῆς, διὰ φωνῆς κυρίου παρεμβαλοῦσι καὶ διὰ προστάγματος κυρίου ἀπα-
ροῦσι· 21 καὶ ἔσται ὅταν γένηται ἡ νεφέλη ἀφ᾽ ἑσπέρας ἕως πρωί, καὶ ἀναβῇ 21
ἡ νεφέλη τὸ πρωί, καὶ ἀπαροῦσιν ἡμέρας ἢ νυκτός· 22 μηνὸς ἡμέρας πλεο- 22
ναζούσης τῆς νεφέλης σκιαζούσης ἐπ᾽ αὐτῆς παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ
καὶ οὐ μὴ ἀπάρωσιν, 23 ὅτι διὰ προστάγματος κυρίου ἀπαροῦσι· τὴν φυλα- 23
κὴν κυρίου ἐφυλάξαντο διὰ προστάγματος κυρίου ἐν χειρὶ Μωυσῆ.

## X.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Ποίησον σεαυτῷ δύο σάλπιγ- 2
γας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς· καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν

IX. 3. ποιησετε ... κατα καιρον αυτου 5. ερημω σινα 7. προς αυτους ... ωστε προσενεγκαι ... εμμεσω 10. μακραν η εν υμιν ... τω κυριω 11. ημερα προς εσπερ. 12. συντριψεται 13. ος αν ... του ποιησαι ... εξολεθρευθησεται ... δωρ. κυριου ... (* προσηνεγκαν) ... λημψεται 14. ποιησει ... ουτως ποιησει αυτο 15. επι της γης 17. απηρον ... παρενεβαλλον (18. κυριου παρεμβαλλουσιν) 20. σκεπαση ... εξαρουσιν 21. post νυκτος add και αναβη η νεφελη απαρουσιν ημερας 22. η μηνος ... om της νεφ. σκιαζ. . . . . παρεμβαλωσιν 23. εφυλαξαν

Digitized by Google

3 καὶ ἐξαίρειν τὰς παρεμβολάς. 3 καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχϑήσεται πᾶσα
4 ἡ συναγωγὴ ἐπὶ τὴν ϑύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· 4 ἐὰν δὲ ἐν μιᾷ σαλ-
5 πίσωσι, προσελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες ἀρχηγοὶ Ἰσραήλ. 5 καὶ
σαλπιεῖτε σημασίαν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι ἀνατο-
6 λάς· 6 καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ πα-
ρεμβάλλουσαι λίβα· καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμ-
βολαὶ αἱ παρεμβάλλουσαι παρὰ ϑάλασσαν· καὶ σαλπιεῖτε σημασίαν τετάρτην,
καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς βοῤῥᾶν· σημασίᾳ σαλ-
7 πιοῦσιν ἐν τῇ ἐξάρσει αὐτῶν. 7 καὶ ὅταν συναγάγητε τὴν συναγωγήν, σαλ-
8 πιεῖτε καὶ οὐ σημασίᾳ. 8 καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλ-
9 πιγξι, καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. 9 ἐὰν δὲ ἐξέλϑητε
εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους τοὺς ἀνϑεστηκότας ὑμῖν,
καὶ σημανεῖτε ταῖς σάλπιγξι, καὶ ἀναμνησϑήσεσϑε ἔναντι κυρίου, καὶ διασω-
10 ϑήσεσϑε ἀπὸ τῶν ἐχϑρῶν ὑμῶν. 10 καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν
καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν σαλπιεῖτε ταῖς σάλ-
πιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι καὶ ἐπὶ ταῖς ϑυσίαις τῶν σωτηρίων ὑμῶν, καὶ
11 ἔσται ὑμῖν ἀνάμνησις ἔναντι τοῦ ϑεοῦ ὑμῶν· ἐγὼ κύριος ὁ ϑεὸς ὑμῶν. 11 καὶ
ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ ἐν τῷ μηνὶ τῷ δευτέρῳ εἰκάδι τοῦ μη-
12 νὸς ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς τοῦ μαρτυρίου, 12 καὶ ἐξῆραν οἱ υἱοὶ
Ἰσραὴλ σὺν ἀπαρτίαις αὐτῶν ἐν τῇ ἐρήμῳ Σινᾶ· καὶ ἔστη ἡ νεφέλη ἐν τῇ
13 ἐρήμῳ τοῦ Φαράν. 13 καὶ ἐξῆραν πρῶτοι διὰ φωνῆς κυρίου ἐν χειρὶ Μωυσῆ·
14 14 καὶ ἐξῆραν τάγμα παρεμβολῆς υἱῶν Ἰούδα πρῶτοι σὺν δυνάμει αὐτῶν, καὶ
15 ἐπὶ τῆς δυνάμεως αὐτῶν Ναασσὼν υἱὸς Ἀμιναδάβ· 15 καὶ ἐπὶ τῆς δυνάμεως
16 φυλῆς υἱῶν Ἰσσάχαρ Ναϑαναὴλ υἱὸς Σωγάρ· 16 καὶ ἐπὶ τῆς δυνάμεως φυ-
17 λῆς υἱῶν Ζαβουλὼν Ἐλιὰβ υἱὸς Χαιλών· 17 καὶ καϑελοῦσι τὴν σκηνὴν καὶ
18 ἐξαροῦσιν οἱ υἱοὶ Γεδσὼν καὶ οἱ υἱοὶ Μεραρί, οἱ αἴροντες τὴν σκηνήν. 18 καὶ
ἐξῆραν τάγμα παρεμβολῆς Ῥουβὴν σὺν δυνάμει αὐτῶν, καὶ ἐπὶ τῆς δυνάμεως
19 αὐτῶν Ἐλισοὺρ υἱὸς Σεδιούρ· 19 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Συμεὼν Σα-
20 λαμιὴλ υἱὸς Σουρισαδαΐ· 20 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Γὰδ Ἐλισὰφ ὁ τοῦ
21 Ῥαγουήλ. 21 καὶ ἐξαροῦσιν οἱ υἱοὶ Καὰϑ αἴροντες τὰ ἅγια, καὶ στήσουσι τὴν
22 σκηνὴν ἕως παραγένωνται. 22 καὶ ἐξαροῦσι τάγμα παρεμβολῆς Ἐφραΐμ σὺν δυ-
23 νάμει αὐτῶν, καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἐλισαμὰ υἱὸς Ἐμιούδ· 23 καὶ ἐπὶ
24 τῆς δυνάμεως φυλῆς υἱῶν Μανασσῆ Γαμαλιὴλ ὁ τοῦ Φαδασσούρ· 24 καὶ ἐπὶ
25 τῆς δυνάμεως φυλῆς υἱῶν Βενιαμὶν Ἀβιδὰν ὁ τοῦ Γαδεωνί. 25 καὶ ἐξαροῦσι
τάγμα παρεμβολῆς υἱῶν Δὰν ἔσχατοι πασῶν τῶν παρεμβολῶν σὺν δυνάμει αὐ-
26 τῶν, καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἀχιέζερ ὁ τοῦ Ἀμισαδαΐ· 26 καὶ ἐπὶ τῆς
27 δυνάμεως φυλῆς υἱῶν Ἀσὴρ Φαγεὴλ υἱὸς Ἐχράν· 27 καὶ ἐπὶ τῆς δυνάμεως
28 φυλῆς υἱῶν Νεφϑαλὶ Ἀχιρὲ υἱὸς Αἰνάν. 28 αὗται αἱ στρατιαὶ υἱῶν Ἰσραήλ,
29 καὶ ἐξῆραν σὺν δυνάμει αὐτῶν. 29 καὶ εἶπε Μωυσῆς τῷ Ὀβὰβ υἱῷ Ῥαγουὴλ
τῷ Μαδιανίτῃ τῷ γαμβρῷ Μωυσῆ Ἐξαίρομεν ἡμεῖς εἰς τὸν τόπον ὃν εἶπε
κύριος Τοῦτον δώσω ὑμῖν· δεῦρο μεϑ' ἡμῶν, καὶ εὖ σε ποιήσομεν, ὅτι κύ-
30 ριος ἐλάλησε καλὰ περὶ Ἰσραήλ. 30 καὶ εἶπε πρὸς αὐτόν Οὐ πορεύσομαι ἀλλὰ
31 εἰς τὴν γῆν μου καὶ εἰς τὴν γενεάν μου. 31 καὶ εἶπε Μὴ ἐγκαταλίπῃς ἡμᾶς
32 οὗ ἕνεκεν ἦσϑα μεϑ' ἡμῶν ἐν τῇ ἐρήμῳ, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης· 32 καὶ
ἔσται ἐὰν πορευϑῇς μεϑ' ἡμῶν, καὶ ἔσται τὰ ἀγαϑὰ ἐκεῖνα ὅσα ἂν ἀγαϑο-
33 ποιήσῃ κύριος ἡμᾶς, καὶ εὖ σε ποιήσομεν. 33 καὶ ἐξῆραν ἐκ τοῦ ὄρους κυρίου
ὁδὸν τριῶν ἡμερῶν· καὶ ἡ κιβωτὸς τῆς διαϑήκης κυρίου προεπορεύετο προτέρα

---

X. 6. νοτον pro λιβα ... om παρα ... om προς 9. σαλπιειτε pro σημανειτε 12. ερημω του σινα 14. των υιων 17. αιροντες sine οι 23. μανvασση 24. βενιαμειν ... αβιδαν υιος γαδεωνι 25. μισαδαι 26. φαγαιηλ 27. αχειρε 29. τω ωβαβ ... τω μαδιανιτι γαμβρω 30. αλλ εις 31. εγκαταλειπης ... εινεκεν 32. α αν 33. κιβωτ. διαϑηκης

Digitized by Google

αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν. [35] καὶ ἐγένετο 35
ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν καὶ εἶπε Μωυσῆς Ἐξεγέρθητι κύριε, καὶ διασκορ-
πισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε. [36] καὶ ἐν τῇ 36
καταπαύσει εἶπεν Ἐπίστρεφε, κύριε, χιλιάδας μυριάδας ἐν τῷ Ἰσραήλ. [34] καὶ
ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ’ αὐτοῖς ἡμέρας ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς 34
παρεμβολῆς.

## XI.

Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι κυρίου· καὶ ἤκουσε κύριος καὶ
ἐθυμώθη ὀργῇ, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ κυρίου καὶ κατέφαγε μέρος
τι τῆς παρεμβολῆς. [2] καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς Μωυσῆν· καὶ ηὔξατο Μωυ- 2
σῆς πρὸς κύριον, καὶ ἐκόπασε τὸ πῦρ. [3] καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκεί- 3
νου Ἐμπυρισμός, ὅτι ἐξεκαύθη ἐν αὐτοῖς παρὰ κυρίου. [4] καὶ ὁ ἐπίμικτος ὁ 4
ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ἰσραὴλ
καὶ εἶπαν Τίς ἡμᾶς ψωμιεῖ κρέα; [5] ἐμνήσθημεν τοὺς ἰχθύας οὓς ἠσθίομεν 5
ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικύους καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ
τὰ κρόμμυα καὶ τὰ σκόρδα· [6] νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν 6
εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν. [7] τὸ δὲ μάννα ὡσεὶ σπέρμα κορίου ἐστί, καὶ 7
τὸ εἶδος αὐτοῦ εἶδος κρυστάλλου. [8] καὶ διεπορεύετο ὁ λαὸς καὶ συνέλεγον, καὶ 8
ἤληθον αὐτὸ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θυΐᾳ, καὶ ἧψουν αὐτὸ ἐν τῇ χύ-
τρᾳ καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας· καὶ ἦν ἡ ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς
ἐξ ἐλαίου. [9] καὶ ὅταν κατέβη ἡ δρόσος ἐπὶ τὴν παρεμβολὴν νυκτός, κατέβαινε 9
τὸ μάννα ἐπ’ αὐτῆς. [10] καὶ ἤκουσε Μωυσῆς κλαιόντων αὐτῶν κατὰ δήμους 10
αὐτῶν, ἕκαστον ἐπὶ τῆς θύρας αὐτοῦ· καὶ ἐθυμώθη ὀργῇ κύριος σφόδρα, καὶ
ἔναντι Μωυσῆ ἦν πονηρόν. [11] καὶ εἶπε Μωυσῆς πρὸς κύριον Ἵνα τί ἐκάκωσας 11
τὸν θεράποντά σου, καὶ διὰ τί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπιθεῖναι τὴν
ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ’ ἐμέ; [12] μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν 12
τοῦτον ἢ ἐγὼ ἔτεκον αὐτούς, ὅτι λέγεις μοι Λάβε αὐτὸν εἰς τὸν κόλπον σου,
ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐ-
τῶν; [13] πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ; ὅτι κλαίουσιν ἐπ’ ἐμοὶ 13
λέγοντες Δὸς ἡμῖν κρέα ἵνα φάγωμεν. [14] οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν 14
λαὸν τοῦτον, ὅτι βαρύτερόν μοί ἐστι τὸ ῥῆμα τοῦτο. [15] εἰ δ’ οὕτω σὺ ποιεῖς 15
μοι, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα ἔλεος παρὰ σοί, ἵνα μὴ ἴδω τὴν κά-
κωσίν μου. [16] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Συνάγαγέ μοι ἑβδομήκοντα ἄν- 16
δρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας ὅτι οὗτοί εἰσι πρε-
σβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν, καὶ ἄξεις αὐτοὺς πρὸς τὴν σκηνὴν
τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ. [17] καὶ καταβήσομαι καὶ λαλήσω 17
ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ ἐπιθήσω ἐπ’
αὐτούς· καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις
αὐτοὺς σὺ μόνος. [18] καὶ τῷ λαῷ ἐρεῖς Ἁγνίσασθε εἰς αὔριον, καὶ φάγεσθε 18
κρέα· ὅτι ἐκλαύσατε ἔναντι κυρίου λέγοντες Τίς ἡμᾶς ψωμιεῖ κρέα; ὅτι κα-
λὸν ἡμῖν ἐστιν ἐν Αἰγύπτῳ· καὶ δώσει κύριος ὑμῖν φαγεῖν κρέα, καὶ φάγεσθε
κρέα. [19] οὐχ ἡμέραν μίαν φάγεσθε, οὐδὲ δύο οὐδὲ πέντε ἡμέρας, οὐδὲ δέκα 19
ἡμέρας, οὐδὲ εἴκοσι ἡμέρας· [20] ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ 20
ἐκ τῶν μυκτήρων ὑμῶν· καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε κυρίῳ
ὅς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ λέγοντες Ἵνα τί ἡμῖν ἐξελ-

---

35. κυριε, διασκορπισθ. XI. 3. πυρ παρα 4. επεθυμησαν 5. σικυας ... χρομυα 7. ως ειδος 10. εκαστος κατα την θυραν 11. οργην pro ορμην 12. τον παντα λαον ... τετοκα ... λαβε αυτους ... εις γην 13. om μοι ... επ εμε 14. οτι βαρυ 15. ειδω 16. συ αυτος ... εις την 17. συναντιλημψονται 18. υμιν κρεα φαγειν

Digitized by Google

21 θεῖν ἐξ Αἰγύπτου; [21] καὶ εἶπε Μωυσῆς Ἑξακόσιαι χιλιάδες πεζῶν ὁ λαὸς ἐν
οἷς εἰμὶ ἐν αὐτοῖς, καὶ σὺ εἶπας Κρέα δώσω αὐτοῖς φαγεῖν, καὶ φάγονται
22 μῆνα ἡμερῶν· [22] μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐτοῖς, καὶ ἀρκέσει αὐ-
τοῖς; ἢ πᾶν τὸ ὄψος τῆς θαλάσσης συναχθήσεται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς;
23 [23] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Μὴ χεὶρ κυρίου οὐκ ἐξαρκέσει; ἤδη γνώσῃ
24 εἰ ἐπικαταλήψεταί σε ὁ λόγος μου ἢ οὔ. [24] καὶ ἐξῆλθε Μωυσῆς καὶ ἐλάλησε
πρὸς τὸν λαὸν τὰ ῥήματα κυρίου, καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν
25 πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς. [25] καὶ κατέβη
κύριος ἐν νεφέλῃ καὶ ἐλάλησε πρὸς αὐτόν, καὶ παρείλατο ἀπὸ τοῦ πνεύματος
τοῦ ἐπ' αὐτῷ καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους·
ὡς δὲ ἐπανεπαύσατο πνεῦμα ἐπ' αὐτούς, καὶ ἐπροφήτευσαν καὶ οὐκ ἔτι προς-
26 έθεντο. [26] καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ
Ἐλδὰδ καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ, καὶ ἐπανεπαύσατο ἐπ' αὐτοὺς πνεῦμα·
καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων καὶ οὐκ ἦλθον πρὸς τὴν σκηνήν, καὶ
27 ἐπροφήτευσαν ἐν τῇ παρεμβολῇ. [27] καὶ προσδραμὼν ὁ νεανίσκος ἀπήγγειλε
Μωυσῇ καὶ εἶπε λέγων Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ.
28 [28] καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυὴ ὁ παρεστηκὼς Μωυσῇ ὁ ἐκλεκτὸς εἶπε
29 Κύριε Μωυσῆ, κώλυσον αὐτούς. [29] καὶ εἶπε Μωυσῆς αὐτῷ Μὴ ζηλοῖς ἐμέ; καὶ
τίς δῴη πάντα τὸν λαὸν κυρίου προφήτας, ὅταν δῷ κύριος τὸ πνεῦμα αὐτοῦ
30 ἐπ' αὐτούς; [30] καὶ ἀπῆλθε Μωυσῆς εἰς τὴν παρεμβολήν, αὐτὸς καὶ οἱ πρε-
31 σβύτεροι Ἰσραήλ. [31] καὶ πνεῦμα ἐξῆλθε παρὰ κυρίου καὶ ἐξεπέρασεν ὀρτυγομή-
τραν ἀπὸ τῆς θαλάσσης, καὶ ἐπέβαλεν ἐπὶ τὴν παρεμβολὴν ὁδὸν ἡμέρας ἐν-
τεῦθεν καὶ ὁδὸν ἡμέρας ἐντεῦθεν κύκλῳ τῆς παρεμβολῆς, ὡσεὶ δίπηχυ ἀπὸ
32 τῆς γῆς. [32] καὶ ἀναστὰς ὁ λαὸς ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα καὶ ὅλην
τὴν ἡμέραν τὴν ἐπαύριον, καὶ συνήγαγον τὴν ὀρτυγομήτραν· ὁ τὸ ὀλίγον συν-
33 ήγαγε δέκα κόρους, καὶ ἔψυξαν ἑαυτοῖς ψυγμοὺς κύκλῳ τῆς παρεμβολῆς. [33] τὰ
κρέα ἔτι ἦν ἐν τοῖς ὀδοῦσιν αὐτῶν πρὶν ἢ ἐκλείπειν, καὶ κύριος ἐθυμώθη εἰς
34 τὸν λαόν· καὶ ἐπάταξε κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα. [34] καὶ ἐκλή-
θη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Μνήματα τῆς ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν
35 τὸν λαὸν τὸν ἐπιθυμητήν. [35] ἀπὸ Μνημάτων ἐπιθυμίας ἐξῆρεν ὁ λαὸς εἰς Ἀση-
ρώθ, καὶ ἐγένετο ὁ λαὸς ἐν Ἀσηρώθ.

## XII.

Καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωυσῆ ἕνεκεν τῆς γυναικὸς τῆς
2 Αἰθιοπίσσης ἣν ἔλαβε Μωυσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβε, [2] καὶ εἶπαν
Μὴ Μωυσῇ μόνῳ λελάληκε κύριος; οὐχὶ καὶ ἡμῖν ἐλάλησε; καὶ ἤκουσε κύριος.
3 [3] καὶ ὁ ἄνθρωπος Μωυσῆς πραῢς σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς
4 ὄντας ἐπὶ τῆς γῆς. [4] καὶ εἶπε κύριος παραχρῆμα πρὸς Μωυσῆν καὶ Ἀαρὼν
καὶ Μαριὰμ Ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ ἐξῆλ-
5 θον οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. [5] καὶ κατέβη κύριος ἐν στύλῳ νεφέ-
λης, καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐκλήθησαν Ἀαρὼν
6 καὶ Μαριάμ, καὶ ἐξήλθοσαν ἀμφότεροι. [6] καὶ εἶπε πρὸς αὐτοὺς Ἀκούσατε τῶν
λόγων μου· ἐὰν γένηται προφήτης ὑμῶν κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσο-
7 μαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. [7] οὐχ οὕτως ὁ θεράπων μου Μωυσῆς, ἐν ὅλῳ *He. 3, 2.

21. ** κρεας (εξ αιγυπτου v. 20. usque αυτοις extr. v. 22. **) ... ** οιπ φαγειν 22. ** συναχθησεται, και 23. μη η χειρ κ. ουχι ... επικαταλημψεται 25. ελαλησ. κυριος προς ... του επ αυτου ... επ αυτους το πνευμα 26. το πνευμα ... εις την 27. τω μωυση 28. ο εκλεκτος αυτου ... κυριε μου μωυσ. 29. αυτω μωυσης ... ζηλ. συ μοι 31. απο θαλασσης ... ** διπηχυν 32. τη επαυριον 33. εκλιπειν ... κυρ. εν τω λαω πλ. 35. της επιθυμιας XII. 1. ης ελαβεν 2. ελαλησεν pro λελαληκε ... και εν ημιν 4. και μαριαμ και ααρων ... εξελθατε 7. ουτως ως

Digitized by Google

τῷ οἴκῳ μου πιστός ἐστι· 8 στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ 8
δι' αἰνιγμάτων, καὶ τὴν δόξαν κυρίου εἶδε· καὶ διὰ τί οὐκ ἐφοβήϑητε κατα-
λαλῆσαι κατὰ τοῦ ϑεράποντός μου Μωυσῆ; 9 καὶ ὀργὴ ϑυμοῦ κυρίου ἐπ' αὐ- 9
τοῖς, καὶ ἀπῆλϑεν. 10 καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μα- 10
ριὰμ λεπρῶσα ὡςεὶ χιών· καὶ ἐπέβλεψεν Ἀαρὼν ἐπὶ Μαριάμ, καὶ ἰδοὺ λεπρῶσα.
11 καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν Δέομαι, κύριε, μὴ συνεπιϑῇ ἡμῖν ἁμαρτίαν, 11
διότι ἠγνοήσαμεν καϑ' ὅτι ἡμάρτομεν· 12 μὴ γένηται ὡςεὶ ἴσον ϑανάτῳ, ὡςεὶ 12
ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός· καὶ κατεσϑίει τὸ ἥμισυ τῶν σαρ-
κῶν αὐτῆς. 13 καὶ ἐβόησε Μωυσῆς πρὸς κύριον λέγων Ὁ ϑεός, δέομαί σου, 13
ἴασαι αὐτήν. 14 καὶ εἶπε κύριος πρὸς Μωυσῆν Εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυ- 14
σεν εἰς τὸ πρόςωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφορισϑήτω ἑπτὰ
ἡμέρας ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰςελεύσεται. 15 καὶ ἀφωρίσϑη 15
Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· καὶ ὁ λαὸς οὐκ ἐξῆρεν ἕως ἐκα-
ϑαρίσϑη Μαριάμ.

## XIII.

Καὶ μετὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ἀσηρώϑ, καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ
τοῦ Φαράν. 2 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 3 Ἀπόστειλον σεαυτῷ 2 3
ἄνδρας καὶ κατασκεψάσϑωσαν τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι τοῖς
υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν· ἄνδρα ἕνα κατὰ φυλὴν κατὰ δήμους πατριῶν
αὐτῶν ἀποστελεῖς αὐτούς, πάντα ἀρχηγὸν ἐξ αὐτῶν. 4 καὶ ἐξαπέστειλεν αὐτοὺς 4
Μωυσῆς ἐκ τῆς ἐρήμου Φαρὰν διὰ φωνῆς κυρίου· πάντες ἄνδρες ἀρχηγοὶ
υἱῶν Ἰσραὴλ οὗτοι. 5 καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· τῆς φυλῆς Ῥουβήν, Σα- 5
μουὴλ υἱὸς Ζαχούρ· 6 τῆς φυλῆς Συμεών, Σαφὰτ υἱὸς Σουρί· 7 τῆς φυλῆς 6 7
Ἰούδα, Χάλεβ υἱὸς Ἰεφοννή· 8 τῆς φυλῆς Ἰσσάχαρ, Ἰλαὰλ υἱὸς Ἰωσήφ· 9 τῆς 8 9
φυλῆς Ἐφραΐμ, Αὐσὴ υἱὸς Ναυή· 10 τῆς φυλῆς Βενιαμίν, Φαλτὶ υἱὸς Ῥαφοῦ· 10
11 τῆς φυλῆς Ζαβουλών, Γουδιὴλ υἱὸς Σουδί· 12 τῆς φυλῆς Ἰωσὴφ τῶν υἱῶν 11 12
Μανασσῆ, Γαδδὶ υἱὸς Σουσί· 13 τῆς φυλῆς Δάν, Ἀμιὴλ υἱὸς Γαμαλί· 14 τῆς 13 14
φυλῆς Ἀσήρ, Σαϑοὺρ υἱὸς Μιχαήλ· 15 τῆς φυλῆς Νεφϑαλί, Ναβὶ υἱὸς Σαβί· 15
16 τῆς φυλῆς Γάδ, Γουδιὴλ υἱὸς Μαχί. 17 ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν οὓς 16 17
ἀπέστειλε Μωυσῆς κατασκέψασϑαι τὴν γῆν· καὶ ἐπωνόμασε Μωυσῆς τὸν Αὐσὴ
υἱὸν Ναυὴ Ἰησοῦν. 18 καὶ ἀπέστειλεν αὐτοὺς Μωυσῆς κατασκέψασϑαι τὴν γῆν 18
Χαναὰν καὶ εἶπε πρὸς αὐτούς Ἀνάβητε ταύτῃ τῇ ἐρήμῳ καὶ ἀναβήσεσϑε εἰς
τὸ ὄρος, 19 καὶ ὄψεσϑε τὴν γῆν τίς ἐστι, καὶ τὸν λαὸν τὸν ἐγκαϑήμενον ἐπ' 19
αὐτῆς εἰ ἰσχυρός ἐστιν ἢ ἀσϑενής, ἢ ὀλίγοι εἰσὶν ἢ πολλοί· 20 καὶ τίς ἡ γῆ 20
εἰς ἣν οὗτοι ἐγκάϑηνται ἐπ' αὐτῆς, ἢ καλή ἐστιν ἢ πονηρά· καὶ τίνες αἱ πό-
λεις ἃς οὗτοι κατοικοῦσιν ἐν αὐταῖς, εἰ ἐν τειχήρεσιν ἢ ἐν ἀτειχίστοις· 21 καὶ 21
τίς ἡ γῆ, ἢ πίων ἢ παρειμένη, εἰ ἔστιν ἐν αὐτῇ δένδρα ἢ οὔ· καὶ προςκαρ-
τερήσαντες λήψεσϑε ἀπὸ τῶν καρπῶν τῆς γῆς. καὶ αἱ ἡμέραι ἡμέραι ἔαρος,
πρόδρομοι σταφυλῆς. 22 καὶ ἀναβάντες κατεσκέψαντο τὴν γῆν ἀπὸ τῆς ἐρήμου 22
Σὶν ἕως Ῥοόβ, εἰςπορευομένων Αἰμάϑ. 23 καὶ ἀνέβησαν κατὰ τὴν ἔρημον καὶ 23
ἀπῆλϑον ἕως Χεβρών, καὶ ἐκεῖ Ἀχιμὰν καὶ Σεσσὶ καὶ Θελαμί, γενεαὶ Ἐνάχ·
καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήϑη πρὸ τοῦ Τανὶν Αἰγύπτου. 24 καὶ ἦλϑοσαν 24
ἕως φάραγγος Βότρυος, καὶ κατεσκέψαντο αὐτήν· καὶ ἔκοψαν ἐκεῖϑεν κλῆμα
καὶ βότρυν σταφυλῆς ἕνα ἐπ' αὐτοῦ, καὶ ἦραν αὐτὸν ἐπ' ἀναφορεῦσι, καὶ

---

8. δοξαν μου ειδεν 9. απηλϑον 10. απηλϑεν απο ... ααρ. προς μαριαμ 12. μη γενοιτο 14. αφορισϑησεται εξω 15. εως καϑερισϑη XIII. 1. παρενεβαλεν 4. απεστειλεν 5. σαμαλιηλ υιου (ila) ζαχρου 8. ιγαλ 10. βενιαμειν 12. μαννασση 15. ναβα υιος ιαβι 16. μαχι 19. η ισχυρος ... ει ολιγοι 20. επ αυτην ει καλη ... εις ας (... εν αντιχιστοις) 21. λημψεσϑε 22. ροωβ 23. και ηλϑον ... αχιχαμ κ. σεμει κ. ϑελαμειν ... εναχ 24. και ηρον

Digitized by Google

25 ἀπὸ τῶν ῥοῶν καὶ ἀπὸ τῶν συκῶν. [25] καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν Φά-
26 ραγξ Βότρυος, διὰ τὸν βότρυν ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραήλ. [26] καὶ ἀπέ-
27 στρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν μετὰ τεσσαράκοντα ἡμέρας. [27] καὶ
πορευθέντες ἦλθον πρὸς Μωυσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν
Ἰσραὴλ εἰς τὴν ἔρημον Φαρὰν Κάδης, καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα καὶ πάσῃ
28 συναγωγῇ, καὶ ἔδειξαν τὸν καρπὸν τῆς γῆς· [28] καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν
Ἤλθαμεν εἰς τὴν γῆν εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ μέλι,
29 καὶ οὗτος ὁ καρπὸς αὐτῆς· [29] ἀλλ' ἢ ὅτι θρασὺ τὸ ἔθνος τὸ κατοικοῦν ἐπ'
αὐτῆς, καὶ πόλεις ὀχυραὶ τετειχισμέναι μεγάλαι σφόδρα, καὶ τὴν γενεὰν Ἐνὰχ
30 ἑωράκαμεν ἐκεῖ· [30] καὶ Ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ ὁ
Χετταῖος καὶ ὁ Εὐαῖος καὶ ὁ Ἰεβουσαῖος καὶ ὁ Ἀμορραῖος κατοικεῖ ἐν τῇ
ὀρεινῇ, καὶ ὁ Χαναναῖος κατοικεῖ παρὰ θάλασσαν καὶ παρὰ τὸν Ἰορδάνην
31 ποταμόν. [31] καὶ κατεσιώπησε Χάλεβ τὸν λαὸν πρὸς Μωυσῆν καὶ εἶπεν αὐτῷ
Οὐχί, ἀλλὰ ἀναβάντες ἀναβησόμεθα καὶ κατακληρονομήσομεν αὐτήν, ὅτι δυνα-
32 τοὶ δυνησόμεθα πρὸς αὐτούς. [32] καὶ οἱ ἄνθρωποι οἱ συναναβάντες μετ' αὐτοῦ
εἶπαν Οὐκ ἀναβαίνομεν, ὅτι οὐ μὴ δυνώμεθα ἀναβῆναι πρὸς τὸ ἔθνος, ὅτι
33 ἰσχυρότερον ἡμῶν ἐστι μᾶλλον. [33] καὶ ἐξήνεγκαν ἔκστασιν τῆς γῆς ἣν κατε-
σκέψαντο αὐτὴν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ λέγοντες Τὴν γῆν ἣν παρήλθομεν
αὐτὴν κατασκέψασθαι, γῆ κατέσθουσα τοὺς κατοικοῦντας ἐπ' αὐτῆς ἐστί, καὶ
34 πᾶς ὁ λαὸς ὃν ἑωράκαμεν ἐν αὐτῇ ἄνδρες ὑπερμήκεις· [34] καὶ ἐκεῖ ἑωράκαμεν
τοὺς γίγαντας, καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες· ἀλλὰ καὶ οὕτως ἦμεν
ἐνώπιον αὐτῶν.

## XIV.

Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ ἐνέδωκε φωνήν, καὶ ἔκλαιεν ὁ λαὸς
2 ὅλην τὴν νύκτα ἐκείνην. [2] καὶ διεγόγγυζον ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν πάντες οἱ
υἱοὶ Ἰσραήλ, καὶ εἶπαν πρὸς αὐτοὺς πᾶσα ἡ συναγωγή Ὄφελον ἀπεθάνομεν
3 ἐν γῇ Αἰγύπτῳ, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ εἰ ἀπεθάνομεν· [3] καὶ ἵνα τί κύριος
εἰςάγει ἡμᾶς εἰς τὴν γῆν ταύτην πεσεῖν ἐν πολέμῳ; αἱ γυναῖκες ἡμῶν καὶ
τὰ παιδία ἔσονται εἰς διαρπαγήν· νῦν οὖν βέλτιόν ἐστιν ἀποστραφῆναι εἰς
4 Αἴγυπτον. [4] καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ Δῶμεν ἀρχηγὸν καὶ ἀποστρέψωμεν
5 εἰς Αἴγυπτον. [5] καὶ ἔπεσε Μωυσῆς καὶ Ἀαρὼν ἐπὶ πρόσωπον ἐναντίον πάσης
6 συναγωγῆς υἱῶν Ἰσραήλ. [6] Ἰησοῦς δὲ ὁ τοῦ Ναυὴ καὶ Χάλεβ ὁ τοῦ Ἰεφοννὴ
7 τῶν κατασκεψαμένων τὴν γῆν διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, [7] καὶ εἶπαν πρὸς
πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγοντες Ἡ γῆ, ἣν κατεσκεψάμεθα αὐτήν,
8 ἀγαθή ἐστι σφόδρα σφόδρα· [8] εἰ αἱρετίζει ἡμᾶς κύριος, εἰςάξει ἡμᾶς εἰς τὴν
9 γῆν ταύτην καὶ δώσει αὐτὴν ἡμῖν, γῆ ἥτις ἐστὶ ῥέουσα γάλα καὶ μέλι. [9] ἀλλὰ
ἀπὸ τοῦ κυρίου μὴ ἀποστάται γίνεσθε· ὑμεῖς δὲ μὴ φοβηθῆτε τὸν λαὸν τῆς
γῆς, ὅτι κατάβρωμα ἡμῖν ἐστίν· ἀφέστηκε γὰρ ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ
10 κύριος ἐν ἡμῖν· μὴ φοβηθῆτε αὐτούς. [10] καὶ εἶπε πᾶσα ἡ συναγωγὴ καταλι-
θοβολῆσαι αὐτοὺς ἐν λίθοις· καὶ ἡ δόξα κυρίου ὤφθη ἐν τῇ νεφέλῃ ἐπὶ τῆς
11 σκηνῆς τοῦ μαρτυρίου πᾶσι τοῖς υἱοῖς Ἰσραήλ. [11] καὶ εἶπε κύριος πρὸς Μωυ-
σῆν Ἕως τίνος παροξύνει με ὁ λαὸς οὗτος; καὶ ἕως τίνος οὐ πιστεύουσί μοι
12 ἐπὶ πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; [12] πατάξω αὐτοὺς θανάτῳ καὶ *Jud. 5.
ἀπολῶ αὐτούς, καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα
13 καὶ πολὺ μᾶλλον ἢ τοῦτο. [13] καὶ εἶπε Μωυσῆς πρὸς κύριον Καὶ ἀκούσεται

---

25. om τον ab initio 26. επεστρεψαν ... τεσσερακοντα 27. παση τη συναγ. 28. ηλθομεν 29. κατοικουν την γην, και αι πολεις ... γενεαν αιναχ 30. γη προς νοτον 31. κατακληρονομησωμεν 32. μετ αυτων ... εστιν ημων XIV. 1. εδωκεν 2. ει εν τη 3. παιδια ημων εις διαρπ. εσονται ... βελτιον ημιν εστιν 9. γεινεσθε 10. εν νεφελη ... εν πασιν 11. εν πασιν τοις θαυμασιοις

Digitized by Google

Αἴγυπτος, ὅτι ἀνήγαγες τῇ ἰσχύϊ σου τὸν λαὸν τοῦτον ἐξ αὐτῶν· [14] ἀλλὰ καὶ 14
πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ταύτης ἀκηκόασιν ὅτι σὺ εἶ κύριος ἐν τῷ
λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ᾽ ὀφθαλμοὺς ὀπτάζῃ, κύριε, καὶ ἡ νεφέλη
σου ἐφέστηκεν ἐπ᾽ αὐτῶν, καὶ ἐν στύλῳ νεφέλης σὺ πορεύῃ πρότερος αὐτῶν
τὴν ἡμέραν καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα· [15] καὶ ἐκτρίψεις τὸν λαὸν τοῦτον 15
ὡςεὶ ἄνθρωπον ἕνα, καὶ ἐροῦσι τὰ ἔθνη ὅσοι ἀκηκόασι τὸ ὄνομά σου λέγοντες
[16] Παρὰ τὸ μὴ δύνασθαι κύριον εἰςαγαγεῖν τὸν λαὸν τοῦτον εἰς τὴν γῆν ἣν 16
ὤμοσεν αὐτοῖς κατέστρωσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. [17] καὶ νῦν ὑψωθήτω ἡ ἰσχύς 17
σου, κύριε, ὃν τρόπον εἶπας λέγων [18] Κύριος μακρόθυμος καὶ πολυέλεος καὶ 18
ἀληθινός, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθα-
ριεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρ-
της γενεᾶς· [19] ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ κατὰ τὸ μέγα ἔλεός σου, 19
καθάπερ ἵλεως ἐγένου αὐτοῖς ἀπ᾽ Αἰγύπτου ἕως τοῦ νῦν. [20] καὶ εἶπε κύριος 20
πρὸς Μωυσῆν Ἵλεως αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου· [21] ἀλλὰ ζῶ ἐγὼ καὶ ζῶν 21
*He. 3, τὸ ὄνομά μου, καὶ ἐμπλήσει ἡ δόξα κυρίου πᾶσαν τὴν γῆν· [22] ὅτι πάντες οἱ 22
8. 9. ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου καὶ τὰ σημεῖα ἃ ἐποίησα ἐν Αἰγύπτῳ καὶ
ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασάν με τοῦτο δέκατον καὶ οὐκ εἰςήκουσαν τῆς φωνῆς
*He. 3, μου, [23] ἦ μὴν οὐκ ὄψονται τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν· ἀλλ᾽ ἢ 23
11. τὰ τέκνα αὐτῶν ἅ ἐστι μετ᾽ ἐμοῦ ὧδε, ὅσοι οὐκ οἴδασιν ἀγαθὸν οὐδὲ κακόν,
πᾶς νεώτερος ἄπειρος, τούτοις δώσω τὴν γῆν· πάντες δὲ οἱ παροξύναντές με
οὐκ ὄψονται αὐτήν. [24] ὁ δὲ παῖς μου Χάλεβ, ὅτι πνεῦμα ἕτερον ἐν αὐτῷ καὶ 24
ἐπηκολούθησέ μοι, εἰςάξω αὐτὸν εἰς τὴν γῆν εἰς ἣν εἰςῆλθεν ἐκεῖ, καὶ τὸ
σπέρμα αὐτοῦ κληρονομήσει αὐτήν. [25] ὁ δὲ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος κατοι- 25
κοῦσιν ἐν τῇ κοιλάδι· αὔριον ἐπιστράφητε καὶ ἀπάρατε ὑμεῖς εἰς τὴν ἔρημον,
ὁδὸν θάλασσαν ἐρυθράν. [26] καὶ εἶπε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων 26
[27] Ἕως τίνος τὴν συναγωγὴν τὴν πονηρὰν ταύτην, ἃ αὐτοὶ γογγύζουσιν ἐναν- 27
τίον μου; τὴν γόγγυσιν τῶν υἱῶν Ἰσραήλ, ἣν ἐγόγγυσαν περὶ ὑμῶν, ἀκήκοα.
[28] εἰπὸν αὐτοῖς Ζῶ ἐγώ, λέγει κύριος, ἦ μὴν ὃν τρόπον λελαλήκατε εἰς τὰ 28
*1Co.10, ὦτά μου, οὕτω ποιήσω ὑμῖν· [29] ἐν τῇ ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν 29
5. καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν καὶ οἱ κατηριθμημένοι ὑμῶν ἀπὸ εἰκοσαετοῦς καὶ
ἐπάνω, ὅσοι ἐγόγγυσαν ἐπ᾽ ἐμοί· [30] εἰ ὑμεῖς εἰςελεύσεσθε εἰς τὴν γῆν ἐφ᾽ ἣν 30
ἐξέτεινα τὴν χεῖρά μου κατασκηνῶσαι ὑμᾶς ἐπ᾽ αὐτῆς, ἀλλ᾽ ἢ Χάλεβ υἱὸς
Ἰεφοννὴ καὶ Ἰησοῦς ὁ τοῦ Ναυή· [31] καὶ τὰ παιδία ἃ εἴπατε ἐν διαρπαγῇ 31
ἔσεσθαι, εἰςάξω αὐτοὺς εἰς τὴν γῆν, καὶ κληρονομήσουσι τὴν γῆν ἣν ὑμεῖς
ἀπέστητε ἀπ᾽ αὐτῆς. [32] καὶ τὰ κῶλα ὑμῶν πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ· 32
[33] οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται νεμόμενοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, καὶ 33
ἀνοίσουσι τὴν πορνείαν ὑμῶν ἕως ἂν ἀναλωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ·
[34] κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν ὅσας κατεσκέψασθε τὴν γῆν, τεσσαράκοντα 34
ἡμέρας, ἡμέραν τοῦ ἐνιαυτοῦ λήψεσθε τὰς ἁμαρτίας ὑμῶν τεσσαράκοντα ἔτη,
καὶ γνώσεσθε τὸν θυμὸν τῆς ὀργῆς μου. [35] ἐγὼ κύριος ἐλάλησα, ἦ μὴν οὕτω 35
ποιήσω τῇ συναγωγῇ τῇ πονηρᾷ ταύτῃ τῇ ἐπισυνισταμένῃ ἐπ᾽ ἐμέ· ἐν τῇ ἐρήμῳ
ταύτῃ ἐξαναλωθήσονται καὶ ἐκεῖ ἀποθανοῦνται. [36] καὶ οἱ ἄνθρωποι οὓς ἀπέ- 36
στειλε Μωυσῆς κατασκέψασθαι τὴν γῆν, καὶ παραγενηθέντες διεγόγγυσαν κατ᾽
αὐτῆς πρὸς τὴν συναγωγὴν ἐξενέγκαι ῥήματα πονηρὰ περὶ τῆς γῆς, [37] καὶ 37
ἀπέθανον οἱ ἄνθρωποι οἱ κατείπαντες πονηρὰ κατὰ τῆς γῆς ἐν τῇ πληγῇ ἔναντι
κυρίου· [38] καὶ Ἰησοῦς υἱὸς Ναυὴ καὶ Χάλεβ υἱὸς Ἰεφοννὴ ἔζησαν ἀπὸ τῶν 38

13. εν ισχυι 14. οφθαλμους κατ οφθαλμους 16. εισαγαγειν αυτους εις 17. η χειρ σου 22. ερημω ταυτη 23. ει μην ουκ ... αγαθον η κακον ... παροξυνοντες - 24. οτι εγενηθη πνευμα ... και εισαξω 28. ει μη pro η μην ... om εις τα ωτα μου ... ουτως 31. εις διαρπαγην εσονται 33. τεσσερακοντα ... πορνειαν αυτων εως αναλωθη 34. τεσσερακοντα bis ... λημψεσθε 35. ει μην ουτως ... επισυνεσταμενη 36. επι pro περι

Digitized by Google

39 ἀνθρώπων ἐκείνων τῶν πεπορευμένων κατασκέψασθαι τὴν γῆν. [39] καὶ ἐλάλησε
Μωυσῆς τὰ ῥήματα ταῦτα πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ ἐπένθησεν ὁ λαὸς
40 σφόδρα. [40] καὶ ὀρθρίσαντες τὸ πρωὶ ἀνέβησαν εἰς τὴν κορυφὴν τοῦ ὄρους λέγον-
τες Ἰδοὺ οἵδε ἡμεῖς ἀναβησόμεθα εἰς τὸν τόπον ὃν εἶπε κύριος, ὅτι ἡμάρτο-
41 μεν. [41] καὶ εἶπε Μωυσῆς Ἵνα τί ὑμεῖς παραβαίνετε τὸ ῥῆμα κυρίου; οὐκ εὔοδα
42 ἔσται ὑμῖν· [42] μὴ ἀναβαίνετε, οὐ γάρ ἐστι κύριος μεθ' ὑμῶν, καὶ πεσεῖσθε
43 πρὸ προσώπου τῶν ἐχθρῶν ὑμῶν· [43] ὅτι ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ἐκεῖ ἔμ-
προσθεν ὑμῶν, καὶ πεσεῖσθε μαχαίρᾳ οὗ εἵνεκεν ἀπεστράφητε ἀπειθοῦντες
44 κυρίῳ, καὶ οὐκ ἔσται κύριος ἐν ὑμῖν. [44] καὶ διαβιασάμενοι ἀνέβησαν ἐπὶ τὴν
κορυφὴν τοῦ ὄρους· ἡ δὲ κιβωτὸς τῆς διαθήκης κυρίου καὶ Μωυσῆς οὐκ ἐκι-
45 νήθησαν ἐκ τῆς παρεμβολῆς. [45] καὶ κατέβη ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ὁ
ἐγκαθήμενος ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτρέψαντο αὐτοὺς καὶ κατέκοψαν αὐτοὺς
ἕως Ἑρμάν· καὶ ἀπεστράφησαν εἰς τὴν παρεμβολήν.

## XV.

2 Καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων [2] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ
ἐρεῖς πρὸς αὐτούς Ὅταν εἰσέλθητε εἰς τὴν γῆν τῆς κατοικήσεως ὑμῶν ἣν ἐγὼ
3 δίδωμι ὑμῖν, [3] καὶ ποιήσεις ὁλοκαυτώματα κυρίῳ, ὁλοκάρπωμα ἢ θυσίαν, μεγα-
λῦναι εὐχὴν ἢ καθ' ἑκούσιον, ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν ποιῆσαι ὀσμὴν εὐωδίας
4 τῷ κυρίῳ, εἰ μὲν ἀπὸ τῶν βοῶν ἢ ἀπὸ τῶν προβάτων, [4] καὶ προσοίσει ὁ προσ-
φέρων τὸ δῶρον αὐτοῦ κυρίῳ θυσίαν σεμιδάλεως δέκατον τοῦ οἰφὶ ἀναπε-
5 ποιημένης ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἵν· [5] καὶ οἶνον εἰς σπονδὴν τὸ τέταρτον
τοῦ ἵν ποιήσετε ἐπὶ τῆς ὁλοκαυτώσεως ἢ ἐπὶ τῆς θυσίας· τῷ ἀμνῷ τῷ ἑνὶ
6 ποιήσεις τοσοῦτο, κάρπωμα ὀσμὴν εὐωδίας τῷ κυρίῳ. [6] καὶ τῷ κριῷ, ὅταν
ποιῆτε αὐτὸν εἰς ὁλοκαύτωμα ἢ εἰς θυσίαν, ποιήσεις θυσίαν σεμιδάλεως δύο
7 δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ τὸ τρίτον τοῦ ἵν· [7] καὶ οἶνον εἰς σπονδὴν
8 τὸ τρίτον τοῦ ἵν προσοίσετε εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [8] ἐὰν δὲ ποιῆτε ἀπὸ
τῶν βοῶν εἰς ὁλοκαύτωσιν ἢ εἰς θυσίαν μεγαλῦναι εὐχὴν ἢ εἰς σωτήριον κυρίῳ,
9 [9] καὶ προσοίσει ἐπὶ τοῦ μόσχου θυσίαν σεμιδάλεως τρία δέκατα ἀναπεποιημέ-
10 νης ἐν ἐλαίῳ ἥμισυ τοῦ ἵν, [10] καὶ οἶνον εἰς σπονδὴν τὸ ἥμισυ τοῦ ἵν, κάρ-
11 πωμα ὀσμὴν εὐωδίας κυρίῳ. [11] οὕτω ποιήσεις τῷ μόσχῳ τῷ ἑνὶ ἢ τῷ κριῷ
12 τῷ ἑνὶ ἢ τῷ ἀμνῷ τῷ ἑνὶ ἐκ τῶν προβάτων ἢ ἐκ τῶν αἰγῶν· [12] κατὰ τὸν
ἀριθμὸν ὧν ἐὰν ποιήσητε, οὕτως ποιήσετε τῷ ἑνὶ κατὰ τὸν ἀριθμὸν αὐτῶν.
13 [13] πᾶς ὁ αὐτόχθων ποιήσει οὕτως τοιαῦτα προσενέγκαι καρπώματα εἰς ὀσμὴν
14 εὐωδίας κυρίῳ. [14] ἐὰν δὲ προσήλυτος ἐν ὑμῖν προσγένηται ἐν τῇ γῇ ὑμῶν ἢ
ὃς ἂν γένηται ἐν ὑμῖν ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει κάρπωμα ὀσμὴν
εὐωδίας κυρίῳ, ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτω ποιήσει ἡ συναγωγὴ κυρίῳ.
15 [15] νόμος εἷς ἔσται ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς προσκειμένοις ἐν ὑμῖν, νόμος
αἰώνιος εἰς τὰς γενεὰς ὑμῶν· ὡς ὑμεῖς, καὶ ὁ προσήλυτος ἔσται ἔναντι κυρίου.
16 [16] νόμος εἷς ἔσται καὶ δικαίωμα ἓν ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ τῷ προσ-
17 18 κειμένῳ ἐν ὑμῖν. [17] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [18] Λάλησον τοῖς
υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς εἰς τὴν γῆν
19 εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, [19] καὶ ἔσται ὅταν ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων
20 τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα κυρίῳ· [20] ἀπαρχὴν φυράματος ὑμῶν

40. επι την κορυφην 43. οτι αμαληκ 44. επι κορυφην ... εκ μεσου της παρεμβ. 45. κατεβη δε ... ετρεψατο ... εως ερμα XV. 1. και ελαλησεν 2. της κατασχεσεως 3. και ποιησητε καρπωμα κυριω, ολοκαυτωματα η ... ευωδιας κυριω 4. του οιφι πεφυραμενης εν τεταρτω του ιν ελαιω 6. om ποιησεις θυσιαν ... αναπεφυραμενης εν ελαιω 8. ** post βοων add ποιησεται ... εις ολοκαυτωμα 9. αναπεφυραμενης εν ελαιω 11. ουτως 12. αριθμ. ον ποιησητε 14 και ποιηση ... ουτως 19. τω κυριω 20. απαρχων

Digitized by Google

ἄρτον ἀφοριεῖτε ἀφαίρεμα αὐτό· ὡς ἀφαίρεμα ἀπὸ ἅλω, οὕτως ἀφελεῖτε
αὐτόν, [21] ἀπαρχὴν φυράματος ὑμῶν, καὶ δώσετε κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς 21
ὑμῶν. [22] ὅταν δὲ διαμάρτητε καὶ μὴ ποιήσητε πάσας τὰς ἐντολὰς ταύτας ἃς 22
ἐλάλησε κύριος πρὸς Μωυσῆν, [23] καθὰ συνέταξε κύριος πρὸς ὑμᾶς ἐν χειρὶ 23
Μωυσῆ, ἀπὸ τῆς ἡμέρας ἧ συνέταξε κύριος πρὸς ὑμᾶς καὶ ἐπέκεινα εἰς τὰς
γενεὰς ὑμῶν, [24] καὶ ἔσται ἐὰν ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς γενηθῇ ἀκουσίως, 24
καὶ ποιήσει πᾶσα ἡ συναγωγὴ μόσχον ἕνα ἐκ βοῶν ἄμωμον εἰς ὁλοκαύτωμα
εἰς ὀσμὴν εὐωδίας κυρίῳ, καὶ θυσίαν τούτου καὶ σπονδὴν αὐτοῦ κατὰ τὴν
σύνταξιν, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· [25] καὶ ἐξιλάσεται ὁ ἱερεὺς 25
περὶ πάσης συναγωγῆς υἱῶν Ἰσραήλ, καὶ ἀφεθήσεται αὐτοῖς, ὅτι ἀκούσιόν
ἐστι· καὶ αὐτοὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν κάρπωμα κυρίῳ περὶ τῆς ἁμαρτίας
αὐτῶν ἔναντι κυρίου περὶ τῶν ἀκουσίων αὐτῶν, [26] καὶ ἀφεθήσεται κατὰ πᾶσαν 26
συναγωγὴν υἱῶν Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ πρὸς ὑμᾶς, ὅτι
παντὶ τῷ λαῷ ἀκούσιον. [27] ἐὰν τε ψυχὴ μία ἁμάρτῃ ἀκουσίως, προσάξει αἶγα 27
μίαν ἐνιαυσίαν περὶ ἁμαρτίας· [28] καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ψυχῆς τῆς 28
ἀκουσιασθείσης καὶ ἁμαρτούσης ἀκουσίως ἔναντι κυρίου ἐξιλάσασθαι περὶ αὐτοῦ.
[29] τῷ ἐγχωρίῳ ἐν υἱοῖς Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς 29
νόμος εἷς ἔσται αὐτοῖς, ὃς ἐὰν ποιήσῃ ἀκουσίως. [30] καὶ ψυχὴ ἥτις ποιήσῃ ἐν 30
χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύτων, τὸν θεὸν οὗτος
παροξυνεῖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, [31] ὅτι τὸ ῥῆμα 31
κυρίου ἐφαύλισε καὶ τὰς ἐντολὰς αὐτοῦ διεσκέδασεν· ἐκτρίψει ἐκτριβήσεται ἡ
ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ. [32] καὶ ἦσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ 32
ἐρήμῳ, καὶ εὗρον ἄνδρα συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων. [33] καὶ 33
προσήγαγον αὐτὸν οἱ εὑρόντες συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων πρὸς
Μωυσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ· [34] καὶ ἀπέ- 34
θεντο αὐτὸν εἰς φυλακήν, οὐ γὰρ συνέκριναν τί ποιήσωσιν αὐτόν. [35] καὶ ἐλά- 35
λησε κύριος πρὸς Μωυσῆν λέγων Θανάτῳ θανατούσθω ὁ ἄνθρωπος· λιθοβο-
λήσατε αὐτὸν λίθοις πᾶσα ἡ συναγωγή. [36] καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συνα- 36
γωγὴ ἔξω τῆς παρεμβολῆς· καὶ ἐλιθοβόλησεν αὐτὸν πᾶσα ἡ συναγωγὴ λίθοις
ἔξω τῆς παρεμβολῆς, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ. [37] καὶ εἶπε κύριος 37
πρὸς Μωυσῆν λέγων [38] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Καὶ 38
ποιησάτωσαν ἑαυτοῖς κράσπεδα ἐπὶ τὰ πτερύγια τῶν ἱματίων αὐτῶν εἰς τὰς
γενεὰς αὐτῶν, καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων κλῶσμα ὑακίν-
θινον· [39] καὶ ἔσται ὑμῖν ἐν τοῖς κρασπέδοις καὶ ὄψεσθε αὐτά, καὶ μνησθή- 39
σεσθε πασῶν τῶν ἐντολῶν κυρίου καὶ ποιήσετε αὐτάς, καὶ οὐ διαστραφήσε-
σθε ὀπίσω τῶν διανοιῶν ὑμῶν καὶ τῶν ὀφθαλμῶν ἐν οἷς ὑμεῖς ἐκπορνεύετε
ὀπίσω αὐτῶν· [40] ὅπως ἂν μνησθῆτε καὶ ποιήσητε πάσας τὰς ἐντολάς μου, καὶ 40
ἔσεσθε ἅγιοι τῷ θεῷ ὑμῶν· [41] ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ 41
γῆς Αἰγύπτου εἶναι ὑμῶν θεός· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.

## XVI.

*Jud. 11. Καὶ ἐλάλησε Κορὲ υἱὸς Ἰσσάαρ υἱοῦ Καὰθ υἱοῦ Λευί, καὶ Δαθὰν καὶ
Ἀβειρὼν υἱοὶ Ἐλιάβ, καὶ Αὒν υἱὸς Φαλὲθ υἱοῦ Ῥουβήν, [2] καὶ ἀνέστησαν ἔναντι 2
Μωυσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ διακόσιοι, ἀρχηγοὶ συνα-

20. αφαιρεμα αφοριειτε ... απο αλωνος 21. αρτον απαρχης 22. διαμαρτυρητε 23. κυριος υμιν εν ... ης συνετ. 24. συνταξιν αυτου ... χειμαρρον 26. πασα η συναγωγη ... προσηλ. και τω προσπορευομενω 27. εαν δε ψυχη ... αιγαν 28. post αυτου add και αφεθησεται αυτω 29. ος αν 30. ποιησει ... και εξολεθρευθησεται 32. εν τη ημερα του σαββατου 33. αυτον συλλεγοντα τα ... om τη ημερα των σαββατ. 34. ποιησ. αυτω 36. ελιθοβολησαν ... εν λιθοις ... καθα ελαλησεν κυρ. προς μωυσην. 39. και οπισω των οφθ. υμων εν XVI. 1. αυναν

Digitized by Google

3 γωγῆς, σύγκλητοι βουλῆς καὶ ἄνδρες ὀνομαστοί· [3] συνέστησαν ἐπὶ Μωυσῆν
καὶ Ἀαρὼν καὶ εἶπαν Ἐχέτω ὑμῖν ὅτι πᾶσα ἡ συναγωγὴ πάντες ἅγιοι καὶ
4 ἐν αὐτοῖς κύριος, καὶ διὰ τί κατανίστασϑε ἐπὶ τὴν συναγωγὴν κυρίου; [4] καὶ
5 ἀκούσας Μωυσῆς ἔπεσεν ἐπὶ πρόσωπον, [5] καὶ ἐλάλησε πρὸς Κορὲ καὶ πρὸς
πᾶσαν αὐτοῦ τὴν συναγωγὴν λέγων Ἐπέσκεπται καὶ ἔγνω ὁ ϑεὸς τοὺς ὄντας 2Tm. 2, 19.
αὐτοῦ καὶ τοὺς ἁγίους, καὶ προσηγάγετο πρὸς ἑαυτόν, καὶ οὓς ἐξελέξατο ἑαυτῷ
6 προσηγάγετο πρὸς ἑαυτόν. [6] τοῦτο ποιήσατε· λάβετε ὑμῖν αὐτοῖς πυρεῖα, Κορὲ
7 καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ, [7] καὶ ἐπίϑετε ἐπ' αὐτὰ πῦρ, καὶ ἐπίϑετε ἐπ'
αὐτὰ ϑυμίαμα ἔναντι κυρίου αὔριον· καὶ ἔσται ὁ ἀνὴρ ὃν ἐκλέλεκται κύριος,
8 οὗτος ἅγιος· ἱκανούσϑω ὑμῖν, υἱοὶ Λευί. [8] καὶ εἶπε Μωυσῆς πρὸς Κορέ Εἰσ-
9 ακούσατέ μου, υἱοὶ Λευί. [9] μὴ μικρόν ἐστι τοῦτο ὑμῖν ὅτι διέστειλεν ὁ ϑεὸς
Ἰσραὴλ ὑμᾶς ἐκ συναγωγῆς Ἰσραήλ, καὶ προσηγάγετο ὑμᾶς πρὸς ἑαυτὸν λει-
τουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς κυρίου καὶ παρίστασϑαι ἔναντι τῆς σκη-
10 νῆς λατρεύειν αὐτοῖς, [10] καὶ προσηγάγετο σὲ καὶ πάντας τοὺς ἀδελφούς σου
11 υἱοὺς Λευὶ μετὰ σοῦ; καὶ ζητεῖτε καὶ ἱερατεύειν; [11] οὕτως σὺ καὶ πᾶσα ἡ
συναγωγή σου ἡ συνηϑροισμένη πρὸς τὸν ϑεόν· καὶ Ἀαρὼν τίς ἐστιν ὅτι δια-
12 γογγύζετε κατ' αὐτοῦ; [12] καὶ ἀπέστειλε Μωυσῆς καλέσαι Δαϑὰν καὶ Ἀβειρὼν
13 υἱοὺς Ἐλιάβ. καὶ εἶπαν Οὐκ ἀναβαίνομεν· [13] μὴ μικρὸν τοῦτο ὅτι ἀνήγαγες
ἡμᾶς εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι κα-
14 τάρχεις ἡμῶν; ἄρχων εἶ· [14] καὶ σὺ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰσήγαγες
ἡμᾶς, καὶ ἔδωκας ἡμῖν κλῆρον ἀγροῦ καὶ ἀμπελῶνας; τοὺς ὀφϑαλμοὺς τῶν
15 ἀνϑρώπων ἐκείνων ἂν ἐξέκοψας· οὐκ ἀναβαίνομεν. [15] καὶ ἐβαρυϑύμησε Μωυ-
σῆς σφόδρα, καὶ εἶπε πρὸς κύριον Μὴ πρόσχῃς εἰς τὴν ϑυσίαν αὐτῶν· οὐκ
16 ἐπιϑύμημα οὐδενὸς αὐτῶν εἴληφα, οὐδὲ ἐκάκωσα οὐδένα αὐτῶν. [16] καὶ εἶπε
Μωυσῆς πρὸς Κορέ Ἁγίασον τὴν συναγωγήν σου, καὶ γίνεσϑε ἕτοιμοι ἔναντι
17 κυρίου σὺ καὶ Ἀαρὼν καὶ αὐτοὶ αὔριον· [17] καὶ λάβετε ἕκαστος τὸ πυρεῖον
αὐτοῦ καὶ ἐπιϑήσετε ἐπ' αὐτὰ ϑυμίαμα, καὶ προσάξετε ἔναντι κυρίου ἕκα-
στος τὸ πυρεῖον αὐτοῦ, πεντήκοντα καὶ διακόσια πυρεῖα, καὶ σὺ καὶ Ἀαρὼν
18 ἕκαστος τὸ πυρεῖον αὐτοῦ. [18] καὶ ἔλαβεν ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ ἐπέ-
ϑηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἐπέβαλον ἐπ' αὐτὰ ϑυμίαμα· καὶ ἔστησαν παρὰ
19 τὰς ϑύρας τῆς σκηνῆς τοῦ μαρτυρίου Μωυσῆς καὶ Ἀαρών, [19] καὶ ἐπισυνέστη-
σεν ἐπ' αὐτοὺς Κορὲ τὴν πᾶσαν αὐτοῦ συναγωγὴν παρὰ τὴν ϑύραν τῆς σκη-
20 νῆς τοῦ μαρτυρίου· καὶ ὤφϑη ἡ δόξα κυρίου πάσῃ τῇ συναγωγῇ. [20] καὶ ἐλά-
21 λησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [21] Ἀποσχίσϑητε ἐκ μέσου τῆς
22 συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰς ἅπαξ. [22] καὶ ἔπεσαν ἐπὶ πρόσ-
ωπον αὐτῶν καὶ εἶπαν Θεὸς ϑεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, εἰ ἄν-
23 ϑρωπος εἷς ἥμαρτεν, ἐπὶ πᾶσαν τὴν συναγωγὴν ὀργὴ κυρίου; [23] καὶ ἐλάλησε
24 κύριος πρὸς Μωυσῆν λέγων [24] Λάλησον τῇ συναγωγῇ λέγων Ἀναχωρήσατε
25 κύκλῳ ἀπὸ τῆς συναγωγῆς Κορέ. [25] καὶ ἀνέστη Μωυσῆς καὶ ἐπορεύϑη πρὸς
Δαϑὰν καὶ Ἀβειρών, καὶ συνεπορεύϑησαν μετ' αὐτοῦ πάντες οἱ πρεσβύτεροι
26 Ἰσραήλ· [26] καὶ ἐλάλησε πρὸς τὴν συναγωγὴν λέγων Ἀποσχίσϑητε ἀπὸ τῶν *2Tm. 2, 19.
σκηνῶν τῶν ἀνϑρώπων τῶν σκληρῶν τούτων, καὶ μὴ ἅπτεσϑε ἀπὸ πάντων ὧν
27 ἐστὶν αὐτοῖς, μὴ συναπόλησϑε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν. [27] καὶ ἀπέστησαν
ἀπὸ τῆς σκηνῆς Κορὲ κύκλῳ· καὶ Δαϑὰν καὶ Ἀβειρὼν ἐξῆλϑον, καὶ εἱστήκεισαν

3. ειπαν προς αυτους 5. om και ante προσηγαγετο ... ους ουκ εξελ. ε. ου προσηγ. 6. εαυτοις ... εαυτου 7. ον αν εκλεξηται 9. υμας ο ϑεος ισραηλ ... εναντι της συναγωγης 10. ζητειτε ιερατευειν 11. τι εστιν 13. 14. ημων αρχων· ει και συ sic dist. 16. συ κ. αυτοι κ. ααρων 17. 18. 19. και επιϑησετε v. 17. usque μαρτυριου v. 19. ** 18. ** om κ. επεϑ. επ αυτ. πυρ 19. ** πασαν αυτου την συναγωγην παρα τας ϑυρας 22. η οργη 24. κορε και δαϑαν και αβειρων 26. παντων οσα 27. κορε και δαϑαν και αβειρων κυκλω· κ. δαϑ. κ. αβ. εξ. κ. ιστηκεισαν

Digitized by Google

παρὰ τὰς θύρας τῶν σκηνῶν αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα
αὐτῶν καὶ ἡ ἀποσκευὴ αὐτῶν. [28] καὶ εἶπε Μωυσῆς Ἐν τούτῳ γνώσεσθε ὅτι 28
κύριος ἀπέστειλέ με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ·
[29] εἰ κατὰ θάνατον πάντων ἀνθρώπων ἀποθανοῦνται οὗτοι, εἰ καὶ κατ' ἐπί- 29
σκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐτῶν, οὐχὶ κύριος ἀπέσταλκέ με·
[30] ἀλλ' ἢ ἐν φάσματι δείξει κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατα- 30
πίεται αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πάντα ὅσα
ἐστὶν αὐτοῖς, καὶ καταβήσονται ζῶντες εἰς ᾅδου, καὶ γνώσεσθε ὅτι παρώξυναν
οἱ ἄνθρωποι οὗτοι τὸν κύριον. [31] ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τοὺς λόγους 31
τούτους, ἐῤῥάγη ἡ γῆ ὑποκάτω αὐτῶν, [32] καὶ ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν 32
αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ
Κορὲ καὶ τὰ κτήνη αὐτῶν· [33] καὶ κατέβησαν αὐτοὶ καὶ ὅσα ἐστὶν αὐτῶν ζῶντα 33
εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς συναγω-
γῆς. [34] καὶ πᾶς Ἰσραὴλ οἱ κύκλῳ αὐτῶν ἔφυγον ἀπὸ τῆς φωνῆς αὐτῶν, ὅτι 34
λέγοντες Μή ποτε καταπίῃ ἡμᾶς ἡ γῆ. [35] καὶ πῦρ ἐξῆλθε παρὰ κυρίου καὶ 35
κατέφαγε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυ-
μίαμα. [36] καὶ εἶπε κύριος πρὸς Μωυσῆν [37] καὶ πρὸς Ἐλεάζαρ τὸν υἱὸν Ἀαρὼν 36 37
τὸν ἱερέα Ἀνέλεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν κατακεκαυμένων, καὶ
τὸ πῦρ τὸ ἀλλότριον τοῦτο σπεῖρον ἐκεῖ, ὅτι ἡγίασαν τὰ πυρεῖα τῶν ἁμαρτω-
λῶν τούτων ἐν ταῖς ψυχαῖς αὐτῶν· [38] καὶ ποίησον αὐτὰ λεπίδας ἐλατὰς περί- 38
θεμα τῷ θυσιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι κυρίου καὶ ἡγιάσθησαν, καὶ
ἐγένοντο εἰς σημεῖον τοῖς υἱοῖς Ἰσραήλ. [39] καὶ ἔλαβεν Ἐλεάζαρ υἱὸς Ἀαρὼν 39
τοῦ ἱερέως τὰ πυρεῖα τὰ χαλκᾶ ὅσα προσήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προς-
ήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προσέθηκαν αὐτὰ περίθεμα τῷ θυσιαστηρίῳ,
[40] μνημόσυνον τοῖς υἱοῖς Ἰσραήλ, ὅπως ἂν μὴ προσέλθῃ μηδεὶς ἀλλογενὴς ὅς 40
οὐκ ἔστιν ἐκ τοῦ σπέρματος Ἀαρὼν ἐπιθεῖναι θυμίαμα ἔναντι κυρίου, καὶ οὐκ
ἔσται ὥσπερ Κορὲ καὶ ἡ ἐπισύστασις αὐτοῦ, καθὰ ἐλάλησε κύριος ἐν χειρὶ
Μωυσῇ αὐτῷ. [41] καὶ ἐγόγγυσαν οἱ υἱοὶ Ἰσραὴλ τῇ ἐπαύριον ἐπὶ Μωυσῆν καὶ 41
Ἀαρὼν λέγοντες Ὑμεῖς ἀπεκτάγκατε τὸν λαὸν κυρίου. [42] καὶ ἐγένετο ἐν τῷ 42
ἐπισυστρέφεσθαι τὴν συναγωγὴν ἐπὶ Μωυσῆν καὶ Ἀαρών, καὶ ὥρμησαν ἐπὶ
τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ τήνδε ἐκάλυψεν αὐτὴν ἡ νεφέλη, καὶ ὤφθη
ἡ δόξα κυρίου. [43] καὶ εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν κατὰ πρόσωπον τῆς σκηνῆς 43
τοῦ μαρτυρίου· [44] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [45] Ἐκ- 44 45
χωρήσατε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰς ἅπαξ·
καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν. [46] καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών Λάβε τὸ 46
πυρεῖον, καὶ ἐπίθες ἐπ' αὐτὸ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἐπίβαλε ἐπ' αὐτὸ
θυμίαμα, καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν παρεμβολὴν καὶ ἐξίλασαι περὶ αὐ-
τῶν· ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου κυρίου, ἦρκται θραύειν τὸν λαόν. [47] καὶ 47
ἔλαβεν Ἀαρὼν καθάπερ ἐλάλησεν αὐτῷ Μωυσῆς, καὶ ἔδραμεν εἰς τὴν συνα-
γωγήν, καὶ ἤδη ἐνῆρκτο ἡ θραῦσις ἐν τῷ λαῷ· καὶ ἐπέβαλε τὸ θυμίαμα καὶ
ἐξιλάσατο περὶ τοῦ λαοῦ, [48] καὶ ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων καὶ τῶν 48
ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις. [49] καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ θραύσει 49
τεσσαρεσκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεθνηκότων ἕνεκεν Κορέ.
[50] καὶ ἐπέστρεψεν Ἀαρὼν πρὸς Μωυσῆν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρ- 50
τυρίου, καὶ ἐκόπασεν ἡ θραῦσις.

---

27. των σκηνωματων αυτ. 29. απεστειλεν 31. υποκ. των ποδων αυτων
33. παντα οσα εστ. αυτοις ζωντες 34. οτι ειπαν λεγοντες 38. εν τοις
40. om αυτω 44. * om και ααρων 46. * om οργη 47. και ελαβεν και
επεβαλεν

Digitized by Google

## XVII.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραήλ,
καὶ λάβε παρ' αὐτῶν ῥάβδον, ῥάβδον κατ' οἴκους πατριῶν παρὰ πάντων τῶν
ἀρχόντων αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους· καὶ ἑκάστου
3 τὸ ὄνομα αὐτοῦ ἐπίγραψον ἐπὶ τῆς ῥάβδου. 3 καὶ τὸ ὄνομα Ἀαρὼν ἐπίγραψον
ἐπὶ τῆς ῥάβδου Λευί· ἔστι γὰρ ῥάβδος μία, κατὰ φυλὴν οἴκου πατριῶν αὐ-
4 τῶν δώσουσι. 4 καὶ θήσεις αὐτὰς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου κατέναντι τοῦ
5 μαρτυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. 5 καὶ ἔσται ὁ ἄνθρωπος ὃν ἂν ἐκλέ-
ξωμαι αὐτόν, ἡ ῥάβδος αὐτοῦ ἐκβλαστήσει· καὶ περιελῶ ἀπ' ἐμοῦ τὸν γογγυ-
6 σμὸν υἱῶν Ἰσραήλ, ἃ αὐτοὶ γογγύζουσιν ἐφ' ὑμῖν. 6 καὶ ἐλάλησε Μωυσῆς τοῖς
υἱοῖς Ἰσραήλ· καὶ ἔδωκαν αὐτῷ πάντες οἱ ἄρχοντες αὐτῶν ῥάβδον, τῷ ἄρ-
χοντι τῷ ἑνὶ ῥάβδον κατ' ἄρχοντα, κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥά-
7 βδους· καὶ ἡ ῥάβδος Ἀαρὼν ἀνὰ μέσον τῶν ῥάβδων αὐτῶν. 7 καὶ ἀπέθηκε
8 Μωυσῆς τὰς ῥάβδους ἔναντι κυρίου ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. 8 καὶ ἐγένετο
τῇ ἐπαύριον καὶ εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ
ἰδοὺ ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν εἰς οἶκον Λευί, καὶ ἐξήνεγκε βλαστὸν καὶ *He.9,4.
9 ἐξήνθησεν ἄνθη καὶ ἐβλάστησε κάρυα. 9 καὶ ἐξήνεγκε Μωυσῆς πάσας τὰς ῥά-
βδους ἀπὸ προσώπου κυρίου πρὸς πάντας υἱοὺς Ἰσραήλ· καὶ εἶδον, καὶ ἔλα-
10 βον ἕκαστος τὴν ῥάβδον αὐτοῦ. 10 καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἀπόθες τὴν *He.9,4.
ῥάβδον Ἀαρὼν ἐνώπιον τῶν μαρτυρίων εἰς διατήρησιν, σημεῖον τοῖς υἱοῖς τῶν
ἀνηκόων· καὶ παυσάσθω ὁ γογγυσμὸς αὐτῶν ἀπ' ἐμοῦ, καὶ οὐ μὴ ἀποθάνωσι.
11 11 καὶ ἐποίησε Μωυσῆς καὶ Ἀαρὼν καθὰ συνέταξε κύριος τῷ Μωυσῇ, οὕτως
12 ἐποίησαν. 12 καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Μωυσῆν λέγοντες Ἰδοὺ ἐξανηλώ-
13 μεθα, ἀπολώλαμεν, παρανηλώμεθα· 13 πᾶς ὁ ἁπτόμενος τῆς σκηνῆς κυρίου
ἀποθνήσκει· ἕως εἰς τέλος ἀποθάνωμεν.

## XVIII.

Καὶ εἶπε κύριος πρὸς Ἀαρὼν λέγων Σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος τοῦ
πατρός σου λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, καὶ σὺ καὶ οἱ υἱοί σου λή-
2 ψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν. 2 καὶ τοὺς ἀδελφούς σου φυλὴν Λευὶ
δῆμον τοῦ πατρός σου προσαγάγου πρὸς σεαυτόν, καὶ προστεθήτωσάν σοι καὶ
λειτουργείτωσάν σοι, καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ ἀπέναντι τῆς σκηνῆς
3 τοῦ μαρτυρίου, 3 καὶ φυλάξονται τὰς φυλακάς σου καὶ τὰς φυλακὰς τῆς
σκηνῆς· πλὴν πρὸς τὰ σκεύη τὰ ἅγια καὶ πρὸς τὸ θυσιαστήριον οὐ προσελεύ-
4 σονται, καὶ οὐκ ἀποθανοῦνται καὶ οὗτοι καὶ ὑμεῖς. 4 καὶ προστεθήσονται πρὸς
σέ, καὶ φυλάξονται τὰς φυλακὰς τῆς σκηνῆς τοῦ μαρτυρίου κατὰ πάσας τὰς
5 λειτουργίας τῆς σκηνῆς, καὶ ὁ ἀλλογενὴς οὐ προσελεύσεται πρὸς σέ· 5 καὶ φυ-
λάξεσθε τὰς φυλακὰς τῶν ἁγίων καὶ τὰς φυλακὰς τοῦ θυσιαστηρίου, καὶ οὐκ
6 ἔσται θυμὸς ἐν τοῖς υἱοῖς Ἰσραήλ. 6 καὶ ἐγὼ εἴληφα τοὺς ἀδελφοὺς ὑμῶν τοὺς
Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ δόμα δεδομένον κυρίῳ, λειτουργεῖν τὰς
7 λειτουργίας τῆς σκηνῆς τοῦ μαρτυρίου· 7 καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ δια-
τηρήσετε τὴν ἱερατείαν ὑμῶν, κατὰ πάντα τρόπον τοῦ θυσιαστηρίου καὶ τὸ
ἔνδοθεν τοῦ καταπετάσματος, καὶ λειτουργήσετε τὰς λειτουργίας δόμα τῆς ἱε-
8 ρατείας ὑμῶν· καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται. 8 καὶ ἐλάλησε
κύριος πρὸς Ἀαρὼν Καὶ ἰδοὺ ἐγὼ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν

---

XVII. 2. πατριων αυτων παρα ... om και ante εκαστου ... ραβδου αυτου 3. αυτου pro ααρων ... om γαρ 5. περιελω απο σου 5. οσα αυτοι 6. κατα αρχοντα 8. εις την σκηνην ... η ραβδ. η ααρων ... εξηνθησεν pro εξηνεγκε 10. εις σημειον 11. οσα συνεταξεν XVIII. 1. πατρος σου μετα σου λημψεσθε ... λημψεσθε 2. om σοι prius 3. σκηνης σου 5. φυλαξετε ... εσται ετι 8. και εγω ιδου ... απαρχων μου

Digitized by Google

ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ
εἰς γέρας καὶ τοῖς υἱοῖς σου μετὰ σέ, νόμιμον αἰώνιον. 9 καὶ τοῦτο ἔστω 9
ὑμῖν ἀπὸ τῶν ἡγιασμένων ἁγίων τῶν καρπωμάτων, ἀπὸ πάντων τῶν δώρων
αὐτῶν καὶ ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν καὶ ἀπὸ πάσης πλημμελείας
αὐτῶν καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν, ὅσα ἀποδιδόασί μοι ἀπὸ πάντων
τῶν ἁγίων, σοὶ ἔσται καὶ τοῖς υἱοῖς σου. 10 ἐν τῷ ἁγίῳ τῶν ἁγίων φάγεσθε 10
αὐτά· πᾶν ἀρσενικὸν φάγεται αὐτά, σὺ καὶ οἱ υἱοί σου· ἅγια ἔσται σοι. 11 καὶ 11
τοῦτο ἔσται ὑμῖν ἀπαρχῶν δομάτων αὐτῶν, ἀπὸ πάντων τῶν ἐπιθεμάτων τῶν
υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου
μετὰ σοῦ, νόμιμον αἰώνιον· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά. 12 πᾶσα 12
ἀπαρχὴ ἐλαίου καὶ πᾶσα ἀπαρχὴ οἴνου, σίτου ἀπαρχὴ αὐτῶν, ὅσα ἂν δῶσι
τῷ κυρίῳ, σοὶ δέδωκα αὐτά. 13 τὰ πρωτογεννήματα πάντα ὅσα ἐν τῇ γῇ αὐ- 13
τῶν, ὅσα ἂν ἐνέγκωσι κυρίῳ, σοὶ ἔσται· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδε-
ται αὐτά. 14 πᾶν ἀνατεθεματισμένον ἐν υἱοῖς Ἰσραὴλ σοὶ ἔσται. 15 καὶ πᾶν 14 15
διανοῖγον μήτραν ἀπὸ πάσης σαρκός, ὅσα προσφέρουσι κυρίῳ ἀπὸ ἀνθρώπου
ἕως κτήνους, σοὶ ἔσται· ἀλλ' ἢ λύτροις λυτρωθήσεται τὰ πρωτότοκα τῶν ἀν-
θρώπων, καὶ τὰ πρωτότοκα τῶν κτηνῶν τῶν ἀκαθάρτων λυτρώσῃ. 16 καὶ ἡ 16
λύτρωσις αὐτοῦ ἀπὸ μηνιαίου· ἡ συντίμησις πέντε σίκλων κατὰ τὸν σίκλον
τὸν ἅγιον, εἴκοσι ὀβολοί εἰσι. 17 πλὴν πρωτότοκα μόσχων καὶ πρωτότοκα προ- 17
βάτων καὶ πρωτότοκα αἰγῶν οὐ λυτρώσῃ, ἅγιά ἐστι· καὶ τὸ αἷμα αὐτῶν προς-
χεεῖς πρὸς τὸ θυσιαστήριον, καὶ τὸ στέαρ ἀνοίσεις κάρπωμα εἰς ὀσμὴν εὐω-
δίας κυρίῳ· 18 καὶ τὰ κρέα ἔσται σοὶ καθὰ καὶ τὸ στηθύνιον τοῦ ἐπιθέμα- 18
τος, καὶ κατὰ τὸν βραχίονα τὸν δεξιὸν σοὶ ἔσται. 19 πᾶν ἀφαίρεμα τῶν ἁγίων, 19
ὅσα ἐὰν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ κυρίῳ, δέδωκα σοὶ καὶ τοῖς υἱοῖς σου καὶ
ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· διαθήκη ἁλὸς αἰωνίου ἐστὶν
ἔναντι κυρίου σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ. 20 καὶ ἐλάλησε κύριος πρὸς 20
Ἀαρὼν Ἐν τῇ γῇ αὐτῶν οὐ κληρονομήσεις, καὶ μερὶς οὐκ ἔσται σοι ἐν αὐ-
τοῖς, ὅτι ἐγὼ μερίς σου καὶ κληρονομία σου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. 21 καὶ 21
τοῖς υἱοῖς Λευὶ ἰδοὺ δέδωκα πᾶν ἐπιδέκατον ἐν Ἰσραὴλ ἐν κλήρῳ ἀντὶ τῶν
λειτουργιῶν αὐτῶν, ὅσα αὐτοὶ λειτουργοῦσι λειτουργίαν ἐν τῇ σκηνῇ τοῦ μαρ-
τυρίου. 22 καὶ οὐ προσελεύσονται ἔτι οἱ υἱοὶ Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρ- 22
τυρίου λαβεῖν ἁμαρτίαν θανατηφόρον. 23 καὶ λειτουργήσει ὁ Λευίτης αὐτὸς τὴν 23
λειτουργίαν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ αὐτοὶ λήψονται τὰ ἁμαρτήματα
αὐτῶν, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς αὐτῶν· καὶ ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ
κληρονομήσουσι κληρονομίαν. 24 ὅτι τὰ ἐπιδέκατα τῶν υἱῶν Ἰσραὴλ ὅσα ἐὰν 24
ἀφορίσωσι κυρίῳ ἀφαίρεμα δέδωκα τοῖς Λευίταις ἐν κλήρῳ, διὰ τοῦτο εἴρηκα
αὐτοῖς Ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ κληρονομήσουσι κλῆρον. 25 καὶ ἐλάλησε κύ- 25
ριος πρὸς Μωυσῆν λέγων 26 Καὶ τοῖς Λευίταις λαλήσεις καὶ ἐρεῖς πρὸς αὐ- 26
τούς Ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραὴλ τὸ ἐπιδέκατον ὃ δέδωκα ὑμῖν παρ'
αὐτῶν ἐν κλήρῳ, καὶ ἀφελεῖτε ὑμεῖς ἀπ' αὐτοῦ ἀφαίρεμα κυρίῳ ἐπιδέκατον
ἀπὸ τοῦ ἐπιδεκάτου· 27 καὶ λογισθήσεται ὑμῖν τὰ ἀφαιρέματα ὑμῶν ὡς σῖτος 27
ἀπὸ ἅλω καὶ ἀφαίρεμα ἀπὸ ληνοῦ. 28 οὕτως ἀφελεῖτε αὐτοὺς καὶ ὑμεῖς ἀπὸ 28
πάντων τῶν ἀφαιρεμάτων κυρίου ἀπὸ πάντων τῶν ἐπιδεκάτων ὑμῶν ὅσα ἐὰν
λάβητε παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ δώσετε ἀπ' αὐτῶν ἀφαίρεμα κυρίῳ Ἀαρὼν
τῷ ἱερεῖ· 29 ἀπὸ πάντων τῶν δομάτων ὑμῶν ἀφελεῖτε ἀφαίρεμα κυρίῳ, ἢ 29
ἀπὸ πάντων τῶν ἀπαρχῶν τὸ ἡγιασμένον ἀπ' αὐτοῦ. 30 καὶ ἐρεῖς πρὸς αὐ- 30

---

9. πασης της πλ. ... αμαρτιων οσα 12. σιτου και οινου 13. πρωτογενηματα 14. εν τοις υιοις 15. πας διανοιγον πασαν μητραν 18. και τον βραχιονα τ. δεξ. εσται σοι 20. om και κληρονομια σου ... εμμεσω 23. λημψονται ... εμμεσω των υιων 24. οσα αν ... εμμεσω των υιων 27. αφ αλωνος και ως αφαιρ. 28. om αυτους ... παντων αφαιρεματων ... παντων επιδεκατων ... οσα αν 29. om η 30. ερειτε



Digitized by Google

τούς Ὅταν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ' αὐτοῦ, καὶ λογισθήσεται τοῖς Λευί-
31 ταις ὡς γέννημα ἀπὸ ἅλω καὶ ὡς γέννημα ἀπὸ ληνοῦ· [31] καὶ ἔδεσθε αὐτὸ
ἐν παντὶ τόπῳ ὑμεῖς καὶ οἱ οἶκοι ὑμῶν, ὅτι μισθὸς οὗτος ὑμῖν ἐστιν ἀντὶ τῶν
32 λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· [32] καὶ οὐ λήψεσθε δι' αὐτὸ
ἁμαρτίαν ὅτι ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ' αὐτοῦ, καὶ τὰ ἅγια τῶν υἱῶν
Ἰσραὴλ οὐ βεβηλώσετε, ἵνα μὴ ἀποθάνητε.

## XIX.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων [2] Αὕτη ἡ διαστολὴ
τοῦ νόμου, ὅσα συνέταξε κύριος λέγων Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ λαβέ-
τωσαν πρὸς σὲ δάμαλιν πυῤῥὰν ἄμωμον, ἥτις οὐκ ἔχει ἐν αὐτῇ μῶμον καὶ ἣ
3 οὐκ ἐπεβλήθη ἐπ' αὐτὴν ζυγός, [3] καὶ δώσεις αὐτὴν πρὸς Ἐλεάζαρ τὸν ἱερέα·
καὶ ἐξάξουσιν αὐτὴν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν, καὶ σφάξουσιν
4 αὐτὴν ἐνώπιον αὐτοῦ· [4] καὶ λήψεται Ἐλεάζαρ ἀπὸ τοῦ αἵματος αὐτῆς, καὶ
ῥανεῖ ἀπέναντι τοῦ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ τοῦ αἵματος αὐ-
5 τῆς ἑπτάκις. [5] καὶ κατακαύσουσιν αὐτὴν ἐναντίον αὐτοῦ, καὶ τὸ δέρμα καὶ τὰ
6 κρέα αὐτῆς καὶ τὸ αἷμα αὐτῆς σὺν τῇ κόπρῳ αὐτῆς κατακαυθήσεται· [6] καὶ
λήψεται ὁ ἱερεὺς ξύλον κέδρινον καὶ ὕσσωπον καὶ κόκκινον, καὶ ἐμβαλοῦσιν
7 εἰς μέσον τοῦ κατακαύματος τῆς δαμάλεως. [7] καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ὁ
ἱερεὺς καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ μετὰ ταῦτα εἰςελεύσεται εἰς
8 τὴν παρεμβολήν· καὶ ἀκάθαρτος ἔσται ὁ ἱερεὺς ἕως ἑσπέρας. [8] καὶ ὁ κατα-
καίων αὐτὴν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται τὸ σῶμα αὐτοῦ, καὶ ἀκά-
9 θαρτος ἔσται ἕως ἑσπέρας. [9] καὶ συνάξει ἄνθρωπος καθαρὸς τὴν σποδὸν τῆς
δαμάλεως καὶ ἀποθήσει ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν· καὶ ἔσται
10 τῇ συναγωγῇ υἱῶν Ἰσραὴλ εἰς διατήρησιν, ὕδωρ ῥαντισμοῦ ἅγνισμά ἐστι. [10] καὶ
ὁ συνάγων τὴν σποδιὰν τῆς δαμάλεως πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρ-
τος ἔσται ἕως ἑσπέρας· καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῖς προςηλύτοις προς-
11 κειμένοις νόμιμον αἰώνιον. [11] ὁ ἁπτόμενος τοῦ τεθνηκότος πάσης ψυχῆς ἀν-
12 θρώπου ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας· [12] οὗτος ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ
τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρὸς ἔσται· ἐὰν δὲ μὴ ἀφαγνισθῇ
13 τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, οὐ καθαρὸς ἔσται. [13] πᾶς ὁ
ἁπτόμενος τοῦ τεθνηκότος ἀπὸ ψυχῆς ἀνθρώπου, ἐὰν ἀποθάνῃ καὶ μὴ ἀφα-
γνισθῇ, τὴν σκηνὴν κυρίου ἐμίανεν· ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ,
ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιεῤῥαντίσθη ἐπ' αὐτόν· ἀκάθαρτός ἐστιν, ἔτι ἡ ἀκα-
14 θαρσία αὐτοῦ ἐν αὐτῷ ἐστί. [14] καὶ οὗτος ὁ νόμος· ἄνθρωπος ἐὰν ἀποθάνῃ ἐν
οἰκίᾳ, πᾶς ὁ εἰςπορευόμενος εἰς τὴν οἰκίαν καὶ ὅσα ἐστὶν ἐν τῇ οἰκίᾳ ἀκά-
15 θαρτα ἔσται ἑπτὰ ἡμέρας· [15] καὶ πᾶν σκεῦος ἀνεῳγμένον ὅσα οὐχὶ δεσμὸν
16 καταδέδεται ἐπ' αὐτῷ ἀκάθαρτά ἐστι. [16] καὶ πᾶς ὃς ἂν ἅψηται ἐπὶ προςώ-
που τοῦ πεδίου τραυματίου ἢ νεκροῦ ἢ ὀστέου ἀνθρωπίνου ἢ μνήματος ἑπτὰ
17 ἡμέρας ἀκάθαρτος ἔσται. [17] καὶ λήψονται τῷ ἀκαθάρτῳ ἀπὸ τῆς σποδιᾶς τῆς
κατακεκαυμένης τοῦ ἁγνισμοῦ, καὶ ἐκχεοῦσιν ἐπ' αὐτὴν ὕδωρ ζῶν εἰς σκεῦος·
18 [18] καὶ λήψεται ὕσσωπον καὶ βάψει εἰς τὸ ὕδωρ ἀνὴρ καθαρός, καὶ περιῤῥα-
νεῖ ἐπὶ τὸν οἶκον καὶ ἐπὶ τὰ σκεύη καὶ ἐπὶ τὰς ψυχάς, ὅσαι ἂν ὦσιν ἐκεῖ,
καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ ἀνθρωπίνου ἢ τοῦ τραυματίου ἢ τοῦ τε-
19 θνηκότος ἢ τοῦ μνήματος· [19] καὶ περιῤῥανεῖ ὁ καθαρὸς ἐπὶ τὸν ἀκάθαρτον ἐν

30. γενημα bis ... απο αλωνος 31. υμεις και οι υιοι υμων και οι 32. και ουτοι λημψονται XIX. 2. εν εαυτη 4. λημψεται 5. αυτης και τα κρεα και 6. λημψεται 10. την σποδον ... τ. πρ. τοις προσκειμ. εμμεσω υμων 11. ** ημερας εως εσπερας 12. αγνισθησεται και τη ... και καθαρ. εστιν 13. απο πασης ψυχης ... περιεραντισθη 15. οσα ουχ εχει pro ουχι 16. επι προσωπον ... οστεου ανθρωπου 17. λημψονται 18. λημψεται ... περιρανει ... οσαι εαν ... τραυματος 19. περιρανει

Digitized by Google

τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀφαγνισθήσεται τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ· καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας. [20] καὶ ἄνθρωπος ὃς ἂν μιανθῇ καὶ μὴ ἀφαγνισθῇ, ἐξολο- 20
θρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τῆς συναγωγῆς, ὅτι τὰ ἅγια κυρίου
ἐμίανεν· ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιεῤῥαντίσθη ἐπ' αὐτόν, ἀκάθαρτός ἐστι.
[21] καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον· καὶ ὁ περιῤῥαίνων ὕδωρ ῥαντισμοῦ πλυνεῖ 21
τὰ ἱμάτια αὐτοῦ, καὶ ὁ ἁπτόμενος τοῦ ὕδατος τοῦ ῥαντισμοῦ ἀκάθαρτος ἔσται
ἕως ἑσπέρας· [22] καὶ παντὸς οὗ ἐὰν ἅψηται αὐτοῦ ὁ ἀκάθαρτος, ἀκάθαρτον 22
ἔσται, καὶ ψυχὴ ἡ ἁπτομένη ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

## XX.

Καὶ ἦλθον οἱ υἱοὶ Ἰσραὴλ πᾶσα ἡ συναγωγὴ εἰς τὴν ἔρημον Σὶν ἐν τῷ
μηνὶ τῷ πρώτῳ, καὶ κατέμεινεν ὁ λαὸς ἐν Κάδης· καὶ ἐτελεύτησεν ἐκεῖ Μα-
ριάμ, καὶ ἐτάφη ἐκεῖ. [2] καὶ οὐκ ἦν ὕδωρ τῇ συναγωγῇ, καὶ ἠθροίσθησαν ἐπὶ 2
Μωυσῆν καὶ Ἀαρών. [3] καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες Ὄφε- 3
λον ἀπεθάνομεν ἐν τῇ ἀπωλείᾳ τῶν ἀδελφῶν ἡμῶν ἔναντι κυρίου· [4] καὶ ἵνα 4
τί ἀνηγάγετε τὴν συναγωγὴν κυρίου εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι ἡμᾶς
καὶ τὰ κτήνη ἡμῶν; [5] καὶ ἵνα τί τοῦτο; ἀνηγάγετε ἡμᾶς ἐξ Αἰγύπτου παρα- 5
γενέσθαι εἰς τὸν τόπον τὸν πονηρὸν τοῦτον, τόπος οὗ οὐ σπείρεται, οὐδὲ συ-
καῖ οὐδὲ ἄμπελοι, οὔτε ῥοαὶ οὔτε ὕδωρ ἐστὶ πιεῖν. [6] καὶ ἦλθε Μωυσῆς καὶ 6
Ἀαρὼν ἀπὸ προςώπου τῆς συναγωγῆς ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου, καὶ ἔπεσον ἐπὶ πρόςωπον· καὶ ὤφθη ἡ δόξα κυρίου πρὸς αὐτούς. [7] καὶ 7
ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [8] Λάβε τὴν ῥάβδον σου, καὶ ἐκκλησίασον 8
τὴν συναγωγὴν σὺ καὶ Ἀαρὼν ὁ ἀδελφός σου, καὶ λαλήσατε πρὸς τὴν πέ-
τραν ἐναντίον αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς· καὶ ἐξοίσετε αὐτοῖς ὕδωρ
ἐκ τῆς πέτρας, καὶ ποτιεῖτε τὴν συναγωγὴν καὶ τὰ κτήνη αὐτῶν. [9] καὶ ἔλαβε 9
Μωυσῆς τὴν ῥάβδον τὴν ἀπέναντι κυρίου, καθὰ συνέταξε κύριος· [10] καὶ ἐξεκ- 10
κλησίασε Μωυσῆς καὶ Ἀαρὼν τὴν συναγωγὴν ἀπέναντι τῆς πέτρας, καὶ εἶπε
πρὸς αὐτούς Ἀκούσατέ μου, οἱ ἀπειθεῖς· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν
ὑμῖν ὕδωρ; [11] καὶ ἐπάρας Μωυσῆς τὴν χεῖρα αὐτοῦ ἐπάταξε τὴν πέτραν τῇ 11
ῥάβδῳ δίς, καὶ ἐξῆλθεν ὕδωρ πολύ, καὶ ἔπιεν ἡ συναγωγὴ καὶ τὰ κτήνη αὐ-
τῶν. [12] καὶ εἶπε κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν Ὅτι οὐκ ἐπιστεύσατε ἁγιά- 12
σαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰςάξετε ὑμεῖς τὴν συνα-
γωγὴν ταύτην εἰς τὴν γῆν ἣν δέδωκα αὐτοῖς. [13] τοῦτο τὸ ὕδωρ ἀντιλογίας, ὅτι 13
ἐλοιδορήθησαν οἱ υἱοὶ Ἰσραὴλ ἔναντι κυρίου, καὶ ἡγιάσθη ἐν αὐτοῖς. [14] καὶ 14
ἀπέστειλε Μωυσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ λέγων Τάδε λέ-
γει ὁ ἀδελφός σου Ἰσραήλ Σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς·
[15] καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐν Αἰ- 15
γύπτῳ ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας
ἡμῶν· [16] καὶ ἀνεβοήσαμεν πρὸς κύριον, καὶ εἰςήκουσε κύριος τῆς φωνῆς ἡμῶν, 16
καὶ ἀποστείλας ἄγγελον ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου· καὶ νῦν ἐσμὲν ἐν Κά-
δης πόλει ἐκ μέρους τῶν ὁρίων σου. [17] παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ 17
διελευσόμεθα δι' ἀγρῶν οὐδὲ δι' ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου
σου· ὁδῷ βασιλικῇ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν δεξιὰ οὐδὲ εὐώνυμα ἕως ἂν
παρέλθωμεν τὰ ὅριά σου. [18] καὶ εἶπε πρὸς αὐτὸν Ἐδὼμ Οὐ διελεύσῃ δι' ἐμοῦ· 18
εἰ δὲ μή, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σοι. [19] καὶ λέγουσιν αὐτῷ οἱ 19
υἱοὶ Ἰσραὴλ Παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίωμεν

---

19. τριτη επειτα και εν ... αφαγν. εν τη 20. εξολεθρευθησεται ... περιεραντισθη 21. περιραινων 22. και η ψυχη XX. 2. συνηθροισθησαν 3. οφελον απωλομεθα 5. σπερειται 6. επεσαν 8. om σου prius 13. τουτο υδωρ 15. παρωκησ. εις αιγυπτον και εκακ. ημ. οι αιγ. ημερας πλειους και τους

ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι,
20 παρὰ τὸ ὄρος παρελευσόμεθα. [20] ὁ δὲ εἶπεν Οὐ διελεύσῃ δι' ἐμοῦ· καὶ ἐξῆλ-
21 θεν Ἐδὼμ εἰς συνάντησιν αὐτῷ ἐν ὄχλῳ βαρεῖ καὶ ἐν χειρὶ ἰσχυρᾷ. [21] καὶ
οὐκ ἠθέλησεν Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ· καὶ
22 ἐξέκλινεν Ἰσραὴλ ἀπ' αὐτοῦ. [22] καὶ ἀπῆραν ἐκ Κάδης· καὶ παρεγένοντο οἱ
23 υἱοὶ Ἰσραὴλ πᾶσα ἡ συναγωγὴ εἰς Ὢρ τὸ ὄρος. [23] καὶ εἶπε κύριος πρὸς Μωυ-
24 σῆν καὶ Ἀαρὼν ἐν Ὢρ τῷ ὄρει ἐπὶ τῶν ὁρίων γῆς Ἐδὼμ λέγων [24] Προστε-
θήτω Ἀαρὼν πρὸς τὸν λαὸν αὐτοῦ, ὅτι οὐ μὴ εἰςέλθητε εἰς τὴν γῆν ἣν δέ-
δωκα τοῖς υἱοῖς Ἰσραήλ, διότι παρωξύνατέ με ἐπὶ τοῦ ὕδατος τῆς λοιδορίας.
25 [25] λάβε τὸν Ἀαρὼν καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ ἀναβίβασον αὐτοὺς εἰς
26 Ὢρ τὸ ὄρος ἔναντι πάσης τῆς συναγωγῆς· [26] καὶ ἔκδυσον Ἀαρὼν τὴν στολὴν
αὐτοῦ καὶ ἔνδυσον Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ Ἀαρὼν προστεθεὶς ἀποθα-
27 νέτω ἐκεῖ. [27] καὶ ἐποίησε Μωυσῆς καθὰ συνέταξε κύριος αὐτῷ, καὶ ἀνεβίβα-
28 σεν αὐτὸν εἰς Ὢρ τὸ ὄρος ἐναντίον πάσης τῆς συναγωγῆς, [28] καὶ ἐξέδυσε τὸν
Ἀαρὼν τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσεν αὐτὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ· καὶ
ἀπέθανεν Ἀαρὼν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, καὶ κατέβη Μωυσῆς καὶ Ἐλεά-
29 ζαρ ἐκ τοῦ ὄρους. [29] καὶ εἶδε πᾶσα ἡ συναγωγὴ ὅτι ἀπελύθη Ἀαρών· καὶ
ἔκλαυσαν τὸν Ἀαρὼν τριάκοντα ἡμέρας πᾶς οἶκος Ἰσραήλ.

## XXI.

Καὶ ἤκουσεν ὁ Χανανεὶς βασιλεὺς Ἀρὰδ ὁ κατοικῶν κατὰ τὴν ἔρημον
ὅτι ἦλθεν Ἰσραὴλ ὁδὸν Ἀθαρείν, καὶ ἐπολέμησε πρὸς Ἰσραὴλ καὶ κατεπροε-
2 νόμευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν. [2] καὶ ηὔξατο Ἰσραὴλ εὐχὴν κυρίῳ καὶ εἶπεν
Ἐάν μοι παραδῷς τὸν λαὸν τοῦτον ὑποχείριον, ἀναθεματιῶ αὐτὸν καὶ τὰς
3 πόλεις αὐτοῦ. [3] καὶ εἰςήκουσε κύριος τῆς φωνῆς Ἰσραὴλ καὶ παρέδωκε τὸν
Χανανεὶν ὑποχείριον αὐτοῦ· καὶ ἀνεθεμάτισεν αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ,
4 καὶ ἐπεκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἀνάθεμα. [4] καὶ ἀπάραντες ἐξ Ὢρ
τοῦ ὄρους ὁδὸν ἐπὶ θάλασσαν ἐρυθρὰν περιεκύκλωσαν γῆν Ἐδώμ· καὶ ὠλι-
5 γοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ. [5] καὶ κατελάλει ὁ λαὸς πρὸς τὸν θεὸν καὶ κατὰ * 1 Co.
Μωυσῆ λέγοντες Ἵνα τί τοῦτο; ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἐν τῇ 10, 9.
ἐρήμῳ, ὅτι οὐκ ἔστιν ἄρτος οὐδὲ ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν προςώχθισεν ἐν τῷ
6 ἄρτῳ τῷ διακένῳ τούτῳ. [6] καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς * 1 Co.
θανατοῦντας, καὶ ἔδακνον τὸν λαόν· καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ. 10, 9.
7 [7] καὶ παραγενόμενος ὁ λαὸς πρὸς Μωυσῆν ἔλεγον ὅτι ἡμάρτομεν ὅτι κατελα-
λήσαμεν κατὰ τοῦ κυρίου καὶ κατὰ σοῦ· εὖξαι οὖν πρὸς κύριον, καὶ ἀφελέτω
8 ἀφ' ἡμῶν τὸν ὄφιν. καὶ ηὔξατο Μωυσῆς πρὸς κύριον περὶ τοῦ λαοῦ. [8] καὶ
εἶπε κύριος πρὸς Μωυσῆν Ποίησον σεαυτῷ ὄφιν καὶ θὲς αὐτὸν ἐπὶ σημείου,
καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν αὐτὸν ζήσεται.
9 [9] καὶ ἐποίησε Μωυσῆς ὄφιν χαλκοῦν καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου· καὶ ἐγέ- * Jo. 3, 14.
νετο ὅταν ἔδακνεν ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν,
10 11 καὶ ἔζη. [10] καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραήλ, καὶ παρενέβαλον ἐν Ὠβώθ. [11] καὶ ἐξά-
ραντες ἐξ Ὠβώθ, καὶ παρενέβαλον ἐν Ἀχαλγαὶ ἐκ τοῦ πέραν ἐν τῇ ἐρήμῳ ἥ
12 ἐστι κατὰ πρόσωπον Μωὰβ κατ' ἀνατολὰς ἡλίου. [12] καὶ ἐκεῖθεν ἀπῆραν, καὶ
13 παρενέβαλον εἰς φάραγγα Ζαρέδ. [13] καὶ ἐκεῖθεν ἀπάραντες παρενέβαλον εἰς τὸ
πέραν Ἀρνῶν ἐν τῇ ἐρήμῳ τὸ ἐξέχον ἀπὸ τῶν ὁρίων τῶν Ἀμορραίων· ἔστι

19. εγω δε ... ορος πορευομεθα 20. συναντησιν αυτου 24. ην εδωκα τ. υ. ισρ. εν κατασχεσει 25. ααρων τον αδελφον σου ... εναντιον 27. ανεβιβασ. αυτους 28. ααρων εκει επι 29. ιδεν XXI. 1. ο χαναναιος ... αθαρειμ ... κατεπρονομησαν 3. τον χανανι υποχ. αυτω ... επεκαλεσεν 4. την γην 5. ινα τι εξηγαγετε ... αποκτ. ημας εν (6. εδαγνον) 7. ημαρτηκαμεν 9. οταν εδακεν 11. εξ ωβωθ παρενεβ. εν αχελγαι τω περαν 12. om και prius ... ζαρε

Digitized by Google

γὰρ Ἀρνῶν ὅρια Μωὰβ ἀνὰ μέσον Μωὰβ καὶ ἀνὰ μέσον τοῦ Ἀμορραίου.
14 διὰ τοῦτο λέγεται ἐν βιβλίῳ Πόλεμος τοῦ κυρίου τὴν Ζωὸβ ἐφλόγισε καὶ 14
τοὺς χειμάρρους Ἀρνῶν, 15 καὶ τοὺς χειμάρρους κατέστησε κατοικίσαι Ἤρ· καὶ 15
πρόςκειται τοῖς ὁρίοις Μωάβ. 16 καὶ ἐκεῖθεν τὸ φρέαρ· τοῦτο φρέαρ ὃ εἶπε 16
κύριος πρὸς Μωυσῆν Συνάγαγε τὸν λαόν, καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν. 17 τότε 17
ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος Ἐξάρχετε αὐτῷ 18 φρέαρ· ὤρυ- 18
ξαν αὐτὸ ἄρχοντες, ἐξελατόμησαν αὐτὸ βασιλεῖς ἐθνῶν ἐν τῇ βασιλείᾳ αὐτῶν,
ἐν τῷ κυριεῦσαι αὐτῶν. καὶ ἀπὸ φρέατος εἰς Μανθαναείν· 19 καὶ ἀπὸ Μαν- 19
θαναεὶν εἰς Νααλιήλ· καὶ ἀπὸ Νααλιὴλ εἰς Βαμώθ· 20 καὶ ἀπὸ Βαμὼθ εἰς 20
Ἰανήν, ἥ ἐστιν ἐν τῷ πεδίῳ Μωὰβ ἀπὸ κορυφῆς τοῦ λελαξευμένου τὸ βλέπον
κατὰ πρόςωπον τῆς ἐρήμου. 21 καὶ ἀπέστειλε Μωυσῆς πρέσβεις πρὸς Σηὼν βα- 21
σιλέα Ἀμορραίων λόγοις εἰρηνικοῖς λέγων 22 Παρελευσόμεθα διὰ τῆς γῆς σου· τῇ 22
ὁδῷ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν οὔτε εἰς ἀγρὸν οὔτε εἰς ἀμπελῶνα, οὐ πιόμεθα
ὕδωρ ἐκ φρέατός σου· ὁδῷ βασιλικῇ πορευσόμεθα ἕως παρέλθωμεν τὰ ὅριά
σου. 23 καὶ οὐκ ἔδωκε Σηὼν τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ· καὶ 23
συνήγαγε Σηὼν πάντα τὸν λαὸν αὐτοῦ, καὶ ἐξῆλθε παρατάξασθαι τῷ Ἰσραὴλ
εἰς τὴν ἔρημον· καὶ ἦλθεν εἰς Ἰασσά, καὶ παρετάξατο τῷ Ἰσραήλ. 24 καὶ ἐπά- 24
ταξεν αὐτὸν Ἰσραὴλ φόνῳ μαχαίρας, καὶ κατεκυρίευσαν τῆς γῆς αὐτοῦ ἀπὸ
Ἀρνῶν ἕως Ἰαβόκ, ἕως υἱῶν Ἀμμάν· ὅτι Ἰαζὴρ ὅρια υἱῶν Ἀμμών ἐστι. 25 καὶ 25
ἔλαβεν Ἰσραὴλ πάσας τὰς πόλεις ταύτας· καὶ κατῴκησεν Ἰσραὴλ ἐν πάσαις
ταῖς πόλεσι τῶν Ἀμορραίων, ἐν Ἐσεβὼν καὶ ἐν πάσαις ταῖς συγκυρούσαις
αὐτῇ. 26 ἔστι γὰρ Ἐσεβών, πόλις Σηὼν τοῦ βασιλέως τῶν Ἀμορραίων ἐστίν· 26
καὶ οὗτος ἐπολέμησε βασιλέα Μωὰβ τὸ πρότερον, καὶ ἔλαβον πᾶσαν τὴν γῆν
αὐτοῦ ἀπὸ Ἀροὴρ ἕως Ἀρνῶν. 27 διὰ τοῦτο ἐροῦσιν οἱ αἰνιγματισταί Ἔλθετε 27
εἰς Ἐσεβὼν ἵνα οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηών· 28 ὅτι πῦρ ἐξῆλ- 28
θεν ἐξ Ἐσεβών, φλὸξ ἐκ πόλεως Σηών, καὶ κατέφαγεν ἕως Μωὰβ καὶ κα-
τέπιε στήλας Ἀρνῶν. 29 οὐαί σοι Μωάβ, ἀπώλου λαὸς Χαμώς· ἀπεδόθησαν οἱ 29
υἱοὶ αὐτῶν διασώζεσθαι, καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ τῶν
Ἀμορραίων Σηών, 30 καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται Ἐσεβὼν ἕως Δαιβών, 30
καὶ αἱ γυναῖκες ἔτι προςεξέκαυσαν πῦρ ἐπὶ Μωάβ. 31 κατῴκησε δὲ Ἰσραὴλ ἐν 31
πάσαις ταῖς πόλεσι τῶν Ἀμορραίων. 32 καὶ ἀπέστειλε Μωυσῆς κατασκέψασθαι 32
τὴν Ἰαζήρ, καὶ κατελάβοντο αὐτὴν καὶ τὰς κώμας αὐτῆς, καὶ ἐξέβαλον τὸν
Ἀμορραῖον τὸν κατοικοῦντα ἐκεῖ. 33 καὶ ἐπιστρέψαντες ἀνέβησαν ὁδὸν τὴν εἰς 33
Βασάν· καὶ ἐξῆλθεν Ὢγ βασιλεὺς τῆς Βασὰν εἰς συνάντησιν αὐτοῖς, καὶ πᾶς
ὁ λαὸς αὐτοῦ εἰς πόλεμον εἰς Ἐδραείν. 34 καὶ εἶπε κύριος πρὸς Μωυσῆν Μὴ 34
φοβηθῇς αὐτόν, ὅτι εἰς τὰς χεῖράς σου παραδέδωκα αὐτὸν καὶ πάντα τὸν λαὸν
αὐτοῦ καὶ πᾶσαν τὴν γῆν αὐτοῦ, καὶ ποιήσεις αὐτῷ καθὼς ἐποίησας τῷ Σηὼν
βασιλεῖ τῶν Ἀμορραίων, ὃς κατῴκει ἐν Ἐσεβών. 35 καὶ ἐπάταξεν αὐτὸν καὶ 35
τοὺς υἱοὺς αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ, ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ
ζωγρείαν· καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ.

## XXII.

Καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν
Ἰορδάνην κατὰ Ἱεριχώ. 2 καὶ ἰδὼν Βαλὰκ υἱὸς Σεπφὼρ πάντα ὅσα ἐποίησεν 2
Ἰσραὴλ τῷ Ἀμορραίῳ, 3 καὶ ἐφοβήθη Μωὰβ τὸν λαὸν σφόδρα ὅτι πολλοὶ ἦσαν, 3
καὶ προςώχθισε Μωὰβ ἀπὸ προςώπου υἱῶν Ἰσραήλ. 4 καὶ εἶπε Μωὰβ τῇ 4

14. εν βιβλω ... πολεμος κυριου την ζοοβ 16. τουτο εστιν το φρεαρ ... om συναγαγε τον λαον 18. μανθανιν 19. μανθανειν 20. εις ναπην 22. om τη ... αμπελωνα σου ... εως αν 24. αμμαν pro αμμων 25. συγκυρ. αυταις 26. om εστιν sec. ... ελαβεν 27. ελθατε 29. (απολου ...) om σηων 30. γυναικες αυτων 32. κατελαβετο ... τον οντα εκει 35. ζωγριαν ... την γην αυτων

Digitized by Google

γερουσίᾳ Μαδιάμ Νῦν ἐκλείξει ἡ συναγωγὴ αὕτη πάντας τοὺς κύκλῳ ἡμῶν, ὡςεὶ
ἐκλείξαι ὁ μόσχος τὰ χλωρὰ ἐκ τοῦ πεδίου· καὶ Βαλὰκ υἱὸς Σεπφὼρ βασι-
5 λεὺς Μωὰβ ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον. [5] καὶ ἀπέστειλε πρέσβεις πρὸς Βα- *2 Pe.
λαὰμ υἱὸν Βεὼρ Φαθουρά, ὅ ἐστιν ἐπὶ τοῦ ποταμοῦ γῆς υἱῶν λαοῦ αὐτοῦ, 2,15.
καλέσαι αὐτὸν λέγων Ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου, καὶ ἰδοὺ κατεκά- *Jud.11.
6 λυψε τὴν ὄψιν τῆς γῆς, καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου. [6] καὶ νῦν δεῦρο
ἄρασαί μοι τὸν λαὸν τοῦτον, ὅτι ἰσχύει οὗτος ἢ ἡμεῖς, ἐὰν δυνώμεθα πατάξαι
ἐξ αὐτῶν, καὶ ἐκβαλῶ αὐτοὺς ἐκ τῆς γῆς· ὅτι οἶδα οὓς ἐὰν εὐλογήσῃς σὺ
7 εὐλόγηνται, καὶ οὓς ἂν καταράσῃ σὺ κεκατήρανται. [7] καὶ ἐπορεύθη ἡ γερου-
σία Μωὰβ καὶ ἡ γερουσία Μαδιάμ, καὶ τὰ μαντεῖα ἐν ταῖς χερσὶν αὐτῶν·
8 καὶ ἦλθον πρὸς Βαλαὰμ καὶ εἶπαν αὐτῷ τὰ ῥήματα Βαλάκ. [8] καὶ εἶπε πρὸς
αὐτούς Καταλύσατε αὐτοῦ τὴν νύκτα, καὶ ἀποκριθήσομαι ὑμῖν πράγματα ἃ
ἂν λαλήσῃ κύριος πρὸς μέ· καὶ κατέμειναν οἱ ἄρχοντες Μωὰβ παρὰ Βαλαάμ.
9 [9] καὶ ἦλθεν ὁ θεὸς πρὸς Βαλαὰμ καὶ εἶπεν αὐτῷ Τί οἱ ἄνθρωποι οὗτοι παρὰ
10 σοί; [10] καὶ εἶπε Βαλαὰμ πρὸς τὸν θεόν Βαλὰκ υἱὸς Σεπφὼρ βασιλεὺς Μωὰβ
11 ἀπέστειλεν αὐτοὺς πρὸς μὲ λέγων [11] Ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου καὶ
κεκάλυφε τὴν ὄψιν τῆς γῆς, καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου· καὶ νῦν
δεῦρο ἄρασαί μοι αὐτόν, εἰ ἄρα δυνήσομαι πατάξαι αὐτὸν καὶ ἐκβαλῶ αὐτὸν
12 ἀπὸ τῆς γῆς. [12] καὶ εἶπεν ὁ θεὸς πρὸς Βαλαάμ Οὐ πορεύσῃ μετ᾽ αὐτῶν οὐδὲ
13 καταράσῃ τὸν λαόν· ἔστι γὰρ εὐλογημένος. [13] καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωὶ
εἶπε τοῖς ἄρχουσι Βαλάκ Ἀποτρέχετε πρὸς τὸν κύριον ὑμῶν, οὐκ ἀφίησί με
14 ὁ θεὸς πορεύεσθαι μεθ᾽ ὑμῶν. [14] καὶ ἀναστάντες οἱ ἄρχοντες Μωὰβ ἦλθον πρὸς
15 Βαλὰκ καὶ εἶπαν Οὐ θέλει Βαλαὰμ πορευθῆναι μεθ᾽ ἡμῶν. [15] καὶ προςέθετο
16 Βαλὰκ ἔτι ἀποστεῖλαι ἄρχοντας πλείους καὶ ἐντιμοτέρους τούτων. [16] καὶ ἦλθον
πρὸς Βαλαὰμ καὶ λέγουσιν αὐτῷ Τάδε λέγει Βαλὰκ ὁ τοῦ Σεπφώρ Ἀξιῶ σε
17 μὴ ὀκνήσῃς ἐλθεῖν πρὸς μέ· [17] ἐντίμως γὰρ τιμήσω σε, καὶ ὅσα ἐὰν εἴπῃς
18 ποιήσω σοι· καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν λαὸν τοῦτον. [18] καὶ ἀπεκρίθη
Βαλαὰμ καὶ εἶπε τοῖς ἄρχουσι Βαλάκ Ἐὰν δῷ μοι Βαλὰκ πλήρη τὸν οἶκον
αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα κυρίου τοῦ
19 θεοῦ, ποιῆσαι αὐτὸ μικρὸν ἢ μέγα ἐν τῇ διανοίᾳ μου· [19] καὶ νῦν ὑπομείνατε
αὐτοῦ καὶ ὑμεῖς τὴν νύκτα ταύτην, καὶ γνώσομαι τί προςθήσει κύριος λαλῆ-
20 σαι πρὸς μέ. [20] καὶ ἦλθεν ὁ θεὸς πρὸς Βαλαὰμ νυκτὸς καὶ εἶπεν αὐτῷ Εἰ κα-
λέσαι σε πάρεισιν οἱ ἄνθρωποι οὗτοι, ἀναστὰς ἀκολούθησον αὐτοῖς· ἀλλὰ τὸ
21 ῥῆμα ὃ ἐὰν λαλήσω πρὸς σέ, τοῦτο ποιήσεις. [21] καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωὶ
22 ἐπέσαξε τὴν ὄνον αὐτοῦ, καὶ ἐπορεύθη μετὰ τῶν ἀρχόντων Μωάβ. [22] καὶ ὠρ-
γίσθη θυμῷ ὁ θεὸς ὅτι ἐπορεύθη αὐτός, καὶ ἀνέστη ὁ ἄγγελος τοῦ θεοῦ δια-
βαλεῖν αὐτόν· καὶ αὐτὸς ἐπιβεβήκει ἐπὶ τῆς ὄνου αὐτοῦ, καὶ οἱ δύο παῖδες αὐ-
23 τοῦ μετ᾽ αὐτοῦ. [23] καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστηκότα ἐν
τῇ ὁδῷ καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξέκλινεν ἡ ὄνος
ἐκ τῆς ὁδοῦ καὶ ἐπορεύετο εἰς τὸ πεδίον· καὶ ἐπάταξε τὴν ὄνον ἐν τῇ ῥάβδῳ
24 αὐτοῦ τοῦ εὐθῦναι αὐτὴν ἐν τῇ ὁδῷ. [24] καὶ ἔστη ὁ ἄγγελος τοῦ θεοῦ ἐν ταῖς
25 αὔλαξι τῶν ἀμπέλων, φραγμὸς ἐντεῦθεν καὶ φραγμὸς ἐντεῦθεν· [25] καὶ ἰδοῦσα
ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ προςέθλιψεν ἑαυτὴν πρὸς τὸν τοῖχον, καὶ ἀπέ-
θλιψε τὸν πόδα Βαλαὰμ πρὸς τὸν τοῖχον· καὶ προςέθετο ἔτι μαστίξαι αὐτήν.
26 [26] καὶ προςέθετο ὁ ἄγγελος τοῦ θεοῦ καὶ ἀπελθὼν ὑπέστη ἐν τόπῳ στενῷ, εἰς
27 ὃν οὐκ ἦν ἐκκλῖναι δεξιὰν οὐδὲ ἀριστεράν· [27] καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον

---

XXII. 4. ωσει εκλιξει 5. βαιωρ βαθουρα ος 6. καταρασαι ... οτι ισχυροτερος μου εστιν ... οτι οιδα οτι ους αν ευλογης 8. πραγμα α αν 10. απεστ. αγγελους προς 11. εκαλυψεν ... εκ της γης 14. ειπον αυτω 15. ετι βαλαχ 17. παντα οσα 18. *om κ. ειπ. τ. αρχ. βαλαχ ... (βαλαμ ...) αργ. η χρυσ. 21. των ανδρων μωαβ 22. επορευετο ... ενδιαβαλλειν αυτον ... om και αυτος επιβεβηκει 24. αμπελωνων

Digitized by Google

τοῦ θεοῦ συνεκάθισεν ὑποκάτω Βαλαάμ· καὶ ἐθυμώθη Βαλαὰμ καὶ ἔτυπτε
τὴν ὄνον τῇ ῥάβδῳ. 28 καὶ ἤνοιξεν ὁ θεὸς τὸ στόμα τῆς ὄνου καὶ λέγει τῷ 28
Βαλαάμ Τί ἐποίησά σοι ὅτι πέπαικάς με τρίτον τοῦτο; 29 καὶ εἶπε Βαλαὰμ 29
τῇ ὄνῳ Ὅτι ἐμπέπαιχάς μοι, καὶ εἰ εἶχον μάχαιραν ἐν τῇ χειρί, ἤδη ἂν
ἐξεκέντησά σε. 30 καὶ λέγει ἡ ὄνος τῷ Βαλαάμ Οὐκ ἐγὼ ἡ ὄνος σου, ἐφ' ἧς 30
ἐπέβαινες ἀπὸ νεότητός σου ἕως τῆς σήμερον ἡμέρας; μὴ ὑπεροράσει ὑπερι-
δοῦσα ἐποίησά σοι οὕτως; ὁ δὲ εἶπεν Οὐχί. 31 ἀπεκάλυψε δὲ ὁ θεὸς τοὺς 31
ὀφθαλμοὺς Βαλαάμ, καὶ ὁρᾷ τὸν ἄγγελον κυρίου ἀνθεστηκότα ἐν τῇ ὁδῷ καὶ
τὴν μάχαιραν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ κύψας προσεκύνησε τῷ προσώ-
πῳ αὐτοῦ. 32 καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος τοῦ θεοῦ Διὰ τί ἐπάταξας τὴν ὄνον 32
σου τοῦτο τρίτον; καὶ ἰδοὺ ἐγὼ ἐξῆλθον εἰς διαβολήν σου, ὅτι οὐκ ἀστεία ἡ
ὁδός σου ἐναντίον μου, 33 καὶ ἰδοῦσά με ἡ ὄνος ἐξέκλινεν ἀπ' ἐμοῦ τρίτον 33
τοῦτο· καὶ εἰ μὴ ἐξέκλινεν, νῦν οὖν σὲ μὲν ἀπέκτεινα, ἐκείνην δ' ἂν περιε-
ποιησάμην. 34 καὶ εἶπε Βαλαὰμ τῷ ἀγγέλῳ κυρίου Ἡμάρτηκα, οὐ γὰρ ἠπι- 34
στάμην ὅτι σύ μοι ἀνθέστηκας ἐν τῇ ὁδῷ εἰς συνάντησιν· καὶ νῦν εἰ μή σοι
ἀρκέσει, ἀποστραφήσομαι. 35 καὶ εἶπεν ὁ ἄγγελος τοῦ θεοῦ πρὸς Βαλαάμ 35
Συμπορεύθητι μετὰ τῶν ἀνθρώπων· πλὴν τὸ ῥῆμα ὃ ἐὰν εἴπω πρὸς σέ, τοῦτο
φυλάξῃ λαλῆσαι. καὶ ἐπορεύθη Βαλαὰμ μετὰ τῶν ἀρχόντων Βαλάκ. 36 καὶ 36
ἀκούσας Βαλὰκ ὅτι ἥκει Βαλαάμ, ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ εἰς πόλιν Μωάβ,
ἥ ἐστιν ἐπὶ τῶν ὁρίων Ἀρνῶν, ἥ ἐστιν ἐκ μέρους τῶν ὁρίων. 37 καὶ εἶπε Βαλὰκ 37
πρὸς Βαλαάμ Οὐχὶ ἀπέστειλα πρὸς σὲ καλέσαι σε; διὰ τί οὐκ ἤρχου πρός
μέ; ὄντως οὐ δυνήσομαι τιμῆσαί σε; 38 καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ Ἰδοὺ 38
ἥκω πρὸς σὲ νῦν· δυνατὸς ἔσομαι λαλῆσαί τι; τὸ ῥῆμα ὃ ἐὰν ἐμβάλῃ ὁ θεὸς
εἰς τὸ στόμα μου, τοῦτο λαλήσω. 39 καὶ ἐπορεύθη Βαλαὰμ μετὰ Βαλάκ, καὶ 39
ἦλθον εἰς πόλεις ἐπαύλεων. 40 καὶ ἔθυσε Βαλὰκ πρόβατα καὶ μόσχους, καὶ ἀπέ- 40
στειλε τῷ Βαλαὰμ καὶ τοῖς ἄρχουσι τοῖς μετ' αὐτοῦ. 41 καὶ ἐγενήθη πρωΐ, 41
καὶ παραλαβὼν Βαλὰκ τὸν Βαλαὰμ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὴν στήλην τοῦ Βάαλ,
καὶ ἔδειξεν αὐτῷ ἐκεῖθεν μέρος τι τοῦ λαοῦ.

## XXIII.

Καὶ εἶπε Βαλαὰμ τῷ Βαλάκ Οἰκοδόμησόν μοι ἐνταῦθα ἑπτὰ βωμούς,
καὶ ἑτοίμασόν μοι ἐνταῦθα ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς. 2 καὶ ἐποίησε Βα- 2
λὰκ ὃν τρόπον εἶπεν αὐτῷ Βαλαάμ, καὶ ἀνήνεγκε μόσχον καὶ κριὸν ἐπὶ τὸν
βωμόν. 3 καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ Παράστηθι ἐπὶ τῆς θυσίας σου, καὶ 3
πορεύσομαι εἴ μοι φανεῖται ὁ θεὸς ἐν συναντήσει, καὶ ῥῆμα ὃ ἐάν μοι δεί-
ξῃ ἀναγγελῶ σοι. καὶ παρέστη Βαλὰκ ἐπὶ τῆς θυσίας αὐτοῦ· καὶ Βαλαὰμ
ἐπορεύθη ἐπερωτῆσαι τὸν θεόν, καὶ ἐπορεύθη εὐθεῖαν. 4 καὶ ἐφάνη ὁ θεὸς τῷ 4
Βαλαάμ, καὶ εἶπε πρὸς αὐτὸν Βαλαάμ Τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα, καὶ ἀνε-
βίβασα μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. 5 καὶ ἐνέβαλεν ὁ θεὸς ῥῆμα εἰς τὸ 5
στόμα Βαλαὰμ καὶ εἶπεν Ἐπιστραφεὶς πρὸς Βαλὰκ οὕτω λαλήσεις. 6 καὶ ἀπε- 6
στράφη πρὸς αὐτόν· καὶ ὅδε ἐφειστήκει ἐπὶ τῶν ὁλοκαυτωμάτων αὐτοῦ, καὶ
πάντες οἱ ἄρχοντες Μωὰβ μετ' αὐτοῦ· καὶ ἐγενήθη πνεῦμα θεοῦ ἐπ' αὐτῷ.
7 καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν Ἐκ Μεσοποταμίας μετεπέμψατό 7
με Βαλὰκ βασιλεὺς Μωὰβ ἐξ ὀρέων ἀπ' ἀνατολῶν λέγων Δεῦρο ἄρασαί μοι
τὸν Ἰακώβ, καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ. 8 τί ἀράσωμαι ὃν μὴ 8

---

28. και ειπεν τω ... πεποιηκα ... τουτο τριτον 29. χειρι μου 30. η ονος εφ ... εκ νεοτητος ... της ημερας ταυτης ... σοι τουτο 31. του βαλααμ ... αγγελ. του θεου ανθεστ. 32. λεγει αυτω 33. τουτο τριτον ... εξεκλ. απ εμου, νυν σε μεν 34. εις συναντησιν μοι εν τη οδω ... αρεσκει 38. προς σε· νυν δυνατος ita dist. ... εις την καρδιαν μου, τουτο φυλαξω λαλησαι XXIII. 3. εγω δε πορευσομαι 5. ουτως 6. εφιστηκει 8. αρασωμαι

9 ἀρᾶται κύριος; ἢ τί καταράσωμαι ὃν μὴ καταρᾶται ὁ θεός; [9] ὅτι ἀπὸ κορυ-
φῆς ὀρέων ὄψομαι αὐτόν, καὶ ἀπὸ βουνῶν προςνοήσω αὐτόν· ἰδοὺ λαὸς μό-
10 νος κατοικήσει καὶ ἐν ἔθνεσιν οὐ συλλογισθήσεται. [10] τίς ἐξηκριβάσατο τὸ σπέρ-
μα Ἰακώβ, καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ; ἀποθάνοι ἡ ψυχή μου
11 ἐν ψυχαῖς δικαίων, καὶ γένοιτο τὸ σπέρμα μου ὡς τὸ σπέρμα τούτων. [11] καὶ
εἶπε Βαλὰκ πρὸς Βαλαάμ Τί πεποίηκάς μοι; εἰς κατάρασιν ἐχθρῶν μου κέ-
12 κληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν. [12] καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ
13 Οὐχὶ ὅσα ἂν ἐμβάλῃ ὁ θεὸς εἰς τὸ στόμα μου, τοῦτο φυλάξω λαλῆσαι; [13] καὶ
εἶπε πρὸς αὐτὸν Βαλάκ Δεῦρο ἔτι μετ' ἐμοῦ εἰς τόπον ἄλλον ἐξ οὗ οὐκ ὄψει
αὐτὸν ἐκεῖθεν, ἀλλ' ἢ μέρος τι αὐτοῦ ὄψει, πάντας δὲ οὐ μὴ ἴδῃς, καὶ κα-
14 τάρασαί μοι αὐτὸν ἐκεῖθεν. [14] καὶ παρέλαβεν αὐτὸν εἰς ἀγροῦ σκοπιὰν ἐπὶ
κορυφὴν λελαξευμένου, καὶ ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμούς, καὶ ἀνεβίβασε μό-
15 σχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. [15] καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ Παράστηθι
16 ἐπὶ τῆς θυσίας σου, ἐγὼ δὲ πορεύσομαι ἐπερωτῆσαι τὸν θεόν. [16] καὶ συνήν-
τησεν ὁ θεὸς τῷ Βαλαὰμ καὶ ἐνέβαλε ῥῆμα εἰς τὸ στόμα αὐτοῦ καὶ εἶπεν
17 Ἀποστράφηθι πρὸς Βαλὰκ καὶ τάδε λαλήσεις. [17] καὶ ἀπεστράφη πρὸς αὐτόν·
καὶ ὅδε ἐφειστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες
18 Μωὰβ μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ Βαλάκ Τί ἐλάλησε κύριος; [18] καὶ ἀναλα-
βὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν Ἀνάστηθι Βαλὰκ καὶ ἄκουε, ἐνώτισαι μάρ-
19 τυς υἱὸς Σεπφώρ. [19] οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆναι, οὐδ' ὡς υἱὸς ἀν-
θρώπου ἀπειληθῆναι· αὐτὸς εἴπας οὐχὶ ποιήσει; λαλήσει, καὶ οὐχὶ ἐμμενεῖ;
20 21 [20] ἰδοὺ εὐλογεῖν παρείλημμαι· εὐλογήσω, καὶ οὐ μὴ ἀποστρέψω. [21] οὐκ ἔσται
μόχθος ἐν Ἰακώβ, οὐδὲ ὀφθήσεται πόνος ἐν Ἰσραήλ· κύριος ὁ θεὸς αὐτοῦ μετ'
22 αὐτοῦ, τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ. [22] θεὸς ὁ ἐξαγαγὼν αὐτὸν ἐξ Αἰγύπτου,
23 ὡς δόξα μονοκέρωτος αὐτῷ· [23] οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαν-
τεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθήσεται Ἰακὼβ καὶ τῷ Ἰσραὴλ τί ἐπιτελέσει
24 ὁ θεός. [24] ἰδοὺ λαὸς ὡς σκύμνος ἀναστήσεται, καὶ ὡς λέων γαυρωθήσεται·
25 οὐ κοιμηθήσεται ἕως φάγῃ θήραν καὶ αἷμα τραυματιῶν πίεται. [25] καὶ εἶπε
Βαλὰκ πρὸς Βαλαάμ Οὔτε κατάραις καταράσῃ μοι αὐτόν, οὔτε εὐλογῶν μὴ
26 εὐλογήσῃς αὐτόν. [26] καὶ ἀποκριθεὶς Βαλαὰμ εἶπε τῷ Βαλάκ Οὐκ ἐλάλησά σοι
27 λέγων Τὸ ῥῆμα ὃ ἐὰν λαλήσῃ ὁ θεός, τοῦτο ποιήσω; [27] καὶ εἶπε Βαλὰκ πρὸς
Βαλαάμ Δεῦρο παραλάβω σε εἰς τόπον ἄλλον, εἰ ἀρέσει τῷ θεῷ, καὶ κατά-
28 ρασαί μοι αὐτὸν ἐκεῖθεν. [28] καὶ παρέλαβε Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ κορυφὴν τοῦ
29 Φογὼρ τὸ παρατεῖνον εἰς τὴν ἔρημον. [29] καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ Οἰ-
κοδόμησόν μοι ὧδε ἑπτὰ βωμούς, καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ μόσχους καὶ
30 ἑπτὰ κριούς. [30] καὶ ἐποίησε Βαλὰκ καθάπερ εἶπεν αὐτῷ Βαλαάμ, καὶ ἀνή-
νεγκε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

## XXIV.

Καὶ ἰδὼν Βαλαὰμ ὅτι καλόν ἐστιν ἐναντίον κυρίου εὐλογεῖν τὸν Ἰσραήλ,
οὐκ ἐπορεύθη κατὰ τὸ εἰωθὸς αὐτῷ εἰς συνάντησιν τοῖς οἰωνοῖς, καὶ ἀπέ-
2 στρεψε τὸ πρόςωπον αὐτοῦ εἰς τὴν ἔρημον. [2] καὶ ἐξάρας Βαλαὰμ τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ καθορᾷ τὸν Ἰσραὴλ ἐστρατοπεδευκότα κατὰ φυλάς· καὶ ἐγένετο
3 ἐπ' αὐτῷ πνεῦμα θεοῦ. [3] καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπε Φησὶ Βα-
4 λαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, [4] φησὶν ἀκούων λόγια
ἰσχυροῦ, ὅστις ὅρασιν θεοῦ εἶδεν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ·

---

8. ο κυριος ... καταρασομαι 9. απο των βουνων ... om ου 11. επδιησας ... ευλογησας 12. om αν 13. οψη bis 16. αποστραφητι 17. εφιστηκει 21. τα δε ενδοξα 22. ο θεος 24. γαυριωθησεται 26. αποκριθεις δε 28. επι την κορυφην XXIV. 1. om αυτω 3. βαιωρ ... ο ανθρ. αληθεινος ορων 4. θεου ισχυρου ... απεκαλυμμενοι

Digitized by Google

[5]Ὡς καλοὶ οἱ οἶκοί σου Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ· [6]ὡσεὶ νάπαι σκιά- 5 6
ζουσαι καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῷ, καὶ ὡσεὶ σκηναὶ ἃς ἔπηξε κύριος,
καὶ ὡσεὶ κέδροι παρ' ὕδατα. [7]ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐ- 7
τοῦ καὶ κυριεύσει ἐθνῶν πολλῶν· καὶ ὑψωθήσεται ἡ Γὼγ βασιλεία, καὶ αὐ-
ξηθήσεται βασιλεία αὐτοῦ. [8]θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μο- 8
νοκέρωτος αὐτῷ· ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ,
καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν. [9]κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων 9
καὶ ὡς σκύμνος· τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ
καταρώμενοί σε κεκατήρανται. [10]καὶ ἐθυμώθη Βαλὰκ ἐπὶ Βαλαάμ, καὶ συν- 10
εκρότησε ταῖς χερσὶν αὐτοῦ· καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ Καταρᾶσθαι τὸν
ἐχθρόν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλογῶν εὐλόγησας τρίτον τοῦτο· [11]νῦν οὖν 11
φεῦγε εἰς τὸν τόπον σου· εἶπα Τιμήσω σε, καὶ νῦν ἐστέρησέ σε κύριος τῆς
δόξης. [12]καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ Οὐχὶ καὶ τοῖς ἀγγέλοις σου οὓς ἀπέ- 12
στειλας πρὸς μὲ ἐλάλησα λέγων [13]Ἐάν μοι δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐ- 13
τοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα κυρίου, ποιῆσαι
αὐτὸ καλὸν ἢ πονηρὸν παρ' ἐμαυτοῦ· ὅσα ἂν εἴπῃ ὁ θεός, ταῦτα ἐρῶ. [14]καὶ 14
νῦν ἰδοὺ ἀποτρέχω εἰς τὸν τόπον μου· δεῦρο συμβουλεύσω σοι τί ποιήσει ὁ
λαὸς οὗτος τὸν λαόν σου ἐπ' ἐσχάτου τῶν ἡμερῶν. [15]καὶ ἀναλαβὼν τὴν παρα- 15
βολὴν αὐτοῦ εἶπε Φησὶ Βαλαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς
ὁρῶν, [16]ἀκούων λόγια θεοῦ, ἐπιστάμενος ἐπιστήμην παρὰ ὑψίστου καὶ ὅρα- 16
σιν θεοῦ ἰδὼν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ· [17]Δείξω αὐτῷ, 17
καὶ οὐχὶ νῦν· μακαρίζω, καὶ οὐκ ἐγγίζει· ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, ἀνα-
στήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ καὶ προ-
νομεύσει πάντας υἱοὺς Σήθ, [18]καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ ἔσται κλη- 18
ρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ, καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ· [19]καὶ ἐξεγερ- 19
θήσεται ἐξ Ἰακὼβ καὶ ἀπολεῖ σωζόμενον ἐκ πόλεως. [20]καὶ ἰδὼν τὸν Ἀμαλήκ, 20
καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν Ἀρχὴ ἐθνῶν Ἀμαλήκ, καὶ τὸ
σπέρμα αὐτῶν ἀπολεῖται. [21]καὶ ἰδὼν τὸν Κεναῖον, καὶ ἀναλαβὼν τὴν παρα- 21
βολὴν αὐτοῦ εἶπεν Ἰσχυρὰ ἡ κατοικία σου, καὶ ἐὰν θῇς ἐν πέτρᾳ τὴν νοσ-
σιάν σου, [22]καὶ ἐὰν γένηται τῷ Βεὼρ νοσσιὰ πανουργίας, Ἀσσύριοι αἰχμα- 22
λωτεύσουσί σε. [23]καὶ ἰδὼν τὸν Ὤγ, καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶ- 23
πεν Ὦ ὤ, τίς ζήσεται ὅταν θῇ ταῦτα ὁ θεός; [24]καὶ ἐξελεύσεται ἐκ χειρῶν 24
Κιτιαίων, καὶ κακώσουσιν Ἀσσούρ, καὶ κακώσουσιν Ἑβραίους, καὶ αὐτοὶ ὁμο-
θυμαδὸν ἀπολοῦνται. [25]καὶ ἀναστὰς Βαλαὰμ ἀπῆλθεν ἀποστραφεὶς εἰς τὸν 25
τόπον αὐτοῦ· καὶ Βαλὰκ ἀπῆλθε πρὸς ἑαυτόν.

## XXV.

*1 Co. 10, 8. *Ap. 2, 14.
Καὶ κατέλυσεν Ἰσραὴλ ἐν Σαττείν· καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι
εἰς τὰς θυγατέρας Μωάβ. [2]καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων 2
αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν καὶ προσεκύνησαν τοῖς εἰδώ-
λοις αὐτῶν, [3]καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγώρ· καὶ ὠργίσθη θυμῷ κύριος 3
τῷ Ἰσραήλ. [4]καὶ εἶπε κύριος τῷ Μωυσῇ Λάβε πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ 4
καὶ παραδειγμάτισον αὐτοὺς κυρίῳ κατέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται
ὀργὴ θυμοῦ κυρίου ἀπὸ Ἰσραήλ. [5]καὶ εἶπε Μωυσῆς ταῖς φυλαῖς Ἰσραὴλ Ἀπο- 5
κτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ. [6]καὶ ἰδοὺ 6

---

5. καλοι οικοι 6. επι ποταμων ... κυριος, ωσει 7. η γωγ βασ. αυτου ... η βασιλεια 8. ο θεος ... εχθρων 9. ηυλογηνται 10. καταρασασθαι ... τουτο τριτον 12. οις απεστειλας 13. οσα εαν ειπη μοι 15. βαιωρ 16. επιστημην υψιστου ... ιδων· εν υπνω ita dist. ... απεκαλυμμενοι 17. και αναστησεται ... παντ. τους υιους 21. καινεον 22. βαιωρ 24. κητιαιων XXV. 2. προσεκυνησεν 3. ετελεσθησαν τω 4. προς μωυσην ... om παντας ... τω κυριω κατεν. του λαου

Digitized by Google

ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἐλθὼν προςήγαγε τὸν ἀδελφὸν αὐτοῦ πρὸς τὴν
Μαδιανῖτιν ἐναντίον Μωυσῆ καὶ ἐναντίον πάσης συναγωγῆς υἱῶν Ἰσραήλ, αὐ-
7 τοὶ δὲ ἔκλαιον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. [7] καὶ ἰδὼν Φι-
νεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως ἐξανέστη ἐκ μέσου τῆς συναγωγῆς,
8 καὶ λαβὼν σειρομάστην ἐν τῇ χειρὶ [8] εἰςῆλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ἰσραη-
λίτου εἰς τὴν κάμινον, καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν
Ἰσραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς· καὶ ἐπαύσατο ἡ πληγὴ
9 ἀπὸ υἱῶν Ἰσραήλ. [9] καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ πληγῇ τέσσαρες καὶ εἴ- *1 Co. 10,8.
10 11 κοσι χιλιάδες. [10] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [11] Φινεὲς υἱὸς Ἐλεά-
ζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως κατέπαυσε τὸν θυμόν μου ἀπὸ υἱῶν Ἰσραὴλ ἐν
τῷ ζηλῶσαί μου τὸν ζῆλον ἐν αὐτοῖς, καὶ οὐκ ἐξανήλωσα τοὺς υἱοὺς Ἰσραὴλ
12 ἐν τῷ ζήλῳ μου· [12] οὕτως εἰπόν Ἰδοὺ ἐγὼ δίδωμι αὐτῷ διαθήκην εἰρήνης,
13 [13] καὶ ἔσται αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν διαθήκη ἱερατείας αἰω-
νία, ἀνθ' ὧν ἐζήλωσε τῷ θεῷ αὐτοῦ καὶ ἐξιλάσατο περὶ τῶν υἱῶν Ἰσραήλ.
14 [14] τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου τοῦ πεπληγότος, ὃς ἐπλήγη μετὰ
τῆς Μαδιανίτιδος, Ζαμβρί, υἱὸς Σαλμὼν ἄρχων οἴκου πατριᾶς τῶν Συμεών·
15 [15] καὶ ὄνομα τῇ γυναικὶ τῇ Μαδιανίτιδι τῇ πεπληγυίᾳ Χασβί, θυγάτηρ Σοὺρ
16 ἄρχοντος ἔθνους Ὀμμώθ, οἴκου πατριᾶς ἐστὶ τῶν Μαδιάμ. [16] καὶ ἐλάλησε κύ-
17 ριος πρὸς Μωυσῆν λέγων Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων [17] Ἐχθραίνετε
18 τοῖς Μαδιηναίοις καὶ πατάξατε αὐτούς, [18] ὅτι ἐχθραίνουσιν αὐτοὶ ὑμῖν ἐν δο-
λιότητι, ὅσα δολιοῦσιν ὑμᾶς διὰ Φογὼρ καὶ διὰ Χασβὶ θυγατέρα ἄρχοντος
Μαδιὰμ ἀδελφὴν αὐτῶν τὴν πεπληγυῖαν ἐν τῇ ἡμέρᾳ τῆς πληγῆς διὰ Φογώρ.

## XXVI.

Καὶ ἐγένετο μετὰ τὴν πληγὴν καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν καὶ
2 Ἐλεάζαρ τὸν ἱερέα λέγων [2] Λάβε τὴν ἀρχὴν πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω κατ' οἴκους πατριῶν αὐτῶν, πᾶς ὁ ἐκπορευόμε-
3 νος παρατάξασθαι ἐν Ἰσραήλ. [3] καὶ ἐλάλησε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς
4 ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ λέγων [4] Ἀπὸ εἰκοσαετοῦς
καὶ ἐπάνω, ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. καὶ οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐξελ-
5 θόντες ἐξ Αἰγύπτου· [5] Ῥουβὴν πρωτότοκος Ἰσραήλ. υἱοὶ δὲ Ῥουβήν· Ἐνὼχ
6 καὶ δῆμος τοῦ Ἐνώχ· τῷ Φαλλού, δῆμος τοῦ Φαλλουΐ· [6] τῷ Ἀσρών, δῆμος
7 τοῦ Ἀσρωνί· τῷ Χαρμί, δῆμος τοῦ Χαρμί. [7] οὗτοι δῆμοι Ῥουβήν· καὶ ἐγέ-
νετο ἡ ἐπίσκεψις αὐτῶν τρεῖς καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑπτακόσιοι καὶ
8 9 τριάκοντα. [8] καὶ υἱοὶ Φαλλού· Ἐλιάβ. [9] καὶ υἱοὶ Ἐλιάβ· Ναμουὴλ καὶ Δα-
θὰν καὶ Ἀβειρών· οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, οὗτοί εἰσιν οἱ ἐπισυστάν-
τες ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν ἐν τῇ συναγωγῇ Κορὲ ἐν τῇ ἐπισυστάσει κυρίου·
10 [10] καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ Κορὲ ἐν τῷ θα-
νάτῳ τῆς συναγωγῆς αὐτοῦ, ὅτε κατέφαγε τὸ πῦρ τοὺς πεντήκοντα καὶ δια-
11 12 κοσίους, καὶ ἐγενήθησαν ἐν σημείῳ· [11] οἱ δὲ υἱοὶ Κορὲ οὐκ ἀπέθανον. [12] καὶ
οἱ υἱοὶ Συμεών· ὁ δῆμος τῶν υἱῶν Συμεών· τῷ Ναμουήλ, δῆμος ὁ Να-
13 μουηλί· τῷ Ἰαμίν, δῆμος ὁ Ἰαμινί· τῷ Ἰαχίν, δῆμος Ἰαχινί· [13] τῷ Ζα-
14 ρά, δῆμος ὁ Ζαραΐ· τῷ Σαούλ, δῆμος ὁ Σαουλί. [14] οὗτοι δῆμοι Συμεὼν ἐκ
15 (19) τῆς ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χιλιάδες καὶ διακόσιοι. [15] υἱοὶ
δὲ Ἰούδα· Ἢρ καὶ Αὐνάν· καὶ ἀπέθανον Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν.

---

6. εναντι μωυση 8. απο των υιων 12. την διαθηκην μου διαθηκην ειρηνης 13. μετ αυτου 14. ζαμβρι υι. σαλω ... πατριας συμεων ... σομμωθ 18. την αδελφην XXVI. 1. μωυσην λεγων και προς 2. πασης της 3. ελεαζαρ μετ αυτων εν 5. του φαλλουει 6. ασρωμ ... ασρωνει ... τω χαρμει 7. τεσσεραχοντα ... πεντηχοντα pro τριαχοντα 9. επισταντες 12. συμεων· δημος ... ναμουηλει ... τω ιαχειν δημ. ο ιαχεινι 13. ζαραει ... σαουλει 15. post αυναν add και σηλων και φαρες και ζαρα ... απεθανεν

16 καὶ ἐγένοντο οἱ υἱοὶ Ἰούδα κατὰ δήμους αὐτῶν· τῷ Σηλώμ, δῆμος ὁ (20) 16
Σηλωνί· τῷ Φαρές, δῆμος ὁ Φαρεσί· τῷ Ζαρά, δῆμος ὁ Ζαραΐ. 17 καὶ (21) 17
ἐγένοντο οἱ υἱοὶ Φαρές· τῷ Ἀσρών, δῆμος ὁ Ἀσρωνί· τῷ Ἰαμούν, δῆμος ὁ
Ἰαμουνί. 18 οὗτοι δῆμοι τοῦ Ἰούδα κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, ἓξ καὶ (22) 18
ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι. 19 καὶ υἱοὶ Ἰσσάχαρ κατὰ δήμους (23) 19
αὐτῶν· τῷ Θωλά, δῆμος ὁ Θωλαΐ· τῷ Φουά, δῆμος ὁ Φουαΐ· 20 τῷ (24) 20
Ἰασούβ, δῆμος ὁ Ἰασουβί· τῷ Σαμράμ, δῆμος ὁ Σαμραμί. 21 οὗτοι δῆ- (25) 21
μοι Ἰσσάχαρ ἐξ ἐπισκέψεως αὐτῶν, τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ τε-
τρακόσιοι. 22 υἱοὶ Ζαβουλὼν κατὰ δήμους αὐτῶν· τῷ Σαρέδ, δῆμος ὁ Σα- (26) 22
ρεδί· τῷ Ἀλλών, δῆμος ὁ Ἀλλωνί· τῷ Ἀλλήλ, δῆμος ὁ Ἀλληλί. 23 οὗτοι (27) 23
δῆμοι Ζαβουλὼν ἐξ ἐπισκέψεως αὐτῶν, ἑξήκοντα χιλιάδες καὶ πεντακόσιοι.
24 υἱοὶ Γὰδ κατὰ δήμους αὐτῶν· τῷ Σαφών, δῆμος ὁ Σαφωνί· τῷ Ἀγγί, (15) 24
δῆμος ὁ Ἀγγί· τῷ Σουνί, δῆμος ὁ Σουνί· 25 τῷ Ἀζενί, δῆμος ὁ Ἀζενί· (16) 25
τῷ Ἀδδί, δῆμος ὁ Ἀδδί· 26 τῷ Ἀροαδί, δῆμος ὁ Ἀροαδί· τῷ Ἀριήλ, δῆ- (17) 26
μος ὁ Ἀριηλί. 27 οὗτοι δῆμοι υἱῶν Γὰδ ἐξ ἐπισκέψεως αὐτῶν, τέσσαρες (18) 27
καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. 28 υἱοὶ Ἀσὴρ κατὰ δήμους (44) 28
αὐτῶν· τῷ Ἰαμίν, δῆμος ὁ Ἰαμινί· τῷ Ἰεσού, δῆμος ὁ Ἰεσουΐ· τῷ Βαριά,
δῆμος ὁ Βαριαΐ· 29 τῷ Χοβέρ, δῆμος ὁ Χοβερί· τῷ Μελχιήλ, δῆμος ὁ (45) 29
Μελχιηλί. 30 καὶ τὸ ὄνομα ϑυγατρὸς Ἀσὴρ Σάρα. 31 οὗτοι δῆμοι Ἀσὴρ (46. 47) 30 31
ἐξ ἐπισκέψεως αὐτῶν, τρεῖς καὶ τεσσαράκοντα χιλιάδες καὶ τετρακόσιοι.
32 υἱοὶ Ἰωσὴφ κατὰ δήμους αὐτῶν· Μανασσῆ καὶ Ἐφραΐμ. 33 υἱοὶ (28. 29) 32 33
Μανασσῆ· τῷ Μαχίρ, δῆμος ὁ Μαχιρί· καὶ Μαχὶρ ἐγέννησε τὸν Γαλαάδ· τῷ
Γαλαάδ, δῆμος ὁ Γαλααδί. 34 καὶ οὗτοι υἱοὶ Γαλαάδ· Ἀχιέζερ, δῆμος ὁ (30) 34
Ἀχιεζερί· τῷ Χελέγ, δῆμος ὁ Χελεγί· 35 τῷ Ἐσριήλ, δῆμος ὁ Ἐσριηλί· (31) 35
τῷ Συχέμ, δῆμος ὁ Συχεμί· 36 τῷ Συμαέρ, δῆμος ὁ Συμαερί· καὶ τῷ (32) 36
Ὀφέρ, δῆμος ὁ Ὀφερί. 37 καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἐγένοντο αὐ- (33) 37
τῷ υἱοὶ ἀλλ' ἢ ϑυγατέρες· καὶ ταῦτα τὰ ὀνόματα τῶν ϑυγατέρων Σαλπαάδ·
Μαλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά. 38 οὗτοι δῆμοι Μα- (34) 38
νασσῆ ἐξ ἐπισκέψεως αὐτῶν, δύο καὶ πεντήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.
39 καὶ οὗτοι υἱοὶ Ἐφραΐμ· τῷ Σουϑαλά, δῆμος ὁ Σουϑαλαΐ· τῷ Τανάχ, (35) 39
δῆμος ὁ Ταναχί. 40 οὗτοι υἱοὶ Σουϑαλά· τῷ Ἐδέν, δῆμος ὁ Ἐδενί. (36) 40
41 οὗτοι δῆμοι Ἐφραΐμ ἐξ ἐπισκέψεως αὐτῶν, δύο καὶ τριάκοντα χιλιάδες (37) 41
καὶ πεντακόσιοι· οὗτοι δῆμοι υἱῶν Ἰωσὴφ κατὰ δήμους αὐτῶν. 42 υἱοὶ (38) 42
Βενιαμὶν κατὰ δήμους αὐτῶν· τῷ Βαλέ, δῆμος ὁ Βαλί· τῷ Ἀσυβήρ, δῆμος
ὁ Ἀσυβηρί· τῷ Ἰαχιράν, δῆμος ὁ Ἰαχιρανί· 43 τῷ Σωφάν, δῆμος ὁ Σω- (39) 43
φανί. 44 καὶ ἐγένοντο οἱ υἱοὶ Βαλὲ Ἀδὰρ καὶ Νοεμάν· τῷ Ἀδάρ, δῆμος (40) 44
ὁ Ἀδαρί, καὶ τῷ Νοεμάν, δῆμος ὁ Νοεμανί. 45 οὗτοι υἱοὶ Βενιαμὶν κατὰ (41) 45
δήμους αὐτῶν ἐξ ἐπισκέψεως αὐτῶν, πέντε καὶ τριάκοντα χιλιάδες καὶ πεν-
τακόσιοι. 46 καὶ υἱοὶ Δὰν κατὰ δήμους αὐτῶν· τῷ Σαμέ, δῆμος ὁ Σαμεΐ· (42) 46
οὗτοι δῆμοι Δὰν κατὰ δήμους αὐτῶν. 47 πάντες οἱ δῆμοι Σαμεΐ κατ' (43) 47

---

16. σηλων ... δημ. ο φαρες ... ζαραει 17. εγενοντο υιοι (... αστρων) ... ιαμουηλ ... ιαμουηλι 20. αμβραν ... αμβραμει (24. om σαφων δημος ο) 25. τω αζαινι ... ο αζαινι 26. om τω αριηλ δημ. ο αρ. 27. om υιων ... om τεσσαρες ... τεσσεραχοντα χιλ. και τετραχισχιλιοι κ. πεντ. 28. τω ιαμειν δημ. ο ιαμεινι ... ιεσουι bis (... ο βαραι) 30. της ϑυγατρος 31. τεσσεραχοντα χιλ. κ. εξαχοσιοι 32. μαννασση 33. μαννασση ... μαχειρ bis ... ο μαχειρι 34. τω χελεχ ... ο χελεχι 37. αιγλα 38. μαννασση ... εξηκοντα χιλ. κ. πενταχοσιοι 39. τω ϑωσουσαλα ... ο ϑουσαλαϊ 40. ϑουσαλα 42. βενιαμειν ... δημ. ο βαλει ... αχιραν ... αχιραϊ 44. εγενοντο υιοι βαλε αδερ κ. νοεμα (... om τω αδαρ, δημ. ο αδ. και τω νοεμ.) 45. βενιαμειν 46. τω σαμειδη, δημος σαμειδηι 47. σαμει

Digitized by Google

48 ἐπισκοπὴν αὐτῶν τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ τετρακόσιοι. 48 υἱοὶ Νε-
φθαλὶ κατὰ δήμους αὐτῶν· τῷ Ἀσιήλ, δῆμος ὁ Ἀσιηλί· τῷ Γαυνί, δῆμος ὁ
49 50 Γαυνί· 49 τῷ Ἰεσέρ, δῆμος ὁ Ἰεσερί· τῷ Σελλήμ, δῆμος ὁ Σελλημί. 50 οὗτοι
δῆμοι Νεφθαλὶ ἐξ ἐπισκέψεως αὐτῶν, τεσσαράκοντα χιλιάδες καὶ τριακόσιοι.
51 51 αὕτη ἡ ἐπίσκεψις υἱῶν Ἰσραήλ, ἑξακόσιαι χιλιάδες καὶ χίλιοι καὶ ἑπτα-
52 53 κόσιοι καὶ τριάκοντα. 52 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 53 Τούτοις
54 μερισθήσεται ἡ γῆ, κληρονομεῖν ἐξ ἀριθμοῦ ὀνομάτων· 54 τοῖς πλείοσι πλεονάσεις
τὴν κληρονομίαν, καὶ τοῖς ἐλάττοσιν ἐλαττώσεις τὴν κληρονομίαν αὐτῶν· ἑκάστῳ
55 καθὼς ἐπεσκέπησαν δοθήσεται ἡ κληρονομία αὐτῶν. 55 διὰ κλήρων μερισθή-
56 σεται ἡ γῆ τοῖς ὀνόμασι, κατὰ φυλὰς πατριῶν αὐτῶν κληρονομήσουσιν· 56 ἐκ
τοῦ κλήρου μεριεῖς τὴν κληρονομίαν αὐτῶν ἀνὰ μέσον πολλῶν καὶ ὀλίγων.
57 57 καὶ υἱοὶ Λευὶ κατὰ δήμους αὐτῶν· τῷ Γεδσών, δῆμος ὁ Γεδσωνί· τῷ Καάθ,
58 δῆμος ὁ Κααθί· τῷ Μεραρί, δῆμος ὁ Μεραρί. 58 οὗτοι δῆμοι υἱῶν Λευί· δῆ-
μος ὁ Λοβενί, δῆμος ὁ Χεβρωνί, δῆμος ὁ Κορὲ καὶ δῆμος ὁ Μουσί. καὶ
59 Καὰθ ἐγέννησε τὸν Ἀμράμ· 59 τὸ δὲ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ἰωχαβέδ,
θυγάτηρ Λευί, ἣ ἔτεκε τούτους τῷ Λευὶ ἐν Αἰγύπτῳ, καὶ ἔτεκε τῷ Ἀμρὰμ
60 τὸν Ἀαρὼν καὶ Μωυσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν. 60 καὶ ἐγεννήθησαν
61 τῷ Ἀαρὼν ὅ τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ. 61 καὶ ἀπέ-
θανε Ναδὰβ καὶ Ἀβιοὺδ ἐν τῷ προσφέρειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι κυ-
62 ρίου ἐν τῇ ἐρήμῳ Σινᾶ. 62 καὶ ἐγενήθησαν ἐξ ἐπισκέψεως αὐτῶν τρεῖς καὶ
εἴκοσι χιλιάδες, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω· οὐ γὰρ συνεπεσκέ-
πησαν ἐν μέσῳ υἱῶν Ἰσραήλ, ὅτι οὐ δίδοται αὐτοῖς κλῆρος ἐν μέσῳ υἱῶν
63 Ἰσραήλ. 63 καὶ αὕτη ἡ ἐπίσκεψις Μωυσῆ καὶ Ἐλεάζαρ τοῦ ἱερέως, οἳ ἐπε-
σκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱε-
64 ριχώ. 64 καὶ ἐν τούτοις οὐκ ἦν ἄνθρωπος τῶν ἐπεσκεμμένων ὑπὸ Μωυσῆ καὶ
65 Ἀαρών, οὓς ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Σινᾶ· 65 ὅτι εἶπε
κύριος αὐτοῖς Θανάτῳ ἀποθανοῦνται ἐν τῇ ἐρήμῳ· καὶ οὐ κατελείφθη ἐξ
αὐτῶν οὐδὲ εἷς, πλὴν Χάλεβ υἱὸς Ἰεφοννὴ καὶ Ἰησοῦς ὁ τοῦ Ναυή.

## XXVII.

Καὶ προσελθοῦσαι αἱ θυγατέρες Σαλπαὰδ υἱοῦ Ὀφὲρ υἱοῦ Γαλαὰδ υἱοῦ
Μαχίρ, τοῦ δήμου Μανασσῆ τῶν υἱῶν Ἰωσήφ, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν·
2 Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά· 2 καὶ στᾶσαι ἔναντι
Μωυσῆ καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἔναντι τῶν ἀρχόντων καὶ ἔναντι
3 πάσης συναγωγῆς ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου λέγουσιν 3 Ὁ πατὴρ
ἡμῶν ἀπέθανεν ἐν τῇ ἐρήμῳ, καὶ αὐτὸς οὐκ ἦν ἐν μέσῳ τῆς συναγωγῆς τῆς
ἐπισυστάσης ἔναντι κυρίου ἐν τῇ συναγωγῇ Κορὲ ὅτι δι' ἁμαρτίαν αὐτοῦ ἀπέ-
4 θανε, καὶ υἱοὶ οὐκ ἐγένοντο αὐτῷ. 4 μὴ ἐξαλειφθήτω τὸ ὄνομα τοῦ πατρὸς
ἡμῶν ἐκ μέσου τοῦ δήμου αὐτοῦ, ὅτι οὐκ ἔστιν αὐτῷ υἱός· δότε ἡμῖν κατά-
5 σχεσιν ἐν μέσῳ ἀδελφῶν πατρὸς ἡμῶν. 5 καὶ προσήγαγε Μωυσῆς τὴν κρίσιν
6 7 αὐτῶν ἔναντι κυρίου. 6 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 7 Ὀρθῶς θυγα-
τέρες Σαλπαὰδ λελαλήκασι· δόμα δώσεις αὐταῖς κατάσχεσιν κληρονομίας ἐν
μέσῳ ἀδελφῶν πατρὸς αὐτῶν, καὶ περιθήσεις τὸν κλῆρον τοῦ πατρὸς αὐτῶν
8 αὐταῖς. 8 καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων Ἄνθρωπος ἐὰν ἀποθάνῃ καὶ

---

47. εξακοσιοι pro τετρακοσιοι 48. γωυνι bis 49. τω ιεσρι, δημ. ο ιεσρι 50. πεντε και τεσσερακοντα (56. του κληρους 57. τω γεδσωνι) 58. και δημος ο χεβρων κ. δημος ο ομουσι κ. δημ. ο χορε ... τον αμβραμ 59. γυναικος αμβραμ ιωχαβεθ ... τω αμβραμ 60. ετεχθησαν 62. συνεπεσκ. εν τοις υιοις ισραηλ ... εμμεσω 63. οτι pro οι 65. om κυριος ... ιησους υιος ναυη XXVII. 1. μαχειρ ... μαννασση ... μαλα ... αιγλα 2. πασης της συναγ. 3. εμμεσω ... δια αμαρτιαν 4. εμμεσω των αδ. 7. ως ορθως ... εμμεσω

Digitized by Google

υἱὸς μὴ ᾖ αὐτῷ, περιθήσετε τὴν κληρονομίαν αὐτοῦ τῇ θυγατρὶ αὐτοῦ· 9 ἐὰν 9
δὲ μὴ ᾖ θυγάτηρ αὐτῷ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ αὐτοῦ· 10 ἐὰν 10
δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοί, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς
αὐτοῦ· 11 ἐὰν δὲ μὴ ὦσιν ἀδελφοὶ τοῦ πατρὸς αὐτοῦ, δώσετε τὴν κληρονο- 11
μίαν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτοῦ ἐκ τῆς φυλῆς αὐτοῦ, κληρονομῆσαι τὰ αὐτοῦ·
καὶ ἔσται τοῦτο τοῖς υἱοῖς Ἰσραὴλ δικαίωμα κρίσεως, καθὰ συνέταξε κύριος
τῷ Μωυσῇ. 12 καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἀνάβηθι εἰς τὸ ὄρος τὸ ἐν τῷ 12
πέραν τοῦ Ἰορδάνου, τοῦτο τὸ ὄρος Ναβαύ, καὶ ἴδε τὴν γῆν Χαναάν, ἣν
ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ ἐν κατασχέσει· 13 καὶ ὄψῃ αὐτήν, καὶ προς- 13
τεθήσῃ πρὸς τὸν λαόν σου καὶ σύ, καθὰ προςετέθη Ἀαρὼν ὁ ἀδελφός σου ἐν
Ὢρ τῷ ὄρει, 14 διότι παρέβητε τὸ ῥῆμά μου ἐν τῇ ἐρήμῳ Σίν· ἐν τῷ ἀντι- 14
πίπτειν τὴν συναγωγὴν ἁγιάσαι με οὐχ ἡγιάσατέ με ἐπὶ τῷ ὕδατι ἔναντι αὐ-
τῶν, τοῦτ' ἔστι τὸ ὕδωρ ἀντιλογίας ἐν Κάδης ἐν τῇ ἐρήμῳ Σίν. 15 καὶ εἶπε 15
Μωυσῆς πρὸς κύριον 16 Ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης 16
σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης, 17 ὅςτις ἐξελεύσεται πρὸ προς- 17
ώπου αὐτῶν καὶ ὅςτις εἰςελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅςτις ἐξάξει
αὐτοὺς καὶ ὅςτις εἰςάξει αὐτούς, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡςεὶ πρό-
βατα οἷς οὐκ ἔστι ποιμήν. 18 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων Λάβε 18
πρὸς σεαυτὸν Ἰησοῦν υἱὸν Ναυή, ἄνθρωπον ὅςτις ἔχει πνεῦμα ἐν ἑαυτῷ, καὶ
ἐπιθήσεις τὰς χεῖράς σου ἐπ' αὐτόν· 19 καὶ στήσεις αὐτὸν ἔναντι Ἐλεάζαρ τοῦ 19
ἱερέως, καὶ ἐντελῇ αὐτῷ ἔναντι πάσης συναγωγῆς, καὶ ἐντελῇ περὶ αὐτοῦ
ἐναντίον αὐτῶν· 20 καὶ δώσεις τῆς δόξης σου ἐπ' αὐτόν, ὅπως ἂν εἰςακούσω- 20
σιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ. 21 καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως στήσεται, καὶ 21
ἐπερωτήσουσιν αὐτὸν τὴν κρίσιν τῶν δήλων ἔναντι κυρίου· ἐπὶ τῷ στόματι
αὐτοῦ ἐξελεύσονται καὶ ἐπὶ τῷ στόματι αὐτοῦ εἰςελεύσονται, αὐτὸς καὶ οἱ υἱοὶ
Ἰσραὴλ ὁμοθυμαδὸν καὶ πᾶσα ἡ συναγωγή. 22 καὶ ἐποίησε Μωυσῆς καθὰ ἐνε- 22
τείλατο αὐτῷ κύριος· καὶ λαβὼν τὸν Ἰησοῦν ἔστησεν αὐτὸν ἐναντίον Ἐλεάζαρ
τοῦ ἱερέως καὶ ἐναντίον πάσης συναγωγῆς, 23 καὶ ἐπέθηκε τὰς χεῖρας αὐτοῦ 23
ἐπ' αὐτόν, καὶ συνέστησεν αὐτὸν καθάπερ συνέταξε κύριος τῷ Μωυσῇ.

## XXVIII.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ 2
καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων Τὰ δῶρά μου δόματά μου καρπώματά μου εἰς
ὀσμὴν εὐωδίας διατηρήσετε προςφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς μου. 3 καὶ ἐρεῖς 3
πρὸς αὐτούς Ταῦτα τὰ καρπώματα ὅσα προςάξετε κυρίῳ, ἀμνοὺς ἐνιαυσίους
ἀμώμους δύο τὴν ἡμέραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς· 4 τὸν ἀμνὸν τὸν ἕνα 4
ποιήσεις τὸ πρωί, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν.
5 καὶ ποιήσεις τὸ δέκατον τοῦ οἰφὶ σεμίδαλιν εἰς θυσίαν ἀναπεποιημένην ἐν 5
ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἵν· 6 ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ γενομένη ἐν τῷ ὄρει 6
Σινᾶ εἰς ὀσμὴν εὐωδίας κυρίῳ· 7 καὶ σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἵν τῷ 7
ἀμνῷ τῷ ἑνί, ἐν τῷ ἁγίῳ σπείσεις σπονδὴν σίκερα κυρίῳ. 8 καὶ τὸν ἀμνὸν 8
τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν· κατὰ τὴν θυσίαν αὐτοῦ καὶ κατὰ τὴν
σπονδὴν αὐτοῦ ποιήσετε εἰς ὀσμὴν εὐωδίας κυρίῳ. 9 καὶ τῇ ἡμέρᾳ τῶν σαβ- 9
*Mt. 12, βάτων προςάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους καὶ δύο δέκατα σεμιδάλεως
5. ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδήν, 10 ὁλοκαύτωμα σαββάτων 10

---

11. om ισραηλ 12. om του ιορδανου ... τουτο ορος 14. ερημω σινα ... του αγιασαι ... εναντιον ... τουτο δε εστιν ... αντιλογιας καδης 17. ως προβατα 18. τον ιησουν ... ος εχει 19. εναντιον ... και εντειλαι περι 20. αυτου υιοι 21. επερωτησωσιν 22. εναντι ελεαζαρ XXVIII. 2. διατηρησατε προςφερ. μοι 4. ποιησετε pro ποιησεις bis 7. και σπονδη αυτου 9. 10. εις θυσιαν αναπεποιημ. εν ελ. και σπονδην ολοκαυτωματος σαββατου

Digitized by Google

ἐν τοῖς σαββάτοις, ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, καὶ τὴν σπονδὴν
11 αὐτοῦ. [11] καὶ ἐν ταῖς νεομηνίαις προσάξετε ὁλοκαύτωμα τῷ κυρίῳ, μόσχους
12 ἐκ βοῶν δύο καὶ κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους· [12] τρία δέκατα
σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ μόσχῳ τῷ ἑνί, καὶ δύο δέκατα σεμι-
13 δάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ κριῷ τῷ ἑνί, [13] δέκατον δέκατον σεμι-
δάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ ἀμνῷ τῷ ἑνί, θυσίαν ὀσμὴν εὐωδίας κάρ-
14 πωμα κυρίῳ. [14] ἡ σπονδὴ αὐτῶν τὸ ἥμισυ τοῦ ἲν ἔσται τῷ μόσχῳ τῷ ἑνί,
καὶ τὸ τρίτον τοῦ ἲν ἔσται τῷ κριῷ τῷ ἑνί, καὶ τὸ τέταρτον τοῦ ἲν ἔσται τῷ
ἀμνῷ τῷ ἑνὶ οἴνου· τοῦτο τὸ ὁλοκαύτωμα μῆνα ἐκ μηνὸς εἰς τοὺς μῆνας τοῦ
15 ἐνιαυτοῦ. [15] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας κυρίῳ, ἐπὶ τῆς ὁλοκαυ-
16 τώσεως τῆς διὰ παντὸς ποιηθήσεται καὶ ἡ σπονδὴ αὐτοῦ. [16] καὶ ἐν τῷ μηνὶ
17 τῷ πρώτῳ τεσσαρεςκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς πάσχα κυρίῳ. [17] καὶ τῇ πεν-
18 τεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτή, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. [18] καὶ
ἡ ἡμέρα ἡ πρώτη ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιή-
19 σετε. [19] καὶ προσάξετε ὁλοκαυτώματα κάρπωμα κυρίῳ, μόσχους ἐκ βοῶν δύο,
20 κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά, ἄμωμοι ἔσονται ὑμῖν· [20] καὶ θυσία αὐτῶν
σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο
21 δέκατα τῷ κριῷ τῷ ἑνί, [21] δέκατον δέκατον ποιήσεις τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς
22 ἑπτὰ ἀμνοῖς· [22] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ
23 ὑμῶν, [23] πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς τῆς πρωινῆς, ὅ ἐστιν ὁλο-
24 καύτωμα ἐνδελεχισμοῦ. [24] ταῦτα κατὰ ταῦτα ποιήσετε τὴν ἡμέραν εἰς τὰς
ἑπτὰ ἡμέρας, δῶρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας κυρίῳ· ἐπὶ τοῦ ὁλοκαυτώ-
25 ματος τοῦ διὰ παντὸς ποιήσεις τὴν σπονδὴν αὐτοῦ. [25] καὶ ἡμέρα ἡ ἑβδόμη
26 κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ. [26] καὶ τῇ
ἡμέρᾳ τῶν νέων, ὅταν προσφέρητε θυσίαν νέαν κυρίῳ τῶν ἑβδομάδων, ἐπί-
27 κλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. [27] καὶ προσάξετε
ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ· μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα,
28 ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους· [28] ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη
ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ (καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,)
29 30 [29] δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς ἑπτὰ ἀμνοῖς· [30] καὶ χίμαρον ἐξ αἰγῶν
31 ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν, [31] πλὴν τοῦ ὁλοκαυτώματος τοῦ
διὰ παντός· καὶ τὴν θυσίαν αὐτῶν ποιήσετέ μοι, ἄμωμοι ἔσονται ὑμῖν, καὶ
τὰς σπονδὰς αὐτῶν

## XXIX.

Καὶ τῷ μηνὶ τῷ ἑβδόμῳ μιᾷ τοῦ μηνὸς ἐπίκλητος ἁγία ἔσται ὑμῖν· πᾶν
2 ἔργον λατρευτὸν οὐ ποιήσετε, ἡμέρα σημασίας ἔσται ὑμῖν. [2] καὶ ποιήσετε ὁλο-
καυτώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμ-
3 νοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους· [3] ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη
ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,
4 5 [4] δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς ἑπτὰ ἀμνοῖς· [5] καὶ χίμαρον ἐξ αἰγῶν
6 ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν, [6] πλὴν τῶν ὁλοκαυτωμάτων τῆς
νουμηνίας καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, καὶ τὸ ὁλοκαύτωμα
τὸ διὰ παντὸς καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, κατὰ τὴν σύγκρι-

---

11. νουμηνιας ... ολοκαυτωματα κυριω ... δυο, κριον 14. η σπονδ. αυτω 15. χειμαρρον (16. 17. om πασχα usque μηνος) 17. ποιηθησεται εορτη ... om επτα ημ. αζ. εδεσθε 19. ολοκαυτωμα κυριω ... επτα αμν. ενιαυσιους ... om αμωμοι 20. και η θυσια ... in fine add ποιησετε 22. χειμαρρον ... om περι αμαρτιας 23. om της ante δια 24. ** δυο pro επτα 25. και η ημερα 30. χειμαρρον 31. ολοκαυτωματος της νουμηνιας· και η θυσια αυτων και το ολοκαυτωμα το δια παντος και την ... αι σπονδαι XXIX. 5. χειμαρον 6. δια παντος, αι θυσιαι

Digitized by Google

σιν αὐτῶν εἰς ὀσμὴν εὐωδίας κυρίῳ. [7] καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τούτου ἐπί- 7
κλητος ἁγία ἔσται ὑμῖν· καὶ κακώσετε τὰς ψυχὰς ὑμῶν, καὶ πᾶν ἔργον οὐ
ποιήσετε. [8] καὶ προςοίσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ καρπώ- 8
ματα κυρίῳ, μόσχον ἐκ βοῶν ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά, ἄμω-
μοι ἔσονται ὑμῖν· [9] ἡ ϑυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία 9
δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί, [10] δέκατον δέκα- 10
τον τῷ ἀμνῷ τῷ ἑνὶ εἰς τοὺς ἑπτὰ ἀμνούς· [11] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ 11
ἁμαρτίας ἐξιλάσασϑαι περὶ ὑμῶν, πλὴν τὸ περὶ τῆς ἁμαρτίας τῆς ἐξιλάσεως,
καὶ ἡ ὁλοκαύτωσις ἡ διὰ παντός, ἡ ϑυσία αὐτῆς καὶ ἡ σπονδὴ αὐτῆς κατὰ
τὴν σύγκρισιν εἰς ὀσμὴν εὐωδίας κάρπωμα κυρίῳ. [12] καὶ τῇ πεντεκαιδεκάτῃ 12
ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἐπίκλητος ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον
λατρευτὸν οὐ ποιήσετε, καὶ ἑορτάσατε αὐτὴν ἑορτὴν κυρίῳ ἑπτὰ ἡμέρας. [13] καὶ 13
προςάξατε ὁλοκαυτώματα κάρπωμα εἰς ὀσμὴν εὐωδίας κυρίῳ, τῇ ἡμέρᾳ τῇ
πρώτῃ μόσχους ἐκ βοῶν τρεῖς καὶ δέκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκα-
τέσσαρας, ἄμωμοι ἔσονται· [14] αἱ ϑυσίαι αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν 14
ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ τοῖς τριςκαίδεκα μόσχοις, καὶ δύο δέκατα
τῷ κριῷ τῷ ἑνὶ ἐπὶ τοὺς δύο κριούς, [15] δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ ἐπὶ 15
τοὺς τέσσαρας καὶ δέκα ἀμνούς· [16] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, 16
πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.
[17] καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ μόσχους δώδεκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους 17
τέσσαρας καὶ δέκα ἀμώμους· [18] ἡ ϑυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς 18
μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριϑμὸν αὐτῶν, κατὰ τὴν σύγ-
κρισιν αὐτῶν· [19] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυ- 19
τώσεως τῆς διὰ παντός, αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν. [20] τῇ ἡμέρᾳ 20
τῇ τρίτῃ μόσχους ἕνδεκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα
ἀμώμους· [21] ἡ ϑυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς 21
καὶ τοῖς ἀμνοῖς κατὰ ἀριϑμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν· [22] καὶ χίμα- 22
ρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ
ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν. [23] τῇ ἡμέρᾳ τῇ τετάρτῃ μόσχους δέκα, 23
κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους· [24] αἱ ϑυσίαι αὐ- 24
τῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ
ἀριϑμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν· [25] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ 25
ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ ϑυσίαι αὐτῶν καὶ αἱ
σπονδαὶ αὐτῶν. [26] τῇ ἡμέρᾳ τῇ πέμπτῃ μόσχους ἐννέα, κριοὺς δύο, ἀμνοὺς 26
ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους· [27] αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ 27
αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριϑμὸν αὐτῶν, κατὰ
τὴν σύγκρισιν αὐτῶν· [28] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς 28
ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν. [29] τῇ 29
ἡμέρᾳ τῇ ἕκτῃ μόσχους ὀκτώ, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας
ἀμώμους· [30] αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς 30
κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριϑμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν· [31] καὶ 31
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παν-
τός, αἱ ϑυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν. [32] τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ μόσχους 32
ἑπτά, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους· [33] αἱ ϑυσίαι 33
αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ

---

• 7. εργον λατρευτον 8. ολοκαυτωμα εις οσμ. ευωδ. καρπωμα, μοσχον (... αμωμους) 11. * χειμαρον, ** χειμαρρον 12. εορτασετε 13. προςαξετε 15. και δεκατ. δεκατ. ... τεσσαρεςκαιδεκα 16. 19. * χειμαρον, ** χειμαρρον 20. και τη ημ. 21. om και η σπονδ. αυτ. 22. * χειμαρον, ** χειμαρρον 23. τεσσαρεςκαιδεκα 25. χειμαρρον 26. τεσσαρεςκαιδεκα 28. * χειμαρον, ** χειμαρρον 29. τεσσαρεςκαιδεκα 31. * χειμαρον, ** χειμαρρον 32. τεσσαρεςκαιδεκα

Digitized by Google

34 ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν· [34]καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ
ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ θυσίαι αὐτῶν καὶ αἱ
35 σπονδαὶ αὐτῶν. [35]καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον ἔσται ὑμῖν, πᾶν ἔργον λα-
36 τρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ. [36]καὶ προςάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐω-
δίας καρπώματα τῷ κυρίῳ, μόσχον ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ
37 ἀμώμους· [37]αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τῷ μόσχῳ καὶ τῷ κριῷ
38 καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν· [38]καὶ χίμα-
ρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός, αἱ
39 θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν. [39]ταῦτα ποιήσετε κυρίῳ ἐν ταῖς ἑορταῖς
ὑμῶν, πλὴν τῶν εὐχῶν ὑμῶν, καὶ τὰ ἑκούσια ὑμῶν καὶ τὰ ὁλοκαυτώματα
ὑμῶν καὶ τὰς θυσίας ὑμῶν καὶ τὰς σπονδὰς ὑμῶν καὶ τὰ σωτήρια ὑμῶν.

## XXX.

Καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο κύ-
2 ριος τῷ Μωυσῇ. [2]καὶ ἐλάλησε Μωυσῆς πρὸς τοὺς ἄρχοντας τῶν φυλῶν υἱῶν
3 Ἰσραὴλ λέγων Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος· [3]ἄνθρωπος ἄνθρωπος ὃς ἂν
εὔξηται εὐχὴν κυρίῳ, ἢ ὀμόσῃ ὅρκον, ἢ ὁρίσηται ὁρισμῷ περὶ τῆς ψυχῆς
αὐτοῦ, οὐ βεβηλώσει τὸ ῥῆμα αὐτοῦ· πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ τοῦ στόματος
4 αὐτοῦ ποιήσει. [4]ἐὰν δὲ εὔξηται γυνὴ εὐχὴν κυρίῳ ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ
5 οἴκῳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, [5]καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς
τὰς εὐχὰς αὐτῆς καὶ τοὺς ὁρισμοὺς αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς,
καὶ παρασιωπήσῃ αὐτῆς ὁ πατήρ, καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ
6 πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς μενοῦσιν αὐτῇ. [6]ἐὰν
δὲ ἀνανεύων ἀνανεύσῃ ὁ πατὴρ αὐτῆς ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ πάσας τὰς εὐχὰς
αὐτῆς καὶ τοὺς ὁρισμοὺς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ στήσονται·
7 καὶ κύριος καθαριεῖ αὐτήν, ὅτι ἀνένευσεν ὁ πατὴρ αὐτῆς. [7]ἐὰν δὲ γενομένη
γένηται ἀνδρί, καὶ αἱ εὐχαὶ αὐτῆς ἐπ' αὐτῇ κατὰ τὴν διαστολὴν τῶν χειλέων
8 αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, [8]καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς, καὶ
παρασιωπήσῃ αὐτῇ ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ, καὶ οὕτω στήσονται πᾶσαι αἱ εὐχαὶ
αὐτῆς, καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς στήσονται.
9 [9]ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ ἀνὴρ αὐτῆς ᾗ ἐὰν ἡμέρᾳ ἀκούσῃ, πᾶσαι αἱ
εὐχαὶ αὐτῆς καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς οὐ
10 μενοῦσιν, ὅτι ὁ ἀνὴρ ἀνένευσεν ἀπ' αὐτῆς, καὶ κύριος καθαριεῖ αὐτήν. [10]καὶ
εὐχὴ χήρας καὶ ἐκβεβλημένης, ὅσα ἐὰν εὔξηται κατὰ τῆς ψυχῆς αὐτῆς με-
11 νοῦσιν αὐτῇ. [11]ἐὰν δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἡ εὐχὴ αὐτῆς ἢ ὁ ὁρι-
12 σμὸς κατὰ τῆς ψυχῆς αὐτῆς μεθ' ὅρκου, [12]καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς, καὶ
παρασιωπήσῃ αὐτῇ καὶ μὴ ἀνανεύσῃ αὐτῇ, καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ
αὐτῆς, καὶ πάντες οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς στή-
13 σονται κατ' αὐτῆς. [13]ἐὰν δὲ περιελὼν περιέλῃ ὁ ἀνὴρ αὐτῆς ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ
πάντα ὅσα ἐὰν ἐξέλθῃ ἐκ τῶν χειλέων αὐτῆς κατὰ τὰς εὐχὰς αὐτῆς καὶ κατὰ
τοὺς ὁρισμοὺς τοὺς κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ μενεῖ αὐτῇ· ὁ ἀνὴρ αὐτῆς
14 περιεῖλε, καὶ κύριος καθαριεῖ αὐτήν. [14]πᾶσα εὐχὴ καὶ πᾶς ὅρκος δεσμοῦ κα-
15 κῶσαι ψυχήν, ὁ ἀνὴρ αὐτῆς στήσει αὐτῇ καὶ ὁ ἀνὴρ αὐτῆς περιελεῖ· [15]ἐὰν
δὲ σιωπῶν παρασιωπήσῃ αὐτῇ ἡμέραν ἐξ ἡμέρας, καὶ στήσει αὐτῇ πάσας
τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς τοὺς ἐπ' αὐτῆς στήσει αὐτῇ, ὅτι ἐσιώ-

34. * χειμαρον, ** χειμαρρον 36. ολοκαυτ. καρπωμ. εις οσμ. ευωδιας κυριω 38. * χειμαρον, ** χειμαρρον 39. τω κυριω XXX. 1. παντα α ενετ. 3. τω κυριω 4. γυνη ευξηται 5. ορισατο priore loco 6. om πασας ... ορισμους αυτης 7. ευχη pro αι ευχαι ... οσα pro ους 8. ουτως (8. 9. ωρισμοι) 9. η αν ημερα ... οτι ανηρ ανεν. επ αυτης 10. οσ αν 11. ο ορισμ. ο 12. οι ωρισμ. ους 13. οσα αν 14. αυτην pro ψυχην 15. ορισμ. αυτης επ αυτη

Digitized by Google

πησεν αὐτῇ τῇ ἡμέρᾳ ᾗ ἤκουσεν· 16 ἐὰν δὲ περιελὼν περιέλῃ ὁ ἀνὴρ αὐτῆς 16
μετὰ τὴν ἡμέραν ἣν ἤκουσε, καὶ λήψεται τὴν ἁμαρτίαν αὐτοῦ. 17 ταῦτα τὰ 17
δικαιώματα ὅσα ἐνετείλατο κύριος τῷ Μωυσῇ ἀνὰ μέσον ἀνδρὸς καὶ γυναικὸς
αὐτοῦ, καὶ ἀνὰ μέσον πατρὸς καὶ ϑυγατρὸς ἐν νεότητι ἐν οἴκῳ πατρός.

## XXXI.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Ἐκδίκει τὴν ἐκδίκησιν υἱῶν 2
Ἰσραὴλ ἐκ τῶν Μαδιανιτῶν, καὶ ἔσχατον προστεϑήσῃ πρὸς τὸν λαόν σου. 3 καὶ 3
ἐλάλησε Μωυσῆς πρὸς τὸν λαὸν λέγων Ἐξοπλίσατε ἐξ ὑμῶν ἄνδρας, καὶ πα-
ρατάξασϑε ἔναντι κυρίου ἐπὶ Μαδιάν, ἀποδοῦναι ἐκδίκησιν παρὰ τοῦ κυρίου
τῇ Μαδιάν· 4 χιλίους ἐκ φυλῆς, χιλίους ἐκ φυλῆς, ἐκ πασῶν φυλῶν υἱῶν 4
Ἰσραὴλ ἀποστείλατε παρατάξασϑαι. 5 καὶ ἐξηρίϑμησαν ἐκ τῶν χιλιάδων Ἰσραήλ, 5
χιλίους ἐκ φυλῆς, δώδεκα χιλιάδας ἐνωπλισμένοι εἰς παράταξιν. 6 καὶ ἀπέ- 6
στειλεν αὐτοὺς Μωυσῆς χιλίους ἐκ φυλῆς, χιλίους ἐκ φυλῆς σὺν δυνάμει αὐ-
τῶν, καὶ Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως· καὶ τὰ σκεύη τὰ ἅγια
καὶ αἱ σάλπιγγες τῶν σημασιῶν ἐν ταῖς χερσὶν αὐτῶν. 7 καὶ παρετάξαντο ἐπὶ 7
Μαδιάν, καϑὰ ἐνετείλατο κύριος Μωυσῇ, καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν· 8 καὶ 8
τοὺς βασιλεῖς Μαδιὰν ἀπέκτειναν ἅμα τοῖς τραυματίαις αὐτῶν, καὶ τὸν Εὐὶν
καὶ τὸν Ῥοκὸν καὶ τὸν Σοὺρ καὶ τὸν Οὖρ καὶ τὸν Ῥοβόκ, πέντε βασιλεῖς Μα-
διάν, καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν τοῖς τραυματίαις
αὐτῶν. 9 καὶ ἐπρονόμευσαν τὰς γυναῖκας Μαδιάν, καὶ τὴν ἀποσκευὴν αὐτῶν 9
καὶ τὰ κτήνη αὐτῶν καὶ πάντα τὰ ἔγκτητα αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν
ἐπρονόμευσαν· 10 καὶ πάσας τὰς πόλεις αὐτῶν τὰς ἐν ταῖς κατοικίαις αὐτῶν 10
καὶ τὰς ἐπαύλεις αὐτῶν ἐνέπρησαν ἐν πυρί. 11 καὶ ἔλαβον πᾶσαν τὴν προνομὴν 11
αὐτῶν καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπὸ ἀνϑρώπου ἕως κτήνους, 12 καὶ ἤγαγον 12
πρὸς Μωυσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς πάντας υἱοὺς Ἰσραήλ,
τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα καὶ τὴν προνομὴν εἰς τὴν παρεμβολὴν εἰς
Ἀραβὼϑ Μωάβ, ἥ ἐστιν ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ. 13 καὶ ἐξῆλϑε Μωυ- 13
σῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς εἰς συνάν-
τησιν αὐτοῖς ἔξω τῆς παρεμβολῆς· 14 καὶ ὠργίσϑη Μωυσῆς ἐπὶ τοῖς ἐπισκό- 14
ποις τῆς δυνάμεως, χιλιάρχοις καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρα-
τάξεως τοῦ πολέμου· 15 καὶ εἶπεν αὐτοῖς Μωυσῆς Ἵνα τί ἐζωγρήσατε πᾶν 15
ϑῆλυ; 16 αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀπο- 16
στῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα κυρίου ἕνεκεν Φογώρ, καὶ ἐγένετο ἡ πληγὴ ἐν
τῇ συναγωγῇ κυρίου. 17 καὶ νῦν ἀποκτείνατε πᾶν ἀρσενικὸν ἐν πάσῃ τῇ ἀπαρ- 17
τίᾳ, πᾶσαν γυναῖκα ἥτις ἔγνω κοίτην ἄρσενος ἀποκτείνατε· 18 καὶ πᾶσαν τὴν 18
ἀπαρτίαν τῶν γυναικῶν ἥτις οὐκ οἶδε κοίτην ἄρσενος, ζωγρήσατε αὐτάς. 19 καὶ 19
ὑμεῖς παρεμβάλετε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· πᾶς ὁ ἀνελὼν καὶ ὁ
ἁπτόμενος τοῦ τετρωμένου ἁγνισϑήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ, ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν· 20 καὶ πᾶν περίβλημα καὶ πᾶν σκεῦος 20
δερμάτινον καὶ πᾶσαν ἐργασίαν ἐξ αἰγείας καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖτε.
21 καὶ εἶπεν Ἐλεάζαρ ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως τοὺς ἐρχομέ- 21
νους ἐκ τῆς παρατάξεως τοῦ πολέμου Τοῦτο τὸ δικαίωμα τοῦ νόμου ὃ συνέ-
ταξε κύριος τῷ Μωυσῇ· 22 πλὴν τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου καὶ χαλκοῦ 22
καὶ σιδήρου καὶ μολίβου καὶ κασσιτέρου, 23 πᾶν πρᾶγμα ὃ διελεύσεται ἐν πυρί, 23

16. περιαιρων περιελη αυτης μετα ... λημψεται 17. και ανα μεσον γυναικ. XXXI. 2. των υιων 3. μαδιαμ bis 4. φυλης και χιλιους ... om υιων 6. φυλης και χιλιους ... υιος ελεαζαρ 7. μαδιαμ ... τω μωυση 8. μαδιαμ bis ... ευειν ... ροκομ ..., βαιωρ ... εν ρομφαιαις ... ταις τραυματιαις 9. προενομευσαν ab initio ... μαδιαμ ... ενκτηματα 11. ανϑρωπου 12. παντας τους 17. και πασαν γυναικα ... αρσενος αποκτενειτε 18. ουκ εγνω 19. παρεμβαλειτε 22. τ. αργυρ. κ. τ. χρυσιου



Digitized by Google

καὶ καθαρισθήσεται, ἀλλ᾽ ἢ τῷ ὕδατι τοῦ ἁγνισμοῦ ἁγνισθήσεται· καὶ πάντα
24 ὅσα ἐὰν μὴ διαπορεύηται διὰ πυρὸς διελεύσεται δι᾽ ὕδατος. [24] καὶ πλυνεῖσθε
τὰ ἱμάτια τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρισθήσεσθε· καὶ μετὰ ταῦτα εἰς-
25 ελεύσεσθε εἰς τὴν παρεμβολήν. [25] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων
26 [26] Λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας ἀπὸ ἀνθρώπου ἕως κτή-
νους, σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς,
27 [27] καὶ διελεῖτε τὰ σκῦλα ἀνὰ μέσον τῶν πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς
28 τὴν παράταξιν καὶ ἀνὰ μέσον πάσης συναγωγῆς. [28] καὶ ἀφελεῖτε τέλος κυρίῳ
παρὰ τῶν ἀνθρώπων τῶν πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν,
μίαν ψυχὴν ἀπὸ πεντακοσίων, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν καὶ
29 ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων καὶ ἀπὸ τῶν ὄνων· [29] καὶ ἀπὸ τοῦ
ἡμίσους αὐτῶν λήψεσθε, καὶ δώσεις Ἐλεάζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς κυρίου·
30 [30] καὶ ἀπὸ τοῦ ἡμίσους τοῦ τῶν υἱῶν Ἰσραὴλ λήψῃ ἕνα ἀπὸ πεντήκοντα, ἀπὸ
τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων καὶ ἀπὸ τῶν ὄνων
καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ δώσεις αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσι
31 τὰς φυλακὰς ἐν τῇ σκηνῇ κυρίου. [31] καὶ ἐποίησε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς
32 καθὰ συνέταξε κύριος τῷ Μωυσῇ. [32] καὶ ἐγενήθη τὸ πλεόνασμα τῆς προνομῆς
ὃ προενόμευσαν οἱ ἄνδρες οἱ πολεμισταὶ ἀπὸ τῶν προβάτων ἑξακόσιαι χιλιά-
33 δες καὶ ἑβδομήκοντα καὶ πέντε χιλιάδες, [33] καὶ βόες δύο καὶ ἑβδομήκοντα
34 35 χιλιάδες, [34] καὶ ὄνοι μία καὶ ἑξήκοντα χιλιάδες, [35] καὶ ψυχαὶ ἀνθρώπων
ἀπὸ τῶν γυναικῶν αἳ οὐκ ἔγνωσαν κοίτην ἀνδρός, πᾶσαι ψυχαί, δύο καὶ τριά-
36 κοντα χιλιάδες. [36] καὶ ἐγενήθη τὸ ἡμίσευμα ἡ μερὶς τῶν ἐκπεπορευμένων εἰς
τὸν πόλεμον ἐκ τοῦ ἀριθμοῦ τῶν προβάτων τριακόσιαι καὶ τριάκοντα χιλιάδες
37 καὶ ἑπτακισχίλια καὶ πεντακόσια, [37] καὶ ἐγένετο τὸ τέλος κυρίῳ ἀπὸ τῶν προ-
38 βάτων ἑξακόσιαι ἑβδομήκοντα πέντε· [38] καὶ βόες ἓξ καὶ τριάκοντα χιλιάδες,
39 καὶ τὸ τέλος κυρίῳ δύο καὶ ἑβδομήκοντα· [39] καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ
40 πεντακόσιοι, καὶ τὸ τέλος κυρίῳ εἷς καὶ ἑξήκοντα· [40] καὶ ψυχαὶ ἀνθρώπων
ἑκκαίδεκα χιλιάδες, καὶ τὸ τέλος αὐτῶν κυρίῳ δύο καὶ τριάκοντα ψυχαί.
41 [41] καὶ ἔδωκε Μωυσῆς τὸ τέλος κυρίῳ τὸ ἀφαίρεμα τοῦ θεοῦ Ἐλεάζαρ τῷ
42 ἱερεῖ, καθὰ συνέταξε κύριος τῷ Μωυσῇ. [42] ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν
43 Ἰσραήλ, οὓς διεῖλε Μωυσῆς ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν, [43] καὶ ἐγένετο
τὸ ἡμίσευμα ἀπὸ τῆς συναγωγῆς ἀπὸ τῶν προβάτων τριακόσιαι καὶ τριάκοντα
44 χιλιάδες καὶ ἑπτακισχίλια καὶ πεντακόσια, [44] καὶ βόες ἓξ καὶ τριάκοντα χιλιά-
45 46 δες, [45] ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, [46] καὶ ψυχαὶ ἀνθρώπων ἓξ
47 καὶ δέκα χιλιάδες· [47] καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ἰσραὴλ
τὸ ἓν ἀπὸ τῶν πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν, καὶ
ἔδωκεν αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσι τὰς φυλακὰς τῆς σκηνῆς κυρίου,
48 ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ. [48] καὶ προσῆλθον πρὸς Μωυσῆν πάντες
οἱ καθεσταμένοι εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως χιλίαρχοι καὶ ἑκατόνταρχοι,
49 [49] καὶ εἶπαν πρὸς Μωυσῆν Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν
τῶν πολεμιστῶν τῶν παρ᾽ ἡμῖν, καὶ οὐ διαπεφώνηκεν ἀπ᾽ αὐτῶν οὐδὲ εἷς·
50 [50] καὶ προσενηνόχαμεν τὸ δῶρον κυρίῳ ἀνὴρ ὃ εὗρε σκεῦος χρυσοῦν καὶ χλι-
δῶνα καὶ ψέλλιον καὶ δακτύλιον καὶ περιδέξιον καὶ ἐμπλόκιον, ἐξιλάσασθαι
51 περὶ ἡμῶν ἔναντι κυρίου. [51] καὶ ἔλαβε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυ-
52 σίον παρ᾽ αὐτῶν, πᾶν σκεῦος εἰργασμένον· [52] καὶ ἐγένετο πᾶν τὸ χρυσίον τὸ

---

23. οσα μη διαπορευεται ... ου διελευσεται 27. εκπορευομενων ... πασης της 28. το τελος ... εκπορευομενων 29. λημψεσθε 30. λημψη ... απο των πεντηκ. 32. επρονομευσαν ... εβδομηκοντα χιλιαδες και πενταχισχιλια 33. βοων 34. ονων 35. πασα ψυχη 36. εκπορευομενων ... post τριακοσιαι add χιλιαδες 40. εξ και δεκα 41. καθαπερ 43. το της pro απο της ... post τριακοσιαι add χιλιαδες 47. ισραηλ εν απο 49. παρ ημων 50. χρυσουν, χλιδωνα κ. ψελιον

Digitized by Google

ἀφαίρεμα ὃ ἀφεῖλον κυρίῳ ἑκκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι καὶ πεντήκοντα
σίκλοι παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων· 53 καὶ οἱ ἄνδρες οἱ 53
πολεμισταὶ ἐπρονόμευσαν ἕκαστος ἑαυτῷ. 54 καὶ ἔλαβε Μωυσῆς καὶ Ἐλεάζαρ 54
ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων, καὶ
εἰςήνεγκεν αὐτὰ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, μνημόσυνον τῶν υἱῶν Ἰσραὴλ
ἔναντι κυρίου.

## XXXII.

Καὶ κτήνη πλῆθος ἦν τοῖς υἱοῖς Ῥουβὴν καὶ τοῖς υἱοῖς Γάδ, πλῆθος
σφόδρα· καὶ εἶδον τὴν χώραν Ἰαζὴρ καὶ τὴν χώραν Γαλαάδ, καὶ ἦν ὁ τόπος
τόπος κτήνεσι. 2 καὶ προςελθόντες οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ εἶπαν πρὸς 2
Μωυσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς τοὺς ἄρχοντας τῆς συναγωγῆς
λέγοντες 3 Ἀταρὼθ καὶ Δαιβὼν καὶ Ἰαζὴρ καὶ Ναμρὰ καὶ Ἐσεβὼν καὶ Ἐλεαλὴ 3
καὶ Σεβαμὰ καὶ Ναβαὺ καὶ Βαιάν, 4 τὴν γῆν ἣν παραδέδωκε κύριος ἐνώπιον 4
τῶν υἱῶν Ἰσραήλ, γῆ κτηνοτρόφος ἐστί, καὶ τοῖς παισί σου κτήνη ὑπάρχει.
5 καὶ ἔλεγον Εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡ γῆ αὕτη τοῖς οἰκέταις 5
σου ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν Ἰορδάνην. 6 καὶ εἶπε Μωυ- 6
σῆς τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβὴν Οἱ ἀδελφοὶ ὑμῶν πορεύονται εἰς
τὸν πόλεμον, καὶ ὑμεῖς καθήσεσθε αὐτοῦ; 7 καὶ ἵνα τί διαστρέφετε τὰς δια- 7
νοίας τῶν υἱῶν Ἰσραήλ, μὴ διαβῆναι εἰς τὴν γῆν ἣν κύριος δίδωσιν αὐτοῖς;
8 οὐχ οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν, ὅτε ἀπέστειλα αὐτοὺς ἐκ Κάδης Βαρνὴ 8
κατανοῆσαι τὴν γῆν; 9 καὶ ἀνέβησαν φάραγγα Βότρυος, καὶ κατενόησαν τὴν 9
γῆν, καὶ ἀπέστησαν τὴν καρδίαν τῶν υἱῶν Ἰσραήλ, ὅπως μὴ εἰςέλθωσιν εἰς
τὴν γῆν ἣν ἔδωκε κύριος αὐτοῖς. 10 καὶ ὠργίσθη θυμῷ κύριος ἐν τῇ ἡμέρᾳ 10
ἐκείνῃ, καὶ ὤμοσε λέγων 11 Εἰ ὄψονται οἱ ἄνθρωποι οὗτοι οἱ ἀναβάντες ἐξ 11
Αἰγύπτου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, οἱ ἐπιστάμενοι τὸ ἀγαθὸν καὶ τὸ κακόν,
τὴν γῆν ἣν ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὐ γὰρ συνεπηκο-
λούθησαν ὀπίσω μου, 12 πλὴν Χάλεβ υἱὸς Ἰεφοννὴ ὁ διακεχωρισμένος καὶ 12
Ἰησοῦς ὁ τοῦ Ναυή, ὅτι συνεπηκολούθησαν ὀπίσω κυρίου. 13 καὶ ὠργίσθη θυμῷ 13
κύριος ἐπὶ τὸν Ἰσραήλ, καὶ κατερόμβευσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα
ἔτη, ἕως ἐξανηλώθη πᾶσα ἡ γενεά, οἱ ποιοῦντες τὰ πονηρὰ ἔναντι κυρίου.
14 ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν, σύντριμμα ἀνθρώπων ἁμαρτωλῶν, 14
προςθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀργῆς κυρίου ἐπὶ Ἰσραήλ· 15 ὅτι ἀποστρα- 15
φήσεσθε ἀπ᾽ αὐτοῦ προςθεῖναι ἔτι καταλιπεῖν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἀνο-
μήσετε εἰς ὅλην τὴν συναγωγὴν ταύτην. 16 καὶ προςῆλθον αὐτῷ καὶ ἔλεγον 16
Ἐπαύλεις προβάτων οἰκοδομήσομεν ὧδε τοῖς κτήνεσιν ἡμῶν καὶ πόλεις ταῖς
ἀποσκευαῖς ἡμῶν, 17 καὶ ἡμεῖς ἐνοπλισάμενοι προφυλακὴν πρότεροι τῶν υἱῶν 17
Ἰσραήλ, ἕως ἂν ἀγάγωμεν αὐτοὺς εἰς τὸν ἑαυτῶν τόπον· καὶ κατοικήσει ἡ
ἀποσκευὴ ἡμῶν ἐν πόλεσι τετειχισμέναις διὰ τοὺς κατοικοῦντας τὴν γῆν. 18 οὐ 18
μὴ ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν ἕως ἂν καταμερισθῶσιν οἱ υἱοὶ Ἰσραὴλ
ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ· 19 καὶ οὐκέτι κληρονομήσομεν ἐν αὐτοῖς 19
ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλήρους ἡμῶν
ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν ἀνατολαῖς. 20 καὶ εἶπε πρὸς αὐτοὺς Μωυσῆς 20
Ἐὰν ποιήσητε κατὰ τὸ ῥῆμα τοῦτο, ἐὰν ἐξοπλίσησθε ἔναντι κυρίου εἰς πόλε-

---

52. εξ και δεκα XXXII. 1. πληθ. πολυ σφοδρα· κ. ιδον 2. ανδρας pro αρχοντας 3. αταρων ... αμβραμ pro ναμρα ... βαμα pro βαιαν 4. παρεδωκεν ... ενωπιον υιων ... κτηνοτρ. γη 5. ελεγοσαν ... εναντιον σου ... τοις παισιν σου 6. πορευσονται εις πολεμον 7. τας καρδιας ... αναβηναι 9. αυτοις κυριος 11. ωμοσα αβρααμ 13. κατερεμβευσεν ... τεσσερακοντα ... εως αν εξαναλωθη 14. συστρεμμα 16. οικοδομησωμεν ... κατασκευαις 17. προφυλακη 19. κληρονομησωμεν εαυτοις απο 20. εξοπλισθησεσθε

21 μον, [21] καὶ παρελεύσεται ὑμῶν πᾶς ὁπλίτης τὸν Ἰορδάνην ἔναντι κυρίου ἕως
22 ἂν ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ [22] καὶ κατακυριευθῇ ἡ γῆ
ἔναντι κυρίου, καὶ μετὰ ταῦτα ἀποστραφήσεσθε, καὶ ἔσεσθε ἀθῶοι ἔναντι
κυρίου καὶ ἀπὸ Ἰσραήλ, καὶ ἔσται ἡ γῆ αὕτη ὑμῖν ἐν κατασχέσει ἔναντι κυ-
23 ρίου· [23] ἐὰν δὲ μὴ ποιήσητε οὕτως, ἁμαρτήσεσθε ἔναντι κυρίου καὶ γνώσε-
24 σθε τὴν ἁμαρτίαν ὑμῶν ὅταν ὑμᾶς καταλάβῃ τὰ κακά. [24] καὶ οἰκοδομήσετε
ὑμῖν ἑαυτοῖς πόλεις τῇ ἀποσκευῇ ὑμῶν καὶ ἐπαύλεις τοῖς κτήνεσιν ὑμῶν, καὶ
25 τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος ὑμῶν ποιήσετε. [25] καὶ εἶπαν υἱοὶ Ῥουβὴν
καὶ υἱοὶ Γὰδ πρὸς Μωυσῆν λέγοντες Οἱ παῖδές σου ποιήσουσι καθὰ ὁ κύριος
26 ἡμῶν ἐντέλλεται· [26] ἡ ἀποσκευὴ ἡμῶν καὶ αἱ γυναῖκες ἡμῶν καὶ πάντα τὰ
27 κτήνη ἡμῶν ἔσονται ἐν ταῖς πόλεσι Γαλαάδ· [27] οἱ δὲ παῖδές σου παρελεύ-
σονται πάντες ἐνωπλισμένοι καὶ ἐκτεταγμένοι ἔναντι κυρίου εἰς τὸν πόλεμον,
28 ὃν τρόπον ὁ κύριος λέγει. [28] καὶ συνέστησεν αὐτοῖς Μωυσῆς Ἐλεάζαρ τὸν ἱερέα
29 καὶ Ἰησοῦν υἱὸν Ναυὴ καὶ τοὺς ἄρχοντας πατριῶν τῶν φυλῶν Ἰσραήλ, [29] καὶ
εἶπε πρὸς αὐτοὺς Μωυσῆς Ἐὰν διαβῶσιν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ
μεθ᾽ ὑμῶν τὸν Ἰορδάνην, πᾶς ἐνωπλισμένος εἰς πόλεμον ἔναντι κυρίου, καὶ
κατακυριεύσητε τῆς γῆς ἀπέναντι ὑμῶν, καὶ δώσετε αὐτοῖς τὴν γῆν Γαλαὰδ
30 ἐν κατασχέσει· [30] ἐὰν δὲ μὴ διαβῶσιν ἐνωπλισμένοι μεθ᾽ ὑμῶν εἰς τὸν πόλε-
μον ἔναντι κυρίου, καὶ διαβιβάσετε τὴν ἀποσκευὴν αὐτῶν καὶ τὰς γυναῖκας
αὐτῶν καὶ τὰ κτήνη αὐτῶν πρότερα ὑμῶν εἰς γῆν Χαναάν, καὶ συγκατακλη-
31 ρονομηθήσονται ἐν ὑμῖν ἐν τῇ γῇ Χαναάν. [31] καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Ῥουβὴν
καὶ οἱ υἱοὶ Γὰδ λέγοντες Ὅσα ὁ κύριος λέγει τοῖς θεράπουσιν, οὕτω ποιή-
32 σομεν· [32] ἡμεῖς διαβησόμεθα ἐνωπλισμένοι ἔναντι κυρίου εἰς γῆν Χαναάν, καὶ
33 δώσετε τὴν κατάσχεσιν ἡμῖν ἐν τῷ πέραν τοῦ Ἰορδάνου. [33] καὶ ἔδωκεν αὐτοῖς
Μωυσῆς, τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβὴν καὶ τῷ ἡμίσει φυλῆς Μα-
νασσῆ υἱῶν Ἰωσήφ, τὴν βασιλείαν Σηὼν βασιλέως Ἀμορραίων καὶ τὴν βασι-
λείαν Ὢγ βασιλέως τῆς Βασάν, τὴν γῆν καὶ τὰς πόλεις σὺν τοῖς ὁρίοις αὐτῆς,
34 πόλεις τῆς γῆς κύκλῳ. [34] καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Γὰδ τὴν Δαιβὼν καὶ τὴν
35 Ἀταρὼθ καὶ τὴν Ἀροὴρ [35] καὶ τὴν Σοφὰρ καὶ τὴν Ἰαζήρ, καὶ ὕψωσαν αὐτάς,
36 [36] καὶ τὴν Ναμρὰμ καὶ τὴν Βαιθαράν, πόλεις ὀχυρὰς καὶ ἐπαύλεις προβάτων.
37 [37] καὶ οἱ υἱοὶ Ῥουβὴν ᾠκοδόμησαν τὴν Ἐσεβὼν καὶ Ἐλεαλὴν καὶ Καριαθὰμ
38 [38] καὶ τὴν Βεελμεών, περικεκυκλωμένας, καὶ τὴν Σεβαμά· καὶ ἐπωνόμασαν
39 κατὰ τὰ ὀνόματα αὐτῶν τὰ ὀνόματα τῶν πόλεων ἃς ᾠκοδόμησαν. [39] καὶ ἐπο-
ρεύθη υἱὸς Μαχὶρ υἱοῦ Μανασσῆ Γαλαὰδ καὶ ἔλαβεν αὐτήν, καὶ ἀπώλεσε
40 τὸν Ἀμορραῖον τὸν κατοικοῦντα ἐν αὐτῇ. [40] καὶ ἔδωκε Μωυσῆς τὴν Γαλαὰδ
41 τῷ Μαχὶρ υἱῷ Μανασσῆ, καὶ κατῴκησεν ἐκεῖ. [41] καὶ Ἰαΐρ ὁ τοῦ Μανασσῆ
ἐπορεύθη καὶ ἔλαβε τὰς ἐπαύλεις αὐτῶν, καὶ ἐπωνόμασεν αὐτὰς ἐπαύλεις
42 Ἰαΐρ. [42] καὶ Ναβαὺ ἐπορεύθη καὶ ἔλαβε τὴν Καὰθ καὶ τὰς κώμας αὐτῆς,
καὶ ἐπωνόμασεν αὐτὰς Ναβὼθ ἐκ τοῦ ὀνόματος αὐτοῦ.

## XXXIII.

Καὶ οὗτοι οἱ σταθμοὶ τῶν υἱῶν Ἰσραήλ, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύπτου
2 σὺν δυνάμει αὐτῶν ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών· [2] καὶ ἔγραψε Μωυσῆς τὰς

---

21. οπλιστης ... ως αν 22. κυριου απο ισρ. 25. οι υιοι bis ... ο κυρ. ημιν εντεταλται 26. κ. παντα τα κτ. ημ. και αι γυναικ. ημ. 29. και υιοι 30. εις πολεμον 31. θεραπουσιν αυτου, ουτως (31. 32. ποιησομεν· ημεις ita dist.) 32. εναντι κυρ. ενωπλισμ. εις την γ. 33. τω ημισυ φ. μαννασση ... των αμορραιων 35. την γην σωφαρ 36. την αμβραν ... την βαιθαρρα πολεις οχυρας πολεις προβατων 37. ελεαλη κ. χαριαθαιμ 38. και την βαμω κ. τ. βεελμ. περικεκαλυμμενας 39. μαχειρ ... μαννασση εις γαλ. 40. μαχειρ ... μαννασση 41. ιαειρ ... μαννασση ... ιαηρ 42. την κανναθ

Digitized by Google

ἀπάρσεις αὐτῶν καὶ τοὺς σταθμοὺς αὐτῶν διὰ ῥήματος κυρίου· καὶ οὗτοι
σταθμοὶ τῆς πορείας αὐτῶν. 3 ἀπῆραν ἐκ Ῥαμεσσῆ τῷ μηνὶ τῷ πρώτῳ τῇ 3
πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, τῇ ἐπαύριον τοῦ πάσχα ἐξῆλ-
θον οἱ υἱοὶ Ἰσραὴλ ἐν χειρὶ ὑψηλῇ ἐναντίον πάντων τῶν Αἰγυπτίων· 4 καὶ οἱ 4
Αἰγύπτιοι ἔθαπτον ἐξ αὐτῶν τοὺς τεθνηκότας πάντας οὓς ἐπάταξε κύριος, πᾶν
πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησε τὴν ἐκδίκησιν
κύριος. 5 καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ παρενέβαλον εἰς Σοχχώθ· 5
6 καὶ ἀπάραντες ἐκ Σοχχὼθ παρενέβαλον εἰς Βουθάν, ὅ ἐστι μέρος τι τῆς 6
ἐρήμου. 7 καὶ ἀπῆραν ἐκ Βουθὰν καὶ παρενέβαλον ἐπὶ τὸ στόμα Εἰρώθ, 7
ὅ ἐστιν ἀπέναντι Βεελσεπφών, καὶ παρενέβαλον ἀπέναντι Μαγδώλου. 8 καὶ 8
ἀπῆραν ἀπέναντι Εἰρὼθ καὶ διέβησαν μέσον τῆς θαλάσσης εἰς τὴν ἔρημον·
καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν διὰ τῆς ἐρήμου αὐτοὶ καὶ παρενέβαλον
ἐν Πικρίαις. 9 καὶ ἀπῆραν ἐκ Πικριῶν καὶ ἦλθον εἰς Αἰλείμ, καὶ ἐν Αἰλεὶμ 9
δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων, καὶ παρενέβαλον
ἐκεῖ παρὰ τὸ ὕδωρ. 10 καὶ ἀπῆραν ἐξ Αἰλεὶμ καὶ παρενέβαλον ἐπὶ θάλασσαν 10
ἐρυθράν· 11 καὶ ἀπῆραν ἀπὸ θαλάσσης ἐρυθρᾶς καὶ παρενέβαλον εἰς τὴν ἔρη- 11
μον Σίν· 12 καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς Ῥαφακά· 12
13 καὶ ἀπῆραν ἐκ Ῥαφακὰ καὶ παρενέβαλον ἐν Αἰλούς· 14 καὶ ἀπῆραν ἐξ Αἰ- 13 14
λοὺς καὶ παρενέβαλον ἐν Ῥαφιδείν, καὶ οὐκ ἦν ἐκεῖ ὕδωρ τῷ λαῷ πιεῖν. 15 καὶ 15
ἀπῆραν ἐκ Ῥαφιδεὶν καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ Σινᾶ· 16 καὶ ἀπῆραν ἐκ 16
τῆς ἐρήμου Σινᾶ καὶ παρενέβαλον ἐν Μνήμασι τῆς ἐπιθυμίας· 17 καὶ ἀπῆραν 17
ἐκ Μνημάτων τῆς ἐπιθυμίας καὶ παρενέβαλον ἐν Ἀσηρώθ· 18 καὶ ἀπῆραν ἐξ 18
Ἀσηρὼθ καὶ παρενέβαλον ἐν Ῥαθαμᾶ· 19 καὶ ἀπῆραν ἐκ Ῥαθαμᾶ καὶ παρεν- 19
έβαλον ἐν Ῥεμμὼν Φαρές· 20 καὶ ἀπῆραν ἐκ Ῥεμμὼν Φαρὲς καὶ πα- 20
ρενέβαλον εἰς Λεβωνᾶ· 21 καὶ ἀπῆραν ἐκ Λεβωνᾶ καὶ παρενέβαλον εἰς Ῥεσ- 21
σάν· 22 καὶ ἀπῆραν ἐκ Ῥεσσὰν καὶ παρενέβαλον εἰς Μακελλάθ· 23 καὶ 22 23
ἀπῆραν ἐκ Μακελλὰθ καὶ παρενέβαλον εἰς Σαφάρ· 24 καὶ ἀπῆραν ἐκ Σα- 24
φὰρ καὶ παρενέβαλον εἰς Χαραδάθ· 25 καὶ ἀπῆραν ἐκ Χαραδὰθ καὶ παρεν- 25
έβαλον εἰς Μακηλώθ· 26 καὶ ἀπῆραν ἐκ Μακηλὼθ καὶ παρενέβαλον εἰς 26
Καταάθ· 27 καὶ ἀπῆραν ἐκ Καταὰθ καὶ παρενέβαλον εἰς Ταράθ· 28 καὶ 27 28
ἀπῆραν ἐκ Ταρὰθ καὶ παρενέβαλον εἰς Μαθεκκά· 29 καὶ ἀπῆραν ἐκ Μαθεκκὰ 29
καὶ παρενέβαλον εἰς Σελμωνᾶ· 30 καὶ ἀπῆραν ἐκ Σελμωνᾶ καὶ παρενέβαλον 30
εἰς Μασουρούθ· 31 καὶ ἀπῆραν ἐκ Μασουροὺθ καὶ παρενέβαλον εἰς Βαναία· 31
32 καὶ ἀπῆραν ἐκ Βαναία καὶ παρενέβαλον εἰς τὸ ὄρος Γαδγάδ· 33 καὶ ἀπῆ- 32 33
ραν ἐκ τοῦ ὄρους Γαδγὰδ καὶ παρενέβαλον εἰς Ἐτεβαθά· 34 καὶ ἀπῆραν ἐξ 34
Ἐτεβαθὰ καὶ παρενέβαλον εἰς Ἐβρωνά· 35 καὶ ἀπῆραν ἐξ Ἐβρωνὰ καὶ πα- 35
ρενέβαλον εἰς Γεσιὼν Γάβερ· 36 καὶ ἀπῆραν ἐκ Γεσιὼν Γάβερ καὶ παρενέβα- 36
λον ἐν τῇ ἐρήμῳ Σίν· καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς
τὴν ἔρημον Φαράν, αὕτη ἐστὶ Κάδης· 37 καὶ ἀπῆραν ἐκ Κάδης καὶ παρεν- 37
έβαλον εἰς Ὢρ τὸ ὄρος πλησίον γῆς Ἐδώμ. 38 καὶ ἀνέβη Ἀαρὼν ὁ ἱερεὺς διὰ 38
προστάγματος κυρίου, καὶ ἀπέθανεν ἐκεῖ ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξό-
δου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου τῷ μηνὶ τῷ πέμπτῳ μιᾷ τοῦ μηνός·
39 καὶ Ἀαρὼν ἦν τριῶν καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέθνησκεν ἐν Ὢρ 39
τῷ ὄρει. 40 καὶ ἀκούσας ὁ Χαναανεὶς βασιλεὺς Ἀράδ, καὶ οὗτος κατῴκει ἐν γῇ 40
Χαναάν, ὅτε εἰσεπορεύοντο οἱ υἱοὶ Ἰσραήλ. 41 καὶ ἀπῆραν ἐξ Ὢρ τοῦ ὄρους 41

---

**XXXIII.** 2. επαρσεις ... ουτοι οι σταθμ. τ.ποριας α. 3. και απηραν 4. παντας οσους 5. απαρ. δε 7. επι στομα ... βεελσεφων 9. υδατων υδατων 11. εν τη ερημω ... om σιν 12. om σιν ... ραφακαν 15. τη σινα pro σινα 20. εν λεβωνα 21. ρεσσα 22. ρεσσα ... μακελαθ 23. μακελαθ ... εν αρσαφαρ 24. εκ σαρσαφαρ ... επι χαραδαθ 27. 28. θαραθ 29. ασελμωνα 31. βανιχαν 32. βανιχαν ... εις ορος 33. ιεταβαθαν 34. ιεταβαθαν 38. ιερευς πλησιον του ορους δια ... τεσσερακοστω 40. χανανις

Digitized by Google

42 καὶ παρενέβαλον εἰς Σελμωνᾶ· 42 καὶ ἀπῆραν ἐκ Σελμωνᾶ καὶ παρενέβαλον
43 44 εἰς Φινώ· 43 καὶ ἀπῆραν ἐκ Φινὼ καὶ παρενέβαλον ἐν Ὠβώθ· 44 καὶ ἀπῆραν
45 ἐξ Ὠβὼθ καὶ παρενέβαλον ἐν Γαΐ, ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων Μωάβ· 45 καὶ
46 ἀπῆραν ἐκ Γαΐ καὶ παρενέβαλον εἰς Δαιβὼν Γάδ· 46 καὶ ἀπῆραν ἐκ Δαιβὼν
47 Γὰδ καὶ παρενέβαλον ἐν Γελμὼν Δεβλαθαίμ· 47 καὶ ἀπῆραν ἐκ Γελμὼν Δε-
48 βλαθαὶμ καὶ παρενέβαλον ἐπὶ τὰ ὄρη τὰ Ἀβαρὶμ ἀπέναντι Ναβαῦ· 48 καὶ ἀπῆ-
ραν ἀπὸ ὀρέων Ἀραρὶμ καὶ παρενέβαλον ἐπὶ δυσμῶν Μωάβ, ἐπὶ τοῦ Ἰορδά-
49 νου κατὰ Ἱεριχώ· 49 καὶ παρενέβαλον παρὰ τὸν Ἰορδάνην ἀνὰ μέσον Αἰσιμὼθ
50 ἕως Βελσᾶ τὸ κατὰ δυσμὰς Μωάβ. 50 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐπὶ
51 δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχὼ λέγων 51 Λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χα-
52 ναάν, 52 καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν,
καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν, καὶ πάντα τὰ εἴδωλα τὰ χωνευτὰ αὐτῶν
53 ἀπολεῖτε αὐτά, καὶ πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε· 53 καὶ ἀπολεῖτε πάν-
τας τοὺς κατοικοῦντας τὴν γῆν καὶ κατοικήσετε ἐν αὐτῇ, ὑμῖν γὰρ δέδωκα
54 τὴν γῆν αὐτῶν ἐν κλήρῳ. 54 καὶ κατακληρονομήσετε τὴν γῆν αὐτῶν ἐν κλήρῳ
κατὰ φυλὰς ὑμῶν, τοῖς πλείοσι πληθυνεῖτε τὴν κατάσχεσιν αὐτῶν, καὶ τοῖς
ἐλάττοσιν ἐλαττώσετε τὴν κατάσχεσιν αὐτῶν· εἰς ὃ ἂν ἐξέλθῃ τὸ ὄνομα αὐ-
55 τοῦ, ἐκεῖ αὐτοῦ ἔσται, κατὰ φυλὰς πατριῶν ὑμῶν κληρονομήσετε. 55 ἐὰν δὲ μὴ
ἀπολέσητε τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσται οὓς
ἐὰν καταλίπητε ἐξ αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν καὶ βολίδες ἐν
ταῖς πλευραῖς ὑμῶν, καὶ ἐχθρεύσουσιν ὑμῖν ἐπὶ τῆς γῆς ἐφ' ἣν ὑμεῖς κατοι-
56 κήσετε· 56 καὶ ἔσται καθότι διεγνώκειν ποιῆσαι αὐτοὺς ποιήσω ὑμᾶς.

## XXXIV.

2 Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων 2 Ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ
καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς εἰςπορεύεσθε εἰς τὴν γῆν Χαναάν, αὕτη ἔσται
3 ὑμῖν εἰς κληρονομίαν, γῆ Χαναὰν σὺν τοῖς ὁρίοις αὐτῆς. 3 καὶ ἔσται ὑμῖν τὸ
κλίτος τὸ πρὸς λίβα ἀπὸ ἐρήμου Σὶν ἕως ἐχόμενον Ἐδώμ, καὶ ἔσται ὑμῖν τὰ
4 ὅρια πρὸς λίβα ἀπὸ μέρους τῆς θαλάσσης τῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν· 4 καὶ
κυκλώσει ὑμᾶς τὰ ὅρια ἀπὸ λιβὸς πρὸς ἀνάβασιν Ἀκραβίν, καὶ παρελεύσεται
Ἐννάκ, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ πρὸς λίβα Κάδης τοῦ Βαρνή, καὶ ἐξε-
5 λεύσεται εἰς ἔπαυλιν Ἀράδ, καὶ παρελεύσεται Ἀσεμωνᾶ· 5 καὶ κυκλώσει τὰ
ὅρια ἀπὸ Ἀσεμωνᾶ χειμάῤῥουν Αἰγύπτου, καὶ ἔσται ἡ διέξοδος ἡ θάλασσα.
6 6 καὶ τὰ ὅρια τῆς θαλάσσης ἔσται ὑμῖν· ἡ μεγάλη ὁριεῖ, τοῦτο ἔσται ὑμῖν
7 τὰ ὅρια τῆς θαλάσσης. 7 καὶ τοῦτο ἔσται ὑμῖν τὰ ὅρια πρὸς βοῤῥᾶν· ἀπὸ τῆς
θαλάσσης τῆς μεγάλης καταμετρήσετε ὑμῖν αὐτοῖς παρὰ τὸ ὄρος τὸ ὄρος·
8 8 καὶ ἀπὸ τοῦ ὄρους τὸ ὄρος καταμετρήσετε αὐτοῖς, εἰςπορευομένων εἰς Αἰ-
9 μάθ, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ τὰ ὅρια Σαραδάκ· 9 καὶ ἐξελεύσεται τὰ
ὅρια Δεφρωνά, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ Ἀρσεναΐν· τοῦτο ἔσται ὑμῖν ὅρια
10 ἀπὸ βοῤῥᾶ. 10 καὶ καταμετρήσετε ὑμῖν αὐτοῖς τὰ ὅρια ἀνατολῶν ἀπὸ Ἀρσε-
11 ναῒν Σεπφαμάρ· 11 καὶ καταβήσεται τὰ ὅρια ἀπὸ Σεπφαμὰρ Βηλὰ ἀπὸ
ἀνατολῶν ἐπὶ πηγάς, καὶ καταβήσεται τὰ ὅρια Βηλὰ ἐπὶ νώτου θαλάσσης Χε-
12 νερὲθ ἀπὸ ἀνατολῶν· 12 καὶ καταβήσεται τὰ ὅρια ἐπὶ τὸν Ἰορδάνην, καὶ

41. εν σελμωνα 42. εν φινω 46. εις γελμων 47. (δαιβλαθαιμ) ... αβαρειμ 48. αβαρειμ 49. ασιμωθ ... βελσαττιμ κατα 50. επι του ιορδανου 51. διαβεννετε 53. om παντας 54. την γην κληρωτι ... αυτου εκει· αυτου ita dist. 55. οσους αν καταλειπητε ... εχθρευσουσιν 56. ποιησω υμιν XXXIV. 3. το πρ. βορρα απο 4. ακραβειν ... σεενναχ ... ασελμωνα 5. σελμωνα χειμαρρον 6. θαλασσα pro η θαλασσα ... υμιν το οριον 7. om το ορος alterum 8. καταμετρηθησεται ... εις σαδαδαχ 9. ζεφρωνα ... ασερναΐν 10. υμιν εαυτοις ... ασερναΐν

Digitized by Google

ἔσται ἡ διέξοδος θάλασσα ἡ ἁλυκή. αὕτη ἔσται ὑμῖν ἡ γῆ καὶ τὰ ὅρια
αὐτῆς κύκλῳ. [13] καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ λέγων Αὕτη ἡ γῆ 13
ἣν κατακληρονομήσετε αὐτὴν μετὰ κλήρου, ὃν τρόπον συνέταξε κύριος δοῦ-
ναι αὐτὴν ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ· [14] ὅτι ἔλαβε 14
φυλὴ υἱῶν Ῥουβὴν καὶ φυλὴ υἱῶν Γὰδ κατ' οἴκους πατριῶν αὐτῶν, καὶ τὸ
ἥμισυ φυλῆς Μανασσῆ ἀπέλαβον τοὺς κλήρους αὐτῶν· [15] δύο φυλαὶ καὶ 15
ἥμισυ φυλῆς ἔλαβον τοὺς κλήρους αὐτῶν πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ
ἀπὸ νότου κατ' ἀνατολάς. [16] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων [17] Ταῦτα 16 17
τὰ ὀνόματα τῶν ἀνδρῶν οἳ κληρονομήσουσιν ὑμῖν τὴν γῆν, Ἐλεάζαρ ὁ ἱε-
ρεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυή· [18] καὶ ἄρχοντα ἕνα ἐκ φυλῆς λήψεσθε κατα- 18
κληρονομῆσαι ὑμῖν τὴν γῆν. [19] καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν· τῆς φυ- 19
λῆς Ἰούδα, Χάλεβ υἱὸς Ἰεφοννή· [20] τῆς φυλῆς Συμεών, Σαλαμιὴλ υἱὸς 20
Σεμιούδ· [21] τῆς φυλῆς Βενιαμίν, Ἐλδὰδ υἱὸς Χασλών· [22] τῆς φυλῆς Δάν, 21 22
ἄρχων Βακχὶρ υἱὸς Ἐγλί· [23] τῶν υἱῶν Ἰωσὴφ φυλῆς υἱῶν Μανασσῆ, ἄρχων 23
Ἀνιὴλ υἱὸς Σουφί· [24] τῆς φυλῆς υἱῶν Ἐφραΐμ, ἄρχων Καμουὴλ υἱὸς Σαβα- 24
θάν· [25] τῆς φυλῆς Ζαβουλών, ἄρχων Ἐλισαφὰν υἱὸς Φαρνάχ· [26] τῆς φυλῆς 25 26
υἱῶν Ἰσσάχαρ, ἄρχων Φαλτιὴλ υἱὸς Ὀζᾶ· [27] τῆς φυλῆς υἱῶν Ἀσήρ, ἄρχων 27
Ἀχιὼρ υἱὸς Σελεμί· [28] τῆς φυλῆς Νεφθαλί, ἄρχων Φαδαὴλ υἱὸς Ἰαμιούδ. 28
[29] τούτοις ἐνετείλατο κύριος καταμερίσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ Χαναάν. 29

## XXXV.

Καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδά-
νην κατὰ Ἱεριχὼ λέγων [2] Σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ καὶ δώσουσι τοῖς Λευί- 2
ταις ἀπὸ τῶν κλήρων κατασχέσεως αὐτῶν πόλεις κατοικεῖν, καὶ τὰ προάστεια
τῶν πόλεων κύκλῳ αὐτῶν δώσουσι τοῖς Λευίταις· [3] καὶ ἔσονται αὐτοῖς αἱ πό- 3
λεις κατοικεῖν, καὶ τὰ ἀφορίσματα αὐτῶν ἔσται τοῖς κτήνεσιν αὐτῶν καὶ πᾶσι
τοῖς τετράποσιν αὐτῶν. [4] καὶ τὰ συγκυροῦντα τῶν πόλεων ἃς δώσετε τοῖς 4
Λευίταις ἀπὸ τείχους τῆς πόλεως καὶ ἔξω δισχιλίους πήχεις κύκλῳ· [5] καὶ με- 5
τρήσεις ἔξω τῆς πόλεως τὸ κλίτος τὸ πρὸς ἀνατολὰς δισχιλίους πήχεις, καὶ
τὸ κλίτος τὸ πρὸς λίβα δισχιλίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς θάλασ-
σαν δισχιλίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς βορρᾶν δισχιλίους πήχεις· καὶ
ἡ πόλις μέσον τούτου ἔσται ὑμῖν, καὶ τὰ ὅμορα τῶν πόλεων. [6] καὶ τὰς 6
πόλεις δώσετε τοῖς Λευίταις, τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων ἃς δώσετε
φυγεῖν ἐκεῖ τῷ φονεύσαντι, καὶ πρὸς ταύταις τεσσαράκοντα καὶ δύο πόλεις·
[7] πάσας τὰς πόλεις δώσετε τοῖς Λευίταις τεσσαράκοντα καὶ ὀκτὼ πόλεις, 7
ταύτας καὶ τὰ προάστεια αὐτῶν. [8] καὶ τὰς πόλεις ἃς δώσετε ἀπὸ τῆς κα- 8
τασχέσεως υἱῶν Ἰσραήλ, ἀπὸ τῶν τὰ πολλὰ πολλά, καὶ ἀπὸ τῶν ἐλαττόνων
ἐλάττω· ἕκαστος κατὰ τὴν κληρονομίαν αὐτοῦ ἣν κατακληρονομήσουσι, δώ-
σουσιν ἀπὸ τῶν πόλεων τοῖς Λευίταις. [9] καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέ- 9
γων [10] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς διαβαίνετε 10
τὸν Ἰορδάνην εἰς γῆν Χαναάν, [11] καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς πόλεις· φυγα- 11
δευτήρια ἔσται ὑμῖν, φυγεῖν ἐκεῖ τὸν φονευτήν, πᾶς ὁ πατάξας ψυχὴν ἀκου-
σίως. [12] καὶ ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ 12
αἷμα, καὶ οὐ μὴ ἀποθάνῃ ὁ φονεύων ἕως ἂν στῇ ἔναντι τῆς συναγωγῆς εἰς

13. 14. μαννασση 15. προς ανατολας 17. om υμιν ... ιησους υιος ναυη 18. λημψεσθε 20. υιος εμιουδ 21. βενιαμειν 22. βοκκι υιος εκλι 23. μαννασση ... υιος ουφιδ 27. αχιωβ 28. υιος αμιουδ 29. ουτοι οις ενετειλ. κ. καταμετρησαι τους υιους XXXV. 2. προαστια 3. αι πολεις αυτοις ... αφωρισματα ... ** om κ. πασι τ. τετραπ. αυτ. 6. πολεις ας δωσετε ... φευγειν ... τεσσερακοντα 7. ας δωσετε ... τεσσερακοντα ... προαστια 8. των υιων 10. διαβεννετε 11. φευγειν ... πας παταξας 12. απο αγχιστευοντος

Digitized by Google

13 κρίσιν. [13] καὶ αἱ πόλεις ἃς δώσετε, τὰς ἓξ πόλεις, φυγαδευτήρια ἔσονται ὑμῖν·
14 [14] τὰς τρεῖς πόλεις δώσετε πέραν τοῦ Ἰορδάνου, καὶ τὰς τρεῖς πόλεις δώσετε
15 ἐν γῇ Χαναάν. [15] φυγαδεῖον ἔσται τοῖς υἱοῖς Ἰσραήλ, καὶ τῷ προσηλύτῳ καὶ
τῷ παροίκῳ τῷ ἐν ὑμῖν· ἔσονται αἱ πόλεις αὗται εἰς φυγαδευτήριον, φυγεῖν
16 ἐκεῖ παντὶ πατάξαντι ψυχὴν ἀκουσίως. [16] ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ
17 αὐτὸν καὶ τελευτήσῃ, φονευτής ἐστι, ϑανάτῳ ϑανατούσϑω ὁ φονευτής. [17] ἐὰν
δὲ ἐν λίϑῳ ἐκ χειρὸς ἐν ᾧ ἀποϑανεῖται ἐν αὐτῷ πατάξῃ αὐτόν, καὶ ἀπο-
18 ϑάνῃ, φονευτής ἐστι, ϑανάτῳ ϑανατούσϑω ὁ φονευτής. [18] ἐὰν δὲ ἐν σκεύει
ξυλίνῳ ἐκ χειρὸς ἐξ οὗ ἀποϑανεῖται ἐν αὐτῷ πατάξῃ αὐτόν, καὶ ἀποϑάνῃ,
19 φονευτής ἐστι, ϑανάτῳ ϑανατούσϑω ὁ φονευτής· [19] ὁ ἀγχιστεύων τὸ αἷμα,
οὗτος ἀποκτενεῖ τὸν φονεύσαντα· ὅταν συναντήσῃ αὐτῷ οὗτος, ἀποκτενεῖ αὐ-
20 τόν. [20] ἐὰν δὲ δι' ἔχϑραν ὤσῃ αὐτὸν καὶ ἐπιῤῥίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος ἐξ
21 ἐνέδρου, καὶ ἀποϑάνῃ, [21] ἢ διὰ μῆνιν ἐπάταξεν αὐτὸν τῇ χειρί, καὶ ἀποϑάνῃ,
ϑανάτῳ ϑανατούσϑω ὁ πατάξας, φονευτής ἐστι, ϑανάτῳ ϑανατούσϑω ὁ φο-
νεύων· ὁ ἀγχιστεύων τὸ αἷμα ἀποκτενεῖ τὸν φονεύσαντα ἐν τῷ συναντῆσαι
22 αὐτῷ. [22] ἐὰν δὲ ἐξάπινα οὐ δι' ἔχϑραν ὤσῃ αὐτὸν ἢ ἐπιῤῥίψῃ ἐπ' αὐτὸν πᾶν
23 σκεῦος οὐκ ἐξ ἐνέδρου, [23] ἢ παντὶ λίϑῳ ἐν ᾧ ἀποϑανεῖται ἐν αὐτῷ οὐκ εἰ-
δώς, καὶ ἐπιπέσῃ ἐπ' αὐτόν, καὶ ἀποϑάνῃ, αὐτὸς δὲ οὐκ ἐχϑρὸς αὐτοῦ ἦν
24 οὐδὲ ζητῶν κακοποιῆσαι αὐτόν, [24] καὶ κρινεῖ ἡ συναγωγὴ ἀνὰ μέσον τοῦ πα-
τάξαντος καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα.
25 [25] καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα,
καὶ ἀποκαταστήσουσιν αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου
αὐτοῦ οὗ κατέφυγε, καὶ κατοικήσει ἐκεῖ ἕως ἂν ἀποϑάνῃ ὁ ἱερεὺς ὁ μέγας,
26 ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ. [26] ἐὰν δὲ ἐξόδῳ ἐξέλϑῃ ὁ φονεύσας τὰ
27 ὅρια τῆς πόλεως εἰς ἣν κατέφυγεν ἐκεῖ, [27] καὶ εὕρῃ αὐτὸν ὁ ἀγχιστεύων τὸ
αἷμα ἔξω τῶν ὁρίων τῆς πόλεως καταφυγῆς αὐτοῦ, καὶ φονεύσῃ ὁ ἀγχιστεύων
28 τὸ αἷμα τὸν φονεύσαντα, οὐκ ἔνοχός ἐστιν· [28] ἐν γὰρ τῇ πόλει τῆς καταφυγῆς
κατοικείτω ἕως ἂν ἀποϑάνῃ ὁ ἱερεὺς ὁ μέγας, καὶ μετὰ τὸ ἀποϑανεῖν τὸν
ἱερέα τὸν μέγαν ἐπαναστραφήσεται ὁ φονεύσας εἰς τὴν γῆν τῆς κατασχέ-
29 σεως αὐτοῦ. [29] καὶ ἔσται ταῦτα ὑμῖν εἰς δικαίωμα κρίματος εἰς τὰς γενεὰς
30 ὑμῶν ἐν πάσαις ταῖς κατοικίαις ὑμῶν. [30] πᾶς πατάξας ψυχήν, διὰ μαρτύρων
φονεύσεις τὸν φονεύσαντα, καὶ μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποϑα-
31 νεῖν· [31] καὶ οὐ λήψεσϑε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ ἐνόχου
32 ὄντος ἀναιρεϑῆναι, ϑανάτῳ γὰρ ϑανατωϑήσεται. [32] οὐ λήψεσϑε λύτρα τοῦ φυ-
γεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων, τοῦ πάλιν κατοικεῖν ἐπὶ τῆς γῆς, ἕως ἂν
33 ἀποϑάνῃ ὁ ἱερεὺς ὁ μέγας· [33] καὶ οὐ μὴ φονοκτονήσητε τὴν γῆν εἰς ἣν ὑμεῖς
κατοικεῖτε, τὸ γὰρ αἷμα τοῦτο φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλασϑήσεται ἡ
γῆ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυϑέντος ἐπ' αὐτῆς ἀλλ' ἐπὶ τοῦ αἵματος τοῦ ἐκ-
34 χέοντος· [34] καὶ οὐ μιανεῖτε τὴν γῆν ἐφ' ἧς κατοικεῖτε ἐπ' αὐτῆς, ἐφ' ἧς ἐγὼ
κατασκηνῶ ἐν ὑμῖν· ἐγὼ γάρ εἰμι κύριος κατασκηνῶν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.

## XXXVI.

Καὶ προσῆλϑον οἱ ἄρχοντες φυλῆς υἱῶν Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μα-
νασσῆ ἐκ τῆς φυλῆς υἱῶν Ἰωσήφ, καὶ ἐλάλησαν ἔναντι Μωυσῆ καὶ ἔναντι
Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἔναντι τῶν ἀρχόντων οἴκων πατριῶν τῶν υἱῶν Ἰσραήλ,

---

14. εν τω περαν 15. φυγαδιον ... φευγειν 18. * om εν αυτω ... ϑανατω αποϑανειται ο φον. 20. επιριψη 21. παταξει pro αποκτενει 22. εξαπινης ... επιριψη 25. και εις την πολ. του φυγαδ. αποκαταστησει αυτον η συναγωγη ου κατεφυγεν 28. καταφυγης αυτου 30. φονευσει 31. λημψεσϑε λ. επι ψ. 32. λημψεσϑε ... φευγειν 33. γην εφ ης υμ. κατ. επ αυτης ... και ου μη εξιλασϑ. 34. κατασκηνω επ αυτης· εγω ... κυρ. ο κατασκ. εμμεσω XXXVI. 1. αρχ. πατριων φυλης ... μαχειρ ... μαννασση

Digitized by Google

2 καὶ εἶπαν Τῷ κυρίῳ ἡμῶν ἐνετείλατο κύριος ἀποδοῦναι τὴν γῆν τῆς κλη- 2
ρονομίας ἐν κλήρῳ τοῖς υἱοῖς Ἰσραήλ, καὶ τῷ κυρίῳ συνέταξε κύριος δοῦναι
τὴν κληρονομίαν Σαλπαὰδ τοῦ ἀδελφοῦ ἡμῶν ταῖς θυγατράσιν αὐτοῦ· 3 καὶ 3
ἔσονται ἑνὶ τῶν φυλῶν υἱῶν Ἰσραὴλ γυναῖκες, καὶ ἀφαιρεθήσεται ὁ κλῆρος
αὐτῶν ἐκ τῆς κατασχέσεως τῶν πατέρων ἡμῶν, καὶ προστεθήσεται εἰς κλη-
ρονομίαν τῆς φυλῆς οἷς ἂν γένωνται γυναῖκες, καὶ ἐκ τοῦ κλήρου τῆς κλη-
ρονομίας ἡμῶν ἀφαιρεθήσεται. 4 ἐὰν δὲ γένηται ἡ ἄφεσις τῶν υἱῶν Ἰσραήλ, 4
καὶ προστεθήσεται ἡ κληρονομία αὐτῶν ἐπὶ τὴν κληρονομίαν τῆς φυλῆς οἷς
ἂν γένωνται γυναῖκες, καὶ ἀπὸ τῆς κληρονομίας φυλῆς πατριᾶς ἡμῶν ἀφαι-
ρεθήσεται ἡ κληρονομία αὐτῶν. 5 καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ 5
διὰ προστάγματος κυρίου λέγων Οὕτως φυλὴ υἱῶν Ἰωσὴφ λέγουσι. 6 τοῦτο 6
τὸ ῥῆμα ὃ συνέταξε κύριος ταῖς θυγατράσι Σαλπαὰδ λέγων Οὗ ἀρέσκῃ ἐναν-
τίον αὐτῶν ἔστωσαν γυναῖκες, πλὴν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῶν ἔστω-
σαν γυναῖκες· 7 καὶ οὐχὶ περιστραφήσεται κληρονομία τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ 7
φυλῆς ἐπὶ φυλήν, ὅτι ἕκαστος ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατριᾶς αὐ-
τοῦ προσκολληθήσονται οἱ υἱοὶ Ἰσραήλ. 8 καὶ πᾶσα θυγάτηρ ἀγχιστεύουσα 8
κληρονομίαν ἐκ τῶν φυλῶν υἱῶν Ἰσραήλ, ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς
αὐτῆς ἔσονται γυναῖκες, ἵνα ἀγχιστεύσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἕκαστος τὴν κλη-
ρονομίαν τὴν πατρικὴν αὐτοῦ· 9 καὶ οὐ περιστραφήσεται ὁ κλῆρος ἐκ φυλῆς 9
ἐπὶ φυλὴν ἑτέραν, ἀλλ' ἕκαστος ἐν τῇ κληρονομίᾳ αὐτοῦ προσκολληθήσονται
οἱ υἱοὶ Ἰσραήλ. 10 ὃν τρόπον συνέταξε κύριος Μωυσῇ, οὕτως ἐποίησαν θυγα- 10
τράσι Σαλπαάδ· 11 καὶ ἐγένοντο Θερσὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Νουὰ καὶ 11
Μαλαὰ θυγατέρες Σαλπαὰδ τοῖς ἀνεψιοῖς αὐτῶν, 12 ἐκ τοῦ δήμου τοῦ Μα- 12
νασσῆ υἱῶν Ἰωσὴφ ἐγενήθησαν γυναῖκες· καὶ ἐγενήθη ἡ κληρονομία αὐτῶν
ἐπὶ τὴν φυλὴν δήμου τοῦ πατρὸς αὐτῶν. αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα
καὶ τὰ κρίματα ἃ ἐνετείλατο κύριος ἐν χειρὶ Μωυσῆ ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ
τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

Τέλος τῶν ἀριθμῶν.

# ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ.

## I.

Οὗτοι οἱ λόγοι οὓς ἐλάλησε Μωυσῆς παντὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου
ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς πλησίον τῆς ἐρυθρᾶς θαλάσσης ἀνὰ μέσον Φα-
ράν, Τοφὸλ καὶ Λοβὸν καὶ Αὐλὼν καὶ Καταχρύσεα· 2 ἕνδεκα ἡμερῶν ἐκ Χω- 2
ρὴβ ὁδὸς ἐπ' ὄρος Σηεὶρ ἕως Κάδης Βαρνή. 3 καὶ ἐγενήθη ἐν τῷ τεσσαρα- 3
κοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς ἐλάλησε Μωυσῆς πρὸς πάν-
τας υἱοὺς Ἰσραήλ, κατὰ πάντα ὅσα ἐνετείλατο κύριος αὐτῷ πρὸς αὐτούς,
4 μετὰ τὸ πατάξαι Σηὼν βασιλέα Ἀμορραίων τὸν κατοικήσαντα ἐν Ἐσεβὼν 4

2. συνεταξ. δουν. κυρ. 3. προστεθησονται εις την...(του κληρους) 4. η αφαιρεσις 6. αρεσκει 7. om και ab initio 8. om εκ των φυλων 9. και περιστραφησεται κληρος 10. κυρ. προς μωυσην ... εποιησ. θυγατερες 11. μαλαα και θερσα και αιγλα κ. μελχα κ. νουα 12. δημου μαννασση ... εγεν. αυτοις γυναικες

Subscriptio: αριθμοι

Inscriptio: δευτερονομιον

I, 1. Και ουτοι ... om θαλασσης 3. τεσσερακοστω 4. τον σηων βασ. των αμορρ.

Digitized by Google

καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν τὸν κατοικήσαντα ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν,
5 [5] ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν γῇ Μωὰβ ἤρξατο Μωυσῆς διασαφῆσαι τὸν
6 νόμον τοῦτον λέγων [6] Κύριος ὁ θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν Χωρὴβ λέγων
7 Ἱκανούσθω ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τούτῳ· [7] ἐπιστράφητε καὶ ἀπάρατε
ὑμεῖς καὶ εἰςπορεύεσθε εἰς ὄρος Ἀμοῤῥαίων καὶ πρὸς πάντας τοὺς περιοίκους
Ἄραβα, εἰς ὄρος καὶ πεδίον, καὶ πρὸς λίβα καὶ παραλίαν γῆν Χαναναίων καὶ
8 Ἀντιλίβανον, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου. [8] ἴδετε πα-
ραδέδωκεν ἐνώπιον ὑμῶν τὴν γῆν, εἰςπορευθέντες κληρονομήσατε τὴν γῆν ἣν
ὤμοσα τοῖς πατράσιν ὑμῶν, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, δοῦναι αὐ-
9 τοῖς καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. [9] καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ
10 ἐκείνῳ λέγων Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς· [10] κύριος ὁ θεὸς ὑμῶν ἐπλή-
θυνεν ὑμᾶς, καὶ ἰδού ἐστε σήμερον ὡςεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει·
11 [11] κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν προςθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως, καὶ
12 εὐλογήσαι ὑμᾶς καθότι ἐλάλησεν ὑμῖν. [12] πῶς δυνήσομαι μόνος φέρειν τὸν
13 κόπον ὑμῶν καὶ τὴν ὑπόστασιν ὑμῶν καὶ τὰς ἀντιλογίας ὑμῶν; [13] δότε ἑαυ-
τοῖς ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς εἰς τὰς φυλὰς ὑμῶν, καὶ
14 καταστήσω ἐφ' ὑμῶν ἡγουμένους ὑμῶν. [14] καὶ ἀπεκρίθητέ μοι καὶ εἴπατε
15 Καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας ποιῆσαι. [15] καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς
καὶ ἐπιστήμονας καὶ συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν,
χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους καὶ γραμ-
16 ματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν. [16] καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν
τῷ καιρῷ ἐκείνῳ λέγων Διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρί-
νατε δικαίως ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον ἀδελφοῦ καὶ ἀνὰ μέσον προςη-
17 λύτου αὐτοῦ· [17] οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ
τὸν μέγαν κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ
θεοῦ ἐστί· καὶ τὸ ῥῆμα ὃ ἐὰν σκληρὸν ᾖ ἀφ' ὑμῶν, ἀνοίσετε αὐτὸ ἐπ' ἐμέ,
18 καὶ ἀκούσομαι αὐτό. [18] καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ πάντας
19 τοὺς λόγους οὓς ποιήσετε. [19] καὶ ἀπάραντες ἐκ Χωρὴβ ἐπορεύθημεν πᾶσαν
τὴν ἔρημον τὴν μεγάλην καὶ τὴν φοβερὰν ἐκείνην ἣν εἴδετε ὁδὸν ὄρους τοῦ
Ἀμοῤῥαίου, καθότι ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν ἡμῖν, καὶ ἤλθομεν ἕως
20 Κάδης Βαρνή. [20] καὶ εἶπα πρὸς ὑμᾶς Ἤλθατε ἕως τοῦ ὄρους τοῦ Ἀμοῤῥαίου,
21 ὃ κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ὑμῖν· [21] ἴδετε παραδέδωκεν ἡμῖν κύριος ὁ θεὸς
ὑμῶν πρὸ προσώπου ὑμῶν τὴν γῆν, ἀναβάντες κληρονομήσατε, ὃν τρόπον εἶπε
22 κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν ὑμῖν· μὴ φοβεῖσθε μηδὲ δειλιάσητε. [22] καὶ
προςήλθατέ μοι πάντες καὶ εἴπατε Ἀποστείλωμεν ἄνδρας προτέρους ἡμῶν καὶ
ἐφοδευσάτωσαν ἡμῖν τὴν γῆν, καὶ ἀναγγειλάτωσαν ἡμῖν ἀπόκρισιν, τὴν ὁδὸν
δι' ἧς ἀναβησόμεθα ἐν αὐτῇ, καὶ τὰς πόλεις εἰς ἃς εἰςπορευσόμεθα εἰς αὐ-
23 τάς. [23] καὶ ἤρεσεν ἐναντίον μου τὸ ῥῆμα, καὶ ἔλαβον ἐξ ὑμῶν δώδεκα ἄν-
24 δρας, ἄνδρα ἕνα κατὰ φυλήν. [24] καὶ ἐπιστραφέντες ἀνέβησαν εἰς τὸ ὄρος,
25 καὶ ἤλθοσαν ἕως φάραγγος Βότρυος, καὶ κατεσκόπευσαν αὐτήν· [25] καὶ ἐλά-
βοσαν ἐν ταῖς χερσὶν αὐτῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς καὶ κατήνεγκαν πρὸς
26 ὑμᾶς, καὶ ἔλεγον Ἀγαθὴ ἡ γῆ ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. [26] καὶ
οὐκ ἠθελήσατε ἀναβῆναι, ἀλλ' ἠπειθήσατε τῷ ῥήματι κυρίου τοῦ θεοῦ ἡμῶν·
27 [27] καὶ διεγογγύζετε ἐν ταῖς σκηναῖς ὑμῶν καὶ εἴπατε Διὰ τὸ μισεῖν κύριον

4. εδραειν 7. του μεγαλου ευφρατου 8. παραδεδωκα ... εισελθοντες pro εισπορευθεντες ... τω ισαακ ... τω ιακωβ 10. θεος ημων 12. φερειν μονος 13. * αυτους ηγουμ. υμων, ** αυτους εφ υμας ηγουμ. υμ. 15. δεκαδαρχους 16. κρινετε ... του αδελφου αυτου 17. επιγνωσεσθε ... η σκληρον 18. τους παντας λογους 19. σοχωθ pro χωρηβ 20. εως ορους ... ὃ ὁ κυριος ... διδωσιν ημιν 21. om ημιν ... κληρονομειτε 22. εισπορευομεθα 23. ενωπιον μου 25. ελαβον ... προς ημας 26. θεου υμων 27. διεγογγυσατε

Digitized by Google

ἡμᾶς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, παραδοῦναι ἡμᾶς εἰς χεῖρας Ἀμορ-
ραίων, ἐξολοθρεῦσαι ἡμᾶς. [28] ποῦ ἡμεῖς ἀναβαίνομεν; οἱ δὲ ἀδελφοὶ ὑμῶν 28
ἀπέστησαν τὴν καρδίαν ὑμῶν λέγοντες Ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτε-
ρον ἡμῶν, καὶ πόλεις μεγάλαι καὶ τετειχισμέναι ἕως τοῦ οὐρανοῦ, ἀλλὰ καὶ
υἱοὺς γιγάντων ἑωράκαμεν ἐκεῖ. [29] καὶ εἶπα πρὸς ὑμᾶς Μὴ πτήξητε μηδὲ φο- 29
βηθῆτε ἀπ' αὐτῶν· [30] κύριος ὁ θεὸς ὑμῶν ὁ προπορευόμενος πρὸ προσώπου 30
ὑμῶν, αὐτὸς συνεκπολεμήσει αὐτοὺς μεθ' ὑμῶν κατὰ πάντα ὅσα ἐποίησεν ὑμῖν
Act. 13, 18. ἐν γῇ Αἰγύπτῳ, [31] καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, ἣν εἴδετε ὁδὸν ὄρους τοῦ Ἀμορ- 31
ραίου, ὡς τροφοφορήσει σε κύριος ὁ θεός σου ὡς εἴ τις τροφοφορήσαι ἄν-
θρωπος τὸν υἱὸν αὐτοῦ, κατὰ πᾶσαν τὴν ὁδὸν εἰς ἣν ἐπορεύθητε ἕως ἤλθετε
εἰς τὸν τόπον τοῦτον. [32] καὶ ἐν τῷ λόγῳ τούτῳ οὐκ ἐνεπιστεύσατέ κυρίῳ τῷ 32
θεῷ ἡμῶν, [33] ὃς προπορεύεται πρότερος ὑμῶν ἐν τῇ ὁδῷ ἐκλέγεσθαι ὑμῖν τό- 33
πον, ὁδηγῶν ὑμᾶς ἐν πυρὶ νυκτός, δεικνύων ὑμῖν τὴν ὁδὸν καθ' ἣν πορεύε-
σθε ἐπ' αὐτῆς, καὶ ἐν νεφέλῃ ἡμέρας. [34] καὶ ἤκουσε κύριος τὴν φωνὴν τῶν 34
λόγων ὑμῶν, καὶ παροξυνθεὶς ὤμοσε λέγων [35] Εἰ ὄψεταί τις τῶν ἀνδρῶν τού- 35
των τὴν γῆν ἀγαθὴν ταύτην, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν· [36] πλὴν Χάλεβ 36
υἱὸς Ἰεφοννή, οὗτος ὄψεται αὐτήν, καὶ τούτῳ δώσω τὴν γῆν ἐφ' ἣν ἐπέβη
καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ τὸ προσκεῖσθαι αὐτὸν τὰ πρὸς κύριον. [37] καὶ ἐμοὶ 37
ἐθυμώθη κύριος δι' ὑμᾶς λέγων Οὐδὲ σὺ οὐ μὴ εἰςέλθῃς ἐκεῖ· [38] Ἰησοῦς υἱὸς 38
Ναυὴ ὁ παρεστηκώς σοι, οὗτος εἰςελεύσεται ἐκεῖ· αὐτὸν κατίσχυσον, ὅτι αὐ-
τὸς κατακληρονομήσει αὐτὴν τῷ Ἰσραήλ. [39] καὶ πᾶν παιδίον νέον ὅστις οὐκ 39
οἶδε σήμερον ἀγαθὸν ἢ κακόν, οὗτοι εἰςελεύσονται ἐκεῖ, καὶ τούτοις δώσω αὐ-
τήν, καὶ αὐτοὶ κληρονομήσουσιν αὐτήν. [40] καὶ ὑμεῖς ἐπιστραφέντες ἐστρατο- 40
πεδεύσατε εἰς τὴν ἔρημον, ὁδὸν τὴν ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης· [41] καὶ ἀπεκρί- 41
θητε καὶ εἴπατε Ἡμάρτομεν ἔναντι κυρίου τοῦ θεοῦ ἡμῶν· ἡμεῖς ἀναβάντες
πολεμήσομεν κατὰ πάντα ὅσα ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν ἡμῖν. καὶ ἀνα-
λαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτοῦ καὶ συναθροισθέντες ἀνεβαί-
νετε εἰς τὸ ὄρος. [42] καὶ εἶπε κύριος πρὸς μέ Εἰπὸν αὐτοῖς Οὐκ ἀναβήσεσθε 42
οὐδὲ μὴ πολεμήσετε, οὐ γάρ εἰμι μεθ' ὑμῶν, καὶ οὐ μὴ συντριβῆτε ἐνώπιον
τῶν ἐχθρῶν ὑμῶν. [43] καὶ ἐλάλησα ὑμῖν, καὶ οὐκ εἰςηκούσατέ μου· καὶ παρέ- 43
βητε τὸ ῥῆμα κυρίου, καὶ παραβιασάμενοι ἀνέβητε εἰς τὸ ὄρος. [44] καὶ ἐξῆλ- 44
θεν ὁ Ἀμορραῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ εἰς συνάντησιν ὑμῖν, καὶ κα-
τεδίωξεν ὑμᾶς ὡςεὶ ποιήσαισαν αἱ μέλισσαι, καὶ ἐτίτρωσκον ὑμᾶς ἀπὸ Σηεὶρ
ἕως Ἑρμᾶ. [45] καὶ καθίσαντες ἐκλαίετε ἐναντίον κυρίου τοῦ θεοῦ ἡμῶν, καὶ 45
οὐκ εἰςήκουσε κύριος τῆς φωνῆς ὑμῶν οὐδὲ προσέσχεν ὑμῖν· [46] καὶ ἐνεκάθησθε 46
ἐν Κάδης ἡμέρας πολλάς, ὅσας ποτὲ ἡμέρας ἐνεκάθησθε.

## II.

Καὶ ἐπιστραφέντες ἀπήραμεν εἰς τὴν ἔρημον ὁδὸν θάλασσαν ἐρυθράν,
ὃν τρόπον ἐλάλησε κύριος πρὸς μέ, καὶ ἐκυκλώσαμεν τὸ ὄρος τὸ Σηεὶρ ἡμέ-
ρας πολλάς. [2] καὶ εἶπε κύριος πρὸς μέ [3] Ἱκανούσθω ὑμῖν κυκλοῦν τὸ ὄρος τοῦτο, 2 3
ἐπιστράφητε οὖν ἐπὶ βορρᾶν· [4] καὶ τῷ λαῷ ἔντειλαι λέγων Ὑμεῖς παραπο- 4
ρεύεσθε διὰ τῶν ὁρίων τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἡσαῦ, οἳ κατοικοῦσιν ἐν
Σηείρ, καὶ φοβηθήσονται ὑμᾶς καὶ εὐλαβηθήσονται ὑμᾶς σφόδρα. [5] μὴ συν- 5

---

27. ε. τας χειρ. των αμορραιων ... εξολεθρευσαι 30. ** in fine add κατ οφθαλμους αυτων 31. om οδον ορ. τ. αμορραιου ... ως ετροφοφορησεν ... ωςει τροφοφορησαι ... οδον ην 32. θεω υμων 33. πορευεται ... δειγνυων ... πορευεσθ. εν αυτη 34. και ως ηκουσεν ... υμων, παροξυνθεις 35. την αγαθην 38. κατακληροδοτησει ... in fine add και τα παιδια υμων α ειπατε εν διαρπαγη εσεσθε 41. ειπατε μοι ... εναντιον κυριου ... ημων ημεις· αναβαντες ita dist. ... πολεμησωμεν ... ανεβεννετε 45. εναντι κυριου, και ουκ II. 3. προς βορραν 4. om υμας ante σφοδρα

ἅψητε πρὸς αὐτοὺς πόλεμον· οὐ γὰρ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν οὐδὲ βῆμα
6 ποδός, ὅτι ἐν κλήρῳ δέδωκα τοῖς υἱοῖς Ἡσαῦ τὸ ὄρος τὸ Σηείρ. [6]ἀργυρίου
βρώματα ἀγοράσατε παρ' αὐτῶν καὶ φάγεσθε, καὶ ὕδωρ μέτρῳ λήψεσθε παρ'
7 αὐτῶν ἀργυρίου καὶ πίεσθε· [7]ὁ γὰρ κύριος ὁ θεὸς ἡμῶν εὐλόγησέ σε ἐν παντὶ
ἔργῳ τῶν χειρῶν σου. διάγνωθι πῶς διῆλθες τὴν ἔρημον τὴν μεγάλην καὶ
τὴν φοβερὰν ἐκείνην, ἰδοὺ τεσσαράκοντα ἔτη κύριος ὁ θεός σου μετὰ σοῦ, οὐκ
8 ἐπεδεήθης ῥήματος. [8]καὶ παρήλθομεν τοὺς ἀδελφοὺς ἡμῶν υἱοὺς Ἡσαῦ, τοὺς
κατοικοῦντας ἐν Σηεὶρ παρὰ τὴν ὁδὸν τὴν Ἄραβα ἀπὸ Αἰλὼν καὶ ἀπὸ Γεσιὼν
9 Γάβερ· καὶ ἐπιστρέψαντες παρήλθομεν ὁδὸν ἔρημον Μωάβ. [9]καὶ εἶπε κύριος
πρὸς μέ Μὴ ἐχθραίνετε τοῖς Μωαβίταις καὶ μὴ συνάψητε πρὸς αὐτοὺς πό-
λεμον· οὐ γὰρ μὴ δῶ ἀπὸ τῆς γῆς αὐτῶν ὑμῖν ἐν κλήρῳ, τοῖς γὰρ υἱοῖς Λὼτ
10 δέδωκα τὴν Ἀροὴρ κληρονομεῖν. [10]οἱ Ὀμμὶν πρότεροι ἐνεκάθηντο ἐπ' αὐτῆς,
11 ἔθνος μέγα καὶ πολύ, καὶ ἰσχύοντες ὥςπερ οἱ Ἐνακίμ· [11]Ῥαφαῒν λογισθή-
σονται καὶ οὗτοι ὥςπερ καὶ οἱ Ἐνακίμ, καὶ οἱ Μωαβῖται ἐπονομάζουσιν αὐ-
12 τοὺς Ὀμμίν. [12]καὶ ἐν Σηεὶρ ἐνεκάθητο ὁ Χοῤῥαῖος τὸ πρότερον, καὶ υἱοὶ
Ἡσαῦ ἀπώλεσαν αὐτοὺς καὶ ἐξέτριψαν αὐτοὺς ἀπὸ προσώπου αὐτῶν, καὶ κατ-
ῳκίσθησαν ἀντ' αὐτῶν· ὃν τρόπον ἐποίησεν Ἰσραὴλ τὴν γῆν τῆς κληρονομίας
13 αὐτοῦ, ἣν δέδωκε κύριος αὐτοῖς. [13]νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε ὑμεῖς, καὶ
14 παραπορεύεσθε τὴν φάραγγα Ζαρέδ. [14]καὶ αἱ ἡμέραι ἃς παρεπορεύθημεν ἀπὸ
Κάδης Βαρνὴ ἕως οὗ παρήλθομεν τὴν φάραγγα Ζαρὲδ τριάκοντα καὶ ὀκτὼ
ἔτη, ἕως οὗ διέπεσε πᾶσα γενεὰ ἀνδρῶν πολεμιστῶν ἀποθνήσκοντες ἐκ τῆς
15 παρεμβολῆς, καθότι ὤμοσε κύριος ὁ θεὸς αὐτοῖς· [15]καὶ ἡ χεὶρ τοῦ θεοῦ ἦν ἐπ'
16 αὐτοῖς ἐξαναλῶσαι αὐτοὺς ἐκ μέσου τῆς παρεμβολῆς, ἕως οὗ διέπεσαν. [16]καὶ
ἐγενήθη ἐπειδὴ ἔπεσαν πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἀποθνήσκοντες ἐκ μέ-
17 18 σου τοῦ λαοῦ, [17]καὶ ἐλάλησε κύριος πρὸς μὲ λέγων [18]Σὺ παραπορεύσῃ σή-
19 μερον τὰ ὅρια Μωὰβ τὴν Ἀροήρ, [19]καὶ προσάξετε ἐγγὺς υἱῶν Ἀμμάν· μὴ
ἐχθραίνετε αὐτοῖς μηδὲ συνάψητε αὐτοῖς εἰς πόλεμον, οὐ γὰρ μὴ δῶ ἀπὸ τῆς
γῆς υἱῶν Ἀμμὰν σοὶ ἐν κλήρῳ, ὅτι τοῖς υἱοῖς Λὼτ δέδωκα αὐτὴν ἐν κλήρῳ.
20 [20]γῆ Ῥαφαῒν λογισθήσεται, καὶ γὰρ ἐπ' αὐτῆς κατῴκουν οἱ Ῥαφαῒν τὸ πρό-
21 τερον, καὶ οἱ Ἀμμανῖται ἐπονομάζουσιν αὐτοὺς Ζοχομμίν, [21]ἔθνος μέγα καὶ
πολὺ καὶ δυνατώτερον ὑμῶν ὥςπερ καὶ οἱ Ἐνακίμ· καὶ ἀπώλεσεν αὐτοὺς κύ-
ριος πρὸ προσώπου αὐτῶν, καὶ κατεκληρονόμησαν καὶ κατῳκίσθησαν ἀντ' αὐ-
22 τῶν ἕως τῆς ἡμέρας ταύτης· [22]ὥςπερ ἐποίησαν τοῖς υἱοῖς Ἡσαῦ τοῖς κατοι-
κοῦσιν ἐν Σηείρ, ὃν τρόπον ἐξέτριψαν τὸν Χοῤῥαῖον ἀπὸ προσώπου αὐτῶν,
καὶ κατεκληρονόμησαν αὐτοὺς καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν ἕως τῆς ἡμέρας
23 ταύτης· [23]καὶ οἱ Εὐαῖοι οἱ κατοικοῦντες ἐν Ἀσηδὼθ ἕως Γάζης, καὶ οἱ Καπ-
πάδοκες οἱ ἐξελθόντες ἐκ Καππαδοκίας ἐξέτριψαν αὐτοὺς καὶ κατῳκίσθησαν
24 ἀντ' αὐτῶν. [24]νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε, καὶ παρέλθετε ὑμεῖς τὴν φά-
ραγγα Ἀρνῶν· ἰδοὺ παραδέδωκα εἰς τὰς χεῖράς σου τὸν Σηὼν βασιλέα Ἐσεβὼν
τὸν Ἀμοῤῥαῖον καὶ τὴν γῆν αὐτοῦ· ἐνάρχου κληρονομεῖν, σύναπτε πρὸς αὐτὸν

5. ου γαρ μη δωσω 6. αγορ. απ αυτων ... λημψεσθε 7. θεος υμων ... φοβεραν ταυτην ... τεσσερακοντα 8. γασιων ... επιστραφεντες 9. δω υμιν απο, postea om υμιν 10. οι οομμειν το προτερον ... πολυ και ισχυρον ωςπερ οι εναχειμ 11. ραφαειμ ... ωςπερ οι εναχειμ ... ομμιειν 12. και οι υιοι ησ. εξετρ. αυτ. και απωλ. αυτ. απο ... γην κληρονομιας ... ην εδωκεν 13. αναστητε υμεις και παραπορευεσθε ... ** ζαρετ (*ζαρε? ζαρετ?) και παρηλθομεν την φαραγγα ζαρε 14. ζαρετ (v. Prolegg.) ... πασα η γενεα ... * om αποθνησκοντες ... om ο θεος 15. χειρ κυριου ην ... του εξαναλ. α. εκ της 18. παραπορευη 19. εκχθραινετε α. και μη συναψ. 20. ραφαειμ ... οι ραφαειμ κατωκουν ... ζομζομμειν 21. om υμων ... ωςπερ οι εναχειμ ... απο προσωπου 22. εποιησεν 23. εν ασηρωθ 24. om ουν ... παρελθατε

Digitized by Google

πόλεμον. [25] ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐνάρχου δοῦναι τὸν τρόμον σου καὶ τὸν φόβον 25
σου ἐπὶ προσώπου πάντων τῶν ἐθνῶν τῶν ὑποκάτω τοῦ οὐρανοῦ, οἵτινες ἀκού-
σαντες τὸ ὄνομά σου ταραχθήσονται καὶ ὠδῖνας ἕξουσιν ἀπὸ προσώπου σου.
[26] καὶ ἀπέστειλα πρέσβεις ἐκ τῆς ἐρήμου Κεδαμὼθ πρὸς Σηὼν βασιλέα Ἐσε- 26
βὼν λόγοις εἰρηνικοῖς λέγων [27] Παρελεύσομαι διὰ τῆς γῆς σου· ἐν τῇ ὁδῷ πο- 27
ρεύσομαι, οὐκ ἐκκλινῶ δεξιὰ οὐδ᾽ ἀριστερά, [28] βρώματα ἀργυρίου ἀποδώσῃ 28
μοι καὶ φάγομαι, καὶ ὕδωρ ἀργυρίου ἀποδώσῃ μοι καὶ πίομαι· πλὴν ὅτι παρε-
λεύσομαι τοῖς ποσί, [29] καθὼς ἐποίησάν μοι οἱ υἱοὶ Ἡσαῦ οἱ κατοικοῦντες ἐν 29
Σηεὶρ καὶ οἱ Μωαβῖται οἱ κατοικοῦντες ἐν Ἀροήρ, ἕως ἂν παρέλθω τὸν Ἰορ-
δάνην εἰς τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. [30] καὶ οὐκ ἠθέλησε 30
Σηὼν βασιλεὺς Ἐσεβὼν παρελθεῖν ἡμᾶς δι᾽ αὐτοῦ, ὅτι ἐσκλήρυνε κύριος ὁ
θεὸς ἡμῶν τὸ πνεῦμα αὐτοῦ, καὶ κατίσχυσε τὴν καρδίαν αὐτοῦ, ἵνα παραδοθῇ
εἰς τὰς χεῖράς σου ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ. [31] καὶ εἶπε κύριος πρὸς μέ Ἰδοὺ 31
ἦργμαι παραδοῦναι πρὸ προσώπου σου τὸν Σηὼν βασιλέα Ἐσεβὼν τὸν Ἀμοῤ-
ῥαῖον καὶ τὴν γῆν αὐτοῦ, καὶ ἔναρξαι κληρονομῆσαι τὴν γῆν αὐτοῦ. [32] καὶ 32
ἐξῆλθε Σηὼν βασιλεὺς Ἐσεβὼν εἰς συνάντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ λαὸς
αὐτοῦ, εἰς πόλεμον εἰς Ἰασσά. [33] καὶ παρέδωκεν αὐτὸν κύριος ὁ θεὸς ἡμῶν 33
πρὸ προσώπου ἡμῶν, καὶ ἐπατάξαμεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πάντα
τὸν λαὸν αὐτοῦ· [34] καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ 34
ἐκείνῳ, καὶ ἐξωλοθρεύσαμεν πᾶσαν πόλιν ἑξῆς καὶ τὰς γυναῖκας αὐτῶν καὶ
τὰ τέκνα αὐτῶν· οὐ κατελίπομεν ζωγρίαν. [35] πλὴν τὰ κτήνη ἐπρονομεύσαμεν 35
καὶ τὰ σκῦλα τῶν πόλεων ἐλάβομεν, [36] ἐξ Ἀροὴρ ἥ ἐστι παρὰ τὸ χεῖλος χει- 36
μάῤῥου Ἀρνῶν, καὶ τὴν πόλιν τὴν οὖσαν ἐν τῇ φάραγγι, καὶ ἕως ὄρους τοῦ
Γαλαάδ· οὐκ ἐγενήθη πόλις ἥτις διέφυγεν ἡμᾶς, τὰς πάσας παρέδωκε κύριος
ὁ θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν. [37] πλὴν ἐγγὺς υἱῶν Ἀμμὰν οὐ προσήλθο- 37
μεν, πάντα τὰ συγκυροῦντα χειμάῤῥου Ἰαβὸκ καὶ τὰς πόλεις τὰς ἐν τῇ ὀρεινῇ,
καθότι ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν ἡμῖν.

## III.

Καὶ ἐπιστραφέντες ἀνέβημεν ὁδὸν τὴν εἰς Βασάν· καὶ ἐξῆλθεν Ὢγ βασι-
λεὺς τῆς Βασὰν εἰς συνάντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ λαὸς αὐτοῦ, εἰς πόλε-
μον εἰς Ἐδραΐμ. [2] καὶ εἶπε κύριος πρὸς μέ Μὴ φοβηθῇς αὐτόν, ὅτι εἰς τὰς 2
χεῖράς σου παραδέδωκα αὐτὸν καὶ πάντα τὸν λαὸν αὐτοῦ καὶ πᾶσαν τὴν γῆν
αὐτοῦ, καὶ ποιήσεις αὐτῷ ὥσπερ ἐποίησας Σηὼν βασιλεῖ τῶν Ἀμοῤῥαίων, ὃς
κατῴκει ἐν Ἐσεβών. [3] καὶ παρέδωκεν αὐτὸν κύριος ὁ θεὸς ἡμῶν εἰς τὰς χεῖρας 3
ἡμῶν, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν καὶ πάντα τὸν λαὸν αὐτοῦ· καὶ ἐπα-
τάξαμεν αὐτὸν ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ σπέρμα. [4] καὶ ἐκρατήσαμεν πα- 4
σῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, οὐκ ἦν πόλις ἣν οὐκ ἐλάβομεν
παρ᾽ αὐτῶν· ἑξήκοντα πόλεις, πάντα τὰ περίχωρα Ἀργὸβ βασιλέως Ὢγ ἐν
Βασάν, [5] πᾶσαι πόλεις ὀχυραί, τείχη ὑψηλά, πύλαι καὶ μοχλοί· πλὴν τῶν 5
πόλεων τῶν Φερεζαίων τῶν πολλῶν σφόδρα [6] ἐξωλοθρεύσαμεν ὥσπερ ἐποιή- 6
σαμεν τὸν Σηὼν βασιλέα Ἐσεβών, καὶ ἐξωλοθρεύσαμεν πᾶσαν πόλιν ἑξῆς καὶ
τὰς γυναῖκας καὶ τὰ παιδία [7] καὶ πάντα τὰ κτήνη· καὶ τὰ σκῦλα τῶν πόλεων 7
ἐπρονομεύσαμεν ἑαυτοῖς. [8] καὶ ἐλάβομεν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν γῆν ἐκ χει- 8

---

25. επι προσωπον 26. κεδμωθ 27. ουτε αριστερα 28. τοις ποσιν μου (29. εν αροηλ) 30. om σηων 31. παραδουναι σοι τον σηων ... αυτου, εναρξαι 34. εξωλεθρευσαμεν ... πολιν εξης· και ita dist. ... κατελειπομεν 35. προενομευσαμεν αυτοις 36. απο αροηρ ... ουκ ην πολις 37. πληην εις γην υιων ... προσηλθαμεν ... χειμαρρω ... ημιν κυρ. ο θεος ημων III. 1. οδον της εις ... αυτου μετ αυτου ... εδραειν 2. τω σηων 3. αυτον και τον ωγ 6. εξωλεθρευσαμεν (bis) αυτους ωςπερ ... πολιν εξης· και ita dist. ... γυναικας αυτων

Digitized by Google

·ρῶν δύο βασιλέων τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου ἀπὸ τοῦ
9 χειμάῤῥου Ἀρνῶν καὶ ἕως Ἀερμών· [9] οἱ Φοίνικες ἐπονομάζουσι τὸ Ἀερμὼν
10 Σανιώρ, καὶ ὁ Ἀμοῤῥαῖος ἐπωνόμασεν αὐτὸ Σανίρ· [10] πᾶσαι πόλεις Μισώρ,
καὶ πᾶσα Γαλαάδ, καὶ πᾶσα Βασὰν ἕως Ἑλχᾶ καὶ Ἐδραΐμ, πόλεις βασι-
11 λείας τοῦ Ὢγ ἐν τῇ Βασάν· [11] ὅτι πλὴν Ὢγ βασιλεὺς Βασὰν κατελείφθη ἀπὸ
τῶν Ῥαφαΐν. ἰδοὺ ἡ κλίνη αὐτοῦ κλίνη σιδηρᾶ, ἰδοὺ αὕτη ἐν τῇ ἄκρᾳ τῶν
υἱῶν Ἀμμάν, ἐννέα πήχεων τὸ μῆκος αὐτῆς καὶ τεσσάρων πήχεων τὸ εὖρος
12 αὐτῆς ἐν πήχει ἀνδρός. [12] καὶ τὴν γῆν ἐκείνην ἐκληρονομήσαμεν ἐν τῷ καιρῷ
ἐκείνῳ ἀπὸ Ἀροήρ, ἥ ἐστι παρὰ τὸ χεῖλος χειμάῤῥου Ἀρνῶν, καὶ τὸ ἥμισυ
τοῦ ὄρους Γαλαάδ· καὶ τὰς πόλεις αὐτοῦ ἔδωκα τῷ Ῥουβὴν καὶ τῷ Γάδ.
13 [13] καὶ τὸ κατάλοιπον τοῦ Γαλαὰδ καὶ πᾶσαν τὴν Βασὰν βασιλείαν Ὢγ ἔδωκα
τῷ ἡμίσει φυλῆς Μανασσῆ, καὶ πᾶσαν περίχωρον Ἀργόβ, πᾶσαν Βασὰν ἐκεί-
14 νην, γῆ Ῥαφαΐν λογισθήσεται. [14] καὶ Ἰαΐρ υἱὸς Μανασσῆ ἔλαβε πᾶσαν τὴν
περίχωρον Ἀργὸβ ἕως τῶν ὁρίων Γαργασὶ καὶ Μαχαθί· ἐπωνόμασεν αὐτὰς ἐπὶ
15 τῷ ὀνόματι αὐτοῦ τὴν Βασὰν Θαυὼθ Ἰαΐρ ἕως τῆς ἡμέρας ταύτης. [15] καὶ
16 τῷ Μαχὶρ ἔδωκα τὴν Γαλαάδ. [16] καὶ τῷ Ῥουβὴν καὶ τῷ Γὰδ δέδωκα ὑπὸ
τῆς Γαλαὰδ ἕως χειμάῤῥου Ἀρνῶν, μέσον τοῦ χειμάῤῥου ὅριον καὶ ἕως τοῦ
17 Ἰαβόκ· ὁ χειμάῤῥους ὅριον τοῖς υἱοῖς Ἀμμάν· [17] καὶ ἡ Ἄραβα καὶ ὁ Ἰορδά-
νης ὅριον Μαχαναρὲθ καὶ ἕως θαλάσσης Ἄραβα, θαλάσσης ἁλυκῆς ὑπὸ Ἀση-
18 δὼθ τὴν Φασγὰ ἀνατολῶν. [18] καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων
Κύριος ὁ θεὸς ὑμῶν ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην ἐν κλήρῳ· ἐνοπλισάμενοι
προπορεύεσθε πρὸ προσώπου τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραὴλ πᾶς δυνατός·
19 [19] πλὴν αἱ γυναῖκες ὑμῶν καὶ τὰ τέκνα ὑμῶν καὶ τὰ κτήνη ὑμῶν, οἶδα ὅτι
πολλὰ κτήνη ὑμῖν, κατοικείτωσαν ἐν ταῖς πόλεσιν ὑμῶν αἷς ἔδωκα ὑμῖν·
20 [20] ἕως ἂν καταπαύσῃ κύριος ὁ θεὸς ὑμῶν τοὺς ἀδελφοὺς ὑμῶν ὥσπερ καὶ ὑμᾶς,
καὶ κατακληρονομήσωσι καὶ οὗτοι τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν
αὐτοῖς ἐν τῷ πέραν τοῦ Ἰορδάνου, καὶ ἐπαναστραφήσεσθε ἕκαστος εἰς τὴν
21 κληρονομίαν αὐτοῦ ἣν ἔδωκα ὑμῖν. [21] καὶ τῷ Ἰησοῖ ἐνετειλάμην ἐν τῷ καιρῷ
ἐκείνῳ λέγων Οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα ὅσα ἐποίησε κύριος ὁ θεὸς
ἡμῶν τοῖς δυσὶ βασιλεῦσι τούτοις· οὕτως ποιήσει κύριος ὁ θεὸς ἡμῶν πάσας
22 τὰς βασιλείας ἐφ' ἃς σὺ διαβαίνεις ἐκεῖ· [22] οὐ φοβηθήσεσθε ἀπ' αὐτῶν, ὅτι
23 κύριος ὁ θεὸς ἡμῶν αὐτὸς πολεμήσει περὶ ὑμῶν. [23] καὶ ἐδεήθην κυρίου ἐν τῷ
24 καιρῷ ἐκείνῳ λέγων [24] Κύριε θεέ, σὺ ἤρξω δεῖξαι τῷ σῷ θεράποντι τὴν ἰσχύν
σου καὶ τὴν δύναμίν σου καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν
ὑψηλόν· τίς γάρ ἐστι θεὸς ἐν τῷ οὐρανῷ ἢ ἐπὶ τῆς γῆς, ὅστις ποιήσει καθὰ
25 ἐποίησας σὺ καὶ κατὰ τὴν ἰσχύν σου; [25] διαβὰς οὖν ὄψομαι τὴν γῆν τὴν ἀγα-
θὴν ταύτην τὴν οὖσαν πέραν τοῦ Ἰορδάνου, τὸ ὄρος τοῦτο τὸ ἀγαθὸν καὶ τὸν
26 Ἀντιλίβανον. [26] καὶ ὑπερεῖδε κύριος ἐμὲ ἕνεκεν ὑμῶν, καὶ οὐκ εἰσήκουσέ μου·
καὶ εἶπε κύριος πρός με Ἱκανούσθω σοι, μὴ προσθῇς ἔτι λαλῆσαι τὸν λόγον
27 τοῦτον. [27] ἀνάβηθι ἐπὶ τὴν κορυφὴν τοῦ λελαξευμένου, καὶ ἀναβλέψας τοῖς
ὀφθαλμοῖς σου κατὰ θάλασσαν καὶ βοῤῥᾶν καὶ λίβα καὶ ἀνατολάς, καὶ ἴδε
28 τοῖς ὀφθαλμοῖς σου· ὅτι οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον. [28] καὶ ἔντειλαι
Ἰησοῖ καὶ κατίσχυσον αὐτὸν καὶ παρακάλεσον αὐτόν, ὅτι οὗτος διαβήσεται

8. αρνων εως 9. επονομασεν α. σανειρ 10. μεισωρ ... εδραειμ 11. ραφαειν 13. μαννασση ... πασ. την περιχωρον ... πασ. την βασαν ... ραφαειν 14. ιαειρ ... μαννασση ... γαργασει· και ο ιαειρ επωνομασεν αυτο επι ... βασαν αυωθ ιαειρ 15. μαχειρ 16. εδωκα απο της 17. οριον απο μαχενερεθ 18. δεδωκεν 19. πολλα τα κτ. 20. om υμων prius ... κατακληρονομησουσιν 21. τω ιησου ... ο θεος υμων τοις ... διαβεννεις 24. κυριε κυριε συ ηρξαι ... τις γαρ θεος εν ουρανω 27. επι κορυφην ... και αναβλεψον τ. οφθ. κατα ... νοτον pro λιβα 28. ενισχυσον

Digitized by Google

πρὸ προσώπου τοῦ λαοῦ τούτου, καὶ οὗτος κατακληρονομήσει αὐτοῖς πᾶσαν
τὴν γῆν ἣν ἑώρακας. 29 καὶ ἐνεκαθήμεθα ἐν νάπῃ σύνεγγυς οἴκου Φογώρ. 29

## IV.

Καὶ νῦν Ἰσραὴλ ἄκουε τῶν δικαιωμάτων καὶ τῶν κριμάτων, ὅσα ἐγὼ
διδάσκω ὑμᾶς σήμερον ποιεῖν, ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε, καὶ εἰςελθόν-
τες κληρονομήσητε τὴν γῆν ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν.
Ἀp. 22, 19. 2 οὐ προςθήσετε πρὸς τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ᾽ 2
αὐτοῦ· φυλάσσεσθε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ἡμῶν, ὅσα ἐγὼ ἐντέλλομαι
ὑμῖν σήμερον. 3 οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα ὅσα ἐποίησε κύριος ὁ θεὸς 3
ἡμῶν τῷ Βεελφεγώρ, ὅτι πᾶς ἄνθρωπος ὅςτις ἐπορεύθη ὀπίσω Βεελφεγώρ,
ἐξέτριψεν αὐτὸν κύριος ὁ θεὸς ὑμῶν ἐξ ὑμῶν· 4 ὑμεῖς δὲ οἱ προςκείμενοι κυρίῳ 4
τῷ θεῷ ὑμῶν ζῆτε πάντες ἐν τῇ σήμερον. 5 ἴδετε δέδειχα ὑμῖν δικαιώματα 5
καὶ κρίσεις καθὰ ἐνετείλατό μοι κύριος, ποιῆσαι οὕτως ἐν τῇ γῇ εἰς ἣν ὑμεῖς
εἰςπορεύεσθε ἐκεῖ κληρονομεῖν αὐτήν· 6 καὶ φυλάξεσθε καὶ ποιήσετε, ὅτι αὕτη 6
ἡ σοφία ὑμῶν καὶ ἡ σύνεσις ἐναντίον πάντων τῶν ἐθνῶν, ὅσοι ἂν ἀκούσωσι
πάντα τὰ δικαιώματα ταῦτα καὶ ἐροῦσιν Ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων τὸ
ἔθνος τὸ μέγα τοῦτο. 7 ὅτι ποῖον ἔθνος μέγα ᾧ ἐστιν αὐτῷ θεὸς ἐγγίζων αὐ- 7
τοῖς ὡς κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν οἷς ἐὰν αὐτὸν ἐπικαλεσώμεθα; 8 καὶ 8
ποῖον ἔθνος μέγα ᾧ ἐστιν αὐτῷ δικαιώματα καὶ κρίματα δίκαια κατὰ πάντα
τὸν νόμον τοῦτον ὃν ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον; 9 πρόςεχε σεαυτῷ 9
καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα, μὴ ἐπιλάθῃ πάντας τοὺς λόγους οὓς
ἑωράκασιν οἱ ὀφθαλμοί σου, καὶ μὴ ἀποστήτωσαν ἀπὸ τῆς καρδίας σου πάσας
τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ συμβιβάσεις τοὺς υἱούς σου καὶ τοὺς υἱοὺς
τῶν υἱῶν σου 10 ἡμέραν ἣν ἔστητε ἐνώπιον κυρίου τοῦ θεοῦ ἡμῶν ἐν Χωρὴβ 10
τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ὅτι εἶπε κύριος πρός μέ Ἐκκλησίασον πρὸς μὲ τὸν
λαόν, καὶ ἀκουσάτωσαν τὰ ῥήματά μου, ὅπως μάθωσι φοβεῖσθαί με πάσας
τὰς ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, καὶ τοὺς υἱοὺς αὐτῶν διδάξουσι.
11 καὶ προςήλθετε καὶ ἔστητε ὑπὸ τὸ ὄρος· καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ 11
οὐρανοῦ, σκότος, γνόφος, θύελλα. 12 καὶ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐκ μέσου 12
τοῦ πυρὸς φωνὴν ῥημάτων ἣν ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε ἀλλ᾽
ἢ φωνήν· 13 καὶ ἀνήγγειλεν ὑμῖν τὴν διαθήκην αὐτοῦ ἣν ἐνετείλατο ὑμῖν 13
ποιεῖν, τὰ δέκα ῥήματα, καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας. 14 καὶ 14
ἐμοὶ ἐνετείλατο κύριος ἐν τῷ καιρῷ ἐκείνῳ διδάξαι ὑμᾶς δικαιώματα καὶ κρί-
σεις, ποιεῖν ὑμᾶς αὐτὰ ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς εἰςπορεύεσθε ἐκεῖ κληρονομῆ-
σαι αὐτήν. 15 καὶ φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι οὐκ εἴδετε ὁμοίωμα 15
ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ
πυρός· 16 μὴ ἀνομήσητε καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν 16
εἰκόνα ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ, 17 ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων 17
ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ ὃ πέταται ὑπὸ τὸν οὐρανόν,
18 ὁμοίωμα παντὸς ἑρπετοῦ ὃ ἕρπει ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ἰχθύος ὅσα 18
ἐστὶν ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· 19 καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν 19
καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον
τοῦ οὐρανοῦ πλανηθεὶς προςκυνήσῃς αὐτοῖς καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμε
κύριος ὁ θεός σου αὐτὰ πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ. 20 ὑμᾶς 20
δὲ ἔλαβεν ὁ θεὸς καὶ ἐξήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ἐκ τῆς καμίνου τῆς

---

28. και αυτος καταχλ. ... om πασαν IV. 1. ρηματων pro κριματων ... om και πολυπλασ. 2. θεου υμων 3. θεος υμων τω ... θεος ημων εξ 5. κυριος ο θεος μου ... ουτως υμας εν ... om υμεις 6. ποιησετε· Οτι sic dist. 7. εστιν εν αυτω ... οις αν 8. εστιν εν αυτω 10. θεου υμων ... οτε ειπεν ... οσας αυτοι 12. εν τω ορει εκ μεσου ... ρηματων υμεις 16. υμιν αυτοις ... αρσ. και θηλυκ. 19. προςκυνησεις 20. κυριος ο θεος ... om εκ γης αιγυπτου

Digitized by Google

σιδηρᾶς, ἐξ Αἰγύπτου, εἶναι αὐτῷ λαὸν ἔγκληρον ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ.
21 [21] καὶ κύριος ὁ θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ' ὑμῶν, καὶ ὤμο-
σεν ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰςέλθω εἰς τὴν γῆν ἣν
22 κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ. [22] ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ
ταύτῃ, καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην τοῦτον· ὑμεῖς δὲ διαβαίνετε καὶ κλη-
23 ρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην. [23] προσέχετε ὑμῖν, μὴ ἐπιλάθησθε
τὴν διαθήκην κυρίου τοῦ θεοῦ ἡμῶν ἣν διέθετο πρὸς ὑμᾶς, καὶ ἀνομήσητε
καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα πάντων ὧν συνέταξέ σοι κύριος
24 ὁ θεός σου· [24] ὅτι κύριος ὁ θεός σου πῦρ καταναλίσκον ἐστί, θεὸς ζηλωτής.* *Hebr. 12,
25 [25] ἐὰν δὲ γεννήσῃς υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν σου, καὶ χρονίσητε ἐπὶ τῆς γῆς, 29.
καὶ ἀνομήσητε καὶ ποιήσητε γλυπτὸν ὁμοίωμα παντός, καὶ ποιήσητε τὸ πονη-
26 ρὸν ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν παροργίσαι αὐτόν, [26] διαμαρτύρομαι ὑμῖν
σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε ἀπὸ τῆς γῆς
εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι· οὐχὶ πολυχρονιεῖτε
27 ἡμέρας ἐπ' αὐτῆς, ἀλλ' ἢ ἐκτριβῇ ἐκτριβήσεσθε. [27] καὶ διασπερεῖ κύριος ὑμᾶς
ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ καταλειφθήσεσθε ὀλίγοι ἀριθμῷ ἐν πᾶσι τοῖς ἔθνε-
28 σιν εἰς οὓς εἰςάξει κύριος ὑμᾶς ἐκεῖ· [28] καὶ λατρεύσετε ἐκεῖ θεοῖς ἑτέροις,
ἔργοις χειρῶν ἀνθρώπων, ξύλοις καὶ λίθοις, οἳ οὐκ ὄψονται οὔτε μὴ ἀκού-
29 σωσιν οὔτε μὴ φάγωσιν οὔτε μὴ ὀσφρανθῶσι. [29] καὶ ζητήσετε ἐκεῖ κύριον τὸν
θεὸν ὑμῶν, καὶ εὑρήσετε αὐτὸν ὅταν ἐκζητήσετε αὐτὸν ἐξ ὅλης τῆς καρδίας
30 σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου ἐν τῇ θλίψει σου· [30] καὶ εὑρήσουσί σε πάντες
οἱ λόγοι οὗτοι ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς κύριον τὸν
31 θεόν σου καὶ εἰςακούσῃ τῆς φωνῆς αὐτοῦ· [31] ὅτι θεὸς οἰκτίρμων κύριος ὁ θεός
σου, οὐκ ἐγκαταλείψει σε οὐδὲ μὴ ἐκτρίψει σε, οὐκ ἐπιλήσεται τὴν διαθήκην
32 τῶν πατέρων σου ἣν ὤμοσεν αὐτοῖς κύριος. [32] ἐπερωτήσατε ἡμέρας προτέρας
τὰς γενομένας προτέρας σου ἀπὸ τῆς ἡμέρας ἧς ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ
τῆς γῆς καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως τοῦ ἄκρου τοῦ οὐρανοῦ, εἰ γέγονε
33 κατὰ τὸ ῥῆμα τὸ μέγα τοῦτο, εἰ ἤκουσται τοιοῦτο· [33] εἰ ἀκήκοεν ἔθνος φω-
νὴν θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ πυρός, ὃν τρόπον ἀκήκοας σὺ καὶ
34 ἔζησας· [34] εἰ ἐπείρασεν ὁ θεὸς εἰςελθὼν λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους
ἐν πειρασμῷ καὶ ἐν σημείοις καὶ ἐν τέρασι καὶ ἐν πολέμῳ καὶ ἐν χειρὶ κρα-
ταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν ὁράμασι μεγάλοις, κατὰ πάντα ὅσα ἐποίησε
35 κύριος ὁ θεὸς ἡμῶν ἐν Αἰγύπτῳ ἐνώπιον σοῦ βλέποντος· [35] ὥςτε εἰδῆσαί σε
36 ὅτι κύριος ὁ θεός σου οὗτος θεός ἐστι καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. [36] ἐκ
τοῦ οὐρανοῦ ἀκουστὴ ἐγένετο ἡ φωνὴ αὐτοῦ παιδεῦσαί σε, καὶ ἐπὶ τῆς γῆς
ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα, καὶ τὰ ῥήματα αὐτοῦ ἤκουσας ἐκ μέσου
37 τοῦ πυρός· [37] διὰ τὸ ἀγαπῆσαι αὐτὸν τοὺς πατέρας σου, καὶ ἐξελέξατο τὸ *Act. 13,
σπέρμα αὐτῶν μετ' αὐτοὺς ὑμᾶς, καὶ ἐξήγαγέ σε αὐτὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ 17.
38 τῇ μεγάλῃ ἐξ Αἰγύπτου, [38] ἐξολοθρεῦσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερα σοῦ πρὸ
προςώπου σου, εἰςαγαγεῖν σε δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονομεῖν, καθὼς
39 ἔχεις σήμερον. [39] καὶ γνώσῃ σήμερον καὶ ἐπιστραφήσῃ τῇ διανοίᾳ, ὅτι κύριος
ὁ θεός σου οὗτος θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ
40 ἔστιν ἔτι πλὴν αὐτοῦ· [40] καὶ φυλάξασθε τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώ-

---

21. om ο θεος ... υφ ημων ... θεος διδωσιν 23. προςεχ. υμεις μη ... om και ανομησητε ... ποιησετε υμ. αυτοις 25. εναντι κυριου 26. διαβεννετε ... κληρονομησαι αυτην 27. ολιγω 28. ουδε μη ter 29. και εκζητησετε ... θεον ημων ... οταν εκζητησητε ... καρδιας υμων 30. επ εσχατου ... επι κυριον 31. οτι ο θεος ... εκτριψη ... om κυριος in fine 32. τον ανθρωπον ... εως ακρου ... om ει ηκουστ. τοιουτο 35. ωστε ειδεναι ... αυτος pro ουτος ... εστιν αλλος πλην 36. ακουστην σοι εποιησεν την φωνην αυτου 38. εξολεθρευσαι 40. και φυλαξη τα δικαιωμ. αυτ. και τας εντολας αυτ. οσας

Digitized by Google

ματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ σοι γένηται καὶ τοῖς
υἱοῖς σου μετὰ σέ, ὅπως μακροήμεροι γένησθε ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός
σου δίδωσί σοι πάσας τὰς ἡμέρας. [41] τότε ἀφώρισε Μωυσῆς τρεῖς πόλεις πέ- 41
ραν τοῦ Ἰορδάνου ἀπὸ ἀνατολῶν ἡλίου, [42] φυγεῖν ἐκεῖ τὸν φονευτὴν ὃς ἂν 42
φονεύσῃ τὸν πλησίον οὐκ εἰδώς, καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ
τῆς τρίτης, καὶ καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων, καὶ ζήσεται·
[43] τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῇ γῇ τῇ πεδινῇ τῷ Ῥουβήν, καὶ τὴν Ῥαμὼθ 43
ἐν Γαλαὰδ τῷ Γαδδί, καὶ τὴν Γαυλὼν ἐν Βασὰν τῷ Μανασσῇ. [44] οὗτος ὁ 44
νόμος ὃν παρέθετο Μωυσῆς ἐνώπιον υἱῶν Ἰσραήλ· [45] ταῦτα τὰ μαρτύρια καὶ 45
τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ, ἐξελ-
θόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου, [46] ἐν τῷ πέραν τοῦ Ἰορδάνου, ἐν φάραγγι 46
ἐγγὺς οἴκου Φογώρ, ἐν γῇ Σηὼν βασιλέως τῶν Ἀμορραίων ὃς κατῴκει ἐν
Ἐσεβών, ὃν ἐπάταξε Μωυσῆς καὶ οἱ υἱοὶ Ἰσραήλ, ἐξελθόντων αὐτῶν ἐκ γῆς
Αἰγύπτου. [47] καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ καὶ τὴν γῆν Ὢγ βασιλέως τῆς 47
Βασάν, δύο βασιλέων τῶν Ἀμορραίων οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου κατὰ ἀνα-
τολὰς ἡλίου, [48] ἀπὸ Ἀροὴρ ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν, καὶ ἐπὶ 48
τοῦ ὄρους τοῦ Σηὼν ὅ ἐστιν Ἀερμών, [49] πᾶσαν τὴν Ἄραβα πέραν τοῦ Ἰορ- 49
δάνου κατὰ ἀνατολὰς ἡλίου ὑπὸ Ἀσηδὼθ τὴν λαξευτήν.

## V.

Καὶ ἐκάλεσε Μωυσῆς πάντα Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς Ἄκουε Ἰσραὴλ
τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐγὼ λαλῶ ἐν τοῖς ὠσὶν ὑμῶν ἐν τῇ ἡμέρᾳ
ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ καὶ φυλάξεσθε ποιεῖν αὐτά. [2] κύριος ὁ θεὸς ὑμῶν 2
διέθετο πρὸς ὑμᾶς διαθήκην ἐν Χωρήβ· [3] οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο 3
κύριος τὴν διαθήκην ταύτην ἀλλ᾽ ἢ πρὸς ὑμᾶς, ὑμεῖς ὧδε πάντες ζῶντες σή-
μερον. [4] πρόσωπον κατὰ πρόσωπον ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ 4
μέσου τοῦ πυρός, [5] κἀγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν ἐν τῷ καιρῷ 5
ἐκείνῳ ἀναγγεῖλαι ὑμῖν τὰ ῥήματα κυρίου, ὅτι ἐφοβήθητε ἀπὸ προσώπου τοῦ
πυρὸς καὶ οὐκ ἀνέβητε εἰς τὸ ὄρος, λέγων [6] Ἐγώ εἰμι κύριος ὁ θεός σου ὁ 6
ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας. [7] οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι 7
πρὸ προσώπου μου. [8] οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα ὅσα 8
ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω
τῆς γῆς· [9] οὐ προσκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, ὅτι ἐγώ εἰμι 9
κύριος ὁ θεός σου, θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ
τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, [10] καὶ ποιῶν ἔλεος εἰς χιλιάδας 10
τοῖς ἀγαπῶσί με καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου. [11] οὐ λήψῃ τὸ 11
ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ κύριος ὁ θεός
σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. [12] φύλαξαι τὴν ἡμέραν τῶν 12
*Lc. 13, σαββάτων ἁγιάζειν αὐτὴν ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεός σου· [13] ἓξ 13
14. ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου, [14] τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ 14
σάββατα κυρίῳ τῷ θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον σὺ καὶ ὁ υἱός
σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ
ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου, καὶ προσήλυτος ὁ παροικῶν ἐν σοί, ἵνα
ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ τὸ ὑποζύγιόν σου ὥσπερ καὶ

---

40. μακροχρονιοι pro μακροημεροι 42. φευγειν ... εχθες και τριτης 43. ραμμωθ ... μαννασση 45. ισραηλ εν τη ερημω εξελθ. 49. αραβα ο εστιν περαν ... απο ασηδωθ V. 3. om κυριος 4. om εν τω ορει 5. ιστηκειν ... αναγγ. υμιν ενωπιον κυριου 6. σου οστις εξηγαγον σε ... δουλιας 7. πλην εμου pro προ προσωπου μου 8. γλυπτον pro ειδωλον ... εν τω υδατι 9. αυτοις και ου λατρευσεις 11. λημψη ... του κυριου σου επι ... om ο θεος σου 14. και ο προσηλυτος ... om και το υποζυγ. σου ante ωσπερ



Digitized by Google

15 σύ. [15] καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ, καὶ ἐξήγαγέ σε κύριος
ὁ θεός σου ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ· διὰ τοῦτο συν-
έταξέ σοι κύριος ὁ θεός σου ὥστε φυλάσσεσθαι τὴν ἡμέραν τῶν σαββάτων καὶ
16 ἁγιάζειν αὐτήν. [16] τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνε-
τείλατό σοι κύριος ὁ θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ
17 18 ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός σου δίδωσί σοι. [17] οὐ φονεύσεις. [18] οὐ μοιχεύ-
19 20 σεις. [19] οὐ κλέψεις. [20] οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν
21 ψευδῆ. [21] οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν
οἰκίαν τοῦ πλησίον σου, οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν
παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παν-
22 τὸς κτήνους αὐτοῦ, οὔτε πάντα ὅσα τῷ πλησίον σού ἐστι. [22] ταῦτα τὰ ῥήματα
ἐλάλησε κύριος πρὸς πᾶσαν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός·
σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη, καὶ οὐ προςέθηκε· καὶ ἔγραψεν αὐτὰ
23 ἐπὶ δύο πλάκας λιθίνας καὶ ἔδωκέ μοι. [23] καὶ ἐγένετο ὡς ἠκούσατε τὴν φωνὴν
ἐκ μέσου τοῦ πυρός, καὶ τὸ ὄρος ἐκαίετο πυρί, καὶ προςήλθετε πρός με πάν-
24 τες οἱ ἡγούμενοι τῶν φυλῶν ὑμῶν καὶ ἡ γερουσία ὑμῶν, [24] καὶ ἐλέγετε Ἰδοὺ
ἔδειξεν ἡμῖν κύριος ὁ θεὸς ἡμῶν τὴν δόξαν αὐτοῦ, καὶ τὴν φωνὴν αὐτοῦ
ἠκούσαμεν ἐκ μέσου τοῦ πυρός· ἐν τῇ ἡμέρᾳ ταύτῃ εἴδομεν ὅτι λαλήσει ὁ
25 θεὸς πρὸς ἄνθρωπον, καὶ ζήσεται. [25] καὶ νῦν μὴ ἀποθάνωμεν, ὅτι ἐξαναλώ-
σει ἡμᾶς τὸ πῦρ τὸ μέγα τοῦτο, ἐὰν προςθώμεθα ἡμεῖς ἀκοῦσαι τὴν φωνὴν
26 κυρίου τοῦ θεοῦ ἡμῶν ἔτι, καὶ ἀποθανούμεθα· [26] τίς γὰρ σὰρξ ἥτις ἤκουσε
φωνὴν θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ πυρὸς ὡς ἡμεῖς, καὶ ζήσεται;
27 [27] πρόςελθε σὺ καὶ ἄκουσον πάντα ὅσα ἂν εἴπῃ κύριος ὁ θεὸς ἡμῶν, καὶ σὺ
λαλήσεις πρὸς ἡμᾶς πάντα ὅσα ἂν λαλήσει κύριος ὁ θεὸς ἡμῶν πρὸς σέ, καὶ
28 ἀκουσόμεθα καὶ ποιήσομεν. [28] καὶ ἤκουσε κύριος τὴν φωνὴν τῶν λόγων ὑμῶν
λαλούντων πρὸς μέ, καὶ εἶπε κύριος πρὸς μέ Ἤκουσα τὴν φωνὴν τῶν λόγων
29 τοῦ λαοῦ τούτου ὅσα ἐλάλησαν πρὸς σέ· ὀρθῶς πάντα ὅσα ἐλάλησαν. [29] τίς
δώσει εἶναι οὕτω τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς ὥστε φοβεῖσθαί με καὶ φυ-
λάσσεσθαι τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς
30 αὐτῶν δι᾽ αἰῶνος; [30] βάδισον εἰπὸν αὐτοῖς Ἀποστράφητε ὑμεῖς εἰς τοὺς οἴκους
31 ὑμῶν. [31] σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ, καὶ λαλήσω πρὸς σὲ τὰς ἐντολὰς καὶ
τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα διδάξεις αὐτούς, καὶ ποιείτωσαν οὕτως
32 ἐν τῇ γῇ ἣν ἐγὼ δίδωμι αὐτοῖς ἐν κλήρῳ. [32] καὶ φυλάξεσθε ποιεῖν ὃν τρόπον
ἐνετείλατό σοι κύριος ὁ θεός σου· οὐκ ἐκκλινεῖτε εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερὰ
33 [33] κατὰ πᾶσαν τὴν ὁδὸν ἣν ἐνετείλατό σοι κύριος ὁ θεός σου πορεύεσθαι ἐν
αὐτῇ, ὅπως καταπαύσῃ σε, καὶ εὖ σοι ᾖ, καὶ μακροημερεύσητε ἐπὶ τῆς γῆς
ἣν κληρονομήσετε.

## VI.

Καὶ αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετεί-
λατο κύριος ὁ θεὸς ἡμῶν διδάξαι ὑμᾶς ποιεῖν οὕτως ἐν τῇ γῇ εἰς ἣν ὑμεῖς
2 εἰςπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν· [2] ἵνα φοβῆσθε κύριον τὸν θεὸν ὑμῶν,
φυλάσσεσθαι πάντα τὰ δικαιώματα αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ ἃς ἐγὼ ἐν-
τέλλομαί σοι σήμερον, σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάσας
3 τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μακροημερεύσητε. [3] καὶ ἄκουσον Ἰσραὴλ καὶ
φύλαξον ποιεῖν, ὅπως εὖ σοι ᾖ καὶ ἵνα πληθυνθῆτε σφόδρα, καθάπερ ἐλά-

---

15. συνεταξεν σε ... φυλαξεσθαι σε την 21. ουδε τον ... ουδε τον ... ουδε την ... ουδε του ... ουδε του υποζ. 22. τα ρημ. ταυτα ... εδωκεν εμοι 25. προςθωμεν ακουσαι ημεις 27. ακουσον οσα εαν ... προς σε, και συ ... οσα εαν λαληση 29. ουτως ... φυλασσειν 31. om ουτως 32. εκκλινεις δεξια 33. om σοι ... om εν αυτη VI. 1. ειςπορ. υμεις ... om αυτην 2. θεον ημων 3. φυλαξαι ... ευ ῃ σοι

Digitized by Google

λήσε κύριος ὁ ϑεὸς τῶν πατέρων σου δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι.
Mc. 12, [4] καὶ ταῦτα τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐνετείλατο κύριος τοῖς υἱοῖς 4
29. Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐξελϑόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου Ἄκουε Ἰσραήλ,
Mc. 12, κύριος ὁ ϑεὸς ἡμῶν κύριος εἷς ἐστί· [5] καὶ ἀγαπήσεις κύριον τὸν ϑεόν σου ἐξ 5
30. Mt. 22, 37. ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς δυνάμεώς
Lc. 10, σου. [6] καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ 6
27. καρδίᾳ σου καὶ ἐν τῇ ψυχῇ σου· [7] καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου, καὶ 7
λαλήσεις ἐν αὐτοῖς καϑήμενος ἐν οἴκῳ καὶ πορευόμενος ἐν ὁδῷ καὶ κοιτα-
ζόμενος καὶ διανιστάμενος· [8] καὶ ἀφάψεις αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρός 8
σου, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφϑαλμῶν σου· [9] καὶ γράψετε αὐτὰ ἐπὶ τὰς 9
φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν. [10] καὶ ἔσται ὅταν εἰςαγάγῃ σε 10
κύριος ὁ ϑεός σου εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου, τῷ Ἀβραὰμ καὶ
τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ, δοῦναί σοι πόλεις μεγάλας καὶ καλὰς ἃς οὐκ ᾠκο-
δόμησας, [11] οἰκίας πλήρεις πάντων ἀγαϑῶν ἃς οὐκ ἐνέπλησας, λάκκους λελα- 11
τομημένους οὓς οὐκ ἐξελατόμησας, ἀμπελῶνας καὶ ἐλαιῶνας οὓς οὐ κατεφύ-
τευσας, καὶ φαγὼν καὶ ἐμπλησϑείς, [12] πρόςεχε σεαυτῷ μὴ ἐπιλάϑῃ κυρίου 12
Mt. 4, 10. τοῦ ϑεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. [13] κύ- 13
Lc. 4, 8. ριον τὸν ϑεόν σου φοβηϑήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολ-
ληϑήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. [14] οὐ πορεύεσϑε ὀπίσω ϑεῶν ἑτέρων 14
ἀπὸ τῶν ϑεῶν τῶν ἐϑνῶν τῶν περικύκλῳ ὑμῶν, [15] ὅτι ὁ ϑεὸς ζηλωτὴς κύριος 15
ὁ ϑεός σου ἐν σοί· μὴ ὀργισϑεὶς ϑυμῷ κύριος ὁ ϑεός σού σοι ἐξολοϑρεύσῃ σε
Mt. 4, 7. ἀπὸ προςώπου τῆς γῆς. [16] οὐκ ἐκπειράσεις κύριον τὸν ϑεόν σου, ὃν τρόπον 16
Lc. 4, 12. ἐξεπειράσατε ἐν τῷ πειρασμῷ. [17] φυλάσσων φυλάξῃ τὰς ἐντολὰς κυρίου τοῦ 17
ϑεοῦ σου, τὰ μαρτύρια, καὶ τὰ δικαιώματα ὅσα ἐνετείλατό σοι· [18] καὶ ποιή- 18
σεις τὸ ἀρεστὸν καὶ τὸ καλὸν ἔναντι κυρίου τοῦ ϑεοῦ σου, ἵνα εὖ σοι γένη-
ται, καὶ εἰςέλϑῃς καὶ κληρονομήσῃς τὴν γῆν τὴν ἀγαϑὴν ἣν ὤμοσε κύριος
τοῖς πατράσιν ὑμῖν, [19] ἐκδιῶξαι πάντας τοὺς ἐχϑρούς σου πρὸ προςώπου σου, 19
καϑὰ ἐλάλησε κύριος. [20] καὶ ἔσται ὅταν ἐρωτήσῃ σε ὁ υἱός σου αὔριον λέγων 20
Τί ἐστι τὰ μαρτύρια καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐνετείλατο κύ-
ριος ὁ ϑεὸς ἡμῶν ἡμῖν; [21] καὶ ἐρεῖς τῷ υἱῷ σου Οἰκέται ἦμεν τῷ Φαραὼ 21
ἐν γῇ Αἰγύπτῳ, καὶ ἐξήγαγεν ἡμᾶς κύριος ἐκεῖϑεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν
βραχίονι ὑψηλῷ· [22] καὶ ἔδωκε κύριος σημεῖα καὶ τέρατα μεγάλα καὶ πονηρὰ 22
ἐν Αἰγύπτῳ ἐν Φαραὼ καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἐνώπιον ἡμῶν, [23] καὶ ἡμᾶς 23
ἐξήγαγεν ἐκεῖϑεν δοῦναι ἡμῖν τὴν γῆν ταύτην ἣν ὤμοσε δοῦναι τοῖς πατρά-
σιν ἡμῶν· [24] καὶ ἐνετείλατο ἡμῖν κύριος ποιεῖν πάντα τὰ δικαιώματα ταῦτα, 24
φοβεῖσϑαι κύριον τὸν ϑεὸν ἡμῶν, ἵνα εὖ ᾖ ἡμῖν πάσας τὰς ἡμέρας, ἵνα ζῶ-
μεν ὥσπερ καὶ σήμερον· [25] καὶ ἐλεημοσύνη ἔσται ἡμῖν ἐὰν φυλασσώμεϑα ποιεῖν 25
πάσας τὰς ἐντολὰς ταύτας ἐναντίον κυρίου τοῦ ϑεοῦ ἡμῶν, καϑὰ ἐνετείλατο ἡμῖν.

## VII.

Ἐὰν δὲ εἰςάγῃ σε κύριος ὁ ϑεός σου εἰς τὴν γῆν εἰς ἣν εἰςπορεύῃ ἐκεῖ
κληρονομῆσαι αὐτήν, καὶ ἐξάρῃ ἔϑνη μεγάλα ἀπὸ προςώπου σου, τὸν Χετ-

---

5. καρδιας pro διανοιας 7. και ανισταμενος 9. γραψεις ... φλειας 10. και ισαακ και ιακωβ 12. μη πλατυνϑη η καρδια σου και επιλαϑη 13. προςκυνησεις pro φοβηϑηση ... λατρευσης 14. ου μη πορευσεσϑε 15. οτι ϑεος ... οργισϑ. ϑυμωϑη ... σου εν σοι και εξολεϑρευση 16. εξεπειρασασϑε 17. και τα μαρτ. αυτου 18. το καλον και το αρεστον εναντιον ... κληρονομησεις ... δουναι τοις πατρ. 19. om κυριος 20. τινα εστιν 23. κ. εξηγαγ. ημας κυριος ο ϑεος ημων εκειϑεν ινα εισαγαγη ημας δουναι ημ. τ. γ. τ. ην ωμοσεν κυριος ο ϑεος ημων τοις πατρ. ημ. δουναι ημιν 24. ποιειν πασας τας εντολας και τα κριματα φοβεισϑ. κ. τ. ϑ. ημ. ινα πολυημεροι ωμεν πασας 25. εναντι VII. 1. Και εσται εν τω εισαγαγειν σε κυριον τον ϑεον σου ... μεγαλα και πολλα



Digitized by Google

ταῖον καὶ Γεργεσαῖον καὶ Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερεζαῖον καὶ Εὐαῖον
2 καὶ Ἰεβουσαῖον, ἑπτὰ ἔθνη πολλὰ καὶ ἰσχυρότερα ὑμῶν, [2] καὶ παραδώσει
αὐτοὺς κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις αὐτούς, ἀφανι-
σμῷ ἀφανιεῖς αὐτούς· οὐ διαθήσῃ πρὸς αὐτοὺς διαθήκην, οὐδὲ μὴ ἐλεήσητε
3 αὐτούς, [3] οὐδὲ μὴ γαμβρεύσητε πρὸς αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ
4 υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· [4] ἀποστήσει γὰρ
τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις, καὶ ὀργισθήσεται θυμῷ
5 κύριος εἰς ὑμᾶς, καὶ ἐξολοθρεύσει σε τὸ τάχος. [5] ἀλλ' οὕτω ποιήσετε αὐτοῖς·
τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση
6 αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί· [6] ὅτι λαὸς
ἅγιος εἶ κυρίῳ τῷ θεῷ σου, καὶ σὲ προείλετο κύριος ὁ θεός σου εἶναι αὐτῷ
7 λαὸν περιούσιον παρὰ πάντα τὰ ἔθνη ὅσα ἐπὶ προσώπου τῆς γῆς. [7] οὐχ ὅτι
πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη, προείλετο κύριος ὑμᾶς καὶ ἐξελέξατο κύριος
8 ὑμᾶς, ὑμεῖς γάρ ἐστε ὀλιγοστοὶ παρὰ πάντα τὰ ἔθνη· [8] ἀλλὰ παρὰ τὸ ἀγα-
πᾶν κύριον ὑμᾶς, καὶ διατηρῶν τὸν ὅρκον ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν ἐξή-
γαγεν ὑμᾶς κύριος ἐν χειρὶ κραταιᾷ, καὶ ἐλυτρώσατό σε κύριος ἐξ οἴκου δου-
9 λείας, ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου. [9] καὶ γνώσῃ ὅτι κύριος ὁ θεός
σου οὗτος θεός, θεὸς πιστός, ὁ φυλάσσων διαθήκην καὶ ἔλεος τοῖς ἀγαπῶσιν
10 αὐτὸν καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ εἰς χιλίας γενεάς, [10] καὶ ἀπο-
διδοὺς τοῖς μισοῦσι κατὰ πρόσωπον ἐξολοθρεῦσαι αὐτούς· καὶ οὐχὶ βραδυνεῖ
11 τοῖς μισοῦσι, κατὰ πρόσωπον ἀποδώσει αὐτοῖς. [11] καὶ φυλάξῃ τὰς ἐντολὰς καὶ
τὰ δικαιώματα καὶ τὰ κρίματα ταῦτα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν.
12 [12] καὶ ἔσται ἡνίκα ἂν ἀκούσητε τὰ δικαιώματα ταῦτα, καὶ φυλάξητε καὶ
ποιήσητε αὐτά, καὶ διαφυλάξει κύριος ὁ θεός σου σοὶ τὴν διαθήκην καὶ τὸ
13 ἔλεος ὃ ὤμοσε τοῖς πατράσιν ὑμῶν· [13] καὶ ἀγαπήσει σε καὶ εὐλογήσει σε καὶ
πληθυνεῖ σε, καὶ εὐλογήσει τὰ ἔγγονα τῆς κοιλίας σου καὶ τὸν καρπὸν τῆς
γῆς σου, τὸν σῖτόν σου καὶ τὸν οἶνόν σου καὶ τὸ ἔλαιόν σου, τὰ βουκόλια τῶν
βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου, ἐπὶ τῆς γῆς ἧς ὤμοσε κύριος
14 τοῖς πατράσι σου δοῦναί σοι. [14] εὐλογητὸς ἔσῃ παρὰ πάντα τὰ ἔθνη· οὐκ ἔσται
15 ἐν ὑμῖν ἄγονος οὐδὲ στεῖρα καὶ ἐν τοῖς κτήνεσί σου· [15] καὶ περιελεῖ κύριος
ὁ θεός σου ἀπὸ σοῦ πᾶσαν μαλακίαν, καὶ πάσας νόσους Αἰγύπτου τὰς πονη-
ρὰς ἃς ἑώρακας καὶ ὅσα ἔγνως οὐκ ἐπιθήσει ἐπὶ σέ, καὶ ἐπιθήσει αὐτὰ ἐπὶ
16 πάντας τοὺς μισοῦντάς σε. [16] καὶ φαγῇ πάντα τὰ σκῦλα τῶν ἐθνῶν ἃ κύριος
ὁ θεός σου δίδωσί σοι· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτοῖς, καὶ οὐ μὴ
17 λατρεύσῃς τοῖς θεοῖς αὐτῶν, ὅτι σκῶλον τοῦτο ἔστι σοι. [17] ἐὰν δὲ λέγῃς ἐν
τῇ διανοίᾳ σου ὅτι πολὺ τὸ ἔθνος τοῦτο ἢ ἐγώ, πῶς δυνήσομαι ἐξολοθρεῦσαι
18 αὐτούς; [18] οὐ φοβηθήσῃ αὐτούς· μνείᾳ μνησθήσῃ ὅσα ἐποίησε κύριος ὁ θεός
19 σου τῷ Φαραῷ καὶ πᾶσι τοῖς Αἰγυπτίοις, [19] τοὺς πειρασμοὺς τοὺς μεγάλους
οὓς εἴδοσαν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα,
τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν, ὡς ἐξήγαγέ σε κύριος
ὁ θεός σου· οὕτω ποιήσει κύριος ὁ θεὸς ὑμῶν πᾶσι τοῖς ἔθνεσιν οὓς σὺ φοβῇ
20 ἀπὸ προσώπου αὐτῶν. [20] καὶ τὰς σφηκίας ἀποστελεῖ κύριος ὁ θεός σου εἰς
αὐτούς, ἕως ἂν ἐκτριβῶσιν οἱ καταλελειμμένοι καὶ οἱ κεκρυμμένοι ἀπὸ σοῦ·
21 [21] οὐ τρωθήσῃ ἀπὸ προσώπου αὐτῶν, ὅτι κύριος ὁ θεός σου ἐν σοί, θεὸς μέγας
22 καὶ κραταιός. [22] καὶ καταναλώσει κύριος ὁ θεός σου τὰ ἔθνη ταῦτα ἀπὸ προς-

---

1. τον γεργεσαιον ... τον αμορραιον ... τον ιεβουσαιον ... μεγαλα και πολλα 2. ελεησης 3. λημψη 4. εξολεθρευσει 5. ουτως 6. προειλατο 7. προειλατο ... om κυριος sec. 8. om και ante διατηρων ... εξηγ. κυρ. υμας εκειθεν εν χ. κρατ. και εν βραχιονι υψηλω ... om κυριος 9. ο θεος ο πιστος ... την διαθηκ. κ. το ελεος 10. εξολεθρευσαι 12. παντα τα δικ. ταυτα ... καθα ωμοσεν 13. εκγονα ... σου, τον καρπον 16. λατρευσεις 17. εξολεθρευσαι 19. ιδον ... ουτως ... θεος ημων πασιν

Digitized by Google

ώπου σου κατὰ μικρὸν μικρόν· οὐ δυνήσῃ ἐξαναλῶσαι αὐτοὺς τὸ τάχος, ἵνα
μὴ γένηται ἡ γῆ ἔρημος καὶ πληθυνθῇ ἐπὶ σὲ τὰ θηρία τὰ ἄγρια. [23] καὶ 23
παραδώσει αὐτοὺς κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ ἀπολεῖς αὐτοὺς
ἀπωλείᾳ μεγάλῃ ἕως ἂν ἐξολοθρεύσητε αὐτούς· [24] καὶ παραδώσει τοὺς βασι- 24
λεῖς αὐτῶν εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἀπολεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου
ἐκείνου· οὐκ ἀντιστήσεται οὐθεὶς κατὰ πρόσωπόν σου ἕως ἂν ἐξολοθρεύσῃς
αὐτούς. [25] τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν καύσετε πυρί· οὐκ ἐπιθυμήσεις ἀργύ- 25
ριον οὐδὲ χρυσίον ἀπ' αὐτῶν οὐ λήψῃ σεαυτῷ, μὴ πταίσῃς δι' αὐτό, ὅτι
βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστι· [26] καὶ οὐκ εἰςοίσεις βδέλυγμα εἰς τὸν οἶ- 26
κόν σου, καὶ ἀνάθεμα ἔσῃ ὥςπερ τοῦτο· προςοχθίσματι προςοχθιεῖς καὶ βδε-
λύγματι βδελύξῃ, ὅτι ἀνάθεμά ἐστι.

## VIII.

Πάσας τὰς ἐντολὰς ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον φυλάξεσθε ποιεῖν,
ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε, καὶ εἰςέλθητε καὶ κληρονομήσητε τὴν γῆν ἣν
ὤμοσε κύριος ὁ θεὸς ὑμῶν τοῖς πατράσιν ὑμῶν. [2] καὶ μνησθήσῃ πᾶσαν τὴν 2
ὁδὸν ἣν ἤγαγέ σε κύριος ὁ θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ
πειράσῃ σε, καὶ διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐ-
τοῦ ἢ οὔ. [3] καὶ ἐκάκωσέ σε καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε τὸ μάννα 3
Mt. 4, 4. ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου· ἵνα ἀναγγείλῃ σοι ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ
Lc. 4, 4. ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος
θεοῦ ζήσεται ὁ ἄνθρωπος. [4] τὰ ἱμάτιά σου οὐκ ἐπαλαιώθη ἀπὸ σοῦ, τὰ ὑπο- 4
δήματά σου οὐ κατετρίβη ἀπὸ σοῦ, οἱ πόδες σου οὐκ ἐτυλώθησαν ἰδοὺ τεσ-
σαράκοντα ἔτη. [5] καὶ γνώσῃ τῇ καρδίᾳ σου ὅτι ὡς εἴ τις ἄνθρωπος παιδεύσῃ 5
τὸν υἱὸν αὐτοῦ, οὕτω κύριος ὁ θεός σου παιδεύσει σε· [6] καὶ φυλάξῃ τὰς ἐν- 6
τολὰς κυρίου τοῦ θεοῦ σου, πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ καὶ φοβεῖσθαι
αὐτόν. [7] ὁ γὰρ κύριος ὁ θεός σου εἰςάξει σε εἰς γῆν ἀγαθὴν καὶ πολλήν, οὗ 7
χείμαῤῥοι ὑδάτων καὶ πηγαὶ ἀβύσσων ἐκπορευόμεναι διὰ τῶν πεδίων καὶ διὰ
τῶν ὀρέων· [8] γῆ πυροῦ καὶ κριθῆς, ἄμπελοι, συκαῖ, ῥοαί, γῆ ἐλαίας ἐλαίου 8
καὶ μέλιτος· [9] γῆ ἐφ' ἧς οὐ μετὰ πτωχείας φαγῇ τὸν ἄρτον σου, καὶ οὐκ 9
ἐνδεηθήσῃ ἐπ' αὐτῆς οὐδέν· γῆ ἧς οἱ λίθοι σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐ-
τῆς μεταλλεύσεις χαλκόν· [10] καὶ φαγῇ καὶ ἐμπλησθήσῃ, καὶ εὐλογήσεις κύριον 10
τὸν θεόν σου ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς ἧς δέδωκέ σοι. [11] πρόσεχε σεαυτῷ μὴ 11
ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου, τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ
κρίματα καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον· [12] μὴ 12
φαγὼν καὶ ἐμπλησθείς, καὶ οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοικήσας ἐν
αὐταῖς, [13] καὶ τῶν βοῶν σου καὶ τῶν προβάτων σου πληθυνθέντων σοι, ἀρ- 13
γυρίου καὶ χρυσίου πληθυνθέντος σοι, καὶ πάντων ὅσων σοι ἔσται πληθυνθέν-
των σοι, [14] ὑψωθῇς τῇ καρδίᾳ καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος 14
σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· [15] τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου 15
τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις δάκνων καὶ σκορπίος καὶ
δίψα, οὗ οὐκ ἦν ὕδωρ· τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδα-
τος· [16] τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεις σὺ καὶ οὐκ 16
ᾔδεισαν οἱ πατέρες σου, ἵνα κακώσῃ σε καὶ ἐκπειράσῃ σε, καὶ εὖ σε ποιήσῃ

---

23. και απολεσει ... εξολεθρευσει 24. απολειται ... ουδεις ... εξολεθρευσης 25. κατακαυσετε πυρι· και ουκ ... λαβειν pro ου ληψη VIII. 1. τ. γην την αγαθην ... om ο θεος υμων 2. οπως κακωση 3. ρηματι εκπορευομενω 4. om ουκ επαλ. απο σου, τα υποδ. σου ... τεσσερακοντα 5. ουτως 7. εις την γην την αγ. ... ορεων κ. δια τ. πεδιων 9. ουδεν επ αυτης ... λιθ. αυτης σιδηρος 10. εδωκεν 11. του φυλαξαι αυτου τας εντ. (12. εμπλησθης ... ωκοδομησας) 14. καρδια σου ... δουλιας 16. om ηδεις συ και ουκ ... και ινα εκπειραση σε ευ σε ποιησαι

Digitized by Google

17 ἐπ' ἐσχάτων τῶν ἡμερῶν σου· [17]μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου Ἡ ἰσχύς μου
καὶ τὸ κράτος τῆς χειρός μου ἐποίησέ μοι τὴν δύναμιν τὴν μεγάλην ταύτην.
18 [18]καὶ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου, ὅτι αὐτός σοι δίδωσιν ἰσχὺν τοῦ ποιῆ-
σαι δύναμιν, καὶ ἵνα στήσῃ τὴν διαθήκην αὐτοῦ ἣν ὤμοσε κύριος τοῖς πα-
19 τράσι σου ὡς σήμερον. [19]καὶ ἔσται ἐὰν λήθῃ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου, καὶ
πορευθῇς ὀπίσω θεῶν ἑτέρων καὶ λατρεύσῃς αὐτοῖς καὶ προςκυνήσῃς αὐτοῖς,
διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν ὅτι ἀπωλείᾳ ἀπο-
20 λεῖσθε· [20]καθὰ καὶ τὰ λοιπὰ ἔθνη ὅσα κύριος ὁ θεὸς ἀπολλύει πρὸ προςώπου
ὑμῶν, οὕτως ἀπολεῖσθε ἀνθ' ὧν οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ
ὑμῶν.

## IX.

Ἄκουε Ἰσραήλ, σὺ διαβαίνεις σήμερον τὸν Ἰορδάνην εἰςελθεῖν κληρονο-
μῆσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερα μᾶλλον ἢ ὑμεῖς, πόλεις μεγάλας καὶ τει-
2 χήρεις ἕως τοῦ οὐρανοῦ, [2]λαὸν μέγαν καὶ πολὺν καὶ εὐμήκη, υἱοὺς Ἐνάκ,
οὓς σὺ οἶσθα καὶ σὺ ἀκήκοας Τίς ἀντιστήσεται κατὰ πρόσωπον υἱῶν Ἐνάκ;
3 [3]καὶ γνώσῃ σήμερον ὅτι κύριος ὁ θεός σου οὗτος προπορεύσεται πρὸ προς-
ώπου σου· πῦρ καταναλίσκον ἐστίν, οὗτος ἐξολοθρεύσει αὐτούς, καὶ οὗτος *Πε. 12, 29.
ἀποστρέψει αὐτοὺς ἀπὸ προςώπου σου καὶ ἀπολεῖ αὐτοὺς ἐν τάχει, καθάπερ
4 εἶπέ σοι κύριος. [4]μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ἐν τῷ ἐξαναλῶσαι κύριον τὸν
θεόν σου τὰ ἔθνη ταῦτα πρὸ προςώπου σου, λέγων Διὰ τὴν δικαιοσύνην μου
5 εἰςήγαγέ με κύριος κληρονομῆσαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην. [5]οὐχὶ διὰ τὴν
δικαιοσύνην σου οὐδὲ διὰ τὴν ὁσιότητα τῆς καρδίας σου σὺ εἰςπορεύῃ κλη-
ρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τούτων κύριος
ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προςώπου σου, καὶ ἵνα στήσῃ τὴν διαθήκην ἣν ὤμοσε
6 κύριος τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ. [6]καὶ
γνώσῃ σήμερον ὅτι οὐχὶ διὰ τὰς δικαιοσύνας σου κύριος ὁ θεός σου δίδωσί
σοι τὴν γῆν τὴν ἀγαθὴν ταύτην κληρονομῆσαι, ὅτι λαὸς σκληροτράχηλος εἶ.
7 [7]μνήσθητι μὴ ἐπιλάθῃ ὅσα παρώξυνας κύριον τὸν θεόν σου ἐν τῇ ἐρήμῳ·
ἀφ' ἧς ἡμέρας ἐξήλθετε ἐξ Αἰγύπτου καὶ ἤλθετε εἰς τὸν τόπον τοῦτον, ἀπει-
8 θοῦντες διετελεῖτε τὰ πρὸς κύριον. [8]καὶ ἐν Χωρὴβ παρωξύνατε κύριον, καὶ
9 ἐθυμώθη κύριος ἐφ' ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς, [9]ἀναβαίνοντός μου εἰς τὸ ὄρος
λαβεῖν τὰς πλάκας τὰς λιθίνας, πλάκας διαθήκης ἃς διέθετο κύριος πρὸς ὑμᾶς·
καὶ κατεγενόμην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας,
10 ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον. [10]καὶ ἔδωκέ μοι κύριος τὰς δύο πλά-
κας τὰς λιθίνας γεγραμμένας ἐν τῷ δακτύλῳ τοῦ θεοῦ, καὶ ἐπ' αὐταῖς ἐγέ-
γραπτο πάντες οἱ λόγοι οὓς ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἡμέρᾳ ἐκ-
11 κλησίας· [11]καὶ ἐγένετο διὰ τεσσαράκοντα ἡμερῶν καὶ διὰ τεσσαράκοντα
νυκτῶν ἔδωκε κύριος ἐμοὶ τὰς δύο πλάκας τὰς λιθίνας, πλάκας διαθήκης.
12 [12]καὶ εἶπε κύριος πρός με Ἀνάστηθι κατάβηθι τὸ τάχος ἐντεῦθεν, ὅτι ἠνό-
μησεν ὁ λαός σου οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· παρέβησαν ταχὺ ἐκ τῆς

---

16. επ εσχατω σου 17. και μη ειπης 18. δυναμιν ινα ... om κυριος 20. om ο θεος IX. 1. εισελθ. και κληρ. 2. ευμηκεις ... ησθα και ακηκοας 3. εξολεθρευσει ... προ προσωπου ... ante κ. απολει add και εξολεθρευσει αυτους 4. τας δικαιοσυνας ... in fine add αλλα δια την ασεβειαν των εθνων τουτων κυριος εξολεθρευσει αυτους προ προσωπου σου 5. ανομιαν pro ασεβειαν ... εξολεθρευσει ... πατρασ. υμων αβρααμ και ισαακ και ιακωβ 6. om σημερον ... οτι ου δια ... θεος διδωσιν 7. αιγυπτου εως ηλθετε 8. εξολεθρευσαι 9. κατεγεινομην ... τεσσεραχ. bis 10. τας γεγραμμενας ... επεγραπτο (sic) ... * om ημερα εκκλησιας (?) ... ** εκ μεσου του πυρος ημερα εκκλησ. 11. τεσσεραχ. bis ... εδωκεν μοι κυριος ... της διαθηκης 12. αναστ. και καταβηθι

Digitized by Google

ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς, καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα. 13 καὶ εἶπε κύριος 13
πρός με λέγων Λελάληκα πρὸς σὲ ἅπαξ καὶ δὶς λέγων Ἑώρακα τὸν λαὸν
τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχηλός ἐστιν· 14 καὶ νῦν ἔασόν με ἐξολοθρεῦ- 14
σαι αὐτούς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ, καὶ
ποιήσω σὲ εἰς ἔθνος μέγα καὶ ἰσχυρὸν καὶ πολὺ μᾶλλον ἢ τοῦτο. 15 καὶ ἐπι- 15
στρέψας κατέβην ἐκ τοῦ ὄρους, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρανοῦ,
καὶ αἱ δύο πλάκες τῶν μαρτυρίων ἐπὶ ταῖς δυσὶ χερσί μου. 16 καὶ ἰδὼν ὅτι 16
ἡμάρτετε ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ ἐποιήσατε ὑμῖν αὐτοῖς χωνευ-
τόν, καὶ παρέβητε ἀπὸ τῆς ὁδοῦ ἧς ἐνετείλατο κύριος ὑμῖν ποιεῖν, 17 καὶ ἐπι- 17
λαβόμενος τῶν δύο πλακῶν ἔρριψα αὐτὰς ἀπὸ τῶν δύο χειρῶν μου καὶ συνέτριψα
ἐναντίον ὑμῶν. 18 καὶ ἐδεήθην ἐναντίον κυρίου δεύτερον καθάπερ καὶ τὸ πρό- 18
τερον τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγον καὶ
ὕδωρ οὐκ ἔπιον, περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ὧν ἡμάρτετε, ποιῆσαι τὸ
πονηρὸν ἐναντίον κυρίου τοῦ θεοῦ παροξῦναι αὐτόν· 19 καὶ ἔκφοβός εἰμι διὰ 19
He. 12, 21. τὸν θυμὸν καὶ τὴν ὀργήν, ὅτι παρωξύνθη κύριος ἐφ' ὑμῖν τοῦ ἐξολοθρεῦσαι
ὑμᾶς· καὶ εἰσήκουσε κύριος ἐμοῦ καὶ ἐν τῷ καιρῷ τούτῳ. 20 καὶ ἐπὶ Ἀαρὼν 20
ἐθυμώθη ἐξολοθρεῦσαι αὐτόν, καὶ ηὐξάμην καὶ περὶ Ἀαρὼν ἐν τῷ καιρῷ ἐκείνῳ.
21 καὶ τὴν ἁμαρτίαν ὑμῶν ἣν ἐποιήσατε, τὸν μόσχον, ἔλαβον αὐτὸν καὶ κατέ- 21
καυσα αὐτὸν ἐν πυρί, καὶ συνέκοψα αὐτὸν καταλέσας σφόδρα ἕως ἐγένετο
λεπτόν· καὶ ἐγένετο ὡσεὶ κονιορτός, καὶ ἔρριψα τὸν κονιορτὸν εἰς τὸν χει-
μάρρουν τὸν καταβαίνοντα ἐκ τοῦ ὄρους. 22 καὶ ἐν τῷ ἐμπυρισμῷ καὶ ἐν τῷ 22
πειρασμῷ καὶ ἐν τοῖς μνήμασι τῆς ἐπιθυμίας παροξύναντες ἦτε κύριον. 23 καὶ 23
ὅτε ἐξαπέστειλεν ὑμᾶς κύριος ἐκ Κάδης Βαρνὴ λέγων Ἀνάβητε καὶ κληρο-
νομήσατε τὴν γῆν ἣν δίδωμι ὑμῖν, καὶ ἠπειθήσατε τῷ ῥήματι κυρίου τοῦ
θεοῦ ὑμῶν, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ, καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς αὐ-
τοῦ· 24 ἀπειθοῦντες ἦτε τὰ πρὸς κύριον ἀπὸ τῆς ἡμέρας ἧς ἐγνώσθη ὑμῖν. 24
25 καὶ ἐδεήθην ἔναντι κυρίου τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας 25
ὅσας ἐδεήθην, εἶπε γὰρ κύριος ἐξολοθρεῦσαι ὑμᾶς· 26 καὶ εὐξάμην πρὸς τὸν 26
θεὸν καὶ εἶπα Κύριε βασιλεῦ τῶν θεῶν, μὴ ἐξολοθρεύσῃς τὸν λαόν σου καὶ
τὴν μερίδα σου ἣν ἐλυτρώσω, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν τῇ ἰσχύϊ σου
τῇ μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψη-
λῷ· 27 μνήσθητι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν θεραπόντων σου οἷς 27
ὤμοσας κατὰ σεαυτοῦ, μὴ ἐπιβλέψῃς ἐπὶ τὴν σκληρότητα τοῦ λαοῦ τούτου
καὶ τὰ ἀσεβήματα καὶ ἐπὶ τὰ ἁμαρτήματα αὐτῶν· 28 μὴ εἴπωσιν οἱ κατοι- 28
κοῦντες τὴν γῆν ὅθεν ἐξήγαγες ἡμᾶς ἐκεῖθεν λέγοντες Παρὰ τὸ μὴ δύνασθαι
κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν εἶπεν αὐτοῖς, καὶ παρὰ τὸ μισῆσαι
αὐτοὺς ἐξήγαγεν αὐτοὺς ἐν τῇ ἐρήμῳ ἀποκτεῖναι αὐτούς. 29 καὶ οὗτοι λαός σου 29
καὶ κλῆρός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ
καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ.

12. αυτοις, εποιησαν εαυτ. χωνευτα 13. om λεγων prius 14. om και νυν ... εξολεθρευσαι ... πολυ κ. ισχυρ. 15. om εως του ουρανου ... om δυσι 16. εναντι ... μοσχον χωνευτον, κ. παρ. ταχυ ... om ποιειν 17. ερειψα ... om δυο sec. ... συνετριψα αυτας 18. εναντι bis ... τεσσεραχ. bis ... θεου υμων του παροξ. 19. την οργην κ. τ. θυμον ... εξολεθρευσαι ... καιρω εκεινω 20. εθυμωθη κυριος σφοδρα του εξολεθρευσαι 21. πυρι, κ. συνετριψα αυτ. και κατηλασα σφ. εως ου εγεν. λ. κ. εγενηθη ... απο pro εκ 22. παροξυνοντες ητ. κυρ. τον θεον υμων 23. απεστειλεν ... αναβητε κληρονομησατε ... εγω διδωμι 24. κυριον αφ ης ημερας εγν. 25. τεσσεραχ. bis ... εξολεθρευσαι 26. ηυξαμην ... κυριε κυριε βασ. ... εξολεθρ. ... κληρονομιαν pro μεριδα ... ελυτρωσ. εν τη ισχυι σου τη μεγαλη, ους ... εν χειρι ... μεγαλω pro υψηλω 27. τουτου κ. επι τα αμαρτ. αυτ. κ. επι τα ασεβ. αυτων 28. μη ποτε ... εξηγαγεν ... μισησαι κυριον αυτ. ... αποκτ. εν τη ερημω sine αυτους 29. om και εν τ. χειρι σ. τη κρ.

Digitized by Google

## X.

Ἐν ἐκείνῳ τῷ καιρῷ εἶπε κύριος πρός μέ Λάξευσον σεαυτῷ δύο πλάκας
λιθίνας ὥσπερ τὰς πρώτας, καὶ ἀνάβηθι πρὸς μὲ εἰς τὸ ὄρος, καὶ ποιήσεις
2 σεαυτῷ κιβωτὸν ξυλίνην· [2] καὶ γράψεις ἐπὶ τὰς πλάκας τὰ ῥήματα ἃ ἦν ἐν
ταῖς πλαξὶ ταῖς πρώταις ἃς συνέτριψας, καὶ ἐμβαλεῖς αὐτὰς εἰς τὴν κιβωτόν.
3 [3] καὶ ἐποίησα κιβωτὸν ἐκ ξύλων ἀσήπτων, καὶ ἐλάξευσα τὰς πλάκας λιθίνας
ὡς αἱ πρῶται, καὶ ἀνέβην εἰς τὸ ὄρος, καὶ αἱ δύο πλάκες ἐπὶ ταῖς χερσί
4 μου. [4] καὶ ἔγραψεν ἐπὶ τὰς πλάκας κατὰ τὴν γραφὴν τὴν πρώτην τοὺς δέκα
λόγους, οὓς ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός, καὶ
5 ἔδωκεν αὐτὰς κύριος ἐμοί. [5] καὶ ἐπιστρέψας κατέβην ἐκ τοῦ ὄρους, καὶ ἐνέ-
βαλον τὰς πλάκας εἰς τὴν κιβωτὸν ἣν ἐποίησα, καὶ ἦσαν ἐκεῖ καθὰ ἐνετεί-
6 λατό μοι κύριος. [6] καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῆραν ἐκ Βηρὼθ υἱῶν Ἰακὶμ Μισαδαΐ·
ἐκεῖ ἀπέθανεν Ἀαρὼν καὶ ἐτάφη ἐκεῖ, καὶ ἱεράτευσεν Ἐλεάζαρ υἱὸς αὐτοῦ
7 ἀντ' αὐτοῦ. [7] ἐκεῖθεν ἀπῆραν εἰς Γαδγάδ, καὶ ἀπὸ Γαδγὰδ εἰς Ἐτεβαθᾶ, γῆ
8 χείμαῤῥοι ὑδάτων. [8] ἐν ἐκείνῳ τῷ καιρῷ διέστειλε κύριος τὴν φυλὴν τὴν Λευὶ
αἴρειν τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, παρεστάναι ἔναντι κυρίου, λειτουρ-
9 γεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης. [9] διὰ τοῦτο
οὐκ ἔστι τοῖς Λευίταις μερὶς καὶ κλῆρος ἐν τοῖς ἀδελφοῖς αὐτῶν· κύριος αὐτὸς
10 κλῆρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ. [10] κἀγὼ εἱστήκειν ἐν τῷ ὄρει τεσσαράκοντα
ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ εἰσήκουσε κύριος ἐμοῦ καὶ ἐν τῷ καιρῷ
11 τούτῳ, καὶ οὐκ ἠθέλησε κύριος ἐξολοθρεῦσαι ὑμᾶς. [11] καὶ εἶπε κύριος πρὸς
μέ Βάδιζε ἄπαρον ἐναντίον τοῦ λαοῦ τούτου, καὶ εἰσπορευέσθωσαν καὶ κλη-
12 ρονομείτωσαν τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι αὐτοῖς. [12] καὶ
νῦν Ἰσραὴλ τί κύριος ὁ θεός σου αἰτεῖται παρὰ σοῦ ἀλλ' ἢ φοβεῖσθαι κύριον
τὸν θεόν σου, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾶν αὐτόν,
καὶ λατρεύειν κυρίῳ τῷ θεῷ σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς
13 ψυχῆς σου, [13] φυλάσσεσθαι τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ σου καὶ τὰ δικαιώ-
14 ματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ἵνα εὖ σοι ᾖ; [14] ἰδοὺ κυρίου *1Co. 10, 26.
τοῦ θεοῦ σου ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα
15 ἐστὶν ἐν αὐτῇ· [15] πλὴν τοὺς πατέρας ὑμῶν προείλετο κύριος ἀγαπᾶν αὐτούς,
καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς ὑμᾶς παρὰ πάντα τὰ ἔθνη κατὰ
16 τὴν ἡμέραν ταύτην. [16] καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν
17 τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε· [17] ὁ γὰρ κύριος ὁ θεὸς ὑμῶν οὗτος θεὸς τῶν
θεῶν καὶ κύριος τῶν κυρίων, ὁ θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερός, ὅστις
18 οὐ θαυμάζει πρόσωπον οὐδὲ οὐ μὴ λάβῃ δῶρον, [18] ποιῶν κρίσιν προσηλύτῳ
καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ
19 ἱμάτιον. [19] καὶ ἀγαπήσετε τὸν προσήλυτον· προσήλυτοι γὰρ ἦτε ἐν γῇ Αἰγύπτῳ.
20 [20] κύριον τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολ-
21 ληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· [21] οὗτος καύχημά σου καὶ οὗτος
θεός σου, ὅστις ἐποίησεν ἐν σοὶ τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα ἃ εἴδοσαν
22 οἱ ὀφθαλμοί σου· [22] ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς
Αἴγυπτον, νυνὶ δὲ ἐποίησέ σε κύριος ὁ θεός σου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήθει.

---

X. 1. υπερ pro ωςπερ ... κιβωτ. λιθινην 2. γραψω ... οσα ην ... αις συνετρ. 3. τας δυο πλακ. τας λιθ. ωςπερ 6. ιακειμ μεισαδαι· και εκει 7. ιεταβαθα ... χειμαρρου 9. εσται ... καθα ειπ. 10. καγω εστην ... τεσσερακ. bis ... μου ... εθελησεν ... εξολεθρ. 11. εναντι ... πατρασιν υμων δουν. αυτην αυτοις 12. σου, πορευεσθαι 15. προειλατο 16. σκληρυν. ετι 17. ο μεγ. ο ισχυρος κ. ο φοβερος ... ουδε μη 18. και αγαπαν τον πλησιον δουναι 20. προςκυνησεις pro φοβηθηση ... αυτω μονω· 21. αυτος καυχ. σ. κ. αυτος ... εποιησεν σοι ... ιδον 22. εβδομηκ. πεντε

Digitized by Google

## XI.

Καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου, καὶ φυλάξῃ τὰ φυλάγματα αὐτοῦ
καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ πά-
σας τὰς ἡμέρας. [2] καὶ γνώσεσθε σήμερον ὅτι οὐχὶ τὰ παιδία ὑμῶν, ὅσοι οὐκ 2
οἴδασιν οὐδὲ ἴδοσαν τὴν παιδείαν κυρίου τοῦ θεοῦ σου καὶ τὰ μεγαλεῖα αὐ-
τοῦ καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν, [3] καὶ τὰ ση- 3
μεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ὅσα ἐποίησεν ἐν μέσῳ Αἰγύπτου Φαραῷ
βασιλεῖ Αἰγύπτου καὶ πάσῃ τῇ γῇ αὐτοῦ, [4] καὶ ὅσα ἐποίησε τὴν δύναμιν τῶν 4
Αἰγυπτίων καὶ τὰ ἅρματα αὐτῶν καὶ τὴν ἵππον αὐτῶν καὶ τὴν δύναμιν αὐ-
τῶν, ὡς ἐπέκλυσε τὸ ὕδωρ τῆς θαλάσσης τῆς ἐρυθρᾶς ἐπὶ προςώπου αὐτῶν,
καταδιωκόντων αὐτῶν ἐκ τῶν ὀπίσω ὑμῶν, καὶ ἀπώλεσεν αὐτοὺς κύριος ἕως
τῆς σήμερον ἡμέρας, [5] καὶ ὅσα ἐποίησεν ὑμῖν ἐν τῇ ἐρήμῳ ἕως ἤλθετε εἰς 5
τὸν τόπον τοῦτον, [6] καὶ ὅσα ἐποίησε τῷ Δαθὰν καὶ Ἀβειρὼν υἱοῖς Ἐλιὰβ υἱοῦ 6
Ῥουβήν, οὓς ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ τοὺς οἴ-
κους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πᾶσαν αὐτῶν τὴν ὑπόστασιν τὴν μετ'
αὐτῶν ἐν μέσῳ παντὸς Ἰσραήλ· [7] ὅτι οἱ ὀφθαλμοὶ ὑμῶν ἑώρακαν πάντα τὰ 7
ἔργα κυρίου τὰ μεγάλα ὅσα ἐποίησεν ἐν ὑμῖν σήμερον. [8] καὶ φυλάξεσθε πά- 8
σας τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα ζῆτε καὶ πο-
λυπλασιασθῆτε, καὶ εἰςελθόντες κληρονομήσετε τὴν γῆν εἰς ἣν ὑμεῖς διαβαίνετε
τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν· [9] ἵνα μακροημερεύσητε ἐπὶ τῆς γῆς 9
ἧς ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς καὶ τῷ σπέρματι αὐτῶν
μετ' αὐτούς, γῆν ῥέουσαν γάλα καὶ μέλι. [10] ἔστι γὰρ ἡ γῆ εἰς ἣν εἰςπορεύῃ 10
ὑμεῖς ἐκεῖ κληρονομῆσαι αὐτήν, οὐχ ὥςπερ γῆ Αἰγύπτου ἐστίν, ὅθεν ἐκπεπό-
ρευσθε ἐκεῖθεν, ὅταν σπείρωσι τὸν σπόρον καὶ ποτίζωσι τοῖς ποσὶν αὐτῶν ὡς-
εὶ κῆπον λαχανείας· [11] ἡ δὲ γῆ εἰς ἣν εἰςπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτὴν 11
γῆ ὀρεινὴ καὶ πεδεινή, ἐκ τοῦ ὑετοῦ τοῦ οὐρανοῦ πίεται ὕδωρ· [12] γῆ ἣν κύ- 12
ριος ὁ θεός σου ἐπισκοπεῖται αὐτὴν διὰ παντός, οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ
σου ἐπ' αὐτῆς ἀπ' ἀρχῆς τοῦ ἐνιαυτοῦ καὶ ἕως συντελείας τοῦ ἐνιαυτοῦ.
[13] ἐὰν δὲ ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολὰς ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, 13
ἀγαπᾶν κύριον τὸν θεόν σου καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, [14] καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν 14
πρώιμον καὶ ὄψιμον, καὶ εἰςοίσεις τὸν σῖτόν σου καὶ τὸν οἶνόν σου καὶ τὸ
ἔλαιόν σου, [15] καὶ δώσει χορτάσματα ἐν τοῖς ἀγροῖς σου τοῖς κτήνεσί σου. 15
[16] καὶ φαγὼν καὶ ἐμπλησθεὶς πρόσεχε σεαυτῷ μὴ πλατυνθῇ ἡ καρδία σου, καὶ 16
παραβῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προςκυνήσητε αὐτοῖς· [17] καὶ θυ- 17
μωθεὶς ὀργῇ κύριος ἐφ' ὑμῖν καὶ συσχῇ τὸν οὐρανόν, καὶ οὐκ ἔσται ὑετὸς
καὶ ἡ γῆ οὐ δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἀπολεῖσθε ἐν τάχει ἀπὸ τῆς γῆς
τῆς ἀγαθῆς ἧς κύριος ἔδωκεν ὑμῖν. [18] καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα εἰς τὴν 18
καρδίαν ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἀφάψετε αὐτὰ εἰς σημεῖον ἐπὶ
τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν ὑμῶν· [19] καὶ διδάξετε 19
αὐτὰ τὰ τέκνα ὑμῶν λαλεῖν ἐν αὐτοῖς, καθημένου σου ἐν οἴκῳ καὶ πορευομένου

---

XI. 2. ουδε ειδον 3. εμμεσω ... βασιλεως 4. ** τη δυναμει ... αιγυπτιων, τα αρματα ... om και την δυν. αυτων ... κυρ. ο θεος εως 5. ερημω· ως εισηλθετε 6. εμμεσω 7. εωρων ... εποιησεν υμιν 8. εντελλ. υμιν σημερον ... κ. εισελθητε και κληρονομησητε ... διαβεννετε 10. εισπορευεσθε υμεις ... η γη αιγυπτου, οθεν εκπορευεσθε ... om αυτων ... λαχανιας 11. συ εισπορευη 12. αυτην· Δια παντος ita dist. ... της συντελειας 13. εντολας αυτου οσας ... om σου extr. 14. της γης ... προιμον 15. δωσεις ... σου και εν τοις κτ. 17. οργισθη ... ης εδωκεν ο θεος υμιν 19. λαλειν αυτα καθημενους εν οικ. κ. πορευομενους

Digitized by Google

20 σου ἐν ὁδῷ, καὶ καθεύδοντός σου καὶ διανισταμένου σου· [20]καὶ γράψετε αὐτὰ
21 ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν, [21]ἵνα μακροημερεύ-
σητε, καὶ αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν ἐπὶ τῆς γῆς ἧς ὤμοσε κύριος τοῖς πα-
22 τράσιν ὑμῶν δοῦναι αὐτοῖς καθὼς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. [22]καὶ
ἔσται ἐὰν ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολὰς ταύτας ἃς ἐγὼ ἐντέλλομαί σοι
σήμερον ποιεῖν, ἀγαπᾶν κύριον τὸν θεὸν ἡμῶν καὶ πορεύεσθαι ἐν πάσαις ταῖς
23 ὁδοῖς αὐτοῦ καὶ προςκολλᾶσθαι αὐτῷ, [23]καὶ ἐκβαλεῖ κύριος πάντα τὰ ἔθνη
ταῦτα ἀπὸ προςώπου ὑμῶν, καὶ κληρονομήσετε ἔθνη μεγάλα καὶ ἰσχυρὰ μᾶλ-
24 λον ἢ ὑμεῖς. [24]πάντα τὸν τόπον οὗ ἐὰν πατήσῃ τὸ ἴχνος τοῦ ποδὸς ὑμῶν
ὑμῖν ἔσται· ἀπὸ τῆς ἐρήμου καὶ Ἀντιλιβάνου, καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ με-
γάλου, ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ἐπὶ δυσμῶν ἔσται τὰ
25 ὅριά σου. [25]οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόςωπον ὑμῶν· καὶ τὸν φόβον
ὑμῶν καὶ τὸν τρόμον ὑμῶν ἐπιθήσει κύριος ὁ θεὸς ὑμῶν ἐπὶ πρόςωπον πά-
σης τῆς γῆς ἐφ' ἧς ἂν ἐπιβῆτε ἐπ' αὐτῆς, ὃν τρόπον ἐλάλησε πρὸς ὑμᾶς.
26 [26]Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον τὴν εὐλογίαν καὶ τὴν κατάραν·
27 [27]τὴν εὐλογίαν, ἐὰν ἀκούσητε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν ὅσας ἐγὼ
28 ἐντέλλομαι ὑμῖν σήμερον, [28]καὶ τὴν κατάραν, ἐὰν μὴ ἀκούσητε τὰς ἐντολὰς
κυρίου τοῦ θεοῦ ἡμῶν ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, καὶ πλανηθῆτε ἀπὸ
τῆς ὁδοῦ ἧς ἐνετειλάμην ὑμῖν, πορευθέντες λατρεύειν θεοῖς ἑτέροις οὓς οὐκ
29 οἴδατε. [29]καὶ ἔσται ὅταν εἰςαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν γῆν εἰς ἣν
διαβαίνεις ἐκεῖ κληρονομῆσαι αὐτήν, καὶ δώσεις εὐλογίαν ἐπ' ὄρος Γαριζὶν
30 καὶ τὴν κατάραν ἐπ' ὄρος Γαιβάλ. [30]οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ Ἰορδάνου
ὀπίσω ὁδὸν δυσμῶν ἡλίου ἐν γῇ Χαναὰν τὸ κατοικοῦν ἐπὶ δυσμῶν ἐχόμενον
31 τοῦ Γολγὸλ πλησίον τῆς δρυὸς τῆς ὑψηλῆς; [31]ὑμεῖς γὰρ διαβαίνετε τὸν Ἰορ-
δάνην, εἰςελθόντες κληρονομῆσαι τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ὑμῖν
32 ἐν κλήρῳ πάσας τὰς ἡμέρας, καὶ κατοικήσετε ἐν αὐτῇ. [32]καὶ φυλάξεσθε
τοῦ ποιεῖν πάντα τὰ προστάγματα αὐτοῦ καὶ τὰς κρίσεις ταύτας ὅσας ἐγὼ
δίδωμι ἐνώπιον ὑμῶν σήμερον.

## XII.

Καὶ ταῦτα τὰ προστάγματα καὶ αἱ κρίσεις ἃς φυλάξετε τοῦ ποιεῖν ἐν
τῇ γῇ, ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας
2 τὰς ἡμέρας ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς. [2]ἀπωλείᾳ ἀπολεῖτε πάντας τοὺς τό-
πους ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, οὓς ὑμεῖς κληρονομεῖτε αὐτούς,
ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν θινῶν καὶ ὑποκάτω δένδρου δασέως·
3 [3]καὶ κατασκάψετε τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίψετε τὰς στήλας αὐτῶν,
καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε
4 πυρί, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. [4]οὐ ποιήσετε οὕτω
5 κυρίῳ τῷ θεῷ ὑμῶν· [5]ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός
σου ἐν μιᾷ τῶν πόλεων ὑμῶν, ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ καὶ ἐπικλη-
6 θῆναι, καὶ ἐκζητήσετε καὶ ἐλεύσεσθε ἐκεῖ· [6]καὶ οἴσετε ἐκεῖ τὰ ὁλοκαυτώματα
ὑμῶν καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰς ἀπαρχὰς ὑμῶν καὶ τὰς εὐχὰς ὑμῶν,

---

19. εν οδ. κ. κοιταζομενους κ. διανισταμενους 20. φλειας τ. οικων 21. πολυημερευσητε 22. εντελλ. υμιν 23. ισχυροτερα μαλλον 24. ορια υμων 25. υμων· τον φοβον ... επι προςωπου ... ελαλ. κυριος πρ. 26. σημερον εναντιον υμων ευλογιας κ. καταρας 28. τας καταρας ... ειςακουσητε ... υμων οσας εγω ... οις ουκ οιδ. 29. γην ην διαβεννεις ... την ευλογιαν ... γαζιρειν (sic) 31. ante κ. κατοικ. add και κληρονομησετε αυτην 32. προςταγμ. μου ... κρισεις αυτου ας XII. 1. προςταγμ. και τα κριματα α φυλαξεσθε του ποιησαι επι της γης ης ... πατερων ημων 2. παντα τα εθνη εν οις ... κατακληρονομειτε 3. απολειτε 4. ουτως 5. θεος υμων ... φυλων pro πολεων ... εκει επικληθηναι ... ειςελευσεσθε 6. om και τας ευχας υμων

Digitized by Google

καὶ τὰ ἑκούσια ὑμῶν καὶ τὰς ὁμολογίας ὑμῶν, τὰ πρωτότοκα τῶν βοῶν ὑμῶν
καὶ τῶν προβάτων ὑμῶν· 7 καὶ φάγεσθε ἐκεῖ ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν, 7
καὶ εὐφρανθήσεσθε ἐπὶ πᾶσιν οὗ ἐὰν ἐπιβάλητε τὴν χεῖρα, ὑμεῖς καὶ οἱ οἶκοι
ὑμῶν, καθότι εὐλόγησέ σε κύριος ὁ θεός σου. 8 οὐ ποιήσετε πάντα ὅσα ἡμεῖς 8
ποιοῦμεν ὧδε σήμερον ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ· 9 οὐ γὰρ ἥκατε 9
ἕως τοῦ νῦν εἰς τὴν κατάπαυσιν καὶ εἰς τὴν κληρονομίαν ἣν κύριος ὁ θεὸς
ἡμῶν δίδωσιν ὑμῖν. 10 καὶ διαβήσεσθε τὸν Ἰορδάνην, καὶ κατοικήσετε ἐπὶ τῆς 10
γῆς ἧς κύριος ὁ θεὸς ἡμῶν κατακληρονομεῖ ὑμῖν, καὶ καταπαύσει ὑμᾶς ἀπὸ
πάντων τῶν ἐχθρῶν ὑμῶν τῶν κύκλῳ, καὶ κατοικήσετε μετὰ ἀσφαλείας. 11 καὶ 11
ἔσται ὁ τόπος ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐ-
τοῦ ἐκεῖ, ἐκεῖ οἴσετε πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, τὰ ὁλοκαυτώ-
ματα ὑμῶν καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰ ἐπιδέκατα ὑμῶν καὶ τὰς ἀπαρ-
χὰς τῶν χειρῶν ὑμῶν, καὶ πᾶν ἐκλεκτὸν τῶν δώρων ὑμῶν ὅσα ἂν εὔξησθε
κυρίῳ τῷ θεῷ ὑμῶν· 12 καὶ εὐφρανθήσεσθε ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν, 12
ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ παῖδες ὑμῶν καὶ αἱ
παιδίσκαι ὑμῶν, καὶ ὁ Λευίτης ὁ ἐπὶ τῶν πυλῶν ὑμῶν, ὅτι οὐκ ἔστιν αὐτῷ
μερὶς οὐδὲ κλῆρος μεθ᾽ ὑμῶν. 13 πρόσεχε σεαυτῷ μὴ ἀνενέγκῃς τὰ ὁλοκαυ- 13
τώματά σου ἐν παντὶ τόπῳ οὗ ἐὰν ἴδῃς, 14 ἀλλ᾽ ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέ- 14
ξηται κύριος ὁ θεός σου αὐτὸν ἐν μιᾷ τῶν φυλῶν σου, ἐκεῖ ἀνοίσετε τὰ ὁλο-
καυτώματα ὑμῶν, καὶ ἐκεῖ ποιήσεις πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον.
15 ἀλλ᾽ ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις καὶ φαγῇ κρέα κατὰ τὴν εὐλογίαν 15
κυρίου τοῦ θεοῦ σου ἣν ἔδωκέ σοι ἐν πάσῃ πόλει· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ
ὁ καθαρὸς ἐπὶ τὸ αὐτὸ φάγεται αὐτό, ὡς δορκάδα ἢ ἔλαφον· 16 πλὴν τὸ αἷμα 16
οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ. 17 οὐ δυνήσῃ φαγεῖν ἐν 17
ταῖς πόλεσί σου τὸ ἐπιδέκατον τοῦ σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου
σου, τὰ πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου, καὶ πάσας τὰς εὐ-
χὰς ὅσας ἂν εὔξησθε καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν
σου· 18 ἀλλ᾽ ἢ ἐναντίον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὸ ἐν τῷ τόπῳ ᾧ ἂν 18
ἐκλέξηται κύριος ὁ θεός σου αὐτῷ, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου,
ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσιν ὑμῶν·
καὶ εὐφρανθήσῃ ἐναντίον κυρίου τοῦ θεοῦ σου ἐπὶ πάντα οὗ ἐὰν ἐπιβάλῃς
τὴν χεῖρά σου. 19 πρόσεχε σεαυτῷ μὴ ἐγκαταλίπῃς τὸν Λευίτην πάντα τὸν 19
χρόνον ὅσον ἂν ζῇς ἐπὶ τῆς γῆς. 20 ἐὰν δὲ ἐμπλατύνῃ κύριος ὁ θεός σου τὰ 20
ὅριά σου καθάπερ ἐλάλησέ σοι, καὶ ἐρεῖς Φάγομαι κρέα, ἐὰν ἐπιθυμήσῃ ἡ
ψυχή σου ὥστε φαγεῖν κρέα, ἐν πάσῃ ἐπιθυμίᾳ τῆς ψυχῆς σου φαγῇ κρέα.
21 ἐὰν δὲ μακρὰν ἀπέχῃ σου ὁ τόπος ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἐκεῖ 21
ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ θύσεις ἀπὸ τῶν βοῶν σου καὶ ἀπὸ τῶν
προβάτων σου, ὧν ἂν δῷ ὁ θεός σοι, ὃν τρόπον ἐνετειλάμην σοι, καὶ φαγῇ
ἐν ταῖς πόλεσί σου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου· 22 ὡς ἔσθεται ἡ δορ- 22
κὰς καὶ ἡ ἔλαφος, οὕτω φαγῇ αὐτό· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡς-
αύτως ἔδεται. 23 πρόσεχε ἰσχυρῶς τοῦ μὴ φαγεῖν αἷμα, ὅτι αἷμα αὐτοῦ ψυχή· 23
οὐ βρωθήσεται ψυχὴ μετὰ τῶν κρεῶν· 24 οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε 24

6. om τας ομολογ. υμων 7. τας χειρας ... ηυλογησεν 8. α ημεις ... εναντιον αυτου 10. θεος υμων ... κατακληρονομησει 11. θεος υμων ... ante κ. παν εκλ. add και τα δοματα υμων ... om κυριω 12. εναντι ... υμων, οι παιδες 14. πολεων pro φυλων ... ανοισεις τα ολ. σου 15. φαγετε αυτο 17. πασας ευχας ... ευξησθε, τας ... * om των χειρων sive τ. χ. σου ... ** των χειρων υμων 18. εναντι bis ... φαγη αυτα ... ου αν ... post παιδισκη σ. add και ο λευιτης ... πολεσιν σου 19. εγκαταλειπης ... λευιτην οσον αν χρονον ζη 20. ειπης pro ερεις ... επιθυμησει ... της καρδιας σου 21. μακροτερον απεχη ... om εκει prius ... ως αν δω σοι ο θεος σου 22. ουτως 23. το γαρ αιμα

Digitized by Google

25 αὐτὸ ὡς ὕδωρ· [25] οὐ φαγῇ αὐτό, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ
σέ, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐναντίον κυρίου τοῦ ϑεοῦ σου.
26 [26] πλὴν τὰ ἅγιά σου, ἐὰν γένηταί σοι, καὶ τὰς εὐχάς σου λαβὼν ἥξεις εἰς
τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ ϑεός σου ἐπικληϑῆναι τὸ ὄνομα αὐτοῦ
27 ἐκεῖ, [27] καὶ ποιήσεις τὰ ὁλοκαυτώματά σου· τὰ κρέα ἀνοίσεις ἐπὶ τὸ ϑυσιαστή-
ριον κυρίου τοῦ ϑεοῦ σου, τὸ δὲ αἷμα τῶν ϑυσιῶν σου προςχεεῖς πρὸς τὴν
28 βάσιν τοῦ ϑυσιαστηρίου κυρίου τοῦ ϑεοῦ σου, τὰ δὲ κρέα φαγῇ. [28] φυλάσσου
καὶ ἄκουε καὶ ποιήσεις πάντας τοὺς λόγους οὓς ἐγὼ ἐντέλλομαί σοι, ἵνα εὖ
σοι γένηται καὶ τοῖς υἱοῖς σου δι᾽ αἰῶνος, ἐὰν ποιήσῃς τὸ ἀρεστὸν καὶ τὸ
29 καλὸν ἐναντίον κυρίου τοῦ ϑεοῦ σου. [29] ἐὰν δὲ ἐξολοϑρεύσῃ κύριος ὁ ϑεός σου
τὰ ἔϑνη, εἰς οὓς εἰςπορεύῃ ἐκεῖ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀπὸ προςώπου
30 σου, καὶ κατακληρονομήσῃς αὐτήν, καὶ κατοικήσῃς ἐν τῇ γῇ αὐτῶν, [30] πρόςεχε
σεαυτῷ μὴ ἐκζητήσῃς ἐπακολουϑῆσαι αὐτοῖς μετὰ τὸ ἐξολοϑρευϑῆναι αὐτοὺς
ἀπὸ προςώπου σου, λέγων Πῶς ποιοῦσι τὰ ἔϑνη ταῦτα τοῖς ϑεοῖς αὐτῶν,
31 ποιήσω κἀγώ. [31] οὐ ποιήσεις οὕτω τῷ ϑεῷ σου· τὰ γὰρ βδελύγματα κυρίου,
ἃ ἐμίσησεν, ἐποίησαν ἐν τοῖς ϑεοῖς αὐτῶν, ὅτι τοὺς υἱοὺς αὐτῶν καὶ τὰς ϑυ-
32 γατέρας αὐτῶν κατακαίουσιν ἐν πυρὶ τοῖς ϑεοῖς αὐτῶν. [32] πᾶν ῥῆμα ὃ ἐγὼ
ἐντέλλομαι ὑμῖν σήμερον, τοῦτο φυλάξῃ ποιεῖν· οὐ προςϑήσεις ἐπ᾽ αὐτό, οὐδὲ
ἀφελεῖς ἀπ᾽ αὐτοῦ.

## XIII.

Ἐὰν δὲ ἀναστῇ ἐν σοὶ προφήτης ἢ ἐνυπνιαζόμενος τὸ ἐνύπνιον καὶ δῷ
2 σοι σημεῖον ἢ τέρας, [2] καὶ ἔλϑῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ
3 λέγων Πορευϑῶμεν καὶ λατρεύσωμεν ϑεοῖς ἑτέροις οὓς οὐκ οἴδατε, [3] οὐκ ἀκού-
σεσϑε τῶν λόγων τοῦ προφήτου ἐκείνου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο·
ὅτι πειράζει κύριος ὁ ϑεός σου ὑμᾶς εἰδέναι εἰ ἀγαπᾶτε τὸν ϑεὸν ὑμῶν ἐξ
4 ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. [4] ὀπίσω κυρίου τοῦ
ϑεοῦ ὑμῶν πορεύσεσϑε, καὶ τοῦτον φοβηϑήσεσϑε καὶ τῆς φωνῆς αὐτοῦ ἀκού-
5 σεσϑε καὶ αὐτῷ προστεϑήσεσϑε. [5] καὶ ὁ προφήτης ἐκεῖνος ἢ ὁ τὸ ἐνύπνιον
ἐνυπνιαζόμενος ἐκεῖνος ἀποϑανεῖται· ἐλάλησε γὰρ πλανῆσαί σε ἀπὸ κυρίου
τοῦ ϑεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, τοῦ λυτρωσαμένου σε ἐκ
τῆς δουλείας, ἐξῶσαί σε ἀπὸ τῆς ὁδοῦ ἧς ἐνετείλατό σοι κύριος ὁ ϑεός σου
6 πορεύεσϑαι ἐν αὐτῇ, καὶ ἀφανιεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν. [6] ἐὰν δὲ πα-
ρακαλέσῃ σε ὁ ἀδελφός σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου, ἢ ὁ υἱός σου
ἢ ἡ ϑυγάτηρ, ἢ ἡ γυνή σου ἡ ἐν κόλπῳ σου, ἢ φίλος ἴσος τῇ ψυχῇ σου,
λάϑρα λέγων Βαδίσωμεν καὶ λατρεύσωμεν ϑεοῖς ἑτέροις οὓς οὐκ ᾔδεις σὺ καὶ
7 οἱ πατέρες σου, [7] ἀπὸ τῶν ϑεῶν τῶν ἐϑνῶν τῶν περὶ κύκλῳ ὑμῶν, τῶν ἐγ-
γιζόντων σοι ἢ τῶν μακρὰν ἀπὸ σοῦ, ἀπ᾽ ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς,
8 [8] οὐ συνϑελήσεις αὐτῷ καὶ οὐκ εἰςακούσῃ αὐτοῦ, καὶ οὐ φείσεται ὁ ὀφϑαλ-
μός σου ἐπ᾽ αὐτῷ, οὐκ ἐπιποϑήσεις ἐπ᾽ αὐτῷ οὐδ᾽ οὐ μὴ σκεπάσῃς αὐτόν.
9 [9] ἀναγγέλλων ἀναγγελεῖς περὶ αὐτοῦ, καὶ αἱ χεῖρές σου ἔσονται ἐπ᾽ αὐτὸν ἐν

---

25. μετα σε εις τον αιωνα ... εναντι 26. σου α αν σοι γενηται ... αυτω επικληϑηναι 28. καλον κ. το αρεστ. εναντι 29. εξολεϑρευσῃ ... εις ους συ ... κατακληρονομησεις αυτους ... κατοικησεις 30. εξολεϑρευϑηναι ... ante λεγων add ου μη εκζητησῃς τους ϑεους αυτων ... και εγω 31. ουτως κυριω τω ϑ. σ. τα βδελυγμ. γαρ α κυριος εμισησεν ... εποιησαν τοις 32. σοι pro υμιν XIII. 1. ενυπνιον sine το ... δωσει 2. οις ουκ 3. ϑεος υμων υμας του ειδ. ει αγ. κυριον τον 4. πορευεσϑε, κ. αυτον φοβ. και τας εντολας αυτου φυλαξεσϑε κ. της φ. α. ακ. και αυτω δουλευσετε κ. αυτω πρ. 5. εκ της οδου ... αφανιειτε τον πονηρον 6. ϑυγατηρ σου ... η ο φιλος ο ισος ... πορευϑωμεν κ. λατρευσ. ... οις ουκ 8. ουδε μη σκεπ. 9. και η χειρ σου εσται επ αυτω

Digitized by Google

πρώτοις ἀποκτεῖναι αὐτόν, καὶ αἱ χεῖρες παντὸς τοῦ λαοῦ ἐπ' ἐσχάτῳ· 10 καὶ 10
λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐζήτησεν ἀποστῆσαί σε
ἀπὸ κυρίου τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δου-
λείας. 11 καὶ πᾶς Ἰσραὴλ ἀκούσας φοβηθήσεται, καὶ οὐ προςθήσει ποιῆσαι 11
ἔτι κατὰ τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν. 12 ἐὰν δὲ ἀκούσῃς ἐν μιᾷ τῶν 12
πόλεών σου ὧν κύριος ὁ θεός σου δίδωσί σοι κατοικεῖν σε ἐκεῖ λεγόντων
13 Ἐξήλθοσαν ἄνδρες παράνομοι ἐξ ὑμῶν, καὶ ἀπέστησαν πάντας τοὺς κατοι- 13
κοῦντας τὴν γῆν αὐτῶν λέγοντες Πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις
οὓς οὐκ ᾔδειτε, 14 καὶ ἐτάσεις καὶ ἐρωτήσεις καὶ ἐρευνήσεις σφόδρα, καὶ ἰδοὺ 14
ἀληθὴς σαφῶς ὁ λόγος, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν ὑμῖν, 15 ἀναιρῶν 15
ἀνελεῖς πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ ἐκείνῃ ἐν φόνῳ μαχαίρας, ἀνα-
θέματι ἀναθεματιεῖτε αὐτὴν καὶ πάντα τὰ ἐν αὐτῇ· 16 καὶ πάντα τὰ σκῦλα 16
αὐτῆς συνάξεις εἰς τὰς διόδους αὐτῆς, καὶ ἐμπρήσεις τὴν πόλιν ἐν πυρὶ καὶ
πάντα τὰ σκῦλα αὐτῆς πανδημεὶ ἐναντίον κυρίου τοῦ θεοῦ σου· καὶ ἔσται
ἀοίκητος εἰς τὸν αἰῶνα, οὐκ ἀνοικοδομηθήσεται ἔτι. 17 καὶ οὐ προςκολληθή- 17
σεται οὐδὲν ἀπὸ τοῦ ἀναθέματος ἐν τῇ χειρί σου, ἵνα ἀποστραφῇ κύριος ἀπὸ
θυμοῦ τῆς ὀργῆς αὐτοῦ καὶ δώσῃ σοι ἔλεος, καὶ ἐλεήσῃ σε καὶ πληθύνῃ σε
ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, 18 ἐὰν ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ 18
θεοῦ σου, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον,
ποιεῖν τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐναντίον κυρίου τοῦ θεοῦ σου.

## XIV.

Υἱοί ἐστε κυρίου τοῦ θεοῦ ὑμῶν, οὐκ ἐπιθήσετε φαλάκρωμα ἀνὰ μέσον
τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ· 2 ὅτι λαὸς ἅγιος εἶ κυρίῳ τῷ θεῷ σου, καὶ 2
σὲ ἐξελέξατο κύριος ὁ θεός σου γενέσθαι σε λαὸν αὐτῷ περιούσιον ἀπὸ πάν-
των τῶν ἐθνῶν τῶν ἐπὶ προςώπου τῆς γῆς. 3 οὐ φάγεσθε πᾶν βδέλυγμα. 4 ταῦτα 3 4
κτήνη ἃ φάγεσθε· μόσχον ἐκ βοῶν, καὶ ἀμνὸν ἐκ προβάτων, καὶ χίμαρον ἐξ
αἰγῶν, 5 ἔλαφον καὶ δορκάδα καὶ πύγαργον, ὄρυγα καὶ καμηλοπάρδαλιν· 5
6 πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χηλῶν καὶ ἀνάγον 6
μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε. 7 καὶ ταῦτα οὐ φάγεσθε ἀπὸ 7
τῶν ἀναγόντων μηρυκισμὸν καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς καὶ ὀνυχιζόν-
των ὀνυχιστῆρας, τὸν κάμηλον καὶ δασύποδα καὶ χοιρογρύλλιον· ὅτι ἀνάγουσι
μηρυκισμὸν καὶ ὁπλὴν οὐ διχηλοῦσιν, ἀκάθαρτα ταῦτα ὑμῖν ἐστί. 8 καὶ τὸν 8
ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο καὶ ὀνυχίζει ὀνυχιστῆρας ὁπλῆς, καὶ τοῦτο μη-
ρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτον τοῦτο ὑμῖν· ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ
φάγεσθε, τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε. 9 καὶ ταῦτα φάγεσθε ἀπὸ πάν- 9
των τῶν ἐν τῷ ὕδατι· πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς πτερύγια καὶ λεπίδες φά-
γεσθε. 10 καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια καὶ λεπίδες οὐ φάγεσθε, 10
ἀκάθαρτα ὑμῖν ἐστίν. 11 πᾶν ὄρνεον καθαρὸν φάγεσθε. 12 καὶ ταῦτα οὐ φάγε- 11 12
σθε ἀπ' αὐτῶν· τὸν ἀετὸν καὶ τὸν γρῦπα καὶ τὸν ἁλιαίετον, 13 καὶ τὸν γῦπα 13

---

11. προςθησουσιν ετι ποιησαι κατα το πονηρον ρημα 12. κατοικειν εκει 13. εξηλθον ... εξ ημων ... πολιν pro γην ... οις ουκ 14. εξετασεις ... εξεραυνησεις 15. αναιλων αναιλεις ... τη πολει εκεινη ... μαχαιρης 16. πανδημι εναντι 17. om και ab initio ... δωσει ... κ. πληθυνει σε κ. ελεησει σε και πλησθηση καθως ελαλησεν σοι, ον τρ. ωμ. κυριος τ. πατρ. σ. 18. ** εαν δε ... εισακουσητε ..., πασας τας εντ. α. ας ... εναντι XIV. 1. ου φοιβησετε, ουκ επιθησετ. 2. γενεσθαι αυτω λαον 4. ταυτα τα ... χειμαρρον 5. post δορκαδα add και βουβαλον και τραγελαφον ... κ. πυδαργον και ορ. 6. διχηλευον ... (ονυχιζων) 7. (χυρογρυλιον) ... οτι αναγει μηρ. ταυτα ... om ταυτα 8. om οπλην ... ονυχιζει ονυχας οπλ. ... ουκ αναμαρυκαται ... και των θνησ. 9. εν τοις υδασιν ... εστιν αυτοις ... ταυτα φαγεσθε 10. ουδε λεπιδες ... ακ. ταυτα εσται υμιν 12. αλιετον

Digitized by Google

14 (15) καὶ τὸν ἴκτινον καὶ τὰ ὅμοια αὐτῷ, [14] καὶ στρουθὸν καὶ γλαῦκα καὶ λάρον,
15 16 (16. 17) [15] καὶ ἐρωδιὸν καὶ κύκνον καὶ ἶβιν, [16] καὶ καταράκτην καὶ ἱέρακα καὶ
17 (18) τὰ ὅμοια αὐτῷ, καὶ ἔποπα καὶ νυκτικόρακα, [17] καὶ πελεκᾶνα καὶ χαρα-
18 (19) δριὸν καὶ τὰ ὅμοια αὐτῷ, καὶ πορφυρίωνα καὶ νυκτερίδα. [18] πάντα τὰ
19 (20) ἑρπετὰ τῶν πετεινῶν ἀκάθαρτά ἐστιν ὑμῖν, οὐ φάγεσθε ἀπ᾽ αὐτῶν. [19] πᾶν
20 (21) πετεινὸν καθαρὸν φάγεσθε. [20] πᾶν θνησιμαῖον οὐ φάγεσθε· τῷ παροίκῳ
τῷ ἐν ταῖς πόλεσί σου δοθήσεται, καὶ φάγεται ἢ ἀποδώσῃ τῷ ἀλλοτρίῳ· ὅτι
λαὸς ἅγιος εἶ κυρίῳ τῷ θεῷ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐ-
21 (22) τοῦ. [21] δεκάτην ἀποδεκατώσεις παντὸς γεννήματος τοῦ σπέρματός σου, τὸ
22 (23) γέννημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ᾽ ἐνιαυτόν, [22] καὶ φαγῇ αὐτὸ ἐν τῷ
τόπῳ ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ·
οἴσετε τὰ ἐπιδέκατα τοῦ σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου, τὰ
πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου, ἵνα μάθῃς φοβεῖσθαι κύριον
23 (24) τὸν θεόν σου πάσας τὰς ἡμέρας. [23] ἐὰν δὲ μακρὰν γένηται ἡ ὁδὸς ἀπὸ
σοῦ, καὶ μὴ δύνῃ ἀναφέρειν αὐτά, ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος ὃν ἂν ἐκλέ-
ξηται κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σε
24 (25) κύριος ὁ θεός σου, [24] καὶ ἀποδώσῃ αὐτὰ ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον
ἐν ταῖς χερσί σου καὶ πορεύσῃ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός
25 (26) σου αὐτόν· [25] καὶ δώσεις ἀργύριον ἐπὶ παντὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου,
ἐπὶ βουσὶν ἢ ἐπὶ προβάτοις, ἢ ἐπ᾽ οἴνῳ ἢ ἐπὶ σίκερα, ἢ ἐπὶ παντὸς οὗ ἂν
ἐπιθυμῇ ἡ ψυχή σου· καὶ φαγῇ ἐκεῖ ἐναντίον κυρίου τοῦ θεοῦ σου, καὶ εὐ-
26 (27) φρανθήσῃ σὺ καὶ ὁ οἶκός σου, [26] καὶ ὁ Λευίτης ὁ ἐν ταῖς πόλεσί σου,
27 (28) ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ. [27] μετὰ τρία ἔτη ἐξοί-
σεις πᾶν τὸ ἐπιδέκατον τῶν γεννημάτων σου· ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ θήσεις
28 (29) αὐτὸ ἐν ταῖς πόλεσί σου, [28] καὶ ἐλεύσεται ὁ Λευίτης, ὅτι οὐκ ἔστιν αὐτῷ
μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ, καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα
ἡ ἐν ταῖς πόλεσί σου, καὶ φάγονται καὶ ἐμπλησθήσονται, ἵνα εὐλογήσῃ σε
κύριος ὁ θεός σου ἐν πᾶσι τοῖς ἔργοις οἷς ἐὰν ποιῇς.

## XV.

2 Δι᾽ ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν. [2] καὶ οὕτω τὸ πρόσταγμα τῆς ἀφέσεως·
ἀφήσεις πᾶν χρέος ἴδιον ὃ ὀφείλει σοι ὁ πλησίον, καὶ τὸν ἀδελφόν σου οὐκ
3 ἀπαιτήσεις· ἐπικέκληται γὰρ ἄφεσις κυρίῳ τῷ θεῷ σου. [3] τὸν ἀλλότριον ἀπαι-
τήσεις ὅσα ἐὰν ᾖ σοι παρ᾽ αὐτῷ, τῷ δὲ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ
4 χρέους σου· [4] ὅτι οὐκ ἔσται ἐν σοὶ ἐνδεής, ὅτι εὐλογῶν εὐλογήσει σε κύριος
ὁ θεός σου ἐν τῇ γῇ ᾗ κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ κατακληρονο-
5 μεῖν σε αὐτήν. [5] ἐὰν δὲ ἀκοῇ εἰσακούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν
φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας ὅσας ἐγὼ ἐντέλλομαί σοι σή-
6 μερον, [6] ὅτι κύριος ὁ θεός σου εὐλόγησέ σε ὃν τρόπον ἐλάλησέ σοι, καὶ δανιεῖς
ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρ-

---

13. ικτινα Inter v. 13. et 14. ** add και παντα κορακα και τα ομοια αυτω 14. post λαρον add και ιερακα και τα ομοια αυτω 15. αρωδιον ... ιβην 16. κ. καταρ. και υποπα και πορφυριωνα κ. νυκτικορ. 17. om και πορφυρ. 18. ακαθ. ταυτα εστ. υμ. 20. και παν ... ** ante ουχ add και ευφρανθηση 21. αποδεχ. παν το γενημα ... γενημα 22. αυτο εναντι κυριου του θεου σου εν τοπω ω αν ... αυτου· εκει (ita dist.) οισεις ... και τα πρωτοτ. 23. οτι ευλογηση 24. λημψη ... ο θεος αυτον 25. το αργυριον ... ου εαν ... προβατοις, επι οινω ... ου εαν επιθυμει ... εναντι ... om και ευφρανθ. 26. om αυτω 27. γενηματων 28. ινα ευλογησει ... εργοις σου XV. 2. ουτως ... οτι επικεκλ. αφ. 4. κατακληρονομησαι αυτην 5. εισακουσης ... om και ποιειν ... ταυτας ας 6. δανιη, και συ αρξη πολλ. εθν.

Digitized by Google

ξουσιν. [7] ἐὰν δὲ γένηται ἐν σοὶ ἐνδεὴς ἐκ τῶν ἀδελφῶν σου ἐν μιᾷ τῶν πόλεων 7
σου ἐν τῇ γῇ ᾗ κύριος ὁ θεός σου δίδωσί σοι, οὐκ ἀποστέρξεις τὴν καρδίαν
σου, οὐδ' οὐ μὴ συσφίγξεις τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ ἐπιδεο-
μένου· [8] ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου αὐτῷ, καὶ δάνειον δανειεῖς αὐτῷ 8
ὅσον ἐπιδέεται, καθότι ἐνδεεῖται. [9] πρόσεχε σεαυτῷ μὴ γένηται ῥῆμα κρυπτὸν 9
ἐν τῇ καρδίᾳ σου ἀνόμημα, λέγων Ἐγγίζει τὸ ἔτος τὸ ἕβδομον, ἔτος τῆς
ἀφέσεως, καὶ πονηρεύσηται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ,
καὶ οὐ δώσεις αὐτῷ, καὶ καταβοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσται ἐν
σοὶ ἁμαρτία μεγάλη. [10] διδοὺς δώσεις αὐτῷ, καὶ δάνειον δανειεῖς αὐτῷ ὅσον 10
ἐπιδέεται, καθότι ἐνδεεῖται· καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου διδόντος σου
αὐτῷ, ὅτι διὰ τὸ ῥῆμα τοῦτο εὐλογήσει σε κύριος ὁ θεός σου ἐν πᾶσι τοῖς
ἔργοις καὶ ἐν πᾶσιν οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου. [11] οὐ γὰρ μὴ ἐκλίπῃ ἐν- 11
δεὴς ἀπὸ τῆς γῆς σου· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο
λέγων Ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι καὶ τῷ
ἐπιδεομένῳ τῷ ἐπὶ τῆς γῆς σου. [12] ἐὰν δὲ πραθῇ σοι ὁ ἀδελφός σου ὁ Ἑβραῖος 12
ἢ Ἑβραία, δουλεύσει σοι ἓξ ἔτη, καὶ τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύ-
θερον ἀπὸ σοῦ. [13] ὅταν δὲ ἐξαποστέλλῃς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξα- 13
ποστελεῖς αὐτὸν κενόν· [14] ἐφόδιον ἐφοδιάσεις αὐτὸν ἀπὸ τῶν προβάτων σου 14
καὶ ἀπὸ τοῦ σίτου σου καὶ ἀπὸ τοῦ οἴνου σου· καθὰ εὐλόγησέ σε κύριος ὁ
θεός σου, δώσεις αὐτῷ. [15] καὶ μνησθήσῃ ὅτι οἰκέτης οἶσθα ἐν γῇ Αἰγύπτου, 15
καὶ ἐλυτρώσατό σε κύριος ὁ θεός σου ἐκεῖθεν· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι
ποιεῖν τὸ ῥῆμα τοῦτο. [16] ἐὰν δὲ λέγῃ πρὸς σέ Οὐκ ἐξελεύσομαι ἀπὸ σοῦ, ὅτι 16
ἠγάπηκέ σε καὶ τὴν οἰκίαν σου, ὅτι εὖ ἐστιν αὐτῷ παρὰ σοί, [17] καὶ λήψῃ 17
τὸ ὀπήτιον καὶ τρυπήσεις τὸ ὠτίον αὐτοῦ πρὸς τὴν θύραν, καὶ ἔσται σοι οἰκέ-
της εἰς τὸν αἰῶνα· καὶ τὴν παιδίσκην σου ὡσαύτως ποιήσεις. [18] οὐ σκληρὸν 18
ἔσται ἐναντίον σου ἐξαποστελλομένων αὐτῶν ἐλευθέρων ἀπὸ σοῦ, ὅτι ἐπέτειον
μισθὸν τοῦ μισθωτοῦ ἐδούλευσέ σοι ἓξ ἔτη, καὶ εὐλογήσει σε κύριος ὁ θεός
σου ἐν πᾶσιν οἷς ἐὰν ποιῇς. [19] πᾶν πρωτότοκον ὃ ἐὰν τεχθῇ ἐν ταῖς βουσί 19
σου καὶ ἐν τοῖς προβάτοις σου, τὰ ἀρσενικὰ ἁγιάσεις κυρίῳ τῷ θεῷ σου· οὐκ
ἐργᾷ ἐν τῷ πρωτοτόκῳ μόσχῳ σου, καὶ οὐ μὴ κείρῃς τὰ πρωτότοκα τῶν
προβάτων σου· [20] ἔναντι κυρίου φαγῇ αὐτὸ ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ ἐν τῷ τόπῳ 20
ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου, σὺ καὶ ὁ οἶκός σου. [21] ἐὰν δὲ ᾖ ἐν αὐτῷ 21
μῶμος, χωλὸν ἢ τυφλόν, μῶμον πονηρόν, οὐ θύσεις αὐτὸ κυρίῳ τῷ θεῷ σου·
[22] ἐν ταῖς πόλεσί σου φαγῇ αὐτό, ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡσ- 22
αύτως ἔδεται ὡς δορκάδα ἢ ἔλαφον· [23] πλὴν αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν 23
ἐκχεεῖς αὐτὸ ὡς ὕδωρ.

## XVI. Whit Sunday.

Φύλαξαι τὸν μῆνα τῶν νέων, καὶ ποιήσεις τὸ πάσχα κυρίῳ τῷ θεῷ σου,
ὅτι ἐν τῷ μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου νυκτός. [2] καὶ θύσεις τὸ πάσχα 2
κυρίῳ τῷ θεῷ σου, πρόβατα καὶ βόας, ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται κύριος
ὁ θεός σου αὐτὸν ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. [3] οὐ φαγῇ ἐπ' αὐτοῦ 3
ζύμην· ἑπτὰ ἡμέρας φαγῇ ἐπ' αὐτοῦ ἄζυμα, ἄρτον κακώσεως, ὅτι ἐν σπουδῇ

---

7. σοι εν κληρω, ουκ αποστρεψεις ... ουδε μη 8. αυτω, δανιον δανιεις α. οσ. αν επιδεηται και καθ οσον υστερειται 9. ετος αφεσεως ... βοησεται 10. δανιον δανιεις α. οσ. αν επιδεηται σου· και ου λυπηση ... εργοις σου 11. εκλειπη ... om ποιειν ... δεομενω 12. η η εβραια 14. της ληνου pro του οινου ... ηυλογησεν 15. ησθα ε. γ. αιγυπτω 16. ηγαπησεν 17. λημψη, omisso και ... το ους ... ** θυραν επι τον σταθμον ... εσται οικετης σου ... ποιησεις ωσαυτως 18. εφετιον 19. τοις βουσιν ... κειρης το πρωτοτοκον 20. κυριου του θεου σου ... ω αν 21. τυφλον, η και πας μωμος πονηρος, ου 22. φαγεται 23. το αιμα ... φαγη XVI. 2. ω αν

Digitized by Google

ἐξήλθετε ἐξ Αἰγύπτου, ἵνα μνησθῆτε τὴν ἡμέραν τῆς ἐξοδίας ὑμῶν ἐκ γῆς
4 Αἰγύπτου πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. 4 οὐκ ὀφθήσεταί σοι ζύμη ἐν
πᾶσι τοῖς ὁρίοις σου ἑπτὰ ἡμέρας, καὶ οὐ κοιμηθήσεται ἀπὸ τῶν κρεῶν ὧν
5 ἐὰν θύσῃς τὸ ἑσπέρας τῇ ἡμέρᾳ τῇ πρώτῃ εἰς τὸ πρωΐ. 5 οὐ δυνήσῃ θῦσαι
6 τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου ὧν κύριος ὁ θεός σου δίδωσί σοι· 6 ἀλλ᾽
ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα
αὐτοῦ ἐκεῖ, θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου ἐν τῷ καιρῷ ᾧ ἐξῆλ-
7 θες ἐξ Αἰγύπτου· 7 καὶ ἑψήσεις καὶ ὀπτήσεις καὶ φαγῇ ἐν τῷ τόπῳ οὗ ἐὰν
ἐκλέξηται κύριος ὁ θεός σου αὐτόν, καὶ ἀποστραφήσῃ τὸ πρωῒ καὶ ἐλεύσῃ εἰς
8 τοὺς οἴκους σου. 8 ἓξ ἡμέρας φαγῇ ἄζυμα, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξόδιον
ἑορτὴ κυρίῳ τῷ θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, πλὴν ὅσα ποιη-
9 θήσεται ψυχῇ. 9 ἑπτὰ ἑβδομάδας ἐξαριθμήσεις σεαυτῷ, ἀρξαμένου σου δρέ-
10 πανον ἐπ᾽ ἀμητὸν ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας· 10 καὶ ποιήσεις ἑορτὴν
ἑβδομάδων κυρίῳ τῷ θεῷ σου καθὼς ἡ χείρ σου ἰσχύει, ὅσα ἂν δῷ κύριος
11 ὁ θεός σου· 11 καὶ εὐφρανθήσῃ ἐναντίον κυρίου τοῦ θεοῦ σου, σὺ καὶ ὁ υἱός
σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ Λευίτης καὶ
ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ οὖσα ἐν ὑμῖν, ἐν τῷ τόπῳ ᾧ ἐὰν
12 ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ· 12 καὶ
μνησθήσῃ ὅτι οἰκέτης ἐγένου ἐν γῇ Αἰγύπτῳ, καὶ φυλάξῃ καὶ ποιήσεις τὰς
13 ἐντολὰς ταύτας. 13 ἑορτὴν σκηνῶν ποιήσεις σεαυτῷ ἑπτὰ ἡμέρας ἐν τῷ συν-
14 αγαγεῖν σε ἐκ τῆς ἅλωνός σου καὶ ἀπὸ τῆς ληνοῦ σου· 14 καὶ εὐφρανθήσῃ
ἐν τῇ ἑορτῇ σου, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ
παιδίσκη σου, καὶ ὁ Λευίτης καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ
15 οὖσα ἐν ταῖς πόλεσί σου· 15 ἑπτὰ ἡμέρας ἑορτάσεις κυρίῳ τῷ θεῷ σου ἐν τῷ
τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτῷ· ἐὰν δὲ εὐλογήσῃ σε κύριος ὁ
θεός σου ἐν πᾶσι γεννήμασί σου καὶ ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, καὶ ἔσῃ
16 εὐφραινόμενος. 16 τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐναν-
τίον κυρίου τοῦ θεοῦ σου ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται αὐτὸν κύριος, ἐν τῇ
ἑορτῇ τῶν ἀζύμων, καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων, καὶ ἐν τῇ ἑορτῇ τῆς
17 σκηνοπηγίας. οὐκ ὀφθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου κενός, 17 ἕκαστος κατὰ
δύναμιν τῶν χειρῶν ὑμῶν, κατὰ τὴν εὐλογίαν κυρίου τοῦ θεοῦ σου ἣν ἔδωκέ
18 σοι. I 18 κριτὰς καὶ γραμματοεισαγωγεῖς ποιήσεις σεαυτῷ ἐν ταῖς πόλεσί σου
αἷς κύριος ὁ θεός σου δίδωσί σοι κατὰ φυλάς, καὶ κρινοῦσι τὸν λαὸν κρίσιν
19 δικαίαν· 19 οὐκ ἐκκλινοῦσι κρίσιν, οὐδὲ ἐπιγνώσονται πρόσωπον, οὐδὲ λήψον-
ται δῶρον· τὰ γὰρ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ ἐξαίρει λόγους
20 δικαίων. 20 δικαίως τὸ δίκαιον διώξῃ, ἵνα ζῆτε καὶ εἰσελθόντες κληρονομήσητε
21 τὴν γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι. 21 οὐ φυτεύσεις σεαυτῷ ἄλσος, πᾶν
22 ξύλον παρὰ τὸ θυσιαστήριον τοῦ θεοῦ σου οὐ ποιήσεις σεαυτῷ. 22 οὐ στήσεις
σεαυτῷ στήλην, ἃ ἐμίσησε κύριος ὁ θεός σου.

## XVII.

Οὐ θύσεις κυρίῳ τῷ θεῷ σου μόσχον ἢ πρόβατον ἐν ᾧ ἐστιν ἐν αὐτῷ
2 μῶμος, πᾶν ῥῆμα πονηρόν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστιν. 2 ἐὰν δὲ

---

3. ** νυκτος, μνησθητε 4. ων αν θυσητε 6. θυσαι ... προς δυσμαις ... εκ γης αιγυπτου 7. τοπω ω αν ... απελευση 9. εβδομ. ολοκληρους 10. καθοτι ισχυει η χειρ σου ... δω σοι καθοτι ηυλογησεν σε κυριος ο θεος σου 11. εναντι ... λευιτης ο εν ταις πολεσιν σου ... om ουσα ... ω αν 12. οικετης ησθα ... φυλαξεις 13. των σκηνων ποιεις 14. ευφρανθ. εναντι κυριου του θεου σου, συ και 15. post θεος σου * add επικληθηναι το ονομα αυτου εκει et ** αυτον επικ. τ. ον. α. εκει ... πασι τοις γενημασιν 16. ω αν ... om αυτον 18. καταστησεις σ. εν πασαις ταις 19. ουκ επιγνωσονται ... λημψονται δωρα ... εκτυφλοι 20. φυλαξη pro διωξη 21. κυριου του θεου σου XVII. 1. Ου προσοισεις

Digitized by Google

εὑρεθῇ ἐν μιᾷ τῶν πόλεών σου, ὧν κύριος ὁ θεός σου δίδωσί σοι, ἀνὴρ ἢ
γυνὴ ὃς ποιήσει τὸ πονηρὸν ἐναντίον κυρίου τοῦ θεοῦ σου, παρελθεῖν τὴν δια-
θήκην αὐτοῦ, [3] καὶ ἐλθόντες λατρεύσωσι θεοῖς ἑτέροις καὶ προςκυνήσωσιν αὐ- 3
τοῖς, τῷ ἡλίῳ ἢ τῇ σελήνῃ ἢ παντὶ τῶν ἐκ τοῦ κόσμου τοῦ οὐρανοῦ ἃ οὐ
προςέταξέ σοι, [4] καὶ ἀναγγελῇ σοι καὶ ἐκζητήσῃς σφόδρα, καὶ ἰδοὺ ἀληθῶς 4
γέγονε τὸ ῥῆμα, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν Ἰσραήλ, [5] καὶ ἐξάξεις τὸν 5
ἄνθρωπον ἐκεῖνον ἢ τὴν γυναῖκα ἐκείνην, καὶ λιθοβολήσετε αὐτοὺς ἐν λίθοις,
*He. 10, 28. καὶ τελευτήσουσιν. [6] ἐπὶ δυσὶ μάρτυσιν ἢ ἐπὶ τρισὶ μάρτυσιν ἀποθανεῖται ὁ 6
ἀποθνήσκων, οὐκ ἀποθανεῖται ἐφ' ἑνὶ μάρτυρι. [7] καὶ ἡ χεὶρ τῶν μαρτύρων 7
ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτόν, καὶ ἡ χεὶρ τοῦ λαοῦ ἐπ' ἐσχά-
*1 Co. 5, 13. των· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. [8] ἐὰν δὲ ἀδυνατήσῃ ἀπὸ σοῦ 8
ῥῆμα ἐν κρίσει ἀνὰ μέσον αἷμα αἵματος, καὶ ἀνὰ μέσον κρίσις κρίσεως, καὶ
ἀνὰ μέσον ἁφὴ ἁφῆς, καὶ ἀνὰ μέσον ἀντιλογία ἀντιλογίας, ῥήματα κρίσεως
ἐν ταῖς πόλεσιν ὑμῶν, καὶ ἀναστὰς ἀναβήσῃ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται
κύριος ὁ θεός σου ἐκεῖ, [9] καὶ ἐλεύσῃ πρὸς τοὺς ἱερεῖς τοὺς Λευίτας καὶ πρὸς 9
τὸν κριτὴν ὃς ἂν γένηται ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐκζητήσαντες ἀναγ-
γελοῦσί σοι τὴν κρίσιν. [10] καὶ ποιήσεις κατὰ τὸ πρᾶγμα ὃ ἂν ἀναγγείλωσί 10
σοι ἐκ τοῦ τόπου οὗ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου, καὶ φυλάξῃ ποιῆσαι
πάντα ὅσα ἂν νομοθετηθῇ σοι· [11] κατὰ τὸν νόμον καὶ κατὰ τὴν κρίσιν ἣν ἂν 11
εἴπωσί σοι ποιήσεις, οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος οὗ ἐὰν ἀναγγείλωσί σοι
δεξιὰ οὐδὲ ἀριστερά. [12] καὶ ὁ ἄνθρωπος ὃς ἐὰν ποιήσῃ ἐν ὑπερηφανίᾳ ὥςτε 12
μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι κυρίου
τοῦ θεοῦ σου, ἢ τοῦ κριτοῦ ὃς ἂν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθα-
νεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ· [13] καὶ πᾶς 13
ὁ λαὸς ἀκούσας φοβηθήσεται καὶ οὐκ ἀσεβήσει ἔτι. [14] ἐὰν δὲ εἰςέλθῃς εἰς τὴν 14
γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι, καὶ κληρονομήσῃς αὐτὴν καὶ κατοική-
σῃς ἐπ' αὐτήν, καὶ εἴπῃς Καταστήσω ἐπ' ἐμαυτὸν ἄρχοντα καθὰ καὶ τὰ λοιπὰ
ἔθνη τὰ κύκλῳ μου, [15] καθιστῶν καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα ὃν ἂν ἐκλέ- 15
ξηται κύριος ὁ θεὸς αὐτόν· ἐκ τῶν ἀδελφῶν σου καταστήσεις ἐπὶ σεαυτὸν
ἄρχοντα, οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ
ἀδελφός σού ἐστι. [16] διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψῃ τὸν 16
λαὸν εἰς Αἴγυπτον, ὅπως μὴ πληθύνῃ αὐτῷ ἵππον· ὁ δὲ κύριος εἶπεν Οὐ
προςθήσεσθε ἀποστρέψαι τῇ ὁδῷ ταύτῃ ἔτι. [17] καὶ οὐ πληθυνεῖ ἑαυτῷ γυναῖ- 17
κας, ἵνα μὴ μεταστῇ αὐτοῦ ἡ καρδία· καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ
ἑαυτῷ σφόδρα. [18] καὶ ὅταν καθίσῃ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ, καὶ γράψει αὐτῷ 18
τὸ δευτερονόμιον τοῦτο εἰς βιβλίον παρὰ τῶν ἱερέων τῶν Λευιτῶν, [19] καὶ ἔσται 19
μετ' αὐτοῦ καὶ ἀναγνώσεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ,
ἵνα μάθῃ φοβεῖσθαι κύριον τὸν θεόν σου καὶ φυλάσσεσθαι πάσας τὰς ἐντολὰς
ταύτας καὶ τὰ δικαιώματα ταῦτα ποιεῖν· [20] ἵνα μὴ ὑψωθῇ ἡ καρδία αὐτοῦ 20

---

2. εν σοι εν μια ... οςτις ποιησει ... εναντι 3. απελθοντες ... προς-κυνησουσιν ... παντι τω κοσμω τω εκ του ουρ. α ου προσεταξα (sine σοι) 4. ανηγγελη ... εκζητησεις ... * om τουτο ... εν τω ισραηλ 5. γυναικ. εκεινην οιτινες εποιησαν το πραγμα το πονηρον τουτο επι την πυλην και τελευτησουσιν και λιθοβολησουσιν αυτους εν λιθοις (6. ο αποθνησκων· ουκ ita dist.) 7. παντος του λαου επ εσχατω ... εξαρειτε 8. πολεσιν σου ... ο θεος σου επικληθηναι το ονομα αυτου εκει 10. ρημα pro πραγμα ... ου αν ... ο θεος σου επικληθηναι το ονομα αυτου εκει ... κατα παντα 11. ην εαν ... αναγγειλων 12. του μη pro ωςτε μη ... ος αν γενηται ... εν ισραηλ 14. διδ. σοι εν κληρω κ. κληρ. αυτης κ. κατοικησεις επ αυτης ... αρχοντας 15. καθιστησεις ... θεος σου 16. πλην pro διοτι ... εαυτω pro αυτω ... ειπεν υμιν 18. και εσται οταν κ. επι του διφρου της αρχ. αυτου ... γραψ. εαυτω 19. θεον αυτου, φυλασσεσθαι ... in fine add αυτα



Digitized by Google

ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, ἵνα μὴ παραβῇ ἀπὸ τῶν ἐντολῶν δεξιὰ ἢ ἀριστερά,
ὅπως ἂν μακροχρονίσῃ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἐν τοῖς
υἱοῖς Ἰσραήλ.

## XVIII.

Οὐκ ἔσται τοῖς ἱερεῦσι τοῖς Λευίταις ὅλῃ φυλῇ Λευὶ μερὶς οὐδὲ κλῆρος *1 Co. 9,
2 μετὰ Ἰσραήλ· καρπώματα κυρίου ὁ κλῆρος αὐτῶν, φάγονται αὐτά. [2] κλῆρος 13.
δὲ οὐκ ἔσται αὐτοῖς ἐν τοῖς ἀδελφοῖς αὐτῶν· κύριος αὐτὸς κλῆρος αὐτοῦ,
3 καθότι εἶπεν αὐτῷ. [3] καὶ αὕτη ἡ κρίσις τῶν ἱερέων τὰ παρὰ τοῦ λαοῦ παρὰ
τῶν θυόντων τὰ θύματα, ἐάν τε μόσχον ἐάν τε πρόβατον· καὶ δώσεις τὸν
4 βραχίονα τῷ ἱερεῖ καὶ τὰ σιαγόνια καὶ τὸ ἔνυστρον, [4] καὶ τὰς ἀπαρχὰς τοῦ
σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου, καὶ τὴν ἀπαρχὴν τῶν κου-
5 ρῶν τῶν προβάτων σου δώσεις αὐτῷ· [5] ὅτι αὐτὸν ἐξελέξατο κύριος ἐκ πασῶν
τῶν φυλῶν σου, παρεστάναι ἔναντι κυρίου τοῦ θεοῦ, λειτουργεῖν καὶ εὐλογεῖν
6 ἐπὶ τῷ ὀνόματι αὐτοῦ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἐν τοῖς υἱοῖς Ἰσραήλ. [6] ἐὰν
δὲ παραγένηται ὁ Λευίτης ἐκ μιᾶς τῶν πόλεων ἐκ πάντων τῶν υἱῶν Ἰσραὴλ
οὗ αὐτὸς παροικεῖ, καθότι ἐπιθυμεῖ ἡ ψυχὴ αὐτοῦ, εἰς τὸν τόπον ὃν ἂν ἐκ-
7 λέξηται, [7] λειτουργήσει τῷ ὀνόματι κυρίου τοῦ θεοῦ αὐτοῦ ὥςπερ πάντες οἱ
ἀδελφοὶ αὐτοῦ οἱ Λευῖται οἱ παρεστηκότες ἐκεῖ ἐναντίον κυρίου τοῦ θεοῦ σου·
8 9 [8] μερίδα μεμερισμένην φάγεται, πλὴν τῆς πράσεως τῆς κατὰ πατριάν. [9] ἐὰν
δὲ εἰςέλθῃς εἰς τὴν γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν
10 κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. [10] οὐχ εὑρεθήσεται ἐν σοὶ περικα-
θαίρων τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί, μαντευόμενος μαν-
11 τείαν, κληδονιζόμενος καὶ οἰωνιζόμενος, φαρμακός, [11] ἐπαείδων ἐπαοιδήν, ἐγ-
12 γαστρίμυθος καὶ τερατοσκόπος, ἐπερωτῶν τοὺς νεκρούς· [12] ἔστι γὰρ βδέλυγμα
κυρίῳ τῷ θεῷ σου πᾶς ποιῶν ταῦτα· ἕνεκεν γὰρ τῶν βδελυγμάτων τούτων
13 κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προςώπου σου. [13] τέλειος ἔσῃ ἐναντίον κυρίου
14 τοῦ θεοῦ σου· [14] τὰ γὰρ ἔθνη ταῦτα οὓς σὺ κατακληρονομεῖς αὐτούς, οὗτοι
κληδόνων καὶ μαντειῶν ἀκούσονται, καὶ σοὶ οὐχ οὕτως ἔδωκε κύριος ὁ θεός
15 σου. [15] προφήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ ἀναστήσει σοι κύριος ὁ θεός
16 σου, αὐτοῦ ἀκούσεσθε. [16] κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ σου
ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας λέγοντες Οὐ προςθήσομεν ἀκοῦσαι τὴν
φωνὴν κυρίου τοῦ θεοῦ σου, καὶ τὸ πῦρ τοῦτο τὸ μέγα οὐκ ὀψόμεθα ἔτι, οὐδὲ
17 μὴ ἀποθάνωμεν· [17] καὶ εἶπε κύριος πρός με Ὀρθῶς πάντα ὅσα ἐλάλησαν
18 πρὸς σέ· [18] προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥςπερ σέ, Act.3,22.
καὶ δώσω τὰ ῥήματα ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν 7,37.
19 ἐντείλωμαι αὐτῷ· [19] καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ Act.3,23
20 προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. [20] πλὴν ὁ προ-
φήτης ὃς ἂν ἀσεβήσῃ λαλῆσαι ἐπὶ τῷ ὀνόματί μου ῥῆμα ὃ οὐ προσέταξα
λαλῆσαι, καὶ ὃς ἂν λαλήσῃ ἐν ὀνόματι θεῶν ἑτέρων, ἀποθανεῖται ὁ προφήτης
21 ἐκεῖνος. [21] ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου Πῶς γνωσόμεθα τὸ ῥῆμα ὃ οὐκ

---

20. μακροχρονιος η ... ** υιοι αυτ. μετ αυτου XVIII. 1. καρπωμα κυριω 2. αυτω εν τοις αδ. αυτου 3. θυοντων τας θυσιας ... δωσει τω ιερει τ. βραχ. 5. κυριος ο θεος σου ... θεου σου ... ονοματι κυριου ... πασας τας ημερας pro εν τοις υι. ισρ. 6. πολεων υμων ... εκλεξ. κυριος 7. και λειτουργησει ... εναντι ... om του θ. σου 9. om σου 10. ευρησεται ... η την θυγατερα ... και κληδονιζ. 11. επαοιδων ... και επερωτων 12. κυριος ο θεος σου εξολεθρευσει 13. εναντι 14. κληδονισμων ... σοι δε ουχ 16. θεου ημων ... το μεγα τουτο 17. om προς σε 18. εκ μεσου των ... το ρημα μου 19. ανθρ. εκεινος ... των λογων αυτου οσα εαν λαλ. επι τω ον. μου ο προφητης, εγω 20. ος εαν ... ρημα επι τω ον. μου ... προσεταξα αυτω λαλ. κ. ος εαν λ. επ ον.

Digitized by Google

ἐλάλησε κύριος; [22] ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐκεῖνος τῷ ὀνόματι κυρίου, 22
καὶ μὴ γένηται καὶ μὴ συμβῇ, τοῦτο τὸ ῥῆμα ὃ οὐκ ἐλάλησε κύριος· ἐν ἀσε-
βείᾳ ἐλάλησεν ὁ προφήτης ἐκεῖνος, οὐκ ἀφέξεσθε αὐτοῦ.

## XIX.

Ἐὰν δὲ ἀφανίσῃ κύριος ὁ θεός σου τὰ ἔθνη ἃ ὁ θεὸς δίδωσί σοι τὴν
γῆν, καὶ κατακληρονομήσητε αὐτούς, καὶ κατοικήσητε ἐν ταῖς πόλεσιν αὐτῶν
καὶ ἐν τοῖς οἴκοις αὐτῶν, [2] τρεῖς πόλεις διαστελεῖς σεαυτῷ ἐν μέσῳ τῆς γῆς 2
σου ἧς κύριος ὁ θεός σου δίδωσί σοι· [3] στόχασαί σοι τὴν ὁδόν, καὶ τριμερι- 3
εῖς τὰ ὅρια τῆς γῆς σου ἣν καταμερίζει σοι κύριος ὁ θεός σου, καὶ ἔσται ἐκεῖ
καταφυγὴ παντὶ φονευτῇ. [4] τοῦτο δὲ ἔσται τὸ πρόσταγμα τοῦ φονευτοῦ ὃς ἂν 4
φύγῃ ἐκεῖ καὶ ζήσεται· ὃς ἂν πατάξῃ τὸν πλησίον αὐτοῦ οὐκ εἰδώς, καὶ οὗ-
τος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ τρίτης· [5] καὶ ὃς ἐὰν εἰσέλθῃ μετὰ τοῦ 5
πλησίον εἰς τὸν δρυμὸν συναγαγεῖν ξύλα, καὶ ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ
ἀξίνῃ κόπτοντος τὸ ξύλον, καὶ ἐκπεσὸν τὸ σιδήριον ἀπὸ τοῦ ξύλου τύχῃ τοῦ
πλησίον, καὶ ἀποθάνῃ, οὗτος καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ
ζήσεται· [6] ἵνα μὴ διώξας ὁ ἀγχιστεύων τοῦ αἵματος ὀπίσω τοῦ φονεύσαντος, 6
ὅτι παρατεθέρμανται τῇ καρδίᾳ, καὶ καταλάβῃ αὐτόν, ἐὰν μακροτέρα ᾖ ἡ
ὁδός, καὶ πατάξῃ αὐτοῦ ψυχήν· καὶ τούτῳ οὐκ ἔστι κρίσις θανάτου, ὅτι οὐ
μισῶν ἦν αὐτὸν πρὸ τῆς χθὲς οὐδὲ πρὸ τῆς τρίτης. [7] διὰ τοῦτο ἐγώ σοι ἐν- 7
τέλλομαι τὸ ῥῆμα τοῦτο λέγων Τρεῖς πόλεις διαστελεῖς σεαυτῷ. [8] ἐὰν δὲ ἐμ- 8
πλατύνῃ κύριος ὁ θεός σου τὰ ὅριά σου ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου,
καὶ δῷ σοι κύριος πᾶσαν τὴν γῆν ἣν εἶπε δοῦναι τοῖς πατράσι σου, [9] ἐὰν 9
ἀκούσῃς ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον,
ἀγαπᾶν κύριον τὸν θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ πάσας
τὰς ἡμέρας, προσθήσεις σεαυτῷ ἔτι τρεῖς πόλεις πρὸς τὰς τρεῖς ταύτας· [10] καὶ 10
οὐκ ἐκχυθήσεται αἷμα ἀναίτιον ἐν τῇ γῇ ᾗ κύριος ὁ θεός σου δίδωσί σοι ἐν
κλήρῳ, καὶ οὐκ ἔσται ἐν σοὶ αἵματι ἔνοχος. [11] ἐὰν δὲ γένηται ἐν σοὶ ἄνθρω- 11
πος μισῶν τὸν πλησίον, καὶ ἐνεδρεύσῃ αὐτὸν καὶ ἐπαναστῇ ἐπ' αὐτὸν καὶ
πατάξῃ αὐτοῦ ψυχήν, καὶ ἀποθάνῃ, καὶ φύγῃ εἰς μίαν τῶν πόλεων τούτων·
[12] καὶ ἀποστελοῦσιν ἡ γερουσία τῆς πόλεως αὐτοῦ καὶ λήψονται αὐτὸν ἐκεῖ- 12
θεν, καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖρας τῶν ἀγχιστευόντων τοῦ αἵματος, καὶ
ἀποθανεῖται· [13] οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, καὶ καθαριεῖς τὸ αἷμα 13
τὸ ἀναίτιον ἐξ Ἰσραήλ, καὶ εὖ σοι ἔσται. [14] οὐ μετακινήσεις ὅρια τοῦ πλη- 14
σίον ἃ ἔστησαν οἱ πατέρες σου ἐν τῇ κληρονομίᾳ, ᾗ κατεκληρονομήθης ἐν τῇ
γῇ ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ. [15] οὐκ ἐμμενεῖ μάρτυς εἷς μαρ- 15
τυρῆσαι κατὰ ἀνθρώπου κατὰ πᾶσαν ἀδικίαν καὶ κατὰ πᾶν ἁμάρτημα καὶ
Mt. 18, 16. κατὰ πᾶσαν ἁμαρτίαν ἣν ἐὰν ἁμάρτῃ· ἐπὶ στόματος δύο μαρτύρων καὶ ἐπὶ
Jo. 8, 17. στόματος τριῶν μαρτύρων στήσεται πᾶν ῥῆμα. [16] ἐὰν δὲ καταστῇ μάρτυς ἄδι- 16
κος κατὰ ἀνθρώπου καταλέγων αὐτοῦ ἀσέβειαν, [17] καὶ στήσονται οἱ δύο ἄν- 17
θρωποι οἷς ἐστὶν αὐτοῖς ἡ ἀντιλογία ἔναντι κυρίου καὶ ἔναντι τῶν ἱερέων καὶ
ἔναντι τῶν κριτῶν οἳ ἂν ὦσιν ἐν ταῖς ἡμέραις ἐκείναις, [18] καὶ ἐξετάσωσιν οἱ 18
κριταὶ ἀκριβῶς, καὶ ἰδοὺ μάρτυς ἄδικος ἐμαρτύρησεν ἄδικα, ἀντέστη κατὰ

---

22. ο προφητης επι τω ... γενηται το ρημα ... * om εκεινος ... απ αυτου XIX. 1. θεος σου ... τ. γην αυτων ... κατακληρονομησεις ... κατοικησης 2. εμμεσω 3. καταφυγη εκει π. τω φον. 4. ακουσιως pro ουκ ειδως ... εχθες κ. προ της τριτ. 5. ος αν ... πλησιον αυτου ... ** εκκρουση 6. καρδια αυτου ... αυτου την ψυχην και αποθανη ... εχθες και προ 9. εαν εισακουση ... και προσθησεις ... πρ. τας τρεις πολεις ταυτ. 10. γη σου ην κυρ. ο θεος διδ. 11. om εν σοι ... πλησιον αυτου 12. λημψονται ... τω αγχιστευοντι 14. πλησιον σου ... οι προτεροι σου ... κληρονομια σου ην ... ** in fine add κληρονομησαι αυτην 15. σταθησεται



Digitized by Google

19 τοῦ ἀδελφοῦ αὐτοῦ, [19] καὶ ποιήσετε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι κατὰ
20 τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν· [20] καὶ οἱ ἐπί-
λοιποι ἀκούσαντες φοβηθήσονται, καὶ οὐ προςθήσουσιν ἔτι ποιῆσαι κατὰ τὸ
21 ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν. [21] οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ·
ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ
χειρός, πόδα ἀντὶ ποδός.

## XX.

Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἴδῃς ἵππον καὶ
ἀναβάτην καὶ λαὸν πλείονά σου, οὐ φοβηθήσῃ ἀπ' αὐτῶν· ὅτι κύριος ὁ θεός
2 σου μετὰ σοῦ, ὁ ἀναβιβάσας σε ἐκ γῆς Αἰγύπτου. [2] καὶ ἔσται ὅταν ἐγγίσῃς
3 τῷ πολέμῳ, καὶ προςεγγίσας ὁ ἱερεὺς λαλήσει τῷ λαῷ [3] καὶ ἐρεῖ πρὸς αὐ-
τούς Ἄκουε, Ἰσραήλ· ὑμεῖς πορεύεσθε σήμερον εἰς τὸν πόλεμον ἐπὶ τοὺς
ἐχθροὺς ὑμῶν, μὴ ἐκλυέσθω ἡ καρδία ὑμῶν, μὴ φοβεῖσθε μηδὲ θραύεσθε
4 μηδὲ ἐκκλίνετε ἀπὸ προςώπου αὐτῶν· [4] ὅτι κύριος ὁ θεὸς ὑμῶν ὁ προπορευό-
μενος μεθ' ὑμῶν, συνεκπολεμῆσαι ὑμῖν τοὺς ἐχθροὺς ὑμῶν, διασῶσαι ὑμᾶς.
5 [5] καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαὸν λέγοντες Τίς ὁ ἄνθρωπος ὁ
οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ ἀπο-
στραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος
6 ἕτερος ἐγκαινιεῖ αὐτήν. [6] καὶ τίς ὁ ἄνθρωπος ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ
οὐκ εὐφράνθη ἐξ αὐτοῦ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ,
μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ.
7 [7] καὶ τίς ὁ ἄνθρωπος ὅστις μεμνήστευται γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; πο-
ρευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ
8 καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν. [8] καὶ προςθήσουσιν οἱ γραμματεῖς λα-
λῆσαι πρὸς τὸν λαὸν καὶ ἐροῦσι Τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ
καρδίᾳ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ
9 τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ ὥςπερ ἡ αὐτοῦ. [9] καὶ ἔσται ὅταν παύσωνται
οἱ γραμματεῖς λαλοῦντες πρὸς τὸν λαόν, καὶ καταστήσουσιν ἄρχοντας τῆς στρα-
10 τιᾶς προηγουμένους τοῦ λαοῦ. [10] ἐὰν δὲ προςέλθῃς πρὸς πόλιν ἐκπολεμῆσαι
11 αὐτούς, καὶ ἐκκαλέσαι αὐτοὺς μετ' εἰρήνης· [11] ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσί
σοι καὶ ἀνοίξωσί σοι, ἔσται πᾶς ὁ λαός, οἱ εὑρεθέντες ἐν αὐτῇ ἔσονταί σοι
12 φορολόγητοι καὶ ὑπήκοοί σου· [12] ἐὰν δὲ μὴ ὑπακούσωσί σοι καὶ ποιῶσι πρὸς
13 σὲ πόλεμον, περικαθιεῖς αὐτήν, [13] ἕως ἂν παραδῷ σοι αὐτὴν κύριος ὁ θεός
σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φόνῳ μαχαί-
14 ρας, [14] πλὴν τῶν γυναικῶν καὶ τῆς ἀποσκευῆς· καὶ πάντα τὰ κτήνη καὶ πάντα
ὅσα ἂν ὑπάρχῃ ἐν τῇ πόλει καὶ πᾶσαν τὴν ἀπαρτίαν προνομεύσεις σεαυτῷ,
καὶ φαγῇ πᾶσαν τὴν προνομὴν τῶν ἐχθρῶν σου ὧν κύριος ὁ θεός σου δί-
15 δωσί σοι. [15] οὕτω ποιήσεις πάσας τὰς πόλεις τὰς μακρὰν οὔσας σου σφόδρα·
16 οὐχὶ ἐκ τῶν πόλεων τῶν ἐθνῶν τούτων, [16] ὧν κύριος ὁ θεός σου δίδωσί σοι
17 κληρονομεῖν τὴν γῆν αὐτῶν, οὐ ζωγρήσετε πᾶν ἐμπνέον, [17] ἀλλ' ἢ ἀναθέματι
ἀναθεματιεῖτε αὐτούς, τὸν Χετταῖον καὶ Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερε-

---

19. επονηρ. τω πλησιον ποιησαι, και εξαρειτε τον 20. ποιειν 21. in fine add καθοτι αν δω μωμον τω πλησιον· ουτως δοθησεται αυτω XX. 3. προςπορευεσθε ... εις πολεμον ... εκκλινητε 4. και διασωσαι 5. επιστραφητω 6. ηυφρανθη ... επιστραφητω 7. επιστραφητω ... λημψεται 8. τις ανθρωπος ... post καρδιαν add αυτου και 10. εκπολεμ. αυτην, και εκκαλεση 11. ** και εσται εαν μεν ειρηνικα ... εν τη πολει εσονται ... om σοι ... υπηκοοι σοι 12. ποιησωσιν 13. και παραδωσει αυτην 15. ουτως ... ουσας απο σου ... αι ουχι απο των 16. ιδου δε απο των πολεων τουτων ων κυριος ... ου ζωγρησεται απ αυτων παν ενπνεον 17. αλλα αναθεματι ... τον αμορρ. κ. τον χαν.

Digitized by Google

ζαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον καὶ Γεργεσαῖον, ὃν τρόπον ἐνετείλατό σοι
κύριος ὁ θεός σου· [18] ἵνα μὴ διδάξωσι ποιεῖν ὑμᾶς πάντα τὰ βδελύγματα αὐ- 18
τῶν ὅσα ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ ἁμαρτήσεσθε ἐναντίον κυρίου τοῦ
θεοῦ ὑμῶν. [19] ἐὰν δὲ περικαθίσῃς περὶ πόλιν μίαν ἡμέρας πλείους ἐκπολεμῆ- 19
σαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς ἐπιβα-
λεῖν ἐπ' αὐτὰ σίδηρον, ἀλλ' ἢ ἀπ' αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. μὴ
ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ ἀγρῷ εἰςελθεῖν ἀπὸ προςώπου σου εἰς τὸν χά-
ρακα; [20] ἀλλὰ ξύλον ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστι, τοῦτο ὀλοθρεύσεις 20
καὶ ἐκκόψεις καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιεῖ πρὸς σὲ
τὸν πόλεμον, ἕως ἂν παραδοθῇ.

## XXI.

Ἐὰν δὲ εὑρεθῇ τραυματίας ἐν τῇ γῇ ᾗ κύριος ὁ θεός σου δίδωσί σοι
κληρονομῆσαι, πεπτωκὼς ἐν τῷ πεδίῳ, καὶ οὐκ οἴδασι τὸν πατάξαντα, [2] ἐξε- 2
λεύσεται ἡ γερουσία σου καὶ οἱ κριταί σου, καὶ ἐκμετρήσουσιν ἐπὶ τὰς πό-
λεις τὰς κύκλῳ τοῦ τραυματίου· [3] καὶ ἔσται ἡ πόλις ἡ ἐγγίζουσα τῷ τραυ- 3
ματίᾳ, καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης δάμαλιν ἐκ βοῶν, ἥτις
οὐκ εἴργασται καὶ ἥτις οὐχ εἵλκυσε ζυγόν, [4] καὶ καταβιβάσουσιν ἡ γερουσία 4
τῆς πόλεως ἐκείνης δάμαλιν εἰς φάραγγα τραχεῖαν, ἥτις οὐκ εἴργασται οὐδὲ
σπείρεται, καὶ νευροκοπήσουσι τὴν δάμαλιν ἐν τῇ φάραγγι. [5] καὶ προςελεύ- 5
σονται οἱ ἱερεῖς οἱ Λευῖται, ὅτι αὐτοὺς ἐπέλεξε κύριος ὁ θεὸς παρεστηκέναι
αὐτῷ καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, καὶ ἐπὶ τῷ στόματι αὐτῶν ἔσται
πᾶσα ἀντιλογία καὶ πᾶσα ἁφή· [6] καὶ πᾶσα ἡ γερουσία τῆς πόλεως ἐκείνης 6
οἱ ἐγγίζοντες τῷ τραυματίᾳ νίψονται τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τῆς δαμά-
λεως τῆς νενευροκοπημένης ἐν τῇ φάραγγι, [7] καὶ ἀποκριθέντες ἐροῦσιν Αἱ χεῖ- 7
ρες ἡμῶν οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο, καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν·
[8] ἵλεως γενοῦ τῷ λαῷ σου Ἰσραὴλ οὓς ἐλυτρώσω, κύριε, ἵνα μὴ γένηται αἷμα 8
ἀναίτιον ἐν τῷ λαῷ σου Ἰσραήλ, καὶ ἐξιλασθήσεται αὐτοῖς τὸ αἷμα. [9] σὺ δὲ 9
ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ ὑμῶν αὐτῶν, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ
ἀρεστὸν ἔναντι κυρίου τοῦ θεοῦ σου. [10] ἐὰν δὲ ἐξελθὼν εἰς πόλεμον ἐπὶ τοὺς 10
ἐχθρούς σου, καὶ παραδῷ σοι κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ προ-
νομεύσῃς τὴν προνομὴν αὐτῶν, [11] καὶ ἴδῃς ἐν τῇ προνομῇ γυναῖκα καλὴν τῷ 11
εἴδει, καὶ ἐνθυμηθῇς αὐτῆς καὶ λάβῃς αὐτὴν σεαυτῷ γυναῖκα, [12] καὶ εἰςάξῃς 12
αὐτὴν ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ξυρήσεις τὴν κεφαλὴν αὐτῆς καὶ περιονυ-
χιεῖς αὐτὴν [13] καὶ περιελεῖς τὰ ἱμάτια τῆς αἰχμαλωσίας ἀπ' αὐτῆς, καὶ καθιεῖ- 13
ται ἐν τῇ οἰκίᾳ σου καὶ κλαύσεται τὸν πατέρα καὶ τὴν μητέρα μηνὸς ἡμέ-
ρας· καὶ μετὰ ταῦτα εἰςελεύσῃ πρὸς αὐτὴν καὶ συνοικισθήσῃ αὐτῇ, καὶ ἔσται
σου γυνή. [14] καὶ ἔσται ἐὰν μὴ θέλῃς αὐτήν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν, 14
καὶ πράσει οὐ πραθήσεται ἀργυρίου· οὐκ ἀθετήσεις αὐτήν, διότι ἐταπείνωσας
αὐτήν. [15] ἐὰν δὲ γένωνται ἀνθρώπῳ δύο γυναῖκες, μία αὐτῶν ἠγαπημένη καὶ 15
μία αὐτῶν μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ
γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, [16] καὶ ἔσται ᾗ ἂν ἡμέρᾳ κατακλη- 16
ρονομῇ τοῖς υἱοῖς αὐτοῦ τὰ ὑπάρχοντα αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι
τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον·

---

18. υμας ποιειν 19. om μιαν ... πλειονας ... καταλημψιν ... εξολεθρευσεις ... αλλα απ αυτου ... δρυμω pro αγρω 20. το ξυλον ... εξολεθρευσεις XXI. 1. ην κυριος 2. εκμετρησ. τας πολ. 3. λημψεται ... ουκ ειλκυσεν 4. την δαμαλιν 5. εξελεξατο ... θεος σου .. ονοματι pro στοματι 7. ουχ εωρακασιν 8. κυριε, εκ γης αιγυπτου 9. om κυριου ... om σου 10. εξελθης ... παραδω αυτους κυριος ... προνομευσεις 12. εις-αξεις 13. αιχμαλ. αυτης απ αυτης ... πατερα αυτης ... εσται σοι 16. κατακληροδοτη ... πρωτοτοκευσαι τον υιον

Digitized by Google

17 [17] ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ
ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ
18 τούτῳ καθήκει τὰ πρωτοτοκεῖα. [18] ἐὰν δέ τινι ᾖ υἱὸς ἀπειθὴς καὶ ἐρεθιστής,
οὐχ ὑπακούων φωνὴν πατρὸς καὶ φωνὴν μητρός, καὶ παιδεύωσιν αὐτὸν καὶ
19 μὴ εἰςακούῃ αὐτῶν, [19] καὶ συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ
αὐτοῦ καὶ ἐξάξουσιν αὐτὸν ἐπὶ τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ καὶ ἐπὶ τὴν
20 πύλην τοῦ τόπου, [20] καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν Ὁ υἱὸς ἡμῶν
οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, οὐχ ὑπακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰ-
21 νοφλυγεῖ· [21] καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ ἐν λίθοις,
καὶ ἀποθανεῖται· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ οἱ ἐπίλοιποι
22 ἀκούσαντες φοβηθήσονται. [22] ἐὰν δὲ γένηται ἔν τινι ἁμαρτίᾳ κρίμα θανάτου,
23 καὶ ἀποθάνῃ, καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου· [23] οὐ κοιμηθήσεται τὸ σῶμα
αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι κε- Ga.3,13
κατηραμένος ὑπὸ θεοῦ πᾶς κρεμάμενος ἐπὶ ξύλου· καὶ οὐ μὴ μιανεῖτε τὴν
γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ.

## XXII.

Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου ἢ τὸ πρόβατον αὐτοῦ πλανώμενα
ἐν τῇ ὁδῷ ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου καὶ
2 ἀποδώσεις αὐτῷ. [2] ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ μηδὲ ἐπίστῃ
αὐτόν, συνάξεις αὐτὸν ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ἔσται μετὰ σοῦ ἕως ἂν
3 ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτῷ. [3] οὕτω ποιήσεις τὸν ὄνον
αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις κατὰ πᾶσαν
ἀπώλειαν τοῦ ἀδελφοῦ σου· ὅσα ἐὰν ἀπολῆται παρ' αὐτοῦ καὶ εὕρῃς, οὐ δυ-
4 νήσῃ ὑπεριδεῖν. [4] οὐκ ὄψῃ τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν μόσχον αὐτοῦ
πεπτωκότας ἐν τῇ ὁδῷ, μὴ ὑπερίδῃς αὐτούς, ἀνιστῶν ἀναστήσεις μετ' αὐτοῦ.
5 [5] οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυ-
6 ναικείαν· ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστι πᾶς ποιῶν ταῦτα. [6] ἐὰν δὲ
συναντήσῃς νοσσιᾷ ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ ἢ ἐπὶ παντὶ δέν-
δρῳ ἢ ἐπὶ τῆς γῆς, νοσσοῖς ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ τῶν νοσσῶν ἢ
7 ἐπὶ τῶν ᾠῶν, οὐ λήψῃ τὴν μητέρα μετὰ τῶν τέκνων· [7] ἀποστολῇ ἀποστελεῖς
τὴν μητέρα, τὰ δὲ παιδία λήψῃ σεαυτῷ, ἵνα εὖ σοι γένηται καὶ πολυήμερος
8 γένῃ. [8] ἐὰν οἰκοδομήσῃς οἰκίαν καινήν, καὶ ποιήσεις στεφάνην τῷ δώματί σου,
9 καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτοῦ. [9] οὐ
κατασπερεῖς τὸν ἀμπελῶνά σου διάφορον, ἵνα μὴ ἁγιασθῇ τὸ γέννημα καὶ
10 τὸ σπέρμα ὃ ἐὰν σπείρῃς μετὰ τοῦ γεννήματος τοῦ ἀμπελῶνός σου. [10] οὐκ
11 ἀροτριάσεις ἐν μόσχῳ καὶ ὄνῳ ἐπὶ τὸ αὐτό. [11] οὐκ ἐνδύσῃ κίβδηλον, ἔρια καὶ
12 λίνον ἐν τῷ αὐτῷ· [12] στρεπτὰ ποιήσεις σεαυτῷ ἐπὶ τῶν τεσσάρων κρασπέδων
13 τῶν περιβολαίων σου, ἃ ἐὰν περιβάλῃ ἐν αὐτοῖς. [13] ἐὰν δέ τις λάβῃ γυναῖκα
14 καὶ συνοικήσῃ αὐτῇ, καὶ μισήσῃ αὐτὴν [14] καὶ ἐπιθῇ αὐτῇ προφασιστικοὺς
λόγους, καὶ κατενέγκῃ αὐτῆς ὄνομα πονηρὸν καὶ λέγῃ Τὴν γυναῖκα ταύτην
15 εἴληφα, καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῆς τὰ παρθένια, [15] καὶ λαβὼν

---

18. πατρος αυτου ... μητρος αυτου ... ** ειςακουση 19. om και ante εξαξουσιν ... πυλην της πολεως αυτου 20. πολεως αυτου ... ουκ ακουει 22. κρεμαση 23. ουκ επικοιμηθησεται ... θαψετε αυτον ... μιανηται XXII. 1. *om και αποδωσ. αυτω ... ** κ. αποδ. αυτω αυτα 2. προς σε ο αδ. σου ... ** επιστη αυτο ... αυτα ενδον ... αποδωσεις αυτα αυτω 3. ουτως ter ... ευρης αυτα ... ** in fine add αυτα 4. ** ουκ υπεροψη ... πεπτωκοτα ... υπεριδης αυτα ... ** ανιστησεις αυτα μετα σου 5. om οτι 6. δενδρει ... λημψη 7. λημψη ... εση pro γενη 8. εαν δε ... om και ante ποιησεις ... απ αυτης 9. γενημα ... γενηματος 11. ερεια ... λινον επι το αυτο 13. α αν 14. 15. παρθενεια

Digitized by Google

ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ ἐξοίσουσι τὰ παρθένια τῆς παιδὸς πρὸς τὴν
γερουσίαν ἐπὶ τὴν πύλην, [16] καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδὸς τῇ γερουσίᾳ Τὴν 16
θυγατέρα μου ταύτην δέδωκα τῷ ἀνθρώπῳ τούτῳ γυναῖκα, καὶ μισήσας αὐ-
τὴν [17] νῦν οὗτος ἐπιτίθησιν αὐτῇ προφασιστικοὺς λόγους, λέγων Οὐχ εὕρηκα 17
τῇ θυγατρί σου παρθένια, καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου, καὶ
ἀναπτύξουσι τὸ ἱμάτιον ἐναντίον τῆς γερουσίας τῆς πόλεως· [18] καὶ λήψεται 18
ἡ γερουσία τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον καὶ παιδεύσουσιν αὐτόν,
[19] καὶ ζημιώσουσιν αὐτὸν ἑκατὸν σίκλους καὶ δώσουσι τῷ πατρὶ τῆς νεάνιδος, 19
ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον Ἰσραηλῖτιν· καὶ αὐτοῦ ἔσται γυνή,
οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον. [20] ἐὰν δὲ ἐπ' ἀληθείας 20
γένηται ὁ λόγος οὗτος καὶ μὴ εὑρεθῇ παρθένια τῇ νεάνιδι, [21] καὶ ἐξάξουσι 21
*Jo. 8,5. τὴν νεᾶνιν ἐπὶ τὰς θύρας τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν
αὐτὴν ἐν λίθοις καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην ἐν υἱοῖς Ἰσραὴλ
ἐκπορνεῦσαι τὸν οἶκον τοῦ πατρὸς αὐτῆς· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν
αὐτῶν. [22] ἐὰν δὲ εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνῳκισμένης 22
ἀνδρί, ἀποκτενεῖτε ἀμφοτέρους, τὸν ἄνδρα τὸν κοιμώμενον μετὰ τῆς γυναικὸς
καὶ τὴν γυναῖκα· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ. [23] ἐὰν δὲ γένηται παῖς 23*
παρθένος μεμνηστευμένη ἀνδρί, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει κοιμηθῇ
μετ' αὐτῆς, [24] ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λι- 24
θοβοληθήσονται ἐν λίθοις καὶ ἀποθανοῦνται· τὴν νεᾶνιν, ὅτι οὐκ ἐβόησεν ἐν
τῇ πόλει, καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον· καὶ
ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. [25] ἐὰν δὲ ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν 25
παῖδα τὴν μεμνηστευμένην καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε
τὸν κοιμώμενον μετ' αὐτῆς μόνον, [26] καὶ τῇ νεάνιδι οὐκ ἔστιν ἁμάρτημα θα- 26
νάτου· ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον καὶ φονεύσῃ αὐτοῦ
ψυχήν, οὕτω τὸ πρᾶγμα τοῦτο· [27] ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτήν, ἐβόησεν ἡ 27
νεᾶνις ἡ μεμνηστευμένη καὶ οὐκ ἦν ὁ βοηθήσων αὐτῇ. [28] ἐὰν δέ τις εὕρῃ 28
τὴν παῖδα τὴν παρθένον ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος κοιμηθῇ μετ'
αὐτῆς, καὶ εὑρεθῇ, [29] δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ 29
τῆς νεάνιδος πεντήκοντα δίδραχμα ἀργυρίου, καὶ αὐτοῦ ἔσται γυνή, ἀνθ' ὧν
ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.
[30] οὐ λήψεται ἄνθρωπος τὴν γυναῖκα τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἀποκαλύψει 30
συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ.

## XXIII.

Οὐκ εἰςελεύσεται θλαδίας οὐδὲ ἀποκεκομμένος εἰς ἐκκλησίαν κυρίου.
[2] οὐκ εἰςελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν κυρίου. [3] οὐκ εἰςελεύσεται Ἀμμα- 2 3
νίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν κυρίου, καὶ ἕως δεκάτης γενεᾶς οὐκ εἰς-
ελεύσεται εἰς ἐκκλησίαν κυρίου καὶ ἕως εἰς τὸν αἰῶνα, [4] παρὰ τὸ μὴ συναν- 4
τῆσαι αὐτοὺς ὑμῖν μετὰ ἄρτων καὶ ὕδατος ἐν τῇ ὁδῷ ἐκπορευομένων ὑμῶν
ἐξ Αἰγύπτου, καὶ ὅτι ἐμισθώσαντο ἐπὶ σὲ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ τῆς Με-
σοποταμίας καταρᾶσθαί σε· [5] καὶ οὐκ ἠθέλησε κύριος ὁ θεός σου εἰςακοῦσαι 5

---

17. αυτος νυν επιτιθ. ... παρθενεια bis (v. 20. παρθενια) ... εναντι ... ** in fine add εκεινης 18. λημψεται ... παιδευσωσιν 19. δυνησει 21. θυρας οικου πατρος αυτης ... οι ανδρες της πολεως αυτης εν λιθοις 22. αμα αμφοτερους, τον τε 23. εμνηστευμενη (vv. 25. 27. μεμνηστ.) ... * om εν πολει (?) ... ** κοιμηθη ταυτης 24. του πλησιον αυτου 25. τον ανθρωπον τον κοιμωμενον 26. τη δε νεανιδι ου ποιησεται ουδεν· ουκ εστιν τη νεανιδι αμαρτ. θαν. οτι ως ει τις ... πλησιον αυτου ... ουτως 27. και ο βοηθων ουκ εστιν αυτη 28. βιασαμενος αυτην 29. ανθ ου 30. λημψεται ... ανακαλυψει XXIII. 1. και pro ουδε ... ** εις οικον κυρ. 2. om versum 4. καταρασασθαι

Digitized by Google

τοῦ Βαλαάμ, καὶ μετέστρεψε κύριος ὁ θεός σου τὰς κατάρας εἰς εὐλογίαν,
6 ὅτι ἠγάπησέ σε κύριος ὁ θεός σου. [6] οὐ προςαγορεύσεις εἰρηνικὰ αὐτοῖς καὶ
7 συμφέροντα αὐτοῖς πάσας τὰς ἡμέρας σου εἰς τὸν αἰῶνα. [7] οὐ βδελύξῃ Ἰδου-
μαῖον, ὅτι ἀδελφός σού ἐστιν· οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου ἐν
8 τῇ γῇ αὐτοῦ· [8] υἱοὶ ἐὰν γεννηθῶσιν αὐτοῖς, γενεᾷ τρίτῃ εἰςελεύσονται εἰς ἐκ-
9 κλησίαν κυρίου. [9] ἐὰν δὲ ἐξέλθῃς παρεμβαλεῖν ἐπὶ τοὺς ἐχθρούς σου, καὶ φυ-
10 λάξῃ ἀπὸ παντὸς ῥήματος πονηροῦ. [10] ἐὰν ᾖ ἐν σοὶ ἄνθρωπος ὃς οὐκ ἔσται
καθαρὸς ἐκ ῥύσεως αὐτοῦ νυκτός, καὶ ἐξελεύσεται ἔξω τῆς παρεμβολῆς, καὶ
11 οὐκ εἰςελεύσεται εἰς τὴν παρεμβολήν· [11] καὶ ἔσται τὸ πρὸς ἑσπέραν λούσεται
τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ δεδυκότος ἡλίου εἰςελεύσεται εἰς τὴν παρεμβολήν.
12 13 [12] καὶ τόπος ἔσται σοι ἔξω τῆς παρεμβολῆς, καὶ ἐξελεύσῃ ἐκεῖ ἔξω· [13] καὶ
πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης σου, καὶ ἔσται ὅταν διακαθιζάνῃς ἔξω,
14 καὶ ὀρύξεις ἐν αὐτῷ καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου· [14] ὅτι κύ-
ριος ὁ θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου, ἐξελέσθαι σε καὶ παρα-
δοῦναι τὸν ἐχθρόν σου πρὸ προσώπου σου· καὶ ἔσται ἡ παρεμβολή σου ἁγία,
καὶ οὐκ ὀφθήσεται ἐν σοὶ ἀσχημοσύνη πράγματος, καὶ ἀποστρέψει ἀπὸ σοῦ.
15 [15] οὐ παραδώσεις παῖδα τῷ κυρίῳ αὐτοῦ, ὃς προςτέθειταί σοι παρὰ τοῦ κυ-
16 ρίου αὐτοῦ· [16] μετὰ σοῦ κατοικήσει, ἐν ὑμῖν κατοικήσει οὗ ἂν ἀρέσῃ αὐτῷ,
17 οὐ θλίψεις αὐτόν. [17] οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται
πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ· οὐκ ἔσται τελεςφόρος ἀπὸ θυγατέρων Ἰσραήλ,
18 καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσραήλ. [18] οὐ προςοίσεις μίσθωμα πόρ-
νης οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου πρὸς πᾶσαν εὐ-
19 χήν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστι καὶ ἀμφότερα. [19] οὐκ ἐκτοκιεῖς
τῷ ἀδελφῷ σου τόκον ἀργυρίου καὶ τόκον βρωμάτων καὶ τόκον παντὸς πρά-
20 γματος οὗ ἐὰν ἐκδανείσῃς· [20] τῷ ἀλλοτρίῳ ἐκτοκιεῖς, τῷ δὲ ἀδελφῷ σου οὐκ
ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε κύριος ὁ θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ
21 τῆς γῆς εἰς ἣν εἰςπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. [21] ἐὰν δὲ εὔξῃ εὐχὴν
κυρίῳ τῷ θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν, ὅτι ἐκζητῶν ἐκζητήσει κύ-
22 ριος ὁ θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία· [22] ἐὰν δὲ μὴ θέλῃς
23 εὔξασθαι, οὐκ ἔστιν ἐν σοὶ ἁμαρτία. [23] τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου
φυλάξῃ, καὶ ποιήσεις ὃν τρόπον ηὔξω κυρίῳ τῷ θεῷ δόμα ὃ ἐλάλησας τῷ
στόματί σου.

## XXIV.

(23, 25.) Ἐὰν δὲ εἰςέλθῃς εἰς ἀμητὸν τοῦ πλησίον σου, καὶ συλλέξῃς ἐν
ταῖς χερσί σου στάχυς, καὶ δρέπανον οὐ μὴ ἐπιβάλῃς ἐπ' ἀμητὸν τοῦ πλη-
2 σίον σου. (23, 24.) [2] ἐὰν δὲ εἰςέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίον σου,
φαγῇ σταφυλὴν ὅσον ψυχήν σου ἐμπλησθῆναι, εἰς δὲ ἄγγος οὐκ ἐμβαλῇς.
3 (24, 1.) [3] ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ
εὕρῃ χάριν ἐναντίον αὐτοῦ ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ γράψει Mt.5,31.
αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ 19,7.
4 5 (2. 3.) αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ· [4] καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, [5] καὶ Mc.10,4.
μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος, καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου καὶ
δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ·

---

5. εις ευλογιας 9. ** εις πολεμον επι τους ... παντος πονηρου πραγματος 13. in fine add εν αυτω 14. om σου sec. ... παραδ. σοι τ. εχθ. σ. εις τας χειρας σου 16. εν παντι τοπω ου αρεσκη αυτω 17. πορνη απο των ... τελισκομ. προς πασαν ευχην απο 19. τοκον αργ. τω αδ. σου ... ου αν εκδανισης 23. θεω σου XXIV. vv. 1. 2. 3. toti ** 1. ** συναξεις pro συλλεξης ... ** επιβ. επι τον αμητον 2. ** οσον αν ψυχη ... ** ουκ εκβαλεις 3. ** συνοικησει ... ** οτι ευρηκεν ... ** αποστασιου εις τας 5. γραψει

Digitized by Google

καὶ ἀποϑάνῃ ὁ ἀνὴρ ὁ ἔσχατος ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, [6] οὐ δυνή- (4) 6
σεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψας λαβεῖν αὐτὴν
ἑαυτῷ γυναῖκα μετὰ τὸ μιανϑῆναι αὐτήν, ὅτι βδέλυγμά ἐστιν ἐναντίον κυρίου
τοῦ ϑεοῦ σου· καὶ οὐ μιανεῖτε τὴν γῆν ἣν κύριος ὁ ϑεός σου δίδωσί σοι ἐν
κλήρῳ. [7] ἐὰν δέ τις λάβῃ γυναῖκα προςφάτως, οὐκ ἐξελεύσεται εἰς πόλεμον, (5) 7
καὶ οὐκ ἐπιβληϑήσεται αὐτῷ οὐδὲν πρᾶγμα· ἀϑῷος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ,
ἐνιαυτὸν ἕνα εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ ἣν ἔλαβεν. [8] οὐκ ἐνεχυράσεις μύλον (6) 8
οὐδὲ ἐπιμύλιον, ὅτι ψυχὴν οὗτος ἐνεχυράζει. [9] ἐὰν δὲ ἁλῷ ἄνϑρωπος κλέπτων (7) 9
ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ἰσραήλ, καὶ καταδυναστεύσας αὐτὸν
ἀποδῶται, ἀποϑανεῖται ὁ κλέπτης ἐκεῖνος· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν
αὐτῶν. [10] πρόςεχε σεαυτῷ ἐν τῇ ἁφῇ τῆς λέπρας· φυλάξῃ σφόδρα ποιεῖν (8) 10
κατὰ πάντα τὸν νόμον ὃν ἂν ἀναγγείλωσιν ὑμῖν οἱ ἱερεῖς οἱ Λευῖται· ὃν τρό-
πον ἐνετειλάμην ὑμῖν φυλάξασϑε ποιεῖν. [11] μνήσϑητι ὅσα ἐποίησε κύριος ὁ (9) 11
ϑεός σου τῇ Μαριὰμ ἐν τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ Αἰγύπτου. [12] ἐὰν (10) 12
ὀφείλημα ᾖ ἐν τῷ πλησίον σου, ὀφείλημα ὁτιοῦν, οὐκ εἰςελεύσῃ εἰς τὴν οἰκίαν
αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον αὐτοῦ· [13] ἔξω στήσῃ, καὶ ὁ ἄνϑρωπος οὗ τὸ (11) 13
δάνειόν σού ἐστιν ἐν αὐτῷ ἐξοίσει σοι τὸ ἐνέχυρον ἔξω. [14] ἐὰν δὲ ὁ ἄνϑρω- (12) 14
πος πένηται, οὐ κοιμηϑήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ· [15] ἀποδόσει ἀποδώσεις (13) 15
τὸ ἐνέχυρον αὐτοῦ πρὸς δυσμὰς ἡλίου, καὶ κοιμηϑήσεται ἐν τῷ ἱματίῳ αὐτοῦ,
καὶ εὐλογήσει σε, καὶ ἔσται σοι ἐλεημοσύνη ἐναντίον κυρίου τοῦ ϑεοῦ σου.
[16] οὐκ ἀπαδικήσεις μισϑὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου ἢ ἐκ (14) 16
τῶν προςηλύτων τῶν ἐν ταῖς πόλεσί σου· [17] αὐϑημερὸν ἀποδώσεις τὸν μισϑὸν (15) 17
αὐτοῦ, οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ᾿ αὐτῷ, ὅτι πένης ἐστὶ καὶ ἐν αὐτῷ ἔχει τὴν
ἐλπίδα, καὶ καταβοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.
[18] οὐκ ἀποϑανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ οἱ υἱοὶ οὐκ ἀποϑανοῦνται (16) 18
ὑπὲρ πατέρων· ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποϑανεῖται. [19] οὐκ ἐκκλι- (17) 19
νεῖς κρίσιν προςηλύτου καὶ ὀρφανοῦ καὶ χήρας, οὐκ ἐνεχυράσεις ἱμάτιον χήρας·
[20] καὶ μνησϑήσῃ ὅτι οἰκέτης ἦσϑα ἐν γῇ Αἰγύπτῳ καὶ ἐλυτρώσατό σε κύριος (18) 20
ὁ ϑεός σου ἐκεῖϑεν, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.
[21] ἐὰν δὲ ἀμήσῃς ἀμητὸν ἐν τῷ ἀγρῷ σου, καὶ ἐπιλάϑῃ δράγμα ἐν τῷ ἀγρῷ (19) 21
σου, οὐκ ἀναστραφήσῃ λαβεῖν αὐτό· τῷ προςηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ
χήρᾳ ἔσται, ἵνα εὐλογήσῃ σε κύριος ὁ ϑεός σου ἐν πᾶσι τοῖς ἔργοις τῶν χει-
ρῶν σου. [22] ἐὰν δὲ ἐλαιολογῇς, οὐκ ἐπαναστρέψεις καλαμήσασϑαι τὰ ὀπίσω (20) 22
σου· τῷ προςηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται· καὶ μνησϑήσῃ ὅτι
οἰκέτης ἦσϑα ἐν γῇ Αἰγύπτῳ, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα
τοῦτο. [23] ἐὰν δὲ τρυγήσῃς τὸν ἀμπελῶνά σου, οὐκ ἐπανατρυγήσῃς αὐτὸν (21) 23
τὰ ὀπίσω σου· τῷ προςηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται· [24] καὶ (22) 24
μνησϑήσῃ ὅτι οἰκέτης ἦσϑα ἐν γῇ Αἰγύπτῳ, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι
ποιεῖν τὸ ῥῆμα τοῦτο.

## XXV.

Ἐὰν δὲ γένηται ἀντιλογία ἀνὰ μέσον ἀνϑρώπων, καὶ προςέλϑωσιν εἰς
κρίσιν, καὶ κρίνωσι, καὶ δικαιώσωσι τὸ δίκαιον καὶ καταγνῶσι τοῦ ἀσεβοῦς·
[2] καὶ ἔσται ἐὰν ἄξιος ᾖ πληγῶν ὁ ἀσεβῶν, καϑιεῖς αὐτὸν ἔναντι τῶν κριτῶν, 2
καὶ μαστιγώσουσιν αὐτὸν ἐναντίον αὐτῶν κατὰ τὴν ἀσέβειαν αὐτοῦ. [3] καὶ ἀρι- 3

---

5. η αποϑανη pro και αποϑ. 6. εναντι … ϑεος υμων διδ. υμιν 7. ουϑεν 8. ενεχυρας 9. εξαρειτε 10. φυλαξεσϑε 12. οτιουν τι … om αυτου extr. 15. αποδωσεις το ιματιον αυτου περι δυσμας … σοι εσται 16. ουκ αποστερησεις μισϑον 17. και ου καταβοησ. περι σου 18. και υιοι … om εν 19. και ουκ ενεχυρας 21. εαν αμησης αμητον σου … επαναστραφηση … τω πτωχω και τω προσηλ. 22. ελαιαλογησης 23. επανατρυγησεις … om αυτον XXV. 1. δικαιωσουσιν τον δικαιον 2. και καϑιεις 3. και om

θμῷ τεσσαράκοντα μαστιγώσουσιν αὐτόν, οὐ προσθήσουσιν· ἐὰν δὲ προσθῇς
μαστιγῶσαι ὑπὲρ ταύτας τὰς πληγὰς πλείους, ἀσχημονήσει ὁ ἀδελφός σου
4 5 ἐναντίον σου. [4] οὐ φιμώσεις βοῦν ἀλοῶντα. [5] ἐὰν δὲ κατοικῶσιν ἀδελφοὶ ἐπὶ 1 Co. 9,
τὸ αὐτό, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ ᾖ αὐτῷ, οὐκ ἔσται ἡ 9. 1 Tm.
γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς 5, 18.
εἰςελεύσεται πρὸς αὐτὴν καὶ λήψεται αὐτὴν ἑαυτῷ γυναῖκα καὶ συνοικήσει Mt. 22,
6 αὐτῇ. [6] καὶ ἔσται τὸ παιδίον ὃ ἐὰν τέκῃ κατασταθήσεται ἐκ τοῦ ὀνόματος 24. Mc.
7 τοῦ τετελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ Ἰσραήλ. [7] ἐὰν 12, 19.
δὲ μὴ βούληται ὁ ἄνθρωπος λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀνα- Lc. 20, 28.
βήσεται ἡ γυνὴ ἐπὶ τὴν πύλην ἐπὶ τὴν γερουσίαν καὶ ἐρεῖ Οὐ θέλει ὁ ἀδελ-
φὸς τοῦ ἀνδρός μου ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ, οὐκ
8 ἠθέλησεν ὁ ἀδελφὸς τοῦ ἀνδρός μου. [8] καὶ καλέσουσιν αὐτὸν ἡ γερουσία τῆς
πόλεως αὐτοῦ καὶ ἐροῦσιν αὐτῷ, καὶ στὰς εἴπῃ Οὐ βούλομαι λαβεῖν αὐτήν·
9 [9] καὶ προςελθοῦσα ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ ἔναντι τῆς γερουσίας, καὶ ὑπο-
λύσει τὸ ὑπόδημα αὐτοῦ τὸ ἓν ἀπὸ τοῦ ποδὸς αὐτοῦ, καὶ ἐμπτύσεται κατὰ
πρόςωπον αὐτοῦ, καὶ ἀποκριθεῖσα ἐρεῖ Οὕτω ποιήσουσι τῷ ἀνθρώπῳ ὃς οὐκ
10 οἰκοδομήσει τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ· [10] καὶ κληθήσεται τὸ
11 ὄνομα αὐτοῦ ἐν Ἰσραὴλ Οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα. [11] ἐὰν δὲ μά-
χωνται ἄνθρωποι ἐπὶ τὸ αὐτό, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προς-
έλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος
12 αὐτόν, καὶ ἐκτείνασα τὴν χεῖρα ἐπιλάβηται τῶν διδύμων αὐτοῦ, [12] ἀποκόψεις
13 τὴν χεῖρα· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῇ. [13] οὐκ ἔσται ἐν τῷ μαρ-
14 σίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν· [14] οὐκ ἔσται ἐν τῇ οἰκίᾳ
15 σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν· [15] στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται
σοι, καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς
16 γῆς ἧς κύριος ὁ θεός σου δίδωσί σοι ἐν κλήρῳ· [16] ὅτι βδέλυγμα κυρίῳ τῷ
17 θεῷ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ἄδικον. [17] μνήσθητι ὅσα ἐποίησέ σοι
18 Ἀμαλὴκ ἐν τῇ ὁδῷ ἐκπορευομένου σου ἐκ γῆς Αἰγύπτου, [18] πῶς ἀντέστη σοι
ἐν τῇ ὁδῷ καὶ ἔκοψέ σου τὴν οὐραγίαν τοὺς κοπιῶντας ὀπίσω σου, σὺ δὲ
19 ἐπείνας καὶ ἐκοπίας, καὶ οὐκ ἐφοβήθη τὸν θεόν· [19] καὶ ἔσται ἡνίκα ἐὰν κατα-
παύσῃ σε κύριος ὁ θεός σου ἀπὸ πάντων τῶν ἐχθρῶν σου τῶν κύκλῳ σου ἐν
τῇ γῇ ᾗ κύριος ὁ θεός σου δίδωσί σοι κληρονομῆσαι, ἐξαλείψεις τὸ ὄνομα
Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν, καὶ οὐ μὴ ἐπιλάθῃ.

## XXVI.

Καὶ ἔσται ἐὰν εἰςέλθῃς εἰς τὴν γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι
2 κληρονομῆσαι, καὶ κατακληρονομήσῃς αὐτὴν καὶ κατοικήσῃς ἐπ' αὐτήν, [2] καὶ
λήψῃ ἀπὸ τῆς ἀπαρχῆς τῶν καρπῶν τῆς γῆς σου ἧς κύριος ὁ θεός σου δί-
δωσί σοι, καὶ ἐμβαλεῖς εἰς κάρταλλον, καὶ πορεύσῃ εἰς τὸν τόπον ὃν ἂν ἐκλέ-
3 ξηται κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ· [3] καὶ ἐλεύσῃ πρὸς
τὸν ἱερέα ὃς ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐρεῖς πρὸς αὐτὸν Ἀναγγέλλω
σήμερον κυρίῳ τῷ θεῷ μου ὅτι εἰςελήλυθα εἰς τὴν γῆν ἣν ὤμοσε κύριος τοῖς

3. τεσσερακοντα ... εαν δε προσθωσιν μαστ. αυτον ... om τας 5. του τετελευτηκοτος ... λημψεται 6. ο αν τεχθη 7. βουληται ανθρωπος ... το ονομα αυτου εν ισρ. 8. εκεινης pro αυτου 9. προς αυτον εναντι ... εις το προσωπον ... ουτως ... (οικοδομησουσιν ...) om εν ισραηλ 11. ανθρωποι δυο 12. τ. χειρα αυτης 13. και ουκ 14. μεγα και μικρ. 16. θεω σου εστιν ... * om πας π. αδικον ... ** om πας π. ταυτα 17. εξ αιγυπτου 18. κυριον pro θεον 19. * om των κυκλω σου ... ** om σου sec. ... εν κληρω κατακληρονομησαι XXVI. 1. σοι εν κληρω κατακληρονομησαι αυτην, και κατοικ. επ αυτης 2. λημψη ... ην κυριος ... διδ. σοι εν κληρω 3. ος αν ην εν ταις

Digitized by Google

πατράσιν ἡμῶν δοῦναι ἡμῖν. [4] καὶ λήψεται ὁ ἱερεὺς τὸν κάρταλλον ἐκ τῶν 4
χειρῶν σου, καὶ θήσει αὐτὸν ἀπέναντι τοῦ θυσιαστηρίου κυρίου τοῦ θεοῦ σου·
[5] καὶ ἀποκριθεὶς ἐρεῖ ἔναντι κυρίου τοῦ θεοῦ σου Συρίαν ἀπέβαλεν ὁ πατήρ 5
μου καὶ κατέβη εἰς Αἴγυπτον, καὶ παρῴκησεν ἐκεῖ ἐν ἀριθμῷ βραχεῖ, καὶ
ἐγένετο ἐκεῖ εἰς ἔθνος μέγα καὶ πλῆθος πολύ. [6] καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύ- 6
πτιοι, καὶ ἐταπείνωσαν ἡμᾶς καὶ ἐπέθηκαν ἡμῖν ἔργα σκληρά· [7] καὶ ἀνεβοή- 7
σαμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, καὶ εἰσήκουσε κύριος τῆς φωνῆς ἡμῶν, καὶ
εἶδε τὴν ταπείνωσιν ἡμῶν καὶ τὸν μόχθον ἡμῶν καὶ τὸν θλιμμὸν ἡμῶν· [8] καὶ 8
ἐξήγαγεν ἡμᾶς κύριος ἐξ Αἰγύπτου αὐτὸς ἐν ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ καὶ ἐν
χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ, καὶ ἐν ὁράμασι μεγάλοις καὶ ἐν σημείοις
καὶ ἐν τέρασι· [9] καὶ εἰσήγαγεν ἡμᾶς εἰς τὸν τόπον τοῦτον, καὶ ἔδωκεν ἡμῖν 9
τὴν γῆν ταύτην, γῆν ῥέουσαν γάλα καὶ μέλι. [10] καὶ νῦν ἰδοὺ ἐνήνοχα τὴν 10
ἀπαρχὴν τῶν γεννημάτων τῆς γῆς ἧς ἔδωκάς μοι, κύριε, γῆν ῥέουσαν γάλα
καὶ μέλι. καὶ ἀφήσεις αὐτὸ ἀπέναντι κυρίου τοῦ θεοῦ σου, καὶ προσκυνήσεις
ἔναντι κυρίου τοῦ θεοῦ σου, [11] καὶ εὐφρανθήσῃ ἐν πᾶσι τοῖς ἀγαθοῖς οἷς 11
ἔδωκέ σοι κύριος ὁ θεός σου, καὶ ἡ οἰκία σου καὶ ὁ Λευίτης καὶ ὁ προσ-
ήλυτος ὁ ἐν σοί. [12] ἐὰν δὲ συντελέσῃς ἀποδεκατῶσαι πᾶν τὸ ἐπιδέκατον τῶν 12
γεννημάτων σου ἐν τῷ ἔτει τῷ τρίτῳ, τὸ δεύτερον ἐπιδέκατον δώσεις τῷ Λευίτῃ
καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, καὶ φάγονται ἐν ταῖς πόλεσί
σου καὶ εὐφρανθήσονται. [13] καὶ ἐρεῖς ἔναντι κυρίου τοῦ θεοῦ σου Ἐξεκάθαρα 13
τὰ ἅγια ἐκ τῆς οἰκίας μου, καὶ ἔδωκα αὐτὰ τῷ Λευίτῃ καὶ τῷ προσηλύτῳ
καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, κατὰ πάσας τὰς ἐντολὰς ἃς ἐνετείλω μοι· οὐ
παρῆλθον τὴν ἐντολήν σου καὶ οὐκ ἐπελαθόμην· [14] καὶ οὐκ ἔφαγον ἐν ὀδύνῃ 14
μου ἀπ' αὐτῶν, οὐκ ἐκάρπωσα ἀπ' αὐτῶν εἰς ἀκάθαρτον, οὐκ ἔδωκα ἀπ'
αὐτῶν τῷ τεθνηκότι· ὑπήκουσα τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν, ἐποίησα
καθὰ ἐνετείλω μοι. [15] κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου ἐκ τοῦ οὐρανοῦ, καὶ 15
εὐλόγησον τὸν λαόν σου τὸν Ἰσραὴλ καὶ τὴν γῆν ἣν ἔδωκας αὐτοῖς, καθὰ
ὤμοσας τοῖς πατράσιν ἡμῶν δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι. [16] ἐν 16
τῇ ἡμέρᾳ ταύτῃ κύριος ὁ θεός σου ἐνετείλατό σοι ποιῆσαι πάντα τὰ δικαιώ-
ματα καὶ τὰ κρίματα· καὶ φυλάξεσθε καὶ ποιήσετε αὐτὰ ἐξ ὅλης τῆς καρδίας
ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. [17] τὸν θεὸν εἵλου σήμερον εἶναί σου θεόν, 17
καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ φυλάσσεσθαι τὰ δικαιώματα
καὶ τὰ κρίματα, καὶ ὑπακούειν τῆς φωνῆς αὐτοῦ· [18] καὶ κύριος εἵλατό σε 18
σήμερον γενέσθαι σε αὐτῷ λαὸν περιούσιον, καθάπερ εἶπε φυλάττειν τὰς ἐν-
τολὰς αὐτοῦ, [19] καὶ εἶναί σε ὑπεράνω πάντων τῶν ἐθνῶν, ὡς ἐποίησέ σε ὀνο- 19
μαστὸν καὶ καύχημα καὶ δοξαστόν, εἶναί σε λαὸν ἅγιον κυρίῳ τῷ θεῷ σου,
καθὼς ἐλάλησε.

## XXVII.

Καὶ προσέταξε Μωυσῆς καὶ ἡ γερουσία Ἰσραὴλ λέγων Φυλάσσεσθε πά-
σας τὰς ἐντολὰς ταύτας ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον. [2] καὶ ἔσται ᾗ ἂν 2
ἡμέρᾳ διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι,
καὶ στήσεις σεαυτῷ λίθους μεγάλους καὶ κονιάσεις αὐτοὺς κονίᾳ· [3] καὶ γρά- 3
ψεις ἐπὶ τῶν λίθων τούτων πάντας τοὺς λόγους τοῦ νόμου τούτου, ὡς ἂν δια-

4. λημψεται ... ' om του θυσιαστηριου (?) 5. και αποκριθηση και ερεις (... απελαβεν) ... πολυ και μεγα 7. θεον των πατερων ημων 8. εν ισχυι μεγαλη και ... και εν βραχ. αυτου τω υψηλ. 9. post ημας add εις την γην ταυτην 10. γενηματων ... om κυριε ... αφησεις αυτα εναντι ... εκει εναντι 11. επι πασι ... και τη οικια σου 12. γενηματων της γης σου ... εμπλησθησονται pro ευφρανθ. 13. τα αγια μου 14. θεου μου 16. κατα παντα τα δικ. ταυτα 17. om πασαις ... κριματα αυτου 18. επιεν σοι φυλασσειν πασας τας XXVII. 3. om τουτων

Digitized by Google

βῆτε τὸν Ἰορδάνην, ἡνίκα ἂν εἰςέλϑητε εἰς τὴν γῆν ἣν κύριος ὁ ϑεὸς τῶν
πατέρων σου δίδωσί σοι, γῆν ῥέουσαν γάλα καὶ μέλι, ὃν τρόπον εἶπε κύριος
4 ὁ ϑεὸς τῶν πατέρων σού σοι. [4] καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, στή-
σετε τοὺς λίϑους τούτους οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον ἐν ὄρει Γαιβάλ, καὶ
5 κονιάσεις αὐτοὺς κονίᾳ. [5] καὶ οἰκοδομήσεις ἐκεῖ ϑυσιαστήριον κυρίῳ τῷ ϑεῷ
6 σου, ϑυσιαστήριον ἐκ λίϑων, οὐκ ἐπιβαλεῖς ἐπ' αὐτὸ σίδηρον· [6] λίϑους ὁλοκλή-
ρους οἰκοδομήσεις ϑυσιαστήριον κυρίῳ τῷ ϑεῷ σου, καὶ ἀνοίσεις ἐπ' αὐτὸ
7 ὁλοκαυτώματα κυρίῳ τῷ ϑεῷ σου· [7] καὶ ϑύσεις ἐκεῖ ϑυσίαν σωτηρίου, καὶ
8 φαγῇ καὶ ἐμπλησϑήσῃ καὶ εὐφρανϑήσῃ ἔναντι κυρίου τοῦ ϑεοῦ σου· [8] καὶ
9 γράψεις ἐπὶ τῶν λίϑων πάντα τὸν νόμον τοῦτον σαφῶς σφόδρα. [9] καὶ ἐλάλησε
Μωυσῆς καὶ οἱ ἱερεῖς οἱ Λευῖται παντὶ Ἰσραὴλ λέγοντες Σιώπα καὶ ἄκουε,
10 Ἰσραήλ· ἐν τῇ ἡμέρᾳ ταύτῃ γέγονας εἰς λαὸν κυρίῳ τῷ ϑεῷ σου, [10] καὶ εἰς-
ακούσῃ τῆς φωνῆς κυρίου τοῦ ϑεοῦ σου, καὶ ποιήσεις πάσας τὰς ἐντολὰς αὐ-
11 τοῦ καὶ τὰ δικαιώματα αὐτοῦ ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον. [11] καὶ ἐνε-
12 τείλατο Μωυσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων [12] Οὗτοι στήσονται εὐλο-
γεῖν τὸν λαὸν ἐν ὄρει Γαριζὶν διαβάντες τὸν Ἰορδάνην· Συμεών, Λευί, Ἰού-
13 δας, Ἰσσάχαρ, Ἰωσὴφ καὶ Βενιαμίν. [13] καὶ οὗτοι στήσονται ἐπὶ τῆς κατάρας
14 ἐν ὄρει Γαιβάλ· Ῥουβήν, Γὰδ καὶ Ἀσήρ, Ζαβουλών, Δὰν καὶ Νεφϑαλί. [14] καὶ
15 ἀποκριϑέντες ἐροῦσιν οἱ Λευῖται παντὶ Ἰσραὴλ φωνῇ μεγάλῃ [15] Ἐπικατάρα-
τος ἄνϑρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα κυρίῳ, ἔργον
χειρῶν τεχνιτῶν, καὶ ϑήσει αὐτὸ ἐν ἀποκρύφῳ· καὶ ἀποκριϑεὶς πᾶς ὁ λαὸς
16 ἐροῦσι Γένοιτο. [16] Ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ·
17 καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [17] Ἐπικατάρατος ὁ μετατιϑεὶς ὅρια τοῦ πλη-
18 σίον· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [18] Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν
19 ὁδῷ· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [19] Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν
20 προςηλύτου καὶ ὀρφανοῦ καὶ χήρας· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [20] Ἐπι-
κατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀπεκάλυψε
21 συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [21] Ἐπικατά-
ρατος ὁ κοιμώμενος μετὰ παντὸς κτήνους· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο.
22 [22] Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ ἀδελφῆς ἐκ πατρὸς ἢ μητρὸς αὐτοῦ· καὶ
23 ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [23] Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ νύμφης αὐ-
τοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ τῆς
24 ἀδελφῆς τῆς γυναικὸς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [24] Ἐπικατάρα-
25 τος ὁ τύπτων τὸν πλησίον δόλῳ· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο. [25] Ἐπικα-
τάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀϑῴου· καὶ ἐροῦσι πᾶς ὁ
26 λαός Γένοιτο. [26] Ἐπικατάρατος πᾶς ἄνϑρωπος ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς Ga.3,10
λόγοις τοῦ νόμου τούτου ποιῆσαι αὐτούς· καὶ ἐροῦσι πᾶς ὁ λαός Γένοιτο.

## XXVIII.

Καὶ ἔσται ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ ϑεοῦ σου, φυλάσ-
σειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον,
2 καὶ δώσει σε κύριος ὁ ϑεός σου ὑπεράνω ἐπὶ πάντα τὰ ἔϑνη τῆς γῆς· [2] καὶ

---

3. εισελϑης 5. ϑυσιαστηριον prius post ϑεω σου pon ... επ αυτους 6. το ϑυσιαστηριον ... επ αυτου 7. ϑυσεις ϑυσιαστηριον κυριω τω ϑεω σου, και φαγη εκει 9. ιερεις και οι 11. ** παντι τω λαω 12. γαριζειν ... και λευι ... βενιαμειν 13. νεφϑαλει 14. οι λευιται ερουσιν 15. ο ανϑρωπος ... τεχνιτου ... ερει 16. Γενοιτο γενοιτο 21. om παντος 22. η εκ μητρος 23. πενϑερας pro νυμφης ... om επικατ. ο κοιμ. μ. της αδελφ. usque γενοιτο 26. πας ο ανϑρ. οστις ... του ποιησαι XXVIII. 1. Και εσται ως αν διαβητε τον ιορδανην εις την γην ην κυριος ο ϑεος υμων διδωσιν υμιν εαν ακοη εισακουσητε ... ϑεου υμων ... om ταυτας ... ϑεος υπερανω παντων των εϑνων

Digitized by Google

ἥξουσιν ἐπὶ σὲ πᾶσαι αἱ εὐλογίαι αὗται καὶ εὑρήσουσί σε, ἐὰν ἀκοῇ ἀκούσῃς
τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, [3] εὐλογημένος σὺ ἐν πόλει, καὶ εὐλογημένος
σὺ ἐν ἀγρῷ· [4] εὐλογημένα τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὰ γεννήματα τῆς 4
γῆς σου, καὶ τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου·
[5] εὐλογημέναι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου· [6] εὐλογημένος σὺ 5 6
ἐν τῷ εἰςπορεύεσθαί σε, καὶ εὐλογημένος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε. [7] παραδῷ 7
κύριος ὁ θεός σου τοὺς ἐχθρούς σου τοὺς ἀνθεστηκότας σοι συντετριμμένους
πρὸ προςώπου σου· ὁδῷ μιᾷ ἐξελεύσονται πρὸς σέ, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύ-
ξονται ἀπὸ προςώπου σου. [8] ἀποστείλαι κύριος ἐπὶ σὲ τὴν εὐλογίαν ἐν τοῖς 8
ταμείοις σου, καὶ ἐπὶ πάντα οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τῆς γῆς ἧς
κύριος ὁ θεός σου δίδωσί σοι. [9] ἀναστήσαι σε κύριος ἑαυτῷ λαὸν ἅγιον, ὃν 9
τρόπον ὤμοσε τοῖς πατράσι σου, ἐὰν ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου
καὶ πορευθῇς ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ· [10] καὶ ὄψονταί σε πάντα τὰ ἔθνη 10
τῆς γῆς ὅτι τὸ ὄνομα κυρίου ἐπικέκληταί σοι, καὶ φοβηθήσονταί σε. [11] καὶ 11
πληθυνεῖ σε κύριος ὁ θεός σου εἰς ἀγαθὰ ἐν τοῖς ἐκγόνοις τῆς κοιλίας σου καὶ
ἐπὶ τοῖς ἐκγόνοις τῶν κτηνῶν σου καὶ ἐπὶ τοῖς γεννήμασι τῆς γῆς σου, ἐπὶ
τῆς γῆς σου ἧς ὤμοσε κύριος τοῖς πατράσι σου δοῦναί σοι. [12] ἀνοίξαι σοι 12
κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθόν, τὸν οὐρανόν, δοῦναι τὸν ὑετὸν τῇ γῇ
σου ἐπὶ καιροῦ. εὐλογῆσαι πάντα τὰ ἔργα τῶν χειρῶν σου· καὶ δανειεῖς ἔθνεσι
πολλοῖς, σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι.
[13] καταστήσαι σε κύριος ὁ θεός σου εἰς κεφαλὴν καὶ μὴ εἰς οὐράν, καὶ ἔσῃ 13
τότε ἐπάνω καὶ οὐκ ἔσῃ ὑποκάτω, ἐὰν ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ
σου ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον φυλάσσειν· [14] οὐ παραβήσῃ ἀπὸ πασῶν 14
τῶν ἐντολῶν ὧν ἐγὼ ἐντέλλομαί σοι σήμερον δεξιὰ οὐδὲ ἀριστερά, πορεύεσθαι
ὀπίσω θεῶν ἑτέρων λατρεύειν αὐτοῖς. [15] καὶ ἔσται ἐὰν μὴ εἰςακούσῃς τῆς φω- 15
νῆς κυρίου τοῦ θεοῦ σου, φυλάσσεσθαι πάσας τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ
ἐντέλλομαί σοι σήμερον, καὶ ἐλεύσονται ἐπὶ σὲ πᾶσαι αἱ κατάραι αὗται καὶ
καταλήψονταί σε. [16] ἐπικατάρατος σὺ ἐν πόλει, καὶ ἐπικατάρατος σὺ ἐν ἀγρῷ· 16
[17] ἐπικατάρατοι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου· [18] ἐπικατάρατα 17 18
τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὰ γεννήματα τῆς γῆς σου, τὰ βουκόλια τῶν
βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου· [19] ἐπικατάρατος σὺ ἐν τῷ εἰς- 19
πορεύεσθαί σε, καὶ ἐπικατάρατος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε. [20] ἀποστείλαι 20
κύριος ἐπὶ σὲ τὴν ἔνδειαν καὶ τὴν ἐκλιμίαν καὶ τὴν ἀνάλωσιν ἐπὶ πάντα οὗ
ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου, ἕως ἂν ἐξολοθρεύσῃ σε, καὶ ἕως ἂν ἀπολέσῃ
σε ἐν τάχει διὰ τὰ πονηρὰ ἐπιτηδεύματά σου, διότι ἐγκατέλιπές με. [21] προς- 21
κολλήσαι κύριος εἰς σὲ τὸν θάνατον, ἕως ἂν ἐξαναλώσῃ σε ἀπὸ τῆς γῆς εἰς
ἣν εἰςπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. [22] πατάξαι σε κύριος ἐν ἀπορίᾳ καὶ 22
πυρετῷ καὶ ῥίγει καὶ ἐρεθισμῷ καὶ ἀνεμοφθορίᾳ καὶ τῇ ὤχρᾳ, καὶ καταδιώ-
ξονταί σε ἕως ἂν ἀπολέσωσί σε. [23] καὶ ἔσται σοι ὁ οὐρανὸς ὁ ὑπὲρ κεφαλῆς 23
σου χαλκοῦς, καὶ ἡ γῆ ἡ ὑποκάτω σου σιδηρᾶ. [24] δῴη κύριος ὁ θεός σου τὸν 24
ὑετὸν τῆς γῆς σου κονιορτόν, καὶ χοῦς ἐκ τοῦ οὐρανοῦ καταβήσεται, ἕως ἂν

---

2. εισακουσης 4. εκγονα pro γεννηματα ... om και post γης σου 6. ευλογητος bis 7. παραδω σοι ... εν οδω μια 8. ταμιειοις σου και εν πασιν ου 9. κυριος ο θεος σου ... εισακουσης ... om πασαις 11. αγαθα επι τοις ... γενημασι ... γης ης ωμοσεν 12. τον αγαθον αυτου τον ουρανιον ... καιρου αυτου ... και εκδανιεις ... ου δανιη 13. ακουσης των εντολων κυριου ... φυλασσειν και ποιειν 14. απο παντων των λογων ων εγω ... δεξια η αριστ. 15. φυλασσειν και ποιειν πασας ... καταλημψονται 18. γενηματα 20. εξαποστειλαι κυρ. σοι την ... χειρα σου, οσα εαν ποιησης, εως αν εξολεθρ. σε κ. εως απολ. ... εγκατελειπας 21. συ εισπορευη 22. κυριος απορια ... ρηγει ... post ερεθισμω add και φονω 23. om σοι 24. om ο θεος σου ... τη γη σου ... καταβησ. επι σε

Digitized by Google

25 ἐκτρίψῃ σε, καὶ ἕως ἂν ἀπολέσῃ σε ἐν τάχει. 25 δῴη σε κύριος ἐπὶ κοπὴν
ἐναντίον τῶν ἐχθρῶν· ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτούς, καὶ ἐν ἑπτὰ ὁδοῖς
φεύξῃ ἀπὸ προσώπου αὐτῶν, καὶ ἔσῃ διασπορὰ ἐν πάσαις βασιλείαις τῆς γῆς.
26 26 καὶ ἔσονται οἱ νεκροὶ ὑμῶν κατάβρωμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς
27 θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. 27 πατάξαι σε κύριος ἕλκει Αἰγυ-
πτίῳ εἰς τὴν ἕδραν καὶ ψώρᾳ ἀγρίᾳ καὶ κνήφῃ, ὥστε μὴ δύνασθαί σε ἰαθῆ-
28 ναι. 28 πατάξαι σε κύριος παραπληξίᾳ καὶ ἀορασίᾳ καὶ ἐκστάσει διανοίας·
29 29 καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας, ὡς εἴ τις ψηλαφήσαι τυφλὸς ἐν τῷ σκότει,
καὶ οὐκ εὐοδώσει τὰς ὁδούς σου· καὶ ἔσῃ τότε ἀδικούμενος καὶ διαρπαζόμε-
30 νος πάσας τὰς ἡμέρας, καὶ οὐκ ἔσται ὁ βοηθῶν. 30 γυναῖκα λήψῃ, καὶ ἀνὴρ
ἕτερος ἕξει αὐτήν· οἰκίαν οἰκοδομήσεις, καὶ οὐκ οἰκήσεις ἐν αὐτῇ· ἀμπελῶνα
31 φυτεύσεις, καὶ οὐ μὴ τρυγήσεις αὐτόν. 31 ὁ μόσχος σου ἐσφαγμένος ἐναντίον
σου, καὶ οὐ φάγῃ ἐξ αὐτοῦ· ὁ ὄνος σου ἡρπασμένος ἀπὸ σοῦ, καὶ οὐκ ἀπο-
δοθήσεταί σοι· τὰ πρόβατά σου δεδομένα τοῖς ἐχθροῖς σου, καὶ οὐκ ἔσται σοι
32 ὁ βοηθῶν. 32 οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου δεδομέναι ἔθνει ἑτέρῳ, καὶ οἱ
ὀφθαλμοί σου βλέψονται σφακελίζοντες εἰς αὐτά, οὐκ ἰσχύσει ἡ χείρ σου.
33 33 τὰ ἐκφόρια τῆς γῆς σου καὶ πάντας τοὺς πόνους σου φάγεται ἔθνος ὃ οὐκ
34 ἐπίστασαι, καὶ ἔσῃ ἀδικούμενος καὶ τεθραυσμένος πάσας τὰς ἡμέρας· 34 καὶ
35 ἔσῃ παράπληκτος διὰ τὰ ὁράματα τῶν ὀφθαλμῶν σου ἃ βλέψῃ. 35 πατάξαι
σε κύριος ἐν ἕλκει πονηρῷ ἐπὶ τὰ γόνατα καὶ ἐπὶ τὰς κνήμας, ὥστε μὴ δύνα-
36 σθαι ἰαθῆναί σε ἀπὸ ἴχνους τῶν ποδῶν σου ἕως τῆς κορυφῆς σου. 36 ἀπα-
γάγοι κύριος σὲ καὶ τοὺς ἄρχοντάς σου οὓς ἂν καταστήσῃς ἐπὶ σεαυτὸν ἐπ'
ἔθνος ὃ οὐκ ἐπίστασαι σὺ καὶ οἱ πατέρες σου, καὶ λατρεύσεις ἐκεῖ θεοῖς ἑτέ-
37 ροις, ξύλοις καὶ λίθοις· 37 καὶ ἔσῃ ἐκεῖ ἐν αἰνίγματι καὶ παραβολῇ καὶ διη-
38 γήματι ἐν πᾶσι τοῖς ἔθνεσιν εἰς οὓς ἂν ἀπαγάγῃ σε κύριος ἐκεῖ. 38 σπέρμα
πολὺ ἐξοίσεις εἰς τὸ πεδίον, καὶ ὀλίγα εἰσοίσεις, ὅτι κατέδεται αὐτὰ ἡ ἀκρίς.
39 39 ἀμπελῶνα φυτεύσεις καὶ κατεργᾷ, καὶ οἶνον οὐ πίεσαι οὐδὲ εὐφρανθήσῃ
40 ἐξ αὐτοῦ, ὅτι καταφάγεται αὐτὰ ὁ σκώληξ. 40 ἐλαῖαι ἔσονταί σοι ἐν πᾶσι τοῖς
41 ὁρίοις σου, καὶ ἔλαιον οὐ χρίσῃ, ὅτι ἐκρυήσεται ἡ ἐλαία σου. 41 υἱοὺς καὶ θυγα-
42 τέρας γεννήσεις, καὶ οὐκ ἔσονται, ἀπελεύσονται γὰρ ἐν αἰχμαλωσίᾳ. 42 πάντα
43 τὰ ξύλινά σου καὶ τὰ γεννήματα τῆς γῆς σου ἐξαναλώσει ἡ ἐρισύβη. 43 ὁ προσ-
ήλυτος ὅς ἐστιν ἐν σοὶ ἀναβήσεται ἄνω ἄνω, σὺ δὲ καταβήσῃ κάτω κάτω.
44 44 οὗτος δανειεῖ σοί, σὺ δὲ τούτῳ οὐ δανειεῖς· οὗτος ἔσται κεφαλή, σὺ δὲ ἔσῃ
45 οὐρά. 45 καὶ ἐλεύσονται ἐπὶ σὲ πᾶσαι αἱ κατάραι αὗται καὶ καταδιώξονταί σε
καὶ καταλήψονταί σε, ἕως ἂν ἐξολοθρεύσῃ σε καὶ ἕως ἂν ἀπολέσῃ σε· ὅτι
οὐκ εἰσήκουσας τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου, φυλάξαι τὰς ἐντολὰς αὐτοῦ
46 καὶ τὰ δικαιώματα ὅσα ἐνετείλατό σοι. 46 καὶ ἔσται ἐν σοὶ σημεῖα καὶ τέρατα
47 ἐν τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος, 47 ἀνθ' ὧν οὐκ ἐλάτρευσας κυρίῳ τῷ
48 θεῷ σου ἐν εὐφροσύνῃ καὶ ἀγαθῇ διανοίᾳ διὰ τὸ πλῆθος πάντων. 48 καὶ λα-
τρεύσεις τοῖς ἐχθροῖς σου, οὓς ἐπαποστελεῖ κύριος ἐπὶ σέ, ἐν λιμῷ καὶ ἐν
δίψει καὶ ἐν γυμνότητι καὶ ἐν ἐκλείψει πάντων· καὶ ἐπιθήσῃ κλοιὸν σιδηροῦν
49 ἐπὶ τὸν τράχηλόν σου, ἕως ἂν ἐξολοθρεύσῃ σε. 49 ἐπάξει ἐπὶ σὲ κύριος ἔθνος

---

24. om εν ταχει 25. επισκοπην pro επι κοπην ... εχθρων σου ... εση εν διασπορα εν πασ. ταις 26. ο αποσοβων 27. εν ελκει ... εν ταις εδραις 29. ως ει ψηλαφησαι ο τυφλος ... εσται σοι 30. λημψη 31. ου μη φαγη 32. δεδομενα ... εσονται pro βλεψονται ... και ουκ ισχ. 36. καταστησεις ... εις εθνος 41. εσονται σοι 42. γενηματα ... σου της γης 43. αναβησ. επι σε 44. δανιει ... δανιεις ... εις κεφαλην ... εις ουραν 45. καταλημψονται ... εξολεθρευσαι et απολεσαι ... ηκουσας ... του φυλασσεσθαι σε πασας τας ... δικαιωμ. αυτου οσα 46. και εν τω ... εως αιωνος 47. ** και εν αγαθη ... καρδια pro διανοια 48. οις επαποστελλει ... om επι σε ... om εν sec. ... επιθησει ... εξολεθρ. 49. κυριος επι σε

Digitized by Google

μακρόθεν ἀπ' ἐσχάτου τῆς γῆς ὡςεὶ ὅρμημα ἀετοῦ, ἔθνος ὃ οὐκ ἀκούσῃ τῆς
φωνῆς αὐτοῦ, 50 ἔθνος ἀναιδὲς προςώπῳ, ὅςτις οὐ θαυμάσει πρόςωπον πρε- 50
σβύτου καὶ νέον οὐκ ἐλεήσει· 51 καὶ κατέδεται τὰ ἔκγονα τῶν κτηνῶν σου καὶ 51
τὰ γεννήματα τῆς γῆς σου, ὥςτε μὴ καταλιπεῖν σοι σῖτον, οἶνον, ἔλαιον, τὰ
βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου, ἕως ἂν ἀπολέσῃ
σε· 52 καὶ ἐκτρίψῃ σε ἐν ταῖς πόλεσί σου, ἕως ἂν καθαιρεθῶσι τὰ τείχη τὰ 52
ὑψηλὰ καὶ τὰ ὀχυρά, ἐφ' οἷς σὺ πέποιθας ἐπ' αὐτοῖς, ἐν πάσῃ τῇ γῇ σου·
καὶ θλίψει σε ἐν ταῖς πόλεσί σου αἷς ἔδωκέ σοι. 53 καὶ φαγῇ τὰ ἔκγονα τῆς 53
κοιλίας σου, κρέα υἱῶν σου καὶ θυγατέρων σου ὅσα ἔδωκέ σοι, ἐν τῇ στενο-
χωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου ᾗ θλίψει σε ὁ ἐχθρός σου. 54 ὁ ἁπαλὸς ὁ ἐν 54
σοὶ καὶ ὁ τρυφερὸς σφόδρα βασκανεῖ τῷ ὀφθαλμῷ αὐτοῦ τὸν ἀδελφὸν αὐτοῦ,
καὶ τὴν γυναῖκα τὴν ἐν τῷ κόλπῳ αὐτοῦ, καὶ τὰ καταλελειμμένα τέκνα ἃ
ἂν καταλειφθῇ αὐτῷ, 55 ὥςτε δοῦναι ἑνὶ αὐτῶν ἀπὸ τῶν σαρκῶν τῶν τέκνων 55
αὐτοῦ ὧν ἂν κατέσθῃ, διὰ τὸ μὴ καταλειφθῆναι αὐτῷ οὐδὲν ἐν τῇ στενο-
χωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου ᾗ ἂν θλίψωσί σε οἱ ἐχθροί σου ἐν πάσαις
ταῖς πόλεσί σου. 56 καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ ἡ τρυφερά, ἧς οὐχὶ πεῖραν ἔλα- 56
βεν ὁ ποὺς αὐτῆς βαίνειν ἐπὶ τῆς γῆς διὰ τὴν τρυφερότητα καὶ διὰ τὴν ἁπα-
λότητα, βασκανεῖ τῷ ὀφθαλμῷ αὐτῆς τὸν ἄνδρα αὐτῆς τὸν ἐν κόλπῳ αὐτῆς
καὶ τὸν υἱὸν καὶ τὴν θυγατέρα αὐτῆς, 57 καὶ τὸ χόριον αὐτῆς τὸ ἐξελθὸν διὰ 57
τῶν μηρῶν αὐτῆς καὶ τὸ τέκνον αὐτῆς ὃ ἐὰν τέκῃ· καταφάγεται γὰρ αὐτὰ
διὰ τὴν ἔνδειαν πάντων κρυφῇ ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου
ᾗ θλίψει σε ὁ ἐχθρός σου ἐν ταῖς πόλεσί σου, 58 ἐὰν μὴ εἰςακούσῃς ποιεῖν 58
πάντα τὰ ῥήματα τοῦ νόμου τούτου τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ, φο-
βεῖσθαι τὸ ὄνομα τὸ ἔντιμον τὸ θαυμαστὸν τοῦτο, κύριον τὸν θεόν σου. 59 καὶ 59
παραδοξάσει κύριος τὰς πληγάς σου καὶ τὰς πληγὰς τοῦ σπέρματός σου, πλη-
γὰς μεγάλας καὶ θαυμαστάς, καὶ νόσους πονηρὰς καὶ πιστάς· 60 καὶ ἐπιστρέ- 60
ψει πᾶσαν τὴν ὀδύνην Αἰγύπτου τὴν πονηρὰν ἣν διευλαβοῦ ἀπὸ προςώπου αὐ-
τῶν, καὶ κολληθήσονται ἐν σοί· 61 καὶ πᾶσαν μαλακίαν καὶ πᾶσαν πληγὴν 61
τὴν μὴ γεγραμμένην καὶ πᾶσαν τὴν γεγραμμένην ἐν τῷ βιβλίῳ τοῦ νόμου τού-
του ἐπάξει κύριος ἐπὶ σέ, ἕως ἂν ἐξολοθρεύσῃ σε. 62 καὶ καταλειφθήσεσθε 62
ἐν ἀριθμῷ βραχεῖ, ἀνθ' ὧν ὅτι ἦτε ὡςεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει,
ὅτι οὐκ εἰςήκουσας τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου. 63 καὶ ἔσται ὃν τρόπον 63
εὐφράνθη κύριος ἐφ' ὑμῖν εὖ ποιῆσαι ὑμᾶς καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφραν-
θήσεται κύριος ἐφ' ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς· καὶ ἐξαρθήσεσθε ἐν τάχει ἀπὸ
τῆς γῆς εἰς ἣν εἰςπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. 64 καὶ διασπερεῖ σε κύ- 64
ριος ὁ θεός σου εἰς πάντα τὰ ἔθνη, ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς,
καὶ δουλεύσεις ἐκεῖ θεοῖς ἑτέροις, ξύλοις καὶ λίθοις, οὓς οὐκ ἠπίστω σὺ καὶ
οἱ πατέρες σου. 65 ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις οὐκ ἀναπαύσει σε, οὐδ' 65
οὐ μὴ γένηται στάσις τῷ ἴχνει τοῦ ποδός σου· καὶ δώσει σοι κύριος ἐκεῖ
καρδίαν ἑτέραν ἀπειθοῦσαν καὶ ἐκλείποντας ὀφθαλμοὺς καὶ τηκομένην ψυχήν.
66 καὶ ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου, καὶ φοβη- 66
θήσῃ ἡμέρας καὶ νυκτός, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου· 67 τὸ πρωὶ ἐρεῖς 67

---

49. εθνος ου ουκ 50. πρεσβυτερου 51. γενηματα ... και ελαιον, βουκολια 52. εν πασαις ταις ... τειχη σου ... εν πασαις ταις ... in f. add κυριος ο θεος σου 53. εδωκεν σοι κυριος ο θεος σου 54. ο απαλος εν ... γυναικα αυτου ... και καταλελ. τα τεκνα 55. καταλελειφθαι αυτω μηθεν ... om σου prim. ... θλιψει σε ο εχθρος σου 56. η τρυφερα σφοδρα ... εν τω κολπω 57. om σου prim. et sec. ... η αν θλιψει ... εν πασαις ταις 58. εισακουσητε ... εντιμον και το 60. επιστρ. επι σε 61. om πασαν sec. ... εξολεθρ. 62. εισηκουσατε ... θεου υμων 63. ηυφρανθη ... εξολεθρ. ... om εν ταχει ... υμεις εισπορευεσθε 64. οις ουκ 65. ουδε μη ... καρδιαν αθυμουσαν και εκλειπ. (66. κεχραμενη)

Digitized by Google

Πῶς ἂν γένοιτο ἑσπέρα, καὶ τὸ ἑσπέρας ἐρεῖς Πῶς ἂν γένοιτο πρωί, ἀπὸ
τοῦ φόβου τῆς καρδίας σου ἃ φοβηθήσῃ, καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλ-
68 μῶν σου ὧν ὄψῃ. [68] καὶ ἀποστρέψει σε κύριος εἰς Αἴγυπτον ἐν πλοίοις, ἐν
τῇ ὁδῷ ᾗ εἶπα Οὐ προςθήσῃ ἔτι ἰδεῖν αὐτήν· καὶ πραθήσεσθε ἐκεῖ τοῖς
ἐχθροῖς ὑμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ οὐκ ἔσται ὁ κτώμενος.

## XXIX.

Οὗτοι οἱ λόγοι τῆς διαθήκης οὓς ἐνετείλατο κύριος Μωυσῇ στῆσαι τοῖς
υἱοῖς Ἰσραὴλ ἐν γῇ Μωάβ, πλὴν τῆς διαθήκης ἧς διέθετο αὐτοῖς ἐν Χωρήβ.
2 [2] καὶ ἐκάλεσε Μωυσῆς πάντας τοὺς υἱοὺς Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς Ὑμεῖς
ἑωράκατε πάντα ὅσα ἐποίησε κύριος ἐν γῇ Αἰγύπτῳ ἐνώπιον ὑμῶν Φαραὼ
3 καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ, [3] τοὺς πειρασμοὺς τοὺς
μεγάλους οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ με-
4 γάλα ἐκεῖνα· [4] καὶ οὐκ ἔδωκε κύριος ὁ θεὸς ὑμῖν καρδίαν εἰδέναι καὶ ὀφθαλ-
5 μοὺς βλέπειν καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης. [5] καὶ ἤγαγεν ὑμᾶς
τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ· οὐκ ἐπαλαιώθη τὰ ἱμάτια ὑμῶν, καὶ τὰ ὑπο-
6 δήματα ὑμῶν οὐ κατετρίβη ἀπὸ τῶν ποδῶν ὑμῶν· [6] ἄρτον οὐκ ἐφάγετε, οἶνον
7 καὶ σίκερα οὐκ ἐπίετε, ἵνα γνῶτε ὅτι κύριος ὁ θεὸς ὑμῶν ἐγώ. [7] καὶ ἤλθετε
ἕως τοῦ τόπου τούτου, καὶ ἐξῆλθε Σηὼν βασιλεὺς Ἐσεβὼν καὶ Ὢγ βασιλεὺς
8 Βασὰν εἰς συνάντησιν ἡμῖν ἐν πολέμῳ· καὶ ἐπατάξαμεν αὐτούς, [8] καὶ ἐλά-
βομεν τὴν γῆν αὐτῶν, καὶ ἔδωκα αὐτὴν ἐν κλήρῳ τῷ Ῥουβὴν καὶ τῷ Γαδδὶ
9 καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. [9] καὶ φυλάξεσθε ποιεῖν πάντας τοὺς λόγους
10 τῆς διαθήκης ταύτης, ἵνα συνῆτε πάντα ὅσα ποιήσετε. [10] ὑμεῖς ἑστήκατε
πάντες σήμερον ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν, οἱ ἀρχίφυλοι ὑμῶν καὶ ἡ
γερουσία ὑμῶν καὶ οἱ κριταὶ ὑμῶν καὶ οἱ γραμματοεισαγωγεῖς ὑμῶν, πᾶς ἀνὴρ
11 Ἰσραήλ, [11] αἱ γυναῖκες ὑμῶν καὶ τὰ ἔκγονα ὑμῶν καὶ ὁ προςήλυτος ὁ ἐν
μέσῳ τῆς παρεμβολῆς ὑμῶν, ἀπὸ ξυλοκόπου ὑμῶν καὶ ἕως ὑδροφόρου ὑμῶν,
12 [12] παρελθεῖν ἐν τῇ διαθήκῃ κυρίου τοῦ θεοῦ ὑμῶν καὶ ἐν ταῖς ἀραῖς αὐτοῦ,
13 ὅσα κύριος ὁ θεός σου διατίθεται πρὸς σὲ σήμερον· [13] ἵνα στήσῃ σε αὐτῷ
εἰς λαὸν καὶ αὐτὸς ἔσται σου θεός, ὃν τρόπον εἶπέ σοι, καὶ ὃν τρόπον ὤμοσε
14 τοῖς πατράσι σου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. [14] καὶ οὐχ ὑμῖν μόνοις ἐγὼ
15 διατίθεμαι τὴν διαθήκην ταύτην καὶ τὴν ἀρὰν ταύτην, [15] ἀλλὰ καὶ τοῖς ὧδε
οὖσι μεθ᾽ ὑμῶν σήμερον ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ τοῖς μὴ οὖσι
16 μεθ᾽ ὑμῶν ὧδε σήμερον. [16] ὅτι ὑμεῖς οἴδατε πῶς κατῳκήσαμεν ἐν γῇ Αἰγύ-
17 πτῳ, ὡς παρήλθομεν ἐν μέσῳ τῶν ἐθνῶν οὓς παρήλθετε· [17] καὶ ἴδετε τὰ
βδελύγματα αὐτῶν καὶ τὰ εἴδωλα αὐτῶν, ξύλον καὶ λίθον, ἀργύριον καὶ χρυ-
18 σίον, ἅ ἐστι παρ᾽ αὐτοῖς· [18] μή τίς ἐστιν ἐν ὑμῖν ἀνὴρ ἢ γυνὴ, ἢ πατριὰ ἢ
φυλή τίνος ἡ διάνοια ἐξέκλινεν ἀπὸ κυρίου τοῦ θεοῦ ὑμῶν, πορευθέντες λα-
τρεύειν τοῖς θεοῖς τῶν ἐθνῶν ἐκείνων· μή τίς ἐστιν ἐν ὑμῖν ῥίζα ἄνω φύουσα *He. 12, 15.
19 ἐν χολῇ καὶ πικρίᾳ· [19] καὶ ἔσται ἐὰν ἀκούσῃ τὰ ῥήματα τῆς ἀρᾶς ταύτης,
καὶ ἐπιφημίσηται ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων Ὅσιά μοι γένοιτο ὅτι ἐν τῇ ἀπο-

---

68. πλοιοις και εν ... προςθησεσθε XXIX. 1. διαθηκης ης ενετ. κυρ. τω μ. 2. παντας υιους ... και πασι τοις 3. ειδον pro εωρακασιν ... in f. add την χειρα την κραταιαν και τον βραχιονα τον υψηλον 4. του βλεπειν ... και τα ωτα 5. τεσσερακοντα ... επαλαιωθησαν 6. οτι ουτος κυριος ... om εγω 7. της βασαν ... εν τω πολεμω 8. γαδδει ... τω ημισυ ... μανασση 9. post ταυτης add ποιειν αυτους ... ποιησητε 10. σημερον παντες εναντι 11. και αι ... τεκνα pro εκγονα ... εμμεσω ... υμων εως 12. παρελθ. την διαθηκην ... θεου σου 13. σε εαυτω λαον 14. ουκ υμιν 15. σημερον μεθ υμων εναντι ... μεθ ημων ωδε ... ** in f. add εναντι κυριου του θεου υμων 16. ως pro πως ... και ως ... εμμεσω ... παρηλθομεν pro παρηλθετε 18. πορευεσθαι λατρευειν ... ριζα πικριας ... ενοχλη pro εν χολη

Digitized by Google

πλανήσει τῆς καρδίας μου πορεύσομαι, ἵνα μὴ συναπολέσῃ ὁ ἁμαρτωλὸς τὸν
ἀναμάρτητον. [20] οὐ μὴ θελήσει ὁ θεὸς εὐιλατεῦσαι αὐτῷ, ἀλλ' ἢ τότε ἐκκαυ- 20
θήσεται ὀργὴ κυρίου καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ, καὶ κολλη-
θήσονται ἐν αὐτῷ πᾶσαι αἱ ἀραὶ τῆς διαθήκης ταύτης αἱ γεγραμμέναι ἐν τῷ
βιβλίῳ τούτῳ, καὶ ἐξαλείψει κύριος τὸ ὄνομα αὐτοῦ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν·
[21] καὶ διαστελεῖ αὐτὸν κύριος εἰς κακὰ ἐκ πάντων υἱῶν Ἰσραήλ, κατὰ πάσας 21
τὰς ἀρὰς τῆς διαθήκης τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου.
[22] καὶ ἐροῦσιν ἡ γενεὰ ἡ ἑτέρα, οἱ υἱοὶ ὑμῶν οἳ ἀναστήσονται μεθ' ὑμᾶς, καὶ 22
ὁ ἀλλότριος ὃς ἂν ἔλθῃ ἐκ γῆς μακρόθεν, καὶ ὄψονται τὰς πληγὰς τῆς γῆς
ἐκείνης καὶ τὰς νόσους αὐτῆς ἃς ἀπέστειλε κύριος ἐπ' αὐτήν, [23] θεῖον καὶ 23
ἅλα κατακεκαυμένον, πᾶσα ἡ γῆ αὐτῆς οὐ σπαρήσεται, οὐδὲ ἀνατελεῖ οὐδὲ
μὴ ἀναβῇ ἐπ' αὐτὴν πᾶν χλωρόν· ὥσπερ κατεστράφη Σόδομα καὶ Γόμορρα,
Ἀδαμὰ καὶ Σεβωίμ, ἃς κατέστρεψε κύριος ἐν θυμῷ καὶ ὀργῇ. [24] καὶ ἐροῦσι 24
πάντα τὰ ἔθνη Διὰ τί ἐποίησε κύριος οὕτω τῇ γῇ ταύτῃ; τίς ὁ θυμὸς τῆς
ὀργῆς ὁ μέγας οὗτος; [25] καὶ ἐροῦσιν Ὅτι κατέλιπον τὴν διαθήκην κυρίου τοῦ 25
θεοῦ τῶν πατέρων αὐτῶν, ἃ διέθετο τοῖς πατράσιν αὐτῶν ὅτε ἐξήγαγεν αὐ-
τοὺς ἐκ γῆς Αἰγύπτου, [26] καὶ πορευθέντες ἐλάτρευσαν θεοῖς ἑτέροις οὓς οὐκ 26
ἠπίσταντο, οὐδὲ διένειμεν αὐτοῖς· [27] καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὴν γῆν 27
ἐκείνην ἐπαγαγεῖν ἐπ' αὐτὴν κατὰ πάσας τὰς κατάρας τὰς γεγραμμένας ἐν
τῷ βιβλίῳ τοῦ νόμου τούτου· [28] καὶ ἐξῆρεν αὐτοὺς κύριος ἀπὸ τῆς γῆς αὐ- 28
τῶν ἐν θυμῷ καὶ ὀργῇ καὶ παροξυσμῷ μεγάλῳ σφόδρα, καὶ ἐξέβαλεν αὐτοὺς
εἰς γῆν ἑτέραν ὡσεὶ νῦν. [29] τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ ἡμῶν, τὰ δὲ φανερὰ 29
ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν εἰς τὸν αἰῶνα, ποιεῖν πάντα τὰ ῥήματα τοῦ νό-
μου τούτου.

## XXX.

Καὶ ἔσται ὡς ἂν ἔλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα ταῦτα, ἡ εὐλογία
καὶ ἡ κατάρα ἣν ἔδωκα πρὸ προσώπου σου, καὶ δέξῃ εἰς τὴν καρδίαν σου
ἐν πᾶσι τοῖς ἔθνεσιν οὗ ἐὰν διασκορπίσῃ σε κύριος ἐκεῖ, [2] καὶ ἐπιστραφήσῃ 2
ἐπὶ κύριον τὸν θεόν σου, καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ κατὰ πάντα ὅσα
ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυ-
χῆς σου, [3] καὶ ἰάσεται κύριος τὰς ἁμαρτίας σου καὶ ἐλεήσει σε, καὶ πάλιν 3
συνάξει σε ἐκ πάντων τῶν ἐθνῶν εἰς οὓς διεσκόρπισέ σε κύριος ἐκεῖ. [4] ἐὰν 4
ᾖ ἡ διασπορά σου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν
συνάξει σε κύριος ὁ θεός σου, καὶ ἐκεῖθεν λήψεταί σε κύριος ὁ θεός σου·
[5] εἰσάξει σε ὁ θεός σου ἐκεῖθεν εἰς τὴν γῆν ἣν ἐκληρονόμησαν οἱ πατέρες 5
σου, καὶ κληρονομήσεις αὐτήν· καὶ εὖ σε ποιήσει, καὶ πλεοναστόν σε ποιήσει
ὑπὲρ τοὺς πατέρας σου. [6] καὶ περικαθαριεῖ κύριος τὴν καρδίαν σου καὶ τὴν 6
καρδίαν τοῦ σπέρματός σου, ἀγαπᾶν κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρ-
δίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, ἵνα ζῇς σύ· [7] καὶ δώσει κύριος ὁ θεός 7
σου τὰς ἀρὰς ταύτας ἐπὶ τοὺς ἐχθρούς σου καὶ ἐπὶ τοὺς μισοῦντάς σε οἳ
ἐδίωξάν σε. [8] καὶ σὺ ἐπιστραφήσῃ καὶ εἰσακούσῃ τῆς φωνῆς κυρίου τοῦ θεοῦ 8
σου, καὶ ποιήσεις τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον· [9] καὶ 9
εὐλογήσει σε κύριος ὁ θεός σου ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, ἐν τοῖς ἐκ-

---

20. ευειλατευειν ... βιβλιω του νομου τουτου 21. παντων των υιων ... της γεγραμμενης 23. αναβη επ αυτης ... σεβωειν ... οργη αυτου 24. ουτως κυριος 25. κατελειπον 26. ετεροις και προσεκυνησαν αυτοις οις ουκ 27. κυριος θυμω ... τας αρας της διαθηκης τας γεγρ. 28. om απο της γης αυτων XXX. 1. δεδωκα ... κυριος ο θεος σου εκει 2. υπακουση 3. κυριος ο θεος σου εκει 4. λημψεται ... om in fine κυρ. ο θεος σου 5. κυριος ο θεος σου ... om εκειθεν 6. ** in fine add και το σπερμα σου 7. om ο θεος σου 9. πολυωρησει pro ευλογησει

γόνοις τῆς κοιλίας σου καὶ ἐν τοῖς ἐκγόνοις τῶν κτηνῶν σου καὶ ἐν τοῖς γεν-
νήμασι τῆς γῆς σου· ὅτι ἐπιστρέψει κύριος ὁ θεός σου εὐφρανθῆναι ἐπὶ σοὶ
10 εἰς ἀγαθά, καθότι εὐφράνθη ἐπὶ τοῖς πατράσι σου, [10] ἐὰν εἰσακούσῃς τῆς φω-
νῆς κυρίου τοῦ θεοῦ σου, φυλάσσεσθαι τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα
αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τού-
του, ἐὰν ἐπιστραφῇς ἐπὶ κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ
11 ἐξ ὅλης τῆς ψυχῆς σου. [11] ὅτι ἡ ἐντολὴ αὕτη ἣν ἐγὼ ἐντέλλομαί σοι σήμε-
12 ρον οὐχ ὑπέρογκός ἐστιν, οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστίν· [12] οὐκ ἐν τῷ οὐρανῷ
ἄνω ἐστί, λέγων Τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν καὶ λήψεται ἡμῖν αὐ- Ro. 10, 6.
13 τήν, καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν; [13] οὐδὲ πέραν τῆς θαλάσσης ἐστί, λέγων
Τίς διαπεράσει ἡμῖν εἰς τὸ πέραν τῆς θαλάσσης, καὶ λάβῃ ἡμῖν αὐτὴν καὶ Ro. 10, 7.
14 ἀκουστὴν ἡμῖν ποιήσῃ αὐτήν, καὶ ποιήσομεν; [14] ἐγγύς σού ἐστι τὸ ῥῆμα Ro. 10, 8.
σφόδρα ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν ταῖς χερσί σου
15 ποιεῖν αὐτό. [15] ἰδοὺ δέδωκα πρὸ προσώπου σου σήμερον τὴν ζωὴν καὶ τὸν
16 θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν· [16] ἐὰν εἰσακούσῃς τὰς ἐντολὰς κυρίου τοῦ
θεοῦ σου ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν κύριον τὸν θεόν σου, πο-
ρεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ φυλάσσεσθαι τὰ δικαιώματα αὐτοῦ
καὶ τὰς κρίσεις αὐτοῦ, καὶ ζήσεσθε καὶ πολλοὶ ἔσεσθε, καὶ εὐλογήσει σε κύ-
ριος ὁ θεός σου ἐν πάσῃ τῇ γῇ εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.
17 [17] καὶ ἐὰν μεταστῇ ἡ καρδία σου καὶ μὴ εἰσακούσῃς, καὶ πλανηθεὶς προς-
18 κυνήσῃς θεοῖς ἑτέροις καὶ λατρεύσῃς αὐτοῖς, [18] ἀναγγέλλω σοι σήμερον ὅτι
ἀπωλείᾳ ἀπολεῖσθε, καὶ οὐ μὴ πολυήμεροι γένησθε ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς
19 διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν. [19] διαμαρτύρομαι ὑμῖν σή-
μερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα πρὸ
προσώπου ὑμῶν, τὴν εὐλογίαν καὶ τὴν κατάραν· ἔκλεξαι τὴν ζωήν σύ, ἵνα
20 ζήσῃς σὺ καὶ τὸ σπέρμα σου, [20] ἀγαπᾶν κύριον τὸν θεόν σου, εἰσακούειν τῆς
φωνῆς αὐτοῦ καὶ ἔχεσθαι αὐτοῦ· ὅτι τοῦτο ἡ ζωή σου καὶ ἡ μακρότης τῶν
ἡμερῶν σου, τὸ κατοικεῖν ἐπὶ τῆς γῆς ἧς ὤμοσε κύριος τοῖς πατράσι σου
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ δοῦναι αὐτοῖς.

## XXXI.

Καὶ συνετέλεσε Μωυσῆς λαλῶν πάντας τοὺς λόγους τούτους πρὸς πάντας
2 υἱοὺς Ἰσραήλ, [2] καὶ εἶπε πρὸς αὐτούς Ἑκατὸν καὶ εἴκοσι ἐτῶν ἐγώ εἰμι σή-
μερον, οὐ δυνήσομαι ἔτι εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι· κύριος δὲ εἶπε πρὸς
3 μέ Οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον. [3] κύριος ὁ θεός σου ὁ προπορευόμενος
πρὸ προσώπου σου, οὗτος ἐξολοθρεύσει τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου σου, καὶ
κατακληρονομήσεις αὐτούς, καὶ Ἰησοῦς ὁ προπορευόμενος πρὸ προσώπου σου,
4 καθὰ ἐλάλησε κύριος. [4] καὶ ποιήσει κύριος ὁ θεός σου αὐτοῖς καθὼς ἐποίησε
Σηὼν καὶ Ὢγ, δυσὶ βασιλεῦσι τῶν Ἀμορραίων οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου,
5 καὶ τῇ γῇ αὐτῶν, καθότι ἐξωλόθρευσεν αὐτούς [5] καὶ παρέδωκεν αὐτοὺς κύριος
6 ὑμῖν· καὶ ποιήσετε αὐτοῖς καθότι ἐνετειλάμην ὑμῖν. [6] ἀνδρίζου καὶ ἴσχυε, μὴ
φοβοῦ μηδὲ δειλιάσῃς μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν· ὅτι κύριος ὁ θεός

---

9. γενημασιν ... επι σε εις ... ηυφρανθη 10. εισακουσῃ ... φυλασσ. και ποιειν πασας τας 12. αναβησ. ημων εις ... λημψεται 13. λημψεται ημιν αυτην· και ακουσαντες αυτην ποιησομεν 16. εαν δε εισακουσητε ... θεου υμων οσας ... φυλασσειν ... ante τα δικαιωμ. add τας εντολας αυτου και 17. προςκυνησεις ... λατρευσεις 18. γης ης κυριος ο θεος σου διδωσιν σοι· εις ην 19. και εκλεξετε (** εκλεξαι) την ευλογιαν ινα ζῃς συ και 20. κατοικειν σε, omisso το XXXI. 2. εισπορ. η εκπορ. 3. αυτος εξολεθρ. 4. ποιησει αυτοις κυριος καθως ... εξωλεθρ. 5. ενωπιον υμων pro υμιν 6. μηδε δειλια

Digitized by Google

He. 13, σου ὁ προπορευόμενος μεθ᾽ ὑμῶν ἐν ὑμῖν, οὔτε μή σε ἀνῇ οὔτε μή σε ἐγκα-
5. ταλίπῃ. [7] καὶ ἐκάλεσε Μωυσῆς Ἰησοῦν καὶ εἶπεν αὐτῷ ἔναντι παντὸς Ἰσραὴλ 7
Ἀνδρίζου καὶ ἴσχυε· σὺ γὰρ εἰςελεύσῃ πρὸ προςώπου τοῦ λαοῦ τούτου εἰς
τὴν γῆν ἣν ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καὶ σὺ κατα-
κληρονομήσεις αὐτοῖς· [8] καὶ κύριος ὁ συμπορευόμενος μετὰ σοῦ οὐκ ἀνήσει σε 8
οὐδὲ μή σε ἐγκαταλίπῃ, μὴ φοβοῦ μηδὲ δειλία. [9] καὶ ἔγραψε Μωυσῆς τὰ 9
ῥήματα τοῦ νόμου τούτου εἰς βιβλίον, καὶ ἔδωκε τοῖς ἱερεῦσι τοῖς υἱοῖς Λευὶ
τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης κυρίου καὶ τοῖς πρεσβυτέροις τῶν
υἱῶν Ἰσραήλ. [10] καὶ ἐνετείλατο Μωυσῆς αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων 10
Μετὰ ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ ἀφέσεως ἐν ἑορτῇ σκηνοπηγίας, [11] ἐν τῷ 11
συμπορεύεσθαι πάντα Ἰσραὴλ ὀφθῆναι ἐνώπιον κυρίου τοῦ θεοῦ ὑμῶν, ἐν τῷ
τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος, ἀναγνώσεσθε τὸν νόμον τοῦτον ἐναντίον παντὸς
Ἰσραὴλ εἰς τὰ ὦτα αὐτῶν· [12] ἐκκλησιάσας τὸν λαόν, τοὺς ἄνδρας καὶ τὰς 12
γυναῖκας καὶ τὰ ἔκγονα καὶ τὸν προςήλυτον τὸν ἐν ταῖς πόλεσιν ὑμῶν, ἵν᾽
ἀκούσωσι, καὶ ἵνα μάθωσι φοβεῖσθαι κύριον τὸν θεὸν ὑμῶν, καὶ ἀκούσονται
ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου· [13] καὶ οἱ υἱοὶ αὐτῶν οἳ οὐκ οἴ- 13
δασιν ἀκούσονται, καὶ μαθήσονται φοβεῖσθαι κύριον τὸν θεόν σου πάσας τὰς
ἡμέρας ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην
ἐκεῖ κληρονομῆσαι αὐτήν. [14] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγγίκασιν αἱ 14
ἡμέραι τοῦ θανάτου σου· κάλεσον Ἰησοῦν, καὶ στῆτε παρὰ τὰς θύρας τῆς
σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐντελοῦμαι αὐτῷ. καὶ ἐπορεύθη Μωυσῆς καὶ Ἰη-
σοῦς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἔστησαν παρὰ τὰς θύρας τῆς σκηνῆς
τοῦ μαρτυρίου. [15] καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ ἔστη παρὰ τὰς θύρας 15
τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἔστη ὁ στῦλος τῆς νεφέλης παρὰ τὰς θύρας
τῆς σκηνῆς τοῦ μαρτυρίου. [16] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Ἰδοὺ σὺ κοιμᾷ 16
μετὰ τῶν πατέρων σου, καὶ ἀναστὰς οὗτος ὁ λαὸς ἐκπορνεύσει ὀπίσω θεῶν
ἀλλοτρίων τῆς γῆς εἰς ἣν οὗτος εἰςπορεύεται, καὶ καταλείψουσί με, καὶ διασκε-
δάσουσι τὴν διαθήκην μου ἣν διεθέμην αὐτοῖς. [17] καὶ ὀργισθήσομαι θυμῷ εἰς 17
αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καταλείψω αὐτοὺς καὶ ἀποστρέψω τὸ πρόςωπόν
μου ἀπ᾽ αὐτῶν, καὶ ἔσται κατάβρωμα· καὶ εὑρήσουσιν αὐτὸν κακὰ πολλὰ
καὶ θλίψεις, καὶ ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Διότι οὐκ ἔστι κύριος ὁ θεός μου
ἐν ἐμοί, εὕροσάν με τὰ κακὰ ταῦτα. [18] ἐγὼ δὲ ἀποστροφῇ ἀποστρέψω τὸ 18
πρόςωπόν μου ἀπ᾽ αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διὰ πάσας τὰς κακίας ἃς ἐποίη-
σαν, ὅτι ἀπέστρεψαν ἐπὶ θεοὺς ἀλλοτρίους. [19] καὶ νῦν γράψατε τὰ ῥήματα 19
τῆς ᾠδῆς ταύτης, καὶ διδάξετε αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐμβαλεῖτε αὐτὴν
εἰς τὸ στόμα αὐτῶν, ἵνα γένηταί μοι ἡ ᾠδὴ αὕτη κατὰ πρόςωπον μαρτυ-
ροῦσα ἐν υἱοῖς Ἰσραήλ. [20] εἰςάξω γὰρ αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθὴν ἣν 20
ὤμοσα τοῖς πατράσιν αὐτῶν, δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι· καὶ
φάγονται καὶ ἐμπλησθέντες κορήσουσι, καὶ ἐπιστραφήσονται ἐπὶ θεοὺς ἀλλο-
τρίους καὶ λατρεύσουσιν αὐτοῖς, καὶ παροξυνοῦσί με καὶ διασκεδάσουσι τὴν

---

6. σου ουτος ο προπ. ... om εν υμιν ... ου μη σε ανη ουδ ου μη σε εγκαταλειπη 7. πατρασιν αυτων ... κατακληρ. αυτην αυτοις 8. συνπροπορευομενος σοι μετα ... ουδ ου μη εγκαταλειπη σε 9. παντα τα ρηματα 11. συνπορευεσθαι ... θεου σου ... τοπω ον αν ... ** κυριος ο θεος σου 12. εκκλησιασατε ... προσηλυτον σου ... πολεσιν σου ... ινα ακουσωσιν 13. θεον υμων 15. κυριος εν στυλω νεφελης ... εστη επι τας ... επι τας ... * om του μαρτυριου extr. 16. κοιμασαι ... ο λαος ουτος ... εισπορευεται εκει εις αυτην ... εγκαταλειψουσιν 17. θυμω αυτοις εν ... εν υμιν pro εν εμοι 18. επεστρεψαν 19. om αυτην post διδαξατε ... εμβαλετε ... om κατα προσωπον ... εις μαρτυριον pro μαρτυρουσα 20. om δουναι αυτοις ... * om και φαγονται ... in fine add ην διεθεμην αυτοις



Digitized by Google

21 διαθήκην μου. [21]καὶ ἀντικαταστήσεται ἡ ᾠδὴ αὕτη κατὰ πρόσωπον μαρτυ-
ροῦσα· οὐ γὰρ μὴ ἐπιλησθῇ ἀπὸ στόματος αὐτῶν καὶ ἀπὸ στόματος τοῦ
σπέρματος αὐτῶν· ἐγὼ γὰρ οἶδα τὴν πονηρίαν αὐτῶν, ὅσα ποιοῦσιν ὧδε σή-
μερον πρὸ τοῦ εἰςαγαγεῖν με αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθὴν ἣν ὤμοσα τοῖς
22 πατράσιν αὐτῶν. [22]καὶ ἔγραψε Μωυσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,
23 καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ. [23]καὶ ἐνετείλατο Ἰησοῖ καὶ εἶπεν
Ἀνδρίζου καὶ ἴσχυε· σὺ γὰρ εἰςάξεις τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὴν γῆν ἣν ὤμο-
24 σεν αὐτοῖς κύριος, καὶ αὐτὸς ἔσται μετὰ σοῦ. [24]ἡνίκα δὲ συνετέλεσε Μωυ-
σῆς γράφων πάντας τοὺς λόγους τοῦ νόμου τούτου εἰς βιβλίον ἕως εἰς τέλος,
25 [25]καὶ ἐνετείλατο τοῖς Λευίταις τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης κυρίου
26 λέγων [26]Λαβόντες τὸ βιβλίον τοῦ νόμου τούτου θήσετε αὐτὸ ἐκ πλαγίων τῆς
κιβωτοῦ τῆς διαθήκης κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ ἔσται ἐκεῖ ἐν σοὶ εἰς μαρ-
27 τύριον· [27]ὅτι ἐγὼ ἐπίσταμαι τὸν ἐρεθισμόν σου καὶ τὸν τράχηλόν σου τὸν
σκληρόν· ἔτι γὰρ ἐμοῦ ζῶντος μεθ' ὑμῶν σήμερον παραπικραίνοντες ἦτε τὰ
28 πρὸς τὸν θεόν, πῶς οὐχὶ καὶ ἔσχατον τοῦ θανάτου μου; [28]ἐκκλησιάσατε πρὸς
με τοὺς φυλάρχους ὑμῶν καὶ τοὺς πρεσβυτέρους ὑμῶν καὶ τοὺς κριτὰς ὑμῶν
καὶ τοὺς γραμματοεισαγωγεῖς ὑμῶν, ἵνα λαλήσω εἰς τὰ ὦτα αὐτῶν πάντας τοὺς
29 λόγους τούτους, καὶ διαμαρτύρομαι αὐτοῖς τόν τε οὐρανὸν καὶ τὴν γῆν. [29]οἶδα
γὰρ ὅτι ἔσχατον τῆς τελευτῆς μου ἀνομίᾳ ἀνομήσετε, καὶ ἐκκλινεῖτε ἐκ τῆς
ὁδοῦ ἧς ἐνετειλάμην ὑμῖν, καὶ συναντήσεται ὑμῖν τὰ κακὰ ἔσχατον τῶν ἡμε-
ρῶν, ὅτι ποιήσετε τὰ πονηρὰ ἐναντίον κυρίου παροργίσαι αὐτὸν ἐν τοῖς ἔργοις
τῶν χειρῶν ὑμῶν.

## XXXII.

(31, 30.) Καὶ ἐλάλησε Μωυσῆς εἰς τὰ ὦτα πάσης ἐκκλησίας τὰ ῥή-
2 (1) ματα τῆς ᾠδῆς ταύτης ἕως εἰς τέλος [2]Πρόςεχε οὐρανέ, καὶ λαλήσω, καὶ
(2) ἀκουέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου. προςδοκάσθω ὡς ὑετὸς τὸ ἀπό-
φθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡςεὶ ὄμβρος ἐπ'
3 ἄγρωστιν, καὶ ὡςεὶ νιφετὸς ἐπὶ χόρτον· [3]ὅτι τὸ ὄνομα κυρίου ἐκάλεσα· δότε
4 μεγαλωσύνην τῷ θεῷ ἡμῶν. [4]θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ
ὁδοὶ αὐτοῦ κρίσεις· θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία, δίκαιος καὶ ὅσιος κύ-
5 ριος. [5]ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη.
6 [6]ταῦτα κυρίῳ ἀνταποδίδοτε, οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός; οὐκ αὐτὸς οὗ-
7 τός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε; [7]μνήσθητε ἡμέρας
αἰῶνος, σύνετε ἔτη γενεῶν γενεαῖς· ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγε-
8 λεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι. [8]ὅτε διεμέριζεν ὁ ὕψιστος
ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων
9 θεοῦ, [9]καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ· σχοίνισμα κληρονομίας
10 αὐτοῦ Ἰσραήλ. [10]αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν γῇ
ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτόν, καὶ διεφύλαξεν αὐτὸν ὡς
11 κόρην ὀφθαλμοῦ. [11]ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ καὶ ἐπὶ τοῖς νοσσοῖς
αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐ-
12 τοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. [12]κύριος μόνος ἦγεν αὐτούς, οὐκ ἦν μετ'
13 αὐτῶν θεὸς ἀλλότριος. [13]ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν
αὐτοὺς γεννήματα ἀγρῶν· ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς;

21. ab initio και εσται οταν ευρωσιν αυτον κακα πολλα και θλιψεις κ. αντικαταστ. ... προςωπον αυτων ... ποιουσιν μοι ωδε 23. ενετειλ. μωυσης ιησου υιω ναυη κ. ειπ. αυτω ... κυριος αυτοις 28. διαμαρτυρωμαι ... ανομησητε 29. το πονηρον εναντι XXXII. 1. πασης της εκκλ. ισραηλ 2. ακουετω γη 3. οτι ονομα 6. εκτισεν pro επλασε 7. 8. inde a συνετε usque αγγελ. θεου ** 7. ** γενεας γενεων 8. ** ους διεσπειρ. 10. om γη 12. και ουκ 13. γενηματα

Digitized by Google

πέτρας, 14 βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν, 14
υἱῶν ταύρων καὶ τράγων μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς
ἔπιεν οἶνον. 15 καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπη- 15
μένος, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη· καὶ ἐγκατέλιπε τὸν θεὸν τὸν ποιή-
σαντα αὐτόν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. 16 παρώξυνάν με ἐπ' 16
ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν παρεπίκρανάν με· 17 ἔθυσαν δαιμονίοις καὶ 17
οὐ θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδει-
σαν οἱ πατέρες αὐτῶν. 18 θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου 18
θεοῦ τοῦ τρέφοντός σε. 19 καὶ εἶδε κύριος καὶ ἐζήλωσε, καὶ παρωξύνθη δι' 19
ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων, 20 καὶ εἶπεν Ἀποστρέψω τὸ πρόσωπόν μου 20
ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων ἡμερῶν· ὅτι γενεὰ ἐξε-
στραμμένη ἐστίν, υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. 21 αὐτοὶ παρεζήλωσάν με 21
Ro. 10, ἐπ' οὐ θεῷ, παρώξυνάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐ-
19. τοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. 22 ὅτι πῦρ ἐκκέκαυ- 22
ται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κάτω· καταφάγεται γῆν καὶ τὰ
γεννήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων. 23 συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ 23
βέλη μου συμπολεμήσω εἰς αὐτούς. 24 τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ 24
ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συ-
ρόντων ἐπὶ γῆν. 25 ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων 25
φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου. 26 εἶπα 26
Διασπερῶ αὐτούς, παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν· 27 εἰ μὴ δι' 27
ὀργὴν ἐχθρῶν ἵνα μὴ μακροχρονίσωσιν, ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι, μὴ
εἴπωσιν Ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα. 28 ἔθνος 28
ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. 29 οὐκ ἐφρόνησαν 29
συνιέναι· ταῦτα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον. 30 πῶς διώξεται εἷς 30
χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ θεὸς ἀπέδοτο αὐτούς, καὶ
κύριος παρέδωκεν αὐτούς; 31 ὅτι οὐκ εἰσὶν ὡς ὁ θεὸς ἡμῶν οἱ θεοὶ αὐτῶν· 31
οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. 32 ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, 32
καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς
πικρίας αὐτοῖς· 33 θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνία- 33
τος. 34 οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυ- 34
Ro. 12, ροῖς μου; 35 ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν, 35
19. He. 10, ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτοῖς, καὶ πάρεστιν ἕτοιμα ὑμῖν· 36 ὅτι κρινεῖ 36
30. κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται· εἶδε γὰρ
παραλελυμένους αὐτοὺς καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους. 37 καὶ 37
εἶπε κύριος Ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς; 38 ὧν 38
τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐ-
τῶν· ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί.
39 ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ καὶ 39
ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χει-
ρῶν μου. 40 ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τὴν δεξιάν 40
μου καὶ ἐρῶ Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα· 41 ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μά- 41
χαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀποδώσω δίκην τοῖς
ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω· 42 μεθύσω τὰ βέλη μου ἀφ' αἵ- 42

14. επιον 15. εγκατελειπεν θεον 16. εξεπικραναν 18. εγκατελειπες 20. om ημερων 21. παρωργισαν pro παρωξυναν 22. γενηματα 23. μου συντελεσω εις 24. οπιστοτονος ... επι της γης 25. πρεσβυτερου 26. καταπαυσω δη 27. μακροχρον. και ινα ... ημων υψηλη 28. οτι εθνος 29. συνιεναι ταυτα· καταδεξ. ita dist. 30. και ο κυριος 31. εστιν pro εισιν 32. η σταφυλη αυτων 34. ουχ ιδου 35. εν καιρω οταν ... απωλειας αυτων 36. εκλελοιποτας· εν ita dist. 37. θεοι σαυτων 38. εσθιετε 41. ** post χειρ μου add και εκδικησει ... και ανταποδωσω δικην

Digitized by Google

ματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμα-
43 λωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐχθρῶν. 43 εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ Ro. 15,
προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ 10.
αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ
ἐκδικᾶται, καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦ-
44 σιν ἀνταποδώσει· καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. 44 καὶ ἔγραψε
Μωυσῆς τὴν ᾠδὴν ταύτην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐδίδαξεν αὐτὴν τοὺς
υἱοὺς Ἰσραήλ· καὶ εἰσῆλθε Μωυσῆς καὶ ἐλάλησε πάντας τοὺς λόγους τοῦ νό-
45 μου τούτου εἰς τὰ ὦτα τοῦ λαοῦ, αὐτὸς καὶ Ἰησοῦς ὁ τοῦ Ναυή. 45 καὶ ἐξε-
46 τέλεσε Μωυσῆς λαλῶν παντὶ Ἰσραήλ, 46 καὶ εἶπε πρὸς αὐτούς Προσέχετε τῇ
καρδίᾳ ἐπὶ πάντας τοὺς λόγους τούτους οὓς ἐγὼ διαμαρτύρομαι ὑμῖν σήμερον,
ἃ ἐντελεῖσθε τοῖς υἱοῖς ὑμῶν, φυλάσσειν καὶ ποιεῖν πάντας τοὺς λόγους τοῦ
47 νόμου τούτου· 47 ὅτι οὐχὶ λόγος κενὸς οὗτος ὑμῖν, ὅτι αὕτη ἡ ζωὴ ὑμῶν, καὶ
ἕνεκεν τοῦ λόγου τούτου μακροημερεύσετε ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς διαβαί-
48 νετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι. 48 καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν
49 ἐν τῇ ἡμέρᾳ ταύτῃ λέγων 49 Ἀνάβηθι εἰς τὸ ὄρος τὸ Ἀβαρίμ, τοῦτο ὄρος
Ναβαῦ ὅ ἐστιν ἐν γῇ Μωάβ κατὰ πρόσωπον Ἱεριχώ, καὶ ἴδε τὴν γῆν Χα-
50 ναὰν ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραήλ· 50 καὶ τελεύτα ἐν τῷ ὄρει εἰς ὃ ἀνα-
βαίνεις ἐκεῖ, καὶ προστέθητι πρὸς τὸν λαόν σου, ὃν τρόπον ἀπέθανεν Ἀαρὼν
51 ὁ ἀδελφός σου ἐν Ὢρ τῷ ὄρει καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ· 51 ὅτι
ἠπειθήσατε τῷ ῥήματί μου ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τοῦ ὕδατος ἀντιλογίας
52 Κάδης ἐν τῇ ἐρήμῳ Σίν, διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς Ἰσραήλ. 52 ἀπέ-
ναντι ὄψει τὴν γῆν, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

## XXXIII.

Καὶ αὕτη ἡ εὐλογία ἣν ηὐλόγησε Μωυσῆς ἄνθρωπος τοῦ θεοῦ τοὺς υἱοὺς
2 Ἰσραὴλ πρὸ τῆς τελευτῆς αὐτοῦ. 2 καὶ εἶπε Κύριος ἐκ Σινᾶ ἥκει, καὶ ἐπέ-
φανεν ἐκ Σηεὶρ ἡμῖν, καὶ κατέσπευσεν ἐξ ὄρους Φαρὰν σὺν μυριάσι Κάδης,
3 ἐκ δεξιῶν αὐτοῦ ἄγγελοι μετ' αὐτοῦ. 3 καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ πάντες
οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου, καὶ οὗτοι ὑπὸ σέ εἰσι· καὶ ἐδέξατο ἀπὸ
4 τῶν λόγων αὐτοῦ 4 νόμον, ὃν ἐνετείλατο ἡμῖν Μωυσῆς, κληρονομίαν συναγω-
5 γαῖς Ἰακώβ. 5 καὶ ἔσται ἐν τῷ ἠγαπημένῳ ἄρχων, συναχθέντων ἀρχόντων λαῶν
6 ἅμα φυλαῖς Ἰσραήλ. 6 ζήτω Ῥουβὴν καὶ μὴ ἀποθανέτω, καὶ ἔστω πολὺς ἐν
7 ἀριθμῷ. 7 καὶ αὕτη Ἰούδα· εἰσάκουσον, κύριε, φωνῆς Ἰούδα, καὶ εἰς τὸν λαὸν
αὐτοῦ ἔλθοις ἄν· αἱ χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ, καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν
8 ἔσῃ. 8 καὶ τῷ Λευὶ εἶπε Δότε Λευὶ δήλους αὐτοῦ, καὶ ἀλήθειαν αὐτοῦ τῷ
ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασαν αὐτὸν ἐν πείρᾳ, ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος
9 ἀντιλογίας. 9 ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί Οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελ-
φοὺς αὐτοῦ οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω, ἐφύλαξε τὰ λόγιά σου,
10 καὶ τὴν διαθήκην σου διετήρησε· 10 δηλώσουσι τὰ δικαιώματά σου τῷ Ἰα-
κώβ, καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσουσι θυμίαμα ἐν ὀργῇ σου διὰ
11 παντὸς ἐπὶ τὸ θυσιαστήριόν σου. 11 εὐλόγησον, κύριε, τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ

42. καταφαγεται ... εθνων pro εχθρ. 43. υιοι pro αγγελοι ... ενισχυσ. αυτους παντ. αγγελοι θεου ... εκδικειται ... εχθροις αυτου 44. εν εκεινη τη ημερα ... προςηλθεν μωυσ. προς τον λαον 45. συνετελεσεν ... λαλων τους λογους τουτους 46. καρδια υμων 47. μακροημερευσητε ... in fin. add αυτην 49. αβαρειμ ... in fin. add εις κατασχεσιν 51. διοτι ηπειθησατε 52. οτι απεναντι οψη XXXIII. 1. προ τελευτης (2. Καδης· εκ ita dist.) 4. μωυσης ημιν 5. om αρχων 6. και συμεων εστω 7. της φωνης ... εισελθοις ... εχθρων αυτου εση 9. πατρι αυτου ... μητρι αυτου ... ** ουχ εγνω (*?) ... om κ. τους υιους αυτου απεγνω 10. ** εν εορτη ... του θυσιαστηριον

Digitized by Google

ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι· κάταξον ὀσφὺν ἐχθρῶν ἐπανεστηκότων αὐτῷ,
καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν. [12] καὶ τῷ Βενιαμὶν εἶπεν Ἠγαπη- 12
μένος ὑπὸ κυρίου κατασκηνώσει πεποιθώς, καὶ ὁ θεὸς σκιάζει ἐπ' αὐτῷ πά-
σας τὰς ἡμέρας, καὶ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε. [13] καὶ τῷ Ἰωσὴφ 13
εἶπεν Ἀπ' εὐλογίας κυρίου ἡ γῆ αὐτοῦ, ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου, καὶ
ἀπὸ ἀβύσσων πηγῶν κάτωθεν, [14] καὶ καθ' ὥραν γεννημάτων ἡλίου τροπῶν, 14
καὶ ἀπὸ συνόδων μηνῶν, [15] ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς βου- 15
νῶν ἀενάων, [16] καὶ καθ' ὥραν γῆς πληρώσεως· καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν 16
τῇ βάτῳ ἔλθοισαν ἐπὶ κεφαλὴν Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐπ' ἀδελ-
φοῖς. [17] πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέρατα μονοκέρωτος τὰ κέρατα 17
αὐτοῦ· ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἀπ' ἄκρου γῆς. αὗται μυριάδες
Ἐφραΐμ, καὶ αὗται χιλιάδες Μανασσῆ. [18] καὶ τῷ Ζαβουλὼν εἶπεν Εὐφράν- 18
θητι Ζαβουλὼν ἐν ἐξοδίᾳ σου, καὶ Ἰσσάχαρ ἐν τοῖς σκηνώμασιν αὐτοῦ. [19] ἔθνη 19
ἐξολοθρεύσουσι· καὶ ἐπικαλέσεσθε ἐκεῖ, καὶ θύσετε ἐκεῖ θυσίαν δικαιοσύνης·
ὅτι πλοῦτος θαλάσσης θηλάσει σε, καὶ ἐμπόρια παράλιον κατοικούντων. [20] καὶ 20
τῷ Γὰδ εἶπεν Εὐλογημένος ἐμπλατύνων Γάδ· ὡς λέων ἀνεπαύσατο, συντρί-
ψας βραχίονα καὶ ἄρχοντα. [21] καὶ εἶδεν ἀπαρχὴν αὐτοῦ, ὅτι ἐκεῖ ἐμερίσθη γῆ 21
ἀρχόντων συνηγμένων ἅμα ἀρχηγοῖς λαῶν· δικαιοσύνην κύριος ἐποίησε, καὶ
κρίσιν αὐτοῦ μετὰ Ἰσραήλ. [22] καὶ τῷ Δὰν εἶπε Δὰν σκύμνος λέοντος, καὶ 22
ἐκπηδήσεται ἐκ τοῦ Βασάν. [23] καὶ τῷ Νεφθαλὶ εἶπε Νεφθαλὶ πλησμονὴ 23
δεκτῶν· καὶ ἐμπλησθήτω εὐλογίας παρὰ κυρίου, θάλασσαν καὶ λίβα κληρο-
νομήσει. [24] καὶ τῷ Ἀσὴρ εἶπεν Εὐλογημένος ἀπὸ τέκνων Ἀσήρ, καὶ ἔσται 24
δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ· βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ· [25] σίδηρος καὶ 25
χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσται, ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου. [26] οὐκ ἔστιν 26
ὥσπερ ὁ θεὸς τοῦ ἠγαπημένου· ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν βοηθός σου, καὶ
ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος. [27] καὶ σκεπάσει σε θεοῦ ἀρχή, καὶ ὑπὸ 27
ἰσχὺν βραχιόνων ἀενάων· καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν λέγων Ἀπό-
λοιο. [28] καὶ κατασκηνώσει Ἰσραὴλ πεποιθὼς μόνος ἐπὶ γῆς Ἰακώβ, ἐπὶ σίτῳ 28
καὶ οἴνῳ· καὶ ὁ οὐρανὸς σοι συννεφὴς δρόσῳ. [29] μακάριος σὺ Ἰσραήλ· τίς 29
ὅμοιός σοι λαὸς σωζόμενος ὑπὸ κυρίου; ὑπερασπιεῖ ὁ βοηθός σου, καὶ ἡ μά-
χαιρα καύχημά σου· καὶ ψεύσονταί σε οἱ ἐχθροί σου, καὶ σὺ ἐπὶ τὸν τράχη-
λον αὐτῶν ἐπιβήσῃ.

## XXXIV.

Καὶ ἀνέβη Μωυσῆς ἀπὸ Ἀραβὼθ Μωὰβ ἐπὶ τὸ ὄρος Ναβαῦ ἐπὶ κο-
ρυφὴν Φασγά, ἥ ἐστιν ἐπὶ προσώπου Ἱεριχώ· καὶ ἔδειξεν αὐτῷ κύριος πᾶ-
σαν τὴν γῆν Γαλαὰδ ἕως Δάν, [2] καὶ πᾶσαν τὴν γῆν Νεφθαλί, καὶ πᾶσαν 2
τὴν γῆν Ἐφραΐμ καὶ Μανασσῆ, καὶ πᾶσαν τὴν γῆν Ἰούδα ἕως τῆς θα-
λάσσης τῆς ἐσχάτης, [3] καὶ τὴν ἔρημον, καὶ τὰ περίχωρα Ἱεριχὼ πόλιν φοι- 3
νίκων ἕως Σηγώρ. [4] καὶ εἶπε κύριος πρὸς Μωυσῆν Αὕτη ἡ γῆ ἣν ὤμοσα τῷ 4
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων Τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ
ἔδειξα τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ. [5] καὶ ἐτελεύτησε Μωυσῆς 5
ὁ οἰκέτης κυρίου ἐν γῇ Μωὰβ διὰ ῥήματος κυρίου. [6] καὶ ἔθαψαν αὐτὸν 6

---

11. οσφυν επανεστηκ. εχθρων αυτου 12. βενιαμειν ... om και extr. 13. ορεων pro ωρων 14. γενηματων 15. και απο ab initio 16. εν αδελφοις 17. της γης ... μανναση 19. εξολεθρευσ. κ. επικαλεσασθε 20. ηυλογημενος 21. αυτων pro λαων 22. εκπηδησει 23. νεφθαλει bis 24. ηυλογημενος 25. και ως αι 27. σκεπασεις (** σκεπασεισε) θεου αρχην 28. μονος πεποιθως ... επι σιτου και οινου κ. ο ουρ. συννεφης αυτω δροσω 29. ομοιος σου XXXIV. 1. επι προσωπον ... om εως δαν 2. νεφθαλειμ ... μανναση 4. ωμοσα αβρααμ ... * δωσω την γην ταυτην ... εδειξα (omisso και) αυτην τοις 5. εκει μωυσης οικετης

Digitized by Google

ἐν Γαὶ ἐγγὺς οἴκου Φογώρ· καὶ οὐκ εἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας
7 ταύτης. [7] Μωυσῆς δὲ ἦν ἑκατὸν καὶ εἴκοσι ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν· οὐκ
8 ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελώνια αὐτοῦ. [8] καὶ
ἔκλαυσαν οἱ υἱοὶ Ἰσραὴλ Μωυσῆν ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ
Ἰεριχὼ τριάκοντα ἡμέρας· καὶ συνετελέσθησαν αἱ ἡμέραι πένθους κλαυθμοῦ
9 Μωυσῆ. [9] καὶ Ἰησοῦς υἱὸς Ναυὴ ἐνεπλήσθη πνεύματος συνέσεως, ἐπέθηκε
γὰρ Μωυσῆς τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτόν· καὶ εἰσήκουσαν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ,
10 καὶ ἐποίησαν καθότι ἐνετείλατο κύριος τῷ Μωυσῇ. [10] καὶ οὐκ ἀνέστη ἔτι προ-
φήτης ἐν Ἰσραὴλ ὡς Μωυσῆς, ὃν ἔγνω κύριος αὐτὸν πρόσωπον κατὰ πρόσω-
11 πον [11] ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν, ὃν ἀπέστειλεν αὐτὸν κύριος ποιῆσαι
αὐτὰ ἐν γῇ Αἰγύπτῳ Φαραῷ καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ
12 αὐτοῦ, [12] τὰ θαυμάσια τὰ μεγάλα καὶ τὴν χεῖρα τὴν κραταιάν, ἃ ἐποίησε
Μωυσῆς ἔναντι παντὸς Ἰσραήλ.

Τέλος τοῦ δευτερονομίου.

---

# ΙΗΣΟΥΣ ΝΑΥΗ.

## I.

Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Μωυσῆ εἶπε κύριος τῷ Ἰησοῖ υἱῷ Ναυὴ
2 τῷ ὑπουργῷ Μωυσῆ λέγων [2] Μωυσῆς ὁ θεράπων μου τετελεύτηκε. νῦν οὖν
ἀναστὰς διάβηθι τὸν Ἰορδάνην σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν ἣν
3 ἐγὼ δίδωμι αὐτοῖς. [3] πᾶς ὁ τόπος ἐφ' ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν
4 ὑμῶν, ὑμῖν δώσω αὐτόν, ὃν τρόπον εἴρηκα τῷ Μωυσῇ· [4] τὴν ἔρημον καὶ τὸν
Ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς
5 θαλάσσης τῆς ἐσχάτης· ἀφ' ἡλίου δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν. [5] οὐκ ἀντι-
στήσεται ἄνθρωπος κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ
ὥσπερ ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ, καὶ οὐκ ἐγκαταλείψω He. 13, 5.
6 σε οὐδ' ὑπερόψομαί σε. [6] ἴσχυε καὶ ἀνδρίζου· σὺ γὰρ ἀποδιελεῖς τῷ λαῷ
7 τούτῳ τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς. [7] ἴσχυε οὖν καὶ
ἀνδρίζου φυλάσσεσθαι καὶ ποιεῖν καθότι ἐνετείλατό σοι Μωυσῆς ὁ παῖς μου,
καὶ οὐκ ἐκκλινεῖς ἀπ' αὐτῶν εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερά, ἵνα συνῇς ἐν πᾶ-
8 σιν οἷς ἐὰν πράσσῃς. [8] καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ
τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῇ ἡμέρας καὶ νυκτός, ἵνα εἰδῇς ποιεῖν
πάντα τὰ γεγραμμένα· τότε εὐοδωθήσῃ καὶ εὐοδώσεις τὰς ὁδούς σου, καὶ
9 τότε συνήσεις. [9] ἰδοὺ ἐντέταλμαί σοι· ἴσχυε καὶ ἀνδρίζου, μὴ δειλιάσῃς μηδὲ
10 φοβηθῇς, ὅτι μετὰ σοῦ κύριος ὁ θεός σου εἰς πάντα οὗ ἐὰν πορεύῃ. [10] καὶ
11 ἐνετείλατο Ἰησοῦς τοῖς γραμματεῦσι τοῦ λαοῦ λέγων [11] Εἰσέλθατε κατὰ μέσον
τῆς παρεμβολῆς τοῦ λαοῦ, καὶ ἐντείλασθε τῷ λαῷ λέγοντες Ἑτοιμάζεσθε
ἐπισιτισμόν, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην τοῦτον,

---

6. εν γαι· εν γη μωαβ· εγγυς ... οιδεν ουδ. τ. τελευτην αυτου 7. τελευτησαι ... εφθαρη τα χελυνια 8. τον μωυσην 11. om παση 12. και τα θαυμασια ... πασαν την χειρα
Subscriptio: δευτερονομιον

Inscriptio: ιησους υιος ναυη
I, 1. και ειπεν κ. τ. ιησου ... τ. λιτουργω 4. *om τα (?) 5. εγκαταλειπω ... ουδε υπ. 6. αποδιαστελεις ... ** αυτων pro υμων, *om (?) s. hab. σου (?) 7. η pro ουδε 8. εν αυτω ... ινα συνης ποιειν 9. εντελλομαι ... om σου 11. om και sec. ... διαβησεσθε

Digitized by Google

εἰςελθόντες κατασχεῖν τὴν γῆν ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν
ὑμῖν. [12] καὶ τῷ Ῥουβὴν καὶ τῷ Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ εἶπεν 12
Ἰησοῦς [13] Μνήσθητε τὸ ῥῆμα ὃ ἐνετείλατο ὑμῖν Μωυσῆς ὁ παῖς κυρίου λέ- 13
γων Κύριος ὁ θεὸς ὑμῶν κατέπαυσεν ὑμᾶς καὶ ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην.
[14] αἱ γυναῖκες ὑμῶν καὶ τὰ παιδία ὑμῶν καὶ τὰ κτήνη ὑμῶν κατοικείτωσαν 14
ἐν τῇ γῇ ᾗ ἔδωκεν ὑμῖν· ὑμεῖς δὲ διαβήσεσθε εὔζωνοι πρότεροι τῶν ἀδελ-
φῶν ὑμῶν, πᾶς ὁ ἰσχύων, καὶ συμμαχήσετε αὐτοῖς [15] ἕως ἂν καταπαύσῃ κύ- 15
ριος ὁ θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ὑμῶν ὥςπερ καὶ ὑμᾶς, καὶ κληρονομήσωσι
καὶ οὗτοι τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν αὐτοῖς· καὶ ἀπελεύσεσθε
ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς εἰς τὸ πέραν
τοῦ Ἰορδάνου ἐπ᾽ ἀνατολῶν ἡλίου. [16] καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπαν Πάντα 16
ὅσα ἐὰν ἐντείλῃ ἡμῖν ποιήσομεν, καὶ εἰς πάντα τόπον οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς
πορευσόμεθα. [17] κατὰ πάντα ὅσα ἠκούσαμεν Μωυσῆ ἀκουσόμεθα σοῦ· πλὴν 17
ἔστω κύριος ὁ θεὸς ἡμῶν μετὰ σοῦ ὃν τρόπον ἦν μετὰ Μωυσῆ. [18] ὁ δὲ ἄν- 18
θρωπος ὃς ἂν ἀπειθήσῃ σοι, καὶ ὅςτις μὴ ἀκούσῃ τῶν ῥημάτων σου καθότι
ἐὰν ἐντείλῃ αὐτῷ, ἀποθανέτω. ἀλλὰ ἴσχυε καὶ ἀνδρίζου.

II.

Καὶ ἀπέστειλεν Ἰησοῦς υἱὸς Ναυὴ ἐκ Σαττὶν δύο νεανίσκους κατασκο-
πεῦσαι λέγων Ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν Ἱεριχώ. καὶ πορευθέντες
οἱ δύο νεανίσκοι εἰςήλθοσαν εἰς Ἱεριχώ, καὶ εἰςήλθοσαν εἰς οἰκίαν γυναικὸς
πόρνης ᾗ ὄνομα Ῥαάβ, καὶ κατέλυσαν ἐκεῖ. [2] καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἱε- 2
ριχὼ λέγοντες Εἰςπεπόρευνται ὧδε ἄνδρες τῶν υἱῶν Ἰσραὴλ κατασκοπεῦσαι
τὴν γῆν. [3] καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἱεριχὼ καὶ εἶπε πρὸς Ῥαὰβ λέγων 3
Ἐξάγαγε τοὺς ἄνδρας τοὺς εἰςπεπορευμένους εἰς τὴν οἰκίαν σου τὴν νύκτα·
κατασκοπεῦσαι γὰρ τὴν γῆν ἥκασι. [4] καὶ λαβοῦσα ἡ γυνὴ τοὺς δύο ἄνδρας 4
ἔκρυψεν αὐτούς, καὶ εἶπεν αὐτοῖς λέγουσα Εἰςεληλύθασι πρός με οἱ ἄνδρες·
[5] ὡς δὲ ἡ πύλη ἐκλείετο ἐν τῷ σκότει, καὶ οἱ ἄνδρες ἐξῆλθον, οὐκ ἐπίστα- 5
μαι ποῦ πεπόρευνται· καταδιώξατε ὀπίσω αὐτῶν, εἰ καταλήψεσθε αὐτούς.
[6] αὕτη δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὸ δῶμα, καὶ ἔκρυψεν αὐτοὺς ἐν τῇ λινο- 6
καλάμῃ τῇ ἐστοιβασμένῃ αὐτῇ ἐπὶ τοῦ δώματος. [7] καὶ οἱ ἄνδρες κατεδίωξαν 7
ὀπίσω αὐτῶν ὁδὸν τὴν ἐπὶ τοῦ Ἰορδάνου ἐπὶ τὰς διαβάσεις, καὶ ἡ πύλη
ἐκλείσθη. [8] καὶ ἐγένετο ὡς ἐξήλθοσαν οἱ διώκοντες ὀπίσω αὐτῶν, καὶ αὐτοὶ 8
δὲ πρὶν ἢ κοιμηθῆναι αὐτούς, αὕτη δὲ ἀνέβη πρὸς αὐτοὺς ἐπὶ τὸ δῶμα [9] καὶ 9
εἶπε πρὸς αὐτούς Ἐπίσταμαι ὅτι ἔδωκεν ὑμῖν κύριος τὴν γῆν, ἐπιπέπτωκε γὰρ
ὁ φόβος ὑμῶν ἐφ᾽ ἡμᾶς. [10] ἀκηκόαμεν γὰρ ὅτι κατεξήρανε κύριος ὁ θεὸς τὴν 10
ἐρυθρὰν θάλασσαν ἀπὸ προςώπου ὑμῶν, ὅτε ἐξεπορεύεσθε ἐκ γῆς Αἰγύπτου,
καὶ ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμοῤῥαίων οἳ ἦσαν πέραν τοῦ Ἰορ-
δάνου, τῷ Σηὼν καὶ Ὢγ, οὓς ἐξωλοθρεύσατε αὐτούς. [11] καὶ ἀκούσαντες ἡμεῖς 11
ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν, καὶ οὐκ ἔστη ἔτι πνεῦμα ἐν οὐδενὶ ἡμῶν ἀπὸ
προςώπου ὑμῶν· ὅτι κύριος ὁ θεὸς ὑμῶν θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς
γῆς κάτω. [12] καὶ νῦν ὀμόσατέ μοι κύριον τὸν θεόν, ὅτι ποιῶ ὑμῖν ἔλεος, καὶ 12
ποιήσατε καὶ ὑμεῖς ἔλεος ἐν τῷ οἴκῳ τοῦ πατρός μου· [13] καὶ ζωγρήσατε τὸν 13

---

13. το ρημ. κυριου 14. προτερον 15. κληρονομησουσιν ... υμων διδω-
σιν ... κληρονομ. εαυτου ... εν τω περαν ... απ ανατολων 16. οσα αν 18.
ος εαν απειθησει ... ος εαν μη ... καθοτι αν II. 1. σαττει ... νεαν.
ηλθον ... εισηλθον ε. την οικ. 2. om λεγοντες ... ιδου ανδρες εισπεπ.
ωδε 3. εισαγαγε 4. om δυο ... πρ. με ωδε 5. (*οπισω αυτου ...) κα-
ταλημψεσθ. 8. εξηλθον οι καταδιωκοντες ... om δε post αυτοι ... και αυτη
ανεβη 9. κυριος υμιν ... προς pro εφ 10. την θαλασσαν την ερυθραν ...
εξ αιγυπτου ... εξολεθρευσατε 11. εν ουδενι απο

Digitized by Google

οἶκον τοῦ πατρός μου, τὴν μητέρα μου καὶ τοὺς ἀδελφούς μου καὶ πάντα
τὸν οἶκόν μου καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς, καὶ ἐξελεῖσθε τὴν ψυχήν μου ἐκ
14 θανάτου. [14] καὶ εἶπαν αὐτῇ οἱ ἄνδρες Ἡ ψυχὴ ἡμῶν ἀνθ᾽ ὑμῶν εἰς θάνα-
τον. καὶ αὐτὴ εἶπεν Ὡς ἂν παραδῷ κύριος ὑμῖν τὴν πόλιν, ποιήσετε εἰς ἐμὲ
15 16 ἔλεος καὶ ἀλήθειαν. [15] καὶ κατεχάλασεν αὐτοὺς διὰ τῆς θυρίδος, [16] καὶ εἶπεν *Jac. 2, 25.
αὐτοῖς Εἰς τὴν ὀρεινὴν ἀπέλθετε, μὴ συναντήσωσιν ὑμῖν οἱ καταδιώκοντες,
καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς ἡμέρας ἕως ἂν ἀποστρέψωσιν οἱ καταδιώκοντες
17 ὀπίσω ὑμῶν, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. [17] καὶ εἶπαν
18 πρὸς αὐτὴν οἱ ἄνδρες Ἀθῷοί ἐσμεν τῷ ὅρκῳ σου τούτῳ· [18] ἰδοὺ ἡμεῖς εἰσ-
πορευόμεθα εἰς μέρος τῆς πόλεως, καὶ θήσεις τὸ σημεῖον, τὸ σπαρτίον τὸ
κόκκινον τοῦτο ἐκδήσεις εἰς τὴν θυρίδα δι᾽ ἧς κατεβίβασας ἡμᾶς δι᾽ αὐτῆς,
τὸν δὲ πατέρα σου καὶ τὴν μητέρα σου καὶ τοὺς ἀδελφούς σου καὶ πάντα
19 τὸν οἶκον τοῦ πατρός σου συνάξεις πρὸς σεαυτὴν εἰς τὴν οἰκίαν σου. [19] καὶ
ἔσται πᾶς ὃς ἂν ἐξέλθῃ τὴν θύραν τῆς οἰκίας σου ἔξω, ἔνοχος ἑαυτῷ ἔσται,
ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ· καὶ ὅσοι ἐὰν γένωνται μετὰ σοῦ ἐν τῇ
20 οἰκίᾳ σου, ἡμεῖς ἔνοχοι ἐσόμεθα. [20] ἐὰν δέ τις ἡμᾶς ἀδικήσῃ ἢ καὶ ἀποκα-
21 λύψῃ τοὺς λόγους ἡμῶν τούτους, ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ. [21] καὶ
22 εἶπεν αὐτοῖς Κατὰ τὸ ῥῆμα ὑμῶν ἔστω· καὶ ἐξαπέστειλεν αὐτούς. [22] καὶ ἐπο-
ρεύθησαν καὶ ἤλθοσαν εἰς τὴν ὀρεινήν, καὶ κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας·
23 καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας τὰς ὁδούς, καὶ οὐχ εὕροσαν. [23] καὶ
ὑπέστρεψαν οἱ δύο νεανίσκοι καὶ κατέβησαν ἐκ τοῦ ὄρους, καὶ διέβησαν πρὸς
24 Ἰησοῦν υἱὸν Ναυή, καὶ διηγήσαντο αὐτῷ πάντα τὰ συμβεβηκότα αὐτοῖς. [24] καὶ
εἶπαν πρὸς Ἰησοῦν ὅτι παραδέδωκε κύριος πᾶσαν τὴν γῆν ἐν χειρὶ ἡμῶν,
καὶ κατέπτηχε πᾶς ὁ κατοικῶν τὴν γῆν ἐκείνην ἀφ᾽ ἡμῶν.

## III.

Καὶ ὤρθρισεν Ἰησοῦς τὸ πρωὶ καὶ ἀπῆρεν ἐκ Σαττίν· καὶ ἤλθοσαν ἕως
2 τοῦ Ἰορδάνου, καὶ κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι. [2] καὶ ἐγένετο μετὰ τρεῖς
3 ἡμέρας διῆλθον οἱ γραμματεῖς διὰ τῆς παρεμβολῆς [3] καὶ ἐνετείλαντο τῷ λαῷ
λέγοντες Ὅταν ἴδητε τὴν κιβωτὸν τῆς διαθήκης κυρίου τοῦ θεοῦ ἡμῶν καὶ
τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς Λευίτας αἴροντας αὐτήν, ἀπαρεῖτε ἀπὸ τῶν τόπων
4 ὑμῶν καὶ πορεύσεσθε ὀπίσω αὐτῆς. [4] ἀλλὰ μακρὰν ἔστω ἀνὰ μέσον ὑμῶν καὶ
ἐκείνης, ὅσον δισχιλίους πήχεις στήσεσθε· μὴ προσεγγίσητε αὐτῇ, ἵνα ἐπίστησθε
τὴν ὁδὸν ἣν πορεύσεσθε αὐτήν· οὐ γὰρ πεπόρευσθε τὴν ὁδὸν ἀπ᾽ ἐχθὲς καὶ
5 τρίτης ἡμέρας. [5] καὶ εἶπεν Ἰησοῦς τῷ λαῷ Ἁγνίσασθε εἰς αὔριον, ὅτι αὔριον
6 ποιήσει κύριος ἐν ὑμῖν θαυμαστά. [6] καὶ εἶπεν Ἰησοῦς τοῖς ἱερεῦσιν Ἄρατε τὴν
κιβωτὸν τῆς διαθήκης κυρίου καὶ προπορεύεσθε τοῦ λαοῦ. καὶ ἦραν οἱ ἱερεῖς
7 τὴν κιβωτὸν τῆς διαθήκης κυρίου καὶ ἐπορεύοντο ἔμπροσθεν τοῦ λαοῦ. [7] καὶ
εἶπε κύριος πρὸς Ἰησοῦν Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι ὑψῶσαί σε κατενώπιον
πάντων υἱῶν Ἰσραήλ, ἵνα γνῶσιν ὅτι καθότι ἤμην μετὰ Μωυσῆ οὕτως ἔσο-
8 μαι καὶ μετὰ σοῦ. [8] καὶ νῦν ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν
τῆς διαθήκης λέγων Ὡς ἂν εἰσέλθητε ἐπὶ μέρους τοῦ ὕδατος τοῦ Ἰορδάνου,
9 καὶ ἐν τῷ Ἰορδάνῃ στήσεσθε. [9] καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραὴλ Προσαγά-
10 γετε ὧδε καὶ ἀκούσατε τὸ ῥῆμα κυρίου τοῦ θεοῦ ἡμῶν. [10] ἐν τούτῳ γνώσεσθε

---

13. και την μ. ... και τας αδελφας μου pro κ. τον οικ. μου 14. * η ψυχη υμων ... ποιησατε μετ εμου 16. απελθατε ... εως αναστρεψωσιν 18. εκδησεις την ... ημας εν αυτη· και τον πατ. 19. οικιαν pro θυρ. της οικ. 20. om ἢ 21. υμων ουτως εσται 22. ηλθον ... ευρον 24. παρεδωκεν ... εν χ. ημ. πασ. τ. γην ... κατεπτηχεν III. 1. απηρον εκ σαττειν κ. ηλθον 2. εγενηθη 3. πορευεσθε 4. πορευεσθε pro πορευσεσθε 5. εις την αυριον ... θαυμασια 7. αυτη pro ταυτη ... παντ. των υιων ... om οτι

Digitized by Google

ὅτι θεὸς ζῶν ἐν ὑμῖν, καὶ ὀλοθρεύων ὀλοθρεύσει ἀπὸ προσώπου ἡμῶν τὸν Χα-
νανναῖον καὶ τὸν Χετταῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀμοῤ-
ῥαῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν Ἰεβουσαῖον. 11 ἰδοὺ ἡ κιβωτὸς διαθήκης 11
κυρίου πάσης τῆς γῆς διαβαίνει τὸν Ἰορδάνην. 12 προχειρίσασθε ὑμῖν δώδεκα 12
ἄνδρας ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ᾽ ἑκάστης φυλῆς. 13 καὶ ἔσται ὡς ἂν 13
καταπαύσωσιν οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης
κυρίου πάσης τῆς γῆς ἐν τῷ ὕδατι τοῦ Ἰορδάνου, τὸ ὕδωρ τοῦ Ἰορδάνου
ἐκλείψει, τὸ δὲ ὕδωρ τὸ καταβαῖνον στήσεται. 14 καὶ ἀπῆρεν ὁ λαὸς ἐκ τῶν 14
*Act. 7, σκηνωμάτων αὐτῶν διαβῆναι τὸν Ἰορδάνην, οἱ δὲ ἱερεῖς ἤροσαν τὴν κιβωτὸν
45.* τῆς διαθήκης κυρίου πρότεροι τοῦ λαοῦ. 15 ὡς δὲ εἰςεπορεύοντο οἱ ἱερεῖς οἱ 15
αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐπὶ τὸν Ἰορδάνην, καὶ οἱ πόδες τῶν ἱερέων
τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐβάφησαν εἰς μέρος τοῦ ὕδα-
τος τοῦ Ἰορδάνου, ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ᾽ ὅλην τὴν κρηπῖδα αὐτοῦ
ὡςεὶ ἡμέραι θερισμοῦ πυρῶν· 16 καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, 16
ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα σφοδρῶς ἕως μέρους Καριαθιαρίμ,
τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἄραβα θάλασσαν ἁλός, ἕως εἰς
τὸ τέλος ἐξέλιπε· καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ. 17 καὶ ἔστησαν οἱ 17
ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ
Ἰορδάνου· καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε
πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην.

## IV.

Καὶ ἐπεὶ συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην, καὶ εἶπε κύ-
ριος τῷ Ἰησοῖ λέγων 2 Παραλαβὼν ἄνδρας ἀπὸ τοῦ λαοῦ, ἕνα ἀφ᾽ ἑκάστης 2
φυλῆς, 3 σύνταξον αὐτοῖς Καὶ ἀνέλεσθε ἐκ μέσου τοῦ Ἰορδάνου ἑτοίμους δώ- 3
δεκα λίθους, καὶ τούτους διακομίσαντες ἅμα ὑμῖν αὐτοῖς θέτε αὐτοὺς ἐν τῇ
στρατοπεδείᾳ ὑμῶν, οὗ ἐὰν παρεμβάλητε ἐκεῖ τὴν νύκτα. 4 καὶ ἀνακαλεσά- 4
μενος Ἰησοῦς δώδεκα ἄνδρας τῶν ἐνδόξων ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ᾽
ἑκάστης φυλῆς, 5 εἶπεν αὐτοῖς Προςαγάγετε ἔμπροσθέν μου πρὸ προσώπου 5
κυρίου εἰς μέσον τοῦ Ἰορδάνου, καὶ ἀνελόμενος ἐκεῖθεν ἕκαστος λίθον ἀράτω
ἐπὶ τῶν ὤμων αὐτοῦ κατὰ τὸν ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ, 6 ἵνα 6
ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς σημεῖον κείμενον διὰ παντός· ἵνα ὅταν ἐρωτᾷ σε ὁ
υἱός σου αὔριον λέγων Τί εἰσιν οἱ λίθοι οὗτοι ἡμῖν; 7 καὶ σὺ δηλώσεις τῷ 7
υἱῷ σου λέγων ὅτι ἐξέλιπεν ὁ Ἰορδάνης ποταμὸς ἀπὸ προσώπου κιβωτοῦ δια-
θήκης κυρίου πάσης τῆς γῆς, ὡς διέβαινεν αὐτόν. καὶ ἔσονται οἱ λίθοι οὗτοι
ὑμῖν μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ ἕως τοῦ αἰῶνος. 8 καὶ ἐποίησαν οὕτως οἱ 8
υἱοὶ Ἰσραὴλ καθότι ἐνετείλατο κύριος τῷ Ἰησοῖ· καὶ ἀναλαβόντες δώδεκα
λίθους ἐκ μέσου τοῦ Ἰορδάνου, καθάπερ συνέταξε κύριος τῷ Ἰησοῖ ἐν τῇ συν-
τελείᾳ τῆς διαβάσεως τῶν υἱῶν Ἰσραήλ, καὶ διεκόμισαν ἅμα ἑαυτοῖς εἰς τὴν
παρεμβολὴν καὶ ἀπέθηκαν ἐκεῖ. 9 ἔστησε δὲ Ἰησοῦς καὶ ἄλλους δώδεκα λίθους 9
ἐν αὐτῷ τῷ Ἰορδάνῃ ἐν τῷ γενομένῳ τόπῳ ὑπὸ τοὺς πόδας τῶν ἱερέων τῶν
αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, καὶ εἰσὶν ἐκεῖ ἕως τῆς σήμερον

---

10. οτι εγω κυριος ζων ... ολεθρευων ολεθρευσει ... κ. τ. ευαιον κ. τ. φερεζεον κ. τ. γεργ. κ. τ. αμορρ. 11. της διαθηκης 12. εφ 14. ηραν την 15. om οἱ sec. ... om της διαθ. κυριου ... εις το μερος ... επληρου 16. om τα post υδατα ... * om σφοδρα σφοδρως, ** om σφοδρως ... om θαλ. αραβα ... θαλ. των αλων ... εξελειπεν ... ιστηκει IV. 1. προς ιησουν 2. απο τ. λ. δωδεκα ανδρας ... εφ 3. αυτοις λεγων Ανελεσθε εντευθεν εκ ... θησετε ... στρατοπαιδια 5. αυτοις ιησους ... * εκ μεσου (?) ... αρατω εκειθ. εκαστ. λιθ. ενα επι ... om δωδεκα 6. * υπαρχουσιν (?) 6. 7. ** inde a τι εισιν usque αυτον ... εξελειπεν ... υμιν οι λιθ. ουτ. 8. λαβοντες ... αμα αυτοις ... απεθηκεν αυτους εκει 9. εστηκεν ... ιορδανω

10 ἡμέρας. [10] εἱστήκεισαν δὲ οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐν
τῷ Ἰορδάνῃ ἕως οὗ συνετέλεσεν Ἰησοῦς πάντα ἃ ἐνετείλατο κύριος ἀναγγεῖλαι
11 τῷ λαῷ· καὶ ἔσπευσεν ὁ λαός, καὶ διέβησαν. [11] καὶ ἐγένετο ὡς συνετέλεσε
πᾶς ὁ λαὸς διαβῆναι, καὶ διέβη ἡ κιβωτὸς τῆς διαθήκης κυρίου, καὶ οἱ λίθοι
12 ἔμπροσθεν αὐτῶν. [12] καὶ διέβησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ οἱ
ἡμίσεις φυλῆς Μανασσῆ διεσκευασμένοι ἔμπροσθεν τῶν υἱῶν Ἰσραήλ, καθά-
13 περ ἐνετείλατο αὐτοῖς Μωυσῆς. [13] τετρακισμύριοι εὔζωνοι εἰς μάχην διέβησαν
14 ἐναντίον κυρίου εἰς πόλεμον πρὸς τὴν Ἱεριχὼ πόλιν. [14] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
ηὔξησε κύριος τὸν Ἰησοῦν ἐναντίον τοῦ παντὸς γένους Ἰσραήλ, καὶ ἐφοβοῦντο
15 αὐτὸν ὥσπερ Μωυσῆν, ὅσον χρόνον ἔζη. [15] καὶ εἶπε κύριος τῷ Ἰησοῖ λέγων
16 [16] Ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης τοῦ μαρτυ-
17 ρίου κυρίου ἐκβῆναι ἐκ τοῦ Ἰορδάνου. [17] καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἱερεῦσι
18 λέγων Ἔκβητε ἐκ τοῦ Ἰορδάνου. [18] καὶ ἐγένετο ὡς ἐξέβησαν οἱ ἱερεῖς οἱ αἴ-
ροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐκ τοῦ Ἰορδάνου καὶ ἔθηκαν τοὺς
πόδας ἐπὶ τῆς γῆς, ὥρμησε τὸ ὕδωρ τοῦ Ἰορδάνου κατὰ χώραν, καὶ ἐπο-
19 ρεύετο καθὰ χθὲς καὶ τρίτην ἡμέραν δι᾽ ὅλης τῆς κρηπῖδος. [19] καὶ ὁ λαὸς
ἀνέβη ἐκ τοῦ Ἰορδάνου δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου· καὶ κατεστρατοπέδευ-
σαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Γαλγάλοις κατὰ μέρος τὸ πρὸς ἡλίου ἀνατολὰς ἀπὸ
20 τῆς Ἱεριχώ. [20] καὶ τοὺς δώδεκα λίθους τούτους οὓς ἔλαβεν ἐκ τοῦ Ἰορδάνου
21 ἔστησεν Ἰησοῦς ἐν Γαλγάλοις [21] λέγων Ὅταν ἐρωτῶσιν ὑμᾶς οἱ υἱοὶ ὑμῶν
22 λέγοντες Τί εἰσιν οἱ λίθοι οὗτοι; [22] ἀναγγείλατε τοῖς υἱοῖς ὑμῶν ὅτι ἐπὶ ξηρᾶς
23 διέβη Ἰσραὴλ τὸν Ἰορδάνην τοῦτον, [23] ἀποξηράναντος κυρίου τοῦ θεοῦ ἡμῶν
τὸ ὕδωρ τοῦ Ἰορδάνου ἐκ τῶν ἔμπροσθεν αὐτῶν μέχρις οὗ διέβησαν· καθά-
περ ἐποίησε κύριος ὁ θεὸς ἡμῶν τὴν ἐρυθρὰν θάλασσαν, ἣν ἀπεξήρανε κύριος
24 ὁ θεὸς ἡμῶν ἔμπροσθεν ἡμῶν ἕως παρήλθομεν. [24] ὅπως γνῶσι πάντα τὰ ἔθνη
τῆς γῆς ὅτι ἡ δύναμις τοῦ κυρίου ἰσχυρά ἐστι, καὶ ἵνα ὑμεῖς σέβησθε κύριον
τὸν θεὸν ἡμῶν ἐν παντὶ ἔργῳ.

## V.

Καὶ ἐγένετο ὡς ἤκουσαν οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων οἳ ἦσαν πέραν τοῦ
Ἰορδάνου καὶ οἱ βασιλεῖς τῆς Φοινίκης οἳ παρὰ τὴν θάλασσαν, ὅτι ἀπεξή-
ρανε κύριος ὁ θεὸς τὸν Ἰορδάνην ποταμὸν ἐκ τῶν ἔμπροσθεν τῶν υἱῶν Ἰσραὴλ
ἐν τῷ διαβαίνειν αὐτούς, καὶ ἐτάκησαν αὐτῶν αἱ διάνοιαι καὶ κατεπλάγησαν,
καὶ οὐκ ἦν ἐν αὐτοῖς φρόνησις οὐδεμία ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.
2 [2] ὑπὸ δὲ τοῦτον τὸν καιρὸν εἶπε κύριος τῷ Ἰησοῖ Ποίησον σεαυτῷ μαχαίρας
πετρίνας ἐκ πέτρας ἀκροτόμου, καὶ καθίσας περίτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ
3 δευτέρου. [3] καὶ ἐποίησεν Ἰησοῦς μαχαίρας πετρίνας ἀκροτόμους, καὶ περιέτεμε
4 τοὺς υἱοὺς Ἰσραὴλ ἐπὶ τοῦ καλουμένου τόπου Βουνὸς τῶν ἀκροβυστιῶν. [4] ὃν
δὲ τρόπον περιεκάθαρεν Ἰησοῦς τοὺς υἱοὺς Ἰσραήλ· ὅσοι ποτὲ ἐγένοντο ἐν τῇ
5 ὁδῷ, καὶ ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξεληλυθότων ἐξ Αἰγύπτου, [5] πάντας
τούτους περιέτεμεν Ἰησοῦς· τεσσαράκοντα γὰρ καὶ δύο ἔτη ἀνέστραπται Ἰσραὴλ
6 ἐν τῇ ἐρήμῳ τῇ Μαβδαρίτιδι· [6] διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖστοι αὐτῶν τῶν
μαχίμων τῶν ἐξεληλυθότων ἐκ γῆς Αἰγύπτου, οἱ ἀπειθήσαντες τῶν ἐντολῶν
τοῦ θεοῦ, οἷς καὶ διώρισε μὴ ἰδεῖν αὐτοὺς τὴν γῆν ἣν ὤμοσε κύριος τοῖς
7 πατράσιν αὐτῶν δοῦναι, γῆν ῥέουσαν γάλα καὶ μέλι. [7] ἀντὶ δὲ τούτων ἀντι-

---

10. om οὐ ... παντα οσα εν. κ. τω ιησοι ... διεβη 14. εναντ. παντος του ... ωςπερ εφοβουντο μωυσην 18. εκ μεσου του ιορδ. ... επι της ξηρας, και ωρμησεν ... εχθες 20. om τουτους 21. οι υιοι υμων υμας 22. om τουτον 23. εκ του εμπρ. ... μεχρι ου 24. τον κυριον θεον υμων ε. π. χρονω V. 1. διαβηναι ... κατεταχησαν αι διαν. αυτων 2. om πετρινας 3. πετρ. εαυτω ακρ. 4. περιεκαθηρεν 6. τεσσερακοντα ... διωρισ. κυριος αυτοις μη ... δουναι ημιν

Digitized by Google

κατέστησε τοὺς υἱοὺς αὐτῶν, οὓς Ἰησοῦς περιέτεμε διὰ τὸ αὐτοὺς γεγεννῆ-
σθαι κατὰ τὴν ὁδὸν ἀπεριτμήτους. 8 περιτμηθέντες δὲ ἡσυχίαν εἶχον αὐτόθι 8
καθήμενοι ἐν τῇ παρεμβολῇ ἕως ὑγιάσθησαν. 9 καὶ εἶπε κύριος τῷ Ἰησοῖ υἱῷ 9
Ναυὴ Ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ᾽ ὑμῶν. καὶ
ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα. 10 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ 10
τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀφ᾽ ἑσπέρας ἐπὶ δυσμῶν
Ἱεριχὼ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν τῷ πεδίῳ, 11 καὶ ἐφάγοσαν ἀπὸ τοῦ 11
σίτου τῆς γῆς ἄζυμα καὶ νέα. 12 ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ 12
τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς, καὶ οὐκέτι ὑπῆρχε τοῖς υἱοῖς
Ἰσραὴλ μάννα· ἐκαρπίσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.
13 καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχώ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν 13
ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ.
καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ Ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων; 14 ὁ δὲ εἶπεν
αὐτῷ Ἐγὼ ἀρχιστράτηγος δυνάμεως κυρίου, νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπε- 14
σεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ Δέσποτα, τί προστάσσεις τῷ
σῷ οἰκέτῃ; 15 καὶ λέγει ὁ ἀρχιστράτηγος κυρίου πρὸς Ἰησοῦν Λῦσαι τὸ ὑπόδημα 15
ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐφ᾽ ᾧ νῦν ἕστηκας ἐπ᾽ αὐτοῦ ἅγιός ἐστι.

## VI.

(5, 16.) Καὶ Ἱεριχὼ συγκεκλεισμένη καὶ ὠχυρωμένη, καὶ οὐδεὶς ἐξεπο-
ρεύετο ἐξ αὐτῆς οὐδὲ εἰσεπορεύετο. 2 καὶ εἶπε κύριος πρὸς Ἰησοῦν Ἰδοὺ ἐγὼ (1) 2
παραδίδωμι ὑποχείριόν σοι τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς τὸν ἐν αὐτῇ,
δυνατοὺς ὄντας ἐν ἰσχύϊ. 3 σὺ δὲ περίστησον αὐτῇ τοὺς μαχίμους κύκλῳ. (2) 3
4 καὶ ἔσται ὡς ἂν σαλπίσητε τῇ σάλπιγγι, ἀνακραγέτω πᾶς ὁ λαὸς ἅμα· 5 καὶ (4) 4 5
ἀνακραγόντων αὐτῶν πεσεῖται αὐτόματα τὰ τείχη τῆς πόλεως, καὶ εἰσελεύ-
σεται πᾶς ὁ λαὸς ὁρμήσας ἕκαστος κατὰ πρόσωπον εἰς τὴν πόλιν. 6 καὶ (5) 6
εἰσῆλθεν Ἰησοῦς ὁ τοῦ Ναυὴ πρὸς τοὺς ἱερεῖς 7 καὶ εἶπεν αὐτοῖς λέγων (6) 7
Παραγγείλατε τῷ λαῷ περιελθεῖν καὶ κυκλῶσαι τὴν πόλιν, καὶ οἱ μάχιμοι
παραπορευέσθωσαν ἐνωπλισμένοι ἐναντίον κυρίου· 8 καὶ ἑπτὰ ἱερεῖς ἔχοντες (7) 8
ἑπτὰ σάλπιγγας ἱερὰς παρελθέτωσαν ὡσαύτως ἐναντίον τοῦ κυρίου καὶ σημαι-
νέτωσαν εὐτόνως· καὶ ἡ κιβωτὸς τῆς διαθήκης κυρίου ἐπακολουθείτω. 9 οἱ (8) 9
δὲ μάχιμοι παραπορευέσθωσαν ἔμπροσθεν, καὶ οἱ ἱερεῖς οἱ οὐραγοῦντες ὀπίσω
τῆς κιβωτοῦ τῆς διαθήκης κυρίου σαλπίζοντες. 10 τῷ δὲ λαῷ ἐνετείλατο (9) 10
Ἰησοῦς λέγων Μὴ βοᾶτε, μηδὲ ἀκουσάτω μηδεὶς τὴν φωνὴν ὑμῶν, ἕως ἂν
ἡμέραν διαγγείλῃ αὐτὸς ἀναβοῆσαι, καὶ τότε ἀναβοήσετε. 11 καὶ περιελ- (10) 11
θοῦσα ἡ κιβωτὸς τῆς διαθήκης τοῦ θεοῦ εὐθέως ἀπῆλθεν εἰς τὴν παρεμβο-
λήν, καὶ ἐκοιμήθη ἐκεῖ. 12 καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ἀνέστη Ἰησοῦς τὸ πρωΐ, (11) 12
καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, 13 καὶ οἱ ἑπτὰ ἱερεῖς (12) 13
οἱ φέροντες τὰς σάλπιγγας τὰς ἑπτὰ προεπορεύοντο ἐναντίον κυρίου. καὶ μετὰ
ταῦτα εἰσεπορεύοντο οἱ μάχιμοι, καὶ ὁ λοιπὸς ὄχλος ὄπισθεν τῆς κιβωτοῦ τῆς
διαθήκης κυρίου· καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ὁ λοιπὸς ὄχλος
ἅπας περιεκύκλωσε τὴν πόλιν ἑξάκις ἐγγύθεν, 14 καὶ ἀπῆλθε πάλιν εἰς τὴν (13) 14

---

7. περιετ. ιησους ... γεγενησθαι 8. εσχον αυτοι καθ. 9. om υιω ναυη 10. om τη ... αφ εσπερου ... om εν τω περ. τ. ιορδ. 11. εφαγον 12. εξελειπεν 13. τ. οφθ. αυτου ιδεν 14. νυν 15. και ειπεν ο ... λυσον ... συ pro νυν VI. 2. υποχ. σου ... om οντας 3. παντας τους μαχητας 4. om αμα 5. ανακραγεντων ... εισελευσετε ...* εις τ. πολ. κατ. προσωπ. 6. ιησους υιος ναυη 7. εναντι 8. παρελθατωσαν 9. πορευομενοι και σαλπιζοντες 10. μ. βοατω και μη ακ. μηθεις ...** ημερα ... αναβοησατε 11. την πολιν ευθεως 12. om της διαθηκης 13. κ. οι ιερ. οι επτα αιροντες τας επτα σαλπ. ... του κυρ. 13. 14. και μετα ταυτα usque διαθηκης κυριου ponuntur post την παρεμβολην 13. om περιεκυκλ. τ. π. εξ. εγγυθεν 14. απηλθον

Digitized by Google

15 (14) παρεμβολήν. οὕτως ἐποίει ἐπὶ ἓξ ἡμέρας. 15 καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνέ-
στησαν ὄρθρου, καὶ περιήλθοσαν τὴν πόλιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἑπτάκις.
16 (15) 16 καὶ ἐγένετο τῇ περιόδῳ τῇ ἑβδόμῃ ἐσάλπισαν οἱ ἱερεῖς, καὶ εἶπεν Ἰησοῦς
17 (16) τοῖς υἱοῖς Ἰσραὴλ Κεκράξατε· παρέδωκε γὰρ κύριος ὑμῖν τὴν πόλιν. 17 καὶ
ἔσται ἡ πόλις ἀνάθεμα, αὐτὴ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, κυρίῳ Σαβαώθ·
πλὴν Ῥαὰβ τὴν πόρνην περιποιήσασθε, αὐτὴν καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ
18 (17) οἴκῳ αὐτῆς. 18 ἀλλὰ ὑμεῖς φυλάξεσθε σφόδρα ἀπὸ τοῦ ἀναθέματος, μή
ποτε ἐνθυμηθέντες ὑμεῖς αὐτοὶ λάβητε ἀπὸ τοῦ ἀναθέματος καὶ ποιήσητε τὴν
19 (18) παρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ ἀνάθεμα, καὶ ἐκτρίψητε ἡμᾶς. 19 καὶ πᾶν
ἀργύριον ἢ χρυσίον ἢ χαλκὸς ἢ σίδηρος ἅγιον ἔσται τῷ κυρίῳ· εἰς θησαυρὸν
20 (19) κυρίου εἰςενεχθήσεται. 20 καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν οἱ ἱερεῖς· ὡς δὲ
ἤκουσεν ὁ λαὸς τῶν σαλπίγγων, ἠλάλαξε πᾶς ὁ λαὸς ἅμα ἀλαλαγμῷ μεγάλῳ *He. 11,
καὶ ἰσχυρῷ. καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος κύκλῳ, καὶ ἀνέβη πᾶς ὁ λαὸς εἰς τὴν 30.
21 (20) πόλιν. 21 καὶ ἀνεθεμάτισεν αὐτὴν Ἰησοῦς καὶ ὅσα ἦν ἐν τῇ πόλει, ἀπὸ ἀν-
δρὸς καὶ ἕως γυναικός, ἀπὸ νεανίσκου καὶ ἕως πρεσβύτου, καὶ ἕως μόσχου καὶ
22 (21) ὑποζυγίου, ἐν στόματι ῥομφαίας. 22 καὶ τοῖς δυσὶ νεανίσκοις τοῖς κατασκο-
πεύσασιν εἶπεν Ἰησοῦς Εἰςέλθατε εἰς τὴν οἰκίαν τῆς γυναικός, καὶ ἐξαγάγετε
23 (22) αὐτὴν ἐκεῖθεν καὶ ὅσα ἐστὶν αὐτῇ. 23 καὶ εἰςῆλθον οἱ δύο νεανίσκοι οἱ κατα-
σκοπεύσαντες τὴν πόλιν εἰς τὴν οἰκίαν τῆς γυναικός, καὶ ἐξηγάγοσαν Ῥαὰβ
τὴν πόρνην καὶ τὸν πατέρα αὐτῆς καὶ τὴν μητέρα αὐτῆς καὶ τοὺς ἀδελφοὺς
αὐτῆς καὶ τὴν συγγένειαν αὐτῆς καὶ πάντα ὅσα ἦν αὐτῇ, καὶ κατέστησαν
24 (23) αὐτὴν ἔξω τῆς παρεμβολῆς Ἰσραήλ. 24 καὶ ἡ πόλις ἐνεπρήσθη ἐν πυρισμῷ
σὺν πᾶσι τοῖς ἐν αὐτῇ· πλὴν ἀργυρίου καὶ χρυσίου καὶ χαλκοῦ καὶ σιδήρου
25 (24) ἔδωκαν εἰς θησαυρὸν κυρίου εἰςενεχθῆναι. 25 καὶ Ῥαὰβ τὴν πόρνην καὶ
πάντα τὸν οἶκον αὐτῆς τὸν πατρικὸν ἐζώγρησεν Ἰησοῦς καὶ κατῴκισεν ἐν τῷ *He. 11,
Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας, διότι ἔκρυψε τοὺς κατασκοπεύσαντας οὓς 31. Jac. 2, 25.
26 (25) ἀπέστειλεν Ἰησοῦς κατασκοπεῦσαι τὴν Ἱεριχώ. 26 καὶ ὥρκισεν Ἰησοῦς ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ ἐναντίον κυρίου λέγων Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς οἰκο-
δομήσει τὴν πόλιν ἐκείνην· ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτήν, καὶ
ἐν τῷ ἐλαχίστῳ αὐτοῦ ἐπιστήσει τὰς πύλας αὐτῆς. καὶ οὕτως ἐποίησεν Ὀζᾶν
ὁ ἐκ Βαιθήλ· ἐν τῷ Ἀβιρὼν τῷ πρωτοτόκῳ ἐθεμελίωσεν αὐτήν, καὶ ἐν τῷ
27 (26) ἐλαχίστῳ διασωθέντι ἐπέστησε τὰς πύλας αὐτῆς. 27 καὶ ἦν κύριος μετὰ
Ἰησοῦ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ κατὰ πᾶσαν τὴν γῆν.

## VII.

Καὶ ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην καὶ ἐνοσφίσαντο
ἀπὸ τοῦ ἀναθέματος· καὶ ἔλαβεν Ἄχαρ υἱὸς Χαρμὶ υἱοῦ Ζαμβρὶ υἱοῦ Ζαρὰ
ἐκ τῆς φυλῆς Ἰούδα ἀπὸ τοῦ ἀναθέματος· καὶ ἐθυμώθη κύριος ὀργῇ τοῖς
2 υἱοῖς Ἰσραήλ. 2 καὶ ἀπέστειλεν Ἰησοῦς ἄνδρας εἰς Γαί, ἥ ἐστι κατὰ Βαιθήλ,
3 λέγων Κατασκέψασθε τὴν Γαί. 3 καὶ ἀνέβησαν οἱ ἄνδρες καὶ κατεσκέψαντο

---

15. περιηλθον ... om εν τ. ημ. εκεινη 16. om εγενετο ... παραδεδωκεν 17. των κυριω των δυναμεων· πλην 18. φυλαξατε ... om σφοδρα ... om αυτοι ... ποιησετε 19. αργ. και χρυσ. και πας χ. και σιδ. 20. την φωνην των σαλπιγγων ... om απαν 21. ανεθεματισαν ... om ιησους ... πρεσβυτερου ... μοσχ. και εως προβατου κ. υποζ. 22. τοις δυο ... κ. παντα οσα ε. εν αυτη 23. εξηγαγεν την ρααβ ... κ. παντα οσ. η. αυτ. και πασαν τ. συγγεν. αυτης 24. ενεπυρισθη εν πυρι 25. και τον οικ. τον πατρ. αυτης ... κατωκησεν ... ιερειχω 26. om εναντ. κυριου ... ος αν στησει και οικοδ. ... εθεμελιωσεν pro θεμελιωσει ... ο αζαν ... αβειρων ... διασωθ. ελαχιστω ... om τας VII. 1. om μεγαλην ... αχαν ... ζαβρι ... οργη κυριος 2. γαϊ ... η εστιν την κατα βηθαυν ... την γην pro την γαι

τὴν Γαί, καὶ ἀνέστρεψαν πρὸς Ἰησοῦν καὶ εἶπαν πρὸς αὐτόν Μὴ ἀναβήτω
πᾶς ὁ λαός, ἀλλ' ὡςεὶ δισχίλιοι ἢ τρισχίλιοι ἄνδρες ἀναβήτωσαν καὶ ἐκπο-
λιορκησάτωσαν τὴν πόλιν· μὴ ἀναγάγῃς ἐκεῖ τὸν λαὸν ἅπαντα, ὀλίγοι γάρ εἰσι.
[4] καὶ ἀνέβησαν ὡςεὶ τρισχίλιοι ἄνδρες, καὶ ἔφυγον ἀπὸ προςώπου ἀνδρῶν Γαί. 4
[5] καὶ ἀπέκτειναν ἀπ' αὐτῶν ἄνδρες Γαὶ εἰς τριακονταὲξ ἄνδρας, καὶ κατε- 5
δίωξαν αὐτοὺς ἀπὸ τῆς πύλης καὶ συνέτριψαν αὐτοὺς ἀπὸ τοῦ καταφεροῦς·
καὶ ἐπτοήθη ἡ καρδία τοῦ λαοῦ καὶ ἐγένετο ὥςπερ ὕδωρ. [6] καὶ διέῤῥηξεν 6
Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ· καὶ ἔπεσεν Ἰησοῦς ἐπὶ τὴν γῆν ἐπὶ πρόςωπον ἐναν-
τίον κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ, καὶ ἐπεβάλοντο
χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. [7] καὶ εἶπεν Ἰησοῦς Δέομαι, κύριε, ἵνα τί διε- 7
βίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν Ἰορδάνην, παραδοῦναι αὐτὸν τῷ
Ἀμοῤῥαίῳ ἀπολέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ κατῳκίσθημεν παρὰ τὸν
Ἰορδάνην. [8] καὶ τί ἐρῶ ἐπεὶ μετέβαλεν Ἰσραὴλ αὐχένα ἀπέναντι τοῦ ἐχθροῦ 8
αὐτοῦ; [9] καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν περι- 9
κυκλώσουσιν ἡμᾶς καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς· καὶ τί ποιήσεις τὸ
ὄνομά σου τὸ μέγα; [10] καὶ εἶπε κύριος πρὸς Ἰησοῦν Ἀνάστηθι, ἵνα τί τοῦτο 10
σὺ πέπτωκας ἐπὶ πρόςωπόν σου; [11] ἡμάρτηκεν ὁ λαὸς καὶ παρέβη τὴν δια- 11
θήκην ἣν διεθέμην πρὸς αὐτούς· κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον εἰς
τὰ σκεύη αὐτῶν. [12] καὶ οὐ μὴ δύνωνται οἱ υἱοὶ Ἰσραὴλ ὑποστῆναι κατὰ πρός- 12
ωπον τῶν ἐχθρῶν αὐτῶν· αὐχένα ὑποστρέψουσιν ἔναντι τῶν ἐχθρῶν αὐτῶν,
ὅτι ἐγενήθησαν ἀνάθεμα· οὐ προςθήσω ἔτι εἶναι μεθ' ὑμῶν, ἐὰν μὴ ἐξάρητε
τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν. [13] ἀναστὰς ἁγίασον τὸν λαόν, καὶ εἰπὸν ἁγια- 13
σθῆναι εἰς αὔριον. τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ Τὸ ἀνάθεμά ἐστιν ἐν
ὑμῖν· οὐ δυνήσεσθε ἀντιστῆναι ἀπέναντι τῶν ἐχθρῶν ὑμῶν, ἕως ἂν ἐξάρητε
τὸ ἀνάθεμα ἐξ ὑμῶν. [14] καὶ συναχθήσεσθε πάντες τὸ πρωὶ κατὰ φυλάς, καὶ 14
ἔσται ἡ φυλὴ ἣν ἂν δείξῃ κύριος, προςάξετε κατὰ δήμους· καὶ τὸν δῆμον
ὃν ἂν δείξῃ κύριος, προςάξετε κατ' οἶκον· καὶ τὸν οἶκον ὃν ἂν δείξῃ κύριος,
προςάξετε κατ' ἄνδρα. [15] καὶ ὃς ἂν ἐνδειχθῇ, κατακαυθήσεται ἐν πυρί, καὶ 15
πάντα ὅσα ἐστὶν αὐτῷ· ὅτι παρέβη τὴν διαθήκην κυρίου καὶ ἐποίησεν ἀνό-
μημα ἐν Ἰσραήλ. [16] καὶ ὤρθρισεν Ἰησοῦς καὶ προςήγαγε τὸν λαὸν κατὰ φυλάς· 16
καὶ ἐνεδείχθη ἡ φυλὴ Ἰούδα. [17] καὶ προςήχθη κατὰ δήμους, καὶ ἐνεδείχθη 17
δῆμος Ζαραΐ· καὶ προςήχθη κατ' ἄνδρα, [18] καὶ ἐνεδείχθη Ἄχαρ υἱὸς Ζαμ- 18
βρὶ υἱοῦ Ζαρά. [19] καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ Δὸς δόξαν σήμερον τῷ κυρίῳ 19
θεῷ Ἰσραήλ, καὶ δὸς τὴν ἐξομολόγησιν καὶ ἀνάγγειλόν μοι τί ἐποίησας, καὶ
μὴ κρύψῃς ἀπ' ἐμοῦ. [20] καὶ ἀπεκρίθη Ἄχαρ τῷ Ἰησοῖ καὶ εἶπεν Ἀληθῶς 20
ἥμαρτον ἐναντίον κυρίου τοῦ θεοῦ Ἰσραήλ· οὕτως καὶ οὕτως ἐποίησα. [21] εἶδον 21
ἐν τῇ προνομῇ ψιλὴν ποικίλην καὶ διακόσια δίδραχμα ἀργυρίου καὶ γλῶσσαν
μίαν χρυσῆν πεντήκοντα διδράχμων, καὶ ἐνθυμηθεὶς αὐτῶν ἔλαβον· καὶ ἰδοὺ
αὐτὰ ἐγκέκρυπται ἐν τῇ σκηνῇ μου, καὶ τὸ ἀργύριον κέκρυπται ὑποκάτω αὐ-
τῶν. [22] καὶ ἀπέστειλεν Ἰησοῦς ἀγγέλους, καὶ ἔδραμον εἰς τὴν σκηνὴν εἰς τὴν 22
παρεμβολήν· καὶ ταῦτα ἦν κεκρυμμένα εἰς τὴν σκηνὴν αὐτοῦ, καὶ τὸ ἀργύ-
ριον ὑποκάτω αὐτῶν. [23] καὶ ἐξήνεγκαν αὐτὰ ἐκ τῆς σκηνῆς καὶ ἤνεγκαν πρὸς 23
Ἰησοῦν καὶ τοὺς πρεσβυτέρους Ἰσραήλ, καὶ ἔθηκαν αὐτὰ ἔναντι κυρίου. [24] καὶ 24

3. την γην γαϊ ... αναβαινετω ... ως δισχιλ. ... ενπολιορκησατωσαν 4. ανεβ. εκει ως τρισχ. ... γαϊ 5. γαϊ τριακοντα και εξ ... πυλ. εως συνετρ. α. επι του 6. εναντι ... επεβαλον τον ... την κεφαλην 7. κυριε κυριε δια τι 11. διαθηκ. μου ην ... και κλεψαντες 12. om και ... ab εχθρων priore usq. υμων αυτων ** ... ** (et * ?) επιστρεψουσιν κατα προσωπον των 14. ενδειξη sec. et tert. ... κατ οικους 15. εποιησαν 17. δημ. ο ζαριει· κ. προσηχθ. δημος ο ζαριει κατ ανδρας 18. 19. αχαν 20. κυριου θεου 21. ιδον ... ψ. ποικ. καλην ... ενεκρυπται εν τη γη εν 22. κεκρυμμ. εν τη γη, και το 23. και προς τους

Digitized by Google

ἔλαβεν Ἰησοῦς τὸν Ἄχαρ υἱὸν Ζαρὰ καὶ ἀνήγαγεν αὐτὸν εἰς φάραγγα Ἀχώρ,
καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ τοὺς μόσχους αὐτοῦ καὶ
τὰ ὑποζύγια αὐτοῦ καὶ πάντα τὰ πρόβατα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ καὶ
πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πᾶς ὁ λαὸς μετ᾽ αὐτοῦ· καὶ ἀνήγαγεν αὐτοὺς
25 εἰς Ἐμέκαχώρ. [25] καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ Τί ὠλόθρευσας ἡμᾶς; ἐξολο-
θρεύσαι σε κύριος καθὰ καὶ σήμερον. καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις πᾶς
26 Ἰσραήλ, [26] καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν· καὶ ἐπαύσατο κύριος τοῦ
θυμοῦ τῆς ὀργῆς. διὰ τοῦτο ἐπωνόμασεν αὐτὸ Ἐμεκαχὼρ ἕως τῆς ἡμέρας
ταύτης.

## VIII.

Καὶ εἶπε κύριος πρὸς Ἰησοῦν Μὴ φοβηθῇς μηδὲ δειλιάσῃς· λάβε μετὰ
σοῦ πάντας τοὺς ἄνδρας τοὺς πολεμιστάς, καὶ ἀναστὰς ἀνάβηθι εἰς Γαί· ἰδοὺ
2 δέδωκα εἰς τὰς χεῖράς σου τὸν βασιλέα Γαὶ καὶ τὴν γῆν αὐτοῦ. [2] καὶ ποιή-
σεις τὴν Γαὶ ὃν τρόπον ἐποίησας τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς, καὶ
τὴν προνομὴν τῶν κτηνῶν προνομεύσεις σεαυτῷ· κατάστησον δὲ σεαυτῷ ἔνε-
3 δρα τῇ πόλει εἰς τὰ ὀπίσω. [3] καὶ ἀνέστη Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ πολεμι-
στὴς ὥστε ἀναβῆναι εἰς Γαί· ἐπέλεξε δὲ Ἰησοῦς τριάκοντα χιλιάδας ἀνδρῶν
4 δυνατοὺς ἐν ἰσχύϊ, καὶ ἀπέστειλεν αὐτοὺς νυκτός. [4] καὶ ἐνετείλατο αὐτοῖς λέγων
Ὑμεῖς ἐνεδρεύσατε ὀπίσω τῆς πόλεως· μὴ μακρὰν γίνεσθε ἀπὸ τῆς πόλεως,
5 καὶ ἔσεσθε πάντες ἕτοιμοι. [5] καὶ ἐγὼ καὶ πάντες οἱ μετ᾽ ἐμοῦ προσάξομεν
πρὸς τὴν πόλιν, καὶ ἔσται ὡς ἂν ἐξέλθωσιν οἱ κατοικοῦντες Γαὶ εἰς συνάν-
6 τησιν ἡμῖν καθάπερ καὶ πρώην, καὶ φευξόμεθα ἀπὸ προσώπου αὐτῶν. [6] καὶ
ὡς ἂν ἐξέλθωσιν ὀπίσω ἡμῶν, ἀποσπάσομεν αὐτοὺς ἀπὸ τῆς πόλεως· καὶ
7 ἐροῦσι Φεύγουσιν οὗτοι ἀπὸ προσώπου ἡμῶν ὃν τρόπον καὶ ἔμπροσθεν. [7] ὑμεῖς
8 δὲ ἐξαναστήσεσθε ἐκ τῆς ἐνέδρας, καὶ πορεύσεσθε εἰς τὴν πόλιν. [8] κατὰ τὸ
9 ῥῆμα τοῦτο ποιήσετε· ἰδοὺ ἐντέταλμαι ὑμῖν. [9] καὶ ἀπέστειλεν αὐτοὺς Ἰησοῦς,
καὶ ἐπορεύθησαν εἰς τὴν ἐνέδραν· καὶ ἐνεκάθισαν ἀνὰ μέσον Βαιθὴλ καὶ ἀνὰ
10 μέσον Γαί, ἀπὸ θαλάσσης τῆς Γαί. [10] καὶ ὀρθρίσας Ἰησοῦς τὸ πρωὶ ἐπεσκέ-
ψατο τὸν λαόν· καὶ ἀνέβησαν αὐτὸς καὶ οἱ πρεσβύτεροι κατὰ πρόσωπον τοῦ
11 λαοῦ ἐπὶ Γαί. [11] καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ᾽ αὐτοῦ ἀνέβησαν, καὶ
12 πορευόμενοι ἦλθον ἐξεναντίας τῆς πόλεως ἀπὸ ἀνατολῶν, [12] καὶ τὰ ἔνεδρα τῆς
14 πόλεως ἀπὸ θαλάσσης. [14] καὶ ἐγένετο ὡς εἶδε βασιλεὺς Γαί, ἔσπευσε καὶ
ἐξῆλθεν εἰς συνάντησιν αὐτοῖς ἐπ᾽ εὐθείας εἰς τὸν πόλεμον, αὐτὸς καὶ πᾶς ὁ
λαὸς ὁ μετ᾽ αὐτοῦ· καὶ αὐτὸς οὐκ ᾔδει ὅτι ἔνεδρα αὐτῷ ἐστιν ὀπίσω τῆς
15 πόλεως. [15] καὶ εἶδε, καὶ ἀνεχώρησεν Ἰησοῦς καὶ Ἰσραὴλ ἀπὸ προσώπου αὐ-
16 τῶν. [16] καὶ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ, καὶ αὐτοὶ ἀπέστησαν ἀπὸ τῆς
17 πόλεως· [17] οὐ κατελείφθη οὐδεὶς ἐν τῇ Γαὶ ὃς οὐ κατεδίωξεν ὀπίσω Ἰσραήλ,
18 καὶ κατέλιπον τὴν πόλιν ἠνεῳγμένην, καὶ κατεδίωξαν ὀπίσω Ἰσραήλ. [18] καὶ
εἶπε κύριος πρὸς Ἰησοῦν Ἔκτεινον τὴν χεῖρά σου ἐν τῷ γαισῷ τῷ ἐν τῇ χειρί
σου ἐπὶ τὴν πόλιν, εἰς γὰρ τὰς χεῖράς σου παραδέδωκα αὐτήν· καὶ τὰ ἔνεδρα
ἐξαναστήσονται ἐν τάχει ἐκ τοῦ τόπου αὐτῶν. καὶ ἐξέτεινεν Ἰησοῦς τὴν χεῖρα
19 αὐτοῦ τὸν γαισὸν ἐπὶ τὴν πόλιν· [19] καὶ τὰ ἔνεδρα ἐξανέστησαν ἐν τάχει ἐκ
τοῦ τόπου αὐτῶν, καὶ ἐξήλθοσαν ὅτε ἐξέτεινε τὴν χεῖρα, καὶ εἰσήλθοσαν ἐπὶ

24. πας ισραηλ μετ ... ανηγαγ. αυτον εις 25. om τω αχαρ ... ωλεθρευσας et εξολεθρευσαι ... αυτ. πας ισρ. εν λιθοις VIII. 1. μετα σεαυτου ... γαϊ prius 2. ποιησης τη γαϊ ... τη ιερ. et τω βασιλει 3. γαϊ· και επελ. ιησ. 4. ενεδρευσετε ... om απο 5. πας ο λαος ο pro παντες οι ... γαϊ 6. αποστησομεν 8. ποιησατε 9. γαϊ bis 10. οι πρεσβ. ισραηλ ... γαϊ 14. ιδεν ο βασ. της γαϊ ... πας ο λαος αυτου· και ... εστιν απο της πολ. οπισω 15. ιδεν ... πας ισραηλ 17. γαϊ ... om και κατελιπον usq. ισρ. 18. οτι εις την χειρα σου ... τον γαισον κ. την χ. αυτ. 19. εισηλθον εις

Digitized by Google

τὴν πόλιν καὶ κατελάβοντο αὐτήν· καὶ σπεύσαντες ἐνέπρησαν τὴν πόλιν ἐν
πυρί. [20] καὶ περιβλέψαντες οἱ κάτοικοι Γαι εἰς τὰ ὀπίσω αὐτῶν, καὶ ἐθεώ- 20
ρουν καπνὸν ἀναβαίνοντα ἐκ τῆς πόλεως εἰς τὸν οὐρανόν· καὶ οὐκέτι εἶχον
ποῦ φύγωσιν ὧδε ἢ ὧδε. [21] καὶ Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ εἶδον ὅτι ἔλαβον τὰ 21
ἔνεδρα τὴν πόλιν, καὶ ὅτι ἀνέβη ὁ καπνὸς τῆς πόλεως εἰς τὸν οὐρανόν· καὶ
μεταβαλλόμενοι ἐπάταξαν τοὺς ἄνδρας τῆς Γαι. [22] καὶ οὗτοι ἐξήλθοσαν ἐκ τῆς 22
πόλεως εἰς συνάντησιν, καὶ ἐγενήθησαν ἀνὰ μέσον τῆς παρεμβολῆς, οὗτοι
ἐντεῦθεν καὶ οὗτοι ἐντεῦθεν· καὶ ἐπάταξαν αὐτοὺς ἕως τοῦ μὴ καταλειφθῆναι
αὐτῶν σεσωσμένον καὶ διαπεφευγότα. [23] καὶ τὸν βασιλέα τῆς Γαι συνέλαβον 23
ζῶντα, καὶ προσήγαγον αὐτὸν πρὸς Ἰησοῦν. [24] καὶ ὡς ἐπαύσαντο οἱ υἱοὶ Ἰσραὴλ 24
ἀποκτέννοντες πάντας τοὺς ἐν τῇ Γαι καὶ τοὺς ἐν τοῖς πεδίοις καὶ ἐν τῷ ὄρει
ἐπὶ τῆς καταβάσεως, οὗ κατεδίωξαν αὐτοὺς ἀπ᾿ αὐτῆς εἰς τέλος, καὶ ἐπ-
έστρεψεν Ἰησοῦς εἰς Γαι, καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ῥομφαίας. [25] καὶ 25
ἐγενήθησαν οἱ πεσόντες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς
δώδεκα χιλιάδες, πάντας τοὺς κατοικοῦντας Γαι. [27] πλὴν τῶν σκύλων τῶν ἐν 27
τῇ πόλει πάντα ἃ ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ κατὰ πρόσταγμα κυ-
ρίου, ὃν τρόπον συνέταξε κύριος τῷ Ἰησοῖ. [28] καὶ ἐνεπύρισεν Ἰησοῦς τὴν πόλιν 28
ἐν πυρί· χῶμα ἀοίκητον εἰς τὸν αἰῶνα ἔθηκεν αὐτὴν ἕως τῆς ἡμέρας ταύτης.
[29] καὶ τὸν βασιλέα τῆς Γαι ἐκρέμασεν ἐπὶ ξύλου διδύμου, καὶ ἦν ἐπὶ τοῦ ξύλου 29
ἕως ἑσπέρας· καὶ ἐπιδύνοντος τοῦ ἡλίου συνέταξεν Ἰησοῦς καὶ καθείλοσαν
τὸ σῶμα αὐτοῦ ἀπὸ τοῦ ξύλου καὶ ἔρριψαν αὐτὸ εἰς τὸν βόθρον, καὶ ἐπέστη-
σαν αὐτῷ σωρὸν λίθων ἕως τῆς ἡμέρας ταύτης.

## IX.

Ὡς δὲ ἤκουσαν οἱ βασιλεῖς τῶν Ἀμορραίων οἱ ἐν τῷ πέραν τοῦ Ἰορ-
δάνου, οἱ ἐν τῇ ὀρεινῇ καὶ οἱ ἐν τῇ πεδινῇ καὶ οἱ ἐν πάσῃ τῇ παραλίᾳ τῆς
θαλάσσης τῆς μεγάλης καὶ οἱ πρὸς τῷ Ἀντιλιβάνῳ, καὶ οἱ Χετταῖοι καὶ οἱ
Χαναναῖοι καὶ οἱ Φερεζαῖοι καὶ οἱ Εὐαῖοι καὶ οἱ Ἀμορραῖοι καὶ οἱ Γεργε-
σαῖοι καὶ οἱ Ἰεβουσαῖοι, [2] συνήλθοσαν ἐπὶ τὸ αὐτὸ ἐκπολεμῆσαι Ἰησοῦν καὶ 2
Ἰσραὴλ ἅμα πάντες. (8, 30.) [3] Τότε ᾠκοδόμησεν Ἰησοῦς θυσιαστήριον κυρίῳ 3
τῷ θεῷ Ἰσραὴλ ἐν ὄρει Γαιβάλ, [4] καθότι ἐνετείλατο Μωυσῆς ὁ θεράπων (31) 4
κυρίου τοῖς υἱοῖς Ἰσραήλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ Μωυσῆ, θυσιαστήριον
λίθων ὁλοκλήρων ἐφ᾿ οὓς οὐκ ἐπεβλήθη σίδηρος· καὶ ἀνεβίβασεν ἐκεῖ ὁλοκαυ-
τώματα κυρίῳ καὶ θυσίαν σωτηρίου. [5] καὶ ἔγραψεν Ἰησοῦς ἐπὶ τῶν λίθων (32) 5
τὸ δευτερονόμιον, νόμον Μωυσῆ, ἐνώπιον τῶν υἱῶν Ἰσραήλ. [6] καὶ πᾶς (33) 6
Ἰσραὴλ καὶ οἱ πρεσβύτεροι αὐτῶν καὶ οἱ δικασταὶ καὶ οἱ γραμματεῖς αὐτῶν
παρεπορεύοντο ἔνθεν καὶ ἔνθεν τῆς κιβωτοῦ ἀπέναντι, καὶ οἱ ἱερεῖς καὶ οἱ
Λευῖται ἦραν τὴν κιβωτὸν τῆς διαθήκης κυρίου, καὶ ὁ προσήλυτος καὶ ὁ αὐ-
τόχθων, οἳ ἦσαν ἥμισυ πλησίον ὄρους Γαριζὶν καὶ οἳ ἦσαν ἥμισυ πλησίον
ὄρους Γαιβάλ, καθότι ἐνετείλατο Μωυσῆς ὁ θεράπων κυρίου εὐλογῆσαι τὸν
λαὸν ἐν πρώτοις. [7] καὶ μετὰ ταῦτα οὕτως ἀνέγνω Ἰησοῦς πάντα τὰ ῥήματα (34) 7
τοῦ νόμου τούτου, τὰς εὐλογίας καὶ τὰς κατάρας κατὰ πάντα τὰ γεγραμμένα

---

20. οι κατοικουντες γαϊ ... αυτων, εωρων αναβαιν. τον καπν. της πολ. 20. 21. om και ουκετι usq. εις τ. ουρανον ... γαϊ 22. εξηλθον ... επαταξεν 23. γαϊ 24. παντ. τους εκ της γαϊ, τους εν ... om επι ... αυτους εως εις ... επεστρ. αυτους εις γαϊ 25. γαϊ 27. πλην των κτηνων και τ. σκυλ. ... om παντα α ... om εαυτοις 29. γαϊ ... καθειλον ... ερριψ. αυτον IX. 1. παντες οι βασ. ... κ. οι χεττ. κ. οι αμορρ. κ. οι γεργ. κ. οι χαν. κ. οι φερεζ. κ. οι ευ. κ. οι ιεβ. 2. συνηλθον. VV. 3. 4. 5. 6. 7. 8. ante IX, 1. pon. 3. τω κυριω θεω 4. τω κυριω 5. μωυση, ον εγραψεν ενωπιον 6. δικαστ. αυτων ... om και post ιερεις ... αυτοχθων, ησαν οι ημισεις ... γαριζειν και οι ημισεις αυτων ... καθα ενετ. ... τ. λαον ισραηλ 7. om ουτως ... om ιησους



Digitized by Google

8 (35) ἐν τῷ νόμῳ Μωυσῆ· 8 οὐκ ἦν ῥῆμα ἀπὸ πάντων ὧν ἐνετείλατο Μωυσῆς
τῷ Ἰησοῖ ὃ οὐκ ἀνέγνω Ἰησοῦς εἰς τὰ ὦτα πάσης ἐκκλησίας υἱῶν Ἰσραήλ,
τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ καὶ τοῖς παιδίοις καὶ τοῖς προσηλύτοις τοῖς
9 προσπορευομένοις τῷ Ἰσραήλ. (9, 3.) 9 Καὶ οἱ κατοικοῦντες Γαβαὼν ἤκου-
10 (4) σαν πάντα ὅσα ἐποίησε κύριος τῇ Ἰεριχὼ καὶ τῇ Γαί. 10 καὶ ἐποίησαν καί
γε αὐτοὶ μετὰ πανουργίας, καὶ ἐλθόντες ἐπεσιτίσαντο καὶ ἡτοιμάσαντο, καὶ
λαβόντες σάκκους παλαιοὺς ἐπὶ τῶν ὤμων αὐτῶν καὶ ἀσκοὺς οἴνου παλαιοὺς
11 (5) καὶ κατεῤῥωγότας ἀποδεδεμένους· 11 καὶ τὰ κοῖλα τῶν ὑποδημάτων αὐτῶν
καὶ τὰ σανδάλια αὐτῶν παλαιὰ καὶ καταπεπελματωμένα ἐν τοῖς ποσὶν αὐτῶν,
καὶ τὰ ἱμάτια αὐτῶν πεπαλαιωμένα ἐπάνω αὐτῶν, καὶ ὁ ἄρτος αὐτῶν τοῦ
12 (6) ἐπισιτισμοῦ ξηρὸς καὶ εὐρωτιῶν καὶ βεβρωμένος. 12 καὶ ἦλθοσαν πρὸς Ἰησοῦν
εἰς τὴν παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα, καὶ εἶπαν πρὸς Ἰησοῦν καὶ Ἰσραήλ
13 (7) Ἐκ γῆς μακρόθεν ἥκαμεν, καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην. 13 καὶ εἶπαν
οἱ υἱοὶ Ἰσραὴλ πρὸς τὸν Χορραῖον Ὅρα μὴ ἐν ἐμοὶ κατοικεῖς, καὶ πῶς σοι
14 (8) διαθῶμαι διαθήκην; 14 καὶ εἶπαν πρὸς Ἰησοῦν Οἰκέται σού ἐσμεν. καὶ εἶπε
15 (9) πρὸς αὐτοὺς Ἰησοῦς Πόθεν ἐστέ, καὶ πόθεν παραγεγόνατε; 15 καὶ εἶπαν
Ἐκ γῆς μακρόθεν σφόδρα ἥκασιν οἱ παῖδές σου ἐν ὀνόματι κυρίου τοῦ θεοῦ
16 (10) σου· ἀκηκόαμεν γὰρ τὸ ὄνομα αὐτοῦ, καὶ ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ, 16 καὶ
ὅσα ἐποίησε τοῖς βασιλεῦσι τῶν Ἀμορραίων οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ
Σηὼν βασιλεῖ τῶν Ἀμορραίων καὶ τῷ Ὢγ βασιλεῖ τῆς Βασάν, ὃς κατῴκει ἐν
17 (11) Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν. 17 καὶ ἀκούσαντες εἶπαν πρὸς ἡμᾶς οἱ πρεσβύ-
τεροι ἡμῶν καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ἡμῶν λέγοντες Λάβετε ἑαυτοῖς
ἐπισιτισμὸν εἰς τὴν ὁδὸν καὶ πορεύθητε εἰς συνάντησιν αὐτῶν, καὶ ἐρεῖτε πρὸς
18 (12) αὐτούς Οἰκέται σού ἐσμεν, καὶ νῦν διάθεσθε ἡμῖν τὴν διαθήκην. 18 οὗτοι
οἱ ἄρτοι, θερμοὺς ἐφωδιάσθημεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ᾗ ἐξήλθομεν παραγε-
19 (13) νέσθαι πρὸς ὑμᾶς, νῦν δὲ ἐξηράνθησαν καὶ γεγόνασι βεβρωμένοι· 19 καὶ
οὗτοι οἱ ἀσκοὶ τοῦ οἴνου οὓς ἐπλήσαμεν καινούς, καὶ οὗτοι ἐῤῥώγασι· καὶ τὰ
ἱμάτια ἡμῶν καὶ τὰ ὑποδήματα ἡμῶν πεπαλαίωται ἀπὸ τῆς πολλῆς ὁδοῦ
20 (14) σφόδρα. 20 καὶ ἔλαβον οἱ ἄρχοντες τοῦ ἐπισιτισμοῦ αὐτῶν, καὶ κύριον οὐκ
21 (15) ἐπηρώτησαν. 21 καὶ ἐποίησεν Ἰησοῦς πρὸς αὐτοὺς εἰρήνην, καὶ διέθεντο
πρὸς αὐτοὺς διαθήκην τοῦ διασῶσαι αὐτούς, καὶ ὤμοσαν αὐτοῖς οἱ ἄρχοντες
22 (16) τῆς συναγωγῆς. 22 καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας μετὰ τὸ διαθέσθαι πρὸς
αὐτοὺς διαθήκην, ἤκουσαν ὅτι ἐγγύθεν αὐτῶν εἰσί, καὶ ὅτι ἐν αὐτοῖς κατοι-
23 (17) κοῦσι. 23 καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἦλθον εἰς τὰς πόλεις αὐτῶν· αἱ
24 (18) δὲ πόλεις αὐτῶν Γαβαὼν καὶ Κεφιρὰ καὶ Βηρὼτ καὶ πόλεις Ἰαρίν. 24 καὶ
οὐκ ἐμαχέσαντο αὐτοῖς οἱ υἱοὶ Ἰσραήλ, ὅτι ὤμοσαν αὐτοῖς πάντες οἱ ἄρχοντες
κύριον τὸν θεὸν Ἰσραήλ· καὶ διεγόγγυσαν πᾶσα ἡ συναγωγὴ ἐπὶ τοῖς ἄρχουσι.
25 (19) 25 καὶ εἶπαν οἱ ἄρχοντες πάσῃ τῇ συναγωγῇ Ἡμεῖς ὠμόσαμεν αὐτοῖς κύριον
26 (20) τὸν θεὸν Ἰσραήλ, καὶ νῦν οὐ δυνησόμεθα ἅψασθαι αὐτῶν. 26 τοῦτο ποιή-
σομεν, ζωγρῆσαι αὐτούς, καὶ περιποιησόμεθα αὐτούς· καὶ οὐκ ἔσται καθ᾽
27 (21) ἡμῶν ὀργὴ διὰ τὸν ὅρκον ὃν ὠμόσαμεν αὐτοῖς. 27 ζήσονται, καὶ ἔσονται
ξυλοκόποι καὶ ὑδροφόροι πάσῃ τῇ συναγωγῇ, καθάπερ εἶπαν αὐτοῖς οἱ ἄρχον-
28 (22) τες. 28 καὶ συνεκάλεσεν αὐτοὺς Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Διὰ τί παρελογί-

8. om υιων ... om και extr. (... προπορευομ.) 9. ιησους pro κυριος ... γαϊ 10. ονων pro ωμων 11. επ pro επανω ... οι αρτοι του επισιτισμου αυτων ξηροι και βεβρωμενοι 12. ηλθον ... παρεμβ. αυτων εις ... κ. προς παντα ισραηλ 13. κατωκεις ... διαθωμαι σοι 15. ειπ. προς αυτον 16. τοις δυσι βασ. ... βασιλει εσεβων pro β. των αμορρ. ... εδραειν 17. om ακουσαντες ... υμων pro σου ... om την 19. πεπαλαιωνται 20. τους επισιτισμους ... επερωτησαν 21. διεθετο 22. εισιν αυτων 23. εξηλθαν εις ... χεφειρα κ. βηρωθ κ. πολις ιαρειμ 24. αρχοντ. της συναγωγης τον κυρ. θεον 25. παντες οι αρχ. τη συν.

Digitized by Google

σασθέ με λέγοντες Μακρὰν ἀπὸ σοῦ ἐσμὲν σφόδρα, ὑμεῖς δὲ ἐγχώριοί ἐστε
τῶν κατοικούντων ἐν ἡμῖν; [29] καὶ νῦν ἐπικατάρατοί ἐστε· οὐ μὴ ἐκλείπῃ ἐξ ([23]) 29
ὑμῶν δοῦλος οὐδὲ ξυλοκόπος οὐδὲ ὑδροφόρος ἐμοὶ καὶ τῷ θεῷ μου. [30] καὶ ([24]) 30
ἀπεκρίθησαν τῷ Ἰησοῖ λέγοντες Ἀνηγγέλη ἡμῖν ὅσα συνέταξε κύριος ὁ θεός
σου Μωυσῇ τῷ παιδὶ αὐτοῦ, δοῦναι ὑμῖν τὴν γῆν ταύτην καὶ ἐξολεθρεῦσαι
ἡμᾶς καὶ πάντας τοὺς κατοικοῦντας ἐπ' αὐτῆς ἀπὸ προσώπου ὑμῶν· καὶ ἐφο-
βήθημεν σφόδρα περὶ τῶν ψυχῶν ἡμῶν ἀπὸ προσώπου ὑμῶν, καὶ ἐποιήσαμεν
τὸ πρᾶγμα τοῦτο. [31] καὶ νῦν ἰδοὺ ἡμεῖς ὑποχείριοι ὑμῖν· ὡς ἀρέσκει ὑμῖν ([25]) 31
καὶ ὡς δοκεῖ ὑμῖν, ποιήσατε ἡμῖν. [32] καὶ ἐποίησαν αὐτοῖς οὕτως· καὶ ἐξεί- ([26]) 32
λατο αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρῶν υἱῶν Ἰσραήλ, καὶ οὐκ
ἀνεῖλον αὐτούς. [33] καὶ κατέστησεν αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυ- ([27]) 33
λοκόπους καὶ ὑδροφόρους πάσῃ τῇ συναγωγῇ καὶ τῷ θυσιαστηρίῳ τοῦ θεοῦ· διὰ
τοῦτο ἐγένοντο οἱ κατοικοῦντες Γαβαὼν ξυλοκόποι καὶ ὑδροφόροι τοῦ θυσιαστηρίου
τοῦ θεοῦ ἕως τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος.

## X.

Ὡς δὲ ἤκουσεν Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλήμ, ὅτι ἔλαβεν Ἰησοῦς
τὴν Γαὶ καὶ ἐξωλόθρευσεν αὐτήν, ὃν τρόπον ἐποίησαν τὴν Ἱεριχὼ καὶ τὸν
βασιλέα αὐτῆς οὕτως ἐποίησαν καὶ τὴν Γαὶ καὶ τὸν βασιλέα αὐτῆς, καὶ ὅτι
ηὐτομόλησαν οἱ κατοικοῦντες Γαβαὼν πρὸς Ἰησοῦν καὶ πρὸς Ἰσραήλ, [2] καὶ 2
ἐφοβήθησαν ἀπ' αὐτῶν σφόδρα· ᾔδει γὰρ ὅτι πόλις μεγάλη Γαβαὼν ὡσεὶ
μία τῶν μητροπόλεων, καὶ πάντες οἱ ἄνδρες αὐτῆς ἰσχυροί. [3] καὶ ἀπέστειλεν 3
Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλὴμ πρὸς Ἐλὰμ βασιλέα Χεβρὼν καὶ πρὸς Φιδὼν
βασιλέα Ἱεριμοὺθ καὶ πρὸς Ἰεφθᾶ βασιλέα Λαχὶς καὶ πρὸς Δαβὶν βασιλέα
Ὀδολλὰμ λέγων [4] Δεῦτε ἀνάβητε πρός με καὶ βοηθήσατέ μοι, καὶ ἐκπολεμή- 4
σωμεν Γαβαών· ηὐτομόλησαν γὰρ πρὸς Ἰησοῦν καὶ πρὸς τοὺς υἱοὺς Ἰσραήλ.
[5] καὶ ἀνέβησαν οἱ πέντε βασιλεῖς τῶν Ἰεβουσαίων, βασιλεὺς Ἱερουσαλὴμ καὶ 5
βασιλεὺς Χεβρὼν καὶ βασιλεὺς Ἱεριμοὺθ καὶ βασιλεὺς Λαχὶς καὶ βασιλεὺς
Ὀδολλάμ, αὐτοὶ καὶ πᾶς ὁ λαὸς αὐτῶν, καὶ περιεκάθισαν τὴν Γαβαὼν καὶ
ἐξεπολιόρκουν αὐτήν. [6] καὶ ἀπέστειλαν οἱ κατοικοῦντες Γαβαὼν πρὸς Ἰησοῦν 6
εἰς τὴν παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα λέγοντες Μὴ ἐκλύσῃς τὰς χεῖράς
σου ἀπὸ τῶν παίδων σου· ἀνάβηθι πρὸς ἡμᾶς τὸ τάχος καὶ βοήθησον ἡμῖν
καὶ ἐξελοῦ ἡμᾶς, ὅτι συνηγμένοι εἰσὶν ἐφ' ἡμᾶς πάντες οἱ βασιλεῖς τῶν Ἀμορ-
ραίων οἱ κατοικοῦντες τὴν ὀρεινήν. [7] καὶ ἀνέβη Ἰησοῦς ἐκ Γαλγάλων, αὐτὸς 7
καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ' αὐτοῦ, πᾶς δυνατὸς ἐν ἰσχύϊ. [8] καὶ εἶπε 8
κύριος πρὸς Ἰησοῦν Μὴ φοβηθῇς αὐτούς, εἰς γὰρ τὰς χεῖράς σου παραδέδωκα
αὐτούς· οὐχ ὑπολειφθήσεται ἐξ αὐτῶν οὐδεὶς ἐνώπιον ὑμῶν. [9] καὶ ἐπεὶ παρε- 9
γένετο Ἰησοῦς ἐπ' αὐτοὺς ἄφνω, ὅλην τὴν νύκτα εἰσεπορεύθη ἐκ Γαλγάλων.
[10] καὶ ἐξέστησεν αὐτοὺς κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ, καὶ συνέτρι- 10
ψεν αὐτοὺς κύριος συντρίψει μεγάλῃ ἐν Γαβαών· καὶ κατεδίωξαν αὐτοὺς ὁδὸν
ἀναβάσεως Ὡρωνίν, καὶ κατέκοπτον αὐτοὺς ἕως Ἀζηκὰ καὶ ἕως Μακηδά.
[11] ἐν δὲ τῷ φεύγειν αὐτοὺς ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς κατα- 11
βάσεως Ὡρωνίν, καὶ κύριος ἐπέρριψεν αὐτοῖς λίθους χαλάζης ἐκ τοῦ οὐρανοῦ

---

28. εσμεν απο σου 29. δουλος ξυλοκοπος ... om ουδε υδροφ. 30. απηγγελη ... μωυση παιδι ... εξολεθρ. 31. δοκει ημιν ποιησαι ημιν 32. εκ χειρος 33. om δια τουτο usq. του θεου X. 1. γαϊ bis ... εξωλεθρευσεν ... εποιησεν bis 2. εφοβ. εν εαυτοις σφοδρα· ηδισαν γ. ο. η πολις ... ωςει και μια 3. αιλαμ ... φερααμ pro φιδων ... ιαφιε βασ. λαχεις ... δαβειρ 5. λαχεις (... οδολλαχ) 6. *απεστειλον (?) ... κ. εξελ. ημ. κ. βοηθ. ημ. 8. ουχ υποστησεται 9. και επιπαρεγενετο ... επορευθη ιησους 10. om των υιων ... συντριψιν μεγαλην ... αναβασ. βηθωρων 11. om των ... καταβασ. βεθωρων (?) ... επεριψεν



Digitized by Google

ἕως Ἀζηκά· καὶ ἐγένοντο πλείους οἱ ἀποθανόντες διὰ τοὺς λίθους τῆς χαλά-
12 ζης ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμῳ. 12 τότε ἐλάλη-
σεν Ἰησοῦς πρὸς κύριον, ᾗ ἡμέρᾳ παρέδωκεν ὁ θεὸς τὸν Ἀμορραῖον ὑποχεί-
ριον Ἰσραήλ, ἡνίκα συνέτριψεν αὐτοὺς ἐν Γαβαὼν καὶ συνετρίβησαν ἀπὸ προσώπου
υἱῶν Ἰσραήλ· καὶ εἶπεν Ἰησοῦς Στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη
13 κατὰ φάραγγα Αἰλών. 13 καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σελήνη ἐν στάσει ἕως ἠμύ-
νατο ὁ θεὸς τοὺς ἐχθροὺς αὐτῶν· καὶ ἔστη ὁ ἥλιος κατὰ μέσον τοῦ οὐρανοῦ,
14 οὐ προεπορεύετο εἰς δυσμὰς εἰς τέλος ἡμέρας μιᾶς. 14 καὶ οὐκ ἐγένετο ἡμέρα
τοιαύτη οὐδὲ τὸ πρότερον οὐδὲ τὸ ἔσχατον ὥστε ἐπακοῦσαι θεὸν ἀνθρώπου,
16 ὅτι κύριος συνεξεπολέμησε τῷ Ἰσραήλ. 16 καὶ ἔφυγον οἱ πέντε βασιλεῖς οὗτοι,
17 καὶ κατεκρύβησαν εἰς τὸ σπήλαιον τὸ ἐν Μακηδά. 17 καὶ ἀπηγγέλη τῷ Ἰησοῦ
λέγοντες Εὕρηνται οἱ πέντε βασιλεῖς κεκρυμμένοι ἐν τῷ σπηλαίῳ τῷ ἐν Μα-
18 κηδά. 18 καὶ εἶπεν Ἰησοῦς Κυλίσατε λίθους ἐπὶ τὸ στόμα τοῦ σπηλαίου, καὶ
19 καταστήσατε ἄνδρας φυλάσσειν ἐπ' αὐτούς· 19 ὑμεῖς δὲ μὴ ἑστήκατε κατα-
διώκοντες ὀπίσω τῶν ἐχθρῶν ὑμῶν, καὶ καταλάβετε τὴν οὐραγίαν αὐτῶν καὶ
μὴ ἀφῆτε εἰσελθεῖν εἰς τὰς πόλεις αὐτῶν· παρέδωκε γὰρ αὐτοὺς κύριος ὁ
20 θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν. 20 καὶ ἐγένετο ὡς κατέπαυσεν Ἰησοῦς καὶ
πᾶς υἱὸς Ἰσραὴλ κόπτοντες αὐτοὺς κοπὴν μεγάλην σφόδρα ἕως εἰς τέλος, καὶ
21 οἱ διασωζόμενοι διεσώθησαν εἰς τὰς πόλεις τὰς ὀχυράς. 21 καὶ ἀπεστράφη πᾶς
ὁ λαὸς πρὸς Ἰησοῦν εἰς Μακηδὰ ὑγιεῖς, καὶ οὐκ ἔγρυξεν οὐδεὶς τῶν υἱῶν
22 Ἰσραὴλ τῇ γλώσσῃ αὐτοῦ. 22 καὶ εἶπεν Ἰησοῦς Ἀνοίξατε τὸ σπήλαιον, καὶ
23 ἐξαγάγετε τοὺς πέντε βασιλεῖς τούτους ἐκ τοῦ σπηλαίου. 23 καὶ ἐξηγάγοσαν
τοὺς πέντε βασιλεῖς ἐκ τοῦ σπηλαίου, τὸν βασιλέα Ἱερουσαλὴμ καὶ τὸν βα-
σιλέα Χεβρὼν καὶ τὸν βασιλέα Ἱεριμοὺθ καὶ τὸν βασιλέα Λαχὶς καὶ τὸν βα-
24 σιλέα Ὀδολλάμ. 24 καὶ ἐπεὶ ἐξήγαγον αὐτοὺς πρὸς Ἰησοῦν, καὶ συνεκάλεσεν
Ἰησοῦς πάντα Ἰσραὴλ καὶ τοὺς ἐναρχομένους τοῦ πολέμου τοὺς συμπορευομέ-
νους αὐτῷ λέγων αὐτοῖς Προπορεύεσθε καὶ ἐπίθετε τοὺς πόδας ὑμῶν ἐπὶ τοὺς
τραχήλους αὐτῶν. καὶ προσελθόντες ἐπέθηκαν τοὺς πόδας αὐτῶν ἐπὶ τοὺς τρα-
25 χήλους αὐτῶν. 25 καὶ εἶπεν Ἰησοῦς πρὸς αὐτοὺς Μὴ φοβηθῆτε αὐτοὺς μηδὲ
δειλιάσητε, ἀνδρίζεσθε καὶ ἰσχύετε, ὅτι οὕτω ποιήσει κύριος πᾶσι τοῖς ἐχθροῖς
26 ὑμῶν οὓς ὑμεῖς καταπολεμεῖτε αὐτούς. 26 καὶ ἀπέκτεινεν αὐτοὺς Ἰησοῦς, καὶ
ἐκρέμασεν αὐτοὺς ἐπὶ πέντε ξύλων· καὶ ἦσαν κρεμάμενοι ἐπὶ τῶν ξύλων ἕως
27 ἑσπέρας. 27 καὶ ἐγενήθη πρὸς ἡλίου δυσμὰς ἐνετείλατο Ἰησοῦς καὶ καθεῖλον
αὐτοὺς ἀπὸ τῶν ξύλων, καὶ ἔρριψαν αὐτοὺς εἰς τὸ σπήλαιον εἰς ὃ κατεφύγο-
σαν ἐκεῖ, καὶ ἐπεκύλισαν λίθους ἐπὶ τὸ σπήλαιον ἕως τῆς σήμερον ἡμέρας.
28 28 καὶ τὴν Μακηδὰ ἐλάβοσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐφόνευσαν αὐτὴν ἐν
στόματι ξίφους, καὶ ἐξωλόθρευσαν πᾶν ἐμπνέον ὃ ἦν ἐν αὐτῇ, καὶ οὐ κατε-
λείφθη οὐδεὶς ἐν αὐτῇ διασεσωσμένος καὶ διαπεφευγώς· καὶ ἐποίησαν τῷ
29 βασιλεῖ Μακηδὰ ὃν τρόπον ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ. 29 καὶ ἀπῆλθεν Ἰη-
σοῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκ Μακηδὰ εἰς Λεβνά, καὶ ἐπολιόρκει Λεβνά.
30 30 καὶ παρέδωκεν αὐτὴν κύριος εἰς χεῖρας Ἰσραήλ, καὶ ἔλαβον αὐτὴν καὶ τὸν
βασιλέα αὐτῆς, καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφους καὶ πᾶν ἐμπνέον ἐν
αὐτῇ, καὶ οὐ κατελείφθη ἐν αὐτῇ διασεσωσμένος καὶ διαπεφευγώς· καὶ ἐποίη-
31 σαν τῷ βασιλεῖ αὐτῆς ὃν τρόπον ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ. 31 καὶ ἀπῆλθεν

---

12. η ημ. η παρεδ. χυριος ο θεος ... om υιων 14. συνεπολεμησεν 17. τω ιησοι 18. καταστησετε επ αυτου ανδρας φυλ. επ αυτους 19. αφητ. αυτους εισελθ. 20. παντες οι υιοι ισρ. 21. επεστραφη 22. εξενεγκατε 23. βασιλ. τουτους εκ ... λαχεις 24. πολεμου και τους ... προσπορευεσθε 25. * om ιησους ... ουτως 27. δυσμ. και ενετ. ... καθειλεν ... κατεφυγον 28. ελαβον ... εξωλεθρ. αυτους και παν ενπν. 29. πας ο λαος ο μετ ... εν μακηδα ... λεβμνα bis 30. * και κυριος ... κυρ. εν χειρι ... ελαβεν ... ενπνεον ... ουδε εις διασεσ. ... εποιησεν bis

Digitized by Google

Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκ Λεβνὰ εἰς Λαχίς, καὶ περιεκάθισεν
αὐτὴν καὶ ἐπολιόρκει αὐτήν. [32] καὶ παρέδωκε κύριος τὴν Λαχὶς εἰς τὰς χεῖρας 32
Ἰσραήλ, καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ ἐφόνευσαν αὐτὴν ἐν
στόματι ξίφους, καὶ ἐξωλόθρευσαν αὐτὴν ὃν τρόπον ἐποίησαν τὴν Λεβνά. [33] τότε 33
ἀνέβη Ἐλὰμ βασιλεὺς Γαζὲρ βοηθήσων τῇ Λαχίς· καὶ ἐπάταξεν αὐτὸν Ἰη-
σοῦς ἐν στόματι ξίφους καὶ τὸν λαὸν αὐτοῦ, ἕως τοῦ μὴ καταλειφθῆναι αὐ-
τῶν σεσωσμένον καὶ διαπεφευγότα. [34] καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ 34
μετ' αὐτοῦ ἐκ Λαχὶς εἰς Ὀδολλάμ, καὶ περιεκάθισεν αὐτὴν καὶ ἐξεπολιόρκη-
σεν αὐτήν. [35] καὶ παρέδωκεν αὐτὴν κύριος ἐν χειρὶ Ἰσραήλ, καὶ ἔλαβεν αὐ- 35
τὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐφόνευσεν αὐτὴν ἐν στόματι ξίφους, καὶ πᾶν
ἐμπνέον ἐν αὐτῇ ἐφόνευσαν ὃν τρόπον ἐποίησαν τῇ Λαχίς. [36] καὶ ἀπῆλθεν 36
Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ εἰς Χεβρών, καὶ περιεκάθισεν αὐτήν.
[37] καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφους καὶ πᾶν τὸ ἐμπνέον ὅσα ἦν ἐν αὐτῇ, 37
οὐκ ἦν διασεσωσμένος· ὃν τρόπον ἐποίησαν τὴν Ὀδολλάμ, ἐξωλόθρευσαν αὐ-
τὴν καὶ ὅσα ἦν ἐν αὐτῇ. [38] καὶ ἀπέστρεψεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ εἰς Δαβίρ, 38
καὶ περικαθίσαντες αὐτὴν [39] ἔλαβον αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς καὶ τὰς 39
κώμας αὐτῆς, καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφους, καὶ ἐξωλόθρευσαν αὐ-
τὴν καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ, καὶ οὐ κατέλιπον αὐτῇ οὐδένα διασεσωσμένον
ὃν τρόπον ἐποίησαν τῇ Χεβρὼν καὶ τῷ βασιλεῖ αὐτῆς, οὕτως ἐποίησαν τῇ
Δαβὶρ καὶ τῷ βασιλεῖ αὐτῆς. [40] καὶ ἐπάταξεν Ἰησοῦς πᾶσαν τὴν γῆν τῆς ὀρει- 40
νῆς καὶ τὴν Ναγὲβ καὶ τὴν πεδινὴν καὶ τὴν Ἀσηδὼθ καὶ τοὺς βασιλεῖς αὐ-
τῆς· οὐ κατέλιπον αὐτῶν σεσωσμένον, καὶ πᾶν ἐμπνέον ζωῆς ἐξωλόθρευσεν,
ὃν τρόπον ἐνετείλατο κύριος ὁ θεὸς Ἰσραήλ. [41] ἀπὸ Κάδης Βαρνὴ ἕως Γά- 41
ζης, πᾶσαν τὴν Γοσὸμ ἕως τῆς Γαβαών, [42] καὶ πάντας τοὺς βασιλεῖς αὐ-
τῶν καὶ τὴν γῆν αὐτῶν ἐπάταξεν Ἰησοῦς εἰς ἅπαξ· ὅτι κύριος ὁ θεὸς Ἰσραὴλ
συνεπολέμει τῷ Ἰσραήλ.

## XI.

Ὡς δὲ ἤκουσεν Ἰαβὶς βασιλεὺς Ἀσώρ, ἀπέστειλε πρὸς Ἰωβὰβ βασιλέα
Μαρὼν καὶ πρὸς βασιλέα Συμοὼν καὶ πρὸς βασιλέα Ἀζίφ, [2] καὶ πρὸς βασι- 2
λεῖς τοὺς κατὰ Σιδῶνα τὴν μεγάλην, εἰς τὴν ὀρεινὴν καὶ εἰς Ἄραβα ἀπέ-
ναντι Κενερώθ, καὶ εἰς τὸ πεδίον καὶ εἰς Φεναεδδώρ, [3] καὶ εἰς τοὺς παρα- 3
λίους Χαναναίους ἀπὸ ἀνατολῶν καὶ εἰς τοὺς παραλίους Ἀμορραίους καὶ τοὺς
Χετταίους καὶ Φερεζαίους καὶ Ἰεβουσαίους τοὺς ἐν τῷ ὄρει καὶ τοὺς Εὐαίους
καὶ τοὺς ὑπὸ τὴν Ἀερμὼν εἰς γῆν Μασσύμα. [4] καὶ ἐξῆλθον αὐτοὶ καὶ οἱ βασιλεῖς 4
αὐτῶν μετ' αὐτῶν, ὥσπερ ἡ ἄμμος τῆς θαλάσσης τῷ πλήθει, καὶ ἵπποι καὶ
ἅρματα πολλὰ σφόδρα. [5] καὶ συνῆλθον πάντες οἱ βασιλεῖς αὐτοὶ καὶ παρεγέ- 5
νοντο ἐπὶ τὸ αὐτό, καὶ παρενέβαλον ἐπὶ τοῦ ὕδατος Μαρὼν πολεμῆσαι τὸν

---

31. λαβμνα ... λαχεις ... περιεκαθισαν 32. λαχεις ... εφονευσεν ... εξωλεθρευσεν ... εποιησεν τη λαβμνα 33. αιλαμ ... λαχεις ... αυτω pro αυτων 34. λαχεις ... επολιορκει 35. ενπνεον ... λαχεις 36. περιεκαθισαν 37. παντα τα ενπνεοντα ... τη οδολλαμ ... εξωλεθρ. 38. δαβειρ 39. τας πασας κωμ. ... επαταξαν ... εξωλεθρ. ... ενπνεον ... κατελειπον ... om αυτη ... om και τω βασ. αυτ. ... δαβειρ ... in fine add καθαπερ εποιησαν τη λεβμνα και τω βασιλει αυτης. 40. κατελειπαν εν αυτη διασεσ. ... ενπνεον εξ αυτης εξωλεθρευσαν 41. και απεκτεινεν αυτους ιησους απο καδ. βαρν. ... τ. γην γοσ. 42. (πασας τους ...)' βασιλεις αυτου τους κατα την γην αυτων ελαβεν ιησ. εις ... om ο θεος ισραηλ XI. 1. ιαβεις ... μαδων ... σομερων ... αχιφ 2. πρ. τους βασιλεις ... την ραβαθ pro αραβα ... απεν. χενερεθθι ... * ναφεδωρ, ** ναφεθδωρ (?) 3. φερεζεους ... ευαιους τους υπο ... εις την μασσηφαθ 4. η αμμ. η παρα το χειλος της θαλ. 5. βασ. ουτοι ... παρεγεν. προς αυτον και παρενεβ. επι το αυτο επι του ... μερρων

Digitized by Google

6 Ἰσραήλ. [6] καὶ εἶπε κύριος πρὸς Ἰησοῦν Μὴ φοβηϑῇς ἀπὸ προςώπου αὐτῶν,
ὅτι αὔριον ταύτην τὴν ὥραν ἐγὼ παραδίδωμι τετροπωμένους αὐτοὺς ἐναντίον
τοῦ Ἰσραήλ· τοὺς ἵππους αὐτῶν νευροκοπήσεις, καὶ τὰ ἅρματα αὐτῶν κατα-
7 καύσεις ἐν πυρί. [7] καὶ ἦλϑεν Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς ἐπ' αὐ-
τοὺς ἐπὶ τὸ ὕδωρ Μαρὼν ἐξάπινα, καὶ ἐπέπεσαν ἐπ' αὐτοὺς ἐν τῇ ὀρεινῇ.
8 [8] καὶ παρέδωκεν αὐτοὺς κύριος ὑποχειρίους Ἰσραήλ, καὶ κόπτοντες αὐτοὺς κατε-
δίωκον ἕως Σιδῶνος τῆς μεγάλης καὶ ἕως Μασερὼν καὶ ἕως τῶν πεδίων
Μασσὼχ κατ' ἀνατολάς· καὶ κατέκοψαν αὐτοὺς ἕως τοῦ μὴ καταλειφϑῆναι
9 αὐτῶν διασεσωσμένον. [9] καὶ ἐποίησεν αὐτοῖς Ἰησοῦς ὃν τρόπον ἐνετείλατο αὐτῷ
κύριος, τοὺς ἵππους αὐτῶν ἐνευροκόπησε καὶ τὰ ἅρματα αὐτῶν ἐνέπρησε πυρί.
10 [10] καὶ ἐπεστράφη Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ κατελάβετο Ἀσὼρ καὶ τὸν
βασιλέα αὐτῆς· ἦν δὲ Ἀσὼρ τὸ πρότερον ἄρχουσα πασῶν τῶν βασιλειῶν τού-
11 των. [11] καὶ ἀπέκτειναν πᾶν ἐμπνέον ἐν αὐτῇ ἐν ξίφει καὶ ἐξωλόϑρευσαν πάν-
τας, καὶ οὐ κατελείφϑη ἐν αὐτῇ ἐμπνέον· καὶ τὴν Ἀσὼρ ἐνέπρησαν ἐν πυρί.
12 [12] καὶ πάσας τὰς πόλεις τῶν βασιλειῶν καὶ τοὺς βασιλεῖς αὐτῶν ἔλαβεν Ἰη-
σοῦς καὶ ἀνεῖλεν αὐτοὺς ἐν στόματι ξίφους, καὶ ἐξωλόϑρευσαν αὐτοὺς ὃν τρόπον
13 συνέταξε Μωυσῆς ὁ παῖς κυρίου. [13] ἀλλὰ πάσας τὰς πόλεις τὰς κεχωματισμέ-
14 νας οὐκ ἐνέπρησεν Ἰσραήλ· πλὴν Ἀσὼρ μόνην ἐνέπρησεν Ἰσραήλ. [14] καὶ πάντα
τὰ σκῦλα αὐτῆς ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραήλ, αὐτοὺς δὲ πάντας ἐξω-
λόϑρευσαν ἐν στόματι ξίφους ἕως ἀπώλεσεν αὐτούς, οὐ κατέλιπον ἐξ αὐτῶν
15 οὐδὲν ἐμπνέον. [15] ὃν τρόπον συνέταξε κύριος τῷ Μωυσῇ τῷ παιδὶ αὐτοῦ, καὶ
Μωυσῆς ὡςαύτως ἐνετείλατο τῷ Ἰησοῖ, καὶ οὕτως ἐποίησεν Ἰησοῦς· οὐ παρέβη
16 οὐδὲν ἀπὸ πάντων ὧν συνέταξεν αὐτῷ Μωυσῆς. [16] καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν
τὴν γῆν τὴν ὀρεινὴν καὶ πᾶσαν τὴν γῆν Ναγὲβ καὶ πᾶσαν τὴν γῆν Γοσὸμ
καὶ τὴν πεδινὴν καὶ τὴν πρὸς δυσμαῖς, καὶ τὸ ὄρος Ἰσραὴλ καὶ τὰ ταπεινὰ
17 [17] τὰ πρὸς τῷ ὄρει ἀπὸ ὄρους Χελχά, καὶ ὃ προςαναβαίνει εἰς Σηεὶρ καὶ ἕως
Βαλαγάδ, καὶ τὰ πεδία τοῦ Λιβάνου ὑπὸ τὸ ὄρος τὸ Ἀερμών· καὶ πάντας
18 τοὺς βασιλεῖς αὐτῶν ἔλαβε καὶ ἀνεῖλε καὶ ἀπέκτεινε. [18] καὶ ἡμέρας πλείους
19 ἐποίησεν Ἰησοῦς πρὸς τοὺς βασιλεῖς τούτους τὸν πόλεμον. [19] καὶ οὐκ ἦν πόλις
20 ἣν οὐκ ἔλαβεν Ἰσραήλ· πάντα ἐλάβοσαν ἐν πολέμῳ, [20] ὅτι διὰ κυρίου ἐγένετο
κατισχῦσαι αὐτῶν τὴν καρδίαν συναντᾶν εἰς πόλεμον πρὸς Ἰσραήλ, ἵνα ἐξο-
λοϑρευϑῶσιν, ὅπως μὴ δοϑῇ αὐτοῖς ἔλεος ἀλλ' ἵνα ἐξολοϑρευϑῶσιν ὃν τρόπον
21 εἶπε κύριος πρὸς Μωυσῆν. [21] καὶ ἦλϑεν Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ καὶ ἐξω-
λόϑρευσε τοὺς Ἐνακὶμ ἐκ τῆς ὀρεινῆς, ἐκ Χεβρὼν καὶ ἐκ Δαβὶρ καὶ ἐξ Ἀνα-
βὼϑ καὶ ἐκ παντὸς γένους Ἰσραὴλ καὶ ἐκ παντὸς ὄρους Ἰούδα, σὺν ταῖς πό-
22 λεσιν αὐτῶν· καὶ ἐξωλόϑρευσεν αὐτοὺς Ἰησοῦς. [22] οὐ κατελείφϑη τῶν Ἐνακὶμ
ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἀλλὰ πλὴν ἐν Γάζῃ καὶ ἐν Γὲϑ καὶ ἐν Ἀσελδὼ κατε-
23 λείφϑη. [23] καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν, καϑότι ἐνετείλατο κύριος τῷ

---

6. την ωραν ταυτην ... αυτους τετροπωμ. ... εναντ. υιων ισρ. ... om εν 7. μαρρων ... επεσαν αυτοις 8. αυτ. κατεδ. αυτους ... εως μασρεφωϑ μαειμ ... πεδ. μασσηφα ... om και ult. ... κατεκοψεν 9. καϑοτι pro ον τρ. ... εν πυρι 10. επεστρεψεν ... οτι ασωρ ην το 11. απεκτεινεν ... ενπνεον bis ... εν στοματι ξιφους κ. εξωλεϑρευσεν 12. εξωλεϑρευσεν 13. μονην αυτην ενεπρ. ιησους 14. εξωλεϑρευσαν ... κατελειπον αυτων ουδε εν ενπν. 15. ουϑεν ... συνεταξ. κυριος τω μωυση 16. τ. γ. την ναγεβ ... πεδεινην ... το οριον ισραηλ κ. τ. πεδινα 17. ορει αλακ ... om απο ορ. χελχα ... εις σηειρα ... βαλγαδ κ. το πεδιον ... κ. τους βασ. αυτ. παντ. ελαβ. κ. αν. αυτους κ. απ. 19. πολις ητις ου παρεδωκεν τοις υιοις ισραηλ· παντας ελαβεν ε. π. 20. την καρδ. αυτων ... εξολεϑρευϑωσιν bis 21. εξωλεϑρευσεν bis ... δαβειρ ... εξ ανωβ ... παντος ορους ισρ. 22. κατελειφϑησαν τω ενακιμ υπο ... γαζηβ ... εν αδωϑ κατελειφϑησαν

Digitized by Google

Μωυσῇ· καὶ ἔδωκεν αὐτοὺς Ἰησοῦς ἐν κληρονομίᾳ Ἰσραὴλ ἐν μερισμῷ κατὰ φυλὰς αὐτῶν. καὶ ἡ γῆ κατέπαυσε πολεμουμένη.

## XII.

Καὶ οὗτοι οἱ βασιλεῖς τῆς γῆς οὓς ἀνεῖλον οἱ υἱοὶ Ἰσραὴλ καὶ κατεκλη-
ρονόμησαν τὴν γῆν αὐτῶν πέραν τοῦ Ἰορδάνου ἀφ' ἡλίου ἀνατολῶν, ἀπὸ
φάραγγος Ἀρνῶν ἕως τοῦ ὄρους Ἀερμών, καὶ πᾶσαν τὴν γῆν Ἄραβα ἀπ' ἀνα-
τολῶν· 2 Σηὼν τὸν βασιλέα τῶν Ἀμορραίων, ὃς κατῴκει ἐν Ἐσεβών, κυριεύων 2
ἀπὸ Ἀρνῶν, ἥ ἐστιν ἐν τῇ φάραγγι κατὰ μέρος τῆς φάραγγος, καὶ τὸ ἥμισυ
τῆς Γαλαὰδ ἕως Ἰαβόκ, ὅρια υἱῶν Ἀμμών, 3 καὶ Ἄραβα ἕως τῆς θαλάσσης 3
Χενερὲθ κατ' ἀνατολὰς καὶ ἕως τῆς θαλάσσης Ἄραβα, θάλασσαν τῶν ἁλῶν
ἀπὸ ἀνατολῶν ὁδὸν τὴν κατὰ Ἀσειμώθ, ἀπὸ Θαιμὰν τὴν ὑπὸ Ἀσηδὼθ Φασγά·
4 καὶ Ὢγ βασιλεὺς Βασὰν ὑπελείφθη ἐκ τῶν γιγάντων, ὁ κατοικῶν ἐν Ἀσταρὼθ 4
καὶ ἐν Ἐδραΐν, 5 ἄρχων ἀπὸ ὄρους Ἀερμὼν καὶ ἀπὸ Σεχχαί, καὶ πᾶσαν τὴν 5
γῆν Βασὰν ἕως ὁρίων Γεργεσὶ καὶ τὴν Μαχὶ καὶ τὸ ἥμισυ Γαλαάδ, ὁρίων
Σηὼν βασιλέως Ἐσεβών. 6 Μωυσῆς ὁ παῖς κυρίου καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπά- 6
ταξαν αὐτούς· καὶ ἔδωκεν αὐτὴν Μωυσῆς ἐν κληρονομίᾳ Ῥουβὴν καὶ Γὰδ
καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. 7 καὶ οὗτοι οἱ βασιλεῖς τῶν Ἀμορραίων οὓς 7
ἀνεῖλεν Ἰησοῦς καὶ υἱοὶ Ἰσραὴλ ἐν τῷ πέραν τοῦ Ἰορδάνου παρὰ θάλασσαν
Βαλαγὰδ ἐν τῷ πεδίῳ τοῦ Λιβάνου καὶ ἕως ὄρους τοῦ Χελχὰ ἀναβαινόντων
εἰς Σηείρ, καὶ ἔδωκεν αὐτὴν Ἰησοῦς ταῖς φυλαῖς Ἰσραὴλ κληρονομεῖν κατὰ
κλῆρον αὐτῶν, 8 ἐν τῷ ὄρει καὶ ἐν τῷ πεδίῳ καὶ ἐν Ἄραβα καὶ ἐν Ἀσηδὼθ 8
καὶ ἐν τῇ ἐρήμῳ καὶ Ναγέβ, τὸν Χετταῖον καὶ τὸν Ἀμορραῖον καὶ τὸν Χα-
ναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἰεβουσαῖον· 9 τὸν βασιλέα 9
Ἱεριχὼ καὶ τὸν βασιλέα τῆς Γαί, ἥ ἐστι πλησίον Βαιθήλ, 10 βασιλέα Ἱερου- 10
σαλήμ, βασιλέα Χεβρών, 11 βασιλέα Ἱεριμούθ, βασιλέα Λαχίς, 12 βασιλέα Αἰ- 11 12
λάμ, βασιλέα Γαζέρ, 13 βασιλέα Δαβίρ, βασιλέα Γαδέρ, 14 βασιλέα Ἑρμάθ, 13 14
βασιλέα Ἀδέρ, 15 βασιλέα Λεβνά, βασιλέα Ὀδολλάμ, 16 βασιλέα Ἠλάθ, 17 βα- 15 — 17
σιλέα Ταφούτ, βασιλέα Ὀφέρ, 18 — 22 βασιλέα Ὀφὲκ τῆς Ἀρώκ, βασιλέα 18 — 22
Ἀσώμ, βασιλέα Συμοών, βασιλέα Μαμβρώθ, βασιλέα Ἀζίφ, βασιλέα Κάδης,
βασιλέα Ζαχάκ, βασιλέα Μαρεδώθ, βασιλέα Ἰεκὸμ τοῦ Χερμέλ, 23 βασιλέα 23
Ὀδολλὰμ τοῦ Φεννεαλδώρ, βασιλέα Γεΐ τῆς Γαλιλαίας, 24 βασιλέα Θερσά· 24
πάντες οὗτοι βασιλεῖς εἰκοσιεννέα.

## XIII.

Καὶ Ἰησοῦς πρεσβύτερος προβεβηκὼς τῶν ἡμερῶν. καὶ εἶπε κύριος πρὸς
Ἰησοῦν Σὺ προβέβηκας τῶν ἡμερῶν, καὶ ἡ γῆ ὑπολέλειπται πολλὴ εἰς κλη-
ρονομίαν. 2 καὶ αὕτη ἡ γῆ καταλελειμμένη· ὅρια Φυλιστιείμ, ὁ Γεσιρὶ καὶ ὁ 2
Χαναναῖος· 3 ἀπὸ τῆς ἀοικήτου τῆς κατὰ πρόσωπον Αἰγύπτου ἕως τῶν ὁρίων 3

---

23. ** αυτην pro αυτους   XII. 1. ανειλεν μωυσης και υιοι ισραηλ ... απο ηλιου ... om γην post. ... απο ανατ. 2. αροηρ pro αρνων 3. χεννερεθ ... σιμωθ pro ασειμωθ ... υπο pro απο 4. εδραειν 5. ασελχα pro σεχχαι ... om γην ... γεσουρι ... μαχατι 6. εν κληρω 7. * μωυσης pro ιησους ... οι υιοι ... παρα την θαλ. βαλγαδ ... αλοκ pro χελχα ... σηειρα ... κληρονομιαν κατα 8. μηδωθ pro ασηδωθ ... κ. εν αγεβ ... φερεζεον 9. γαΐ ... γεθ pro βαιθηλ 11. ιεριμου ... λαχεις 12. εγλωμ 13. δαβειρ 14. ερμα 15. λεβμνα 16. μακηδα pro ηλαθ 17. θαφφου 18—22. βασ. αφεκ, βασ. ασωρ, βασ. σαμρων, βασ. φασγα, βασ. μαρων, βασ. αχσαφ, βασ. θαναχ, βασ. μαγεδδων, βασ. κεδες, βασ. ιεκοναμ του χερμελ 23. βασ. αδδωρ του ναφεδδωρ, βασ. γωειμ της γελγεα 24. θερμα ... εικ. και εννεα   XIII. 1. υπολελιπται 2. η γη η καταλελιμμ. ... ο γεσουρι

Digitized by Google

Ἀκκαρὼν ἐξ εὐωνύμων τῶν Χαναναίων προςλογίζεται ταῖς πέντε σατραπείαις
τῶν Φυλιστιείμ, τῷ Γαζαίῳ καὶ τῷ Ἀζωτίῳ καὶ τῷ Ἀσκαλωνίτῃ καὶ τῷ
4 Γετθαίῳ καὶ τῷ Ἀκκαρωνίτῃ καὶ τῷ Εὐαίῳ· [4] ἐκ Θαιμὰν καὶ πάσῃ γῇ Χα-
ναὰν ἐναντίον Γάζης, καὶ οἱ Σιδώνιοι ἕως Ἀφὲκ ἕως τῶν ὁρίων τῶν Ἀμοῤ-
5 ῥαίων· [5] καὶ πᾶσαν τὴν γῆν Γαλιὰθ Φυλιστιεὶμ καὶ πάντα τὸν Λίβανον ἀπὸ
ἀνατολῶν ἡλίου, ἀπὸ Γαλγὰλ ὑπὸ τὸ ὄρος τὸ Ἀερμὼν ἕως τῆς εἰςόδου Ἐμάθ·
6 [6] πᾶς ὁ κατοικῶν τὴν ὀρεινὴν ἀπὸ τοῦ Λιβάνου ἕως τῆς Μασερὲθ Μεμφω-
μαίμ, πάντας τοὺς Σιδωνίους, ἐγὼ αὐτοὺς ἐξολοθρεύσω ἀπὸ προσώπου Ἰσραήλ·
7 ἀλλὰ διάδος αὐτὴν ἐν κλήρῳ τῷ Ἰσραήλ, ὃν τρόπον σοι ἐνετειλάμην. [7] καὶ
νῦν μέρισον τὴν γῆν ταύτην ἐν κληρονομίᾳ ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῆ, ἀπὸ τοῦ Ἰορδάνου ἕως τῆς θαλάσσης τῆς μεγάλης κατὰ
8 δυσμὰς ἡλίου δώσεις αὐτήν· ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ. [8] ταῖς δυσὶ φυλαῖς
καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ, τῷ Ῥουβὴν καὶ τῷ Γάδ, ἔδωκε Μωυσῆς
ἐν τῷ πέραν τοῦ Ἰορδάνου· κατ' ἀνατολὰς ἡλίου δέδωκεν αὐτῷ Μωυσῆς ὁ
9 παῖς κυρίου, [9] ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν, καὶ τὴν
πόλιν τὴν ἐν μέσῳ τῆς φάραγγος, καὶ πᾶσαν τὴν Μισὼρ ἀπὸ Μαιδαβάν·
10 [10] πάσας τὰς πόλεις Σηὼν βασιλέως Ἀμοῤῥαίων, ὃς ἐβασίλευσεν ἐν Ἐσεβὼν
11 ἕως τῶν ὁρίων υἱῶν Ἀμμών· [11] καὶ τὴν Γαλααδῖτιδα καὶ τὰ ὅρια Γεσιρί,
καὶ τοὺς Μαχατί, πᾶν ὄρος Ἀερμών, καὶ πᾶσαν τὴν Βασανῖτιν ἕως Ἀχά·
12 [12] πᾶσαν τὴν βασιλείαν Ὢγ ἐν τῇ Βασανίτιδι, ὃς ἐβασίλευσεν ἐν Ἀσταρὼθ
καὶ ἐν Ἐδραΐν· οὗτος κατελείφθη ἀπὸ τῶν γιγάντων, καὶ ἐπάταξεν αὐτὸν
13 Μωυσῆς καὶ ἐξωλόθρευσε. [13] καὶ οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν Γε-
σιρὶ καὶ τὸν Μαχατὶ καὶ τὸν Χαναναῖον· καὶ κατῴκει βασιλεὺς Γεσιρὶ καὶ
14 ὁ Μαχατὶ ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας. [14] πλὴν τῆς φυλῆς
Λευὶ οὐκ ἐδόθη κληρονομία· κύριος ὁ θεὸς Ἰσραήλ, οὗτος κληρονομία αὐτῶν,
καθὰ εἶπεν αὐτοῖς κύριος· καὶ οὗτος ὁ καταμερισμὸς ὃν κατεμέρισε Μωυσῆς
τοῖς υἱοῖς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωὰβ ἐν τῷ πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.
15 16 [15] καὶ ἔδωκε Μωυσῆς τῇ φυλῇ Ῥουβὴν κατὰ δήμους αὐτῶν. [16] καὶ ἐγενήθη
αὐτῶν τὰ ὅρια ἀπὸ Ἀροήρ, ἥ ἐστι κατὰ πρόσωπον φάραγγος Ἀρνῶν, καὶ ἡ
17 πόλις ἡ ἐν τῇ φάραγγι Ἀρνῶν· καὶ πᾶσαν τὴν Μισὼρ [17] ἕως Ἐσεβών, καὶ
πάσας τὰς πόλεις τὰς οὔσας ἐν τῇ Μισώρ, καὶ Δαιβὼν καὶ Βαιμὼν Βαὰλ καὶ
18 19 οἴκου Μεελβώθ, [18] καὶ Βασὰν καὶ Βακεδμὼθ καὶ Μαιφαάδ, [19] καὶ Καριαθαὶμ
20 καὶ Σεβαμὰ καὶ Σεραδὰ καὶ Σιὼν ἐν τῷ ὄρει Ἐνάβ, [20] καὶ Βαιθφογὼρ καὶ
21 Ἀσηδὼθ Φασγὰ καὶ Βαιτθασεινώθ, [21] καὶ πάσας τὰς πόλεις τοῦ Μισώρ, καὶ
πᾶσαν τὴν βασιλείαν τοῦ Σηὼν βασιλέως τῶν Ἀμοῤῥαίων, ὃν ἐπάταξε Μωυ-
σῆς αὐτὸν καὶ τοὺς ἡγουμένους Μαδιάμ, καὶ τὸν Εὐὶ καὶ τὸν Ῥοβὸκ καὶ τὸν
Σοὺρ καὶ τὸν Οὒρ καὶ τὸν Ῥοβὲ ἄρχοντα, ἔναρα Σιὼν καὶ τοὺς κατοικοῦν-
22 τας Σιών. [22] καὶ τὸν Βαλαὰμ τὸν τοῦ Βεὼρ τὸν μάντιν ἀπέκτειναν ἐν τῇ ῥοπῇ.
23 [23] ἐγένετο δὲ τὰ ὅρια Ῥουβήν, Ἰορδάνης ὅριον. αὕτη ἡ κληρονομία υἱῶν Ῥου-
24 βὴν κατὰ δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν. [24] ἔδωκε

---

3. σατραπιαις ... γεθθαιω 4. θεμαν ... παση τη γη ... om γαζης ... εως αφεκα 5. γαβλι φυλιστ. ... απ ανατολ. ... αιμαθ 6. μασερεφωθ μαιμ ... εξολεθρευσω ... ενετειλ. σοι 7. της φυλης μαννασση 8. ταις δε δυο ... μανασσ. τοις μετ αυτου ... ην εδωκεν ... αυτην pro αυτω 9. μεισωρ ... μαιδαβα 10. των αμορραιων 11. γαλααδιτιν ... γεσουρι ... μαχαθι ... εως ελχα 12. και πασαν ... εν τη βασαν ... ασταρ. και νεσδραειμ ... εξωλεθρευσεν 13. εξωλεθρευσαν ... γεσουρι bis ... μαχαθι bis ... της ημερ. ταυτης 14. τη φυλη τη ... αυτων κληρονομια 16. αυτω pro αυτων ... η πολις εν 17. βισωρ ... δαιβωρ ... βαμωθ βααλ ... οικους βελαμων 18. κ. ιασσα κ. κεδημωθ κ. μηφααθ 19. σαρθ pro σεραδα ... σιωρ ... εναχ 20. βεθφογωρ ... βησιμουθ pro βαιτθασεινωθ 21. σηωρ ... ροκομ pro ροβοκ ... τ. ρεβεκ αρχοντα σηωρ, τους κατοικ. την γην 23. om αυτων sec.

Digitized by Google

δὲ Μωυσῆς τοῖς υἱοῖς Γὰδ κατὰ δήμους αὐτῶν. [25]καὶ ἐγένετο τὰ ὅρια αὐτῶν 25
Ἰαζήρ, πᾶσαι πόλεις Γαλαὰδ καὶ τὸ ἥμισυ γῆς υἱῶν Ἀμμὼν ἕως Ἄραβα, ἥ
ἐστι κατὰ πρόσωπον Ἀράδ, [26]καὶ ἀπὸ Ἐσεβὼν ἕως Ἀραβὼθ κατὰ τὴν Μασ- 26
σηφά, καὶ Βοτανὶμ καὶ Μαὰν ἕως τῶν ὁρίων Δαιβών, [27]καὶ Ἐναδὼμ καὶ 27
Ὀθαργαῒ καὶ Βαινθαναβρὰ καὶ Σοχχωθὰ καὶ Σαφὰν καὶ τὴν λοιπὴν βασι-
λείαν Σηὼν βασιλέως Ἐσεβών· καὶ ὁ Ἰορδάνης ὁριεῖ ἕως μέρους τῆς θαλάσσης
Χενερὲθ πέραν τοῦ Ἰορδάνου ἀπ' ἀνατολῶν. [28]αὕτη ἡ κληρονομία υἱῶν Γὰδ 28
κατὰ δήμους αὐτῶν καὶ κατὰ πόλεις αὐτῶν· κατὰ δήμους αὐτῶν αὐχένα ἐπι-
στρέψουσιν ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθη κατὰ δήμους αὐτῶν αἱ
πόλεις αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν. [29]καὶ ἔδωκε Μωυσῆς τῷ ἡμίσει φυλῆς 29
Μανασσῆ κατὰ δήμους αὐτῶν. [30]καὶ ἐγένετο τὰ ὅρια αὐτῶν ἀπὸ Μαὰν καὶ 30
πᾶσα βασιλεία Βασὰν καὶ πᾶσα βασιλεία Ὢγ βασιλέως τῆς Βασάν, καὶ πά-
σας τὰς κώμας Ἰαῒρ αἵ εἰσιν ἐν τῇ Βασανίτιδι, ἑξήκοντα πόλεις· [31]καὶ τὸ 31
ἥμισυ τῆς Γαλαάδ, καὶ ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραῒν πόλεις βασιλείας Ὢγ ἐν
τῇ Βασανίτιδι, τοῖς υἱοῖς Μαχὶρ υἱοῖς Μανασσῆ καὶ τοῖς ἡμίσεσιν υἱοῖς Μα-
χὶρ υἱοῖς Μανασσῆ κατὰ δήμους αὐτῶν. [32]οὗτοι οὓς κατεκληρονόμησε Μωυσῆς 32
πέραν τοῦ Ἰορδάνου ἐν Ἀραβὼθ Μωάβ, ἐν τῷ πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ
Ἱεριχὼ ἀπ' ἀνατολῶν.

## XIV.

Καὶ οὗτοι οἱ κατακληρονομήσαντες υἱῶν Ἰσραὴλ ἐν τῇ γῇ Χαναάν, οἷς
*Act. 13, 19. κατεκληρονόμησαν αὐτοῖς Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ οἱ
ἄρχοντες πατριῶν φυλῶν τῶν υἱῶν Ἰσραήλ. [2]κατὰ κλήρους ἐκληρονόμησαν, 2
ὃν τρόπον ἐνετείλατο κύριος ἐν χειρὶ Ἰησοῦ ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει
φυλῆς, [3]ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου. καὶ τοῖς Λευίταις οὐκ ἔδωκε κλῆρον 3
ἐν αὐτοῖς, [4]ὅτι ἦσαν οἱ υἱοὶ Ἰωσὴφ δύο φυλαὶ Μανασσῆ καὶ Ἐφραΐμ· καὶ 4
οὐκ ἐδόθη μερὶς ἐν τῇ γῇ τοῖς Λευίταις, ἀλλ' ἢ πόλεις κατοικεῖν καὶ τὰ
ἀφωρισμένα αὐτῶν τοῖς κτήνεσι καὶ τὰ κτήνη αὐτῶν. [5]ὃν τρόπον ἐνετείλατο 5
κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐμέρισαν τὴν γῆν.
[6]καὶ προσήλθοσαν οἱ υἱοὶ Ἰούδα πρὸς Ἰησοῦν ἐν Γαλγάλ, καὶ εἶπε πρὸς αὐ- 6
τὸν Χάλεβ ὁ τοῦ Ἰεφοννῆ ὁ Κενεζαῖος Σὺ ἐπίστῃ τὸ ῥῆμα ὃ ἐλάλησε κύριος
πρὸς Μωυσῆν ἄνθρωπον τοῦ θεοῦ περὶ ἐμοῦ καὶ σοῦ ἐν Κάδης Βαρνή. [7]τεσ- 7
σαράκοντα γὰρ ἐτῶν ἤμην ὅτε ἀπέστειλέ με Μωυσῆς ὁ παῖς τοῦ θεοῦ ἐκ
Κάδης Βαρνὴ κατασκοπεῦσαι τὴν γῆν, καὶ ἀπεκρίθην αὐτῷ λόγον κατὰ τὸν
νοῦν αὐτοῦ. [8]οἱ ἀδελφοί μου οἱ ἀναβάντες μετ' ἐμοῦ μετέστησαν τὴν καρ- 8
δίαν τοῦ λαοῦ, ἐγὼ δὲ προσετέθην ἐπακολουθῆσαι κυρίῳ τῷ θεῷ μου. [9]καὶ 9
ὤμοσε Μωυσῆς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγων Ἡ γῆ ἐφ' ἣν ἐπέβης σοὶ ἔσται
ἐν κλήρῳ καὶ τοῖς τέκνοις σου εἰς τὸν αἰῶνα, ὅτι προσετέθης ἐπακολουθῆσαι
ὀπίσω κυρίου τοῦ θεοῦ ἡμῶν. [10]καὶ νῦν διέθρεψέ με κύριος ὃν τρόπον εἶπε· 10

---

25. πασαι αι πολ. γ. και ημισυ ... αροηρ pro αραβα ... προςωπ. ραββα 26. εως ραμωθ κ. τ. μασφα κ. βοτανιν κ. μαναϊμ εως οριων δαβειρ 27. κ. νεμεκ, βηθαραμ κ. βηθαμνα κ. σωχω κ. σαφων κ. την ... om και extr. ... μεριει ... χενερωθ 28. om κατα δ. αυτ. αυχενα usq. αι πολεις αυτ. 30. απο μαναϊμ, κ. πασα βασα, και ... om της 31. εν ασθαρωμ κ. ε. εδραϊμ π. της βασιλ. ... και εδοθησαν τοις υι. μαχειρ υιου μ. κ. τ. ημισεσιν, post haec ** pergit της φυλης μανασση εγενηθησαν τα ορια κατα φυλας αυτων και κατ. δημ. αυτ. 32. totus v. ** ... περ. του χειμαρρου εν ... om του extr. ... απο ανατ. XIV. 1. om εν τη γη ... εαυτοις 2. κυριος τω ιησου 4. τα αφωρισμ. αυτοις τοις ... om και τα κτηνη 5. τοις υιοις ισρ. ... εμερισαντο 6. προςηλθον ... εν γαλγαλοις 7. τεσσεραχ. ... μωυσης δουλος κυριου κατασκοπευσαι ... απεκριθησαν 8. om μου ... συναναβαντες ... την διανοιαν του 9. εφ ης ... προσετεθην

Digitized by Google

τοῦτο τεσσαρακοστὸν καὶ πέμπτον ἔτος ἀφ' οὗ ἐλάλησε κύριος τὸ ῥῆμα τοῦτο
πρὸς Μωυσῆν, καὶ ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ. καὶ νῦν ἰδοὺ ἐγὼ σήμερον
11 ὀγδοήκοντα καὶ πέντε ἐτῶν· [11] ἔτι εἰμὶ σήμερον ἰσχύων ὡσεὶ ὅτε ἀπέστειλέ
12 με Μωυσῆς, ὡσαύτως ἰσχύω νῦν ἐξελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν πόλεμον. [12] καὶ
νῦν αἰτοῦμαί σε τὸ ὄρος τοῦτο, καθὰ εἶπε κύριος τῇ ἡμέρᾳ ἐκείνῃ· ὅτι σὺ
ἀκήκοας τὸ ῥῆμα τοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. νῦν δὲ οἱ Ἐνακὶμ ἐκεῖ εἰσί,
πόλεις ὀχυραὶ καὶ μεγάλαι· ἐὰν οὖν κύριος μετ' ἐμοῦ ᾖ, ἐξολοθρεύσω αὐτοὺς
13 ὃν τρόπον εἶπέ μοι κύριος. [13] καὶ εὐλόγησεν αὐτὸν Ἰησοῦς, καὶ ἔδωκε Χεβρὼν
14 τῷ Χάλεβ υἱῷ Ἰεφοννῆ υἱῷ Κενὲζ ἐν κλήρῳ. [14] διὰ τοῦτο ἐγενήθη ἡ Χεβρὼν
τῷ Χάλεβ τῷ τοῦ Ἰεφοννῆ τοῦ Κενεζαίου ἐν κλήρῳ ἕως τῆς ἡμέρας ταύ-
15 της, διὰ τὸ αὐτὸν ἐπακολουθῆσαι τῷ προστάγματι κυρίου θεοῦ Ἰσραήλ. [15] τὸ
δὲ ὄνομα τῆς Χεβρὼν ἦν τὸ πρότερον πόλις Ἀργόβ, μητρόπολις τῶν Ἐνακὶμ
αὕτη. καὶ ἡ γῆ ἐκόπασε τοῦ πολέμου.

## XV.

Καὶ ἐγένετο τὰ ὅρια φυλῆς Ἰούδα κατὰ δήμους αὐτῶν ἀπὸ τῶν ὁρίων
2 τῆς Ἰδουμαίας, ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Κάδης πρὸς λίβα. [2] καὶ ἐγενήθη
αὐτῶν τὰ ὅρια ἀπὸ λιβὸς ἕως μέρους θαλάσσης τῆς ἁλυκῆς, ἀπὸ τῆς λοφιᾶς
3 τῆς φερούσης ἐπὶ λίβα· [3] καὶ διαπορεύεται ἀπέναντι τῆς προσαναβάσεως Ἀκρα-
βίν, καὶ ἐκπεριπορεύεται Σενά, καὶ ἀναβαίνει ἀπὸ λιβὸς ἐπὶ Κάδης Βαρνή,
καὶ ἐκπορεύεται Ἀσωρών, καὶ προσαναβαίνει εἰς Σάραδα, καὶ ἐκπορεύεται
4 τὴν κατὰ δυσμὰς Κάδης, [4] καὶ ἐκπορεύεται ἐπὶ Σελμωνάν, καὶ διεκβάλλει
ἕως φάραγγος Αἰγύπτου, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ἐπὶ τὴν θά-
5 λασσαν· τοῦτό ἐστιν αὐτῶν ὅρια ἀπὸ λιβός. [5] καὶ τὰ ὅρια ἀπὸ ἀνατολῶν πᾶσα
ἡ θάλασσα ἡ ἁλυκὴ ἕως τοῦ Ἰορδάνου. καὶ τὰ ὅρια αὐτῶν ἀπὸ βοῤῥᾶ, καὶ
6 ἀπὸ τῆς λοφιᾶς τῆς θαλάσσης καὶ ἀπὸ τοῦ μέρους τοῦ Ἰορδάνου [6] ἐπιβαίνει
τὰ ὅρια ἐπὶ Βαιθαγλαάμ, καὶ παραπορεύεται ἀπὸ βοῤῥᾶ ἐπὶ Βαιθάραβα, καὶ
7 προσαναβαίνει τὰ ὅρια ἐπὶ λίθον Βαιὼν υἱοῦ Ῥουβήν· [7] καὶ προσαναβαίνει
τὰ ὅρια ἐπὶ τὸ τέταρτον τῆς φάραγγος Ἀχώρ, καὶ καταβαίνει ἐπὶ Γαλγάλ,
ἥ ἐστιν ἀπέναντι τῆς προσβάσεως Ἀδαμμίν, ἥ ἐστι κατὰ λίβα τῇ φάραγγι,
καὶ διεκβάλλει ἐπὶ τὸ ὕδωρ τῆς πηγῆς τοῦ ἡλίου, καὶ ἔσται αὐτοῦ ἡ διέξο-
8 δος πηγὴ Ῥωγήλ· [8] καὶ ἀναβαίνει τὰ ὅρια εἰς φάραγγα Ἐννὸμ ἐπὶ νώτου
τοῦ Ἰεβοῦς ἀπὸ λιβός, αὕτη ἐστὶν Ἱερουσαλήμ, καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ
κορυφὴν ὄρους ἥ ἐστι κατὰ πρόσωπον φάραγγος Ἐννὸμ πρὸς θαλάσσης, ἥ
9 ἐστιν ἐκ μέρους γῆς Ῥαφαῒν ἐπὶ βοῤῥᾶ· [9] καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ κο-
ρυφῆς τοῦ ὄρους ἐπὶ πηγὴν ὕδατος Ναφθώ, καὶ διεκβάλλει εἰς τὸ ὄρος Ἐφρών,
10 καὶ ἄξει τὸ ὅριον εἰς Βάαλ, αὕτη ἐστὶ πόλις Ἰαρίμ· [10] καὶ περιελεύσεται ὅριον
ἀπὸ Βάαλ ἐπὶ θάλασσαν, καὶ παρελεύσεται εἰς ὄρος Ἀσσὰρ ἐπὶ νώτου πόλιν
Ἰαρὶν ἀπὸ βοῤῥᾶ, αὕτη ἐστὶ Χασλών, καὶ καταβήσεται ἐπὶ πόλιν ἡλίου, καὶ
11 παρελεύσεται ἐπὶ λίβα· [11] καὶ διεκβάλλει τὸ ὅριον κατὰ νώτου Ἀκκαρὼν ἐπὶ

---

10. τεσσερακοστον 12. κυριος εν τη ... νυνι δε οι ... εξολεθρευσω 13. τη χεβρων υιω χαλ. τω ιεφ. τω κενεζεω 14. *εγεν. εν χεβρ., ** εγεν. χεβρ. ... τω ιεφ. ... της σημερον ημερας ... κυρ. του θεου 15. om της ... om ην ... αρβο XV. 1. των οριων σιμ pro της ερ. σιν ... προς νοτον 2. απο νοτου ... επι νοτον 3. ακραββειμ ... απο νοτου ... εκπορ. εσρωμ ... εις αδδαρα, κ. περιπορευεται 4. κ. πορευεται επι ασεμωνα ... ταυτα εστ. αυτ. τα ορια απ. νοτου 5. επι βορραν 6. βαιθαλα pro βαιθαγλ. 7. απο γαλγαλ ... προσαναβασεως αδομμι ... κατα νοτον φαραγγι ... πηγης ηλιου 8. νωτου ιεβους ... om απο λιβος ... επι κορυφης ... ραφαειμ επι βορραν 9. του υδατος ... διεκβ. ορους εφρ. κ. εξαξει 10. επι βααλ, επι θαλασσαν εις ορος σηειρ και παρελευσ. επι νωτου π. ιαριμ ... χασαλων ... παρ. επι νοτον

Digitized by Google

βοῤῥᾶν, καὶ διεκβαλεῖ τὰ ὅρια εἰς Σοχχώϑ, καὶ παρελεύσεται ὅρια ἐπὶ λίβα,
καὶ διεκβαλεῖ ἐπὶ Λεβνά, καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ ϑάλασσαν.
[12] καὶ τὰ ὅρια αὐτῶν ἀπὸ ϑαλάσσης, ἡ ϑάλασσα ἡ μεγάλη ὁριεῖ. ταῦτα τὰ 12
ὅρια υἱῶν Ἰούδα κύκλῳ κατὰ δήμους αὐτῶν. [13] καὶ τῷ Χάλεβ υἱῷ Ἰεφοννῆ 13
ἔδωκε μερίδα ἐν μέσῳ υἱῶν Ἰούδα διὰ προστάγματος τοῦ ϑεοῦ, καὶ ἔδωκεν
αὐτῷ Ἰησοῦς τὴν πόλιν Ἀρβὸκ μητρόπολιν Ἐνάκ, αὕτη ἐστὶ Χεβρών. [14] καὶ 14
ἐξωλόϑρευσεν ἐκεῖϑεν Χάλεβ υἱὸς Ἰεφοννῆ τοὺς τρεῖς υἱοὺς Ἐνάκ, τὸν Σουσὶ
καὶ Θολαμὶ καὶ τὸν Ἀχιμᾶ. [15] καὶ ἀνέβη ἐκεῖϑεν Χάλεβ ἐπὶ τοὺς κατοικοῦν- 15
τας Δαβίρ· τὸ δὲ ὄνομα Δαβὶρ ἦν τὸ πρότερον πόλις γραμμάτων. [16] καὶ εἶπε 16
Χάλεβ Ὃς ἂν λάβῃ καὶ ἐκκόψῃ τὴν πόλιν τῶν γραμμάτων καὶ κυριεύσῃ αὐ-
τῆς, δώσω αὐτῷ τὴν Ἀσχὰν ϑυγατέρα μου εἰς γυναῖκα. [17] καὶ ἔλαβεν αὐτὴν 17
Γοϑονιὴλ υἱὸς Κενὲζ ἀδελφοῦ Χάλεβ· καὶ ἔδωκεν αὐτῷ τὴν Ἀσχὰν ϑυγατέρα
αὐτοῦ γυναῖκα. [18] καὶ ἐγένετο ἐν τῷ ἐκπορεύεσϑαι αὐτὴν καὶ συνεβουλεύσατο αὐ- 18
τῷ λέγουσα Αἰτήσομαι τὸν πατέρα μου ἀγρόν· καὶ ἐβόησεν ἐκ τοῦ ὄνου. καὶ εἶ-
πεν αὐτῇ Χάλεβ Τί ἐστί σοι; [19] καὶ εἶπεν αὐτῷ Δός μοι εὐλογίαν, ὅτι εἰς γῆν 19
Ναγὲβ δέδωκάς με· δός μοι τὴν Βοτϑανίς. καὶ ἔδωκεν αὐτῇ τὴν Γοναιϑλὰν τὴν
ἄνω καὶ τὴν Γοναιϑλὰν τὴν κάτω. [20] αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰούδα. 20
[21] ἐγενήϑησαν δὲ πόλεις αὐτῶν πόλεις πρὸς τῇ φυλῇ υἱῶν Ἰούδα ἐφ' ὁρίων Ἐδὼμ 21
ἐπὶ τῆς ἐρήμου, καὶ Βαισελεὴλ καὶ Ἀρὰ καὶ Ἀσώρ, [22] καὶ Ἰκὰμ καὶ Ῥεγμὰ καὶ 22
Ἀρουήλ, [23] καὶ Κάδης καὶ Ἀσοριωναὶν καὶ Μαινὰμ [24] καὶ Βαλμαινὰν καὶ αἱ 23 24
κῶμαι αὐτῶν, [25] καὶ αἱ πόλεις ([25]) Ἀσερών, αὕτη Ἀσώρ, [26] καὶ Σὴν καὶ Σαλ- 25 26
μαὰ καὶ Μωλαδᾶ, [27] καὶ Σερὶ καὶ Βαιφαλάϑ, [28] καὶ Χολασεωλὰ καὶ Βηρσαβεέ, 27 28
καὶ αἱ κῶμαι αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν, [29] Βαλὰ καὶ Βακὼκ καὶ Ἀσόμ, 29
[30] καὶ Ἐλβωυδὰδ καὶ Βαιϑὴλ καὶ Ἑρμᾶ, [31] καὶ Σεκελὰκ καὶ Μαχαρὶμ καὶ 30 31
Σεϑεννάκ, [32] καὶ Λαβὼς καὶ Σαλὴ καὶ Ἐρωμώϑ, πόλεις εἰκοσιεννέα καὶ αἱ 32
κῶμαι αὐτῶν· [33] ἐν τῇ πεδινῇ Ἀσταὼλ καὶ Ῥάα καὶ Ἄσσα, [34] καὶ Ῥάμεν καὶ 33 34
Τανὼ καὶ Ἰλουϑὼϑ καὶ Μαιανί, [35] καὶ Ἱερμοὺϑ καὶ Ὀδολλὰμ καὶ Μεμβρὰ 35
καὶ Σαωχὼ καὶ Ἰαζηκά, [36] καὶ Σακαρὶμ καὶ Γάδηρα καὶ αἱ ἐπαύλεις αὐ- 36
τῆς, πόλεις δεκατέσσαρες καὶ αἱ κῶμαι αὐτῶν· [37] Σεννὰ καὶ Ἀδασὰν καὶ 37
Μαγαδαλγάδ, [38] καὶ Δαλὰδ καὶ Μασφὰ καὶ Ἰαχαρεήλ, [39] καὶ Βασηδὼϑ καὶ 38 39
Ἰδεαδαλέα, [40] καὶ Χαβρὰ καὶ Μαχὲς καὶ Μααχώς, [41] καὶ Γεδδὼρ καὶ Βα- 40 41
γαδιὴλ καὶ Νωμὰν καὶ Μαχηδάν, πόλεις ἑξκαίδεκα καὶ αἱ κῶμαι αὐτῶν·

---

11. βορραν, κ. διεκβαλλει τα ορ. εις ακκαρωνα, κ. παρελευσ. ορος της βαλα (** γαβαλα), κ. διεκβαλλει επι ιαβνηλ, κ. εσται 13. αρβεκ ... μητροπολις 14. εξωλεϑρευσεν ... σουσαι κ. τον ϑολμαι (?) 15. δαβειρ ... om το δε ονομ. δαβ. ... το προτερ. ην 16. om και εκκοψη ... και δωσω αυτω αχσαν 17. χαλεβ ο νεωτερος ... αχσαν ... αυτου αυτω εις γυν. 18. εγενηϑη ε. τ. εισπορευεσϑαι ... απο του ονου 19. δος μοι γωλαϑ μαϊμ ... αυτη χαλεβ την γωλαϑ την κατω 21. δε αι πολεις αυτ. πολις πρωτη φυλης ... επι οριων ... ερημου κασϑεηλ και εδραιν κ. ιαγουρ. Seqq. usque v. 44. plene sic habent: 22. και κινα κ. διμωνα κ. αδαδα 23. κ. κεδες κ. ιϑναζιφ κ. τελεμ 24. κ. βαλωϑ 25. κ. πολις ασερωμ, αυτη ασωραμαμ 26. κ. σαμαα κ. μωδαδα 27. κ. ασερ, γαδδα και βαιϑφαλεϑ 28. κ. ασαρσουλα κ. βηρσαβεϑ κ. αι κ. αυτ. και αι επαυλις αυτων 29. βααλα κ. αυειμ κ. ασεμ 30. κ. ελϑωλαδ κ. χασειρ κ. ερμαλ 31. κ. σικελεγ κ. βεδεβηνα κ. σανσαννα 32. κ. λαβωϑ κ. σελεειμ κ. ρεμμων, πολ. εικ. και εννεα κ. αι κ. αυτ. 33. ε. τ. π. εσϑαολ κ. σαραα κ. ασνα 34. κ. ραμεν κ. ζανω κ. αδιαϑαειμ κ. ηναειμ 35. κ. ιεριμουϑ κ. οδολλα κ. εμρα (** νεμρα) κ. σωχω κ. αζηκα 36. κ. σαργαρειμ κ. γαδηρα κ. αι etc. 37. σενναμ κ. αδασα κ. μαγδαλγαδ 38. κ. δαλααν κ. μασφα κ. ιεχϑαηλ 39. κ. λαχεις κ. μασχαϑ κ. εγλωμ 40. κ. χαββα κ. λαμας κ. χαϑλως 41. κ. γαδηρωϑ κ. βηϑδαγων κ. νωμα κ. μακηδα, π. δεκαεξ κ. αι κ. α.

Digitized by Google

42 – 44 42 Λεβνὰ καὶ Ἰθὰκ καὶ Ἀνώχ, 43 καὶ Ἰανὰ καὶ Νασίβ, 44 καὶ Κεϊλὰμ καὶ
Ἀκιεζὶ καὶ Κεζὶβ καὶ Βαθησὰρ καὶ Αἰλώμ, πόλεις δέκα καὶ αἱ κῶμαι αὐ-
45 46 τῶν· 45 Ἀκκαρὼν καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῶν· 46 ἀπὸ Ἀκ-
καρὼν Γεμνά· καὶ πᾶσαι ὅσαι εἰσὶ πλησίον Ἀσηδὼθ καὶ αἱ κῶμαι αὐτῶν·
47 47 Ἀσιεδὼθ καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς· Γάζα καὶ αἱ κῶμαι
αὐτῆς καὶ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάῤῥου Αἰγύπτου, καὶ ἡ θάλασσα ἡ
48 49 μεγάλη διορίζει· 48 καὶ ἐν τῇ ὀρεινῇ Σαμὶρ καὶ Ἰεθὲρ καὶ Σωχά, 49 καὶ
50 Ῥεννὰ καὶ πόλις γραμμάτων, αὕτη Δαβίρ, 50 καὶ Ἀνὼν καὶ Ἒς καὶ Μὰν καὶ
51 Αἰσάμ, 51 καὶ Γοσὸμ καὶ Χαλοὺ καὶ Χαννὰ καὶ Γηλώμ, πόλεις ἕνδεκα καὶ
52 53 αἱ κῶμαι αὐτῶν· 52 Αἰρὲμ καὶ Ῥεμνὰ καὶ Σομά, 53 καὶ Ἰεμαῒν καὶ Βαιθα-
54 χοὺ καὶ Φακουά, 54 καὶ Εὐμὰ καὶ πόλις Ἀρβόκ, αὕτη ἐστὶ Χεβρών, καὶ Σω-
55 ραίθ, πόλεις ἐννέα καὶ αἱ ἐπαύλεις αὐτῶν· 55 Μαὼρ καὶ Χερμὲλ καὶ Ὀζὶβ
56 57 καὶ Ἰτάν, 56 καὶ Ἰαριὴλ καὶ Ἀρικὰμ καὶ Ζακαναΐμ, 57 καὶ Γαβαὰ καὶ
58 Θαμναθά, πόλεις ἐννέα καὶ αἱ κῶμαι αὐτῶν· 58 Αἰλουὰ καὶ Βηθσοὺρ καὶ
59 Γεδδών, 59 καὶ Μαγαρὼθ καὶ Βαιθανὰμ καὶ Θεκούμ, πόλεις ἓξ καὶ αἱ κῶ-
μαι αὐτῶν· Θεκὼ καὶ Ἐφραθά, αὕτη ἐστὶ Βαιθλεέμ, καὶ Φαγὼρ καὶ Αἰτὰν
καὶ Κουλὸν καὶ Τατὰμ καὶ Θωβὴς καὶ Καρὲμ καὶ Γαλὲμ καὶ Θεθὴρ καὶ
60 Μανοχώ, πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν· 60 Καριὰθ Βάαλ, αὕτη ἡ πόλις
61 Ἰαρίμ, καὶ Σωθηβᾶ, πόλεις δύο καὶ αἱ ἐπαύλεις αὐτῶν· 61 καὶ Βαδδαργεὶς
62 καὶ Θαραβαὰμ καὶ Αἰνὼν 62 καὶ Αἰσχιοζὰ καὶ Ναφλαζών, καὶ αἱ πόλεις Σα-
63 δῶν καὶ Ἀγκάδης, πόλεις ἑπτὰ καὶ αἱ κῶμαι αὐτῶν. 63 καὶ ὁ Ἰεβουσαῖος
κατῴκει ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Ἰούδα ἀπολέσαι αὐ-
τούς· καὶ κατῴκησαν οἱ Ἰεβουσαῖοι ἐν Ἱερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

## XVI.

Καὶ ἐγένετο τὰ ὅρια υἱῶν Ἰωσὴφ ἀπὸ τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ
ἀπὸ ἀνατολῶν, καὶ ἀναβήσεται ἀπὸ Ἱεριχὼ εἰς τὴν ὀρεινὴν τὴν ἔρημον εἰς
2 Βαιθὴλ Λουζά, 2 καὶ ἐξελεύσεται εἰς Βαιθήλ, καὶ παρελεύσεται ἐπὶ τὰ ὅρια
3 τοῦ Ἀχαταρωθί, 3 καὶ διελεύσεται ἐπὶ τὴν θάλασσαν ἐπὶ τὰ ὅρια Ἀπταλὶμ
ἕως τῶν ὁρίων Βαιθωρὼν τὴν κάτω, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ τὴν
4 5 θάλασσαν. 4 καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Ἰωσήφ, Ἐφραῒμ καὶ Μανασσῆ. 5 καὶ
ἐγενήθη ὅρια υἱῶν Ἐφραῒμ κατὰ δήμους αὐτῶν· καὶ ἐγενήθη τὰ ὅρια τῆς
κληρονομίας αὐτῶν ἀπ' ἀνατολῶν Ἀταρὼθ καὶ Ἐρὼκ ἕως Βαιθωρὼν τὴν ἄνω

---

42. λεβνα κ. αφερ (** αφερ, * αθερ?) κ. ιεφθα 43. κ. ασεννα κ. νεσιβ 44. κ. κεειλα κ. αχζεκ κ. μαρησα κ. εδωμ, π. εννεα κ. αι κ. αυτ. 46. και απο ακκ. ιεμναϊ ... ασδωμ ... om κ. αι κωμ. αυτων 47. om ασιεδωθ ... αι επαυλεις pro επαυλεις 48. σαφειρ κ. ιεθερ κ. σωχω 49. om και sec. ... αυτη εστιν δαβειρ Seqq. plene usq. v. 62: 50. κ. ανωβ κ. εσθεμω κ. ανειμ 51. κ. γοσομ κ. χιλουων κ. γηλων, π. δεκα κ. αι κ. αυτ. 52. ερεβ κ. εσαν κ. ρουμα 53. κ. ανουμ κ. βεθθαπφουε κ. αφακα 54. κ. χαμματα κ. π. αρβοα α. ε. χ. κ. σιωρ, π. ενν. κ. αι κωμαι αυτων 55. μαων κ. χερμελ κ. ζιφ κ. ιεττα 56. κ. ιεζδραελ κ. ιεκδααμ κ. ζανωακειμ 57. κ. γαβαα κ. θαμνα, π. ενν. κ. αι κ. αυτ. 58. αλουλ κ. βεθσουρ κ. γεδωρ 59. κ. μαρωθ κ. βαιθανων κ. ελθεκεν, π. εξ κ. αι κ. αυτ. θεκω κ. εφραθα, αυτ. ε. βηθλεεμ, κ. φαγωρ κ. αιταμ κ. κουλον κ. ταταμι κ. σωρης κ. καρεμ κ. γαλλιμ κ. βαιθηρ κ. μανοχω, π. ενδ. κ. αι κ. αυτ. 60. καριαθ βααλ, αυτη πολις ιαριμ, κ. αρεββα, π. δυο κ. αι κωμαι αυτων κ. αι επ. αυτ. 61. βαδδαργεις κ. βηθαραβα κ. μαδων 62. κ. σοχοχα κ. νεβσαν κ. αι πολις αλων κ. ηνγαδδι, π. επτ. κ. αι κ. αυτ. 63. ηδυνηθησαν ... κατωκεισαν ... ημερας εκεινης XVI. 1. α. ανατολ. την ερημον, και αναβ. ... om λουζα 2. απο βαιθηλ λουζα ... αχιαταρωθ 3. εις τα ορια του ιεφαλθι ... της κατω 5. τα ορια υιων ... αδαρ pro ερωκ ... της ανω

Digitized by Google

καὶ Γαζαρά. [6] καὶ ἐλεύσεται τὰ ὅρια ἐπὶ τὴν θάλασσαν εἰς Ἰκασμὼν ἀπὸ 6
βοῤῥᾶ Θερμᾶ, περιελεύσεται ἐπ' ἀνατολὰς εἰς Θηνασὰ καὶ Σέλλης, καὶ παρ-
ελεύσεται ἀπ' ἀνατολῶν εἰς Ἰανωκὰ [7] καὶ εἰς Μαχὼ καὶ Ἀταρώθ, καὶ αἱ 7
κῶμαι αὐτῶν· καὶ ἐλεύσεται ἐπὶ Ἱεριχώ, καὶ διεκβαλεῖ ἐπὶ τὸν Ἰορδάνην.
[8] καὶ ἀπὸ Τάφου πορεύσεται τὰ ὅρια ἐπὶ θάλασσαν ἐπὶ Χελκανά, καὶ ἔσται 8
ἡ διέξοδος αὐτῶν ἐπὶ θάλασσαν· αὕτη ἡ κληρονομία φυλῆς Ἐφραῒμ κατὰ
δήμους αὐτῶν. [9] καὶ αἱ πόλεις αἱ ἀφορισθεῖσαι τοῖς υἱοῖς Ἐφραῒμ ἀνὰ μέσον 9
τῆς κληρονομίας υἱῶν Μανασσῆ, πᾶσαι αἱ πόλεις καὶ αἱ κῶμαι αὐτῶν. [10] καὶ 10
οὐκ ἀπώλεσεν Ἐφραῒμ τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ· καὶ κατῴ-
κει ὁ Χαναναῖος ἐν τῷ Ἐφραῒμ ἕως τῆς ἡμέρας ταύτης, ἕως ἀνέβη Φαραὼ
βασιλεὺς Αἰγύπτου καὶ ἔλαβεν αὐτὴν καὶ ἐνέπρησεν αὐτὴν ἐν πυρί, καὶ τοὺς
Χαναναίους καὶ τοὺς Φερεζαίους καὶ τοὺς κατοικοῦντας ἐν Γαζὲρ ἐξεκέντη-
σαν· καὶ ἔδωκεν αὐτὴν Φαραὼ ἐν φερνῇ τῇ θυγατρὶ αὐτοῦ.

## XVII.

Καὶ ἐγένετο τὰ ὅρια φυλῆς υἱῶν Μανασσῆ, ὅτι οὗτος πρωτότοκος τῷ
Ἰωσήφ, τῷ Μαχὶρ πρωτοτόκῳ Μανασσῆ πατρὶ Γαλαάδ, ἀνὴρ γὰρ πολεμιστὴς
ἦν, ἐν τῇ Γαλααδίτιδι καὶ ἐν τῇ Βασανίτιδι. [2] καὶ ἐγενήθη τοῖς υἱοῖς Μα- 2
νασσῆ τοῖς λοιποῖς κατὰ δήμους αὐτῶν, τοῖς υἱοῖς Ἰεζὶ καὶ τοῖς υἱοῖς Κελὲζ
καὶ τοῖς υἱοῖς Ἰεζιὴλ καὶ τοῖς υἱοῖς Συχὲμ καὶ τοῖς υἱοῖς Συμαρὶμ καὶ τοῖς
υἱοῖς Ὀφέρ· οὗτοι ἄρσενες κατὰ δήμους αὐτῶν. [3] καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ 3
οὐκ ἦσαν αὐτῷ υἱοὶ ἀλλ' ἢ θυγατέρες. καὶ ταῦτα τὰ ὀνόματα τῶν θυγατέρων
Σαλπαάδ· Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά. [4] καὶ ἔστησαν 4
ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἐναντίον Ἰησοῦ καὶ ἐναντίον τῶν ἀρχόντων
λέγουσαι Ὁ θεὸς ἐνετείλατο διὰ χειρὸς Μωυσῆ δοῦναι ἡμῖν κληρονομίαν ἐν
μέσῳ τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐδόθη αὐταῖς διὰ προστάγματος κυρίου κλῆρος
ἐν τοῖς ἀδελφοῖς τοῦ πατρὸς αὐτῶν. [5] καὶ ἔπεσεν ὁ σχοινισμὸς αὐτῶν ἀπὸ 5
Ἀνάσσα, καὶ πεδίον Λαβὲκ ἐκ τῆς γῆς Γαλαὰδ ἥ ἐστι πέραν τοῦ Ἰορδάνου·
[6] ὅτι θυγατέρες υἱῶν Μανασσῆ ἐκληρονόμησαν κλῆρον ἐν μέσῳ τῶν ἀδελφῶν 6
αὐτῶν· ἡ δὲ γῆ Γαλαὰδ ἐγενήθη τοῖς υἱοῖς Μανασσῆ τοῖς καταλελειμμένοις.
[7] καὶ ἐγενήθη ὅρια υἱῶν Μανασσῆ Δηλανάθ, ἥ ἐστι κατὰ πρόσωπον υἱῶν Ἀνάθ, 7
καὶ πορεύεται ἐπὶ τὰ ὅρια ἐπὶ Ἰαμὶν καὶ Ἰασσὶβ ἐπὶ πηγὴν Θαφθώθ. [8] τῷ 8
Μανασσῇ ἔσται, καὶ Θαφὲθ ἐπὶ τῶν ὁρίων Μανασσῆ τοῖς υἱοῖς Ἐφραΐμ. [9] καὶ 9
καταβήσεται τὰ ὅρια ἐπὶ φάραγγα Καρανὰ ἐπὶ λίβα κατὰ φάραγγα Ἰαριὴλ
τερέμινθος τῷ Ἐφραῒμ ἀνὰ μέσον πόλεως Μανασσῆ· καὶ ὅρια Μανασσῆ ἐπὶ
τὸν βοῤῥᾶν εἰς τὸν χειμάῤῥουν. καὶ ἔσται αὐτοῦ ἡ διέξοδος θάλασσα [10] ἀπὸ 10
λιβὸς τῷ Ἐραΐμ, καὶ ἐπὶ βοῤῥᾶν Μανασσῆ· καὶ ἔσται ἡ θάλασσα ὅρια αὐ-
τοῖς. καὶ ἐπὶ Ἀσὴβ συνάψουσιν ἐπὶ βοῤῥᾶν, καὶ τῷ Ἰσσάχαρ ἀπὸ ἀνατολῶν.
[11] καὶ ἔσται Μανασσῆ ἐν Ἰσσάχαρ καὶ ἐν Ἀσὴρ Βαιθσὰν καὶ αἱ κῶμαι αὐ- 11

---

6. διελευσεται ... εις μαχθωθ απο βορρα, και παρελευσεται επ α. ε. τηναθ σηλω και παρελ. ... ιανω 7. om κ. ε. μαχω και ... εις αταρωθ και νααραθα κ. αι κ. α. κ. διελευσ. εις ιερ. 8. α. εφφουε παρελευσεται ορια ε. θ. επι χειμαρρουν κανα ... η διεξ. αυτου ... φυλ. υιων εφρ. 10. ελαβεν την πολιν ... εξεκεντησεν XVII. 1. μαννασση ... μαχειρ ... om εν prius 2. αχιεζερ ... φελεκ ... εριηλ ... σεχεμ ... σεμιραε 3. σαλφααδ bis ... μαλα ... αιγλαμ 4. ιησου υιου ναυη ... α ο θεος ... κληρ. δια προσταγμ. κυρ. 5. μανασση pro αυτων ... om απο ανασσ. και ... εκ γης γαλααδ και της βασαν η εστι 6. καταλελιμμενοις 7. κ. εγ. ορ. υι. μαν. απο ασηρ μαχθωθ, η εστ. κατα προσωπ. συχεμ, και πορευεται τα ορια επι ιαμιν και εις ιασηφ επι την γην θαθφωθ 8. θαφθωθ ... om τ. υι. εφρ. 9. om και καταβ. τα ορια ... φαρ. καναι ε. λ. κατα την φαρ. ιαειρ, η τερεβινθος ... επι βορρα ... om θαλασσα 10. τω μανασση ... επι ασηρ

Digitized by Google

τῶν, καὶ τοὺς κατοικοῦντας Δὼρ καὶ τὰς κώμας αὐτῆς, καὶ τοὺς κατοικοῦν-
τας Μαγεδδὼ καὶ τὰς κώμας αὐτῆς, καὶ τὸ τρίτον τῆς Μαφετὰ καὶ τὰς κώμας
12 αὐτῆς. [12] καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Μανασσῆ ἐξολοθρεῦσαι τὰς πόλεις ταύ-
13 τας· καὶ ἤρχετο ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ γῇ ταύτῃ. [13] καὶ ἐγενήθη καὶ
ἐπεὶ κατίσχυσαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐποίησαν τοὺς Χαναναίους ὑπηκόους,
14 ἐξολοθρεῦσαι δὲ αὐτοὺς οὐκ ἐξωλόθρευσαν. [14] ἀντεῖπαν δὲ οἱ υἱοὶ Ἰωσὴφ τῷ
Ἰησοῖ λέγοντες Διὰ τί ἐκληρονόμησας ἡμᾶς κλῆρον ἕνα καὶ σχοίνισμα ἕν; ἐγὼ
15 δὲ λαὸς πολύς εἰμι, καὶ ὁ θεὸς εὐλόγησέ με. [15] καὶ εἶπεν αὐτοῖς Ἰησοῦς Εἰ
λαὸς πολὺς εἶ, ἀνάβηθι εἰς τὸν δρυμὸν καὶ ἐκκάθαρον σεαυτῷ, εἰ στενοχωρεῖ
16 σε τὸ ὄρος τὸ Ἐφραΐμ. [16] καὶ εἶπαν Οὐκ ἀρέσκει ἡμῖν τὸ ὄρος τὸ Ἐφραΐμ·
καὶ ἵππος ἐπίλεκτος καὶ σίδηρος τῷ Χαναναίῳ τῷ κατοικοῦντι ἐν αὐτῷ ἐν
17 Βαιθσὰν καὶ ἐν ταῖς κώμαις αὐτῆς, ἐν τῇ κοιλάδι Ἰεζραέλ. [17] καὶ εἶπεν Ἰη-
σοῦς τοῖς υἱοῖς Ἰωσὴφ Εἰ λαὸς πολὺς εἶ καὶ ἰσχὺν μεγάλην ἔχεις, οὐκ ἔσται
18 σοι κλῆρος εἷς· [18] ὁ γὰρ δρυμὸς ἔσται σοι, ὅτι δρυμός ἐστι, καὶ ἐκκαθαριεῖς
αὐτόν, καὶ ἔσται σοι· καὶ ὅταν ἐξολοθρεύσῃς τὸν Χαναναῖον, ὅτι ἵππος ἐπί-
λεκτος αὐτῷ ἐστί· σὺ γὰρ ὑπερισχύεις αὐτοῦ.

## XVIII.

Καὶ ἐξεκκλησιάσθη πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς Σηλώ, καὶ ἔπηξαν
2 ἐκεῖ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἡ γῆ ἐκρατήθη ὑπ' αὐτῶν. [2] καὶ κατε-
3 λείφθησαν οἱ υἱοὶ Ἰσραὴλ οἳ οὐκ ἐκληρονόμησαν, ἑπτὰ φυλαί. [3] καὶ εἶπεν
Ἰησοῦς τοῖς υἱοῖς Ἰσραὴλ Ἕως τίνος ἐκλυθήσεσθε κληρονομῆσαι τὴν γῆν ἣν
4 ἔδωκε κύριος ὁ θεὸς ἡμῶν; [4] δότε ἐξ ὑμῶν ἄνδρας τρεῖς ἐκ φυλῆς, καὶ ἀνα-
στάντες διελθέτωσαν τὴν γῆν, καὶ διαγραψάτωσαν αὐτὴν ἐναντίον μου καθὰ
5 δεήσει διελεῖν αὐτήν. καὶ διήλθοσαν πρὸς αὐτόν, [5] καὶ διεῖλεν αὐτοῖς ἑπτὰ
μερίδας· Ἰούδας στήσεται αὐτοῖς ὅριον ἀπὸ λιβός, καὶ οἱ υἱοὶ Ἰωσὴφ στή-
6 σονται αὐτοῖς ἀπὸ βοῤῥᾶ. [6] ὑμεῖς δὲ μερίσατε τὴν γῆν ἑπτὰ μερίδας καὶ ἐνέγ-
κατε ὧδε πρὸς μέ, καὶ ἐξοίσω ὑμῖν κλῆρον ἔναντι κυρίου τοῦ θεοῦ ἡμῶν.
7 [7] οὐ γάρ ἐστι μερὶς τοῖς υἱοῖς Λευὶ ἐν ὑμῖν, ἱερατεία γὰρ κυρίου μερὶς αὐτοῦ·
καὶ Γὰδ καὶ Ῥουβὴν καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἐλάβοσαν τὴν κληρονο-
μίαν αὐτῶν πέραν τοῦ Ἰορδάνου ἐπ' ἀνατολῆς, ἣν ἔδωκεν αὐτοῖς Μωυσῆς ὁ
8 παῖς κυρίου. [8] καὶ ἀναστάντες οἱ ἄνδρες ἐπορεύθησαν. καὶ ἐνετείλατο Ἰησοῦς
τοῖς ἀνδράσι τοῖς πορευομένοις χωροβατῆσαι τὴν γῆν λέγων Πορεύεσθε καὶ
χωροβατήσατε τὴν γῆν, καὶ παραγενήθητε πρὸς μέ, καὶ ὧδε ἐξοίσω ὑμῖν
9 κλῆρον ἔναντι κυρίου ἐν Σηλώ. [9] καὶ ἐπορεύθησαν καὶ ἐχωροβάτησαν τὴν γῆν,
καὶ εἴδοσαν αὐτήν, καὶ ἔγραψαν αὐτὴν κατὰ πόλεις ἑπτὰ μερίδας εἰς βιβλίον,
10 καὶ ἤνεγκαν πρὸς Ἰησοῦν. [10] καὶ ἐνέβαλεν αὐτοῖς Ἰησοῦς κλῆρον ἐν Σηλὼ
11 ἔναντι κυρίου. [11] καὶ ἐξῆλθεν ὁ κλῆρος φυλῆς Βενιαμὶν πρῶτος κατὰ δήμους
αὐτῶν· καὶ ἐξῆλθεν ὅρια τοῦ κλήρου αὐτῶν ἀνὰ μέσον υἱῶν Ἰούδα καὶ ἀνὰ

---

11. μαγεδδωρ κ. τ. κωμ. αυτ., και τους κατοικουντας ταναχ και τας κωμας αυτης, και το τρ. της ναφεθα και 12. ηδυνηθησαν ... εξολεθρευσαι ... ηρξατο 13. om και sec. ... ολεθρευσει δε αυτ. ουκ εξωλεθρ. 14. με ηυλογησεν 15. ει συ ... εκκαθαρισον ... το ορος εφραιμ 16. ειπαν οι υιοι ιωσηφ ... αρκει ... om το εφραιμ ... om εν αυτω 17. λεγων Ει 18. εξ-ολεθρευσης ... om εστι sec. ... υπερισχυσεις αυτον XVIII. 1. εξεκλη-σιασθη ... σηλωμ ... εκραταιωθη 2. ου κατεκληρονομησαν 3. αυτοις ιησους Εως ... εδωκεν ημιν κυριος ο θεος των πατερων ημων 4. τρεις ανδρας ... διελθατωσαν ... εμου ... δεησει διελθειν ... ηλθον 5. om αυτοις extr. 6. προς με ωδε ... εναντιον 7. οτι η ιερατ. κυρ. μ. αυτων ... ** φυλ. υιων μαν-νασση ... επ ανατολας 8. πορευθητε ... προς με ωδε, και εξοισω 9. ιδον ... πολ. αυτης επτα ... in fine add εις σηλω 10. εναντιον 11. μανασση pro βενιαμιν ... om υιων prius

Digitized by Google

μέσον τῶν υἱῶν Ἰωσήφ. 12 καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ βορρᾶ· ἀπὸ τοῦ 12
Ἰορδάνου προςαναβήσεται τὰ ὅρια κατὰ νώτου Ἱεριχὼ ἀπὸ βορρᾶ, καὶ ἀνα-
βήσεται ἐπὶ τὸ ὄρος ἐπὶ τὴν θάλασσαν, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος ἡ Μα-
βδαρῖτις Βαιθών· 13 καὶ διελεύσεται ἐκεῖθεν τὰ ὅρια Λουζὰ ἐπὶ νώτου Λουζὰ 13
ἀπὸ λιβὸς αὐτῆς, αὕτη ἐστὶ Βαιθήλ· καὶ καταβήσεται τὰ ὅρια Μααταρὼβ
Ὀρὲχ ἐπὶ τὴν ὀρεινήν, ἥ ἐστι πρὸς λίβα Βαιθωρὼν ἡ κάτω· 14 καὶ διελεύ- 14
σεται τὰ ὅρια καὶ παρελεύσεται ἐπὶ τὸ μέρος τὸ βλέπον παρὰ θάλασσαν ἀπὸ
λιβός, ἀπὸ τοῦ ὄρους ἐπὶ πρόςωπον Βαιθωρὼν λίβα, καὶ ἔσται αὐτοῦ ἡ διέξ-
οδος εἰς Καριὰθ Βάαλ, αὕτη ἐστὶ Καριαθιαρὶν πόλις υἱῶν Ἰούδα· τοῦτό ἐστι
τὸ μέρος τὸ πρὸς θάλασσαν. 15 καὶ μέρος τὸ πρὸς λίβα ἀπὸ μέρους Καριὰθ 15
Βάαλ· καὶ διελεύσεται ὅρια εἰς Γασίν, ἐπὶ πηγὴν ὕδατος Ναφθώ· 16 καὶ 16
καταβήσεται τὰ ὅρια ἐπὶ μέρους, τοῦτό ἐστι κατὰ πρόςωπον νάπης Σοννάμ,
ὅ ἐστιν ἐκ μέρους Ἐμὲκ Ῥαφαῒν ἀπὸ βορρᾶ, καὶ καταβήσεται Γαίεννα ἐπὶ
νῶτον Ἰεβουσαὶ ἀπὸ λιβός, καταβήσεται ἐπὶ πηγὴν Ῥωγήλ· 17 καὶ διελεύσε- 17
ται ἐπὶ πηγὴν Βαιθσαμύς, καὶ παρελεύσεται ἐπὶ Γαλιλώθ, ἥ ἐστιν ἀπέναντι
πρὸς ἀνάβασιν Αἰθαμίν, καὶ καταβήσεται ἐπὶ λίθον Βαιὼν υἱῶν Ῥουβήν· 18 καὶ 18
διελεύσεται κατὰ νώτου Βαιθάραβα ἀπὸ βορρᾶ, καὶ καταβήσεται 19 ἐπὶ τὰ 19
ὅρια ἐπὶ νῶτον θάλασσαν ἀπὸ βορρᾶ· καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ
λοφιὰν τῆς θαλάσσης τῶν ἁλῶν ἐπὶ βορρᾶν εἰς μέρος τοῦ Ἰορδάνου ἀπὸ λιβός·
ταῦτα τὰ ὅριά ἐστιν ἀπὸ λιβός. 20 καὶ ὁ Ἰορδάνης ὁριεῖ ἀπὸ μέρους ἀνατολῶν. 20
αὕτη ἡ κληρονομία υἱῶν Βενιαμίν, τὰ ὅρια αὐτῆς κύκλῳ κατὰ δήμους. 21 καὶ 21
ἐγενήθησαν αἱ πόλεις τῶν υἱῶν Βενιαμὶν κατὰ δήμους αὐτῶν Ἱεριχὼ καὶ Βε-
θεγαιὼ καὶ Ἀμεκασίς, 22 καὶ Βαιθαβαρὰ καὶ Σαρὰ καὶ Βησανά, 23 καὶ Αἰεὶν 22 23
καὶ Φαρὰ καὶ Ἐφραθά, 24 καὶ Καραφὰ καὶ Κεφιρὰ καὶ Μονὶ καὶ Γαβαά, 24
πόλεις δώδεκα καὶ αἱ κῶμαι αὐτῶν· 25 Γαβαὼν καὶ Ῥαμὰ καὶ Βεηρωθά, 25
26 καὶ Μασσημὰ καὶ Μιρὼν καὶ Ἀμωκή, 27 καὶ Φιρὰ καὶ Καφὰν καὶ Ναχὰν 26 27
καὶ Σεληκὰν καὶ Θαρεηλά, 28 καὶ Ἰεβοῦς, αὕτη ἐστὶν Ἱερουσαλήμ, καὶ Γα- 28
βαώθ, Ἰαρίμ, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι αὐτῶν. αὕτη ἡ κληρονομία υἱῶν
Βενιαμὶν κατὰ δήμους αὐτῶν.

## XIX.

Καὶ ἐξῆλθεν ὁ δεύτερος κλῆρος τῶν υἱῶν Συμεών· καὶ ἐγενήθη ἡ κλη-
ρονομία αὐτῶν ἀνὰ μέσον κλήρων υἱῶν Ἰούδα. 2 καὶ ἐγενήθη ὁ κλῆρος αὐτῶν 2
Βηρσαβεὲ καὶ Σαμαὰ καὶ Καλαδάμ, 3 καὶ Ἀρσωλὰ καὶ Βωλὰ καὶ Ἰασόν, 3
4 καὶ Ἐρθουλὰ καὶ Βουλὰ καὶ Ἑρμᾶ, 5 καὶ Σικελὰκ καὶ Βαιθμαχερὲβ καὶ 4 5
Σαρσουσὶν 6 καὶ Βαθαρὼθ καὶ οἱ ἀγροὶ αὐτῶν, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι 6

---

11. om των 12. ιεριχω επι β. ... ορος κατα θαλασσαν ... βαιθαυν 13. επι νοτου ... om αυτης ... ορια απο αταρωθ αδδαρ επι 14. διελευσ. pro παρελευσεται ... βλεπ. εις θαλασσαν ... χαριαθιαριμ 15. τα ορια εις γαϊν 16. μερους του ορους, ο εστιν κατα ... ναπης υιου εννομ ... ραφαειμ ... καταβησ. επι γαϊ οννομ επι νωτου ιεβους α. λ. και καταβ. 17. πηγην σαμε ... επι αγαλλιλωθ ... αναβ. εδωμιν .... λιθ. βααμ υιου 19. om επι τα ορια ... επι νωτου βαιθαλαγα απο βορρα ... εσται αυτου η διεξ. ... απο βορρα εις ... om εστιν 20. βαινιαμιν ... δημους αυτων 21. βαινιαμιν ... βηθαγλα κ. αμεκκα σεις Seqq. plene: 22. κ. βαιθαραβα κ. σεμριμ κ. βηθηλ 23. κ. αυειμ κ. αφαρ κ. αφρα 24. κ. αικαρεν κ. καφηραμμιν κ. γαβαα, π. δωδ. κ. αι κ. αυτ. 25. γαβαων κ. ραμα κ. βηρωθ 26. κ. μασφα κ. χεφειρα κ. αμωσα 27. κ. ρεκεμ κ. ιερφαηλ κ. θαραλα κ. σηλαλεφ 28. κ. ιεβους, α. ε. ιερ., κ. γαβααθ και πολις ιαριμ etc. ... βαινιαμιν XIX. 1. ο κληρος ο δευτερος τω συμεων ... κληρου 2. βηρσ. κ. σαβεε κ. μωλαδα Seqq. plene usq. v. 5: 3. κ. σερσουλα κ. βαθουλ κ. βελβωλα κ. ασομ 4. κ. ελθουδαδ κ. ερμα 5. κ. σεκελα κ. βαιθαμμαρχασβωθ κ. ασερσουσιμ 6. βαιθαλβαθ

Digitized by Google

7 αὐτῶν· 7 Ἐρεμμὼν καὶ Θαλχὰ καὶ Ἰεθὲρ καὶ Ἀσάν, πόλεις τέσσαρες καὶ αἱ
8 κῶμαι αὐτῶν 8 κύκλῳ τῶν πόλεων αὐτῶν ἕως Βαλὲκ πορευομένων Βαμὲθ κατὰ
9 λίβα· αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Συμεὼν κατὰ δήμους αὐτῶν. 9 ἀπὸ τοῦ
κλήρου τοῦ Ἰούδα ἡ κληρονομία φυλῆς υἱῶν Συμεών, ὅτι ἐγενήθη ἡ μερὶς
υἱῶν Ἰούδα μείζων τῆς αὐτῶν· καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Συμεὼν ἐν μέσῳ
10 τοῦ κλήρου αὐτῶν. 10 καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ τρίτος τῷ Ζαβουλὼν κατὰ δή-
μους αὐτῶν. ἔσται τὰ ὅρια τῆς κληρονομίας αὐτῶν, Ἐσεδεκγωλὰ ὅρια αὐτῶν·
11 11 ἡ θάλασσα καὶ Μαγελδά, καὶ συνάψει ἐπὶ Βαιθάραβα εἰς τὴν φάραγγα,
12 ἥ ἐστι κατὰ πρόσωπον Ἰεκμάν· 12 καὶ ἀνέστρεψεν ἀπὸ Σεδδοὺκ ἐξ ἐναντίας
ἀπὸ ἀνατολῶν Βαιθσαμὺς ἐπὶ τὰ ὅρια Χασελωθαίθ, καὶ διελεύσεται ἐπὶ Δαβι-
13 ρώθ, καὶ προσαναβήσεται ἐπὶ Φαγγαί· 13 καὶ ἐκεῖθεν περιελεύσεται ἐξ ἐναν-
τίας ἐπ' ἀνατολὰς ἐπὶ Γεβερὲ ἐπὶ πόλιν Κατασέμ, καὶ διελεύσεται ἐπὶ Ῥεμ-
14 μωναὰ Μαθαραοζά· 14 καὶ περιελεύσεται ὅρια ἐπὶ βορρᾶν ἐπὶ Ἀμώθ, καὶ ἔσται
15 ἡ διέξοδος αὐτῶν ἐπὶ Γαιφαὴλ 15 καὶ Καταναὰθ καὶ Ναβαὰλ καὶ Συμοὼν καὶ
16 Ἱεριχὼ καὶ Βαιθμάν. 16 αὕτη ἡ κληρονομία τῆς φυλῆς υἱῶν Ζαβουλὼν κατὰ
17 δήμους αὐτῶν, πόλεις καὶ αἱ κῶμαι αὐτῶν. 17 καὶ τῷ Ἰσσάχαρ ἐξῆλθεν ὁ
18 κλῆρος ὁ τέταρτος. 18 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἰαζὴλ καὶ Χασαλὼθ καὶ
19 20 Σουνάμ, 19 καὶ Ἀγὶν καὶ Σιωνὰ καὶ Ῥεηρώθ, 20 καὶ Ἀναχερὲθ καὶ Δαβιρὼν
21 καὶ Κισὼν καὶ Ῥεβές, 21 καὶ Ῥεμμὰς καὶ Ἰεὼν καὶ Τομμὰν καὶ Αἱμαρὲκ
22 καὶ Βηρσαφής. 22 καὶ συνάψει τὰ ὅρια ἐπὶ Γαιθβὼρ καὶ ἐπὶ Σαλὶμ κατὰ
θάλασσαν καὶ Βαιθσαμύς· καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ὁ Ἰορδάνης.
23 23 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰσσάχαρ κατὰ δήμους αὐτῶν, αἱ πόλεις
24 καὶ αἱ κῶμαι αὐτῶν. 24 καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πέμπτος Ἀσὴρ κατὰ δήμους
25 αὐτῶν. 25 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἐξελεκὲθ καὶ Ἀλὲφ καὶ Βαιθὸκ καὶ
26 Κεάφ, 26 καὶ Ἐλιμελὲχ καὶ Ἀμιὴλ καὶ Μαασά· καὶ συνάψει τῷ Καρμήλῳ
27 κατὰ θάλασσαν καὶ τῷ Σιὼν καὶ Λαβανάθ· 27 καὶ ἐπιστρέψει ἀπὸ ἀνατολῶν
ἡλίου καὶ Βαιθεγενέθ, καὶ συνάψει τῷ Ζαβουλὼν καὶ Ἐχγαὶ καὶ Φθαιὴλ κατὰ
βορρᾶν, καὶ εἰςελεύσεται ὅρια Σαφθαιβαιθμὲ καὶ Ἰναήλ, καὶ διελεύσεται εἰς
28 Χωβαμασομὲλ 28 καὶ Ἐλβὼν καὶ Ῥαὰβ καὶ Ἐμεμαὼν καὶ Κανθὰν ἕως Σι-
29 δῶνος τῆς μεγάλης· 29 καὶ ἀναστρέψει τὰ ὅρια εἰς Ῥαμὰ καὶ ἕως πηγῆς
Μασφασσὰτ καὶ τῶν Τυρίων· καὶ ἀναστρέψει τὰ ὅρια ἐπὶ Ἰασίφ, καὶ ἔσται
30 ἡ διέξοδος αὐτοῦ ἡ θάλασσα καὶ Ἀπολὲβ καὶ Ἐχοζὸβ 30 καὶ Ἀρχὸβ καὶ Ἀφὲκ
31 καὶ Ῥααῦ. 31 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἀσὴρ κατὰ δήμους αὐτῶν, πό-
32 33 λεις καὶ αἱ κῶμαι αὐτῶν. 32 καὶ τῷ Νεφθαλὶ ἐξῆλθεν ὁ κλῆρος ὁ ἕκτος. 33 καὶ

---

7. αϊν και ρεμμωθ κ. βεθερ κ. ασαμ 8. αι περικυκλω τ. π. τουτων ε. βααλ θερηρραμμωθ πορ. ιαμεθ ... κληρους pro δημους 9. απο των υιων ιουδα ... εγενηθη μερις ... om οι 10. και εσται τ. ορ. τ. κ α. εως σαρθιδ· τα ορ. α. 11. μαριλα pro μαγελδα ... επι δαβασθαι ... ιεκναμ 12. αναστρεψει α. σαριδ ε. ε. α. α. σαμε ε. τ. ο. χασαλωθ βαθωρ κ. δ. επι τα ορια δαβραθ ... επι ιαφαγαι 13. επι ανατολας επι γαιθθα ε. π. κασιμ ... ρεμμωναμ μαθαριμ αννουα 14. κ. περ. επι τα ορια βορρα επι ενναθωθ ... επι γαϊ ιεφθαηλ 15. κ. κατταθ κ. νααλωλ κ. σεμρων κ. ιαδηλα κ. βαιθλεεμ 16. αι πολ. αυτων 18. αυτων ιεζραελ κ. αχασελωθ κ. σ. 19. κ. αφεραειμ κ. σειαν κ. ρεναθ 20. κ. αρρανεθ κ. ραββωθ κ. κεσιων κ. αεμε 21. κ. ραμαθ κ. ην γαννιμ κ. ην αδδα κ. βαιθφασης 22. επι θαφωθ κ. ε. σασειμαθ ... βαιθσμας ... om αυτου ... τ. ορ. αυτων 23. επαυλεις pro κωμαι 25. αυτων χελκαθ και οολει και βατνε και αχσαφ 26. και αμαδ και μασαψ· και συναψει ... σειωρ 27. απ ανατολων ηλ. βηθδαγων, κ. σ. τω ζ. κ. ενγαϊ ιεφθαηλ κατα ... τα ορια ασαφθα βηθαεμεκ, και πορευεται το μεθοριον ανιηλ, κ. διελ. εις χαβωλ 28. απο αριστερων, και αχραν και ροωβ κ. αμων κ. κανα εως 29. 30. και εως πολεως οχυρωματος των τυριων κ. α. τα ορια επι σουσα και απο του σχοινισματος αζειφ (** αχζειφ) κ. αμμα κ. αφεκ κ. ραωβ, πολεις εικοσι δυο 31. om πολεις 32. νεφθαλιμ

Digitized by Google

ἐγενήθη τὰ ὅρια αὐτῶν Μοολὰμ καὶ Μωλὰ καὶ Βεσεμιὶν καὶ Ἀρμὲ καὶ Ναβὸχ
καὶ Ἰεφθαμαὶ ἕως Δωδάμ· καὶ ἐγενήθησαν αἱ διέξοδοι αὐτοῦ Ἰορδάνης. 34 καὶ 34
ἐπιστρέψει τὰ ὅρια ἐπὶ θάλασσαν ἐν Ἀθθαβώρ, καὶ διελεύσεται ἐκεῖθεν Ἰα-
κανά, καὶ συνάψει τῷ Ζαβουλὼν ἀπὸ νώτου, καὶ Ἀσὴρ συνάψει κατὰ θάλασ-
σαν, καὶ ὁ Ἰορδάνης ἀπὸ ἀνατολῶν ἡλίου. 35 καὶ αἱ πόλεις τειχήρεις τῶν Τυ- 35
ρίων, Τύρος καὶ Ὠμαθαδακὲθ καὶ Κενερέθ, 36 καὶ Ἀρμαὶθ καὶ Ἀραὴλ καὶ 36
Ἀσώρ, 37 καὶ Κάδες καὶ Ἀσσαρὶ καὶ πηγὴ Ἀσόρ, 38 καὶ Κερωὲ καὶ Μεγα- 37 38
λααρὶμ καὶ Βαιθθαμὲ καὶ Θεσσαμύς. 39 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Νε- 39
φθαλί. 40 καὶ τῷ Δὰν ἐξῆλθεν ὁ κλῆρος ὁ ἕβδομος. 41 καὶ ἐγενήθη τὰ ὅρια αὐ- 40 41
τῶν Σαρὰθ καὶ Ἀσὰ καὶ πόλεις Σαμμαύς, 42 καὶ Σαλαμὶν καὶ Ἀμμὼν καὶ 42
Σιλαθά, 43 καὶ Ἐλὼν καὶ Θαμναθὰ καὶ Ἀκκαρών, 44 καὶ Ἀλκαθὰ καὶ Βεγε- 43 44
θὼν καὶ Γεβεελάν, 45 καὶ Ἀζὼρ καὶ Βαναιβακὰτ καὶ Γεθρεμμών, 46 καὶ 45 46
ἀπὸ θαλάσσης Ἱεράκων ὅριον πλησίον Ἰόππης. 47 αὕτη ἡ κληρονομία φυλῆς (48) 47
υἱῶν Δὰν κατὰ δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ κῶμαι αὐτῶν. καὶ οὐκ
ἐξέθλιψαν οἱ υἱοὶ Δὰν τὸν Ἀμορραῖον τὸν θλίβοντα αὐτοὺς ἐν τῷ ὄρει· καὶ
οὐκ εἴων αὐτοὺς οἱ Ἀμορραῖοι καταβῆναι εἰς τὴν κοιλάδα, καὶ ἔθλιψαν ἀπ'
αὐτῶν τὸ ὅριον τῆς μερίδος αὐτῶν. 48 καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν καὶ (47) 48
ἐπολέμησαν τὴν Λαχίς, καὶ κατελάβοντο αὐτὴν καὶ ἐπάταξαν αὐτὴν ἐν στό-
ματι μαχαίρας, καὶ κατῴκησαν αὐτὴν καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτῆς Λασεν-
δάν. καὶ ὁ Ἀμορραῖος ὑπέμεινε τοῦ κατοικεῖν ἐν Ἐλὼμ καὶ ἐν Σαλαμίν· καὶ
ἐβαρύνθη ἡ χεὶρ τοῦ Ἐφραὶμ ἐπ' αὐτούς, καὶ ἐγένοντο αὐτοῖς εἰς φόρον.
49 καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν κατὰ τὸ ὅριον αὐτῶν. καὶ ἔδωκαν οἱ 49
υἱοὶ Ἰσραὴλ κλῆρον τῷ Ἰησοῖ τῷ υἱῷ Ναυὴ ἐν αὐτοῖς 50 διὰ προστάγματος 50
τοῦ θεοῦ· καὶ ἔδωκαν αὐτῷ τὴν πόλιν ἣν ᾐτήσατο Θαμνασαράχ, ἥ ἐστιν ἐν
τῷ ὄρει Ἐφραίμ· καὶ ᾠκοδόμησε τὴν πόλιν, καὶ κατῴκει ἐν αὐτῇ. 51 αὗται 51
αἱ διαιρέσεις ἃς κατεκληρονόμησεν Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ
καὶ οἱ ἄρχοντες τῶν πατριῶν ἐν ταῖς φυλαῖς Ἰσραὴλ κατὰ κλήρους ἐν Σηλὼ
ἔναντι κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπορεύθησαν
ἐμβατεῦσαι τὴν γῆν.

## XX.

Καὶ ἐλάλησε κύριος τῷ Ἰησοῖ λέγων 2 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων
Δότε τὰς πόλεις τῶν φυγαδευτηρίων ἃς εἶπα πρὸς ὑμᾶς διὰ Μωυσῆ. 3 φυ- 3
γαδευτήριον τῷ φονευτῇ τῷ πατάξαντι ψυχὴν ἀκουσίως· καὶ ἔσονται ὑμῖν αἱ

---

33. εγενετο ... αυτων μελεφ κ. μηλων κ. βεσενανιμ κ. αρμαι κ. ναχεβ κ. ιαβνηλ εως αχρου· και εγεν. αι διεξ.. αυτων ο ιορδ. 34. θαλασσαν αζανωθ θαβωρ κ. διελ. εκ. εις ιχωκ ... νοτου, κ. τω ασηρ ... απ ανατ. 35. om αι ... τυρος κ. αμαθ κ. ρεκκαθ κ. χενεροθ 36. κ. αδαμι κ. ραμα κ. ασωρ 37. κ. κεδες κ. εδραει κ. π. α. 38. κ. ιαριων κ. μαγδαλιηωραμ κ. βαιναθαθ κ. θασμους, πολεις δεκαεννεα 41. αυτων σαραα κ. εσθαολ κ. πολις σαμες 42. κ. σαλαμειν κ. ιααλων κ. ιεθλα 43. θαμνα 44. κ. ελθεκω κ. γαβαθων κ. βααλων 45. κ. ιουθ κ. βανηβαραχ κ. γ. 47. om αυτων sec. ... καταβαινειν ... εθλιβον 48. λεσεμ pro λαχις ... μαχαιρης ... κατεπατησαν pro κατωκησαν ... λεσενδαν ... σαλαμειμ ... επ αυτοις 49. om τω bis 50. κυριου pro τ. θεου ... θαμναθ σαρα 51. κατεκληρονομησαν ... om των ... του ισραηλ XX. 3. απο pro υπο Post v. 3. ita pergitur (4.) και φευξεται εις μιαν των πολεων τουτων· και στησετε επι την θυραν της πολεως· και λαλησει εν τοις ωσιν των πρεσβυτερων της πολεως εκεινης τους λογους τουτους· και επιστρεψουσιν αυτον η συναγωγη προς αυτους· και δωσωσιν αυτω τοπον· και κατοικησει μετ αυτων· (5.) και οτι (corrige οτε) διωξεται ο αγχιστευων το αιμα· οπισω αυτου· και ου συνκλισουσιν τον φονευσαντα εν τη χειρι αυτου· οτι ουκ ειδως επαταξεν τον πλησιον αυτου· και ου μισων αυτος αυτον απ εχθες· και τριτην· (6.) και κατοικησει εν τη



Digitized by Google

πόλεις φυγαδευτήριον, καὶ οὐκ ἀποθανεῖται ὁ φονευτὴς ὑπὸ τοῦ ἀγχιστεύον-
7 τος τὸ αἷμα, ἕως ἂν καταστῇ ἐναντίον τῆς συναγωγῆς εἰς κρίσιν. [7] καὶ διέ-
στειλε τὴν Κάδης ἐν τῇ Γαλιλαίᾳ ἐν τῷ ὄρει τῷ Νεφθαλί, καὶ Συχὲμ ἐν
τῷ ὄρει τῷ Ἐφραΐμ, καὶ τὴν πόλιν Ἀρβόκ, αὕτη ἐστὶ Χεβρὼν ἐν τῷ ὄρει
8 τῷ Ἰούδα. [8] καὶ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἔδωκε Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν
τῷ πεδίῳ ἀπὸ τῆς φυλῆς Ῥουβήν, καὶ Ἀρημὼθ ἐν τῇ Γαλαὰδ ἐκ τῆς φυλῆς
9 Γάδ, καὶ τὴν Γαυλὼν ἐν τῇ Βασανίτιδι ἐκ τῆς φυλῆς Μανασσῆ. [9] αὗται αἱ
πόλεις αἱ ἐπίκλητοι τοῖς υἱοῖς Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν
αὐτοῖς, καταφυγεῖν ἐκεῖ παντὶ παίοντι ψυχὴν ἀκουσίως, ἵνα μὴ ἀποθάνῃ ἐν
χειρὶ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, ἕως ἂν καταστῇ ἔναντι τῆς συναγωγῆς
εἰς κρίσιν.

## XXI.

Καὶ προσήλθοσαν οἱ ἀρχιπατριῶται τῶν υἱῶν Λευὶ πρὸς Ἐλεάζαρ τὸν
ἱερέα καὶ Ἰησοῦν τὸν τοῦ Ναυὴ καὶ πρὸς τοὺς ἀρχιφύλους πατριῶν ἐκ τῶν
2 φυλῶν Ἰσραήλ, [2] καὶ εἶπον πρὸς αὐτοὺς ἐν Σηλὼ ἐν γῇ Χαναὰν λέγοντες
Ἐνετείλατο κύριος ἐν χειρὶ Μωυσῆ δοῦναι ἡμῖν πόλεις κατοικεῖν καὶ τὰ περι-
3 σπόρια τοῖς κτήνεσιν ἡμῶν. [3] καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις ἐν τῷ
κατακληρονομεῖν διὰ προστάγματος κυρίου τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν.
4 [4] καὶ ἐξῆλθεν ὁ κλῆρος τῷ δήμῳ Καάθ, καὶ ἐγένετο τοῖς υἱοῖς Ἀαρὼν τοῖς
ἱερεῦσι τοῖς Λευίταις ἀπὸ φυλῆς Ἰούδα καὶ ἀπὸ φυλῆς Συμεὼν καὶ ἀπὸ φυλῆς
5 Βενιαμὶν κληρωτὶ πόλεις δεκατρεῖς· [5] καὶ τοῖς υἱοῖς Καὰθ τοῖς καταλελειμμέ-
νοις ἐκ τῆς φυλῆς Ἐφραΐμ καὶ ἐκ τῆς φυλῆς Δὰν καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς
6 Μανασσῆ κληρωτὶ πόλεις δέκα· [6] καὶ τοῖς υἱοῖς Γεδσὼν ἀπὸ τῆς φυλῆς Ἰσσά-
χαρ καὶ ἀπὸ τῆς φυλῆς Ἀσὴρ καὶ ἀπὸ τῆς φυλῆς Νεφθαλὶ καὶ ἀπὸ τοῦ ἡμί-
7 σους φυλῆς Μανασσῆ ἐν τῇ Βασὰν πόλεις δεκατρεῖς· [7] καὶ τοῖς υἱοῖς Μεραρὶ
κατὰ δήμους αὐτῶν ἀπὸ φυλῆς Ῥουβὴν καὶ ἀπὸ φυλῆς Γὰδ καὶ ἀπὸ φυλῆς
8 Ζαβουλὼν κληρωτὶ πόλεις δώδεκα. [8] καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις
τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν ὃν τρόπον ἐνετείλατο κύριος τῷ Μωυσῇ
9 κληρωτί. [9] καὶ ἔδωκεν ἡ φυλὴ υἱῶν Ἰούδα καὶ ἡ φυλὴ υἱῶν Συμεὼν καὶ ἀπὸ
10 τῆς φυλῆς υἱῶν Βενιαμὶν τὰς πόλεις ταύτας· καὶ ἐπεκλήθησαν [10] τοῖς υἱοῖς
Ἀαρὼν ἀπὸ τοῦ δήμου τοῦ Καὰθ τῶν υἱῶν Λευί, ὅτι τούτοις ἐγενήθη ὁ κλῆ-
11 ρος. [11] καὶ ἔδωκεν αὐτοῖς τὴν Καριαθαρβὸκ μητρόπολιν τῶν Ἐνάκ, αὕτη ἐστὶ
12 Χεβρὼν ἐν τῷ ὄρει Ἰούδα· τὰ δὲ περισπόρια κύκλῳ αὐτῆς [12] καὶ τοὺς ἀγροὺς
τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκεν Ἰησοῦς τοῖς υἱοῖς Χάλεβ υἱοῦ Ἰε-
13 φοννῆ ἐν κατασχέσει. [13] καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκε τὴν πόλιν φυγαδευτήριον
τῷ φονεύσαντι τὴν Χεβρὼν καὶ τὰ ἀφωρισμένα τὰ σὺν αὐτῇ, καὶ τὴν Δεμνὰ
14 καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ, [14] καὶ τὴν Αἰλὼμ καὶ τὰ ἀφωρισμένα αὐτῇ,

---

πολει εκεινη εως της (corrige εως στη) κατα προσωπον της συναγωγης εις κρισιν· εως αποθανη ο ιερευς ο μεγας ος εσται εν ταις ημεραις εκειναις· τοτε επιστρεψει ο φονευσας· και ελευσεται εις την πολιν αυτου· και προς τον οικον αυτου· και προς πολιν οθεν εφυγεν εκειθεν· 7. διεστειλαν ... κεδες ... νεφθαλει ... αρβο 8. ιορδανου ιεριχω απ ανατολων εδωκαν την βοσορ ... ραμωθ pro αρημωθ ... om εκ τ. φυλ. γαδ ... γωλαν pro γαυλων 9. αποθανη εκ χειρος XXI. 1. προσηλθον ... και προς ιησουν ... φυλ. των υιων ισρ. 2. ειπαν ... om τα περισπορια 3. κατακληρ. αυτους 4. απο της φυλ. βαινιαμιν 5. καταλελιμμενοις ... ημισεις 6. γηρσωρ pro γεδσων ... ημισει ... βασαν κληρωτι π. 7. της φυλης ter 9. βαινιαμιν ... om ταυτας 11. εδωκαν ... τ. ο. τω ιουδα ... τα κυκλω 12. ιησους τω χαλεβ υιω 13. ααρων του ιερεως ... om εδωκεν ... προς αυτην pro συν αυτη ... λεβνα ... om τα extr. 14. ιεθερ pro αιλωμ ... pro αυτη bis τα προς αυτην ... εσθεμω pro τεμα

Digitized by Google

καὶ τὴν Τεμὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ, [15] καὶ τὴν Γελλὰ καὶ τὰ ἀφωρι- 15
σμένα αὐτῇ, καὶ τὴν Δαβὶρ καὶ τὰ ἀφωρισμένα αὐτῇ, [16] καὶ Ἀσὰ καὶ τὰ 16
ἀφωρισμένα αὐτῇ, καὶ Τανὺ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Βαιθσαμὺς καὶ
τὰ ἀφωρισμένα αὐτῇ· πόλεις ἐννέα παρὰ τῶν δύο φυλῶν τούτων. [17] καὶ παρὰ 17
τῆς φυλῆς Βενιαμὶν τὴν Γαβαὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Γαθὲθ καὶ
τὰ ἀφωρισμένα αὐτῇ, [18] καὶ Ἀναθὼθ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Γάμαλα 18
καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τέσσαρες. [19] πᾶσαι αἱ πόλεις υἱῶν Ἀαρὼν 19
τῶν ἱερέων δεκατρεῖς. [20] καὶ τοῖς δήμοις υἱοῖς Καὰθ τοῖς Λευίταις τοῖς κατα- 20
λελειμμένοις ἀπὸ τῶν υἱῶν Καάθ, καὶ ἐγενήθη ἡ πόλις τῶν ἱερέων αὐτῶν
ἀπὸ φυλῆς Ἐφραΐμ· [21] καὶ ἔδωκαν αὐτοῖς τὴν πόλιν τοῦ φυγαδευτηρίου τὴν 21
τοῦ φονεύσαντος τὴν Συχὲμ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Γάζαρα καὶ τὰ
πρὸς αὐτὴν καὶ τὰ ἀφωρισμένα αὐτῇ, [22] καὶ Βαιθωρὼν καὶ τὰ ἀφωρισμένα 22
τὰ αὐτῇ, πόλεις τέσσαρες. [23] καὶ ἐκ τῆς φυλῆς Δὰν τὴν Ἑλκωθαὶμ καὶ τὰ 23
ἀφωρισμένα αὐτῇ, καὶ τὴν Γεθεδὰν καὶ τὰ ἀφωρισμένα αὐτῇ, [24] καὶ Αἰλὼν 24
καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ τὴν Γεθερεμμὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ,
πόλεις τέσσαρες. [25] καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὴν Τανὰχ καὶ τὰ 25
ἀφωρισμένα αὐτῇ, καὶ τὴν Ἰεβαθὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις δύο.
[26] πᾶσαι πόλεις δέκα καὶ τὰ ἀφωρισμένα αὐτῇ τὰ πρὸς αὐταῖς τοῖς δήμοις 26
υἱῶν Καὰθ τοῖς ὑπολελειμμένοις. [27] καὶ τοῖς υἱοῖς Γεδσὼν τοῖς Λευίταις ἐκ 27
τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὰς πόλεις τὰς ἀφωρισμένας τοῖς φονεύσασι,
τὴν Γαυλὼν ἐν τῇ Βασανίτιδι καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Βοσορὰν καὶ
τὰ ἀφωρισμένα αὐτῇ, πόλεις δύο. [28] καὶ ἐκ τῆς φυλῆς Ἰσσάχαρ τὴν Κισὼν 28
καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ τὴν Δεββὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ, [29] καὶ 29
τὴν Ῥεμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Πηγὴν γραμμάτων καὶ τὰ ἀφω-
ρισμένα αὐτῇ, πόλεις τέσσαρες. [30] καὶ ἐκ τῆς φυλῆς Ἀσὴρ τὴν Βασελλὰν καὶ 30
τὰ ἀφωρισμένα αὐτῇ, καὶ τὴν Δαββὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ, [31] καὶ Χελ- 31
κὰτ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ τὴν Ῥαὰβ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πό-
λεις τέσσαρες. [32] καὶ ἐκ τῆς φυλῆς Νεφθαλὶ τὴν πόλιν τὴν ἀφωρισμένην τῷ 32
φονεύσαντι τὴν Κάδες ἐν τῇ Γαλιλαίᾳ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ τὴν
Νεμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ, καὶ Θεμμὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ,
πόλεις τρεῖς. [33] πᾶσαι αἱ πόλεις τοῦ Γεδσὼν κατὰ δήμους αὐτῶν πόλεις δεκα- 33
τρεῖς. [34] καὶ τῷ δήμῳ υἱῶν Μεραρὶ τοῖς Λευίταις τοῖς λοιποῖς ἐκ τῆς φυλῆς 34
Ζαβουλὼν τὴν Μαὰν καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Κάδης καὶ τὰ περι-

---

15. ωλων pro γελλα ... pro αυτη bis τα προς αυτη ... δαβειρ 16. αιν pro ασα ... om κ. τανυ κ. τ. αφ. αυτη ... βεθσαμες ... pro αυτη bis τα προς αυτη 17. βαινιαμιν της γαβ. κ. τ. αφ. τα προς αυτην, κ. γαβεε ... αφ. τα προς αυτη 18. αφ. τα προς αυτη, και την αλμων ... αφ. τα προς αυτην 19. πολεις δεκατρεις και τα περισπορια αυτων 20. δημ. υιων κααθ .. καταλειλιμμενοις ... εγενηθη πολις των οριων α. 21. φονευοντος ... αφ. τα προς αυτην κ. την γαζερ κ. τα αφωρισμενα τα προς αυτη 22. και την καβσαειμ και τα αφωρισμενα τα προς αυτη και την ανω βαιθωρων κ. τα αφ. τα προς αυτην 23. ελθεκω ... αφ. τα προς αυτην ... γαβεθων ... αφ. τα προς αυτη 24. ιαλων ... αφ. τα προς αυτη ... γεθρεμμων ... αφ. τα προς αυτη 25. θααναχ ... αφ. τα προς αυτη ... βαιθσα pro ιεβαθα ... αφ. τα προς αυτη 26. αι πασαι ... om αυτη ... προς αυτας ... υπολελιμμενοις 27. γηρσων ... την γωλαν ... την βεεθαρα ... αφ. τα προς αυτη bis 28. απο pro εκ ... κισιων ... δεβραθ ... αφ. τα προς αυτη bis 29. ιερμωθ ... αφ. τα προς αυτη bis 30. την μασααλ ... την αβδων ... αφ. τα προς αυτη 31. θελκαθ ... ροωβ ... αφ. τα προς αυτη bis 32. την κεδες ... την εμαθδωρ ... την νοεμμων ... αφ. τα προς αυτη (sec. loco * αυτην) ter 33. γηρσων 34. υιων ζαβουλων ... την εκναμ ... και καρθα pro κ. τ. καδης



Digitized by Google

35 36 σπόριά αὐτῆς, [35] καὶ Σελλὰ καὶ τὰ περισπόρια αὐτῆς, πόλεις τρεῖς. [36] καὶ
πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἐκ τῆς φυλῆς Ῥουβὴν τὴν πόλιν τὸ
φυγαδευτήριον τοῦ φονεύσαντος τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ, τὴν Μισὼ καὶ τὰ
37 περισπόρια αὐτῆς, καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς, [37] καὶ τὴν Δε-
κμὼν καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Μαφὰ καὶ τὰ περισπόρια αὐτῆς,
38 πόλεις τέσσαρες. [38] καὶ ἀπὸ τῆς φυλῆς Γὰδ τὴν πόλιν τὸ φυγαδευτήριον τοῦ
φονεύσαντος καὶ τὴν Ῥαμὼθ ἐν τῇ Γαλαὰδ καὶ τὰ περισπόρια αὐτῆς, τὴν
39 Καμὶν καὶ τὰ περισπόρια αὐτῆς, [39] καὶ τὴν Ἐσβὼν καὶ τὰ περισπόρια αὐτῆς,
40 καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς, πᾶσαι αἱ πόλεις τέσσαρες. [40] πᾶσαι
αἱ πόλεις τοῖς υἱοῖς Μεραρὶ κατὰ δήμους αὐτῶν τῶν καταλελειμμένων ἀπὸ τῆς
41 φυλῆς τῆς Λευί· καὶ ἐγενήθη τὰ ὅρια αἱ πόλεις δεκαδύο. [41] πᾶσαι πόλεις
τῶν Λευιτῶν ἐν μέσῳ κατασχέσεως υἱῶν Ἰσραὴλ τεσσαρακονταοκτὼ πόλεις,
42 καὶ τὰ περισπόρια αὐτῶν κύκλῳ τῶν πόλεων τούτων· [42] πόλις καὶ τὰ περι-
σπόρια κύκλῳ τῆς πόλεως πάσαις ταῖς πόλεσι ταύταις. καὶ συνετέλεσεν Ἰησοῦς
διαμερίσας τὴν γῆν ἐν τοῖς ὁρίοις αὐτῶν. καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ μερίδα
τῷ Ἰησοῖ διὰ πρόςταγμα κυρίου· ἔδωκαν αὐτῷ τὴν πόλιν ἣν ᾐτήσατο· τὴν
Θαμνασαχὰρ ἔδωκαν αὐτῷ ἐν τῷ ὄρει Ἐφραΐμ. καὶ ᾠκοδόμησεν Ἰησοῦς τὴν
πόλιν καὶ ᾤκησεν ἐν αὐτῇ· καὶ ἔλαβεν Ἰησοῦς τὰς μαχαίρας τὰς πετρίνας, ἐν
αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ τοὺς γενομένους ἐν τῇ ὁδῷ ἐν τῇ ἐρήμῳ,
43 καὶ ἔθηκεν αὐτὰς ἐν Θαμνασαχάρ. [43] καὶ ἔδωκε κύριος τῷ Ἰσραὴλ πᾶσαν τὴν
γῆν ἣν ὤμοσε δοῦναι τοῖς πατράσιν αὐτῶν, καὶ κατεκληρονόμησαν αὐτὴν καὶ
44 κατῴκησαν ἐν αὐτῇ. [44] καὶ κατέπαυσεν αὐτοὺς κύριος κυκλόθεν, καθότι ὤμοσε
τοῖς πατράσιν αὐτῶν· οὐκ ἀντέστη οὐθεὶς κατενώπιον αὐτῶν ἀπὸ πάντων τῶν
ἐχθρῶν αὐτῶν· πάντας τοὺς ἐχθροὺς αὐτῶν παρέδωκε κύριος εἰς τὰς χεῖρας
45 αὐτῶν. [45] οὐ διέπεσεν ἀπὸ πάντων τῶν ῥημάτων τῶν καλῶν ὧν ἐλάλησε κύριος
τοῖς υἱοῖς Ἰσραήλ, πάντα παρεγένετο.

## XXII.

Τότε συνεκάλεσεν Ἰησοῦς τοὺς υἱοὺς Ῥουβὴν καὶ τοὺς υἱοὺς Γὰδ καὶ τὸ
2 ἥμισυ φυλῆς Μανασσῆ, [2] καὶ εἶπεν αὐτοῖς Ὑμεῖς ἀκηκόατε πάντα ὅσα ἐνε-
τείλατο ὑμῖν Μωυσῆς ὁ παῖς κυρίου, καὶ ὑπηκούσατε τῆς φωνῆς μου κατὰ
3 πάντα ὅσα ἐνετείλατο ὑμῖν. [3] οὐκ ἐγκαταλελοίπατε τοὺς ἀδελφοὺς ὑμῶν ταύτας
τὰς ἡμέρας πλείους· ἕως τῆς σήμερον ἡμέρας ἐφυλάξατε τὴν ἐντολὴν κυρίου
4 τοῦ θεοῦ ὑμῶν. [4] νῦν δὲ κατέπαυσε κύριος ὁ θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ἡμῶν,
ὃν τρόπον εἶπεν αὐτοῖς· νῦν οὖν ἀποστραφέντες ἀπέλθατε εἰς τοὺς οἴκους
ὑμῶν καὶ εἰς τὴν γῆν τῆς κατασχέσεως ὑμῶν, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς ἐν
5 τῷ πέραν τοῦ Ἰορδάνου. [5] ἀλλὰ φυλάξασθε σφόδρα ποιεῖν τὰς ἐντολὰς καὶ τὸν
νόμον ὃν ἐνετείλατο ἡμῖν ποιεῖν Μωυσῆς ὁ παῖς κυρίου, ἀγαπᾶν κύριον τὸν
θεὸν ἡμῶν, πορεύεσθαι πάσαις ταῖς ὁδοῖς αὐτοῦ, φυλάξασθαι τὰς ἐντολὰς
αὐτοῦ καὶ προςκεῖσθαι αὐτῷ, καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς διανοίας ὑμῶν
6 καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. [6] καὶ εὐλόγησεν αὐτοὺς Ἰησοῦς, καὶ ἐξαπέστει-
7 λεν αὐτούς· καὶ ἐπορεύθησαν εἰς τοὺς οἴκους αὐτῶν. [7] καὶ τῷ ἡμίσει φυλῆς

35. plene: δαμνα και τα περισπορια αυτης και την νααλωλ κ. τ. περ. αυτ., πολ. τεσσαρες 36. om του sec. ... ερημω τη μισωρ και τα 37. γεδσων ... μασφα 38. του φυγαδευτηριου ... om και sec. ... εν γη γαλααδ ... και την μαναϊμ 39. εσεβων 40. καταλελιμμενων ... φυλ. του λευι ... om αι ... πολ. δωδεκα 41. πασαι αι ... τεσσεραχ. 42. οριοις αυτης ... δια προσταγματος ... εθηχαν 44. κατεπ. αυτοις ... ανεστη ουδεις ... αυτοις εις 45. παρεγενοντο XXII. 1. ιησ. τους ρουβηνιτας 2. ενετ. ημιν ... κ. ουκ εισηκουσατε ... ενετειλαμην υμιν 3. ενκαταλειπατε ... ημων ... ημερ. και πλειους 4. νυνι δε 5. om ποιειν sec. ... θεον υμων ... πορ. εν πασαις ... φυλασσεσθαι ... καρδιας pro διανοιας 7. τοις pro τω

Digitized by Google

Μανασσῆ ἔδωκε Μωυσῆς ἐν τῇ Βασανίτιδι, καὶ τῷ ἡμίσει ἔδωκεν Ἰησοῦς
μετὰ τῶν ἀδελφῶν αὐτοῦ ἐν τῷ πέραν τοῦ Ἰορδάνου παρὰ θάλασσαν. καὶ
ἡνίκα ἐξαπέστειλεν αὐτοὺς Ἰησοῦς εἰς τοὺς οἴκους αὐτῶν καὶ εὐλόγησεν αὐ-
τούς, 8 καὶ ἐν χρήμασι πολλοῖς ἀπήλθοσαν εἰς τοὺς οἴκους αὐτῶν· καὶ κτήνη 8
πολλὰ σφόδρα καὶ ἀργύριον καὶ χρυσίον καὶ σίδηρον καὶ ἱματισμὸν πολὺν διεί-
λαντο τὴν προνομὴν τῶν ἐχθρῶν μετὰ τῶν ἀδελφῶν αὐτῶν. 9 καὶ ἐπορεύθησαν 9
οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἀπὸ τῶν υἱῶν
Ἰσραὴλ ἐν Σηλὼ ἐν γῇ Χαναὰν ἀπελθεῖν εἰς τὴν Γαλαὰδ εἰς γῆν κατασχέ-
σεως αὐτῶν, ἣν ἐκληρονόμησαν αὐτὴν διὰ προστάγματος κυρίου ἐν χειρὶ Μωυσῆ.
10 καὶ ἦλθον εἰς Γαλαὰδ τοῦ Ἰορδάνου, ἥ ἐστιν ἐν γῇ Χαναάν· καὶ ᾠκοδό- 10
μησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἐκεῖ
βωμὸν ἐπὶ τοῦ Ἰορδάνου, βωμὸν μέγαν τοῦ ἰδεῖν. 11 καὶ ἤκουσαν οἱ υἱοὶ 11
Ἰσραὴλ λεγόντων Ἰδοὺ ᾠκοδομήκασιν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ
τὸ ἥμισυ φυλῆς Μανασσῆ βωμὸν ἐφ᾽ ὁρίων γῆς Χαναὰν ἐπὶ τοῦ Γαλαὰδ τοῦ
Ἰορδάνου ἐν τῷ πέραν υἱῶν Ἰσραήλ. 12 καὶ συνηθροίσθησαν πάντες οἱ υἱοὶ 12
Ἰσραὴλ εἰς Σηλὼ ὥστε ἀναβάντες ἐκπολεμῆσαι αὐτούς. 13 καὶ ἀπέστειλαν οἱ 13
υἱοὶ Ἰσραὴλ πρὸς τοὺς υἱοὺς Ῥουβὴν καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ πρὸς τοὺς
υἱοὺς ἥμισυ φυλῆς Μανασσῆ εἰς γῆν Γαλαὰδ τόν τε Φινεὲς υἱὸν Ἐλεάζαρ
υἱοῦ Ἀαρὼν τοῦ ἀρχιερέως 14 καὶ δέκα τῶν ἀρχόντων μετ᾽ αὐτοῦ· ἄρχων εἷς 14
ἀπὸ οἴκου πατριᾶς ἀπὸ πασῶν φυλῶν Ἰσραήλ· ἄρχοντες οἴκων πατριῶν εἰσὶ
χιλίαρχοι Ἰσραήλ. 15 καὶ παρεγένοντο πρὸς τοὺς υἱοὺς Ῥουβὴν καὶ πρὸς τοὺς 15
υἱοὺς Γὰδ καὶ πρὸς τοὺς ἡμίσεις φυλῆς Μανασσῆ εἰς γῆν Γαλαάδ, καὶ ἐλά-
λησαν πρὸς αὐτοὺς λέγοντες 16 Τάδε λέγει πᾶσα ἡ συναγωγὴ κυρίου Τίς ἡ 16
πλημμέλεια αὕτη ἣν ἐπλημμελήσατε ἐναντίον τοῦ θεοῦ Ἰσραὴλ ἀποστραφῆναι
σήμερον ἀπὸ κυρίου οἰκοδομήσαντες ὑμῖν ἑαυτοῖς βωμόν, ἀποστάτας ὑμᾶς
γενέσθαι ἀπὸ τοῦ κυρίου; 17 μὴ μικρὸν ὑμῖν τὸ ἁμάρτημα Φογώρ, ὅ τι οὐκ 17
ἐκαθαρίσθημεν ἀπ᾽ αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐγενήθη πληγὴ ἐν τῇ
συναγωγῇ κυρίου; 18 καὶ ὑμεῖς ἀπεστράφητε σήμερον ἀπὸ κυρίου· καὶ ἔσται 18
ἐὰν ἀποστῆτε σήμερον ἀπὸ κυρίου καὶ αὔριον, ἐπὶ πάντα Ἰσραὴλ ἔσται ἡ
ὀργή. 19 καὶ νῦν εἰ μικρὰ ἡ γῆ ὑμῶν τῆς κατασχέσεως ὑμῶν, διάβητε εἰς 19
τὴν γῆν τῆς κυρίου κατασχέσεως οὗ κατασκηνοῖ ἐκεῖ ἡ σκηνὴ κυρίου, καὶ
κατακληρονομήσετε ἐν ἡμῖν, καὶ μὴ ἀπὸ θεοῦ ἀποστάται γενήθητε, καὶ ὑμεῖς
μηδ᾽ ἀπόστητε ἀπὸ κυρίου διὰ τὸ οἰκοδομῆσαι ὑμᾶς βωμὸν ἔξω τοῦ θυσια-
στηρίου κυρίου τοῦ θεοῦ ἡμῶν. 20 οὐκ ἰδοὺ Ἄχαρ ὁ τοῦ Ζαρὰ πλημμελείᾳ 20
ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθέματος, καὶ ἐπὶ πᾶσαν συναγωγὴν Ἰσραὴλ ἐγε-
νήθη ὀργή; καὶ οὗτος εἷς αὐτὸς ἀπέθανε τῇ ἑαυτοῦ ἁμαρτίᾳ. 21 καὶ ἀπεκρί- 21
θησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, καὶ
ἐλάλησαν τοῖς χιλιάρχοις Ἰσραὴλ λέγοντες 22 Ὁ θεὸς θεὸς κύριός ἐστι, καὶ ὁ 22
θεὸς θεὸς αὐτὸς οἶδε, καὶ Ἰσραὴλ αὐτὸς γνώσεται· εἰ ἐν ἀποστασίᾳ ἐπλημ-
μελήσαμεν ἔναντι τοῦ κυρίου, μὴ ῥύσαιτο ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ· 23 καὶ 23

---

7. εν τη βασαν, και τοις ημισιν ... αδελφων αυτων ... om εν τω π. του ιορδ. 8. λεγων εν pro και εν ... om και σιδηρον ... πολυν σφοδρα ... εχθρων αυτων 9. εκ σηλω εκ γης ... εις γην γαλααδ ... om αυτην 10. ηλθοσαν εις γαλιλωθ ... το ημισει 11. ωκοδομησαν ... το ημισει ... γαλιλωθ pro γαλααδ 12. αναβηναι 13. και προς το ημισει 14. πασων των φυλ. 15. εις την γαλααδ 16. εναντι κυριου του θεου ... om υμιν ... om του extr. 17. κεκαθαρισμεθα 18. αποστραφησεσθε ... ' om σημερον sec. ... εσται οργη 19. νυνι μικρα υμιν η γη της ... επι την γην της κατασχ. κυριου ... κιβωτος pro σκηνη ... κατακληρονομησατε ... κυριου pro θεου ... γενηθητε, και απο ημων μη αποστητε δια το 20. αχαν ... πασαν την ... κ. ουτ. εις μονος ην· μη μονος ουτος απεθανεν 21. το ημισει 22. add κυριος ante αυτος οιδε ... εν αποστασει ... εναντι κυριου

Digitized by Google

εἰ ᾠκοδομήσαμεν ἑαυτοῖς βωμὸν ὥςτε ἀποστῆναι ἀπὸ κυρίου τοῦ ϑεοῦ ἡμῶν,
ὥςτε ἀναβιβάσαι ἐπ' αὐτὸν ϑυσίαν ὁλοκαυτωμάτων, ὥςτε ποιῆσαι ἐπ' αὐτοῦ
24 ϑυσίαν σωτηρίου, κύριος ἐκζητήσει. 24 ἀλλ' ἕνεκεν εὐλαβείας ῥήματος ἐποιή-
σαμεν τοῦτο λέγοντες Ἵνα μὴ εἴπωσιν αὔριον τὰ τέκνα ὑμῶν τοῖς τέκνοις
25 ἡμῶν Τί ὑμῖν καὶ κυρίῳ τῷ ϑεῷ Ἰσραήλ; 25 καὶ ὅρια ἔϑηκε κύριος ἀνὰ μέσον
ἡμῶν καὶ ὑμῶν τὸν Ἰορδάνην, καὶ οὐκ ἔστιν ὑμῖν μερὶς κυρίου, καὶ ἀπαλ-
26 λοτριώσουσιν οἱ υἱοὶ ὑμῶν τοὺς υἱῶν ἡμῶν, ἵνα μὴ σέβωνται κύριον. 26 καὶ
εἴπαμεν ποιῆσαι οὕτω τοῦ οἰκοδομῆσαι τὸν βωμὸν τοῦτον, οὐχ ἕνεκεν καρ-
27 πωμάτων οὐδὲ ἕνεκεν ϑυσιῶν, 27 ἀλλ' ἵνα ᾖ τοῦτο μαρτύριον ἀνὰ μέσον ἡμῶν
καὶ ὑμῶν καὶ ἀνὰ μέσον τῶν γενεῶν ἡμῶν μεϑ' ἡμᾶς τοῦ λατρεύειν λατρείαν
κυρίου ἐναντίον αὐτοῦ ἐν τοῖς καρπώμασιν ἡμῶν καὶ ἐν ταῖς ϑυσίαις ἡμῶν
καὶ ἐν ταῖς ϑυσίαις τῶν σωτηρίων ἡμῶν· καὶ οὐκ ἐροῦσι τὰ τέκνα ὑμῶν τοῖς
28 τέκνοις ἡμῶν αὔριον Οὐκ ἔστιν ὑμῖν μερὶς κυρίου. 28 καὶ εἴπαμεν Ἐὰν γένη-
ταί ποτε καὶ λαλήσωσι πρὸς ἡμᾶς ἢ ταῖς γενεαῖς ἡμῶν αὔριον, καὶ ἐροῦσιν
Ἴδετε ὁμοίωμα τοῦ ϑυσιαστηρίου κυρίου, ὃ ἐποίησαν οἱ πατέρες ἡμῶν οὐχ
ἕνεκεν καρπωμάτων οὐδὲ ἕνεκεν ϑυσιῶν, ἀλλὰ μαρτύριόν ἐστιν ἀνὰ μέσον ὑμῶν
29 καὶ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον τῶν υἱῶν ἡμῶν. 29 μὴ γένοιτο οὖν ἡμᾶς
ἀποστραφῆναι ἀπὸ κυρίου ἐν τῇ σήμερον ἡμέρᾳ, ἀποστῆναι ἀπὸ κυρίου ὥςτε
οἰκοδομῆσαι ἡμᾶς ϑυσιαστήριον τοῖς καρπώμασι καὶ ταῖς ϑυσίαις Σαλαμὶν
καὶ τῇ ϑυσίᾳ τοῦ σωτηρίου πλὴν τοῦ ϑυσιαστηρίου κυρίου ὅ ἐστιν ἐναντίον
30 τῆς σκηνῆς αὐτοῦ. 30 καὶ ἀκούσας Φινεὲς ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρχοντες τῆς
συναγωγῆς Ἰσραὴλ οἳ ἦσαν μετ' αὐτοῦ τοὺς λόγους οὓς ἐλάλησαν οἱ υἱοὶ Ῥου-
31 βὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, καὶ ἤρεσεν αὐτοῖς. 31 καὶ
εἶπε Φινεὲς ὁ ἱερεὺς τοῖς υἱοῖς Ῥουβὴν καὶ τοῖς υἱοῖς Γὰδ καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῆ Σήμερον ἐγνώκαμεν ὅτι μεϑ' ἡμῶν κύριος, διότι οὐκ ἐπλημ-
μελήσατε ἐναντίον κυρίου πλημμέλειαν, καὶ ὅτι ἐῤῥύσασϑε τοὺς υἱοὺς Ἰσραὴλ
32 ἐκ χειρὸς κυρίου. 32 καὶ ἀπέστρεψε Φινεὲς ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες ἀπὸ τῶν
υἱῶν Ῥουβὴν καὶ ἀπὸ τῶν υἱῶν Γὰδ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ
ἐκ τῆς Γαλαὰδ εἰς γῆν Χαναὰν πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἀπεκρίϑησαν
33 αὐτοῖς τοὺς λόγους. 33 καὶ ἤρεσε τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἐλάλησαν πρὸς τοὺς
υἱοὺς Ἰσραήλ, καὶ εὐλόγησαν τὸν ϑεὸν υἱῶν Ἰσραήλ, καὶ εἶπαν μηκέτι ἀνα-
βῆναι πρὸς αὐτοὺς εἰς πόλεμον ἐξολοϑρεῦσαι τὴν γῆν τῶν υἱῶν Ῥουβὴν καὶ
τῶν υἱῶν Γὰδ καὶ τοῦ ἡμίσους φυλῆς Μανασσῆ· καὶ κατῴκησαν ἐπ' αὐτῆς.
34 34 καὶ ἐπωνόμασεν Ἰησοῦς τὸν βωμὸν τῶν Ῥουβὴν καὶ τῶν Γὰδ καὶ τοῦ
ἡμίσους φυλῆς Μανασσῆ, καὶ εἶπεν ὅτι μαρτύριόν ἐστιν ἀνὰ μέσον αὐτῶν
ὅτι κύριος ὁ ϑεὸς αὐτῶν ἐστί.

## XXIII.

Καὶ ἐγένετο μεϑ' ἡμέρας πλείους μετὰ τὸ καταπαῦσαι κύριον τὸν Ἰσραὴλ
ἀπὸ πάντων τῶν ἐχϑρῶν αὐτοῦ κυκλόϑεν, καὶ Ἰησοῦς πρεσβύτερος προβεβη-
2 κὼς ταῖς ἡμέραις. 2 καὶ συνεκάλεσεν Ἰησοῦς πάντας τοὺς υἱοὺς Ἰσραὴλ καὶ τὴν

---

23. η ωστε ποιησαι ... κυρ. αυτος εκζ. 24. αυριον ειπωσιν ... λεγοντες Τι ... om και 25. υμων και ημων ... τους υιους ημων 26. ουτως ... ουκ ενεκεν 27. μαρτυριον τουτο ... α. μ. υμων κ. ανα μεσον ημων και α. μ. τ. τεκνων ημ. ... om κ. εν τ. ϑυσ. ημων 28. η και ταις ... ουκ ενεκεν ... ανα μεσ. ημων κ. α. μ. υμων ... τεκνων pro υιων 29. ημας αποστηναι ... om αποστηναι α. κυριου ... των σωτηριων ... κυριου του ϑεου ημων ο ε. απεναντιον 30. ακουσαντες ... om ισραηλ ... και οι ημισεις φυλης 31. ερυσασϑε 32. οι αρχοντες των πατριων ... εκ γης γαλααδ 33. και ευλογησαν τ. ϑ. υι. ισρ. ante και ελαλησ. pon. ... εξολεϑρευσαι 34. βωμ. του ρουβην κ. τω γαδ κ. τω ημισει ... ο ϑεος ϑεος XXIII. 1. μετα ημερας ... κυρ. τον ϑεον ... εχϑρ. αυτων ... om ταις 2. ισρ. κατα την

γερουσίαν αὐτῶν καὶ τοὺς ἄρχοντας αὐτῶν καὶ τοὺς δικαστὰς αὐτῶν καὶ
τοὺς γραμματεῖς αὐτῶν, καὶ εἶπε πρὸς αὐτούς Ἐγὼ γεγήρακα καὶ προβέβηκα
ταῖς ἡμέραις. [3] ὑμεῖς δὲ ἑωράκατε ὅσα ἐποίησε κύριος ὁ θεὸς ἡμῶν πᾶσι τοῖς 3
ἔθνεσι τούτοις ἀπὸ προσώπου ἡμῶν, ὅτι κύριος ὁ θεὸς ὑμῶν ὁ ἐκπολεμήσας
ἡμῖν. [4] ἴδετε ὅτι ἐπέῤῥιφα ὑμῖν τὰ ἔθνη τὰ καταλελειμμένα ὑμῖν ταῦτα ἐν 4
τοῖς κλήροις εἰς τὰς φυλὰς ὑμῶν, ἀπὸ τοῦ Ἰορδάνου πάντα τὰ ἔθνη, καὶ
ἐξωλόθρευσα, καὶ ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης ὁριεῖ ἐπὶ δυσμὰς ἡλίου.
[5] κύριος δὲ ὁ θεὸς ἡμῶν οὗτος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου ἡμῶν ἕως 5
ἂν ἀπόλωνται· καὶ ἀποστελεῖ αὐτοῖς τὰ θηρία τὰ ἄγρια, ἕως ἂν ἐξολοθρεύσῃ
αὐτοὺς καὶ τοὺς βασιλεῖς αὐτῶν ἀπὸ προσώπου ὑμῶν, καὶ κατακληρονομήσετε
τὴν γῆν αὐτῶν, καθὰ ἐλάλησε κύριος ὁ θεὸς ἡμῶν ὑμῖν. [6] κατισχύσατε οὖν 6
σφόδρα φυλάσσειν καὶ ποιεῖν πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τοῦ νόμου
Μωυσῆ, ἵνα μὴ ἐκκλίνητε εἰς δεξιὰ ἢ εὐώνυμα, [7] ὅπως μὴ εἰσέλθητε εἰς τὰ 7
ἔθνη τὰ καταλελειμμένα ταῦτα· καὶ τὰ ὀνόματα τῶν θεῶν αὐτῶν οὐκ ὀνο-
μασθήσεται ἐν ὑμῖν, οὐδὲ μὴ λατρεύσητε οὐδὲ μὴ προσκυνήσητε αὐτοῖς, [8] ἀλλὰ 8
κυρίῳ τῷ θεῷ ἡμῶν προσκολληθήσεσθε, καθάπερ ἐποιήσατε ἕως τῆς ἡμέρας
ταύτης. [9] καὶ ἐξολοθρεύσει αὐτοὺς κύριος ἀπὸ προσώπου ὑμῶν, ἔθνη μεγάλα 9
καὶ ἰσχυρά, καὶ οὐδεὶς ἀντέστη κατενώπιον ἡμῶν ἕως τῆς ἡμέρας ταύτης·
[10] εἷς ὑμῶν ἐδίωξε χιλίους, ὅτι κύριος ὁ θεὸς ἡμῶν οὗτος ἐξεπολέμει ὑμῖν, 10
καθάπερ εἶπεν ἡμῖν. [11] καὶ φυλάξασθε σφόδρα τοῦ ἀγαπᾶν κύριον τὸν θεὸν 11
ἡμῶν. [12] ἐὰν γὰρ ἀποστραφῆτε καὶ προσθῆσθε τοῖς ὑπολειφθεῖσιν ἔθνεσι τού- 12
τοις τοῖς μεθ᾿ ὑμῶν, καὶ ἐπιγαμίας ποιήσητε πρὸς αὐτούς, καὶ συγκαταμιγῆτε
αὐτοῖς καὶ αὐτοὶ ὑμῖν, [13] γινώσκετε ὅτι οὐ μὴ προσθῇ κύριος τοῦ ἐξολοθρεῦ- 13
σαι τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν· καὶ ἔσονται ὑμῖν εἰς παγίδας καὶ
εἰς σκάνδαλα καὶ εἰς ἥλους ἐν ταῖς πτέρναις ὑμῶν καὶ εἰς βολίδας ἐν τοῖς
ὀφθαλμοῖς ὑμῶν, ἕως ἂν ἀπόλησθε ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς ταύτης ἣν ἔδω-
κεν ὑμῖν κύριος ὁ θεὸς ὑμῶν. [14] ἐγὼ δὲ ἀποτρέχω τὴν ὁδὸν καθὰ καὶ πάν- 14
τες οἱ ἐπὶ τῆς γῆς· καὶ γνώσεσθε τῇ καρδίᾳ ὑμῶν καὶ τῇ ψυχῇ ὑμῶν διότι
οὐκ ἔπεσεν εἷς λόγος ἀπὸ πάντων τῶν λόγων ὧν εἶπε κύριος ὁ θεὸς ἡμῶν
πρὸς πάντα τὰ ἀνήκοντα ἡμῖν, οὐ διεφώνησεν ἐξ αὐτῶν. [15] καὶ ἔσται ὃν τρό- 15
πον ἥκει πρὸς ἡμᾶς πάντα τὰ ῥήματα τὰ καλὰ ἃ ἐλάλησε κύριος ἐφ᾿ ὑμᾶς,
οὕτως ἐπάξει κύριος ὁ θεὸς ἐφ᾿ ὑμᾶς πάντα τὰ ῥήματα τὰ πονηρά, ἕως ἂν
ἐξολοθρεύσῃ ὑμᾶς ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς ταύτης ἧς ἔδωκε κύριος ὑμῖν,
[16] ἐν τῷ παραβῆναι ὑμᾶς τὴν διαθήκην κυρίου τοῦ θεοῦ ἡμῶν ἣν ἐνετείλατο 16
ἡμῖν, καὶ πορευθέντες λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς.

## XXIV.

Καὶ συνήγαγεν Ἰησοῦς πάσας φυλὰς Ἰσραὴλ εἰς Σηλώ, καὶ συνεκάλεσε
τοὺς πρεσβυτέρους αὐτῶν καὶ τοὺς γραμματεῖς αὐτῶν καὶ τοὺς δικαστὰς αὐ-
τῶν, καὶ ἔστησεν αὐτοὺς ἀπέναντι τοῦ θεοῦ. [2] καὶ εἶπεν Ἰησοῦς πρὸς πάντα 2

---

2. ειπεν αυτοις 3. εορακατε παντα οσα ... προσωπου υμων ... υμ. αυτος ο εκπ. υμιν 4. επεριφα ... καταλελιμμενα ... εθνη α εξωλεθρευσα 5. υμων αυτος εξολεθρευσει ... προσωπ. υμων ... αποστειλη ... ε. α. εξολεθρευσει ... κατακληρονομησατε ... ημων ημιν 6. η εις ευων. 7. καταλελιμμενα ... ουτε μη λατρ. αυτοις ουτε 8. αλλ η 9. εξωλεθρευσεν κυριος αυτους ... και υμιν ουδεις ... κατενωπ. υμων 10. εξεπολ. ημιν 12. υπολειφθητε pro προσθησθε ... om τοις μ. υμων ... υμεις pro υμιν 13. γνωσει γνωσεσθε ... εξολεθρευσαι ... ης εδωκεν 14. λογος εις ... ημων προς υμας· παντα ηκει υμιν· ἐν ου διαπεφωνηκεν 15. ηκει εφ υμας ... om ο θεος ... εξολεθρευση ... εδωκ. υμιν κυρ. ο θεος υμων 16. παραβαινειν ... θεου υμων ... υμιν XXIV. 1. πασας τας φ. ισρ. εν σηλω ... παντας τους πρ. ισραηλ και τους αρχοντας αυτων κ. τ. γρ. etc. ... κ. εστησαν εναντιον

Digitized by Google

τὸν λαόν Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Πέραν τοῦ ποταμοῦ παρῴκησαν
οἱ πατέρες ὑμῶν τὸ ἀπ' ἀρχῆς, Θάρα ὁ πατὴρ Ἀβραὰμ καὶ ὁ πατὴρ Να-
3 χώρ, καὶ ἐλάτρευσαν θεοῖς ἑτέροις. [3] καὶ ἔλαβον τὸν πατέρα ὑμῶν τὸν Ἀβραὰμ
ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ ὡδήγησα αὐτὸν ἐν πάσῃ τῇ γῇ· καὶ ἐπλή-
4 θυνα αὐτοῦ σπέρμα καὶ ἔδωκα αὐτῷ τὸν Ἰσαάκ, [4] καὶ τῷ Ἰσαὰκ τὸν Ἰακὼβ
καὶ τὸν Ἡσαῦ· καὶ ἔδωκα τῷ Ἡσαῦ τὸ ὄρος τὸ Σηεὶρ κληρονομῆσαι αὐτῷ.
καὶ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ κατέβησαν εἰς Αἴγυπτον, καὶ ἐγένοντο ἐκεῖ εἰς
5 ἔθνος μέγα καὶ πολὺ καὶ κραταιόν· καὶ ἐκάκωσαν αὐτοὺς οἱ Αἰγύπτιοι. [5] καὶ
ἐπάταξα τὴν Αἴγυπτον ἐν σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς. καὶ μετὰ ταῦτα
6 ἐξήγαγε [6] τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου, καὶ εἰσήλθατε εἰς τὴν θάλασσαν
τὴν ἐρυθράν· καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω τῶν πατέρων ἡμῶν ἐν ἅρ-
7 μασι καὶ ἐν ἵπποις εἰς τὴν θάλασσαν τὴν ἐρυθράν. [7] καὶ ἀνεβοήσαμεν πρὸς
κύριον· καὶ ἔδωκε νεφέλην καὶ γνόφον ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον τῶν
Αἰγυπτίων, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς τὴν θάλασσαν καὶ ἐκάλυψεν αὐτούς.
καὶ εἴδοσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὅσα ἐποίησε κύριος ἐν γῇ Αἰγύπτῳ, καὶ ἦτε
8 ἐν τῇ ἐρήμῳ ἡμέρας πλείους. [8] καὶ ἤγαγεν ἡμᾶς εἰς γῆν Ἀμοῤῥαίων τῶν κα-
τοικούντων πέραν τοῦ Ἰορδάνου, καὶ παρέδωκεν αὐτοὺς κύριος εἰς τὰς χεῖρας
ἡμῶν· καὶ κατεκληρονομήσατε τὴν γῆν αὐτῶν, καὶ ἐξωλοθρεύσατε αὐτοὺς
9 ἀπὸ προσώπου ὑμῶν. [9] καὶ ἀνέστη Βαλὰκ ὁ τοῦ Σεπφὼρ βασιλεὺς Μωὰβ καὶ
παρετάξατο τῷ Ἰσραήλ, καὶ ἀποστείλας ἐκάλεσε τὸν Βαλαὰμ ἀράσασθαι ἡμῖν.
10 [10] καὶ οὐκ ἠθέλησέ κύριος ὁ θεός σου ἀπολέσαι σε· καὶ εὐλογίαις εὐλόγησεν
11 ἡμᾶς, καὶ ἐξείλατο ἡμᾶς ἐκ χειρῶν αὐτῶν, καὶ παρέδωκεν αὐτούς. [11] καὶ διέ-
βητε τὸν Ἰορδάνην, καὶ παρεγενήθητε εἰς Ἱεριχώ· καὶ ἐπολέμησαν πρὸς ἡμᾶς
οἱ κατοικοῦντες Ἱεριχώ, ὁ Ἀμοῤῥαῖος καὶ ὁ Χαναναῖος καὶ ὁ Φερεζαῖος καὶ
ὁ Εὐαῖος καὶ ὁ Ἰεβουσαῖος καὶ ὁ Χετταῖος καὶ ὁ Γεργεσαῖος· καὶ παρέδω-
12 κεν αὐτοὺς κύριος εἰς τὰς χεῖρας ἡμῶν. [12] καὶ ἐξαπέστειλε προτέραν ὑμῶν τὴν
σφηκιάν, καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ προσώπου ἡμῶν δώδεκα βασιλεῖς τῶν
13 Ἀμοῤῥαίων, οὐκ ἐν τῇ ῥομφαίᾳ σου οὐδὲ ἐν τῷ τόξῳ σου. [13] καὶ ἔδωκεν ὑμῖν
γῆν ἐφ' ἣν οὐκ ἐκοπιάσατε ἐπ' αὐτῆς, καὶ πόλεις ἃς οὐκ ᾠκοδομήκατε, καὶ
κατῳκίσθητε ἐν αὐταῖς· καὶ ἀμπελῶνας καὶ ἐλαιῶνας οὓς οὐκ ἐφυτεύσατε
14 ὑμεῖς ἔδεσθε. [14] καὶ νῦν φοβήθητε κύριον καὶ λατρεύσατε αὐτῷ ἐν εὐθύτητι
καὶ ἐν δικαιοσύνῃ, καὶ περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους οἷς ἐλάτρευσαν
οἱ πατέρες ἡμῶν ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ ἐν Αἰγύπτῳ, καὶ λατρεύσατε
15 κυρίῳ. [15] εἰ δὲ μὴ ἀρέσκει ὑμῖν λατρεύειν κυρίῳ, ἐκλέξασθε ὑμῖν αὐτοῖς σή-
μερον τίνι λατρεύσητε, εἴτε τοῖς θεοῖς τῶν πατέρων ὑμῶν τοῖς ἐν τῷ πέραν
τοῦ ποταμοῦ, εἴτε τοῖς θεοῖς τῶν Ἀμοῤῥαίων ἐν οἷς ὑμεῖς κατοικεῖτε ἐπὶ τῆς
γῆς αὐτῶν· ἐγὼ δὲ καὶ ἡ οἰκία μου λατρεύσομεν κυρίῳ, ὅτι ἅγιός ἐστι.
16 [16] καὶ ἀποκριθεὶς ὁ λαὸς εἶπε Μὴ γένοιτο ἡμῖν καταλιπεῖν κύριον, ὥστε λα-

---

2. λαον λεγων ... του ισραηλ λεγων 3. om τον see. ... το σπερμα αυτου, και γε εδωκα 4. κληρονομιαν αυτω 5. επαταξεν κυριος ... εποιησεν 6. υμας pro τ. πατ. ημων ... om τ. ερυθραν ... πατερων υμων 7. εκαλυψεν επ αυτους ... ιδοσαν οι οφθ. ημων ... αιγυπτω· Και ita dist. 8. ηγαγ. υμας ... ιορδανου και παρεταξατο υμιν κ. παρεδωκ. α. κ. εις χειρ. υμων ... εξωλεθρευσατε 9. υμιν 10. om ο θεος σου ..., ευλογιαν ευλογησεν υμας ... εξειλ. υμας εκ των ... om κ. παρεδ. αυτ. 11. προς υμας ... ο αμορρ. κ. ο φερεζ. κ. ο χαναν. κ. ο χεττ. κ. ο γεργ. κ. ο ευαι. κ. ο ιεβουσαιος ... om κυριος ... om τας 12. προτ. ημων τ. σφ., κ. εξεβαλεν α. α. πρ. υμων ... δωδ. πολεις των 13. * εφ η ουκ ... επ αυτην ... ας ωκοδομησατε ... ους ου κατεφυτευσατε 14. τον κυριον ... εν δικαιοσ. κ. εν ευθ. ... οι πατ. υμων 15. ελεσθε pro εκλεξασθε ... ο οικος μου λατρευσωμεν 16. καταλειπειν

Digitized by Google

τρεύειν θεοῖς ἑτέροις. [17] κύριος ὁ θεὸς ἡμῶν αὐτὸς θεός ἐστιν· αὐτὸς ἀνή- 17
γαγεν ἡμᾶς καὶ τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου, καὶ διεφύλαξεν ἡμᾶς ἐν
πάσῃ τῇ ὁδῷ ᾗ ἐπορεύθημεν ἐν αὐτῇ, καὶ ἐν πᾶσι τοῖς ἔθνεσιν οὓς παρήλ-
θομεν δι' αὐτῶν· [18] καὶ ἐξέβαλε κύριος τὸν Ἀμοῤῥαῖον καὶ πάντα τὰ ἔθνη τὰ 18
κατοικοῦντα τὴν γῆν ἀπὸ προσώπου ἡμῶν. ἀλλὰ καὶ ἡμεῖς λατρεύσομεν κυ-
ρίῳ, οὗτος γὰρ θεὸς ἡμῶν ἐστί. [19] καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν Οὐ μὴ 19
δύνησθε λατρεύειν κυρίῳ ὅτι ὁ θεὸς ἅγιός ἐστι, καὶ ζηλώσας οὗτος οὐκ ἀνήσει
τὰ ἁμαρτήματα ὑμῶν καὶ τὰ ἀνομήματα ὑμῶν. [20] ἡνίκα ἂν ἐγκαταλίπητε 20
κύριον καὶ λατρεύσητε θεοῖς ἑτέροις, καὶ ἐπελθὼν κακώσει ὑμᾶς καὶ ἐξανα-
λώσει ὑμᾶς ἀνθ' ὧν εὖ ἐποίησεν ὑμᾶς. [21] καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν 21
Οὐχί, ἀλλὰ κυρίῳ λατρεύσομεν. [22] καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν Μάρτυρες 22
ὑμεῖς καθ' ὑμῶν, ὅτι ὑμεῖς ἐξελέξασθε κυρίῳ λατρεύειν αὐτῷ. [23] καί νῦν πε- 23
ριέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς ἐν ὑμῖν, καὶ εὐθύνατε τὴν καρδίαν
ὑμῶν πρὸς κύριον θεὸν Ἰσραήλ. [24] καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν Κυρίῳ λα- 24
τρεύσομεν, καὶ τῆς φωνῆς αὐτοῦ ἀκουσόμεθα. [25] καὶ διέθετο Ἰησοῦς διαθή- 25
κην πρὸς τὸν λαὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔδωκεν αὐτῷ νόμον καὶ κρίσιν
ἐν Σηλὼ ἐνώπιον τῆς σκηνῆς τοῦ θεοῦ Ἰσραήλ. [26] καὶ ἔγραψε τὰ ῥήματα 26
ταῦτα εἰς βιβλίον νόμων τοῦ θεοῦ· καὶ ἔλαβε λίθον μέγαν καὶ ἔστησεν αὐ-
τὸν Ἰησοῦς ὑπὸ τὴν τέρμινθον ἀπέναντι κυρίου. [27] καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν 27
λαόν Ἰδοὺ ὁ λίθος οὗτος ἔσται ἐν ὑμῖν εἰς μαρτύριον, ὅτι αὐτὸς ἀκήκοε πάντα
τὰ λεχθέντα αὐτῷ ὑπὸ κυρίου ὅ τι ἐλάλησε πρὸς ὑμᾶς σήμερον· καὶ οὗτος
ἔσται ἐν ὑμῖν εἰς μαρτύριον ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἡνίκα ἂν ψεύσησθε
κυρίῳ τῷ θεῷ μου. [28] καὶ ἀπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ ἐπορεύθησαν 28
ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. [29] καὶ ἐλάτρευσεν Ἰσραὴλ τῷ κυρίῳ πάσας τὰς (31) 29
ἡμέρας Ἰησοῦ καὶ πάσας τὰς ἡμέρας τῶν πρεσβυτέρων, ὅσοι ἐφείλκυσαν τὸν
χρόνον μετὰ Ἰησοῦ καὶ ὅσοι εἴδοσαν πάντα τὰ ἔργα κυρίου ὅσα ἐποίησε τῷ
Ἰσραήλ. [30] καὶ ἐγένετο μετ' ἐκεῖνα καὶ ἀπέθανεν Ἰησοῦς υἱὸς Ναυὴ δοῦλος (29) 30
κυρίου ἑκατὸν δέκα ἐτῶν. [31] καὶ ἔθαψαν αὐτὸν πρὸς τοῖς ὁρίοις τοῦ κλήρου (30) 31
αὐτοῦ ἐν Θαμνασαρὰχ ἐν τῷ ὄρει τῷ Ἐφραΐμ, ἀπὸ βοῤῥᾶ τοῦ ὄρους τοῦ
Γαλαάδ· ἐκεῖ ἔθηκαν μετ' αὐτοῦ εἰς τὸ μνῆμα, εἰς ὃ ἔθαψαν αὐτὸν ἐκεῖ,
τὰς μαχαίρας τὰς πετρίνας ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐν Γαλγά-
λοις, ὅτε ἐξήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου καθὰ συνέταξεν αὐτοῖς κύριος· καὶ
ἐκεῖ εἰσὶν ἕως τῆς σήμερον ἡμέρας. [32] καὶ τὰ ὀστᾶ Ἰωσὴφ ἀνήγαγον οἱ υἱοὶ 32
Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ κατώρυξαν ἐν Σικίμοις, ἐν τῇ μερίδι τοῦ ἀγροῦ οὗ
ἐκτήσατο Ἰακὼβ παρὰ τῶν Ἀμοῤῥαίων τῶν κατοικούντων ἐν Σικίμοις ἀμνά-
δων ἑκατόν, καὶ ἔδωκεν αὐτὴν Ἰωσὴφ ἐν μερίδι. [33] καὶ ἐγένετο μετὰ ταῦτα 33
καὶ Ἐλεάζαρ υἱὸς Ἀαρὼν ὁ ἀρχιερεὺς ἐτελεύτησε, καὶ ἐτάφη ἐν Γαβαὰρ Φι-
νεὲς τοῦ υἱοῦ αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ἐν τῷ ὄρει τῷ Ἐφραΐμ. ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ λαβόντες οἱ υἱοὶ Ἰσραὴλ τὴν κιβωτὸν τοῦ θεοῦ περιεφέροσαν ἐν ἑαυ-
τοῖς· καὶ Φινεὲς ἱεράτευσεν ἀντὶ Ἐλεάζαρ τοῦ πατρὸς αὐτοῦ ἕως ἀπέθανε,
καὶ κατωρύγη ἐν Γαβαὰρ τῇ ἑαυτοῦ. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀπῆλθοσαν ἕκαστος
εἰς τὸν τόπον αὐτῶν καὶ εἰς τὴν ἑαυτῶν πόλιν. καὶ ἐσέβοντο οἱ υἱοὶ Ἰσραὴλ

---

17. και γαρ ο θεος ημ. εστιν, αυτος ανηγαγ. ... εκ γης αιγυπτου 18. λατρευσωμεν ... ο θεος ημ. 19. κυριω τω θεω, οτι θεος 20. εγκαταλειπητε τον κυριον ... θεοις αλλοτριοις ... εποιησεν υμιν 21. τω κυριω λατρευσωμεν 22. εξελ. τον κυριον 24. λατρευσωμεν 26. νομον ... τερεβινθον 27. εσται υμιν ... οτι ουτος ακηκοεν ... om αυτω ... οσα pro οτι ... θεω ημων 28. εξαπεστειλεν ... om κ. επορευθησαν ... εκαστον 29. εκ. και δεκα 30. θαμνασαχαρ ... ορει εφραιμ ... ορους γαας· και εκει ... μνημιον εν ω ... om αυτοις 32. κατωρυξ. αυτα εν 33. ο υιος ααρ. ο ιερευς ... γαβααθ ... της διαθηκης του θεου περιεφερον ... κατωρυχθη ε. γαβααθ ... τοπον εαυτων

Digitized by Google

τὴν Ἀστάρτην καὶ Ἀσταρὼθ καὶ τοὺς θεοὺς τῶν ἐθνῶν τῶν κύκλῳ αὐτῶν· καὶ παρέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας Ἐγλὼμ τῷ βασιλεῖ Μωάβ, καὶ ἐκυρίευσεν αὐτῶν ἔτη δεκαοκτώ.

---

# ΚΡΙΤΑΙ.

## I.

Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰησοῦ καὶ ἐπηρώτων οἱ υἱοὶ Ἰσραὴλ
διὰ τοῦ κυρίου λέγοντες Τίς ἀναβήσεται ἡμῖν πρὸς τοὺς Χαναναίους ἀφηγού-
2 μενος τοῦ πολεμῆσαι πρὸς αὐτούς; [2] καὶ εἶπε κύριος Ἰούδας ἀναβήσεται,
3 ἰδοὺ δέδωκα τὴν γῆν ἐν χειρὶ αὐτοῦ. [3] καὶ εἶπεν Ἰούδας τῷ Συμεὼν ἀδελ-
φῷ αὐτοῦ Ἀνάβηθι μετ' ἐμοῦ ἐν τῷ κλήρῳ μου, καὶ παραταξώμεθα πρὸς
τοὺς Χαναναίους, καὶ πορεύσομαι κἀγὼ μετὰ σοῦ ἐν τῷ κλήρῳ σου. καὶ
4 ἐπορεύθη μετ' αὐτοῦ Συμεών. [4] καὶ ἀνέβη Ἰούδας· καὶ παρέδωκε κύριος τὸν
Χαναναῖον καὶ τὸν Φερεζαῖον εἰς τὰς χεῖρας αὐτῶν, καὶ ἔκοψαν αὐτοὺς ἐν
5 Βεζὲκ εἰς δέκα χιλιάδας ἀνδρῶν. [5] καὶ κατέλαβον τὸν Ἀδωνιβεζὲκ ἐν τῇ Βε-
ζέκ, καὶ παρετάξαντο πρὸς αὐτόν· καὶ ἔκοψαν τὸν Χαναναῖον καὶ Φερεζαῖον.
6 [6] καὶ ἔφυγεν Ἀδωνιβεζέκ· καὶ κατέδραμον ὀπίσω αὐτοῦ καὶ ἐλάβοσαν αὐτόν,
καὶ ἀπέκοψαν τὰ ἄκρα τῶν χειρῶν αὐτοῦ καὶ τὰ ἄκρα τῶν ποδῶν αὐτοῦ.
7 [7] καὶ εἶπεν Ἀδωνιβεζὲκ Ἑβδομήκοντα βασιλεῖς τὰ ἄκρα τῶν χειρῶν αὐτῶν
καὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν ἀποκεκομμένοι ἦσαν συλλέγοντες τὰ ὑποκάτω
τῆς τραπέζης μου· καθὼς οὖν ἐποίησα, οὕτως ἀνταπέδωκέ μοι ὁ θεός. καὶ
8 ἄγουσιν αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ ἀπέθανεν ἐκεῖ. [8] καὶ ἐπολέμουν υἱοὶ Ἰούδα
τὴν Ἱερουσαλήμ, καὶ κατελάβοντο αὐτὴν καὶ ἐπάταξαν αὐτὴν ἐν στόματι
9 ῥομφαίας, καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί. [9] καὶ μετὰ ταῦτα κατέβησαν οἱ
υἱοὶ Ἰούδα πολεμῆσαι πρὸς τὸν Χαναναῖον τὸν κατοικοῦντα τὴν ὀρεινὴν καὶ
10 τὸν νότον καὶ τὴν πεδινήν. [10] καὶ ἐπορεύθη Ἰούδας πρὸς τὸν Χαναναῖον τὸν
κατοικοῦντα ἐν Χεβρών, καὶ ἐξῆλθε Χεβρὼν ἐξ ἐναντίας· καὶ τὸ ὄνομα ἦν
Χεβρὼν τὸ πρότερον Καριαθαρβοκσεφέρ· καὶ ἐπάταξαν τὸν Σεσσὶ καὶ Ἀχι-
11 μὰν καὶ Θολμί, γεννήματα τοῦ Ἐνάκ. [11] καὶ ἀνέβησαν ἐκεῖθεν πρὸς τοὺς κα-
τοικοῦντας Δαβίρ· τὸ δὲ ὄνομα τῆς Δαβὶρ ἦν ἔμπροσθεν Καριαθσεφέρ, πόλις
12 γραμμάτων. [12] καὶ εἶπε Χάλεβ Ὃς ἂν πατάξῃ τὴν πόλιν τῶν γραμμάτων καὶ
προκαταλάβηται αὐτήν, δώσω αὐτῷ τὴν Ἀσχὰ θυγατέρα μου εἰς γυναῖκα.
13 [13] καὶ προκατελάβετο αὐτὴν Γοθονιὴλ υἱὸς Κενὲζ ἀδελφοῦ Χάλεβ ὁ νεώτερος·
14 καὶ ἔδωκεν αὐτῷ Χάλεβ τὴν Ἀσχὰ θυγατέρα αὐτοῦ εἰς γυναῖκα. [14] καὶ ἐγέ-

---

33. και την ασταρωθ ... και κατεκυριευσεν
Subscriptio: ιησους υιος ναυη

---

Inscriptio: κριται

I, 1. ισρ. εν κυριω λεγοντες ... τον χαναναιον ... πολεμ. εν αυτω 3. προς συμεων τον αδελφον ... και πολεμησω εν τω χαναναιω κ. πορευσ. και γε εγω μετα 4. εδωκεν ... εν χειρι αυτου, και επαταξεν αυτ. εν βαζεκ, δεκα 5. και ευρον τον α. ε. τ. β. και επολεμησαν εν αυτω· και επαταξεν τ. χ. κ. τον φερεζεον 6. ελαβον 8. οι υιοι ... στομ. μαχαιρας 9. του πολεμησαι 10. om εν χεβρ. κ. εξηλθ. χεβρων ... το δε ονομα χεβρ. ην εμπροσθεν χαριαρβοκ σεφερ ... επαταξεν τον γεθθι κ. τον αχιμααμ κ. τον θαμει ... εναμ 11. επορευθησαν εκειθεν ... δαβειρ ... και το ονομα δαβειρ ... om χαριαθσεφ. 12. ασχαν 13. κενεχ αδελφος χαλ. ο νεωτ. υπερ αυτον ... om χαλεβ ... ασχαν

Digitized by Google

νετο ἐν τῇ εἰςόδῳ αὐτῆς καὶ ἐπέσεισεν αὐτὴν Γοθονιὴλ τοῦ αἰτῆσαι παρὰ
τοῦ πατρὸς αὐτῆς ἀγρόν· καὶ ἐγόγγυζε καὶ ἔκραζεν ἀπὸ τοῦ ὑποζυγίου Εἰς
γῆν νότου ἐκδέδοσαί με. καὶ εἶπεν αὐτῇ Χάλεβ Τί ἐστι σοι; [15]καὶ εἶπεν 15
αὐτῷ Ἀσχὰ Δὸς δή μοι εὐλογίαν, ὅτι εἰς γῆν νότου ἐκδέδοσαί με, καὶ δώ-
σεις μοι λύτρωσιν ὕδατος. καὶ ἔδωκεν αὐτῇ Χάλεβ κατὰ τὴν καρδίαν αὐτῆς
λύτρωσιν μετεώρων καὶ λύτρωσιν ταπεινῶν. [16]καὶ οἱ υἱοὶ Ἰοθὸρ τοῦ Κιναίου 16
τοῦ γαμβροῦ Μωυσῆ ἀνέβησαν ἐκ πόλεως τῶν φοινίκων μετὰ τῶν υἱῶν Ἰούδα
εἰς τὴν ἔρημον τὴν οὖσαν ἐν τῷ νότῳ Ἰούδα, ἥ ἐστιν ἐπὶ καταβάσεως Ἀράδ,
καὶ κατῴκησαν μετὰ τοῦ λαοῦ. [17]καὶ ἐπορεύθη Ἰούδας μετὰ Συμεὼν τοῦ 17
ἀδελφοῦ αὐτοῦ καὶ ἔκοψε τὸν Χαναναῖον τὸν κατοικοῦντα Σεφέθ, καὶ ἐξω-
λόθρευσαν αὐτούς· καὶ ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως Ἀνάθεμα. [18]καὶ οὐκ 18
ἐκληρονόμησεν Ἰούδας τὴν Γάζαν οὐδὲ τὰ ὅρια αὐτῆς, οὐδὲ τὴν Ἀσκάλωνα
οὐδὲ τὰ ὅρια αὐτῆς, καὶ τὴν Ἀκκαρὼν οὐδὲ τὰ ὅρια αὐτῆς, τὴν Ἄζωτον οὐδὲ
τὰ περισπόρια αὐτῆς. [19]καὶ ἦν κύριος μετὰ Ἰούδα· καὶ ἐκληρονόμησε τὸ 19
ὄρος, ὅτι οὐκ ἠδυνάσθησαν ἐξολοθρεῦσαι τοὺς κατοικοῦντας τὴν κοιλάδα, ὅτι
Ῥηχὰβ διεστείλατο αὐτοῖς. [20]καὶ ἔδωκαν τῷ Χάλεβ τὴν Χεβρών, καθὼς 20
ἐλάλησε Μωυσῆς· καὶ ἐκληρονόμησεν ἐκεῖθεν τὰς τρεῖς πόλεις τῶν υἱῶν Ἐνάκ.
[21]καὶ τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα ἐν Ἱερουσαλὴμ οὐκ ἐκληρονόμησαν οἱ 21
υἱοὶ Βενιαμίν· καὶ κατῴκησεν ὁ Ἰεβουσαῖος μετὰ τῶν υἱῶν Βενιαμὶν ἐν Ἱερου-
σαλὴμ ἕως τῆς ἡμέρας ταύτης. [22]καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ καί γε αὐτοὶ 22
εἰς Βαιθήλ, καὶ κύριος ἦν μετ' αὐτῶν. [23]καὶ παρενέβαλον καὶ κατεσκέψαντο 23
Βαιθήλ· τὸ δὲ ὄνομα τῆς πόλεως ἦν ἔμπροσθεν Λουζά. [24]καὶ εἶδον οἱ φυ- 24
λάσσοντες, καὶ ἰδοὺ ἀνὴρ ἐξεπορεύετο ἐκ τῆς πόλεως· καὶ ἔλαβον αὐτόν, καὶ
εἶπον αὐτῷ Δεῖξον ἡμῖν τῆς πόλεως τὴν εἴςοδον, καὶ ποιήσομεν μετὰ σοῦ
ἔλεος. [25]καὶ ἔδειξεν αὐτοῖς τὴν εἴςοδον τῆς πόλεως· καὶ ἐπάταξαν τὴν πόλιν 25
ἐν στόματι ῥομφαίας, τὸν δὲ ἄνδρα καὶ τὴν συγγένειαν αὐτοῦ ἐξαπέστειλαν.
[26]καὶ ἐπορεύθη ὁ ἀνὴρ εἰς γῆν Χεττίν, καὶ ᾠκοδόμησεν ἐκεῖ πόλιν καὶ ἐκά- 26
λεσε τὸ ὄνομα αὐτῆς Λουζά· τοῦτο ὄνομα αὐτῆς ἕως τῆς ἡμέρας ταύτης.
[27]καὶ οὐκ ἐξῆρε Μανασσῆ τὴν Βαιθσάν, ἥ ἐστι Σκυθῶν πόλις, οὐδὲ τὰς θυ- 27
γατέρας αὐτῆς οὐδὲ τὰ περίοικα αὐτῆς, οὐδὲ τὴν Θανὰκ οὐδὲ τὰς θυγατέρας
αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Δὼρ οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τὸν κα-
τοικοῦντα Βαλὰκ οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ
τοὺς κατοικοῦντας Μαγεδὼ οὐδὲ τὰ περίοικα αὐτῆς καὶ τὰς θυγατέρας αὐ-
τῆς, οὐδὲ τοὺς κατοικοῦντας Ἰεβλαὰμ οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὰς θυ-
γατέρας αὐτῆς· καὶ ἤρξατο ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ γῇ ταύτῃ. [28]καὶ 28
ἐγένετο ὅτε ἐνίσχυσεν Ἰσραήλ, καὶ ἐποίησε τὸν Χαναναῖον εἰς φόρον, καὶ

14. εν τω εισπορευεσθαι αυτην κ. επ. αυτ. αιτησας παρα τ. π. α. τον αγρ. και εγογγ. επανω του υποζ. και εκραξεν απο του υποζυγιου 15. om δη ... την λυτρ. μετ. και την λυτρ. ταπ. 16. ιωαβ του κιν. πενθερου μω. αν. εκ της π. τ. φ. προς τους υιους ιουδ. ε. τ. ερ. ιουδα την ουσ. ε. τ. νοτω επι ... και επορευθη και κατωκησεν 17. επαταξαν pro εκοψε ... σεφερ κ. ανεθεματισαν αυτην και εξωλεθρευσαν αυτην· κ. εκαλεσαν τ. ο. τ. πολ. εξολεθρευσις 18. γαζαν κ. το οριον αυτ. και την ασκ. και το ορ. α. κ. τ. α. και το οριον α. και την 19. κυριος ην ... ουκ εδυνατο κληρονομησαι τους ... διεστ. αυτην 20. εδωκεν ... καθα ... πολεις· και εξηρεν εκειθεν τους τρεις υιους εναχ 21. ουκ εξηραν οι υι. βαινιαμιν ... βαινιαμιν ... om εν ιερουσαλ. 22. βαιθηλ, και ιουδας μετ αυτων 23. κ. παρεν. οικος ισραηλ κατα βαιθηλ 24. ιδον οι φυλ. ανδρα εκπορευομενον εκ ... ελαβαν ... την εισοδ. της πολ. 26. απηλθεν ο α. ε. γ. χεττιειμ 27. κ. ουκ εκληρονομησεν μανασσης τ. βαιθηλ ... τα περισπορια αυτ. ουδε τ. εκθαναααδ και τας ... δωρ και τας θ. α. και τους κατοικουντας βαλααμ και τας (omissis ουδε τα περ. αυτ.) ... και τους κ. μαγεδων και τας (omissis ουδε τ. περ. α.) ... om ουδε τ. περ. α. post ιεβλααμ 28. εθετο pro εποιησεν

29 ἐξαίρων οὐκ ἐξῆρεν αὐτόν. 29 καὶ Ἐφραῒμ οὐκ ἐξῆρε τὸν Χαναναῖον τὸν κατοι-
κοῦντα ἐν Γαζέρ· καὶ κατῴκησεν ὁ Χαναναῖος ἐν μέσῳ αὐτοῦ ἐν Γαζέρ, καὶ
30 ἐγένετο εἰς φόρον. 30 καὶ Ζαβουλὼν οὐκ ἐξῆρε τοὺς κατοικοῦντας Κέδρων
οὐδὲ τοὺς κατοικοῦντας Δωμανά· καὶ κατῴκησεν ὁ Χαναναῖος ἐν μέσῳ αὐ-
31 τῶν, καὶ ἐγένετο αὐτῷ εἰς φόρον. 31 καὶ Ἀσὴρ οὐκ ἐξῆρε τοὺς κατοικοῦντας
Ἀκχώ, καὶ ἐγένετο αὐτῷ εἰς φόρον, καὶ τοὺς κατοικοῦντας Δὼρ καὶ τοὺς
κατοικοῦντας Σιδῶνα καὶ τοὺς κατοικοῦντας Δαλάφ, τὸν Ἀσχαζὶ καὶ τὸν Χεβδὰ
32 καὶ τὸν Ναῒ καὶ τὸν Ἐρεώ. 32 καὶ κατῴκησεν ὁ Ἀσὴρ ἐν μέσῳ τοῦ Χανα-
33 ναίου τοῦ κατοικοῦντος τὴν γῆν, ὅτι οὐκ ἠδυνήθη ἐξᾶραι αὐτόν. 33 καὶ Νε-
φθαλὶ οὐκ ἐξῆρε τοὺς κατοικοῦντας Βαιθσαμὺς καὶ τοὺς κατοικοῦντας Βαιθα-
νάχ· καὶ κατῴκησε Νεφθαλὶ ἐν μέσῳ τοῦ Χαναναίου τοῦ κατοικοῦντος τὴν
γῆν, οἱ δὲ κατοικοῦντες Βαιθσαμὺς καὶ τὴν Βαιθενὲθ ἐγένοντο αὐτοῖς εἰς φό-
34 ρον. 34 καὶ ἐξέθλιψεν ὁ Ἀμορραῖος τοὺς υἱοὺς Δὰν εἰς τὸ ὄρος, ὅτι οὐκ ἀφῆ-
35 καν αὐτὸν καταβῆναι εἰς τὴν κοιλάδα. 35 καὶ ἤρξατο ὁ Ἀμορραῖος κατοικεῖν
ἐν τῷ ὄρει τῷ ὀστρακώδει, ἐν ᾧ αἱ ἄρκοι καὶ ἐν ᾧ αἱ ἀλώπεκες, ἐν τῷ Μυρ-
σινῶνι καὶ ἐν Θαλαβίν· καὶ ἐβαρύνθη ἡ χεὶρ οἴκου Ἰωσὴφ ἐπὶ τὸν Ἀμορ-
36 ραῖον, καὶ ἐγενήθη αὐτοῖς εἰς φόρον. 36 καὶ τὸ ὅριον τοῦ Ἀμορραίου ἀπὸ τῆς
ἀναβάσεως Ἀκραβὶν ἀπὸ τῆς πέτρας καὶ ἐπάνω.

## II.

Καὶ ἀνέβη ἄγγελος κυρίου ἀπὸ Γαλγὰλ ἐπὶ τὸν Κλαυθμῶνα καὶ ἐπὶ
Βαιθὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς Τάδε λέγει κύριος
Ἀνεβίβασα ὑμᾶς ἐξ Αἰγύπτου, καὶ εἰσήγαγον ὑμᾶς εἰς τὴν γῆν ἣν ὤμοσα τοῖς
πατράσιν ὑμῶν, καὶ εἶπα Οὐ διασκεδάσω τὴν διαθήκην μου τὴν μεθ' ὑμῶν
2 εἰς τὸν αἰῶνα· 2 καὶ ὑμεῖς οὐ διαθήσεσθε διαθήκην τοῖς ἐγκαθημένοις εἰς
τὴν γῆν ταύτην, οὐδὲ τοῖς θεοῖς αὐτῶν προσκυνήσετε, ἀλλὰ τὰ γλυπτὰ αὐτῶν
συντρίψετε, τὰ θυσιαστήρια αὐτῶν καθελεῖτε· καὶ οὐκ εἰσηκούσατε τῆς φω-
3 νῆς μου, ὅτι ταῦτα ἐποιήσατε. 3 κἀγὼ εἶπον Οὐ μὴ ἐξάρω αὐτοὺς ἐκ προσ-
ώπου ὑμῶν, καὶ ἔσονται ὑμῖν εἰς συνοχάς, καὶ οἱ θεοὶ αὐτῶν ἔσονται ὑμῖν
4 εἰς σκάνδαλον. 4 καὶ ἐγένετο ὡς ἐλάλησεν ὁ ἄγγελος κυρίου τοὺς λόγους τού-
τους πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ ἐπῆραν ὁ λαὸς τὴν φωνὴν αὐτῶν καὶ
5 ἔκλαυσαν. 5 καὶ ἐπωνόμασαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Κλαυθμῶνες· καὶ
6 ἐθυσίασαν ἐκεῖ τῷ κυρίῳ. 6 καὶ ἐξαπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ ἦλθεν ἀνὴρ
7 εἰς τὴν κληρονομίαν αὐτοῦ κατακληρονομῆσαι τὴν γῆν. 7 καὶ ἐδούλευσεν ὁ
λαὸς τῷ κυρίῳ πάσας τὰς ἡμέρας Ἰησοῦ καὶ πάσας τὰς ἡμέρας τῶν πρεσβυ-
τέρων, ὅσοι ἐμακροημέρευσαν μετὰ Ἰησοῦ, ὅσοι ἔγνωσαν πᾶν τὸ ἔργον κυρίου
8 τὸ μέγα ὅσα ἐποίησε ἐν τῷ Ἰσραήλ. 8 καὶ ἐτελεύτησεν Ἰησοῦς υἱὸς Ναυὴ

---

29. κατωκει ... εμμεσω 30. τ. κ. χεβρων και τους κ. εναμμαν ... εν μεσω αυτου ... om αυτω 31. post δαλαφ ita pergit: και τον ασχενδει και την σχεδιαν· και την ναφεχ και την ροωβ 32. ασηρ pro ο ασηρ ... ουκ εδυνασθη 33. νεφθαλιμ ... βεθσαμυς ουδε τους κ. βαιθενεθ· κ. κατωκησεν ισραηλ εν ... βεθσαμυς κ. τ. βεθενεχ εγενηθησαν 34. αφηκεν 35. ορει του μυρσινωνος οὗ αι αρκ. και αι αλωπεκες· και εβαρυνθη χειρ ... εγενετο ... om αυτοις 36. αμορραιου ο ιδουμαιος επανω ακραβειν επι της π. κ. επ. II. 1. om ταδε λεγει ... κυριος κυριος ανεβιβασεν ... ωμοσεν τ. π. υ. του δουναι υμιν κ. ειπεν υμιν 2. αυτων ου μη προσκυνησητε ... και τα θυσιαστ. α. κατακαυσετε ... οτε 3. και εγω ειπα Ου προσθησω του μετοικισαι τον λαον ον ειπα του εξολεθρευσαι αυτους εκ πρ. υμ. 4. προς παντα ισραηλ, κ. επηρεν 5. om και ... δια τουτο εκληθη το ... κλαυθμων ... εθυσαν 6. λαον, και απηλθαν οι υιοι ισραηλ εκαστος εις τον οικον αυτου και εις την κληρονομ. του κατακλ. τ. γ. 7. ο εποιησεν τω ισραηλ 8. om υιος sec.

Digitized by Google

δοῦλος κυρίου υἱὸς ἑκατὸν δέκα ἐτῶν. 9 καὶ ἔθαψαν αὐτὸν ἐν ὁρίῳ τῆς κλη- 9
ρονομίας αὐτοῦ ἐν Θαμναθαρὲς ἐν ὄρει Ἐφραΐμ, ἀπὸ βοῤῥᾶ τοῦ ὄρους Γαάς.
10 καὶ πᾶσα ἡ γενεὰ ἐκείνη προςετέθησαν πρὸς τοὺς πατέρας αὐτῶν· καὶ 10
ἀνέστη γενεὰ ἑτέρα μετ᾽ αὐτούς, οἳ οὐκ ἔγνωσαν τὸν κύριον καί γε τὸ ἔργον
ὃ ἐποίησεν ἐν τῷ Ἰσραήλ. 11 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐνώπιον 11
κυρίου, καὶ ἐλάτρευσαν τοῖς Βααλίμ. 12 καὶ ἐγκατέλιπον τὸν κύριον τὸν θεὸν 12
τῶν πατέρων αὐτῶν τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐπορεύθη-
σαν ὀπίσω θεῶν ἑτέρων ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ αὐτῶν, καὶ
προςεκύνησαν αὐτοῖς· καὶ παρώργισαν τὸν κύριον 13 καὶ ἐγκατέλιπον αὐτόν, 13
καὶ ἐλάτρευσαν τῷ Βάαλ καὶ ταῖς Ἀστάρταις. 14 καὶ ὠργίσθη θυμῷ κύριος 14
ἐν τῷ Ἰσραήλ, καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας προνομευόντων, καὶ κατε-
προνόμευσαν αὐτούς· καὶ ἀπέδοτο αὐτοὺς ἐν χερσὶ τῶν ἐχθρῶν αὐτῶν κυκλό-
θεν, καὶ οὐκ ἠδυνήθησαν ἔτι ἀντιστῆναι κατὰ πρόςωπον τῶν ἐχθρῶν αὐτῶν
15 ἐν πᾶσιν οἷς ἐπορεύοντο. καὶ χεὶρ κυρίου ἦν ἐπ᾽ αὐτοὺς εἰς κακά, καθὼς 15
ἐλάλησε κύριος, καὶ καθὼς ὤμοσε κύριος αὐτοῖς, καὶ ἐξέθλιψεν αὐτοὺς σφόδρα.
*Act. 13, 20. 16 καὶ ἤγειρε κύριος κριτάς, καὶ ἔσωσεν αὐτοὺς κύριος ἐκ χειρὸς τῶν προνο- 16
μευόντων αὐτούς. 17 καί γε τῶν κριτῶν οὐχ ὑπήκουσαν, ὅτι ἐξεπόρνευσαν 17
ὀπίσω θεῶν ἑτέρων καὶ προςεκύνησαν αὐτοῖς, καὶ ἐξέκλιναν ταχὺ ἐκ τῆς ὁδοῦ
ἧς ἐπορεύθησαν οἱ πατέρες αὐτῶν τοῦ εἰςακούειν τῶν λόγων κυρίου· οὐκ ἐποίη-
σαν οὕτω. 18 καὶ ὅτι ἤγειρε κύριος αὐτοῖς κριτάς, καὶ ἦν κύριος μετὰ τοῦ 18
κριτοῦ, καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν αὐτῶν πάσας τὰς ἡμέρας τοῦ
κριτοῦ· ὅτι παρεκλήθη κύριος ἀπὸ τοῦ στεναγμοῦ αὐτῶν ἀπὸ προςώπου τῶν
πολιορκούντων αὐτοὺς καὶ ἐκθλιβόντων αὐτούς. 19 καὶ ἐγένετο ὡς ἀπέθνησκεν 19
ὁ κριτής, καὶ ἀπέστρεψαν καὶ πάλιν διέφθειραν ὑπὲρ τοὺς πατέρας αὐτῶν
πορεύεσθαι ὀπίσω θεῶν ἑτέρων, λατρεύειν αὐτοῖς καὶ προςκυνεῖν αὐτοῖς· οὐκ
ἀπέῤῥιψαν τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰς ὁδοὺς αὐτῶν τὰς σκληράς. 20 καὶ 20
ὠργίσθη θυμῷ κύριος ἐν τῷ Ἰσραὴλ καὶ εἶπεν Ἀνθ᾽ ὧν ὅσα ἐγκατέλιπον τὸ
ἔθνος τοῦτο τὴν διαθήκην μου ἣν ἐνετειλάμην τοῖς πατράσιν αὐτῶν, καὶ οὐκ
εἰςήκουσαν τῆς φωνῆς μου, 21 καὶ ἐγὼ οὐ προςθήσω τοῦ ἐξᾶραι ἄνδρα ἐκ 21
προςώπου αὐτῶν ἀπὸ τῶν ἐθνῶν ὧν κατέλιπεν Ἰησοῦς υἱὸς Ναυὴ ἐν τῇ γῇ·
καὶ ἀφῆκε 22 τοῦ πειράσαι ἐν αὐτοῖς τὸν Ἰσραήλ, εἰ φυλάσσονται τὴν ὁδὸν 22
κυρίου πορεύεσθαι ἐν αὐτῇ ὃν τρόπον ἐφύλαξαν οἱ πατέρες αὐτῶν ἢ οὔ. 23 καὶ 23
ἀφήσει κύριος τὰ ἔθνη ταῦτα τοῦ μὴ ἐξᾶραι αὐτὰ τὸ τάχος, καὶ οὐ παρέδω-
κεν αὐτὰ ἐν χειρὶ Ἰησοῦ.

## III.

Καὶ ταῦτα τὰ ἔθνη ἃ ἀφῆκε κύριος αὐτὰ ὥςτε πειράσαι ἐν αὐτοῖς τὸν
Ἰσραήλ, πάντας τοὺς μὴ ἐγνωκότας τοὺς πολέμους Χαναάν, 2 πλὴν διὰ τὰς 2
γενεὰς υἱῶν Ἰσραὴλ τοῦ διδάξαι αὐτοὺς πόλεμον, πλὴν οἱ ἔμπροσθεν αὐτῶν

---

9. εν ορει της κλ. α. εν θαμναθαρ εως εν 10. οσοι ουκ ... om γε ... εποιησαν τω ισρ. 11. εναντιον κυριου κ. ελατρευον 12. εγκατελειπον ... τον κυριον θεον ... αυτων pro των εθνων 13. εγκατελειπον τον κυριον ... τη βααλ 14. κυριος τω ισραηλ ... εν χειρι πρ. κ. επρονομευσαν α. κ. απεδοντο α. εν χειρι των προνομευοντων κυκλ. κ. ο. ηδυνασθησαν ... om των extr. 15. οις επορνευον ... ην αυτοις εις ... om αυτοις 16. om κυριος sec. 17. και γε τ. αυτων ουκ επηκουσαν ... και παρωργισαν τον κυριον κ. εξεκλιναν ... εις ακουειν εντολας κυριου ... ουτως 18. ηγειρεν αυτοις κυριος ... εσ. αυτ. εν χειρι των κριτων αυτων πασας ... στεναγμ. αυτ. και προ προςωπου ... om και εκθλ. αυτ. 19. πορευθηναι ... ουκ απεριψαν τ. ε. α. και ουκ απεστησαν απο της οδου α. της σκληρας 20. εγκατελειπαν ... ουκ υπηκουσαν 21. κατελειπεν ... om υι. ναυη ε. τ. γη 22. εφυλαξαντο οι υιοι ισραηλ ... om η ου 23. αφηκεν III. 1. εθνη αφηκεν ιησους ωστε 2. των υιων

Digitized by Google

3 οὐκ ἔγνωσαν αὐτά· 3 τὰς πέντε σατραπείας τῶν ἀλλοφύλων καὶ πάντα τὸν
Χαναναῖον καὶ τὸν Σιδώνιον καὶ τὸν Εὐαῖον τὸν κατοικοῦντα τὸν Λίβανον
4 ἀπὸ τοῦ ὄρους τοῦ Ἀερμὼν ἕως Λαβωεμάϑ. 4 καὶ ἐγένετο ὥστε πειράσαι ἐν
αὐτοῖς τὸν Ἰσραήλ, γνῶναι εἰ ἀκούσονται τὰς ἐντολὰς κυρίου ἃς ἐνετείλατο
5 τοῖς πατράσιν αὐτῶν ἐν χειρὶ Μωυσῆ. 5 καὶ οἱ υἱοὶ Ἰσραὴλ κατῴκησαν ἐν
μέσῳ τοῦ Χαναναίου καὶ τοῦ Χετταίου καὶ τοῦ Ἀμοῤῥαίου καὶ τοῦ Φερε-
6 ζαίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου· 6 καὶ ἔλαβον τὰς ϑυγατέρας αὐ-
τῶν ἑαυτοῖς εἰς γυναῖκας, καὶ τὰς ϑυγατέρας αὐτῶν ἔδωκαν τοῖς υἱοῖς αὐτῶν,
7 καὶ ἐλάτρευσαν τοῖς ϑεοῖς αὐτῶν. 7 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν
ἐναντίον κυρίου, καὶ ἐπελάϑοντο κυρίου τοῦ ϑεοῦ αὐτῶν, καὶ ἐλάτρευσαν τοῖς
8 Βααλὶμ καὶ τοῖς ἄλσεσι. 8 καὶ ὠργίσϑη ϑυμῷ κύριος ἐν τῷ Ἰσραήλ, καὶ ἀπέ-
δοτο αὐτοὺς ἐν χειρὶ Χουσαρσαϑαὶμ βασιλέως Συρίας ποταμῶν· καὶ ἐδού-
9 λευσαν οἱ υἱοὶ Ἰσραὴλ τῷ Χουσαρσαϑαὶμ ἔτη ὀκτώ. 9 καὶ ἐκέκραξαν οἱ υἱοὶ
Ἰσραὴλ πρὸς κύριον· καὶ ἤγειρε κύριος σωτῆρα τῷ Ἰσραήλ, καὶ ἔσωσεν αὐ-
10 τούς, τὸν Γοϑονιὴλ υἱὸν Κενὲζ ἀδελφοῦ Χάλεβ τὸν νεώτερον ὑπὲρ αὐτόν. 10 καὶ
ἐγένετο ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ ἔκρινε τὸν Ἰσραήλ. καὶ ἐξῆλϑεν εἰς
πόλεμον πρὸς Χουσαρσαϑαίμ· καὶ παρέδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν Χου-
σαρσαϑαὶμ βασιλέα Συρίας ποταμῶν, καὶ ἐκραταιώϑη χεὶρ αὐτοῦ ἐπὶ τὸν
11 Χουσαρσαϑαίμ. 11 καὶ ἡσύχασεν ἡ γῆ ἔτη τεσσαράκοντα· καὶ ἀπέϑανε Γοϑο-
12 νιὴλ υἱὸς Κενέζ. 12 καὶ προσέϑεντο οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον
κυρίου· καὶ ἐνίσχυσε κύριος τὸν Ἐγλὼμ βασιλέα Μωὰβ ἐπὶ τὸν Ἰσραήλ, διὰ
13 τὸ πεποιηκέναι αὐτοὺς τὸ πονηρὸν ἔναντι κυρίου. 13 καὶ συνήγαγε πρὸς ἑαυ-
τὸν πάντας τοὺς υἱοὺς Ἀμμὼν καὶ Ἀμαλήκ, καὶ ἐπορεύϑη καὶ ἐπάταξε τὸν
14 Ἰσραήλ, καὶ ἐκληρονόμησε τὴν πόλιν τῶν φοινίκων. 14 καὶ ἐδούλευσαν οἱ υἱοὶ
15 Ἰσραὴλ τῷ Ἐγλὼμ βασιλεῖ Μωὰβ ἔτη δεκαοκτώ. 15 καὶ ἐκέκραξαν οἱ υἱοὶ
Ἰσραὴλ πρὸς κύριον· καὶ ἤγειρεν αὐτοῖς σωτῆρα τὸν Ἀὼδ υἱὸν Γηρὰ υἱὸν τοῦ
Ἰεμενί, ἄνδρα ἀμφοτεροδέξιον· καὶ ἐξαπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ δῶρα ἐν χειρὶ
16 αὐτοῦ τῷ Ἐγλὼμ βασιλεῖ Μωάβ. 16 καὶ ἐποίησεν ἑαυτῷ Ἀὼδ μάχαιραν δί-
στομον, σπιϑαμῆς τὸ μῆκος αὐτῆς, καὶ περιεζώσατο αὐτὴν ὑπὸ τὸν μανδύαν
17 ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸν δεξιόν. 17 καὶ ἐπορεύϑη καὶ προσήνεγκε τὰ δῶρα τῷ
18 Ἐγλὼμ βασιλεῖ Μωάβ· καὶ Ἐγλὼμ ἀνὴρ ἀστεῖος σφόδρα. 18 καὶ ἐγένετο ἡνίκα
συνετέλεσεν Ἀὼδ προσφέρων τὰ δῶρα, καὶ ἐξαπέστειλε τοὺς φέροντας τὰ
19 δῶρα· 19 καὶ αὐτὸς ὑπέστρεψεν ἀπὸ τῶν γλυπτῶν τῶν μετὰ τῆς Γαλγάλ, καὶ
εἶπεν Ἀὼδ Λόγος μοι κρύφιος πρὸς σέ, βασιλεῦ. καὶ εἶπεν Ἐγλὼμ πρὸς αὐ-
τόν Σιώπα· καὶ ἐξαπέστειλεν ἀφ' ἑαυτοῦ πάντας τοὺς ἐφεστῶτας ἐπ' αὐτόν.
20 20 καὶ Ἀὼδ εἰσῆλϑε πρὸς αὐτόν· καὶ αὐτὸς ἐκάϑητο ἐν τῷ ὑπερῴῳ τῷ ϑε-
ρινῷ τῷ ἑαυτοῦ μονώτατος. καὶ εἶπεν Ἀὼδ Λόγος ϑεοῦ μοι πρὸς σέ, βασιλεῦ.
21 καὶ ἐξανέστη ἀπὸ τοῦ ϑρόνου Ἐγλὼμ ἐγγὺς αὐτοῦ. 21 καὶ ἐγένετο ἅμα τῷ
ἀναστῆναι αὐτόν, καὶ ἐξέτεινεν Ἀὼδ τὴν χεῖρα τὴν ἀριστερὰν αὐτοῦ καὶ ἔλαβε
τὴν μάχαιραν ἐπάνωϑεν τοῦ μηροῦ αὐτοῦ τοῦ δεξιοῦ καὶ ἐνέπηξεν αὐτὴν ἐν

---

3. σατραπιας ... του βαλαερμων εως λοβωημαϑ 5. εμμεσω 7. εναντι κυριου ... επελαϑεντο κυριου ϑεου α. κ. ε. ταις βααλειμ 8. εις χειρας ... συριας μεσοποταμιας ποταμων ... ** οκτω ετη 9. τον νεωτερον αυτου· και εισηκουσαν αυτου 10. επι τον πολεμον ... om προς χουσαρσαϑαιμ 10. om ποταμων και εκρατ. χ. α. ε. τ. χουσαρσ. 11. ετη πεντηκοντα 12. εναντι pro ενωπιον 13. προσηγαγεν πρ. αυτον 15. αυτοις κυριος σωτηρα ... υιου του ιεμενει ... απεστειλαν 16. om αυτης ... μανδυαν αυτου ε. τ. μ. τ. δεξ. αυτου 17. om κ. επορευϑη 18. ως pro ηνικα ... τους αιροντας 19. κ. εγλωμ ανεστρεψεν ... om των sec. ... εγλωμ πασιν εκ μεσου· και εξηλϑον απ αυτου παντες οι παραστηκοντες αυτω 20. τω ϑερινω αυτου 21. αμα του ... om αυτον ... τ. μαχ. απο του μηρου του δεξ. αυτου ... εις την κοιλιαν εγλωμ

Digitized by Google

τῇ κοιλίᾳ αὐτοῦ, 22 καὶ ἐπεισήνεγκε καί γε τὴν λαβὴν ὀπίσω τῆς φλογός· καὶ 22
ἀπέκλεισε τὸ στέαρ κατὰ τῆς φλογός, ὅτι οὐκ ἐξέσπασε τὴν μάχαιραν ἐκ τῆς
κοιλίας αὐτοῦ. 23 καὶ ἐξῆλθεν Ἀὼδ τὴν προστάδα, καὶ ἐξῆλθε τοὺς διατε- 23
ταγμένους, καὶ ἀπέκλεισε τὰς θύρας τοῦ ὑπερῴου κατ' αὐτοῦ, καὶ ἐσφήνωσε.
24 καὶ αὐτὸς ἐξῆλθε· καὶ οἱ παῖδες αὐτοῦ ἐπῆλθον καὶ εἶδον, καὶ ἰδοὺ αἱ θύραι 24
τοῦ ὑπερῴου ἐσφηνωμέναι, καὶ εἶπαν Μή ποτε ἀποκενοῖ τοὺς πόδας αὐτοῦ
ἐν τῷ ταμείῳ τῷ θερινῷ; 25 καὶ ὑπέμειναν ἕως ᾐσχύνοντο. καὶ ἰδοὺ οὐκ ἔστιν 25
ὁ ἀνοίγων τὰς θύρας τοῦ ὑπερῴου· καὶ ἔλαβον τὴν κλεῖδα καὶ ἤνοιξαν, καὶ
ἰδοὺ ὁ κύριος αὐτῶν πεπτωκὼς ἐπὶ τὴν γῆν τεθνηκώς. 26 καὶ Ἀὼδ διεσώθη 26
ἕως ἐθορυβοῦντο, καὶ οὐκ ἦν ὁ προσνοῶν αὐτῷ· καὶ αὐτὸς παρῆλθε τὰ γλυπτὰ
καὶ διεσώθη εἰς Σετειρωθά. 27 καὶ ἐγένετο ἡνίκα ἦλθεν Ἀὼδ εἰς γῆν Ἰσραήλ, 27
καὶ ἐσάλπισεν ἐν κερατίνῃ ἐν τῷ ὄρει Ἐφραΐμ· καὶ κατέβησαν σὺν αὐτῷ οἱ
υἱοὶ Ἰσραὴλ ἀπὸ τοῦ ὄρους, καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν. 28 καὶ εἶπε πρὸς 28
αὐτούς Καταβῆτε ὀπίσω μου, ὅτι παρέδωκε κύριος ὁ θεὸς τοὺς ἐχθροὺς ἡμῶν
τὴν Μωὰβ ἐν χειρὶ ἡμῶν. καὶ κατέβησαν ὀπίσω αὐτοῦ, καὶ προκατελάβοντο
τὰς διαβάσεις τοῦ Ἰορδάνου τῆς Μωάβ, καὶ οὐκ ἀφῆκεν ἄνδρα διαβῆναι.
29 καὶ ἐπάταξαν τὴν Μωὰβ τῇ ἡμέρᾳ ἐκείνῃ ὡσεὶ δέκα χιλιάδας ἀνδρῶν, πᾶν 29
λιπαρὸν καὶ πάντα ἄνδρα δυνάμεως, καὶ οὐ διεσώθη ὁ ἀνήρ. 30 καὶ ἐνετράπη 30
Μωὰβ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπὸ χεῖρα Ἰσραήλ, καὶ ἡσύχασεν ἡ γῆ ὀγδοήκοντα
ἔτη· καὶ ἔκρινεν αὐτοὺς Ἀὼδ ἕως οὗ ἀπέθανε. 31 καὶ μετ' αὐτὸν ἀνέστη Σαμε- 31
γὰρ υἱὸς Δινάχ, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους εἰς ἑξακοσίους ἄνδρας ἐν τῷ
ἀροτρόποδι τῶν βοῶν, καὶ ἔσωσε καί γε αὐτὸς τὸν Ἰσραήλ.

## IV.

Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου· καὶ
Ἀὼδ ἀπέθανε. 2 καὶ ἀπέδοτο τοὺς υἱοὺς Ἰσραὴλ κύριος ἐν χειρὶ Ἰαβὶν βασι- 2
λέως Χανάαν, ὃς ἐβασίλευσεν ἐν Ἀσώρ· καὶ ὁ ἄρχων τῆς δυνάμεως αὐτοῦ
Σισάρα, καὶ αὐτὸς κατῴκει ἐν Ἀρισὼθ τῶν ἐθνῶν. 3 καὶ ἐκέκραξαν οἱ υἱοὶ 3
Ἰσραὴλ πρὸς κύριον, ὅτι ἐννακόσια ἅρματα σιδηρᾶ ἦν αὐτῷ, καὶ αὐτὸς ἔθλι-
ψε τὸν Ἰσραὴλ κατὰ κράτος εἴκοσι ἔτη. 4 καὶ Δεββώρα γυνὴ προφῆτις γυνὴ 4
Λαφιδώθ, αὕτη ἔκρινε τὸν Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ. 5 καὶ αὐτὴ ἐκάθητο 5
ὑπὸ φοίνικα Δεββώρα ἀνὰ μέσον τῆς Ῥαμὰ καὶ ἀνὰ μέσον τῆς Βαιθὴλ ἐν
τῷ ὄρει Ἐφραΐμ, καὶ ἀνέβαινον πρὸς αὐτὴν οἱ υἱοὶ Ἰσραὴλ εἰς κρίσιν. 6 καὶ 6
* He. 11, 32. ἀπέστειλε Δεββώρα καὶ ἐκάλεσε τὸν Βαρὰκ υἱὸν Ἀβινεὲμ ἐκ Κάδης Νεφθαλί,
καὶ εἶπε πρὸς αὐτόν Οὐχὶ ἐνετείλατο κύριος ὁ θεὸς Ἰσραὴλ σοι Καὶ ἀπελεύσῃ
εἰς ὄρος Θαβώρ, καὶ λήψῃ μετὰ σεαυτοῦ δέκα χιλιάδας ἀνδρῶν ἐκ τῶν υἱῶν
Νεφθαλὶ καὶ ἐκ τῶν υἱῶν Ζαβουλών, 7 καὶ ἀπάξω πρὸς σὲ εἰς τὸν χειμάῤῥουν 7
Κισῶν ἐπὶ τὸν Σισάρα ἄρχοντα τῆς δυνάμεως Ἰαβίν, καὶ τὰ ἅρματα αὐτοῦ
καὶ τὸ πλῆθος αὐτοῦ, καὶ παραδώσω αὐτὸν εἰς χεῖράς σου; 8 καὶ εἶπε πρὸς 8

---

(22. της φλεγος ... κατα τ. φλεβος) 23. εις την προσταδα ... om κ. εξηλθ. τους διατ. ... επ αυτον 24. 25. εισηλθον και ιδον ... αποκεκλισμεναι ... μη ποτε προς διφρους καθηται εν τη αποχωρησει του κοιτωνος· και προσεμειναν αισχυνομενοι ... ουκ ην 26. εως σεειρωθα 27. om αωδ ε. γ. ισραηλ ... εσαλπισεν κερατινη 28. καταβαινετε ... εχθρους υμων ... χειρι υμων ... αφηκαν 29. μωαβ εν τω καιρω εκεινω ωσει δ. χ. α. παντας τους μαχητας και παντας ανδρας ... om ὁ 30. υπο την χειρα 31. μετα τουτον ... υιος αναθ ... αρατροποδι εκτος μοσχων βοων ... om και γε IV. 1. προσετ. ετι οι ... εναντι κυριου 2. απεδ. αυτους κυρ. ε. χ. ιαμειν ... ασειρωθ 5. ανα μεσον ιαμα κ. α. μ. βαιθηλ εν ορει ... ανεβησαν ... ισραηλ εκει του κρινεσθαι 6. βαραχ ... αβινεεμ εκ κεδες νεφθαλει ... ουχι συ (i. e. σοι) ... om σοι ... λημψη ... απο bis pro εκ 7. απαξω σε προς τον ... ιαμειν ... εν χειρι σου

Digitized by Google

αὐτὴν Βαράκ Ἐὰν πορευθῇς μετ' ἐμοῦ πορεύσομαι, καὶ ἐὰν μὴ πορευθῇς οὐ
πορεύσομαι, ὅτι οὐκ οἶδα τὴν ἡμέραν ἐν ῇ εὐοδοῖ κύριος τὸν ἄγγελον μετ'
9 ἐμοῦ. 9 καὶ εἶπε Πορευομένη πορεύσομαι μετὰ σοῦ· πλὴν γίνωσκε ὅτι οὐκ ἔσται
τὸ προτέρημά σου ἐπὶ τὴν ὁδὸν ἣν σὺ πορεύῃ, ὅτι ἐν χειρὶ γυναικὸς ἀποδώ-
σεται κύριος τὸν Σισάρα. καὶ ἀνέστη Δεββώρα καὶ ἐπορεύθη μετὰ τοῦ Βαρὰκ
10 ἐκ Κάδης. 10 καὶ ἐβόησε Βαρὰκ τὸν Ζαβουλὼν καὶ τὸν Νεφθαλὶ ἐκ Κάδης,
καὶ ἀνέβησαν κατὰ πόδας αὐτοῦ δέκα χιλιάδες ἀνδρῶν· καὶ ἀνέβη Δεββώρα
11 μετ' αὐτοῦ. 11 καὶ Χαβὲρ ὁ Κιναῖος ἐχωρίσθη ἀπὸ Καινᾶ ἀπὸ τῶν υἱῶν Ἰω-
βὰβ γαμβροῦ Μωυσῆ, καὶ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἕως δρυὸς πλεονεκτούντων,
12 ἥ ἐστιν ἐχόμενα Κεδές. 12 καὶ ἀνηγγέλη Σισάρα ὅτι ἀνέβη Βαρὰκ υἱὸς Ἀβι-
13 νεὲμ εἰς ὄρος Θαβώρ. 13 καὶ ἐκάλεσε Σισάρα πάντα τὰ ἅρματα αὐτοῦ, ἐννα-
κόσια ἅρματα σιδηρᾶ, καὶ πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ ἀπὸ Ἀρισὼθ τῶν
14 ἐθνῶν εἰς τὸν χειμάῤῥουν Κισῶν. 14 καὶ εἶπε Δεββώρα πρὸς Βαρὰκ Ἀνάστηθι,
ὅτι αὕτη ἡ ἡμέρα ἐν ῇ παρέδωκε κύριος τὸν Σισάρα ἐν τῇ χειρί σου, ὅτι
κύριος ἐξελεύσεται ἔμπροσθέν σου. καὶ κατέβη Βαρὰκ κατὰ τοῦ ὄρους Θαβώρ,
15 καὶ δέκα χιλιάδες ἀνδρῶν ὀπίσω αὐτοῦ. 15 καὶ ἐξέστησε κύριος τὸν Σισάρα
καὶ πάντα τὰ ἅρματα αὐτοῦ καὶ πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ ἐν στόματι
ῥομφαίας ἐνώπιον Βαράκ· καὶ κατέβη Σισάρα ἐπάνωθεν τοῦ ἅρματος αὐτοῦ
16 καὶ ἔφυγε τοῖς ποσὶν αὐτοῦ. 16 καὶ Βαρὰκ διώκων ὀπίσω τῶν ἁρμάτων καὶ
ὀπίσω τῆς παρεμβολῆς ἕως Ἀρισὼθ τῶν ἐθνῶν· καὶ ἔπεσε πᾶσα παρεμβολὴ
17 Σισάρα ἐν στόματι ῥομφαίας, οὐ κατελείφθη ἕως ἑνός. 17 καὶ Σισάρα ἔφυγε
τοῖς ποσὶν αὐτοῦ εἰς σκηνὴν Ἰαὴλ γυναικὸς Χαβὲρ ἑταίρου τοῦ Κιναίου, ὅτι
εἰρήνη ἦν ἀνὰ μέσον Ἰαβὶν βασιλέως Ἀσὼρ καὶ ἀνὰ μέσον τοῦ οἴκου Χαβὲρ
18 τοῦ Κιναίου. 18 καὶ ἐξῆλθεν Ἰαὴλ εἰς συνάντησιν Σισάρα καὶ εἶπεν αὐτῷ
Ἔκκλινον, κύριέ μου, ἔκκλινον πρός με, μὴ φοβοῦ. καὶ ἐξέκλινε πρὸς αὐτὴν
19 εἰς τὴν σκηνήν· καὶ περιέβαλεν αὐτὸν ἐπιβολαίῳ. 19 καὶ εἶπε Σισάρα πρὸς
αὐτήν Πότισόν με δὴ μικρὸν ὕδωρ, ὅτι ἐδίψησα. καὶ ἤνοιξε τὴν ἀσκὸν τοῦ
20 γάλακτος καὶ ἐπότισεν αὐτόν, καὶ περιέβαλεν αὐτόν. 20 καὶ εἶπε πρὸς αὐτὴν
Σισάρα Στῆθι δὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἔσται ἐὰν ἀνὴρ ἔλθῃ πρὸς
21 σὲ καὶ ἐρωτήσῃ σε καὶ εἴπῃ Εἰ ἔστιν ὧδε ἀνήρ; καὶ ἐρεῖς Οὐκ ἔστι. 21 καὶ
ἔλαβεν Ἰαὴλ γυνὴ Χαβὲρ τὸν πάσσαλον τῆς σκηνῆς καὶ ἔθηκε τὴν σφῦραν
ἐν τῇ χειρὶ αὐτῆς, καὶ εἰσῆλθε πρὸς αὐτὸν ἐν κρυφῇ καὶ ἔπηξε τὸν πάσσα-
λον ἐν τῷ κροτάφῳ αὐτοῦ, καὶ διεξῆλθεν ἐν τῇ γῇ· καὶ αὐτὸς ἐξεστὼς ἐσκο-
22 τώθη καὶ ἀπέθανε. 22 καὶ ἰδοὺ Βαρὰκ διώκων τὸν Σισάρα, καὶ ἐξῆλθεν Ἰαὴλ
εἰς συνάντησιν αὐτῷ καὶ εἶπεν αὐτῷ Δεῦρο καὶ δείξω σοι τὸν ἄνδρα ὃν σὺ

---

8. βαραχ ... μη πορ. μετ εμου ου 9. κ. ειπ. προς αυτον δεββωρα Πορευσομενη ... εις την οδον ... μετ αυτου βαραχ εκ κειδες 10. κ. παρηγγειλεν β. τω ζ. και τω ν. εις κειδες ... δεββ. ανεβη 11. και οι πλησιον του κειναιου εχωρισθησαν ... om απο καινα ... προς δρυν αναπαυομενων 12. ανηγγειλαν τω σ. ... υιος ιαβινεεμ επ ορος 13. οτι ενναχ. α. σ. την αυτω ... om τον sec. ... ασειρωθ ... κεισων 14. βαραχ ... παραδωσει ... σεισαρα εν χειρι σου· ουχ ιδου κυρ. ελευσεται ... βαραχ απο του 15. σεισαρα ... βαραχ ... σισαρα απο του 16. βαραχ ... και εως δρυμου pro εως ασιρωθ ... πασα η παρεμβ. σεισαρα 17. ανεχωρησεν pro εφυγεν ... om εταιρου ... κειναιου bis ... om ην ... ιαβειν ... οικου sine του 18. απαντησιν ... ειπεν προς αυτον Εκνευσον κ. μ. εκνευσον ... και εκνευσεν προς αυτον ... συνεκαλυψεν αυτον εν τη δερρει αυτης 19. τον ασκον ... εποτ. α. και συνεκαλυψεν το προσωπον αυτου 20. om σισαρα ... στηθι εν τη θυρα ... εαν τις ελθη ... ειπη σοι Εστιν ενταυθα ανηρ 21. και συνεκαλυψεν αυτον εν τη θερρει αυτης κ. ελ. ιαηλ ... εισηλθ. πρ. α. ησυχη κ. εθηκεν τ. π. εν τη γναθω αυτ. κ. διηλασεν ε. τ. γ. κ. αυτος απεσκαρισεν ανα μεσον των γονατων αυτης και εξεψυξεν κ. απεθ. 22. βαραχ ... εις απαντην αυτου

Digitized by Google

ζητεῖς. καὶ εἰςῆλθε πρὸς αὐτήν, καὶ ἰδοὺ Σισάρα ἐῤῥιμμένος νεκρός, καὶ ὁ
πάσσαλος ἐν τῷ κροτάφῳ αὐτοῦ. [23] καὶ ἐτρόπωσεν ὁ θεὸς τὸν Ἰαβὶν βασιλέα 23
Χαναὰν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔμπροσθεν υἱῶν Ἰσραήλ. [24] καὶ ἐπορεύετο χεὶρ 24
τῶν υἱῶν Ἰσραὴλ πορευομένη καὶ σκληρυνομένη ἐπὶ Ἰαβὶν βασιλέα Χαναάν,
ἕως οὗ ἐξωλόθρευσαν τὸν Ἰαβὶν βασιλέα Χαναάν.

## V.

Καὶ ἦσαν Δεββώρα καὶ Βαρὰκ υἱὸς Ἀβινεὲμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγον-
τες [2] Ἀπεκαλύφθη ἀποκάλυμμα ἐν Ἰσραὴλ ἐν τῷ ἐκουσιασθῆναι λαόν, εὐλο- 2
γεῖτε κύριον. [3] ἀκούσατε βασιλεῖς, καὶ ἐνωτίσασθε σατράπαι· ᾄσομαι ἐγώ εἰμι 3
τῷ κυρίῳ, ἐγώ εἰμι ψαλῶ τῷ κυρίῳ τῷ θεῷ Ἰσραήλ. [4] κύριε, ἐν τῇ ἐξόδῳ σου 4
ἐν Σηείρ, ἐν τῷ ἀπαίρειν σε ἐξ ἀγροῦ Ἐδὼμ γῆ ἐσείσθη καὶ ὁ οὐρανὸς ἔσταξε
δρόσους καὶ αἱ νεφέλαι ἔσταξαν ὕδωρ. [5] ὄρη ἐσαλεύθησαν ἀπὸ προςώπου κυ- 5
ρίου Ἐλωΐ, τοῦτο Σινᾶ ἀπὸ προςώπου κυρίου θεοῦ Ἰσραήλ. [6] ἐν ἡμέραις Σα- 6
μεγὰρ υἱοῦ Ἀνάθ, ἐν ἡμέραις Ἰαὴλ ἐξέλιπον ὁδοὺς καὶ ἐπορεύθησαν ἀτραπούς,
ἐπορεύθησαν ὁδοὺς διεστραμμένας. [7] ἐξέλιπον δυνατοὶ ἐν Ἰσραήλ, ἐξέλιπον ἕως 7
οὗ ἀνέστη Δεββώρα, ἕως οὗ ἀνέστη μήτηρ ἐν Ἰσραήλ. [8] ἐξελέξαντο θεοὺς και- 8
νούς, τότε ἐπολέμησαν πόλεις ἀρχόντων· θυρεὸς ἐὰν ὀφθῇ καὶ λόγχη ἐν τεσ-
σαράκοντα χιλιάσιν ἐν Ἰσραήλ, [9] ἡ καρδία μου εἰς τὰ διατεταγμένα τῷ Ἰσραήλ· 9
οἱ ἐκουσιαζόμενοι ἐν λαῷ εὐλογεῖτε κύριον. [10] ἐπιβεβηκότες ἐπὶ ὄνου θηλείας 10
μεσημβρίας, καθήμενοι ἐπὶ κριτηρίου καὶ πορευόμενοι ἐπὶ ὁδοὺς συνέδρων ἐφ᾽
ὁδῷ, [11] διηγεῖσθε ἀπὸ φωνῆς ἀνακρουομένων ἀνὰ μέσον ὑδρευομένων· ἐκεῖ 11
δώσουσι δικαιοσύνας. κύριε, δικαιοσύνας αὔξησον ἐν Ἰσραήλ· τότε κατέβη εἰς
τὰς πόλεις λαὸς κυρίου. [12] ἐξεγείρου ἐξεγείρου, Δεββώρα, ἐξεγείρου ἐξεγείρου, 12
λάλησον ᾠδήν· ἀνάστα, Βαράκ, καὶ αἰχμαλώτισον αἰχμαλωσίαν σου, υἱὸς
Ἀβινεέμ. [13] τότε κατέβη κατάλειμμα τοῖς ἰσχυροῖς· λαὸς κυρίου κατέβη αὐτῷ 13
ἐν τοῖς κραταιοῖς ἐξ ἐμοῦ. [14] Ἐφραῒμ ἐξεῤῥίζωσεν αὐτοὺς ἐν τῷ Ἀμαλήκ· 14
ὀπίσω σου, Βενιαμίν, ἐν τοῖς λαοῖς σου· ἐν ἐμοὶ Μαχὶρ κατέβησαν ἐξερευ-
νῶντες, καὶ ἀπὸ Ζαβουλὼν ἕλκοντες ἐν ῥάβδῳ διηγήσεως γραμματέως. [15] καὶ 15
ἀρχηγοὶ ἐν Ἰσσάχαρ μετὰ Δεββώρας καὶ Βαράκ· οὕτω Βαρὰκ ἐν κοιλάσιν

---

22. σισαρα πεπτωκως νεκρος ... εν τη γναθω αυτου 23. κ. εταπεινωσεν κυριος ο θ. τον ιαβειν ... ενωπιον υιων 24. επορευθη χειρ κυριου υιων ισραηλ ... ιαβειν ... εως εξωλεθρευσαν αυτον. V. 1. ησεν ... βαραχ ... και ειπεν εν τη ωδη pro λεγοντες 2. plene: εν τω αρξασθαι αρχηγους εν ισρ. εν προαιρεσει λαου ευλογειτε τον κυρ. 3. plene: ακ. βασ., ενωτιζεσθε σατρ. δυνατοι· εγω τω κ. ασομαι, ψαλ. τω θεω ισρ. 4. εκ σηειρ ... ο ουραν. εξεσταθη και γε νεφελαι 5. om ελωι ... σεινα 6. υιου κεναθ ... εξελειπον βασιλεις κ. επορ. τριβους· επορ. οδ. διεστρεμμενας 7. εξελειπεν φραζων εν ισρ., εξελειπεν ... εξανεστη δεββωρα, οτι ανεστη μητ. εν τω ισρ. 8. ηρετισαν θ. κενους ως αρτον κριθινον σκεπη νεανιδων σιρομαστων· ανηφθη και σιρομαστης εν τεσσερακ. χιλιάσιν ... om εν ισρ. 9. οι δυνασται του λαου ευλογ. τον κυρ. 10. 11. επιβ. επι υποζυγιων, καθημ. επι λαμπηνων φθεγξασθαι φωνην ανακρουομενων α. μ. ευφραινομενων· εκει δωσ. δικ. κυριω· δικ. ενισχυσαν εν τω ισραηλ ... πολεις αυτου ο λ. κ. 12. post δεββωρα add εξεγειρου μυριαδας μετα λαου ... λαλει μετ ωδης· ενισχυων εξανιστας ο βαραχ· και ενισχυσον δεββωρα τον βαραχ· αιχμαλωτευσον 13. plene: ποτε εμεγαλυνεν η ισχυς αυτου· κυριε ταπεινωσον μοι τους ισχυροτερους μου 14. plene: λαος εφρ. ετιμωρησατο αυτους εν κοιλαδι αδελφου σου βενιαμειν εν λαοις σου· εξ εμου μαχειρ κατεβησαν εξεραυνωντες· και εκ ζαβουλων κυριος επολεμει μοι εν δυνατοις εκειθεν· εν σκηπτρω ενισχυοντος ηγησεως 15. plene: εν ισσαχαρ μετα δεββ.· εξαπεστειλεν πεζους αυτου εις την κοιλαδα ινα σοι κατοικης εμμεσω χειλεων·



Digitized by Google

ἀπέστειλεν ἐν ποσὶν αὐτοῦ, εἰς τὰς μερίδας Ῥουβήν, μεγάλοι ἐξιχνούμενοι καρ-
16 δίαν. [16] εἰς τί ἐκάθισαν ἀνὰ μέσον τῆς διγομίας τοῦ ἀκοῦσαι συρισμοῦ ἀγγέ-
17 λων εἰς διαιρέσεις Ῥουβήν; μεγάλοι ἐξετασμοὶ καρδίας [17] Γαλαάδ, ἐν τῷ
πέραν τοῦ Ἰορδάνου οὐ ἐσκήνωσε· καὶ Δὰν εἰς τί παροικεῖ πλοίοις; Ἀσὴρ
18 ἐκάθισε παραλίαν θαλασσῶν, καὶ ἐπὶ διεξόδοις αὐτοῦ σκηνώσει. [18] Ζαβουλὼν
λαὸς ὠνείδισε ψυχὴν αὐτοῦ εἰς θάνατον, καὶ Νεφθαλὶ ἐπὶ ὕψη ἀγροῦ ἦλθον
19 αὐτῶν. [19] βασιλεῖς παρετάξαντο, τότε ἐπολέμησαν βασιλεῖς Χαναὰν ἐν Θα-
20 ναὰχ ἐπὶ ὕδατι Μαγεδδώ, δῶρον ἀργυρίου οὐκ ἔλαβον. [20] ἐξ οὐρανοῦ παρε-
21 τάξαντο οἱ ἀστέρες, ἐκ τρίβων αὐτῶν παρετάξαντο μετὰ Σισάρα. [21] χειμάῤ-
ῥους Κισῶν ἐξέσυρεν αὐτούς, χειμάῤῥους ἀρχαίων, χειμάῤῥους Κισῶν· κατα-
22 πατήσει αὐτὸν ψυχή μου δυνατή. [22] ὅτε ἐνεποδίσθησαν πτέρναι ἵππου, σπουδῇ
23 ἔσπευσαν ἰσχυροὶ αὐτοῦ [23] καταρᾶσθαι Μηρώζ, εἶπεν ἄγγελος κυρίου Κατα-
ρᾶσθε· ἐπικατάρατος πᾶς ὁ κατοικῶν αὐτήν, ὅτι οὐκ ἤλθοσαν εἰς βοήθειαν
24 κυρίου, εἰς βοήθειαν ἐν δυνατοῖς. [24] εὐλογηθείη ἐν γυναιξὶν Ἰαὴλ γυνὴ Χαβὲρ
25 τοῦ Κιναίου, ἀπὸ γυναικῶν ἐν σκηναῖς εὐλογηθείη. [25] ὕδωρ ᾔτησεν, γάλα ἔδω-
26 κεν ἐν λεκάνῃ, ὑπερεχόντων προσήνεγκε βούτυρον. [26] χεῖρα αὐτῆς ἀριστερὰν
εἰς πάσσαλον ἐξέτεινε καὶ δεξιὰν αὐτῆς εἰς σφῦραν κοπιώντων, καὶ ἐσφυρο-
κόπησε Σισάρα, διήλωσε κεφαλὴν αὐτοῦ καὶ ἐπάταξεν, διήλωσε κρόταφον
27 αὐτοῦ· [27] ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατεκυλίσθη, ἔπεσε καὶ ἐκοιμήθη
ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς· κατακλιθεὶς ἔπεσεν, καθὼς κατεκλίθη ἐκεῖ
28 ἔπεσεν ἐξοδευθείς. [28] διὰ τῆς θυρίδος παρέκυψε μήτηρ Σισάρα ἐκτὸς τοῦ
τοξικοῦ Διότι ᾐσχύνθη ἅρμα αὐτοῦ; διότι ἐχρόνισαν πόδες ἁρμάτων αὐτοῦ,
29 [29] αἱ σοφαὶ ἄρχουσαι αὐτῆς ἀπεκρίθησαν πρὸς αὐτήν, καὶ αὐτὴ ἀπέστρεψε
30 λόγους αὐτῆς ἑαυτῇ [30] Οὐχ εὑρήσουσιν αὐτὸν διαμερίζοντα σκῦλα; οἰκτίρμων
οἰκτειρήσει εἰς κεφαλὴν ἀνδρός· σκῦλα βαμμάτων τῷ Σισάρᾳ, σκῦλα βαμ-
31 μάτων ποικιλίας, βάμματα ποικιλτῶν αὐτὰ τῷ τραχήλῳ αὐτοῦ σκῦλα. [31] οὕτως
ἀπόλοιντο πάντες οἱ ἐχθροί σου, κύριε· καὶ οἱ ἀγαπῶντες αὐτὸν ὡς ἔξοδος
ἡλίου ἐν δυνάμει αὐτοῦ. καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη.

---

15. εξετεινεν τοις ποσιν αυτου διαιρεσεις ρουβην μεγαλοι ακριβασμοι καρδιας· 16. plene: ινα τι μοι καθησαι ανα μεσον των μοσφαιθαμ· του εισακουειν συρισμους εξεγειροντων του διελθειν εις τα του ρουβην· μεγαλοι εξιχνιασμοι καρδιας 17. om οὐ ... κατεσκηνωσεν ... ινα τι ... ασηρ παρωκησεν παρ αιγιαλον θαλασσων κ. ε. τας διακοπας αυτ. κατεσκηνωσεν 18. 19. ονειδισας ... νεφθαλειμ ... ηλθον βασιλεις και παρεταξ. ... εν θενναχ επι υδατος μεγεδδω· πλεονεξιαν αργυριου 20. plene: εκ του ουρ. επολεμηθησαν· αστερες εκ της ταξεως αυτων επολεμησαν μετα ισραηλ 21. χ. κεισων εξεβαλεν α. χ. καδησειμ χ. κεισων 22. plene: τοτε απεκοπησαν πτ. ιππ. αμμαδαρωθ δυνατων αυτου 23. καταρασαιαι μαζωρ ειπ. ο αγγ. καταρασει καταρασασθαι τους ενοικους αυτης· οτι ουκ η. ε. την βοηθ. κυρ.· βοηθος ημων κυριος· εν μαχηταις δυνατοις 24. ε. εκ γυναικων ι. γ. χαλεβ τ. κειναιου· εκ γυν. εν σκηνη ευλ. 25. υ. ητ. αυτην· και γαλα εδ. αυτω· εν λακανη ισχυρων προσηγγεισεν βουτ. 26. την χειρ. α. την αρ. ε. π. ε.· την δεξ. α. εις αποτομας κατακοπων· κ. απετεμεν σισαρα· απετριψεν την κεφ. αυτ. κ. συνεθλασεν· και διηλασεν την γναθον αυτ. 27. plene: α. μ. τ. ποδ. α. συνκαμψας επεσεν· εκοιμηθη μεταξυ ποδ. αυτης· εν ω εκαμψεν εκει επεσεν ταλαιπωρος 28. plene: δ. τ. θ. διεκυπτεν και κατεμανθανεν η μητ. σ. δια της δικτυωτης επιβλεπουσα επι τους μεταστρεφοντας σισαρα· δια τι ησχατισεν το αρμα αυτου παραγενεσθαι· δια τι εχρονισαν ιχνη αρμ. α. 29. plene: σοφαι αρχουσων αυτης ανταπεκριναντο πρ. α. και αυτη δε απεκρινατο εν ρημασιν αυτης 30. plene: ουχι ε. α. δ. σκυλα· φιλιαζων φιλοις εις κεφαλην δυνατοι σκυλα βαμμ. σισαρα· σκ. βαμμ. ποικιλιας· βαθη ποικιλων περι τραχηλον αυτου σκυλον 31. καθως η ανατολη του ηλιου εν δυναστειαις αυτου ... τεσσερακ.

Digitized by Google

## VI.

Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἔδωκεν αὐ-
τοὺς κύριος ἐν χειρὶ Μαδιὰμ ἑπτὰ ἔτη. 2 καὶ ἴσχυσε χεὶρ Μαδιὰμ ἐπὶ Ἰσραήλ· 2
καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσώπου Μαδιὰμ τὰς τρυμαλιὰς
τὰς ἐν τοῖς ὄρεσι καὶ τὰ σπήλαια καὶ τὰ κρεμαστά. 3 καὶ ἐγένετο ἐὰν ἔσπει- 3
ραν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἀνέβαινον Μαδιὰμ καὶ Ἀμαλὴκ, καὶ οἱ υἱοὶ ἀνατο-
λῶν συνανέβαινον αὐτοῖς· καὶ παρενέβαλον εἰς αὐτούς, 4 καὶ διέφθειρον τοὺς 4
καρποὺς αὐτῶν ἕως ἐλθεῖν εἰς Γάζαν, καὶ οὐ κατελείποντο ὑπόστασιν ζωῆς
ἐν τῇ γῇ Ἰσραὴλ οὐδὲ ἐν τοῖς ποιμνίοις ταῦρον καὶ ὄνον. 5 ὅτι αὐτοὶ καὶ αἱ 5
κτήσεις αὐτῶν ἀνέβαινον, καὶ αἱ σκηναὶ αὐτῶν παρεγίνοντο, καθὼς ἀκρὶς εἰς
πλῆθος, καὶ αὐτοῖς καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός· καὶ ἤρχοντο
εἰς τὴν γῆν Ἰσραὴλ καὶ διέφθειρον αὐτήν. 6 καὶ ἐπτώχευσεν Ἰσραὴλ σφόδρα 6
ἀπὸ προσώπου Μαδιάμ· 7 καὶ ἐβόησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς κύριον ἀπὸ προσώ- 7
που Μαδιάμ. 8 καὶ ἐξαπέστειλε κύριος ἄνδρα προφήτην πρὸς τοὺς υἱοὺς Ἰσραήλ, 8
καὶ εἶπεν αὐτοῖς Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἐγώ εἰμι ὃς ἀνήγαγον
ὑμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξήγαγον ὑμᾶς ἐξ οἴκου δουλείας ὑμῶν, 9 καὶ 9
ἐῤῥυσάμην ὑμᾶς ἐκ χειρὸς Αἰγύπτου καὶ ἐκ χειρὸς πάντων τῶν θλιβόντων
ὑμᾶς, καὶ ἐξέβαλον αὐτοὺς ἐκ προσώπου ὑμῶν, καὶ ἔδωκα ὑμῖν τὴν γῆν αὐ-
τῶν· 10 καὶ εἶπα ὑμῖν Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, οὐ φοβηθήσεσθε τοὺς θεοὺς 10
τοῦ Ἀμοῤῥαίου, ἐν οἷς ὑμεῖς κάθησθε ἐν τῇ γῇ αὐτῶν· καὶ οὐκ εἰσηκούσατε
*Hc. 11, 32. τῆς φωνῆς μου. 11 καὶ ἦλθεν ἄγγελος κυρίου καὶ ἐκάθισεν ὑπὸ τὴν τερέμιν- 11
θον τὴν ἐν Ἐφραθὰ ἐν γῇ Ἰωὰς πατρὸς τοῦ Ἐσδρί· καὶ Γεδεὼν ὁ υἱὸς
αὐτοῦ ῥαβδίζων σῖτον ἐν ληνῷ εἰς ἐκφυγεῖν ἀπὸ προσώπου τοῦ Μαδιάμ. 12 καὶ 12
ὤφθη αὐτῷ ὁ ἄγγελος κυρίου καὶ εἶπε πρὸς αὐτόν Κύριος μετὰ σοῦ, ἰσχυρὸς
τῶν δυνάμεων. 13 καὶ εἶπε πρὸς αὐτὸν Γεδεὼν Ἐν ἐμοί, κύριέ μου, καὶ εἰ 13
ἔστι κύριος μεθ' ἡμῶν, εἰς τί εὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα; καὶ ποῦ ἔστι πάντα
τὰ θαυμάσια αὐτοῦ ἃ διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν λέγοντες Μὴ οὐχὶ
ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς κύριος; καὶ νῦν ἐξέῤῥιψεν ἡμᾶς καὶ ἔδωκεν ἡμᾶς
ἐν χειρὶ Μαδιάμ. 14 καὶ ἐπέστρεψε πρὸς αὐτὸν ὁ ἄγγελος κυρίου καὶ εἶπε 14
Πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ, καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ·
ἰδοὺ ἐξαπέστειλά σε. 15 καὶ εἶπε πρὸς αὐτὸν Γεδεὼν Ἐν ἐμοί, κύριέ μου, ἐν 15
τίνι σώσω τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ἠσθένησεν ἐν Μανασσῇ, καὶ ἐγώ
εἰμι μικρότερος ἐν οἴκῳ τοῦ πατρός μου. 16 καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος 16
κυρίου Κύριος ἔσται μετὰ σοῦ, καὶ πατάξεις τὴν Μαδιὰμ ὡσεὶ ἄνδρα ἕνα.

---

VI. 1. εναντι κυριου ... παρεδωκεν ... ετη επτα 2. κατισχυσεν ... μαδιαμ ανδρας (corrige μανδρας) εν τ. ορ. και τοις σπηλαιοις κ. τοις οχυρωμασιν 3. οταν εσπειρεν ανηρ ισρ. κ. ανεβαινεν ... ανατολων, και ανεβαινον επ αυτον κ. παρενεβαλλον επ αυτους 4. κ. διεφθειραν τα εκφορια της γης εως του ελθειν ... ουχ υπελειποντο υ. ζ. εν ισραηλ, και ποιμνιον και μοσχον και ονον 5. οτι αυτοι τα κτηνη αυτ. αν. κ. τας σκηνας α. παρεφερον και παρεγεινοντο ως ... αριθμος· και παρεγεινοντο εν τη γη ισρ. του διαφθειρειν αυτην 6. εκεκραξαν οι ... om απο προσωπ. μαδ. 8. και εγενετο επει εκεκραξαν οι υιοι ισραηλ προς κυριον περι μαδιαμ, και εξαπεστ. etc. ... ειμι ο αναβιβασας υμ. εξ αιγυπτου ... om κ. εξηγ. usque υμων 9. om κ. ερρυσ. usque αιγυπτου 10. υμεις ενοικειτε εν 11. επι την δρυν την ουσαν εν εφρ. την του ιωας πατρ. αβιεζρι ... εραβδιζεν πυρους εν λ. του εκφ. εκ πρ. μαδιαμ 12. κ. ευρεν αυτον αγγ. κυρ. ... δυνατος τη ισχυι pro ισχ. τ. δ. 13. κυριος κυριος· και ει ... ινα τι ευρ. η. παντα τα ... οσα pro α ... om μη ... εξηγαγεν ... και νυν απωσατο ημ. κυριος κ. παρεδωκεν 14. κ. επεβλεψεν προς ... ειπεν αυτω ... om ταυτη ... και ιδου 15. om μου ... ταπεινοτερα pro ησθενησεν ... μανναση ... μικρος τω οικω



Digitized by Google

17 [17]καὶ εἶπε πρὸς αὐτὸν Γεδεών Εἰ δὴ εὗρον ἔλεος ἐν ὀφθαλμοῖς σου καὶ ποιήσεις
18 μοι σήμερον πᾶν ὅ τι ἐλάλησας μετ' ἐμοῦ, [18]μὴ χωρισθῇς ἐντεῦθεν ἕως τοῦ
ἐλθεῖν με πρὸς σέ, καὶ ἐξοίσω τὴν θυσίαν καὶ θύσω ἐνώπιόν σου. καὶ εἶπεν
19 Ἐγώ εἰμι καθίσομαι ἕως τοῦ ἐπιστρέψαι σε. [19]καὶ Γεδεὼν εἰςῆλθε καὶ ἐποίη-
σεν ἔριφον αἰγῶν καὶ οἰφὶ ἀλεύρου ἄζυμα, καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κο-
φίνῳ, καὶ τὸν ζωμὸν ἔβαλεν ἐν τῇ χύτρᾳ, καὶ ἐξήνεγκεν αὐτὰ πρὸς αὐτὸν
20 ὑπὸ τὴν τερέμινθον καὶ προςήγγισεν. [20]καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος τοῦ
θεοῦ Λάβε τὰ κρέα καὶ τὰ ἄζυμα καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην, καὶ τὸν
21 ζωμὸν ἐχόμενα ἔκχεε. καὶ ἐποίησεν οὕτως. [21]καὶ ἐξέτεινεν ὁ ἄγγελος κυρίου
τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ τῶν
ἀζύμων, καὶ ἀνέβη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγε τὰ κρέα καὶ τοὺς ἀζύ-
22 μους· καὶ ὁ ἄγγελος κυρίου ἐπορεύθη ἀπ' ὀφθαλμῶν αὐτοῦ. [22]καὶ εἶδε Γε-
δεὼν ὅτι ἄγγελος κυρίου οὗτός ἐστι· καὶ εἶπε Γεδεών Ἆ ἆ, κύριέ μου κύριε,
23 ὅτι εἶδον τὸν ἄγγελον κυρίου πρόςωπον πρὸς πρόςωπον. [23]καὶ εἶπεν αὐτῷ
24 κύριος Εἰρήνη σοι, μὴ φοβοῦ, οὐ μὴ ἀποθάνῃς. [24]καὶ ᾠκοδόμησεν ἐκεῖ Γε-
δεὼν θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπεκάλεσεν αὐτῷ Εἰρήνη κυρίου, ἕως τῆς
25 ἡμέρας ταύτης, ἔτι αὐτοῦ ὄντος ἐν Ἐφραθὰ πατρὸς τοῦ Ἐσδρί. [25]καὶ ἐγέ-
νετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν αὐτῷ κύριος Λάβε τὸν μόσχον τὸν ταῦρον
ὅς ἐστι τῷ πατρί σου καὶ μόσχον δεύτερον ἑπταετῆ, καὶ καθελεῖς τὸ θυσια-
στήριον τοῦ Βάαλ ὅ ἐστι τῷ πατρί σου, καὶ τὸ ἄλσος τὸ ἐπ' αὐτὸ ὀλοθρεύ-
26 σεις· [26]καὶ οἰκοδομήσεις θυσιαστήριον τῷ κυρίῳ τῷ θεῷ σου ἐπὶ κορυφὴν
Μαωζὶ τούτου ἐν τῇ παρατάξει, καὶ λήψῃ τὸν μόσχον τὸν δεύτερον καὶ ἀνοί-
27 σεις ὁλοκαυτώματα ἐν τοῖς ξύλοις τοῦ ἄλσους οὗ ἐξολοθρεύσεις. [27]καὶ ἔλαβε
Γεδεὼν δέκα ἄνδρας ἀπὸ τῶν δούλων ἑαυτοῦ, καὶ ἐποίησεν ὃν τρόπον ἐλάλησε
πρὸς αὐτὸν κύριος· καὶ ἐγενήθη ὡς ἐφοβήθη τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ καὶ
28 τοὺς ἄνδρας τῆς πόλεως τοῦ ποιῆσαι ἡμέρας, καὶ ἐποίησε νυκτός. [28]καὶ ὤρ-
θρισαν οἱ ἄνδρες τῆς πόλεως τὸ πρωΐ, καὶ ἰδοὺ καθῄρητο τὸ θυσιαστήριον
τοῦ Βάαλ, καὶ τὸ ἄλσος τὸ ἐπ' αὐτῷ ὠλόθρευτο· καὶ εἶδον τὸν μόσχον τὸν
29 δεύτερον, ὃν ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον τὸ ᾠκοδομημένον. [29]καὶ εἶπεν
ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ Τίς ἐποίησε τὸ ῥῆμα τοῦτο; καὶ ἐπεζήτησαν
καὶ ἠρεύνησαν, καὶ ἔγνωσαν ὅτι Γεδεὼν υἱὸς Ἰωὰς ἐποίησε τὸ ῥῆμα τοῦτο.
30 [30]καὶ εἶπαν οἱ ἄνδρες τῆς πόλεως πρὸς Ἰωάς Ἐξένεγκε τὸν υἱόν σου καὶ
ἀποθανέτω, ὅτι καθεῖλε τὸ θυσιαστήριον τοῦ Βάαλ, καὶ ὅτι ὠλόθρευσε τὸ
31 ἄλσος τὸ ἐπ' αὐτῷ. [31]καὶ εἶπε Γεδεὼν υἱὸς Ἰωὰς τοῖς ἀνδράσι πᾶσιν οἳ
ἐπανέστησαν αὐτῷ Μὴ ὑμεῖς νῦν δικάζεσθε ὑπὲρ τοῦ Βάαλ; ἢ ὑμεῖς σώσετε
αὐτόν; ὃς ἐὰν δικάσηται αὐτῷ, θανατωθήτω ἕως πρωΐ· εἰ θεός ἐστι, δικα-

---

17. Και ει ευρον χαριν εν ... ποιησ. μοι σημειον οτι συ λαλεις 18. μη κινηθης ... οισω τ. θ. μου κ. θησω ... καθησομαι 19. επεθηκεν επι το κανουν ... ενεχεεν εις χυτραν ... om αυτα ... υπο την δρυν και προςεκυνησεν 20. κυριου pro τ. θεου ... τ. κρ. και τους αρτους τους αζυμους ... om εχομενα ... εκχεον 21. κ. ανηφθη πυρ ... απηλθεν εξ οφθαλμ. 22. ιδεν ... om ουτος ... om μου ... ιδον 23. om ου 24. εκαλεσεν αυτο ... μεχρι 25. εγενηθη τη ... τ. μοσχ. τον σιτευτον του πατρος σου, μοσχ. τον δευτ. τον επτ. ... του πατρος σου ... το επ αυτης εκκοψατε· 26. θυσ. κυρ. τ. θ. σου τω οφθεντι σοι επι της κορυφης του ορους μαωχ ... λημψη ... ολοκαυτωμα ... αλσους ο εκκοψεις 27. τριςκαιδεκα ... δουλ. αυτου κ. επ. καθα ... εγενετο ... πολεως μη ποιησαι 28. ιδου κατεσκαμμενον το ... επ αυτω εκκεκομμενον· και ο μοσχος ο σιτευτος ανηνεγμενος εις ολοκαυτωμα επι το 29. το πραγμα τουτο· κ. ανηταζον κ. εξεζητουν, και ειπαν Γεδεων ο υιος ... το πραγμα τ. 30. εξαγαγε ... οτι κατεσκαψεν ... και οτι εκοψεν 31. και ειπεν ιωας προς τους ανδρας τους εσταμενους επ αυτον ... περι του βααλ ... σωζετε ... ος αντεδικησεν αυτον αποθανειται ... ει εστιν θεος,

Digitized by Google

ζέσθω αὐτῷ, ὅτι καθεῖλε τὸ θυσιαστήριον αὐτοῦ. [32] καὶ ἐκάλεσεν αὐτὸ ἐν τῇ 32
ἡμέρᾳ ἐκείνῃ Ἱεροβάαλ λέγων Δικαζέσθω ἐν αὐτῷ ὁ Βάαλ, ὅτι καθῃρέθη τὸ
θυσιαστήριον αὐτοῦ. [33] καὶ πᾶσα Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ υἱοὶ ἀνατολῶν 33
συνήχθησαν ἐπὶ τὸ αὐτό, καὶ παρενέβαλον ἐν τῇ κοιλάδι Ἰεζραέλ. [34] καὶ πνεῦμα 34
κυρίου ἐνέδυσε τὸν Γεδεών, καὶ ἐσάλπισεν ἐν κερατίνῃ, καὶ ἐβόησεν Ἀβιέζερ
ὀπίσω αὐτοῦ. [35] καὶ ἀγγέλους ἐξαπέστειλεν εἰς πάντα Μανασσῆ καὶ ἐν Ἀσὴρ 35
καὶ ἐν Ζαβουλὼν καὶ ἐν Νεφθαλί, καὶ ἀνέβη εἰς συνάντησιν αὐτῶν. [36] καὶ 36
εἶπε Γεδεὼν πρὸς τὸν θεόν Εἰ σὺ σώζεις ἐν χειρί μου τὸν Ἰσραὴλ καθὼς
ἐλάλησας, [37] ἰδοὺ ἐγὼ τίθημι τὸν πόκον τοῦ ἐρίου ἐν τῇ ἅλωνι· ἐὰν δρόσος 37
γένηται ἐπὶ τὸν πόκον μόνον καὶ ἐπὶ πᾶσαν τὴν γῆν ξηρασία, γνώσομαι ὅτι
σώσεις ἐν χειρί μου τὸν Ἰσραὴλ καθὼς ἐλάλησας. [38] καὶ ἐγένετο οὕτως· καὶ 38
ὤρθρισε τῇ ἐπαύριον καὶ ἐξεπίασε τὸν πόκον, καὶ ἔσταξε δρόσος ἀπὸ τοῦ
πόκου πλήρης λεκάνη ὕδατος. [39] καὶ εἶπε Γεδεὼν πρὸς τὸν θεόν Μὴ δὴ ὀρ- 39
γισθήτω ὁ θυμός σου ἐν ἐμοί, καὶ λαλήσω ἔτι ἅπαξ, πειράσω δὴ καί γε
ἔτι ἅπαξ ἐν τῷ πόκῳ, καὶ γενέσθω ἡ ξηρασία ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ
πᾶσαν τὴν γῆν γενηθήτω δρόσος. [40] καὶ ἐποίησεν ὁ θεὸς οὕτως ἐν τῇ νυκτὶ 40
ἐκείνῃ· καὶ ἐγένετο ξηρασία ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν τὴν γῆν
ἐγενήθη δρόσος.

## VII.

Καὶ ὤρθρισεν Ἱεροβάαλ, αὐτός ἐστι Γεδεών, καὶ πᾶς ὁ λαὸς μετ' αὐ-
τοῦ, καὶ παρενέβαλον ἐπὶ πηγὴν Ἀράδ· καὶ παρεμβολὴ Μαδιὰμ ἦν αὐτῷ ἀπὸ
βοῤῥᾶ ἀπὸ Γαβααθαμωραὶ ἐν κοιλάδι. [2] καὶ εἶπε κύριος πρὸς Γεδεὼν Πολὺς 2
ὁ λαὸς ὁ μετὰ σοῦ ὥστε μὴ παραδοῦναί με τὴν Μαδιὰμ ἐν χειρὶ αὐτῶν, μή
ποτε καυχήσηται Ἰσραὴλ ἐπ' ἐμὲ λέγων Ἡ χείρ μου ἔσωσέ με. [3] καὶ νῦν 3
λάλησον δὴ ἐν ὠσὶ τοῦ λαοῦ λέγων Τίς ὁ φοβούμενος καὶ δειλός; ἐπιστρα-
φέτω καὶ ἐκχωρείτω ἀπὸ ὄρους Γαλαάδ. καὶ ἐπέστρεψεν ἀπὸ τοῦ λαοῦ εἴκοσι
καὶ δύο χιλιάδες, καὶ δέκα χιλιάδες ὑπελείφθησαν. [4] καὶ εἶπε κύριος πρὸς 4
Γεδεὼν Ἔτι ὁ λαὸς πολύς ἐστι· κατένεγκον αὐτοὺς πρὸς τὸ ὕδωρ, καὶ ἐκκα-
θαρῶ σοι αὐτὸν ἐκεῖ· καὶ ἔσται ὃν ἐὰν εἴπω πρὸς σέ Οὗτος πορεύσεται σὺν
σοί, αὐτὸς πορεύσεται σὺν σοί· καὶ πᾶς ὃν ἂν εἴπω πρὸς σέ Οὗτος οὐ πο-
ρεύσεται μετὰ σοῦ, αὐτὸς οὐ πορεύσεται μετὰ σοῦ. [5] καὶ κατήνεγκε τὸν λαὸν 5
πρὸς τὸ ὕδωρ· καὶ εἶπε κύριος πρὸς Γεδεὼν Πᾶς ὃς ἂν λάψῃ τῇ γλώσσῃ
αὐτοῦ ἀπὸ τοῦ ὕδατος ὡς ἐὰν λάψῃ ὁ κύων, στήσεις αὐτὸν κατὰ μόνας, καὶ
πᾶς ὃς ἐὰν κλίνῃ ἐπὶ τὰ γόνατα αὐτοῦ πιεῖν. [6] καὶ ἐγένετο ὁ ἀριθμὸς τῶν 6

---

31. αυτος εκδικησει αυτον οτι κατεσκαψεν 32. εκεινη δικαστηριον του βααλ οτι κατεσκαψεν το θυσ. α. 33. ante κ. παρενεβ. add και διεβησαν 34. πνευμα θεου ενεδυναμωσεν 35. κ. αγγ. εξαπ. εν παντι μαννασση· και εβοησεν· και αυτος οπισω αυτου· και εξαπεστειλεν αγγελους εν ασηρ και ... κ. ανεβησαν εις απαντησιν αυτου 36. om συ ... εν τη χειρι μ. τ. ισρ. ον τροπον ελ. 37. ιδ. εγ. απεριδομαι ... των εριων εν τω αλωνι· και εαν ... και γνωσ. ο. σωζεις εν τη ... ον τροπον ελαλ. 38. ωρθρισεν γεδεων τη επ. κ. απεπιασεν ... κ. απερρυη η δροσος εκ του 39. om δη ... προς σε ετι απαξ· και πειρασω ετι απαξ ... γενηθητω ξηρασια επι την ποκ. μονον, επι δε 40. μονον, επι δε πασαν ... εγενετο VII. 1. ιροβααλ (?) ... ο λ. ο μετ ... παρενεβαλεν επι την γην ιαερ ... μαδιαμ και αμαληκ ην αυτω ... απο βορρα απο του βωμου του αβωρ εν τη κοιλαδι 2. εσωκεν (sic) 3. και ειπεν κυριος προς αυτον Δαλησον δη εις τα ωτα του λ. λ. Τις δειλ. και φοβ. αποστραφητω· και εξωρμησεν απο του ορ. του γαλ. κ. απεστραφησαν απο 4. om εστι ... καταγαγε αυτους εις το υδ. κ. δοκιμω αυτους σοι εκειθεν ... μετα σου bis pro συν σοι ... κ. παντα ον εαν ειπω σοι οτι ου πορ. 5. κατεβιβασεν τ. λ. εις το ... ληψη ... εκ του υδατος ... λημψη ... ος αν καμψη τα γονατα α. του πιειν καταστησεις αυτον καθ αυτον 6. πας ο αριθμ. τ.

Digitized by Google

λαψάντων ἐν χειρὶ αὐτῶν πρὸς τὸ στόμα αὐτῶν τριακόσιοι ἄνδρες, καὶ πᾶν
7 τὸ κατάλοιπον τοῦ λαοῦ ἔκλιναν ἐπὶ τὰ γόνατα αὐτῶν πιεῖν ὕδωρ. [7] καὶ εἶπε
κύριος πρὸς Γεδεὼν Ἐν τοῖς τριακοσίοις ἀνδράσι τοῖς λάψασι σώσω ὑμᾶς, καὶ
δώσω τὴν Μαδιὰμ ἐν χειρί σου, καὶ πᾶς ὁ λαὸς πορεύσονται ἀνὴρ εἰς τὸν
8 τόπον αὐτοῦ. [8] καὶ ἔλαβον τὸν ἐπισιτισμὸν τοῦ λαοῦ ἐν χειρὶ αὐτῶν καὶ τὰς
κερατίνας αὐτῶν, καὶ τὸν πάντα ἄνδρα Ἰσραὴλ ἐξαπέστειλεν ἄνδρα εἰς σκη-
νὴν αὐτοῦ, καὶ τοὺς τριακοσίους ἄνδρας κατίσχυσεν· καὶ ἡ παρεμβολὴ Μα-
9 διὰμ ἦσαν αὐτοῦ ὑποκάτω ἐν τῇ κοιλάδι. [9] καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ
καὶ εἶπε πρὸς αὐτὸν κύριος Ἀνάστα κατάβηθι ἐν τῇ παρεμβολῇ, ὅτι παρέ-
10 δωκα αὐτὴν ἐν τῇ χειρί σου. [10] καὶ εἰ φοβῇ σὺ καταβῆναι, κατάβηθι σὺ καὶ
11 Φαρὰ τὸ παιδάριόν σου εἰς τὴν παρεμβολήν, [11] καὶ ἀκούσῃ τί λαλήσουσι· καὶ
μετὰ τοῦτο ἰσχύσουσιν αἱ χεῖρές σου καὶ καταβήσῃ ἐν τῇ παρεμβολῇ. καὶ
κατέβη αὐτὸς καὶ Φαρὰ τὸ παιδάριον αὐτοῦ πρὸς ἀρχὴν τῶν πεντήκοντα οἳ
12 ἦσαν ἐν τῇ παρεμβολῇ. [12] καὶ Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ πάντες οἱ υἱοὶ ἀνα-
τολῶν βεβλημένοι ἐν τῇ κοιλάδι ὡς ἀκρὶς εἰς πλῆθος, καὶ ταῖς καμήλοις αὐ-
τῶν οὐκ ἦν ἀριθμός, ἀλλ᾽ ἦσαν ὡς ἡ ἄμμος ἡ ἐπὶ χεῖλους τῆς θαλάσσης εἰς
13 πλῆθος. [13] καὶ ἦλθε Γεδεών, καὶ ἰδοὺ ἀνὴρ ἐξηγούμενος τῷ πλησίον αὐτοῦ
ἐνύπνιον, καὶ εἶπεν Ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον, καὶ ἰδοὺ μαγὶς ἄρτου κρι-
θίνου στρεφομένη ἐν τῇ παρεμβολῇ Μαδιάμ, καὶ ἦλθεν ἕως τῆς σκηνῆς καὶ
ἐπάταξεν αὐτήν, καὶ ἔπεσεν, καὶ ἀνέστρεψεν αὐτὴν ἄνω, καὶ ἔπεσεν ἡ σκηνή.
14 [14] καὶ ἀπεκρίθη ὁ πλησίον αὐτοῦ καὶ εἶπεν Οὐκ ἔστιν αὕτη εἰ μὴ ῥομφαία
Γεδεὼν υἱοῦ Ἰωὰς ἀνδρὸς Ἰσραήλ· παρέδωκεν ὁ θεὸς ἐν χειρὶ αὐτοῦ τὴν
15 Μαδιὰμ καὶ πᾶσαν τὴν παρεμβολήν. [15] καὶ ἐγένετο ὡς ἤκουσε Γεδεὼν τὴν
ἐξήγησιν τοῦ ἐνυπνίου καὶ τὴν σύγκρισιν αὐτοῦ, καὶ προσεκύνησε κυρίῳ, καὶ
ὑπέστρεψεν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ καὶ εἶπεν Ἀνάστητε, ὅτι παρέδωκε
16 κύριος ἐν χειρὶ ἡμῶν τὴν παρεμβολὴν Μαδιάμ. [16] καὶ διεῖλε τοὺς τριακοσίους
ἄνδρας εἰς τρεῖς ἀρχάς, καὶ ἔδωκε κερατίνας ἐν χειρὶ πάντων καὶ ὑδρίας
17 κενὰς καὶ λαμπάδας ἐν ταῖς ὑδρίαις, [17] καὶ εἶπε πρὸς αὐτοὺς Ἀπ᾽ ἐμοῦ ὄψε-
σθε καὶ οὕτω ποιήσετε· καὶ ἰδοὺ ἐγὼ εἰςπορεύομαι ἐν ἀρχῇ τῆς παρεμβολῆς,
18 καὶ ἔσται καθὼς ἂν ποιήσω οὕτω ποιήσετε· [18] καὶ σαλπιῶ ἐν τῇ κερατίνῃ
ἐγώ, καὶ πάντες μετ᾽ ἐμοῦ σαλπιεῖτε ἐν ταῖς κερατίναις κύκλῳ ὅλης τῆς παρ-
19 εμβολῆς, καὶ ἐρεῖτε Τῷ κυρίῳ καὶ τῷ Γεδεών. [19] καὶ εἰςῆλθε Γεδεὼν καὶ
οἱ ἑκατὸν ἄνδρες οἱ μετ᾽ αὐτοῦ ἐν ἀρχῇ τῆς παρεμβολῆς ἐν ἀρχῇ τῆς φυλα-
κῆς μέσης· καὶ ἐγείροντες ἤγειραν τοὺς φυλάσσοντας, καὶ ἐσάλπισαν ἐν ταῖς
20 κερατίναις, καὶ ἐξετίναξαν τὰς ὑδρίας τὰς ἐν ταῖς χερσὶν αὐτῶν. [20] καὶ ἐσάλ-
πισαν αἱ τρεῖς ἀρχαὶ ἐν ταῖς κερατίναις, καὶ συνέτριψαν τὰς ὑδρίας, καὶ

---

λαμψαντων εν τη γλωσση αυτων τριακ. α. κ. πας ο επιλοιπος του λαου εκαμψαν επι ... αυτου του πιειν 7. λαμψασιν ... παραδωσω μαδιαμ ... λαος αποτρεχετω ανηρ 8. εν ταις χερσιν αυτων ... om τον ... εις το σκηνωμα αυτου, των δε τριακοσιων ανδρων εκρατησεν· η δε παρεμβολη μ. ην υποκατωθεν αυτου εν 9. Αναβηθι καταβηθι το ταχος εις την παρεμβολην εντευθεν 10. ει δε φοβη 11. τι λαλουσιν ... μετα ταυτα ... αυτου εις μερος των π. των εν τη 12. παντες υιοι α. εμβεβληκεισαν ... om αυτων ... ωςπερ η α. η επι το χειλος 13. εισηλθεν ... εξηγειται ... το ενυπνιον ... Ιδου το ενυπνιον ο ηνυπνιασθην ... κυλιομενη εν τη ... ηλθον ... σκηνης μαδιαμ ... κατεστρεψεν 14. αυτη αλλ η ... παρεδωκ. κυριος εν 15. διηγησιν ... προσεκ. κυριον κ. επεστρεψεν ... om ισραηλ ... χειρ. υμων 16. om εις ... λαμπαδας εμμεσω των υδριων 17. ουτως bis ... εισπορ. εμμεσω της ... εσται ως εαν 18. om εν ... παντ. οι μετ ε. και σαλπ. ταις κερ. και υμεις κυκλω της παρ. 19. om οἱ bis ... εν μερει της παρ. αρχομενης της φυλ. της μεσουσης· πλην εγερσει ηγειρεν τους φυλ. και εσαλπ. κερατιναις 20. υδριας, και

Digitized by Google

ἐκράτησαν ἐν χερσὶν ἀριστεραῖς αὐτῶν τὰς λαμπάδας καὶ ἐν χερσὶ δεξιαῖς
αὐτῶν τὰς κερατίνας τοῦ σαλπίζειν, καὶ ἀνέκραξαν Ῥομφαία τῷ κυρίῳ καὶ
τῷ Γεδεών. 21 καὶ ἔστησεν ἀνὴρ ἐφ' ἑαυτῷ κύκλῳ τῆς παρεμβολῆς, καὶ ἔδρα- 21
με πᾶσα ἡ παρεμβολή, καὶ ἐσήμαναν καὶ ἔφυγον. 22 καὶ ἐσάλπισαν ἐν ταῖς 22
τριακοσίαις κερατίναις, καὶ ἔθηκε κύριος τὴν ῥομφαίαν ἀνδρὸς ἐν τῷ πλησίον
αὐτοῦ ἐν πάσῃ τῇ παρεμβολῇ· καὶ ἔφυγεν ἡ παρεμβολὴ ἕως Βηθσεεδ Ταγα-
ραγαθὰ Ἀβελμεουλὰ ἐπὶ Ταβάθ. 23 καὶ ἐβόησαν ἀνὴρ Ἰσραὴλ ἀπὸ Νεφθαλὶ 23
καὶ ἀπὸ Ἀσὴρ καὶ ἀπὸ παντὸς Μανασσῆ, καὶ ἐδίωξαν ὀπίσω Μαδιάμ. 24 καὶ 24
ἀγγέλους ἀπέστειλε Γεδεὼν ἐν παντὶ ὄρει Ἐφραῒμ λέγων Κατάβητε εἰς συν-
άντησιν Μαδιάμ, καὶ καταλάβετε ἑαυτοῖς τὸ ὕδωρ ἕως Βαιθηρὰ καὶ τὸν Ἰορ-
δάνην· καὶ ἐβόησε πᾶς ἀνὴρ Ἐφραῒμ, καὶ προκατελάβοντο τὸ ὕδωρ ἕως Βαι-
θηρὰ καὶ τὸν Ἰορδάνην. 25 καὶ συνελάβοντο τοὺς ἄρχοντας Μαδιάμ, καὶ τὸν 25
Ὠρὴβ καὶ τὸν Ζήβ, καὶ ἀπέκτειναν τὸν Ὠρὴβ ἐν Σοὺρ Ὠρήβ, καὶ τὸν Ζὴβ
ἀπέκτειναν ἐν Ἰακεφζήφ· καὶ κατεδίωξαν τὴν Μαδιάμ, καὶ τὴν κεφαλὴν
Ὠρὴβ καὶ Ζὴβ ἤνεγκαν πρὸς Γεδεὼν ἀπὸ πέραν τοῦ Ἰορδάνου.

## VIII.

Καὶ εἶπαν πρὸς Γεδεὼν ἀνὴρ Ἐφραῒμ Τί τὸ ῥῆμα τοῦτο ἐποίησας ἡμῖν
τοῦ μὴ καλέσαι ἡμᾶς ὅτε ἐπορεύθης παρατάξασθαι ἐν Μαδιάμ; καὶ διελέ-
ξαντο πρὸς αὐτὸν ἰσχυρῶς. 2 καὶ εἶπε πρὸς αὐτούς Τί ἐποίησα νῦν καθὼς ὑμεῖς; 2
ἢ οὐχὶ κρείττων ἐπιφυλλὶς Ἐφραῒμ ἢ τρυγητὸς Ἀβιέζερ; 3 ἐν χειρὶ ὑμῶν παρ- 3
έδωκε κύριος τοὺς ἄρχοντας Μαδιάμ, τὸν Ὠρὴβ καὶ τὸν Ζήβ· καὶ τί ἠδυ-
νήθην ποιῆσαι ὡς ὑμεῖς; τότε ἀνέθη τὸ πνεῦμα αὐτῶν ἀπ' αὐτοῦ ἐν τῷ λαλῆ-
σαι αὐτὸν τὸν λόγον τοῦτον. 4 καὶ ἦλθε Γεδεὼν ἐπὶ τὸν Ἰορδάνην, καὶ διέβη 4
αὐτὸς καὶ οἱ τριακόσιοι ἄνδρες οἱ μετ' αὐτοῦ πεινῶντες καὶ διώκοντες. 5 καὶ 5
εἶπε τοῖς ἀνδράσι Σοχχὼθ Δότε δὴ ἄρτους εἰς τροφὴν τῷ λαῷ τούτῳ τῷ ἐν
ποσί μου, ὅτι ἐκλείπουσιν· καὶ ἰδοὺ ἐγώ εἰμι διώκων ὀπίσω τοῦ Ζεβεὲ καὶ
Σαλμανὰ βασιλέων Μαδιάμ. 6 καὶ εἶπον οἱ ἄρχοντες Σοχχὼθ Μὴ χεὶρ Ζεβεὲ 6
καὶ Σαλμανὰ νῦν ἐν χειρί σου, ὅτι δώσομεν τῇ δυνάμει σου ἄρτους; 7 καὶ 7
εἶπε Γεδεὼν Διὰ τοῦτο ἐν τῷ δοῦναι κύριον τὸν Ζεβεὲ καὶ τὸν Σαλμανὰ ἐν
χειρί μου, καὶ ἐγὼ ἀλοήσω τὰς σάρκας ὑμῶν ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου
καὶ ἐν ταῖς Βαρκηνίμ. 8 καὶ ἀνέβη ἐκεῖθεν εἰς Φανουήλ, καὶ ἐλάλησε πρὸς 8
αὐτοὺς ὡσαύτως· καὶ ἀπεκρίθησαν αὐτῷ οἱ ἄνδρες Φανουὴλ ὃν τρόπον ἀπε-
κρίθησαν ἄνδρες Σοχχώθ. 9 καὶ εἶπε Γεδεὼν πρὸς ἄνδρας Φανουὴλ Ἐν ἐπι- 9
στροφῇ μου μετ' εἰρήνης κατασκάψω τὸν πύργον τοῦτον. 10 καὶ Ζεβεὲ καὶ 10

---

ελαβοντο εν τη χειρι τη αριστερα αυτων των (supplendum λαμπαδων?), και εν τη χειρι τη δεξια αυτων αι κερατιναι 21. εστ. εκαστος καθ εαυτον 22. εσαλπισ. αι κερατιναι· και εθετο κυρ. μαχαιραν ... και εν ολη τη παρ. κ. εφ. πασα η π. ε. της βασεεττα και συνηγμενη εως χειλους βασελμεουλα και επι γαβαθ 23. εβοησεν ... ισρ. εκ νεφθαλειμ κ. εξ ασηρ κ. εκ παντ. μαννασση ... κατεδιωξαν 24. εξαπεστειλεν ... οριω εφραιμ λεγων Αναστητε και καταλαβετε εαυτοις ... om εως sec. 25. συνελαβον τους δυο αρχοντας μαδ. τον ωρηβ ... εν σουρειν, και τον ... ιακεφζηβ ... κατεδιωξαν μαδιαμ ... εκ του περαν VIII. 1. ειπεν προς αυτον ανηρ ... οτε εξεπορευου πολεμησαι εν τη μαδιαμ· και εκρινοντο μετ αυτου κραταιως 2. υμεις· ουχι κριττω επιφυλλιδες 3. ηδυνασθην π. καθως υ.· και κατεπαυσαν· τοτε ανηκε το 4. αυτος και διακοσιοι α. μετ α. ολιγοψυχουντες κ. πεινωντες ... om ε. τροφην ... τω λαω τω μετ εμου οτι πεινωσιν· εγω δε διωκω οπ. ζεβεε κ. σ. βασιλεως μ. 6. ειπαν ... εν τη χ. σου ... τη στρατεια σου 7. γεδεων Ουχ ουτως· εν τω ... και σαλμανα εν τη χ. μ. και καταξανω τας ... βαρκομμειν 8. προς αυτ. κατα ταυτα· και ... απεκρ. αυτω οι ανδρ. σοχχ. 9. και ειπεν τοις ανδρασιν φ. λεγων Εν τω επιστρεφειν με

Digitized by Google

Σαλμανὰ ἐν Καρκάρ, καὶ ἡ παρεμβολὴ αὐτῶν μετ' αὐτῶν ὡςεὶ δεκαπέντε
χιλιάδες, πάντες οἱ καταλελειμμένοι ἀπὸ πάσης παρεμβολῆς ἀλλοφύλων· καὶ
11 οἱ πεπτωκότες ἑκατὸν εἴκοσι χιλιάδες ἀνδρῶν σπωμένων ῥομφαίαν. [11] καὶ ἀνέβη
Γεδεὼν ὁδὸν τῶν σκηνούντων ἐν σκηναῖς ἀπὸ ἀνατολῶν τῆς Ναβαὶ καὶ Ἰεγε-
12 βάλ· καὶ ἐπάταξε τὴν παρεμβολήν, καὶ ἡ παρεμβολὴ ἦν πεποιθυῖα. [12] καὶ
ἔφυγον Ζεβεὲ καὶ Σαλμανά· καὶ ἐδίωξεν ὀπίσω αὐτῶν, καὶ ἐκράτησε τοὺς
δύο βασιλεῖς Μαδιὰμ τὸν Ζεβεὲ καὶ τὸν Σαλμανά, καὶ πᾶσαν τὴν παρεμβολὴν
13 ἐξέστησε. [13] καὶ ἐπέστρεψε Γεδεὼν υἱὸς Ἰωὰς ἀπὸ τῆς παρατάξεως ἀπὸ ἐπά-
14 νωθεν τῆς παρατάξεως Ἀρές. [14] καὶ συνέλαβε παιδάριον ἀπὸ τῶν ἀνδρῶν Σοκ-
χώθ, καὶ ἐπηρώτησεν αὐτόν· καὶ ἔγραψε πρὸς αὐτὸν ὀνόματα τῶν ἀρχόντων
15 Σοκχὼθ καὶ τῶν πρεσβυτέρων αὐτῶν, ἑβδομήκοντα καὶ ἑπτὰ ἄνδρας. [15] καὶ
παρεγένετο Γεδεὼν πρὸς τοὺς ἄρχοντας Σοκχὼθ καὶ εἶπεν Ἰδοὺ Ζεβεὲ καὶ
Σαλμανά, ἐν οἷς ὠνειδίσατέ με λέγοντες Μὴ χεὶρ Ζεβεὲ καὶ Σαλμανὰ νῦν ἐν
16 χειρί σου, ὅτι δώσομεν τοῖς ἀνδράσι σου τοῖς ἐκλείπουσιν ἄρτους; [16] καὶ ἔλαβε
τοὺς πρεσβυτέρους τῆς πόλεως ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου καὶ ταῖς Βαρκη-
17 νίμ, καὶ ἠλόησεν ἐν αὐτοῖς τοὺς ἄνδρας τῆς πόλεως. [17] καὶ τὸν πύργον Φα-
18 νουὴλ κατέστρεψε, καὶ ἀπέκτεινε τοὺς ἄνδρας τῆς πόλεως. [18] καὶ εἶπε πρὸς
Ζεβεὲ καὶ Σαλμανά Ποῦ οἱ ἄνδρες οὓς ἀπεκτείνατε ἐν Θαβώρ; καὶ εἶπαν Ὡς
19 σὺ ὡς αὐτοί, εἰς ὁμοίωμα υἱοῦ βασιλέως. [19] καὶ εἶπε Γεδεὼν Ἀδελφοί μου
καὶ υἱοὶ τῆς μητρός μου ἦσαν· ζῇ κύριος, εἰ ἐζωογονήκειτε αὐτούς, οὐκ ἂν
20 ἀπέκτεινα ὑμᾶς. [20] καὶ εἶπεν Ἰεθὲρ τῷ πρωτοτόκῳ αὐτοῦ Ἀναστὰς ἀπόκτεινον
αὐτούς· καὶ οὐκ ἔσπασε τὸ παιδάριον τὴν ῥομφαίαν αὐτοῦ, ὅτι ἐφοβήθη, ὅτι
21 ἔτι νεώτερος ἦν. [21] καὶ εἶπε Ζεβεὲ καὶ Σαλμανά Ἀνάστα σὺ καὶ συνάντησον
ἡμῖν, ὅτι ὡς ἀνδρὸς ἡ δύναμίς σου. καὶ ἀνέστη Γεδεὼν καὶ ἀπέκτεινε τὸν
Ζεβεὲ καὶ τὸν Σαλμανά, καὶ ἔλαβε τοὺς μηνίσκους τοὺς ἐν τοῖς τραχήλοις τῶν
22 καμήλων αὐτῶν. [22] καὶ εἶπον ἀνὴρ Ἰσραὴλ πρὸς Γεδεὼν Κύριε, ἄρξον ἡμῶν
καὶ σὺ καὶ ὁ υἱός σου καὶ ὁ υἱὸς τοῦ υἱοῦ σου, ὅτι σὺ ἔσωσας ἡμᾶς ἐκ χει-
23 ρὸς Μαδιάμ. [23] καὶ εἶπε πρὸς αὐτοὺς Γεδεὼν Οὐκ ἄρξω ἐγώ, καὶ οὐκ ἄρξει
24 ὁ υἱός μου ἐν ὑμῖν· κύριος ἄρξει ὑμῶν. [24] καὶ εἶπε πρὸς αὐτοὺς Γεδεὼν Αἰ-
τήσομαι παρ' ὑμῶν αἴτημα, καὶ δότε μοι ἀνὴρ ἐνώτιον ἐκ σκύλων αὐτοῦ· ὅτι
25 ἐνώτια χρυσᾶ αὐτοῖς, ὅτι ἦσαν Ἰσμαηλῖται. [25] καὶ εἶπαν Διδόντες δώσομεν·
καὶ ἀνέπτυξε τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔβαλεν ἐκεῖ ἀνὴρ ἐνώτιον σκύλων αὐτοῦ.
26 [26] καὶ ἐγένετο ὁ σταθμὸς τῶν ἐνωτίων τῶν χρυσῶν ὧν ᾔτησε χίλιοι καὶ ἑπτα-
κόσιοι χρυσοῖ, παρὲξ τῶν μηνίσκων καὶ τῶν στραγγαλίδων καὶ τῶν ἱματίων

---

10. εν χαρκα ... πεντεκαιδεκα ... παντες καταλειφθεντες υιοι ανατολων· και οι πεπτ. ησαν εκ. και εικοσι ... εσπασμενων 11. οδον κατοικουντων ... om απο ... ναβεθ εξ εναντιας ζεβεε· κ. επατ. 12. εφυγεν ... παρεμβολην αυτων εξετριψεν 13. ανεστρεψεν ... ιωας εκ του πολεμου απο αναβασεως αρες 14. συνελαβον ... εκ των ... απεγραψατο προς αυτους τους αρχοντας σ. κ. τους πρεσβυτερους αυτης ... om και 15. post σοκχωθ add και εισηλθεν προς τους αρχοντας σοκχωθ ... ειπ. αυτοις ... δι ους pro εν οις ... εν τη χ. σου ... τοις εκλελυμενοις 16. κ. ελαβον τους αρχοντας και τους πρεσβ. τ. π. και κατεξανεν αυτους εν ταις ... βαρακηνειμ και κατεξανεν εν αυτοις ανδρας σοκχωθ 17. φαν. κατεσκαψεν 18. ωσει συ ομοιος σοι ομοιος αυτων ως ειδος μορφη υιων βασιλεων 19. μητρ. μου εισιν· και ωμοσεν αυτοις ζη κ. ει εζωογονησατε 20. τω ιεθερ ... το παιδ. αυτου τ. μαχαιραν αυτου ... οτι ην νεωτερ. 21. αν. δη συ κ. απαντησον ημ. οτι ως ανηρ η δυν. αυτου ... ανειλεν pro απεκτ. 22. ειπεν ... ** (et. * ?) αρχε εν ημιν συ omisso κυριε ... om κ. ο υι. του υι. σου ... οτι σεσωκας 23. εγω υμων ... υμων pro εν υμιν 24. αιτησιν ... ενωτιον των σκ. ... χρυσα πολλα ην αυτοις· οτι ισμαηλειται ησαν 25. ερριψεν εκει α. εν. χρυσουν των σκ. 26. εγενηθη ... ητησατο σικλοι χιλ. κ. επτ. χρυσου πλην των σιωνων κ. των ορμισκων ενφωθ κ. των περιβολαιων των

Digitized by Google

καὶ πορφυρίδων τῶν ἐπὶ βασιλεῦσι Μαδιάμ, καὶ ἐκτὸς τῶν περιθεμάτων ἃ
ἦν ἐν τοῖς τραχήλοις τῶν καμήλων αὐτῶν. 27 καὶ ἐποίησεν αὐτὸ Γεδεὼν εἰς 27
Ἐφώδ, καὶ ἔστησεν αὐτὸ ἐν πόλει αὐτοῦ ἐν Ἐφραθά· καὶ ἐξεπόρνευσε πᾶς
Ἰσραὴλ ὀπίσω αὐτοῦ ἐκεῖ, καὶ ἐγένετο τῷ Γεδεὼν καὶ τῷ οἴκῳ αὐτοῦ εἰς
σκῶλον. 28 καὶ συνεστάλη Μαδιὰμ ἐνώπιον υἱῶν Ἰσραήλ, καὶ οὐ προςέθηκαν 28
ἆραι κεφαλὴν αὐτῶν. καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη ἐν ἡμέραις Γε-
δεών. 29 καὶ ἐπορεύθη Ἱεροβάαλ υἱὸς Ἰωὰς καὶ ἐκάθισεν ἐν οἴκῳ αὐτοῦ. 30 καὶ 29 30
τῷ Γεδεὼν ἦσαν υἱοὶ ἑβδομήκοντα ἐκπορευόμενοι ἐκ μηρῶν αὐτοῦ, ὅτι γυναῖ-
κες πολλαὶ ἦσαν αὐτῷ. 31 καὶ παλλακὴ αὐτοῦ ἦν ἐν Συχὲμ καὶ ἔτεκεν αὐτῷ 31
καί γε αὐτὴ υἱόν, καὶ ἔθηκε τὸ ὄνομα Ἀβιμέλεχ. 32 καὶ ἀπέθανε Γεδεὼν υἱὸς 32
Ἰωὰς ἐν πόλει αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ τάφῳ Ἰωὰς τοῦ πατρὸς αὐτοῦ ἐν
Ἐφραθὰ Ἀβὶ Ἐσδρί. 33 καὶ ἐγενήθη ὡς ἀπέθανε Γεδεών, καὶ ἐπέστρεψαν 33
οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐξεπόρνευσαν ὀπίσω τῶν Βααλίμ, καὶ ἔθηκαν ἑαυτοῖς τῷ
Βάαλ διαθήκην τοῦ εἶναι αὐτοῖς αὐτὸν εἰς θεόν. 34 καὶ οὐκ ἐμνήσθησαν οἱ 34
υἱοὶ Ἰσραὴλ κυρίου τοῦ θεοῦ τοῦ ῥυσαμένου αὐτοὺς ἐκ χειρὸς πάντων τῶν
θλιβόντων αὐτοὺς κυκλόθεν. 35 καὶ οὐκ ἐποίησαν ἔλεος μετὰ τοῦ οἴκου Ἱερο- 35
βάαλ, αὐτός ἐστι Γεδεών, κατὰ πάντα τὰ ἀγαθὰ ἃ ἐποίησε μετὰ Ἰσραήλ.

## IX.

Καὶ ἐπορεύθη Ἀβιμέλεχ υἱὸς Ἱεροβάαλ εἰς Συχὲμ πρὸς ἀδελφοὺς μητρὸς
αὐτοῦ, καὶ ἐλάλησε πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν συγγένειαν οἴκου πατρὸς
μητρὸς αὐτοῦ λέγων 2 Λαλήσατε δὴ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν Συχέμ 2
Τί τὸ ἀγαθὸν ὑμῖν, κυριεῦσαι ὑμῶν ἑβδομήκοντα ἄνδρας πάντας υἱοὺς Ἱερο-
βάαλ ἢ κυριεύειν ὑμῶν ἄνδρα ἕνα; καὶ μνήσθητε ὅτι ὀστοῦν ὑμῶν καὶ σὰρξ
ὑμῶν εἰμί. 3 καὶ ἐλάλησαν περὶ αὐτοῦ οἱ ἀδελφοὶ τῆς μητρὸς αὐτοῦ ἐν τοῖς 3
ὠσὶ πάντων τῶν ἀνδρῶν Συχὲμ πάντας τοὺς λόγους τούτους· καὶ ἔκλινεν ἡ
καρδία αὐτῶν ὀπίσω Ἀβιμέλεχ, ὅτι εἶπαν Ἀδελφὸς ἡμῶν ἐστί. 4 καὶ ἔδωκαν 4
αὐτῷ ἑβδομήκοντα ἀργυρίου ἐξ οἴκου Βααλβερίθ· καὶ ἐμισθώσατο ἑαυτῷ Ἀβι-
μέλεχ ἄνδρας κενοὺς καὶ δειλούς, καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ. 5 καὶ εἰςῆλ- 5
θεν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ εἰς Ἐφραθὰ καὶ ἀπέκτεινε τοὺς ἀδελ-
φοὺς αὐτοῦ υἱοὺς Ἱεροβάαλ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα· καὶ κατε-
λείφθη Ἰωάθαμ υἱὸς Ἱεροβάαλ ὁ νεώτερος, ὅτι ἐκρύβη. 6 καὶ συνήχθησαν πάν- 6
τες ἄνδρες Σικίμων καὶ πᾶς οἶκος Βηθμααλώ, καὶ ἐπορεύθησαν καὶ ἐβασί-
λευσαν τὸν Ἀβιμέλεχ πρὸς τῇ βαλάνῳ τῇ εὑρετῇ τῆς στάσεως τῆς ἐν Σικίμοις.
7 καὶ ἀνηγγέλη τῷ Ἰωάθαμ· καὶ ἐπορεύθη καὶ ἔστη ἐπὶ κορυφὴν ὄρους Γα- 7
ριζίν, καὶ ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσε, καὶ εἶπεν αὐτοῖς Ἀκούσατέ

---

πορφυρων των επι τοις βασ. μ. και πληην των κλοιων των χρυσων των εν τοις τρ. τ. κ. α. 27. εις εφουδ ... πολει αυτους (ita) εν εφραιμ ... εις σκανδαλον 28. κ. ενετραπη μαδιαμ απο προσωπου ισραηλ ... προςεθεντο ... ετη τεσσερακοντα 29. κατωκησεν εν τω οικω αυτ. 30. εβδομηκ. υιοι 31. κ. η παλλακη αυτ. η εν σικιμοις ετεκεν ... επεθηκεν το ον. αυτου 32. εν πολεια αγαθη και ... εφραθα πατρος αβιεζρει 33. απεστραφησαν ... βααλειμ ... εθεντο αυτοις τον βααλ βεερ εις διαθηκην 34. θεου αυτων ... παντ. των εχθρων αυτων κυκλ. 35. om αυτος εστι ... κατα πασαν την αγαθωσυνην ην IX. 1. εις σικιμα πρ. τους αδ. της μ. ... πασαν την συγγ. του οικ. της μητρος αυτ. 2. εν ωσιν των ανδρ. σικιμων Ποιον βελτιον εστιν το αρχειν υμων ... οτι σαρξ υμων και οστουν υμ. εγω ειμι 3. ανδρ. σικιμων ... om ἡ 4. εκ του οικου βααλ διαθηκης ... εμισθ. εν αυτοις αβ. ... θαμβουμενους pro δειλους 5. εις εφραιμ ... απελειφθη ιαθαμ 6. παντ. οι ανδρες ... πας ο οικ. μααλλων ... τ. αβιμ. εις βασιλεα προς ... om τη ευρετη ... om της extr. 7. ανηγγειλαν ... επι της κορυφης του ορ. γαριζειν ... εκλαυσεν επ αυτοις και

Digitized by Google

8 μου, ἄνδρες Σικίμων, καὶ ἀκούσεται ὑμῶν ὁ θεός. 8 πορευόμενα ἐπορεύθη τὰ
ξύλα τοῦ χρῖσαι ἐφ' ἑαυτὰ βασιλέα, καὶ εἶπον τῇ ἐλαίᾳ Βασίλευσον ἐφ' ἡμῶν.
9 9 καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία Μὴ ἀπολείψασα τὴν πιότητά μου, ἐν ᾗ δοξάσουσι
10 τὸν θεὸν ἄνδρες, πορεύσομαι κινεῖσθαι ἐπὶ τῶν ξύλων; 10 καὶ εἶπον τὰ ξύλα
11 τῇ συκῇ Δεῦρο βασίλευσον ἐφ' ἡμῶν. 11 καὶ εἶπεν αὐτοῖς ἡ συκῆ Μὴ ἀπο-
λείψασα ἐγὼ τὴν γλυκύτητά μου καὶ τὰ γεννήματά μου τὰ ἀγαθὰ πορεύσο-
12 μαι κινεῖσθαι ἐπὶ τῶν ξύλων; 12 καὶ εἶπαν τὰ ξύλα πρὸς τὴν ἄμπελον Δεῦρο
13 βασίλευσον ἐφ' ἡμῶν. 13 καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος Μὴ ἀπολείψασα τὸν οἶνόν
μου τὸν εὐφραίνοντα θεὸν καὶ ἀνθρώπους πορεύσομαι κινεῖσθαι ἐπὶ τῶν ξύλων;
14 15 14 καὶ εἶπαν πάντα τὰ ξύλα τῇ ῥάμνῳ Δεῦρο σὺ βασίλευσον ἐφ' ἡμῶν. 15 καὶ
εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα Εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν
ἐφ' ὑμᾶς, δεῦτε ὑπόστητε ἐν τῇ σκιᾷ μου· καὶ εἰ μή, ἐξέλθοι πῦρ ἀπ' ἐμοῦ
16 καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου. 16 καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ τελειό-
τητι ἐποιήσατε καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ, καὶ εἰ ἀγαθωσύνην ἐποιήσατε
μετὰ Ἱεροβάαλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ εἰ ὡς ἀνταπόδοσις χειρὸς αὐτοῦ
17 ἐποιήσατε αὐτῷ, 17 ὡς παρετάξατο ὁ πατήρ μου ὑπὲρ ὑμῶν καὶ ἐξέρριψε τὴν
18 ψυχὴν αὐτοῦ ἐξεναντίας καὶ ἐρρύσατο ὑμᾶς ἐκ χειρὸς Μαδιάμ, 18 καὶ ὑμεῖς
ἐπανέστητε ἐπὶ τὸν οἶκον τοῦ πατρός μου σήμερον καὶ ἀπεκτείνατε τοὺς υἱοὺς
αὐτοῦ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα, καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ υἱὸν
19 παιδίσκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σικίμων, ὅτι ἀδελφὸς ὑμῶν ἐστί· 19 καὶ εἰ
ἐν ἀληθείᾳ καὶ τελειότητι ἐποιήσατε μετὰ Ἱεροβάαλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ
ἐν τῇ ἡμέρᾳ ταύτῃ, εὐφρανθείητε ἐν Ἀβιμέλεχ, καὶ εὐφρανθείη καί γε αὐτὸς
20 ἐφ' ὑμῖν· 20 εἰ δὲ οὔ, ἐξέλθοι πῦρ ἀπὸ Ἀβιμέλεχ καὶ καταφάγοι τοὺς ἄνδρας
Σικίμων καὶ τὸν οἶκον Βηθμααλώ, καὶ ἐξέλθοι πῦρ ἀπὸ ἀνδρῶν Σικίμων καὶ
21 ἐκ τοῦ οἴκου Βηθμααλὼ καὶ καταφάγοι τὸν Ἀβιμέλεχ. 21 καὶ ἔφυγεν Ἰωάθαμ
καὶ ἀπέδρα, καὶ ἐπορεύθη ἕως Βαιὴρ καὶ ᾤκησεν ἐκεῖ ἀπὸ προσώπου Ἀβι-
22 23 μέλεχ ἀδελφοῦ αὐτοῦ. 22 καὶ ἦρξεν Ἀβιμέλεχ ἐπὶ Ἰσραὴλ τρία ἔτη. 23 καὶ
ἐξαπέστειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀνὰ μέσον Ἀβιμέλεχ καὶ ἀνὰ μέσον τῶν
24 ἀνδρῶν Σικίμων, καὶ ἠθέτησαν ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ Ἀβιμέλεχ 24 τοῦ
ἐπαγαγεῖν τὴν ἀδικίαν τῶν ἑβδομήκοντα υἱῶν Ἱεροβάαλ, καὶ τὰ αἵματα αὐ-
τῶν τοῦ θεῖναι ἐπὶ Ἀβιμέλεχ τὸν ἀδελφὸν αὐτῶν ὃς ἀπέκτεινεν αὐτοὺς καὶ
ἐπὶ ἄνδρας Σικίμων, ὅτι ἐνίσχυσαν τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι τοὺς ἀδελ-
25 φοὺς αὐτοῦ. 25 καὶ ἔθηκαν αὐτῷ οἱ ἄνδρες Σικίμων ἐνεδρεύοντας ἐπὶ τὰς κεφα-
λὰς τῶν ὀρέων, καὶ διήρπαζον πάντα ὃς παρεπορεύετο ἐπ' αὐτοὺς ἐν τῇ ὁδῷ·
26 καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἀβιμέλεχ. 26 καὶ ἦλθε Γαὰλ υἱὸς Ἰωβὴλ καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ καὶ παρῆλθον ἐν Σικίμοις, καὶ ἤλπισαν ἐν αὐτῷ οἱ ἄνδρες Σικί-

---

7. κ. ακουσαι υμ. 8. επορευθησαν ... χρισ. εαυτοις βασ. 9. η ελαια Αφεισα την π. μ. ην εν εμοι εδοξασεν ο θεος και ανθρωποι πορευθω αρχειν των ξυλων 10. ειπαν 11. η συκη Αφεισα την ... το γενημα μ. το αγαθον και πορευθω αρχειν ξυλων 12. τ. ξ. τη αμπελω 13. αφεισα pro Μη απολ. ... την ευφροσυνην την παρα του θεου των ανθρωπων πορευθω αρχειν ξυλων 14. om παντα ... προς την ραμνον 15. υμεις χρ. με εις βασιλεα εφ υμων, δ. πεποιθατε εν τ. σκεπη μου ... εξελθη π. εκ της ραμνου 16. και εν τελ. ... καθως pro αγαθωσυνην ... ει κατα το ανταποδομα της χειρος 17. ως επολεμησεν ο ... ερριψεν ... εξειλατο υμας 18. της παιδισκης 19. om μετα sec. ... αυτου τη η. τ. ευλογηθειητε υμεις και ευφρανθ. ... om και γε ... εν υμιν 20. και ει μη, εξελθη π. εξ ... οικον μααλλων· και ει μη, εξελθοι ... και απο τ. ο. μααλλων 21. κ. απεδρα ιωθαμ κ. επορευθη εν οδω και εφυγεν εις ραρα ... κατωκησεν ... του αδ. α. 22. εν ισραηλ 23. οι ανδρες 24. το αιμα αυτ. επιθειναι επι ... τον αποκτειναντα αυτους κ. επι τους α. σικ. τους κατισχυσαντας χειρας α. ωστε απ. αυτους 25. εθεντο ... σικ. ενεδρα επι ... ανηρπαζον παντας τους διαπορευομενους ... om βασιλει 26. γαλααδ υιος αβεδ ... om και παρηλθον ... εις σικιμα· και επεποιθησαν αυτω

Digitized by Google

μων. [27] καὶ ἐξῆλθον εἰς ἀγρὸν καὶ ἐτρύγησαν τοὺς ἀμπελῶνας αὐτῶν καὶ ἐπά- 27
τησαν, καὶ ἐποίησαν Ἐλλουλίμ, καὶ εἰςήνεγκαν εἰς οἶκον θεοῦ αὐτῶν καὶ
ἔφαγον καὶ ἔπιον, καὶ κατηράσαντο τὸν Ἀβιμέλεχ. [28] καὶ εἶπε Γαὰλ υἱὸς Ἰω- 28
βὴλ Τίς ἐστιν Ἀβιμέλεχ καὶ τίς ἐστιν υἱὸς Συχὲμ ὅτι δουλεύσομεν αὐτῷ;
οὐχ υἱὸς Ἱεροβάαλ, καὶ Ζεβοὺλ ἐπίσκοπος αὐτοῦ, δοῦλος αὐτοῦ σὺν τοῖς ἀν-
δράσιν Ἐμμὼρ πατρὸς Συχέμ; καὶ τί ὅτι δουλεύσομεν αὐτῷ ἡμεῖς; [29] καὶ 29
τίς δῴη τὸν λαὸν τοῦτον ἐν χειρί μου; καὶ μεταστήσω τὸν Ἀβιμέλεχ καὶ ἐρῶ
πρὸς αὐτόν Πλήθυνον τὴν δύναμίν σου καὶ ἔξελθε. [30] καὶ ἤκουσε Ζεβοὺλ ἄρ- 30
χων τῆς πόλεως τοὺς λόγους Γαὰλ υἱοῦ Ἰωβήλ, καὶ ὠργίσθη θυμῷ αὐτός.
[31] καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἀβιμέλεχ ἐν κρυφῇ λέγων Ἰδοὺ Γαὰλ υἱὸς 31
Ἰωβὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔρχονται εἰς Συχέμ, καὶ ἰδοὺ αὐτοὶ περικάθην-
ται τὴν πόλιν ἐπὶ σέ. [32] καὶ νῦν ἀνάστηθι νυκτὸς καὶ ὁ λαὸς ὁ μετὰ σοῦ, 32
καὶ ἐνέδρευσον ἐν τῷ ἀγρῷ· [33] καὶ ἔσται τὸ πρωὶ ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον 33
ὀρθριεῖς καὶ ἐκτενεῖς ἐπὶ τὴν πόλιν, καὶ ἰδοὺ αὐτὸς καὶ ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ
ἐκπορεύονται πρὸς σέ, καὶ ποιήσεις αὐτῷ ὅσα ἂν εὕρῃ ἡ χείρ σου. [34] καὶ 34
ἀνέστη Ἀβιμέλεχ καὶ πᾶς ὁ λαὸς μετ᾽ αὐτοῦ νυκτός, καὶ ἐνήδρευσαν ἐπὶ Συ-
χὲμ τέτρασιν ἀρχαῖς. [35] καὶ ἐξῆλθε Γαὰλ υἱὸς Ἰωβὴλ καὶ ἔστη πρὸς τῇ θύρᾳ 35
τῆς πύλης τῆς πόλεως, καὶ ἀνέστη Ἀβιμέλεχ καὶ ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ ἀπὸ
τοῦ ἐνέδρου. [36] καὶ εἶδε Γαὰλ υἱὸς Ἰωβὴλ τὸν λαόν, καὶ εἶπε πρὸς Ζεβούλ 36
Ἰδοὺ λαὸς καταβαίνει ἀπὸ τῶν κεφαλῶν τῶν ὀρέων· καὶ εἶπε πρὸς αὐτὸν Ζε-
βοὺλ Τὴν σκιὰν τῶν ὀρέων σὺ βλέπεις ὡς ἄνδρας. [37] καὶ προςέθετο ἔτι Γαὰλ 37
τοῦ λαλῆσαι καὶ εἶπεν Ἰδοὺ λαὸς καταβαίνων κατὰ θάλασσαν ἀπὸ τοῦ ἐχό-
μενα ὀμφαλοῦ τῆς γῆς, καὶ ἀρχὴ ἑτέρα ἔρχεται δι᾽ ὁδοῦ Ἡλωνμαωνενίμ. [38] καὶ 38
εἶπε πρὸς αὐτὸν Ζεβοὺλ Καὶ ποῦ ἔστι τὸ στόμα σου ὡς ἐλάλησας Τίς ἐστιν
Ἀβιμέλεχ ὅτι δουλεύσομεν αὐτῷ; μὴ οὐχὶ οὗτος ὁ λαὸς ὃν ἐξουδένωσας; ἔξελθε
δὴ νῦν καὶ παράταξαι αὐτῷ. [39] καὶ ἐξῆλθε Γαὰλ ἐνώπιον ἀνδρῶν Συχὲμ καὶ 39
παρετάξατο πρὸς Ἀβιμέλεχ. [40] καὶ ἐδίωξεν αὐτὸν Ἀβιμέλεχ καὶ ἔφυγεν ἀπὸ 40
προςώπου αὐτοῦ, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἕως τῆς θύρας τῆς πύλης.
[41] καὶ εἰςῆλθεν Ἀβιμέλεχ ἐν Ἀρημά· καὶ ἐξέβαλε Ζεβοὺλ τὸν Γαὰλ καὶ τοὺς 41
ἀδελφοὺς αὐτοῦ, μὴ οἰκεῖν ἐν Συχέμ. [42] καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ἐξῆλθεν 42
ὁ λαὸς εἰς τὸν ἀγρὸν καὶ ἀνήγγειλε τῷ Ἀβιμέλεχ. [43] καὶ ἔλαβε τὸν λαὸν καὶ 43
διεῖλεν αὐτοὺς εἰς τρεῖς ἀρχάς, καὶ ἐνήδρευσεν ἐν ἀγρῷ· καὶ εἶδε, καὶ ἰδοὺ
λαὸς ἐξῆλθεν ἐκ τῆς πόλεως, καὶ ἀνέστη ἐπ᾽ αὐτοὺς καὶ ἐπάταξεν αὐτούς.
[44] καὶ Ἀβιμέλεχ καὶ οἱ ἀρχηγοὶ οἱ μετ᾽ αὐτοῦ ἐξέτειναν καὶ ἔστησαν παρὰ 44
τὴν θύραν τῆς πύλης τῆς πόλεως, καὶ αἱ δύο ἀρχαὶ ἐξέτειναν ἐπὶ πάντας

---

27. ηλθον ... κατεπατουν ... κ. εποιησ. χορους· και εισηλθον εις οικον . . κατηρωντο 28. γααδ υιος αβεδ Τι εστιν ... τις εστ. ο υιος ... ουχ ουτος υιος ... συχεμ καθοτι δουλ. 29. τω αβιμελεχ pro προς αυτον 30. γααδ υιου αβεδ, και εθυμωθη οργη ... om αυτος 31. μετα δωρων pro εν κρυφη ... γααδ υιος αβεδ κ. οι α. α. παραγεγονασιν εις σικιμα, και οι δε πολιορκουσιν την 32. συ και ο λαος 33. και ορθρισεις ... αυτω καθαπερ εαν ευρη 34. ο λαος ο μετ ... επι σικιμα τεσσαρας αρχας 35. και εγενετο πρωι και εξηλθ. γααδ υιος σαβετ ... τη πυλη ... εκ των ενεδρων 36. γαδ υιος αβεδ ... καταβαινων α. τ. κορυφων ... συ ορας 37. γαλααδ ... εχομ. του ομφαλου ... αρχη μια παραγεινεται απο οδου δρυος αποβλεποντων 38. om Και ... εστιν νυν το στ. σ. το λεγον Που εστιν ... ουκ ιδου ουτος εστιν ο λαος ον εξ. εν αυτω· εξελθε νυν και πολεμει προς αυτον 39. γααδ απο προςωπου των ανδρων σικιμων κ. επολεμησεν εν αβ. 40. κατεδιωξεν ... om και εφυγεν ... πολλαι εως θυρων της πολεως 41. κ. εκαθεισεν αβ. εν αριμα ... γααδ ... του μη οικ. εν σικιμοις 42. εγενηθη ... εις το πεδιον· Και απηγγελη (ita dist.) 43. παρελαβεν ... διειλ. αυτον τρις αρχας ... ενηδρ. εν αυτω· ... επανεστη αυτοις 44. αι αρχαι αι μετ α. εξεταθησαν κ. εξεστησαν παρα την πυλην της πολεως ... εξεχυθησαν επι παντας

Digitized by Google

45 τοὺς ἐν τῷ ἀγρῷ καὶ ἐπάταξαν αὐτούς. [45] καὶ Ἀβιμέλεχ παρετάσσετο ἐν τῇ
πόλει ὅλην τὴν ἡμέραν ἐκείνην, καὶ κατελάβετο τὴν πόλιν καὶ τὸν λαὸν τὸν
46 ἐν αὐτῇ ἀπέκτεινεν, καὶ τὴν πόλιν καθεῖλε καὶ ἔσπειρεν αὐτὴν ἅλας. [46] καὶ
ἤκουσαν πάντες οἱ ἄνδρες πύργου Συχέμ, καὶ ἦλθον εἰς συνέλευσιν Βαιθηλ-
47 βερίθ. [47] καὶ ἀνηγγέλη τῷ Ἀβιμέλεχ ὅτι συνήχθησαν πάντες οἱ ἄνδρες πύργου
48 Συχέμ. [48] καὶ ἀνέβη Ἀβιμέλεχ εἰς ὄρος Σελμών, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐ-
τοῦ· καὶ ἔλαβεν Ἀβιμέλεχ τὰς ἀξίνας ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔκοψε κλάδον
ξύλου καὶ ἦρε καὶ ἔθηκεν ἐπὶ ὤμων αὐτοῦ, καὶ εἶπε τῷ λαῷ τῷ μετ' αὐτοῦ
49 Ὃ εἴδετέ με ποιοῦντα, ταχέως ποιήσατε ὡς ἐγώ. [49] καὶ ἔκοψαν καί γε ἀνὴρ
κλάδον πᾶς ἀνὴρ καὶ ἐπορεύθησαν ὀπίσω Ἀβιμέλεχ, καὶ ἐπέθηκαν ἐπὶ τὴν
συνέλευσιν, καὶ ἐνεπύρισαν ἐπ' αὐτοὺς τὴν συνέλευσιν ἐν πυρί· καὶ ἀπέθανον
καί γε πάντες οἱ ἄνδρες πύργου Σικίμων ὡσεὶ χίλιοι ἄνδρες καὶ γυναῖκες.
50 [50] καὶ ἐπορεύθη Ἀβιμέλεχ ἐκ Βαιθηλβερὶθ καὶ παρενέβαλεν ἐν Θήβης, καὶ
51 κατέλαβεν αὐτήν. [51] καὶ πύργος ἰσχυρὸς ἦν ἐν μέσῳ τῆς πόλεως, καὶ ἔφυγον
ἐκεῖ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες τῆς πόλεως, καὶ ἔκλεισαν ἔξωθεν αὐ-
52 τῶν καὶ ἀνέβησαν ἐπὶ τὸ δῶμα τοῦ πύργου. [52] καὶ ἦλθεν Ἀβιμέλεχ ἕως τοῦ
πύργου, καὶ παρετάξαντο αὐτῷ· καὶ ἤγγισεν Ἀβιμέλεχ ἕως τῆς θύρας τοῦ
53 πύργου τοῦ ἐμπρῆσαι αὐτὸν ἐν πυρί. [53] καὶ ἔρριψε γυνὴ μία κλάσμα ἐπιμύλιον
54 ἐπὶ κεφαλὴν Ἀβιμέλεχ, καὶ ἔκλασε τὸ κρανίον αὐτοῦ. [54] καὶ ἐβόησε ταχὺ πρὸς
τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ καὶ εἶπεν αὐτῷ Σπάσον τὴν ῥομφαίαν
μου καὶ θανάτωσόν με, μή ποτε εἴπωσιν Γυνὴ ἀπέκτεινεν αὐτόν. καὶ ἐξεκέν-
55 τησεν αὐτὸν τὸ παιδάριον αὐτοῦ, καὶ ἀπέθανε. [55] καὶ εἶδεν ἀνὴρ Ἰσραὴλ ὅτι
56 ἀπέθανεν Ἀβιμέλεχ· καὶ ἐπορεύθησαν ἀνὴρ εἰς τὸν τόπον αὐτοῦ. [56] καὶ ἐπέ-
στρεψεν ὁ θεὸς τὴν πονηρίαν Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ ἀπο-
57 κτεῖναι τοὺς ἑβδομήκοντα ἀδελφοὺς αὐτοῦ. [57] καὶ τὴν πᾶσαν πονηρίαν ἀνδρῶν
Συχὲμ ἐπέστρεψεν ὁ θεὸς εἰς κεφαλὴν αὐτῶν· καὶ ἐπῆλθεν ἐπ' αὐτοὺς ἡ κα-
τάρα Ἰωάθαμ υἱοῦ Ἱεροβάαλ.

## X.

Καὶ ἀνέστη μετὰ Ἀβιμέλεχ τοῦ σῶσαι τὸν Ἰσραὴλ Θωλὰ υἱὸς Φουά,
υἱὸς πατραδέλφου αὐτοῦ, ἀνὴρ Ἰσσάχαρ· καὶ αὐτὸς ᾤκει ἐν Σαμὶρ ἐν ὄρει
2 Ἐφραΐμ. [2] καὶ ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι τρία ἔτη, καὶ ἀπέθανε καὶ ἐτάφη
3 ἐν Σαμίρ. [3] καὶ ἀνέστη μετ' αὐτὸν Ἰαῒρ ὁ Γαλαάδ, καὶ ἔκρινε τὸν Ἰσραὴλ
4 εἴκοσι δύο ἔτη. [4] καὶ ἦσαν αὐτῷ τριάκοντα καὶ δύο υἱοὶ ἐπιβαίνοντες ἐπὶ
τριάκοντα δύο πώλους, καὶ τριάκοντα δύο πόλεις αὐτοῖς· καὶ ἐκάλουν αὐτὰς
5 ἐπαύλεις Ἰαῒρ ἕως τῆς ἡμέρας ταύτης ἐν γῇ Γαλαάδ. [5] καὶ ἀπέθανεν Ἰαΐρ,

44. επαταξεν 45. επολεμει εν τη ... τον εν αυτη ανειλεν 46. πυργου σικιμων ... εισηλθον εις το οχυρωμα οικου του βααλ διαθηκης 47. απηγγελη ... του πυργου σικιμων 48. ορος ερμων, αυτος κ. πας ... αβ. αξινην ... εκοψεν φορτιον ξυλων και ελαβεν αυτο και επεθηκεν ε. τους ωμους α. κ. ε. προς τον λαον τον ... Τι ιδετε ... ως και εγω 49. εκοψαν και αυτοι εκαστος φορτιον και ηραν κ. επορ. ... om οπ. αβιμελεχ ... επι το οχυρωμα κ. ενεπρησαν επ αυτους το οχυρωμα εν ... om και γε 50. αβιμ. εις θαιβαις κ. περιεκαθεισεν επ αυτην κ. προκατελαβοντο αυτην 51. πυργ. ην υψηλος εμμεσω ... γυναικ. και παντες οι ηγουμενοι της π. κ. απεκλεισαν εφ εαυτους και 52. πυργου και εξεπολεμησαν αυτον ... πυργου ενπρησαι αυτην εν 53. κλασμα μυλου επι την κ. α. κ. συνεθλασεν 54. το ταχος ... τον αιροντα ... om και ειπεν αυτω ... τ. μαχαιραν και ... απεθανεν αβιμελεχ 55. ιδεν ... απηλθον ανηρ 56. απεστρεψεν ... την κακιαν 57. και πασαν κακιαν α. σικιμων απεστρεψεν κυριος εις την ... ιωαθαμ του υιου αυτου X. 1. κατωκει εν σαμαρεια 2. εικ. και τρια ... εν σαμαρεια 3. ιαειρ ο γαλααδιτις ... εικ. και δυο 4. κ. εγενοντο αυτω ... επιβεβηκοτες ... τρ. και δ. πωλους ... εκαλεσεν ... ιαειρ ... αι εισιν εν τη γαλααδ 5. αειρ

Digitized by Google

καὶ ἐτάφη ἐν Ῥαμνών. [6]καὶ προςέθεντο οἱ υἱοὶ Ἰσραὴλ τοῦ ποιῆσαι τὸ πο- 6
νηρὸν ἐνώπιον κυρίου, καὶ ἐδούλευσαν τοῖς Βααλὶμ καὶ ταῖς Ἀσταρὼθ καὶ
τοῖς θεοῖς Ἀρὰμ καὶ τοῖς θεοῖς Σιδῶνος καὶ τοῖς θεοῖς Μωὰβ καὶ τοῖς θεοῖς
υἱῶν Ἀμμὼν καὶ τοῖς θεοῖς Φυλιστιίμ· καὶ ἐγκατέλιπον τὸν κύριον καὶ οὐκ
ἐδούλευσαν αὐτῷ. [7]καὶ ὠργίσθη θυμῷ κύριος ἐν Ἰσραήλ, καὶ ἀπέδοτο αὐ- 7
τοὺς ἐν χειρὶ Φυλιστιὶμ καὶ ἐν χειρὶ υἱῶν Ἀμμών. [8]καὶ ἔθλιψαν καὶ ἔθλασαν 8
τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ὀκτωκαίδεκα ἔτη, τοὺς πάντας υἱοὺς
Ἰσραὴλ τοὺς ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν γῇ τοῦ Ἀμορρὶ τοῦ ἐν Γαλαάδ.
[9]καὶ διέβησαν οἱ υἱοὶ Ἀμμὼν τὸν Ἰορδάνην παρατάξασθαι πρὸς Ἰούδαν καὶ 9
Βενιαμὶν καὶ πρὸς Ἐφραΐμ· καὶ ἐθλίβησαν οἱ υἱοὶ Ἰσραὴλ σφόδρα. [10]καὶ 10
ἐβόησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς κύριον λέγοντες Ἡμάρτομέν σοι ὅτι ἐγκατελί-
πομεν τὸν θεὸν καὶ ἐδουλεύσαμεν τῷ Βααλίμ. [11]καὶ εἶπε κύριος πρὸς τοὺς 11
υἱοὺς Ἰσραὴλ Μὴ οὐχὶ ἐξ Αἰγύπτου καὶ ἀπὸ τοῦ Ἀμορραίου καὶ ἀπὸ υἱῶν
Ἀμμὼν καὶ ἀπὸ Φυλιστιὶμ [12]καὶ Σιδωνίων καὶ Ἀμαλὴκ καὶ Μαδιάμ, οἳ 12
ἔθλιψαν ὑμᾶς, καὶ ἐβοήσατε πρὸς μέ, καὶ ἔσωσα ὑμᾶς ἐκ χειρὸς αὐτῶν; [13]καὶ 13
ὑμεῖς ἐγκατελίπετέ με καὶ ἐδουλεύσατε θεοῖς ἑτέροις· διὰ τοῦτο οὐ προςθήσω
τοῦ σῶσαι ὑμᾶς. [14]πορεύεσθε καὶ βοήσατε πρὸς τοὺς θεοὺς οὓς ἐξελέξασθε 14
ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς ἐν καιρῷ θλίψεως ὑμῶν. [15]καὶ εἶπαν οἱ 15
υἱοὶ Ἰσραὴλ πρὸς κύριον Ἡμάρτομεν, ποίησον σὺ ἡμῖν κατὰ πᾶν τὸ ἀγαθὸν
ἐν ὀφθαλμοῖς σου, πλὴν ἐξελοῦ ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ. [16]καὶ ἐξέκλιναν 16
τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου αὐτῶν, καὶ ἐδούλευσαν τῷ κυρίῳ μόνῳ·
καὶ ὠλιγώθη ἡ ψυχὴ αὐτοῦ ἐν κόπῳ Ἰσραήλ. [17]καὶ ἀνέβησαν οἱ υἱοὶ Ἀμμὼν 17
καὶ παρενέβαλον ἐν Γαλαάδ, καὶ συνήχθησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ παρενέβα-
λον ἐν τῇ σκοπιᾷ. [18]καὶ εἶπον ὁ λαὸς οἱ ἄρχοντες Γαλαάδ, ἀνὴρ πρὸς τὸν 18
πλησίον αὐτοῦ Τίς ὁ ἀνὴρ ὅςτις ἂν ἄρξεται παρατάξασθαι πρὸς υἱοὺς Ἀμμών,
καὶ ἔσται εἰς ἄρχοντα πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ;

## XI.

*He. 11, 32 Καὶ Ἰεφθάε ὁ Γαλααδίτης ἐπηρμένος δυνάμει, καὶ αὐτὸς υἱὸς γυναικὸς
πόρνης, ἣ ἐγέννησε τῷ Γαλαὰδ τὸν Ἰεφθάε. [2]καὶ ἔτεκεν ἡ γυνὴ Γαλαὰδ 2
αὐτῷ υἱούς· καὶ ἡδρύνθησαν οἱ υἱοὶ τῆς γυναικός, καὶ ἐξέβαλον τὸν Ἰεφθάε
καὶ εἶπαν αὐτῷ Οὐ κληρονομήσεις ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν, ὅτι υἱὸς
γυναικὸς ἑταίρας σύ. [3]καὶ ἔφυγεν Ἰεφθάε ἀπὸ προςώπου τῶν ἀδελφῶν αὐτοῦ, 3
καὶ ᾤκησεν ἐν γῇ Τώβ· καὶ συνεστράφησαν πρὸς Ἰεφθάε ἄνδρες κενοί, καὶ

---

5. εν ραμμω 6. om του ... εναντι κυρ. κ. ελατρευσαν ταις βααλειμ ... om κ. τ. θ. αραμ ... post σιδωνος add και τοις θεοις συριας ... των αλλοφυλων pro φυλιστιιμ ... εγκατελειπον 7. κ. εθυμωθη κυρ. εν τω ισρ. ... αλλοφυλων pro φυλιστιιμ 8. εσαθρωσαν pro εθλιψαν ... ενιαυτω pro καιρω ... ετη, παντας τους υι. ισρ. εν ... εν τη γη του αμορραιου εν τη γαλααδιτιδι 9. ιορδ. εκπολεμησαι· και εν τω ιουδα και βενιαμειν κ. εν τω οικω εφρ. 10. εγκατελειπομεν τον κυριον θεον ημων κ. ελατρευσαμεν ταις βααλειμ 11. ισραηλ Ουχι αιγυπτιοι κ. αμορραιοι κ. οι υιοι αμμων και μωαβ και οι αλλοφυλοι 12. κ. σιδωνιοι κ. μαδ. κ. αμαλ. εξεθλειψαν υ. κ. εκεκραξατε 13. εγκατελειπετε μ. κ. ελατρευσατε 14. βαδιζετε κ. βοατε 15. κατα παντα οσα αν αρεσκη ενωπιον σου· πλην κυριε εξελου 16. κ. μετεστησαν τους ... κ. ελατρευσαν τω κυρ. και ουκ ευηρεστησαν εν τω λαω· και ωλιγοψυχησεν εν τω κοπ. ισρ. 17. εξηλθον pro συνηχθησαν ... μασσηφα pro σκοπια 18. κ. ειπ. οι αρχ. του λαου γαλααδ ... Τις ανηρ ος αρξεται πολεμησαι εν τοις υιοις ... εις κεφαλην XI. 1. ο γαλααδιτις δυνατος εν ισχυι, και αυτος ην υι. γ. πορν. και ετεκεν τω 2. δυο υιους ... ειπον ... οτι γυν. υιος ετερας ει συ 3. κ. απεδρα ιε. εκ πρ. ... κατωκησεν ... κ. συνελεγοντο πρ. τον ιε. ανδρ. λιτοι, κ. συνεξεπορευοντο μετ αυτου

Digitized by Google

4 ἐξῆλθον μετ' αὐτοῦ. 4 καὶ ἐγένετο ἡνίκα παρετάξαντο οἱ υἱοὶ Ἀμμὼν μετὰ
5 Ἰσραήλ, 5 καὶ ἐπορεύθησαν οἱ πρεσβύτεροι Γαλαὰδ λαβεῖν τὸν Ἰεφθάε ἀπὸ
6 τῆς γῆς Τώβ· 6 καὶ εἶπαν τῷ Ἰεφθάε Δεῦρο καὶ ἔσῃ ἡμῖν εἰς ἀρχηγόν, καὶ
7 παραταξόμεθα πρὸς υἱοὺς Ἀμμών. 7 καὶ εἶπεν Ἰεφθάε τοῖς πρεσβυτέροις Γα-
λαάδ Οὐχὶ ὑμεῖς ἐμισήσατέ με, καὶ ἐξεβάλετέ με ἐκ τοῦ οἴκου τοῦ πατρός
μου, καὶ ἐξαπεστείλατέ με ἀφ' ὑμῶν; καὶ διὰ τί ἤλθατε πρὸς μὲ νῦν ἡνίκα
8 χρῄζετε; 8 καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαὰδ πρὸς Ἰεφθάε Διὰ τοῦτο νῦν ἐπε-
στρέψαμεν πρὸς σέ, καὶ πορεύσῃ μεθ' ἡμῶν καὶ παρατάξῃ πρὸς υἱοὺς Ἀμ-
9 μών, καὶ ἔσῃ ἡμῖν εἰς ἄρχοντα πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ. 9 καὶ εἶπεν
Ἰεφθάε πρὸς τοὺς πρεσβυτέρους Γαλαάδ Εἰ ἐπιστρέφετέ με ὑμεῖς παρατάξα-
σθαι ἐν υἱοῖς Ἀμμὼν καὶ παραδῷ αὐτοὺς κύριος ἐνώπιον ἐμοῦ, καὶ ἐγὼ ὑμῖν
10 ἔσομαι εἰς ἄρχοντα; 10 καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαὰδ πρὸς Ἰεφθάε Κύριος
ἔστω ἀκούων ἀνὰ μέσον ἡμῶν εἰ μὴ κατὰ τὸ ῥῆμά σου οὕτω ποιήσομεν.
11 11 καὶ ἐπορεύθη Ἰεφθάε μετὰ τῶν πρεσβυτέρων Γαλαάδ, καὶ ἔθηκαν αὐτὸν ὁ
λαὸς ἐπ' αὐτοὺς εἰς κεφαλὴν καὶ εἰς ἀρχηγόν· καὶ ἐλάλησεν Ἰεφθάε πάντας
12 τοὺς λόγους αὐτοῦ ἐνώπιον κυρίου ἐν Μασσηφά. 12 καὶ ἀπέστειλεν Ἰεφθάε
ἀγγέλους πρὸς βασιλέα υἱῶν Ἀμμὼν λέγων Τί ἐμοὶ καὶ σοὶ ὅτι ἦλθες πρὸς
13 μὲ τοῦ παρατάξασθαι ἐν τῇ γῇ μου; 13 καὶ εἶπε βασιλεὺς υἱῶν Ἀμμὼν πρὸς
τοὺς ἀγγέλους Ἰεφθάε Ὅτι ἔλαβεν Ἰσραὴλ τὴν γῆν μου ἐν τῷ ἀναβαίνειν
αὐτὸν ἐξ Αἰγύπτου ἀπὸ Ἀρνῶν ἕως Ἰαβὸκ καὶ ἕως τοῦ Ἰορδάνου· καὶ νῦν
14 ἐπίστρεψον αὐτὰς ἐν εἰρήνῃ, καὶ πορεύσομαι. 14 καὶ προσέθηκε ἔτι Ἰεφθάε
15 καὶ ἀπέστειλεν ἀγγέλους πρὸς βασιλέα υἱῶν Ἀμμών, 15 καὶ εἶπεν αὐτῷ Οὕτω
λέγει Ἰεφθάε Οὐκ ἔλαβεν Ἰσραὴλ τὴν γῆν Μωὰβ καὶ τὴν γῆν υἱῶν Ἀμμών,
16 16 ὅτι ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ Αἰγύπτου ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ
17 ἕως θαλάσσης Σίφ, καὶ ἦλθεν εἰς Κάδης. 17 καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους
πρὸς βασιλέα Ἐδὼμ λέγων Παρελεύσομαι δὴ ἐν τῇ γῇ σου· καὶ οὐκ ἤκουσε
βασιλεὺς Ἐδώμ· καί γε πρὸς βασιλέα Μωὰβ ἀπέστειλε, καὶ οὐκ εὐδόκησεν.
18 καὶ ἐκάθισεν Ἰσραὴλ ἐν Κάδης, 18 καὶ ἐπορεύθη ἐν τῇ ἐρήμῳ, καὶ ἐκύκλωσε
τὴν γῆν Ἐδὼμ καὶ τὴν γῆν Μωάβ· καὶ ἦλθεν ἀπὸ ἀνατολῶν ἡλίου τῇ γῇ
Μωὰβ καὶ παρενέβαλεν ἐν πέραν Ἀρνῶν, καὶ οὐκ εἰσῆλθεν ἐν ὁρίοις Μωάβ,
19 ὅτι Ἀρνῶν ὅριον Μωάβ. 19 καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους πρὸς Σηὼν βασι-
λέα τοῦ Ἀμορραίου βασιλέα Ἐσεβών, καὶ εἶπεν αὐτῷ Ἰσραὴλ Παρέλθωμεν
20 δὴ ἐν τῇ γῇ σου ἕως τοῦ τόπου ἡμῶν. 20 καὶ οὐκ ἐνεπίστευσε Σηὼν τῷ
Ἰσραὴλ παρελθεῖν ἐν τῷ ὁρίῳ αὐτοῦ· καὶ συνῆξε Σηὼν πάντα τὸν λαὸν αὐ-

---

4. και εγενετο μεθ ημερας και επολεμησαν οι υιοι αμμων μετα ισραηλ 5. και εγενηθη ηνικα επολεμουσαν οι πρεσβυτεροι ισραηλ παραλαβειν τ. ιε. εν γη τωβ 6. προς ιεφθ. ... εις ηγουμενον, κ. πολεμησωμεν εν τοις υιοις α. 7. Ουχ ... κ. τι οτι ηλθ. πρ. με ηνικα εθλιβητε 8. πρ. ιεφθ. Ουχ ουτως· νυν ηλθομεν προς σε και συνπορευση ημιν· κ. πολεμησομεν εν τοις υιοις α. και εση η. ε. κεφαλην 9. υμεις πολεμησαι εν τοις ... κυριος αυτους ... εμου, εγω υμ. ε. εις κεφαλην 10. εσται ο ακουων ... ουτως 11. κ. κατεστησαν ο λαος αυτον επ αυτων εις κεφαλην εις ηγουμενον 12. οτι ηκεις πρ. με συ πολεμησαι με εν 13. Διοτι ... εν τη αναβασει αυτου εξ ... αυτας μετ ειρηνης· και απεστρεψαν οι αγγελοι προς ιεφθαε 14. om κ. προσεθ. ετι ... κ. απεστ. ιεφθ. αγγ. πρ. τον 15. om κ. ειπ. αυτω ... λεγων Ταδε λεγει ιε. ... ιεφθαε pro ισραηλ 16. om οτι ... εν τη αναβασει αυτων εξ αιγ. αλλ επορευθη ... θαλασσ. ερυθρας, κ. η. εως κ. 17. εξαπεστειλεν ... Παρελ. δια της γης σου ... ο βασιλευς ... ηθελησεν pro ευδοκ. 18. κ. διηλθεν εν ... κ. παρεγενετο κατ ανατολας η. της γης ... παρενεβαλον εν τω ... εισηλθον εις το οριον ... οτι αρν. ην 19. σηων βασ. εσεβων τον αμορραιον και ... Παρελευσομαι δια της γης ... τοπου μου 20. κ. ο. ηθελησεν διελθειν τον ισρ. δια των οριων α. κ. συνηγαγεν

Digitized by Google

τοῦ, καὶ παρενέβαλον εἰς Ἰασά, καὶ παρετάξατο πρὸς Ἰσραήλ. 21 καὶ παρ- 21
έδωκε κύριος ὁ θεὸς Ἰσραὴλ τὸν Σηὼν καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν χειρὶ
Ἰσραήλ, καὶ ἐπάταξεν αὐτόν· καὶ ἐκληρονόμησεν Ἰσραὴλ πᾶσαν τὴν γῆν τοῦ
Ἀμοῤῥαίου τοῦ κατοικοῦντος τὴν γῆν ἐκείνην 22 ἀπὸ Ἀρνῶν καὶ ἕως τοῦ Ἰα- 22
βὸκ καὶ ἀπὸ τοῦ ἐρήμου ἕως τοῦ Ἰορδάνου. 23 καὶ νῦν κύριος ὁ θεὸς Ἰσραὴλ 23
ἐξῆρε τὸν Ἀμοῤῥαῖον ἀπὸ προσώπου λαοῦ αὐτοῦ Ἰσραήλ, καὶ σὺ κληρονομή-
σεις αὐτόν; 24 οὐχὶ ἃ ἐὰν κληρονομήσει σε Χαμὼς ὁ θεός σου, αὐτὰ κληρο- 24
νομήσεις, καὶ τοὺς πάντας οὓς ἐξῆρε κύριος ὁ θεὸς ἡμῶν ἀπὸ προσώπου ὑμῶν,
αὐτοὺς κληρονομήσομεν; 25 καὶ νῦν μὴ ἐν ἀγαθῷ ἀγαθώτερος σὺ ὑπὲρ Βαλὰκ 25
υἱὸν Σεπφὼρ βασιλέως Μωάβ; μὴ μαχόμενος ἐμαχέσατο μετὰ Ἰσραὴλ ἢ πο-
λεμῶν ἐπολέμησεν αὐτὸν 26 ἐν τῷ οἰκῆσαι ἐν Ἐσεβὼν καὶ ἐν τοῖς ὁρίοις αὐ- 26
τῆς καὶ ἐν γῇ Ἀροὴρ καὶ ἐν τοῖς ὁρίοις αὐτῆς καὶ ἐν πάσαις ταῖς πόλεσι
ταῖς παρὰ τὸν Ἰορδάνην τριακόσια ἔτη; καὶ διὰ τί οὐκ ἐῤῥύσω αὐτοὺς ἐν τῷ
καιρῷ ἐκείνῳ; 27 καὶ νῦν ἐγώ εἰμι οὐχ ἥμαρτόν σοι, καὶ σὺ ποιεῖς μετ' ἐμοῦ 27
πονηρίαν τοῦ παρατάξασθαι ἐν ἐμοί· κρίναι κύριος ὁ κρίνων σήμερον ἀνὰ μέσον
υἱῶν Ἰσραὴλ καὶ ἀνὰ μέσον υἱῶν Ἀμμών. 28 καὶ οὐκ ἤκουσε βασιλεὺς υἱῶν 28
Ἀμμὼν τῶν λόγων Ἰεφθάε ὧν ἀπέστειλε πρὸς αὐτόν. 29 καὶ ἐγένετο ἐπὶ Ἰε- 29
φθάε πνεῦμα κυρίου, καὶ παρῆλθε τὸν Γαλαὰδ καὶ τὸν Μανασσῆ, καὶ παρῆλθε
τὴν σκοπιὰν Γαλαὰδ εἰς τὸ πέραν υἱῶν Ἀμμών. 30 καὶ ηὔξατο Ἰεφθάε εὐχὴν 30
τῷ κυρίῳ καὶ εἶπεν Ἐὰν διδοὺς δῷς μοι τοὺς υἱοὺς Ἀμμὼν ἐν τῇ χειρί μου,
31 καὶ ἔσται ὁ ἐκπορευόμενος ὃς ἂν ἐξέλθῃ ἀπὸ τῆς θύρας τοῦ οἴκου μου εἰς 31
συνάντησίν μου ἐν τῷ ἐπιστρέφειν με ἐν εἰρήνῃ ἀπὸ υἱῶν Ἀμμών, καὶ ἔσται
τῷ κυρίῳ, ἀνοίσω αὐτὸν ὁλοκαύτωμα. 32 καὶ παρῆλθεν Ἰεφθάε πρὸς υἱοὺς 32
Ἀμμὼν παρατάξασθαι πρὸς αὐτούς, καὶ παρέδωκεν αὐτοὺς κύριος ἐν χειρὶ
αὐτοῦ. 33 καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ Ἀροὴρ ἕως ἐλθεῖν ἄχρις Ἀρνῶν, ἐν ἀρι- 33
θμῷ εἴκοσι πόλεις, καὶ ἕως Ἐβελχαρμὶμ πληγὴν μεγάλην σφόδρα· καὶ συν-
εστάλησαν οἱ υἱοὶ Ἀμμὼν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. 34 καὶ ἦλθεν Ἰεφθάε 34
εἰς Μασσηφὰ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἰδοὺ ἡ θυγάτηρ αὐτοῦ ἐξεπορεύετο
εἰς ὑπάντησιν ἐν τυμπάνοις καὶ χοροῖς· καὶ αὕτη ἦν μονογενὴς αὐτῷ, οὐκ ἦν
αὐτῷ ἕτερος υἱὸς ἢ θυγάτηρ. 35 καὶ ἐγένετο ὡς εἶδεν αὐτὴν αὐτός, διέῤῥηξε 35
τὰ ἱμάτια αὐτοῦ καὶ εἶπεν Ἆ ἆ θυγάτηρ μου, ταραχῇ ἐτάραξάς με, καὶ σὺ
ἦς ἐν τῷ ταράχῳ μου, καὶ ἐγώ εἰμι ἤνοιξα κατὰ σοῦ τὸ στόμα μου πρὸς
κύριον, καὶ οὐ δυνήσομαι ἀποστρέψαι. 36 ἡ δὲ εἶπε πρὸς αὐτόν Πάτερ, ἤνοι- 36

20. παρενεβαλεν εν ισραηλ και επολεμησεν μετα ισρ. 21. επαταξεν αυτους ... κατοικ. εν τη γη ... om εκεινην 22. και εκληρονομησεν παν το οριον του αμορραιου απο αρνων και ... της ερημου και εως 23. om ισραηλ ... εκ προσωπ. του ... in f. add επι σου 24. ουχι οσα κατεκληρονομησεν σοι ... και παντα οσα κατεκληρονομησεν σοι κυρ. ο θ. ημ. αυτα κληρονομησωμεν 25. μη κρεισσων ει συ του β. υιου ... μη μαχη εμαχεσατο ... επολεμ. αυτοις 26. εν τω οικω ισραηλ εν εσ. κ. ε. ταις θυγατρασιν αυτης κ. εν ιαζηρ και εν ταις θυγατρασιν αυτης κ. ε. πασαις ... ετη· διοτι ουκ ερυσαντο 27. και εγω ουχ ημ. σοι ... του πολεμησαι εν εμοι ... ο κυριος ... των υιων bis 28. κ. ο. εισηκουσεν β. υ. α. και ουκ εισηκουσεν των 29. εγενηθη ... κ. διεβη την γην γαλααδ ... μαννασση ... κ. διεβη την σκ. γ. και απο σκοπιας γαλααδ εις το 30. Εαν παραδωσει παραδως μοι ... om τη 31. εκ των θυρων του ... απαντησιν ... επιστρεψαι ... των υιων ... και ανοισω 32. κ. διεβη ιε. πρ. τους υι. α. του πολεμησαι προς 33. και εως του ελθειν εις σεμωειθ εικ. πολ. εως αβελ αμπελωνων πληγην ... κ. ενετραπησαν οι 34. εισηλθεν ... εις απαντησιν αυτου ... om ην ... μον. αυτω αγαπητη και ουκ εστιν αυτω πλην αυτης υι. η θυγ. 35. κ. εγενηθη ηνικα ε. αυτην και διερρ. τ. ι. αυτης κ. ειπ. Οιμμοι θυγατερ μου εμπεποδεστατη και σεμνοτατη· εις σκωλον εγενου εν οφθαλμοις μου· εγω δε ηνοιξα το στ. μ. περι σου πρ. κυρ. και ου 36. και ειπεν πρ. α. Πατηρ (?) μου

Digitized by Google

ξας τὸ στόμα σου πρὸς κύριον; ποίησόν μοι ὃν τρόπον ἐξῆλθεν ἐκ στόματός
σου ἐν τῷ ποιῆσαί σοι κύριον ἐκδίκησιν τῶν ἐχθρῶν σου ἀπὸ τῶν υἱῶν Ἀμ-
37 μών. [37] καὶ ἤδε εἶπε πρὸς τὸν πατέρα αὐτῆς Ποιησάτω δὴ ὁ πατήρ μου τὸν
λόγον τοῦτον· ἔασόν με δύο μῆνας καὶ πορεύσομαι καὶ καταβήσομαι ἐπὶ τὰ
ὄρη, καὶ κλαύσομαι ἐπὶ τὰ παρθένιά μου ἐγώ εἰμι καὶ αἱ συνεταιρίδες μου.
38 [38] καὶ εἶπε Πορεύου· καὶ ἀπέστειλεν αὐτὴν δύο μῆνας. καὶ ἐπορεύθη αὐτὴ
καὶ αἱ συνεταιρίδες αὐτῆς, καὶ ἔκλαυσεν ἐπὶ τὰ παρθένια αὐτῆς ἐπὶ τὰ ὄρη.
39 [39] καὶ ἐγένετο ἐν τέλει τῶν δύο μηνῶν καὶ ἐπέστρεψε πρὸς τὸν πατέρα αὐτῆς,
καὶ ἐποίησεν ἐν αὐτῇ τὴν εὐχὴν αὐτοῦ ἣν ηὔξατο· καὶ αὕτη οὐκ ἔγνω ἄνδρα.
40 καὶ ἐγένετο εἰς πρόσταγμα ἐν Ἰσραήλ, [40] ἀπὸ ἡμερῶν εἰς ἡμέρας ἐπορεύοντο
θυγατέρες Ἰσραὴλ θρηνεῖν τὴν θυγατέρα Ἰεφθάε τοῦ Γαλααδίτου ἐπὶ τέσσα-
ρας ἡμέρας ἐν τῷ ἐνιαυτῷ.

## XII.

Καὶ ἐβόησεν ἀνὴρ Ἐφραΐμ, καὶ παρῆλθαν εἰς βοῤῥᾶν καὶ εἶπαν πρὸς
Ἰεφθάε Διὰ τί παρῆλθες παρατάξασθαι ἐν υἱοῖς Ἀμμὼν καὶ ἡμᾶς οὐ κέ-
κληκας πορευθῆναι μετὰ σοῦ; τὸν οἶκόν σου ἐμπρήσομεν ἐπὶ σὲ ἐν πυρί.
2 [2] καὶ εἶπε πρὸς αὐτοὺς Ἰεφθάε Ἀνὴρ μαχητὴς ἤμην ἐγὼ καὶ ὁ λαός μου
καὶ οἱ υἱοὶ Ἀμμὼν σφόδρα· καὶ ἐβόησα ὑμᾶς, καὶ οὐκ ἐσώσατέ με ἐκ χει-
3 ρὸς αὐτῶν. [3] καὶ εἶδον ὅτι οὐκ εἶ σωτήρ, καὶ ἔθηκα τὴν ψυχήν μου ἐν χειρί
μου καὶ παρῆλθον πρὸς υἱοὺς Ἀμμών, καὶ ἔδωκεν αὐτοὺς κύριος ἐν χειρί
μου· καὶ εἰς τί ἀνέβητε ἐπ' ἐμὲ ἐν τῇ ἡμέρᾳ ταύτῃ παρατάξασθαι ἐν ἐμοί;
4 [4] καὶ συνέστρεψεν Ἰεφθάε πάντας τοὺς ἄνδρας Γαλαὰδ καὶ παρετάξατο τῷ
Ἐφραΐμ· καὶ ἐπάταξαν ἄνδρες Γαλαὰδ τὸν Ἐφραΐμ, ὅτι εἶπαν οἱ διασω-
ζόμενοι τοῦ Ἐφραΐμ Ὑμεῖς Γαλαὰδ ἐν μέσῳ τοῦ Ἐφραΐμ καὶ ἐν μέσῳ τοῦ
5 Μανασσῆ. [5] καὶ προκατελάβετο Γαλαὰδ τὰς διαβάσεις τοῦ Ἰορδάνου τοῦ
Ἐφραΐμ· καὶ εἶπαν αὐτοῖς οἱ διασωζόμενοι Ἐφραΐμ Διαβῶμεν· καὶ εἶπαν
6 αὐτοῖς οἱ ἄνδρες Γαλαάδ Μὴ Ἐφραθίτης εἶ; καὶ εἶπεν Οὔ. [6] καὶ εἶπαν αὐτῷ
Εἰπὸν δὴ στάχυς. καὶ οὐ κατεύθυνε τοῦ λαλῆσαι οὕτως, καὶ ἐπελάβοντο
αὐτοῦ καὶ ἔθυσαν αὐτὸν πρὸς τὰς διαβάσεις τοῦ Ἰορδάνου· καὶ ἔπεσαν ἐν
7 τῷ καιρῷ ἐκείνῳ ἀπὸ Ἐφραΐμ δύο καὶ τεσσαράκοντα χιλιάδες. [7] καὶ ἔκρινεν
Ἰεφθάε τὸν Ἰσραὴλ ἓξ ἔτη· καὶ ἀπέθανεν Ἰεφθάε ὁ Γαλααδίτης, καὶ ἐτάφη
8 ἐν πόλει αὐτοῦ Γαλαάδ. [8] καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Ἀβαισσὰν ἀπὸ
9 Βηθλεέμ. [9] καὶ ἦσαν αὐτῷ τριάκοντα υἱοὶ καὶ τριάκοντα θυγατέρες, ἃς ἐξα-
πέστειλεν ἔξω, καὶ τριάκοντα θυγατέρας εἰσήνεγκε τοῖς υἱοῖς αὐτοῦ ἔξωθεν·

---

ει εν εμοι ηνοιξας ... ποιει μοι ον ... στοματος σου ανθ ων εποιησεν σοι κυριος εκδικησεις εκ των ε. σ. εκ των 37. om ηδε ... αυτης Και ποιησον μοι το ρημα τουτο· εασον ... και εγω και αι 38. εξαπεστειλεν ... παρθενεια 39. μετα τελος δυο μηνων κ. ανεκαμψεν πρ. τ. π. α. και επετελεσεν ιεφθαε την ... εγενηθη 40. εξ ημερων ... συνεπορευοντο αι ... om επι XII. 1. Κ. συνηχθησαν οι υιοι εφρ. κ. ηλθον εις κεφεινα κ. ειπον ... Τι οτι επορευθης πολεμειν εν τοις υι. ... om επι σε 2. αντιδικων pro μαχητης ... και υιοι α. εταπεινουν με σφοδρα· κ. εβ. προς υμ. 3. ιδον ο. ουκ ην ο σωζων, κ. εθεμην ... εν τη χ. μ. κ. διεβην πρ. τους ... παρεδωκεν α. κ. ενωπιον μου· κ. ινα τι α. προς με τη η. τ. του πολεμειν εν 4. κ. συνηθροισεν ιε. ... κ. επολεμει τον εφρ. ... διασεσωσμενοι ... εμμεσω εφραιμ κ. εμμεσω μαννασση 5. προκατελαβοντο ανδρες γαλααδ ... κ. εγενηθη οτι ειπαν οι διασεσωσμενοι του εφρ. ... Μη υμεις εκ του εφραιμ· κ. ειπαν Ουκ εσμεν 6. κ. ειπεν αυτοις Ειπατε δη συνθημα· και κατηυθυναν του ... αυτων κ. σφαζουσιν αυτους επι τας ... επεσαν εξ εφραιμ τω καιρ. εκ. δυο τεσσερακοντα χιλ. ανδρων 7. εν τη πολ. 8. εσεβων εκ βαιθλεεμ 9. κ. εγενοντο αυτω ... θυγατ. εξαπεσταλμεναι εξω κ. τριακ. γυναικες (illa) εισηγαγεν τοις

Digitized by Google

καὶ ἔκρινε τὸν Ἰσραὴλ ἑπτὰ ἔτη. [10] καὶ ἀπέθανεν Ἀβαισσάν, καὶ ἐτάφη ἐν 10
Βηθλεέμ. [11] καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Αἰλὼμ ὁ Ζαβουλωνίτης δέκα 11
ἔτη. [12] καὶ ἀπέθανεν Αἰλὼμ ὁ Ζαβουλωνίτης, καὶ ἐτάφη ἐν Αἰλὼμ ἐν γῇ Ζα- 12
βουλών. [13] καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Ἀβδὼν υἱὸς Ἐλλὴλ ὁ Φαρα- 13
θωνίτης. [14] καὶ ἦσαν αὐτῷ τεσσαράκοντα υἱοὶ καὶ τριάκοντα υἱῶν υἱοὶ ἐπι- 14
βαίνοντες ἐπὶ ἑβδομήκοντα πώλους· καὶ ἔκρινε τὸν Ἰσραὴλ ὀκτὼ ἔτη. [15] καὶ 15
ἀπέθανεν Ἀβδὼν υἱὸς Ἐλλὴλ ὁ Φαραθωνίτης, καὶ ἐτάφη ἐν Φαραθὼν ἐν γῇ
Ἐφραΐμ ἐν ὄρει τοῦ Ἀμαλήκ.

## XIII.

Καὶ προσέθηκαν ἔτι οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου,
καὶ παρέδωκεν αὐτοὺς κύριος ἐν χειρὶ Φυλιστιὶμ τεσσαράκοντα ἔτη. [2] καὶ ἦν 2
ἀνὴρ εἷς ἀπὸ Σαραὰ ἀπὸ δήμου συγγενείας τοῦ Δανὶ καὶ ὄνομα αὐτῷ Μα-
νωέ, καὶ γυνὴ αὐτοῦ στεῖρα καὶ οὐκ ἔτεκεν. [3] καὶ ὤφθη ἄγγελος κυρίου πρὸς 3
τὴν γυναῖκα καὶ εἶπε πρὸς αὐτήν Ἰδοὺ σὺ στεῖρα καὶ οὐ τέτοκας, καὶ συλ-
λήψῃ υἱόν. [4] καὶ νῦν φύλαξαι δὴ καὶ μὴ πίῃς οἶνον καὶ μέθυσμα, καὶ μὴ 4
φάγῃς πᾶν ἀκάθαρτον· [5] ὅτι ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱόν, καὶ σί- 5
δηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται, ὅτι Ναζὶρ θεοῦ ἔσται τὸ
παιδάριον ἀπὸ τῆς κοιλίας, καὶ αὐτὸς ἄρξεται σῶσαι τὸν Ἰσραὴλ ἐκ χειρὸς
Φυλιστιίμ. [6] καὶ εἰςῆλθεν ἡ γυνὴ καὶ εἶπε τῷ ἀνδρὶ αὐτῆς λέγουσα Ἄνθρω- 6
πος θεοῦ ἦλθε πρός μέ, καὶ εἶδος αὐτοῦ ὡς εἶδος ἀγγέλου θεοῦ φοβερὸν
σφόδρα, καὶ οὐκ ἠρώτησα αὐτὸν πόθεν ἐστί, καὶ τὸ ὄνομα αὐτοῦ οὐκ ἀπήγ-
γειλέ μοι. [7] καὶ εἶπέ μοι Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱόν· καὶ νῦν 7
μὴ πίῃς οἶνον καὶ μέθυσμα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον, ὅτι θεοῦ ἅγιον
ἔσται τὸ παιδάριον ἀπὸ γαστρὸς ἕως ἡμέρας θανάτου αὐτοῦ. [8] καὶ προςηύ- 8
ξατο Μανωὲ πρὸς κύριον καὶ εἶπεν Ἐν ἐμοί, κύριε Ἀδωναιέ, τὸν ἄνθρωπον
τοῦ θεοῦ ὃν ἀπέστειλας, ἐλθέτω δὴ ἔτι πρὸς ἡμᾶς, καὶ συμβιβασάτω ἡμᾶς
τί ποιήσωμεν τῷ παιδίῳ τῷ τικτομένῳ. [9] καὶ εἰςήκουσεν ὁ θεὸς τῆς φωνῆς 9
Μανωέ, καὶ ἦλθεν ὁ ἄγγελος τοῦ θεοῦ ἔτι πρὸς τὴν γυναῖκα· καὶ αὕτη ἐκά-
θητο ἐν ἀγρῷ, καὶ Μανωὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἦν μετ' αὐτῆς. [10] καὶ ἐτάχυνεν 10
ἡ γυνὴ καὶ ἔδραμε καὶ ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς, καὶ εἶπε πρὸς αὐτόν Ἰδοὺ
ὦπται πρός με ὁ ἀνὴρ ὃς ἦλθεν ἐν ἡμέρᾳ πρός με. [11] καὶ ἀνέστη καὶ ἐπο- 11
ρεύθη Μανωὲ ὀπίσω τῆς γυναικὸς αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν ἄνδρα καὶ εἶπεν
αὐτῷ Εἰ σὺ εἶ ὁ ἀνὴρ ὁ λαλήσας πρὸς τὴν γυναῖκα; καὶ εἶπεν ὁ ἄγγελος

---

10. κ. απ. εν εσεβων 11. αιλων ο ζαβουνιτης· και εκρινεν τον ισραηλ δ. ετ. 12. αιλων ο ζαβουνιτης εν αιλειμ κ. εθαψαν αυτον εν 13. λαβδωμ υι. σελλημ ο φθραθωνιτης 14. κ. εγενοντο α. τεσσεραχ. υι. κ. τρ. υιοι των υιων αυτου επιβεβηκοτες 15. λαβδων υι. σελλημ ο φθραθωνιτης ... εν φρααθων ... ε. ορει λαναχ XIII. 1. προσεθεντο ... om ετι ... εναντιον κυριου ... om κυριος ... ε. χ. αλλοφυλων τεσσεραχ. ε. 2. κ. εγενετο ανηρ εκ σ. εκ της φυλης του δαν ... κ. η γυνη ... ετικτεν 3. Ιδου δη συ ... τετοκας, και εγγαστρι εξεις και τεξη υιον 4. om δη ... σικερα pro μεθυσμα 5. εγγαστρι εξεις ... και ουκ αναβ. σιδηρ. επι τ. κεφ. αυτ. οτι ηγιασμενον ναζιραιον εσται τω θεω το παιδ. εκ της γαστρος ... σωζειν ... ε. χ. αλλοφυλων 6. ηλθεν ... οτι ανθρωπος του θεου ... και η ορασις αυτου ως ορασις αγγ. του θ. επιφανης σφ. και ηρωτων 7. εγγαστρι εξεις ... οιν. κ. σικερα ... πασαν ακαθαρσιαν, οτι ναζειραιον θεου εστιν ... της γαστρος 8. κ. εδεηθη μανωε του κυριου ... om αδωναιε ... ανθρωπος του θεου ον απεστ. προς ημας· ελθ. δη πρ. ημ. κ. φωτισατω ημας ... παιδαριω 9. επηκουσεν ... παρεγενετο ο αγγ. ... γυναικα αυτης καθημενης εν τω αγρω 10. εξεδραμεν κ. απηγγειλεν ... ωπται μοι ο α. ο ελθων πρ. με τη ημ. εκεινη 11. μανωε κ. επορευθη ... om και ηλθεν



Digitized by Google

12 Ἐγώ. [12] καὶ εἶπε Μανωέ Νῦν ἐλεύσεται ὁ λόγος, τίς ἔσται κρίσις τοῦ παιδίου
13 καὶ τὰ ποιήματα αὐτοῦ; [13] καὶ εἶπεν ὁ ἄγγελος κυρίου πρὸς Μανωέ Ἀπὸ
14 πάντων ὧν εἴρηκα πρὸς τὴν γυναῖκα φυλάξεται, [14] ἀπὸ παντὸς ὃ ἐκπορεύεται
ἐξ ἀμπέλου τοῦ οἴνου οὐ φάγεται, καὶ οἶνον καὶ μέθυσμα μὴ πιέτω, καὶ πᾶν
15 ἀκάθαρτον μὴ φαγέτω, πάντα ὅσα ἐνετειλάμην αὐτῇ φυλάξεται. [15] καὶ εἶπε
Μανωὲ πρὸς τὸν ἄγγελον κυρίου Κατάσχωμεν ὧδέ σε, καὶ ποιήσωμεν ἐνώ-
16 πιόν σου ἔριφον αἰγῶν. [16] καὶ εἶπεν ὁ ἄγγελος κυρίου πρὸς Μανωέ Ἐὰν
κατάσχῃς, οὐ φάγομαι ἀπὸ τῶν ἄρτων σου· καὶ ἐὰν ποιήσῃς ὁλοκαύτωμα,
17 τῷ κυρίῳ ἀνοίσεις αὐτό. ὅτι οὐκ ἔγνω Μανωὲ ὅτι ἄγγελος κυρίου αὐτός. [17] καὶ
εἶπε Μανωὲ πρὸς τὸν ἄγγελον κυρίου Τί τὸ ὄνομά σοι, ὅτι ἔλθοι τὸ ῥῆμά
18 σου καὶ δοξάσομέν σε; [18] καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος κυρίου Εἰς τί τοῦτο
19 ἐρωτᾷς τὸ ὄνομά μου; καὶ αὐτό ἐστι θαυμαστόν. [19] καὶ ἔλαβε Μανωὲ τὸν
ἔριφον τῶν αἰγῶν καὶ τὴν θυσίαν καὶ ἀνήνεγκεν ἐπὶ τὴν πέτραν τῷ κυρίῳ,
20 καὶ διεχώρισε ποιῆσαι· καὶ Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ βλέποντες. [20] καὶ ἐγέ-
νετο ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐπάνω τοῦ θυσιαστηρίου ἕως τοῦ οὐρανοῦ,
καὶ ἀνέβη ὁ ἄγγελος κυρίου ἐν τῇ φλογί· καὶ Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ βλέ-
21 ποντες, καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν. [21] καὶ οὐ προσέθηκεν
ἔτι ὁ ἄγγελος κυρίου ὀφθῆναι πρὸς Μανωὲ καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ·
22 τότε ἔγνω Μανωὲ ὅτι ἄγγελος κυρίου οὗτος. [22] καὶ εἶπε Μανωὲ πρὸς τὴν γυ-
23 ναῖκα αὐτοῦ Θανάτῳ ἀποθανούμεθα, ὅτι θεὸν εἴδομεν. [23] καὶ εἶπεν αὐτῷ ἡ
γυνὴ αὐτοῦ Εἰ ἤθελεν ὁ κύριος θανατῶσαι ἡμᾶς, οὐκ ἂν ἔλαβεν ἐκ χειρὸς
ἡμῶν ὁλοκαύτωμα καὶ θυσίαν, καὶ οὐκ ἂν ἔδειξεν ἡμῖν ταῦτα πάντα, καὶ
24 καθὼς καιρὸς οὐκ ἂν ἠκούτισεν ἡμᾶς ταῦτα. [24] καὶ ἔτεκεν ἡ γυνὴ υἱόν, καὶ
ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαμψών· καὶ ἡδρύνθη τὸ παιδάριον, καὶ εὐλόγησεν *He. 11, 32.
25 αὐτὸ κύριος. [25] καὶ ἤρξατο πνεῦμα κυρίου συνεκπορεύεσθαι αὐτῷ ἐν παρεμ-
βολῇ Δὰν καὶ ἀνὰ μέσον Σαραὰ καὶ ἀνὰ μέσον Ἐσθαόλ.

## XIV.

Καὶ κατέβη Σαμψὼν εἰς Θαμναθά, καὶ εἶδε γυναῖκα ἐν Θαμναθὰ ἀπὸ
2 τῶν θυγατέρων τῶν ἀλλοφύλων. [2] καὶ ἀνέβη καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ
καὶ τῇ μητρὶ αὐτοῦ καὶ εἶπε Γυναῖκα ἑώρακα ἐν Θαμναθὰ ἀπὸ τῶν θυγα-
3 τέρων Φυλιστιίμ, καὶ νῦν λάβετε αὐτήν μοι εἰς γυναῖκα. [3] καὶ εἶπεν αὐτῷ ὁ
πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ Μὴ οὐκ εἰσὶ θυγατέρες τῶν ἀδελφῶν σου
καὶ ἐκ παντὸς τοῦ λαοῦ μου γυνή, ὅτι σὺ πορεύῃ λαβεῖν γυναῖκα ἀπὸ τῶν
ἀλλοφύλων τῶν ἀπεριτμήτων; καὶ εἶπε Σαμψὼν πρὸς τὸν πατέρα αὐτοῦ Ταύ-
4 την λάβε μοι, ὅτι αὕτη εὐθεῖα ἐν ὀφθαλμοῖς μου. [4] καὶ ὁ πατὴρ αὐτοῦ καὶ

---

12. νυν δε ελθοντος του ρηματος σου τι εσται το κριμα του παιδαριου κ. τα εργα α. 13. ων ειπα ... φυλαξασθω 14. απο παντων οσα ... om του ... οιν. κ. σικερα μη ... αυτω φυλαξασθω 15. κυριου Βιασωμεθα δη σε κ. ποιησομεν εναντιον 16. Εαν βιαση με ... om απο ... ποιησεις ... om τω ... εστιν pro αυτος 17. τι ονομα σοι· ινα οταν ελθη το ρ. σ. δοξασωμεν σε 18. κυριου Ινα τι 19. τω κυριω·· τω θαυμαστα ποιουντι κυριω· και μ. κ. η γ. α. εθεωρουν 20. επανωθεν τ. θ. εις τον ουρανον ... ε. τ. φλογι του θυσιαστηριου εις τον ουρανον ... εθεωρουν pro βλεπ. 21. εστιν pro ουτος 22. θεον εωρακαμεν 23. Ει ουν βουλεται κυριος ... αν εδεξατο εκ των χειρων ... εφωτισεν ημας παντα ταυτα ... ο καιρος ουκ αν ακουστα εποιησεν ημιν ταυτα 24. om υιον ... σαμψων· κ. ηυλογησεν αυτον κυριος· κ. ηυξηθη το παιδαρ. 25. συμπορευεσθαι ... δαν ανα μεσ. σαρα ... εσθαελ XIV. 1. εκ των ... in fin. add και ηρεσεν ενωπιον αυτου 2. om αυτου prius ... θυγατ. των αλλοφυλων ... μοι αυτην 3. Μη ουκ εστιν απο των θυγατερων των αδ. σου κ. εν παντι τω λαω ... εκ των ... οτι ηρεσεν εν οφθ. μ.

Digitized by Google

ἡ μήτηρ αὐτοῦ οὐκ ἔγνωσαν ὅτι παρὰ κυρίου ἐστίν, ὅτι ἐκδίκησιν αὐτὸς ζη-
τεῖ ἐκ τῶν ἀλλοφύλων· καὶ ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἀλλόφυλοι κυριεύοντες ἐν
Ἰσραήλ. 5 καὶ κατέβη Σαμψὼν καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ εἰς 5
Θαμναθά· καὶ ἦλθεν ἕως τοῦ ἀμπελῶνος Θαμναθά, καὶ ἰδοὺ σκύμνος λέοντος
ὠρυόμενος εἰς συνάντησιν αὐτοῦ. 6 καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ 6
συνέτριψεν αὐτὸν ὡςεὶ συντρίψει ἔριφον αἰγῶν· καὶ οὐδὲν ἦν ἐν ταῖς χερσὶν
αὐτοῦ, καὶ οὐκ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ ὃ ἐποίησε.
7 καὶ κατέβησαν καὶ ἐλάλησαν τῇ γυναικί, καὶ ηὐθύνθη ἐν ὀφθαλμοῖς Σαμ- 7
ψών. 8 καὶ ὑπέστρεψε μεθ' ἡμέρας λαβεῖν αὐτήν· καὶ ἐξέκλινεν ἰδεῖν τὸ πτῶμα 8
τοῦ λέοντος, καὶ ἰδοὺ συναγωγὴ μελισσῶν ἐν τῷ στόματι τοῦ λέοντος καὶ μέλι.
9 καὶ ἐξεῖλεν αὐτὸ εἰς χεῖρας αὐτοῦ, καὶ ἐπορεύετο πορευόμενος καὶ ἐσθίων· 9
καὶ ἐπορεύθη πρὸς τὸν πατέρα αὐτοῦ καὶ πρὸς τὴν μητέρα αὐτοῦ, καὶ ἔδω-
κεν αὐτοῖς καὶ ἔφαγον, καὶ οὐκ ἀνήγγειλεν αὐτοῖς ὅτι ἀπὸ στόματος τοῦ λέοντος
ἐξεῖλε τὸ μέλι. 10 καὶ κατέβη ὁ πατὴρ αὐτοῦ πρὸς τὴν γυναῖκα, καὶ ἐποίησεν 10
ἐκεῖ Σαμψὼν πότον ἡμέρας ἑπτά, ὅτι οὕτως ποιοῦσιν οἱ νεανίσκοι. 11 καὶ 11
ἐγένετο ὅτε εἶδον αὐτόν, καὶ ἔλαβον τριάκοντα κλητούς, καὶ ἦσαν μετ' αὐ-
τοῦ. 12 καὶ εἶπεν αὐτοῖς Σαμψὼν Πρόβλημα ὑμῖν προβάλλομαι· ἐὰν ἀπαγγέλ- 12
λοντες ἀπαγγείλητε αὐτὸ ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ πότου καὶ εὕρητε, δώσω
ὑμῖν τριάκοντα σινδόνας καὶ τριάκοντα στολὰς ἱματίων· 13 καὶ ἐὰν μὴ δύνησθε 13
ἀπαγγεῖλαί μοι, δώσετε ὑμεῖς ἐμοὶ τριάκοντα ὀθόνια καὶ τριάκοντα ἀλλασσο-
μένας στολὰς ἱματίων. καὶ εἶπαν αὐτῷ Προβάλου τὸ πρόβλημά σου, καὶ ἀκου-
σόμεθα αὐτό. 14 καὶ εἶπεν αὐτοῖς Τί βρωτὸν ἐξῆλθεν ἐκ βιβρώσκοντος, καὶ 14
ἀπὸ ἰσχυροῦ γλυκύ. καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὸ πρόβλημα ἐπὶ τρεῖς ἡμέ-
ρας. 15 καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ εἶπαν τῇ γυναικὶ Σαμψὼν 15
Ἀπάτησον δὴ τὸν ἄνδρα σου καὶ ἀπαγγειλάτω σοι τὸ πρόβλημα, μή ποτε
κατακαύσωμεν σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου ἐν πυρί· ἢ ἐκβιάσαι ἡμᾶς
κεκλήκατε; 16 καὶ ἔκλαυσεν ἡ γυνὴ Σαμψὼν πρὸς αὐτὸν καὶ εἶπεν Πλὴν με- 16
μίσηκάς με καὶ οὐκ ἠγάπησάς με, ὅτι τὸ πρόβλημα ὃ προεβάλου τοῖς υἱοῖς
τοῦ λαοῦ μου, οὐκ ἀπήγγειλάς μοι αὐτό. καὶ εἶπεν αὐτῇ Σαμψὼν Εἰ τῷ πατρί
μου καὶ τῇ μητρί μου οὐκ ἀπήγγελκα, σοὶ ἀπαγγελῶ; 17 καὶ ἔκλαυσε πρὸς 17
αὐτὸν ἐπὶ τὰς ἑπτὰ ἡμέρας ἃς ἦν αὐτοῖς ὁ πότος· καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ καὶ ἀπήγγειλεν αὐτῇ, ὅτι παρηνώχλησεν αὐτῷ· καὶ αὐτὴ ἀπήγ-
γειλε τοῖς υἱοῖς τοῦ λαοῦ αὐτῆς. 18 καὶ εἶπαν αὐτῷ οἱ ἄνδρες τῆς πόλεως ἐν 18
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον Τί γλυκύτερον μέλιτος καὶ
τί ἰσχυρότερον λέοντος; καὶ εἶπεν αὐτοῖς Σαμψὼν Εἰ μὴ ἠροτριάσατε ἐν τῇ
δαμάλει μου, οὐκ ἂν ἔγνωτε τὸ πρόβλημά μου. 19 καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα 19

---

4. οτι ανταποδομα αυτ. εκζητει ... εκεινω αλλοφυλοι εκυριευον των υιων ισρ. 5. κ. εξεκλινεν εις αμπελωνα ... λεοντων ... απαντησιν 6. κ. κατηυθυνεν επ ... διεσπασεν αυτον ωσει διασπασαι ... τη χειρι ... ουδε τη μητρι α επ. 7. κ. ηρεσεν ενωπιον σαμψ. 8. επεστρεψεν ... ιδου συστροφη ... in fine add ην 9. εις το στομα αυτ. κ. επορευθη ... εσθων ... απηγγειλεν ... οτι εκ της εξεως του 10. εποιουν 11. κ. εγεν. εν τω φοβεισθαι αυτους αυτον προσκατεστησαν αυτω ετερους (i. e. εταιρους) τριακοντα, κ. ησ. 12. Προβαλω υμ. προβλημα· και εαν ... απαγγειλ. μοι το προβλημα εν 13. δυνασθητε ... και δωσετε ... σινδονας pro οθονια ... om αλλασσομενας; ... σου pro αυτο 14. αυτοις Εκ του εσθοντος εξηλθεν βρωσις κ. εξ ισχ. εξηλθεν γλυκυ ... ηδυνασθησαν ... επι τρ. ημ. το προβλ. 15. π. εμπυρισωμεν σε ... η πτωχευσαι εκαλεσατε ημας 16. ειπεν αυτω ... om πλην ... ηγαπηκας ... μου, καμοι ουκ απ. αυτο ... ιδου pro ει ... απηγγειλα αυτο και σοι απαγγελω 17. επ αυτον ... ημερας εν αις ην εν αυταις ο ... παρηνωχλησεν αυτον 18. om εν ... πριν δυναι τον ηλιον ... ει μη κατεδαμασατε μου την δαμαλιν, ουκ αν ευρετε 19. κ. κατευθυνεν επ



Digitized by Google

κυρίου, καὶ κατέβη εἰς Ἀσκάλωνα καὶ ἐπάταξεν ἐξ αὐτῶν τριάκοντα ἄνδρας
καὶ ἔλαβε τὰ ἱμάτια αὐτῶν, καὶ ἔδωκε τὰς στολὰς τοῖς ἀπαγγείλασι τὸ πρό-
βλημα· καὶ ὠργίσθη θυμῷ Σαμψών, καὶ ἀνέβη εἰς τὸν οἶκον τοῦ πατρὸς
20 αὐτοῦ. [20] καὶ ἐγένετο ἡ γυνὴ Σαμψὼν ἑνὶ τῶν φίλων αὐτοῦ ὧν ἐφιλίασεν.

## XV.

Καὶ ἐγένετο μεθ' ἡμέρας ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐπεσκέψατο
Σαμψὼν τὴν γυναῖκα αὐτοῦ ἐν ἐρίφῳ αἰγῶν, καὶ εἶπεν Εἰςελεύσομαι πρὸς
τὴν γυναῖκά μου καὶ εἰς τὸ ταμεῖον· καὶ οὐκ ἔδωκεν αὐτὸν ὁ πατὴρ αὐτῆς
2 εἰςελθεῖν. [2] καὶ εἶπεν ὁ πατὴρ αὐτῆς λέγων Εἶπα ὅτι μισῶν ἐμίσησας αὐτήν,
καὶ ἔδωκα αὐτὴν ἑνὶ τῶν ἐκ τῶν φίλων σου· μὴ οὐχὶ ἡ ἀδελφὴ αὐτῆς ἡ
3 νεωτέρα ἀγαθωτέρα ὑπὲρ αὐτήν; ἔστω δή σοι ἀντὶ αὐτῆς. [3] καὶ εἶπεν αὐτοῖς
Σαμψὼν Ἠθῴωμαι καὶ τὸ ἅπαξ ἀπὸ ἀλλοφύλων, ὅτι ποιῶ ἐγὼ μετ' αὐτῶν
4 πονηρίαν. [4] καὶ ἐπορεύθη Σαμψὼν καὶ συνέλαβε τριακοσίας ἀλώπεκας, καὶ
ἔλαβε λαμπάδας, καὶ ἐπέστρεψε κέρκον πρὸς κέρκον, καὶ ἔθηκε λαμπάδα μίαν
5 ἀνὰ μέσον τῶν δύο κέρκων καὶ ἔδησεν. [5] καὶ ἐξέκαυσε πῦρ ἐν ταῖς λαμπάσι,
καὶ ἐξαπέστειλεν ἐν τοῖς στάχυσι τῶν ἀλλοφύλων· καὶ ἐκάησαν ἀπὸ ἅλωνος
6 καὶ ἕως σταχύων ὀρθῶν, καὶ ἕως ἀμπελῶνος καὶ ἐλαίας. [6] καὶ εἶπαν οἱ ἀλ-
λόφυλοι Τίς ἐποίησε ταῦτα; καὶ εἶπαν Σαμψὼν ὁ νυμφίος τοῦ Θαμνί, ὅτι
ἔλαβε τὴν γυναῖκα αὐτοῦ καὶ ἔδωκεν αὐτὴν τῷ ἐκ τῶν φίλων αὐτοῦ· καὶ
ἀνέβησαν οἱ ἀλλόφυλοι καὶ ἐνέπρησαν αὐτὴν καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτῆς
7 ἐν πυρί. [7] καὶ εἶπεν αὐτοῖς Σαμψὼν Ἐὰν ποιήσητε οὕτως ταύτην, ὅτι ἦ μὴν
8 ἐκδικήσω ἐν ὑμῖν, καὶ ἔσχατον κοπάσω. [8] καὶ ἐπάταξεν αὐτοὺς κνήμην ἐπὶ
μηρὸν πληγὴν μεγάλην· καὶ κατέβη καὶ ἐκάθισεν ἐν τρυμαλιᾷ τῆς πέτρας
9 Ἠτάμ. [9] καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι καὶ παρενέβαλον ἐν Ἰούδᾳ, καὶ ἐξερρί-
10 φησαν ἐν Λεχί. [10] καὶ εἶπαν ἀνὴρ Ἰούδα Εἰς τί ἀνέβητε ἐφ' ἡμᾶς; καὶ εἶπον
οἱ ἀλλόφυλοι Δῆσαι τὸν Σαμψὼν ἀνέβημεν, καὶ ποιῆσαι αὐτῷ ὃν τρόπον
11 ἐποίησεν ἡμῖν. [11] καὶ κατέβησαν τριςχίλιοι ἀπὸ Ἰούδα ἄνδρες εἰς τρυμαλιὰν
πέτρας Ἠτάμ, καὶ εἶπαν πρὸς Σαμψὼν Οὐκ οἶδας ὅτι κυριεύουσιν οἱ ἀλλό-
φυλοι ἡμῶν, καὶ τί τοῦτο ἐποίησας ἡμῖν; καὶ εἶπεν αὐτοῖς Σαμψὼν Ὃν τρό-
12 πον ἐποίησάν μοι, οὕτως ἐποίησα αὐτοῖς. [12] καὶ εἶπαν αὐτῷ Δῆσαί σε κατέ-
βημεν τοῦ δοῦναί σε ἐν χειρὶ ἀλλοφύλων. καὶ εἶπεν αὐτοῖς Σαμψὼν Ὀμόσατέ
13 μοι μή ποτε συναντήσητε ἐν ἐμοὶ ὑμεῖς. [13] καὶ εἶπον αὐτῷ λέγοντες Οὐχὶ

---

19. ασκ. και επεσεν (i. e. επαισεν) εκειθεν τριακ. α. και ελ. τας στολας αυτ. κ. εδωκεν τοις ... κ. εθυμωθη οργη 20. κ. συνωκησεν η γ. σ. τω νυμφαγωγω αυτου ος ην εταιρος αυτου XV. 1. αυτου φερων εριφον ... μου εις τον κοιτωνα· και ουκ αφηκεν ... εισελθ. προς αυτην 2. om λεγων ... ειπας οτι μισ. εμισησα ... εδ. αυτ. τω συνεταιρω σου· ουχ ιδου ... κρεισσων αυτης εστιν· ε. σοι δη αντ αυτης 3. ειπ. αυτω σ. Αθωος ειμι το απ. α. των α. ο. εγω ποιω μεθ υμων κακα 4. συνεδησεν pro επεστρεψε ... εν τω μεσω pro κ. εδησεν 5. κ. εξηψεν πυρ ... εξαπ. εις τα δραγματα των α. και ενεπυρισεν τους σταχυας και τα προτεθερισμενα απο στυβης και εως εστωτος κ. ε. αμπ. κ. ελ. 6. σ. ο γαμβρος του θαμναθαιου ... αυτην τω συνεταιρω αυτου ... ενεβησαν ... ενεπυρισαν την οικιαν του πατρ. αυτ. και αυτην και τον πατερα αυτης ε. π. 7. 8. ουτως, ουκ ευδοκησω αλλα την εκδικησιν μου εξ ενος και εκαστου υμων ποιησομαι· κ. επατ. α. γνημην ... κ. κατεβη· και κατεβη παρα τω χειμαρρω εν τω σπηλαιω ηταμ 9. παρενεβαλοσαν επι τον ιουδαν κ. εξεριφησαν εν λευι 10. κ. ειπ. αυτοις πας ανηρ ιουδα Ινα τι ... ειπαν 11. τρεςχιλιαδες ανδρων εξ ιου. επι την οπην της πετρας ... οτι αρχουσιν ημων οι αλλ. και ινα τι ταυτα ... Καθως εποιησαν ημιν ... εποιησαμεν 12. του δησαι σε κ. και παραδουναι σε εις χειρας ... μοι μη αποκτειναι με υμεις· και παραδοτε με αυτοις· μη ποτε απαντησητε υμεις εν εμοι 13. κ. ωμοσαν αυτω λεγοντες ουχι

Digitized by Google

ὅτι ἀλλ' ἢ δεσμῷ δήσομέν σε καὶ παραδώσωμέν σε ἐν χειρὶ αὐτῶν, καὶ θα-
νάτῳ οὐ θανατώσωμέν σε· καὶ ἔδησαν αὐτὸν ἐν δυσὶ καλωδίοις καινοῖς, καὶ
ἀνήνεγκαν αὐτὸν ἀπὸ τῆς πέτρας ἐκείνης. 14 καὶ ἦλθον ἕως Σιαγόνος· καὶ οἱ 14
ἀλλόφυλοι ἠλάλαξαν καὶ ἔδραμον εἰς συνάντησιν αὐτοῦ· καὶ ἥλατο ἐπ' αὐτὸν
πνεῦμα κυρίου, καὶ ἐγενήθη τὰ καλώδια τὰ ἐπὶ βραχίοσιν αὐτοῦ ὡςεὶ στυπ-
πίον ὃ ἐξεκαύθη ἐν πυρί, καὶ ἐτάκησαν δεσμοὶ αὐτοῦ ἀπὸ χειρῶν αὐτοῦ.
15 καὶ εὗρε σιαγόνα ὄνου ἐξερριμμένην, καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ ἔλα- 15
βεν αὐτήν, καὶ ἐπάταξεν ἐν αὐτῇ χιλίους ἄνδρας. 16 καὶ εἶπε Σαμψὼν Ἐν 16
σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς, ὅτι ἐν τῇ σιαγόνι τοῦ ὄνου ἐπάταξα
χιλίους ἄνδρας. 17 καὶ ἐγένετο ὡς ἐπαύσατο λαλῶν, καὶ ἔῤῥιψε τὴν σιαγόνα 17
ἐκ τῆς χειρὸς αὐτοῦ, καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Ἀναίρεσις σιαγόνος. 18 καὶ 18
ἐδίψησε σφόδρα, καὶ ἔκλαυσε πρὸς κύριον καὶ εἶπε Σὺ εὐδόκησας ἐν χειρὶ
δούλου σου τὴν σωτηρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν ἀποθανοῦμαι τῷ δίψει
καὶ ἐμπεσοῦμαι ἐν χειρὶ τῶν ἀπεριτμήτων; 19 καὶ ἔῤῥηξεν ὁ θεὸς τὸν λάκκον 19
τὸν ἐν τῇ σιαγόνι καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδωρ, καὶ ἔπιε, καὶ ἐπέστρεψε τὸ
πνεῦμα αὐτοῦ καὶ ἔζησεν· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Πηγὴ τοῦ ἐπι-
καλουμένου ἥ ἐστιν ἐν σιαγόνι, ἕως τῆς ἡμέρας ταύτης. 20 καὶ ἔκρινε τὸν 20
Ἰσραὴλ ἐν ἡμέραις ἀλλοφύλων εἴκοσι ἔτη.

## XVI.

Καὶ ἐπορεύθη Σαμψὼν εἰς Γάζαν, καὶ εἶδεν ἐκεῖ γυναῖκα πόρνην καὶ
εἰςῆλθε πρὸς αὐτήν. 2 καὶ ἀνηγγέλη τοῖς Γαζαίοις λέγοντες Ἥκει Σαμψὼν 2
ὧδε. καὶ ἐκύκλωσαν καὶ ἐνήδρευσαν ἐπ' αὐτὸν ὅλην τὴν νύκτα ἐν τῇ πύλῃ
τῆς πόλεως, καὶ ἐκώφευσαν ὅλην τὴν νύκτα λέγοντες Ἕως διαφαύσῃ ὁ ὄρ-
θρος καὶ φονεύσωμεν αὐτόν. 3 καὶ ἐκοιμήθη Σαμψὼν ἕως μεσονυκτίου· καὶ 3
ἀνέστη ἐν ἡμίσει τῆς νυκτός, καὶ ἐπελάβετο τῶν θυρῶν τῆς πύλης τῆς πό-
λεως σὺν τοῖς δυσὶ σταθμοῖς, καὶ ἀνεβάσταζεν αὐτὰς σὺν τῷ μοχλῷ καὶ ἔθη-
κεν ἐπὶ ὤμων αὐτοῦ, καὶ ἀνέβη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους τοῦ ἐπὶ προςώπου
τοῦ Χεβρὼν καὶ ἔθηκεν αὐτὰ ἐκεῖ. 4 καὶ ἐγένετο μετὰ τοῦτο καὶ ἠγάπησε 4
γυναῖκα ἐν Ἀλσωρήχ, καὶ ὄνομα αὐτῇ Δαλιδά. 5 καὶ ἀνέβησαν πρὸς αὐτὴν οἱ 5
ἄρχοντες τῶν ἀλλοφύλων καὶ εἶπαν αὐτῇ Ἀπάτησον αὐτόν, καὶ ἴδε ἐν τίνι ἡ
ἰσχὺς αὐτοῦ ἡ μεγάλη καὶ ἐν τίνι δυνησόμεθα αὐτῷ, καὶ δήσομεν αὐτὸν τοῦ
ταπεινῶσαι αὐτόν· καὶ ἡμεῖς δώσομέν σοι ἀνὴρ χιλίους καὶ ἑκατὸν ἀργυρίου.
6 καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψὼν Ἀπάγγειλον δή μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ 6
μεγάλη, καὶ ἐν τίνι δεθήσῃ τοῦ ταπεινωθῆναί σε. 7 καὶ εἶπε πρὸς αὐτὴν 7

---

αλλα δεσμω δησ. σε κ. παραδωσομεν σε εις χειρας α. θανατω δε ου θα-
νατωσομεν σε ... δυο pro εν δυσι ... ανηγαγον α. εκ της ... om εκεινης
14. και αυτος ηλθεν εως ... ηλαλαξαν εις απαντησιν αυτου κ. εδραμον ε.
συναντ. α. και κατηυθυνεν επ ... εγενοντο τα κ. τα εν τοις ... στιππυον
ηνικα αν οσφρανθη πυρος· και διελυθησαν οι δεσμοι απο των βραχιονων
αυτ. 15. ερριμμενην εν τη οδω 16. om τη ... om του 17. εγεν. ηνικα
συνετελεσεν ... απο της 18. εβοησεν pro εκλαυσεν ... Συ εδωκας εν χ.
του ... εν διψει 19. κ. ηνοιξεν ο θ. το τραυμα της σιαγονος ... υδατα ...
αυτου εν αυτω και ανεψυξεν ... το ονομα της πληγης Επικλητος σιαγονος
εως 20. ετη ειχοσι XVI. 1. εκειθεν εις γαζαν ... ιδεν 2. απηγγελη
... ενταυθα pro ωδε ... om επ ... επι της πυλης ... Εως φωτος πρωι
μεινωμεν κ. αποκτεινωμεν αυτ. 3. ανεστη περι το μεσονυκτιον ... πολεως
και των δυο σταθμων κ. ανεβαστασεν ... επεθηκεν επι τω ωμω α. κ. ανη-
νεγκεν αυτα επι ... ορους ο εστιν επι προςωπον χεβρ. 4. μετα ταυτα ...
επι του χειμαρρου σωρηχ 5. οι σατραπαι των ... ειπ. προς αυτην ... αυ-
του εστιν η μεγ. ... δυνησ. προς αυτον ... ωςτε ταπεινωσαι 6. αναγγει-
λον μοι

Digitized by Google

Σαμψών Ἐὰν δήσωσί με ἐν ἑπτὰ νευραῖς ὑγραῖς μὴ διεφθαρμέναις, καὶ
8 ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων. [8] καὶ ἀνήνεγκαν αὐτῇ οἱ ἄρ-
χοντες τῶν ἀλλοφύλων ἑπτὰ νευρὰς ὑγρὰς μὴ διεφθαρμένας, καὶ ἔδησεν αὐτὸν
9 ἐν αὐταῖς· [9] καὶ τὸ ἔνεδρον αὐτῇ ἐκάθητο ἐν τῷ ταμείῳ, καὶ εἶπεν αὐτῷ Ἀλ-
λόφυλοι ἐπὶ σέ, Σαμψών· καὶ διέσπασε τὰς νευρὰς ὡς εἴ τις ἀποσπάσοι
στρέμμα στυππίου ἐν τῷ ὀσφρανθῆναι αὐτὸ πυρός, καὶ οὐκ ἐγνώσθη ἡ ἰσχὺς
10 αὐτοῦ. [10] καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψών Ἰδοὺ ἐπλάνησάς με καὶ ἐλάλησας
11 πρὸς μὲ ψευδῆ· νῦν οὖν ἀνάγγειλόν μοι ἐν τίνι δεθήσῃ. [11] καὶ εἶπε πρὸς αὐ-
τήν Ἐὰν δεσμεύοντες δήσωσί με ἐν καλωδίοις καινοῖς οἷς οὐκ ἐγένετο ἐν
12 αὐτοῖς ἔργον, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων. [12] καὶ ἔλαβε
Δαλιδὰ καλώδια καινὰ καὶ ἔδησεν αὐτὸν ἐν αὐτοῖς, καὶ τὰ ἔνεδρα ἐξῆλθεν
ἐκ τοῦ ταμείου, καὶ εἶπεν Ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών· καὶ διέσπασεν αὐτὰ
13 ἀπὸ βραχιόνων αὐτοῦ ὡσεὶ σπαρτίον. [13] καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψών Ἰδοὺ
ἐπλάνησάς με καὶ ἐλάλησας πρὸς μὲ ψευδῆ· ἀνάγγειλον δή μοι ἐν τίνι δε-
θήσῃ. καὶ εἶπε πρὸς αὐτήν Ἐὰν ὑφάνῃς τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς μου
σὺν τῷ διάσματι καὶ ἐγκρούσῃς τῷ πασσάλῳ εἰς τὸν τοῖχον, καὶ ἔσομαι ὡς
14 εἷς τῶν ἀνθρώπων ἀσθενής. [14] καὶ ἐγένετο ἐν τῷ κοιμᾶσθαι αὐτὸν καὶ ἔλαβε
Δαλιδὰ τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ καὶ ὕφανεν ἐν τῷ διάσματι καὶ
ἔπηξε τῷ πασσάλῳ εἰς τὸν τοῖχον, καὶ εἶπεν Ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών·
καὶ ἐξυπνίσθη ἀπὸ τοῦ ὕπνου, καὶ ἐξῆρε τὸν πάσσαλον τοῦ ὑφάσματος ἐκ
15 τοῦ τοίχου. [15] καὶ εἶπε πρὸς Σαμψὼν Δαλιδά Πῶς λέγεις Ἠγάπηκά σε, καὶ
ἡ καρδία σου οὐκ ἔστι μετ' ἐμοῦ; τοῦτο τρίτον ἐπλάνησάς με, καὶ οὐκ ἀπήγ-
16 γειλάς μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ μεγάλη. [16] καὶ ἐγένετο ὅτε ἐξέθλιψεν αὐτὸν
ἐν λόγοις αὐτῆς πάσας τὰς ἡμέρας καὶ ἐστενοχώρησεν αὐτόν, καὶ ὠλιγοψύ-
17 χησεν ἕως τοῦ ἀποθανεῖν. [17] καὶ ἀνήγγειλεν αὐτῇ πᾶσαν τὴν καρδίαν αὐτοῦ
καὶ εἶπεν αὐτῇ Σίδηρος οὐκ ἀνέβη ἐπὶ τὴν κεφαλήν μου, ὅτι ἅγιος θεοῦ ἐγώ
εἰμι ἀπὸ κοιλίας μητρός μου· ἐὰν οὖν ξυρήσωμαι, ἀποστήσεται ἀπ' ἐμοῦ ἡ
18 ἰσχύς μου, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς πάντες οἱ ἄνθρωποι. [18] καὶ εἶδε Δα-
λιδὰ ὅτι ἀπήγγειλεν αὐτῇ πᾶσαν τὴν καρδίαν αὐτοῦ, καὶ ἀπέστειλε καὶ ἐκά-
λεσε τοὺς ἄρχοντας τῶν ἀλλοφύλων λέγουσα Ἀνάβητε ἔτι τὸ ἅπαξ τοῦτο, ὅτι
ἀπήγγειλέ μοι πᾶσαν τὴν καρδίαν αὐτοῦ· καὶ ἀνέβησαν πρὸς αὐτὴν οἱ ἄρ-
19 χοντες τῶν ἀλλοφύλων, καὶ ἀνήνεγκαν τὸ ἀργύριον ἐν χερσὶν αὐτῶν. [19] καὶ

7. μη ηρημωμεναις 8. οι σατραπαι των ... μη ηρημωμενας 9. ενεδρ. αυτου εκαθ. αυτου εν ... ειπ. προς αυτον ... διερρηξεν τ. ν. ον τροπον διασπαται κλωσμα του αποτιναγματος εν τω 10. ιδου παρελογισω με ... νυν αναγγ. δη μοι 11. εαν δεσμω δησουσιν με εν επτα καλ. εν οις ουκ εγενηθη εργον 12. ελαβεν αυτω (... om καλωδια) ... post εν αυτοις pergit: και ειπεν προς αυτον Οι αλλ. επι σε σ.· και το ενεδρον εκαθητο εν τω ταμιειω· και εσπασεν α. α. των βρ. α. ως ραμμα 13. σαμψων Ως νυν παρελογισω με ... μετα του διασματος ... εν τω πασσαλω ... ασθ. ως εις τ. ανθρ. 14. κ. εκοιμισεν αυτον δαλιδα κ. εδιασατο τους επτα βοστρυχους της κ. α. μετα της εκστασεως και κατεκρουσεν εν τοις πασσαλοις εις τον ... ειπ. προς αυτον Οι αλλοφ. ... κ. ηγερθη εκ του υ. α. κ. εξεσπασεν τους πασσαλους συν τω υφασματι εκ τ. τοιχ. και το διασμα· και ουκ εγνωσθη η ισχυς αυτου 15. αυτον pro σαμψων ... Π. ερεις (... om ουκ) ... τουτο το πρ. παρελογισω με 16. οτε κατειργασατο αυτον τοις λογ. αυτ. ολην την νυκτα· κ. παρηνωχλησεν αυτον· κ. ολιγοψυχησεν εως εις θανατον 17. απηγγειλεν α. παντα τα απο καρδιας αυτου ... Ξυρον ουκ αναβησεται επι την κ. μ. οτι ναζειραιος θεου ... εκ κοιλιας ... και εαν ξυρησομαι ... εσομαι κατα παντας τους ανθρ. 18. ιδεν ... οτι ανηγγειλεν παντα τα απο καρδιας αυτου κ. απεστ. παντας τους σατραπας των ... om ετι ... om τουτο ... ανηγγειλεν ... κακιαν pro καρδιαν ... πρ. αυτην πασαι αι σατραπιαι των ... ηνεγκαν ... εν ταις χ. α.

Digitized by Google

ἐκοίμισε Δαλιδὰ τὸν Σαμψὼν ἐπὶ τὰ γόνατα αὐτῆς, καὶ ἐκάλεσεν ἄνδρα καὶ
ἐξύρησε τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ· καὶ ἤρξατο ταπεινῶσαι αὐτόν,
καὶ ἀπέστη ἡ ἰσχὺς αὐτοῦ ἀπ᾽ αὐτοῦ. 20 καὶ εἶπε Δαλιδά Ἀλλόφυλοι ἐπὶ σέ, 20
Σαμψών. καὶ ἐξυπνίσθη ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν Ἐξελεύσομαι ὡς ἅπαξ
καὶ ἅπαξ, καὶ ἐκτιναχθήσομαι· καὶ αὐτὸς οὐκ ἔγνω ὅτι ὁ κύριος ἀπέστη
ἀπάνωθεν αὐτοῦ. 21 καὶ ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι καὶ ἐξέκοψαν τοὺς 21
ὀφθαλμοὺς αὐτοῦ, καὶ κατήνεγκαν αὐτὸν εἰς Γάζαν καὶ ἐπέδησαν αὐτὸν ἐν
πέδαις χαλκείαις· καὶ ἦν ἀλήθων ἐν οἴκῳ τοῦ δεσμωτηρίου. 22 καὶ ἤρξατο 22
θρὶξ τῆς κεφαλῆς αὐτοῦ βλαστάνειν καθὼς ἐξυρήσατο. 23 καὶ οἱ ἄρχοντες τῶν 23
ἀλλοφύλων συνήχθησαν θυσιάσαι θυσίασμα μέγα τῷ Δαγὼν θεῷ αὐτῶν καὶ
εὐφρανθῆναι, καὶ εἶπαν Ἔδωκεν ὁ θεὸς ἐν χειρὶ ἡμῶν τὸν Σαμψὼν τὸν
ἐχθρὸν ἡμῶν. 24 καὶ εἶδον αὐτὸν ὁ λαός, καὶ ὕμνησαν τὸν θεὸν αὐτῶν ὅτι 24
παρέδωκεν ὁ θεὸς ἡμῶν τὸν ἐχθρὸν ἡμῶν ἐν χειρὶ ἡμῶν, τὸν ἐρημοῦντα τὴν
γῆν ἡμῶν καὶ ὃς ἐπλήθυνε τοὺς τραυματίας ἡμῶν. 25 καὶ ὅτε ἠγαθύνθη ἡ 25
καρδία αὐτῶν, καὶ εἶπαν Καλέσατε τὸν Σαμψὼν ἐξ οἴκου φυλακῆς, καὶ παι-
ξάτω ἐνώπιον ἡμῶν. καὶ ἐκάλεσαν τὸν Σαμψὼν ἐξ οἴκου δεσμωτηρίου, καὶ
ἔπαιζεν ἐνώπιον αὐτῶν· καὶ ἐρράπιζον αὐτόν, καὶ ἔστησαν αὐτὸν ἀνὰ μέσον
τῶν κιόνων. 26 καὶ εἶπε Σαμψὼν πρὸς τὸν νεανίαν τὸν κρατοῦντα τὴν χεῖρα 26
αὐτοῦ Ἄφες με καὶ ψηλαφήσω τοὺς κίονας ἐφ᾽ οἷς ὁ οἶκος ἐπ᾽ αὐτούς, καὶ
ἐπιστηριχθήσομαι ἐπ᾽ αὐτούς. 27 καὶ ὁ οἶκος πλήρης τῶν ἀνδρῶν καὶ τῶν γυ- 27
ναικῶν, καὶ ἐκεῖ πάντες οἱ ἄρχοντες τῶν ἀλλοφύλων, καὶ ἐπὶ τὸ δῶμα ὡσεὶ
τρισχίλιοι ἄνδρες καὶ γυναῖκες οἱ θεωροῦντες ἐν παιγνίαις Σαμψών. 28 καὶ 28
ἔκλαυσε Σαμψὼν πρὸς κύριον καὶ εἶπεν Ἀδωναῒε κύριε, μνήσθητι δή μου
καὶ ἐνίσχυσόν με ἔτι τὸ ἅπαξ τοῦτο, θεέ, καὶ ἀνταποδώσω ἀνταπόδοσιν μίαν
περὶ τῶν δύο ὀφθαλμῶν μου τοῖς ἀλλοφύλοις. 29 καὶ περιέλαβε Σαμψὼν τοὺς 29
δύο κίονας τοῦ οἴκου ἐφ᾽ οὓς ὁ οἶκος εἱστήκει, καὶ ἐπεστηρίχθη ἐπ᾽ αὐτούς,
καὶ ἐκράτησεν ἕνα τῇ δεξιᾷ αὐτοῦ καὶ ἕνα τῇ ἀριστερᾷ αὐτοῦ. 30 καὶ εἶπε 30
Σαμψὼν Ἀποθανέτω ψυχή μου μετὰ τῶν ἀλλοφύλων· καὶ ἐβάσταξεν ἐν ἰσχύϊ,
καὶ ἔπεσεν ὁ οἶκος ἐπὶ τοὺς ἄρχοντας καὶ ἐπὶ πάντα τὸν λαὸν τὸν ἐν αὐτῷ·
καὶ ἦσαν οἱ τεθνηκότες οὓς ἐθανάτωσε Σαμψὼν ἐν τῷ θανάτῳ αὐτοῦ πλείους
ἢ οὓς ἐθανάτωσεν ἐν τῇ ζωῇ αὐτοῦ. 31 καὶ κατέβησαν οἱ ἀδελφοὶ αὐτοῦ καὶ 31
ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ ἔλαβον αὐτὸν καὶ ἀνέβησαν· καὶ ἔθαψαν αὐ-

---

19. κ. εκοιμ. αυτον ανα μεσον των γονατων α. κ. εκ. τον κουρεα ... τους επτα βοστρυχους της ... ηρξ. ταπεινουσθαι και 20. ειπ. αυτω δ. Οι ... εξηγερθη ... εξελευσ. και ποιησω καθως αει και αποτιναξομαι ... οτι κυριος απεστη απ αυτου 21. επελαβοντο αυτου ... εξωρυξαν ... κατηγαγον ... εδησαν ... χαλκαις ... οικω της φυλακης 22. η θριξ ... ανατειλαι ηνικα εξυρηθη 23. οι σατραπαι ... του θυσαι θυσιαν μεγαλην δαγων τω ... του ευφρανθ. ... παρεδωκεν ο θ. ημων ε. χ. ημ. σαμψ. 24. ιδεν ... κ. ηνεσαν τους θεους αυτ. και ειπαν Παρεδωκεν ... και τον εξερημουντα τ. γ. ημ. οστις επληθ. 25. κ. εγενετο οτε ... της φυλακης pro δεσμωτηριου ... και ενεπαιζον αυτω ... om κ. ερραπ. αυτον ... α. μ. των δυο στυλων 26. προς το παιδαριον τον χειραγωγουντα αυτον Επαναπαυσον με δη· και ποιησον ψηλαφησαι με επι τους στυλους· εφ ων ο οικος επεστηρικτο επ αυτων· και επιστηρισον με επ αυτους· ο δε παις εποιησεν ουτως 27. ο δε οικος ην πληρ. ανδρ. κ. γυναικων ... οι σατραπαι ... επι του δωματος ... γυναικες εμβλεποντες εμπαιζομενον τον σαμψ. 28. κ. εβοησεν σαμψων ... ειπεν Κυριε κυριε μνησθ. μου κ. εν. με δη πλην ετι το απ. τουτο· και εκδικησω εκδικησιαν αντι των ... μου εκ των αλλ. 39. τ. δυο στυλους τους μεσους εφ ων ο οικ. επεστηρικτο επ αυτων και επεστηρισατο επ αυτοις· ενα εν τη δεξ. α. κ. ενα εν τη αρ. αυτου 30. η ψυχη μου ... κ. εκλινεν εν ... επι τους σατραπας ... κ. εγενοντο οι ... πλειους υπερ ους 31. κ. πας ο οικος

Digitized by Google

τὸν ἀνὰ μέσον Σαραὰ καὶ ἀνὰ μέσον Ἐσθαὸλ ἐν τῷ τάφῳ Μανωὲ τοῦ πατρὸς αὐτοῦ. καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι ἔτη.

## XVII.

2 Καὶ ἐγένετο ἀνὴρ ἀπὸ ὄρους Ἐφραΐμ, καὶ ὄνομα αὐτῷ Μιχαίας. [2] καὶ
εἶπε τῇ μητρὶ αὐτοῦ Οἱ χίλιοι καὶ ἑκατὸν οὓς ἔλαβες ἀργυρίου σεαυτῇ, καί
με ἠράσω καὶ προςεῖπας ἐν ὠσί μου, ἰδοὺ τὸ ἀργύριον παρ' ἐμοί, ἐγὼ ἔλα-
3 βον αὐτό. καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ Εὐλογητὸς ὁ υἱός μου τῷ κυρίῳ. [3] καὶ
ἀπέδωκε τοὺς χιλίους καὶ ἑκατὸν τοῦ ἀργυρίου τῇ μητρὶ αὐτοῦ· καὶ εἶπεν ἡ
μήτηρ αὐτοῦ Ἁγιάζουσα ἡγίασα τὸ ἀργύριον τῷ κυρίῳ ἐκ τῆς χειρός μου τῷ
4 υἱῷ μου τοῦ ποιῆσαι γλυπτὸν καὶ χωνευτόν, καὶ νῦν ἀποδώσω αὐτό σοι. [4] καὶ
ἀπέδωκε τὸ ἀργύριον τῇ μητρὶ αὐτοῦ· καὶ ἔλαβεν ἡ μήτηρ αὐτοῦ διακοσίους
ἀργυρίου καὶ ἔδωκεν αὐτὸ ἀργυροκόπῳ, καὶ ἐποίησεν αὐτὸ γλυπτὸν καὶ χω-
5 νευτόν· καὶ ἐγενήθη ἐν οἴκῳ Μιχαία. [5] καὶ ὁ οἶκος Μιχαία αὐτῷ οἶκος θεοῦ·
καὶ ἐποίησεν Ἐφὼδ καὶ Θεραφίν, καὶ ἐπλήρωσε τὴν χεῖρα ἀπὸ ἑνὸς υἱῶν
6 αὐτοῦ, καὶ ἐγένετο αὐτῷ εἰς ἱερέα. [6] ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βα-
7 σιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει. [7] καὶ ἐγενήθη
νεανίας ἐκ Βηθλεὲμ δήμου Ἰούδα, καὶ αὐτὸς Λευίτης, καὶ οὗτος παρῴκει
8 ἐκεῖ. [8] καὶ ἐπορεύθη ὁ ἀνὴρ ἀπὸ Βηθλεὲμ τῆς πόλεως Ἰούδα παροικῆσαι ἐν
ᾧ ἐὰν εὕρῃ τόπῳ, καὶ ἦλθεν ἕως ὄρους Ἐφραΐμ καὶ ἕως οἴκου Μιχαία τοῦ
9 ποιῆσαι ὁδὸν αὐτοῦ. [9] καὶ εἶπεν αὐτῷ Μιχαίας Πόθεν ἔρχῃ; καὶ εἶπε πρὸς
αὐτόν Λευίτης εἰμὶ ἐκ Βηθλεὲμ Ἰούδα, καὶ ἐγὼ πορεύομαι παροικῆσαι ἐν ᾧ
10 ἐὰν εὕρω τόπῳ. [10] καὶ εἶπεν αὐτῷ Μιχαίας Κάθου μετ' ἐμοῦ, καὶ γίνου μοι
εἰς πατέρα καὶ εἰς ἱερέα, καὶ ἐγὼ δώσω σοι δέκα ἀργυρίου εἰς ἡμέραν καὶ
11 στολὴν ἱματίων καὶ τὰ πρὸς ζωήν σου. [11] καὶ ἐπορεύθη ὁ Λευίτης καὶ ἤρ-
ξατο παροικεῖν παρὰ τῷ ἀνδρί· καὶ ἐγενήθη ὁ νεανίας αὐτῷ ὡς εἷς ἀπὸ υἱῶν
12 αὐτοῦ. [12] καὶ ἐπλήρωσε Μιχαίας τὴν χεῖρα τοῦ Λευίτου, καὶ ἐγένετο αὐτῷ εἰς
13 ἱερέα· καὶ ἐγένετο ἐν τῷ οἴκῳ Μιχαία. [13] καὶ εἶπε Μιχαίας Νῦν ἔγνων ὅτι
ἀγαθυνεῖ μοι κύριος, ὅτι ἐγένετό μοι ὁ Λευίτης εἰς ἱερέα.

## XVIII.

Ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ· καὶ ἐν ταῖς ἡμέ-
ραις ἐκείναις ἡ φυλὴ Δὰν ἐζήτει ἑαυτῇ κληρονομίαν κατοικῆσαι, ὅτι οὐκ ἐνέ-
πεσεν αὐτῇ ἕως τῆς ἡμέρας ἐκείνης ἐν μέσῳ φυλῶν υἱῶν Ἰσραὴλ κληρονομία.
2 [2] καὶ ἀπέστειλαν οἱ υἱοὶ Δὰν ἀπὸ δήμων αὐτῶν πέντε ἄνδρας υἱοὺς δυνάμεως

---

XVII. 1. εγενηθη α. εξ ... μιχα 2. Χιλιους κ. ε. αργυριου τους λημφθεντας σοι· και εξωρκισας κ. ειπας ε. τοις ... ευλογημενος 3. Αγιασμω ηγιασα ... χειρος μου κατα μονας του ποιησαι ... om κ. χωνευτον ... κ. νυν επιστρεψω αυτα σοι· και αποδωσω σοι αυτο 4. του αργυριου ... αυτο τω χωνευτη και ... εγενετο εν τω οικω μειχα 5. κ. ο ανηρ μειχα ... εφουδ κ. θεραπειν ... ενεπλησεν τ. χειρα ενος των ... εγενηθη ... om αυτω 6. om δε ... το αγαθον εν 7. εγενετο παιδαριον εκ ... ιουδα· εκ της συγγενειας ιουδα ... αυτος pro ουτος 8. ανηρ εκ της πολ. ιουδα βηθλ. παροικειν ου εαν ευρη· και εγενηθη εις ορος εφρ. εως οικου μειχα ... την οδ. αυτ. 9. μειχα ... λευ. εγω ειμι εκ βεθλεεμ δημου ιουδα· εκ της συγγενειας ιουδα ... παροικειν ου εαν ευρω. 10. μειχα ... γενου ... εις ημερας κ. ζευγος ιματιων και προς το ζην σου 11. εγενηθη αυτω το παιδαριον ως εις των 12. ενεπλησεν μειχα ... εγενηθη αυτω το παιδαριον εις ιερεα· κ. ην εν τ. ο. μειχα 13. μειχα ... οτι ηγαθοποιησεν με ... εγενηθη
XVIII. 1. εζητει η φυλη του δαν ... του κατοικειν ... εως των ημερων εκεινων εμμεσω ... om υιων 2. εξαπεστειλαν οι υι. δ. εκ των συγγενειων αυτων π. α. απο μερους αυτων υιους δυν.

Digitized by Google

ἀπὸ Σαραὰ καὶ ἀπὸ Ἐσθαὸλ τοῦ κατασκέψασθαι τὴν γῆν καὶ ἐξιχνιάσαι
αὐτήν, καὶ εἶπαν πρὸς αὐτούς Πορεύεσθε καὶ ἐξιχνιάσατε τὴν γῆν. καὶ ἦλθον
ἕως ὄρους Ἐφραῖμ ἕως οἴκου Μιχαία· καὶ ηὐλίσθησαν αὐτοὶ ἐκεῖ [3] ἐν οἴκῳ Μι- 3
χαία. καὶ αὐτοὶ ἐπέγνωσαν τὴν φωνὴν τοῦ νεανίσκου τοῦ Λευίτου, καὶ ἐξέ-
κλιναν ἐκεῖ καὶ εἶπαν αὐτῷ Τίς ἤνεγκέ σε ὧδε; καὶ σὺ τί ποιεῖς ἐν τῷ τόπῳ
τούτῳ; καὶ τί σοι ὧδε; [4] καὶ εἶπε πρὸς αὐτούς Οὕτω καὶ οὕτως ἐποίησέ μοι 4
Μιχαίας καὶ ἐμισθώσατό με, καὶ ἐγενόμην αὐτῷ εἰς ἱερέα. [5] καὶ εἶπαν αὐτῷ 5
Ἐπερώτησον δὴ ἐν τῷ θεῷ, καὶ γνωσόμεθα εἰ εὐοδωθήσεται ἡ ὁδὸς ἡμῶν,
ἐν ᾗ ἡμεῖς πορευόμεθα ἐν αὐτῇ. [6] καὶ εἶπεν αὐτοῖς ὁ ἱερεύς Πορεύεσθε ἐν εἰ- 6
ρήνῃ, ἐνώπιον κυρίου ἡ ὁδὸς ὑμῶν ἐν ᾗ πορεύεσθε ἐν αὐτῇ. [7] καὶ ἐπορεύθη- 7
σαν οἱ πέντε ἄνδρες καὶ ἦλθον εἰς Λαισά· καὶ εἶδον τὸν λαὸν τὸν ἐν μέσῳ
αὐτῆς καθήμενον ἐπ' ἐλπίδι ὡς κρίσις Σιδωνίων ἡσυχάζουσα, καὶ οὐκ ἔστι
διατρέπων ἢ καταισχύνων λόγον ἐν τῇ γῇ, κληρονόμος ἐκπιέζων θησαυρούς,
καὶ μακράν εἰσι Σιδωνίων, καὶ λόγον οὐκ ἔχουσι πρὸς ἄνθρωπον. [8] καὶ ἦλθον 8
οἱ πέντε ἄνδρες πρὸς τοὺς ἀδελφοὺς αὐτῶν εἰς Σαραὰ καὶ Ἐσθαόλ, καὶ εἶπον
τοῖς ἀδελφοῖς αὐτῶν Τί ὑμεῖς κάθησθε; [9] καὶ εἶπαν Ἀνάστητε καὶ ἀναβῶμεν 9
ἐπ' αὐτούς, ὅτι εἴδομεν τὴν γῆν, καὶ ἰδοὺ ἀγαθὴ σφόδρα, καὶ ὑμεῖς ἡσυχά-
ζετε· μὴ ὀκνήσητε τοῦ πορευθῆναι καὶ εἰςελθεῖν τοῦ κληρονομῆσαι τὴν γῆν.
[10] καὶ ἡνίκα ἐὰν ἔλθητε, εἰςελεύσεσθε πρὸς λαὸν ἐπ' ἐλπίδι, καὶ ἡ γῆ πλα- 10
τεῖα, ὅτι ἔδωκεν αὐτὴν ὁ θεὸς ἐν χειρὶ ὑμῶν, τόπος ὅπου οὐκ ἔστιν ἐκεῖ
ὑστέρημα παντὸς ῥήματος τῶν ἐν τῇ γῇ. [11] καὶ ἀπῆραν ἐκεῖθεν ἀπὸ δήμων 11
τοῦ Δάν, ἀπὸ Σαραὰ καὶ ἀπὸ Ἐσθαόλ, ἑξακόσιοι ἄνδρες ἐζωσμένοι σκεύη
παρατάξεως. [12] καὶ ἀνέβησαν καὶ παρενέβαλον ἐν Καριαθιαρὶμ ἐν Ἰούδᾳ· διὰ 12
τοῦτο ἐκλήθη ἐν ἐκείνῳ τῷ τόπῳ Παρεμβολὴ Δάν, ἕως τῆς ἡμέρας ταύτης·
ἰδοὺ ὀπίσω Καριαθιαρίμ. [13] καὶ παρῆλθον ἐκεῖθεν ὄρος Ἐφραῖμ καὶ ἦλθον 13
ἕως οἴκου Μιχαία. [14] καὶ ἀπεκρίθησαν οἱ πέντε ἄνδρες οἱ πορευόμενοι κατα- 14
σκέψασθαι τὴν γῆν Λαισὰ καὶ εἶπαν πρὸς τοὺς ἀδελφοὺς Ἔγνωτε ὅτι ἐστὶν
ἐν τῷ οἴκῳ τούτῳ Ἐφὼδ καὶ Θεραφὶν καὶ γλυπτὸν καὶ χωνευτόν, καὶ νῦν
γνῶτε ὅ τι ποιήσετε. [15] καὶ ἐξέκλιναν ἐκεῖ καὶ εἰςῆλθον εἰς τὸν οἶκον τοῦ 15
νεανίσκου τοῦ Λευίτου εἰς τὸν οἶκον Μιχαία, καὶ ἠρώτησαν αὐτὸν εἰς εἰρήνην.

---

2. εξ αραα και εσθαολ ... κ. εξεραυνησατε τ. γην· κ. παρεγενοντο εις ορος ... μειχα· κ. κατεπαυσαν εκ. 3. αυτων οντων παρα τω οικω μειχα ... του παιδαριου του νεωτερου του λευιτου ... ηγαγεν ... και τι ποιεις ενταυθα· και τι σοι εστιν ωδε 4. Ουτως ... μειχα ... εγενηθην 5. ει κατευοδοι ... ην ημ. πορ. επ-αυτης 6. Πορ. και εις ειρηνην ... καθ ην υμεις πορ. εν αυτη 7. κ. παρεγενοντο ε. λ. και ιδον τ. λ. τον κατοικουντα εν αυτη· καθ. εν ελπιδι κατα την συγκρισιν των σιδ. ησυχαζοντας εν ελπιδι· και μη δυναμενους λαλησαι ρημα εν τη γη· οτι μακραν εισιν απο σιδωνος· κ. λογος ουκ ην αυτοις μετα συριας 8. κ. παρεγενοντο οι ... κ. ελεγον αυτοις οι αδελφοι αυτων 9. επ αυτην· οτι εισηλθαμεν και ενεπεριεπατησαμεν εν τη γη εως σιγησαι· και ειδομεν τον λαον τον κατοικουντα εν αυτη εν ελπιδι κατα συγκριμα των σιδωνιων· και μακραν απεχοντες εκ σιδωνος· και λογος ουκ ην αυτοις μετα συριας· αλλα αναστητε και αναβωμεν επ αυτους οτι ευρηκαμεν την γην και ιδου αγ. σφ. κ. υμ. σιωπατε· μη ο. τ. πορ. του ελθειν και κατακληρονομησαι τ. γ. 10. om και ... ηνικα αν εισελθητε, ηξετε πρ. λ. πεποιθοτα κ. η γη ευρυχωρος ο. παρεδωκεν ... ου pro οπου ... ρηματος οσα εν 11. εκειθεν εκ συγγενειας του δαν εκ σ. και εσθ. ... περιεζωσμενοι σκ. πολεμικα 12. παρενεβαλοσαν εν καριαθιαρειμ ... om εν ... τω τοπ. εκεινω ... κατοπισθεν καριαθιαρειμ 13. om και ... παρηλθαν εκειθ. και ηλθαν εως του ορους εφραιμ ... μειχα 14. αδελφους αυτων Ει οιδατε οτι εν τοις οικοις τουτοις εφουδ κ. θεραφειν ... τι pro ο τι 15. εισηλθοσαν ... παιδαριου pro νεανισκου ... μειχα, κ. ησπασαντο αυτον (omisso εις ειρ.)

Digitized by Google

16 [16]καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ ἀνεζωσμένοι τὰ σκεύη τῆς παρατάξεως αὐτῶν
17 ἑστῶτες παρὰ θύρας τῆς πύλης, οἱ ἐκ τῶν υἱῶν Δάν. [17]καὶ ἀνέβησαν οἱ πέντε
18 ἄνδρες οἱ πορευθέντες κατασκέψασθαι τὴν γῆν, [18]καὶ εἰσῆλθον ἐκεῖ εἰς οἶκον
Μιχαία, καὶ ὁ ἱερεὺς ἑστώς· καὶ ἔλαβον τὸ γλυπτὸν καὶ τὸ Ἐφὼδ καὶ τὸ
Θεραφὶν καὶ τὸ χωνευτόν. καὶ εἶπε πρὸς αὐτοὺς ὁ ἱερεύς Τί ὑμεῖς ποιεῖτε;
19 [19]καὶ εἶπαν αὐτῷ Κώφευσον, ἐπίθες τὴν χεῖρά σου ἐπὶ τὸ στόμα σου, καὶ
δεῦρο μεθ' ἡμῶν καὶ γένου ἡμῖν εἰς πατέρα καὶ εἰς ἱερέα· μὴ ἀγαθὸν εἶναί
σε ἱερέα οἴκου ἀνδρὸς ἑνὸς ἢ γενέσθαι σε ἱερέα φυλῆς καὶ οἴκου εἰς δῆμον
20 Ἰσραήλ; [20]καὶ ἠγαθύνθη ἡ καρδία τοῦ ἱερέως, καὶ ἔλαβε τὸ Ἐφὼδ καὶ τὸ
21 Θεραφὶν καὶ τὸ γλυπτὸν καὶ τὸ χωνευτόν, καὶ ἦλθεν ἐν μέσῳ τοῦ λαοῦ. [21]καὶ
ἐπέστρεψαν καὶ ἀπῆλθον, καὶ ἔθηκαν τὰ τέκνα καὶ τὴν κτῆσιν καὶ τὸ βάρος
22 ἔμπροσθεν αὐτῶν. [22]αὐτοὶ ἐμάκρυναν ἀπὸ οἴκου Μιχαία, καὶ ἰδοὺ Μιχαίας
καὶ οἱ ἄνδρες οἱ ἐν ταῖς οἰκίαις ταῖς μετὰ οἴκου Μιχαία ἐβόησαν καὶ κατε-
23 λάβοντο τοὺς υἱοὺς Δάν. [23]καὶ ἐπέστρεψαν οἱ υἱοὶ Δὰν τὸ πρόσωπον αὐτῶν
24 καὶ εἶπαν τῷ Μιχαίᾳ Τί ἐστι σοι ὅτι ἐβόησας; [24]καὶ εἶπε Μιχαίας Ὅτι τὸ
γλυπτόν μου ὃ ἐποίησα ἐλάβετε καὶ τὸν ἱερέα, καὶ ἐπορεύθητε· καὶ τί μοι
25 ἔτι; καὶ τί τοῦτο λέγετε πρὸς μέ Τί κράζεις; [25]καὶ εἶπαν πρὸς αὐτὸν οἱ υἱοὶ
Δὰν Μὴ ἀκουσθήτω δὴ φωνή σου μεθ' ἡμῶν, μή ποτε συναντήσωσιν ἡμῖν
ἄνδρες πικροὶ ψυχῇ, καὶ προσθήσουσι ψυχὴν σοῦ καὶ τὴν ψυχὴν τοῦ οἴκου
26 σου. [26]καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν εἰς ὁδὸν αὐτῶν· καὶ εἶδε Μιχαίας ὅτι
27 δυνατώτεροί εἰσιν ὑπὲρ αὐτόν, καὶ ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ. [27]καὶ οἱ
υἱοὶ Δὰν ἔλαβον ὃ ἐποίησε Μιχαίας καὶ τὸν ἱερέα ὃς ἦν αὐτῷ, καὶ ἦλθον ἐπὶ
Λαισὰ ἐπὶ λαὸν ἡσυχάζοντα καὶ πεποιθότα ἐπ' ἐλπίδι· καὶ ἐπάταξαν αὐτοὺς
28 ἐν στόματι ῥομφαίας, καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί· [28]καὶ οὐκ ἦν ὁ ῥυό-
μενος, ὅτι μακράν ἐστιν ἀπὸ Σιδωνίων, καὶ λόγος οὐκ ἔστιν αὐτοῖς μετὰ ἀν-
θρώπου, καὶ αὐτὴ ἐν τῇ κοιλάδι τοῦ οἴκου Ῥαάβ. καὶ ᾠκοδόμησαν τὴν πόλιν
29 καὶ κατεσκήνωσαν ἐν αὐτῇ, [29]καὶ ἐκάλεσαν τὸ ὄνομα τῆς πόλεως Δάν, ἐν
ὀνόματι Δὰν πατρὸς αὐτῶν ὃς ἐτέχθη τῷ Ἰσραήλ· καὶ ἦν Οὐλαμαῒς ὄνομα
30 τῆς πόλεως τὸ πρότερον. [30]καὶ ἔστησαν ἑαυτοῖς οἱ υἱοὶ Δὰν τὸ γλυπτόν· καὶ
Ἰωνάθαν υἱὸς Γηρσὼν υἱὸς Μανασσῆ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἦσαν ἱερεῖς τῇ
31 φυλῇ Δὰν ἕως ἡμέρας τῆς ἀποικίας τῆς γῆς. [31]καὶ ἔθηκαν ἑαυτοῖς τὸ γλυπτὸν

---

16. ανδρες περιεζωσμενοι σκευη πολεμικα αυτων εστηλωμενοι παρα την θυραν του πυλωνος 17. οι πορευομενοι ... in fine add επελθοντες εκει ελαβον το γλυπτον και το εφουδ και το θεραφειν και το χωνευτον· και ο ιερευς εστηλωμενος παρα τη θυρα του πυλωνος· και οι εξακοσιοι ανδρες περιεζωσμενοι σκευη πολεμικα· 18. κ. ουτοι εισηλθ. εις οικ. μειχα ... om κ. ο ιερ. εστως ... εφουδ ... θεραφειν 19. ειπ. προς αυτον ... ελθε pro δευρο ... κ. εση ημιν ... μη βελτιον ειναι ... γεινεσθαι ... φυλης κ. συγγενειας εν ισρ. 20. εφουδ ... θεραφειν ... εισηλθεν εμμεσω 21. απηλθαν ... εθηκαν την πανοικειαν κ. την κτησιν αυτου την ενδοξον εμπρ. αυτ. 22. αυτων δε μαμακρυνκοτων (ita) απο του οικ. μειχα ... μειχα κ. οι ανδρ. ο λαος οι οντες εν τοις οικοις οι συν τω οικω μετα μειχα εκραζον κατοπισω δαν και εβοησαν προς τους υι. δ. 23. κατα προσωπ. αυτ. κ. ε. προς μιχα 24. μειχα ... απηλθατε pro επορευθητε ... εμοι ... και τουτο λεγετε μοι Τι τουτο κρ. 25. ειπον ... η φωνη ... απαντησωσιν ... προσθησεις την ψ. 26. εις την ο. α. ... μιχα ... ισχυροτεροι εισιν αυτου· και εξενευσεν κ. ανεστρεψεν 27. κ. αυτοι ελαβον οσα επ. μειχα ... εως λαισα ... om επ ελπιδι ... om εν πυρι 28. κ. ο. εστιν εξερουμενος ... ανθρωπων ... εν κοιλαδι η εστιν του οικου τωβ ... κατωκησαν 29. κατα το ονομα του πατρ. αυτ. ος εγενηθη ... ην αλεις ονομα τη πολει 30. ανεστησαν ... του δαν το γλ. μειχα ... γηρσωμ υιου μαννασση ... εως της μετοικεσιας του δαν 31. κ. εταξαν αυτοις το γλ.

Digitized by Google

ὃ ἐποίησε Μιχαίας πάσας τὰς ἡμέρας ἃς ἦν ὁ οἶκος τοῦ ϑεοῦ ἐν Σηλώμ. καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ.

## XIX.

Καὶ ἐγένετο ἀνὴρ Λευίτης παροικῶν ἐν μηροῖς ὄρους Ἐφραΐμ, καὶ ἔλαβεν
αὐτῷ γυναῖκα παλλακὴν ἀπὸ Βηϑλεὲμ Ἰούδα. [2] καὶ ἐπορεύϑη ἀπ᾿ αὐτοῦ ἡ 2
παλλακὴ αὐτοῦ, καὶ ἀπῆλϑε παρ᾿ αὐτοῦ εἰς οἶκον πατρὸς αὐτῆς εἰς Βηϑλεὲμ
Ἰούδα· καὶ ἦν ἐκεῖ ἡμέρας μηνῶν τεσσάρων. [3] καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς καὶ 3
ἐπορεύϑη ὀπίσω αὐτῆς τοῦ λαλῆσαι ἐπὶ καρδίαν αὐτῆς τοῦ ἐπιστρέψαι αὐτὴν
αὐτῷ· καὶ νεανίας αὐτοῦ μετ᾿ αὐτοῦ καὶ ζεῦγος ὄνων. ἡ δὲ εἰςήνεγκεν αὐτὸν
εἰς οἶκον πατρὸς αὐτῆς· καὶ εἶδεν αὐτὸν ὁ πατὴρ τῆς νεάνιδος, καὶ ηὐφράνϑη
εἰς συνάντησιν αὐτοῦ. [4] καὶ κατέσχεν αὐτὸν ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς 4
νεάνιδος, καὶ ἐκάϑισε μετ᾿ αὐτοῦ ἐπὶ τρεῖς ἡμέρας, καὶ ἔφαγον καὶ ἔπιον,
καὶ ηὐλίσϑησαν ἐκεῖ. [5] καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ ὤρϑρισαν τὸ 5
πρωὶ καὶ ἀνέστη τοῦ πορευϑῆναι· καὶ εἶπεν ὁ πατὴρ τῆς νεάνιδος πρὸς τὸν
νυμφίον αὐτοῦ Στήρισον τὴν καρδίαν σου ψωμῷ ἄρτου, καὶ μετὰ τοῦτο πο-
ρεύσεσϑε. [6] καὶ ἐκάϑισαν καὶ ἔφαγον οἱ δύο ἐπὶ τὸ αὐτὸ καὶ ἔπιον· καὶ εἶπεν 6
ὁ πατὴρ τῆς νεάνιδος πρὸς τὸν ἄνδρα Ἄγε δὴ αὐλίσϑητι, καὶ ἀγαϑυνϑήσεται
ἡ καρδία σου. [7] καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ πορεύεσϑαι αὐτός· καὶ ἐβιάσατο αὐ- 7
τὸν ὁ γαμβρὸς αὐτοῦ, καὶ ἐκάϑισε καὶ ηὐλίσϑη ἐκεῖ. [8] καὶ ὤρϑρισε τὸ πρωὶ 8
τῇ ἡμέρᾳ τῇ πέμπτῃ τοῦ πορευϑῆναι, καὶ εἶπεν ὁ πατὴρ τῆς νεάνιδος Στή-
ρισον δὴ τὴν καρδίαν σου, καὶ στράτευσον ἕως κλῖναι τὴν ἡμέραν· καὶ ἔφαγον
οἱ δύο. [9] καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ πορευϑῆναι αὐτὸς καὶ ἡ παλλακὴ αὐτοῦ καὶ 9
ὁ νεανίας αὐτοῦ, καὶ εἶπεν αὐτῷ ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς νεάνιδος Ἰδοὺ
δὴ ἠσϑένησεν ἡμέρα εἰς τὴν ἑσπέραν· αὐλίσϑητι ὧδε καὶ ἀγαϑυνϑήσεται ἡ
καρδία σου, καὶ ὀρϑριεῖτε αὔριον εἰς ὁδὸν ὑμῶν καὶ πορεύσῃ εἰς τὸ σκήνωμά
σου. [10] καὶ οὐκ εὐδόκησεν ὁ ἀνὴρ αὐλισϑῆναι, καὶ ἀνέστη καὶ ἀπῆλϑε, καὶ 10
ἦλϑεν ἕως ἀπέναντι Ἰεβούς, αὕτη ἐστὶν Ἱερουσαλήμ· καὶ μετ᾿ αὐτοῦ ζεῦγος
ὄνων ἐπισεσαγμένων, καὶ ἡ παλλακὴ αὐτοῦ μετ᾿ αὐτοῦ. [11] καὶ ἦλϑοσαν ἕως 11
Ἰεβούς· καὶ ἡ ἡμέρα προβεβήκει σφόδρα, καὶ εἶπεν ὁ νεανίας πρὸς τὸν κύ-
ριον αὐτοῦ Δεῦρο δὴ καὶ ἐκκλίνωμεν εἰς πόλιν τοῦ Ἰεβουσὶ ταύτην καὶ αὐ-
λισϑῶμεν ἐν αὐτῇ. [12] καὶ εἶπε πρὸς αὐτὸν ὁ κύριος αὐτοῦ Οὐκ ἐκκλινοῦμεν 12
εἰς πόλιν ἀλλοτρίαν ἐν ᾗ οὐκ ἔστιν ἀπὸ υἱῶν Ἰσραὴλ ὧδε, καὶ παρελευσόμεϑα
ἕως Γαβαά. [13] καὶ εἶπε τῷ νεανίᾳ αὐτοῦ Δεῦρο καὶ ἐγγίσωμεν ἑνὶ τῶν τό- 13

---

31. μειχα ο επ. π. τ. ημ. οσας ... σηλω ... εκειναις και βασ. ουκ ην εν XIX. 1. κ. ελαβ. ο ανηρ εαυτω ... εκ βηϑλ. 2. κ. ωργισϑη αυτω η ... απηλϑ. απ αυτ. ε. τον οικ. του ... εγενετο εκει ημ. τετραμηνον ... κατοπισϑεν αυτης ... ε. την καρδ. αυτ. διαλλαξαι αυτ. εαυτω και απαγαγειν αυτην παλιν προς αυτον· κ. το παιδαριον αυτου μετ α. κ. ζ. υποζυγιων· και επορευϑη εως οικου του πατρ. α. κ. ιδεν ... κ. παρην εις απαντησιν α. 4. κ. εισηγαγεν αυτον ο ... μετ αυτ. ημερας τρεις ... κ. υπνωσαν εκ. 5. του απελϑειν ... γαμβρον pro νυμφιον ... κλασματι αρτου ... πορευεσϑε 6. εφαγ. επι το αυτο αμφοτεροι ... αρξαμενος pro αγε δη ... αγαϑυνϑητω 7. ο ανηρ απελϑειν· και ... om κ. εκαϑισε ... κ. παλιν ηυλ. εκ 8. τη τριτη του απελϑειν ... om δη ... σου αρτω και στρατευϑητι εως κλινη η ημερα· κ. εφ. και επιον αμφοτεροι 9. του απελϑειν ... το παιδαριον pro ο νεαν. ... Ιδου δη εις εσπεραν κεκλικεν η ημερα· καταλυσον ωδε ετι σημερον και μεινατε ωδε και αγαϑυνϑητω ... την οδον ... κ. απελευση εις 10. ουκ ηϑελησεν ο ... κ. παρεγενοντο εως κατεναντι ... ζευγ. υποζυγιων 11. ετι αυτων οντων κατα ιεβους pro κ. ηλϑ. ε. ιεβους ... και η ημερα κεκληκυια σφοδρα, κ. ειπ. το παιδαριον ... ε. την πολ. του ιεβούσαιου 12. ο κυρ. αυτου πρ. αυτον Ου μη εκκλεινω ... αλλοτριου η ουκ ε. εκ των ... om ωδε 13. τω παιδαριω αυτου ... κ. ελϑωμεν εις ενα των

Digitized by Google

14 πων, καὶ αὐλισθησόμεθα ἐν Γαβαὰ ἢ ἐν Ῥαμά. [14]καὶ παρῆλθον καὶ ἐπορεύ-
θησαν, καὶ ἔδυ αὐτοῖς ὁ ἥλιος ἐχόμενα τῆς Γαβαά, ἥ ἐστιν ἐν τῷ Βενιαμίν.
15 [15]καὶ ἐξέκλιναν ἐκεῖ τοῦ εἰςελθεῖν αὐλισθῆναι ἐν Γαβαά· καὶ εἰςῆλθον καὶ
ἐκάθισαν ἐν τῇ πλατείᾳ τῆς πόλεως, καὶ οὐκ ἦν ἀνὴρ συνάγων αὐτοὺς εἰς
16 οἰκίαν αὐλισθῆναι. [16]καὶ ἰδοὺ ἀνὴρ πρεσβύτης ἤρχετο ἐξ ἔργων αὐτοῦ ἐξ ἀγροῦ
ἐν ἑσπέρᾳ, καὶ ὁ ἀνὴρ ἦν ἐξ ὄρους Ἐφραΐμ καὶ αὐτὸς παρῴκει ἐν Γαβαά,
17 καὶ οἱ ἄνδρες τοῦ τόπου υἱοὶ Βενιαμίν. [17]καὶ ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ
εἶδε τὸν ὁδοιπόρον ἄνδρα ἐν τῇ πλατείᾳ τῆς πόλεως· καὶ εἶπεν ὁ ἀνὴρ ὁ
18 πρεσβύτης Ποῦ πορεύῃ, καὶ πόθεν ἔρχῃ; [18]καὶ εἶπε πρὸς αὐτόν Παραπορευό-
μεθα ἡμεῖς ἀπὸ Βηθλεὲμ Ἰούδα ἕως μηρῶν ὄρους Ἐφραΐμ· ἐκεῖθεν ἐγώ εἰμι,
καὶ ἐπορεύθην ἕως Βηθλεὲμ Ἰούδα, καὶ εἰς τὸν οἶκόν μου ἐγὼ πορεύομαι, καὶ
19 οὐκ ἔστιν ἀνὴρ συνάγων με εἰς τὴν οἰκίαν. [19]καί γε ἄχυρα καὶ χορτάσματά
ἐστι τοῖς ὄνοις ἡμῶν, καὶ ἄρτος καὶ οἶνός ἐστιν ἐμοὶ καὶ τῇ παιδίσκῃ καὶ
τῷ νεανίσκῳ μετὰ τῶν παίδων σου· οὐκ ἔστιν ὑστέρημα παντὸς πράγματος.
20 [20]καὶ εἶπεν ὁ ἀνὴρ πρεσβύτης Εἰρήνη σοι· πλὴν πᾶν τὸ ὑστέρημά σου ἐπ'
21 ἐμέ, πλὴν ἐν τῇ πλατείᾳ οὐ μὴ αὐλισθήσῃ. [21]καὶ εἰςήνεγκεν αὐτὸν εἰς τὸν
οἶκον αὐτοῦ, καὶ τόπον ἐποίησε τοῖς ὄνοις· καὶ αὐτοὶ ἐνίψαντο τοὺς πόδας αὐ-
22 τῶν, καὶ ἔφαγον καὶ ἔπιον. [22]αὐτοὶ δὲ ἀγαθύνοντες καρδίαν αὐτῶν, καὶ ἰδοὺ
ἄνδρες τῆς πόλεως υἱοὶ παρανόμων ἐκύκλωσαν τὴν οἰκίαν κρούοντες ἐπὶ τὴν
θύραν, καὶ εἶπον πρὸς τὸν ἄνδρα τὸν κύριον τοῦ οἴκου τὸν πρεσβύτην λέγοντες
23 Ἐξένεγκε τὸν ἄνδρα ὃς εἰςῆλθεν εἰς τὴν οἰκίαν σου, ἵνα γνῶμεν αὐτόν. [23]καὶ
ἐξῆλθε πρὸς αὐτοὺς ὁ ἀνὴρ ὁ κύριος τοῦ οἴκου καὶ εἶπε Μή, ἀδελφοί, μὴ κα-
κοποιήσητε δὴ μετὰ τὸ εἰςελθεῖν τὸν ἄνδρα τοῦτον εἰς τὴν οἰκίαν μου, μὴ
24 ποιήσητε τὴν ἀφροσύνην ταύτην. [24]ἴδε ἡ θυγάτηρ μου ἡ παρθένος καὶ ἡ
παλλακὴ αὐτοῦ· ἐξάξω αὐτάς, καὶ ταπεινώσατε αὐτὰς καὶ ποιήσατε αὐταῖς
τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς ὑμῶν, καὶ τῷ ἀνδρὶ τούτῳ μὴ ποιήσητε τὸ ῥῆμα
25 τῆς ἀφροσύνης ταύτης. [25]καὶ οὐκ εὐδόκησαν οἱ ἄνδρες τοῦ εἰςακοῦσαι αὐτοῦ·
καὶ ἐπελάβετο ὁ ἀνὴρ τῆς παλλακῆς αὐτοῦ καὶ ἐξήγαγεν αὐτὴν πρὸς αὐτοὺς
ἔξω· καὶ ἔγνωσαν αὐτήν, καὶ ἐνέπαιζον ἐν αὐτῇ ὅλην τὴν νύκτα ἕως τὸ πρωΐ,
26 καὶ ἐξαπέστειλαν αὐτὴν ὡς ἀνέβη τὸ πρωΐ. [26]καὶ ἦλθεν ἡ γυνὴ πρὸς τὸν
ὄρθρον, καὶ ἔπεσε παρὰ τὴν θύραν τοῦ οἴκου οὗ ἦν αὐτῆς ἐκεῖ ὁ ἀνήρ, ἕως
27 οὗ διέφαυσεν. [27]καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς τὸ πρωῒ καὶ ἤνοιξε τὰς θύρας τοῦ
οἴκου, καὶ ἐξῆλθε τοῦ πορευθῆναι τὴν ὁδὸν αὐτοῦ· καὶ ἰδοὺ ἡ γυνὴ αὐτοῦ
ἡ παλλακὴ πεπτωκυῖα παρὰ τὰς θύρας τοῦ οἴκου, καὶ αἱ χεῖρες αὐτῆς ἐπὶ
28 τὸ πρόθυρον. [28]καὶ εἶπε πρὸς αὐτήν Ἀνάστα καὶ ἀπέλθωμεν· καὶ οὐκ ἀπεκρίθη,

---

13. αυλισθωμεν ... om η εν ραμα 14. κ. παρ. κ. απηλθον εν γαβαα· και εδυ ... om αυτοις ... εστιν του βενιαμειν 15. καταλυσαι εν ... εστιν ανηρ ο συν. α. εις τον οικον καταλυσαι 16. ειςηλθεν απο των εργ. α. εκ του αγρ. εσπερας ... om ην ... γαβα ... βενιαμειν 17. κ. αναβλεψας τοις οφθαλμοις ιδεν τον ανδρ. τον οδ. εν 18. Διαβαινομεν ημ. εκ β. της ι. εως μ. εως ορους του εφρ. εγω δε εκειθ. ειμι ... αποτρεχω pro πορευομαι 19. υπαρχει τοις ... και γε α. κ. οιν. υπαρχει μοι κ. τη δουλη σου κ. τω παιδαριω τοις δουλοις σου· ουκ 20. ο ανηρ ο ... πλατεια μη καταλυσης 21. εισηγαγεν α. ε. την οικιαν αυτ. και παρενεβαλεν τοις υποζυγιοις αυτου· και ενιψεν 22. αυτων δε αγαθυνθεντων τη καρδια αυτ. ... οι ανδρες ... περιεκυκλωσαν ... και εκρουσαν την θ. κ. ειπαν ... της οικιας ... Εξαγαγε τ. α. τον ελθοντα 23. της οικιας κ. ειπ. προς αυτους Μηδαμως ... πονηρευσησθε ... εισεληλυθεναι 24. ιδου η ... εξαξω δη 25. ηθελησαν οι ανδρ. ακουσαι ... ενεπαιξαν αυτη ... εως πρωι ... αυτην αμα τω αναβαινειν του ορθρον 26. η γυνη το πρωι, και ... του πυλωνος του οικ. του ανδρος ου ην ο κυρ. αυτης εκει 27. ο κυριος αυτης ... του απελθειν ... παρα την θυραν ... om του οικου 28. αναστηθι ... απεκριθη αυτω· αλλα τεθνηκει·

Digitized by Google

ὅτι ἦν νεκρά. καὶ ἔλαβεν αὐτὴν ἐπὶ τὸν ὄνον, καὶ ἐπορεύθη εἰς τὸν τόπον
αὐτοῦ. [29] καὶ ἔλαβε τὴν ῥομφαίαν καὶ ἐκράτησε τὴν παλλακὴν αὐτοῦ, καὶ 29
ἐμέλισεν αὐτὴν εἰς δώδεκα μέλη, καὶ ἀπέστειλεν αὐτὰ ἐν παντὶ ὁρίῳ Ἰσραήλ.
[30] καὶ ἐγένετο πᾶς ὁ βλέπων ἔλεγεν Οὐχ ἐγένετο καὶ οὐχ ἑώραται ἀπὸ ἡμέ- 30
ρας ἀναβάσεως υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης ὡς
αὐτή· θέσθε ὑμῖν αὐτοῖς βουλὴν ἐπ᾽ αὐτὴν καὶ λαλήσατε.

## XX.

Καὶ ἐξῆλθον πάντες οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐξεκκλησιάσθη ἡ συναγωγὴ ὡς
ἀνὴρ εἷς ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ καὶ γῆ τοῦ Γαλαὰδ πρὸς κύριον εἰς
Μασσηφά. [2] καὶ ἐστάθησαν κατὰ πρόσωπον κυρίου πᾶσαι αἱ φυλαὶ τοῦ Ἰσραὴλ 2
ἐν ἐκκλησίᾳ τοῦ λαοῦ τοῦ θεοῦ τετρακόσιαι χιλιάδες ἀνδρῶν πεζῶν ἕλκοντες
ῥομφαίαν. [3] καὶ ἤκουσαν οἱ υἱοὶ Βενιαμὶν ὅτι ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ εἰς 3
Μασσηφά· καὶ ἐλθόντες εἶπαν οἱ υἱοὶ Ἰσραὴλ Λαλήσατε ποῦ ἐγένετο ἡ πο-
νηρία αὕτη; [4] καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ Λευίτης, ὁ ἀνὴρ τῆς γυναικὸς τῆς φο- 4
νευθείσης, καὶ εἶπεν Εἰς Γαβαὰ τῆς Βενιαμὶν ἦλθον ἐγὼ καὶ ἡ παλλακή μου
τοῦ αὐλισθῆναι· [5] καὶ ἀνέστησαν ἐπ᾽ ἐμὲ οἱ ἄνδρες τῆς Γαβαὰ καὶ ἐκύκλω- 5
σαν ἐπ᾽ ἐμὲ ἐπὶ τὴν οἰκίαν νυκτός, ἐμὲ ἠθέλησαν φονεῦσαι καὶ τὴν παλ-
λακήν μου ἐταπείνωσαν, καὶ ἀπέθανε. [6] καὶ ἐκράτησα τὴν παλλακήν μου καὶ 6
ἐμέλισα αὐτήν, καὶ ἐξαπέστειλα ἐν παντὶ ὁρίῳ κληρονομίας υἱῶν Ἰσραήλ, ὅτι
ἐποίησαν ζέμα καὶ ἀπόπτωμα ἐν Ἰσραήλ. [7] ἰδοὺ πάντες ὑμεῖς υἱοὶ Ἰσραὴλ 7
δότε ἑαυτοῖς λόγον καὶ βουλὴν ἐκεῖ. [8] καὶ ἀνέστη πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς 8
λέγοντες Οὐκ ἀπελευσόμεθα ἀνὴρ εἰς σκήνωμα αὐτοῦ, καὶ οὐκ ἐπιστρέψομεν
ἀνὴρ εἰς τὸν οἶκον αὐτοῦ. [9] καὶ νῦν τοῦτο τὸ ῥῆμα ὃ ποιηθήσεται τῇ Γαβαά, 9
ἀναβησόμεθα ἐπ᾽ αὐτὴν ἐν κλήρῳ· [10] πλὴν ληψόμεθα δέκα ἄνδρας τοῖς ἑκα- 10
τὸν εἰς πάσας φυλὰς Ἰσραήλ, καὶ ἑκατὸν τοῖς χιλίοις, καὶ χιλίους τοῖς μυ-
ρίοις, λαβεῖν ἐπισιτισμὸν τοῦ ποιῆσαι ἐλθεῖν αὐτοὺς εἰς Γαβαὰ Βενιαμίν,
ποιῆσαι αὐτῇ κατὰ πᾶν τὸ ἀπόπτωμα ὃ ἐποίησεν ἐν Ἰσραήλ. [11] καὶ συνήχθη 11
πᾶς ἀνὴρ Ἰσραὴλ εἰς τὴν πόλιν ὡς ἀνὴρ εἷς, [12] καὶ ἀπέστειλαν αἱ φυλαὶ 12
Ἰσραὴλ ἄνδρας ἐν πάσῃ φυλῇ Βενιαμὶν λέγοντες Τίς ἡ πονηρία αὕτη ἡ γε-
νομένη ἐν ὑμῖν; [13] καὶ νῦν δότε τοὺς ἄνδρας υἱοὺς παρανόμων τοὺς ἐν Γαβαά, 13

---

28. κ. ανελαβεν αυτην επι το υποζυγιον· και ανεστη ο ανηρ· και απηλθεν εις τον 29. και ηλθεν εις τον οικον αυτου κ. ελ. τ. μαχαιραν κ. επελαβετο της παλλακης α. κ. ε. α. κατα τα οστα αυτης εις δ. μεριδας· κ. εξαπεστειλεν αυτας εις πασας τας φυλας του ισρ. 30. ο ορων ... Ουτε εγενηθη ουτε ωφθη ουτως απο της ημερας ... εξ αιγυπτου ε. τ. ημ. ταυτης· και ενετειλατο τοις ανδρασιν οις εξαπεστειλεν λεγων· ταδε ερειτε προς παντα ανδρα ισραηλ· ει γεγονεν· κατα το ρημα τουτο· απο της ημερας αναβασεως υιων ισραηλ εξ αιγυπτου εως της ημερας ταυτης· θεσθε δη εαυτοις βουλην περι αυτης κ. λαλ. XX. 1. εξεκκλησιασθη πασα η ... om του 2. και εστη το κλειμα παντος του λαου και πασαι αι φυλ. ισρ. εν τη ... πεζων σπωμενων ρομφ. 3. βενιαμειν ... προς κυριον εις μασσηφα ... om ελθοντες ... η κακια αυτη 4. της πεφονευμενης ... βενιαμειν ... εγω κ. η γυνη μου καταλυσαι 5. οι ανδρ. οι παρα της γαβ. κ. περιεκυκλωσαν επ εμε την ... και εμε ηθ. αποκτειναι ... εταπειν. και ενεπαιξαν αυτη· κ. απ. 6. κ. επελαβομην της παλλακης ... om υιων ... εποιησ. αφροσυνην εν τω ισρ. 7. παντ. οι υιοι ... αυτοις λ. κ. β. ωδε 8. λεγων Ουκ εισελευσομεθα α. εις το ... εκκλινουμεν pro επιστρ. 9. ο ποιησομεν 10. και λημψομεθα ... ταις πασαις φυλαις ... επισιτ. τω λαω· τοις εισπορευομενοις επιτελεσαι τη γαβ. του βενιαμειν κατα πασαν την αφροσυνην ην εποιησαν εν ισρ. 11. ισρ. εκ των πολεων ως α. ε. ερχομενοι 12. εξαπεστειλαν ... βενιαμειν ... κακια pro πονηρ. 13. τ. ανδρ. τους ασεβεις τους εν γαβαα τους υιους βελιαμ

Digitized by Google

καὶ θανατώσομεν αὐτοὺς καὶ ἐκκαθαριοῦμεν πονηρίαν ἀπὸ Ἰσραήλ· καὶ οὐκ
εὐδόκησαν οἱ υἱοὶ Βενιαμὶν ἀκοῦσαι τῆς φωνῆς τῶν ἀδελφῶν αὐτῶν υἱῶν
14 Ἰσραήλ. [14]καὶ συνήχθησαν οἱ υἱοὶ Βενιαμὶν ἀπὸ τῶν πόλεων αὐτῶν εἰς Γα-
15 βαὰ ἐξελθεῖν εἰς παράταξιν πρὸς υἱοὺς Ἰσραήλ. [15]καὶ ἐπεσκέπησαν οἱ υἱοὶ
Βενιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν πόλεων εἰκοσιτρεῖς χιλιάδες ἀνὴρ ἕλ-
κων ῥομφαίαν, ἐκτὸς τῶν οἰκούντων τὴν Γαβαά, οἳ ἐπεσκέπησαν ἑπτακόσιοι
16 ἄνδρες ἐκλεκτοὶ [16]ἐκ παντὸς λαοῦ ἀμφοτεροδέξιοι· πάντες οὗτοι σφενδονῆται
17 ἐν λίθοις πρὸς τρίχα καὶ οὐκ ἐξαμαρτάνοντες. [17]καὶ ἀνὴρ Ἰσραὴλ ἐπεσκέ-
πησαν ἐκτὸς τοῦ Βενιαμὶν τετρακόσιαι χιλιάδες ἀνδρῶν ἑλκόντων ῥομφαίαν·
18 πάντες οὗτοι ἄνδρες παρατάξεως. [18]καὶ ἀνέστησαν καὶ ἀνέβησαν εἰς Βαιθὴλ
καὶ ἠρώτησαν ἐν τῷ θεῷ, καὶ εἶπαν οἱ υἱοὶ Ἰσραήλ Τίς ἀναβήσεται ἡμῖν ἐν
ἀρχῇ εἰς παράταξιν πρὸς υἱοὺς Βενιαμίν; καὶ εἶπε κύριος Ἰούδας ἐν ἀρχῇ
19 ἀναβήσεται ἀφηγούμενος. [19]καὶ ἀνέστησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πρωὶ καὶ παρεν-
20 έβαλον ἐπὶ Γαβαά. [20]καὶ ἐξῆλθον πᾶς ἀνὴρ Ἰσραὴλ εἰς παράταξιν πρὸς Βε-
21 νιαμὶν καὶ συνῆψαν αὐτοῖς ἐπὶ Γαβαά· [21]καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν ἀπὸ
τῆς Γαβαά, καὶ διέφθειραν ἐν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δύο καὶ εἴκοσι
22 χιλιάδας ἀνδρῶν ἐπὶ τὴν γῆν. [22]καὶ ἐνίσχυσαν ἀνὴρ Ἰσραήλ, καὶ προςέθηκαν
23 συνάψαι παράταξιν ἐν τῷ τόπῳ ὅπου συνῆψαν ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ. [23]καὶ
ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἔκλαυσαν ἐνώπιον κυρίου ἕως ἑσπέρας, καὶ ἠρώ-
τησαν ἐν κυρίῳ λέγοντες Εἰ προςθῶμεν ἐγγίσαι εἰς παράταξιν πρὸς υἱοὺς Βε-
24 νιαμὶν ἀδελφοὺς ἡμῶν; καὶ εἶπε κύριος Ἀνάβητε πρὸς αὐτούς. [24]καὶ προςῆλ-
25 θον οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱοὺς Βενιαμὶν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ. [25]καὶ ἐξῆλθον
οἱ υἱοὶ Βενιαμὶν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς Γαβαὰ ἐν τῇ ἡμέρᾳ τῇ δευ-
τέρᾳ, καὶ διέφθειραν ἀπὸ υἱῶν Ἰσραὴλ ἔτι ὀκτωκαίδεκα χιλιάδας ἀνδρῶν ἐπὶ
26 τὴν γῆν· πάντες οὗτοι ἕλκοντες ῥομφαίαν. [26]καὶ ἀνέβησαν πάντες οἱ υἱοὶ
Ἰσραὴλ καὶ πᾶς ὁ λαὸς καὶ ἦλθον εἰς Βαιθήλ, καὶ ἔκλαυσαν καὶ ἐκάθισαν
ἐκεῖ ἐνώπιον κυρίου, καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἕως ἑσπέρας, καὶ
27 ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ τελείας ἐνώπιον κυρίου· [27]ὅτι ἐκεῖ κιβωτὸς δια-
28 θήκης κυρίου τοῦ θεοῦ ἐν ταῖς ἡμέραις ἐκείναις, [28]καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ
υἱοῦ Ἀαρὼν παρεστηκὼς ἐνώπιον αὐτῆς ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐπηρώ-
τησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν κυρίῳ λέγοντες Εἰ προςθῶμεν ἔτι ἐξελθεῖν εἰς παρά-
ταξιν πρὸς υἱοὺς Βενιαμὶν ἀδελφοὺς ἡμῶν; καὶ εἶπε κύριος Ἀνάβητε, αὔριον
29 δώσω αὐτοὺς εἰς χεῖρας ὑμῶν. [29]καὶ ἔθηκαν οἱ υἱοὶ Ἰσραὴλ ἔνεδρα τῇ Γαβαὰ

13. και εξαρουμεν κακιαν εξ ισρ. και ουκ ηκουσαν εισακουσαι υιοι βενιαμειν της ... των υιων 14. βενιαμειν εκ των ... εξελθειν του πολεμησαι μετα υιων ισρ. 15. βενιαμειν ... εκ των π. εικ. και πεντε χ. ανδρων σπωμενων ρ. χωρις τ. κατοικουντων ... ουτοι επεσκ. ε. α. εκλ. νεανισκοι 16. om εκ παντ. λαου ... σφενδ. βαλλοντες λιθους πρ. την τριχα ... διαμαρτανοντες 17. κ. πας ανηρ ... χωρις των υιων βενιαμειν ... σπωμενων ... ανδρες πολεμισται 18. επηρωτησαν ... ημιν αφηγουμενος πολεμησαι μετα βενιαμειν ... om εν αρχη 19. om το πρωι ... επι την γαβαα 20. κ. εξηλθεν (** add ισραηλ και) πας ανηρ εις πολεμον μετα βενιαμειν· και παρεταξατο μετ αυτων εις πολεμον ανηρ ισραηλ προς την γαβαα 21. βενιαμειν εκ της πολεως κ. δ. εν τη ημ. εκ. εν ισρ. 22. ενισχυσεν ... προςεθεντο παραταξαι πολεμον εν τω τ. ω παρεταξαντο εκει εν τη 23. επηρωτησαν ... προςθω προςεγγισαι εις πολεμον μετα βενιαμειν του αδελφου μου ... ο κυριος ... πρ. αυτον 24. προςηλθοσαν ... προς βενιαμειν 25. κ. εξηλθεν βενιαμειν ε. απαντησιν αυτων εκ της ... διεφθειρεν εκ του λαου οκτ. ... εσπασμενοι ρομφ. 26. ηλθοσαν ... εναντι κυριου ... ολοκαυτωματα σωτηριου εναντι κυριου· και επηρωτησαν οι υιοι ισραηλ εν κυριω 27. και pro οτι ... η κιβωτος ... om του θεου 28. om και επηρ. οι υι. ισρ. εν κυριω ... λεγων ... προςθω ... εις πολεμον μετα υιων βινιαμειν του αδελφου μου· η κοπασω ... οτι αυριον παραδωσω αυτον εν χειρι σου 29. εν τη γαβαα

Digitized by Google

κύκλῳ. [30]καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱοὺς Βενιαμὶν ἐν τῇ ἡμέρᾳ τῇ 30
τρίτῃ, καὶ συνῆψαν πρὸς τὴν Γαβαὰ ὡς ἅπαξ καὶ ἅπαξ. [31]καὶ ἐξῆλθον οἱ 31
υἱοὶ Βενιαμὶν εἰς συνάντησιν τοῦ λαοῦ καὶ ἐξεκενώθησαν ἐκ τῆς πόλεως, καὶ
ἤρξαντο πατάσσειν ἀπὸ τοῦ λαοῦ τραυματίας ὡς ἅπαξ καὶ ἅπαξ ἐν ταῖς ὁδοῖς,
ἥ ἐστι μία ἀναβαίνουσα εἰς Βαιθὴλ καὶ μία εἰς Γαβαὰ ἐν ἀγρῷ, ὡς τριά-
κοντα ἄνδρας ἐν Ἰσραήλ. [32]καὶ εἶπαν οἱ υἱοὶ Βενιαμίν Πίπτουσιν ἐνώπιον ἡμῶν 32
ὡς τὸ πρῶτον. καὶ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν Φύγωμεν καὶ ἐκκενώσωμεν αὐτοὺς
ἀπὸ τῆς πόλεως εἰς τὰς ὁδούς· καὶ ἐποίησαν οὕτω. [33]καὶ πᾶς ἀνὴρ ἀνέστη 33
ἐκ τοῦ τόπου αὐτῶν, καὶ συνῆψαν ἐν Βαὰλ Θαμάρ· καὶ τὸ ἔνεδρον Ἰσραὴλ
ἐπήρχετο ἐκ τοῦ τόπου αὐτοῦ ἀπὸ Μαρααγαβέ. [34]καὶ ἦλθον ἐξεναντίας Γα- 34
βαὰ δέκα χιλιάδες ἀνδρῶν ἐκλεκτῶν ἐκ παντὸς Ἰσραήλ· καὶ παράταξις βα-
ρεῖα, καὶ αὐτοὶ οὐκ ἔγνωσαν ὅτι φθάνει ἐπ' αὐτοὺς ἡ κακία. [35]καὶ ἐπάταξε 35
κύριος τὸν Βενιαμὶν ἐνώπιον υἱῶν Ἰσραήλ, καὶ διέφθειραν οἱ υἱοὶ Ἰσραὴλ ἐκ
τοῦ Βενιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἴκοσι καὶ πέντε χιλιάδας καὶ ἑκατὸν ἄν-
δρας· πάντες οὗτοι εἷλκον ῥομφαίαν. [36]καὶ εἶδον οἱ υἱοὶ Βενιαμὶν ὅτι ἐπλή- 36
γησαν· καὶ ἔδωκεν ἀνὴρ Ἰσραὴλ τῷ Βενιαμὶν τόπον, ὅτι ἤλπισαν πρὸς τὸ
ἔνεδρον ὃ ἔθηκαν ἐπὶ τῇ Γαβαά. [37]καὶ ἐν τῷ αὐτοὺς ὑποχωρῆσαι καὶ τὸ 37
ἔνεδρον ἐκινήθη· καὶ ἐξέτειναν ἐπὶ τὴν Γαβαά, καὶ ἐξεχύθη τὸ ἔνεδρον, καὶ
ἐπάταξαν τὴν πόλιν ἐν στόματι ῥομφαίας. [38]καὶ σημεῖον ἦν τοῖς υἱοῖς Ἰσραὴλ 38
μετὰ τοῦ ἐνέδρου τῆς μάχης, ἀνενέγκαι αὐτοὺς σύσσημον καπνοῦ ἀπὸ τῆς
πόλεως. [39]καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ ὅτι προκατελάβετο τὸ ἔνεδρον τὴν Γα- 39
βαά, καὶ ἔστησαν ἐν τῇ παρατάξει· καὶ Βενιαμὶν ἤρξατο πατάσσειν τραυ-
ματίας ἐν ἀνδράσιν Ἰσραὴλ ὡς τριάκοντα ἄνδρας, ὅτι εἶπαν Πάλιν πτώσει
πίπτουσιν ἐνώπιον ἡμῶν ὡς ἡ παράταξις ἡ πρώτη. [40]καὶ τὸ σύσσημον ἀνέβη 40
ἐπὶ πλεῖον ἐπὶ τῆς πόλεως ὡς στῦλος καπνοῦ· καὶ ἐπέβλεψε Βενιαμὶν ὀπίσω
αὐτοῦ, καὶ ἰδοὺ ἀνέβη συντέλεια τῆς πόλεως ἕως οὐρανοῦ. [41]καὶ ἀνὴρ Ἰσραὴλ 41
ἐπέστρεψε· καὶ ἔσπευσαν ἄνδρες Βενιαμίν, ὅτι εἶδον ὅτι συνήντησεν ἐπ' αὐτοὺς
ἡ πονηρία. [42]καὶ ἐπέβλεψαν ἐνώπιον υἱῶν Ἰσραὴλ εἰς τὴν ὁδὸν τῆς ἐρήμου καὶ 42
ἔφυγον· καὶ ἡ παράταξις ἔφθασεν ἐπ' αὐτούς, καὶ οἱ ἀπὸ τῶν πόλεων διέφθει-
ρον αὐτοὺς ἐν μέσῳ αὐτῶν. [43]καὶ κατέκοπτον τὸν Βενιαμίν, καὶ ἐδίωξαν αὐ- 43
τὸν ἀπὸ Νουὰ κατὰ πόδα αὐτοῦ ἕως ἀπέναντι Γαβαὰ πρὸς ἀνατολὰς ἡλίου.

---

30. κ. εταξεν ισρ. προς τον βενιαμειν ... κ. παρεταξαντο προς γαβ. καθως 31. βενιαμειν ... απαντησιν ... κ. εξειλκυσθησαν εκ ... ηρξ. τυπτειν εκ του ... καθως ... και μια αναβαινουσα ε. γαβ. εν τω αγρ. ωσει ... εν τω ισρ. 32. βενιαμειν Προκοπτουσιν ... καθως εμπροσθεν ... φυγ. κ. εκσπασωμεν α. εκ της ... om κ. εποιησ. ουτω 33. π. ανηρ ισραηλ ... αυτου ... om και συνηψαν ... επαλαιεν pro επηρχετο ... απο δυσμων της γαβαα 34. κ. παρεγενοντο εξεν. της ... ισραηλ, και ο πολεμος εβαρυνθη ... οτι αφηπται αυτων η 35. κ. ετροπωσεν κυρ. τ. βενιαμειν κατα προσωπον ισραηλ ... εν τω βενιαμειν ... σπωμενοι pro ειλκον 36. κ. ειδεν βενιαμειν οτι τετροπωται ... τω βενιαμειν ... επι το εν. ο εταξαν προς την γαβαα 37. plene: και το ενεδρον ωρμησεν· και εξεχυθησαν προς την γαβαα· και επορευθη το ενεδρον κ. επαταξαν ολην την π. εν στ. ρ. 38. κ. η συνταγη ην ανδρι ισρ. προς το ενεδρον μαχαιρα του ανενεγκ. α. πυργον του καπνου της πολ. 39. plene: και ανεστρεψεν ανηρ ισραηλ εν τω πολεμω· και βενιαμειν ηρκται του τυπτειν τραυματιας εν τω ανδρι ισραηλ ωσει τριακ. ανδρ. οτι ειπ. πλην τροπουμενος τροπουται εναντιον ημων καθως ο πολεμος εμπροσθεν 40. κ. ο πυργος ηρξατο αναβαινειν εκ της πολεως ... om ως ... βενιαμειν ... εις τον ουρανον 41. απεστρεψεν· κ. εσπευσεν ανηρ βενιαμειν· και ιδεν οτι ηπται αυτου η κακια 42. κ. εκλεισαν ενωπ. ανδρος ισραηλ ... om κ. εφυγον ... κ. ο πολεμος κατεφθασεν αυτον ... διεφθειραν αυτον εμμεσω 43. κ. εκοψαν τ. β. καταπαυσαι αυτον καταπαυσιν· και κατεπαυσεν αυτον εξεναντιας της γαβ. απο ανατολων ηλ.

Digitized by Google

44 44 καὶ ἔπεσον ἀπὸ Βενιαμὶν ὀκτωκαίδεκα χιλιάδες ἀνδρῶν, οἱ πάντες οὗτοι
45 ἄνδρες δυνάμεως. 45 καὶ ἐπέβλεψαν οἱ λοιποὶ καὶ ἔφευγον εἰς τὴν ἔρημον
πρὸς τὴν πέτραν τοῦ Ῥεμμών, καὶ ἐκαλαμήσαντο ἐξ αὐτῶν οἱ υἱοὶ Ἰσραὴλ
πενταχισχιλίους ἄνδρας· καὶ κατέβησαν ὀπίσω αὐτῶν οἱ υἱοὶ Ἰσραὴλ ἕως Γε-
46 δᾶν, καὶ ἐπάταξαν ἐξ αὐτῶν δισχιλίους ἄνδρας. 46 καὶ ἐγένοντο πάντες οἱ
πεπτωκότες ἀπὸ Βενιαμὶν εἰκοσιπέντε χιλιάδες ἀνδρῶν ἑλκόντων ῥομφαίαν ἐν
47 τῇ ἡμέρᾳ ἐκείνῃ, οἱ πάντες οὗτοι ἄνδρες δυνάμεως. 47 καὶ ἐπέβλεψαν οἱ λοι-
ποὶ καὶ ἔφυγον εἰς τὴν ἔρημον πρὸς τὴν πέτραν τοῦ Ῥεμμὼν ἑξακόσιοι ἄν-
48 δρες, καὶ ἐκάθισαν ἐν πέτρᾳ Ῥεμμὼν τέσσαρας μῆνας. 48 καὶ οἱ υἱοὶ Ἰσραὴλ
ἐπέστρεψαν πρὸς υἱοὺς Βενιαμίν, καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας
ἀπὸ πόλεως Μεθλὰ καὶ ἕως κτήνους καὶ ἕως παντὸς τοῦ εὑρισκομένου εἰς
πάσας τὰς πόλεις· καὶ τὰς πόλεις τὰς εὑρεθείσας ἐνέπρησαν ἐν πυρί.

## XXI.

Καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν ἐν Μασσηφὰθ λέγοντες Ἀνὴρ ἐξ ἡμῶν οὐ
2 δώσει θυγατέρα αὐτοῦ τῷ Βενιαμὶν εἰς γυναῖκα. 2 καὶ ἦλθεν ὁ λαὸς εἰς Βαι-
θὴλ καὶ ἐκάθισαν ἐκεῖ ἕως ἑσπέρας ἐνώπιον τοῦ θεοῦ· καὶ ἦραν φωνὴν αὐ-
3 τῶν καὶ ἔκλαυσαν κλαυθμὸν μέγαν, 3 καὶ εἶπαν Εἰς τί, κύριε θεὲ Ἰσραήλ,
4 ἐγενήθη αὕτη τοῦ ἐπισκεπῆναι σήμερον ἀπὸ Ἰσραὴλ φυλὴν μίαν; 4 καὶ ἐγέ-
νετο τῇ ἐπαύριον καὶ ὤρθρισεν ὁ λαός, καὶ ᾠκοδόμησαν ἐκεῖ θυσιαστήριον,
5 καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ τελείας. 5 καὶ εἶπαν οἱ υἱοὶ Ἰσραήλ Τίς οὐκ
ἀνέβη ἐν τῇ ἐκκλησίᾳ ἀπὸ πασῶν φυλῶν Ἰσραὴλ πρὸς κύριον; ὅτι ὁ ὅρκος
μέγας ἦν τοῖς οὐκ ἀναβεβηκόσι πρὸς κύριον εἰς Μασσηφάθ, λέγοντες Θανάτῳ
6 θανατωθήσεται. 6 καὶ παρεκλήθησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Βενιαμὶν ἀδελφὸν
7 αὐτῶν, καὶ εἶπαν Ἐξεκόπη σήμερον φυλὴ μία ἀπὸ Ἰσραήλ· 7 τί ποιήσωμεν
αὐτοῖς τοῖς περισσοῖς τοῖς ὑπολειφθεῖσιν εἰς γυναῖκας; καὶ ἡμεῖς ὠμόσαμεν
8 ἐν κυρίῳ τοῦ μὴ δοῦναι αὐτοῖς ἀπὸ τῶν θυγατέρων ἡμῶν εἰς γυναῖκας. 8 καὶ
εἶπαν Τίς εἷς ἀπὸ φυλῶν Ἰσραὴλ ὃς οὐκ ἀνέβη πρὸς κύριον εἰς Μασσηφάθ;
καὶ ἰδοὺ οὐκ ἦλθεν ἀνὴρ εἰς τὴν παρεμβολὴν ἀπὸ Ἰαβεὶς Γαλαὰδ εἰς τὴν
9 ἐκκλησίαν. 9 καὶ ἐπεσκέπη ὁ λαός, καὶ οὐκ ἦν ἐκεῖ ἀνὴρ ἀπὸ οἰκούντων Ἰαβεὶς
10 Γαλαάδ. 10 καὶ ἀπέστειλεν ἐκεῖ ἡ συναγωγὴ δώδεκα χιλιάδας ἀνδρῶν ἀπὸ
υἱῶν τῆς δυνάμεως, καὶ ἐνετείλαντο αὐτοῖς λέγοντες Πορεύεσθε καὶ πατάξατε
11 τοὺς οἰκοῦντας Ἰαβεὶς Γαλαὰδ ἐν στόματι ῥομφαίας. 11 καὶ τοῦτο ποιήσετε·
πᾶν ἄρσεν καὶ πᾶσαν γυναῖκα εἰδυῖαν κοίτην ἄρσενος ἀναθεματιεῖτε, τὰς δὲ

---

44. κ. επεσαν εκ του βενιαμειν ο. χ. α. συν πασιν τουτοις ανδρες δυνατοι 45. κ. εξεκλιναν κ. εφυγον ... την pro του ... εκαλαμ. αυτον εν ταις οδοις πεντε χιλιαδας ανδρων· κ. προσεκολληθησαν οπισω αυτου εως γαλααδ 46. εν τω βενιαμειν εικ. και πεντε ... σπωμενων ... συν πασι τουτοις ανδρες δυνατοι 47. κ. εξεκλιναν κ. εφυγον ... την pro του ... εν τη πετρα ρ. τετραμηνον 48. κ. ανηρ ισρ. απεκλεισεν τους υιους βενιαμειν ... απο πολεως εξης κτηνους εως παντος τ. ευρεθεντος ... εξαπεστειλαν εν πυρι XXI. 1. Κ. ανηρ ισρ. ωμοσεν εν μασσηφα λεγων ... εξ υμων ου δωσεται την ... βενιαμειν 2. κ. παρεγενοντο πας ο λαος εις μασσηφα και βαιθηλ ... κ. επηραν την 3. Ινα τι κυριε ο θεος ... αυτη εν τω ισραηλ του επ. σ. εν τω ισραηλ 4. εν τη επαυριον ... ωκοδομησεν ... ανηνεγκεν ολοκαυτωματα σωτηριου. 5. Τις ο μη αναβας ... εκ πασων ... οτι ορκος μεγ. εν τω μη αναβαντι ... μασσηφα ... θανατω αποθανειται 6. περι βενιαμειν του αδελφου ... Αφηρηται ... εξ ισραηλ 7. om αυτοις τοις περισσοις 8. Τις μια των φυλ. ισρ. ητις ουκ ... μασσηφα 9. απεσκοπει ... και ιδου ουκ εστιν εκ. αν. α. των 10. απεστειλαν ... απο των υιων ... Πορευθητε ... παντας τ. κατοικουντας ... in f. add και τας γυναικας και τον λαον 11. και ουτος ο λογος ον ποιησετε ... αρσενικον ... γινωσκουσαν κοιτην ... om τας δε usque ουτως

Digitized by Google

παρθένους περιποιήσεσθε. καὶ ἐποίησαν οὕτως· [12] καὶ εὗρον ἀπὸ οἰκούντων 12
Ἰαβεὶς Γαλαὰδ τετρακοσίας νεάνιδας παρθένους, αἵτινες οὐκ ἔγνωσαν ἄνδρα
εἰς κοίτην ἄρσενος, καὶ ἤνεγκαν αὐτὰς εἰς τὴν παρεμβολὴν εἰς Σηλὼμ τὴν
ἐν γῇ Χαναάν. [13] καὶ ἀπέστειλαν πᾶσα ἡ συναγωγὴ καὶ ἐλάλησαν πρὸς τοὺς 13
υἱοὺς Βενιαμὶν ἐν τῇ πέτρᾳ Ῥεμμών, καὶ ἐκάλεσαν αὐτοὺς εἰς εἰρήνην. [14] καὶ 14
ἐπέστρεψε Βενιαμὶν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἔδωκαν
αὐτοῖς οἱ υἱοὶ Ἰσραὴλ τὰς γυναῖκας ἃς ἐζωοποίησαν ἀπὸ τῶν θυγατέρων Ἰαβεὶς
Γαλαάδ· καὶ ἤρεσεν αὐτοῖς οὕτω. [15] καὶ ὁ λαὸς παρεκλήθη ἐπὶ τῷ Βενιαμίν, 15
ὅτι ἐποίησε κύριος διακοπὴν ἐν ταῖς φυλαῖς Ἰσραήλ. [16] καὶ εἶπον οἱ πρεσβύ- 16
τεροι τῆς συναγωγῆς Τί ποιήσωμεν τοῖς περισσοῖς εἰς γυναῖκας; ὅτι ἠφανί-
σθη ἀπὸ Βενιαμὶν γυνή. [17] καὶ εἶπαν Κληρονομία διασωζομένων τῶν Βενιαμίν· 17
καὶ οὐκ ἐξαλειφθήσεται φυλὴ ἀπὸ Ἰσραήλ, [18] ὅτι ἡμεῖς οὐ δυνησόμεθα δοῦ- 18
ναι αὐτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέρων ἡμῶν, ὅτι ὠμόσαμεν ἐν υἱοῖς Ἰσραὴλ
λέγοντες Ἐπικατάρατος ὁ διδοὺς γυναῖκα τῷ Βενιαμίν. [19] καὶ εἶπαν Ἰδοὺ δὴ 19
ἑορτὴ κυρίου ἐν Σηλὼμ ἀφ' ἡμερῶν εἰς ἡμέρας, ἥ ἐστιν ἀπὸ βορρᾶ τῆς
Βαιθὴλ κατ' ἀνατολὰς ἡλίου ἐπὶ τῆς ὁδοῦ τῆς ἀναβαινούσης ἀπὸ Βαιθὴλ εἰς
Συχὲμ καὶ ἀπὸ νότου τῆς Λεβωνά. [20] καὶ ἐνετείλαντο τοῖς υἱοῖς Βενιαμὶν λέγον- 20
τες Πορεύεσθε καὶ ἐνεδρεύσατε ἐν τοῖς ἀμπελῶσι, [21] καὶ ὄψεσθε, καὶ ἰδοὺ 21
ἐὰν ἐξέλθωσιν αἱ θυγατέρες τῶν οἰκούντων Σηλὼ χορεύειν ἐν τοῖς χοροῖς, καὶ
ἐξελεύσεσθε ἐκ τῶν ἀμπελώνων καὶ ἁρπάσατε αὐτοῖς ἀνὴρ γυναῖκα ἀπὸ τῶν
θυγατέρων Σηλώμ, καὶ πορεύεσθε εἰς γῆν Βενιαμίν. [22] καὶ ἔσται ὅταν ἔλθω- 22
σιν οἱ πατέρες αὐτῶν ἢ οἱ ἀδελφοὶ αὐτῶν κρίνεσθαι πρὸς ἡμᾶς, καὶ ἐροῦμεν
αὐτοῖς Ἔλεος ποιήσατε ἡμῖν αὐτάς, ὅτι οὐκ ἐλάβομεν ἀνὴρ γυναῖκα αὐτοῦ ἐν
τῇ παρατάξει, ὅτι οὐχ ὑμεῖς ἐδώκατε αὐτοῖς ὡς κλῆρος πλημμελήσατε. [23] καὶ 23
ἐποίησαν οὕτως οἱ υἱοὶ Βενιαμίν, καὶ ἔλαβον γυναῖκας εἰς ἀριθμὸν αὐτῶν ἀπὸ
τῶν χορευουσῶν ὧν ἥρπασαν· καὶ ἐπορεύθησαν καὶ ὑπέστρεψαν εἰς τὴν κλη-
ρονομίαν αὐτῶν, καὶ ᾠκοδόμησαν τὰς πόλεις καὶ ἐκάθισαν ἐν αὐταῖς. [24] καὶ 24
περιεπάτησαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὴρ εἰς φυλὴν
αὐτοῦ καὶ εἰς συγγένειαν αὐτοῦ, καὶ ἐξῆλθον ἐκεῖθεν ἀνὴρ εἰς τὴν κληρονο-
μίαν αὐτοῦ. [25] ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ 25
τὸ εὐθὲς ἐνώπιον αὐτοῦ ἐποίει.

Τέλος τῶν κριτῶν.

---

12. απο των κατοικουντων ... αι ουκ ... κ. ηγον αυτας ... σηλωμ η εστιν εν 13. απεστειλεν ... προς βενιαμειν τον εν 14. απεστρεψεν βενιαμειν ... om οι υιοι ισραηλ ... γυναικας αιτινες ησαν εκ των γυναικων ιαβεις ... ουτως 15. om επι ... τω βενιαμειν 16. ειπαν ... τοις επιλοιποις ... ηφανισται εκ του βενιαμειν 17. διασεσωσμενη τω βενιαμειν· κ. ου μη εξαλειφθη φ. εξ 18. και pro οτι ... ωμοσαμεν οι υιοι ... βενιαμειν 19. om ιδου δη ... τω κυριω ... σηλω ... εν τη οδω τη αναβαινουση εκ β. εις σικιμα κ. α. ν. του λιβανου τ. λεβ. 20. βενιαμειν ... Διελθατε 21. ιδου ως αν ... κατοικουντων σηλω εν σηλω χορευσαι εν χοροις ... απο των ... αρπασετε ανηρ εαυτοις γυναικας ... σηλω· κ. απελευσεσθε ... βενιαμειν 22. προς υμας κ. ερ. προς αυτους Ελεησατε αυτους οτι ... εν τω πολεμω· ου γαρ υμεις εδ. αυτοις· κατα τον καιρον πλημμ. 23. βενιαμειν ... κατα τον αριθμον ... ας διηρπασαν· κ. απεστρεψαν επι την ... ωκοδομ. εαυτοις π. κ. κατωκησαν 24. εις την φυλην α. κ. ε. την ... κ. απηλθεν 25. om δε ... ανηρ εκαστος το ευθ. εν οφθαλμοις αυτου

Subscriptio: κριται

---



Digitized by Google

# Ρ Ο Υ Θ.

## I.

Καὶ ἐγένετο ἐν τῷ κρίνειν τοὺς κριτὰς καὶ ἐγένετο λιμὸς ἐν τῇ γῇ· καὶ
ἐπορεύθη ἀνὴρ ἀπὸ Βηθλεὲμ Ἰούδα τοῦ παροικῆσαι ἐν ἀγρῷ Μωάβ, αὐτὸς
2 καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ δύο υἱοὶ αὐτοῦ. [2] καὶ ὄνομα τῷ ἀνδρὶ Ἐλιμέλεχ,
καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Νωεμίν, καὶ ὄνομα τοῖς δυσὶν υἱοῖς αὐτοῦ Μαα-
λὼν καὶ Χελαιών, Ἐφραθαῖοι ἐκ Βηθλεὲμ τῆς Ἰούδα· καὶ ἤλθοσαν εἰς ἀγρὸν
3 Μωὰβ καὶ ἦσαν ἐκεῖ. [3] καὶ ἀπέθανεν Ἐλιμέλεχ ὁ ἀνὴρ τῆς Νωεμίν, καὶ
4 κατελείφθη αὕτη καὶ οἱ δύο υἱοὶ αὐτῆς. [4] καὶ ἐλάβοσαν ἑαυτοῖς γυναῖκας Μωα-
βίτιδας· ὄνομα τῇ μιᾷ Ὀρφά, καὶ ὄνομα τῇ δευτέρᾳ Ῥούθ· καὶ κατῴκησαν
5 ἐκεῖ ὡς δέκα ἔτη. [5] καὶ ἀπέθανον καί γε ἀμφότεροι, Μααλὼν καὶ Χελαιών·
καὶ κατελείφθη ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἀπὸ τῶν δύο υἱῶν αὐτῆς.
6 [6] καὶ ἀνέστη αὕτη καὶ αἱ δύο νύμφαι αὐτῆς καὶ ἀπέστρεψαν ἐξ ἀγροῦ Μωάβ,
ὅτι ἤκουσεν ἐν ἀγρῷ Μωὰβ ὅτι ἐπέσκεπται κύριος τὸν λαὸν αὐτοῦ δοῦναι αὐ-
7 τοῖς ἄρτους. [7] καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου οὗ ἦν ἐκεῖ, καὶ αἱ δύο νύμφαι αὐτῆς
μετ' αὐτῆς· καὶ ἐπορεύοντο ἐν τῇ ὁδῷ τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν Ἰούδα.
8 [8] καὶ εἶπε Νωεμὶν ταῖς δυσὶ νύμφαις αὐτῆς Πορεύεσθε δὴ ἀποστράφητε ἑκά-
στη εἰς οἶκον μητρὸς αὐτῆς· ποιήσαι κύριος μεθ' ὑμῶν ἔλεος, καθὼς ἐποιή-
9 σατε μετὰ τῶν τεθνηκότων καὶ μετ' ἐμοῦ· [9] δῴη κύριος ὑμῖν καὶ εὕρητε ἀνά-
παυσιν ἑκάστη ἐν οἴκῳ ἀνδρὸς αὐτῆς. καὶ κατεφίλησεν αὐτάς· καὶ ἐπῆραν
10 τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν. [10] καὶ εἶπαν αὐτῇ Μετὰ σοῦ ἐπιστρέφομεν
11 εἰς τὸν λαόν σου. [11] καὶ εἶπε Νωεμὶν Ἐπιστράφητε δή, θυγατέρες μου· καὶ
ἵνα τί πορεύεσθε μετ' ἐμοῦ; μὴ ἔτι μοι υἱοὶ ἐν τῇ κοιλίᾳ μου, καὶ ἔσονται
12 ὑμῖν εἰς ἄνδρας; [12] ἐπιστράφητε δή, θυγατέρες μου, διότι γεγήρακα τοῦ μὴ
εἶναι ἀνδρί· ὅτι εἶπα ὅτι ἔστι μοι ὑπόστασις τοῦ γενηθῆναί με ἀνδρὶ καὶ τέξο-
13 μαι υἱούς, [13] μὴ αὐτοὺς προσδέξεσθε ἕως οὗ ἁδρυνθῶσιν; ἢ αὐτοῖς κατασχε-
θήσεσθε τοῦ μὴ γενέσθαι ἀνδρί; μὴ δή, θυγατέρες μου, ὅτι ἐπικράνθη μοι
14 ὑπὲρ ὑμᾶς, ὅτι ἐξῆλθεν ἐν ἐμοὶ χεὶρ κυρίου. [14] καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν
καὶ ἔκλαυσαν ἔτι· καὶ κατεφίλησεν Ὀρφὰ τὴν πενθερὰν αὐτῆς καὶ ἐπέστρε-
15 ψεν εἰς τὸν λαὸν αὐτῆς, Ῥοὺθ δὲ ἠκολούθησεν αὐτῇ. [15] καὶ εἶπε Νωεμὶν πρὸς
Ῥοὺθ Ἰδοὺ ἀνέστρεψε σύννυμφός σου πρὸς λαὸν αὐτῆς καὶ πρὸς τοὺς θεοὺς
16 αὐτῆς, ἐπιστράφηθι δὴ καὶ σὺ ὀπίσω τῆς συννύμφου σου. [16] εἶπε δὲ Ῥοὺθ
Μὴ ἀπάντησαί μοι τοῦ καταλιπεῖν σε ἢ ἀποστρέψαι ὄπισθέν σου, ὅτι σὺ ὅπου
ἐὰν πορευθῇς πορεύσομαι, καὶ οὗ ἐὰν αὐλισθῇς αὐλισθήσομαι· ὁ λαός σου
17 λαός μου, καὶ ὁ θεός σου θεός μου· [17] καὶ οὗ ἐὰν ἀποθάνῃς ἀποθανοῦμαι,
κἀκεῖ ταφήσομαι· τάδε ποιήσαι μοι κύριος καὶ τάδε προσθείη, ὅτι θάνατος
18 διαστελεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. [18] ἰδοῦσα δὲ Νωεμὶν ὅτι κραταιοῦται αὐτὴ
19 τοῦ πορεύεσθαι μετ' αὐτῆς, ἐκόπασε τοῦ λαλῆσαι πρὸς αὐτὴν ἔτι. [19] ἐπορεύ-
θησαν δὲ ἀμφότεραι ἕως τοῦ παραγενέσθαι αὐτὰς εἰς Βηθλεέμ. καὶ ἐγένετο
ἐν τῷ ἐλθεῖν αὐτὰς εἰς Βηθλεὲμ καὶ ἤχησε πᾶσα ἡ πόλις ἐπ' αὐταῖς, καὶ

---

Inscriptio: ρουθ

I. 1. εγεν. εν ταις ημεραις εν ... της ιουδα 2. αλιμελεχ ... νοεμμειν ... χελεων 3. αλιμελεχ ... νοεμμει 5. απεθαναν ... om και γε ... χελεων 6. επεστρεψαν ... ηκουσαν 7. εξηλθαν ... ησαν εκει ... om την 8. νοομμει ... Πορευθητε δη αποστρ. δη εκ. ε. τον οικ. του πατρος αυτ. 9. δω κυριος 10. επιστρεψομεν 11. νοομμειν ... post μου add πορευθητε (... εις ανδρες) 13. μοι σφοδρα υπερ 15. νοεμμειν ... η συννυμφος ... επιστραφητι 16. εμοι ... om συ 17. κυριος μοι 18. νοεμμειν 19. βαιθλεεμ ... om κ. εγεν. εν τ. ελθ. α. ε. βηθλεεμ ... επ αυτη και

Digitized by Google

εἶπον Εἰ αὕτη ἐστὶ Νωεμίν; [20] καὶ εἶπε πρὸς αὐτάς Μὴ δὴ καλεῖτέ με Νωε- 20
μίν, καλέσατέ με πικράν, ὅτι ἐπικράνθη ἐν ἐμοὶ ὁ ἱκανὸς σφόδρα. [21] ἐγὼ 21
πλήρης ἐπορεύθην, καὶ κενὴν ἀπέστρεψέ με ὁ κύριος· καὶ ἵνα τί καλεῖτέ με
Νωεμίν, καὶ κύριος ἐταπείνωσέ με, καὶ ὁ ἱκανὸς ἐκάκωσέ με; [22] καὶ ἐπέ- 22
στρεψε Νωεμὶν καὶ Ῥοὺθ ἡ Μωαβῖτις ἡ νύμφη αὐτῆς ἐπιστρέφουσαι ἐξ ἀγροῦ
Μωάβ· αὗται δὲ παρεγενήθησαν εἰς Βηθλεὲμ ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

## II.

• Καὶ τῇ Νωεμὶν ἀνὴρ γνώριμος τῷ ἀνδρὶ αὐτῆς· ὁ δὲ ἀνὴρ δυνατὸς ἰσχύϊ
ἐκ τῆς συγγενείας Ἐλιμέλεχ, καὶ ὄνομα αὐτῷ Βοόζ. [2] καὶ εἶπε Ῥοὺθ ἡ Μωα- 2
βῖτις πρὸς Νωεμίν Πορευθῶ δὴ εἰς ἀγρόν, καὶ συνάξω ἐν τοῖς στάχυσι κατό-
πισθεν οὗ ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ. εἶπε δὲ αὐτῇ Πορεύου, θύ-
γατερ. [3] καὶ ἐπορεύθη, καὶ ἐλθοῦσα συνέλεξεν ἐν τῷ ἀγρῷ κατόπισθε τῶν θερι- 3
ζόντων, καὶ περιέπεσε περιπτώματι τῇ μερίδι τοῦ ἀγροῦ Βοὸζ τοῦ ἐκ τῆς
συγγενείας Ἐλιμέλεχ. [4] καὶ ἰδοὺ Βοὸζ ἦλθεν ἐκ Βηθλεὲμ καὶ εἶπε τοῖς θερί- 4
ζουσι Κύριος μεθ' ὑμῶν· καὶ εἶπον αὐτῷ Εὐλογήσαι σε κύριος. [5] καὶ εἶπε 5
Βοὸζ τῷ παιδαρίῳ αὐτοῦ τῷ ἐφεστῶτι ἐπὶ τοὺς θερίζοντας Τίνος ἡ νεᾶνις
αὕτη; [6] καὶ ἀπεκρίθη τὸ παιδάριον τὸ ἐφεστὸς ἐπὶ τοὺς θερίζοντας καὶ εἶπεν 6
Ἡ παῖς ἡ Μωαβῖτίς ἐστιν ἡ ἀποστραφεῖσα μετὰ Νωεμὶν ἐξ ἀγροῦ Μωάβ·
[7] καὶ εἶπε Συλλέξω δὴ καὶ συνάξω ἐν τοῖς δράγμασιν ὄπισθεν τῶν θεριζόν- 7
των, καὶ ἦλθε καὶ ἔστη ἀπὸ πρωΐθεν καὶ ἕως ἑσπέρας, οὐ κατέπαυσεν ἐν
τῷ ἀγρῷ μικρόν. [8] καὶ εἶπε Βοὸζ πρὸς Ῥοὺθ Οὐκ ἤκουσας, θύγατερ; μὴ πο- 8
ρευθῇς ἐν ἀγρῷ συλλέξαι ἑτέρῳ· καὶ σὺ οὐ πορεύσῃ ἐντεῦθεν, ὧδε κολλήθητι
μετὰ τῶν κορασίων μου. [9] οἱ ὀφθαλμοί σου εἰς τὸν ἀγρὸν οὗ ἐὰν θερίζωσι, 9
καὶ πορεύσῃ κατόπισθεν αὐτῶν· ἰδοὺ ἐνετειλάμην τοῖς παιδαρίοις τοῦ μὴ ἅψα-
σθαί σου· καὶ ὅτε διψήσεις, καὶ πορευθήσῃ εἰς τὰ σκεύη καὶ πίεσαι ὅθεν
ἐὰν ὑδρεύωνται τὰ παιδάρια. [10] καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῆς καὶ προσεκύ- 10
νησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε πρὸς αὐτόν Τί ὅτι εὗρον χάριν ἐν ὀφθαλμοῖς σου
τοῦ ἐπιγνῶναί με, καὶ ἐγώ εἰμι ξένη; [11] καὶ ἀπεκρίθη Βοὸζ καὶ εἶπεν αὐτῇ 11
Ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ τῆς πενθερᾶς σου μετὰ τὸ ἀπο-
θανεῖν τὸν ἄνδρα σου, καὶ πῶς κατέλιπες τὸν πατέρα σου καὶ τὴν μητέρα
σου καὶ τὴν γῆν γενέσεώς σου, καὶ ἐπορεύθης πρὸς λαὸν ὃν οὐκ ᾔδεις ἐχθὲς
καὶ τρίτης. [12] ἀποτίσαι κύριος τὴν ἐργασίαν σου· γένοιτο ὁ μισθός σου πλή- 12
ρης παρὰ κυρίου θεοῦ Ἰσραήλ, πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ τὰς πτέρυγας
αὐτοῦ. [13] ἡ δὲ εἶπεν Εὕροιμι χάριν ἐν ὀφθαλμοῖς σου, κύριε, ὅτι παρεκάλε- 13
σάς με, καὶ ὅτι ἐλάλησας ἐπὶ καρδίαν τῆς δούλης σου, καὶ ἰδοὺ ἐγὼ ἔσομαι
ὡς μία τῶν παιδισκῶν σου. [14] καὶ εἶπεν αὐτῇ Βοόζ Ἤδη ὥρα τοῦ φαγεῖν, 14
πρόσελθε ὧδε καὶ φάγεσαι τῶν ἄρτων, καὶ βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει.
καὶ ἐκάθισε Ῥοὺθ ἐκ πλαγίων τῶν θεριζόντων· καὶ ἐβούνισεν αὐτῇ Βοὸζ ἄλ-
φιτον, καὶ ἔφαγε καὶ ἐνεπλήσθη καὶ κατέλιπε. [15] καὶ ἀνέστη τοῦ συλλέγειν 15
καὶ ἐνετείλατο Βοὸζ τοῖς παιδαρίοις αὐτοῦ λέγων Καί γε ἀνὰ μέσον τῶν δραγ-
μάτων συλλεγέτω, καὶ μὴ καταισχύνητε αὐτήν· [16] καὶ βαστάζοντες βαστά- 16
σατε αὐτῇ, καί γε παραβάλλοντες παραβαλεῖτε αὐτῇ ἐκ τῶν βεβουνισμένων,

---

19. ειπ. αυτη τι εστιν νοομμειν 20. om δη ... νοομμειν ... πικριαν 21. νοομμειν ... om κ. ο ικανος εκ. με 22. νοομμειν ... αυτης μετ αυτης επιστρεφουσα ... βαιθλεεμ II. 1. νωεμειν ... δυνατος εν ισχυι ... αβιμελεχ ... βοος 2. νοομμει ... θυγατηρ 3. οπισθεν ... βοος ... αλιμελεχ 4. βοος ... βεθλεεμ ... ειπαν 5. βοος ... om αυτου ... νοομμειν 8. βοος συλλεξαι εν αγρω ... οτι ... οθεν αν υδρευονται 10. προσεχ. επι προσωπον επι την γην· και προσεκυνησεν αυτον κ. ειπεν Τι 11. βοος ... παντα οσα ... κατελειπες 12. και γενοιτο 13. κυριε μου 14. βοος (v. 15. est βοοζ) ... κατελειπεν 16. βασταξατε αυτην



Digitized by Google

17 καὶ φάγεται καὶ συλλέξει, καὶ οὐκ ἐπιτιμήσετε αὐτῇ. 17 καὶ συνέλεξεν ἐν τῷ
ἀγρῷ ἕως ἑσπέρας, καὶ ἐῤῥάβδισεν ἃ συνέλεξε, καὶ ἐγενήθη ὡς οἰφὶ κριθῶν.
18 18 καὶ ἦρε καὶ εἰςῆλθεν εἰς τὴν πόλιν· καὶ εἶδεν ἡ πενθερὰ αὐτῆς ἃ συνέλεξε,
19 καὶ ἐξενέγκασα Ῥοὺθ ἔδωκεν αὐτῇ ἃ κατέλιπεν ἐξ ὧν ἐνεπλήσθη. 19 καὶ εἶπεν
αὐτῇ ἡ πενθερὰ αὐτῆς Ποῦ συνέλεξας σήμερον καὶ ποῦ ἐποίησας; εἴη ὁ ἐπι-
γνούς σε εὐλογημένος. καὶ ἀνήγγειλε Ῥοὺθ τῇ πενθερᾷ αὐτῆς ποῦ ἐποίησε,
20 καὶ εἶπε Τὸ ὄνομα τοῦ ἀνδρὸς μεθ᾽ οὗ ἐποίησα σήμερον Βοόζ. 20 εἶπε δὲ
Νωεμὶν τῇ νύμφῃ αὐτῆς Εὐλογητός ἐστι τῷ κυρίῳ, ὅτι οὐκ ἐγκατέλιπε τὸ
ἔλεος αὐτοῦ μετὰ τῶν ζώντων καὶ μετὰ τῶν τεθνηκότων. καὶ εἶπεν αὐτῇ Νωε-
21 μὶν Ἐγγίζει ἡμῖν ὁ ἀνήρ, ἐκ τῶν ἀγχιστευόντων ἡμῖν ἐστί. 21 καὶ εἶπε Ῥοὺθ
πρὸς τὴν πενθερὰν αὐτῆς Καί γε ὅτι εἶπε πρὸς μέ Μετὰ τῶν κορασίων τῶν
22 ἐμῶν προςκολλήθητι ἕως ἂν τελέσωσιν ὅλον τὸν ἀμητὸν ὃς ὑπάρχει μοι. 22 καὶ
εἶπε Νωεμὶν πρὸς Ῥοὺθ τὴν νύμφην αὐτῆς Ἀγαθόν, θύγατερ, ὅτι ἐξῆλθες
23 μετὰ τῶν κορασίων αὐτοῦ, καὶ οὐκ ἀπαντήσονταί σοι ἐν ἀγρῷ ἑτέρῳ. 23 καὶ
προσεκολλήθη Ῥοὺθ τοῖς κορασίοις τοῦ Βοὸζ τοῦ συλλέγειν ἕως τοῦ συντελέ-
σαι τὸν θερισμὸν τῶν κριθῶν καὶ τῶν πυρῶν.

## III.

Καὶ ἐκάθισε μετὰ τῆς πενθερᾶς αὐτῆς. 1 εἶπε δὲ αὐτῇ Νωεμὶν ἡ πεν-
2 θερὰ αὐτῆς Θύγατερ, οὐ μὴ ζητήσω σοι ἀνάπαυσιν ἵνα εὖ γένηταί σοι; 2 καὶ
νῦν οὐχὶ Βοὸζ γνώριμος ἡμῶν, οὗ ἦς μετὰ τῶν κορασίων αὐτοῦ; ἰδοὺ αὐτὸς
3 λικμᾷ τὸν ἅλωνα τῶν κριθῶν ταύτῃ τῇ νυκτί. 3 σὺ δὲ λούσῃ καὶ ἀλείψῃ καὶ
περιθήσεις τὸν ἱματισμόν σου ἐπὶ σέ, καὶ ἀναβήσῃ ἐπὶ τὸν ἅλω· μὴ γνω-
4 ρισθῇς τῷ ἀνδρὶ ἕως τοῦ συντελέσαι αὐτὸν τοῦ φαγεῖν καὶ πιεῖν. 4 καὶ ἔσται
ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ γνώσῃ τὸν τόπον ὅπου κοιμᾶται ἐκεῖ, καὶ ἐλεύσῃ
καὶ ἀποκαλύψεις τὰ πρὸς ποδῶν αὐτοῦ καὶ κοιμηθήσῃ, καὶ αὐτὸς ἀπαγγελεῖ
5 σοι ἃ ποιήσεις. 5 εἶπε δὲ Ῥοὺθ πρὸς αὐτήν Πάντα ὅσα ἂν εἴπῃς ποιήσω.
6 6 καὶ κατέβη εἰς τὸν ἅλω, καὶ ἐποίησε κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῇ ἡ
7 πενθερὰ αὐτῆς. 7 καὶ ἔφαγε Βοὸζ καὶ ἔπιε, καὶ ἠγαθύνθη ἡ καρδία αὐτοῦ,
καὶ ἦλθε κοιμηθῆναι ἐν μερίδι τῆς στοιβῆς· ἡ δὲ ἦλθεν ἐν κρυφῇ καὶ ἀπε-
8 κάλυψε τὰ πρὸς ποδῶν αὐτοῦ. 8 ἐγένετο δὲ ἐν τῷ μεσονυκτίῳ καὶ ἐξέστη ὁ
9 ἀνὴρ καὶ ἐταράχθη, καὶ ἰδοὺ γυνὴ κοιμᾶται πρὸς ποδῶν αὐτοῦ. 9 εἶπε δέ Τίς
εἶ σύ; ἡ δὲ εἶπεν Ἐγώ εἰμι Ῥοὺθ ἡ δούλη σου, καὶ περιβαλεῖς τὸ πτερύγιόν
10 σου ἐπὶ τὴν δούλην σου, ὅτι ἀγχιστεὺς εἶ σύ. 10 καὶ εἶπε Βοόζ Εὐλογημένη
σὺ τῷ κυρίῳ θεῷ, θύγατερ, ὅτι ἠγάθυνας τὸ ἔλεός σου τὸ ἔσχατον ὑπὲρ τὸ
11 πρῶτον μὴ πορευθῆναί σε ὀπίσω νεανιῶν, εἴτοι πτωχὸς εἴτοι πλούσιος. 11 καὶ
νῦν, θύγατερ, μὴ φοβοῦ· πάντα ὅσα ἐὰν εἴπῃς ποιήσω σοι· οἶδε γὰρ πᾶσα
12 φυλὴ λαοῦ μου ὅτι γυνὴ δυνάμεως εἶ σύ. 12 καὶ νῦν ὁ ἀληθῶς ἀγχιστεὺς ἐγώ
13 εἰμι· καί γέ ἐστιν ἀγχιστεὺς ἐγγίων ὑπὲρ ἐμέ. 13 αὐλίσθητι τὴν νύκτα, καὶ
ἔσται τὸ πρωὶ ἐὰν ἀγχιστεύσῃ σε, ἀγαθόν, ἀγχιστευέτω· ἐὰν δὲ μὴ βούληται
14 ἀγχιστεῦσαί σε, ἀγχιστεύσω σε ἐγώ, ζῇ κύριος· κοιμήθητι ἕως τὸ πρωί. 14 καὶ
ἐκοιμήθη πρὸς ποδῶν αὐτοῦ ἕως πρωί· ἡ δὲ ἀνέστη πρὸ τοῦ ἐπιγνῶναι ἄνδρα
τὸν πλησίον αὐτοῦ· καὶ εἶπε Βοόζ Μὴ γνωσθήτω ὅτι ἦλθε γυνὴ εἰς τὸν ἅλω.

---

16. αφετε pro φαγεται 17. εραβδισεν 18. ιδεν ... κατελειπεν 19. απηγγειλεν ... βοος 20. και ειπεν νοομμειν ... εγκατελειπεν ... νοομμειν ... ημας εστιν 21. παιδαριων 22. νοομμει ... θυγατηρ ... επορευθης μετα 23. κορασιοις βοος συλλεγ. εως ου συνετελεσεν ... κ. τον θερισμον των πυρων III. 1. ειπ. δε νοομμει τη νυμφη αυτης Θυγατηρ ... ευρω σοι 2. βοος 3. περιθησει ... επι σεαυτη ... εως ου ... φαγειν sine του 4. τοπον ου 5. οσα εαν 7. βοος ... ηλθεν κρυβη ... in f. add και εκαθευδεν 8. εξανεστη 10. βοος ... om θεω ... σου το ελαιον ... το μη πορευθηναι 12. και οτι αληθως 13. εως πρωι 14. βοος

Digitized by Google

15 καὶ εἶπεν αὐτῇ Φέρε τὸ περίζωμα τὸ ἐπάνω σου. καὶ ἐκράτησεν αὐτό, καὶ 15
ἐμέτρησεν ἓξ κριϑῶν καὶ ἐπέϑηκεν ἐπ' αὐτήν· καὶ εἰςῆλϑεν εἰς τὴν πόλιν.
16 καὶ Ῥοὺϑ εἰςῆλϑε πρὸς τὴν πενϑερὰν αὐτῆς· ἡ δὲ εἶπεν αὐτῇ Θύγατερ· 16
καὶ εἶπεν αὐτῇ πάντα ὅσα ἐποίησεν αὐτῇ ὁ ἀνήρ. 17 καὶ εἶπεν αὐτῇ Τὰ ἓξ 17
τῶν κριϑῶν ταῦτα ἔδωκέ μοι, ὅτι εἶπε πρὸς μέ Μὴ εἰςέλϑῃς κενὴ πρὸς τὴν
πενϑεράν σου. 18 ἡ δὲ εἶπε Κάϑου, ϑύγατερ, ἕως τοῦ ἐπιγνῶναί σε πῶς οὐ 18
πεσεῖται ῥῆμα· οὐ γὰρ μὴ ἡσυχάσῃ ὁ ἀνὴρ ἕως ἂν τελεσϑῇ τὸ ῥῆμα σήμερον.

## IV.

Καὶ Βοὸζ ἀνέβη ἐπὶ τὴν πύλην καὶ ἐκάϑισεν ἐκεῖ, καὶ ἰδοὺ ὁ ἀγχιστεὺς
παρεπορεύετο ὃν ἐλάλησε Βοόζ. καὶ εἶπε πρὸς αὐτὸν Βοὸζ Ἐκκλίνας κάϑισον
ὧδε κρύφιε· καὶ ἐξέκλινε καὶ ἐκάϑισε. 2 καὶ ἔλαβε Βοὸζ δέκα ἄνδρας ἀπὸ 2
τῶν πρεσβυτέρων τῆς πόλεως καὶ εἶπε Καϑίσατε ὧδε· καὶ ἐκάϑισαν. 3 καὶ 3
εἶπε Βοὸζ τῷ ἀγχιστεῖ Τὴν μερίδα τοῦ ἀγροῦ ἥ ἐστι τοῦ ἀδελφοῦ ἡμῶν τοῦ
Ἐλιμέλεχ, ἣ δέδοται Νωεμὶν τῇ ἐπιστρεφούσῃ ἐξ ἀγροῦ Μωάβ, 4 κἀγὼ εἶπα 4
Ἀποκαλύψω τὸ οὖς σου λέγων Κτῆσαι ἐναντίον τῶν καϑημένων καὶ ἐναντίον
τῶν πρεσβυτέρων τοῦ λαοῦ μου· εἰ ἀγχιστεύεις, ἀγχίστευε· εἰ δὲ μὴ ἀγχι-
στεύεις, ἀνάγγειλόν μοι, καὶ γνώσομαι ὅτι οὐκ ἔστι παρὲξ σοῦ τοῦ ἀγχιστεῦ-
σαι, κἀγώ εἰμι μετὰ σέ. ὁ δὲ εἶπεν Ἐγώ εἰμι, ἀγχιστεύσω. 5 καὶ εἶπε Βοόζ 5
Ἐν ἡμέρᾳ τοῦ κτήσασϑαί σε τὸν ἀγρὸν ἐκ χειρὸς Νωεμὶν καὶ παρὰ Ῥοὺϑ
τῆς Μωαβίτιδος γυναικὸς τοῦ τεϑνηκότος, καὶ αὐτὴν κτήσασϑαί σε δεῖ ὥστε
ἀναστῆσαι τὸ ὄνομα τοῦ τεϑνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ. 6 καὶ εἶπεν 6
ὁ ἀγχιστεύς Οὐ δυνήσομαι ἀγχιστεῦσαι ἐμαυτῷ, μή ποτε διαφϑείρω τὴν κλη-
ρονομίαν μου· ἀγχίστευσον σεαυτῷ τὴν ἀγχιστείαν μου, ὅτι οὐ δυνήσομαι ἀγ-
χιστεῦσαι. 7 καὶ τοῦτο τὸ δικαίωμα ἔμπροσϑεν ἐν τῷ Ἰσραὴλ ἐπὶ τὴν ἀγχι- 7
στείαν καὶ ἐπὶ τὸ ἀντάλλαγμα τοῦ στῆσαι πάντα λόγον, καὶ ὑπελύετο ἀνὴρ
τὸ ὑπόδημα αὐτοῦ καὶ ἐδίδου τῷ πλησίον αὐτοῦ τῷ ἀγχιστεύοντι τὴν ἀγχι-
στείαν αὐτοῦ· καὶ τοῦτο ἦν μαρτύριον ἐν Ἰσραήλ. 8 καὶ εἶπεν ὁ ἀγχιστεὺς τῷ 8
Βοὸζ Κτῆσαι σεαυτῷ τὴν ἀγχιστείαν μου· καὶ ὑπελύσατο τὸ ὑπόδημα αὐτοῦ
καὶ ἔδωκεν αὐτῷ. 9 καὶ εἶπε Βοὸζ τοῖς πρεσβυτέροις καὶ παντὶ τῷ λαῷ Μάρ- 9
τυρες ὑμεῖς σήμερον ὅτι κέκτημαι πάντα τὰ τοῦ Ἐλιμέλεχ καὶ πάντα ὅσα
ὑπάρχει τῷ Χελαιὼν καὶ τῷ Μααλὼν ἐκ χειρὸς Νωεμίν· 10 καί γε Ῥοὺϑ τὴν 10
Μωαβῖτιν τὴν γυναῖκα Μααλὼν κέκτημαι ἐμαυτῷ εἰς γυναῖκα τοῦ ἀναστῆσαι
τὸ ὄνομα τοῦ τεϑνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ, καὶ οὐκ ἐξολοϑρευϑή-
σεται τὸ ὄνομα τοῦ τεϑνηκότος ἐκ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἐκ τῆς φυλῆς λαοῦ
αὐτοῦ· μάρτυρες ὑμεῖς σήμερον. 11 καὶ εἴποσαν πᾶς ὁ λαὸς οἱ ἐν τῇ πύλῃ 11
Μάρτυρες. καὶ οἱ πρεσβύτεροι εἴποσαν Δῴη κύριος τὴν γυναῖκά σου τὴν εἰς-
πορευομένην εἰς τὸν οἶκόν σου ὡς Ῥαχὴλ καὶ ὡς Λείαν, αἳ ᾠκοδόμησαν ἀμ-
φότεραι τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ ἐποίησαν δύναμιν ἐν Ἐφραϑά, καὶ ἔσται
ὄνομα ἐν Βηϑλεέμ· 12 καὶ γένοιτο οἶκος σοῦ ὡς οἶκος Φαρές, ὃν ἔτεκε Θάμαρ 12
τῷ Ἰούδᾳ, ἐκ τοῦ σπέρματος οὗ δώσει κύριός σοι ἐκ τῆς παιδίσκης ταύτης.
13 καὶ ἔλαβε Βοὸζ τὴν Ῥούϑ, καὶ ἐγενήϑη αὐτῷ εἰς γυναῖκα, καὶ εἰςῆλϑε 13
πρὸς αὐτήν· καὶ ἔδωκεν αὐτῇ κύριος κύησιν, καὶ ἔτεκεν υἱόν. 14 καὶ εἶπαν 14

---

16. η δε ειπεν Τις ει ϑυγατηρ 17. ησυχασει ... τελεση IV. 1. βοος ... ο αγχιστευτης ... ον ειπεν βοος ... βοος ... κρυφη 2. 3. βοος 3. om τω αγχιστει ... ητις εστιν ... αβιμελεχ ... νωεμειν 5. βοος (non v. 8.) ... νοομμει ... αναστησασϑαι σε 7. εμπροσϑεν ισραηλ ... στησαι τον λογον ... ο ανηρ ... om τω αγχιστευοντι 9. om βοοζ ... αβιμελεχ ... χαιλεων ... νοομμει 10. εξολεϑρευϑησεται ... του λαου 11. και ειπαν πας ... γυναικαν ... ραχην ... οικοδομησαν ... τον οικον ισραηλ και ποιησαι ... βαιϑλεεμ 12. ο οικος σου ως ο οικος 13. βοος ... εγενετο ... εδ. κυρ. κοιησιν αυτη κ. εγεννησεν υιον

Digitized by Google

αἱ γυναῖκες πρὸς Νωεμὶν Εὐλογητὸς κύριος ὃς οὐ κατέλυσέ σοι σήμερον τὸν
15 ἀγχιστέα, καὶ καλέσαι τὸ ὄνομά σου ἐν Ἰσραήλ· 15 καὶ ἔσται σοι εἰς ἐπιστρέ-
φοντα ψυχὴν καὶ τοῦ διαϑρέψαι τὴν πολιάν σου, ὅτι ἡ νύμφη ἡ ἀγαπήσασά
16 σε ἔτεκεν αὐτόν, ἥ ἐστιν ἀγαϑή σοι ὑπὲρ ἑπτὰ υἱούς. 16 καὶ ἔλαβε Νωεμὶν
τὸ παιδίον καὶ ἔϑηκεν εἰς τὸν κόλπον αὐτῆς, καὶ ἐγενήϑη αὐτῷ εἰς τιϑηνόν.
17 17 καὶ ἐκάλεσαν αὐτοῦ αἱ γείτονες ὄνομα λέγουσαι Ἐτέχϑη υἱὸς τῇ Νωεμίν,
καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ Ὠβήδ· οὗτος πατὴρ Ἰεσσαὶ πατρὸς Δαυίδ.
18 19 18 καὶ αὗται αἱ γενέσεις Φαρές· Φαρὲς ἐγέννησε τὸν Ἑσρώμ, 19 Ἑσρὼμ ἐγέν-
20 νησε τὸν Ἀράμ, καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδάβ, 20 καὶ Ἀμιναδὰβ ἐγέννησε
21 τὸν Ναασσών, καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών, 21 καὶ Σαλμὼν ἐγέννησε
22 τὸν Βοόζ, καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ, 22 καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί,
καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαυίδ.

Τέλος τῆς Ῥούϑ.

---

# ΒΑΣΙΛΕΙΩΝ

## ΠΡΩΤΗ.

### I.

Ἄνϑρωπος ἦν ἐξ Ἀρμαϑαὶμ Σιφὰ ἐξ ὄρους Ἐφραΐμ, καὶ ὄνομα αὐτῷ
2 Ἑλκανὰ υἱὸς Ἱερεμεὴλ υἱοῦ Ἠλιοὺ υἱοῦ Θοκὲ ἐν Νασὶβ Ἐφραΐμ. 2 καὶ τούτῳ
δύο γυναῖκες· ὄνομα τῇ μιᾷ Ἄννα, καὶ ὄνομα τῇ δευτέρᾳ Φεννάνα· καὶ ἦν
3 τῇ Φεννάνᾳ παιδία, καὶ τῇ Ἄννᾳ οὐκ ἦν παιδίον. 3 καὶ ἀνέβαινεν ὁ ἄνϑρω-
πος ἐξ ἡμερῶν εἰς ἡμέρας ἐκ πόλεως αὐτοῦ ἐξ Ἀρμαϑαὶμ προσκυνεῖν καὶ ϑύειν
κυρίῳ τῷ ϑεῷ Σαβαὼϑ εἰς Σηλώμ· καὶ ἐκεῖ Ἡλὶ καὶ οἱ δύο υἱοὶ αὐτοῦ
4 Ὀφνὶ καὶ Φινεὲς ἱερεῖς τοῦ κυρίου. 4 καὶ ἐγενήϑη ἡμέρα καὶ ἔϑυσεν Ἑλκανά,
5 καὶ ἔδωκε τῇ Φεννάνᾳ γυναικὶ αὐτοῦ καὶ τοῖς υἱοῖς αὐτῆς μερίδας· 5 καὶ τῇ
Ἄννᾳ ἔδωκε μερίδα μίαν, ὅτι οὐκ ἦν αὐτῇ παιδίον, πλὴν ὅτι τὴν Ἄνναν ἠγάπα
6 Ἑλκανὰ ὑπὲρ ταύτην. καὶ κύριος ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς, 6 ὅτι
οὐκ ἔδωκεν αὐτῇ κύριος παιδίον κατὰ τὴν ϑλῖψιν αὐτῆς καὶ κατὰ τὴν ἀϑυ-
μίαν τῆς ϑλίψεως αὐτῆς· καὶ ἠϑύμει διὰ τοῦτο ὅτι συνέκλεισε κύριος τὰ περὶ
7 τὴν μήτραν αὐτῆς τοῦ μὴ δοῦναι αὐτῇ παιδίον. 7 οὕτως ἐποίει ἐνιαυτὸν κατ᾿
ἐνιαυτὸν ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον κυρίου, καὶ ἠϑύμει καὶ ἔκλαιε, καὶ
8 οὐκ ἤσϑιε. 8 καὶ εἶπεν αὐτῇ Ἑλκανὰ ὁ ἀνὴρ αὐτῆς Ἄννα· καὶ εἶπεν αὐτῷ Ἰδοὺ
ἐγώ, κύριε· καὶ εἶπεν αὐτῇ Τί ἐστί σοι ὅτι κλαίεις; καὶ ἵνα τί οὐκ ἐσϑίεις;
καὶ ἵνα τί τύπτει σε ἡ καρδία σου, οὐκ ἀγαϑὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα;
9 9 καὶ ἀνέστη Ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλὼμ καὶ κατέστη ἐνώπιον

---

14. νοομμειν 15. η νυμφη σου η 16. νοομμειν ... εϑηκεν αυτο 17. νωεμειν 19. εσρων (v. 18. est εσρωμ) ... τον αρραν, αρραν δε 21. βοος 22. in f. add τον βασιλεα

Subscriptio: τελος της ρουϑ

---

Inscriptio: βασιλειων α

I. 1. Και εγενετο ανϑρωπος εις εξ α. σωφιμ ... υιος ιεροαμ υι. ελιου υι. ϑοου υιου σουπ εφραϑαιος 2. παιδια, τη δε αννα 3. ανεβεννεν ο α. εκεινος ... εξ ημ. εις ημ. pon. post εκ πολ. α. εξ αρμαϑεμ ... προςκυνειν κυριω ϑεω σαβ. εν σηλω ... ηλει και δυο 4. πασιν τοις υι. α. και ταις ϑυγατρασιν αυτης μερ. 5. πλην επει την ... ο κυριος συναπεκλισεν ... συναπεκλισεν 7. και ουτως 8. om αυτω ... om κυριε ... και δια τι ουκ εσϑιεις ... ουκ εγω ειμι αγαϑ. σοι 9. post σηλωμ add και μετα το πιειν

κυρίου, καὶ Ἡλὶ ὁ ἱερεὺς ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν ναοῦ κυρίου. [10] καὶ 10
αὐτὴ κατώδυνος ψυχῇ, καὶ προςηύξατο πρὸς κύριον, καὶ κλαίουσα ἔκλαυσε.
[11] καὶ ηὔξατο εὐχὴν κυρίῳ λέγουσα Ἀδωναΐ κύριε Ἐλωὲ Σαβαώθ, ἐὰν ἐπι- 11
βλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου καὶ μνησθῇς μου καὶ
δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρῶν, καὶ δώσω αὐτὸν ἐνώπιόν σου δοτὸν ἕως
ἡμέρας θανάτου αὐτοῦ· καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται, καὶ σίδηρος οὐκ
ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. [12] καὶ ἐγενήθη ὅτε ἐπλήθυνε προσευχο- 12
μένη ἐνώπιον κυρίου, καὶ Ἡλὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς. [13] καὶ αὐτη 13
ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο καὶ φωνὴ αὐτῆς
οὐκ ἠκούετο, καὶ ἐλογίσατο αὐτὴν Ἡλὶ εἰς μεθύουσαν. [14] καὶ εἶπεν αὐτῇ τὸ 14
παιδάριον Ἡλί Ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου καὶ πορεύου ἐκ
προςώπου κυρίου. [15] καὶ ἀπεκρίθη Ἄννα καὶ εἶπεν Οὐχί, κύριε· γυνὴ ἡ σκληρὰ 15
ἡμέρᾳ ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν
μου ἐνώπιον κυρίου· [16] μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμήν, ὅτι ἐκ 16
πλήθους ἀδολεσχίας μου ἐκτέταχα ἕως νῦν. [17] καὶ ἀπεκρίθη Ἡλὶ καὶ εἶπεν 17
αὐτῇ Πορεύου εἰς εἰρήνην, ὁ θεὸς Ἰσραὴλ δῴη σοι πᾶν αἴτημά σου ὃ ᾐτήσω
παρ' αὐτοῦ. [18] καὶ εἶπεν Εὗρεν ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου. καὶ 18
ἐπορεύθη ἡ γυνὴ εἰς τὴν ὁδὸν αὐτῆς· καὶ εἰςῆλθεν εἰς τὸ κατάλυμα αὐτῆς,
καὶ ἔφαγε μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἔπιε, καὶ τὸ πρόσωπον αὐτῆς οὐ συν-
έπεσεν ἔτι. [19] καὶ ὀρθρίζουσι τὸ πρωὶ καὶ προςκυνοῦσι τῷ κυρίῳ, καὶ πορεύον- 19
ται τὴν ὁδὸν αὐτῶν. καὶ εἰςῆλθεν Ἑλκανὰ εἰς τὸν οἶκον αὐτοῦ Ἀρμαθαίμ,
καὶ ἔγνω τὴν Ἄνναν γυναῖκα αὐτοῦ, καὶ ἐμνήσθη αὐτῆς κύριος. [20] καὶ συν- 20
έλαβε, καὶ ἐγενήθη τῷ καιρῷ τῶν ἡμερῶν καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ
ὄνομα αὐτοῦ Σαμουὴλ καὶ εἶπεν Ὅτι παρὰ κυρίου θεοῦ Σαβαὼθ ᾐτησάμην
αὐτόν. [21] καὶ ἀνέβη ὁ ἄνθρωπος Ἑλκανὰ καὶ πᾶς ὁ οἶκος αὐτοῦ θῦσαι ἐν 21
Σηλὼμ τὴν θυσίαν τῶν ἡμερῶν καὶ τὰς εὐχὰς αὐτοῦ καὶ πάσας τὰς δεκάτας
τῆς γῆς αὐτοῦ· [22] καὶ Ἄννα οὐκ ἀνέβη μετ' αὐτοῦ, ὅτι εἶπε τῷ ἀνδρὶ αὐτῆς 22
Ἕως τοῦ ἀναβῆναι τὸ παιδάριον ἐὰν ἀπογαλακτίσω αὐτό, καὶ ὀφθήσεται τῷ
προσώπῳ κυρίου, καὶ καθήσεται ἕως αἰῶνος ἐκεῖ. [23] καὶ εἶπεν αὐτῇ Ἑλκανὰ 23
ὁ ἀνὴρ αὐτῆς Ποίει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου, κάθου ἕως ἂν ἀπογαλα-
κτίσῃς αὐτό, ἀλλὰ στῆσαι κύριος τὸ ἐξελθὸν ἐκ τοῦ στόματός σου. καὶ ἐκά-
θισεν ἡ γυνὴ καὶ ἐθήλασε τὸν υἱὸν αὐτῆς ἕως ἂν ἀπογαλακτίσῃ αὐτόν· [24] καὶ 24
ἀνέβη μετ' αὐτοῦ εἰς Σηλὼμ ἐν μόσχῳ τριετίζοντι καὶ ἄρτοις καὶ οἰφὶ σεμι-
δάλεως καὶ νέβελ οἴνου. καὶ εἰςῆλθεν εἰς οἶκον κυρίου ἐν Σηλώμ, καὶ τὸ
παιδάριον μετ' αὐτῶν· καὶ προςήγαγον ἐνώπιον κυρίου, καὶ ἔσφαξεν ὁ πατὴρ
αὐτοῦ τὴν θυσίαν ἣν ἐποίει ἐξ ἡμερῶν εἰς ἡμέρας τῷ κυρίῳ. καὶ προςήγαγε
τὸ παιδάριον, [25] καὶ ἔσφαξε τὸν μόσχον· καὶ προςήγαγεν Ἄννα ἡ μήτηρ τοῦ 25
παιδαρίου πρὸς Ἡλὶ [26] καὶ εἶπεν Ἐν ἐμοί, κύριε· ζῇ ἡ ψυχή σου, ἐγὼ ἡ 26
γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου μετὰ σοῦ ἐν τῷ προσεύξασθαι πρὸς κύριον.
[27] ὑπὲρ τοῦ παιδαρίου τούτου προςηυξάμην, καὶ ἔδωκέ μοι κύριος τὸ αἴτημά 27

---

9. ηλει ο ιε. εμαθετο (pro εκαθητο?) επι 11. τω κυριω ... και ελωαι pro κυριε ελωε ... post μνησθ. μου add και μη επιλαθης της δουλης σου ... δοτον ενωπιον σου εως ημερα ... ου μη πιηται 12. ηλει 13. κ. αννα ελαλει ... πλην τα χειλη ... ηλει 14. ηλει ... οιν. σου απο σου 15. κυριε μου ... εκχεω ενωπιον κυριου την ψυχην μου 16. αδ. μου και αθυμιας εκτεταχα 17. ηλει 18. om αυτης sec. 19. πορευοντ. και ηλθον την ... εγνω ελκανα την 20. om κ. συνελαβεν ... post ημερων add και συνελαβεν αννα ... εν τω καιρω 22. εκει εως αιωνος 23. καθου εως ου απογ. 24. εις σηλωμ ηνικα απεγαλακτισεν αυτον ... εις τον οικον κυριου σηλωμ ... προςηγαγον pro προςηγαγε 25. το παιδαριον πρ. ηλει 26. κυριος ... σου, κυριε μου, εγω ... om μετα σου ... εν τουτω προσευξασθαι 27. κυριος μοι

Digitized by Google

28 μου ὃ ᾐτησάμην παρ' αὐτοῦ· 28 κἀγὼ κιχρῶ αὐτὸν τῷ κυρίῳ πάσας τὰς ἡμέ-
ρας ἃς ζῇ αὐτός, χρῆσιν τῷ κυρίῳ.

## II.

Καὶ εἶπεν Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑψώθη κέρας μου ἐν θεῷ
μου, ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίᾳ σου·
2 2 ὅτι οὐκ ἔστιν ἅγιος ὡς κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ θεὸς ἡμῶν, οὐκ
3 ἔστιν ἅγιος πλὴν σοῦ. 3 μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλά, μὴ ἐξελθέτω
μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν· ὅτι θεὸς γνώσεων κύριος, καὶ θεὸς
4 ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. 4 τόξον δυνατῶν ἠσθένησε, καὶ ἀσθενοῦντες
5 περιεζώσαντο δύναμιν. 5 πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆ-
6 καν γῆν· ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε. 6 κύριος
7 θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει. 7 κύριος πτωχίζει καὶ
8 πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ. 8 ἀνιστᾷ ἀπὸ γῆς πένητα καὶ ἀπὸ κοπρίας
ἐγείρει πτωχόν, καθίσαι μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης κατακληρο-
9 νομῶν αὐτοῖς, 9 διδοὺς εὐχὴν τῷ εὐχομένῳ· καὶ εὐλόγησεν ἔτη δικαίου, ὅτι
10 οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ. 10 κύριος ἀσθενῆ ποιήσει ἀντίδικον αὐτοῦ, κύριος
ἅγιος. μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ μὴ καυχάσθω
ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ
αὐτοῦ· ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν τὸν
κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. κύριος ἀνέβη εἰς
οὐρανοὺς καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, καὶ δίδωσιν ἰσχὺν τοῖς βασι-
11 λεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. 11 καὶ κατέλιπεν αὐτὸν ἐκεῖ
ἐνώπιον κυρίου, καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ· καὶ τὸ παιδάριον ἦν λειτουργῶν
12 τῷ προσώπῳ κυρίου ἐνώπιον Ἠλὶ τοῦ ἱερέως. 12 καὶ οἱ υἱοὶ Ἠλὶ τοῦ ἱερέως
υἱοὶ λοιμοί, οὐκ εἰδότες τὸν κύριον. καὶ τὸ δικαίωμα τοῦ ἱερέως παρὰ τοῦ
13 λαοῦ παντὸς τοῦ θύοντος· 13 καὶ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως ὡς ἂν ἡψήθη
14 τὸ κρέας, καὶ κρεάγρα τριόδους ἐν τῇ χειρὶ αὐτοῦ, 14 καὶ ἐπάταξεν αὐτὴν
εἰς τὸν λέβητα τὸν μέγαν ἢ εἰς τὸ χαλκεῖον ἢ εἰς τὴν χύτραν, καὶ πᾶν ὃ
ἐὰν ἀνέβη ἐν τῇ κρεάγρᾳ ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς· κατὰ τάδε ἐποίουν παντὶ
15 Ἰσραὴλ τοῖς ἐρχομένοις θῦσαι κυρίῳ ἐν Σηλώμ. 15 καὶ πρὶν θυμιαθῆναι τὸ
στέαρ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως καὶ ἔλεγε τῷ ἀνδρὶ τῷ θύοντι Δὸς
κρέας ὀπτῆσαι τῷ ἱερεῖ, καὶ οὐ μὴ λάβω παρὰ σοῦ κρέας ἑφθὸν ἐκ τοῦ λέβη-
16 τος. 16 καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων Θυμιαθήτω πρῶτον ὡς καθήκει τὸ στέαρ,
καὶ λάβε σεαυτῷ ἐκ πάντων ὧν ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ εἶπεν Οὐχί, ὅτι
17 νῦν δώσεις· καὶ ἐὰν μή, λήψομαι κραταιῶς. 17 καὶ ἦν ἡ ἁμαρτία ἐνώπιον
18 κυρίου τῶν παιδαρίων μεγάλη σφόδρα, ὅτι ἠθέτουν τὴν θυσίαν κυρίου. 18 καὶ
Σαμουὴλ ἦν λειτουργῶν ἐνώπιον κυρίου, παιδάριον περιεζωσμένον Ἐφοὺδ
19 Βάδ. 19 καὶ διπλοΐδα μικρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ, καὶ ἀνέφερεν
αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέρας ἐν τῷ ἀναβαίνειν αὐτὴν μετὰ τοῦ ἀνδρὸς αὐτῆς
20 θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν. 20 καὶ εὐλόγησεν Ἠλὶ τὸν Ἐλκανὰ καὶ τὴν
γυναῖκα αὐτοῦ λέγων Ἀποτίσαι σοι κύριος σπέρμα ἐκ τῆς γυναικὸς ταύτης
ἀντὶ τοῦ χρέους οὗ ἔχρησας τῷ κυρίῳ· καὶ ἀπῆλθεν ὁ ἄνθρωπος εἰς τὸν τόπον

---

II. 1. Και προσευξατο αννα και ειπεν ... το στ. μου επ εχθρ. μου ... οτι ηυφρανθην 2. plene: ουκ εστ. αγ. ως κυριος· και ουκ εστιν πλην σου· και ουκ εστ. δικ. ως ο θ. ημων 3. υψηλα εις υπεροχην, μη εξελθατω μεγαλορημοσυνη ... επιτηδ. αυτων 8. καθισαι αυτον μ. δ. λαων 9. δικαιων 10. ασθενην ... αλλ η εν 11. κατελειπον ... απηλθον εις αρμ. εις τον οικον αυτων ... ηλει 12. ηλει 14. εις τον λουτηρα η εις τον λεβητα τ. μ. η εις την χ. η ε. τον χαλκον, παν ο ... ο ιερευς εαυτω· κατα ταυτα δε 16. om και ελεγεν ... ο ανθρωπος ο θυων ... τι pro οτι ... λημψομαι 17. ενωπ. κυρ. post σφοδρα pon. 18. βαρ 19. διπλοειδαν 20. ηλει ... κυριος σοι

Digitized by Google

αὐτοῦ. [21] καὶ ἐπεσκέψατο κύριος τὴν Ἄνναν, καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς καὶ 21
δύο θυγατέρας· καὶ ἐμεγαλύνθη τὸ παιδάριον Σαμουὴλ ἐνώπιον κυρίου. [22] καὶ 22
Ἠλὶ πρεσβύτης σφόδρα, καὶ ἤκουσεν ἃ ἐποίουν οἱ υἱοὶ αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ,
[23] καὶ εἶπεν αὐτοῖς Ἵνα τί ποιεῖτε κατὰ τὸ ῥῆμα τοῦτο ὃ ἐγὼ ἀκούω ἐκ στό- 23
ματος παντὸς τοῦ λαοῦ κυρίου; [24] μή, τέκνα, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ ἣν ἐγὼ 24
ἀκούω, μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ ἃς ἐγὼ ἀκούω τοῦ μὴ
δουλεύειν λαὸν θεῷ. [25] ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύ- 25
ξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον· καὶ ἐὰν τῷ κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται
ὑπὲρ αὐτοῦ; καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πατρὸς αὐτῶν, ὅτι βουλόμενος
ἐβούλετο κύριος διαφθεῖραι αὐτούς. [26] καὶ τὸ παιδάριον Σαμουὴλ ἐπορεύετο, 26
καὶ ἦν ἀγαθὸν μετὰ κυρίου καὶ μετὰ ἀνθρώπων. [27] καὶ ἦλθεν ὁ ἄνθρωπος 27
θεοῦ πρὸς Ἠλὶ καὶ εἶπε Τάδε λέγει κύριος Ἀποκαλυφθεὶς ἀπεκαλύφθην πρὸς
οἶκον τοῦ πατρός σου, ὄντων αὐτῶν ἐν γῇ Αἰγύπτῳ δούλων τῷ οἴκῳ Φαραώ·
[28] καὶ ἐξελεξάμην τὸν οἶκον τοῦ πατρός σου ἐκ πάντων τῶν σκήπτρων Ἰσραὴλ 28
ἐμοὶ ἱερατεύειν, τοῦ ἀναβαίνειν ἐπὶ θυσιαστήριόν μου καὶ θυμιᾶν θυμίαμα καὶ
αἴρειν Ἐφούδ· καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου τὰ πάντα τοῦ πυρὸς υἱῶν
Ἰσραὴλ εἰς βρῶσιν. [29] καὶ ἵνα τί ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου καὶ εἰς τὴν 29
θυσίαν μου ἀναιδεῖ ὀφθαλμῷ; καὶ ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμὲ ἐνευ-
λογεῖσθαι ἀπαρχῆς πάσης θυσίας τοῦ Ἰσραὴλ ἔμπροσθέν μου; [30] διὰ τοῦτο 30
τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Εἶπα Ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πα-
τρός σου διελεύσεται ἐνώπιόν μου ἕως αἰῶνος. καὶ νῦν φησὶ κύριος Μηδαμῶς
ἐμοί, ὅτι ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμωθή-
σεται. [31] ἰδοὺ ἔρχονται ἡμέραι καὶ ἐξολοθρεύσω τὸ σπέρμα σοῦ καὶ τὸ σπέρμα 31
οἴκου πατρός σου, [32] καὶ οὐκ ἔσται σοι πρεσβύτης ἐν οἴκῳ μου πάσας τὰς 32
ἡμέρας. [33] καὶ ἄνδρα οὐκ ἐξολοθρεύσω σοι ἀπὸ τοῦ θυσιαστηρίου μου, ἐκλεί- 33
πειν τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ καταρρεῖν τὴν ψυχὴν αὐτοῦ, καὶ πᾶς περισ-
σεύων οἴκου σου πεσοῦνται ἐν ῥομφαίᾳ ἀνδρῶν. [34] καὶ τοῦτό σοι τὸ σημεῖον 34
ὃ ἥξει ἐπὶ τοὺς δύο υἱούς σου Ὀφνὶ καὶ Φινεές, ἐν μιᾷ ἡμέρᾳ ἀποθανοῦνται
ἀμφότεροι. [35] καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ 35
μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει· καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστόν, καὶ
διελεύσεται ἐνώπιον χριστοῦ μου πάσας τὰς ἡμέρας. [36] καὶ ἔσται ὁ περισσεύων 36
ἐν οἴκῳ σου ἥξει προσκυνεῖν αὐτῷ ὀβολοῦ ἀργυρίου λέγων Παράρριψόν με ἐπὶ
μίαν τῶν ἱερατειῶν σου φαγεῖν ἄρτον.

## III.

Καὶ τὸ παιδάριον Σαμουὴλ ἦν λειτουργῶν τῷ κυρίῳ ἐνώπιον Ἠλὶ τοῦ
ἱερέως· καὶ ῥῆμα κυρίου ἦν τίμιον ἐν ταῖς ἡμέραις ἐκείναις, οὐκ ἦν ὅρασις
διαστέλλουσα. [2] καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ Ἠλὶ ἐκάθευδεν ἐν τῷ τόπῳ 2

---

21. και συνελαβεν κ. ετεκεν 22. ηλει ... ηκουσεν συμπαντα α ... in f. add και ως εκομιζον τας γυναικας τας παρεστωσας παρα την θυραν της σκηνης του μαρτυριου 23. ακουω ρηματα πονηρα εκ στ. του λ. κυρ. τουτου 25. αμαρτανων αμαρτανη ... περι pro υπερ sec. 26. επορευετο μεγαλυνομενον και αγαθον και μετα κυρ. και 27. ηλει ... om του ... εν τη αιγυπτω 28. επελεξαμην ... om των (... ιερεαψευειν) ... om του ... επι το θυσιαστ. ... εφουδ ενωπιον εμου 29. επεβλεψατε ... om μου sec. ... θυσιας ισραηλ 30. ταδε ειπεν ... ειπας ... δοξαζω ... ατιμασθησεται 31. ημεραι ερχονται 32. plene: και ουκ εσται σου πρεσβυτης εν οικω μου· και επιβλεψη κραταιωμα μουων εν πασιν οις αγαθυνει τον ισραηλ· και ουκ εσται πρεσβυτης εν τω οικω σου πασας τας ημερας 33. παν περισσευον 34. ηξαι ... σου τουτους προς εφνει και φ. εν ημ. μια (... αμφοτεραι) 35. in f. add μου 36. om και ... πας ο περισσευων ... προσκυνησαι ... αργυριου και εν αρτω εν (corrige ενι) ... παραριψον ... ιερατιων III. 1. ηλει 2. ηλει

Digitized by Google

αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἤρξαντο βαρύνεσθαι καὶ οὐκ ἠδύναντο βλέπειν·
3 [3]καὶ ὁ λύχνος τοῦ θεοῦ πρὶν ἐπισκευασθῆναι, καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ
4 ναῷ οὗ ἡ κιβωτὸς τοῦ θεοῦ. [4]καὶ ἐκάλεσε κύριος Σαμουὴλ Σαμουήλ· καὶ
5 εἶπεν Ἰδοὺ ἐγώ. [5]καὶ ἔδραμε πρὸς Ἠλὶ καὶ εἶπεν Ἰδοὺ ἐγώ, ὅτι κέκληκάς
με· καὶ εἶπεν Οὐ κέκληκά σε, ἀνάστρεφε κάθευδε. καὶ ἀνέστρεψε καὶ ἐκά-
6 θευδε. [6]καὶ προσέθετο κύριος καὶ ἐκάλεσε Σαμουὴλ Σαμουήλ· καὶ ἐπορεύθη
πρὸς Ἠλὶ τὸ δεύτερον καὶ εἶπεν Ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με· καὶ εἶπεν Οὐ
7 κέκληκά σε, ἀνάστρεφε κάθευδε. [7]καὶ Σαμουὴλ πρὶν γνῶναι θεὸν καὶ ἀπο-
8 καλυφθῆναι αὐτῷ ῥῆμα κυρίου. [8]καὶ προσέθετο κύριος καλέσαι Σαμουὴλ ἐν
τρίτῳ· καὶ ἀνέστη καὶ ἐπορεύθη πρὸς Ἠλὶ καὶ εἶπεν Ἰδοὺ ἐγώ, ὅτι κέκληκάς
9 με. καὶ ἐσοφίσατο Ἠλὶ ὅτι κύριος κέκληκε τὸ παιδάριον, [9]καὶ εἶπεν Ἀνά-
στρεφε κάθευδε, τέκνον· καὶ ἔσται ἐὰν καλέσῃ σε, καὶ ἐρεῖς Λάλει, ὅτι ἀκούει
10 ὁ δοῦλός σου. καὶ ἐπορεύθη Σαμουὴλ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ αὐτοῦ. [10]καὶ
ἦλθε κύριος καὶ κατέστη, καὶ ἐκάλεσεν αὐτὸν ὡς ἅπαξ καὶ ἅπαξ· καὶ εἶπε
11 Σαμουὴλ Λάλει, ὅτι ἀκούει ὁ δοῦλός σου. [11]καὶ εἶπε κύριος πρὸς Σαμουήλ
Ἰδοὺ ἐγὼ ποιῶ τὰ ῥήματά μου ἐν Ἰσραήλ· παντὸς ἀκούοντος αὐτά, ἠχήσει
12 ἀμφότερα τὰ ὦτα αὐτοῦ. [12]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγερῶ ἐπὶ Ἠλὶ πάντα ὅσα
13 ἐλάλησα εἰς τὸν οἶκον αὐτοῦ, ἄρξομαι καὶ ἐπιτελέσω. [13]καὶ ἀνήγγελκα αὐτῷ
ὅτι ἐκδικῶ ἐγὼ τὸν οἶκον αὐτοῦ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ, ὅτι κα-
κολογοῦντες θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτοὺς καὶ οὐδ' οὕτως.
14 [14]ὤμοσα τῷ οἴκῳ Ἠλί Εἰ ἐξιλασθήσεται ἀδικία οἴκου Ἠλὶ ἐν θυμιάματι
15 καὶ ἐν θυσίαις ἕως αἰῶνος. [15]καὶ κοιμᾶται Σαμουὴλ ἕως πρωί, καὶ ὤρθρισε
τὸ πρωὶ καὶ ἤνοιξε τὰς θύρας οἴκου κυρίου· καὶ Σαμουὴλ ἐφοβήθη ἀπαγγεῖ-
16 λαι τὴν ὅρασιν. [16]καὶ εἶπεν Ἠλὶ πρὸς Σαμουήλ Σαμουὴλ τέκνον· καὶ εἶπεν
17 Ἰδοὺ ἐγώ. [17]καὶ εἶπε Τί τὸ ῥῆμα τὸ λαληθὲν πρὸς σέ; μὴ δὴ κρύψῃς ἀπ'
ἐμοῦ· τάδε ποιήσαι σοι ὁ θεὸς καὶ τάδε προσθείη, ἐὰν κρύψῃς ἀπ' ἐμοῦ
18 ῥῆμα ἐκ πάντων τῶν λόγων τῶν λαληθέντων σοι ἐν τοῖς ὠσί σου. [18]καὶ ἀπήγ-
γειλε Σαμουὴλ πάντας τοὺς λόγους, καὶ οὐκ ἔκρυψεν ἀπ' αὐτοῦ· καὶ εἶπεν
19 Ἠλί Κύριος αὐτός, τὸ ἀγαθὸν ἐνώπιον αὐτοῦ ποιήσει. [19]καὶ ἐμεγαλύνθη Σα-
μουὴλ καὶ ἦν κύριος μετ' αὐτοῦ, καὶ οὐκ ἔπεσεν ἀπὸ πάντων τῶν λόγων
20 αὐτοῦ ἐπὶ τὴν γῆν. [20]καὶ ἔγνωσαν πᾶς Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ* He. 11. 32.
21 ὅτι πιστὸς Σαμουὴλ εἰς προφήτην τῷ κυρίῳ. [21]καὶ προσέθετο κύριος δηλω-
θῆναι ἐν Σηλώμ, ὅτι ἀπεκαλύφθη κύριος πρὸς Σαμουήλ· καὶ ἐπιστεύθη Σα-
μουὴλ τοῦ προφήτης γενέσθαι τῷ κυρίῳ εἰς πάντα Ἰσραὴλ ἀπ' ἄκρων τῆς
γῆς καὶ ἕως ἄκρων. καὶ Ἠλὶ πρεσβύτης σφόδρα, καὶ οἱ υἱοὶ αὐτοῦ πορευό-
μενοι ἐπορεύοντο, καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον κυρίου.

## IV.

Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συναθροίζονται ἀλλόφυλοι ἐπὶ
Ἰσραὴλ εἰς πόλεμον· καὶ ἐξῆλθεν Ἰσραὴλ εἰς ἀπάντησιν αὐτοῖς εἰς πόλεμον,
καὶ παρεμβάλλουσιν ἐπὶ Ἀβενέζερ, καὶ οἱ ἀλλόφυλοι παρεμβάλλουσιν ἐν Ἀφέκ.
2 [2]καὶ παρατάσσονται ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ Ἰσραήλ· καὶ ἔκλινεν ὁ πόλε-

---

2. ηδυνατο 3. εν τω οικω κυριου (5. om και εδραμε usque ιδου εγω) 6. εκαλεσεν ετι ... και ανεστη σαμουηλ κ. επορ. πρ. ηλει ... σε, υιε μου, αναστρεφε 7. πριν η γν. τον θεον 8. επι σαμουηλ ... ηλει bis 9. και ειπ. ηλει τω σαμουηλ ... λαλει κυριε οτι 10. ante κ. ειπε add σαμουηλ σαμουηλ 11. ωστε παντος 12. ηλει 13. κ. ανηνεγκα αυτω ο. εκδικησω επι τον ... θεον υιοι 14. ηλει bis 15. αναγγειλαι τ. ορ. τω ηλει 16. ηλει 17. μη διακρυψης ... ε. παντων λογων 18. κ. απηγγ. αυτω ... ηλει ... αυτου αυτος ποιησει 19. και κυριος ην 20. βηρσαβεαι 21. om του ... γενεσθαι του κυριου ... γης εως ... ηλει IV. 1. εις πολ. επι ισραηλ ... εις απαντ. αυτ. ισρ. εις ... αβεννεζερ 2. οι αλλοφ.

Digitized by Google

μος, καὶ ἔπταισεν ἀνὴρ Ἰσραὴλ ἐνώπιον ἀλλοφύλων, καὶ ἐπλήγησαν ἐν τῇ
παρατάξει ἐν ἀγρῷ τέσσαρες χιλιάδες ἀνδρῶν. [3] καὶ ἦλθεν ὁ λαὸς εἰς τὴν παρ- 3
εμβολήν, καὶ εἶπαν οἱ πρεσβύτεροι Ἰσραὴλ Κατὰ τί ἔπταισεν ἡμᾶς κύριος
σήμερον ἐνώπιον ἀλλοφύλων; λάβωμεν τὴν κιβωτὸν τοῦ θεοῦ ἡμῶν ἐκ Σηλώμ,
καὶ ἐξελθέτω ἐκ μέσου ἡμῶν καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. [4] καὶ 4
ἀπέστειλεν ὁ λαὸς εἰς Σηλώμ, καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβωτὸν κυρίου κα-
θημένου Χερουβίμ· καὶ ἀμφότεροι οἱ υἱοὶ Ἡλὶ μετὰ τῆς κιβωτοῦ, Ὀφνὶ καὶ
Φινεές. [5] καὶ ἐγενήθη ὡς ἦλθεν ἡ κιβωτὸς κυρίου εἰς τὴν παρεμβολήν, καὶ 5
ἀνέκραξε πᾶς Ἰσραὴλ φωνῇ μεγάλῃ, καὶ ἤχησεν ἡ γῆ. [6] καὶ ἤκουσαν οἱ ἀλ- 6
λόφυλοι τῆς κραυγῆς, καὶ εἶπον οἱ ἀλλόφυλοι Τίς ἡ κραυγὴ ἡ μεγάλη αὕτη
ἐν τῇ παρεμβολῇ τῶν Ἑβραίων; καὶ ἔγνωσαν ὅτι κιβωτὸς κυρίου ἥκει εἰς τὴν
παρεμβολήν. [7] καὶ ἐφοβήθησαν οἱ ἀλλόφυλοι καὶ εἶπον Οὗτοι οἱ θεοὶ ἥκασι 7
πρὸς αὐτοὺς εἰς τὴν παρεμβολήν· οὐαὶ ἡμῖν· ἐξελοῦ ἡμᾶς, κύριε, σήμερον, ὅτι
οὐ γέγονε τοιαύτη ἐχθὲς καὶ τρίτην. [8] οὐαὶ ἡμῖν, τίς ἐξελεῖται ἡμᾶς ἐκ χει- 8
ρὸς τῶν θεῶν τῶν στερεῶν τούτων; οὗτοι οἱ θεοὶ οἱ πατάξαντες τὴν Αἴγυ-
πτον ἐν πάσῃ πληγῇ καὶ ἐν τῇ ἐρήμῳ. [9] κραταιοῦσθε καὶ γίνεσθε εἰς ἄνδρας, 9
ἀλλόφυλοι, ὅπως μὴ δουλεύσητε τοῖς Ἑβραίοις καθὼς ἐδούλευσαν ἡμῖν, καὶ
ἔσεσθε εἰς ἄνδρας καὶ πολεμήσατε αὐτούς. [10] καὶ ἐπολέμησαν αὐτούς· καὶ 10
πταίει ἀνὴρ Ἰσραήλ, καὶ ἔφυγεν ἕκαστος εἰς σκήνωμα αὐτοῦ· καὶ ἐγένετο
πληγὴ μεγάλη σφόδρα, καὶ ἔπεσον ἐξ Ἰσραὴλ τριάκοντα χιλιάδες ταγμάτων.
[11] καὶ κιβωτὸς τοῦ θεοῦ ἐλήφθη, καὶ ἀμφότεροι οἱ υἱοὶ Ἡλὶ ἀπέθανον, Ὀφνὶ 11
καὶ Φινεές. [12] καὶ ἔδραμεν ἀνὴρ Ἰεμιναῖος ἐκ τῆς παρατάξεως καὶ ἦλθεν εἰς 12
Σηλὼμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα καὶ γῆ ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ. [13] καὶ ἦλθε, καὶ ἰδοὺ Ἡλὶ ἐπὶ τοῦ δίφρου παρὰ τὴν πύ- 13
λην σκοπεύων τὴν ὁδόν, ὅτι ἦν καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ
τοῦ θεοῦ· καὶ ὁ ἄνθρωπος εἰςῆλθεν εἰς τὴν πόλιν ἀπαγγεῖλαι, καὶ ἀνεβόησεν
ἡ πόλις. [14] καὶ ἤκουσεν Ἡλὶ τὴν φωνὴν τῆς βοῆς καὶ εἶπε Τίς ἡ φωνὴ τῆς 14
βοῆς ταύτης; καὶ ὁ ἄνθρωπος σπεύσας εἰςῆλθε καὶ ἀπήγγειλε τῷ Ἡλί. [15] καὶ 15
Ἡλὶ υἱὸς ἐνενήκοντα ἐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν καὶ οὐκ ἐπέ-
βλεπε· καὶ εἶπεν Ἡλὶ τοῖς ἀνδράσι τοῖς περιεστηκόσιν αὐτῷ Τίς ἡ φωνὴ τοῦ
ἤχου τούτου; [16] καὶ ὁ ἀνὴρ σπεύσας προςῆλθε πρὸς Ἡλὶ καὶ εἶπεν αὐτῷ Ἐγώ 16
εἰμι ὁ ἥκων ἐκ τῆς παρεμβολῆς, κἀγὼ πέφευγα ἐκ τῆς παρατάξεως σήμερον.
καὶ εἶπεν Ἡλί Τί τὸ γεγονὸς ῥῆμα, τέκνον; [17] καὶ ἀπεκρίθη τὸ παιδάριον 17
καὶ εἶπε Πέφευγεν ἀνὴρ Ἰσραὴλ ἐκ προςώπου ἀλλοφύλων, καὶ ἐγένετο πληγὴ
μεγάλη ἐν τῷ λαῷ, καὶ ἀμφότεροι οἱ υἱοί σου τεθνήκασι, καὶ ἡ κιβωτὸς τοῦ
θεοῦ ἐλήφθη. [18] καὶ ἐγένετο ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ θεοῦ, καὶ ἔπεσεν 18
ἀπὸ τοῦ δίφρου ὀπισθίως ἐχόμενος τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ
καὶ ἀπέθανεν, ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς· καὶ αὐτὸς ἔκρινε τὸν
Ἰσραὴλ εἴκοσι ἔτη. [19] καὶ νύμφη αὐτοῦ γυνὴ Φινεὲς συνειληφυῖα τοῦ τεκεῖν· 19
καὶ ἤκουσε τὴν ἀγγελίαν ὅτι ἐλήφθη ἡ κιβωτὸς τοῦ θεοῦ καὶ ὅτι τέθνηκεν ὁ
πενθερὸς αὐτῆς καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ ἔκλαυσε καὶ ἔτεκεν, ὅτι ἐπεστράφη-

---

3. λαβ. προς ημας εκ σηλ. την κιβ. της διαθηκης του θεου ημων εις σηλωμ ... εμμεσω 4. την κιβ. της διαθηκης κυρ. των δυναμεων καθημενου χερουβειν ... αμφοτ. υιοι ηλει ... κιβωτ. της διαθηκης του θεου ... οφνει 5. κιβωτ. διαθηκης κυρ. 6. την φωνην της κραυγης ... ειπαν ... η κραυγη του αλαλαγμου η ... om τη 7. ουαι ημιν pon. post σημερον ... τριτης 8. ουτοι εισιν οι 9. αλλοφυλ. μη ποτε 11. η κιβωτος ... εληµφθη ... ηλει ... οφνει 12. ιεμμιναιος ... διερρηγοτα 13. ηλει εκαθητο επι ... η καρδια ... απαγγ. εις τ. π. 14. ηλει bis 15. κ. ηλει υι. ων εν. και οκτω ετων ... οι οφθ. αυτων ... εβλεπεν ... ηλει 16. ηλει ... και εγω εκ τ. παρ. πεφευγα ... om ηλι 17. κ. πλ. μεγ. εγενετο ... τεθνηκασιν οφνει και φινεες ... εληµφθη 19. εληµφθη

Digitized by Google

20 σαν ἐπ᾽ αὐτὴν ὠδῖνες αὐτῆς, [20] καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει. καὶ εἶπον
αὐτῇ αἱ γυναῖκες αἱ παρεστηκυῖαι αὐτῇ Μὴ φοβοῦ, ὅτι υἱὸν τέτοκας· καὶ οὐκ
21 ἀπεκρίθη, καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐτῆς. [21] καὶ ἐκάλεσε τὸ παιδάριον Οὐαι-
βαρχαβὼθ ὑπὲρ τῆς κιβωτοῦ τοῦ θεοῦ καὶ ὑπὲρ τοῦ πενθεροῦ αὐτῆς καὶ ὑπὲρ
22 τοῦ ἀνδρὸς αὐτῆς. [22] καὶ εἶπαν Ἀπῴκισται δόξα Ἰσραὴλ ἐν τῷ ληφθῆναι τὴν
κιβωτὸν κυρίου.

## V.

Καὶ ἀλλόφυλοι ἔλαβον τὴν κιβωτὸν τοῦ θεοῦ καὶ εἰςήνεγκαν αὐτὴν ἐξ
2 Ἀβενέζερ εἰς Ἄζωτον. [2] καὶ ἔλαβον ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου καὶ εἰςήνεγ-
3 καν αὐτὴν εἰς οἶκον Δαγών, καὶ παρέστησαν αὐτὴν παρὰ Δαγών. [3] καὶ ὤρ-
θρισαν οἱ Ἀζώτιοι καὶ εἰςῆλθον εἰς οἶκον Δαγών, καὶ εἶδον καὶ ἰδοὺ Δαγὼν
πεπτωκὼς ἐπὶ πρόςωπον αὐτοῦ ἐνώπιον κιβωτοῦ τοῦ θεοῦ· καὶ ἤγειραν τὸν
Δαγὼν καὶ κατέστησαν εἰς τὸν τόπον αὐτοῦ. καὶ ἐβαρύνθη χεὶρ κυρίου ἐπὶ
τοὺς Ἀζωτίους καὶ ἐβασάνισεν αὐτούς, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας
4 αὐτῶν, τὴν Ἄζωτον καὶ τὰ ὅρια αὐτῆς. [4] καὶ ἐγένετο ὅτε ὤρθρισαν τὸ πρωΐ,
καὶ ἰδοὺ Δαγὼν πεπτωκὼς ἐπὶ πρόςωπον αὐτοῦ ἐνώπιον κιβωτοῦ διαθήκης
κυρίου· καὶ κεφαλὴ Δαγὼν καὶ ἀμφότερα τὰ ἴχνη χειρῶν αὐτοῦ ἀφῃρημένα
ἐπὶ τὰ ἐμπρόσθια Ἀμαφὲθ ἕκαστοι, καὶ ἀμφότεροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ
5 πεπτωκότες ἐπὶ τὸ πρόθυρον, πλὴν ἡ ῥάχις Δαγὼν ὑπελείφθη. [5] διὰ τοῦτο οὐκ
ἐπιβαίνουσιν οἱ ἱερεῖς Δαγὼν καὶ πᾶς ὁ εἰςπορευόμενος εἰς οἶκον Δαγὼν ἐπὶ
βαθμὸν οἴκου Δαγὼν ἐν Ἀζώτῳ ἕως τῆς ἡμέρας ταύτης, ὅτι ὑπερβαίνοντες
6 ὑπερβαίνουσι. [6] καὶ ἐβαρύνθη ἡ χεὶρ κυρίου ἐπὶ Ἄζωτον καὶ ἐπήγαγεν αὐτοῖς,
καὶ ἐξέζεσεν αὐτοῖς εἰς τὰς ναῦς, καὶ μέσον τῆς χώρας αὐτῆς ἀνεφύησαν
7 μύες· καὶ ἐγένετο σύγχυσις θανάτου μεγάλη ἐν τῇ πόλει. [7] καὶ εἶδον οἱ ἄνδρες
Ἀζώτου ὅτι οὕτως, καὶ λέγουσιν ὅτι οὐ καθήσεται κιβωτὸς τοῦ θεοῦ Ἰσραὴλ
8 μεθ᾽ ἡμῶν, ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ Δαγὼν θεὸν ἡμῶν. [8] καὶ
ἀποστέλλουσι καὶ συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύλων πρὸς αὐτοὺς καὶ
λέγουσι Τί ποιήσωμεν τῇ κιβωτῷ θεοῦ Ἰσραήλ; καὶ λέγουσιν οἱ Γεθαῖοι Με-
τελθέτω κιβωτὸς τοῦ θεοῦ πρὸς ἡμᾶς· καὶ μετῆλθε κιβωτὸς τοῦ θεοῦ Ἰσραὴλ
9 εἰς Γέθ. [9] καὶ ἐγενήθη μετὰ τὸ μετελθεῖν αὐτὴν καὶ γίνεται χεὶρ κυρίου τῇ
πόλει, τάραχος μέγας σφόδρα· καὶ ἐπάταξε τοὺς ἄνδρας τῆς πόλεως ἀπὸ μι-
κροῦ ἕως μεγάλου, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν. καὶ ἐποίησαν
10 οἱ Γεθαῖοι ἑαυτοῖς ἕδρας, [10] καὶ ἐξαποστέλλουσι τὴν κιβωτὸν τοῦ θεοῦ εἰς
Ἀσκάλωνα. καὶ ἐγενήθη ὡς εἰςῆλθε κιβωτὸς θεοῦ εἰς Ἀσκάλωνα, καὶ ἐβόη-
σαν οἱ Ἀσκαλωνῖται λέγοντες Τί ἀπεστρέψατε τὴν κιβωτὸν τοῦ θεοῦ Ἰσραὴλ
11 πρὸς ἡμᾶς θανατῶσαι ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν; [11] καὶ ἐξαποστέλλουσι καὶ
συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύλων καὶ εἶπον Ἐξαποστείλατε τὴν κιβω-
τὸν τοῦ θεοῦ Ἰσραήλ, καὶ καθισάτω εἰς τὸν τόπον αὐτῆς, καὶ οὐ μὴ θανα-
τώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν· ὅτι ἐγενήθη σύγχυσις ἐν ὅλῃ τῇ πόλει βαρεῖα

---

21. ουαιχαβωθ· και ειπαν υπερ 22. om και ειπαν ... απο ισραηλ ... λημφθηναι ... in f. add και δια το τεθνηκεναι τον πενθερον αυτης και τον ανδρα αυτης και ειπεν απωκισται δοξα απο ισραηλ οτι ελημφθη η κιβωτος του θεου V. 1. αβεννεζερ 2. του κυριου 3. οι αζ. τη επαυριον κ. εις-ηλθαν ... ιδαν ... αυτου επι την γην ενωπιον ... κατεστησαν αυτον ... το οριον 4. το πρωι τη επαυριον ... αυτου επι την γην ενωπιον ... η κεφαλη ... εμπροσθεια ... εκαστον 5. βαθμον πλην η ραχις γαζεε οικου ... υπερ-βεννουσιν 6. εβαρ. χειρ ... επ αζωτον ... εις τας εδρας ... χυσις 7. ιδον ... οτι ουτως λεγουσιν 8. τους παντας σατραπας ... om τη ... γεθθαιοι ... κιβ. θεου ισραηλ ... μετηλθ. η κιβ. του θεου εις γεθθα 9. εν τη πολει ... και εως ... γεθθαιοι 10. om κ. εγενηθη usque ασκαλωνα ... om προς ημας 11. αποστελλουσιν ... παντας τους ... ειπαν ... συγχυσις θανατου

Digitized by Google

σφόδρα, ὡς εἰσῆλθε κιβωτὸς θεοῦ Ἰσραὴλ ἐκεῖ. [12] καὶ οἱ ζῶντες καὶ οὐκ 12
ἀποθανόντες ἐπλήγησαν εἰς τὰς ἕδρας· καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς
τὸν οὐρανόν.

## VI.

Καὶ ἦν ἡ κιβωτὸς ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑπτὰ μῆνας, καὶ ἐξέζεσεν
ἡ γῆ αὐτῶν μύας. [2] καὶ καλοῦσιν ἀλλόφυλοι τοὺς ἱερεῖς καὶ τοὺς μάντεις καὶ 2
τοὺς ἐπαοιδοὺς αὐτῶν λέγοντες Τί ποιήσωμεν τῇ κιβωτῷ κυρίου; γνωρίσατε
ἡμῖν ἐν τίνι ἀποστελοῦμεν αὐτὴν εἰς τὸν τόπον αὐτῆς. [3] καὶ εἶπαν Εἰ ἐξαπο- 3
στέλλετε ὑμεῖς τὴν κιβωτὸν διαθήκης κυρίου θεοῦ Ἰσραήλ, μὴ δὴ ἐξαποστεί-
λητε αὐτὴν κενήν, ἀλλὰ ἀποδιδόντες ἀπόδοτε αὐτῇ τῆς βασάνου, καὶ τότε
ἰαθήσεσθε, καὶ ἐξιλασθήσεται ὑμῖν· μὴ οὐκ ἀποστῇ ἡ χεὶρ αὐτοῦ ἀφ᾽ ὑμῶν;
[4] καὶ λέγουσι Τί τὸ τῆς βασάνου ἀποδώσομεν αὐτῇ; καὶ εἶπαν Κατὰ ἀριθμὸν 4
τῶν σατραπῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς, ὅτι πταῖσμα ἐν ὑμῖν καὶ
τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ, [5] καὶ μῦς χρυσοῦς ὁμοίωμα τῶν μυῶν ὑμῶν 5
τῶν διαφθειρόντων τὴν γῆν· καὶ δώσετε τῷ κυρίῳ δόξαν, ὅπως κουφίσῃ τὴν
χεῖρα αὐτοῦ ἀφ᾽ ὑμῶν καὶ ἀπὸ τῶν θεῶν ὑμῶν καὶ ἀπὸ τῆς γῆς ὑμῶν. [6] καὶ 6
ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραὼ τὴν
καρδίαν αὐτῶν; οὐχὶ ὅτε ἐνέπαιξεν αὐτοῖς, ἐξαπέστειλαν αὐτοὺς καὶ ἀπῆλθον;
[7] καὶ νῦν λάβετε καὶ ποιήσατε ἅμαξαν καινὴν καὶ δύο βόας πρωτοτοκούσας 7
ἄνευ τῶν τέκνων· καὶ ζεύξατε τὰς βόας ἐν τῇ ἁμάξῃ, καὶ ἀπαγάγετε τὰ τέκνα
ἀπὸ ὄπισθεν αὐτῶν εἰς οἶκον. [8] καὶ λήψεσθε τὴν κιβωτὸν καὶ θήσετε αὐτὴν 8
ἐπὶ τὴν ἅμαξαν, καὶ τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου καὶ
θήσετε ἐν θέματι Βερσεχθὰν ἐκ μέρους αὐτῆς, καὶ ἐξαποστελεῖτε αὐτὴν καὶ
ἀπελάσατε αὐτήν, καὶ ἀπελεύσεσθε· [9] καὶ ὄψεσθε, εἰ ὁδὸν ὁρίων αὐτῆς πο- 9
ρεύσεται μετὰ Βαιθσαμύς, αὐτὸς πεποίηκεν ἡμῖν τὴν κακίαν τὴν μεγάλην ταύ-
την· καὶ ἐὰν μή, καὶ γνωσόμεθα ὅτι οὐ χεὶρ αὐτοῦ ἧπται ἡμῶν, ἀλλὰ σύμ-
πτωμα τοῦτο γέγονεν ἡμῖν. [10] καὶ ἐποίησαν οἱ ἀλλόφυλοι οὕτω, καὶ ἔλαβον 10
δύο βόας πρωτοτοκούσας καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ, καὶ τὰ τέκνα αὐ-
τῶν ἀπεκώλυσαν εἰς οἶκον· [11] καὶ ἔθεντο τὴν κιβωτὸν κυρίου ἐπὶ τὴν ἅμαξαν, 11
καὶ τὸ θέμα Ἐργὰβ καὶ τοὺς μῦς τοὺς χρυσοῦς. [12] καὶ κατεύθυναν αἱ βόες 12
ἐν τῇ ὁδῷ εἰς ὁδὸν Βαιθσαμύς, ἐν τρίβῳ ἑνὶ ἐπορεύοντο καὶ ἐκοπίων, καὶ οὐ
μεθίσταντο δεξιὰ οὐδὲ ἀριστερά· καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων ἐπορεύοντο
ὀπίσω αὐτῆς ἕως ὁρίων Βαιθσαμύς. [13] καὶ οἱ ἐν Βαιθσαμὺς ἐθέριζον θερισμὸν 13
πυρῶν ἐν κοιλάδι, καὶ ἦραν ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον κιβωτὸν κυρίου, καὶ
ηὐφράνθησαν εἰς ἀπάντησιν αὐτῆς. [14] καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν Ὡσηὲ 14
τὸν ἐν Βαιθσαμύς, καὶ ἔστησαν ἐκεῖ παρ᾽ αὐτῇ λίθον μέγαν· καὶ σχίζουσι τὰ
ξύλα τῆς ἁμάξης, καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ κυρίῳ. [15] καὶ 15
οἱ Λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν τοῦ κυρίου καὶ τὸ θέμα Ἐργὰβ μετ᾽ αὐ-
τῆς καὶ τὰ ἐπ᾽ αὐτῆς σκεύη τὰ χρυσᾶ, καὶ ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγά-
λου· καὶ οἱ ἄνδρες Βαιθσαμὺς ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ θυσίας ἐν τῇ ἡμέρᾳ

---

11. om ισραηλ VI. 1. η κιβ. κυριου 2. του κυριου ... και εν τινι 3. ειπον ... μη δη αποστειλητε ... αποστη χειρ 4. χρυσας και πεντε μυας χρυσους 5. και ποιησετε ομοιωμα των εδρων υμων και ομοιωμα των μυων υμων ... κουφισει 6. ως εβαρυνθη ... εξαπεστειλεν 7. καινην μιαν ... om απο 8. λημψεσθε τ. κιβ. κυριου ... αποδ. αυτα της β. και ου θησετε ε. θ. αργοζ ... εξαποστειλατε ... om και απελασ. αυτην ... κ. απελευσεται· 9. ει εις οδον ... πορ. και κατα βεθθαμυς 10. ουτως 11. θεμα αργοζ ... in f. add και τας εικονας των εδρων αυτων 12. κατηυθυναν ... βεθσαμυς ... βεθθαμυς 13. βεθθαμυς ... ιδαν ... ευφρανθησαν 14. αγρον ιησου ... βεθσαμυς ... παρ αυτην ... ανηνεγκαν ολοκαρπωσιν 15. om του ... αργοζ ... βεθθαμυς ... και εθυσαν θυσιαν

Digitized by Google

16 ἐκείνῃ τῷ κυρίῳ. 16 καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων, καὶ ἀνέ-
17 στρεψαν εἰς Ἀσκάλωνα τῇ ἡμέρᾳ ἐκείνῃ. 17 καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ ἃς
ἀπέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ κυρίῳ, τῆς Ἀζώτου μίαν, τῆς Γάζης
18 μίαν, τῆς Ἀσκάλωνος μίαν, τῆς Γὲθ μίαν, τῆς Ἀκκαρὼν μίαν. 18 καὶ μῦς οἱ
χρυσοῖ κατ' ἀριθμὸν πασῶν πόλεων τῶν ἀλλοφύλων τῶν πέντε σατραπῶν ἐκ
πόλεως ἐστερεωμένης καὶ ἕως κώμης τοῦ Φερεζαίου καὶ ἕως λίθου τοῦ με-
γάλου, οὗ ἐπέθηκαν ἐπ' αὐτοῦ τὴν κιβωτὸν διαθήκης κυρίου, τοῦ ἐν ἀγρῷ
19 Ὡσηὲ τοῦ Βαιθσαμυσίτου. 19 καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ Ἰεχονίου ἐν τοῖς ἀν-
δράσι Βαιθσαμύς, ὅτι εἶδαν κιβωτὸν κυρίου· καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδο-
μήκοντα ἄνδρας καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν. καὶ ἐπένθησεν ὁ λαὸς ὅτι
20 ἐπάταξε κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα. 20 καὶ εἶπαν οἱ ἄνδρες
οἱ ἐκ Βαιθσαμύς Τίς δυνήσεται διελθεῖν ἐνώπιον κυρίου τοῦ θεοῦ τοῦ ἁγίου
21 τούτου; καὶ πρὸς τίνα ἀναβήσεται κιβωτὸς κυρίου ἀφ' ἡμῶν; 21 καὶ ἀπο-
στέλλουσιν ἀγγέλους πρὸς τοὺς κατοικοῦντας Καριαθιαρὶμ λέγοντες Ἀπεστρόφασιν
ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου, κατάβητε καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

## VII.

Καὶ ἔρχονται οἱ ἄνδρες Καριαθιαρὶμ καὶ ἀνάγουσι τὴν κιβωτὸν διαθή-
κης κυρίου, καὶ εἰσάγουσιν αὐτὴν εἰς οἶκον Ἀμιναδὰβ τὸν ἐν τῷ βουνῷ· καὶ
τὸν Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν τὴν κιβωτὸν διαθήκης κυρίου.
2 2 καὶ ἐγενήθη ἀφ' ἧς ἡμέρας ἦν ἡ κιβωτὸς ἐν Καριαθιαρίμ, ἐπλήθυναν αἱ
ἡμέραι· καὶ ἐγένετο εἴκοσι ἔτη, καὶ ἐπέβλεψε πᾶς οἶκος Ἰσραὴλ ὀπίσω κυ-
3 ρίου. 3 καὶ εἶπε Σαμουὴλ πρὸς πάντα οἶκον Ἰσραὴλ λέγων Εἰ ἐν ὅλῃ καρδίᾳ
ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς κύριον, περιέλετε θεοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν
καὶ τὰ ἄλση, καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς κύριον καὶ δουλεύσατε
4 αὐτῷ μόνῳ, καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἀλλοφύλων. 4 καὶ περιεῖλον οἱ υἱοὶ
5 Ἰσραὴλ τὰς Βααλὶμ καὶ τὰ ἄλση Ἀσταρώθ, καὶ ἐδούλευσαν κυρίῳ μόνῳ. 5 καὶ
εἶπε Σαμουὴλ Ἀθροίσατε πάντα Ἰσραὴλ εἰς Μασσηφάθ, καὶ προσεύξομαι περὶ
6 ὑμῶν πρὸς κύριον. 6 καὶ συνήχθησαν εἰς Μασσηφάθ, καὶ ὑδρεύονται ὕδωρ καὶ
ἐξέχεαν ἐνώπιον κυρίου ἐπὶ τὴν γῆν· καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ
εἶπαν Ἡμαρτήκαμεν ἐνώπιον κυρίου· καὶ ἐδίκαζε Σαμουὴλ τοὺς υἱοὺς Ἰσραὴλ
7 εἰς Μασσηφάθ. 7 καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι συνηθροίσθησαν πάντες οἱ υἱοὶ
Ἰσραὴλ εἰς Μασσηφάθ, καὶ ἀνέβησαν σατράπαι ἀλλοφύλων ἐπὶ Ἰσραήλ· καὶ
8 ἀκούουσιν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου ἀλλοφύλων. 8 καὶ
εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Σαμουὴλ Μὴ παρασιωπήσῃς ἀφ' ἡμῶν τοῦ μὴ
9 βοᾶν πρὸς κύριον θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων. 9 καὶ ἔλαβε
Σαμουὴλ ἄρνα γαλαθηνὸν ἕνα καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωσιν σὺν παντὶ τῷ
λαῷ τῷ κυρίῳ· καὶ ἐβόησε Σαμουὴλ πρὸς κύριον περὶ Ἰσραήλ, καὶ ἐπήκου-
10 σεν αὐτοῦ κύριος. 10 καὶ ἦν Σαμουὴλ ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ ἀλλό-
φυλοι προσῆγον εἰς πόλεμον ἐπὶ Ἰσραήλ· καὶ ἐβρόντησε κύριος ἐν φωνῇ με-
γάλῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τοὺς ἀλλοφύλους, καὶ συνεχύθησαν καὶ ἔπταισαν
11 ἐνώπιον Ἰσραήλ. 11 καὶ ἐξῆλθον ἄνδρες Ἰσραὴλ ἐκ Μασσηφὰθ καὶ κατεδίωξαν
12 τοὺς ἀλλοφύλους, καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ Βαιθχόρ. 12 καὶ ἔλαβε

---

16. εις ακχαρων (17. om εδραι) 18. om χρυσοι ... πασ. των πολεων ... σατραπιων ... φερεζεου ... επεθεσαν ... post κυριου add και εως της ημερας ταυτης ... αγρω ιησου του βεθθαμυσιτου 19. εσμενισαν υιοι ... βεθθαμυς ... ειδον 20. βεθσαμυς 21. (αποστελουσιν ...) χαριαθειαρειμ VII. 1. χαριαθιαρειμ ... υιον sine τον ... ηναγκασαν φυλασσειν 2. καρειαθιαρειμ ... εγενοντο ... πας ο οικος 3. τους θεους τους αλλ. 4. περιειλαν ... βααλειμ ... τω κυριω 5. τον παντα ... μασηφατι 6. μασηφατ bis 7. om οι prim. ... μασηφατ 10. 11. om και συνεχυθησαν usque κατεδ. τ. αλλοφυλους 11. επαταξεν ... βελχορ

Σαμουὴλ λίθον ἕνα καὶ ἔστησεν αὐτὸν ἀνὰ μέσον Μασσηφὰθ καὶ ἀνὰ μέσον
τῆς παλαιᾶς, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀβενέζερ, λίθος τοῦ βοηθοῦ, καὶ
εἶπεν Ἕως ἐνταῦθα ἐβοήθησεν ἡμῖν κύριος. [13] καὶ ἐταπείνωσε κύριος τοὺς 13
ἀλλοφύλους, καὶ οὐ προσέθεντο ἔτι προσελθεῖν εἰς ὅριον Ἰσραήλ· καὶ ἐγενήθη
χεὶρ κυρίου ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας τοῦ Σαμουήλ. [14] καὶ ἀπε- 14
δόθησαν αἱ πόλεις ἃς ἔλαβον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέ-
δωκαν αὐτὰς τῷ Ἰσραὴλ ἀπὸ Ἀσκάλωνος ἕως Ἀζόβ, καὶ τὸ ὅριον Ἰσραὴλ
ἀφείλοντο ἐκ χειρὸς ἀλλοφύλων· καὶ ἦν εἰρήνη ἀνὰ μέσον Ἰσραὴλ καὶ ἀνὰ
μέσον τοῦ Ἀμοῤῥαίου. [15] καὶ ἐδίκαζε Σαμουὴλ τὸν Ἰσραὴλ πάσας τὰς ἡμέρας 15
τῆς ζωῆς αὐτοῦ· [16] καὶ ἐπορεύετο κατ' ἐνιαυτὸν ἐνιαυτὸν καὶ ἐκύκλου Βαι- 16
θὴλ καὶ τὴν Γάλγαλα καὶ τὴν Μασσηφάθ, καὶ ἐδίκαζε τὸν Ἰσραὴλ ἐν πᾶσι
τοῖς ἡγιασμένοις τούτοις. [17] ἡ δὲ ἀποστροφὴ αὐτοῦ εἰς Ἀρμαθαίμ, ὅτι ἐκεῖ 17
ἦν ὁ οἶκος αὐτοῦ· καὶ ἐδίκαζεν ἐκεῖ τὸν Ἰσραήλ, καὶ ᾠκοδόμησεν ἐκεῖ θυ-
σιαστήριον τῷ κυρίῳ.

## VIII.

Καὶ ἐγένετο ὡς ἐγήρασε Σαμουήλ, καὶ κατέστησε τοὺς υἱοὺς αὐτοῦ δι-
καστὰς τῷ Ἰσραήλ. [2] καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ· πρωτότοκος 2
Ἰωήλ, καὶ ὄνομα τοῦ δευτέρου Ἀβιά, δικασταὶ ἐν Βηρσαβεέ. [3] καὶ οὐκ ἐπο- 3
ρεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ αὐτοῦ, καὶ ἐξέκλιναν ὀπίσω τῆς συντελείας
καὶ ἐλάμβανον δῶρα καὶ ἐξέκλινον δικαιώματα. [4] καὶ συναθροίζονται ἄνδρες 4
Ἰσραὴλ καὶ παραγίνονται εἰς Ἀρμαθαὶμ πρὸς Σαμουήλ, [5] καὶ εἶπαν αὐτῷ Ἰδοὺ 5
*Act.13, σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου· καὶ νῦν κατά-
21. στησον ἐφ' ἡμᾶς βασιλέα δικάζειν ἡμᾶς καθὰ καὶ τὰ λοιπὰ ἔθνη. [6] καὶ πο- 6
νηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαμουήλ, ὡς εἶπαν Δὸς ἡμῖν βασιλέα δικάζειν
ἡμᾶς· καὶ προσηύξατο Σαμουὴλ πρὸς κύριον. [7] καὶ εἶπε κύριος πρὸς Σαμουήλ 7
Ἄκουε τῆς φωνῆς τοῦ λαοῦ καθὰ ἂν λαλῶσί σοι, ὅτι οὐ σὲ ἐξουθενήκασιν,
ἀλλ' ἢ ἐμὲ ἐξουθενώκασι τοῦ μὴ βασιλεύειν ἐπ' αὐτῶν. [8] κατὰ πάντα τὰ ποιή- 8
ματα ἃ ἐποίησάν μοι ἀφ' ἧς ἡμέρας ἀνήγαγον αὐτοὺς ἐξ Αἰγύπτου ἕως τῆς
ἡμέρας ταύτης, καὶ ἐγκατέλιπόν με καὶ ἐδούλευον θεοῖς ἑτέροις, οὕτως αὐτοὶ
ποιοῦσι καὶ σοί. [9] καὶ νῦν ἄκουε τῆς φωνῆς αὐτῶν, πλὴν ὅτι διαμαρτυρόμε- 9
νος διαμαρτύρῃ αὐτοῖς, καὶ ἀπαγγελεῖς αὐτοῖς τὸ δικαίωμα τοῦ βασιλέως ὃς
βασιλεύσει ἐπ' αὐτούς. [10] καὶ εἶπε Σαμουὴλ πᾶν τὸ ῥῆμα τοῦ κυρίου πρὸς 10
τὸν λαὸν τοὺς αἰτοῦντας παρ' αὐτοῦ βασιλέα, [11] καὶ εἶπε Τοῦτο ἔσται τὸ δι- 11
καίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐφ' ὑμᾶς· τοὺς υἱοὺς ὑμῶν λήψεται, καὶ
θήσεται αὐτοὺς ἐν ἅρμασιν αὐτοῦ καὶ ἐν ἱππεῦσιν αὐτοῦ καὶ προτρέχοντας
τῶν ἁρμάτων αὐτοῦ, [12] καὶ θέσθαι αὐτοὺς ἑαυτῷ ἑκατοντάρχους καὶ χιλιάρ- 12
χους, καὶ θερίζειν θερισμὸν αὐτοῦ καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ, καὶ ποιεῖν
σκεύη πολεμικὰ αὐτοῦ καὶ σκεύη ἁρμάτων αὐτοῦ· [13] καὶ τὰς θυγατέρας ὑμῶν 13
λήψεται εἰς μυρεψοὺς καὶ εἰς μαγειρίσσας καὶ εἰς πεσσούσας· [14] καὶ τοὺς 14
ἀγροὺς ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν τοὺς ἀγα-
θοὺς λήψεται καὶ δώσει τοῖς δούλοις ἑαυτοῦ· [15] καὶ τὰ σπέρματα ὑμῶν καὶ 15

12. μασηφα ... ετι επερθει (corr. επελθειν?) ... εγενετο ... ημερας σαμουηλ 14. απεδωκαν αυτα τω ισρ. α. αχχαρων ε. γεθ ... αφειλαντο 16. εκυκλουν ... μασηφα 17. om εκει sec. VIII. 2. του δευτερ. αυτου ... δικαστας 3. ελαμβαναν δ. κ. εξεκλιναν 4. παντες ανδρες ... πρ. σαμ. εις αρμ. 6. και ην πονηρ. το ρ. ενωπιον σαμ. ... δικ. εφ ημας 7. λαλησωσιν ... εμε εξουθενηκασιν ... επ αυτους 8. om τα ποιηματα ... και εως της ... εγκατελειπον 8. 9. ουτως αυτοι ποιουσιν· και συ νυν ακουε 9. βασιλευει 10. ρημα κυριου 11. λημψεται ... και ιππευσιν 12. χιλιαρχ. κ. εκατονταρχ. 13. θυγατερ. αυτων λημψεται ... μαγιρεισας ... παισουσας (** παισσουσας) 14. om υμων sec. ... λημψεται ... δουλοις αυτου 15. το σπερμα

Digitized by Google

τοὺς ἀμπελῶνας ὑμῶν ἀποδεκατώσει, καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ καὶ τοῖς
16 δούλοις αὐτοῦ· [16] καὶ τοὺς δούλους ὑμῶν καὶ τὰς δούλας ὑμῶν καὶ τὰ βου-
κόλια ὑμῶν τὰ ἀγαθὰ καὶ τοὺς ὄνους ὑμῶν λήψεται καὶ ἀποδεκατώσει εἰς τὰ
17 ἔργα αὐτοῦ· [17] καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει, καὶ ὑμεῖς ἔσεσθε αὐτῷ
18 δοῦλοι. [18] καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου βασιλέως ὑμῶν οὗ
ἐξελέξασθε ἑαυτοῖς· καὶ οὐκ ἐπακούσεται κύριος ὑμῶν ἐν ταῖς ἡμέραις ἐκεί-
19 ναις, ὅτι ὑμεῖς ἐξελέξασθε ἑαυτοῖς βασιλέα. [19] καὶ οὐκ ἐβούλετο ὁ λαὸς ἀκοῦ-
σαι τοῦ Σαμουήλ, καὶ εἶπαν αὐτῷ Οὐχὶ ἀλλ' ἢ βασιλεὺς ἔσται ἐφ' ἡμᾶς,
20 [20] καὶ ἐσόμεθα καὶ ἡμεῖς καθὰ πάντα τὰ ἔθνη· καὶ δικάσει ἡμᾶς βασιλεὺς
ἡμῶν, καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν, καὶ πολεμήσει τὸν πόλεμον ἡμῶν.
21 [21] καὶ ἤκουσε Σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ, καὶ ἐλάλησεν αὐτοὺς εἰς
22 τὰ ὦτα κυρίου. [22] καὶ εἶπε κύριος πρὸς Σαμουὴλ Ἄκουε τῆς φωνῆς αὐτῶν
καὶ βασίλευσον αὐτοῖς βασιλέα. καὶ εἶπε Σαμουὴλ πρὸς ἄνδρας Ἰσραὴλ Ἀπο-
τρεχέτω ἕκαστος εἰς τὴν πόλιν αὐτοῦ.

## IX.

Καὶ ἀνὴρ ἐξ υἱῶν Βενιαμίν, καὶ ὄνομα αὐτῷ Κίς, υἱὸς Ἀβιὴλ υἱοῦ Ἰαρὲδ
2 υἱοῦ Βαχὶρ υἱοῦ Ἀφὲκ υἱοῦ ἀνδρὸς Ἰεμιναίου, ἀνὴρ δυνατός. [2] καὶ τούτῳ υἱός,
καὶ ὄνομα αὐτῷ Σαούλ, εὐμεγέθης, ἀνὴρ ἀγαθός, καὶ οὐκ ἦν ἐν υἱοῖς Ἰσραὴλ
3 ἀγαθὸς ὑπὲρ αὐτόν, ὑπερωμίαν καὶ ἐπάνω ὑψηλὸς ὑπὲρ πᾶσαν τὴν γῆν. [3] καὶ
ἀπώλοντο αἱ ὄνοι Κὶς πατρὸς Σαούλ· καὶ εἶπε Κὶς πρὸς Σαοὺλ τὸν υἱὸν αὐ-
τοῦ Λάβε μετὰ σεαυτοῦ ἓν τῶν παιδαρίων, καὶ ἀνάστητε καὶ πορεύθητε καὶ
4 ζητήσατε τὰς ὄνους. [4] καὶ διῆλθον δι' ὄρους Ἐφραὶμ καὶ διῆλθον διὰ τῆς
γῆς Σελχά, καὶ οὐχ εὗρον· καὶ διῆλθον διὰ τῆς γῆς Σεγαλίμ, καὶ οὐκ ἦν·
5 καὶ διῆλθον διὰ τῆς γῆς Ἰαμίν, καὶ οὐχ εὗρον. [5] αὐτῶν δὲ ἐλθόντων εἰς τὴν
Σὶφ καὶ Σαοὺλ εἶπε τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ Δεῦρο καὶ ἀπο-
6 στρέψωμεν, μὴ ἀνεὶς ὁ πατήρ μου τὰς ὄνους φροντίζῃ τὰ περὶ ἡμῶν. [6] καὶ
εἶπεν αὐτῷ τὸ παιδάριον Ἰδοὺ δὴ ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ πόλει ταύτῃ, καὶ
ὁ ἄνθρωπος ἔνδοξος, πᾶν ὃ ἐὰν λαλήσῃ παραγινόμενον παρέσται· καὶ νῦν πο-
ρευθῶμεν ὅπως ἀπαγγείλῃ ἡμῖν τὴν ὁδὸν ἡμῶν ἐφ' ἣν ἐπορεύθημεν ἐπ' αὐτήν.
7 [7] καὶ εἶπε Σαοὺλ τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ Καὶ ἰδοὺ πορευσόμεθα,
καὶ τί οἴσομεν τῷ ἀνθρώπῳ τοῦ θεοῦ, ὅτι οἱ ἄρτοι ἐκλελοίπασιν ἐκ τῶν ἀγ-
γείων ἡμῶν, καὶ πλεῖον οὐκ ἔστι μεθ' ἡμῶν εἰςενεγκεῖν τῷ ἀνθρώπῳ τοῦ θεοῦ
8 τὸ ὑπάρχον ἡμῖν; [8] καὶ προςέθετο τὸ παιδάριον ἀποκριθῆναι τῷ Σαοὺλ καὶ
εἶπεν Ἰδοὺ εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις
9 τῷ ἀνθρώπῳ τοῦ θεοῦ, καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν. [9] καὶ ἔμπροσθεν
ἐν Ἰσραὴλ τάδε ἔλεγεν ἕκαστος ἐν τῷ πορεύεσθαι ἐπερωτᾶν τὸν θεόν Δεῦρο
καὶ πορευθῶμεν πρὸς τὸν βλέποντα· ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν
10 Ὁ βλέπων. [10] καὶ εἶπε Σαοὺλ πρὸς τὸ παιδάριον αὐτοῦ Ἀγαθὸν τὸ ῥῆμα, δεῦρο
καὶ πορευθῶμεν· καὶ ἐπορεύθησαν εἰς τὴν πόλιν οὗ ἦν ἐκεῖ ὁ ἄνθρωπος ὁ
11 τοῦ θεοῦ. [11] αὐτῶν ἀναβαινόντων τὴν ἀνάβασιν τῆς πόλεως καὶ αὐτοὶ εὑρί-
σκουσι τὰ κοράσια ἐξεληλυθότα ὑδρεύεσθαι ὕδωρ, καὶ λέγουσιν αὐταῖς Εἰ ἔστιν
12 ἐνταῦθα ὁ βλέπων; [12] καὶ ἀπεκρίθη τὰ κοράσια αὐτοῖς καὶ λέγουσιν αὐτοῖς

16. λημψεται (17. το ποιμνια) 19. του ακουσαι ... Ουχ αλλ η οτι 20. κατα παντα (21. αυτοις) IX. 1. Και ην ανηρ ... βενιαμειν ... κεις ... αρεδ ... βεχωραθ ... αφιχ ... ιεμινναιου 3. οι ονοι κεις του ... κεις 4. κ. διηλθαν δι ... γης σαλισσα ... γης σααλειμ ... γης του ιεμειναιου 5. εις γην σειφ ... φροντιζη περι 6. (δη ο κυριος θεος του θεου ...) πορευθωμεν εκει 7. εισοισομεν ... οτι αρτοι ... αιτιων (αγγιων?) ... εστιν εν ημιν του εισενεγκ. 9. om εν ... ελεγαν ... επερωτησαι θεον Δευτε – 10. ο ανθρωπος του 11. ** υδρευσασθαι (*?) 12. om αυτοις sec.

Digitized by Google

Ἔστιν, ἰδοὺ κατὰ πρόσωπον ὑμῶν· νῦν διὰ τὴν ἡμέραν ἥκει εἰς τὴν πόλιν,
ὅτι θυσία σήμερον τῷ λαῷ ἐν Βαμά. 13 ὡς ἂν εἰσέλθητε εἰς τὴν πόλιν, οὕτως 13
εὑρήσετε αὐτὸν ἐν τῇ πόλει πρὶν ἀναβῆναι αὐτὸν εἰς Βαμὰ τοῦ φαγεῖν· ὅτι
οὐ μὴ φάγῃ ὁ λαὸς ἕως τοῦ εἰσελθεῖν αὐτόν, ὅτι οὗτος εὐλογεῖ τὴν θυσίαν,
καὶ μετὰ ταῦτα ἐσθίουσιν οἱ ξένοι· καὶ νῦν ἀνάβητε, ὅτι διὰ τὴν ἡμέραν
εὑρήσετε αὐτόν. 14 καὶ ἀναβαίνουσι τὴν πόλιν· αὐτῶν εἰσπορευομένων εἰς μέσον 14
τῆς πόλεως, καὶ ἰδοὺ Σαμουὴλ ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν τοῦ ἀναβῆναι
εἰς Βαμά. 15 καὶ κύριος ἀπεκάλυψε τὸ ὠτίον Σαμουὴλ ἡμέρᾳ μιᾷ ἔμπροσθεν 15
τοῦ ἐλθεῖν πρὸς αὐτὸν Σαοὺλ λέγων 16 Ὡς ὁ καιρὸς αὔριον ἀποστελῶ πρὸς 16
σὲ ἄνδρα ἐκ γῆς Βενιαμίν, καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου
Ἰσραήλ, καὶ σώσει τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων· ὅτι ἐπέβλεψα ἐπὶ τὴν
ταπείνωσιν τοῦ λαοῦ μου, ὅτι ἦλθε βοὴ αὐτῶν πρὸς μέ. 17 καὶ Σαμουὴλ εἶδε 17
τὸν Σαούλ, καὶ κύριος ἀπεκρίθη αὐτῷ Ἰδοὺ ὁ ἄνθρωπος ὃν εἶπά σοι Οὗτος
ἄρξει ἐν τῷ λαῷ μου. 18 καὶ προσήγαγε Σαοὺλ πρὸς Σαμουὴλ εἰς μέσον τῆς 18
πόλεως καὶ εἶπεν Ἀπάγγειλον δὴ ποῖος ὁ οἶκος τοῦ βλέποντος. 19 καὶ ἀπεκρίθη 19
Σαμουὴλ τῷ Σαοὺλ καὶ εἶπεν Ἐγώ εἰμι αὐτός· ἀνάβηθι ἔμπροσθέν μου εἰς
Βαμὰ καὶ φάγε μετ' ἐμοῦ σήμερον, καὶ ἐξαποστελῶ σε πρωὶ καὶ πάντα τὰ
ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι. 20 καὶ περὶ τῶν ὄνων σου τῶν ἀπολωλυιῶν 20
σήμερον τριταίων, μὴ θῇς τὴν καρδίαν σου αὐταῖς, ὅτι εὕρηνται· καὶ τίνι τὰ
ὡραῖα τοῦ Ἰσραήλ, οὐ σοὶ καὶ τῷ οἴκῳ τοῦ πατρός σου; 21 καὶ ἀπεκρίθη 21
Σαοὺλ καὶ εἶπεν Οὐχὶ ἀνδρὸς υἱὸς Ἰεμιναίου ἐγώ εἰμι τοῦ μικροῦ σκήπτρου
φυλῆς Ἰσραήλ; καὶ τῆς φυλῆς τῆς ἐλαχίστης ἐξ ὅλου σκήπτρου Βενιαμίν;
καὶ ἵνα τί ἐλάλησας πρὸς ἐμὲ κατὰ τὸ ῥῆμα τοῦτο; 22 καὶ ἔλαβε Σαμουὴλ 22
τὸν Σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα,
καὶ ἔθετο αὐτοῖς ἐκεῖ τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα
ἀνδρῶν. 23 καὶ εἶπε Σαμουὴλ τῷ μαγείρῳ Δός μοι τὴν μερίδα ἣν ἔδωκά σοι, 23
ἣν εἶπά σοι θεῖναι αὐτὴν παρὰ σοί. 24 καὶ ἥψησεν ὁ μάγειρος τὴν κωλέαν 24
καὶ παρέθηκεν αὐτὴν ἐνώπιον Σαούλ· καὶ εἶπε Σαμουὴλ τῷ Σαοὺλ Ἰδοὺ
ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί
σοι παρὰ τοὺς ἄλλους, ἀπόκνιζε. καὶ ἔφαγε Σαοὺλ μετὰ Σαμουὴλ ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ. 25 καὶ κατέβη ἐκ τῆς Βαμὰ εἰς τὴν πόλιν· καὶ διέστρωσαν τῷ Σαοὺλ 25
ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη. 26 καὶ ἐγένετο ὡς ἀνέβαινεν ὁ ὄρθρος, καὶ 26
ἐκάλεσε Σαμουὴλ τὸν Σαοὺλ ἐπὶ τῷ δώματι λέγων Ἀνάστα, καὶ ἐξαποστελῶ
σε· καὶ ἀνέστη Σαούλ, καὶ ἐξῆλθεν αὐτὸς καὶ Σαμουὴλ ἕως ἔξω. 27 αὐτῶν 27
καταβαινόντων εἰς μέρος τῆς πόλεως καὶ Σαμουὴλ εἶπε τῷ Σαοὺλ Εἰπὸν τῷ
νεανίσκῳ καὶ διελθέτω ἔμπροσθεν ἡμῶν, καὶ σὺ στῆθι ὡς σήμερον καὶ ἄκου-
σον ῥῆμα θεοῦ.

## X.

Καὶ ἔλαβε Σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου καὶ ἐπέχεεν ἐπὶ τὴν κεφα-
λὴν αὐτοῦ, καὶ ἐφίλησεν αὐτὸν καὶ εἶπεν αὐτῷ Οὐχὶ κέχρικέ σε κύριος εἰς
ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ Ἰσραήλ; καὶ σὺ ἄρξεις ἐν λαῷ κυρίου, καὶ
σὺ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ. 2 καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἔχρισέ 2
σε κύριος ἐπὶ κληρονομίαν αὐτοῦ εἰς ἄρχοντα· ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ'

12. ταχυνον νυν δια 13. om εις ... (εις βανα ...) ελθειν 15. totus vers. ** ... σαουλ πρ. αυτον 16. ο καιρ. ουτος αυριον αυριον αποστελλω ... βενιαμειν 17. Ιδου ανθρωπος 18. δη μοι ποιος οικος 19. εξαποστελλω 20. σου pon. ante σημερον ... και παντι τω 21. του μικροτερου ... βενιαμειν ... προς με 22. τοπον εκει 24. τ. κωλεαν και το επ αυτης ... μαρτυριαν τεθεσται σ. παρα του ανθρωπου αποκνιζει 25. εν τη πολει 26. κ. ανεστη κ. εξηλθ. σαουλ αυτος 27. post ημων add και διηλθεν ... ακουστον X. 1. αρξεις λαω ... om συ sec. ... in fin. add κυκλοθεν 2. κεχρικεν



Digitized by Google

ἐμοῦ, καὶ εὑρήσεις δύο ἄνδρας πρὸς τοῖς τάφοις Ῥαχὴλ ἐν τῷ ὄρει Βενια-
μὶν ἀλλομένους μεγάλα, καὶ ἐροῦσί σοι Εὕρηνται αἱ ὄνοι ἃς ἐπορεύθητε ζη-
τεῖν· καὶ ἰδοὺ ὁ πατήρ σου ἀποτετίνακται τὸ ῥῆμα τῶν ὄνων, καὶ ἐδαψιλεύ-
3 σατο δι' ὑμᾶς λέγων Τί ποιήσω ὑπὲρ τοῦ υἱοῦ μου; [3] καὶ ἀπελεύσῃ ἐκεῖθεν
καὶ ἐπέκεινα ἥξεις ἕως τῆς δρυὸς Θαβώρ, καὶ εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας
ἀναβαίνοντας πρὸς τὸν θεὸν εἰς Βαιθήλ, ἕνα αἴροντα τρία αἰγίδια καὶ ἕνα
4 αἴροντα τρία ἀγγεῖα ἄρτων καὶ ἕνα αἴροντα ἀσκὸν οἴνου· [4] καὶ ἐρωτήσουσί
σε τὰ εἰς εἰρήνην καὶ δώσουσί σοι δύο ἀπαρχὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς
5 χειρὸς αὐτῶν. [5] καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς τὸν βουνὸν τοῦ θεοῦ, οὗ ἐστιν
ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ Νασὶβ ὁ ἀλλόφυλος· καὶ ἔσται ὡς
ἂν εἰσέλθητε ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντήσεις χορῷ προφητῶν καταβαινόντων
ἐκ τῆς Βαμά, καὶ ἔμπροσθεν αὐτῶν νάβλα καὶ τύμπανον καὶ αὐλὸς καὶ κινύρα,
6 καὶ αὐτοὶ προφητεύοντες· [6] καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα κυρίου καὶ προφη-
7 τεύσεις μετ' αὐτῶν, καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον. [7] καὶ ἔσται ὅταν ἥξει τὰ
σημεῖα ταῦτα ἐπὶ σέ, ποίει πάντα ὅσα ἐὰν εὕρῃ ἡ χείρ σου, ὅτι θεὸς μετὰ
8 σοῦ. [8] καὶ καταβήσῃ ἔμπροσθεν τῆς Γαλγάλ, καὶ ἰδοὺ καταβαίνω πρὸς σὲ
ἀνενεγκεῖν ὁλοκαύτωσιν καὶ θυσίας εἰρηνικάς· ἑπτὰ ἡμέρας διαλείψεις ἕως
9 τοῦ ἐλθεῖν με πρὸς σέ, καὶ γνωρίσω σοι ἃ ποιήσεις. [9] καὶ ἐγενήθη ὥστε ἐπι-
στραφῆναι τῷ ὤμῳ αὐτοῦ ἀπελθεῖν ἀπὸ Σαμουήλ, μετέστρεψεν αὐτῷ ὁ θεὸς
10 καρδίαν ἄλλην· καὶ ἦλθε πάντα τὰ σημεῖα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [10] καὶ ἔρ-
χεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ ἰδοὺ χορὸς προφητῶν ἐξεναντίας αὐτοῦ· καὶ
11 ἥλατο ἐπ' αὐτὸν πνεῦμα θεοῦ καὶ προεφήτευσεν ἐν μέσῳ αὐτῶν. [11] καὶ ἐγε-
νήθησαν πάντες οἱ εἰδότες αὐτὸν ἐχθὲς καὶ τρίτης καὶ εἶδον, καὶ ἰδοὺ αὐτὸς
ἐν μέσῳ τῶν προφητῶν· καὶ εἶπεν ὁ λαὸς ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ
12 Τί τοῦτο τὸ γεγονὸς τῷ υἱῷ Κίς; ἢ καὶ Σαοὺλ ἐν προφήταις; [12] καὶ ἀπε-
κρίθη τις αὐτῶν καὶ εἶπε Καὶ τίς πατὴρ αὐτοῦ; καὶ διὰ τοῦτο ἐγενήθη εἰς
13 παραβολήν *Ἦ καὶ Σαοὺλ ἐν προφήταις; [13] καὶ συνετέλεσε προφητεύων, καὶ
14 ἔρχεται εἰς τὸν βουνόν. [14] καὶ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς αὐτὸν καὶ πρὸς τὸ
παιδάριον αὐτοῦ Ποῦ ἐπορεύθητε; καὶ εἶπαν Ζητεῖν τὰς ὄνους, καὶ εἴδαμεν
15 ὅτι οὐκ εἰσί, καὶ εἰσήλθομεν πρὸς Σαμουήλ. [15] καὶ εἶπεν ὁ οἰκεῖος πρὸς Σαούλ
16 Ἀπάγγειλον δή μοι τί εἶπέ σοι Σαμουήλ. [16] καὶ εἶπε Σαοὺλ πρὸς τὸν οἰκεῖον
αὐτοῦ Ἀπήγγειλεν ἀπαγγέλλων μοι ὅτι εὕρηνται αἱ ὄνοι· τὸ δὲ ῥῆμα τῆς βα-
17 σιλείας οὐκ ἀπήγγειλεν αὐτῷ. [17] καὶ παρήγγειλε Σαμουὴλ παντὶ τῷ λαῷ πρὸς
18 κύριον εἰς Μασσηφάθ, [18] καὶ εἶπε πρὸς υἱοὺς Ἰσραὴλ Τάδε εἶπε κύριος ὁ θεὸς
Ἰσραὴλ λέγων Ἐγὼ ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ ἐξειλάμην
ὑμᾶς ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου καὶ ἐκ πασῶν τῶν βασιλειῶν τῶν
19 θλιβουσῶν ὑμᾶς. [19] καὶ ὑμεῖς σήμερον ἐξουδενήκατε τὸν θεόν, ὃς αὐτός ἐστιν
ὑμῶν σωτὴρ ἐκ πάντων τῶν κακῶν ὑμῶν καὶ θλίψεων ὑμῶν, καὶ εἴπατε Οὐχὶ
ἀλλ' ἢ ὅτι βασιλέα καταστήσεις ἐφ' ἡμῶν. καὶ νῦν κατάστητε ἐνώπιον κυρίου
20 κατὰ τὰ σκῆπτρα ὑμῶν καὶ κατὰ τὰς φυλὰς ὑμῶν. [20] καὶ προσήγαγε Σαμουὴλ
21 πάντα τὰ σκῆπτρα Ἰσραήλ, καὶ κατακληροῦται σκῆπτρον Βενιαμίν· [21] καὶ
προσάγει σκῆπτρον Βενιαμὶν εἰς φυλάς, καὶ κατακληροῦται φυλὴ Ματταρί·
καὶ προσάγουσι τὴν φυλὴν Ματταρὶ εἰς ἄνδρας, καὶ κατακληροῦται Σαοὺλ *Act. 13, 21.

---

2. του βενιαμειν ... αποτετ. ο πατ. σου (... δι ημας) 3. αγγια 4. ληψη ... om εκει prius 5. τυμπανα 6. προφ. επ αυτων ... στραφησει 8. της γαλγαλα ... ιδου εγω ... θυσαι θυσιας 10. βουνον των προφητων ... εμμεσω 11. απαντες οι ιδοντες ... εχθες ... ιδον ... εμμεσω τ. προφ. προφητευων ... ειπαν ... κεις 13. αυτου ου κεις· δια 14. οικιος ... ειδομεν 15. οικιος 16. οικιον ... in fin. add ο ειπεν σαμουηλ 17. εις μασσηφα 18. ανηγ. τον ισραηλ ... εκθλιβουσων 19. εξουδενωκατε ... σωτηρ υμων ... om οτι ... στησεις ... χιλιαδας pro φυλας (20. ισραηλ π. τα σκ. σαμουηλ) 20. 21. βενιαμειν bis 21. ματταρει ... ματταρειτ

Digitized by Google

υἱὸς Κίς. καὶ ἐζήτει αὐτόν, καὶ οὐχ εὑρίσκετο. 22 καὶ ἐπηρώτησε Σαμουὴλ 22
ἔτι ἐν κυρίῳ Εἰ ἔρχεται ὁ ἀνὴρ ἐνταῦθα; καὶ εἶπε κύριος Ἰδοὺ αὐτὸς κέ-
κρυπται ἐν τοῖς σκεύεσι. 23 καὶ ἔδραμε καὶ λαμβάνει αὐτὸν ἐκεῖθεν, καὶ κατέ- 23
στησεν ἐν μέσῳ τοῦ λαοῦ· καὶ ὑψώθη ὑπὲρ πάντα τὸν λαὸν ὑπερωμίαν καὶ
ἐπάνω. 24 καὶ εἶπε Σαμουὴλ πρὸς πάντα τὸν λαόν Εἰ ἑωράκατε ὃν ἐκλέλεκται 24
ἑαυτῷ κύριος, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἐν πᾶσιν ὑμῖν; καὶ ἔγνωσαν πᾶς ὁ
λαὸς καὶ εἶπαν Ζήτω ὁ βασιλεύς. 25 καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν τὸ δι- 25
καίωμα τοῦ βασιλέως, καὶ ἔγραψεν ἐν βιβλίῳ καὶ ἔθηκεν ἐνώπιον κυρίου·
καὶ ἐξαπέστειλε Σαμουὴλ πάντα τὸν λαόν, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν τόπον
αὐτοῦ. 26 καὶ Σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς Γαβαά· καὶ ἐπορεύθη- 26
σαν υἱοὶ δυνάμεων ὧν ἥψατο κύριος καρδίας αὐτῶν μετὰ Σαούλ. 27 καὶ υἱοὶ 27
λοιμοὶ εἶπαν Τίς σώσει ὑμᾶς οὗτος; καὶ ἠτίμασαν αὐτόν, καὶ οὐκ ἤνεγκαν
αὐτῷ δῶρα.

## XI.

Καὶ ἐγενήθη ὡς μετὰ μῆνα καὶ ἀνέβη Νάας ὁ Ἀμμανίτης καὶ παρεμ-
βάλλει ἐπὶ Ἰαβὶς Γαλαάδ· καὶ εἶπαν πάντες οἱ ἄνδρες Ἰαβὶς πρὸς Νάας τὸν
Ἀμμανίτην Διάθου ἡμῖν διαθήκην καὶ δουλεύσομέν σοι. 2 καὶ εἶπε πρὸς αὐ- 2
τοὺς Νάας ὁ Ἀμμανίτης Ἐν ταύτῃ διαθήσομαι διαθήκην ὑμῖν, ἐν τῷ ἐξο-
ρύξαι ὑμῶν πάντα ὀφθαλμὸν δεξιόν, καὶ θήσομαι ὄνειδος ἐπὶ Ἰσραήλ. 3 καὶ 3
λέγουσιν αὐτῷ οἱ ἄνδρες Ἰαβίς Ἄνες ἡμῖν ἑπτὰ ἡμέρας καὶ ἀποστελοῦμεν
ἀγγέλους εἰς πᾶν ὅριον Ἰσραήλ· ἐὰν μὴ ᾖ ὁ σώζων ἡμᾶς, ἐξελευσόμεθα πρὸς
ὑμᾶς. 4 καὶ ἔρχονται οἱ ἄγγελοι εἰς Γαβαὰ πρὸς Σαούλ, καὶ λαλοῦσι τοὺς λό- 4
γους εἰς τὰ ὦτα τοῦ λαοῦ· καὶ ἦραν πᾶς ὁ λαὸς τὴν φωνὴν αὐτῶν καὶ ἔ-
κλαυσαν. 5 καὶ ἰδοὺ Σαοὺλ ἤρχετο μετὰ τὸ πρωὶ ἐξ ἀγροῦ· καὶ εἶπε Σαοὺλ Τί 5
ὅτι κλαίει ὁ λαός; καὶ διηγοῦνται αὐτῷ τὰ ῥήματα τῶν ἀνδρῶν Ἰαβίς. 6 καὶ 6
ἐφήλατο πνεῦμα κυρίου ἐπὶ Σαούλ, ὡς ἤκουσε τὰ ῥήματα ταῦτα, καὶ ἐθυ-
μώθη ἐπ᾽ αὐτοὺς ὀργῇ αὐτοῦ σφόδρα. 7 καὶ ἔλαβε δύο βόας καὶ ἐμέλισεν αὐ- 7
τάς, καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον Ἰσραὴλ ἐν χειρὶ ἀγγέλων λέγων Ὃς οὐκ
ἔστιν ἐκπορευόμενος ὀπίσω Σαοὺλ καὶ ὀπίσω Σαμουήλ, κατὰ τάδε ποιήσουσι
τοῖς βουσὶν αὐτοῦ· καὶ ἐπῆλθεν ἔκστασις κυρίου ἐπὶ τὸν λαὸν Ἰσραήλ, καὶ
ἐβόησαν ὡς ἀνὴρ εἷς. 8 καὶ ἐπισκέπτεται αὐτοὺς ἐν Βεζὲκ ἐν Βαμᾷ πάντα 8
ἄνδρα Ἰσραὴλ ἑξακοσίας χιλιάδας καὶ ἄνδρας Ἰούδα ἑβδομήκοντα χιλιάδας,
9 καὶ εἶπε τοῖς ἀγγέλοις τοῖς ἐρχομένοις Τάδε ἐρεῖτε τοῖς ἀνδράσιν Ἰαβὶς Αὔ- 9
ριον ὑμῖν ἡ σωτηρία διαθερμάναντος τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγγελοι εἰς τὴν
πόλιν καὶ ἀπαγγέλλουσι τοῖς ἀνδράσιν Ἰαβίς, καὶ εὐφράνθησαν. 10 καὶ εἶπον 10
οἱ ἄνδρες Ἰαβὶς πρὸς Νάας τὸν Ἀμμανίτην Αὔριον ἐξελευσόμεθα πρὸς ὑμᾶς,
καὶ ποιήσετε ἡμῖν τὸ ἀγαθὸν ἐνώπιον ὑμῶν. 11 καὶ ἐγενήθη μετὰ τὴν αὔριον 11
καὶ ἔθετο Σαοὺλ τὸν λαὸν εἰς τρεῖς ἀρχάς, καὶ εἰσπορεύονται μέσον τῆς παρεμ-
βολῆς ἐν φυλακῇ τῇ ἑωθινῇ, καὶ ἔτυπτον τοὺς υἱοὺς Ἀμμὼν ἕως διεθερμάνθη
ἡ ἡμέρα· καὶ ἐγενήθη καὶ ὑπολελειμμένοι διεσπάρησαν, καὶ οὐχ ὑπελείφθη-
σαν ἐν αὐτοῖς δύο κατὰ τὸ αὐτό. 12 καὶ εἶπεν ὁ λαὸς πρὸς Σαμουὴλ Τίς ὁ 12

---

21. κεις ... ουκ ευρισκ. 22. επερωτησεν ετι σαμουηλ· ετι εν κυρ. εισερχεται ετι ενταυθα ανηρ 23. εμμεσω 24. απαντα ... ορακατε ... και ζητω ειπαν ο βασ. 26. εις γαβααθα ... υιοι δυναμενοι 27. οι υιοι ... ημας XI. 1. αμανιτης ... επ ιαβεις ... ειαβεις ... αμανιτην 2. αμανιτης ... ε. ταυτη τη διαθηκη διαθησομαι υμιν ... om υμων ... επι παντα ισρ. 3. ειαβεις ... om ᾖ ... και εξελευσ. 4. εις γαβααθα 5. 6. Τι ο λαος οτι κλαιει (... om των ανδρων usque τα ρηματα) 7. αγγελων αυτων λεγων 8. om εν βαμα 9. ειαβεις γαλααδ Αυρ. εσται ... ηλθαν ... ειαβεις ... ηυφρανθησαν 10. ειπαν ... ειαβεις ... αμανιτην 11. τη πρωινη, κ. επληξεν τους ... εγενηθησαν οι υπολελιμμενοι



Digitized by Google

εἶπας ὅτι Σαοὺλ οὐ βασιλεύσει ἡμῶν; παράδος τοὺς ἄνδρας καὶ θανατώσο-
13 μεν αὐτούς. 13 καὶ εἶπε Σαοὺλ Οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ ἡμέρᾳ ταύτῃ,
14 ὅτι σήμερον ἐποίησε κύριος σωτηρίαν ἐν Ἰσραήλ. 14 καὶ εἶπε Σαμουὴλ πρὸς
τὸν λαὸν λέγων Πορευθῶμεν εἰς Γάλγαλα καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βασι-
15 λείαν. 15 καὶ ἐπορεύθη πᾶς ὁ λαὸς εἰς Γάλγαλα, καὶ ἔχρισε Σαμουὴλ ἐκεῖ
τὸν Σαοὺλ εἰς βασιλέα ἐνώπιον κυρίου ἐν Γαλγάλοις, καὶ ἔθυσεν ἐκεῖ θυσίας
καὶ εἰρηνικὰς ἐνώπιον κυρίου· καὶ εὐφράνθη Σαμουὴλ καὶ πᾶς Ἰσραὴλ ὥστε λίαν.

## XII.

1 Καὶ εἶπε Σαμουὴλ πρὸς πάντα Ἰσραὴλ Ἰδοὺ ἤκουσα φωνῆς ὑμῶν εἰς
2 πάντα ὅσα εἴπατέ μοι, καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα· 2 καὶ νῦν ἰδοὺ ὁ
βασιλεὺς διαπορεύεται ἐνώπιον ὑμῶν, κἀγὼ γεγήρακα καὶ καθήσομαι, καὶ οἱ
υἱοί μου ἰδοὺ ἐν ὑμῖν· κἀγὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν ἐκ νεότητος καὶ
3 ἕως τῆς ἡμέρας ταύτης. 3 ἰδοὺ ἐγώ, ἀποκρίθητε κατ' ἐμοῦ ἐνώπιον κυρίου καὶ
ἐνώπιον χριστοῦ αὐτοῦ Μόσχον τίνος εἴληφα ἢ ὄνον τίνος εἴληφα, ἢ τίνα
κατεδυνάστευσα ὑμῶν ἢ τίνα ἐξεπίεσα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα
4 καὶ ὑπόδημα; ἀποκρίθητε κατ' ἐμοῦ καὶ ἀποδώσω ὑμῖν. 4 καὶ εἶπαν πρὸς
Σαμουὴλ Οὐκ ἠδίκησας ἡμᾶς, καὶ οὐ κατεδυνάστευσας ἡμᾶς, καὶ οὐκ ἔθλα-
5 σας ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν. 5 καὶ εἶπε Σαμουὴλ πρὸς
τὸν λαόν Μάρτυς κύριος ἐν ὑμῖν καὶ μάρτυς χριστὸς αὐτοῦ σήμερον ἐν ταύτῃ
6 τῇ ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν χειρί μου οὐδέν· καὶ εἶπαν Μάρτυς. 6 καὶ εἶπε
Σαμουὴλ πρὸς τὸν λαὸν λέγων Μάρτυς κύριος ὁ ποιήσας τὸν Μωυσῆν καὶ τὸν
7 Ἀαρών, ὁ ἀναγαγὼν τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου. 7 καὶ νῦν κατάστητε καὶ
δικάσω ὑμᾶς ἐνώπιον κυρίου, καὶ ἀπαγγελῶ ὑμῖν τὴν πᾶσαν δικαιοσύνην κυ-
8 ρίου ἃ ἐποίησεν ἐν ὑμῖν καὶ ἐν τοῖς πατράσιν ὑμῶν· 8 ὡς εἰσῆλθεν Ἰακὼβ καὶ
οἱ υἱοὶ αὐτοῦ εἰς Αἴγυπτον, καὶ ἐταπείνωσεν αὐτοὺς Αἴγυπτος· καὶ ἐβόησαν
οἱ πατέρες ἡμῶν πρὸς κύριον, καὶ ἀπέστειλε κύριος τὸν Μωυσῆν καὶ τὸν Ἀαρών,
καὶ ἐξήγαγον τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου, καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ
9 τόπῳ τούτῳ. 9 καὶ ἐπελάθοντο κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ ἀπέδοτο αὐτοὺς
εἰς χεῖρας Σισάρα ἀρχιστρατήγῳ Ἰαβὶς βασιλέως Ἀσὼρ καὶ εἰς χεῖρας ἀλλο-
10 φύλων καὶ εἰς χεῖρας βασιλέως Μωάβ, καὶ ἐπολέμησεν ἐν αὐτοῖς. 10 καὶ ἐβόη-
σαν πρὸς κύριον καὶ ἔλεγον Ἡμάρτομεν ὅτι ἐγκατελίπομεν τὸν κύριον καὶ ἐδου-
λεύσαμεν τοῖς Βααλὶμ καὶ τοῖς ἄλσεσιν· καὶ νῦν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν
11 ἡμῶν, καὶ δουλεύσομέν σοι. 11 καὶ ἀπέστειλε τὸν Ἰεροβάαλ καὶ τὸν Βαρὰκ καὶ
τὸν Ἰεφθάε καὶ τὸν Σαμουήλ, καὶ ἐξείλατο ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν τῶν
12 κυκλόθεν, καὶ κατῳκεῖτε πεποιθότες. 12 καὶ ἴδετε ὅτι Νάας βασιλεὺς υἱῶν
Ἀμμὼν ἦλθεν ἐφ' ὑμᾶς, καὶ εἴπατε Οὐχὶ ἀλλ' ἢ ὅτι βασιλεὺς βασιλεύσει ἐφ'
13 ἡμῶν· καὶ κύριος ὁ θεὸς ἡμῶν βασιλεὺς ἡμῶν. 13 καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς
14 ὃν ἐξελέξασθε, καὶ ἰδοὺ δέδωκε κύριος ἐφ' ὑμᾶς βασιλέα. 14 ἐὰν φοβηθῆτε
τὸν κύριον καὶ δουλεύσητε αὐτῷ καὶ ἀκούσητε τῆς φωνῆς αὐτοῦ καὶ μὴ ἐρί-
σητε τῷ στόματι κυρίου, καὶ ἦτε καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὁ βασιλεύων ἐφ'
15 ὑμῶν ὀπίσω κυρίου πορευόμενοι· 15 ἐὰν δὲ μὴ ἀκούσητε τῆς φωνῆς κυρίου
καὶ ἐρίσητε τῷ στόματι κυρίου, καὶ ἔσται χεὶρ κυρίου ἐφ' ὑμᾶς καὶ ἐπὶ τὸν
16 βασιλέα ὑμῶν. 16 καὶ νῦν κατάστητε καὶ ἴδετε τὸ ῥῆμα τὸ μέγα τοῦτο ὃ

---

15. εις βασιλεα τον σαουλ ... σαμ. εκει και πας  XII. 1. παντα ανδρα ισρ. 2. και εγω γεγηρακα ... νεοτητος μου 3. κατεδυναστευσα η τ. εξεπιασα ... εξ. η υποδ. 4. om και ουκ εθλ. ημ. 6. μωσην ... και ο αναγαγων 7. δικαιωσω ... τας πασας δικαιωσυνας (ita) κυριου ας επ. υμιν 8. μωσην ... εξηγαγεν ... κατωκησεν 9. του κυριου θεου ... αρχιστρατηγου ειαβεις ... επολεμησαν αυτοις 10. εγκαταλελοιπαμεν ... βααλειμ 11. απεστ. κυριος τον ... υμας ... εχθρ. υμων ... πεποιθως 12. αλλ η βασιλευς 13. ον εξελ. ον ητησασθε 15. εισακουσητε ... εις υμας

Digitized by Google

ὁ κύριος ποιήσει ἐν ὀφθαλμοῖς ὑμῶν· 17 οὐχὶ θερισμὸς πυρῶν σήμερον; ἐπικα- 17
λέσομαι κύριον καὶ δώσει φωνὰς καὶ ὑετόν, καὶ γνῶτε καὶ ἴδετε ὅτι ἡ κα-
κία ὑμῶν μεγάλη ἣν ἐποιήσατε ἐνώπιον κυρίου αἰτήσαντες ἑαυτοῖς βασιλέα.
18 καὶ ἐπεκαλέσατο Σαμουὴλ τὸν κύριον, καὶ ἔδωκε κύριος φωνὰς καὶ ὑετὸν 18
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἐφοβήθησαν πᾶς ὁ λαὸς τὸν κύριον σφόδρα καὶ τὸν
Σαμουήλ. 19 καὶ εἶπαν πᾶς ὁ λαὸς πρὸς Σαμουήλ Πρόςευξαι ὑπὲρ τῶν δού- 19
λων σου πρὸς κύριον θεόν σου, καὶ οὐ μὴ ἀποθάνωμεν ὅτι προςτεθείκαμεν
πρὸς πάσας τὰς ἁμαρτίας ἡμῶν κακίαν αἰτήσαντες ἑαυτοῖς βασιλέα. 20 καὶ 20
εἶπε Σαμουὴλ πρὸς τὸν λαόν Μὴ φοβεῖσθε· ὑμεῖς πεποιήκατε τὴν πᾶσαν κα-
κίαν ταύτην, πλὴν μὴ ἐκκλίνητε ἀπὸ ὄπισθεν κυρίου, καὶ δουλεύσατε τῷ κυ-
ρίῳ ἐν ὅλῃ καρδίᾳ ὑμῶν· 21 καὶ μὴ παραβῆτε ὀπίσω τῶν μηθὲν ὄντων, οἳ 21
οὐ περανοῦσιν οὐθὲν καὶ οἳ οὐκ ἐξελοῦνται, ὅτι οὐθέν εἰσιν. 22 ὅτι οὐκ ἀπώ- 22
σεται κύριος τὸν λαὸν αὐτοῦ διὰ τὸ ὄνομα αὐτοῦ τὸ μέγα, ὅτι ἐπιεικῶς κύριος
προσελάβετο ὑμᾶς ἑαυτῷ εἰς λαόν. 23 καὶ ἐμοὶ μηδαμῶς τοῦ ἁμαρτεῖν τῷ κυ- 23
ρίῳ ἀνιέναι τοῦ προσεύχεσθαι περὶ ὑμῶν· καὶ δουλεύσω τῷ κυρίῳ, καὶ δείξω
ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν. 24 πλὴν φοβεῖσθε τὸν κύριον καὶ 24
δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ καὶ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, ὅτι ἴδετε ἃ ἐμεγά-
λυνε μεθ᾽ ὑμῶν· 25 καὶ ἐὰν κακίᾳ κακοποιήσητε, καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς 25
ὑμῶν προςτεθήσεσθε.

## XIII.

2 Καὶ ἐκλέγεται ἑαυτῷ Σαοὺλ τρεῖς χιλιάδας ἀνδρῶν ἐκ τῶν ἀνδρῶν 2
Ἰσραήλ· καὶ ἦσαν μετὰ Σαοὺλ δισχίλιοι οἱ ἐν Μαχμὰς καὶ ἐν τῷ ὄρει Βαι-
θήλ, καὶ χίλιοι ἦσαν μετὰ Ἰωνάθαν ἐν Γαβαὰ τοῦ Βενιαμίν· καὶ τὸ κατά-
λοιπον τοῦ λαοῦ ἐξαπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ. 3 καὶ ἐπάταξεν 3
Ἰωνάθαν τὸν Νασὶβ τὸν ἀλλόφυλον τὸν ἐν τῷ βουνῷ, καὶ ἀκούουσιν οἱ ἀλ-
λόφυλοι· καὶ Σαοὺλ σάλπιγγι σαλπίζει εἰς πᾶσαν τὴν γῆν λέγων Ἠθετήκασιν
οἱ δοῦλοι. 4 καὶ πᾶς Ἰσραὴλ ἤκουσε λεγόντων Πέπαικε Σαοὺλ τὸν Νασὶβ τὸν 4
ἀλλόφυλον, καὶ ᾐσχύνθησαν Ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις· καὶ ἀνέβησαν οἱ υἱοὶ
Ἰσραὴλ ὀπίσω Σαοὺλ ἐν Γαλγάλοις. 5 καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πόλε- 5
μον ἐπὶ Ἰσραήλ, καὶ ἀναβαίνουσιν ἐπὶ Ἰσραὴλ τριάκοντα χιλιάδες ἁρμάτων
καὶ ἓξ χιλιάδες ἱππέων καὶ λαὸς ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν τῷ
πλήθει· καὶ ἀναβαίνουσι καὶ παρεμβάλλουσιν ἐν Μαχμὰς ἐξ ἐναντίας Βαιθω-
ρὼν κατὰ νότου. 6 καὶ ἀνὴρ Ἰσραὴλ εἶδεν ὅτι στενῶς αὐτῷ μὴ προσάγειν αὐτόν, 6
καὶ ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις καὶ ἐν ταῖς μάνδραις καὶ ἐν ταῖς πέ-
τραις καὶ ἐν τοῖς βόθροις καὶ ἐν τοῖς λάκκοις. 7 καὶ οἱ διαβαίνοντες διέβησαν 7
τὸν Ἰορδάνην εἰς γῆν Γὰδ καὶ Γαλαάδ· καὶ Σαοὺλ ἔτι ἦν ἐν Γαλγάλοις, καὶ
πᾶς ὁ λαὸς ἐξέστη ὀπίσω αὐτοῦ. 8 καὶ διέλιπεν ἑπτὰ ἡμέρας τῷ μαρτυρίῳ ὡς 8
εἶπε Σαμουήλ, καὶ οὐ παρεγένετο Σαμουὴλ εἰς Γάλγαλα, καὶ διεσπάρη ὁ λαὸς
αὐτοῦ ἀπ᾽ αὐτοῦ. 9 καὶ εἶπε Σαοὺλ Προσαγάγετε ὅπως ποιήσω ὁλοκαύτωσιν 9
καὶ εἰρηνικάς· καὶ ἀνήνεγκε τὴν ὁλοκαύτωσιν. 10 καὶ ἐγένετο ὡς συνετέλεσεν 10
ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ Σαμουὴλ παραγίνεται· καὶ ἐξῆλθε Σαοὺλ εἰς
ἀπάντησιν αὐτῷ εὐλογῆσαι αὐτόν. 11 καὶ εἶπε Σαμουὴλ Τί πεποίηκας; καὶ 11
εἶπε Σαοὺλ Ὅτι εἶδον ὡς διεσπάρη ὁ λαὸς ἀπ᾽ ἐμοῦ, καὶ σὺ οὐ παρεγένου
ὡς διετάξω ἐν τῷ μαρτυρίῳ τῶν ἡμερῶν, καὶ οἱ ἀλλόφυλοι συνήχθησαν εἰς
Μαχμάς, 12 καὶ εἶπα Νῦν καταβήσονται οἱ ἀλλόφυλοι πρὸς μὲ εἰς Γάλγαλα, 12
καὶ τοῦ προσώπου τοῦ κυρίου οὐκ ἐδεήθην· καὶ ἐνεκρατευσάμην καὶ ἀνήνεγκα
τὴν ὁλοκαύτωσιν. 13 καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ Μεματαίωταί σοι, ὅτι οὐκ 13

---

17. επικαλ. τον κυριον (... om κυριου). Inde a βασι- (βασιλεα) v. 17. usque ad εφ εαυτοις XIV, 9., deperdito uno codicis folio (nr. 168.), omnia desiderantur. Vide Prolegg.

Digitized by Google

ἐφύλαξας τὴν ἐντολήν μου ἣν ἐνετείλατό σοι κύριος, ὡς νῦν ἡτοίμασε κύριος
14 τὴν βασιλείαν σου ἐπὶ Ἰσραὴλ ἕως αἰῶνος· [14] καὶ νῦν ἡ βασιλεία σου οὐ στή- *Act. 13. 22.
σεταί σοι, καὶ ζητήσει κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ
15 ἐντελεῖται κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύλαξας ὅσα
ἐνετείλατό σοι κύριος. [15] καὶ ἀνέστη Σαμουὴλ καὶ ἀπῆλθεν ἐκ Γαλγάλων·
καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω Σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ
λαοῦ τοῦ πολεμιστοῦ· αὐτῶν παραγενομένων ἐκ Γαλγάλων εἰς Γαβαὰ Βενια-
μὶν καὶ ἐπεσκέψατο Σαοὺλ τὸν λαὸν τὸν εὑρεθέντα μετ' αὐτοῦ ὡς ἑξακοσίους
16 ἄνδρας. [16] καὶ Σαοὺλ καὶ Ἰωνάθαν υἱὸς αὐτοῦ καὶ ὁ λαὸς οἱ εὑρεθέντες μετ'
αὐτῶν ἐκάθισαν ἐν Γαβαὰ Βενιαμὶν καὶ ἔκλαιον, καὶ οἱ ἀλλόφυλοι παρεμβε-
17 βλήκεισαν ἐν Μαχμάς. [17] καὶ ἐξῆλθε διαφθείρων ἐξ ἀγροῦ ἀλλοφύλων τρισὶν
18 ἀρχαῖς· ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Γοφερὰ ἐπὶ γῆν Σωγάλ, [18] καὶ ἡ
ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Βαιθωρών, καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα
19 ὁδὸν Γαβαὲ τὴν εἰςκύπτουσαν ἐπὶ Γαὶ τὴν Σαβίμ. [19] καὶ τέκτων σιδήρου οὐχ
εὑρίσκετο ἐν πάσῃ γῇ Ἰσραήλ, ὅτι εἶπον οἱ ἀλλόφυλοι Μὴ ποιήσωσιν οἱ
20 Ἑβραῖοι ῥομφαίαν καὶ δόρυ. [20] καὶ κατέβαινον πᾶς Ἰσραὴλ εἰς γῆν ἀλλοφύ-
λων χαλκεύειν ἕκαστος τὸ θέριστρον αὐτοῦ καὶ τὸ σκεῦος αὐτοῦ, καὶ ἕκαστος
21 τὴν ἀξίνην αὐτοῦ καὶ τὸ δρέπανον αὐτοῦ. [21] καὶ ἦν ὁ τρυγητὸς ἕτοιμος τοῦ
θερίζειν· τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι εἰς τὸν ὀδόντα, καὶ τῇ ἀξίνῃ καὶ τῷ
22 δρεπάνῳ ὑπόστασις ἦν ἡ αὐτή. [22] καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις τοῦ πολέμου
Μαχμὰς καὶ οὐχ εὑρέθη ῥομφαία καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ τοῦ μετὰ
Σαοὺλ καὶ μετὰ Ἰωνάθαν, καὶ εὑρέθη τῷ Σαοὺλ καὶ τῷ Ἰωνάθαν υἱῷ αὐ-
23 τοῦ. [23] καὶ ἐξῆλθεν ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων τὴν ἐν τῷ πέραν Μαχμάς.

## XIV.

Καὶ γίνεται ἡ ἡμέρα καὶ εἶπεν Ἰωνάθαν υἱὸς Σαοὺλ τῷ παιδαρίῳ τῷ
αἴροντι τὰ σκεύη αὐτοῦ Δεῦρο καὶ διαβῶμεν εἰς Μεσσὰβ τῶν ἀλλοφύλων τὴν
2 ἐν τῷ πέραν ἐκείνῳ· καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε. [2] καὶ Σαοὺλ ἐκά-
θητο ἐπ' ἄκρου τοῦ βουνοῦ ὑπὸ τὴν ῥοὰν τὴν ἐν Μαγδών, καὶ ἦσαν μετ'
3 αὐτοῦ ὡς ἑξακόσιοι ἄνδρες. [3] καὶ Ἀχιὰ υἱὸς Ἀχιτὼβ ἀδελφοῦ Ἰωχαβὴδ υἱοῦ
Φινεὲς υἱοῦ Ἡλὶ ἱερεὺς τοῦ θεοῦ ἐν Σηλὼμ αἴρων Ἐφούδ· καὶ ὁ λαὸς οὐκ
4 ᾔδει ὅτι πεπόρευται Ἰωνάθαν. [4] καὶ ἀνὰ μέσον τῆς διαβάσεως οὗ ἐζήτει Ἰω-
νάθαν διαβῆναι εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων καὶ ὀδοὺς πέτρας ἐκ τού-
του καὶ ὀδοὺς πέτρας ἐκ τούτου, ὄνομα τῷ ἑνὶ Βασὲς καὶ ὄνομα τῷ ἄλλῳ
5 Σεννά, [5] ἡ ὁδὸς ἡ μία ἀπὸ βορρᾶ ἐρχομένῳ Μαχμάς, καὶ ἡ ὁδὸς ἡ ἄλλη ἀπὸ
6 νότου ἐρχομένῳ Γαβαέ. [6] καὶ εἶπεν Ἰωνάθαν πρὸς τὸ παιδάριον τὸ αἶρον τὰ
σκεύη αὐτοῦ Δεῦρο διαβῶμεν εἰς Μεσσὰβ τῶν ἀπεριτμήτων τούτων, εἴ τι
ποιήσαι κύριος ἡμῖν· ὅτι οὐκ ἔστι τῷ κυρίῳ συνεχόμενον σώζειν ἐν πολλοῖς
7 ἢ ἐν ὀλίγοις. [7] καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη αὐτοῦ Ποίει πᾶν ὃ ἐὰν ἡ
8 καρδία σου ἐκκλίνῃ, ἰδοὺ ἐγὼ μετὰ σοῦ, ὡς ἡ καρδία σοῦ καρδία μοῦ. [8] καὶ
εἶπεν Ἰωνάθαν Ἰδοὺ ἡμεῖς διαβαίνομεν πρὸς τοὺς ἄνδρας καὶ κατακυλισθη-
9 σόμεθα πρὸς αὐτούς· [9] ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς, ἀπόστητε ἐκεῖ ἕως ἂν
ἀπαγγείλωμεν ὑμῖν, καὶ στησόμεθα ἐφ' ἑαυτοῖς καὶ οὐ μὴ ἀναβῶμεν ἐπ' αὐ-
10 τούς· [10] ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς, ἀνάβητε πρὸς ἡμᾶς καὶ ἀναβησόμεθα,
ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἡμῶν· τοῦτο ἡμῖν τὸ σημεῖον.
11 [11] καὶ εἰςῆλθον ἀμφότεροι εἰς Μεσσὰβ τῶν ἀλλοφύλων· καὶ λέγουσιν οἱ ἀλλό-
φυλοι Ἰδοὺ Ἑβραῖοι ἐκπορεύονται ἐκ τῶν τρωγλῶν αὐτῶν οὗ ἐκρύβησαν ἐκεῖ.
12 [12] καὶ ἀπεκρίθησαν οἱ ἄνδρες Μεσσὰβ πρὸς Ἰωνάθαν καὶ πρὸς τὸν αἴροντα
τὰ σκεύη αὐτοῦ καὶ λέγουσιν Ἀνάβητε πρὸς ἡμᾶς καὶ γνωριοῦμεν ὑμῖν ῥῆμα.

---

XIV. 9. folium codicis 169. incipit a verbis και ου μη 10. και εαν ταδε 11. μεσαβ ... οι εβραιοι 12. της μεσαβ πρωτον (pro προς τον?) ιωναθαν ... εις τας χειρας

Digitized by Google

καὶ εἶπεν Ἰωνάθαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ Ἀνάβηθι ὀπίσω μου,
ὅτι παρέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας Ἰσραήλ. 13 καὶ ἀνέβη Ἰωνάθαν ἐπὶ 13
τὰς χεῖρας αὐτοῦ καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ
μετ᾽ αὐτοῦ· καὶ ἐπέβλεψαν κατὰ πρόσωπον Ἰωνάθαν, καὶ ἐπάταξεν αὐτούς,
καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου ὀπίσω αὐτοῦ. 14 καὶ ἐγενήθη ἡ πληγὴ 14
ἡ πρώτη ἣν ἐπάταξεν Ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὡς εἴκοσι ἄν-
δρες ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ ἐν κόχλαξι τοῦ πεδίου. 15 καὶ ἐγενήθη 15
ἔκστασις ἐν τῇ παρεμβολῇ καὶ ἐν ἀγρῷ, καὶ πᾶς ὁ λαὸς ὁ ἐν Μεσσὰβ καὶ
οἱ διαφθείροντες ἐξέστησαν, καὶ αὐτοὶ οὐκ ἤθελον ποιεῖν· καὶ ἐθάμβησεν ἡ
γῆ, καὶ ἐγενήθη ἔκστασις παρὰ κυρίου. 16 καὶ εἶδον οἱ σκοποὶ τοῦ Σαοὺλ ἐν 16
Γαβαὰ Βενιαμίν, καὶ ἰδοὺ ἡ παρεμβολὴ τεταραγμένη ἔνθεν καὶ ἔνθεν. 17 καὶ 17
εἶπε Σαοὺλ τῷ λαῷ τῷ μετ᾽ αὐτοῦ Ἐπισκέψασθε δὴ καὶ ἴδετε τίς πεπόρευ-
ται ἐξ ὑμῶν· καὶ ἐπεσκέψαντο, καὶ ἰδοὺ οὐχ εὑρίσκετο Ἰωνάθαν καὶ ὁ αἴρων
τὰ σκεύη αὐτοῦ. 18 καὶ εἶπε Σαοὺλ τῷ Ἀχιᾷ Προσάγαγε τὸ Ἐφούδ· ὅτι αὐ- 18
τὸς ἦρεν τὸ Ἐφοὺδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐνώπιον Ἰσραήλ. 19 καὶ ἐγενήθη ὡς 19
λαλεῖ Σαοὺλ πρὸς τὸν ἱερέα, καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ τῶν ἀλλοφύλων
ἐπορεύετο πορευόμενος καὶ ἐπλήθυνε· καὶ εἶπε Σαοὺλ πρὸς τὸν ἱερέα Συνά-
γαγε τὰς χεῖράς σου. 20 καὶ ἀνέβη Σαοὺλ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ, καὶ 20
ἔρχονται ἕως τοῦ πολέμου· καὶ ἰδοὺ ἐγένετο ῥομφαία ἀνδρὸς ἐπὶ τὸν πλησίον
αὐτοῦ, σύγχυσις μεγάλη σφόδρα. 21 καὶ οἱ δοῦλοι οἱ ὄντες ἐχθὲς καὶ τρίτην 21
ἡμέραν μετὰ τῶν ἀλλοφύλων οἱ ἀναβάντες εἰς τὴν παρεμβολὴν ἐπεστράφη-
σαν καὶ αὐτοὶ εἶναι μετὰ Ἰσραὴλ τῶν μετὰ Σαοὺλ καὶ Ἰωνάθαν. 22 καὶ πᾶς 22
Ἰσραὴλ οἱ κρυπτόμενοι ἐν τῷ ὄρει Ἐφραίμ, καὶ ἤκουσαν ὅτι πεφεύγασιν οἱ
ἀλλόφυλοι, καὶ συνάπτουσι καὶ αὐτοὶ ὀπίσω αὐτῶν εἰς πόλεμον. 23 καὶ ἔσωσε 23
κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν Ἰσραήλ· καὶ ὁ πόλεμος διῆλθε τὴν Βαμώθ,
καὶ πᾶς ὁ λαὸς ἦν μετὰ Σαοὺλ ὡς δέκα χιλιάδες ἀνδρῶν· καὶ ἦν ὁ πόλεμος
διεσπαρμένος εἰς ὅλην πόλιν ἐν τῷ ὄρει Ἐφραίμ. 24 καὶ Σαοὺλ ἠγνόησεν ἄγνοιαν 24
μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀρᾶται τῷ λαῷ λέγων Ἐπικατάρατος ὁ
ἄνθρωπος ὃς φάγεται ἄρτον ἕως ἑσπέρας, καὶ ἐκδικήσω τὸν ἐχθρόν μου· καὶ
οὐκ ἐγεύσατο πᾶς ὁ λαὸς ἄρτου, καὶ πᾶσα ἡ γῆ ἠρίστα. 25 καὶ Ἰάαλ δρυμὸς 25
ἦν μελισσῶνος κατὰ πρόσωπον τοῦ ἀγροῦ. 26 καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν με- 26
λισσῶνα, καὶ ἰδοὺ ἐπορεύετο λαλῶν· καὶ ἰδοὺ οὐκ ἦν ἐπιστρέφων τὴν χεῖρα
αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, ὅτι ἐφοβήθη ὁ λαὸς τὸν ὅρκον κυρίου. 27 καὶ Ἰω- 27
νάθαν οὐκ ἀκηκόει ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ τὸν λαόν· καὶ ἐξέτεινε
τὸ ἄκρον τοῦ σκήπτρου αὐτοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἔβαψεν αὐτὸ εἰς τὸ
κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ
ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. 28 καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ καὶ εἶπεν 28
Ὁρκίσας ὥρκισε τὸν λαὸν ὁ πατήρ σου λέγων Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς
φάγεται ἄρτον σήμερον· καὶ ἐξελύθη ὁ λαός. 29 καὶ ἔγνω Ἰωνάθαν καὶ εἶπεν 29
Ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν· ἴδε διότι εἶδον οἱ ὀφθαλμοί μου ὅτι ἐγευ-
σάμην βραχύ τι τοῦ μέλιτος τούτου, 30 ἀλλ᾽ ὅτι ἔφαγεν ἔσθων σήμερον ὁ λαὸς 30
τῶν σκύλων τῶν ἐχθρῶν αὐτῶν ὧν εὗρεν, ὅτι νῦν ἂν μείζων ἦν ἡ πληγὴ ἡ
ἐν τοῖς ἀλλοφύλοις. 31 καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων 31
ἐν Μαχμάς, καὶ ἐκοπίασεν ὁ λαὸς σφόδρα. 32 καὶ ἐκλίθη ὁ λαὸς εἰς τὰ σκῦλα· 32
καὶ ἔλαβεν ὁ λαὸς ποίμνια καὶ βουκόλια καὶ τέκνα βοῶν, καὶ ἔσφαξεν ἐπὶ

14. ανδρας ... χοχλασιν 15. (ο εν μειαβ ...) πονειν 16. ιδον ... βενιαμειν 17. ευρισκεται 18. οτι ην η κιβωτος του θεου εν τη ημ. 19. ως ελαλει 20. ανεβοησεν 21. μετα τ. αλλοφ. εχθες κ. τριτ. ημ. οι αναβαινοντες 22. πας ανηρ ισρ. 21. 22. κ. πας usque εφραιμ cum κ. ιωναθαν conj. 23. διηλθεν βηθαυν ... ολην την πολιν 25. ιαρ pro ιααλ 26. om ιδου sec. 27. εν τω ορκωζειν 28. ωρχ. ο πατ. σ. τω λαω 29. ιδον ... om μου ... om τι 30. η πληγη εν

Digitized by Google

33 τὴν γῆν· καὶ ἤσθιεν ὁ λαὸς σὺν τῷ αἵματι. [33]καὶ ἀπηγγέλη Σαοὺλ λέγοντες
Ἡμάρτηκεν ὁ λαὸς τῷ κυρίῳ, φαγὼν σὺν τῷ αἵματι· καὶ εἶπε Σαοὺλ Ἐκ
34 Γεθθαὶμ κυλίσατέ μοι λίθον ἐνταῦθα μέγαν. [34]καὶ εἶπε Σαοὺλ Διασπάρητε
ἐν τῷ λαῷ, καὶ εἴπατε αὐτοῖς προςαγαγεῖν ἐνταῦθα ἕκαστος τὸν μόσχον αὐ-
τοῦ καὶ ἕκαστος τὸ πρόβατον αὐτοῦ, καὶ σφαζέτω ἐπὶ τούτου, καὶ οὐ μὴ
ἁμάρτητε τῷ κυρίῳ τοῦ ἐσθίειν σὺν τῷ αἵματι· καὶ προςῆγεν ὁ λαὸς ἕκαστος
35 τὸ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔσφαζον ἐκεῖ. [35]καὶ ᾠκοδόμησεν ἐκεῖ Σαοὺλ θυ-
σιαστήριον τῷ κυρίῳ· τοῦτο ἤρξατο Σαοὺλ οἰκοδομῆσαι θυσιαστήριον τῷ κυ-
36 ρίῳ. [36]καὶ εἶπε Σαοὺλ Καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων τὴν νύκτα, καὶ
διαρπάσωμεν ἐν αὐτοῖς ἕως διαφαύσῃ ἡμέρα, καὶ μὴ ὑπολείπωμεν ἐν αὐτοῖς
ἄνδρα· καὶ εἶπαν Πᾶν τὸ ἀγαθὸν ἐνώπιόν σου ποίει· καὶ εἶπεν ὁ ἱερεύς Προςέλ-
37 θωμεν ἐνταῦθα πρὸς τὸν θεόν. [37]καὶ ἐπηρώτησε Σαοὺλ τὸν θεόν Εἰ καταβῶ
ὀπίσω τῶν ἀλλοφύλων, εἰ παραδώσεις αὐτοὺς εἰς χεῖρας Ἰσραήλ; καὶ οὐκ
38 ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [38]καὶ εἶπε Σαοὺλ Προςαγάγετε ἐνταῦθα
πάσας τὰς γωνίας τοῦ Ἰσραήλ, καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία
39 αὕτη σήμερον· [39]ὅτι ζῇ κύριος ὁ σώσας τὸν Ἰσραήλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ
Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὐκ ἦν ὁ ἀποκρινόμενος ἐκ
40 παντὸς τοῦ λαοῦ. [40]καὶ εἶπε παντὶ ἀνδρὶ Ἰσραὴλ Ὑμεῖς ἔσεσθε εἰς δουλείαν,
καὶ ἐγὼ καὶ Ἰωνάθαν ὁ υἱός μου ἐσόμεθα εἰς δουλείαν· καὶ εἶπεν ὁ λαὸς
41 πρὸς Σαοὺλ Τὸ ἀγαθὸν ἐνώπιόν σου ποίει. [41]καὶ εἶπε Σαοὺλ Κύριε ὁ θεὸς
Ἰσραήλ, τί ὅτι οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον; εἰ ἐν ἐμοὶ ἢ ἐν Ἰω-
νάθαν τῷ υἱῷ μου ἡ ἀδικία; κύριε ὁ θεὸς Ἰσραήλ, δὸς δήλους· καὶ ἐὰν
τάδε εἴπῃ, δὸς δὴ τῷ λαῷ σου Ἰσραήλ, δὸς δὴ ὁσιότητα. καὶ κληροῦται
42 Ἰωνάθαν καὶ Σαούλ, καὶ ὁ λαὸς ἐξῆλθε. [42]καὶ εἶπε Σαοὺλ Βάλλετε ἀνὰ
μέσον ἐμοῦ καὶ ἀνὰ μέσον Ἰωνάθαν τοῦ υἱοῦ μου· ὃν ἂν κατακληρώσηται
κύριος, ἀποθανέτω. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαοὺλ Οὐκ ἔστι τὸ ῥῆμα τοῦτο.
καὶ κατεκράτησε Σαοὺλ τοῦ λαοῦ, καὶ βάλλουσιν ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ
43 μέσον Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ κατακληροῦται Ἰωνάθαν. [43]καὶ εἶπε Σαοὺλ
πρὸς Ἰωνάθαν Ἀπάγγειλόν μοι τί πεποίηκας· καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν
καὶ εἶπε Γευόμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου
44 βραχὺ μέλι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. [44]καὶ εἶπεν αὐτῷ Σαοὺλ Τάδε ποιή-
45 σαι μοι ὁ θεὸς καὶ τάδε προςθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. [45]καὶ εἶπεν
ὁ λαὸς πρὸς Σαοὺλ Εἰ σήμερον θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν
μεγάλην ταύτην ἐν Ἰσραήλ; ζῇ κύριος, εἰ πεσεῖται τριχὸς τῆς κεφαλῆς αὐ-
τοῦ ἐπὶ τὴν γῆν, ὅτι ὁ λαὸς τοῦ θεοῦ ἐποίησε τὴν ἡμέραν ταύτην· καὶ
46 προςηύξατο ὁ λαὸς περὶ Ἰωνάθαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἀπέθανε. [46]καὶ
ἀνέβη Σαοὺλ ἀπὸ ὄπισθε τῶν ἀλλοφύλων· καὶ οἱ ἀλλόφυλοι ἀπῆλθον εἰς τὸν
47 τόπον αὐτῶν. [47]καὶ Σαοὺλ ἔλαχε τοῦ βασιλεύειν, κατακληροῦται ἔργον ἐπὶ
Ἰσραήλ· καὶ ἐπολέμει κύκλῳ πάντας τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὸν Μωὰβ καὶ
εἰς τοὺς υἱοὺς Ἀμμὼν καὶ εἰς τοὺς υἱοὺς Ἐδὼμ καὶ εἰς τὸν Βαιθαιὼρ καὶ
48 εἰς βασιλέα Σουβὰ καὶ εἰς τοὺς ἀλλοφύλους, οὗ ἂν ἐστράφη ἐσώζετο. [48]καὶ
ἐποίησε δύναμιν καὶ ἐπάταξε τὸν Ἀμαλήκ, καὶ ἐξείλετο τὸν Ἰσραὴλ ἐκ χειρὸς
49 τῶν καταπατούντων αὐτόν. [49]καὶ ἦσαν οἱ υἱοὶ Σαοὺλ Ἰωνάθαν καὶ Ἰεσσιοὺ
καὶ Μελχισά· καὶ ὀνόματα τῶν δύο θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ

---

33. τω σαουλ λεγ. οτι ο λαος ημαρτηκεν ... γεθεμ ... ενταυθα λιθον 34. σφαξατω επι τ. και φαγεται αυτα κ. ου μη ... προςηγαγεν πας ο ... εν χειρι αυτ. την νυκταν, κ. εσφαξεν εκ. 36. διαφωση η ημερα ... ειπεν 38. προςαγαγε 40. δουλιαν bis 41. om τι ... (απεκριθη ...) η pro ει ... ειπης τω λαω σου ισραηλ, δος δη οσιοτ. (42. Λαβετε) 43. Γευσαμενος ... om και 45. εν ιερουσαλημ (ιλημ pro ιηλ) την μεγ. ταυτην; ιλεως· ζη ... απο της τριχος ... om εν 46. οπισθεν 47. om κατακληρ. εργον ... εις τον βεθωρ 48. εξειλατο 49. ισουει ... μελχισουε

Μερόβ, καὶ ὄνομα τῇ δευτέρᾳ Μελχόλ. 50 καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Ἀχι- 50
νοόμ, θυγάτηρ Ἀχιμάας· καὶ ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ Ἀβεννήρ, υἱὸς
Νὴρ υἱοῦ οἰκείου Σαούλ. 51 καὶ Κὶς πατὴρ Σαούλ, καὶ Νὴρ πατὴρ Ἀβεννὴρ 51
υἱὸς Ἰαμὶν υἱοῦ Ἀβιήλ. 52 καὶ ἦν ὁ πόλεμος κραταιὸς ἐπὶ τοὺς ἀλλοφύλους 52
πάσας τὰς ἡμέρας Σαούλ· καὶ ἰδὼν Σαοὺλ πάντα ἄνδρα δυνατὸν καὶ πάντα
ἄνδρα υἱὸν δυνάμεως, καὶ συνήγαγεν αὐτοὺς πρὸς αὐτόν.

## XV.

Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ Ἐμὲ ἀπέστειλε κύριος χρῖσαί σε εἰς βα-
σιλέα ἐπὶ Ἰσραήλ, καὶ νῦν ἄκουε τῆς φωνῆς κυρίου. 2 τάδε εἶπε κύριος Σα- 2
βαώθ Νῦν ἐκδικήσω ἃ ἐποίησεν Ἀμαλὴκ τῷ Ἰσραήλ, ὡς ἀπήντησεν αὐτῷ ἐν
τῇ ὁδῷ ἀναβαίνοντος αὐτοῦ ἐξ Αἰγύπτου· 3 καὶ νῦν πορεύου καὶ πατάξεις τὸν 3
Ἀμαλὴκ καὶ Ἱερὶμ καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ περιποιήσῃ ἐξ αὐτοῦ καὶ
ἐξολοθρεύσεις αὐτόν· καὶ ἀναθεματιεῖς αὐτὸν καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ
φείσῃ ἀπ' αὐτοῦ· καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς καὶ ἀπὸ νη-
πίου ἕως θηλάζοντος, καὶ ἀπὸ μόσχου ἕως προβάτου καὶ ἀπὸ καμήλου ἕως
ὄνου. 4 καὶ παρήγγειλε Σαοὺλ τῷ λαῷ, καὶ ἐπισκέπτεται αὐτοὺς ἐν Γαλγά- 4
λοις τετρακοσίας χιλιάδας ταγμάτων καὶ τὸν Ἰούδαν τριάκοντα χιλιάδας ταγμά-
των. 5 καὶ ἦλθε Σαοὺλ ἕως τῶν πόλεων Ἀμαλήκ, καὶ ἐνήδρευσεν ἐν τῷ χει- 5
μάρρῳ. 6 καὶ εἶπε Σαοὺλ πρὸς τὸν Κιναῖον Ἄπελθε καὶ ἔκκλινον ἐκ μέσου 6
τοῦ Ἀμαληκίτου, μὴ προσθῶ σε μετ' αὐτοῦ, καὶ σὺ ἐποίησας ἔλεος μετὰ τῶν
υἱῶν Ἰσραὴλ ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ Αἰγύπτου· καὶ ἐξέκλινεν ὁ Κιναῖος
ἐκ μέσου Ἀμαλήκ. 7 καὶ ἐπάταξε Σαοὺλ τὸν Ἀμαλὴκ ἀπὸ Εὐιλὰτ ἕως Σοὺρ 7
ἐπὶ προσώπου Αἰγύπτου. 8 καὶ συνέλαβε τὸν Ἀγὰγ βασιλέα Ἀμαλὴκ ζῶντα, καὶ 8
πάντα τὸν λαὸν καὶ Ἱερὶμ ἀπέκτεινεν ἐν στόματι ῥομφαίας. 9 καὶ περιεποιή- 9
σατο Σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν Ἀγὰγ ζῶντα, καὶ τὰ ἀγαθὰ τῶν ποιμνίων
καὶ τῶν βουκολίων καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἀμπελώνων καὶ πάντων τῶν
ἀγαθῶν, καὶ οὐκ ἐβούλοντο ἐξολοθρεῦσαι αὐτά· καὶ πᾶν ἔργον ἠτιμωμένον
καὶ ἐξουδενωμένον ἐξωλόθρευσαν. 10 καὶ ἐγενήθη ῥῆμα κυρίου πρὸς Σαμουὴλ 10
λέγων 11 Παρακέκλημαι ὅτι ἐβασίλευσα τὸν Σαοὺλ εἰς βασιλέα, ὅτι ἀπέστρε- 11
ψεν ἀπὸ ὄπισθέ μου καὶ τοὺς λόγους μου οὐκ ἐτήρησε· καὶ ἠθύμησε Σα-
μουήλ, καὶ ἐβόησε πρὸς κύριον ὅλην τὴν νύκτα. 12 καὶ ὤρθρισε Σαμουὴλ καὶ 12
ἐπορεύθη εἰς ἀπάντησιν Ἰσραὴλ τὸ πρωΐ· καὶ ἀπηγγέλη τῷ Σαοὺλ λέγοντες
Ἥκει Σαμουὴλ εἰς Κάρμηλον, καὶ ἀνέστακεν αὐτῷ χεῖρα. καὶ ἐπέστρεψε τὸ
ἅρμα καὶ κατέβη εἰς Γάλγαλα 13 πρὸς Σαούλ, καὶ ἰδοὺ αὐτὸς ἀνέφερεν ὁλο- 13
καύτωσιν τῷ κυρίῳ, τὰ πρῶτα τῶν σκύλων ὧν ἤνεγκεν ἐξ Ἀμαλήκ. καὶ παρε-
γένετο Σαμουὴλ πρὸς Σαούλ, καὶ εἶπεν αὐτῷ Σαοὺλ Εὐλογητὸς σὺ τῷ κυρίῳ·
ἔστησα πάντα ὅσα ἐλάλησε κύριος. 14 καὶ εἶπε Σαμουὴλ Καὶ τίς ἡ φωνὴ τοῦ 14
ποιμνίου τούτου ἐν τοῖς ὠσί μου, καὶ φωνὴ τῶν βοῶν ἣν ἐγὼ ἀκούω; 15 καὶ 15
εἶπε Σαοὺλ Ἐξ Ἀμαλὴκ ἤνεγκα αὐτά, ἃ περιεποιήσατο ὁ λαὸς τὰ κράτιστα
τοῦ ποιμνίου καὶ τῶν βοῶν ὅπως τυθῇ κυρίῳ τῷ θεῷ σου, καὶ τὰ λοιπὰ
ἐξωλόθρευσα. 16 καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ Ἄνες καὶ ἀπαγγελῶ σοι ἃ 16

---

49. (... om μεροβ usque δευτερα) 50. αχεινοομ ... τω αρχιστρατηγω αβενηρ 51. κεις ... αβαινηρ υι. ειαμειν XV. 1. επι τον λαον αυτου επι ισραηλ ... ακουσον τ. φ. των λογων κυρ. 2. αμαληχ 3. ιεερειμ κ. παντα αυτου ... περιποιησει ... αναθεματιει 4. δεκα χιλιαδ. ταγμ. κ. δεκα χιλ. ταγμ. ιουδα 5. αμαληχ ... ενεδρευσεν ... χειμαρω 6. μετα παντων των 7. ευιλα ε. σ. η επι 8. λαον εξωλεθρευσεν ηρειμ απεκτεινεν 9. εβουλετο εξολεθρευσαι ... εξωλεθρευσεν 11. om οτι εβασιλευσα ... οπισθεν ... ουκ εστησεν 12. τω ισραηλ πρωι ... απηγγειλεν τω σαμουηλ λεγοντες ηκ. σαουλ ε. καρμ. και ιδου (13. προβατα pro πρωτα) 14. αυτη pro τουτου ... βοων ων 15. εξωλεθρευσα

Digitized by Google

17 ἐλάλησε κύριος πρὸς μὲ τὴν νύκτα· καὶ εἶπεν αὐτῷ Λάλησον. [17] καὶ εἶπε Σα-
μουὴλ πρὸς Σαοὺλ Οὐχὶ μικρὸς εἶ σὺ ἐνώπιον αὐτοῦ ἡγούμενος σκήπτρου φυ-
18 λῆς Ἰσραήλ; καὶ ἔχρισέ σε κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ. [18] καὶ ἀπέστειλέ
σε κύριος ἐν ὁδῷ καὶ εἶπέ σοι Πορεύθητι καὶ ἐξολόθρευσον· ἀνελεῖς τοὺς
ἁμαρτάνοντας εἰς ἐμέ, τὸν Ἀμαλήκ, καὶ πολεμήσεις αὐτοὺς ἕως συντελέσῃς
19 αὐτούς· [19] καὶ ἵνα τί οὐκ ἤκουσας φωνῆς κυρίου, ἀλλ' ὥρμησας τοῦ θέσθαι
20 ἐπὶ τὰ σκῦλα καὶ ἐποίησας τὸ πονηρὸν ἐνώπιον κυρίου; [20] καὶ εἶπε Σαοὺλ
πρὸς Σαμουὴλ Διὰ τὸ ἀκοῦσαί με τῆς φωνῆς τοῦ λαοῦ, καὶ ἐπορεύθην τῇ
ὁδῷ ᾗ ἀπέστειλέ με κύριος, καὶ ἤγαγον τὸν Ἀγὰγ βασιλέα Ἀμαλήκ, καὶ τὸν
21 Ἀμαλὴκ ἐξωλόθρευσα. [21] καὶ ἔλαβεν ὁ λαὸς τῶν σκύλων ποίμνια καὶ βουκόλια
τὰ πρῶτα τοῦ ἐξολοθρεύματος, θῦσαι ἐνώπιον κυρίου θεοῦ ἡμῶν ἐν Γαλγά-
22 λοις. [22] καὶ εἶπε Σαμουὴλ Εἰ θελητὸν τῷ κυρίῳ ὁλοκαυτώματα καὶ θυσίας
ὡς τὸ ἀκοῦσαι φωνῆς κυρίου; ἰδοὺ ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθήν, καὶ ἡ ἐπα-
23 κρόασις ὑπὲρ στέαρ κριῶν. [23] ὅτι ἁμαρτία οἰώνισμά ἐστιν, ὀδύνην καὶ πόνους
θεραφὶν ἐπάγουσιν· ὅτι ἐξουδένωσας τὸ ῥῆμα κυρίου, καὶ ἐξουδενώσει σε κύ-
24 ριος μὴ εἶναι βασιλέα ἐπὶ Ἰσραήλ. [24] καὶ εἶπε Σαοὺλ πρὸς Σαμουὴλ Ἡμάρ-
τηκα ὅτι παρέβην τὸν λόγον κυρίου καὶ τὸ ῥῆμά σου, ὅτι ἐφοβήθην τὸν λαὸν
25 καὶ ἤκουσα τῆς φωνῆς αὐτῶν. [25] καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου καὶ
26 ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. [26] καὶ εἶπε Σα-
μουὴλ πρὸς Σαοὺλ Οὐκ ἀναστρέφω μετὰ σοῦ, ὅτι ἐξουδένωσας τὸ ῥῆμα κυ-
27 ρίου, καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ τὸν Ἰσραήλ. [27] καὶ
ἐπέστρεψε Σαμουὴλ τὸ πρόσωπον αὐτοῦ τοῦ ἀπελθεῖν, καὶ ἐκράτησε Σαοὺλ
28 τοῦ πτερυγίου τῆς διπλοΐδος αὐτοῦ καὶ διέῤῥηξεν αὐτό. [28] καὶ εἶπε πρὸς αὐ-
τὸν Σαμουὴλ Διέῤῥηξε κύριος τὴν βασιλείαν σου ἀπὸ Ἰσραὴλ ἐκ χειρός σου
29 σήμερον, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπὲρ σέ· [29] καὶ διαι-
ρεθήσεται Ἰσραὴλ εἰς δύο, καὶ οὐκ ἀποστρέψει οὐδὲ μετανοήσει, ὅτι οὐχ ὡς
30 ἄνθρωπός ἐστι τοῦ μετανοῆσαι αὐτός. [30] καὶ εἶπε Σαοὺλ Ἡμάρτηκα, ἀλλὰ
δόξασόν με δὴ ἐνώπιον πρεσβυτέρων Ἰσραὴλ καὶ ἐνώπιον λαοῦ μου, καὶ ἀνά-
31 στρεψον μετ' ἐμοῦ καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. [31] καὶ ἀνέστρεψε Σα-
32 μουὴλ ὀπίσω Σαούλ, καὶ προσεκύνησε τῷ κυρίῳ. [32] καὶ εἶπε Σαμουὴλ Προσα-
γάγετέ μοι τὸν Ἀγὰγ βασιλέα Ἀμαλήκ· καὶ προσῆλθε πρὸς αὐτὸν Ἀγὰγ τρέ-
33 μων. καὶ εἶπεν Ἀγάγ Εἰ οὕτω πικρὸς ὁ θάνατος; [33] καὶ εἶπε Σαμουὴλ πρὸς
Ἀγάγ Καθότι ἠτέκνωσε γυναῖκας ἡ ῥομφαία σου, οὕτως ἀτεκνωθήσεται ἐκ
γυναικῶν ἡ μήτηρ σου· καὶ ἔσφαξε Σαμουὴλ τὸν Ἀγὰγ ἐνώπιον κυρίου ἐν
34 Γαλγάλ. [34] καὶ ἀπῆλθε Σαμουὴλ εἰς Ἀρμαθαίμ· καὶ Σαοὺλ ἀνέβη εἰς τὸν
35 οἶκον αὐτοῦ εἰς Γαβαά. [35] καὶ οὐ προσέθετο ἔτι Σαμουὴλ ἰδεῖν τὸν Σαοὺλ
ἕως ἡμέρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει Σαμουὴλ ἐπὶ Σαούλ, καὶ κύριος με-
τεμελήθη ὅτι ἐβασίλευσε τὸν Σαοὺλ ἐπὶ Ἰσραήλ.

## XVI.

Καὶ εἶπε κύριος πρὸς Σαμουὴλ Ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ, κἀγὼ
ἐξουδένωκα αὐτὸν μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ; πλῆσον τὸ κέρας σου ἐλαίου,
καὶ δεῦρο ἀποστείλω σε πρὸς Ἰεσσαὶ ἕως Βηθλεέμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς
2 αὐτοῦ ἐμοὶ βασιλέα. [2] καὶ εἶπε Σαμουὴλ Πῶς πορευθῶ; καὶ ἀκούσεται Σαοὺλ
καὶ ἀποκτενεῖ με. καὶ εἶπε κύριος Δάμαλιν βοῶν λάβε ἐν τῇ χειρί σου καὶ

---

18. om ανελεις ... συντελεσεις 19. της φωνης ... αλλα ωρμ. 20. εν τη οδω η απεσταλκεν ... εξωλεθρευσα 21. εξολεθρευματος 22. ολοκαυτωμα και θυσια 23. οδυνη κ. πονος θεραφειν (24. κ. ουκ ηκουσα) 25. κυριω θεω σου 26. αναστρεψω 27. απεστρεψεν 29. και ου pro ουδε 30. πρεσβυτ. λαου μου και ενωπιον ισρ. 31. προσεκ. σαουλ τω 32. ουτως πικρος θανατος 34. om τον 35. σαμουηλ ετι XVI. 1. και εγω εξουδενωκα ... εορακα ... βασιλευειν pro βασιλεα

Digitized by Google

ἱρεῖς Θῦσαι τῷ κυρίῳ ἥκω· 3 καὶ καλέσεις τὸν Ἰεσσαὶ εἰς τὴν θυσίαν, καὶ 3
γνωριῶ σοι ἃ ποιήσεις, καὶ χρίσεις ὃν ἂν εἴπω πρὸς σέ. 4 καὶ ἐποίησε Σα- 4
μουὴλ πάντα ἃ ἐλάλησεν αὐτῷ κύριος· καὶ ἦλθεν εἰς Βηθλεέμ, καὶ ἐξέστη-
σαν οἱ πρεσβύτεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ καὶ εἶπαν Ἠ εἰρήνη
ἡ εἴςοδός σου, ὁ βλέπων; 5 καὶ εἶπεν Εἰρήνη· θῦσαι τῷ κυρίῳ ἥκω, ἁγιά- 5
σθητε καὶ εὐφράνθητε μετ' ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν Ἰεσσαὶ καὶ τοὺς
υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτοὺς εἰς τὴν θυσίαν. 6 καὶ ἐγενήθη ἐν τῷ εἰςιέναι 6
αὐτοὺς καὶ εἶδε τὸν Ἐλιάβ, καὶ εἶπεν Ἀλλὰ καὶ ἐνώπιον κυρίου χριστὸς αὐ-
τοῦ. 7 καὶ εἶπε κύριος πρὸς Σαμουὴλ Μὴ ἐπιβλέψῃς ἐπὶ τὴν ὄψιν αὐτοῦ μηδὲ 7
εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν· ὅτι οὐχ ὡς ἐμβλέψεται
ἄνθρωπος, ὄψεται ὁ θεός· ὅτι ἄνθρωπος ὄψεται εἰς πρόςωπον, ὁ δὲ θεὸς
ὄψεται εἰς καρδίαν. 8 καὶ ἐκάλεσεν Ἰεσσαὶ τὸν Ἀμιναδάβ, καὶ παρῆλθε κατὰ 8
πρόςωπον Σαμουήλ, καὶ εἶπεν Οὐδὲ τοῦτον ἐξελέξατο ὁ θεός. 9 καὶ παρήγα- 9
γεν Ἰεσσαὶ τὸν Σαμά· καὶ εἶπε Καὶ ἐν τούτῳ οὐκ ἐξελέξατο κύριος. 10 καὶ 10
παρήγαγεν Ἰεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ ἐνώπιον Σαμουήλ· καὶ εἶπε Σα-
μουὴλ Οὐκ ἐξελέξατο κύριος ἐν τούτοις. 11 καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί 11
Ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν Ἔτι ὁ μικρὸς ἰδοὺ ποιμαίνει ἐν τῷ ποι-
μνίῳ· καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί Ἀπόστειλον καὶ λάβε αὐτόν, ὅτι οὐ μὴ
κατακλιθῶμεν ἕως τοῦ ἐλθεῖν αὐτόν. 12 καὶ ἀπέστειλε καὶ εἰςήγαγεν αὐτόν· 12
καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει κυρίῳ· καὶ
εἶπε κύριος πρὸς Σαμουὴλ Ἀνάστα καὶ χρῖσον τὸν Δαυίδ, ὅτι οὗτός ἐστιν
ἀγαθός. 13 καὶ ἔλαβε Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου καὶ ἔχρισεν αὐτὸν ἐν 13
μέσῳ τῶν ἀδελφῶν αὐτοῦ· καὶ ἐφήλατο πνεῦμα κυρίου ἐπὶ Δαυὶδ ἀπὸ τῆς
ἡμέρας ἐκείνης καὶ ἐπάνω· καὶ ἀνέστη Σαμουὴλ καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ.
14 καὶ πνεῦμα κυρίου ἀπέστη ἀπὸ Σαούλ, καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρὸν 14
παρὰ κυρίου. 15 καὶ εἶπαν οἱ παῖδες Σαοὺλ πρὸς αὐτόν Ἰδοὺ δὴ πνεῦμα κυ- 15
ρίου πονηρὸν πνίγει σε· 16 εἰπάτωσαν δὴ οἱ δοῦλοί σου ἐνώπιόν σου καὶ ζη- 16
τησάτωσαν τῷ κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν ἐν κινύρᾳ· καὶ ἔσται ἐν
τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ σοὶ καὶ ψαλῇ ἐν τῇ κινύρᾳ αὐτοῦ, καὶ ἀγαθόν
σοι ἔσται καὶ ἀναπαύσει σε. 17 καὶ εἶπε Σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ Ἴδετε 17
δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα καὶ εἰςαγάγετε αὐτὸν πρὸς μέ. 18 καὶ ἀπεκρίθη 18
εἷς τῶν παιδαρίων αὐτοῦ καὶ εἶπεν Ἰδοὺ ἑώρακα υἱὸν τῷ Ἰεσσαὶ Βηθλεε-
μίτην καὶ αὐτὸν εἰδότα ψαλμόν, καὶ ὁ ἀνὴρ συνετὸς καὶ πολεμιστὴς καὶ σο-
φὸς λόγῳ, καὶ ὁ ἀνὴρ ἀγαθὸς τῷ εἴδει, καὶ κύριος μετ' αὐτοῦ. 19 καὶ ἀπέ- 19
στειλε Σαοὺλ ἀγγέλους πρὸς Ἰεσσαὶ λέγων Ἀπόστειλον πρὸς μὲ τὸν υἱόν σου
Δαυὶδ τὸν ἐν τῷ ποιμνίῳ σου. 20 καὶ ἔλαβεν Ἰεσσαὶ γομὸρ ἄρτων καὶ ἀσκὸν 20
οἴνου καὶ ἔριφον αἰγῶν ἕνα, καὶ ἐξαπέστειλεν ἐν χειρὶ Δαυὶδ τοῦ υἱοῦ αὐτοῦ
πρὸς Σαούλ. 21 καὶ εἰςῆλθε Δαυὶδ πρὸς Σαούλ, καὶ παρειστήκει ἐνώπιον αὐ- 21
τοῦ· καὶ ἠγάπησεν αὐτὸν σφόδρα, καὶ ἐγενήθη αὐτῷ αἴρων τὰ σκεύη αὐτοῦ.
22 καὶ ἀπέστειλε Σαοὺλ πρὸς Ἰεσσαὶ λέγων Παριστάσθω δὴ Δαυὶδ ἐνώπιον 22
ἐμοῦ, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου. 23 καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα 23
πονηρὸν ἐπὶ Σαοὺλ καὶ ἐλάμβανε Δαυὶδ τὴν κινύραν καὶ ἔψαλλεν ἐν χειρὶ
αὐτοῦ, καὶ ἀνέψυχε Σαοὺλ καὶ ἀγαθὸν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ
πνεῦμα τὸ πονηρόν.

---

3. εις θυσιαν ... γνωρισω ... ον εαν 4. ειπαν Ειρηνη 6. ιδεν 7. Μη επιστρεψης επι το προςωπον αυτου ... προςωπον, θεος δε 8. εξελεξατο κυριος. 9. τον σαμμα 10. ειπ. σαμουηλ προς ιεσσαι 11. in fine add ενταυθα 12. ουτος pro αυτος ... αναστα χρισον 15. αυτου pro σαουλ 16. ανδρα ιδοντα ... ειναι εν σοι πν. πον. και ψαλλειν 17. om μοι 18. om και ειπεν ... εοραχα ... ειδ. ψαλλειν κ. ο αν. σ. κ. ο ανηρ πολ. κ. συνετος λογ. και ανηρ αγαθος τω ιδειν 19. om σαουλ ... δαυ. τον υι. σου 20. ερ. εξ αιγων 21. om τα

Digitized by Google

## XVII.

Καὶ συνάγουσιν ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον, καὶ συν-
άγονται εἰς Σοχχὼϑ τῆς Ἰουδαίας, καὶ παρεμβάλλουσιν ἀνὰ μέσον Σοχχὼϑ
2 καὶ ἀνὰ μέσον Ἀζηκὰ Ἐφερμέν. [2] καὶ Σαοὺλ καὶ οἱ ἄνδρες Ἰσραὴλ συνάγον-
ται καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι αὐτοί, καὶ παρατάσσονται εἰς πόλεμον
3 ἐξεναντίας τῶν ἀλλοφύλων. [3] καὶ οἱ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦϑα,
καὶ Ἰσραὴλ ἵσταται ἐπὶ τοῦ ὄρους ἐνταῦϑα, καὶ ὁ αὐλὼν ἀνὰ μέσον αὐτῶν.
4 [4] καὶ ἐξῆλϑεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων, Γολιὰϑ ὄνομα
5 αὐτῷ ἐκ Γέϑ, ὕψος αὐτοῦ τεσσάρων πήχεων καὶ σπιϑαμῆς· [5] καὶ περικεφα-
λαία ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ϑώρακα ἁλυσιδωτὸν αὐτὸς ἐνδεδυκώς, καὶ
ὁ σταϑμὸς τοῦ ϑώρακος αὐτοῦ πέντε χιλιάδες σίκλων χαλκοῦ καὶ σιδήρου·
6 [6] καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ, καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον
7 τῶν ὤμων αὐτοῦ· [7] καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ μέσαχλον ὑφαινόν-
των, καὶ ἡ λόγχη αὐτοῦ ἑξακοσίων σίκλων σιδήρου· καὶ ὁ αἴρων τὰ ὅπλα
8 αὐτοῦ προεπορεύετο αὐτοῦ. [8] καὶ ἔστη καὶ ἀνεβόησεν εἰς τὴν παράταξιν Ἰσραὴλ
καὶ εἶπεν αὐτοῖς Τί ἐκπορεύεσϑε παρατάξασϑαι πολέμῳ ἐξεναντίας ἡμῶν;
οὐκ ἐγώ εἰμι ἀλλόφυλος, καὶ ὑμεῖς Ἑβραῖοι τοῦ Σαούλ; ἐκλέξασϑε ἑαυτοῖς
9 ἄνδρα καὶ καταβήτω πρὸς μέ· [9] καὶ ἐὰν δυνηϑῇ πολεμῆσαι πρὸς μὲ καὶ ἐὰν
πατάξῃ με, καὶ ἐσόμεϑα ὑμῖν εἰς δούλους· ἐὰν δὲ ἐγὼ δυνηϑῶ καὶ πατάξω
10 αὐτόν, ἔσεσϑε ἡμῖν εἰς δούλους καὶ δουλεύσετε ἡμῖν. [10] καὶ εἶπεν ὁ ἀλλόφυ-
λος Ἰδοὺ ἐγὼ ὠνείδισα τὴν παράταξιν Ἰσραὴλ σήμερον ἐν τῇ ἡμέρᾳ ταύτῃ·
11 δότε μοι ἄνδρα καὶ μονομαχήσομεν ἀμφότεροι. [11] καὶ ἤκουσε Σαοὺλ καὶ πᾶς
Ἰσραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου ταῦτα, καὶ ἐξέστησαν καὶ ἐφοβήϑησαν

---

XVII. 1. εις ογχω ... σογχω ... αζηκα εν αφεσδομμειν 2. om και post αυτοι ... om των 3. om οι 4. εξ πηχεων 5. περικεφαλαιαν 6. χαλκαι επανω των 7. υφαινοντος ... εξακοσιοι ... προσπορευετο 8. προς την παραταξιν ... ετι pro τι ... εκλεξ. αυτοις 9. πρ. με πολεμησαι ... εαν εγω ... δουλευσατε 10. μονομαχησωμεν 11. post ρηματα add αυτου

12. Και ειπεν δαυιδ υιος ανϑρωπου εφραϑαιου· ουτος εκ βηϑλεεμ ιουδα και ονομα αυτω ιεσσαι, και αυτω οκτω υιοι· και ο ανηρ εν ταις ημεραις σαουλ πρεσβυτερος εληλυϑως εν ανδρασιν. 13. και επορευϑησαν οι τρεις υιοι ιεσσαι οι μειζονες, επορευϑησαν οπισω σαουλ εις πολεμον· και ονομα των υιων αυτου των πορευϑεντων εις τον πολεμον, ελιαβ ο πρωτοτοκος αυτου, και ο δευτερος αυτου αμιναδαβ, και ο τριτος αυτου σαμμα. 14. και δαυιδ αυτος εστιν ο νεωτερος· και οι τρεις οι μειζονες επορευϑησαν οπισω σαουλ, 15. και δαυιδ απηλϑεν και ανεστρεψεν απο του σαουλ, ποιμαινων τα προβατα του πατρος αυτου εν βηϑλεεμ. 16. και προηγεν ο αλλοφυλος ορϑριζων και οψιζων, και εστηλωϑη τεσσερακοντα ημερας. 17. και ειπεν ιεσσαι προς δαυιδ Λαβε δη τοις αδελφοις σου οιφει τουτου και δεκα αρτους τουτους, και διαδραμε εις την παρεμβολην και δος τοις αδελφοις σου· 18. και τας δεκα στρυφαλιδας του γαλακτος τουτου εισοισεις τω χειλεαρχω (sic), και τους αδελφους σου επισκεψη εις ειρηνην, και οσα αν χρηζωσιν γνωση. 19. και σαουλ αυτος και πας ανηρ ισραηλ εν τη κοιλαδι της δρυος πολεμουντες μετα των αλλοφυλων. 20. και ωρϑρισεν δαυιδ το πρωι και αφηκεν τα προβατα φυλακι, και ελαβεν και απηλϑεν καϑα ενετειλατο αυτω ιεσσαι· και ηλϑεν εις την στρογγυλωσιν και δυναμιν την εκπορευομενην εις την παραταξιν, και ηλαλαξαν εν τω πολεμω. 21. και παρεταξαντο ισραηλ και οι αλλοφυλοι παραταξιν εξεναντιας παραταξεως. 22. και αφηκεν δαυιδ τα σκευη αυτου αφ εαυτου επι χειρα φυλακος και εδραμεν εις την παραταξιν, και ηλϑεν και ηρωτησεν τους αδελφους αυτου εις ειρηνην. 23. και αυτου λαλουντος μετ αυτων ιδου ανηρ ο αμεσσαιος ανεβενεν, γολιαϑ ο φιλιστιαιος ονομα αυτω εκ γεϑ, εκ των παραταξεων των αλλοφυλων, και ελαλησεν κατα ρηματα ταυτα,

Digitized by Google

σφόδρα. 32 καὶ εἶπε Δαυὶδ πρὸς Σαοὺλ Μὴ δὴ συμπεσέτω καρδία τοῦ κυρίου 32
μου ἐπ' αὐτόν· ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου
τούτου. 33 καὶ εἶπε Σαοὺλ πρὸς τὸν Δαυὶδ Οὐ μὴ δυνήσῃ πορευθῆναι πρὸς 33
τὸν ἀλλόφυλον τοῦ πολεμεῖν μετ' αὐτοῦ, ὅτι παιδάριον εἶ σύ, καὶ αὐτὸς ἀνὴρ
πολεμιστὴς ἐκ νεότητος αὐτοῦ. 34 καὶ εἶπε Δαυὶδ πρὸς Σαοὺλ Ποιμαίνων ἦν 34
ὁ δοῦλός σου τῷ πατρὶ αὐτοῦ ἐν τῷ ποιμνίῳ· καὶ ὅταν ἤρχετο ὁ λέων καὶ
ἡ ἄρκος καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης, 35 καὶ ἐξεπορευόμην ὀπίσω 35
αὐτοῦ καὶ ἐπάταξα αὐτόν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ· καὶ εἰ ἐπα-
νίστατο ἐπ' ἐμέ, καὶ ἐκράτησα τοῦ φάρυγγος αὐτοῦ καὶ ἐπάταξα καὶ ἐθα-
νάτωσα αὐτόν. 36 καὶ τὸν λέοντα καὶ τὴν ἄρκον ἔτυπτεν ὁ δοῦλός σου, καὶ 36
ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος ὡς ἓν τούτων· οὐχὶ πορεύσομαι καὶ πατάξω
αὐτόν, καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ Ἰσραήλ; διότι τίς ὁ ἀπερίτμητος οὗτος
ὃς ὠνείδισε παράταξιν θεοῦ ζῶντος; 37 κύριος ὃς ἐξείλατό με ἐκ χειρὸς τοῦ 37
λέοντος καὶ ἐκ χειρὸς τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύ-
λου τοῦ ἀπεριτμήτου τούτου. καὶ εἶπε Σαοὺλ πρὸς Δαυὶδ Πορεύου, καὶ ἔσται
κύριος μετὰ σοῦ. 38 καὶ ἐνέδυσε Σαοὺλ τὸν Δαυὶδ μανδύαν καὶ τὴν περικεφα- 38
λαίαν χαλκῆν περὶ τὴν κεφαλὴν αὐτοῦ, 39 καὶ ἔζωσε τὸν Δαυὶδ τὴν ῥομφαίαν 39
αὐτοῦ ἐπάνω τοῦ μανδύου αὐτοῦ· καὶ ἐκοπίασε περιπατήσας ἅπαξ καὶ δίς.
καὶ εἶπε Δαυὶδ πρὸς Σαοὺλ Οὐ μὴ δύνωμαι πορευθῆναι ἐν τούτοις, ὅτι οὐ
πεπείραμαι· καὶ ἀφαιροῦσιν αὐτὰ ἀπ' αὐτοῦ. 40 καὶ ἔλαβε τὴν βακτηρίαν αὐτοῦ 40
ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου
καὶ ἔθετο αὐτοὺς ἐν τῷ καδίῳ τῷ ποιμενικῷ τῷ ὄντι αὐτῷ εἰς συλλογήν, καὶ
σφενδόνη αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ προσῆλθε πρὸς τὸν ἄνδρα τὸν ἀλλό-
φυλον. 42 καὶ εἶδε Γολιὰθ τὸν Δαυὶδ καὶ ἐξητίμασεν αὐτόν, ὅτι αὐτὸς ἦν 42
παιδάριον καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν. 43 καὶ εἶπεν ὁ ἀλλό- 43

---

και ηκουσεν δαυιδ. 24. και πας ανηρ ισραηλ εν τω ιδειν αυτους τον ανδρα και εφυγον εκ προσωπου αυτου και εφοβηθησαν σφοδρα. 25. και ειπεν ανηρ ισραηλ Ει εορακατε τον ανδρα τον αναβαινοντα τουτον οτι ονειδισεν (pro ονειδισαι?) τον ισραηλ ανεβη; και εσται ανηρ ος αν παταξη αυτον, πλουτισει αυτον ο βασιλευς πλουτον μεγαν και την θυγατερα αυτου δωσει αυτω και τον οικον του πατρος αυτου ποιησει ελευθερον εν τω ισραηλ. 26. και ειπεν δαυιδ προς τους ανδρας τους συνεστηκοτας μετ αυτου λεγων Η (pro Τι?) ποιηθησεται τω ανδρι ος αν παταξει τον αλλοφυλον εκεινον και αφελει ονειδισμον απο ισραηλ; οτι τις αλλοφυλος ο απεριθμητος αυτος οτι ωνειδισεν παραταξιν θεου ζωντος; 27. και ειπεν αυτω ο λαος κατα το ρημα τουτο λεγων Ουτως ποιηθησεται τω ανδρι ος αν παταξει αυτον. 28. και ηκουσεν ελιαβ ο αδελφος αυτου ο μειζων εν τω λαλειν αυτον προς τους ανδρας, και ωργισθη θυμω ελιαβ εν τω δαυιδ και ειπεν Ινα τι τουτο κατεβης; και επι τινα αφηκας τα μικρα προβατα εκεινα εν τη ερημω; εγω οιδα την υπερηφανιαν σου και την κακιαν της καρδιας σου, οτι ενεκεν του ιδειν τον πολεμον κατεβης. 29. και ειπεν δαυιδ Τι εποιησα νυν; ουχι ρημα εστιν; 30. και επεστρεψεν παρ αυτου εις εναντιον ετερου και ειπεν κατα το ρημα τουτο, και απεκριθη αυτω ο λαος κατα το ρημα του πρωτου. 31. και ηκουσθησαν οι λογοι ους ελαλησεν δαυιδ και ανηγγελησαν οπισω σαουλ, και παρελαβεν αυτον.

32. η καρδια 33. προς δαυιδ ... δυνηθηση ... πολ. προς αυτον, οτι παιδιον 35. της φαρυγγος 36. ονειδος σημερον 37. και ειπεν δαυιδ Κυριος ... αρκου, ουτος ... κυριος εσται 38. σαουλ τον μανδ. αυτου και περικ. χ. επι την 39. κ. εζ. δαυ. θωρακαν και περιεζωσατο δαυιδ την ρομφ. αυτ. επ. του ... εκοπασεν περιπατησαι ... εν τουτοις πορευθηναι ... διαφερουσιν 40. om λειους ... σφενδονην 41. και επορευθη ο αλλοφυλος πορευομενος και εγγιζων προς δαυιδ, και ανηρ ο αιρων τον θυραιον εμπροσθεν αυτου, και επεβλεψεν ο αλλοφυλος. 42. ιδεν ... ητιμασεν

Digitized by Google

φυλος πρὸς Δαυὶδ Ὡσεὶ κύων ἐγώ εἰμι, ὅτι σὺ ἔρχῃ ἐπ' ἐμὲ ἐν ῥάβδῳ καὶ
λίθοις; καὶ εἶπε Δαυὶδ Οὐχὶ ἀλλ' ἢ χείρων κυνός· καὶ κατηράσατο ὁ ἀλλόφυ-
44 λος τὸν Δαυὶδ ἐν τοῖς θεοῖς αὐτοῦ. [44] καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαυὶδ Δεῦρο
πρὸς μὲ καὶ δώσω τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς κτήνεσι
45 τῆς γῆς. [45] καὶ εἶπε Δαυὶδ πρὸς τὸν ἀλλόφυλον Σὺ ἔρχῃ πρὸς μὲ ἐν ῥομφαίᾳ
καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι, κἀγὼ πορεύομαι πρὸς σὲ ἐν ὀνόματι κυρίου θεοῦ
46 Σαβαὼθ παρατάξεως Ἰσραὴλ ἣν ὠνείδισας σήμερον· [46] καὶ ἀποκλείσει σε κύ-
ριος σήμερον εἰς τὴν χεῖρά μου, καὶ ἀποκτενῶ σε καὶ ἀφελῶ τὴν κεφαλήν
σου ἀπὸ σοῦ, καὶ δώσω τὰ κῶλα σοῦ καὶ τὰ κῶλα παρεμβολῆς ἀλλοφύλων
ἐν ταύτῃ τῇ ἡμέρᾳ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ
47 γνώσεται πᾶσα ἡ γῆ ὅτι ἔστι θεὸς ἐν Ἰσραήλ, [47] καὶ γνώσεται πᾶσα ἡ ἐκ-
κλησία αὕτη ὅτι οὐκ ἐν ῥομφαίᾳ καὶ δόρατι σώζει κύριος· ὅτι τοῦ κυρίου ὁ
48 πόλεμος, καὶ παραδώσει κύριος ὑμᾶς εἰς χεῖρας ἡμῶν. [48] καὶ ἀνέστη ὁ ἀλλό-
49 φυλος καὶ ἐπορεύθη εἰς συνάντησιν Δαυίδ. [49] καὶ ἐξέτεινε Δαυὶδ τὴν χεῖρα
αὐτοῦ εἰς τὸ κάδιον καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα, καὶ ἐσφενδόνησε καὶ ἐπά-
ταξε τὸν ἀλλόφυλον ἐπὶ τὸ μέτωπον αὐτοῦ, καὶ διέδυ ὁ λίθος διὰ τῆς περι-
κεφαλαίας εἰς τὸ μέτωπον αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν
51 γῆν. [51] καὶ ἔδραμε Δαυὶδ καὶ ἐπέστη ἐπ' αὐτόν, καὶ ἔλαβε τὴν ῥομφαίαν
αὐτοῦ καὶ ἐθανάτωσεν αὐτὸν καὶ ἀφεῖλε τὴν κεφαλὴν αὐτοῦ· καὶ εἶδον οἱ
52 ἀλλόφυλοι ὅτι τέθνηκεν ὁ δυνατὸς αὐτῶν, καὶ ἔφυγον. [52] καὶ ἀνίστανται ἄν-
δρες Ἰσραὴλ καὶ Ἰούδα καὶ ἠλάλαξαν, καὶ κατεδίωξαν ὀπίσω αὐτῶν ἕως εἰς-
όδου Γὲθ καὶ ἕως τῆς πύλης Ἀσκάλωνος· καὶ ἔπεσον τραυματίαι τῶν ἀλλο-
53 φύλων ἐν τῇ ὁδῷ τῶν πυλῶν καὶ ἕως Γὲθ καὶ ἕως Ἀκκαρών. [53] καὶ ἀνέστρε-
ψαν ἄνδρες Ἰσραὴλ ἐκκλίνοντες ὀπίσω τῶν ἀλλοφύλων, καὶ κατεπάτουν τὰς
54 παρεμβολὰς αὐτῶν. [54] καὶ ἔλαβε Δαυὶδ τὴν κεφαλὴν τοῦ ἀλλοφύλου καὶ ἤνεγκεν
αὐτὴν εἰς Ἱερουσαλήμ, καὶ τὰ σκευὴ αὐτοῦ ἔθηκεν ἐν τῷ σκηνώματι αὐτοῦ.

---

43. ερχη προς με ... λιθω ... om κ. ειπ. δαυ. usque κυνος ... ειδωλοις pro θεοις 44. παραδωσω ... θηριοις pro κτην. 45. κυριου σαβαωθ θεου παρ. 46. κυρ. εν τη χειρι μου σημερον ... αποκτεινω ... εν τη ημερα ταυτη 48. κ. επορευθη και ηγγισεν εις συν. δ. και εταχυνεν δαυιδ και εδραμεν εις την παραταξιν του αλλοφυλου. 49. om εκειθεν ... επι το pro εις το ... επι το προσωπ. 50. και εκραταιωσεν δαυιδ υπερ τον αλλοφυλον εν τη σφενδονη και εν τω λιθω, και επαταξεν τον αλλοφυλον και εθανατωσεν αυτον· και ρομφαια ουκ ην εν χειρι δαυιδ. 51. post ρομφ. αυτου add και εξεσπασεν αυτην εκ του κολαιου αυτης ... αφειλεν εν αυτη ... ιδαν ... εφυγαν 52. εισοδου γαι ... πυλων κ. εις γεθ 53. απεστρεψαν 55. και ως ειδεν σαουλ τον δαυιδ εκπορευομενον εις απαντησιν του αλλοφυλου, ειπεν προς αβενηρ τον αρχοντα της δυναμεως Υιος τινος ο νεανισκος ουτος; και ειπεν αβεννηρ Ζη η ψυχη σου, βασιλευ, ει οιδα. 56. και ειπεν ο βασιλευς Επηρωτησον (sic) συ, υιος τινος ο νεανισκος ουτος. 57. και ως επεστρεψεν δαυιδ του παταξαι τον αλλοφυλον, και παρελαβεν αυτον αβαινηρ και εισηγαγεν αυτον ενωπιον σαουλ, και η κεφαλη του αλλοφυλου εν τη χειρι αυτου. 58. και ειπεν προς αυτον σαουλ Υιος τινος ει, παιδαριον· και ειπεν δαυιδ Υιος δουλου σου ιεσσαι του βηθλεεμειτου. XVIII. 1. Και εγενετο ως συνετελεσεν λαλων πρός σαουλ, και η ψυχη ιωναθαν συνεδεθη τη ψυχη δαυιδ, και ηγαπησεν αυτον ιωναθαν κατα την ψυχην αυτου. 2. και ελαβεν αυτον σαουλ εν τη ημερα εκεινη, και ουκ εδωκεν αυτον επιστρεψαι εν τω οικω του πατρος αυτου. 3. και διεθετο ιωναθαν και δαυιδ εν τω αγαπαν αυτον κατα την ψυχην αυτου. 4. και εξεδυσατο ιωναθαν τον επενδυτην τον επανω και εδωκεν αυτον τω δαυιδ, και το (lege τον) μανδυαν αυτου και εως της ρομφαιας αυτου και εως του τοξου αυτου και εως της ζωνης αυτου. 5. και εξεπορευετο δαυιδ, εν πασιν οις απεστειλεν αυτον σαουλ συνηκεν· και κατεστησεν αυτον σαουλ επι τους ανδρας του πολεμου· και ηρεσεν εν οφθαλμοις παντος του λαου και γε εν οφθαλμοις δουλων σαουλ.

Digitized by Google

## XVIII.

6 Καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν Δαυὶδ ἐκ πασῶν πόλεων 6
Ἰσραὴλ ἐν τυμπάνοις καὶ ἐν χαρμοσύνῃ καὶ ἐν κυμβάλοις· 7 καὶ ἐξῆρχον αἱ 7
γυναῖκες καὶ ἔλεγον Ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριά-
σιν αὐτοῦ. 8 καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαοὺλ περὶ τοῦ λόγου 8
τούτου, καὶ εἶπεν Τῷ Δαυὶδ ἔδωκαν τὰς μυριάδας, καὶ ἐμοὶ ἔδωκαν τὰς
χιλιάδας. 12 καὶ ἐφοβήθη Σαοὺλ ἀπὸ προσώπου Δαυίδ, 13 καὶ ἀπέστησεν αὐ- 12 13
τὸν ἀπ᾽ αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἑαυτῷ χιλίαρχον· καὶ ἐξεπορεύετο καὶ
εἰςεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ. 14 καὶ ἦν Δαυὶδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ 14
συνιῶν, καὶ κύριος ἦν μετ᾽ αὐτοῦ. 15 καὶ εἶδε Σαοὺλ ὡς αὐτὸς συνιεῖ σφόδρα, 15
καὶ εὐλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ. 16 καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας ἠγάπα 16
τὸν Δαυίδ, ὅτι αὐτὸς εἰςεπορεύετο καὶ ἐξεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ.
20 καὶ ἠγάπησε Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ τὸν Δαυίδ, καὶ ἀπηγγέλη τῷ Σαοὺλ 20
καὶ ηὐθύνθη ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ. 21 καὶ εἶπε Σαοὺλ Δώσω αὐτὴν αὐτῷ, 21
καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον· καὶ ἦν ἐπὶ Σαοὺλ χεὶρ ἀλλοφύλων. 22 καὶ ἐνε- 22
τείλατο Σαοὺλ τοῖς παισὶν αὐτοῦ λέγων Λαλήσατε ὑμεῖς λάθρα τῷ Δαυὶδ
λέγοντες Ἰδοὺ θέλει ἐν σοὶ ὁ βασιλεύς, καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀγαπῶσι
σέ, καὶ σὺ ἐπιγάμβρευσον τῷ βασιλεῖ. 23 καὶ ἐλάλησαν οἱ παῖδες Σαοὺλ εἰς 23
τὰ ὦτα Δαυὶδ τὰ ῥήματα ταῦτα· καὶ εἶπε Δαυίδ Εἰ κοῦφον ἐν ὀφθαλμοῖς
ὑμῶν ἐπιγαμβρεῦσαι βασιλεῖ; κἀγὼ ἀνὴρ ταπεινὸς καὶ οὐχὶ ἔνδοξος. 24 καὶ 24
ἀπήγγειλαν οἱ παῖδες Σαοὺλ αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα ἃ ἐλάλησε Δαυίδ.
25 καὶ εἶπε Σαοὺλ Τάδε ἐρεῖτε τῷ Δαυὶδ Οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι 25
ἀλλ᾽ ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων ἐκδικῆσαι ἐχθροὺς τοῦ βασιλέως·
καὶ Σαοὺλ ἐλογίσατο ἐμβαλεῖν αὐτὸν εἰς χεῖρας τῶν ἀλλοφύλων. 26 καὶ ἀπαγ- 26
γέλλουσιν οἱ παῖδες Σαοὺλ τῷ Δαυὶδ τὰ ῥήματα ταῦτα, καὶ ηὐθύνθη ὁ λόγος
ἐν ὀφθαλμοῖς Δαυὶδ ἐπιγαμβρεῦσαι τῷ βασιλεῖ. 27 καὶ ἀνέστη Δαυὶδ καὶ ἐπο- 27
ρεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν

---

6. και εγενηθη εν τω εισπορευεσθαι αυτους εν τω επιστρεφειν δαυιδ απο του παταξαι τον αλλοφυλον, κ. εξηλθ. αι χ. ε. σ. δ. εκ πασων των πολ. ισρ. και χορευουσαι εις απαντησιν σαουλ του βασιλεως εν τυμπ. κ. χαρμ. κ. εν κ. 7. κ. εξηλθον αι γ. αι παιζουσαι 8. ειπεν Εδωκαν τω δαυιδ ... in f. add και τι αυτω πλην η βασιλεια 9. και ην σαουλ υποβλεπομενος τον δαυιδ απο της ημερας εκεινης και επεκεινα. 10. και εγενηθη απο της επαυριον και επεσεν πνευμα θεου πονηρον επι σαουλ, και προεφητευσεν εν μεσω οικου αυτου· και δαυιδ εψαλλεν εν χειρι αυτου ως καθ εκαστην ημεραν, και το δορυ εν τη χειρι σαουλ. 11. και ηρεν σαουλ το δορυ και ειπεν Παταξω εν δαυιδ και εν τω τοιχω· και εξεκλινεν δαυιδ απο προσωπου αυτου δις. 12. post δαυιδ add οτι ην κυριος μετ αυτου και απο σαουλ απεστη 13. αυτον σαουλ απ 14. om ην sec. 15. ιδεν 16. εξεπορ. κ. εισεπορ. 17. και ειπεν σαουλ προς δαυιδ Ιδου η θυγατηρ μου η μειζων μερωβ, αυτην δωσω σοι εις γυναικα, και πλην γινου μοι εις υιον δυναμεως και πολεμει τους πολεμους κυριου· και σαουλ ειπεν Μη εστω χειρ μου επ αυτω, και εσται επ αυτον χειρ αλλοφυλων. 18. και ειπεν δαυιδ προς σαουλ Τις εγω ειμι, και τις η ζωη της συγγενειας σου (pro του?) πατρος μου εν ισραηλ, οτι εσομαι γαμβρος του βασιλεως; 19. και εγενηθη εν τω καιρω του δοθηναι την μεροβ θυγατερα σαουλ τω δαυιδ, και αυτη εδοθη τω ισραηλ τω μοθυλαθειτη εις γυναικα. 20. απηγγελη σαουλ κ. ευθυνθη το ρημα εν οφθ. αυτ. 22. ab initio add και ειπεν σαουλ προς τον δαυιδ Εν ταις δυσιν επιγαμβρευσεις μοι σημερον ... υμεις τον δαυ. λαθρα 23. δαυ. κατα τα ... καγω ανθρωπος ταπ. 25. (δοτι pro δοματι) ... om εκδικησαι usque των αλλοφυλων 26. ευθυνθη 27. ab initio add και ουκ επληρωθησαν αι ημεραι ... om εκατον

Digitized by Google

ἄνδρας, καὶ ἀνήνεγκε τὰς ἀκροβυστίας αὐτῶν· καὶ ἐπιγαμβρεύεται τῷ βασι-
28 λεῖ, καὶ δίδωσιν αὐτῷ τὴν Μελχὸλ θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυναῖκα. [28] καὶ
29 εἶδε Σαοὺλ ὅτι κύριος μετὰ Δαυὶδ καὶ πᾶς Ἰσραὴλ ἠγάπα αὐτόν, [29] καὶ
προςέθετο εὐλαβεῖσθαι ἀπὸ Δαυὶδ ἔτι.

## XIX.

Καὶ ἐλάλησε Σαοὺλ πρὸς Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ πρὸς πάντας τοὺς
2 παῖδας αὐτοῦ θανατῶσαι τὸν Δαυίδ. [2] καὶ Ἰωνάθαν ὁ υἱὸς Σαοὺλ ᾑρεῖτο τὸν
Δαυὶδ σφόδρα· καὶ ἀπήγγειλεν Ἰωνάθαν τῷ Δαυὶδ λέγων Σαοὺλ ζητεῖ θανα-
3 τῶσαί σε· φύλαξαι οὖν αὔριον πρωΐ, καὶ κρύβηθι καὶ κάθισον κρυφῇ· [3] καὶ
ἐγὼ ἐξελεύσομαι καὶ στήσομαι ἐχόμενος τοῦ πατρός μου ἐν ἀγρῷ οὗ ἐὰν ᾖς
ἐκεῖ, καὶ ἐγὼ λαλήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου, καὶ ὄψομαι ὅτι ἐὰν
4 ᾖ καὶ ἀπαγγελῶ σοι. [4] καὶ ἐλάλησεν Ἰωνάθαν περὶ Δαυὶδ ἀγαθὰ πρὸς Σαοὺλ
τὸν πατέρα αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν Μὴ ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν
δοῦλόν σου Δαυίδ, ὅτι οὐχ ἡμάρτηκεν εἰς σέ, καὶ τὰ ποιήματα αὐτοῦ ἀγαθὰ
5 σφόδρα, [5] καὶ ἔθετο τὴν ψυχὴν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐπάταξε τὸν
ἀλλόφυλον, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην, καὶ πᾶς Ἰσραὴλ εἶδον καὶ
ἐχάρησαν· καὶ ἵνα τί ἁμαρτάνεις εἰς αἷμα ἀθῷον θανατῶσαι τὸν Δαυὶδ δω-
6 ρεάν; [6] καὶ ἤκουσε Σαοὺλ τῆς φωνῆς Ἰωνάθαν, καὶ ὤμοσε Σαοὺλ λέγων Ζῇ
7 κύριος, εἰ ἀποθανεῖται. [7] καὶ ἐκάλεσεν Ἰωνάθαν τὸν Δαυὶδ καὶ ἀπήγγειλεν
αὐτῷ πάντα τὰ ῥήματα ταῦτα· καὶ εἰςήγαγεν Ἰωνάθαν τὸν Δαυὶδ πρὸς Σαούλ,
8 καὶ ἦν ἐνώπιον αὐτοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. [8] καὶ προςέθετο ὁ πόλε-
μος γενέσθαι πρὸς Σαούλ· καὶ κατίσχυσε Δαυὶδ καὶ ἐπολέμησε τοὺς ἀλλοφύ-
λους, καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην σφόδρα, καὶ ἔφυγον ἐκ προς-
9 ώπου αὐτοῦ. [9] καὶ ἐγένετο πνεῦμα θεοῦ πονηρὸν ἐπὶ Σαούλ, καὶ αὐτὸς ἐν οἴκῳ
καθεύδων, καὶ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ Δαυὶδ ἔψαλλε ταῖς χερσὶν αὐτοῦ.
10 [10] καὶ ἐζήτει Σαοὺλ πατάξαι τὸ δόρυ εἰς Δαυίδ, καὶ ἀπέστη Δαυὶδ ἐκ προς-
ώπου Σαούλ· καὶ ἐπάταξε τὸ δόρυ εἰς τὸν τοῖχον, καὶ Δαυὶδ ἀνεχώρησε καὶ
11 διεσώθη. [11] καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους εἰς
οἶκον Δαυὶδ φυλάξαι αὐτὸν τοῦ θανατῶσαι αὐτὸν πρωΐ, καὶ ἀπήγγειλε τῷ
Δαυὶδ Μελχὸλ ἡ γυνὴ αὐτοῦ λέγουσα Ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχὴν σαυτοῦ
12 τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ. [12] καὶ κατάγει ἡ Μελχὸλ τὸν Δαυὶδ
13 διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε καὶ ἔφυγε καὶ σώζεται. [13] καὶ ἔλαβεν ἡ Μελχὸλ
τὰ κενοτάφια καὶ ἔθετο ἐπὶ τὴν κλίνην, καὶ ἧπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφα-
14 λῆς αὐτοῦ, καὶ ἐκάλυψεν αὐτὰ ἱματίῳ. [14] καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους λαβεῖν
15 τὸν Δαυίδ, καὶ λέγουσιν ἐνοχλεῖσθαι αὐτόν. [15] καὶ ἀποστέλλει ἐπὶ τὸν Δαυὶδ
16 λέγων Ἀγάγετε αὐτὸν ἐπὶ τῆς κλίνης πρὸς μὲ τοῦ θανατῶσαι αὐτόν. [16] καὶ
ἔρχονται οἱ ἄγγελοι, καὶ ἰδοὺ τὰ κενοτάφια ἐπὶ τῆς κλίνης, καὶ ἧπαρ τῶν
17 αἰγῶν πρὸς κεφαλῆς αὐτοῦ. [17] καὶ εἶπε Σαοὺλ τῇ Μελχὸλ Ἵνα τί οὕτως παρ-
ελογίσω με, καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου καὶ διεσώθη; καὶ εἶπε Μελχὸλ
18 τῷ Σαοὺλ Αὐτὸς εἶπεν Ἐξαπόστειλόν με, εἰ δὲ μή, θανατώσω σε. [18] καὶ

---

27. και ηνεγκεν ακροβυστιας αυτ. και επληρωσεν αυτας τω βασιλει ... αυτω σαουλ την 28. κ. ιδεν σ. και εγνω οτι 29. post ετι add και εγενετο σαουλ εχθρευων τον δαυιδ πασας τας ημερας 30. και εξηλθον οι αρχοντες των αλλοφυλων, και εγενετο αφ ικανου εξοδιας αυτων συνηκεν δαυιδ παρα παντας τους δουλους σαουλ· και ετιμηθη το ονομα αυτου σφοδρα. XIX. 1. θανατωσαι αυτον. 2. Ζητει σαουλ ο πατηρ μου ... om ουν 4. αγαθα σοι σφοδρα 7. αυτω ιωναθαν παντα ... εχθες 8. γινεσθαι ... om πρ. σαουλ ... επαταξεν αυτους πληγην 9. κυριου pro θεου ... και ιδου δαυιδ εψ. εν ταις 10. post εις δαυ. add και εν τω τοιχω ... εξεσπασθη pro διεσωθη 11. σωσεις ... σεαυτου ... νυκταν 13. και εθηκεν επι 14. αποστελλει 15. αποστ. του ιδειν επι 17. εξαπεστειλες ... Αυτ. ειπ. προς με ... θανατω σε

Digitized by Google

Δαυὶδ ἔφυγε καὶ διεσώθη, καὶ παραγίνεται πρὸς Σαμουὴλ εἰς Ἀρμαθαίμ, καὶ
ἀπαγγέλλει αὐτῷ πάντα ὅσα ἐποίησεν αὐτῷ Σαούλ· καὶ ἐπορεύθη Σαμουὴλ
καὶ Δαυίδ, καὶ ἐκάθισαν ἐν Ναυὰθ ἐν Ῥαμά. 19 καὶ ἀπηγγέλη τῷ Σαοὺλ 19
λέγοντες Ἰδοὺ Δαυὶδ ἐν Ναυὰθ ἐν Ῥαμά. 20 καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους 20
λαβεῖν τὸν Δαυίδ· καὶ εἶδον τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ Σαμουὴλ εἱστή-
κει καθεστηκὼς ἐπ' αὐτῶν· καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους τοῦ Σαοὺλ πνεῦμα
θεοῦ καὶ προφητεύουσιν. 21 καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ ἀπέστειλεν ἀγγέλους 21
ἑτέρους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί· καὶ προσέθετο Σαοὺλ ἀποστεῖλαι ἀγγέ-
λους τρίτους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί. 22 καὶ ἐθυμώθη ὀργῇ Σαούλ, καὶ 22
ἐπορεύθη καὶ αὐτὸς εἰς Ἀρμαθαίμ, καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω τοῦ
ἐν τῷ Σεφί, καὶ ἠρώτησε καὶ εἶπε Ποῦ Σαμουὴλ καὶ Δαυίδ; καὶ εἶπαν Ἰδοὺ
ἐν Ναυὰθ ἐν Ῥαμά. 23 καὶ ἐπορεύθη ἐκεῖθεν εἰς Ναυὰθ ἐν Ῥαμά, καὶ ἐγε- 23
νήθη καὶ ἐπ' αὐτῷ πνεῦμα θεοῦ, καὶ ἐπορεύετο προφητεύων ἕως τοῦ ἐλθεῖν
αὐτὸν εἰς Ναυὰθ ἐν Ῥαμά. 24 καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ ἐπροφή- 24
τευσεν ἐνώπιον αὐτῶν, καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην
τὴν νύκτα· διὰ τοῦτο ἔλεγον Εἰ καὶ Σαοὺλ ἐν προφήταις;

## XX.

Καὶ ἀπέδρα Δαυὶδ ἐκ Ναυὰθ ἐν Ῥαμά, καὶ ἔρχεται ἐνώπιον Ἰωνάθαν
καὶ εἶπε Τί πεποίηκα, καὶ τί τὸ ἀδίκημά μου, καὶ τί ἡμάρτηκα ἐνώπιον
τοῦ πατρός σου ὅτι ἐπιζητεῖ τὴν ψυχήν μου; 2 καὶ εἶπεν αὐτῷ Ἰωνάθαν Μη- 2
δαμῶς σοι, οὐ μὴ ἀποθάνῃς· ἰδοὺ οὐ μὴ ποιήσῃ ὁ πατήρ μου ῥῆμα μέγα
ἢ μικρὸν καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου· καὶ τί ὅτι κρύψει ὁ πατήρ μου
ἀπ' ἐμοῦ τὸ ῥῆμα τοῦτο; οὐκ ἔστι τοῦτο. 3 καὶ ἀπεκρίθη Δαυὶδ τῷ Ἰωνάθαν 3
καὶ εἶπε Γινώσκων οἶδεν ὁ πατήρ σου ὅτι εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου,
καὶ εἶπε μὴ γνῶναι τοῦτο Ἰωνάθαν, μὴ οὐ βούληται· ἀλλὰ ζῇ κύριος καὶ ζῇ
ἡ ψυχή σου, ὅτι καθὼς εἶπον ἐμπέπλησται ἀνὰ μέσον ἐμοῦ καὶ τοῦ θανάτου.
4 καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαυίδ Τί ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τί ποιήσω 4
σοι; 5 καὶ εἶπε Δαυὶδ πρὸς Ἰωνάθαν Ἰδοὺ δὴ νεομηνία αὔριον, καὶ ἐγὼ κα- 5
θίσας οὐ καθήσομαι φαγεῖν, καὶ ἐξαποστελεῖς με καὶ κρυβήσομαι ἐν τῷ πεδίῳ
ἕως δείλης. 6 καὶ ἐὰν ἐπισκεπτόμενος ἐπισκέψηταί με ὁ πατήρ σου, καὶ ἐρεῖς 6
Παραιτούμενος παρῃτήσατο ἀπ' ἐμοῦ Δαυὶδ δραμεῖν ἕως εἰς Βηθλεὲμ τὴν
πόλιν αὐτοῦ, ὅτι θυσία τῶν ἡμερῶν ἐκεῖ ὅλῃ τῇ φυλῇ. 7 ἐὰν τάδε εἴπῃ Ἀγα- 7
θῶς, εἰρήνη τῷ δούλῳ σου· καὶ ἐὰν σκληρῶς ἀποκριθῇ σοι, γνῶθι ὅτι συν-
τετέλεσται ἡ κακία παρ' αὐτοῦ. 8 καὶ ποιήσεις ἔλεος μετὰ τοῦ δούλου σου, 8
ὅτι εἰσήγαγες εἰς διαθήκην κυρίου τὸν δοῦλόν σου μετὰ σεαυτοῦ· καὶ εἰ ἔστιν
ἀδικία ἐν τῷ δούλῳ σου, θανάτωσόν με σύ, καὶ ἕως τοῦ πατρός σου ἵνα τί
οὕτως εἰσάγεις με; 9 καὶ εἶπεν Ἰωνάθαν Μηδαμῶς σοι, ὅτι ἐὰν γινώσκων γνῶ 9
ὅτι συντετέλεσται ἡ κακία παρὰ τοῦ πατρός μου τοῦ ἐλθεῖν ἐπὶ σέ, καὶ ἐὰν

---

18. εσωθη ... om αυτω sec. ... επορ. δαυ. κ. σαμουηλ ... ναυϊωθ 19. ιδου δη ... ναυϊωθ 20. ειδαν ... τ. προφ. των προφητευοντων ... ιστηκει ... in f. add και γε αυτοι 21. προεφητευσαν bis 22. ερχονται ... τ. φρεατ. του μεγαλου του εν σοκχω ... ναυϊωθ 23. εν ναυϊωθ ... επορευθη πορευομενος και προφητευων ... εν ναυϊωθ 24. εξεδ. και αυτος ... επροεφητευσεν και γε αυτος ... νυκταν ... Η και XX. 1. (ισραηλ pro δαυιδ ...) εν ναυϊωθ ... και ειπ. ενωπ. ιω. Τι 2. μηδαμως συ ... ** η ρημα μικρον ... om απ εμου 3. χαριν ενωπιον σου ... μη γνωτω ... βουλεται ... πεπληρωται ανα μ. εμ. και ανα μεσον του πατρος σου εως θανατου 4. om τι sec. 5. μετα του βασιλεως φαγειν ... πορευσομαι pro κρυβησομαι ... in f. add της τριτης 6. om και ... (παρητησ. απο του δαυιδ ...) om εως 7. (ειπης ...) και εαν δε 8. οτι εις διαθ. κυ. εισηγαγες (... om αδικια) 9. μηδαμως συ

10 μὴ ἢ εἰς τὰς πόλεις σου, ἐγὼ ἀπαγγελῶ σοι. [10]καὶ εἶπε Δαυὶδ πρὸς Ἰωνά-
11 θαν Τίς ἀπαγγείλῃ μοι ἐὰν ἀποκριθῇ ὁ πατήρ σου σκληρῶς; [11]καὶ εἶπεν
Ἰωνάθαν πρὸς Δαυὶδ Πορεύου καὶ μένε εἰς ἀγρόν· καὶ ἐκπορεύονται ἀμφό-
12 τεροι εἰς ἀγρόν. [12]καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαυὶδ Κύριος ὁ θεὸς Ἰσραὴλ οἶδεν
ὅτι ἀνακρινῶ τὸν πατέρα μου ὡς ἂν ὁ καιρὸς τρισσῶς, καὶ ἰδοὺ ἀγαθὸν ᾖ
13 περὶ Δαυίδ, καὶ οὐ μὴ ἀποστείλω πρὸς σὲ εἰς ἀγρόν· [13]τάδε ποιήσαι ὁ θεὸς
τῷ Ἰωνάθαν καὶ τάδε προσθείη, ὅτι ἀνοίσω τὰ κακὰ ἐπὶ σὲ καὶ ἀποκαλύψω
τὸ ὠτίον σου, καὶ ἐξαποστελῶ σε καὶ ἀπελεύσῃ εἰς εἰρήνην, καὶ ἔσται κύριος
14 μετὰ σοῦ καθὼς ἦν μετὰ τοῦ πατρός μου. [14]καὶ ἐὰν μὲν ἔτι μου ζῶντος,
15 καὶ ποιήσεις ἔλεος μετ' ἐμοῦ· καὶ ἐὰν θανάτῳ ἀποθάνω, [15]οὐκ ἐξαρεῖς ἔλεός
σοῦ ἀπὸ τοῦ οἴκου μου ἕως τοῦ αἰῶνος· καὶ εἰ μή, ἐν τῷ ἐξαίρειν κύριον
τοὺς ἐχθροὺς Δαυὶδ ἕκαστον ἀπὸ τοῦ προσώπου τῆς γῆς εὑρεθῆναι τὸ ὄνομα
τοῦ Ἰωνάθαν ἀπὸ τοῦ οἴκου Δαυίδ, καὶ ἐκζητῆσαι κύριος ἐχθροὺς τοῦ Δαυίδ.
17 [17]καὶ προσέθετο ἔτι Ἰωνάθαν ὀμόσαι τῷ Δαυίδ, ὅτι ἠγάπησε ψυχὴν ἀγα-
18 πῶντος αὐτόν. [18]καὶ εἶπεν Ἰωνάθαν Αὔριον νεομηνία καὶ ἐπισκεπήσῃ, ὅτι
19 ἐπισκεπήσεται καθέδρα σου. [19]καὶ τρισσεύσεις καὶ ἐπισκέψῃ καὶ ἥξεις εἰς τὸν
τόπον σου οὗ κρυβῇς ἐν τῇ ἡμέρᾳ τῇ ἐργασίμῃ, καὶ καθήσῃ παρὰ τὸ Ἐργὰβ
20 ἐκεῖνο. [20]καὶ ἐγὼ τρισσεύσω ταῖς σχίζαις ἀκοντίζων, ἐκπέμπων εἰς τὴν Ἀματ-
21 ταρί. [21]καὶ ἰδοὺ ἀποστέλλω τὸ παιδάριον λέγων Δεῦρο εὑρέ μοι τὴν σχίζαν·
ἐὰν εἴπω λέγων τῷ παιδαρίῳ Ὧδε ἡ σχίζα ἀπὸ σοῦ καὶ ὧδε, λάβε αὐτήν,
22 παραγίνου, ὅτι εἰρήνη σοι καὶ οὐκ ἔστι λόγος, ζῇ κύριος· [22]ἐὰν τάδε εἴπω
τῷ νεανίσκῳ Ὧδε ἡ σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα, πορεύου, ὅτι ἐξαπέσταλκέ
23 σε κύριος. [23]καὶ τὸ ῥῆμα ὃ ἐλαλήσαμεν ἐγὼ καὶ σύ, ἰδοὺ κύριος μάρτυς ἀνὰ
24 μέσον ἐμοῦ καὶ σοῦ ἕως αἰῶνος. [24]καὶ κρύπτεται Δαυὶδ ἐν ἀγρῷ, καὶ παρα-
25 γίνεται ὁ μὴν καὶ ἔρχεται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τοῦ φαγεῖν. [25]καὶ
ἐκάθισεν ἐπὶ τὴν καθέδραν αὐτοῦ ὡς ἅπαξ καὶ ἅπαξ ἐπὶ τῆς καθέδρας παρὰ
τοῖχον, καὶ προέφθασε τὸν Ἰωνάθαν, καὶ ἐκάθισεν Ἀβεννὴρ ἐκ πλαγίων Σαούλ,
26 καὶ ἐπεσκέπη ὁ τόπος Δαυίδ. [26]καὶ οὐκ ἐλάλησε Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
27 ὅτι εἴρηκε Σύμπτωμα φαίνεται μὴ καθαρὸς εἶναι, ὅτι οὐ κεκαθάρισται. [27]καὶ
ἐγενήθη τῇ ἐπαύριον τοῦ μηνὸς τῇ ἡμέρᾳ τῇ δευτέρᾳ καὶ ἐπεσκέπη ὁ τόπος
τοῦ Δαυίδ, καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ Τί ὅτι οὐ παρα-
28 γέγονεν ὁ υἱὸς Ἰεσσαὶ καὶ ἐχθὲς καὶ σήμερον ἐπὶ τὴν τράπεζαν; [28]καὶ ἀπε-
κρίθη Ἰωνάθαν τῷ Σαοὺλ καὶ εἶπεν αὐτῷ Παρῄτηται παρ' ἐμοῦ Δαυὶδ ἕως
29 εἰς Βηθλεὲμ τὴν πόλιν αὐτοῦ πορευθῆναι, [29]καὶ εἶπεν Ἐξαπόστειλον δή με,
ὅτι θυσία τῆς φυλῆς ἡμῖν ἐν τῇ πόλει καὶ ἐνετείλαντο πρὸς μὲ οἱ ἀδελφοί
μου· καὶ νῦν εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διαβήσομαι δὴ καὶ ὄψομαι
τοὺς ἀδελφούς μου· διὰ τοῦτο οὐ παραγέγονεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως.
30 [30]καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ ἐπὶ Ἰωνάθαν σφόδρα καὶ εἶπεν αὐτῷ Υἱὲ κορα-
σίων αὐτομολούντων, οὐ γὰρ οἶδα ὅτι μέτοχος εἶ σὺ τῷ υἱῷ Ἰεσσαὶ εἰς αἰ-
31 σχύνην σοῦ καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σου; [31]ὅτι πάσας τὰς ἡμέ-
ρας ἃς ὁ υἱὸς Ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς οὐχ ἑτοιμασθήσεται ἡ βασιλεία σου·
32 νῦν οὖν ἀποστείλας λάβε τὸν νεανίαν, ὅτι υἱὸς θανάτου οὗτος. [32]καὶ ἀπε-

---

10. Και τις απαγγελει 12. ιδου εαν ην αγαθον ... αποστελλω 13. ποιησαι κυριος τω ... εξαποστελλω 14. om εαν ... μετ εμου ελεος κυριου 15. om σου ... απο προσωπου ... εξαρθηναι το ον. ιωναθαν ... εκζητησει κυρ. εκ χειρος εχθρου τ. δ. 17. τω δαυ. εν τω ηγαπηκεναι αυτον, οτι ηγαπηκεν 18. αυτω ιωναθαν 19. εκρυβης ... καθισεις παρα το εργον εκ. 20. θηρα ακοντιζων ... λααρματταραι 22. ιδε η σχ. εκει απο 24. εν τω αγρω 25. εκαθ. ο βασιλευς επι ... αβεννηρ ενωπιον αυτου εκ 26. σαουλ ουδεν εν ... οτι ειπεν 27. om τη ημερα ... παραγεγονεν υιος ... εχθες 28. δαυ. παρ εμου 29. με δη ... ενετειλατο π. μ. ο αδελφος μου (... νυνι pro νυν ει) ... διασωθησομαι δη (30. om εις prius)

Digitized by Google

χρίθη Ἰωνάθαν τῷ Σαοὺλ Ἵνα τί ἀποθνήσκει; τί πεποίηκεν; 33 καὶ ἐπῆρε 33
Σαοὺλ τὸ δόρυ ἐπὶ Ἰωνάθαν τοῦ θανατῶσαι αὐτόν, καὶ ἔγνω Ἰωνάθαν ὅτι
συντετέλεσται ἡ κακία αὕτη παρὰ τοῦ πατρὸς αὐτοῦ θανατῶσαι τὸν Δαυίδ.
34 καὶ ἀνεπήδησεν Ἰωνάθαν ἀπὸ τῆς τραπέζης ἐν ὀργῇ θυμοῦ, καὶ οὐκ ἔφα- 34
γεν ἐν τῇ δευτέρᾳ τοῦ μηνὸς ἄρτον, ὅτι ἐθραύσθη ἐπὶ τὸν Δαυίδ, ὅτι συνε-
τέλεσεν ἐπ' αὐτὸν ὁ πατὴρ αὐτοῦ. 35 καὶ ἐγενήθη πρωὶ καὶ ἐξῆλθεν Ἰωνάθαν 35
εἰς ἀγρόν, καθὼς ἐτάξατο εἰς τὸ μαρτύριον Δαυίδ, καὶ παιδάριον μικρὸν μετ'
αὐτοῦ· 36 καὶ εἶπε τῷ παιδαρίῳ Δράμε εὑρέ μοι τὰς σχίζας ἐν αἷς ἐγὼ ἀκον- 36
τίζω· καὶ τὸ παιδάριον ἔδραμε, καὶ αὐτὸς ἠκόντισε τῇ σχίζῃ, καὶ παρήγα-
γεν αὐτήν. 37 καὶ ἦλθε τὸ παιδάριον ἕως τοῦ τόπου τῆς σχίζης οὗ ἠκόντιζεν 37
Ἰωνάθαν. 38 καὶ ἀνεβόησεν Ἰωνάθαν ὀπίσω τοῦ νεανίου καὶ εἶπεν Ἐκεῖ ἡ 38
σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα· καὶ ἀνεβόησεν Ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου
αὐτοῦ λέγων Ταχύνας σπεῦσον καὶ μὴ στῇς· καὶ ἀνέλεξε τὸ παιδάριον Ἰω-
νάθαν τὰς σχίζας, καὶ ἤνεγκε τὰς σχίζας πρὸς τὸν κύριον αὐτοῦ. 39 καὶ τὸ 39
παιδάριον οὐκ ἔγνω οὐθὲν πάρεξ Ἰωνάθαν καὶ Δαυίδ. 40 καὶ Ἰωνάθαν ἔδωκε 40
τὰ σκεύη αὐτοῦ ἐπὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ Πο-
ρεύου εἴσελθε εἰς τὴν πόλιν. 41 καὶ ὡς εἰσῆλθε τὸ παιδάριον, καὶ Δαυὶδ ἀνέ- 41
στη ἀπὸ τοῦ Ἀργὰβ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησεν αὐτῷ
τρίς, καὶ κατεφίλησεν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἔκλαυσεν ἕκαστος τῷ
πλησίον αὐτοῦ ἕως συντελείας μεγάλης. 42 καὶ εἶπεν Ἰωνάθαν τῷ Δαυὶδ Πο- 42
ρεύου εἰς εἰρήνην, καὶ ὡς ὀμωμόκαμεν ἡμεῖς ἀμφότεροι ἐν ὀνόματι κυρίου
λέγοντες Κύριος ἔσται μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τοῦ
σπέρματός μου καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου ἕως αἰῶνος. 43 καὶ ἀνέστη 43
Δαυὶδ καὶ ἀπῆλθε, καὶ Ἰωνάθαν εἰσῆλθεν εἰς τὴν πόλιν.

## XXI.

Καὶ ἔρχεται Δαυὶδ εἰς Νομβὰ πρὸς Ἀβιμέλεχ τὸν ἱερέα· καὶ ἐξέστη Ἀβι-
μέλεχ τῇ ἀπαντήσει αὐτοῦ καὶ εἶπεν αὐτῷ Τί ὅτι σὺ μόνος καὶ οὐθεὶς μετὰ
σοῦ; 2 καὶ εἶπε Δαυὶδ τῷ ἱερεῖ Ὁ βασιλεὺς ἐντέταλταί μοι ῥῆμα σήμερον 2
καὶ εἶπέ μοι Μηδεὶς γνώτω τὸ ῥῆμα περὶ οὗ ἐγὼ ἀποστέλλω σε καὶ ὑπὲρ οὗ
ἐγὼ ἐντέταλμαί σοι, καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ
λεγομένῳ Θεοῦ πίστις, Φελλανὶ Μαεμωνί. 3 καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖρά 3
σου πέντε ἄρτοι, δὸς εἰς χεῖρά μου τὸ εὑρεθέν. 4 καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ 4
Δαυὶδ καὶ εἶπεν Οὐκ εἰσὶν ἄρτοι βέβηλοι ὑπὸ τὴν χεῖρά μου, ὅτι ἀλλ' ἢ ἄρτοι
ἅγιοί εἰσιν· εἰ πεφυλαγμένα τὰ παιδάριά ἐστι πλὴν ἀπὸ γυναικός, καὶ φά-
γεται. 5 καὶ ἀπεκρίθη Δαυὶδ τῷ ἱερεῖ καὶ εἶπεν αὐτῷ Ἀλλὰ ἀπὸ γυναικὸς ἀπε- 5
σχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν· ἐν τῷ ἐξελθεῖν με εἰς ὁδὸν γέγονε πάντα
τὰ παιδία ἡγνισμένα, καὶ αὐτὴ ἡ ὁδὸς βέβηλος, διότι ἁγιασθήσεται σήμερον
Mt. 12, 3 ss. διὰ τὰ σκεύη μου. 6 καὶ ἔδωκεν αὐτῷ Ἀβιμέλεχ ὁ ἱερεὺς τοὺς ἄρτους τῆς 6
προθέσεως, ὅτι ἐκεῖ οὐκ ἦν ἄρτοι ἀλλ' ἢ ἄρτοι τοῦ προσώπου, οἱ ἀφῃρημέ-
νοι ἐκ προσώπου κυρίου τοῦ παρατεθῆναι ἄρτον θερμὸν ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς.

32. τω σαουλ πατρι αυτου και ειπεν προς αυτον Ινα 33. om του θαν. αυτ. κ. ε. ιωναθαν 34. απεπηδησεν ... εν οργη θυμω ... εν ημερα τη δευτ. 35. δαυ. εις το μαρτ. 36. ηκοντιζεν 37. ηκοντισεν 38. (om κ. ανεβ. ιω. ab initio) ... εβοησεν (39. 40. om ουκ εγνω usque επι το παιδαρ.) 40. πορ. και εισελθε 41. και το παιδ. εισηλθεν ... απο του υπνου κ. επ. επι πρ. α. επι την γην ... εκλαυσ. εκ. τον πλ. 42. ωμωμοκαμεν αμφ. ημεις XXI. 1. νοβα πρ. αμιμελεχ ... om συ ... ουδεις 2. τω αβιμελεχ τω ιερει ... σημερον ρημα. ... Μη γν. μηδεις ... αποστελω σε κ. υ. ου εντελλομαι ... φελμωνι αλμωνι 3. χειρας 4. οτι η αλλ η αρτος αγιος εστιν ... παιδια εισιν 5. εχθες ... παιδαρια 6. ουκ ην εκει αρτος οτι αλλ η α. τ. προφητου οι ... om του



Digitized by Google

7 [7] καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρίων τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συνεχόμενος
Νεεσσαρὰν ἐνώπιον κυρίου, καὶ ὄνομα αὐτῷ Δωὴκ ὁ Σύρος, νέμων τὰς ἡμιό-
8 νους Σαούλ. [8] καὶ εἶπε Δαυὶδ πρὸς Ἀβιμέλεχ Ἴδε εἰ ἔστιν ἐνταῦθα ὑπὸ τὴν
χεῖρά σου δόρυ ἢ ῥομφαία, ὅτι τὴν ῥομφαίαν μου καὶ τὰ σκεύη οὐκ εἴληφα
9 ἐν τῇ χειρί μου, ὅτι ἦν τὸ ῥῆμα τοῦ βασιλέως κατὰ σπουδήν. [9] καὶ εἶπεν ὁ
ἱερεὺς Ἰδοὺ ἡ ῥομφαία Γολιὰθ τοῦ ἀλλοφύλου, ὃν ἐπάταξας ἐν τῇ κοιλάδι
Ἠλά· καὶ αὕτη ἐνειλημένη ἦν ἐν ἱματίῳ· εἰ ταύτην λήψῃ, σεαυτῷ λάβε,
ὅτι οὐκ ἔστιν ἑτέρα πάρεξ ταύτης ἐνταῦθα. καὶ εἶπε Δαυὶδ Ἰδοὺ οὐκ ἔστιν
10 ὥςπερ αὐτή, δός μοι αὐτήν. [10] καὶ ἔδωκεν αὐτὴν αὐτῷ· καὶ ἀνέστη Δαυὶδ
καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προςώπου Σαούλ. καὶ ἦλθε Δαυὶδ πρὸς
11 Ἀγχοῦς βασιλέα Γέθ· [11] καὶ εἶπον οἱ παῖδες Ἀγχοῦς πρὸς αὐτόν Οὐχὶ οὗτος
Δαυὶδ ὁ βασιλεὺς τῆς γῆς; οὐχὶ τούτῳ ἐξῆρχον αἱ χορεύουσαι λέγουσαι Ἐπά-
12 ταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριάσιν αὐτοῦ; [12] καὶ ἔθετο
Δαυὶδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἐφοβήθη σφόδρα ἀπὸ προςώπου
13 Ἀγχοῦς βασιλέως Γέθ. [13] καὶ ἠλλοίωσε τὸ πρόςωπον αὐτοῦ ἐνώπιον αὐτοῦ καὶ
προςεποιήσατο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πό-
λεως καὶ παρεφέρετο ἐν ταῖς χερσὶν αὐτοῦ καὶ ἔπιπτεν ἐπὶ τὰς θύρας τῆς
14 πύλης, καὶ τὰ σίελα αὐτοῦ κατέῤῥει ἐπὶ τὸν πώγωνα αὐτοῦ. [14] καὶ εἶπεν Ἀγ-
χοῦς πρὸς τοὺς παῖδας αὐτοῦ Ἰδοὺ ἴδετε ἄνδρα ἐπίληπτον, ἵνα τί εἰςηγάγετε
15 αὐτὸν πρὸς μέ; [15] μὴ ἐλαττοῦμαι ἐπιλήπτων ἐγώ, ὅτι εἰςαγηόχατε αὐτὸν ἐπι-
ληπτεύεσθαι πρὸς μέ; οὗτος οὐκ εἰςελεύσεται εἰς οἰκίαν.

## XXII.

Καὶ ἀπῆλθεν ἐκεῖθεν Δαυὶδ καὶ διεσώθη, καὶ ἔρχεται εἰς τὸ σπήλαιον
τὸ Ὀδολλάμ· καὶ ἀκούουσιν οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ,
2 καὶ καταβαίνουσι πρὸς αὐτὸν ἐκεῖ. [2] καὶ συνήγοντο πρὸς αὐτὸν πᾶς ἐν ἀνάγκῃ
καὶ πᾶς ὑπόχρεως καὶ πᾶς κατώδυνος ψυχῇ, καὶ ἦν ἐπ' αὐτῶν ἡγούμενος,
3 καὶ ἦσαν μετ' αὐτοῦ ὡς τετρακόσιοι ἄνδρες. [3] καὶ ἀπῆλθεν Δαυὶδ ἐκεῖθεν εἰς
Μασσηφὰθ τῆς Μωάβ, καὶ εἶπε πρὸς βασιλέα Μωὰβ Γινέσθωσαν δὴ ὁ πα-
τήρ μου καὶ ἡ μήτηρ μου παρὰ σοὶ ἕως ὅτου γνῶ τί ποιήσει μοι ὁ θεός.
4 [4] καὶ παρεκάλεσε τὸ πρόςωπον τοῦ βασιλέως Μωάβ, καὶ κατῴκουν μετ' αὐ-
5 τοῦ πάσας τὰς ἡμέρας ὄντος τοῦ Δαυὶδ ἐν τῇ περιοχῇ. [5] καὶ εἶπε Γὰδ ὁ
προφήτης πρὸς Δαυὶδ Μὴ κάθου ἐν τῇ περιοχῇ, πορεύου καὶ ἥξεις εἰς γῆν
6 Ἰούδα· καὶ ἐπορεύθη Δαυίδ, καὶ ἦλθε καὶ ἐκάθισεν ἐν πόλει Σαρίκ. [6] καὶ
ἤκουσε Σαοὺλ ὅτι ἔγνωσται Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ· καὶ Σαοὺλ
ἐκάθητο ἐν τῷ βουνῷ ὑπὸ τὴν ἄρουραν τὴν ἐν Ῥαμά, καὶ τὸ δόρυ ἐν τῇ
7 χειρὶ αὐτοῦ, καὶ πάντες οἱ παῖδες αὐτοῦ παρειστήκεισαν αὐτῷ. [7] καὶ εἶπε
Σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ τοὺς παρεστηκότας αὐτῷ Ἀκούσατε δή, υἱοὶ
Βενιαμίν, εἰ ἀληθῶς πᾶσιν ὑμῖν δώσει ὁ υἱὸς Ἰεσσαὶ ἀγροὺς καὶ ἀμπελῶνας,
8 καὶ πάντας ὑμᾶς τάξει ἑκατοντάρχους καὶ χιλιάρχους; [8] ὅτι σύγκεισθε πάντες
ὑμεῖς ἐπ' ἐμέ, καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ ὠτίον μου ἐν τῷ διαθέσθαι
τὸν υἱόν μου διαθήκην μετὰ τοῦ υἱοῦ Ἰεσσαί, καὶ οὐκ ἔστι πονῶν περὶ ἐμοῦ
ἐξ ὑμῶν καὶ ἀποκαλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν ὁ υἱός μου τὸν δοῦ-

---

7. νεσσαραν 8. αχιμελεχ Ειδε ... χειραν ... σκευη μου ... κατασπευδον pro κ. σπουδ. 9. ειλημμενη ... εν ιματιω οπισω της επωμιδος ... λημψη 11. ειπαν ... ηρχον 12. εθηκεν 13. ηλλ. τον τροπον α. ... κατερει τα σιελα αυτου 14. επιλημπτον 15. ἢ pro μη ... επιλημπτων et επιλημπτευεσθαι ... (εισηγιαχατε ...) in fin. add μου XXII. 1. Κ. απηλλαγη δ. εκειθεν κ. ερχ. κ. διεσ. εις ... οδολαμ ... πας ο οικος 2. om πας υποχρ. κ. πας ... τη ψυχη 3. μασηφα ... γνω ο τι 4. om οντος 5. του ιουδα ... εν τη πολ. αριαθ 6. εν ραμμα 7. αυτω και ειπεν αυτοις Ακ. δη υι. ιεμεινι ... χιλ. κ. εκατ. 8. om ὁ bis ... εξ υμων περι εμου

Digitized by Google

λόν μου ἐπ' ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη. 9 καὶ ἀποκρίνεται Δωὴκ ὁ 9
Σύρος ὁ καθεστηκὼς ἐπὶ τὰς ἡμιόνους Σαοὺλ καὶ εἶπεν Ἑώρακα τὸν υἱὸν
Ἰεσσαὶ παραγινόμενον εἰς Νομβὰ πρὸς Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν ἱερέα· 10 καὶ 10
ἠρώτα αὐτῷ διὰ τοῦ θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν
Γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. 11 καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι 11
τὸν Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ τοὺς ἱε-
ρεῖς τοὺς ἐν Νομβά· καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα. 12 καὶ εἶπε 12
Σαοὺλ Ἄκουε δή, υἱὲ Ἀχιτώβ· καὶ εἶπεν Ἰδοὺ ἐγώ, λάλει κύριε. 13 καὶ εἶπεν 13
αὐτῷ Σαοὺλ Ἵνα τί συνέθου κατ' ἐμοῦ σὺ καὶ ὁ υἱὸς Ἰεσσαὶ δοῦναί σε αὐ-
τῷ ἄρτον καὶ ῥομφαίαν, καὶ ἐρωτᾶν αὐτῷ διὰ τοῦ θεοῦ θέσθαι αὐτὸν ἐπ'
ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη; 14 καὶ ἀπεκρίθη τῷ βασιλεῖ καὶ εἶπε Καὶ 14
τίς ἐν πᾶσι τοῖς δούλοις σου ὡς Δαυὶδ πιστὸς καὶ γαμβρὸς τοῦ βασιλέως καὶ
ἄρχων παντὸς παραγγέλματός σου καὶ ἔνδοξος ἐν τῷ οἴκῳ σου; 15 ἦ σήμερον 15
ἦργμαι ἐρωτᾶν αὐτῷ διὰ τοῦ θεοῦ; μηδαμῶς· μὴ δότω ὁ βασιλεὺς κατὰ τοῦ
δούλου αὐτοῦ λόγον καὶ ἐφ' ὅλον τὸν οἶκον τοῦ πατρός μου, ὅτι οὐκ ᾔδει ὁ
δοῦλός σου ἐν πᾶσι τούτοις ῥῆμα μικρὸν ἢ μέγα. 16 καὶ εἶπεν ὁ βασιλεὺς 16
Σαοὺλ Θανάτῳ ἀποθανῇ, Ἀβιμέλεχ, σὺ καὶ πᾶς ὁ οἶκος τοῦ πατρός σου. 17 καὶ 17
εἶπεν ὁ βασιλεὺς τοῖς παρατρέχουσι τοῖς ἐφεστηκόσι πρὸς αὐτόν Προςαγάγετε
καὶ θανατοῦτε τοὺς ἱερεῖς τοῦ κυρίου, ὅτι ἡ χεὶρ αὐτῶν μετὰ Δαυίδ, καὶ ὅτι
ἔγνωσαν ὅτι φεύγει αὐτὸς καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠτίον μου· καὶ οὐκ ἐβου-
λήθησαν οἱ παῖδες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς χεῖρας αὐτῶν ἀπαντῆσαι εἰς
τοὺς ἱερεῖς κυρίου. 18 καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δωὴκ Ἐπιστρέφου σὺ καὶ 18
ἀπάντα εἰς τοὺς ἱερεῖς· καὶ ἐπεστράφη Δωὴκ ὁ Σύρος καὶ ἐθανάτωσε τοὺς
ἱερεῖς τοῦ κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τριακοσίους καὶ πέντε ἄνδρας, πάντας
αἴροντας Ἐφούδ. 19 καὶ τὴν Νομβὰ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στό- 19
ματι ῥομφαίας ἀπὸ ἀνδρὸς ἕως γυναικός, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ
μόσχου καὶ ὄνου καὶ προβάτου. 20 καὶ διασῴζεται υἱὸς εἷς τῷ Ἀβιμέλεχ υἱῷ 20
Ἀχιτώβ, καὶ ὄνομα αὐτῷ Ἀβιάθαρ, καὶ ἔφυγεν ὀπίσω Δαυίδ. 21 καὶ ἀπήγγει- 21
λεν Ἀβιάθαρ τῷ Δαυὶδ ὅτι ἐθανάτωσε Σαοὺλ πάντας τοὺς ἱερεῖς τοῦ κυρίου.
22 καὶ εἶπε Δαυὶδ τῷ Ἀβιάθαρ Ἤιδειν ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι Δωὴκ ὁ 22
Σύρος ὅτι ἀπαγγέλλων ἀπαγγελεῖ τῷ Σαούλ· ἐγώ εἰμι αἴτιος τῶν ψυχῶν οἴ-
κου τοῦ πατρός σου. 23 κάθου μετ' ἐμοῦ, μὴ φοβοῦ· ὅτι οὗ ἐὰν ζητῶ τῇ 23
ψυχῇ μου τόπον, ζητήσω καὶ τῇ ψυχῇ σου, ὅτι πεφύλαξαι σὺ παρ' ἐμοί.

## XXIII.

Καὶ ἀπηγγέλη τῷ Δαυὶδ λέγοντες Ἰδοὺ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν τῇ
Κεϊλά, καὶ αὐτοὶ διαρπάζουσι καταπατοῦσι τοὺς ἅλω. 2 καὶ ἐπηρώτησε Δαυὶδ 2
διὰ τοῦ κυρίου λέγων Εἰ πορευθῶ καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; καὶ
εἶπε κύριος Πορεύου, καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις καὶ σώσεις τὴν
Κεϊλά. 3 καὶ εἶπον οἱ ἄνδρες τοῦ Δαυὶδ πρὸς αὐτόν Ἰδοὺ ἡμεῖς ἐνταῦθα ἐν 3
τῇ Ἰουδαίᾳ φοβούμεθα, καὶ πῶς ἔσται ἐὰν πορευθῶμεν εἰς Κεϊλά, εἰς τὰ

9. δωηγ ... εοραχα ... νοβα πρ. αμιμελεχ 11. σαουλ ο βασιλευς ... τον αχιμελεχ υι. αχ. τον ιερεαν ... ιερεις του κυριου τ. εν νοβαθ 13. συ κατ εμου (... δουναι σεαυτον και ρομφ.) ... επερωταν αυτον 14. αχιμελεχ τω βασιλει 15. ως pro ἤ (... ο βασ. καιταθουλου αυτου) ... ο δουλ. ο σος 17. εφεστ. επ αυτω ... αμαρτησαι τους pro απαντ. εις τους 18. απεστραφη δωηκ ... ο σ. κ. εθ. τ. ιερεις κυριου, και εθανατωσεν εν ... εφουδ λινον 19. νοβα ... in fin. add εν στοματι ρομφαιας 20. αχιμελεχ 21. om κ. απηγγ. αβ. τ. δ. 22. om οτι prim. et tertium ... απαγγελλει ... τ. ψυχ. εκεινων 23. φεφυλαξαι XXIII. 1. κεειλα ... om καταπατουσι 2. κυριος προς δαυιδ ... om πορευου ... κεειλα 3. ειπαν ... κεειλα

Digitized by Google

4 σκῦλα τῶν ἀλλοφύλων εἰςπορευσόμεθα; 4 καὶ προςέθετο Δαυὶδ ἔτι ἐπερωτῆσαι
διὰ τοῦ κυρίου· καὶ ἀπεκρίθη αὐτῷ κύριος καὶ εἶπεν αὐτῷ Ἀνάστηθι καὶ
κατάβηθι εἰς Κεϊλά, ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου.
5 5 καὶ ἐπορεύθη Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ εἰς Κεϊλὰ καὶ ἐπολέμησε
τοῖς ἀλλοφύλοις· καὶ ἔφυγον ἐκ προςώπου αὐτοῦ, καὶ ἀπήγαγε τὰ κτήνη αὐ-
τῶν, καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην· καὶ ἔσωσε Δαυὶδ τοὺς κατοι-
6 κοῦντας Κεϊλά. 6 καὶ ἐγένετο ἐν τῷ φεύγειν Ἀβιάθαρ υἱὸν Ἀχιμέλεχ πρὸς Δαυίδ,
καὶ αὐτὸς μετὰ Δαυὶδ εἰς Κεϊλὰ κατέβη, ἔχων Ἐφοὺδ ἐν τῇ χειρὶ αὐτοῦ.
7 7 καὶ ἀπηγγέλη τῷ Σαοὺλ ὅτι ἥκει ὁ Δαυὶδ εἰς Κεϊλά, καὶ εἶπε Σαοὺλ Πέ-
πρακεν αὐτὸν ὁ θεὸς εἰς τὰς χεῖράς μου, ὅτι ἀποκέκλεισται εἰςελθὼν εἰς πό-
8 λιν θυρῶν καὶ μοχλῶν. 8 καὶ παρήγγειλε Σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν
9 εἰς πόλεμον εἰς Κεϊλά, συνέχειν τὸν Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ. 9 καὶ ἔγνω
Δαυὶδ ὅτι οὐ παρασιωπᾷ Σαοὺλ περὶ αὐτοῦ τὴν κακίαν, καὶ εἶπε Δαυὶδ πρὸς
10 Ἀβιάθαρ τὸν ἱερέα Προςάγαγε τὸ Ἐφοὺδ κυρίου. 10 καὶ εἶπε Δαυὶδ Κύριε ὁ
θεὸς Ἰσραήλ, ἀκούων ἀκήκοεν ὁ δοῦλός σου ὅτι ζητεῖ Σαοὺλ ἐλθεῖν ἐπὶ Κεϊλὰ
11 διαφθεῖραι τὴν πόλιν δι' ἐμέ· 11 εἰ ἀποκλεισθήσεται; καὶ νῦν εἰ καταβήσεται
Σαοὺλ καθὼς ἤκουσεν ὁ δοῦλός σου; κύριε ὁ θεὸς Ἰσραήλ, ἀπάγγειλον τῷ
13 δούλῳ σου. καὶ εἶπε κύριος Ἀποκλεισθήσεται. 13 καὶ ἀνέστη Δαυὶδ καὶ οἱ ἄν-
δρες οἱ μετ' αὐτοῦ ὡς τετρακόσιοι καὶ ἐξῆλθον ἐκ Κεϊλά, καὶ ἐπορεύοντο
οὗ ἐὰν ἐπορεύοντο· καὶ τῷ Σαοὺλ ἀπηγγέλη ὅτι διασέσωσται Δαυὶδ ἐκ Κεϊλά,
14 καὶ ἀνῆκε τοῦ ἐλθεῖν. 14 καὶ ἐκάθισεν ἐν Μασερὲμ ἐν τῇ ἐρήμῳ ἐν τοῖς στε-
νοῖς, καὶ ἐκάθητο ἐν τῇ ἐρήμῳ ἐν τῷ ὄρει Ζίφ, ἐν τῇ γῇ τῇ αὐχμώδει· καὶ
ἐζήτει αὐτὸν Σαοὺλ πάσας τὰς ἡμέρας, καὶ οὐ παρέδωκεν αὐτὸν κύριος εἰς
15 τὰς χεῖρας αὐτοῦ. 15 καὶ εἶδε Δαυὶδ ὅτι ἐξέρχεται Σαοὺλ τοῦ ζητεῖν τὸν Δαυίδ·
16 καὶ Δαυὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώδει ἐν τῇ Καινῇ Ζίφ. 16 καὶ ἀνέστη Ἰω-
νάθαν υἱὸς Σαοὺλ καὶ ἐπορεύθη πρὸς Δαυὶδ εἰς Καινήν, καὶ ἐκραταίωσε τὰς
17 χεῖρας αὐτοῦ ἐν κυρίῳ 17 καὶ εἶπε πρὸς αὐτόν Μὴ φοβοῦ· ὅτι οὐ μὴ εὕρῃ σε
ἡ χεὶρ Σαοὺλ τοῦ πατρός μου, καὶ σὺ βασιλεύσεις ἐπὶ Ἰσραὴλ καὶ ἐγὼ ἔσο-
18 μαί σοι εἰς δεύτερον, καὶ Σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτως. 18 καὶ διέθεντο
ἀμφότεροι διαθήκην ἐνώπιον κυρίου· καὶ ἐκάθητο Δαυὶδ ἐν Καινῇ, καὶ Ἰω-
19 νάθαν ἀπῆλθεν εἰς οἶκον αὐτοῦ. 19 καὶ ἀνέβησαν οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώ-
δους πρὸς Σαοὺλ ἐπὶ τὸν βουνὸν λέγοντες Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ'
ἡμῖν ἐν Μεσσαρὰ ἐν τοῖς στενοῖς ἐν τῇ Καινῇ ἐν τῷ βουνῷ τοῦ Ἐχελᾶ τοῦ
20 ἐκ δεξιῶν τοῦ Ἰεσσαιμοῦ; 20 καὶ νῦν πᾶν τὸ πρὸς ψυχὴν τοῦ βασιλέως εἰς
κατάβασιν καταβαινέτω πρὸς ἡμᾶς· κεκλείκασιν αὐτὸν εἰς τὰς χεῖρας τοῦ
21 βασιλέως. 21 καὶ εἶπεν αὐτοῖς Σαοὺλ Εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, ὅτι ἐπονέ-
22 σατε περὶ ἐμοῦ· 22 πορεύθητε δὴ καὶ ἑτοιμάσατε ἔτι, καὶ γνῶτε τὸν τόπον
αὐτοῦ οὗ ἔσται ὁ πούς αὐτοῦ ἐν τάχει ἐκεῖ οὗ εἴπατε, μή ποτε πανουργεύ-
23 σηται. 23 καὶ ἴδετε καὶ γνῶτε, καὶ πορεύσομαι μεθ' ὑμῶν· καὶ ἔσται εἰ ἔστιν

---

3. ει πορευομεθα 4. ετι δαυιδ ερωτησαι ... om αυτω bis ... ανα-στηθι προς αυτον ..., κεειλα 5. κεειλα bis ... επολ. εν τοις ... και ουκ απηγαγεν 6. φυγειν ... κεειλα ... εφουδ pon. ante κατεβη 7. (om οτι ηκει usque σαουλ ...) εις χειρας ... αποκεκλιται 8. εις πολ. καταβ. ε. κεειλα 9. οτι περι αυτ. σαουλ ου παρεσιωπα την 10. κεειλα 12. και ειπεν δαυιδ Ει παραδωσουσιν παρα της κεειλα εμε και τους ανδρας μου εις χειρας σαουλ; και ειπεν κυριος Παραδωσουσιν. 13. (ως ὑ pro ως τετρακ.) ... κεειλα bis ... ου αν επορευθησαν ... του εξελθειν 14. κ. εκαθ. δαυιδ ε. τη ερ. εν μασερεθ ... εν τω ορει εν τη ερημω ζειφ εις ορος το αυχμωδες εν γη αυχμ. 15. ιδεν ... ερχεται σαουλ ζητειν ... om ην ... ζειφ εν τη καινη 18. δαυιδ εκαθητο 19. ουχ ιδου ... μεσαρα 20. και κεκλ. 22. κ. γνωτε και ιδετε τ. τοπ. ου 23. κ. γνωτε κ. ειδετε εκ παντων των τοπων οπου κρυβεται εκει, και επιστρεψατε προς με εις ετοιμον, κ. πορευσομεθα μεθ

Digitized by Google

ἐπὶ τῆς γῆς, καὶ ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν Ἰούδα. [24]καὶ ἀνέ- 24
στησαν οἱ Ζιφαῖοι καὶ ἐπορεύθησαν ἔμπροσθεν Σαούλ· καὶ Δαυὶδ καὶ οἱ ἄν-
δρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ Μαὼν καθ' ἑσπέραν ἐκ δεξιῶν τοῦ Ἰεσσαιμοῦ.
[25]καὶ ἐπορεύθη Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ζητεῖν αὐτόν· καὶ ἀπήγγειλαν 25
τῷ Δαυίδ, καὶ κατέβη εἰς τὴν πέτραν τὴν ἐν τῇ ἐρήμῳ Μαών· καὶ ἤκουσε
Σαούλ, καὶ κατεδίωξεν ὀπίσω Δαυὶδ εἰς τὴν ἔρημον Μαών. [26]καὶ πορεύονται 26
Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου, καὶ ἦν Δαυὶδ
καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου· καὶ ἦν Δαυὶδ σκεπα-
ζόμενος πορεύεσθαι ἀπὸ προσώπου Σαούλ, καὶ Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ
παρενέβαλον ἐπὶ Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ συλλαβεῖν αὐτούς. [27]καὶ πρὸς 27
Σαοὺλ ἦλθεν ἄγγελος λέγων Σπεῦδε καὶ δεῦρο, ὅτι ἀλλόφυλοι ἐπέθεντο ἐπὶ
τὴν γῆν. [28]καὶ ἀνέστρεψε Σαοὺλ μὴ καταδιώκειν ὀπίσω Δαυίδ, καὶ ἐπορεύθη 28
εἰς συνάντησιν τῶν ἀλλοφύλων· διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος Πέτρα
ἡ μερισθεῖσα.

## XXIV.

Καὶ ἀνέστη Δαυὶδ ἐκεῖθεν καὶ ἐκάθισεν ἐν τοῖς στενοῖς Ἐνγαδδί. [2]καὶ 2
ἐγενήθη ὡς ἀνέστρεψε Σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ ἀπηγγέλη
αὐτῷ λεγόντων ὅτι Δαυὶδ ἐν τῇ ἐρήμῳ Ἐνγαδδί. [3]καὶ ἔλαβε μεθ' ἑαυτοῦ 3
τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παντὸς Ἰσραήλ, καὶ ἐπορεύθη ζητεῖν τὸν
Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρόσωπον Σαδδαιέμ. [4]καὶ ἦλθεν εἰς τὰς 4
ἀγέλας τῶν ποιμνίων τὰς ἐπὶ τῆς ὁδοῦ, καὶ ἦν ἐκεῖ σπήλαιον· καὶ Σαοὺλ
εἰςῆλθε παρασκευάσασθαι, καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτερον τοῦ σπη-
λαίου ἐκάθηντο. [5]καὶ εἶπον οἱ ἄνδρες Δαυὶδ πρὸς αὐτόν Ἰδοὺ ἡ ἡμέρα αὕτη 5
ἣν εἶπε κύριος πρὸς σὲ παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ
ποιήσεις αὐτῷ ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου· καὶ ἀνέστη Δαυὶδ καὶ ἀφεῖλε
τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ Σαοὺλ λαθραίως. [6]καὶ ἐγενήθη μετὰ ταῦτα 6
καὶ ἐπάταξε καρδία Δαυὶδ αὐτόν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐ-
τοῦ. [7]καὶ εἶπε Δαυὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ Μηδαμῶς μοι παρὰ κυρίου, 7
εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ κυρίου ἐπενέγκαι χεῖρά
μου ἐπ' αὐτόν, ὅτι χριστὸς κυρίου ἐστὶν οὗτος. [8]καὶ ἔπεισε Δαυὶδ τοὺς ἄν- 8
δρας αὐτοῦ ἐν λόγοις, καὶ οὐκ ἔδωκεν αὐτοῖς ἀναστάντας θῦσαι τὸν Σαούλ·
καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη τὴν ὁδόν. [9]καὶ ἀνέστη Δαυὶδ ὀπίσω αὐτοῦ 9
ἐκ τοῦ σπηλαίου· καὶ ἐβόησε Δαυὶδ ὀπίσω Σαοὺλ λέγων Κύριε βασιλεῦ· καὶ
ἐπέβλεψε Σαοὺλ εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαυὶδ ἐπὶ πρόσωπον αὐτοῦ
ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ. [10]καὶ εἶπε Δαυὶδ πρὸς Σαοὺλ Ἵνα τί 10
ἀκούεις τῶν λόγων τοῦ λαοῦ λεγόντων Ἰδοὺ Δαυὶδ ζητεῖ τὴν ψυχήν σου;
[11]ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου ὡς παρέδωκέ σε κύ- 11
ριος σήμερον εἰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί
σε, καὶ ἐφεισάμην σου καὶ εἶπα Οὐκ ἐποίσω χεῖρά μου ἐπὶ κύριόν μου, ὅτι
χριστὸς κυρίου οὗτός ἐστι. [12]καὶ ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ 12
χειρί μου, ἐγὼ ἀφήρηκα τὸ πτερύγιον καὶ οὐκ ἀπέκταγκά σε· καὶ γνῶθι καὶ

23. εξεραυνησω ... πασιν 24. κ. ανεστ. κ. επορευθ. οι ζιφ. 25. απηγγελη 26. εκ μεσου bis pro εκ μερους ... om εκ extr. ... και εγενετο δαυ. 27. κ. αγγ. ηλθ. πρ. σ. ... επεθεντο αλλοφ. XXIV. 1. om και εκαθισεν ... ενγαθθει 2. λεγων ... ενγαθθει 3. αειαμειν 4. ειςηλθεν σαουλ 5. ειπαν ... ιδου ημερα ... τ. διπλ. της σαουλ 7. παρα κυριω ει ... επενεγκειν 8. εδ. αυτους αναστ. θανατωσαι ... κ. σαουλ ανεστη εκ του σπηλαιου κ. κατ. εις την 9. οπ. αυτου και εξηλθεν εκ ... Κυρ. μου ... om εις τα (... εκρυψεν) 11. εοραχασιν ... σημερον κυριος ... εβουληθην ... οτι χρηστος κυριος εστιν. 12. και πατερ μου, κ. ιδου ... το πτερ. του ιματιου κ. ουχ

Digitized by Google

ἴδε σήμερον ὅτι οὐκ ἔστι κακία ἐν τῇ χειρί μου οὐδὲ ἀσέβεια καὶ ἀθέτησις
καὶ οὐχ ἡμάρτηκα εἰς σέ, καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου λαβεῖν αὐτήν.
13 [13] δικάσαι κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσαι σοι κύριος ἐκ σοῦ, καὶ
14 ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ· [14] καθὼς λέγεται ἡ παραβολὴ ἡ ἀρχαία Ἐξ ἀνό-
15 μων ἐξελεύσεται πλημμέλεια· καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ. [15] καὶ νῦν
ὀπίσω τίνος σὺ ἐκπορεύῃ, βασιλεῦ Ἰσραήλ; ὀπίσω τίνος καταδιώκεις σύ;
16 ὀπίσω κυνὸς τεθνηκότος καὶ ὀπίσω ψύλλου ἑνός; [16] γένοιτο κύριος εἰς κριτὴν
καὶ δικαστὴν ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, ἴδοι κύριος καὶ κρίναι
17 τὴν κρίσιν μου καὶ δικάσαι μοι ἐκ χειρός σου. [17] καὶ ἐγένετο ὡς συνετέλεσε
Δαυὶδ τὰ ῥήματα ταῦτα λαλῶν πρὸς Σαούλ, καὶ εἶπε Σαοὺλ Ἡ φωνή σου
18 αὕτη, τέκνον Δαυίδ; καὶ ἦρε Σαοὺλ τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσε. [18] καὶ
εἶπε Σαοὺλ πρὸς Δαυίδ Δίκαιος σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθά,
19 ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά. [19] καὶ σὺ ἀπήγγειλάς μοι σήμερον ἃ ἐποίη-
σάς μοι ἀγαθά, ὡς ἀπέκλεισέ με κύριος εἰς χεῖράς σου σήμερον καὶ οὐκ
20 ἀπέκτεινάς με· [20] καὶ ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει καὶ ἐκ-
πέμψοι αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ κύριος ἀποτίσει αὐτῷ ἀγαθά, καθὼς πε-
21 ποίηκας σήμερον. [21] καὶ νῦν ἰδοὺ ἐγὼ γινώσκω ὅτι βασιλεύων βασιλεύσεις, καὶ
22 στήσεται ἐν χειρί σου ἡ βασιλεία Ἰσραήλ· [22] καὶ νῦν ὄμοσόν μοι ἐν κυρίῳ
ὅτι οὐκ ἐξολοθρεύσεις τὸ σπέρμα μου ὀπίσω μου, οὐκ ἀφανιεῖς τὸ ὄνομά μου
23 ἐκ τοῦ οἴκου τοῦ πατρός μου. [23] καὶ ὤμοσε Δαυὶδ τῷ Σαούλ· καὶ ἀπῆλθε
Σαοὺλ εἰς τὸν τόπον αὐτοῦ, καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἀνέβησαν εἰς
τὴν Μεσσερὰ στενήν.

## XXV.

Καὶ ἀπέθανε Σαμουήλ, καὶ συναθροίζονται πᾶς Ἰσραὴλ καὶ κόπτονται
αὐτόν, καὶ θάπτουσιν αὐτὸν ἐν οἴκῳ αὐτοῦ ἐν Ἀρμαθαίμ· καὶ ἀνέστη Δαυὶδ
2 καὶ κατέβη εἰς τὴν ἔρημον Μαών. [2] καὶ ἦν ἄνθρωπος ἐν τῇ Μαών, καὶ τὰ
ποίμνια αὐτοῦ ἐν τῷ Καρμήλῳ· καὶ ὁ ἄνθρωπος μέγας σφόδρα, καὶ τούτῳ
ποίμνια τρισχίλια καὶ αἶγες χίλιαι· καὶ ἐγενήθη ἐν τῷ κείρειν τὸ ποίμνιον
3 αὐτοῦ ἐν τῷ Καρμήλῳ. [3] καὶ ὄνομα τῷ ἀνθρώπῳ Νάβαλ, καὶ ὄνομα τῇ γυ-
ναικὶ αὐτοῦ Ἀβιγαία· καὶ ἡ γυνὴ αὐτοῦ ἀγαθὴ συνέσει καὶ ἀγαθὴ τῷ εἴδει
σφόδρα, καὶ ὁ ἄνθρωπος σκληρὸς καὶ πονηρὸς ἐν ἐπιτηδεύμασι, καὶ ὁ ἄνθρω-
4 πος κυνικός. [4] καὶ ἤκουσε Δαυὶδ ἐν τῇ ἐρήμῳ ὅτι κείρει Νάβαλ ὁ Καρμήλιος
5 τὸ ποίμνιον αὐτοῦ· [5] καὶ ἀπέστειλε Δαυὶδ δέκα παιδάρια, καὶ εἶπε τοῖς παι-
δαρίοις Ἀνάβητε εἰς Κάρμηλον καὶ ἀπέλθατε πρὸς Νάβαλ, καὶ ἐρωτήσατε
6 αὐτὸν ἐπὶ τῷ ὀνόματί μου εἰς εἰρήνην, [6] καὶ ἐρεῖτε τάδε Εἰς ὥρας καὶ σὺ
7 ὑγιαίνων καὶ ὁ οἶκός σου, καὶ πάντα τὰ σὰ ὑγιαίνοντα. [7] καὶ νῦν ἰδοὺ ἀκή-
κοα ὅτι κείρουσί σοι νῦν οἱ ποιμένες σου οἳ ἦσαν μεθ' ἡμῶν ἐν τῇ ἐρήμῳ,
καὶ οὐκ ἀπεκωλύσαμεν αὐτοὺς καὶ οὐκ ἐνετειλάμεθα αὐτοῖς οὐθὲν πάσας τὰς
8 ἡμέρας ὄντων αὐτῶν ἐν Καρμήλῳ. [8] ἐρώτησον τὰ παιδάριά σου, καὶ ἀπαγ-
γελοῦσί σοι· καὶ εὑρέτωσαν τὰ παιδάριά σου χάριν ἐν ὀφθαλμοῖς σου, ὅτι
ἐφ' ἡμέραν ἀγαθὴν ἥκομεν· δὸς δὴ ὃ ἐὰν εὕρῃ ἡ χείρ σου τῷ υἱῷ σου τῷ
9 Δαυίδ. [9] καὶ ἔρχονται τὰ παιδάρια καὶ λαλοῦσι τοὺς λόγους τούτους πρὸς Νά-
βαλ κατὰ πάντα τὰ ῥήματα ταῦτα ἐν τῷ ὀνόματι Δαυίδ· καὶ ἀνεπήδησε

---

12. εν τη χ. μ. κακια ουδε αθετ. ουδε ασεβ. 13. εκδ. με κυρ. εκ ... επι σοι 15. om συ sec. 17. λαλων τα ρημ. ταυτα 19. σημερ. εις χ. σου 20. οτι ευρων τις ... εκπεμψει ... ανταποδωσει ... om αγαθα 21. εν χερσιν σου βασιλεα (sic) ισρ. 22. εξολεθρευσεις ... και ουκ αφανιεις 23. μεσαρας XXV. 1. εν ραμα ... ερημον φαραν 2. om εν τη ... χιλιαι αιγες ... κειρειν τα ποιμνια α. 3. τη συνεσει κ. καλη τω ... πονηρ. κ. σκληρ. 5. ειπεν δαυιδ τοις 8. om σου bis post παιδαρια ... ο αν ... τοις παισιν σου τω υι. σου δαυ. 9. τα παιδ. δαυιδ κ. λαλ. τω ναβαλ κατα

Digitized by Google

10 καὶ ἀπεκρίθη Νάβαλ τοῖς παισὶ Δαυὶδ καὶ εἶπε Τίς ὁ Δαυὶδ καὶ τίς ὁ υἱὸς 10
Ἰεσσαί; σήμερον πεπληθυμμένοι εἰσὶν οἱ δοῦλοι ἀναχωροῦντες ἕκαστος ἐκ
προςώπου τοῦ κυρίου αὐτοῦ. 11 καὶ λήψομαι τοὺς ἄρτους μου καὶ τὸν οἶνόν 11
μου καὶ τὰ θύματά μου ἃ τέθυκα τοῖς κείρουσί μου τὰ πρόβατα, καὶ δώσω
αὐτὰ ἀνδράσιν οἷς οὐκ οἶδα πόθεν εἰσί; 12 καὶ ἀπεστράφησαν τὰ παιδάρια 12
Δαυὶδ εἰς ὁδὸν αὐτῶν, καὶ ἀνέστρεψαν καὶ ἦλθον καὶ ἀνήγγειλαν τῷ Δαυὶδ
κατὰ τὰ ῥήματα ταῦτα. 13 καὶ εἶπε Δαυὶδ τοῖς ἀνδράσιν αὐτοῦ Ζώσασθε ἕκα- 13
στος τὴν ῥομφαίαν αὐτοῦ· καὶ ἀνέβησαν ὀπίσω Δαυὶδ ὡς τετρακόσιοι ἄνδρες,
καὶ οἱ διακόσιοι ἐκάθισαν μετὰ τῶν σκευῶν. 14 καὶ τῇ Ἀβιγαίᾳ γυναικὶ Νά- 14
βαλ ἀπήγγειλεν ἓν τῶν παιδαρίων λέγων Ἰδοὺ Δαυὶδ ἀπέστειλεν ἀγγέλους ἐκ
τῆς ἐρήμου εὐλογῆσαι τὸν κύριον ἡμῶν, καὶ ἐξέκλινεν ἀπ᾽ αὐτῶν. 15 καὶ οἱ 15
ἄνδρες ἀγαθοὶ ἡμῖν σφόδρα οὐκ ἀπεκώλυσαν ἡμᾶς οὐδὲ ἐνετείλαντο ἡμῖν οὐ-
δὲν πάσας τὰς ἡμέρας ἃς ἦμεν παρ᾽ αὐτοῖς, 16 καὶ ἐν τῷ εἶναι ἡμᾶς ἐν ἀγρῷ 16
ὡς τεῖχος ἦσαν περὶ ἡμᾶς καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν πάσας τὰς ἡμέρας
ἃς ἦμεν παρ᾽ αὐτοῖς ποιμαίνοντες τὸ ποίμνιον. 17 καὶ νῦν γνῶθι καὶ ἴδε σὺ 17
τί ποιήσεις, ὅτι συντετέλεσται ἡ κακία εἰς τὸν κύριον ἡμῶν καὶ εἰς τὸν οἶκον
αὐτοῦ, καὶ οὗτος υἱὸς λοιμὸς καὶ οὐκ ἔστι λαλῆσαι πρὸς αὐτόν. 18 καὶ ἔσπευ- 18
σεν Ἀβιγαία καὶ ἔλαβε διακοσίους ἄρτους καὶ δύο ἀγγεῖα οἴνου καὶ πέντε
πρόβατα πεποιημένα καὶ πέντε οἰφὶ ἀλφίτου καὶ γομὸρ ἓν σταφίδος καὶ δια-
κοσίας παλάθας, καὶ ἔθετο ἐπὶ τοὺς ὄνους· 19 καὶ εἶπε τοῖς παιδαρίοις αὐτῆς 19
Προπορεύεσθε ἔμπροσθέν μου, καὶ ἰδοὺ ἐγὼ ὀπίσω ὑμῶν παραγίνομαι· καὶ
τῷ ἀνδρὶ αὐτῆς οὐκ ἀπήγγειλε. 20 καὶ ἐγενήθη αὐτῆς ἐπιβεβηκυίης ἐπὶ τὴν 20
ὄνον καὶ καταβαινούσης ἐν σκέπῃ τοῦ ὄρους, καὶ ἰδοὺ Δαυὶδ καὶ οἱ ἄνδρες
αὐτοῦ κατέβαινον εἰς συνάντησιν αὐτῆς, καὶ ἀπήντησεν αὐτοῖς. 21 καὶ Δαυὶδ 21
εἶπεν Ἴσως εἰς ἄδικον πεφύλακα πάντα τὰ αὐτοῦ ἐν τῇ ἐρήμῳ καὶ οὐκ ἐνε-
τειλάμεθα λαβεῖν ἐκ πάντων τῶν αὐτοῦ οὐθέν, καὶ ἀνταπέδωκέ μοι πονηρὰ
ἀντὶ ἀγαθῶν· 22 τάδε ποιῆσαι ὁ θεὸς τῷ Δαυὶδ καὶ τάδε προσθείη, εἰ ὑπο- 22
λείψομαι ἐκ πάντων τῶν τοῦ Νάβαλ ἕως πρωὶ οὐροῦντα πρὸς τοῖχον. 23 καὶ 23
εἶδεν Ἀβιγαία τὸν Δαυίδ, καὶ ἔσπευσε καὶ κατεπήδησεν ἀπὸ τῆς ὄνου καὶ
ἔπεσεν ἐνώπιον Δαυὶδ ἐπὶ πρόσωπον αὐτῆς, καὶ προσεκύνησεν αὐτῷ ἐπὶ τὴν
γῆν 24 ἐπὶ τοὺς πόδας αὐτοῦ καὶ εἶπεν Ἐν ἐμοί, κύριέ μου, ἡ ἀδικία μου· 24
λαλησάτω δὴ ἡ δούλη σου εἰς τὰ ὦτά σου, καὶ ἄκουσον λόγων τῆς δούλης
σου. 25 μὴ δὴ θέσθω ὁ κύριός μου καρδίαν αὐτοῦ ἐπὶ τὸν ἄνθρωπον τὸν λοι- 25
μὸν τοῦτον, ὅτι κατὰ τὸ ὄνομα αὐτοῦ οὗτός ἐστι· Νάβαλ ὄνομα αὐτῷ καὶ
ἀφροσύνη μετ᾽ αὐτοῦ, καὶ ἐγὼ ἡ δούλη σου οὐκ εἶδον τὰ παιδάρια τοῦ κυ-
ρίου μου ἃ ἀπέστειλας. 26 καὶ νῦν, κύριέ μου, ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, 26
καθὼς ἐκώλυσέ σε κύριος τοῦ μὴ ἐλθεῖν εἰς αἷμα ἀθῷον καὶ σώζειν τὴν
χεῖρά σου σοί· καὶ νῦν γένοιντο ὡς Νάβαλ οἱ ἐχθροί σου καὶ οἱ ζητοῦντες
τῷ κυρίῳ μου κακά. 27 καὶ νῦν λάβε τὴν εὐλογίαν ταύτην ἣν ἐνήνοχεν ἡ δούλη 27
σου τῷ κυρίῳ μου, καὶ δώσεις τοῖς παιδαρίοις τοῖς παρεστηκόσι τῷ κυρίῳ
μου. 28 ἆρον δὴ τὸ ἀνόμημα τῆς δούλης σου, ὅτι ποιῶν ποιήσει κύριος τῷ 28
κυρίῳ μου οἶκον πιστόν, ὅτι πόλεμον κυρίου μου ὁ κύριος πολεμεῖ, καὶ κα-

10. κ. ειπεν ναβ. τ. π. δ. κ. απεκριθη ... om bis ὁ 12. ηλθαν ... κατα παντα τα 13. και περιεζωσαντο ανηρ την μαχαιραν αυτου και περιεζωσατο και δαυιδ την μαχαιραν αυτου, κ. ανεβ. οπ. 14. απεστειλεν δαυιδ 16. ημεθα 17. τι συ ... και εις παντα τον 18. αγγια ... οιφει ... διακοσιους ... τας ονους 19. τω α. αυτης ναβαλ 20. (επιβεβηκυεις ...) κατεβαιναν 23. ιδεν 24. και επεσεν επι τους ... ακουσ. τον λογον 25. λοιμ. τουτ. επι ναβαλ, οτι κ. το ον. α. και αφροσυνη μετ αυτου· αυτος εστιν ναβαλ κ. αφρ. μ. α. ... ουχ ιδον τα παιδ. σου α απ. 26. om μου 27. μου, λαβε και δωσεις 28. om ποιων ... om πιστον ... ο κυριος μου

Digitized by Google

29 κία οὐχ εὑρεθήσεται ἐν σοὶ πώποτε. [29]καὶ ἀναστήσεται ἄνθρωπος καταδιώ-
κων σε καὶ ζητῶν τὴν ψυχήν σου, καὶ ἔσται ψυχὴ κυρίου μου ἐνδεδεμένη
ἐν δεσμῷ τῆς ζωῆς παρὰ κυρίῳ τῷ θεῷ, καὶ ψυχὴν ἐχθρῶν σου σφενδονή-
30 σεις ἐν μέσῳ τῆς σφενδόνης. [30]καὶ ἔσται ὅτε ποιήσῃ κύριος τῷ κυρίῳ μου
πάντα ὅσα ἐλάλησεν ἀγαθὰ ἐπὶ σέ, καὶ ἐντελεῖταί σοι εἰς ἡγούμενον ἐπὶ
31 Ἰσραήλ. [31]καὶ οὐκ ἔσται σοι τοῦτο βδελυγμὸς καὶ σκάνδαλον τῷ κυρίῳ μου,
ἐκχέαι αἷμα ἀθῷον δωρεὰν καὶ σῶσαι χεῖρα κυρίῳ μου αὐτῷ· καὶ ἀγαθῶ-
σαι κύριος τῷ κυρίῳ μου, καὶ μνησθήσῃ τῆς δούλης σου ἀγαθῶσαι αὐτῇ.
32 [32]καὶ εἶπε Δαυὶδ τῇ Ἀβιγαίᾳ Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ ὃς ἀπέστειλέ
33 σε σήμερον ἐν ταύτῃ εἰς ἀπάντησίν μοι, [33]καὶ εὐλογητὸς ὁ τρόπος σου, καὶ
εὐλογημένη σὺ ἡ ἀποκωλύσασά με σήμερον ἐν ταύτῃ μὴ ἐλθεῖν εἰς αἵματα
34 καὶ σῶσαι χεῖρά μου ἐμοί· [34]πλὴν ὅτι ζῇ κύριος ὁ θεὸς Ἰσραὴλ ὃς ἀπεκώ-
λυσέ με σήμερον τοῦ κακοποιῆσαί σε, ὅτι εἰ μὴ ἔσπευσας καὶ παρεγένου εἰς
ἀπάντησίν μοι, τότε εἶπα Εἰ ὑπολειφθήσεται τῷ Νάβαλ ἕως φωτὸς τοῦ πρωὶ
35 οὐρῶν πρὸς τοῖχον. [35]καὶ ἔλαβε Δαυὶδ ἐκ χειρὸς αὐτῆς πάντα ἃ ἔφερεν αὐτῷ,
καὶ εἶπεν αὐτῇ Ἀνάβηθι εἰς εἰρήνην εἰς οἶκόν σου· βλέπε, ἤκουσα τῆς φω-
36 νῆς σου καὶ ᾑρέτισα τὸ πρόσωπόν σου. [36]καὶ παρεγενήθη Ἀβιγαία πρὸς Νάβαλ·
καὶ ἰδοὺ αὐτῷ πότος ἐν οἴκῳ αὐτοῦ ὡς πότος βασιλέως καὶ ἡ καρδία Νάβαλ
ἀγαθὴ ἐπ᾽ αὐτόν, καὶ αὐτὸς μεθύων ἕως σφόδρα· καὶ οὐκ ἀπήγγειλεν αὐτῷ
37 ῥῆμα μικρὸν ἢ μέγα ἕως φωτὸς τοῦ πρωί. [37]καὶ ἐγένετο πρωὶ ὡς ἐξένηψεν
ἀπὸ τοῦ οἴνου Νάβαλ, ἀπήγγειλεν ἡ γυνὴ αὐτοῦ τὰ ῥήματα ταῦτα, καὶ ἀναπέ-
38 θανεν ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, καὶ αὐτὸς γίνεται ὡς λίθος· [38]καὶ ἐγένετο
39 ὡσεὶ δέκα ἡμέραι καὶ ἐπάταξε κύριος τὸν Νάβαλ, καὶ ἀπέθανε. [39]καὶ ἤκουσε
Δαυὶδ καὶ εἶπεν Εὐλογητὸς κύριος ὃς ἔκρινε τὴν κρίσιν τοῦ ὀνειδισμοῦ μου
ἐκ χειρὸς Νάβαλ, καὶ τὸν δοῦλον αὐτοῦ περιεποιήσατο ἐκ χειρὸς κακῶν, καὶ
τὴν κακίαν Νάβαλ ἀπέστρεψε κύριος εἰς κεφαλὴν αὐτοῦ· καὶ ἀπέστειλε Δαυὶδ
40 καὶ ἐλάλησε περὶ Ἀβιγαίας λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. [40]καὶ ἦλθον οἱ
παῖδες Δαυὶδ πρὸς Ἀβιγαίαν εἰς Κάρμηλον καὶ ἐλάλησαν αὐτῇ λέγοντες Δαυὶδ
41 ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λαβεῖν σε αὐτῷ εἰς γυναῖκα. [41]καὶ ἀνέστη καὶ προσε-
κύνησεν ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον καὶ εἶπεν Ἰδοὺ ἡ δούλη σου εἰς παιδί-
42 σκην νίψαι πόδας τῶν παίδων σου. [42]καὶ ἀνέστη Ἀβιγαία καὶ ἐπέβη ἐπὶ τὴν
ὄνον, καὶ πέντε κοράσια ἠκολούθουν αὐτῇ, καὶ ἐπορεύθη ὀπίσω τῶν παίδων
43 Δαυίδ, καὶ γίνεται αὐτῷ εἰς γυναῖκα. [43]καὶ τὴν Ἀχινάαμ ἔλαβε Δαυὶδ ἐξ
44 Ἰεζραέλ, καὶ ἀμφότεραι ἦσαν αὐτῷ γυναῖκες. [44]καὶ Σαοὺλ ἔδωκε Μελχὸλ τὴν
θυγατέρα αὐτοῦ τὴν γυναῖκα Δαυὶδ τῷ Φαλτὶ υἱῷ Ἀμὶς τῷ ἐκ Ῥομμά.

## XXVI.

Καὶ ἔρχονται οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς τὸν Σαοὺλ εἰς τὸν
βουνὸν λέγοντες Ἰδοὺ Δαυὶδ σκεπάζεται μεθ᾽ ἡμῶν ἐν τῷ βουνῷ τῷ Ἐχελὰ
2 κατὰ πρόσωπον τοῦ Ἰεσσεμοῦ. [2]καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη εἰς τὴν ἔρη-
μον Ζίφ, καὶ μετ᾽ αὐτοῦ τρεῖς χιλιάδες ἀνδρῶν ἐκλεκτοὶ ἐξ Ἰσραήλ, ζητεῖν
3 τὸν Δαυὶδ ἐν τῇ ἐρήμῳ Ζίφ. [3]καὶ παρενέβαλε Σαοὺλ ἐν τῷ βουνῷ τῷ Ἐχελὰ
τῷ ἐπὶ προσώπου τοῦ Ἰεσσεμοῦ ἐπὶ τῆς ὁδοῦ, καὶ Δαυὶδ ἐκάθισεν ἐν τῇ ἐρήμῳ·

---

29. η ψυχη ... των εχθρων 30. ποιησει ... σοι κυριος εις 31. σκανδαλον καρδιας ... χειρα κυριου μου ... αυτην pro αυτη 32. εμοι 34. εις απαντην μου 35. εκ της χειρος ..., αυτη ειπεν 36. om αυτω ... εν τω οικω ... του βασιλεως 37. εως εξενηψεν ... ωσει λιθος 39. ηκ. δαυ. οτι απεθανεν ναβαλ ... εκ χ. του ναβ. ... περι αβιγαια 40. προς αβιγαια 41. επι προσωπ. επι τ. γην ... των παιδων του κυριου μου 42. ab initio add και εταχυνεν 43. εξ ιζιαελ κ. ησαν αμφοτεραι 44. υιω λαϊς τω εκ γαλλει XXVI. 1. σκεπ. παρ ημιν ε. τ. β. του αχιλα του κ. π. τ. ειεσσαιμου 2. κ. κατεβη σ. κ. επορευθη εις ... ζειφ bis ... εκλεκτων 3. του εχελα του επι ... ειεσσαι μου

Digitized by Google

καὶ εἶδε Δαυὶδ ὅτι ἥκει Σαοὺλ ὀπίσω αὐτοῦ εἰς τὴν ἔρημον. 4 καὶ ἀπέστειλε 4
Δαυὶδ κατασκόπους, καὶ ἔγνω ὅτι ἥκει Σαοὺλ ἕτοιμος ἐκ Κεϊλά. 5 καὶ ἀνέστη 5
Δαυὶδ λάθρα καὶ εἰςπορεύεται εἰς τὸν τόπον οὗ ἐκάθευδεν ἐκεῖ Σαούλ, καὶ
ἐκεῖ Ἀβεννὴρ υἱὸς Νὴρ ἀρχιστράτηγος αὐτοῦ· καὶ Σαοὺλ ἐκάθευδεν ἐν λαμ-
πήνῃ, καὶ ὁ λαὸς παρεμβεβληκὼς κύκλῳ αὐτοῦ. 6 καὶ ἀπεκρίθη Δαυὶδ καὶ 6
εἶπε πρὸς Ἀβιμέλεχ τὸν Χετταῖον καὶ πρὸς Ἀβεσσὰ υἱὸν Σαρουίας ἀδελφὸν
Ἰωὰβ λέγων Τίς εἰςελεύσεται μετ᾽ ἐμοῦ πρὸς Σαοὺλ εἰς τὴν παρεμβολήν;
καὶ εἶπεν Ἀβεσσά Ἐγὼ εἰςελεύσομαι μετὰ σοῦ. 7 καὶ εἰςπορεύεται Δαυὶδ καὶ 7
Ἀβεσσὰ εἰς τὸν λαὸν τὴν νύκτα, καὶ ἰδοὺ Σαοὺλ καθεύδων ὕπνῳ ἐν λαμ-
πήνῃ, καὶ τὸ δόρυ αὐτοῦ ἐμπεπηγὸς εἰς τὴν γῆν πρὸς κεφαλῆς αὐτοῦ, καὶ
Ἀβεννὴρ καὶ ὁ λαὸς αὐτοῦ ἐκάθευδε κύκλῳ αὐτοῦ. 8 καὶ εἶπεν Ἀβεσσὰ πρὸς 8
Δαυὶδ Ἀπέκλεισε κύριος σήμερον τὸν ἐχθρόν σου εἰς χεῖράς σου, καὶ νῦν πα-
τάξω αὐτὸν τῷ δόρατι εἰς τὴν γῆν ἅπαξ καὶ οὐ δευτερώσω αὐτῷ. 9 καὶ εἶπε 9
Δαυὶδ πρὸς Ἀβεσσά Μὴ ταπεινώσῃς αὐτόν, ὅτι τίς ἐποίσει χεῖρα αὐτοῦ ἐπὶ
χριστὸν κυρίου καὶ ἀθῳωθήσεται; 10 καὶ εἶπε Δαυίδ Ζῇ κύριος, ἐὰν μὴ κύ- 10
ριος παίσῃ αὐτόν, ἢ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, ἢ εἰς πόλεμον καταβῇ
καὶ προςτεθῇ, 11 μηδαμῶς μοι παρὰ κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χρι- 11
στὸν κυρίου· καὶ νῦν λάβε δὴ τὸ δόρυ ἀπὸ προςκεφαλῆς αὐτοῦ καὶ τὸν φα-
κὸν τοῦ ὕδατος, καὶ ἀπέλθωμεν ἡμεῖς καθ᾽ ἑαυτούς. 12 καὶ ἔλαβε Δαυὶδ τὸ 12
δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος ἀπὸ προςκεφαλῆς αὐτοῦ, καὶ ἀπῆλθον καθ᾽
ἑαυτούς· καὶ οὐκ ἦν ὁ βλέπων, καὶ οὐκ ἦν ὁ γινώσκων, καὶ οὐκ ἦν ὁ ἐξε-
γειρόμενος, πάντες ὑπνοῦντες, ὅτι θάμβος κυρίου ἐπέπεσεν ἐπ᾽ αὐτούς. 13 καὶ 13
διέβη Δαυὶδ εἰς τὸ πέραν καὶ ἔστη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους μακρόθεν,
καὶ πολλὴ ἡ ὁδὸς ἀνὰ μέσον αὐτῶν. 14 καὶ προσεκαλέσατο Δαυὶδ τὸν λαόν, 14
καὶ τῷ Ἀβεννὴρ ἐλάλησε λέγων Οὐκ ἀποκριθήσῃ, Ἀβεννήρ; καὶ ἀπεκρίθη
Ἀβεννὴρ καὶ εἶπε Τίς εἶ σὺ ὁ καλῶν; 15 καὶ εἶπε Δαυὶδ πρὸς Ἀβεννήρ Οὐκ 15
ἀνὴρ σύ; καὶ τίς ὡς σὺ ἐν Ἰσραήλ; καὶ διὰ τί οὐ φυλάσσεις τὸν κύριόν σου
τὸν βασιλέα; ὅτι εἰςῆλθεν εἷς ἐκ τοῦ λαοῦ διαφθεῖραι τὸν κύριόν σου τὸν
βασιλέα. 16 καὶ οὐκ ἀγαθὸν τὸ ῥῆμα τοῦτο ὃ πεποίηκας· ζῇ κύριος, ὅτι υἱοὶ 16
θανατώσεως ὑμεῖς οἱ φυλάσσοντες τὸν βασιλέα τὸν κύριον ὑμῶν τὸν χριστὸν
κυρίου· καὶ νῦν ἴδε δὴ τὸ δόρυ τοῦ βασιλέως καὶ ὁ φακὸς τοῦ ὕδατος, ποῦ
ἔστι τὰ πρὸς κεφαλῆς αὐτοῦ. 17 καὶ ἐπέγνω Σαοὺλ τὴν φωνὴν Δαυὶδ καὶ εἶ- 17
πεν Ἡ φωνή σου αὕτη, τέκνον Δαυίδ; καὶ εἶπε Δαυὶδ Δοῦλός σου, κύριε
βασιλεῦ· 18 καὶ εἶπε Ἵνα τί τοῦτο καταδιώκει ὁ κύριος ὀπίσω τοῦ δούλου αὐ- 18
τοῦ; ὅτι τί ἡμάρτηκα, καὶ τί εὑρέθη ἐν ἐμοὶ ἀδίκημα; 19 καὶ νῦν ἀκουσάτω 19
ὁ κύριός μου ὁ βασιλεὺς τὸ ῥῆμα τοῦ δούλου αὐτοῦ· εἰ ὁ θεὸς ἐπισείει σε
ἐπ᾽ ἐμέ, ὀσφρανθείη θυσία σου, καὶ εἰ υἱοὶ ἀνθρώπων, ἐπικατάρατοι οὗτοι
ἐνώπιον κυρίου, ὅτι ἐξέβαλόν με σήμερον μὴ ἐστηρίχθαι ἐν κληρονομίᾳ κυρίου
λέγοντες Πορεύου δούλευε θεοῖς ἑτέροις. 20 καὶ νῦν μὴ πέσοι τὸ αἷμά μου 20
ἐπὶ τὴν γῆν ἐξεναντίας προσώπου κυρίου, ὅτι ἐξελήλυθεν ὁ βασιλεὺς Ἰσραὴλ
ζητεῖν ψυχήν μου καθὼς καταδιώκει ὁ νυκτικόραξ ἐν τοῖς ὄρεσι. 21 καὶ εἶπε 21
Σαοὺλ Ἡμάρτηκα· ἐπίστρεφε, τέκνον Δαυίδ, ὅτι οὐ κακοποιήσω σε ἀνθ᾽ ὧν ἔντι-
μος ψυχή μου ἐν ὀφθαλμοῖς σου, καὶ ἐν τῇ σήμερον μεματαίωμαι καὶ ἠγνόηκα

---

4. κεειλα 5. πορευεται ... παρενβεβληκως 6. πρ. αβισαϊ υι. σαρουεια ... αβισαϊ Εγω εισπορευομαι 7. αβισαϊ ... om υπνω ... om αυτου ... ενπεπηγος 8. αβισαϊ 9. αβισαϊ Μη διαφθειρης ... αθοωθησεται 10. οτι εαν μη 11. μηδαμως παρα κυ. επηνεγκεν ... om ημεις 12. om του υδατος ... om αυτου ... επεσεν 14. om κ. απεκρ. αβεννηρ ... ο καλων με προς τον βασιλεα 15. διαφθ. τον βασιλεα τον κυρ. σου 18. κ. ειπ. δαυιδ ... ο κυρ. καταδ. ... οτι ημαρτ. 19. ακουσ. δη ... εις εμε ... (επικαταγαγοι pro επικαταρατοι ...) om ουτοι ... εστηρισθαι 20. την ψυχην 21. σε ετι ανθ ... σου, εν τη ... ηγνοησα

22 πολλὰ σφόδρα. [22] καὶ ἀπεκρίθη Δαυὶδ καὶ εἶπεν Ἰδοὺ τὸ δόρυ τοῦ βασιλέως,
23 διελθέτω εἷς τῶν παιδαρίων καὶ λαβέτω αὐτό. [23] καὶ κύριος ἐπιστρέψει ἑκά-
στῳ κατὰ τὰς δικαιοσύνας αὐτοῦ καὶ τὴν πίστιν αὐτοῦ· ὡς παρέδωκέ σε
κύριος σήμερον εἰς χεῖράς μου, καὶ οὐκ ἠθέλησα ἐπενεγκεῖν χεῖρά μου ἐπὶ
24 χριστὸν κυρίου· [24] καὶ ἰδοὺ καθὼς ἐμεγαλύνθη ἡ ψυχή σου σήμερον ἐν ταύτῃ
ἐν ὀφθαλμοῖς μου, οὕτως μεγαλυνθείη ἡ ψυχή μου ἐνώπιον κυρίου, καὶ σκε-
25 πάσαι με καὶ ἐξελεῖταί με ἐκ πάσης θλίψεως. [25] καὶ εἶπε Σαοὺλ πρὸς Δαυὶδ
Εὐλογημένος σύ, τέκνον, καὶ ποιῶν ποιήσεις καὶ δυνάμενος δυνήσῃ· καὶ ἀπῆλθε
Δαυὶδ εἰς τὴν ὁδὸν αὐτοῦ, καὶ Σαοὺλ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

## XXVII.

Καὶ εἶπε Δαυὶδ ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων Νῦν προςτεθήσομαι ἐν ἡμέρᾳ
μιᾷ εἰς χεῖρας Σαούλ, καὶ οὐκ ἔστι μοι ἀγαθὸν ἐὰν μὴ σωθῶ εἰς γῆν ἀλ-
λοφύλων καὶ ἀνῇ ἀπ' ἐμοῦ Σαοὺλ τοῦ ζητεῖν με εἰς πᾶν ὅριον Ἰσραὴλ καὶ
2 σωθήσομαι ἐκ χειρὸς αὐτοῦ. [2] καὶ ἀνέστη Δαυὶδ καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ
3 μετ' αὐτοῦ, καὶ ἐπορεύθη πρὸς Ἀγχοῦς υἱὸν Ἀμμὰχ βασιλέα Γέθ. [3] καὶ ἐκά-
θισε Δαυὶδ μετὰ Ἀγχοῦς αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ ἕκαστος καὶ ὁ οἶκος
αὐτοῦ, καὶ Δαυὶδ καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ Ἀχινάαμ Ἰεζραηλῖτις καὶ
4 Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου. [4] καὶ ἀνηγγέλη τῷ Σαοὺλ ὅτι πέ-
5 φευγε Δαυὶδ εἰς Γέθ· καὶ οὐ προςέθετο ἔτι ζητεῖν αὐτόν. [5] καὶ εἶπε Δαυὶδ
πρὸς Ἀγχοῦς Εἰ δὴ εὕρηκεν ὁ δοῦλός σου χάριν ἐν ὀφθαλμοῖς σου, δότωσαν
δή μοι τόπον ἐν μιᾷ τῶν πόλεων τῶν κατ' ἀγρὸν καὶ καθήσομαι ἐκεῖ· καὶ
6 ἵνα τί κάθηται ὁ δοῦλός σου ἐν πόλει βασιλευομένῃ μετὰ σοῦ; [6] καὶ ἔδωκεν
αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν Σεκελάκ· διὰ τοῦτο ἐγενήθη Σεκελὰκ τῷ βα-
7 σιλεῖ τῆς Ἰουδαίας ἕως τῆς ἡμέρας ταύτης. [7] καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν
8 ἡμερῶν ὧν ἐκάθισε Δαυὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων τέσσαρας μῆνας. [8] καὶ
ἀνέβαινε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπετίθεντο ἐπὶ πάντα τὸν Γεσιρὶ
καὶ ἐπὶ τὸν Ἀμαληκίτην· καὶ ἰδοὺ ἡ γῆ κατῳκεῖτο ἀπὸ ἀνηκόντων ἡ ἀπὸ
9 Γελαμψοὺρ τετειχισμένων καὶ ἕως γῆς Αἰγύπτου. [9] καὶ ἔτυπτε τὴν γῆν, καὶ
οὐκ ἐζωογόνει ἄνδρα ἢ γυναῖκα· καὶ ἐλάμβανον ποίμνια καὶ βουκόλια καὶ
ὄνους καὶ καμήλους καὶ ἱματισμόν, καὶ ἀνέστρεψαν καὶ ἤρχοντο πρὸς Ἀγ-
10 χοῦς. [10] καὶ εἶπεν Ἀγχοῦς πρὸς Δαυὶδ Ἐπὶ τίνα ἐπέθεσθε σήμερον; καὶ εἶπε
Δαυὶδ πρὸς Ἀγχοῦς Κατὰ νότον τῆς Ἰουδαίας καὶ κατὰ νότον Ἰεσμεγὰ καὶ
11 κατὰ νότον τοῦ Κενεζί. [11] καὶ ἄνδρα καὶ γυναῖκα οὐκ ἐζωογόνησα τοῦ εἰςα-
γαγεῖν εἰς Γέθ, λέγων Μὴ ἀναγγείλωσιν εἰς Γὲθ καθ' ἡμῶν λέγοντες Τάδε
Δαυὶδ ποιεῖ. καὶ τόδε τὸ δικαίωμα αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἐκάθητο
12 Δαυὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων. [12] καὶ ἐπιστεύθη Δαυὶδ ἐν τῷ Ἀγχοῦς σφόδρα,
λέγων Ἤισχυνται αἰσχυνόμενος ἐν τῷ λαῷ αὐτοῦ ἐν Ἰσραήλ, καὶ ἔσται μοι
δοῦλος εἰς τὸν αἰῶνα.

## XXVIII.

Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συναθροίζονται ἀλλόφυλοι ἐν
ταῖς παρεμβολαῖς αὐτῶν ἐξελθεῖν πολεμεῖν μετὰ Ἰσραήλ, καὶ εἶπεν Ἀγχοῦς

---

23. om κατα ... om σημερον 24. κ. εσκεπασοι (sic) με κ. εξελοιτο με 25. ευλογημενον σ. τεκν. δαυιδ XXVII. (1. ηλθεν pro ανη απ εμου) 2. δαυ. και διεβη αυτος και οι ... υιον μωαβ 3. μ. αγχ. εν γεθ ... αχ. η ειζραηλειτις 5. και καθισον με εκει 6. αυτω αγχους εν ... σικελαγ (... om δια τ. εγ. σ.) 7. ημερων δαυιδ ων εκαθ. εν ... ημερας τεσσαρες μηνας 8. γεσερει και τον γεζραιον κ. επι τ. αμαλακιτην· κ. ι. κατωκ. η γη απο γελαμσουρ απο ανηκοντ. τετειχ. και 9. ετυπτ. δαυιδ την ... ανδρ. και γυν. κ. ελαμβανεν ... επεστρεψαν 10. ισραμηλει pro ιεσμεγα ... του κηνει 11. ταδε εποιει δαυιδ ... κ. ταδε το 12. επιστ. αγχους εν τω δαυιδ ... μου δουλος XXVIII. 1. εγενετο ... om εξελθειν ... επι ισραηλ

Digitized by Google

πρὸς Δαυὶδ Γινώσκων γνώσῃ ὅτι μετ' ἐμοῦ ἐξελεύσῃ εἰς πόλεμον σὺ καὶ οἱ
ἄνδρες σου. 2 καὶ εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς Οὕτω νῦν γνώσῃ ἃ ποιήσει ὁ 2
δοῦλός σου· καὶ εἶπεν Ἀγχοῦς πρὸς Δαυίδ Οὕτως ἀρχισωματοφύλακα θήσο-
μαί σε πάσας τὰς ἡμέρας. 3 καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψαντο αὐτὸν 3
πᾶς Ἰσραὴλ, καὶ θάπτουσιν αὐτὸν ἐν Ἀρμαθαὶμ ἐν πόλει αὐτοῦ· καὶ Σαοὺλ
περιεῖλε τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς. 4 καὶ συνα- 4
θροίζονται οἱ ἀλλόφυλοι καὶ ἔρχονται καὶ παρεμβάλλουσιν εἰς Σωνάμ· καὶ
συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραὴλ, καὶ παρεμβάλλουσιν εἰς Γελβουέ.
5 καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη καὶ ἐξέστη 5
ἡ καρδία αὐτοῦ σφόδρα. 6 καὶ ἐπηρώτησε Σαοὺλ διὰ κυρίου, καὶ οὐκ ἀπε- 6
κρίθη αὐτῷ κύριος ἐν τοῖς ἐνυπνίοις καὶ ἐν τοῖς δήλοις καὶ ἐν τοῖς προφή-
ταις. 7 καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ Ζητήσατέ μοι γυναῖκα ἐγγαστρί- 7
μυθον, καὶ πορεύσομαι πρὸς αὐτὴν καὶ ζητήσω ἐν αὐτῇ· καὶ εἶπαν οἱ παῖδες
αὐτοῦ πρὸς αὐτόν Ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν Ἀενδώρ. 8 καὶ συνεκαλύψατο 8
Σαοὺλ καὶ περιεβάλετο ἱμάτια ἕτερα, καὶ πορεύεται αὐτὸς καὶ δύο ἄνδρες
μετ' αὐτοῦ, καὶ ἔρχονται πρὸς τὴν γυναῖκα νυκτὸς καὶ εἶπεν αὐτῇ Μάντευσαι
δή μοι ἐν τῷ ἐγγαστριμύθῳ καὶ ἀνάγαγέ μοι ὃν ἐὰν εἴπω σοι. 9 καὶ εἶπεν 9
αὐτῷ ἡ γυνή Ἰδοὺ δὴ σὺ οἶδας ὅσα ἐποίησε Σαούλ, ὡς ἐξωλόθρευσε τοὺς
ἐγγαστριμύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς, καὶ ἵνα τί σὺ παγιδεύεις τὴν
ψυχήν μου θανατῶσαι αὐτήν; 10 καὶ ὤμοσεν αὐτῇ Σαοὺλ λέγων Ζῇ κύριος, 10
εἰ ἀπαντήσεταί σοι ἀδικία ἐν τῷ λόγῳ τούτῳ. 11 καὶ εἶπεν ἡ γυνή Τίνα 11
ἀναγάγω σοι; καὶ εἶπε Τὸν Σαμουὴλ ἀνάγαγέ μοι. 12 καὶ εἶδεν ἡ γυνὴ τὸν 12
Σαμουήλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ· καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαοὺλ Ἵνα
τί παρελογίσω με; καὶ σὺ εἶ Σαούλ. 13 καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς Μὴ φο- 13
βοῦ, εἰπὸν τίνα ἑώρακας· καὶ εἶπεν αὐτῷ ἡ γυνή Θεοὺς ἑώρακα ἀναβαίνον-
τας ἐκ τῆς γῆς. 14 καὶ εἶπεν αὐτῇ Τί ἔγνως; καὶ εἶπεν αὐτῷ Ἄνδρα ὄρθιον 14
ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος· καὶ ἔγνω Σαοὺλ
ὅτι οὗτος Σαμουήλ, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσε-
κύνησεν αὐτῷ. 15 καὶ εἶπε Σαμουὴλ Ἵνα τί παρηνώχλησάς μοι ἀναβῆναί με; 15
καὶ εἶπε Σαοὺλ Θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί, καὶ
ὁ θεὸς ἀφέστηκεν ἀπ' ἐμοῦ καὶ οὐκ ἐπακήκοέ μοι ἔτι καὶ ἐν χειρὶ τῶν προ-
φητῶν καὶ ἐν τοῖς ἐνυπνίοις· καὶ νῦν κέκληκά σε γνωρίσαι μοι τί ποιήσω.
16 καὶ εἶπε Σαμουὴλ Ἵνα τί ἐπερωτᾷς με, καὶ κύριος ἀφέστηκεν ἀπὸ σοῦ 16
καὶ γέγονε μετὰ τοῦ πλησίον σου; 17 καὶ πεποίηκε κύριός σοι καθὼς ἐλά- 17
λησε κύριος ἐν χειρί μου, καὶ διαῤῥήξει κύριος τὴν βασιλείαν σου ἐκ χειρός
σου καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαυίδ. 18 διότι οὐκ ἤκουσας φω- 18
νῆς κυρίου καὶ οὐκ ἐποίησας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλήκ, διὰ τοῦτο τὸ
ῥῆμα ἐποίησε κύριός σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ. 19 καὶ παραδώσει κύριος τὸν 19
Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων, καὶ αὔριον σὺ καὶ οἱ υἱοί σου μετὰ
σοῦ πεσοῦνται, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει κύριος εἰς χεῖρας ἀλλο-
φύλων. 20 καὶ ἔσπευσε Σαοὺλ καὶ ἔπεσεν ἑστηκὼς ἐπὶ τὴν γῆν, καὶ ἐφοβήθη 20
σφόδρα ἀπὸ τῶν λόγων Σαμουὴλ καὶ ἐν αὐτῷ οὐκ ἦν ἰσχὺς ἔτι, οὐ γὰρ
ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα ἐκείνην. 21 καὶ εἰσῆλθεν 21
ἡ γυνὴ πρὸς Σαοὺλ καὶ εἶδεν ὅτι ἔσπευσε σφόδρα, καὶ εἶπε πρὸς αὐτόν

---

1. εις τον πολ. 3. εν ραμα εν 4. om οἱ ... εις γωναμαν 5. ιδεν 7. ειπον 7. περιεκαλυψατο 9. ειπ. η γυνη προς αυτον ... εξωλεθρευσεν 10. σαουλ εν κυριω λεγ. 12. ιδεν 13. ειπε τινα εοραχας ... om η γυνη ... εορακα 14. ορθριον ... αναβεβλ. διπλ. ... οτι σαμ. ουτος 15. σαμουηλ προς σαουλ ... παρην. με αναβ. με ... επακηκ. μου 16. επερωτησας με 17. ελαλ. κυρ. σοι εν ... διαρηξει 18. της φωνης ... δια τουτο το ρ. τουτο επ. σοι κυρ. τη 20. κ. ισχ. ουκ ην εν α. ετι ... εκεινην post ημεραν pon. 21. ιδεν ... εσπευδεν

Digitized by Google

'Ιδοὺ δὴ ἤκουσεν ἡ δούλη σου τῆς φωνῆς σου, καὶ ἔθέμην τὴν ψυχήν μου
22 ἐν τῇ χειρί μου, καὶ ἤκουσα τοὺς λόγους οὓς ἐλάλησάς μοι. [22] καὶ νῦν ἄκου-
σον δὴ φωνῆς τῆς δούλης σου, καὶ παραθήσω ἐνώπιόν σου ψωμὸν ἄρτου,
23 καὶ φάγε καὶ ἔσται σοι ἰσχὺς ὅτι πορεύῃ ἐν ὁδῷ. [23] καὶ οὐκ ἐβουλήθη φα-
γεῖν· καὶ παρεβιάζοντο αὐτὸν οἱ παῖδες αὐτοῦ καὶ ἡ γυνή, καὶ ἤκουσε τῆς
24 φωνῆς αὐτῶν, καὶ ἀνέστη ἀπὸ τῆς γῆς καὶ ἐκάθισεν ἐπὶ τὸν δίφρον. [24] καὶ
τῇ γυναικὶ ἦν δάμαλις νομὰς ἐν τῇ οἰκίᾳ· καὶ ἔσπευσε καὶ ἔθυσεν αὐτήν,
25 καὶ ἔλαβεν ἄλευρα καὶ ἐφύρασε, καὶ ἔπεψεν ἄζυμα, [25] καὶ προσήγαγεν ἐνώ-
πιον Σαοὺλ καὶ ἐνώπιον τῶν παίδων αὐτοῦ· καὶ ἔφαγον, καὶ ἀνέστησαν καὶ
ἀπῆλθον τὴν νύκτα ἐκείνην.

## XXIX.

Καὶ συναθροίζουσιν ἀλλόφυλοι πάσας τὰς παρεμβολὰς αὐτῶν εἰς Ἀφέκ,
2 καὶ Ἰσραὴλ παρενέβαλεν ἐν Ἀενδὼρ τὴν ἐν Ἰεζραέλ. [2] καὶ οἱ σατράπαι τῶν
ἀλλοφύλων παρεπορεύοντο εἰς ἑκατοντάδας καὶ χιλιάδας, καὶ Δαυὶδ καὶ οἱ
3 ἄνδρες αὐτοῦ παρεπορεύοντο ἐπ' ἐσχάτων μετὰ Ἀγχοῦς. [3] καὶ εἶπον οἱ σα-
τράπαι τῶν ἀλλοφύλων Τίνες οἱ διαπορευόμενοι οὗτοι; καὶ εἶπεν Ἀγχοῦς πρὸς
τοὺς στρατηγοὺς τῶν ἀλλοφύλων Οὐχ οὗτος Δαυὶδ ὁ δοῦλος Σαοὺλ βασιλέως
Ἰσραήλ; γέγονε μεθ' ἡμῶν ἡμέρας τοῦτο δεύτερον ἔτος, καὶ οὐχ εὕρηκα ἐν
αὐτῷ οὐθὲν ἀφ' ἧς ἡμέρας ἐνέπεσε πρός με καὶ ἕως τῆς ἡμέρας ταύτης.
4 [4] καὶ ἐλυπήθησαν ἐπ' αὐτῷ οἱ στρατηγοὶ τῶν ἀλλοφύλων καὶ λέγουσιν αὐτῷ
Ἀπόστρεψον τὸν ἄνδρα, καὶ ἀποστραφήτω εἰς τὸν τόπον αὐτοῦ οὗ κατέστη-
σας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέσθω μεθ' ἡμῶν εἰς τὸν πόλεμον καὶ μὴ γινέσθω
ἐπίβουλος τῆς παρεμβολῆς· καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ;
5 οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων; [5] οὐχ οὗτος Δαυὶδ ᾧ ἐξῆρχον ἐν
χοροῖς λέγοντες Ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριάσιν
6 αὐτοῦ; [6] καὶ ἐκάλεσεν Ἀγχοῦς τὸν Δαυὶδ καὶ εἶπεν αὐτῷ Ζῇ κύριος, ὅτι εὐ-
θὺς σὺ καὶ ἀγαθὸς ἐν ὀφθαλμοῖς μου, καὶ ἡ ἔξοδός σου καὶ ἡ εἴσοδός σου
μετ' ἐμοῦ ἐν τῇ παρεμβολῇ, καὶ ὅτι οὐχ εὕρηκα κατὰ σοῦ κακίαν ἀφ' ἧς
ἡμέρας ἥκεις πρός με ἕως τῆς σήμερον ἡμέρας, καὶ ἐν ὀφθαλμοῖς τῶν σα-
7 τραπῶν οὐκ ἀγαθὸς σύ· [7] καὶ νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην, καὶ
8 οὐ μὴ ποιήσῃς κακίαν ἐν ὀφθαλμοῖς τῶν σατραπῶν τῶν ἀλλοφύλων. [8] καὶ
εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς Τί πεποίηκά σοι καὶ τί εὗρες ἐν τῷ δούλῳ σου ἀφ'
ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης, ὅτι οὐ μὴ ἔλθω
9 πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ βασιλέως; [9] καὶ ἀπεκρίθη Ἀγχοῦς
πρὸς Δαυὶδ Οἶδα ὅτι ἀγαθὸς σὺ ἐν ὀφθαλμοῖς μου, ἀλλ' οἱ σατράπαι τῶν
10 ἀλλοφύλων λέγουσιν Οὐχ ἥξει μεθ' ἡμῶν εἰς πόλεμον. [10] καὶ νῦν ὄρθρισον τὸ
πρωὶ σὺ καὶ οἱ παῖδες τοῦ κυρίου σου οἱ ἥκοντες μετὰ σοῦ, καὶ πορεύεσθε
εἰς τὸν τόπον οὗ κατέστησα ὑμᾶς ἐκεῖ, καὶ λόγον λοιμὸν μὴ θῇς ἐν καρδίᾳ
σου, ὅτι ἀγαθὸς σὺ ἐνώπιόν μου· καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ καὶ φωτισάτω
11 ὑμῖν καὶ πορεύθητε. [11] καὶ ὤρθρισε Δαυὶδ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ ἀπελθεῖν
καὶ φυλάσσειν τὴν γῆν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀνέβησαν πολεμεῖν
ἐπὶ Ἰεζραήλ.

---

21. (om ηκουσεν) 22. της φωνης ... εσται εν σοι 24. εθυσεν αυτο ... επεμψεν XXIX. 1. συναθροιζονται ... ιζραελ 2. om οἱ pr. ... επ εσχατω 3. σαουλ φυλης ισρ. ος γεγονεν ... ουδεν 6. ευθης ... ευρηκα εν σοι κακιαν ... της ημερ. της σημερον 7. αναστραφε ... ποιησεις 8. πολεμησαι 9. κ. απ. α. και ειπεν προς ... οιδας τι αγ. συ ε. ο. μ. καθως αγγελος θεου 10. om συ ... om εκει ... om εν καρδ. σου ... εμου κ. διορθρισατε 11. απελθειν το πρωι ... πολεμ. προς ισραηλ

Digitized by Google

## XXX.

Καὶ ἐγενήθη εἰςελθόντος Δαυὶδ καὶ τῶν ἀνδρῶν αὐτοῦ τὴν Σεκελὰκ τῇ
ἡμέρᾳ τῇ τρίτῃ, καὶ Ἀμαλὴκ ἐπέθετο ἐπὶ τὸν νότον καὶ ἐπὶ τὴν Σεκελάκ,
καὶ ἐπάταξε τὴν Σεκελὰκ καὶ ἐνεπύρισαν αὐτὴν ἐν πυρί· 2 καὶ τὰς γυναῖκας 2
καὶ πάντα τὰ ἐν αὐτῇ ἀπὸ μικροῦ ἕως μεγάλου οὐκ ἐθανάτωσαν ἄνδρα καὶ
γυναῖκα ἀλλ᾽ ᾐχμαλώτευσαν, καὶ ἀπῆλθον εἰς τὴν ὁδὸν αὐτῶν. 3 καὶ ἦλθε 3
Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς τὴν πόλιν, καὶ ἰδοὺ ἐμπεπύρισται ἐν πυρί, αἱ
δὲ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν ᾐχμαλωτευμέ-
νοι. 4 καὶ ἦρε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσαν 4
ἕως ὅτου οὐκ ἦν ἐν αὐτοῖς ἰσχὺς ἔτι τοῦ κλαίειν. 5 καὶ ἀμφότεραι αἱ γυναῖκες 5
Δαυὶδ ᾐχμαλωτεύθησαν, Ἀχινάαμ ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Νάβαλ
τοῦ Καρμηλίου. 6 καὶ ἐθλίβη Δαυὶδ σφόδρα ὅτι εἶπεν ὁ λαὸς λιθοβολῆσαι 6
αὐτόν, ὅτι κατώδυνος ψυχὴ παντὸς τοῦ λαοῦ ἑκάστου ἐπὶ τοὺς υἱοὺς αὐτοῦ
καὶ ἐπὶ τὰς θυγατέρας αὐτοῦ, καὶ ἐκραταιώθη Δαυὶδ ἐν κυρίῳ θεῷ αὐτοῦ.
7 καὶ εἶπε Δαυὶδ πρὸς Ἀβιάθαρ τὸν ἱερέα υἱὸν Ἀχιμέλεχ Προςάγαγε τὸ Ἐφούδ. 7
8 καὶ ἐπηρώτησε Δαυὶδ διὰ τοῦ κυρίου λέγων Εἰ καταδιώξω ὀπίσω τοῦ Γεδ- 8
δοὺρ τούτου, εἰ καταλήψομαι αὐτούς; καὶ εἶπεν αὐτῷ Καταδίωκε, ὅτι κατα-
λαμβάνων καταλήψῃ αὐτοὺς καὶ ἐξαιρούμενος ἐξελῇ. 9 καὶ ἐπορεύθη Δαυὶδ 9
αὐτὸς καὶ οἱ ἑξακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ καὶ ἔρχονται ἕως τοῦ χειμάῤῥου
Βοσόρ, καὶ οἱ περισσοὶ ἔστησαν, 10 καὶ κατεδίωξεν ἐν τετρακοσίοις ἀνδράσιν· 10
ὑπέστησαν δὲ διακόσιοι ἄνδρες οἵτινες ἐκάθισαν πέραν τοῦ χειμάῤῥου τοῦ Βοσόρ.
11 καὶ εὑρίσκουσιν ἄνδρα Αἰγύπτιον ἐν ἀγρῷ, καὶ λαμβάνουσιν αὐτὸν καὶ ἄγου- 11
σιν αὐτὸν πρὸς Δαυίδ· καὶ διδόασιν αὐτῷ ἄρτον καὶ ἔφαγε, καὶ ἐπότισαν
αὐτὸν ὕδωρ· 12 καὶ διδόασιν αὐτῷ κλάσμα παλάθης καὶ ἔφαγε, καὶ κατέστη 12
τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βεβρώκει ἄρτον καὶ οὐ πεπώκει ὕδωρ τρεῖς
ἡμέρας καὶ τρεῖς νύκτας. 13 καὶ εἶπεν αὐτῷ Δαυὶδ Τίνος σὺ εἶ, καὶ πόθεν εἶ; 13
καὶ εἶπε τὸ παιδάριον τὸ Αἰγύπτιον Ἐγώ εἰμι δοῦλος ἀνδρὸς Ἀμαληκίτου, καὶ
κατέλιπέ με ὁ κύριός μου ὅτι ἠνωχλήθην ἐγὼ σήμερον τριταῖος. 14 καὶ ἡμεῖς 14
ἐπεθέμεθα ἐπὶ τὸν νότον τοῦ Χελεθὶ καὶ ἐπὶ τὰ τῆς Ἰουδαίας μέρη καὶ ἐπὶ
νότον Χελούβ, καὶ τὴν Σεκελὰκ ἐνεπυρίσαμεν ἐν πυρί. 15 καὶ εἶπεν αὐτῷ Δαυὶδ 15
Εἰ κατάξεις με ἐπὶ τὸ Γεδδοὺρ τοῦτο; καὶ εἶπεν Ὄμοσον δή μοι κατὰ τοῦ
θεοῦ μὴ θανατώσειν με καὶ μὴ παραδοῦναί με εἰς χεῖρας τοῦ κυρίου μου,
καὶ κατάξω σε ἐπὶ τὸ Γεδδοὺρ τοῦτο. 16 καὶ κατήγαγεν αὐτὸν ἐκεῖ, καὶ ἰδοὺ 16
οὗτοι διακεχυμένοι ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐσθίοντες καὶ πίνοντες καὶ
ἑορτάζοντες ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων
καὶ ἐκ γῆς Ἰούδα. 17 καὶ ἦλθεν ἐπ᾽ αὐτοὺς Δαυίδ, καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ 17
ἑωςφόρου ἕως δείλης καὶ τῇ ἐπαύριον, καὶ οὐκ ἐσώθη ἐξ αὐτῶν ἀνὴρ ὅτι
ἀλλ᾽ ἢ τετρακόσια παιδάρια ἃ ἦν ἐπιβεβηκότα ἐπὶ τὰς καμήλους καὶ ἔφυγον.
18 καὶ ἀφείλατο Δαυὶδ πάντα ἃ ἔλαβον οἱ Ἀμαληκῖται, καὶ ἀμφοτέρας τὰς 18
γυναῖκας αὐτοῦ ἐξείλατο. 19 καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ μικροῦ ἕως μεγά- 19
λου, καὶ ἀπὸ τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων καὶ ἕως πάντων ὧν

---

XXX. 1. αυτου εις σικελαγ ... σικελαγ bis ... ενεπρησεν 2. και ηχμαλωτευσεν κ. τας ... μικρου και εως ... εθανατωσεν 3. ενπεπυρισται ... αιχμαλωτευμενοι 4. om του 5. η ιζραηλειτις 7. αχιμελεχ 8. ab init. add και προσηγαγεν αβιαθαρ το εφουδ προς δαυιδ ... και καταλημψομαι ... καταλημψη και 9. om αυτος ... ερχεται 10. εξεδιωχεν δαυιδ συν 11. προς δαυ. εν αγρω 12. παλαθης και διακοσιους σταφιδας ... επ pro εν 13. κατελειπεν 14. επι νοτον του χερηθει ... νοτ. χαλεβ ... σικελα 15. ειπ. προς αυτον δαυιδ ... om μου 16. κατηγεν ... om και πινοντες 17. επ αυτ. κ. επατ. αυτ. δαυιδ ... ου περιεσωθη ... τετρακοσιοι ... εφυγαν 18. in f. add δαυιδ 19. κ. απο τ. σκυλ. pon. post θυγατερων ... παντας

Digitized by Google

20 ἔλαβον αὐτῶν, καὶ πάντα ἐπέστρεψε Δαυίδ. [20] καὶ ἔλαβε πάντα τὰ ποίμνια
καὶ τὰ βουκόλια καὶ ἀπήγαγεν ἔμπροσθεν τῶν σκύλων· καὶ τοῖς σκύλοις ἐκεί-
21 νοις ἐλέγετο Ταῦτα τὰ σκῦλα Δαυίδ. [21] καὶ παραγίνεται Δαυὶδ πρὸς τοὺς δια-
κοσίους ἄνδρας τοὺς ὑπολειφθέντας τοῦ πορεύεσθαι ὀπίσω Δαυὶδ καὶ ἐκάθι-
σεν αὐτοὺς ἐν τῷ χειμάῤῥῳ τοῦ Βοσόρ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Δαυὶδ καὶ
εἰς ἀπάντησιν τοῦ λαοῦ τοῦ μετ' αὐτοῦ, καὶ προςήγαγε Δαυὶδ ἕως τοῦ λαοῦ,
22 καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς εἰρήνην. [22] καὶ ἀπεκρίθη πᾶς ἀνὴρ λοιμὸς καὶ
πονηρὸς τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν πορευθέντων μετὰ Δαυὶδ καὶ εἶπον
Ὅτι οὐ κατεδίωξαν μεθ' ἡμῶν, οὐ δώσομεν αὐτοῖς ἐκ τῶν σκύλων ὧν ἐξει-
λόμεθα, ὅτι ἀλλ' ἢ ἕκαστος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ ἀπαγέ-
23 σθωσαν καὶ ἀποστρεφέτωσαν. [23] καὶ εἶπε Δαυὶδ Οὐ ποιήσετε οὕτως μετὰ τὸ
παραδοῦναι τὸν κύριον ἡμῖν καὶ φυλάξαι ἡμᾶς, καὶ παρέδωκε κύριος τὸν
24 Γεδδοὺρ τὸν ἐπερχόμενον ἐφ' ἡμᾶς εἰς χεῖρας ἡμῶν. [24] καὶ τίς ἐπακούσεται
ὑμῶν τῶν λόγων τούτων; ὅτι οὐχ ἧττον ἡμῶν εἰσί, διότι κατὰ τὴν μερίδα
τοῦ καταβαίνοντος εἰς τὸν πόλεμον οὕτως ἔσται ἡ μερὶς τοῦ καθημένου ἐπὶ
25 τὰ σκεύη, κατὰ τὸ αὐτὸ μεριοῦνται. [25] καὶ ἐγενήθη ἀπὸ τῆς ἡμέρας ἐκείνης
καὶ ἐπάνω καὶ ἐγένετο εἰς πρόσταγμα καὶ εἰς δικαίωμα τῷ Ἰσραὴλ ἕως τῆς
26 σήμερον. [26] καὶ ἦλθε Δαυὶδ εἰς Σεκελάκ, καὶ ἀπέστειλε τοῖς πρεσβυτέροις τῶν
σκύλων Ἰούδα καὶ τοῖς πλησίον αὐτοῦ λέγων Ἰδοὺ ἀπὸ τῶν σκύλων τῶν ἐχθρῶν
27 28 κυρίου [27] τοῖς ἐν Βαιθσοὺρ καὶ τοῖς Ῥαμὰ νότου καὶ τοῖς ἐν Γεθόρ, [28] καὶ
τοῖς ἐν Ἀροὴρ καὶ τοῖς ἐν Ἀμμαδὶ καὶ τοῖς ἐν Σαφί, καὶ τοῖς ἐν Ἐσθιὲ
29 [29] καὶ τοῖς ἐν Γὲθ καὶ τοῖς ἐν Κιμάθ, καὶ τοῖς ἐν Σαφὲκ καὶ τοῖς ἐν Θη-
μὰθ καὶ τοῖς ἐν Καρμήλῳ, καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ Ἱερεμεὴλ καὶ τοῖς
30 ἐν ταῖς πόλεσι τοῦ Κενεζὶ [30] καὶ τοῖς ἐν Ἱεριμούθ, καὶ τοῖς ἐν Βηρσαβεὲ καὶ
31 τοῖς ἐν Νομβὲ [31] καὶ τοῖς ἐν Χεβρών, καὶ πάντας τοὺς τόπους οὓς διῆλθε
Δαυὶδ ἐκεῖ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.

## XXXI.

Καὶ οἱ ἀλλόφυλοι ἐπολέμουν ἐπὶ Ἰσραήλ, καὶ ἔφυγον οἱ ἄνδρες Ἰσραὴλ
ἐκ προσώπου τῶν ἀλλοφύλων καὶ πίπτουσι τραυματίαι ἐν τῷ ὄρει τῷ Γελβουέ.
2 [2] καὶ συνάπτουσιν οἱ ἀλλόφυλοι τῷ Σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ τύπτου-
σιν ἀλλόφυλοι τὸν Ἰωνάθαν καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Μελχισᾶ υἱὸν Σαούλ.
3 [3] καὶ βαρύνεται ὁ πόλεμος ἐπὶ Σαούλ, καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκοντισταὶ
4 ἄνδρες τοξόται, καὶ ἐτραυματίσθη εἰς τὰ ὑποχόνδρια. [4] καὶ εἶπε Σαοὺλ πρὸς
τὸν αἴροντα τὰ σκεύη αὐτοῦ Σπάσαι τὴν ῥομφαίαν σου καὶ ἀποκέντησόν με
ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι καὶ ἀποκεντήσωσί με καὶ ἐμπαί-
ξωσιν ἐμοί. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβήθη σφόδρα·
5 καὶ ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν καὶ ἐπέπεσεν ἐπ' αὐτήν. [5] καὶ εἶδεν ὁ αἴρων
τὰ σκεύη αὐτοῦ ὅτι τέθνηκε Σαούλ, καὶ ἐπέπεσε καὶ αὐτὸς ἐπὶ τὴν ῥομφαίαν
6 αὐτοῦ καὶ ἀπέθανε μετ' αὐτοῦ. [6] καὶ ἀπέθανε Σαοὺλ καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ
7 καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατὰ τὸ αὐτό. [7] καὶ εἶδον

---

20. ελαβεν δαυιδ ... Ταυτα σκυλα 21. om διακοσιους ... ανδρας τ. εκλυθεντας ... χειμαρρ. τω βεχωρ ... om τα εις 22. ειπεν Διοτι ... εξειλαμεθα ... γυναικαν ... επαγεσθωσαν κ. επιστρεφετωσαν 23. ουτως, αδελφοι μου 24. ουχ ηττον υμων, διοτι ... μεριδαν ... εις πολεμον 26. σικελαγ ... των σκυλ. τοις πρεσβ. ... Ιδου υμιν ευλογια απο 27. βαιθηλ ... εν ραμαθ ... ιεθερ 28. om κ. τ. εν αμμαδι ... σαφαμως pro σαφι ... εσθεμα 29. plene: κ. τοις εν ραχηλ κ. τοις ε. τ. πολεσιν του ιεραμηλει κ. τ. εν τ. πολεσιν του κειναιου 30. κ. τ. εν ραμμα κ. τ. εν βωρασαν κ. τ. εν αθαγ 31. κ. εις παντας XXXI. 2. om οἱ ... μελχιρους υιους 4. αποκεντησουσιν ... εμπ. μοι 5. ιδεν 6. τα σκ. αυτ. και παντες οι ανδρες αυτου εν 7. ιδον

Digitized by Google

οἱ ἄνδρες Ἰσραὴλ οἱ ἐν τῷ πέραν τῆς κοιλάδος καὶ οἱ ἐν τῷ πέραν τοῦ Ἰορ-
δάνου ὅτι ἔφυγον οἱ ἄνδρες Ἰσραήλ, καὶ ὅτι τέθνηκε Σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ,
καὶ καταλείπουσι τὰς πόλεις αὐτῶν καὶ φεύγουσι· καὶ ἔρχονται οἱ ἀλλόφυλοι
καὶ κατοικοῦσιν ἐν αὐταῖς. [8] καὶ ἐγενήθη τῇ ἐπαύριον ἔρχονται οἱ ἀλλόφυλοι 8
ἐκδιδύσκειν τοὺς νεκρούς, καὶ εὑρίσκουσι τὸν Σαοὺλ καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ
πεπτωκότας ἐπὶ τὰ ὄρη Γελβουέ. [9] καὶ ἀποστρέφουσιν αὐτὸν καὶ ἐξέδυσαν τὰ 9
σκεύη αὐτοῦ, καὶ ἀποστέλλουσιν αὐτὰ εἰς γῆν ἀλλοφύλων κύκλῳ εὐαγγελίζον-
τες τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ· [10] καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ εἰς 10
τὸ Ἀσταρτεῖον, καὶ τὸ σῶμα αὐτοῦ κατέπηξαν ἐν τῷ τείχει Βαιθσάμ. [11] καὶ 11
ἀκούουσιν οἱ κατοικοῦντες Ἰαβὶς τῆς Γαλααδίτιδος ἃ ἐποίησαν οἱ ἀλλόφυλοι
τῷ Σαούλ· [12] καὶ ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως καὶ ἐπορεύθησαν ὅλην τὴν 12
νύκτα, καὶ ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ
ἀπὸ τοῦ τείχους Βαιθσάμ, καὶ φέρουσιν αὐτοὺς εἰς Ἰαβὶς καὶ κατακαίουσιν
αὐτοὺς ἐκεῖ. [13] καὶ λαμβάνουσι τὰ ὀστᾶ αὐτῶν καὶ θάπτουσιν ὑπὸ τὴν ἄρου- 13
ραν τὴν ἐν Ἰαβίς, καὶ νηστεύουσιν ἑπτὰ ἡμέρας.

---

# ΒΑΣΙΛΕΙΩΝ

## ΔΕΥΤΕΡΑ.

### I.

Καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Σαοὺλ καὶ Δαυὶδ ἀνέστρεψε τύπτων τὸν
Ἀμαλήκ, καὶ ἐκάθισε Δαυὶδ ἐν Σεκελὰκ ἡμέρας δύο. [2] καὶ ἐγενήθη τῇ ἡμέρᾳ 2
τῇ τρίτῃ καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμβολῆς ἐκ τοῦ λαοῦ Σαούλ, καὶ
τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· καὶ ἐγένετο ἐν
τῷ εἰςελθεῖν αὐτὸν πρὸς Δαυὶδ καὶ ἔπεσεν ἐπὶ τὴν γῆν καὶ προςεκύνησεν αὐτῷ.
[3] καὶ εἶπεν αὐτῷ Δαυίδ Πόθεν σὺ παραγίνῃ; καὶ εἶπε πρὸς αὐτόν Ἐκ τῆς 3
παρεμβολῆς Ἰσραὴλ ἐγὼ διασέσωσμαι. [4] καὶ εἶπεν αὐτῷ Δαυίδ Τίς ὁ λόγος 4
οὗτος; ἀπάγγειλόν μοι. καὶ εἶπεν ὅτι ἔφυγεν ὁ λαὸς ἐκ τοῦ πολέμου, καὶ
πεπτώκασι πολλοὶ ἐκ τοῦ λαοῦ καὶ ἀπέθανον, καὶ Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς
αὐτοῦ ἀπέθανε. [5] καὶ εἶπε Δαυὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ Πῶς 5
οἶδας ὅτι τέθνηκε Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ; [6] καὶ εἶπε τὸ παιδάριον 6
τὸ ἀπαγγέλλον αὐτῷ Περιπτώματι περιέπεσον ἐν τῷ ὄρει τῷ Γελβουέ, καὶ
ἰδοὺ Σαοὺλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ, καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱπ-
πάρχαι συνῆψαν αὐτῷ. [7] καὶ ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ, καὶ εἶδέ με καὶ 7
ἐκάλεσέ με, καὶ εἶπα Ἰδοὺ ἐγώ. [8] καὶ εἶπέ μοι Τίς εἶ σύ; καὶ εἶπα Ἀμα- 8
ληκίτης ἐγώ εἰμι. [9] καὶ εἶπε πρὸς μέ Στῆθι δὴ ἐπάνω μου καὶ θανάτωσόν 9

---

7. om οι εν τ. περ. τ. κοιλ. και 8. και ερχονται ... om κ. ευρισκ. τ. σ. κ. τ. τρ. υιους 9. λαω αυτων 10. ασταρτιον ... τειχει βηθσαν 11. ακ. περι αυτου οι κ. ιαβεις 12. ανεστη ... απο τειχ. βηθσαν ... αυτους ιαβεις 13. την ιαβεις

Subscriptio: βασιλειων α

---

Inscriptio: βασιλειων β

I. 1. δαυειδ ανεστρ. ... σικελαγ 2. εν τη ημερα ... om ηλθεν ... διερρηγοτα ... επι προσωπον επι την 3. παραγινου 4. αναγγειλον ... om οτι εφυγ. ο λ. εκ τ. π. και ... πολλοι πεπτ. εκ τ. λαου, κ. απεθανεν σαουλ, και ιω. ο 5. om τω παιδαριω 6. περιεπεσαν ... γεβουε ... ιππαρχοι 7. και επεσεν κ. επεβλεψεν ... ιδεν 8. om μοι ... κ. ειπα προς αυτον 9. θανατωσεις



Digitized by Google

10 με, ὅτι κατέσχε με σκότος δεινόν, ὅτι πᾶσα ἡ ψυχή μου ἐν ἐμοί. [10] καὶ ἐπέ-
στην ἐπ' αὐτὸν καὶ ἐθανάτωσα αὐτόν, ὅτι ᾔδειν ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν
αὐτόν· καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν χλιδόνα
11 τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε. [11] καὶ
ἐκράτησε Δαυὶδ τῶν ἱματίων αὐτοῦ καὶ διέῤῥηξεν αὐτά, καὶ πάντες οἱ ἄνδρες
12 οἱ μετ' αὐτοῦ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν. [12] καὶ ἐκόψαντο καὶ ἔκλαυσαν καὶ
ἐνήστευσαν ἕως δείλης ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ ἐπὶ
13 τὸν λαὸν Ἰούδα καὶ ἐπὶ τὸν οἶκον Ἰσραήλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ. [13] καὶ
εἶπε Δαυὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ Πόθεν εἶ σύ; καὶ εἶπεν Υἱὸς
14 ἀνδρὸς παροίκου Ἀμαληκίτου ἐγώ εἰμι. [14] καὶ εἶπεν αὐτῷ Δαυὶδ Πῶς οὐκ
15 ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου διαφθεῖραι τὸν χριστὸν κυρίου; [15] καὶ ἐκάλεσε
Δαυὶδ ἓν τῶν παιδαρίων αὐτοῦ καὶ εἶπε Προσελθὼν ἀπάντησον αὐτῷ· καὶ ἐπά-
16 ταξεν αὐτόν, καὶ ἀπέθανε. [16] καὶ εἶπε πρὸς αὐτὸν Δαυὶδ Τὸ αἷμά σου ἐπὶ
τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη κατὰ σοῦ λέγον ὅτι ἐγὼ ἐθα-
17 νάτωσα τὸν χριστὸν κυρίου. [17] καὶ ἐθρήνησε Δαυὶδ τὸν θρῆνον τοῦτον ἐπὶ Σαοὺλ
18 καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, [18] καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς Ἰούδα· ἰδοὺ
19 γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς [19] Στήλωσον Ἰσραὴλ ὑπὲρ τῶν τεθνηκότων
20 ἐπὶ τὰ ὕψη σου τραυματιῶν· πῶς ἔπεσαν δυνατοί. [20] μὴ ἀναγγείλητε ἐν Γέθ,
καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς ἐξόδοις Ἀσκάλωνος, μή ποτε εὐφρανθῶσι θυ-
γατέρες ἀλλοφύλων, μή ποτε ἀγαλλιάσωνται θυγατέρες τῶν ἀπεριτμήτων.
21 [21] ὄρη τὰ ἐν Γελβουὲ μὴ καταβάτω δρόσος καὶ μὴ ὑετὸς ἐφ' ὑμᾶς, καὶ ἀγροὶ
ἀπαρχῶν, ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν· θυρεὸς Σαοὺλ οὐκ ἐχρίσθη
22 ἐν ἐλαίῳ. [22] ἀφ' αἵματος τραυματιῶν καὶ ἀπὸ στέατος δυνατῶν τόξον Ἰωνά-
θαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω, καὶ ῥομφαία Σαοὺλ οὐκ ἀνέκαμψε
23 κενή. [23] Σαοὺλ καὶ Ἰωνάθαν οἱ ἠγαπημένοι καὶ ὡραῖοι οὐ διακεχωρισμένοι,
εὐπρεπεῖς ἐν τῇ ζωῇ αὐτῶν καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν· ὑπὲρ
24 ἀετοὺς κοῦφοι, καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν. [24] θυγατέρες Ἰσραήλ, ἐπὶ
Σαοὺλ κλαύσατε, τὸν ἐνδιδύσκοντα ὑμᾶς κόκκινα μετὰ κόσμου ὑμῶν, τὸν
25 ἀναφέροντα κόσμον χρυσοῦν ἐπὶ τὰ ἐνδύματα ὑμῶν. [25] πῶς ἔπεσαν δυνατοὶ ἐν
26 μέσῳ τοῦ πολέμου· Ἰωνάθαν ἐπὶ τὰ ὕψη σου τραυματίαι. [26] ἀλγῶ ἐπὶ σοί,
ἀδελφέ μου Ἰωνάθαν· ὡραιώθης μοι σφόδρα, ἐθαυμαστώθη ἡ ἀγάπησίς σου
27 ἐμοὶ ὑπὲρ ἀγάπησιν γυναικῶν. [27] πῶς ἔπεσαν δυνατοί, καὶ ἀπώλοντο σκεύη
πολεμικά.

## II.

Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπηρώτησε Δαυὶδ ἐν κυρίῳ λέγων Εἰ ἀναβῶ
εἰς μίαν τῶν πόλεων Ἰούδα; καὶ εἶπε κύριος πρὸς αὐτὸν Ἀνάβηθι. καὶ εἶπε
2 Δαυὶδ Ποῦ ἀναβῶ; καὶ εἶπεν Εἰς Χεβρών. [2] καὶ ἀνέβη ἐκεῖ Δαυὶδ εἰς Χε-
βρὼν καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχινάαμ ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία
3 ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου, [3] καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ἕκαστος καὶ
4 ὁ οἶκος αὐτοῦ, καὶ κατῴκουν ἐν ταῖς πόλεσι Χεβρών. [4] καὶ ἔρχονται ἄνδρες *He. 11, 32
τῆς Ἰουδαίας καὶ χρίουσι τὸν Δαυὶδ ἐκεῖ τοῦ βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰούδα·
καὶ ἀπήγγειλαν τῷ Δαυὶδ λέγοντες ὅτι οἱ ἄνδρες Ἰαβὶς τῆς Γαλααδίτιδος

---

10. βασιλιον ... χλιδωνα ..: προς με pro ωδε 11. τα ιματια αυτου ... om διερρηξαν τα ιμ. αυτων 15. om αυτον 16. λεγων 18. τ. υιους ισραηλ τοξον 19. ισρ. επι τα υψ. σ. περι τεθνηκ. σου ... om τραυματιων 20. om μη ... αναγγειλατε ... απεριθμητων 21. ** καταβητω (* καταβοι?) ... δροσ. μηδε υε. πεσοι εφ (... θυραι θανατων) ... ουκ εχρηθη 22. * και στεατος et ** απο στ. omisso και 24. κοσμον χρυσιον 25. om του ... τραυματιας 26. αγαπην γυναικων II. 2. om εις χεβρων ... αχινοομ η ιζραηλειτις ... καρμηλειτου 3. οι α. αυτου οι μετ α. ους ανηγαγεν δαυιδ εκαστος ... κατοικουν 4. εκει τον δαυ. επι τ. οι. ι. του βασ. επ αυτους ... ιαβεις

Digitized by Google

ἔθαψαν τὸν Σαούλ. 5 καὶ ἀπέστειλε Δαυὶδ ἀγγέλους πρὸς τοὺς ἡγουμένους 5
Ἰαβὶς τῆς Γαλααδίτιδος, καὶ εἶπε πρὸς αὐτοὺς Δαυίδ Εὐλογημένοι ὑμεῖς τῷ
κυρίῳ, ὅτι ἐποιήσατε τὸ ἔλεος τοῦτο ἐπὶ τὸν κύριον ὑμῶν ἐπὶ Σαοὺλ τὸν
χριστὸν κυρίου, καὶ ἐθάψατε αὐτὸν καὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. 6 καὶ νῦν 6
ποιήσαι κύριος μεθ' ὑμῶν ἔλεος καὶ ἀλήθειαν, καί γε ἐγὼ ποιήσω μεθ' ὑμῶν
τὸ ἀγαθὸν τοῦτο ὅτι ἐποιήσατε τὸ ῥῆμα τοῦτο. 7 καὶ νῦν κραταιούσθωσαν αἱ 7
χεῖρες ὑμῶν καὶ γίνεσθε εἰς υἱοὺς δυνατούς, ὅτι τέθνηκεν ὁ κύριος ὑμῶν
Σαούλ, καί γε ἐμὲ κέχρικεν ὁ οἶκος Ἰούδα ἐφ' ἑαυτὸν εἰς βασιλέα. 8 καὶ Ἀβεν- 8
νὴρ υἱὸς Νὴρ ἀρχιστράτηγος τοῦ Σαοὺλ ἔλαβε τὸν Ἰεβοσθὲ υἱὸν Σαοὺλ καὶ
ἀνεβίβασεν αὐτὸν ἐκ τῆς παρεμβολῆς εἰς Μαναέμ, 9 καὶ ἐβασίλευσεν αὐτὸν 9
ἐπὶ τὴν Γαλααδῖτιν καὶ ἐπὶ τὸν Θασιρὶ καὶ ἐπὶ τὸν Ἰεζραὴλ καὶ ἐπὶ τὸν
Ἐφραῒμ καὶ ἐπὶ τὸν Βενιαμὶν καὶ ἐπὶ πάντα Ἰσραήλ. 10 τεσσαράκοντα ἐτῶν 10
Ἰεβοσθὲ υἱὸς Σαοὺλ ὅτε ἐβασίλευσεν ἐπὶ τὸν Ἰσραήλ, καὶ δύο ἔτη ἐβασίλευσε,
πλὴν τοῦ οἴκου Ἰούδα οἳ ἦσαν ὀπίσω Δαυίδ. 11 καὶ ἐγένοντο αἱ ἡμέραι ἃς 11
Δαυὶδ ἐβασίλευσεν ἐν Χεβρὼν ἐπὶ τὸν οἶκον Ἰούδα ἑπτὰ ἔτη καὶ μῆνας ἕξ.
12 καὶ ἐξῆλθεν Ἀβεννὴρ υἱὸς Νὴρ καὶ οἱ παῖδες Ἰεβοσθὲ υἱοῦ Σαοὺλ ἐκ Μα- 12
ναὲμ εἰς Γαβαών· 13 καὶ Ἰωὰβ υἱὸς Σαρουία καὶ οἱ παῖδες Δαυὶδ ἐξῆλθον 13
ἐκ Χεβρὼν καὶ συναντῶσιν αὐτοῖς ἐπὶ τὴν κρήνην τὴν Γαβαὼν ἐπὶ τὸ αὐτό,
καὶ ἐκάθισαν οὗτοι ἐπὶ τὴν κρήνην ἐντεῦθεν καὶ οὗτοι ἐπὶ τὴν κρήνην ἐντεῦ-
θεν. 14 καὶ εἶπεν Ἀβεννὴρ πρὸς Ἰωάβ Ἀναστήτωσαν δὴ τὰ παιδάρια καὶ 14
παιξάτωσαν ἐνώπιον ἡμῶν· καὶ εἶπεν Ἰωάβ Ἀναστήτωσαν. 15 καὶ ἀνέστησαν 15
καὶ παρῆλθον ἐν ἀριθμῷ τῶν παίδων Βενιαμὶν δώδεκα τῶν Ἰεβοσθὲ υἱοῦ
Σαοὺλ καὶ δώδεκα ἐκ τῶν παίδων Δαυίδ. 16 καὶ ἐκράτησαν ἕκαστος τῇ χειρὶ 16
τὴν κεφαλὴν τοῦ πλησίον αὐτοῦ, καὶ μάχαιρα αὐτοῦ εἰς πλευρὰν τοῦ πλησίον
αὐτοῦ, καὶ πίπτουσι κατὰ τὸ αὐτό· καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου
Μερὶς τῶν ἐπιβούλων, ἥ ἐστιν ἐν Γαβαών. 17 καὶ ἐγένετο ὁ πόλεμος σκληρὸς 17
ὥστε λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἔπταισεν Ἀβεννὴρ καὶ ἄνδρες Ἰσραὴλ ἐνώ-
πιον παίδων Δαυίδ. 18 καὶ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ Σαρουία, Ἰωὰβ καὶ Ἀβεσσὰ 18
καὶ Ἀσαήλ· καὶ Ἀσαὴλ κοῦφος τοῖς ποσὶν αὐτοῦ ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ.
19 καὶ κατεδίωξεν Ἀσαὴλ ὀπίσω Ἀβεννήρ, καὶ οὐκ ἐξέκλινε τοῦ πορεύεσθαι 19
εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερὰ κατόπισθεν Ἀβεννήρ. 20 καὶ ἐπέβλεψεν Ἀβεννὴρ εἰς 20
τὰ ὀπίσω αὐτοῦ καὶ εἶπεν Εἰ σὺ εἶ αὐτὸς Ἀσαήλ; καὶ εἶπεν Ἐγώ εἰμι. 21 καὶ 21
εἶπεν αὐτῷ Ἀβεννήρ Ἔκκλινον σὺ εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερά, καὶ κάτα-
σχε σεαυτῷ ἓν τῶν παιδαρίων καὶ λάβε σεαυτῷ τὴν πανοπλίαν αὐτοῦ· καὶ
οὐκ ἠθέλησεν Ἀσαὴλ ἐκκλῖναι ἐκ τῶν ὄπισθεν αὐτοῦ. 22 καὶ προσέθετο ἔτι 22
Ἀβεννὴρ λέγων τῷ Ἀσαήλ Ἀπόστηθι ἀπ' ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν
γῆν· καὶ πῶς ἀρῶ τὸ πρόσωπόν μου πρὸς Ἰωάβ; 23 καὶ ποῦ ἔστι ταῦτα; ἐπί- 23
στρεφε πρὸς Ἰωὰβ τὸν ἀδελφόν σου· καὶ οὐκ ἐβούλετο τοῦ ἀποστῆναι. καὶ
τύπτει αὐτὸν Ἀβεννὴρ ἐν τῷ ὀπίσω τοῦ δόρατος ἐπὶ τὴν ψόαν, καὶ διεξῆλθε
τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ, καὶ πίπτει ἐκεῖ καὶ ἀποθνήσκει ὑποκάτω αὐ-
τοῦ· καὶ ἐγένετο πᾶς ὁ ἐρχόμενος ἕως τοῦ τόπου, οὗ ἔπεσεν ἐκεῖ Ἀσαὴλ καὶ

---

5. ειαβεις ... om δαυιδ sec. ... πεποιηκατε το ελ. του θεου επι ... om επι sec. ... om τον χρ. κυριου ... om και ιω. τ. υι. αυτου 7. εις βασ. εφ εαυτους 8. ιεβοσθαι ... om εις μαναεμ 9. θασουρ pro θασιρι ... (ισραηλ pro ιεζραηλ ...) βενιαμειν ... επι ισραηλ απαντα 10. τεσσερακοντα ... ειεβοσθαι ... * πλ. τους οικους του δαυ. 11. εξ μηνας 12. αβενηρ ... ιεβοσθαι ... μαναειμ 13. εξηλθοσαν ... την εν γαβαων ... εκαθισαν αυτοι 14. αβενηρ 15. βενιαμειν ... ειεβοσθαι 16. εις πλαγιον 17. των παιδων 18. σαρουιας ... αβισαι ... om και ασαηλ semel ... ως η (i. q. ωσει) 19. εις τα δεξ. ο. εις τα 20. Ει συ αυτος α. κ. ειπ. αυτω 21. εις δεξια ... κατασχες ... ** (* ?) εκκλινειν 23. αποστρεφε ... ψοιαν κ. εξηλθεν



Digitized by Google

24 ἀπέθανε, καὶ ὑφίστατο. 24 καὶ κατεδίωξεν Ἰωὰβ καὶ Ἀβεσσὰ ὀπίσω Ἀβεννήρ,
καὶ ὁ ἥλιος ἔδυνε· καὶ αὐτοὶ εἰςῆλθον ἕως τοῦ βουνοῦ Ἀμμάν, ὅ ἐστιν ἐπὶ
25 προςώπου Γαὶ ὁδὸν ἔρημον Γαβαών. 25 καὶ συναθροίζονται οἱ υἱοὶ Βενιαμὶν
οἱ ὀπίσω Ἀβεννήρ, καὶ ἐγενήθησαν εἰς συνάντησιν μίαν καὶ ἔστησαν ἐπὶ κε-
26 φαλὴν βουνοῦ ἑνός. 26 καὶ ἐκάλεσεν Ἀβεννὴρ Ἰωὰβ καὶ εἶπεν Μὴ εἰς νῖκος
καταφάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας ὅτι πικρὰ ἔσται εἰς τὰ ἔσχατα; καὶ
ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστρέφειν ἀπὸ ὄπισθε τῶν ἀδελφῶν ἡμῶν;
27 27 καὶ εἶπεν Ἰωάβ Ζῇ κύριος, ὅτι εἰ μὴ ἐλάλησας, διότι τότε ἐκ πρωιόθεν
28 ἀνέβη ἂν ὁ λαὸς ἕκαστος κατόπισθε τοῦ ἀδελφοῦ αὐτοῦ. 28 καὶ ἐσάλπισεν
Ἰωὰβ τῇ σάλπιγγι, καὶ ἀπέστησαν πᾶς ὁ λαὸς καὶ οὐ κατεδίωξαν ὀπίσω τοῦ
29 Ἰσραήλ, καὶ οὐ προςέθεντο ἔτι τοῦ πολεμεῖν. 29 καὶ Ἀβεννὴρ καὶ οἱ ἄνδρες
αὐτοῦ ἀπῆλθον εἰς δυσμὰς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διέβαινον τὸν Ἰορδά-
νην καὶ ἐπορεύθησαν ὅλην τὴν παρατείνουσαν, καὶ ἔρχονται εἰς τὴν παρεμ-
30 βολήν. 30 καὶ Ἰωὰβ ἀνέστρεψεν ὄπισθεν ἀπὸ τοῦ Ἀβεννὴρ καὶ συνήθροισε πάντα
31 τὸν λαόν, καὶ ἐπεσκέπησαν τῶν παίδων Δαυὶδ ἐννεακαίδεκα ἄνδρες. 31 καὶ
Ἀσαὴλ καὶ οἱ παῖδες Δαυὶδ ἐπάταξαν τῶν υἱῶν Βενιαμὶν τῶν ἀνδρῶν Ἀβεν-
32 νὴρ τριακοσίους ἑξήκοντα ἄνδρας παρ' αὐτοῦ. 32 καὶ αἴρουσι τὸν Ἀσαὴλ καὶ
θάπτουσιν αὐτὸν ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ· καὶ ἐπορεύθη
Ἰωὰβ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὅλην τὴν νύκτα, καὶ διέφαυσεν αὐτοῖς
ἐν Χεβρών.

## III.

Καὶ ἐγένετο ὁ πόλεμος ἐπὶ πολὺ ἀνὰ μέσον τοῦ οἴκου Σαοὺλ καὶ ἀνὰ μέσον
τοῦ οἴκου Δαυίδ· καὶ ὁ οἶκος Δαυὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, καὶ ὁ οἶκος Σαοὺλ
2 ἐπορεύετο καὶ ἠσθένει. 2 καὶ ἐτέχθησαν τῷ Δαυὶδ υἱοὶ ἐν Χεβρών, καὶ ἦν ὁ
πρωτότοκος αὐτοῦ Ἀμνὼν τῆς Ἀχινόομ τῆς Ἰεζραηλίτιδος, 3 καὶ ὁ δεύτερος αὐτοῦ
3 Δαλουία τῆς Ἀβιγαίας τῆς Καρμηλίας, καὶ ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μααχὰ
4 θυγατρὸς Θολμὶ βασιλέως Γεσσίρ, 4 καὶ ὁ τέταρτος Ὀρνία υἱὸς Ἀγγίθ, καὶ ὁ
5 πέμπτος Σαφατία τῆς Ἀβιτάλ, 5 καὶ ὁ ἕκτος Ἰεθεραὰμ τῆς Αἰγὰλ γυναικὸς
6 Δαυίδ· οὗτοι ἐτέχθησαν τῷ Δαυὶδ ἐν Χεβρών. 6 καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν
πόλεμον ἀνὰ μέσον τοῦ οἴκου Σαοὺλ καὶ ἀνὰ μέσον τοῦ οἴκου Δαυίδ, καὶ Ἀβεν-
7 νὴρ ἦν κρατῶν τοῦ οἴκου Σαούλ. 7 καὶ τῷ Σαοὺλ παλλακὴ Ῥεσφὰ θυγάτηρ Ἰώλ·
καὶ εἶπεν Ἰεβοσθὲ υἱὸς Σαοὺλ πρὸς Ἀβεννήρ Τί ὅτι εἰςῆλθες πρὸς τὴν παλ-
8 λακὴν τοῦ πατρός μου; 8 καὶ ἐθυμώθη σφόδρα Ἀβεννὴρ περὶ τοῦ λόγου τού-
του τῷ Ἰεβοσθέ· καὶ εἶπεν Ἀβεννὴρ πρὸς αὐτόν Μὴ κεφαλὴ κυνὸς ἐγώ εἰμι;
ἐποίησα σήμερον ἔλεος μετὰ τοῦ οἴκου Σαοὺλ τοῦ πατρός σου καὶ περὶ ἀδελ-
φῶν καὶ περὶ γνωρίμων, καὶ οὐκ ηὐτομόλησα εἰς τὸν οἶκον Δαυίδ, καὶ ἐπι-
9 ζητεῖς ἐπ' ἐμὲ σὺ ὑπὲρ ἀδικίας γυναικὸς σήμερον; 9 τάδε ποιήσαι ὁ θεὸς τῷ
Ἀβεννὴρ καὶ τάδε προςθείη αὐτῷ, ὅτι καθὼς ὤμοσε κύριος τῷ Δαυὶδ ὅτι
10 οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέρᾳ ταύτῃ, 10 περιελεῖν τὴν βασιλείαν ἀπὸ τοῦ
οἴκου Σαοὺλ καὶ τοῦ ἀναστῆσαι τὸν θρόνον Δαυὶδ ἐπὶ Ἰσραὴλ καὶ ἐπὶ τὸν
11 Ἰούδαν ἀπὸ Δὰν ἕως Βηρσαβεέ. 11 καὶ οὐκ ἠδυνάσθη ἔτι Ἰεβοσθὲ ἀποκριθῆ-

24. αβισαϊ ... αμμα 25. om οἱ pr. ... βενιαμειν 26. om ἡ ... οιδες ... επιστρεφειν ... οπισθεν 27. (εκ πρωεισθαιν ...) om αν ... κατοπισθεν 29. νυκταν ... εις παρεμβολην 30. απεστρεψεν απο οπισω του ... συνηθροισαν 31. βενιαμειν 32. om εν ante βηθλ. ... επορ. ολην τ. ν. ιω. και οι α. οι μ. α. III. 1. πολλυ 2. αχιναάμ τ. ιζραηλιτιδος 3. της αβιγαια ... μααχαθ ... θολμει 4. τεταρταιος ορνιας υι. φεγγιθ ... σαφαθια 5. ειεθεραάμ τ. αιγας 6. ανα μεσον οικου bis 6. 7. 8. ab αβεννηρ v. 6. usque ιεβοσθε v. 8. ** 7. ** ιολ 8. ** του λογου ιεβοσθε ... σημερον εποιησα ... και γνωριμων ... om συ 9. om εν τη ημ. τ. 10. δαν και εως 11. εδυνασθη ετι μεμφιβοσθαι

Digitized by Google

ναι τῷ Ἀβεννὴρ ῥῆμα ἀπὸ τοῦ φοβεῖσθαι αὐτόν. 12 καὶ ἀπέστειλεν Ἀβεννὴρ 12
ἀγγέλους πρὸς Δαυὶδ εἰς Θαιλάμ, οὗ ἦν παραχρῆμα, λέγων Διάθου διαθήκην
σου μετ' ἐμοῦ, καὶ ἰδοὺ ἡ χείρ μου μετὰ σοῦ ἐπιστρέψαι πρὸς σὲ πάντα
τὸν οἶκον Ἰσραήλ. 13 καὶ εἶπε Δαυὶδ Καλῶς ἐγὼ διαθήσομαι πρὸς σὲ διαθή- 13
κην, πλὴν λόγον ἕνα ἐγὼ αἰτοῦμαι παρὰ σοῦ λέγων Οὐκ ὄψει τὸ πρόσωπόν
μου ἐὰν μὴ ἀγάγῃς τὴν Μελχὸλ θυγατέρα Σαούλ, παραγινομένου σου ἰδεῖν
τὸ πρόσωπόν μου. 14 καὶ ἐξαπέστειλε Δαυὶδ πρὸς Ἰεβοσθὲ υἱὸν Σαοὺλ ἀγγέ- 14
λους λέγων Ἀπόδος μοι τὴν γυναῖκά μου τὴν Μελχόλ, ἣν ἔλαβον ἐν ἑκατὸν
ἀκροβυστίαις ἀλλοφύλων. 15 καὶ ἀπέστειλεν Ἰεβοσθὲ καὶ ἔλαβεν αὐτὴν παρὰ 15
τοῦ ἀνδρὸς αὐτῆς παρὰ Φαλτιὴλ υἱοῦ Σελλῆς. 16 καὶ ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς 16
μετ' αὐτῆς κλαίων ὀπίσω αὐτῆς ἕως Βαρακίμ· καὶ εἶπε πρὸς αὐτὸν Ἀβεννὴρ
Πορεύου ἀνάστρεφε· καὶ ἀνέστρεψε. 17 καὶ εἶπεν Ἀβεννὴρ πρὸς τοὺς πρεσβυ- 17
τέρους Ἰσραὴλ λέγων Χθὲς καὶ τρίτην ἐζητεῖτε τὸν Δαυὶδ βασιλεύειν ἐφ' ὑμᾶς.
18 καὶ νῦν ποιήσατε, ὅτι κύριος ἐλάλησε περὶ Δαυὶδ λέγων Ἐν χειρὶ τοῦ δού- 18
λου μου Δαυὶδ σώσω τὸν Ἰσραὴλ ἐκ χειρὸς ἀλλοφύλων καὶ ἐκ χειρὸς πάντων
τῶν ἐχθρῶν αὐτῶν. 19 καὶ ἐλάλησεν Ἀβεννὴρ ἐν τοῖς ὠσὶ Βενιαμίν, καὶ ἐπο- 19
ρεύθη Ἀβεννὴρ τοῦ λαλῆσαι εἰς τὰ ὦτα τοῦ Δαυὶδ εἰς Χεβρὼν πάντα ὅσα
ἤρεσεν ἐν ὀφθαλμοῖς Ἰσραὴλ καὶ ἐν ὀφθαλμοῖς οἴκου Βενιαμίν. 20 καὶ ἦλθεν 20
Ἀβεννὴρ πρὸς Δαυὶδ εἰς Χεβρὼν καὶ μετ' αὐτοῦ εἴκοσι ἄνδρες· καὶ ἐποίησε
Δαυὶδ τῷ Ἀβεννὴρ καὶ τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ πότον. 21 καὶ εἶπεν Ἀβεν- 21
νὴρ πρὸς Δαυὶδ Ἀναστήσομαι δὴ καὶ πορεύσομαι καὶ συναθροίσω πρὸς κύριόν
μου τὸν βασιλέα πάντα Ἰσραήλ, καὶ διαθήσομαι μετ' αὐτοῦ διαθήκην, καὶ
βασιλεύσεις ἐπὶ πᾶσιν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου· καὶ ἀπέστειλε Δαυὶδ τὸν
Ἀβεννήρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ. 22 καὶ ἰδοὺ οἱ παῖδες Δαυὶδ καὶ Ἰωὰβ 22
παρεγένοντο ἐκ τῆς ἐξοδίας, καὶ σκῦλα πολλὰ ἔφερον μεθ' ἑαυτῶν· καὶ Ἀβεν-
νὴρ οὐκ ἦν μετὰ Δαυὶδ εἰς Χεβρών, ὅτι ἀπεστάλκει αὐτὸν καὶ ἀπεληλύθει
ἐν εἰρήνῃ. 23 καὶ Ἰωὰβ καὶ πᾶσα ἡ στρατιὰ αὐτοῦ ἤλθοσαν, καὶ ἀπηγγέλη 23
τῷ Ἰωὰβ λέγοντες Ἥκει Ἀβεννὴρ υἱὸς Νὴρ πρὸς Δαυίδ, καὶ ἀπέσταλκεν αὐ-
τὸν καὶ ἀπῆλθεν ἐν εἰρήνῃ. 24 καὶ εἰςῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα καὶ εἶπε 24
Τί τοῦτο ἐποίησας; ἰδοὺ ἦλθεν Ἀβεννὴρ πρὸς σέ, καὶ ἵνα τί ἐξαπέσταλκας
αὐτὸν καὶ ἀπελήλυθεν ἐν εἰρήνῃ; 25 ἢ οὐκ οἶδας τὴν κακίαν Ἀβεννὴρ υἱοῦ 25 •
Νήρ, ὅτι ἀπατῆσαί σε παρεγένετο καὶ γνῶναι τὴν ἔξοδόν σου καὶ τὴν εἴς-
οδόν σου καὶ γνῶναι ἅπαντα ὅσα σὺ ποιεῖς; 26 καὶ ἀνέστρεψεν Ἰωὰβ ἀπὸ τοῦ 26
Δαυὶδ καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἀβεννὴρ ὀπίσω, καὶ ἐπιστρέφουσιν αὐ-
τὸν ἀπὸ τοῦ φρέατος τοῦ Σεειράμ, καὶ Δαυὶδ οὐκ ᾔδει. 27 καὶ ἐπέστρεψε τὸν 27
Ἀβεννὴρ εἰς Χεβρών, καὶ ἐξέκλινεν αὐτὸν Ἰωὰβ ἐκ πλαγίων τῆς πύλης λαλῆ-
σαι πρὸς αὐτὸν ἐνεδρεύων· καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ εἰς τὴν ψόαν, καὶ ἀπέ-
θανεν ἐν τῷ αἵματι Ἀσαὴλ τοῦ ἀδελφοῦ Ἰωάβ. 28 καὶ ἤκουσε Δαυὶδ μετὰ 28
ταῦτα καὶ εἶπεν Ἀθῷός εἰμι ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ κυρίου καὶ ἕως
αἰῶνος ἀπὸ τῶν αἱμάτων Ἀβεννὴρ υἱοῦ Νήρ. 29 καταντησάτωσαν ἐπὶ κεφαλὴν 29
Ἰωὰβ καὶ ἐπὶ πάντα τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, καὶ μὴ ἐκλείποι ἐκ τοῦ
οἴκου Ἰωὰβ γονοῤῥυὴς καὶ λεπρὸς καὶ κρατῶν σκυτάλης καὶ πίπτων ἐν ῥομ-

---

12. θηλαμ ... ου γ' ην ... διαθηκ. συ μετ ... του επιστρ. επι σε 13. Εγω καλως ... οψη 14. απεστειλεν δ. αγγελ. πρ. μεμφιβοσθαι υι. σ. λεγων ... ελαβ. εμαυτω εν (** ? * ?) 15. μεμφιβοσθαι ... υιου λαεις 16. συν αυτη ο ανηρ αυτης μετ ... εως βαουρειμ 17. εχθες ... εφ υμων 18. εν χ. δαυ. του δ. μου 19. και γε εν τοις ω. βενιαμειν ... παντος οικ. βενιαμειν 21. ** πρ. τον κυριον ... τον παντα ισρ. ... επορευθησαν 22. παρεγινοντο ... μετ αυτων εφερον ... εν χεβρων 23. ηχθησαν pro ηλθοσαν 24. κ. απηλθεν ιωαβ ... κ. απηλθεν εν 25. om ἢ ... παραγεγονεν 26. αγγελ. οπισω αβεννηρ 27. ψοιαν 28. om εγω 29. εκλιποι ... γονορυης ... σκυταλη

Digitized by Google

30 φαίᾳ καὶ ἐλασσούμενος ἄρτοις. [30] Ἰωὰβ δὲ καὶ Ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ διαπαρετηροῦντο τὸν Ἀβεννὴρ ἀνθ' ὧν ἐθανάτωσε τὸν Ἀσαὴλ τὸν ἀδελφὸν αὐτῶν
31 ἐν Γαβαὼν ἐν τῷ πολέμῳ. [31] καὶ εἶπε Δαυὶδ πρὸς Ἰωὰβ καὶ πρὸς πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ Διαῤῥήξατε τὰ ἱμάτια ὑμῶν καὶ περιζώσασθε σάκχους καὶ κόπτεσθε ἐνώπιον Ἀβεννήρ· καὶ ὁ βασιλεὺς Δαυὶδ ἐπορεύετο ὀπίσω
32 τῆς κλίνης. [32] καὶ θάπτουσι τὸν Ἀβεννὴρ ἐν Χεβρών· καὶ ἦρεν ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ, καὶ ἔκλαυσε πᾶς ὁ λαὸς
33 ἐπὶ Ἀβεννήρ. [33] καὶ ἐθρήνησεν ὁ βασιλεὺς ἐπὶ Ἀβεννὴρ καὶ εἶπεν Εἰ κατὰ τὸν
34 θάνατον Νάβαλ ἀποθανεῖται Ἀβεννήρ; [34] αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οἱ πόδες σου οὐκ ἐν πέδαις· οὐ προςήγαγεν ὡς Νάβαλ, ἐνώπιον υἱῶν ἀδικίας ἔπεσας·
35 καὶ συνήχθη πᾶς ὁ λαὸς τοῦ κλαῦσαι αὐτόν. [35] καὶ ἦλθε πᾶς ὁ λαὸς περιδειπνῆσαι τὸν Δαυὶδ ἄρτοις ἔτι οὔσης ἡμέρας· καὶ ὤμοσε Δαυὶδ λέγων Τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προςθείη, ὅτι ἐὰν μὴ δύῃ ὁ ἥλιος οὐ μὴ γεύ-
36 σωμαι ἄρτου ἢ ἀπὸ παντός τινος. [36] καὶ ἔγνω πᾶς ὁ λαός, καὶ ἤρεσεν ἐνώ-
37 πιον αὐτῶν πάντα ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ. [37] καὶ ἔγνω πᾶς ὁ λαὸς καὶ πᾶς Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι οὐκ ἐγένετο παρὰ τοῦ
38 βασιλέως θανατῶσαι τὸν Ἀβεννὴρ υἱὸν Νήρ. [38] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ Οὐκ οἴδατε ὅτι ἡγούμενος μέγας πέπτωκεν ἐν τῇ ἡμέρᾳ ταύτῃ
39 ἐν τῷ Ἰσραήλ; [39] καὶ ὅτι ἐγώ εἰμι συγγενὴς σήμερον καὶ καθεσταμένος ὑπὸ βασιλέως; οἱ δὲ ἄνδρες οὗτοι υἱοὶ Σαρουίας σκληρότεροί μού εἰσιν· ἀποδῷ κύριος τῷ ποιοῦντι τὰ πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

## IV.

Καὶ ἤκουσεν Ἰεβοσθὲ υἱὸς Σαοὺλ ὅτι τέθνηκεν Ἀβεννὴρ υἱὸς Νὴρ ἐν Χεβρών, καὶ ἐξελύθησαν αἱ χεῖρες αὐτοῦ, καὶ πάντες οἱ ἄνδρες Ἰσραὴλ παρεί-
2 θησαν. [2] καὶ δύο ἄνδρες ἡγούμενοι συστρεμμάτων τῷ Ἰεβοσθὲ υἱῷ Σαούλ· ὄνομα τῷ ἑνὶ Βαανά, καὶ ὄνομα τῷ δευτέρῳ Ῥηχάβ, υἱοὶ Ῥεμμὼν τοῦ Βη-
3 ρωθαίου ἐκ τῶν υἱῶν Βενιαμίν, ὅτι Βηρὼθ ἐλογίζετο τοῖς υἱοῖς Βενιαμίν. [3] καὶ ἀπέδρασαν οἱ Βηρωθαῖοι εἰς Γεθαίμ, καὶ ἦσαν ἐκεῖ παροικοῦντες ἕως τῆς
4 ἡμέρας ταύτης. [4] καὶ τῷ Ἰωνάθαν υἱῷ Σαοὺλ υἱὸς πεπληγὼς τοὺς πόδας υἱὸς ἐτῶν πέντε, καὶ οὗτος ἐν τῷ ἐλθεῖν τὴν ἀγγελίαν Σαοὺλ καὶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἐξ Ἰεζραήλ, καὶ ἦρεν αὐτὸν ἡ τιθηνὸς αὐτοῦ καὶ ἔφυγε· καὶ ἐγένετο ἐν τῷ σπεύδειν αὐτὸν καὶ ἀναχωρεῖν καὶ ἔπεσε καὶ ἐχωλάνθη, καὶ ὄνομα
5 αὐτῷ Μεμφιβοσθέ. [5] καὶ ἐπορεύθησαν υἱοὶ Ῥεμμὼν τοῦ Βηρωθαίου Ῥηχὰβ καὶ Βαανὰ καὶ εἰςῆλθον ἐν τῷ καύματι τῆς ἡμέρας εἰς οἶκον Ἰεβοσθέ, καὶ
6 αὐτὸς ἐκάθευδεν ἐν τῇ κοίτῃ τῆς μεσημβρίας. [6] καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου ἐκάθαιρε πυροὺς καὶ ἐνύσταξε καὶ ἐκάθευδε, καὶ Ῥηχὰβ καὶ Βαανὰ οἱ ἀδελ-
7 φοὶ διέλαθον [7] καὶ εἰςῆλθον εἰς τὸν οἶκον, καὶ Ἰεβοσθὲ ἐκάθευδεν ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κοιτῶνι αὐτοῦ· καὶ τύπτουσιν αὐτὸν καὶ θανατοῦσιν αὐτόν, καὶ ἀφαιροῦσι τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔλαβον τὴν κεφαλὴν αὐτοῦ καὶ ἀπῆλ-
8 θον ὁδὸν τὴν κατὰ δυσμὰς ὅλην τὴν νύκτα. [8] καὶ ἤνεγκαν τὴν κεφαλὴν Ἰεβοσθὲ τῷ Δαυὶδ εἰς Χεβρών, καὶ εἶπον πρὸς τὸν βασιλέα Ἰδοὺ ἡ κεφαλὴ Ἰεβοσθὲ υἱοῦ Σαοὺλ τοῦ ἐχθροῦ σου ὃς ἐζήτει τὴν ψυχήν σου, καὶ ἔδωκε κύριος τῷ κυρίῳ βασιλεῖ ἐκδίκησιν τῶν ἐχθρῶν αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη ἐκ Σαοὺλ

---

30. δε και ασαι 31. κοπτ. αβεννηρ εμπροσθεν (34. παιδες pro ποδες ... ως ναφα) 35. περιδειπνισαι ... αρτους 36. κ. π. ο λ. εγνω ... in f. add αγαθον 37. του θανατωσαι 38. ταυτη τω ισρ. 39. σημερον συγγενης ... κατεσταμενος ... ανταποδοι ... om τα IV. 1. μεμφιβοσθαι ... om υιος νηρ 2. συσστρεμματων ... μεμφιβοσθαι ... om οτι βηρωθ ε. τ. υι. β. 3. γεθθειμ 4. εξ ισραηλ ... μεμφιβοσθαι 5. οι υιοι ... οικ. μεμφιβοσθαι 6. εκαθερεν 7. μεμφιβοσθαι ... νυκταν 8. μεμφιβοσθαι bis ... ιδου κεφαλη ... τω κυριω μου

Digitized by Google

τοῦ ἐχθροῦ σου καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ. 9 καὶ ἀπεκρίθη Δαυὶδ τῷ Ῥη- 9
χὰβ καὶ τῷ Βαανᾷ ἀδελφῷ αὐτοῦ υἱοῖς Ῥεμμὼν τοῦ Βηρωθαίου καὶ εἶπεν
αὐτοῖς Ζῇ κύριος ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως, 10 ὅτι 10
ὁ ἀπαγγείλας μοι ὅτι τέθνηκε Σαοὺλ καὶ αὐτὸς ἦν ὡς εὐαγγελιζόμενος ἐνώ-
πιόν μου, καὶ κατέσχον αὐτὸν καὶ ἀπέκτεινα αὐτὸν ἐν Σεκελάκ, ᾧ ἔδει με
δοῦναι εὐαγγέλια. 11 καὶ νῦν ἄνδρες πονηροὶ ἀπεκτάγκασιν ἄνδρα δίκαιον ἐν 11
τῷ οἴκῳ αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ· καὶ νῦν ἐκζητήσω τὸ αἷμα αὐτοῦ ἐκ
χειρὸς ὑμῶν καὶ ἐξολοθρεύσω ὑμᾶς ἐκ τῆς γῆς. 12 καὶ ἐνετείλατο Δαυὶδ τοῖς 12
παιδαρίοις αὐτοῦ καὶ ἀποκτέννουσιν αὐτούς, καὶ κολοβοῦσι τὰς χεῖρας αὐτῶν
καὶ τοὺς πόδας αὐτῶν καὶ ἐκρέμασαν αὐτοὺς ἐπὶ τῆς κρήνης ἐν Χεβρών,
καὶ τὴν κεφαλὴν Ἰεβοσθὲ ἔθαψαν ἐν τῷ τάφῳ Ἀβεννὴρ υἱοῦ Νήρ.

## V.

Καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ Ἰσραὴλ πρὸς Δαυὶδ εἰς Χεβρὼν καὶ
εἶπαν αὐτῷ Ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς. 2 καὶ ἐχθὲς καὶ τρίτην ὄντος 2
Σαοὺλ βασιλέως ἐφ᾽ ἡμῖν σὺ ἦσθα ὁ ἐξάγων καὶ εἰσάγων τὸν Ἰσραήλ, καὶ
εἶπε κύριος πρὸς σέ Σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ σὺ ἔσῃ εἰς
ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ. 3 καὶ ἔρχονται πάντες οἱ πρεσβύτεροι 3
Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρών, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαυὶδ
διαθήκην ἐν Χεβρὼν ἐνώπιον κυρίου, καὶ χρίουσι τὸν Δαυὶδ εἰς βασιλέα ἐπὶ
πάντα Ἰσραήλ. 4 υἱὸς τριάκοντα ἐτῶν Δαυὶδ ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ τεσ- 4
σαράκοντα ἔτη ἐβασίλευσεν· 5 ἑπτὰ ἔτη καὶ μῆνας ἓξ ἐβασίλευσεν ἐν Χεβρὼν 5
ἐπὶ τὸν Ἰούδαν, καὶ τριάκοντα τρία ἔτη ἐβασίλευσεν ἐπὶ πάντα Ἰσραὴλ καὶ
Ἰούδαν ἐν Ἱερουσαλήμ. 6 καὶ ἀπῆλθε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς Ἱερου- 6
σαλὴμ πρὸς τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν, καὶ ἐρρέθη τῷ Δαυίδ
Οὐκ εἰσελεύσῃ ὧδε, ὅτι ἀντέστησαν οἱ τυφλοὶ καὶ οἱ χωλοὶ λέγοντες ὅτι οὐκ
εἰσελεύσεται Δαυὶδ ὧδε. 7 καὶ προκατελάβετο Δαυὶδ τὴν περιοχὴν Σιών, αὕτη 7
ἡ πόλις τοῦ Δαυίδ. 8 καὶ εἶπε Δαυὶδ τῇ ἡμέρᾳ ἐκείνῃ Πᾶς τύπτων Ἰεβου- 8
σαῖον ἁπτέσθω ἐν παραξιφίδι καὶ τοὺς χωλοὺς καὶ τοὺς τυφλοὺς καὶ τοὺς μι-
σοῦντας τὴν ψυχὴν Δαυίδ· διὰ τοῦτο ἐροῦσι Τυφλοὶ καὶ χωλοὶ οὐκ εἰσελεύ-
σονται εἰς οἶκον κυρίου. 9 καὶ ἐκάθισε Δαυὶδ ἐν τῇ περιοχῇ, καὶ ἐκλήθη αὕτη 9
ἡ πόλις Δαυίδ· καὶ ᾠκοδόμησεν αὐτὴν πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας καὶ τὸν
οἶκον αὐτοῦ. 10 καὶ διεπορεύετο Δαυὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ 10
κύριος παντοκράτωρ μετ᾽ αὐτοῦ. 11 καὶ ἀπέστειλε Χειρὰμ βασιλεὺς Τύρου ἀγ- 11
γέλους πρὸς Δαυὶδ καὶ ξύλα κέδρινα καὶ τέκτονας ξύλων καὶ τέκτονας λίθων,
καὶ ᾠκοδόμησαν οἶκον τῷ Δαυίδ. 12 καὶ ἔγνω Δαυὶδ ὅτι ἡτοίμασεν αὐτὸν κύριος 12
εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ ὅτι ἐπήρθη ἡ βασιλεία αὐτοῦ διὰ τὸν λαὸν αὐ-
τοῦ Ἰσραήλ. 13 καὶ ἔλαβε Δαυὶδ ἔτι γυναῖκας καὶ παλλακὰς ἐξ Ἱερουσαλὴμ 13
μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐκ Χεβρών· καὶ ἐγένοντο τῷ Δαυὶδ ἔτι υἱοὶ καὶ θυγα-
τέρες. 14 καὶ ταῦτα τὰ ὀνόματα τῶν γεννηθέντων αὐτῷ ἐν Ἱερουσαλήμ· Σαμ- 14
μοὺς καὶ Σωβὰβ καὶ Νάθαν καὶ Σαλωμών, 15 καὶ Ἐβεὰρ καὶ Ἐλισοὺε καὶ 15
Ναφὲκ καὶ Ἰεφιές, 16 καὶ Ἐλισαμὰ καὶ Ἐλιδαὲ καὶ Ἐλιφαλάθ, Σαμαέ, Ἰεσ- 16

---

10. ενωπ. εμου ... σικελαγ 12. αποκτενουσιν ... μεμφιβοσθαι V. 2. om και pr. ... εφ ημων ... ο εισαγ. κ. εξαγων ... ποιμαινεις ... ηγουμενον επι τον ισραηλ 3. εν χεβρ. εν. κυρ. διαθηκ. 4. ** (* ?) ην δαυειδ εν τω βασιλευειν ... τεσσερακοντα 5. εν χεβρ. εβασ. επι τον ιουδ. επτα ετη κ. εξ μηνας, κ. εν ιερουσ. εβασιλ. τριακ. και τρ. ετ. επι π. ισρ. κ. ιουδ. 6. om δαυειδ extr. 7. κατελαβετο 8. φαραξιδι (pro φαραξιφιδι?) ... μισουντας ψυχην 9. η πολις αυτη 10. επορευετο ... κυριος ο θεος παντ. 11. λιθων τοιχου 13. παλλακ. κ. γυναικας ... ετι τω δαυιδ 14. σαμμους κ. σωβαδαν 15. κ. ιεβαρ κ. ελισους κ. ν. κ. αφιε 16. ελιφααθ pro ελιφαλαθ ... om σαμαε usque ελιφααθ

Digitized by Google

σιβάθ, Νάθαν, Γαλαμαάν, Ἰεβαάρ, Θεησοῦς, Ἐλφαλάτ, Ναγέδ, Ναφέκ,
17 Ἰανάθαν, Λεασαμύς, Βααλιμάθ, Ἐλιφαάθ. [17] καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι
κέχρισται Δαυὶδ βασιλεὺς ἐπὶ Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι
18 ζητεῖν τὸν Δαυίδ· καὶ ἤκουσε Δαυίδ, καὶ κατέβη εἰς τὴν περιοχήν. [18] καὶ οἱ
19 ἀλλόφυλοι παραγίνονται καὶ συνέπεσαν εἰς τὴν κοιλάδα τῶν Τιτάνων. [19] καὶ
ἠρώτησε Δαυὶδ διὰ κυρίου λέγων Εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους καὶ παρα-
δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε κύριος πρὸς Δαυίδ Ἀνάβαινε, ὅτι
20 παραδιδοὺς παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς χεῖράς σου. [20] καὶ ἦλθε Δαυὶδ
ἐκ τῶν ἐπάνω διακοπῶν καὶ ἔκοψε τοὺς ἀλλοφύλους ἐκεῖ, καὶ εἶπε Δαυίδ
Διέκοψε κύριος τοὺς ἐχθροὺς ἀλλοφύλους ἐνώπιον ἐμοῦ ὡς διακόπτεται ὕδατα·
21 διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἐπάνω διακοπῶν. [21] καὶ κα-
ταλιμπάνουσιν ἐκεῖ τοὺς θεοὺς αὐτῶν, καὶ ἐλάβοσαν αὐτοὺς Δαυὶδ καὶ οἱ ἄν-
22 δρες οἱ μετ' αὐτοῦ. [22] καὶ προσέθεντο ἔτι ἀλλόφυλοι τοῦ ἀναβῆναι, καὶ συν-
23 έπεσαν ἐν τῇ κοιλάδι τῶν Τιτάνων. [23] καὶ ἐπηρώτησε Δαυὶδ διὰ κυρίου, καὶ
εἶπε κύριος Οὐκ ἀναβήσῃ εἰς συνάντησιν αὐτῶν, ἀποστρέφου ἀπ' αὐτῶν καὶ
24 παρέσῃ αὐτοῖς πλησίον τοῦ κλαυθμῶνος. [24] καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν
φωνὴν τοῦ συγκλεισμοῦ ἀπὸ τοῦ ἄλσους τοῦ κλαυθμῶνος, τότε καταβήσῃ πρὸς
αὐτούς, ὅτι τότε ἐξελεύσεται κύριος ἔμπροσθέν σου κόπτειν ἐν τῷ πολέμῳ τῶν
25 ἀλλοφύλων. [25] καὶ ἐποίησε Δαυὶδ καθὼς ἐνετείλατο αὐτῷ κύριος, καὶ ἐπάταξε
τοὺς ἀλλοφύλους ἀπὸ Γαβαὼν ἕως τῆς γῆς Γαζηρά.

## VI.

Καὶ συνήγαγεν ἔτι Δαυὶδ πάντα νεανίαν ἐξ Ἰσραὴλ ὡς ἑβδομήκοντα
2 χιλιάδας. [2] καὶ ἀνέστη καὶ ἐπορεύθη Δαυὶδ καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ
καὶ ἀπὸ τῶν ἀρχόντων Ἰούδα ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβω-
τὸν τοῦ θεοῦ, ἐφ' ἣν ἐπεκλήθη τὸ ὄνομα τοῦ κυρίου τῶν δυνάμεων καθη-
3 μένου ἐπὶ τῶν Χερουβὶν ἐπ' αὐτῆς. [3] καὶ ἐπεβίβασαν τὴν κιβωτὸν κυρίου ἐφ'
ἅμαξαν καινὴν καὶ ἦραν αὐτὴν ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ· καὶ
4 Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ Ἀμιναδὰβ ἦγαν τὴν ἅμαξαν [4] σὺν τῇ κιβωτῷ,
5 καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ. [5] καὶ Δαυὶδ καὶ
υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ καὶ
ἐν ᾠδαῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις καὶ ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις
6 καὶ ἐν αὐλοῖς. [6] καὶ παραγίνονται ἕως ἅλω Ναχώρ· καὶ ἐξέτεινεν Ὀζὰ τὴν
χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ θεοῦ κατασχεῖν αὐτήν, καὶ ἐκράτησεν αὐ-
7 τὴν ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος. [7] καὶ ἐθυμώθη ὀργῇ κύριος τῷ Ὀζᾷ,
καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ θεός, καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν τοῦ κυ-
8 ρίου ἐνώπιον τοῦ θεοῦ. [8] καὶ ἠθύμησε Δαυὶδ ὑπὲρ οὗ διέκοψε κύριος διακο-
πὴν ἐν τῷ Ὀζᾷ· καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος Διακοπὴ Ὀζᾶ ἕως τῆς ἡμέρας
9 ταύτης. [9] καὶ ἐφοβήθη Δαυὶδ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων Πῶς εἰσ-
10 ελεύσεται πρὸς μὲ ἡ κιβωτὸς κυρίου; [10] καὶ οὐκ ἐβούλετο Δαυὶδ τοῦ ἐκκλῖναι
πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης κυρίου εἰς τὴν πόλιν Δαυίδ· καὶ ἀπέκλινεν

---

17. ηκουσαν αλλοφυλοι 18. κοιλαδαν 20. και διεκοψεν ... και δαυ. ειπεν ... τ. εχθ. μου τους αλλ. 21. κ. ελαβεν δαυ. αυτους 23. ** (* ?) αποστρεφου αυτων ... περιπεση αυτοις 24. του συγκλισμου του αλσους 25. της γαζης γαζηρα VI. 2. κ. αν. δαυ. κ. επορ. κ. π. ο λαος μετ αυτου απο ... αναγειν ... χερουβειν 3. επεβιβασεν ... επ αμαξαν ... ηρεν α. εις οικον ... αζα ... ηγον τ. αμ. την καινην και ηραν αυτην απο οικου αμιναδαβ εν βουνω 4. om επορευοντο usque κιβωτου 5. οι υιοι ... και εν οργανοις ηρ. και εν ... εν κινυρα 6. om και pr. ... αλωμωνος (lege αλωνος) ναχων ... αζζα ... περισπασεν ... ο μοσχος του κατασχειν αυτην 7. om οργη ... τω αζζαν ... ο θεος επι προπετεια 8. ηθυμωσεν ... αζζα bis ... ε. της σημερον ημερας 9. κιβ. του κυρ.

αὐτὴν Δαυὶδ εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθαίου. [11] καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ 11
κυρίου εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθαίου μῆνας τρεῖς· καὶ εὐλόγησε κύριος
ὅλον τὸν οἶκον Ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ. [12] καὶ ἀπηγγέλη τῷ βασιλεῖ 12
Δαυὶδ λέγοντες Εὐλόγησε κύριος τὸν οἶκον Ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ ἕνεκα
τῆς κιβωτοῦ τοῦ θεοῦ· καὶ ἐπορεύθη Δαυὶδ καὶ ἀνήγαγε τὴν κιβωτὸν τοῦ κυ-
ρίου ἐκ τοῦ οἴκου Ἀβεδδαρὰ εἰς τὴν πόλιν Δαυὶδ ἐν εὐφροσύνῃ. [13] καὶ ἦσαν 13
μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν ἑπτὰ χοροὶ καὶ θῦμα μόσχος καὶ ἄρνες. [14] καὶ 14
Δαυὶδ ἀνεκρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον κυρίου, καὶ ὁ Δαυὶδ ἐνδε-
δυκὼς στολὴν ἔξαλλον. [15] καὶ Δαυὶδ καὶ πᾶς ὁ οἶκος Ἰσραὴλ ἀνήγαγον τὴν 15
κιβωτὸν κυρίου μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος. [16] καὶ ἐγένετο τῆς 16
κιβωτοῦ παραγινομένης ἕως πόλεως Δαυὶδ καὶ Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ διέ-
κυπτε διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα Δαυὶδ ὀρχούμενον καὶ ἀνακρουό-
μενον ἐνώπιον κυρίου, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῆς. [17] καὶ φέρουσι 17
τὴν κιβωτὸν τοῦ κυρίου καὶ ἀνέθηκαν αὐτὴν εἰς τὸν τόπον αὐτῆς εἰς μέσον
τῆς σκηνῆς ἧς ἔπηξεν αὐτῇ Δαυίδ· καὶ ἀνήνεγκε Δαυὶδ ὁλοκαυτώματα ἐνώ-
πιον κυρίου, εἰρηνικάς. [18] καὶ συνετέλεσε Δαυὶδ συναναφέρων τὰς ὁλοκαυτώσεις 18
καὶ τὰς εἰρηνικάς, καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι κυρίου τῶν δυνάμεων.
[19] καὶ διεμέρισε παντὶ τῷ λαῷ εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ Δὰν 19
ἕως Βηρσαβεὲ καὶ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς ἑκάστῳ κολλυρίδα ἄρτου καὶ
ἐσχαρίτην καὶ λάγανον ἀπὸ τηγάνου· καὶ ἀπῆλθε πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν
οἶκον αὐτοῦ. [20] καὶ ἐπέστρεψε Δαυὶδ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ, καὶ ἐξῆλθε 20
Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ εἰς ἀπάντησιν Δαυὶδ καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπε
Τί δεδόξασται σήμερον ὁ βασιλεὺς Ἰσραήλ, ὃς ἀπεκαλύφθη σήμερον ἐν ὀφθαλ-
μοῖς παιδισκῶν τῶν δούλων ἑαυτοῦ καθὼς ἀποκαλύπτεται ἀποκαλυφθεὶς εἷς τῶν
ὀρχουμένων. [21] καὶ εἶπε Δαυὶδ πρὸς Μελχόλ Ἐνώπιον κυρίου ὀρχήσομαι· εὐ- 21
λογητὸς κύριος ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρα σου καὶ ὑπὲρ πάντα τὸν οἶκον
αὐτοῦ τοῦ καταστῆσαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ·
καὶ παίξομαι καὶ ὀρχήσομαι ἐνώπιον κυρίου, [22] καὶ ἀποκαλυφθήσομαι ἔτι οὕ- 22
τως, καὶ ἔσομαι ἀχρεῖος ἐν ὀφθαλμοῖς σου, καὶ μετὰ τῶν παιδισκῶν ὧν εἶπάς
με μὴ δοξασθῆναι. [23] καὶ τῇ Μελχὸλ θυγατρὶ Σαοὺλ οὐκ ἐγένετο παιδίον ἕως 23
τῆς ἡμέρας τοῦ ἀποθανεῖν αὐτήν.

## VII.

Καὶ ἐγένετο ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ κύριος κατε-
κληρονόμησεν αὐτὸν κύκλῳ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ τῶν κύκλῳ, [2] καὶ 2
* Act. 7, 46. εἶπεν ὁ βασιλεὺς πρὸς Νάθαν τὸν προφήτην Ἰδοὺ δὴ ἐγὼ κατοικῶ ἐν οἴκῳ
κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς. [3] καὶ εἶπε 3
Νάθαν πρὸς τὸν βασιλέα Πάντα ὅσα ἂν ἐν τῇ καρδίᾳ σου βάδιζε καὶ ποίει,
ὅτι κύριος μετὰ σοῦ. [4] καὶ ἐγένετο τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο ῥῆμα κυρίου 4
πρὸς Νάθαν λέγων [5] Πορεύου καὶ εἰπὸν πρὸς τὸν δοῦλόν μου Δαυίδ Τάδε 5
λέγει κύριος Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με. [6] ὅτι οὐ κατῴ- 6
κηκα ἐν οἴκῳ ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως
τῆς ἡμέρας ταύτης, καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ [7] ἐν 7
πᾶσιν οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ

---

10. γεθθαιου 11. κ. εκαθ. εκει γλωσσοκομον κυριου εις οικ. αβεδδαδομ τ. γεθθαιου ... ευλογ. κυ. τον αβ. και ολον τον οικον αυτου. 12. ενεκεν 13. μετ αυτων ... αρνα 15. ανηγαγεν 16. κιβωτ. κυριου ... ανακρουομ. κ. ορχουμενον (... καρδ. αυτου) 17. om του ... τοπον εαυτης ... ανηγαγεν δαυιδ ... και ειρηνικας 19. βηρσαβεε απο ... om εκαστω ... κ. εσχαριτης (sic) post τηγανου pon. 21. 22. om ορχησομαι· ευλογ. κυριος ... om ενωπιον κυρ. και αποκαλυφθησομαι ... om μη VII. 1. δαυιδ ο βασιλευς ... om των κυκλω 2. εμμεσω 3. om αν 4. εν τη 5. ειπε προς

Digitized by Google

Ισραὴλ ᾧ ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου Ἰσραὴλ λέγων Ἵνα τί οὐκ
8 ᾠκοδομήκατέ μοι οἶκον κέδρινον; [8] καὶ νῦν τάδε ἐρεῖς τῷ δούλῳ μου Δαυὶδ
Τάδε λέγει κύριος παντοκράτωρ Ἔλαβόν σε ἐκ τῆς μάνδρας τῶν προβάτων
9 τοῦ εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἐπὶ τὸν Ἰσραήλ, [9] καὶ ἤμην
μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου
ἀπὸ προσώπου σου, καὶ ἐποίησά σε ὀνομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγάλων
10 τῶν ἐπὶ τῆς γῆς. [10] καὶ θήσομαι τόπον τῷ λαῷ μου τῷ Ἰσραὴλ καὶ κατα-
φυτεύσω αὐτόν, καὶ κατασκηνώσει καθ' ἑαυτὸν καὶ οὐ μεριμνήσει οὐκέτι,
11 καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ' ἀρχῆς, [11] ἀπὸ
τῶν ἡμερῶν ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ· καὶ ἀναπαύσω σε
ἀπὸ πάντων τῶν ἐχθρῶν σου, καὶ ἀπαγγελεῖ σοι κύριος ὅτι οἶκον οἰκοδομή-
12 σεις αὐτῷ. [12] καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ
τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σὲ ὃς ἔσται ἐκ τῆς
13 κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· [13] αὐτὸς οἰκοδομήσει μοι οἶ-
κον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα.
14 [14] ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· καὶ ἐὰν ἔλθῃ He. 1, 5.
ἡ ἀδικία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν καὶ ἐν ἁφαῖς υἱῶν ἀν-
15 θρώπων, [15] τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ καθὼς ἀπέστησα ἀφ'
16 ὧν ἀπέστησα ἐκ προσώπου μου. [16] καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ καὶ ἡ
βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου, καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθω-
17 μένος εἰς τὸν αἰῶνα. [17] κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν
18 τὴν ὅρασιν ταύτην, οὕτως ἐλάλησε Νάθαν πρὸς Δαυίδ. [18] καὶ εἰσῆλθεν ὁ βα-
σιλεὺς Δαυὶδ καὶ ἐκάθισεν ἐνώπιον κυρίου, καὶ εἶπε Τίς εἰμι ἐγώ, κύριέ μου
19 κύριε, καὶ τίς ὁ οἶκός μου ὅτι ἠγάπησάς με ἕως τούτων; [19] καὶ κατεσμι-
κρύνθην μικρὸν ἐνώπιόν σου, κύριέ μου κύριε, καὶ ἐλάλησας ὑπὲρ τοῦ οἴκου
τοῦ δούλου σου εἰς μακράν· οὗτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου, κύριέ μου κύ-
20 ριε. [20] καὶ τί προσθήσει Δαυὶδ ἔτι τοῦ λαλῆσαι πρὸς σέ; καὶ νῦν σὺ οἶδας
21 τὸν δοῦλόν σου, κύριέ μου κύριε, [21] καὶ διὰ τὸν δοῦλόν σου πεποίηκας· καὶ
κατὰ τὴν καρδίαν σου ἐποίησας πᾶσαν τὴν μεγαλωσύνην ταύτην γνωρίσαι
22 τῷ δούλῳ σου [22] ἕνεκεν τοῦ μεγαλῦναί σε, κύριέ μου· ὅτι οὐκ ἔστιν ὡς σύ,
καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ ἐν πᾶσιν οἷς ἠκούσαμεν ἐν τοῖς ὠσὶν ἡμῶν.
23 [23] καὶ τίς ὡς ὁ λαός σου Ἰσραὴλ ἔθνος ἄλλο ἐν τῇ γῇ; ὡς ὡδήγησεν αὐτὸν
ὁ θεὸς τοῦ λυτρώσασθαι αὐτῷ λαόν, τοῦ θέσθαι σε ὄνομα, τοῦ ποιῆσαι με-
γαλωσύνην καὶ ἐπιφάνειαν, τοῦ ἐκβαλεῖν σε ἐκ προσώπου τοῦ λαοῦ σου, οὓς
24 ἐλυτρώσω σεαυτῷ ἐξ Αἰγύπτου ἔθνη καὶ σκηνώματα; [24] καὶ ἡτοίμασας σε-
αυτῷ τὸν λαόν σου Ἰσραὴλ εἰς λαὸν ἕως αἰῶνος, καὶ σύ, κύριε, ἐγένου αὐ-
25 τοῖς εἰς θεόν. [25] καὶ νῦν, κύριέ μου, ῥῆμα ὃ ἐλάλησας περὶ τοῦ δούλου σου
καὶ τοῦ οἴκου αὐτοῦ πίστωσον ἕως τοῦ αἰῶνος, κύριε παντοκράτωρ θεὲ τοῦ
26 Ἰσραήλ, καὶ νῦν καθὼς ἐλάλησας [26] μεγαλυνθείη τὸ ὄνομά σου ἕως αἰῶνος.
27 [27] κύριε παντοκράτωρ θεὸς Ἰσραήλ, ἀπεκάλυψας τὸ ὠτίον τοῦ δούλου σου λέ-
γων Οἶκον οἰκοδομήσω σοι· διὰ τοῦτο εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυ-

---

7. ων ενετειλ. π. τ. λ. τον ισρ. ... om ινα 8. απο οπισθεν των προβ. ... om επι τον λ. μου ... επι ισραηλ 9. εξωλεθρευσα 10. καταφυτ. αυτ. εν κατασχ. καθ αυτον ... προσθησει ετι 11. τον ισραηλ 14. αφεσει pro αφαις 16. ανορθωμενος 18. ηγαπηκας 19. κατεσμικρυνθη ... om κυριε bis post κυρ. μου 20. om μου κυριε 21. om και ... λογον pro δουλον ... μεγαλωσ. σου ταυτην γν. τον δουλον σου 22. μεγαλυνθηναι σε κυριε κυριε μου 24. om εις ante λαον 25. εως αιωνος ... post αιωνος add και ποιησον καθως ελαλησας· και μεγαλυνθειη το ονομα σου εως αιωνος κυριε παντοκρατωρ θεε επι τον ισραηλ· ο οικος του δουλου σου δαυιδ εσται ανωρθωμενος ενωπιον σου οτι ... ο θεος pro θεε 27. λεγει κυριος pro κυριε

Digitized by Google

τοῦ τοῦ προσεύξασθαι πρὸς σὲ τὴν προσευχὴν ταύτην. [28]καὶ νῦν, κύριέ μου 28
κύριε, σὺ εἶ θεός, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοί, καὶ ἐλάλησας ὑπὲρ τοῦ
δούλου σου τὰ ἀγαθὰ ταῦτα. [29]καὶ νῦν ἄρξαι καὶ εὐλόγησον τὸν οἶκον τοῦ 29
δούλου σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου· ὅτι σύ, κύριέ μου κύριε,
ἐλάλησας, καὶ ἀπὸ τῆς εὐλογίας σου εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου σου
τοῦ εἶναι εἰς τὸν αἰῶνα.

## VIII.

Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξε Δαυὶδ τοὺς ἀλλοφύλους καὶ ἐτρο-
πώσατο αὐτούς· καὶ ἔλαβε Δαυὶδ τὴν ἀφωρισμένην ἐκ χειρὸς τῶν ἀλλοφύ-
λων. [2]καὶ ἐπάταξε Δαυὶδ τὴν Μωάβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίοις 2
κοιμίσας αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ ἐγένετο τὰ δύο σχοινίσματα τοῦ θανατῶ-
σαι καὶ τὰ δύο σχοινίσματα ἐζώγρησε· καὶ ἐγένετο Μωὰβ τῷ Δαυὶδ εἰς δού-
λους φέροντας ξένια. [3]καὶ ἐπάταξε Δαυὶδ τὸν Ἀδρααζὰρ υἱὸν Ῥαὰβ βασιλέα 3
Σουβά, πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν Εὐ-
φράτην. [4]καὶ προκατελάβετο Δαυὶδ τῶν αὐτοῦ χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδας 4
ἱππέων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν· καὶ παρέλυσε Δαυὶδ πάντα τὰ
ἅρματα, καὶ ὑπελείπετο ἑαυτῷ ἑκατὸν ἅρματα. [5]καὶ παραγίνεται Συρία Δα- 5
μασκοῦ βοηθῆσαι τῷ Ἀδρααζὰρ βασιλεῖ Σουβά, καὶ ἐπάταξε Δαυὶδ ἐν τῷ
Σύρῳ εἰκοσιδύο χιλιάδας ἀνδρῶν. [6]καὶ ἔθετο Δαυὶδ φρουρὰν ἐν Συρίᾳ τῇ 6
κατὰ Δαμασκόν, καὶ ἐγένετο ὁ Σύρος τῷ Δαυὶδ εἰς δούλους φέροντας ξένια·
καὶ ἔσωσε κύριος τὸν Δαυὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. [7]καὶ ἔλαβε Δαυὶδ τοὺς 7
χλιδῶνας τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τῶν παίδων τῶν Ἀδρααζὰρ βασιλέως
Σουβὰ καὶ ἤνεγκεν αὐτὰ εἰς Ἰερουσαλήμ· καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ βασι-
λεὺς Αἰγύπτου ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἰερουσαλὴμ ἐν ἡμέραις Ῥοβοὰμ
υἱοῦ Σολομῶντος. [8]καὶ ἐκ τῆς Μετεβὰκ καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τοῦ 8
Ἀδρααζὰρ ἔλαβεν ὁ βασιλεὺς Δαυὶδ χαλκὸν πολὺν σφόδρα· ἐν αὐτῷ ἐποίησε
Σαλομὼν τὴν θάλασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τοὺς λουτῆρας καὶ
πάντα τὰ σκεύη. [9]καὶ ἤκουσε Θοοὺ ὁ βασιλεὺς Ἡμὰθ ὅτι ἐπάταξε Δαυὶδ 9
πᾶσαν τὴν δύναμιν Ἀδρααζάρ, [10]καὶ ἀπέστειλε Θοοὺ Ἰεδδουρὰμ τὸν υἱὸν αὐ- 10
τοῦ πρὸς βασιλέα Δαυὶδ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην καὶ εὐλογῆσαι αὐτὸν
ὑπὲρ οὗ ἐπολέμησε τὸν Ἀδρααζὰρ καὶ ἐπάταξεν αὐτόν, ὅτι ἀντικείμενος ἦν
τῷ Ἀδρααζάρ, καὶ ἐν ταῖς χερσὶν αὐτοῦ ἦσαν σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ
καὶ σκεύη χαλκᾶ. [11]καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς Δαυὶδ τῷ κυρίῳ μετὰ τοῦ 11
ἀργυρίου καὶ μετὰ τοῦ χρυσίου οὗ ἡγίασεν ἐκ πασῶν τῶν πόλεων ὧν κατε-
δυνάστευσεν, [12]ἐκ τῆς Ἰδουμαίας καὶ ἐκ τῆς Μωὰβ καὶ ἐκ τῶν υἱῶν Ἀμμὼν 12
καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ Ἀμαλὴκ καὶ ἐκ τῶν σκύλων Ἀδρααζὰρ υἱοῦ
Ῥαὰβ βασιλέως Σουβά. [13]καὶ ἐποίησε Δαυὶδ ὄνομα, καὶ ἐν τῷ ἀνακάμπτειν 13
αὐτὸν ἐπάταξε τὴν Ἰδουμαίαν ἐν Γεβελὲμ εἰς ὀκτωκαίδεκα χιλιάδας. [14]καὶ 14
ἔθετο ἐν τῇ Ἰδουμαίᾳ φρουράν, ἐν πάσῃ τῇ Ἰδουμαίᾳ, καὶ ἐγένοντο πάντες
οἱ Ἰδουμαῖοι δοῦλοι τῷ βασιλεῖ· καὶ ἔσωσε κύριος τὸν Δαυὶδ ἐν πᾶσιν οἷς
ἐπορεύετο. [15]καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ πάντα Ἰσραήλ· καὶ ἦν Δαυὶδ ποιῶν 15

---

28. κυριε μου, συ ει ο θεος 29. post συ add ει ... om του ειναι sec. loco VIII. 2. διεμετρ. αυτην σχοινιοις ... εγενοντο ... om του θαν. και τα δ. σχοινισματα ... εζωγρησαν ... om τω δαυιδ 4. επτα pro χιλια ... υπελ. αυτω εξ αυτων 5. εικοσι χιλιαδας 7. (εποιησαν pro οι ησαν ...) ... παιδ. του αδρααζαρ ... σουσακειμ 8. κ. ε. της μασβαχ εκ των ... σαλωμων 9. θαει 10. θαει τον ιεδδουραν ... επαταξεν pro επολεμησε 11. om μετα sec. 12. κ. εκ τ. αλλοφυλ. pon. post αμαληκ ... σωβα 13. εν γημαλα (γημελα?) 14. post παση τ. ιδουμ. add εθηκεν εστηλωμενους ... παντες ιδουμ. 15. om παντα

Digitized by Google

16 χρίμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ. [16]καὶ Ἰωὰβ υἱὸς Σαρουίας
17 ἐπὶ τῆς στρατιᾶς, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺδ ἐπὶ τῶν ὑπομνημάτων, [17]καὶ
Σαδὼκ υἱὸς Ἀχιτὼβ καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάϑαρ ἱερεῖς, καὶ Σασὰ ὁ γραμ-
18 ματεύς, [18]καὶ Βαναίας υἱὸς Ἰωδαὲ σύμβουλος, καὶ ὁ Χελεϑὶ καὶ ὁ Φελετὶ
καὶ οἱ υἱοὶ Δαυὶδ αὐλάρχαι ἦσαν.

## IX.

Καὶ εἶπε Δαυὶδ Εἰ ἔστιν ἔτι ὑπολελειμμένος ἐν τῷ οἴκῳ Σαούλ, καὶ
2 ποιήσω μετ' αὐτοῦ ἔλεος ἕνεκεν Ἰωνάϑαν; [2]καὶ ἐκ τοῦ οἴκου Σαοὺλ ἦν παῖς
καὶ ὄνομα αὐτῷ Σιβά, καὶ καλοῦσιν αὐτὸν πρὸς Δαυίδ· καὶ εἶπε πρὸς αὐ-
3 τὸν ὁ βασιλεὺς Σὺ εἶ Σιβά; καὶ εἶπεν Ἐγὼ δοῦλος σός. [3]καὶ εἶπεν ὁ βα-
σιλεὺς Εἰ ὑπολέλειπται ἐκ τοῦ οἴκου Σαοὺλ ἔτι ἀνήρ, καὶ ποιήσω μετ' αὐτοῦ
ἔλεος ϑεοῦ; καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα Ἔτι ἔστιν υἱὸς τῷ Ἰωνάϑαν
4 πεπληγὼς τοὺς πόδας. [4]καὶ εἶπεν ὁ βασιλεὺς Ποῦ οὗτος; καὶ εἶπε Σιβὰ πρὸς
5 τὸν βασιλέα Ἰδοὺ ἐν οἴκῳ Μαχὶρ υἱοῦ Ἀμιὴλ ἐκ τῆς Λοδάβαρ. [5]καὶ ἀπέστει-
λεν ὁ βασιλεὺς Δαυὶδ καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ οἴκου Μαχὶρ υἱοῦ Ἀμιὴλ ἐκ τῆς
6 Λοδάβαρ. [6]καὶ παραγίνεται Μεμφιβοσϑὲ υἱὸς Ἰωνάϑαν υἱοῦ Σαοὺλ πρὸς τὸν
βασιλέα Δαυίδ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησεν αὐτῷ· καὶ εἶ-
7 πεν αὐτῷ Δαυίδ Μεμφιβοσϑέ· καὶ εἶπεν Ἰδοὺ ὁ δοῦλός σου. [7]καὶ εἶπεν αὐτῷ
Δαυὶδ Μὴ φοβοῦ, ὅτι ποιῶν ποιήσω μετὰ σοῦ ἔλεος διὰ Ἰωνάϑαν τὸν πατέρα
σου, καὶ ἀποκαταστήσω σοι πάντα ἀγρὸν Σαοὺλ πατρὸς τοῦ πατρός σου, καὶ
8 σὺ φαγῇ ἄρτον ἐπὶ τῆς τραπέζης μου διὰ παντός. [8]καὶ προσεκύνησε Μεμφι-
βοσϑὲ καὶ εἶπε Τίς εἰμι ὁ δοῦλός σου ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τε-
9 ϑνηκότα τὸν ὅμοιον ἐμοί; [9]καὶ ἐκάλεσεν ὁ βασιλεὺς Σιβὰ τὸ παιδάριον Σαοὺλ
καὶ εἶπε πρὸς αὐτόν Πάντα ὅσα ἐστὶ τῷ Σαοὺλ καὶ ὅλῳ τῷ οἴκῳ αὐτοῦ δέ-
10 δωκα τῷ υἱῷ τοῦ κυρίου σου. [10]καὶ ἐργᾷ αὐτῷ τὴν γῆν σὺ καὶ οἱ υἱοί σου
καὶ οἱ δοῦλοί σου, καὶ εἰσοίσεις τῷ υἱῷ τοῦ κυρίου σου ἄρτους καὶ ἔδεται
ἄρτους, καὶ Μεμφιβοσϑὲ υἱὸς τοῦ κυρίου σου φάγεται διὰ παντὸς ἄρτον ἐπὶ
τῆς τραπέζης μου. καὶ τῷ Σιβᾷ ἦσαν πεντεκαίδεκα υἱοὶ καὶ εἴκοσι δοῦλοι.
11 [11]καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα Κατὰ πάντα ὅσα ἐντέταλται ὁ κύριός μου
ὁ βασιλεὺς τῷ δούλῳ αὐτοῦ, οὕτως ποιήσει ὁ δοῦλός σου. καὶ Μεμφιβοσϑὲ
12 ἤσϑιεν ἐπὶ τῆς τραπέζης Δαυὶδ καϑὼς εἷς τῶν υἱῶν αὐτοῦ τοῦ βασιλέως. [12]καὶ
τῷ Μεμφιβοσϑὲ υἱὸς μικρὸς ἦν καὶ ὄνομα αὐτῷ Μιχά, καὶ πᾶσα ἡ κατοί-
13 κησις τοῦ οἴκου Σιβὰ δοῦλοι τοῦ Μεμφιβοσϑέ. [13]καὶ Μεμφιβοσϑὲ κατῴκει ἐν
Ἱερουσαλήμ, ὅτι ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως αὐτὸς διὰ παντὸς ἤσϑιε, καὶ
αὐτὸς ἦν χωλὸς ἀμφοτέροις τοῖς ποσὶν αὐτοῦ.

## X.

Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἀπέϑανε βασιλεὺς υἱῶν Ἀμμών, καὶ ἐβα-
2 σίλευσεν Ἀννὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [2]καὶ εἶπε Δαυὶδ Ποιήσω ἔλεος μετὰ
Ἀννὼν υἱοῦ Ναάς, ὃν τρόπον ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος· καὶ
ἀπέστειλε Δαυὶδ παρακαλέσαι αὐτὸν ἐν χειρὶ τῶν δούλων αὐτοῦ περὶ τοῦ πα-
3 τρὸς αὐτοῦ, καὶ παρεγένοντο οἱ παῖδες Δαυὶδ εἰς τὴν γῆν υἱῶν Ἀμμών. [3]καὶ

---

16. ιωσαφ υι. αχιμελεχ 17. σαδουχ ... σαραιας 18. βαναγαιας ... συμβολος ... χερεϑϑει κ. ο φελεϑϑει υιοι IX. 1. om ετι ... om εν 2. παις ην ... Ει συ ει 3. υπολελιπται τω οικω 4. μαχειρ ... λαβαδαρι 5. μαχειρ ... λαδαβαρ 6. μεμφιβοσϑαι bis ... προσεκ. αυτων (ita) ... om ιδου 7. ελεος μετα σου ... πατρος post σαουλ 8. μεμφιβοσϑαι 9. δεδ. τω οικω τω κυριω (sic) σου 10. (κ. εργαν ...) κ. εδεται αυτους, κ. μεμφιβοσϑαι ... φαγεται αρτους δια π. επι 11. om αυτου post υιων 12. μεμφιβοσϑαι bis (non vv. 11. 13.) ... om ην (... αυτου pro του) ... δουλ. τω μεμφ. 13. κατοικει ... ησϑιεν δια παντος X. 1. αων pro αννων 2. ανων

Digitized by Google

εἶπον οἱ ἄρχοντες υἱῶν Ἀμμὼν πρὸς Ἀννὼν τὸν κύριον αὐτῶν Μὴ παρὰ τὸ
δοξάζειν Δαυὶδ τὸν πατέρα σου ἐνώπιόν σου ὅτι ἀπέστειλέ σοι παρακαλοῦν-
τας; ἀλλ' ὅπως οὐχὶ ἐρευνήσωσι τὴν πόλιν καὶ κατασκοπήσωσιν αὐτὴν καὶ τοῦ
κατασκέψασθαι αὐτὴν ἀπέστειλε Δαυὶδ τοὺς παῖδας αὐτοῦ πρὸς σέ; [4] καὶ ἔλα- 4
βεν Ἀννὼν τοὺς παῖδας Δαυὶδ καὶ ἐξύρησε τοὺς πώγωνας αὐτῶν καὶ ἀπέ-
κοψε τοὺς μανδύας αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐτῶν, καὶ ἐξαπέ-
στειλεν αὐτούς. [5] καὶ ἀπήγγειλαν τῷ Δαυὶδ ὑπὲρ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν 5
εἰς ἀπαντὴν αὐτῶν, ὅτι ἦσαν οἱ ἄνδρες ἠτιμασμένοι σφόδρα· καὶ εἶπεν ὁ βα-
σιλεύς Καθίσατε ἐν Ἱεριχὼ ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ ἐπι-
στραφήσεσθε. [6] καὶ εἶδον οἱ υἱοὶ Ἀμμὼν ὅτι κατῃσχύνθησαν ὁ λαὸς Δαυίδ· 6
καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἀμμὼν καὶ ἐμισθώσαντο τὴν Συρίαν Βαιθραὰμ καὶ
τὴν Συρίαν Σουβὰ καὶ Ῥοὼβ εἴκοσι χιλιάδας πεζῶν, καὶ τὸν βασιλέα Ἀμα-
λὴκ χιλίους ἄνδρας, καὶ Ἰστὼβ δώδεκα χιλιάδας ἀνδρῶν. [7] καὶ ἤκουσε Δαυίδ, 7
καὶ ἀπέστειλε τὸν Ἰωὰβ καὶ πᾶσαν τὴν δύναμιν τοὺς δυνατούς. [8] καὶ ἐξῆλθον 8
οἱ υἱοὶ Ἀμμὼν καὶ παρετάξαντο πόλεμον παρὰ τῇ θύρᾳ τῆς πύλης Συρίας
Σουβὰ καὶ Ῥοὼβ καὶ Ἰστὼβ καὶ Ἀμαλὴκ μόνοι ἐν ἀγρῷ. [9] καὶ εἶδεν Ἰωὰβ 9
ὅτι ἐγενήθη πρὸς αὐτὸν ἀντιπρόςωπον τοῦ πολέμου ἐκ τοῦ κατὰ πρόςωπον ἐξε-
ναντίας καὶ ἐκ τοῦ ὄπισθεν, καὶ ἐπελέξατο ἐκ πάντων τῶν νεανιῶν Ἰσραήλ,
καὶ παρετάξαντο ἐξεναντίας Συρίας. [10] καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν 10
χειρὶ Ἀβεσσὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας υἱῶν Ἀμμών,
[11] καὶ εἶπεν Ἐὰν κραταιωθῇ Συρία ὑπὲρ ἐμέ, καὶ ἔσεσθέ μοι εἰς σωτηρίαν· καὶ 11
ἐὰν κραταιωθῶσιν υἱοὶ Ἀμμὼν ὑπὲρ σέ, καὶ ἐσόμεθα τοῦ σῶσαί σε. [12] ἀνδρίζου 12
καὶ κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν καὶ περὶ τῶν πόλεων τοῦ θεοῦ ἡμῶν,
καὶ κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. [13] καὶ προςῆλθεν Ἰωὰβ 13
καὶ ὁ λαὸς αὐτοῦ μετ' αὐτοῦ εἰς πόλεμον πρὸς Συρίαν, καὶ ἔφυγαν ἀπὸ προςώ-
που αὐτοῦ. [14] καὶ οἱ υἱοὶ Ἀμμὼν εἶδαν ὅτι ἔφυγε Συρία, καὶ ἔφυγαν ἀπὸ 14
προςώπου Ἀβεσσὰ καὶ εἰςῆλθον εἰς τὴν πόλιν· καὶ ἀνέστρεψεν Ἰωὰβ ἀπὸ τῶν
υἱῶν Ἀμμών, καὶ παρεγένετο εἰς Ἱερουσαλήμ. [15] καὶ εἶδε Συρία ὅτι ἔπταισεν 15
ἔμπροσθεν Ἰσραήλ, καὶ συνήχθησαν ἐπὶ τὸ αὐτό. [16] καὶ ἀπέστειλεν Ἀδρααζὰρ 16
καὶ συνήγαγε τὴν Συρίαν τὴν ἐκ τοῦ πέραν τοῦ ποταμοῦ Χαλαμάκ, καὶ παρε-
γένοντο εἰς Αἰλάμ· καὶ Σωβὰκ ἄρχων τῆς δυνάμεως Ἀδρααζὰρ ἔμπροσθεν
αὐτῶν. [17] καὶ ἀπηγγέλη τῷ Δαυίδ, καὶ συνήγαγε τὸν πάντα Ἰσραήλ, καὶ διέβη 17
τὸν Ἰορδάνην καὶ παρεγένετο εἰς Αἰλάμ· καὶ παρετάξατο Συρία ἀπέναντι Δαυὶδ
καὶ ἐπολέμησαν μετ' αὐτοῦ. [18] καὶ ἔφυγε Συρία ἀπὸ προςώπου Ἰσραήλ· καὶ 18
ἀνεῖλε Δαυὶδ ἐκ τῆς Συρίας ἑπτακόσια ἅρματα καὶ τεσσαράκοντα χιλιάδας
ἱππέων, καὶ τὸν Σωβὰκ τὸν ἄρχοντα τῆς δυνάμεως αὐτοῦ ἐπάταξε, καὶ ἀπέ-
θανεν ἐκεῖ. [19] καὶ εἶδαν πάντες οἱ βασιλεῖς οἱ δοῦλοι Ἀδρααζὰρ ὅτι ἔπταισαν 19
ἔμπροσθεν Ἰσραήλ, καὶ ηὐτομόλησαν μετὰ Ἰσραὴλ καὶ ἐδούλευσαν αὐτοῖς· καὶ
ἐφοβήθη Συρία τοῦ σῶσαι ἔτι τοὺς υἱοὺς Ἀμμών.

## XI.

Καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν τῆς ἐξοδίας τῶν
βασιλέων καὶ ἀπέστειλε Δαυὶδ τὸν Ἰωὰβ καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ
καὶ τὸν πάντα Ἰσραήλ, καὶ διέφθειραν τοὺς υἱοὺς Ἀμμών· καὶ διεκάθισαν

---

3. om οἱ ... ανων ... παρακαλουντ. ουχ ινα ερευνησωσιν 4. ανων 5. ανηγγειλαν ... εις απαντησιν 6. ιδαν ... ο λ. εν δαυιδ ... om βαιθρααμ ... και ροωβ κ. τ. συρ. σουβα ... μααχα pro αμαληκ 7. om τον 8. ροαβ ... μααχα pro αμαληκ 9. om εξεναντιας ... επελεξεν ... om των 10. αβισαι 11. οι υι. αμμων κραταιωθ. 13. om μετ αυτου ... εφυγον ... in fine add συρια 14. ειδον ... αβισαϊ ... εισηλθαν ... παρεγενοντο 16. συριαν εκ ... om χαλαμακ ... om εις ... σαβαχ 17. ανηγγελη ... κατεναντι 18. δαυιδ pro ισραηλ ... τεσσερακοντα XI. 1. τον απαντα

Digitized by Google

2 ἐπὶ Ῥαββάθ, καὶ Δαυὶδ ἐκάθισεν ἐν Ἱερουσαλήμ. [2] καὶ ἐγένετο πρὸς ἑσπέραν
καὶ ἀνέστη Δαυὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ
οἴκου τοῦ βασιλέως, καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος, καὶ ἡ γυνὴ
3 καλὴ τῷ εἴδει σφόδρα. [3] καὶ ἀπέστειλε Δαυὶδ καὶ ἐζήτησε τὴν γυναῖκα, καὶ
4 εἶπεν Οὐχὶ αὕτη Βηρσαβεὲ θυγάτηρ Ἐλιὰβ γυνὴ Οὐρίου τοῦ Χετταίου; [4] καὶ
ἀπέστειλε Δαυὶδ ἀγγέλους καὶ ἔλαβεν αὐτήν, καὶ εἰςῆλθε πρὸς αὐτὴν καὶ
ἐκοιμήθη μετ' αὐτῆς· καὶ αὕτη ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς καὶ ἀπέ-
5 στρεψεν εἰς τὸν οἶκον αὐτῆς. [5] καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνή, καὶ ἀποστείλασα
6 ἀπήγγειλε τῷ Δαυὶδ καὶ εἶπεν Ἐγώ εἰμι ἐν γαστρὶ ἔχω. [6] καὶ ἀπέστειλε Δαυὶδ
πρὸς Ἰωὰβ λέγων Ἀπόστειλον πρός με τὸν Οὐρίαν τὸν Χετταῖον· καὶ ἀπέ-
7 στειλεν Ἰωὰβ τὸν Οὐρίαν πρὸς Δαυίδ. [7] καὶ παραγίνεται Οὐρίας καὶ εἰςῆλθε πρὸς
αὐτόν, καὶ ἐπηρώτησε Δαυὶδ εἰς εἰρήνην Ἰωὰβ καὶ εἰς εἰρήνην τοῦ λαοῦ καὶ εἰς
8 εἰρήνην τοῦ πολέμου. [8] καὶ εἶπε Δαυὶδ τῷ Οὐρίᾳ Κατάβηθι εἰς τὸν οἶκόν σου καὶ
νίψαι τοὺς πόδας σου· καὶ ἐξῆλθεν Οὐρίας ἐξ οἴκου τοῦ βασιλέως, καὶ ἐξῆλθεν
9 ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως. [9] καὶ ἐκοιμήθη Οὐρίας παρὰ τῇ θύρᾳ τοῦ βα-
σιλέως μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ, καὶ οὐ κατέβη εἰς τὸν οἶκον αὐτοῦ.
10 [10] καὶ ἀνήγγειλαν τῷ Δαυὶδ λέγοντες ὅτι οὐ κατέβη Οὐρίας εἰς τὸν οἶκον αὐ-
τοῦ. καὶ εἶπε Δαυὶδ πρὸς Οὐρίαν Οὐχὶ ἐξ ὁδοῦ σὺ ἔρχῃ; τί ὅτι οὐ κατέβης
11 εἰς τὸν οἶκόν σου; [11] καὶ εἶπεν Οὐρίας πρὸς Δαυίδ Ἡ κιβωτὸς καὶ Ἰσραὴλ
καὶ Ἰούδας κατοικοῦσιν ἐν σκηναῖς, καὶ ὁ κύριός μου Ἰωὰβ καὶ οἱ δοῦλοι τοῦ
κυρίου μου ἐπὶ πρόσωπον τοῦ ἀγροῦ παρεμβάλλουσι, καὶ ἐγὼ εἰςελεύσομαι
εἰς τὸν οἶκόν μου τοῦ φαγεῖν καὶ πιεῖν καὶ κοιμηθῆναι μετὰ τῆς γυναικός μου;
12 πῶς; ζῇ ἡ ψυχή σου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο. [12] καὶ εἶπε Δαυὶδ πρὸς Οὐ-
ρίαν Κάθισον ἐνταῦθα καί γε σήμερον, καὶ αὔριον ἐξαποστελῶ σε· καὶ ἐκά-
13 θισεν Οὐρίας ἐν Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ ἐπαύριον. [13] καὶ ἐκά-
λεσεν αὐτὸν Δαυίδ, καὶ ἔφαγεν ἐνώπιον αὐτοῦ καὶ ἔπιε, καὶ ἐμέθυσεν αὐτόν·
καὶ ἐξῆλθεν ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς κοίτης αὐτοῦ μετὰ τῶν δούλων
14 τοῦ κυρίου αὐτοῦ, καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ κατέβη. [14] καὶ ἐγένετο πρωὶ καὶ
15 ἔγραψε Δαυὶδ βιβλίον πρὸς Ἰωάβ, καὶ ἀπέστειλεν ἐν χειρὶ Οὐρίου. [15] καὶ ἔγρα-
ψεν ἐν βιβλίῳ λέγων Εἰςάγαγε τὸν Οὐρίαν ἐξεναντίας τοῦ πολέμου τοῦ κρα-
ταιοῦ, καὶ ἀποστραφήσεσθε ἀπὸ ὄπισθεν αὐτοῦ, καὶ πληγήσεται καὶ ἀποθανεῖται.
16 [16] καὶ ἐγενήθη ἐν τῷ φυλάσσειν Ἰωὰβ ἐπὶ τὴν πόλιν καὶ ἔθηκε τὸν Οὐρίαν
17 εἰς τὸν τόπον οὗ ᾔδει ὅτι ἄνδρες δυνάμεως ἐκεῖ. [17] καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς
πόλεως καὶ ἐπολέμουν μετὰ Ἰωάβ· καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ ἐκ τῶν δούλων
18 Δαυίδ, καὶ ἀπέθανε καί γε Οὐρίας ὁ Χετταῖος. [18] καὶ ἀπέστειλεν Ἰωὰβ καὶ
ἀπήγγειλε τῷ Δαυὶδ πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βα-
19 σιλέα. [19] καὶ ἐνετείλατο τῷ ἀγγέλῳ λέγων Ἐν τῷ συντελέσαι πάντας τοὺς λό-
20 γους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα, [20] καὶ ἔσται ἐὰν ἀναβῇ ὁ θυμὸς
τοῦ βασιλέως καὶ εἴπῃ σοι Τί ὅτι ἠγγίσατε πρὸς τὴν πόλιν πολεμῆσαι; οὐκ
21 ᾔδειτε ὅτι τοξεύσουσιν ἀπάνωθεν τοῦ τείχους; [21] τίς ἐπάταξε τὸν Ἀβιμέλεχ
υἱὸν Ἱεροβάαλ υἱοῦ Νήρ; οὐχὶ γυνὴ ἔρριψε κλάσμα μύλου ἐπ' αὐτὸν ἀπὸ
ἄνωθεν τοῦ τείχους καὶ ἀπέθανεν ἐν Θαμασί; ἵνα τί προςηγάγετε πρὸς τὸ
22 τεῖχος; καὶ ἐρεῖς Καί γε ὁ δοῦλός σου Οὐρίας ὁ Χετταῖος ἀπέθανε. [22] καὶ
ἐπορεύθη ὁ ἄγγελος Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς Ἱερουσαλήμ, καὶ παρεγένετο
καὶ ἀπήγγειλε τῷ Δαυὶδ πάντα ὅσα ἀπήγγειλεν αὐτῷ Ἰωάβ, πάντα τὰ ῥή-

---

1. εκαθισαν (2. λουμενην) 3. βηθσαβεε η θυγ. ελ. η γυνη 4. απεστρεψεν αυτην 7. om και εισηλθε 9. θυρα οικου του 10. καταβης 11. Ει η κιβωτος ... παρεμβαλουσιν καγω ... μου φαγειν ... και πως 13. κοιμηθ. και επι ... τ. κυρ. αυτων 14. απεστειλ. δαυιδ 17. απο του λαου 18. βασιλει pro δαυιδ ... om λαλησαι πρ. τ. βασιλ. 20. Τι ηργασατε ... του πολεμησαι ... τοξευουσιν 21. ιεροβοαμ ... επ αυτον κλ. μυλ. απανωθεν ... απεθανεν θαμασει ... ουριας ο δουλ. σου

Digitized by Google

ματα τοῦ πολέμου. καὶ ἐθυμώθη Δαυὶδ πρὸς Ἰωάβ, καὶ εἶπε πρὸς τὸν ἄγγε-
λον Ἵνα τί προςηγάγετε πρὸς τὴν πόλιν τοῦ πολεμῆσαι; οὐκ ᾔδειτε ὅτι πλη-
γήσεσθε ἀπὸ τοῦ τείχους; τίς ἐπάταξε τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ; οὐχὶ γυνὴ
ἔῤῥιψεν ἐπ' αὐτὸν κλάσμα μύλου ἀπὸ τοῦ τείχους καὶ ἀπέθανεν ἐν Θαμασί;
ἵνα τί προςηγάγετε πρὸς τὸ τεῖχος; 23 καὶ εἶπεν ὁ ἄγγελος πρὸς Δαυὶδ Ὅτι 23
ἐκραταίωσαν ἐφ' ἡμᾶς οἱ ἄνδρες καὶ ἐξῆλθον ἐφ' ἡμᾶς εἰς τὸν ἀγρόν, καὶ
ἐγενήθημεν ἐπ' αὐτοὺς ἕως τῆς θύρας τῆς πύλης· 24 καὶ ἐτόξευσαν οἱ τοξεύον- 24
τες πρὸς τοὺς παῖδάς σου ἀπάνωθεν τοῦ τείχους, καὶ ἀπέθανον τῶν παίδων
τοῦ βασιλέως, καί γε ὁ δοῦλός σου Οὐρίας ὁ Χετταῖος ἀπέθανε. 25 καὶ εἶπε 25
Δαυὶδ πρὸς τὸν ἄγγελον Τάδε ἐρεῖς πρὸς Ἰωάβ Μὴ πονηρὸν ἔστω ἐν ὀφθαλ-
μοῖς σου τὸ ῥῆμα τοῦτο, ὅτι ποτὲ μὲν οὕτως καὶ ποτὲ οὕτως φάγεται ἡ μά-
χαιρα· κραταίωσον τὸν πόλεμόν σου εἰς τὴν πόλιν καὶ κατάσπασον αὐτήν, καὶ
κραταίωσον αὐτήν. 26 καὶ ἤκουσεν ἡ γυνὴ Οὐρίου ὅτι ἀπέθανεν Οὐρίας ὁ ἀνὴρ 26
αὐτῆς, καὶ ἐκόψατο τὸν ἄνδρα αὐτῆς. 27 καὶ διῆλθε τὸ πένθος, καὶ ἀπέστειλε 27
Δαυὶδ καὶ συνήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐγενήθη αὐτῷ εἰς γυ-
ναῖκα καὶ ἔτεκεν αὐτῷ υἱόν· καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ὃ ἐποίησε Δαυὶδ ἐν
ὀφθαλμοῖς κυρίου.

## XII.

Καὶ ἀπέστειλε κύριος τὸν Νάθαν τὸν προφήτην πρὸς Δαυίδ, καὶ εἰςῆλθε
πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ Δύο ἦσαν ἄνδρες ἐν πόλει μιᾷ, εἷς πλούσιος καὶ
εἷς πένης. 2 καὶ τῷ πλουσίῳ ἦν ποίμνια καὶ βουκόλια πολλὰ σφόδρα· 3 καὶ 2 3
τῷ πένητι οὐδὲν ἀλλ' ἢ ἀμνὰς μία μικρά, ἣν ἐκτήσατο καὶ περιεποιήσατο καὶ
ἐξέθρεψεν αὐτήν, καὶ ἡδρύνθη μετ' αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐτοῦ ἐπὶ τὸ
αὐτό, ἐκ τοῦ ἄρτου αὐτοῦ ἤσθιε καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε καὶ ἐν τῷ
κόλπῳ αὐτοῦ ἐκάθευδε, καὶ ἦν αὐτῷ ὡς θυγάτηρ. 4 καὶ ἦλθε πάροδος τῷ ἀνδρὶ 4
τῷ πλουσίῳ, καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν ποιμνίων αὐτοῦ καὶ ἐκ τῶν βουκολίων
αὐτοῦ τοῦ ποιῆσαι τῷ ξένῳ ὁδοιπόρῳ τῷ ἐλθόντι πρὸς αὐτόν, καὶ ἔλαβε τὴν
ἀμνάδα τοῦ πένητος καὶ ἐποίησεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι πρὸς αὐτόν.
5 καὶ ἐθυμώθη ὀργῇ Δαυὶδ σφόδρα τῷ ἀνδρί, καὶ εἶπε Δαυὶδ πρὸς Νάθαν Ζῇ 5
κύριος, ὅτι υἱὸς θανάτου ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο, 6 καὶ τὴν ἀμνάδα ἀποτίσει 6
ἑπταπλασίονα ἀνθ' ὧν ὅτι ἐποίησε τὸ ῥῆμα τοῦτο καὶ περὶ οὗ οὐκ ἐφείσατο.
7 καὶ εἶπε Νάθαν πρὸς Δαυὶδ Σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο· τάδε λέγει κύριος 7
ὁ θεὸς Ἰσραὴλ Ἐγώ εἰμι ὁ χρίσας σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ ἐγώ εἰμι
ἐῤῥυσάμην σε ἐκ χειρὸς Σαούλ, 8 καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ κυρίου σου 8
καὶ τὰς γυναῖκας τοῦ κυρίου σου ἐν τῷ κόλπῳ σου, καὶ ἔδωκά σοι τὸν οἶκον
Ἰσραὴλ καὶ Ἰούδα, καὶ εἰ μικρόν ἐστι προςθήσω σοι κατὰ ταῦτα. 9 τί ὅτι 9
ἐφαύλισας τὸν λόγον κυρίου τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς αὐτοῦ; τὸν
Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες
σεαυτῷ εἰς γυναῖκα, καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν Ἀμμών. 10 καὶ νῦν 10
οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος, ἀνθ' ὧν ὅτι ἐξου-
δένωσάς με καὶ ἔλαβες τὴν γυναῖκα τοῦ Οὐρίου τοῦ Χετταίου τοῦ εἶναί σοι
εἰς γυναῖκα. 11 τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴ- 11
κου σου, καὶ λήψομαι τὰς γυναῖκάς σου κατ' ὀφθαλμούς σου καὶ δώσω τῷ

22. αβιμελεχ ... ιεροβοαμ ... θαμασει 23. εξηλθαν προς 24. ουριας ο δουλ. σου 25. καταφαγεται ... τ. πολεμον συ προς την ... κραταιωσ. αυτον 26. εκοψ. επι τον 27. και ηλθεν ... εφανη πονηρον XII. 1. ειπεν προς αυτον ... ανδρες ησαν 4. λαβειν αυτην εκ τ. ποιμν. και ... τω ποιησαι τω ξενω ελθοντι 5. οργη τω ανδρι σφοδρα σφοδρα δαυιδ 6. επταπλασιον 7. σε βασιλεα 8. τον οικ. τ. κυρ. σου, εν τω κολπω σου εδωκα τας γυν. του κ. σου ... σοι και ταυτα 9. om οτι 10. αποστησαι 11. * εξεγερω ... λημψομαι

Digitized by Google

πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου
12 τούτου· [12]ὅτι σὺ ἐποίησας κρυβῆ, κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παν-
13 τὸς Ἰσραὴλ καὶ ἀπέναντι τοῦ ἡλίου τούτου. [13]καὶ εἶπε Δαυὶδ τῷ Νάθαν Ἡμάρ-
τηκα τῷ κυρίῳ. καὶ εἶπε Νάθαν πρὸς Δαυὶδ Καὶ κύριος παρεβίβασε τὸ ἁμάρ-
14 τημά σου, οὐ μὴ ἀποθάνῃς· [14]πλὴν ὅτι παροργίζων παρώργισας τοὺς ἐχθροὺς
κυρίου ἐν τῷ ῥήματι τούτῳ, καί γε ὁ υἱός σου ὁ τεχθείς σοι θανάτῳ ἀπο-
15 θανεῖται. [15]καὶ ἀπῆλθε Νάθαν εἰς τὸν οἶκον αὐτοῦ· καὶ ἔθραυσε κύριος τὸ
παιδίον ὃ ἔτεκεν ἡ γυνὴ Οὐρίου τοῦ Χετταίου τῷ Δαυίδ, καὶ ἠῤῥώστησε.
16 [16]καὶ ἐζήτησε Δαυὶδ τὸν θεὸν περὶ τοῦ παιδαρίου, καὶ ἐνήστευσε Δαυὶδ νη-
17 στείαν καὶ εἰσῆλθε καὶ ηὐλίσθη ἐπὶ τῆς γῆς. [17]καὶ ἀνέστησαν ἐπ' αὐτὸν οἱ
πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς, καὶ οὐκ ἠθέλησε,
18 καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον. [18]καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ
ἀπέθανε τὸ παιδάριον· καὶ ἐφοβήθησαν οἱ δοῦλοι Δαυὶδ ἀναγγεῖλαι αὐτῷ ὅτι
τέθνηκε τὸ παιδάριον, ὅτι εἶπον Ἰδοὺ ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐλαλήσα-
μεν πρὸς αὐτὸν καὶ οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν, καὶ πῶς εἴπωμεν πρὸς
19 αὐτὸν ὅτι τέθνηκε τὸ παιδάριον, καὶ ποιήσει κακά; [19]καὶ συνῆκε Δαυὶδ ὅτι
οἱ παῖδες αὐτοῦ ψιθυρίζουσι, καὶ ἐνόησε Δαυὶδ ὅτι τέθνηκε τὸ παιδάριον· καὶ
εἶπε Δαυὶδ πρὸς τοὺς παῖδας αὐτοῦ Εἰ τέθνηκε τὸ παιδάριον; καὶ εἶπαν Τέ-
20 θνηκε. [20]καὶ ἀνέστη Δαυὶδ ἐκ τῆς γῆς, καὶ ἐλούσατο καὶ ἠλείψατο καὶ ἤλ-
λαξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ προσεκύνησεν
αὐτῷ· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ᾔτησεν ἄρτον φαγεῖν, καὶ παρέ-
21 θηκαν αὐτῷ ἄρτον καὶ ἔφαγε. [21]καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν Τί
τὸ ῥῆμα τοῦτο ὃ ἐποίησας ἕνεκα τοῦ παιδαρίου; ἔτι ζῶντος ἐνήστευες καὶ
ἔκλαιες καὶ ἠγρύπνεις, καὶ ἡνίκα ἀπέθανε τὸ παιδάριον, ἀνέστης καὶ ἔφαγες
22 ἄρτον καὶ πέπωκας; [22]καὶ εἶπε Δαυὶδ Ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐνή-
στευσα καὶ ἔκλαυσα, ὅτι εἶπα Τίς οἶδεν εἰ ἐλεήσει με κύριος, καὶ ζήσεται τὸ
23 παιδάριον; [23]καὶ νῦν τέθνηκεν, ἵνα τί τοῦτο ἐγὼ νηστεύω; μὴ δυνήσομαι ἐπι-
στρέψαι αὐτὸν ἔτι; ἐγὼ πορεύσομαι πρὸς αὐτόν, καὶ αὐτὸς οὐκ ἀναστρέψει
24 πρὸς μέ. [24]καὶ παρεκάλεσε Δαυὶδ Βηρσαβεὲ τὴν γυναῖκα αὐτοῦ, καὶ εἰσῆλθε
πρὸς αὐτὴν καὶ ἐκοιμήθη μετ' αὐτῆς· καὶ συνέλαβε καὶ ἔτεκεν υἱόν, καὶ ἐκά-
25 λεσε τὸ ὄνομα αὐτοῦ Σαλωμών, καὶ κύριος ἠγάπησεν αὐτόν. [25]καὶ ἀπέστειλεν
ἐν χειρὶ Νάθαν τοῦ προφήτου, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰεδδεδὶ ἕνεκεν
26 κυρίου. [26]καὶ ἐπολέμησεν Ἰωὰβ ἐν Ῥαββὰθ υἱῶν Ἀμμών, καὶ κατέλαβε τὴν
27 πόλιν τῆς βασιλείας. [27]καὶ ἀπέστειλεν Ἰωὰβ ἀγγέλους πρὸς Δαυὶδ καὶ εἶπεν
28 Ἐπολέμησα ἐν Ῥαββὰθ καὶ κατελαβόμην τὴν πόλιν τῶν ὑδάτων· [28]καὶ νῦν
συνάγαγε τὸ κατάλοιπον τοῦ λαοῦ, καὶ παρέμβαλε ἐπὶ τὴν πόλιν καὶ προκα-
ταλαβοῦ αὐτήν, ἵνα μὴ προκαταλάβωμαι ἐγὼ τὴν πόλιν καὶ κληθῇ τὸ ὄνομά
29 μου ἐπ' αὐτήν. [29]καὶ συνήγαγε Δαυὶδ πάντα τὸν λαὸν καὶ ἐπορεύθη εἰς Ῥαβ-
30 βάθ, καὶ ἐπολέμησεν ἐν αὐτῇ καὶ κατελάβετο αὐτήν. [30]καὶ ἔλαβε τὸν στέφανον
Μολχὸμ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὁ σταθμὸς αὐτοῦ
τάλαντον χρυσίου καὶ λίθου τιμίου, καὶ ἦν ἐπὶ τῆς κεφαλῆς Δαυίδ, καὶ σκῦλα
31 τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα. [31]καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγε
καὶ ἔθηκεν ἐν τῷ πρίονι καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς καὶ ὑποτομεῦσι

---

12. κρυβδην ... τουτου του ηλιου 13. om ου 14. παροξυνων παρωξυνας ... του κυριου 15. το παιδαριον ... om του χετταιου 16. ηυλισθ. και εκοιμηθη επι 17. κ. ανεστ. οι πρ. τ. οικ. αυτ. επ αυτον του εγειραι 18. ειπαν ... ετι ζην το παιδ. 20. παρεθηκεν 12. ενεκεν ... οτι pro ετι 23. τεθνηκεν το παιδαριον ... επιστρ. αυτο ετι 24. την βηθσαβεε γυν. 25. ιεδιδια 26. ραβαθ 27. προς ραββαθ 28. συναγαγε ... παρεμβαλλε ... αυτου pro μου 29. προς ραββαθ 30. om μολχομ 31. om οντα ... εξηγαγον

Digitized by Google

σιδηροῖς, καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθίου· καὶ οὕτως ἐποίησε πάσαις
ταῖς πόλεσιν υἱῶν Ἀμμών. καὶ ἐπέστρεψε Δαυὶδ καὶ πᾶς ὁ λαὸς εἰς Ἱερουσαλήμ.

## XIII.

Καὶ ἐγενήθη μετὰ ταῦτα καὶ τῷ Ἀβεσσαλὼμ υἱῷ Δαυὶδ ἀδελφὴ καλὴ
τῷ εἴδει σφόδρα, καὶ ὄνομα αὐτῇ Θημάρ, καὶ ἠγάπησεν αὐτὴν Ἀμνὼν υἱὸς
Δαυίδ. [2] καὶ ἐθλίβετο Ἀμνὼν ὥστε ἀῤῥωστεῖν διὰ Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ, 2
ὅτι παρθένος ἦν αὕτη, καὶ ὑπέρογκον ἐν ὀφθαλμοῖς Ἀμνὼν τοῦ ποιῆσαί τι
αὐτῇ. [3] καὶ ἦν τῷ Ἀμνὼν ἑταῖρος, καὶ ὄνομα αὐτῷ Ἰωναδάβ, υἱὸς Σαμαὰ τοῦ 3
ἀδελφοῦ Δαυίδ· καὶ Ἰωναδὰβ ἀνὴρ σοφὸς σφόδρα, [4] καὶ εἶπεν αὐτῷ Τί σοι 4
ὅτι σὺ οὕτως ἀσθενής, υἱὲ τοῦ βασιλέως, τὸ πρωὶ πρωί; οὐκ ἀπαγγέλλεις μοι;
καὶ εἶπεν αὐτῷ Ἀμνών Θημὰρ τὴν ἀδελφὴν Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ μου ἐγὼ
ἀγαπῶ. [5] καὶ εἶπεν αὐτῷ Ἰωναδάβ Κοιμήθητι ἐπὶ τῆς κοίτης σου καὶ μαλα- 5
κίσθητι, καὶ εἰςελεύσεται ὁ πατήρ σου τοῦ ἰδεῖν σε, καὶ ἐρεῖς πρὸς αὐτόν Ἐλ-
θέτω δὴ Θημὰρ ἡ ἀδελφή μου, καὶ ψωμισάτω με καὶ ποιησάτω κατ' ὀφθαλ-
μούς μου βρῶμα, ὅπως ἴδω καὶ φάγω ἐκ τῶν χειρῶν αὐτῆς. [6] καὶ ἐκοιμήθη 6
Ἀμνὼν καὶ ἠῤῥώστησε, καὶ εἰςῆλθεν ὁ βασιλεὺς ἰδεῖν αὐτόν· καὶ εἶπεν Ἀμνὼν
πρὸς τὸν βασιλέα Ἐλθέτω δὴ Θημὰρ ἡ ἀδελφή μου πρὸς μέ, καὶ κολλυρι-
σάτω ἐν ὀφθαλμοῖς μου δύο κολλυρίδας καὶ φάγομαι ἐκ τῆς χειρὸς αὐτῆς.
[7] καὶ ἀπέστειλε Δαυὶδ πρὸς Θημὰρ εἰς τὸν οἶκον λέγων Πορεύθητι δὴ εἰς τὸν 7
οἶκον τοῦ ἀδελφοῦ σου καὶ ποίησον αὐτῷ βρῶμα. [8] καὶ ἐπορεύθη Θημὰρ εἰς 8
τὸν οἶκον Ἀμνὼν ἀδελφοῦ αὐτῆς, καὶ αὐτὸς κοιμώμενος· καὶ ἔλαβε τὸ σταῖς
καὶ ἐφύρασε καὶ ἐκολλύρισε κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ ἥψησε τὰς κολλυρί-
δας. [9] καὶ ἔλαβε τὸ τήγανον καὶ κατεκένωσεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἠθέλησε 9
φαγεῖν· καὶ εἶπεν Ἀμνών Ἐξαγάγετε πάντα ἄνδρα ἀπὸ ἐπάνωθέν μου· καὶ
ἐξήγαγον πάντα ἄνδρα ἐπάνωθεν αὐτοῦ. [10] καὶ εἶπεν Ἀμνὼν πρὸς Θημάρ Εἰςέ- 10
νεγκε τὸ βρῶμα εἰς τὸ ταμιεῖον, καὶ φάγομαι ἐκ τῆς χειρός σου· καὶ ἔλαβε
Θημὰρ τὰς κολλυρίδας ἃς ἐποίησε καὶ εἰςήνεγκε τῷ Ἀμνὼν ἀδελφῷ αὐτῆς εἰς
τὸν κοιτῶνα, [11] καὶ προςήγαγεν αὐτῷ τοῦ φαγεῖν, καὶ ἐπελάβετο αὐτῆς καὶ 11
εἶπεν αὐτῇ Δεῦρο κοιμήθητι μετ' ἐμοῦ, ἀδελφή μου. [12] καὶ εἶπεν αὐτῷ Μή, 12
ἀδελφέ μου, μὴ ταπεινώσῃς με, διότι οὐ ποιηθήσεται οὕτως ἐν Ἰσραήλ, μὴ
ποιήσῃς τὴν ἀφροσύνην ταύτην. [13] καὶ ἐγὼ ποῦ ἀποίσω τὸ ὄνειδός μου; καὶ 13
σὺ ἔσῃ ὡς εἷς τῶν ἀφρόνων ἐν Ἰσραήλ· καὶ νῦν λάλησον δὴ πρὸς τὸν βα-
σιλέα, ὅτι οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ. [14] καὶ οὐκ ἠθέλησεν Ἀμνὼν τοῦ ἀκοῦ- 14
σαι τῆς φωνῆς αὐτῆς, καὶ ἐκραταίωσεν ὑπὲρ αὐτὴν καὶ ἐταπείνωσεν αὐτήν,
καὶ ἐκοιμήθη μετ' αὐτῆς. [15] καὶ ἐμίσησεν αὐτὴν Ἀμνὼν μῖσος μέγα σφόδρα, 15
ὅτι μέγα τὸ μῖσος ὃ ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγάπην ἣν ἠγάπησεν αὐτήν,
ὅτι μείζων ἡ κακία ἡ ἐσχάτη ἢ ἡ πρώτη, καὶ εἶπεν αὐτῇ Ἀμνών Ἀνάστηθι
καὶ πορεύου. [16] καὶ εἶπεν αὐτῷ Θημὰρ περὶ τῆς κακίας τῆς μεγάλης ταύτης 16
ὑπὲρ ἑτέραν ἣν ἐποίησας μετ' ἐμοῦ τοῦ ἐξαποστεῖλαί με· καὶ οὐκ ἠθέλησεν
Ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς. [17] καὶ ἐκάλεσε τὸ παιδάριον αὐτοῦ τὸν προε- 17
στηκότα τοῦ οἴκου καὶ εἶπεν αὐτῷ Ἐξαποστείλατε δὴ ταύτην ἀπ' ἐμοῦ ἔξω,
καὶ ἀπόκλεισον τὴν θύραν ὀπίσω αὐτῆς. [18] καὶ ἐπ' αὐτῆς ἦν χιτὼν καρπωτός, 18

---

31. απηγαγεν αυτους ... πασιν τοις πολεσιν (corr. εν πολ.?) XIII. 1. θα-
μαρ ... αμμων 2. αμμων bis ... θαμαρ ... κ. υπερογκ. και ... ποι. αυτη τι
3. αμμων 4. ασθενεις ... απαγγελεις ... αμμων ... θαμαρ 5. ελθατω θαμαρ
6. αμμων bis ... ελθατω δη θαμαρ 7. οικον αμνων του ... το βρωμα
8. θαμαρ ... το στεαρ ... και ηψεν 9. ανδρα επανωθεν ... απο επαν. αυ-
του 10. αμμων πρ. θαμαρ Εισενεγκατε ... ταμειον ... θαμαρ ... κοιτωναν
11. om αυτη 13. εν ιερουσαλημ 14. εκραταιωθη 15. om ὃ ... om οτι
μειζων usque πρωτη ... αναστηθι πορευου 16. θαμαρ ... om του 17. του
οικ. αυτου



Digitized by Google

ὅτι οὕτως ἐνεδιδύσκοντο αἱ θυγατέρες τοῦ βασιλέως αἱ παρθένοι τοὺς ἐπεν-
δύτας αὐτῶν· καὶ ἐξήγαγεν αὐτὴν ὁ λειτουργὸς αὐτοῦ ἔξω καὶ ἀπέκλεισε τὴν
19 θύραν ὀπίσω αὐτῆς. [19] καὶ ἔλαβε Θημὰρ σποδὸν καὶ ἐπέθηκεν ἐπὶ τὴν κεφα-
λὴν αὐτῆς, καὶ τὸν χιτῶνα τὸν καρπωτὸν τὸν ἐπ' αὐτῆς διέῤῥηξε καὶ ἐπέ-
θηκε τὰς χεῖρας αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ ἐπορεύθη πορευομένη καὶ
20 κράζουσα. [20] καὶ εἶπε πρὸς αὐτὴν Ἀβεσσαλὼμ ὁ ἀδελφὸς αὐτῆς Μὴ Ἀμνὼν
ὁ ἀδελφός σου ἐγένετο μετὰ σοῦ; καὶ νῦν, ἀδελφή μου, κώφευσον, ὅτι ἀδελ-
φός σού ἐστι· μὴ θῇς τὴν καρδίαν σου τοῦ λαλῆσαι τὸ ῥῆμα τοῦτο. καὶ ἐκά-
21 θισε Θημὰρ χηρεύουσα ἐν τῷ οἴκῳ Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ αὐτῆς. [21] καὶ
ἤκουσεν ὁ βασιλεὺς Δαυὶδ πάντας τοὺς λόγους τούτους καὶ ἐθυμώθη σφόδρα,
καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα Ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ ὅτι ἠγάπα αὐτόν, ὅτι πρω-
22 τότοκος αὐτοῦ ἦν. [22] καὶ οὐκ ἐλάλησεν Ἀβεσσαλὼμ μετὰ Ἀμνὼν ἀπὸ πονηροῦ
ἕως ἀγαθοῦ, ὅτι ἐμίσει Ἀβεσσαλὼμ τὸν Ἀμνὼν ἐπὶ λόγου οὗ ἐταπείνωσε Θημὰρ
23 τὴν ἀδελφὴν αὐτοῦ. [23] καὶ ἐγένετο εἰς διετηρίδα ἡμερῶν καὶ ἦσαν κείροντες
τῷ Ἀβεσσαλὼμ ἐν Βελασὼρ τῇ ἐχόμενα Ἐφραῒμ, καὶ ἐκάλεσεν Ἀβεσσαλὼμ
24 πάντας τοὺς υἱοὺς τοῦ βασιλέως. [24] καὶ ἦλθεν Ἀβεσσαλὼμ πρὸς τὸν βασιλέα
καὶ εἶπεν Ἰδοὺ δὴ κείρουσι τῷ δούλῳ σου, πορευθήτω δὴ ὁ βασιλεὺς καὶ οἱ
25 παῖδες αὐτοῦ μετὰ τοῦ δούλου σου. [25] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀβεσσαλὼμ
Μὴ δή, υἱέ μου, μὴ πορευθῶμεν πάντες ἡμεῖς, καὶ οὐ μὴ καταβαρυνθῶμεν
ἐπὶ σέ· καὶ ἐβιάσατο αὐτόν, καὶ οὐκ ἠθέλησε τοῦ πορευθῆναι καὶ εὐλόγησεν
26 αὐτόν. [26] καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς αὐτόν Καὶ εἰ μή, πορευθήτω δὴ μεθ'
ἡμῶν Ἀμνὼν ὁ ἀδελφός μου· καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ἵνα τί πορευθῇ μετὰ
27 σοῦ; [27] καὶ ἐβιάσατο αὐτὸν Ἀβεσσαλώμ, καὶ ἀπέστειλε μετ' αὐτοῦ τὸν Ἀμνὼν
καὶ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως· καὶ ἐποίησεν Ἀβεσσαλὼμ πότον κατὰ τὸν
28 πότον τοῦ βασιλέως. [28] καὶ ἐνετείλατο Ἀβεσσαλὼμ τοῖς παιδαρίοις αὐτοῦ λέ-
γων Ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρδία Ἀμνὼν ἐν τῷ οἴνῳ καὶ εἴπω πρὸς ὑμᾶς,
πατάξατε τὸν Ἀμνὼν καὶ θανατώσατε αὐτόν· μὴ φοβηθῆτε, ὅτι οὐχὶ ἐγώ εἰμι
29 ὁ ἐντελλόμενος ὑμῖν; ἀνδρίζεσθε καὶ γίνεσθε εἰς υἱοὺς δυνάμεως. [29] καὶ ἐποίη-
σαν τὰ παιδάρια Ἀβεσσαλὼν τῷ Ἀμνὼν καθὰ ἐνετείλατο αὐτοῖς Ἀβεσσαλώμ·
καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τοῦ βασιλέως, καὶ ἐπεκάθισαν ἀνὴρ ἐπὶ τὴν
30 ἡμίονον αὐτοῦ καὶ ἔφυγον. [30] καὶ ἐγένετο αὐτῶν ὄντων ἐν τῇ ὁδῷ καὶ ἡ ἀκοὴ
ἦλθε πρὸς Δαυὶδ λέγων Ἐπάταξεν Ἀβεσσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασι-
31 λέως, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. [31] καὶ ἀνέστη ὁ βασιλεὺς καὶ
διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ ἐκοιμήθη ἐπὶ τὴν γῆν, καὶ πάντες οἱ παῖδες
32 αὐτοῦ οἱ περιεστῶτες αὐτῷ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν. [32] καὶ ἀπεκρίθη Ἰω-
ναδὰβ υἱὸς Σαμαὰ ἀδελφοῦ Δαυὶδ καὶ εἶπε Μὴ εἰπάτω ὁ κύριός μου ὁ βα-
σιλεὺς ὅτι πάντα τὰ παιδάρια τοὺς υἱοὺς τοῦ βασιλέως ἐθανάτωσεν, ὅτι Ἀμνὼν
μονώτατος ἀπέθανεν· ὅτι ἐπὶ στόματος Ἀβεσσαλὼμ ἦν κείμενος ἀπὸ τῆς ἡμέ-
33 ρας ἧς ἐταπείνωσε Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ. [33] καὶ νῦν μὴ θέσθω ὁ κύριός
μου ὁ βασιλεὺς ἐπὶ τὴν καρδίαν αὐτοῦ ῥῆμα λέγων Πάντες οἱ υἱοὶ τοῦ βα-
34 σιλέως ἀπέθανον, ὅτι ἀλλ' ἢ Ἀμνὼν μονώτατος ἀπέθανε. [34] καὶ ἀπέδρα Ἀβεσ-
σαλώμ. καὶ ἦρε τὸ παιδάριον ὁ σκοπὸς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε, καὶ
ἰδοὺ λαὸς πολὺς πορευόμενος ἐν τῇ ὁδῷ ὄπισθεν αὐτοῦ ἐκ πλευρᾶς τοῦ ὄρους
ἐν τῇ καταβάσει· καὶ παρεγένετο ὁ σκοπὸς καὶ ἀπήγγειλε τῷ βασιλεῖ καὶ εἶ-
35 πεν Ἄνδρας ἑώρακα ἐκ τῆς ὁδοῦ τῆς ὡρωνὴν ἐκ μέρους τοῦ ὄρους. [35] καὶ εἶπεν
Ἰωναδὰβ πρὸς τὸν βασιλέα Ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως πάρεισι, κατὰ τὸν λόγον

---

19. θαμαρ ... επι της κεφαλης 20. ο αδελφ. μου ... λαλησ. εις το ... θαμαρ ... εν οικω 21. κ. ο βασ. δαυ. ηκουσεν 22. θαμαρ 23. βεδλασωρ 25. καταβαρυνθυμεν ... om του 26. om προς αυτον 29. επεκαθισεν εκαστος επι 31. αυτου περιεστωτες 32. σαμα ... om και ειπε ... μη ειπως (ειπω ο?) κυριος ... τα παιδια ... θαμαρ 33. το ρημα ... om αλλ η 34. εκ πλευρου ... εορακα ... οδου των ορεωνην

τοῦ δούλου σου οὕτως ἐγένετο. [36] καὶ ἐγένετο ἡνίκα συνετέλεσε λαλῶν, καὶ 36
ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως ἦλθον, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυ-
σαν, καί γε ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ ἔκλαυσαν κλαυθμὸν μέγαν
σφόδρα. [37] καὶ Ἀβεσσαλὼμ ἔφυγε καὶ ἐπορεύθη πρὸς Θολμὶ υἱὸν Ἐμιοὺδ βα- 37
σιλέα Γεδσοὺρ εἰς γῆν Χαμααχάδ· καὶ ἐπένθησεν ὁ βασιλεὺς Δαυὶδ ἐπὶ τὸν
υἱὸν αὐτοῦ πάσας τὰς ἡμέρας. [38] καὶ Ἀβεσσαλὼμ ἀπέδρα καὶ ἐπορεύθη εἰς 38
Γεδσούρ, καὶ ἦν ἐκεῖ ἔτη τρία. [39] καὶ ἐκόπασεν ὁ βασιλεὺς Δαυὶδ τοῦ ἐξελ- 39
θεῖν πρὸς Ἀβεσσαλώμ, ὅτι παρεκλήθη ἐπὶ Ἀμνὼν ὅτι ἀπέθανε.

## XIV.

Καὶ ἔγνω Ἰωὰβ υἱὸς Σαρουίας ὅτι ἡ καρδία τοῦ βασιλέως ἐπὶ Ἀβεσσα-
λώμ. [2] καὶ ἀπέστειλεν Ἰωὰβ εἰς Θεκωέ, καὶ ἔλαβεν ἐκεῖθεν γυναῖκα σοφὴν 2
καὶ εἶπε πρὸς αὐτήν Πένθησον δὴ καὶ ἔνδυσαι ἱμάτια πενθικὰ καὶ μὴ ἀλείψῃ
ἔλαιον, καὶ ἔσῃ ὡς γυνὴ πενθοῦσα ἐπὶ τεθνηκότι τοῦτο ἡμέρας πολλάς, [3] καὶ 3
ἐλεύσῃ πρὸς τὸν βασιλέα καὶ λαλήσεις πρὸς αὐτὸν κατὰ τὸ ῥῆμα τοῦτο· καὶ
ἔθηκεν Ἰωὰβ τοὺς λόγους ἐν τῷ στόματι αὐτῆς. [4] καὶ εἰςῆλθεν ἡ γυνὴ ἡ 4
Θεκωῖτις πρὸς τὸν βασιλέα, καὶ ἔπεσεν ἐπὶ πρόςωπον αὐτῆς εἰς τὴν γῆν καὶ
προςεκύνησεν αὐτῷ καὶ εἶπε Σῶσον, βασιλεῦ, σῶσον. [5] καὶ εἶπε πρὸς αὐτὴν 5
ὁ βασιλεύς Τί ἔστι σοι; ἡ δὲ εἶπε Καὶ μάλα γυνὴ χήρα ἐγώ εἰμι, καὶ ἀπέ-
θανεν ὁ ἀνήρ μου. [6] καί γε τῇ δούλῃ σου δύο υἱοί, καὶ ἐμαχέσαντο ἀμφό- 6
τεροι ἐν τῷ ἀγρῷ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἀνὰ μέσον αὐτῶν, καὶ ἔπαισεν
ὁ εἷς τὸν ἕνα ἀδελφὸν αὐτοῦ καὶ ἐθανάτωσεν αὐτόν. [7] καὶ ἰδοὺ ἐπανέστη ὅλη 7
ἡ πατριὰ πρὸς τὴν δούλην σου καὶ εἶπαν Δὸς τὸν παίσαντα τὸν ἀδελφὸν αὐ-
τοῦ καὶ θανατώσομεν αὐτὸν ἀντὶ τῆς ψυχῆς τοῦ ἀδελφοῦ αὐτοῦ οὗ ἀπέκτεινε,
καὶ ἐξαροῦμεν καί γε τὸν κληρονόμον ὑμῶν· καὶ σβέσουσι τὸν ἄνθρακά μου
τὸν καταλειφθέντα ὥςτε μὴ θέσθαι τῷ ἀνδρί μου κατάλειμμα καὶ ὄνομα ἐπὶ
προςώπου τῆς γῆς. [8] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὴν γυναῖκα Ὑγιαίνουσα βάδιζε 8
εἰς τὸν οἶκόν σου, κἀγὼ ἐντελοῦμαι περὶ σοῦ. [9] καὶ εἶπεν ἡ γυνὴ ἡ Θεκωῖτις 9
πρὸς τὸν βασιλέα Ἐπ' ἐμέ, κύριέ μου βασιλεῦ, ἡ ἀνομία καὶ ἐπὶ τὸν οἶκον
τοῦ πατρός μου, καὶ ὁ βασιλεὺς καὶ ὁ θρόνος αὐτοῦ ἀθῷος. [10] καὶ εἶπεν ὁ 10
βασιλεύς Τίς ὁ λαλῶν πρὸς σέ, καὶ ἄξεις αὐτὸν πρὸς ἐμέ, καὶ οὐ προςθήσει
ἔτι ἅψασθαι αὐτοῦ. [11] καὶ εἶπεν Μνημονευσάτω δὴ ὁ βασιλεὺς τὸν κύριον θεὸν 11
αὐτοῦ πληθυνθῆναι ἀγχιστέα τοῦ αἵματος τοῦ διαφθεῖραι, καὶ οὐ μὴ ἐξάρωσι
τὸν υἱόν μου· καὶ εἶπε Ζῇ κύριος, εἰ πεσεῖται ἀπὸ τῆς τριχὸς τοῦ υἱοῦ σου
ἐπὶ τὴν γῆν. [12] καὶ εἶπεν ἡ γυνή Λαλησάτω δὴ ἡ δούλη σου πρὸς τὸν κύριόν 12
μου βασιλέα ῥῆμα· καὶ εἶπε Λάλησον. [13] καὶ εἶπεν ἡ γυνή Ἵνα τί ἐλογίσω 13
τοιοῦτο ἐπὶ λαὸν θεοῦ; ἢ ἐκ στόματος τοῦ βασιλέως ὁ λόγος οὗτος ὡς πλημ-
μέλεια, τοῦ μὴ ἐπιστρέψαι τὸν βασιλέα τὸν ἐξωσμένον αὐτοῦ; [14] ὅτι θανάτῳ 14
ἀποθανούμεθα, καὶ ὥσπερ τὸ ὕδωρ τὸ καταφερόμενον ἐπὶ τῆς γῆς ὃ οὐ συν-
αχθήσεται, καὶ λήψεται ὁ θεὸς ψυχήν, καὶ λογιζόμενος τοῦ ἐξῶσαι ἀπ' αὐτοῦ
ἐξεωσμένον. [15] καὶ νῦν ὃ ἦλθον λαλῆσαι πρὸς τὸν βασιλέα τὸν κύριόν μου τὸ 15
ῥῆμα τοῦτο, ὅτι ὄψεταί με ὁ λαός, καὶ ἐρεῖ ἡ δούλη σου Λαλησάτω δὴ πρὸς
τὸν κύριόν μου τὸν βασιλέα, εἴ πως ποιήσει ὁ βασιλεὺς τὸ ῥῆμα τῆς δούλης
αὐτοῦ, [16] ὅτι ἀκούσει ὁ βασιλεύς· ῥυσάσθω τὴν δούλην αὐτοῦ ἐκ χειρὸς τοῦ 16

---

37. θολομαι ... γην μαχαδ ... om ο βασιλευς 38. απεδρα αβεσσ. 39. δαυ. ο βασιλ. XIV. 2. τουτ. ημ. πολλ. πενθ. επι τεθνηκ. 3. εις το στομα 4. επι την γην ... om και ειπε 6. επαισεν εις 7. μου ονομα και λημμα 8. om προς τ. γυν. 9. επι οικον 10. και ου μη 11. πληθυναι ... om απο 12. τον βασιλεα 13. τοιουτον ... επιστρ. προς τον βασ. 14. λημψεται ... την ψυχην ... διαλογιζομενος λογισμους του ... εξωσμενον 15. ερει ο λαος σου ... om κυριον μου τον ... ποιηση 16. ακουει ... ρυσασθω δη



Digitized by Google

17 ἀνδρὸς τοῦ ζητοῦντος ἐξᾶραί με καὶ τὸν υἱόν μου ἀπὸ κληρονομίας θεοῦ. 17 καὶ
εἶπεν ἡ γυνή Εἰ ἤδη ὁ λόγος τοῦ κυρίου μου τοῦ βασιλέως εἰς θυσίας, ὅτι
καθὼς ἄγγελος θεοῦ οὕτως ὁ κύριός μου ὁ βασιλεὺς τοῦ ἀκούειν τὸ ἀγαθὸν
18 καὶ τὸ πονηρόν, καὶ κύριος ὁ θεός σου ἔσται μετὰ σοῦ. 18 καὶ ἀπεκρίθη ὁ
βασιλεὺς καὶ εἶπε πρὸς τὴν γυναῖκα Μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα ὃ ἐγὼ
19 ἐπερωτῶ σε· καὶ εἶπεν ἡ γυνή Λαλησάτω δὴ ὁ κύριός μου ὁ βασιλεύς. 19 καὶ
εἶπεν ὁ βασιλεύς Μὴ ἡ χεὶρ Ἰωὰβ ἐν παντὶ τούτῳ μετὰ σοῦ; καὶ εἶπεν ἡ
γυνὴ τῷ βασιλεῖ Ζῇ ἡ ψυχή σου, κύριέ μου βασιλεῦ, εἰ ἔστιν εἰς τὰ δεξιὰ
ἢ εἰς τὰ ἀριστερὰ ἐκ πάντων ὧν ἐλάλησεν ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ὁ
δοῦλός σου Ἰωὰβ αὐτὸς ἐνετείλατό μοι, καὶ αὐτὸς ἔθετο ἐν τῷ στόματι τῆς
20 δούλης σου πάντας τοὺς λόγους τούτους· 20 ἕνεκεν τοῦ περιελθεῖν τὸ πρόσωπον
τοῦ ῥήματος τούτου ὃ ἐποίησεν ὁ δοῦλός σου Ἰωὰβ τὸν λόγον τοῦτον· καὶ ὁ
κύριός μου σοφὸς καθὼς σοφία ἀγγέλου τοῦ θεοῦ τοῦ γνῶναι πάντα τὰ ἐν
21 τῇ γῇ. 21 καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωάβ Ἰδοὺ δὴ ἐποίησά σοι κατὰ τὸν
22 λόγον σου τοῦτον· πορεύου ἐπίστρεψον τὸ παιδάριον τὸν Ἀβεσσαλώμ. 22 καὶ
ἔπεσεν Ἰωὰβ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύνησε καὶ εὐλόγησε
τὸν βασιλέα, καὶ εἶπεν Ἰωάβ Σήμερον ἔγνω ὁ δοῦλός σου ὅτι εὗρον χάριν ἐν
ὀφθαλμοῖς σου, κύριέ μου βασιλεῦ, ὅτι ἐποίησεν ὁ κύριός μου ὁ βασιλεὺς τὸν
23 λόγον τοῦ δούλου αὐτοῦ. 23 καὶ ἀνέστη Ἰωὰβ καὶ ἐπορεύθη εἰς Γεδσούρ, καὶ
24 ἤγαγε τὸν Ἀβεσσαλὼμ εἰς Ἱερουσαλήμ. 24 καὶ εἶπεν ὁ βασιλεύς Ἀποστραφήτω
εἰς τὸν οἶκον αὐτοῦ, καὶ τὸ πρόσωπόν μου μὴ βλεπέτω· καὶ ἀπέστρεψεν Ἀβεσ-
25 σαλὼμ εἰς τὸν οἶκον αὐτοῦ, καὶ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε. 25 καὶ
ὡς Ἀβεσσαλὼμ οὐκ ἦν ἀνὴρ ἐν παντὶ Ἰσραὴλ αἰνετὸς σφόδρα, ἀπὸ ἴχνους
26 ποδὸς αὐτοῦ καὶ ἕως κορυφῆς αὐτοῦ οὐκ ἦν ἐν αὐτῷ μῶμος. 26 καὶ ἐν τῷ
κείρεσθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐγένετο ἀπ' ἀρχῆς ἡμερῶν εἰς ἡμέ-
ρας ὡς ἂν ἐκείρετο, ὅτι κατεβαρύνετο ἐπ' αὐτόν, καὶ κειρόμενος αὐτὴν ἔστησε
τὴν τρίχα τῆς κεφαλῆς αὐτοῦ διακοσίους σίκλους ἐν τῷ σίκλῳ τῷ βασιλικῷ.
27 27 καὶ ἐτέχθησαν τῷ Ἀβεσσαλὼμ τρεῖς υἱοὶ καὶ θυγάτηρ μία, καὶ ὄνομα αὐτῇ
Θημάρ· αὕτη ἦν γυνὴ καλὴ σφόδρα, καὶ γίνεται γυνὴ Ῥοβοὰμ υἱῷ Σαλω-
28 μὼν καὶ τίκτει αὐτῷ τὸν Ἀβιά. 28 καὶ ἐκάθισεν Ἀβεσσαλὼμ ἐν Ἱερουσαλὴμ
29 δύο ἔτη ἡμερῶν καὶ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε. 29 καὶ ἀπέστειλεν
Ἀβεσσαλὼμ πρὸς Ἰωὰβ ἀποστεῖλαι αὐτὸν πρὸς τὸν βασιλέα, καὶ οὐκ ἠθέλη-
σεν ἐλθεῖν πρὸς αὐτόν· καὶ ἀπέστειλεν ἐκ δευτέρου πρὸς αὐτόν, καὶ οὐκ ἠθέ-
30 λησε παραγενέσθαι. 30 καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς τοὺς παῖδας αὐτοῦ Ἴδετε
ἡ μερὶς ἐν ἀγρῷ τοῦ Ἰωὰβ ἐχόμενά μου, καὶ αὐτῷ ἐκεῖ κριθαί, πορεύεσθε
καὶ ἐμπρήσατε αὐτὴν ἐν πυρί· καὶ ἐνέπρησαν οἱ παῖδες Ἀβεσσαλὼμ τὴν με-
ρίδα. καὶ παραγίνονται οἱ δοῦλοι Ἰωὰβ πρὸς αὐτὸν διερρηχότες τὰ ἱμάτια
31 αὐτῶν καὶ εἶπον Ἐνεπύρισαν οἱ δοῦλοι Ἀβεσσαλὼμ τὴν μερίδα ἐν πυρί. 31 καὶ
ἀνέστη Ἰωὰβ καὶ ἦλθε πρὸς Ἀβεσσαλὼμ εἰς τὸν οἶκον, καὶ εἶπε πρὸς αὐτόν
32 Ἵνα τί ἐνεπύρισαν οἱ παῖδές σου τὴν μερίδα τὴν ἐμὴν ἐν πυρί; 32 καὶ εἶπεν
Ἀβεσσαλὼμ πρὸς Ἰωάβ Ἰδοὺ ἀπέστειλα πρὸς σὲ λέγων Ἧκε ὧδε καὶ ἀπο-
στελῶ σε πρὸς τὸν βασιλέα λέγων Ἵνα τί ἦλθον ἐκ Γεδσούρ; ἀγαθόν μοι ἦν
εἶναι ἐκεῖ· καὶ νῦν ἰδοὺ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδον· εἰ δέ ἐστιν ἐν
33 ἐμοὶ ἀδικία, καὶ θανάτωσόν με. 33 καὶ εἰσῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα καὶ

---

16. μου κατα το αυτο απο 17. Ειηδη (Ειη δη?) ... εις θυσιαν ... αγγ. του θεου 19. μετα σου εν παντι τουτω ... παντων τουτων ων ... στοματι μου της 20. περιελειν ... μου ιωαβ σοφος 21. και πορευθητι και επιστρ. 24. επεστρεψεν ο αβεσσ. 25. ανηρ καλος εν (26. καερεσθαι) 27. βασιλει pro αβεσσαλωμ ... θαμαρ ... αυτη η γυνη ... τω ροβοαμ ... αβιαν 30. προς τ. παιδ. αυτ. αβεσσαλωμ ... ιδ. ει μερις ... αυτω κριθαι εισιν ... ενεπρησαν αυτας ... ιματ. εαυτων κ. ειπαν 32. του ετι ειναι με εκει ... ουκ ειδον το πρ. του βασιλεως ... om εν

Digitized by Google

ἀπήγγειλεν αὐτῷ, καὶ ἐκάλεσε τὸν Ἀβεσσαλώμ. καὶ εἰςῆλθε πρὸς τὸν βασιλέα καὶ προςεκύνησεν αὐτῷ, καὶ ἔπεσεν ἐπὶ πρόςωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ κατὰ πρόςωπον τοῦ βασιλέως· καὶ κατεφίλησεν ὁ βασιλεὺς τὸν Ἀβεσσαλώμ.

## XV.

Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐποίησεν ἑαυτῷ Ἀβεσσαλὼμ ἅρματα καὶ
ἵππους καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ. 2 καὶ ὤρθρισεν 2
Ἀβεσσαλὼμ καὶ ἔστη ἀνὰ χεῖρα τῆς ὁδοῦ τῆς πύλης· καὶ ἐγένετο πᾶς ἀνὴρ
ᾧ ἐγένετο κρίσις ἦλθε πρὸς τὸν βασιλέα εἰς κρίσιν, καὶ ἐβόησε πρὸς αὐτὸν
Ἀβεσσαλὼμ καὶ ἔλεγεν αὐτῷ Ἐκ ποίας πόλεως σὺ εἶ; καὶ εἶπεν Ἐκ μιᾶς
φυλῶν Ἰσραὴλ ὁ δοῦλός σου. 3 καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἀβεσσαλώμ Ἰδοὺ οἱ 3
λόγοι σου ἀγαθοὶ καὶ εὔκολοι, καὶ ὁ ἀκούων οὐκ ἔστι σοι παρὰ τοῦ βασιλέως.
4 καὶ εἶπεν Ἀβεσσαλώμ Τίς με καταστήσει κριτὴν ἐν τῇ γῇ, καὶ ἐπ' ἐμὲ 4
ἐλεύσεται πᾶς ἀνὴρ ᾧ ἐὰν ᾖ ἀντιλογία καὶ κρίσις καὶ δικαιώσω αὐτόν; 5 καὶ 5
ἐγένετο ἐν τῷ ἐγγίζειν ἄνδρα τοῦ προςκυνῆσαι αὐτῷ καὶ ἐξέτεινε τὴν χεῖρα
αὐτοῦ καὶ ἐπελαμβάνετο αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. 6 καὶ ἐποίησεν Ἀβεσ- 6
σαλὼμ κατὰ τὸ ῥῆμα τοῦτο παντὶ Ἰσραὴλ τοῖς παραγινομένοις εἰς κρίσιν πρὸς
τὸν βασιλέα, καὶ ἰδιοποιεῖτο Ἀβεσσαλὼμ τὴν καρδίαν ἀνδρῶν Ἰσραήλ. 7 καὶ 7
ἐγένετο ἀπὸ τέλους τεσσαράκοντα ἐτῶν καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς τὸν πατέρα
αὐτοῦ Πορεύσομαι δὴ καὶ ἀποτίσω τὰς εὐχάς μου ἃς ηὐξάμην τῷ κυρίῳ ἐν
Χεβρών· 8 ὅτι εὐχὴν ηὔξατο ὁ δοῦλός σου ἐν τῷ οἰκεῖν με ἐν Γεδσοὺρ ἐν 8
Συρίᾳ λέγων Ἐὰν ἐπιστρέφων ἐπιστρέψῃ με κύριος εἰς Ἱερουσαλήμ, καὶ λα-
τρεύσω τῷ κυρίῳ. 9 καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Βάδιζε εἰς εἰρήνην· καὶ ἀνα- 9
στὰς ἐπορεύθη εἰς Χεβρών. 10 καὶ ἀπέστειλεν Ἀβεσσαλὼμ κατασκόπους ἐν 10
πάσαις φυλαῖς Ἰσραὴλ λέγων Ἐν τῷ ἀκοῦσαι ὑμᾶς τὴν φωνὴν τῆς κερατίνης
καὶ ἐρεῖτε Βεβασίλευκε βασιλεὺς Ἀβεσσαλὼμ ἐν Χεβρών. 11 καὶ μετὰ Ἀβεσσα- 11
λὼμ ἐπορεύθησαν διακόσιοι ἄνδρες ἐξ Ἱερουσαλὴμ κλητοί· καὶ πορευόμενοι
τῇ ἁπλότητι αὐτῶν καὶ οὐκ ἔγνωσαν πᾶν ῥῆμα. 12 καὶ ἀπέστειλεν Ἀβεσσα- 12
λὼμ τῷ Ἀχιτόφελ τῷ Θεκωνὶ σύμβουλον Δαυὶδ ἐκ τῆς πόλεως αὐτοῦ ἐκ Γωλὰ
ἐν τῷ θυσιάζειν αὐτόν· καὶ ἐγένετο σύντριμμα ἰσχυρόν, καὶ ὁ λαὸς ὁ πορευό-
μενος καὶ πολὺς μετὰ Ἀβεσσαλώμ. 13 καὶ παρεγένετο ἀπαγγέλλων πρὸς Δαυὶδ 13
λέγων Ἐγενήθη ἡ καρδία ἀνδρῶν Ἰσραὴλ ὀπίσω Ἀβεσσαλώμ. 14 καὶ εἶπε Δαυὶδ 14
πᾶσι τοῖς παισὶν αὐτοῦ τοῖς μετ' αὐτοῦ τοῖς ἐν Ἱερουσαλὴμ Ἀνάστητε καὶ
φύγωμεν, ὅτι οὐκ ἔστιν ἡμῖν σωτηρία ἀπὸ προςώπου Ἀβεσσαλώμ· ταχύνατε
τοῦ πορευθῆναι ἵνα μὴ ταχύνῃ καὶ καταλάβῃ ἡμᾶς, καὶ ἐξώσῃ ἐφ' ἡμᾶς τὴν
κακίαν καὶ πατάξῃ τὴν πόλιν ἐν στόματι μαχαίρας. 15 καὶ εἶπον οἱ παῖδες 15
τοῦ βασιλέως πρὸς τὸν βασιλέα Κατὰ πάντα ὅσα αἱρεῖται ὁ κύριος ἡμῶν ὁ
βασιλεύς, ἰδοὺ οἱ παῖδές σου. 16 καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ οἶκος 16
αὐτοῦ τοῖς ποσὶν αὐτῶν· καὶ ἀφῆκεν ὁ βασιλεὺς δέκα γυναῖκας τῶν παλλα-
κῶν αὐτοῦ φυλάσσειν τὸν οἶκον. 17 καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες οἱ παῖ- 17
δες αὐτοῦ πεζῇ, καὶ ἔστησαν ἐν οἴκῳ τῷ μακράν. 18 καὶ πάντες οἱ παῖδες 18
αὐτοῦ ἀνὰ χεῖρα αὐτοῦ παρῆγον καὶ πᾶς Χελεθὶ καὶ πᾶς ὁ Φελεθί, καὶ ἔστη-

---

33. ανηγγειλεν ... εκαλεσεν αβεσσαλωμ  XV. 1. εποιησεν αυτω  2. αβεσσ. πρ. αυτον ... ει συ; κ. ειπ. ο ανηρ  3. αβεσσ. sine ὁ ... και ακουων σου ουκ ε. παρα  4. εν τη γη· επ εμου επελευσεται π. α. ου εαν ... κατελαμβανετο  7. τεσσερακοντα ... ευξαμην  8. επιστρεψει με ο κυρ.  10. πασαις sine εν ... om βασιλευς  11. πορευομ. εν τη  12. τ. αχ. τω γιλωναιω τω συμβουλω δαυ. εν πολει αυτ. εν γωλα ... θυσ. αυτον τας θυσιας ... συστρεμμα ... ο λαος πορευομενος  13. αγγελλων  14. αναστατε ... και ταχυνατε ... om εν  15. ειπαν ... ερειται  16. τας δε γυν. (corr. τας δεκα γυν.?)  17. πεζοι  18. παρηγον ανα χ. αυτου και π. ο χερεθθει κ. π. ο φελεθθει

Digitized by Google

σαν ἐπὶ τῆς ἐλαίας ἐν τῇ ἐρήμῳ· καὶ πᾶς ὁ λαὸς παρεπορεύετο ἐχόμενος
αὐτοῦ, καὶ πάντες οἱ περὶ αὐτὸν καὶ πάντες οἱ ἁδροὶ καὶ πάντες οἱ μαχηταὶ
ἑξακόσιοι ἄνδρες, καὶ παρῆσαν ἐπὶ χεῖρα αὐτοῦ· καὶ πᾶς ὁ Χελεθὶ καὶ πᾶς
ὁ Φελεθὶ καὶ πάντες οἱ Γεθαῖοι οἱ ἑξακόσιοι ἄνδρες οἱ ἐλθόντες τοῖς ποσὶν
19 αὐτῶν ἐκ Γὲθ καὶ πορευόμενοι ἐπὶ πρόςωπον τοῦ βασιλέως. [19] καὶ εἶπεν ὁ
βασιλεὺς πρὸς Ἐθὶ τὸν Γεθαῖον Ἵνα τί πορεύῃ καὶ σὺ μεθ' ἡμῶν; ἐπίστρεφε
καὶ οἴκει μετὰ τοῦ βασιλέως, ὅτι ξένος εἶ σὺ καὶ ὅτι μετῴκηκας σὺ ἐκ τοῦ
20 τόπου σου. [20] εἰ ἐχθὲς παραγέγονας, καὶ σήμερον κινήσω σε μεθ' ἡμῶν; καί
γε μεταναστήσεις τὸν τόπον σου· χθὲς ἡ ἐξέλευσίς σου, καὶ σήμερον μετα-
κινήσω σε μεθ' ἡμῶν τοῦ πορευθῆναι; καὶ ἐγὼ πορεύσομαι οὗ ἐὰν ἐγὼ πο-
ρευθῶ· ἐπιστρέφου καὶ ἐπίστρεψον τοὺς ἀδελφούς σου μετὰ σοῦ, καὶ κύριος
21 ποιήσει μετὰ σοῦ ἔλεος καὶ ἀλήθειαν. [21] καὶ ἀπεκρίθη Ἐθὶ τῷ βασιλεῖ καὶ
εἶπε Ζῇ κύριος καὶ ζῇ ὁ κύριός μου ὁ βασιλεύς, ὅτι εἰς τὸν τόπον οὗ ἐὰν ᾖ
ὁ κύριός μου, καὶ ἐὰν εἰς θάνατον καὶ ἐὰν εἰς ζωήν, ὅτι ἐκεῖ ἔσται ὁ δοῦλός
22 σου. [22] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐθί Δεῦρο καὶ διάβαινε μετ' ἐμοῦ· καὶ
παρῆλθεν Ἐθὶ ὁ Γεθαῖος καὶ ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ καὶ
23 πᾶς ὁ ὄχλος ὁ μετ' αὐτοῦ. [23] καὶ πᾶσα ἡ γῆ ἔκλαιε φωνῇ μεγάλῃ· καὶ πᾶς
ὁ λαὸς παρεπορεύοντο ἐν τῷ χειμάῤῥῳ τῶν κέδρων, καὶ ὁ βασιλεὺς διέβη τὸν
χειμάῤῥουν Κέδρων· καὶ πᾶς ὁ λαὸς καὶ ὁ βασιλεὺς παρεπορεύοντο ἐπὶ πρός-
24 ωπον ὁδοῦ τὴν ἔρημον. [24] καὶ ἰδοὺ καί γε Σαδὼκ καὶ πάντες οἱ Λευῖται μετ'
αὐτοῦ αἴροντες τὴν κιβωτὸν διαθήκης κυρίου ἀπὸ Βαιθάρ· καὶ ἔστησαν τὴν
κιβωτὸν τοῦ θεοῦ, καὶ ἀνέβη Ἀβιάθαρ ἕως ἐπαύσατο πᾶς ὁ λαὸς παρελθεῖν
25 ἐκ τῆς πόλεως. [25] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν Σαδὼκ Ἀπόστρεψον τὴν
κιβωτὸν τοῦ θεοῦ εἰς τὴν πόλιν· ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς κυρίου, καὶ
26 ἐπιστρέψει με καὶ δείξει μοι αὐτὴν καὶ τὴν εὐπρέπειαν αὐτῆς· [26] καὶ ἐὰν
εἴπῃ οὕτως Οὐκ ἠθέληκα ἐν σοί, ἰδοὺ ἐγώ εἰμι, ποιείτω μοι κατὰ τὸ ἀγα-
27 θὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. [27] καὶ εἶπεν ὁ βασιλεὺς τῷ Σαδὼκ τῷ ἱερεῖ Ἴδετε,
σὺ ἐπιστρέφεις εἰς τὴν πόλιν ἐν εἰρήνῃ, καὶ Ἀχιμάας ὁ υἱός σου καὶ Ἰωνά-
28 θαν ὁ υἱὸς Ἀβιάθαρ οἱ δύο υἱοὶ ὑμῶν μεθ' ὑμῶν· [28] ἴδετε, ἐγώ εἰμι στρα-
τεύομαι ἐν Ἀραβὼθ τῆς ἐρήμου ἕως τοῦ ἐλθεῖν ῥῆμα παρ' ὑμῶν τοῦ ἀπαγ-
29 γεῖλαί μοι. [29] καὶ ἀπέστρεψε Σαδὼκ καὶ Ἀβιάθαρ τὴν κιβωτὸν τοῦ θεοῦ εἰς
30 Ἱερουσαλήμ, καὶ ἐκάθισεν ἐκεῖ. [30] καὶ Δαυὶδ ἀνέβαινεν ἐν τῇ ἀναβάσει τῶν
ἐλαιῶν ἀναβαίνων καὶ κλαίων καὶ τὴν κεφαλὴν ἐπικεκαλυμμένος, καὶ αὐτὸς
ἐπορεύετο ἀνυπόδετος· καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐπεκάλυψεν ἀνὴρ τὴν
31 κεφαλὴν αὐτοῦ, καὶ ἀνέβαινον ἀναβαίνοντες καὶ κλαίοντες. [31] καὶ ἀνηγγέλη
Δαυὶδ λέγοντες Καὶ Ἀχιτόφελ ἐν τοῖς συστρεφομένοις μετὰ Ἀβεσσαλώμ· καὶ
32 εἶπε Δαυίδ Διασκέδασον δὴ τὴν βουλὴν Ἀχιτόφελ, κύριε ὁ θεός μου. [32] καὶ
ἦν Δαυὶδ ἐρχόμενος ἕως τοῦ Ῥώς, οὗ προσεκύνησεν ἐκεῖ τῷ θεῷ· καὶ ἰδοὺ
εἰς ἀπαντὴν αὐτῷ Χουσὶ ὁ ἀρχιεταῖρος Δαυίδ, διεῤῥηχὼς τὸν χιτῶνα αὐτοῦ
33 καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. [33] καὶ εἶπεν αὐτῷ Δαυίδ Ἐὰν μὲν διαβῇς
34 μετ' ἐμοῦ, καὶ ἔσῃ ἐπ' ἐμὲ εἰς βάσταγμα. [34] καὶ ἐὰν ἐπιστρέψῃς ἐπὶ τὴν

---

18. om και εστησαν επι usque και πας ο φελεθι ... οι γεθθαιοι εξακοσ. α. οι ελθ. εν ταις πολεσιν αυτων εις γεθ 19. πρ. εθθει τ. γεθθαιον 20. om και γε μεταναστησεις usque μετακιν. σε μ. ημων ... εφ ου αν εγω 21. εθθει ... ου αν η ο κυρ. μ. ο βασιλευς 22. πρ. εθθει ... παρηλθ. εθθει ο γεθθαιος ... om και ο βασιλευς 23. om εν τω χειμ. τ. κεδρων ... κ. ο βασ. παρερχομενος εν τω χειμαρρω των κεδρων· κ. πας ο λα. παρεπορευοντο 24. σαδδωκ 25. ο βασ. τω σαδδωκ ... εις τ. πολ. και καθισατω εις τον τοπον αυτου· εαν ευρω ... om μοι 27. τω ιαβοκ ... om υμων 29. απεστρεψαν 30. εκ της αναβασεως ... ο λαος οι μετ 31. δαυ. ανηγγ. λεγοντ. Αχ. 32. εισερχομενος ε. τ. ροως ... εις απαντησιν αυτου χουσει διερρ. τα ιματια αυτ. 33. om μεν 34. εις την πολιν επιστρεψης

Digitized by Google

πόλιν, καὶ ἐρεῖς τῷ Ἀβεσσαλώμ Διεληλύθασιν οἱ ἀδελφοί σου, καὶ ὁ βασιλεὺς
κατόπισθέ μου διελήλυθεν ὁ πατήρ σου· καὶ νῦν παῖς σού εἰμι, βασιλεῦ,
ἔασόν με ζῆσαι· παῖς τοῦ πατρός σου ἤμην τότε καὶ ἀρτίως, καὶ νῦν ἐγὼ
δοῦλος σός· καὶ διασκεδάσεις μοι τὴν βουλὴν Ἀχιτόφελ. [35] καὶ ἰδοὺ ἐκεῖ μετὰ 35
σοῦ Σαδὼκ καὶ Ἀβιάθαρ οἱ ἱερεῖς· καὶ ἔσται πᾶν ῥῆμα ὃ ἐὰν ἀκούσῃς ἐξ
οἴκου τοῦ βασιλέως καὶ ἀπαγγελεῖς τῷ Σαδὼκ καὶ τῷ Ἀβιάθαρ τοῖς ἱερεῦσιν.
[36] ἰδοὺ ἐκεῖ μετ' αὐτῶν δύο υἱοὶ αὐτῶν, Ἀχιμάας υἱὸς τῷ Σαδὼκ καὶ Ἰωνά- 36
θαν υἱὸς τῷ Ἀβιάθαρ· καὶ ἀποστελεῖτε ἐν χειρὶ αὐτῶν πρὸς μὲ πᾶν ῥῆμα
ὃ ἐὰν ἀκούσητε. [37] καὶ εἰςῆλθε Χουσὶ ὁ ἑταῖρος Δαυὶδ εἰς τὴν πόλιν, καὶ 37
Ἀβεσσαλὼμ ἄρτι εἰςεπορεύετο εἰς Ἱερουσαλήμ.

## XVI.

Καὶ Δαυὶδ παρῆλθε βραχύ τι ἀπὸ τῆς Ῥώς, καὶ ἰδοὺ Σιβὰ τὸ παιδά-
ριον Μεμφιβοσθὲ εἰς ἀπαντὴν αὐτοῦ, καὶ ζεῦγος ὄνων ἐπισεσαγμένων, καὶ
ἐπ' αὐτοῖς διακόσιοι ἄρτοι καὶ ἑκατὸν σταφίδες καὶ ἑκατὸν φοίνικες καὶ νέβελ
οἴνου. [2] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σιβά Τί ταῦτά σοι; καὶ εἶπε Σιβά Τὰ 2
ὑποζύγια τῇ οἰκίᾳ τοῦ βασιλέως τοῦ ἐπικαθῆσθαι, καὶ οἱ ἄρτοι καὶ οἱ φοί-
νικες εἰς βρῶσιν τοῖς παιδαρίοις, καὶ ὁ οἶνος πιεῖν τοῖς ἐκλελυμένοις ἐν τῇ
ἐρήμῳ. [3] καὶ εἶπεν ὁ βασιλεύς Καὶ ποῦ ὁ υἱὸς τοῦ κυρίου σου; καὶ εἶπε Σιβὰ 3
πρὸς τὸν βασιλέα Ἰδοὺ κάθηται ἐν Ἱερουσαλήμ, ὅτι εἶπε Σήμερον ἐπιστρέ-
ψουσί μοι οἶκος Ἰσραὴλ τὴν βασιλείαν τοῦ πατρός μου. [4] καὶ εἶπεν ὁ βασι- 4
λεὺς τῷ Σιβᾷ Ἰδοὺ σοὶ πάντα ὅσα ἐστὶ Μεμφιβοσθέ· καὶ εἶπε Σιβὰ προς-
κυνήσας Εὕροιμι χάριν ἐν ὀφθαλμοῖς σου, κύριέ μου βασιλεῦ. [5] καὶ ἦλθεν ὁ 5
βασιλεὺς Δαυὶδ ἕως Βαουρίμ· καὶ ἰδοὺ ἐκεῖθεν ἀνὴρ ἐξεπορεύετο ἐκ συγγε-
νείας οἴκου Σαούλ, καὶ ὄνομα αὐτῷ Σεμεῒ υἱὸς Γηρά· ἐξῆλθεν ἐκπορευόμενος
καὶ καταρώμενος [6] καὶ λιθάζων ἐν λίθοις τὸν Δαυὶδ καὶ πάντας τοὺς παῖδας 6
τοῦ βασιλέως Δαυίδ· καὶ πᾶς ὁ λαὸς ἦν καὶ πάντες οἱ δυνατοὶ ἐκ δεξιῶν
καὶ ἐξ εὐωνύμων τοῦ βασιλέως. [7] καὶ οὕτως ἔλεγε Σεμεῒ ἐν τῷ καταρᾶσθαι 7
αὐτόν Ἔξελθε ἔξελθε, ἀνὴρ αἱμάτων καὶ ἀνὴρ ὁ παράνομος. [8] ἐπέστρεψεν ἐπὶ 8
σὲ κύριος πάντα τὰ αἵματα τοῦ οἴκου Σαούλ, ὅτι ἐβασίλευσας ἀντ' αὐτοῦ,
καὶ ἔδωκε κύριος τὴν βασιλείαν ἐν χειρὶ Ἀβεσσαλὼμ τοῦ υἱοῦ σου· καὶ ἰδοὺ
σὺ ἐν τῇ κακίᾳ σου, ὅτι ἀνὴρ αἱμάτων σύ. [9] καὶ εἶπεν Ἀβεσσὰ υἱὸς Σαρουίας 9
πρὸς τὸν βασιλέα Ἵνα τί καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν κύριόν μου
τὸν βασιλέα; διαβήσομαι δὴ καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ. [10] καὶ εἶπεν ὁ 10
βασιλεύς Τί ἐμοὶ καὶ ὑμῖν, υἱοὶ Σαρουίας; καὶ ἄφετε αὐτὸν καὶ οὕτως κατα-
ράσθω, ὅτι κύριος εἶπεν αὐτῷ καταρᾶσθαι τὸν Δαυίδ, καὶ τίς ἐρεῖ Ὡς τί
ἐποίησας οὕτως; [11] καὶ εἶπε Δαυὶδ πρὸς Ἀβεσσὰ καὶ πρὸς πάντας τοὺς παῖ- 11
δας αὐτοῦ Ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν
μου, καὶ προσέτι νῦν ὁ υἱὸς τοῦ Ἰεμινί· ἄφετε αὐτὸν καταρᾶσθαι, ὅτι εἶπεν
αὐτῷ κύριος. [12] εἴ πως ἴδοι κύριος ἐν τῇ ταπεινώσει μου, καὶ ἐπιστρέψει μοι 12
ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ. [13] καὶ ἐπορεύθη Δαυὶδ καὶ 13
πάντες οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ὁδῷ· καὶ Σεμεῒ ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους
ἐχόμενα αὐτοῦ πορευόμενος καὶ καταρώμενος καὶ λιθάζων ἐν λίθοις ἐκ πλα-

---

34. κατοπισθεν μου και εληλυθεν ... σου pro σος 35. μετα σου εκει ... αναγγελεις 37. χουσει ο αρχιεταιρος ... κ. αβεσσ. επορευετο εις την πολιν. XVI. 1. ροως ... σιββα ... μεμφιβοσθαι ... απαντησιν 2. σιββα sec. loco 3. σιββα ... ο οικος 4. σιββα bis ... τω μεμφιβοσθαι 5. βαουρειμ ... σεμεει 6. λιθαζων λιθοις ... om ην ... εκ δεξ. αυτου 7. σεμεει ... om εξελθε alterum 8. κυριος επι σε 9. αβεισα 10. om και ante αφετε 11. αβισαϊ ... ειεμενει ... αφ. αυτων (ita) καταρασθω 12. επιστρ. κυριος μοι ... καταρας ταυτης εν τη 13. om παντες ... σεμεει ... εις πλευρας

Digitized by Google

14 γίων αὐτοῦ καὶ τῷ χοΐ πάσσων. [14] καὶ ἦλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς μετ'
15 αὐτοῦ ἐκλελυμένοι, καὶ ἀνέψυξαν ἐκεῖ. [15] καὶ Ἀβεσσαλὼμ καὶ πᾶς ἀνὴρ Ἰσραὴλ
16 εἰσῆλθον εἰς Ἱερουσαλήμ, καὶ Ἀχιτόφελ μετ' αὐτοῦ. [16] καὶ ἐγενήθη ἡνίκα
ἦλθε Χουσὶ ὁ ἀρχιεταῖρος Δαυὶδ πρὸς Ἀβεσσαλώμ, καὶ εἶπε Χουσὶ πρὸς Ἀβεσ-
17 σαλώμ Ζήτω ὁ βασιλεύς. [17] καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς Χουσί Τοῦτο τὸ ἔλεός
18 σου μετὰ τοῦ ἑταίρου σου; ἵνα τί οὐκ ἀπῆλθες μετὰ τοῦ ἑταίρου σου; [18] καὶ
εἶπε Χουσὶ πρὸς Ἀβεσσαλώμ Οὐχί, ἀλλὰ κατόπισθεν οὗ ἐξελέξατο κύριος καὶ
ὁ λαὸς οὗτος καὶ πᾶς ἀνὴρ Ἰσραήλ, αὐτῷ ἔσομαι καὶ μετὰ αὐτοῦ καθήσομαι.
19 [19] καὶ τὸ δεύτερον τίνι ἐγὼ δουλεύσω, οὐχὶ ἐνώπιον τοῦ υἱοῦ αὐτοῦ; καθάπερ
20 ἐδούλευσα ἐνώπιον τοῦ πατρός σου, οὕτως ἔσομαι ἐνώπιον σοῦ. [20] καὶ εἶπεν
21 Ἀβεσσαλὼμ πρὸς Ἀχιτόφελ Φέρετε ἑαυτοῖς βουλὴν τί ποιήσωμεν; [21] καὶ εἶπεν
Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ Εἴσελθε πρὸς τὰς παλλακὰς τοῦ πατρός σου ἃς
κατέλιπε φυλάσσειν τὸν οἶκον αὐτοῦ, καὶ ἀκούσεται πᾶς Ἰσραὴλ ὅτι κατή-
σχυνας τὸν πατέρα σου, καὶ ἐνισχύσουσιν αἱ χεῖρες πάντων τῶν μετὰ σοῦ.
22 [22] καὶ ἔπηξαν τὴν σκηνὴν τῷ Ἀβεσσαλὼμ ἐπὶ τὸ δῶμα, καὶ εἰσῆλθεν Ἀβεσ-
σαλὼμ πρὸς τὰς παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ' ὀφθαλμοὺς παντὸς Ἰσραήλ.
23 [23] καὶ ἡ βουλὴ Ἀχιτόφελ ἣν ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς πρώταις ὃν
τρόπον ἐπερωτήσῃ τις ἐν λόγῳ τοῦ θεοῦ· οὕτως πᾶσα ἡ βουλὴ τοῦ Ἀχιτόφελ
καί γε τῷ Δαυὶδ καί γε τῷ Ἀβεσσαλώμ.

## XVII.

Καὶ εἶπεν Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ Ἐπιλέξω δὴ ἐμαυτῷ δώδεκα χι-
λιάδας ἀνδρῶν, καὶ ἀναστήσομαι καὶ καταδιώξω ὀπίσω Δαυὶδ τὴν νύκτα.
2 [2] καὶ ἐπελεύσομαι ἐπ' αὐτόν, καὶ αὐτὸς κοπιῶν καὶ ἐκλελυμένος χερσί, καὶ
ἐκστήσω αὐτόν, καὶ φεύξεται πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ καὶ πατάξω τὸν
3 βασιλέα μονώτατον. [3] καὶ ἐπιστρέψω πάντα τὸν λαὸν πρὸς σέ, ὃν τρόπον ἐπι-
στρέφει ἡ νύμφη πρὸς τὸν ἄνδρα αὐτῆς· πλὴν ψυχὴν ἀνδρὸς ἑνὸς σὺ ζητεῖς,
4 καὶ παντὶ τῷ λαῷ ἔσται εἰρήνη. [4] καὶ εὐθὺς ὁ λόγος ἐν ὀφθαλμοῖς Ἀβεσσα-
5 λὼμ καὶ ἐν ὀφθαλμοῖς πάντων τῶν πρεσβυτέρων Ἰσραήλ. [5] καὶ εἶπεν Ἀβεσσα-
λὼμ Καλέσατε δὴ καί γε τὸν Χουσὶ τὸν Ἀραχί, καὶ ἀκούσωμεν τί ἐν τῷ στό-
6 ματι αὐτοῦ καί γε αὐτοῦ. [6] καὶ εἰσῆλθε Χουσὶ πρὸς Ἀβεσσαλώμ· καὶ εἶπεν
Ἀβεσσαλὼμ πρὸς αὐτὸν λέγων Κατὰ τὸ ῥῆμα τοῦτο ἐλάλησεν Ἀχιτόφελ· ποιή-
7 σομεν κατὰ τὸν λόγον αὐτοῦ; εἰ δὲ μή, σὺ λάλησον. [7] καὶ εἶπε Χουσὶ πρὸς
Ἀβεσσαλώμ Οὐκ ἀγαθὴ αὕτη ἡ βουλὴ ἣν ἐβουλεύσατο Ἀχιτόφελ τὸ ἅπαξ
8 τοῦτο. [8] καὶ εἶπε Χουσί Σὺ οἶδας τὸν πατέρα σου καὶ τοὺς ἄνδρας αὐτοῦ ὅτι
δυνατοί εἰσι σφόδρα καὶ κατάπικροι τῇ ψυχῇ αὐτῶν ὡς ἄρκος ἠτεκνωμένη
ἐν ἀγρῷ καὶ ὡς ὗς τραχεῖα ἐν τῷ πεδίῳ· καὶ ὁ πατήρ σου ἀνὴρ πολεμιστὴς
9 καὶ οὐ μὴ καταλύσῃ τὸν λαόν. [9] ἰδοὺ γὰρ αὐτὸς νῦν κέκρυπται ἐν ἑνὶ τῶν
βουνῶν ἢ ἐν ἑνὶ τῶν τόπων· καὶ ἔσται ἐν τῷ ἐπιπεσεῖν αὐτοῖς ἐν ἀρχῇ καὶ
ἀκούσῃ ἀκούων καὶ εἴπῃ Ἐγενήθη θραῦσις ἐν τῷ λαῷ τῷ ὀπίσω Ἀβεσσαλώμ·
10 [10] καί γε αὐτὸς υἱὸς δυνάμεως, οὗ ἡ καρδία καθὼς ἡ καρδία τοῦ λέοντος
τηκομένη τακήσεται, ὅτι οἶδε πᾶς Ἰσραὴλ ὅτι δυνατὸς ὁ πατήρ σου καὶ υἱοὶ
11 δυνάμεως οἱ μετ' αὐτοῦ. [11] ὅτι οὕτως συμβουλεύων ἐγὼ συνεβούλευσα· καὶ
συναγόμενος συναχθήσεται ἐπὶ σὲ πᾶς Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεέ,

---

13. (τω χοσι πασων) 14. και πας ο εκλελυμενος ... ανεψυχαν 15. πας ο λαος ισραηλ εισηλθεν 16. εισηλθεν 18. ουτως pro αυτω ... μετ αυτου 19. εσομ. και ενωπ. 21. κατελειπεν ... ακουσονται ... ησχυνας 22. τω αβεσσ. την σκηνην (... om προς τας παλλακας) 23. (επηρωτηση ...) om τις ... τω αχιτοφελ XVII. 2. χερσιν· εκστησω α. κ. εκφευξεται 3. ενος ανδρος 4. ευθης 5. χουσει τ. αραχει ... ακουσομαιν 6. χουσει 8. om και ως υς usque πεδιω ... om και ο 9. ο ακουων 10. οι υιοι 11. om συμβουλευων ... συνεβουλευσατο (συνεβούλευσα τό?)

Digitized by Google

ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, καὶ τὸ πρόσωπόν σου πορευό-
μενον ἐν μέσῳ αὐτῶν· [12]καὶ ἥξομεν πρὸς αὐτὸν εἰς ἕνα τῶν τόπων οὗ ἐὰν 12
εὕρωμεν αὐτὸν ἐκεῖ, καὶ παρεμβαλοῦμεν ἐπ' αὐτὸν ὡς πίπτει δρόσος ἐπὶ
τὴν γῆν, καὶ οὐχ ὑπολειψόμεθα ἐν αὐτῷ καὶ τοῖς ἀνδράσιν αὐτοῦ τοῖς μετ'
αὐτοῦ καί γε ἕνα· [13]καὶ ἐὰν εἰς τὴν πόλιν συναχθῇ, καὶ λήψεται πᾶς Ἰσραὴλ 13
πρὸς τὴν πόλιν ἐκείνην σχοινία καὶ συροῦμεν αὐτὴν ἕως εἰς τὸν χειμάρ-
ῥουν, ὅπως μὴ καταλειφθῇ ἐκεῖ μηδὲ λίθος. [14]καὶ εἶπεν Ἀβεσσαλὼμ καὶ 14
πᾶς ἀνὴρ Ἰσραὴλ Ἀγαθὴ ἡ βουλὴ Χουσὶ τοῦ Ἀραχὶ ὑπὲρ τὴν βουλὴν Ἀχι-
τόφελ· καὶ κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν τοῦ Ἀχιτόφελ τὴν
ἀγαθήν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβεσσαλὼμ τὰ κακὰ πάντα. [15]καὶ 15
εἶπε Χουσὶ ὁ τοῦ Ἀραχὶ πρὸς Σαδὼκ καὶ Ἀβιάθαρ τοὺς ἱερεῖς Οὕτως καὶ
οὕτως συνεβούλευσεν Ἀχιτόφελ τῷ Ἀβεσσαλὼμ καὶ τοῖς πρεσβυτέροις Ἰσραήλ,
καὶ οὕτως καὶ οὕτως συνεβούλευσα ἐγώ. [16]καὶ νῦν ἀποστείλατε ταχὺ καὶ 16
ἀναγγείλατε τῷ Δαυὶδ λέγοντες Μὴ αὐλισθῇς τὴν νύκτα ἐν Ἀραβὼθ τῆς
ἐρήμου, καί γε διαβαίνων σπεῦσον μή ποτε καταπείσῃ τὸν βασιλέα καὶ πάντα
τὸν λαὸν τὸν μετ' αὐτοῦ. [17]καὶ Ἰωνάθαν καὶ Ἀχιμάας εἱστήκεισαν ἐν τῇ 17
πηγῇ Ῥωγήλ, καὶ ἐπορεύθη ἡ παιδίσκη καὶ ἀνήγγειλεν αὐτοῖς· καὶ αὐτοὶ
πορεύονται καὶ ἀναγγέλλουσι τῷ βασιλεῖ Δαυίδ, ὅτι οὐκ ἠδύναντο ὀφθῆναι
τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν. [18]καὶ εἶδεν αὐτοὺς παιδάριον καὶ ἀνήγγειλε τῷ 18
Ἀβεσσαλώμ· καὶ ἐπορεύθησαν οἱ δύο ταχέως καὶ εἰσῆλθαν εἰς οἰκίαν ἀνδρὸς
ἐν Βαουρίμ, καὶ αὐτῷ λάκκος ἐν τῇ αὐλῇ, καὶ κατέβησαν ἐκεῖ. [19]καὶ ἔλα- 19
βεν ἡ γυνὴ καὶ διεπέτασε τὸ ἐπικάλυμμα ἐπὶ πρόσωπον τοῦ λάκκου καὶ
ἔψυξεν ἐπ' αὐτῷ Ἀραφώθ, καὶ οὐκ ἐγνώσθη ῥῆμα. [20]καὶ ἦλθον οἱ παῖδες 20
Ἀβεσσαλὼμ πρὸς τὴν γυναῖκα εἰς τὴν οἰκίαν καὶ εἶπαν Ποῦ Ἀχιμάας καὶ
Ἰωνάθαν; καὶ εἶπεν αὐτοῖς ἡ γυνή Παρῆλθαν μικρὸν τοῦ ὕδατος· καὶ ἐζή-
τησαν καὶ οὐχ εὗραν, καὶ ἀνέστρεψαν εἰς Ἱερουσαλήμ. [21]ἐγένετο δὲ μετὰ τὸ 21
ἀπελθεῖν αὐτοὺς καὶ ἀνέβησαν ἐκ τοῦ λάκκου, καὶ ἐπορεύθησαν καὶ ἀπήγγει-
λαν τῷ βασιλεῖ Δαυίδ, καὶ εἶπαν πρὸς Δαυὶδ Ἀνάστητε καὶ διάβητε ταχέως
τὸ ὕδωρ, ὅτι οὕτως ἐβουλεύσατο περὶ ὑμῶν Ἀχιτόφελ. [22]καὶ ἀνέστη Δαυὶδ 22
καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ καὶ διέβησαν τὸν Ἰορδάνην ἕως τοῦ φωτὸς τοῦ
πρωί, ἕως ἑνὸς οὐκ ἔλαθεν ὃς οὐ διῆλθε τὸν Ἰορδάνην. [23]καὶ Ἀχιτόφελ εἶδεν 23
ὅτι οὐκ ἐγενήθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ καὶ ἀνέστη καὶ
ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς τὴν πόλιν αὐτοῦ· καὶ ἐνετείλατο τῷ οἴκῳ
αὐτοῦ, καὶ ἀπήγξατο καὶ ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ.
[24]καὶ Δαυὶδ διῆλθεν εἰς Μαναΐμ, καὶ Ἀβεσσαλὼμ διέβη τὸν Ἰορδάνην αὐτὸς 24
καὶ πᾶς ἀνὴρ Ἰσραὴλ μετ' αὐτοῦ. [25]καὶ τὸν Ἀμεσσαΐ κατέστησεν Ἀβεσσαλὼμ 25
ἀντὶ Ἰωὰβ ἐπὶ τῆς δυνάμεως· καὶ Ἀμεσσαΐ υἱὸς ἀνδρὸς καὶ ὄνομα αὐτῷ Ἰεθὲρ
ὁ Ἰεζραηλίτης, οὗτος εἰσῆλθε πρὸς Ἀβιγαίαν θυγατέρα Νάας ἀδελφὴν Σα-
ρουίας μητρὸς Ἰωάβ. [26]καὶ παρενέβαλε πᾶς Ἰσραὴλ καὶ Ἀβεσσαλὼμ εἰς τὴν 26
γῆν Γαλαάδ. [27]καὶ ἐγένετο ἡνίκα ἦλθε Δαυὶδ εἰς Μαναΐμ, καὶ Οὐεσβὶ υἱὸς 27
Νάας ἐκ Ῥαββὰθ υἱῶν Ἀμμὼν καὶ Μαχὶρ υἱὸς Ἀμιὴλ ἐκ Λωδαβὰρ καὶ Βερ-
ζελλὶ ὁ Γαλααδίτης ἐκ Ῥωγελλὶμ [28]ἤνεγκαν δέκα κοίτας ἀμφιτάπους καὶ λέ- 28

---

11. εμμεσω 12. ηξομ. επ αυτον ... η δροσος ... εν αυτω εν πασιν και τοις ανδρ. τοις 13. λημψεται πας ανηρ ισρ. 14. χουσει τ. αραχει ... τ. βουλην αχιτοφελ 15. om ο του αραχι 16. απαγγειλατε ... καταπιη ... om παντα 17. ιστηκεισαν (... αναγγελουσιν ... ουκ ενεδυσαντο) 18. απηγγειλεν ... εισηλθον ... βαουρειμ 19. εχυψεν επ αυτω αραβωθωθ 20. ηλθαν ... ειπον ... παρηλθον ... *ευρον ... ανεστρεψεν 21. ανηγγειλαν 22. om ο ante μετ 23. αχειτοφελ ... οικω pro ταφω 24. μαναειμ ... διηλθεν pro διεβη ... om ανηρ 25. αμεσσαει bis ... αβεσσ. τω ιωαβ ... ιοθορ ο ισμαηλειτης ... αδελφου σαρουιας 27. μααναειμ, ουεσβει ... υιος αμμων ... μαχειρ υι. αμιηρ ... βερζελλει ο γαλααδειτης εκ ρωγελειμ 28. κοιτ. και αμφ.

Digitized by Google

βητας δέκα καὶ σκεύη κεράμου, καὶ πυροὺς καὶ κριθὰς καὶ ἄλευρον καὶ ἄλ-
29 φιτον, καὶ κύαμον καὶ φακὸν [29] καὶ μέλι καὶ βούτυρον, καὶ πρόβατα καὶ Σαφὼθ
βοῶν· καὶ προσήνεγκαν τῷ Δαυὶδ καὶ τῷ λαῷ τῷ μετ' αὐτοῦ φαγεῖν, ὅτι
εἶπεν Ὁ λαὸς πεινῶν καὶ ἐκλελυμένος καὶ διψῶν ἐν τῇ ἐρήμῳ.

## XVIII.

Καὶ ἐπεσκέψατο Δαυὶδ τὸν λαὸν τὸν μετ' αὐτοῦ, καὶ κατέστησεν ἐπ'
2 αὐτῶν χιλιάρχους καὶ ἑκατοντάρχους. [2] καὶ ἀπέστειλε Δαυὶδ τὸν λαὸν τὸ τρί-
τον ἐν χειρὶ Ἰωάβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἀβεσσὰ υἱοῦ Σαρουίας ἀδελφοῦ
Ἰωάβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἐθὶ τοῦ Γεθαίου· καὶ εἶπε Δαυὶδ πρὸς τὸν λαόν
3 Ἐξελθὼν ἐξελεύσομαι καί γε ἐγὼ μεθ' ὑμῶν. [3] καὶ εἶπον Οὐκ ἐξελεύσῃ, ὅτι
ἐὰν φυγῇ φύγωμεν, οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν, καὶ ἐὰν ἀποθάνωμεν τὸ
ἥμισυ ἡμῶν, οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν, ὅτι σὺ ὡς ἡμεῖς δέκα χιλιά-
4 δες· καὶ νῦν ἀγαθὸν ὅτι ἔσῃ ἡμῖν ἐν τῇ πόλει βοήθεια τοῦ βοηθεῖν. [4] καὶ
εἶπε πρὸς αὐτοὺς ὁ βασιλεύς Ὃ ἐὰν ἀρέσῃ ἐν ὀφθαλμοῖς ὑμῶν ποιήσω· καὶ
ἔστη ὁ βασιλεὺς ἀνὰ χεῖρα τῆς πύλης, καὶ πᾶς ὁ λαὸς ἐξεπορεύετο εἰς ἑκα-
5 τοντάδας καὶ εἰς χιλιάδας. [5] καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἰωὰβ καὶ τῷ Ἀβεσσᾷ
καὶ τῷ Ἐθὶ λέγων Φείσασθέ μοι τοῦ παιδαρίου τοῦ Ἀβεσσαλώμ· καὶ πᾶς ὁ
λαὸς ἤκουσεν ἐντελλομένου τοῦ βασιλέως πᾶσι τοῖς ἄρχουσιν ὑπὲρ Ἀβεσσαλώμ.
6 [6] καὶ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς τὸν δρυμὸν ἐξεναντίας Ἰσραήλ· καὶ ἐγένετο ὁ
7 πόλεμος ἐν τῷ δρυμῷ Ἐφραΐμ. [7] καὶ ἔπταισεν ἐκεῖ ὁ λαὸς Ἰσραὴλ ἐνώπιον
τῶν παίδων Δαυίδ, καὶ ἐγένετο ἡ θραῦσις μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἴκοσι
8 χιλιάδες ἀνδρῶν. [8] καὶ ἐγένετο ἐκεῖ ὁ πόλεμος διεσπαρμένος ἐπὶ πρόσωπον
πάσης τῆς γῆς· καὶ ἐπλεόνασεν ὁ δρυμὸς τοῦ καταφαγεῖν ἐκ τοῦ λαοῦ ὑπὲρ
9 οὓς κατέφαγεν ἐν τῷ λαῷ ἡ μάχαιρα τῇ ἡμέρᾳ ἐκείνῃ. [9] καὶ συνήντησεν
Ἀβεσσαλὼμ ἐνώπιον τῶν παίδων Δαυίδ· καὶ Ἀβεσσαλὼμ ἦν ἐπιβεβηκὼς ἐπὶ
τοῦ ἡμιόνου αὐτοῦ, καὶ εἰσῆλθεν ὁ ἡμίονος ὑπὸ τὸ δάσος τῆς δρυὸς τῆς με-
γάλης, καὶ περιεπλάκη ἡ κεφαλὴ αὐτοῦ ἐν τῇ δρυΐ καὶ ἐκρεμάσθη ἀνὰ μέ-
σον τοῦ οὐρανοῦ καὶ ἀνὰ μέσον τῆς γῆς, καὶ ὁ ἡμίονος ὑποκάτω αὐτοῦ
10 παρῆλθε. [10] καὶ εἶδεν ἀνήρ εἷς καὶ ἀνήγγειλε τῷ Ἰωὰβ καὶ εἶπεν Ἰδοὺ ἑώ-
11 ρακα τὸν Ἀβεσσαλὼμ κρεμάμενον ἐν τῇ δρυΐ. [11] καὶ εἶπεν Ἰωὰβ τῷ ἀνδρὶ
τῷ ἀναγγέλλοντι αὐτῷ Καὶ ἰδοὺ ἑώρακας, τί ὅτι οὐκ ἐπάταξας αὐτὸν ἐκεῖ
εἰς τὴν γῆν; καὶ ἐγὼ ἂν δεδώκειν σοι δέκα ἀργυρίου καὶ παραζώνην μίαν.
12 [12] εἶπε δὲ ὁ ἀνὴρ πρὸς Ἰωάβ Καὶ ἐγώ εἰμι ἵστημι ἐπὶ τὰς χεῖράς μου χι-
λίους σίκλους ἀργυρίου, οὐ μὴ ἐπιβάλω τὴν χεῖρά μου ἐπὶ τὸν υἱὸν τοῦ βα-
σιλέως, ὅτι ἐν τοῖς ὠσὶν ἡμῶν ἐνετείλατο ὁ βασιλεὺς σοὶ καὶ τῷ Ἀβεσσᾷ καὶ
13 τῷ Ἐθὶ λέγων Φυλάξατέ μοι τὸ παιδάριον τὸν Ἀβεσσαλώμ, [13] μὴ ποιῆσαι ἐν
τῇ ψυχῇ αὐτοῦ ἄδικον· καὶ πᾶς ὁ λόγος οὐ λήσεται ἀπὸ τοῦ βασιλέως, καὶ
14 σὺ στήσῃ ἐξεναντίας. [14] καὶ εἶπεν Ἰωάβ Τοῦτο ἐγὼ ἄρξομαι, οὐχ οὕτως μενῶ
ἐνώπιόν σου· καὶ ἔλαβεν Ἰωὰβ τρία βέλη ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐνέπηξεν αὐτὰ
15 ἐν τῇ καρδίᾳ Ἀβεσσαλώμ, ἔτι αὐτοῦ ζῶντος ἐν τῇ καρδίᾳ τῆς δρυός. [15] καὶ
ἐκύκλωσαν δέκα παιδάρια αἴροντα τὰ σκεύη Ἰωάβ, καὶ ἐπάταξαν τὸν Ἀβεσ-

---

28. om και σκευη κεραμου 29. σαφφωθ ... πειν. και διψ. κ. εκλελυγμενος XVIII. 1. εκατονταρχ. κ. χιλ. 2. (τον λαον τον τριτον ...) αβισαει ... εθθει τ. γεθθαιου 3. ειπαν ... om του βοηθειν 5. τω αβισαι κ. τω εθθει λ. φ. μου ... om και πας ο λαος usque υπ. αβεσσ. 6. εναντιον 7. πας ο λαος 8. om εν τω λαω ... εν τη η. εκ. 9. om ἦν ... υπο δρασος της ... κ. εκρεμασεν η κεφαλη ... ο υποκατω 10. ιδεν ... ανηγγειλεν ιωαβ ... εορακα ... επι τη δρυι 11. αγγελλοντι ... εορακας ... om εκει ... σοι και αβισαΐ κ. τω εθθει 13. πας λογος 14. εγω αρξομαι ενωπιον· και ελαβεν ... εις την καρδιαν 15. επαταξεν

Digitized by Google

σαλὼμ καὶ ἐθανάτωσαν αὐτόν. [16]καὶ ἐσάλπισεν Ἰωὰβ ἐν κερατίνῃ, καὶ 16
ἀπέστρεψεν ὁ λαὸς τοῦ μὴ διώκειν ὀπίσω Ἰσραήλ, ὅτι ἐφείδετο Ἰωὰβ τοῦ λαοῦ.
[17]καὶ ἔλαβε τὸν Ἀβεσσαλὼμ καὶ ἔῤῥιψεν αὐτὸν εἰς χάσμα μέγα ἐν τῷ δρυ- 17
μῷ εἰς τὸν βόθυνον τὸν μέγαν, καὶ ἐστήλωσεν ἐπ᾽ αὐτὸν σωρὸν λίθων μέγαν
σφόδρα· καὶ πᾶς Ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. [18]καὶ Ἀβεσ- 18
σαλὼμ ἔτι ζῶν ἔλαβε καὶ ἔστησεν ἑαυτῷ τὴν στήλην ἐν ᾗ ἐλήφθη καὶ ἐστή-
λωσεν αὐτὴν λαβεῖν τὴν στήλην τὴν ἐν τῇ κοιλάδι τοῦ βασιλέως, ὅτι εἶπεν
ὅτι οὐκ ἔστιν αὐτῷ υἱὸς ἕνεκα τοῦ ἀναμνῆσαι τὸ ὄνομα αὐτοῦ· καὶ ἐκάλεσε
τὴν στήλην Χεὶρ Ἀβεσσαλὼμ ἕως τῆς ἡμέρας ταύτης. [19]καὶ Ἀχιμάας υἱὸς 19
Σαδὼκ εἶπε Δράμω δὴ καὶ εὐαγγελιῶ τῷ βασιλεῖ ὅτι ἔκρινε κύριος ἐκ χει-
ρὸς τῶν ἐχθρῶν αὐτοῦ. [20]καὶ εἶπεν αὐτῷ Ἰωάβ Οὐκ ἀνὴρ εὐαγγελίας σὺ ἐν 20
τῇ ἡμέρᾳ ταύτῃ, καὶ εὐαγγελιῇ ἐν ἡμέρᾳ ἄλλῃ· ἐν δὲ τῇ ἡμέρᾳ ταύτῃ οὐκ
εὐαγγελιῇ οὗ εἵνεκεν ὁ υἱὸς τοῦ βασιλέως ἀπέθανε. [21]καὶ εἶπεν Ἰωὰβ τῷ 21
Χουσί Βαδίσας ἀνάγγειλον τῷ βασιλεῖ ὅσα εἶδες· καὶ προσεκύνησε Χουσὶ τῷ
Ἰωὰβ καὶ ἐξῆλθε. [22]καὶ προσέθετο ἔτι Ἀχιμάας υἱὸς Σαδὼκ καὶ εἶπε πρὸς 22
Ἰωάβ Καὶ ἔστω ὅτι δράμω καί γε ἐγὼ ὀπίσω τοῦ Χουσί· καὶ εἶπεν Ἰωάβ
Ἵνα τί σὺ τοῦτο τρέχεις, υἱέ μου; δεῦρο, οὐκ ἔστι σοι εὐαγγέλια εἰς ὠφέ-
λειαν πορευομένῳ. [23]καὶ εἶπεν Τί γὰρ ἐὰν δράμω; καὶ εἶπεν αὐτῷ Ἰωάβ 23
Δράμε· καὶ ἔδραμεν Ἀχιμάας τὴν ὁδὸν τὴν τοῦ Κεχὰρ καὶ ὑπερέβη τὸν Χουσί.
[24]καὶ Δαυὶδ ἐκάθητο ἀνὰ μέσον τῶν δύο πυλῶν· καὶ ἐπορεύθη ὁ σκοπὸς εἰς 24
τὸ δῶμα τῆς πύλης πρὸς τὸ τεῖχος, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε,
καὶ ἰδοὺ ἀνὴρ τρέχων μόνος ἐνώπιον αὐτοῦ. [25]καὶ ἀνεβόησεν ὁ σκοπὸς καὶ 25
ἀπήγγειλε τῷ βασιλεῖ· καὶ εἶπεν ὁ βασιλεύς Εἰ μόνος ἐστίν, εὐαγγέλια ἐν τῷ
στόματι αὐτοῦ. καὶ ἐπορεύετο πορευόμενος καὶ ἐγγίζων. [26]καὶ εἶδεν ὁ σκοπὸς 26
ἄνδρα ἕτερον τρέχοντα, καὶ ἐβόησεν ὁ σκοπὸς πρὸς τῇ πύλῃ καὶ εἶπεν Καὶ
ἰδοὺ ἀνὴρ ἕτερος τρέχων μόνος· καὶ εἶπεν ὁ βασιλεύς Καί γε οὗτος εὐαγγε-
λιζόμενος. [27]καὶ εἶπεν ὁ σκοπός Ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ πρώτου ὡς δρό- 27
μον Ἀχιμάας υἱοῦ Σαδώκ· καὶ εἶπεν ὁ βασιλεύς Ἀνὴρ ἀγαθὸς οὗτος καί γε
εἰς εὐαγγελίαν ἀγαθὴν ἐλεύσεται. [28]καὶ ἐβόησεν Ἀχιμάας καὶ εἶπε πρὸς τὸν 28
βασιλέα Εἰρήνη· καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόςωπον αὐτοῦ ἐπὶ τὴν
γῆν καὶ εἶπεν Εὐλογητὸς κύριος ὁ θεός σου ὃς ἀπέκλεισε τοὺς ἄνδρας τοὺς
ἐπαραμένους τὴν χεῖρα αὐτῶν ἐν τῷ κυρίῳ μου τῷ βασιλεῖ. [29]καὶ εἶπεν ὁ 29
βασιλεύς Εἰρήνη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ; καὶ εἶπεν Ἀχιμάας Εἶδον τὸ
πλῆθος τὸ μέγα τοῦ ἀποστεῖλαι τὸν δοῦλον τοῦ βασιλέως Ἰωὰβ καὶ τὸν δοῦ-
λόν σου, καὶ οὐκ ἔγνων τί ἐκεῖ. [30]καὶ εἶπεν ὁ βασιλεύς Ἐπίστρεψον, στηλώ- 30
θητι ὧδε· καὶ ἐπεστράφη καὶ ἔστη. [31]καὶ ἰδοὺ ὁ Χουσὶ παρεγένετο καὶ εἶπε 31
τῷ βασιλεῖ Εὐαγγελισθήτω ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ἔκρινέ σοι κύριος
σήμερον ἐκ χειρὸς πάντων τῶν ἐπεγειρομένων ἐπὶ σέ. [32]καὶ εἶπεν ὁ βασιλεὺς 32
πρὸς τὸν Χουσί Εἰ εἰρήνη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ; καὶ εἶπεν ὁ Χουσί
Γένοιντο ὡς τὸ παιδάριον οἱ ἐχθροὶ τοῦ κυρίου μου τοῦ βασιλέως καὶ πάντες
ὅσοι ἐπανέστησαν ἐπ᾽ αὐτὸν εἰς κακά. [33]καὶ ἐταράχθη ὁ βασιλεύς, καὶ ἀνέβη 33
εἰς τὸ ὑπερῷον τῆς πύλης καὶ ἔκλαυσε, καὶ οὕτως εἶπεν ἐν τῷ πορεύεσθαι

---

15. εθανατωσεν 16. *απεστρεψαν 17. om αυτον 18. om ετι ζων usque στηλην εν η ... εληιμφθη ... λαβ. την στηλωσιν ... ως οτι ειπεν ουκ ... ενεκεν ... το ονομ. μου ... ante και εκαλεσε add και εκαλεσεν την στηλην επι τω ονοματι αυτου 20. ου ενεκεν 21. χουσει bis ... om τω βασιλει 22. ἐσται ... om γε ... χουσει ... τουτο συ ... προς ωφελειαν 23. εαν δραμουμαι ... αχιμαας οδον ... καιχαρ ... χουσει 25. και εγενετο πορευομενος 26. ειπεν Ιδου 27. ειπεν δε ο σκοπος 28. τ. ανδρ. τους ανταραντας 29. om τω sec. 30. om ωδε 31. ο χουσει ... κ. ειπ. ο χουσει τω ... Ευαγγ. δη ... εγειρομενων 32. χουσει Ειρηνη τω ... ειπεν χουσει

Digitized by Google

αὐτόν Υἱέ μου Ἀβεσσαλώμ, υἱέ μου υἱέ μου Ἀβεσσαλώμ, τίς δῴη τὸν θάνα-
τον μοῦ ἀντὶ σοῦ; ἐγὼ ἀντὶ σοῦ, Ἀβεσσαλὼμ υἱέ μου υἱέ μου.

## XIX.

Καὶ ἀνηγγέλη τῷ Ἰωὰβ λέγοντες Ἰδοὺ ὁ βασιλεὺς κλαίει καὶ πενθεῖ ἐπὶ
2 Ἀβεσσαλώμ. [2] καὶ ἐγένετο ἡ σωτηρία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς πένθος παντὶ
τῷ λαῷ, ὅτι ἤκουσεν ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων ὅτι λυπεῖται ὁ βασι-
3 λεὺς ἐπὶ τῷ υἱῷ αὐτοῦ. [3] καὶ διεκλέπτετο ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ εἰςελ-
θεῖν εἰς τὴν πόλιν, καθὼς διακλέπτεται ὁ λαὸς οἱ αἰσχυνόμενοι ἐν τῷ αὐτοὺς
4 φεύγειν ἐν τῷ πολέμῳ. [4] καὶ ὁ βασιλεὺς ἔκρυψε τὸ πρόςωπον αὐτοῦ· καὶ ἔκρα-
ξεν ὁ βασιλεὺς φωνῇ μεγάλῃ λέγων Υἱέ μου Ἀβεσσαλώμ, Ἀβεσσαλὼμ υἱέ μου.
5 [5] καὶ εἰςῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον καὶ εἶπε Κατῄσχυνας σή-
μερον τὰ πρόςωπα πάντων τῶν δούλων σου τῶν ἐξαιρουμένων σε σήμερον καὶ
τὴν ψυχὴν τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου καὶ τὴν ψυχὴν τῶν γυναι-
6 κῶν σου καὶ τῶν παλλακῶν σου, [6] τοῦ ἀγαπᾶν τοὺς μισοῦντάς σε καὶ μισεῖν
τοὺς ἀγαπῶντάς σε, καὶ ἀνήγγειλας σήμερον ὅτι οὐκ εἰσὶν οἱ ἄρχοντές σου
οὐδὲ παῖδες· ὅτι ἔγνωκα σήμερον ὅτι εἰ Ἀβεσσαλὼμ ἔζη, πάντες ἡμεῖς σή-
7 μερον νεκροί, ὅτι τότε τὸ εὐθὲς ἦν ἐν ὀφθαλμοῖς σου. [7] καὶ νῦν ἀναστὰς ἔξελθε
καὶ λάλησον εἰς τὴν καρδίαν τῶν δούλων σου, ὅτι ἐν κυρίῳ ὤμοσα ὅτι εἰ μὴ
ἐκπορεύσῃ σήμερον, εἰ αὐλισθήσεται ἀνὴρ μετὰ σοῦ τὴν νύκτα ταύτην· καὶ
ἐπίγνωθι σεαυτῷ καὶ κακόν σοι τοῦτο ὑπὲρ πᾶν τὸ κακὸν τὸ ἐπελθόν σοι ἐκ
8 νεότητός σου ἕως τοῦ νῦν. [8] καὶ ἀνέστη ὁ βασιλεὺς καὶ ἐκάθισεν ἐν τῇ πύλῃ.
καὶ πᾶς ὁ λαὸς ἀνήγγειλαν λέγοντες Ἰδοὺ ὁ βασιλεὺς κάθηται ἐν τῇ πύλῃ·
καὶ εἰςῆλθε. πᾶς ὁ λαὸς κατὰ πρόςωπον τοῦ βασιλέως ἐπὶ τὴν πύλην, καὶ
9 Ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς τὰ σκηνώματα αὐτοῦ. [9] καὶ ἦν πᾶς ὁ λαὸς κρινό-
μενος ἐν πάσαις φυλαῖς Ἰσραὴλ λέγοντες Ὁ βασιλεὺς Δαυὶδ ἐῤῥύσατο ἡμᾶς
ἀπὸ πάντων τῶν ἐχθρῶν ἡμῶν, καὶ αὐτὸς ἐξείλετο ἡμᾶς ἐκ χειρὸς ἀλλοφύ-
λων, καὶ νῦν πέφευγεν ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς βασιλείας αὐτοῦ καὶ ἀπὸ
10 Ἀβεσσαλώμ. [10] καὶ Ἀβεσσαλώμ, ὃν ἐχρίσαμεν ἐφ' ἡμῶν, ἀπέθανεν ἐν τῷ πό-
λέμῳ· καὶ νῦν ἵνα τί ὑμεῖς κωφεύετε τοῦ ἐπιστρέψαι τὸν βασιλέα; καὶ τὸ
11 ῥῆμα παντὸς Ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα. [11] καὶ ὁ βασιλεὺς Δαυὶδ ἀπέ-
στειλε πρὸς Σαδὼκ καὶ πρὸς Ἀβιάθαρ τοὺς ἱερεῖς λέγων Λαλήσατε πρὸς τοὺς
πρεσβυτέρους Ἰούδα λέγοντες Ἵνα τί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν βα-
σιλέα εἰς τὸν οἶκον αὐτοῦ; καὶ λόγος παντὸς Ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα
12 εἰς τὸν οἶκον αὐτοῦ. [12] ἀδελφοί μου ὑμεῖς, ὀστᾶ μου καὶ σάρκες μου ὑμεῖς,
13 ἵνα τί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ; [13] καὶ
τῷ Ἀμεσσαῒ ἐρεῖτε Οὐχὶ ὀστοῦν μου καὶ σάρξ μου σύ; καὶ νῦν τάδε ποιή-
σαι μοι ὁ θεὸς καὶ τάδε προςθείη, εἰ μὴ ἄρχων δυνάμεως ἔσῃ ἐνώπιον ἐμοῦ
14 πάσας τὰς ἡμέρας ἀντὶ Ἰωάβ. [14] καὶ ἔκλινε τὴν καρδίαν παντὸς ἀνδρὸς Ἰούδα
ὡς ἀνδρὸς ἑνός· καὶ ἀπέστειλαν πρὸς τὸν βασιλέα λέγοντες Ἐπιστράφηθι σὺ
15 καὶ πάντες οἱ δοῦλοί σου. [15] καὶ ἐπέστρεψεν ὁ βασιλεὺς καὶ ἦλθεν ἕως τοῦ
Ἰορδάνου· καὶ ἄνδρες Ἰούδα ἦλθαν εἰς Γάλγαλα τοῦ πορεύεσθαι εἰς ἀπαν-
16 τὴν τοῦ βασιλέως, διαβιβάσαι τὸν βασιλέα τὸν Ἰορδάνην. [16] καὶ ἐτάχυνε

---

33. om υιε μ. υιε μ. αβεσσ. ante τις ... om εγω αντι σου XIX. 3. ο αισχυνομενος εν τω φυγειν αυτους εν πολεμω 4. επεκρυψεν ... εν φωνη ... Υιε μ. αβεσσ., υιε μ. υιε μ. 5. το προσωπον ... εξαιρουντων ... om την sec. ... κ. ψυχην τ. παλλακ. σ. 6. εγνωκαν ... νεκροι σημερον (... το ευθης) 7. μετα σου ανηρ 8. om επι την πυλην 9. ημας εκ χειρος απο ... ερρυσατο pro εξειλετο ... om και extr. 10. επιστρ. προς τον 11. om απεστειλε ... om προς sec. ... επιστρ. προς τον ... παντι ισραηλ ... om in f. εις τ. οικ. αυτου 13. αμισσαϊ 14. εως ανδρος 15. ηλθον ... ε. απαντησιν ... om τον βασιλεα

Digitized by Google

Σεμεῒ υἱὸς Γηρὰ υἱοῦ τοῦ Ἰεμινὶ ἐκ Βαουρὶμ καὶ κατέβη μετὰ ἀνδρὸς Ἰούδα
εἰς ἀπαντὴν τοῦ βασιλέως Δαυίδ, [17] καὶ χίλιοι ἄνδρες μετ' αὐτοῦ ἐκ τοῦ Βε- 17
νιαμίν, καὶ Σιβὰ τὸ παιδάριον τοῦ οἴκου Σαοὺλ καὶ πεντεκαίδεκα υἱοὶ αὐτοῦ
μετ' αὐτοῦ καὶ εἴκοσι δοῦλοι αὐτοῦ μετ' αὐτοῦ, καὶ κατεύθυναν τὸν Ἰορδά-
νην ἔμπροσθεν τοῦ βασιλέως, [18] καὶ ἐλειτούργησαν τὴν λειτουργίαν τοῦ διαβι- 18
βάσαι τὸν βασιλέα· καὶ διέβη ἡ διάβασις τοῦ ἐξεγεῖραι τὸν οἶκον τοῦ βασι-
λέως καὶ τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ Σεμεῒ υἱὸς Γηρὰ
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον τοῦ βασιλέως, διαβαίνοντος αὐτοῦ τὸν Ἰορ-
δάνην, [19] καὶ εἶπε πρὸς τὸν βασιλέα Μὴ δὴ λογισάσθω ὁ κύριός μου ἀνομίαν, 19
καὶ μὴ μνησθῇς ὅσα ἠδίκησεν ὁ παῖς σου ἐν τῇ ἡμέρᾳ ᾗ ὁ κύριός μου ἐξε-
πορεύετο ἐξ Ἱερουσαλήμ, τοῦ θέσθαι τὸν βασιλέα εἰς τὴν καρδίαν αὐτοῦ·
[20] ὅτι ἔγνω ὁ δοῦλός σου ὅτι ἐγὼ ἥμαρτον, καὶ ἰδοὺ ἐγὼ ἦλθον σήμερον πρό- 20
τερος παντὸς Ἰσραὴλ καὶ οἴκου Ἰωσὴφ τοῦ καταβῆναί με εἰς ἀπαντὴν τοῦ
κυρίου μου τοῦ βασιλέως. [21] καὶ ἀπεκρίθη Ἀβεσσαὲ υἱὸς Σαρουίας καὶ εἶπε 21
Μὴ ἀντὶ τούτου οὐ θανατωθήσεται Σεμεΐ, ὅτι κατηράσατο τὸν χριστὸν κυρίου;
[22] καὶ εἶπε Δαυίδ Τί ἐμοὶ καὶ ὑμῖν, υἱοὶ Σαρουίας, ὅτι γίνεσθέ μοι σήμερον 22
εἰς ἐπίβουλον; σήμερον οὐ θανατωθήσεταί τις ἀνὴρ ἐξ Ἰσραήλ, ὅτι οὐκ οἶδα
εἰ σήμερον βασιλεύω ἐγὼ ἐπὶ τὸν Ἰσραήλ. [23] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σεμεΐ 23
Οὐ μὴ ἀποθάνῃς· καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεύς. [24] καὶ Μεμφιβοσθὲ υἱὸς υἱοῦ 24
Σαοὺλ κατέβη εἰς ἀπαντὴν τοῦ βασιλέως, καὶ οὐκ ἐθεράπευσε τοὺς πόδας αὐτοῦ
οὐδὲ ὠνυχίσατο οὐδὲ ἐποίησε τὸν μύστακα αὐτοῦ καὶ τὰ ἱμάτια αὐτοῦ οὐκ
ἀπέπλυνεν ἀπὸ τῆς ἡμέρας ἧς ἀπῆλθεν ὁ βασιλεὺς ἕως τῆς ἡμέρας ἧς αὐτὸς
παρεγένετο ἐν εἰρήνῃ. [25] καὶ ἐγένετο ὅτε εἰσῆλθεν εἰς Ἱερουσαλὴμ εἰς ἀπάν- 25
τησιν τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Τί ὅτι οὐκ ἐπορεύθης μετ'
ἐμοῦ, Μεμφιβοσθέ; [26] καὶ εἶπε πρὸς αὐτὸν Μεμφιβοσθέ Κύριέ μου βασιλεῦ, 26
ὁ δοῦλός μου παρελογίσατό με, ὅτι εἶπεν ὁ παῖς σου αὐτῷ Ἐπίσαξόν μοι τὴν
ὄνον καὶ ἐπιβῶ ἐπ' αὐτὴν καὶ πορεύσομαι μετὰ τοῦ βασιλέως, ὅτι χωλὸς ὁ
δοῦλός σου, [27] καὶ μεθώδευσεν ἐν τῷ δούλῳ σου πρὸς τὸν κύριόν μου τὸν βα- 27
σιλέα· καὶ ὁ κύριός μου ὁ βασιλεὺς ὡς ἄγγελος τοῦ θεοῦ, καὶ ποίησον τὸ ἀγα-
θὸν ἐν ὀφθαλμοῖς σου. [28] ὅτι οὐκ ἦν πᾶς ὁ οἶκος τοῦ πατρός μου ἀλλ' ἢ ὅτι 28
ἄνδρες θανάτου τῷ κυρίῳ μου τῷ βασιλεῖ, καὶ ἔθηκας τὸν δοῦλόν σου ἐν τοῖς
ἐσθίουσι τὴν τράπεζάν σου· καὶ τί ἔστι μοι ἔτι δικαίωμα καὶ τοῦ κεκραγέ-
ναι με ἔτι πρὸς τὸν βασιλέα; [29] καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ἵνα τί λαλεῖς ἔτι 29
τοὺς λόγους σου; εἶπον Σὺ καὶ Σιβὰ διελεῖσθε τὸν ἀγρόν. [30] καὶ εἶπε Μεμ- 30
φιβοσθὲ πρὸς τὸν βασιλέα Καί γε τὰ πάντα λαβέτω μετὰ τὸ παραγενέσθαι
τὸν κύριόν μου τὸν βασιλέα ἐν εἰρήνῃ εἰς τὸν οἶκον αὐτοῦ. [31] καὶ Βερζελλὶ ὁ 31
Γαλααδίτης κατέβη ἐκ Ῥωγελλὶμ καὶ διέβη μετὰ τοῦ βασιλέως τὸν Ἰορδάνην
ἐκπέμψαι αὐτὸν τὸν Ἰορδάνην. [32] καὶ Βερζελλὶ ἀνὴρ πρεσβύτερος σφόδρα, υἱὸς 32
ὀγδοήκοντα ἐτῶν, καὶ αὐτὸς διέθρεψε τὸν βασιλέα ἐν τῷ οἰκεῖν αὐτὸν ἐν Μα-
ναΐμ, ὅτι ἀνὴρ μέγας ἦν σφόδρα. [33] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Βερζελλί Σὺ 33

---

16. σεμεει ... ιεμενει εκ βαουρειμ ... εις απαντησιν ... om δαυιδ in f. 17. βενιαμειν ... και δεκαπεντε ... om κ. εικοσι δουλ. α. μετ αυτ. 18. τ. λειτουργιαν του βασιλεως του διαβιβ. αυτον ... διεβη διαβασις ... σεμεει ... om αυτου ενωπιον 19. Μη διαλογισασθω ... η εξεπορ. ο κυρ. μου ο βασιλευς εξ 20. om ισραηλ και 21. ο αβισαϊ υι. σαρ. λεγων Μη ... σεμεει 22. om μοι ... ει σημερον εμοι εγω βασιλευω 23. σεμεει 24. μεμφιβοσθαι υιος σαουλ ... ε. απαντησιν ... ουκ επλυνεν ... om αυτος 25. 26. μεμφιβοσθαι · 26. om μου prius ... ο δουλος σου 27. κ. μεθωδ. ο δουλος σου προς ... ο βασιλ. εποιησεν το καλον ενωπιον ως αγγελ. του θεου · κ. ποιησον 28. ουκ ην παροικος του πατρ. σου 30. μεμφιβοσθαι ... om γε 31. βερζελλει ... ρωγελλειμ 32. βερζελλει ... μαναειμ ... εστιν pro ην 33. ο βασιλευς βερζελλει

Digitized by Google

διαβήσῃ μετ' ἐμοῦ, καὶ διαθρέψω τὸ γῆράς σου μετ' ἐμοῦ ἐν Ἱερουσαλήμ.
34 [34] καὶ εἶπε Βερζελλὶ πρὸς τὸν βασιλέα Πόσαι ἡμέραι ἐτῶν ζωῆς μου, ὅτι ἀνα-
35 βήσομαι μετὰ τοῦ βασιλέως εἰς Ἱερουσαλήμ; [35] υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ
εἰμι σήμερον· εἰ μὴν γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ; εἰ γεύσεται ὁ
δοῦλός σου ἔτι ὃ φάγομαι ἢ πίομαι; ἢ ἀκούσομαι ἔτι φωνὴν ᾀδόντων καὶ
ᾀδουσῶν; καὶ ἵνα τί ἔσται ἔτι ὁ δοῦλός σου εἰς φορτίον ἐπὶ τὸν κύριόν μου
36 τὸν βασιλέα; [36] ὡς βραχὺ διαβήσεται ὁ δοῦλός σου τὸν Ἰορδάνην μετὰ τοῦ
βασιλέως· καὶ ἵνα τί ἀνταποδίδωσί μοι ὁ βασιλεὺς τὴν ἀνταπόδοσιν ταύ-
37 την; [37] καθισάτω δὴ ὁ δοῦλός σου καὶ ἀποθανοῦμαι ἐν τῇ πόλει μου παρὰ
τῷ τάφῳ τοῦ πατρός μου καὶ τῆς μητρός μου· καὶ ἰδοὺ ὁ δοῦλός σου Χα-
μαὰμ διαβήσεται μετὰ τοῦ κυρίου μου τοῦ βασιλέως, καὶ ποίησον αὐτῷ τὸ
38 ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. [38] καὶ εἶπεν ὁ βασιλεύς Μετ' ἐμοῦ διαβήτω Χα-
μαάμ, κἀγὼ ποιήσω αὐτῷ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς μου, καὶ πάντα ὅσα ἂν
39 ἐκλέξῃ ἐπ' ἐμοὶ ποιήσω σοι. [39] καὶ διέβη πᾶς ὁ λαὸς τὸν Ἰορδάνην, καὶ ὁ
βασιλεὺς διέβη· καὶ κατεφίλησεν ὁ βασιλεὺς τὸν Βερζελλὶ καὶ εὐλόγησεν αὐ-
40 τόν, καὶ ἐπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ. [40] καὶ διέβη ὁ βασιλεὺς εἰς Γάλ-
γαλα, καὶ Χαμαὰμ διέβη μετ' αὐτοῦ· καὶ πᾶς ὁ λαὸς Ἰούδα διαβαίνοντες
41 μετὰ τοῦ βασιλέως καί γε τὸ ἥμισυ τοῦ λαοῦ Ἰσραήλ. [41] καὶ ἰδοὺ πᾶς ἀνὴρ
Ἰσραὴλ παρεγένοντο πρὸς τὸν βασιλέα, καὶ εἶπε πρὸς τὸν βασιλέα Τί ὅτι ἔκλε-
ψάν σε οἱ ἀδελφοὶ ἡμῶν ἀνὴρ Ἰούδα, καὶ διεβίβασαν τὸν βασιλέα καὶ τὸν
42 οἶκον αὐτοῦ τὸν Ἰορδάνην, καὶ πάντες ἄνδρες Δαυὶδ μετ' αὐτοῦ; [42] καὶ ἀπε-
κρίθη πᾶς ἀνὴρ Ἰούδα πρὸς ἄνδρα Ἰσραὴλ καὶ εἶπαν Διότι ἐγγίζει πρός μὲ
ὁ βασιλεύς· καὶ ἵνα τί οὕτως ἐθυμώθης περὶ τοῦ λόγου τούτου; μὴ βρώσει
43 ἐφάγαμεν ἐκ τοῦ βασιλέως, ἢ δόμα ἔδωκεν ἢ ἄρσιν ἦρεν ἡμῖν; [43] καὶ ἀπε-
κρίθη ἀνὴρ Ἰσραὴλ τῷ ἀνδρὶ Ἰούδα καὶ εἶπεν Δέκα χεῖρές μοι ἐν τῷ βασι-
λεῖ, καὶ πρωτότοκος ἐγὼ ἢ σύ, καί γε ἐν τῷ Δαυὶδ εἰμι ὑπὲρ σέ· καὶ ἵνα τί
τοῦτο ὕβρισάς με καὶ οὐκ ἐλογίσθη ὁ λόγος μου πρῶτός μοι τοῦ Ἰούδα ἐπι-
στρέψαι τὸν βασιλέα ἐμοί; καὶ ἐσκληρύνθη ὁ λόγος ἀνδρὸς Ἰούδα ὑπὲρ τὸν
λόγον ἀνδρὸς Ἰσραήλ.

## XX.

Καὶ ἐκεῖ ἐπικαλούμενος υἱὸς παράνομος καὶ ὄνομα αὐτῷ Σαβεέ, υἱὸς
Βοχορὶ ἀνὴρ ὁ Ἰεμινί, καὶ ἐσάλπισε τῇ κερατίνῃ καὶ εἶπεν Οὐκ ἔστιν ἡμῖν
μερὶς ἐν Δαυὶδ οὐδὲ κληρονομία ἡμῖν ἐν τῷ υἱῷ Ἰεσσαί· ἀνὴρ εἰς τὰ σκη-
2 νώματά σου, Ἰσραήλ. [2] καὶ ἀνέβη πᾶς ἀνὴρ Ἰσραὴλ ἀπὸ ὄπισθεν Δαυὶδ ὀπίσω
Σαβεὲ υἱοῦ Βοχορί· καὶ ἀνὴρ Ἰούδα ἐκολλήθη τῷ βασιλεῖ αὐτῶν ἀπὸ τοῦ
3 Ἰορδάνου καὶ ἕως Ἱερουσαλήμ. [3] καὶ εἰσῆλθε Δαυὶδ εἰς τὸν οἶκον αὐτοῦ εἰς
Ἱερουσαλήμ· καὶ ἔλαβεν ὁ βασιλεὺς τὰς δέκα γυναῖκας τὰς παλλακὰς αὐτοῦ,
ἃς ἀφῆκε φυλάσσειν τὸν οἶκον, καὶ ἔδωκεν αὐτὰς ἐν οἴκῳ φυλακῆς, καὶ διέ-
θρεψεν αὐτὰς καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθε, καὶ ἦσαν συνεχόμεναι ἕως ἡμέρας
4 θανάτου αὐτῶν χῆραι ζῶσαι. [4] καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀμεσσαΐ Βόησόν
5 μοι τὸν ἄνδρα Ἰούδα τρεῖς ἡμέρας, σὺ δὲ αὐτοῦ στῆθι. [5] καὶ ἐπορεύθη Ἀμεσσαΐ
τοῦ βοῆσαι τὸν Ἰούδαν, καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ οὗ ἐτάξατο αὐτῷ Δαυίδ.

---

33. διαθρεψω τον οικον σου εν ιερ. 34. βερζελλει ... εν ιερουσ. 35. σημερον· μη γνωσομαι ... η γευσεται ο δ. σ. οτι ο φαγ. η πιομ. και ακουσομαι ... om και ante ινα ... εσται ο δουλ. σ. ετι 37. χανααν 38. χανααν ... εν οφθαλμ. σου ... οσα εκδεξηται (corr. εκλεξ.?) 39. βερζελλει 40. κ. διεβ. πας ο λαος εις ... χανααν 41. ειπαν 42. ο βασιλ. μου προς με ... τουτο pro ουτως ... βρωσιν εφαγομεν ... δεδωκεν 43. om ιουδα XX. 1. επικαλ. εκει ... αβεε υι. βοχορει ... ειεμενει ... εν τη κερατινη ... μερις ημιν 2. βοχορει 3. παλλακιδας 4. αμεσσαει 5. αμεσσαει ... om δαυιδ

Digitized by Google

[6] καὶ εἶπε Δαυὶδ πρὸς Ἀμεσσαΐ Νῦν κακοποιήσει ἡμᾶς Σαβεὲ υἱὸς Βοχορὶ ὑπὲρ 6
Ἀβεσσαλώμ· καὶ νῦν σὺ λάβε μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ κυρίου σου καὶ
καταδίωξον ὀπίσω αὐτοῦ, μή ποτε ἑαυτῷ εὕρῃ πόλεις ὀχυρὰς καὶ σκιάσει
τοὺς ὀφθαλμοὺς ἡμῶν. [7] καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ Ἀβεσσαΐ καὶ οἱ ἄνδρες Ἰωὰβ 7
καὶ ὁ Χερεθὶ καὶ ὁ Φελεθὶ καὶ πάντες οἱ δυνατοί, καὶ ἐξῆλθον ἐξ Ἱερουσα-
λὴμ διῶξαι ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί. [8] καὶ αὐτοὶ παρὰ τῷ λίθῳ τῷ μεγάλῳ 8
τῷ ἐν Γαβαών, καὶ Ἀμεσσαΐ εἰσῆλθεν ἔμπροσθεν αὐτῶν· καὶ Ἰωὰβ περιε-
ζωσμένος μανδύαν τὸ ἔνδυμα αὐτοῦ, καὶ ἐπ' αὐτῷ ἐζωσμένος μάχαιραν ἐζευ-
γμένην ἐπὶ τῆς ὀσφύος αὐτοῦ ἐν κολεῷ αὐτῆς· καὶ ἡ μάχαιρα ἐξῆλθε, καὶ
αὐτὴ ἐξῆλθε καὶ ἔπεσε. [9] καὶ εἶπεν Ἰωὰβ τῷ Ἀμεσσαΐ Εἰ ὑγιαίνεις σύ, ἀδελφέ; 9
καὶ ἐκράτησεν ἡ χεὶρ ἡ δεξιὰ Ἰωὰβ τοῦ πώγωνος Ἀμεσσαΐ τοῦ καταφιλῆσαι
αὐτόν. [10] καὶ Ἀμεσσαΐ οὐκ ἐφυλάξατο τὴν μάχαιραν τὴν ἐν τῇ χειρὶ Ἰωάβ· 10
καὶ ἔπαισεν αὐτὸν ἐν αὐτῇ Ἰωὰβ εἰς τὴν ψόαν, καὶ ἐξεχύθη ἡ κοιλία αὐτοῦ
εἰς τὴν γῆν, καὶ οὐκ ἐδευτέρωσεν αὐτῷ, καὶ ἀπέθανε. καὶ Ἰωὰβ καὶ Ἀβεσσαΐ
ὁ ἀδελφὸς αὐτοῦ ἐδίωξεν ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί. [11] καὶ ἀνὴρ ἔστη ἐπ' 11
αὐτὸν τῶν παιδαρίων Ἰωὰβ καὶ εἶπε Τίς ὁ βουλόμενος Ἰωάβ, καὶ τίς τοῦ
Δαυὶδ ὀπίσω Ἰωάβ; [12] καὶ Ἀμεσσαΐ πεφυρμένος ἐν τῷ αἵματι ἐν μέσῳ τῆς 12
τρίβου, καὶ εἶδεν ἀνὴρ ὅτι εἱστήκει πᾶς ὁ λαός· καὶ ἀπέστρεψε τὸν Ἀμεσ-
σαΐ ἐκ τῆς τρίβου εἰς ἀγρὸν καὶ ἐπέρριψεν ἐπ' αὐτὸν ἱμάτιον, καθότι εἶδε
πάντα τὸν ἐρχόμενον ἐπ' αὐτὸν ἑστηκότα. [13] ἡνίκα δὲ ἔφθασεν ἐκ τῆς τρίβου, 13
παρῆλθε πᾶς ἀνὴρ Ἰσραὴλ ὀπίσω Ἰωὰβ τοῦ διῶξαι ὀπίσω Σαβεὲ υἱοῦ Βο-
χορί. [14] καὶ διῆλθεν ἐν πάσαις φυλαῖς Ἰσραὴλ εἰς Ἀβὲλ καὶ εἰς Βεθμαχά, καὶ 14
πάντες ἐν Χαρρὶ καὶ ἐξεκκλησιάσθησαν καὶ ἦλθον κατόπισθεν αὐτοῦ. [15] καὶ 15
παρεγενήθησαν καὶ ἐπολιόρκουν ἐπ' αὐτὸν ἐν Ἀβὲλ καὶ Φερμαχά, καὶ ἐξέχεαν
πρόσχωμα πρὸς τὴν πόλιν καὶ ἔστη ἐν τῷ προτειχίσματι· καὶ πᾶς ὁ λαὸς ὁ
μετὰ Ἰωὰβ ἐνοοῦσαν καταβαλεῖν τὸ τεῖχος. [16] καὶ ἐβόησε γυνὴ σοφὴ ἐκ τοῦ 16
τείχους καὶ εἶπεν Ἀκούσατε ἀκούσατε, εἴπατε δὴ πρὸς Ἰωάβ Ἔγγισον ἕως
ὧδε, καὶ λαλήσω πρὸς αὐτόν. [17] καὶ προσήγγισε πρὸς αὐτήν, καὶ εἶπεν ἡ γυνή 17
Εἰ σὺ εἶ Ἰωάβ; ὁ δὲ εἶπεν Ἐγώ. εἶπε δὲ αὐτῷ Ἄκουσον τοὺς λόγους τῆς
δούλης σου· καὶ εἶπεν Ἰωάβ Ἀκούω ἐγώ εἰμι. [18] καὶ εἶπε λέγουσα Λόγον ἐλά- 18
λησαν ἐν πρώτοις λέγοντες Ἠρωτημένος ἠρωτήθη ἐν τῇ Ἀβὲλ καὶ ἐν Δὰν εἰ
ἐξέλιπον ἃ ἔθεντο οἱ πιστοὶ τοῦ Ἰσραήλ· ἐρωτῶντες ἐπερωτήσουσιν ἐν Ἀβέλ,
καὶ οὕτως εἰ ἐξέλιπον. [19] ἐγώ εἰμι εἰρηνικὰ τῶν στηριγμάτων Ἰσραήλ, σὺ δὲ 19
ζητεῖς θανατῶσαι πόλιν καὶ μητρόπολιν ἐν Ἰσραήλ· ἵνα τί καταποντίζεις κλη-
ρονομίαν κυρίου; [20] καὶ ἀπεκρίθη Ἰωὰβ καὶ εἶπεν Ἵλεώς μοι ἵλεώς μοι, εἰ κα- 20
ταποντιῶ καὶ εἰ φθερῶ· [21] οὐχ οὕτως ὁ λόγος, ὅτι ἀνὴρ ἐξ ὄρους Ἐφραΐμ, 21
Σαβεὲ υἱὸς Βοχορὶ ὄνομα αὐτοῦ, καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν βασιλέα
Δαυίδ· δότε αὐτόν μοι μόνον, καὶ ἀπελεύσομαι ἀπάνωθεν τῆς πόλεως. καὶ
εἶπεν ἡ γυνὴ πρὸς Ἰωάβ Ἰδοὺ ἡ κεφαλὴ αὐτοῦ ῥιφήσεται πρὸς σὲ διὰ τοῦ
τείχους. [22] καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα τὸν λαόν, καὶ ἐλάλησε πρὸς πᾶσαν 22

---

6. αβισαει ... βοχορει ... om συ ... om μετα σεαυτου ... ποτε ευρη αυτω 7. εξηλθεν ... om αβεσσαϊ ... χορεθθει ... φελεθθει εξαν (εξηλθαν?) ... αβεε υι. βοχορει 8. (αυτω pro αυτοι ...) των εν γαβαων ... αμεσσαει ... περιεζωσμενος pro εζωσμενος ... om και αυτη εξηλθε 9. αμεσσαει Υγιαινεις αδελφε μου αμεσσαει ... om ιωαβ ... αμεσσαει 10. αμεσσαει ... επι την ψοαν ... αβισαει ... εδιωξαν ... βοχορει 11. om ιωαβ prim. 12. αμεσαϊ ... εμμεσω ... ιδεν ο ανηρ οτι ιστηκει ... απεστρεψαν τε αμεσσαει ... επερριψαν 13. βοχορει 14. βηθμαχα ... χαρρει 15. εν αβελ εν βηθμαχα ... προχωμα ... ο λαος μετα 16. om ακουσατε alterum ... προς τον ιωαβ ... om εως 17. ηγγισεν 18. ηρωτηθην ... εξελειπον bis 19. και ινα τι 20. Ιλεως ιλεως μοι ... διαφθειρω 21. ουχ ουτος ... βοχορει ... ιδου κεφαλη ... om προς σε

Digitized by Google

τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς· καὶ ἀφεῖλε τὴν κεφαλὴν Σαβεὲ υἱοῦ Βοχορί,
καὶ ἀφεῖλε καὶ ἔβαλε πρὸς Ἰωάβ. καὶ ἐσάλπισεν ἐν κερατίνῃ, καὶ διεσπάρη-
σαν ἀπὸ τῆς πόλεως ἀπ' αὐτοῦ ἀνὴρ εἰς τὰ σκηνώματα αὐτοῦ· καὶ Ἰωὰβ
23 ἀπέστρεψεν εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα. [23] καὶ ὁ Ἰωὰβ πρὸς πάσῃ τῇ
δυνάμει Ἰσραήλ, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χερεθὶ καὶ ἐπὶ τοῦ Φελεθί,
24 [24] καὶ Ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου, καὶ Ἰωσαφὰθ υἱὸς Ἀχιλοὺθ ἀναμιμνήσκων,
25 26 [25] καὶ Σουσὰ γραμματεύς, καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς, [26] καί γε Ἰρὰς
ὁ Ἰαρὶν ἦν ἱερεὺς τῷ Δαυίδ.

## XXI.

Καὶ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαυὶδ τρία ἔτη, ἐνιαυτὸς ὁ ἐχόμενος
ἐνιαυτοῦ, καὶ ἐζήτησε Δαυὶδ τὸ πρόσωπον κυρίου· καὶ εἶπε κύριος Ἐπὶ Σαοὺλ
καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἀδικία ἐν θανάτῳ αἱμάτων αὐτοῦ, περὶ οὗ ἐθανά-
2 τωσε τοὺς Γαβαωνίτας. [2] καὶ ἐκάλεσεν ὁ βασιλεὺς Δαυὶδ τοὺς Γαβαωνίτας
καὶ εἶπε πρὸς αὐτούς. καὶ οἱ Γαβαωνῖται οὐχ υἱοὶ Ἰσραήλ εἰσιν ὅτι ἀλλ' ἢ
ἐκ τοῦ ἐλλείμματος τοῦ Ἀμοῤῥαίου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν αὐτοῖς· καὶ
ἐζήτησε Σαοὺλ πατάξαι αὐτοὺς ἐν τῷ ζηλῶσαι αὐτὸν τοὺς υἱοὺς Ἰσραὴλ καὶ
3 Ἰούδα. [3] καὶ εἶπε Δαυὶδ πρὸς τοὺς Γαβαωνίτας Τί ποιήσω ὑμῖν καὶ ἐν τίνι
4 ἐξιλάσωμαι, καὶ εὐλογήσετε τὴν κληρονομίαν κυρίου; [4] καὶ εἶπαν αὐτῷ οἱ
Γαβαωνῖται Οὐκ ἔστιν ἡμῖν ἀργύριον ἢ χρυσίον μετὰ Σαοὺλ καὶ μετὰ τοῦ
οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατῶσαι ἐν Ἰσραήλ. καὶ εἶπε Τί
5 ὑμεῖς λέγετε καὶ ποιήσω ὑμῖν; [5] καὶ εἶπαν πρὸς τὸν βασιλέα Ὁ ἀνὴρ ὃς συν-
ετέλεσεν ἐφ' ἡμᾶς καὶ ἐδίωξεν ἡμᾶς, ὃς παρελογίσατο ἐξολοθρεῦσαι ἡμᾶς,
6 ἀφανίσωμεν αὐτὸν τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ. [6] δότω ἡμῖν
ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξηλιάσωμεν αὐτοὺς τῷ κυρίῳ ἐν τῷ
7 Γαβαὼν Σαοὺλ ἐκλεκτοὺς κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς Ἐγὼ δώσω. [7] καὶ
ἐφείσατο ὁ βασιλεὺς ἐπὶ Μεμφιβοσθὲ υἱὸν Ἰωνάθαν υἱοῦ Σαοὺλ διὰ τὸν ὅρκον
κυρίου τὸν ἀνὰ μέσον αὐτῶν, καὶ ἀνὰ μέσον Δαυὶδ καὶ ἀνὰ μέσον Ἰωνάθαν
8 υἱοῦ Σαούλ. [8] καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς Ῥεσφὰ θυγατρὸς Αἰᾶ
οὓς ἔτεκε τῷ Σαούλ, τὸν Ἑρμωνοὶ καὶ τὸν Μεμφιβοσθέ, καὶ τοὺς πέντε υἱοὺς
τῆς Μιχὸλ θυγατρὸς Σαοὺλ οὓς ἔτεκε τῷ Ἐσδριὴλ υἱῷ Βερζελλὶ τῷ Μωου-
9 λαθί, [9] καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν· καὶ ἐξηλίασαν αὐτοὺς
ἐν τῷ ὄρει ἔναντι κυρίου, καὶ ἔπεσαν οἱ ἑπτὰ αὐτοὶ ἐπὶ τὸ αὐτό· καὶ αὐτοὶ
δὲ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν πρώτοις, ἐν ἀρχῇ θερισμοῦ κριθῶν.
10 [10] καὶ ἔλαβε Ῥεσφὰ θυγάτηρ Αἰᾶ τὸν σάκκον καὶ ἔπηξεν αὐτῇ πρὸς τὴν
πέτραν ἐν ἀρχῇ θερισμοῦ κριθῶν ἕως ἔσταξεν ἐπ' αὐτοὺς ὕδωρ ἐκ τοῦ ουρα-
νοῦ, καὶ οὐκ ἔδωκε τὰ πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ' αὐτοὺς ἡμέρας
11 καὶ τὰ θηρία τοῦ ἀγροῦ νυκτός. [11] καὶ ἀπηγγέλη τῷ Δαυὶδ ὅσα ἐποίησε Ῥε-
σφὰ θυγάτηρ Αἰᾶ παλλακὴ Σαούλ· [καὶ ἐξελύθησαν, καὶ κατέλαβεν αὐτοὺς
12 Δὰν υἱὸς Ἰωὰ ἐκ τῶν ἀπογόνων τῶν γιγάντων] [12] καὶ ἐπορεύθη Δαυὶδ καὶ
ἔλαβε τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ παρὰ τῶν ἀν-
δρῶν υἱῶν Ἰαβὶς Γαλαάδ, οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς πλατείας Βαιθσάν, ὅτι

---

22. βοχορει ... εν τη κερατινη 23. και ιωαβ ... χερεθθει και οφελεθθει 24. ιωσαφατ 25. ισους ο γραμματευς 26. ειρας ο ιαειρει ... του δαυιδ XXI. 1. ενιαυτος εχομενος ... του κυριου ... αδικια· δια το αυτον θανατω αιματων περι 2. ουχι υιοι ... εκ του αιματος αμορραιου ... παταξαι αυτον 3. εξιλασομαι 4. αργ. και χρυσιον ... κ. ειπεν αυτοις 5. ειπεν ... om ος prius ... εξολεθρευσαι 6. δοτε ... εν γαβαων ... εκλεκτος 7. μεμφιβοσθαι ... υιον σαουλ δια 8. ιωναθαν pro ο βασιλευς ... ρεφφαθ θυγ. ... ερμωνιει ... μεμφιβοσθαι ... υιους μελχολ ... τω εσδρι υιω βερζελλει τω μοουλαθειτη 9. εναντιον ... αρχη pro εν αρχη 10. υδωρ επ αυτους 12. ιαβεις γ. οι εθαψαν ... βηθσαν

Digitized by Google

ἔστησαν αὐτοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν τῇ ἡμέρᾳ ᾗ ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν
Σαοὺλ ἐν Γελβουέ. 13 καὶ ἀνήνεγκεν ἐκεῖθεν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ 13
Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ συνήγαγε τὰ ὀστᾶ τῶν ἐξηλιασμένων. 14 καὶ 14
ἔθαψαν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ τὰ ὀστᾶ
τῶν ἡλιασθέντων ἐν γῇ Βενιαμὶν ἐν τῇ πλευρᾷ ἐν τῷ τάφῳ Κὶς τοῦ πατρὸς
αὐτοῦ· καὶ ἐποίησαν πάντα ὅσα ἐνετείλατο ὁ βασιλεύς, καὶ ἐπήκουσεν ὁ θεὸς
τῇ γῇ μετὰ ταῦτα. 15 καὶ ἐγενήθη ἔτι πόλεμος τοῖς ἀλλοφύλοις μετὰ Ἰσραήλ· 15
καὶ κατέβη Δαυὶδ καὶ οἱ παῖδες αὐτοῦ μετ' αὐτοῦ καὶ ἐπολέμησαν μετὰ τῶν
ἀλλοφύλων· καὶ ἐπορεύθη Δαυίδ. 16 καὶ Ἰεσβὶ ὃς ἦν ἐν τοῖς ἐκγόνοις τοῦ 16
Ῥαφά, καὶ ὁ σταθμὸς τοῦ δόρατος αὐτοῦ τριακοσίων σίκλων ὁλκῇ χαλκοῦ,
καὶ αὐτὸς περιεζωσμένος κορύνην, καὶ διενοεῖτο τοῦ πατάξαι τὸν Δαυίδ. 17 καὶ 17
ἐβοήθησεν αὐτῷ Ἀβεσσὰ υἱὸς Σαρουίας, καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθα-
νάτωσεν αὐτόν· τότε ὤμοσαν οἱ ἄνδρες Δαυὶδ λέγοντες Οὐκ ἐξελεύσῃ ἔτι μεθ'
ἡμῶν εἰς πόλεμον, καὶ οὐ μὴ σβέσῃς τὸν λύχνον Ἰσραήλ. 18 καὶ ἐγενήθη μετὰ 18
ταῦτα ἔτι πόλεμος ἐν Γὲθ μετὰ τῶν ἀλλοφύλων· τότε ἐπάταξε Σεβοχὰ ὁ
Ἀστατωθὶ τὸν Σὲφ ἐν τοῖς ἐγγόνοις τοῦ Ῥαφά. 19 καὶ ἐγένετο ὁ πόλεμος ἐν 19
Ῥὸμ μετὰ τῶν ἀλλοφύλων· καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς Ἀριωργὶμ ὁ Βαιθλεε-
μίτης τὸν Γολιὰθ τὸν Γεθαῖον, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς ἀντίον
ὑφαινόντων. 20 καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γέθ· καὶ ἦν ἀνὴρ Μαδών, καὶ οἱ 20
δάκτυλοι τῶν χειρῶν αὐτοῦ καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ ἕξ,
εἰκοσιτέσσαρες ἀριθμῷ· καί γε αὐτὸς ἐτέχθη τῷ Ῥαφᾷ. 21 καὶ ὠνείδισε τὸν 21
Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν Ἰωνάθαν υἱὸς Σεμεῖ ἀδελφοῦ Δαυίδ. 22 οἱ τέσ- 22
σαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γιγάντων ἐν Γὲθ τῷ Ῥαφᾷ οἶκος, καὶ
ἔπεσαν ἐν χειρὶ Δαυὶδ καὶ ἐν χειρὶ τῶν δούλων αὐτοῦ.

## XXII.

Καὶ ἐλάλησε Δαυὶδ τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ᾗ ἡμέρᾳ
ἐξείλετο αὐτὸν κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ.
2 καὶ εἶπεν ᾠδή Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου, καὶ ἐξαιρούμενός με 2
ἐμοί, 3 ὁ θεός μου φύλαξ μου ἔσται μοι, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ· ὑπερ- 3
ασπιστής μου καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου καὶ καταφυγή μου
σωτηρίας μου, ἐξ ἀδίκου σώσεις με. 4 αἰνετὸν ἐπικαλέσομαι κύριον, καὶ ἐκ 4
τῶν ἐχθρῶν μου σωθήσομαι. 5 ὅτι περιέσχον με συντριμμοὶ θανάτου, χείμαρροι 5
ἀνομίας ἐθάμβησάν με· 6 ὠδῖνες θανάτου ἐκύκλωσάν με, προέφθασάν με σκλη- 6
ρότητες θανάτου. 7 ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν κύριον καὶ πρὸς τὸν 7
θεόν μου βοήσομαι, καὶ ἐπακούσεται ἐκ ναοῦ αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή
μου ἐν τοῖς ὠσὶν αὐτοῦ. 8 καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ θεμέλια 8
τοῦ οὐρανοῦ συνεταράχθησαν καὶ ἐσπαράχθησαν, ὅτι ἐθυμώθη κύριος αὐτοῖς.
9 ἀνέβη καπνὸς ἐν τῇ ὀργῇ αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται· 9
ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ. 10 καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ 10
γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ· 11 καὶ ἐπεκάθισεν ἐπὶ τῷ Χερουβὶμ καὶ 11
ἐπετάσθη, καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμου· 12 καὶ ἔθετο σκότος ἀποκρυφὴν 12

---

12. εν ημερα η επ. αυτον οι αλλ. εν γ. τον σαουλ 14. εθαψεν ... om τα οστα tertium ... εν τη γη βενιαμειν ... κεις 15. εξελυθη pro επορευθη 16. ιεσβι εν νοβ ος ... ολκης ... διενοειτο παταξαι 17. αβισαει ... μου pro ισραηλ 18. σεβοχαει ο αουσαστωνθει τον σεφε τον εν τ. εκγονοις 19. εν γοβ μετα ... αριωργειμ ο βηθλ. ... γεθθαιον 20. αυτου εξ και εικ. τ. αρ. και γεθ ουτος 21. σεμεει 22. om ετεχθησαν ... τω ραφα εν γεθ, και XXII. 1. εν ημερα η εξειλατο 2. om ωδη 3. φυλαξ εσται μου ... αντιλημπτωρ ... * σωτηρια μου 7. επικαλεσομαι κυριον 8. ουρανου εταραχθησαν κ. εταραχθησαν, οτι 11. εκαθισεν επι χερουβειμ ... ανεμων



Digitized by Google

αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων, ἐπάχυνεν ἐν νεφέλαις ἀέρος.
13 14 [13] ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες πυρός. [14] ἐβρόν-
15 τησεν ἐξ οὐρανοῦ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ· [15] καὶ ἀπέστειλε
βέλη καὶ ἐσκόρπισεν αὐτούς, καὶ ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν αὐτούς·
16 [16] καὶ ὤφθησαν ἀφέσεις θαλάσσης, καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης
17 ἐν τῇ ἐπιτιμήσει κυρίου ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ. [17] ἀπέστειλεν ἐξ
18 ὕψους καὶ ἔλαβέ με, εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν· [18] ἐρρύσατό με ἐξ ἐχθρῶν
19 μου ἰσχύος, ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. [19] προέφθα-
20 σάν με ἡμέραι θλίψεώς μου, καὶ ἐγένετο κύριος ἐπιστήριγμά μου· [20] καὶ ἐξή-
21 γαγέ με εἰς πλατυσμὸν καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν ἐν ἐμοί· [21] καὶ ἀν-
ταπέδωκέ μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα
22 τῶν χειρῶν μου ἀνταπέδωκέ μοι. [22] ὅτι ἐφύλαξα ὁδοὺς κυρίου, καὶ οὐκ ἠσέ-
23 βησα ἀπὸ τοῦ θεοῦ μου· [23] ὅτι πάντα τὰ κρίματα αὐτοῦ κατεναντίον μου,
24 καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστην ἀπ' αὐτῶν. [24] καὶ ἔσομαι ἄμωμος
25 αὐτῷ, καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου· [25] καὶ ἀποδώσει μοι κύριος
κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώ-
26 πιον τῶν ὀφθαλμῶν αὐτοῦ. [26] μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς τελείου
27 τελειωθήσῃ· [27] καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ στρεβλω-
28 θήσῃ. [28] καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις, καὶ ὀφθαλμοὺς ἐπὶ μετεώρων τα-
29 πεινώσεις. [29] ὅτι σὺ ὁ λύχνος μου κύριε, καὶ κύριος ἐκλάμψει μοι τὸ σκότος
30 μου· [30] ὅτι ἐν σοὶ δραμοῦμαι μονόζωνος, καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι
31 τεῖχος. [31] ὁ ἰσχυρὸς ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὸ ῥῆμα κυρίου κραταιὸν πεπυ-
32 ρωμένον· ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ' αὐτόν. [32] τίς ἰσχυρὸς
33 πλὴν κυρίου; καὶ τίς κτίστης ἔσται πλὴν τοῦ θεοῦ ἡμῶν; [33] ὁ ἰσχυρὸς ὁ κρα-
34 ταιῶν με δυνάμει, καὶ ἐξετίναξεν ἄμωμον τὴν ὁδόν μου· [34] τιθεὶς τοὺς πόδας
35 μου ὡς ἐλάφων, καὶ ἐπὶ τὰ ὕψη ἱστῶν με· [35] διδάσκων χεῖράς μου εἰς πό-
36 λεμον, καὶ κατάξας τόξον χαλκοῦν ἐν βραχίονί μου. [36] καὶ ἔδωκάς μοι ὑπερ-
37 ασπισμὸν σωτηρίας μου, καὶ ἡ ὑπακοή σου ἐπλήθυνέ με [37] εἰς πλατυσμὸν
εἰς τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου.
38 [38] διώξω ἐχθρούς μου καὶ ἀφανιῶ αὐτούς, καὶ οὐκ ἀναστρέψω ἕως ἂν συν-
39 τελέσω αὐτούς· [39] καὶ θλάσω αὐτοὺς καὶ οὐκ ἀναστήσονται, καὶ πεσοῦνται
40 ὑπὸ τοὺς πόδας μου. [40] καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον, κάμψεις τοὺς
41 ἐπιστανομένους μοι ὑποκάτω μου. [41] καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον,
42 τοὺς μισοῦντάς με καὶ ἐθανάτωσας αὐτούς. [42] βοήσονται καὶ οὐκ ἔστι βοηθός,
43 πρὸς κύριον, καὶ οὐκ ἐπήκουσεν αὐτῶν. [43] καὶ ἐλέανα αὐτοὺς ὡς χοῦν γῆς,
44 ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς. [44] καὶ ῥύσῃ με ἐκ μάχης λαῶν, φυλάξεις
45 με εἰς κεφαλὴν ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνω ἐδούλευσάν μοι· [45] υἱοὶ ἀλλότριοι
46 ἐψεύσαντό μοι, εἰς ἀκοὴν ὠτίου ἤκουσάν μου· [46] υἱοὶ ἀλλότριοι ἀποῤῥιφήσον-
47 ται καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν. [47] ζῇ κύριος καὶ εὐλογητὸς ὁ
48 φύλαξ μου, καὶ ὑψωθήσεται ὁ θεός μου ὁ φύλαξ τῆς σωτηρίας μου. [48] ἰσχυ-
49 ρὸς κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί, παιδεύων λαοὺς ὑποκάτω μου, [49] καὶ
ἐξάγων με ἐξ ἐχθρῶν μου· καὶ ἐκ τῶν ἐπεγειρομένων μοι ὑψώσεις με, ἐξ
50 ἀνδρὸς ἀδικημάτων ῥύσῃ με. [50] διὰ τοῦτο ἐξομολογήσομαί σοι κύριε ἐν τοῖς

---

12. conj. σκοτ. υδατ. επαχ. ... αερων 15. om και ηστραψεν 17. ανελαβεν 18. ισχυρος pro ισχυος 20. εξειλατο ... ευδοκησεν (23. απεστησαν) 25. μου εναντιον των 27. μετα στρεβλ. διαστρεψεις 29. και κυριος μου 30. om μου 31. om κραταιον ... επ αυτω 33. δυναμιν κ. εξετεινεν 34. χαλκουν τους βραχιονας μου 36. και υπακοη 38. αφανισω ... om αν 39. ab init. add και τελεσω αυτους 40. δυναμι ... καμψει τους επανισταμενους 42. ουκ εσται ... ουχ υπηκουσεν 43. χνουν 44. εγνων εδουλευσεν 45. υπηκουσαν 47. υψωθητω ο θεος ο φυλαξ σωτ. μ. 48. υψηλος κυριος 49. om και εξαγων με εξ ε. μου ... επανισταμενων μοι

Digitized by Google

ἔθνεσι, καὶ ἐν τῷ ὀνόματί σου ψαλῶ, [51] μεγαλύνων τὰς σωτηρίας βασιλέως 51
αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ
ἕως αἰῶνος.

## XXIII.

Καὶ οὗτοι οἱ λόγοι Δαυὶδ οἱ ἔσχατοι Πιστὸς Δαυὶδ υἱὸς Ἰεσσαί, καὶ
πιστὸς ἀνὴρ ὃν ἀνέστησε κύριος ἐπὶ χριστὸν θεοῦ Ἰακώβ, καὶ εὐπρεπεῖς ψαλ-
μοὶ Ἰσραήλ. [2] πνεῦμα κυρίου ἐλάλησεν ἐν ἐμοί, καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσ- 2
σης μου. [3] λέγει ὁ θεὸς Ἰσραήλ· ἐμοὶ ἐλάλησε φύλαξ ἐξ Ἰσραὴλ παραβολήν, 3
εἶπον ἐν ἀνθρώπῳ Πῶς κραταιώσητε φόβον χριστοῦ, [4] καὶ ἐν φωτὶ θεοῦ 4
πρωίας; ἀνατείλαι ἥλιος τὸ πρωί, οὐ κύριος παρῆλθεν ἐκ φέγγους, καὶ ὡς
ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς. [5] οὐ γὰρ οὕτως ὁ οἶκός μου μετὰ ἰσχυροῦ· διαθή- 5
κην γὰρ αἰώνιον ἔθετό μοι ἑτοίμην ἐν παντὶ καιρῷ πεφυλαγμένην, ὅτι πᾶσα
σωτηρία μου καὶ πᾶν θέλημα ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος. [6] ὥςπερ 6
ἄκανθα ἐξωσμένη πάντες οὗτοι, ὅτι οὐ χειρὶ ληφθήσονται, [7] καὶ ἀνὴρ οὐ 7
κοπιάσει ἐν αὐτοῖς· καὶ πλῆρες σιδήρου καὶ ξύλον δόρατος, καὶ ἐν πυρὶ καύ-
σει, καὶ καυθήσονται αἰσχύνην αὐτῶν. [8] ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαυίδ· 8
Ἰεβοσθὲ ὁ Χαναναῖος ἄρχων τοῦ τρίτου ἐστίν· Ἀδινὼν ὁ Ἀσωναῖος, οὗτος
ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους στρατιώτας εἰςάπαξ. [9] καὶ μετ' 9
αὐτὸν Ἐλεανὰν υἱὸς πατραδέλφου αὐτοῦ υἱὸς Δουδὶ τοῦ ἐν τοῖς τρισὶ δυνα-
τοῖς μετὰ Δαυίδ· καὶ ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς ἀλλοφύλοις συνήχθησαν
ἐκεῖ εἰς πόλεμον, καὶ ἀνέβησεν ἀνὴρ Ἰσραήλ. [10] αὐτὸς ἀνέστη καὶ ἐπάταξεν 10
ἐν τοῖς ἀλλοφύλοις ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ αὐτοῦ, καὶ προσεκολλήθη ἡ χεὶρ
αὐτοῦ πρὸς τὴν μάχαιραν· καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, καὶ ὁ λαὸς ἐκάθητο ὀπίσω αὐτοῦ πλὴν ἐκδιδύσκειν. [11] καὶ μετ' αὐτὸν 11
Σαμαῖα υἱὸς Ἄσα ὁ Ἀρουχαῖος· καὶ συνήχθησαν οἱ ἀλλόφυλοι εἰς Θηρία,
καὶ ἦν ἐκεῖ μερὶς τοῦ ἀγροῦ πλήρης φακοῦ, καὶ ὁ λαὸς ἔφυγεν ἐκ προςώπου
ἀλλοφύλων. [12] καὶ ἐστηλώθη ἐν μέσῳ τῆς μερίδος, καὶ ἐξείλατο αὐτὴν καὶ 12
ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην. [13] καὶ κατ- 13
έβησαν τρεῖς ἀπὸ τῶν τριάκοντα καὶ κατέβησαν εἰς Κασὼν πρὸς Δαυὶδ εἰς
τὸ σπήλαιον Ὀδολλάμ· καὶ τάγμα τῶν ἀλλοφύλων, καὶ παρενέβαλον ἐν τῇ
κοιλάδι Ῥαφαΐν. [14] καὶ Δαυὶδ τότε ἐν τῇ περιοχῇ, καὶ τὸ ὑπόστεμα τῶν ἀλλο- 14
φύλων τότε ἐν Βηθλεέμ. [15] καὶ ἐπεθύμησε Δαυὶδ καὶ εἶπε Τίς ποτιεῖ με ὕδωρ 15
ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ; τὸ δὲ σύστεμα τῶν ἀλλο-
φύλων τότε ἐν Βηθλεέμ. [16] καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ ἐν τῇ παρεμβολῇ 16
τῶν ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεὲμ τοῦ ἐν
τῇ πύλῃ, καὶ ἔλαβαν καὶ παρεγένοντο πρὸς Δαυίδ, καὶ οὐκ ἠθέλησε πιεῖν
αὐτό· καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ [17] καὶ εἶπε Ἵλεώς μοι, κύριε, τοῦ ποιῆ- 17
σαι τοῦτο, εἰ αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίο-
μαι· καὶ οὐκ ἠθέλησε πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί. [18] καὶ 18
Ἀβεσσὰ ὁ ἀδελφὸς Ἰωὰβ υἱὸς Σαρουίας αὐτὸς ἄρχων ἐν τοῖς τρισί, καὶ αὐτὸς
ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας· καὶ αὐτῷ ὄνομα ἐν τοῖς

---

51. om τας XXIII. 1. ο ανηρ ... χριστον κυριου θεου 3. φυλαξ ισραηλ ... παραβ. ειπον conj. ... π. κραταιωσατε φοβ. κυριου 4. εν θεω φωτι πρ. ... ο ηλιος ... om κυριος 5. ουτος ... ετοιμην εθετο μοι ... πεφυλαγμενον ... βλαστασῃ 6. παντες αυτοι ... λημφθησονται 7. om ου ... κοπασει ... κ. καυθησεται αισχυνη αυτων 8. του δαυιδ ... ιεβοσθαι ... τριτου· αυτος εστιν αδειν ο ασωναος επι οκτακ. τραυματιας εισαπαξ 9. ελεαζαρ ... σωσει pro δουδι ... μετα δαυιδ· εν τω ... ανεβοησεν 10. εκοπασεν 11. om και ... σαμμεας υι. αγοα 13. εις κασωαρ ... οδολαμ ... αλλοφυλων παρενεβαλον ... ραφαειν 16. ελαβον (... πιειν αυτον κ. επισεν) 18. αβισαϊ αδελφος

19 τριῶν, [19] ἐκ τῶν τριῶν ἐκείνων ἔνδοξος, καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα, καὶ
20 ἕως τῶν τριῶν οὐκ ἦλθε. [20] καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἀνὴρ αὐτὸς πολλοστὸς
ἔργοις ἀπὸ Καβεσεήλ, καὶ αὐτὸς ἐπάταξε τοὺς δύο υἱοὺς Ἀριὴλ τοῦ Μωάβ·
καὶ αὐτὸς κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ λάκκου ἐν τῇ ἡμέρᾳ
21 τῆς χιόνος. [21] αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν Αἰγύπτιον ἄνδρα ὁρατόν, ἐν δὲ
τῇ χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς ξύλον διαβάθρας· καὶ κατέβη πρὸς αὐτὸν ἐν
ῥάβδῳ καὶ ἥρπασε τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου, καὶ ἀπέκτεινεν αὐ-
22 τὸν ἐν τῷ δόρατι αὐτοῦ. [22] ταῦτα ἐποίησε Βαναίας υἱὸς Ἰωδαέ, καὶ αὐτῷ
23 ὄνομα ἐν τοῖς τρισὶ τοῖς δυνατοῖς, [23] ἐκ τῶν τριῶν ἔνδοξος, καὶ πρὸς τοὺς
τρεῖς οὐκ ἦλθε, καὶ ἔταξεν αὐτὸν Δαυὶδ πρὸς τὰς ἀκοὰς αὐτοῦ. καὶ ταῦτα
24 τὰ ὀνόματα τῶν δυνατῶν Δαυὶδ τοῦ βασιλέως. [24] Ἀσαὴλ ἀδελφὸς Ἰωάβ, οὗτος
ἐν τοῖς τριάκοντα· Ἐλεανὰν υἱὸς Δουδὶ πατραδέλφου αὐτοῦ ἐν Βηθλεέμ·
25 26 [25] Σαιμὰ ὁ Ῥουδαῖος· [26] Σελλὴς ὁ Κελωθί· Ἴρας υἱὸς Ἴσκα ὁ Θεκωίτης·
27 28 [27] Ἀβιέζερ ὁ Ἀνωθίτης, ἐκ τῶν υἱῶν τοῦ Ἀνωθίτου· [28] Ἐλλὼν ὁ Ἀωίτης·
29 Νοερὶ ὁ Νετωφατίτης· [29] Ἐσθαΐ υἱὸς Ῥιβὰ ἐκ Γαβαὲθ υἱὸς Βενιαμὶν τοῦ
31 32 Ἐφραθαίου· [31] Ἀσμὼθ ὁ Βαρδιαμίτης· [32] Ἐμασοὺ ὁ Σαλαβωνίτης· υἱοὶ
33 Ἀσάν, Ἰωνάθαν· [33] Σαμνὰν ὁ Ἀρωδίτης· Ἀμνὰν υἱὸς Ἀραΐ Σαραουρίτης·
34 [34] Ἀλιφαλὲθ υἱὸς τοῦ Ἀσβίτου υἱὸς τοῦ Μαχαχαχί· Ἐλιὰβ υἱὸς Ἀχιτόφελ τοῦ
35 36 Γελωνίτου· [35] Ἀσαραΐ ὁ Καρμήλιος τοῦ Οὐραιοερχί· [36] Γάαλ υἱὸς Ναθανά·
37 Πολυδυνάμεως υἱὸς Γαλααδδί· [37] Ἐλιὲ ὁ Ἀμμανίτης· Ἀδροὶ ἀπὸ χειμάῤῥων·
Γαδαβιὴλ υἱὸς τοῦ Ἀραβωθαίου· Γελωρὲ ὁ Βηθωραῖος αἴρων τὰ σκεύη·
38 39 Ἰωὰβ υἱὸς Σαρουίας· [38] Ἴρας ὁ Ἐθιραῖος· Γηρὰβ ὁ Ἐθεναῖος· [39] Οὐρίας
ὁ Χετταῖος· οἱ πάντες τριάκοντα καὶ ἑπτά.

## XXIV.

Καὶ προσέθετο ὀργὴν κύριος ἐκκαῆναι ἐν Ἰσραήλ, καὶ ἐπέσεισε τὸν Δαυὶδ
2 ἐν αὐτοῖς λέγων Βάδιζε ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν. [2] καὶ εἶπεν
ὁ βασιλεὺς πρὸς Ἰωὰβ ἄρχοντα τῆς ἰσχύος τὸν μετ' αὐτοῦ Δίελθε δὴ πάσας
φυλὰς Ἰσραὴλ καὶ Ἰούδα ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ καὶ ἐπίσκεψαι τὸν λαόν,
3 καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ. [3] καὶ εἶπεν Ἰωὰβ πρὸς τὸν βασιλέα Καὶ
προσθείη κύριος ὁ θεὸς πρὸς τὸν λαὸν ὥσπερ αὐτοὺς καὶ ὥσπερ αὐτοὺς ἑκα-
τονταπλασίονα, καὶ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες· καὶ ὁ
4 κύριός μου ὁ βασιλεὺς ἵνα τί βούλεται ἐν τῷ λόγῳ τούτῳ; [4] καὶ ὑπερίσχυσεν
ὁ λόγος τοῦ βασιλέως πρὸς Ἰωὰβ καὶ εἰς τοὺς ἄρχοντας τῆς δυνάμεως· καὶ
ἐξῆλθεν Ἰωὰβ καὶ οἱ ἄρχοντες τῆς ἰσχύος ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι
5 τὸν λαὸν τὸν Ἰσραήλ. [5] καὶ διέβησαν τὸν Ἰορδάνην, καὶ παρενέβαλον ἐν Ἀροὴρ
6 ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος Γὰδ καὶ Ἐλιέζερ· [6] καὶ

---

19. επ αρχοντα 20. ιωιαδαε ... transilit ab επαταξε ad επαταξε 21. ορατην ... a δορυ ad δορυ transilit 22. ιωιαδαε 23. δαυιδ βασιλεως 24. υιος λουδει ... εκ βηθλεεμ 25. σαμμαι ο αρουδαιος· εναχα ο αρωδαιος 26. ελλης ο φελλωνει ... υιος εκκας ο θεκωειτης 27. ο αναθωθειτης ... του ασωθειτου 28. σελλωμ ο ελωειτης· μαεραει ο νεπωφαθειτης 29. plene αλαφ υιος βααναα του εφραθαιου 30. αθθαι εκ νααλεας 31. αειελβων ο αρωβωθειας· μωθ (corr. αρωβωθει· ασμωθ) ο βαρωμειτης 32. ελιαβ ο σαλαβωνειτης 33. σαμνας ο αρωδειτης· αμναν υ. αραδ ο αραρειτης 34. ελιφαλετ υ. του αιτουε υ. του μαχαται· ουελιαφ (corr. μαχαταιου· ελιαφ) ... γειλωνιτου 35. ασαραι ο κ. φαραει ο αραχειεις 36. υι. ναθαν πολλυς δυναμεως υι. γαδδι 37. plene σβλεγι ο αμανιτης· γεδωρε ο βηρωθαιος αιρ. τα σκ. ιωαβ υιου σαρουιας 38. ειρας ο εθραιος· γαρηθ ο τεθριτης 39. om οἱ XXIV. 1. προσεθ. οργη κυριου 2. φυλας του ισραηλ απο 3. ο θεος σου προς ... om και ωσπερ αυτους ... εκατονταπλασιον ... οι οφθαλμοι 4. τον λαον ισραηλ 5. ελιαζηρ

Digitized by Google

ἦλθον εἰς Γαλαὰδ καὶ εἰς γῆν Θαβασὼν ἥ ἐστιν Ἀδασαί, καὶ παρεγένοντο
εἰς Δανιδὰν καὶ Οὐδάν, καὶ ἐκύκλωσαν Σιδῶνα· 7 καὶ ἦλθον εἰς Μάψαρ Τύ- 7
ρου καὶ εἰς πάσας τὰς πόλεις τοῦ Εὐαίου καὶ τοῦ Χαναναίου· καὶ ἦλθαν κατὰ
νότον Ἰούδα εἰς Βηρσαβεέ, 8 καὶ περιώδευσαν ἐν πάσῃ τῇ γῇ· καὶ παρεγέ- 8
νοντο ἀπὸ τέλους ἐννέα μηνῶν καὶ εἴκοσι ἡμερῶν εἰς Ἱερουσαλήμ. 9 καὶ ἔδω- 9
κεν Ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ πρὸς τὸν βασιλέα· καὶ ἐγέ-
νετο Ἰσραὴλ ὀκτακόσιαι χιλιάδες ἀνδρῶν δυνάμεως σπωμένων ῥομφαίαν, καὶ
ἀνὴρ Ἰούδα πεντακόσιαι χιλιάδες ἀνδρῶν μαχητῶν. 10 καὶ ἐπάταξε καρδία 10
Δαυὶδ αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν λαόν· καὶ εἶπε Δαυὶδ πρὸς κύριον Ἥμαρ-
τον σφόδρα ὃ ἐποίησα νῦν, κύριε· παραβίβασον δὴ τὴν ἀνομίαν τοῦ δούλου
σου, ὅτι ἐμωράνθην σφόδρα. 11 καὶ ἀνέστη Δαυὶδ τὸ πρωΐ· καὶ λόγος κυρίου 11
ἐγένετο πρὸς Γὰδ τὸν προφήτην τὸν ὁρῶντα λέγων 12 Πορεύθητι καὶ λάλησον 12
πρὸς Δαυὶδ λέγων Τάδε λέγει κύριος Τρία ἐγώ εἰμι αἴρω ἐπὶ σέ, καὶ ἔκλε-
ξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι. 13 καὶ εἰσῆλθε Γὰδ πρὸς Δαυίδ, καὶ 13
ἀνήγγειλε καὶ εἶπεν αὐτῷ Ἔκλεξαι σεαυτῷ γενέσθαι, εἰ ἔλθῃ σοι τρία ἔτη
λιμὸς ἐν τῇ γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου
καὶ ἔσονται διώκοντές σε, ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου·
νῦν οὖν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με ῥῆμα. 14 καὶ εἶπε 14
Δαυὶδ πρὸς Γάδ Στενά μοι πάντοθεν σφόδρα ἐστίν· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας
κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπου οὐ μὴ
ἐμπέσω. 15 καὶ ἐξελέξατο ἑαυτῷ Δαυὶδ τὸν θάνατον· καὶ ἡμέραι θερισμοῦ πυ- 15
ρῶν καὶ ἔδωκε κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου,
καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἀπέθανεν ἐκ τοῦ λαοῦ ἀπὸ Δὰν καὶ
ἕως Βηρσαβεὲ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. 16 καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ 16
θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς Ἱερουσαλὴμ τοῦ διαφθεῖραι αὐτήν, καὶ παρεκλήθη
κύριος ἐπὶ τῇ κακίᾳ καὶ εἶπε τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ Πολὺ
νῦν, ἄνες τὴν χεῖρά σου· καὶ ὁ ἄγγελος κυρίου ἦν παρὰ τῇ ἅλῳ Ὀρνὰ τοῦ
Ἰεβουσαίου. 17 καὶ εἶπε Δαυὶδ πρὸς κύριον, ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον 17
τὸν τύπτοντα ἐν τῷ λαῷ, καὶ εἶπεν Ἰδοὺ ἐγώ εἰμι ἠδίκησα, καὶ οὗτοι τὰ
πρόβατα τί ἐποίησαν; γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ
πατρός μου. 18 καὶ ἦλθε Γὰδ πρὸς Δαυὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπεν αὐτῷ 18
Ἀνάβηθι καὶ στῆσον τῷ κυρίῳ θυσιαστήριον ἐν τῷ ἅλωνι Ὀρνὰ τοῦ Ἰεβου-
σαίου. 19 καὶ ἀνέβη Δαυὶδ κατὰ τὸν λόγον Γὰδ καθ' ὃν τρόπον ἐνετείλατο 19
αὐτῷ κύριος. 20 καὶ διέκυψεν Ὀρνά, καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς παῖδας 20
αὐτοῦ παραπορευομένους ἐπάνω αὐτοῦ· καὶ ἐξῆλθεν Ὀρνὰ καὶ προσεκύνησε
τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. 21 καὶ εἶπεν Ὀρνά Τί ὅτι ἦλθεν 21
ὁ κύριός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦλον αὐτοῦ; καὶ εἶπε Δαυίδ Κτήσασθαι
παρὰ σοῦ τὸν ἅλωνα τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ κυρίῳ, καὶ συσχεθῇ
ἡ θραῦσις ἐπάνω τοῦ λαοῦ. 22 καὶ εἶπεν Ὀρνὰ πρὸς Δαυίδ Λαβέτω καὶ ἀνε- 22
νεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ·
ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα.
23 τὰ πάντα ἔδωκεν Ὀρνὰ τῷ βασιλεῖ· καὶ εἶπεν Ὀρνὰ πρὸς τὸν βασιλέα 23
Κύριος ὁ θεός σου εὐλογήσαι σε. 24 καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ὀρνά Οὐχί 24

---

6. γην εθαων αδασαι ... εις δανιαραν και ιουδαν ... εκυκλ. εις σιδωνα την μεγαλην 7. και πασας ... κ. ηλθαν κατα τον ιορδανην εις βηρσαβαιε 10. σφοδρα οτι εποιησα το ρημα τουτο· νυν ... om δη 11. ορωντα τον δαυιδ λεγων 12. om ταδε λεγει κυριος ... ἐρω 13. ανηγγειλεν αυτω ... om εκλεξ. σ. γενεσθαι ει ... Εισελθη ... εσονται διωκειν σε 14. στενο (στενον?) ... εν χειρι κυριου 15. δαυιδ εαυτω ... εν ισραηλ θανατον ... om ωρας 16. om του θεου ... εν τη κακια ... Πολυν ανες 17. ηδικησα, και εγω ο ποιμην εκακοποιησα 18. εγ τη αλωνι 21. την αλωνα ... και συνεσχεσθη 22. εις ὁλοκαυτωματα 23. om σου

Digitized by Google

ὅτι ἀλλὰ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν ἀναλλάγματι, καὶ οὐκ ἀνοίσω τῷ
κυρίῳ μου θεῷ ὁλοκαύτωμα δωρεάν· καὶ ἐκτήσατο Δαυὶδ τὸν ἅλωνα καὶ τοὺς
25 βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα. [25] καὶ ᾠκοδόμησεν ἐκεῖ Δαυὶδ θυσιαστή-
ριον κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικάς· καὶ προςέθηκε Σαλω-
μὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις· καὶ ἐπή-
κουσε κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ἰσραήλ.

---

# ΒΑΣΙΛΕΙΩΝ

## ΤΡΙΤΗ.

### I.

Καὶ ὁ βασιλεὺς Δαυὶδ πρεσβύτερος προβεβηκὼς ἡμέραις, καὶ περιέβαλλον
2 αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο. [2] καὶ εἶπον οἱ παῖδες αὐτοῦ Ζητησάτω-
σαν τῷ βασιλεῖ παρθένον νεάνιδα καὶ παραστήσεται τῷ βασιλεῖ, καὶ ἔσται
αὐτὸν θάλπουσα καὶ κοιμηθήσεται μετ' αὐτοῦ, καὶ θερμανθήσεται ὁ κύριός
3 μου ὁ βασιλεύς. [3] καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου Ἰσραήλ, καὶ
4 εὗρον τὴν Ἀβισὰγ τὴν Σωμανῖτιν, καὶ ἤνεγκαν αὐτὴν πρὸς τὸν βασιλέα. [4] καὶ
ἡ νεᾶνις καλὴ ἕως σφόδρα· καὶ ἦν θάλπουσα τὸν βασιλέα καὶ ἐλειτούργει
5 αὐτῷ, καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐτήν. [5] καὶ Ἀδωνίας υἱὸς Ἀγγὶθ ἐπήρετο
λέγων Ἐγὼ βασιλεύσω· καὶ ἐποίησεν ἑαυτῷ ἅρματα καὶ ἱππεῖς καὶ πεντή-
6 κοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ. [6] καὶ οὐκ ἀπεκώλυσεν αὐτὸν ὁ
πατὴρ αὐτοῦ οὐδέποτε λέγων Διὰ τί σὺ ἐποίησας; καί γε αὐτὸς ὡραῖος τῇ
7 ὄψει σφόδρα, καὶ αὐτὸν ἔτεκεν ὀπίσω Ἀβεσσαλώμ. [7] καὶ ἐγένοντο οἱ λόγοι
αὐτοῦ μετὰ Ἰωὰβ τοῦ υἱοῦ Σαρουίας καὶ μετὰ Ἀβιάθαρ τοῦ ἱερέως, καὶ
8 ἐβοήθουν ὀπίσω Ἀδωνίου. [8] καὶ Σαδὼκ ὁ ἱερεὺς καὶ Βαναίας υἱὸς Ἰωδαὲ καὶ
Νάθαν ὁ προφήτης καὶ Σεμεῒ καὶ Ῥησὶ καὶ υἱοὶ δυνατοὶ τοῦ Δαυὶδ οὐκ ἦσαν
9 ὀπίσω Ἀδωνίου. [9] καὶ ἐθυσίασεν Ἀδωνίας πρόβατα καὶ μόσχους καὶ ἄρνας μετὰ
αἰθῆ τοῦ Ζωελεθί, ὃς ἦν ἐχόμενα τῆς Ῥωγήλ, καὶ ἐκάλεσε πάντας τοὺς ἀδελ-
10 φοὺς αὐτοῦ καὶ πάντας τοὺς ἁδροὺς Ἰούδα παῖδας τοῦ βασιλέως· [10] καὶ Νά-
θαν τὸν προφήτην καὶ Βαναίαν καὶ τοὺς δυνατοὺς καὶ τὸν Σαλωμὼν ἀδελφὸν
11 αὐτοῦ οὐκ ἐκάλεσε. [11] καὶ εἶπε Νάθαν πρὸς Βηρσαβεὲ μητέρα Σαλωμὼν λέγων
Οὐκ ἤκουσας ὅτι ἐβασίλευσεν Ἀδωνίας υἱὸς Ἀγγίθ, καὶ ὁ κύριος ἡμῶν Δαυὶδ
12 οὐκ ἔγνω; [12] καὶ νῦν δεῦρο συμβουλεύσω σοι δὴ συμβουλίαν, καὶ ἐξελοῦ τὴν
13 ψυχήν σου καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σαλωμών. [13] δεῦρο εἴςελθε πρὸς τὸν
βασιλέα Δαυὶδ καὶ ἐρεῖς πρὸς αὐτὸν λέγουσα Οὐχὶ σύ, κύριέ μου βασιλεῦ,

---

24. om αλλα ... εν αλλαγματι ... τω κυρ. θεω μου ... την αλω
25. om εκει ... τω κυριω ... συνεσχεσθη
Subscriptio: βασιλειων β

---

Inscriptio: βασιλειων γ
I. 2. ειπαν ... τω κυριω ημων τω βασιλει ... παραστ. ενωπιον τω βασιλει ... ο κυρ. ημων 3. την σωμανιτην 4. τον βασιλ. θαλπουσα 5. αγιθ ... παρατρεχοντας 6. απεκωλυεν ... om τη οψει 8. ιωιαδαε ... σεμεει κ. ρησει 9. εθυασεν (sic) ... προβ. κ. βοας κ. αρν. παρα τον λιθον του ζωελεθ ... της πηγης ρωγηλ ... αδελφ. αυτ. τους ανδρας (** om τους ανδρ.) τους υιους του βασιλεως κ. παντ. τ. ανδρας ιουδα παιδας (ιουδα παιδ rescripta) τ. β. 10. κ. τον ναθαν ... τ. σαλωμωντα τον 11. βηθσαβεε ... ο κυρ. ημ. ο βασιλευς δαυ.

Digitized by Google

ὤμοσας τῇ δούλῃ σου λέγων ὅτι ὁ υἱός σου Σαλωμὼν βασιλεύσει μετ' ἐμέ,
καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν Ἀδωνίας;
14 καὶ ἰδοὺ ἔτι λαλούσης σου ἐκεῖ μετὰ τοῦ βασιλέως καὶ ἐγὼ εἰςελεύσομαι 14
ὀπίσω σου καὶ πληρώσω τοὺς λόγους σου. 15 καὶ εἰςῆλθε Βηρσαβεὲ πρὸς τὸν 15
βασιλέα εἰς τὸ ταμεῖον· καὶ ὁ βασιλεὺς πρεσβύτης σφόδρα, καὶ Ἀβισὰγ ἡ
Σωμανῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ. 16 καὶ ἔκυψε Βηρσαβεὲ καὶ προςεκύ- 16
νησε τῷ βασιλεῖ· καὶ εἶπεν ὁ βασιλεύς Τί ἐστι σοι; 17 ἡ δὲ εἶπε Κύριε, σὺ 17
ὤμοσας ἐν κυρίῳ τῷ θεῷ σου τῇ δούλῃ σου λέγων ὅτι ὁ υἱός σου Σαλωμὼν
βασιλεύσει μετ' ἐμέ, καὶ καθήσεται ἐπὶ τοῦ θρόνου μου. 18 καὶ νῦν ἰδοὺ Ἀδω- 18
νίας ἐβασίλευσε, καὶ σύ, κύριέ μου βασιλεῦ, οὐκ ἔγνως· 19 καὶ ἐθυσίασε μό- 19
σχους καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ
βασιλέως καὶ Ἀβιάθαρ τὸν ἱερέα καὶ Ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως, καὶ
τὸν Σαλωμὼν τὸν δοῦλόν σου οὐκ ἐκάλεσε. 20 καὶ σύ, κύριέ μου βασιλεῦ, οἱ 20
ὀφθαλμοὶ παντὸς Ἰσραὴλ πρὸς σέ· ἀπάγγειλαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ
θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ' αὐτόν. 21 καὶ ἔσται ὡς ἂν κοιμηθῇ 21
ὁ κύριός μου ὁ βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔσομαι ἐγὼ καὶ Σα-
λωμὼν ὁ υἱός μου ἁμαρτωλοί. 22 καὶ ἰδοὺ ἔτι αὐτῆς λαλούσης μετὰ τοῦ βασι- 22
λέως καὶ Νάθαν ὁ προφήτης ἦλθε. 23 καὶ ἀνηγγέλη τῷ βασιλεῖ Ἰδοὺ Νάθαν 23
ὁ προφήτης· καὶ εἰςῆλθε κατὰ πρόςωπον τοῦ βασιλέως, καὶ προςεκύνησε τῷ
βασιλεῖ κατὰ πρόςωπον αὐτοῦ ἐπὶ τὴν γῆν. 24 καὶ εἶπε Νάθαν Κύριέ μου 24
βασιλεῦ, σὺ εἶπας Ἀδωνίας βασιλεύσει ὀπίσω μου, καὶ αὐτὸς καθήσεται ἐπὶ
τοῦ θρόνου μου; 25 ὅτι κατέβη σήμερον καὶ ἐθυσίασε μόσχους καὶ ἄρνας καὶ 25
πρόβατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ τοὺς
ἄρχοντας τῆς δυνάμεως καὶ Ἀβιάθαρ τὸν ἱερέα· καὶ ἰδού εἰσιν ἐσθίοντες καὶ
πίνοντες ἐνώπιον αὐτοῦ, καὶ εἶπαν Ζήτω ὁ βασιλεὺς Ἀδωνίας. 26 καὶ ἐμὲ αὐτὸν 26
τὸν δοῦλόν σου καὶ Σαδὼκ τὸν ἱερέα καὶ Βαναίαν υἱὸν Ἰωδαὲ καὶ Σαλωμὼν
τὸν δοῦλόν σου οὐκ ἐκάλεσεν. 27 εἰ διὰ τοῦ κυρίου μου τοῦ βασιλέως γέγονε 27
τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ σου τίς καθήσεται ἐπὶ τὸν θρόνον
τοῦ κυρίου μου τοῦ βασιλέως μετ' αὐτόν; 28 καὶ ἀπεκρίθη ὁ βασιλεὺς Δαυὶδ 28
καὶ εἶπε Καλέσατέ μοι τὴν Βηρσαβεέ· καὶ εἰςῆλθεν ἐνώπιον τοῦ βασιλέως,
καὶ ἔστη ἐνώπιον αὐτοῦ. 29 καὶ ὤμοσεν ὁ βασιλεὺς καὶ εἶπε Ζῇ κύριος ὃς ἐλυ- 29
τρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως, 30 ὅτι καθὼς ὤμοσά σοι ἐν κυρίῳ 30
θεῷ Ἰσραὴλ λέγων ὅτι Σαλωμὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμὲ καὶ αὐτὸς
καθήσεται ἐπὶ τοῦ θρόνου μου ἀντ' ἐμοῦ, ὅτι οὕτω ποιήσω τῇ ἡμέρᾳ ταύτῃ.
31 καὶ ἔκυψε Βηρσαβεὲ ἐπὶ πρόςωπον ἐπὶ τὴν γῆν, καὶ προςεκύνησε τῷ βασι- 31
λεῖ καὶ εἶπε Ζήτω ὁ κύριός μου ὁ βασιλεὺς Δαυὶδ εἰς τὸν αἰῶνα. 32 καὶ εἶπεν 32
ὁ βασιλεὺς Δαυὶδ Καλέσατέ μοι Σαδὼκ τὸν ἱερέα καὶ Νάθαν τὸν προφήτην
καὶ Βαναίαν υἱὸν Ἰωδαέ· καὶ εἰςῆλθον ἐνώπιον τοῦ βασιλέως. 33 καὶ εἶπεν ὁ 33
βασιλεὺς αὐτοῖς Λάβετε τοὺς δούλους τοῦ κυρίου ὑμῶν μεθ' ὑμῶν καὶ ἐπιβι-
βάσατε τὸν υἱόν μου Σαλωμὼν ἐπὶ τὴν ἡμίονον τὴν ἐμὴν καὶ καταγάγετε
αὐτὸν εἰς τὴν Γιών, 34 καὶ χρισάτω αὐτὸν ἐκεῖ Σαδὼκ ὁ ἱερεὺς καὶ Νάθαν 34
ὁ προφήτης εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ σαλπίσατε κερατίνῃ καὶ ἐρεῖτε Ζήτω
ὁ βασιλεὺς Σαλωμών. 35 καὶ καθήσεται ἐπὶ τοῦ θρόνου μου καὶ βασιλεύσει ἀντ' 35
ἐμοῦ, καὶ ἐγὼ ἐνετειλάμην τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ Ἰσραὴλ καὶ Ἰούδαν.

---

13. οτι σαλωμων ο υιος σου 14. σου λαλουσης 15. η σουμανιτις ... om ην 17. Κυριε μου βασιλευ ... εν κυριω θεω ... οτι σαλωμων ο υι. σου ... και αυτος καθησεται 21. και ο υιος μου σαλωμων 23. λεγοντων Ιδου ... εισηλθεν κατα το (24. αδωνιας συ βασιλευσει) 25. εθυμιασεν ... τον αρχιερεα ... ο βασ. αδωνιου 30. ουτως 32. ιωιαδαε 33. μεθ υμ. τους δουλ. τ. κυρ. υμων ... σαλωμων τον υι. μου ... εις τον γιων 34. χρισατωσαν 35. και αναβησεσθε οπισω αυτου, και εισελευσεται κ. καθησ. επι ... κ. αυτος βασιλευσει ... om εις ..., κ. επι ιουδαν

Digitized by Google

36 [36] καὶ ἀπεκρίϑη Βαναίας υἱὸς Ἰωδαὲ τῷ βασιλεῖ καὶ εἶπε Γένοιτο οὕτως·
37 πιστώσαι κύριος ὁ ϑεὸς τοῦ κυρίου μου τοῦ βασιλέως. [37] καϑὼς ἦν κύριος
μετὰ τοῦ κυρίου μου τοῦ βασιλέως, οὕτως εἴη μετὰ Σαλωμών, καὶ μεγα-
λύναι τὸν ϑρόνον αὐτοῦ ὑπὲρ τὸν ϑρόνον τοῦ κυρίου μου τοῦ βασιλέως Δαυίδ.
38 [38] καὶ κατέβη Σαδὼκ ὁ ἱερεὺς καὶ Νάϑαν ὁ προφήτης καὶ Βαναίας υἱὸς Ἰω-
δαὲ καὶ ὁ Χερεϑὶ καὶ ὁ Φελεϑί, καὶ ἐπεκάϑισαν τὸν Σαλωμὼν ἐπὶ τὴν ἡμίο-
39 νον τοῦ βασιλέως Δαυὶδ καὶ ἀπήγαγον αὐτὸν εἰς τὴν Γιών. [39] καὶ ἔλαβε Σα-
δὼκ ὁ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς σκηνῆς καὶ ἔχρισε τὸν Σαλωμών,
καὶ ἐσάλπισε τῇ κερατίνῃ· καὶ εἶπε πᾶς ὁ λαός Ζήτω ὁ βασιλεὺς Σαλωμών.
40 [40] καὶ ἀνέβη πᾶς ὁ λαὸς ὀπίσω αὐτοῦ, καὶ ἐχόρευον ἐν χοροῖς καὶ εὐφραινό-
41 μενοι εὐφροσύνην μεγάλην, καὶ ἐῤῥάγη ἡ γῆ ἐν τῇ φωνῇ αὐτῶν. [41] καὶ ἤκου-
σεν Ἀδωνίας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ, καὶ αὐτοὶ συνετέλεσαν φαγεῖν· καὶ
ἤκουσεν Ἰωὰβ τὴν φωνὴν τῆς κερατίνης καὶ εἶπε Τίς ἡ φωνὴ τῆς πόλεως
42 ἠχούσης; [42] ἔτι αὐτοῦ λαλοῦντος καὶ ἰδοὺ Ἰωνάϑαν υἱὸς Ἀβιάϑαρ τοῦ ἱερέως
εἰςῆλϑε, καὶ εἶπεν Ἀδωνίας Εἴςελϑε, ὅτι ἀνὴρ δυνάμεως εἶ σύ, καὶ ἀγαϑὰ
43 εὐαγγέλισαι. [43] καὶ ἀπεκρίϑη Ἰωνάϑαν καὶ εἶπε Καὶ μάλα ὁ κύριος ἡμῶν ὁ
44 βασιλεὺς Δαυὶδ ἐβασίλευσε τὸν Σαλωμών· [44] καὶ ἀπέστειλε μετ᾿ αὐτοῦ ὁ βα-
σιλεὺς τὸν Σαδὼκ τὸν ἱερέα καὶ Νάϑαν τὸν προφήτην καὶ Βαναίαν τὸν υἱὸν
Ἰωδαὲ καὶ τὸν Χερεϑὶ καὶ τὸν Φελεϑί, καὶ ἐπεκάϑισαν αὐτὸν ἐπὶ τὴν ἡμίο-
45 νον τοῦ βασιλέως· [45] καὶ ἔχρισαν αὐτὸν Σαδὼκ ὁ ἱερεὺς καὶ Νάϑαν ὁ προ-
φήτης ἐν τῇ Γιών, καὶ ἀνέβησαν ἐκεῖϑεν εὐφραινόμενοι, καὶ ἤχησεν ἡ πόλις·
46 αὕτη ἡ φωνὴ ἣν ἠκούσατε. [46] καὶ ἐκάϑισε Σαλωμὼν ἐπὶ ϑρόνον βασιλείας,
47 [47] καὶ εἰςῆλϑον οἱ δοῦλοι τοῦ βασιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν τὸν βασι-
λέα Δαυὶδ λέγοντες Ἀγαϑύναι ὁ ϑεὸς τὸ ὄνομα Σαλωμὼν ὑπὲρ τὸ ὄνομα σοῦ,
καὶ μεγαλύναι τὸν ϑρόνον αὐτοῦ ὑπὲρ τὸν ϑρόνον σοῦ· καὶ προςεκύνησεν ὁ
48 βασιλεὺς ἐπὶ τὴν κοίτην. [48] καί γε οὕτως εἶπεν ὁ βασιλεὺς Εὐλογητὸς κύριος
ὁ ϑεὸς Ἰσραήλ, ὃς ἔδωκε σήμερον ἐκ τοῦ σπέρματός μου καϑήμενον ἐπὶ τοῦ
49 ϑρόνου μου, καὶ οἱ ὀφϑαλμοί μου βλέπουσι. [49] καὶ ἐξέστησαν πάντες οἱ κλητοὶ
50 τοῦ Ἀδωνίου, καὶ ἦλϑον ἀνὴρ εἰς τὴν ὁδὸν αὐτοῦ. [50] καὶ Ἀδωνίας ἐφοβήϑη
ἀπὸ προςώπου Σαλωμών, καὶ ἀνέστη καὶ ἀπῆλϑε καὶ ἐπελάβετο τῶν κερά-
51 των τοῦ ϑυσιαστηρίου. [51] καὶ ἀνηγγέλη τῷ Σαλωμὼν λέγοντες Ἰδοὺ Ἀδωνίας
ἐφοβήϑη τὸν βασιλέα Σαλωμών, καὶ κατέχει τῶν κεράτων τοῦ ϑυσιαστηρίου
λέγων Ὀμοσάτω μοι σήμερον Σαλωμὼν εἰ οὐ ϑανατώσει τὸν δοῦλον αὐτοῦ
52 ἐν ῥομφαίᾳ. [52] καὶ εἶπε Σαλωμών Ἐὰν γένηται εἰς υἱὸν δυνάμεως, εἰ πε-
σεῖται τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐὰν κακία εὑρεϑῇ ἐν αὐτῷ, ϑανα-
53 τωϑήσεται. [53] καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σαλωμών, καὶ κατήνεγκαν αὐτὸν
ἀπάνωϑεν τοῦ ϑυσιαστηρίου· καὶ εἰςῆλϑε καὶ προςεκύνησε τῷ βασιλεῖ Σαλω-
μών, καὶ εἶπεν αὐτῷ Σαλωμὼν Δεῦρο εἰς τὸν οἶκόν σου.

## II.

Καὶ ἤγγισαν αἱ ἡμέραι Δαυὶδ ἀποϑανεῖν αὐτόν, καὶ ἀπεκρίνατο Σαλω-
2 μὼν υἱῷ αὐτοῦ λέγων [2] Ἐγώ εἰμι πορεύομαι ἐν ὁδῷ πάσης τῆς γῆς· καὶ
3 ἰσχύσεις καὶ ἔσῃ εἰς ἄνδρα, [3] καὶ φυλάξεις φυλακὴν κυρίου ϑεοῦ σου τοῦ πο-
ρεύεσϑαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώ-

---

36. ιωιαδαε 37. om ουτως 38. ιωιαδαε ... χερεϑϑει κ. ο φελεϑϑει ... om δαυιδ ... εις τον γιων 42. ηλϑεν 43. κ. ειπεν τω αδωνια 44. τον ναϑαν τον ... βαναιαν υιον ιωιαδαε ... χερεϑϑει ... φελεϑϑει 45. εχρισεν ... εις βασιλεαν εν τω γιων 46. της βασιλειας 47. σαλωμων του υιου σου υπερ ... κοιτην αυτου 48. εδωκεν μοι σημερον ... ϑρονου, και οι 49. κ. εξ. και εξανεστησαν ... απηλϑεν 51. σημερ. ο βασιλευς σαλωμων 53. σαλωμων ο βασιλευς ... κατηνεγκεν II. 1. om αυτον ... τω σαλωμων 3. την φυλακην

Digitized by Google

ματα καὶ τὰ κρίματα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωυσέως· ἵνα συνήσῃς ἃ
ποιήσεις κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι· 4 ἵνα στήσῃ κύριος τὸν λόγον 4
αὐτοῦ ὃν ἐλάλησε λέγων Ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν πορεύεσθαι
ἐνώπιόν μου ἐν ἀληθείᾳ ἐν ὅλῃ καρδίᾳ αὐτῶν, λέγων Οὐκ ἐξολοθρευθήσεταί
σοι ἀνὴρ ἐπάνωθεν θρόνου Ἰσραήλ. 5 καί γε σὺ ἔγνως ὅσα ἐποίησέ μοι Ἰωὰβ 5
υἱὸς Σαρουίας, ὅσα ἐποίησε τοῖς δυσὶν ἄρχουσι τῶν δυνάμεων Ἰσραήλ, τῷ
Ἀβεννὴρ υἱῷ Νὴρ καὶ τῷ Ἀμεσαῒ υἱῷ Ἰεθέρ, καὶ ἀπέκτεινεν αὐτοὺς καὶ ἔταξε
τὰ αἵματα πολέμου ἐν εἰρήνῃ, καὶ ἔδωκεν αἷμα ἀθῷον ἐν τῇ ζώνῃ αὐτοῦ τῇ
ἐν τῇ ὀσφύϊ αὐτοῦ καὶ ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ ἐν τῷ ποδὶ αὐτοῦ. 6 καὶ 6
ποιήσεις κατὰ τὴν σοφίαν σου καὶ οὐ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν εἰρήνῃ
εἰς ᾅδου. 7 καὶ τοῖς υἱοῖς Βερζελλὶ τοῦ Γαλααδίτου ποιήσεις ἔλεος, καὶ ἔσονται 7
ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου· ὅτι οὕτως ἤγγισάν μοι ἐν τῷ με ἀποδι-
δράσκειν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ σου. 8 καὶ ἰδοὺ μετὰ σοῦ 8
Σεμεῒ υἱὸς Γηρὰ υἱὸς τοῦ Ἰεμενὶ ἐκ Βαουρίμ, καὶ αὐτὸς κατηράσατό με κατά-
ραν ὀδυνηρὰν τῇ ἡμέρᾳ ᾗ ἐπορευόμην εἰς παρεμβολάς, καὶ αὐτὸς κατέβη εἰς
ἀπαντήν μου εἰς τὸν Ἰορδάνην, καὶ ὤμοσα αὐτῷ ἐν κυρίῳ λέγων Εἰ θανα-
τώσω σε ἐν ῥομφαίᾳ. 9 καὶ οὐ μὴ ἀθῳώσῃς αὐτόν, ὅτι ἀνὴρ σοφὸς εἶ σύ, 9
καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς
*Act.13, 36. ᾅδου. 10 καὶ ἐκοιμήθη Δαυὶδ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει 10
Δαυίδ. 11 καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσε Δαυὶδ ἐπὶ τὸν Ἰσραὴλ τεσσαράκοντα 11
ἔτη· ἐν Χεβρὼν ἐβασίλευσεν ἑπτὰ ἔτη, καὶ ἐν Ἱερουσαλὴμ τριακοντατρία ἔτη.
12 καὶ Σαλωμὼν ἐκάθισεν ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἡτοιμάσθη 12
ἡ βασιλεία αὐτοῦ σφόδρα. 13 καὶ εἰσῆλθεν Ἀδωνίας υἱὸς Ἀγγὶθ πρὸς Βηρσαβεὲ 13
μητέρα Σαλωμὼν καὶ προσεκύνησεν αὐτῇ· ἡ δὲ εἶπεν Εἰρήνη ἡ εἴσοδός σου;
καὶ εἶπεν Εἰρήνη, 14 λόγος μοι πρὸς σέ· καὶ εἶπεν αὐτῷ Λάλησον. 15 καὶ εἶ- 14 15
πεν αὐτῇ Σὺ οἶδας ὅτι ἐμοὶ ἦν βασιλεία καὶ ἐπ' ἐμὲ ἔθετο πᾶς Ἰσραὴλ τὸ
πρόςωπον αὐτοῦ εἰς βασιλέα, καὶ ἐστράφη ἡ βασιλεία καὶ ἐγένετο τῷ ἀδελφῷ
μου, ὅτι παρὰ κυρίου ἐγενήθη αὐτῷ. 16 καὶ νῦν αἴτησιν μίαν ἐγὼ αἰτοῦμαι 16
παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου· καὶ εἶπεν αὐτῷ Βηρσαβεὲ Λά-
λει. 17 καὶ εἶπεν αὐτῇ Εἰπὸν δὴ πρὸς Σαλωμὼν τὸν βασιλέα ὅτι οὐκ ἀπο- 17
στρέψει τὸ πρόςωπον αὐτοῦ ἀπὸ σοῦ καὶ δώσει μοι τὴν Ἀβισὰγ τὴν Σωμα-
νῖτιν εἰς γυναῖκα. 18 καὶ εἶπε Βηρσαβεέ Καλῶς, ἐγὼ λαλήσω περὶ σοῦ τῷ 18
βασιλεῖ. 19 καὶ εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸν βασιλέα Σαλωμὼν λαλῆσαι αὐτῷ 19
περὶ Ἀδωνίου· καὶ ἐξανέστη ὁ βασιλεὺς εἰς ἀπαντὴν αὐτῇ καὶ κατεφίλησεν
αὐτήν, καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου· καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βασι-
λέως, καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ. 20 καὶ εἶπεν αὐτῷ Αἴτησιν μίαν μικρὰν 20
ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν μου· καὶ εἶπεν αὐτῇ
ὁ βασιλεὺς Αἴτησαι, μῆτερ ἐμή, καὶ οὐκ ἀποστρέψω σε. 21 καὶ εἶπε Δοθήτω 21
δὴ Ἀβισὰγ ἡ Σωμανῖτις τῷ Ἀδωνίᾳ τῷ ἀδελφῷ σου εἰς γυναῖκα. 22 καὶ ἀπε- 22
κρίθη ὁ βασιλεὺς Σαλωμὼν καὶ εἶπε τῇ μητρὶ αὐτοῦ Καὶ ἵνα τί σὺ ᾔτησαι

---

3. δικαιωμ. αυτου κ. τα κρ. και τα μαρτυρια αυτου τα ... ινα συνιης ... om αν 4 ινα στησει ... ον ελαλ. περι εμου λεγων ... καρδ. αυτ. και εν ολη ψυχη αυτων ... εξολεθρευθησεται ... του θρονου 5. μοι εποιησεν ... τω αμμεσα (... του εν τω pro τω ε. τ.) 7. βερζελλει ... om με 8. σεμεει ... ιεμενει εκ βαθουρειμ ... κατηρησατο ... εις απαντησιν 9. αθοωσης 11. τεσσερακοντα ... εβασιλευσεν τριακοντα και τρια ε. 12. σολομων ... επι του θρονου δ. τ. π. αυτ. ετων δωδεκα 13. υι. αγειθ ... προσεκ. αυτην 14. και ειπεν Λογος 15. ην η βασιλεια ... εγενηθη τω ... εγενετο αυτω 16. το προσωπ. μου 17. την σουμανιτην γυναικα 19. απαντησιν ... επι τ. θρ. αυτου 20. το προσωπ. σου ... om αυτη ... εμη, οτι ουκ 21. σουμανιτις 22. ινα συ

Digitized by Google

τὴν Ἀβισὰγ τῷ Ἀδωνίᾳ; καὶ αἴτησαι αὐτῷ τὴν βασιλείαν, ὅτι οὗτος ἀδελ-
φός μου ὁ μέγας ὑπὲρ ἐμέ, καὶ αὐτῷ Ἀβιάθαρ ὁ ἱερεὺς καὶ αὐτῷ Ἰωὰβ
23 υἱὸς Σαρουίας ἀρχιστράτηγος ἑταῖρος. [23] καὶ ὤμοσεν ὁ βασιλεὺς Σαλωμὼν κατὰ
τοῦ κυρίου λέγων Τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη, ὅτι κατὰ τῆς
24 ψυχῆς αὐτοῦ ἐλάλησεν Ἀδωνίας τὸν λόγον τοῦτον. [24] καὶ νῦν ζῇ κύριος ὃς
ἡτοίμασέ με καὶ ἔθετό με ἐπὶ τὸν θρόνον Δαυὶδ τοῦ πατρός μου, καὶ αὐτὸς
ἐποίησέ μοι οἶκον καθὼς ἐλάλησε κύριος, ὅτι σήμερον θανατωθήσεται Ἀδω-
25 νίας. [25] καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς Σαλωμὼν ἐν χειρὶ Βαναίου υἱοῦ Ἰωδαὲ
26 καὶ ἀνεῖλεν αὐτόν, καὶ ἀπέθανεν Ἀδωνίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [26] καὶ τῷ Ἀβιά-
θαρ τῷ ἱερεῖ εἶπεν ὁ βασιλεύς Ἀπότρεχε σὺ εἰς Ἀναθὼθ εἰς ἀγρόν σου, ὅτι
ἀνὴρ θανάτου εἶ σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ οὐ θανατώσω σε, ὅτι ἦρας τὴν
κιβωτὸν τῆς διαθήκης κυρίου ἐνώπιον τοῦ πατρός μου, καὶ ὅτι ἐκακουχήθης
27 ἐν πᾶσιν οἷς ἐκακουχήθη ὁ πατήρ μου. [27] καὶ ἐξέβαλε Σαλωμὼν τὸν Ἀβιά-
θαρ τοῦ μὴ εἶναι ἱερέα τοῦ κυρίου, πληρωθῆναι τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν
28 ἐπὶ τὸν οἶκον Ἡλὶ ἐν Σηλώμ. [28] καὶ ἡ ἀκοὴ ἦλθεν ἕως Ἰωὰβ υἱοῦ Σαρουίας,
ὅτι Ἰωὰβ ἦν κεκληκὼς ὀπίσω Ἀδωνίου, καὶ ὀπίσω Σαλωμὼν οὐκ ἔκλινε· καὶ
ἔφυγεν Ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ κυρίου καὶ κατέσχε τῶν κεράτων τοῦ θυ-
29 σιαστηρίου. [29] καὶ ἀπηγγέλη τῷ Σαλωμὼν λέγοντες ὅτι πέφευγεν Ἰωὰβ εἰς τὴν
σκηνὴν τοῦ κυρίου, καὶ ἰδοὺ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπέ-
στειλε Σαλωμὼν ὁ βασιλεὺς πρὸς Ἰωὰβ λέγων Τί γέγονέ σοι ὅτι πέφευγας
εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν Ἰωάβ Ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου, καὶ
ἔφυγον πρὸς κύριον· καὶ ἀπέστειλε Σαλωμὼν τὸν Βαναίου υἱὸν Ἰωδαὲ λέγων
30 Πορεύου καὶ ἄνελε αὐτόν, καὶ θάψον αὐτόν. [30] καὶ ἦλθε Βαναίας υἱὸς Ἰωδαὲ
πρὸς Ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ κυρίου καὶ εἶπεν αὐτῷ Τάδε λέγει ὁ βασι-
λεύς Ἔξελθε· καὶ εἶπεν Ἰωάβ Οὐκ ἐκπορεύομαι, ὅτι ὧδε ἀποθανοῦμαι· καὶ
ἐπέστρεψε Βαναίας υἱὸς Ἰωδαὲ καὶ εἶπε τῷ βασιλεῖ λέγων Τάδε λελάληκεν
31 Ἰωὰβ καὶ τάδε ἀποκέκριταί μοι. [31] καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Πορεύου καὶ
ποίησον αὐτῷ καθὼς εἴρηκε, καὶ ἄνελε αὐτὸν καὶ θάψεις αὐτόν, καὶ ἐξαρεῖς
σήμερον τὸ αἷμα ὃ δωρεὰν ἐξέχεεν ἀπ' ἐμοῦ καὶ ἀπὸ τοῦ οἴκου τοῦ πατρός
32 μου. [32] καὶ ἐπέστρεψε κύριος τὸ αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ,
ὡς ἀπήντησε τοῖς δυσὶν ἀνθρώποις τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ αὐτὸν καὶ
ἀπέκτεινεν αὐτοὺς ἐν ῥομφαίᾳ· καὶ ὁ πατήρ μου Δαυὶδ οὐκ ἔγνω τὸ αἷμα
αὐτῶν, τὸν Ἀβεννὴρ υἱὸν Νὴρ ἀρχιστράτηγον Ἰσραὴλ καὶ τὸν Ἀμεσσὰ υἱὸν
33 Ἰεθὲρ ἀρχιστράτηγον Ἰούδα. [33] καὶ ἐπεστράφη τὰ αἵματα αὐτῶν εἰς κεφαλὴν
αὐτοῦ καὶ εἰς κεφαλὴν τοῦ σπέρματος αὐτοῦ εἰς τὸν αἰῶνα· καὶ τῷ Δαυὶδ
καὶ τῷ σπέρματι αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ καὶ τῷ θρόνῳ αὐτοῦ γένοιτο εἰ-
34 ρήνη ἕως αἰῶνος παρὰ κυρίου. [34] καὶ ἀνέβη Βαναίας υἱὸς Ἰωδαὲ καὶ ἀπήν-
τησεν αὐτῷ καὶ ἐθανάτωσεν αὐτόν, καὶ ἔθαψεν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν
35 τῇ ἐρήμῳ. [35] καὶ ἔδωκεν ὁ βασιλεὺς τὸν Βαναίου υἱὸν Ἰωδαὲ ἀντ' αὐτοῦ ἐπὶ
τὴν στρατηγίαν· καὶ ἡ βασιλεία κατωρθοῦτο ἐν Ἱερουσαλήμ· καὶ Σαδὼκ τὸν
ἱερέα ἔδωκεν αὐτὸν ὁ βασιλεὺς εἰς ἱερέα πρῶτον ἀντὶ Ἀβιάθαρ. καὶ Σαλω-
μὼν υἱὸς Δαυὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα ἐν Ἱερουσαλήμ· καὶ ἔδωκε

---

22. την αβισαγ την σουμανιτιν ... ιωαβ ο υι. σαρ. ο αρχιστρ. 23. ευχης pro ψυχης 25. βανιου υι. ιωιαδαε 26. Εις αναθωθ αποτρ. συ ... κιβωτον διαθηκης 27. ηλει 28. om υιου σαρουιας ... κεκλικως ... αβεσσαλωμ pro σαλωμων 29. οτι εφυγεν ... om ο βασιλευς ... οτι πεφυγας ... προς τον κυριον ... σαλωμων ο βασιλευς τ. βαναιαν υι. ιωιαδαε 30. βαναιου υι. ιωιαδαε ... εκπορευσομαι ... απεστρεψεν βαναιου υι. ιωιαδαε ... ελαληκεν (ita) 31. εξεχεεν ιωαβ 32. απεστρεψεν ... ab αρχιστρ. transilit ad αρχιστρ. 33. απεστραφη ... κ. ε. την κεφ. του 34. ιωιαδαε κ. απηντ. ιωιαδαε τω ιωαβ 35. ιωιαδαε ... στρατηγειαν ... τον σαδωκ ... εδωκεν ο βασιλευς ... om και σαλωμων υι. δαυ. usque ιερουσαλημ

Digitized by Google

κύριος φρόνησιν τῷ Σαλωμὼν καὶ σοφίαν πολλὴν σφόδρα καὶ πλάτος καρδίας ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν.

## III.

1 Καὶ ἐπληθύνθη ἡ φρόνησις Σαλωμὼν σφόδρα ὑπὲρ τὴν φρόνησιν πάντων υἱῶν ἀρχαίων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου. καὶ ἔλαβε τὴν θυγατέρα Φαραώ, καὶ εἰσήγαγεν αὐτὴν εἰς πόλιν Δαυὶδ ἕως συντελέσαι αὐτὸν οἰκοδομῆσαι τὸν οἶκον αὐτοῦ καὶ τὸν οἶκον κυρίου ἐν πρώτοις καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κυκλόθεν· ἐν ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συνετέλεσε.

Καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει· καὶ ἐποίησε Σαλωμὼν τὴν θάλασσαν καὶ τὰ ὑποστηρίγματα καὶ τοὺς λουτῆρας τοὺς μεγάλους καὶ τοὺς στύλους καὶ τὴν κρήνην τῆς αὐλῆς καὶ τὴν θάλασσαν τὴν χαλκῆν· καὶ ᾠκοδόμησε τὴν ἄκραν ἔπαλξιν ἐπ' αὐτῆς, διέκοψε τὴν πόλιν Δαυίδ· οὕτως θυγάτηρ Φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως Δαυὶδ εἰς τὸν οἶκον αὐτῆς ὃν ᾠκοδόμησεν αὐτῇ. τότε ᾠκοδόμησε τὴν ἄκραν· καὶ Σαλωμὼν ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυτώσεις καὶ εἰρηνικὰς ἐπὶ τὸ θυσιαστήριον ὃ ᾠκοδόμησε τῷ κυρίῳ, καὶ ἐθυμία ἐνώπιον κυρίου, καὶ συνετέλεσε τὸν οἶκον. καὶ οὗτοι οἱ ἄρχοντες οἱ καθεσταμένοι ἐπὶ τὰ ἔργα τοῦ Σαλωμών, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούντων τὰ ἔργα. καὶ ᾠκοδόμησε τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὼ καὶ τὴν Γαζὲρ καὶ τὴν Βαιθωρὼν ἐπάνω καὶ τὰ Βαλλάθ· πλὴν μετὰ τὸ οἰκοδομῆσαι αὐτὸν τὸν οἶκον τοῦ κυρίου καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κύκλῳ, μετὰ ταῦτα ᾠκοδόμησε τὰς πόλεις ταύτας.

Καὶ ἐν τῷ ἔτι Δαυὶδ ζῆν ἐνετείλατο τῷ Σαλωμὼν λέγων Ἰδοὺ μετὰ σοῦ Σεμεῒ υἱὸς Γηρὰ υἱὸς τοῦ σπέρματος τοῦ Ἰεμενὶ ἐκ Χεβρών· οὗτος κατηράσατό με κατάραν ὀδυνηρὰν ἐν ᾗ ἡμέρᾳ ἐπορευόμην εἰς παρεμβολάς, καὶ αὐτὸς κατέβαινεν εἰς ἀπαντήν μοι ἐπὶ τὸν Ἰορδάνην, καὶ ὤμοσα αὐτῷ κατὰ τοῦ κυρίου λέγων Εἰ θανατωθήσεται ἐν ῥομφαίᾳ. καὶ νῦν μὴ ἀθωώσῃς αὐτόν, ὅτι ἀνὴρ φρόνιμος σύ, καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ καὶ κατάξεις τὴν πο-
λιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου. 36 καὶ ἐκάλεσεν ὁ βασιλεὺς τὸν Σεμεῒ καὶ εἶπεν 36
αὐτῷ Οἰκοδόμησον σεαυτῷ οἶκον ἐν Ἱερουσαλὴμ καὶ κάθου ἐκεῖ, καὶ οὐχ
ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ. 37 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῆς ἐξόδου σου καὶ δια- 37
βήσῃ τὸν χείμαρρον Κέδρων, γινώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ, τὸ αἷμά
σου ἔσται ἐπὶ τὴν κεφαλήν σου· καὶ ὥρκισεν αὐτὸν ὁ βασιλεὺς ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ. 38 καὶ εἶπε Σεμεῒ πρὸς τὸν βασιλέα Ἀγαθὸν τὸ ῥῆμα ὃ ἐλάλησας, κύ- 38
ριέ μου βασιλεῦ, οὕτω ποιήσει ὁ δοῦλός σου· καὶ ἐκάθισε Σεμεῒ ἐν Ἱερου-
σαλὴμ τρία ἔτη. 39 καὶ ἐγενήθη μετὰ τὰ τρία ἔτη καὶ ἀπέδρασαν δύο δοῦλοι 39
τοῦ Σεμεῒ πρὸς Ἀγχοὺς υἱὸν Μααχὰ βασιλέα Γέθ· καὶ ἀπηγγέλη τῷ Σεμεῒ
λέγοντες Ἰδοὺ οἱ δοῦλοί σου ἐν Γέθ. 40 καὶ ἀνέστη Σεμεῒ καὶ ἐπέσαξε τὴν 40
ὄνον αὐτοῦ καὶ ἐπορεύθη εἰς Γὲθ πρὸς Ἀγχοὺς τοῦ ἐκζητῆσαι τοὺς δούλους
αὐτοῦ· καὶ ἐπορεύθη Σεμεῒ καὶ ἤγαγε τοὺς δούλους αὐτοῦ ἐκ Γέθ. 41 καὶ 41
ἀπηγγέλη τῷ Σαλωμὼν λέγοντες ὅτι ἐπορεύθη Σεμεῒ ἐξ Ἱερουσαλὴμ εἰς Γὲθ

---

35. τω σαλ. φρονησιν III. 1. om σφ. υπερ τ. φρονησιν 2. αρχαιων υιων 3. εις την πολιν 4. om οικοδομησαι 5. om εν ante επτα 6. κ. ησαν τω ... a χιλιαδες ad χιλιαδες transilit 12. τρεις τω ενιαυτω 14. 15. οι κατεσταμενοι 16. επισταται τω λαω 17. αζερ ... βαιθωρωθ ... βαλαλαθ 20. ζην δαυιδ 21. σεμεει ... υιος σπερματος τ. ιεμενει ... κατηρησατο 23. απαντησιν 24. αθοωσης 25. φρον. ει συ 36. κ. αποστειλας ο βασ. εκαλ. τ. σεμεει 37. της εξοδιας ... χειμαρρουν 38. σεμεει bis ... ουτως 39. μετα τρια ετη ... δουλ. τω σεμεει πρ. αγχις ... τω σεμεει 40. σεμεει bis ... αγχις 41. σεμεει

42 καὶ ἀνέστρεψε τοὺς δούλους αὐτοῦ. 42 καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκάλεσε
τὸν Σεμεΐ καὶ εἶπε πρὸς αὐτόν Οὐχὶ ὥρκισά σε κατὰ τοῦ κυρίου καὶ ἐπε-
μαρτυράμην σοι λέγων Ἐν ᾗ ἂν ἡμέρᾳ ἐξέλθῃς ἐξ Ἱερουσαλὴμ καὶ πορευ-
43 θῇς εἰς δεξιὰ ἢ εἰς ἀριστερά, γινώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ; 43 καὶ
τί ὅτι οὐκ ἐφύλαξας τὸν ὅρκον κυρίου καὶ τὴν ἐντολὴν ἣν ἐνετειλάμην κατὰ
44 σοῦ; 44 καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σεμεΐ Σὺ οἶδας πᾶσαν τὴν κακίαν σου ἣν
οἶδεν ἡ καρδία σου, ἃ ἐποίησας Δαυὶδ τῷ πατρί μου, καὶ ἀνταπέδωκε κύριος
45 τὴν κακίαν σου εἰς κεφαλήν σου. 45 καὶ ὁ βασιλεὺς Σαλωμὼν εὐλογημένος, καὶ
46 ὁ θρόνος Δαυὶδ ἔσται ἕτοιμος ἐνώπιον κυρίου εἰς τὸν αἰῶνα. 46 καὶ ἐνετείλατο
ὁ βασιλεὺς Σαλωμὼν τῷ Βαναίᾳ υἱῷ Ἰωδαέ, καὶ ἐξῆλθε καὶ ἀνεῖλεν αὐτόν.

Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν φρόνιμος σφόδρα καὶ σοφός· καὶ Ἰούδα καὶ Ἰσραὴλ πολλοὶ σφόδρα ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, ἐσθίοντες καὶ πίνοντες καὶ χαίροντες· καὶ Σαλωμὼν ἦν ἄρχων ἐν πάσαις ταῖς βασιλείαις, καὶ ἦσαν προςφέροντες δῶρα καὶ ἐδούλευον τῷ Σαλωμὼν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· καὶ Σαλωμὼν ἤρξατο ἀνοίγειν τὰ δυναστεύματα τοῦ Λιβάνου, καὶ αὐτὸς ᾠκοδόμησε τὴν Θερμαὶ ἐν τῇ ἐρήμῳ. καὶ τοῦτο τὸ ἄριστον τῷ Σαλωμών· τριάκοντα κόροι σεμιδάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, δέκα μόσχοι ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν πρόβατα ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων· ὅτι ἦν ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ ἀπὸ Ῥαφὶ ἕως Γάζης ἐν πᾶσι τοῖς βασιλεῦσι πέραν τοῦ ποταμοῦ. καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν· καὶ κατῴκει Ἰούδα καὶ Ἰσραὴλ πεποιθότες ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες καί ἑορτάζοντες ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέρας Σαλωμών. καὶ οὗτοι οἱ ἄρχοντες τοῦ Σαλωμών· Ἀζαρίου υἱὸς Σαδὼκ τοῦ ἱερέως, καὶ Ὀρνίου υἱὸς Νάθαν ἄρχων τῶν ἐφεστηκότων καὶ ἔδραμεν ἐπὶ τὸν οἶκον αὐτοῦ, καὶ Σουβὰ γραμματεύς, καὶ Βασὰ υἱὸς Ἀχιθαλὰμ ἀναμιμνήσκων, καὶ Ἀβὶ υἱὸς Ἰωὰβ ἀρχιστράτηγος, καὶ Ἀχιρὲ υἱὸς Ἐδραΐ ἐπὶ τὰς ἄρσεις, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς αὐλαρχίας καὶ ἐπὶ τοῦ πλινθίου, καὶ Καχοὺρ υἱὸς Νάθαν ὁ σύμβουλος. καὶ ἦσαν τῷ Σαλωμὼν τεσσαράκοντα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἵππων· καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου.

Καὶ Σαλωμὼν υἱὸς Δαυὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα ἐν Ἱερου-
2 σαλήμ. 2 πλὴν ὁ λαὸς ἦσαν θυμιῶντες ἐπὶ τοῖς ὑψηλοῖς, ὅτι οὐκ ᾠκοδομήθη
3 οἶκος τῷ κυρίῳ ἕως τοῦ νῦν. 3 καὶ ἠγάπησε Σαλωμὼν τὸν κύριον πορεύεσθαι
ἐν τοῖς προστάγμασι Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, πλὴν ἐν τοῖς ὑψηλοῖς ἔθυε καὶ
4 ἐθυμία. 4 καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Γαβαὼν θῦσαι ἐκεῖ, ὅτι αὕτη ὑψηλο-
τάτη καὶ μεγάλη· χιλίαν ὁλοκαύτωσιν ἀνήνεγκε Σαλωμὼν ἐπὶ τὸ θυσιαστή-
5 ριον ἐν Γαβαών. 5 καὶ ὤφθη κύριος τῷ Σαλωμὼν ἐν ὕπνῳ τὴν νύκτα· καὶ
6 εἶπε κύριος πρὸς Σαλωμὼν Αἴτησαί τι αἴτημα σεαυτῷ. 6 καὶ εἶπε Σαλωμὼν

---

41. επεστρεψεν 42. σεμεει ... in fine add και ειπας μοι Αγαθον το ρημα ο ηκουσα 43. του κυριου 44. σεμεει Συ εγνως ... ην εγνω ... τω δαυιδ 45. om εσται 46. ιωιαδαε ... post ανειλεν αυτον add και απεθανεν. Pro omnibus iis quae sunt inde a Και ην ο βασ. usque και ιουδα εν ιερουσαλημ haec habet: Της δε βασιλειας εδρασθεισης εν χειρι σαλωμων επιγαμιαν εποιησατο σαλωμων προς φαραω βασιλεα αιγυπτου· και ελαβεν την θυγατερα φαραω, και εισηγαγεν αυτην εις την πολιν δαυιδ εως ου συνετελεσεν οικοδομων τον οικον εαυτου και τον οικον κυριου και το τειχος ιερουσαλημ κυκλω. [De rell. cf. cod. alex. ad III, 20. 21. 25. 26.] 2. εν τοις υψηλοις ... τω ονοματι κυριου εως των ημερων εκεινων 3. αυτος εθυεν 4. επορευθη ο βασιλευς εις ... μεγαλη λιαν· ολοκαυτωσιν ... θυσιαστηρ. εκεινο εν 5. τω σαλωμων ο κυριος

Digitized by Google

Σὺ ἐποίησας μετὰ τοῦ δούλου σου Δαυὶδ τοῦ πατρός μου ἔλεος μέγα, καθὼς
διῆλθεν ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ καὶ ἐν εὐθύτητι καρδίας
μετὰ σοῦ, καὶ ἐφύλαξας αὐτῷ τὸ ἔλεος τὸ μέγα τοῦτο δοῦναι τὸν υἱὸν αὐτοῦ
ἐπὶ τοῦ θρόνου αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη. [7]καὶ νῦν, κύριε ὁ θεός μου, σὺ ἔδω- 7
κας τὸν δοῦλόν σου ἀντὶ Δαυὶδ τοῦ πατρός μου· καὶ ἐγώ εἰμι παιδάριον μι-
κρόν, καὶ οὐκ οἶδα τὴν ἔξοδόν μου καὶ τὴν εἴςοδόν μου. [8]ὁ δὲ δοῦλός σου 8
ἐν μέσῳ τοῦ λαοῦ σου, ὃν ἐξελέξω λαὸν πολὺν ὃς οὐκ ἀριθμηθήσεται. [9]καὶ 9
δώσεις τῷ δούλῳ σου καρδίαν ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δι-
καιοσύνῃ, καὶ τοῦ συνιεῖν ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ· ὅτι τίς δυνηθήσεται
κρίνειν τὸν λαόν σου τὸν βαρὺν τοῦτον; [10]καὶ ἤρεσεν ἐνώπιον κυρίου ὅτι ᾐτή- 10
σατο Σαλωμὼν τὸ ῥῆμα τοῦτο. [11]καὶ εἶπε κύριος πρὸς αὐτόν Ἀνθ' ὧν ᾐτήσω 11
παρ' ἐμοῦ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ᾐτήσω σεαυτῷ ἡμέρας πολλὰς καὶ οὐκ
ᾐτήσω πλοῦτον οὐδὲ ᾐτήσω ψυχὰς ἐχθρῶν σου, ἀλλ' ᾐτήσω σεαυτῷ τοῦ συν-
ιεῖν τοῦ εἰςακούειν κρίμα, [12]ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου. ἰδοὺ δέδωκά 12
σοι καρδίαν φρονίμην καὶ σοφήν· ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου, καὶ μετὰ
σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι· [13]καὶ ἃ οὐκ ᾐτήσω δέδωκά σοι, καὶ πλοῦ- 13
τον καὶ δόξαν, ὡς οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι· [14]καὶ ἐὰν πο- 14
ρευθῇς ἐν τῇ ὁδῷ μου φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ προςτάγματά μου
ὡς ἐπορεύθη Δαυὶδ ὁ πατήρ σου, καὶ πληθυνῶ τὰς ἡμέρας σου. [15]καὶ ἐξυπνί- 15
σθη Σαλωμών, καὶ ἰδοὺ ἐνύπνιον· καὶ ἀνέστη καὶ παραγίνεται εἰς Ἱερουσα-
λήμ, καὶ ἔστη κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τοῦ κατὰ πρόσωπον κιβωτοῦ
διαθήκης κυρίου ἐν Σιών, καὶ ἀνήγαγεν ὁλοκαυτώσεις καὶ ἐποίησεν εἰρηνικάς,
καὶ ἐποίησε πότον μέγαν ἑαυτῷ καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ. [16]τότε ὤφθη- 16
σαν δύο γυναῖκες πόρναι τῷ βασιλεῖ καὶ ἔστησαν ἐνώπιον αὐτοῦ. [17]καὶ εἶπεν 17
ἡ γυνὴ μία Ἐν ἐμοί, κύριε· ἐγὼ καὶ ἡ γυνὴ αὕτη ᾠκοῦμεν ἐν οἴκῳ ἑνί, καὶ
ἐτέκομεν ἐν τῷ οἴκῳ. [18]καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ τεκούσης μου 18
ἔτεκε καὶ ἡ γυνὴ αὕτη· καὶ ἡμεῖς κατὰ τὸ αὐτό, καὶ οὐκ ἔστιν οὐθεὶς μεθ'
ἡμῶν πάρεξ ἀμφοτέρων ἡμῶν ἐν τῷ οἴκῳ. [19]καὶ ἀπέθανεν ὁ υἱὸς τῆς γυ- 19
ναικὸς ταύτης τὴν νύκτα ὡς ἐπεκοιμήθη ἐπ' αὐτόν· [20]καὶ ἀνέστη μέσης τῆς 20
νυκτὸς καὶ ἔλαβε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου καὶ ἐκοίμισεν αὐτὸν ἐν
τῷ κόλπῳ αὐτῆς, καὶ τὸν υἱὸν αὐτῆς τὸν τεθνηκότα ἐκοίμισεν ἐν τῷ κόλ-
πῳ μου. [21]καὶ ἀνέστην τὸ πρωὶ θηλάσαι τὸν υἱόν μου, καὶ ἐκεῖνος ἦν 21
τεθνηκώς· καὶ ἰδοὺ κατενόησα αὐτὸν πρωί, καὶ ἰδοὺ οὐκ ἦν ὁ υἱός μου ὃν
ἔτεκον. [22]καὶ εἶπεν ἡ γυνὴ ἡ ἑτέρα Οὐχί, ἀλλὰ ὁ υἱὸς μοῦ ὁ ζῶν, ὁ δὲ υἱὸς 22
σοῦ ὁ τεθνηκώς· καὶ ἐλάλησαν ἐνώπιον τοῦ βασιλέως. [23]καὶ εἶπεν ὁ βασι- 23
λεὺς αὐταῖς Σὺ λέγεις Οὗτος ὁ υἱὸς μοῦ ὁ ζῶν, καὶ ὁ υἱὸς ταύτης ὁ τεθνη-
κώς· καὶ σὺ λέγεις Οὐχί, ἀλλὰ ὁ υἱὸς μοῦ ὁ ζῶν, καὶ ὁ υἱός σοῦ ὁ τεθνη-
κώς. [24]καὶ εἶπεν ὁ βασιλεὺς Λάβετε μάχαιραν· καὶ προςήνεγκαν τὴν μάχαιραν 24

---

6. μετα δουλου ... εφυλ. αυτ. το ελεος σου το ... καθημενον επι του θρ. α. 7. τ. εισοδον μ. κ. τ. εξοδ. μ. 8. εμμεσω ... in f. add και ου ψηφισθησεται απο πληθους 9. διακριν. τ. δουλον σ. εν δικαιοσυνη του συνιεναι ... δυνησεται 10. ηρ. ο λογος ενωπ. 11. σαυτω ημερας ... σεαυτω πλουτον ... σαυτω του συνιειν 12. σοφην κ. φρονιμην 13. εδωκα ... om ανηρ ... in f. add πασας τας ημερας σου 14. τα προσταγμ. μ. κ. τας εντ. μ. 15. παισιν εαυτου 17. η γυν. η μια ... κυριε μου 18. και ετεκεν και αυτη η γυνη ... το αυτο, ουκ ... post μεθ ημων add εν τω οικω 19. om της γυναικος ... εκοιμηθη ... post αγκαλων μου add και η δουλη σου υπνου 21. το πρωι pro πρωι 22. post η ετερα add Ουχι αλλ η ο υιος σου εστιν ο νεκρος, υιος δε εμος ο ζων· η δε αλλη και αυτη ελεγεν 23. om και ante συ λεγεις ... Ουχι αλλ η ο υι. σου ο τεθνηκ. κ. ο υι. μου ο ζων 24. Λαβ. μοι

Digitized by Google

25 ἐνώπιον τοῦ βασιλέως. 25 καὶ εἶπεν ὁ βασιλεύς Διέλετε τὸ παιδίον τὸ ζῶν τὸ
θηλάζον εἰς δύο, καὶ δότε τὸ ἥμισυ αὐτοῦ ταύτῃ καὶ τὸ ἥμισυ αὐτοῦ ταύτῃ.
26 26 καὶ ἀπεκρίθη ἡ γυνὴ ἧς ἦν ὁ υἱὸς ὁ ζῶν καὶ εἶπε πρὸς τὸν βασιλέα, ὅτι
ἐταράχθη ἡ μήτρα αὐτῆς ἐπὶ τῷ υἱῷ αὐτῆς, καὶ εἶπεν Ἐν ἐμοί, κύριε, δότε
αὐτῇ τὸ παιδίον καὶ θανάτῳ μὴ θανατώσητε αὐτό· καὶ αὕτη εἶπε Μήτε ἐμοὶ
27 μήτε αὐτῇ ἔστω, διέλετε. 27 καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε Δότε τὸ παιδίον
τῇ εἰπούσῃ Δότε αὐτῇ αὐτὸ καὶ θανάτῳ μὴ θανατώσητε αὐτό, αὕτη ἡ μήτηρ
28 αὐτοῦ. 28 καὶ ἤκουσαν πᾶς Ἰσραὴλ τὸ κρίμα τοῦτο ὃ ἔκρινεν ὁ βασιλεύς, καὶ
ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ βασιλέως, ὅτι εἶδον ὅτι φρόνησις θεοῦ ἐν αὐτῷ
τοῦ ποιεῖν δικαίωμα.

## IV.

2 Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν βασιλεύων ἐπὶ Ἰσραήλ. 2 καὶ οὗτοι ἄρχον-
3 τες οἳ ἦσαν αὐτῷ· Ἀζαρίας υἱὸς Σαδώκ, 3 Ἐλιὰφ καὶ Ἀχιὰ υἱὸς Σηβὰ γραμ-
4 ματεῖς, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺδ ἀναμιμνήσκων, 4 καὶ Βαναίας υἱὸς Ἰωδαὲ
5 ἐπὶ τῆς δυνάμεως, καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς, 5 καὶ Ὀρνία υἱὸς Νάθαν
6 ἐπὶ τῶν καθεσταμένων, καὶ Ζαβοὺθ υἱὸς Νάθαν ἑταῖρος τοῦ βασιλέως, 6 καὶ
Ἀχισὰρ ἦν οἰκονόμος, καὶ Ἐλιὰκ ὁ οἰκονόμος, καὶ Ἐλιὰβ υἱὸς Σὰφ ἐπὶ τῆς
7 πατριᾶς, καὶ Ἀδωνιρὰμ υἱὸς Αὐδὼν ἐπὶ τῶν φόρων. 7 καὶ τῷ Σαλωμὼν δώ-
δεκα καθεσταμένοι ἐπὶ πάντα Ἰσραήλ, χορηγεῖν τῷ βασιλεῖ καὶ τῷ οἴκῳ αὐ-
8 τοῦ· μῆνα ἐν τῷ ἐνιαυτῷ ἐγίνετο ἐπὶ τὸν ἕνα χορηγεῖν. 8 καὶ ταῦτα τὰ ὀνόματα
9 αὐτῶν· Βεὲν υἱὸς Ὢρ ἐν ὄρει Ἐφραῒμ εἷς· 9 υἱὸς Δακὰρ ἐν Μακὲς καὶ ἐν
10 Σαλαβὶν καὶ Βαιθσαμὺς καὶ Ἐλὼν ἕως Βηθανὰν εἷς· 10 υἱὸς Ἐσδὶ ἐν Ἀρα-
11 βὼθ, αὐτοῦ Σωχὼ καὶ πᾶσα ἡ γῆ Ὀφέρ· 11 υἱοῦ Ἀμιναδὰβ πᾶσα Νεφθαδώρ,
12 Τεφὰθ θυγάτηρ Σαλωμὼν ἦν αὐτῷ εἰς γυναῖκα, εἷς· 12 Βανὰ υἱὸς Ἀχιλοὺθ
τὴν Ἰθαανὰχ καὶ Μαγεδδώ, καὶ πᾶς ὁ οἶκος Σὰν ὁ παρὰ Σεσαθὰν ὑποκάτω
τοῦ Ἐσραέ, καὶ ἐκ Βηθσὰν ἕως Σαβελμαουλὰ ἕως Μαεβὲρ Λουκάμ, εἷς·
13 13 υἱὸς Ναβὲρ ἐν Ῥαβὼθ Γαλαάδ, τούτῳ σχοίνισμα Ἐργὰβ ἐν τῇ Βασάν,
14 ἑξήκοντα πόλεις μεγάλαι τειχήρεις καὶ μοχλοὶ χαλκοῖ, εἷς· 14 Ἀχιναδὰβ υἱὸς
15 Σαδδὼ Μααναῒμ· 15 Ἀχιμαὰς ἐν Νεφθαλίμ, καὶ οὗτος ἔλαβε τὴν Βασεμμὰθ
16 θυγατέρα Σαλωμὼν εἰς γυναῖκα, εἷς· 16 Βαανᾶ υἱὸς Χουσὶ ἐν Ἀσὴρ καὶ ἐν
17 18 (18. 19) Βααλὼθ εἷς· 17 Σεμεῒ υἱὸς Ἠλὰ ἐν τῷ Βενιαμίν· 18 Γαβὲρ υἱὸς Ἀδαῒ
ἐν τῇ γῇ Γὰδ Σηὼν βασιλέως τοῦ Ἐσεβὼν καὶ Ὢγ βασιλέως τοῦ Βασάν·
19 (17) καὶ Νασὲφ εἷς ἐν γῇ Ἰούδα· 19 Ἰωσαφὰτ υἱὸς Φουασοὺδ ἐν Ἰσσάχαρ.
20 (27) 20 καὶ ἐχορήγουν οἱ καθεσταμένοι οὕτως τῷ βασιλεῖ Σαλωμών· καὶ πάντα

---

25. το θηλαζ. το ζων 26. ο υιος ην ... το παιδιον το ζων ... διελετε αυτο 27. Δοτε αυτη τ. π. το ζων τη ειπουση 28. ηκουσεν ... τουτο εκρινεν IV. 2. και ουτοι οι αρχ. οι ησαν αυτου ... σαδωκ ο ιερευς 3. εναρεφ pro ελιαφ ... υιος σεισα ... υιος αχιμα 4. υιος ιωιαδαε ε. της στρατειας 5. αζαριας pro ορνια ... ζαββουθ ... ιερευς εταιρος 6. υιος σαφατ ... υιος αβδω 7. μηνα ενιαυτω 8. βεν ... om εις 9. εν μαχμας κ. ε. σαλαβειμ κ. βεθσαμυς κ. αιαλωμ ... om εις 10. εσδ ... σοχλω 11. αβιναδαβ πασαν νεφαδδωρ, ταφατα ... om εις 12. βαανα υι. ελουδ την θααναχ κ. μεμαγεδαω ... ο παρα εσλιανθαν υπ. του ιεζραελ ... βεθσαν ... αβελμαουλα ε. μεμβραδειεκμααν 13. υι. γαβερ εν ραμωθ γαλααδ· αυτω ο αυωθ ιαρειρ υκου (υιου?) μανασση γαλααδ· τουτω ... εργαβ η εν ... om εις 14. αϊναδαβ υ. σαδωκ μααναιμ 15. νεφθαλει ... μασεμαθ ... om εις 16. βαανας υ. χουσει ... εν μααλωτ ... om εις 17. 18. 19. plene: ιωσαφατ υι. φαρρου εν ισσαχαρ· σεμεει υ. η. εν τ. βενιαμειν· γα. υ. αδαι ε. τ. γη γαλααδ τη σηων βασ. εσεβων του αμορραιου κ. ωγ β. τ. β. κ. ενασιφ (** νασιφ) εν γη ιουδα 20. 21. Pro his vv. habet haec: (20.) και ισραηλ πολλοι ως η αμμος η επι της θαλασσης εις πληθος, εσθοντες και πινοντες και ευφραινομενοι.

Digitized by Google

τὰ διαγγέλματα ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως ἕκαστος μῆνα αὐτοῦ οὐ πα-
ραλλάσσουσι λόγον· [21] καὶ τὰς κριθὰς καὶ τὸ ἄχυρον τοῖς ἵπποις καὶ τοῖς (28) 21
ἅρμασιν ἦρον εἰς τὸν τόπον οὗ ἂν ᾖ ὁ βασιλεὺς ἕκαστος κατὰ τὴν σύνταξιν
αὐτοῦ. [22] καὶ ταῦτα τὰ δέοντα τῷ Σαλωμὼν ἐν ἡμέρᾳ μιᾷ· τριάκοντα κόροι 22
σεμιδάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, [23] καὶ δέκα μόσχοι 23
ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν πρόβατα ἐκτὸς ἐλάφων καὶ δορ-
κάδων ἐκλεκτῶν σιτευτά· [24] ὅτι ἦν ἄρχων πέραν τοῦ ποταμοῦ, καὶ ἦν αὐτῷ 24
εἰρήνη ἐκ πάντων τῶν μερῶν κυκλόθεν. [25] καὶ ἔδωκε κύριος φρόνησιν τῷ (29) 25
Σαλωμὼν καὶ σοφίαν πολλὴν σφόδρα καὶ χύμα καρδίας ὡς ἡ ἄμμος ἡ παρὰ
τὴν θάλασσαν. [26] καὶ ἐπληθύνθη Σαλωμὼν σφόδρα ὑπὲρ τὴν φρόνησιν (30) 26
πάντων ἀρχαίων ἀνθρώπων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου. [27] καὶ (31) 27
ἐσοφίσατο ὑπὲρ πάντας τοὺς ἀνθρώπους, καὶ ἐσοφίσατο ὑπὲρ Γαιθὰν τὸν Ζα-
ρίτην καὶ τὸν Αἰνὰν καὶ τὸν Χαλκὰδ καὶ Δαράλα υἱοὺς Μάλ. [28] καὶ ἐλά- (32) 28
λησε Σαλωμὼν τρισχιλίας παραβολάς, καὶ ἦσαν ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι.
[29] καὶ ἐλάλησεν ὑπὲρ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ καὶ (33) 29
ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου, καὶ ἐλάλησε περὶ τῶν
κτηνῶν καὶ περὶ τῶν πετεινῶν καὶ περὶ τῶν ἑρπετῶν καὶ περὶ τῶν ἰχθύων.
[30] καὶ παρεγίνοντο πάντες οἱ λαοὶ ἀκοῦσαι τῆς σοφίας Σαλωμών· καὶ (34) 30
παρὰ πάντων τῶν βασιλέων τῆς γῆς ὅσοι ἤκουον τῆς σοφίας αὐτοῦ. καὶ ἔλαβε
Σαλωμὼν τὴν θυγατέρα Φαραὼ αὐτῷ εἰς γυναῖκα, καὶ εἰσήγαγεν αὐτὴν εἰς
τὴν πόλιν Δαυὶδ ἕως συντελέσαι αὐτὸν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον ἑαυτοῦ
καὶ τὸ τεῖχος Ἱερουσαλήμ. τότε ἀνέβη Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ προ-
κατελάβετο τὴν Γαζὲρ καὶ ἐνεπύρισεν αὐτὴν καὶ τὸν Χαναναῖτην τὸν κατοι-
κοῦντα ἐν Μεργάβ· καὶ ἔδωκεν αὐτὰς Φαραὼ ἀποστολὰς θυγατρὶ αὐτοῦ γυ-
ναικὶ Σαλωμών· καὶ Σαλωμὼν ᾠκοδόμησε τὴν Γαζέρ.

## V.

Καὶ ἀπέστειλε Χιρὰμ βασιλεὺς Τύρου τοὺς παῖδας αὐτοῦ χρῖσαι τὸν Σα-
λωμὼν ἀντὶ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀγαπῶν ἦν Χιρὰμ τὸν Δαυὶδ πά-
σας τὰς ἡμέρας. [2] καὶ ἀπέστειλε Σαλωμὼν πρὸς Χιρὰμ λέγων [3] Σὺ οἶδας 2 3
τὸν πατέρα μου Δαυὶδ ὅτι οὐκ ἠδύνατο οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου
θεοῦ μου ἀπὸ προσώπου τῶν πολέμων τῶν κυκλωσάντων αὐτόν, ἕως τοῦ δοῦ-
ναι κύριον αὐτοὺς ὑπὸ τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ. [4] καὶ νῦν ἀνέπαυσε κύριος 4
ὁ θεός μου ἐμοὶ κυκλόθεν, οὐκ ἔστιν ἐπίβουλος καὶ οὐκ ἔστιν ἁμάρτημα πο-
νηρόν. [5] καὶ ἰδοὺ ἐγὼ λέγω οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ μου, 5

---

(21.) και σαλωμων ην εξουσιαζων εν πασιν τοις βασιλειοις απο του ποταμου γης αλλοφυλων και εως οριου αιγυπτου· προσεγγιζοντες δωρα και δουλευοντες τω σαλωμων πασας ημερας ζωης αυτου. 22. δεοντα σαλωμων 23. ab init. om και ... ante εκλεκτων add και ορνιθων εκλεκτα 24. ο. η. αρχ. εν παντι περαν τ. π. απο θαψα και εως του ποταμου ... ειρ. ην αυτω ... post κυκλοθεν add (25.) και κατωκει ιουδας και ισραηλ πεποιθοτες εκαστος υπο την αμπελον αυτου και υπο την συκην αυτου εσθιοντες και πινοντες απο δαν και εως βηρσαβεε πασας τας ημερας σαλωμων. (26.) και ην τω σαλωμων τεσσερακοντα χιλιαδες τοκαδες ιππων εις αρματα και δωδεκα χιλιαδες ιππεων. Jam sequuntur vv. 20. 21. ... τον αχυρον ... ηγον pro ηρον 25. σοφιαν τω σαλ. και φρονησιν ... χυμμα 26. η σοφια σαλωμων 27. γαιθαν τ. εζραηλιτην και ημαν κ. τ. χαλχαλ κ. τον δαραα υιους μαουλ· και ην ονομαστος εν πασιν τοις εθνεσιν κυκλω 29. περι των ξυλων ... υσωπου 30. σολομων ... ηκουον την σοφιαν αυτου ... om και ελαβε σαλωμων usque ad ωκοδομησε την γαζερ V. 1. χειραμ bis ... τ. παιδ. αυτ. προς σαλωμων· ηκουσεν γαρ οτι αυτον εχρισαν εις βασιλεα αντι 2. χειραμ 3. δαυιδ τον πατ. μου ... προσωπου πολεμων 4. απαντημα πονηρον 5. λεγω οικοδομησω

Digitized by Google

καθὼς ἐλάλησε κύριος ὁ θεὸς πρὸς Δαυὶδ τὸν πατέρα μου λέγων Ὁ υἱός σου
ὃν δώσω ἀντὶ σοῦ ἐπὶ τὸν θρόνον σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνό-
6 ματί μου. 6 καὶ νῦν ἔντειλαι καὶ κοψάτωσάν μοι ξύλα ἐκ τοῦ Λιβάνου· καὶ
ἰδοὺ οἱ δοῦλοι μου μετὰ τῶν δούλων σου, καὶ τὸν μισθὸν δουλείας σου δώσω
σοι κατὰ πάντα ὅσα ἂν εἴπῃς, ὅτι σὺ οἶδας ὅτι οὐκ ἔστιν ἡμῖν εἰδὼς ξύλα
7 κόπτειν καθὼς οἱ Σιδώνιοι. 7 καὶ ἐγενήθη καθὼς ἤκουσε Χιρὰμ τῶν λόγων
Σαλωμών, ἐχάρη σφόδρα καὶ εἶπεν Εὐλογητὸς ὁ θεὸς σήμερον ὃς ἔδωκε τῷ
8 Δαυὶδ υἱὸν φρόνιμον ἐπὶ τὸν λαὸν τὸν πολὺν τοῦτον. 8 καὶ ἀπέστειλε πρὸς Σα-
λωμὼν λέγων Ἀκήκοα περὶ πάντων ὧν ἀπέσταλκας πρός μέ, ἐγὼ ποιήσω πᾶν
9 θέλημά σου· ξύλα κέδρινα καὶ πεύκινα 9 οἱ δοῦλοί μου κατάξουσιν αὐτὰ ἐκ
τοῦ Λιβάνου εἰς τὴν θάλασσαν, ἐγὼ θήσομαι αὐτὰ σχεδίας ἕως τοῦ τόπου
οὗ ἐὰν ἀποστείλῃς πρός μέ, καὶ ἐκτινάξω αὐτὰ ἐκεῖ καὶ σὺ ἀρεῖς· καὶ ποιή-
10 σεις τὸ θέλημά μου τοῦ δοῦναι ἄρτους τῷ οἴκῳ μου. 10 καὶ ἦν Χιρὰμ διδοὺς
11 τῷ Σαλωμὼν κέδρους καὶ πεύκας καὶ πᾶν θέλημα αὐτοῦ. 11 καὶ Σαλωμὼν
ἔδωκε τῷ Χιρὰμ εἴκοσι χιλιάδας κόρους πυροῦ καὶ μαχεὶρ τῷ οἴκῳ αὐτοῦ
καὶ εἴκοσι χιλιάδας βαὶθ ἐλαίου κεκομμένου· κατὰ τοῦτο ἐδίδου Σαλωμὼν
12 τῷ Χιρὰμ κατ' ἐνιαυτόν. 12 καὶ κύριος ἔδωκε σοφίαν τῷ Σαλωμὼν καθὼς ἐλά-
λησεν αὐτῷ· καὶ ἦν εἰρήνη ἀνὰ μέσον Χιρὰμ καὶ ἀνὰ μέσον Σαλωμών, καὶ
13 διέθεντο διαθήκην ἀνὰ μέσον αὐτῶν. 13 καὶ ἀνήνεγκεν ὁ βασιλεὺς φόρον ἐκ
14 παντὸς Ἰσραήλ, καὶ ἦν ὁ φόρος τριάκοντα χιλιάδες ἀνδρῶν. 14 καὶ ἀπέστειλεν
αὐτοὺς εἰς τὸν Λίβανον, δέκα χιλιάδες ἐν τῷ μηνὶ ἀλλασσόμενοι· μῆνα ἦσαν
ἐν τῷ Λιβάνῳ καὶ δύο μῆνας ἐν οἴκῳ αὐτῶν· καὶ Ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου.
15 15 καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν καὶ ὀγδοήκοντα
16 χιλιάδες λατόμων ἐν τῷ ὄρει, 16 χωρὶς τῶν ἀρχόντων τῶν καθεσταμένων ἐπὶ
τῶν ἔργων τῷ Σαλωμών, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται οἱ ποιοῦντες
17 (18) τὰ ἔργα. 17 καὶ ἡτοίμασαν τοὺς λίθους καὶ τὰ ξύλα τρία ἔτη.

## VI.

Καὶ ἐγενήθη ἐν τῷ τεσσαρακοστῷ καὶ τετρακοσιοστῷ ἔτει τῆς ἐξόδου Act. 7,
υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, τῷ ἔτει τῷ τετάρτῳ ἐν μηνὶ τῷ δευτέρῳ βασι- 47.
2 (5, 17) λεύοντος τοῦ βασιλέως Σαλωμὼν ἐπὶ τὸν Ἰσραήλ, 2 καὶ ἐνετείλατο ὁ
βασιλεὺς ἵνα αἴρωσι λίθους μεγάλους τιμίους εἰς τὸν θεμέλιον τοῦ οἴκου καὶ
3 (5, 18) λίθους ἀπελεκήτους· 3 καὶ ἐπελέκησαν οἱ υἱοὶ Σαλωμὼν καὶ οἱ υἱοὶ
4 (37) Χιράμ, καὶ ἔβαλαν αὐτούς. 4 ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον
5 (38) κυρίου ἐν μηνὶ Ζιοὺ καὶ τῷ δευτέρῳ μηνί. 5 ἐν ἑνδεκάτῳ ἐνιαυτῷ ἐν μηνὶ
Βαάλ, οὗτος ὁ μὴν ὁ ὄγδοος, συνετελέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ καὶ
6 (2) εἰς πᾶσαν διάταξιν αὐτοῦ. 6 καὶ ὁ οἶκος ὃν ᾠκοδόμησεν ὁ βασιλεὺς τῷ κυρίῳ,

---

6. εστωσαν μετα των ... και μισθον δουλιας δουλευσω σοι ... ανηρ ειδως κοπτ. ξυλα 7. χειραμ ... σημερον ο δους τω 8. απεστειλεν χειραμ ... επεσταλκας ... εις ξυλα 9. και εγω θησομαι ... σχεδιας εν τη θαλασση εως ... ου αν ... om εκει 10. χειραμ 11. χειραμ bis ... χορων π. και μαχαλ τω ... βεθ 12. χειραμ ... ανα μ. εαυτων 13. ο βασιλ. σαλωμων 14. χιλιαδας ... αλλασσομεναι 16. χωρις αρχοντων καθεσταμενων τω σαλ. επι των εργ. τρ. χ. κ. πεντακοσιοι επ. του λαου οι 17. plene: και ενετειλατο ο βασιλευς και αιρουσιν λιθους μεγαλους, λιθους τιμιους εις τον θεμελιον του οικου και λιθους απελεκητους· (18.) και επελεκησαν οι υιοι σαλωμων και οι υιοι χειραμ και οι βιβλιοι, κ. ητοιμ. τα ξυλα κ. τους λιθ. τρ. ετη VI. 1. τεσσεραχοστω ... των υιων ισραηλ ... επι ισραηλ 2. 3. om hos vv. [cf. V, 17. 18.] 4. 5. pon. hos vv. in f. capitis ita ut sint 37. 38. ... ζειου ... εν μηνι βουλ ... ο μην ογδοος ... διαταξ. αυτου· και ωκοδομησεν αυτον εν επτα ετεσιν. 6. και ωκοδομει τον οικον τω κυριω· και ο οικος ον ωκ. ο βασ. σαλωμων τ. κ.

Digitized by Google

τεσσαράκοντα ἐν πήχει μῆκος αὐτοῦ, καὶ εἴκοσι ἐν πήχει πλάτος αὐτοῦ,
καὶ πέντε καὶ εἴκοσι ἐν πήχει τὸ ὕψος αὐτοῦ. 7 καὶ τὸ αιλὰμ κατὰ πρόσωπον (3) 7
τοῦ ναοῦ εἴκοσι ἐν πήχει μῆκος αὐτοῦ εἰς τὸ πλάτος τοῦ οἴκου κατὰ πρός-
ωπον τοῦ οἴκου. καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν. 8 καὶ (4) 8
ἐποίησε τῷ οἴκῳ θυρίδας παρακυπτομένας κρυπτάς. 9 καὶ ἔδωκεν ἐπὶ τὸν (5) 9
τοῖχον τοῦ οἴκου μέλαθρα κυκλόθεν τῷ ναῷ καὶ τῷ δαβίρ. 10 ἡ πλευρὰ ἡ (6) 10
ὑποκάτω πέντε πήχεων ἐν πήχει τὸ πλάτος αὐτῆς, καὶ τὸ μέσον ἕξ, καὶ ἡ
τρίτη ἑπτὰ ἐν πήχει τὸ πλάτος αὐτῆς· ὅτι διάστημα ἔδωκε τῷ οἴκῳ κυκλό-
θεν ἔξωθεν τοῦ οἴκου, ὅπως μὴ ἐπιλαμβάνωνται τῶν τοίχων τοῦ οἴκου. 11 καὶ (7) 11
ὁ οἶκος ἐν τῷ οἰκοδομεῖσθαι αὐτὸν λίθοις ἀκροτόμοις ἀργοῖς ᾠκοδομήθη· καὶ
σφῦρα καὶ πέλεκυς καὶ πᾶν σκεῦος σιδηροῦν οὐκ ἠκούσθη ἐν τῷ οἴκῳ ἐν τῷ
οἰκοδομεῖσθαι αὐτόν. 12 καὶ ὁ πυλὼν τῆς πλευρᾶς τῆς ὑποκάτωθεν ὑπὸ τὴν (8) 12
ὠμίαν τοῦ οἴκου τὴν δεξιάν, καὶ ἑλικτὴ ἀνάβασις εἰς τὸ μέσον καὶ ἐκ τῆς
μέσης ἐπὶ τὰ τριόροφα. 13 καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐ- (9) 13
τόν· καὶ ἐκοιλοστάθμησε τὸν οἶκον κέδροις. 14 καὶ ᾠκοδόμησε τοὺς ἐν- (10) 14
δέσμους δι' ὅλου τοῦ οἴκου πέντε ἐν πήχει τὸ ὕψος αὐτοῦ, καὶ συνέσχε τὸν
σύνδεσμον ἐν ξύλοις κεδρίνοις. 15 καὶ ᾠκοδόμησε τοὺς τοίχους τοῦ οἴκου ἔσω- 15
θεν διὰ ξύλων κεδρίνων ἀπὸ τοῦ ἐδάφους τοῦ οἴκου καὶ ἕως τῶν τοίχων καὶ
ἕως τῶν δοκῶν· ἐκοιλοστάθμησε συνεχόμενα ξύλοις ἔσωθεν, καὶ περιέσχε τὸ
ἔσω τοῦ οἴκου ἐν πλευραῖς πευκίναις. 16 καὶ ᾠκοδόμησε τοὺς εἴκοσι πήχεις 16
ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευρὸν τὸ ἓν ἀπὸ τοῦ ἐδάφους ἕως τῶν δοκῶν·
καὶ ἐποίησεν ἐκ τοῦ δαβὶρ εἰς τὸ ἅγιον τῶν ἁγίων. 17 καὶ τεσσαράκοντα πή- 17
χεων ἦν ὁ ναὸς 18 κατὰ πρόσωπον τοῦ δαβὶρ ἐν μέσῳ τοῦ οἴκου ἔσωθεν (19) 18
δοῦναι ἐκεῖ τὴν κιβωτὸν διαθήκης κυρίου. 19 εἴκοσι πήχεις μῆκος, καὶ (20) 19
εἴκοσι πήχεις πλάτος, καὶ εἴκοσι πήχεις τὸ ὕψος αὐτοῦ· καὶ περιέσχεν αὐτὸ
χρυσίῳ συγκεκλεισμένῳ· καὶ ἐποίησε θυσιαστήριον κατὰ πρόσωπον τοῦ δαβὶρ
καὶ περιέσχεν αὐτὸ χρυσίῳ. 20 καὶ ὅλον τὸν οἶκον περιέσχε χρυσίῳ ἕως (21) 20
συντελείας παντὸς τοῦ οἴκου. 21 καὶ ἐποίησεν ἐν τῷ δαβὶρ δύο Χερουβὶμ (23) 21

---

6. εξηκοντα πηχων μηκος α. ... τριακοντα pro πεντε κ. εικοσι ... om το ante υψος 7. κ. το αιλ. κ. πρ. του ναου του οικου, και (deest εικοσι?) εν πηχει μηκος αυτου κατα προσωπον εις το υψος του οικου, δεκα πηχεις πλατος αυτου κατα πρ. τ. οικ. etc. 9. μελαθρα κυκλοθεν συν τυχοις (i. e. τοιχοις) του οικου κυκλοθ. τ. ν. κ. τ. δαβειρ 10. ab init. add και εποιησεν πλευρας κυκλοθεν ... εξ pro πεντε ... om εν πηχει ... post εξ add πηχεων πλατος ... διαστηματα 11. ουκ ηκουσται ... om εν τω οικω 12. ειλικτη ... τριωροφα 13. ante κεδροις add φατνωσεσιν και διαταξεσιν 14. ενδεσμον pro συνδεσμον ... Post v. 14. (10.) add haec: (11.) και εγενετο λογος κυριου προς σαλωμων λεγων (12.) Ο οικος ουτος ον συ ωκοδομεις, εαν οδευης τοις προσταγμασιν μου και τα κριματα μου ποιης και φυλασσης πασας τας εντολας μου αναστρεφεσθαι εν αυταις, στησω τον λογον μου συν σοι ον ελαλησα προς δαυιδ τον πατερα σου· (13.) και κατασκηνωσω εμμεσω υιων ισραηλ, και ουκ εγκαταλειψω τον λαον μου ισραηλ. (14.) και ωκοδομησεν σαλωμων τον οικον και συνετελεσεν αυτον. 16. εδαφους του οικου εως ... εποιησ. αυτω εσωθεν του δαβειρ 17. κ. τεσσεραχοντα πηχων ην ο οικος ουτος ο ναος ο εσωτατος· et pergit (18.) και δια κεδρου προς τον οικον εσω πλοκην επαναστησεις, και πεταλα και αναγλυφα παντα κεδρινα, ουκ εφαινετο λιθος. 18. δαβειρ ... εσωθ. ητοιμασεν δουναι 19. ab init. add και εις προσωπον του δαβειρ (... om και εικοσι post μηκος) ... συγκεκλισμενω· κ. εποιησ. θυσ. κεδρου· και περιεπιλησεν σαλωμων τον οικον ενδοθεν χρυσιω αποκλιστω· και παρηγαγεν εν καθηλωμασιν χρυσιου κατα προσωπον τ. δαβειρ κ. περ. α. χρ. 20. post οικου add (22.) και ολον το εσω του δαβειρ επεταλωσεν χρυσιω 21. δαβειρ ... χερουβειν

22 (24) δέκα πήχεων μέγεϑος ἐσταϑμωμένον. [22] καὶ πέντε πήχεων πτερύγιον τοῦ
Χερουβὶμ τοῦ ἑνός, καὶ πέντε πήχεων πτερύγιον αὐτοῦ τὸ δεύτερον, ἐν πήχει
23 (25) δέκα ἀπὸ μέρους πτερυγίου αὐτοῦ εἰς μέρος πτερυγίου αὐτοῦ. [23] οὕτως τῷ
24 (26) Χερουβὶμ τῷ δευτέρῳ ἐν μέτρῳ ἑνὶ συντέλεια μία ἀμφοτέροις. [24] καὶ τὸ
ὕψος τοῦ Χερουβὶμ τοῦ ἑνὸς δέκα ἐν πήχει, καὶ οὕτω τῷ Χερουβὶμ τῷ δευ-
25 (27) τέρῳ. [25] καὶ ἀμφότερα Χερουβὶμ ἐν μέσῳ τοῦ οἴκου τοῦ ἐσωτάτου· καὶ
διεπέτασε τὰς πτέρυγας αὐτῶν, καὶ ἥπτετο πτέρυξ μία τοῦ τοίχου, καὶ πτέρυξ
Χερουβὶμ τοῦ δευτέρου ἥπτετο τοῦ τοίχου τοῦ δευτέρου· καὶ αἱ πτέρυγες αὐτῶν
26 (28) ἐν μέσῳ τοῦ οἴκου ἥπτοντο πτέρυξ πτέρυγος. [26] καὶ περιέσχε τὰ Χερουβὶμ
27 (29) χρυσίῳ. [27] πάντας τοὺς τοίχους τοῦ οἴκου κύκλῳ ἐγκολαπτὰ ἔγραψε γραφίδι
28 (30) Χερουβὶμ καὶ φοίνικας τῷ ἐσωτέρῳ καὶ τῷ ἐξωτέρῳ. [28] καὶ τὸ ἔδαφος
29 (31) τοῦ οἴκου περιέσχε χρυσίῳ τοῦ ἐσωτάτου καὶ τοῦ ἐξωτάτου. [29] καὶ τῷ ϑυ-
30 (33) ρώματι τοῦ δαβὶρ ἐποίησε ϑύρας ξύλων ἀρκευϑίνων, [30] στοαὶ τετραπλῶς,
31 (34) [31] ἐν ἀμφοτέραις ταῖς ϑύραις ξύλα πεύκινα· δύο πτυχαὶ ἡ ϑύρα ἡ μία
32 (35) καὶ στροφεῖς αὐτῶν, καὶ δύο πτυχαὶ ἡ ϑύρα ἡ δευτέρα· στρεφόμενα [32] ἐγκε-
κολαμμένα Χερουβὶμ καὶ φοίνικες καὶ διαπεπετασμένα πέταλα, καὶ περιεχό-
33 (36) μενα χρυσίῳ καταγομένῳ ἐπὶ τὴν ἐκτύπωσιν. [33] καὶ ᾠκοδόμησε τὴν αὐ-
λὴν τὴν ἐσωτάτην, τρεῖς στίχους ἀπελεκήτων, καὶ στίχος κατειργασμένης
κέδρου κυκλόϑεν. καὶ ᾠκοδόμησε τὸ καταπέτασμα τῆς αὐλῆς τοῦ αἰλὰμ τοῦ
οἴκου τοῦ κατὰ πρόςωπον τοῦ ναοῦ.

## VII.

1 (13) Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σαλωμὼν καὶ ἔλαβε τὸν Χιρὰμ ἐκ Τύ-
2 (14) ρου [2] υἱὸν γυναικὸς χήρας, καὶ οὗτος ἀπὸ τῆς φυλῆς τῆς Νεφϑαλίμ, καὶ
ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος, τέκτων χαλκοῦ καὶ πεπληρωμένος τῆς τέχνης
καὶ συνέσεως καὶ ἐπιγνώσεως τοῦ ποιεῖν πᾶν ἔργον ἐν χαλκῷ· καὶ εἰςηνέχϑη
3 (15) πρὸς τὸν βασιλέα Σαλωμών, καὶ ἐποίησε πάντα τὰ ἔργα. [3] καὶ ἐχώνευσε
τοὺς δύο στύλους τῷ αἰλὰμ τοῦ οἴκου, ὀκτωκαίδεκα πήχεις ὕψος τοῦ στύλου·
καὶ περίμετρον τεσσαρεςκαίδεκα πήχεις ἐκύκλου αὐτὸν τὸ πάχος τοῦ στύλου·
4 (16) τεσσάρων δακτύλων τὰ κοιλώματα· καὶ οὕτως ὁ στῦλος ὁ δεύτερος. [4] καὶ
δύο ἐπιϑέματα ἐποίησε δοῦναι ἐπὶ τὰς κεφαλὰς τῶν στύλων χωνευτά· πέντε
πήχεις τὸ ὕψος τοῦ ἐπιϑέματος τοῦ ἑνός, καὶ πέντε πήχεις τὸ ὕψος τοῦ ἐπι-
5 (17) ϑέματος τοῦ δευτέρου. [5] καὶ ἐποίησε δύο δίκτυα περικαλύψαι τὸ ἐπίϑεμα
τῶν στύλων, καὶ δίκτυον τῷ ἐπιϑέματι τῷ ἑνὶ καὶ δίκτυον τῷ ἐπιϑέματι τῷ

---

21. ξυλων κυπαρισινων δ. π. μ. εσταϑμωμενων 22. πτερυγιων αυτου το εν, και πεντε ... δεκα εν πηχει απο μ. πτ. αυτ. και εως μερους πτ. α. 23. ab init. add και δεκα εν πηχει ... τω χερουβ ... in f. add τοις χερουβειν 24. του χερουβ ... και ουτως του χερουβ του δευτερου 25. κ. εξηκεν αμφοτ. τα χερουβειν ... η πτερυξ του ενος του τοιχου κ. η πτερυξ του χερουβ του ... και πτερυγες αυτ. αι εν ... ηπτετο 26. χερουβειν 27. και παντας ... ενκολαμτα (ενκολαμπτα?) ... χερουβειν κ. φοινικες και περιγλυφα εγκυπτοντα τω 29. δαβειρ ... ϑυρας εκ ξυλων ... in f. add και φλιας πενταπλας et pergit sic: (32.) και δυο ϑυρας ξυλων πυκινων, και ενκολαπτα επ αυτων ενκεκολαμμενα χερουβειν και φοινικας και πεταλα διαπεπετασμενα, και περιεσχεν χρυσιω, και κατεβαινεν επι τα χερουβειν και επι τους φοινικας το χρυσιον 30. (33.) και ουτως εποιησεν τω πυλωνι (** add του ναου)· φλιαι ξυλων αρκευϑου στοαι τετραπλως 31. και αιη (corr. εν) αμφοτεραις ... om και ante δυο 32. εις κεκολαμμενα χερουβειν 33. κατεργασμενης ... om κυκλοϑεν ... om και ωκοδομησε usque του ναου [cf. VII, 12. codicis alex.] ... In fine cap. sequuntur vv. 4. 5. de quibus vide supra. VII. Hoc caput incipit a vv. 38—49., ita ut v. 1. vaticani cod. sit in alex. v. 13... 1. χειραμ 2. υιου ... νεφϑαλειμ ... τιμιος pro τυριος ... εισηχϑη 4. χωνευτα χαλκα 5. ab επιϑεματι ad επιϑεματι transilit. 7. Ante h. v. pon. vv. 8. 9.

Digitized by Google

δευτέρῳ. 6 καὶ ἔργον κρεμαστόν, δύο στίχοι ῥοῶν χαλκῶν, δεδικτυωμένοι, (18) 6
ἔργον κρεμαστόν, στίχος ἐπὶ στίχον· καὶ οὕτως ἐποίησε τῷ ἐπιθέματι τῷ
δευτέρῳ. 7 καὶ ἔστησε τοὺς στύλους τοῦ αιλὰμ τοῦ ναοῦ· καὶ ἔστησε τὸν (21) 7
στῦλον τὸν ἕνα καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰαχούμ, καὶ ἔστησε τὸν στῦ-
λον τὸν δεύτερον καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Βολώζ. 8 καὶ ἐπὶ τῶν (19) 8
κεφαλῶν τῶν στύλων ἔργον κρίνου κατὰ τὸ αιλὰμ τεσσάρων πηχῶν. 9 καὶ (20) 9
μέλαθρον ἐπ' ἀμφοτέρων τῶν στύλων, καὶ ἐπάνωθεν τῶν πλευρῶν ἐπίθεμα
τὸ μέλαθρον τῷ πάχει. 10 καὶ ἐποίησε τὴν θάλασσαν δέκα ἐν πήχει ἀπὸ (23) 10
τοῦ χείλους αὐτῆς ἕως τοῦ χείλους αὐτῆς, στρογγύλον κύκλῳ τὸ αὐτό· πέντε
ἐν πήχει τὸ ὕψος αὐτῆς, καὶ συνηγμένη τρεῖς καὶ τριάκοντα ἐν πήχει.
11 καὶ ὑποστηρίγματα ὑποκάτωθεν τοῦ χείλους αὐτῆς κυκλόθεν ἐκύκλουν (24) 11
αὐτὴν δέκα ἐν πήχει κυκλόθεν· καὶ τὸ χεῖλος αὐτῆς ὡς ἔργον χείλους ποτηρίου
βλαστὸς κρίνου, καὶ τὸ πάχος αὐτοῦ παλαιστής. 12 καὶ δώδεκα βόες ὑπο- (25) 12
κάτω τῆς θαλάσσης, οἱ τρεῖς ἐπιβλέποντες βοῤῥᾶν, καὶ οἱ τρεῖς ἐπιβλέποντες
θάλασσαν, καὶ οἱ τρεῖς ἐπιβλέποντες νότον, καὶ οἱ τρεῖς ἐπιβλέποντες ἀνατο-
λήν· καὶ πάντα τὰ ὀπίσθια εἰς τὸν οἶκον, καὶ ἡ θάλασσα ἐπ' αὐτῶν ἐπά-
νωθεν. 13 καὶ ἐποίησε δέκα μεχωνὼθ χαλκᾶς· πέντε πήχεις μῆκος τῆς (27) 13
μεχωνὼθ τῆς μιᾶς, καὶ τέσσαρες πήχεις τὸ πλάτος αὐτῆς, καὶ ἓξ ἐν πήχει
ὕψος αὐτῆς. 14 καὶ τοῦτο τὸ ἔργον τῶν μεχωνὼθ συγκλειστὸν αὐτοῖς, καὶ (28) 14
συγκλειστὸν ἀνὰ μέσον τῶν ἐξεχομένων. 15 καὶ ἐπὶ τὰ συγκλείσματα αὐτῶν (29) 15
ἀνὰ μέσον ἐξεχομένων λέοντες καὶ βόες καὶ Χερουβὶμ· καὶ ἐπὶ τῶν ἐξεχο-
μένων οὕτως καὶ ἐπάνωθεν, καὶ ὑποκάτωθεν τῶν λεόντων καὶ τῶν βοῶν χῶραι,
ἔργον καταβάσεως. 16 καὶ τέσσαρες τροχοὶ χαλκοῖ τῇ μεχωνὼθ τῇ μιᾷ, καὶ (30) 16
τὰ προσέχοντα χαλκᾶ καὶ τέσσαρα μέρη αὐτῶν, ὠμίαι ὑποκάτω τῶν λουτήρων.
17 καὶ χεῖρες ἐν τοῖς τροχοῖς ἐν τῇ μεχωνώθ. 18 καὶ τὸ ὕψος τοῦ τροχοῦ (31. 32) 17 18
τοῦ ἑνὸς πήχεος καὶ ἡμίσους. 19 καὶ τὸ ἔργον τῶν τροχῶν ἔργον τροχῶν (33) 19
ἅρματος· αἱ χεῖρες αὐτῶν καὶ οἱ νῶτοι αὐτῶν καὶ ἡ πραγματεία αὐτῶν πάντα
χωνευτά. 20 αἱ τέσσαρες ὠμίαι ἐπὶ τῶν τεσσάρων γωνιῶν τῆς μεχωνὼθ (34) 20
τῆς μιᾶς, ἐκ τῆς μεχωνὼθ οἱ ὦμοι αὐτῆς, 21 καὶ ἐπὶ τῆς κεφαλῆς τῆς (35) 21
μεχωνὼθ ἥμισυ τοῦ πήχεος μέγεθος αὐτῆς στρογγύλον κύκλῳ ἐπὶ τῆς κε-
φαλῆς τῆς μεχωνώθ· καὶ ἀρχὴ χειρῶν αὐτῆς καὶ τὰ συγκλείσματα αὐτῆς·
καὶ ἠνοίγετο ἐπὶ τὰς ἀρχὰς τῶν χειρῶν αὐτῆς. 22 καὶ τὰ συγκλείσματα (36) 22
αὐτῆς Χερουβὶμ καὶ λέοντες καὶ φοίνικες ἑστῶτα, ἐχόμενον ἕκαστον κατὰ

---

(8.) και επιθεματα επι των κεφαλων ... (9.) των πλευρ. επιθεμα μελαθρον· και των ροων πεντε στιχοι κυκλω επι της κεφαλιδος της δευτερας 7. ιαχουν ... βοος ... post v. 7. add (22.) και επι των κεφαλων εργον κρινους (κρινου?) και ετελειωθη το εργον των στυλων. 10. τ. θαλασσαν αυτην δεκα ... om το ante υψος ... συνηγμενοι ... in f. add εκυκλου αυτην κυκλω 11. pro και το χειλ. usque παλαιστης hab. δυο στιχοι των υποστηριγματων κεχυμενοι εν τη χυσει αυτης εστωτες 12. ανατολην· κ. η θαλ. επ. αυτ. επανωθεν· κ. παντα τα οπ. εις τ. οικον· atque add (26.) και το παχος αυτου παλαιστης και το χειλος αυτης ως εργον χειλους ποτηριου βλαστος κρινου· δισχιλιους χοεις χωρουντας· 13. τας μεχωνωθ δεκα ... πλατος sine το 14. συγκλιστον bis 15. συγκλιματα ... χερουβειν 16. τεσσερα ... ωμιαι αυτοις ... in f. add αι ωμιαι κεχυμεναι απο περαν ανδρος προσκειμεναι 17. plene sic: και στομα αυτου εσωθεν της κεφαλιδος ανωθεν εν πηχει, και στομα αυτου στρογγυλουν· ποιημα ουτως πηχεος και ημισους του πηχεως (** πηχεος)· και γε επι στοματος αυτου διατορευματα και διαπηγα αυτων τετραγωνα, ου στρογγυλα· 18. ab init. add και τεσσαρες τροχοι εις υποκατωθεν των διαπηγων· ... εν τω μεχωνωθ ... και ημισ. του πηχεος 19. αι χ. αυτ. και αυχενες αυτων κ. οι ... πραγματια ... ισα παντα 21 om αυτης ... συγκλισματα αυτ. εξ αυτης 22. συγκλισματα ... χερουβειν ... λεοντας



Digitized by Google

23 (37) πρόσωπον ἔσω καὶ τὰ κυκλόθεν. 23 κατ' αὐτὴν ἐποίησε πάσας τὰς δέκα
24 (38) μεχωνὼθ τάξιν μίαν καὶ μέτρον ἓν πάσαις. 24 καὶ ἐποίησε δέκα χυτρο-
καύλους χαλκοῦς, τεσσαράκοντα χοεῖς χωροῦντα τὸν ἕνα χυτρόκαυλον μετρή-
σει τεσσάρων πηχῶν· χυτρόκαυλος ὁ εἷς ἐπὶ τῇ μεχωνὼθ τῇ μιᾷ ταῖς δέκα
25 (39) μεχωνώθ. 25 καὶ ἔθετο τὰς πέντε μεχωνὼθ ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ
δεξιῶν, καὶ πέντε ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐξ ἀριστερῶν· καὶ ἡ θάλασσα
ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν κατ' ἀνατολὰς ἀπὸ τοῦ κλίτους τοῦ νότου.
26 (40) 26 καὶ ἐποίησε Χιρὰμ τοὺς λέβητας καὶ τὰς θερμάστρεις καὶ τὰς φιάλας·
καὶ συνετέλεσε Χιρὰμ ποιῶν πάντα τὰ ἔργα ἃ ἐποίησε τῷ βασιλεῖ Σαλωμὼν
27 (41) ἐν οἴκῳ κυρίου. 27 στύλους δύο καὶ τὰ στρεπτὰ τῶν στύλων ἐπὶ τῶν κε-
φαλῶν τῶν στύλων δύο· καὶ τὰ δίκτυα δύο τοῦ καλύπτειν ἀμφότερα τὰ
28 (42) στρεπτὰ τῶν γλυφῶν τὰ ὄντα ἐπὶ τῶν στύλων· 28 τὰς ῥοὰς τετρακοσίας
ἀμφοτέροις τοῖς δικτύοις, δύο στίχοι ῥοῶν τῷ δικτύῳ τῷ ἑνὶ περικαλύπτειν
ἀμφότερα τὰ ὄντα τὰ στρεπτὰ τῆς μεχωνὼθ ἐπ' ἀμφοτέροις τοῖς στύλοις·
29 (43) 29 καὶ τὰ μεχωνὼθ δέκα, καὶ τοὺς χυτροκαύλους δέκα ἐπὶ τῶν μεχωνώθ·
30 (44) 30 καὶ τὴν θάλασσαν μίαν, καὶ τοὺς βόας δώδεκα ὑποκάτω τῆς θαλάσσης·
31 (45) 31 καὶ τοὺς λέβητας καὶ τὰς θερμάστρεις καὶ τὰς φιάλας καὶ πάντα τὰ
σκεύη ἃ ἐποίησε Χιρὰμ τῷ βασιλεῖ Σαλωμὼν τῷ οἴκῳ κυρίου· καὶ οἱ στῦλοι
τεσσαράκοντα καὶ ὀκτὼ τοῦ οἴκου τοῦ βασιλέως καὶ τοῦ οἴκου κυρίου· πάντα
32 (47) τὰ ἔργα τοῦ βασιλέως ἃ ἐποίησε Χιρὰμ χαλκᾶ ἄρδην. 32 οὐκ ἦν σταθμὸς
τοῦ χαλκοῦ οὗ ἐποίησε πάντα τὰ ἔργα ταῦτα ἐκ πλήθους σφόδρα· οὐκ ἦν
33 (46) τέρμα τῶν σταθμῶν τοῦ χαλκοῦ. 33 ἐν τῷ περιοίκῳ τοῦ Ἰορδάνου ἐχώ-
νευσεν αὐτὰ ἐν τῷ πάχει τῆς γῆς ἀνὰ μέσον Σοχχὼθ καὶ ἀνὰ μέσον Σειρά.
34 (48) 34 καὶ ἔλαβεν ὁ βασιλεὺς Σαλωμὼν τὰ σκεύη ἃ ἐποίησεν ἐν οἴκῳ κυρίου,
τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ τὴν τράπεζαν ἐφ' ἧς οἱ ἄρτοι τῆς προς-
35 (49) φορᾶς χρυσῆν, 35 καὶ τὰς λυχνίας πέντε ἐξ ἀριστερῶν καὶ πέντε ἐκ δεξιῶν
κατὰ πρόσωπον τοῦ δαβὶρ χρυσᾶς συγκλειομένας, καὶ τὰ λαμπάδια καὶ τοὺς
36 (50) λύχνους καὶ τὰς ἐπαρύστρις χρυσᾶς· 36 καὶ τὰ πρόθυρα καὶ οἱ ἧλοι καὶ
αἱ φιάλαι καὶ τὰ τρυβλία καὶ αἱ θυΐσκαι χρυσαῖ, συγκλειστά· καὶ τὰ θυρώ-
ματα τῶν θυρῶν τοῦ οἴκου τοῦ ἐσωτάτου ἁγίου τῶν ἁγίων, καὶ τὰς θύρας
37 (51) τοῦ ναοῦ χρυσᾶς. 37 καὶ ἀνεπληρώθη τὸ ἔργον ὃ ἐποίησε Σαλωμὼν οἴκου
κυρίου· καὶ εἰσήνεγκε Σαλωμὼν τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ πάντα
τὰ ἅγια Σαλωμών, τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἔδωκεν εἰς τοὺς
38 (1) θησαυροὺς οἴκου κυρίου. 38 καὶ τὸν οἶκον ἑαυτῷ ᾠκοδόμησε Σαλωμὼν τρις-
39 (2) καίδεκα ἔτεσι. 39 καὶ ᾠκοδόμησε τὸν οἶκον δρυμῷ τοῦ Λιβάνου· ἑκατὸν
πήχεις μῆκος αὐτοῦ, καὶ πεντήκοντα πήχεις πλάτος αὐτοῦ, καὶ τριάκοντα
πηχῶν ὕψος αὐτοῦ· καὶ τριῶν στίχων στύλων κεδρίνων, καὶ ὠμίαι κέδριναι

---

22. προσωπ. αυτου 23. ταξις μια κ. μ. εν, τερμα εν πασαις 24. χυτρογαυλους ... τεσσερακοντα ... τον χυτρογαυλον τον ενα· τεσσαρων πηχ. ο χυτρογαυλος ο εις επι της μ. της μιας 25. τας μεχωνωθ πεντε απο ... κ. πεντε επ ωμιαν τ. ο. τ. αριστ. αυτου ... της ωμιδος 26. χειραμ bis 29. τας μεχωνωθ ... χυτρογαυλους δ. ε. της μεχωνωθ 31. χειραμ bis ... τεσσερακοντα οκτω ... του κυριου ... om ἃ 32. in f. add στιλβοντος 33. αυτα ο βασιλευς εν ... σιαραμ pro σειρα 34. κ. εδωκεν ο βασ. σαλ. επι παντα τα σκευη· απο του πληθους σφοδρα σφοδρα ουκ ην σταθμος του χαλκου· και εποιησεν σαλωμων παντα τα σκευη τα εν τω οικ. κυρ. 35. πεντε εκ δεξ. κ. π. εξ αριστ. ... δαβερρ ... συγκαιομενας ... επαρυστριδας χρ. τρεις 36. συγκλιστα ... αγιου αγιων ... του οικου του ναου 37. παν το εργον ο επ. ο βασιλευς σαλωμων .. De vv. 38. usque 49. cf. ad VII, 1. 38. αυτου pro εαυτω ... in f. add και συνετελεσεν ολον τον οικον αυτου 39. δρυμου ... το μηκος

Digitized by Google

τοῖς στύλοις. [40] καὶ ἐφάτνωσε τὸν οἶκον ἄνωθεν ἐπὶ τῶν πλευρῶν τῶν στύ- (3) 40
λων· καὶ ἀριθμὸς τῶν στύλων τεσσαράκοντα καὶ πέντε ὁ στίχος, [41] καὶ (4) 41
μέλαθρα τρία, καὶ χώρα ἐπὶ χώραν τρισσῶς. [42] καὶ πάντα τὰ θυρώματα (5) 42
καὶ αἱ χῶραι τετράγωνοι μεμελαθρωμέναι, καὶ ἀπὸ τοῦ θυρώματος ἐπὶ θύραν
τρισσῶς. [43] καὶ τὸ αἰλὰμ τῶν στύλων πεντήκοντα μῆκος καὶ πεντήκοντα ἐν (6) 43
πλάτει ἐζυγωμένα, αἰλὰμ ἐπὶ πρόςωπον αὐτῶν· καὶ στῦλοι καὶ πάχος ἐπὶ
πρόςωπον αὐτῆς τοῖς αἰλαμίν. [44] καὶ τὸ αἰλὰμ τῶν θρόνων οὗ κρινεῖ ἐκεῖ, (7) 44
αἰλὰμ τοῦ κριτηρίου. [45] καὶ ὁ οἶκος αὐτῶν ἐν ᾧ καθήσεται ἐκεῖ, αὐλὴ μία (8) 45
ἐξελισσομένη τούτοις κατὰ τὸ ἔργον τοῦτο· καὶ οἶκον τῇ θυγατρὶ Φαραὼ ἣν
ἔλαβε Σαλωμὼν κατὰ τὸ αἰλὰμ τοῦτο. [46] πάντα ταῦτα ἐκ λίθων τιμίων (9) 46
κεκολαμμένα ἐκ διαστήματος ἔσωθεν καὶ ἐκ τοῦ θεμελίου ἕως τῶν γείσων·
καὶ ἔξωθεν εἰς τὴν αὐλὴν τὴν μεγάλην [47] τὴν τεθεμελιωμένην ἐν τιμίοις (10) 47
λίθοις μεγάλοις, λίθοις δεκαπήχεσι καὶ τοῖς ὀκταπήχεσι· [48] καὶ ἐπάνωθεν (11) 48
τιμίοις κατὰ τὸ μέτρον ἀπελεκήτων καὶ κέδροις. [49] τῆς αὐλῆς τῆς μεγάλης (12) 49
κύκλῳ τρεῖς στίχοι ἀπελεκήτων καὶ στίχος κεκολαμμένης κέδρου. καὶ συνετέ-
λεσε Σαλωμὼν ὅλον τὸν οἶκον αὐτοῦ.

## VIII.

Καὶ ἐγένετο ὡς συνετέλεσε Σαλωμὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου
καὶ τὸν οἶκον αὐτοῦ μετὰ εἴκοσι ἔτη, τότε ἐξεκκλησίασεν ὁ βασιλεὺς Σαλω-
μὼν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιὼν τοῦ ἐνεγκεῖν τὴν κιβωτὸν
διαθήκης κυρίου ἐκ πόλεως Δαυίδ, αὕτη ἐστὶ Σιών, [2] ἐν μηνὶ Ἀθανίν. [3] καὶ 2 3
ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν [4] καὶ τὸ σκήνωμα τοῦ μαρτυρίου καὶ τὰ σκεύη 4
τὰ ἅγια τὰ ἐν τῷ σκηνώματι τοῦ μαρτυρίου· [5] καὶ ὁ βασιλεὺς καὶ πᾶς Ἰσραὴλ 5
ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες πρόβατα βόας ἀναρίθμητα. [6] καὶ εἰςφέρουσιν 6
οἱ ἱερεῖς τὴν κιβωτὸν εἰς τὸν τόπον αὐτῆς εἰς τὸ δαβὶρ τοῦ οἴκου εἰς τὰ ἅγια
τῶν ἁγίων ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ. [7] ὅτι τὰ Χερουβὶμ διαπεπετα- 7
σμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ· καὶ περιεκάλυπτον τὰ Χερου-
βὶμ ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνωθεν, [8] καὶ ὑπερεῖχον τὰ 8
ἡγιασμένα· καὶ ἐνεβλέποντο αἱ κεφαλαὶ τῶν ἡγιασμένων ἐκ τῶν ἁγίων εἰς
πρόςωπον τοῦ δαβίρ, καὶ οὐκ ὠπτάνοντο ἔξω. [9] οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν 9
δύο πλάκες λίθιναι, πλάκες τῆς διαθήκης ἃς ἔθηκε Μωυσῆς ἐν Χωρήβ, ἃς
διέθετο κύριος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐκ γῆς

---

40. (εταφνωσεν ...) τεσσερακοντα κ. πεντε· δεκα και πεντε ο στιχ. 43. ** (* ?) στυλ. εποιησεν πεντηκ. πηχων μηκ. και τριακοντα εν πλατει ... επι προσωπ. αυτων τοις ελαμμειμ 44. το αιλαμ του κριτηρ. εποιησεν και ωροφωσεν εν κεδρω απο του εδαφους εως του εδαφους 45. και οικος αυτω εν ω 46. τιμιων μετρον απελεκητων κεκολαμμενα εκ δ. εσωθ. και εξωθεν 47. om εν 48. λιθοις τιμιοις ... και κεδροις c. seqq. conj. ... pro και συνετελ. usque οικον αυτου habet: και οικοδομησεν αυλην οικου κυριου την εσωτατην των αιλαμ του οικου του κατα προσωπον του ναου VIII. 1. Και εξεκκλησιασεν omissis Και εγενετο usque τοτε ... inter ισραηλ et εν σιων add συνπασας κεφαλας των ραβδων επησμενους των πατερων των υιων ισραηλ προς τον βασιλεα σαλωμων ... ανενεγκειν 2. plene: και εξεκκλησιασθησαν προς τον βασιλεα σαλωμων πας ανηρ ισραηλ εν μηνι αβανειμ εν τη εορτη· αυτος ο μην εβδομηκοστος εβδομος· 3. και ηλθον παντες οι πρεσβυτεροι ισραηλ κ. ηρ. οι 4. και ανεβιβασαν την κιβωτον κυριου κ. το ... παντα τα σκευη ... in f. add και ανεβιβασαν αυτα οι ιερεις και οι λευιται 5. κ. ο. β. κ. πασα συναγωγη ισραηλ οι συντεταγμενοι επ αυτον συν αυτω εμπροσθεν ... προβατα και βοας α ου ψηφισθησεται αναριθμητα απο πληθους 6. τ. κιβ. διαθηκης κυριου ... δαβειρ ... χερουβειν 7. χερουβειν bis ... την pro επι την 8. δαβειρ ... οπτανοντο εξω· και εγενοντο εκει εως της ημερας ταυτης 9. μώσης εκει εν χ. α διεθετο κ. μετα υιων

Digitized by Google

10 Αἰγύπτου. 10 καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη
11 ἔπλησε τὸν οἶκον· 11 καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στήκειν λειτουργεῖν ἀπὸ προς-
14 ώπου τῆς νεφέλης, ὅτι ἔπλησε δόξα κυρίου τὸν οἶκον. 14 καὶ ἀπέστρεψεν ὁ
βασιλεὺς τὸ πρόσωπον αὐτοῦ, καὶ εὐλόγησεν ὁ βασιλεὺς πάντα Ἰσραήλ· καὶ
15 πᾶσα ἐκκλησία Ἰσραὴλ εἱστήκει· 15 καὶ εἶπεν Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ
σήμερον, ὃς ἐλάλησεν ἐν τῷ στόματι αὐτοῦ περὶ Δαυὶδ τοῦ πατρός μου καὶ
16 ἐν ταῖς χερσὶν αὐτοῦ ἐπλήρωσε λέγων 16 Ἀφ᾽ ἧς ἡμέρας ἐξήγαγον τὸν λαόν
μου τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἐν ἑνὶ σκήπτρῳ Ἰσραὴλ
τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ· καὶ ἐξελεξάμην ἐν Ἱερου-
σαλὴμ εἶναι τὸ ὄνομά μου ἐκεῖ, καὶ ἐξελεξάμην τὸν Δαυὶδ τοῦ εἶναι ἐπὶ τὸν
17 λαόν μου τὸν Ἰσραήλ. 17 καὶ ἐγένετο ἐπὶ τῆς καρδίας τοῦ πατρός μου οἰκο-
18 δομῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ Ἰσραήλ. 18 καὶ εἶπε κύριος πρὸς Δαυὶδ
τὸν πατέρα μου Ἀνθ᾽ ὧν ἦλθεν ἐπὶ τὴν καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶκον
19 τῷ ὀνόματί μου, καλῶς ἐποίησας ὅτι ἐγενήθη ἐπὶ τὴν καρδίαν σου· 19 πλὴν
σὺ οὐκ οἰκοδομήσεις τὸν οἶκον ἀλλ᾽ ἢ ὁ υἱός σου ὁ ἐξελθὼν ἐκ τῶν πλευρῶν
20 σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου. 20 καὶ ἀνέστησε κύριος τὸ
ῥῆμα αὐτοῦ ὃ ἐλάλησε· καὶ ἀνέστην ἀντὶ Δαυὶδ τοῦ πατρός μου, καὶ ἐκά-
θισα ἐπὶ τοῦ θρόνου Ἰσραὴλ καθὼς ἐλάλησε κύριος, καὶ ᾠκοδόμησα τὸν οἶκον
21 τῷ ὀνόματι κυρίου θεοῦ Ἰσραήλ. 21 καὶ ἐθέμην ἐκεῖ τόπον τῇ κιβωτῷ ἐν ᾗ
ἐστὶν ἐκεῖ διαθήκη κυρίου ἣν διέθετο κύριος μετὰ τῶν πατέρων ἡμῶν ἐν τῷ
22 ἐξαγαγεῖν αὐτὸν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. 22 καὶ ἀνέστη Σαλωμὼν κατὰ πρός-
ωπον τοῦ θυσιαστηρίου κυρίου ἐνώπιον πάσης ἐκκλησίας Ἰσραήλ, καὶ διεπέ-
23 τασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν 23 καὶ εἶπε Κύριε ὁ θεὸς Ἰσραήλ, οὐκ
ἔστιν ὡς σὺ θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω φυλάσσων δια-
θήκην καὶ ἔλεος τῷ δούλῳ σου τῷ πορευομένῳ ἐνώπιόν σου ἐν ὅλῃ τῇ καρ-
24 δίᾳ αὐτοῦ, 24 ἃ ἐφύλαξας τῷ δούλῳ σου Δαυὶδ τῷ πατρί μου· καὶ γὰρ ἐλά-
λησας ἐν τῷ στόματί σου καὶ ἐν χερσί σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη.
25 25 καὶ νῦν, κύριε ὁ θεὸς Ἰσραήλ, φύλαξον τῷ δούλῳ σου Δαυὶδ τῷ πατρί
μου ἃ ἐλάλησας αὐτῷ λέγων Οὐκ ἐξαρθήσεταί σου ἀνὴρ ἐκ προσώπου μου
καθήμενος ἐπὶ θρόνου Ἰσραήλ, πλὴν ἐὰν φυλάξωνται τὰ τέκνα σου τὰς ὁδοὺς
26 αὐτῶν τοῦ πορεύεσθαι ἐνώπιόν μου καθὼς ἐπορεύθης ἐνώπιον ἐμοῦ. 26 καὶ
νῦν, κύριε ὁ θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου τῷ Δαυὶδ τῷ πατρί
27 μου. 27 ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; εἰ ὁ
οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πλὴν καὶ ὁ οἶκος οὗτος
28 ὃν ᾠκοδόμησα τῷ ὀνόματί σου; 28 καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέησίν μου, κύριε
ὁ θεὸς Ἰσραήλ, ἀκούειν τῆς προσευχῆς ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν
29 σου πρὸς σὲ σήμερον, 29 τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἠνεῳγμένους εἰς τὸν
οἶκον τοῦτον ἡμέρας καὶ νυκτός, εἰς τὸν τόπον ὃν εἶπας Ἔσται τὸ ὄνομά μου
ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον
30 τοῦτον ἡμέρας καὶ νυκτός. 30 καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου καὶ
τοῦ λαοῦ σου Ἰσραὴλ ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον· καὶ σὺ εἰς-

---

10. οικον κυριου 11. εδυναντο ... στηναι ... in f. add κυριου 12. τοτε ειπεν σαλωμων Κυριος ειπεν του σκηνωσαι εν γνοφω· 13. οικοδομησα οικον κατοικητηριου σοι, εδρασμα της καθεδρας σου αιωνος· 14. ιστηκει 15. εν στοματι 16. om και εξελεξ. εν ιερ. usque εκει ... om επι 17. καρδ. δαυιδ του 18. om του 19. πλ. ου συ 22. εστη 23. om τη 24. μου· οσα ελαλησας αυτω και ελαλησας εν στοματι σου 25. μου pro εμου 26. πιστωθη δη ... σου ο ελαλησας τω δουλω σου δ. τω 27. κατοικησει θεος ... και ουρανος ... om τω ονοματι σου 28. κ. επιβλ. επι προσευχην δουλου σου και την δεησ. μου ο θ. ισρ. ακ. της τερψεως και τ. προσευχ. 29. om τους ... ανεωγμενους ... νυκτ. κ. ημερας ... ης ο δουλ. σ. προσευχεται 30. εισακ. της φωνης του ... om και του λαου σου ... προσευχωνται

Digitized by Google

ἀκούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν οὐρανῷ, καὶ ποιήσεις καὶ ἵλεως
ἔσῃ. 31 ὅσα ἂν ἁμάρτῃ ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἐὰν λάβῃ ἐπ' αὐτὸν 31
ἀρὰν τοῦ ἀράσασθαι αὐτόν, καὶ ἔλθῃ καὶ ἐξαγορεύσῃ κατὰ πρόσωπον τοῦ
θυσιαστηρίου σου ἐν τῷ οἴκῳ τούτῳ, 32 καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ 32
ποιήσεις, καὶ κρινεῖς τὸν λαόν σου Ἰσραὴλ ἀνομηθῆναι ἄνομον δοῦναι τὴν
ὁδὸν αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ καὶ τοῦ δικαιῶσαι δίκαιον δοῦναι αὐτῷ κατὰ
τὴν δικαιοσύνην αὐτοῦ. 33 ἐν τῷ πταῖσαι τὸν λαόν σου Ἰσραὴλ ἐνώπιον ἐχθρῶν 33
ὅτι ἁμαρτήσονταί σοι, καὶ ἐπιστρέψουσι καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου,
καὶ προσεύξονται καὶ δεηθήσονται ἐν τῷ οἴκῳ τούτῳ, 34 καὶ σὺ εἰσακούσῃ ἐκ 34
τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου Ἰσραήλ, καὶ ἐπι-
στρέψεις αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκας τοῖς πατράσιν αὐτῶν. 35 ἐν τῷ συσχε- 35
θῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετὸν ὅτι ἁμαρτήσονταί σοι, καὶ προσ-
εύξονται εἰς τὸν τόπον τοῦτον καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ ἀπὸ
τῶν ἁμαρτιῶν αὐτῶν ἀποστρέψουσιν ὅταν ταπεινώσῃς αὐτούς, 36 καὶ εἰσακούσῃ 36
ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ δούλου σου καὶ τοῦ λαοῦ
σου Ἰσραήλ· ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν πορεύεσθαι ἐν αὐτῇ,
καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν ἣν ἔδωκας τῷ λαῷ σου ἐν κληρονομίᾳ. 37 λιμὸς 37
ἐὰν γένηται, θάνατος ἐὰν γένηται, ὅτι ἔσται ἐμπυρισμός, βροῦχος, ἐρυσίβη
ἐὰν γένηται, καὶ ἐὰν θλίψῃ αὐτὸν ὁ ἐχθρὸς αὐτοῦ ἐν μιᾷ τῶν πόλεων αὐτοῦ,
πᾶν συνάντημα, πάντα πόνον, 38 πᾶσαν προσευχήν, πᾶσαν δέησιν ἐὰν γένηται 38
παντὶ ἀνθρώπῳ, ὡς ἂν γνῶσιν ἕκαστος ἁφὴν καρδίας αὐτοῦ, καὶ διαπετάσῃ
τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον τοῦτον, 39 καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ 39
ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ἵλεως ἔσῃ, καὶ ποιήσεις καὶ δώσεις ἀνδρὶ
κατὰ τὰς ὁδοὺς αὐτοῦ καθὼς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι σὺ μονώτατος
οἶδας τὴν καρδίαν πάντων υἱῶν ἀνθρώπων, 40 ὅπως φοβῶνταί σε πάσας τὰς 40
ἡμέρας ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν. 41 καὶ 41
τῷ ἀλλοτρίῳ ὃς οὐκ ἔστιν ἀπὸ λαοῦ σου οὗτος, 42 καὶ ἥξουσι καὶ προσεύξονται 42
εἰς τὸν τόπον τοῦτον, 43 καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοι- 43
κητηρίου σου, καὶ ποιήσεις κατὰ πάντα ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος,
ὅπως γνῶσι πάντες οἱ λαοὶ τὸ ὄνομά σου καὶ φοβῶνταί σε καθὼς ὁ λαός σου
Ἰσραήλ, καὶ γνῶσιν ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον ὃν
ᾠκοδόμησα. 44 ὅτι ἐξελεύσεται ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ 44
ἐν ὁδῷ ᾗ ἐπιστρέψεις αὐτούς, καὶ προσεύξονται ἐν ὀνόματι κυρίου ὁδὸν τῆς
πόλεως ἧς ἐξελέξω ἐν αὐτῇ καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου,
45 καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς δεήσεως αὐτῶν καὶ τῆς προσευχῆς 45
αὐτῶν, καὶ ποιήσεις τὸ δικαίωμα αὐτοῖς. 46 ὅτι ἁμαρτήσονταί σοι, ὅτι οὐκ 46
ἔστιν ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, καὶ ἐπάξεις αὐτοὺς καὶ παραδώσεις αὐ-
τοὺς ἐνώπιον ἐχθρῶν, καὶ αἰχμαλωτιοῦσιν οἱ αἰχμαλωτίζοντες εἰς γῆν μακρὰν
ἢ ἐγγύς, 47 καὶ ἐπιστρέψουσι καρδίας αὐτῶν ἐν τῇ γῇ οὗ μετήχθησαν ἐκεῖ, 47
καὶ ἐπιστρέψωσιν ἐν γῇ μετοικίας αὐτῶν καὶ δεηθῶσί σου λέγοντες Ἡμάρτο-

---

30. εν τω ουρ. κ. ποιησης 33. επιστρεψ. προς σε ... δεηθησ. προς σε 34. αποστρεψεις 35. επιστρεψουσιν 36. αμαρτ. του λαου σου κ. του λαου σου ισραηλ ... γην σου ην 37. λιμος ε. γ. εν τη γη ... εμπ. ικτερος βρουχος ... και εκθλιψει αυτ. εχθρος 38. παντι ανθρ. παντος λαου σου ισραηλ 39. κατα πασας τας 40. (om οσας ...) ζωσιν επι προσωπου πασης της 41. σου ισραηλ ουτος, και ελθη απο γης μακροθεν ενεκα ονοματος σου, οτι ακουσουσιν το ονομα σου το μεγα και την χειρα σου την ισχυουσαν και βραχιονα σου τον εκτεταμενον 43. om συ ... λαοι της γης ... om τουτον 44. οδος pro οδον 45. om συ ... της προσευχ. αυτ. κ. της δεησ. α. 46. αμαρτ. σοι κ. επαρεις επ αυτους κ. παρ. ... αιχμαλ. αυτους οι αιχμ. αυτους ε. την γην του εχθρου μακρ. και εγγ. 47. κ. επιστρ. και δεηθ. σου εν γη μετοικειας αυτ. λεγοντες

Digitized by Google

48 μεν ἠδικήσαμεν ἠνομήσαμεν, [48] καὶ ἐπιστρέψωσι πρὸς σὲ ἐν ὅλῃ καρδίᾳ αὐ-
τῶν καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν τῇ γῇ ἐχθρῶν αὐτῶν οὗ μετήγαγες αὐτούς,
καὶ προσεύξονται πρὸς σὲ ὁδὸν γῆς αὐτῶν ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν
καὶ τῆς πόλεως ἧς ἐξελέξω καὶ τοῦ οἴκου οὗ ᾠκοδόμηκα τῷ ὀνόματί σου,
49 50 [49] καὶ εἰςακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου, [50] καὶ ἵλεως
ἔσῃ ταῖς ἀδικίαις αὐτῶν αἷς ἥμαρτόν σοι καὶ κατὰ πάντα τὰ ἀθετήματα
αὐτῶν ἃ ἠθέτησάν σοι, καὶ δώσεις αὐτοὺς εἰς οἰκτιρμοὺς ἐνώπιον αἰχμαλω-
51 τευόντων αὐτοὺς καὶ οἰκτειρήσουσιν εἰς αὐτούς· [51] ὅτι λαός σου καὶ κληρονο-
52 μία σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐκ μέσου χωνευτηρίου σιδήρου. [52] καὶ
ἔστωσαν οἱ ὀφθαλμοί σου καὶ τὰ ὦτά σου ἠνεῳγμένα εἰς τὴν δέησιν τοῦ δού-
λου σου καὶ εἰς τὴν δέησιν τοῦ λαοῦ σου Ἰσραήλ, εἰςακούειν αὐτῶν ἐν πᾶσιν
53 οἷς ἂν ἐπικαλέσωνταί σε. [53] ὅτι σὺ διέστειλας αὐτοὺς σεαυτῷ εἰς κληρονομίαν
ἐκ πάντων τῶν λαῶν τῆς γῆς, καθὼς ἐλάλησας ἐν χειρὶ δούλου σου Μωυσῆ,
ἐν τῷ ἐξαγαγεῖν σε τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, κύριε κύριε. τότε
ἐλάλησε Σαλωμὼν ὑπὲρ τοῦ οἴκου ὡς συνετέλεσε τοῦ οἰκοδομῆσαι αὐτόν Ἥλιον
ἐγνώρισεν ἐν οὐρανῷ· κύριος εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ· οἰκοδόμησον οἶκόν
μου, οἶκον εὐπρεπῆ σαυτῷ τοῦ κατοικεῖν ἐπὶ καινότητος. οὐκ ἰδοὺ αὕτη γέ-
54 γραπται ἐν βιβλίῳ τῆς ᾠδῆς; [54] καὶ ἐγένετο ὡς συνετέλεσε Σαλωμὼν προς-
ευχόμενος πρὸς κύριον ὅλην τὴν προσευχὴν καὶ τὴν δέησιν ταύτην, καὶ ἀνέ-
στη ἀπὸ προσώπου τοῦ θυσιαστηρίου κυρίου ὀκλακὼς ἐπὶ τὰ γόνατα αὐτοῦ
55 καὶ αἱ χεῖρες αὐτοῦ διαπεπετασμέναι εἰς τὸν οὐρανόν. [55] καὶ ἔστη καὶ εὐλό-
56 γησε πᾶσαν ἐκκλησίαν Ἰσραὴλ φωνῇ μεγάλῃ λέγων [56] Εὐλογητὸς κύριος σή-
μερον, ὃς ἔδωκε κατάπαυσιν τῷ λαῷ αὐτοῦ Ἰσραὴλ κατὰ πάντα ὅσα ἐλάλη-
σεν· οὐ διεφώνησε λόγος εἷς ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ τοῖς ἀγαθοῖς οἷς ἐλά-
57 λησεν ἐν χειρὶ δούλου αὐτοῦ Μωυσῆ. [57] γένοιτο κύριος ὁ θεὸς ἡμῶν μεθ' ἡμῶν
καθὼς ἦν μετὰ τῶν πατέρων ἡμῶν· μὴ ἐγκαταλίποιτο ἡμᾶς μηδὲ ἀποστρέ-
58 ψοιτο ἡμᾶς, [58] ἐπικλῖναι καρδίας ἡμῶν ἐπ' αὐτὸν τοῦ πορεύεσθαι ἐν πάσαις
ὁδοῖς αὐτοῦ καὶ φυλάσσειν πάσας ἐντολὰς αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ
59 ἃ ἐνετείλατο τοῖς πατράσιν ἡμῶν. [59] καὶ ἔστωσαν οἱ λόγοι οὗτοι ὡς δεδέημαι
ἐνώπιον κυρίου θεοῦ ἡμῶν ἐγγίζοντες πρὸς κύριον θεὸν ἡμῶν ἡμέρας καὶ νυ-
κτός, τοῦ ποιεῖν τὸ δικαίωμα τοῦ δούλου σου καὶ τὸ δικαίωμα λαοῦ Ἰσραὴλ
60 ῥῆμα ἡμέρας ἐν ἡμέρᾳ ἐνιαυτοῦ· [60] ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς ὅτι
61 κύριος ὁ θεὸς αὐτὸς θεὸς καὶ οὐκ ἔστιν ἔτι. [61] καὶ ἔστωσαν αἱ καρδίαι ἡμῶν
τέλειαι πρὸς κύριον θεὸν ἡμῶν, καὶ ὁσίως πορεύεσθαι ἐν τοῖς προστάγμασιν
62 αὐτοῦ καὶ φυλάσσειν ἐντολὰς αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη. [62] καὶ ὁ βασιλεὺς καὶ
63 πάντες οἱ υἱοὶ Ἰσραὴλ ἔθυσαν θυσίαν ἐνώπιον κυρίου. [63] καὶ ἔθυσεν ὁ βασι-
λεὺς Σαλωμὼν τὰς θυσίας τῶν εἰρηνικῶν ἃς ἔθυσε τῷ κυρίῳ βοῶν δύο καὶ
εἴκοσι χιλιάδας, προβάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας· καὶ ἐνεκαίνισε τὸν οἶκον
64 κυρίου ὁ βασιλεὺς καὶ πάντες οἱ υἱοὶ Ἰσραήλ. [64] τῇ ἡμέρᾳ ἐκείνῃ ἡγίασεν ὁ
βασιλεὺς τὸ μέσον τῆς αὐλῆς τὸ κατὰ πρόσωπον τοῦ οἴκου κυρίου· ὅτι ἐποίη-
σεν ἐκεῖ τὴν ὁλοκαύτωσιν καὶ τὰς θυσίας καὶ τὰ στέατα τῶν εἰρηνικῶν, ὅτι
τὸ θυσιαστήριον τὸ χαλκοῦν τὸ ἐνώπιον κυρίου μικρὸν τοῦ μὴ δύνασθαι τὴν

47. ηνομησ. ηδικησ. 48. προσευξωνται ... om και ante της πολεως ... ωκοδομησα 49. in f. add την προσευχην αυτων και την δεησιν αυτων και ποιησεις κρισιν αυτων 50. ημαρτοσαν ... οικτειρησουσιν αυτους 51. σου εισιν ους 52. οις εαν 53. σαυτω ... μωση δουλου σου ... εξ αιγυπτου ... om κυριε κυριε ... εκπρεπη σεαυτω ... ουχι αυτη γεγ. εν βιβλω (54. οκαχλως et γονα) 56. α pro οσα ... μωση δουλου αυτου 57. εγκαταλειποιτο ... αποστρεψαιτο 58. προς pro επ ... om τα 59. οι λογ. μου ουτοι ους ... λσου σου ισραηλ ... αυτου pro ενιαυτου 60. οτι κυρ. αυτος ο θεος 61. τον θεον 62. μετ αυτου εθυσαν 63. εικοσι και δυο ... και προβατ. εκατον εικοσι 64. post ολοκαυτωσιν add και το δωρον utroque loco

Digitized by Google

ὁλοκαύτωσιν καὶ τὰς θυσίας τῶν εἰρηνικῶν ὑπενεγκεῖν. [65] καὶ ἐποίησε Σαλω- 65
μὼν τὴν ἑορτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ, ἐκκλησία
μεγάλη ἀπὸ τῆς εἰςόδου Ἡμὰθ ἕως ποταμοῦ Αἰγύπτου, ἐνώπιον κυρίου θεοῦ
ἡμῶν ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησεν, ἐσθίων καὶ πίνων καὶ εὐφραινόμενος ἐνώ-
πιον κυρίου θεοῦ ἡμῶν ἑπτὰ ἡμέρας. [66] καὶ ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξαπέ- 66
στειλε τὸν λαόν, καὶ εὐλόγησαν τὸν βασιλέα, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὰ
σκηνώματα αὐτοῦ χαίροντες· καὶ ἀγαθὴ ἡ καρδία ἐπὶ τοῖς ἀγαθοῖς οἷς ἐποίησε
κύριος τῷ Δαυὶδ δούλῳ αὐτοῦ καὶ τῷ Ἰσραὴλ λαῷ αὐτοῦ.

## IX.

Καὶ ἐγενήθη ὡς συνετέλεσε Σαλωμὼν οἰκοδομεῖν τὸν οἶκον κυρίου καὶ
τὸν οἶκον τοῦ βασιλέως καὶ πᾶσαν τὴν πραγματείαν Σαλωμὼν ὅσα ἠθέλησε
ποιῆσαι, [2] καὶ ὤφθη κύριος τῷ Σαλωμὼν δεύτερον καθὼς ὤφθη ἐν Γαβαών, 2
[3] καὶ εἶπε πρὸς αὐτὸν κύριος Ἤκουσα τῆς φωνῆς τῆς προςευχῆς σου καὶ τῆς 3
δεήσεώς σου ἧς ἐδεήθης ἐνώπιόν μου· πεποίηκά σοι κατὰ πᾶσαν τὴν προς-
ευχήν σου, ἡγίακα τὸν οἶκον τοῦτον ὃν ᾠκοδόμησας τοῦ θέσθαι τὸ ὄνομά μου
ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ ἔσονται οἱ ὀφθαλμοί μου ἐκεῖ καὶ ἡ καρδία μου πάσας
τὰς ἡμέρας. [4] καὶ σὺ ἐὰν πορευθῇς ἐνώπιον ἐμοῦ καθὼς ἐπορεύθη Δαυὶδ ὁ 4
πατήρ σου, ἐν ὁσιότητι καρδίας καὶ ἐν εὐθύτητι καὶ τοῦ ποιεῖν κατὰ πάντα
ἃ ἐνετειλάμην αὐτῷ, καὶ τὰ προςτάγματά μου καὶ τὰς ἐντολάς μου φυλάξῃς,
[5] καὶ ἀναστήσω τὸν θρόνον τῆς βασιλείας σου ἐν Ἰσραὴλ εἰς τὸν αἰῶνα καθὼς 5
ἐλάλησα Δαυὶδ πατρί σου λέγων Οὐκ ἐξαρθήσεταί σοι ἀνὴρ ἡγούμενος ἐν
Ἰσραήλ. [6] ἐὰν δὲ ἀποστραφέντες ἀποστραφῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἀπ' 6
ἐμοῦ, καὶ μὴ φυλάξητε τὰς ἐντολάς μου καὶ τὰ προςτάγματά μου ἃ ἔδωκε
Μωυσῆς ἐνώπιον ὑμῶν, καὶ πορευθῆτε καὶ δουλεύσητε θεοῖς ἑτέροις καὶ προς-
κυνήσητε αὐτοῖς, [7] καὶ ἐξαρῶ τὸν Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς, καὶ 7
τὸν οἶκον τοῦτον ὃν ἡγίασα τῷ ὀνόματί μου ἀποῤῥίψω ἐκ προσώπου μου, καὶ
ἔσται Ἰσραὴλ εἰς ἀφανισμὸν καὶ εἰς λάλημα εἰς πάντας τοὺς λαούς. [8] καὶ ὁ 8
οἶκος οὗτος ἔσται ὁ ὑψηλός, πᾶς ὁ διαπορευόμενος δι' αὐτοῦ ἐκστήσεται καὶ
συριεῖ, καὶ ἐροῦσιν Ἕνεκεν τίνος ἐποίησε κύριος οὕτως τῇ γῇ ταύτῃ καὶ τῷ
οἴκῳ τούτῳ; [9] καὶ ἐροῦσιν Ἀνθ' ὧν ἐγκατέλιπον κύριον θεὸν αὐτῶν, ὃς ἐξή- 9
γαγε τοὺς πατέρας αὐτῶν ἐξ Αἰγύπτου ἐξ οἴκου δουλείας, καὶ ἀντελάβοντο
θεῶν ἀλλοτρίων καὶ προσεκύνησαν αὐτοῖς καὶ ἐδούλευσαν αὐτοῖς, διὰ τοῦτο
ἐπήγαγε κύριος ἐπ' αὐτοὺς τὴν κακίαν ταύτην. τότε ἀνήγαγε Σαλωμὼν τὴν
θυγατέρα Φαραὼ ἐκ πόλεως Δαυὶδ εἰς οἶκον αὐτοῦ ὃν ᾠκοδόμησεν ἑαυτῷ ἐν
ταῖς ἡμέραις ἐκείναις. [10] εἴκοσι ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τοὺς δύο 10
οἴκους, τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, [11] Χιρὰμ βασιλεὺς Τύ- 11
ρου ἀντελάβετο τοῦ Σαλωμὼν ἐν ξύλοις κεδρίνοις καὶ ἐν ξύλοις πευκίνοις καὶ
ἐν χρυσίῳ καὶ ἐν παντὶ θελήματι αὐτοῦ. τότε ἔδωκεν ὁ βασιλεὺς τῷ Χιρὰμ
εἴκοσι πόλεις ἐν τῇ γῇ τῇ Γαλιλαίᾳ. [12] καὶ ἐξῆλθε Χιρὰμ ἐκ Τύρου καὶ ἐπο- 12

---

64. om υπενεγκειν 65. εν τη ημ. εκ. την εορτην ... αιμαθ ... οικοδομησεν ... επτα ημερ. και επτα ημερας· τεσσαρεςκαιδεκα ημερας 66. απηλθον ... αγαθη καρδια ε. πασιν τοις αγαθοις ... κ. τω λαω ισρ. αυτου IX. 1. οικοδομων ... πραγματιαν 2. καθως ωφθη αυτω 3. κυρ. πρ. αυτον ... δεησεως ης εν. εμου ... ηγιασα ... οι οφθ. μου και η καρδ. μ. εκει 4. ενωπιον μου ... εν οσιοτ. καρδ. εν ευθυτ. του π. 5. om της βασιλειας ... επι ισραηλ ... τω πατρι ... σου pro σοι 6. δουλευσετε (7. τω ον. σου) 8. εσται υψηλος ... ενεκα 9. εγκατελειπον τον ... δουλιας ... θεων ετερων ... om κ. εδουλ. αυτοις ... συμπασαν την κακ. ταυτην ... εις τον οικ. α. 9. 10. ωκοδ. εαυτω. και εγενετο εν ταις ημ. εκ. εικοσι 11. χειραμ ... om κ. εν ξυλ. πευκινοις ... και παντι ... τοτε ωκοδομησεν ο βασ. σαλωμων τω χειραμ εικ. πολ. εν τη γαλιλ. 12. χειραμ

Digitized by Google

ρεύϑη εἰς τὴν Γαλιλαίαν τοῦ ἰδεῖν τὰς πόλεις ἃς ἔδωκεν αὐτῷ Σαλωμών·
13 καὶ οὐκ ἤρεσαν αὐτῷ, [13] καὶ εἶπε Τί αἱ πόλεις αὗται ἃς ἔδωκάς μοι, ἀδελφέ;
14 καὶ ἐκάλεσεν αὐτὰς Ὅριον ἕως τῆς ἡμέρας ταύτης. [14] καὶ ἤνεγκε Χιρὰμ τῷ
26 Σαλωμὼν ἑκατὸν καὶ εἴκοσι τάλαντα χρυσίου. [26] καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν
ὁ βασιλεὺς Σαλωμὼν ἐν Γασίων Γαβὲρ τὴν οὖσαν ἐχομένην Αἰλὰϑ ἐπὶ τοῦ
27 χείλους τῆς ἐσχάτης ϑαλάσσης ἐν γῇ Ἐδώμ. [27] καὶ ἀπέστειλε Χιρὰμ ἐν τῇ
νηὶ τῶν παίδων αὐτοῦ ἄνδρας ναυτικοὺς ἐλαύνειν εἰδότας ϑάλασσαν μετὰ τῶν
28 παίδων Σαλωμών· [28] καὶ ἦλϑον εἰς Σωφιρά, καὶ ἔλαβον ἐκεῖϑεν χρυσίου
ἑκατὸν καὶ εἴκοσι τάλαντα καὶ ἤνεγκαν τῷ βασιλεῖ Σαλωμών.

## X.

Καὶ βασίλισσα Σαβὰ ἤκουσε τὸ ὄνομα Σαλωμὼν καὶ τὸ ὄνομα κυρίου, *Mt. 12. 42
2 καὶ ἦλϑε πειράσαι αὐτὸν ἐν αἰνίγμασι. [2] καὶ ἦλϑεν εἰς Ἱερουσαλὴμ ἐν δυνά-
μει βαρείᾳ σφόδρα· καὶ κάμηλοι αἴρουσαι ἡδύσματα καὶ χρυσὸν πολὺν σφό-
δρα καὶ λίϑον τίμιον· καὶ εἰςῆλϑε πρὸς Σαλωμὼν καὶ ἐλάλησεν αὐτῷ πάντα
3 ὅσα ἦν ἐν τῇ καρδίᾳ αὐτῆς. [3] καὶ ἀπήγγειλεν αὐτῇ Σαλωμὼν πάντας τοὺς
λόγους αὐτῆς· οὐκ ἦν λόγος παρεωραμένος παρὰ τοῦ βασιλέως ὃν οὐκ ἀπήγ-
4 γειλεν αὐτῇ. [4] καὶ εἶδε βασίλισσα Σαβὰ πᾶσαν τὴν φρόνησιν Σαλωμών, καὶ
5 τὸν οἶκον ὃν ᾠκοδόμησε, [5] καὶ τὰ βρώματα Σαλωμὼν καὶ τὴν καϑέδραν
παίδων αὐτοῦ καὶ τὴν στάσιν λειτουργῶν αὐτοῦ καὶ τὸν ἱματισμὸν αὐτοῦ καὶ
τοὺς οἰνοχόους αὐτοῦ καὶ τὴν ὁλοκαύτωσιν αὐτοῦ ἣν ἀνέφερεν ἐν οἴκῳ κυρίου,

---

13. εκαλ. αυτα 14. χειραμ

15. Αυτη η πραγματια της προνομης ης ανηνεγκεν ο βασιλευς σαλωμων οικοδομησαι τον οικον κυριου και τον οικον του βασιλεως και συν την μελω και την ακραν του περιφραξαι τον φραγμον της πολεως δαυιδ και την ασσουρ και την μεδαν και το τειχος ιερουσαλημ και την εσερ και την μαγδω και την γεζερ. 16. φαραω βασιλευς αιγυπτου ανεβη και κατελαβετο την γεζερ και ενεπρησεν αυτην εν πυρι, και συν τον χαναναιον τον καϑημενον εν τη πολει απεκτεινεν· και εδωκεν αυτην αποστολας τη ϑυγατρι αυτου γυναικι σαλωμων. 17. και ωκοδομησεν σαλωμων την γαζερ και την βαιϑωρων την κατωτατην, 18. και την βαλαϑ και την ϑερμαϑ εν τη ερημω, 19. και εν τη γη πασας τας πολεις των σκηνωματων αι ησαν τω σαλωμων, και τας πολεις των αρματων και πασας τας πολεις των ιππεων, και την πραγματιαν σαλωμων ην επραγματευσαντο (** επραγματευσατο) οικοδομησαι εν ιερουσαλημ και εν τω λιβανω και εν παση τη γη του μη καταρξαι αυτου. 20. παντα τον λαον τον υπολελιμμενον υπο του αμορραιου και του χετταιου και του φερεζαιου και του χαναναιου και του ευαιου και του ιεβουσαιου και του γεργεσαιου του μη εκ των υιων ισραηλ οντων, 21. τα τεκνα αυτων τα υπολελιμμενα μετ αυτους εν τη γη ους ουκ ηδυναντο οι υιοι ισραηλ εξολεϑρευσαι αυτους, και ανηγαγεν αυτους σαλωμων εις φορον δουλειας εως της ημερας ταυτης. 22. και εκ των υιων ισραηλ ουκ εδωκεν σαλωμων εις πραγμα, οτι αυτοι ησαν ανδρες πολεμεισται και παιδες αυτου και αρχοντες αυτου και τρισσοι αυτου και αρχοντες αυτου των αρματων και ιππεις (ab αυτου κ. τρισσ. usque ιππεις rescripta) αυτου. 23. ουτοι οι αρχοντες οι εστηλωμενοι οι επι του εργου του σαλωμων, πεντηκοντα και πεντακοσιοι επικρατουντες εν τω λαω οι ποιουντες εν τω εργω. 24. πλην ϑυγατηρ φαραω ανεβη εκ πολεως δαυιδ προς οικον αυτης ον ωκοδομησεν συν την μελω. 25. και ανεβιβασεν σαλωμων τρεις καϑοδους εν τω ενιαυτω ολοκαυτωμα και ειρηνικας επι του ϑυσιαστηριου ον (pro ο) ωκοδομησεν τω κυριω, και εϑυμια αυτος εις προσωπον κυριου, και απηρτισεν συν τον οικον. (cf. X, 22.)

27. χειραμ 28. σωφαρα ... ελαβεν ... τετρακοσια pro εκατον X. 2. ηδυσματα χρυσιον πολυν 3. υπο pro παρα 4. πασαν φρονησιν 5. των παιδων αυτου

Digitized by Google

καὶ ἐξ ἑαυτῆς ἐγένετο. [6] καὶ εἶπε πρὸς τὸν βασιλέα Σαλωμὼν Ἀληϑινὸς ὁ 6
λόγος ὃν ἤκουσα ἐν τῇ γῇ μου [7] περὶ τοῦ λόγου σου καὶ περὶ τῆς φρονήσεώς 7
σου· καὶ οὐκ ἐπίστευσα τοῖς λαλοῦσί μοι ἕως ὅτου παρεγενόμην καὶ ἑωρά-
κασιν οἱ ὀφϑαλμοί μου, καὶ ἰδοὺ οὐκ εἰσὶ τὸ ἥμισυ καϑὼς ἀπήγγειλάν μοι,
προςτέϑεικας ἀγαϑὰ πρὸς αὐτὰ ἐπὶ πᾶσαν τὴν ἀκοὴν ἣν ἤκουσα ἐν τῇ γῇ μου.
[8] μακάριαι αἱ γυναῖκές σου, μακάριοι οἱ παῖδές σου οὗτοι οἱ παρεστηκότες 8
ἐνώπιόν σου διόλου οἱ ἀκούοντες πᾶσαν τὴν φρόνησίν σου. [9] γένοιτο κύριος ὁ 9
ϑεός σου εὐλογημένος ὃς ἠϑέλησεν ἐν σοὶ δοῦναί σε ἐπὶ ϑρόνου Ἰσραήλ, διὰ
τὸ ἀγαπᾶν κύριον τὸν Ἰσραὴλ στῆσαι εἰς τὸν αἰῶνα· καὶ ἔϑετό σε βασιλέα
ἐπ' αὐτοὺς τοῦ ποιεῖν κρίμα ἐν δικαιοσύνῃ καὶ ἐν κρίμασιν αὐτῶν. [10] καὶ 10
ἔδωκε τῷ Σαλωμὼν ἑκατὸν εἴκοσι τάλαντα χρυσίου καὶ ἡδύσματα πολλὰ σφό-
δρα καὶ λίϑον τίμιον· οὐκ ἐληλύϑει κατὰ τὰ ἡδύσματα ἐκεῖνα ἔτι εἰς πλῆϑος
ἃ ἔδωκε βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλωμών. [11] καὶ ἡ ναῦς Χιρὰμ ἡ αἴ- 11
ρουσα τὸ χρυσίον ἐκ Σουφὶρ ἤνεγκε ξύλα πελεκητὰ πολλὰ σφόδρα καὶ λίϑον
τίμιον. [12] καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πελεκητὰ ὑποστηρίγματα τοῦ 12
οἴκου κυρίου καὶ τοῦ οἴκου τοῦ βασιλέως καὶ νάβλας καὶ κινύρας τοῖς ᾠδοῖς·
οὐκ ἐληλύϑει τοιαῦτα ξύλα ἀπελέκητα ἐπὶ τῆς γῆς, οὐδὲ ὤφϑησάν που ἕως
τῆς ἡμέρας ταύτης. [13] καὶ ὁ βασιλεὺς Σαλωμὼν ἔδωκε τῇ βασιλίσσῃ Σαβᾷ 13
πάντα ὅσα ἠϑέλησεν ὅσα ᾐτήσατο, ἐκτὸς πάντων ὧν ἐδεδώκει αὐτῇ διὰ χειρὸς
τοῦ βασιλέως Σαλωμών· καὶ ἀπεστράφη, καὶ ἦλϑεν εἰς τὴν γῆν αὐτῆς αὐτὴ
καὶ πάντες οἱ παῖδες αὐτῆς. [14] καὶ ἦν ὁ σταϑμὸς τοῦ χρυσίου τοῦ ἐληλυϑότος 14
τῷ Σαλωμὼν ἐν ἐνιαυτῷ ἑνὶ ἑξακόσια καὶ ἑξηκονταὲξ τάλαντα χρυσίου, [15] χω- 15
ρὶς τῶν φόρων τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπόρων καὶ πάντων τῶν βασι-
λέων τοῦ πέραν καὶ τῶν σατραπῶν τῆς γῆς. [16] καὶ ἐποίησε Σαλωμὼν τριακ- 16
κόσια δόρατα χρυσᾶ ἐλατά· τριακόσιοι χρυσοῖ ἐπῆσαν ἐπὶ τὸ δόρυ τὸ ἕν· [17] καὶ 17
τριακόσια ὅπλα χρυσᾶ ἐλατά· καὶ τρεῖς μναῖ ἐνῆσαν χρυσοῦ εἰς τὸ ὅπλον τὸ
ἕν· καὶ ἔδωκεν αὐτὰ ὁ βασιλεὺς εἰς οἶκον δρυμοῦ τοῦ Λιβάνου. [18] καὶ ἐποίη- 18
σεν ὁ βασιλεὺς ϑρόνον ἐλεφάντινον μέγαν, καὶ περιεχρύσωσεν αὐτὸν χρυσίῳ
δοκίμῳ. [19] ἓξ ἀναβαϑμοὶ τῷ ϑρόνῳ, καὶ προτομαὶ μόσχων τῷ ϑρόνῳ ἐκ τῶν 19
ὀπίσω αὐτοῦ, καὶ χεῖρες ἔνϑεν καὶ ἔνϑεν ἐπὶ τοῦ τόπου τῆς καϑέδρας, καὶ
δύο λέοντες ἑστηκότες παρὰ τὰς χεῖρας, [20] καὶ δώδεκα λέοντες ἑστῶτες ἐκεῖ 20
ἐπὶ τῶν ἓξ ἀναβαϑμῶν ἔνϑεν καὶ ἔνϑεν· οὐ γέγονεν οὕτως πάσῃ βασιλείᾳ.
[21] καὶ πάντα τὰ σκεύη τὰ ὑπὸ τοῦ Σαλωμὼν γεγονότα χρυσᾶ, καὶ λουτῆρες 21
χρυσοῖ, καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ Λιβάνου χρυσίῳ συγκεκλει-
σμένα· οὐκ ἦν ἀργύριον, ὅτι οὐκ ἦν λογιζόμενον ἐν ταῖς ἡμέραις Σαλωμών.
[22] ὅτι ναῦς Θαρσὶς τῷ βασιλεῖ Σαλωμὼν ἐν τῇ ϑαλάσσῃ μετὰ τῶν νηῶν Χιράμ· 22
μία διὰ τριῶν ἐτῶν ἤρχετο τῷ βασιλεῖ ναῦς ἐκ Θαρσὶς χρυσίου καὶ ἀργυρίου
καὶ λίϑων τορευτῶν καὶ πελεκητῶν. αὕτη ἦν ἡ πραγματεία τῆς προνομῆς ἧς

---

7. εορακασιν ... ουκ εστιν καϑ. απηγγ. μοι το ημισυ, πρ. σοφιαν και αγαϑα 8. οι παραστηκοντες 9. κριμα και δικαιωσυνην (ita) και εν κρ. εαυτων 10. om ετι ... om βασιλει 11. χειραμ ... εκ σουφειρ ηνεγκεν εκ σουφειρ ξυλα πελεκητα 12. τα απελεκητα ... κ. κινυρ. κ. ναβλαις ... om απελεκ. επι τ. γ. ο. ωφϑ. 13. ων δεδωκει ... om αυτη 14. ην σταϑμος ... του σαλωμων ... εξακοσια εξηκονταεξ 15. εμπορων των ροποπωλων ... του περα 16. ο βασιλευς σαλωμων 17. om χρυσα ... χρυσιου ενησαν εις (18. δοκιμου) 19. χειρες επι του ϑρονου ενϑεν κ. ενϑ. ε. τ. ϑρονου της 19. 20. a λεοντες ad λεοντες transilit 21. σκευη του ποτου του βασιλεως σαλωμων χρυσα γεγονοτα ... om και ante παντα ... του δρυμου του λαβανω (sic inepte ut saepe) χρυσ. συγκεκλισμενω ... λογισμενον (ita) ... σαλωμων εις οτιουν 22. ϑαρσεις bis ... om σαλωμων ... χειραμ ... pro λιϑ. τορ. κ. πελεκ. habet οδοντων ελεφαντινων και πιϑηκων και ταωνων ... om inde ab αυτη ην η πραγματεια usque των αρματων αυτου και ιππεις αυτου

Digitized by Google

ἀνήνεγκεν ὁ βασιλεὺς Σαλωμὼν οἰκοδομῆσαι τὸν οἶκον κυρίου καὶ τὸν οἶκον
τοῦ βασιλέως καὶ τὸ τεῖχος Ἱερουσαλὴμ καὶ τὴν ἄκραν τοῦ περιφράξαι τὸν
φραγμὸν τῆς πόλεως Δαυίδ, καὶ τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὰλ καὶ τὴν Γαζὲρ
καὶ τὴν Βαιθωρὼν τὴν ἀνωτέρω καὶ τὴν Ἰεθερμάθ, καὶ πάσας τὰς πόλεις
τῶν ἁρμάτων καὶ πάσας τὰς πόλεις τῶν ἱππέων· καὶ τὴν πραγματείαν Σα-
λωμὼν ἣν ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ γῇ
τοῦ μὴ κατάρξαι αὐτοῦ πάντα τὸν λαὸν τὸν ὑπολελειμμένον ὑπὸ τοῦ Χετταίου
καὶ τοῦ Ἀμοῤῥαίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Χαναναίου καὶ τοῦ Εὐαίου
καὶ τοῦ Ἰεβουσαίου καὶ τοῦ Γεργεσαίου τῶν μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄντων,
τὰ τέκνα αὐτῶν τὰ ὑπολελειμμένα μετ' αὐτοῦ ἐν τῇ γῇ οὓς οὐκ ἐδύναντο
οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς, καὶ ἀνήγαγεν αὐτοὺς Σαλωμὼν εἰς φόρον
ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκε Σαλωμὼν πρᾶγμα,
ὅτι αὐτοὶ ἦσαν ἄνδρες οἱ πολεμισταὶ καὶ παῖδες αὐτοῦ καὶ ἄρχοντες καὶ τρισ-
23 σοὶ αὐτοῦ καὶ ἄρχοντες τῶν ἁρμάτων αὐτοῦ καὶ ἱππεῖς αὐτοῦ. [23] καὶ ἐμεγα-
λύνθη Σαλωμὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς πλούτῳ καὶ φρονήσει.
24 [24] καὶ πάντες βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σαλωμὼν τοῦ ἀκοῦσαι
25 τῆς φρονήσεως αὐτοῦ ἧς ἔδωκε κύριος τῇ καρδίᾳ αὐτοῦ. [25] καὶ αὐτοὶ ἔφερον
ἕκαστος τὰ δῶρα σκεύη χρυσᾶ καὶ ἱματισμόν, στακτὴν καὶ ἡδύσματα καὶ
26 ἵππους καὶ ἡμιόνους τὸ κατ' ἐνιαυτὸν ἐνιαυτῷ. [26] καὶ ἦσαν τῷ Σαλωμὼν τέσ-
σαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ
ἔθετο αὐτὰς ἐν ταῖς πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν Ἱερου-
σαλήμ· καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως
27 γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου. [27] καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον
καὶ τὸ ἀργύριον ἐν Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ἔδωκεν ὡς συ-
28 καμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. [28] καὶ ἡ ἔξοδος Σαλωμὼν τῶν ἱππέων
καὶ ἐξ Αἰγύπτου καὶ ἐκ Θεκουὲ ἔμποροι τοῦ βασιλέως, καὶ ἐλάμβανον ἐκ Θε-
29 κουὲ ἐν ἀλλάγματι· [29] καὶ ἀνέβαινεν ἡ ἔξοδος ἐξ Αἰγύπτου ἅρμα ἀντὶ ἑκατὸν
ἀργυρίου, καὶ ἵππος ἀντὶ πεντήκοντα ἀργυρίου· καὶ οὕτως πᾶσι τοῖς βασι-
λεῦσι Χεττιὶν καὶ βασιλεῦσι Συρίας κατὰ θάλασσαν ἐξεπορεύοντο.

## XI.

Καὶ ὁ βασιλεὺς Σαλωμὼν ἦν φιλογύνης. (³) καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρ-
χουσαι ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι. (¹) καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας,
καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, Ἀμμανίτιδας, Σύρας καὶ Ἰδουμαίας,
2 Χετταίας καὶ Ἀμοῤῥαίας· [2] ἐκ τῶν ἐθνῶν ὧν ἀπεῖπε κύριος τοῖς υἱοῖς Ἰσραὴλ
Οὐκ εἰςελεύσεσθε εἰς αὐτοὺς καὶ αὐτοὶ οὐκ εἰςελεύσονται εἰς ὑμᾶς, μὴ ἐκ-
κλίνωσι τὰς καρδίας ὑμῶν ὀπίσω εἰδώλων αὐτῶν, εἰς αὐτοὺς ἐκολλήθη Σα-
3 (⁴) λωμὼν τοῦ ἀγαπῆσαι. [3] καὶ ἐγενήθη ἐν καιρῷ γήρους Σαλωμὼν καὶ οὐκ
ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ κυρίου θεοῦ αὐτοῦ καθὼς ἡ καρδία Δαυὶδ
4 (³) τοῦ πατρὸς αὐτοῦ· [4] καὶ ἐξέκλιναν γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ

---

25. εφερ. προς αυτον τα δωρα αυτου σκευη αργυρα και σκευη χρυσα ... κατ ενιαυτ. ενιαυτον 26. και συνελεξεν σαλωμων αρματα και ιππους· και ησαν τω σαλ. τεσσερακοντα χιλ. θηλ. ιππ. και εις αρματα (inde ab αν τω σαλ. usque αρματα **) 27. το αργ. κ. το χρυσ. 28. εξοδ. των ιππων σαλωμων εξ αιγ. και εκ θεκουεεμ ποροι (sic dist.) ... εκ θεκουεεμ εν 29. η εξοδ. αρματα εξ αιγ. αντι ... om και ιππος α. π. αργυρ. και ... om χεττιιν XI. 1. φιλογυναιος ην ... om και ησαν usque τριακ. (cf. ad v. 3.) ... αλλοτρ. πολλας ... και αμμανιτ. και ιδουμ. συριας 2. τας καρδ. αυτων οπισω 3. plene: και ησαν αυτω γυναικες αρχουσαι επτακοσιαι και παλλακαι τριακοσιαι· (cf. ad v. 1.) και εκκλιναν γυναικες αυτου την καρδιαν αυτου. 4. plene: και εγενηθη εν καιρω γηρως σαλωμων και αι γυναικες αυτου εξεκλιναν την καρδιαν αυτου

Digitized by Google

ὀπίσω θεῶν αὐτῶν. [5]τότε ᾠκοδόμησε Σαλωμὼν ὑψηλὸν τῷ Χαμὼς εἰ- (7) 5
δώλῳ Μωάβ, καὶ τῷ βασιλεῖ αὐτῶν εἰδώλῳ υἱῶν Ἀμμών, [6]καὶ τῇ Ἀστάρτῃ (5) 6
βδελύγματι Σιδωνίων· [7]καὶ οὕτως ἐποίησε πάσαις ταῖς γυναιξὶν αὐτοῦ (8) 7
ταῖς ἀλλοτρίαις, αἳ ἐθυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν. [8]καὶ ἐποίησε (6) 8
Σαλωμὼν τὸ πονηρὸν ἐνώπιον κυρίου· οὐκ ἐπορεύθη ὀπίσω κυρίου ὡς Δαυὶδ
ὁ πατὴρ αὐτοῦ. [9]καὶ ὠργίσθη κύριος ἐπὶ Σαλωμών, ὅτι ἐξέκλινε καρδίαν αὐ- 9
τοῦ ἀπὸ κυρίου θεοῦ Ἰσραὴλ τοῦ ὀφθέντος αὐτῷ δὶς [10]καὶ ἐντειλαμένου αὐτῷ 10
ὑπὲρ τοῦ λόγου τούτου τὸ παράπαν μὴ πορευθῆναι ὀπίσω θεῶν ἑτέρων καὶ
φυλάξασθαι ποιῆσαι ἃ ἐνετείλατο αὐτῷ κύριος ὁ θεός· οὐδ' ἦν ἡ καρδία αὐ-
τοῦ τελεία μετὰ κυρίου κατὰ τὴν καρδίαν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. [11]καὶ 11
εἶπε κύριος πρὸς Σαλωμών Ἀνθ' ὧν ἐγένετο ταῦτα μετὰ σοῦ καὶ οὐκ ἐφύ-
λαξας τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου ἃ ἐνετειλάμην σοι διαῤῥήσ-
σων διαῤῥήξω τὴν βασιλείαν σου ἐκ χειρός σου καὶ δώσω αὐτὴν τῷ δούλῳ
σου. [12]πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω αὐτὰ διὰ Δαυὶδ τὸν πατέρα σου· 12
ἐκ χειρὸς υἱοῦ σου λήψομαι αὐτήν. [13]πλὴν ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω· 13
σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου διὰ Δαυὶδ τὸν δοῦλόν μου καὶ διὰ Ἱερουσα-
λὴμ τὴν πόλιν ἣν ἐξελεξάμην. [14]καὶ ἤγειρε κύριος Σατὰν τῷ Σαλωμὼν τὸν Ἅδερ 14
τὸν Ἰδουμαῖον καὶ τὸν Ἐσρὼμ υἱὸν Ἐλιαδαὲ τὸν ἐν Ῥαεμὰ Ἀδαδέζερ βασιλέα
Σουβὰ κύριον αὐτοῦ. καὶ συνηθροίσθησαν ἐπ' αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων
συστρέμματος καὶ προκατελάβετο τὴν Δαμασέκ· καὶ ἦσαν Σατὰν τῷ Ἰσραὴλ
πάσας τὰς ἡμέρας Σαλωμών, καὶ Ἅδερ ὁ Ἰδουμαῖος ἐκ τοῦ σπέρματος τῆς
βασιλείας ἐν Ἰδουμαίᾳ. [15]καὶ ἐγένετο ἐν τῷ ἐξολοθρεῦσαι Δαυὶδ τὸν Ἐδὼμ 15
ἐν τῷ πορευθῆναι Ἰωὰβ ἄρχοντα τῆς στρατιᾶς θάπτειν τοὺς τραυματίας,
καὶ ἔκοψαν πᾶν ἀρσενικὸν ἐν τῇ Ἰδουμαίᾳ· [16]ὅτι ἓξ μῆνας ἐνεκάθητο ἐκεῖ 16
Ἰωὰβ καὶ πᾶς Ἰσραὴλ ἐν τῇ Ἰδουμαίᾳ, ἕως ὅτου ἐξωλόθρευσε πᾶν ἀρσενικὸν
ἐν τῇ Ἰδουμαίᾳ. [17]καὶ ἀπέδρα Ἅδερ αὐτὸς καὶ πάντες ἄνδρες Ἰδουμαῖοι τῶν 17
παίδων τοῦ πατρὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ εἰσῆλθον εἰς Αἴγυπτον· καὶ Ἅδερ
παιδάριον μικρόν. [18]καὶ ἀνίστανται ἄνδρες ἐκ τῆς πόλεως Μαδιὰμ καὶ ἔρ- 18
χονται εἰς Φαράν, καὶ λαμβάνουσιν ἄνδρας μεθ' αὐτῶν καὶ ἔρχονται πρὸς
Φαραὼ βασιλέα Αἰγύπτου· καὶ εἰσῆλθεν Ἅδερ πρὸς Φαραώ, καὶ ἔδωκεν αὐτῷ
οἶκον καὶ ἄρτους διέταξεν αὐτῷ. [19]καὶ εὗρεν Ἅδερ χάριν ἐναντίον Φαραὼ 19
σφόδρα, καὶ ἔδωκεν αὐτῷ γυναῖκα ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ, ἀδελφὴν Θε-
κεμίνας μείζω. [20]καὶ ἔτεκεν αὐτῷ ἡ ἀδελφὴ Θεκεμίνας τῷ Ἅδερ τὸν Γα- 20
νηβὰθ υἱὸν αὐτῆς· καὶ ἐξέθρεψεν αὐτὸν Θεκεμίνα ἐν μέσῳ υἱῶν Φαραώ, καὶ
ἦν Γανηβὰθ ἐν μέσῳ υἱῶν Φαραώ. [21]καὶ Ἅδερ ἤκουσεν ἐν Αἰγύπτῳ ὅτι κε- 21
κοίμηται Δαυὶδ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ὅτι τέθνηκεν Ἰωὰβ ὁ ἄρχων
τῆς στρατιᾶς, καὶ εἶπεν Ἅδερ πρὸς Φαραὼ Ἐξαπόστειλόν με καὶ ἀποστρέψω

---

οπισω θεων ετερων· και ουκ ην καρδια αυτου τελεια μετα κυριου θεου αυτου καθως η καρδια δαυ. πατρος αυτου 5. plene: και επορευθη σαλωμων οπισω της ασταρτης βδελυγματι σιδωνιων και οπισω των βασιλεων αυτων ειδωλου υιων αμμων. 6. est alexandrino qui vaticano est v. 8. ... και ουκ επορευθη 7. (cf. v. 5.) τοτε ωκοδ. σαλ. υψηλ. τω χαμως ειδ. μωαβ εν τω ορει ο επι προσωπον ιερουσαλημ και τω μελχο ειδωλω υιω (lege υιων) αμμων και τη ασταρτη βδελυγματι σιδωνιων. 8. est alexandrino qui v. 7. vaticano est. 10. και φυλαξαι και ποιησαι ... om ουδ ην usque πατρος αυτου 11. τα προσταγμ. μ. κ. τας εντ. μ. ας ενετ. σοι, διαρρ. διαρρησω (σ est ••; •ζ?ξ?) 12. λημψομαι 13. ολην τ. βασ. ολην 14. om και τον εσρωμ usque αδερ ο ιδουμαιος (cf. vv. 23. 24.) 15. εξολεθρευσαι ... τον αρχοντα της δυναμεως ... om και 16. εκαθητο ... εως ου εξολεθρευσεν ... εκ της ιδουμαιας 17. εισηλθεν 18. μετ αυτων απο φαραν κ. ερχ. εις αιγυπτον προς ... in f. add και γην εδωκεν αυτω 19. την μειζω 20. εμμεσω ... om και ην usque φαραω 21. στρατειας

Digitized by Google

22 εἰς τὴν γῆν μου. [22] καὶ εἶπε Φαραὼ τῷ Ἄδερ Τίνι σὺ ἐλαττονῇ μετ' ἐμοῦ;
καὶ ἰδοὺ σὺ ζητεῖς ἀπελθεῖν εἰς τὴν γῆν σου; καὶ εἶπεν αὐτῷ Ἄδερ ὅτι ἐξα-
ποστέλλων ἐξαποστελεῖς με· καὶ ἀνέστρεψεν Ἄδερ εἰς τὴν γῆν αὐτοῦ. αὕτη
ἡ κακία ἣν ἐποίησεν Ἄδερ· καὶ ἐβαρυθύμησεν Ἰσραήλ, καὶ ἐβασίλευσεν ἐν
26 γῇ Ἐδώμ. [26] καὶ Ἱεροβοὰμ υἱὸς Ναβὰτ ὁ Ἐφραθὶ ἐκ τῆς Σαριρὰ υἱὸς γυ-
27 ναικὸς χήρας δοῦλος Σαλωμών. [27] καὶ τοῦτο τὸ πρᾶγμα ὡς ἐπήρατο χεῖρας
ἐπὶ βασιλέα Σαλωμών· καὶ ὁ βασιλεὺς Σαλωμὼν ᾠκοδόμησε τὴν ἄκραν, συνέ-
28 κλεισε τὸν φραγμὸν τῆς πόλεως Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. [28] καὶ ὁ ἄνθρωπος
Ἱεροβοὰμ ἰσχυρὸς δυνάμει· καὶ εἶδε Σαλωμὼν τὸ παιδάριον ὅτι ἀνὴρ ἔργων
29 ἐστί, καὶ κατέστησεν αὐτὸν ἐπὶ τὰς ἄρσεις οἴκου Ἰωσήφ. [29] καὶ ἐγενήθη ἐν
τῷ καιρῷ ἐκείνῳ καὶ Ἱεροβοὰμ ἐξῆλθεν ἐξ Ἱερουσαλήμ, καὶ εὗρεν αὐτὸν Ἀχιὰ
ὁ Σηλωνίτης ὁ προφήτης ἐν τῇ ὁδῷ, καὶ ἀπέστησεν αὐτὸν ἐκ τῆς ὁδοῦ· καὶ
30 Ἀχιὰ περιβεβλημένος ἱματίῳ καινῷ, καὶ ἀμφότεροι μόνοι ἐν τῷ πεδίῳ. [30] καὶ
ἐπελάβετο Ἀχιὰ τοῦ ἱματίου αὐτοῦ τοῦ καινοῦ τοῦ ἐπ' αὐτῷ καὶ διέρρηξεν
31 αὐτὸ δώδεκα ῥήγματα, [31] καὶ εἶπε τῷ Ἱεροβοὰμ Λάβε σεαυτῷ δέκα ῥήγματα,
ὅτι τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς
32 Σαλωμών, καὶ δώσω σοι δέκα σκῆπτρα· [32] καὶ δύο σκῆπτρα ἔσονται αὐτῷ
διὰ τὸν δοῦλόν μου Δαυὶδ καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν ἣν ἐξελεξάμην ἐν
33 αὐτῇ ἐκ πασῶν φυλῶν Ἰσραήλ· [33] ἀνθ' ὧν ἐγκατέλιπέ με, καὶ ἐποίησε τῇ
Ἀστάρτῃ βδελύγματι Σιδωνίων καὶ τῷ Χαμὼς καὶ τοῖς εἰδώλοις Μωὰβ καὶ
τῷ βασιλεῖ αὐτῶν προσοχθίσματι υἱῶν Ἀμμών, καὶ οὐκ ἐπορεύθη ἐν ταῖς ὁδοῖς
34 μου τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον ἐμοῦ ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ. [34] καὶ οὐ
μὴ λάβω τὴν βασιλείαν ὅλην ἐκ χειρὸς αὐτοῦ, διότι ἀντιτασσόμενος ἀντιτά-
ξομαι αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ διὰ τὸν Δαυὶδ τὸν δοῦλόν
35 μου ὃν ἐξελεξάμην αὐτόν. [35] καὶ λήψομαι τὴν βασιλείαν ἐκ χειρὸς τοῦ υἱοῦ
36 αὐτοῦ, καὶ δώσω σοι τὰ δέκα σκῆπτρα· [36] τῷ δὲ υἱῷ αὐτοῦ δώσω τὰ δύο
σκῆπτρα, ὅπως ᾖ θέσις τῷ δούλῳ μου Δαυὶδ πάσας τὰς ἡμέρας ἐνώπιον ἐμοῦ
ἐν Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελεξάμην ἐμαυτῷ τοῦ θέσθαι τὸ ὄνομά μου
37 ἐκεῖ. [37] καὶ σὲ λήψομαι καὶ βασιλεύσεις ἐν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ σὺ
38 ἔσῃ βασιλεὺς ἐπὶ τὸν Ἰσραήλ. [38] καὶ ἔσται ἐὰν φυλάξῃς πάντα ὅσα ἂν ἐντεί-
λωμαί σοι καὶ πορευθῇς ἐν ταῖς ὁδοῖς μου, καὶ ποιήσῃς τὸ εὐθὲς ἐνώπιον
ἐμοῦ τοῦ φυλάξασθαι τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καθὼς ἐποίησε
Δαυὶδ ὁ δοῦλός μου, καὶ ἔσομαι μετὰ σοῦ καὶ οἰκοδομήσω σοὶ οἶκον πιστὸν
40 καθὼς ᾠκοδόμησα τῷ Δαυίδ. [40] καὶ ἐζήτησε Σαλωμὼν θανατῶσαι τὸν Ἱερο-
βοάμ· καὶ ἀνέστη καὶ ἀπέδρα εἰς Αἴγυπτον πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου,

---

22. om τω αδερ ... ante αυτη η κακια haec add (cf. supra v. 14.) (23) και ηγειρεν κυριος σαταν τω σαλωμων τον ραζων υιον ελιαδαε τον βαραμεεθ· αδαδεξερ βασιλεα σουβα κυριον αυτου· (24) και συνηθροισθησαν εν (lege επ) αυτον ανδρες· και ην αρχων συστρεμματος εν τω αποκτεννειν δαυιδ αυτους· και επορευθησαν δαμασκον και εκαθισαν εν αυτη· και εβασιλευσαν εν δαμασκω· (25) και εγενετο αντικειμενος τω ισραηλ πασας τας ημερας σαλωμων ... om ην εποιησεν ... εν τω εδωμ 26. εκ της σαριδα· και ονομα της μητρος αυτου σαρουα γυνη χηρα ... post δ. σαλ. add και υψωσεν χειρα εν τω βασιλει 27. χειρα ... om και ο βασ. σαλωμων ... και συνεκλ. 28. om τας 29. αχιας ... και ο αχιας ... om μονοι 30. διερρ. αυτα 31. ρηγματα pro σκηπτρα 33. κατελειπεν ... τοις χαμως ... επορ. ενωπιον κυριου εν ταις ... ενωπ. εμου και διακριβειας μου και κρεις (corr. κρισεις?) μου ως 34. ολην τ. βασιλ. ... δια δαυιδ ... εξελεξ. αυτ. ος εφυλαξεν εντολας μου και ακριβασμον 35. λημψομαι 36. δωσω δυο 37. λημψομαι 38. ποιησεις ... ενωπ. μου ... om του ... τας εντ. μ. και τα προστ. μου ... om σοι ... in f. add και δωσω σοι τον ισραηλ 39. και κακουχησω το σπερμα ισραηλ δια ταυτην πλην ου πασας τας ημερας 40. post ανεστη add ιεροβοαμ ... σουσακειμ

Digitized by Google

καὶ ἦν ἐν Αἰγύπτῳ ἕως οὗ ἀπέθανε Σαλωμών. 41 καὶ τὰ λοιπὰ τῶν λόγων 41
Σαλωμὼν καὶ πάντα ὅσα ἐποίησε καὶ πᾶσαν τὴν φρόνησιν αὐτοῦ, οὐκ ἰδοὺ
ταῦτα γέγραπται ἐν βιβλίῳ ῥημάτων Σαλωμών; 42 καὶ αἱ ἡμέραι ἃς ἐβασίλευε 42
Σαλωμὼν ἐν Ἱερουσαλὴμ ἐπὶ πάντα Ἰσραὴλ τεσσαράκοντα ἔτη. 43 καὶ ἐκοι- 43
μήθη Σαλωμὼν μετὰ τῶν πατέρων αὐτοῦ· καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ
τοῦ πατρὸς αὐτοῦ. καὶ ἐγενήθη ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβάτ, καὶ αὐτοῦ
ἔτι ὄντος ἐν Αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προςώπου Σαλωμὼν καὶ ἐκάθητο ἐν Αἰ-
γύπτῳ, κατευθύνει καὶ ἔρχεται εἰς τὴν πόλιν αὐτοῦ εἰς τὴν γῆν Σαριρὰ τὴν
ἐν ὄρει Ἐφραΐμ. 44 καὶ ὁ βασιλεὺς Σαλωμὼν ἐκοιμήθη μετὰ τῶν πατέρων 44
αὐτοῦ, καὶ ἐβασίλευσε Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XII.

Καὶ πορεύεται βασιλεὺς Ῥοβοὰμ εἰς Σίκιμα, ὅτι εἰς Σίκιμα ἤρχοντο πᾶς
Ἰσραὴλ βασιλεῦσαι αὐτόν. 3 καὶ ἐλάλησεν ὁ λαὸς πρὸς τὸν βασιλέα Ῥοβοὰμ 3
λέγοντες 4 Ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀπὸ 4
τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ κλοιοῦ αὐτοῦ τοῦ βα-
ρέως οὗ ἔδωκεν ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. 5 καὶ εἶπε πρὸς αὐτούς Ἀπέλ- 5
θετε ἕως ἡμερῶν τριῶν, καὶ ἀναστρέψατε πρός μέ· καὶ ἀπῆλθον. 6 καὶ ἀπήγ- 6
γειλεν ὁ βασιλεὺς τοῖς πρεσβυτέροις, οἳ ἦσαν παρεστῶτες ἐνώπιον Σαλωμὼν
τοῦ πατρὸς αὐτοῦ ἔτι ζῶντος αὐτοῦ, λέγων Πῶς ὑμεῖς βουλεύεσθε καὶ ἀπο-
κριθῶ τῷ λαῷ τούτῳ λόγον; 7 καὶ ἐλάλησαν πρὸς αὐτὸν λέγοντες Εἰ ἐν τῇ 7
ἡμέρᾳ ταύτῃ ἔσῃ δοῦλος τῷ λαῷ τούτῳ, καὶ δουλεύσεις αὐτοῖς καὶ λαλήσεις
πρὸς αὐτοὺς λόγους ἀγαθούς, καὶ ἔσονταί σοι δοῦλοι πάσας τὰς ἡμέρας. 8 καὶ 8
ἐγκατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων ἃ συνεβουλεύσαντο αὐτῷ, καὶ συνε-
βουλεύσατο μετὰ τῶν παιδαρίων τῶν ἐκτραφέντων μετ' αὐτοῦ τῶν παρεστη-
κότων πρὸ προςώπου αὐτοῦ. 9 καὶ εἶπεν αὐτοῖς Τί ὑμεῖς συμβουλεύετε; καὶ τί 9
ἀποκριθῶ τῷ λαῷ τούτῳ τοῖς λέγουσι πρὸς μὲ λεγόντων Κούφισον ἀπὸ τοῦ
κλοιοῦ οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ' ἡμᾶς; 10 καὶ ἐλάλησαν πρὸς αὐτὸν τὰ παι- 10
δάρια τὰ ἐκτραφέντα μετ' αὐτοῦ οἱ παρεστηκότες πρὸ προςώπου αὐτοῦ λέ-
γοντες Τάδε λαλήσεις τῷ λαῷ τούτῳ τοῖς λαλήσασι πρὸς σὲ λέγοντες Ὁ πατήρ
σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀφ' ἡμῶν· τάδε λαλή-
σεις πρὸς αὐτούς Ἡ μικρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ πατρός μου.
11 καὶ νῦν ὁ πατήρ μου ἐπεσάσσετο ὑμᾶς κλοιῷ βαρεῖ, κἀγὼ προςθήσω ἐπὶ 11
τὸν κλοιὸν ὑμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξιν, ἐγὼ δὲ παιδεύσω
ὑμᾶς ἐν σκορπίοις. 12 καὶ παρεγένοντο πᾶς Ἰσραὴλ πρὸς τὸν βασιλέα Ῥοβοὰμ 12
ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καθότι ἐλάλησεν αὐτοῖς ὁ βασιλεὺς λέγων Ἀναστράφητε
πρὸς μὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ. 13 καὶ ἀπεκρίθη ὁ βασιλεὺς πρὸς τὸν λαὸν σκληρά, 13
καὶ ἐγκατέλιπε Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων ἃ συνεβουλεύσαντο αὐτῷ,
14 καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν τῶν παιδαρίων λέγων Ὁ πατήρ 14
μου ἐβάρυνε τὸν κλοιὸν ὑμῶν, κἀγὼ προςθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν· ὁ πατὴρ

---

41. ουχ ιδου τ. γεγραμμενα 42. εβασιλευσεν ... τεσσερακοντα 43. 44. om και εγενηθη usque των πατερ. αυτου (cf. XII, 2.) 44. ροβοαμ υιος XII. 1. ο βασιλευς ... ηρχετο 2. και εγενετο ως ηκουσεν ιεροβοαμ υιος ναβατ, και αυτου ετι οντος εν αιγυπτω ως εφυγεν εκ προσωπου τουτου βασιλεως σαλωμων, και επεστρεψεν ιεροβοαμ εξ αιγυπτου. 3. και απεστειλαν και εκαλεσαν αυτον· και ηλθεν ιεροβοαμ και πασα η εκκλησια ισραηλ. κ. ελαλ. ο 4. το κλοιον 5. απελθατε ε. τρ. ημερ. 6. παρηγγειλεν ο βασ. ροβοαμ ... βουλεσθε 7. δουλευσης α. κ. ειξις αυτοις κ. λαλ. αυτοις 8. εγκατελειπεν 9. βουλευετε ... τοις λαλησασιν προς 10. παχυτερα υπερ την οσφυν 13. εγκατελειπεν 14. κ. ελ. πρ. αυτ. και συνελαλησεν προς αυτους κατα

Digitized by Google

15 μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. [15]καὶ
οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ κυρίου, ὅπως στήσῃ
τὸ ῥῆμα αὐτοῦ ὃ ἐλάλησεν ἐν χειρὶ Ἀχιὰ τοῦ Σηλωνίτου περὶ Ἱεροβοὰμ υἱοῦ
16 Ναβάτ. [16]καὶ εἶδον πᾶς Ἰσραὴλ ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν· καὶ ἀπε-
κρίθη ὁ λαὸς τῷ βασιλεῖ λέγων Τίς ἡμῖν μερὶς ἐν Δαυίδ; καὶ οὐκ ἔστιν ἡμῖν
κληρονομία ἐν υἱῷ Ἰεσσαί· ἀπότρεχε, Ἰσραήλ, εἰς τὰ σκηνώματά σου· νῦν
βόσκε τὸν οἶκόν σου, Δαυίδ. καὶ ἀπῆλθεν Ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ.
18 [18]καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν
αὐτὸν ἐν λίθοις καὶ ἀπέθανε· καὶ ὁ βασιλεὺς Ῥοβοὰμ ἔφθασεν ἀναβῆναι τοῦ
19 φυγεῖν εἰς Ἱερουσαλήμ. [19]καὶ ἠθέτησεν Ἰσραὴλ εἰς τὸν οἶκον Δαυὶδ ἕως τῆς
20 ἡμέρας ταύτης. [20]καὶ ἐγένετο ὡς ἤκουσε πᾶς Ἰσραὴλ ὅτι ἀνέκαμψεν Ἱεροβοὰμ
ἐξ Αἰγύπτου, καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτὸν εἰς τὴν συναγωγήν, καὶ ἐβα-
σίλευσαν αὐτὸν ἐπὶ Ἰσραήλ· καὶ οὐκ ἦν ὀπίσω οἴκου Δαυὶδ πάρεξ σκήπτρου
21 Ἰούδα καὶ Βενιαμὶν μόνοι. [21]καὶ Ῥοβοὰμ εἰσῆλθεν εἰς Ἱερουσαλήμ, καὶ ἐξεκ-
κλησίασε τὴν συναγωγὴν Ἰούδα καὶ σκῆπτρον Βενιαμὶν ἑκατὸν καὶ εἴκοσι χι-
λιάδας νεανιῶν ποιούντων πόλεμον τοῦ πολεμεῖν πρὸς οἶκον Ἰσραὴλ ἐπιστρέψαι
22 τὴν βασιλείαν Ῥοβοὰμ υἱῷ Σαλωμών. [22]καὶ ἐγένετο λόγος κυρίου πρὸς Σα-
23 μαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων [23]Εἰπὸν τῷ Ῥοβοὰμ υἱῷ Σαλωμὼν βασιλεῖ
Ἰούδα καὶ πρὸς πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν καὶ τῷ καταλοίπῳ τοῦ λαοῦ
24 λέγων [24]Τάδε λέγει κύριος Οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε μετὰ τῶν ἀδελ-
φῶν ὑμῶν υἱῶν Ἰσραήλ· ἀποστρεφέτω ἕκαστος εἰς τὸν οἶκον ἑαυτοῦ, ὅτι παρ'
ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου, καὶ κατέπαυσαν
τοῦ πορευθῆναι κατὰ τὸ ῥῆμα κυρίου.

Καὶ ὁ βασιλεὺς Σαλωμὼν κοιμᾶται μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ· καὶ ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ ἐν Ἱερουσαλήμ, υἱὸς ὢν ἑξκαίδεκα ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δώδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ναανάν, θυγάτηρ Ἄνα υἱοῦ Ναὰς βασιλέως υἱῶν Ἀμμών· καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦν ἄνθρωπος ἐξ ὄρους Ἐφραῒμ δοῦλος τῷ Σαλωμών, καὶ ὄνομα αὐτῷ Ἱεροβοάμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαριρά, γυνὴ πόρνη. καὶ ἔδωκεν αὐτὸν Σαλωμὼν εἰς ἄρχοντα σκυτάλης ἐπὶ ἄρσεις οἴκου Ἰωσήφ· καὶ ᾠκοδόμησε τῷ Σαλωμὼν τὴν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραΐμ, καὶ ἦσαν αὐτῷ τριακόσια ἅρματα ἵππων· οὗτος ᾠκοδόμησε τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου Ἐφραΐμ, οὗτος συνέκλεισε τὴν πόλιν Δαυὶδ καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν. καὶ ἐζήτει Σαλωμὼν θανατῶσαι αὐτόν· καὶ ἐφοβήθη καὶ ἀπέδρα αὐτὸς πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου, καὶ ἦν μετ' αὐτοῦ ἕως ἀπέθανε Σαλωμών. καὶ ἤκουσεν Ἱεροβοὰμ ἐν Αἰγύπτῳ ὅτι τέθνηκε Σαλωμών, καὶ ἐλάλησεν εἰς τὰ ὦτα Σουσακὶμ βασιλέως Αἰγύπτου λέγων Ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι ἐγὼ εἰς τὴν γῆν μου· καὶ εἶπεν αὐτῷ Σουσακὶμ Αἴτησαί τι αἴτημα καὶ δώσω σοι. καὶ Σουσακὶμ ἔδωκε τῷ Ἱεροβοὰμ τὴν Ἀνὼ ἀδελφὴν Θεκεμίνας τὴν πρεσβυτέραν τῆς γυναικὸς αὐτοῦ αὐτῷ εἰς γυναῖκα· αὕτη ἦν μεγάλη ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέως, καὶ ἔτεκε τῷ Ἱεροβοὰμ τὸν Ἀβιὰ υἱὸν αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς Σουσακὶμ Ὄντως ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι. καὶ ἐξῆλθεν

15. ελαλησεν κυριος εν 16. λογον λεγων ... εστιν υμιν ... ισραηλ pon. post σκ. σου 17. και υιων ισραηλ των καθημενων εν πολεσιν ιουδα και εβασιλευσεν επ αυτων ροβοαμ. 18. ο βασιλ. ροβοαμ ... πας ισραηλ εν λιθοις ... αναβ. επι το αρμα του 20. om πας ... om εξ αιγυπτου ... εισηγαγεν pro εκαλεσαν ... οπισω του οικου ... βενιαμειν 21. βενιαμειν εκατον ογδοηκοντα χιλιαδες 23. βενιαμειν 24. ουδε μη πολεμησαιτε ... ε. τ. οικον αυτου ... Inde a Και ο βασιλευς σαλωμων usque ad κατα το ρημα κυριου in fine versus (p. 434.) omnia desunt. (Cf. capp. XI. XII.)

Digitized by Google

Ἱεροβοὰμ ἐξ Αἰγύπτου, καὶ ἦλθεν εἰς γῆν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραΐμ· καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον Ἐφραΐμ· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἱεροβοὰμ χάρακα. καὶ ἠῤῥώστησε τὸ παιδάριον αὐτοῦ ἀῤῥωστίᾳ κραταιᾷ σφόδρα· καὶ ἐπορεύθη Ἱεροβοὰμ ἐρωτῆσαι περὶ τοῦ παιδαρίου, καὶ εἶπε πρὸς Ἀνὼ τὴν γυναῖκα αὐτοῦ Ἀνάστηθι πορεύου ἐπερώτησον τὸν θεὸν περὶ τοῦ παιδαρίου εἰ ζήσεται ἐκ τῆς ἀῤῥωστίας αὐτοῦ. καὶ ἄνθρωπος ἦν ἐν Σηλὼμ καὶ ὄνομα αὐτῷ Ἀχιά, καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν, καὶ ῥῆμα κυρίου μετ' αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ Ἀνάστηθι καὶ λάβε εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ καὶ σταφυλὴν καὶ στάμνον μέλιτος. καὶ ἀνέστη ἡ γυνή, καὶ ἔλαβεν εἰς τὴν χεῖρα αὐτῆς ἄρτους καὶ δύο κολλύρια καὶ σταφυλὴν καὶ στάμνον μέλιτος τῷ Ἀχιᾷ· καὶ ὁ ἄνθρωπος πρεσβύτερος, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἠμβλυώπουν τοῦ ἰδεῖν. καὶ ἀνέστη ἐκ Σαριρὰ καὶ πορεύεται· καὶ ἐγένετο ἐλθούσης αὐτῆς εἰς τὴν πόλιν πρὸς Ἀχιὰ τὸν Σηλωνίτην, καὶ εἶπεν Ἀχιὰ τῷ παιδαρίῳ αὐτοῦ Ἔξελθε δὴ εἰς ἀπαντὴν Ἀνὼ τῇ γυναικὶ Ἱεροβοὰμ καὶ ἐρεῖς αὐτῇ Εἴςελθε καὶ μὴ στῇς, ὅτι τάδε λέγει κύριος Σκληρὰ ἐγὼ ἐπαποστέλλω ἐπὶ σέ. καὶ εἰςῆλθεν Ἀνὼ πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ, καὶ εἶπεν αὐτῇ Ἀχιά Ἵνα τί ἐνήνοχάς μοι ἄρτους καὶ σταφυλὴν καὶ κολλύρια καὶ στάμνον μέλιτος; τάδε λέγει κύριος Ἰδοὺ σὺ ἀπελεύσῃ ἀπ' ἐμοῦ, καὶ ἔσται εἰςελθούσης σοῦ τὴν πόλιν εἰς Σαριρά, καὶ τὰ κοράσιά σου ἐξελεύσονταί σοι εἰς συνάντησιν καὶ ἐροῦσί σοι Τὸ παιδάριον τέθνηκεν. ὅτι τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον, καὶ ἔσονται οἱ τεθνηκότες τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγεται τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὸ παιδάριον κόψεται Οὐαὶ κύριε, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ κυρίου. καὶ ἀπῆλθεν ἡ γυνὴ ὡς ἤκουσεν· καὶ ἐγένετο ὡς εἰςῆλθεν εἰς τὴν Σαριρά, καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἐξῆλθεν ἡ κραυγὴ εἰς ἀπαντήν. καὶ ἐπορεύθη Ἱεροβοὰμ εἰς Σίκιμα τὴν ἐν ὄρει Ἐφραΐμ καὶ συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ Ἰσραήλ, καὶ ἀνέβη ἐκεῖ Ῥοβοὰμ υἱὸς Σαλωμών. καὶ λόγος κυρίου ἐγένετο πρὸς Σαμαίαν τὸν Ἐνλαμὶ λέγων Λάβε σεαυτῷ ἱμάτιον καινὸν τὸ οὐκ εἰςεληλυθὸς εἰς ὕδωρ, καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα καὶ δώσεις τῷ Ἱεροβοάμ, καὶ ἐρεῖς αὐτῷ Τάδε λέγει κύριος Λάβε σεαυτῷ δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν Ἱεροβοάμ· καὶ εἶπε Σαμαίας Τάδε λέγει κύριος ἐπὶ τὰς δέκα φυλὰς τοῦ Ἰσραήλ. καὶ εἶπεν ὁ λαὸς πρὸς Ῥοβοὰμ υἱὸν Σαλωμών Ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐβάρυνε τὰ βρώματα τῆς τραπέζης αὐτοῦ· καὶ νῦν κουφιεῖς ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶπε Ῥοβοὰμ πρὸς τὸν λαόν Ἔτι τριῶν ἡμερῶν καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα. καὶ εἶπε Ῥοβοὰμ Εἰςαγάγετέ μοι τοὺς πρεσβυτέρους, καὶ συμβουλεύσομαι μετ' αὐτῶν τί ἀποκριθῶ τῷ λαῷ ῥῆμα ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἐλάλησε Ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν καθὼς ἀπέστειλεν ὁ λαὸς πρὸς αὐτόν· καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ Οὕτως ἐλάλησε πρὸς σὲ ὁ λαός. καὶ διεσκέδασε Ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ· καὶ ἀπέστειλε καὶ εἰςήγαγε τοὺς συντρόφους αὐτοῦ, καὶ ἐλάλησεν αὐτοῖς Ταῦτα καὶ ταῦτα ἀπέσταλκεν ὁ λαὸς πρὸς μὲ λέγων. καὶ εἶπαν οἱ σύντροφοι αὐτοῦ Οὕτως λαλήσεις πρὸς τὸν λαὸν λέγων Ἡ μικρότης μου παχυτέρα ὑπὲρ τὴν ὀσφὺν τοῦ πατρός μου· ὁ πατήρ μου ἐμαστίγου ὑμᾶς μάστιξιν, ἐγὼ δὲ κατάρξω ὑμᾶς ἐν σκορπίοις. καὶ ἤρεσε τὸ ῥῆμα ἐνώπιον Ῥοβοάμ· καὶ ἀπεκρίθη τῷ λαῷ καθὼς συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ τὰ παιδάρια. καὶ εἶπε πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἀνέκραξαν ἅπαντες λέγοντες Οὐ μερὶς ἡμῖν ἐν Δαυὶδ οὐδὲ κληρονομία ἐν υἱῷ Ἰεσσαί· ἕκαστος εἰς τὰ σκηνώματά σου, Ἰσραήλ, ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὐδὲ εἰς ἡγούμενον. καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ Σικίμων, καὶ ἀπῆλθον ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε Ῥοβοάμ, καὶ ἀπῆλθε καὶ ἀνέβη ἐπὶ τὸ



Digitized by Google

ἅρμα αὐτοῦ καὶ εἰςῆλθεν εἰς Ἱερουσαλήμ· καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν
σκῆπτρον Ἰούδα καὶ πᾶν σκῆπτρον Βενιαμίν. καὶ ἐγένετο ἐνισταμένου τοῦ
ἐνιαυτοῦ καὶ συνήθροισε Ῥοβοὰμ πάντα ἄνδρα Ἰούδα καὶ Βενιαμίν, καὶ ἀνέβη
τοῦ πολεμεῖν πρὸς Ἱεροβοὰμ εἰς Σίκιμα. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς Σα-
μαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων Εἰπὸν τῷ Ῥοβοὰμ βασιλεῖ Ἰούδα καὶ πρὸς
πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν καὶ πρὸς τὸ κατάλειμμα τοῦ λαοῦ λέγων
Τάδε λέγει κύριος Οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν
υἱοὺς Ἰσραήλ· ἀναστρέφετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ' ἐμοῦ γέγονε
τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου, καὶ ἀνέσχον μὴ πορευθῆναι
25 κατὰ τὸ ῥῆμα κυρίου. [25] καὶ ᾠκοδόμησεν Ἱεροβοὰμ τὴν Σίκιμα τὴν ἐν ὄρει
Ἐφραΐμ, καὶ κατῴκει ἐν αὐτῇ· καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ᾠκοδόμησε τὴν Φα-
26 νουήλ. [26] καὶ εἶπεν Ἱεροβοὰμ ἐν τῇ καρδίᾳ αὐτοῦ Ἰδοὺ νῦν ἐπιστρέψει ἡ βα-
27 σιλεία εἰς οἶκον Δαυίδ· [27] ἐὰν ἀναβῇ ὁ λαὸς οὗτος ἀναφέρειν θυσίαν ἐν οἴκῳ
κυρίου εἰς Ἱερουσαλήμ, καὶ ἐπιστραφήσεται καρδία τοῦ λαοῦ πρὸς κύριον καὶ
28 κύριον αὐτῶν πρὸς Ῥοβοὰμ βασιλέα Ἰούδα, καὶ ἀποκτενοῦσί με. [28] καὶ ἐβου-
λεύσατο ὁ βασιλεύς, καὶ ἐπορεύθη καὶ ἐποίησε δύο δαμάλεις χρυσᾶς, καὶ εἶπε
πρὸς τὸν λαόν Ἱκανούσθω ὑμῖν ἀναβαίνειν εἰς Ἱερουσαλήμ· ἰδοὺ θεοί σου,
29 Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου. [29] καὶ ἔθετο τὴν μίαν ἐν Βαι-
30 θήλ, καὶ τὴν μίαν ἔδωκεν ἐν Δάν. [30] καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς ἁμαρτίαν·
καὶ ἐπορεύετο ὁ λαὸς πρὸ προςώπου τῆς μιᾶς ἕως Δάν, καὶ εἴασαν τὸν οἶκον
31 κυρίου. [31] καὶ ἐποίησεν οἴκους ἐφ' ὑψηλῶν, καὶ ἐποίησεν ἱερεῖς μέρος τι ἐκ
32 τοῦ λαοῦ οἳ οὐκ ἦσαν ἐκ τῶν υἱῶν Λευί. [32] καὶ ἐποίησεν Ἱεροβοὰμ ἑορτὴν ἐν
τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς κατὰ τὴν ἑορτὴν
τὴν ἐν γῇ Ἰούδα, καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησεν ἐν Βαιθὴλ τοῦ
θύειν ταῖς δαμάλεσιν αἷς ἐποίησε, καὶ παρέστησεν ἐν Βαιθὴλ τοὺς ἱερεῖς τῶν
33 ὑψηλῶν ὧν ἐποίησε. [33] καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε τῇ πεντε-
καιδεκάτῃ ἡμέρᾳ ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ ἑορτῇ ᾗ ἐπλάσατο ἀπὸ καρ-
δίας αὐτοῦ, καὶ ἐποίησεν ἑορτὴν τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀνέβη ἐπὶ τὸ θυσια-
στήριον τοῦ ἐπιθῦσαι.

## XIII.

Καὶ ἰδοὺ ἄνθρωπος τοῦ θεοῦ ἐξ Ἰούδα παρεγένετο ἐν λόγῳ κυρίου εἰς
2 Βαιθήλ, καὶ Ἱεροβοὰμ εἱστήκει ἐπὶ τὸ θυσιαστήριον ἐπιθῦσαι. [2] καὶ ἐπεκά-
λεσε πρὸς τὸ θυσιαστήριον ἐν λόγῳ κυρίου καὶ εἶπε Θυσιαστήριον θυσιαστή-
ριον, τάδε λέγει κύριος Ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαυίδ, Ἰωσίας ὄνομα αὐ-
τῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τῶν ἐπιθυόντων ἐπὶ σέ, καὶ
3 ὀστᾶ ἀνθρώπων καύσει ἐπὶ σέ· [3] καὶ δώσει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τέρας, λέγων
Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος λέγων Ἰδοὺ τὸ θυσιαστήριον ῥήγνυται, καὶ
4 ἐκχυθήσεται ἡ πιότης ἡ ἐπ' αὐτῷ. [4] καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς Ἱερο-
βοὰμ τῶν λόγων τοῦ ἀνθρώπου τοῦ θεοῦ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσια-
στήριον τὸ ἐν Βαιθήλ, καὶ ἐξέτεινεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ ἀπὸ τοῦ
θυσιαστηρίου λέγων Συλλάβετε αὐτόν· καὶ ἰδοὺ ἐξηράνθη ἡ χεὶρ αὐτοῦ ἣν
5 ἐξέτεινεν ἐπ' αὐτόν, καὶ οὐκ ἐδυνήθη ἐπιστρέψαι αὐτὴν πρὸς αὐτόν. [5] καὶ τὸ
θυσιαστήριον ἐρράγη, καὶ ἐξεχύθη ἡ πιότης ἀπὸ τοῦ θυσιαστηρίου κατὰ τὸ

---

26. εις τον οικον 27. θυσιας ... καρδια λαου ... in f. add και επιστραφησονται προς ροβοαμ βασιλεα ιουδα 28. om κ. εβουλευσ. ο βασιλευς ... κ. επορ. ο βασιλευς ... ικανουσθαι ... οι θεοι σου ... οι ανηγαγον τε (σε?) εκ 30. om και ειασαν τ. ο. κυρ. 31. επι υψηλων (... om ουκ) 33. ο εποιησεν εν βαιθηλ τη ... ** καρδ. εαυτου ... επεβη XIII. 1. παρεγ. εξ ιουδα ... ιστηκει ... θυσιαστ. αυτου 2. επιθυσει ... om και οστα usque επι σε 3. κ. εδωκεν ... Τουτο τερας ο ελαλησεν ... η εν αυτω 4. ηδυνηθη ... προς εαυτον

Digitized by Google

τέρας ὃ ἔδωκεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν λόγῳ κυρίου. 6 καὶ εἶπεν ὁ βασιλεὺς 6
Ἰεροβοὰμ τῷ ἀνθρώπῳ τοῦ θεοῦ Δεήθητι τοῦ προςώπου κυρίου τοῦ θεοῦ σου,
καὶ ἐπιστρεψάτω ἡ χείρ μου πρὸς ἐμέ. καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ θεοῦ τοῦ
προςώπου κυρίου, καὶ ἐπέστρεψε τὴν χεῖρα τοῦ βασιλέως πρὸς αὐτόν, καὶ ἐγέ-
νετο καθὼς τὸ πρότερον. 7 καὶ ἐλάλησεν ὁ βασιλεὺς πρὸς τὸν ἄνθρωπον τοῦ 7
θεοῦ Εἴςελθε μετ' ἐμοῦ εἰς οἶκον καὶ ἀρίστησον, καὶ δώσω σοι δόμα. 8 καὶ 8
εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ πρὸς τὸν βασιλέα Ἐὰν δῷς μοι τὸ ἥμισυ τοῦ οἴκου
σου, οὐκ εἰςελεύσομαι μετὰ σοῦ, οὐδὲ μὴ φάγω ἄρτον οὐδὲ μὴ πίω ὕδωρ ἐν
τῷ τόπῳ τούτῳ. 9 ὅτι οὕτως ἐνετείλατό μοι κύριος ἐν λόγῳ λέγων Μὴ φάγῃς 9
ἄρτον καὶ μὴ πίῃς ὕδωρ καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθης ἐν αὐτῇ.
10 καὶ ἀπῆλθεν ἐν ὁδῷ ἄλλῃ, καὶ οὐκ ἀνέστρεψεν ἐν τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ 10
εἰς Βαιθήλ. 11 καὶ προφήτης εἷς πρεσβύτης κατῴκει ἐν Βαιθήλ, καὶ ἔρχονται 11
οἱ υἱοὶ αὐτοῦ καὶ διηγήσαντο αὐτῷ πάντα τὰ ἔργα ἃ ἐποίησεν ὁ ἄνθρωπος
τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν Βαιθὴλ καὶ τοὺς λόγους οὓς ἐλάλησε τῷ βα-
σιλεῖ, καὶ ἐπέστρεψαν τὸ πρόσωπον τοῦ πατρὸς αὐτῶν. 12 καὶ ἐλάλησε πρὸς 12
αὐτοὺς ὁ πατὴρ αὐτῶν λέγων Ποίᾳ ὁδῷ πεπόρευται; καὶ δεικνύουσιν αὐτῷ
οἱ υἱοὶ αὐτοῦ τὴν ὁδὸν ἐν ᾗ ἀνῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐλθὼν ἐξ Ἰούδα.
13 καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ Ἐπισάξατέ μοι τὸν ὄνον· καὶ ἐπέσαξαν αὐτῷ τὸν 13
ὄνον, καὶ ἐπέβη ἐπ' αὐτόν. 14 καὶ ἐπορεύθη κατόπισθεν τοῦ ἀνθρώπου τοῦ 14
θεοῦ, καὶ εὗρεν αὐτὸν καθήμενον ὑπὸ δρῦν καὶ εἶπεν αὐτῷ Εἰ σὺ εἶ ὁ ἄν-
θρωπος τοῦ θεοῦ ὁ ἐληλυθὼς ἐξ Ἰούδα; καὶ εἶπεν αὐτῷ Ἐγώ. 15 καὶ εἶπεν 15
αὐτῷ Δεῦρο μετ' ἐμοῦ καὶ φάγε ἄρτον. 16 καὶ εἶπεν Οὐ μὴ δύνωμαι τοῦ ἐπι- 16
στρέψαι μετὰ σοῦ, οὐδὲ μὴ φάγομαι ἄρτον οὐδὲ πίομαι ὕδωρ ἐν τῷ τόπῳ
τούτῳ. 17 ὅτι οὕτως ἐντέταλταί μοι ἐν λόγῳ κύριος λέγων Μὴ φάγῃς ἄρτον 17
ἐκεῖ καὶ μὴ πίῃς ὕδωρ, καὶ μὴ ἐπιστρέψῃς ἐκεῖ ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθης ἐν
αὐτῇ. 18 καὶ εἶπε πρὸς αὐτόν Κἀγὼ προφήτης εἰμὶ καθὼς σύ, καὶ ἄγγελος 18
λελάληκε πρὸς μὲ ἐν ῥήματι κυρίου λέγων Ἐπίστρεψον αὐτὸν πρὸς σεαυτὸν
εἰς τὸν οἶκόν σου, καὶ φαγέτω ἄρτον καὶ πιέτω ὕδωρ· καὶ ἐψεύσατο αὐτῷ.
19 καὶ ἐπέστρεψεν αὐτόν, καὶ ἔφαγεν ἄρτον καὶ ἔπιεν ὕδωρ ἐν τῷ οἴκῳ αὐ- 19
τοῦ. 20 καὶ ἐγένετο αὐτῶν καθημένων ἐπὶ τῆς τραπέζης, καὶ ἐγένετο λόγος 20
κυρίου πρὸς τὸν προφήτην τὸν ἐπιστρέψαντα αὐτόν· 21 καὶ εἶπε πρὸς τὸν ἄν- 21
θρωπον τοῦ θεοῦ τὸν ἥκοντα ἐξ Ἰούδα λέγων Τάδε λέγει κύριος Ἀνθ' ὧν
παρεπίκρανας τὸ ῥῆμα κυρίου, καὶ οὐκ ἐφύλαξας τὴν ἐντολὴν ἣν ἐνετείλατό
σοι κύριος ὁ θεός σου, 22 καὶ ἐπέστρεψας, καὶ ἔφαγες ἄρτον καὶ ἔπιες ὕδωρ 22
ἐν τῷ τόπῳ τούτῳ ᾧ ἐλάλησε πρὸς σὲ λέγων Οὐ μὴ φάγῃς ἄρτον καὶ μὴ
πίῃς ὕδωρ, οὐ μὴ εἰςέλθῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πατέρων σου.
23 καὶ ἐγένετο μετὰ τὸ φαγεῖν αὐτὸν ἄρτον καὶ πιεῖν ὕδωρ, καὶ ἐπέσαξεν αὐτῷ 23
τὸν ὄνον, καὶ ἐπέστρεψε καὶ ἀπῆλθε. 24 καὶ εὗρεν αὐτὸν λέων ἐν τῇ ὁδῷ καὶ 24
ἐθανάτωσεν αὐτόν· καὶ ἦν τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος
εἱστήκει παρ' αὐτό, καὶ ὁ λέων εἱστήκει παρὰ τὸ σῶμα. 25 καὶ ἰδοὺ ἄνδρες 25
παραπορευόμενοι καὶ εἶδον τὸ θνησιμαῖον ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ λέων

(5. om ὅ) 6. τω προςωπω ... και προςευξαι περι εμου κ. επιστρ. η χ. μ. προς με ... καθως προτερον 7. αριστη (ita) 9. εν λογω κυριος ... αρτον, μη πιης 11. om εκεινη ... om και post βαιθηλ 12. προς αυτον ... δικνυουσιν ... απηλθεν ... ο εξελθων 13. την ονον bis ... επ αυτην 14. om και επορευθη ... επι δρυν ... om του θεου sec. loco 15. εμου εις την οικιαν 16. om του ... ουδε φαγομαι 17. Ου μη φαγης εκει αρτον 18. λελαληκεν μοι εν ... επιστρεψαι αυτον (... om εις τον) ... φαγεται et πιεται 19. αυτον συν εαυτω ... εν τω οικ. αυτ. pon. ante κ. επιεν υ. 22. τουτω ως ελαλησεν ... λεγων Μη 23. αυτω την ονον τω προφητη 24. ιστηκει παρ αυτο το σωμα omissis reliquis 25. ιδον ... εριμμενον

εἱστήκει ἐχόμενα τοῦ θνησιμαίου· καὶ εἰςῆλθον καὶ ἐλάλησαν ἐν τῇ πόλει
26 οὗ ὁ προφήτης ὁ πρεσβύτης κατῴκει ἐν αὐτῇ. [26] καὶ ἤκουσεν ὁ ἐπιστρέψας
αὐτὸν ἐκ τῆς ὁδοῦ, καὶ εἶπεν Ὁ ἄνθρωπος τοῦ θεοῦ οὗτός ἐστιν ὃς παρεπί-
28 κρανε τὸ ῥῆμα κυρίου. [28] καὶ ἐπορεύθη καὶ εὗρε τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον
ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος καὶ ὁ λέων εἱστήκεισαν παρὰ τὸ σῶμα, καὶ οὐκ ἔφα-
γεν ὁ λέων τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ οὐ συνέτριψε τὸν ὄνον.
29 [29] καὶ ἦρεν ὁ προφήτης τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ καὶ ἐπέθηκεν αὐτὸ
30 ἐπὶ τὸν ὄνον, καὶ ἐπέστρεψεν αὐτὸν εἰς τὴν πόλιν [30] ὁ προφήτης τοῦ θάψαι
31 αὐτὸν ἐν τῷ τάφῳ ἑαυτοῦ, καὶ ἐκόψαντο αὐτόν Οὐαὶ ἀδελφέ. [31] καὶ ἐγένετο
μετὰ τὸ κόψασθαι αὐτὸν καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ λέγων Ἐὰν ἀποθάνω, θά-
ψατέ με ἐν τῷ τάφῳ τούτῳ οὗ ὁ ἄνθρωπος τοῦ θεοῦ τέθαπται ἐν αὐτῷ·
παρὰ τὰ ὀστᾶ αὐτοῦ θέτε με, ἵνα σωθῶσι τὰ ὀστᾶ μου μετὰ τῶν ὀστῶν
32 αὐτοῦ. [32] ὅτι γινόμενον ἔσται τὸ ῥῆμα ὃ ἐλάλησεν ἐν λόγῳ κυρίου ἐπὶ τὸ θυ-
σιαστήριον ἐν Βαιθὴλ καὶ ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς τοὺς ἐν Σαμαρείᾳ.
33 [33] καὶ μετὰ τὸ ῥῆμα τοῦτο οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ,
καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμε-
34 νος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλά. [34] καὶ ἐγέ-
νετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ καὶ εἰς ὄλεθρον καὶ εἰς
ἀφανισμὸν ἀπὸ προςώπου τῆς γῆς.

---

25. ιστηκει ... ειςηλθεν κ. ελαλησεν 26. in f. add και εδωκεν αυτον ο κυριος τω λεοντι και συνετριψεν αυτον και εθανατωσεν αυτον κατα το ρημα κυριου ο ελαλησεν αυτω 27. και ελαλησεν προς τους υιους αυτου τω λεγειν Επισαξατε μοι την ονον· και επεσαξαν 28. και ονος ... ιστηκεισαν ... om και ου συνετρ. τ. ο. 29. om και ηρεν usque του θεου ... επεστρ. αυτον· και ηλθεν εις τ. πολιν του προφητου του πρεσβυτερου του κοψασθαι και του θαψαι αυτον 30. ab init. add και ανεπαυσεν το νεκριμαιον αυτου ... ταφω αυτου ... εκοψατο 31. om τουτω ... παρ αυτου pro εν αυτω 32. επι του θυσιαστηριου του εν 33. εγεινετο XIV. 1. Εν τω καιρω εκεινω ηρρωστησεν αβια υιος ιεροβοαμ 2. και ειπεν ο ιεροβοαμ προς την γυναικα αυτου Αναστηθι και αλλοιωθηση, και ου γνωσονται οτι συ γυνη ιεροβοαμ, και πορευθηση εις σηλω· και ιδου εκει αχια ο προφητης, αυτος ελαλησεν εμε του βασιλευσαι επι τον λαον τουτον. 3. και λαβε εις την χειρα σου τω ανθρωπω του θεου αρτους και κολλυριδα τοις τεκνοις αυτου και σταφιδας και σταμνον μελιτος, και ελευση προς αυτον· αυτος αναγγειλη σοι τι εσται τω παιδι. 4. και εποιησεν ουτως γυνη ιεροβοαμ· και ανεστη και επορευθη εις σηλω, και ειςηλθεν εν οικω αχια· και ο ανθρωπος πρεσβυτερος του ιδειν, και ημβλυωπουν οι οφθαλμοι αυτου απο γηρους αυτου. 5. και κυριος ειπεν προς αχια Ιδου γυνη του ιεροβοαμ εισερχεται του εκζητησαι ρημα παρα σου υιου (περι υιου?) αυτης, οτι αρρωστος εστιν· κατα τουτο και κατα τουτο λαλησεις προς αυτην. και εγενετο εν τω εισερχεσθαι αυτην, και αυτη απεξενουτο. 6. και εγενετο ως ηκουσεν αχια την φωνην ποδων αυτης, εισερχομενης αυτης εν τω ανοιγματι, και ειπεν Εισελθε, γυνη ιεροβοαμ· ινα τι συ τουτο απεξενουσαι; και εγω ειμι αποστολος προς σε σκληρος. 7. πορευθεισα ειπον τω ιεροβοαμ Ταδε λεγει κυριος ο θεος ισραηλ Ανθ ου οσον υψωσα σε απο μεσου λαου και εδωκα σε ηγουμενον επι τον λαον μου ισραηλ, 8. και ερρηξα συν το βασιλειον απο του οικου δαυιδ και εδωκα αυτο σοι, και ουκ εγενου ως ο δουλος μου δαυιδ ος εφυλαξεν τας εντολας μου, και ος επορευθη οπισω μου εν παση καρδια αυτου ποιησαι εκαστος (εκαστον?) το ευθες εν οφθαλμοις μου, 9. και επονηρευσω του ποιησαι παρα παντος οσοι εγενοντο εις προσωπον σου, και επορευθης και εποιησας σεαυτω θεους ετερους χωνευτα του παροργισαι με, και εμε ερριψας οπισω σωματος σου· 10. δια τουτο εγω αγω κακιαν προς σε εις οικον ιεροβοαμ, εξολεθρευσω του ιεροβοαμ ουρουντα προς τοιχον εχομενον και

Digitized by Google

## XIV.

[21]Καὶ Ῥοβοὰμ υἱὸς Σαλωμὼν ἐβασίλευσεν ἐπὶ Ἰούδαν· υἱὸς τεσσαρά- 21
κοντα καὶ ἑνὸς ἐνιαυτῶν Ῥοβοὰμ ἐν τῷ βασιλεύειν αὐτόν· καὶ ἑπτακαίδεκα
ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελέξατο κύριος θέσθαι τὸ
ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν φυλῶν τοῦ Ἰσραήλ· καὶ τὸ ὄνομα τῆς μητρὸς
αὐτοῦ Νααμὰ ἡ Ἀμμωνῖτις. [22]καὶ ἐποίησε Ῥοβοὰμ τὸ πονηρὸν ἐνώπιον 22
κυρίου· καὶ παρεζήλωσεν αὐτὸν ἐν πᾶσιν οἷς ἐποίησαν οἱ πατέρες αὐτῶν ἐν
ταῖς ἁμαρτίαις αὐτῶν αἷς ἥμαρτον. [23]καὶ ᾠκοδόμησαν ἑαυτοῖς ὑψηλὰ καὶ 23
στήλας καὶ ἄλση ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου συ-
σκίου. [24]καὶ σύνδεσμος ἐγενήθη ἐν τῇ γῇ, καὶ ἐποίησαν ἀπὸ πάντων τῶν 24
βδελυγμάτων τῶν ἐθνῶν ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. [25]καὶ 25
ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ πέμπτῳ βασιλεύοντος Ῥοβοὰμ ἀνέβη Σουσακὶμ
βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλήμ, [26]καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴ- 26
κου κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τὰ δόρατα τὰ χρυσᾶ
ἃ ἔλαβε Δαυὶδ ἐκ χειρὸς τῶν παίδων Ἀδραζαὰρ βασιλέως Σουβὰ καὶ εἰςήνεγκεν
αὐτὰ εἰς Ἱερουσαλήμ, τὰ πάντα ἃ ἔλαβεν ὅπλα τὰ χρυσᾶ ὅσα ἐποίησε Σα-
λωμών, καὶ ἀπήνεγκεν αὐτὰ εἰς Αἴγυπτον. [27]καὶ ἐποίησε Ῥοβοὰμ ὁ βασι- 27
λεὺς ὅπλα χαλκᾶ ἀντ' αὐτῶν· καὶ ἐπέθεντο ἐπ' αὐτὸν οἱ ἡγούμενοι τῶν
παρατρεχόντων οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου βασιλέως. [28]καὶ ἐγένετο ὅτε 28
εἰςεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ ἦρον αὐτὰ οἱ παρατρέχοντες
καὶ ἀπηρείδοντο αὐτὰ εἰς τὸ Θεὲ τῶν παρατρεχόντων. [29]καὶ τὰ λοιπὰ τῶν 29
λόγων Ῥοβοὰμ καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ
λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; [30]καὶ πόλεμος ἦν ἀνὰ μέσον 30

---

εγκαταλελιμμενον εν ισραηλ, και επιλεξω οικου ιεροβοαμ καθως επιλεγεται η κοπρος ως (εως?) τελειωθηναι αυτον. 11. οι τεθνηκοτες του ιεροβοαμ εν τη πολει καταφαγονται οι κυνες, και τον τεθνηκοτα εν τω αγρω καταφαγονται τα πετεινα του ουρανου, οτι κυριος ελαλησεν. 12. και συ αναστασα πορευθητι εις τον οικον σου· εν τω εισερχεσθαι ποδα σου την πολιν αποθανειται το παιδαριον. 13. και κοψονται αυτον πας ισραηλ και θαψουσιν αυτον, οτι ουτος μονος εισελευσεται τω ιεροβοαμ προς ταφον, οτι ευρεθη εν αυτω ρημα καλον περι του κυριου θεου ισραηλ εν οικω ιεροβοαμ. 14. και αναστησει κυριος εαυτω βασιλεα επι ισραηλ, ος πληξει τον οικον ιεροβοαμ ταυτη τη ημερα· και τι και νυν; 15. κυριος πληξει τον ισραηλ καθα κινειται ο ανεμος (ο καλαμος?) εν τω υδατι, και εκτελει (εκτιλει?) τον ισραηλ απο ανω της χθονος της αγαθης ταυτης ης εδωκεν τοις πατρασιν αυτων, και λικμησει αυτους απο περαν του ποταμου· ανθ ου οσον εποιησαν τα αλση αυτων παροργιζοντες τον κυριον. 16. και παραδωσει κυριος τον ισραηλ χαριν αμαρτιων ιεροβοαμ, ος ημαρτεν και ος εξημαρτεν τον ισραηλ. 17. και ανεστη η γυνη ιεροβοαμ και επορευθη εις γην σαριρα· και εγενετο ως ειςηλθεν εν τω προθυρω του οικου, και το παιδαριον απεθανεν. 18. και εθαψαν αυτον και εκοψαντο αυτον πας ισραηλ, κατα το ρημα κυριου ο ελαλησεν εν χειρι δουλου αυτου αχια του προφητου. 19. και περισσον ρηματων ιεροβοαμ οσα επολεμησεν και οσα εβασιλευσεν, ιδου αυτα γεγραμμενα επι βιβλιου ρηματων των ημερων των βασιλεων ισραηλ. 20. και αι ημεραι ας εβασιλευσεν ιεροβοαμ εικοσι δυο ετη· και εκοιμηθη μετα των πατερων αυτου και εβασιλευσεν ναβατ υιος αυτου αντ αυτου. 21. τεσσερακοντα ... εκει και εκ ... και ονομα ... η αμανιτις 22. παρεζηλωσαν ... οι πατ. αυτου και εν 23. κ. ωκ. και αυτοι εαυτοις ... βουνον υψηλου 24. παντων βδελυγματων 25. σουσακειμ 26. om παντας ... αδρααζαρ ... τα παντα ελαβεν, και ελαβεν οπλα ... om και απηνεγκεν α. ε. αιγ. 27. ο βασ. ροβ. αντ αυτ. οπλα χαλκα ... οικ. του βασιλ. 28. ηραν ... απηριδοντο 29. παντα οσα ... ουχ ιδου

Digitized by Google

31 Ῥοβοὰμ καὶ ἀνὰ μέσον Ἱεροβοὰμ πάσας τὰς ἡμέρας. 31 καὶ ἐκοιμήθη Ῥοβοὰμ
μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει
Δαυίδ· καὶ ἐβασίλευσεν Ἀβιοὺ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XV.

Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ἱεροβοὰμ υἱοῦ Ναβὰτ βασι-
2 λεύει Ἀβιοὺ υἱὸς Ῥοβοὰμ ἐπὶ Ἰούδαν, 2 καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ Ἱερου-
3 σαλήμ· καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Μααχά, θυγάτηρ Ἀβεσσαλώμ. 3 καὶ
ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ αἷς ἐποίησεν ἐνώπιον αὐτοῦ,
καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ κυρίου θεοῦ αὐτοῦ ὡς ἡ καρδία τοῦ
4 πατρὸς αὐτοῦ. 4 ὅτι διὰ Δαυὶδ ἔδωκεν αὐτῷ κύριος κατάλειμμα, ἵνα στήσῃ
5 τὰ τέκνα αὐτοῦ μετ' αὐτὸν καὶ στήσῃ τὴν Ἱερουσαλήμ, 5 ὡς ἐποίησε Δαυὶδ
τὸ εὐθὲς ἐνώπιον κυρίου, οὐκ ἐξέκλινεν ἀπὸ πάντων ὧν ἐνετείλατο αὐτῷ πάσας
7 τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. 7 καὶ τὰ λοιπὰ τῶν λόγων Ἀβιοὺ καὶ πάντα ἃ
ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
βασιλεῦσιν Ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον Ἀβιοὺ καὶ ἀνὰ μέσον Ἱεροβοάμ.
8 8 καὶ ἐκοιμήθη Ἀβιοὺ μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ εἰκοστῷ καὶ τετάρτῳ
ἔτει τοῦ Ἱεροβοάμ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ·
9 καὶ βασιλεύει Ἀσὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 9 ἐν τῷ ἐνιαυτῷ τετάρτῳ καὶ εἰκο-
10 στῷ τοῦ Ἱεροβοὰμ βασιλέως Ἰσραὴλ βασιλεύει Ἀσὰ ἐπὶ Ἰούδαν, 10 καὶ τεσ-
σαράκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς
11 αὐτοῦ Ἀνά, θυγάτηρ Ἀβεσσαλώμ. 11 καὶ ἐποίησεν Ἀσὰ τὸ εὐθὲς ἐνώπιον κυ-
12 ρίου ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ. 12 καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ τῆς γῆς, καὶ
13 ἐξαπέστειλε πάντα τὰ ἐπιτηδεύματα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ. 13 καὶ τὴν
Ἀνὰ τὴν μητέρα ἑαυτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγουμένην, καθὼς ἐποίησε
σύνοδον ἐν τῷ ἄλσει αὐτῆς· καὶ ἐξέκοψεν Ἀσὰ τὰς καταδύσεις αὐτῆς καὶ
14 ἐνέπρησε πυρὶ ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων. 14 τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρε· πλὴν
15 ἡ καρδία Ἀσὰ ἦν τελεία μετὰ κυρίου πάσας τὰς ἡμέρας αὐτοῦ. 15 καὶ εἰς-
ήνεγκε τοὺς κίονας τοῦ πατρὸς αὐτοῦ, καὶ τοὺς κίονας αὐτοῦ εἰςήνεγκεν εἰς
16 τὸν οἶκον κυρίου ἀργυροῦς καὶ χρυσοῦς καὶ σκεύη. 16 καὶ πόλεμος ἦν ἀνὰ μέσον
17 Ἀσὰ καὶ ἀνὰ μέσον Βαασὰ βασιλέως Ἰσραὴλ πάσας τὰς ἡμέρας αὐτῶν. 17 καὶ
ἀνέβη Βαασὰ βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰούδαν, καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ τοῦ
18 μὴ εἶναι ἐκπορευόμενον καὶ εἰςπορευόμενον τῷ Ἀσᾷ βασιλεῖ Ἰούδα. 18 καὶ ἔλα-
βεν Ἀσὰ σύμπαν τὸ ἀργύριον καὶ τὸ χρυσίον τὸ εὑρεθὲν ἐν τοῖς θησαυροῖς
οἴκου κυρίου καὶ ἐν τοῖς θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἔδωκεν αὐτὰ
εἰς χεῖρας παίδων αὐτοῦ· καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς Ἀσὰ πρὸς υἱὸν
Ἅδερ υἱὸν Ταβερεμὰ υἱοῦ Ἀζὶν βασιλέως Συρίας τοῦ κατοικοῦντος ἐν Δαμα-
19 σκῷ λέγων 19 Διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ
μέσον τοῦ πατρός μου καὶ τοῦ πατρὸς σοῦ· ἰδοὺ ἐξαπέσταλκά σοι δῶρα ἀρ-
γύριον καὶ χρυσίον· δεῦρο διασκέδασον τὴν διαθήκην σου τὴν πρὸς Βαασὰ
20 βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται ἀπ' ἐμοῦ. 20 καὶ ἤκουσεν υἱὸς Ἅδερ τοῦ

---

31. post δαυιδ add και ονομα της μητρος αυτου νααμα η αμανιτις ... αβιου υιος XV. 2. κ. δεκαεξ ε. εβ. εν ιερ. 3. εν πασαις ταις ... δαυιδ του πατρ. α. 4. κυρ. ο θεος καταλ. εν ισραηλ 5. in f. add εκτος εν ρηματι ουριου του χετταιου 6. και πολεμος ην μετοξυ (ita bis) ροβοαμ και μετοξυ ιεροβοαμ πασας τας ημερας της ζωης αυτων 7. παντα οσα ... ουχ ιδου ... επι βιβλιου 8. om εν τω usque ετει ... om μετα τ. π. αυτ. 9. και εν ετει εικοστου (sic) του ιεροβ. 10. τεσσεραχοντα ... μααχα pro ανα 13. τ. μααχα τ. μ. αυτου (.., om μη) ... ενεπρησεν εν πυρι 14. πλην καρδια 16. ημερ. αυτου 17. την ραμμαν 18. ευρεθεν εν θησαυροις ... om του ante οικου ... om αυτα ... om και εξαπ. αυτους ... υιου ταβενραημα (ταβ εν ρ.?) υιου αζαηλ 19. δωρον ... om βαασα

Digitized by Google

βασιλέως Ἀσά, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι
τοῦ Ἰσραήλ· καὶ ἐπάταξαν τὴν Ἀΐν, τὴν Δὰν καὶ τὴν Ἀβὲλ οἴκου Μααχὰ
καὶ πᾶσαν τὴν Χεννερὲθ ἕως πάσης τῆς γῆς Νεφθαλί. [21] καὶ ἐγένετο ὡς 21
ἤκουσε Βαασά, καὶ διέλιπε τοῦ οἰκοδομεῖν τὴν Ῥαμὰ καὶ ἀνέστρεψεν εἰς
Θερσά. [22] καὶ ὁ βασιλεὺς Ἀσὰ παρήγγειλε παντὶ Ἰούδᾳ εἰς Ἐναχίμ, καὶ αἴ- 22
ρουσι τοὺς λίθους τῆς Ῥαμὰ καὶ τὰ ξύλα αὐτῆς ἃ ᾠκοδόμησε Βαασά, καὶ
ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ βασιλεὺς Ἀσὰ πᾶν βουνὸν Βενιαμὶν καὶ τὴν σκοπιάν.
[23] καὶ τὰ λοιπὰ τῶν λόγων Ἀσά, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ ἣν ἐποίησε, 23
καὶ τὰς πόλεις ἃς ᾠκοδόμησεν, οὐχ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐπὶ βιβλίῳ
λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; πλὴν ἐν τῷ καιρῷ τοῦ γήρως
αὐτοῦ ἐπόνεσε τοὺς πόδας αὐτοῦ. [24] καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν πατέρων 24
αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ πατρὸς αὐτοῦ·
καὶ βασιλεύει Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [25] καὶ Ναβὰτ υἱὸς Ἱεροβοὰμ 25
βασιλεύει ἐπὶ Ἰσραὴλ ἐν ἔτει δευτέρῳ τοῦ Ἀσὰ βασιλέως Ἰούδα, καὶ ἐβασί-
λευσεν ἐν Ἰσραὴλ ἔτη δύο. [26] καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ 26
ἐπορεύθη ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε
τὸν Ἰσραήλ. [27] καὶ περιεκάθισεν αὐτὸν Βαασὰ υἱὸς Ἀχιὰ ἐπὶ τὸν οἶκον Βε- 27
λαὰν υἱοῦ Ἀχιά, καὶ ἐχάραξεν αὐτὸν ἐν Γαβαθὼν τῇ τῶν ἀλλοφύλων· καὶ
Ναβὰτ καὶ πᾶς Ἰσραὴλ περιεκάθητο ἐπὶ Γαβαθών. [28] καὶ ἐθανάτωσεν αὐτὸν 28
Βαασὰ ἐν ἔτει τρίτῳ τοῦ Ἀσὰ υἱοῦ Ἀσὰ βασιλέως Ἰούδα, καὶ ἐβασίλευσεν
ἀντ' αὐτοῦ. [29] καὶ ἐγένετο ὡς ἐβασίλευσεν, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον Ἱερο- 29
βοάμ, καὶ οὐχ ὑπελείπετο πᾶσαν πνοὴν τοῦ Ἱεροβοὰμ ἕως τοῦ ἐξολοθρεῦσαι
αὐτόν, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἀχιὰ τοῦ Ση-
λωνίτου [30] περὶ τῶν ἁμαρτιῶν Ἱεροβοάμ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, καὶ ἐν 30
τῷ παροργισμῷ αὐτοῦ ᾧ παρώργισε τὸν κύριον θεὸν τοῦ Ἰσραήλ. [31] καὶ τὰ 31
λοιπὰ τῶν λόγων Ναβὰτ καὶ πάντα ἃ ἐποίησεν, οὐχ ἰδοὺ ταῦτα γεγραμμένα
ἐστὶν ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; [33] καὶ ἐν τῷ ἔτει 33
τῷ τρίτῳ τοῦ Ἀσὰ βασιλέως Ἰούδα βασιλεύει Βαασὰ υἱὸς Ἀχιὰ ἐπὶ Ἰσραὴλ
ἐν Θερσὰ εἴκοσι καὶ τέσσαρα ἔτη. [34] καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, 34
καὶ ἐπορεύθη ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ὡς
ἐξήμαρτε τὸν Ἰσραήλ.

## XVI.

Καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἰοὺ υἱοῦ Ἀνανὶ πρὸς Βαασά [2] Ἀνθ' 2
ὧν ὕψωσά σε ἀπὸ τῆς γῆς καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ,
καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ Ἱεροβοὰμ καὶ ἐξήμαρτες τὸν λαόν μου τὸν Ἰσραὴλ
τοῦ παροργίσαι με ἐν τοῖς ματαίοις αὐτῶν, [3] ἰδοὺ ἐγὼ ἐξεγείρω ὀπίσω Βαασὰ 3
καὶ ὄπισθεν τοῦ οἴκου αὐτοῦ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱερο-
βοὰμ υἱοῦ Ναβάτ. [4] τὸν τεθνηκότα τοῦ Βαασὰ ἐν τῇ πόλει καταφάγονται 4

---

20. τ. δυναμ. των αυτου ... την ναϊν και την δαν ... χενερεθ ... νεφθαλει 21. (om και διελιπε ...) την ραμμα 22. παντι τω λαω ιουδα εις ανναχειμ ... της ραμμα ... om εν αυτοις ... om ασα ... βενιαμειν 23. δυναστια (cf. Prolegg.) αυτ. και παντα α εποιησαν ... ουχ ιδου ... επι βιβλιου ... γηρους 24. δαυιδ του ... κ. εβασιλευσεν 25. και ναδαβ ... επι ισραηλ δυο ετη 27. οικον εισαχαρ, και επαταξεν αυτ. βαασα εν ... ναβαδ (v. 34. habet ναβατ) 28. τριτω ασα ... om υιου ασα 29. επαταξ. τον συμπαντα οικου (ita) ιεροβ. εως ου εξολεθρευσαι αυτον· και ουχ υπελειπετο πασ. πν. του ιεροβοαμ 29. 30. om κατα το usque ιεροβοαμ ... ος ημαρτεν και ος εξημ. τ. ισρ. ... ως pro ω ... θεον ισρ. 31. ναδαβ ... παντα οσα ... ουχι ταυτα ... om εστιν 32. και πολεμος ην μεταξυ ασα και μεταξυ βαασα βασιλεως ισραηλ πασας τας ημερας αυτων 33. επι παντα ισραηλ ... τεσσερα 34. om αυτου XVI. 1. εν χειρι ειηου 2. επι τον δουλον μου ισρ. ... τ. λαον μου ισραηλ

Digitized by Google

αὐτὸν οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ καταφάγονται αὐτὸν
5 τὰ πετεινὰ τοῦ οὐρανοῦ. [5] καὶ τὰ λοιπὰ τῶν λόγων Βαασὰ καὶ πάντα ἃ ἐποίησε
καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν
6 ἡμερῶν τῶν βασιλέων Ἰσραήλ; [6] καὶ ἐκοιμήθη Βαασὰ μετὰ τῶν πατέρων
αὐτοῦ, καὶ θάπτεται ἐν Θερσά· καὶ βασιλεύει Ἠλὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
7 [7] καὶ ἐν χειρὶ Ἰοὺ υἱοῦ Ἀνανὶ ἐλάλησε κύριος ἐπὶ Βαασὰ καὶ ἐπὶ τὸν οἶκον
αὐτοῦ πᾶσαν τὴν κακίαν ἣν ἐποίησεν ἐνώπιον κυρίου τοῦ παροργίσαι αὐτὸν ἐν
τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, τοῦ εἶναι κατὰ τὸν οἶκον Ἱεροβοὰμ καὶ ὑπὲρ
8 τοῦ πατάξαι αὐτόν. [8] καὶ Ἠλὰ υἱὸς Βαασὰ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ δύο ἔτη
9 ἐν Θερσά. [9] καὶ συνέστρεψεν ἐπ' αὐτὸν Ζαμβρὶ ὁ ἄρχων τῆς ἡμίσους τῆς
ἵππου, καὶ αὐτὸς ἦν ἐν Θερσὰ πίνων μεθύων ἐν τῷ οἴκῳ Ὠσὰ τοῦ οἰκονό-
10 μου ἐν Θερσά. [10] καὶ εἰσῆλθε Ζαμβρὶ καὶ ἐπάταξεν αὐτὸν καὶ ἐθανάτωσεν
11 αὐτόν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. [11] καὶ ἐγενήθη ἐν τῷ βασιλεῦσαι αὐτὸν
ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον
12 Βαασά, [12] κατὰ τὸ ῥῆμα ὃ ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον Βαασὰ καὶ πρὸς
13 Ἰοὺ τὸν προφήτην [13] περὶ πασῶν τῶν ἁμαρτιῶν Βαασὰ καὶ Ἠλὰ τοῦ υἱοῦ
αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραὴλ τοῦ παροργίσαι κύριον τὸν θεὸν Ἰσραὴλ ἐν
14 τοῖς ματαίοις αὐτῶν. [14] καὶ τὰ λοιπὰ τῶν λόγων Ἠλὰ ἃ ἐποίησεν, οὐκ ἰδοὺ
15 ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ; [15] καὶ
Ζαμβρὶ ἐβασίλευσεν ἐν Θερσὰ ἡμέρας ἑπτά· καὶ ἡ παρεμβολὴ Ἰσραὴλ ἐπὶ
16 Γαβαθὼν τὴν τῶν ἀλλοφύλων. [16] καὶ ἤκουσεν ὁ λαὸς ἐν τῇ παρεμβολῇ λεγόν-
των Συνεστράφη Ζαμβρὶ καὶ ἔπαισε τὸν βασιλέα· καὶ ἐβασίλευσαν ἐν Ἰσραὴλ
τὸν Ἀμβρὶ τὸν ἡγούμενον τῆς στρατιᾶς ἐπὶ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν
17 τῇ παρεμβολῇ. [17] καὶ ἀνέβη Ἀμβρὶ καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκ Γαβαθὼν
18 καὶ περιεκάθισαν ἐπὶ Θερσά. [18] καὶ ἐγενήθη ὡς εἶδε Ζαμβρὶ ὅτι προκατεί-
ληπται αὐτοῦ ἡ πόλις, καὶ πορεύεται εἰς ἄντρον τοῦ οἴκου τοῦ βασιλέως, καὶ
19 ἐνεπύρισεν ἐπ' αὐτὸν τὸν οἶκον τοῦ βασιλέως, καὶ ἀπέθανεν [19] ὑπὲρ τῶν ἁμαρ-
τιῶν αὐτοῦ ὧν ἐποίησε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου πορευθῆναι
ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ὡς ἐξήμαρτε τὸν
20 Ἰσραήλ. [20] καὶ τὰ λοιπὰ τῶν λόγων Ζαμβρὶ καὶ τὰς συνάψεις αὐτοῦ ἃς συνῆ-
ψεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων
21 Ἰσραήλ; [21] τότε μερίζεται ὁ λαὸς Ἰσραήλ· ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω
Θαμνὶ υἱοῦ Γωνὰθ τοῦ βασιλεῦσαι αὐτόν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται
22 ὀπίσω Ἀμβρί. [22] ὁ λαὸς ὁ ὢν ὀπίσω Ἀμβρὶ ὑπερεκράτησε τὸν λαὸν τὸν ὀπίσω
Θαμνὶ υἱοῦ Γωνάθ· καὶ ἀπέθανε Θαμνὶ καὶ Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ

---

4. om αυτον prius 5. παντα οσα ... ουχι ταυτα ... επι βιβλιω 6. in f. add εν τω εικοστω ετει βασιλεως ασα 7. ειηου υι. ανανια του προφητου ... περι βαασα ... om και επι τον usque πασαν ... του ειναι καθως ο οικος 8. εν ετει εικοστω και εκτω επι του ασα βασιλεως ιουδα εβασιλευσεν ηλα υι. β. επι ισρ. εν θερσα δυο ετη 9. παις αυτου ζαμβρι ... οικω αρσα 10. post εθαν. αυτ. add εν ετει εικοστω και εβδομω του ασα βασιλεως ιουδα 11. om και εγενηθη ε. τ. β. αυτον ... om και ... οικον αυτου του βαασα· ουχ υπελειπεν αυτω ουρουντα προς τοιχον και αγχιστεις αυτου και εταιρον αυτου 12. και εξετριψεν ζαμβρι ολον τον οικον βαασα κατα το ρημα κυριου ο ελαλησεν επι ... ειηου 13. αυτου ου ημαρτον, και ως ... κυριον θεον του ισραηλ και τοις 14. ηλα και παντα α ... ουχ 15. εν ετει εικοστω και εβδομω του ασα βασιλεως ιουδα κ. εβασ. ζαμβρι επτα ημ. εν θερσα ... γαβαθων τη 16. ζαμβρι pro αμβρι ... εν τη ημερα εκεινη επι ισρ. εν τη η. εκ. 17. ζαμβρι 18. προκατηλημπται ... εισπορευονται ... ενεπυρισαν ... τ. βασιλ. εν πυρι 19. του πορευθηναι ... αυτου αις εποιησεν ως εξημαρτ. 20. ουχι ταυτα ... επι βιβλιου 21. ισραηλ· το ημισυ ... ζαμβρι 22. και υπερισχυσεν ο λαος ο ακολουθων τω ζαμβρι, και ηττηθη ο λαος ο ων οπισω θαμνι· και ο ιωραμ αδελφος

Digitized by Google

καιρῷ ἐκείνῳ, καὶ ἐβασίλευσεν Ἀμβρὶ μετὰ Θαμνί. 23 ἐν τῷ ἔτει τῷ τριακο- 23
στῷ καὶ πρώτῳ τοῦ βασιλέως Ἀσὰ βασιλεύει Ἀμβρὶ ἐπὶ Ἰσραὴλ δώδεκα ἔτη·
ἐν Θερσὰ βασιλεύει ἓξ ἔτη. 24 καὶ ἐκτήσατο Ἀμβρὶ τὸ ὄρος τὸ Σεμερὼν παρὰ 24
Σεμὴρ τοῦ κυρίου τοῦ ὄρους ἐν δύο ταλάντων ἀργυρίου, καὶ ᾠκοδόμησε τὸ
ὄρος· καὶ ἐπεκάλεσαν τὸ ὄνομα τοῦ ὄρους οὗ ᾠκοδόμησεν ἐπὶ τῷ ὀνόματι
Σεμὴρ τοῦ κυρίου τοῦ ὄρους Σεμηρών. 25 καὶ ἐποίησεν Ἀμβρὶ τὸ πονηρὸν 25
ἐνώπιον κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν
αὐτοῦ. 26 καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρ- 26
τίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν Ἰσραὴλ τοῦ παροργίσαι τὸν κύριον θεὸν Ἰσραὴλ
ἐν τοῖς ματαίοις αὐτῶν. 27 καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμβρὶ καὶ πάντα ἃ ἐποίησε 27
καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, οὐχ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων
τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ; 28 καὶ ἐκοιμήθη Ἀμβρὶ μετὰ τῶν πατέ- 28
ρων αὐτοῦ, καὶ θάπτεται ἐν Σαμαρείᾳ· καὶ βασιλεύει Ἀχαὰβ ὁ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ. καὶ ἐν τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ ἔτει τοῦ Ἀμβρὶ βασιλεύει Ἰωσα-
φὰτ υἱὸς Ἀσὰ ἐτῶν τριάκοντα καὶ πέντε ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ εἰκοσι-
πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Γαζουβά,
θυγάτηρ Σελί. καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέ-
κλινεν ἀπ' αὐτῆς τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώπιον κυρίου· πλὴν τῶν ὑψηλῶν οὐκ
ἐξῆραν, ἔθυον ἐν τοῖς ὑψηλοῖς καὶ ἐθυμίων. καὶ ἃ συνέθετο Ἰωσαφὰτ μετὰ
βασιλέως Ἰσραήλ, καὶ πᾶσα ἡ δυναστεία ἣν ἐποίησε, καὶ οὓς ἐπολέμησεν,
οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰούδα;
καὶ τὰ λοιπὰ τῶν συμπλοκῶν ἃς ἐπέθεντο ἐν ταῖς ἡμέραις Ἀσὰ τοῦ πατρὸς
αὐτοῦ ἐξῆρεν ἀπὸ τῆς γῆς. καὶ βασιλεὺς οὐκ ἦν ἐν Συρίᾳ Νασίβ· καὶ ὁ βασι-
λεὺς Ἰωσαφὰτ ἐποίησε ναῦν εἰς Θαρσὶς πορεύεσθαι εἰς Σωφὶρ ἐπὶ τὸ χρυ-
σίον. καὶ οὐκ ἐπορεύθη, ὅτι συνετρίβη ἡ ναῦς ἐν Γασιὼν Γαβέρ. τότε εἶπεν
ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ Ἐξαποστελῶ τοὺς παῖδάς σου καὶ τὰ παι-
δάριά μου ἐν τῇ νηί· καὶ οὐκ ἐβούλετο Ἰωσαφάτ. καὶ ἐκοιμήθη Ἰωσαφὰτ
μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει
Δαυίδ· καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 29 ἐν ἔτει δευτέρῳ 29
τοῦ Ἰωσαφὰτ βασιλέως Ἰούδα Ἀχαὰβ υἱὸς Ἀμβρὶ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ
ἐν Σαμαρείᾳ εἴκοσι καὶ δύο ἔτη. 30 καὶ ἐποίησεν Ἀχαὰβ τὸ πονηρὸν ἐνώπιον 30
κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ. 31 καὶ οὐκ ἦν 31
Ἀρ. 2, αὐτῷ ἱκανὸν τοῦ πορεύεσθαι ἐν ταῖς ἁμαρτίαις Ἱεροβοὰμ υἱοῦ Ναβάτ, καὶ
20. ἔλαβε γυναῖκα τὴν Ἰεζάβελ θυγατέρα Ἰεθεβαὰλ βασιλέως Σιδωνίων, καὶ ἐπο-
ρεύθη καὶ ἐδούλευσε τῷ Βάαλ καὶ προσεκύνησεν αὐτῷ. 32 καὶ ἔστησε θυσια- 32
στήριον τῷ Βάαλ ἐν οἴκῳ τῶν προσοχθισμάτων αὐτοῦ ὃν ᾠκοδόμησεν ἐν Σα-
μαρείᾳ. 33 καὶ ἐποίησεν Ἀχαὰβ ἄλσος· καὶ προσέθηκεν Ἀχαὰβ τοῦ ποιῆσαι 33
παροργίσματα τοῦ παροργίσαι τὸν κύριον θεὸν τοῦ Ἰσραὴλ καὶ τὴν ψυχὴν
αὐτοῦ τοῦ ἐξολοθρευθῆναι· ἐκακοποίησεν ὑπὲρ πάντας τοὺς βασιλεῖς Ἰσραὴλ
τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ. 34 καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ ᾠκοδόμησεν 34

---

**22.** ζαμβρι **23.** πρωτω ετει τω ασα βασιλεως ιουδα ... ζαμβρι ... **om** ετη **prius** **24.** ζαμβρι ... το εμερων ... επεκαλεσεν ... σομηρων **25.** ζαμβρι **26.** εν παση τη οδω **27.** ζαμβρι ... και αι δυναστιαι αυτου ην εποιησεν, ουχι ταυτα **28.** ζαμβρι ... σαμαρια ... εβασιλευσεν αχααβ ο υιος ... **om omnia inde ab** και εν τω ενιαυτω **usque** ιωραμ υιος αυτου αντ αυτου **29. plene:** ο δε αχααβ υιος ζαμβρι εβασιλευσεν επι ισραηλ εν ετει τριακοστω και ογδοω του ασα βασιλεως ιουδα· βασιλευσας δε αχααβ υιος ζαμβρι επι ισραηλ εν σαμαρια εικοσιδυο ετη **30.** αχααβ υιος ζαμβρι ... **om** και επονηρευσατο **31. om** του ... θυγατ. ιαβααλ βασιλευς σιδ. **32.** τω βααλ ενωπιον των πρ. αυτ. ων **33. om** παροργισματα ... θεον ισραηλ ... **om** και την ψυχην **usque** εκακοποιησεν **34. om** και

Digitized by Google

Ἀχιὴλ ὁ Βαιθηλίτης τὴν Ἱεριχώ· ἐν τῷ Ἀβιρὼν πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτήν, καὶ τῷ Σεγοὺβ τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε θύρας αὐτῆς, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ Ἰησοῦ υἱοῦ Ναυή.

## XVII.

Καὶ εἶπεν Ἠλιοὺ ὁ προφήτης Θεσβίτης ὁ ἐκ Θεσβῶν τῆς Γαλαὰδ πρὸς
Ἀχαάβ Ζῇ κύριος ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς Ἰσραὴλ ᾧ παρέστην ἐνώ- *Ja. 5.
πιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετὸς ὅτι εἰ μὴ διὰ στόματος 17.
2 3 λόγου μου. [2] καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς Ἠλιού [3] Πορεύου ἐντεῦθεν κατὰ
ἀνατολάς, καὶ κρύβηθι ἐν τῷ χειμάρρῳ Χορρὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορ-
4 δάνου. [4] καὶ ἔσται ἐκ τοῦ χειμάρρου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦ-
5 μαι διατρέφειν σε ἐκεῖ. [5] καὶ ἐποίησεν Ἠλιοὺ κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἐκά-
6 θισεν ἐν τῷ χειμάρρῳ Χορρὰθ ἐπὶ προσώπου τοῦ Ἰορδάνου. [6] καὶ οἱ κόρακες
ἔφερον αὐτῷ ἄρτους τὸ πρωὶ καὶ κρέα τὸ δείλης, καὶ ἐκ τοῦ χειμάρρου ἔπι-
7 νεν ὕδωρ. [7] καὶ ἐγένετο μεθ' ἡμέρας καὶ ἐξηράνθη ὁ χειμάρρους, ὅτι οὐκ ἐγέ-
8 9 νετο ὑετὸς ἐπὶ τῆς γῆς. [8] καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς Ἠλιού [9] Ἀνάστηθι *Lc. 4,
καὶ πορεύου εἰς Σαρεπτὰ τῆς Σιδωνίας· ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ 25 sq.
10 τοῦ διατρέφειν σε. [10] καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σαρεπτά, καὶ ἦλθεν εἰς
τὸν πυλῶνα τῆς πόλεως· καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα, καὶ ἐβόη-
σεν ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπεν αὐτῇ Λάβε δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος
11 καὶ πίομαι. [11] καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπεν
12 Λήψῃ δή μοι ψωμὸν ἄρτου τοῦ ἐν τῇ χειρί σου. [12] καὶ εἶπεν ἡ γυνή Ζῇ
κύριος ὁ θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ
ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ· καὶ ἰδοὺ ἐγὼ συλλέξω δύο ξυλάρια,
καὶ εἰσελεύσομαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγό-
13 μεθα, καὶ ἀποθανούμεθα. [13] καὶ εἶπε πρὸς αὐτὴν Ἠλιοὺ Θάρσει, εἴσελθε καὶ
ποίησον κατὰ τὸ ῥῆμά σου· ἀλλὰ ποίησόν μοι ἐκεῖθεν ἐγκρυφίαν μικρὸν καὶ
ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ' ἐσχάτῳ.
14 [14] ὅτι τάδε λέγει κύριος Ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει καὶ ὁ καψάκης
τοῦ ἐλαίου οὐκ ἐλαττονήσει ἕως ἡμέρας τοῦ δοῦναι κύριον τὸν ὑετὸν ἐπὶ τῆς
15 γῆς. [15] καὶ ἐπορεύθη ἡ γυνὴ καὶ ἐποίησε, καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς καὶ
16 τὰ τέκνα αὐτῆς. [16] καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε, καὶ ὁ καψάκης τοῦ
ἐλαίου οὐκ ἠλαττονήθη, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιού.
17 [17] καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἠρρώστησεν ὁ υἱὸς τῆς γυναικὸς τῆς κυρίας
τοῦ οἴκου· καὶ ἦν ἡ ἀρρωστία αὐτοῦ κραταιὰ σφόδρα ἕως οὐχ ὑπελείφθη
18 ἐν αὐτῷ πνεῦμα. [18] καὶ εἶπε πρὸς Ἠλιού Τί ἐμοὶ καὶ σοί, ἄνθρωπε τοῦ θεοῦ;
εἰσῆλθες πρὸς μὲ τοῦ ἀναμνῆσαι ἀδικίας μου καὶ θανατῶσαι τὸν υἱόν μου;
19 [19] καὶ εἶπεν Ἠλιοὺ πρὸς τὴν γυναῖκα Δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν
ἐκ τοῦ κόλπου αὐτῆς καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον ἐν ᾧ αὐτὸς ἐκά-
20 θητο ἐκεῖ, καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τῆς κλίνης. [20] καὶ ἀνεβόησεν Ἠλιοὺ καὶ

---

34. ο βαιθιλιτης τ. ιερειχω ... αβειρων τω πρωτοτοκω XVII. 1. om θεσβιτης 2. εγενετο λογος 3. κατ ανατολας ... χορραθ επι 5. και επορευθη κ. εποιησεν ... om ηλιου κατα το ρ. κυριου ... επι προσωπον 6. αρτους και κρεας το πρωι και αρτον και κρεας το δειλης 7. μετα ημερας 8. in f. add λεγων 9. πορευθητι ε. σεφθα τ. σιδ. και καθηση εκει 10. om και ηλθεν 11. λημψη ... ψωμον αρτον εν τη 12. ει εσται ... καμψακη ... κ. ιδου συλλεγω δ. ξυληρια ... φαγομ. αυτο 13. ηλιου προς αυτην ... εν πρωτ. και εξοισ. μοι ... επ εσχατων 14. κυριος ο θεος ισραηλ ... κυριον υετον επι προσωπου της γης 15. εποιησεν κατα το ρημα ηλιου ... αυτος κ. αυτη ... in f. add και απο της ημερας ταυτης 16. εξελειπεν ... ελαττονηθη 17. μετα τα ρηματα ταυτα ... om ην ... εως ου ουχ 18. τας αδικιας 19. (υιον σοι ...) ανηγαγεν ... εκοιμησεν ... κλινης αυτου

Digitized by Google

εἶπεν Οἴ μοι κύριε, ὁ μάρτυς τῆς χήρας μεθ᾽ ἧς ἐγὼ κατοικῶ μετ᾽ αὐτῆς,
σὺ κεκάκωκας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς. [21] καὶ ἐνεφύσησε τῷ παιδαρίῳ 21
τρίς, καὶ ἐπεκαλέσατο τὸν κύριον καὶ εἶπε Κύριε ὁ θεός μου, ἐπιστραφήτω
δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτόν. [22] καὶ ἐγένετο οὕτως, καὶ ἀνε- 22
βόησε τὸ παιδάριον. [23] καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον 23
καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ· καὶ εἶπεν Ἠλιού Βλέπε, ζῇ ὁ υἱός σου.
[24] καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἠλιού Ἰδοὺ ἔγνωκα ὅτι σὺ ἄνθρωπος θεοῦ, καὶ 24
ῥῆμα κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

## XVIII.

Καὶ ἐγένετο μεθ᾽ ἡμέρας πολλὰς καὶ ῥῆμα κυρίου ἐγένετο πρὸς Ἠλιοὺ ἐν
τῷ ἐνιαυτῷ τῷ τρίτῳ λέγων Πορεύθητι καὶ ὄφθητι τῷ Ἀχαάβ, καὶ δώσω
Ja. 5, 17. ὑετὸν ἐπὶ πρόσωπον τῆς γῆς. [2] καὶ ἐπορεύθη Ἠλιοὺ τοῦ ὀφθῆναι τῷ Ἀχαάβ, 2
καὶ ἡ λιμὸς κραταιὰ ἐν Σαμαρείᾳ. [3] καὶ ἐκάλεσεν Ἀχαὰβ τὸν Ἀβδιοὺ τὸν οἰκο- 3
νόμον· καὶ Ἀβδιοὺ ἦν φοβούμενος τὸν κύριον σφόδρα. [4] καὶ ἐγένετο ἐν τῷ 4
τύπτειν τὴν Ἰεζάβελ τοὺς προφήτας κυρίου καὶ ἔλαβεν Ἀβδιοὺ ἑκατὸν ἄνδρας
προφήτας καὶ κατέκρυψεν αὐτοὺς κατὰ πεντήκοντα ἐν σπηλαίῳ, καὶ διέτρε-
φεν αὐτοὺς ἐν ἄρτῳ καὶ ὕδατι. [5] καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἀβδιού Δεῦρο καὶ 5
διέλθωμεν ἐπὶ τὴν γῆν καὶ ἐπὶ πηγὰς τῶν ὑδάτων καὶ ἐπὶ χειμάῤῥους, ἐάν
πως εὕρωμεν βοτάνην καὶ περιποιησώμεθα ἵππους καὶ ἡμιόνους, καὶ οὐκ ἐξο-
λοθρευθήσονται ἀπὸ τῶν σκηνῶν. [6] καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁδὸν τοῦ διελ- 6
θεῖν αὐτήν· Ἀχαὰβ ἐπορεύθη ἐν ὁδῷ μιᾷ, καὶ Ἀβδιοὺ ἐπορεύθη ἐν ὁδῷ ἄλλῃ
μόνος. [7] καὶ ἦν Ἀβδιοὺ ἐν τῇ ὁδῷ μόνος, καὶ ἦλθεν Ἠλιοὺ εἰς συνάντησιν 7
αὐτοῦ μόνος· καὶ Ἀβδιοὺ ἔσπευσε καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπεν
Εἰ σὺ εἶ αὐτός, κύριέ μου Ἠλιού; [8] καὶ εἶπεν Ἠλιοὺ αὐτῷ Ἐγώ· πορεύου 8
λέγε τῷ κυρίῳ σου Ἰδοὺ Ἠλιού. [9] καὶ εἶπεν Ἀβδιού Τί ἡμάρτηκα, ὅτι δίδως 9
τὸν δοῦλόν σου εἰς χεῖρα Ἀχαὰβ τοῦ θανατῶσαί με; [10] ζῇ κύριος ὁ θεός σου, 10
εἰ ἔστιν ἔθνος ἢ βασιλεία οὗ οὐκ ἀπέστειλεν ὁ κύριός μου ζητεῖν σε, καὶ εἰ
εἶπον Οὐκ ἔστι· καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ
εὕρηκέ σε. [11] καὶ νῦν σὺ λέγεις Πορεύου ἀνάγγελε τῷ κυρίῳ σου Ἰδοὺ Ἠλιού. 11
[12] καὶ ἔσται ἐὰν ἐγὼ ἀπέλθω ἀπὸ σοῦ, καὶ πνεῦμα κυρίου ἀρεῖ σε εἰς τὴν 12
γῆν ἣν οὐκ οἶδα, καὶ εἰςελεύσομαι ἀπαγγεῖλαι τῷ Ἀχαάβ, καὶ οὐχ εὑρήσει
σε, καὶ ἀποκτενεῖ με· καὶ ὁ δοῦλός σού ἐστι φοβούμενος τὸν κύριον ἐκ νεό-
τητος αὐτοῦ. [13] ἢ οὐκ ἀπηγγέλη σοι τῷ κυρίῳ μου οἷα πεποίηκα ἐν τῷ ἀπο- 13
κτείνειν τὴν Ἰεζάβελ τοὺς προφήτας κυρίου, καὶ ἔκρυψα ἀπὸ τῶν προφητῶν
κυρίου ἑκατὸν ἄνδρας ἀνὰ πεντήκοντα ἐν σπηλαίῳ καὶ ἔθρεψα ἐν ἄρτοις καὶ
ὕδατι; [14] καὶ νῦν σὺ λέγεις μοι Πορεύου λέγε τῷ κυρίῳ σου Ἰδοὺ Ἠλιού, 14
καὶ ἀποκτενεῖ με; [15] καὶ εἶπεν Ἠλιού Ζῇ κύριος τῶν δυνάμεων ᾧ παρέστην 15

---

21. *εις αυτο 22. pro το παιδ. hab. και ηκουσεν κυριος εν φωνη ηλια· και απεστραφη η ψυχη του παιδαριου προς εγκατον αυτου, και εζησεν 23. και ελαβεν ηλιου το παιδ. κ. κατ. αυτον 24. Ιδου τουτο εγν. οτι ανθρ. θ. ει ... om τω XVIII. 2. τω οφθηναι ... και ην λιμος κραταιος εν σαμαρια 3. αχααβ αδβιου ... αδβιου 4. τυπτειν ιεζαβελ ... αδβιου ... εκρυψεν 5. αδβιου ... διελθωμ. εις το πεδιον επι τας ... επι παντας χειμαρρους ... ευρομεν ... περιποιησομεθα ... εξολεθρευθησονται α. τ. κτηνων 6. εμερισεν αυτοις ... αλλη μονος pro μια ... αδβιου 7. αδβιου bis (v. 9. est αβδιου) ... εν τη οδω, και απηλθεν 8. om αυτω ... πορευου ειπον τω 9. δωσεις ... χειρας 10. εθνη ... απεσταλκεν με ... και ειπον ... τας χωρας αυτης και την βασιλειαν 11. κ. νυν Πορευου συ λεγεις και α. 12. εις γην ... ουκ ευρησει (?) 13. και ουκ ανηγγελη ... αποκτεννειν ιεζαβελ ... πεντηκ. ανδρας εν ... εθρ. αυτους εν αρτω 14. om μοι ... πορευου και λεγε

Digitized by Google

16 ἐνώπιον αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ. [16]καὶ ἐπορεύθη Ἀβδιοὺ εἰς
συναντὴν τῷ Ἀχαὰβ καὶ ἀπήγγειλεν αὐτῷ· καὶ ἐξέδραμεν Ἀχαὰβ καὶ ἐπο-
17 ρεύθη εἰς συνάντησιν Ἠλιού. [17]καὶ ἐγένετο ὡς εἶδεν Ἀχαὰβ τὸν Ἠλιού, καὶ
18 εἶπεν Ἀχαὰβ πρὸς Ἠλιού Εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν Ἰσραήλ; [18]καὶ
εἶπεν Ἠλιού Οὐ διαστρέφω τὸν Ἰσραὴλ ὅτι ἀλλ' ἢ σὺ καὶ οἶκος τοῦ πατρός
σου ἐν τῷ καταλιμπάνειν ὑμᾶς τὸν κύριον θεὸν ὑμῶν, καὶ ἐπορεύθης ὀπίσω
19 τῶν Βααλίμ. [19]καὶ νῦν ἀπόστειλον συνάθροισον πρὸς μὲ πάντα Ἰσραὴλ εἰς
ὄρος τὸ Καρμήλιον καὶ τοὺς προφήτας τῆς αἰσχύνης τετρακοσίους καὶ πεν-
τήκοντα, καὶ τοὺς προφήτας τῶν ἀλσῶν τετρακοσίους ἐσθίοντας τράπεζαν Ἰεζά-
20 βελ. [20]καὶ ἀπέστειλεν Ἀχαὰβ εἰς πάντα Ἰσραήλ, καὶ ἐπισυνήγαγε πάντας
21 τοὺς προφήτας εἰς ὄρος τὸ Καρμήλιον. [21]καὶ προσήγαγεν Ἠλιοὺ πρὸς πάντας·
καὶ εἶπεν αὐτοῖς Ἠλιού Ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς
ἰγνύαις; εἰ ἔστι κύριος ὁ θεός, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ Βάαλ, πορεύεσθε
22 ὀπίσω αὐτοῦ. καὶ οὐκ ἀπεκρίθη ὁ λαὸς λόγον. [22]καὶ εἶπεν Ἠλιοὺ πρὸς τὸν
λαόν Ἐγὼ ὑπολέλειμμαι προφήτης τοῦ κυρίου μονώτατος, καὶ οἱ προφῆται
τοῦ Βάαλ τετρακόσιοι καὶ πεντήκοντα ἄνδρες, καὶ οἱ προφῆται τοῦ ἄλσους
23 τετρακόσιοι· [23]δότωσαν ἡμῖν δύο βόας, καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν ἕνα,
καὶ μελισάτωσαν καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύλων καὶ πῦρ μὴ ἐπιθέτωσαν· καὶ
24 ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλλον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ. [24]καὶ βοᾶτε ἐν ὀνό-
ματι θεῶν ὑμῶν, καὶ ἐγὼ ἐπικαλέσομαι ἐν τῷ ὀνόματι κυρίου τοῦ θεοῦ μου·
καὶ ἔσται ὁ θεὸς ὃς ἂν ἐπακούσῃ ἐν πυρί, οὗτος θεός. καὶ ἀπεκρίθησαν πᾶς
25 ὁ λαὸς καὶ εἶπον Καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας. [25]καὶ εἶπεν Ἠλιοὺ τοῖς προ-
φήταις τῆς αἰσχύνης Ἐκλέξασθε ἑαυτοῖς τὸν μόσχον τὸν ἕνα καὶ ποιήσατε
πρῶτοι, ὅτι πολλοὶ ὑμεῖς, καὶ ἐπικαλέσασθε ἐν ὀνόματι θεοῦ ὑμῶν, καὶ πῦρ
26 μὴ ἐπιθῆτε. [26]καὶ ἔλαβον τὸν μόσχον καὶ ἐποίησαν, καὶ ἐπεκαλοῦντο ἐν ὀνό-
ματι τοῦ Βάαλ ἐκ πρωίθεν ἕως μεσημβρίας καὶ εἶπον Ἐπάκουσον ἡμῶν, ὁ
Βάαλ, ἐπάκουσον ἡμῶν· καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις, καὶ διέτρε-
27 χον ἐπὶ τοῦ θυσιαστηρίου οὗ ἐποίησαν. [27]καὶ ἐγένετο μεσημβρία καὶ ἐμυκτή-
ρισεν αὐτοὺς Ἠλιοὺ ὁ Θεσβίτης καὶ εἶπεν Ἐπικαλεῖσθε ἐν φωνῇ μεγάλῃ, ὅτι
θεός ἐστιν, ὅτι ἀδολεσχία αὐτῷ ἐστίν, καὶ ἅμα μή ποτε χρηματίζει αὐτός,
28 ἢ μή ποτε καθεύδει αὐτός, καὶ ἐξαναστήσεται. [28]καὶ ἐπεκαλοῦντο ἐν φωνῇ
μεγάλῃ, καὶ κατετέμνοντο κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐν μαχαίραις καὶ σειρο-
29 μάσταις ἕως ἐκχύσεως αἵματος ἐπ' αὐτούς, [29]καὶ προεφήτευον ἕως οὗ παρ-
ῆλθε τὸ δειλινόν. καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσίαν, καὶ ἐλά-
λησεν Ἠλιοὺ ὁ Θεσβίτης πρὸς τοὺς προφήτας τῶν προσοχθισμάτων λέγων
Μετάστητε ἀπὸ τοῦ νῦν, καὶ ἐγὼ ποιήσω τὸ ὁλοκαύτωμά μου· καὶ μετέστη-
30 σαν καὶ ἀπῆλθον. [30]καὶ εἶπεν Ἠλιοὺ πρὸς τὸν λαόν Προσαγάγετε πρὸς μέ·
31 καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν. [31]καὶ ἔλαβεν Ἠλιοὺ δώδεκα λίθους
κατὰ ἀριθμὸν φυλῶν τοῦ Ἰσραήλ, ὡς ἐλάλησε κύριος πρὸς αὐτὸν λέγων
32 Ἰσραὴλ ἔσται τὸ ὄνομά σου. [32]καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν ὀνόματι κυρίου,

---

16. αβδιου ε. συναντησιν 17. om κ. εγεν. ως ε. α. τ. ηλιου 18. και ο οικος ... καταλειμμανειν ... επορευθη οπ. του βααλειμ 19. προς το ορος το κ. και τους προφητας του βααλ τετρακοσιους πεντηκοντα και προφητ. της αισχ. τετρ. κ. πεντ., τους πρ. των 20. συνηγαγεν 21. προς παντα τον λαον ... υμεις χωλαν. υμεις ... ει κυρ. εστιν ο θεος ... ει δε ο βααλ αυτος ... αυτω λογον 22. και προφητ. τ. αλσους ... om τετραχ. in fine 23. om κ. επιθ. επι τ. ξυλων ... post αλλον add και δωσω επι τα ξυλα 24. θεου υμων ... om τω ... ος εαν ... ειπαν 25. επικαλεισθε 26. ελαβεν τ. μ. ον εδωκεν αυτοις 28. κατα το κριμα αυτων ε. μ. και εν σιρομ. 29. και εγενετο ως παρηλθεν το διλεινον, και επροφητευον ως ο καιρος του α. τ. θυσ. και ουκ ην φωνη και ελαλησεν ... καγω 31. ab initio add και ιασατο το θυσιαστηριον κυριου το κατεσκαμμενον ... φυλων του ιακωβ

Digitized by Google

καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον, καὶ ἐποίησε θάλασσαν χωροῦ-
σαν δύο μετρητὰς σπέρματος κυκλόθεν τοῦ θυσιαστηρίου. [33] καὶ ἐστοίβασε τὰς 33
σχίδακας ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα καὶ
ἐπέθηκεν ἐπὶ τὰς σχίδακας, καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον [34] καὶ εἶπε 34
Λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα καὶ ἐπὶ
τὰς σχίδακας· καὶ ἐποίησαν οὕτως. καὶ εἶπε Δευτερώσατε· καὶ ἐδευτέρωσαν.
καὶ εἶπε Τρισσώσατε· καὶ ἐτρίσσευσαν. [35] καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ 35
θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἔπλησεν ὕδατος. [36] καὶ ἀνεβόησεν Ἠλιοὺ εἰς 36
τὸν οὐρανὸν καὶ εἶπε Κύριε ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, ἐπάκου-
σόν μου, κύριε, ἐπάκουσόν μου σήμερον ἐν πυρί, καὶ γνώτωσαν πᾶς ὁ λαὸς
οὗτος ὅτι σὺ εἶ κύριος ὁ θεὸς Ἰσραήλ, καὶ ἐγὼ δοῦλός σου καὶ διὰ σὲ πε-
ποίηκα τὰ ἔργα ταῦτα. [37] ἐπάκουσόν μου, κύριε, ἐπάκουσόν μου, καὶ γνώτω 37
ὁ λαὸς οὗτος ὅτι σὺ εἶ κύριος ὁ θεός, καὶ σὺ ἔστρεψας τὴν καρδίαν τοῦ λαοῦ
τούτου ὀπίσω. [38] καὶ ἔπεσε πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε 38
τὰ ὁλοκαυτώματα καὶ τὰς σχίδακας καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ
τοὺς λίθους καὶ τὸν χοῦν ἐξέλειξε τὸ πῦρ. [39] καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσ- 39
ωπον αὐτῶν καὶ εἶπον Ἀληθῶς κύριος ὁ θεὸς αὐτὸς ὁ θεός. [40] καὶ εἶπεν Ἠλιοὺ 40
πρὸς τὸν λαόν Συλλάβετε τοὺς προφήτας τοῦ Βάαλ, μηδεὶς σωθήτω ἐξ αὐ-
τῶν· καὶ συνέλαβον αὐτούς, καὶ κατάγει αὐτοὺς Ἠλιοὺ εἰς τὸν χειμάῤῥουν
Κισσῶν καὶ ἔσφαξεν αὐτοὺς ἐκεῖ. [41] καὶ εἶπεν Ἠλιοὺ τῷ Ἀχαὰβ Ἀνάβηθι καὶ 41
φάγε καὶ πίε, ὅτι φωνὴ τῶν ποδῶν τοῦ ὑετοῦ. [42] καὶ ἀνέβη Ἀχαὰβ τοῦ φα- 42
γεῖν καὶ πιεῖν· καὶ Ἠλιοὺ ἀνέβη ἐπὶ τὴν Κάρμηλον, καὶ ἔκυψεν ἐπὶ τὴν γῆν
καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀνὰ μέσον τῶν γονάτων αὐτοῦ, [43] καὶ εἶπε τῷ 43
παιδαρίῳ αὐτοῦ Ἀνάβηθι καὶ ἐπίβλεψον ὁδὸν τῆς θαλάσσης. καὶ ἐπέβλεψε τὸ
παιδάριον καὶ εἶπεν Οὐκ ἔστιν οὐθέν· καὶ εἶπεν Ἠλιοὺ Καὶ σὺ ἐπίστρεψον
ἑπτάκις. [44] καὶ ἐπέστρεψε τὸ παιδάριον ἑπτάκις· καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ, 44
καὶ ἰδοὺ νεφέλη μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνάγουσα ὕδωρ· καὶ εἶπεν Ἀνάβηθι
καὶ εἰπὸν Ἀχαὰβ Ζεῦξον τὸ ἅρμα σου καὶ κατάβηθι, μὴ καταλάβῃ σε ὁ ὑετός.
[45] καὶ ἐγένετο ἕως ὧδε καὶ ὧδε, καὶ ὁ οὐρανὸς συνεσκότασε νεφέλαις καὶ 45
πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας· καὶ ἔκλαιε καὶ ἐπορεύετο Ἀχαὰβ ἕως
Ἰεζράελ. [46] καὶ χεὶρ κυρίου ἐπὶ τὸν Ἠλιοὺ καὶ συνέσφιγξε τὴν ὀσφὺν αὐτοῦ, 46
καὶ ἔτρεχεν ἔμπροσθεν Ἀχαὰβ εἰς Ἰεζράελ.

## XIX.

Καὶ ἀνήγγειλεν Ἀχαὰβ τῇ Ἰεζάβελ γυναικὶ αὐτοῦ πάντα ἃ ἐποίησεν
Ἠλιοὺ καὶ ὡς ἀπέκτεινε τοὺς προφήτας ἐν ῥομφαίᾳ. [2] καὶ ἀπέστειλεν Ἰεζά- 2
βελ πρὸς Ἠλιοὺ καὶ εἶπεν Εἰ σὺ εἶ Ἠλιοὺ καὶ ἐγὼ Ἰεζάβελ, τάδε ποιήσαι
μοι ὁ θεὸς καὶ τάδε προσθείη, ὅτι ταύτην τὴν ὥραν αὔριον θήσομαι τὴν ψυ-
χήν σου καθὼς ψυχὴν ἑνὸς ἐξ αὐτῶν. [3] καὶ ἐφοβήθη Ἠλιού, καὶ ἀνέστη καὶ 3

---

32. om και ιασατο usque κατεσκαμμενον 34. om και εποιησαν ουτως ... κ. ετρισσωσαν 36. και εγενετο κατα αναβασιν το υδωρ κ. ανεβοησεν ... ιακωβ pro ισραηλ ... om επακουσ. μου κ., επακ. μ. σ. εν πυρι και ... σημερον γνωτωσαν ... om πας ο λαος ουτος ... καγω 37. κ. γνωτωσαν ο λαος οτι συ ει κ. ο θ. μονος κ. συ επεστρεψας 38. και το υδωρ usque θαλασση pon. post χουν 39. και ειδαν πας ο λαος κ. επεσαν επι ... ειπαν Αλ. κυρ. αυτος εστιν ο θεος 40. μηθεις ... om ηλιου sec. ... κεισων 41. προς αχααβ 42. ανεβη εις την κορυφην του καρμηλου ... εθηκεν προσ-ωπον ... γονατ. εαυτου 43. παιδαρ. εαυτου ... και ανεβη κ. επεβλ. 44. τω αχααβ 45. εως ωδε κ. εως ωδε ... ο υετος ... επορευθη αχ. εις ιεζρ. 46. εγενετο επι ... αχ. του ελθειν εις ιεζαβελ XIX. 1. παντας τους 2. ιεζ. αγγελον προς ... ηλιας καγω ιεζ. ταδε ποιησαισαν μοι οι θεοι κ. τ. προσθειησαν ο. την ωρ. ταυτην

Digitized by Google

ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἔρχεται εἰς Βηρσαβεὲ γῆν Ἰούδα, καὶ
4 ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ. [4] καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέ-
ρας, καὶ ἦλθε καὶ ἐκάθισεν ὑποκάτω Ῥαθμέν· καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ
ἀποθανεῖν καὶ εἶπεν Ἱκανούσθω νῦν, λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ, κύριε,
5 ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου. [5] καὶ ἐκοιμήθη καὶ ὕπνω-
σεν ἐκεῖ ὑπὸ φυτόν· καὶ ἰδού τις ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ Ἀνάστηθι καὶ
6 φάγε. [6] καὶ ἐπέβλεψεν Ἠλιού, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυ-
ρίτης καὶ καψάκης ὕδατος· καὶ ἀνέστη καὶ ἔφαγε καὶ ἔπιε, καὶ ἐπιστρέψας
7 ἐκοιμήθη. [7] καὶ ἐπέστρεψεν ὁ ἄγγελος κυρίου ἐκ δευτέρου, καὶ ἥψατο αὐτοῦ
8 καὶ εἶπεν αὐτῷ Ἀνάστα φάγε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. [8] καὶ ἀνέστη καὶ
ἔφαγε καὶ ἔπιε· καὶ ἐπορεύθη ἐν ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα
9 ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἕως ὄρους Χωρήβ. [9] καὶ εἰσῆλθεν ἐκεῖ εἰς
τὸ σπήλαιον καὶ κατέλυσεν ἐκεῖ· καὶ ἰδοὺ ῥῆμα κυρίου πρὸς αὐτὸν καὶ εἶπε
10 Τί σὺ ἐνταῦθα, Ἠλιού; [10] καὶ εἶπεν Ἠλιοὺ Ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παν-
τοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ· τὰ θυσιαστήριά σου κατέσκα- Ro. 11,
ψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ 3.
11 μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. [11] καὶ εἶπεν Ἐξελεύσῃ
αὔριον καὶ στήσῃ ἐνώπιον κυρίου ἐν τῷ ὄρει· ἰδοὺ παρελεύσεται κύριος. καὶ
ἰδοὺ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη καὶ συντρῖβον πέτρας ἐνώπιον κυρίου,
οὐκ ἐν τῷ πνεύματι κύριος· καὶ μετὰ τὸ πνεῦμα συσσεισμός, οὐκ ἐν τῷ συσ-
12 σεισμῷ κύριος· [12] καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ κύριος· καὶ
13 μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς. [13] καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιού, καὶ ἐπε-
κάλυψε τὸ πρόςωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξῆλθε καὶ ἔστη ὑπὸ
14 σπήλαιον· καὶ ἰδοὺ πρὸς αὐτὸν φωνὴ καὶ εἶπε Τί σὺ ἐνταῦθα, Ἠλιού; [14] καὶ
εἶπεν Ἠλιοὺ Ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον τὴν
διαθήκην σου οἱ υἱοὶ Ἰσραήλ, καὶ τὰ θυσιαστήριά σου καθεῖλαν καὶ τοὺς
προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ
15 ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. [15] καὶ εἶπε κύριος πρὸς αὐτόν Πορεύου
ἀνάστρεφε εἰς τὴν ὁδόν σου, καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου Δαμασκοῦ· καὶ
16 ἥξεις καὶ χρίσεις τὸν Ἀζαὴλ εἰς βασιλέα τῆς Συρίας· [16] καὶ τὸν Ἰοὺ υἱὸν
Ναμεσσὶ χρίσεις εἰς βασιλέα ἐπὶ Ἰσραήλ· καὶ τὸν Ἐλισαιὲ υἱὸν Σαφὰτ χρί-
17 σεις εἰς προφήτην ἀντὶ σοῦ. [17] καὶ ἔσται τὸν σωζόμενον ἐκ ῥομφαίας Ἀζαὴλ
θανατώσει Ἰού, καὶ τὸν σωζόμενον ἐκ ῥομφαίας Ἰοὺ θανατώσει Ἐλισαιέ.
18 [18] καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα ἃ οὐκ Ro. 11,
19 ὤκλασαν γόνυ τῷ Βάαλ, καὶ πᾶν στόμα ὃ οὐ προσεκύνησεν αὐτῷ. [19] καὶ 4.
ἀπῆλθεν ἐκεῖθεν καὶ εὑρίσκει τὸν Ἐλισαιὲ υἱὸν Σαφάτ, καὶ αὐτὸς ἠροτρία ἐν
βουσί· δώδεκα ζεύγη ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα· καὶ ἀπῆλ-
20 θεν ἐπ' αὐτόν, καὶ ἐπέῤῥιψε τὴν μηλωτὴν αὐτοῦ ἐπ' αὐτόν. [20] καὶ κατέλιπεν
Ἐλισαιὲ τὰς βόας, καὶ κατέδραμεν ὀπίσω Ἠλιοὺ καὶ εἶπε Καταφιλήσω τὸν
πατέρα μου καὶ ἀκολουθήσω ὀπίσω σου· καὶ εἶπεν Ἠλιού Ἀνάστρεφε, ὅτι

---

3. ψυχην εαυτου ... βερσαβεε την ιουδα 4. υποκατω ραμαθ ... νυν, κυριε, λαβε την 5. αναστηθι φαγε 6. καμψακης 7. αναστηθι φαγε 8. εν τη ισχυι ... τεσσερακοντα bis ... εως ορους του θεου του χωρηβ 10. εζηλωσα ... εγκατελειπον ... κατεσκαψαν, τους ... υπολελιμμε 11. εν τω ορει ενωπ. κυριου· και ιδου κυριος παρελ. και πνευμα 12. in f. add κακει κυριος 13. μηλωτη εαυτου ... υπο το σπηλαιον 14. εζηλωσα ... εγκατελειπον σε οι υι. ισρ., τα ... εν ρομφαιαις 15. κ. χρησεις εκει αζαηλ 16. τον ηιου ... om υιον ναμ. χρ. εις ... ελισσαιε υι. σα. απο αβελ μαουλ χρησεις προφ. 17. ιηου ... om και τ. σωζ. εκ ρομφ. ιου ... ελισσαιε 18. om γονυ ... προσκυνησει 19. ελισσαιε ... δωδεκα βοων ενωπιον ... κ. απηλθ. ελισσαιε επ 20. κατελειπεν ελισσαιε ... επεδραμεν ... ειπεν αυτω Πορευου αναστρεφε

πεποίηκά σοι. [21] καὶ ἀνέστρεψεν ἐξ ὄπισθεν αὐτοῦ, καὶ ἔλαβε τὰ ζεύγη τῶν 21
βοῶν καὶ ἔθυσε καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν, καὶ ἔδωκε τῷ
λαῷ καὶ ἔφαγον· καὶ ἀνέστη καὶ ἐπορεύθη ὀπίσω Ἠλιού, καὶ ἐλειτούργει αὐτῷ.

## XX. (XXI.)

Καὶ ἀμπελὼν εἷς ἦν τῷ Ναβουθαὶ τῷ Ἰεζραηλίτῃ παρὰ τῇ ἅλῳ Ἀχαὰβ
βασιλέως Σαμαρείας. [2] καὶ ἐλάλησεν Ἀχαὰβ πρὸς Ναβουθαὶ λέγων Δός μοι 2
τὸν ἀμπελῶνά σου καὶ ἔσται μοι εἰς κῆπον λαχάνων, ὅτι ἐγγίζων οὗτος τῷ
οἴκῳ μου, καὶ δώσω σοι ἀμπελῶνα ἄλλον ἀγαθὸν ὑπὲρ αὐτόν· εἰ δὲ ἀρέσκει
ἐνώπιόν σου, δώσω σοι ἀργύριον ἄλλαγμα ἀμπελῶνός σου τούτου, καὶ ἔσται
μοι εἰς κῆπον λαχάνων. [3] καὶ εἶπε Ναβουθαὶ πρὸς Ἀχαάβ Μή γένοιτό μοι 3
παρὰ θεοῦ μου δοῦναι κληρονομίαν πατέρων μου σοί. [4] καὶ ἐγένετο τὸ πνεῦμα 4
Ἀχαὰβ τεταραγμένον, καὶ ἐκοιμήθη ἐπὶ τῆς κλίνης αὐτοῦ καὶ συνεκάλυψε τὸ
πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔφαγεν ἄρτον. [5] καὶ εἰσῆλθεν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ 5
πρὸς αὐτὸν καὶ ἐλάλησε πρὸς αὐτόν Τί τὸ πνεῦμά σου τεταραγμένον, καὶ οὐκ
εἶ σὺ ἐσθίων ἄρτον; [6] καὶ εἶπε πρὸς αὐτὴν ὅτι ἐλάλησα πρὸς Ναβουθαὶ τὸν 6
Ἰεζραηλίτην λέγων Δός μοι τὸν ἀμπελῶνά σου ἀργυρίου· εἰ δὲ βούλῃ, δώσω
σοι ἀμπελῶνα ἄλλον ἀντ' αὐτοῦ· καὶ εἶπεν Οὐ δώσω σοι κληρονομίαν πατέρων
μου. [7] καὶ εἶπε πρὸς αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ Σὺ νῦν οὕτω ποιεῖς βα- 7
σιλέα ἐπὶ Ἰσραήλ; ἀνάστηθι καὶ φάγε ἄρτον καὶ σαυτοῦ γενοῦ, ἐγὼ δὲ δώσω
σοι τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰεζραηλίτου. [8] καὶ ἔγραψε βιβλίον ἐπὶ τῷ 8
ὀνόματι Ἀχαὰβ καὶ ἐσφραγίσατο τῇ σφραγῖδι αὐτοῦ, καὶ ἀπέστειλε τὸ βιβλίον
πρὸς τοὺς πρεσβυτέρους καὶ τοὺς ἐλευθέρους τοὺς κατοικοῦντας μετὰ Ναβουθαί.
[9] καὶ ἐγέγραπτο ἐν τοῖς βιβλίοις λέγων Νηστεύσατε νηστείαν, καὶ καθίσατε 9
τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ· [10] καὶ ἐγκαθίσατε δύο ἄνδρας υἱοὺς παρα- 10
νόμων ἐξεναντίας αὐτοῦ, καὶ καταμαρτυρησάτωσαν αὐτοῦ λέγοντες Εὐλόγησε
θεὸν καὶ βασιλέα· καὶ ἐξαγαγέτωσαν αὐτὸν καὶ λιθοβολησάτωσαν αὐτόν, καὶ
ἀποθανέτω. [11] καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ οἱ πρεσβύτεροι καὶ 11
οἱ ἐλεύθεροι οἱ κατοικοῦντες ἐν τῇ πόλει αὐτοῦ καθὼς ἀπέστειλε πρὸς αὐτοὺς
Ἰεζάβελ, καὶ καθὰ ἐγέγραπτο ἐν τοῖς βιβλίοις οἷς ἀπέστειλε πρὸς αὐτούς.
[12] καὶ ἐκάλεσαν νηστείαν, καὶ ἐκάθισαν τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ· [13] καὶ 12 13
εἰσῆλθον δύο ἄνδρες υἱοὶ παρανόμων καὶ ἐκάθισαν ἐξεναντίας αὐτοῦ, καὶ κατε-
μαρτύρησαν αὐτοῦ λέγοντες Εὐλόγηκας θεὸν καὶ βασιλέα· καὶ ἐξήγαγον αὐτὸν
ἔξω τῆς πόλεως καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις, καὶ ἀπέθανε. [14] καὶ ἀπέ- 14
στειλαν πρὸς Ἰεζάβελ λέγοντες Λελιθοβόληται Ναβουθαὶ καὶ τέθνηκε. [15] καὶ 15
ἐγένετο ὡς ἤκουσεν Ἰεζάβελ, καὶ εἶπε πρὸς Ἀχαὰβ Ἀνάστα κληρονόμει τὸν
ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰεζραηλίτου ὃς οὐκ ἔδωκέ σοι ἀργυρίου, ὅτι οὐκ ἔστι

---

21. το ζευγος ... κ. εθυσεν εν τοις σκ. τ. βοων ηψησεν αυτα **XX.** Hoc caput postponit capiti sequenti. 1. και εγενετο μετα τα ρηματα ταυτα αμπελων ην εις τ. ν. τ. ισραηλιτη π. τω αλω 2. εγγιων ... ανταλλαγμα του αμπ. τουτου 3. om μοι 4. και ηλθεν αχααβ προς οικον αυτου συγκεχυμενος και εκλελυμενος επι τω λογω ως ελαλησεν προς αυτον ναβουθαι ο ισραηλιτης και ειπεν Ου δωσω σοι κληρονομιαν πατερων μου· κ. εκοιμ. επι 5. και εισηλθεν προς αυτον ιεζαβελ η γυνη αυτου και εισηλθεν προς αυτον κ. ελαλ. 6. ισραηλιτην ... αλλον αντι τουτου ... in f. add σοι 7. om συ ... ουτως ... βασιλειαν ... αναστηθι φαγε ... om δε ... ισραηλιτου 8. κ. προς τους ελευθερ. οι εν τη πολει αυτου τους 9. νηστιαν 10. καθισατε ... ηυλογησεν 11. ανδρες πολεως ... ελευθ. οι καθημενοι εν πολει α. καθα απεστ. πρ. α. ιεζ., καθα γεγραπται 12. om και ab initio ... εκαλεσεν νηστιαν ... εν κεφαλη 13. ηλθον ... οι υιοι ... κατεμαρτυρ. ανδρες της αποστασιας του ναβουθαι κατεναντι του λαου λεγοντες Ηυλογησεν ναβουθαι 15. ηκ. ιεζ. οτι λελιθοβοληται ναβουθαι και απεθανεν, κ. ειπ. ιεζαβελ προς ... ισραηλιτου

Digitized by Google

16 Ναβουθαὶ ζῶν, ὅτι τέθνηκε. [16] καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχαὰβ ὅτι τέθνηκε Να-
βουθαὶ ὁ Ἰεζραηλίτης, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ περιεβάλετο σάκκον·
καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἀνέστη καὶ κατέβη Ἀχαὰβ εἰς τὸν ἀμπελῶνα Να-
17 βουθαὶ τοῦ Ἰεζραηλίτου κληρονομῆσαι αὐτόν. [17] καὶ εἶπε κύριος πρὸς Ἠλιοὺ
18 τὸν Θεσβίτην λέγων [18] Ἀνάστηθι καὶ κατάβηθι εἰς ἀπαντὴν Ἀχαὰβ βασιλέως
Ἰσραὴλ τοῦ ἐν Σαμαρείᾳ, ὅτι οὗτος ἐν ἀμπελῶνι Ναβουθαί, ὅτι καταβέβηκεν
19 ἐκεῖ κληρονομῆσαι αὐτόν. [19] καὶ λαλήσεις πρὸς αὐτὸν λέγων Τάδε λέγει κύ-
ριος Ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας, διὰ τοῦτο τάδε λέγει κύριος Ἐν
παντὶ τόπῳ ᾧ ἔλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα Ναβουθαί, ἐκεῖ λείξουσιν
20 αἱ κύνες τὸ αἷμα σοῦ καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. [20] καὶ εἶπεν
Ἀχαὰβ πρὸς Ἠλιού Εἰ εὕρηκάς με ὁ ἐχθρός μου; καὶ εἶπεν Εὕρηκα, διότι
21 μάτην πέπρασαι ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου παροργίσαι αὐτόν. [21] ἰδοὺ
ἐγὼ ἐπάγω ἐπὶ σὲ κακά, καὶ ἐκκαύσω ὀπίσω σου καὶ ἐξολοθρεύσω τοῦ Ἀχαὰβ
22 οὐροῦντα πρὸς τοῖχον καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ, [22] καὶ
δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ὡς τὸν οἶκον Βαασὰ
υἱοῦ Ἀχιά, περὶ τῶν παροργισμάτων ὧν παρώργισας καὶ ἐξήμαρτες τὸν Ἰσραήλ.
23 [23] καὶ τῇ Ἰεζάβελ ἐλάλησε κύριος λέγων Οἱ κύνες καταφάγονται αὐτὴν ἐν τῷ
24 προτειχίσματι τοῦ Ἰεζράελ. [24] τὸν τεθνηκότα τοῦ Ἀχαὰβ ἐν τῇ πόλει φάγονται
οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ φάγονται τὰ πετεινὰ τοῦ οὐ-
25 ρανοῦ. [25] πλὴν ματαίως Ἀχαὰβ ὃς ἐπράθη ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου,
26 ὡς μετέθηκεν αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ· [26] καὶ ἐβδελύχθη σφόδρα πο-
ρεύεσθαι ὀπίσω τῶν βδελυγμάτων κατὰ πάντα ἃ ἐποίησεν ὁ Ἀμοῤῥαῖος, ὃν
27 ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. [27] καὶ ὑπὲρ τοῦ λόγου ὡς κατε-
νύγη Ἀχαὰβ ἀπὸ προσώπου τοῦ κυρίου, καὶ ἐπορεύετο κλαίων, καὶ διέῤῥηξε τὸν
χιτῶνα αὐτοῦ καὶ ἐζώσατο σάκκον ἐπὶ τὸ σῶμα αὐτοῦ καὶ ἐνήστευσεν· καὶ
περιεβάλετο σάκκον ἐν τῇ ἡμέρᾳ ᾗ ἐπάταξε Ναβουθαὶ τὸν Ἰεζραηλίτην, καὶ
28 ἐπορεύθη. [28] καὶ ἐγένετο ῥῆμα κυρίου ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιοὺ περὶ Ἀχαάβ,
29 καὶ εἶπε κύριος [29] Ἑώρακας ὡς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; οὐκ
ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ' ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐτοῦ
ἐπάξω τὴν κακίαν.

## XXI. (XX.)

Καὶ συνήθροισεν υἱὸς Ἄδερ πᾶσαν τὴν δύναμιν αὐτοῦ καὶ ἀνέβη καὶ πε-
ριεκάθισεν ἐπὶ Σαμάρειαν, καὶ τριακονταδύο βασιλεῖς μετ' αὐτοῦ, καὶ πᾶς
ἵππος καὶ ἅρμα· καὶ ἀνέβησαν καὶ περιεκάθισαν ἐπὶ Σαμάρειαν, καὶ ἐπολέ-
2 μησαν ἐπ' αὐτήν. [2] καὶ ἀπέστειλε πρὸς Ἀχαὰβ βασιλέα Ἰσραὴλ εἰς τὴν πόλιν
3 καὶ εἶπε πρὸς αὐτόν Τάδε λέγει υἱὸς Ἄδερ [3] Τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον
4 σου ἐμόν ἐστι, καὶ αἱ γυναῖκές σου καὶ τὰ τέκνα σου ἐμά ἐστι. [4] καὶ ἀπε-
κρίθη βασιλεὺς Ἰσραὴλ καὶ εἶπε Καθὼς ἐλάλησας, κύριέ μου βασιλεῦ, σὸς ἐγώ
5 εἰμι καὶ πάντα τὰ ἐμά. [5] καὶ ἀνέστρεψαν οἱ ἄγγελοι καὶ εἶπαν Τάδε λέγει ὁ
υἱὸς Ἄδερ Ἐγὼ ἀπέστειλα πρὸς σὲ λέγων Τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον

---

16. ισραηλιτης ... αν. αχααβ κ. κατεβη εις ... ισραηλιτου 18. εις απαντησιν ... om οτι sec. (... κατεβηκεν) ... om εκει 19. ελιξαν οι κυνες και αι υες ... λιξουσιν ... om αι κυνες sec. ... και πορναι 24. καταφαγονται bis 25. πλ. ματ. επραθη αχ., ως επραθη ποιησαι 26. ων εξολεθρευσεν 27. λογου ου κατενυγη ... προσωπου κυριου ... a σακκον ad σακκον transilit ... ισραηλιτην ... in f. add κεκλιμενος 29. εοραχας ... και pro αλλ ... in f. add επι τον οικον αυτου XXI. Hoc caput ante cap. XX. ponit. 1. K. υι. αδ. βασιλευς συριας συνηθροισεν πασαν ... σαμαριαν (pr. loco) ... περιεκαθισεν et επολεμησεν 2. απεστ. αγγελους προς ... ο υιος αδερ ... τ. τεκνα σ. τα καλα 4. ο βασιλευς ... ελαλησας μοι ... ειμι εγω 5. ειπαν προς αυτον ... Εγω απεστρεψα το αργ. σου

Digitized by Google

σου καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα σου δώσεις ἐμοί, [6]ὅτι ταύτην τὴν ὥραν 6
αὔριον ἀποστελῶ τοὺς παῖδάς μου πρὸς σέ, καὶ ἐρευνήσουσι τὸν οἶκόν σου
καὶ τοὺς οἴκους τῶν παίδων σου, καὶ ἔσται πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλ-
μῶν αὐτῶν ἐφ' ἃ ἂν ἐπιβάλωσι τὰς χεῖρας αὐτῶν καὶ λήψονται. [7]καὶ ἐκά- 7
λεσεν ὁ βασιλεὺς Ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς καὶ εἶπε Γνῶτε
δὴ καὶ ἴδετε ὅτι κακίαν οὗτος ζητεῖ, ὅτι ἀπέσταλκε πρός με περὶ τῶν γυναι-
κῶν μου καὶ περὶ τῶν υἱῶν μου καὶ περὶ τῶν θυγατέρων μου· τὸ ἀργύριόν
μου καὶ τὸ χρυσίον μου οὐκ ἀπεκώλυσα ἀπ' αὐτοῦ. [8]καὶ εἶπαν αὐτῷ οἱ πρεσβύ- 8
τεροι καὶ πᾶς ὁ λαός Μὴ ἀκούσῃς καὶ μὴ θελήσῃς. [9]καὶ εἶπε τοῖς ἀγγέλοις 9
υἱοῦ Ἄδερ Λέγετε τῷ κυρίῳ ὑμῶν Πάντα ὅσα ἀπέσταλκας πρὸς τὸν δοῦλόν
σου ἐν πρώτοις ποιήσω, τὸ δὲ ῥῆμα τοῦτο οὐ δυνήσομαι ποιῆσαι· καὶ ἀπῆ-
ραν οἱ ἄνδρες καὶ ἐπέστρεψαν αὐτῷ λόγον. [10]καὶ ἀπέστειλε πρὸς αὐτὸν υἱὸς 10
Ἄδερ λέγων Τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη, εἰ ἐκποιήσει ὁ
χοῦς Σαμαρείας ταῖς ἀλώπεξι παντὶ τῷ λαῷ τοῖς πεζοῖς μου. [11]καὶ ἀπε- 11
κρίθη ὁ βασιλεὺς Ἰσραὴλ καὶ εἶπεν Ἱκανούσθω· μὴ καυχάσθω ὁ κυρτὸς ὡς
ὁ ὀρθός. [12]καὶ ἐγένετο ὅτε ἀπεκρίθη αὐτῷ τὸν λόγον τοῦτον, πίνων ἦν αὐτὸς 12
καὶ πάντες οἱ βασιλεῖς οἱ μετ' αὐτοῦ ἐν σκηναῖς· καὶ εἶπε τοῖς παισὶν αὐτοῦ
Οἰκοδομήσατε χάρακα· καὶ ἔθεντο χάρακα ἐπὶ τὴν πόλιν. [13]καὶ ἰδοὺ προφή- 13
της εἷς προσῆλθε τῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ καὶ εἶπε Τάδε λέγει κύριος Εἰ
ἑώρακας τὸν ὄχλον τὸν μέγαν τοῦτον; ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖ-
ρας σάς, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος. [14]καὶ εἶπεν Ἀχαάβ Ἐν τίνι; καὶ εἶπε 14
Τάδε λέγει κύριος Ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ εἶπεν
Ἀχαάβ Τίς συνάψει τὸν πόλεμον; καὶ εἶπεν Σύ. [15]καὶ ἐπεσκέψατο Ἀχαὰβ 15
τοὺς ἄρχοντας τὰ παιδάρια τῶν χωρῶν, καὶ ἐγένοντο διακόσια τριάκοντα· καὶ
μετὰ ταῦτα ἐπεσκέψατο τὸν λαὸν πάντα υἱὸν δυνάμεως, ἑπτὰ χιλιάδας. [16]καὶ 16
ἐξῆλθε μεσημβρίας· καὶ υἱὸς Ἄδερ πίνων μεθύων ἐν Σοκχὼθ αὐτὸς καὶ οἱ
βασιλεῖς, τριάκοντα καὶ δύο βασιλεῖς συμβοηθοὶ αὐτοῦ. [17]καὶ ἐξῆλθον ἄρχον- 17
τες παιδάρια τῶν χωρῶν ἐν πρώτοις· καὶ ἀποστέλλουσι καὶ ἀπαγγέλλουσι τῷ
βασιλεῖ Συρίας λέγοντες Ἄνδρες ἐξεληλύθασιν ἐκ Σαμαρείας. [18]καὶ εἶπεν αὐ- 18
τοῖς, εἰ εἰς εἰρήνην ἐκπορεύονται, συλλαβεῖν αὐτοὺς ζῶντας, καὶ εἰ εἰς πόλεμον,
ζῶντας συλλαβεῖν αὐτούς. [19]καὶ μὴ ἐξελθάτωσαν ἐκ τῆς πόλεως ἄρχοντα τὰ 19
παιδάρια τῶν χωρῶν, καὶ ἡ δύναμις ὀπίσω αὐτῶν [20]ἐπάταξεν ἕκαστος τὸν 20
παρ' αὐτοῦ, καὶ ἐδευτέρωσεν ἕκαστος τὸν παρ' αὐτοῦ, καὶ ἔφυγε Συρία· καὶ
κατεδίωξεν αὐτοὺς Ἰσραήλ, καὶ σώζεται υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἐφ' ἵππου
ἱππέως. [21]καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰσραὴλ καὶ ἔλαβε πάντας τοὺς ἵππους καὶ 21
τὰ ἅρματα, καὶ ἐπάταξε πληγὴν μεγάλην ἐν Συρίᾳ. [22]καὶ προσῆλθεν ὁ προ- 22
φήτης πρὸς βασιλέα Ἰσραὴλ καὶ εἶπε Κραταιοῦ καὶ γνῶθι καὶ ἴδε τί ποιή-
σεις, ὅτι ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἀναβαίνει ἐπὶ

---

5. γυναικ. σου ... εμοι δωσεις 6. αποστελλω ... εραυνησουσιν ... εσται τα επιθυμητα οφθαλμων ... λημψονται 7. το χρυσ. μου κ. το αργ. μ. 9. τω κυρ. υ. τω βασιλει ... om εν πρωτοις ... ανεστρεψαν 10. ανταπεστειλεν ... ποιησαισαν μοι οι θεοι κ. τ. προσθειησαν ... σαμαριας 11. απεκριθη βασιλευς ... om και ειπεν 12. ως pro οτε ... βασιλεις μετ αυτου 13. τω βασιλει ... εορακας παντα τον ... εις χειρ. σας σημερον 14. πολεων pro χωρων 15. επεσκεψ. τους παιδας των αρχοντων των χωρων ... τριακοσιοι τριακοντα δυο ... συμπαντα τον λαον παντα 16. εν σοχχω ... συνβοηθοι μετ αυτου 17. εξ. παιδαρια αρχοντων των ... κ. απεστειλεν υιος αδερ κ. ανηγγειλαν αυτω λεγοντες ... σαμαριας 18. συλλαβετε ... και η εις πολ. εξηλθον ... συλλαβετε. 19. εξελθ. τα παιδ. εκ της πολ. αρχοντων των χωρων 20. om και εδευτερ. εκ. τ. π. αυτου ... εφ ιππων συν ιππευσιν τισιν 21. εξηλθεν βασιλ. συριας (ita) ... om παντας ... εν συρια πληγ. μεγ. 22. κ. ειπεν αυτω ... επιστρεψαντος ... συριας ανεισιν επι



Digitized by Google

23 σέ. [23] καὶ οἱ παῖδες βασιλέως Συρίας καὶ εἶπον Θεὸς ὀρέων θεὸς Ἰσραὴλ καὶ οὐ
θεὸς κοιλάδων, διὰ τοῦτο ἐκραταίωσεν ὑπὲρ ἡμᾶς· ἐὰν δὲ πολεμήσωμεν αὐτοὺς
24 κατ' εὐθύ, εἰ μὴν κραταιώσομεν ὑπὲρ αὐτούς. [24] καὶ τὸ ῥῆμα τοῦτο ποίησον·
ἀπόστησον τοὺς βασιλεῖς ἕκαστον εἰς τὸν τόπον αὐτῶν καὶ θοῦ ἀντ' αὐτῶν σα-
25 τράπας, [25] καὶ ἀλλάξομέν σοι δύναμιν κατὰ τὴν δύναμιν τὴν πεσοῦσαν καὶ ἵππον
κατὰ τὴν ἵππον καὶ ἅρματα κατὰ τὰ ἅρματα, καὶ πολεμήσομεν πρὸς αὐτοὺς
κατ' εὐθύ, καὶ κραταιώσομεν ὑπὲρ αὐτούς. καὶ ἤκουσε τῆς φωνῆς αὐτοῦ, καὶ
26 ἐποίησεν οὕτως. [26] καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ καὶ ἐπεσκέψατο υἱὸς
27 Ἄδερ τὴν Συρίαν, καὶ ἀνέβη εἰς Ἀφεκὰ εἰς πόλεμον ἐπὶ Ἰσραήλ. [27] καὶ οἱ
υἱοὶ Ἰσραὴλ ἐπεσκέπησαν, καὶ παρεγένοντο εἰς ἀπαντὴν αὐτῶν· καὶ παρενέ-
βαλεν Ἰσραὴλ ἐξεναντίας αὐτῶν ὡσεὶ δύο ποίμνια αἰγῶν, καὶ Συρία ἔπλησε
28 τὴν γῆν. [28] καὶ προσῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ καὶ εἶπε τῷ βασιλεῖ Ἰσραήλ
Τάδε λέγει κύριος Ἀνθ' ὧν εἶπε Συρία Θεὸς ὀρέων κύριος ὁ θεὸς Ἰσραὴλ καὶ
οὐ θεὸς κοιλάδων αὐτός, καὶ δώσω τὴν δύναμιν τὴν μεγάλην ταύτην εἰς χεῖρα
29 σήν, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος. [29] καὶ παρεμβάλλουσιν οὗτοι ἀπέναντι τούτων
ἑπτὰ ἡμέρας· καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ προσήγαγεν ὁ πόλε-
μος, καὶ ἐπάταξεν Ἰσραὴλ τὴν Συρίαν ἑκατὸν χιλιάδας πεζῶν μιᾷ ἡμέρᾳ.
30 [30] καὶ ἔφυγον οἱ κατάλοιποι εἰς Ἀφεκὰ εἰς τὴν πόλιν, καὶ ἔπεσε τὸ τεῖχος ἐπὶ
εἴκοσι καὶ ἑπτὰ χιλιάδας ἀνδρῶν τῶν καταλοίπων· καὶ υἱὸς Ἄδερ ἔφυγε καὶ
31 εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ κοιτῶνος εἰς τὸ ταμιεῖον. [31] καὶ εἶπε τοῖς παισὶν
αὐτοῦ Οἶδα ὅτι βασιλεῖς Ἰσραὴλ βασιλεῖς ἐλέους εἰσίν· ἐπιθώμεθα δὴ σάκ-
κους ἐπὶ τὰς ὀσφύας ἡμῶν καὶ σχοινία ἐπὶ τὰς κεφαλὰς ἡμῶν καὶ ἐξέλθω-
32 μεν πρὸς βασιλέα Ἰσραήλ, εἴ πως ζωογονήσει τὰς ψυχὰς ἡμῶν. [32] καὶ περιε-
ζώσαντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν καὶ ἔθεσαν σχοινία ἐπὶ τὰς κεφαλὰς
αὐτῶν, καὶ εἶπον τῷ βασιλεῖ Ἰσραὴλ Δοῦλός σου υἱὸς Ἄδερ λέγει Ζησάτω δὴ ἡ
33 ψυχὴ ἡμῶν· καὶ εἶπεν Εἰ ἔτι ζῇ, ἀδελφός μού ἐστι. [33] καὶ οἱ ἄνδρες οἰωνίσαντο
καὶ ἐσπείσαντο, καὶ ἀνελέξαντο τὸν λόγον ἐκ τοῦ στόματος αὐτοῦ καὶ εἶπον
Ἀδελφός σου υἱὸς Ἄδερ. καὶ εἶπεν Εἰσέλθατε καὶ λάβετε αὐτόν· καὶ ἐξῆλθε πρὸς
34 αὐτὸν υἱὸς Ἄδερ, καὶ ἀναβιβάζουσιν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα. [34] καὶ εἶπε
πρὸς αὐτόν Τὰς πόλεις ἃς ἔλαβεν ὁ πατήρ μου παρὰ τοῦ πατρός σου ἀπο-
δώσω σοι, καὶ ἐξόδους θήσεις σεαυτῷ ἐν Δαμασκῷ καθὼς ἔθετο ὁ πατήρ
μου ἐν Σαμαρείᾳ, καὶ ἐγὼ ἐν διαθήκῃ ἐξαποστελῶ σε· καὶ διέθετο αὐτῷ
35 διαθήκην, καὶ ἐξαπέστειλεν αὐτόν. [35] καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν τῶν προφη-
τῶν εἶπε πρὸς τὸν πλησίον αὐτοῦ ἐν λόγῳ κυρίου Πάταξον δή με· καὶ οὐκ ἠθέ-
36 λησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν. [36] καὶ εἶπε πρὸς αὐτόν Ἀνθ' ὧν οὐκ ἤκουσας
τῆς φωνῆς κυρίου, καὶ ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε λέων·
37 καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, καὶ εὑρίσκει αὐτὸν λέων καὶ ἐπάταξεν αὐτόν. [37] καὶ
εὑρίσκει ἄνθρωπον ἄλλον καὶ εἶπε Πάταξόν με δή· καὶ ἐπάταξεν αὐτὸν ὁ
38 ἄνθρωπος, πατάξας καὶ συνέτριψε. [38] καὶ ἐπορεύθη ὁ προφήτης καὶ ἔστη τῷ
βασιλεῖ Ἰσραὴλ ἐπὶ τῆς ὁδοῦ, καὶ κατεδήσατο ἐν τελαμῶνι τοὺς ὀφθαλμοὺς

---

23. συριας ειπαν προς αυτον Θ. ορ. κυριος ο θ. ισραηλ ... εαν δε πολομησομεν ... ει μη 24. σατραπ. αντ. αυτων 25. πεσουσαν απο σου ... ** (? potius *) ακουσεν ... φων. αυτων 26. εις αφεκαν 27. επεσκ. και διοικηθησαν κ. παρεγ. ε. απαντησιν α. κ. παρενεβαλον οι υιοι ισραηλ 28. προσηλθεν ανθρωπος τ. θ. προς βασιλεα ισραηλ Ταδε (... om ειπε) ... Ο θεος ορεων ... δωσει pro και δωσω 29. παρεμβ. αυτοι ... εν τη εβδομη ημερα ... εν ημερα μια 31. και ειπαν προς αυτον παιδες αυτου Ιδου δη οιδαμεν οτι βασ. οικου ισραηλ ... επιθωμ. ουν 32. εθηκαν σχοινια ... ειπαν ... ζητω δη η ψυχη μου 33. ανελεξαν ... ειπεν pro ειπον ... λεγει και ειπεν ,... in f. add προς αυτον 34. θησεις σαυτω ... καγω ... εν δαμασκω pro εν διαθηκη 35. με δη 36. om και ante ιδου 36. 37. ab επαταξ. αυτον transilit ad επαταξ. αυτον 38. κατεδησατο ταλαμωνι

Digitized by Google

αὐτοῦ. 39 καὶ ἐγένετο ὡς παρεπορεύετο ὁ βασιλεύς, καὶ οὗτος ἐβόα πρὸς τὸν 39
βασιλέα καὶ εἶπεν Ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν στρατιὰν τοῦ πολέμου, καὶ
ἰδοὺ ἀνὴρ εἰσήγαγε πρός μὲ ἄνδρα καὶ εἶπε πρός μέ Φύλαξον τοῦτον τὸν ἄνδρα·
ἐὰν δὲ ἐκπηδῶν ἐκπηδήσῃ, καὶ ἔσται ἡ ψυχή σοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ ἢ
τάλαντον ἀργυρίου στήσεις. 40 καὶ ἐγενήθη περιεβλέψατο ὁ δοῦλός σου ὧδε καὶ 40
ὧδε, καὶ οὗτος οὐκ ἦν. καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς Ἰσραὴλ Ἰδοὺ καὶ
τὰ ἔνεδρα παρ' ἐμοὶ ἐφόνευσας. 41 καὶ ἔσπευσε καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ 41
τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς Ἰσραὴλ ὅτι ἐκ τῶν προ-
φητῶν οὗτος. 42 καὶ εἶπε πρὸς αὐτόν Τάδε λέγει κύριος Διότι ἐξήνεγκας σὺ 42
ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σοῦ ἀντὶ τῆς ψυχῆς 43
αὐτοῦ, καὶ ὁ λαός σοῦ ἀντὶ τοῦ λαοῦ αὐτοῦ. 43 καὶ ἀπῆλθεν ὁ βασιλεὺς Ἰσραὴλ
συγκεχυμένος καὶ ἐκλελυμένος, καὶ ἔρχεται εἰς Σαμάρειαν.

## XXII.

Καὶ ἐκάθισε τὰ τρία ἔτη καὶ οὐκ ἦν πόλεμος ἀνὰ μέσον Συρίας καὶ ἀνὰ
μέσον Ἰσραήλ. 2 καὶ ἐγενήθη ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ καὶ κατέβη Ἰωσαφὰτ 2
βασιλεὺς Ἰούδα πρὸς βασιλέα Ἰσραήλ. 3 καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς τοὺς 3
παῖδας αὐτοῦ Εἰ οἴδατε ὅτι ἡμῖν Ῥεμμὰθ Γαλαάδ, καὶ ἡμεῖς σιωπῶμεν λα-
βεῖν αὐτὴν ἐκ χειρὸς βασιλέως Συρίας; 4 καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰω- 4
σαφάτ Ἀναβήσῃ μεθ' ἡμῶν εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον; καὶ εἶπεν
Ἰωσαφάτ Καθὼς ἐγώ, καὶ σὺ οὕτως, καθὼς ὁ λαός μοῦ ὁ λαός σοῦ, καθὼς
οἱ ἵπποι μοῦ οἱ ἵπποι σοῦ. 5 καὶ εἶπεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα πρὸς βασιλέα 5
Ἰσραήλ Ἐπερωτήσατε δὴ σήμερον τὸν κύριον. 6 καὶ συνήθροισεν ὁ βασιλεὺς 6
Ἰσραὴλ πάντας τοὺς προφήτας ὡς τετρακοσίους ἄνδρας, καὶ εἶπεν αὐτοῖς ὁ
βασιλεύς Εἰ πορευθῶ εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπον
Ἀνάβαινε, καὶ διδοὺς δώσει κύριος εἰς χεῖρας τοῦ βασιλέως. 7 καὶ εἶπεν Ἰω- 7
σαφὰτ πρὸς βασιλέα Ἰσραήλ Οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου, καὶ ἐπε-
ρωτήσομεν τὸν κύριον δι' αὐτοῦ; 8 καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ 8
Εἷς ἐστιν ἀνὴρ εἰς τὸ ἐπερωτῆσαι δι' αὐτοῦ τὸν κύριον, καὶ ἐγὼ μεμίσηκα
αὐτόν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ καλὰ ἀλλ' ἢ κακά, Μιχαίας υἱὸς Ἰεμβλαά. καὶ
εἶπεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα Μὴ λεγέτω ὁ βασιλεὺς οὕτως. 9 καὶ ἐκάλεσεν 9
ὁ βασιλεὺς Ἰσραὴλ εὐνοῦχον ἕνα καὶ εἶπε Τὸ τάχος Μιχαίαν υἱὸν Ἰεμβλαά.
10 καὶ ὁ βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα ἐκάθηντο ἀνὴρ ἐπὶ 10
τοῦ θρόνου αὐτοῦ ἔνοπλοι ἐν ταῖς πύλαις Σαμαρείας, καὶ πάντες οἱ προφῆται
ἐπροφήτευον ἐνώπιον αὐτῶν. 11 καὶ ἐποίησεν ἑαυτῷ Σεδεκίας υἱὸς Χαναὰν 11
κέρατα σιδηρᾶ καὶ εἶπε Τάδε λέγει κύριος Ἐν τούτοις κερατιεῖς τὴν Συρίαν
ἕως συντελεσθῇ. 12 καὶ πάντες οἱ προφῆται ἐπροφήτευον οὕτως λέγοντες Ἀνά- 12
βαινε εἰς Ῥεμμὰθ Γαλαάδ, καὶ εὐοδώσει καὶ δώσει κύριος εἰς χεῖράς σου
καὶ τὸν βασιλέα Συρίας. 13 καὶ ὁ ἄγγελος ὁ πορευθεὶς καλέσαι τὸν Μιχαίαν 13
ἐλάλησεν αὐτῷ λέγων Ἰδοὺ δὴ λαλοῦσι πάντες οἱ προφῆται ἐν στόματι ἑνὶ
καλὰ περὶ τοῦ βασιλέως· γίνου δὴ καὶ σὺ εἰς τοὺς λόγους σοῦ κατὰ τοὺς
λόγους ἑνὸς τούτων καὶ λάλησον καλά. 14 καὶ εἶπε Μιχαίας Ζῇ κύριος ὅτι 14

39. ως ο βασ. παρεπορευετο ... και ειπεν Φυλαξον τον ανδρα τουτον ... om δε 41. ταλαμωνα ... οφθ. αυτων, και εγνω 42. εξηγαγες ... εκ χειρος μου 43. post ισραηλ add προς οικον αυτου XXII. 1. om τα 2. εγενετο 4. αναβηθι μ. ημ. εις πολεμον ρεμμαθ γαλααδ ... ιωσαφατ προς βασιλεα ισραηλ 6. ωστε τριακοσιους ... ειπαν Αναβενναι, οτι διδως δωσει 7. προς τον βασιλεα ισρ. Αρα ουκ ... τ. κυρ. ουκετι, και 8. Ετι pro Εις ... τον κυριον δι αυτου ... ιεμαα 9. ιεμαα 10. εκαθητο ... θρονου αυτων ... εν ταις πυλεσιν 11. εποιησ. αυτω ... υι. χανανα (non v. 24.) 12. προεφητευον ... om και extr. ... om συριας 13. (καινου pro γινου ...) εις λογους



Digitized by Google

15 ἃ ἐὰν εἴπῃ κύριος πρὸς μέ, ταῦτα λαλήσω. [15] καὶ ἦλθε πρὸς τὸν βασιλέα· καὶ
εἶπεν αὐτῷ ὁ βασιλεύς Μιχαία, εἰ ἀναβῶ εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον
ἢ ἐπίσχω; καὶ εἶπεν Ἀνάβαινε, καὶ εὐοδώσει κύριος εἰς χεῖρα τοῦ βασιλέως.
16 [16] καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ποσάκις ἐγὼ ὁρκίζω σε ὅπως λαλήσῃς πρὸς
17 μὲ ἀλήθειαν ἐν ὀνόματι κυρίου; [17] καὶ εἶπεν Οὐχ οὕτως· ἑώρακα πάντα τὸν
Ἰσραὴλ διεσπαρμένον ἐν τοῖς ὄρεσιν ὡς ποίμνιον ᾧ οὐκ ἔστι ποιμήν· καὶ εἶπε *Mt. 9,
κύριος Οὐ κύριος τούτοις θεός; ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ ἀνα- 36.
18 στρεφέτω. [18] καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα Οὐκ
19 εἶπα πρὸς σὲ ὅτι οὐ προφητεύει οὗτός μοι καλὰ διότι ἀλλ' ἢ κακά; [19] καὶ
εἶπε Μιχαίας Οὐχ οὕτως, οὐκ ἐγώ· ἄκουε ῥῆμα κυρίου· οὐχ οὕτως. εἶδον
θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ
20 εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων αὐτοῦ. [20] καὶ εἶπε κύ-
ριος Τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν
21 Ῥεμμὰθ Γαλαάδ; καὶ εἶπεν οὗτος οὕτως, καὶ οὗτος οὕτως. [21] καὶ ἐξῆλθε πνεῦμα
22 καὶ ἔστη ἐνώπιον κυρίου καὶ εἶπεν Ἐγὼ ἀπατήσω αὐτόν. [22] καὶ εἶπε πρὸς αὐ-
τὸν κύριος Ἐν τίνι; καὶ εἶπεν Ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς εἰς
τὸ στόμα πάντων τῶν προφητῶν αὐτοῦ· καὶ εἶπεν Ἀπατήσεις καί γε δυνήσῃ·
23 ἔξελθε καὶ ποίησον οὕτως. [23] καὶ νῦν ἰδοὺ ἔδωκε κύριος πνεῦμα ψευδὲς ἐν
στόματι πάντων τῶν προφητῶν σου τούτων, καὶ κύριος ἐλάλησεν ἐπὶ σὲ κακά.
24 [24] καὶ προσῆλθε Σεδεκίας υἱὸς Χαναὰν καὶ ἐπάταξε τὸν Μιχαίαν ἐπὶ τὴν
25 σιαγόνα καὶ εἶπε Ποῖον πνεῦμα κυρίου τὸ λαλῆσαν ἐν σοί; [25] καὶ εἶπε Μι-
χαίας Ἰδοὺ σὺ ὄψῃ τῇ ἡμέρᾳ ἐκείνῃ ὅταν εἰσέλθῃς ταμεῖον τοῦ ταμείου τοῦ
26 κρυβῆναι ἐκεῖ. [26] καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ Λάβετε τὸν Μιχαίαν καὶ ἀπο-
στρέψατε αὐτὸν πρὸς Σεμὴρ τὸν βασιλέα τῆς πόλεως· καὶ τῷ Ἰωὰς υἱῷ τοῦ
27 βασιλέως [27] εἰπὸν θέσθαι τοῦτον ἐν φυλακῇ, καὶ ἐσθίειν αὐτὸν ἄρτον θλίψεως
28 καὶ ὕδωρ θλίψεως ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. [28] καὶ εἶπε Μιχαίας Ἐὰν
29 ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐ λελάληκε κύριος ἐν ἐμοί. [29] καὶ ἀνέβη
βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα μετ' αὐτοῦ εἰς Ῥεμμὰθ Γα-
30 λαάδ. [30] καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα Συγκαλύ-
ψομαι καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου·
31 καὶ συνεκαλύψατο βασιλεὺς Ἰσραὴλ καὶ εἰσῆλθεν εἰς τὸν πόλεμον. [31] καὶ βα-
σιλεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων αὐτοῦ τριάκοντα καὶ δυσὶ
λέγων Μὴ πολεμεῖτε μικρὸν καὶ μέγαν ἀλλ' ἢ τὸν βασιλέα Ἰσραὴλ μονώτατον.
32 [32] καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν Ἰωσαφὰτ βασιλέα Ἰούδα,
καὶ αὐτοὶ εἶπαν Φαίνεται βασιλεὺς Ἰσραὴλ οὗτος· καὶ ἐκύκλωσαν αὐτὸν πο-
33 λεμῆσαι· καὶ ἀνέκραξεν Ἰωσαφάτ. [33] καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν
ἁρμάτων ὅτι οὐκ ἔστι βασιλεὺς Ἰσραὴλ οὗτος, καὶ ἀνέστρεψαν ἀπ' αὐτοῦ.
34 [34] καὶ ἐπέτεινεν εἰς τὸ τόξον εὐστόχως καὶ ἐπάταξε τὸν βασιλέα Ἰσραὴλ ἀνὰ
μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος· καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ
Ἐπίστρεψον τὰς χεῖράς σου καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι.

---

14. om ἃ 15. ο βασιλ. αυτω ... κ. ειπ. προς αυτον Αν. κ. ευ. και δωσει κ. ε. χειρας 16. Ετι δεις εγω ... λαλησεις 17. εορακα ... om θεος ... αναστρεφετω εκαστ. ε. τ. οικ. α. εν ειρηνην 18. ο βασιλευς 19. ειδον τον κυριον θεον ισρ. κ. επι του ... ιστηκει ... om αυτου post δεξιων 20. ραμμαθ ... om και ουτος ουτως 22. κυριος προς αυτον ... ψευδ. εν στοματι 24. ποιον τουτο παρηλθεν πνευμα κυριου παρ εμου το λαλ. ε. σοι 25. ιδου οψη εν τη ... ταμιειον του ταμιειου ... om εκει 26. om ισραηλ ... προς αμμων τον αρχοντα της πολεως, και προς ιωας υιον 27. ειπον Ταδε λεγει ο βασιλευς θεσθαι ... και εσθιετω αρτον ... εως του επιστρεψωμεν εν 28. ουκ ελαλησεν ... in f. add και ειπεν Ακουσατε λαοι παντες 30. Συγκαλυψον με ... ο βασιλευς 31. τριακοντα και δυο 32. ιδον ... ειπον 33. κ. εγενοντο ως ιδον ... απεστρεψαν 34. κ. ενετεινεν εις τοξον ... την χειρα σου

Digitized by Google

35 καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς 35
ἐπὶ τοῦ ἅρματος ἐξεναντίας Συρίας ἀπὸ πρωὶ ἕως ἑσπέρας, καὶ ἀπέχυνε τὸ
αἷμα ἀπὸ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρματος, καὶ ἀπέθανεν ἑσπέρας,
καὶ ἐξεπορεύετο τὸ αἷμα τῆς τροπῆς ἕως τοῦ κόλπου τοῦ ἅρματος. 36 καὶ ἔστη 36
ὁ στρατοκήρυξ δύνοντος τοῦ ἡλίου λέγων Ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν καὶ
εἰς τὴν ἑαυτοῦ γῆν, 37 ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ ἦλθον εἰς Σαμάρειαν, καὶ 37
ἔθαψαν τὸν βασιλέα ἐν Σαμαρείᾳ. 38 καὶ ἀπένιψαν τὸ αἷμα ἐπὶ τὴν κρήνην 38
Σαμαρείας, καὶ ἐξέλιξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα, καὶ αἱ πόρναι ἐλού-
σαντο ἐν τῷ αἵματι κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησε. 39 καὶ τὰ λοιπὰ τῶν 39
λόγων Ἀχαὰβ καὶ πάντα ἃ ἐποίησε, καὶ οἶκον ἐλεφάντινον ὃν ᾠκοδόμησε, καὶ
πάσας τὰς πόλεις ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ λόγων
τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ; 40 καὶ ἐκοιμήθη Ἀχαὰβ μετὰ τῶν πα- 40
τέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 41 καὶ Ἰωσα- 41
φὰτ υἱὸς Ἀσὰ ἐβασίλευσεν ἐπὶ Ἰούδαν· ἐν ἔτει τετάρτῳ τοῦ Ἀχαὰβ βασιλέως
Ἰσραὴλ ἐβασίλευσεν 42 Ἰωσαφάτ, υἱὸς τριάκοντα καὶ πέντε ἐτῶν ἐν τῷ βα- 42
σιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ
ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀζουβὰ θυγάτηρ Σαλαΐ. 43 καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ 43
Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν
ὀφθαλμοῖς κυρίου. 44 πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ 44
ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. 45 καὶ εἰρήνευσεν Ἰωσαφὰτ μετὰ βασιλέως Ἰσραήλ. 45
46 καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωσαφὰτ καὶ αἱ δυναστεῖαι αὐτοῦ ὅσα ἐποίησεν, 46
οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέων Ἰούδα;
51 καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη παρὰ τοῖς 51
πατράσιν αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσεν Ἰωρὰμ
υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 52 καὶ Ὀχοζίας υἱὸς Ἀχαὰβ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ 52
ἐν Σαμαρείᾳ· ἐν ἔτει ἑπτακαιδεκάτῳ Ἰωσαφὰτ βασιλέως Ἰούδα Ὀχοζίας υἱὸς
Ἀχαὰβ ἐβασίλευσεν ἐν Ἰσραὴλ ἐν Σαμαρείᾳ δύο ἔτη. 53 καὶ ἐποίησε τὸ πο- 53
νηρὸν ἐναντίον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ Ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ καὶ
ἐν ὁδῷ Ἰεζάβελ τῆς μητρὸς αὐτοῦ καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοὰμ
υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. 54 καὶ ἐδούλευσε τοῖς Βααλὶμ καὶ προσε- 54
κύνησεν αὐτοῖς, καὶ παρώργισε τὸν κύριον θεὸν Ἰσραὴλ κατὰ πάντα τὰ γε-
νόμενα ἔμπροσθεν αὐτοῦ.

---

35. απεχυηνε ... εκ της πληγης ... εκ της τροπης 36. ante δυνοντος add εν τη παρεμβολη ... in f. add αποτρεχετω 37. ηλθεν ε. σαμαριαν ... εν σαμαρια 38. το αρμα επι ... εξελειξαν ... το αιμα αυτου 39. εποιησεν, και ιδου ... εν βιβλιου (sic) 41. om εν ... τω αχααβ 42. ιωσαφ ... θυγ. σαλαλα 43. ευθες ενωπιον κυρ. 45. βασιλεων 46. δυναστιαι ... εποιησεν και οσα επολεμησεν, ουχι ταυτα ... των βασιλεων 47. και περισσον του ενδιηλλαγμενου ουχ (corr. ὃ?) υπελειφθη εν ημεραις ασα πατρος αυτου επελεξεν απο της γης 48. και βασιλευς ουκ ην εν εδωμ εστηλωμενος 49. και ο βασιλευς ιωσαφατ εποιησεν νηας του πορευθηναι ωφειρδε εις χρυσιον· και ουκ επορευθησαν, οτι συνετριβησαν νηες εν ασεωνγαβερ. 50. τοτε ειπεν οχοζιας υιος αχααβ προς ιωσαφατ Πορευθετωσαν δουλοι σου μετα των δουλων μου και ταις ναυσιν· και ουκ ηθελησεν ιωσαφατ. 52. εν σαμαρια ... om οχοζιας υιος αχααβ ... και εβασιλευσεν ... om εν σαμαρεια 53. ενωπιον κυριου ... om οικου 54. βααλειμ

**Subscriptio**: βασιλειων γ

---

Digitized by Google

# ΒΑΣΙΛΕΙΩΝ
## ΤΕΤΑΡΤΗ.

### I.

2 Καὶ ἠθέτησε Μωὰβ ἐν Ἰσραὴλ μετὰ τὸ ἀποθανεῖν Ἀχαάβ. 2 καὶ ἔπεσεν
Ὀχοζίας διὰ τοῦ δικτυωτοῦ τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ τῷ ἐν Σαμαρείᾳ, καὶ
ἠῤῥώστησε· καὶ ἀπέστειλεν ἀγγέλους καὶ εἶπε πρὸς αὐτούς Δεῦτε καὶ ἐπιζη-
τήσατε ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου
3 ταύτης· καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι' αὐτοῦ. 3 καὶ ἄγγελος κυρίου ἐκάλε-
σεν Ἠλιοὺ τὸν Θεσβίτην λέγων Ἀναστὰς δεῦρο εἰς συνάντησιν τῶν ἀγγέλων
Ὀχοζίου βασιλέως Σαμαρείας καὶ λαλήσεις πρὸς αὐτούς Εἰ παρὰ τὸ μὴ εἶ-
ναι θεὸν ἐν Ἰσραὴλ ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκ-
4 καρών; καὶ οὐχ οὕτως. 4 ὅτι τάδε λέγει κύριος Ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ
οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη Ἠλιοὺ καὶ εἶπε
5 πρὸς αὐτούς. 5 καὶ ἐπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτόν, καὶ εἶπε πρὸς αὐ-
6 τούς Τί ὅτι ἐπεστρέψατε; 6 καὶ εἶπαν πρὸς αὐτὸν Ἀνὴρ ἀνέβη εἰς συνάντησιν
ἡμῶν καὶ εἶπε πρὸς ἡμᾶς Δεῦτε ἐπιστράφητε πρὸς τὸν βασιλέα τὸν ἀποστεί-
λαντα ὑμᾶς καὶ λαλήσατε πρὸς αὐτόν Τάδε λέγει κύριος Εἰ παρὰ τὸ μὴ εἶ-
ναι θεὸν ἐν Ἰσραὴλ σὺ πορεύῃ ἐπιζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών;
οὐχ οὕτως· ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ
ἀποθανῇ. καὶ ἐπιστρέψαντες ἀπήγγειλαν τῷ βασιλεῖ καθὰ ἐλάλησεν Ἠλιού.
7 7 καὶ ἐλάλησε πρὸς αὐτούς Τίς ἡ κρίσις τοῦ ἀνδρὸς τοῦ ἀναβάντος εἰς συνάν-
8 τησιν ὑμῖν καὶ λαλήσαντος πρὸς ὑμᾶς τοὺς λόγους τούτους; 8 καὶ εἶπον πρὸς
αὐτόν Ἀνὴρ δασὺς καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ·
9 καὶ εἶπεν Ἠλιοὺ ὁ Θεσβίτης οὗτός ἐστι. 9 καὶ ἀπέστειλε πρὸς αὐτὸν πεντη-
κόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη πρὸς αὐτόν· καὶ ἰδοὺ Ἠλιοὺ
ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐ-
10 τὸν καὶ εἶπεν Ἄνθρωπε τοῦ θεοῦ, ὁ βασιλεὺς ἐκάλεσέ σε, κατάβηθι. 10 καὶ
ἀπεκρίθη Ἠλιοὺ καὶ εἶπε πρὸς τὸν πεντηκόνταρχον Καὶ εἰ ἄνθρωπος θεοῦ
ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεται σὲ καὶ τοὺς πεντή-
κοντά σου· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς
11 πεντήκοντα αὐτοῦ. 11 καὶ προσέθετο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλ-
λον πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ· καὶ ἐλάλησεν ὁ πεντηκόν-
ταρχος πρὸς αὐτὸν καὶ εἶπεν Ἄνθρωπε τοῦ θεοῦ, τάδε λέγει ὁ βασιλεύς Τα-
12 χέως κατάβηθι. 12 καὶ ἀπεκρίθη Ἠλιοὺ καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν Εἰ
ἄνθρωπος θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεται σὲ *Lc. 9,
καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν 54.
13 αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ. 13 καὶ προσέθετο ὁ βασιλεὺς ἔτι ἀποστεῖλαι
ἡγούμενον καὶ τοὺς πεντήκοντα αὐτοῦ· καὶ ἦλθεν ὁ πεντηκόνταρχος ὁ τρίτος

---

Inscriptio: βασιλειων δ

I. 1. δικτυουτου ... αυτου του εν ... δευτε και επερωτησατε εν τη βααλ ... δι αυτων 3. Αναστηθι και πορευθητι εις ... σαμαριας 4. η κλινη σου ... οτι εκει θανατω 5. τι οτι επεστραφητε 6. θεον εν ιερουσαλημ (ιλημ pro ιηλ) ... ζητησαι εν τη ... om η κλινη ... ανεβης οτι ου ... om και επιστρεψαντες usque ηλιου 8. om αυτου ... εστιν ουτος 9. ηγουμενον πεντηκονταρχον ... κ. ανεβη και ηλθεν πρ. αυτ. 10. ανθρωπος του θεου 11. προσεθηκεν ... και ανεβη και ελαλησεν 12. ανθρ. του θεου ειμι εγω 13. προσεθηκεν ... om ετι ... ηγουμενον πεντηκονταρχον τριτον και τους ... και αναβας ηλθεν προς αυτον ο πεντηκ.

Digitized by Google

καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ κατέναντι Ἠλιού, καὶ ἐδεήθη αὐτοῦ καὶ
ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν Ἄνθρωπε τοῦ θεοῦ, ἐντιμωθήτω ἡ ψυχή μου
καὶ ἡ ψυχὴ τῶν δούλων σου τούτων τῶν πεντήκοντα ἐν ὀφθαλμοῖς σου·
[14] ἰδοὺ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τοὺς δύο πεντηκοντάρχους 14
τοὺς πρώτους, καὶ νῦν ἐντιμωθήτω δὴ ἡ ψυχή μου ἐν ὀφθαλμοῖς σου. [15] καὶ 15
ἐλάλησεν ἄγγελος κυρίου πρὸς Ἠλιοὺ καὶ εἶπε Κατάβηθι μετ' αὐτοῦ, μὴ φο-
βηθῇς ἀπὸ προσώπου αὐτῶν· καὶ ἀνέστη Ἠλιοὺ καὶ κατέβη μετ' αὐτοῦ πρὸς
τὸν βασιλέα. [16] καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν Ἠλιού Τάδε λέγει κύριος 16
Τί ὅτι ἀπέστειλας ἀγγέλους ἐκζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών; οὐχ
οὕτως· ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ
ἀποθανῇ. [17] καὶ ἀπέθανε κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν Ἠλιού. [18] καὶ τὰ 17 18
λοιπὰ τῶν λόγων Ὀχοζίου ἃ ἐποίησεν, οὐχ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ
λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασι-
λεύει ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἔτη δεκαδύο ἐν ἔτει ὀκτωκαιδεκάτῳ Ἰωσαφὰτ
βασιλέως Ἰούδα. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, πλὴν οὐχ ὡς οἱ
ἀδελφοὶ αὐτοῦ οὐδὲ ὡς ἡ μήτηρ αὐτοῦ, καὶ ἀπέστησε τὰς στήλας τοῦ Βάαλ
ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ καὶ συνέτριψεν αὐτάς· πλὴν ἐν ταῖς ἁμαρτίαις
οἴκου Ἱεροβοὰμ ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ ἐκολλήθη, οὐκ ἀπέστη ἀπ' αὐτῶν·
καὶ ἐθυμώθη ὀργῇ κύριος εἰς τὸν οἶκον Ἀχαάβ.

## II.

Καὶ ἐγένετο ἐν τῷ ἀνάγειν κύριον ἐν συσσεισμῷ τὸν Ἠλιοὺ ὡς εἰς τὸν
οὐρανόν, καὶ ἐπορεύθη Ἠλιοὺ καὶ Ἐλισαιὲ ἐκ Γαλγάλων. [2] καὶ εἶπεν Ἠλιοὺ 2
πρὸς Ἐλισαιέ Κάθου δὴ ἐνταῦθα, ὅτι ὁ θεὸς ἀπέσταλκέ με ἕως Βαιθήλ·
καὶ εἶπεν Ἐλισαιέ Ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ
ἦλθον εἰς Βαιθήλ. [3] καὶ ἦλθον οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Βαιθὴλ πρὸς Ἐλι- 3
σαιὲ καὶ εἶπον πρὸς αὐτόν Εἰ ἔγνως ὅτι κύριος σήμερον λαμβάνει τὸν κύριόν
σου ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε Κἀγὼ ἔγνωκα, σιωπᾶτε. [4] καὶ εἶ- 4
πεν Ἠλιοὺ πρὸς Ἐλισαιέ Κάθου δὴ ἐνταῦθα, ὅτι κύριος ἀπέσταλκέ με εἰς
Ἱεριχώ· καὶ εἶπεν Ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ
ἦλθον εἰς Ἱεριχώ. [5] καὶ ἤγγισαν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Ἱεριχὼ πρὸς 5
Ἐλισαιὲ καὶ εἶπον πρὸς αὐτόν Εἰ ἔγνως ὅτι σήμερον λαμβάνει κύριος τὸν
κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε Καί γε ἐγὼ ἔγνων, σιωπᾶτε.
[6] καὶ εἶπεν αὐτῷ Ἠλιού Κάθου δὴ ὧδε, ὅτι κύριος ἀπέσταλκέ με ἕως εἰς τὸν 6
Ἰορδάνην· καὶ εἶπεν Ἐλισαιέ Ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω
σε. καὶ ἐπορεύθησαν ἀμφότεροι, [7] καὶ πεντήκοντα ἄνδρες υἱοὶ τῶν προφητῶν 7
καὶ ἔστησαν ἐξεναντίας μακρόθεν· καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου.

---

13. γονατα εαυτου 14. πρωτους και τους πεντηκοντα αυτων ... δη η ψυχ. των δουλων σου εν 16. om ηλιου ... Ανθ ων εξαπεστειλας αγγ. επερωτησαι εν τη βααλ μ. θ. ακκ. παρα το μη ειναι θεον εν ισραηλ του εκζητησαι εν ρηματι αυτου ουχ ουτως 17. κ. απεθανεν οχοζιας κατα 18. om και τα usque βασιλευσιν ισραηλ (vide ad finem capitis) ... εβασιλευσεν ... εν σαμαρια ετη δυο εν ... ουδ ως η ... in f. add και εβασιλευσεν ιωραμ αδελφος αυτου αντ αυτου εν ετει δευτερω ιωραμ υιω ιωσαφατ βασιλει ιουδα, οτι ουκ ην αυτω υιος. και τα λοιπα των λογων οχοζιου οσα εποιησεν, ουχ ιδου ταυτα γεγραμμενα επι βιβλιου λογων των ημερων τοις βασιλευσιν ισραηλ; II. 1. τον ηλιου εν συνσισμω εις τον ... ελισσαιε 2. ελισσαιε bis ... οτι κυριος απεστειλεν με ... καταλειψω ... ηλθεν 3. οι εις βαιθηλ πρ. ελισσαιε κ. ειπ. πρ. α. οι υιοι των προφητων ... απανωθεν Και εγω 4. ελισσαιε ... ιερειχω· κ. ειπ. ελισσαιε 5. ιερειχω πρ. ελισσαιε ... απανωθεν ... εγνωκα 6. om εως ... ελισσαιε

Digitized by Google

8 [8] καὶ ἔλαβεν 'Ηλιοὺ τὴν μηλωτὴν αὐτοῦ καὶ εἴλησε καὶ ἐπάταξε τὸ ὕδωρ, καὶ
9 διῃρέθη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα· καὶ διέβησαν ἀμφότεροι ἐν ἐρήμῳ. [9] καὶ
ἐγένετο ἐν τῷ διαβῆναι αὐτοὺς καὶ 'Ηλιοὺ εἶπε πρὸς 'Ελισαιέ Αἴτησαι τί ποιήσω
σοι πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ· καὶ εἶπεν 'Ελισαιέ Γενηθήτω δὴ διπλᾶ
10 ἐν πνεύματί σου ἐπ' ἐμέ. [10] καὶ εἶπεν 'Ηλιού 'Εσκλήρυνας τοῦ αἰτήσασθαι·
ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, καὶ ἔσται σοι οὕτως· καὶ ἐὰν μή, οὐ
11 μὴ γένηται. [11] καὶ ἐγένετο αὐτῶν πορευομένων, ἐπορεύοντο καὶ ἐλάλουν· καὶ
ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρός, καὶ διέστειλεν ἀνὰ μέσον ἀμφοτέρων· καὶ
12 ἀνελήφθη 'Ηλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. [12] καὶ 'Ελισαιὲ ἑώρα, καὶ
ἐβόα Πάτερ πάτερ, ἅρμα 'Ισραὴλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ εἶδεν αὐτὸν ἔτι,
13 καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ καὶ διέῤῥηξεν αὐτὰ εἰς δύο ῥήγματα. [13] καὶ
ὕψωσε τὴν μηλωτὴν 'Ηλιού, ἣ ἔπεσεν ἐπάνωθεν 'Ελισαιέ. καὶ ἐπέστρεψεν
14 'Ελισαιέ, καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ 'Ιορδάνου· [14] καὶ ἔλαβε τὴν μηλωτὴν
'Ηλιού, ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὸ ὕδωρ καὶ εἶπε Ποῦ ὁ θεὸς
'Ηλιοὺ ἀφφώ; καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διεῤῥάγησαν ἔνθα καὶ ἔνθα· καὶ
15 διέβη 'Ελισαιέ. [15] καὶ εἶδον αὐτὸν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν 'Ιεριχὼ ἐξε-
ναντίας καὶ εἶπον 'Επαναπέπαυται τὸ πνεῦμα 'Ηλιοὺ ἐπὶ 'Ελισαιέ· καὶ ἦλθον
16 εἰς συναντὴν αὐτοῦ καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν, [16] καὶ εἶπον πρὸς
αὐτόν 'Ιδοὺ δὴ μετὰ τῶν παίδων σου πεντήκοντα ἄνδρες υἱοὶ δυνάμεως· πο-
ρευθέντες δὴ ζητησάτωσαν τὸν κύριόν σου, μή ποτε ἦρεν αὐτὸν πνεῦμα κυ-
ρίου καὶ ἔῤῥιψεν αὐτὸν ἐν τῷ 'Ιορδάνῃ ἢ ἐφ' ἓν τῶν ὀρέων ἢ ἐφ' ἕνα τῶν
17 βουνῶν· καὶ εἶπεν 'Ελισαιέ Οὐκ ἀποστελεῖτε. [17] καὶ παρεβιάσαντο αὐτὸν ἕως
οὗ ᾐσχύνετο, καὶ εἶπεν 'Αποστείλατε. καὶ ἀπέστειλαν πεντήκοντα ἄνδρας, καὶ
18 ἐζήτησαν τρεῖς ἡμέρας, καὶ οὐχ εὗρον αὐτόν. [18] καὶ ἀνέστρεψαν πρὸς αὐτόν,
καὶ αὐτὸς ἐκάθητο ἐν 'Ιεριχώ· καὶ εἶπεν 'Ελισαιέ Οὐκ εἶπον πρὸς ὑμᾶς Μὴ
19 πορευθῆτε; [19] καὶ εἶπον οἱ ἄνδρες τῆς πόλεως πρὸς 'Ελισαιέ 'Ιδοὺ ἡ κατοί-
κησις τῆς πόλεως ἀγαθή, καθὼς ὁ κύριος βλέπει, καὶ τὰ ὕδατα πονηρὰ καὶ
20 ἡ γῆ ἀτεκνουμένη. [20] καὶ εἶπεν 'Ελισαιέ Λάβετέ μοι ὑδρίσκην καινὴν καὶ
21 θέτε ἐκεῖ ἅλα· καὶ ἔλαβον καὶ ἤνεγκαν πρὸς αὐτόν. [21] καὶ ἐξῆλθεν 'Ελισαιὲ
εἰς τὴν διέξοδον τῶν ὑδάτων, καὶ ἔῤῥιψεν ἐκεῖ ἅλα καὶ εἶπε Τάδε λέγει κύ-
ριος Ἴαμαι τὰ ὕδατα ταῦτα, οὐκ ἔσται ἔτι ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη.
22 [22] καὶ ἰάθησαν τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα 'Ελισαιὲ ὃ
23 ἐλάλησε. [23] καὶ ἀνέβη ἐκεῖθεν εἰς Βαιθήλ· καὶ ἀναβαίνοντος αὐτοῦ ἐν τῇ ὁδῷ
καὶ παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ κατέπαιζον αὐτοῦ καὶ εἶπον
24 αὐτῷ 'Ανάβαινε, φαλακρέ, ἀνάβαινε. [24] καὶ ἐξένευσεν ὀπίσω αὐτῶν καὶ εἶδεν
αὐτά, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνόματι κυρίου· καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκοι
25 ἐκ τοῦ δρυμοῦ καὶ ἀνέῤῥηξαν ἀπ' αὐτῶν τεσσαράκοντα καὶ δύο παῖδας. [25] καὶ
ἐπορεύθη ἐκεῖθεν εἰς τὸ ὄρος τὸ Καρμήλιον, κἀκεῖθεν ἐπέστρεψεν εἰς Σα-
μάρειαν.

---

8. διερρεθη 9. ελισσαιε Αιτησαι με τι ... προ του αναλημφθηναι ... ελισσαιε 10. αιτησασθαι σε 11. διεστειλαν ... ανελημφθη ... εν συνσισμω εις (*ut videtur alteris curis εως εις) 12. ελισσαιε εορα ... ουχ ιδεν (... εις διορηγματα) 13. ** om ἣ ... επεστρ. ελισσαιε (antea ελισαιε) 14. Που κυριε ο θεος ... * το υδωρ pro τα υδατα ... ενθεν κ. ενθεν ... ελισσαιε 15. ιδαν ... ελισσαιε ... ε. συναντησιν 16. σου οι υιοι δυναμεως πεντηκ. ανδρες ... om ἢ post ιορδανη ... om η εφ ενα τ. βουνων ... ελισσαιε 17. εως οτου 18. επεστρεψαν ... ελισσαιε προς αυτους Ειπον υμιν 19. 20. 21. 22. ελισσαιε 20. ** κανην pro καινην ... om κ. ηνεγκ. 23. πολεως καταπαιζειν αυτου ... ειπεν ... in f. add φαλακρε 24. ιδεν ... κυριου, και ειπεν Τεκνα παραβασεως και αργιας· και ιδου ... εξ αυτων δυο και τεσσερακοντα παιδες (ita) 25. και εκειθεν υπεστρεψεν ε. σαμαριαν

Digitized by Google

## III.

Καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ ἐβασίλευσεν ἐν Ἰσραὴλ ἐν ἔτει ὀκτωκαιδεκάτῳ
Ἰωσαφὰτ βασιλέως Ἰούδα, καὶ ἐβασίλευσε δώδεκα ἔτη. 2 καὶ ἐποίησε τὸ πο- 2
νηρὸν ἐν ὀφθαλμοῖς κυρίου, πλὴν οὐχ ὡς ὁ πατὴρ αὐτοῦ καὶ οὐχ ὡς ἡ μή-
τηρ αὐτοῦ, καὶ μετέστησε τὰς στήλας τοῦ Βάαλ ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ·
3 πλὴν ἐν τῇ ἁμαρτίᾳ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ ἐκολ- 3
λήθη, οὐκ ἀπέστη ἀπ' αὐτῆς. 4 καὶ Μωσὰ βασιλεὺς Μωὰβ ἦν Νωκήδ, καὶ 4
ἐπέστρεφε τῷ βασιλεῖ Ἰσραὴλ ἐν τῇ ἐπαναστάσει ἑκατὸν χιλιάδας ἀρνῶν καὶ
ἑκατὸν χιλιάδας κριῶν ἐπὶ πόκων. 5 καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Ἀχαὰβ 5
καὶ ἠθέτησε βασιλεὺς Μωὰβ ἐν βασιλεῖ Ἰσραήλ. 6 καὶ ἐξῆλθεν ὁ βασιλεὺς 6
Ἰωρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ Σαμαρείας καὶ ἐπεσκέψατο τὸν Ἰσραήλ, 7 καὶ 7
ἐπορεύθη καὶ ἐξαπέστειλε πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα λέγων Βασιλεὺς Μωὰβ
ἠθέτησεν ἐν ἐμοί· εἰ πορεύσῃ μετ' ἐμοῦ εἰς Μωὰβ εἰς πόλεμον; καὶ εἶπεν
Ἀναβήσομαι· ὅμοιος μοὶ ὅμοιος σοί, ὡς ὁ λαός μου ὁ λαός σου, ὡς οἱ
ἵπποι μου οἱ ἵπποι σου. 8 καὶ εἶπε Ποίᾳ ὁδῷ ἀναβῶ; καὶ εἶπεν Ὁδὸν 8
ἔρημον Ἐδώμ. 9 καὶ ἐπορεύθη ὁ βασιλεὺς Ἰσραὴλ καὶ ὁ βασιλεὺς Ἰούδα 9
καὶ ὁ βασιλεὺς Ἐδώμ, καὶ ἐκύκλωσαν ὁδὸν ἑπτὰ ἡμερῶν· καὶ οὐκ ἦν ὕδωρ
τῇ παρεμβολῇ καὶ τοῖς κτήνεσι τοῖς ἐν τοῖς ποσὶν αὐτῶν. 10 καὶ εἶπεν ὁ βα- 10
σιλεὺς Ἰσραὴλ Ὦ, ὅτι κέκληκε κύριος τοὺς τρεῖς βασιλεῖς παρερχομένους δοῦ-
ναι αὐτοὺς ἐν χειρὶ Μωάβ. 11 καὶ εἶπεν Ἰωσαφάτ Οὐκ ἔστιν ὧδε προφήτης 11
τοῦ κυρίου καὶ ἐπιζητήσωμεν τὸν κύριον παρ' αὐτοῦ; καὶ ἀπεκρίθη εἷς τῶν
παίδων τοῦ βασιλέως Ἰσραὴλ καὶ εἶπεν Ὧδε Ἑλισαιὲ υἱὸς Σαφάτ, ὃς ἐπέ-
χεεν ὕδωρ ἐπὶ χεῖρας Ἠλιού. 12 καὶ εἶπεν Ἰωσαφάτ Ἔστιν αὐτῷ ῥῆμα κυ- 12
ρίου· καὶ κατέβη πρὸς αὐτὸν βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα
καὶ βασιλεὺς Ἐδώμ. 13 καὶ εἶπεν Ἑλισαιὲ πρὸς βασιλέα Ἰσραήλ Τί ἐμοὶ καὶ 13
σοί; δεῦρο πρὸς τοὺς προφήτας τοῦ πατρός σου καὶ τοὺς προφήτας τῆς μη-
τρός σου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς Ἰσραήλ Μὴ ὅτι κέκληκε κύριος τοὺς
τρεῖς βασιλεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖρας Μωάβ; 14 καὶ εἶπεν Ἑλισαιέ 14
Ζῇ κύριος τῶν δυνάμεων ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον Ἰωσα-
φὰτ βασιλέως Ἰούδα ἐγὼ λαμβάνω, εἰ ἐπέβλεψα πρὸς σὲ καὶ εἶδόν σε. 15 καὶ 15
νῦν λάβε μοι ψάλλοντα· καὶ ἐγένετο ὡς ἔψαλλεν ὁ ψάλλων, καὶ ἐγένετο ἐπ' αὐ-
τὸν χεὶρ κυρίου, 16 καὶ εἶπε Τάδε λέγει κύριος Ποιήσατε τὸν χειμάρρουν τοῦτον 16
βοθύνους βοθύνους. 17 ὅτι τάδε λέγει κύριος Οὐκ ὄψεσθε πνεῦμα καὶ οὐκ ὄψεσθε 17
ὑετόν, καὶ ὁ χειμάρρους οὗτος πλησθήσεται ὕδατος, καὶ πίεσθε ὑμεῖς καὶ αἱ
κτήσεις ὑμῶν καὶ τὰ κτήνη ὑμῶν. 18 καὶ κούφη αὐτὴ ἐν ὀφθαλμοῖς κυρίου· 18
καὶ παραδώσω τὴν Μωὰβ ἐν χειρὶ ὑμῶν. 19 καὶ πατάξετε πᾶσαν πόλιν ὀχυράν, 19
καὶ πᾶν ξύλον ἀγαθὸν καταβαλεῖτε, καὶ πάσας πηγὰς ὕδατος ἐμφράξεσθε, καὶ
πᾶσαν μερίδα ἀγαθὴν ἀχρειώσετε ἐν λίθοις. 20 καὶ ἐγένετο πρωὶ ἀναβαινούσης 20
τῆς θυσίας, καὶ ἰδοὺ ὕδατα ἤρχοντο ἐξ ὁδοῦ Ἐδώμ, καὶ ἐπλήσθη ἡ γῆ ὕδατος.
21 καὶ πᾶσα Μωὰβ ἤκουσαν ὅτι ἀνέβησαν οἱ τρεῖς βασιλεῖς πολεμεῖν αὐτούς· 21
καὶ ἀνεβόησαν ἐκ παντὸς περιεζωσμένοι ζώνην καὶ εἶπον Ὦ· καὶ ἔστησαν

---

III. 1. ab εβασιλευσεν transilit ad εβασιλευσεν 2. ab ο πατηρ αυτου transilit ad ο πατηρ αυτου 3. * απ αυτων 4. νωχηθ ... επεστρεψεν ... a χιλιαδας ad χιλιαδας transilit 6. εκ σαμαριας 10. ειπεν βασιλευς ... βασιλ. κατεχομενους δουναι 11. Ει ουκ ... παιδων βασιλεως ... ελισσαιε 12. συν αυτω ... κατεβησαν 13. σου και προς τους ... βασιλεις παρερχομενους δουναι 14. ιδον 15. ιδε pro λαβε 17. ουκ οψ. πνευμ. και ... πιετε 19. παταξατε πασαν την πολ. οχ. και πασαν πολιν εκλεκτην ... εμφραξετε ... αχριωσατε 21. om τρεις ... και ανεβησαν εκ π. περ. ζων. και επανω· και εστησαν

Digitized by Google

22 ἐπὶ τοῦ ὁρίου. [22] καὶ ὤρθρισαν τὸ πρωΐ, καὶ ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὰ ὕδατα·
23 καὶ εἶδε Μωὰβ ἐξεναντίας τὰ ὕδατα πυῤῥὰ ὡς αἷμα, [23] καὶ εἶπον Αἷμα τοῦτο
τῆς ῥομφαίας. καὶ ἐμαχέσαντο οἱ βασιλεῖς, καὶ ἐπάταξεν ἀνὴρ τὸν πλησίον
24 αὐτοῦ· καὶ νῦν ἐπὶ τὰ σκῦλα Μωάβ. [24] καὶ εἰςῆλθον εἰς τὴν παρεμβολὴν
Ἰσραήλ· καὶ Ἰσραὴλ ἀνέστησαν καὶ ἐπάταξαν τὴν Μωάβ, καὶ ἔφυγον ἀπὸ
25 προςώπου αὐτῶν. καὶ εἰςῆλθον εἰςπορευόμενοι καὶ τύπτοντες τὴν Μωάβ, [25] καὶ
τὰς πόλεις καθεῖλον, καὶ πᾶσαν μερίδα ἀγαθὴν ἔῤῥιψαν ἀνὴρ τὸν λίθον καὶ
ἐνέπλησαν αὐτήν, καὶ πᾶσαν πηγὴν ἐνέφραξαν, καὶ πᾶν ξύλον ἀγαθὸν κατέ-
βαλον ἕως τοῦ καταλιπεῖν τοὺς λίθους τοῦ τοίχου καθῃρημένους· καὶ ἐκύκλω-
26 σαν οἱ σφενδονῆται καὶ ἐπάταξαν αὐτήν. [26] καὶ εἶδεν ὁ βασιλεὺς Μωὰβ ὅτι
ἐκραταίωσεν ὑπὲρ αὐτὸν ὁ πόλεμος, καὶ ἔλαβε μεθ' ἑαυτοῦ ἑπτακοσίους ἄν-
δρας ἐσπασμένους ῥομφαίαν διακόψαι πρὸς βασιλέα Ἐδώμ· καὶ οὐκ ἠδυνή-
27 θησαν. [27] καὶ ἔλαβε τὸν υἱὸν αὐτοῦ τὸν πρωτότοκον ὃν ἐβασίλευσεν ἀντ' αὐτοῦ
καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωμα ἐπὶ τοῦ τείχους, καὶ ἐγένετο μετάμελος
μέγας ἐπὶ Ἰσραήλ· καὶ ἀπῆραν ἀπ' αὐτοῦ καὶ ἐπέστρεψαν εἰς τὴν γῆν.

## IV.

Καὶ γυνὴ μία ἀπὸ τῶν υἱῶν τῶν προφητῶν ἐβόα πρὸς τὸν Ἑλισαιὲ λέ-
γουσα Ὁ δοῦλός σου ἀνήρ μου ἀπέθανε, καὶ σὺ ἔγνως ὅτι δοῦλός σου ἦν
φοβούμενος τὸν κύριον· καὶ ὁ δανειστὴς ἦλθε λαβεῖν τοὺς δύο υἱούς μου ἑαυτῷ
2 εἰς δούλους. [2] καὶ εἶπεν Ἑλισαιέ Τί ποιήσω σοι; ἀνάγγειλόν μοι τί ἔστι σοι
ἐν τῷ οἴκῳ· ἡ δὲ εἶπεν Οὐκ ἔστι τῇ δούλῃ σου οὐδὲν ἐν τῷ οἴκῳ ὅτι ἀλλ'
3 ἢ ὃ ἀλείψομαι ἔλαιον. [3] καὶ εἶπε πρὸς αὐτήν Δεῦρο αἴτησαι σεαυτῇ σκεύη
4 ἔξωθεν παρὰ πάντων τῶν γειτόνων σκεύη κενά, μὴ ὀλιγώσῃς. [4] καὶ εἰςελεύσῃ
καὶ ἀποκλείσεις τὴν θύραν κατὰ σοῦ καὶ κατὰ τῶν υἱῶν σου, καὶ ἀποχεεῖς
5 εἰς τὰ σκεύη ταῦτα, καὶ τὸ πληρωθὲν ἀρεῖς. [5] καὶ ἀπῆλθε παρ' αὐτοῦ, καὶ
ἀπέκλεισε τὴν θύραν καθ' ἑαυτῆς καὶ κατὰ τῶν υἱῶν αὐτῆς· αὐτοὶ προςήγ-
6 γιζον πρὸς αὐτήν, καὶ αὐτὴ ἐπέχεεν ἕως ἐπλήσθησαν τὰ σκεύη. [6] καὶ εἶπε
πρὸς τοὺς υἱοὺς αὐτῆς Ἐγγίσατε ἔτι πρὸς μὲ τὸ σκεῦος· καὶ εἶπον αὐτῇ Οὐκ
7 ἔστιν ἔτι σκεῦος· καὶ ἔστη τὸ ἔλαιον. [7] καὶ ἦλθε καὶ ἀπήγγειλε τῷ ἀνθρώπῳ
τοῦ θεοῦ· καὶ εἶπεν Ἑλισαιέ Δεῦρο καὶ ἀπόδου τὸ ἔλαιον καὶ ἀποτίσεις τοὺς
8 τόκους σου, καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τῷ ἐπιλοίπῳ ἐλαίῳ. [8] καὶ ἐγέ-
νετο ἡμέρα καὶ διέβη Ἑλισαιὲ εἰς Σωμάν, καὶ ἐκεῖ γυνὴ μεγάλη καὶ ἐκρά-
τησεν αὐτὸν φαγεῖν ἄρτον· καὶ ἐγένετο ἀφ' ἱκανοῦ τοῦ εἰςπορεύεσθαι αὐτὸν
9 ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν. [9] καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς Ἰδοὺ δὴ
ἔγνων ὅτι ἄνθρωπος τοῦ θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ' ἡμᾶς διὰ παντός·
10 [10] ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρόν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην
καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν, καὶ ἔσται ἐν τῷ εἰςπορεύεσθαι πρὸς
11 ἡμᾶς καὶ ἐκκλινεῖ ἐκεῖ. [11] καὶ ἐγένετο ἡμέρα καὶ εἰςῆλθεν ἐκεῖ, καὶ ἐξέκλινεν
12 εἰς τὸ ὑπερῷον καὶ ἐκοιμήθη ἐκεῖ. [12] καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ
Κάλεσόν μοι τὴν Σωμανῖτιν ταύτην· καὶ ἐκάλεσεν αὐτήν, καὶ ἔστη ἐνώπιον
13 αὐτοῦ. [13] καὶ εἶπεν αὐτῷ Εἰπὸν δὴ πρὸς αὐτήν Ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν

22. ιδεν ... ωςει αιμα 23. om και sec. ... επαταξαν 25. πηγην υδατος ... καταλειπειν ... καθημενους ... σφενδονησται ... επαταξεν 26. ιδεν ... μετ αυτου 27. ος εβασιλευσεν ... υπεστρεψαν IV. 1. προς ελισσαιε ... ο ανηρ μου ... οτι δουλος ην ... ο δανιστις μου ... αυτω pro εαυτω 2. κ. ειπ. προς αυτον ελισσαιε ... om σοι prius ... om οτι 3. αιτησον ... παρα των γιτονων σου 4. αποκλισης ... αποχεεις παντα τα 5. απ αυτου ... κατ αυτης ... υιων εαυτης 6. προς με σκευος 7. ανεστη pro ηλθεν ... απηγγ. κυριω του θεου ... ελισσαιε ... και υιοι σου ... εν τω υπολειπω (ita) 8. ελισσαιε εις σιωμαμ ... om εκει extr. 9. εγνωκα ... om δια παντος 10. om δη 12. γιεζει ... την σουμανιτην 13. εξεστ. ημας

Digitized by Google

τὴν ἔκστασιν ταύτην, τί δεῖ ποιῆσαί σοι; εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα
ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως; ἡ δὲ εἶπεν Ἐν μέσῳ τοῦ λαοῦ ἐγὼ εἰμι
οἰκῶ. [14] καὶ εἶπε πρὸς Γιεζὶ Τί δεῖ ποιῆσαι αὐτῇ; καὶ εἶπε Γιεζὶ τὸ παιδά- 14
ριον αὐτοῦ Καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. [15] καὶ 15
ἐκάλεσεν αὐτήν, καὶ ἔστη παρὰ τὴν θύραν. [16] καὶ εἶπεν Ἑλισαιὲ πρὸς αὐτήν 16
Εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα σὺ περιειληφυῖα υἱόν· ἡ δὲ εἶπε Μή,
κύριε, μὴ διαψεύσῃ τὴν δούλην σου. [17] καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνή, καὶ 17
ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν
Ἑλισαιέ. [18] καὶ ἡδρύνθη τὸ παιδάριον· καὶ ἐγένετο ἡνίκα ἐξῆλθε πρὸς τὸν 18
πατέρα αὐτοῦ πρὸς τοὺς θερίζοντας, [19] καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ Τὴν 19
κεφαλήν μου, τὴν κεφαλήν μου· καὶ εἶπε τῷ παιδαρίῳ Ἆρον αὐτὸν πρὸς τὴν
μητέρα αὐτοῦ. [20] καὶ ἦρεν αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ, καὶ ἐκοιμήθη ἐπὶ 20
τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας, καὶ ἀπέθανε. [21] καὶ ἀνήνεγκεν αὐτὸν 21
καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἀπέκλεισε
κατ᾽ αὐτοῦ καὶ ἐξῆλθε. [22] καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς καὶ εἶπεν Ἀπόστειλον 22
δή μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀν-
θρώπου τοῦ θεοῦ καὶ ἐπιστρέψω. [23] καὶ εἶπε Τί ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν 23
σήμερον; οὐ νεομηνία οὐδὲ σάββατον· ἡ δὲ εἶπεν Εἰρήνη. [24] καὶ ἐπέσαξε τὴν 24
ὄνον, καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς Ἄγε πορεύου, μὴ ἐπίσχῃς μοι τοῦ
ἐπιβῆναι ὅ τι ἐὰν εἴπω σοι· [25] δεῦρο καὶ πορεύσῃ καὶ ἐλεύσῃ πρὸς τὸν ἄν- 25
θρωπον τοῦ θεοῦ εἰς ὄρος τὸ Καρμήλιον. καὶ ἐπορεύθη καὶ ἦλθεν ἕως τοῦ
ἀνθρώπου τοῦ θεοῦ εἰς τὸ ὄρος· καὶ ἐγένετο ὡς εἶδεν Ἑλισαιὲ ἐρχομένην
αὐτήν, καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ Ἰδοὺ δὴ ἡ Σωμανῖτις ἐκείνη.
[26] νῦν δράμε εἰς ἀπαντὴν αὐτῆς καὶ ἐρεῖς Ἡ εἰρήνη σοι; ἡ εἰρήνη τῷ ἀνδρί 26
σου; ἡ εἰρήνη τῷ παιδαρίῳ; ἡ δὲ εἶπεν Εἰρήνη. [27] καὶ ἦλθε πρὸς Ἑλισαιὲ 27
εἰς τὸ ὄρος καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ· καὶ ἤγγισε Γιεζὶ ἀπώσασθαι
αὐτήν. καὶ εἶπεν Ἑλισαιέ Ἄφες αὐτήν· ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ,
καὶ κύριος ἀπέκρυψεν ἀπ᾽ ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι. [28] ἡ δὲ εἶπε Μὴ ᾐτη- 28
σάμην υἱὸν παρὰ τοῦ κυρίου μου; ὅτι οὐκ εἶπα Οὐ πλανήσεις μετ᾽ ἐμοῦ;
[29] καὶ εἶπεν Ἑλισαιὲ τῷ Γιεζὶ Ζῶσαι τὴν ὀσφύν σου καὶ λάβε τὴν βακτηρίαν 29
μου ἐν τῇ χειρί σου καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα οὐκ εὐλογήσεις αὐτόν,
καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ οὐκ ἀποκριθήσῃ αὐτῷ, καὶ ἐπιθήσεις τὴν βακτη-
ρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου. [30] καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου 30
Ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἀνέστη Ἑλισαιὲ καὶ
ἐπορεύθη ὀπίσω αὐτῆς. [31] καὶ Γιεζὶ διῆλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε 31
τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδαρίου, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν
ἀκρόασις· καὶ ἐπέστρεψεν εἰς ἀπαντὴν αὐτοῦ καὶ ἀπήγγειλεν αὐτῷ λέγων Οὐκ
ἠγέρθη τὸ παιδάριον. [32] καὶ εἰσῆλθεν Ἑλισαιὲ εἰς τὸν οἶκον, καὶ ἰδοὺ τὸ παι- 32
δάριον τεθνηκὸς κεκοιμισμένον ἐπὶ τὴν κλίνην αὐτοῦ. [33] καὶ εἰσῆλθεν Ἑλισαιὲ 33
εἰς τὸν οἶκον καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο ἑαυτῶν, καὶ προσ-
ηύξατο πρὸς κύριον. [34] καὶ ἀνέβη καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον, καὶ ἔθηκε 34
τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας αὐτοῦ, καὶ διέκαμψεν ἐπ᾽

---

13. λαου μου ειμι εγω οικω 14. om προς γιεζι ... γιεζει ... αυτης ουκ εστιν πρεσβ. 15. ab init. add και ειπεν Καλεσον αυτην 16. ελισσαιε ... κυριε ανθρωπε του θεου 17. ελισσαιε 20. om και ηρεν usque μητερα αυτου 21. ηνεγκεν 24. παιδαρ. εαυτης 25. om και επορευθη usque εις το ορος ... ελισσαιε ... γιεζει ... om δη ... * σουμανιτις 26. απαντησιν ... ειρηνη ter sine ἡ 27. προς τον ελισσαιε ... γιεζει ... ελισσαιε 28. οτι ειπον 29. ελισσαιε ... γιεζει ... om σου sec. ... εαν ευλογησει σε 30. ελισσαιε 31. γιεζει ... επεστρ. εις απαντησιν 32. ελισσαιε ... κεκοιμημενον 33. ελισσαιε ... δυο αυτων 34. το στομα εαυτου επι ... χειρ. εαυτου επι

Digitized by Google

35 αὐτόν, καὶ διεθερμάνθη ἡ σὰρξ τοῦ παιδαρίου. [35] καὶ ἐπέστρεψε καὶ ἐπορεύθη
ἐν τῇ οἰκίᾳ ἔνθεν καὶ ἔνθεν, καὶ ἀνέβη καὶ συνέκαμψεν ἐπὶ τὸ παιδάριον ἕως
36 ἑπτάκις, καὶ ἤνοιξε τὸ παιδάριον τοὺς ὀφθαλμοὺς αὐτοῦ. [36] καὶ ἐξεβόησεν
Ἐλισαιὲ πρὸς Γιεζὶ καὶ εἶπε Κάλεσον τὴν Σωμανῖτιν ταύτην· καὶ ἐκάλεσεν,
37 καὶ εἰςῆλθε πρὸς αὐτόν. καὶ εἶπεν Ἐλισαιέ Λάβε τὸν υἱόν σου. [37] καὶ εἰςῆλ-
θεν ἡ γυνὴ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ καὶ προςεκύνησεν ἐπὶ τὴν γῆν,
38 καὶ ἔλαβε τὸν υἱὸν αὐτῆς καὶ ἐξῆλθε. [38] καὶ Ἐλισαιὲ ἐπέστρεψεν εἰς Γάλγαλα·
καὶ ὁ λιμὸς ἐν τῇ γῇ, καὶ υἱοὶ τῶν προφητῶν ἐκάθηντο ἐνώπιον αὐτοῦ· καὶ
εἶπεν Ἐλισαιὲ τῷ παιδαρίῳ αὐτοῦ Ἐπίστησον τὸν λέβητα τὸν μέγαν, καὶ
39 ἕψε ἕψεμα τοῖς υἱοῖς τῶν προφητῶν. [39] καὶ ἐξῆλθεν εἰς τὸν ἀγρὸν συλλέξαι
ἀριώθ· καὶ εὗρεν ἄμπελον ἐν τῷ ἀγρῷ, καὶ συνέλεξεν ἀπ' αὐτῆς τολύπην
ἀγρίαν πλῆρες τὸ ἱμάτιον αὐτοῦ, καὶ ἐνέβαλεν εἰς τὸν λέβητα τοῦ ἑψέματος,
40 ὅτι οὐκ ἔγνωσαν. [40] καὶ ἐνέχει τοῖς ἀνδράσι φαγεῖν· καὶ ἐγένετο ἐν τῷ ἐσθίειν
αὐτοὺς ἐκ τοῦ ἑψέματος, καὶ ἰδοὺ ἀνεβόησαν καὶ εἶπαν Θάνατος ἐν τῷ λέβητι,
41 ἄνθρωπε τοῦ θεοῦ· καὶ οὐκ ἠδύναντο φαγεῖν. [41] καὶ εἶπε Λάβετε ἄλευρον καὶ
ἐμβάλετε εἰς τὸν λέβητα· καὶ εἶπεν Ἐλισαιὲ πρὸς Γιεζὶ τὸ παιδάριον Ἔγχει
τῷ λαῷ καὶ ἐσθιέτωσαν· καὶ οὐκ ἐγενήθη ἐκεῖ ἔτι ῥῆμα πονηρὸν ἐν τῷ λέβητι.
42 [42] καὶ ἀνὴρ διῆλθεν ἐκ Βαιθαρισὰ καὶ ἤνεγκε πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ
πρωτογεννημάτων εἴκοσι ἄρτους κριθίνους καὶ παλάθας, καὶ εἶπε Δότε τῷ
43 λαῷ καὶ ἐσθιέτωσαν. [43] καὶ εἶπεν ὁ λειτουργὸς αὐτοῦ Τί δῶ τοῦτο ἐνώπιον
ἑκατὸν ἀνδρῶν; καὶ εἶπε Δὸς τῷ λαῷ καὶ ἐσθιέτωσαν, ὅτι τάδε λέγει κύριος
44 Φάγονται καὶ καταλείψουσι. [44] καὶ ἔφαγον καὶ κατέλιπον κατὰ τὸ ῥῆμα κυρίου.

## V.

Καὶ Ναιμὰν ὁ ἄρχων τῆς δυνάμεως Συρίας ἦν ἀνὴρ μέγας ἐνώπιον τοῦ
κυρίου αὐτοῦ καὶ τεθαυμασμένος προςώπῳ, ὅτι ἐν αὐτῷ ἔδωκε κύριος σωτη-
2 ρίαν Συρίᾳ· καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύϊ λελεπρωμένος. [2] καὶ Συρία ἐξῆλθον
μονόζωνοι καὶ ᾐχμαλώτευσαν ἐκ γῆς Ἰσραὴλ νεάνιδα μικράν, καὶ ἦν ἐνώπιον
3 τῆς γυναικὸς Ναιμάν. [3] ἡ δὲ εἶπε τῇ κυρίᾳ αὐτῆς Ὄφελον ὁ κύριός μου ἐνώ-
πιον τοῦ προφήτου τοῦ θεοῦ τοῦ ἐν Σαμαρείᾳ, τότε ἀποσυνάξει αὐτὸν ἀπὸ
4 τῆς λέπρας αὐτοῦ. [4] καὶ εἰςῆλθε καὶ ἀπήγγειλε τῷ κυρίῳ ἑαυτῆς καὶ εἶπεν
5 Οὕτως καὶ οὕτως ἐλάλησεν ἡ νεᾶνις ἡ ἐκ γῆς Ἰσραήλ. [5] καὶ εἶπε βασιλεὺς
Συρίας πρὸς Ναιμάν Δεῦρο εἴςελθε καὶ ἐξαποστελῶ βιβλίον πρὸς βασιλέα
Ἰσραήλ· καὶ ἐπορεύθη καὶ ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ δέκα τάλαντα ἀργυρίου
6 καὶ ἑξακιςχιλίους χρυσοῦς καὶ δέκα ἀλλασσομένας στολάς. [6] καὶ ἤνεγκε τὸ
βιβλίον πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων Καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο
πρὸς σέ, ἰδοὺ ἀπέστειλα πρὸς σὲ Ναιμὰν τὸν δοῦλόν μου, καὶ ἀποσυνάξεις
7 αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ. [7] καὶ ἐγένετο ὡς ἀνέγνω βασιλεὺς Ἰσραὴλ τὸ
βιβλίον, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ εἶπεν Ὁ θεὸς ἐγὼ τοῦ θανατῶσαι καὶ
ζωοποιῆσαι, ὅτι οὗτος ἀποστέλλει πρός με ἀποσυνάξαι ἄνδρα ἀπὸ τῆς λέπρας
8 αὐτοῦ; ὅτι πλὴν γνῶτε δὴ καὶ ἴδετε ὅτι προφασίζεται οὗτός μοι. [8] καὶ ἐγέ-

---

35. συνεκαλυψεν επι το ... οφθαλμ. εαυτου 36. ελισσαιε bis ... γιεζει ... σωμανιτην ... κ. εκαλεσ. αυτην 37. επεπεσεν 38. ελισσαιε bis ... οι υιοι ... εψημα 39. om αγριαν ... πληρεις το ιμ. αυτ. ελθων· και ... εψαματος 40. ενεχεαν ... εψηματος 41. λαβε α. κ. εμβαλλετε ... ελισσαιε πρ. γιεζει ... om ετι 42. ** βαθσαρι, * βαθσαρισα ... αρτους πρωτογενηματων· εικοσι αρτους ... παλαθας βακελλεθ 43. Τινι δω ταυτα ... Δοτε 44. ab init. add και εφαγον και εδωκεν εις προσωπον αυτων ... κατελειπον V. 1. της συριας ... εθηκεν κυρ. σωτ. συριας 2. εξηλθεν 3. σαμαρια 5. ειπεν ο βασιλευς συρ. πορευου προς ναιμαν δευρο (ita) ... * εξαποστελλω 6. εκ pro απο 7. ο βασιλευς ... τα ιμ. εαυτου ... ** η ζωοποιησαι ... εκ της λεπρ. ... ουτος με

Digitized by Google

νετο ὡς ἤκουσεν Ἐλισαιὲ ὅτι διέῤῥηξεν ὁ βασιλεὺς Ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ,
καὶ ἀπέστειλε πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων Ἵνα τί διέῤῥηξας τὰ ἱμάτιά
σου; ἐλθέτω δὴ πρὸς μὲ Ναιμὰν καὶ γνώτω ὅτι ἔστι προφήτης ἐν Ἰσραήλ.
[9] καὶ ἦλθε Ναιμὰν ἐν ἵππῳ καὶ ἅρματι, καὶ ἔστη ἐπὶ θύρας οἴκου Ἐλισαιέ. 9
[10] καὶ ἀπέστειλεν Ἐλισαιὲ ἄγγελον πρὸς αὐτὸν λέγων Πορευθεὶς λοῦσαι ἑπτά- 10
κις ἐν τῷ Ἰορδάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σού σοι καὶ καθαρισθήσῃ. [11] καὶ 11
ἐθυμώθη Ναιμάν, καὶ ἀπῆλθε καὶ εἶπεν Ἰδοὺ εἶπον Πρὸς μὲ πάντως ἐξε-
λεύσεται καὶ στήσεται, καὶ ἐπικαλέσεται ἐν ὀνόματι θεοῦ αὐτοῦ, καὶ ἐπιθή-
σει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον, καὶ ἀποσυνάξει τὸ λεπρόν. [12] οὐχὶ ἀγα- 12
θὸς Ἀβανὰ καὶ Φαρφὰρ ποταμοὶ Δαμασκοῦ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ;
οὐχὶ πορευθεὶς λούσομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινε καὶ
ἀπῆλθεν ἐν θυμῷ. [13] καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ καὶ ἐλάλησαν πρὸς αὐτόν 13
Μέγαν λόγον ἐλάλησεν ὁ προφήτης πρὸς σέ· οὐχὶ ποιήσεις; καὶ ὅτι εἶπε πρὸς
σέ Λοῦσαι καὶ καθαρίσθητι. [14] καὶ κατέβη Ναιμὰν καὶ ἐβαπτίσατο ἐν τῷ 14
*Lc. 4, 27. *Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα Ἐλισαιέ· καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ὡς
σὰρξ παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη. [15] καὶ ἐπέστρεψε πρὸς Ἐλισαιὲ αὐτὸς 15
καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε καὶ ἔστη ἐνώπιον αὐτοῦ καὶ εἶπεν
Ἰδοὺ ἔγνωκα ὅτι οὐκ ἔστι θεὸς ἐν πάσῃ τῇ γῇ ὅτι ἀλλ' ἢ ἐν τῷ Ἰσραήλ·
καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. [16] καὶ εἶπεν Ἐλισαιέ Ζῇ 16
κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι· καὶ παρεβιάσατο αὐτὸν λαβεῖν,
καὶ ἠπείθησε. [17] καὶ εἶπε Ναιμάν Καὶ εἰ μή, δοθήτω δὴ τῷ δούλῳ σου 17
γόμος ζεῦγος ἡμιόνων, ὅτι οὐ ποιήσει ἔτι ὁ δοῦλός σου ὁλοκαύτωμα καὶ θυ-
σίασμα θεοῖς ἑτέροις ἀλλ' ἢ τῷ κυρίῳ τῷ ῥήματι τούτῳ. [18] καὶ ἱλάσεται κύριος 18
τῷ δούλῳ σου ἐν τῷ εἰςπορεύεσθαι τὸν κύριόν μου εἰς οἶκον Ῥεμμὰν προς-
κυνῆσαι ἐκεῖ· καὶ αὐτὸς ἐπαναπαύσεται ἐπὶ τῆς χειρός μου, καὶ προςκυνήσω
ἐν οἴκῳ Ῥεμμὰν ἐν τῷ προςκυνεῖν αὐτὸν ἐν οἴκῳ Ῥεμμάν, καὶ ἱλάσεται δὴ
κύριος τῷ δούλῳ σου ἐν τῷ λόγῳ τούτῳ. [19] καὶ εἶπεν Ἐλισαιὲ πρὸς Ναιμάν 19
Δεῦρο εἰς εἰρήνην· καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ εἰς Δεβραθὰ τῆς γῆς. [20] καὶ εἶπε 20
Γιεζὶ τὸ παιδάριον Ἐλισαιέ Ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ Ναιμὰν τοῦ
Σύρου τούτου τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ἃ ἐνήνοχε· ζῇ κύριος ὅτι εἰ μὴ
δραμοῦμαι ὀπίσω αὐτοῦ καὶ λήψομαι ἀπ' αὐτοῦ τι. [21] καὶ ἐδίωξε Γιεζὶ ὀπίσω 21
τοῦ Ναιμάν· καὶ εἶδεν αὐτὸν Ναιμὰν τρέχοντα ὀπίσω αὐτοῦ, καὶ ἐπέστρεψεν
ἀπὸ τοῦ ἅρματος εἰς ἀπαντὴν αὐτοῦ, καὶ εἶπεν Εἰρήνη· [22] ὁ κύριός μου ἀπέ- 22
στειλέ με λέγων Ἰδοὺ νῦν ἦλθον πρὸς μὲ δύο παιδάρια ἐξ ὄρους Ἐφραῒμ
ἀπὸ τῶν υἱῶν τῶν προφητῶν· δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου καὶ δύο ἀλ-
λασσομένας στολάς. [23] καὶ εἶπε Λάβε διτάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο 23
τάλαντα ἀργυρίου ἐν δυσὶ θυλάκοις καὶ δύο ἀλλασσομένας στολάς, καὶ ἔδω-
κεν ἐπὶ δύο παιδάρια αὐτοῦ, καὶ ἦραν ἔμπροσθεν αὐτοῦ. [24] καὶ ἦλθεν εἰς τὸ 24

---

8. ελισσαιε ανθρωπος του θεου ... τα ιμ. εαυτου 9. επι της θυρ. του οικ. ελισσαιε 10. προς αυτον ελισσαιε αγγελον ... και καθαρισθητι 11. om ιδου ειπον ... κυριου αυτου ... συναξει 12. ουχι αγαθοι ναεβανα κ. φαρφαρα ... ου πορευθεις 13. Πατερ, μεγαν ... om και ante οτι 14. 15. 16. ελισσαιε 15. εστη εις προσωπον αυτου Ιδου δη ... om παρα 16. λημψομαι ... om αυτον 17. γομορ ζευγους ημ. απο της γης ... θυσιαν 18. ρεμμαθ προσκυνησαι αυτον· και επαναπαυσεται ... ab ρεμμαν ad ρεμμαν transilit ... ιλασθησεται 19. ελισσαιε ... απ αυτου απο της γης ισραηλ. 20. γιεζει ... ελισσαιε ... ων ενηνοχεν ... λημψομαι παρ 21. γιεζει ... οπισω τρεχοντα αυτου ... εις απαντησιν αυτω απο του αρμ. 22. ab init. add και ειπεν Ειρηνη ... απεστ. προς σε λεγων Νυν τουτο ηλθον 23. ab init. (perperam) add και ειπεν ναιμαν οικουν (ita) λαβε διταλαντον αργυριου και δυο αλλασσομενας στολας ... κ. ειπεν ναιμαν Ουκουν λαβε ... αργυριου· και εβιασαντο αυτον· και εδησεν διταλαντον αργ. εν 24. ηλθαν (sed * ναθαν)

Digitized by Google

σκοτεινόν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν αὐτῶν καὶ παρέθετο ἐν οἴκῳ, καὶ ἐξα-
25 πέστειλε τοὺς ἄνδρας. [25] καὶ αὐτὸς εἰσῆλθε καὶ παρειστήκει πρὸς τὸν κύριον
αὐτοῦ· καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ Πόθεν Γιεζί; καὶ εἶπε Γιεζί Οὐ πεπό-
26 ρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. [26] καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ Οὐχὶ ἡ
καρδία μου ἐπορεύθη μετὰ σοῦ ὅτε ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς
συναντήν σοι; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες τὰ ἱμάτια καὶ
ἐλαιῶνας καὶ ἀμπελῶνας καὶ πρόβατα καὶ βόας καὶ παῖδας καὶ παιδίσκας,
27 [27] καὶ ἡ λέπρα Ναιμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν
αἰῶνα. καὶ ἐξῆλθεν ἐκ προςώπου αὐτοῦ λελεπρωμένος ὡςεὶ χιών.

## VI.

Καὶ εἶπον υἱοὶ τῶν προφητῶν πρὸς Ἑλισαιέ Ἰδοὺ δὴ ὁ τόπος ἐν ᾧ ἡμεῖς
2 οἰκοῦμεν ἐνώπιόν σου στενὸς ἀφ' ἡμῶν· [2] πορευθῶμεν δὴ ἕως τοῦ Ἰορδάνου
καὶ λάβωμεν ἐκεῖθεν ἀνὴρ εἰς δοκὸν μίαν, καὶ ποιήσωμεν ἑαυτοῖς ἐκεῖ τοῦ
3 οἰκεῖν ἐκεῖ. καὶ εἶπε Δεῦτε. [3] καὶ εἶπεν ὁ εἷς ἐπιεικῶς Δεῦρο μετὰ τῶν δού-
4 λων σου· καὶ εἶπεν Ἐγὼ πορεύσομαι. [4] καὶ ἐπορεύθη μετ' αὐτῶν, καὶ ἦλθον
5 εἰς τὸν Ἰορδάνην καὶ ἔτεμνον τὰ ξύλα. [5] καὶ ἰδοὺ ὁ εἷς καταβάλλων τὴν δο-
κόν, καὶ τὸ σιδήριον ἐξέπεσεν εἰς τὸ ὕδωρ· καὶ ἐβόησεν Ὦ κύριε, καὶ αὐτὸ
6 κεκρυμμένον. [6] καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ Ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ
τὸν τόπον· καὶ ἀπέκνισε ξύλον καὶ ἔρριψεν ἐκεῖ, καὶ ἐπεπόλασε τὸ σιδήριον.
7 8 [7] καὶ εἴρηκεν Ὕψωσον σεαυτῷ· καὶ ἐξέτεινε τὴν χεῖρα καὶ ἔλαβεν αὐτό. [8] καὶ
ὁ βασιλεὺς Συρίας ἦν πολεμῶν ἐν Ἰσραήλ, καὶ ἐβουλεύσατο πρὸς τοὺς παῖ-
9 δας αὐτοῦ λέγων Εἰς τὸν τόπον τόνδε τινὰ ἐλμωνὶ παρεμβαλῶ. [9] καὶ ἀπέστει-
λεν Ἑλισαιὲ πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων Φύλαξαι μὴ παρελθεῖν ἐν τῷ
10 τόπῳ τούτῳ, ὅτι ἐκεῖ Συρία κέκρυπται. [10] καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ
εἰς τὸν τόπον ὃν εἶπεν αὐτῷ Ἑλισαιέ, καὶ ἐφυλάξατο ἐκεῖθεν οὐ μίαν οὐδὲ
11 δύο. [11] καὶ ἐξεκινήθη ἡ ψυχὴ βασιλέως Συρίας περὶ τοῦ λόγου τούτου, καὶ
ἐκάλεσε τοὺς παῖδας αὐτοῦ καὶ εἶπε πρὸς αὐτούς Οὐκ ἀναγγελεῖτέ μοι τίς
12 προδίδωσί με βασιλεῖ Ἰσραήλ; [12] καὶ εἶπεν εἷς τῶν παίδων αὐτοῦ Οὐχί, κύριέ
μου βασιλεῦ, ὅτι Ἑλισαιὲ ὁ προφήτης ὁ ἐν Ἰσραὴλ ἀναγγέλλει τῷ βασιλεῖ
Ἰσραὴλ πάντας τοὺς λόγους οὓς ἐὰν λαλήσῃς ἐν τῷ ταμείῳ τοῦ κοιτῶνός σου.
13 [13] καὶ εἶπε Δεῦτε ἴδετε ποῦ οὗτος, καὶ ἀποστείλας λήψομαι αὐτόν· καὶ ἀπήγ-
14 γειλαν αὐτῷ λέγοντες Ἰδοὺ ἐν Δωθαΐμ. [14] καὶ ἀπέστειλεν ἐκεῖ ἵππον καὶ ἅρμα
15 καὶ δύναμιν βαρεῖαν, καὶ ἦλθον νυκτὸς καὶ περιεκύκλωσαν τὴν πόλιν. [15] καὶ
ὤρθρισεν ὁ λειτουργὸς Ἑλισαιὲ ἀναστῆναι καὶ ἐξῆλθε, καὶ ἰδοὺ δύναμις κυ-
κλοῦσα τὴν πόλιν καὶ ἵππος καὶ ἅρμα· καὶ εἶπε τὸ παιδάριον πρὸς αὐτόν
16 Ὦ κύριε, πῶς ποιήσομεν; [16] καὶ εἶπεν Ἑλισαιέ Μὴ φοβοῦ, ὅτι πλείους οἱ
17 μεθ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐτῶν. [17] καὶ προςηύξατο Ἑλισαιὲ καὶ εἶπε Κύριε,
διάνοιξον δὴ τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου καὶ ἰδέτω· καὶ διήνοιξε κύριος
τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδε, καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων καὶ ἅρμα
18 πυρὸς περικύκλῳ Ἑλισαιέ, [18] καὶ κατέβησαν πρὸς αὐτόν. καὶ προςηύξατο πρὸς

24. in f. add και επορευθησαν 25. ελισσαιε ... γιεζει bis 26. ελισσαιε ... om μετα σου ... εις συναντησιν σου ... ante τα ιμ. add και ... ελαιωνα ... αμπελωνα 27. εκ του προςωπου VI. 1. οι υιοι ... ελισσαιε 2. ανηρ δοκον 3. ο εις δορευ (corrige δευρο) επιεικ. δευρο ... ο δε ειπεν 5. καταβαλων ... κ. εβοησ. και ειπεν 6. απεκνιξεν ... το σιδηρον 7. και ειπεν ... την χειρ. αυτου 8. om ὁ ... εν ιερουσαλημ 9. ελισσαιε ... συρια εκει 10. ελισσαιε, και διεστειλατο αυτω κ. εφυλ. εκ. ου μ. ου δυο 12. ελισσαιε προφητης εν ισρ. αναγγελει ... ταμιειω 13. που αυτος ... λημψομαι ... ανηγγειλαν ... δωθαειμ 14. ** ηλθαν 15. ωρθρισεν λειτουργειν (corr. λειτουργος?) ελισσαιε ... ιπποι ... πρ. αυτον Κυριε, πως ποιησωμεν 16. 17. ελισσαιε 17. κ. ιδεν ... πληρης 18. προςηυξ. ελισσαιε προς

Digitized by Google

κύριον καὶ εἶπε Πάταξον δὴ τὸ ἔθνος τοῦτο ἀορασίᾳ· καὶ ἐπάταξεν αὐτοὺς
ἀορασίᾳ κατὰ τὸ ῥῆμα Ἐλισαιέ. 19 καὶ εἶπε πρὸς αὐτοὺς Ἐλισαιέ Οὐχὶ αὕτη 19
ἡ πόλις καὶ αὕτη ἡ ὁδός· δεῦτε ὀπίσω μου, καὶ ἄξω ὑμᾶς πρὸς τὸν ἄνδρα
ὃν ζητεῖτε· καὶ ἀπήγαγεν αὐτοὺς πρὸς Σαμάρειαν. 20 καὶ ἐγένετο ὡς εἰςῆλθον 20
εἰς Σαμάρειαν, καὶ εἶπεν Ἐλισαιέ Ἄνοιξον δή, κύριε, τοὺς ὀφθαλμοὺς αὐτῶν
καὶ ἰδέτωσαν· καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον, καὶ ἰδοὺ
ἦσαν ἐν μέσῳ Σαμαρείας. 21 καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἐλισαιέ, ὡς 21
εἶδεν αὐτούς Εἰ πατάξας πατάξω, πάτερ; 22 καὶ εἶπεν Οὐ πατάξεις, εἰ μὴ 22
οὓς ᾐχμαλώτευσας ἐν ῥομφαίᾳ σου καὶ τόξῳ σου σὺ τύπτεις· παράθες ἄρτους
καὶ ὕδωρ ἐνώπιον αὐτῶν, καὶ φαγέτωσαν καὶ πιέτωσαν, καὶ ἀπελθέτωσαν
πρὸς τὸν κύριον αὐτῶν. 23 καὶ παρέθηκεν αὐτοῖς παράθεσιν μεγάλην, καὶ ἔφα- 23
γον καὶ ἔπιον· καὶ ἀπέστειλεν αὐτούς, καὶ ἀπῆλθον πρὸς τὸν κύριον αὐτῶν·
καὶ οὐ προςέθεντο ἔτι μονόζωνοι Συρίας τοῦ ἐλθεῖν εἰς γῆν Ἰσραήλ. 24 καὶ 24
ἐγένετο μετὰ ταῦτα καὶ ἤθροισεν υἱὸς Ἄδερ βασιλεὺς Συρίας πᾶσαν τὴν παρ-
εμβολὴν αὐτοῦ, καὶ ἀνέβη καὶ περιεκάθισεν ἐπὶ Σαμάρειαν. 25 καὶ ἐγένετο 25
λιμὸς μέγας ἐν Σαμαρείᾳ, καὶ ἰδοὺ περιεκάθηντο ἐπ' αὐτὴν ἕως οὗ ἐγενήθη
κεφαλὴ ὄνου πεντήκοντα ἀργυρίου καὶ τέταρτον τοῦ κάβου κόπρου περιστε-
ρῶν πέντε ἀργυρίου. 26 καὶ ἦν ὁ βασιλεὺς Ἰσραὴλ διαπορευόμενος ἐπὶ τοῦ 26
τείχους, καὶ γυνὴ ἐβόησε πρὸς αὐτὸν λέγουσα Σῶσον, κύριε βασιλεῦ. 27 καὶ 27
εἶπεν αὐτῇ Μή σε σώσαι κύριος· πόθεν σώσω σε, μὴ ἀπὸ ἅλωνος ἢ ἀπὸ
ληνοῦ; 28 καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς Τί ἐστι σοι; καὶ εἶπεν ἡ γυνή Αὕτη 28
εἶπε πρὸς μέ Δὸς τὸν υἱὸν σοῦ καὶ φαγόμεθα αὐτὸν σήμερον, καὶ τὸν υἱὸν
μοῦ φαγόμεθα αὐτὸν αὔριον. 29 καὶ ἠψήσαμεν τὸν υἱὸν μοῦ καὶ ἐφάγομεν 29
αὐτόν, καὶ εἶπον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ Δὸς τὸν υἱὸν σοῦ καὶ
φάγωμεν αὐτόν· καὶ ἔκρυψε τὸν υἱὸν αὐτῆς. 30 καὶ ἐγένετο ὡς ἤκουσεν ὁ 30
βασιλεὺς Ἰσραὴλ τοὺς λόγους τῆς γυναικός, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ
αὐτὸς διεπορεύετο ἐπὶ τοῦ τείχους, καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρ-
κὸς αὐτοῦ ἔσωθεν. 31 καὶ εἶπεν Τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προςθείη, 31
εἰ στήσεται ἡ κεφαλὴ Ἐλισαιὲ ἐπ' αὐτῷ σήμερον. 32 καὶ Ἐλισαιὲ ἐκάθητο 32
ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ οἱ πρεσβύτεροι ἐκάθηντο μετ' αὐτοῦ· καὶ ἀπέστειλεν
ἄνδρα πρὸ προςώπου αὐτοῦ πρὶν ἐλθεῖν τὸν ἄγγελον πρὸς αὐτόν, καὶ αὐτὸς
εἶπε πρὸς τοὺς πρεσβυτέρους Εἰ εἴδετε ὅτι ἀπέστειλεν ὁ υἱὸς τοῦ φονευτοῦ
οὗτος ἀφελεῖν τὴν κεφαλήν μου; ἴδετε ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλείσατε
τὴν θύραν καὶ παραθλίψατε αὐτὸν ἐν τῇ θύρᾳ· οὐχὶ φωνὴ τῶν ποδῶν τοῦ
κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ; 33 ἔτι αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, καὶ ἰδοὺ 33
ἄγγελος κατέβη πρὸς αὐτὸν καὶ εἶπεν Ἰδοὺ αὕτη ἡ κακία παρὰ κυρίου, τί
ὑπομείνω τῷ κυρίῳ ἔτι;

## VII.

Καὶ εἶπεν Ἐλισαιέ Ἄκουσον λόγον κυρίου Τάδε λέγει κύριος Ὡς ἡ ὥρα
αὕτη αὔριον μέτρον σεμιδάλεως σίκλου καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς
πύλαις Σαμαρείας. 2 καὶ ἀπεκρίθη ὁ τριστάτης ἐφ' ὃν ὁ βασιλεὺς ἐπανεπαύετο 2
ἐπὶ τὴν χεῖρα αὐτοῦ τῷ Ἐλισαιὲ καὶ εἶπεν Ἰδοὺ ποιήσει κύριος καταράκτας

---

18. τουτο το εθνος ... ελισσαιε 19. ελισσαιε Ουχ αυτη η οδος και ουχ αυτη η πολις ... απαξω ... εις σαμαριαν 20. εισηλθεν ... ελισσαι ... ειδετωσαν ... ειδαν ... σαμαριας 21. ελισσαιε 22. om συ 24. σαμαριας 25. εν σαμαρια ... περι αυτην εως εγενηθη ... και τεσσαρες καβοι ... πεντηκοντα πεντε αργ. 26. κυριε βασιλευς 27. om αυτη ... Μη σε σωση ... απο της αλωνος η απο της ληνου 28. φαγομεθα αυριον 29. εψησαμεν ... (ειπεν ...) φαγομεν 31. ελισσαιε υιου σαφατ 32. ελισσαιε ... Μη οιδατε οτι ... ειδετε 33. ο αγγελος ... τι υπομενω ετι VII. 1. ελισσαιε (... σιμιδαλεως) 2. προς τον ελισσαιε

Digitized by Google

ἐν οὐρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ Ἐλισαιὲ εἶπεν Ἰδοὺ σὺ ὄψει τοῖς
3 ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φάγῃ. [3] καὶ τέσσαρες ἄνδρες ἦσαν λεπροὶ
παρὰ τὴν θύραν τῆς πόλεως, καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ Τί
4 ἡμεῖς καθήμεθα ὧδε ἕως ἀποθάνωμεν; [4] ἐὰν εἴπωμεν Εἰςέλθωμεν εἰς τὴν
πόλιν, καὶ ὁ λιμὸς ἐν τῇ πόλει καὶ ἀποθανούμεθα ἐκεῖ· καὶ ἐὰν καθίσωμεν
ὧδε, καὶ ἀποθανούμεθα. καὶ νῦν δεῦτε καὶ ἐμπέσωμεν εἰς τὴν παρεμβολὴν
Συρίας, ἐὰν ζωογονήσωσιν ἡμᾶς καὶ ζησόμεθα, καὶ ἐὰν θανατώσωσιν ἡμᾶς
5 καὶ ἀποθανούμεθα. [5] καὶ ἀνέστησαν ἐν τῷ σκότει εἰςελθεῖν εἰς τὴν παρεμ-
βολὴν Συρίας· καὶ ἦλθον εἰς μέρος παρεμβολῆς Συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν
6 ἀνὴρ ἐκεῖ. [6] καὶ κύριος ἀκουστὴν ἐποίησε παρεμβολὴν τὴν Συρίας φωνὴν ἅρ-
ματος καὶ φωνὴν ἵππου, φωνὴν δυνάμεως μεγάλης· καὶ εἶπεν ἀνὴρ πρὸς τὸν
ἀδελφὸν αὐτοῦ Νῦν ἐμισθώσατο ἐφ' ἡμᾶς ὁ βασιλεὺς Ἰσραὴλ τοὺς βασιλέας
7 τῶν Χετταίων καὶ τοὺς βασιλέας Αἰγύπτου τοῦ ἐλθεῖν ἐφ' ἡμᾶς. [7] καὶ ἀνέ-
στησαν καὶ ἀπέδρασαν ἐν τῷ σκότει, καὶ ἐγκατέλιπον τὰς σκηνὰς αὐτῶν καὶ
τοὺς ἵππους αὐτῶν καὶ τοὺς ὄνους αὐτῶν ἐν τῇ παρεμβολῇ ὡς ἔστι, καὶ ἔφυ-
8 γον πρὸς τὴν ψυχὴν ἑαυτῶν. [8] καὶ εἰςῆλθον οἱ λεπροὶ οὗτοι ἕως μέρους τῆς
παρεμβολῆς, καὶ εἰςῆλθον εἰς σκηνὴν μίαν καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἦραν
ἐκεῖθεν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμόν· καὶ ἐπορεύθησαν καὶ ἐπέστρεψαν
ἐκεῖθεν καὶ εἰςῆλθον εἰς σκηνὴν ἄλλην, καὶ ἔλαβον ἐκεῖθεν καὶ ἐπορεύθησαν
9 καὶ κατέκρυψαν. [9] καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ Οὐχ οὕτως ἡμεῖς
ποιοῦμεν; ἡ ἡμέρα αὕτη ἡμέρα εὐαγγελίας ἐστί, καὶ ἡμεῖς σιωπῶμεν καὶ
μένομεν ἕως φωτὸς τοῦ πρωί, καὶ εὑρήσομεν ἀνομίαν· καὶ νῦν δεῦρο καὶ
10 εἰςέλθωμεν καὶ ἀναγγείλωμεν εἰς τὸν οἶκον τοῦ βασιλέως. [10] καὶ εἰςῆλθον καὶ
ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως, καὶ ἀνήγγειλαν αὐτοῖς λέγοντες Εἰςήλ-
θομεν εἰς τὴν παρεμβολὴν Συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἐκεῖ ἀνὴρ καὶ φωνὴ
ἀνθρώπου, ὅτι εἰ μὴ ἵππος δεδεμένος καὶ ὄνος καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσί.
11 [11] καὶ ἐβόησαν οἱ θυρωροὶ καὶ ἀνήγγειλαν εἰς τὸν οἶκον τοῦ βασιλέως ἔσω.
12 [12] καὶ ἀνέστη ὁ βασιλεὺς νυκτὸς καὶ εἶπε πρὸς τοὺς παῖδας αὐτοῦ Ἀναγγελῶ
δὴ ὑμῖν ἃ ἐποίησεν ὑμῖν Συρία· ἔγνωσαν ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλθαν
ἐκ τῆς παρεμβολῆς καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ, λέγοντες ὅτι ἐξελεύσονται ἐκ
τῆς πόλεως, καὶ συλληψόμεθα αὐτοὺς ζῶντας καὶ εἰς τὴν πόλιν εἰςελευσόμεθα.
13 [13] καὶ ἀπεκρίθη εἷς τῶν παίδων αὐτοῦ καὶ εἶπε Λαβέτωσαν δὴ πέντε τῶν
ἵππων τῶν ὑπολελειμμένων οἳ κατελείφθησαν ὧδε, ἰδού εἰσι πρὸς πᾶν τὸ
14 πλῆθος Ἰσραὴλ τὸ ἐκλεῖπον, καὶ ἀποστελοῦμεν ἐκεῖ καὶ ὀψόμεθα. [14] καὶ ἔλα-
βον δύο ἐπιβάτας ἵππων καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ ὀπίσω τοῦ βασι-
15 λέως Συρίας λέγων Δεῦτε καὶ ἴδετε. [15] καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν ἕως
τοῦ Ἰορδάνου, καὶ ἰδοὺ πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν ὧν ἔρριψε
Συρία ἐν τῷ θαμβεῖσθαι αὐτούς· καὶ ἐπέστρεψαν οἱ ἄγγελοι καὶ ἀνήγγειλαν
16 τῷ βασιλεῖ. [16] καὶ ἐξῆλθεν ὁ λαὸς καὶ διήρπασαν τὴν παρεμβολὴν Συρίας·
καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου, κατὰ τὸ ῥῆμα κυρίου, καὶ δίμετρον
17 κριθῶν σίκλου. [17] καὶ ὁ βασιλεὺς κατέστησε τὸν τριστάτην ἐφ' ὃν ὁ βασιλεὺς
ἐπανεπαύετο τῇ χειρὶ αὐτοῦ ἐπὶ τῆς πύλης, καὶ συνεπάτησεν αὐτὸν ὁ λαὸς
ἐν τῇ πύλῃ, καὶ ἀπέθανε καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ὃς ἐλάλησεν

· 2. ελισσαιε ειπ. Ιδου οψη ... * φαγης 3. και ιδου τεσσαρες 5. μεσον pro μερος 6. εποιησεν ακουστην ... παρεμβολη συριας ... om ιππου, φωνην ... επι ημας βασιλευς 7. εγκατελειπον ... εαυτων ter pro αυτων 8. κ. επορευθησ. και εκρυψαν κ. επεστρ. και εισηλθ. 10. και ονος δεδεμενος 12. Αναγγειλω ... εποιησεν ημιν ... πεινωμεν και ημεις ... εξηλθον ... εξελ. εκ της γης κ. συλλημψομεθα ... εισελευσομ. και εξελευσομεθα 13. δη παντες απο των ... υπολελιμμενων 14. om ισραηλ 16. διηρπασεν ... κατα το ρ. κ. pon post κριθ. σικλ. 17. επανεπ. επι τη ... ο λαος επι της πυλης ... καθως ελαλησεν

Digitized by Google

ἐν τῷ καταβῆναι τὸν ἄγγελον πρὸς αὐτόν. 18 καὶ ἐγένετο καθὰ ἐλάλησεν Ἐλι- 18
σαιὲ πρὸς τὸν βασιλέα λέγων Δίμετρον κριθῆς σίκλου καὶ μέτρον σεμιδάλεως
σίκλου, καὶ ἔσται ὡς ἡ ὥρα αὔριον ἐν τῇ πύλῃ Σαμαρείας· 19 καὶ ἀπεκρίθη 19
ὁ τριστάτης τῷ Ἐλισαιὲ καὶ εἶπεν Ἰδοὺ κύριος ποιεῖ καταράκτας ἐν τῷ οὐ-
ρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἐλισαιέ Ἰδοὺ ὄψει τοῖς ὀφθαλ-
μοῖς σου, καὶ ἐκεῖθεν οὐ μὴ φάγῃ. 20 καὶ ἐγένετο οὕτως, καὶ συνεπάτησαν 20
αὐτὸν ὁ λαὸς ἐν τῇ πύλῃ, καὶ ἀπέθανε.

## VIII.

Καὶ Ἐλισαιὲ ἐλάλησε πρὸς τὴν γυναῖκα ἧς ἐζωπύρησε τὸν υἱὸν λέγων
Ἀνάστηθι καὶ δεῦρο σὺ καὶ ὁ οἶκός σου καὶ παροίκει οὗ ἐὰν παροικήσῃς, ὅτι
κέκληκε κύριος λιμὸν ἐπὶ τὴν γῆν, καί γε ἦλθεν ἐπὶ τὴν γῆν ἑπτὰ ἔτη. 2 καὶ 2
ἀνέστη ἡ γυνὴ καὶ ἐποίησε κατὰ τὸ ῥῆμα Ἐλισαιὲ καὶ αὐτὴ καὶ ὁ οἶκος
αὐτῆς, καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη. 3 καὶ ἐγένετο μετὰ τὸ τέλος 3
τῶν ἑπτὰ ἐτῶν καὶ ἐπέστρεψεν ἡ γυνὴ ἐκ γῆς ἀλλοφύλων εἰς τὴν πόλιν, καὶ
ἦλθε βοῆσαι πρὸς τὸν βασιλέα περὶ τοῦ οἴκου ἑαυτῆς καὶ περὶ τῶν ἀγρῶν
αὐτῆς. 4 καὶ ὁ βασιλεὺς ἐλάλει πρὸς Γιεζὶ τὸ παιδάριον Ἐλισαιὲ τοῦ ἀνθρώ- 4
που τοῦ θεοῦ λέγων Διήγησαι δή ἐμοὶ πάντα τὰ μεγάλα ἃ ἐποίησεν Ἐλι-
σαιέ. 5 καὶ ἐγένετο αὐτοῦ ἐξηγουμένου τῷ βασιλεῖ ὡς ἐζωπύρησεν υἱὸν τεθνη- 5
κότα, καὶ ἰδοὺ ἡ γυνή, ἧς ἐζωπύρησε τὸν υἱὸν αὐτῆς Ἐλισαιέ, βοῶσα πρὸς
τὸν βασιλέα περὶ τοῦ οἴκου ἑαυτῆς καὶ περὶ τῶν ἀγρῶν ἑαυτῆς· καὶ εἶπε
Γιεζί Κύριε βασιλεῦ, αὕτη ἡ γυνὴ καὶ οὗτος ὁ υἱὸς αὐτῆς ὃν ἐζωπύρησε
Ἐλισαιέ. 6 καὶ ἐπηρώτησεν ὁ βασιλεὺς τὴν γυναῖκα, καὶ διηγήσατο αὐτῷ· 6
καὶ ἔδωκεν αὐτῇ ὁ βασιλεὺς εὐνοῦχον ἕνα λέγων Ἐπίστρεψον πάντα τὰ αὐτῆς
καὶ πάντα τὰ γεννήματα τοῦ ἀγροῦ ἀπὸ τῆς ἡμέρας ἧς κατέλιπε τὴν γῆν
ἕως τοῦ νῦν. 7 καὶ ἦλθεν Ἐλισαιὲ εἰς Δαμασκόν· καὶ υἱὸς Ἄδερ βασιλεὺς 7
Συρίας ἠρρώστησε· καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες Ἥκει ὁ ἄνθρωπος τοῦ θεοῦ
ἕως ὧδε. 8 καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀζαὴλ Λάβε ἐν τῇ χειρί σου μαναά, 8
καὶ δεῦρο εἰς ἀπαντὴν τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἐπιζήτησον τὸν κύριον
παρ' αὐτοῦ λέγων Εἰ ζήσομαι ἐκ τῆς ἀρρωστίας μου ταύτης; 9 καὶ ἐπορεύθη 9
Ἀζαὴλ εἰς ἀπαντὴν αὐτοῦ, καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτοῦ καὶ πάντα
τὰ ἀγαθὰ Δαμασκοῦ, ἄρσιν τεσσαράκοντα καμήλων, καὶ ἦλθε καὶ ἔστη ἐνώ-
πιον αὐτοῦ καὶ εἶπε πρὸς Ἐλισαιέ Υἱός σου υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἀπέ-
στειλέ με πρὸς σὲ ἐπερωτῆσαι λέγων Εἰ ζήσομαι ἐκ τῆς ἀρρωστίας μου
ταύτης; 10 καὶ εἶπεν Ἐλισαιέ Δεῦρο εἰπόν Ζωῇ ζήσῃ, καὶ ἔδειξέ μοι κύριος 10
ὅτι θανάτῳ ἀποθανῇ. 11 καὶ παρέστη τῷ προσώπῳ αὐτοῦ, καὶ ἔθηκεν ἕως 11
αἰσχύνης· καὶ ἔκλαυσεν ὁ ἄνθρωπος τοῦ θεοῦ. 12 καὶ εἶπεν Ἀζαὴλ Τί ὅτι ὁ 12
κύριός μου κλαίει; καὶ εἶπεν Ὅτι οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς Ἰσραὴλ κακά·
τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρί, καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν
ῥομφαίᾳ ἀποκτενεῖς, καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις, καὶ τὰς ἐν γαστρὶ ἐχού-

---

18. καθως ελαλησεν ελισσαιε ... ως η ημερα αυτη αυριον ε. τ. πυλει σαμαριας 19. ελισσαιε bis ... οψη ... ου φαγη (* φαγης) 20. αυτω ουτως ... συνεπατησεν VIII. 1. ελισσαιε ... ου εαν παροικησεις ... κεκλικεν 2. ελισσαιε, και επορευθη αυτη 3. η γυνη εκ των αλλοφυλων, και ηλθεν ... οικου αυτης ... αγρων εαυτης 4. ελαλησεν πρ. γιεζει ... ελισσαιε bis ... δη μοι ... om ἃ 5. ελισσαιε bis ... γιεζει ... ουτος υιος 6. παντα αυτης τα γενηματα και παντα τα γενηματα του αγρου ... ενκατελειπεν 7. ελισσαιε ... ηρρωστει 8. ε. απαντησιν τω ανθρωπω 9. απαντησιν ... τεσσερακοντα ... ενωπ. αυτων ... ελισσαιε Ο υιος ... om επερωτησαι 10. ειπ. προς αυτον ελισσαιε ... ειπον αυτω Ζων ζηση 12. αζαηλ οτι κυριος μου κλαιει ... om Οτι ... και pro κακα ... εξαποστειλεις ... αποκτεινεις



Digitized by Google

13 σας αὐτῶν ἀναῤῥήξεις. [13] καὶ εἶπεν Ἀζαήλ Τίς ἐστιν ὁ δοῦλός σου ὁ κύων
ὁ τεθνηκὼς ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἐλισαιέ Ἔδειξέ μοι κύ-
14 ριός σε βασιλεύοντα ἐπὶ Συρίαν. [14] καὶ ἀπῆλθεν ἀπὸ Ἐλισαιέ, καὶ εἰςῆλθε
πρὸς τὸν κύριον αὐτοῦ· καὶ εἶπεν αὐτῷ Τί εἰπέ σοι Ἐλισαιέ; καὶ εἶπεν Εἰπέ
15 μοι Ζωῇ ζήσῃ. [15] καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ἔλαβε τὸ μαχβὰρ καὶ ἔβαψεν
ἐν τῷ ὕδατι καὶ περιέβαλεν ἐπὶ τὸ πρόςωπον αὐτοῦ, καὶ ἀπέθανε· καὶ ἐβα-
16 σίλευσεν Ἀζαὴλ ἀντ᾽ αὐτοῦ. [16] ἐν ἔτει πέμπτῳ τῷ Ἰωρὰμ υἱῷ Ἀχαὰβ βασιλεῖ
Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωρὰμ υἱὸς Ἰωσαφὰτ βα-
17 σιλεὺς Ἰούδα. [17] υἱὸς τριάκοντα καὶ δύο ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτόν,
18 καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. [18] καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων
Ἰσραὴλ καθὼς ἐποίησεν οἶκος Ἀχαάβ, ὅτι θυγάτηρ Ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα,
19 καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. [19] καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι
τὸν Ἰούδαν διὰ Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καθὼς εἶπε δοῦναι αὐτῷ λύχνον καὶ
20 τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας. [20] ἐν ταῖς ἡμέραις αὐτοῦ ἠθέτησεν Ἐδὼμ
21 ὑποκάτωθεν χειρὸς Ἰούδα, καὶ ἐβασίλευσαν ἐφ᾽ ἑαυτὸν βασιλέα. [21] καὶ ἀνέβη
Ἰωρὰμ εἰς Σιὼρ καὶ πάντα τὰ ἅρματα τὰ μετ᾽ αὐτοῦ· καὶ ἐγένετο αὐτοῦ
ἀναστάντος, καὶ ἐπάταξε τὸν Ἐδὼμ τὸν κυκλώσαντα ἐπ᾽ αὐτὸν καὶ τοὺς
22 ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν. [22] καὶ
ἠθέτησεν Ἐδὼμ ὑποκάτω τῆς χειρὸς Ἰούδα ἕως τῆς ἡμέρας ταύτης. τότε
23 ἠθέτησε Λοβνὰ ἐν τῷ καιρῷ ἐκείνῳ. [23] καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωρὰμ
καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ λόγων τῶν
24 ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; [24] καὶ ἐκοιμήθη Ἰωρὰμ μετὰ τῶν πατέρων
αὐτοῦ, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐ-
25 τοῦ· καὶ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. [25] ἐν ἔτει δωδεκάτῳ τῷ
26 Ἰωρὰμ υἱῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰωράμ. [26] υἱὸς εἴ-
κοσι καὶ δύο ἐτῶν Ὀχοζίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἐνιαυτὸν ἕνα ἐβασίλευσεν
ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Γοθολία θυγάτηρ Ἀμβρὶ βασιλέως
27 Ἰσραήλ. [27] καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκου Ἀχαάβ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώ-
28 πιον κυρίου καθὼς ὁ οἶκος Ἀχαάβ. [28] καὶ ἐπορεύθη μετὰ Ἰωρὰμ υἱοῦ Ἀχαὰβ
εἰς πόλεμον μετὰ Ἀζαὴλ βασιλέως ἀλλοφύλων ἐν Ῥεμμὼθ Γαλαάδ, καὶ ἐπά-
29 ταξαν οἱ Σύροι τὸν Ἰωράμ. [29] καὶ ἐπέστρεψεν ὁ βασιλεὺς Ἰωρὰμ τοῦ ἰατρευ-
θῆναι ἐν Ἰεζράελ ἀπὸ τῶν πληγῶν ὧν ἐπάταξαν αὐτὸν ἐν Ῥεμμὼθ ἐν τῷ
πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ βασιλέως Συρίας· καὶ Ὀχοζίας υἱὸς Ἰωρὰμ κατέβη
τοῦ ἰδεῖν τὸν Ἰωρὰμ υἱὸν Ἀχαὰβ ἐν Ἰεζράελ, ὅτι ἠῤῥώστει αὐτός.

## IX.

Καὶ Ἐλισαιὲ ὁ προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν τῶν προφητῶν καὶ
εἶπεν αὐτῷ Ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὸν φακὸν τοῦ ἐλαίου τούτου ἐν
2 τῇ χειρί σου, καὶ δεῦρο εἰς Ῥεμμὼθ Γαλαάδ. [2] καὶ εἰςελεύσῃ ἐκεῖ, καὶ ὄψει
ἐκεῖ Ἰοὺ υἱὸν Ἰωσαφὰτ υἱοῦ Ναμεσσί, καὶ εἰςελεύσῃ καὶ ἀναστήσεις αὐτὸν

---

13. post σου add ω κυριε ... om ο κυων ο τεθν. ... ελισσαιε ... επι ισραηλ 14. ελισσαιε ... ο τι ειπεν ελισσαιε 15. το ναβρα ... om εν 16. του ιωραμ υιου (postea βασιλει) ... βασιλευς ιουδα και εβασιλευσεν ... βασιλεως ιουδα 17. τεσσερακοντα pro οκτω 18. βασιλεως 19. καθ. ειπ. αυτω 20. της χειρος ... εβασιλευσεν εφ εαυτου 21. om εις σιωρ ... om τα bis ... ανασταντος νυκτος ... επαταξεν εδωμ 22. υποκατωθεν χειρος ... λομνα 23. ουχ ιδου ... εν βιβλιω 24. om και εταφη μ. τ. πατ. αυτ. 25. του ιωραμ υιω ... in f. add βασιλεως ιουδα 26. om υιος ... ετων ην ... εβασιλ. εν ισραηλ 27. in f. add γαμβρος γαρ οικου αχααβ εστιν 28. εν ραμωθ 29. ιωραμ προ του ... αυτον οι συροι εν ραμωθ ... ιωραμ βασιλευς ιουδα κατεβη ... εις ιεζραελ IX. 1. ελισσαιε ... om εν τη χειρι σου 2. οψη ... ιηου ... υιον αμεσει

Digitized by Google

ἐκ μέσου τῶν ἀδελφῶν αὐτοῦ, καὶ εἰςάξεις αὐτὸν εἰς τὸ ταμεῖον ἐν ταμείῳ.
3 καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου καὶ ἐπιχεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ 3
εἰπόν Τάδε λέγει κύριος Κέχρικά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ· καὶ ἀνοίξεις
τὴν θύραν, καὶ φεύξῃ καὶ οὐ μενεῖς. 4 καὶ ἐπορεύθη τὸ παιδάριον ὁ προφή- 4
της εἰς Ῥεμμὼθ Γαλαάδ. 5 καὶ εἰςῆλθε, καὶ ἰδοὺ οἱ ἄρχοντες τῆς δυνάμεως 5
ἐκάθηντο, καὶ εἶπε Λόγος μοι πρὸς σέ, ὁ ἄρχων· καὶ εἶπεν Ἰού Πρὸς τίνα
ἐκ πάντων ἡμῶν; καὶ εἶπε Πρὸς σέ, ὁ ἄρχων. 6 καὶ ἀνέστη καὶ εἰςῆλθεν εἰς 6
τὸν οἶκον, καὶ ἐπέχεε τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ εἶπεν αὐτῷ
Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Κέχρικά σε εἰς βασιλέα ἐπὶ λαὸν κυρίου
ἐπὶ τὸν Ἰσραήλ. 7 καὶ ἐξολοθρεύσεις τὸν οἶκον Ἀχαὰβ τοῦ κυρίου σου ἐκ προσώ- 7
που μου, καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου τῶν προφητῶν καὶ τὰ
αἵματα πάντων τῶν δούλων κυρίου ἐκ χειρὸς Ἰεζάβελ 8 καὶ ἐκ χειρὸς ὅλου 8
τοῦ οἴκου Ἀχαάβ, καὶ ἐξολοθρεύσεις τῷ οἴκῳ Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον
καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ. 9 καὶ δώσω τὸν οἶκον 9
Ἀχαὰβ ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ὡς τὸν οἶκον Βαασὰ υἱοῦ
Ἀχιά· 10 καὶ τὴν Ἰεζάβελ καταφάγονται οἱ κύνες ἐν τῇ μερίδι Ἰεζράελ, καὶ 10
οὐκ ἔστιν ὁ θάπτων. καὶ ἤνοιξε τὴν θύραν καὶ ἔφυγεν. 11 καὶ Ἰοὺ ἐξῆλθε πρὸς 11
τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ, καὶ εἶπαν αὐτῷ Εἰρήνη; τί ὅτι εἰςῆλθεν ὁ
ἐπίληπτος οὗτος πρὸς σέ; καὶ εἶπεν αὐτοῖς Ὑμεῖς οἴδατε τὸν ἄνδρα καὶ τὴν
ἀδολεσχίαν αὐτοῦ. 12 καὶ εἶπον Ἄδικον, ἀπάγγειλον δὴ ἡμῖν. καὶ εἶπεν Ἰοὺ πρὸς 12
αὐτούς Οὕτω καὶ οὕτω ἐλάλησε πρός με λέγων, καὶ εἶπε Τάδε λέγει κύριος
Κέχρικά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ. 13 καὶ ἀκούσαντες ἔσπευσαν, καὶ ἔλαβεν 13
ἕκαστος τὸ ἱμάτιον αὐτοῦ καὶ ἔθηκαν ὑποκάτω αὐτοῦ ἐπὶ τὸ γαρὲμ τῶν ἀνα-
βαθμῶν, καὶ ἐσάλπισαν ἐν κερατίνῃ καὶ εἶπαν Ἐβασίλευσεν Ἰού. 14 καὶ συνε- 14
στράφη Ἰοὺ υἱὸς Ἰωσαφὰτ υἱοῦ Ναμεσσὶ πρὸς Ἰωράμ· καὶ Ἰωρὰμ αὐτὸς
ἐφύλασσεν ἐν Ῥεμμὼθ Γαλαὰδ καὶ πᾶς Ἰσραὴλ ἀπὸ προσώπου Ἀζαὴλ βα-
σιλέως Συρίας. 15 καὶ ἀπέστρεψεν Ἰωρὰμ ὁ βασιλεὺς ἰατρευθῆναι ἐν Ἰεζράελ 15
ἀπὸ τῶν πληγῶν ὧν ἔπαισαν αὐτὸν οἱ Σύροι ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ
βασιλέως Συρίας. καὶ εἶπεν Ἰοὺ Εἰ ἔστι ψυχὴ ὑμῶν μετ' ἐμοῦ, μὴ ἐξελθέτω
ἐκ τῆς πόλεως διαπεφευγὼς τοῦ πορευθῆναι καὶ ἀπαγγεῖλαι ἐν Ἰεζράελ. 16 καὶ 16
ἵππευσε καὶ ἐπορεύθη Ἰού, καὶ κατέβη εἰς Ἰεζράελ, ὅτι Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ
ἐθεραπεύετο ἐν τῷ Ἰεζράελ ἀπὸ τῶν τοξευμάτων ὧν κατετόξευσαν αὐτὸν οἱ
Ἀραμὶν ἐν τῇ Ῥαμμὰθ ἐν τῷ πολέμῳ μετὰ Ἀζαὴλ βασιλέως Συρίας, ὅτι αὐ-
τὸς δυνατὸς καὶ ἀνὴρ δυνάμεως· καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα κατέβη ἰδεῖν
τὸν Ἰωράμ. 17 καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν πύργον Ἰεζράελ, καὶ εἶδε τὸν κο- 17
νιορτὸν Ἰοὺ ἐν τῷ παραγίνεσθαι αὐτόν, καὶ εἶπε Κονιορτὸν ἐγὼ βλέπω· καὶ
εἶπεν Ἰωρὰμ Λάβε ἐπιβάτην καὶ ἀπόστειλον ἔμπροσθεν αὐτῶν, καὶ εἰπάτω
Ἡ εἰρήνη. 18 καὶ ἐπορεύθη ἐπιβάτης ἵππου εἰς ἀπαντὴν αὐτῶν καὶ εἶπεν Τάδε 18
λέγει ὁ βασιλεύς Ἡ εἰρήνη· καὶ εἶπεν Ἰού Τί σοὶ καὶ εἰρήνῃ; ἐπίστρεφε

---

2. εν τω ταμιειω (antea ταμειον) 3. λημψη ... om εις 4. ρεμαϑ 5. εισηλϑον ... ιηου 6. επι τον λαον 7. εκ προσωπ. σου 8. του οικου pro τω οικω ... εγκαταλελιμμενον 9. επιδουναι pro δωσω ... του αχααβ ... του ιεροβοαμ 10. μεριδι του ισραηλ 11. ιηου ... ειπον αυτω ... επιλημπτος 12. ειπεν pro ειπον ... ιηου ... ουτως bis ... om και ειπε ante Ταδε ... om εις 13. ελαβον ... αυτου· επι γαρ ενα των αναβ. εκαϑηντο ... ειπον ... ιηου 14. ιηου ... * ναμεσσει, ** ναμεσσα ... και αυτος ιωραμ ... ραμωϑ ... αυτος και πας 15. ο βασιλ. ιωραμ ... πολεμειν αυτους ... ιηου ... διαπεφ. εκ τ. πολεως ... απηγγεληναι 16. εσπευσεν pro ιππευσε ... ιηου και επορευϑη ... εϑεραπ. εν ιεζρ. ... οι ραμμαϑι εν τη ρεμμαϑ ... post δυναμεως add εκοιμηϑη εκει 17. πυργ. εν ιεζραελ ... ιηου ... αυτον παραγινεσϑαι ... om Η 18. ε. απαντησιν αυτω ... om Η ... ιηου



Digitized by Google

εἰς τὰ ὀπίσω μου. καὶ ἀπήγγειλεν ὁ σκοπὸς λέγων Ἦλθεν ὁ ἄγγελος ἕως αὐτῶν
19 καὶ οὐχ ἀνέστρεψε. [19] καὶ ἀπέστειλεν ἐπιβάτην ἵππου δεύτερον, καὶ ἦλθε πρὸς
αὐτὸν καὶ εἶπε Τάδε λέγει ὁ βασιλεύς Ἡ εἰρήνη, καὶ εἶπεν Ἰού Τί σοὶ
20 καὶ εἰρήνη; ἐπιστρέφου εἰς τὰ ὀπίσω μου. [20] καὶ ἀπήγγειλεν ὁ σκοπὸς λέ-
γων Ἦλθεν ἕως αὐτῶν καὶ οὐκ ἀνέστρεψε, καὶ ὁ ἄγων ἦγε τὸν Ἰοὺ υἱὸν
21 Ναμεσσί, ὅτι ἐν παραλλαγῇ ἐγένετο. [21] καὶ εἶπεν Ἰωράμ Ζεῦξον· καὶ ἔζευξεν
ἅρμα. καὶ ἐξῆλθεν Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα,
ἀνὴρ ἐν τῷ ἅρματι αὐτοῦ, καὶ ἐξῆλθον εἰς ἀπαντὴν Ἰού, καὶ εὗρον αὐτὸν
22 ἐν τῇ μερίδι Ναβουθαὶ τοῦ Ἰεζραηλίτου. [22] καὶ ἐγένετο ὡς εἶδεν Ἰωρὰμ τὸν
Ἰού, καὶ εἶπεν Ἡ εἰρήνη Ἰού; καὶ εἶπεν Ἰού Τί εἰρήνη; ἔτι αἱ πορνεῖαι *Apoc. 2, 20.
23 Ἰεζάβελ τῆς μητρός σου καὶ τὰ φάρμακα αὐτῆς τὰ πολλά. [23] καὶ ἐπέστρε-
ψεν Ἰωρὰμ τὰς χεῖρας αὐτοῦ καὶ ἔφυγε, καὶ εἶπε πρὸς Ὀχοζίαν Δόλος, Ὀχο-
24 ζία. [24] καὶ ἔπλησεν Ἰοὺ τὴν χεῖρα αὐτοῦ ἐν τῷ τόξῳ καὶ ἐπάταξε τὸν Ἰωρὰμ
ἀνὰ μέσον τῶν βραχιόνων αὐτοῦ, καὶ ἐξῆλθε τὸ βέλος αὐτοῦ διὰ τῆς καρδίας
25 αὐτοῦ, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ. [25] καὶ εἶπε πρὸς Βαδεκὰρ τὸν τρι-
στάτην αὐτοῦ Ῥῖψον αὐτὸν ἐν τῇ μερίδι ἀγροῦ Ναβουθαὶ τοῦ Ἰεζραηλίτου,
ὅτι μνημονεύω, ἐγὼ καὶ σὺ ἐπιβεβηκότες ἐπὶ ζεύγη ὀπίσω Ἀχαὰβ τοῦ πα-
26 τρὸς αὐτοῦ, καὶ κύριος ἔλαβεν ἐπ' αὐτὸν τὸ λῆμμα τοῦτο [26] Εἰ μὴ τὰ αἵματα
Ναβουθαὶ καὶ τὰ αἵματα τῶν υἱῶν αὐτοῦ εἶδον ἐχθές, φησὶ κύριος, καὶ ἀν-
ταποδώσω αὐτῷ ἐν τῇ μερίδι ταύτῃ, φησὶ κύριος· καὶ νῦν ἄρας δὴ ῥῖψον
27 αὐτὸν ἐν τῇ μερίδι κατὰ τὸ ῥῆμα κυρίου. [27] καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα
εἶδε, καὶ ἔφυγεν ὁδὸν Βαιθγάν· καὶ ἐδίωξεν ὀπίσω αὐτοῦ Ἰοὺ καὶ εἶπε Καί
γε αὐτόν· καὶ ἐπάταξεν αὐτὸν πρὸς τῷ ἅρματι ἐν τῷ ἀναβαίνειν Γαί, ἥ ἐστιν
28 Ἰεβλαάμ· καὶ ἔφυγεν εἰς Μαγεδδώ, καὶ ἀπέθανεν ἐκεῖ. [28] καὶ ἐπεβίβασαν αὐ-
τὸν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸ ἅρμα καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ
29 ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν πόλει Δαυίδ. [29] καὶ ἐν ἔτει ἑνδεκάτῳ
30 Ἰωρὰμ βασιλέως Ἰσραὴλ ἐβασίλευσεν Ὀχοζίας ἐπὶ Ἰούδαν. [30] καὶ ἦλθεν Ἰοὺ
ἐπὶ Ἰεζράελ· καὶ Ἰεζάβελ ἤκουσε καὶ ἐστιμμίσατο τοὺς ὀφθαλμοὺς αὐτῆς
31 καὶ ἠγάθυνε τὴν κεφαλὴν αὐτῆς, καὶ διέκυψε διὰ τῆς θυρίδος. [31] καὶ Ἰοὺ
εἰςεπορεύετο ἐν τῇ πόλει, καὶ εἶπεν Ἡ εἰρήνη Ζαμβρὶ ὁ φονευτὴς τοῦ κυρίου
32 αὐτοῦ; [32] καὶ ἐπῆρε τὸ πρόςωπον αὐτοῦ εἰς τὴν θυρίδα καὶ εἶδεν αὐτήν,
καὶ εἶπε Τίς εἶ σύ; κατάβηθι μετ' ἐμοῦ· καὶ κατέκυψαν πρὸς αὐτὸν δύο εὐ-
33 νοῦχοι. [33] καὶ εἶπε Κυλίσατε αὐτήν· καὶ ἐκύλισαν αὐτήν, καὶ ἐῤῥαντίσθη τοῦ
αἵματος αὐτῆς πρὸς τὸν τοῖχον καὶ πρὸς τοὺς ἵππους, καὶ συνεπάτησαν αὐ-
34 τήν. [34] καὶ εἰςῆλθε καὶ ἔφαγε καὶ ἔπιε, καὶ εἶπεν Ἐπισκέψασθε δὴ τὴν κατη-
35 ραμένην ταύτην καὶ θάψατε αὐτήν, ὅτι θυγάτηρ βασιλέως ἐστί. [35] καὶ ἐπο-
ρεύθησαν θάψαι αὐτήν, καὶ οὐχ εὗρον ἐν αὐτῇ ἄλλο τι ἢ τὸ κρανίον καὶ
36 οἱ πόδες καὶ τὰ ἴχνη τῶν χειρῶν. [36] καὶ ἐπέστρεψαν καὶ ἀνήγγειλαν αὐτῷ,
καὶ εἶπε Λόγος κυρίου ὃν ἐλάλησεν ἐν χειρὶ Ἠλιοὺ τοῦ Θεσβίτου λέγων Ἐν
37 τῇ μερίδι Ἰεζράελ καταφάγονται οἱ κύνες τὰς σάρκας Ἰεζάβελ. [37] καὶ ἔσται
τὸ θνησιμαῖον Ἰεζάβελ ὡς κοπρία ἐπὶ προςώπου τοῦ ἀγροῦ ἐν τῇ μερίδι
Ἰεζράελ, ὥςτε μὴ εἰπεῖν αὐτούς Ἰεζάβελ.

---

18. προς το οπισω μου 19. ηλθεν μετ αυτον ... om Η ... ιηου ... om επιστρ. ε. τ. οπ. μ. 20. ιηου υιου ναμεσιου 21. εζευξαν ... ε. απαντησιν ιηου ... ιζραηλιτου 22. ιδεν ... ιηου ter (et v. 24.) ... om Η 23. προς οχοζει Δουλος οχοζει 25. ριψαι αυτον ... του αγρου ... ρημα pro λημμα 27. ιηου ... εν τω αρματι προς τω ... μακεδδω 28. ενεβιβασαν ... om επι το α. κ. ηγ. αυτον ... αυτου μετα των πατερων αυτου εν 29. υιου ιωραμ 30. ιηου εις ιεζραελ ... εστιβεισατο 31. ιηου 32. om κ. ειδεν αυτην ... τρεις ευνουχ. 33. om κ. εκυλισ. αυτην ... ηραντισθη 35. ουχ ευρον 36. ιεζαβελ pro ιεζραελ 37. om ιεζραελ ... ως τι μη

## X.

Καὶ τῷ Ἀχαὰβ ἑβδομήκοντα υἱοὶ ἐν Σαμαρείᾳ. καὶ ἔγραψεν Ἰοὺ βι-
βλίον καὶ ἀπέστειλεν ἐν Σαμαρείᾳ πρὸς τοὺς ἄρχοντας Σαμαρείας καὶ πρὸς
τοὺς πρεσβυτέρους καὶ πρὸς τοὺς τιθηνοὺς Ἀχαὰβ λέγων [2] Καὶ νῦν ὡς ἂν ἔλθῃ 2
τὸ βιβλίον τοῦτο πρὸς ὑμᾶς, καὶ μεθ' ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν, καὶ
μεθ' ὑμῶν τὸ ἅρμα καὶ οἱ ἵπποι καὶ πόλεις ὀχυραὶ καὶ τὰ ὅπλα· [3] καὶ ὄψε- 3
σθε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν καὶ καταστή-
σετε αὐτὸν ἐπὶ τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ, καὶ πολεμεῖτε ὑπὲρ τοῦ οἴκου
τοῦ κυρίου ὑμῶν. [4] καὶ ἐφοβήθησαν σφόδρα, καὶ εἶπον Ἰδοὺ οἱ δύο βασιλεῖς 4
οὐκ ἔστησαν κατὰ πρόσωπον αὐτοῦ, καὶ πῶς στησόμεθα ἡμεῖς; [5] καὶ ἀπέ- 5
στειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ ἐπὶ τῆς πόλεως καὶ οἱ πρεσβύτεροι καὶ οἱ
τιθηνοὶ πρὸς Ἰοὺ λέγοντες Παῖδές σου ἡμεῖς. καὶ ὅσα ἐὰν εἴπῃς πρὸς ἡμᾶς
ποιήσομεν, οὐ βασιλεύσομεν ἄνδρα, τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ποιήσομεν.
[6] καὶ ἔγραψε πρὸς αὐτοὺς Ἰοὺ βιβλίον δεύτερον λέγων Εἰ ἐμοὶ ὑμεῖς καὶ τῆς 6
φωνῆς μου ὑμεῖς εἰςακούετε, λάβετε τὴν κεφαλὴν ἀνδρῶν τῶν υἱῶν τοῦ κυ-
ρίου ὑμῶν καὶ ἐνέγκατε πρὸς μὲ ὡς ἡ ὥρα αὔριον ἐν Ἰεζράελ. καὶ οἱ υἱοὶ
τοῦ βασιλέως ἦσαν ἑβδομήκοντα ἄνδρες, οὗτοι ἁδροὶ τῆς πόλεως ἐξέτρεφον
αὐτούς. [7] καὶ ἐγένετο ὡς ἦλθε τὸ βιβλίον πρὸς αὐτούς, καὶ ἔλαβον τοὺς υἱοὺς 7
τοῦ βασιλέως καὶ ἔσφαξαν αὐτοὺς ἑβδομήκοντα ἄνδρας, καὶ ἔθηκαν τὰς κε-
φαλὰς αὐτῶν ἐν καρτάλλοις καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν εἰς Ἰεζράελ.
[8] καὶ ἦλθεν ὁ ἄγγελος καὶ ἀπήγγειλε λέγων Ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν 8
τοῦ βασιλέως· καὶ εἶπε Θέτε αὐτὰς βουνοὺς δύο παρὰ τὴν θύραν τῆς πύλης
εἰς πρωί. [9] καὶ ἐγένετο πρωὶ καὶ ἐξῆλθε καὶ ἔστη, καὶ εἶπε πρὸς πάντα τὸν 9
λαόν Δίκαιοι ὑμεῖς, ἰδοὺ ἐγώ εἰμι συνεστράφην ἐπὶ τὸν κύριόν μου καὶ ἀπέ-
κτεινα αὐτόν· καὶ τίς ἐπάταξε πάντας τούτους; [10] ἴδετε ἀφφώ, ὅτι οὐ πεσεῖται 10
ἀπὸ τοῦ ῥήματος κυρίου εἰς τὴν γῆν οὗ ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον Ἀχαάβ·
καὶ κύριος ἐποίησεν ὅσα ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιού. [11] καὶ ἐπά- 11
ταξεν Ἰοὺ πάντας τοὺς καταληφθέντας ἐν τῷ οἴκῳ Ἀχαὰβ ἐν Ἰεζράελ καὶ
πάντας τοὺς ἁδροὺς αὐτοῦ καὶ τοὺς γνωστοὺς αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ,
ὥςτε μὴ καταλιπεῖν αὐτοῦ κατάλειμμα. [12] καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σα- 12
μάρειαν, αὐτὸς ἐν Βαιθακὰθ τῶν ποιμένων ἐν τῇ ὁδῷ. [13] καὶ Ἰοὺ εὗρε τοὺς 13
ἀδελφοὺς Ὀχοζίου βασιλέως Ἰούδα καὶ εἶπε Τίνες ὑμεῖς; καὶ εἶπον Ἀδελφοὶ
Ὀχοζίου ἡμεῖς, καὶ κατέβημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ βασιλέως καὶ τῶν
υἱῶν τῆς δυναστευούσης. [14] καὶ εἶπε Συλλάβετε αὐτοὺς ζῶντας· καὶ ἔσφαξαν 14
αὐτοὺς εἰς Βαιθακὰθ τεσσαράκοντα καὶ δύο ἄνδρας· οὐ κατέλιπεν ἄνδρα ἐξ
αὐτῶν. [15] καὶ ἐπορεύθη ἐκεῖθεν καὶ εὗρε τὸν Ἰωναδὰβ υἱὸν Ῥηχὰβ εἰς ἀπαν- 15
τὴν αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν· καὶ εἶπε πρὸς αὐτὸν Ἰού Εἰ ἔστι καρδία
σοῦ μετὰ καρδίας μοῦ εὐθεῖα καθὼς ἡ καρδία μοῦ μετὰ τῆς καρδίας σοῦ;
καὶ εἶπεν Ἰωναδάβ Ἔστιν· καὶ εἶπεν Ἰού Καὶ εἰ ἔστι, δὸς τὴν χεῖρά σου·
καὶ ἔδωκε τὴν χεῖρα αὐτοῦ· καὶ ἀνεβίβασεν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα,

---

X. 1. ιηου ... om και post σαμαρειας ... om προς extr. 2. om και sec. ... και αι πολεις 3. και ευθην ... om και post υμων ... καταστησατε 4. σφοδρα σφοδρα ... ημεις αυτοι 5. οι απο τ. οικ. κ. απο της ... ιηου ... ημεις αυτοι 6. om ιου ... om των υιων ... εις ιεζραελ 7. om αυτους post εσφαξαν ... εν ιεζραελ 8. πολεως pro πυλης 9. εν πρωια ... υμιν pro υμεις 10. ου ποιησαι απο ... ο τι pro οὗ 11. ιηου παντ. τ. εν τω οικω αχ. καταλειφθεντας εν τω ιεζραελ ... γνωστας ... καταλειπιν αυτου καταλιμμα 12. post ανεστη add και ηλθεν ... σαμαριαν ... βαιθακαδ 13. ιηου ... Οι αδελφοι 14. ζωντας· και συνελαβοντο αυτους ζωντας και ... βαιθακαδ ... τεσσερακοντα δυο 15. απαντησιν ... ιηου Ει ε. μετα σου καρδια σου ευθεια καθως ... κ. ειπ. ιηου Ει εστιν ... om αυτον

Digitized by Google

16 16 καὶ εἶπε πρὸς αὐτόν Δεῦρο μετ' ἐμοῦ καὶ ἴδε ἐν τῷ ζηλῶσαί με τῷ κυρίῳ·
17 καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ ἅρματι αὐτοῦ. 17 καὶ εἰςῆλθεν εἰς Σαμάρειαν,
καὶ ἐπάταξε πάντας τοὺς καταλειφθέντας τοῦ Ἀχαὰβ ἐν Σαμαρείᾳ ἕως τοῦ
18 ἀφανίσαι αὐτὸν κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησε πρὸς Ἠλιού. 18 καὶ συνή-
θροισεν Ἰοὺ πάντα τὸν λαὸν καὶ εἶπε πρὸς αὐτούς Ἀχαὰβ ἐδούλευσε τῷ Βάαλ
19 ὀλίγα, Ἰοὺ δουλεύσει αὐτῷ πολλά. 19 καὶ νῦν πάντες οἱ προφῆται τοῦ Βάαλ
πάντας τοὺς δούλους αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ καλέσατε πρός μέ, ἀνὴρ μὴ
ἐπισκεπήτω, ὅτι θυσία μεγάλη μοι τῷ Βάαλ· πᾶς ὃς ἐὰν ἐπισκεπῇ οὐ ζήσε-
ται. καὶ Ἰοὺ ἐποίησεν ἐν πτερνισμῷ ἵν' ἀπολέσῃ τοὺς δούλους τοῦ Βάαλ.
20 21 20 καὶ εἶπεν Ἰού Ἁγιάσατε ἱερείαν τῷ Βάαλ· καὶ ἐκήρυξαν. 21 καὶ ἀπέστειλεν
Ἰοὺ ἐν παντὶ Ἰσραὴλ λέγων Καὶ νῦν πάντες οἱ δοῦλοι καὶ πάντες οἱ ἱερεῖς
αὐτοῦ καὶ πάντες οἱ προφῆται αὐτοῦ, μηδεὶς ἀπολιπέσθω, ὅτι θυσίαν μεγά-
λην ποιῶ· ὃς ἂν ἀπολειφθῇ οὐ ζήσεται. καὶ ἦλθον πάντες οἱ δοῦλοι τοῦ Βάαλ
καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ καὶ πάντες οἱ προφῆται αὐτοῦ· οὐ κατελείφθη
ἀνὴρ ὃς οὐ παρεγένετο· καὶ εἰςῆλθον εἰς τὸν οἶκον τοῦ Βάαλ, καὶ ἐπλήσθη
22 ὁ οἶκος τοῦ Βάαλ στόμα εἰς στόμα. 22 καὶ εἶπε τῷ ἐπὶ τοῦ οἴκου μεσθάαλ
Ἐξάγαγε ἔνδυμα πᾶσι τοῖς δούλοις τοῦ Βάαλ· καὶ ἐξήνεγκεν αὐτοῖς ὁ στο-
23 λιστής. 23 καὶ εἰςῆλθεν Ἰοὺ καὶ Ἰωναδὰβ υἱὸς Ῥηχὰβ εἰς οἶκον τοῦ Βάαλ,
καὶ εἶπε τοῖς δούλοις τοῦ Βάαλ Ἐρευνήσατε καὶ ἴδετε, εἰ ἔστι μεθ' ὑμῶν
24 τῶν δούλων κυρίου ὅτι ἀλλ' ἢ οἱ δοῦλοι τοῦ Βάαλ μονώτατοι. 24 καὶ εἰςῆλθε
τοῦ ποιῆσαι τὰ θύματα καὶ τὰ ὁλοκαυτώματα· καὶ Ἰοὺ ἔταξεν ἑαυτῷ ἔξω
ὀγδοήκοντα ἄνδρας καὶ εἶπεν Ἀνὴρ ὃς ἐὰν διασωθῇ ἀπὸ τῶν ἀνδρῶν ὧν ἐγὼ
25 ἀνάγω ἐπὶ χεῖρα ὑμῶν, ἡ ψυχὴ αὐτοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ. 25 καὶ ἐγένετο
ὡς συνετέλεσε ποιῶν τὴν ὁλοκαύτωσιν, καὶ εἶπεν Ἰοὺ τοῖς παρατρέχουσι καὶ
τοῖς τριστάταις Εἰςελθόντες πατάξατε αὐτούς, μὴ ἐξελθάτω ἐξ αὐτῶν ἀνήρ·
καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας, καὶ ἔρριψαν οἱ παρατρέχοντες καὶ
26 οἱ τριστάται, καὶ ἐπορεύθησαν ἕως πόλεως οἴκου τοῦ Βάαλ. 26 καὶ ἐξήνεγκαν
27 τὴν στήλην τοῦ Βάαλ καὶ ἐνέπρησαν αὐτήν. 27 καὶ κατέσπασαν τὰς στήλας
28 τοῦ Βάαλ, καὶ ἔταξαν αὐτὸν εἰς λυτρῶνα ἕως τῆς ἡμέρας ταύτης. 28 καὶ ἠφά-
29 νισεν Ἰοὺ τὸν Βάαλ ἐξ Ἰσραήλ. 29 πλὴν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς
ἐξήμαρτε τὸν Ἰσραήλ, οὐκ ἀπέστη Ἰοὺ ἀπὸ ὄπισθεν αὐτῶν, αἱ δαμάλεις αἱ
30 χρυσαῖ ἐν Βαιθὴλ καὶ ἐν Δάν. 30 καὶ εἶπε κύριος πρὸς Ἰού Ἀνθ' ὧν ὅσα ἠγά-
θυνας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου κατὰ πάντα ὅσα ἐν τῇ καρδίᾳ
μου ἐποίησας τῷ οἴκῳ Ἀχαάβ, υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ θρόνου Ἰσραήλ.
31 31 καὶ Ἰοὺ οὐκ ἐφύλαξε πορεύεσθαι ἐν νόμῳ κυρίου θεοῦ Ἰσραὴλ ἐν ὅλῃ καρ-
δίᾳ αὐτοῦ, οὐκ ἀπέστη ἀπάνωθεν ἁμαρτιῶν Ἱεροβοὰμ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.
32 32 ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύριος συγκόπτειν ἐν τῷ Ἰσραήλ, καὶ ἐπά-
33 ταξεν αὐτοὺς Ἀζαὴλ ἐν παντὶ ὁρίῳ Ἰσραήλ, 33 ἀπὸ τοῦ Ἰορδάνου κατ' ἀνα-
τολὰς ἡλίου πᾶσαν τὴν γῆν Γαλαὰδ τοῦ Γαδδὶ καὶ τοῦ Ῥουβὴν καὶ τοῦ
Μανασσῆ, ἀπὸ Ἀροὴρ ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάρρου Ἀρνῶν, καὶ τὴν Γα-
34 λαὰδ καὶ τὴν Βασάν. 34 καὶ τὰ λοιπὰ τῶν λόγων Ἰοὺ καὶ πάντα ὅσα ἐποίησε

---

17. σαμαριαν 18. και εζηλωσεν ιηου ... ιηου 19. om πας ... ος αν ... ιηου ... ινα 20. ιηου 21. ιηου ... om λεγων Και usque ου ζησεται ... om κ. παντ. οι ιερεις α. κ. π. οι προφ. α. 22. κ. ειπ. ιηου τοις επι του μισθααλ Εξαγαγετε .. απασιν 23. ιηου ... a Βααλ ad Βααλ transilit ... εστ. ωδε μεθ 24. τα θυμιαματα ... ιηου ... εξω οκτω ανδρας ... ος αν ... επι χιρας 25. ιηου ... ανηρ μη εξελθετω εξ αυτων· κ. επαταξεν ... βασιλεως pro Βααλ 26. τ. στολην οικου του 27. post βααλ add και καθειλον τον οικον του βααλ ... λυτρωνας 28. ιηου (non v. 29.) 29. των αμαρτιων ... om απο ... αι εν βαιθηλ 30. ιηου 31. ιηου ... επανωθεν 32. εν παντι οριω ισραηλ pro εν τω ισρ. 33. γαλααδ του γαλααδδει ... του χειμαρρ. 34. ιηου

Digitized by Google

καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ καὶ τὰς συνάψεις ἃς συνῆψεν, οὐχὶ ταῦτα γε-
γραμμένα ἐπὶ βιβλίου λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; [35] καὶ ἐκοι- 35
μήθη Ἰοὺ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν Σαμαρείᾳ· καὶ
ἐβασίλευσεν Ἰωάχαζ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. [36] καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσεν 36
Ἰοὺ ἐπὶ Ἰσραὴλ εἰκοσιοκτὼ ἔτη ἐν Σαμαρείᾳ.

## XI.

Καὶ Γοθολία ἡ μήτηρ Ὀχοζίου εἶδεν ὅτι ἀπέθανεν ὁ υἱὸς αὐτῆς, καὶ
ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας. [2] καὶ ἔλαβεν Ἰωσαβεὲ θυγάτηρ τοῦ 2
βασιλέως Ἰωρὰμ ἀδελφὴ Ὀχοζίου τὸν Ἰωὰς υἱὸν ἀδελφοῦ αὐτῆς, καὶ ἔκλε-
ψεν αὐτὸν ἐκ μέσου τῶν υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, αὐτὸν καὶ
τὴν τροφὸν αὐτοῦ ἐν τῷ ταμείῳ τῶν κλινῶν, καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώ-
που Γοθολίας καὶ οὐκ ἐθανατώθη. [3] καὶ ἦν μετ᾽ αὐτῆς κρυβόμενος ἐν οἴκῳ 3
κυρίου ἓξ ἔτη· καὶ Γοθολία βασιλεύουσα ἐπὶ τῆς γῆς. [4] καὶ ἐν τῷ ἔτει τῷ 4
ἑβδόμῳ ἀπέστειλεν Ἰωδαὲ καὶ ἔλαβε τοὺς ἑκατοντάρχους τῶν Χοῤῥὶ καὶ τῶν
Ῥασὶμ καὶ ἀπήγαγεν αὐτοὺς πρὸς αὐτὸν εἰς οἶκον κυρίου, καὶ διέθετο αὐ-
τοῖς διαθήκην κυρίου καὶ ὥρκωσε. καὶ ἔδειξεν αὐτοῖς Ἰωδαὲ τὸν υἱὸν τοῦ
βασιλέως, [5] καὶ ἐνετείλατο αὐτοῖς λέγων Οὗτος ὁ λόγος ὃν ποιήσετε· τὸ τρί- 5
τον ἐξ ὑμῶν εἰσελθέτω τὸ σάββατον καὶ φυλάξατε φυλακὴν οἴκου τοῦ βασι-
λέως ἐν τῷ πυλῶνι, [6] καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῶν ὁδῶν, καὶ τὸ τρίτον τῆς 6
πύλης ὀπίσω τῶν παρατρεχόντων, καὶ φυλάξατε τὴν φυλακὴν τοῦ οἴκου. [7] καὶ 7
δύο χεῖρες ἐν ὑμῖν, πᾶς ὁ ἐκπορευόμενος τὸ σάββατον, καὶ φυλάξουσι τὴν
φυλακὴν οἴκου κυρίου πρὸς τὸν βασιλέα. [8] καὶ κυκλώσατε ἐπὶ τὸν βασιλέα 8
κύκλῳ ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπορευόμενος εἰς τὰς
σαδηρὼθ ἀποθανεῖται· καὶ ἔσονται μετὰ τοῦ βασιλέως ἐν τῷ ἐκπορεύεσθαι
αὐτὸν καὶ ἐν τῷ εἰσπορεύεσθαι αὐτόν. [9] καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι πάντα 9
ὅσα ἐνετείλατο Ἰωδαὲ ὁ συνετός· καὶ ἔλαβεν ἀνὴρ τοὺς ἄνδρας αὐτοῦ καὶ
τοὺς εἰσπορευομένους τὸ σάββατον μετὰ τῶν ἐκπορευομένων τὸ σάββατον, καὶ
εἰσῆλθον πρὸς Ἰωδαὲ τὸν ἱερέα. [10] καὶ ἔδωκεν ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις 10
τοὺς σειρομάστας καὶ τοὺς τρισσοὺς τοῦ βασιλέως Δαυὶδ τοὺς ἐν οἴκῳ κυ-
ρίου. [11] καὶ ἔστησαν οἱ παρατρέχοντες ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν τῇ χειρὶ 11
αὐτοῦ ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς
εὐωνύμου τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ. [12] καὶ ἐξα- 12
πέστειλε τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἔδωκεν ἐπ᾽ αὐτὸν νεζὲρ καὶ τὸ μαρτύ-
ριον, καὶ ἐβασίλευσεν αὐτὸν καὶ ἔχρισεν αὐτόν· καὶ ἐκρότησαν τῇ χειρὶ καὶ
εἶπαν Ζήτω ὁ βασιλεύς. [13] καὶ ἤκουσε Γοθολία τὴν φωνὴν τῶν τρεχόντων 13
τοῦ λαοῦ, καὶ εἰσῆλθε πρὸς τὸν λαὸν εἰς οἶκον κυρίου. [14] καὶ εἶδε, καὶ ἰδοὺ 14
ὁ βασιλεὺς εἱστήκει ἐπὶ τοῦ στύλου κατὰ τὸ κρίμα, καὶ οἱ ᾠδοὶ καὶ αἱ σάλ-
πιγγες πρὸς τὸν βασιλέα, καὶ πᾶς ὁ λαὸς τῆς γῆς χαίρων καὶ σαλπίζων ἐν
σάλπιγξι· καὶ διέῤῥηξε Γοθολία τὰ ἱμάτια ἑαυτῆς, καὶ ἐβόησε Σύνδεσμος σύν-
δεσμος. [15] καὶ ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοῖς ἐπισκόποις 15
τῆς δυνάμεως καὶ εἶπε πρὸς αὐτούς Ἐξαγάγετε αὐτὴν ἔσωθεν τῶν σαδηρώθ·

---

34. δυναστια ... ουχ ιδου 35. ιηου 36. ιηου ... σαμαρια XI. 1. απεθαναν οι υιοι 2. ιωραμ υιον οχοζ. τ. ι. υιον αζια, και ... ταμιειω 3. εν οικ. κυρ. κρυβ. 4. εν ετει ... ιωιαδαε ... τον χορρει κ. τον ρασειμ ... om προς αυτον ... διαθ. κυρ. κ. ωρκισεν αυτους εν τη διαθηκη κυριου ... ιωιαδαε (5. εποιησετε) 6. εν πυλη ... om και extr. 7. om το σαββατον 8. *προς pro επι ... κυκλω· ανηρ (ita disting., ed. rom. κυκλω ανηρ.) ... εγενετο pro εσονται 9. ιωαδαε bis ... επηλθεν 11. ανεστησαν ... εν χειρι ... om της δεξ. εως τ. ωμ. τ. οικου 12. το εζερ ... και εκρατησεν τη χ. και ειπεν 14. ιστηκει 15. ιωαδαε ... την σαδηρωθ·

Digitized by Google

ὁ εἰςπορευόμενος ὀπίσω αὐτῆς θανάτῳ θανατωθήσεται ἐν ῥομφαίᾳ· ὅτι εἶπεν
16 ὁ ἱερεύς Καὶ μὴ ἀποθάνῃ ἐν οἴκῳ κυρίου. [16]καὶ ἐπέθηκαν αὐτῇ χεῖρας, καὶ
εἰςῆλθον ὁδὸν εἰςόδου τῶν ἵππων οἴκου τοῦ βασιλέως, καὶ ἀπέθανεν ἐκεῖ.
17 [17]καὶ διέθετο Ἰωδαὲ διαθήκην ἀνὰ μέσον κυρίου καὶ ἀνὰ μέσον τοῦ βασι-
λέως καὶ ἀνὰ μέσον τοῦ λαοῦ τοῦ εἶναι εἰς λαὸν τῷ κυρίῳ, καὶ ἀνὰ μέσον
18 τοῦ βασιλέως καὶ ἀνὰ μέσον τοῦ λαοῦ. [18]καὶ εἰςῆλθε πᾶς ὁ λαὸς τῆς γῆς
εἰς οἶκον τοῦ Βάαλ καὶ κατέσπασαν αὐτόν, καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰς
εἰκόνας αὐτοῦ συνέτριψαν ἀγαθῶς, καὶ τὸν Μαθὰν τὸν ἱερέα τοῦ Βάαλ ἀπέκτει-
ναν κατὰ πρόςωπον τῶν θυσιαστηρίων· καὶ ἔθηκεν ὁ ἱερεὺς ἐπισκόπους εἰς
19 τὸν οἶκον κυρίου. [19]καὶ ἔλαβε τοὺς ἑκατοντάρχους καὶ τὸν Χορρὶ καὶ τὸν Ῥασὶμ
καὶ πάντα τὸν λαὸν τῆς γῆς, καὶ κατήγαγον τὸν βασιλέα ἐξ οἴκου κυρίου,
καὶ εἰςῆλθον ὁδὸν πύλης τῶν παρατρεχόντων οἴκου τοῦ βασιλέως, καὶ ἐκά-
20 θισαν αὐτὸν ἐπὶ θρόνου τῶν βασιλέων. [20]καὶ ἐχάρη πᾶς ὁ λαὸς τῆς γῆς, καὶ
ἡ πόλις ἡσύχασε· καὶ τὴν Γοθολίαν ἐθανάτωσαν ἐν ῥομφαίᾳ ἐν οἴκῳ τοῦ
21 βασιλέως. [21]υἱὸς ἑπτὰ ἐτῶν Ἰωὰς ἐν τῷ βασιλεύειν αὐτόν.

## XII.

Ἐν ἔτει ἑβδόμῳ τῷ Ἰοὺ ἐβασίλευσεν Ἰωάς, καὶ τεσσαράκοντα ἔτη ἐβα-
σίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαβιὰ ἐκ τῆς Βηρσα-
2 βεέ. [2]καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον κυρίου πάσας τὰς ἡμέρας ἃς
3 ἐφώτισεν αὐτὸν Ἰωδαὲ ὁ ἱερεύς. [3]πλὴν τῶν ὑψηλῶν οὐ μετεστάθησαν, καὶ
4 ἐκεῖ ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. [4]καὶ εἶπεν Ἰωὰς πρὸς
τοὺς ἱερεῖς Πᾶν τὸ ἀργύριον τῶν ἁγίων τὸ εἰςοδιαζόμενον ἐν τῷ οἴκῳ κυρίου
ἀργύριον συντιμήσεως, ἀνὴρ ἀργύριον λαβὼν συντιμήσεως, πᾶν ἀργύριον ὃ ἐὰν
5 ἀναβῇ ἐπὶ καρδίαν ἀνδρὸς ἐνεγκεῖν ἐν οἴκῳ κυρίου, [5]λαβέτωσαν ἑαυτοῖς οἱ
ἱερεῖς ἀνὴρ ἀπὸ τῆς πράσεως αὐτοῦ, καὶ αὐτοὶ κρατήσουσι τὸ βεδὲκ τοῦ οἴ-
6 κου εἰς πάντα οὗ ἐὰν εὑρεθῇ ἐκεῖ βεδέκ. [6]καὶ ἐγενήθη ἐν τῷ εἰκοστῷ καὶ
τρίτῳ ἔτει τῷ βασιλεῖ Ἰωὰς οὐκ ἐκραταίωσαν οἱ ἱερεῖς τὸ βεδὲκ τοῦ οἴκου.
7 [7]καὶ ἐκάλεσεν Ἰωὰς ὁ βασιλεὺς Ἰωδαὲ τὸν ἱερέα καὶ τοὺς ἱερεῖς, καὶ εἶπε
πρὸς αὐτούς Τί ὅτι οὐκ ἐκραταιοῦτε τὸ βεδὲκ τοῦ οἴκου; καὶ νῦν μὴ λάβητε
ἀργύριον ἀπὸ τῶν πράσεων ὑμῶν, ὅτι εἰς τὸ βεδὲκ τοῦ οἴκου δώσετε αὐτό.
8 [8]καὶ συνεφώνησαν οἱ ἱερεῖς τοῦ μὴ λαβεῖν ἀργύριον παρὰ τοῦ λαοῦ καὶ τοῦ
9 μὴ ἐνισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου. [9]καὶ ἔλαβεν Ἰωδαὲ ὁ ἱερεὺς κιβωτὸν μίαν,
καὶ ἔτρησε τρώγλην ἐπὶ τῆς σανίδος αὐτῆς, καὶ ἔδωκεν αὐτὴν παρὰ Ἀμμα-
ζειβὶ ἐν τῷ οἴκῳ ἀνδρὸς οἴκου κυρίου· καὶ ἔδωκαν οἱ ἱερεῖς οἱ φυλάσσοντες
10 τὸν σταθμὸν πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. [10]καὶ ἐγένετο ὡς
εἶδον ὅτι πολὺ τὸ ἀργύριον ἐν τῇ κιβωτῷ, καὶ ἀνέβη ὁ γραμματεὺς τοῦ βα-
σιλέως καὶ ὁ ἱερεὺς ὁ μέγας, καὶ ἔσφιγξαν καὶ ἠρίθμησαν τὸ ἀργύριον τὸ
11 εὑρεθὲν ἐν οἴκῳ κυρίου. [11]καὶ ἔδωκαν τὸ ἀργύριον τὸ ἑτοιμασθὲν ἐπὶ χεῖρας
ποιούντων τὰ ἔργα τῶν ἐπισκόπων οἴκου κυρίου· καὶ ἐξέδοσαν τοῖς τέκτοσι
12 τῶν ξύλων καὶ τοῖς οἰκοδόμοις τοῖς ποιοῦσιν ἐν οἴκῳ κυρίου [12]καὶ τοῖς τει-
χισταῖς καὶ τοῖς λατόμοις τῶν λίθων τοῦ κτήσασθαι ξύλα καὶ λίθους λατο-

---

15. και ο ε. ο. αυτ. θανατωθησ. ρομφαια ... Και ει μη 16. ** εισηλθαν 17. ιωαδαε 18. τον μαχαν 19. χορει ... ρασρειμ ... εισηλθεν ... εκαθισεν 21. om αυτον XII. 1. του ιηου ... τεσσεραχοντα ... αβια 2. ιωαδαε 4. εν οικω κυρ. αργ. παρεχομενον ανηρ ψηφω ψυχων συντιμησεως· ανηρ· παν αργυριον ο εαν 5. λαβετ. αυτοις ... πραξεως αυτων ... κρατησωσιν του βεδεκ 7. ο βασιλ. ιωας ιωιαδαε ... μη λαβετε 9. ιωαδαε ... τρωγλην εν τη τρωγλη αυτης ... παρα αμμασβη ... in f. add κυριω 10. ως ιδεν αυτον (lege ιδον αυτοι?) οτι 11. των ποιουντων τ. ε. τ. επισκευων ... εδοξασαν pro εξεδοσαν 12. post τειχισταις add και τοις τεχνειταις

Digitized by Google

μητοὺς τοῦ κατασχεῖν τὸ βεδὲκ οἴκου κυρίου, εἰς πάντα ὅσα ἐξωδιάσθη ἐπὶ
τὸν οἶκον τοῦ κραταιῶσαι. [13] πλὴν οὐ ποιηθήσονται οἴκῳ κυρίου θύραι ἀργυ- 13
ραῖ, ἧλοι, φιάλαι καὶ σάλπιγγες, πᾶν σκεῦος χρυσοῦν καὶ σκεῦος ἀργυροῦν ἐκ
τοῦ ἀργυρίου τοῦ εἰσενεχθέντος ἐν οἴκῳ κυρίου, [14] ὅτι τοῖς ποιοῦσι τὰ ἔργα 14
δώσουσιν αὐτό· καὶ ἐκραταίωσαν ἐν αὐτῷ τὸν οἶκον κυρίου. [15] καὶ οὐκ ἐξε- 15
λογίζοντο τοὺς ἄνδρας οἷς ἐδίδουν τὸ ἀργύριον ἐπὶ χεῖρας αὐτῶν δοῦναι τοῖς
ποιοῦσι τὰ ἔργα, ὅτι ἐν πίστει αὐτῶν ποιοῦσιν. [16] ἀργύριον περὶ ἁμαρτίας 16
καὶ ἀργύριον περὶ πλημμελείας, ὅ τι εἰσηνέχθη ἐν οἴκῳ κυρίου, τοῖς ἱερεῦσιν
ἐγένετο. [17] τότε ἀνέβη Ἀζαὴλ βασιλεὺς Συρίας καὶ ἐπολέμησεν ἐπὶ Γέθ, καὶ 17
προκατελάβετο αὐτήν. καὶ ἔταξεν Ἀζαὴλ τὸ πρόσωπον αὐτοῦ ἀναβῆναι ἐπὶ
Ἱερουσαλήμ. [18] καὶ ἔλαβεν Ἰωὰς βασιλεὺς Ἰούδα πάντα τὰ ἅγια ὅσα ἡγία- 18
σεν Ἰωσαφὰτ καὶ Ἰωρὰμ καὶ Ὀχοζίας, οἱ πατέρες αὐτοῦ καὶ βασιλεῖς Ἰούδα,
καὶ τὰ ἅγια αὐτοῦ καὶ πᾶν τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου κυρίου
καὶ οἴκου τοῦ βασιλέως, καὶ ἀπέστειλε τῷ Ἀζαὴλ βασιλεῖ Συρίας, καὶ ἀνέβη
ἀπὸ Ἱερουσαλήμ. [19] καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωὰς καὶ πάντα ὅσα ἐποίησεν, 19
οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν
Ἰούδα; [20] καὶ ἀνέστησαν οἱ δοῦλοι αὐτοῦ καὶ ἔδησαν πάντα σύνδεσμον, καὶ 20
ἐπάταξαν τὸν Ἰωὰς ἐν οἴκῳ Μαλλὼ τῷ ἐν Σελᾷ. [21] καὶ Ἰεζιρχὰρ υἱὸς Ἰε- 21
μουὰθ καὶ Ἰεζεβοὺθ ὁ υἱὸς αὐτοῦ Σωμὴρ οἱ δοῦλοι αὐτοῦ ἐπάταξαν αὐτὸν
καὶ ἀπέθανε, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ·
καὶ ἐβασίλευσεν Ἀμεσσίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XIII.

Ἐν ἔτει εἰκοστῷ καὶ τρίτῳ ἔτει τῷ Ἰωὰς υἱῷ Ὀχοζίου βασιλεῖ Ἰούδα
ἐβασίλευσεν Ἰωάχαζ υἱὸς Ἰοὺ ἐν Σαμαρείᾳ ἑπτακαίδεκα ἔτη. [2] καὶ ἐποίησε 2
τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, καὶ ἐπορεύθη ὀπίσω ἁμαρτιῶν Ἱεροβοὰμ
υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, οὐκ ἀπέστη ἀπ' αὐτῆς. [3] καὶ ὠργίσθη 3
θυμῷ κύριος ἐν τῷ Ἰσραήλ, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ Ἀζαὴλ βασιλέως Συρίας
καὶ ἐν χειρὶ υἱοῦ Ἅδερ υἱοῦ Ἀζαὴλ πάσας τὰς ἡμέρας. [4] καὶ ἐδεήθη Ἰωάχαζ 4
τοῦ προσώπου κυρίου, καὶ ἐπήκουσεν αὐτοῦ κύριος, ὅτι εἶδε τὴν θλῖψιν Ἰσραήλ,
ὅτι ἔθλιψεν αὐτοὺς βασιλεὺς Συρίας. [5] καὶ ἔδωκε κύριος σωτηρίαν τῷ Ἰσραήλ, 5
καὶ ἐξῆλθεν ὑποκάτωθεν χειρὸς Συρίας· καὶ ἐκάθισαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τοῖς
σκηνώμασιν αὐτῶν καθὼς ἐχθὲς καὶ τρίτης. [6] πλὴν οὐκ ἀπέστησαν ἀπὸ ἁμαρ- 6
τιῶν οἴκου Ἱεροβοὰμ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐν αὐτῇ ἐπορεύθη· καί γε τὸ
ἄλσος ἐστάθη ἐν Σαμαρείᾳ. [7] ὅτι οὐχ ὑπελείφθη τῷ Ἰωάχαζ λαὸς ἀλλ' ἢ 7
πεντήκοντα ἱππεῖς καὶ δέκα ἅρματα καὶ δέκα χιλιάδες πεζῶν, ὅτι ἀπώλεσεν
αὐτοὺς βασιλεὺς Συρίας, καὶ ἔθεντο αὐτοὺς ὡς χοῦν εἰς καταπάτησιν. [8] καὶ 8
τὰ λοιπὰ τῶν λόγων Ἰωάχαζ καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ δυναστεῖαι αὐ-
τοῦ, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν
Ἰσραήλ; [9] καὶ ἐκοιμήθη Ἰωάχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐ- 9
τὸν ἐν Σαμαρείᾳ· καὶ ἐβασίλευσεν Ἰωὰς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [10] ἐν ἔτει 10
τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῷ Ἰωὰς βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωὰς υἱὸς

---

12. τον βεδεκ 13. ποιηθησεται οικου 15. εδιδου αργυριον 16. om αργυριον alterum ... ο τι ουκ εισηνεχθη 17. πορευθηναι pro αναβηναι 18. αργιον (lege αργυριον) pro χρυσιον 19. ουχ ιδου ... επι βιβλιου 20. μααλω τον καταμενοντα γαλααδ 21. ιωζαχαρ ... υιος pro ο υιος ... ωσσωμηρ ... αμεσιας XIII. 1. τριτω ιωας υιου οχ. βασιλεως ... ιηου επι ισραηλ εν σαμαρια 2. το πονηριον ... απ αυτων 6. απο αμαρτιας ... ιεροβοαμ υιου ναβατ ... εν αυταις επορευθησαν (... και τε το αλσ. ο ενσταθη) (7. χιλιαδας) 8. δυναστιαι (v. 12. δυναστειαι) ... ουχ ιδου ... επι βιβλιου 9. αυτον μετα των πατερων αυτου εν 10. om ετει secundum

Digitized by Google

11 Ἰωάχαζ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἑκκαίδεκα ἔτη. [11] καὶ ἐποίησε τὸ πονηρὸν
ἐν ὀφθαλμοῖς κυρίου· οὐκ ἀπέστη ἀπὸ πάσης Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ἁμαρ-
12 τίας ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐν αὐτῇ ἐπορεύθη. [12] καὶ τὰ λοιπὰ τῶν λόγων
Ἰωὰς καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ δυναστεῖαι αὐτοῦ ἃς ἐποίησε μετὰ Ἀμεσ-
σίου βασιλέως Ἰούδα, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν
13 τοῖς βασιλεῦσιν Ἰσραήλ; [13] καὶ ἐκοιμήθη Ἰωὰς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ
Ἱεροβοὰμ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐτάφη ἐν Σαμαρείᾳ μετὰ τῶν
14 βασιλέων Ἰσραήλ. [14] καὶ Ἐλισαιὲ ἠῤῥώστησε τὴν ἀῤῥωστίαν αὐτοῦ δι' ἣν ἀπέ-
θανε· καὶ κατέβη πρὸς αὐτὸν Ἰωὰς βασιλεὺς Ἰσραὴλ καὶ ἔκλαυσεν ἐπὶ πρόσ-
15 ωπον αὐτοῦ καὶ εἶπεν Πάτερ πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ. [15] καὶ
εἶπεν αὐτῷ Ἐλισαιὲ Λάβε τόξον καὶ βέλη· καὶ ἔλαβε πρὸς ἑαυτὸν τόξον καὶ
16 βέλη. [16] καὶ εἶπε τῷ βασιλεῖ Ἐπιβίβασον τὴν χεῖρά σου ἐπὶ τὸ τόξον· καὶ
ἐπεβίβασεν Ἰωὰς τὴν χεῖρα αὐτοῦ, καὶ ἐπέθηκεν Ἐλισαιὲ τὰς χεῖρας αὐτοῦ
17 ἐπὶ τὰς χεῖρας τοῦ βασιλέως [17] καὶ εἶπεν Ἄνοιξον τὴν θυρίδα κατ' ἀνατολάς·
καὶ ἤνοιξε. καὶ εἶπεν Ἐλισαιὲ Τόξευσον· καὶ ἐτόξευσε. καὶ εἶπε Βέλος σω-
τηρίας τῷ κυρίῳ καὶ βέλος σωτηρίας ἐν Συρίᾳ, καὶ πατάξεις τὴν Συρίαν ἐν
18 Ἀφὲκ ἕως συντελείας. [18] καὶ εἶπεν αὐτῷ Ἐλισαιὲ Λάβε τόξα· καὶ ἔλαβε. καὶ
εἶπε τῷ βασιλεῖ Ἰσραὴλ Πάταξον εἰς τὴν γῆν· καὶ ἐπάταξεν ὁ βασιλεὺς τρὶς
19 καὶ ἔστη. [19] καὶ ἐλυπήθη ἐπ' αὐτῷ ὁ ἄνθρωπος τοῦ θεοῦ καὶ εἶπεν Εἰ ἐπά-
ταξας πεντάκις ἢ ἑξάκις, τότε ἂν ἐπάταξας τὴν Συρίαν ἕως συντελείας, καὶ
20 νῦν τρὶς πατάξεις τὴν Συρίαν. [20] καὶ ἀπέθανεν Ἐλισαιέ, καὶ ἔθαψαν αὐτόν·
21 καὶ μονόζωνοι Μωὰβ ἦλθον ἐν τῇ γῇ ἐλθόντος τοῦ ἐνιαυτοῦ. [21] καὶ ἐγένετο
αὐτῶν θαπτόντων τὸν ἄνδρα, καὶ ἰδοὺ εἶδον τὸν μονόζωνον, καὶ ἔῤῥιψαν τὸν
ἄνδρα ἐν τῷ τάφῳ Ἐλισαιέ· καὶ ἐπορεύθη καὶ ἥψατο τῶν ὀστέων Ἐλισαιέ,
22 καὶ ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ. [22] καὶ Ἀζαὴλ ἐξέθλιψε τὸν Ἰσραὴλ
23 πάσας τὰς ἡμέρας Ἰωάχαζ. [23] καὶ ἠλέησε κύριος αὐτοὺς καὶ ᾠκτείρησεν αὐ-
τούς, καὶ ἐπέβλεψεν ἐπ' αὐτοὺς διὰ τὴν διαθήκην αὐτοῦ τὴν μετὰ Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι αὐτούς, καὶ οὐκ
24 ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ. [24] καὶ ἀπέθανεν Ἀζαὴλ βασιλεὺς
25 Συρίας, καὶ ἐβασίλευσεν υἱὸς Ἄδερ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [25] καὶ ἐπέστρεψεν
Ἰωὰς υἱὸς Ἰωάχαζ καὶ ἔλαβε τὰς πόλεις ἐκ χειρὸς υἱοῦ Ἄδερ υἱοῦ Ἀζαήλ,
ἃς ἔλαβεν ἐκ χειρὸς Ἰωάχαζ τοῦ πατρὸς αὐτοῦ ἐν τῷ πολέμῳ· τρὶς ἐπάταξεν
αὐτὸν Ἰωὰς καὶ ἐπέστρεψε τὰς πόλεις Ἰσραήλ.

## XIV.

Ἐν ἔτει δευτέρῳ τῷ Ἰωὰς υἱῷ Ἰωάχαζ βασιλεῖ Ἰσραὴλ καὶ ἐβασίλευ-
2 σεν Ἀμεσσίας υἱὸς Ἰωὰς βασιλεὺς Ἰούδα. [2] υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν
τῷ βασιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ,
3 καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἰωαδὶμ ἐξ Ἱερουσαλήμ. [3] καὶ ἐποίησε τὸ εὐθὲς
ἐν ὀφθαλμοῖς κυρίου, πλὴν οὐχ ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ· κατὰ πάντα ὅσα
4 ἐποίησεν Ἰωὰς ὁ πατὴρ αὐτοῦ ἐποίησεν. [4] πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν· ἔτι ὁ
5 λαὸς ἐθυσίαζεν καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. [5] καὶ ἐγένετο ὅτε κατίσχυσεν
ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐπάταξε τοὺς δούλους αὐτοῦ τοὺς πατάξαντας

---

10. om επι ισραηλ ... σαμαρια 11. αμαρτιας pon. post πασης ... εν αυταις 12. αμεσιου ... επι βιβλιου 13. εταφη ιωας εν 14. ελισσαιε 15. ελισσαιε ... προς αυτον 16. βασιλει ισραηλ ... επι τοξον ... τ. χ. αυτου επι το τοξον ... ελισσαιε την χειρα αυτου 17. ελισσαιε Ροιζησον· και εροιζησεν 18. 20. 21. ελισσαιε 22. αζ. βασιλευς συριας 23. οικτειρησεν ... επεβλ. προς αυτους 24. υιος αζερ 25. απεστρεψεν ... αδαδ pro αδερ XIV. 1. (υιω αχαζ ...) αμασιας 2. εικοσι εννεα ... εβασ. εν ισραηλ (ιηλ pro ιλημ) ... τη μητρι α. ιωαδειν 3. om ο πατηρ prius 4. οτι pro ετι

Digitized by Google

τὸν πατέρα αὐτοῦ. 6 καὶ τοὺς υἱοὺς τῶν παταξάντων οὐκ ἐθανάτωσε, καθὼς 6
γέγραπται ἐν βιβλίῳ νόμων Μωυσῆ, ὡς ἐνετείλατο κύριος λέγων Οὐκ ἀποθα-
νοῦνται πατέρες ὑπὲρ υἱῶν, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ὅτι ἀλλ'
ἢ ἕκαστος ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται. 7 αὐτὸς ἐπάταξε τὴν Ἐδὼμ 7
ἐν Γεμελὲδ δέκα χιλιάδας, καὶ συνέλαβε τὴν πέτραν ἐν τῷ πολέμῳ, καὶ ἐκά-
λεσε τὸ ὄνομα αὐτῆς Ἰεθοὴλ ἕως τῆς ἡμέρας ταύτης. 8 τότε ἀπέστειλεν Ἀμεσ- 8
σίας ἀγγέλους πρὸς Ἰωὰς υἱὸν Ἰωάχαζ υἱοῦ Ἰοὺ βασιλέως Ἰσραὴλ λέγων Δεῦρο
ὀφθῶμεν προσώποις. 9 καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ πρὸς Ἀμεσσίαν 9
βασιλέα Ἰούδα λέγων Ὁ ἄκαν ὁ ἐν τῷ Λιβάνῳ ἀπέστειλε πρὸς τὴν κέδρον
τὴν ἐν τῷ Λιβάνῳ λέγων Δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα·
καὶ διῆλθον τὰ θηρία τοῦ ἀγροῦ τὰ ἐν τῷ Λιβάνῳ καὶ συνεπάτησαν τὴν
ἄκανα. 10 τύπτων ἐπάταξας τὴν Ἰδουμαίαν, καὶ ἐπῆρέ σε καρδία σου· ἐνδο- 10
ξάσθητι καθήμενος ἐν τῷ οἴκῳ σου, καὶ ἵνα τί ἐρίζεις ἐν κακίᾳ σου; καὶ
πεσῇ σὺ καὶ Ἰούδας μετὰ σοῦ. 11 καὶ οὐκ ἤκουσεν Ἀμεσσίας· καὶ ἀνέβη Ἰωὰς 11
βασιλεὺς Ἰσραήλ, καὶ ὤφθησαν προσώποις αὐτὸς καὶ Ἀμεσσίας βασιλεὺς Ἰούδα
ἐν Βαιθσαμὺς τῇ τοῦ Ἰούδα· 12 καὶ ἔπταισεν Ἰούδας ἀπὸ προσώπου Ἰσραήλ, 12
καὶ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. 13 καὶ τὸν Ἀμεσσίαν υἱὸν Ἰωὰς υἱοῦ 13
Ὀχοζίου συνέλαβεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ ἐν Βαιθσαμύς· καὶ ἦλθεν εἰς Ἱερου-
σαλήμ, καὶ καθεῖλεν ἐν τῷ τείχει Ἱερουσαλὴμ ἐν τῇ πύλῃ Ἐφραῒμ ἕως πύ-
λης τῆς γωνίας τετρακοσίους πήχεις. 14 καὶ ἔλαβε τὸ χρυσίον καὶ τὸ ἀργύριον 14
καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ κυρίου καὶ ἐν θησαυροῖς οἴκου τοῦ
βασιλέως καὶ τοὺς υἱοὺς τῶν συμμίξεων, καὶ ἀπέστρεψεν εἰς Σαμάρειαν. 15 καὶ 15
τὰ λοιπὰ τῶν λόγων Ἰωὰς ὅσα ἐποίησεν ἐν δυναστείᾳ αὐτοῦ, ἃ ἐπολέμησε
μετὰ Ἀμεσσίου βασιλέως Ἰούδα, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; 16 καὶ ἐκοιμήθη Ἰωὰς μετὰ τῶν πατέρων 16
αὐτοῦ, καὶ ἐτάφη ἐν Σαμαρείᾳ μετὰ τῶν βασιλέων Ἰσραήλ· καὶ ἐβασίλευσεν
Ἱεροβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 17 καὶ ἔζησεν Ἀμεσσίας υἱὸς Ἰωὰς βασιλεὺς 17
Ἰούδα μετὰ τὸ ἀποθανεῖν Ἰωὰς υἱὸν Ἰωάχαζ βασιλέα Ἰσραὴλ πεντεκαίδεκα
ἔτη. 18 καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμεσσίου καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦτα 18
γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; 19 καὶ συνε- 19
στράφησαν ἐπ' αὐτὸν σύστρεμμα ἐν Ἱερουσαλήμ, καὶ ἔφυγεν εἰς Λαχίς· καὶ
ἀπέστειλαν ὀπίσω αὐτοῦ εἰς Λαχὶς καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ. 20 καὶ ἦραν 20
αὐτὸν ἐφ' ἵππων, καὶ ἐτάφη ἐν Ἱερουσαλὴμ μετὰ τῶν πατέρων αὐτοῦ ἐν
πόλει Δαυίδ. 21 καὶ ἔλαβε πᾶς ὁ λαὸς Ἰούδα τὸν Ἀζαρίαν, καὶ αὐτὸς υἱὸς ἑκ- 21
καίδεκα ἐτῶν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἀμεσσίου. 22 αὐτὸς 22
ᾠκοδόμησε τὴν Αἰλώθ, καὶ ἐπέστρεψεν αὐτὴν τῷ Ἰούδᾳ μετὰ τὸ κοιμηθῆναι
τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ. 23 ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ Ἀμεσ- 23
σίου υἱῷ Ἰωὰς βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς Ἰωὰς ἐπὶ Ἰσραὴλ
ἐν Σαμαρείᾳ τεσσαράκοντα καὶ ἓν ἔτος. 24 καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον 24
κυρίου, οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε
τὸν Ἰσραήλ. 25 αὐτὸς ἀπέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Αἱμὰθ ἕως τῆς 25
θαλάσσης τῆς Ἄραβα, κατὰ τὸ ῥῆμα κυρίου θεοῦ Ἰσραὴλ ὃ ἐλάλησεν ἐν χειρὶ

---

5. τον βασιλεα τον πατ. αυτου 6. εν βιβλω νομω μωση 7. τον εδωμ εν γαιμελα ... ιεχθοηλ 8. αμασιας (... ιας) ... ιηου 9. αμασιαν ... διηλθεν ... αγρου εν τω ... την ακαναν 10. η καρδια ... om και ante ινα 11. αμεσιας ... αμασιας ... βηθσαμυε της ιουδαιας 13. τ. αμεσσιαν βασιλεα ιουδα υιον ιω. υι. ααζια ελαβεν ιω. υιος ιωαχαζ βασ. ισρ. εν βεθσαμυε ... κ. διεκοψεν εν τειχει ... εως της πυλης των γωνιων 15. ουχ ιδου ... εν βιβλιω 16. om πατερων 17. αμεσιας 18. αμεσιου 18. συστρατευμα ... λαχεις bis 21. εξ και δεκα ... εβασιλευσεν αυτος 22. ελωθ ... απεστρεψεν 23. υιου ιωας βασιλεως ... υιος ιωας βασιλεως ισραηλ επι ... τεσσερακοντα 25. ος ελαλησεν

Digitized by Google

26 δούλου αὐτοῦ Ἰωνᾶ υἱοῦ Ἀμαθὶ τοῦ προφήτου τοῦ ἐκ Γεθχοφέρ. [26] ὅτι εἶδε
κύριος τὴν ταπείνωσιν Ἰσραὴλ πικρὰν σφόδρα καὶ ὀλιγοστοὺς συνεχομένους
καὶ ἐσπανισμένους καὶ ἐγκαταλελειμμένους, καὶ οὐκ ἦν ὁ βοηθῶν τῷ Ἰσραήλ.
27 [27] καὶ οὐκ ἐλάλησε κύριος ἐξαλεῖψαι τὸ σπέρμα Ἰσραὴλ ὑποκάτωθεν τοῦ οὐ-
28 ρανοῦ, καὶ ἔσωσεν αὐτοὺς διὰ χειρὸς Ἱεροβοὰμ υἱοῦ Ἰωάς. [28] καὶ τὰ λοιπὰ
τῶν λόγων Ἱεροβοὰμ καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ δυναστεῖαι αὐτοῦ, ὅσα
ἐπολέμησε καὶ ὅσα ἐπέστρεψε τὴν Δαμασκὸν καὶ τὴν Αἱμὰθ τῷ Ἰούδᾳ ἐν
Ἰσραήλ, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦ-
29 σιν Ἰσραήλ; [29] καὶ ἐκοιμήθη Ἱεροβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ μετὰ βασι-
λέων Ἰσραήλ, καὶ ἐβασίλευσε Ζαχαρίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XV.

Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ Ἱεροβοὰμ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν
2 Ἀζαρίας υἱὸς Ἀμεσσίου βασιλέως Ἰούδα. [2] υἱὸς ἑκκαίδεκα ἐτῶν ἦν ἐν τῷ βα-
σιλεύειν αὐτόν, καὶ πεντηκονταδύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα
3 τῇ μητρὶ αὐτοῦ Ἰεχελία ἐξ Ἱερουσαλήμ. [3] καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλ-
4 μοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησεν Ἀμεσσίας ὁ πατὴρ αὐτοῦ. [4] πλὴν τῶν
5 ὑψηλῶν οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. [5] καὶ
ἥψατο κύριος τὸν βασιλέα, καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ,
καὶ ἐβασίλευσεν ἐν οἴκῳ ἀφφουσώθ· καὶ Ἰωάθαμ υἱὸς τοῦ βασιλέως ἐπὶ τῷ
6 οἴκῳ κρίνων τὸν λαὸν τῆς γῆς. [6] καὶ τὰ λοιπὰ τῶν λόγων Ἀζαρίου καὶ πάντα
ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
7 σιλεῦσιν Ἰούδα; [7] καὶ ἐκοιμήθη Ἀζαρίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθα-
ψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ· καὶ ἐβασίλευσεν Ἰωά-
8 θαμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [8] ἐν ἔτει τριακοστῷ καὶ ὀγδόῳ τῷ Ἀζαρίου βα-
σιλεῖ Ἰούδα ἐβασίλευσε Ζαχαρίας υἱὸς Ἱεροβοὰμ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ
9 ἑξάμηνον. [9] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου καθὰ ἐποίησαν οἱ
πατέρες αὐτοῦ, οὐκ ἀπέστη ἀπὸ πασῶν τῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ
10 ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. [10] καὶ συνεστράφησαν ἐπ' αὐτὸν Σελλοὺμ υἱὸς Ἰα-
βίς, καὶ ἐπάταξαν αὐτὸν Κεβλαὰμ καὶ ἐθανάτωσαν αὐτόν, καὶ ἐβασίλευσεν
11 ἀντ' αὐτοῦ. [11] καὶ τὰ λοιπὰ τῶν λόγων Ζαχαρίου ἰδού εἰσι γεγραμμένα ἐπὶ
12 βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ. [12] ὁ λόγος κυρίου ὃν ἐλά-
λησε πρὸς Ἰοὺ λέγων Υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ θρόνου Ἰσραήλ, καὶ
13 ἐγένετο οὕτως. [13] καὶ Σελλοὺμ υἱὸς Ἰαβὶς ἐβασίλευσεν· καὶ ἐν ἔτει τριακοστῷ
καὶ ἐννάτῳ Ἀζαρίᾳ βασιλεῖ Ἰούδα ἐβασίλευσε Σελλοὺμ μῆνα ἡμερῶν ἐν Σα-
14 μαρείᾳ. [14] καὶ ἀνέβη Μαναὴμ υἱὸς Γαδδὶ ἐκ Θαρσιλὰ καὶ ἦλθεν εἰς Σαμά-
ρειαν, καὶ ἐπάταξε τὸν Σελλοὺμ υἱὸν Ἰαβὶς ἐν Σαμαρείᾳ καὶ ἐθανάτωσεν
15 αὐτόν. [15] καὶ τὰ λοιπὰ τῶν λόγων Σελλοὺμ καὶ ἡ συστροφὴ αὐτοῦ ἣ συνε-
στράφη ἰδού εἰσι γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν
16 Ἰσραήλ. [16] τότε ἐπάταξε Μαναὴμ καὶ τὴν Θερσὰ καὶ πάντα τὰ ἐν αὐτῇ καὶ

25. γεθ αχοβερ 26. συγκεχυμενους ... εγκαταλελιμμενους 27. εκ χειρος 28. δυναστιαι 29. εβασιλ. αζαριας υιος αμεσσιου αντι του πατρος αυτου XV. 1. post εβδομω add ετει 2. πεντηκ. και δυο ... om τη ... ιεχεμα 3. αγαθον pro ευθες 4. οτι pro ετι (... ο λαος σου) 5. του βασιλεως ... om αυτου ... ιωαθαν ... κρινειν 6. εν βιβλιω 7. om και εθαψ. usque πατερ. αυτου 8. ογδοω ετει του αζαριου βασιλεως ... αζαριας ... σαμαρια 9. om πασων των 10. υιος αβεις και κεβλααμ και επαταξαν αυτον κατεναντι του λαου κ. εθαν. αυτ. και σελλουμ εβασ. α. α. 11. αζαριου ιδου εστιν γ. ε. βιβλιου 12. ιηου 13. αβεις ... om και alterum ... ενατω του οχοζιου βασιλεως ιουδα εβ. σ. οκτω ημερας 14. υιος γεδδει εκ θερσιλα ... σαμαριαν ... ιαβεις ... in f. add και εβασιλευσεν αντ αυτου 15. ην συνεστραφη ... επι βιβλιου 16. μαναην την θαιρα

Digitized by Google

τὰ ὅρια αὐτῆς ἀπὸ Θερσά, ὅτι οὐκ ἤνοιξαν αὐτῷ· καὶ ἐπάταξεν αὐτήν, καὶ
τὰς ἐν γαστρὶ ἐχούσας ἀνέῤῥηξεν. [17] ἐν ἔτει τριακοστῷ καὶ ἐννάτῳ τῷ Ἀζαρίᾳ 17
βασιλεῖ Ἰούδα ἐβασίλευσε Μαναὴμ υἱὸς Γαδδὶ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ δέκα
ἔτη. [18] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, οὐκ ἀπέστη ἀπὸ πασῶν 18
ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. [19] ἐν ταῖς ἡμέραις 19
αὐτοῦ ἀνέβη Φουὰ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὴν γῆν, καὶ Μαναὴμ ἔδωκε τῷ
Φουᾷ χίλια τάλαντα ἀργυρίου εἶναι τὴν χεῖρα αὐτοῦ μετ' αὐτοῦ. [20] καὶ ἐξήνεγκε 20
Μαναὴμ τὸ ἀργύριον ἐπὶ τὸν Ἰσραὴλ ἐπὶ πᾶν δυνατὸν ἰσχύϊ δοῦναι τῷ βα-
σιλεῖ τῶν Ἀσσυρίων πεντήκοντα σίκλους τῷ ἀνδρὶ τῷ ἑνί· καὶ ἀπέστρεψε βασι-
λεὺς Ἀσσυρίων, καὶ οὐκ ἔστη ἐκεῖ ἐν τῇ γῇ. [21] καὶ τὰ λοιπὰ τῶν λόγων Μα- 21
ναὴμ καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; [22] καὶ ἐκοιμήθη Μαναὴμ μετὰ 22
τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε Φακεσίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [23] ἐν 23
ἔτει πεντηκοστῷ τοῦ Ἀζαρίου βασιλεῖ Ἰούδα ἐβασίλευσε Φακεσίας υἱὸς Μα-
ναὴμ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ δύο ἔτη. [24] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλ- 24
μοῖς κυρίου, οὐκ ἀπέστη ἀπὸ ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε
τὸν Ἰσραήλ. [25] καὶ συνεστράφη ἐπ' αὐτὸν Φακεὲ υἱὸς Ῥομελίου ὁ τριστάτης 25
αὐτοῦ, καὶ ἐπάταξεν αὐτὸν ἐν Σαμαρείᾳ ἐναντίον οἴκου τοῦ βασιλέως μετὰ
τοῦ Ἀργὸβ καὶ μετὰ τοῦ Ἀρία, καὶ μετ' αὐτοῦ πεντήκοντα ἄνδρες ἀπὸ τῶν
τετρακοσίων, καὶ ἐθανάτωσεν αὐτόν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. [26] καὶ τὰ 26
λοιπὰ τῶν λόγων Φακεσίου καὶ πάντα ὅσα ἐποίησεν ἰδού εἰσι γεγραμμένα
ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ. [27] ἐν ἔτει πεντηκοστῷ 27
καὶ δευτέρῳ τοῦ Ἀζαρίου βασιλεῖ Ἰούδα ἐβασίλευσε Φακεὲ υἱὸς Ῥομελίου
ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ εἴκοσι ἔτη. [28] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς 28
κυρίου, οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε
τὸν Ἰσραήλ. [29] ἐν ταῖς ἡμέραις Φακεὲ βασιλέως Ἰσραὴλ ἦλθε Θαλγαθφελλα- 29
σὰρ βασιλεὺς Ἀσσυρίων καὶ ἔλαβε τὴν Ἀῒν καὶ τὴν Ἀβὲλ καὶ τὴν Θαμααχὰ
καὶ τὴν Ἀνιὼχ καὶ τὴν Κενὲζ καὶ τὴν Ἀσὼρ καὶ τὴν Γαλαὰν καὶ τὴν Γα-
λιλαίαν πᾶσαν γῆν Νεφθαλί, καὶ ἀπῴκισεν αὐτοὺς εἰς Ἀσσυρίους. [30] καὶ συνέ- 30
στρεψε σύστρεμμα Ὠσηὲ υἱὸς Ἠλὰ ἐπὶ Φακεὲ υἱὸν Ῥομελίου, καὶ ἐπάταξεν
αὐτὸν καὶ ἐθανάτωσεν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἐν ἔτει εἰκοστῷ Ἰωάθαμ
υἱοῦ Ἀζαρίου. [31] καὶ τὰ λοιπὰ τῶν λόγων Φακεὲ καὶ πάντα ὅσα ἐποίησεν, 31
ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.
[32] ἐν ἔτει δευτέρῳ Φακεὲ υἱοῦ Ῥομελίου βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἰωάθαμ 32
υἱὸς Ἀζαρίου βασιλέως Ἰούδα. [33] υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βα- 33
σιλεύειν αὐτόν, καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς
μητρὸς αὐτοῦ Ἱερουσὰ θυγάτηρ Σαδώκ. [34] καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλ- 34
μοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησεν Ἀζαρίας ὁ πατὴρ αὐτοῦ. [35] πλὴν τὰ 35
ὑψηλὰ οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς. αὐτὸς
ᾠκοδόμησε τὴν πύλην οἴκου κυρίου τὴν ἐπάνω. [36] καὶ τὰ λοιπὰ τῶν λόγων 36
Ἰωάθαμ καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων

---

17. ενατω αζαρια βασιλεως ιουδ. και εβασ. μαναην υι. γαδδει ... δεκα ετη εν σαμ. 19. μαναην ... την χ. αυτου συν αυτω του ενισχυσαι το βασιλειον εν τη χειρι αυτου 20. μαναην ... εν ισχυει ... σικλους αργυριου 21. μαναην ... ουχι ταυτα ... επι βιβλιου 22. μαναην ... φακειας υι. μαναην 23. βασιλεως ... φακειας ... μαναην ... εν σαμαρια δεκα ετη 25. μετα του (** μετ αυτου) αριε. ... ανδρας 26. φακειου ... επι βιβλιου 27. βασιλεως ... σαμαρια 29. a βασιλεως ad ασσυριων transilit ... κ. τ. χαβελ· βερμααχα· κ. την ιανωχ ... γαλααδ ... νεφθαλειμ 30. εθανατωσ. αυτον ... αυτου. Και εν ... ιωναθαν 31. εστιν pro ταυτα ... επι βιβλιου 32. βασιλεως ... ιωαθαν 33. εξ και δεκα ... ιερους 35. οτι pro ετι 36. επι βιβλιου

37 τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; [37] ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύ-
ριος ἐξαποστέλλειν ἐν Ἰούδᾳ τὸν Ῥαασσὼν βασιλέα Συρίας καὶ τὸν Φακεὲ
38 υἱὸν Ῥομελίου. [38] καὶ ἐκοιμήθη Ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη
μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευ-
σεν Ἄχαζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XVI.

Ἐν ἔτει ἑπτακαιδεκάτῳ Φακεὲ υἱοῦ Ῥομελίου ἐβασίλευσεν Ἄχαζ υἱὸς
2 Ἰωάθαμ βασιλέως Ἰούδα. [2] υἱὸς εἴκοσι ἐτῶν ἦν Ἄχαζ ἐν τῷ βασιλεύειν αὐ-
τόν, καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἐποίησε τὸ εὐ-
3 θὲς ἐν ὀφθαλμοῖς κυρίου θεοῦ αὐτοῦ πιστῶς ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ. [3] καὶ
ἐπορεύθη ἐν ὁδῷ βασιλέων Ἰσραήλ, καί γε τὸν υἱὸν αὐτοῦ διῆγεν ἐν πυρὶ
κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν
4 Ἰσραήλ. [4] καὶ ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς καὶ ἐπὶ τῶν βουνῶν καὶ
5 ὑποκάτω παντὸς ξύλου ἀλσώδους. [5] τότε ἀνέβη Ῥαασσὼν βασιλεὺς Συρίας καὶ
Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ εἰς Ἱερουσαλὴμ εἰς πόλεμον καὶ ἐπο-
6 λιόρκουν ἐπὶ Ἄχαζ, καὶ οὐκ ἠδύναντο πολεμεῖν· [6] ἐν τῷ καιρῷ ἐκείνῳ ἐπέ-
στρεψε Ῥαασσὼν βασιλεὺς Συρίας τὴν Αἰλὰθ τῇ Συρίᾳ, καὶ ἐξέβαλε τοὺς
Ἰουδαίους ἐξ Αἰλάθ, καὶ Ἰδουμαῖοι ἦλθον εἰς Αἰλὰθ καὶ κατῴκησαν ἐκεῖ
7 ἕως τῆς ἡμέρας ταύτης. [7] καὶ ἀπέστειλεν Ἄχαζ ἀγγέλους πρὸς Θαλγαθφελ-
λασὰρ βασιλέα Ἀσσυρίων λέγων Δοῦλός σου καὶ υἱός σου ἐγώ, ἀνάβηθι σῶ-
σόν με ἐκ χειρὸς βασιλέως Συρίας καὶ ἐκ χειρὸς βασιλέως Ἰσραὴλ τῶν ἐπα-
8 νισταμένων ἐπ' ἐμέ. [8] καὶ ἔλαβεν Ἄχαζ ἀργύριον καὶ χρυσίον τὸ εὑρεθὲν ἐν
θησαυροῖς οἴκου κυρίου καὶ οἴκου τοῦ βασιλέως καὶ ἀπέστειλε τῷ βασιλεῖ
9 δῶρα. [9] καὶ ἤκουσεν αὐτοῦ βασιλεὺς Ἀσσυρίων· καὶ ἀνέβη βασιλεὺς Ἀσσυρίων
εἰς Δαμασκόν, καὶ συνέλαβεν αὐτὴν καὶ ἀπῴκισεν αὐτήν, καὶ τὸν Ῥαασσὼν
10 βασιλέα ἐθανάτωσε. [10] καὶ ἐπορεύθη βασιλεὺς Ἄχαζ εἰς Δαμασκὸν εἰς ἀπαν-
τὴν Θαλγαθφελλασὰρ βασιλεῖ Ἀσσυρίων εἰς Δαμασκόν· καὶ εἶδε τὸ θυσιαστή-
ριον ἐν Δαμασκῷ· καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ πρὸς Οὐρίαν τὸν ἱερέα
τὸ ὁμοίωμα τοῦ θυσιαστηρίου καὶ τὸν ῥυθμὸν αὐτοῦ καὶ πᾶσαν ποίησιν αὐ-
11 τοῦ. [11] καὶ ᾠκοδόμησεν Οὐρίας ὁ ἱερεὺς τὸ θυσιαστήριον κατὰ πάντα ὅσα
12 ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ ἐκ Δαμασκοῦ. [12] καὶ εἶδεν ὁ βασιλεὺς τὸ θυσια-
13 στήριον, καὶ ἀνέβη ἐπ' αὐτό, [13] καὶ ἐθυμίασε τὴν ὁλοκαύτωσιν αὐτοῦ καὶ τὴν
θυσίαν αὐτοῦ καὶ τὴν σπονδὴν αὐτοῦ, καὶ προσέχεε τὸ αἷμα τῶν εἰρηνικῶν
14 τῶν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον [14] τὸ χαλκοῦν τὸ ἀπέναντι κυρίου. καὶ προσή-
γαγε τὸ πρόσωπον τοῦ οἴκου κυρίου ἀπὸ τοῦ ἀνὰ μέσον τοῦ θυσιαστηρίου καὶ
ἀπὸ τοῦ ἀνὰ μέσον τοῦ οἴκου κυρίου, καὶ ἔδωκεν αὐτὸ ἐπὶ μηρὸν τοῦ θυ-
15 σιαστηρίου κατὰ βορρᾶν. [15] καὶ ἐνετείλατο ὁ βασιλεὺς Ἄχαζ τῷ Οὐρίᾳ τῷ
ἱερεῖ λέγων Ἐπὶ τὸ θυσιαστήριον τὸ μέγα πρόσφερε τὴν ὁλοκαύτωσιν τὴν
πρωινὴν καὶ τὴν θυσίαν τὴν ἑσπερινήν, καὶ τὴν ὁλοκαύτωσιν τοῦ βασιλέως
καὶ τὴν θυσίαν αὐτοῦ, καὶ τὴν ὁλοκαύτωσιν παντὸς τοῦ λαοῦ καὶ τὴν θυσίαν

---

37. om εν ιουδα   XVI. 1. αχααζ ... om αυτου post θεου   3. εν οδω ιεροβοαμ υιου ναβατ βασιλεως ισραηλ   6. απεστρεψεν ... αιλαμ ter   7. om θαλγαθφελλασαρ ... αναβ. και σωσον   8. το αργυριον κ. το χρυσιον ... οικου βασιλεως ... τ. βασιλει ασσυριων   9. ab ασσυριων transilit ad ασσυριων ... αυτην· κυρηνην δε και τον ραασσων   10. αχαζ εις απαντησιν τω αγλαθ φαλλασαρ βασ. ασσ. εις δαμασκον ... το θυσ. το εν ... om αυτου post ρυθμον   11. in f. add ουτως εποιησεν ουριας ο ιερευς εως ερχεσθαι τον βασιλεα αχαζ απο δαμασκου   12. ab initio add και ηλθεν ο βασιλεως απο δαμασκου ... post θυσιαστηρ. add και προσηλθεν ο βασιλευς επι το θυσιαστηριον   13. ante την σπονδην add εσπισεν   14. κυριου· και απο του   15. om παντος ... του λαου της γης

Digitized by Google

αὐτῶν καὶ τὴν σπονδὴν αὐτῶν, καὶ πᾶν αἷμα ὁλοκαυτώσεως καὶ πᾶν αἷμα
θυσίας ἐπ' αὐτῷ ἐκχεεῖς· καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἔσται μοι εἰς τὸ
πρωί. 16 καὶ ἐποίησεν Οὐρίας ὁ ἱερεὺς κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῷ ὁ 16
βασιλεὺς Ἄχαζ. 17 καὶ συνέκοψεν ὁ βασιλεὺς Ἄχαζ τὰ συγκλείσματα τῶν με- 17
χωνὼθ καὶ μετῆρεν ἀπ' αὐτῶν τὸν λουτῆρα, καὶ τὴν θάλασσαν καθεῖλεν
ἀπὸ τῶν βοῶν τῶν χαλκῶν τῶν ὑποκάτω αὐτῆς καὶ ἔδωκεν αὐτὴν ἐπὶ βά-
σιν λιθίνην. 18 καὶ τὸν θεμέλιον τῆς καθέδρας ᾠκοδόμησεν ἐν οἴκῳ κυρίου, καὶ 18
τὴν εἴσοδον τοῦ βασιλέως τὴν ἔξω ἐπέστρεψεν ἐν οἴκῳ κυρίου ἀπὸ προσώπου
βασιλέως Ἀσσυρίων. 19 καὶ τὰ λοιπὰ τῶν λόγων Ἄχαζ ὅσα ἐποίησεν, οὐχὶ 19
ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;
20 καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαυίδ· 20
καὶ ἐβασίλευσεν Ἑζεκίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XVII.

Ἐν ἔτει δωδεκάτῳ τῷ Ἄχαζ βασιλέως Ἰούδα ἐβασίλευσεν Ὡσηὲ υἱὸς
Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη. 2 καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλ- 2
μοῖς κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραὴλ οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ. 3 ἐπ' 3
αὐτὸν ἀνέβη Σαλαμανασσὰρ βασιλεὺς Ἀσσυρίων· καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ
δοῦλος καὶ ἐπέστρεψεν αὐτῷ μαναά. 4 καὶ εὗρε βασιλεὺς Ἀσσυρίων ἐν τῷ 4
Ὡσηὲ ἀδικίαν, ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς Σηγὼρ βασιλέα Αἰγύπτου, καὶ
οὐκ ἤνεγκε μαναὰ τῷ βασιλεῖ Ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ· καὶ ἐπο-
λιόρκησεν αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἔδησεν αὐτὸν ἐν οἴκῳ φυλακῆς.
5 καὶ ἀνέβη ὁ βασιλεὺς Ἀσσυρίων ἐν πάσῃ τῇ γῇ, καὶ ἀνέβη εἰς Σαμάρειαν 5
καὶ ἐπολιόρκησεν ἐπ' αὐτὴν τρία ἔτη. 6 ἐν ἔτει ἐννάτῳ Ὡσηὲ συνέλαβε βα- 6
σιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν, καὶ ἀπῴκισεν Ἰσραὴλ εἰς Ἀσσυρίους, καὶ
κατῴκησεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ ποταμοῖς Γωζὰν καὶ ὄρη Μήδων.
7 καὶ ἐγένετο ὅτι ἥμαρτον οἱ υἱοὶ Ἰσραὴλ τῷ κυρίῳ θεῷ αὐτῶν τῷ ἀναγα- 7
γόντι αὐτοὺς ἐκ γῆς Αἰγύπτου ὑποκάτωθεν χειρὸς Φαραὼ βασιλέως Αἰ-
γύπτου, καὶ ἐφοβήθησαν θεοὺς ἑτέρους, 8 καὶ ἐπορεύθησαν τοῖς δικαιώ- 8
μασι τῶν ἐθνῶν ὧν ἐξῆρε κύριος ἐκ προσώπου υἱῶν Ἰσραήλ, καὶ οἱ βα-
σιλεῖς Ἰσραὴλ ὅσοι ἐποίησαν, 9 καὶ ὅσοι ἠμφιέσαντο οἱ υἱοὶ Ἰσραὴλ λόγους 9
οὐχ οὕτως κατὰ κυρίου θεοῦ αὐτῶν· καὶ ᾠκοδόμησαν ἑαυτοῖς ὑψηλὰ ἐν πά-
σαις ταῖς πόλεσιν αὐτῶν ἀπὸ πύργου φυλασσόντων ἕως πόλεως ὀχυρᾶς·
10 καὶ ἐστήλωσαν ἑαυτοῖς στήλας καὶ ἄλση ἐπὶ παντὶ βουνῷ ὑψηλῷ καὶ 10
ὑποκάτω παντὸς ξύλου ἀλσώδους· 11 καὶ ἐθυμίασαν ἐκεῖ ἐν πᾶσιν ὑψηλοῖς 11
καθὼς τὰ ἔθνη ἃ ἀπῴκισε κύριος ἐκ προσώπου αὐτῶν, καὶ ἐποίησαν κοι-
νωνοὺς καὶ ἐχάραξαν τοῦ παροργίσαι τὸν κύριον· 12 καὶ ἐλάτρευσαν τοῖς εἰ- 12
δώλοις οἷς εἶπε κύριος αὐτοῖς Οὐ ποιήσετε τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ. 13 καὶ 13
διεμαρτύρατο κύριος ἐν τῷ Ἰσραὴλ καὶ ἐν τῷ Ἰούδᾳ καὶ ἐν χειρὶ πάντων τῶν
προφητῶν αὐτοῦ παντὸς ὁρῶντος λέγων Ἀποστράφητε ἀπὸ τῶν ὁδῶν ὑμῶν
τῶν πονηρῶν, καὶ φυλάξατε τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά μου καὶ
πάντα τὸν νόμον ὃν ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν, ὅσα ἀπέστειλα αὐτοῖς
ἐν χειρὶ τῶν δούλων μου τῶν προφητῶν. 14 καὶ οὐκ ἤκουσαν, καὶ ἐσκλήρυναν 14

---

15. και σπονδην ... επ αυτο προσχεεις ... εις πρωι 17. ab αχαζ v. 16. transilit ad αχαζ ... συνκλισματα ... χαλκων των δεκα υποκατω 18. του βασιλεως 20. post εταφη add μετα των πατερων αυτου XVII. 1. om τω ... βασιλει 3. σαλαμανασαρ 4. σωα pro σηγωρ ... επολιορκ. αυτην 5. σαμαριαν ... επολιορκ. εν αυτη 6. ενατω ... τον ισραηλ ... αλλαε 7. οτε pro οτι 8. απο προσωπου 9. ημφιασαντο ... και ων ωκοδομησαν ε. υψηλων 11. απωκισεν κυρ. απο ... om και extr. 12. om τω 13. εν ιουδα ... ημων pro υμων ... απεστ. αυτους προς υμας εν 14. ηκουσ. αυτων

Digitized by Google

15 τὸν νῶτον αὐτῶν ὑπὲρ τὸν νῶτον τῶν πατέρων αὐτῶν· [15]καὶ τὰ μαρτύρια
αὐτοῦ ὅσα διεμαρτύρατο αὐτοῖς οὐκ ἐφύλαξαν, καὶ ἐπορεύθησαν ὀπίσω τῶν
ματαίων, καὶ ἐματαιώθησαν καὶ ὀπίσω τῶν ἐθνῶν τῶν περικύκλῳ αὐτῶν ὧν
16 ἐνετείλατο κύριος αὐτοῖς μὴ ποιῆσαι κατὰ ταῦτα· [16]ἐγκατέλιπον τὰς ἐντολὰς
κυρίου θεοῦ αὐτῶν, καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα δύο δαμάλεις, καὶ ἐποίη-
σαν ἄλση, καὶ προσεκύνησαν πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐλάτρευσαν
17 τῷ Βάαλ· [17]καὶ διῆγον τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί,
ἐμαντεύοντο μαντείας καὶ οἰωνίζοντο· καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονη-
18 ρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι αὐτόν. [18]καὶ ἐθυμώθη κύριος σφόδρα ἐν
τῷ Ἰσραήλ, καὶ ἀπέστησεν αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ, καὶ οὐχ ὑπε-
19 λείφθη πλὴν φυλὴ Ἰούδα μονωτάτη. [19]καί γε Ἰούδας οὐκ ἐφύλαξε τὰς ἐν-
τολὰς κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ ἐπορεύθησαν ἐν τοῖς δικαιώμασιν Ἰσραὴλ
20 οἷς ἐποίησαν, [20]καὶ ἀπεώσαντο τὸν κύριον. καὶ ἐθυμώθη κύριος παντὶ σπέρ-
ματι Ἰσραήλ, καὶ ἐσάλευσεν αὐτοὺς καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ διαρπαζόντων
21 αὐτούς, ἕως οὗ ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. [21]ὅτι πλὴν Ἰσραὴλ
ἐπάνωθεν οἴκου Δαυίδ, καὶ ἐβασίλευσαν τὸν Ἱεροβοὰμ υἱὸν Ναβάτ· καὶ ἐξέω-
σεν Ἱεροβοὰμ τὸν Ἰσραὴλ ἐξόπισθε κυρίου καὶ ἐξήμαρτεν αὐτοὺς ἁμαρτίαν
22 μεγάλην. [22]καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν πάσῃ ἁμαρτίᾳ Ἱεροβοὰμ ἧς
23 ἐποίησεν· οὐκ ἀπέστησαν ἀπ' αὐτῆς [23]ἕως οὗ μετέστησε κύριος τὸν Ἰσραὴλ
ἀπὸ προσώπου αὐτοῦ, καθὼς ἐλάλησε κύριος ἐν χειρὶ πάντων τῶν δούλων
αὐτοῦ τῶν προφητῶν· καὶ ἀπῳκίσθη Ἰσραὴλ ἐπάνωθεν τῆς γῆς αὐτοῦ εἰς
24 Ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης. [24]καὶ ἤγαγε βασιλεὺς Ἀσσυρίων ἐκ Βα-
βυλῶνος τὸν ἐκ Χουθά, ἀπὸ Ἀϊὰ καὶ ἀπὸ Αἱμὰθ καὶ Σεπφαρουαΐμ, καὶ κατῳ-
κίσθησαν ἐν πόλεσι Σαμαρείας ἀντὶ τῶν υἱῶν Ἰσραήλ, καὶ ἐκληρονόμησαν
25 τὴν Σαμάρειαν καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσιν αὐτῆς. [25]καὶ ἐγένετο ἐν
ἀρχῇ τῆς καθέδρας αὐτῶν οὐκ ἐφοβήθησαν τὸν κύριον, καὶ ἀπέστειλε κύριος
26 ἐν αὐτοῖς τοὺς λέοντας, καὶ ἦσαν ἀποκτέννοντες ἐν αὐτοῖς. [26]καὶ εἶπαν τῷ
βασιλεῖ Ἀσσυρίων λέγοντες Τὰ ἔθνη ἃ ἀπῴκισας καὶ ἀντεκάθισας ἐν πόλεσι
Σαμαρείας οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς, καὶ ἀπέστειλεν εἰς αὐ-
τοὺς τοὺς λέοντας, καὶ ἰδού εἰσι θανατοῦντες αὐτοὺς καθότι οὐκ οἴδασι τὸ
27 κρίμα τοῦ θεοῦ τῆς γῆς. [27]καὶ ἐνετείλατο ὁ βασιλεὺς Ἀσσυρίων λέγων Ἀπα-
γάγετε ἐκεῖθεν, καὶ πορευέσθωσαν καὶ κατοικήτωσαν ἐκεῖ, καὶ φωτιοῦσιν αὐ-
28 τοὺς τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. [28]καὶ ἤγαγον ἕνα τῶν ἱερέων ὧν ἀπῴκισαν
ἀπὸ Σαμαρείας, καὶ ἐκάθισεν ἐν Βαιθήλ, καὶ ἦν φωτίζων αὐτοὺς πῶς φο-
29 βηθῶσι τὸν κύριον. [29]καὶ ἦσαν ποιοῦντες ἔθνη ἔθνη θεοὺς αὐτῶν, καὶ ἔθηκαν
ἐν οἴκῳ τῶν ὑψηλῶν ὧν ἐποίησαν οἱ Σαμαρεῖται ἔθνη ἔθνη ἐν ταῖς πόλεσιν
30 αὐτῶν ἐν αἷς κατῴκουν· [30]καὶ οἱ ἄνδρες Βαβυλῶνος ἐποίησαν τὴν Σωκχὼθ
Βενίθ, καὶ οἱ ἄνδρες Χοὺθ ἐποίησαν τὴν Ἐργέλ, καὶ οἱ ἄνδρες Αἱμὰθ ἐποίη-
31 σαν τὴν Ἀσιμάθ, [31]καὶ οἱ Εὐαῖοι ἐποίησαν τὴν Ἐβλαζὲρ καὶ τὴν Θαρθάκ,

---

14. in f. add οι ουκ επιστευσαν κυριω θεω αυτων 15. ab initio add και απερριψαν τους ακρειβασμους αυτων και την συνθηκην αυτου ην εκοψεν συν πατρασιν αυτων ... om των ματαιων κ. εματ. και ... οπισω εθνων τ. περικυκλωσαντων αυτους ... του μη ποιησαι 16. εγκατελειπον ... om και εποιησ. αλση 17. om μαντειας κ. οιωνιζοντο 19. του κυριου θεου 20. απωκεισαντο ... om κ. εθυμ. κυριος ... εν παντι 21. om και primum 22. η εποιησεν 24. εκ χουα και απο ... σεφφαρουαιμ ... την σαμαριαν κ. κατωκεισαν εν 25. αυτων εκει ουκ 26. ειπον ... αντεκαθισαν ... τα κριματα ... απεστειλ. κυριος 27. Απαρατε 28. ηγαγον pro απωκισαν ... οπως pro πως 29. σαμαριται ... om εθνη sec. ante εν ... εν αις αυτοι κατωκουν εν αυταις 30. σοκχωθ βενιθει ... om κ. οι α. χουθ επ. τ. εργελ 31. την αβααζερ κ. την ναιβας κ. τ. θαρθακ

Digitized by Google

καὶ ὁ Σεπφαρουαΐμ ἡνίκα κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ τῷ Ἀδραμέλεχ
καὶ Ἀνημελὲχ θεοῖς Σεπφαρουαΐμ. [32] καὶ ἦσαν φοβούμενοι τὸν κύριον· 32
καὶ κατῴκισαν τὰ βδελύγματα αὐτῶν ἐν τοῖς οἴκοις τῶν ὑψηλῶν ἃ ἐποίησαν
ἐν Σαμαρείᾳ, ἔθνος ἔθνος ἐν πόλει ἐν ᾗ κατῴκουν ἐν αὐτῇ· καὶ ἦσαν φο-
βούμενοι τὸν κύριον· καὶ ἐποίησαν ἑαυτοῖς ἱερεῖς τῶν ὑψηλῶν, καὶ ἐποίησαν
ἑαυτοῖς ἐν οἴκῳ τῶν ὑψηλῶν. [33] καὶ τὸν κύριον ἐφοβοῦντο, καὶ τοῖς θεοῖς αὐ- 33
τῶν ἐλάτρευον κατὰ τὸ κρίμα τῶν ἐθνῶν ὅθεν ἀπῴκισαν αὐτοὺς ἐκεῖθεν.
[34] ἕως τῆς ἡμέρας ταύτης αὐτοὶ ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν· αὐτοὶ φο- 34
βοῦνται, καὶ αὐτοὶ ποιοῦσι κατὰ τὰ δικαιώματα αὐτῶν καὶ κατὰ τὴν κρίσιν
αὐτῶν, καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἐντολὴν ἣν ἐνετείλατο κύριος
τοῖς υἱοῖς Ἰακὼβ οὗ ἔθηκε τὸ ὄνομα αὐτοῦ Ἰσραήλ. [35] καὶ διέθετο κύριος 35
μετ' αὐτῶν διαθήκην, καὶ ἐνετείλατο αὐτοῖς λέγων Οὐ φοβηθήσεσθε θεοὺς
ἑτέρους, καὶ οὐ προσκυνήσετε αὐτοῖς καὶ οὐ λατρεύσετε αὐτοῖς καὶ οὐ θυ-
σιάσετε αὐτοῖς, [36] ὅτι ἀλλ' ἢ τῷ κυρίῳ ὃς ἀνήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου 36
ἐν ἰσχύϊ μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ· αὐτὸν φοβηθήσεσθε καὶ αὐτῷ προσ-
κυνήσετε, αὐτῷ θύσετε. [37] τὰ δικαιώματα καὶ τὰ κρίματα καὶ τὸν νόμον καὶ 37
τὰς ἐντολὰς ἃς ἔγραψεν ὑμῖν ποιεῖν φυλάσσεσθε πάσας τὰς ἡμέρας, καὶ οὐ
φοβηθήσεσθε θεοὺς ἑτέρους. [38] καὶ τὴν διαθήκην ἣν διέθετο μεθ' ὑμῶν οὐκ 38
ἐπιλήσεσθε· καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους, [39] ἀλλ' ἢ τὸν κύριον θεὸν 39
ὑμῶν φοβηθήσεσθε, καὶ αὐτὸς ἐξελεῖται ὑμᾶς ἐκ πάντων τῶν ἐχθρῶν ὑμῶν.
[40] καὶ οὐκ ἀκούσεσθε ἐπὶ τῷ κρίματι αὐτῶν ὃ αὐτοὶ ποιοῦσι. [41] καὶ ἦσαν τὰ 40 41
ἔθνη ταῦτα φοβούμενοι τὸν κύριον, καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύον-
τες· καί γε οἱ υἱοὶ καὶ υἱοὶ τῶν υἱῶν αὐτῶν καθὰ ἐποίησαν οἱ πατέρες αὐ-
τῶν ποιοῦσιν ἕως τῆς ἡμέρας ταύτης.

## XVIII.

Καὶ ἐγένετο ἐν ἔτει τρίτῳ τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραὴλ ἐβασί-
λευσεν Ἐζεκίας υἱὸς Ἄχαζ βασιλέως Ἰούδα. [2] υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἐν 2
τῷ βασιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ,
καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἄβου θυγάτηρ Ζαχαρίου. [3] καὶ ἐποίησε τὸ εὐθὲς 3
ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησε Δαυὶδ ὁ πατὴρ αὐτοῦ. [4] αὐτὸς 4
ἐξῆρε τὰ ὑψηλά, καὶ συνέτριψε τὰς στήλας, καὶ ἐξωλόθρευσε τὰ ἄλση καὶ
τὸν ὄφιν τὸν χαλκοῦν ὃν ἐποίησε Μωυσῆς, ὅτι ἕως τῶν ἡμερῶν ἐκείνων ἦσαν
οἱ υἱοὶ Ἰσραὴλ θυμιῶντες αὐτῷ· καὶ ἐκάλεσεν αὐτὸν Νεεσθάν. [5] ἐν κυρίῳ θεῷ 5
Ἰσραὴλ ἤλπισε, καὶ μετ' αὐτὸν οὐκ ἐγενήθη ὅμοιος αὐτῷ ἐν βασιλεῦσιν Ἰούδα
καὶ ἐν τοῖς γενομένοις ἔμπροσθεν αὐτοῦ. [6] καὶ ἐκολλήθη τῷ κυρίῳ, οὐκ ἀπέ- 6
στη ὄπισθεν αὐτοῦ, καὶ ἐφύλαξε τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐνετείλατο Μωυσῇ.
[7] καὶ ἦν κύριος μετ' αὐτοῦ, καὶ ἐν πᾶσιν οἷς ἐποίει συνῆκε· καὶ ἠθέτησεν 7
ἐν τῷ βασιλεῖ Ἀσσυρίων, καὶ οὐκ ἐδούλευσεν αὐτῷ. [8] αὐτὸς ἐπάταξε τοὺς ἀλ- 8
λοφύλους ἕως Γάζης καὶ ἕως ὁρίου αὐτῆς ἀπὸ πύργου φυλασσόντων καὶ ἕως
πόλεως ὀχυρᾶς. [9] καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεκίᾳ, αὐ- 9
τὸς ἐνιαυτὸς ὁ ἕβδομος τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σα-
λαμανασσὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκει ἐπ' αὐτήν,
[10] καὶ κατελάβετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν ἐν ἔτει ἕκτῳ τῷ Ἐζεκίᾳ, 10

---

31. και την σεφφαρουαιμ· ηνικα κατεκαιον ... αδραμελεχ και αμημελεχ ... σεφφαρουαιμ 33. om και prius ... απωκεισεν 34. om τοις 35. om μετ αυτων ... θυμιασετε pro θυσιασετε 36. ανηγ. υμας ... και προσκυν. αυτω και αυτω θυμιασετε 37. ab init. add και ... υμιν φυλασσεσθ. ποιειν 39. οτι αλλ 41. om και υιοι XVIII. 1. om τω 2. ετων ην εν ... εικοσι εννεα ... θυγ. ζαχχαιου 4. πασας τας στηλας ... εξωλεθρευσεν ... μωσης ... εκαλ. αυτους νεσθαν 5. εν πασιν βασιλ. ιουδα και τοις 6. μωσης 7. om και primum 9. αυτ. ο ενιαυτος εβδομος ωσηε (... σαμανασσαρ)



Digitized by Google

αὐτὸς ἐνιαυτὸς ἔννατος τῷ Ὠσηὲ βασιλεῖ Ἰσραήλ, καὶ συνελήφθη Σαμάρεια.
11 [11]καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους, καὶ ἔθηκεν
12 αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ ποταμῷ Γωζὰν καὶ ὄρη Μήδων· [12]ἀνθ' ὧν ὅτι
οὐκ ἤκουσαν τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν, καὶ παρέβησαν τὴν διαθήκην
αὐτοῦ πάντα ὅσα ἐνετείλατο Μωυσῆς ὁ δοῦλος κυρίου, καὶ οὐκ ἤκουσαν καὶ
13 οὐκ ἐποίησαν. [13]καὶ τῷ τεσσαρεςκαιδεκάτῳ ἔτει τοῦ βασιλέως Ἐζεκίου ἀνέβη
Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις Ἰούδα τὰς ὀχυρὰς καὶ συνέλαβεν
14 αὐτάς. [14]καὶ ἀπέστειλεν Ἐζεκίας βασιλεὺς Ἰούδα ἀγγέλους πρὸς βασιλέα
Ἀσσυρίων εἰς Λαχὶς λέγων Ἡμάρτηκα, ἀποστράφηθι ἀπ' ἐμοῦ· ὃ ἐὰν ἐπι-
θῇς ἐπ' ἐμὲ βαστάσω. καὶ ἐπέθηκεν ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ Ἐζεκίαν βα-
σιλέα Ἰούδα τριακόσια τάλαντα ἀργυρίου καὶ τριάκοντα τάλαντα χρυσίου.
15 [15]καὶ ἔδωκεν Ἐζεκίας πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου καὶ ἐν
16 θησαυροῖς οἴκου τοῦ βασιλέως. [16]ἐν τῷ καιρῷ ἐκείνῳ συνέκοψεν Ἐζεκίας
τὰς θύρας ναοῦ καὶ τὰ ἐστηριγμένα ἃ ἐχρύσωσεν Ἐζεκίας ὁ βασιλεὺς Ἰούδα,
17 καὶ ἔδωκεν αὐτὰ βασιλεῖ Ἀσσυρίων. [17]καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν
Θαρθὰν καὶ τὸν Ῥαφὶς καὶ τὸν Ῥαψάκην ἐκ Λαχὶς πρὸς τὸν βασιλέα Ἐζε-
κίαν ἐν δυνάμει βαρείᾳ ἐπὶ Ἱερουσαλήμ· καὶ ἀνέβησαν καὶ ἦλθον εἰς Ἱερου-
σαλήμ, καὶ ἔστησαν ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἥ ἐστιν ἐν
18 τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. [18]καὶ ἐβόησαν πρὸς Ἐζεκίαν, καὶ ἦλθον πρὸς
αὐτὸν Ἐλιακὶμ υἱὸς Χελκίου ὁ οἰκονόμος καὶ Σωμνὰς ὁ γραμματεὺς καὶ Ἰωὰς
19 ὁ υἱὸς Σαφὰτ ὁ ἀναμιμνήσκων. [19]καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης Εἴπατε
δὴ πρὸς Ἐζεκίαν Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας βασιλεὺς Ἀσσυρίων Τί ἡ
20 πεποίθησις αὕτη ἣν πέποιθας; [20]εἶπας Πλὴν λόγοι χειλέων, βουλὴ καὶ δύ-
21 ναμις εἰς πόλεμον· νῦν οὖν τίνι πεποιθὼς ἠθέτησας ἐν ἐμοί; [21]νῦν ἰδοὺ πέποι-
θας σαυτῷ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ' Αἴγυ-
πτον; ὃς ἂν στηριχθῇ ἀνὴρ ἐπ' αὐτήν, καὶ εἰςελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ,
καὶ τρήσει αὐτήν· οὕτως Φαραὼ βασιλεὺς Αἰγύπτου πᾶσι τοῖς πεποιθόσιν
22 ἐπ' αὐτόν. [22]καὶ ὅτι εἶπας πρὸς μέ Ἐπὶ κύριον θεὸν πεποίθαμεν· οὐχὶ αὐ-
τὸς οὗτος ἀπέστησεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ τὰ θυσιαστήρια αὐτοῦ,
καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλὴμ Ἐνώπιον τοῦ θυσιαστηρίου τούτου
23 προςκυνήσετε ἐν Ἱερουσαλήμ; [23]καὶ νῦν μίχθητε δὴ τῷ κυρίῳ μου βασιλεῖ
Ἀσσυρίων, καὶ δώσω σοι διςχιλίους ἵππους, εἰ δυνήσῃ δοῦναι σεαυτῷ ἐπιβά-
24 τας ἐπ' αὐτούς. [24]καὶ πῶς ἀποστρέψεις τὸ πρόςωπον τοπάρχου ἑνὸς τῶν δού-
λων τοῦ κυρίου μου τῶν ἐλαχίστων; καὶ ἤλπισας σαυτῷ ἐπ' Αἴγυπτον εἰς
25 ἅρματα καὶ ἱππεῖς. [25]καὶ νῦν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὸν τόπον τοῦτον
τοῦ διαφθεῖραι αὐτόν; κύριος εἶπε πρὸς μέ Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην καὶ
26 διάφθειρον αὐτήν. [26]καὶ εἶπεν Ἐλιακὶμ υἱὸς Χελκίου καὶ Σωμνὰς καὶ Ἰωὰς
πρὸς Ῥαψάκην Λάλησον δὴ πρὸς τοὺς παῖδάς σου Συριστί, ὅτι ἀκούομεν
ἡμεῖς, καὶ οὐ λαλήσεις μεθ' ἡμῶν Ἰουδαϊστί· καὶ ἵνα τί λαλεῖς ἐν τοῖς ὠσὶ
27 τοῦ λαοῦ τοῦ ἐπὶ τοῦ τείχους; [27]καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης Μὴ ἐπὶ τὸν
κύριόν σου καὶ πρὸς σὲ ἀπέστειλέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τού-
τους; οὐχὶ ἐπὶ τοὺς ἄνδρας τοὺς καθημένους ἐπὶ τοῦ τείχους τοῦ φαγεῖν τὴν

---

10. ουτος ενιαυτος ενατος ... συνελημφθη σαμαρια 11. σαμαριαν 12. om ανθ ων ... μωσης δουλος 13. σεναχηρειμ 14. λαχεις ... om ὃ 16. ναου κυριου ... om ὁ ante βασιλευς 17. ab ασσυριων v. 16. transilit ad ασσυριων ... ραβσαρεις pro ραφις ... λαχεις ... *εν pro εις (videtur) 18. ελιακειμ ο υι. χαλκιου ... σομνας ο γρ. και ιωσαφατ ο αναμ. 19. Τις η 20. δυναμεις ... και νυν τινι π. ηθετης 21. τρυγησει pro τρησει 22. ου (i. e. οὐ) απεστησεν ... προςκυνησατε 23. τω βασιλει ... σαυτω 24. ηλπισας αυτω εις αιγ. 25. om και ab initio ... νυν ουν μη 26. ελιακειμ υι. χελκειου κ. σομνας κ. ιωσαφατ προς ... συριστει ... προς ημας pro μεθ ημων ... om κ. ινα τι λαλεις ... τ. λαου τουτου επι 27. Μη προς τον

Digitized by Google

κόπρον αὐτῶν καὶ πιεῖν τὸ οὖρον αὐτῶν μεθ' ὑμῶν ἅμα; 28 καὶ ἔστη Ῥα- 28
ψάκης καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστί, καὶ ἐλάλησε καὶ εἶπεν Ἀκούσατε
τοὺς λόγους τοῦ μεγάλου βασιλέως Ἀσσυρίων 29 Τάδε λέγει ὁ βασιλεύς Μὴ 29
ἐπαιρέτω ὑμᾶς Ἐζεκίας λόγοις, ὅτι οὐ μὴ δύνηται ὑμᾶς ἐξελέσθαι ἐκ χειρὸς
αὐτοῦ. 30 καὶ μὴ ἐπελπιζέτω ὑμᾶς Ἐζεκίας πρὸς κύριον λέγων Ἐξαιρούμενος 30
ἐξελεῖται κύριος, οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυρίων.
31 μὴ ἀκούετε Ἐζεκίου, ὅτι τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων Ποιήσατε μετ' 31
ἐμοῦ εὐλογίαν καὶ ἐξέλθατε πρός μέ, καὶ πίεται ἀνὴρ τὴν ἄμπελον αὐτοῦ,
καὶ ἀνὴρ τὴν συκῆν αὐτοῦ φάγεται, καὶ πίεται ὕδωρ τοῦ λάκκου αὐτοῦ, 32 ἕως 32
ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν ὡς γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου καὶ ἄρτου
καὶ ἀμπελώνων, γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος, καὶ ζήσετε καὶ οὐ μὴ ἀπο-
θάνητε· καὶ μὴ ἀκούετε Ἐζεκίου, ὅτι ἀπατᾷ ὑμᾶς λέγων Κύριος ῥύσεται ὑμᾶς.
33 μὴ ῥυόμενοι ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ 33
χειρὸς βασιλέως Ἀσσυρίων; 34 ποῦ ἐστιν ὁ θεὸς Αἱμὰθ καὶ Ἀρφάδ; ποῦ ἐστιν 34
ὁ θεὸς Σεπφαρουαΐμ Ἀνὰ καὶ Ἀβά, ὅτι ἐξείλαντο Σαμάρειαν ἐκ χειρός μου;
35 τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν γαιῶν οἳ ἐξείλαντο τὰς γᾶς αὐτῶν ἐκ χειρός 35
μου, ὅτι ἐξελεῖται κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου; 36 καὶ ἐκώφευσαν 36
καὶ οὐκ ἀπεκρίθησαν αὐτῷ λόγον, ὅτι ἐντολὴ τοῦ βασιλέως λέγων Οὐκ ἀπο-
κριθήσεσθε αὐτῷ. 37 καὶ εἰσῆλθεν Ἑλιακὶμ υἱὸς Χελκίου ὁ οἰκονόμος καὶ Σωμνὰς 37
ὁ γραμματεὺς καὶ Ἰωὰς υἱὸς Σαφὰτ ὁ ἀναμιμνήσκων πρὸς Ἐζεκίαν διερρη-
χότες τὰ ἱμάτια, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου.

## XIX.

Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς Ἐζεκίας, καὶ διέρρηξε τὰ ἱμάτια
αὐτοῦ καὶ περιεβάλετο σάκκον, καὶ εἰσῆλθεν εἰς οἶκον κυρίου. 2 καὶ ἀπέστει- 2
λεν Ἑλιακὶμ τὸν οἰκονόμον καὶ Σωμνὰν τὸν γραμματέα καὶ τοὺς πρεσβυτέρους
τῶν ἱερέων περιβεβλημένους σάκκους πρὸς Ἡσαΐαν τὸν προφήτην υἱὸν Ἀμώς,
3 καὶ εἶπον πρὸς αὐτόν Τάδε λέγει Ἐζεκίας Ἡμέρα θλίψεως καὶ ἐλεγμοῦ καὶ 3
παροργισμοῦ ἡ ἡμέρα αὕτη, ὅτι ἦλθον υἱοὶ ἕως ὠδίνων, καὶ ἰσχὺς οὐκ ἔστι
τῇ τικτούσῃ. 4 εἴ πως εἰσακούσεται κύριος ὁ θεός σου πάντας τοὺς λόγους Ῥαψά- 4
κου, ὃν ἀπέστειλεν αὐτὸν βασιλεὺς Ἀσσυρίων ὁ κύριος αὐτοῦ ὀνειδίζειν θεὸν
ζῶντα καὶ βλασφημεῖν ἐν λόγοις οἷς ἤκουσε κύριος ὁ θεός σου, καὶ λήψῃ
προσευχὴν περὶ τοῦ λείμματος τοῦ εὑρισκομένου. 5 καὶ ἦλθον οἱ παῖδες τοῦ 5
βασιλέως Ἐζεκίου πρὸς Ἡσαΐαν, 6 καὶ εἶπεν αὐτοῖς Ἡσαΐας Τάδε ἐρεῖτε πρὸς 6
τὸν κύριον ὑμῶν Τάδε λέγει κύριος Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας,
ὧν ἐβλασφήμησαν τὰ παιδάρια βασιλέως Ἀσσυρίων. 7 ἰδοὺ ἐγὼ δίδωμι ἐν αὐτῷ 7
πνεῦμα, καὶ ἀκούσεται ἀγγελίαν καὶ ἀποστραφήσεται εἰς τὴν γῆν αὐτοῦ· καὶ
καταβαλῶ αὐτὸν ἐν ῥομφαίᾳ ἐν τῇ γῇ αὐτοῦ. 8 καὶ ἐπέστρεψε Ῥαψάκης, καὶ 8
εὗρε τὸν βασιλέα Ἀσσυρίων πολεμοῦντα ἐπὶ Λοβνά, ὅτι ἤκουσεν ὅτι ἀπῆρεν ἐκ
Λαχίς. 9 καὶ ἤκουσε περὶ Θαρακὰ βασιλέως Αἰθιόπων λέγων Ἰδοὺ ἐξῆλθε πο- 9
λεμεῖν μετὰ σοῦ· καὶ ἐπέστρεψε καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν λέγων

---

27. om αμα 28. ιουδαϊστει (non v. 26.) ... του βασιλεως του μεγαλου βασιλεως ασσ. 29. om λογοις ... εκ χειρ. μου 30. Εξελουμενος εξελ. ημας κυριος 32. ως η γη υμων ... κ. αμπελ. κ. αρτων 34. αρφατ ... σεφφαρουαιμ ... ανα pro αβα ... μη pro οτι ... σαμαριαν 35. τας γαιας αυτων 37. ελιακειμ ο του χελκειου ο οικ. ο υιος χελκιου ... σομνας ... ασαφ pro σαφατ ... προς τον εζεκιαν XIX. 1. εαυτου 2. ελιακειμ ... σομναν ... υιος αμμως 3. και ειπεν ... om ἡ 4. om παντας ... βλασφημειν λογους ους ... λημψη ... λιμματος 6. Μη φοβου απο προσωπου των λογων ... in f. add εμε 7. αγγελιας ... καταβαλλω 8. απεστρεψεν ... απο λαχεις 9. εξηλθον ... απεστρεψεν



Digitized by Google

10 [10]Μὴ ἐπαιρέτω σε ὁ θεός σου, ἐφ' ᾧ σὺ πέποιθας ἐν αὐτῷ λέγων Οὐ μὴ
11 παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. [11]ἰδοὺ σὺ ἤκουσας πάντα
ὅσα ἐποίησαν βασιλεῖς Ἀσσυρίων πάσαις ταῖς γαίαις τοῦ ἀναθεματίσαι αὐτάς,
12 καὶ σὺ ῥυσθήσῃ; [12]μὴ ἐξαιρούμενοι ἐξείλαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν οὓς
διέφθειραν οἱ πατέρες μου, τήν τε Γωζὰν καὶ τὴν Χαῤῥὰν καὶ τὴν Ῥαφὶς
13 καὶ υἱοὺς Ἐδὲμ τοὺς ἐν Θαεσθέν; [13]ποῦ ἐστιν ὁ βασιλεὺς Αἱμὰθ καὶ ὁ βα-
σιλεὺς Ἀρφάδ; καὶ ποῦ ἐστιν ὁ βασιλεὺς τῆς πόλεως Σεπφαρουαῒν Ἀνὰ καὶ
14 Ἀβά; [14]καὶ ἔλαβεν Ἐζεκίας τὰ βιβλία ἐκ χειρὸς τῶν ἀγγέλων καὶ ἀνέγνω
αὐτά· καὶ ἀνέβη εἰς οἶκον κυρίου καὶ ἀνέπτυξεν αὐτὰ Ἐζεκίας ἐναντίον κυ-
15 ρίου, [15]καὶ εἶπεν Κύριε ὁ θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, σὺ
εἶ ὁ θεὸς μόνος ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς, σὺ ἐποίησας τὸν οὐρα-
16 νὸν καὶ τὴν γῆν. [16]κλῖνον κύριε τὸ οὖς σου καὶ ἄκουσον, ἄνοιξον κύριε τοὺς
ὀφθαλμούς σου καὶ ἴδε, καὶ ἄκουσον τοὺς λόγους Σενναχηρὶμ οὓς ἀπέστειλεν
17 ὀνειδίζειν θεὸν ζῶντα. [17]ὅτι ἀληθείᾳ κύριε ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὰ
18 ἔθνη, [18]καὶ ἔδωκαν τοὺς θεοὺς αὐτῶν εἰς τὸ πῦρ, ὅτι οὐ θεοί εἰσιν ἀλλ' ἢ
19 ἔργα χειρῶν ἀνθρώπων ξύλα καὶ λίθος, καὶ ἀπώλεσαν αὐτούς. [19]καὶ νῦν κύ-
ριε ὁ θεὸς ἡμῶν σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, καὶ γνώσονται πᾶσαι αἱ βα-
20 σιλεῖαι τῆς γῆς ὅτι σὺ κύριος ὁ θεὸς μόνος. [20]καὶ ἀπέστειλεν Ἡσαΐας υἱὸς
Ἀμὼς πρὸς Ἐζεκίαν λέγων Τάδε λέγει κύριος ὁ θεὸς τῶν δυνάμεων θεὸς
Ἰσραὴλ Ἃ προςηύξω πρός με περὶ Σενναχηρὶμ βασιλέως Ἀσσυρίων ἤκουσα.
21 [21]οὗτος ὁ λόγος ὃν ἐλάλησε κύριος ἐπ' αὐτόν Ἐξουδένωσέ σε καὶ ἐμυκτή-
ρισέ σε παρθένος θυγάτηρ Σιών, ἐπὶ σοὶ κεφαλὴν αὐτῆς ἐκίνησε θυγάτηρ
22 Ἱερουσαλήμ. [22]τίνα ὠνείδισας καὶ τίνα ἐβλασφήμησας; καὶ ἐπὶ τίνα ὕψωσας
φωνὴν καὶ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου; εἰς τὸν ἅγιον τοῦ Ἰσραήλ.
23 [23]ἐν χειρὶ ἀγγέλων σου ὠνείδισας κύριον καὶ εἶπας Ἐν τῷ πλήθει τῶν ἁρ-
μάτων μου ἐγὼ ἀναβήσομαι εἰς ὕψος ὀρέων μηροὺς τοῦ Λιβάνου καὶ ἔκοψα
τὸ μέγεθος τῆς κέδρου αὐτοῦ, τὰ ἐκλεκτὰ κυπαρίσσων αὐτοῦ, καὶ ἦλθον εἰς
24 μέσον δρυμοῦ καὶ Καρμήλου· [24]ἐγὼ ἔψυξα καὶ ἔπιον ὕδατα ἀλλότρια, καὶ
25 ἐξερήμωσα τῷ ἴχνει τοῦ ποδός μου πάντας ποταμοὺς περιοχῆς. [25]ἔπλασα αὐ-
τήν, συνήγαγον αὐτήν· καὶ ἐγενήθη εἰς ἐπάρσεις ἀποικεσιῶν μαχίμων πόλεις
26 ὀχυράς. [26]καὶ οἱ ἐνοικοῦντες ἐν αὐταῖς ἠσθένησαν τῇ χειρί, ἔπτηξαν καὶ κατῃ-
σχύνθησαν· ἐγένοντο χόρτος ἀγροῦ ἢ χλωρὰ βοτάνη, χλόη δωμάτων καὶ πά-
27 τημα ἀπέναντι ἑστηκότος. [27]καὶ τὴν καθέδραν σου καὶ τὴν ἔξοδόν σου ἔγνων
28 καὶ τὸν θυμόν σου ἐπ' ἐμέ, [28]διὰ τὸ ὀργισθῆναί σε ἐπ' ἐμέ, καὶ τὸ στρῆ-
νός σου ἀνέβη ἐν τοῖς ὠσί μου· καὶ θήσω τὰ ἄγκιστρά μου ἐν τοῖς μυκτῆρσί
σου καὶ χαλινὸν ἐν τοῖς χείλεσί σου, καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ ᾗ ἦλθες
29 ἐν αὐτῇ. [29]καὶ τοῦτό σοι τὸ σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν αὐτόματα,
καὶ τῷ ἔτει τῷ δευτέρῳ τὰ ἀνατέλλοντα, καὶ ἔτει τρίτῳ σπορὰ καὶ ἄμητος

---

10. ab initio add Ταδε ερειτε προς εζεκιαν βασιλεα ιουδα τω λεγειν ... (επερωτη σε) ... επ pro εν 11. ταις γενεαις 12. om εξαιρουμενοι ... την ραφεθ ... εδων τ. ε. θαλασσαρ 13. αιθαμ ... post αρφαδ; και om που εστιν ο ... σεφφαρουαιμ αινα και αυτα 14. χειρος αγγελων ... ανεπτυξ. αυτο 15. ab init. add και προσευξατο εζεκιας εις προσωπον κυριου ... χερουβειμ 16. σενναχηρειμ 17. τα εθνη και την γην αυτων 18. οτι οι θεοι 19. οτι συ ει 20. σενναχηρειμ 21. κυριος προς αυτον ... επι σε ... om αυτης 22. και εβλασφημησας ... ηρες 23. εγω ανεβην ... ορεων μου μερους ... και εισηλθον ε. μερος τελους αυτου δρυμου χαρμηλου αυτου 24. εφυλαξα pro εψυξα ... εξηρωμωσα (corrige εξηρημωσα) ... παντ. τους ποταμ. 25. ab init. add μη ουχ ηκουσας απο μακροθεν αυτην εποιησα εις απο ημερων αρχηθεν ... και ηγαγον 26. η χλωροβοτανη η ... πατηματα 27. ante εγνων add και την εισοδον σου ... om επ εμε 28. om εν post χαλινον 29. φαγη ... κ. τω ετει τω τριτω

Digitized by Google

καὶ φυτεία ἀμπελώνων, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. [30] καὶ προςθήσει τὸν 30
διασεσωσμένον οἴκου Ἰούδα τὸ ὑπολειφθὲν ῥίζαν κάτω, καὶ ποιήσει καρπὸν
ἄνω. [31] ὅτι ἐξ Ἱερουσαλὴμ ἐξελεύσεται κατάλειμμα, καὶ ἀνασωζόμενος ἐξ 31
ὄρους Σιών· ὁ ζῆλος κυρίου τῶν δυνάμεων ποιήσει τοῦτο. [32] οὐχ οὕτως; τάδε 32
λέγει κύριος πρὸς βασιλέα Ἀσσυρίων Οὐκ εἰςελεύσεται εἰς τὴν πόλιν ταύτην,
καὶ οὐ τοξεύσει ἐκεῖ βέλος, καὶ οὐ προφθάσει ἐπ' αὐτὴν θυρεός, καὶ οὐ μὴ
ἐκχέῃ πρὸς αὐτὴν πρόςχωμα. [33] τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ ἀποστραφήσεται, 33
καὶ εἰς τὴν πόλιν ταύτην οὐκ εἰςελεύσεται, λέγει κύριος. [34] καὶ ὑπερασπιῶ ὑπὲρ 34
τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου. [35] καὶ ἐγένετο 35
νυκτὸς καὶ ἐξῆλθεν ἄγγελος κυρίου καὶ ἐπάταξεν ἐν τῇ παρεμβολῇ τῶν Ἀσ-
συρίων ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας· καὶ ὤρθρισαν τὸ πρωΐ, καὶ ἰδοὺ πάν-
τες σώματα νεκρά. [36] καὶ ἀπῆρε καὶ ἐπορεύθη καὶ ἀπέστρεψε Σενναχηρὶμ βα- 36
σιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευῇ. [37] καὶ ἐγένετο αὐτοῦ προςκυνοῦντος 37
ἐν οἴκῳ Μεσερὰχ τοῦ θεοῦ αὐτοῦ, καὶ Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐ-
τοῦ ἐπάταξαν αὐτὸν ἐν μαχαίρᾳ· καὶ αὐτοὶ ἐσώθησαν εἰς γῆν Ἀραράθ· καὶ
ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XX.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν Ἐζεκίας εἰς θάνατον· καὶ εἰςῆλθε
πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης καὶ εἶπε πρὸς αὐτόν Τάδε λέγει
κύριος Ἔντειλαι τῷ οἴκῳ σου, ἀποθνήσκεις σὺ καὶ οὐ ζήσῃ. [2] καὶ ἀπέστρεψεν 2
Ἐζεκίας πρὸς τὸν τοῖχον, καὶ ηὔξατο πρὸς κύριον λέγων [3] Κύριε, μνήσθητι 3
δὴ ὅσα περιεπάτησα ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ καρδίᾳ πλήρει, καὶ τὸ ἀγα-
θὸν ἐν ὀφθαλμοῖς σου ἐποίησα· καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ. [4] καὶ 4
ἦν Ἡσαΐας ἐν τῇ αὐλῇ τῇ μέσῃ, καὶ ῥῆμα κυρίου ἐγένετο πρὸς αὐτὸν λέγων
[5] Ἐπίστρεψον καὶ ἐρεῖς πρὸς Ἐζεκίαν τὸν ἡγούμενον τοῦ λαοῦ μου Τάδε λέ- 5
γει κύριος ὁ θεὸς Δαυὶδ τοῦ πατρός σου Ἤκουσα τῆς προςευχῆς σου, εἶδον
τὰ δάκρυά σου· ἰδοὺ ἐγὼ ἰάσομαί σε, τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον
κυρίου. [6] καὶ προςθήσω ἐπὶ τὰς ἡμέρας σου πεντεκαίδεκα ἔτη, καὶ ἐκ χειρὸς 6
βασιλέως Ἀσσυρίων σώσω σε καὶ τὴν πόλιν ταύτην, καὶ ὑπερασπιῶ ὑπὲρ τῆς
πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου. [7] καὶ εἶπε Λαβέτωσαν 7
παλάθην σύκων καὶ ἐπιθέτωσαν ἐπὶ τὸ ἕλκος, καὶ ὑγιάσει. [8] καὶ εἶπεν Ἐζε- 8
κίας πρὸς Ἡσαΐαν Τί τὸ σημεῖον ὅτι ἰάσεταί με κύριος, καὶ ἀναβήσομαι εἰς
οἶκον κυρίου τῇ ἡμέρᾳ τῇ τρίτῃ; [9] καὶ εἶπεν Ἡσαΐας Τοῦτο τὸ σημεῖον παρὰ 9
κυρίου ὅτι ποιήσει κύριος τὸν λόγον ὃν ἐλάλησε· πορεύσεται ἡ σκιὰ δέκα
βαθμούς, ἐὰν ἐπιστρέψῃ δέκα βαθμούς. [10] καὶ εἶπεν Ἐζεκίας Κοῦφον τὴν σκιὰν 10
κλῖναι δέκα βαθμούς· οὐχί, ἀλλ' ἐπιστραφήτω ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς
δέκα βαθμοὺς εἰς τὰ ὀπίσω. [11] καὶ ἐβόησεν Ἡσαΐας ὁ προφήτης πρὸς κύριον, 11
καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς εἰς τὰ ὀπίσω δέκα βαθμούς. [12] ἐν 12
τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν υἱὸς Βαλαδὰν βασιλεὺς Βα-
βυλῶνος βιβλία καὶ μαναὰ πρὸς Ἐζεκίαν, ὅτι ἤκουσεν ὅτι ἠῤῥώστησεν Ἐζεκίας.
[13] καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς ὅλον τὸν οἶκον τοῦ 13

---

30. το διασεσωσμενον ... om και 31. καταλιμμα 32. προφθασει αυτην 34. ταυτης του σωσαι αυτην 35. εως νυκτος 36. σενναχηρειμ 37. εσθραχ ... αδρεμελεχ ... υιοι sine οἱ ... διεσωθησαν ... αραδαδ ... υιος sine ὁ XX. 1. αμμως ... οτι αποθνησκ. 2. επεστρεψεν 3. ab init. add ω δη και εν καρδια ... ενωπιον σου pro εν οφθαλμοις σου ... om μου ... εν τη ημερα ... αναβησεται ε. τον οικ. 6. δια με 7. κ. ειπ. ησαϊας ... post συκων add και εληφθη 8. κυριος με ... εις τον οικον 9. αναβαθμους ... om εαν επιστρ. δ. βαθμ. 10. αναβαθμους bis ... αλλα ... om εν τοις αναβαθμοις 11. post αναβαθμοις add κατεβη εν αναβαθμοις αχαζ 12. μερωδαχ ... (παναα)

Digitized by Google

νεχωθά, τὸ ἀργύριον καὶ τὸ χρυσίον, τὰ ἀρώματα καὶ τὸ ἔλαιον τὸ ἀγαθόν,
καὶ τὸν οἶκον τῶν σκευῶν, καὶ ὅσα ηὑρέθη ἐν τοῖς θησαυροῖς αὐτοῦ· οὐκ ἦν
λόγος ὃν οὐκ ἔδειξεν αὐτοῖς Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ
14 αὐτοῦ. [14] καὶ εἰσῆλθεν Ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεκίαν καὶ
εἶπε πρὸς αὐτόν Τί ἐλάλησαν οἱ ἄνδρες οὗτοι, καὶ πόθεν ἥκασι πρὸς σέ; καὶ
15 εἶπεν Ἐζεκίας Ἐκ γῆς πόῤῥωθεν ἥκασι πρὸς μὲ ἐκ Βαβυλῶνος. [15] καὶ εἶπε
Τί εἶδον ἐν τῷ οἴκῳ σου; καὶ εἶπε Πάντα ὅσα ἐν τῷ οἴκῳ μου εἶδον, οὐκ
ἦν ἐν τῷ οἴκῳ μου ὃ οὐκ ἔδειξα αὐτοῖς, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου.
16 17 [16] καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζεκίαν Ἄκουσον λόγον κυρίου· [17] ἰδοὺ ἡμέραι ἔρ-
χονται καὶ ληφθήσεται πάντα τὰ ἐν τῷ οἴκῳ σου καὶ ὅσα ἐθησαύρισαν οἱ
πατέρες σου ἕως τῆς ἡμέρας ταύτης εἰς Βαβυλῶνα· καὶ οὐχ ὑπολειφθήσεται
18 ῥῆμα ὃ εἶπε κύριος· [18] καὶ οἱ υἱοί σου οἳ ἐξελεύσονται ἐκ σοῦ οὓς γεννήσεις
19 λήψεται, καὶ ἔσονται εὐνοῦχοι ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλῶνος. [19] καὶ
εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν Ἀγαθὸς ὁ λόγος κυρίου ὃν ἐλάλησεν, ἔστω εἰ-
20 ρήνη ἐν ταῖς ἡμέραις μου. [20] καὶ τὰ λοιπὰ τῶν λόγων Ἐζεκίου καὶ πᾶσα ἡ
δυναστεία αὐτοῦ καὶ ὅσα ἐποίησε, τὴν κρήνην καὶ τὸν ὑδραγωγόν, καὶ εἰσή-
γαγε τὸ ὕδωρ εἰς τὴν πόλιν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
21 ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; [21] καὶ ἐκοιμήθη Ἐζεκίας μετὰ τῶν πατέρων
αὐτοῦ, καὶ ἐβασίλευσε **Μανασσῆς** υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXI.

Υἱὸς δώδεκα ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεύειν αὐτόν, καὶ πεντήκοντα καὶ
πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀψιβά.
2 [2] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν
3 ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. [3] καὶ ἐπέστρεψε καὶ ᾠκο-
δόμησε τὰ ὑψηλὰ ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυ-
σιαστήριον τῇ Βάαλ, καὶ ἐποίησε τὰ ἄλση καθὼς ἐποίησεν Ἀχαὰβ βασιλεὺς
Ἰσραήλ, καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐ-
4 τοῖς. [4] καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ κυρίου ὡς εἶπεν Ἐν Ἱερουσαλὴμ
5 θήσω τὸ ὄνομά μου. [5] καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ
6 οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. [6] καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν
πυρί, καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, καὶ ἐποίησε τεμένη, καὶ γνώστας ἐπλή-
7 θυνε τοῦ ποιεῖν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι αὐτόν. [7] καὶ ἔθηκε
τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ ᾧ εἶπε κύριος πρὸς Δαυὶδ καὶ πρὸς Σα-
λωμὼν τὸν υἱὸν αὐτοῦ Ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν Ἱερουσαλὴμ ᾗ ἐξελεξάμην
8 ἐκ πασῶν φυλῶν τοῦ Ἰσραὴλ καὶ θήσω τὸ ὄνομά μου εἰς τὸν αἰῶνα, [8] καὶ
οὐ προςθήσω τοῦ σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς
πατράσιν αὐτῶν, οἵτινες φυλάξουσι πάντα ὅσα ἐνετειλάμην κατὰ πᾶσαν τὴν
9 ἐντολὴν ἣν ἐνετείλατο αὐτοῖς ὁ δοῦλός μου Μωυσῆς. [9] καὶ οὐκ ἤκουσαν, καὶ
ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου
10 ὑπὲρ τὰ ἔθνη ἃ ἠφάνισε κύριος ἐκ προσώπου υἱῶν Ἰσραήλ. [10] καὶ ἐλάλησε

13. και τα αρωματα ... τοπος pro λογος 15. post ειπε sec. add εζεκιας ... μου ιδον ... om τα 16. τον λογον 17. λημφθησεται ... ουχ υπολημφθησεται ... ο κυριος 18. λημψεται 19. post ελαλησεν pergit: και ειπεν Μη ουκαιαν (ου· και αν? ουκ· εαν?) ειρηνη και αληθεια εσται εν ταις ημ. μ. 20. δυναστια ... εισηνεγκεν ... om λογων **XXI.** 1. οφσιβα 3. απεστρεψεν ... α κατεσκαψεν ... κ. απεστρεψεν το θυσιαστηριον ... εποιησεν αλση 4. το θυσιαστηριον ... θησω τον θρονον μου 5. το θυσιαστηριον ... εν πασαις αυλαις 6. εποιησ. θελητην 7. το κρυπτον του οικου εν τω αλσει ως εποιησεν εν τω οικω· ως ειπεν κυριος ... και ιερουσαλημ ην εξελ. ... φυλων ισραηλ ... μου εκει εις 8. γης η εδωκα ... φυλαξ. του ποιειν π. ο. ενετ. αυτοις κ. πασαν εντολην ... μωσης

Digitized by Google

κύριος ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων 11 Ἀνθ' ὧν ὅσα ἐποίησε 11
Μανασσῆς ὁ βασιλεὺς Ἰούδα τὰ βδελύγματα ταῦτα τὰ πονηρὰ ἀπὸ πάντων
ὧν ἐποίησεν ὁ Ἀμοῤῥαῖος ὁ ἔμπροσθεν, καὶ ἐξήμαρτε καί γε τὸν Ἰούδαν ἐν
τοῖς εἰδώλοις αὐτῶν. 12 οὐχ οὕτως· τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ 12
ἐγὼ φέρω κακὰ ἐπὶ Ἱερουσαλὴμ καὶ Ἰούδαν, ὥστε παντὸς ἀκούοντος ἠχήσει
ἀμφότερα τὰ ὦτα αὐτοῦ· 13 καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμα- 13
ρείας καὶ τὸ στάθμιον οἴκου Ἀχαάβ, καὶ ἀπαλείψω τὴν Ἱερουσαλὴμ καθὼς
ἀπαλείφεται ὁ ἀλάβαστρος ἀπαλειφόμενος καὶ καταστρέφεται ἐπὶ πρόσωπον
αὐτοῦ· 14 καὶ ἀπεώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου, καὶ παραδώσω 14
αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν καὶ εἰς προνο-
μὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν· 15 ἀνθ' ὧν ὅσα ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλ- 15
μοῖς μου, καὶ ἦσαν παροργίζοντές με ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγον τοὺς
πατέρας αὐτῶν ἐξ Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης. 16 καί γε αἷμα ἀθῷον 16
ἐξέχεε Μανασσῆς πολὺ σφόδρα ἕως οὗ ἔπλησε τὴν Ἱερουσαλὴμ στόμα εἰς
στόμα, πλὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν Ἰούδαν τοῦ ποιῆσαι
τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. 17 καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ καὶ 17
πάντα ὅσα ἐποίησε καὶ ἡ ἁμαρτία αὐτοῦ ἣν ἥμαρτεν, οὐχὶ ταῦτα γεγραμμένα
ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; 18 καὶ ἐκοιμήθη Μα- 18
νασσῆς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ κήπῳ τοῦ οἴκου αὐτοῦ,
ἐν κήπῳ Ὀζά· καὶ ἐβασίλευσεν Ἀμὼς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 19 υἱὸς εἴκοσι 19
καὶ δύο ἐτῶν Ἀμὼς ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν
Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Μεσολλὰμ θυγάτηρ Ἀροὺς ἐξ Ἰετέβα.
20 καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου καθὼς ἐποίησε Μανασσῆς ὁ 20
πατὴρ αὐτοῦ. 21 καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ, καὶ 21
ἐλάτρευσε τοῖς εἰδώλοις οἷς ἐλάτρευσεν ὁ πατὴρ αὐτοῦ καὶ προσεκύνησεν αὐ-
τοῖς. 22 καὶ ἐγκατέλιπε τὸν κύριον θεὸν τῶν πατέρων αὐτοῦ, καὶ οὐκ ἐπορεύθη 22
ἐν ὁδῷ κυρίου. 23 καὶ συνεστράφησαν οἱ παῖδες Ἀμὼς πρὸς αὐτόν, καὶ ἐθα- 23
νάτωσαν τὸν βασιλέα ἐν τῷ οἴκῳ αὐτοῦ. 24 καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς 24
πάντας τοὺς συστραφέντας ἐπὶ τὸν βασιλέα Ἀμώς· καὶ ἐβασίλευσεν ὁ λαὸς
τῆς γῆς τὸν Ἰωσίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. 25 καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμὼς 25
ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
βασιλεῦσιν Ἰούδα; 26 καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν τῷ κήπῳ Ὀζά· 26
καὶ ἐβασίλευσεν Ἰωσίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXII.

Υἱὸς ὀκτὼ ἐτῶν Ἰωσίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τριάκοντα καὶ ἓν
ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰεδία θυγάτηρ
Ἐδεϊὰ ἐκ Βασουρώθ. 2 καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου, καὶ ἐπο- 2
ρεύθη ἐν πάσῃ ὁδῷ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἀπέστη δεξιὰ καὶ ἀριστερά.
3 καὶ ἐγενήθη ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῷ βασιλεῖ Ἰωσίᾳ ἐν τῷ μηνὶ τῷ 3
ὀγδόῳ ἀπέστειλεν ὁ βασιλεὺς τὸν Σαπφὰν υἱὸν Ἐζελίου υἱοῦ Μεσολλὰμ τὸν
γραμματέα οἴκου κυρίου λέγων 4 Ἀνάβηθι πρὸς Χελκίαν τὸν ἱερέα τὸν μέγαν 4
καὶ σφράγισον τὸ ἀργύριον τὸ εἰσενεχθὲν ἐν οἴκῳ κυρίου, ὃ συνήγαγον οἱ

---

11. ο αμαρραιος εμπροσθεν ... και γε ιουδας 12. επι ιερουσ. κακα και επι ιουδαν 13. το σταθμον ... το αλαβαστρον 14. υπολιμμα 15. om οσα ... ab ημερας ad ημερας transilit 16. πολυν 18. om τω ... αμμων 19. αμμων ... ** δωδεκα ετη pro δυο ετη ... μασσαλαμειθ ... εξ ιεταχαλ 22. εγκατελειπεν 23. αμμων 24. επατ. πας ο λαος ... αμμων 25. αμμων ... ουχ ιδου ... επι βιβλιου 26. εν τω ταφω εν κηπω XXII. 1. εδιδα θυγ. ιεδιδα 2. δεξ. η αριστ. 3. εβδομω pro ογδοω ... εξαπεστειλεν ... σεφφαν υι. εσσελιου υιον μεσσαλην τ. γραμματαιαν του οικου λεγων 4. εις οικον

Digitized by Google

5 φυλάσσοντες τὸν σταθμὸν παρὰ τοῦ λαοῦ, [5] καὶ δότωσαν αὐτὸ ἐπὶ χεῖρα ποιούν-
των τὰ ἔργα τῶν καθεσταμένων ἐν οἴκῳ κυρίου. καὶ ἔδωκεν αὐτὸ τοῖς ποιοῦσι
6 τὰ ἔργα τοῖς ἐν οἴκῳ κυρίου τοῦ κατισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου, [6] τοῖς τέκτοσι
καὶ τοῖς οἰκοδόμοις καὶ τοῖς τειχισταῖς, καὶ τοῦ κτήσασθαι ξύλα καὶ λίθους
7 λατομητοὺς τοῦ κραταιῶσαι τὸ βεδὲκ τοῦ οἴκου. [7] πλὴν οὐκ ἐξελογίζοντο αὐ-
8 τοὺς τὸ ἀργύριον τὸ διδόμενον αὐτοῖς, ὅτι ἐν πίστει αὐτοὶ ποιοῦσι. [8] καὶ εἶπε
Χελκίας ὁ ἱερεὺς ὁ μέγας πρὸς Σαπφὰν τὸν γραμματέα Βιβλίον τοῦ νόμου
εὗρον ἐν οἴκῳ κυρίου· καὶ ἔδωκε Χελκίας τὸ βιβλίον πρὸς Σαπφάν, καὶ ἀνέγνω
9 αὐτό. [9] καὶ εἰσῆλθεν ἐν οἴκῳ κυρίου πρὸς τὸν βασιλέα, καὶ ἀπέστρεψε τῷ βα-
σιλεῖ ῥῆμα καὶ εἶπεν Ἐχώνευσαν οἱ δοῦλοί σου τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν
οἴκῳ κυρίου, καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα καθεσταμένων
10 ἐν οἴκῳ κυρίου. [10] καὶ εἶπε Σαπφὰν ὁ γραμματεὺς πρὸς τὸν βασιλέα λέγων
Βιβλίον ἔδωκέ μοι Χελκίας ὁ ἱερεύς· καὶ ἀνέγνω αὐτὸ Σαπφὰν ἐνώπιον τοῦ
11 βασιλέως. [11] καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους βιβλίου τοῦ νό-
12 μου, καὶ διέῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ. [12] καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκίᾳ
τῷ ἱερεῖ καὶ τῷ Ἀχικὰμ υἱῷ Σαπφὰν καὶ τῷ Ἀχοβὼρ υἱῷ Μιχαίου καὶ τῷ
13 Σαπφὰν τῷ γραμματεῖ καὶ τῷ Ἀσαΐᾳ δούλῳ τοῦ βασιλέως λέγων [13] Δεῦτε
ἐκζητήσατε τὸν κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ λαοῦ καὶ περὶ παντὸς
τοῦ Ἰούδα καὶ περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος τούτου, ὅτι μεγάλη
ἡ ὀργὴ κυρίου ἐκκεκαυμένη ἐν ἡμῖν ὑπὲρ οὗ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν
τῶν λόγων τοῦ βιβλίου τούτου τοῦ ποιεῖν κατὰ πάντα τὰ γεγραμμένα καθ'
14 ἡμῶν. [14] καὶ ἐπορεύθη Χελκίας ὁ ἱερεὺς καὶ Ἀχικὰμ καὶ Ἀχοβὼρ καὶ Σαπ-
φὰν καὶ Ἀσαΐας πρὸς Ὄλδαν τὴν προφῆτιν μητέρα Σελλὴμ υἱοῦ Θεκουὰν υἱοῦ
Ἀρὰς τοῦ ἱματιοφύλακος, καὶ αὕτη κατῴκει ἐν Ἱερουσαλὴμ ἐν τῇ μασενᾶ,
15 καὶ ἐλάλησαν πρὸς αὐτήν. [15] καὶ εἶπεν αὐτοῖς Τάδε λέγει κύριος ὁ θεὸς
16 Ἰσραὴλ Εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρὸς μέ [16] Τάδε λέγει κύριος
Ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτὸν
17 πάντας τοὺς λόγους τοῦ βιβλίου οὓς ἀνέγνω βασιλεὺς Ἰούδα, [17] ἀνθ' ὧν ἐγ-
κατέλιπόν με καὶ ἐθυμίων θεοῖς ἑτέροις, ὅπως παροργίσωσί με ἐν τοῖς ἔργοις
τῶν χειρῶν αὐτῶν, καὶ ἐκκαυθήσεται θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ
18 σβεσθήσεται. [18] καὶ πρὸς βασιλέα Ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς ἐπιζητῆσαι
τὸν κύριον, τάδε ἐρεῖτε πρὸς αὐτόν Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Οἱ λό-
19 γοι οὓς ἤκουσας, [19] ἀνθ' ὧν ὅτι ἡπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ
προσώπου, ὡς ἤκουσας ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοι-
κοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέῤῥηξας τὰ
ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, καί γε ἐγὼ ἤκουσα, λέγει κύριος.
20 [20] οὐχ οὕτως· ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ συναχθήσῃ εἰς
τὸν τάφον σου ἐν εἰρήνῃ, καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου ἐν πᾶσι
τοῖς κακοῖς οἷς ἐγώ εἰμι ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον.

## XXIII.

Καὶ ἐπέστρεψαν τῷ βασιλεῖ τὸ ῥῆμα· καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ
συνήγαγε πρὸς ἑαυτὸν πάντας τοὺς πρεσβυτέρους Ἰούδα καὶ Ἱερουσαλήμ.
2 [2] καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ πᾶς ἀνὴρ Ἰούδα καὶ πάντες οἱ

---

5. om τοις post εργα 7. αυτο pro αυτοι 8. σαφφαν bis ... om το βιβλιον 9. εις οικον ... επεστρεψεν ... εν τω οικω ... των καθεσταμενων 10. σαφφαν 11. του βιβλιου ... ερρηξεν 12. σαφφαν bis ... ιασαϊ (non v. 14.) 13. om και post ιουδα ... η εκκεκαυμενη 14. σαφαν ... γυναικα σελλουμ υι. θεκκουε 15. κ. ειπ. προς αυτους 16. om εγω ... της βιβλου 17. εγκατελειπον ... ο θυμος 19. προσωπου κυριου ... om γε 20. εγω pro ιδου ... συναχθ. εις τον τοπον σου εν ιερουσαλημ

κατοικοῦντες ἐν Ἱερουσαλὴμ μετ' αὐτοῦ καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται καὶ
πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου, καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας
τοὺς λόγους τοῦ βιβλίου τῆς διαθήκης τοῦ εὑρεθέντος ἐν οἴκῳ κυρίου. 3 καὶ 3
ἔστη ὁ βασιλεὺς πρὸς τὸν στῦλον, καὶ διέθετο διαθήκην ἐνώπιον κυρίου τοῦ
πορεύεσθαι ὀπίσω κυρίου, τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ μαρτύρια
αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ, τοῦ
ἀναστῆσαι τοὺς λόγους τῆς διαθήκης ταύτης, τὰ γεγραμμένα ἐπὶ τὸ βιβλίον
τοῦτο· καὶ ἔστη πᾶς ὁ λαὸς ἐν τῇ διαθήκῃ. 4 καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ 4
Χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως καὶ τοῖς φυ-
λάσσουσι τὸν σταθμὸν τοῦ ἐξαγαγεῖν ἐκ τοῦ ναοῦ κυρίου πάντα τὰ σκεύη τὰ
πεποιημένα τῷ Βάαλ καὶ τῷ ἄλσει καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ· καὶ
κατέκαυσεν αὐτὰ ἔξω Ἱερουσαλὴμ ἐν σαδημὼθ Κέδρων, καὶ ἔβαλε τὸν χοῦν
αὐτῶν εἰς Βαιθήλ. 5 καὶ κατέκαυσε τοὺς Χωμαρὶμ οὓς ἔδωκαν βασιλεῖς Ἰούδα, 5
καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς καὶ ἐν ταῖς πόλεσιν Ἰούδα καὶ τοῖς περικύκλῳ
Ἱερουσαλήμ, καὶ τοὺς θυμιῶντας τῷ Βάαλ καὶ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ
τοῖς μαζουρὼθ καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. 6 καὶ ἐξήνεγκε τὸ ἄλσος 6
ἐξ οἴκου κυρίου ἔξωθεν Ἱερουσαλὴμ εἰς τὸν χειμάῤῥουν Κέδρων, καὶ κατέ-
καυσεν αὐτὸν ἐν τῷ χειμάῤῥῳ Κέδρων καὶ ἐλέπτυνεν εἰς χοῦν, καὶ ἔῤῥιψε τὸν
χοῦν αὐτοῦ εἰς τὸν τάφον τῶν υἱῶν τοῦ λαοῦ. 7 καὶ καθεῖλε τὸν οἶκον τῶν 7
Καδησὶμ τῶν ἐν τῷ οἴκῳ κυρίου, οὗ αἱ γυναῖκες ὕφαινον ἐκεῖ χεττιὶμ τῷ
ἄλσει. 8 καὶ ἀνήγαγε πάντας τοὺς ἱερεῖς ἐκ πόλεων Ἰούδα, καὶ ἐμίανε τὰ 8
ὑψηλὰ οὗ ἐθυμίασαν ἐκεῖ οἱ ἱερεῖς ἀπὸ Γαιβὰλ καὶ ἕως Βηρσαβεέ· καὶ καθ-
εῖλε τὸν οἶκον τῶν πυλῶν τὸν παρὰ τὴν θύραν τῆς πύλης Ἰησοῦ ἄρχοντος
τῆς πόλεως τῶν ἐξ ἀριστερῶν ἀνδρὸς ἐν τῇ πύλῃ τῆς πόλεως. 9 πλὴν οὐκ 9
ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυσιαστήριον κυρίου ἐν Ἱερουσαλήμ,
ὅτι εἰ μὴ ἔφαγον ἄζυμα ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. 10 καὶ ἐμίανε τὸν Τα- 10
φὲθ τὸν ἐν φάραγγι υἱοῦ Ἐννὸμ τοῦ διαγαγεῖν ἄνδρα τὸν υἱὸν αὐτοῦ καὶ
ἄνδρα τὴν θυγατέρα αὐτοῦ τῷ Μολὸχ ἐν πυρί. 11 καὶ κατέκαυσε τοὺς ἵππους 11
οὓς ἔδωκαν βασιλεῖς Ἰούδα τῷ ἡλίῳ ἐν τῇ εἰσόδῳ οἴκου κυρίου εἰς τὸ γα-
ζοφυλάκιον Νάθαν βασιλέως τοῦ εὐνούχου ἐν Φαρουρίμ· καὶ τὸ ἅρμα τοῦ ἡλίου
κατέκαυσε πυρί. 12 καὶ τὰ θυσιαστήρια τὰ ἐπὶ τοῦ δώματος τοῦ ὑπερῴου 12
Ἄχαζ, ἃ ἐποίησαν βασιλεῖς Ἰούδα, καὶ τὰ θυσιαστήρια ἃ ἐποίησε Μανασσῆς
ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου καθεῖλεν ὁ βασιλεὺς καὶ κατέσπασεν ἐκεῖ-
θεν, καὶ ἔῤῥιψε τὸν χοῦν αὐτῶν εἰς τὸν χειμάῤῥουν Κέδρων. 13 καὶ τὸν οἶκον 13
τὸν ἐπὶ πρόσωπον Ἱερουσαλὴμ τὸν ἐκ δεξιῶν τοῦ ὄρους τοῦ Μοσθάθ, ὃν ᾠκο-
δόμησε Σαλωμὼν βασιλεὺς Ἰσραὴλ τῇ Ἀστάρτῃ προσοχθίσματι Σιδωνίων καὶ
τῷ Χαμὼς προσοχθίσματι Μωὰβ καὶ τῷ Μολὸχ βδελύγματι υἱῶν Ἀμμὼν
ἐμίανεν ὁ βασιλεύς. 14 καὶ συνέτριψε τὰς στήλας καὶ ἐξωλόθρευσε τὰ ἄλση 14
καὶ ἔπλησε τοὺς τόπους αὐτῶν ὀστέων ἀνθρώπων. 15 καί γε τὸ θυσιαστήριον 15
τὸ ἐν Βαιθὴλ τὸ ὑψηλὸν ὃ ἐποίησεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ ὃς ἐξήμαρτε τὸν
Ἰσραήλ, καί γε τὸ θυσιαστήριον ἐκεῖνο τὸ ὑψηλὸν κατέσπασε, καὶ συνέτριψε
τοὺς λίθους αὐτοῦ καὶ ἐλέπτυνεν εἰς χοῦν, καὶ κατέκαυσε τὸ ἄλσος. 16 καὶ ἐξέ- 16

---

XXIII. 2. post λαος add μετ αυτου ... om και ante εως ... εν τοις ωσιν 3. και του φυλασσειν 4. om τον σταθμον του 5. χωμαρειμ ους εδωκεν βασιλευς ... και εν τοις περικυκλω ... τη βααλ 6. εις το χειμαρρουν ... a κεδρων ad κεδρων transilit 7. των καθησιν ... χεττιειμ 8. εκ πολεως ... εμιαναν ... απο γαβαα ... βηρ σαβεαι ... των παρα την ... αρχοντος της πυλης 9. εμμεσω 10. και μιανει τις τον θοφθα ... εννομομ ... διαγειν 11. κατεκαυσαν ... εδωκεν βασιλευς ... ὁς εν φαρουρειμ 11. 12. πυρι, και τα et βασιλεις ιουδα. Sic interpg. ed. rom. 12. και καθειλεν 13. om τον sec. et tertium ... μοσθο ... σιδονιων κ. τ. μαχως ... αμελχομ pro μολοχ 14. εξωλεθρευσεν 15. post εκεινο add και

Digitized by Google

νευσεν Ἰωσίας καὶ εἶδε τοὺς τάφους τοὺς ἐκεῖ ἐν τῇ πόλει, καὶ ἀπέστειλε καὶ
ἔλαβε τὰ ὀστᾶ ἐκ τῶν τάφων καὶ κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐμία-
νεν αὐτὸ κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν τῷ ἑστά-
ναι Ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐπιστρέψας ἦρε τοὺς
ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ τοῦ λαλήσαντος τοὺς
17 λόγους τούτους, [17] καὶ εἶπεν Τί τὸ σκόπελον ἐκεῖνο ὃ ἐγὼ ὁρῶ; καὶ εἶπον
αὐτῷ οἱ ἄνδρες τῆς πόλεως Ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐξεληλυθὼς ἐξ Ἰούδα
καὶ ἐπικαλεσάμενος τοὺς λόγους τούτους οὓς ἐπεκαλέσατο ἐπὶ τὸ θυσιαστή-
18 ριον Βαιθήλ. [18] καὶ εἶπεν Ἄφετε αὐτόν, ἀνὴρ μὴ κινησάτωσαν τὰ ὀστᾶ αὐ-
τοῦ· καὶ ἐρύσθησαν τὰ ὀστᾶ αὐτοῦ μετὰ τῶν ὀστῶν τοῦ προφήτου τοῦ ἥκον-
19 τος ἐκ Σαμαρείας. [19] καί γε πάντας τοὺς οἴκους τῶν ὑψηλῶν τοὺς ἐν ταῖς
πόλεσι Σαμαρείας, οὓς ἐποίησαν βασιλεῖς Ἰσραὴλ παροργίζειν κύριον, ἀπέστη-
σεν Ἰωσίας, καὶ ἐποίησεν ἐν αὐτοῖς πάντα τὰ ἔργα ἃ ἐποίησεν ἐν Βαιθήλ.
20 [20] καὶ ἐθυσίασε πάντας τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ὄντας ἐκεῖ ἐπὶ τῶν θυ-
σιαστηρίων, καὶ κατέκαυσε τὰ ὀστᾶ τῶν ἀνθρώπων ἐπ' αὐτά, καὶ ἐπεστράφη
21 εἰς Ἱερουσαλήμ. [21] καὶ ἐνετείλατο ὁ βασιλεὺς παντὶ τῷ λαῷ λέγων Ποιήσατε
πάσχα τῷ κυρίῳ θεῷ ἡμῶν καθὼς γέγραπται ἐπὶ βιβλίου τῆς διαθήκης ταύ-
22 της. [22] ὅτι οὐκ ἐγενήθη τὸ πάσχα τοῦτο ἀφ' ἡμερῶν τῶν κριτῶν οἳ ἔκρινον
τὸν Ἰσραὴλ καὶ πάσας τὰς ἡμέρας βασιλέων Ἰσραὴλ καὶ βασιλέων Ἰούδα·
23 [23] ὅτι ἀλλ' ἢ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ βασιλέως Ἰωσίου ἐγενήθη τὸ πάσχα
24 τῷ κυρίῳ ἐν Ἱερουσαλήμ. [24] καί γε τοὺς θελητὰς καὶ τοὺς γνωριστὰς καὶ τὰ
Θεραφὶν καὶ τὰ εἴδωλα καὶ πάντα τὰ προσοχθίσματα τὰ γεγονότα ἐν τῇ γῇ
Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ ἐξῆρεν Ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου
τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου οὗ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν οἴκῳ κυρίου.
25 [25] ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ βασιλεὺς ὃς ἐπέστρεψε πρὸς
κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ ἰσχύϊ αὐτοῦ
26 κατὰ πάντα τὸν νόμον Μωυσῆ, καὶ μετ' αὐτὸν οὐκ ἀνέστη ὅμοιος αὐτῷ. [26] πλὴν
οὐκ ἀπεστράφη κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ τῆς μεγάλης οὗ ἐθυμώθη
ὀργῇ αὐτοῦ ἐν τῷ Ἰούδᾳ ἐπὶ τοὺς παροργισμοὺς οὓς παρώργισεν αὐτὸν Μα-
27 νασσῆς. [27] καὶ εἶπε κύριος Καί γε τὸν Ἰούδα ἀποστήσω ἀπὸ τοῦ προσώπου
μου καθὼς ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπεώσομαι τὴν πόλιν ταύτην ἣν ἐξε-
λεξάμην τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον οὗ εἶπον Ἔσται τὸ ὄνομά μου ἐκεῖ.
28 [28] καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωσίου καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γε-
29 γραμμένα ἐπὶ βιβλίῳ λόγων ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; [29] ἐν δὲ ταῖς
ἡμέραις αὐτοῦ ἀνέβη Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου ἐπὶ βασιλέα Ἀσσυ-
ρίων ἐπὶ ποταμὸν Εὐφράτην, καὶ ἐπορεύθη Ἰωσίας εἰς ἀπαντὴν αὐτοῦ, καὶ
30 ἐθανάτωσεν αὐτὸν Νεχαὼ ἐν Μαγεδδῷ ἐν τῷ ἰδεῖν αὐτόν. [30] καὶ ἐπεβίβασαν
αὐτὸν οἱ παῖδες αὐτοῦ νεκρὸν ἐκ Μαγεδδώ, καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσα-
λήμ, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ· καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν
Ἰωάχαζ υἱὸν Ἰωσίου καὶ ἔχρισαν αὐτόν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς
31 αὐτοῦ. [31] υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ
τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμιτὰλ θυ-
32 γάτηρ Ἱερεμίου ἐκ Λοβνά. [32] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου

---

16. ταφους οι εκει 17. ειπαν ... θεου εστιν ο εξελ. εκ του ιουδα 18. κινησατω ... ευρεθησαν pro ερυσθησαν ... σαμαριας 19. εις παντας ... σαμαριας ... ιωσιας βασιλευς ιερουσαλημ· και απεστησεν εν ... εποιησαν 21. επι βιβλιω 22. εκριναν ... πασων ημερων 23. το πασχα τουτο 24. και γνωριστας και θεραφειν ... του γεγραμμενου επι τω βιβλιω ω 25. εγεννηθη ... μωυσεως 26. εν τη οργη αυτου 27. ιουδαν ... απωσομαι 28. των ημερων 29. εις απαντησιν αυτω ... om νεχαω alterum 30. νεκρον οι παιδες αυτου ... εβασιλευσεν 31. τρεις μηνας pro τριμηνον ... λοβενα

Digitized by Google

κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. 33 καὶ μετέστησεν αὐτὸν Φαραὼ 33
Νεχαὼ ἐν Ῥαβλαὰμ ἐν γῇ Ἐμὰϑ τοῦ μὴ βασιλεύειν ἐν Ἱερουσαλήμ, καὶ ἔδω-
κε ζημίαν ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου καὶ ἑκατὸν τάλαντα χρυσίου.
34 καὶ ἐβασίλευσε Φαραὼ Νεχαὼ ἐπ' αὐτοὺς τὸν Ἐλιακὶμ υἱὸν Ἰωσίου βα- 34
σιλέως Ἰούδα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτοῦ
Ἰωακίμ· καὶ τὸν Ἰωάχαζ ἔλαβε καὶ εἰςήνεγκεν εἰς Αἴγυπτον, καὶ ἀπέϑανεν
ἐκεῖ. 35 καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν Ἰωακὶμ τῷ Φαραῷ· πλὴν ἐπι- 35
μογράφησε τὴν γῆν τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόματος Φαραώ· ἀνὴρ κατὰ
τὴν συντίμησιν αὐτοῦ ἔδωκαν τὸ ἀργύριον καὶ τὸ χρυσίον μετὰ τοῦ λαοῦ τῆς
γῆς τοῦ δοῦναι τῷ Φαραῷ Νεχαῷ. 36 υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακὶμ ἐν 36
τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα
τῇ μητρὶ αὐτοῦ Ἰελδὰφ ϑυγάτηρ Φαδαὶλ ἐκ Ῥουμά. 37 καὶ ἐποίησε τὸ πο- 37
νηρὸν ἐν ὀφϑαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

## XXIV.

Ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ
ἐγενήϑη αὐτῷ Ἰωακὶμ δοῦλος τρία ἔτη, καὶ ἐπέστρεψε καὶ ἠϑέτησεν ἐν αὐτῷ.
2 καὶ ἀπέστειλε κύριος αὐτῷ τοὺς μονοζώνους τῶν Χαλδαίων καὶ τοὺς μονο- 2
ζώνους Συρίας καὶ τοὺς μονοζώνους Μωὰβ καὶ τοὺς μονοζώνους υἱῶν Ἀμμών,
καὶ ἐξαπέστειλεν αὐτοὺς ἐν τῇ γῇ Ἰούδα τοῦ κατισχῦσαι κατὰ τὸν λόγον κυ-
ρίου ὃν ἐλάλησεν ἐν χειρὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν. 3 πλὴν ἐπὶ τὸν 3
ϑυμὸν κυρίου ἦν ἐν τῷ Ἰούδᾳ ἀποστῆσαι αὐτὸν ἀπὸ τοῦ προςώπου αὐτοῦ ἐν
ἁμαρτίαις Μανασσῆ κατὰ πάντα ὅσα ἐποίησε. 4 καί γε τὸ αἷμα ἀϑῷον ἐξέ- 4
χεε, καὶ ἔπλησε τὴν Ἱερουσαλὴμ αἵματος ἀϑῴου, καὶ οὐκ ἠϑέλησε κύριος
ἱλασϑῆναι. 5 καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωακὶμ καὶ πάντα ὅσα ἐποίησεν, οὐκ 5
ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;
6 καὶ ἐκοιμήϑη Ἰωακὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰωαχὶμ 6
υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 7 καὶ οὐ προςέϑετο ἔτι βασιλεὺς Αἰγύπτου ἐξελϑεῖν ἐκ 7
τῆς γῆς αὐτοῦ, ὅτι ἔλαβε βασιλεὺς Βαβυλῶνος ἀπὸ τοῦ χειμάῤῥου Αἰγύπτου
ἕως τοῦ ποταμοῦ Εὐφράτου πάντα ὅσα ἦν τοῦ βασιλέως Αἰγύπτου. 8 υἱὸς ὀκτω- 8
καίδεκα ἐτῶν Ἰωαχὶμ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον ἐβασίλευσεν ἐν
Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Νέσϑα ϑυγάτηρ Ἐλλανασϑὰμ ἐξ
Ἱερουσαλήμ. 9 καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφϑαλμοῖς κυρίου κατὰ πάντα ὅσα 9
ἐποίησεν ὁ πατὴρ αὐτοῦ. 10 ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη Ναβουχοδονόσορ βασι- 10
λεὺς Βαβυλῶνος εἰς Ἱερουσαλήμ, καὶ ἦλϑεν ἡ πόλις ἐν περιοχῇ. 11 καὶ εἰςῆλϑε 11
Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς πόλιν, καὶ οἱ παῖδες αὐτοῦ ἐπολιόρ-
κουν ἐπ' αὐτήν. 12 καὶ ἐξῆλϑεν Ἰωαχὶμ βασιλεὺς Ἰούδα ἐπὶ βασιλέα Βαβυ- 12
λῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ
καὶ οἱ εὐνοῦχοι αὐτοῦ, καὶ ἔλαβεν αὐτὸν βασιλεὺς Βαβυλῶνος ἐν τῷ ὀγδόῳ
ἔτει τῆς βασιλείας αὐτοῦ. 13 καὶ ἐξήνεγκεν ἐκεῖϑεν πάντας τοὺς ϑησαυροὺς 13
οἴκου κυρίου καὶ τοὺς ϑησαυροὺς οἴκου τοῦ βασιλέως, καὶ συνέκοψε πάντα τὰ

---

33. εν δεβλαα εν γη αιμαϑ ... βασιλευειν αυτον 34. ελιακειμ υιον ιωσιας ... ιωακειμ ... ιωαχας 35. ιωακειμ τω φαρ. νεχαω ... ετιμογραφησαν ... om του extr. 36. ιωακειμ ... ειελδαφ ϑυγ. ειεδδιλα εκ ρυμα 37. ενωπιον pro εν οφϑαλμοις XXIV. 1. ιωακειμ ... ηϑετησεν αυτω 2. om τους μονοζ. τ. χαλδ. και ... εν γη 3. αποστηναι α. απο προσωπου (... εν αμαρτιαι μανασσης) 4. και γε αιμα 5. ιωακειμ ... ουχ ιδου 6. ιωακειμ ... om αυτου primum ... εβασιλ. ιωακειμ 7. om αιγυπτου ... εκ γης 8. ιωακειμ ... ναισϑα ϑυγ. ελλαμαϑαμ 10. om ναβουχοδονοσορ 11. om ναβουχοδονοσορ ... ο βασιλευς ... την πολιν ... την επ αυτην 12. ιωακειμ ... om οι ante ευνουχοι ... ελαβεν αυτους ... εν ετει ογδοω 13. om εκειϑεν

Digitized by Google

σκεύη τὰ χρυσᾶ ἃ ἐποίησε Σαλωμὼν ὁ βασιλεὺς Ἰσραὴλ ἐν τῷ ναῷ κυρίου
14 κατὰ τὸ ῥῆμα κυρίου. [14] καὶ ἀπῴκισε τὴν Ἱερουσαλὴμ καὶ πάντας τοὺς ἄρ-
χοντας καὶ τοὺς δυνατοὺς ἰσχύϊ αἰχμαλωσίας δέκα χιλιάδας αἰχμαλωτίσας καὶ
πᾶν τέκτονα καὶ τὸν συγκλείοντα, καὶ οὐχ ὑπελείφθη πλὴν οἱ πτωχοὶ τῆς γῆς.
15 [15] καὶ ἀπῴκισε τὸν Ἰωαχὶμ εἰς Βαβυλῶνα, καὶ τὴν μητέρα τοῦ βασιλέως καὶ
τὰς γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους αὐτοῦ· καὶ τοὺς ἰσχυροὺς τῆς
16 γῆς ἀπήγαγεν εἰς ἀποικεσίαν ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα. [16] καὶ πάντας τοὺς
ἄνδρας τῆς δυνάμεως ἑπτακισχιλίους καὶ τὸν τέκτονα καὶ τὸν συγκλείοντα χι-
λίους, πάντες δυνατοὶ ποιοῦντες πόλεμον, καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς Βαβυ-
17 λῶνος μετοικεσίαν εἰς Βαβυλῶνα. [17] καὶ ἐβασίλευσε βασιλεὺς Βαβυλῶνος τὸν
Βατθανίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Σεδεκία.
18 [18] υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτῶν Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα
ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμιτὰλ θυγάτηρ
19 Ἱερεμίου. [19] καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίη-
20 σεν Ἰωακίμ. [20] ὅτι ἐπὶ τὸν θυμὸν κυρίου ἦν ἐπὶ Ἱερουσαλὴμ καὶ ἐν τῷ Ἰούδα,
ἕως ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. καὶ ἠθέτησε Σεδεκίας ἐν τῷ βα-
σιλεῖ Βαβυλῶνος.

## XXV.

Καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ἐννάτῳ τῆς βασιλείας αὐτοῦ ἐν τῷ μηνὶ τῷ
δεκάτῳ ἦλθε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις
αὐτοῦ ἐπὶ Ἱερουσαλήμ, καὶ παρενέβαλεν ἐπ' αὐτήν, καὶ ᾠκοδόμησεν ἐπ' αὐ-
2 τὴν περίτειχος κύκλῳ. [2] καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ ἕως τοῦ ἑνδεκάτου ἔτους
3 τοῦ βασιλέως Σεδεκίου ἐννάτῃ τοῦ μηνός, [3] καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν τῇ πό-
4 λει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. [4] καὶ ἐῤῥάγη ἡ πόλις, καὶ πάντες
οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς ὁδὸν πύλης τῆς ἀνὰ μέσον τῶν τειχῶν,
αὕτη ἐστὶ τοῦ κήπου τοῦ βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ.
5 καὶ ἐπορεύθη ὁδὸν τὴν Ἄραβα, [5] καὶ ἐδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω
τοῦ βασιλέως, καὶ κατέλαβον αὐτὸν ἐν Ἀραβὼθ Ἱεριχώ, καὶ πᾶσα ἡ δύναμις
6 αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ. [6] καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐ-
τὸν πρὸς βασιλέα Βαβυλῶνος εἰς Ῥεβλαθά· καὶ ἐλάλησε μετ' αὐτοῦ κρίσιν.
7 [7] καὶ τοὺς υἱοὺς Σεδεκίου ἔσφαξε κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ τοὺς ὀφθαλ-
μοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις καὶ ἤγαγεν εἰς Βα-
8 βυλῶνα. [8] καὶ ἐν τῷ μηνὶ τῷ πέμπτῳ ἑβδόμῃ τοῦ μηνός, αὐτὸς ἐνιαυτὸς ἐν-
νεακαιδέκατος τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, ἦλθε Ναβουζαρδὰν ὁ
9 ἀρχιμάγειρος ἑστὼς ἐνώπιον βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλήμ. [9] καὶ ἐνέ-
πρησε τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάντας τοὺς οἴκους
10 Ἱερουσαλήμ, καὶ πᾶν οἶκον ἐνέπρησεν ὁ ἀρχιμάγειρος. [10] καὶ τὸ τεῖχος Ἱε-
11 ρουσαλὴμ κυκλόθεν κατέσπασεν ἡ δύναμις τῶν Χαλδαίων. [11] καὶ τὸ περισσὸν
τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν τῇ πόλει καὶ τοὺς ἐμπεπτωκότας οἳ ἐνέπεσον πρὸς
τὸν βασιλέα Βαβυλῶνος καὶ τὸ λοιπὸν τοῦ στηρίγματος μετῆρε Ναβουζαρδὰν
12 ὁ ἀρχιμάγειρος. [12] καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν ὁ ἀρχιμάγειρος

---

13. σαλωμων βασιλευς 14. πασαν την ιερουσαλημ 15. ιωαχειμ ... απηγαγεν αποικεσιαν 17. τον μεθθανιαν ... εθηκεν ... σεδεκιαν 18. υι. εικοσι ετων σεδεκιας ... αμιταθ ... ιηρεμιου απο λομνα 19. εν οφθαλμοις pro ενωπιον ... ιωαχειμ 20. ως pro εως XXV. 1. εγενετο ... ενατω ... μηνι τω δευτερω τεσσαρεσκαιδεκατη του μηνος ... om ὁ 2. εις πολιν περιοχης ... ενατη 4. πυλης την ... αυτη η εστιν 5. εν ραβωθ 6. προς τον βασιλεα ... εις δεβλαθα 8. om ενιαυτος ... και ηλθεν 9. παντα pro παν ... om ο αρχιμαγειρος (cf. ad v. seq.) et add εν πυρι 10. κυκλω κατελυσαν πασα ευπορεια χαλδαιων et add (cf. ad v. 9.) ο αρχιμαγειρος 11. ενεπεσαν προς βασιλεα ... ο ναβουζαρδαν 12. υπελειπεν

Digitized by Google

εἰς ἀμπελουργοὺς καὶ εἰς γαβίν. [13]καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν 13
οἴκῳ κυρίου καὶ τὰς μεχωνὼθ καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ
κυρίου συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἦραν τὸν χαλκὸν αὐτῶν εἰς Βαβυλῶνα.
[14]καὶ τοὺς λέβητας καὶ τὰ ἰαμὶν καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ πάντα 14
τὰ σκεύη τὰ χαλκᾶ ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς ἔλαβε. [15]καὶ τὰ πυρεῖα 15
καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγειρος, [16]στύ- 16
λους δύο καὶ τὴν θάλασσαν μίαν καὶ τὰς μεχωνὼθ ἃς ἐποίησε Σαλωμὼν τῷ
οἴκῳ κυρίου· οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ πάντων τῶν σκευῶν. [17]ὀκτωκαί- 17
δεκα πήχεων ὕψος τοῦ στύλου τοῦ ἑνός, καὶ τὸ χωθὰρ ἐπ' αὐτοῦ τὸ χαλ-
κοῦν, καὶ τὸ ὕψος τοῦ χωθὰρ τριῶν πήχεων σαβαχά, καὶ ῥοαὶ ἐπὶ τῷ χω-
θὰρ κύκλῳ, τὰ πάντα χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ ἐπὶ
τῷ σαβαχά. [18]καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν Σαραίαν ἱερέα τὸν πρῶτον καὶ 18
τὸν Σοφονίαν υἱὸν τῆς δευτερώσεως καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν στα-
θμόν· [19]καὶ ἐκ τῆς πόλεως ἔλαβον εὐνοῦχον ἕνα ὃς ἦν ἐπιστάτης τῶν ἀν- 19
δρῶν τῶν πολεμιστῶν, καὶ πέντε ἄνδρας τῶν ὁρώντων τὸ πρόσωπον τοῦ βασιλέως
τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν γραμματέα τοῦ ἄρχοντος τῆς δυνάμεως
τὸν ἐκτάσσοντα τὸν λαὸν τῆς γῆς, καὶ ἑξήκοντα ἄνδρας τοῦ λαοῦ τῆς γῆς τοὺς
εὑρεθέντας ἐν τῇ πόλει· [20]καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος 20
καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα Βαβυλῶνος εἰς Ῥεβλαθά. [21]καὶ ἔπαισεν 21
αὐτοὺς ὁ βασιλεὺς Βαβυλῶνος καὶ ἐθανάτωσεν αὐτοὺς εἰς Ῥεβλαθὰ ἐν γῇ Αἰ-
μάθ· καὶ ἀπῳκίσθη Ἰούδας ἐπάνωθεν τῆς γῆς αὐτοῦ. [22]καὶ ὁ λαὸς ὁ κατα- 22
λειφθεὶς ἐν τῇ γῇ Ἰούδα οὓς κατέλιπε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος,
καὶ κατέστησεν ἐπ' αὐτῶν τὸν Γοδολίαν υἱὸν Ἀχικὰμ υἱὸν Σαφάν. [23]καὶ 23
ἤκουσαν πάντες οἱ ἄρχοντες τῆς δυνάμεως, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν, ὅτι
κατέστησε βασιλεὺς Βαβυλῶνος τὸν Γοδολίαν· καὶ ἦλθον πρὸς Γοδολίαν εἰς
Μασσηφάθ, καὶ Ἰσμαὴλ υἱὸς Ναθανίου καὶ Ἰωνὰ υἱὸς Καρὴθ καὶ Σαραίας
υἱὸς Θαναμὰθ ὁ Νετωφαθίτης καὶ Ἰεζονίας υἱὸς τοῦ Μαχαθί, αὐτοὶ καὶ οἱ
ἄνδρες αὐτῶν. [24]καὶ ὤμοσε Γοδολίας αὐτοῖς καὶ τοῖς ἀνδράσιν αὐτῶν, καὶ 24
εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε πάροδον τῶν Χαλδαίων· καθίσατε ἐν τῇ γῇ καὶ
δουλεύσατε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ καλῶς ἔσται ὑμῖν. [25]καὶ ἐγενήθη ἐν 25
τῷ ἑβδόμῳ μηνὶ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθανίου υἱοῦ Ἐλισαμὰ ἐκ τοῦ σπέρ-
ματος τῶν βασιλέων, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ, καὶ ἐπάταξε τὸν Γοδολίαν
καὶ ἀπέθανε, καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Χαλδαίους οἳ ἦσαν μετ' αὐτοῦ ἐν
Μασσηφᾶ. [26]καὶ ἀνέστη πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου καὶ οἱ ἄρχοντες 26
τῶν δυνάμεων καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου τῶν
Χαλδαίων. [27]καὶ ἐγενήθη ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῆς ἀποικίας 27
τοῦ Ἰωαχὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἑβδόμῃ καὶ εἰκάδι τοῦ
μηνός, ὕψωσεν Εὐιαλμαρωδὲκ βασιλεὺς Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς βασι-
λείας αὐτοῦ τὴν κεφαλὴν Ἰωαχὶμ τοῦ βασιλέως Ἰούδα, καὶ ἐξήγαγεν αὐτὸν
ἐξ οἴκου φυλακῆς αὐτοῦ. [28]καὶ ἐλάλησε μετ' αὐτοῦ ἀγαθά, καὶ ἔδωκε τὸν 28

---

12. γηβειν 13. τους μεχωνωθ 14. ιματια pro ιαμιν 15. πυρια ... τας αργυρ. κ. τας χρυσ. 16. δυο· η θαλασσα μια· και τα μεχωνωθ α 17. πηχων bis ... σαβαχ ... ροαι επι του ... κατα τα αυτα 18. τον σαραια ιερεα 19. ελαβεν ... επιστατης επι ... γραμματαιαν ... επτα pro εξηκοντα 20. απηγαγεν ... εις δεβλαθα 21. αυτους βασιλευς ... εν δεβλαθα εν γη αιθαμ 22. εν τη ιουδαια ους κατελειπεν ... επ αυτω ... υιου σαφαν 23. αυτου pro αυτοι ... μασσηφα ... ισμαηλ υι. μαθθανιου κ. ιωαναν υι. καρης κ. σ. υι. θανεμαν ο νεθωφαθειτης ... μαχαθθει 24. αυτοις γοδολιας ... παροδον χαλδαιων 25. om εν ... επαταξαν 26. και εως ... της δυναμεως ... χαναναιων pro χαλδαιων 27. της μετοικεσιας του ιωαχειμ ... ευειαναρωδαχ ... ιωαχειμ βασιλεως

Digitized by Google

θρόνον αὐτοῦ ἐπάνωθεν τῶν θρόνων τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ ἐν Βαβυ-
29 λῶνι. [29] καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διὰ
30 παντὸς ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. [30] καὶ ἡ ἑστιατο-
ρία αὐτοῦ ἑστιατορία διὰ παντὸς ἐδόθη αὐτῷ ἐξ οἴκου τοῦ βασιλέως, λόγον
ἡμέρας ἐν τῇ ἡμέρᾳ αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

---

# ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ

## ΠΡΩΤΟΝ.

### I.

2 3 Ἀδάμ, Σήθ, Ἐνώς, [2] καὶ Καϊνᾶν, Μαλελεήλ, Ἰάρεδ, [3] Ἐνώχ, Μαθου-
4 5 σάλα, Λάμεχ, [4] Νῶε. υἱοὶ Νῶε· Σήμ, Χάμ, Ἰάφεθ. [5] υἱοὶ Ἰάφεθ· Γαμέρ,
6 Μαγώγ, Μαδαΐμ, Ἰωύαν, Ἐλισά, Θοβέλ, Μοσὸχ καὶ Θίρας. [6] καὶ οἱ υἱοὶ Γα-
7 μέρ· Ἀσχανὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά. [7] καὶ οἱ υἱοὶ Ἰωύαν· Ἐλισὰ καὶ
8 Θάρσις, Κίτιοι καὶ Ῥόδιοι. [8] καὶ υἱοὶ Χάμ· Χοὺς καὶ Μεσραΐμ, Φοὺδ καὶ
9 Χαναάν. [9] καὶ υἱοὶ Χούς· Σαβὰ καὶ Εὐιλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμὰ καὶ Σε-
10 βεθαχά. καὶ υἱοὶ Ῥεγμά· Σαβὰ καὶ Δαδάν. [10] καὶ Χοὺς ἐγέννησε τὸν Νεβρώδ·
17 οὗτος ἤρξατο εἶναι γίγας κυνηγὸς ἐπὶ τῆς γῆς. [17] υἱοὶ Σήμ· Αἰλὰμ καὶ Ἀσ-
24 25 26 σοὺρ καὶ Ἀρφαξάδ. [24] Σαλά, [25] Ἔβερ, Φαλέγ, Ῥαγάν, [26] Σερούχ, Ναχώρ,
27 28 29 Θάῤῥα, [27] Ἀβραάμ. [28] υἱοὶ δὲ Ἀβραάμ· Ἰσαὰκ καὶ Ἰσμαήλ. [29] αὗται δὲ αἱ
γενέσεις αὐτῶν· πρωτότοκος Ἰσμαήλ, Ναβαϊὼθ καὶ Κηδάρ, Ναβδεήλ, Μασ-
30 31 σάμ, [30] Μασμά, Ἰδουμά, Μασσῆ, Χονδάν, Θαιμάν, [31] Ἰεττούρ, Ναφές, Κε-
32 δμά· οὗτοι υἱοὶ Ἰσμαήλ. [32] καὶ υἱοὶ Χεττούρας παλλακῆς Ἀβραάμ, καὶ ἔτεκεν

---

29. ηλλοιωσαν 30. θεραποντος pro δια παντος
Subscriptio: βασιλειων δ

---

Inscriptio: παραλειπομενων βασιλεων ιουδα α

I. 2. om και 5. μαγωα, μαδαΐ ... θειρας 6. και υιοι ... ασχενεζ κ. ριφαε κ. θορραμ 7. και υιοι ... θαρσεις ... *κητιοι (?) 8. μεσραΐαμ, φουτ 10. του ειναι 11. Και μεσραΐμ εγεννησεν τους λωδιειμ και τους αναμιειμ και τους λαβειν και τους νεφθαλιμ 12. (v. 12. totus rescriptus est) και τους πατροσωνιειμ και τους χασλωνιειμ, οθεν εξηλθεν εκειθεν φυλιστιειμ, και τους χαφοριειμ. 13. Και χανααν εγεννησεν τον σιδωνα πρωτοτοκον και τον χετταιον 14. και τον ιεβουσαιον και τον αμορραιον και τον γεργεσαιον 15. και τον ευαιον και τον αρουχαιον και τον ασενναιον 16. και τον αραδιον και τον σαμαραιον και τον αμαθι. 17. Υιοι σημ· αιλαμ και ασσουρ και αρφαξαδ και λουδ και αραμ. Και υιοι αραμ· ως και ουδ και γαθερ και μοσοχ. 18. και αρφαξαδ εγεννησεν τον καΐναν, και καΐναν εγεννησεν τον σαλα, και σαλα εγεννησεν τον εβερ. 19. Και τω εβερ εγεννηθησαν δυο υιοι· ονομα τω ενι φαλεχ, οτι εν ταις ημεραις αυτου διεμερισθη η γη, και ονομα τω αδελφω αυτου ιεκταν. 20. και ιεκταν εγεννησεν τον ελμωδαδ και τον σαλεφ και τον αραμωθ 21. και τον κεδουραν και τον αιζην και τον δεκλαμ 22. και τον γεμιαν και τον αβιμεηλ και τον σαβαν 23. και τον ουφειρ και τον ευϊ και τον ωραμ· παντες ουτοι υιοι ιεκταν. 24. υιοι σημ· αιλαμ και ασσουρ και αρφαξαδ, σαλα. 25. φαλεχ ... ραγαυ 26. θαρα 27. αβραμ αυτος αβρααμ 29. αι γενεσις πρωτοτοκου ... και ναβδεηλ ... μαβσαν pro μασσαμ 30. και ιδουμα ... χοδδαδ pro χονδαν 31. και ιεττουρ, ναφες και κεδαμ· ουτοι εισιν οι υι. ισμ. 32. ετεχεν υιον

Digitized by Google

αὐτῷ τὸν Ζεμβρᾶμ, Ἰεξάν, Μαδιάμ, Μαδάμ, Σοβάκ, Σωέ· καὶ υἱοὶ Ἰεξὰν
Δαιδὰν καὶ Σαβαΐ· 33 καὶ υἱοὶ Μαδιὰμ Γεφὰρ καὶ Ὀφὶρ καὶ Ἐνὼχ καὶ 33
Ἀβιδὰ καὶ Ἐλδαδά· πάντες οὗτοι υἱοὶ Χεττούρας. 34 καὶ ἐγέννησεν Ἀβραὰμ 34
τὸν Ἰσαάκ. καὶ υἱοὶ Ἰσαάκ· Ἰακὼβ καὶ Ἡσαῦ. 35 υἱοὶ Ἡσαῦ· Ἐλιφὰζ καὶ 35
Ῥαγουὴλ καὶ Ἰεοὺλ καὶ Ἰεγλὸμ καὶ Κορέ. 36 υἱοὶ Ἐλιφάζ· Θαιμὰν καὶ Ὠμάρ, 36
Σωφὰρ καὶ Γοωθὰμ καὶ Κενὲζ καὶ Θαμνὰ καὶ Ἀμαλήκ. 37 καὶ υἱοὶ Ῥα- 37
γουήλ· Ναχές, Ζαρέ, Σομὲ καὶ Μοζέ. 38 υἱοὶ Σηίρ· Λωτάν, Σωβάλ, Σεβε- 38
γών, Ἀνά, Δησών, Ὠσὰρ καὶ Δισάν. 39 καὶ υἱοὶ Λωτάν· Χορρὶ καὶ Αἱμάν· 39
ἀδελφὴ δὲ Λωτὰν Θαμνά. 40 υἱοὶ Σωβάλ· Ἀλών, Μαχανάθ, Ταιβήλ, Σωφὶ 40
καὶ Ὠνάν. υἱοὶ δὲ Σεβεγών· Ἀϊθ καὶ Σωνάν. 41 υἱοὶ Σωνάν· Δαισών. υἱοὶ 41
δὲ Δαισών· Ἐμερὼν καὶ Ἀσεβὼν καὶ Ἰεθρὰμ καὶ Χαῤῥάν. 42 καὶ υἱοὶ Ὠσάρ· 42
Βαλαὰμ καὶ Ζουκὰμ καὶ Ἀκάν. υἱοὶ Δισάν· Ὣς καὶ Ἀράν. 43 καὶ οὗτοι οἱ 43
βασιλεῖς αὐτῶν· Βαλὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά.
44 καὶ ἀπέθανε Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ 44
Βοσόῤῥας. 45 καὶ ἀπέθανεν Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀσὸμ ἐκ γῆς 45
Θαιμανών. 46 καὶ ἀπέθανεν Ἀσόμ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ 46
ὁ πατάξας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθαίμ.
47 καὶ ἀπέθανεν Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σεβλὰ ἐκ Μασεκκᾶς. 48 καὶ 47 48
ἀπέθανε Σεβλά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαοὺλ ἐκ Ῥωβὼθ τῆς παρὰ
ποταμόν. 49 καὶ ἀπέθανε Σαούλ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Βαλαεννὼρ υἱὸς 49
Ἀχωβώρ. 50 καὶ ἀπέθανε Βαλαεννώρ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς 50
Βαράδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογώρ. 51 ἡγεμόνες Ἐδώμ· ἡγεμὼν Θαμνά, 51
ἡγεμὼν Γωλαδά, ἡγεμὼν Ἰεθέρ, ἡγεμὼν Ἐλιβαμάς, ἡγεμὼν Ἠλάς, ἡγεμὼν
Φινών, ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν Βασσάρ, ἡγεμὼν Μαγεδιήλ,
ἡγεμὼν Ζαφωίν· οὗτοι ἡγεμόνες Ἐδώμ.

## II.

Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ· Ῥουβήν, Συμεών, Λευί, Ἰούδα,
Ἰσσάχαρ, Ζαβουλών, 2 Δάν, Ἰωσήφ, Βενιαμίν, Νεφθαλί, Γάδ, Ἀσήρ. 3 υἱοὶ 2 3
Ἰούδα· Ἢρ, Αὐνάν, Σηλώμ· τρεῖς ἐγεννήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς Σαύας
τῆς Χανανίτιδος. καὶ ἦν Ἢρ ὁ πρωτότοκος Ἰούδα πονηρὸς ἐναντίον κυρίου,
καὶ ἀπέκτεινεν αὐτόν. 4 καὶ Θάμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν Φαρὲς 4
καὶ τὸν Ζαρά. πάντες υἱοὶ Ἰούδα πέντε. 5 υἱοὶ Φαρές· Ἐσρὼμ καὶ Ἰεμουήλ. 5
6 καὶ υἱοὶ Ζαρά· Ζαμβρὶ καὶ Αἰθὰμ καὶ Αἱμουὰν καὶ Καλχὰλ καὶ Δαράδ, 6
πάντες πέντε. 7 καὶ υἱοὶ Χαρμί· Ἀχὰρ ὁ ἐμποδοστάτης Ἰσραὴλ ὃς ἠθέτησεν 7

---

32. αυτω τ. ζεμραν και ιεχσαν και μαδαν και μαδιαν, ιεσβοκ, σωυε. κ. υ. ιεχσαν· σαβα κ. δαιδαν. και υιοι δαιδαν· ραγουηλ και ναβδαιηλ και ασσουριειμ και λατουσιειμ και ασωμειν. 33. γαιφαρ ... ελδαα 34. και ησαυ και ιακωβ 36. γοθαμ κ. κεζεζ· θαμνα δε η παλλακη ελιφαζ ετεκεν αυτη τον αμαληκ 37. ναχεθ ... σομμε κ. μοχε 38. και υιοι σηθιρ ... σεβετων ... δησων και ασαρ κ. ρισων. 40. σωβαλ· ιωλαμ και μαναχαθ και γαοβηλ και σωφαρ κ. ωναν ... σεβεγων· αια και ωναμ 41. ουτοι δε υιοι ανα· δαισων και ελιβαμα θυγατηρ ανα. και υιοι δαισων· αμαδα κ. εσεβαν κ. ιεθραν κ. χ. 42. ασαρ· βαλααν κ. αζουκαν κ. ιωακαν και ουκαμ. υιοι δε δαισων· ως και αρραν 43. post αυτων add οι βασιλευσαντες εν εδωμ προ του βασιλευσαι βασιλεα τοις υιοις ισραηλ ... βαιωρ 46. εκ της γης 46. γεθθαμ 47. σαμαα pro σεβλα 48. απεθανεν δε σαμαα ... εκ ροωβωθ 49. βαλαεννων υι. αχοβωρ 50. βαλαεννων υιος αχοβωρ ... om υιος βαραδ ... in f. add και ονομα τη γυναικι αυτου μεταβεηλ θυγατηρ ματραδ 51. και απεθανεν αδαδ· και ησαν ηγεμ. εδωμ· ηγεμονες θαμανα, ηγεμων γωλα, ηγ. ιεθεθ ... μαβσαρ ... ηραμ pro ζαφωιν II. 1. Και ταυτα ... ιουδας 2. βενιαμειν ... νεφθαλειμ 3. χανααντιδος ... ανηρ pro ηρ altero 6. αιθαν κ. αιμαν ... δαρα

Digitized by Google

8 9 εἰς τὸ ἀνάθεμα. 8 καὶ υἱοὶ Αἰθάμ· Ἀζαρίας. 9 καὶ υἱοὶ Ἐσρὼμ οἳ ἐτέχθησαν
10 αὐτῷ· ὁ Ἱεραμεὴλ καὶ ὁ Ἀρὰμ καὶ ὁ Χαλέβ. 10 καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμι- *Mi. 1
11 ναδάβ, καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσὼν ἄρχοντα οἴκου Ἰούδα. 11 καὶ 4—6.
12 Ναασσὼν ἐγέννησε τὸν Σαλμών, καὶ Σαλμὼν ἐγέννησε τὸν Βοόζ, 12 καὶ Βοὸζ
13 ἐγέννησε τὸν Ὠβήδ, καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί, 13 καὶ Ἰεσσαὶ ἐγέννησε
τὸν πρωτότοκον αὐτοῦ τὸν Ἐλιάβ· Ἀμιναδὰβ ὁ δεύτερος, Σαμαὰ ὁ τρίτος,
14 15 14 Ναθαναὴλ ὁ τέταρτος, Ζαβδαῒ ὁ πέμπτος, 15 Ἀσὰμ ὁ ἕκτος, Δαυὶδ ὁ ἕβδο-
16 μος. 16 καὶ ἡ ἀδελφὴ αὐτῶν Σαρουία καὶ Ἀβιγαία. καὶ υἱοὶ Σαρουία· Ἀβισὰ
17 καὶ Ἰωὰβ καὶ Ἀσαήλ, τρεῖς. 17 καὶ Ἀβιγαία ἐγέννησε τὸν Ἀμεσσάβ· καὶ πατὴρ
18 Ἀμεσσὰβ Ἰοθὸρ ὁ Ἰσμαηλίτης. 18 καὶ Χαλὲβ υἱὸς Ἐσρὼμ ἔλαβε τὴν Γαζουβὰ
γυναῖκα καὶ τὴν Ἰεριώθ. καὶ οὗτοι υἱοὶ αὐτῆς· Ἰασὰρ καὶ Σουβὰβ καὶ Ἀρ-
19 δών. 19 καὶ ἀπέθανε Γαζουβά, καὶ ἔλαβεν ἑαυτῷ Χαλὲβ τὴν Ἐφράθ, καὶ
20 ἔτεκεν αὐτῷ τὸν Ὥρ. 20 καὶ Ὢρ ἐγέννησε τὸν Οὐρί, καὶ Οὐρὶ ἐγέννησε τὸν
21 Βεσελεήλ. 21 καὶ μετὰ ταῦτα εἰσῆλθεν Ἐσρὼν πρὸς τὴν θυγατέρα Μαχὶρ πα-
τρὸς Γαλαάδ, καὶ αὐτὸς ἔλαβεν αὐτήν, καὶ αὐτὸς ἑξηκονταπέντε ἐτῶν ἦν, καὶ
22 ἔτεκεν αὐτῷ τὸν Σερούχ. 22 καὶ Σεροὺχ ἐγέννησε τὸν Ἰαΐρ· καὶ ἦσαν αὐτῷ
23 εἴκοσι καὶ τρεῖς πόλεις ἐν τῇ Γαλαάδ. 23 καὶ ἔλαβε Γεδσοὺρ καὶ Ἀρὰμ τὰς
κώμας Ἰαΐρ ἐξ αὐτῶν, τὴν Κανὰθ καὶ τὰς κώμας αὐτῆς, ἑξήκοντα πόλεις·
24 πᾶσαι αὗται υἱῶν Μαχὶρ πατρὸς Γαλαάδ. 24 καὶ μετὰ τὸ ἀποθανεῖν Ἐσρὼν
ἦλθε Χαλὲβ εἰς Ἐφραθά· καὶ ἡ γυνὴ Ἐσρὼν Ἀβιά, καὶ ἔτεκεν αὐτῷ τὸν
25 Ἀσχὼ πατέρα Θεκωέ. 25 καὶ ἦσαν οἱ υἱοὶ Ἱεραμεὴλ πρωτοτόκου Ἐσρὼν ὁ
26 πρωτότοκος Ῥὰμ καὶ Βαναὰ καὶ Ἀρὰμ καὶ Ἀσὰν ἀδελφὸς αὐτοῦ. 26 καὶ ἦν
γυνὴ ἑτέρα τῷ Ἱεραμεήλ, καὶ ὄνομα αὐτῇ Ἀτάρα· αὕτη ἐστὶ μήτηρ Ὀζόμ.
27 27 καὶ ἦσαν υἱοὶ Ῥὰμ πρωτοτόκου Ἱεραμεὴλ Μαὰς καὶ Ἰαμὶν καὶ Ἀκόρ.
28 28 καὶ ἦσαν υἱοὶ Ὀζὸμ Σαμαῒ καὶ Ἰαδαέ, καὶ υἱοὶ Σαμαῒ Ναδὰβ καὶ Ἀβι-
29 σούρ. 29 καὶ ὄνομα τῆς γυναικὸς Ἀβισοὺρ Ἀβιχαία, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀχα-
30 βὰρ καὶ τὸν Μωήλ. 30 καὶ υἱοὶ Ναδάβ· Σαλὰδ καὶ Ἀπφαίν· καὶ ἀπέθανε
31 Σαλὰδ οὐκ ἔχων τέκνα. 31 καὶ υἱοὶ Ἀπφαίν· Ἰσεμιήλ, καὶ υἱοὶ Ἰσεμιήλ· Σω-
32 σάν, καὶ υἱοὶ Σωσάν· Δαδαί. 32 καὶ υἱοὶ Δαδαΐ· Ἀχισαμάς, Ἰεθέρ, Ἰωνάθαν·
33 καὶ ἀπέθανεν Ἰεθὲρ οὐκ ἔχων τέκνα. 33 καὶ υἱοὶ Ἰωνάθαν· Φαλὲθ καὶ Ὀζάμ.
34 οὗτοι ἦσαν υἱοὶ Ἱεραμεήλ. 34 καὶ οὐκ ἦσαν τῷ Σωσὰν υἱοὶ ἀλλ' ἢ θυγατέρες·
35 καὶ τῷ Σωσὰν παῖς Αἰγύπτιος, καὶ ὄνομα αὐτῷ Ἰωχήλ. 35 καὶ ἔδωκε Σωσὰν
τὴν θυγατέρα αὐτοῦ τῷ Ἰωχὴλ παιδὶ αὐτοῦ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ
36 τὸν Ἐθί. 36 καὶ Ἐθὶ ἐγέννησε τὸν Ναθάν, καὶ Ναθὰν ἐγέννησε τὸν Ζαβέδ,
37 38 37 καὶ Ζαβὲδ ἐγέννησε τὸν Ἀφαμήλ, καὶ Ἀφαμὴλ ἐγέννησε τὸν Ὠβήδ, 38 καὶ
39 Ὠβὴδ ἐγέννησε τὸν Ἰηού, καὶ Ἰηοὺ ἐγέννησε τὸν Ἀζαρίαν, 39 καὶ Ἀζαρίας
40 ἐγέννησε τὸν Χελλής, καὶ Χελλὴς ἐγέννησε τὸν Ἐλεασά, 40 καὶ Ἐλεασὰ

---

8. αιθαν· αζαρια 9. ο ιραμεηλ κ. οραμ κ. ο χαλεβ και αραμ 10. του οικου 11. σαλμαν bis 12. ιωβηδ bis 13. σαμαια 14. ραδδαῒ ο πεμπτ. 15. ασομ 16. και αδελφη υιοι σαρουιας· αβισσα κ. ιωβαβ 17. αμεσσα bis ... ιεθερ 18. αζουβα (non v. 9.) ... ιωασαρ κ. σωβαβ κ. ορνα. 19. την φραθ 21. εσρωμ ... μαχειρ ... και ουτος ελαβεν α. κ. αυτος ην εξηκοντα ετων ... σεγουβ 22. σεγουβ ... τον αειρ ... εικοσι τρεις 23. γεσσουρ ... ιαρειρ ... μαχειρ 24. εσρωμ bis ... τον ασδωδ π. θεκως 25. ησαν υιοι ιερεμεηλ πρωτοτοκος εσρωμ ... αραν ... ασομ 26. ιερεμιηλ ... ετερα pro αταρα ... ουνομα pro οζομ 27. ιερεμεηλ ... ιαβειν pro ιαμιν 28. υιοι ουνομα· σαμμαΐ ... σαμμαΐ 29. αβιγαια, κ. ετ. α. τον οζα κ. τ. μωδαδ. 30. om και ab initio ... αφφαΐμ 31. αφφαΐμ· ιεσει ... ιεσει ... ααδαΐ 32. ιεδδαε· αχισαμμα και ιεθερ και ιωναθαν 33. οζαζα ... ιερεμεηλ 35. om τω ... ιεθθι 36. κ. ιεθθει 37. οφλαδ bis ... ιωβηδ 38. ιωβηδ

Digitized by Google

ἐγέννησε τὸν Σοσομαΐ, καὶ Σοσομαῒ ἐγέννησε τὸν Σαλούμ, 41 καὶ Σαλοὺμ ἐγέν- 41
νησε τὸν Ἰεχεμίαν, καὶ Ἰεχεμίας ἐγέννησε τὸν Ἐλισαμά, καὶ Ἐλισαμὰ ἐγέν-
νησε τὸν Ἰσμαήλ. 42 καὶ υἱοὶ Χαλὲβ ἀδελφοῦ Ἱεραμεήλ· Μαρισὰ ὁ πρωτό- 42
τοκος αὐτοῦ, οὗτος πατὴρ Ζίφ· καὶ υἱοὶ Μαρισὰ πατρὸς Χεβρών. 43 καὶ υἱοὶ 43
Χεβρών· Κορὲ καὶ Θαπφοὺς καὶ Ῥεκὸμ καὶ Σαμαά. 44 καὶ Σαμαὰ ἐγέννησε 44
τὸν Ῥαὲμ πατέρα Ἰεχλάν, καὶ Ἰεχλὰν ἐγέννησε τὸν Σαμαΐ. 45 καὶ υἱὸς αὐ- 45
τοῦ Μαών, καὶ Μαὼν πατὴρ Βαιθσούρ. 46 καὶ Γαιφὰ ἡ παλλακὴ Χαλὲβ ἐγέν- 46
νησε τὸν Ἀρὰμ καὶ τὸν Μοσὰ καὶ τὸν Γεζουέ. 47 καὶ υἱοὶ Ἀδδαΐ· Ῥαγὲμ καὶ 47
Ἰωάθαμ καὶ Σωγὰρ καὶ Φαλὲκ καὶ Γαιφὰ καὶ Σαγαέ. 48 καὶ ἡ παλλακὴ 48
Χαλὲβ Μωχὰ ἐγέννησε τὸν Σαβὲρ καὶ τὸν Θαράμ. 49 καὶ ἐγέννησε Σαγαὲ 49
πατέρα Μαδμηνὰ καὶ τὸν Σαοὺ πατέρα Μαχαβηνὰ καὶ πατέρα Γαιβάλ· καὶ
θυγάτηρ Χαλὲβ Ἀσχά. 50 οὗτοι ἦσαν υἱοὶ Χαλέβ. υἱοὶ Ὢρ πρωτοτόκου Ἐφραθά· 50
Σωβὰλ πατὴρ Καριαθιαρίμ. 51 Σαλωμὼν πατὴρ Βαιθά, Λαμμὼν πατὴρ Βαι- 51
θαλαέμ, καὶ Ἀρὶμ πατὴρ Βεθγεδώρ. 52 καὶ ἦσαν υἱοὶ τῷ Σωβὰλ πατρὶ Καρια- 52
θιαρὶμ Ἀραὰ καὶ Αἰσὶ καὶ Ἀμμανὶθ 53 καὶ Οὐμασφαέ, πόλεις Ἰαΐρ, Αἰθαλὶμ 53
καὶ Μιφιθὶμ καὶ Ἡσαμαθὶμ καὶ Ἡμασαραΐμ· ἐκ τούτων ἐξῆλθοσαν οἱ Σαρα-
θαῖοι καὶ υἱοὶ Ἐσθαάμ. 54 υἱοὶ Σαλωμών· Βαιθαλαὲμ ὁ Νετωφατί, Ἀταρὼθ 54
οἴκου Ἰωὰβ καὶ ἥμισυ τῆς Μαλαθί, Ἡσαρί, 55 πατριαὶ γραμματέων κατοι- 55
κοῦντες ἐν Ἰάβις, Θαργαθιὶμ καὶ Σαμαθιὶμ καὶ Σωχαθίμ· οὗτοι οἱ Κιναῖοι
οἱ ἐλθόντες ἐξ Αἱμὰθ πατρὸς οἴκου Ῥηχάβ.

## III.

Καὶ οὗτοι ἦσαν υἱοὶ Δαυὶδ οἱ τεχθέντες αὐτῷ ἐν Χεβρών· ὁ πρωτότο-
κος Ἀμνὼν τῇ Ἀχινάαμ τῇ Ἰεζραηλίτιδι, ὁ δεύτερος Δαμνιὴλ τῇ Ἀβιγαίᾳ τῇ
Καρμηλίᾳ, 2 ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μωχὰ θυγατρὸς Θολμαῒ βασιλέως Γεδ- 2
σούρ, ὁ τέταρτος Ἀδωνία υἱὸς Ἀγγίθ, 3 ὁ πέμπτος Σαφατία τῆς Ἀβιτάλ, ὁ 3
ἕκτος Ἰεθραὰμ τῇ Ἀγλᾷ γυναικὶ αὐτοῦ. 4 ἓξ ἐγεννήθησαν αὐτῷ ἐν Χεβρών, 4
καὶ ἐβασίλευσεν ἐκεῖ ἑπτὰ ἔτη καὶ ἑξάμηνον· καὶ τριάκοντα καὶ τρία ἔτη
ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. 5 καὶ οὗτοι ἐτέχθησαν αὐτῷ ἐν Ἱερουσαλήμ· 5
Σαμαά, Σωβάβ, Νάθαν καὶ Σαλωμών, τέσσαρες τῇ Βηρσαβεὲ θυγατρὶ Ἀμιήλ,
6 καὶ Ἐβαὰρ καὶ Ἐλισὰ καὶ Ἐλιφαλὴθ 7 καὶ Ναγαὶ καὶ Ναφὲκ καὶ Ἰαφιὲ 6 7
8 καὶ Ἐλισαμὰ καὶ Ἐλιαδὰ καὶ Ἐλιφαλά, ἐννέα. 9 πάντες υἱοὶ Δαυίδ, πλὴν 8 9
* Mt. 1, 7—12. τῶν υἱῶν τῶν παλλακῶν· καὶ Θήμαρ ἀδελφὴ αὐτῶν. 10 υἱοὶ Σαλωμών· Ῥο- 10
βοάμ, Ἀβιὰ υἱὸς αὐτοῦ, Ἀσὰ υἱὸς αὐτοῦ, Ἰωσαφὰτ υἱὸς αὐτοῦ, 11 Ἰωρὰμ υἱὸς 11
αὐτοῦ, Ὀχοζίας υἱὸς αὐτοῦ, Ἰωὰς υἱὸς αὐτοῦ, 12 Ἀμασίας υἱὸς αὐτοῦ, Ἀζα- 12
ρίας υἱὸς αὐτοῦ, Ἰωάθαν υἱὸς αὐτοῦ, 13 Ἄχαζ υἱὸς αὐτοῦ, Ἐζεκίας υἱὸς αὐ- 13

---

40. σαλλουμ 41. σαλλουμ ... ιεχομιαν ... ιεχομιας ... om κ. ελισαμα εγ. τ. ισμ. 42. χαλεμ αδ. ιερεμεηλ ... μαρισας πρωτοτοχος ... ζειφ 43. θαφφου κ. ροχομ κ. σεμαα 44. om και σαμαα ... ιερκααν bis ... εγεννησεν σαμμαϊ 45. βηθσουρ 46. τ. αρραν κ. τ. ιωσα κ. τ. γεζουε· και αρραν εγεννησεν τον γεζουε 47. ιαδαϊ· ρεγεμ κ. ι. κ. γηρσωμ κ. φαλετ κ. γ. κ. σαγαφ 48. τ. σεβερ κ. τ. θαρχνα 49. σαγαφ ... σαουλ π. μαχαμηνα κ. π. γαιβαα ... αχσα 50. χαριαθιαρειμ 51. βαιθ (legitur βαιθλαμμων, non βαιθ λαμμων) ... βεθλεεμ, αρει π. βαιθγεδωρ 52. χαριαθιαρειμ αραα, εσει, αμμανιθ 53. om και ... θυμασφας (?), χαριαθιαειρ, αιθαλειμ και ηφιθειν κ. ησαμαθειν κ. ημασαραειν ... οι εσθαωλαιοι pro υιοι εσθ. 54. βαιθλεεμ και νετωφαθι ... ιωβαβ ... της μαναθ, ησαραει 55. γαβης, αργαθιειμ κ. σαμαθιειμ, σωκαθιειμ III. 1. ισραηλιτιδι ... ο δευτ. δαλουια 2. θολμει ... γεσουρ ... αγγειθ 3. σαφατιας ... ιεθραμ 5. om και 6. ιεβααρ κ. ελισαμα κ. ελιφαλετ 7. κ. ναγε κ. ναφεγ 8. ελιεδα κ. ελιφαλετ 9. η αδελφη 10. αβια ο υι. α. 11. οζιας 12. ιωναθαν



Digitized by Google

14 15 τοῦ, Μανασσῆς υἱὸς αὐτοῦ, 14 Ἀμὼν υἱὸς αὐτοῦ, Ἰωσία υἱὸς αὐτοῦ. 15 καὶ
υἱοὶ Ἰωσία· πρωτότοκος Ἰωανάν, ὁ δεύτερος Ἰωακίμ, ὁ τρίτος Σεδεκίας, ὁ
16 τέταρτος Σαλούμ. 16 καὶ υἱοὶ Ἰωακίμ· Ἰεχονίας υἱὸς αὐτοῦ, Σεδεκίας υἱὸς
17 18 αὐτοῦ. 17 καὶ υἱοὶ Ἰεχονία· Ἀσίρ, Σαλαθιὴλ υἱὸς αὐτοῦ, 18 Μελχιρὰμ καὶ Φα-
19 δαΐας καὶ Σανεσὰρ καὶ Ἰεκεμία καὶ Ὡσαμὰθ καὶ Ναβαδίας. 19 καὶ υἱοὶ
Φαδαΐας· Ζοροβάβελ καὶ Σεμεΐ. καὶ υἱοὶ Ζοροβάβελ· Μοσολλὰμ καὶ Ἀνανία,
20 καὶ Σαλωμεθὶ ἀδελφὴ αὐτῶν, 20 καὶ Ἀσουβὲ καὶ Ὀὸλ καὶ Βαραχία καὶ Ἀσα-
21 δία καὶ Ἀσοβέδ, πέντε. 21 καὶ υἱοὶ Ἀνανία· Φαλεττία, καὶ Ἰεσίας υἱὸς αὐτοῦ,
Ῥαφὰλ υἱὸς αὐτοῦ, Ὀρνὰ υἱὸς αὐτοῦ, Ἀβδία υἱὸς αὐτοῦ, Σεχενίας υἱὸς αὐ-
22 τοῦ. 22 καὶ υἱὸς Σεχενία· Σαμαΐα. καὶ υἱοὶ Σαμαΐα· Χαττοὺς καὶ Ἰωὴλ καὶ
23 Βερρὶ καὶ Νωαδία καὶ Σαφάθ, ἕξ. 23 καὶ υἱοὶ Νωαδία· Ἐλιθενὰν καὶ Ἐζεκία
24 καὶ Ἐζριχάμ, τρεῖς. 24 καὶ υἱοὶ Ἐλιθενάν· Ὀδολία καὶ Ἐλιασεβὼν καὶ Φαδαΐα
καὶ Ἀκοὺβ καὶ Ἰωανὰν καὶ Δαλααΐα καὶ Ἀνάν, ἑπτά.

## IV.

2 Καὶ υἱοὶ Ἰούδα· Φαρές, Ἐσρὼμ καὶ Χαρμὶ καὶ Ὢρ, Σουβάλ, 2 καὶ
Ῥάδα υἱὸς αὐτοῦ· καὶ Σουβὰλ ἐγέννησε τὸν Ἰέθ, καὶ Ἰὲθ ἐγέννησε τὸν Ἀχι-
3 μαῒ καὶ τὸν Λαάδ· αὗται αἱ γενέσεις τοῦ Ἀραθί. 3 καὶ οὗτοι υἱοὶ Αἰτάμ·
Ἰεζραὴλ καὶ Ἰεσμὰν καὶ Ἰεβδάς, καὶ ὄνομα ἀδελφῆς αὐτῶν Ἐσηλεββών.
4 4 καὶ Φανουὴλ πατὴρ Γεδώρ, καὶ Ἰαζὴρ πατὴρ Ὠσάν· οὗτοι υἱοὶ Ὢρ τοῦ
5 πρωτοτόκου Ἐφραθὰ πατρὸς Βαιθαλαέν. 5 καὶ τῷ Ἀσοὺρ πατρὶ Θεκωὲ ἦσαν
6 δύο γυναῖκες, Ἀωδὰ καὶ Θοαδά. 6 καὶ ἔτεκεν αὐτῷ Ἀωδὰ τὸν Ὠχαΐα καὶ
7 τὸν Ἡφὰλ καὶ τὸν Θαιμὰν καὶ τὸν Ἀασθήρ· πάντες οὗτοι υἱοὶ Ἀωδᾶς. 7 καὶ
8 υἱοὶ Θοαδᾶς· Σερὲθ καὶ Σαὰρ καὶ Ἐσθανάμ. 8 καὶ Κωὲ ἐγέννησε τὸν Ἐνὼβ
9 καὶ τὸν Σαβαθά· καὶ γεννήσεις ἀδελφοῦ Ῥηχὰβ υἱοῦ Ἰαρίν. 9 καὶ ἦν Ἰγαβὴς
ἔνδοξος ὑπὲρ τοὺς ἀδελφοὺς αὐτοῦ· καὶ ἡ μήτηρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ
10 Ἰγαβὴς λέγουσα Ἔτεκον ὡς γαβής. 10 καὶ ἐπεκαλέσατο Ἰγαβὴς τὸν θεὸν Ἰσραὴλ
λέγων Ἐὰν εὐλογῶν εὐλογήσῃς με, καὶ πληθύνῃς τὰ ὅριά μου, καὶ ᾖ ἡ χείρ
σου μετ' ἐμοῦ, καὶ ποιήσῃς γνῶσιν τοῦ μὴ ταπεινῶσαί με· καὶ ἐπήγαγεν ὁ
11 θεὸς πάντα ὅσα ᾐτήσατο. 11 καὶ Χαλὲβ πατὴρ Ἀσχὰ ἐγέννησε τὸν Μαχίρ·
12 οὗτος πατὴρ Ἀσσαθών. 12 ἐγέννησε τὸν Βαθραΐαν καὶ τὸν Βεσσηὲ καὶ τὸν Θαι-
μὰν πατέρα πόλεως Ναᾶς ἀδελφοῦ Ἐσελὼμ τοῦ Κενεζί· οὗτοι ἄνδρες Ῥηχάβ.
13 14 13 καὶ υἱοὶ Κενέζ· Γοθονιὴλ καὶ Σαραΐα. καὶ υἱοὶ Γοθονιήλ· Ἀθάθ. 14 καὶ
Μαναθὶ ἐγέννησε τὸν Γοφερά. καὶ Σαραΐα ἐγέννησε τὸν Ἰωβὰβ πατέρα Ἀγεαδ-
15 δαΐρ, ὅτι τέκτονες ἦσαν. 15 καὶ υἱοὶ Χαλὲβ υἱοῦ Ἰεφοννῆ· Ἤρ, Ἀδὰ καὶ Νοόμ.
16 καὶ υἱοὶ Ἀδά· Κενέζ. 16 καὶ υἱοὶ Ἀλεήλ· Ζὶβ καὶ Ζεφὰ καὶ Θιριὰ καὶ Ἐσερήλ.

---

14. αμως ... ιωσιας 15. ιωαχειμ ... σαλλουμ 16. ιωαχειμ 17. ιεχονιου· ασειρ 18. φαδαιας (inde a φαδαιας usque ναβαδιας omnia **; *om φαδαιας και?) ... ιεκενια κ. ιωσαμω 19. σαλαθιηλ pro φαδαΐας ... σεμει ... μοσολλαμος 20. ασεβα ... ασοβαεσδ pro ασοβεδ 21. φαλλετια κ. ιεσεΐα ... ραφαια ... *om ορνα υι. αυτ. 22. σαμαια bis ... υιος pro υιοι ... χεττους κ. ιωηλ, βερια ... σαφατ 23. ελιωηναι ... εσριχαμ 24. ελιωναι· ωδουια κ. ελιασειβ κ. φαλαια κ. αχχουβ κ. ιωαναμ κ. δαλαια κ. ανανι
IV. 1. και σουβαλ 2. ρεΐα pro ραδα ... *om τον ιεθ, κ. ι. εγεννησε ... λαδ ... σαραθι 3. *ιεζρεαηλ, ** ιεζριηλ ... ιεσμα ... ιγαβης pro ιεβδας; ... εσηλλελφων 3. εζερ ... ωρ πρωτοτοχου ... *βαιθλαεμ 5. ασχουρ π. θεκωμ ... γυναικ. αλαα κ. νοορα 6. αυτω η νοορα τ. ωχαζαμ ... ασθηρα ... υιοι νοορα 7. κ. υιοι αλαα· σαρεθ ... εθναδι pro εσθαναμ 8. τ. εγνωβ κ. τ. σωβηβα ... ιαρειμ 9. ιαγβης λεγουσα 10. γαβης ... ην pro ᾖ ... ποιησεις 11. ασχας ... μαχειρ 12. ab initio add και ασσαθων ... εγ. τον βαθρεφα κ. τ. φεσση κ. τ. θανα ... ανδρες ρηφα 14. γοφορα ... σαρια ... ιωαβ πατ. γησρασειμ, οτι 15. ηρα, αλα και νααμ ... αλα 16. κ. υιος (*ιαλλελημ, **ιαλλεληλ) ιαλλεληλ· ζιφλι και ζαιφα κ. θηρια κ. εσεραηλ

Digitized by Google

[17] καὶ υἱοὶ Ἐσρί· Ἰεθέρ, Μωρὰδ καὶ Ἄφερ καὶ Ἰαμών. καὶ ἐγέννησεν Ἰεθὲρ 17
τὸν Μαρὼν καὶ τὸν Σεμεΐ καὶ τὸν Ἰεσβὰ πατέρα Ἐσθαιμών. [18] καὶ ἡ γυνὴ 18
αὐτοῦ αὕτη Ἀδία ἔτεκε τὸν Ἰάρεδ πατέρα Γεδὼρ καὶ τὸν Ἀβὲρ πατέρα Σω-
χὼν καὶ τὸν Χετιὴλ πατέρα Ζαμών· καὶ οὗτοι υἱοὶ Βεθθία θυγατρὸς Φαραὼ
ἣν ἔλαβε Μωρήδ. [19] καὶ υἱοὶ γυναικὸς τῆς Ἰδουίας ἀδελφῆς Ναχαῒμ πατρὸς 19
Κεϊλά· Γαρμὶ καὶ Ἐσθαιμών, Νωχαθί. [20] καὶ υἱοὶ Σεμών· Ἀμνὼν καὶ Ἀνὰ 20
υἱὸς Φανὰ καὶ Ἰνών. καὶ υἱοὶ Σεΐ· Ζωάν, καὶ υἱοὶ Ζωάβ, [21] υἱοὶ Σηλὼμ 21
υἱοῦ Ἰούδα, Ἢρ πατὴρ Ληχάβ, καὶ Λααδὰ πατὴρ Μαρισά· καὶ γενέσεις
οἰκείων Ἐφραθαβὰκ τῷ οἴκῳ Ἐσοβά, [22] καὶ Ἰωακὶμ καὶ ἄνδρες Χωζηβὰ καὶ 22
Ἰωὰς καὶ Σαράφ, οἳ κατῴκησαν ἐν Μωάβ· καὶ ἀπέστρεψεν αὐτοὺς ἀβεδηρὶν
ἀθουκιίμ. [23] οὗτοι κεραμεῖς οἱ κατοικοῦντες ἐν Ἀταῒμ καὶ Γαδιρὰ μετὰ τοῦ 23
βασιλέως· ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐνίσχυσαν καὶ κατῴκησαν ἐκεῖ. [24] υἱοὶ Σεμεών· 24
Ναμουὴλ καὶ Ἰαμίν, Ἰαρίβ, Ζαρές, Σαούλ, [25] Σαλὲμ υἱὸς αὐτοῦ, Μαβασὰμ 25
υἱὸς αὐτοῦ, Μασμὰ υἱὸς αὐτοῦ, [26] Ἀμουὴλ υἱὸς αὐτοῦ, Σαβοὺδ υἱὸς αὐτοῦ, 26
Ζακχοὺρ υἱὸς αὐτοῦ, Σεμεΐ υἱὸς αὐτοῦ. [27] τῷ Σεμεΐ υἱοὶ ἑκκαίδεκα καὶ θυ- 27
γατέρες ἕξ· καὶ τοῖς ἀδελφοῖς αὐτῶν οὐκ ἦσαν υἱοὶ πολλοί· καὶ πᾶσαι αἱ
πατριαὶ αὐτῶν οὐκ ἐπλεόνασαν ὡς υἱοὶ Ἰούδα. [28] καὶ κατῴκησαν ἐν Βηρσαβεὲ 28
καὶ Μωλαδὰ καὶ ἐν Ἐσερσουάλ, [29] καὶ ἐν Βαλαὰ καὶ ἐν Αἰσὲμ καὶ ἐν Θω- 29
λάδ, [30] καὶ ἐν Βαθουὴλ καὶ ἐν Ἑρμὰ καὶ ἐν Σικελάγ, [31] καὶ ἐν Βαιθμαρι- 30 31
μὼθ καὶ Ἡμισουσεωσὶν καὶ οἴκου Βαρουσεωρίμ· αὗται αἱ πόλεις αὐτῶν ἕως
βασιλέως Δαυίδ. [32] καὶ ἐπαύλεις αὐτῶν· Αἰτὰν καὶ Ἦν, Ῥεμνὼν καὶ Θοκκὰ 32
καὶ Αἰσάρ, πόλεις πέντε. [33] καὶ πᾶσαι ἐπαύλεις αὐτῶν κύκλῳ τῶν πόλεων 33
τούτων ἕως Βάαλ· αὕτη κατάσχεσις αὐτῶν καὶ ὁ καταλοχισμὸς αὐτῶν. [34] καὶ 34
Μοσωβὰβ καὶ Ἰεμολὸχ καὶ Ἰωσία υἱὸς Ἀμασία [35] καὶ Ἰωὴλ καὶ Ἰηοὺ υἱὸς 35
Ἀσαβία υἱὸς Σαραῦ υἱὸς Ἀσιὴλ [36] καὶ Ἐλιωναῒ καὶ Ἰωκαβὰ καὶ Ἰασουία καὶ 36
Ἀσαΐα καὶ Ἰεδιὴλ καὶ Ἰσμαὴλ καὶ Βαναίας [37] καὶ Ζουζὰ υἱὸς Σαφαῒ υἱοῦ 37
Ἀλὼν υἱοῦ Ἰεδιὰ υἱοῦ Σεμρὶ υἱοῦ Σαμαίου. [38] οὗτοι οἱ διελθόντες ἐν ὀνόμα- 38
σιν ἀρχόντων ἐν ταῖς γενέσεσιν αὐτῶν· καὶ ἐν οἴκοις πατριῶν αὐτῶν ἐπλη-
θύνθησαν εἰς πλῆθος, [39] καὶ ἐπορεύθησαν ἕως τοῦ ἐλθεῖν Γέραρα ἕως τῶν 39
ἀνατολῶν τῆς Γαὶ τοῦ ζητῆσαι νομὰς τοῖς κτήνεσιν αὐτῶν. [40] καὶ εὗρον νομὰς 40
πλείονας καὶ ἀγαθάς· καὶ ἡ γῆ πλατεῖα ἐναντίον αὐτῶν, καὶ εἰρήνη καὶ ἡσυ-
χία, ὅτι ἐκ τῶν υἱῶν Χὰμ τῶν κατοικούντων ἐκεῖ ἔμπροσθεν. [41] καὶ ἦλθοσαν 41
οὗτοι οἱ γεγραμμένοι ἐπ' ὀνόματος ἐν ἡμέραις Ἐζεκίου βασιλέως Ἰούδα καὶ
ἐπάταξαν τοὺς οἴκους αὐτῶν καὶ τοὺς Μιναίους οὓς εὕροσαν ἐκεῖ, καὶ ἀνε-
θεμάτισαν αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης· καὶ ᾤκησαν ἀντ' αὐτῶν, ὅτι νομαὶ
τοῖς κτήνεσιν αὐτῶν ἐκεῖ. [42] καὶ ἐξ αὐτῶν ἀπὸ τῶν υἱῶν Συμεὼν ἐπορεύθη- 42

---

17. γαφερ κ. ιαλων ... τον μαιων κ. τ. σεμμαϊ κ. τ. ιεσαβα πατ. εσθεμων 18. ιδια pro αδια ... ιεχθιηλ ... βεθθια 19. κ. υι. γυν. της ιουδαιας αδελφ. ναχεμ και δανα πατηρ κεειλα και σωμειων πατηρ ιωμαν. και υιοι ναημ πατρος κεειλα οταρμι και ιεσθεμωη μαχαθα. 20. σεμειων· αμνων και ραννων υιος αναν και θιλων. και υιοι ες· ζωχαθ, κ. υι. ζωχαθ, 21. υιοι ιουδα ... πατηρ ληχαδ ... μαρησα ... οικιων εβδαθ αββους τω 22. ιωακειμ ... αβεδδηριν αθουκιειμ 23. κειραμεις ... αταειμ κ. γαδηρα 24. συμεων ... ιαμειν, ιαρειβ, ζαραε 25. μαβασαν 27. ab init. add και ... τρις pro εξ 28. post βηρσαβεε add και σαμαα 29. βοασομ pro αισεμ 30. και βαθουλ και ερμα 31. βαιθ μαρχαβωθ και ημισυ εωσιμ κ. οικον βαρουμ σεωρειμ ... αυται πολεις 32. ρεμμων κ. θοχχαν κ. αισαν 33. πασαι αι ... αυτων των κυκλω ... αυτη η 34. αμαληκ pro ιεμολοχ ... ιωσιας 35. ισαβια υι. σαραια 36. ελιωνηι κ. ιακαβα ... εδιηλ ... βαναια 37. υιος σεφειν υιου αλλων υι. εδια υι. σαμαριου υι. σ. 39. εαυτων 41. om οι ... επαταξ. τους οικητορας αυτων



Digitized by Google

σαν εἰς ὄρος Σηὶρ ἄνδρες πεντακόσιοι, καὶ Φαλαεττία καὶ Νωαδία καὶ Ῥα-
43 φαΐα καὶ Ὀζιὴλ υἱοὶ Ἰεσὶ ἄρχοντες αὐτῶν· 43 καὶ ἐπάταξαν τοὺς καταλοίπους
τοὺς καταλειφθέντας τοῦ Ἀμαλὴκ ἕως τῆς ἡμέρας ταύτης.

## V.

Καὶ υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· ὅτι οὗτος ὁ πρωτότοκος, καὶ ἐν
τῷ ἀναβῆναι ἐπὶ τὴν κοίτην τοῦ πατρὸς αὐτοῦ ἔδωκε τὴν εὐλογίαν αὐτοῦ τῷ
2 υἱῷ αὐτοῦ Ἰωσὴφ υἱῷ Ἰσραήλ, καὶ οὐκ ἐγενεαλογήθη εἰς πρωτοτόκια, 2 ὅτι
Ἰούδας δυνατὸς ἰσχύϊ καὶ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἰς ἡγούμενον ἐξ αὐτοῦ,
3 καὶ ἡ εὐλογία τοῦ Ἰωσήφ· 3 υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· Ἐνὼχ καὶ
4 Φαλλούς, Ἀσρὼμ καὶ Χαρμί. 4 υἱοὶ Ἰωήλ· Σεμεῒ καὶ Βαναία υἱὸς αὐτοῦ. καὶ
5 υἱοὶ Γοὺγ υἱοῦ Σεμεΐ· 5 υἱὸς αὐτοῦ Μιχά, υἱὸς αὐτοῦ Ῥηχά, υἱὸς αὐτοῦ Ἰωήλ,
6 6 υἱὸς αὐτοῦ Βεήλ, ὃν μετῴκισε Θαγλαφαλλασὰρ βασιλεὺς Ἀσσούρ· οὗτος ἄρ-
7 χων τῶν Ῥουβήν. 7 καὶ ἀδελφοὶ αὐτοῦ τῇ πατρίδι αὐτοῦ ἐν τοῖς καταλοχισμοῖς
8 αὐτῶν κατὰ γενέσεις αὐτῶν· ὁ ἄρχων Ἰωὴλ καὶ Ζαχαρία 8 καὶ Βαλὲκ υἱὸς
Ἀζοὺζ υἱὸς Σαμὰ υἱὸς Ἰωήλ. οὗτος κατῴκησεν ἐν Ἀροὴρ καὶ ἐπὶ Ναβαῦ καὶ
9 Βεελμασσών, 9 καὶ πρὸς ἀνατολὰς κατῴκησεν ἕως ἐρχομένων τῆς ἐρήμου ἀπὸ
10 τοῦ ποταμοῦ Εὐφράτου, ὅτι κτήνη αὐτῶν πολλὰ ἐν γῇ Γαλαάδ. 10 καὶ ἐν
ἡμέραις Σαοὺλ ἐποίησαν πόλεμον πρὸς τοὺς παροίκους, καὶ ἔπεσον ἐν χερσὶν
αὐτῶν κατοικοῦντες ἐν σκηναῖς αὐτῶν πάντες κατ' ἀνατολὰς τῆς Γαλαάδ.
11 12 11 υἱοὶ Γὰδ κατέναντι αὐτῶν κατῴκησαν ἐν γῇ Βασὰν ἕως Σελά· 12 Ἰωὴλ
13 πρωτότοκος, καὶ Σαφὰμ ὁ δεύτερος, καὶ Ἰανὶν ὁ γραμματεὺς ἐν Βασάν. 13 καὶ
οἱ ἀδελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν· Μιχαήλ, Μοσολλὰμ καὶ Σεβεὲ
14 καὶ Ἰωρεὶ καὶ Ἰωαχὰν καὶ Ζουὲ καὶ Ὠβήδ, ἑπτά. 14 οὗτοι υἱοὶ Ἀβιχαία υἱοῦ
Οὐρὶ υἱοῦ Ἰδαῒ υἱοῦ Γαλαὰδ υἱοῦ Μιχαὴλ υἱοῦ Ἰεσαῒ υἱοῦ Ἰεδδαῒ υἱοῦ Βούζ
15 16 15 ἀδελφοῦ υἱοῦ Ἀβδιὴλ υἱοῦ Γουνί, ἄρχων οἴκου πατριῶν. 16 κατῴκουν ἐν
Γαλαάδ, ἐν Βασὰν καὶ ἐν ταῖς κώμαις αὐτῶν καὶ πάντα τὰ περίχωρα Σα-
17 ρὼν ἕως ἐξόδου. 17 πάντων ὁ καταλοχισμὸς ἐν ἡμέραις Ἰωάθαμ βασιλέως
18 Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ βασιλέως Ἰσραήλ. 18 υἱοὶ Ῥουβὴν καὶ Γὰδ
καὶ ἥμισυ φυλῆς Μανασσῆ ἐξ υἱῶν δυνάμεως, ἄνδρες αἴροντες ἀσπίδας καὶ
μάχαιραν καὶ τείνοντες τόξον καὶ δεδιδαγμένοι πόλεμον, τεσσαράκοντα καὶ
τέσσαρες χιλιάδες καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα ἐκπορευόμενοι εἰς παράταξιν.
19 19 καὶ ἐποίουν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν καὶ Ἰτουραίων καὶ Ναφισαίων
20 καὶ Ναδαβαίων, 20 καὶ κατίσχυσαν ἐπ' αὐτῶν· καὶ ἐδόθησαν εἰς χεῖρας αὐτῶν
Ἀγαραῖοι καὶ πάντα τὰ σκηνώματα αὐτῶν, ὅτι πρὸς τὸν θεὸν ἐβόησαν ἐν τῷ
21 πολέμῳ καὶ ἐπήκουσεν αὐτοῖς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. 21 καὶ ᾐχμαλώτευσαν
τὴν ἀποσκευὴν αὐτῶν, καμήλους πεντακισχιλίας, καὶ προβάτων διακοσίας πεν-
22 τήκοντα χιλιάδας, ὄνους δισχιλίους, καὶ ψυχὰς ἀνδρῶν ἑκατὸν χιλιάδας. 22 ὅτι
τραυματίαι πολλοὶ ἔπεσον, ὅτι παρὰ τοῦ θεοῦ ὁ πόλεμος. καὶ κατῴκησαν ἀντ'
23 αὐτῶν ἕως μετοικεσίας. 23 καὶ οἱ ἡμίσεις φυλῆς Μανασσῆ κατῴκησαν ἀπὸ
Βασὰν ἕως Βαὰλ Ἑρμὼν καὶ Σανὶρ καὶ ὄρος Ἀερμών· καὶ ἐν τῷ Λιβάνῳ

---

42. σηειρ ... φαλεττια ... υιοι ιεσει 43. post αμαληκ add και κατῳκησαν εκει V. 1. ο πρωτοτ. αυτου ... εδωκεν ευλογιαν ... τω ιωσηφ 2. *ιουδα, ** ιουδας 3. και υιοι ... εσρων. 4. σεμειν ... υιου σεμεει 5. βααλ pro ιωηλ 6. βεηρα ... θαγλαθ φαλνασαρ 7. κ. οι αδ. α. τη πατρια 8. κ. βαλε υι. οζουζ ... βεελμαων 10. εποιησαντο ... σκηναις εως παντες 11. εν τη βασαν εως σελχα 12. ο πρωτοτοκος ... ιαναι 13. και μοσολλαμ κ. σοβαθε κ. ιωρες κ. ιαχαν ... ιωβηδ 14. αβιχαϊα ... υιου αδαϊ ... ιεσσαι ... αχιβουζ 15. om αδελφου 17. ιωθαν 18. γαδδι ... εντεινοντες ... τεσσαρες και τεσσεραχοντα ... επταχοσιοι εξηκοντα 19. αγαραιων 20. οι αγοραιοι 22. πολλαι ... εως της 23. εν γη απο βασαν ... σανειρ

Digitized by Google

αὐτοὶ ἐπλεονάσθησαν. 24 καὶ οὗτοι ἀρχηγοὶ οἴκου πατριῶν αὐτῶν· Ὀφὲρ καὶ 24
Σεῒ καὶ Ἐλιὴλ καὶ Ἱερεμία καὶ Ὠδουία καὶ Ἰεδιήλ, ἄνδρες ἰσχυροὶ δυνά-
μει, ἄνδρες ὀνομαστοί, ἄρχοντες τῶν οἴκων πατριῶν αὐτῶν. 25 καὶ ἠθέτησαν 25
ἐν θεῷ πατέρων αὐτῶν, καὶ ἐπόρνευσαν ὀπίσω θεῶν τῶν λαῶν τῆς γῆς οὓς
ἐξῆρεν ὁ θεὸς ἀπὸ προσώπου αὐτῶν. 26 καὶ ἐπήγειρεν ὁ θεὸς Ἰσραὴλ τὸ πνεῦμα 26
Φαλὼχ βασιλέως Ἀσσοὺρ καὶ τὸ πνεῦμα Θαγλαφαλλασὰρ βασιλέως Ἀσσούρ,
καὶ μετῴκισε τὸν Ῥουβὴν καὶ τὸν Γαδδὶ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, καὶ
ἤγαγεν αὐτοὺς εἰς Χαὰχ καὶ Χαβὼρ καὶ ἐπὶ ποταμὸν Γωζὰν ἕως τῆς ἡμέρας
ταύτης.

## VI.

Υἱοὶ Λευί· Γεδσών, Καὰθ καὶ Μεραρί. 2 καὶ υἱοὶ Καάθ· Ἀμβρὰμ καὶ 2
Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ. 3 καὶ υἱοὶ Ἀμβράμ· Ἀαρὼν καὶ Μωυσῆς καὶ 3
Μαριάμ. καὶ υἱοὶ Ἀαρών· Ναδὰβ καὶ Ἀβιούδ, Ἐλεάζαρ καὶ Ἰθάμαρ. 4 Ἐλεά- 4
ζαρ ἐγέννησε τὸν Φινεές, Φινεὲς ἐγέννησε τὸν Ἀβισού, 5 Ἀβισοὺ ἐγέννησε τὸν 5
Βοκκί, καὶ Βοκκὶ ἐγέννησε τὸν Ὀζί, 6 Ὀζὶ ἐγέννησε τὸν Ζαραία, Ζαραία 6
ἐγέννησε τὸν Μαριήλ, 7 καὶ Μαριὴλ ἐγέννησε τὸν Ἀμαρία, καὶ Ἀμαρία ἐγέν- 7
νησε τὸν Ἀχιτώβ, 8 καὶ Ἀχιτὼβ ἐγέννησε τὸν Σαδώκ, καὶ Σαδὼκ ἐγέννησε 8
τὸν Ἀχιμάας, 9 καὶ Ἀχιμάας ἐγέννησε τὸν Ἀζαρίαν, καὶ Ἀζαρίας ἐγέννησε 9
τὸν Ἰωανάν, 10 καὶ Ἰωανὰν ἐγέννησε τὸν Ἀζαρίαν· οὗτος ἱεράτευσεν ἐν τῷ 10
οἴκῳ ᾧ ᾠκοδόμησε Σαλωμὼν ἐν Ἱερουσαλήμ. 11 καὶ ἐγέννησεν Ἀζαρίας τὸν 11
Ἀμαρία, καὶ Ἀμαρία ἐγέννησε τὸν Ἀχιτώβ, 12 καὶ Ἀχιτὼβ ἐγέννησε τὸν Σα- 12
δώκ, καὶ Σαδὼκ ἐγέννησε τὸν Σαλώμ, 13 καὶ Σαλὼμ ἐγέννησε τὸν Χελκίαν, 13
καὶ Χελκίας ἐγέννησε τὸν Ἀζαρίαν, 14 καὶ Ἀζαρίας ἐγέννησε τὸν Σαραία, καὶ 14
Σαραίας ἐγέννησε τὸν Ἰωσαδάκ. 15 καὶ Ἰωσαδὰκ ἐπορεύθη ἐν τῇ μετοικίᾳ 15
μετὰ Ἰούδα καὶ Ἱερουσαλὴμ ἐν χειρὶ Ναβουχοδονόσορ. 16 υἱοὶ Λευί· Γεδσών, 16
Καὰθ καὶ Μεραρί. 17 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσών· Λοβενὶ καὶ 17
Σεμεΐ. 18 υἱοὶ Καάθ· Ἀμβρὰμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ. 19 υἱοὶ Με- 18 19
ραρί· Μοολὶ καὶ ὁ Μουσί. καὶ αὗται αἱ πατριαὶ τοῦ Λευὶ κατὰ πατριὰς αὐτῶν.
20 τῷ Γεδσών, τῷ Λοβενὶ υἱῷ αὐτοῦ, Ἰὲθ υἱὸς αὐτοῦ, Ζαμμὰθ υἱὸς αὐτοῦ, 20
21 Ἰωὰβ υἱὸς αὐτοῦ, Ἀδδὶ υἱὸς αὐτοῦ, Ζαρὰ υἱὸς αὐτοῦ, Ἰεθρὶ υἱὸς αὐτοῦ. 21
22 υἱοὶ Καάθ· Ἀμιναδὰβ υἱὸς αὐτοῦ, Κορὲ υἱὸς αὐτοῦ, Ἀσὴρ υἱὸς αὐτοῦ, 22
23 Ἐλκανὰ υἱὸς αὐτοῦ, Ἀβισὰφ υἱὸς αὐτοῦ, Ἀσὴρ υἱὸς αὐτοῦ, 24 Θαὰθ υἱὸς 23 24
αὐτοῦ, Οὐριὴλ υἱὸς αὐτοῦ, Ὀζία υἱὸς αὐτοῦ, Σαοὺλ υἱὸς αὐτοῦ. 25 καὶ υἱοὶ 25
Ἐλκανά· Ἀμεσσὶ καὶ Ἀχιμώθ, 26 Ἐλκανὰ υἱὸς αὐτοῦ, Σουφὶ υἱὸς αὐτοῦ, 26
Καιναὰθ υἱὸς αὐτοῦ, 27 Ἐλιὰβ υἱὸς αὐτοῦ, Ἱεροβοὰμ υἱὸς αὐτοῦ, Ἐλκανὰ 27
υἱὸς αὐτοῦ. 28 υἱοὶ Σαμουήλ· ὁ πρωτότοκος Σανὶ καὶ Ἀβιά. 29 υἱοὶ Μεραρί· 28 29
Μοολί, Λοβενὶ υἱὸς αὐτοῦ, Σεμεῒ υἱὸς αὐτοῦ, Ὀζὰ υἱὸς αὐτοῦ, 30 Σαμαὰ 30
υἱὸς αὐτοῦ, Ἀγγία υἱὸς αὐτοῦ, Ἀσαΐας υἱὸς αὐτοῦ. 31 καὶ οὗτοι οὓς κατέστησε 31
Δαυὶδ ἐπὶ χεῖρας ᾀδόντων ἐν οἴκῳ κυρίου ἐν τῇ καταπαύσει τῆς κιβωτοῦ.
32 καὶ ἦσαν λειτουργοῦντες ἐναντίον τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν ὀργάνοις ἕως 32
οὗ ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον κυρίου ἐν Ἱερουσαλήμ· καὶ ἕστησαν κατὰ

---

24. ιεσει ... post ελιηλ add και ιεζριηλ 26. φαλως ... θαγλαθ φαλνασαρ ... εις χαλα VI. (1. γεδεων) 2. 3. αμραμ 5. βωκαι bis 6. ζαραιαν, ζαριας ... μαραιωθ 7. μαραιωθ ... αμαριαν ... αμαριας 10. ιωανας 11. αμαριαν, κ. αμαριας 12. 13. σελλουμ 14. σαραῖαν, κ. σαραῖας ... ιωσεδεκ 15. ιωσεδεκ ... ισραηλ pro ιερουσαλημ ... εν χερσιν 16. 17. γηρσων 18. αμραμ 20. τω γηρσων ... ζαμμα 21. ιωαχ (sed in rescriptis est) 22. ισσααρ pro αμιναδαβ ... ασειρ 23. *om versum (videtur) ... **και αβιασαφ ... **ασειρ 24. 25. 26. rescripti sunt. 24. **οζιας 25. **αμασι 26. **καιναθ et om υιος 29. αζα 30. σαμα ... ασαῖα 32. σκηνης οικου μαρτυριου

Digitized by Google

33 τὴν χρίσιν αὐτῶν ἐπὶ τὰς λειτουργίας αὐτῶν. 33 καὶ οὗτοι οἱ ἑστηκότες καὶ
υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ Καάθ· Αἱμὰν ὁ ψαλτῳδὸς υἱὸς Ἰωὴλ υἱοῦ Σα-
34 35 μουὴλ 34 υἱοῦ Ἑλκανὰ υἱοῦ Ἱεροβοὰμ υἱοῦ Ἐλιὴλ υἱοῦ Θοοὺ 35 υἱοῦ Σοὺφ
36 υἱοῦ Ἑλκανὰ υἱοῦ Μαὰθ υἱοῦ Ἀμαθὶ 36 υἱοῦ Ἑλκανὰ υἱοῦ Ἰωὴλ υἱοῦ Ἀζαρία
37 38 υἱοῦ Σαφανία 37 υἱοῦ Θαὰθ υἱοῦ Ἀσὴρ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κορὲ 38 υἱοῦ Ἰσάαρ,
39 υἱοῦ Καὰθ υἱοῦ Λευὶ υἱοῦ Ἰσραήλ. 39 καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀσὰφ ὁ ἑστηκὼς
40 ἐν δεξιᾷ αὐτοῦ· Ἀσὰφ υἱὸς Βαραχία, υἱοῦ Σαμαὰ 40 υἱοῦ Μιχαὴλ υἱοῦ Βαα-
41 42 σία υἱοῦ Μελχία 41 υἱοῦ Ἀθανὶ υἱοῦ Ζααραῒ υἱοῦ Ἀδαῒ 42 υἱοῦ Αἰθὰμ υἱοῦ
43 44 Ζαμμὰμ υἱοῦ Σεμεῒ 43 υἱοῦ Ἰεὲθ υἱοῦ Γεδσὼν υἱοῦ Λευί. 44 καὶ υἱοὶ Μεραρὶ
οἱ ἀδελφοὶ αὐτῶν ἐξ ἀριστερῶν· Αἰθὰμ υἱὸς Κισὰ υἱοῦ Ἀβαῒ υἱοῦ Μαλὼχ
45 46 47 45 υἱοῦ Ἀσεβὶ 46 υἱοῦ Ἀμεσσία υἱοῦ Βανὶ υἱοῦ Σεμὴρ 47 υἱοῦ Μοολὶ υἱοῦ Μουσὶ
48 υἱοῦ Μεραρὶ υἱοῦ Λευί. 48 καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν
οἱ Λευῖται οἱ δεδομένοι εἰς πᾶσαν ἐργασίαν λειτουργίας σκηνῆς οἴκου τοῦ θεοῦ.
49 49 καὶ Ἀαρὼν καὶ υἱοὶ αὐτοῦ θυμιῶντες ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτω-
μάτων καὶ ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων εἰς πᾶσαν ἐργασίαν ἅγια
τῶν ἁγίων καὶ ἐξιλάσκεσθαι περὶ Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο Μωυ-
50 σῆς παῖς τοῦ θεοῦ. 50 καὶ οὗτοι υἱοὶ Ἀαρών· Ἐλεάζαρ υἱὸς αὐτοῦ, Φινεὲς
51 υἱὸς αὐτοῦ, Ἀβισοὺ υἱὸς αὐτοῦ, 51 Βοκκὶ υἱὸς αὐτοῦ, Ὀζὶ υἱὸς αὐτοῦ, Ζα-
52 ραΐα υἱὸς αὐτοῦ, 52 Μαριὴλ υἱὸς αὐτοῦ, Ἀμαρία υἱὸς αὐτοῦ, Ἀχιτὼβ υἱὸς
53 54 αὐτοῦ, 53 Σαδὼκ υἱὸς αὐτοῦ, Ἀχιμάας υἱὸς αὐτοῦ. 54 καὶ αὗται αἱ κατοικίαι
αὐτῶν ἐν ταῖς κώμαις αὐτῶν ἐν τοῖς ὁρίοις αὐτῶν τοῖς υἱοῖς Ἀαρὼν τῇ πα-
55 τριᾷ αὐτῶν τοῖς Καάθι, ὅτι αὐτοῖς ἐγένετο ὁ κλῆρος. 55 καὶ ἔδωκαν αὐτοῖς
56 τὴν Χεβρὼν ἐν γῇ Ἰούδα καὶ τὰ περισπόρια αὐτῆς κύκλῳ αὐτῆς. 56 καὶ τὰ
πεδία τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκαν τῷ Χαλὲβ υἱῷ Ἰεφοννῆ.
57 57 καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκαν τὰς πόλεις τῶν φυγαδευτηρίων, τὴν Χεβρών,
καὶ τὴν Λοβνὰ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Σελνὰ καὶ τὰ περισπόρια
58 αὐτῆς, καὶ τὴν Ἐσθαμὼ καὶ τὰ περισπόρια αὐτῆς, 58 καὶ τὴν Ἰεθὰρ καὶ τὰ
59 περισπόρια αὐτῆς, καὶ τὴν Δαβὶρ καὶ τὰ περισπόρια αὐτῆς, 59 καὶ τὴν Ἀσὰν
καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Βαιθσαμὺς καὶ τὰ περισπόρια αὐτῆς,
60 60 καὶ ἐκ φυλῆς Βενιαμὶν τὴν Γαβαῒ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Γα-
λεμὰθ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἀναθὼθ καὶ τὰ περισπόρια αὐτῆς·
61 πᾶσαι αἱ πόλεις αὐτῶν τρισκαίδεκα πόλεις κατὰ πατριὰς αὐτῶν. 61 καὶ τοῖς
υἱοῖς Καὰθ τοῖς καταλοίποις ἐκ τῶν πατριῶν ἐκ τῆς φυλῆς ἐκ τοῦ ἡμίσους
62 φυλῆς Μανασσῆ κλήρῳ πόλεις δέκα. 62 καὶ τοῖς υἱοῖς Γεδσὼν κατὰ πατριὰς
αὐτῶν ἐκ φυλῆς Ἰσσάχαρ, ἐκ φυλῆς Ἀσήρ, ἀπὸ φυλῆς Νεφθαλί, ἐκ φυλῆς
63 Μανασσῆ ἐν τῇ Βασὰν πόλεις τρισκαίδεκα. 63 καὶ τοῖς υἱοῖς Μεραρὶ κατὰ πα-
τριὰς αὐτῶν ἐκ φυλῆς Ῥουβήν, ἐκ φυλῆς Γάδ, ἐκ φυλῆς Ζαβουλὼν κλήρῳ
64 πόλεις δεκαδύο. 64 καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις τὰς πόλεις καὶ
65 τὰ περισπόρια αὐτῶν· 65 καὶ ἔδωκαν ἐν κλήρῳ ἐκ φυλῆς υἱῶν Ἰούδα καὶ ἐκ

---

32. (χρασιν pro χρισιν) 33. και οι υιοι ... ᾽om του 34. ιερεαμ ... θοουε 36. αμας pro αμαθι 36. αζαριου ... σαφανιου 37. ασειρ 38. ισσααρ 39. και αδελφος 41. αθανει ... αζαριου ... αδαϊα 42. ουρι pro αιθαμ ... ζαμμα ... σεμει 43. γηρσων 44. μεραρι αδελφου αυτων ... αιθαν υι. κεισαν υι. αβδι 46. υι. μαεσσια υιου χελκιου υιου αμασαϊ υι. βαανι υι. σεμμηρ 47. υιου ομουσι 48. om οι ante αδελφοι et ante δεδομενοι 49. οι υιοι ... αγιαν των αγιων 51. βωκαι ... ζαραϊα 52. μεραωθ pro μαριηλ 54. πατρια του κααθι 57. νηλων pro σελνα 58. ιεθερ ... δαβειρ 59. in f. add και την βαιθθηρ και τα περισπορια αυτης 60. κ. απο της φυλης βενιαμειν τ. γαβεε ... και γαλημεθ ... ante κ. τ. αναθωθ add και την λαβεε και τα περισπορια αυτης ... ante πασαι add και την αγχως και τα περισπορια αυτης 62. γηρσων ... εκ pro απο ... πόλεις δεκατρεις

Digitized by Google

φυλῆς υἱῶν Συμεὼν καὶ ἐκ φυλῆς υἱῶν Βενιαμὶν τὰς πόλεις ταύτας ἃς ἐκά-
λεσεν αὐτὰς ἐπ' ὀνόματος. 66 καὶ ἀπὸ τῶν πατριῶν υἱῶν Καάϑ, καὶ ἐγένοντο 66
πόλεις τῶν ὁρίων αὐτῶν ἐκ φυλῆς Ἐφραΐμ. 67 καὶ ἔδωκαν αὐτοῖς τὰς πόλεις 67
τῶν φυγαδευτηρίων, τὴν Συχὲμ καὶ τὰ περισπόρια αὐτῆς ἐν ὄρει Ἐφραΐμ,
καὶ τὴν Γαζὲρ καὶ τὰ περισπόρια αὐτῆς, 68 καὶ τὴν Ἰεκμαὰν καὶ τὰ περι- 68
σπόρια αὐτῆς, καὶ τὴν Βαιϑωρὼν καὶ τὰ περισπόρια αὐτῆς, 69 καὶ τὴν Αἰλὼν 69
καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Γεϑρεμμὼν καὶ τὰ περισπόρια αὐτῆς·
70 καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὴν Ἀνὰρ καὶ τὰ περισπόρια αὐτῆς, 70
καὶ τὴν Ἰεμβλάαν καὶ τὰ περισπόρια αὐτῆς, κατὰ πατριὰν τοῖς υἱοῖς Καὰϑ
τοῖς καταλοίποις. 71 τοῖς υἱοῖς Γεδσὼν ἀπὸ πατριῶν ἡμίσους φυλῆς Μανασσῆ 71
τὴν Γωλὰν ἐκ τῆς Βασὰν καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν Ἀσηρὼϑ καὶ τὰ
περιπόλια αὐτῆς· 72 καὶ ἐκ φυλῆς Ἰσσάχαρ τὴν Κέδες καὶ τὰ περισπόρια 72
αὐτῆς, καὶ τὴν Δεβερὶ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Δαβὼρ καὶ τὰ
περισπόρια αὐτῆς, 73 καὶ τὴν Ῥαμώϑ, καὶ τὴν Αἰνὰν καὶ τὰ περισπόρια 73
αὐτῆς· 74 καὶ ἐκ φυλῆς Ἀσὴρ τὴν Μαασὰλ καὶ τὰ περισπόρια αὐτῆς, καὶ 74
τὴν Ἀβδὼν καὶ τὰ περισπόρια αὐτῆς, 75 καὶ τὴν Ἀκὰκ καὶ τὰ περισπόρια 75
αὐτῆς, καὶ τὴν Ῥοὼβ καὶ τὰ περισπόρια αὐτῆς· 76 καὶ ἀπὸ φυλῆς Νεφϑαλὶ 76
τὴν Κέδες ἐν τῇ Γαλιλαίᾳ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Χαμὼϑ καὶ
τὰ περισπόρια αὐτῆς, καὶ τὴν Καριαϑαΐμ καὶ τὰ περισπόρια αὐτῆς. 77 τοῖς 77
υἱοῖς Μεραρὶ τοῖς καταλοίποις ἐκ φυλῆς Ζαβουλὼν τὴν Ῥεμμὼν καὶ τὰ περι-
σπόρια αὐτῆς, καὶ τὴν Θαβὼρ καὶ τὰ περισπόρια αὐτῆς, 78 ἐκ τοῦ πέραν τοῦ 78
Ἰορδάνου τὴν Ἱεριχὼ κατὰ δυσμὰς τοῦ Ἰορδάνου· ἐκ φυλῆς Ῥουβὴν τὴν
Βοσὸρ ἐν τῇ ἐρήμῳ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἰασὰ καὶ τὰ περι-
σπόρια αὐτῆς, 79 καὶ τὴν Καδμὼϑ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Μαεφλὰ 79
καὶ τὰ περισπόρια αὐτῆς· 80 ἐκ φυλῆς Γὰδ τὴν Ῥαμμὼϑ Γαλαὰδ καὶ τὰ 80
περισπόρια αὐτῆς, καὶ τὴν Μααναΐμ καὶ τὰ περισπόρια αὐτῆς, 81 καὶ τὴν 81
Ἐσεβὼν καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς.

## VII.

Καὶ τοῖς υἱοῖς Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἰασοὺβ καὶ Σεμερών,
τέσσαρες. 2 καὶ υἱοὶ Θωλά· Ὀζί, Ῥαφαΐα καὶ Ἰεριὴλ καὶ Ἰαμαΐ καὶ Ἰεμα- 2
σὰν καὶ Σαμουήλ, ἄρχοντες οἴκων πατριῶν αὐτῶν τῷ Θωλὰ ἰσχυροὶ δυνάμει
κατὰ γενέσεις αὐτῶν· ὁ ἀριϑμὸς αὐτῶν ἐν ἡμέραις Δαυὶδ εἴκοσι καὶ δύο χιλιά-
δες καὶ ἑξακόσιοι. 3 καὶ υἱοὶ Ὀζί· Ἰεζραΐα. καὶ υἱοὶ Ἐζραΐα· Μιχαήλ, Ἀβ- 3
διοὺ καὶ Ἰωὴλ καὶ Ἰεσία, πέντε, ἄρχοντες πάντες. 4 καὶ ἐπ' αὐτῶν κατὰ 4
γενέσεις αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν ἰσχυροὶ παρατάξασϑαι εἰς πόλεμον
τριάκοντα καὶ ἓξ χιλιάδες, ὅτι ἐπλήϑυναν γυναῖκας καὶ υἱούς. 5 καὶ ἀδελφοὶ 5
αὐτῶν εἰς πάσας πατριὰς Ἰσσάχαρ καὶ ἰσχυροὶ δυνάμει ὀγδοήκοντα καὶ ἑπτὰ
χιλιάδες, ὁ ἀριϑμὸς αὐτῶν τῶν πάντων. 6 υἱοὶ Βενιαμίν· Βαλὲ καὶ Βαχὶρ 6

---

65. om και εκ φυλ. υι. βενιαμιν 69. την ηλων 70. την ενηρ ... την ιβλααμ ... κατα πατριας 71. γηρσων ημισυς φυλης μαννασση (71. inde a την γαυλων εκ της usque 75. και την ιακακ omnia rescripta sunt) ... ** τ. γαυλων ... ** περισπορια bis ... ** ραμωϑ pro ασηρωϑ 72. ** τ. κεδεε ... ** γαδερ pro δεβερι ... ** αμως pro δαβωρ 73. ** om κ. τ. ραμωϑ ... ** την αναμ 74. ** μασαλ 75. ** ιακακ 76. νεφϑαλειμ ... χαμων ... καριαϑαιμ 77. post ζαβουλων add την ιεκομαν και τα περισπορια αυτης και την καδης και τα περισπορια αυτης και 78. εν τω περαν ... ιερειχω 79. καμηδωϑ ... φααϑ pro μαεφλα 80. και εκ φυλης ... ραμωϑ VII. 1. και ουτοι υιοι ισσαχαρ ... σαμραμ ... και ραφαια ... ιεμου κ. ιεβασαμ ... αρχ. κατ οικον 3. ιεζρια bis ... μιχ. και οβδια 4. και μετ αυτων ... οικους πατρικους αυτων 5. οι αδελφοι ... om και ante ισχυροι 6. plene : βενιαμειν και βοχορ

Digitized by Google

καὶ Ἰεδιήλ, τρεῖς. 7 καὶ υἱοὶ Βαλέ· Ἐσεβὼν καὶ Ὀζὶ καὶ Ὀζιὴλ καὶ Ἰερι-
μοὺθ καὶ Οὐρί, πέντε, ἄρχοντες οἴκων πατριῶν ἰσχυροὶ δυνάμει, καὶ ὁ ἀρι-
8 θμὸς αὐτῶν εἴκοσι καὶ δύο χιλιάδες καὶ τριακοντατέσσαρες. 8 καὶ υἱοὶ Βαχίρ·
Ζεμιρὰ καὶ Ἰωὰς καὶ Ἐλιέζερ καὶ Ἐλιθενὰν καὶ Ἀμαρία καὶ Ἰερμοὺθ καὶ
9 Ἀβιοὺδ καὶ Ἀναθὼθ καὶ Ἐλημέθ. πάντες οὗτοι υἱοὶ Βαχίρ, 9 καὶ ὁ ἀριθμὸς
αὐτῶν κατὰ γενέσεις αὐτῶν, ἄρχοντες οἴκων πατριῶν αὐτῶν ἰσχυροὶ δυνάμει,
10 εἴκοσι χιλιάδες καὶ διακόσιοι. 10 καὶ υἱοὶ Ἰεδιήλ· Βαλαάν. καὶ υἱοὶ Βαλαάν·
Ἰαοὺς καὶ Βενιαμὶν καὶ Ἀὼθ καὶ Χανανὰ καὶ Ζαιθὰν καὶ Θαρσὶ καὶ Ἀχι-
11 σαάρ. 11 πάντες οὗτοι υἱοὶ Ἰεδιήλ, ἄρχοντες τῶν πατριῶν ἰσχυροὶ δυνάμει,
12 ἑπτακαίδεκα χιλιάδες καὶ διακόσιοι, ἐκπορευόμενοι δυνάμει πολεμεῖν. 12 καὶ
13 Σαπφὶν καὶ Ἀπφὶν καὶ υἱοὶ Ὧρ, Ἀσώμ, υἱὸς αὐτοῦ Ἀόρ. 13 υἱοὶ Νεφθαλί·
14 Ἰασιήλ, Γωνὶ καὶ Ἀσὴρ καὶ Σελλοὺμ υἱοὶ αὐτοῦ, Βαλὰμ υἱὸς αὐτοῦ. 14 υἱοὶ
Μανασσῆ· Ἐσριήλ, ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ἡ Σύρα, ἔτεκε δὲ αὐτῷ καὶ
15 Μαχὶρ πατέρα Γαλαάδ. 15 καὶ Μαχὶρ ἔλαβε γυναῖκα τῷ Ἀπφὶν καὶ Σαπφίν·
καὶ ὄνομα ἀδελφῆς αὐτοῦ Μοωχά, καὶ ὄνομα τῷ δευτέρῳ Σαπφαάδ· ἐγεν-
16 νήθησαν δὲ τῷ Σαπφαὰδ θυγατέρες. 16 καὶ ἔτεκε Μοωχὰ γυνὴ Μαχὶρ υἱόν,
καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές, καὶ ὄνομα ἀδελφοῦ αὐτοῦ Σοῦρος· υἱοὶ
17 αὐτοῦ Οὐλὰμ καὶ Ῥοκόμ. 17 καὶ υἱοὶ Οὐλάμ· Βαδάμ. οὗτοι υἱοὶ Γαλαὰδ υἱοῦ
18 Μαχὶρ υἱοῦ Μανασσῆ. 18 καὶ ἡ ἀδελφὴ αὐτοῦ ἡ Μαλεχὲθ ἔτεκε τὸν Ἰσοὺδ
19 καὶ τὸν Ἀβιέζερ καὶ τὸν Μαελά. 19 καὶ ἦσαν υἱοὶ Σεμιρά· Ἀΐμ καὶ Συχὲμ
20 καὶ Λακὶμ καὶ Ἀνιάν. 20 καὶ υἱοὶ Ἐφραΐμ· Σωθαλάθ, καὶ Βαρὰδ υἱὸς αὐτοῦ,
21 καὶ Θαὰδ υἱὸς αὐτοῦ, Ἐλαδὰ υἱὸς αὐτοῦ, Σαὰθ υἱὸς αὐτοῦ, 21 καὶ Ζαβὰδ
υἱὸς αὐτοῦ, Σωθελὲ υἱὸς αὐτοῦ, καὶ Ἀζὲρ καὶ Ἐλεάδ· καὶ ἀπέκτειναν αὐ-
τοὺς οἱ ἄνδρες Γὲθ οἱ τεχθέντες ἐν τῇ γῇ, ὅτι κατέβησαν τοῦ λαβεῖν τὰ κτήνη
22 αὐτῶν. 22 καὶ ἐπένθησεν Ἐφραΐμ ὁ πατὴρ αὐτῶν ἡμέρας πολλάς, καὶ ἦλθον
23 ἀδελφοὶ αὐτοῦ τοῦ παρακαλέσαι αὐτόν. 23 καὶ εἰσῆλθε πρὸς τὴν γυναῖκα αὐ-
τοῦ, καὶ ἔλαβεν ἐν γαστρὶ καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Βεριά,
24 ὅτι ἐν κακοῖς ἐγένετο ἐν οἴκῳ μου. 24 καὶ ἡ θυγάτηρ αὐτοῦ Σαραά, καὶ ἐν
ἐκείνοις τοῖς καταλοίποις, καὶ ᾠκοδόμησε τὴν Βαιθωρὼν τὴν κάτω καὶ τὴν
25 ἄνω. καὶ υἱοὶ Ὀζάν· Σεηρά, 25 καὶ Ῥαφὴ υἱὸς αὐτοῦ, Σαρὰφ καὶ Θαλεὲς
26 υἱοὶ αὐτοῦ, Θαὲν υἱὸς αὐτοῦ. 26 τῷ Λααδὰν υἱῷ αὐτοῦ υἱὸς Ἀμιούδ, υἱὸς
27 28 Ἐλισαμαΐ, 27 υἱὸς Νούν, υἱὸς Ἰησουέ, υἱοὶ αὐτοῦ. 28 καὶ κατάσχεσις αὐτῶν
καὶ κατοικία αὐτῶν· Βαιθὴλ καὶ αἱ κῶμαι αὐτῆς κατ' ἀνατολὰς Νοαρὰν
πρὸς δυσμαῖς Γάζερ καὶ αἱ κῶμαι αὐτῆς, καὶ Συχὲμ καὶ αἱ κῶμαι αὐτῆς
29 ἕως Γάζης καὶ αἱ κῶμαι αὐτῆς 29 καὶ ἕως ὁρίων υἱῶν Μανασσῆ, Βαιθσαὰν
καὶ αἱ κῶμαι αὐτῆς, Θανὰχ καὶ αἱ κῶμαι αὐτῆς, Μαγεδδὼ καὶ αἱ κῶμαι

---

6. και ιαδιηλ τρις 7. ασεβων 8. βοχορ· ζαμιριας ... ελιωηναϊ pro ελιθεναν ... ιεριμωθ κ. αβιου ... ελμεθεμ ... βοχορ 10. υιοι αδιηλ ... ιεως κ. βενιαμειν κ. αμειδ κ. χαναναν κ. ηθαν κ. θαρσεις 11. ** αδιηρ ... του πολεμειν 12. σαφειμ κ. αφειμ ... ωρα ... ασοβ *pro ασωμ 13. και γωυνι κ. σααρ κ. σελλουμ υιοι βαλλα ... om βαλ. υιος αυτ. 14. ετεκεν τον μαχειρ 15. μαχειρ ... αφφειν και σεφφειμ ... μοοχα ... σαλπααδ· και εγεννηθησαν τω σαλπααδ 16. μοοχα η γυνη μαχειρ ... σορος· υιος αυτου ουλαμ ... om και ροκομ 17. βαδαν ... μαχειρ 18. τον σουδ ... μοολα 19. αειν κ. σ. κ. λακεια κ. ανιαμ 20. σωθαλα ... υιοι ... θααθ ... ελεαδα ... νομεε pro σααθ 21. om και priora duo ... ζαβεδ ... εζερ υιος αυτου ... αυτους ανδρες γαιθ ..., om του 22. εφραιμ πατηρ ... οι αδελφοι 23. βαρια 24. σααρα ... om την primum 25. και ρασεφ pro σαραφ ... θαλε ... om θαεν υιος αυτου 26. ** τω γαλααδα, * (videtur) τω λααδα ... υιω αυτου, καθααν υιος αυτου, αμιουδ υιος αυτου, ελισαμα υιος αυτου 27. νουμ υιος αυτου, ιησουε υιος αυτου 28. κατασχεσεις ... κατα ανατολας νααραν 29. βαιθσαν ..., θαανακ ... ante μαγεδδω add και βαλααδ και αι κωμαι αυτης

Digitized by Google

αὐτῆς, Δὼρ καὶ αἱ κῶμαι αὐτῆς· ἐν ταύτῃ κατῴκησαν υἱοὶ Ἰωσὴφ υἱοῦ
Ἰσραήλ. 30 υἱοὶ Ἀσήρ· Ἰεμνὰ καὶ Σουία καὶ Ἰσουὶ καὶ Βεριά, καὶ Σορὲ ἀδελφὴ 30
αὐτῶν. 31 καὶ υἱοὶ Βεριά· Χάβερ καὶ Μελχιήλ, οὗτος πατὴρ Βερθαΐθ. 32 καὶ 31 32
Χάβερ ἐγέννησε τὸν Ἰαφλὴτ καὶ τὸν Σαμὴρ καὶ τὸν Χωθὰν καὶ τὴν Σωλὰ
ἀδελφὴν αὐτῶν. 33 καὶ υἱοὶ Ἰαφλήτ· Φασὲκ καὶ Βαμαὴλ καὶ Ἀσίθ· οὗτοι 33
υἱοὶ Ἰαφλήτ. 34 καὶ υἱοὶ Σεμμήρ· Ἀχὶ καὶ Ῥοογὰ καὶ Ἰαβὰ καὶ Ἀρὰμ 35 καὶ 34 35
Βανηελὰμ ἀδελφοῦ αὐτοῦ Σωφὰ καὶ Ἰμανὰ καὶ Σελλὴς καὶ Ἀμάλ. 36 υἱοὶ 36
Σωφᾶς· Σουὲ καὶ Ἀρναφὰρ καὶ Σουδὰ καὶ Βαρὶν καὶ Ἰμρὰν 37 καὶ Βασὰν 37
καὶ Ὠὰ καὶ Σαμὰ καὶ Σαλισὰ καὶ Ἰεθρὰ καὶ Βεηρά. 38 καὶ υἱοὶ Ἰεθήρ· 38
Ἰεφινὰ καὶ Φασφὰ καὶ Ἀρά. 39 καὶ υἱοὶ Ὀλά· Ὀρέχ, Ἀνιὴλ καὶ Ῥασιά. 39
40 πάντες οὗτοι υἱοὶ Ἀσήρ, πάντες ἄρχοντες πατριῶν ἐκλεκτοὶ ἰσχυροὶ δυνά- 40
μει, ἄρχοντες ἡγούμενοι· ὁ ἀριθμὸς αὐτῶν εἰς παράταξιν τοῦ πολεμεῖν, ἀρι-
θμὸς αὐτῶν ἄνδρες εἰκοσιὲξ χιλιάδες.

## VIII.

Καὶ Βενιαμὶν ἐγέννησε Βαλὲ πρωτότοκον αὐτοῦ, καὶ Ἀσβὴλ τὸν δεύτε-
ρον, Ἀαρὰ τὸν τρίτον, 2 Νωὰ τὸν τέταρτον, καὶ Ῥαφὰ τὸν πέμπτον. 3 καὶ 2 3
ἦσαν υἱοὶ τῷ Βαλέ· Ἀδὶρ καὶ Γηρὰ καὶ Ἀβιοὺδ 4 καὶ Ἀβεσσουὲ καὶ Νοαμὰ 4
καὶ Ἀχιὰ 5 καὶ Γερὰ καὶ Σεφουφὰμ καὶ Οὐράμ. 6 οὗτοι υἱοὶ Ἀώδ· οὗτοί 5 6
εἰσιν ἄρχοντες πατριῶν τοῖς κατοικοῦσι Γαβεέ, καὶ μετῴκισαν αὐτοὺς εἰς
Μαχαναθί· 7 καὶ Νοομὰ καὶ Ἀχιὰ καὶ Γηρά· οὗτος Ἰεγλαάμ, καὶ ἐγέννησε 7
τὸν Ἀζὰ καὶ τὸν Ἰαχιχώ. 8 καὶ Σααρὶν ἐγέννησεν ἐν τῷ πεδίῳ Μωὰβ μετὰ 8
τὸ ἀποστεῖλαι αὐτὸν Ὡσὶν καὶ τὴν Βααδὰ γυναῖκα αὐτοῦ. 9 καὶ ἐγέννησεν ἐκ 9
τῆς Ἀδὰ γυναικὸς αὐτοῦ τὸν Ἰωλὰβ καὶ τὸν Σεβιὰ καὶ τὸν Μισὰ καὶ τὸν
Μελχὰς 10 καὶ τὸν Ἰεβοὺς καὶ τὸν Ζαβιὰ καὶ τὸν Μαρμά· οὗτοι ἄρχοντες 10
πατριῶν. 11 καὶ ἐκ τῆς Ὡσὶν ἐγέννησε τὸν Ἀβιτὼλ καὶ τὸν Ἀλφαάλ. 12 καὶ 11 12
υἱοὶ Ἀλφαάλ· Ὠβήδ, Μισαάλ, Σεμμήρ· οὗτος ᾠκοδόμησε τὴν Ὠνὰν καὶ
τὴν Λὼδ καὶ τὰς κώμας αὐτῆς· 13 καὶ Βεριὰ καὶ Σαμά· οὗτοι ἄρχοντες τῶν 13
πατριῶν τοῖς κατοικοῦσιν Αἰλάμ, καὶ οὗτοι ἐξεδίωξαν τοὺς κατοικοῦντας Γέθ.
14 καὶ ἀδελφὸς αὐτοῦ Σωσὴκ καὶ Ἀριμὼθ 15 καὶ Ζαβαδία καὶ Ὠρὴδ καὶ Ἔδερ 14 15
16 καὶ Μιχαὴλ καὶ Ἰεσφὰ καὶ Ἰωδά, υἱοὶ Βεριά· 17 καὶ Ζαβαδία καὶ Μοσολ- 16 17
λὰμ καὶ Ἀζακὶ καὶ Ἀβὰρ 18 καὶ Ἰσαμαρὶ καὶ Ἰεξλίας καὶ Ἰωβάβ, υἱοὶ Ἐλ- 18
φαάλ· 19 καὶ Ἰακὶμ καὶ Ζαχρὶ καὶ Ζαβδὶ 20 καὶ Ἐλιωναΐ καὶ Σαλαθὶ καὶ 19 20
Ἐλιηλὶ 21 καὶ Ἀδαΐα καὶ Βαραΐα καὶ Σαμαράθ, υἱοὶ Σαμαΐθ· 22 καὶ Ἰεσφὰν 21 22
καὶ Ὠβὴδ καὶ Ἐλεὴλ 23 καὶ Ἀβδὼν καὶ Ζεχρὶ καὶ Ἀνὰν 24 καὶ Ἀνανία καὶ 23 24

---

29. εν ταυταις κατωκ. οι 30. ιεμνα κ. ιεσουα κ. ιεσουι κ. βαρια κ. σαραϊ η αδ. α. 31. βαρια ... αυτος π. βερζαιε 32. ιαφαλητ κ. τ. σωμηρ κ. τ. χωθαμ 33. ιαφαλητ bis ... φεσηχι, βαμαηλ κ. ασειθ 34. σωμηρ· αχι, ουραογα και οβα και αραμ 35. και υιος ελαμ ... σωφαρ 36. σωφα ... σουαλ pro σουδα ... βαρι κ. ιεμρα 37. βασαρ κ. ωδ κ. σαμμα κ. σαλεισα κ. ιεθερ 38. ιεθερ 39. ωλα ... και ανιηλ 40. om ὁ ... om αριθμος αυτων ante ανδρες VIII. 1. βενιαμειν εγ. τον βαλε ... και ααρα 2. και νωα ... ραφη 3. αρεδ pro αδιρ 4. αβισουε κ. μααμαν ... om κ. αχια 5. κ. γηρα κ. σωφαν κ. αχιραν και ιωιμ 6. υιοι ωδ ... γαβες ... μαναχαθι 7. ιγλααμ ... ιαχιχαδ 8. σααρημ ... ωσιμ ... βααρα 9. ιωβαβ ... μωσα ... μελχαμ 10. ιεους ... σεβια pro ζαβια 11. ωσιμ ... αβιτωβ 12. αλφαα ... και μισααλ ... την ωνω ... λοδ 13. βαριγα ... αδαμ pro αιλαμ 14. κ. οι αδελφοι ... ιαριμουθ 15. αζαβαδια κ. αρωδ κ. ωδερ 16. κ. μιχ. κ. εσφαχ κ. ιωαχα και ιεζια υι. βαριγα 18. ιεσαμαρι ... εζλια 19. ιαχειμ ... ζεχρι 20. ελιωηναΐ κ. σαλει, ελιηλι 21. κ. αλαια κ. βεριγα και βαραΐα κ. σαμαραθ, υι. σαμαΐ 22. εσφαν 23. ζοχρι 24. * ανανιας

Digitized by Google

25 Ἀμβρὶ καὶ Αἰλὰμ καὶ Ἀναθὼθ [25] καὶ Ἰαθὶν καὶ Ἰεφαδίας καὶ Φανουήλ, υἱοὶ
26 27 Σωσήκ· [26] καὶ Σαμσαρὶ καὶ Σααρίας καὶ Γοθολία [27] καὶ Ἰαρασία καὶ Ἐριὰ
28 καὶ Ζεχρί, υἱὸς Ἰροάμ. [28] οὗτοι ἄρχοντες πατριῶν κατὰ γενέσεις αὐτῶν ἄρχον-
29 τες· οὗτοι κατῴκησαν ἐν Ἱερουσαλήμ. [29] καὶ ἐν Γαβαὼν κατῴκησε πατὴρ
30 Γαβαών, καὶ ὄνομα γυναικὶ αὐτοῦ Μοαχά· [30] καὶ ὁ υἱὸς αὐτῆς ὁ πρωτότοκος
31 Ἀβδών, καὶ Σοὺρ καὶ Κὶς καὶ Βάαλ καὶ Ναδὰβ καὶ Νὴρ [31] καὶ Γεδοὺρ καὶ
32 ἀδελφὸς αὐτοῦ, καὶ Ζαχοὺρ καὶ Μακελώθ· [32] καὶ Μακελὼθ ἐγέννησε τὸν
Σαμαά. καὶ γὰρ οὗτοι κατέναντι τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν Ἱερου-
33 σαλὴμ μετὰ τῶν ἀδελφῶν αὐτῶν. [33] καὶ Νὴρ ἐγέννησε τὸν Κίς, καὶ Κὶς ἐγέν-
νησε τὸν Σαούλ, καὶ Σαοὺλ ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχισουὲ καὶ
34 τὸν Ἀμιναδὰβ καὶ τὸν Ἀσαβάλ. [34] καὶ υἱὸς Ἰωνάθαν Μεριβαάλ· καὶ Μεριβαὰλ
35 ἐγέννησε τὸν Μιχά. [35] καὶ υἱοὶ Μιχά· Φιθὼν καὶ Μελὰχ καὶ Θαρὰχ καὶ Ἀχάζ.
36 [36] καὶ Ἀχὰζ ἐγέννησε τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Σαλαιμὰθ καὶ τὸν
37 Ἀσμὼθ καὶ τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε τὸν Μαισά, [37] καὶ Μαισὰ ἐγέν-
νησε τὸν Βαανά· Ῥαφαία υἱὸς αὐτοῦ, Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ.
38 [38] καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρικὰμ πρωτότο-
κος αὐτοῦ, καὶ Ἰσμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία καὶ Ἀνὰν καὶ Ἀσά· πάντες
39 οὗτοι υἱοὶ Ἐσήλ. [39] καὶ υἱοὶ Ἀσὴλ ἀδελφοῦ αὐτοῦ· Αἰλὰμ πρωτότοκος αὐτοῦ,
40 καὶ Ἰὰς ὁ δεύτερος, καὶ Ἐλιφαλὲτ ὁ τρίτος. [40] καὶ ἦσαν υἱοὶ Αἰλὰμ ἰσχυροὶ
ἄνδρες δυνάμει τείνοντες τόξον καὶ πληθύνοντες υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν
ἑκατὸν πεντήκοντα. πάντες οὗτοι ἐξ υἱῶν Βενιαμίν.

## IX.

Καὶ πᾶς Ἰσραὴλ ὁ συλλοχισμὸς αὐτῶν, καὶ οὗτοι καταγεγραμμένοι ἐν
βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα μετὰ τῶν ἀποικισθέντων εἰς Βαβυ-
2 λῶνα ἐν ταῖς ἀνομίαις αὐτῶν, [2] καὶ οἱ κατοικοῦντες πρότερον ἐν ταῖς κατα-
σχέσεσιν αὐτῶν ἐν ταῖς πόλεσιν Ἰσραήλ, οἱ ἱερεῖς οἱ Λευῖται καὶ οἱ δεδομένοι.
3 [3] καὶ ἐν Ἱερουσαλὴμ κατῴκησαν ἀπὸ τῶν υἱῶν Ἰούδα καὶ ἀπὸ τῶν υἱῶν
4 Βενιαμὶν καὶ ἀπὸ τῶν υἱῶν Ἐφραῒμ καὶ Μανασσῆ. [4] καὶ Γωθὶ καὶ υἱὸς
Σαμιοὺδ υἱοῦ Ἀμρὶ υἱοῦ Ἀμβραῒμ υἱοῦ Βουνὶ υἱοῦ υἱῶν Φαρὲς υἱοῦ Ἰούδα.
5 6 [5] καὶ ἐκ τῶν Σηλωνὶ Ἀσαΐα πρωτότοκος αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ. [6] ἐκ τῶν υἱῶν
7 Ζαρὰ Ἰεὴλ καὶ ἀδελφοὶ αὐτῶν ἑξακόσιοι καὶ ἐννενήκοντα. [7] καὶ ἐκ τῶν υἱῶν
8 Βενιαμὶν Σαλὼμ υἱὸς Μοσολλὰμ υἱοῦ Ὠδουία υἱοῦ Ἀσινοῦ, [8] καὶ Ἰεμναὰ
υἱὸς Ἱεροβοὰμ καὶ Ἠλώ· οὗτοι υἱοὶ Ὀζὶ υἱοῦ Μαχίρ· καὶ Μοσολλὰμ υἱὸς
9 Σαφατία υἱοῦ Ῥαγουὴλ υἱοῦ Ἰεμναΐ, [9] καὶ ἀδελφοὶ αὐτῶν κατὰ γενέσεις
αὐτῶν ἐννακόσιοι πεντηκονταέξ, πάντες οἱ ἄνδρες ἄρχοντες πατριῶν κατ᾿ οἴκους
10 11 πατριῶν αὐτῶν. [10] καὶ ἀπὸ τῶν ἱερέων Ἰωδαὲ καὶ Ἰωαρὶμ καὶ Ἰαχὶν [11] καὶ
Ἀζαρία υἱὸς Χελκία υἱοῦ Μοσολλὰμ υἱοῦ Σαδὼκ υἱοῦ Μαραϊὼθ υἱοῦ Ἀχιτὼβ

---

24. αηλαμ κ. αναθωθια 25. και αθειν κ. ιεφαδια 26. σαμσαρια … σααρια … γοθολιας 27. ηλια pro εριa … υιοι ιεροαμ … αρχηγοι pro αρχοντες sec. 29. τη γυναικι … μααχα 30. και υιος αυτη πρωτοτοκος … και ισουρ και κεις … κ. νηρ κ. ναδαβ 31. αδελφοι … om και ante ζαχχουρ … om και μακελωθ prius … μαχαλωθ … σαμεα … om γαρ 33. κεις bis … ιεβααλ pro ασαβαλ 34. μεφριβααλ bis 35. φιθων κ. μαλωθ κ. θαρεε κ. χααζ 36. χααζ … ιωιαδα bis … γαλεμαθ pro σαλαιμαθ … αζμωθ … ζαμρι 37. ελεασα 38. ο πρωτοτοκος … om και ασα 39. εσελεκ του αδελφου α. ουλαμ ο πρωτοτ. α. και ιαϊας 40. ουλαμ … εκατον ενενηκοντα … βενιαμειν IX. 3. βενιαμειν 4. om και bis . . γωθι … αμιουδ … om υιου αμβραϊμ υι. βουνι 5. απο του σηλωνι ασα ο … και υιοι 6. ενενηκοντα 7. βενιαμειν … σαλω … υιου ασανουα 8. ιεβναα υι. ιεροαμ κ. ηλα, υιος οζι υιου μοχορε, κ. μασαλλαμ … υιου ιεβαναι 10. ιωαρειβ κ. ιαχειν 11. αζαριας υι. χελκιου … μαριωθ

Digitized by Google

ἡγουμένου οἴκου τοῦ θεοῦ, 12 καὶ Ἀδαΐα υἱὸς Ἰραὰμ υἱοῦ Φασχὼρ υἱοῦ Μελ- 12
χία, καὶ Μαασαία υἱὸς Ἀδιὴλ υἱοῦ Ἐζιρὰ υἱοῦ Μοσολλὰμ υἱοῦ Μασελμὼθ
υἱοῦ Ἐμμήρ, 13 καὶ ἀδελφοὶ αὐτῶν ἄρχοντες οἴκων πατριῶν αὐτῶν χίλιοι 13
καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα, ἰσχυροὶ δυνάμει εἰς ἐργασίαν λειτουργίας οἴκου
τοῦ θεοῦ. 14 καὶ ἐκ τῶν Λευιτῶν Σαμαΐα υἱὸς Ἀσὼβ υἱοῦ Ἐζρικὰμ υἱοῦ 14
Ἀσαβία ἐκ τῶν υἱῶν Μεραρί, 15 καὶ Βακβακὰρ καὶ Ἀρὴς καὶ Γαλαὰλ καὶ 15
Ματθανίας υἱὸς Μιχὰ υἱοῦ Ζεχρὶ υἱοῦ Ἀσάφ, 16 καὶ Ἀβδία υἱὸς Σαμία υἱοῦ 16
Γαλαὰλ υἱοῦ Ἰδιθούν, καὶ Βαραχία υἱὸς Ὀσσὰ υἱοῦ Ἑλκανὰ ὁ κατοικῶν ἐν
ταῖς κώμαις Νωτεφατί. 17 οἱ πυλωροί· Σαλώμ, Ἀκούμ, Τελμὼν καὶ Διμὰν 17
καὶ ἀδελφοὶ αὐτῶν, Σαλὼμ ὁ ἄρχων· 18 καὶ ἕως ταύτης ἐν τῇ πύλῃ τοῦ 18
βασιλέως κατ' ἀνατολάς· αὗται αἱ πύλαι τῶν παρεμβολῶν υἱῶν Λευί. 19 καὶ 19
Σελλοὺμ υἱὸς Κορὲ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κορὲ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς οἶκον
πατρὸς αὐτοῦ, οἱ Κορῖται ἐπὶ τῶν ἔργων τῆς λειτουργίας φυλάσσοντες τὰς
φυλακὰς τῆς σκηνῆς· καὶ πατέρες αὐτῶν ἐπὶ τῆς παρεμβολῆς κυρίου φυλάσ-
σοντες τὴν εἴσοδον. 20 καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ ἡγούμενος ἦν ἐπ' αὐτῶν ἔμ- 20
προσθεν κυρίου, καὶ οὗτοι μετ' αὐτοῦ. 21 Ζαχαρίας υἱὸς Μοσολλαμὶ πυλωρὸς 21
τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. 22 πάντες οἱ ἐκλεκτοὶ ἐπὶ τῆς πύλης ἐν 22
ταῖς πύλαις διακόσιοι καὶ δεκαδύο· οὗτοι ἐν ταῖς αὐλαῖς αὐτῶν, ὁ καταλο-
χισμὸς αὐτῶν· τούτους ἔστησε Δαυὶδ καὶ Σαμουὴλ ὁ βλέπων τῇ πίστει αὐ-
τῶν. 23 καὶ οὗτοι καὶ οἱ υἱοὶ αὐτῶν ἐπὶ τῶν πυλῶν ἐν οἴκῳ κυρίου καὶ ἐν 23
οἴκῳ τῆς σκηνῆς τοῦ φυλάσσειν. 24 κατὰ τοὺς τέσσαρας ἀνέμους ἦσαν αἱ πύλαι, 24
κατὰ ἀνατολάς, θάλασσαν, βορρᾶν, νότον. 25 καὶ ἀδελφοὶ αὐτῶν ἐν ταῖς αὐ- 25
λαῖς αὐτῶν τοῦ εἰςπορεύεσθαι κατὰ ἑπτὰ ἡμέρας ἀπὸ καιροῦ εἰς καιρὸν μετὰ
τούτων· 26 ὅτι ἐν πίστει εἰσὶ τέσσαρες δυνατοὶ τῶν πυλῶν. καὶ οἱ Λευῖται 26
ἦσαν ἐπὶ τῶν παστοφορίων, καὶ ἐπὶ τῶν θησαυρῶν οἴκου τοῦ θεοῦ παρεμ-
βάλλουσιν, 27 ὅτι ἐπ' αὐτοὺς ἡ φυλακή· καὶ οὗτοι ἐπὶ τῶν κλειδῶν τὸ πρωὶ 27
πρωὶ ἀνοίγειν τὰς θύρας τοῦ ἱεροῦ. 28 καὶ ἐξ αὐτῶν ἐπὶ τὰ σκεύη τῆς λει- 28
τουργίας, ὅτι ἐν ἀριθμῷ εἰςοίσουσι καὶ ἐν ἀριθμῷ ἐξοίσουσι. 29 καὶ ἐξ αὐτῶν 29
καθεσταμένοι ἐπὶ τὰ σκεύη καὶ ἐπὶ πάντα σκεύη τὰ ἅγια, καὶ ἐπὶ τῆς σεμι-
δάλεως, τοῦ οἴνου, τοῦ ἐλαίου, τοῦ λιβανωτοῦ καὶ τῶν ἀρωμάτων. 30 καὶ ἀπὸ 30
τῶν υἱῶν τῶν ἱερέων ἦσαν μυρεψοὶ τοῦ μύρου καὶ εἰς τὰ ἀρώματα. 31 καὶ 31
Ματθαθίας ἐκ τῶν Λευιτῶν, οὗτος ὁ πρωτότοκος τῷ Σαλὼμ τῷ Κορίτῃ, ἐν
τῇ πίστει ἐπὶ τὰ ἔργα τῆς θυσίας τοῦ τηγάνου τοῦ μεγάλου ἱερέως. 32 καὶ 32
Βαναΐας ὁ Κααθίτης ἐκ τῶν ἀδελφῶν αὐτῶν ἐπὶ τῶν ἄρτων τῆς προθέσεως
τοῦ ἑτοιμάσαι σάββατον κατὰ σάββατον. 33 καὶ οὗτοι ψαλτῳδοὶ ἄρχοντες τῶν 33
πατριῶν τῶν Λευιτῶν διατεταγμέναι ἐφημερίαι, ὅτι ἡμέρα καὶ νὺξ ἐπ' αὐτοῖς
ἐν τοῖς ἔργοις. 34 οὗτοι ἄρχοντες τῶν πατριῶν τῶν Λευιτῶν κατὰ γενέσεις αὐ- 34
τῶν, ἄρχοντες οὗτοι κατῴκησαν ἐν Ἱερουσαλήμ. 35 καὶ ἐν Γαβαὼν κατῴκησε 35
πατὴρ Γαβαὼν Ἰεήλ, καὶ ὄνομα γυναικὸς αὐτοῦ Μοωχά· 36 καὶ υἱὸς αὐτοῦ 36
ὁ πρωτότοκος Ἀβδών, καὶ Σοὺρ καὶ Κὶς καὶ Βάαλ καὶ Νὴρ καὶ Ναδὰβ
37 καὶ Γεδοὺρ καὶ ἀδελφὸς καὶ Ζαχχοὺρ καὶ Μακελώθ. 38 καὶ Μακελὼθ ἐγέν- 37 38

---

11. ηγουμενος 12. σαδιας υι. ιεραααμ ... μελχιου ... μασαι ... ιεζριου ... μοσολλαμωθ pro μασελμωθ 13. οι αδελφοι ... om αυτων ... χιλιοι επτακοσιοι ενενηκοντα 14. σαμαια ... ασαβιου υιου υιων 15. αρες κ. γωληλ 16. οβδια υι. σαμιου υι. γωληλ υι. ιδουθων ... βαραχιας ... ασα ... νετωφαθι 17. σαλλωμ και ακουβ και τελμαν και αιμαν 18. κατα ... αυται πυλαι 19. σαλωμ υι. χωρη 21. μοσολλαμ 22. εκλεκτοι ταις πυλαις εν ... om και post διακοσιοι 23. και υιοι ... om και ante εν 24. τους τεσσαρες ... ** κατα 26. πυλων. οι ... παρεμβαλουσιν 28. εισοισουσιν αυτα ... εξοισ. αυτα 29. και επι παντα τα 31. ματταθιας 32. βαναιας 34. αρχοντες· ουτοι (ita disting.) 35. ιειηλ 36. ο υιος ... ισειρ κ. χεις 37. κ. γεδουρ κ. αδελφοι ζαχχουρ κ. μακεδωθ 38. μακεδωθ

Digitized by Google

νησε τὸν Σαμαά· καὶ οὗτοι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν Ἱερου-
39 σαλὴμ ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. 39 καὶ Νὴρ ἐγέννησε τὸν Κίς, καὶ Κὶς
ἐγέννησε τὸν Σαούλ, καὶ Σαοὺλ ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχισουὲ καὶ
40 τὸν Ἀμιναδὰβ καὶ τὸν Ἀσαβάλ. 40 καὶ υἱὸς Ἰωνάθαν Μεριβαάλ· καὶ Μεριβαὰλ
41 42 ἐγέννησε τὸν Μιχά. 41 καὶ υἱοὶ Μιχά· Φιθὼν καὶ Μαλὰχ καὶ Θαράχ. 42 καὶ
Ἀχὰζ ἐγέννησε τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Γαλεμὲθ καὶ τὸν Γαζμὼθ
43 καὶ τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε τὸν Μασσά, 43 καὶ Μασσὰ ἐγέννησε τὸν
44 Βαανά, καὶ Ῥαφαΐα υἱὸς αὐτοῦ, Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ. 44 καὶ
τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρικὰμ πρωτότοκος αὐτοῦ,
καὶ Ἰσμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία καὶ Ἀνὰν καὶ Ἀσά· οὗτοι υἱοὶ Ἐσήλ.

## X.

Καὶ ἀλλόφυλοι ἐπολέμησαν πρὸς τὸν Ἰσραήλ, καὶ ἔφυγον ἀπὸ προςώπου
2 ἀλλοφύλων καὶ ἔπεσον τραυματίαι ἐν ὄρει Γελβουέ. 2 καὶ κατεδίωξαν οἱ ἀλλό-
φυλοι ὀπίσω Σαοὺλ καὶ ὀπίσω τῶν υἱῶν αὐτοῦ· καὶ ἐπάταξαν ἀλλόφυλοι τὸν
3 Ἰωνάθαν καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Μελχισουὲ υἱοὺς Σαούλ. 3 καὶ ἐβαρύνθη
ὁ πόλεμος ἐπὶ Σαούλ· καὶ εὗρον αὐτὸν οἱ τοξόται ἐν τόξοις καὶ πόνοις, καὶ
4 ἐπόνεσαν ἀπὸ τῶν τόξων. 4 καὶ εἶπε Σαοὺλ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ Σπά-
σαι τὴν ῥομφαίαν σου καὶ ἐκκέντησόν με ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμη-
τοι οὗτοι καὶ ἐμπαίξωσί μοι. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι
ἐφοβεῖτο σφόδρα· καὶ ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν καὶ ἐπέπεσεν ἐπ' αὐτήν.
5 5 καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὅτι ἀπέθανε Σαούλ, καὶ ἔπεσε καὶ αὐτὸς
6 ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ. 6 καὶ ἀπέθανε Σαοὺλ καὶ τρεῖς υἱοὶ αὐτοῦ ἐν τῇ
7 ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς ὁ οἶκος αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἀπέθανε. 7 καὶ εἶδε πᾶς
ἀνὴρ Ἰσραὴλ ὁ ἐν τῷ αὐλῶνι ὅτι ἔφυγεν Ἰσραήλ, καὶ ὅτι ἀπέθανε Σαοὺλ
καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ κατέλιπον τὰς πόλεις αὐτῶν καὶ ἔφυγον· καὶ ἦλθον
8 οἱ ἀλλόφυλοι καὶ κατῴκησαν ἐν αὐταῖς. 8 καὶ ἐγένετο τῇ ἐχομένῃ καὶ ἦλθον
ἀλλόφυλοι τοῦ σκυλεύειν τοὺς τραυματίας, καὶ εὗρον τὸν Σαοὺλ καὶ τοὺς υἱοὺς
9 αὐτοῦ πεπτωκότας ἐν τῷ ὄρει Γελβουέ. 9 καὶ ἐξέδυσαν αὐτόν, καὶ ἔλαβον τὴν
κεφαλὴν αὐτοῦ καὶ τὰ σκεύη αὐτοῦ, καὶ ἀπέστειλαν εἰς γῆν ἀλλοφύλων κύκλῳ
10 τοῦ εὐαγγελίσασθαι τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ· 10 καὶ ἔθηκαν τὰ σκεύη
αὐτῶν ἐν οἴκῳ θεοῦ αὐτῶν, καὶ τὴν κεφαλὴν αὐτοῦ ἔθηκαν ἐν οἴκῳ Δαγών.
11 11 καὶ ἤκουσαν πάντες οἱ κατοικοῦντες Γαλαὰδ ἅπαντα ἃ ἐποίησαν οἱ ἀλλό-
12 φυλοι τῷ Σαοὺλ καὶ τῷ Ἰσραήλ. 12 καὶ ἠγέρθησαν ἐκ Γαλαὰδ πᾶς ἀνὴρ δυ-
νατός, καὶ ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα τῶν υἱῶν αὐτοῦ, καὶ ἤνεγ-
καν αὐτὰ εἰς Ἰαβίς, καὶ ἔθαψαν τὰ ὀστᾶ αὐτῶν ὑπὸ τὴν δρῦν ἐν Ἰαβίς· καὶ
13 ἐνήστευσαν ἑπτὰ ἡμέρας. 13 καὶ ἀπέθανε Σαοὺλ ἐν ταῖς ἀνομίαις αὐτοῦ αἷς
ἠνόμησε τῷ θεῷ κατὰ τὸν λόγον κυρίου, διότι οὐκ ἐφύλαξεν· ὅτι ἐπηρώτη-
σε Σαοὺλ ἐν τῷ ἐγγαστριμύθῳ τοῦ ζητῆσαι, καὶ ἀπεκρίνατο αὐτῷ Σαμουὴλ
14 ὁ προφήτης, 14 καὶ οὐκ ἐζήτησε κύριον· καὶ ἀπέκτεινεν αὐτόν, καὶ ἐπέστρεψε
τὴν βασιλείαν τῷ Δαυὶδ υἱῷ Ἰεσσαί.

---

38. σαμα ... εμμεσω ... μετα pro εν μεσω altero 39. κεις bis ... βααλ pro ασαβαλ 40. μεχριβααλ 41. μαλωχ κ. θαρα 42. χααζ ... αζμωθ ... μασα 43. μασα ... βανα ... om και ante ραφ. (sed ραφ. υι. α. rescriptum est) ... ελεασα 44. σαρια ... om ασα X. 1. προς ισραηλ (... γελβουθ) 2. om οι ... οπισω υιων 3. εν τοις τοξοις ... επονεσεν 4. τ. ρομφ. αυτου και επεσεν 5. ιδεν ... και γε αυτος ... in f. add και απεθανεν 7. ιδεν ... κατελειπον ... ηλθον αλλοφυλοι 8. σκυλευσαι 11. παντα α εποιησαν αλλοφυλοι τ. σ. εν τω 12. και τα σωματα των ... ιαβεις bis 13. ηνομησεν τω κυριω ... ενγαστριμυθω 14. εξεζητησεν τον κυριον σαουλ ... post απεκτ. αυτον add καθοτι ουκ ηρωτησεν εν κυριω

Digitized by Google

## XI.

Καὶ ἦλθε πᾶς Ἰσραὴλ πρὸς Δαυὶδ ἐν Χεβρὼν λέγοντες Ἰδοὺ ὀστᾶ σου
καὶ σάρκες σου ἡμεῖς. [2]καὶ ἐχθὲς καὶ τρίτην ὄντος Σαοὺλ βασιλέως σὺ ἦσθα 2
ὁ ἐξάγων καὶ εἰςάγων τὸν Ἰσραήλ, καὶ εἶπεν Ἰσραὴλ κύριός σοι Σὺ ποιμα-
νεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ Ἰσραήλ. [3]καὶ 3
ἦλθον πάντες πρεσβύτεροι Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρών, καὶ διέθετο
αὐτοῖς ὁ βασιλεὺς Δαυὶδ διαθήκην ἐν Χεβρὼν ἔναντι κυρίου, καὶ ἔχρισαν τὸν
Δαυὶδ εἰς βασιλέα ἐπὶ Ἰσραὴλ κατὰ τὸν λόγον κυρίου διὰ χειρὸς Σαμουήλ.
[4]καὶ ἐπορεύθη ὁ βασιλεὺς καὶ ἄνδρες αὐτοῦ εἰς Ἱερουσαλήμ, αὕτη Ἰεβούς, 4
καὶ ἐκεῖ οἱ Ἰεβουσαῖοι οἱ κατοικοῦντες τὴν γῆν [5]εἶπον τῷ Δαυὶδ Οὐκ εἰς- 5
ελεύσῃ ὧδε. καὶ προκατελάβετο τὴν περιοχὴν Σιών, αὕτη ἡ πόλις Δαυίδ.
[6]καὶ εἶπε Δαυὶδ Πᾶς τύπτων Ἰεβουσαῖον ἐν πρώτοις, καὶ ἔσται εἰς ἄρχοντα 6
καὶ εἰς στρατηγόν· καὶ ἀνέβη ἐπ' αὐτὴν ἐν πρώτοις Ἰωὰβ υἱὸς Σαρουία, καὶ
ἐγένετο εἰς ἄρχοντα. [7]καὶ ἐκάθισε Δαυὶδ ἐν τῇ περιοχῇ· διὰ τοῦτο ἐκάλεσεν 7
αὐτὴν πόλιν Δαυίδ· [8]καὶ ᾠκοδόμησε τὴν πόλιν κύκλῳ. [9]καὶ ἐπορεύετο Δαυὶδ 8 9
πορευόμενος καὶ μεγαλυνόμενος, καὶ κύριος παντοκράτωρ μετ' αὐτοῦ. [10]καὶ 10
οὗτοι οἱ ἄρχοντες τῶν δυνατῶν οἳ ἦσαν τῷ Δαυίδ, οἱ κατισχύοντες μετ' αὐτοῦ
ἐν τῇ βασιλείᾳ αὐτοῦ μετὰ παντὸς Ἰσραὴλ τοῦ βασιλεῦσαι αὐτὸν κατὰ τὸν
λόγον κυρίου ἐπὶ Ἰσραήλ. [11]καὶ οὗτος ὁ ἀριθμὸς τῶν δυνατῶν τοῦ Δαυίδ· 11
Ἰεσεβαδὰ υἱὸς Ἀχαμὰν πρῶτος τῶν τριάκοντα, οὗτος ἐσπάσατο τὴν ῥομφαίαν
αὐτοῦ ἅπαξ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί. [12]καὶ μετ' αὐτὸν Ἐλεά- 12
ζαρ υἱὸς Δωδαΐ ὁ Ἀχωχί, οὗτος ἦν ἐν τοῖς τρισὶ δυνατοῖς. [13]οὗτος ἦν μετὰ 13
Δαυὶδ ἐν Φασοδαμίν, καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἦν
μερὶς τοῦ ἀγροῦ πλήρης κριθῶν, καὶ ὁ λαὸς ἔφυγεν ἀπὸ προσώπου ἀλλοφύ-
λων. [14]καὶ ἔστη ἐν μέσῳ τῆς μερίδος καὶ ἔσωσεν αὐτήν, καὶ ἐπάταξε τοὺς 14
ἀλλοφύλους, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην. [15]καὶ κατέβησαν τρεῖς ἐκ 15
τῶν τριάκοντα ἀρχόντων εἰς τὴν πέτραν πρὸς Δαυὶδ εἰς τὸ σπήλαιον Ὀδολ-
λάμ, καὶ παρεμβολὴ τῶν ἀλλοφύλων ἐν τῇ κοιλάδι τῶν γιγάντων. [16]καὶ Δαυὶδ 16
τότε ἐν τῇ περιοχῇ, καὶ τὸ σύστεμα τῶν ἀλλοφύλων τότε ἐν Βηθλεέμ. [17]καὶ 17
ἐπεθύμησε Δαυὶδ καὶ εἶπε Τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου Βηθλεὲμ τοῦ
ἐν τῇ πύλῃ; [18]καὶ διέῤῥηξαν οἱ τρεῖς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ 18
ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεέμ, ὃς ἦν ἐν τῇ πύλῃ, καὶ
ἔλαβον καὶ ἦλθον πρὸς Δαυίδ, καὶ οὐκ ἠθέλησε Δαυὶδ τοῦ πιεῖν αὐτό· καὶ
ἔσπεισεν αὐτὸ τῷ κυρίῳ [19]καὶ εἶπεν Ἵλεώς μοι ὁ θεὸς τοῦ ποιῆσαι τὸ ῥῆμα 19
τοῦτο, εἰ αἷμα ἀνδρῶν τούτων πίομαι ἐν ψυχαῖς αὐτῶν, ὅτι ἐν ψυχαῖς αὐ-
τῶν ἤνεγκαν· καὶ οὐκ ἐβούλετο πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί.
[20]καὶ Ἀβισὰ ἀδελφὸς Ἰωάβ, οὗτος ἦν ἄρχων τῶν τριῶν, οὗτος ἐσπάσατο 20
τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί· καὶ οὗτος ἦν
ὀνομαστὸς ἐν τοῖς τρισίν, [21]ἀπὸ τῶν τριῶν ὑπὲρ τοὺς δύο ἔνδοξος, καὶ ἦν 21
αὐτοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν οὐκ ἤρχετο. [22]καὶ Βαναία υἱὸς Ἰωδαὲ 22
υἱὸς ἀνδρὸς δυνατοῦ, πολλὰ ἔργα αὐτοῦ ὑπὲρ Καβασαήλ· οὗτος ἐπάταξε τοὺς
δύο Ἀριὴλ Μωάβ, καὶ οὗτος κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν τῷ λάκκῳ

---

XI. 2. ειπεν κυριος ο θεος σου σοι ... om εση 3. εν pro εις ... *βασιλεα pro εις βασ. (videtur) 4. ανδρες ισραηλ επι ιερουσαλημ 5. ειπαν δε οι κατοικουντες ιεβους τω δαυ. 6. σαρουιας 8. in f. add και επολεμησεν και ελαβεν την πολιν 11. ισβααμ υι. αχαμανι πρωτοτοχος ... *εσπατο 12. δυνατος 13. φασοδομιν ... πληρεις 14. εμμεσω 15. οι τρεις ... η παρεμβολη τ. αλλ. παρεμβεβληκει εν 16. το υποστεμα ... εν τη βηθλεεμ 19. ηνεγκαν αυτον 20. αβεσσα ο ... (πατριων pro τριων ...) *εσπατο (videtur) ... επι εξακοσιους ... om και ante ουτος (... εν ταις τρ.) 21. αυτος pro αυτοις 22. βαναιας ... inde α – βασαηλ· ουτος incipit codex FA

23 ἐν ἡμέρᾳ χιόνος, [23] καὶ οὗτος ἐπάταξε τὸν ἄνδρα τὸν Αἰγύπτιον, ἄνδρα ὁρα-
τὸν πεντάπηχυν, καὶ ἐν χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς ἀντίον ὑφαινόντων· καὶ
κατέβη ἐπ' αὐτὸν Βαναία ἐν ῥάβδῳ καὶ ἀφείλατο ἐκ τῆς χειρὸς τοῦ Αἰγυ-
24 πτίου τὸ δόρυ, καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ. [24] ταῦτα ἐποίησε
25 Βαναία υἱὸς Ἰωδαέ, καὶ τούτῳ ὄνομα ἐν τοῖς τρισὶ τοῖς δυνατοῖς· [25] ὑπὲρ
τοὺς τριάκοντα ἦν ἔνδοξος οὗτος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἤρχετο, καὶ κατέ-
26 στησεν αὐτὸν Δαυὶδ ἐπὶ τὴν πατριὰν αὐτοῦ. [26] καὶ δυνατοὶ τῶν δυνάμεων·
27 Ἀσαὴλ ἀδελφὸς Ἰωάβ, Ἐλεανὰν υἱὸς Δωδωὲ ἐκ Βηθλεέμ, [27] Σαμαὼθ ὁ
28 Ἀρωρί, Χελλὴς ὁ Φελωνί, [28] Ὠρὰ υἱὸς Ἐκκὶς ὁ Θεκωί, Ἀβιέζερ ὁ Ἀνα-
29 30 θωθί, [29] Σοβοχαὶ ὁ Οὐσαθί, Ἠλὶ ὁ Ἀχωνί, [30] Μαραῒ ὁ Νετωφαθί, Χθαὸδ
31 υἱὸς Νοοζὰ ὁ Νετωφαθί, [31] Αἰρὶ υἱὸς Ῥεβιὲ ἐκ βουνοῦ Βενιαμίν, Βαναίας ὁ
32 33 Φαραθωνί, [32] Οὐρὶ ἐκ Ναχαλὶ Γάας, Ἀβιὴλ ὁ Γαραβαιθί, [33] Ἀζβὼν ὁ Βα-
34 ρωμί, Ἐλιαβὰ ὁ Σαλαβωνί, [34] υἱὸς Ἀσὰμ τοῦ Γιζωνίτου, Ἰωνάθαν υἱὸς Σωλὰ
35 36 ὁ Ἀραρί, [35] Ἀχὶμ υἱὸς Ἀχὰρ ὁ Ἀραρί, Ἐλφὰτ υἱὸς Θυροφὰρ [36] ὁ Μεχωραθρί,
37 38 Ἀχία ὁ Φελλωνί, [37] Ἡσερὲ ὁ Χαρμαδαΐ, Νααραὶ υἱὸς Ἀζοβαί, [38] Ἰωὴλ
39 υἱὸς Νάθαν, Μεβαὰλ υἱὸς Ἀγαρί, [39] Σελὴ ὁ Ἀμμωνί, Ναχὼρ ὁ Βηρωθὶ αἴρων
40 41 σκεύη υἱῷ Σαρουία, [40] Ἰρὰ ὁ Ἰεθρί, Γαρὴβ ὁ Ἰεθρί, [41] Οὐρία ὁ Χεττί, Ζα-
42 βὲτ υἱὸς Ἀχαΐά, [42] Ἀδινὰ υἱὸς Σαιζὰ τοῦ Ῥουβὴν ἄρχων καὶ ἐπ' αὐτῷ τριά-
43 44 κοντα, [43] Ἀνὰν υἱὸς Μοωχὰ καὶ Ἰωσαφὰτ ὁ Ματθανί, [44] Ὀζία ὁ Ἀσταρωθί,
45 Σαμαθὰ καὶ Ἰειὴλ υἱοὶ Χωθὰμ τοῦ Ἀραρί, [45] Ἰεδιὴλ υἱὸς Σαμερὶ καὶ Ἰωζαὲ
46 ὁ ἀδελφὸς αὐτοῦ ὁ Θωσαΐ, [46] Ἐλιὴλ ὁ Μαωὶ καὶ Ἰαριβὶ καὶ Ἰωσία υἱὸς
47 αὐτοῦ, Ἐλλαὰμ καὶ Ἰεθαμὰ ὁ Μωαβίτης, [47] Δαλιὴλ καὶ Ὠβὴθ καὶ Ἰεσσιὴλ
ὁ Μεσωβία.

---

23. FA αιγυπτιον ά (hoc puncto deletur α) ορατον ∴.. εν τη χειρι ... FA ωσει αντ. των υφενοντων ... βαναιας, FA βανεας ... FA αφειλετο 24. βαναιας, FA βανεας ... FA τουτο pro τουτω 25. *om ην (videtur), FA om ην 26. οι δυνατοι ... FA ιωα ... δωδωαι (... FA δωδωεχαθλαεμ) 27. σαμωθ· θαδι, FA σαμαωθ ο αδι ... ο φαλλωνι, FA ο φελλωνει 28. ωραι υι. εκκης, FA ωραι υι. εκ της ... FA ο θεκω ... FA αναθωθει 29. και σοβοχαι ο ασωθι, FA σοβοχε ο ιαθει ... ηλι ο αχωρ (sed ηλι usque νετωφαθι prius v. 30. est **), FA ηλει ο αναχωνει (** αχωνει) 30. μοορμ (μοοραι?), FA νεερε ... FA ο νοτωφωτει ... ελαδ υι. βαανα ... FA χοαοδ pro χθαοδ ... FA ο νετωφαθει 31. ηθου υι. ρηβαι, FA αιθει υι. ραβειαι ... Ax FA βενιαμειν ... FA* φαραθωθει 32. FA ουρει ... ναχαλη, FA ναχαλει ... σαραβεθθει, FA γαραβεθ 33. αζμωθ, FA ραζβων ... βαρσαμι, FA βεερβειν (** βεερμειν) ... FA ελμαβα ο σωμει 34. υιοι ... ο γωυνι pro του γιζωνιτου ... FA βεννεας ο σομογεννουνιν pro υιος ασαμ τ. γιζ. ... σαγη pro σωλα ... FA ο ραρει 35. αχιαμ υι. σαχαρ ... FA σαραρει pro ο αραρι 35. 36. ελιφααλ υιος ωρα· φερομεχουραθι (sic dist.), FA ελφατ υιος σουρ· ο φαρμοχορ ... FA ο φεδωνει 37. ασαραι ο καρμηλι, FA ησεραι ο χαρμαδαι ... νοορα ... υι. αζβι, FA υι. αζωβε 38. αδελφος ναθαν ... μαβαρ ... υι. αταραΐ, FA υι. αγαρει 39. σελληκ ... FA ο αμμωνειμ ... νααραΐ ο βηρωθ, FA ναχωρ ο βερθει (... FA διδωνικευη pro αιρων σκευη) ... σκ. ιωαβ υιου σαρουιας 40. ιρας ο ιεθερι, FA ια ο ιθηρει ... γ. ο ιεθερι, FA γαρηοβει ο θηρει 41. ουριας χετθι, FA ουρει ο χεττει ... ζαβατ υιος ολι, FA ζαβετ υιωος (itaque ipse * ex υιω correxit υιος) αχεα 42. α. υι. σεχα, FA αδεινα υι. εζα ... επι αυτω 43. FA ανναν ... μαχα ... FA* ιωσαφας ... ο μαθθανι, FA ο βεθανει 44. οζεια θ (corrigendum ut saepe ο) εσταρωθει ... σαμμα ... ιεϊηλ, FA ιεια ... χωθαν, FA κωθαν ... αραρει 45. FA ελθειηλ ... σαμαρι, FA σαμερει ... Ax FA ιωαζαε ... θωσαει, FA ιεασει 46. ιελιηλ, FA (cf. quod praecedit) λιηλ ... ο μαωειν, FA ο μιει ... ιαριβαΐ, FA αριβι ... FA ιωσεια ... ελναααμ, FA ελλαμ ... ιεθεμα, FA εθεμα 47. αλιηλ, FA δαλειηλ ... ιωβηδ, FA ιωβηλ ... εσσιηλ, FA εσειηλ ... FA ο μειναβεια

Digitized by Google

## XII.

Καὶ οὗτοι οἱ ἐλθόντες πρὸς Δαυὶδ εἰς Σικελάγ, ἔτι συνεχομένου ἀπὸ προς-
ώπου Σαοὺλ υἱοῦ Κίς. καὶ οὗτοι ἐν τοῖς δυνατοῖς βοηθοῦντες ἐν πολέμῳ, [2] καὶ 2
τόξῳ ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν, καὶ σφενδονῆται ἐν λίθοις καὶ τόξοις, ἐκ
τῶν ἀδελφῶν Σαοὺλ ἐκ Βενιαμίν· [3] ὁ ἄρχων Ἀχιέζερ, καὶ Ἰωὰς υἱὸς Ἀσμὰ 3
τοῦ Γαβαθίτου, καὶ Ἰωὴλ καὶ Ἰωφαλὴτ υἱοὶ Ἀσμώθ, καὶ Βερχία, καὶ Ἰηοὺλ
ὁ Ἀναθωθί, [4] καὶ Σαμαΐας ὁ Γαβαωνίτης δυνατὸς ἐν τοῖς τριάκοντα καὶ ἐπὶ 4
τῶν τριάκοντα, Ἱερεμία καὶ Ἰεζιὴλ καὶ Ἰωανὰν καὶ Ἰωαζαβὰθ ὁ Γαδαρα-
θιίμ, [5] Ἀζαΐ καὶ Ἀριμοὺθ καὶ Βααλιὰ καὶ Σαμαραΐα καὶ Σαφατίας ὁ Χα- 5
ραιφιήλ, [6] Ἑλκανὰ καὶ Ἰησουνὶ καὶ Ὀζριὴλ καὶ Ἰωζαρὰ καὶ Σοβοκὰμ καὶ 6
οἱ Κορῖται, [7] καὶ Ἰελία καὶ Ζαβαδία υἱοὶ Ἰροὰμ καὶ οἱ τοῦ Γεδώρ. [8] καὶ 7 8
ἀπὸ τοῦ Γαδδὶ ἐχωρίσθησαν πρὸς Δαυὶδ ἀπὸ τῆς ἐρήμου ἰσχυροὶ δυνατοὶ
ἄνδρες παρατάξεως πολέμου, αἴροντες θυρεοὺς καὶ δόρατα, καὶ πρόςωπον
λέοντος τὰ πρόςωπα αὐτῶν, καὶ κοῦφοι ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τῷ τάχει·
[9] Ἀζὰ ὁ ἄρχων, Ἀβδία ὁ δεύτερος, Ἐλιὰβ ὁ τρίτος, [10] Μασμανὰ ὁ τέταρ- 9 10
τος, Ἱερεμίας ὁ πέμπτος, [11] Ἰεθὶ ὁ ἕκτος, Ἐλιὰβ ὁ ἕβδομος, [12] Ἰωανὰν 11 12
ὁ ὄγδοος, Ἐλιαζὲρ ὁ ἔννατος, [13] Ἱερεμία ὁ δέκατος, Μελχαβαναῒ ὁ ἑνδέκα- 13
τος. [14] οὗτοι ἐκ τῶν υἱῶν Γὰδ ἄρχοντες τῆς στρατιᾶς, εἷς τοῖς ἑκατὸν μικρὸς 14
καὶ μέγας τοῖς χιλίοις. [15] οὗτοι οἱ διαβάντες τὸν Ἰορδάνην ἐν τῷ μηνὶ τῷ 15
πρώτῳ, καὶ οὗτος πεπληρωκὼς ἐπὶ πᾶσαν κρηπῖδα αὐτοῦ, καὶ ἐξεδίωξαν πάν-
τας τοὺς κατοικοῦντας αὐλῶνας ἀπὸ ἀνατολῶν ἕως δυσμῶν. [16] καὶ ἦλθον ἀπὸ 16
τῶν υἱῶν Βενιαμὶν καὶ Ἰούδα εἰς βοήθειαν τοῦ Δαυίδ. [17] καὶ Δαυὶδ ἐξῆλθεν 17
εἰς ἀπάντησιν αὐτῶν καὶ εἶπεν αὐτοῖς Εἰ εἰς εἰρήνην ἥκατε πρὸς μέ, εἴη
μοι καρδία καθ' ἑαυτὴν ἐφ' ὑμᾶς· καὶ εἰ τοῦ παραδοῦναί με τοῖς ἐχθροῖς
μου οὐκ ἐν ἀληθείᾳ χειρός, ἴδοι ὁ θεὸς τῶν πατέρων ὑμῶν καὶ ἐλέγξαιτο.
[18] καὶ πνεῦμα ἐνέδυσε τὸν Ἀμασαὶ ἄρχοντα τῶν τριάκοντα καὶ εἶπεν Πορεύου 18
καὶ ὁ λαός σοῦ, Δαυὶδ υἱὸς Ἰεσσαί, εἰρήνη εἰρήνη σοι, καὶ εἰρήνη τοῖς βοη-
θοῖς σου, ὅτι ἐβοήθησέ σοι ὁ θεός σου· καὶ προσεδέξατο αὐτοὺς Δαυίδ, καὶ

---

XII. 1. FA εις σωκλα ... Ax FA κεις 2. Ax FA εκ (FA εκάι, ita εκ και corr. est εκ) βενιαμειν 3. om ὁ ... ιωρας υι. σαμαα τ. ταβαδιτου, FA ιωας υι. αμα τ. γεβωθειτου ... κ. αζιηλ κ. φαλλητ υι. αζμωθ ... βαραχια, FA βερχεια ... FA αναβωθει (vide ad v. 4.) 4. FA σαμεας (... FA * ο αγαβωνιτης, sed bis scriptum κ. βερχεια usque γαβαωνιτης, altero loco est αναθωθει et γαβαωνιτης) ... και ιερεμιας, FA ιερεμιηας ... FA ιεζηλ ... ιωζαβαδ, FA ιωζαβαβ ... ο γαδηρωθι, FA ο γαδαρα 5. ελιωζι, FA αζει ... ιαριμουθ, FA αριθμους ... βααδια, FA βαδαια ... Ax FA σαμαρια ... σαφατια ο αρουφι, FA σαφατεια ο χαραιφειηλ 6. Ax FA ηλκανα ... ιεσια, FA ιησουνει ... ελιηλ, FA οζρειηλ ... ιωζααρ ... FA post ιωζαρα add καινα (και να?) ... ιεσβααμ, FA σοβοαμ ... om και ante οι 7. ιωηλα ... ιεροαμ, FA ρααμ ... Ax FA υιοι pro και οι ... FA γεδδωρ 8. FA γαδδει ... γαδ διεχωρισθησαν ... επι της ... FA ισχυροι ανδρες δυνατοι ... FA om τα ... ως δορκαδος ... εν ταχει 9. αζερ ... FA αβδεια ... FA ελειαβ 10. μασμαν ο τετ., FA μασεμαννη ο δ̄ ... ιερεμια, FA ιερμια 11. εθθει, FA εθοι ... ελιηλ 12. ιωναν ο ογδος FA ιωαν ογδους ... ελεζαβαδ ... Ax FA ενατος 13. ιερεμιας, FA ιερεμια ... μαχαβαναι ο ενδ., FA μελχαβαννεα ο ῑᾱ 14. FA om γαδ 15. FA * om τ. ιορδανην ... FA εδιωξαν ... FA απο 16. Ax FA βενιαμειν 17. απαντησ. αυτοις ... ει εμοι pro ειη μοι ... FA η καρδια (... FA om ει του π. με) ... Ax FA πατερων ημων ... ελεγξαι 18. ενεδυναμωσεν ... FA αμασε ... τον αρχοντα ... δαυ. υι. ιεσσ. post πορευου pon. ... FA και λαος ... om και ante ειρηνη ... FA om σου post θεος ... FA * προσεταξατο

Digitized by Google

19 κατέστησεν αὐτοὺς ἄρχοντας τῶν δυνάμεων. [19]καὶ ἀπὸ Μανασσῆ προσεχώρη-
σαν πρὸς Δαυὶδ ἐν τῷ ἐλθεῖν τοὺς ἀλλοφύλους ἐπὶ Σαοὺλ εἰς πόλεμον· καὶ
οὐκ ἐβοήθησεν αὐτοῖς, ὅτι ἐν βουλῇ ἐγένετο παρὰ τῶν στρατηγῶν τῶν ἀλλο-
φύλων λεγόντων Ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων ἐπιστρέψει πρὸς τὸν
20 κύριον αὐτοῦ Σαούλ. [20]ἐν τῷ πορευθῆναι τὸν Δαυὶδ εἰς Σικελὰγ προσεχώρη-
σαν αὐτῷ ἀπὸ Μανασσῆ Ἐδνὰ καὶ Ἰωζαβὰθ καὶ Ῥωδιὴλ καὶ Μιχαὴλ καὶ
Ἰωσαβαὶθ καὶ Ἐλιμοὺθ καὶ Σεμαθί· ἀρχηγοὶ χιλιάδων εἰσὶ τοῦ Μανασσῆ.
21 [21]καὶ αὐτοὶ συνεμάχησαν τῷ Δαυὶδ ἐπὶ τὸν Γεδδούρ, ὅτι δυνατοὶ ἰσχύος
22 πάντες· καὶ ἦσαν ἡγούμενοι ἐν τῇ στρατιᾷ ἐν τῇ δυνάμει, [22]ὅτι ἡμέραν ἐξ
23 ἡμέρας ἤρχοντο πρὸς Δαυὶδ εἰς δύναμιν μεγάλην ὡς δύναμις τοῦ θεοῦ. [23]καὶ
ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων τῆς στρατιᾶς, οἱ ἐλθόντες πρὸς Δαυὶδ εἰς
Χεβρὼν τοῦ ἀποστρέψαι τὴν βασιλείαν Σαοὺλ πρὸς αὐτὸν κατὰ τὸν λόγον
24 κυρίου. [24]υἱοὶ Ἰούδα θυρεοφόροι καὶ δορατοφόροι ἓξ χιλιάδες καὶ ὀκτακόσιοι
25 δυνατοὶ παρατάξεως. [25]τῶν υἱῶν Συμεὼν δυνατοὶ ἰσχύος εἰς παράταξιν ἑπτὰ
26 27 χιλιάδες καὶ ἑκατόν. [26]τῶν υἱῶν Λευὶ τετρακισχίλιοι καὶ ἑξακόσιοι· [27]καὶ
Ἰωαδὰς ὁ ἡγούμενος τῷ Ἀαρών, καὶ μετ' αὐτοῦ τρεῖς χιλιάδες καὶ ἑπτακό-
28 σιοι· [28]καὶ Σαδὼκ νέος δυνατὸς ἰσχύϊ, καὶ τῆς πατρικῆς οἰκίας αὐτοῦ ἄρ-
29 χοντες εἰκοσιδύο. [29]καὶ τῶν υἱῶν Βενιαμὶν τῶν ἀδελφῶν Σαοὺλ τρεῖς χιλιά-
30 δες· καὶ ἔτι τὸ πλεῖστον αὐτῶν ἀπεσκόπει τὴν φυλακὴν οἴκου Σαούλ. [30]καὶ
ἀπὸ υἱῶν Ἐφραῒμ εἴκοσι χιλιάδες καὶ ὀκτακόσιοι, δυνατοὶ ἰσχύϊ ἄνδρες ὀνο-
31 μαστοὶ κατ' οἴκους πατριῶν αὐτῶν. [31]καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ
δεκαοκτὼ χιλιάδες, καὶ οἳ ὠνομάσθησαν ἐν ὀνόματι τοῦ βασιλεῦσαι τὸν Δαυίδ.
32 [32]καὶ ἀπὸ τῶν υἱῶν Ἰσσάχαρ γινώσκοντες σύνεσιν εἰς τοὺς καιρούς, γινώ-
σκοντες τί ποιῆσαι Ἰσραήλ, διακόσιοι, καὶ πάντες ἀδελφοὶ αὐτῶν μετ' αὐτῶν.
33 [33]καὶ ἀπὸ Ζαβουλὼν ἐκπορευόμενοι εἰς παράταξιν πολέμου ἐν πᾶσι σκεύεσι
34 πολεμικοῖς πεντήκοντα χιλιάδες βοηθῆσαι τῷ Δαυὶδ οὐ χεροκένως. [34]καὶ ἀπὸ
Νεφθαλὶ ἄρχοντες χίλιοι, καὶ μετ' αὐτῶν ἐν θυρεοῖς καὶ δόρασι τριακοντα-
35 επτὰ χιλιάδες. [35]καὶ ἀπὸ τῶν Δανιτῶν παρατασσόμενοι εἰς πόλεμον εἰκοσιοκτὼ
36 χιλιάδες καὶ ὀκτακόσιοι. [36]καὶ ἀπὸ τοῦ Ἀσὴρ ἐκπορευόμενοι βοηθῆσαι εἰς
37 πόλεμον τεσσαράκοντα χιλιάδες. [37]καὶ ἐκ πέραν τοῦ Ἰορδάνου ἀπὸ Ῥουβὴν
καὶ Γαδδὶ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ ἐν πᾶσι σκεύεσι πολεμικοῖς
38 ἑκατὸν εἴκοσι χιλιάδες. [38]πάντες οὗτοι ἄνδρες πολεμισταὶ παρατασσόμενοι
παράταξιν ἐν ψυχῇ εἰρηνικῇ, καὶ ἦλθον εἰς Χεβρὼν τοῦ βασιλεῦσαι τὸν Δαυὶδ
ἐπὶ πάντα Ἰσραήλ· καὶ ὁ κατάλοιπος Ἰσραὴλ ψυχὴ μία τοῦ βασιλεῦσαι τὸν
39 Δαυίδ. [39]καὶ ἦσαν ἐκεῖ ἡμέρας τρεῖς ἐσθίοντες καὶ πίνοντες, ὅτι ἡτοίμασαν
40 οἱ ἀδελφοὶ αὐτῶν. [40]καὶ οἱ ὁμοροῦντες αὐτοῖς ἕως Ἰσσάχαρ καὶ Ζαβουλὼν

---

19. εβοηθησαν 20. Ax FA αυτον pro τον δαυ. ... FA εις σωκαγ ... ιωζαβαδ, FA τωζαβαθ ... ιεδιηλ ... ιωζαβεδ, FA ιωσαβεθ ... ελιουδ ... γαλαθι, FA σεμαθει 21. και ουτοι (... FA ει συνεμαχ.) ... επι τη στρατια ... om εν τη δυναμει 22. δυναμις θεου, FA δυναμιν θεου 23. επιστρεψαι 24. θυρεσφοροι ... om και δορατοφοροι ... FA δυνατοι πραξεως 26. *τετραχεςχιλιοι ... FA τετραχιχιλιαι εξαχοσιαι 27. ιωδαε, FA τωαδαε ... FA om ὁ ... των ααρων ... FA τρειςχιλιοι επταχοσιοι 28. ειχοσι και δυο 29. και εκ των ... Ax FA βενιαμειν ... την φυλτιν 30. FA om και ab initio ... FA κατοιχουντες pro κ. οικους 31. FA φυλους ... FA post χιλιαδες add χιλιοι ... om και ante οι 32. εισσαχαρ ... FA τι ποιησει ... ισραηλ εις τας αρχας αυτων ... FA om αυτων prius 33. FA οι απο pro και απο ... FA χαιροχαινως 34. νεφθαλειμ, FA νεφθαλει 35. ειχοσι και οκτω 36. Ax FA τεσσεραχοντα 37. FA γαδδειν ... FA * φυλους 38. FA* οι καταλειποι ... om in f. του βασ. τ. δαυ. 39. FA om και πινοντες ... ητοιμασαν αυτοις 40. και οι ομυρουντες, FA και ομοροουντες

Digitized by Google

καὶ Νεφθαλὶ ἔφερον αὐτοῖς ἐπὶ τῶν καμήλων καὶ τῶν ὄνων καὶ τῶν ἡμιόνων
καὶ ἐπὶ τῶν μόσχων βρώματα, ἄλευρα, παλάθας, σταφίδας, οἶνον καὶ ἔλαιον,
μόσχους καὶ πρόβατα εἰς πλῆθος, ὅτι εὐφροσύνη ἐν Ἰσραήλ.

## XIII.

Καὶ ἐβουλεύσατο Δαυὶδ μετὰ τῶν χιλιάρχων καὶ τῶν ἑκατοντάρχων παντὶ
ἡγουμένῳ. [2] καὶ εἶπε Δαυὶδ πάσῃ ἐκκλησίᾳ Ἰσραὴλ Εἰ ἐφ' ὑμῖν ἀγαθὸν καὶ 2
παρὰ κυρίου τοῦ θεοῦ ἡμῶν εὐοδωθῇ, ἀποστείλωμεν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν
τοὺς ὑπολελειμμένους ἐν πάσῃ γῇ Ἰσραήλ, καὶ μετ' αὐτῶν οἱ ἱερεῖς οἱ Λευῖ-
ται ἐν πόλεσι κατασχέσεως αὐτῶν, καὶ συναχθήσονται πρὸς ἡμᾶς, [3] καὶ με- 3
τενέγκωμεν τὴν κιβωτὸν τοῦ θεοῦ ἡμῶν πρὸς ἡμᾶς· ὅτι οὐκ ἐζήτησαν αὐτὴν
ἀφ' ἡμερῶν Σαούλ. [4] καὶ εἶπε πᾶσα ἡ ἐκκλησία τοῦ ποιῆσαι οὕτως, ὅτι εὐθὺς 4
ὁ λόγος ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ. [5] καὶ ἐξεκκλησίασε Δαυὶδ τὸν πάντα 5
Ἰσραὴλ ἀπὸ ὁρίων Αἰγύπτου καὶ ἕως εἰσόδου Ἡμὰθ τοῦ εἰσενέγκαι τὴν κιβω-
τὸν τοῦ θεοῦ ἐκ πόλεως Ἰαρίμ. [6] καὶ ἀνήγαγεν αὐτὴν Δαυίδ· καὶ πᾶς Ἰσραὴλ 6
ἀνέβη εἰς πόλιν Δαυίδ, ἣ ἦν τοῦ Ἰούδα, τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν
τοῦ θεοῦ κυρίου καθημένου ἐπὶ Χερουβὶμ οὗ ἐπεκλήθη ὄνομα αὐτοῦ. [7] καὶ 7
ἐπέθηκαν τὴν κιβωτὸν τοῦ θεοῦ ἐφ' ἅμαξαν καινὴν ἐξ οἴκου Ἀμιναδάβ· καὶ
Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἦγον τὴν ἅμαξαν. [8] καὶ Δαυὶδ καὶ πᾶς Ἰσραὴλ 8
παίζοντες ἐναντίον τοῦ θεοῦ ἐν πάσῃ δυνάμει, καὶ ἐν ψαλτῳδοῖς καὶ ἐν κινύ-
ραις καὶ ἐν νάβλαις, ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν σάλπιγξι. [9] καὶ 9
ἦλθοσαν ἕως τῆς ἅλωνος· καὶ ἐξέτεινεν Ὀζὰ τὴν χεῖρα αὐτοῦ τοῦ κατασχεῖν
τὴν κιβωτόν, ὅτι ἐξέκλινεν αὐτὴν ὁ μόσχος. [10] καὶ ἐθυμώθη κύριος ὀργῇ ἐπὶ 10
Ὀζᾷ, καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ διὰ τὸ ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν
κιβωτόν· καὶ ἀπέθανεν ἐκεῖ ἀπέναντι τοῦ θεοῦ. [11] καὶ ἠθύμησε Δαυὶδ ὅτι 11
διέκοψε κύριος διακοπὴν ἐν Ὀζᾷ, καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Διακοπὴ
Ὀζὰ ἕως τῆς ἡμέρας ταύτης. [12] καὶ ἐφοβήθη Δαυὶδ τὸν θεὸν ἐν τῇ ἡμέρᾳ 12
ἐκείνῃ λέγων Πῶς εἰσοίσω τὴν κιβωτὸν τοῦ θεοῦ πρὸς ἐμαυτόν; [13] καὶ οὐκ 13
ἀπέστρεψε Δαυὶδ τὴν κιβωτὸν πρὸς ἑαυτὸν εἰς πόλιν Δαυίδ, καὶ ἐξέκλινεν
αὐτὴν εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθαίου. [14] καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ θεοῦ 14
ἐν οἴκῳ Ἀβεδδαρὰ τρεῖς μῆνας· καὶ εὐλόγησεν ὁ θεὸς Ἀβεδδαρὰ καὶ πάντα
τὰ αὐτοῦ.

## XIV.

Καὶ ἀπέστειλε Χειρὰμ βασιλεὺς Τύρου ἀγγέλους πρὸς Δαυὶδ καὶ ξύλα
κέδρινα καὶ οἰκοδόμους καὶ τέκτονας ξύλων τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον. [2] καὶ 2
ἔγνω Δαυὶδ ὅτι ἡτοίμασεν αὐτὸν κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ, ὅτι ηὐξήθη
εἰς ὕψος ἡ βασιλεία αὐτοῦ διὰ τὸν λαὸν αὐτοῦ Ἰσραήλ. [3] καὶ ἔλαβε Δαυὶδ 3
ἔτι γυναῖκας ἐν Ἱερουσαλήμ· καὶ ἐτέχθησαν Δαυὶδ ἔτι υἱοὶ καὶ θυγατέρες.
[4] καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν τῶν τεχθέντων οἳ ἦσαν αὐτῷ ἐν Ἱερουσαλήμ· 4

---

40. Ax FA νεφθαλειμ ... * om και των ημιονων XIII. 2. Ax FA τη παση ... Ax FA κυριου θεου ... θεου υμων ... Ax FA υπολελιμμενους ... FA προς υμας ... ** εξεζητησαν 4. Ax FA ευθης 5. FA εκκλησιασεν ... om εισοδου ... Ax FA ιαρειμ 6. χερουβειν, FA χερουβιν 7. Ax FA επι αμαξαν ... FA αυτων pro αυτου 8. FA om και primum ... FA εναντι ... FA και κινυραις ... και εν τυμπανοις 9. αλωνος χειδων ... FA om τ. χειρα αυτ. 10. FA οργη κυριος 12. προς εμαυτ. την κιβ. τ. θεου 13. FA το pro την κιβωτον ... εις την πολιν ... του χετταιου, FA του γεθθαιου 14. τρ. ημερας ... τον αβεδδαρα, FA αβεδδαραν sec. loco XIV. 1. FA χιραμ ... FA* om και sec. ... οικοδομους τοιχων 2. FA ητοιμακεν ... Ax FA om εις βασιλεα 3. ετεχθησαν αυτω



Digitized by Google

5 Σαμαά, Σωβάβ, Νάθαν καὶ Σαλωμών [5] καὶ Βαὰρ καὶ Ἐλισὰ καὶ Ἐλιφα-
6 7 λὴθ [6] καὶ Ναγὲθ καὶ Ναφὰθ καὶ Ἰαφιὲ [7] καὶ Ἐλισαμαὲ καὶ Ἐλιαδὲ καὶ
8 Ἐλιφαλά. [8] καὶ ἤκουσαν ἀλλόφυλοι ὅτι ἐχρίσθη Δαυὶδ βασιλεὺς ἐπὶ πάντα
Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητῆσαι τὸν Δαυίδ· καὶ ἤκουσε
9 Δαυίδ, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς. [9] καὶ ἀλλόφυλοι ἦλθον καὶ συνέπε-
10 σον ἐν τῇ κοιλάδι τῶν γιγάντων. [10] καὶ ἐπηρώτησε Δαυὶδ διὰ τοῦ θεοῦ λέγων
Εἰ ἀναβῶ ἐπὶ τοὺς ἀλλοφύλους καὶ δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ
11 εἶπεν αὐτῷ κύριος Ἀνάβηθι, καὶ δώσω αὐτοὺς εἰς τὰς χεῖράς σου. [11] καὶ ἀνέβη
εἰς Βαὰλ Φαρασὶν καὶ ἐπάταξεν αὐτοὺς ἐκεῖ Δαυίδ· καὶ εἶπε Δαυὶδ Διέκοψεν
ὁ θεὸς τοὺς ἐχθρούς μου ἐν χειρί μου ὡς διακοπὴν ὕδατος· διὰ τοῦτο ἐκάλεσε
12 τὸ ὄνομα τοῦ τόπου ἐκείνου Διακοπὴ Φαρασίν. [12] καὶ ἐγκατέλιπον ἐκεῖ τοὺς
13 θεοὺς αὐτῶν οἱ ἀλλόφυλοι, καὶ εἶπε Δαυὶδ κατακαῦσαι ἐν πυρί. [13] καὶ προς-
14 έθεντο ἔτι ἀλλόφυλοι καὶ συνέπεσαν ἔτι ἐν τῇ κοιλάδι τῶν γιγάντων. [14] καὶ
ἠρώτησε Δαυὶδ ἔτι ἐν θεῷ, καὶ εἶπεν αὐτῷ ὁ θεός Οὐ πορεύσῃ ὀπίσω αὐ-
15 τῶν, ἀποστρέφου ἀπ' αὐτῶν καὶ παρέσῃ αὐτοῖς πλησίον τῶν ἀπίων. [15] καὶ
ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συσσεισμοῦ αὐτῶν ἄκρων τῶν ἀπίων,
τότε εἰςελεύσῃ εἰς τὸν πόλεμον, ὅτι ἐξῆλθεν ὁ θεὸς ἔμπροσθέν σου τοῦ πατά-
16 ξαι τὴν παρεμβολὴν τῶν ἀλλοφύλων. [16] καὶ ἐποίησε καθὼς ἐνετείλατο αὐτῷ
ὁ θεός, καὶ ἐπάταξε τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἀπὸ Γαβαὼν ἕως Γα-
17 ζηρά. [17] καὶ ἐγένετο ὄνομα Δαυὶδ ἐν πάσῃ τῇ γῇ, καὶ κύριος ἔδωκε τὸν φόβον
αὐτοῦ ἐπὶ πάντα τὰ ἔθνη.

## XV.

Καὶ ἐποίησεν αὐτῷ οἰκίας ἐν πόλει Δαυίδ, καὶ ἡτοίμασε τὸν τόπον τῇ
2 κιβωτῷ τοῦ θεοῦ καὶ ἐποίησεν αὐτῇ σκηνήν. [2] τότε εἶπε Δαυὶδ Οὐκ ἔστιν
ἆραι τὴν κιβωτὸν τοῦ θεοῦ ἀλλ' ἢ τοὺς Λευίτας, ὅτι αὐτοὺς ἐξελέξατο κύριος
3 αἴρειν τὴν κιβωτὸν κυρίου καὶ λειτουργεῖν αὐτῷ ἕως αἰῶνος. [3] καὶ ἐξεκκλη-
σίασε Δαυὶδ τὸν πάντα Ἰσραὴλ ἐν Ἱερουσαλὴμ τοῦ ἀνενέγκαι τὴν κιβωτὸν
4 κυρίου εἰς τὸν τόπον ὃν ἡτοίμασεν αὐτῇ. [4] καὶ συνήγαγε Δαυὶδ τοὺς υἱοὺς
5 Ἀαρὼν τοὺς Λευίτας. [5] τῶν υἱῶν Καὰθ Οὐριὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐ-
6 τοῦ ἑκατὸν εἴκοσι· [6] τῶν υἱῶν Μεραρὶ Ἀσαΐα ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ
7 διακόσιοι εἴκοσι· [7] τῶν υἱῶν Γεδσὼν Ἰωὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ
8 ἑκατὸν τριάκοντα· [8] τῶν υἱῶν Ἐλισαφὰτ Σεμεΐ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ

---

4. σαμμαου και, FA σαμαιαι ... FA σοβααμ ... FA om και 5. ιεβααρ ... ελισαυ, FA εκταε ... ελιφαλετ, FA ελειφαλετ 6. FA ναγετ ... ναφαγ, FA ναφατ ... FA ιανουου 7. ελισαμα, FA ελεισαμαε ... βαλλιαδα, FA βαλεγδαε ... ελιφαλετ, FA ενφαλετ 8. και εξηλθεν δαυ. ως ηκουσεν εις υπαντησιν αυτοις 9. FA οι αλλοφυλοι ... Ax FA συνεπεσαν ... FA om εν 10. totus vers. rescriptus est ... FA ηρωτησεν ... FA λεγων η αναβητω ... ** om κυριος 11. β. φαρασειν, FA φαλααδ φαθεισει ... FA διακοψον omisso ο θεος ... φαρασειν, FA φαριειν 12. εγκατελειπεν, FA ενκατελιπον ... FA om εκει ... Ax FA om οι αλλοφυλοι ... κατακαυσ. αυτους 13. FA προσεθετο ετι αλλοφυλοις ... εκει εν pro ετι εν 14. (οτι pro ετι) ... FA των αιτιων 15. FA om σε ... Ax FA τ. συνσισμου των ακρων (Ax του ακρου) ... FA των αιτιων ... Ax FA εξελευση ... FA εμπροσθ. μου 16. FA μοι pro αυτω ... FA απο γαβων εως γαζαραν 17. το ονομα XV. 1. της κιβωτου, FA* την κιβωτον 2. FA αλλα τους ... FA om αιρειν τ. κιβ. κυριου 3. κ. συνηγαγεν δαυ. (inde a δαυ. usque διακοσ. και πεν- in f. vers. 6. omnia **) ... Ax** FA εις ιερουσαλημ ... ** ανενεγκειν τ. κειβωτ. του θεου ... FA του κυριου 4. ** ααρ. και τους 5. FA αδελφ. αυτων εκατον δεκα 6. FA μεραρει ... ασαΐας, FA ασαι ... διακοσ. και πεντηκοντα, FA διακ. πεντηκοντα 7. βηρσων, FA γηρσαμ ... εκατ. και τριακ., FA εκ. πεντηκοντα 8. ελισαφαν, FA ελεισαφατ ... σεμαΐα (corrige σεμαΐα), FA σαμεας

Digitized by Google

διακόσιοι· [9] τῶν υἱῶν Χεβρὼμ Ἐλιὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ ὀγδοή- 9
κοντα· [10] τῶν υἱῶν Ὀζιὴλ Ἀμιναδὰβ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἑκατὸν 10
δεκαδύο. [11] καὶ ἐκάλεσε Δαυὶδ τὸν Σαδὼκ καὶ Ἀβιάθαρ τοὺς ἱερεῖς καὶ τοὺς 11
Λευίτας, τὸν Οὐριήλ, Ἀσαΐαν καὶ Ἰωὴλ καὶ Σεμαίαν καὶ Ἐλιὴλ καὶ Ἀμινα-
δάβ, [12] καὶ εἶπεν αὐτοῖς Ὑμεῖς ἄρχοντες πατριῶν τῶν Λευιτῶν, ἁγνίσθητε 12
ὑμεῖς καὶ οἱ ἀδελφοὶ ὑμῶν, καὶ ἀνοίσετε τὴν κιβωτὸν τοῦ θεοῦ Ἰσραὴλ οὗ
ἡτοίμασα αὐτῇ. [13] ὅτι οὐκ ἐν τῷ πρότερον ὑμᾶς εἶναι διέκοψεν ὁ θεὸς ἡμῶν 13
ἐν ἡμῖν, ὅτι οὐκ ἐξεζητήσαμεν ἐν κρίματι. [14] καὶ ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ 14
Λευῖται τοῦ ἀνενέγκαι τὴν κιβωτὸν θεοῦ Ἰσραήλ. [15] καὶ ἔλαβον οἱ υἱοὶ τῶν 15
Λευιτῶν τὴν κιβωτὸν τοῦ θεοῦ, ὡς ἐνετείλατο Μωυσῆς ἐν λόγῳ θεοῦ κατὰ
τὴν γραφήν, ἐν ἀναφορεῦσιν ἐπ᾽ αὐτούς. [16] καὶ εἶπε Δαυὶδ τοῖς ἄρχουσι τῶν 16
Λευιτῶν Στήσατε τοὺς ἀδελφοὺς αὐτῶν τοὺς ψαλτῳδοὺς ἐν ὀργάνοις, νάβλαις,
κινύραις καὶ κυμβάλοις τοῦ φωνῆσαι εἰς ὕψος ἐν φωνῇ εὐφροσύνης. [17] καὶ 17
ἔστησαν οἱ Λευῖται τὸν Αἱμὰν υἱὸν Ἰωήλ· ἐκ τῶν ἀδελφῶν αὐτοῦ Ἀσὰφ υἱὸς
Βαραχία, καὶ ἐκ τῶν υἱῶν Μεραρὶ ἀδελφῶν αὐτοῦ Αἰθὰν υἱὸς Κισαίου. [18] καὶ 18
μετ᾽ αὐτῶν οἱ ἀδελφοὶ αὐτῶν οἱ δεύτεροι, Ζαχαρίας καὶ Ὀζιὴλ καὶ Σεμι-
ραμὼθ καὶ Ἰεϊὴλ καὶ Ἐλιωὴλ καὶ Ἐλιὰβ καὶ Βαναία καὶ Μαασαΐα καὶ Ματ-
θαθία καὶ Ἐλιφενὰ καὶ Μακελλία καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀζίας, οἱ
πυλωροί. [19] καὶ οἱ ψαλτῳδοί· Αἱμάν, Ἀσὰφ καὶ Αἰθὰν ἐν κυμβάλοις χαλκοῖς 19
τοῦ ἀκουσθῆναι ποιῆσαι· [20] Ζαχαρίας καὶ Ὀζιήλ, Σεμιραμώθ, Ἰεϊήλ, Ὠνί, 20
Ἐλιάβ, Μαασαίας, Βαναίας ἐν νάβλαις ἐπὶ ἀλαιμώθ· [21] καὶ Ματταθίας καὶ 21
Ἐλιφαλοὺ καὶ Μακενία καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀζίας ἐν κινύραις ἀμα-
σενὶθ τοῦ ἐνισχῦσαι· [22] καὶ Χωνενία ἄρχων τῶν Λευιτῶν ἄρχων τῶν ᾠδῶν, 22
ὅτι συνετὸς ἦν. [23] καὶ Βαραχία καὶ Ἑλκανὰ πυλωροὶ τῆς κιβωτοῦ. [24] καὶ Σομ- 23 24
νία καὶ Ἰωσαφὰτ καὶ Ναθαναὴλ καὶ Ἀμασαῒ καὶ Ζαχαρία καὶ Βαναΐα καὶ
Ἐλιέζερ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ θεοῦ.
καὶ Ἀβδεδὸμ καὶ Ἰεΐα πυλωροὶ τῆς κιβωτοῦ τοῦ θεοῦ. [25] καὶ ἦν Δαυὶδ καὶ 25
οἱ πρεσβύτεροι Ἰσραὴλ καὶ οἱ χιλίαρχοι οἱ πορευόμενοι τοῦ ἀναγαγεῖν τὴν κιβω-
τὸν τῆς διαθήκης ἐξ οἴκου Ἀβδεδὸμ ἐν εὐφροσύνῃ. [26] καὶ ἐγένετο ἐν τῷ κα- 26
τισχῦσαι τὸν θεὸν τοὺς Λευίτας αἴροντας τὴν κιβωτὸν τῆς διαθήκης κυρίου,
καὶ ἔθυσαν ἀν᾽ ἑπτὰ μόσχους καὶ ἀν᾽ ἑπτὰ κριούς. [27] καὶ Δαυὶδ περιεζωσμένος 27

---

9. Ax FA χεβρων ... FA ενηλ 10. FA οζειηλ ... FA εκ. δωδεκα 11. FA αριηλ ... ασαιαν, FA ασαια ... FA om και quater ... σεμειαν, FA σαμαιαν ... FA ελημ (12. FA ητοιμασας) ... αυτην 13. FA ο θεος υμων ... Ax FA εζητησαμεν 14. FA οι ἀῤχιερεις ... * ανενεγκεν, ** ανενεγκειν ... του κυριου θεου, FA του θεου 15. FA μωσης ... εφ εαυτους 16. οργανοις ωδων ... και κινυραις ... FA ευφροσυνης τη φωνη 17. FA βαραχεια ... FA μεραρει ... FA αιθαμ υι. κεισαιου 18. FA om οι primum ... ιηουλ (pro οζ.), FA οζειηλ ... σιμιραμωθ, FA σεμειραμωθ ... Ax FA ιειηλ ... ανι (pro ελιωηλ), FA ιωηλ ... FA* ελιβα, ** ελιαβα ... μαασια, FA μαασαια ... ματταθιας, FA ματταθια ... ελιφαλα, FA ελειφενα ... μακενια, FA μακελλα ... FA αβδεδωμ ... Ax FA ιειηλ ... FA οζειας 19. FA ασαβ ... FA *ακ. και ποιησαι 20. FA οζειηλ, σεμειραμωθ, ειθηλ, ωνει (sed videtur potius scriptum: σεμειραμωθειθ, ηλωνει) ... ιειηλ και ανανι και ελιαβ ... και μαασιας, FA μασαιας ... και βαναιας ... αλημωθ, FA αλεμωθ 21. FA μετταθιας ... ελιφαλαιας, FA ενφανιας ... FA om και ante μακενια ... μακενιας ... ιθιηλ, FA ιειηλ ... FA οζειας ... Ax FA αμασενειθ ... FA ισχυσαι 22. FA χωνενια 23. Ax FA ηλκανα ... FA και πυλωροι 24. σωβενια, FA σοβνεια ... FA αμασε ... ζαχαριας ... Ax FA βαναι ... FA αβδοδομ ... ιεαΐα, FA *εια et ** ιεια ... FA τη κιβωτω 25. FA *om ισραηλ ... om οἱ ante πορευομενοι ... διαθηκης κυριου ... FA αβδοδομ 26. Ax FA om αν᾽ prius ... Ax FA *om αν᾽ sec. 27. FA περιζωσαμενος



Digitized by Google

ἐν στολῇ βυσσίνῃ, καὶ πάντες οἱ Λευῖται αἴροντες τὴν κιβωτὸν διαθήκης
κυρίου καὶ οἱ ψαλτῳδοὶ καὶ Χωνενίας ὁ ἄρχων τῶν ᾠδῶν τῶν ᾀδόντων, καὶ
28 ἐπὶ Δαυὶδ στολὴ βυσσίνη. [28] καὶ πᾶς Ἰσραὴλ ἀνάγοντες τὴν κιβωτὸν διαθήκης
κυρίου ἐν σημασίᾳ καὶ ἐν φωνῇ σωφὲρ καὶ ἐν σάλπιγξι καὶ ἐν κυμβάλοις,
29 ἀναφωνοῦντες ἐν νάβλαις καὶ ἐν κινύραις. [29] καὶ ἐγένετο ἡ κιβωτὸς διαθήκης
κυρίου καὶ ἦλθεν ἕως πόλεως Δαυίδ· καὶ Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ παρέκυψε
διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα Δαυὶδ ὀρχούμενον καὶ παίζοντα, καὶ
ἐξουδένωσεν αὐτὸν ἐν τῇ ψυχῇ αὐτῆς.

## XVI.

Καὶ εἰςήνεγκαν τὴν κιβωτὸν τοῦ θεοῦ, καὶ ἀπηρείσαντο αὐτὴν ἐν μέσῳ
τῆς σκηνῆς ἧς ἔπηξεν αὐτῇ Δαυίδ, καὶ προςήνεγκαν ὁλοκαυτώματα καὶ σω-
2 τηρίου ἐναντίον τοῦ θεοῦ. [2] καὶ συνετέλεσε Δαυὶδ ἀναφέρων ὁλοκαυτώματα
3 καὶ σωτηρίου, καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι κυρίου. [3] καὶ διεμέρισε παντὶ
ἀνδρὶ Ἰσραήλ, ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός, τῷ ἀνδρὶ ἄρτον ἕνα ἀρτοκοπι-
4 κὸν καὶ ἀμορίτην. [4] καὶ ἔταξε κατὰ πρόςωπον τῆς κιβωτοῦ διαθήκης κυρίου
ἐκ τῶν Λευιτῶν λειτουργοῦντας ἀναφωνοῦντας καὶ ἐξομολογεῖσθαι καὶ αἰνεῖν
5 κύριον τὸν θεὸν Ἰσραήλ· [5] Ἀσὰφ ὁ ἡγούμενος, καὶ δευτερεύων αὐτῷ Ζαχα-
ρίας, Ἰεϊήλ, Σεμιραμὼθ καὶ Ἰεϊήλ, Ματταθίας, Ἐλιὰβ καὶ Βαναΐας καὶ
Ἀβδεδόμ, καὶ Ἰειὴλ ἐν ὀργάνοις νάβλαις κινύραις, καὶ Ἀσὰφ ἐν κυμβάλοις
6 ἀναφωνῶν, [6] καὶ Βαναίας καὶ Ὀζιὴλ οἱ ἱερεῖς ἐν ταῖς σάλπιγξι διὰ παντὸς
7 ἐναντίον τῆς κιβωτοῦ τῆς διαθήκης τοῦ θεοῦ [7] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. τότε ἔταξε
Δαυὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν κύριον ἐν χειρὶ Ἀσὰφ καὶ τῶν ἀδελφῶν αὐτοῦ.
8 [8] ΩΔΗ. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ἐπικαλεῖσθε αὐτὸν ἐν ὀνόματι αὐτοῦ, γνω-
9 ρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ. [9] ᾄσατε αὐτῷ καὶ ὑμνήσατε αὐτῷ,
10 διηγήσασθε πᾶσι τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε κύριος. [10] αἰνεῖτε ἐν ὀνόματι
11 ἁγίῳ αὐτοῦ, εὐφρανθήσεται καρδία ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ. [11] ζητήσατε
12 τὸν κύριον καὶ ἰσχύσατε, ζητήσατε τὸ πρόςωπον αὐτοῦ διὰ παντός. [12] μνη-
μονεύετε τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε, τέρατα καὶ κρίματα τοῦ στόματος
13 14 αὐτοῦ. [13] σπέρμα Ἰσραὴλ παῖδες αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. [14] αὐτὸς
15 κύριος ὁ θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. [15] μνημονεύωμεν εἰς
16 αἰῶνα διαθήκης αὐτοῦ, λόγον αὐτοῦ ὃν ἐνετείλατο εἰς χιλίας γενεάς, [16] ὃν
17 διέθετο τῷ Ἀβραάμ, καὶ τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαάκ. [17] ἔστησεν αὐτὸν τῷ
18 Ἰακὼβ εἰς πρόςταγμα, τῷ Ἰσραὴλ διαθήκην αἰώνιον, [18] λέγων Σοὶ δώσω τὴν
19 γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν. [19] ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς
20 ἀριθμῷ ὡς ἐσμικρύνθησαν, καὶ παρῴκησαν ἐν αὐτῇ. [20] καὶ ἐπορεύθησαν ἀπὸ

---

27. Ax FA* om εν ... FA της διαθηκης ... και χενενιας, FA ειεχονιας omisso και 28. FA αναγάοντες ... FA σωφειρ ... Ax FA αναφωνουντες ναβλαις ... **εν κιννυρα 29. Ax FA om ἡ ... FA μελχορλ (ipse* se correxisse videtur) θυγατηρ ... ιδεν ... FA πεζονταν XVI. 1. FA* ειςενεγκαν ... εμμεσω ... εναντ. του κυριου 3. FA om ανδρι prius ... αρτοκοπιακον 4. FA* λιτουργουντων ... τον κυριον θεον, FA κυριον θεον 5. δευτερος ων αυτω, FA δευτερων αυτω ... ο ιειηλ, FA ιειηλ ... FA σαμαριμωθ ... ιαθιηλ, FA ιειηλ ... FA* βενιας, ** βανιας ... FA αβδοδομ ... ιεϊηλ, FA ειειηλ ... εν ναβλ. και κιν. ... FA ασσαφ 6. FA* βαναιας και οι ιερεις, ** βαν. και οζειηλ και οι ιερ. ... FA εναντι ... FA του κυριου (Ax FA post εκεινη, non ante εν τη dist.) 7. FA τον κυριον ... FA αδελφ. αυτων 8. FA om ωδη ... FA om τω κυριω ... FA γνωρισατε λαοις 9. FA υμνησ. αυτον ... FA εν πασιν 10. FA* om αινειτε 11. FA om τον κυριον 12. μνημονευσατε 14. FA om αυτος 15. μνημονευων, FA μνημονευομενα 16. FA ισαακ 18. FA ημων 19. εν τω λεγεσθαι ... εως εσμ.

Digitized by Google

ἔθνους εἰς ἔθνος καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον. [21] οὐκ ἀφῆκεν ἄνδρα τοῦ 21
δυναστεῦσαι αὐτούς, καὶ ἤλεγξε περὶ αὐτῶν βασιλεῖς. [22] μὴ ἅψησθε τῶν χρι- 22
στῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. [23] ᾄσατε τῷ κυρίῳ 23
πᾶσα ἡ γῆ, ἀναγγείλατε ἐξ ἡμέρας εἰς ἡμέραν σωτηρίαν αὐτοῦ. [24] ἐξηγεῖσθε 24
ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. [25] ὅτι 25
μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς. [26] ὅτι 26
πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα, καὶ ὁ θεὸς ἡμῶν οὐρανοὺς ἐποίησε. [27] δόξα 27
καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ, ἰσχὺς καὶ καύχημα ἐν τόπῳ αὐτοῦ. [28] δότε 28
τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, δότε τῷ κυρίῳ δόξαν καὶ ἰσχύν, [29] δότε τῷ 29
κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρόσωπον αὐτοῦ,
καὶ προςκυνήσατε κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐτοῦ. [30] φοβηθήτω ἀπὸ προςώπου 30
αὐτοῦ πᾶσα ἡ γῆ, κατορθωθήτω ἡ γῆ καὶ μὴ σαλευθήτω. [31] εὐφρανθήτω ὁ 31
οὐρανὸς καὶ ἀγαλλιάσθω ἡ γῆ, καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσι Κύριος βασι-
λεύων. [32] βομβήσει ἡ θάλασσα σὺν τῷ πληρώματι, καὶ ξύλον ἀγροῦ καὶ πάντα 32
τὰ ἐν αὐτῷ. [33] τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προςώπου κυρίου, 33
ὅτι ἦλθε κρῖναι τὴν γῆν. [34] ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθόν, ὅτι εἰς τὸν 34
αἰῶνα τὸ ἔλεος αὐτοῦ. [35] καὶ εἴπατε Σῶσον ἡμᾶς, ὁ θεὸς τῆς σωτηρίας ἡμῶν, 35
καὶ ἄθροισον ἡμᾶς, καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐθνῶν, τοῦ αἰνεῖν τὸ ὄνομα τὸ ἅγιόν
σου καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσί σου. [36] εὐλογημένος κύριος ὁ θεὸς Ἰσραὴλ 36
ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ἐρεῖ πᾶς ὁ λαός Ἀμήν. καὶ ᾔνεσαν
τῷ κυρίῳ. [37] καὶ κατέλιπον ἐκεῖ ἔναντι τῆς κιβωτοῦ διαθήκης κυρίου τὸν Ἀσάφ 37
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ λειτουργεῖν ἐναντίον τῆς κιβωτοῦ διὰ παντὸς τὸ
τῆς ἡμέρας εἰς ἡμέραν. [38] καὶ Ἀβδεδὸμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἑξήκοντα καὶ 38
ὀκτώ· καὶ Ἀβδεδὸμ υἱὸς Ἰδιθοὺν καὶ Ὁσὰ εἰς τοὺς πυλωρούς. [39] καὶ τὸν Σα- 39
δὼκ τὸν ἱερέα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς ἱερεῖς ἐναντίον τῆς σκηνῆς κυρίου
ἐν Βαμᾷ τῇ ἐν Γαβαών, [40] τοῦ ἀναφέρειν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τοῦ 40
θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων διὰ παντὸς τὸ πρωὶ καὶ τὸ ἑσπέρας, καὶ
κατὰ πάντα τὰ γεγραμμένα ἐν νόμῳ κυρίου ὅσα ἐνετείλατο ἐφ' υἱοῖς Ἰσραὴλ
ἐν χειρὶ Μωυσῆ τοῦ θεράποντος τοῦ θεοῦ. [41] καὶ μετ' αὐτοῦ Αἱμὰν καὶ Ἰδι- 41
θοὺν καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ' ὀνόματος τοῦ αἰνεῖν τὸν κύριον, ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ· [42] καὶ μετ' αὐτῶν σάλπιγγες καὶ κύμβαλα τοῦ ἀνα- 42
φωνεῖν καὶ ὄργανα τῶν ᾠδῶν τοῦ θεοῦ, οἱ δὲ υἱοὶ Ἰδιθοὺν εἰς τὴν πύλην.
[43] καὶ ἐπορεύθη πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐπέστρεψε Δαυὶδ 43
τοῦ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ.

## XVII.

Καὶ ἐγένετο ὡς κατῴκησε Δαυὶδ ἐν οἴκῳ αὐτοῦ, καὶ εἶπε Δαυὶδ πρὸς
Νάθαν τὸν προφήτην Ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς
διαθήκης κυρίου ὑποκάτω δέρρεων. [2] καὶ εἶπε Νάθαν πρὸς Δαυὶδ Πᾶν τὸ ἐν 2
τῇ ψυχῇ σου ποίει, ὅτι θεὸς μετὰ σοῦ. [3] καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ 3

---

21. υπερ αυτων 22. FA om και εν ... Ax FA πονηρευεσθαι 23. FA εξ ημ. εις ημερας ... Ax FA το σωτηριον 24. Ax FA om versum 26. FA ιδωλα ... Ax FA ουρανον 27. FA κατα το προσωπον ... εν τω τοπω 28. FA πατρι pro αι πατριαι 29. ονοματος αυτου ... FA om δοτε τω usque ονομ. αυτου ... τω κυριω 30. FA* και κατορθωθ. 31. Κυρ. εβασιλευσεν 32. βοησει θαλασσα 35. FA Εσωσεν ... FA* ο σωτηρ pro της σωτηριας ... Ax FA om κ. αθροισ. ημας 36. FA om κ. εως τ. αιωνος 37. κατελειπεν ... εναντιον 38. Ax FA αβδοδομ bis ... ιδιθουμ, FA ιδεθων ... ωσηε ... Ax FA om τους 39. Ax FA om της 40. FA* οσα εγενετο ... εφ υιους 41. FA μετ αυτων ... ιδιθουμ, FA ιδιθωμ ... FA εκλεγοντες 42. FA om οι δε, Ax και οι ... FA ιδιθων (... FA* εις τ. πολιν) 43. FA απας ... FA* om αυτου extr. XVII. 2. Ax FA ο θεος

Digitized by Google

4 ἐγένετο λόγος κυρίου πρὸς Νάθαν [4] Πορεύου καὶ εἰπὸν πρὸς Δαυὶδ τὸν δοῦ-
λόν μου Οὕτως εἶπε κύριος Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με
5 ἐν αὐτῷ. [5] ὅτι οὐ κατῴκησα ἐν οἴκῳ ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν Ἰσραὴλ
6 ἕως τῆς ἡμέρας ταύτης, καὶ ἤμην ἐν σκηνῇ καὶ ἐν καλύμματι [6] ἐν πᾶσιν οἷς
διῆλθον ἐν παντὶ Ἰσραήλ· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ Ἰσραὴλ
οἷς ἐνετειλάμην τοῦ ποιμαίνειν τὸν λαόν μου λέγων Ὅτι οὐκ ᾠκοδομήσατέ
7 μοι οἶκον κέδρινον; [7] καὶ νῦν οὕτως ἐρεῖς τῷ δούλῳ μου Δαυὶδ Τάδε λέγει
κύριος παντοκράτωρ Ἐγὼ ἔλαβόν σε ἐκ τῆς μάνδρας ἐξόπισθεν τῶν ποιμνίων
8 τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ, [8] καὶ ἤμην μετὰ σοῦ ἐν
πᾶσιν οἷς ἐπορεύθης, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώ-
που σου, καὶ ἐποίησά σοι ὄνομα κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς
9 γῆς. [9] καὶ θήσομαι τόπον τῷ λαῷ μου Ἰσραὴλ καὶ καταφυτεύσω αὐτόν, καὶ
κατασκηνώσει καθ' ἑαυτὸν καὶ οὐ μεριμνήσει ἔτι, καὶ οὐ προσθήσει υἱὸς ἀδι-
10 κίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀρχῆς, [10] καὶ ἀφ' ἡμερῶν ὧν ἔταξα κρι-
τὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ, καὶ ἐταπείνωσα πάντας τοὺς ἐχθρούς σου, καὶ
11 αὐξήσω σε καὶ οἶκον οἰκοδομήσει σοι κύριος. [11] καὶ ἔσται ὅταν πληρωθῶσιν
ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα
σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐ-
12 τοῦ· [12] αὐτὸς οἰκοδομήσει μοι οἶκον, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως
13 αἰῶνος. [13] ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν, καὶ
τὸ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ ὡς ἀπέστησα ἀπὸ τῶν ὄντων ἔμ-
14 προσθέν σου. [14] καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ αὐτοῦ ἕως
15 αἰῶνος, καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος ἕως αἰῶνος. [15] κατὰ πάντας
τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην, οὕτως ἐλάλησε Νά-
16 θαν πρὸς Δαυίδ. [16] καὶ ἦλθεν ὁ βασιλεὺς Δαυὶδ καὶ ἐκάθισεν ἀπέναντι κυ-
ρίου, καὶ εἶπε Τίς εἰμι ἐγώ, κύριε ὁ θεός; καὶ τίς ὁ οἶκός μου ὅτι ἠγάπησάς
17 με ἕως αἰῶνος; [17] καὶ ἐσμικρύνθη ταῦτα ἐνώπιόν σου ὁ θεός, καὶ ἐλάλησας
ἐπὶ τὸν οἶκον τοῦ παιδός σου ἐκ μακρῶν, καὶ ἐπεῖδές με ὡς ὅρασις ἀνθρώ-
18 που καὶ ὕψωσάς με, κύριε ὁ θεός. [18] τί προσθήσει ἔτι Δαυὶδ πρὸς σὲ τοῦ
19 δοξάσαι; καὶ σὺ τὸν δοῦλόν σου οἶδας, [19] καὶ κατὰ τὴν καρδίαν σου ἐποίη-
20 σας τὴν πᾶσαν μεγαλωσύνην. [20] κύριε, οὐκ ἔστιν ὅμοιός σοι, καὶ οὐκ ἔστι
21 θεὸς πλὴν σοῦ κατὰ πάντα ὅσα ἠκούσαμεν ἐν ὠσὶν ἡμῶν. [21] καὶ οὐκ ἔστιν
ὡς ὁ λαός σου Ἰσραὴλ ἔθνος ἔτι ἐπὶ τῆς γῆς, ὡς ὡδήγησεν αὐτὸν ὁ θεὸς
τοῦ λυτρώσασθαι λαὸν ἑαυτῷ, τοῦ θέσθαι ἑαυτῷ ὄνομα μέγα καὶ ἐπιφανές,
22 τοῦ ἐκβαλεῖν ἀπὸ προσώπου λαοῦ σου οὓς ἐλυτρώσω ἐξ Αἰγύπτου ἔθνη. [22] καὶ
ἔδωκας τὸν λαόν σου Ἰσραὴλ σεαυτῷ λαὸν ἕως αἰῶνος, καὶ σὺ κύριος ἐγε-
23 νήθης αὐτοῖς εἰς θεόν. [23] καὶ νῦν, κύριε, ὁ λόγος σου ὃν ἐλάλησας πρὸς τὸν
παῖδά σου καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ πιστωθήτω ἕως αἰῶνος, καὶ ποίησον κα-
24 θὼς ἐλάλησας· [24] καὶ πιστωθήτω καὶ μεγαλυνθήτω τὸ ὄνομά σου ἕως αἰῶνος

---

3. in f. add λεγων 4. Ax FA τον παιδα μου (... FA σου pro συ) 5. FA κατοικησα ... FA ανηγαγεν ... Ax FA καταλυματι 6. Ax FA φυλην ισραηλ ... post ισραηλ add ενι των κριτων ισραηλ ... FA om οις ενετειλαμην ... ωκοδομηκατε, FA οικοδομηκατε 7. Ax FA om Εγω ... FA ηγουμενον μου 8. Ax FA εξωλεθρευσα 9. Ax FA προσθησει αδικια του ... απ αρχης 10. απαντας ... Ax FA om οικον ... FA σε pro σοι 11. Ax FA αι ημεραι ... om και ante κοιμηθηση ... FA ὃ pro ὃς 13. FA * λαον pro υιον ... FA* μου ουκ απεστησα απ αυτων ..., om οντων 14. ανορθωμενος 16. FA απεναντιον ... κυριος ο θεος 17. Ax FA επιδες 18. FA* om ετι 19. FA* και την πασαν 20. Ax FA om θεος 21. FA* εθνη ... om ετι ... εαυτω λαον, FA εαυτόνω λαον ... FA θεσθαι αυτω ... ου ελυτρωσω 22. Ax FA κυριε et om εγενηθης 23. FA πιστωθ. η χιφ σου εως 23. 24. Ax FA om και ποιησον usque εως αιωνος

λεγόντων Κύριε κύριε παντοκράτωρ ϑεὸς Ἰσραήλ· καὶ ὁ οἶκος Δαυὶδ παιδός
σου ἀνωρϑωμένος ἐναντίον σου. [25]ὅτι σύ, κύριος ὁ ϑεός μου, ἤνοιξας τὸ οὖς 25
τοῦ παιδός σου τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον· διὰ τοῦτο εὗρεν ὁ παῖς σου
τοῦ προςεύξασϑαι κατὰ πρόςωπόν σου. [26]καὶ νῦν, κύριε, σὺ εἶ αὐτὸς ϑεός, 26
καὶ ἐλάλησας ἐπὶ τὸν δοῦλόν σου τὰ ἀγαϑὰ ταῦτα. [27]καὶ νῦν ἤρξαι τοῦ εὐ- 27
λογῆσαι τὸν οἶκον τοῦ παιδός σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐναντίον σου· ὅτι
σὺ κύριε εὐλόγησας, καὶ εὐλόγησον εἰς τὸν αἰῶνα.

## XVIII.

Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξε Δαυὶδ τοὺς ἀλλοφύλους καὶ ἐτρο-
πώσατο αὐτούς, καὶ ἔλαβε τὴν Γὲϑ καὶ τὰς κώμας αὐτῆς ἐκ χειρὸς ἀλλο-
φύλων. [2]καὶ ἐπάταξε τὴν Μωάβ, καὶ ἦσαν Μωὰβ παῖδες τῷ Δαυὶδ φέροντες 2
δῶρα. [3]καὶ ἐπάταξε Δαυὶδ τὸν Ἀδρααζὰρ βασιλέα Σουβὰ Ἡμάϑ, πορευο- 3
μένου αὐτοῦ ἐπιστῆσαι χεῖρα αὐτοῦ ἐπὶ ποταμὸν Εὐφράτην. [4]καὶ προκατε- 4
λάβετο Δαυὶδ αὐτῶν χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδας ἵππων καὶ εἴκοσι χι-
λιάδας ἀνδρῶν πεζῶν· καὶ παρέλυσε Δαυὶδ πάντα τὰ ἅρματα, καὶ ὑπελείπετο
ἐξ αὐτῶν ἑκατὸν ἅρματα. [5]καὶ ἦλϑε Σύρος ἐκ Δαμασκοῦ βοηϑῆσαι Ἀδρααζὰρ 5
βασιλεῖ Σουβά, καὶ ἐπάταξε Δαυὶδ ἐν τῷ Σύρῳ εἴκοσι καὶ δύο χιλιάδας
ἀνδρῶν. [6]καὶ ἔϑετο Δαυὶδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν, καὶ ἦσαν 6
τῷ Δαυὶδ εἰς παῖδας φέροντας δῶρα· καὶ ἔσωσε κύριος Δαυὶδ ἐν πᾶσιν οἷς
ἐπορεύετο. [7]καὶ ἔλαβε Δαυὶδ τοὺς κλοιοὺς τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τοὺς 7
παῖδας Ἀδρααζάρ, καὶ ἤνεγκεν αὐτοὺς εἰς Ἱερουσαλήμ. [8]καὶ ἐκ τῆς Ματαβὲϑ 8
καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τῶν Ἀδρααζὰρ ἔλαβε Δαυὶδ χαλκὸν πολὺν
σφόδρα· ἐξ αὐτοῦ ἐποίησε Σαλωμὼν τὴν ϑάλασσαν τὴν χαλκῆν καὶ τοὺς
στύλους καὶ τὰ σκεύη τὰ χαλκᾶ. [9]καὶ ἤκουσε Θωὰ βασιλεὺς Ἡμὰϑ ὅτι ἐπά- 9
ταξε Δαυὶδ τὴν πᾶσαν δύναμιν Ἀδρααζὰρ βασιλέως Σουβά, [10]καὶ ἀπέστειλε 10
τὸν Ἀδουρὰμ υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα Δαυὶδ τοῦ ἐρωτῆσαι αὐτὸν τὰ εἰς
εἰρήνην καὶ τοῦ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν Ἀδρααζὰρ καὶ ἐπά-
ταξεν αὐτόν, ὅτι ἀνὴρ πολέμιος Θωὰ ἦν τῷ Ἀδρααζάρ, καὶ πάντα τὰ σκεύη
τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ. [11]καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς 11
Δαυὶδ τῷ κυρίῳ μετὰ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου οὗ ἔλαβεν ἐκ πάντων
τῶν ἐϑνῶν, ἐξ Ἰδουμαίας καὶ Μωὰβ καὶ ἐξ υἱῶν Ἀμμὼν καὶ ἐκ τῶν ἀλλο-
φύλων καὶ ἐξ Ἀμαλήκ. [12]καὶ Ἀβεσὰ υἱὸς Σαρουίας ἐπάταξε τὴν Ἰδουμαίαν 12
ἐν κοιλάδι τῶν ἁλῶν, ὀκτωκαίδεκα χιλιάδας, [13]καὶ ἔϑετο ἐν τῇ κοιλάδι φρουράς· 13
καὶ ἦσαν πάντες οἱ Ἰδουμαῖοι παῖδες Δαυίδ· καὶ ἔσωζε κύριος τὸν Δαυὶδ
ἐν πᾶσιν οἷς ἐπορεύετο. [14]καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ πάντα Ἰσραήλ, καὶ 14
ἦν ποιῶν κρίμα καὶ δικαιοσύνην τῷ παντὶ λαῷ αὐτοῦ. [15]καὶ Ἰωὰβ υἱὸς 15

---

24. ο ϑεος ... FA και οικος 25. κυριε omissis ο ϑεος μου, FA om κυρ. ο ϑ. μου ... om του ante οικοδομησαι 26. αυτος ο ϑεος, FA ο αυτος ϑεος 27. Ax FA ηρξω ... FA του ευλογιν ... (FA σοι pro συ) ... FA om κυριε XVIII. 2. ησαν μωαβιται 3. αδραζαρ, FA αδραζαρει 4. Ax FA αυτω pro αυτων ... FA om πεζων ... FA υπελιπετο 5. Ax FA** αδραζαρ, FA* αδραζα ... FA om δαυιδ ... FA ειχοσι δυο 6. FA κατα δαμασκω ... εσωζεν ... Ax FA τον δαυ. 7. FA pon. δαυιδ post χρυσους ... Ax FA αδραζαρ 8. ματεβεϑ, FA μεταβηχας ... των αδραζαρ, FA τω αδραζαρ 9. ϑοου ... Ax FA αδραζαρ ... FA βασιλευς 10. τον δουραμ, FA τον ιδουραμ ... Ax FA αδραζαρ bis ... ϑοου ... τα σκευη χρυσα και αργ., FA τα σκευη αργ. και χρυσα ... Ax FA om και τα χαλκα 11. FA* om ταυτα ... Ax FA om ο βασιλευς 12. αβισα, FA αβεσσα ... FA σαρουια ... FA εν τη κοιλαδι ... χιλιαδες 13. εσωσεν ... FA om τον δαυιδ 14. κριματα ... FA δικαιοσ. παντι τω

Digitized by Google

Σαρουίας ἐπὶ τῆς στρατιᾶς, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺδ ὁ ὑπομνηματογράφος,
16 [16] καὶ Σαδὼκ υἱὸς Ἀχιτὼβ καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ οἱ ἱερεῖς, καὶ Σουσὰ
17 γραμματεύς, [17] καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χερεθὶ καὶ ἐπὶ τοῦ Φε-
λεθί, καὶ υἱοὶ Δαυὶδ οἱ πρῶτοι διάδοχοι τοῦ βασιλέως.

## XIX.

Καὶ ἐγένετο μετὰ ταῦτα ἀπέθανε Ναὰς βασιλεὺς υἱῶν Ἀμμών, καὶ ἐβα-
2 σίλευσεν Ἀνὰν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [2] καὶ εἶπε Δαυὶδ Ποιήσω ἔλεος μετὰ
Ἀνὰν υἱοῦ Ναάς, ὡς ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος· καὶ ἀπέ-
στειλεν ἀγγέλους Δαυὶδ τοῦ παρακαλέσαι αὐτὸν περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ
ἦλθον παῖδες Δαυὶδ εἰς γῆν υἱῶν Ἀμμὼν πρὸς Ἀνὰν τοῦ παρακαλέσαι αὐ-
3 τόν. [3] καὶ εἶπον ἄρχοντες υἱῶν Ἀμμὼν πρὸς Ἀνάν Μὴ δοξάζων Δαυὶδ τὸν
πατέρα σου ἐναντίον σου ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχὶ ὅπως ἐξερευ-
νήσωσι τὴν πόλιν καὶ τοῦ κατασκοπῆσαι τὴν γῆν ἦλθον παῖδες αὐτοῦ πρὸς
4 σέ; [4] καὶ ἔλαβεν Ἀνὰν τοὺς παῖδας Δαυὶδ καὶ ἐξύρησεν αὐτούς, καὶ ἀφεῖλε
τῶν μανδυῶν αὐτῶν τὸ ἥμισυ ἕως τῆς ἀναβολῆς, καὶ ἀπέστειλεν αὐτούς.
5 [5] καὶ ἦλθον ἀπαγγεῖλαι τῷ Δαυὶδ περὶ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάν-
τησιν αὐτοῖς, ὅτι ἦσαν ἠτιμωμένοι σφόδρα, καὶ εἶπεν ὁ βασιλεύς Καθίσατε
6 ἐν Ἱεριχὼ ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ ἀνακάμψατε. [6] καὶ
εἶδον οἱ υἱοὶ Ἀμμὼν ὅτι ᾐσχύνθη λαὸς Δαυίδ· καὶ ἀπέστειλεν Ἀνὰν καὶ οἱ
υἱοὶ Ἀμμὼν χίλια τάλαντα ἀργυρίου τοῦ μισθώσασθαι ἑαυτοῖς ἐκ Συρίας
Μεσοποταμίας καὶ ἐκ Συρίας Μααχὰ καὶ παρὰ Σωβὰλ ἅρματα καὶ ἱππεῖς.
7 [7] καὶ ἐμισθώσαντο ἑαυτοῖς δύο καὶ τριάκοντα χιλιάδας ἁρμάτων καὶ τὸν βα-
σιλέα Μααχὰ καὶ τὸν λαὸν αὐτοῦ, καὶ ἦλθον καὶ παρενέβαλον κατέναντι Μη-
δαβά· καὶ οἱ υἱοὶ Ἀμμὼν συνήχθησαν ἐκ τῶν πόλεων αὐτῶν καὶ ἦλθον εἰς
8 τὸ πολεμῆσαι. [8] καὶ ἤκουσε Δαυίδ, καὶ ἀπέστειλε τὸν Ἰωὰβ καὶ πᾶσαν τὴν
9 στρατιὰν τῶν δυνατῶν. [9] καὶ ἐξῆλθον οἱ υἱοὶ Ἀμμὼν καὶ παρατάσσονται εἰς
πόλεμον παρὰ τὸν πυλῶνα τῆς πόλεως· καὶ οἱ βασιλεῖς οἱ ἐλθόντες παρενέ-
10 βαλον καθ' ἑαυτοὺς ἐν τῷ πεδίῳ. [10] καὶ εἶδεν Ἰωὰβ ὅτι γεγόνασιν ἀντιπρόσω-
ποι τοῦ πολεμεῖν πρὸς αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθε, καὶ ἐξελέξατο ἐκ
11 παντὸς νεανίου ἐξ Ἰσραήλ, καὶ παρετάξαντο ἐναντίον τοῦ Σύρου. [11] καὶ τὸ
κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Ἀβεσαῒ ἀδελφοῦ αὐτοῦ, καὶ παρετά-
12 ξαντο ἐξεναντίας υἱῶν Ἀμμών. [12] καὶ εἶπεν Ἐὰν κρατήσῃ ὑπὲρ ἐμὲ ὁ Σύ-
ρος, καὶ ἔσῃ μοι εἰς σωτηρίαν· καὶ ἐὰν οἱ υἱοὶ Ἀμμὼν κρατήσωσιν ὑπὲρ σέ,
13 καὶ σώσω σε. [13] ἀνδρίζου καὶ ἐνισχύσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ περὶ τῶν
πόλεων τοῦ θεοῦ ἡμῶν, καὶ κύριος τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιήσει.

---

15. FA σαρουια ... FA υιος αχεια υπομνηματογραφος 16. FA αχειμελεχ ... FA* αβιεθερ ... Ax FA om οι ... FA σους ο γραμμ. 17. FA βανεας ... χερηθθι et φαλλεθθι ... FA ιωδαε επι των ιερεων και φαλτια κ. υι. δαυ. XIX. 1. FA om νααι ... FA ανναν 2. FA υιων αμμαν ... Ax FA om προς αναν 3. οι αρχοντες ... Ax FA om υιων ... FA om δαυιδ ... FA om εναντ. σου ... ουχ ουτως εραυνησουσιν, FA ουχ οπως εξεραυνησωσιν ... Ax FA om και post πολιν 4. FA ανναν 5. FA ειεριχω και εως 6. FA ιδον ... om οι ... FA αιναν και υιοι ... μισθωσ. αυτους, FA μισθωσ. αυτοις ... μαχα, FA μοοχα ... FA παρα σωβα, Ax εκ σουβα 7. FA εμισθ. αυτοις ... FA ante δυο add αρματα και ιππεις ... Ax FA μωχα ... κατεναντι του ... FA βαιδαβα ... και υιοι 9. om οι 10. Ax FA* γεγοναν ... Ax FA εξοπισθεν ... om εξ ... παρεταξατο 11. Ax FA αβεσσα ... FA του αδελφου ... παρεταξατο 12. κρατησει ... Ax* FA συρος sine ὁ ... εαν υιοι 13. FA om ανδριζου usque τ. θεου ημων ... FA om εν οφθ. αυτου ... FA ποιησαι

Digitized by Google

[14]καὶ παρετάξατο Ἰωὰβ καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ κατέναντι Σύρων εἰς πό- 14
λεμον, καὶ ἔφυγον ἀπ' αὐτῶν. [15]καὶ οἱ υἱοὶ Ἀμμὼν εἶδον ὅτι ἔφυγον οἱ 15
Σύροι, καὶ ἔφυγον καὶ αὐτοὶ ἀπὸ προςώπου Ἀβεσαΐ καὶ ἀπὸ προςώπου Ἰωὰβ
τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν· καὶ ἦλθεν Ἰωὰβ εἰς Ἱερου-
σαλήμ. [16]καὶ εἶδεν ὁ Σύρος ὅτι ἐτροπώσατο αὐτὸν Ἰσραήλ, καὶ ἀπέστειλεν 16
ἀγγέλους· καὶ ἐξήγαγον τὸν Σύρον ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ Σωφὰθ
ἀρχιστράτηγος δυνάμεως Ἀδρααζὰρ ἔμπροσθεν αὐτῶν. [17]καὶ ἀπηγγέλη τῷ 17
Δαυίδ, καὶ συνήγαγε τὸν πάντα Ἰσραήλ, καὶ διέβη τὸν Ἰορδάνην καὶ ἦλθεν
ἐπ' αὐτοὺς καὶ παρετάξατο ἐπ' αὐτούς· καὶ παρατάσσεται Δαυὶδ ἐξεναντίας
τοῦ Σύρου εἰς πόλεμον, καὶ ἐπολέμησαν αὐτόν. [18]καὶ ἔφυγε Σύρος ἀπὸ προς- 18
ώπου Ἰσραήλ· καὶ ἀπέκτεινε Δαυὶδ ἀπὸ τοῦ Σύρου ἑπτὰ χιλιάδας ἁρμάτων
καὶ τεσσαράκοντα χιλιάδας πεζῶν, καὶ τὸν Σωφὰθ ἀρχιστράτηγον δυνάμεως
ἀπέκτεινε. [19]καὶ εἶδον παῖδες Ἀδρααζὰρ ὅτι ἐπταίκασιν ἀπὸ προςώπου Ἰσραήλ, 19
καὶ διέθεντο μετὰ Δαυὶδ καὶ ἐδούλευσαν αὐτῷ· καὶ οὐκ ἠθέλησε Σύρος τοῦ
βοηθῆσαι τοῖς υἱοῖς Ἀμμὼν ἔτι.

## XX.

Καὶ ἐγένετο ἐν τῷ ἐπιόντι ἔτει ἐν τῇ ἐξόδῳ τῶν βασιλέων καὶ ἤγαγεν
Ἰωὰβ πᾶσαν τὴν δύναμιν τῆς στρατιᾶς, καὶ ἔφθειραν τὴν χώραν υἱῶν Ἀμ-
μών· καὶ ἦλθε καὶ περιεκάθισε τὴν Ῥαββά, καὶ Δαυὶδ ἐκάθισεν ἐν Ἱερου-
σαλήμ· καὶ ἐπάταξεν Ἰωὰβ τὴν Ῥαββὰ καὶ κατέσκαψεν αὐτήν. [2]καὶ ἔλαβε 2
Δαυὶδ τὸν στέφανον Μολχὸμ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ,
καὶ εὑρέθη ὁ σταθμὸς αὐτοῦ τάλαντον χρυσίου, καὶ ἐν αὐτῷ λίθος τίμιος,
καὶ ἦν ἐπὶ τὴν κεφαλὴν Δαυίδ· καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφό-
δρα. [3]καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἐξήγαγε καὶ διέπρισε πρίοσι καὶ ἐν σκεπάρ- 3
νοις σιδηροῖς καὶ ἐν διασχίζουσι, καὶ οὕτως ἐποίησε Δαυὶδ τοῖς πᾶσιν υἱοῖς
Ἀμμών· καὶ ἀνέστρεψε Δαυὶδ καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς Ἱερουσαλήμ. [4]καὶ 4
ἐγένετο μετὰ ταῦτα καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γαζὲρ μετὰ τῶν ἀλλοφύλων·
τότε ἐπάταξε Σοβοχαὶ Σωσαθὶ τὸν Σαφοὺτ ἀπὸ τῶν υἱῶν τῶν γιγάντων καὶ
ἐταπείνωσεν αὐτόν. [5]καὶ ἐγένετο ἔτι πόλεμος μετὰ τῶν ἀλλοφύλων, καὶ ἐπά- 5
ταξεν Ἐλεανὰν υἱὸς Ἰαῒρ τὸν Λαχμὶ ἀδελφὸν Γολιὰθ τοῦ Γεθθαίου, καὶ ξύλον
δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. [6]καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γέθ, καὶ 6
ἦν ἀνὴρ ὑπερμεγέθης, καὶ δάκτυλοι αὐτοῦ ἓξ καὶ ἓξ εἰκοσιτέσσαρες, καὶ οὗ-
τος ἦν ἀπόγονος γιγάντων. [7]καὶ ὠνείδισε τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν 7
Ἰωνάθαν υἱὸς Σαμαὰ ἀδελφοῦ Δαυίδ. [8]οὗτοι ἐγένοντο τῷ Ῥαφᾷ ἐν Γέθ, 8
πάντες ἦσαν τέσσαρες γίγαντες, καὶ ἔπεσον ἐν χειρὶ Δαυὶδ καὶ ἐν χειρὶ παί-
δων αὐτοῦ.

---

14. Ax FA απ αυτου 15. FA ἴδον ... Ax FA εφυγον συροι ... FA και αυτοι α. πρ. ιωαβ κ. απο πρ. αδελφου αυτων ... προςωπ. ιωαβ κ. α. πρ. αβεσσα του ... εις ηλθον 16. ιδεν ... Ax FA om ὁ ... FA** απεστιλαν ... περα ... σωφαχ, FA* εσωφαρ, ** εσωφαχ ... αδραζαρ, FA* εδρααζαρ ... FA ενπροσθεν 17. FA παρεταξαντο επ ... παρεταξ. προς αυτους ... FA κ. παρεταξατο συρος εξεν. δαυ. ... Ax FA om εις πολεμον ... Ax FA επολεμησεν (Ab hoc inde versu deest FA) 18. δαυιδ pro ισραηλ ... τεσσεραχοντα ... τ. σωβαχ τον α. δ. απεκτειναν 19. αδραζαρ XX. 1. ηλθαν et περιεκαθισαν ... ραββαθ bis ... εκαθητο 2. om του ante βασιλεως 3. εξηνεγκεν ... om και εν διασχιζουσι ... δαυ. πασιν (fortasse addendum εν?) ταις πολεσιν υιων αμμων 4. σοββοχαι ο ουσαθι τον σεφφι 5. υιος αδειρ τ. λεεμεῖ ... γεθθαιου ... το ξυλον του δορατος 7. υιος σαμαας υιος αδελφου 8. om τω ... επεσαν

Digitized by Google

XXI.

Καὶ ἔστη διάβολος ἐν τῷ Ἰσραήλ, καὶ ἐπέσεισε τὸν Δαυὶδ τοῦ ἀριθμῆ-
2 σαι τὸν Ἰσραήλ. [2] καὶ εἶπεν ὁ βασιλεὺς Δαυὶδ πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρ-
χοντας τῆς δυνάμεως Πορεύθητε ἀριθμήσατε τὸν Ἰσραὴλ ἀπὸ Βηρσαβεὲ καὶ
3 ἕως Δάν, καὶ ἐνέγκατε πρός μέ, καὶ γνώσομαι τὸν ἀριθμὸν αὐτῶν. [3] καὶ εἶπεν
Ἰωάβ Προςθείη κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ ὡς αὐτοὶ ἑκατονταπλασίως, καὶ
οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως βλέποντες· πάντες τῷ κυρίῳ μου
παῖδες· ἵνα τί ζητεῖ κύριός μου τοῦτο ἵνα μὴ γένηται εἰς ἁμαρτίαν τῷ Ἰσραήλ;
4 [4] τὸ δὲ ῥῆμα τοῦ βασιλέως ἴσχυσεν ἐπὶ Ἰωάβ· καὶ ἐξῆλθεν Ἰωὰβ καὶ διῆλ-
5 θεν ἐν παντὶ Ἰσραήλ, καὶ ἦλθεν εἰς Ἱερουσαλήμ. [5] καὶ ἔδωκεν Ἰωὰβ τὸν
ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ τῷ Δαυίδ· καὶ ἦν πᾶς Ἰσραὴλ χίλιαι χιλιά-
δες καὶ ἑκατὸν χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν, καὶ υἱοὶ Ἰούδα τετρα-
6 κόσιαι καὶ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν. [6] καὶ τὸν
Λευὶ καὶ τὸν Βενιαμὶν οὐχ ἠρίθμησεν ἐν μέσῳ αὐτῶν, ὅτι κατίσχυσε λόγος
7 τοῦ βασιλέως τὸν Ἰωάβ. [7] καὶ πονηρὸν ἐναντίον τοῦ θεοῦ περὶ τοῦ πράγματος
8 τούτου, καὶ ἐπάταξε τὸν Ἰσραήλ. [8] καὶ εἶπε Δαυὶδ πρὸς τὸν θεόν Ἡμάρτηκα
σφόδρα ὅτι ἐποίησα τὸ πρᾶγμα τοῦτο· καὶ νῦν περίελε δὴ τὴν κακίαν παι-
9 δός σου, ὅτι ἐματαιώθην σφόδρα. [9] καὶ ἐλάλησε κύριος πρὸς Γὰδ τὸν ὁρῶντα
10 λέγων [10] Πορεύου καὶ λάλησον πρὸς Δαυὶδ λέγων Οὕτω λέγει κύριος Τρία
11 αἱρῶ ἐγὼ ἐπὶ σέ, ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι. [11] καὶ ἦλθε
12 Γὰδ πρὸς Δαυὶδ καὶ εἶπεν αὐτῷ Οὕτως λέγει κύριος Ἔκλεξαι σεαυτῷ [12] ἢ
τρία ἔτη λιμοῦ, ἢ τρεῖς μῆνας φεύγειν σε ἐκ προςώπου ἐχθρῶν σου, καὶ
μάχαιρα ἐχθρῶν σου τοῦ ἐξολοθρεῦσαι, ἢ τρεῖς ἡμέρας ῥομφαίαν κυρίου καὶ
θάνατον ἐν τῇ γῇ, καὶ ἄγγελος κυρίου ἐξολοθρεύων ἐν πάσῃ κληρονομίᾳ Ἰσραήλ·
13 καὶ νῦν ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντι λόγον. [13] καὶ εἶπε Δαυὶδ πρὸς Γάδ
Στενά μοι καὶ τὰ τρία σφόδρα· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας κυρίου, ὅτι πολλοὶ
14 οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, καὶ εἰς χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. [14] καὶ
ἔδωκε κύριος θάνατον ἐν Ἰσραήλ, καὶ ἔπεσον ἐξ Ἰσραὴλ ἑβδομήκοντα χιλιά-
15 δες ἀνδρῶν. [15] καὶ ἀπέστειλεν ὁ θεὸς ἄγγελον εἰς Ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦ-
σαι αὐτήν· καὶ ὡς ἐξωλόθρευεν, εἶδε κύριος καὶ μετεμελήθη ἐπὶ τῇ κακίᾳ,
καὶ εἶπε τῷ ἀγγέλῳ τῷ ἐξολοθρεύοντι Ἱκανούσθω σοι, ἄνες τὴν χεῖρά σου·
16 καὶ ὁ ἄγγελος κυρίου ἑστὼς ἐν τῷ ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου. [16] καὶ ἐπῆρε
Δαυὶδ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε τὸν ἄγγελον κυρίου ἑστῶτα ἀνὰ μέσον
τῆς γῆς καὶ τοῦ οὐρανοῦ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ
ἐκτεταμένη ἐπὶ Ἱερουσαλήμ· καὶ ἔπεσε Δαυὶδ καὶ οἱ πρεσβύτεροι περιβεβλη-
17 μένοι ἐν σάκκοις ἐπὶ πρόσωπον αὐτῶν. [17] καὶ εἶπε Δαυὶδ πρὸς τὸν θεόν Οὐκ
ἐγὼ εἶπα τοῦ ἀριθμῆσαι ἐν τῷ λαῷ; καὶ ἐγώ εἰμι ὁ ἁμαρτών, κακοποιῶν
ἐκακοποίησα, καὶ ταῦτα τὰ πρόβατα τί ἐποίησαν; κύριε ὁ θεός, γενηθήτω
ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου, καὶ μὴ ἐν τῷ λαῷ σου
18 εἰς ἀπώλειαν, κύριε. [18] καὶ ἄγγελος κυρίου εἶπε τῷ Γὰδ τοῦ εἰπεῖν πρὸς Δαυὶδ
ἵνα ἀναβῇ τοῦ στῆσαι θυσιαστήριον κυρίῳ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.
19 [19] καὶ ἀνέβη Δαυὶδ κατὰ τὸν λόγον Γὰδ ὃν ἐλάλησεν ἐν ὀνόματι κυρίου.

---

XXI. 2. om ο βασιλευς 3. om του ante κυριου ... ζητει ο κ. μου ... τω λαω ισραηλ 4. εκραταιωθη επι τω ιωαβ ... εν παντι οριω ισρ. 5. και ιουδας ... ογδοηκοντα pro εβδομηκοντα 6. βενιαμειν ... οτι προςωχθισεν ο λογος 7. πονηρον εφανη 9. γαδ ορωντα δαυιδ λεγων 10. ουτως . . τρια ερω ... και εκλεξαι ... om εξ 12. μαχαιραν ... εξολεθρευσαι ... εξολεθρευων παση ... αποστ. με λογον 13. τα τρια ταυτα 14. επεσαν 15. εξολεθρευσαι ... ως εξωλεθρευσεν ... εξολεθρευοντι , 16. ιδεν ... και ανα μεσον του ουρανου 18. τω γαδ ειπεν τω ειπειν (sed τω ειπειν usque ινα λα**) πρ. δαυ. κυριε ινα λαβη του ... τω κυριω

Digitized by Google

20 καὶ ἐπέστρεψεν Ὀρνά, καὶ εἶδε τὸν βασιλέα καὶ τέσσαρας υἱοὺς αὐτοῦ μετ' αὐ- 20
τοῦ μεθ' ἀχαβίν· καὶ Ὀρνὰ ἦν ἀλοῶν πυρούς. 21 καὶ ἦλθε Δαυὶδ πρὸς Ὀρνά, καὶ 21
Ὀρνὰ ἐξῆλθεν ἐκ τῆς ἅλω καὶ προςεκύνησε τῷ Δαυὶδ τῷ προςώπῳ ἐπὶ τὴν
γῆν. 22 καὶ εἶπε Δαυὶδ πρὸς Ὀρνά Δός μοι τὸν τόπον σου τῆς ἅλω καὶ οἰκο- 22
δομήσω ἐπ' αὐτῷ θυσιαστήριον τῷ κυρίῳ, ἐν ἀργυρίῳ ἀξίῳ δός μοι αὐτόν,
καὶ παύσεται ἡ πληγὴ ἐκ τοῦ λαοῦ. 23 καὶ εἶπεν Ὀρνὰ πρὸς Δαυὶδ Λάβε σεαυ- 23
τῷ, καὶ ποιησάτω ὁ κύριός μου ὁ βασιλεὺς τὸ ἀγαθὸν ἐναντίον ἑαυτοῦ· ἴδε
δέδωκα τοὺς μόσχους εἰς ὁλοκαύτωσιν καὶ τὸ ἄροτρον εἰς ξύλα καὶ τὸν σῖτον
εἰς θυσίαν, τὰ πάντα δέδωκα. 24 καὶ εἶπεν ὁ βασιλεὺς Δαυὶδ τῷ Ὀρνᾷ Οὐχί, 24
ὅτι ἀγοράζων ἀγοράσω ἐν ἀργυρίῳ ἀξίῳ, ὅτι οὐ μὴ λάβω ἅ ἐστι σοὶ κυρίῳ
τοῦ ἀνενέγκαι ὁλοκαύτωσιν δωρεὰν κυρίῳ. 25 καὶ ἔδωκε Δαυὶδ τῷ Ὀρνᾷ ἐν 25
τῷ τόπῳ αὐτοῦ σίκλους χρυσίου ὁλκῆς ἑξακοσίους. 26 καὶ ᾠκοδόμησεν ἐκεῖ 26
Δαυὶδ θυσιαστήριον κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώματα καὶ σωτηρίου· καὶ
ἐβόησε πρὸς κύριον, καὶ ἐπήκουσεν αὐτῷ ἐν πυρὶ ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὸ θυ-
σιαστήριον τῆς ὁλοκαυτώσεως καὶ κατηνάλωσε τὴν ὁλοκαύτωσιν. 27 καὶ εἶπε 27
κύριος πρὸς τὸν ἄγγελον, καὶ κατέθηκε τὴν ῥομφαίαν εἰς τὸν κολεὸν αὐτῆς.
28 ἐν τῷ καιρῷ ἐκείνῳ ἐν τῷ ἰδεῖν τὸν Δαυὶδ ὅτι ἐπήκουσεν αὐτῷ κύριος ἐν 28
ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου, καὶ ἐθυσίασεν ἐκεῖ. 29 καὶ σκηνὴ κυρίου ἣν ἐποίησε 29
Μωυσῆς ἐν τῇ ἐρήμῳ καὶ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων ἐν τῷ καιρῷ
ἐκείνῳ ἐν Βαμᾷ ἐν Γαβαών. 30 καὶ οὐκ ἐδύνατο Δαυὶδ τοῦ πορευθῆναι ἔμ- 30
προσθεν αὐτοῦ τοῦ ζητῆσαι τὸν θεόν, ὅτι οὐ κατέσπευσεν ἀπὸ προσώπου τῆς
ῥομφαίας ἀγγέλου κυρίου.

## XXII.

Καὶ εἶπε Δαυὶδ Οὗτός ἐστιν ὁ οἶκος κυρίου τοῦ θεοῦ, καὶ τοῦτο τὸ θυ-
σιαστήριον εἰς ὁλοκαύτωσιν τῷ Ἰσραήλ. 2 καὶ εἶπε Δαυὶδ συναγαγεῖν πάντας 2
τοὺς προςηλύτους τοὺς ἐν γῇ Ἰσραήλ, καὶ κατέστησε λατόμους λατομῆσαι
λίθους ξυστοὺς τοῦ οἰκοδομῆσαι οἶκον τῷ θεῷ. 3 καὶ σίδηρον πολὺν εἰς τοὺς 3
ἥλους τῶν θυρωμάτων καὶ τῶν πυλῶν καὶ τοὺς στροφεῖς ἡτοίμασε Δαυὶδ καὶ
χαλκὸν εἰς πλῆθος, οὐκ ἦν σταθμός. 4 καὶ ξύλα κέδρινα, οὐκ ἦν ἀριθμός· 4
ὅτι ἐφέροσαν οἱ Σιδώνιοι καὶ οἱ Τύριοι ξύλα κέδρινα εἰς πλῆθος τῷ Δαυίδ.
5 καὶ εἶπε Δαυὶδ Σαλωμὼν ὁ υἱός μου παιδάριον ἁπαλόν, καὶ ὁ οἶκος τοῦ 5
οἰκοδομῆσαι τῷ κυρίῳ εἰς μεγαλωσύνην ἄνω, εἰς ὄνομα καὶ εἰς δόξαν εἰς
πᾶσαν τὴν γῆν ἑτοιμάσω αὐτῷ· καὶ ἡτοίμασε Δαυὶδ εἰς πλῆθος ἔμπροσθεν
τῆς τελευτῆς αὐτοῦ. 6 καὶ ἐκάλεσε Σαλωμὼν τὸν υἱὸν αὐτοῦ, καὶ ἐνετείλατο 6
αὐτῷ τοῦ οἰκοδομῆσαι τὸν οἶκον τῷ κυρίῳ θεῷ Ἰσραήλ. 7 καὶ εἶπε Δαυὶδ 7
Σαλωμών Τέκνον, ἐμοὶ ἐγένετο ἐπὶ ψυχῇ τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι
κυρίου θεοῦ. 8 καὶ ἐγένετό μοι λόγος κυρίου λέγων Αἷμα εἰς πλῆθος ἐξέχεας, 8
καὶ πολέμους μεγάλους ἐποίησας· οὐκ οἰκοδομήσεις οἶκον τῷ ὀνόματί μου,
ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ τὴν γῆν ἐναντίον ἐμοῦ. 9 ἰδοὺ υἱὸς τίκτεταί σοι, 9
οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως, καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν
αὐτοῦ κυκλόθεν, ὅτι Σαλωμὼν ὄνομα αὐτῷ, καὶ εἰρήνην καὶ ἡσυχίαν δώσω
ἐπὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ. 10 οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, 10
καὶ οὗτος ἔσται μοι εἰς υἱὸν κἀγὼ αὐτῷ εἰς πατέρα, καὶ ἀνορθώσω θρόνον

---

20. κ τεσσαρες υιοι ... κρυβομενοι pro μεθ αχαβιν 22. αυτο pro αυτον ... om εκ 23. εναντιον αυτου ... ιδου ... post αροτρον add και τας αμαξας ... in f. εδωκα 24. αγορ. αγοραζω ... ανενεγκ. εις ολοκαυτωσιν 25. περι του τοπου αυτου 26. δαυ. εκει ... καταναλωσεν 27. και καθηκεν ... om αυτης 28. εισηκουσεν αυτω 29. τη εν γαβαωνι 30. ηδυνατο ... αυτου ζητησαι ... om ου ... αγγελος XXII. 1. om κυριου 2. om τους sec. 4. εφορα σαν 6. τω ονοματι κυριου θεου ισρ. 8. επ εμε pro μοι ... επι της γης 9. * om αυτου ante κυκλοθεν 10. αυτω εσομαι εις

Digitized by Google

11 βασιλείας αὐτοῦ ἐν Ἰσραὴλ ἕως αἰῶνος. [11] καὶ νῦν, υἱέ μου, ἔσται μετὰ σοῦ
κύριος, καὶ εὐοδώσει καὶ οἰκοδομήσεις οἶκον τῷ κυρίῳ θεῷ σου, ὡς ἐλάλησε
12 περὶ σοῦ. [12] ἀλλ' ἢ δῴη σοι σοφίαν καὶ σύνεσιν κύριος, καὶ κατισχύσαι σε
ἐπὶ Ἰσραὴλ καὶ τοῦ φυλάσσεσθαι καὶ τοῦ ποιεῖν τὸν νόμον κυρίου τοῦ θεοῦ
13 σου. [13] τότε εὐοδώσει ἐὰν φυλάξῃς τοῦ ποιεῖν τὰ προστάγματα καὶ τὰ κρί-
ματα ἃ ἐνετείλατο κύριος τῷ Μωυσῇ ἐπὶ Ἰσραήλ· ἀνδρίζου καὶ ἴσχυε, μὴ
14 φοβοῦ μηδὲ πτοηθῇς. [14] καὶ ἰδοὺ ἐγὼ κατὰ τὴν πτωχείαν μου ἡτοίμασα εἰς
οἶκον κυρίου χρυσίου ταλάντων ἑκατὸν χιλιάδας, καὶ ἀργυρίου ταλάντων χιλίας
χιλιάδας, καὶ χαλκὸν καὶ σίδηρον οὗ οὐκ ἔστι σταθμός, ὅτι εἰς πλῆθός ἐστι·
15 καὶ ξύλα καὶ λίθους ἡτοίμασα, καὶ πρὸς ταῦτα πρόσθες. [15] καὶ μετὰ σοῦ
πρόσθες εἰς πλῆθος ποιούντων ἔργα, τεχνῖται καὶ οἰκοδόμοι λίθων καὶ τέκτο-
16 νες ξύλων, καὶ πᾶς σοφὸς ἐν παντὶ ἔργῳ, [16] ἐν χρυσίῳ καὶ ἀργυρίῳ, χαλκῷ
καὶ ἐν σιδήρῳ, οὐκ ἔστιν ἀριθμός· ἀνάστηθι καὶ ποίει, καὶ κύριος μετὰ σοῦ.
17 [17] καὶ ἐνετείλατο Δαυὶδ τοῖς πᾶσιν ἄρχουσιν Ἰσραὴλ ἀντιλαβέσθαι τῷ Σαλω-
18 μὼν υἱῷ αὐτοῦ. [18] οὐχὶ κύριος μεθ' ὑμῶν; καὶ ἀνέπαυσεν ὑμᾶς κυκλόθεν, ὅτι
ἔδωκεν ἐν χερσὶν ὑμῶν τοὺς κατοικοῦντας τὴν γῆν, καὶ ὑπετάγη ἡ γῆ ἐναν-
19 τίον κυρίου καὶ ἐναντίον λαοῦ αὐτοῦ. [19] νῦν δότε καρδίας ὑμῶν καὶ ψυχὰς
ὑμῶν τοῦ ζητῆσαι τῷ κυρίῳ θεῷ ὑμῶν, καὶ ἐγέρθητε καὶ οἰκοδομήσατε ἁγία-
σμα τῷ θεῷ ὑμῶν, τοῦ εἰσενέγκαι τὴν κιβωτὸν διαθήκης κυρίου καὶ σκεύη
τὰ ἅγια τοῦ θεοῦ εἰς οἶκον τὸν οἰκοδομούμενον τῷ ὀνόματι κυρίου.

## XXIII.

Καὶ Δαυὶδ πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ ἐβασίλευσε Σαλωμὼν τὸν
2 υἱὸν αὐτοῦ ἀνθ' αὐτοῦ ἐπὶ Ἰσραήλ. [2] καὶ συνήγαγε τοὺς πάντας ἄρχοντας
3 Ἰσραὴλ καὶ τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας. [3] καὶ ἠρίθμησαν οἱ Λευῖται ἀπὸ
τριακονταετοῦς καὶ ἐπάνω, καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐ-
4 τῶν εἰς ἄνδρας τριάκοντα καὶ ὀκτὼ χιλιάδας· [4] ἀπὸ τῶν ἐργοδιωκτῶν ἐπὶ τὰ
ἔργα οἴκου κυρίου εἰκοσιτέσσαρες χιλιάδες, καὶ γραμματεῖς καὶ κριταὶ ἑξα-
5 κισχίλιοι, [5] καὶ τέσσαρες χιλιάδες πυλωροί, καὶ τέσσαρες χιλιάδες αἰνοῦντες
6 τῷ κυρίῳ ἐν ὀργάνοις οἷς ἐποίησε τοῦ αἰνεῖν τῷ κυρίῳ. [6] καὶ διεῖλεν αὐτοὺς
7 Δαυὶδ ἐφημερίας τοῖς υἱοῖς Λευί, τῷ Γεδσών, Καὰθ καὶ Μεραρί. [7] καὶ τῷ
8 Γεδσών· Ἐδὰν καὶ Σεμεΐ. [8] υἱοὶ τῷ Ἐδάν· ἄρχων Ἰειὴλ καὶ Ζηθὰν καὶ
9 Ἰωήλ, τρεῖς. [9] υἱοὶ Σεμεΐ· Σαλωμίθ, Ἰειὴλ καὶ Δάν, τρεῖς· οὗτοι ἄρχοντες
10 πατριῶν τῶν Ἐδάν. [10] καὶ τοῖς υἱοῖς Σεμεΐ· Ἰὲθ καὶ Ζιζὰ καὶ Ἰωὰς καὶ
11 Βεριά, οὗτοι υἱοὶ Σεμεΐ τέσσαρες. [11] καὶ ἦν Ἰὲθ ὁ ἄρχων, καὶ Ζιζὰ ὁ δεύ-
τερος· καὶ Ἰωὰς καὶ Βεριὰ οὐκ ἐπλήθυναν υἱούς, καὶ ἐγένοντο εἰς οἶκον πα-
12 τριᾶς εἰς ἐπίσκεψιν μίαν. [12] υἱοὶ Καάθ· Ἀμβράμ, Ἰσάαρ, Χεβρών, Ὀζιήλ,
13 τέσσαρες. [13] υἱοὶ Ἀμβράμ· Ἀαρὼν καὶ Μωυσῆς. καὶ διεστάλη Ἀαρὼν τοῦ
ἁγιασθῆναι ἅγια ἁγίων αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἕως αἰῶνος, τοῦ θυμιᾶν ἐναν-
τίον τοῦ κυρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως αἰῶ-
14 νος. [14] καὶ Μωυσῆς ἄνθρωπος τοῦ θεοῦ, υἱοὶ αὐτοῦ ἐκλήθησαν εἰς φυλὴν τοῦ
15 16 Λευί. [15] υἱοὶ Μωυσῇ· Γηρσὰμ καὶ Ἐλιέζερ. [16] υἱοὶ Γηρσάμ· Σουβαὴλ ὁ
17 ἄρχων. [17] καὶ ἦσαν υἱοὶ τῷ Ἐλιέζερ Ῥαβιὰ ὁ ἄρχων, καὶ οὐκ ἦσαν τῷ

---

13. ευοδωθησει 14. πτωχιαν 16. εν χρ. εν αργυρ. εν χαλκ. και σιδηρω 17. τοις παισιν αρχουσιν 18. εν χειρι ... του λαου 19. post αγιασμα add κυριω XXIII. 1. αντ αυτου 2. συνηγ. παντας τους 4. απο τουτων εργοδιωκται ... om κυριου 5. εν τοις οργανοις οις εποιησαν 6. τω γηρσων ... om και 7. κ. τω γηρσων τω λεαδαν και τω σεμεϊ 8. υιω (lege υιοι) λεαδαν ο αρχων ιεϊηλ κ. ζαιθομ 9. και υιοι σ. σαλωμειθ και αζιηλ κ. αραν ... των πατριων τω λεαδαν 10. om κ. ιωας κ. βερια 11. βαρια 12. αμραμ και ισσααρ, χ. και οζ. 13. αμραμ 17. ρααβια bis

Digitized by Google

Ἐλιέζερ υἱοὶ ἕτεροι· καὶ υἱοὶ Ῥαβιὰ ηὐξήθησαν εἰς ὕψος. 18 υἱοὶ Ἰσάαρ· Σα- 18
λωμὼθ ὁ ἄρχων. 19 υἱοὶ Χεβρών· Ἱεριὰ ὁ ἄρχων, Ἀμαριὰ ὁ δεύτερος, Ἱεζιὴλ 19
ὁ τρίτος, Ἰεκεμίας ὁ τέταρτος. 20 υἱοὶ Ὀζιήλ· Μιχὰ ὁ ἄρχων καὶ Ἰσιὰ ὁ 20
δεύτερος. 21 υἱοὶ Μεραρί· Μοολὶ καὶ ὁ Μουσί. υἱοὶ Μοολί· Ἐλεάζαρ καὶ Κίς. 21
22 καὶ ἀπέθανεν Ἐλεάζαρ, καὶ οὐκ ἦσαν αὐτῷ υἱοὶ ἀλλ' ἢ θυγατέρες, καὶ 22
ἔλαβον αὐτὰς υἱοὶ Κὶς ἀδελφοὶ αὐτῶν. 23 υἱοὶ Μουσί· Μοολὶ καὶ Ἐδὲρ καὶ 23
Ἰαριμώθ, τρεῖς. 24 οὗτοι υἱοὶ Λευὶ κατ' οἴκους πατριῶν αὐτῶν, ἄρχοντες τῶν 24
πατριῶν αὐτῶν κατὰ τὴν ἐπίσκεψιν αὐτῶν κατὰ τὸν ἀριθμὸν ὀνομάτων αὐ-
τῶν κατὰ κεφαλὴν αὐτῶν, ποιοῦντες τὰ ἔργα λειτουργίας οἴκου κυρίου ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω. 25 ὅτι εἶπε Δαυὶδ Κατέπαυσε κύριος ὁ θεὸς Ἰσραὴλ 25
τῷ λαῷ αὐτοῦ, καὶ κατεσκήνωσεν ἐν Ἱερουσαλὴμ ἕως αἰῶνος. 26 καὶ οἱ Λευῖ- 26
ται οὐκ ἦσαν αἴροντες τὴν σκηνὴν καὶ τὰ πάντα σκεύη αὐτῆς εἰς τὴν λει-
τουργίαν αὐτῆς· 27 ὅτι ἐν τοῖς λόγοις Δαυὶδ τοῖς ἐσχάτοις ἐστὶν ὁ ἀριθμὸς 27
υἱῶν Λευὶ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, 28 ὅτι ἔστησεν αὐτοὺς ἐπὶ χεῖρι Ἀα- 28
ρὼν τοῦ λειτουργεῖν ἐν οἴκῳ κυρίου ἐπὶ τὰς αὐλὰς καὶ ἐπὶ τὰ παστοφόρια,
καὶ ἐπὶ τὸν καθαρισμὸν τῶν πάντων ἁγίων, καὶ ἐπὶ τὰ ἔργα λειτουργίας
οἴκου τοῦ θεοῦ· 29 καὶ εἰς τοὺς ἄρτους τῆς προθέσεως, καὶ εἰς τὴν σεμίδαλιν 29
τῆς θυσίας, καὶ εἰς τὰ λάγανα τὰ ἄζυμα, καὶ εἰς τήγανον, καὶ εἰς τὴν πε-
φυραμένην, καὶ εἰς πᾶν μέτρον· 30 καὶ τοῦ στῆναι πρωῒ τοῦ αἰνεῖν καὶ ἐξο- 30
μολογεῖσθαι τῷ κυρίῳ, καὶ οὕτω τὸ ἑσπέρας· 31 καὶ ἐπὶ πάντων τῶν ἀναφε- 31
ρομένων ὁλοκαυτωμάτων τῷ κυρίῳ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νεομηνίαις
καὶ ἐν ταῖς ἑορταῖς, κατὰ ἀριθμόν, κατὰ τὴν κρίσιν ἐπ' αὐτοῖς διὰ παντὸς
τῷ κυρίῳ· 32 καὶ φυλάξουσι τὰς φυλακὰς σκηνῆς τοῦ μαρτυρίου καὶ τὴν φυ- 32
λακὴν τοῦ ἁγίου καὶ τὰς φυλακὰς υἱῶν Ἀαρὼν ἀδελφῶν αὐτῶν τοῦ λειτουρ-
γεῖν ἐν οἴκῳ κυρίου.

## XXIV.

Καὶ τοὺς υἱοὺς Ἀαρὼν διαιρέσει Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ
Ἰθάμαρ. 2 καὶ ἀπέθανε Ναδὰβ καὶ Ἀβιοὺδ ἐναντίον τοῦ πατρὸς αὐτῶν, καὶ 2
υἱοὶ οὐκ ἦσαν αὐτοῖς, καὶ ἱεράτευσεν Ἐλεάζαρ καὶ Ἰθάμαρ υἱοὶ Ἀαρών. 3 καὶ 3
διεῖλεν αὐτοὺς Δαυίδ, καὶ Σαδὼκ ἐκ τῶν υἱῶν Ἐλεάζαρ, καὶ Ἀχιμέλεχ ἐκ
τῶν υἱῶν Ἰθάμαρ, κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, κατὰ τὴν λειτουργίαν αὐτῶν,
κατ' οἴκους πατριῶν αὐτῶν. 4 καὶ εὑρέθησαν οἱ υἱοὶ Ἐλεάζαρ πλείους εἰς 4
ἄρχοντας τῶν δυνατῶν παρὰ τοὺς υἱοὺς Ἰθάμαρ· καὶ διεῖλεν αὐτοὺς τοῖς υἱοῖς
Ἐλεάζαρ ἄρχοντας εἰς οἴκους πατριῶν ἑκκαίδεκα, τοῖς υἱοῖς Ἰθάμαρ κατ'
οἴκους πατριῶν ὀκτώ. 5 καὶ διεῖλεν αὐτοὺς κατὰ κλήρους τούτους πρὸς τού- 5
τους, ὅτι ἦσαν ἄρχοντες τῶν ἁγίων καὶ ἄρχοντες κυρίου ἐν τοῖς υἱοῖς Ἐλεά-
ζαρ καὶ ἐν τοῖς υἱοῖς Ἰθάμαρ. 6 καὶ ἔγραψεν αὐτοὺς Σαμαΐας υἱὸς Ναθαναὴλ 6
ὁ γραμματεὺς ἐκ τοῦ Λευὶ κατέναντι τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ
Σαδὼκ ὁ ἱερεύς, καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ, καὶ ἄρχοντες τῶν πατριῶν τῶν
ἱερέων καὶ τῶν Λευιτῶν οἴκου πατριᾶς εἷς εἷς τῷ Ἐλεάζαρ καὶ εἷς εἷς τῷ
Ἰθάμαρ. 7 καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος τῷ Ἰωαρίμ, τῷ Ἰεδίᾳ ὁ δεύτερος, 7
8 τῷ Χαρὶβ ὁ τρίτος, τῷ Σεωρὶμ ὁ τέταρτος, 9 τῷ Μελχίᾳ ὁ πέμπτος, τῷ 8 9

---

18. ισσααρ ... σαλουμωθ 19. ιαζιηλ 20. ιεσσια 21. και μουσι ... ελιαζαρ (non v. 22.) και κεις 22. κεις 24. om αυτων post ονοματων 25. τω ισραηλ λαω 26. κ. παντα τα 27. ο αρ. των λευιτων λευι 28. επι χειρα 29. om και priora duo 30. om και secundum ... ουτως 32. om και την φυλακην του αγιου XXIV. 1. τοις υιοις ... *om διαιρεσει, ** διαιρεσεις υιοι ααρων ... om και ante ελεαζαρ 3. αχιμελεχ 4. om οι ... εκκαιδ. και 6. σαμμαιας ... του ιερεως ... υιου 7. εξηλθεν ολοκληρος ... τω ιαρειβ, τω ιδεια 8. χαρημ ... του σεωριν

Digitized by Google

10 11 Μεϊαμὶν ὁ ἕκτος, [10] τῷ Κὼς ὁ ἕβδομος, τῷ 'Αβίᾳ ὁ ὄγδοος, [11] τῷ 'Ιησοῦ ὁ
12 ἔννατος, τῷ Σεχενίᾳ ὁ δέκατος, [12] τῷ 'Ελιαβὶ ὁ ἑνδέκατος, τῷ 'Ιακὶμ ὁ δω-
13 δέκατος, [13] τῷ 'Οπφᾶ ὁ τρισκαιδέκατος, τῷ 'Ιεσβαὰλ ὁ τεσσαρεσκαιδέκατος,
14 15 [14] τῷ Βελγᾶ ὁ πεντεκαιδέκατος, τῷ 'Εμμὴρ ὁ ἑκκαιδέκατος, [15] τῷ Χηζὶν ὁ
16 ἑπτακαιδέκατος, τῷ 'Αφεσὴ ὁ ὀκτωκαιδέκατος, [16] τῷ Φεταίᾳ ὁ ἐννεακαιδέ-
17 κατος, τῷ 'Εζεκὴλ ὁ εἰκοστός, [17] τῷ 'Αχὶμ ὁ εἷς καὶ εἰκοστός, τῷ Γαμοὺλ
18 ὁ δεύτερος καὶ εἰκοστός, [18] τῷ 'Αδαλλαὶ ὁ τρίτος καὶ εἰκοστός, τῷ Μαασαὶ
19 ὁ τέταρτος καὶ εἰκοστός. [19] αὕτη ἡ ἐπίσκεψις αὐτῶν κατὰ τὴν λειτουργίαν
αὐτῶν τοῦ εἰςπορεύεσθαι εἰς οἶκον κυρίου κατὰ τὴν κρίσιν αὐτῶν διὰ χειρὸς
20 'Ααρὼν πατρὸς αὐτῶν, ὡς ἐνετείλατο κύριος ὁ θεὸς 'Ισραήλ. [20] καὶ τοῖς υἱοῖς
Λευὶ τοῖς καταλοίποις, τοῖς υἱοῖς 'Αμβρὰμ Σωβαήλ· τοῖς υἱοῖς Σωβαὴλ 'Ιεδία·
21 22 [21] τῷ 'Ρααβίᾳ ὁ ἄρχων. [22] καὶ τῷ 'Ισααρὶ Σαλωμώθ· τοῖς υἱοῖς Σαλωμὼθ
23 'Ιάθ. [23] υἱοὶ 'Εχδιοῦ· 'Αμαδία ὁ δεύτερος, 'Ιαζιὴλ ὁ τρίτος, 'Ιεκμοὰμ ὁ τέ-
24 25 ταρτος. [24] τοῖς υἱοῖς 'Οζιὴλ Μιχά· υἱοὶ Μιχὰ Σαμήρ· [25] ἀδελφὸς Μιχὰ 'Ισία·
26 27 υἱὸς 'Ισία Ζαχαρία. [26] υἱοὶ Μεραρὶ Μοολὶ καὶ ὁ Μουσί· υἱοὶ 'Οζία [27] τοῦ
28 Μεραρὶ τῷ 'Οζίᾳ· υἱοὶ αὐτοῦ 'Ισοὰμ καὶ Σακχοὺρ καὶ 'Αβαΐ. [28] τῷ Μοολὶ
29 'Ελεάζαρ καὶ 'Ιθάμαρ· καὶ ἀπέθανεν 'Ελεάζαρ καὶ οὐκ ἦσαν αὐτῷ υἱοί. [29] τῷ
30 Κίς, υἱοὶ τοῦ Κὶς 'Ιεραμεήλ. [30] καὶ υἱοὶ τοῦ Μουσὶ Μοολὶ καὶ 'Εδὲρ καὶ
31 'Ιεριμώθ. οὗτοι υἱοὶ τῶν Λευιτῶν κατ' οἴκους πατριῶν αὐτῶν. [31] καὶ ἔλαβον
καὶ αὐτοὶ κλήρους καθὼς οἱ ἀδελφοὶ αὐτῶν υἱοὶ 'Ααρὼν ἐναντίον τοῦ βασιλέως
καὶ Σαδὼκ καὶ 'Αχιμέλεχ καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῶν ἱερέων καὶ τῶν
Λευιτῶν πατριάρχαι 'Αραάβ, καθὼς οἱ ἀδελφοὶ αὐτοῦ οἱ νεώτεροι.

## XXV.

Καὶ ἔστησε Δαυὶδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τῆς δυνάμεως εἰς τὰ ἔργα
τοὺς υἱοὺς 'Ασὰφ καὶ Αἱμὰν καὶ 'Ιδιθοὺν τοὺς ἀποφθεγγομένους ἐν κινύραις
καὶ ἐν νάβλαις καὶ ἐν κυμβάλοις· καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφα-
2 λὴν αὐτῶν ἐργαζομένων ἐν τοῖς ἔργοις αὐτῶν. [2] υἱοὶ 'Ασάφ· Σαχχούρ, 'Ιωσὴφ
3 καὶ Ναθανίας καὶ 'Εραήλ· υἱοὶ 'Ασὰφ ἐχόμενοι τοῦ βασιλέως. [3] τῷ 'Ιδιθούν,
υἱοὶ 'Ιδιθούν· Γοδολίας καὶ Σουρὶ καὶ 'Ισίας καὶ 'Ασαβίας καὶ Ματθαθίας,
ἓξ μετὰ τὸν πατέρα αὐτῶν 'Ιδιθοὺν ἐν κινύρᾳ ἀνακρουόμενοι ἐξομολόγησιν καὶ
4 αἴνεσιν τῷ κυρίῳ. [4] τῷ Αἱμάν, υἱοὶ Αἱμάν· Βουκίας καὶ Ματθανίας καὶ
'Οζιὴλ καὶ Σουβαὴλ καὶ 'Ιεριμὼθ καὶ 'Ανανίας καὶ 'Ανὰν καὶ 'Ελιαθὰ καὶ
Γοδολλαθὶ καὶ 'Ρωμετθιέζερ καὶ 'Ιεσβασαχὰ καὶ Μαλλιθὶ καὶ 'Ωθηρὶ καὶ
5 Μεαζώθ. [5] πάντες οὗτοι υἱοὶ τῷ Αἱμὰν τῷ ἀνακρουομένῳ τῷ βασιλεῖ ἐν λόγοις
θεοῦ ὑψῶσαι κέρας· καὶ ἔδωκεν ὁ θεὸς τῷ Αἱμὰν υἱοὺς τεσσαρεσκαίδεκα καὶ
6 θυγατέρας τρεῖς. [6] πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν ὑμνῳδοῦντες ἐν οἴκῳ

---

9. μεϊαμειν 10. ακκως ... ογδος 11. ενατος 12. ελιασειβ ... ελιακειμ 13. οφφα ... ισβααλ 15. ιεζειρ ... αφεσση 16. φεθεϊα 17. ιαχειν ... γαμουηλ 18. δαλαϊα ... μοοζαλ 20. αμραμ σουβαηλ, ιαδαια, αραδεια· (omissis τοις υι. σωβ. ιεδ.) 21. ο αρχ. ιεσιας 22. ισσααρι ... ιναθ 23. και υιοι ιεδιου ... αμαριας ... ιεκεμια 24. υιοι οζιηλ 25. αδελφοις μιχα ασια· υιοι ισια ζαχαριας 26. και μουσι ... post οζια add υιοι βοννι 27. υιοι μεραρι ... ισσοαμ κ. ζακχουρ κ. ωβδι 28. om και ιθαμαρ usque αυτω υιοι 29. κεις bis ... ιραμαηλ 31. και αρχοντων πατριων ... πατριαι αρως pro πατριαρχ. αρααβ XXV. 1. ιδιθουμ 2. ζακχουρ και ι. κ. ν. κ. ιεσιηλ ... εχομενα 3. τω ιδιθουμ ... *om υιοι ιδιθουμ (postea est ιδιθουν) ... om και primum ... σουρι κ. ιεεϊα και σεμεΐ κ. ασαβιας κ. ματταθιας 4. βοκκιας ... ιεριμουθ ... ανανι pro αναν ... γεδολλαθι κ. ρωμεμθι εζερ κ. σεβα καιταν κ. μεαλωθι κ. ιωεθιρι κ. μααζιωθ 5. δεκατεσσαρες κ. θυγατερες τρ.

Digitized by Google

θεοῦ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις εἰς τὴν δουλείαν οἴκου τοῦ
θεοῦ ἐχόμενα τοῦ βασιλέως, καὶ Ἀσὰφ καὶ Ἰδιθοὺν καὶ Αἱμάν. [7] καὶ ἐγένετο 7
ὁ ἀριθμὸς αὐτῶν μετὰ τοὺς ἀδελφοὺς αὐτῶν δεδιδαγμένοι ᾄδειν κυρίῳ πᾶς
συνιῶν διακόσιοι ὀγδοήκοντα καὶ ὀκτώ. [8] καὶ ἔβαλον καὶ αὐτοὶ κλήρους ἐφη- 8
μεριῶν κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν, τελείων καὶ μανθανόντων. [9] καὶ 9
ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος υἱῶν αὐτοῦ καὶ ἀδελφῶν αὐτοῦ τῷ Ἀσὰφ τοῦ
Ἰωσήφ, Γοδολίας· ὁ δεύτερος Ἡνεία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκα-
δύο· [10] ὁ τρίτος Ζαχχούρ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [11] ὁ τέταρ- 10 11
τος Ἰεσρί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [12] ὁ πέμπτος Νάθαν, υἱοὶ 12
αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [13] ὁ ἕκτος Βουκίας, υἱοὶ αὐτοῦ καὶ ἀδελ- 13
φοὶ αὐτοῦ δεκαδύο· [14] ὁ ἕβδομος Ἰσεριήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ 14
δεκαδύο· [15] ὁ ὄγδοος Ἰωσία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [16] ὁ 15 16
ἔννατος Ματθανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [17] ὁ δέκατος 17
Σεμεΐα, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [18] ὁ ἑνδέκατος Ἀσριήλ, υἱοὶ 18
αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [19] ὁ δωδέκατος Ἀσαβία, υἱοὶ αὐτοῦ καὶ 19
ἀδελφοὶ αὐτοῦ δεκαδύο· [20] ὁ τρισκαιδέκατος Σουβαήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελ- 20
φοὶ αὐτοῦ δεκαδύο· [21] ὁ τεσσαρεσκαιδέκατος Ματθαθίας, υἱοὶ αὐτοῦ καὶ ἀδελ- 21
φοὶ αὐτοῦ δεκαδύο· [22] ὁ πεντεκαιδέκατος Ἰεριμώθ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ 22
αὐτοῦ δεκαδύο· [23] ὁ ἑκκαιδέκατος Ἀνανία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ 23
δεκαδύο· [24] ὁ ἑπτακαιδέκατος Ἰεσβασακά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκα- 24
δύο· [25] ὁ ὀκτωκαιδέκατος Ἀνανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· 25
[26] ὁ ἐννεακαιδέκατος Μαλλιθί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [27] ὁ 26 27
εἰκοστὸς Ἐλιαθά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [28] ὁ εἰκοστὸς πρῶ- 28
τος Ὠθηρί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [29] ὁ εἰκοστὸς δεύτερος 29
Γοδολλαθί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [30] ὁ εἰκοστὸς τρίτος Μεα- 30
ζώθ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο· [31] ὁ εἰκοστὸς τέταρτος Ῥωμετ- 31
θιέζερ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο.

## XXVI.

Καὶ εἰς διαιρέσεις τῶν πυλῶν υἱοὶ Κορεΐμ Μοσελλεμία ἐκ τῶν υἱῶν Ἀσάφ.
[2] καὶ τῷ Μοσελλαμίᾳ υἱὸς Ζαχαρίας ὁ πρωτότοκος, Ἰαδιὴλ ὁ δεύτερος, Ζα- 2
βαδία ὁ τρίτος, Ἰενουὴλ ὁ τέταρτος, [3] Ἰωλὰμ ὁ πέμπτος, Ἰωνάθαν ὁ ἕκτος, 3
Ἐλιωναΐ ὁ ἕβδομος, [4] Ἀβδεδὸμ ὁ ὄγδοος. καὶ τῷ Ἀβδεδὸμ υἱοί· Σαμαίας ὁ 4
πρωτότοκος, Ἰωζαβὰδ ὁ δεύτερος, Ἰωὰθ ὁ τρίτος, Σαχὰρ ὁ τέταρτος, Να-
θαναὴλ ὁ πέμπτος, [5] Ἀμιὴλ ὁ ἕκτος, Ἰσσάχαρ ὁ ἕβδομος, Φελαθὶ ὁ ὄγδοος, 5
ὅτι εὐλόγησεν αὐτὸν ὁ θεός. [6] καὶ τῷ Σαμαίᾳ υἱῷ αὐτοῦ ἐτέχθησαν υἱοὶ τοῦ 6
πρωτοτόκου Ῥωσαὶ εἰς τὸν οἶκον τὸν πατρικὸν αὐτοῦ, ὅτι δυνατοὶ ἦσαν. [7] υἱοὶ 7

---

6. om εις τ. δουλ. οικ. τ. θεου 7. μετα των αδελφων ... om και ante οκτω 9. εξηλθ. ολοκληρος ... ηνια ... αδελφοι αυτου κ. υιοι αυτου δωδεκα 10. δωδεκα 11. ιεσδρι ... δωδεκα 12. ναθανιας ... δωδεκα 13. κοκκιας .., δωδεκα 14. ισρεηλα ... δωδεκα 15. ισιας ... δωδεκα 16. ενατος ... δωδεκα 17. σεμεΐ ... δωδεκα 18. εζριηλ ... δωδεκα 19. δωδεκα 20. δωδεκα 21. ματθιας ... δωδεκα 22. δωδεκα 23. ανανιας ... δωδεκα 24. ιεσβακαταν ... δωδεκα 25. ανανι ... δωδεκα 26. μελληθι ... δωδεκα 27. ελιαθ ... δωδεκα 28. και πρωτος ... ιεθιρι ... δωδεκα 29. γεδδελθι ... δωδεκα 30. ο τριτος και εικ. μααζιωθ ... δωδεκα 31. ο τεταρτ. και εικ. ρωμεθ μιεζερ ... κ. οι αδελφ. α. δωδεκα XXVI. 1. Και διαιρεσις τ. π. υιοις κορε μοσολλαμ υιος κορηε εκ των 2. μασελλαμια υιοι ... ζαβαδιας ο τρ., ναθανα ο τεταρτος 3. ιενουηλωλαμ ο π. ιωναν ο εκτ., ελιωηναΐ ο εβδ. 4. om αβδ. ο ογδοος ... αβδοδομ ... σαμεΐας ... ιωζαβαδ ... ιωαα ... σαχιαρ 5. φολλαθι 6. σαμεΐα ... τω πρωτοτοκω ρωσαΐ

Σαμαΐ· Ὀθνὶ καὶ Ῥαφαὴλ καὶ Ὠβὴδ καὶ Ἐλζαβὰθ καὶ Ἀχιοὺδ, υἱοὶ δυνα-
8 τοὶ Ἑλιοῦ καὶ Σαβαχία καὶ Ἰσβακώμ. 8 πάντες ἀπὸ τῶν υἱῶν Ἀβδεδόμ, αὐ-
τοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν ποιοῦντες δυνατῶς ἐν τῇ ἐργα-
9 σίᾳ, οἱ πάντες ἑξηκονταδύο τῷ Ἀβδεδόμ. 9 καὶ τῷ Μοσελλεμίᾳ υἱοὶ καὶ ἀδελ-
10 φοὶ δεκακαιοκτὼ δυνατοί. 10 καὶ τῷ Ὁσᾷ τῶν υἱῶν Μεραρὶ υἱοὶ φυλάσσοντες
τὴν ἀρχήν, ὅτι οὐκ ἦν πρωτότοκος· καὶ ἐποίησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ ἄρ-
11 χοντα τῆς διαιρέσεως τῆς δευτέρας. 11 Χελκίας ὁ δεύτερος, Ταβλαὶ ὁ τρίτος,
Ζαχαρίας ὁ τέταρτος· πάντες οὗτοι υἱοὶ καὶ ἀδελφοὶ τῷ Ὁσᾷ τρισκαίδεκα.
12 12 τούτοις αἱ διαιρέσεις τῶν πυλῶν τοῖς ἄρχουσι τῶν δυνατῶν ἐφημερίαι κα-
13 θὼς οἱ ἀδελφοὶ αὐτῶν λειτουργεῖν ἐν οἴκῳ κυρίου. 13 καὶ ἔβαλον κλήρους
κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κατ' οἴκους πατριῶν αὐτῶν εἰς πυλῶνα
14 καὶ πυλῶνα. 14 καὶ ἔπεσεν ὁ κλῆρος τῶν πρὸς ἀνατολὰς τῷ Σελεμίᾳ καὶ Ζα-
χαρίᾳ· υἱοὶ Σωὰζ τῷ Μελχίᾳ ἔβαλον κλήρους, καὶ ἐξῆλθεν ὁ κλῆρος βορρᾶ·
15 16 15 τῷ Ἀβδεδὸμ νότον κατέναντι οἴκου Ἐσεφίμ· 16 εἰς δεύτερον τῷ Ὁσᾷ πρὸς
δυσμαῖς μετὰ τὴν πύλην παστοφορίου τῆς ἀναβάσεως· φυλακὴ κατέναντι φυ-
17 λακῆς. 17 πρὸς ἀνατολὰς ἓξ τὴν ἡμέραν, βορρᾶ τῆς ἡμέρας τέσσαρες, νότον
18 τῆς ἡμέρας τέσσαρες, καὶ εἰς τὸν Ἐσεφὶμ δύο 18 εἰς διαδεχομένους, καὶ τῷ
Ὁσᾷ πρὸς δυσμαῖς μετὰ τὴν πύλην τοῦ παστοφορίου τρεῖς. φυλακὴ κατέναντι
φυλακῆς τῆς ἀναβάσεως πρὸς ἀνατολὰς τῆς ἡμέρας ἕξ, καὶ τῷ βορρᾷ τέσσα-
ρες, καὶ τῷ νότῳ τέσσαρες, καὶ Ἐσεφὶμ δύο εἰς διαδεχομένους, καὶ πρὸς
19 δυσμαῖς τέσσαρες, καὶ εἰς τὸν τρίβον δύο διαδεχομένους. 19 αὗται αἱ διαιρέ-
20 σεις τῶν πυλωρῶν τοῖς υἱοῖς τοῦ Κορὲ καὶ τοῖς υἱοῖς Μεραρί. 20 καὶ οἱ Λευῖ-
ται ἀδελφοὶ αὐτῶν ἐπὶ τῶν θησαυρῶν οἴκου κυρίου καὶ ἐπὶ τῶν θησαυρῶν
21 τῶν καθηγιασμένων. 21 υἱοὶ Λαδὰν οὗτοι, υἱοὶ τῷ Γηρσωνί· τῷ Λαδὰν ἄρχον-
22 τες πατριῶν τῷ Λαδάν, τῷ Γηρσωνὶ Ἰειήλ. 22 υἱοὶ Ἰειὴλ Ζεθὸμ καὶ Ἰωὴλ
23 οἱ ἀδελφοὶ ἐπὶ τῶν θησαυρῶν οἴκου κυρίου. 23 τῷ Ἀμβρὰμ καὶ Ἰσσάαρ Χε-
24 βρὼν καὶ Ὀζιήλ. 24 καὶ Σουβαὴλ ὁ τοῦ Γηρσὰμ τοῦ Μωυσῆ ἐπὶ τῶν θησαυ-
25 ρῶν. 25 καὶ τῷ ἀδελφῷ αὐτοῦ Ἐλιέζερ Ῥαβίας υἱὸς καὶ Ἰωσίας καὶ Ἰωρὰμ
26 καὶ Ζεχρὶ καὶ Σαλωμώθ. 26 αὐτὸς Σαλωμὼθ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπὶ πάν-
των τῶν θησαυρῶν τῶν ἁγίων, οὓς ἡγίασε Δαυὶδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες
27 τῶν πατριῶν χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ ἀρχηγοὶ τῆς δυνάμεως· 27 ἃ
ἔλαβεν ἐκ πόλεων καὶ ἐκ τῶν λαφύρων, καὶ ἡγίασεν ἀπ' αὐτῶν τοῦ μὴ κα-
28 θυστερῆσαι τὴν οἰκοδομὴν τοῦ οἴκου τοῦ θεοῦ· 28 καὶ ἐπὶ πάντων τῶν ἁγίων
τοῦ θεοῦ Σαμουὴλ τοῦ προφήτου καὶ Σαοὺλ τοῦ Κὶς καὶ Ἀβεννὴρ τοῦ Νὴρ
καὶ Ἰωὰβ τοῦ Σαρουία, πᾶν ὃ ἡγίασαν διὰ χειρὸς Σαλωμὼθ καὶ τῶν ἀδελ-
29 φῶν αὐτοῦ. 29 τῷ Ἰσσααρὶ Χωνενία καὶ υἱοὶ τῆς ἐργασίας τῆς ἔξω ἐπὶ τὸν
30 Ἰσραὴλ τοῦ γραμματεύειν καὶ διακρίνειν. 30 τῷ Χεβρωνὶ Ἀσαβίας καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ υἱοὶ δυνατοὶ χίλιοι καὶ ἑπτακόσιοι ἐπὶ τῆς ἐπισκέψεως τοῦ Ἰσραὴλ

---

7. σεμεϊα· γοθνι κ. ρ. κ. ιωβηδ κ. ελζαβαδ κ. αχιου ... δυνατοι ισχυι ε. και σαμαχιας κ. ιεβακωβ 8. οι αδελφ. αυτ. και υιοι αυτων ... τω αβδοδομ (priore loco αβδεδομ) 9. μεσολλεμια ... δεκαοκτω και δυνατοι 10. ωσα απο των ... ην αυτω πρωτοτ. 11. χελκειας ... ταβελιας ... τω ωσα δεκατρις 12. η διαιρεσις 14. κατα ανατολας ... ζαχαρια υιω ιωιας τω 15. αβδοδομ ... ασαφειν 16. τω σεφιειμ (om εις δευτερ.) τω ωσα προς δυσμας ... του παστοφοριου ... om φυλακη κατεναντι 17. κατ ανατολας ... a τεσσαρες ad τεσσαρες transilit ... το ασαφειν δυο δυο 18. τω ιας ... παστοφορειου ... εσεφειμ ... πρ. δυσμας 19. om του 21. λεδαν ... om ουτοι ... τω λεδαν ... τω λααδα, τω γηρσωνει 22. και υιοι ιεηλ ζοθομ κ. ι. ο αδελφος αυτου 23. τω αμραμι κ. ισσαρι 24. ante επι add ηγουμενος 25. τω ελιεζερ ρααβιας υι. αυτου κ. ωσαιας 26. ου ηγιασεν 27. εκ των πολεμων 28. om του θεου ... κεις ... σαρουιας 29. τω ισααρι χωνενιας κ. υι. αυτου

Digitized by Google

πέραν τοῦ Ἰορδάνου πρὸς δυσμαῖς εἰς πᾶσαν λειτουργίαν κυρίου καὶ ἐργασίαν
τοῦ βασιλέως. [31] τοῦ Χεβρωνὶ Οὐρίας ὁ ἄρχων τῶν Χεβρωνὶ κατὰ γενέσεις 31
αὐτῶν κατὰ πατριάς, ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ ἐπεσκέ-
πησαν, καὶ εὑρέθη ἀνὴρ δυνατὸς ἐν αὐτοῖς ἐν Ἰαζὴρ τῆς Γαλααδίτιδος.
[32] καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ δυνατοὶ δισχίλιοι ἑπτακόσιοι οἱ ἄρχοντες τῶν 32
πατριῶν, καὶ κατέστησεν αὐτοὺς Δαυὶδ ὁ βασιλεὺς ἐπὶ τοῦ Ῥουβηνὶ καὶ Γαδδὶ
καὶ ἡμίσους φυλῆς Μανασσῆ εἰς πᾶν πρόσταγμα κυρίου καὶ λόγον βασιλέως.

## XXVII.

Καὶ υἱοὶ Ἰσραὴλ κατὰ ἀριθμὸν αὐτῶν ἄρχοντες τῶν πατριῶν χιλίαρχοι
καὶ ἑκατόνταρχοι καὶ γραμματεῖς οἱ λειτουργοῦντες τῷ βασιλεῖ καὶ εἰς πᾶν
λόγον τοῦ βασιλέως κατὰ διαιρέσεις, πᾶν λόγον τοῦ εἰςπορευομένου καὶ ἐκ-
πορευομένου μῆνα ἐκ μηνός, εἰς πάντας τοὺς μῆνας τοῦ ἐνιαυτοῦ, διαίρεσις
μία εἴκοσι καὶ τέσσαρες χιλιάδες. [2] καὶ ἐπὶ τῆς διαιρέσεως τῆς πρώτης τοῦ 2
μηνὸς τοῦ πρώτου Ἰσβοὰζ ὁ τοῦ Ζαβδιήλ, ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι
καὶ τέσσαρες χιλιάδες. [3] ἀπὸ τῶν υἱῶν Φαρὲς ἄρχων πάντων τῶν ἀρχόντων 3
τῆς δυνάμεως τοῦ μηνὸς τοῦ πρώτου. [4] καὶ ἐπὶ τῆς διαιρέσεως τοῦ μηνὸς 4
τοῦ δευτέρου Δωδία ὁ ἐκ Χώκ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ καὶ Μακελλὼθ
ὁ ἡγούμενος, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες
ἄρχοντες δυνάμεως. [5] ὁ τρίτος τὸν μῆνα τὸν τρίτον Βαναίας ὁ τοῦ Ἰωδαὲ ὁ 5
ἱερεὺς ὁ ἄρχων, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.
[6] αὐτὸς Βαναίας ὁ δυνατώτερος τῶν τριάκοντα καὶ ἐπὶ τῶν τριάκοντα, καὶ 6
ἐπὶ τῆς διαιρέσεως αὐτοῦ Ζαβὰδ ὁ υἱὸς αὐτοῦ. [7] ὁ τέταρτος εἰς τὸν μῆνα 7
τὸν τέταρτον Ἀσαὴλ ὁ ἀδελφὸς Ἰωὰβ καὶ Ζαβαδίας υἱὸς αὐτοῦ καὶ οἱ ἀδελ-
φοί, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες. [8] ὁ πέμ- 8
πτος τῷ μηνὶ τῷ πέμπτῳ ὁ ἡγούμενος Σαμαὼθ ὁ Ἰεσραέ, καὶ ἐπὶ τῆς
διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες. [9] ὁ ἕκτος τῷ μηνὶ τῷ ἕκτῳ 9
Ὀδουίας ὁ τοῦ Ἐκκῆς ὁ Θεκωίτης, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ
τέσσαρες χιλιάδες. [10] ὁ ἕβδομος τῷ μηνὶ τῷ ἑβδόμῳ Χελλὴς ὁ ἐκ Φαλλοῦς 10
ἀπὸ τῶν υἱῶν Ἐφραΐμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες
χιλιάδες. [11] ὁ ὄγδοος τῷ μηνὶ τῷ ὀγδόῳ Σοβοχαΐ ὁ Οὐσαθὶ τῷ Ζαραΐ, καὶ 11
ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες. [12] ὁ ἔννατος τῷ μηνὶ 12
τῷ ἐννάτῳ Ἀβιέζερ ὁ ἐξ Ἀναθὼθ ὁ ἐκ γῆς Βενιαμίν, καὶ ἐπὶ τῆς διαιρέσεως
αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες. [13] ὁ δέκατος τῷ μηνὶ τῷ δεκάτῳ Μεηρὰ 13
ὁ ἐκ Νετωφαθὶ τῷ Ζαραΐ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσα-
ρες χιλιάδες. [14] ὁ ἑνδέκατος τῷ μηνὶ τῷ ἑνδεκάτῳ Βαναίας ὁ ἐκ Φαραθὼν 14
ἐκ τῶν υἱῶν Ἐφραΐμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες
χιλιάδες. [15] ὁ δωδέκατος εἰς τὸν μῆνα τὸν δωδέκατον Χολδία ὁ ἐκ Νετωφαθὶ 15
τῷ Γοθονιήλ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

---

30. τω κυριω 31. ιωριας ο αρχ. τω χεβρ. ... τεσσερακοστω ... εν γαζηρ 32. χιλιοι επτακοσιοι αρχοντες πατριων ... ημισεις ... εις παντα λογον του θεου και XXVII. 1. λειτουργ. τω λαω ... διαιρεσεις, και εις παντα λογον 2. ισβοαμ ... ζαβδιηλ, και επι 4. δωαϊα ο αωθι ... a διαιρ. αυτου ad διαιρ. αυτου transilit 5. βαναιας (sed βαναϊας v. 6.) ... τεσσαρ. και εικοσι 6. om ὁ prius ... * om κ. επι των τριακοντα ... διαιρεσ. αυτων αμιραζαθ υιος αυτου (sed haec rescr. sunt) 7. ζαβδιας ο ... τεσσαρ. κ. εικοσι 8. ο ιεζραελ 9. om τω prius ... εκτω ειρα υιος εκκης 10. τεσσ. και εικοσι 11. ογδος ... om ο ουσαθι τω ζαραϊ ... τεσσ. κ. εικ. 12. ενατος ... ενατω ... αναθωθ εκ γης βενιαμειν 13. μοοραϊ ο εκ νετουφατ ... τεσσ. κ. εικ. 14. om εκ secundum ... τεσσ. κ. εικ. 15. χολδαϊ ο εκ νετωφατι ... τεσσ. κ. εικ.



Digitized by Google

16 [16] καὶ ἐπὶ τῶν φυλῶν Ἰσραήλ, τῷ Ῥουβὴν ἡγούμενος Ἐλιέζερ ὁ τοῦ Ζεχρί·
17 τῷ Συμεὼν Σαφατίας ὁ τοῦ Μααχά· [17] τῷ Λευὶ Ἀσαβίας ὁ τοῦ Καμουήλ·
18 τῷ Ἀαρὼν Σαδώκ· [18] τῷ Ἰούδα Ἐλιὰβ τῶν ἀδελφῶν Δαυίδ· τῷ Ἰσσάχαρ
19 Ἀμβρὶ ὁ τοῦ Μιχαήλ· [19] τῷ Ζαβουλὼν Σαμαΐας ὁ τοῦ Ἀβδίου· τῷ Νεφθαλὶ
20 Ἰεριμὼθ ὁ τοῦ Ὀζιήλ· [20] τῷ Ἐφραῒμ Ὡσὴ ὁ τοῦ Ὀζίου· τῷ ἡμίσει φυλῆς
21 Μανασσῆ Ἰωὴλ υἱὸς Φαδαΐα· [21] τῷ ἡμίσει φυλῆς Μανασσῆ τῷ ἐν γῇ Γαλαὰδ
22 Ἰαδαῒ ὁ τοῦ Ζαδαίου· τοῖς υἱοῖς Βενιαμὶν Ἰασιὴλ ὁ τοῦ Ἀβεννήρ· [22] τῷ Δὰν
23 Ἀζαριὴλ ὁ τοῦ Ἰρωάβ· οὗτοι πατριάρχαι τῶν φυλῶν Ἰσραήλ. [23] καὶ οὐκ ἔλαβε
Δαυὶδ τὸν ἀριθμὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ κάτω, ὅτι εἶπε κύριος πλη-
24 θῦναι τὸν Ἰσραὴλ ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. [24] καὶ Ἰωὰβ ὁ τοῦ Σαρουία
ἤρξατο ἀριθμεῖν ἐν τῷ λαῷ, καὶ οὐ συνετέλεσε· καὶ ἐγένετο ἐν τούτοις ὀργὴ
ἐπὶ Ἰσραήλ, καὶ οὐ κατεχωρίσθη ὁ ἀριθμὸς ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν
25 τοῦ βασιλέως Δαυίδ. [25] καὶ ἐπὶ τῶν θησαυρῶν τοῦ βασιλέως Ἀσμὼθ ὁ τοῦ
Ὀδιήλ, καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν ἀγρῷ καὶ ἐν ταῖς κώμαις καὶ ἐν τοῖς
26 ἐποικίοις καὶ ἐν τοῖς πύργοις Ἰωνάθαν ὁ τοῦ Ὀζίου. [26] καὶ ἐπὶ τῶν γεωρ-
27 γούντων τὴν γῆν τῶν ἐργαζομένων Ἐσδρὶ ὁ τοῦ Χελούβ. [27] καὶ ἐπὶ τῶν χω-
ρίων Σεμεῒ ὁ ἐκ Ῥαήλ, καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν τοῖς χωρίοις τοῦ οἴνου
28 Ζαβδὶ ὁ τοῦ Σεφνί. [28] καὶ ἐπὶ τῶν ἐλαιώνων καὶ ἐπὶ τῶν συκαμίνων τῶν
ἐν τῇ πεδινῇ Βαλλανὰν ὁ Γεδωρίτης· ἐπὶ δὲ τῶν θησαυρῶν τοῦ ἐλαίου Ἰωάς.
29 [29] καὶ ἐπὶ τῶν βοῶν τῶν νομάδων τῶν ἐν τῷ Σαρὼν Σατραῒ ὁ Σαρωνίτης,
30 καὶ ἐπὶ τῶν βοῶν τῶν ἐν τοῖς αὐλῶσι Σωφὰτ ὁ τοῦ Ἀδλί. [30] ἐπὶ δὲ τῶν
31 καμήλων Ἀβίας ὁ Ἰσμαηλίτης. ἐπὶ δὲ τῶν ὄνων Ἰαδίας ὁ ἐκ Μεραθών. [31] καὶ
ἐπὶ τῶν προβάτων Ἰαζὶζ ὁ Ἀγαρίτης. πάντες οὗτοι προστάται ὑπαρχόντων
32 Δαυὶδ τοῦ βασιλέως. [32] καὶ Ἰωνάθαν ὁ πατράδελφος Δαυὶδ σύμβουλος, ἄν-
33 θρωπος συνετός· καὶ Ἰεὴλ ὁ τοῦ Ἀχαμὶ μετὰ τῶν υἱῶν τοῦ βασιλέως. [33] Ἀχι-
τόφελ σύμβουλος τοῦ βασιλέως, καὶ Χουσὶ ὁ πρῶτος φίλος τοῦ βασιλέως.
34 [34] καὶ μετὰ τοῦτον Ἀχιτόφελ ἐχόμενος Ἰωδαὲ ὁ τοῦ Βαναίου καὶ Ἀβιάθαρ·
καὶ Ἰωὰβ ἀρχιστράτηγος τοῦ βασιλέως.

## XXVIII.

Καὶ ἐξεκκλησίασε Δαυὶδ πάντας τοὺς ἄρχοντας Ἰσραὴλ ἄρχοντας τῶν
κριτῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν ἐφημεριῶν τῶν περὶ τὸ σῶμα τοῦ
βασιλέως, καὶ ἄρχοντας τῶν χιλιάδων καὶ τῶν ἑκατοντάδων, καὶ τοὺς γαζο-
φύλακας, καὶ τοὺς ἐπὶ τῶν ὑπαρχόντων αὐτοῦ καὶ πάσης τῆς κτήσεως τοῦ
βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ σὺν τοῖς εὐνούχοις, καὶ τοὺς δυνάστας, καὶ
2 τοὺς μαχητὰς τῆς στρατιᾶς ἐν Ἱερουσαλήμ. [2] καὶ ἔστη Δαυὶδ ἐν μέσῳ τῆς
ἐκκλησίας καὶ εἶπεν Ἀκούσατέ μου, ἀδελφοί μου καὶ λαός μου. ἐμοὶ ἐγένετο
ἐπὶ καρδίαν οἰκοδομῆσαι οἶκον ἀναπαύσεως τῆς κιβωτοῦ διαθήκης κυρίου καὶ
στάσιν ποδῶν κυρίου ἡμῶν, καὶ ἡτοίμασα τὰ εἰς τὴν κατασκήνωσιν ἐπιτή-
3 δεια· [3] καὶ ὁ θεὸς εἶπεν Οὐκ οἰκοδομήσεις ἐμοὶ οἶκον τοῦ ἐπονομάσαι τὸ
ὄνομά μου ἐπ' αὐτῷ, ὅτι ἄνθρωπος πολεμιστὴς εἶ σὺ καὶ αἷμα ἐξέχεας.

---

18. αμαρι pro αμβρι 19. σαμαϊας ... ιεριμουθ 20. τω ημισυ (v. 21. τω ημισι) ... ιωηλ ο του φαλδιι 21. τω εν γαλααδ ιαδδαϊ ο του ζαβδιου ... βενιαμειν ... ασιηλ 22. εζριηλ ο του ιωραμ 23. οτι κυριος ειπεν 24. ο της σαρουια ... επι τον ισραηλ 25. αζμωθ ... ωδιηλ 26. επι δε pro και επι ... εζραϊ 27. σεμεϊ ο ραμαθαιος 28. βαλλανα ο γεδωρ 29. ο του αδαϊ 30. ουβιας ... μαραθων 31. ιωσζιζ 32. συνετος και γραμματευς αυτος· και ιεριηλ ο του αχαμανι 33. και αχιτοφελ ... χουσι πρωτος 34. μετ αυτον ... ιωαδαε ... βαναϊου XXVIII. 1. om και πασης της usque ευνουχοις 2. δαυ. ο βασιλευς εμμεσω ... om μου post αδελφοι 3. αιματα

Digitized by Google

4 καὶ ἐξελέξατο κύριος ὁ θεὸς Ἰσραὴλ ἐν ἐμοὶ ἀπὸ παντὸς οἴκου πατρός μου 4
εἶναι βασιλέα ἐπὶ Ἰσραὴλ εἰς τὸν αἰῶνα· καὶ ἐν Ἰούδᾳ ᾑρέτικε τὸ βασίλειον,
καὶ ἐξ οἴκου Ἰούδα τὸν οἶκον τοῦ πατρός μου, καὶ ἐν τοῖς υἱοῖς τοῦ πατρός
μου ἐν ἐμοὶ ἠθέλησε τοῦ γενέσθαι με εἰς βασιλέα ἐπὶ παντὶ Ἰσραήλ. 5 καὶ 5
ἀπὸ πάντων τῶν υἱῶν μου, ὅτι πολλοὺς υἱοὺς ἔδωκέ μοι κύριος, ἐξελέξατο
ἐν Σαλωμὼν τῷ υἱῷ μου καθίσαι αὐτὸν ἐπὶ θρόνου βασιλείας κυρίου ἐπὶ τὸν
Ἰσραήλ. 6 καὶ εἰπέ μοι ὁ θεός Σαλωμὼν ὁ υἱός σου οἰκοδομήσει τὸν οἶκόν 6
μου καὶ τὴν αὐλήν μου, ὅτι ᾑρέτικα ἐν αὐτῷ εἶναί μου υἱὸν κἀγὼ ἔσομαι
αὐτῷ εἰς πατέρα. 7 καὶ κατορθώσω τὴν βασιλείαν αὐτοῦ ἕως αἰῶνος, ἐὰν 7
ἰσχύσῃ τοῦ φυλάξασθαι τὰς ἐντολάς μου καὶ τὰ κρίματά μου ὡς ἡ ἡμέρα
αὕτη. 8 καὶ νῦν κατὰ πρόσωπον πάσης ἐκκλησίας κυρίου καὶ ἐν ὠσὶ θεοῦ 8
ἡμῶν, φυλάξασθε καὶ ζητήσατε πάσας τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ἡμῶν,
ἵνα κληρονομήσητε τὴν γῆν τὴν ἀγαθὴν καὶ κατακληρονομήσητε τοῖς υἱοῖς
ὑμῶν μεθ᾽ ὑμᾶς ἕως αἰῶνος. 9 καὶ νῦν, Σαλωμὼν υἱέ, γνῶθι τὸν θεὸν τῶν 9
πατέρων σου καὶ δούλευε αὐτῷ ἐν καρδίᾳ τελείᾳ καὶ ψυχῇ θελούσῃ, ὅτι πά-
σας καρδίας ἐτάζει κύριος καὶ πᾶν ἐνθύμημα γινώσκει· ἐὰν ζητήσῃς αὐτόν,
εὑρεθήσεταί σοι· καὶ ἐὰν καταλείψῃς αὐτόν, καταλείψει σε εἰς τέλος. 10 ἴδε 10
νῦν, ὅτι κύριος ᾑρέτικέ σε οἰκοδομῆσαι αὐτῷ οἶκον εἰς ἁγίασμα, ἴσχυε καὶ
ποίει. 11 καὶ ἔδωκε Δαυὶδ Σαλωμὼν τῷ υἱῷ αὐτοῦ τὸ παράδειγμα τοῦ ναοῦ 11
καὶ τῶν οἴκων αὐτοῦ καὶ τῶν ζακχῶν αὐτοῦ καὶ τῶν ὑπερῴων καὶ τῶν ἀπο-
θηκῶν τῶν ἐσωτέρων καὶ τοῦ οἴκου τοῦ ἐξιλασμοῦ, 12 καὶ τὸ παράδειγμα 12
ὃ εἶχεν ἐν πνεύματι αὐτοῦ τῶν αὐλῶν οἴκου κυρίου, καὶ πάντων τῶν παστο-
φορίων τῶν κύκλῳ τῶν εἰς τὰς ἀποθήκας οἴκου κυρίου καὶ τῶν ἀποθηκῶν
τῶν ἁγίων, 13 καὶ τῶν καταλυμάτων καὶ τῶν ἐφημεριῶν τῶν ἱερέων καὶ τῶν 13
Λευιτῶν εἰς πᾶσαν ἐργασίαν λειτουργίας οἴκου κυρίου, καὶ τῶν ἀποθηκῶν τῶν
λειτουργησίμων σκευῶν τῆς λατρείας οἴκου κυρίου. 14 καὶ τὸν σταθμὸν τῆς 14
ὁλκῆς αὐτῶν τῶν τε χρυσῶν καὶ ἀργυρῶν, 15 λυχνιῶν τὴν ὁλκὴν ἔδωκεν αὐτῷ 15
καὶ τῶν λύχνων. 16 ἔδωκεν αὐτῷ ὁμοίως τὸν σταθμὸν τῶν τραπεζῶν τῆς προ- 16
θέσεως, ἑκάστης τραπέζης χρυσῆς καὶ ὡσαύτως τῶν ἀργυρῶν, 17 καὶ τῶν 17
κρεαγρῶν καὶ σπονδείων καὶ τῶν φιαλῶν τῶν χρυσῶν, καὶ τὸν σταθμὸν τῶν
χρυσῶν καὶ τῶν ἀργυρῶν καὶ θυΐσκων κεφουρέ, ἑκάστου σταθμοῦ. 18 καὶ 18
τῶν τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων ἐκ χρυσίου δοκίμου σταθμὸν ὑπέδει-
ξεν αὐτῷ, καὶ τὸ παράδειγμα τοῦ ἅρματος τῶν Χερουβὶμ τῶν διαπεπετασμέ-
νων ταῖς πτέρυξι καὶ σκιαζόντων ἐπὶ τῆς κιβωτοῦ διαθήκης κυρίου. 19 πάντα 19
ἐν γραφῇ χειρὸς κυρίου ἔδωκε Δαυὶδ Σαλωμὼν κατὰ τὴν περιγενηθεῖσαν αὐτῷ
σύνεσιν τῆς κατεργασίας τοῦ παραδείγματος. 20 καὶ εἶπε Δαυὶδ Σαλωμὼν τῷ 20
υἱῷ αὐτοῦ Ἴσχυε καὶ ἀνδρίζου καὶ ποίει, μὴ φοβοῦ μηδὲ πτοηθῇς, ὅτι κύ-
ριος ὁ θεός μου μετὰ σοῦ, οὐκ ἀνήσει σε καὶ οὐ μή σε ἐγκαταλίπῃ ἕως τοῦ
συντελέσαι σε πᾶσαν ἐργασίαν λειτουργίας οἴκου κυρίου. καὶ ἰδοὺ τὸ παρά-
δειγμα τοῦ ναοῦ καὶ τοῦ οἴκου αὐτοῦ καὶ ζακχῶ αὐτοῦ καὶ τὰ ὑπερῷα καὶ
τὰς ἀποθήκας τὰς ἐσωτέρας καὶ τὸν οἶκον τοῦ ἱλασμοῦ, καὶ τὸ παράδειγμα
οἴκου κυρίου. 21 καὶ ἰδοὺ αἱ ἐφημερίαι τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πᾶσαν 21
λειτουργίαν οἴκου κυρίου, καὶ μετὰ σοῦ ἐν πάσῃ πραγματείᾳ, καὶ πᾶς πρό-
θυμος ἐν σοφίᾳ κατὰ πᾶσαν τέχνην, καὶ οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς εἰς
πάντας τοὺς λόγους σου.

---

4. του πατρος μου ... με βασιλεα επι τω παντι 5. om των ... δεδωκεν ... επι ισραηλ 8. φυλασσεσθε ... κυριου θεου ... κατακληρονομησεται 9. υιε μου ... εξεταζει ... καταλειψεις αυτον 10. ειδε νυν 11. *om αυτου και τ. ζακχων, ** habet αυτου και ζακχω 13. om και secundum 16. post εδωκεν αυτω interpg. 17. σπονδιων ... om και θυΐσκων ... κεφφουρε 18. και τον του ... χερουβειν 20. σε ουδ ου μη εγκαταλειπη εως ου ... ειδον pro ιδου 21. οικου του θεου ... πραγματια



Digitized by Google

## XXIX.

Καὶ εἶπε Δαυὶδ ὁ βασιλεὺς πάσῃ τῇ ἐκκλησίᾳ Σαλωμὼν ὁ υἱός μου, εἰς
ὃν ᾑρέτικεν ἐν αὐτῷ κύριος, νέος καὶ ἁπαλός, καὶ τὸ ἔργον μέγα, ὅτι οὐκ
2 ἀνθρώπῳ ἀλλ' ἢ κυρίῳ θεῷ. [2]κατὰ πᾶσαν τὴν δύναμιν ἡτοίμακα εἰς οἶκον
θεοῦ μου χρυσίον, ἀργύριον, χαλκόν, σίδηρον, ξύλα, λίθους σοὰμ καὶ πλη-
ρώσεως, λίθους πολυτελεῖς καὶ ποικίλους, καὶ πάντα λίθον τίμιον καὶ Πάριον
3 πολύν. [3]καὶ ἔτι ἐν τῷ εὐδοκῆσαί με ἐν οἴκῳ θεοῦ μου ἔστι μοι ὃ περιπε-
ποίημαι χρυσίον καὶ ἀργύριον, καὶ ἰδοὺ δέδωκα εἰς οἶκον θεοῦ μου εἰς ὕψος,
4 ἐκτὸς ὧν ἡτοίμακα εἰς τὸν οἶκον τῶν ἁγίων, [4]τρισχίλια τάλαντα χρυσίου τοῦ
ἐκ Σουφὶρ καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου δοκίμου ἐξαλιφῆναι ἐν αὐτοῖς
5 τοὺς τοίχους τοῦ ἱεροῦ, [5]εἰς τὸ χρυσίον τῷ χρυσίῳ, καὶ εἰς τὸ ἀργύριον τῷ
ἀργυρίῳ, καὶ εἰς πᾶν ἔργον διὰ χειρὸς τῶν τεχνιτῶν. καὶ τίς ὁ προθυμούμε-
6 νος πληρῶσαι τὰς χεῖρας αὐτοῦ σήμερον κυρίῳ; [6]καὶ προεθυμήθησαν ἄρχοντες
πατριῶν καὶ οἱ ἄρχοντες τῶν υἱῶν Ἰσραήλ, καὶ οἱ χιλίαρχοι καὶ οἱ ἑκατόν-
7 ταρχοι, καὶ οἱ προστάται τῶν ἔργων, καὶ οἱ οἰκοδόμοι τοῦ βασιλέως· [7]καὶ
ἔδωκαν εἰς τὰ ἔργα τοῦ οἴκου κυρίου χρυσίου τάλαντα πεντακισχίλια καὶ χρυ-
σοῦς μυρίους, καὶ ἀργυρίου ταλάντων δέκα χιλιάδας, καὶ χαλκοῦ τάλαντα
8 μύρια ὀκτακισχίλια, καὶ σιδήρου ταλάντων χιλιάδας ἑκατόν. [8]καὶ οἷς εὑρέθη
παρ' αὐτοῖς λίθος, ἔδωκαν εἰς τὰς ἀποθήκας οἴκου κυρίου διὰ χειρὸς Ἰειὴλ
9 τοῦ Γεδσωνί. [9]καὶ εὐφράνθη ὁ λαὸς ὑπὲρ τοῦ προθυμηθῆναι, ὅτι ἐν καρδίᾳ
πλήρει προεθυμήθησαν τῷ κυρίῳ, καὶ Δαυὶδ ὁ βασιλεὺς εὐφράνθη μεγάλως.
10 [10]καὶ εὐλόγησεν ὁ βασιλεὺς Δαυὶδ τὸν κύριον ἐνώπιον τῆς ἐκκλησίας λέγων
Εὐλογητὸς εἶ, κύριε ὁ θεὸς Ἰσραήλ, ὁ πατὴρ ἡμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως
11 τοῦ αἰῶνος. [11]σοί, κύριε, ἡ μεγαλωσύνη καὶ ἡ δύναμις καὶ τὸ καύχημα καὶ
ἡ νίκη καὶ ἡ ἰσχύς, ὅτι σὺ πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς δε-
12 σπόζεις· ἀπὸ προσώπου σου ταράσσεται πᾶς βασιλεὺς καὶ ἔθνος. [12]παρὰ σοῦ
ὁ πλοῦτος καὶ ἡ δόξα, σὺ πάντων ἄρχεις, κύριε ὁ ἄρχων πάσης ἀρχῆς, καὶ
ἐν χειρί σου ἰσχὺς καὶ δυναστεία, καὶ ἐν χειρί σου, παντοκράτωρ, μεγαλῦναι
13 καὶ κατισχῦσαι τὰ πάντα. [13]καὶ νῦν, κύριε, ἐξομολογούμεθά σοι καὶ αἰνοῦ-
14 μεν τὸ ὄνομα τῆς καυχήσεώς σου. [14]καὶ τίς εἰμι ἐγὼ καὶ τίς ὁ λαός μου
ὅτι ἰσχύσαμεν προθυμηθῆναί σοι κατὰ ταῦτα; ὅτι σὰ τὰ πάντα, καὶ ἐκ τῶν
15 σῶν δεδώκαμέν σοι. [15]ὅτι πάροικοί ἐσμεν ἐναντίον σου, καὶ παροικοῦντες ὡς
πάντες οἱ πατέρες ἡμῶν· ὡς σκιὰ αἱ ἡμέραι ἡμῶν ἐπὶ γῆς, καὶ οὐκ ἔστιν
16 ὑπομονή. [16]κύριε ὁ θεὸς ἡμῶν, πρὸς πᾶν τὸ πλῆθος τοῦτο ὃ ἡτοίμακα οἰκο-
δομηθῆναι οἶκον τῷ ὀνόματι τῷ ἁγίῳ σου, ἐκ χειρός σοῦ ἐστί, καὶ σοὶ τὰ
17 πάντα. [17]καὶ ἔγνων, κύριε, ὅτι σὺ εἶ ὁ ἐτάζων καρδίας καὶ δικαιοσύνην ἀγα-
πᾷς· ἐν ἁπλότητι καρδίας προεθυμήθην ταῦτα πάντα, καὶ νῦν τὸν λαόν σου
18 τὸν εὑρεθέντα ὧδε εἶδον ἐν εὐφροσύνῃ προθυμηθέντα σοι. [18]κύριε ὁ θεὸς
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραὴλ τῶν πατέρων ἡμῶν, φύλαξον ταῦτα ἐν δια-
νοίᾳ καρδίας λαοῦ σου εἰς τὸν αἰῶνα, καὶ κατεύθυνον τὰς καρδίας αὐτῶν
19 πρὸς σέ. [19]καὶ Σαλωμὼν τῷ υἱῷ μου δὸς καρδίαν ἀγαθὴν ποιεῖν τὰς ἐντολάς
σου καὶ τὰ μαρτύριά σου καὶ τὰ προστάγματά σου, καὶ τοῦ ἐπὶ τέλος ἀγα-
20 γεῖν τὴν κατασκευὴν τοῦ οἴκου σου. [20]καὶ εἶπε Δαυὶδ πάσῃ τῇ ἐκκλησίᾳ
Εὐλογήσατε κύριον τὸν θεὸν ἡμῶν· καὶ εὐλόγησε πᾶσα ἡ ἐκκλησία κύριον
τὸν θεὸν τῶν πατέρων αὐτῶν, καὶ κάμψαντες τὰ γόνατα προσεκύνησαν κυρίῳ

---

XXIX. 1. ανθρωπω η οικοδομη αλλ 2. σοομ ... και λιθ. πολυτελεις 3. εις οικον pro ε. τον οικ. 4. σουφειρ ... εξαλειφθηναι 5. om εις το χρυσ. usque παν εργον ... om των 6. προεθυμωθησαν α. των πατριων ... οικονομοι 8. ιεϊηλ του γηρσωνι 9. ηυφρανθη ab initio 12. δυναστια ... ante παντοκρατωρ add ελεος 14. ο λαος σου 15. επι της γης 16. om παν 18. om και ante κατευθυνον 20. τον κυριον θεον sec. loco ... τω κυριω

Digitized by Google

καὶ τῷ βασιλεῖ. 21 καὶ ἔθυσε Δαυὶδ τῷ κυρίῳ θυσίας, καὶ ἀνήνεγκεν ὁλοκαυ- 21
τώματα τῷ θεῷ τῇ ἐπαύριον τῆς πρώτης ἡμέρας, μόσχους χιλίους, κριοὺς
χιλίους, ἄρνας χιλίους, καὶ τὰς σπονδὰς αὐτῶν, καὶ θυσίας εἰς πλῆθος παντὶ
τῷ Ἰσραήλ. 22 καὶ ἔφαγον καὶ ἔπιον ἐναντίον τοῦ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 22
μετὰ χαρᾶς, καὶ ἐβασίλευσαν ἐκ δευτέρου τὸν Σαλωμὼν υἱὸν Δαυίδ, καὶ
ἔχρισαν αὐτὸν τῷ κυρίῳ εἰς βασιλέα καὶ Σαδὼκ εἰς ἱερωσύνην. 23 καὶ ἐκάθισε 23
Σαλωμὼν ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ εὐδοκήθη, καὶ ὑπήκουσαν
αὐτοῦ πᾶς Ἰσραήλ. 24 οἱ ἄρχοντες καὶ οἱ δυνάσται καὶ πάντες υἱοὶ Δαυὶδ τοῦ 24
βασιλέως τοῦ πατρὸς αὐτοῦ ὑπετάγησαν αὐτῷ. 25 καὶ ἐμεγάλυνε κύριος τὸν 25
Σαλωμὼν ἐπάνωθεν παντὸς Ἰσραήλ, καὶ ἔδωκεν αὐτῷ δόξαν βασιλέως ὃ οὐκ
ἐγένετο ἐπὶ παντὸς βασιλέως ἔμπροσθεν αὐτοῦ. 26 καὶ Δαυὶδ υἱὸς Ἰεσσαὶ ἐβα- 26
σίλευσεν ἐπὶ Ἰσραὴλ 27 ἔτη τεσσαράκοντα, ἐν Χεβρὼν ἔτη ἑπτά, καὶ ἐν Ἱερου- 27
σαλὴμ ἔτη τριακοντατρία. 28 καὶ ἐτελεύτησεν ἐν γήρᾳ καλῷ, πλήρης ἡμερῶν, 28
πλούτῳ καὶ δόξῃ· καὶ ἐβασίλευσε Σαλωμὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 29 οἱ δὲ 29
λοιποὶ λόγοι τοῦ βασιλέως Δαυὶδ οἱ πρότεροι καὶ οἱ ὕστεροι γεγραμμένοι εἰσὶν
ἐν λόγοις Σαμουὴλ τοῦ βλέποντος καὶ ἐπὶ λόγων Νάθαν τοῦ προφήτου καὶ
ἐπὶ λόγων Γὰδ τοῦ βλέποντος, 30 περὶ πάσης τῆς βασιλείας αὐτοῦ καὶ τῆς 30
δυναστείας αὐτοῦ, καὶ οἱ καιροὶ οἳ ἐγένοντο ἐπ' αὐτῷ καὶ ἐπὶ τὸν Ἰσραὴλ
καὶ ἐπὶ πάσας βασιλείας τῆς γῆς.

---

# ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ

## ΔΕΥΤΕΡΟΝ.

### I.

Καὶ ἐνίσχυσε Σαλωμὼν υἱὸς Δαυὶδ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ κύριος
ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ καὶ ἐμεγάλυνεν αὐτὸν εἰς ὕψος. 2 καὶ εἶπε Σαλωμὼν 2
πρὸς πάντα Ἰσραήλ, τοῖς χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις καὶ τοῖς κριταῖς
καὶ πᾶσι τοῖς ἄρχουσιν ἐναντίον Ἰσραὴλ τοῖς ἄρχουσι τῶν πατριῶν. 3 καὶ ἐπο- 3
ρεύθη Σαλωμὼν καὶ πᾶσα ἡ ἐκκλησία εἰς τὴν ὑψηλὴν τὴν ἐν Γαβαών, οὗ
ἐκεῖ ἦν ἡ σκηνὴ τοῦ μαρτυρίου τοῦ θεοῦ ἣν ἐποίησε Μωυσῆς παῖς κυρίου ἐν
τῇ ἐρήμῳ. 4 ἀλλὰ κιβωτὸν τοῦ θεοῦ ἀνήνεγκε Δαυὶδ ἐκ πόλεως Καριαθιαρίμ, 4
ὅτι ἡτοίμασεν αὐτῇ Δαυίδ, ὅτι ἔπηξεν αὐτῇ σκηνὴν ἐν Ἱερουσαλήμ. 5 καὶ τὸ 5
θυσιαστήριον τὸ χαλκοῦν ὃ ἐποίησε Βεσελεὴλ υἱὸς Οὐρίου υἱοῦ Ὢρ ἐκεῖ ἦν
ἔναντι τῆς σκηνῆς κυρίου· καὶ ἐξεζήτησεν αὐτὸ Σαλωμὼν καὶ ἡ ἐκκλησία,
6 καὶ ἤνεγκε Σαλωμὼν ἐκεῖ ἐπὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐνώπιον κυρίου 6
τὸ ἐν τῇ σκηνῇ, καὶ ἤνεγκεν ἐπ' αὐτῷ ὁλοκαύτωσιν χιλίαν. 7 ἐν τῇ νυκτὶ 7
ἐκείνῃ ὤφθη θεὸς τῷ Σαλωμὼν καὶ εἶπεν αὐτῷ Αἴτησαι τί σοι δῶ. 8 καὶ 8
εἶπε Σαλωμὼν πρὸς τὸν θεόν Σὺ ἐποίησας μετὰ Δαυὶδ τοῦ πατρός μου ἔλεος
μέγα, καὶ ἐβασίλευσάς με ἀντ' αὐτοῦ. 9 καὶ νῦν, κύριε ὁ θεός, πιστωθήτω 9

---

22. εναντιον κυριου ... σαδωχ 23. ηυδοκηθη ... υπηκουσεν 24. του βασιλ. δαυ. πατρ. α. 25. επανωθεν εναντιον παντος 27. τεσσερακοντα 28. γηρει ... * σαλωμω

Subscriptio: παραλειπομενων των βασιλειων ιουδα α

---

Inscriptio: παραλειπομενων των βασιλειων ιουδα β

I. 2. *om κ. τοις εκατονταρχ. 3. post εκκλησια add μετ αυτου 4. καριαθιαρειμ ... om δαυ. οτι επηξεν αυτη ... σκηνην δαυιδ εις ιερ. 5. in f. add ολη 6. κ. ανηνεγκεν εκει σαλωμων ... ανηνεγκεν επ αυτου 7. ο θεος

Digitized by Google

δὴ τὸ ὄνομά σου ἐπὶ Δαυὶδ τὸν πατέρα μου, ὅτι σὺ ἐβασίλευσάς με ἐπὶ λαὸν
10 πολὺν ὡς ὁ χοῦς τῆς γῆς. [10] νῦν σοφίαν καὶ σύνεσιν δός μοι, καὶ ἐξελεύσο-
μαι ἐνώπιον τοῦ λαοῦ τούτου καὶ εἰσελεύσομαι, ὅτι τίς κρινεῖ τὸν λαόν σου
11 τὸν μέγαν τοῦτον; [11] καὶ εἶπεν ὁ θεὸς πρὸς Σαλωμών Ἀνθ᾽ ὧν ἐγένετο τοῦτο
ἐν τῇ καρδίᾳ σου, καὶ οὐκ ᾐτήσω πλοῦτον χρημάτων οὐδὲ δόξαν οὐδὲ τὴν
ψυχὴν τῶν ὑπεναντίων, καὶ ἡμέρας πολλὰς οὐκ ᾐτήσω, καὶ ᾔτησας σεαυτῷ
σοφίαν καὶ σύνεσιν ὅπως κρίνῃς τὸν λαόν μου ἐφ᾽ ὃν ἐβασίλευσά σε ἐπ᾽ αὐ-
12 τόν, [12] τὴν σοφίαν καὶ τὴν σύνεσιν δίδωμί σοι, καὶ πλοῦτον καὶ χρήματα
καὶ δόξαν δώσω σοι, ὡς οὐκ ἐγενήθη ὅμοιός σοι ἐν τοῖς βασιλεῦσι τοῖς ἔμ-
13 προσθέν σου, καὶ μετὰ σὲ οὐκ ἔσται οὕτως. [13] καὶ ἦλθε Σαλωμὼν ἐκ Βαμὰ
τῆς ἐν Γαβαὼν εἰς Ἱερουσαλὴμ πρὸ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου,
14 καὶ ἐβασίλευσεν ἐπὶ Ἰσραήλ. [14] καὶ συνήγαγε Σαλωμὼν ἅρματα καὶ ἱππεῖς,
καὶ ἐγένοντο αὐτῷ χίλια καὶ τετρακόσια ἅρματα καὶ δώδεκα χιλιάδες ἱπ-
πέων· καὶ κατέλιπεν αὐτὰ ἐν πόλεσι τῶν ἁρμάτων, καὶ ὁ λαὸς μετὰ τοῦ
15 βασιλέως ἐν Ἱερουσαλήμ. [15] καὶ ἔθηκεν ὁ βασιλεὺς τὸ ἀργύριον καὶ τὸ χρυ-
σίον ἐν Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ἐν τῇ Ἰουδαίᾳ ὡς συκαμί-
16 νους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. [16] καὶ ἡ ἔξοδος τῶν ἵππων Σαλωμὼν ἐξ
Αἰγύπτου, καὶ ἡ τιμὴ τῶν ἐμπόρων τοῦ βασιλέως πορεύεσθαι, καὶ ἠγόραζον.
17 [17] καὶ ἀνέβαινον καὶ ἐξῆγον ἐξ Αἰγύπτου ἅρμα ἓν ἑξακοσίων ἀργυρίου, καὶ
ἵππον πεντήκοντα καὶ ἑκατὸν ἀργυρίου· καὶ οὕτω πᾶσι τοῖς βασιλεῦσι τῶν
Χετταίων καὶ τοῖς βασιλεῦσι Συρίας ἐν χερσὶν αὐτῶν ἔφερον.

## II.

Καὶ εἶπε Σαλωμὼν τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου καὶ οἶκον
2 τῇ βασιλείᾳ αὐτοῦ. [2] καὶ συνήγαγε Σαλωμὼν ἑβδομήκοντα χιλιάδας ἀνδρῶν
νωτοφόρων καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει, καὶ οἱ ἐπιστάται
3 ἐπ᾽ αὐτῶν τρισχίλιοι ἑξακόσιοι. [3] καὶ ἀπέστειλε Σαλωμὼν πρὸς Χιρὰμ βασι-
λέα Τύρου λέγων Ὡς ἐποίησας μετὰ Δαυὶδ τοῦ πατρός μου καὶ ἀπέστειλας
4 αὐτῷ κέδρους τοῦ οἰκοδομῆσαι ἑαυτῷ οἶκον κατοικῆσαι ἐν αὐτῷ, [4] καὶ ἰδοὺ
ἐγὼ ὁ υἱὸς αὐτοῦ οἰκοδομῶ οἶκον τῷ ὀνόματι κυρίου θεοῦ μου, ἁγιάσαι αὐ-
τὸν αὐτῷ τοῦ θυμιᾶν ἀπέναντι αὐτοῦ θυμίαμα καὶ πρόθεσιν διὰ παντός, καὶ
τοῦ ἀναφέρειν ὁλοκαυτώματα διὰ παντὸς τὸ πρωὶ καὶ τὸ δείλης, καὶ ἐν τοῖς
σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν ταῖς ἑορταῖς τοῦ κυρίου θεοῦ ἡμῶν,
5 εἰς τὸν αἰῶνα τοῦτο ἐπὶ τὸν Ἰσραήλ. [5] καὶ ὁ οἶκος ὃν ἐγὼ οἰκοδομῶ μέγας,
6 ὅτι μέγας κύριος ὁ θεὸς ἡμῶν παρὰ πάντας τοὺς θεούς. [6] καὶ τίς ἰσχύσει
οἰκοδομῆσαι αὐτῷ οἶκον; ὅτι ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐ φέρουσι
τὴν δόξαν αὐτοῦ· καὶ τίς ἐγὼ οἰκοδομῶν αὐτῷ οἶκον; ὅτι ἀλλ᾽ ἢ τοῦ θυμιᾶν
7 κατέναντι αὐτοῦ. [7] καὶ νῦν ἀπόστειλόν μοι ἄνδρα σοφὸν καὶ εἰδότα τοῦ ποιῆ-
σαι ἐν τῷ χρυσίῳ καὶ ἐν τῷ ἀργυρίῳ καὶ ἐν τῷ χαλκῷ καὶ ἐν τῷ σιδήρῳ
καὶ ἐν τῇ πορφύρᾳ καὶ ἐν τῷ κοκκίνῳ καὶ ἐν τῇ ὑακίνθῳ, καὶ ἐπιστάμενον
γλύψαι γλυφὴν μετὰ τῶν σοφῶν τῶν μετ᾽ ἐμοῦ ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλὴμ
8 ἃ ἡτοίμασε Δαυὶδ ὁ πατήρ μου. [8] καὶ ἀπόστειλόν μοι ξύλα κέδρινα καὶ ἀρκεύ-
θινα καὶ πεύκινα ἐκ τοῦ Λιβάνου, ὅτι ἐγὼ οἶδα ὡς οἱ δοῦλοί σου οἴδασι
κόπτειν ξύλα ἐκ τοῦ Λιβάνου· καὶ ἰδοὺ οἱ παῖδές σου μετὰ τῶν παίδων μου

---

9. om δη ... δαυιδ πατερα 11. ουδε ψυχην ... εβασιλευσας επ 12. κ. δοξαν κ. χρηματα ... ως συ ουκ 13. απο προσωπου 14. ιππων pro ιππεων ... κατελειπεν ... om εν 15. το χρυσ. και το αργ. ... συκαμινους εν 16. τ. ιππων των ... om και ante ηγοραζον 17. ανεβαινον ... ιππων εκατον κ. πεντηκοντα ... ουτως ... γεθθαιων και βασιλευς II. 3. χειραμ ... του πατρ. μου δαυ. 4. εγω υιος ... νεομηνιαις ... εορταις κυριου του 5. om κυριος 6. αυτω οικοδ. οικον ... αυτου την δοξαν 7. του γλυψαι ... ων ητοιμασεν

Digitized by Google

9 [9]πορεύσονται ἑτοιμάσαι μοι ξύλα εἰς πλῆθος, ὅτι ὁ οἶκος ὃν ἐγὼ οἰκοδομῶ
10 μέγας καὶ ἔνδοξος. [10]καὶ ἰδοὺ τοῖς ἐργαζομένοις τοῖς κόπτουσι ξύλα εἰς βρώ-
ματα δέδωκα σῖτον εἰς δόματα τοῖς παισί σου κόρων πυροῦ εἴκοσι χιλιάδας,
καὶ κριθῶν κόρων εἴκοσι χιλιάδας, καὶ οἴνου μέτρων εἴκοσι χιλιάδας, καὶ
11 ἐλαίου μέτρων εἴκοσι χιλιάδας. [11]καὶ εἶπε Χιρὰμ βασιλεὺς Τύρου ἐν γραφῇ
καὶ ἀπέστειλε πρὸς Σαλωμὼν λέγων Ἐν τῷ ἀγαπῆσαι κύριον τὸν λαὸν αὐτοῦ
12 ἔδωκέ σε ἐπ' αὐτοὺς βασιλέα. [12]καὶ εἶπε Χιράμ Εὐλογητὸς κύριος ὁ θεὸς
Ἰσραὴλ ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς ἔδωκε τῷ Δαυὶδ τῷ βασιλεῖ
υἱὸν σοφὸν καὶ ἐπιστάμενον ἐπιστήμην καὶ σύνεσιν, ὃς οἰκοδομήσει οἶκον τῷ
13 κυρίῳ καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. [13]καὶ νῦν ἀπέσταλκά σοι ἄνδρα σοφὸν
14 καὶ εἰδότα σύνεσιν Χιρὰμ τὸν πατέρα μου, [14]ἡ μήτηρ αὐτοῦ ἀπὸ θυγατέρων
Δάν, καὶ ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος, εἰδότα ποιῆσαι ἐν χρυσίῳ καὶ ἐν ἀρ-
γυρίῳ καὶ ἐν χαλκῷ καὶ ἐν σιδήρῳ καὶ ἐν λίθοις καὶ ξύλοις, καὶ ὑφαίνειν
ἐν τῇ πορφύρᾳ καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐν τῇ βύσσῳ καὶ ἐν τῷ κοκκίνῳ, καὶ
γλύψαι γλυφάς, καὶ διανοεῖσθαι πᾶσαν διανόησιν, ὅσα ἂν δῷς αὐτῷ μετὰ
15 τῶν σοφῶν σου καὶ σοφῶν Δαυὶδ κυρίου μου πατρός σου. [15]καὶ νῦν τὸν σῖτον
καὶ τὴν κριθὴν καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον, ἃ εἶπεν ὁ κύριός μου, ἀποστει-
16 λάτω τοῖς παισὶν αὐτοῦ. [16]καὶ ἡμεῖς κόψομεν ξύλα ἐκ τοῦ Λιβάνου κατὰ
πᾶσαν τὴν χρείαν σου, καὶ ἄξομεν αὐτὰ σχεδίαις ἐπὶ θάλασσαν Ἰόππης, καὶ
17 σὺ ἄξεις αὐτὰ εἰς Ἱερουσαλήμ. [17]καὶ συνήγαγε Σαλωμὼν πάντας τοὺς ἄν-
δρας τοὺς προσηλύτους τοὺς ἐν γῇ Ἰσραὴλ μετὰ τὸν ἀριθμὸν ὃν ἠρίθμησεν
αὐτοὺς Δαυὶδ ὁ πατὴρ αὐτοῦ, καὶ εὑρέθησαν ἑκατὸν πεντήκοντα χιλιάδες καὶ
18 τρισχίλιοι ἑξακόσιοι. [18]καὶ ἐποίησεν ἐξ αὐτῶν ἑβδομήκοντα χιλιάδας νωτοφό-
ρων, καὶ ὀγδοήκοντα χιλιάδας λατόμων, καὶ τρισχιλίους ἑξακοσίους ἐργοδιώ-
κτας ἐπὶ τὸν λαόν.

## III.

Καὶ ἤρξατο Σαλωμὼν τοῦ οἰκοδομεῖν τὸν οἶκον κυρίου ἐν Ἱερουσαλὴμ
ἐν ὄρει τοῦ Ἀμωρία, οὗ ὤφθη κύριος τῷ Δαυὶδ πατρὶ αὐτοῦ, ἐν τῷ τόπῳ
2 ᾧ ἡτοίμασε Δαυὶδ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου. [2]καὶ ἤρξατο οἰκοδομῆσαι
3 ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ. [3]καὶ
ταῦτα ἤρξατο Σαλωμὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ· μῆκος πήχεων
4 ἡ διαμέτρησις ἡ πρώτη πήχεων ἑξήκοντα, καὶ εὖρος πήχεων εἴκοσι. [4]καὶ
αἰλὰμ κατὰ πρόσωπον τοῦ οἴκου, μῆκος ἐπὶ πρόσωπον πλάτους τοῦ οἴκου
πήχεων εἴκοσι, καὶ ὕψος πήχεων ἑκατὸν εἴκοσι, καὶ κατεχρύσωσεν αὐτὸν ἔσω-
5 θεν χρυσίῳ καθαρῷ. [5]καὶ τὸν οἶκον τὸν μέγαν ἐξύλωσε ξύλοις κεδρίνοις, καὶ
κατεχρύσωσε χρυσίῳ καθαρῷ, καὶ ἔγλυψεν ἐπ' αὐτοῦ φοίνικας καὶ χαλαστά.
6 [6]καὶ ἐκόσμησε τὸν οἶκον λίθοις τιμίοις εἰς δόξαν, καὶ ἐχρύσωσε χρυσίῳ χρυ-
7 σίου τοῦ ἐκ Φαρουΐμ, [7]καὶ ἐχρύσωσε τὸν οἶκον καὶ τοὺς τοίχους αὐτοῦ καὶ
τοὺς πυλῶνας καὶ τὰ ὀροφώματα καὶ τὰ θυρώματα χρυσίῳ, καὶ ἔγλυψε Χε-
8 ρουβὶμ ἐπὶ τῶν τοίχων. [8]καὶ ἐποίησε τὸν οἶκον τοῦ ἁγίου τῶν ἁγίων, μῆκος
αὐτοῦ ἐπὶ πρόσωπον, πλάτος τοῦ οἴκου πήχεων εἴκοσι, καὶ τὸ μῆκος πήχεων

---

10. πυρὸυ κορων ... (κριθων κορου ...) ελαιου καδων 11. χειραμ ... om λεγων ... εις βασιλεα 12. χειραμ ... τε (** τη) βασιλειας εαυτου 13. απεσταλκα ... τον χειραμ τον παιδα μου 14. om και post σιδηρω ... ante πατρος add του 15. ον ειπεν 16. σχεδιας ... συναξεις pro συ αξεις 17. προσηλυτους εν ... και εξακοσιοι 18. τους εργοδιωκτας III. 1. αμορια 3. ** om η διαμετρ. η πρωτη πηχεων 4. * om κ. υψος π. εκ. εικ., ** om εκατον ... αυτο χρυσ. καθ. εσωθεν 5. φονικας 6. om εχρυσωσε ... χρυσιω χρυσου ... φαρουαιμ 7. om αυτου ... χερουβειν 8. πλατους ... om του οικου ... το ευρος pro το μηκος

Digitized by Google

εἴκοσι, καὶ ἐχρύσωσεν αὐτὸν χρυσίῳ καθαρῷ εἰς Χερουβὶμ εἰς τάλαντα ἑξα-
9 κόσια. [9] καὶ ὁλκὴ τῶν ἥλων, ὁλκὴ τοῦ ἑνὸς πεντήκοντα σίκλοι χρυσίου, καὶ
10 τὸ ὑπερῷον ἐχρύσωσε χρυσίῳ. [10] καὶ ἐποίησεν ἐν τῷ οἴκῳ τῷ ἁγίῳ τῶν ἁγίων
11 Χερουβὶμ δύο, ἔργον ἐκ ξύλων, καὶ ἐχρύσωσεν αὐτὰ χρυσίῳ. [11] καὶ αἱ πτέ-
ρυγες τῶν Χερουβὶμ τὸ μῆκος πήχεων εἴκοσι, καὶ ἡ πτέρυξ ἡ μία πήχεων
πέντε ἁπτομένη τοῦ τοίχου τοῦ οἴκου, καὶ ἡ πτέρυξ ἡ ἑτέρα πήχεων πέντε
13 ἁπτομένη τῆς πτέρυγος τοῦ Χερουβὶμ τοῦ ἑτέρου. [13] καὶ αἱ πτέρυγες τῶν
Χερουβὶμ τούτων διαπεπετασμέναι πήχεων εἴκοσι, καὶ αὐτὰ ἑστηκότα ἐπὶ
14 τοὺς πόδας αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν εἰς τὸν οἶκον. [14] καὶ ἐποίησε τὸ
καταπέτασμα ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου, καὶ ὕφανεν
15 ἐν αὐτῷ Χερουβίμ. [15] καὶ ἐποίησεν ἔμπροσθεν τοῦ οἴκου στύλους δύο, πή-
16 χεων τριακονταπέντε τὸ ὕψος, καὶ τὰς κεφαλὰς αὐτῶν πήχεων πέντε. [16] καὶ
ἐποίησε σερσερὼθ ἐν τῷ δαβὶρ καὶ ἔδωκεν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων,
17 καὶ ἐποίησε ῥοΐσκους ἑκατὸν καὶ ἔθηκεν ἐπὶ τῶν χαλαστῶν. [17] καὶ ἔστησε
τοὺς στύλους κατὰ πρόσωπον τοῦ ναοῦ, ἕνα ἐκ δεξιῶν καὶ τὸν ἕνα ἐξ εὐω-
νύμων, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ ἐκ δεξιῶν Κατόρθωσις, καὶ τὸ ὄνομα τοῦ
ἐξ ἀριστερῶν Ἰσχύς.

## IV.

Καὶ ἐποίησε θυσιαστήριον χαλκοῦν, εἴκοσι πήχεων τὸ μῆκος, καὶ εἴκοσι
2 πήχεων τὸ εὖρος, καὶ δέκα πήχεων τὸ ὕψος. [2] καὶ ἐποίησε τὴν θάλασσαν
χυτήν, δέκα πήχεων τὴν διαμέτρησιν, στρογγύλην κυκλόθεν, καὶ πέντε πή-
3 χεων τὸ ὕψος, καὶ τὸ κύκλωμα τριάκοντα πήχεων. [3] καὶ ὁμοίωμα μόσχων
ὑποκάτω αὐτῆς κύκλῳ κυκλοῦσιν αὐτήν· δέκα πήχεις περιέχουσι τὸν λουτῆρα
4 κυκλόθεν· δύο γένη ἐχώνευσαν τοὺς μόσχους ἐν τῇ χωνεύσει αὐτῶν, [4] ᾗ ἐποίη-
σαν αὐτοὺς δώδεκα μόσχους, οἱ τρεῖς βλέποντες βοῤῥᾶν, καὶ οἱ τρεῖς δυσμάς,
καὶ οἱ τρεῖς νότον, καὶ οἱ τρεῖς κατ' ἀνατολάς, καὶ ἡ θάλασσα ἐπ' αὐτῶν
5 ἄνω, ἦσαν τὰ ὀπίσθια αὐτῶν ἔσω. [5] καὶ τὸ πάχος αὐτῆς παλαιστής, καὶ τὸ
χεῖλος αὐτῆς ὡς χεῖλος ποτηρίου, διαγεγλυμμένα βλαστοὺς κρίνου, χωροῦσαν
6 μετρητὰς τρισχιλίους, καὶ ἐξετέλεσε. [6] καὶ ἐποίησε λουτῆρας δέκα, καὶ ἔθηκε
τοὺς πέντε ἐκ δεξιῶν καὶ τοὺς πέντε ἐξ ἀριστερῶν, τοῦ πλύνειν ἐν αὐτοῖς τὰ
ἔργα τῶν ὁλοκαυτωμάτων καὶ ἀποκλύζειν ἐν αὐτοῖς, καὶ ἡ θάλασσα εἰς τὸ
7 νίπτεσθαι τοὺς ἱερεῖς ἐν αὐτῇ. [7] καὶ ἐποίησε τὰς λυχνίας τὰς χρυσᾶς δέκα
κατὰ τὸ κρίμα αὐτῶν καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν καὶ πέντε ἐξ
8 ἀριστερῶν. [8] καὶ ἐποίησε τραπέζας δέκα καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ
9 δεξιῶν καὶ πέντε ἐξ εὐωνύμων· καὶ ἐποίησε φιάλας χρυσᾶς ἑκατόν· [9] καὶ
ἐποίησε τὴν αὐλὴν τῶν ἱερέων, καὶ τὴν αὐλὴν τὴν μεγάλην, καὶ θύρας τῇ
10 αὐλῇ, καὶ θυρώματα αὐτῶν κατακεχαλκωμένα χαλκῷ. [10] καὶ τὴν θάλασσαν
11 ἔθηκεν ἀπὸ γωνίας τοῦ οἴκου ἐκ δεξιῶν ὡς πρὸς ἀνατολὰς κατέναντι. [11] καὶ
ἐποίησε Χιρὰμ τὰς κρεάγρας καὶ τὰ πυρεῖα καὶ τὴν ἐσχάραν τοῦ θυσιαστη-
ρίου καὶ πάντα τὰ σκεύη αὐτοῦ· καὶ συνετέλεσε Χιρὰμ ποιῆσαι πᾶσαν τὴν
12 ἐργασίαν ἣν ἐποίησε Σαλωμὼν τῷ βασιλεῖ ἐν οἴκῳ τοῦ θεοῦ, [12] στύλους δύο

---

8. και κατεχρυσωσεν αυτο ... χερουβειν 10. χερουβειν 11. χερουβειμ ... του χερουβ του ετερου 12. και η πτερυξ του χερουβ του ενος πηχεων πεντε απτομενη του τοιχου του οικου, και η πτερυξ η ετερα πηχεων πεντε απτομενη της πτερυγος του χερουβ του ετερου. 13. om αι ... χερουβειν ... om τουτων 14. εξ υακινθου ... χερουβειν 16. σενσερωθ εν τω δαβειρ κ. εθηκεν 17. om τον IV. 1. το θυσιαστηριον ... εικ. πηχ. μηκος κ. το ευρος πηχεων δεκα ... om και δ. πηχ. το υψος 2. πηχεων δεκα ... πηχ. τριακοντα 3. υποκατωθεν ... *αυτου pro αυτης ... περιεχουσαι 4. βλεποντες δυσμας ... βλεποντες νοτον ... βλεποντες κατα ανατολας 5. χωρουσα 6. επεθηκεν 9. και τας θυρας 11. χειραμ his ... πυρια ... ην εποιησ. ο βασιλευς σαλωμων εν

Digitized by Google

καὶ ἐπ' αὐτῶν γωλὰϑ τῇ χωϑαρὲϑ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο, καὶ
δίκτυα δύο συγκαλύψαι τὰς κεφαλὰς τῶν χωϑαρὲϑ ἅ ἐστιν ἐπὶ τῶν κεφα-
λῶν τῶν στύλων, 13 καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα, 13
καὶ δύο γένη ῥοΐσκων ἐν τῷ δικτύῳ τῷ ἑνὶ τοῦ συγκαλύψαι τὰς δύο γωλὰϑ
τῶν χωϑαρὲϑ ἅ ἐστιν ἐπάνω τῶν στύλων. 14 καὶ τοὺς μεχωνὼϑ ἐποίησε δέκα, 14
καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τοὺς μεχωνώϑ, 15 καὶ τὴν ϑάλασσαν μίαν 15
καὶ τοὺς μόσχους τοὺς δώδεκα ὑποκάτω αὐτῆς, 16 καὶ τοὺς ποδιστῆρας καὶ 16
τοὺς ἀναλημπτῆρας καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας, καὶ πάντα τὰ σκεύη
αὐτῶν ἃ ἐποίησε. Χιρὰμ καὶ ἀνήνεγκε τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ κυρίου
χαλκοῦ καϑαροῦ. 17 ἐν τῷ περιχώρῳ τοῦ Ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασι- 17
λεὺς ἐν τῷ πάχει τῆς γῆς ἐν οἴκῳ Σοκχὼϑ καὶ ἀνὰ μέσον Σαρηδαϑά.
18 καὶ ἐποίησε Σαλωμὼν πάντα τὰ σκεύη ταῦτα εἰς πλῆϑος σφόδρα, ὅτι οὐκ 18
ἐξέλιπεν ὁλκὴ τοῦ χαλκοῦ. 19 καὶ ἐποίησε Σαλωμὼν πάντα τὰ σκεύη οἴκου 19
κυρίου, καὶ τὸ ϑυσιαστήριον τὸ χρυσοῦν καὶ τὰς τραπέζας, καὶ ἐπ' αὐτῶν
ἄρτοι προϑέσεως, 20 καὶ τὰς λυχνίας καὶ τοὺς λύχνους τοῦ φωτὸς κατὰ τὸ 20
κρίμα καὶ κατὰ πρόσωπον τοῦ δαβὶρ χρυσίου καϑαροῦ, 21 καὶ λαβίδες αὐτῶν 21
καὶ οἱ λύχνοι αὐτῶν, καὶ τὰς φιάλας καὶ τὰς ϑυΐσκας καὶ τὰ πυρεῖα χρυ-
σίου καϑαροῦ, 22 καὶ ἡ ϑύρα τοῦ οἴκου ἡ ἐσωτέρα εἰς τὰ ἅγια τῶν ἁγίων, 22
καὶ τὰς ϑύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς. (5, 1.) καὶ συνετελέσϑη πᾶσα ἡ
ἐργασία ἣν ἐποίησε Σαλωμὼν ἐν οἴκῳ κυρίου.

## V.

Καὶ εἰσήνεγκε Σαλωμὼν τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, τὸ ἀργύ-
ριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη, καὶ ἔδωκεν εἰς ϑησαυρὸν οἴκου κυρίου.
2 τότε ἐξεκκλησίασε Σαλωμὼν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ καὶ πάντας 2
τοὺς ἄρχοντας τῶν φυλῶν τοὺς ἡγουμένους πατριῶν υἱῶν Ἰσραὴλ εἰς Ἱερου-
σαλὴμ τοῦ ἀνενέγκαι κιβωτὸν διαϑήκης κυρίου ἐκ πόλεως Δαυίδ, αὕτη Σιών.
3 καὶ ἐξεκκλησιάσϑησαν πρὸς τὸν βασιλέα πᾶς Ἰσραὴλ ἐν τῇ ἑορτῇ, οὗτος ὁ 3
μὴν ἕβδομος. 4 καὶ ἦλϑον πάντες οἱ πρεσβύτεροι Ἰσραήλ, καὶ ἔλαβον πάντες 4
οἱ Λευῖται τὴν κιβωτὸν 5 καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη 5
τὰ ἅγια τὰ ἐν τῇ σκηνῇ, καὶ ἀνήνεγκαν αὐτὴν οἱ ἱερεῖς καὶ οἱ Λευῖται.
6 καὶ ὁ βασιλεὺς Σαλωμὼν καὶ πᾶσα συναγωγὴ Ἰσραὴλ καὶ οἱ φοβούμενοι 6
καὶ οἱ ἐπισυνηγμένοι αὐτῶν ἔμπροσϑεν τῆς κιβωτοῦ ϑύοντες μόσχους καὶ
πρόβατα, οἳ οὐκ ἀριϑμηϑήσονται καὶ οἳ οὐ λογισϑήσονται ἀπὸ τοῦ πλήϑους.
7 καὶ εἰσήνεγκαν οἱ ἱερεῖς τὴν κιβωτὸν διαϑήκης κυρίου εἰς τὸν τόπον αὐτῆς, 7
εἰς τὸ δαβὶρ τοῦ οἴκου εἰς τὰ ἅγια τῶν ἁγίων ὑποκάτω τῶν πτερύγων τῶν
Χερουβίμ. 8 καὶ ἦν τὰ Χερουβὶμ διαπεπετακότα τὰς πτέρυγας αὐτῶν ἐπὶ τὸν 8
τόπον τῆς κιβωτοῦ, καὶ συνεκάλυπτε τὰ Χερουβὶμ ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ
τοὺς ἀναφορεῖς αὐτῆς ἐπάνωϑεν, 9 καὶ ὑπερεῖχον οἱ ἀναφορεῖς, καὶ ἐβλέποντο 9
αἱ κεφαλαὶ τῶν ἀναφορέων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβίρ, οὐκ ἐβλέ-
ποντο ἔξω, καὶ ἦσαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης. 10 οὐκ ἦν ἐν τῇ κιβωτῷ 10
πλὴν δύο πλάκες ἃς ἔϑηκε Μωυσῆς ἐν Χωρήβ, ἃ διέϑετο κύριος μετὰ τῶν
υἱῶν Ἰσραὴλ ἐν τῷ ἐξελϑεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. 11 καὶ ἐγένετο ἐν τῷ 11
ἐξελϑεῖν τοὺς ἱερεῖς ἐκ τῶν ἁγίων, ὅτι πάντες οἱ ἱερεῖς οἱ εὑρεϑέντες ἡγιά-
σϑησαν, οὐκ ἦσαν διατεταγμένοι κατ' ἐφημερίαν. 12 καὶ οἱ Λευῖται οἱ ψαλ- 12

---

12. α εστιν επανω 14. τας μεχωνωϑ ... επι των μεχωνωϑ 16. αναλημπτορας ... χειραμ 17. σαδαϑα 18. εξελειπεν 20. δαβειρ 21. πυρια 22. αγιων εις τας V. 1. om και ante εδωκεν 2. om παντας prius ... των πατριων 3. πας ανηρ ισραηλ 5. ab initio add και ανηνεγκαν την κιβωτον 6. αριϑμησονται ουδε λογισϑ. 7. δαβειρ ... χερουβειν 8. χερουβειν bis 9. περιειχον ... δαβειρ 10. εξελϑειν αυτον

Digitized by Google

τῳδοὶ πάντες τοῖς υἱοῖς Ἀσὰφ τῷ Αἱμὰν τῷ Ἰδιθοὺν καὶ τοῖς υἱοῖς αὐτοῦ
καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, τῶν ἐνδεδυμένων στολὰς βυσσίνας ἐν κυμβάλοις καὶ
ἐν νάβλαις καὶ ἐν κινύραις, ἑστηκότες κατέναντι τοῦ θυσιαστηρίου, καὶ μετ'
13 αὐτῶν ἱερεῖς ἑκατὸν εἴκοσι σαλπίζοντες ταῖς σάλπιγξι. [13] καὶ ἐγένετο μία φωνὴ
ἐν τῷ σαλπίζειν καὶ ἐν τῷ ψαλτῳδεῖν καὶ ἐν τῷ ἀναφωνεῖν φωνῇ μιᾷ τοῦ
ἐξομολογεῖσθαι καὶ αἰνεῖν τῷ κυρίῳ· καὶ ὡς ὕψωσαν φωνὴν ἐν σάλπιγξι καὶ
ἐν κυμβάλοις καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν, καὶ ἔλεγον Ἐξομολογεῖσθε τῷ κυ-
ρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ὁ οἶκος ἐνεπλήσθη
14 νεφέλης δόξης κυρίου· [14] καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς τοῦ στῆναι λειτουργεῖν
ἀπὸ προςώπου τῆς νεφέλης, ὅτι ἐνέπλησε δόξα κυρίου τὸν οἶκον τοῦ θεοῦ.

## VI.

2 Τότε εἶπε Σαλωμών Κύριος εἶπε τοῦ κατασκηνῶσαι ἐν γνόφῳ, [2] καὶ
ἐγὼ ᾠκοδόμηκα οἶκον τῷ ὀνόματί σου ἅγιόν σοι καὶ ἕτοιμον τοῦ κατασκη-
3 νῶσαι εἰς τοὺς αἰῶνας. [3] καὶ ἐπέστρεψεν ὁ βασιλεὺς τὸ πρόςωπον αὐτοῦ καὶ
εὐλόγησε τὴν πᾶσαν ἐκκλησίαν Ἰσραήλ, καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραὴλ παρ-
4 ειστήκει. [4] καὶ εἶπεν Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραήλ, ὡς ἐλάλησεν ἐν στό-
ματι αὐτοῦ πρὸς Δαυὶδ τὸν πατέρα μου καὶ ἐν χερσὶν αὐτοῦ ἐπλήρωσε λέ-
5 γων [5] Ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν λαόν μου ἐκ γῆς Αἰγύπτου, οὐκ
ἐξελεξάμην ἐν πόλει ἀπὸ πασῶν φυλῶν Ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ
εἶναι τὸ ὄνομά μου ἐκεῖ, καὶ οὐκ ἐξελεξάμην ἐν ἀνδρὶ τοῦ εἶναι εἰς ἡγού-
6 μενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ, [6] καὶ ἐξελεξάμην τὴν Ἱερουσαλὴμ γενέσθαι
τὸ ὄνομά μου ἐκεῖ, καὶ ἐξελεξάμην ἐν Δαυὶδ τοῦ εἶναι ἐπὶ τὸν λαόν μου
7 Ἰσραήλ. [7] καὶ ἐγένετο ἐπὶ καρδίαν Δαυὶδ τοῦ πατρός μου τοῦ οἰκοδομῆσαι
8 οἶκον τῷ ὀνόματι κυρίου θεοῦ Ἰσραήλ. [8] καὶ εἶπε κύριος πρὸς Δαυὶδ πατέρα
μου Διότι ἐγένετο ἐπὶ καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματί μου,
9 καλῶς ἐποίησας ὅτι ἐγένετο ἐπὶ τὴν καρδίαν σου· [9] πλὴν σὺ οὐκ οἰκοδομή-
σεις τὸν οἶκον, ὅτι ὁ υἱός σου ὃς ἐξελεύσεται ἐκ τῆς ὀσφύος σου, οὗτος οἰ-
10 κοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου. [10] καὶ ἀνέστησε κύριος τὸν λόγον τοῦ-
τον ὃν ἐλάλησε· καὶ ἐγενήθην ἀντὶ Δαυὶδ πατρός μου, καὶ ἐκάθισα ἐπὶ τὸν
θρόνον Ἰσραὴλ καθὼς ἐλάλησε κύριος, καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι
11 κυρίου θεοῦ Ἰσραήλ, [11] καὶ ἔθηκα ἐκεῖ τὴν κιβωτὸν ἐν ᾗ ἐκεῖ διαθήκη κυ-
12 ρίου ἣν διέθετο τῷ Ἰσραήλ. [12] καὶ ἔστη κατέναντι τοῦ θυσιαστηρίου κυρίου
13 ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ· [13] ὅτι ἐποί-
ησε Σαλωμὼν βάσιν χαλκῆν καὶ ἔθηκεν αὐτὴν ἐν μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ,
πέντε πήχεων τὸ μῆκος αὐτῆς καὶ πέντε πήχεων τὸ εὖρος αὐτῆς καὶ τριῶν
πήχεων τὸ ὕψος αὐτῆς· καὶ ἔστη ἐπ' αὐτῆς, καὶ ἔπεσεν ἐπὶ τὰ γόνατα ἔναντι
πάσης ἐκκλησίας Ἰσραήλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν
14 [14] καὶ εἶπε Κύριε ὁ θεὸς Ἰσραήλ, οὐκ ἔστιν ὅμοιός σοι θεὸς ἐν οὐρανῷ καὶ
ἐπὶ τῆς γῆς, φυλάσσων τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς παισί σου τοῖς πο-
15 ρευομένοις ἐναντίον σου ἐν ὅλῃ καρδίᾳ, [15] ἃ ἐφύλαξας τῷ παιδί σου Δαυὶδ
τῷ πατρί μου, ἃ ἐλάλησας αὐτῷ λέγων, καὶ ἐλάλησας ἐν στόματί σου καὶ
16 ἐν χερσί σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη. [16] καὶ νῦν, κύριε ὁ θεὸς Ἰσραήλ,

---

12. τω ασαφ ... αδελφοις αυτων των ... εστηκ. κατα ανατολας του ... εκατον και εικοσι ... om ταις 13. υψωσαν την φων. 14. post προςωπου usque γνοφω 6, 1. omnia rescripta ... ** νεφελης δοξης κυριου ... ** ενεπλησεν η δοξα VI. 1. ** του κατοικησαι 2. του κατοικησαι 4. ος pro ως 5. ειναι ονομα 6. εν ιερουσαλημ γενεσθαι του ειναι ... ** ωστε ειναι επι του λαου 8. τον πατερα 10. λογον αυτου ον 12. χειρας εαυτου 13. εμμεσω ... γονατα αυτου 15. om ελαλησας αυτω λεγων και ... εν τω στοματι

φύλαξον τῷ παιδί σου τῷ Δαυὶδ τῷ πατρί μου ἃ ἐλάλησας αὐτῷ λέγων Οὐκ
ἐκλείψει σοι ἀνὴρ ἀπὸ προσώπου μου καθήμενος ἐπὶ θρόνου Ἰσραήλ, πλὴν ἐὰν
φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ μου ὡς
ἐπορεύθης ἐναντίον μου. [17] καὶ νῦν, κύριε ὁ θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ 17
ῥῆμά σου ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαυίδ. [18] ὅτι εἰ ἀληθῶς κατοικήσει 18
θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ
οὐκ ἀρκέσουσί σοι, καὶ τίς ὁ οἶκος οὗτος ὃν ᾠκοδόμησα; [19] καὶ ἐπιβλέψῃ 19
ἐπὶ τὴν προσευχὴν παιδός σου καὶ ἐπὶ τὴν δέησίν μου, κύριε ὁ θεός, τοῦ
ἐπακοῦσαι τῆς δεήσεως καὶ τῆς προσευχῆς ἧς ὁ παῖς σου προσεύχεται ἐναν-
τίον σου σήμερον, [20] τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους ἐπὶ τὸν οἶκον τοῦ- 20
τον ἡμέρας καὶ νυκτός, εἰς τὸν τόπον τοῦτον ὃν εἶπας ἐπικληθῆναι τὸ ὄνομά
σου ἐκεῖ, τοῦ ἀκοῦσαι τῆς προσευχῆς ἧς προσεύχεται ὁ παῖς σου εἰς τὸν τό-
πον τοῦτον. [21] καὶ ἀκούσῃ τῆς δεήσεως τοῦ παιδός σου καὶ λαοῦ σου Ἰσραὴλ 21
ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον· καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς
κατοικήσεώς σου ἐκ τοῦ οὐρανοῦ, καὶ ἀκούσῃ καὶ ἵλεως ἔσῃ. [22] ἐὰν ἁμάρτῃ 22
ἀνὴρ τῷ πλησίον αὐτοῦ καὶ λάβῃ ἐπ' αὐτὸν ἀρὰν τοῦ ἀρᾶσθαι αὐτόν, καὶ
ἔλθῃ καὶ ἀράσηται κατέναντι τοῦ θυσιαστηρίου ἐν τῷ οἴκῳ τούτῳ, [23] καὶ σὺ 23
εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ποιήσεις, καὶ κρινεῖς τοὺς δούλους σου τοῦ ἀπο-
δοῦναι τῷ ἀνόμῳ καὶ ἀποδοῦναι ὁδοὺς αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ καὶ τοῦ δι-
καιῶσαι δίκαιον τοῦ ἀποδοῦναι αὐτῷ κατὰ τὴν δικαιοσύνην αὐτοῦ. [24] καὶ ἐὰν 24
θραυσθῇ ὁ λαός σου Ἰσραὴλ κατέναντι τοῦ ἐχθροῦ ἐὰν ἁμάρτωσί σοι, καὶ
ἐπιστρέψωσι καὶ ἐξομολογήσωνται τῷ ὀνόματί σου, καὶ προσεύξωνται καὶ δε-
ηθῶσιν ἐναντίον σου ἐν τῷ οἴκῳ τούτῳ, [25] καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρα- 25
νοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις λαοῦ σου Ἰσραήλ, καὶ ἀποστρέψεις αὐ-
τοὺς εἰς τὴν γῆν ἣν ἔδωκας αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν. [26] ἐν τῷ 26
συσχεθῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετὸν ὅτι ἁμαρτήσονταί σοι, καὶ
προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ αἰνέσουσι τὸ ὄνομά σου, καὶ ἀπὸ τῶν
ἁμαρτιῶν αὐτῶν ἐπιστρέψουσιν ὅτι ταπεινώσεις αὐτούς, [27] καὶ σὺ εἰσακούσῃ 27
ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τῶν παίδων καὶ τοῦ λαοῦ σου
Ἰσραήλ, ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν ἐν ᾗ πορεύσονται ἐν αὐτῇ,
καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν σου ἣν ἔδωκας τῷ λαῷ σου εἰς κληρονομίαν.
[28] λιμὸς ἐὰν γένηται ἐπὶ τῆς γῆς, θάνατος ἐὰν γένηται, ἀνεμοφθορία καὶ ἴκτε- 28
ρος, ἀκρὶς καὶ βροῦχος ἐὰν γένηται, καὶ ἐὰν θλίψῃ αὐτὸν ὁ ἐχθρὸς κατέναντι
τῶν πόλεων αὐτῶν, κατὰ πᾶσαν πληγὴν καὶ πάντα πόνον, [29] καὶ πᾶσα προς- 29
ευχὴ καὶ πᾶσα δέησις ἣ ἐὰν γένηται παντὶ ἀνθρώπῳ καὶ παντὶ λαῷ σου
Ἰσραήλ, ἐὰν γνῷ ἄνθρωπος τὴν ἁφὴν αὐτοῦ καὶ τὴν μαλακίαν αὐτοῦ, καὶ
διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον τοῦτον, [30] καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ 30
οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ἱλάσῃ, καὶ δώσεις ἀνδρὶ κατὰ τὰς
ὁδοὺς αὐτοῦ ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι μόνος γινώσκεις τὴν καρ-
δίαν υἱῶν ἀνθρώπων, [31] ὅπως φοβῶνται πάσας ὁδούς σου πάσας τὰς ἡμέρας 31
ἃς αὐτοὶ ζῶσιν ἐπὶ πρόσωπον τῆς γῆς ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν. [32] καὶ 32
πᾶς ἀλλότριος ὃς οὐκ ἐκ τοῦ λαοῦ σου Ἰσραήλ ἐστιν αὐτός, καὶ ἔλθῃ ἐκ γῆς
μακρόθεν διὰ τὸ ὄνομά σου τὸ μέγα καὶ τὴν χεῖρά σου τὴν κραταιὰν καὶ
τὸν βραχίονά σου τὸν ὑψηλόν, καὶ ἔλθωσι καὶ προσεύξωνται εἰς τὸν τόπον

---

16. τον παιδα σου τω δαυ. 18. ο θεος 20. ης ο παις σ. προσευχ. 23. om και extremum ... εκαστω pro αυτω 24. επιστρεψουσιν κ. εξομολογησονται ... προσευξονται 25. του λαου 26. *οταν s. οτε pro οτι secundo 27. των αμαρτιων τ. παιδ. σου 28. om και ante εαν θλιψη ... και παν πονον 30. ιαση pro ιλαση ... οτι μονωτατος 31. οπως φοβουνται τας οδους ... επι προσωπου πασης της 32. και βραχιονα ... προσευξονται

Digitized by Google

33 τοῦτον, [33] καὶ σὺ εἰςακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου,
καὶ ποιήσεις κατὰ πάντα ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος, ὅπως γνῶσι
πάντες οἱ λαοὶ τῆς γῆς τὸ ὄνομά σου, καὶ τοῦ φοβεῖσθαί σε ὡς ὁ λαός σου
Ἰσραήλ, καὶ τοῦ γνῶναι ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον
34 ὃν ᾠκοδόμησα. [34] ἐὰν δὲ ἐξέλθῃ ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς
αὐτοῦ ἐν ὁδῷ ᾗ ἀποστελεῖς αὐτούς, καὶ προςεύξωνται πρὸς σὲ κατὰ τὴν ὁδὸν
τῆς πόλεως ταύτης ἣν ἐξελέξω ἐν αὐτῇ καὶ οἴκου οὗ ᾠκοδόμηκα τῷ ὀνόματί
35 σου, [35] καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς προςευχῆς αὐτῶν καὶ τῆς δεήσεως
36 αὐτῶν, καὶ ποιήσεις τὸ δικαίωμα αὐτῶν. [36] ὅτι ἁμαρτήσονταί σοι, ὅτι οὐκ
ἔσται ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, καὶ πατάξεις αὐτοὺς καὶ παραδώσεις
αὐτοὺς κατὰ πρόςωπον ἐχθρῶν, καὶ αἰχμαλωτεύσουσιν αὐτοὺς οἱ αἰχμαλω-
37 τεύοντες αὐτοὺς εἰς γῆν ἐχθρῶν εἰς γῆν μακρὰν ἢ ἐγγύς, [37] καὶ ἐπιστρέψωσι
καρδίαν αὐτῶν ἐν τῇ γῇ αὐτῶν οὗ μετήχθησαν ἐκεῖ, καί γε ἐπιστρέψωσι καὶ
δεηθῶσί σου ἐν τῇ αἰχμαλωσίᾳ αὐτῶν λέγοντες Ἡμάρτομεν ἠνομήσαμεν ἠδι-
38 κήσαμεν, [38] καὶ ἐπιστρέψωσι πρὸς σὲ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν
ἐν γῇ αἰχμαλωτευσάντων αὐτούς, ὅπου ᾐχμαλώτευσαν αὐτούς, καὶ προςεύξων-
ται ὁδὸν γῆς αὐτῶν ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν καὶ τῆς πόλεως ἧς ἐξε-
39 λέξω καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου, [39] καὶ ἀκούσῃ ἐκ τοῦ
οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου τῆς προςευχῆς αὐτῶν καὶ τῆς δεήσεως
αὐτῶν, καὶ ποιήσεις κρίματα καὶ ἵλεως ἔσῃ τῷ λαῷ τῷ ἁμαρτῶντί σοι.
40 [40] καὶ νῦν, κύριε, ἔστωσαν δὴ οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι καὶ τὰ ὦτά σου
41 ἐπήκοα εἰς τὴν δέησιν τοῦ τόπου τούτου. [41] καὶ νῦν ἀνάστηθι, κύριε ὁ θεός,
εἰς τὴν κατάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τῆς ἰσχύος σου. ἱερεῖς σου, κύριε
ὁ θεός, ἐνδύσαιντο σωτηρίαν, καὶ οἱ υἱοί σου εὐφρανθήτωσαν ἐν ἀγαθοῖς.
42 [42] κύριε ὁ θεός, μὴ ἀποστρέψῃς τὸ πρόςωπον τοῦ χριστοῦ σου, μνήσθητι τὰ
ἐλέη Δαυὶδ τοῦ δούλου σου.

## VII.

Καὶ ὡς συνετέλεσε Σαλωμὼν προςευχόμενος, καὶ τὸ πῦρ κατέβη ἐκ τοῦ
οὐρανοῦ καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας, καὶ δόξα κυρίου
2 ἔπλησε τὸν οἶκον. [2] καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς εἰςελθεῖν εἰς τὸν οἶκον κυρίου
3 ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι ἔπλησε δόξα κυρίου τὸν οἶκον. [3] καὶ πάντες οἱ υἱοὶ
Ἰσραὴλ ἑώρων καταβαῖνον τὸ πῦρ, καὶ ἡ δόξα κυρίου ἐπὶ τὸν οἶκον· καὶ
ἔπεσον ἐπὶ πρόςωπον ἐπὶ τὴν γῆν ἐπὶ τὸ λιθόστρωτον, καὶ προςεκύνησαν καὶ
4 ᾔνουν τῷ κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. [4] καὶ ὁ βα-
5 σιλεὺς καὶ πᾶς ὁ λαὸς θύοντες θύματα ἔναντι κυρίου. [5] καὶ ἐθυσίασεν ὁ βα-
σιλεὺς Σαλωμὼν τὴν θυσίαν μόσχων εἴκοσι καὶ δύο χιλιάδας, βοσκημάτων
ἑκατὸν καὶ εἴκοσι χιλιάδας, καὶ ἐνεκαίνισε τὸν οἶκον τοῦ θεοῦ ὁ βασιλεὺς καὶ
6 πᾶς ὁ λαός. [6] καὶ οἱ ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν ἑστηκότες, καὶ οἱ Λευῖται
ἐν ὀργάνοις ᾠδῶν κυρίου τοῦ Δαυὶδ τοῦ βασιλέως τοῦ ἐξομολογεῖσθαι ἔναντι
κυρίου, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ἐν ὕμνοις Δαυὶδ διὰ χειρὸς αὐτῶν·
καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἐναντίον αὐτῶν, καὶ πᾶς Ἰσραὴλ
7 ἑστηκώς. [7] καὶ ἡγίασε Σαλωμὼν τὸ μέσον τῆς αὐλῆς τῆς ἐν οἴκῳ κυρίου·
ὅτι ἐποίησεν ἐκεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ στέατα τῶν σωτηρίων, ὅτι τὸ
θυσιαστήριον τὸ χαλκοῦν ὃ ἐποίησε Σαλωμὼν οὐκ ἐξεποίει δέξασθαι τὰ ὁλο-

---

33. om σu ... επικεκληται το ονομα σου 34. προσευξονται ... ωκοδομησα 35. της δεησ. αυτ. κ. της προσευχ. αυτων 36. οτι ουκ εστιν ... om αυτους tertio et quarto loco 37. επιστρεψουσιν bis ... ηδικησαμεν ηνομησαμεν 38. επιστρεψουσιν ... ** καρδια αυτων ... om οπου ηχμαλ. αυτους ... οικοδομησα 39. αμαρτοντι 40. om και ab initio 41. οι ιερεις VII. 1. σολομων 3. παντες υιοι ... επεσαν 5. om ο βασιλευς ... σολομων ... και βοσκηματων 6. φυλακας εαυτων 7. εποιει pro εξεποιει

Digitized by Google

χαυτώματα καὶ τὰ μαναὰ καὶ τὰ στέατα. 8 καὶ ἐποίησε Σαλωμὼν τὴν ἑορτὴν 8
ἐν τῷ καιρῷ ἐκείνῳ ἑπτὰ ἡμέρας, καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ, ἐκκλησία με-
γάλη σφόδρα ἀπὸ εἰςόδου Αἰμὰθ καὶ ἕως χειμάῤῥου Αἰγύπτου. 9 καὶ ἐποίη- 9
σεν ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον, ὅτι ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἐποίησεν
ἑπτὰ ἡμέρας ἑορτήν, 10 καὶ ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τοῦ μηνὸς τοῦ ἑβδόμου 10
ἀπέστειλε τὸν λαὸν εἰς τὰ σκηνώματα αὐτῶν εὐφραινομένους καὶ ἀγαθῇ καρδίᾳ
ἐπὶ τοῖς ἀγαθοῖς οἷς ἐποίησε κύριος τῷ Δαυὶδ καὶ τῷ Σαλωμῶντι καὶ τῷ
Ἰσραὴλ λαῷ αὐτοῦ. 11 καὶ συνετέλεσε Σαλωμὼν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον 11
τοῦ βασιλέως, καὶ πάντα ὅσα ἠθέλησεν ἐν τῇ ψυχῇ Σαλωμὼν τοῦ ποιῆσαι ἐν
οἴκῳ κυρίου καὶ ἐν οἴκῳ αὐτοῦ εὐωδώθη. 12 καὶ ὤφθη κύριος τῷ Σαλωμὼν 12
τὴν νύκτα καὶ εἶπεν αὐτῷ Ἤκουσα τῆς προσευχῆς σου, καὶ ἐξελεξάμην ἐν τῷ
τόπῳ τούτῳ ἐμαυτῷ εἰς οἶκον θυσίας. 13 ἐὰν συσχῶ τὸν οὐρανὸν καὶ μὴ γέ- 13
νηται ὑετός, καὶ ἐὰν ἐντείλωμαι τῇ ἀκρίδι καταφαγεῖν τὸ ξύλον, καὶ ἐὰν ἀπο-
στείλω θάνατον ἐν τῷ λαῷ μου, 14 καὶ ἐὰν ἐντραπῇ ὁ λαός μου ἐφ' οὓς ἐπικέ- 14
κληται τὸ ὄνομά μου ἐπ' αὐτούς, καὶ προσεύξωνται καὶ ζητήσωσι τὸ πρόσωπόν
μου, καὶ ἀποστρέψωσιν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ ἐγὼ εἰςα-
κούσομαι ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις αὐτῶν καὶ ἰάσομαι
τὴν γῆν αὐτῶν. 15 καὶ νῦν οἱ ὀφθαλμοί μου ἔσονται ἀνεῳγμένοι καὶ τὰ ὦτά 15
μου ἐπήκοα τῇ προσευχῇ τοῦ τόπου τούτου. 16 καὶ νῦν ἐξελεξάμην καὶ ἡγίακα 16
τὸν οἶκον τοῦτον τοῦ εἶναι ὄνομά μου ἐκεῖ ἕως αἰῶνος, καὶ ἔσονται οἱ ὀφθαλ-
μοί μου καὶ ἡ καρδία μου ἐκεῖ πάσας τὰς ἡμέρας. 17 καὶ σὺ ἐὰν πορευθῇς 17
ἐναντίον μου ὡς Δαυὶδ ὁ πατήρ σου, καὶ ποιήσῃς κατὰ πάντα ἃ ἐνετειλά-
μην σοι, καὶ τὰ προστάγματά μου καὶ τὰ κρίματά μου φυλάξῃ, 18 καὶ ἀνα- 18
στήσω τὸν θρόνον τῆς βασιλείας σου ὡς διεθέμην Δαυὶδ τῷ πατρί σου λέγων
Οὐκ ἐξαρθήσεταί σοι ἡγούμενος ἀνὴρ ἐν Ἰσραήλ. 19 καὶ ἐὰν ἀποστρέψητε 19
ὑμεῖς, καὶ ἐγκαταλείπητε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου ἃς ἔδωκα
ἐναντίον ὑμῶν, καὶ πορευθῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προςκυνήσητε
αὐτοῖς, 20 καὶ ἐξαρῶ ὑμᾶς ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς, καὶ τὸν οἶκον τοῦ- 20
τον ὃν ἡγίασα τῷ ὀνόματί μου ἀποστρέψω ἐκ προσώπου μου, καὶ δώσω αὐ-
τὸν εἰς παραβολὴν καὶ εἰς διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι. 21 καὶ ὁ οἶκος οὗτος 21
ὁ ὑψηλός, πᾶς ὁ διαπορευόμενος αὐτὸν ἐκστήσεται καὶ ἐρεῖ Χάριν τίνος ἐποίησε
κύριος τῇ γῇ ταύτῃ καὶ τῷ οἴκῳ τούτῳ; 22 καὶ ἐροῦσι Διότι ἐγκατέλιπον κύ- 22
ριον τὸν θεὸν τῶν πατέρων αὐτῶν τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου,
καὶ ἀντελάβοντο θεῶν ἑτέρων καὶ προσεκύνησαν αὐτοῖς καὶ ἐδούλευσαν αὐτοῖς,
καὶ διὰ τοῦτο ἐπήγαγεν ἐπ' αὐτοὺς πᾶσαν τὴν κακίαν ταύτην.

## VIII.

Καὶ ἐγένετο μετὰ εἴκοσι ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον κυ-
ρίου καὶ τὸν οἶκον αὐτοῦ, 2 καὶ τὰς πόλεις ἃς ἔδωκε Χιρὰμ τῷ Σαλωμών, 2
ᾠκοδόμησεν αὐτὰς Σαλωμὼν καὶ κατῴκισεν ἐκεῖ τοὺς υἱοὺς Ἰσραήλ. 3 καὶ 3
ἦλθε Σαλωμὼν εἰς Βαισωβὰ καὶ κατίσχυσεν αὐτήν. 4 καὶ ᾠκοδόμησε τὴν Θοε- 4
δμὸρ ἐν τῇ ἐρήμῳ καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς ἃς ᾠκοδόμησεν ἐν Ἡμάθ.

9. επτα ημερ. εποιησεν 10. εικαδι pro εικοστω ... τω σαλωμων 11. ευοδωθη 12. ο θεος pro κυριος ... του θυσιασαι pro θυσιας 13. συνσχω 14. επικεκληται pon post ονομα μου ... ζητησουσιν 15. ab initio om και 16. επ αιωνος 17. om και τα προσταγματα μου ... φυλαξης 18. ανηρ ηγουμενος ... * εν ιερουσαλημ 20. ηγιακα ... απο προσωπου 21. διαπορ. προς αυτον 22. εγκατελειπον ... om και ultimum ... δια το επηγ. VIII. 1. εαυτου 2. χειραμ ... om ωκοδομ. αυτας σαλωμων 3. εις αιμαθ σωβα 4. την θεδμορ

Digitized by Google

5 [5]καὶ ᾠκοδόμησε τὴν Βαιθωρὼν τὴν ἄνω καὶ τὴν Βαιθωρὼν τὴν κάτω, πό-
6 λεις ὀχυράς· τείχη, πύλαι καὶ μοχλοί· [6]καὶ τὴν Βαλαάθ, καὶ πάσας τὰς πόλεις
τὰς ὀχυρὰς αἳ ἦσαν τῷ Σαλωμών, καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ
τὰς πόλεις τῶν ἱππέων, καὶ ὅσα ἐπεθύμησε Σαλωμὼν κατὰ τὴν ἐπιθυμίαν
τοῦ οἰκοδομῆσαι ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ Λιβάνῳ καὶ ἐν πάσῃ τῇ βασι-
7 λείᾳ αὐτοῦ. [7]πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς ἀπὸ τοῦ Χετταίου καὶ τοῦ Ἀμοῤ-
ῥαίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου, οἳ οὐκ εἰσὶν
8 ἐκ τοῦ Ἰσραήλ, [8]ἀλλ' ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν τῶν καταλειφθέντων μετ'
αὐτοὺς ἐν τῇ γῇ οὓς οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἀνήγαγεν αὐτοὺς
9 Σαλωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης. [9]καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ
ἔδωκε Σαλωμὼν εἰς παῖδας τῇ βασιλείᾳ αὐτοῦ, ὅτι ἰδοὺ ἄνδρες πολεμισταὶ
10 καὶ ἄρχοντες, καὶ οἱ δυνατοὶ καὶ ἄρχοντες ἁρμάτων καὶ ἱππέων. [10]καὶ οὗτοι
ἄρχοντες τῶν προστατῶν βασιλέως Σαλωμών, πεντήκοντα καὶ διακόσιοι ἐργο-
11 διωκτοῦντες ἐν τῷ λαῷ. [11]καὶ τὴν θυγατέρα Φαραὼ ἀνήγαγε Σαλωμὼν ἐκ
πόλεως Δαυὶδ εἰς τὸν οἶκον ὃν ᾠκοδόμησεν αὐτῇ, ὅτι εἶπεν Οὐ κατοικήσει
ἡ γυνή μου ἐν πόλει Δαυὶδ τοῦ βασιλέως Ἰσραήλ, ὅτι ἅγιός ἐστιν οὗ εἰσῆλ-
12 θεν ἐκεῖ κιβωτὸς κυρίου. [12]τότε ἀνήνεγκε Σαλωμὼν ὁλοκαυτώματα τῷ κυρίῳ
13 ἐπὶ τὸ θυσιαστήριον ὃ ᾠκοδόμησε κυρίῳ ἀπέναντι τοῦ ναοῦ, [13]κατὰ τὸν λό-
γον ἡμέρας ἐν ἡμέρᾳ, τοῦ ἀναφέρειν κατὰ τὰς ἐντολὰς Μωυσῆ ἐν τοῖς σαβ-
βάτοις καὶ ἐν τοῖς μησὶ καὶ ἐν ταῖς ἑορταῖς, τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ, ἐν
τῇ ἑορτῇ τῶν ἀζύμων καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων καὶ ἐν τῇ ἑορτῇ τῶν
14 σκηνῶν. [14]καὶ ἔστησε κατὰ τὴν κρίσιν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ τὰς διαιρέ-
σεις τῶν ἱερέων καὶ κατὰ τὰς λειτουργίας αὐτῶν· καὶ οἱ Λευῖται ἐπὶ τὰς
φυλακὰς αὐτῶν τοῦ αἰνεῖν καὶ λειτουργεῖν κατέναντι τῶν ἱερέων κατὰ τὸν
λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ· καὶ οἱ πυλωροὶ κατὰ τὰς διαιρέσεις αὐτῶν εἰς
15 πύλην καὶ πύλην, ὅτι οὕτως ἐντολαὶ Δαυὶδ ἀνθρώπου τοῦ θεοῦ. [15]οὐ παρῆλ-
θον τὰς ἐντολὰς τοῦ βασιλέως περὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πάντα
16 λόγον καὶ εἰς τοὺς θησαυρούς. [16]καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργασία ἀφ' ἧς
17 ἡμέρας ἐθεμελιώθη ἕως οὗ ἐτελείωσε Σαλωμὼν τὸν οἶκον κυρίου. [17]τότε ᾤχετο
Σαλωμὼν εἰς Γασιὼν Γαβὲρ καὶ εἰς τὴν Αἰλὰθ τὴν παραθαλασσίαν ἐν γῇ
18 Ἰδουμαίᾳ. [18]καὶ ἀπέστειλε Χιρὰμ ἐν χειρὶ παίδων αὐτοῦ πλοῖα καὶ παῖδας
εἰδότας θάλασσαν, καὶ ᾤχοντο μετὰ τῶν παίδων Σαλωμὼν εἰς Σωφιρά, καὶ
ἔλαβον ἐκεῖθεν τὰ τετρακόσια καὶ πεντήκοντα τάλαντα χρυσίου, καὶ ἦλθον
πρὸς τὸν βασιλέα Σαλωμών.

## IX.

Καὶ βασίλισσα Σαβὰ ἤκουσε τὸ ὄνομα Σαλωμών, καὶ ἦλθε τοῦ πειρᾶσαι
Σαλωμὼν ἐν αἰνίγμασιν εἰς Ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα, καὶ κά-
μηλοι αἴρουσαι ἀρώματα εἰς πλῆθος καὶ χρυσίον καὶ λίθον τίμιον· καὶ ἦλθε
πρὸς Σαλωμὼν καὶ ἐλάλησε πρὸς αὐτὸν πάντα ὅσα ἦν ἐν τῇ ψυχῇ αὐτῆς.
2 [2]καὶ ἀνήγγειλεν αὐτῇ Σαλωμὼν πάντας τοὺς λόγους αὐτῆς, καὶ οὐ παρῆλθε
3 λόγος ἀπὸ Σαλωμὼν ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. [3]καὶ εἶδε βασίλισσα Σαβὰ τὴν
4 σοφίαν Σαλωμὼν καὶ τὸν οἶκον ὃν ᾠκοδόμησε, [4]καὶ τὰ βρώματα τῶν τρα-

---

5. βαλαας ... * om πολεις τας οχυρας usque πασας τας ... κ. πασας τ. πολ. τ. ιππεων 8. om αλλ ... εξωλεθρευσαν 9. οτι αυτοι ανδρες ... και δυνατοι 10. των προσταγματων τω βασιλει 11. σαλωμων ανηγαγεν ... γυνη pro η γυνη 12. θυσιαστ. κυριου ο ... om κυριω 13. και κατα 14. om του πατρος αυτου ... ιερεων κατα ... κατα τας φυλακας ... εντολη 16. ητοιμασεν ... ετελιωθη pro εθεμελιωθη 17. αιλαμ ... εν τη ιδουμαια 18. χειραμ ... σωφηρα ... om τα IX. 1. αρωματα κ. χρυσ. εις πληθος ... om ην 3. ιδεν

Digitized by Google

πεζῶν καὶ καθέδραν παίδων αὐτοῦ, καὶ στάσιν λειτουργῶν αὐτοῦ καὶ ἱματι-
σμὸν αὐτῶν, καὶ οἰνοχόους αὐτοῦ καὶ στολισμὸν αὐτῶν, καὶ τὰ ὁλοκαυτώματα
ἃ ἀνέφερεν ἐν οἴκῳ κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγένετο. [5] καὶ εἶπε πρὸς τὸν βασι- 5
λέα Ἀληθινὸς ὁ λόγος ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τῶν λόγων σου καὶ περὶ
τῆς σοφίας σου. [6] καὶ οὐκ ἐπίστευσα τοῖς λόγοις ἕως οὗ ἦλθον καὶ εἶδον οἱ 6
ὀφθαλμοί μου, καὶ ἰδοὺ οὐκ ἀπηγγέλη μοι ἥμισυ τοῦ πλήθους τῆς σοφίας
σου, προσέθηκας ἐπὶ τὴν ἀκοὴν ἣν ἤκουσα. [7] μακάριοι οἱ ἄνδρες σου, μακά- 7
ριοι οἱ παῖδες οὗτοι οἱ παρεστηκότες σοι διὰ παντὸς καὶ ἀκούοντες τὴν σο-
φίαν σου. [8] ἔστω κύριος ὁ θεός σου εὐλογημένος ὃς ἠθέλησεν ἐν σοὶ τοῦ δοῦ- 8
ναί σε ἐπὶ θρόνον αὐτοῦ εἰς βασιλέα κυρίῳ θεῷ σου· ἐν τῷ ἀγαπῆσαι κύριον
τὸν θεόν σου τὸν Ἰσραὴλ τοῦ στῆσαι αὐτὸν εἰς αἰῶνα, καὶ ἔδωκέ σε ἐπ'
αὐτοὺς εἰς βασιλέα τοῦ ποιῆσαι κρίμα καὶ δικαιοσύνην. [9] καὶ ἔδωκε τῷ βασι- 9
λεῖ ἑκατὸν εἴκοσι τάλαντα χρυσίου καὶ ἀρώματα εἰς πλῆθος πολὺ καὶ λίθον
τίμιον· καὶ οὐκ ἦν κατὰ τὰ ἀρώματα ἐκεῖνα ἃ ἔδωκε βασίλισσα Σαβὰ τῷ
βασιλεῖ Σαλωμών. [10] καὶ οἱ παῖδες Σαλωμὼν καὶ οἱ παῖδες Χιρὰμ ἔφερον 10
χρυσίον τῷ Σαλωμὼν ἐκ Σουφὶρ καὶ ξύλα πεύκινα καὶ λίθον τίμιον. [11] καὶ 11
ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα ἀναβάσεις τῷ οἴκῳ κυρίου καὶ τῷ
οἴκῳ τοῦ βασιλέως, καὶ κιθάρας καὶ νάβλας τοῖς ᾠδοῖς, καὶ οὐκ ὤφθησαν
τοιαῦτα ἔμπροσθεν ἐν γῇ Ἰούδα. [12] καὶ ὁ βασιλεὺς Σαλωμὼν ἔδωκε τῇ βασι- 12
λίσσῃ Σαβὰ πάντα τὰ θελήματα αὐτῆς ἃ ᾔτησεν, ἐκτὸς πάντων ὧν ἤνεγκε
τῷ βασιλεῖ Σαλωμών· καὶ ἀπέστρεψεν εἰς τὴν γῆν αὐτῆς. [13] καὶ ἦν ὁ στα- 13
θμὸς τοῦ χρυσίου τοῦ ἐνεχθέντος τῷ Σαλωμὼν ἐν ἐνιαυτῷ ἑνὶ ἑξακόσια ἑξη-
κονταὲξ τάλαντα χρυσίου, [14] πλὴν τῶν ἀνδρῶν τῶν ὑποτεταγμένων καὶ τῶν 14
ἐμπορευομένων ὧν ἔφερον, καὶ πάντων τῶν βασιλέων τῆς Ἀραβίας καὶ σα-
τραπῶν τῆς γῆς, πάντες ἔφερον χρυσίον καὶ ἀργύριον τῷ βασιλεῖ Σαλωμών.
[15] καὶ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν διακοσίους θυρεοὺς χρυσοῦς ἐλατούς, 15
ἑξακόσιοι χρυσοῖ καθαροὶ ἐπῆσαν ἐπὶ τὸν ἕνα θυρεόν· [16] καὶ τριακοσίας ἀσπί- 16
δας ἐλατὰς χρυσᾶς, τριακοσίων χρυσῶν ἀνεφέρετο ἐπὶ τὴν ἀσπίδα ἑκάστην,
καὶ ἔδωκεν αὐτὰς ὁ βασιλεὺς ἐν οἴκῳ δρυμοῦ τοῦ Λιβάνου. [17] καὶ ἐποίησεν 17
ὁ βασιλεὺς θρόνον ἐλεφαντίνων ὀδόντων μέγαν, καὶ κατεχρύσωσεν αὐτὸν χρυ-
σίῳ δοκίμῳ. [18] καὶ ἓξ ἀναβαθμοὶ τῷ θρόνῳ ἐνδεδεμένοι χρυσίῳ, καὶ ἀγκῶνες 18
ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ θρόνου τῆς καθέδρας, καὶ δύο λέοντες ἑστηκότες παρὰ
τοὺς ἀγκῶνας. [19] καὶ δώδεκα λέοντες ἑστηκότες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν 19
ἔνθεν καὶ ἔνθεν· οὐκ ἐγενήθη οὕτως ἐν πάσῃ τῇ βασιλείᾳ. [20] καὶ πάντα τὰ 20
σκεύη τοῦ βασιλέως Σαλωμὼν χρυσίου, καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ
τοῦ Λιβάνου χρυσίῳ κατειλημμένα· οὐκ ἦν ἀργύριον λογιζόμενον ἐν ἡμέραις
Σαλωμὼν εἰς οὐθέν. [21] ὅτι ναῦς τῷ βασιλεῖ ἐπορεύετο εἰς Θαρσεῖς μετὰ τῶν 21
παίδων Χιράμ· ἅπαξ διὰ τριῶν ἐτῶν ἤρχετο πλοῖα ἐκ Θαρσεῖς τῷ βασιλεῖ
γέμοντα χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλεφαντίνων καὶ πιθήκων. [22] καὶ 22
ἐμεγαλύνθη Σαλωμὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς καὶ πλούτῳ καὶ σοφίᾳ. [23] καὶ 23
πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σαλωμὼν ἀκοῦσαι τῆς σο-
φίας αὐτοῦ ἧς ἔδωκεν ὁ θεὸς ἐν καρδίᾳ αὐτοῦ. [24] καὶ αὐτοὶ ἔφερον ἕκαστος 24
τὰ δῶρα αὐτοῦ, σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ ἱματισμόν, στακτὴν καὶ
ἡδύσματα, ἵππους καὶ ἡμιόνους, τὸ κατ' ἐνιαυτὸν ἐνιαυτόν. [25] καὶ ἦσαν τῷ 25

---

4. ** ιματισμ. αυτου ... ανεφερον 6. και προσεθηκας 7. om σου primum ... παιδ. σου ουτοι ... και ακουουσιν σοφιαν σου 8. ηυλογημενος ... ηθελησεν σοι ... επι θρονου α. ε. βασ. τω λαω σου ... εις τον αιωνα ... κρισιν pro κριμα 10. χειραμ σουφειρ 12. γην εαυτης 14. και εμπορευομενων ... om παντες 15. inter ελατους et εξακοσιοι add εξακοσιοι χρυσοι καθαροι τω ενι θυρεω 16. του δρυμου (17. ελεφαντινον) 19. εν παση βασιλεια 20. κατειλημενα· και ουκ 21. βασιλ. σαλωμων ... χειραμ ... πλοιον ... γεμον 24. και ιππους ... om ενιαυτον alterum

Σαλωμὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες
ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν
26 Ἱερουσαλήμ. 26 καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ
27 ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου. 27 καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ
χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ὡς συκα-
28 μίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. 28 καὶ ἡ ἔξοδος τῶν ἵππων ἐξ Αἰγύπτου
29 τῷ Σαλωμὼν καὶ ἐκ πάσης τῆς γῆς. 29 καὶ οἱ κατάλοιποι λόγοι Σαλωμὼν οἱ
πρῶτοι καὶ οἱ ἔσχατοι, ἰδοὺ οὗτοι γεγραμμένοι ἐπὶ τῶν λόγων Νάθαν τοῦ
προφήτου καὶ ἐπὶ τῶν λόγων Ἀχιὰ τοῦ Σηλωνίτου καὶ ἐν ταῖς ὁράσεσιν Ἰωὴλ
30 τοῦ ὁρῶντος περὶ Ἱεροβοὰμ υἱοῦ Ναβάτ. 30 καὶ ἐβασίλευσε Σαλωμὼν ἐπὶ
31 πάντα Ἰσραὴλ τεσσαράκοντα ἔτη. 31 καὶ ἐκοιμήθη Σαλωμών, καὶ ἔθαψαν
αὐτὸν ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

## X.

Καὶ ἦλθε Ῥοβοὰμ εἰς Συχέμ, ὅτι εἰς Συχὲμ ἤρχετο πᾶς Ἰσραὴλ βασι-
2 λεῦσαι αὐτόν. 2 καὶ ἐγένετο ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβάτ, καὶ αὐτὸς ἐν
Αἰγύπτῳ, ὡς ἔφυγεν ἀπὸ προσώπου Σαλωμὼν τοῦ βασιλέως καὶ κατῴκησεν
3 Ἱεροβοὰμ ἐν Αἰγύπτῳ, καὶ ἀπέστρεψεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου. 3 καὶ ἀπέστει-
λαν καὶ ἐκάλεσαν αὐτόν· καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία πρὸς
4 Ῥοβοὰμ λέγοντες 4 Ὁ πατήρ σου ἐσκλήρυνε τὸν ζυγὸν ἡμῶν, καὶ νῦν ἄφες
ἀπὸ τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ ζυγοῦ αὐτοῦ τοῦ
5 βαρέος οὗ ἔδωκεν ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. 5 καὶ εἶπεν αὐτοῖς Πο-
6 ρεύεσθε ἕως τριῶν ἡμερῶν, καὶ ἔρχεσθε πρός με· καὶ ἀπῆλθεν ὁ λαός. 6 καὶ
συνήγαγεν ὁ βασιλεὺς Ῥοβοὰμ τοὺς πρεσβυτέρους τοὺς ἑστηκότας ἐναντίον τοῦ
Σαλωμὼν τοῦ πατρὸς αὐτοῦ ἐν τῷ ζῆν αὐτὸν λέγων Πῶς ὑμεῖς βουλεύεσθε
7 τοῦ ἀποκριθῆναι τῷ λαῷ τούτῳ λόγον; 7 καὶ ἐλάλησαν αὐτῷ λέγοντες Ἐὰν
ἐν τῇ σήμερον γένῃ εἰς ἀγαθὸν τῷ λαῷ τούτῳ, καὶ εὐδοκήσῃς καὶ λαλήσῃς
8 αὐτοῖς λόγους ἀγαθούς, καὶ ἔσονταί σοι παῖδες πάσας τὰς ἡμέρας. 8 καὶ κατ-
έλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων οἳ συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβου-
λεύσατο μετὰ τῶν παιδαρίων τῶν συνεκτραφέντων μετ' αὐτοῦ τῶν ἑστηκότων
9 ἐναντίον αὐτοῦ. 9 καὶ εἶπεν αὐτοῖς Τί ὑμεῖς βουλεύεσθε καὶ ἀποκριθήσομαι
λόγον τῷ λαῷ τούτῳ, οἳ ἐλάλησαν πρός με λέγοντες Ἄνες ἀπὸ τοῦ ζυγοῦ οὗ
10 ἔδωκεν ὁ πατήρ σου ἐφ' ἡμᾶς; 10 καὶ ἐλάλησαν αὐτῷ τὰ παιδάρια τὰ ἐκ-
τραφέντα μετ' αὐτοῦ λέγοντες Οὕτως λαλήσεις τῷ λαῷ τῷ λαλήσαντι πρὸς σὲ
λέγων Ὁ πατήρ σου ἐβάρυνε τὸν ζυγὸν ἡμῶν καὶ σὺ ἄφες ἀφ' ἡμῶν, οὕτως
11 ἐρεῖς Ὁ μικρὸς δάκτυλός μου παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου. 11 καὶ
νῦν ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ζυγῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν ζυγὸν
ὑμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν
12 σκορπίοις. 12 καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶς ὁ λαὸς πρὸς Ῥοβοὰμ τῇ ἡμέρᾳ τῇ
τρίτῃ ὡς ἐλάλησεν ὁ βασιλεὺς λέγων Ἐπιστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ
13 τρίτῃ. 13 καὶ ἀπεκρίθη ὁ βασιλεὺς σκληρά, καὶ ἐγκατέλιπεν ὁ βασιλεὺς Ῥο-
14 βοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων, 14 καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν
βουλὴν τῶν νεωτέρων λέγων Ὁ πατήρ μου ἐβάρυνε τὸν ζυγὸν ὑμῶν, καὶ ἐγὼ
προσθήσω ἐπ' αὐτόν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, καὶ ἐγὼ

---

25. τεσσ. μυριαδες θηλιαι ιππων 26. εως της γης ... οριου 29. om αυτοι 30. σαλωμων ο βασιλευς ... τεσσερακοντα X. 2. *om κ. απεστρ. ιεροβ. εξ αιγυπτου (?) 3. εκκλησια ισραηλ προς βασιλεα ροβοαμ 4. δουλιας 6. εναντιον σαλωμων ... βουλεσθαι 8. κατελειπεν 9. βουλεσθαι ... τω λαω τουτω λογον 10. om λεγοντες 11. και εγω bis 12. με τη ημερα 13. εγκατελειπεν 14. καγω προσθησω ... μαστιξιν, εγω

Digitized by Google

παιδεύσω ὑμᾶς ἐν σκορπίοις. [15]καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν 15
μεταστροφὴ παρὰ τοῦ θεοῦ λέγων Ἀνέστησε κύριος τὸν λόγον αὐτοῦ ὃν ἐλά-
λησεν ἐν χειρὶ Ἀχιὰ τοῦ Σηλωνίτου περὶ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ [16]καὶ παντὸς 16
Ἰσραήλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν. καὶ ἀπεκρίθη ὁ λαὸς πρὸς τὸν
βασιλέα λέγων Τίς ἡμῶν ἡ μερὶς ἐν Δαυὶδ καὶ κληρονομία ἐν υἱῷ Ἰεσσαί;
εἰς τὰ σκηνώματά σου, Ἰσραήλ· νῦν βλέπε τὸν οἶκόν σου, Δαυίδ. καὶ ἐπο-
ρεύθη πᾶς Ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ. [17]καὶ ἄνδρες Ἰσραὴλ καὶ οἱ 17
κατοικοῦντες ἐν πόλεσιν Ἰούδα καὶ ἐβασίλευσαν ἐπ' αὐτῶν Ῥοβοάμ. [18]καὶ 18
ἀπέστειλεν ἐπ' αὐτοὺς Ῥοβοὰμ ὁ βασιλεὺς τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου,
καὶ ἐλιθοβόλησαν αὐτὸν οἱ υἱοὶ Ἰσραὴλ λίθοις καὶ ἀπέθανε· καὶ ὁ βασιλεὺς
Ῥοβοὰμ ἔσπευσε τοῦ ἀναβῆναι εἰς τὸ ἅρμα τοῦ φυγεῖν εἰς Ἱερουσαλήμ. [19]καὶ 19
ἠθέτησεν Ἰσραὴλ ἐν τῷ οἴκῳ Δαυὶδ ἕως τῆς ἡμέρας ταύτης.

## XI.

Καὶ ἦλθε Ῥοβοὰμ εἰς Ἱερουσαλήμ, καὶ ἐξεκκλησίασε τὸν Ἰούδαν καὶ
Βενιαμὶν ἑκατὸν ὀγδοήκοντα χιλιάδας νεανίσκων ποιούντων πόλεμον, καὶ ἐπο-
λέμει πρὸς Ἰσραὴλ τοῦ ἐπιστρέψαι τὴν βασιλείαν τῷ Ῥοβοάμ. [2]καὶ ἐγένετο 2
λόγος κυρίου πρὸς Σαμαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων [3]Εἰπὸν πρὸς Ῥοβοὰμ 3
τὸν τοῦ Σαλωμὼν καὶ πάντα Ἰούδαν καὶ Βενιαμὶν λέγων [4]Τάδε λέγει κύριος 4
Οὐκ ἀναβήσεσθε καὶ οὐ πολεμήσεσθε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν· ἀποστρέφετε
ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ' ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο. καὶ ἐπή-
κουσαν τοῦ λόγου κυρίου, καὶ ἀπεστράφησαν τοῦ μὴ πορευθῆναι ἐπὶ Ἱερο-
βοάμ. [5]καὶ κατῴκησε Ῥοβοὰμ εἰς Ἱερουσαλήμ, καὶ ᾠκοδόμησε πόλεις τει- 5
χήρεις ἐν τῇ Ἰουδαίᾳ. [6]καὶ ᾠκοδόμησε τὴν Βηθλεὲμ καὶ Αἰτὰν καὶ Θεκωέ, 6
[7]καὶ Βαιθσουρὰ καὶ τὴν Σοχὼθ καὶ τὴν Ὀδολλάμ, [8]καὶ τὴν Γὲθ καὶ τὴν 7 8
Μαρισὰν καὶ τὴν Ζίφ, [9]καὶ τὴν Ἀδωραὶ καὶ Λαχὶς καὶ τὴν Ἀζηκά, [10]καὶ 9 10
τὴν Σαραὰ καὶ τὴν Αἰλὼμ καὶ τὴν Χεβρὼν ἥ ἐστι τοῦ Ἰούδα καὶ Βενιαμίν,
πόλεις τειχήρεις. [11]καὶ ὠχύρωσεν αὐτὰς τειχήρεις, καὶ ἔδωκεν ἐν αὐταῖς ἡγου- 11
μένους καὶ παραθέσεις βρωμάτων, ἔλαιον καὶ οἶνον, [12]κατὰ πόλιν καὶ κατὰ 12
πόλιν θυρεοὺς καὶ δόρατα, καὶ κατίσχυσεν αὐτὰς εἰς πλῆθος σφόδρα· καὶ
ἦσαν αὐτῷ Ἰούδα καὶ Βενιαμίν. [13]καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται οἳ ἦσαν ἐν 13
παντὶ Ἰσραὴλ συνήχθησαν πρὸς αὐτὸν ἐκ πάντων τῶν ὁρίων. [14]ὅτι ἐγκατέ- 14
λιπον οἱ Λευῖται τὰ σκηνώματα τῆς κατασχέσεως αὐτῶν καὶ ἐπορεύθησαν
πρὸς Ἰούδα εἰς Ἱερουσαλήμ, ὅτι ἐξέβαλεν αὐτοὺς Ἱεροβοὰμ καὶ οἱ υἱοὶ αὐτοῦ
μὴ λειτουργεῖν κυρίῳ. [15]καὶ κατέστησεν ἑαυτῷ ἱερεῖς τῶν ὑψηλῶν καὶ τοῖς 15
εἰδώλοις καὶ τοῖς ματαίοις καὶ τοῖς μόσχοις, ἃ ἐποίησεν Ἱεροβοάμ· [16]καὶ 16
ἐξέβαλεν αὐτοὺς ἀπὸ φυλῶν Ἰσραὴλ οἳ ἔδωκαν καρδίαν αὐτῶν τοῦ ζητῆσαι
κύριον θεὸν Ἰσραήλ, καὶ ἦλθον εἰς Ἱερουσαλὴμ θῦσαι κυρίῳ θεῷ τῶν πατέ-
ρων αὐτῶν. [17]καὶ κατίσχυσαν τὴν βασιλείαν Ἰούδα· καὶ κατίσχυσε Ῥοβοὰμ 17
τὸν τοῦ Σαλωμὼν εἰς ἔτη τρία, ὅτι ἐπορεύθη ἐν ταῖς ὁδοῖς Δαυὶδ καὶ Σα-
λωμὼν ἔτη τρία. [18]καὶ ἔλαβεν ἑαυτῷ Ῥοβοὰμ γυναῖκα τὴν Μοολὰθ θυγατέρα 18

---

16. Τις ημιν μερις ... αποτρεχε εις τα 17. ισραηλ οι ... ιουδα εβασιλ εφ εαυτων τον ροβοαμ 18. om επ αυτους ... ο βασιλ. ροβοαμ τ. αδωραμ XI. 1. βενιαμειν ... εαυτω pro τω ροβοαμ 3. και προς παντα ιουδα κ. βενιαμειν ... ο. αναβησετε ουδε πολεμησετε ... αποστραφητε ... υπηκουσαν 5. επι ιερουσαλημ 6. την βαιθ σεεμ κ. την αιτανι κ. την θεκωε 7. κ. την βαιθσουρα ... σοχχωθ 8. ζειφ 9. αδωραϊμ κ. λαχεις 10. αϊαλων ... βενιαμειν 11. τειχεσιν pro τειχηρεις ... εδωκεν αυταις 12. om και κατα πολιν ... βενιαμειν 14. εγκατελειπον ... προς ιουδαν ... αυτου του μη λειτ. τω κυριω 16. καρδιαν εαυτων ... τον κυριον ... κυριω τω θεω 17. ροβοαμ ο του ... επορευθη ταις 18. την μολαθ θυγ.



Digitized by Google

19 Ἱεριμοὺθ υἱοῦ Δαυὶδ καὶ Ἀβιγαίαν θυγατέρα Ἐλιὰβ τοῦ Ἰεσσαί. [19] καὶ ἔτε-
20 κεν αὐτῷ υἱοὺς τὸν Ἰεοὺς καὶ τὸν Σαμορία καὶ τὸν Ζαάμ. [20] καὶ μετὰ ταῦτα
ἔλαβεν ἑαυτῷ τὴν Μααχὰ θυγατέρα Ἀβεσσαλώμ, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀβιὰ
21 καὶ τὸν Ἰεθὶ καὶ τὸν Ζηζὰ καὶ τὸν Σαλημώθ. [21] καὶ ἠγάπησε Ῥοβοὰμ τὴν
Μααχὰ θυγατέρα Ἀβεσσαλὼμ ὑπὲρ πάσας τὰς γυναῖκας αὐτοῦ καὶ τὰς παλ-
λακὰς αὐτοῦ, ὅτι γυναῖκας δεκαοκτὼ εἶχε καὶ παλλακὰς ἑξήκοντα· καὶ ἐγέν-
22 νησεν υἱοὺς εἴκοσι καὶ ὀκτὼ καὶ θυγατέρας ἑξήκοντα. [22] καὶ κατέστησεν εἰς
ἄρχοντα Ἀβιὰ τὸν τῆς Μααχὰ εἰς ἡγούμενον ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, ὅτι
23 βασιλεῦσαι διενοεῖτο αὐτόν. [23] καὶ ηὐξήθη παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ ἐν
πᾶσι τοῖς ὁρίοις Ἰούδα καὶ Βενιαμὶν καὶ ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς, καὶ
ἔδωκεν αὐταῖς τροφὰς πλῆθος πολύ, καὶ ᾐτήσατο πλῆθος γυναικῶν.

## XII.

Καὶ ἐγένετο ὡς ἡτοιμάσθη ἡ βασιλεία Ῥοβοὰμ καὶ ὡς κατεκρατήθη,
2 ἐγκατέλιπε τὰς ἐντολὰς κυρίου καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ. [2] καὶ ἐγένετο ἐν
τῷ ἔτει τῷ πέμπτῳ τῆς βασιλείας Ῥοβοὰμ ἀνέβη Σουσακὶμ βασιλεὺς Αἰγύ-
3 πτου ἐπὶ Ἱερουσαλήμ, ὅτι ἥμαρτον ἐναντίον κυρίου, [3] ἐν χιλίοις καὶ διακο-
σίοις ἅρμασι καὶ ἑξήκοντα χιλιάσιν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους
τοῦ ἐλθόντος μετ' αὐτοῦ ἐξ Αἰγύπτου, Λίβυες, Τρωγοδύται καὶ Αἰθίοπες.
4 [4] καὶ κατεκράτησαν τῶν πόλεων τῶν ὀχυρῶν αἳ ἦσαν ἐν Ἰούδᾳ, καὶ ἦλθον
5 εἰς Ἱερουσαλήμ. [5] καὶ Σαμαίας ὁ προφήτης ἦλθε πρὸς Ῥοβοὰμ καὶ πρὸς τοὺς
ἄρχοντας Ἰούδα τοὺς συναχθέντας εἰς Ἱερουσαλὴμ ἀπὸ προσώπου Σουσακὶμ
καὶ εἶπεν αὐτοῖς Οὕτως εἶπε κύριος Ὑμεῖς ἐγκατελίπετέ με, καὶ ἐγὼ ἐγκα-
6 ταλείψω ὑμᾶς ἐν χειρὶ Σουσακίμ. [6] καὶ ᾐσχύνθησαν οἱ ἄρχοντες Ἰσραὴλ καὶ
7 ὁ βασιλεύς, καὶ εἶπαν Δίκαιος ὁ κύριος. [7] καὶ ἐν τῷ ἰδεῖν κύριον ὅτι ἐνετρά-
πησαν, καὶ ἐγένετο λόγος κυρίου πρὸς Σαμαίαν λέγων Ἐνετράπησαν, οὐ κα-
ταφθερῶ αὐτούς, καὶ δώσω αὐτοὺς ὡς μικρὸν εἰς σωτηρίαν, καὶ οὐ μὴ στάξῃ
8 ὁ θυμός μου ἐν Ἱερουσαλήμ, [8] ὅτι ἔσονται εἰς παῖδας, καὶ γνώσονται τὴν
9 δουλείαν μου καὶ τὴν δουλείαν τῆς βασιλείας τῆς γῆς. [9] καὶ ἀνέβη Σουσακὶμ
βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλήμ, καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ
κυρίου καὶ τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ τοῦ βασιλέως, τὰ πάντα ἔλαβε· καὶ
10 ἔλαβε τοὺς θυρεοὺς τοὺς χρυσοῦς οὓς ἐποίησε Σαλωμών. [10] καὶ ἐποίησεν ὁ
βασιλεὺς Ῥοβοὰμ θυρεοὺς χαλκοῦς ἀντ' αὐτῶν· καὶ κατέστησεν ἐπ' αὐτὸν
Σουσακὶμ ἄρχοντας παρατρεχόντων τοὺς φυλάσσοντας τὸν πυλῶνα τοῦ βασι-
11 λέως. [11] καὶ ἐγένετο ἐν τῷ εἰςελθεῖν τὸν βασιλέα εἰς οἶκον κυρίου, εἰςεπο-
ρεύοντο οἱ φυλάσσοντες καὶ οἱ παρατρέχοντες καὶ οἱ ἐπιστρέφοντες εἰς ἀπάν-
12 τησιν τῶν παρατρεχόντων. [12] καὶ ἐν τῷ ἐντραπῆναι αὐτὸν ἀπεστράφη ἀπ' αὐ-
τοῦ ὀργὴ κυρίου, καὶ οὐκ εἰς καταφθορὰν εἰς τέλος· καὶ γὰρ ἐν Ἰούδᾳ ἦσαν
13 λόγοι ἀγαθοί. [13] καὶ κατίσχυσεν ὁ βασιλεὺς Ῥοβοὰμ ἐν Ἱερουσαλὴμ καὶ ἐβα-
σίλευσεν· καὶ τεσσαράκοντα καὶ ἑνὸς ἐτῶν Ῥοβοὰμ ἐν τῷ βασιλεῦσαι αὐτόν,
καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, ἐν τῇ πόλει ᾗ ἐξελέξατο
κύριος ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραήλ· καὶ
14 τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Νοομμὰ ἡ Ἀμμανῖτις. [14] καὶ ἐποίησε τὸ πονη-
15 ρόν, ὅτι οὐ κατεύθυνε τὴν καρδίαν αὐτοῦ ἐκζητῆσαι τὸν κύριον. [15] καὶ λόγοι

18. ερμουθ ... αβιαϊαλ 19. ετεκον ... om τον ιεους ... σαμαριαν ... ζαλαμ 20. ιεθθι ... ζιζα 21. εικοσι οκτω 22. ροβοαμ τον αβια 23. βενιαμειν XII. 1. εγκατελειπεν 2. εν τω πεμπτω ετει ... σουσακειμ ... επι ισραηλ 3. τρωγλοδυται 5. σουσακειμ bis ... εγκατελειπατε με, καγω 6. ιουδα pro ισραηλ 7. επι ιερουσαλημ 8. δουλιαν bis 9. σουσακειμ ... om επι ιερουσαλημ 10. om ο βασιλευς ... σουσακειμ 12. η οργη ... εν τω ιουδα ... in f. add και αρεστοι εν πασιν 13. om ο βασιλευς ... τεσσερακοντα ... om υιων ... και ονομα της 14. καρδ. εαυτου εκζ. κυριον

Digitized by Google

Ῥοβοὰμ οἱ πρῶτοι καὶ ἔσχατοι οὐκ ἰδοὺ γεγραμμένοι ἐν τοῖς λόγοις Σαμαία
τοῦ προφήτου καὶ Ἀδδὼ τοῦ ὁρῶντος καὶ πράξεις αὐτοῦ; καὶ ἐπολέμησε Ῥο-
βοὰμ τὸν Ἱεροβοὰμ πάσας τὰς ἡμέρας. [16] καὶ ἀπέθανε Ῥοβοὰμ μετὰ τῶν 16
πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαυίδ· καὶ ἐβασίλευσεν Ἀβιὰ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

## XIII.

Ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἱεροβοὰμ ἐβασίλευσεν Ἀβιὰ
ἐπὶ Ἰούδαν. [2] τρία ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ 2
Μααχὰ θυγάτηρ Οὐριὴλ ἀπὸ Γαβαών· καὶ πόλεμος ἦν ἀνὰ μέσον Ἀβιὰ καὶ
ἀνὰ μέσον Ἱεροβοάμ. [3] καὶ παρετάξατο Ἀβιὰ ἐν δυνάμει πολεμισταῖς δυνά- 3
μεως τετρακοσίαις χιλιάσιν ἀνδρῶν δυνατῶν· καὶ Ἱεροβοὰμ παρετάξατο πρὸς
αὐτὸν πόλεμον ἐν ὀκτακοσίαις χιλιάσι, δυνατοὶ πολεμισταὶ δυνάμεως. [4] καὶ 4
ἀνέστη Ἀβιὰ ἀπὸ τοῦ ὄρους Σομόρων, ὅ ἐστιν ἐν τῷ ὄρει Ἐφραΐμ, καὶ εἶπεν
Ἀκούσατε, Ἱεροβοὰμ καὶ πᾶς Ἰσραήλ. [5] οὐχ ὑμῖν γνῶναι ὅτι κύριος ὁ θεὸς 5
Ἰσραὴλ ἔδωκε βασιλέα ἐπὶ τὸν Ἰσραὴλ εἰς τὸν αἰῶνα τῷ Δαυὶδ καὶ τοῖς υἱοῖς
αὐτοῦ διαθήκη ἁλός; [6] καὶ ἀνέστη Ἱεροβοὰμ ὁ τοῦ Ναβὰτ ὁ παῖς Σαλωμὼν 6
τοῦ Δαυὶδ καὶ ἀπέστη ἀπὸ τοῦ κυρίου αὐτοῦ. [7] καὶ συνήχθησαν πρὸς αὐτὸν 7
ἄνδρες λοιμοὶ υἱοὶ παράνομοι, καὶ ἀνέστη πρὸς Ῥοβοὰμ τὸν τοῦ Σαλωμών,
καὶ Ῥοβοὰμ ἦν νεώτερος καὶ δειλὸς τῇ καρδίᾳ, καὶ οὐκ ἀντέστη κατὰ πρόσ-
ωπον αὐτοῦ. [8] καὶ νῦν ὑμεῖς λέγετε ἀντιστῆναι κατὰ πρόσωπον βασιλείας 8
κυρίου διὰ χειρὸς υἱῶν Δαυίδ· καὶ ὑμεῖς πλῆθος πολύ, καὶ μεθ' ὑμῶν μόσχοι
χρυσοῖ οὓς ἐποίησεν ὑμῖν Ἱεροβοὰμ εἰς θεούς. [9] ἢ οὐκ ἐξεβάλετε τοὺς ἱερεῖς 9
κυρίου τοὺς υἱοὺς Ἀαρὼν καὶ τοὺς Λευίτας, καὶ ἐποιήσατε ἑαυτοῖς ἱερεῖς ἐκ
τοῦ λαοῦ τῆς γῆς πάσης; ὁ προσπορευόμενος πληρῶσαι τὰς χεῖρας ἐν μόσχῳ
ἐκ βοῶν καὶ κριοῖς ἑπτὰ καὶ ἐγίνετο εἰς ἱερέα τῷ μὴ ὄντι θεῷ. [10] καὶ ἡμεῖς 10
κύριον τὸν θεὸν ἡμῶν οὐκ ἐγκατελίπομεν, καὶ οἱ ἱερεῖς αὐτοῦ λειτουργοῦσι
τῷ κυρίῳ οἱ υἱοὶ Ἀαρὼν καὶ οἱ Λευῖται, καὶ ἐν ταῖς ἐφημερίαις αὐτῶν [11] θυ- 11
μιῶσι τῷ κυρίῳ ὁλοκαύτωμα πρωὶ καὶ δείλης, καὶ θυμίαμα συνθέσεως, καὶ
προθέσεις ἄρτων ἐπὶ τῆς τραπέζης τῆς καθαρᾶς, καὶ ἡ λυχνία ἡ χρυσῆ καὶ
οἱ λυχνοὶ τῆς καύσεως ἀνάψαι δείλης· ὅτι φυλάσσομεν ἡμεῖς τὰς φυλακὰς
κυρίου τοῦ θεοῦ τῶν πατέρων ἡμῶν, καὶ ὑμεῖς ἐγκατελίπετε αὐτόν. [12] καὶ 12
ἰδοὺ μεθ' ἡμῶν ἐν ἀρχῇ κύριος καὶ οἱ ἱερεῖς αὐτοῦ καὶ αἱ σάλπιγγες τῆς
σημασίας τοῦ σημαίνειν ἐφ' ὑμᾶς· οἱ υἱοὶ τοῦ Ἰσραήλ, μὴ πολεμήσητε πρὸς
κύριον θεὸν τῶν πατέρων ἡμῶν, ὅτι οὐκ εὐοδώσεται ὑμῖν. [13] καὶ Ἱεροβοὰμ 13
ἀπέστρεψε τὸ ἔνεδρον ἐλθεῖν αὐτῷ ἐκ τῶν ὄπισθε, καὶ ἐγένετο ἔμπροσθεν
Ἰούδα, καὶ τὸ ἔνεδρον ἐκ τῶν ὄπισθεν. [14] καὶ ἀπέστρεψεν Ἰούδας, καὶ ἰδοὺ 14
αὐτοῖς ὁ πόλεμος ἐκ τῶν ἔμπροσθε καὶ ἐκ τῶν ὄπισθεν, καὶ ἐβόησαν πρὸς
κύριον, καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι. [15] καὶ ἐβόησαν ἄνδρες Ἰούδα· 15
καὶ ἐγένετο ἐν τῷ βοᾶν ἄνδρας Ἰούδα, καὶ κύριος ἐπάταξε τὸν Ἱεροβοὰμ καὶ
τὸν Ἰσραὴλ ἐναντίον Ἀβιὰ καὶ Ἰούδα. [16] καὶ ἔφυγον οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσ- 16
ώπου Ἰούδα, καὶ παρέδωκεν αὐτοὺς κύριος εἰς τὰς χεῖρας αὐτῶν. [17] καὶ ἐπά- 17

---

15. και οι εσχατοι ... και αι πραξεις ... επολεμει ροβ. προς ιεροβ. 16. ροβοαμ, και εταφη μετα τ. πατερ. εαυτου εν XIII. 3. αβια τον πολεμον εν ... δυνατων πολεμιστων pro δυνατοι πολεμισται 5. δεδωκεν ... διαθηκην 6. τω δαυιδ ... κυριου εαυτου 7. αντεστη pro ανεστη ... ροβοαμ υιον σαλωμων 8. λεγετε υμεις ... ** πολλοι pro χρυσοι 9. εξεβαλετο ... γης· πας ο ... χειρ. εξ μοσχοις 10. ενκαταιλειπομεν ... υιοι sine οι ... εαυτων ... ολοκαυτωματα 11. προθεσις ... εγκατελειπατε 12. και σαλπιγγες ... εφ υμας· και οι υιοι ... om μη ... πολεμησεται ... ευοδωθησεται 13. οπισθεν pro οπισθε 14. ο πολεμος αυτοις ... om εκ των εμπροσθ. και 16. εις χειρας



Digitized by Google

ταξεν ἐν αὐτοῖς Ἀβιὰ καὶ ὁ λαὸς αὐτοῦ πληγὴν μεγάλην, καὶ ἔπεσον τραυ-
18 ματίαι ἀπὸ Ἰσραὴλ πεντακόσιαι χιλιάδες ἄνδρες δυνατοί. [18] καὶ ἐταπεινώθη-
σαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατίσχυσαν οἱ υἱοὶ Ἰούδα, ὅτι
19 ἤλπισαν ἐπὶ κύριον θεὸν τῶν πατέρων αὐτῶν. [19] καὶ κατεδίωξεν Ἀβιὰ ὀπίσω
Ἱεροβοάμ καὶ προκατελάβετο παρ' αὐτοῦ τὰς πόλεις, τὴν Βαιθὴλ καὶ τὰς
κώμας αὐτῆς, καὶ τὴν Ἰεσυνὰ καὶ τὰς κώμας αὐτῆς, καὶ τὴν Ἐφρὼν καὶ
20 τὰς κώμας αὐτῆς. [20] καὶ οὐκ ἔσχεν ἰσχὺν Ἱεροβοὰμ ἔτι πάσας τὰς ἡμέρας
21 Ἀβιά, καὶ ἐπάταξεν αὐτὸν κύριος, καὶ ἐτελεύτησε. [21] καὶ κατίσχυσεν Ἀβιά,
καὶ ἔλαβεν ἑαυτῷ γυναῖκας δεκατέσσαρας, καὶ ἐγέννησεν υἱοὺς εἰκοσιδύο καὶ
22 ἑκκαίδεκα θυγατέρας. [22] καὶ οἱ λοιποὶ λόγοι Ἀβιὰ καὶ αἱ πράξεις αὐτοῦ καὶ
οἱ λόγοι αὐτοῦ γεγραμμένοι ἐπὶ βιβλίῳ τοῦ προφήτου Ἀδδώ.

## XIV.

Καὶ ἀπέθανεν Ἀβιὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν
πόλει Δαυίδ· καὶ ἐβασίλευσεν Ἀσὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ταῖς ἡμέραις
2 Ἀσὰ ἡσύχασεν ἡ γῆ Ἰούδα δέκα ἔτη, [2] καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς
3 ἐνώπιον κυρίου τοῦ θεοῦ αὐτοῦ. [3] καὶ ἀπέστησε τὰ θυσιαστήρια τῶν ἀλλοτρίων
4 καὶ τὰ ὑψηλά, καὶ συνέτριψε τὰς στήλας καὶ ἐξέκοψε τὰ ἄλση, [4] καὶ εἶπε
τῷ Ἰούδᾳ ἐκζητῆσαι τὸν κύριον θεὸν τῶν πατέρων αὐτῶν καὶ ποιῆσαι τὸν
5 νόμον καὶ τὰς ἐντολάς. [5] καὶ ἀπέστησεν ἀπὸ πασῶν πόλεων Ἰούδα τὰ θυσια-
6 στήρια καὶ τὰ εἴδωλα, καὶ εἰρήνευσε [6] πόλεις τειχήρεις ἐν γῇ Ἰούδα, ὅτι
εἰρήνευσεν ἡ γῆ· καὶ οὐκ ἦν αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσι τούτοις, ὅτι κατέ-
7 παυσε κύριος αὐτῷ. [7] καὶ εἶπε τῷ Ἰούδᾳ Οἰκοδομήσωμεν τὰς πόλεις ταύτας,
καὶ ποιήσωμεν τείχη καὶ πύργους καὶ πύλας καὶ μοχλούς, ἐνώπιον τῆς γῆς
κυριεύσομεν· ὅτι καθὼς ἐξεζητήσαμεν κύριον τὸν θεὸν ἡμῶν, ἐξεζήτησεν ἡμᾶς,
8 καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν καὶ εὐώδωσεν ἡμῖν. [8] καὶ ἐγένετο δύναμις τῷ
Ἀσᾷ ὁπλοφόρων αἰρόντων θυρεοὺς καὶ δόρατα ἐν γῇ Ἰούδα τριακόσιαι χιλιά-
δες, καὶ ἐν γῇ Βενιαμὶν πελτασταὶ καὶ τοξόται διακόσιαι καὶ ὀγδοήκοντα
9 χιλιάδες, πάντες οὗτοι πολεμισταὶ δυνάμεως. [9] καὶ ἐξῆλθεν ἐπ' αὐτοὺς Ζαρὲ
ὁ Αἰθίοψ ἐν δυνάμει ἐν χιλίαις χιλιάσι καὶ ἅρμασι τριακοσίοις, καὶ ἦλθεν
10 ἕως Μαρησά. [10] καὶ ἐξῆλθεν Ἀσὰ εἰς συνάντησιν αὐτῷ, καὶ παρετάξατο πό-
11 λεμον ἐν τῇ φάραγγι κατὰ βορρᾶν Μαρησά. [11] καὶ ἐβόησεν Ἀσὰ πρὸς κύριον
θεὸν αὐτοῦ καὶ εἶπε Κύριε, οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ
ἐν ὀλίγοις· κατίσχυσον ἡμᾶς, κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ πεποίθαμεν,
καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθομεν ἐπὶ τὸ πλῆθος τὸ πολὺ τοῦτο· κύριε ὁ θεὸς
12 ἡμῶν, μὴ κατισχυσάτω πρὸς σὲ ἄνθρωπος. [12] καὶ ἐπάταξε κύριος τοὺς Αἰ-
13 θίοπας ἐναντίον Ἰούδα, καὶ ἔφυγον Αἰθίοπες, [13] καὶ κατεδίωξεν αὐτοὺς Ἀσὰ
καὶ ὁ λαὸς αὐτοῦ ἕως Γεδώρ· καὶ ἔπεσον Αἰθίοπες ὥστε μὴ εἶναι ἐν αὐτοῖς
περιποίησιν, ὅτι συνετρίβησαν ἐνώπιον κυρίου καὶ ἐναντίον τῆς δυνάμεως αὐ-
14 τοῦ, καὶ ἐσκύλευσαν σκῦλα πολλά. [14] καὶ ἐξέκοψαν τὰς κώμας αὐτῶν κύκλῳ
Γεδώρ, ὅτι ἐγενήθη ἔκστασις κυρίου ἐπ' αὐτούς, καὶ ἐσκύλευσαν πάσας τὰς
15 πόλεις αὐτῶν, ὅτι πολλὰ σκῦλα ἐγενήθη αὐτοῖς. [15] καί γε σκηνὰς κτήσεων
καὶ τοὺς Ἀλιμαζονεῖς ἐξέκοψαν, καὶ ἔλαβον πρόβατα πολλὰ καὶ καμήλους,
καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλήμ.

---

17. επεσαν 18. εαυτων 19. αυτου πολεις ... ανα pro ιεσυνα ... θυγατερας pro κωμας ultimo 20. επι pro ετι 21. δεκατεσσαρες ... και θυγατερ. δεκαεξ XIV. 1. ετη δεκα 2. εαυτου 4. εκζητησαι κυριον τον θ. τ. π. εαυτων 5. πασων των πολεων 6. αυτω κυριος 7. εν ω τ. γ. κυριευομεν ... κυριον θεον ... ευοδωσεν 8. τω ασα δυναμις ... βενιαμειν ... διακοσιαι πεντηκοντα 9. ζαρε αιθιοψ ... και ηλθεν bis ponit 11. ου δυνατει 12. οι αιθιοπες 13. om αυτους ... ενωπιον pro εναντιον 15. κτησεων τους αμαζονεις

Digitized by Google

## XV.

Καὶ Ἀζαρίας υἱὸς Ὠδήδ, ἐγένετο ἐπ' αὐτὸν πνεῦμα κυρίου. ² καὶ ἐξῆλ- 2
θεν εἰς ἀπάντησιν Ἀσᾷ καὶ παντὶ Ἰούδᾳ καὶ Βενιαμίν, καὶ εἶπεν Ἀκούσατέ
μου, Ἀσὰ καὶ πᾶς Ἰούδα καὶ Βενιαμίν. κύριος μεθ' ὑμῶν ἐν τῷ εἶναι ὑμᾶς
μετ' αὐτοῦ· καὶ ἐὰν ἐκζητήσητε αὐτόν, εὑρεθήσεται ὑμῖν· καὶ ἐὰν ἐγκατα-
λείπητε αὐτόν, ἐγκαταλείψει ὑμᾶς. ³ καὶ ἡμέραι πολλαὶ τῷ Ἰσραὴλ ἐν οὐ θεῷ 3
ἀληθινῷ καὶ οὐχ ἱερέως ὑποδεικνύντος καὶ ἐν οὐ νόμῳ. ⁴ καὶ ἐπιστρέψει αὐ- 4
τοὺς ἐπὶ κύριον θεὸν Ἰσραήλ, καὶ εὑρεθήσεται αὐτοῖς. ⁵ καὶ ἐν ἐκείνῳ τῷ 5
καιρῷ οὐκ ἔστιν εἰρήνη τῷ ἐκπορευομένῳ καὶ τῷ εἰςπορευομένῳ, ὅτι ἔκστασις
κυρίου ἐπὶ πάντας τοὺς κατοικοῦντας τὰς χώρας. ⁶ καὶ πολεμήσει ἔθνος πρὸς 6
ἔθνος καὶ πόλις πρὸς πόλιν, ὅτι ὁ θεὸς ἐξέστησεν αὐτοὺς ἐν πάσῃ θλίψει.
⁷ καὶ ὑμεῖς ἰσχύσατε καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἔστι μισθὸς 7
τῇ ἐργασίᾳ ὑμῶν. ⁸ καὶ ἐν τῷ ἀκοῦσαι τοὺς λόγους τούτους καὶ τὴν προφη- 8
τείαν Ἀδὰδ τοῦ προφήτου, καὶ κατίσχυσε καὶ ἐξέβαλε τὰ βδελύγματα ἀπὸ
πάσης τῆς γῆς Ἰούδα καὶ Βενιαμὶν καὶ ἀπὸ τῶν πόλεων ὧν κατέσχεν Ἱερο-
βοὰμ ἐν ὄρει Ἐφραΐμ, καὶ ἐνεκαίνισε τὸ θυσιαστήριον κυρίου ὃ ἦν ἔμπροσθεν
τοῦ ναοῦ κυρίου. ⁹ καὶ ἐξεκκλησίασε τὸν Ἰούδαν καὶ Βενιαμὶν καὶ τοὺς προς- 9
ηλύτους τοὺς παροικοῦντας μετ' αὐτοῦ ἀπὸ Ἐφραΐμ καὶ ἀπὸ Μανασσῆ καὶ
ἀπὸ Συμεών, ὅτι προςετέθησαν πρὸς αὐτὸν πολλοὶ τοῦ Ἰσραὴλ ἐν τῷ ἰδεῖν
αὐτοὺς ὅτι κύριος ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ. ¹⁰ καὶ συνήχθησαν εἰς Ἱερουσα- 10
λὴμ ἐν τῷ μηνὶ τῷ τρίτῳ ἐν τῷ ἔτει τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας Ἀσά. 11
¹¹ καὶ ἔθυσε τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν σκύλων ὧν ἤνεγκαν,
μόσχους ἑπτακοσίους καὶ πρόβατα ἑπτακιςχίλια. ¹² καὶ διῆλθεν ἐν διαθήκῃ 12
ζητῆσαι κύριον θεὸν τῶν πατέρων αὐτῶν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης
τῆς ψυχῆς αὐτῶν. ¹³ καὶ πᾶς ὃς ἐὰν μὴ ἐκζητήσῃ τὸν κύριον θεὸν τοῦ Ἰσραήλ, 13
ἀποθανεῖται ἀπὸ νεωτέρου ἕως πρεσβυτέρου, ἀπὸ ἀνδρὸς ἕως γυναικός. ¹⁴ καὶ 14
ὤμοσαν ἐν κυρίῳ ἐν φωνῇ μεγάλῃ καὶ ἐν σάλπιγξι καὶ ἐν κερατίναις. ¹⁵ καὶ 15
εὐφράνθησαν πᾶς Ἰούδα περὶ τοῦ ὅρκου, ὅτι ἐξ ὅλης τῆς ψυχῆς ὤμοσαν, καὶ
ἐν πάσῃ θελήσει ἐζήτησαν αὐτόν, καὶ εὑρέθη αὐτοῖς, καὶ κατέπαυσε κύριος
αὐτοῖς κυκλόθεν. ¹⁶ καὶ τὴν Μααχὰ τὴν μητέρα αὐτοῦ μετέστησε τοῦ μὴ εἶναι 16
τῇ Ἀστάρτῃ λειτουργοῦσαν, καὶ κατέκοψε τὸ εἴδωλον καὶ κατέκαυσεν ἐν χει-
μάρρῳ Κέδρων. ¹⁷ πλὴν τὰ ὑψηλὰ οὐκ ἀπέστησαν, ἔτι ὑπῆρχεν ἐν τῷ Ἰσραήλ· 17
ἀλλ' ἡ καρδία Ἀσὰ ἐγένετο πλήρης πάσας τὰς ἡμέρας αὐτοῦ. ¹⁸ καὶ εἰς- 18
ήνεγκε τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ τὰ ἅγια οἴκου τοῦ θεοῦ, ἀρ-
γύριον καὶ χρυσίον καὶ σκεύη. ¹⁹ καὶ πόλεμος οὐκ ἦν μετ' αὐτοῦ ἕως τοῦ 19
πέμπτου καὶ τριακοστοῦ ἔτους τῆς βασιλείας Ἀσά.

## XVI.

Καὶ ἐν τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας Ἀσὰ ἀνέβη βασιλεὺς
Ἰσραὴλ ἐπὶ Ἰούδαν, καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ τοῦ μὴ δοῦναι ἔξοδον καὶ
εἴςοδον τῷ Ἀσᾷ βασιλεῖ Ἰούδα. ² καὶ ἔλαβεν Ἀσὰ ἀργύριον καὶ χρυσίον ἐκ 2
θησαυρῶν οἴκου κυρίου καὶ οἴκου τοῦ βασιλέως, καὶ ἀπέστειλε πρὸς τὸν υἱὸν

---

XV. 1. υιος αδαδ 2. βενιαμειν ... πας ιουδας κ. βενιαμειν 3. υποδεικνυοντος 5. om τω εκπορευομενω και 8. προφητιαν αζαριου του ... βενιαμειν ... om ιεροβοαμ 9. βενιαμειν 10. εν τω πεντεκαιδ. ετει 11. εθυσαν ... εν εκεινη τη ημερα ... μοσχους επτα, κριους και προβατα επτα χιλιαδας 12. om αυτων in f. 13. πας ο εαν ... εκζητηση κυριον θεον ισραηλ ... και απο ανδρος 14. ωμοσεν εν τω κυριω 15. ηυφρανθησαν ... ψυχης αυτων ... αυτοις κυριος κυκλοθ. 16. om μη 17. εξηραν pro απεστησαν ... εν τω ιουδα και ισραηλ 18. οικου κυριου του XVI. 1. ανεβη βαασα 2. χρυσ. και αργυρ.

Digitized by Google

3 τοῦ Ἄδερ βασιλέως Συρίας τὸν κατοικοῦντα ἐν Δαμασκῷ λέγων [3] Διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός μου καὶ ἀνὰ μέσον τοῦ πατρός σου· ἰδοὺ ἀπέσταλκά σοι χρυσίον καὶ ἀργύριον, δεῦρο καὶ διασκέδασον ἀπ' ἐμοῦ τὸν Βαασὰ βασιλέα Ἰσραήλ, καὶ ἀπελθέτω ἀπ' ἐμοῦ.
4 [4] καὶ ἤκουσεν υἱὸς Ἄδερ τοῦ βασιλέως Ἀσά, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ ἐπὶ τὰς πόλεις Ἰσραήλ, καὶ ἐπάταξε τὴν Αἰὼν καὶ τὴν
5 Δὰν καὶ τὴν Ἀβελμαΐν καὶ πάσας τὰς περιχώρους Νεφθαλί. [5] καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι Βαασά, ἀπέλιπε τοῦ μηκέτι οἰκοδομεῖν τὴν Ῥαμὰ καὶ κατέπαυσε
6 τὸ ἔργον αὐτοῦ. [6] καὶ Ἀσὰ βασιλεὺς ἔλαβε πάντα τὸν Ἰούδαν, καὶ ἔλαβε τοὺς λίθους τῆς Ῥαμὰ καὶ τὰ ξύλα αὐτῆς ἃ ᾠκοδόμησε Βαασά, καὶ ᾠκοδόμησεν
7 ἐν αὐτοῖς τὴν Γαβαὲ καὶ τὴν Μασφά. [7] καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἦλθεν Ἀνανὶ ὁ προφήτης πρὸς Ἀσὰ βασιλέα Ἰούδα καὶ εἶπεν αὐτῷ Ἐν τῷ πεποιθέναι σε ἐπὶ βασιλέα Συρίας καὶ μὴ πεποιθέναι σε ἐπὶ κύριον θεόν σου, διὰ τοῦτο
8 ἐσώθη ἡ δύναμις Συρίας ἀπὸ τῆς χειρός σου. [8] οὐχ οἱ Αἰθίοπες καὶ Λίβυες ἦσαν εἰς δύναμιν πολλήν, εἰς θάρσος εἰς ἱππεῖς εἰς πλῆθος σφόδρα, καὶ ἐν
9 τῷ πεποιθέναι σε ἐπὶ κύριον παρέδωκεν εἰς τὰς χεῖράς σου; [9] ὅτι οἱ ὀφθαλμοὶ κυρίου ἐπιβλέπουσιν ἐν πάσῃ τῇ γῇ κατισχῦσαι ἐν πάσῃ καρδίᾳ πλήρει
10 πρὸς αὐτόν· ἠγνόηκας, ἐπὶ τούτῳ ἀπὸ τοῦ νῦν ἔσται μετὰ σοῦ πόλεμος. [10] καὶ ἐθυμώθη Ἀσὰ τῷ προφήτῃ, καὶ παρέθετο αὐτὸν εἰς φυλακήν, ὅτι ὠργίσθη
11 ἐπὶ τούτῳ· καὶ ἐλυμήνατο Ἀσὰ ἐν τῷ λαῷ ἐν τῷ καιρῷ ἐκείνῳ. [11] καὶ ἰδοὺ οἱ λόγοι Ἀσὰ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι γεγραμμένοι ἐν βιβλίῳ βασιλέων Ἰούδα
12 καὶ Ἰσραήλ. [12] καὶ ἐμαλακίσθη Ἀσὰ ἐν τῷ ἔτει τῷ ἐννάτῳ καὶ τριακοστῷ τῆς βασιλείας αὐτοῦ τοὺς πόδας, ἕως σφόδρα ἐμαλακίσθη· καὶ ἐν τῇ μαλα-
13 κίᾳ αὐτοῦ οὐκ ἐζήτησε τὸν κύριον ἀλλὰ τοὺς ἰατρούς. [13] καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτελεύτησεν ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς βασι-
14 λείας αὐτοῦ. [14] καὶ ἔθαψαν αὐτὸν ἐν τῷ μνήματι ᾧ ὤρυξεν ἑαυτῷ ἐν πόλει Δαυίδ, καὶ ἐκοίμισαν αὐτὸν ἐπὶ τῆς κλίνης, καὶ ἔπλησαν ἀρωμάτων καὶ γένη μύρων μυρεψῶν, καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην ἕως σφόδρα.

## XVII.

Καὶ ἐβασίλευσεν Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ· καὶ κατίσχυσεν Ἰω-
2 σαφὰτ ἐπὶ τὸν Ἰσραήλ. [2] καὶ ἔδωκε δύναμιν ἐν πάσαις ταῖς πόλεσιν Ἰούδα ταῖς ὀχυραῖς, καὶ κατέστησεν ἡγουμένους ἐν πάσαις ταῖς πόλεσιν Ἰούδα καὶ
3 ἐν πόλεσιν Ἐφραΐμ ἃς προκατελάβετο Ἀσὰ ὁ πατὴρ αὐτοῦ. [3] καὶ ἐγένετο κύριος μετὰ Ἰωσαφάτ, ὅτι ἐπορεύθη ἐν ὁδοῖς τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις·
4 καὶ οὐκ ἐξεζήτησε τὰ εἴδωλα, [4] ἀλλὰ κύριον τὸν θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησε, καὶ ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη, καὶ οὐχ ὡς τὰ
5 ἔργα τοῦ Ἰσραήλ. [5] καὶ κατεύθυνε κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ, καὶ ἔδωκε πᾶς Ἰούδα δῶρα τῷ Ἰωσαφάτ, καὶ ἐγένετο αὐτῷ πλοῦτος καὶ δόξα
6 πολλή. [6] καὶ ὑψώθη ἡ καρδία αὐτοῦ ἐν ὁδῷ κυρίου, καὶ ἐξῆρε τὰ ὑψηλὰ
7 καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα. [7] καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀπέστειλε τοὺς ἡγουμένους αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν δυνατῶν, τὸν Ἀβδίαν καὶ Ζαχαρίαν καὶ Ναθαναὴλ καὶ Μιχαίαν, τοῦ διδάσκειν ἐν πό-

---

3. εμου και ανα μεσον σου 5. απελειπεν ... εαυτου 6. ο βασιλευς ηγαγεν 7. προς βασ. ιουδα ασα ... om σε alterum 8. om σε 9. και νυν ηγνοηκας επι τουτω· απο (ita dist.) 12. ασα εν τω ενατω κ. τριακ. ετει τ. β. εαυτου ... μαλακια εαυτου ... εξεζητησεν κυριον 13. πατερ. εαυτου ... τεσσερακοστω και ενι ετει 14. επληρωσαν XVII. 3. εαυτου 4. εαυτου bis ... ως του ισραηλ τα εργα 5. κατηυθυνεν 6. υψωθη καρδια ... και ετι εξηρεν 7. και εν τω τριτω ετει της ... ηγουμ. εαυτου ... και τον ζαχαρ. κ. τον ναθ. ... om του

Digitized by Google

λεσιν Ἰούδα. [8] καὶ μετ' αὐτῶν οἱ Λευῖται Σαμαίας καὶ Ναθανίας καὶ Ζα- 8
βδίας καὶ Ἀσιὴλ καὶ Σεμιραμὼθ καὶ Ἰωνάθαν καὶ Ἀδωνίας καὶ Τωβίας καὶ
Τωβαδωνίας, Λευῖται καὶ οἱ μετ' αὐτῶν Ἐλισαμὰ καὶ Ἰωρὰμ οἱ ἱερεῖς. [9] καὶ 9
ἐδίδασκον ἐν Ἰούδᾳ, καὶ μετ' αὐτῶν βίβλος νόμου κυρίου, καὶ διῆλθον ἐν
ταῖς πόλεσιν Ἰούδα καὶ ἐδίδασκον τὸν λαόν. [10] καὶ ἐγένετο ἔκστασις κυρίου 10
ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς κύκλῳ Ἰούδα, καὶ οὐκ ἐπολέμουν πρὸς
Ἰωσαφάτ. [11] καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον τῷ Ἰωσαφὰτ δῶρα καὶ ἀργύ- 11
ριον καὶ δόματα, καὶ οἱ Ἄραβες ἔφερον αὐτῷ κριοὺς προβάτων ἑπτακισχιλίους
ἑπτακοσίους. [12] καὶ ἦν Ἰωσαφὰτ πορευόμενος μείζων ἕως εἰς ὕψος, καὶ ᾠκο- 12
δόμησεν ἐν τῇ Ἰουδαίᾳ οἰκήσεις καὶ πόλεις ὀχυράς. [13] καὶ ἔργα πολλὰ ἐγέ- 13
νετο αὐτῷ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἄνδρες πολεμισταὶ δυνατοὶ ἰσχύοντες ἐν Ἱερου-
σαλήμ. [14] καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν· καὶ τῷ 14
Ἰούδᾳ χιλίαρχοι, Ἔδνας ὁ ἄρχων, καὶ μετ' αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως
τριακόσιαι χιλιάδες· [15] καὶ μετ' αὐτὸν Ἰωανὰν ὁ ἡγούμενος, καὶ μετ' αὐτοῦ 15
διακόσιαι ὀγδοήκοντα χιλιάδες· [16] καὶ μετ' αὐτὸν Ἀμασίας ὁ τοῦ Ζαρὶ ὁ 16
προθυμούμενος τῷ κυρίῳ, καὶ μετ' αὐτοῦ διακόσιαι χιλιάδες δυνατοὶ δυνάμεως.
[17] καὶ ἐκ τοῦ Βενιαμὶν δυνατὸς δυνάμεως καὶ Ἐλιαδά, καὶ μετ' αὐτοῦ τοξό- 17
ται καὶ πελτασταὶ διακόσιαι χιλιάδες· [18] καὶ μετ' αὐτὸν Ἰωζαβάδ, καὶ μετ' 18
αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες δυνατοὶ πολέμου. [19] οὗτοι οἱ λειτουργοῦντες 19
τῷ βασιλεῖ, ἐκτὸς ὧν ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς ἐν πάσῃ
τῇ Ἰουδαίᾳ.

## XVIII.

Καὶ ἐγενήθη τῷ Ἰωσαφὰτ ἔτι πλοῦτος καὶ δόξα πολλή, καὶ ἐπεγαμ-
βρεύσατο ἐν οἴκῳ Ἀχαάβ. [2] καὶ κατέβη διὰ τέλους ἐτῶν πρὸς Ἀχαὰβ εἰς Σα- 2
μάρειαν, καὶ ἔθυσεν αὐτῷ Ἀχαὰβ πρόβατα καὶ μόσχους πολλοὺς καὶ τῷ λαῷ
τῷ μετ' αὐτοῦ, καὶ ἠγάπα αὐτὸν τοῦ συναναβῆναι μετ' αὐτοῦ εἰς Ῥαμὼθ
τῆς Γαλααδίτιδος. [3] καὶ εἶπεν Ἀχαὰβ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασι- 3
λέα Ἰούδα Εἰ πορεύσῃ μετ' ἐμοῦ εἰς Ῥαμὼθ τῆς Γαλααδίτιδος; καὶ εἶπεν
αὐτῷ Ὡς ἐγώ, οὕτω καὶ σύ· ὡς ὁ λαὸς σοῦ, καὶ ὁ λαός μου μετὰ σοῦ εἰς
πόλεμον. [4] καὶ εἶπεν Ἰωσαφὰτ πρὸς βασιλέα Ἰσραὴλ Ζήτησον δὴ σήμερον 4
τὸν κύριον. [5] καὶ συνήγαγεν ὁ βασιλεὺς Ἰσραὴλ τοὺς προφήτας τετρακοσίους 5
ἄνδρας καὶ εἶπεν αὐτοῖς Εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπί-
σχω; καὶ εἶπαν Ἀνάβαινε, καὶ δώσει ὁ θεὸς εἰς τὰς χεῖρας τοῦ βασιλέως.
[6] καὶ εἶπεν Ἰωσαφὰτ Οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου ἔτι καὶ ἐπιζητή- 6
σομεν παρ' αὐτοῦ; [7] καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ Ἔτι ἀνὴρ εἷς 7
τοῦ ζητῆσαι τὸν κύριον δι' αὐτοῦ, καὶ ἐγὼ ἐμίσησα αὐτόν, ὅτι οὐκ ἔστι προ-
φητεύων περὶ ἐμοῦ εἰς ἀγαθά, ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ εἰς κακά, οὗτος
Μιχαίας υἱὸς Ἰεμβλά. καὶ εἶπεν Ἰωσαφὰτ Μὴ λαλήτω ὁ βασιλεὺς οὕτως. [8] καὶ 8
ἐκάλεσεν ὁ βασιλεὺς εὐνοῦχον ἕνα καὶ εἶπε Τάχος Μιχαίαν υἱὸν Ἰεμβλά. [9] καὶ 9
βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα καθήμενοι ἕκαστος ἐπὶ θρό-
νου αὐτοῦ καὶ ἐνδεδυμένοι στολάς, καθήμενοι ἐν τῷ εὐρυχώρῳ θύρας πύλης
Σαμαρείας, καὶ πάντες οἱ προφῆται προεφήτευον ἐναντίον αὐτῶν. [10] καὶ ἐποίη- 10
σεν ἑαυτῷ Σεδεκίας υἱὸς Χαναὰν κέρατα σιδηρᾶ καὶ εἶπε Τάδε λέγει κύριος

---

8. σαμουιας ... ιασιηλ ... αδωνιαν ... om και τωβιας ... * τωβαδω-νιαν, ** τωβαδωνια 10. ταις κυκλω 11. in f. add τραγους επτακισχιλιους επτακοσιους 12. οικησεις εν τη ιουδαια 13. δυνατοι πολεμισται 14. ουτος αριθμος ... εδνααs 16. μασαιιας ο του ζαχρι 17. βενιαμειν ... δυναμεως ελιαδα 18. om εκατον 19. om οι ... δεδωκεν XVIII. 2. σαμαριαν ... ραμμωθ 3. om Ει ... ουτως 5. ραμμωθ ... ειπεν pro ειπαν 7. ιεμλα ... λαλειτω 8. ο βασιλ. ισραηλ ... ιεμλα 9. σαμαριας ... επροφητευον 10. χαναανα

Digitized by Google

11 Ἐν τούτοις κερατιεῖς τὴν Συρίαν ἕως ἂν συντελεσθῇ. [11] καὶ πάντες οἱ προ-
φῆται προεφήτευον οὕτω λέγοντες Ἀνάβαινε εἰς Ῥαμὼθ Γαλαάδ, καὶ εὐοδω-
12 θήσῃ, καὶ δώσει κύριος εἰς χεῖρας τοῦ βασιλέως. [12] καὶ ὁ ἄγγελος ὁ πορευ-
θεὶς τοῦ καλέσαι τὸν Μιχαίαν ἐλάλησεν αὐτῷ λέγων Ἰδοὺ ἐλάλησαν οἱ προ-
φῆται ἐν στόματι ἑνὶ ἀγαθὰ περὶ τοῦ βασιλέως, καὶ ἔστωσαν δὴ οἱ λόγοι
13 σοῦ ὡς ἑνὸς αὐτῶν, καὶ λαλήσεις ἀγαθά. [13] καὶ εἶπε Μιχαίας Ζῇ κύριος ὅτι
14 ὃ ἐὰν εἴπῃ ὁ θεὸς πρός με, αὐτὸ λαλήσω. [14] καὶ ἦλθε πρὸς τὸν βασιλέα· καὶ
εἶπεν αὐτῷ ὁ βασιλεύς Μιχαία, εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον
ἢ ἐπίσχω; καὶ εἶπεν Ἀνάβαινε, καὶ εὐοδώσεις, καὶ δοθήσονται εἰς χεῖρας
15 ὑμῶν. [15] καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ποσάκις ὁρκίζω σε ἵνα μὴ λαλήσῃς πρός
16 με πλὴν τὴν ἀλήθειαν ἐν ὀνόματι κυρίου; [16] καὶ εἶπεν Εἶδον τὸν Ἰσραὴλ διε-
σπαρμένους ἐν τοῖς ὄρεσιν ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν· καὶ εἶπε κύριος Mt 9,36
Οὐκ ἔχουσιν ἡγούμενον οὗτοι, ἀναστρεφέτωσαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ
17 ἐν εἰρήνῃ. [17] καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ Οὐκ εἶπόν σοι ὅτι
18 οὐ προφητεύει περὶ ἐμοῦ ἀγαθὰ ἀλλ' ἢ κακά; [18] καὶ εἶπεν Οὐχ οὕτως· ἀκού-
σατε λόγον κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα
δύναμις τοῦ οὐρανοῦ παρειστήκει ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν αὐτοῦ.
19 [19] καὶ εἶπε κύριος Τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται
καὶ πεσεῖται ἐν Ῥαμὼθ Γαλαάδ; καὶ οὗτος εἶπεν οὕτως, καὶ οὗτος εἶπεν
20 οὕτως. [20] καὶ ἐξῆλθε τὸ πνεῦμα καὶ ἔστη ἐνώπιον κυρίου καὶ εἶπεν Ἐγὼ ἀπα-
21 τήσω αὐτόν. καὶ εἶπε κύριος Ἐν τίνι; [21] καὶ εἶπεν Ἐξελεύσομαι καὶ ἔσομαι
πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν Ἀπατή-
22 σεις καὶ δυνήσῃ, ἔξελθε καὶ ποίησον οὕτω. [22] καὶ νῦν ἰδοὺ ἔδωκε κύριος πνεῦμα
ψευδὲς ἐν στόματι τῶν προφητῶν σου τούτων, καὶ κύριος ἐλάλησεν ἐπὶ σὲ
23 κακά. [23] καὶ ἤγγισε Σεδεκίας υἱὸς Χαναὰν καὶ ἐπάταξε τὸν Μιχαίαν ἐπὶ τὴν
σιαγόνα καὶ εἶπεν αὐτῷ Ποίᾳ τῇ ὁδῷ παρῆλθε πνεῦμα κυρίου παρ' ἐμοῦ τοῦ
24 λαλῆσαι πρὸς σέ; [24] καὶ εἶπε Μιχαίας Ἰδοὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ
25 εἰςελεύσῃ ταμεῖον ἐκ ταμείου τοῦ κατακρυβῆναι. [25] καὶ εἶπε βασιλεὺς Ἰσραὴλ
Λάβετε τὸν Μιχαίαν καὶ ἀποστρέψατε πρὸς Ἐμὴρ ἄρχοντα τῆς πόλεως καὶ
26 πρὸς Ἰωὰς ἄρχοντα υἱὸν τοῦ βασιλέως, [26] καὶ ἐρεῖτε Οὕτως εἶπεν ὁ βασιλεύς
Ἀπόθεσθε τοῦτον εἰς οἶκον φυλακῆς, καὶ ἐσθιέτω ἄρτον θλίψεως καὶ ὕδωρ
27 θλίψεως ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. [27] καὶ εἶπε Μιχαίας Ἐὰν ἐπι-
στρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησε κύριος ἐν ἐμοί· καὶ εἶπεν Ἀκού-
28 σατε λαοὶ πάντες. [28] καὶ ἀνέβη βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα
29 εἰς Ῥαμὼθ Γαλαάδ. [29] καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ Κατακάλυ-
ψόν με καὶ εἰςελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου·
30 καὶ συνεκαλύψατο βασιλεὺς Ἰσραὴλ καὶ εἰςῆλθεν εἰς τὸν πόλεμον. [30] καὶ βασι-
λεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων τοῖς μετ' αὐτοῦ λέγων
Μὴ πολεμεῖτε τὸν μικρὸν καὶ τὸν μέγαν ἀλλ' ἢ τὸν βασιλέα Ἰσραὴλ μόνον.
31 [31] καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν Ἰωσαφάτ, καὶ αὐτοὶ
εἶπαν Βασιλεὺς Ἰσραήλ ἐστι, καὶ ἐκύκλωσαν αὐτὸν τοῦ πολεμεῖν· καὶ ἐβόη-
σεν Ἰωσαφάτ, καὶ κύριος ἔσωσεν αὐτόν, καὶ ἀπέστρεψεν αὐτοὺς ὁ θεὸς ἀπ'
32 αὐτοῦ. [32] καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων ὅτι οὐκ ἦν βασιλεύς

---

10. om αν 11. επροφητευον ουτως ... ραμμωθ 14. μιχαια, ειςπορευθω ε. ραμμωθ 15. ορκισω ... λαλησεις προς εμε πλην αληθειαν 16. διεσπαρμ. τον ισραηλ ... ** om ουτοι (ab ουκ usque ειρηνη**) ... **αναστρεφετω 17. ειπα σοι ου 18. ειδον κυριον 19. ραμμωθ γαλααδ· και ειπεν ουτος ειπεν ουτως και 21. και γε δυνησει ... ουτως 22. παντων των προφ. 23. κ. εποιησεν σεδ. υι. χανανα ... om τη 24. ταμιειον εκ ταμιειου 25. προς σεμμηρ τον 26. αποθεσθαι 27. om και ειπεν post εν εμοι 28. ραμμωθ 29. συνεκαλυψ. ο βασιλευς 32. ιδον

Digitized by Google

'Ισραήλ, καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ. [33] καὶ ἀνὴρ ἔτεινε τόξον εὐστόχως καὶ 33
ἐπάταξε τὸν βασιλέα 'Ισραὴλ ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ
θώρακος· καὶ εἶπε τῷ ἡνιόχῳ 'Επίστρεφε τὴν χεῖρά σου, ἐξάγαγέ με ἐκ τοῦ
πολέμου, ὅτι ἐπόνεσα. [34] καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ 34
ὁ βασιλεὺς 'Ισραὴλ ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος ἐξεναντίας Συρίας ἕως ἑσπέ-
ρας, καὶ ἀπέθανε δύνοντος τοῦ ἡλίου.

## XIX.

Καὶ ἐπέστρεψεν 'Ιωσαφὰτ βασιλεὺς 'Ιούδα εἰς τὸν οἶκον αὐτοῦ εἰς 'Ιερου-
σαλήμ. [2] καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ 'Ιηοὺ ὁ τοῦ 'Ανανὶ ὁ προφήτης 2
καὶ εἶπεν αὐτῷ Βασιλεὺς 'Ιωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ
ὑπὸ κυρίου φιλιάζεις; διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ κυρίου· [3] ὅτι ἀλλ' 3
ἢ λόγοι ἀγαθοὶ ηὑρέθησαν ἐν σοί, ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς 'Ιούδα,
καὶ κατηύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον. [4] καὶ κατῴκησεν 'Ιω- 4
σαφὰτ εἰς 'Ιερουσαλήμ, καὶ πάλιν ἐξῆλθεν εἰς τὸν λαὸν ἀπὸ Βηρσαβεὲ ἕως
ὄρους 'Εφραΐμ, καὶ ἐπέστρεψεν αὐτοὺς ἐπὶ κύριον θεὸν τῶν πατέρων αὐτῶν.
[5] καὶ κατέστησε τοὺς κριτὰς ἐν πάσαις ταῖς πόλεσιν 'Ιούδα ταῖς ὀχυραῖς ἐν 5
πόλει καὶ πόλει. [6] καὶ εἶπε τοῖς κριταῖς ῎Ιδετε τί ὑμεῖς ποιεῖτε, ὅτι οὐκ ἀν- 6
θρώπῳ ὑμεῖς κρίνετε ἀλλ' ἢ τῷ κυρίῳ, καὶ μεθ' ὑμῶν λόγοι τῆς κρίσεως.
[7] καὶ νῦν γενέσθω φόβος κυρίου ἐφ' ὑμᾶς, καὶ φυλάσσετε καὶ ποιήσατε, ὅτι 7
οὐκ ἔστι μετὰ κυρίου θεοῦ ἡμῶν ἀδικία οὐδὲ θαυμάσαι πρόσωπον οὐδὲ
λαβεῖν δῶρα. [8] καί γε ἐν 'Ιερουσαλὴμ κατέστησεν 'Ιωσαφὰτ τῶν ἱερέων καὶ 8
τῶν Λευιτῶν καὶ τῶν πατριαρχῶν 'Ισραὴλ εἰς κρίσιν κυρίου καὶ κρίνειν τοὺς
κατοικοῦντας ἐν 'Ιερουσαλήμ. [9] καὶ ἐνετείλατο πρὸς αὐτοὺς λέγων Οὕτω ποιή- 9
σετε ἐν φόβῳ κυρίου, ἐν ἀληθείᾳ καὶ ἐν πλήρει καρδίᾳ. [10] πᾶς ἀνὴρ κρίσιν 10
τὴν ἐλθοῦσαν ἐφ' ὑμᾶς τῶν ἀδελφῶν ὑμῶν τῶν κατοικούντων ἐν ταῖς πόλεσιν
αὐτῶν ἀνὰ μέσον αἷμα αἵματος, καὶ ἀνὰ μέσον τοῦ προστάγματος καὶ ἐντο-
λῆς, καὶ δικαιώματα καὶ κρίματα· καὶ διαστελεῖσθε αὐτοῖς, καὶ οὐχ ἁμαρ-
τήσονται τῷ κυρίῳ, καὶ οὐκ ἔσται ὀργὴ ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς ἀδελφοὺς ὑμῶν·
οὕτω ποιήσετε, καὶ οὐχ ἁμαρτήσεσθε. [11] καὶ ἰδοὺ 'Αμαρίας ὁ ἱερεὺς ἡγούμε- 11
νος ἐφ' ὑμᾶς εἰς πάντα λόγον κυρίου, καὶ Ζαβδίας υἱὸς 'Ισμαὴλ ὁ ἡγούμενος
εἰς οἶκον 'Ιούδα πρὸς πάντα λόγον βασιλέως, καὶ οἱ γραμματεῖς καὶ οἱ Λευῖ-
ται πρὸ προσώπου ὑμῶν· ἰσχύσατε καὶ ποιήσατε, καὶ ἔσται κύριος μετὰ
τοῦ ἀγαθοῦ.

## XX.

Καὶ μετὰ ταῦτα ἦλθον οἱ υἱοὶ Μωὰβ καὶ υἱοὶ 'Αμμὼν καὶ μετ' αὐτῶν
ἐκ τῶν Μιναίων πρὸς 'Ιωσαφὰτ εἰς πόλεμον. [2] καὶ ἦλθον καὶ ὑπέδειξαν τῷ 2
'Ιωσαφὰτ λέγοντες ῞Ηκει ἐπὶ σὲ πλῆθος πολὺ ἐκ πέραν τῆς θαλάσσης ἀπὸ
Συρίας, καὶ ἰδού εἰσιν ἐν 'Ασασὰν Θαμάρ, αὕτη ἐστὶν 'Εγγαδί. [3] καὶ ἐφο- 3
βήθη, καὶ ἔδωκεν 'Ιωσαφὰτ πρόσωπον αὐτοῦ ἐκζητῆσαι τὸν κύριον, καὶ ἐκή-
ρυξε νηστείαν ἐν παντὶ 'Ιούδᾳ. [4] καὶ συνήχθη 'Ιούδα ἐκζητῆσαι τὸν κύριον, 4

---

32. ισραηλ, απεστρεψαν 33. ενετεινεν ... και εξαγαγε ... εως εσπερ. εξεναντ. συριας XIX. 1. οικον εαυτου εν ειρηνη εις 2. Βασιλευ 3. om οτι ab initio ... ευρεθησαν ... κατευθυνας 4. εν ιερουσαλημ 5. κατεστησεν κριτας 7. *ο φοβος (videtur) ... ποιησετε ... θεου υμων 8. και γαρ εν 9. ουτως ... και πληρεις καρδιας 10. ελθ. προς υμας ... υμων κατοικουντων ... ανα μεσον αιματος αμα και ανα μεσον προσταγματος ... αμαρτ. τω θεω .. εφ υμας οργη ... ουτως 11. εις παν λογον ... ισμαηλ ηγουμενος ... προς παν λογον ... ισχυσατε ποιησατε XX. 1. οι υι. αμμων κ. οι υι. μωαβ 2. εκ του περαν ... εν ανασαν ... ενγαδδει 3. το προσωπον ... εκηρυξαν 4. ιουδας

Digitized by Google

5 καὶ ἀπὸ πασῶν τῶν πόλεων Ἰούδα ἦλθον ζητῆσαι τὸν κύριον. 5 καὶ ἀνέστη
Ἰωσαφὰτ ἐν ἐκκλησίᾳ Ἰούδα ἐν Ἱερουσαλὴμ ἐν οἴκῳ κυρίου κατὰ πρόσωπον
6 τῆς αὐλῆς τῆς καινῆς, 6 καὶ εἶπε Κύριε ὁ θεὸς τῶν πατέρων μου, οὐχὶ σὺ
εἶ θεὸς ἐν οὐρανῷ ἄνω, καὶ σὺ κυριεύεις πασῶν τῶν βασιλειῶν τῶν ἐθνῶν,
καὶ ἐν τῇ χειρί σου ἰσχὺς δυναστείας, καὶ οὐκ ἔστι πρὸς σὲ ἀντιστῆναι;
7 7 οὐχὶ σὺ ὁ κύριος ὁ ἐξολοθρεύσας τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἀπὸ
προσώπου τοῦ λαοῦ σου Ἰσραήλ, καὶ ἔδωκας αὐτὴν σπέρματι Ἀβραὰμ τῷ
8 ἠγαπημένῳ σου εἰς τὸν αἰῶνα; 8 καὶ κατῴκησαν ἐν αὐτῇ, καὶ ᾠκοδόμησαν
9 ἐν αὐτῇ ἁγίασμα τῷ ὀνόματί σου λέγοντες 9 Ἐὰν ἐπέλθῃ ἐφ' ἡμᾶς κακά,
ῥομφαία, κρίσις, θάνατος, λιμός, στησόμεθα ἐναντίον τοῦ οἴκου τούτου καὶ
ἐναντίον σοῦ, ὅτι τὸ ὄνομά σου ἐπὶ τῷ οἴκῳ τούτῳ, καὶ βοησόμεθα πρὸς σὲ
10 ἀπὸ τῆς θλίψεως, καὶ ἀκούσῃ καὶ σώσεις. 10 καὶ νῦν ἰδοὺ οἱ υἱοὶ Ἀμμὼν καὶ
Μωὰβ καὶ ὄρος Σηείρ, εἰς οὓς οὐκ ἔδωκας τῷ Ἰσραὴλ διελθεῖν δι' αὐτῶν,
ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου, ὅτι ἐξέκλιναν ἀπ' αὐτῶν καὶ οὐκ ἐξω-
11 λόθρευσαν αὐτούς· 11 καὶ νῦν ἰδοὺ αὐτοὶ ἐπιχειροῦσιν ἐφ' ἡμᾶς ἐξελθεῖν ἐκ-
12 βαλεῖν ἡμᾶς ἀπὸ τῆς κληρονομίας ἡμῶν ἧς ἔδωκας ἡμῖν. 12 κύριε ὁ θεὸς
ἡμῶν, οὐ κρινεῖς ἐν αὐτοῖς; ὅτι οὐκ ἔστιν ἡμῖν ἰσχὺς τοῦ ἀντιστῆναι πρὸς
τὸ πλῆθος τὸ πολὺ τοῦτο τὸ ἐλθὸν ἐφ' ἡμᾶς, καὶ οὐκ οἴδαμεν τί ποιήσωμεν
13 αὐτοῖς, ἀλλ' ἢ ἐπὶ σοὶ οἱ ὀφθαλμοὶ ἡμῶν. 13 καὶ πᾶς Ἰούδα ἑστηκὼς ἔναντι
14 κυρίου καὶ τὰ παιδία αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν. 14 καὶ τῷ Ὀζιὴλ τῷ τοῦ
Ζαχαρίου τῶν υἱῶν Βαναίου τῶν υἱῶν Ἐλεϊὴλ τοῦ Ματθανίου τοῦ Λευίτου
15 ἀπὸ τῶν υἱῶν Ἀσάφ, ἐγένετο ἐπ' αὐτὸν πνεῦμα κυρίου ἐν τῇ ἐκκλησίᾳ, 15 καὶ
εἶπεν Ἀκούσατε, πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ ὁ βασι-
λεὺς Ἰωσαφάτ. τάδε λέγει κύριος ὑμῖν αὐτοῖς Μὴ φοβεῖσθε μηδὲ πτοηθῆτε
ἀπὸ προσώπου τοῦ ὄχλου τοῦ πολλοῦ τούτου, ὅτι οὐχ ὑμῖν ἐστιν ἡ παράταξις
16 ἀλλ' ἢ τῷ θεῷ. 16 αὔριον κατάβητε ἐπ' αὐτούς· ἰδοὺ ἀναβαίνουσι κατὰ τὴν
ἀνάβασιν Ἀσσεῖς, καὶ εὑρήσετε αὐτοὺς ἐπ' ἄκρου ποταμοῦ τῆς ἐρήμου Ἱεριήλ.
17 17 οὐχ ὑμῖν ἐστὶ πολεμῆσαι· ταῦτα σύνετε καὶ ἴδετε τὴν σωτηρίαν κυρίου μεθ'
ὑμῶν, Ἰούδα καὶ Ἱερουσαλήμ· μὴ φοβηθῆτε μηδὲ πτοηθῆτε αὔριον ἐξελθεῖν
18 εἰς ἀπάντησιν αὐτοῖς, καὶ κύριος μεθ' ὑμῶν. 18 καὶ κύψας Ἰωσαφὰτ ἐπὶ πρόσ-
ωπον αὐτοῦ καὶ πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἔπεσον ἔναντι
19 κυρίου προσκυνῆσαι κυρίῳ. 19 καὶ ἀνέστησαν οἱ Λευῖται ἀπὸ τῶν υἱῶν Καὰθ
καὶ ἀπὸ τῶν υἱῶν Κορὲ αἰνεῖν κυρίῳ θεῷ Ἰσραὴλ ἐν φωνῇ μεγάλῃ εἰς ὕψος.
20 20 καὶ ὤρθρισαν πρωὶ καὶ ἐξῆλθον εἰς τὴν ἔρημον Θεκωέ· καὶ ἐν τῷ ἐξελθεῖν
αὐτοὺς ἔστη Ἰωσαφὰτ καὶ ἐβόησε καὶ εἶπεν Ἀκούσατέ μου, Ἰούδα καὶ οἱ
κατοικοῦντες ἐν Ἱερουσαλήμ· ἐμπιστεύσατε ἐν κυρίῳ θεῷ ἡμῶν, καὶ ἐμπι-
21 στευθήσεσθε· ἐμπιστεύσατε ἐν προφήτῃ αὐτοῦ, καὶ εὐοδωθήσεσθε. 21 καὶ
ἐβουλεύσατο μετὰ τοῦ λαοῦ, καὶ ἔστησε ψαλτῳδοὺς καὶ αἰνοῦντας ἐξομολο-
γεῖσθαι καὶ αἰνεῖν τὰ ἅγια ἐν τῷ ἐξελθεῖν ἔμπροσθεν τῆς δυνάμεως· καὶ ἔλε-
22 γον Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 22 καὶ ἐν
τῷ ἄρξασθαι αὐτοὺς τῆς αἰνέσεως καὶ τῆς ἐξομολογήσεως ἔδωκε κύριος πο-
λεμεῖν τοὺς υἱοὺς Ἀμμὼν ἐπὶ Μωὰβ καὶ ὄρος Σηεὶρ τοὺς ἐξελθόντας ἐπὶ Ἰού-
23 δαν, καὶ ἐτροπώθησαν. 23 καὶ ἀνέστησαν οἱ υἱοὶ Ἀμμὼν καὶ Μωὰβ ἐπὶ τοὺς

---

6. πατερων ημων ... ει ο θεος ... om ανω 7. συ ει ο θεος ο εξολεθρευσας ... προσωπου λαου 10. ιδου υιοι ... εξωλεθρευσαν 11. (επειχερουσιν εφ υμας ...) ημας εκ γης κληρονομιας 12. ισχυς ημιν 13. ιουδας εστ. εναντιον ... om αυτων extr. 14. υιων ελιηλ 15. κατοικουντες ιερουσαλημ 16. αναβασιν ασαε ... om ποταμου 17. μη φοβεισθε ... om αυτοις 18. εαυτου ... εν ιερουσαλημ ... εναντιον 19. κυριω τω θεω 20. το πρωι ... om αυτους ... εμπιστευσατε κυριω θεω υμων 21. om και αινειν τα usque εξομολογεισθε 22. εναρξασθαι της αινεσεως αυτου της

Digitized by Google

κατοικοῦντας ὄρος Σηεὶρ ἐξολοθρεῦσαι καὶ ἐκτρῖψαι αὐτούς· καὶ ὡς συνετέλε-
σαν τοὺς κατοικοῦντας Σηείρ, ἀνέστησαν εἰς ἀλλήλους τοῦ ἐξολοθρευθῆναι.
[24] καὶ Ἰούδας ἦλθεν ἐπὶ τὴν σκοπιὰν τῆς ἐρήμου, καὶ ἐπέβλεψε καὶ εἶδε τὸ 24
πλῆθος· καὶ ἰδοὺ πάντες νεκροὶ πεπτωκότες ἐπὶ τῆς γῆς, οὐκ ἦν σωζόμενος.
[25] καὶ ἐξῆλθεν Ἰωσαφὰτ καὶ ὁ λαὸς αὐτοῦ σκυλεῦσαι τὰ σκῦλα αὐτῶν, καὶ 25
εὗρον κτήνη πολλὰ καὶ ἀποσκευὴν καὶ σκῦλα καὶ σκεύη ἐπιθυμητά, καὶ ἐσκύ-
λευσαν ἐν αὐτοῖς· καὶ ἐγένοντο ἡμέραι τρεῖς σκυλευόντων αὐτῶν τὰ σκῦλα,
ὅτι πολλὰ ἦν. [26] καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐπισυνήχθησαν εἰς τὸν 26
αὐλῶνα τῆς εὐλογίας, ἐκεῖ γὰρ ηὐλόγησαν τὸν κύριον· διὰ τοῦτο ἐκάλεσαν τὸ
ὄνομα τοῦ τόπου ἐκείνου Κοιλὰς Εὐλογίας ἕως τῆς ἡμέρας ταύτης. [27] καὶ 27
ἐπέστρεψε πᾶς ἀνὴρ Ἰούδα εἰς Ἱερουσαλὴμ καὶ Ἰωσαφὰτ ἡγούμενος αὐτῶν
ἐν εὐφροσύνῃ μεγάλῃ, ὅτι εὔφραινεν αὐτοὺς κύριος ἀπὸ τῶν ἐχθρῶν αὐτῶν.
[28] καὶ εἰσῆλθον εἰς Ἱερουσαλὴμ ἐν νάβλαις καὶ κινύραις καὶ ἐν σάλπιγξιν εἰς 28
οἶκον κυρίου. [29] καὶ ἐγένετο ἔκστασις κυρίου ἐπὶ πάσας τὰς βασιλείας τῆς γῆς 29
ἐν τῷ ἀκοῦσαι αὐτοὺς ὅτι κύριος ἐπολέμησε πρὸς τοὺς ὑπεναντίους Ἰσραήλ.
[30] καὶ εἰρήνευσεν ἡ βασιλεία Ἰωσαφάτ, καὶ κατέπαυσεν αὐτῷ ὁ θεὸς αὐτοῦ 30
κυκλόθεν. [31] καὶ ἐβασίλευσεν Ἰωσαφὰτ ἐπὶ τὸν Ἰούδαν, ὢν ἐτῶν τριακοντα- 31
πέντε ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱε-
ρουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀζουβὰ θυγάτηρ Σαλί. [32] καὶ ἐπορεύθη 32
ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς αὐτοῦ Ἀσά, καὶ οὐκ ἐξέκλινε τοῦ ποιῆσαι τὸ εὐθὲς
ἐνώπιον κυρίου. [33] ἀλλὰ καὶ τὰ ὑψηλὰ ἔτι ὑπῆρχε, καὶ ἔτι ὁ λαὸς οὐ κατεύ- 33
θυνε τὴν καρδίαν αὐτῶν πρὸς κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. [34] καὶ 34
οἱ λοιποὶ λόγοι Ἰωσαφὰτ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γεγραμμένοι ἐν λόγοις
Ἰηοὺ τοῦ Ἀνανί, ὃς κατέγραψε βιβλίον βασιλέων Ἰσραήλ. [35] καὶ μετὰ ταῦτα 35
ἐκοινώνησεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα πρὸς Ὀχοζίαν βασιλέα Ἰσραήλ, καὶ
οὗτος ἠνόμησεν [36] ἐν τῷ ποιῆσαι καὶ πορευθῆναι πρὸς αὐτὸν τοῦ ποιῆσαι 36
πλοῖα τοῦ πορευθῆναι εἰς Θαρσεῖς· καὶ ἐποίησε πλοῖα ἐν Γασιὼν Γαβέρ.
[37] καὶ προεφήτευσεν Ἐλιέζερ ὁ τοῦ Δωδία ἀπὸ Μαρισῆς ἐπὶ Ἰωσαφὰτ λέγων 37
Ὡς ἐφιλίασας τῷ Ὀχοζίᾳ, ἔθραυσε κύριος τὸ ἔργον σου, καὶ συνετρίβη τὰ
πλοῖά σου. καὶ οὐκ ἐδυνάσθη πορευθῆναι εἰς Θαρσεῖς.

## XXI.

Καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει
Δαυίδ· καὶ ἐβασίλευσεν Ἰωρὰν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [2] καὶ αὐτῷ ἀδελφοὶ 2
υἱοὶ Ἰωσαφὰτ ἕξ, Ἀζαρίας καὶ Ἰεϊὴλ καὶ Ζαχαρίας καὶ Ἀζαρίας καὶ Μι-
χαὴλ καὶ Ζαφατίας· πάντες οὗτοι υἱοὶ Ἰωσαφὰτ βασιλέως Ἰούδα. [3] καὶ ἔδω- 3
κεν αὐτοῖς ὁ πατὴρ αὐτῶν δόματα πολλά, ἀργύριον καὶ χρυσίον καὶ ὅπλα
μετὰ τῶν πόλεων τετειχισμένων ἐν Ἰούδᾳ, καὶ τὴν βασιλείαν ἔδωκε τῷ Ἰω-
ράμ, ὅτι οὗτος ὁ πρωτότοκος. [4] καὶ ἀνέστη Ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ 4
καὶ ἐκραταιώθη, καὶ ἀπέκτεινε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἐν ῥομφαίᾳ καὶ
ἀπὸ τῶν ἀρχόντων Ἰσραήλ. [5] ὄντος αὐτοῦ τριάκοντα καὶ δύο ἐτῶν, κατέστη 5
Ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

---

23. εξολεθρευσαι ... om αυτους ... εξολεθρευθηναι 25. ηλθεν ... εσκυλευσαν εαυτοις ... εγενετο 26. om εγενετο 27. ηυφρανεν 29. οτι πεπολεμησεν (sic) κυριος 31. ιουδαν ετων τριακοντα εν ... εικοσι πεντε ... σαλει 32. επορευθη ταις ... ασα, ουκ 33. om και post αλλα ... καρδιαν προς κυριον θεον τ. π. εαυτων 34. βασιλεως 35. προς οζιαν (... ηνομησαι) 36. a πορευθηναι ad πορευθηναι transilit ... πλοια εργασιων γαβερ 37. επροφητευσεν ... ο του ωδια ... ηδυνασθη του πορ. XXI. 1. πατερ. εαυτου ... εταφη παρα τοις πατρασιν εαυτου εν ... ιωραμ 2. μισαηλ κ. σαφατιας 3. μετα πολεων 5. ων αυτος τριακοντα ... βασιλ. εαυτου

Digitized by Google

6 6 καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων Ἰσραὴλ ὡς ἐποίησεν οἶκος Ἀχαάβ, ὅτι θυ-
7 γάτηρ Ἀχαὰβ ἦν αὐτοῦ γυνή, καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου. 7 καὶ
οὐκ ἐβούλετο κύριος ἐξολοθρεῦσαι τὸν οἶκον Δαυίδ, διὰ τὴν διαθήκην ἣν διέ-
θετο τῷ Δαυίδ, καὶ ὡς εἶπεν αὐτῷ δοῦναι αὐτῷ λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ
8 πάσας τὰς ἡμέρας. 8 ἐν ταῖς ἡμέραις ἐκείναις ἀπέστη Ἐδὼμ ἀπὸ τοῦ Ἰούδα,
9 καὶ ἐβασίλευσαν ἐφ' ἑαυτοὺς βασιλέα. 9 καὶ ᾤχετο Ἰωρὰμ μετὰ τῶν ἀρχόν-
των, καὶ πᾶσα ἡ ἵππος μετ' αὐτοῦ· καὶ ἐγένετο καὶ ἠγέρθη νυκτός, καὶ ἐπά-
ταξεν Ἐδὼμ τὸν κυκλοῦντα αὐτὸν καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυγεν
10 ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν. 10 καὶ ἀπέστη ἀπὸ Ἰούδα Ἐδὼμ ἕως τῆς
ἡμέρας ταύτης· τότε ἀπέστη Λομνὰ ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ χειρὸς αὐτοῦ,
11 ὅτι ἐγκατέλιπε κύριον τὸν θεὸν τῶν πατέρων αὐτοῦ. 11 καὶ γὰρ αὐτὸς ἐποίη-
σεν ὑψηλὰ ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐξεπόρνευσε τοὺς κατοικοῦντας ἐν
12 Ἱερουσαλήμ, καὶ ἀπεπλάνησε τὸν Ἰούδαν. 12 καὶ ἦλθεν αὐτῷ ἐν γραφῇ παρὰ
Ἠλιοὺ τοῦ προφήτου λέγων Τάδε λέγει κύριος θεὸς Δαυὶδ τοῦ πατρός σου
Ἀνθ' ὧν οὐκ ἐπορεύθης ἐν ὁδῷ Ἰωσαφὰτ τοῦ πατρός σου καὶ ἐν ὁδοῖς Ἀσὰ
13 βασιλέως Ἰούδα, 13 καὶ ἐπορεύθης ἐν ὁδοῖς βασιλέων Ἰσραήλ, καὶ ἐξεπόρνευ-
σας τὸν Ἰούδαν καὶ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ ὡς ἐξεπόρνευσεν οἶκος
Ἀχαάβ, καὶ τοὺς ἀδελφούς σου υἱοὺς τοῦ πατρός σου τοὺς ἀγαθοὺς ὑπὲρ σὲ
14 ἀπέκτεινας, 14 ἰδοὺ κύριος πατάξει σε πληγὴν μεγάλην ἐν τῷ λαῷ σου καὶ ἐν
15 τοῖς υἱοῖς σου καὶ ἐν γυναιξί σου καὶ ἐν πάσῃ τῇ ἀποσκευῇ σου· 15 καὶ σὺ
ἐν μαλακίᾳ πονηρᾷ, ἐν νόσῳ κοιλίας, ἕως οὗ ἐξέλθῃ ἡ κοιλία σου μετὰ τῆς
16 μαλακίας ἐξ ἡμερῶν εἰς ἡμέρας. 16 καὶ ἐπήγειρε κύριος ἐπὶ Ἰωρὰμ τοὺς ἀλ-
17 λοφύλους καὶ τοὺς Ἄραβας καὶ τοὺς ὁμόρους τῶν Αἰθιόπων· 17 καὶ ἀνέβησαν
ἐπὶ Ἰούδαν καὶ κατεδυνάστευον, καὶ ἀπέστρεψαν πᾶσαν τὴν ἀποσκευὴν ἣν
εὗρον ἐν οἴκῳ τοῦ βασιλέως καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ,
καὶ οὐ κατελείφθη αὐτῷ υἱὸς ἀλλ' ἢ Ὀχοζίας ὁ μικρότατος τῶν υἱῶν αὐτοῦ.
18 18 καὶ μετὰ ταῦτα πάντα ἐπάταξεν αὐτὸν κύριος εἰς τὴν κοιλίαν μαλακίαν
19 ᾗ οὐκ ἔστιν ἰατρεία. 19 καὶ ἐγένετο ἐξ ἡμερῶν εἰς ἡμέρας· καὶ ὡς ἦλθε και-
ρὸς τῶν ἡμερῶν ἡμέρας δύο, ἐξῆλθεν ἡ κοιλία αὐτοῦ μετὰ τῆς νόσου, καὶ
ἀπέθανεν ἐν μαλακίᾳ πονηρᾷ· καὶ οὐκ ἐποίησεν ὁ λαὸς αὐτοῦ ἐκφορὰν κα-
20 θὼς ἐκφορὰν πατέρων αὐτοῦ. 20 ἦν τριάκοντα καὶ δύο ἐτῶν ὅτε ἐβασίλευσε,
καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ἐπορεύθη οὐκ ἐν ἐπαίνῳ, καὶ
ἐτάφη ἐν πόλει Δαυίδ, καὶ οὐκ ἐν τάφοις τῶν βασιλέων.

## XXII.

Καὶ ἐβασίλευσαν οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ τὸν Ὀχοζίαν υἱὸν αὐτοῦ
τὸν μικρὸν ἀντ' αὐτοῦ, ὅτι πάντας τοὺς πρεσβυτέρους ἀπέκτεινε τὸ ἐπελθὸν
ἐπ' αὐτοὺς λῃστήριον, οἱ Ἄραβες καὶ οἱ Ἀλιμαζονεῖς· καὶ ἐβασίλευσεν Ὀχο-
2 ζίας υἱὸς Ἰωρὰμ βασιλέως Ἰούδα. 2 ὢν ἐτῶν εἴκοσι Ὀχοζίας ἐβασίλευσε, καὶ
ἐνιαυτὸν ἕνα ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Γοθολία
3 θυγάτηρ Ἀμβρί. 3 καὶ οὗτος ἐπορεύθη ἐν ὁδῷ οἴκου Ἀχαάβ, ὅτι μήτηρ αὐτοῦ
4 ἦν σύμβουλος τοῦ ἁμαρτάνειν. 4 καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου ὡς
οἶκος Ἀχαάβ, ὅτι αὐτοὶ ἦσαν αὐτῷ σύμβουλοι μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα

---

6. αυτου η γυνη 7. εξολεθρευσαι 8. εβασιλευσεν 10. απεστη εδωμ απο χειρος ιουδα ... λοβνα ... εγκατελειπεν τον κυρ. θεον τ. π. εαυτου 11. εν πολεσιν ... κατοικουντας ιερουσαλημ 12. κυρ. ο θεος ... a πατρος σου ad πατρος σου transilit 13. κατοικουντας ιερουσαλημ ... ο οικος 18. om παντα ... μαλακιαν εν η ... ιατρια 19. ο καιρος 20. om και οκτω ετη εβασιλευσεν ... εν ουκ επαινω XXII. 1. τον υιον ... απεκτεινεν το ληστηριον το επελθον επ αυτους ... βασιλευς 2. ων εικοσι ετων εβασιλευσεν οχοζιας, και ενα ενιαυτον ... ζαμβρι 4. ο οικος ... συμβουλοι post πατερα αυτου ponit

Digitized by Google

αὐτοῦ τοῦ ἐξολοθρεῦσαι αὐτόν, 5 καὶ ἐν ταῖς βουλαῖς αὐτῶν ἐπορεύθη. καὶ 5
ἐπορεύθη μετὰ Ἰωρὰμ υἱοῦ Ἀχαὰβ βασιλέως Ἰσραὴλ εἰς πόλεμον ἐπὶ Ἀζαὴλ
βασιλέα Συρίας εἰς Ῥαμὼθ Γαλαάδ· καὶ ἐπάταξαν οἱ τοξόται τὸν Ἰωράμ.
6 καὶ ἐπέστρεψεν Ἰωρὰμ τοῦ ἰατρευθῆναι εἰς Ἰεζράελ ἀπὸ τῶν πληγῶν ὧν 6
ἐπάταξαν αὐτὸν οἱ Σύροι ἐν Ῥαμὼθ ἐν τῷ πολεμεῖν αὐτὸν πρὸς Ἀζαὴλ βα-
σιλέα Συρίας· καὶ Ὀχοζίας υἱὸς Ἰωρὰμ βασιλεὺς Ἰούδα κατέβη θεάσασθαι
τὸν Ἰωρὰμ υἱὸν Ἀχαὰβ εἰς Ἰεζράελ, ὅτι ἠῤῥώστει. 7 καὶ παρὰ τοῦ θεοῦ ἐγένετο 7
καταστροφὴ Ὀχοζίᾳ ἐλθεῖν πρὸς Ἰωράμ· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐξῆλθε μετ'
αὐτοῦ Ἰωρὰμ πρὸς Ἰηοὺ υἱὸν Ναμεσσεῖ χριστὸν κυρίου εἰς τὸν οἶκον Ἀχαάβ.
8 καὶ ἐγένετο ὡς ἐξεδίκησεν Ἰηοὺ τὸν οἶκον Ἀχαάβ, καὶ εὗρε τοὺς ἄρχοντας 8
Ἰούδα καὶ τοὺς ἀδελφοὺς Ὀχοζίου λειτουργοῦντας τῷ Ὀχοζίᾳ καὶ ἀπέκτεινεν
αὐτούς. 9 καὶ εἶπε τοῦ ζητῆσαι τὸν Ὀχοζίαν· καὶ κατέλαβον αὐτὸν ἰατρευό- 9
μενον ἐν Σαμαρείᾳ καὶ ἤγαγον αὐτὸν πρὸς Ἰηού, καὶ ἀπέκτεινεν αὐτόν. καὶ
ἔθαψαν αὐτόν, ὅτι εἶπαν Υἱὸς Ἰωσαφάτ ἐστιν, ὃς ἐζήτησε τὸν κύριον ἐν ὅλῃ
τῇ καρδίᾳ αὐτοῦ· καὶ οὐκ ἦν ἐν οἴκῳ Ὀχοζίᾳ κατισχῦσαι δύναμιν περὶ τῆς
βασιλείας. 10 καὶ Γοθολία ἡ μήτηρ Ὀχοζίου εἶδεν ὅτι τέθνηκεν ὁ υἱὸς αὐτῆς, 10
καὶ ἠγέρθη καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας ἐν οἴκῳ Ἰούδα. 11 καὶ 11
ἔλαβεν Ἰωσαβεὲθ θυγάτηρ τοῦ βασιλέως τὸν Ἰωὰς υἱὸν Ὀχοζίου, καὶ ἔκλεψεν
αὐτὸν ἐκ μέσου υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, καὶ ἔδωκεν αὐτὸν καὶ
τὴν τροφὸν αὐτοῦ εἰς ταμεῖον τῶν κλινῶν· καὶ ἔκρυψεν αὐτὸν Ἰωσαβεὲθ θυ-
γάτηρ τοῦ βασιλέως Ἰωρὰμ ἀδελφὴ Ὀχοζίου γυνὴ Ἰωδαὲ τοῦ ἱερέως, καὶ
ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου τῆς Γοθολίας, καὶ οὐκ ἀπέκτεινεν αὐτόν. 12 καὶ 12
ἦν μετ' αὐτοῦ ἐν οἴκῳ τοῦ θεοῦ κατακεκρυμμένος ἓξ ἔτη, καὶ Γοθολία ἐβα-
σίλευσεν ἐπὶ τῆς γῆς.

## XXIII.

Καὶ ἐν τῷ ἔτει τῷ ὀγδόῳ ἐκραταίωσεν Ἰωδαὲ καὶ ἔλαβε τοὺς ἑκατον-
τάρχους τὸν Ἀζαρίαν υἱὸν Ἰωρὰμ καὶ τὸν Ἰσμαὴλ υἱὸν Ἰωανὰν καὶ τὸν Ἀζα-
ρίαν υἱὸν Ὠβὴδ καὶ τὸν Μαασαίαν υἱὸν Ἀδία καὶ τὸν Ἐλισαφὰν υἱὸν Ζα-
χαρίου μεθ' ἑαυτοῦ εἰς οἶκον κυρίου. 2 καὶ ἐκύκλωσαν τὸν Ἰούδαν, καὶ συνή- 2
γαγον τοὺς Λευίτας ἐκ πασῶν τῶν πόλεων Ἰούδα καὶ ἄρχοντας πατριῶν τοῦ
Ἰσραήλ, καὶ ἦλθον εἰς Ἱερουσαλήμ. 3 καὶ διέθεντο πᾶσα ἡ ἐκκλησία Ἰούδα 3
διαθήκην ἐν οἴκῳ τοῦ θεοῦ μετὰ τοῦ βασιλέως· καὶ ἔδειξεν αὐτοῖς τὸν υἱὸν
τοῦ βασιλέως καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ὁ υἱὸς τοῦ βασιλέως βασιλευσάτω καθὼς
ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον Δαυίδ. 4 νῦν ὁ λόγος οὗτος ὃν ποιήσετε· τὸ τρί- 4
τον ἐξ ὑμῶν εἰςπορευέσθωσαν τὸ σάββατον τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ
εἰς τὰς πύλας τῶν εἰσόδων, 5 καὶ τὸ τρίτον ἐν οἴκῳ τοῦ βασιλέως, καὶ τὸ 5
τρίτον ἐν τῇ πύλῃ τῇ μέσῃ, καὶ πᾶς ὁ λαὸς ἐν αὐλαῖς οἴκου κυρίου. 6 καὶ 6
μὴ εἰςελθέτω εἰς οἶκον κυρίου ἐὰν μὴ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ λειτουρ-
γοῦντες τῶν Λευιτῶν· αὐτοὶ εἰςελεύσονται ὅτι ἅγιοί εἰσι, καὶ πᾶς ὁ λαὸς φυ-
λασσέτω φυλακὰς κυρίου. 7 καὶ κυκλώσουσιν οἱ Λευῖται τὸν βασιλέα κύκλῳ 7
ἀνδρὸς σκεῦος σκεῦος ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰςπορευόμενος εἰς τὸν οἶκον ἀπο-

---

4. εξολεθρευσαι 5. αχααμ ... om βασ. ισραηλ ... ρεμμωθ 6. ιζραελ bis ... εν ραμα 7. κ. εν τω εξελθειν εξηλθεν ... ναμεσσι ... om εις τον οικον αχααβ 8. om οχοζιου λειτουργ. τω 9. σαμαρια ... ος εκζητησει ... ολη καρδια 10. οχοζια ... αυτης ο υιος ... βασιλειας αυτου 11. ιωσαβεθ η θυγατηρ ... υιον οχοζια ... των υιων ... εις το ταμιειον ... ιωσαβεθ ... γυνη ιωιαδα ... προσωπου γοδολιας 12. μετ αυτης XXIII. 1. τω εβδομω ... εκατονταρχας ... ιωβηδ ... μασιαν υι. αδαϊα ... ελισαφατ ... μετ αυτου 2. των πατριων 3. πασα εκκλησια 5. om και το τρ. usque βασιλ. 6. ο ιερευς ... φυλασσεσθω 7. om σκευος alterum

Digitized by Google

θανεῖται, καὶ ἔσονται μετὰ τοῦ βασιλέως ἐκπορευομένου καὶ εἰςπορευομένου
8 αὐτοῦ. [8] καὶ ἐποίησαν οἱ Λευῖται καὶ πᾶς Ἰούδα κατὰ πάντα ὅσα ἐνετείλατο
αὐτοῖς Ἰωδαὲ ὁ ἱερεύς· καὶ ἔλαβον ἕκαστος τοὺς ἄνδρας αὐτοῦ ἀπ' ἀρχῆς
τοῦ σαββάτου ἕως ἐξόδου τοῦ σαββάτου, ὅτι οὐ κατέλυσεν Ἰωδαὲ ὁ ἱερεὺς
9 τὰς ἐφημερίας. [9] καὶ ἔδωκεν Ἰωδαὲ τὰς μαχαίρας καὶ τοὺς θυρεοὺς καὶ τὰ
10 ὅπλα ἃ ἦν τοῦ βασιλέως Δαυὶδ ἐν οἴκῳ τοῦ θεοῦ. [10] καὶ ἔστησε τὸν λαὸν
πάντα ἕκαστον ἐν τοῖς ὅπλοις αὐτοῦ ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως
τῆς ὠμίας τῆς ἀριστερᾶς τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα
11 κύκλῳ. [11] καὶ ἐξήγαγε τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἔδωκεν ἐπ' αὐτὸν τὸ βασί-
λειον καὶ τὰ μαρτύρια· καὶ ἐβασίλευσαν καὶ ἔχρισαν αὐτὸν Ἰωδαὲ ὁ ἱερεὺς
12 καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ εἶπαν Ζήτω ὁ βασιλεύς. [12] καὶ ἤκουσε Γοθολία τὴν
φωνὴν τοῦ λαοῦ τρεχόντων καὶ ἐξομολογουμένων καὶ αἰνούντων τὸν βασιλέα,
13 καὶ εἰςῆλθε πρὸς τὸν βασιλέα εἰς οἶκον κυρίου. [13] καὶ εἶδε, καὶ ἰδοὺ ὁ βασι-
λεὺς ἐπὶ τῆς στάσεως αὐτοῦ, καὶ ἐπὶ τῆς εἰςόδου οἱ ἄρχοντες καὶ αἱ σάλ-
πιγγες, καὶ οἱ ἄρχοντες περὶ τὸν βασιλέα, καὶ πᾶς ὁ λαὸς τῆς γῆς ηὐφράνθη,
καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ οἱ ᾄδοντες ἐν τοῖς ὀργάνοις ᾠδοὶ καὶ
ὑμνοῦντες αἶνον· καὶ διέῤῥηξε Γοθολία τὴν στολὴν αὐτῆς, καὶ ἐβόησεν Ἐπιτι-
14 θέμενοι ἐπιτίθεσθε. [14] καὶ ἐξῆλθεν Ἰωδαὲ ὁ ἱερεύς· καὶ ἐνετείλατο Ἰωδαὲ ὁ
ἱερεὺς τοῖς ἑκατοντάρχοις καὶ τοῖς ἀρχηγοῖς τῆς δυνάμεως καὶ εἶπεν αὐτοῖς
Ἐκβάλετε αὐτὴν ἐκτὸς τοῦ οἴκου, καὶ εἰςέλθατε ὀπίσω αὐτῆς, καὶ ἀποθανέτω
15 μαχαίρᾳ· ὅτι εἶπεν ὁ ἱερεύς Μὴ ἀποθανέτω ἐν οἴκῳ κυρίου. [15] καὶ ἔδωκαν
αὐτῇ ἄνεσιν, καὶ διῆλθε διὰ τῆς πύλης τῶν ἱππέων τοῦ οἴκου τοῦ βασιλέως,
16 καὶ ἐθανάτωσαν αὐτὴν ἐκεῖ. [16] καὶ διέθετο Ἰωδαὲ διαθήκην ἀνὰ μέσον αὐτοῦ
17 καὶ τοῦ λαοῦ καὶ τοῦ βασιλέως εἶναι λαὸν τῷ κυρίῳ. [17] καὶ εἰςῆλθε πᾶς ὁ
λαὸς τῆς γῆς εἰς οἶκον Βάαλ, καὶ κατέσπασαν αὐτὸν καὶ τὰ θυσιαστήρια
αὐτοῦ, καὶ τὰ εἴδωλα αὐτοῦ ἐλέπτυναν, καὶ τὸν Ματθὰν ἱερέα Βάαλ ἐθανά-
18 τωσαν ἐναντίον τῶν θυσιαστηρίων αὐτοῦ. [18] καὶ ἐνεχείρισεν Ἰωδαὲ ὁ ἱερεὺς τὰ
ἔργα οἴκου κυρίου διὰ χειρὸς ἱερέων καὶ Λευιτῶν, καὶ ἀνέστησε τὰς ἐφημε-
ρίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν, ἃς διέστειλε Δαυὶδ ἐπὶ τὸν οἶκον κυρίου
καὶ ἀνενέγκαι ὁλοκαυτώματα κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Μωυσῆ, ἐν
19 εὐφροσύνῃ καὶ ἐν ᾠδαῖς διὰ χειρὸς Δαυίδ. [19] καὶ ἔστησαν οἱ πυλωροὶ ἐπὶ τὰς
20 πύλας οἴκου κυρίου, καὶ οὐκ εἰςελεύσεται ἀκάθαρτος εἰς πᾶν πρᾶγμα. [20] καὶ
ἔλαβε τοὺς πατριάρχας καὶ τοὺς δυνατοὺς καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ καὶ
πάντα τὸν λαὸν τῆς γῆς, καὶ ἐπεβίβασαν τὸν βασιλέα εἰς οἶκον κυρίου, καὶ
εἰςῆλθε διὰ τῆς πύλης τῆς ἐσωτέρας εἰς τὸν οἶκον τοῦ βασιλέως, καὶ ἐκά-
21 θισαν τὸν βασιλέα ἐπὶ τοῦ θρόνου τῆς βασιλείας. [21] καὶ ηὐφράνθη πᾶς ὁ λαὸς
τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασε· καὶ τὴν Γοθολίαν ἐθανάτωσαν.

## XXIV.

Ὢν ἐτῶν ἑπτὰ Ἰωὰς ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τεσσαράκοντα ἔτη
ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Σαβιὰ ἐκ Βηρσαβεέ.
2 [2] καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον κυρίου πάσας τὰς ἡμέρας Ἰωδαὲ τοῦ

---

7. εισπορευομενου και εκπορευομενου sine αυτου 8. om αυτοις ... ανδρ. εαυτου ... om ο ιερευς ante τας 9. om ιωδαε 10. παντα τον λαον ... εαυτου 11. om ο ιερευς 12. των τρεχοντων 13. ιδεν ... om και οι ante αρχοντες ... om της γης ... εσαλπ. εν σαλπιγξιν ... στολην εαυτης κ. εβ. και ειπεν Επιθεμενοι 14. εξελθατε 17. om αυτου primum ... τον ιερεα της βααλ 18. ενεχειρησεν ... ιερ. κ. των λευ. (sed inde a και των λευιτων usque χειρος δαυιδ omnia **; * ab ιερεων ad ιερεων transiluerat ut videtur) ... ** om ας ... ** και ανηνεγκαν ολ. τω κυρ. 20. ανεβιβασαν ... επι τον θρονον 21. in f. add μαχαιρα XXIV. 1. επτα ετων ... βασιλευσαι ... τεσσερακοντα ... αβια

Digitized by Google

ἱερέως. [3] καὶ ἔλαβεν Ἰωδαὲ δύο γυναῖκας ἑαυτῷ, καὶ ἐγέννησαν υἱοὺς καὶ 3
θυγατέρας. [4] καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐγένετο ἐπὶ καρδίαν Ἰωὰς ἐπισκευά- 4
σαι τὸν οἶκον κυρίου. [5] καὶ συνήγαγε τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας καὶ εἶπεν 5
αὐτοῖς Ἐξέλθατε εἰς τὰς πόλεις Ἰούδα καὶ συναγάγετε ἀπὸ παντὸς Ἰσραὴλ
ἀργύριον κατισχῦσαι τὸν οἶκον κυρίου ἐνιαυτὸν κατ᾽ ἐνιαυτόν, καὶ σπεύσατε
λαλῆσαι· καὶ οὐκ ἔσπευσαν οἱ Λευῖται. [6] καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰωὰς τὸν 6
Ἰωδαὲ τὸν ἄρχοντα καὶ εἶπεν αὐτῷ Διὰ τί οὐκ ἐπεσκέψω περὶ τῶν Λευιτῶν
τοῦ εἰσενέγκαι ἀπὸ Ἰούδα καὶ Ἱερουσαλὴμ τὸ κεκριμένον ὑπὸ Μωυσῆ ἀν-
θρώπου τοῦ θεοῦ, ὅτι ἐξεκκλησίασε τὸν Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου;
[7] ὅτι Γοθολία ἦν ἡ ἄνομος, καὶ οἱ υἱοὶ αὐτῆς κατέσπασαν τὸν οἶκον τοῦ θεοῦ, 7
καὶ γὰρ τὰ ἅγια οἴκου κυρίου ἐποίησαν ταῖς Βααλίμ. [8] καὶ εἶπεν ὁ βασιλεὺς 8
Γενηθήτω γλωσσόκομον καὶ τεθήτω ἐν πύλῃ οἴκου κυρίου ἔξω. [9] καὶ κηρυ- 9
ξάτωσαν ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλὴμ εἰσενέγκαι κυρίῳ καθὼς εἶπε Μωυ-
σῆς παῖς τοῦ θεοῦ ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ. [10] καὶ ἔδωκαν πάντες ἄρ- 10
χοντες καὶ πᾶς ὁ λαός, καὶ εἰσέφερον καὶ ἐνέβαλον εἰς τὸ γλωσσόκομον ἕως
οὗ ἐπληρώθη. [11] καὶ ἐγένετο ὡς εἰσέφερον τὸ γλωσσόκομον πρὸς τοὺς προστά- 11
τας τοῦ βασιλέως διὰ χειρὸς τῶν Λευιτῶν, καὶ ὡς εἶδον ὅτι ἐπλεόνασε τὸ
ἀργύριον, καὶ ἦλθεν ὁ γραμματεὺς τοῦ βασιλέως καὶ ὁ προστάτης τοῦ ἱερέως
τοῦ μεγάλου καὶ ἐξεκένωσαν τὸ γλωσσόκομον, καὶ κατέστησαν εἰς τὸν τόπον
αὐτοῦ· οὕτως ἐποίουν ἡμέραν ἐξ ἡμέρας, καὶ συνήγαγον ἀργύριον πολύ. [12] καὶ 12
ἔδωκεν αὐτὸ ὁ βασιλεὺς καὶ Ἰωδαὲ ὁ ἱερεὺς τοῖς ποιοῦσι τὰ ἔργα εἰς ἐργα-
σίαν οἴκου κυρίου· καὶ ἐμισθοῦντο λατόμους καὶ τέκτονας ἐπισκευάσαι τὸν
οἶκον κυρίου, καὶ χαλκεῖς σιδήρου καὶ χαλκοῦ ἐπισκευάσαι τὸν οἶκον κυρίου.
[13] καὶ ἐποίουν οἱ ποιοῦντες τὰ ἔργα, καὶ ἀνέβη μῆκος τῶν ἔργων ἐν χερσὶν 13
αὐτῶν, καὶ ἀνέστησαν τὸν οἶκον κυρίου ἐπὶ τὴν στάσιν αὐτοῦ καὶ ἐνίσχυσαν.
[14] καὶ ὡς συνετέλεσαν, ἤνεγκαν πρὸς τὸν βασιλέα καὶ πρὸς Ἰωδαὲ τὸ κατά- 14
λοιπον τοῦ ἀργυρίου, καὶ ἐποίησαν σκεύη εἰς οἶκον κυρίου, σκεύη λειτουργικὰ
ὁλοκαυτωμάτων καὶ θυΐσκας χρυσᾶς καὶ ἀργυρᾶς, καὶ ἀνήνεγκαν ὁλοκαυτώ-
σεις ἐν οἴκῳ κυρίου διὰ παντὸς πάσας τὰς ἡμέρας Ἰωδαέ. [15] καὶ ἐγήρασεν 15
Ἰωδαὲ πλήρης ἡμερῶν, καὶ ἐτελεύτησεν ὢν ἑκατὸν καὶ τριάκοντα ἐτῶν ἐν
τῷ τελευτᾶν αὐτόν. [16] καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ μετὰ τῶν βασιλέων, 16
ὅτι ἐποίησεν ἀγαθωσύνην μετὰ Ἰσραὴλ καὶ μετὰ τοῦ θεοῦ καὶ τοῦ οἴκου
αὐτοῦ. [17] καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰωδαὲ εἰσῆλθον οἱ ἄρχοντες Ἰούδα 17
καὶ προσεκύνησαν τὸν βασιλέα· τότε ἐπήκουσεν αὐτοῖς ὁ βασιλεύς. [18] καὶ ἐγ- 18
κατέλιπον τὸν οἶκον κυρίου θεοῦ τῶν πατέρων αὐτῶν, καὶ ἐδούλευον ταῖς
Ἀστάρταις καὶ τοῖς εἰδώλοις· καὶ ἐγένετο ὀργὴ ἐπὶ Ἰούδαν καὶ ἐπὶ Ἱερουσα-
λὴμ ἐν τῇ ἡμέρᾳ ταύτῃ. [19] καὶ ἀπέστειλε πρὸς αὐτοὺς προφήτας ἐπιστρέψαι 19
πρὸς κύριον, καὶ οὐκ ἤκουσαν· καὶ διεμαρτύρατο αὐτοῖς, καὶ οὐχ ὑπήκουσαν.
[20] καὶ πνεῦμα θεοῦ ἐνέδυσε τὸν Ἀζαρίαν τὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα, καὶ ἀνέ- 20
στη ἐπάνω τοῦ λαοῦ καὶ εἶπεν Τάδε λέγει κύριος Τί παραπορεύεσθε τὰς
ἐντολὰς κυρίου; καὶ οὐκ εὐοδωθήσεσθε· ὅτι ἐγκατελίπετε τὸν κύριον, καὶ ἐγκα-
ταλείψει ὑμᾶς. [21] καὶ ἐπέθεντο αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὸν δι᾽ ἐντολῆς 21
Mt. 23, 35. Ἰωὰς τοῦ βασιλέως ἐν αὐλῇ οἴκου κυρίου. [22] καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους 22
οὗ ἐποίησεν Ἰωδαὲ ὁ πατὴρ αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ ἐθανάτωσε τὸν υἱὸν αὐ-
τοῦ· καὶ ὡς ἀπέθνησκεν, εἶπεν Ἴδοι κύριος καὶ κρινάτω. [23] καὶ ἐγένετο μετὰ 23

---

3. εαυτω ιωδαε δυο γυν. 5. ουκ επιστευσαν 6. ιωας ο βασιλευς ... οτε pro οτι 7. om γαρ ... τοις βααλειμ 9. εισενεγκειν τω κυριω 10. ενεβαλλον 11. ως εφερον ... εξεκεν. τον γλωσσοκομον 12. εις την εργασιαν ... om και χαλκεις usque οικον κυριου 14. ανηνεγκεν ολοκαυτωσιν 15. ενων ετων εκατον κ. τριακ. (16. εποιησαν) 18. εγκατελειπον κυριον τον θεον των ... τοις ειδ. κ. ταις αστ. 19. ουκ ηκουσαν pro ουχ υπηκουσαν 20. εγκατελειπετε 22. μετ αυτου ιωδ. ο πατ. αυτου ... κρινετω

Digitized by Google

τὴν συντέλειαν τοῦ ἐνιαυτοῦ ἀνέβη ἐπ' αὐτὸν δύναμις Συρίας, καὶ ἦλθεν ἐπὶ
Ἰούδαν καὶ ἐπὶ Ἱερουσαλήμ, καὶ κατέφθειραν πάντας τοὺς ἄρχοντας τοῦ λαοῦ
ἐν τῷ λαῷ, καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπέστειλαν τῷ βασιλεῖ Δαμασκοῦ.
24 [24] ὅτι ἐν ὀλίγοις ἀνδράσι παρεγένετο δύναμις Συρίας, καὶ ὁ θεὸς παρέδωκεν
εἰς τὰς χεῖρας αὐτῶν δύναμιν πολλὴν σφόδρα, ὅτι ἐγκατέλιπον κύριον τὸν θεὸν
25 τῶν πατέρων αὐτῶν, καὶ μετὰ Ἰωὰς ἐποίησε κρίματα. [25] καὶ μετὰ τὸ ἀπελ-
θεῖν αὐτοὺς ἀπ' αὐτοῦ ἐν τῷ ἐγκαταλιπεῖν αὐτὸν ἐν μαλακίαις μεγάλαις, καὶ
ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ ἐν αἵμασιν υἱοῦ Ἰωδαὲ τοῦ ἱερέως, καὶ ἐθα-
νάτωσαν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ ἀπέθανε· καὶ ἔθαψαν αὐτὸν ἐν
26 πόλει Δαυίδ, καὶ οὐκ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν βασιλέων. [26] καὶ οἱ
ἐπιθέμενοι ἐπ' αὐτὸν Ζαβὲδ ὁ τοῦ Σαμαὰθ ὁ Ἀμμανίτης καὶ Ἰωζαβὲδ ὁ τοῦ
27 Σαμαρὴθ ὁ Μωαβίτης [27] καὶ οἱ υἱοὶ αὐτοῦ πάντες, καὶ προσῆλθον αὐτῷ οἱ
πέντε. καὶ τὰ λοιπὰ ἰδοὺ γεγραμμένα ἐπὶ τὴν γραφὴν τῶν βασιλέων· καὶ ἐβα-
σίλευσεν Ἀμασίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXV.

Ὢν εἴκοσι καὶ πέντε ἐτῶν ἐβασίλευσεν Ἀμασίας, καὶ εἰκοσιεννέα ἔτη
ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰωαδαὲν ἀπὸ Ἱερου-
2 σαλήμ. [2] καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου, ἀλλ' οὐκ ἐν καρδίᾳ πλήρει.
3 [3] καὶ ἐγένετο ὡς κατέστη ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐθανάτωσε τοὺς
4 παῖδας αὐτοῦ τοὺς φονεύσαντας τὸν βασιλέα πατέρα αὐτοῦ. [4] καὶ τοὺς υἱοὺς
αὐτῶν οὐκ ἀπέκτεινε, κατὰ τὴν διαθήκην τοῦ νόμου κυρίου καθὼς γέγραπται,
ὡς ἐνετείλατο κύριος λέγων Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ
οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἀλλ' ἢ ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθα-
5 νοῦνται. [5] καὶ συνήγαγεν Ἀμασίας τὸν οἶκον Ἰούδα, καὶ ἀνέστησεν αὐτοὺς κατ'
οἴκους πατριῶν αὐτῶν εἰς χιλιάρχους καὶ ἑκατοντάρχους ἐν παντὶ Ἰούδᾳ καὶ
Ἱερουσαλήμ· καὶ ἠρίθμησεν αὐτοὺς ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, καὶ εὗρεν
αὐτοὺς τριακοσίας χιλιάδας ἐξελθεῖν εἰς πόλεμον δυνατοὺς κρατοῦντας δόρυ
6 καὶ θυρεόν. [6] καὶ ἐμισθώσατο ἀπὸ Ἰσραὴλ ἑκατὸν χιλιάδας δυνατοὺς ἰσχύϊ
7 ἑκατὸν ταλάντων ἀργυρίου. [7] καὶ ἄνθρωπος τοῦ θεοῦ ἦλθε πρὸς αὐτὸν λέγων
Βασιλεῦ, οὐ πορεύσεται μετὰ σοῦ δύναμις Ἰσραήλ, ὅτι οὐκ ἔστι κύριος μετὰ
8 Ἰσραὴλ πάντων τῶν υἱῶν Ἐφραΐμ. [8] ὅτι ἐὰν ὑπολάβῃς κατισχῦσαι ἐν τούτοις,
καὶ τροπώσεταί σε κύριος ἐναντίον τῶν ἐχθρῶν, ὅτι ἐστὶ παρὰ κυρίου καὶ
9 ἰσχῦσαι καὶ τροπώσασθαι. [9] καὶ εἶπεν Ἀμασίας τῷ ἀνθρώπῳ τοῦ θεοῦ Καὶ
τί ποιήσω τὰ ἑκατὸν τάλαντα ἃ ἔδωκα τῇ δυνάμει Ἰσραήλ; καὶ εἶπεν ὁ ἄν-
10 θρωπος τοῦ θεοῦ Ἔστι τῷ κυρίῳ δοῦναί σοι πλεῖστα τούτων. [10] καὶ διεχώ-
ρισεν Ἀμασίας τῇ δυνάμει τῇ ἐλθούσῃ πρὸς αὐτὸν ἀπὸ Ἐφραΐμ ἀπελθεῖν εἰς
τὸν τόπον αὐτῶν· καὶ ἐθυμώθησαν σφόδρα ἐπὶ Ἰούδαν, καὶ ἐπέστρεψαν εἰς
11 τὸν τόπον αὐτῶν ἐν ὀργῇ θυμοῦ. [11] καὶ Ἀμασίας κατίσχυσε καὶ παρέλαβε τὸν
λαὸν αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν κοιλάδα τῶν ἁλῶν, καὶ ἐπάταξεν ἐκεῖ τοὺς
12 υἱοὺς Σηεὶρ δέκα χιλιάδας. [12] καὶ δέκα χιλιάδας ἐζώγρησαν οἱ υἱοὶ Ἰούδα,
καὶ ἔφερον αὐτοὺς ἐπὶ τὸ ἄκρον τοῦ κρημνοῦ, καὶ κατεκρήμνιζον αὐτοὺς ἀπὸ
13 τοῦ ἄκρου τοῦ κρημνοῦ, καὶ πάντες διερρήγνυντο. [13] καὶ υἱοὶ τῆς δυνάμεως
οὓς ἀπέστρεψεν Ἀμασίας τοῦ μὴ πορευθῆναι μετ' αὐτοῦ εἰς πόλεμον, καὶ

23. κατεφθειρεν ... απεστειλεν 24. παρεγινετο ... εγκατελειπον ... πατερ. εαυτων 26. ζαβεθ ο του σαμαθ ... σαμαριθ 27. (ιουδα pro ιδου ...) επι γραφην XXV. 1. πεντε και εικοσι ... κ. εικ. και εννεα ... ιωαδ εν pro ιωαδαεν 3. παιδας εαυτου 4. διαθηκην νομου ... αμαρτια αποθανειται 5. δυνατους εξελθ. εις πολεμον 7. ου παρελευσεται 8. τροπωσεται κυριος εναντι ... κυριου κατισχυσαι εν τουτοις και τροπωσεσθαι 10. τοπον εαυτων ... υπεστρεψεν ε. τ. τοπ. εαυτων 11. λαον εαυτου 12. κατεκρημνισεν 13. και οι υιοι ... πολεμον, επεθεντο

Digitized by Google

ἐπέθεντο ἐπὶ τὰς πόλεις Ἰούδα ἀπὸ Σαμαρείας ἕως Βαιθωρών, καὶ ἐπάταξαν
ἐν αὐτοῖς τρεῖς χιλιάδας καὶ ἐσκύλευσαν σκῦλα πολλά. 14 καὶ ἐγένετο μετὰ τὸ 14
ἐλθεῖν Ἀμασίαν πατάξαντος τὴν Ἰδουμαίαν, καὶ ἤνεγκε πρὸς αὐτὸν τοὺς θεοὺς
υἱῶν Σηείρ, καὶ ἔστησεν αὐτοὺς αὐτῷ εἰς θεούς, καὶ ἐναντίον αὐτῶν προσ-
εκύνει, καὶ αὐτὸς αὐτοῖς ἔθυε. 15 καὶ ἐγένετο ὀργὴ κυρίου ἐπὶ Ἀμασίαν, καὶ 15
ἀπέστειλεν αὐτῷ προφήτην καὶ εἶπεν αὐτῷ Τί ἐζήτησας τοὺς θεοὺς τοῦ λαοῦ
οἳ οὐκ ἐξείλοντο τὸν λαὸν ἑαυτῶν ἐκ χειρός σου; 16 καὶ ἐγένετο ἐν τῷ λαλῆ- 16
σαι αὐτῷ πρὸς αὐτόν, καὶ εἶπεν αὐτῷ Μὴ σύμβουλον τοῦ βασιλέως δέδωκά
σε; πρόσεχε ἵνα μὴ μαστιγωθῇς. καὶ ἐσιώπησεν ὁ προφήτης, καὶ εἶπεν ὅτι
γινώσκω ὅτι ἐβούλετο ἐπὶ σοὶ τοῦ καταφθεῖραί σε, ὅτι ἐποίησας τοῦτο καὶ
οὐκ ἐπήκουσας τῆς συμβουλίας μου. 17 καὶ ἐβουλεύσατο Ἀμασίας ὁ βασιλεὺς 17
Ἰούδα, καὶ ἀπέστειλε πρὸς Ἰωὰς υἱὸν Ἰωάχαζ υἱοῦ Ἰηοῦ βασιλέα Ἰσραὴλ
λέγων Δεῦρο καὶ ὀφθῶμεν προσώποις. 18 καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ 18
πρὸς Ἀμασίαν βασιλέα Ἰούδα λέγων Ὁ ἀκχοὺχ ὁ ἐν τῷ Λιβάνῳ ἀπέστειλε
πρὸς τὴν κέδρον τὴν ἐν τῷ Λιβάνῳ λέγων Δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου
εἰς γυναῖκα, καὶ ἰδοὺ ἐλεύσεται τὰ θηρία τοῦ ἀγροῦ τὰ ἐν τῷ Λιβάνῳ· καὶ
ἦλθον τὰ θηρία καὶ κατεπάτησαν τὸν ἀκχούχ. 19 εἶπας Ἰδοὺ ἐπάταξα τὴν 19
Ἰδουμαίαν, καὶ ἐπαίρει σε ἡ καρδία σου ἡ βαρεῖα· νῦν κάθισον ἐν οἴκῳ σου,
καὶ ἵνα τί συμβάλλεις ἐν κακίᾳ, καὶ πεσῇ σὺ καὶ Ἰούδας μετὰ σοῦ; 20 καὶ 20
οὐκ ἤκουσεν Ἀμασίας, ὅτι παρὰ κυρίου ἐγένετο τοῦ παραδοῦναι αὐτὸν εἰς
χεῖρας, ὅτι ἐξεζήτησε τοὺς θεοὺς τῶν Ἰδουμαίων. 21 καὶ ἀνέβη Ἰωὰς βασι- 21
λεὺς Ἰσραήλ, καὶ ὤφθησαν ἀλλήλοις αὐτὸς καὶ Ἀμασίας βασιλεὺς Ἰούδα ἐν
Βαιθσαμὺς ἥ ἐστι τοῦ Ἰούδα. 22 καὶ ἐτροπώθη Ἰούδας κατὰ πρόσωπον Ἰσραήλ, 22
καὶ ἔφυγεν ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. 23 καὶ τὸν Ἀμασίαν βασιλέα Ἰούδα 23
τὸν τοῦ Ἰωὰς υἱοῦ Ἰωάχαζ κατέλαβεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ ἐν Βαιθσαμύς,
καὶ εἰσήγαγεν αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ κατέσπασεν ἀπὸ τοῦ τείχους Ἱερου-
σαλὴμ ἀπὸ πύλης Ἐφραΐμ ἕως πύλης γωνίας τετρακοσίους πήχεις. 24 καὶ πᾶν 24
τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ κυρίου
καὶ παρὰ τῷ Ἀβδεδὸμ καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τοὺς υἱοὺς
τῶν συμμίξεων, καὶ ἐπέστρεψεν εἰς Σαμάρειαν. 25 καὶ ἔζησεν Ἀμασίας ὁ τοῦ 25
Ἰωὰς βασιλεὺς Ἰούδα μετὰ τὸ ἀποθανεῖν Ἰωὰς τὸν τοῦ Ἰωάχαζ βασιλέα
Ἰσραὴλ ἔτη δεκαπέντε. 26 καὶ οἱ λοιποὶ λόγοι Ἀμασίου οἱ πρῶτοι καὶ οἱ ἔσχα- 26
τοι οὐκ ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ; 27 καὶ ἐν 27
τῷ καιρῷ ᾧ ἀπέστη Ἀμασίας ἀπὸ κυρίου, καὶ ἐπέθεντο αὐτῷ ἐπίθεσιν, καὶ
ἔφυγεν ἀπὸ Ἱερουσαλὴμ εἰς Λαχίς· καὶ ἀπέστειλαν κατόπισθεν αὐτοῦ εἰς Λα-
χίς, καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ. 28 καὶ ἀνέλαβον αὐτὸν ἐπὶ τῶν ἵππων, καὶ 28
ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ.

## XXVI.

Καὶ ἔλαβε πᾶς ὁ λαὸς τῆς γῆς τὸν Ὀζίαν, καὶ αὐτὸς υἱὸς ἑκκαίδεκα
ἐτῶν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἀμασίου. 2 αὐτὸς ᾠκο- 2
δόμησε τὴν Αἰλάθ, αὐτὸς ἐπέστρεψεν αὐτὴν τῷ Ἰούδᾳ μετὰ τὸ κοιμηθῆναι
τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ. 3 υἱὸς ἑκκαίδεκα ἐτῶν ἐβασίλευσεν 3
Ὀζίας, καὶ πεντήκοντα καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα
τῇ μητρὶ αὐτοῦ Ἰεχελία ἀπὸ Ἱερουσαλήμ. 4 καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον 4

---

13. σαμαριας 14. παταξαντα ... προς αυτους ... εαυτω εις θεους ... αυτοις αυτος 15. αμεσιαν ... προφητας κ. ειπον αυτω ... *om οι ... εξειλαντο 16. om προς αυτον ... om ινα 17. om ο βασιλ. ιουδα ... om και post δευρο 18. Ο οχοζ ... ηλθαν ... τον αχουχ 19. επαταξας ... om σου primum ... καθησο 22. εφυγον 24. ab ιωας ad ιωας transilit ... κατεστησεν ... τριακοσιους 27. λαχεις bis ... επεθετο XXVI. 1. αυτος δεκα και εξ ετων 3. δεκαεξ



Digitized by Google

5 κυρίου κατὰ πάντα ὅσα ἐποίησεν Ἀμασίας ὁ πατὴρ αὐτοῦ. [5]καὶ ἦν ἐκζητῶν
τὸν κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιόντος ἐν φόβῳ κυρίου, καὶ ἐν
6 ταῖς ἡμέραις αὐτοῦ ἐζήτησε τὸν κύριον, καὶ εὐώδωσεν αὐτῷ κύριος. [6]καὶ
ἐξῆλθε καὶ ἐπολέμησε πρὸς τοὺς ἀλλοφύλους, καὶ κατέσπασε τὰ τείχη Γὲθ
καὶ τὰ τείχη Ἰαβνὴρ καὶ τὰ τείχη Ἀζώτου, καὶ ᾠκοδόμησε πόλεις Ἀζώτου
7 καὶ ἐν τοῖς ἀλλοφύλοις. [7]καὶ κατίσχυσεν αὐτὸν κύριος ἐπὶ τοὺς ἀλλοφύλους
καὶ ἐπὶ τοὺς Ἄραβας τοὺς κατοικοῦντας ἐπὶ τῆς πέτρας καὶ ἐπὶ τοὺς Μιναίους.
8 [8]καὶ ἔδωκαν οἱ Μιναῖοι δῶρα τῷ Ὀζίᾳ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ ἕως εἰςόδου
9 Αἰγύπτου, ὅτι κατίσχυσεν ἕως ἄνω. [9]καὶ ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερου-
σαλὴμ καὶ ἐπὶ τὴν πύλην τῆς γωνίας καὶ ἐπὶ τὴν πύλην τῆς φάραγγος καὶ
10 ἐπὶ τῶν γωνιῶν καὶ κατίσχυσε. [10]καὶ ᾠκοδόμησε πύργους ἐν τῇ ἐρήμῳ, καὶ
ἐλατόμησε λάκκους πολλούς, ὅτι κτήνη πολλὰ ὑπῆρχεν αὐτῷ ἐν σεφηλᾷ καὶ
ἐν τῇ πεδινῇ καὶ ἀμπελουργοὶ ἐν τῇ ὀρεινῇ καὶ ἐν τῷ Καρμήλῳ, ὅτι γεωρ-
11 γὸς ἦν. [11]καὶ ἐγένετο τῷ Ὀζίᾳ δύναμις ποιοῦσα πόλεμον καὶ ἐκπορευομένη
εἰς παράταξιν εἰς πόλεμον καὶ εἰςπορευομένη εἰς παράταξιν εἰς ἀριθμόν· καὶ
ἦν ὁ ἀριθμὸς αὐτῶν διὰ χειρὸς Ἰειὴλ τοῦ γραμματέως καὶ Μαασίου τοῦ
12 κριτοῦ, διὰ χειρὸς Ἀνανίου τοῦ διαδόχου τοῦ βασιλέως. [12]πᾶς ὁ ἀριθμὸς
13 τῶν πατριαρχῶν τῶν δυνατῶν εἰς πόλεμον διςχίλιοι ἑξακόσιοι, [13]καὶ μετ᾽
αὐτῶν δύναμις πολεμικὴ τριακόσιαι χιλιάδες καὶ ἑπτακιςχίλιοι καὶ πεντακό-
σιοι· οὗτοι οἱ ποιοῦντες πόλεμον ἐν δυνάμει ἰσχύος βοηθῆσαι τῷ βασιλεῖ ἐπὶ
14 τοὺς ὑπεναντίους. [14]καὶ ἡτοίμασεν αὐτοῖς Ὀζίας πάσῃ τῇ δυνάμει θυρεοὺς
καὶ δόρατα καὶ περικεφαλαίας καὶ θώρακας καὶ τόξα καὶ εἰς λίθους σφεν-
15 δόνας. [15]καὶ ἐποίησεν ἐν Ἱερουσαλὴμ μηχανὰς μεμηχανευμένας λογιστοῦ τοῦ
εἶναι ἐπὶ τῶν πύργων καὶ ἐπὶ τῶν γωνιῶν βάλλειν βέλεσι καὶ λίθοις μεγάλοις·
καὶ ἠκούσθη ἡ κατασκευὴ αὐτῶν ἕως πόῤῥω, ὅτι ἐθαυμαστώθη τοῦ βοηθῆναι
16 ἕως οὗ κατίσχυσε. [16]καὶ ὡς κατίσχυσεν, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ κατα-
φθεῖραι· καὶ ἠδίκησεν ἐν κυρίῳ θεῷ αὐτοῦ, καὶ εἰςῆλθεν εἰς τὸν ναὸν κυρίου
17 θυμιᾶσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων. [17]καὶ εἰςῆλθεν ὀπίσω αὐτοῦ
Ἀζαρίας ὁ ἱερεύς, καὶ μετ᾽ αὐτοῦ ἱερεῖς τοῦ κυρίου ὀγδοήκοντα υἱοὶ δυνατοί.
18 [18]καὶ ἔστησαν ἐπὶ Ὀζίαν τὸν βασιλέα καὶ εἶπαν αὐτῷ Οὐ σοί, Ὀζία, θυ-
μιᾶσαι τῷ κυρίῳ, ἀλλ᾽ ἢ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις θῦσαι·
ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ κυρίου· καὶ οὐκ ἔσται σοι τοῦτο
19 εἰς δόξαν παρὰ κυρίου θεοῦ. [19]καὶ ἐθυμώθη Ὀζίας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ
τὸ θυμιατήριον τοῦ θυμιᾶσαι ἐν τῷ ναῷ· καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς
τοὺς ἱερεῖς, καὶ ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων
20 ἐν οἴκῳ κυρίου ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. [20]καὶ ἐπέστρεψε
πρὸς αὐτὸν Ἀζαρίας ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς
ἐν τῷ μετώπῳ· καὶ κατέσπευσαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελ-
21 θεῖν, ὅτι ἤλεγξεν αὐτὸν κύριος. [21]καὶ Ὀζίας ὁ βασιλεὺς ἦν λεπρὸς ἕως ἡμέ-
ρας τῆς τελευτῆς αὐτοῦ, καὶ ἐν οἴκῳ ἀπφουσὼθ ἐκάθητο λεπρός, ὅτι ἀπε-
σχίσθη ἀπὸ οἴκου κυρίου· καὶ Ἰωάθαν ὁ υἱὸς αὐτοῦ ἐπὶ τῆς βασιλείας αὐτοῦ
22 κρίνων τὸν λαὸν τῆς γῆς. [22]καὶ οἱ λοιποὶ λόγοι Ὀζίου οἱ πρῶτοι καὶ οἱ ἔσχα-
23 τοι γεγραμμένοι ὑπὸ Ἰεσσίου τοῦ προφήτου. [23]καὶ ἐκοιμήθη Ὀζίας μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ πεδίῳ τῆς

5. ευοδωσεν 6. ιαβεις pro ιαβνηρ 9. πυργον 10. υπηρχον ... οτι φιλογεωργος ην 11. δυναμεις ποιουσαι ... εκπορευομεναι ... a παραταξιν ad παραταξιν transilit ... om ην ... ιειηλ ... μασσαιου 13. επτα χιλιαδες pro επτακιςχιλιοι 14. ητοιμαζεν ... σφενδ. εις λιθ. 16. θεω εαυτου 18. ειπον ... τοις υιοις ... θυμιασαι pro θυσαι 19. om και post ναω 20. επ αυτον ... om αζαριας 21. ην οζιας ο βασιλευς ... εως της ημερας ... ιωαθαμ 22. ** οζιου του βασιλεως ... ** ιδου εισιν γεγραμμενοι 23. πατερ. εαυτου ... πεδιω μετα της

Digitized by Google

ταφῆς τῶν βασιλέων, ὅτι εἶπαν ὅτι λεπρός ἐστι· καὶ ἐβασίλευσεν Ἰωάθαμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXVII.

Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωάθαμ ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ ἑκκαί-
δεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἱερουσὰ
θυγάτηρ Σαδώκ. [2] καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου κατὰ πάντα ἃ ἐποίη- 2
σεν Ὀζίας ὁ πατὴρ αὐτοῦ, ἀλλ' οὐκ εἰςῆλθεν εἰς τὸν ναὸν κυρίου, καὶ ἔτι
ὁ λαὸς κατεφθείρετο. [3] αὐτὸς ᾠκοδόμησε τὴν πύλην οἴκου κυρίου τὴν ὑψηλήν, 3
καὶ ἐν τείχει Ὀπὲλ ᾠκοδόμησε πολλά, [4] ἐν ὄρει Ἰούδα καὶ ἐν τοῖς δρυμοῖς 4
καὶ οἰκήσεις καὶ πύργους. [5] αὐτὸς ἐμαχέσατο πρὸς βασιλέα υἱῶν Ἀμμὼν καὶ 5
κατίσχυσεν ἐπ' αὐτόν· καὶ ἐδίδουν αὐτῷ οἱ υἱοὶ Ἀμμὼν καὶ κατ' ἐνιαυτὸν
ἑκατὸν τάλαντα ἀργυρίου καὶ δέκα χιλιάδας κόρων πυροῦ καὶ κριθῶν δέκα
χιλιάδας· ταῦτα ἔφερεν αὐτῷ βασιλεὺς υἱῶν Ἀμμὼν κατ' ἐνιαυτὸν ἐν τῷ
πρώτῳ ἔτει καὶ ἐν τῷ δευτέρῳ καὶ τῷ τρίτῳ. [6] κατίσχυσεν Ἰωάθαμ, ὅτι 6
ἡτοίμασε τὰς ὁδοὺς αὐτοῦ ἐναντίον κυρίου θεοῦ αὐτοῦ. [7] καὶ οἱ λοιποὶ λόγοι 7
Ἰωάθαμ καὶ ὁ πόλεμος καὶ αἱ πράξεις αὐτοῦ ἰδοὺ γεγραμμέναι ἐπὶ βιβλίῳ
βασιλέων Ἰούδα καὶ Ἰσραήλ. [9] καὶ ἐκοιμήθη Ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ, 9
καὶ ἐτάφη ἐν πόλει Δαυίδ· καὶ ἐβασίλευσεν Ἄχαζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXVIII.

Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν Ἄχαζ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἑκκαί-
δεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυ-
ρίου ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ. [2] καὶ ἐπορεύθη κατὰ τὰς ὁδοὺς βασιλέων Ἰσραήλ· 2
καὶ γὰρ γλυπτὰ ἐποίησε, [3] καὶ τοῖς εἰδώλοις αὐτῶν ἐν γὲ Βενεννὸμ καὶ διῆγε 3
τὰ τέκνα αὐτοῦ διὰ πυρὸς κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξωλόθρευσε
κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. [4] καὶ ἐθυμία ἐπὶ τῶν ὑψηλῶν καὶ ἐπὶ 4
τῶν δωμάτων καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους. [5] καὶ παρέδωκεν αὐτὸν 5
κύριος ὁ θεὸς αὐτοῦ διὰ χειρὸς βασιλέως Συρίας, καὶ ἐπάταξεν ἐν αὐτῷ καὶ
ᾐχμαλώτευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλὴν καὶ ἤγαγεν εἰς Δαμασκόν· καὶ
εἰς χεῖρας βασιλέως Ἰσραὴλ παρέδωκεν αὐτόν, καὶ ἐπάταξεν ἐν αὐτῷ πληγὴν
μεγάλην. [6] καὶ ἀπέκτεινε Φακεὲ ὁ τοῦ Ῥομελία βασιλεὺς Ἰσραὴλ ἐν Ἰούδᾳ 6
ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν εἴκοσι χιλιάδας ἀνδρῶν δυνατῶν ἰσχύϊ, ἐν τῷ καταλι-
πεῖν αὐτοὺς κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. [7] καὶ ἀπέκτεινε Ζεχρὶ ὁ 7
δυνατὸς τοῦ Ἐφραΐμ τὸν Μαασίαν τὸν υἱὸν τοῦ βασιλέως καὶ τὸν Ἐζρικὰν
ἡγούμενον τοῦ οἴκου αὐτοῦ καὶ τὸν Ἑλκανὰ τὸν διάδοχον τοῦ βασιλέως. [8] καὶ 8
ᾐχμαλώτισαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἀδελφῶν αὐτῶν τριακοσίας χιλιάδας,
γυναῖκας καὶ υἱοὺς καὶ θυγατέρας, καὶ σκῦλα πολλὰ ἐσκύλευσαν ἐξ αὐτῶν,
καὶ ἤνεγκαν τὰ σκῦλα εἰς Σαμάρειαν. [9] καὶ ἐκεῖ ἦν ὁ προφήτης τοῦ κυρίου, 9
Ὠδὴδ ὄνομα αὐτῷ· καὶ ἐξῆλθεν εἰς ἀπάντησιν τῆς δυνάμεως τῶν ἐρχομένων
εἰς Σαμάρειαν καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ὀργὴ κυρίου θεοῦ τῶν πατέρων ὑμῶν

---

23. ιωναθαν ο υιος XXVII. 1. om υιος ... δεκαεξ 2. παντα οσα 3. κυριου και την ... τειχει του οφλα 4. ab initio add και πολεις ωκοδομησεν 5. om και ante κατ ... ενιαυτον. Εν τω (ita dist.) ... και δευτερω 7. και οι λογοι ιωαθαμ οι λοιποι ... γεγραμμενοι επι βιβλιων 8. και εικοσι και πεντε ετων ην βασιλευσας, και εξ και δεκα ετη εβασιλευσεν εν ιερουσαλημ. 9. πατερ. εαυτου XXVIII. Υιος εικοσι ετων αχαβ εν τω βασιλευσαι αυτ., κ. δεκαεξ εβασιλευσεν 2. των βασιλεων 3. αυτων εθυεν εν γη βεεννομ ... παντων των εθνων των απεριτμητων τουτων και ων εξωλεθρευσεν ... των υιων (4. αλσωδου) 5. και εις τας χειρας 6. ρομελιου ... αυτους καταλιπειν τον κυριον θεον ... ** πατερ. εαυτων 7. εζεχρι ... μασιαν 8. ηχμαλωτευσαν ... γυναικας υιους ... σαμαριαν 9. σαμαριαν



Digitized by Google

ἐπὶ Ἰούδαν, καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἀπεκτείνατε ἐν
10 αὐτοῖς ἐν ὀργῇ, καὶ ἕως τῶν οὐρανῶν ἔφθακε. [10] καὶ νῦν υἱοὺς Ἰούδα καὶ
Ἱερουσαλὴμ ὑμεῖς λέγετε κατακτήσασθαι εἰς δούλους καὶ δούλας· οὐκ ἰδοὺ
11 εἰμι μεθ' ὑμῶν μαρτυρῆσαι κυρίῳ θεῷ ὑμῶν; [11] καὶ νῦν ἀκούσατέ μου καὶ
ἀποστρέψατε τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλωτεύσατε τῶν ἀδελφῶν ὑμῶν, ὅτι
12 ὀργὴ θυμοῦ κυρίου ἐφ' ὑμῖν. [12] καὶ ἀνέστησαν ἄρχοντες ἀπὸ τῶν υἱῶν Ἐφραΐμ,
Οὐδείας ὁ τοῦ Ἰωανοῦ καὶ Βαραχίας ὁ τοῦ Μωσολαμὼθ καὶ Ἐζεκίας ὁ τοῦ
Σελλὴμ καὶ Ἀμασίας ὁ τοῦ Ἐλδαΐ, ἐπὶ τοὺς ἐρχομένους ἀπὸ τοῦ πολέμου
13 [13] καὶ εἶπαν αὐτοῖς Οὐ μὴ εἰςαγάγητε τὴν αἰχμαλωσίαν ὧδε πρὸς ἡμᾶς, ὅτι
εἰς τὸ ἁμαρτάνειν τῷ κυρίῳ ἐφ' ἡμᾶς ὑμεῖς λέγετε προςθεῖναι ἐπὶ ταῖς ἁμαρ-
τίαις ἡμῶν καὶ ἐπὶ τὴν ἄγνοιαν ἡμῶν, ὅτι πολλὴ ἡ ἁμαρτία ἡμῶν καὶ ὀργὴ
14 θυμοῦ κυρίου ἐπὶ τὸν Ἰσραήλ. [14] καὶ ἀφῆκαν οἱ πολεμισταὶ τὴν αἰχμαλωσίαν
15 καὶ τὰ σκῦλα ἐναντίον τῶν ἀρχόντων καὶ πάσης τῆς ἐκκλησίας. [15] καὶ ἀνέ-
στησαν ἄνδρες οἳ ἐπεκλήθησαν ἐν ὀνόματι καὶ ἀντελάβοντο τῆς αἰχμαλωσίας,
καὶ πάντας τοὺς γυμνοὺς περιέβαλον ἀπὸ τῶν σκύλων, καὶ ἐνέδυσαν αὐτοὺς
καὶ ὑπέδησαν αὐτούς, καὶ ἔδωκαν φαγεῖν καὶ ἀλείψασθαι, καὶ ἀντελάβοντο
καὶ ἐν ὑποζυγίοις παντὸς ἀσθενοῦντος, καὶ κατέστησαν αὐτοὺς εἰς Ἱεριχὼ πόλιν
16 φοινίκων πρὸς τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἐπέστρεψαν εἰς Σαμάρειαν. [16] ἐν
τῷ καιρῷ ἐκείνῳ ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ πρὸς βασιλέα Ἀσσοὺρ βοηθῆσαι
17 αὐτῷ καὶ ἐν τούτῳ, [17] ὅτι οἱ Ἰδουμαῖοι ἐπέθεντο καὶ ἐπάταξαν ἐν Ἰούδᾳ,
18 καὶ ᾐχμαλώτισαν αἰχμαλωσίαν. [18] καὶ οἱ ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὰς πόλεις
τῆς πεδινῆς καὶ ἀπὸ λιβὸς τοῦ Ἰούδα, καὶ ἔλαβον τὴν Βαιθσαμὺς καὶ τὰ ἐν
οἴκῳ κυρίου καὶ τὰ ἐν οἴκῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἔδωκαν
τῷ βασιλεῖ τὴν Ἀϊλὼν καὶ τὴν Γαληρὼ καὶ τὴν Σωχὼ καὶ τὰς κώμας αὐτῆς
καὶ τὴν Θαμνὰ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν Γαμζὼ καὶ τὰς κώμας αὐτῆς·
19 καὶ κατῴκησαν ἐκεῖ. [19] ὅτι ἐταπείνωσε κύριος τὸν Ἰούδαν διὰ Ἄχαζ βασιλέα
20 Ἰούδα, ὅτι ἀπέστη ἀποστάσει ἀπὸ κυρίου. [20] καὶ ἦλθεν ἐπ' αὐτὸν Θαλγα-
21 φελλασὰρ βασιλεὺς Ἀσσοὺρ καὶ ἔθλιψεν αὐτόν. [21] καὶ ἔλαβεν Ἄχαζ τὰ ἐν οἴκῳ
κυρίου καὶ τὰ ἐν οἴκῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων καὶ ἔδωκε τῷ βασι-
22 λεῖ Ἀσσούρ· καὶ οὐκ εἰς βοήθειαν αὐτῷ ἦν, [22] ἀλλ' ἢ τῷ θλιβῆναι αὐτόν.
23 καὶ προςέθηκε τοῦ ἀποστῆναι ἀπὸ κυρίου, καὶ εἶπεν ὁ βασιλεὺς Ἄχαζ [23] Ἐκ-
ζητήσω τοὺς θεοὺς Δαμασκοῦ τοὺς τύπτοντάς με, καὶ εἶπεν ὅτι θεοὶ βασιλέως
Συρίας αὐτοὶ κατισχύουσιν αὐτούς, αὐτοῖς τοίνυν θύσω καὶ ἀντιλήψονταί
24 μου· καὶ αὐτοὶ ἐγένοντο αὐτῷ εἰς σκῶλον καὶ παντὶ Ἰσραήλ. [24] καὶ ἀπέστη-
σεν Ἄχαζ τὰ σκεύη οἴκου κυρίου καὶ κατέκοψεν αὐτά, καὶ ἔκλεισε τὰς θύρας
οἴκου κυρίου, καὶ ἐποίησεν ἑαυτῷ θυσιαστήρια ἐν πάσῃ γωνίᾳ ἐν Ἱερουσα-
25 λήμ, [25] καὶ ἐν πάσῃ πόλει καὶ πόλει ἐν Ἰούδᾳ ἐποίησεν ὑψηλὰ θυμιᾶν θεοῖς
26 ἀλλοτρίοις, καὶ παρώργισαν κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. [26] καὶ οἱ
λοιποὶ λόγοι αὐτοῦ καὶ αἱ πράξεις αὐτοῦ αἱ πρῶται καὶ ἔσχαται ἰδοὺ γεγραμ-
27 μέναι ἐπὶ βιβλίῳ βασιλέων Ἰούδα καὶ Ἰσραήλ. [27] καὶ ἐκοιμήθη Ἄχαζ μετὰ
τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαυίδ, ὅτι οὐκ εἰςήνεγκαν αὐτὸν
εἰς τοὺς τάφους τῶν βασιλέων Ἰσραήλ· καὶ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

---

9. επι τον ιουδαν 10. κατακτησεσθαι ... ουχ ιδου ... κυριω τω θεω 11. om και ab initio ... αιχμαλωτευσατε 12. αζαριας ο του ιωαναν ... μοσολλαμωθ ... αδδι pro ελδαϊ 13. προθειναι ... om ημων post αγνοιαν 15. περιεβαλλον . . om και post αντελαβοντο ... υπεστρεψαν ... σαμαριαν 16. om ο βασιλευς 17. om οι ... ηχμαλωτευσαν 18. om τα εν οικω κυριου usque εδωκ. τω βασιλει ... αιλων ... γαδηρωθ ... και θαμνα ... γαμαιζαϊ 20. θαγλαθ φαλνασαρ ... επαταξεν pro εθλιψ. 21. om ην 22. om αχαζ 23. om αυτους ... αντιλημψονται 24. εποιησεν αυτω ... γωνια ιερουσαλημ 25. **εποιησαν ... κυριον θεον τ. π. εαυτων 27. πατερ. εαυτου ... εζεκειας

Digitized by Google

## XXIX.

Καὶ Ἐζεκίας ἐβασίλευσεν ὢν εἴκοσι καὶ πέντε ἐτῶν, καὶ εἴκοσι ἐννέα
ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀβιὰ θυγάτηρ
Ζαχαρίου. [2] καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησε 2
Δαυὶδ ὁ πατὴρ αὐτοῦ. [3] καὶ ἐγένετο ὡς ἔστη ἐπὶ τῆς βασιλείας αὐτοῦ, ἐν 3
τῷ μηνὶ τῷ πρώτῳ ἀνέῳξε τὰς θύρας οἴκου κυρίου καὶ ἐπεσκεύασεν αὐτάς.
[4] καὶ εἰςήγαγε τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας, καὶ κατέστησεν αὐτοὺς εἰς τὸ 4
κλίτος τὸ πρὸς ἀνατολάς, [5] καὶ εἶπεν αὐτοῖς Ἀκούσατε οἱ Λευῖται, νῦν ἁγνί- 5
σθητε, καὶ ἁγνίσατε τὸν οἶκον κυρίου θεοῦ τῶν πατέρων ὑμῶν, καὶ ἐκβάλετε
τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων. [6] ὅτι ἀπέστησαν οἱ πατέρες ἡμῶν καὶ ἐποίη- 6
σαν τὸ πονηρὸν ἐναντίον κυρίου θεοῦ ἡμῶν καὶ ἐγκατέλιπαν αὐτόν, καὶ ἀπέ-
στρεψαν τὸ πρόσωπον αὐτῶν ἀπὸ τῆς σκηνῆς κυρίου καὶ ἔδωκαν αὐχένα·
[7] καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ ναοῦ, καὶ ἔσβεσαν τοὺς λύχνους, καὶ θυ- 7
μίαμα οὐκ ἐθυμίασαν, καὶ ὁλοκαυτώματα οὐ προςήνεγκαν ἐν τῷ ἁγίῳ θεῷ
Ἰσραήλ. [8] καὶ ὠργίσθη ὀργῇ κύριος ἐπὶ τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλήμ, καὶ 8
ἔδωκεν αὐτοὺς εἰς ἔκστασιν καὶ εἰς ἀφανισμὸν καὶ εἰς συρισμόν, ὡς ὑμεῖς
ὁρᾶτε τοῖς ὀφθαλμοῖς ὑμῶν. [9] καὶ ἰδοὺ πεπλήγασιν οἱ πατέρες ὑμῶν ἐν μα- 9
χαίρᾳ, καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ αἱ γυναῖκες ὑμῶν ἐν αἰχμα-
λωσίᾳ ἐν γῇ οὐκ αὐτῶν, ὃ καὶ νῦν ἐστίν. [10] ἐπὶ τούτοις νῦν ἐστιν ἐπὶ καρ- 10
δίας διαθέσθαι διαθήκην μου, διαθήκην κυρίου θεοῦ Ἰσραήλ, καὶ ἀποστρέψει
τὴν ὀργὴν τοῦ θυμοῦ αὐτοῦ ἀφ' ἡμῶν. [11] καὶ νῦν μὴ διαλίπητε, ὅτι ἐν ὑμῖν 11
ᾑρέτικε κύριος στῆναι ἐναντίον αὐτοῦ λειτουργεῖν καὶ εἶναι αὐτῷ λειτουργοῦν-
τας καὶ θυμιῶντας. [12] καὶ ἀνέστησαν οἱ Λευῖται, Μαὰθ ὁ τοῦ Ἀμασὶ καὶ 12
Ἰωὴλ ὁ τοῦ Ἀζαρίου ἐκ τῶν υἱῶν Καάθ, καὶ ἐκ τῶν υἱῶν Μεραρὶ Κὶς ὁ
τοῦ Ἀβδὶ καὶ Ἀζαρίας ὁ τοῦ Ἰλαελήλ, καὶ ἀπὸ τῶν υἱῶν Γεδσωνὶ Ἰωδαὰδ
ὁ τοῦ Ζεμμὰθ καὶ Ἰωαδάμ, οὗτοι υἱοὶ Ἰωαχά, [13] καὶ τῶν υἱῶν Ἐλισαφὰν 13
Ζαμβρὶ καὶ Ἰειήλ, καὶ τῶν υἱῶν Ἀσὰφ Ζαχαρίας καὶ Ματθανίας, [14] καὶ τῶν 14
υἱῶν Αἱμὰν Ἰειὴλ καὶ Σεμεΐ, καὶ τῶν υἱῶν Ἰδιθοὺν Σαμαίας καὶ Ὀζιήλ·
[15] καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἡγνίσθησαν κατὰ τὴν ἐντολὴν 15
τοῦ βασιλέως διὰ προςτάγματος κυρίου καθαρίσαι τὸν οἶκον κυρίου. [16] καὶ εἰς- 16
ῆλθον οἱ ἱερεῖς ἔσω εἰς τὸν οἶκον κυρίου ἁγνίσαι, καὶ ἐξέβαλον πᾶσαν τὴν
ἀκαθαρσίαν τὴν εὑρεθεῖσαν ἐν τῷ οἴκῳ κυρίου καὶ εἰς τὴν αὐλὴν οἴκου κυρίου,
καὶ ἐδέξαντο οἱ Λευῖται ἐκβαλεῖν εἰς τὸν χειμάῤῥουν Κέδρων ἔξω. [17] καὶ ἤρ- 17
ξατο τῇ ἡμέρᾳ τῇ πρώτῃ νουμηνίᾳ τοῦ πρώτου μηνὸς ἁγνίσαι, καὶ τῇ ἡμέρᾳ
τῇ ὀγδόῃ τοῦ μηνὸς εἰςῆλθαν εἰς τὸν ναὸν κυρίου, καὶ ἥγνισαν τὸν οἶκον κυρίου
ἐν ἡμέραις ὀκτώ, καὶ τῇ ἡμέρᾳ τῇ τριςκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου
συνετέλεσαν. [18] καὶ εἰςῆλθαν ἔσω πρὸς Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπαν Ἡγνί- 18
σαμεν πάντα τὰ ἐν οἴκῳ κυρίου, τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ τὰ
σκεύη αὐτοῦ, καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σκεύη αὐτῆς, [19] καὶ 19
πάντα τὰ σκεύη ἃ ἐμίανεν ὁ βασιλεὺς Ἄχαζ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐν τῇ ἀπο-
στασίᾳ αὐτοῦ ἡτοιμάκαμεν καὶ ἡγνίσαμεν, ἰδού ἐστιν ἐναντίον τοῦ θυσιαστη-
ρίου κυρίου. [20] καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ συνήγαγε τοὺς ἄρχοντας 20

---

XXIX. 1. αββαθυθ pro αβια 3. εν τω πρωτω μηνι 5. θεου πατερων 6. om θεου ημων ... * εγκατελειπον, ** ενκατελειπον ... om αυτων 7. προςηνεγκαν τω 8. θυμω pro οργη ... και επι την ... συριγμον 9. υμων μαχαιρα ... ουχ αυτων 10. ** οιυ διαθηκην μου 11. διαλειπητε 12. μαεθ ... ζαχαριου pro αζαριου ... κεις ... ιαλληλ ... γεδσων ιωα ο του ζ. και ιωδαν ο του ιωαχα 13. σαμβρι κ. ιεϊηλ 14. ιεϊηλ ... σαμειας 16. εξεβαλαν 17. ηρξαντο ... του μηνος του πρωτου ... εισηλθεν ... ναον του χυριου ... τη εκκαιδεκατη 18. εισηλθον 19. αχαζ ο βασιλευς ... αποστασ. εαυτου ... ηγνικαμεν

Digitized by Google

21 τῆς πόλεως, καὶ ἀνέβη εἰς οἶκον κυρίου. [21] καὶ ἀνήνεγκε μόσχους ἑπτά, κριοὺς
ἑπτά, ἀμνοὺς ἑπτά, χιμάρους αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας, περὶ τῆς βασιλείας
καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ἰσραήλ· καὶ εἶπε τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερεῦ-
22 σιν ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήριον κυρίου. [22] καὶ ἔθυσαν τοὺς μόσχους, καὶ
ἐδέξαντο οἱ ἱερεῖς τὸ αἷμα καὶ προσέχεαν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἔθυσαν
τοὺς κριούς, καὶ προσέχεαν τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον· καὶ ἔθυσαν τοὺς
23 ἀμνούς, καὶ περιέχεον τὸ αἷμα τῷ θυσιαστηρίῳ. [23] καὶ προσήγαγον τοὺς χιμά-
ρους τοὺς περὶ ἁμαρτίας ἐναντίον τοῦ βασιλέως καὶ τῆς ἐκκλησίας, καὶ ἐπέ-
24 θηκαν τὰς χεῖρας αὐτῶν ἐπ' αὐτούς. [24] καὶ ἔθυσαν αὐτοὺς οἱ ἱερεῖς, καὶ ἐξι-
λάσαντο τὸ αἷμα αὐτῶν πρὸς τὸ θυσιαστήριον, καὶ ἐξιλάσαντο περὶ παντὸς
Ἰσραήλ, ὅτι εἶπεν ὁ βασιλεύς Περὶ παντὸς Ἰσραὴλ ἡ ὁλοκαύτωσις καὶ τὰ
25 περὶ ἁμαρτίας. [25] καὶ ἔστησε τοὺς Λευίτας ἐν οἴκῳ κυρίου ἐν κυμβάλοις καὶ
ἐν νάβλαις καὶ ἐν κινύραις κατὰ τὴν ἐντολὴν Δαυὶδ τοῦ βασιλέως καὶ Γὰδ
τοῦ ὁρῶντος τῷ βασιλεῖ καὶ Νάθαν τοῦ προφήτου, ὅτι διὰ ἐντολῆς κυρίου
26 τὸ πρόσταγμα ἐν χειρὶ τῶν προφητῶν· [26] καὶ ἔστησαν οἱ Λευῖται ἐν ὀργάνοις
27 Δαυὶδ καὶ οἱ ἱερεῖς ταῖς σάλπιγξι. [27] καὶ εἶπεν Ἐζεκίας ἀνενέγκαι τὴν ὁλο-
καύτωσιν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐν τῷ ἄρξασθαι ἀναφέρειν τὴν ὁλοκαύ-
τωσιν ἤρξαντο ᾄδειν κυρίῳ, καὶ σάλπιγγες πρὸς τὰ ὄργανα Δαυὶδ βασιλέως
28 Ἰσραήλ. [28] καὶ πᾶσα ἡ ἐκκλησία προσεκύνει, καὶ οἱ ψαλτῳδοὶ ᾄδοντες καὶ
29 σάλπιγγες σαλπίζουσαι ἕως οὗ συνετελέσθη ἡ ὁλοκαύτωσις. [29] καὶ ὡς συνετέλε-
σαν ἀναφέροντες, ἔκαμψεν ὁ βασιλεὺς καὶ πάντες οἱ εὑρεθέντες καὶ προσεκύ-
30 νησαν. [30] καὶ εἶπεν Ἐζεκίας ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τοῖς Λευίταις ὑμνεῖν
τὸν κύριον ἐν λόγοις Δαυὶδ καὶ Ἀσὰφ τοῦ προφήτου· καὶ ὕμνουν ἐν εὐφρο-
31 σύνῃ, καὶ ἔπεσον καὶ προσεκύνησαν. [31] καὶ ἀπεκρίθη Ἐζεκίας καὶ εἶπε Νῦν
ἐπληρώσατε τὰς χεῖρας ὑμῶν κυρίῳ, προσαγάγετε καὶ φέρετε θυσίας αἰνέσεως
εἰς οἶκον κυρίου· καὶ ἀνήνεγκεν ἡ ἐκκλησία θυσίας καὶ αἰνέσεις εἰς οἶκον
32 κυρίου, καὶ πᾶς πρόθυμος τῇ καρδίᾳ ὁλοκαυτώσεις. [32] καὶ ἐγένετο ὁ ἀριθμὸς
τῆς ὁλοκαυτώσεως ἧς ἀνήνεγκεν ἡ ἐκκλησία, μόσχοι ἑβδομήκοντα, κριοὶ ἑκα-
33 τόν, ἀμνοὶ διακόσιοι, εἰς ὁλοκαύτωσιν κυρίῳ πάντα ταῦτα. [33] καὶ οἱ ἡγια-
34 σμένοι μόσχοι ἑξακόσιοι, πρόβατα τρισχίλια. [34] ἀλλ' ἢ οἱ ἱερεῖς ἦσαν ὀλίγοι καὶ
οὐκ ἠδύναντο ἐκδεῖραι τὴν ὁλοκαύτωσιν, καὶ ἀντελάβοντο αὐτῶν οἱ ἀδελφοὶ
αὐτῶν οἱ Λευῖται ἕως οὗ συνετελέσθη τὸ ἔργον, καὶ ἕως οὗ ἡγνίσθησαν οἱ
35 ἱερεῖς, ὅτι οἱ Λευῖται προθύμως ἥγνισαν παρὰ τοὺς ἱερεῖς. [35] καὶ ἡ ὁλοκαύ-
τωσις πολλὴ ἐν τοῖς στέασι τῆς τελειώσεως τοῦ σωτηρίου καὶ τῶν σπονδῶν
36 τῆς ὁλοκαυτώσεως· καὶ κατωρθώθη τὸ ἔργον ἐν οἴκῳ κυρίου, [36] καὶ ηὐφράνθη
Ἐζεκίας καὶ πᾶς ὁ λαὸς διὰ τὸ ἡτοιμακέναι τὸν θεὸν τῷ λαῷ, ὅτι ἐξάπινα
ἐγένετο ὁ λόγος.

## XXX.

Καὶ ἀπέστειλεν Ἐζεκίας ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδα, καὶ ἐπιστολὰς
ἔγραψεν ἐπὶ τὸν Ἐφραΐμ καὶ Μανασσῆ ἐλθεῖν εἰς οἶκον κυρίου εἰς Ἱερου-
2 σαλὴμ ποιῆσαι τὸ φασὲκ τῷ κυρίῳ θεῷ Ἰσραήλ. [2] καὶ ἐβουλεύσατο ὁ βασι-
λεὺς καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ ἐκκλησία ἐν Ἱερουσαλὴμ ποιῆσαι τὸ φα-
3 σὲκ τῷ μηνὶ τῷ δευτέρῳ. [3] οὐ γὰρ ἠδυνάσθησαν ποιῆσαι αὐτὸ ἐν τῷ καιρῷ

21. χειμαρρους 22. προσεχεον primo loco 23. χιμαρρους ... χειρ. εαυτων 24. ** οτι περι παντος ισραηλ ειπεν ο βασιλευς 25. δι εντολης 27. εζεκειας ... τω κυριω ... και αι σαλπιγγες 28. πασα εκκλησια ... om και οι ... και αι σαλπ. 29. και εκαμψεν 30. ο βασιλ. εζεκιας κ. παντες οι ... επεσαν 31. θυσιας και αινεσεως ... ab οικον κυριου ad οικον κυριου transilit 34. ολιγοι ησαν ... δειραι ... ηγνισθησαν προθυμως pro προθ. ηγνισαν XXX. 1. ιουδαν 2. η εν ιερουσαλημ 3. εδυνασθησαν

Digitized by Google

ἐκείνῳ, ὅτι οἱ ἱερεῖς οὐχ ἡγνίσθησαν ἱκανοί, καὶ ὁ λαὸς οὐ συνήχθη εἰς Ἰε-
ρουσαλήμ. [4]καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ ἐναντίον τῆς ἐκ- 4
κλησίας. [5]καὶ ἔστησαν λόγον διελθεῖν κήρυγμα ἐν παντὶ Ἰσραὴλ ἀπὸ Βηρσαβεὲ 5
ἕως Δὰν ἐλθόντας ποιῆσαι τὸ φασὲκ κυρίῳ θεῷ Ἰσραὴλ εἰς Ἰερουσαλήμ,
ὅτι πλῆθος οὐκ ἐποίησε κατὰ τὴν γραφήν. [6]καὶ ἐπορεύθησαν οἱ τρέχοντες 6
σὺν ταῖς ἐπιστολαῖς παρὰ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων εἰς πάντα Ἰσραὴλ
καὶ Ἰούδαν κατὰ τὸ πρόςταγμα τοῦ βασιλέως λέγοντες Οἱ υἱοὶ Ἰσραήλ, ἐπι-
στρέψατε πρὸς κύριον θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, καὶ ἐπιστρέψατε
τοὺς ἀνασεσωσμένους τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως Ἀσσούρ. [7]καὶ 7
μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν καὶ οἱ ἀδελφοὶ ὑμῶν οἳ ἀπέστησαν ἀπὸ
κυρίου θεοῦ πατέρων αὐτῶν, καὶ παρέδωκεν αὐτοὺς εἰς ἐρήμωσιν καθὼς ὑμεῖς
ὁρᾶτε. [8]καὶ νῦν μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς οἱ πατέρες ὑμῶν· δότε 8
δόξαν κυρίῳ τῷ θεῷ, καὶ εἰςέλθετε εἰς τὸ ἁγίασμα αὐτοῦ ὃ ἡγίασεν εἰς τὸν
αἰῶνα, καὶ δουλεύσατε τῷ κυρίῳ θεῷ ὑμῶν, καὶ ἀποστρέψει ἀφ᾽ ὑμῶν θυ-
μὸν ὀργῆς. [9]ὅτι ἐν τῷ ἐπιστρέφειν ὑμᾶς πρὸς κύριον οἱ ἀδελφοὶ ὑμῶν καὶ 9
τὰ τέκνα ὑμῶν ἔσονται ἐν οἰκτιρμοῖς ἔναντι πάντων τῶν αἰχμαλωτισάντων
αὐτούς, καὶ ἀποστρέψει εἰς τὴν γῆν ταύτην· ὅτι ἐλεήμων καὶ οἰκτίρμων κύ-
ριος ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀφ᾽ ὑμῶν, ἐὰν
ἐπιστρέψωμεν πρὸς αὐτόν. [10]καὶ ἦσαν οἱ τρέχοντες διαπορευόμενοι πόλιν ἐκ 10
πόλεως ἐν τῷ ὄρει Ἐφραῒμ καὶ Μανασσῆ καὶ ἕως Ζαβουλών· καὶ ἐγένοντο
ὡς καταγελῶντες αὐτῶν καὶ καταμωκώμενοι. [11]ἀλλὰ ἄνθρωποι Ἀσὴρ καὶ 11
ἀπὸ Μανασσῆ καὶ ἀπὸ Ζαβουλὼν ἐνετράπησαν, καὶ ἦλθον εἰς Ἰερουσαλὴμ
καὶ εἰς Ἰούδα. [12]καὶ ἐγένετο χεὶρ κυρίου δοῦναι αὐτοῖς καρδίαν μίαν ἐλθεῖν 12
τοῦ ποιῆσαι κατὰ τὰ προστάγματα τοῦ βασιλέως καὶ τῶν ἀρχόντων ἐν λόγῳ
κυρίου. [13]καὶ συνήχθησαν εἰς Ἰερουσαλὴμ λαὸς πολὺς τοῦ ποιῆσαι τὴν ἑορ- 13
τὴν τῶν ἀζύμων ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐκκλησία πολλὴ σφόδρα. [14]καὶ 14
ἀνέστησαν καὶ καθεῖλαν τὰ θυσιαστήρια τὰ ἐν Ἰερουσαλήμ, καὶ πάντα ἐν
οἷς ἐθυμίων τοῖς ψευδέσι κατέσπασαν καὶ ἔρριψαν εἰς τὸν χειμάρρουν Κέ-
δρων. [15]καὶ ἔθυσαν τὸ φασὲκ τῇ τεσσαρεςκαιδεκάτῃ τοῦ μηνὸς τοῦ δευτέρου· 15
καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐνετράπησαν καὶ ἥγνισαν, καὶ εἰςήνεγκαν ὁλο-
καυτώματα ἐν οἴκῳ κυρίου. [16]καὶ ἔστησαν ἐπὶ τὴν στάσιν αὐτῶν κατὰ τὸ 16
κρίμα αὐτῶν κατὰ τὴν ἐντολὴν Μωυσῆ ἀνθρώπου τοῦ θεοῦ, καὶ οἱ ἱερεῖς
ἐδέχοντο τὰ αἵματα ἐκ χειρὸς τῶν Λευιτῶν. [17]ὅτι πλῆθος τῆς ἐκκλησίας οὐχ 17
ἡγνίσθη, καὶ οἱ Λευῖται ἦσαν τοῦ θύειν τὸ φασὲκ παντὶ τῷ μὴ δυναμένῳ
ἁγνισθῆναι τῷ κυρίῳ. [18]ὅτι πλεῖστον τοῦ λαοῦ ἀπὸ Ἐφραῒμ καὶ Μανασσῆ 18
καὶ Ἰσσάχαρ καὶ Ζαβουλὼν οὐχ ἥγνισαν, ἀλλ᾽ ἔφαγον τὸ φασὲκ παρὰ τὴν
γραφήν. τοῦτο καὶ προςηύξατο Ἐζεκίας περὶ αὐτῶν λέγων Κύριος ἀγαθὸς
ἐξιλάσθω [19]ὑπὲρ πάσης καρδίας κατευθυνούσης ἐκζητῆσαι κύριον τὸν θεὸν τῶν 19
πατέρων αὐτῶν, καὶ οὐ κατὰ τὴν ἁγνείαν τῶν ἁγίων. [20]καὶ ἐπήκουσε κύριος 20
τῷ Ἐζεκίᾳ, καὶ ἰάσατο τὸν λαόν. [21]καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρε- 21
θέντες ἐν Ἰερουσαλὴμ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ
μεγάλῃ καὶ καθυμνοῦντες τῷ κυρίῳ ἡμέραν καθ᾽ ἡμέραν, καὶ οἱ ἱερεῖς καὶ
οἱ Λευῖται ἐν ὀργάνοις τῷ κυρίῳ. [22]καὶ ἐλάλησεν Ἐζεκίας ἐπὶ πᾶσαν καρ- 22
δίαν τῶν Λευιτῶν καὶ τῶν συνιόντων σύνεσιν ἀγαθὴν τῷ κυρίῳ· καὶ συνε-

3. ουχ ηγνισθησαν 5. εν ιερουσαλημ 6. (τα προσταγμα ...) om Οι ... om κυριον ... ιακωβ pro ισραηλ ... και επιστρεψει τους 7. πατερων εαυτων 8. σκληρ. τους τραχηλους υμων· δοτε ... εισελθατε 9. παντων αιχμαλ. ... και επιστρεψει εις 10. οι τρεχοντες ησαν 11. και ιουδα 12. το προσταγμα 13. πολυς λαος 15. ηγνισθησαν ... εις οικον 16. στασιν εαυτων ... κριμα εαυτων 18. το πλειστον ... αλλα εφαγον ... om τουτο ... κυριος ο αγαθος 19. πατερων εαυτου ... αγνιαν

Digitized by Google

τέλεσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας θύοντες θυσίαν σωτηρίου καὶ
23 ἐξομολογούμενοι τῷ κυρίῳ θεῷ τῶν πατέρων αὐτῶν. [23] καὶ ἐβουλεύσατο ἡ
ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας ἄλλας· καὶ ἐποίησαν ἑπτὰ ἡμέρας ἐν
24 εὐφροσύνῃ. [24] ὅτι Ἐζεκίας ἀπήρξατο τῷ Ἰούδᾳ τῇ ἐκκλησίᾳ χιλίους μόσχους
καὶ ἑπτακισχίλια πρόβατα, καὶ οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χι-
25 λίους καὶ πρόβατα δέκα χιλιάδας, καὶ τὰ ἅγια τῶν ἱερέων εἰς πλῆθος. [25] καὶ
ηὐφράνθη πᾶσα ἡ ἐκκλησία οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ πᾶσα ἡ ἐκκλησία Ἰούδα,
καὶ οἱ εὑρεθέντες ἐξ Ἱερουσαλήμ, καὶ οἱ προσήλυτοι οἱ ἐλθόντες ἀπὸ γῆς
26 Ἰσραὴλ καὶ οἱ κατοικοῦντες Ἰούδα. [26] καὶ ἐγένετο εὐφροσύνη μεγάλη ἐν Ἱε-
ρουσαλήμ· ἀπὸ ἡμερῶν Σαλωμὼν υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ οὐκ ἐγένετο
27 τοιαύτη ἑορτὴ ἐν Ἱερουσαλήμ. [27] καὶ ἀνέστησαν οἱ ἱερεῖς οἱ Λευῖται καὶ εὐ-
λόγησαν τὸν λαόν, καὶ ἐπηκούσθη ἡ φωνὴ αὐτῶν, καὶ ἦλθεν ἡ προσευχὴ αὐ-
τῶν εἰς τὸ κατοικητήριον τὸ ἅγιον αὐτοῦ εἰς τὸν οὐρανόν.

## XXXI.

Καὶ ὡς συνετελέσθη πάντα ταῦτα, ἐξῆλθε πᾶς Ἰσραὴλ οἱ εὑρεθέντες ἐν
πόλεσιν Ἰούδα, καὶ συνέτριψαν τὰς στήλας καὶ ἔκοψαν τὰ ἄλση καὶ κατέσπα-
σαν τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Βενιαμὶν καὶ
ἐξ Ἐφραὶμ καὶ ἀπὸ Μανασσῆ ἕως εἰς τέλος· καὶ ἐπέστρεψαν πᾶς Ἰσραὴλ
2 ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις αὐτῶν. [2] καὶ ἔταξεν
Ἐζεκίας τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν, καὶ τὰς ἐφημερίας ἑκά-
στου κατὰ τὴν ἑαυτοῦ λειτουργίαν τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, εἰς τὴν
ὁλοκαύτωσιν καὶ εἰς τὴν θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν καὶ ἐξομολογεῖσθαι
3 καὶ λειτουργεῖν ἐν ταῖς πύλαις ἐν ταῖς αὐλαῖς οἴκου κυρίου. [3] καὶ μερὶς τοῦ
βασιλέως ἐκ τῶν ὑπαρχόντων αὐτοῦ εἰς τὰς ὁλοκαυτώσεις τὴν πρωινὴν καὶ
τὴν δειλινήν, καὶ ὁλοκαυτώσεις εἰς τὰ σάββατα καὶ εἰς τὰς νουμηνίας καὶ
4 εἰς τὰς ἑορτὰς τὰς γεγραμμένας ἐν τῷ νόμῳ κυρίου. [4] καὶ εἶπαν τῷ λαῷ τοῖς
κατοικοῦσιν ἐν Ἱερουσαλὴμ δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν Λευιτῶν,
5 ὅπως κατισχύσωσιν ἐν τῇ λειτουργίᾳ οἴκου κυρίου. [5] καὶ ὡς προσέταξε τὸν
λόγον, ἐπλεόνασεν Ἰσραὴλ ἀπαρχὴν σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ μέλιτος,
καὶ πᾶν γέννημα ἀγροῦ καὶ ἐπιδέκατα πάντα εἰς πλῆθος ἤνεγκαν οἱ υἱοὶ
6 Ἰσραὴλ καὶ Ἰούδα. [6] καὶ οἱ κατοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ αὐτοὶ
ἤνεγκαν ἐπιδέκατα μόσχων καὶ προβάτων καὶ ἐπιδέκατα αἰγῶν, καὶ ἡγίασαν
7 τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ εἰσήνεγκαν καὶ ἔθηκαν σωροὺς σωρούς. [7] ἐν τῷ μηνὶ
τῷ τρίτῳ ἤρξαντο οἱ σωροὶ θεμελιοῦσθαι, καὶ ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ συνε-
8 τελέσθησαν. [8] καὶ ἦλθεν Ἐζεκίας καὶ οἱ ἄρχοντες καὶ εἶδον τοὺς σωρούς, καὶ
9 ηὐλόγησαν τὸν κύριον καὶ τὸν λαὸν αὐτοῦ Ἰσραήλ. [9] καὶ ἐπυνθάνετο Ἐζεκίας
10 τῶν ἱερέων καὶ τῶν Λευιτῶν ὑπὲρ τῶν σωρῶν. [10] καὶ εἶπε πρὸς αὐτὸν Ἀζα-
ρίας ὁ ἱερεὺς ὁ ἄρχων εἰς οἶκον Σαδώκ, καὶ εἶπεν Ἐξ οὗ ἦρκται ἡ ἀπαρχὴ
φέρεσθαι εἰς οἶκον κυρίου, ἐφάγομεν καὶ ἐπίομεν καὶ κατελίπομεν ἕως εἰς
πλῆθος, ὅτι κύριος ηὐλόγησε τὸν λαὸν αὐτοῦ, καὶ κατελίπομεν ἔτι τὸ πλῆθος
11 τοῦτο. [11] καὶ εἶπεν Ἐζεκίας ἔτι ἑτοιμάσαι παστοφόρια εἰς οἶκον κυρίου· καὶ

---

22. θυσιας ... εξομολογουμενοι κυριω ... εαυτων 24. μοσχους χιλιους 25. ευρεθ. εξ ισραηλ ... κατοικ. εν ιουδα 26. απο των ημερων του σαλωμων 27. και οι λευιται ... ηυλογησαν XXXI. 1. εξεκοψαν ... πασης ιουδαιας κ. βενιαμειν ... επεστρεψεν ... κληρονομ. εαυτου ... εαυτων 2. om εν ταις πυλαις 3. *ab ολοκαυτωσεις ad ολοκαυτωσεις transilit, ** om και ante ολοκαυτωσεις ... εις σαββατα 4. ειπεν ... κατισχυσουσιν 5. επλεονασαν οι υιοι ισραηλ ... γενημα ... ηνεγκαν εις πληθος 6. θεω εαυτων 7. εν τω εβδομω μηνι 8. και ειδοντες 10. om και ειπεν post σαδωκ ... κατελειπομεν ... om εως εις πληθος ... λαον εαυτου, κ. κατελειπομεν ετι το

Digitized by Google

ἡτοίμασαν. [12] καὶ ἤνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ τὰ ἐπιδέκατα ἐν πίστει, καὶ 12
ἐπ' αὐτῶν ἐπιστάτης Χωνενίας ὁ Λευίτης, καὶ Σεμεῒ ὁ ἀδελφὸς αὐτοῦ δια-
δεχόμενος, [13] καὶ Ἰειὴλ καὶ Ὀζίας καὶ Ναὲϑ καὶ Ἀσαὴλ καὶ Ἰεριμὼϑ καὶ 13
Ἰωζαβὰδ καὶ Ἐλιὴλ καὶ ὁ Σαμαχία καὶ Μαὰϑ καὶ Βαναΐας καὶ οἱ υἱοὶ αὐ-
τοῦ καϑεσταμένοι διὰ Χωνενίου καὶ Σεμεῒ τοῦ ἀδελφοῦ αὐτοῦ, καϑὼς προσέ-
ταξεν Ἐζεκίας ὁ βασιλεὺς καὶ Ἀζαρίας ὁ ἡγούμενος οἴκου κυρίου. [14] καὶ Κορὴ 14
ὁ τοῦ Ἰεμνὰ ὁ Λευίτης ὁ πυλωρὸς κατὰ ἀνατολὰς ἐπὶ τῶν δομάτων δοῦναι
τὰς ἀπαρχὰς κυρίου καὶ τὰ ἅγια τῶν ἁγίων, [15] διὰ χειρὸς Ὀδὸμ καὶ Βενια- 15
μὶν καὶ Ἰησοῦς καὶ Σεμεῒ καὶ Ἀμαρίας καὶ Σεχονίας, διὰ χειρὸς τῶν ἱερέων
ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν κατὰ τὰς ἐφημερίας, κατὰ τὸν μέγαν
καὶ τὸν μικρόν, [16] ἐκτὸς τῆς ἐπιγονῆς τῶν ἀρσενικῶν ἀπὸ τριετοῦς καὶ ἐπάνω, 16
παντὶ τῷ εἰςπορευομένῳ εἰς οἶκον κυρίου, εἰς λόγον ἡμερῶν εἰς ἡμέραν, εἰς
λειτουργίαν ἐφημερίαις διατάξεως αὐτῶν. [17] οὗτος ὁ καταλοχισμὸς τῶν ἱερέων 17
κατ' οἴκους πατριῶν, καὶ οἱ Λευῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν ἀπὸ εἰκοσαε-
τοῦς καὶ ἐπάνω, ἐν διατάξει [18] ἐγκαταλοχίσαι ἐν πάσῃ ἐπιγονῇ υἱῶν αὐτῶν 18
καὶ ϑυγατέρων αὐτῶν εἰς πᾶν πλῆϑος, ὅτι ἐν πίστει ἥγνισαν τὸ ἅγιον. [19] τοῖς 19
υἱοῖς Ἀαρὼν τοῖς ἱερατεύουσι, καὶ οἱ ἀπὸ τῶν πόλεων αὐτῶν ἐν πάσῃ πόλει
καὶ πόλει ἄνδρες οἳ ὠνομάσϑησαν ἐν ὀνόματι, δοῦναι μερίδα παντὶ ἀρσενικῷ
ἐν τοῖς ἱερεῦσι καὶ παντὶ καταριϑμουμένῳ ἐν τοῖς Λευίταις. [20] καὶ ἐποίησεν 20
οὕτως Ἐζεκίας ἐν παντὶ Ἰούδᾳ, καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐϑὲς ἐναντίον
τοῦ κυρίου ϑεοῦ αὐτοῦ. [21] καὶ ἐν παντὶ ἔργῳ ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ 21
κυρίου, καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησε τὸν ϑεὸν αὐτοῦ
ἐξ ὅλης ψυχῆς αὐτοῦ, καὶ ἐποίησε καὶ εὐοδώϑη.

## XXXII.

Καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήϑειαν ταύτην ἦλϑε Σενναχη-
ρὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ἦλϑεν ἐπὶ Ἰούδαν καὶ παρενέβαλεν ἐπὶ τὰς πό-
λεις τὰς τειχήρεις, καὶ εἶπε προκαταλαβέσϑαι αὐτάς. [2] καὶ εἶδεν Ἐζεκίας ὅτι 2
ἥκει Σενναχηρὶμ καὶ τὸ πρόσωπον αὐτοῦ τοῦ πολεμῆσαι ἐπὶ Ἱερουσαλήμ.
[3] καὶ ἐβουλεύσατο μετὰ τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι 3
τὰ ὕδατα τῶν πηγῶν ἃ ἦν ἔξω τῆς πόλεως, καὶ συνεπίσχυσαν αὐτῷ. [4] καὶ 4
συνήγαγε λαὸν πολὺν καὶ ἐνέφραξε τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν ποταμὸν τὸν
διορίζοντα διὰ τῆς πόλεως, λέγων Μὴ ἔλϑῃ βασιλεὺς Ἀσσοὺρ καὶ εὕρῃ ὕδωρ
πολὺ καὶ κατισχύσῃ. [5] καὶ κατίσχυσεν Ἐζεκίας καὶ ᾠκοδόμησε πᾶν τὸ τεῖχος 5
τὸ κατεσκαμμένον καὶ πύργους καὶ ἔξω προτείχισμα ἄλλο, καὶ κατίσχυσε τὸ
ἀνάλημμα τῆς πόλεως Δαυίδ, καὶ κατεσκεύασεν ὅπλα πολλά. [6] καὶ ἔϑετο ἄρ- 6
χοντας τοῦ πολέμου ἐπὶ τὸν λαόν, καὶ συνήχϑησαν πρὸς αὐτὸν ἐπὶ τὴν πλα-
τεῖαν τῆς πύλης τῆς φάραγγος, καὶ ἐλάλησεν ἐπὶ καρδίαν αὐτῶν λέγων
[7] Ἰσχύσατε καὶ ἀνδρίζεσϑε, καὶ μὴ φοβηϑῆτε μηδὲ πτοηϑῆτε ἀπὸ προσώπου 7
βασιλέως Ἀσσοὺρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔϑνους τοῦ μετ' αὐτοῦ, ὅτι
μεϑ' ἡμῶν πλείονες ἢ μετ' αὐτοῦ. [8] μετὰ αὐτοῦ βραχίονες σάρκινοι, μεϑ' ἡμῶν 8
δὲ κύριος ὁ ϑεὸς ἡμῶν τοῦ σώζειν καὶ τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν· καὶ
κατεϑάρσησεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις Ἐζεκίου βασιλέως Ἰούδα. [9] καὶ μετὰ 9

---

12. εισηνεγκαν ... χωχενιας ... (σεμει, sed postea σεμεῖ) 13. οζαζας ... ιωζαβαϑ κ. ιεϊηλ και σαμαχια ... χωχενιου ... ο βασιλ. εζεκιας 14. κωρη ... κατ ανατολας 15. βενιαμειν κ. ιησου ... και μαριας ... και κατα τον μικρον 18. εν καταλοχιαις εν ... παν το πληϑος ... ηγιασαν τον αγιον 20. εναντιον κυριου 27. εργω εν ω ... ϑεον εαυτου ... ολης της ψυχ. αυτ. εποιησεν XXXII. 1. σενναχηρειμ 2. σενναχηρειμ κατα προσωπον 3. πρεσβυτ. εαυτου και δυνατων 4. ο βασιλευς 5. κατεσπασμενον ... om της 6. εις την πλατειαν ... επι την καρδιαν 7. om και μη φοβηϑητε ... μη pro μηδε ... παντος εϑνους 8. om μετα αυτου

Digitized by Google

ταῦτα ἀπέστειλε Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας ἑαυτοῦ ἐπὶ Ἱερου-
σαλήμ, καὶ αὐτὸς ἐπὶ Λαχὶς καὶ πᾶσα ἡ στρατιὰ μετ' αὐτοῦ, καὶ ἀπέστειλε
πρὸς Ἐζεκίαν βασιλέα Ἰούδα καὶ πρὸς πάντα Ἰούδα τὸν ἐν Ἱερουσαλὴμ λέ-
10 γων 10 Οὕτως λέγει Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων Ἐπὶ τί ὑμεῖς πεποίθατε
11 καὶ καθήσεσθε ἐν τῇ περιοχῇ ἐν Ἱερουσαλήμ; 11 οὐχὶ Ἐζεκίας ἀπατᾷ ὑμᾶς
τοῦ παραδοῦναι ὑμᾶς εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς δίψαν, λέγων Κύριος
12 ὁ θεὸς ἡμῶν σώσει ἡμᾶς ἐκ χειρὸς βασιλέως Ἀσσούρ; 12 οὐχ οὗτός ἐστιν
Ἐζεκίας ὃς περιεῖλε τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰ ὑψηλὰ αὐτοῦ, καὶ εἶπε
τῷ Ἰούδᾳ καὶ τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλὴμ λέγων Κατέναντι τοῦ θυσια-
13 στηρίου τούτου προσκυνήσετε καὶ ἐπ' αὐτῷ θυμιάσατε; 13 οὐ γνώσεσθε ὅ τι
ἐποίησα ἐγὼ καὶ οἱ πατέρες μου πᾶσι τοῖς λαοῖς τῶν χωρῶν; μὴ δυνάμενοι
ἠδύναντο θεοὶ τῶν ἐθνῶν πάσης τῆς γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου;
14 14 τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν ἐθνῶν τούτων οὓς ἐξωλόθρευσαν οἱ πατέρες μου;
μὴ ἐδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου, ὅτι δυνήσεται ὁ θεὸς ὑμῶν
15 σῶσαι ὑμᾶς ἐκ χειρός μου; 15 νῦν οὖν μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας, καὶ μὴ
πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα, καὶ μὴ πιστεύετε αὐτῷ, ὅτι οὐ μὴ δύ-
νηται ὁ θεὸς παντὸς ἔθνους καὶ βασιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χει-
ρός μου καὶ ἐκ χειρὸς πατέρων μου, ὅτι ὁ θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ
16 χειρός μου. 16 καὶ ἔτι ἐλάλησαν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸν κύριον θεὸν καὶ ἐπὶ
17 Ἐζεκίαν παῖδα αὐτοῦ. 17 καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν κύριον θεὸν
Ἰσραήλ, καὶ εἶπε περὶ αὐτοῦ λέγων Ὡς οἱ θεοὶ τῶν ἐθνῶν τῆς γῆς οὐκ ἐξεί-
λαντο λαοὺς αὐτῶν ἐκ χειρός μου, οὕτως οὐ μὴ ἐξέληται ὁ θεὸς Ἐζεκίου
18 λαὸν αὐτοῦ ἐκ χειρός μου. 18 καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστὶ ἐπὶ τὸν
λαὸν Ἱερουσαλὴμ τὸν ἐπὶ τοῦ τείχους τοῦ βοηθῆσαι αὐτοῖς καὶ κατασπάσαι,
19 ὅπως προκαταλάβωνται τὴν πόλιν. 19 καὶ ἐλάλησεν ἐπὶ θεὸν Ἱερουσαλὴμ ὡς
20 καὶ ἐπὶ θεοὺς λαῶν τῆς γῆς ἔργα χειρῶν ἀνθρώπων. 20 καὶ προσηύξατο Ἐζε-
κίας ὁ βασιλεὺς καὶ Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης περὶ τούτων, καὶ ἐβόη-
21 σαν εἰς τὸν οὐρανόν. 21 καὶ ἀπέστειλε κύριος ἄγγελον καὶ ἐξέτριψε πάντα
δυνατὸν καὶ πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ βασι-
λέως Ἀσσούρ· καὶ ἀπέστρεψε μετὰ αἰσχύνης προσώπου εἰς τὴν γῆν ἑαυτοῦ.
καὶ ἦλθεν εἰς οἶκον θεοῦ αὐτοῦ, καὶ τῶν ἐξελθόντων ἐκ κοιλίας αὐτοῦ κατ-
22 έβαλον αὐτὸν ἐν ῥομφαίᾳ. 22 καὶ ἔσωσε κύριος τὸν Ἐζεκίαν καὶ τοὺς κατοι-
κοῦντας ἐν Ἱερουσαλὴμ ἐκ χειρὸς Σενναχηρὶμ βασιλέως Ἀσσοὺρ καὶ ἐκ χειρὸς
23 πάντων, καὶ κατέπαυσεν αὐτοὺς κυκλόθεν. 23 καὶ πολλοὶ ἔφερον δώρατα τῷ
κυρίῳ εἰς Ἱερουσαλὴμ καὶ δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα, καὶ ὑπερήρθη
24 κατ' ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν μετὰ ταῦτα. 24 ἐν ταῖς ἡμέραις ἐκείναις
ἠῤῥώστησεν Ἐζεκίας ἕως θανάτου, καὶ προσηύξατο πρὸς κύριον, καὶ ἐπήκου-
25 σεν αὐτῷ, καὶ σημεῖον ἔδωκεν αὐτῷ. 25 καὶ οὐ κατὰ τὸ ἀνταπόδομα ὃ ἔδω-
κεν αὐτῷ ἀνταπέδωκεν Ἐζεκίας, ἀλλὰ ὑψώθη ἡ καρδία αὐτοῦ· καὶ ἐγένετο
26 ἐπ' αὐτὸν ὀργὴ καὶ ἐπὶ Ἰούδαν καὶ Ἱερουσαλήμ. 26 καὶ ἐταπεινώθη Ἐζεκίας
ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ αὐτὸς καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ,

---

9. σενναχηρειμ ... λαχεις ... παντα ιουδαν 10. σενναχηρειμ ο βασιλευς ... επι τινι ... πεποιθατε καθησθαι 11. και λιμον και εις θλιψιν ... υμων σωσει υμας 12. κατοικουσιν ιερουσαλημ ... επ αυτου θυμιασετε 13. τι εγω εποιησα ... εδυναντο 14. εξωλεθρευσαν ... λαον εαυτων 15. om ουν ... λαον εαυτου ... οτι θεος 16. επι κυριον θεον 17. om οι ... τους λαους εαυτων ... λαον εαυτου 18. επι ιερουσαλημ και τον λαον τον 19. επι τον θεον 21. δυνατον πολεμιστην ... απεστρ. το προσωπον μετα αισχ. εις ... εισηλθεν ... του θεου εαυτου 22. κυριος εζεκιαν ... om εν ... σενναχηρειμ βασ. ασσυριων 23. δωρα ... υπηρθη 23. 24. εθνων. Και μετα ταυτα (ita dist.) 24. *om εκειναις (videtur) ... επηκουσ. αυτου 25. αλλ υψωθη 26. καρδιας εαυτου και οι

Digitized by Google

καὶ οὐκ ἐπῆλθεν ἐπ' αὐτοὺς ὀργὴ κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου. 27 καὶ 27
ἐγένετο τῷ Ἐζεκίᾳ πλοῦτος καὶ δόξα πολλὴ σφόδρα· καὶ θησαυροὺς ἐποίη-
σεν αὐτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ τιμίου, καὶ εἰς τὰ ἀρώ-
ματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη ἐπιθυμητά, 28 καὶ πόλεις εἰς τὰ γεννή- 28
ματα τοῦ σίτου καὶ οἴνου καὶ ἐλαίου, καὶ κώμας καὶ φάτνας παντὸς κτήνους
καὶ μάνδρας εἰς τὰ ποίμνια, 29 καὶ πόλεις ἃς ᾠκοδόμησεν αὐτῷ καὶ ἀπο- 29
σκευὴν προβάτων καὶ βοῶν εἰς πλῆθος, ὅτι ἔδωκεν αὐτῷ κύριος ἀποσκευὴν
πολλὴν σφόδρα. 30 αὐτὸς Ἐζεκίας ἐνέφραξε τὴν ἔξοδον τοῦ ὕδατος γειὼν τὸ 30
ἄνω, καὶ κατηύθυνεν αὐτὰ κάτω πρὸς λίβα τῆς πόλεως Δαυίδ· καὶ εὐοδώθη
Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. 31 καὶ οὕτως τοῖς πρεσβευταῖς τῶν ἀρ- 31
χόντων ἀπὸ Βαβυλῶνος τοῖς ἀποσταλεῖσι πρὸς αὐτὸν πυθέσθαι παρ' αὐτοῦ τὸ
τέρας ὃ ἐγένετο ἐπὶ τῆς γῆς, ἐγκατέλιπεν αὐτὸν κύριος τοῦ πειράσαι αὐτόν,
εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ. 32 καὶ τὰ λοιπὰ τῶν λόγων Ἐζεκίου καὶ τὸ 32
ἔλεος αὐτοῦ ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ Ἡσαΐου υἱοῦ Ἀμὼς τοῦ προφή-
του καὶ ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. 33 καὶ ἐκοιμήθη Ἐζεκίας 33
μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων υἱῶν Δαυίδ·
καὶ δόξαν καὶ τιμὴν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰούδα καὶ οἱ
κατοικοῦντες ἐν Ἱερουσαλήμ· καὶ ἐβασίλευσε Μανασσῆς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

## XXXIII.

Ὢν δεκαδύο ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ πεντηκοντα-
πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. 2 καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυ- 2
ρίου ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν οὓς ἐξωλόθρευσε κύριος ἀπὸ
προςώπου τῶν υἱῶν Ἰσραήλ. 3 καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ ἃ 3
κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησε στήλας τοῖς Βααλὶμ καὶ
ἐποίησεν ἄλση, καὶ προςεκύνησε πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἐδούλευ-
σεν αὐτοῖς. 4 καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν οἴκῳ κυρίου οὗ εἶπε κύριος Ἐν 4
Ἱερουσαλὴμ ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα. 5 καὶ ᾠκοδόμησε θυσιαστήρια 5
πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. 6 καὶ αὐτὸς 6
διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν γὲ Βενεννόμ· καὶ ἐκληδονίζετο καὶ οἰω-
νίζετο καὶ ἐφαρμακεύετο, καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ ἐπαοιδούς, καὶ
ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον κυρίου τοῦ παροργίσαι αὐτόν. 7 καὶ 7
ἔθηκε τὸ γλυπτὸν τὸ χωνευτόν, εἰκόνα ἣν ἐποίησεν ἐν οἴκῳ θεοῦ οὗ εἶπε
θεὸς πρὸς Δαυὶδ καὶ πρὸς Σαλωμὼν υἱὸν αὐτοῦ Ἐν τῷ οἴκῳ τούτῳ καὶ Ἱε-
ρουσαλήμ, ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν Ἰσραήλ, θήσω τὸ ὄνομά μου εἰς
τὸν αἰῶνα. 8 καὶ οὐ προςθήσω σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς 8
ἔδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν φυλάσσωνται τοῦ ποιῆσαι πάντα ἃ
ἐνετειλάμην αὐτοῖς κατὰ πάντα τὸν νόμον καὶ τὰ προστάγματα καὶ τὰ κρί-
ματα ἐν χειρὶ Μωυσῆ. 9 καὶ ἐπλάνησε Μανασσῆς τὸν Ἰούδαν καὶ τοὺς κατοι- 9
κοῦντας ἐν Ἱερουσαλὴμ τοῦ ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη ἃ ἐξῆρε
κύριος ἀπὸ προςώπου υἱῶν Ἰσραήλ. 10 καὶ ἐλάλησε κύριος ἐπὶ Μανασσῆ καὶ 10
ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσαν. 11 καὶ ἤγαγε κύριος ἐπ' αὐτοὺς τοὺς 11
ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ κατέλαβον τὸν Μανασσῆ

---

27. εποιησ. εαυτω 28. γενηματα σιτου κ. ελαιου κ. οινου ... om και ante φατνας 29. ωκοδομ. εαυτω 30. γιων ... εργοις εαυτου 31. και εγκατελειπεν 32. προφητια 33. πατερ. εαυτου ... * μανασση XXXIII. 1. δεκα και δυο ... om μανασσης ... πεντηκοντα ετη 2. ενωπιον κυριου ... εξωλεθρευσεν 3. ταις βααλειμ 6. διηγεν ... εν γη βεεννομ ... ενγαστριμυθους ... επαοιδους εποιησεν του ποιησαι 7. και το χωνευτον ... οικω κυριου ου ειπεν ο θεος ... σωθητω pro θησω 8. νομον τα ... post κριματα add και δικαιωματα 9. om κυριος ... των υιων 10. ηκουσαν 11. επ αυτον .. της δυναστειας βασιλεως ... κατελαβοντο μανασση

Digitized by Google

12 ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον εἰς Βαβυλῶνα. 12 καὶ ὡς
ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον θεοῦ τοῦ κυρίου αὐτοῦ, καὶ ἐταπεινώθη σφό-
13 δρα ἀπὸ προσώπου θεοῦ πατέρων αὐτοῦ. 13 καὶ προσηύξατο πρὸς αὐτόν, καὶ
ἐπήκουσεν αὐτοῦ καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς
Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ ἔγνω Μανασσῆς ὅτι κύριος αὐτός
14 ἐστι θεός. 14 καὶ μετὰ ταῦτα ᾠκοδόμησε τεῖχος ἔξω τῆς πόλεως Δαυὶδ ἀπὸ
λιβὸς κατὰ νότον ἐν τῷ χειμάῤῥῳ καὶ κατὰ τὴν εἴσοδον τὴν διὰ τῆς πύλης
τῆς ἰχθυϊκῆς ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς Ὄπελ, καὶ ὕψωσε
σφόδρα, καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις ταῖς πόλεσι ταῖς
15 τειχήρεσιν ἐν Ἰούδᾳ. 15 καὶ περιεῖλε τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυ-
πτὸν ἐξ οἴκου κυρίου καὶ πάντα τὰ θυσιαστήρια ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου
16 κυρίου καὶ ἐν Ἱερουσαλὴμ καὶ ἔξωθεν τῆς πόλεως. 16 καὶ κατώρθωσε τὸ θυ-
σιαστήριον κυρίου, καὶ ἐθυσίασεν ἐπ' αὐτὸ θυσίαν σωτηρίου καὶ αἰνέσεως,
17 καὶ εἶπε τῷ Ἰούδᾳ τοῦ δουλεύειν κυρίῳ θεῷ Ἰσραήλ. 17 πλὴν ἔτι ὁ λαὸς ἐπὶ
18 τῶν ὑψηλῶν ἐθυσίαζε, πλὴν κυρίῳ θεῷ αὐτῶν. 18 καὶ τὰ λοιπὰ τῶν λόγων
Μανασσῆ καὶ ἡ προσευχὴ αὐτοῦ ἡ πρὸς τὸν θεὸν καὶ λόγοι τῶν ὁρώντων τῶν
19 λαλούντων πρὸς αὐτὸν ἐπ' ὀνόματι θεοῦ Ἰσραήλ, 19 ἰδοὺ ἐπὶ λόγων προσευχῆς
αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ καὶ ἀποστάσεις
αὐτοῦ, καὶ οἱ τόποι ἐφ' οἷς ᾠκοδόμησεν ἐν αὐτοῖς τὰ ὑψηλὰ καὶ ἔστησεν
ἐκεῖ ἄλση καὶ γλυπτὰ πρὸ τοῦ ἐπιστρέψαι, ἰδοὺ γέγραπται ἐπὶ τῶν λόγων
20 τῶν ὁρώντων. 20 καὶ ἐκοιμήθη Μανασσῆς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθα-
ψαν αὐτὸν ἐν παραδείσῳ οἴκου αὐτοῦ· καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀμὼν υἱὸς
21 αὐτοῦ. 21 ὢν ἐτῶν εἴκοσι καὶ δύο Ἀμὼν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δύο ἔτη
22 ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. 22 καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου ὡς
ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ· καὶ πᾶσι τοῖς εἰδώλοις οἷς ἐποίησε Μα-
23 νασσῆς ὁ πατὴρ αὐτοῦ, ἔθυεν Ἀμὼν καὶ ἐδούλευσεν αὐτοῖς. 23 καὶ οὐκ ἐτα-
πεινώθη ἐναντίον κυρίου ὡς ἐταπεινώθη Μανασσῆς ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς
24 αὐτοῦ Ἀμὼν ἐπλήθυνε πλημμέλειαν. 24 καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ,
25 καὶ ἐπάταξαν αὐτὸν ἐν οἴκῳ αὐτοῦ. 25 καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς τοὺς ἐπι-
θεμένους ἐπὶ τὸν βασιλέα Ἀμών· καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωσίαν
υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ.

## XXXIV.

Ὢν ὀκτὼ ἐτῶν Ἰωσίας ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ τριάκοντα καὶ ἓν
2 ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. 2 καὶ ἐποίησε τὸ εὐθὲς ἐναντίον κυρίου, καὶ
ἐπορεύθη ἐν ὁδοῖς Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέκλινε δεξιὰ καὶ ἀρι-
3 στερά. 3 καὶ ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ αὐτὸς ἔτι παιδάριον,
ἤρξατο τοῦ ζητῆσαι κύριον τὸν θεὸν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐν τῷ δωδε-
κάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν Ἰούδαν καὶ τὴν
Ἱερουσαλὴμ ἀπὸ τῶν ὑψηλῶν καὶ τῶν ἄλσεων, καὶ ἀπὸ τῶν περιβωμίων καὶ
4 ἀπὸ τῶν χωνευτῶν· 4 καὶ κατέσπασε τὰ κατὰ πρόσωπον αὐτοῦ θυσιαστήρια

---

12. κυριου του θεου αυτου ... προσωπ. του θεου πατ. εαυτου ... om και επεστρεψεν usque βασιλειαν αυτου ... μανασση ... εστιν ο θεος 14. ιχθυϊκης, και περιεκυκλωσεν το αδυτον και πορευομενων ... και εις αυτο οφλα 15. και ιερουσαλημ ... εξω 17. ο λαος ετι ... om εθυσιαζε ..: πλην κυριος ο θεος αυτων 18. και οι λογοι τ. ορωντων λαλουντων ... κυριου θεου 19. και ως επηκουσεν ... και αι αποστασιαι ... om εν αυτοις ... επι λογων 20. αμως 21. αμως 22. οις εποιησ. ο πατ. αυτ. μανασσης ... αμως κ. εδουλευεν 23. αμως 25. επιτιθεμενους ... αμως XXXIV. 1. βασιλευειν ... τριακοντα εν ετος ... πατρος εαυτου ... δεξια η αριστ. 3. τω δεκατω ... om και απο των περιβωμιων 4. κ. κατεστρεψαν κατα πρ. α. τα θυσ.

Digitized by Google

τῶν Βααλὶμ καὶ τὰ ὑψηλὰ τὰ ἐπ' αὐτῶν, καὶ ἔκοψε τὰ ἄλση καὶ τὰ γλυπτά,
καὶ τὰ χωνευτὰ συνέτριψε καὶ ἐλέπτυνε καὶ ἔῤῥιψεν ἐπὶ πρόσωπον τῶν μνη-
μάτων τῶν θυσιαζόντων αὐτοῖς· [5] καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὰ θυσια- 5
στήρια, καὶ ἐκαθάρισε τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλήμ, [6] καὶ ἐν πόλεσι Μα- 6
νασσῆ καὶ Ἐφραῒμ καὶ Συμεὼν καὶ Νεφθαλὶ καὶ τοῖς τόποις αὐτῶν κύκλῳ.
[7] καὶ κατέσπασε τὰ θυσιαστήρια καὶ τὰ ἄλση, καὶ εἴδωλα κατέκοψε λεπτά, 7
καὶ πάντα τὰ ὑψηλὰ ἔκοψεν ἀπὸ πάσης τῆς γῆς Ἰσραήλ, καὶ ἀπέστρεψεν
εἰς Ἱερουσαλήμ. [8] καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ τῆς βασιλείας αὐτοῦ τοῦ 8
καθαρίσαι τὴν γῆν καὶ τὸν οἶκον ἀπέστειλε τὸν Σαφὰν υἱὸν Ἐσελία καὶ τὸν
Μαασὰ ἄρχοντα τῆς πόλεως καὶ τὸν Ἰουὰχ υἱὸν Ἰωάχαζ τὸν ὑπομνηματο-
γράφον αὐτοῦ κραταιῶσαι τὸν οἶκον κυρίου τοῦ θεοῦ αὐτοῦ. [9] καὶ ἦλθον πρὸς 9
Χελκίαν τὸν ἱερέα τὸν μέγαν, καὶ ἔδωκαν τὸ ἀργύριον τὸ εἰςενεχθὲν εἰς οἶκον
θεοῦ, ὃ συνήγαγον οἱ Λευῖται φυλάσσοντες τὴν πύλην ἐκ χειρὸς Μανασσῆ καὶ
Ἐφραῒμ καὶ τῶν ἀρχόντων καὶ ἀπὸ παντὸς καταλοίπου ἐν Ἰσραὴλ καὶ υἱῶν
Ἰούδα καὶ Βενιαμὶν καὶ οἰκούντων ἐν Ἱερουσαλήμ. [10] καὶ ἔδωκαν αὐτὸ ἐπὶ 10
χεῖρα ποιούντων τὰ ἔργα οἱ καθεσταμένοι ἐν οἴκῳ κυρίου, καὶ ἔδωκαν αὐτὸ
ποιοῦσι τὰ ἔργα οἳ ἐποίουν ἐν οἴκῳ κυρίου ἐπισκευάσαι καὶ κατισχῦσαι τὸν
οἶκον· [11] καὶ ἔδωκαν τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις ἀγοράσαι λίθους τετρα- 11
πέδους καὶ ξύλα εἰς δοκοὺς στεγάσαι τοὺς οἴκους οὓς ἐξωλόθρευσαν βασιλεῖς
Ἰούδα. [12] καὶ οἱ ἄνδρες ἐν πίστει ἐπὶ τῶν ἔργων, καὶ ἐπ' αὐτῶν ἐπίσκοποι 12
Ἰὲθ καὶ Ἀβδίας οἱ Λευῖται ἐξ υἱῶν Μεραρί, καὶ Ζαχαρίας καὶ Μοσολλὰμ ἐκ
τῶν υἱῶν Καὰθ ἐπισκοπεῖν, καὶ πᾶς Λευίτης καὶ πᾶς συνιῶν ἐν ὀργάνοις
ᾠδῶν. [13] καὶ ἐπὶ τῶν νωτοφόρων καὶ ἐπὶ πάντων τῶν ποιούντων τὰ ἔργα, 13
ἐργασίᾳ καὶ ἐργασίᾳ, καὶ ἀπὸ τῶν Λευιτῶν γραμματεῖς καὶ κριταὶ καὶ πυ-
λωροί. [14] καὶ ἐν τῷ ἐκφέρειν αὐτοὺς τὸ ἀργύριον τὸ εἰςοδιασθὲν εἰς οἶκον 14
κυρίου εὗρε Χελκίας ὁ ἱερεὺς βιβλίον νόμου κυρίου διὰ χειρὸς Μωυσῆ. [15] καὶ 15
ἀπεκρίθη Χελκίας καὶ εἶπε πρὸς Σαφὰν τὸν γραμματέα Βιβλίον νόμου εὗρον
ἐν οἴκῳ κυρίου· καὶ ἔδωκε Χελκίας τὸ βιβλίον τῷ Σαφάν. [16] καὶ εἰςήνεγκε 16
Σαφὰν τὸ βιβλίον πρὸς τὸν βασιλέα, καὶ ἀπέδωκεν ἔτι τῷ βασιλεῖ λόγον Πᾶν
τὸ δοθὲν ἀργύριον ἐν χειρὶ τῶν παίδων σου τῶν ποιούντων. [17] καὶ ἐχώνευσαν 17
τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου, καὶ ἔδωκαν ἐπὶ χεῖρα τῶν ἐπισκό-
πων καὶ ἐπὶ χεῖρα τῶν ποιούντων τὴν ἐργασίαν. [18] καὶ ἀπήγγειλε Σαφὰν ὁ 18
γραμματεὺς τῷ βασιλεῖ λόγον λέγων Βιβλίον δέδωκέ μοι Χελκίας ὁ ἱερεύς·
καὶ ἀνέγνω αὐτὸ Σαφὰν ἐναντίον τοῦ βασιλέως. [19] καὶ ἐγένετο ὡς ἤκουσεν ὁ 19
βασιλεὺς τοὺς λόγους τοῦ νόμου, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. [20] καὶ ἐνετεί- 20
λατο ὁ βασιλεὺς τῷ Χελκίᾳ καὶ τῷ Ἀχικὰμ υἱῷ Σαφὰν καὶ τῷ Ἀβδὸμ υἱῷ
Μιχαία καὶ τῷ Σαφὰν τῷ γραμματεῖ καὶ τῷ Ἀσαΐᾳ παιδὶ τοῦ βασιλέως
λέγων [21] Πορεύθητε ζητήσατε τὸν κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ κατα- 21
λειφθέντος ἐν Ἰσραὴλ καὶ Ἰούδᾳ περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος,

---

4. τ. βααλειμ κ. τα υψ. επ 5. εκαθερισεν 6. εφραιμ κ. μανασση ... νεφθαλειμ 7. τα αλση και τα θυσιαστηρια, και τα ειδωλα ... υψηλα κατεκοψεν απο της 8. τω οκτωκαιδεκατω ετει τ. βασ. α. οτε συνετελεσεν του ... οικον της βασιλειας ... υιον σελια ... μαασιαν αρχ. τ. δυναμεως κ. τ. ιωας ... υπομνημ. εαυτου ... θεου εαυτου 9. ιερεαν ... εδωκεν ... οικον κυριου ... καταλοιπ. εν ιερουσαλημ ... ιουδα και ισραηλ και βενιαμειν 10. καθισταμενοι ... επισκευασαι κατισχυσαι 11. και αγορασαι ... τετραποδους ... εξωλεθρευσαν 12. om εν ... om και πας ante συνιων 14. αυτους αργυριον 15. τον γραμματαιαν ... τω ασαφ pro τω σαφαν 16. επι pro ετι ... in f. add το εργον 17. ποιουντων εργασιαν 18. om λογον ... Βιβλιον νομου εδωκεν 19. om και secundum 20. αβδων 21. περιλειφθεντος ... και εν ιουδα

Digitized by Google

ὅτι μέγας ὁ θυμὸς κυρίου ἐκκέκαυται ἐν ἡμῖν, διότι οὐκ εἰσήκουσαν οἱ πατέ-
ρες ἡμῶν τῶν λόγων κυρίου τοῦ ποιῆσαι κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ
22 βιβλίῳ τούτῳ. [22] καὶ ἐπορεύθη Χελκίας καὶ οἷς εἶπεν ὁ βασιλεὺς πρὸς Ὄλδαν
τὴν προφῆτιν γυναῖκα Σελλὴμ υἱοῦ Θεκωὲ υἱοῦ Ἀρὰς φυλάσσουσαν τὰς ἐν-
τολάς, καὶ αὕτη κατῴκει ἐν Ἱερουσαλὴμ ἐν μασαναί, καὶ ἐλάλησαν αὐτῇ κατὰ
23 ταῦτα. [23] καὶ εἶπεν αὐτοῖς Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ Εἴπατε τῷ ἀνδρὶ
24 τῷ ἀποστείλαντι ὑμᾶς πρὸς μέ [24] Οὕτω λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ
τὸν τόπον τοῦτον κακά, τοὺς πάντας λόγους τοὺς γεγραμμένους ἐν τῷ βιβλίῳ
25 τῷ ἀνεγνωσμένῳ ἐναντίον τοῦ βασιλέως Ἰούδα, [25] ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ
ἐθυμίασαν θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με ἐν πᾶσι τοῖς ἔργοις τῶν χει-
ρῶν αὐτῶν· καὶ ἐξεκαύθη ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ σβεσθή-
26 σεται. [26] καὶ ἐπὶ βασιλέα Ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς τοῦ ζητῆσαι τὸν
κύριον, οὕτως ἐρεῖτε αὐτῷ Οὕτω λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Τοὺς λόγους
27 οὓς ἤκουσας, [27] καὶ ἐνετράπη ἡ καρδία σου, καὶ ἐταπεινώθης ἀπὸ προσώπου
μου ἐν τῷ ἀκοῦσαί σε τοὺς λόγους μου ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς
κατοικοῦντας αὐτόν, καὶ ἐταπεινώθης ἐναντίον μου, καὶ διέῤῥηξας τὰ ἱμάτιά
28 σου καὶ ἔκλαυσας κατεναντίον μου, καὶ ἐγὼ ἤκουσα, φησὶ κύριος. [28] ἰδοὺ
προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ προστεθήσῃ πρὸς τὰ μνήματά σου
ἐν εἰρήνῃ, καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου ἐν πᾶσι τοῖς κακοῖς οἷς ἐγὼ
ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. καὶ ἀπέδωκαν
29 τῷ βασιλεῖ λόγον. [29] καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ συνήγαγε τοὺς πρεσβυτέ-
30 ρους Ἰούδα καὶ Ἱερουσαλήμ. [30] καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ
πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ
πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας λό-
31 γους βιβλίου τῆς διαθήκης τοὺς εὑρεθέντας ἐν οἴκῳ κυρίου. [31] καὶ ἔστη ὁ βασι-
λεὺς ἐπὶ τὸν στῦλον, καὶ διέθετο διαθήκην ἐναντίον κυρίου τοῦ πορευθῆναι
ἐνώπιον κυρίου, τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ μαρτύρια καὶ προσ-
τάγματα αὐτοῦ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ, ὥστε ποιεῖν τοὺς λόγους τῆς
32 διαθήκης τοὺς γεγραμμένους ἐπὶ τῷ βιβλίῳ τούτῳ. [32] καὶ ἔστησε πάντας τοὺς
εὑρεθέντας ἐν Ἱερουσαλὴμ καὶ Βενιαμίν, καὶ ἐποίησαν οἱ κατοικοῦντες Ἱερου-
33 σαλὴμ διαθήκην ἐν οἴκῳ κυρίου θεοῦ πατέρων αὐτῶν. [33] καὶ περιεῖλεν Ἰωσίας
τὰ πάντα βδελύγματα ἐκ πάσης τῆς γῆς ἣ ἦν υἱῶν Ἰσραήλ, καὶ ἐποίησε
πάντας τοὺς εὑρεθέντας ἐν Ἱερουσαλὴμ καὶ ἐν Ἰσραὴλ τοῦ δουλεύειν κυρίῳ
θεῷ αὐτῶν πάσας τὰς ἡμέρας αὐτοῦ· οὐκ ἐξέκλινεν ἀπὸ ὄπισθε κυρίου θεοῦ
πατέρων αὐτοῦ.

## XXXV.

Καὶ ἐποίησεν Ἰωσίας τὸ φασὲκ τῷ κυρίῳ θεῷ αὐτοῦ, καὶ ἔθυσε τὸ φα-
2 σὲκ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου. [2] καὶ ἔστησε τοὺς
ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν, καὶ κατίσχυσεν αὐτοὺς εἰς τὰ ἔργα οἴκου
3 κυρίου. [3] καὶ εἶπε τοῖς Λευίταις τοῖς δυνατοῖς ἐν παντὶ Ἰσραὴλ τοῦ ἁγιασθῆ-
ναι αὐτοὺς τῷ κυρίῳ· καὶ ἔθηκαν τὴν κιβωτὸν τὴν ἁγίαν εἰς τὸν οἶκον ὃν

---

22. χελκειας οις ... υιου θακουαθ υιου εσσερη ... μεσαναϊ 24. ουτως ... κακα επι τ. τοπ. τουτ. 25. εγκατελειπον ... εθυσαν θεοις ετεροις ... χειρων εαυτων 26. Ουτως 27. εταπ. εναντιον εμου ... κατεναντ. εμου 28. ουχ οψονται 30. ο βασιλ. ιουδα ... απο μεγαλου εως μικρου ... βιβλιου διαθηκης του ευρεθεντος 31. ανεστη ... φυλασσειν εντολας ... μαρτυρ. αυτου και τα ... om ωςτε ποιειν ... εγγεγραμμενους 32. βενιαμειν ... κατοικ. εις ιερουσαλημ ... πατερ. εαυτων 33. ιωσιας παντα τα ... πασης γης ... θεω εαυτων ... ημερ. εαυτου ... οπισθεν ... * πατερ. εαυτων, ** πατ. εαυτου XXXV. 1. θεω εαυτου ... ** (etiam*?) εθυσαν ... om ημερα 2. εαυτων

Digitized by Google

ᾠκοδόμησε Σαλωμὼν υἱὸς Δαυὶδ τοῦ βασιλέως Ἰσραήλ. καὶ εἶπεν ὁ βασιλεύς
Οὐκ ἔστιν ὑμῖν ἐπ᾿ ὤμων ἆραι οὐδέν· νῦν οὖν λειτουργήσατε τῷ κυρίῳ θεῷ
ὑμῶν καὶ τῷ λαῷ αὐτοῦ Ἰσραήλ· 4 καὶ ἑτοιμάσθητε κατ᾿ οἴκους πατριῶν 4
ὑμῶν καὶ κατὰ τὰς ἐφημερίας ὑμῶν, κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως
Ἰσραὴλ καὶ διὰ χειρὸς Σαλωμὼν υἱοῦ αὐτοῦ· 5 καὶ στῆτε ἐν τῷ οἴκῳ κατὰ 5
τὰς διαιρέσεις οἴκων πατριῶν ὑμῶν τοῖς ἀδελφοῖς ὑμῶν υἱοῖς τοῦ λαοῦ, καὶ
μερὶς οἴκου πατριᾶς τοῖς Λευίταις· 6 καὶ θύσατε τὸ φασέκ, καὶ ἑτοιμάσατε 6
τοῖς ἀδελφοῖς ὑμῶν τοῦ ποιῆσαι κατὰ τὸν λόγον κυρίου διὰ χειρὸς Μωυσῆ.
7 καὶ ἀπήρξατο Ἰωσίας τοῖς υἱοῖς τοῦ λαοῦ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους 7
ἀπὸ τῶν τέκνων τῶν αἰγῶν, πάντα εἰς τὸ φασέκ, καὶ πάντας τοὺς εὑρεθέν-
τας εἰς ἀριθμὸν τριάκοντα χιλιάδας, καὶ μόσχων τρεῖς χιλιάδας· ταῦτα ἀπὸ
τῆς ὑπάρξεως τοῦ βασιλέως. 8 καὶ οἱ ἄρχοντες αὐτοῦ ἀπήρξαντο τῷ λαῷ καὶ 8
τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις· ἔδωκε δὲ Χελκίας καὶ Ζαχαρίας καὶ Ἰειὴλ οἱ
ἄρχοντες τοῖς ἱερεῦσιν οἴκου θεοῦ, καὶ ἔδωκαν εἰς τὸ φασὲκ πρόβατα καὶ
ἀμνοὺς καὶ ἐρίφους δισχίλια ἑξακόσια καὶ μόσχους τριακοσίους. 9 καὶ Χωνενίας 9
καὶ Βαναίας καὶ Σαμαίας καὶ Ναθαναὴλ ἀδελφὸς αὐτοῦ καὶ Ἀσαβίας καὶ
Ἰειὴλ καὶ Ἰωζαβὰδ ἄρχοντες τῶν Λευιτῶν ἀπήρξαντο τοῖς Λευίταις εἰς τὸ
φασὲκ πρόβατα πεντακισχίλια καὶ μόσχους πεντακοσίους. 10 καὶ κατωρθώθη 10
ἡ λειτουργία, καὶ ἔστησαν οἱ ἱερεῖς ἐπὶ τὴν στάσιν αὐτῶν καὶ οἱ Λευῖται ἐπὶ
τὰς διαιρέσεις αὐτῶν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως. 11 καὶ ἔθυσαν τὸ φασέκ, 11
καὶ προσέχεαν οἱ ἱερεῖς τὸ αἷμα ἐκ χειρὸς αὐτῶν, καὶ οἱ Λευῖται ἐξέδειραν.
12 καὶ ἡτοίμασαν τὴν ὁλοκαύτωσιν παραδοῦναι αὐτοῖς κατὰ τὴν διαίρεσιν κατ᾿ 12
οἴκους πατριῶν τοῖς υἱοῖς τοῦ λαοῦ τοῦ προσάγειν τῷ κυρίῳ, ὡς γέγραπται
ἐν βίβλῳ Μωυσῆ· καὶ οὕτως εἰς τὸ πρωί. 13 καὶ ὤπτησαν τὸ φασὲκ ἐν πυρὶ 13
κατὰ τὴν κρίσιν, καὶ τὰ ἅγια ἥψησαν ἐν τοῖς χαλκείοις καὶ ἐν τοῖς λέβησι,
καὶ εὐωδώθη, καὶ ἔδραμον πρὸς πάντας τοὺς υἱοὺς τοῦ λαοῦ. 14 καὶ μετὰ τὸ 14
ἑτοιμάσαι αὐτοῖς καὶ τοῖς ἱερεῦσιν, ὅτι οἱ ἱερεῖς ἐν τῷ ἀναφέρειν τὰ ὁλοκαυ-
τώματα καὶ τὰ στέατα ἕως νυκτός, καὶ οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς καὶ
τοῖς ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. 15 καὶ οἱ ψαλτῳδοὶ υἱοὶ Ἀσὰφ ἐπὶ τῆς στά- 15
σεως αὐτῶν κατὰ τὰς ἐντολὰς Δαυὶδ καὶ Ἀσὰφ καὶ Αἱμὰν καὶ Ἰδιθὼμ οἱ
προφῆται τοῦ βασιλέως· καὶ οἱ ἄρχοντες καὶ οἱ πυλωροὶ πύλης καὶ πύλης,
οὐκ ἦν αὐτοῖς κινεῖσθαι ἀπὸ τῆς λειτουργίας τῶν ἁγίων, ὅτι οἱ ἀδελφοὶ αὐ-
τῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς. 16 καὶ κατωρθώθη καὶ ἡτοιμάσθη πᾶσα ἡ 16
λειτουργία κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ ποιῆσαι τὸ φασὲκ καὶ ἐνεγκεῖν τὰ
ὁλοκαυτώματα ἐπὶ τὸ θυσιαστήριον κυρίου κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως
Ἰωσίου. 17 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες τὸ φασὲκ ἐν τῷ καιρῷ 17
ἐκείνῳ καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας. 18 καὶ οὐκ ἐγένετο φασὲκ 18
ὅμοιον αὐτῷ ἐν Ἰσραήλ, ἀπὸ ἡμερῶν Σαμουὴλ τοῦ προφήτου καὶ παντὸς
βασιλέως Ἰσραὴλ οὐκ ἐποίησαν τὸ φασὲκ ὃ ἐποίησεν Ἰωσίας καὶ οἱ ἱερεῖς
καὶ οἱ Λευῖται καὶ πᾶς Ἰούδα καὶ Ἰσραὴλ ὁ εὑρεθεὶς καὶ οἱ κατοικοῦντες
ἐν Ἱερουσαλὴμ τῷ κυρίῳ. 19 τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἰωσίου 19
ἐποιήθη τὸ φασὲκ τοῦτο. μετὰ ταῦτα πάντα ἃ ἔδρασεν Ἰωσίας ἐν τῷ οἴκῳ,

---

3. επαραι επ ωμων ουθεν ... λειτουργησατε κυριω ... και λαω 4. βασιλεως σαλωμων 5. τοις υιοις 6. και τα αγια ετοιμασατε 8. και λευιταις· και εδωκεν ... ιεϊηλ ... αρχ. οικου του θεου τοις ιερευσιν 9. ** χωχενιας ... σαμαΐας ... ο αδελφος ... ασαβια κ. ιεϊηλ 10. κατορθωθη ... στασιν εαυτων 12. ** υιοις λαου ... εν βιβλιω νομω μωυση 13. χαλκιοις ... ευοδωθη 14. τα στεατα και τα ολοκαυτ. 15. ιδιθουν ... της πυλης και πυλης ... λειτουργιας αγιων, οτι αδελφοι 16. ιωσια 18. παντες βασιλεις ... εποιησ. ως το φασεκ ... και λευιται 19. ιωσια ... om εποιηθη το φασεκ usque εν τω οικω

Digitized by Google

καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας καὶ τὰ θεραφὶν καὶ τὰ εἴδωλα
καὶ τὰ καρησὶμ ἃ ἦν ἐν γῇ Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ ἐνεπύρισεν ὁ βασιλεὺς
Ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου
οὗ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν τῷ οἴκῳ κυρίου. ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμ-
προσθεν αὐτοῦ ὃς ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ
ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ αὐτοῦ κατὰ πάντα τὸν νόμον Μωυσῆ, καὶ
μετ' αὐτὸν οὐκ ἀνέστη ὅμοιος· πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ ὀργῆς θυμοῦ
αὐτοῦ τοῦ μεγάλου, οὗ ὠργίσθη θυμῷ κύριος ἐν τῷ Ἰούδᾳ ἐπὶ πάντα τὰ
παροργίσματα αὐτοῦ ἃ παρώργισε Μανασσῆς. καὶ εἶπε κύριος Καί γε τὸν
Ἰούδαν ἀποστήσω ἀπὸ προσώπου μου καθὼς ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπω-
σάμην τὴν πόλιν ἣν ἐξελεξάμην τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον ὃν εἶπα Ἔσται
20 τὸ ὄνομά μου ἐκεῖ. [20] καὶ ἀνέβη Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου ἐπὶ τὸν
βασιλέα Ἀσσυρίων ἐπὶ τὸν ποταμὸν Εὐφράτην, καὶ ἐπορεύθη βασιλεὺς Ἰωσίας
21 εἰς συνάντησιν αὐτῷ. [21] καὶ ἀπέστειλε πρὸς αὐτὸν ἀγγέλους λέγων Τί ἐμοὶ
καὶ σοί, βασιλεῦ Ἰούδα; οὐκ ἐπὶ σὲ ἥκω σήμερον πόλεμον πολεμῆσαι· καὶ
ὁ θεὸς εἶπε τοῦ κατασπεῦσαί με· πρόσεχε ἀπὸ τοῦ θεοῦ τοῦ μετ' ἐμοῦ μὴ
22 καταφθείρῃ σε. [22] καὶ οὐκ ἀπέστρεψεν Ἰωσίας τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ,
ἀλλ' ἢ πολεμεῖν αὐτὸν ἐκραταιώθη, καὶ οὐκ ἤκουσε τῶν λόγων Νεχαὼ διὰ
23 στόματος θεοῦ, καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ πεδίῳ Μαγεδδώ. [23] καὶ ἐτό-
ξευσαν οἱ τοξόται ἐπὶ βασιλέα Ἰωσίαν· καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν αὐ-
24 τοῦ Ἐξαγάγετέ με, ὅτι ἐπόνεσα σφόδρα. [24] καὶ ἐξήγαγον αὐτὸν οἱ παῖδες
αὐτοῦ ἀπὸ τοῦ ἅρματος καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δευτερεῦον ὃ
ἦν αὐτῷ, καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλήμ· καὶ ἀπέθανε, καὶ ἐτάφη μετὰ
τῶν πατέρων αὐτοῦ· καὶ πᾶς Ἰούδα καὶ Ἱερουσαλὴμ ἐπένθησαν ἐπὶ Ἰωσίαν.
25 [25] καὶ ἐθρήνησεν Ἱερεμίας ἐπὶ Ἰωσίαν, καὶ εἶπαν πάντες οἱ ἄρχοντες καὶ αἱ
ἄρχουσαι θρῆνον ἐπὶ Ἰωσίαν ἕως τῆς σήμερον, καὶ ἔδωκαν αὐτὸν εἰς πρόσ-
26 ταγμα ἐπὶ Ἰσραήλ, καὶ ἰδοὺ γέγραπται ἐπὶ τῶν θρήνων. [26] καὶ ἦσαν οἱ λοι-
27 ποὶ λόγοι Ἰωσίου καὶ ἡ ἐλπὶς αὐτοῦ γεγραμμένα ἐν νόμῳ κυρίου, [27] καὶ οἱ
λόγοι αὐτοῦ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίῳ βασιλέων
Ἰσραὴλ καὶ Ἰούδα.

## XXXVI.

Καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωάχαζ υἱὸν Ἰωσίου καὶ ἔχρισαν αὐτόν,
καὶ κατέστησαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ εἰς βασιλέα ἐπὶ Ἱερουσαλήμ.
2 [2] υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον
ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀμιτὰλ θυγάτηρ
Ἱερεμίου ἐκ Λοβνά. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου κατὰ πάντα ἃ
ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ ἔδησεν αὐτὸν Φαραὼ Νεχαὼ ἐν Δεβλαθὰ ἐν
3 γῇ Αἰμὰθ τοῦ μὴ βασιλεύειν αὐτὸν ἐν Ἱερουσαλήμ. [3] καὶ μετήγαγεν αὐτὸν ὁ
βασιλεὺς εἰς Αἴγυπτον, καὶ ἐπέβαλε φόρον ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυ-
4 ρίου καὶ τάλαντον χρυσίου. [4] καὶ κατέστησε Φαραὼ Νεχαὼ τὸν Ἐλιακὶμ υἱὸν
Ἰωσίου βασιλέα ἐπὶ Ἰούδα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ, καὶ μετέστρεψε
τὸ ὄνομα αὐτοῦ Ἰωακίμ· καὶ τὸν Ἰωάχαζ ἀδελφὸν αὐτοῦ ἔλαβε Φαραὼ Νε-
χαὼ καὶ εἰσήγαγεν αὐτὸν εἰς Αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ, καὶ τὸ ἀργύριον

---

19. ενγαστριμυθους ... θεραφειμ ... χαραισειμ ... εν τη γη ιουδ. και ιερουσ. και ενεπυρισεν ... επι βιβλιου ... καρδια εαυτου ... ψυχη εαυτου ... ολη ισχυϊ εαυτου ... ανεστη ομοιος αυτω ... παροργισματα α 20. ασσυριων και επι ... ο βασιλ. ιωσιας 21. πολεμον ποιησαι ... ειπεν κατασπευσαι 22. ηκουεν ... μαγεδων 23. βασιλεαν ... παισιν εαυτου 24. πατερ. εαυτου 25. om και ante ιδου 26. om λοιποι ... ιωσια 27. και οι λοιποι λογοι XXXVI. 1. εχρισαν αυτ. εις βασιλ. αντι τ. πατρ. α. εν ιερουσ. 4. ελιακειμ ... βασιλεα ιουδα ... ιωακειμ

Digitized by Google

καὶ τὸ χρυσίον ἔδωκε τῷ Φαραώ. τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι τοῦ δοῦ-
ναι τὸ ἀργύριον ἐπὶ στόμα Φαραώ· καὶ ἕκαστος κατὰ δύναμιν ἀπῄτει τὸ
ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς δοῦναι Φαραὼ Νεχαώ. 5 ὢν 5
εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακὶμ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβα-
σίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ζεχωρὰ θυγάτηρ Νη-
ρίου ἐκ Ῥαμά. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου κατὰ πάντα ὅσα ἐποίη-
σαν οἱ πατέρες αὐτοῦ. ἐν ταῖς ἡμέραις αὐτοῦ ἦλθε Ναβουχοδονόσορ ὁ βασι-
λεὺς Βαβυλῶνος εἰς τὴν γῆν, καὶ ἦν αὐτῷ δουλεύων τρία ἔτη, καὶ ἀπέστη
ἀπ' αὐτοῦ. καὶ ἀπέστειλε κύριος ἐπ' αὐτοὺς τοὺς Χαλδαίους καὶ λῃστήρια
Σύρων καὶ λῃστήρια Μωαβιτῶν καὶ υἱῶν Ἀμμὼν καὶ τῆς Σαμαρείας, καὶ
ἀπέστησαν μετὰ τὸν λόγον τοῦτον κατὰ τὸν λόγον κυρίου ἐν χειρὶ τῶν παίδων
αὐτοῦ τῶν προφητῶν. πλὴν θυμὸς κυρίου ἦν ἐπὶ Ἰούδαν τοῦ ἀποστῆναι αὐτὸν
ἀπὸ προσώπου αὐτοῦ διὰ τὰς ἁμαρτίας Μανασσῆ ἐν πᾶσιν οἷς ἐποίησε, καὶ
ἐν αἵματι ἀθῴῳ ᾧ ἐξέχεεν Ἰωακίμ, καὶ ἔπλησε τὴν Ἱερουσαλὴμ αἵματος
ἀθῴου, καὶ οὐκ ἠθέλησε κύριος ἐξολοθρεῦσαι αὐτούς. 6 καὶ ἀνέβη ἐπ' αὐτὸν 6
Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδησεν αὐτὸν ἐν χαλκαῖς πέδαις
καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα. 7 καὶ μέρος τῶν σκευῶν οἴκου κυρίου ἀπή- 7
νεγκεν εἰς Βαβυλῶνα, καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι. 8 καὶ 8
τὰ λοιπὰ τῶν λόγων Ἰωακὶμ καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμ-
μένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; καὶ ἐκοιμήθη
Ἰωακὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν γανοζαῆ μετὰ τῶν πατέρων
αὐτοῦ· καὶ ἐβασίλευσεν Ἰεχονίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 9 ὀκτὼ ἐτῶν Ἰεχονίας 9
ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον καὶ δέκα ἡμέρας ἐβασίλευσεν ἐν Ἱερου-
σαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. 10 καὶ ἐπιστρέφοντος τοῦ ἐνιαυ- 10
τοῦ ἀπέστειλεν ὁ βασιλεὺς Ναβουχοδονόσορ καὶ εἰσήνεγκεν αὐτὸν εἰς Βαβυ-
λῶνα μετὰ τῶν σκευῶν τῶν ἐπιθυμητῶν οἴκου κυρίου· καὶ ἐβασίλευσε Σεδε-
κίαν ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ ἐπὶ Ἰούδαν καὶ Ἱερουσαλήμ. 11 ἐτῶν εἴκοσι 11
υἱὸς καὶ ἑνὸς ἔτους Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβα-
σίλευσεν ἐν Ἱερουσαλήμ. 12 καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου θεοῦ αὐτοῦ· 12
οὐκ ἐνετράπη ἀπὸ προσώπου Ἱερεμίου τοῦ προφήτου καὶ ἐκ στόματος κυρίου,
13 ἐν τῷ τὰ πρὸς τὸν βασιλέα Ναβουχοδονόσορ ἀθετῆσαι ἃ ὥρκισεν αὐτὸν 13
κατὰ τοῦ θεοῦ, καὶ ἐσκλήρυνε τὸν τράχηλον αὐτοῦ καὶ τὴν καρδίαν αὐτοῦ
κατίσχυσε τοῦ μὴ ἐπιστρέψαι πρὸς κύριον θεὸν Ἰσραήλ. 14 καὶ πάντες οἱ ἔν- 14
δοξοι Ἰούδα καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς τῆς γῆς ἐπλήθυναν τοῦ ἀθετῆσαι ἀθε-
τήματα βδελυγμάτων ἐθνῶν, καὶ ἐμίαναν τὸν οἶκον κυρίου τὸν ἐν Ἱερουσα-
λήμ. 15 καὶ ἐξαπέστειλε κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν ἐν χειρὶ τῶν προ- 15
φητῶν αὐτοῦ, ὀρθρίζων καὶ ἀποστέλλων τοὺς ἀγγέλους αὐτοῦ, ὅτι ἦν φειδό-
μενος τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ ἁγιάσματος αὐτοῦ. 16 καὶ ἦσαν μυκτηρίζοντες 16
τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐξουθενοῦντες τοὺς λόγους αὐτοῦ καὶ ἐμπαίζοντες ἐν
τοῖς προφήταις αὐτοῦ, ἕως ἀνέβη ὁ θυμὸς κυρίου ἐν τῷ λαῷ αὐτοῦ, ἕως οὐκ
ἦν ἴαμα. 17 καὶ ἤγαγεν ἐπ' αὐτοὺς βασιλέα Χαλδαίων, καὶ ἀπέκτεινε τοὺς 17
νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσματος αὐτοῦ· καὶ οὐκ ἐφείσατο

---

4. εδωκαν ... om τοτε ηρξατο usque στομα φαραω ... δουναι αυτο 5. ιωακειμ ... ζεχχωρα ... βασιλευς sine ὁ ... επ αυτου ... om και λῃστηρ. συρων ... σαμαριας ... αποστησαι ... προσωπου εαυτου ... ιωακειμ ... ἐξολεθρευσαι 6. ανηγαγεν 7. ναω εαυτου 8. ιωακειμ bis ... πατερων εαυτου bis ... εν γανοζαν 9. υιος οκτω και δεκα ετων 10. επιστραφεντος ... εισηγαγεν αυτον ... τον σεδεκιαν 11. ετων εικοσι ενος σεδεκιας 13. καρδιαν εαυτου 14. επληθυνεν 15. εν χειρι προφητων ορθριζων ... αγγελ. εαυτου ... λαου εαυτου ... om αυτου in fine 16. αγγελους sine τους ... ανεβη θυμος



Digitized by Google

τοῦ Σεδεκίου, καὶ τὰς παρθένους αὐτῶν οὐκ ἠλέησε, καὶ τοὺς πρεσβυτέρους
18 αὐτῶν ἀπήγαγον, τὰ πάντα παρέδωκεν ἐν χερσὶν αὐτῶν. [18] καὶ πάντα τὰ
σκεύη οἴκου τοῦ θεοῦ τὰ μεγάλα καὶ τὰ μικρά, καὶ τοὺς θησαυροὺς οἴκου
κυρίου, καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως καὶ τῶν μεγιστάνων, πάντα
19 εἰςήνεγκεν εἰς Βαβυλῶνα. [19] καὶ ἐνέπρησε τὸν οἶκον κυρίου, καὶ κατέσκαψε
τὸ τεῖχος Ἱερουσαλήμ, καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρί, καὶ πᾶν
20 σκεῦος ὡραῖον εἰς ἀφανισμόν. [20] καὶ ἀπῴκισε τοὺς καταλοίπους εἰς Βαβυλῶνα,
21 καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας Μήδων, [21] τοῦ
πληρωθῆναι λόγον κυρίου διὰ στόματος Ἱερεμίου, ἕως τοῦ προςδέξασθαι τὴν
γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι, πάσας τὰς ἡμέρας ἐρημώσεως αὐτῆς
22 σαββατίσαι εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα. [22] Ἔτους πρώτου Κύρου βασι-
λέως Περσῶν, μετὰ τὸ πληρωθῆναι ῥῆμα κυρίου διὰ στόματος Ἱερεμίου, ἐξή-
γειρε κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλε κηρῦξαι ἐν
23 πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων [23] Τάδε λέγει Κῦρος βασιλεὺς
Περσῶν πάσαις ταῖς βασιλείαις τῆς γῆς Ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρα-
νοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ ἐν τῇ
Ἰουδαίᾳ· τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; ἔσται θεὸς αὐτοῦ μετ'
αὐτοῦ, καὶ ἀναβήτω.

Τέλος τῶν παραλειπομένων.

---

# Ε Σ Δ Ρ Α Σ
## ΠΡΩΤΟΝ.

### I.

Καὶ ἤγαγεν Ἰωσίας τὸ πάσχα ἐν Ἱερουσαλὴμ τῷ κυρίῳ αὐτοῦ, καὶ ἔθυσε
2 τὸ πάσχα τῇ τεσσαρεςκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, [2] στήσας τοὺς
3 ἱερεῖς κατ' ἐφημερίας ἐστολισμένους ἐν τῷ ἱερῷ τοῦ κυρίου. [3] καὶ εἶπε τοῖς
Λευίταις ἱεροδούλοις τοῦ Ἰσραὴλ ἁγιάσαι ἑαυτοὺς τῷ κυρίῳ ἐν τῇ θέσει τῆς
ἁγίας κιβωτοῦ τοῦ κυρίου ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησε Σαλωμὼν ὁ τοῦ Δαυὶδ
4 ὁ βασιλεύς. [4] οὐκ ἔσται ὑμῖν ἆραι ἐπ' ὤμων αὐτήν· καὶ νῦν λατρεύετε τῷ
κυρίῳ θεῷ ὑμῶν, καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ Ἰσραήλ, καὶ ἑτοιμάσατε
κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑμῶν κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως
5 Ἰσραὴλ καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμὼν τοῦ υἱοῦ αὐτοῦ. [5] καὶ στάντες
ἐν τῷ ἁγίῳ κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν ὑμῶν τῶν Λευιτῶν, τῶν
6 ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραήλ, [6] ἐν τάξει θύσατε τὸ πάσχα, καὶ
τὰς θυσίας ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν, καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ
7 πρόςταγμα τοῦ κυρίου τὸ δοθὲν τῷ Μωυσῇ. [7] καὶ ἐδωρήσατο Ἰωσίας τῷ λαῷ
τῷ εὑρεθέντι ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας, μόσχους τριςχιλίους· ταῦτα
ἐκ τῶν βασιλικῶν ἐδόθη κατ' ἐπαγγελίαν τῷ λαῷ καὶ τοῖς ἱερεῦσι καὶ Λευίταις.

---

18. οικου θεου ... om οικου κυριου ... θησαυρους βασιλεως και μεγιστανων 21. της ερημωσεως αυτ. εσαββατισεν 22. του κηρυξαι αυτους 23. πασας τας βασιλειας τ. γ. εδωκεν ... αυτω οικον ... εσται ο θεος
Subscriptio: παραλειπομενων των βασιλειων ιουδα β

---

Inscriptio: ο ιερευς
I. 1. τ. κυρ. εαυτου, κ. εθυσαν οι υιοι ισραηλ το πασχα τη τε ιδ ημερα 3. σαλ. ο υιος του 4. λατρευετε κυριω τω θ. ημων ... και φυλας 5. ιερω pro αγιω 6. προσταγμα κυριου 7. χιλιαδες

Digitized by Google

8 καὶ ἔδωκε Χελκίας καὶ Ζαχαρίας καὶ Συῆλος οἱ ἐπιστάται τοῦ ἱεροῦ τοῖς 8
ἱερεῦσιν εἰς πάσχα πρόβατα δισχίλια ἑξακόσια, μόσχους τριακοσίους. 9 καὶ 9
Ἰεχονίας καὶ Σαμαίας καὶ Ναθαναὴλ ὁ ἀδελφὸς καὶ Ἀσαβίας καὶ Ὀχιῆλος
καὶ Ἰωρὰμ χιλίαρχοι ἔδωκαν τοῖς Λευίταις εἰς πάσχα πρόβατα πεντακισχί-
λια, μόσχους ἑπτακοσίους. 10 καὶ ταῦτα τὰ γενόμενα εὐπρεπῶς ἔστησαν οἱ 10
ἱερεῖς καὶ οἱ Λευῖται ἔχοντες τὰ ἄζυμα κατὰ τὰς φυλὰς καὶ κατὰ τὰς μερι-
δαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ προσενεγκεῖν τῷ κυρίῳ κατὰ τὰ
γεγραμμένα ἐν βιβλίῳ Μωυσῆ, καὶ οὕτως τὸ πρωινόν. 11 καὶ ὤπτησαν τὸ πάσχα 11
πυρὶ ὡς καθήκει, καὶ τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκείοις καὶ λέβησι μετ'
εὐωδίας, καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ. 12 μετὰ δὲ ταῦτα ἡτοίμασαν 12
ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. 13 οἱ γὰρ ἱερεῖς 13
ἀνέφερον τὰ στέατα ἕως ἀωρίας· καὶ οἱ Λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς
ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. 14 καὶ οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἦσαν 14
ἐπὶ τῆς τάξεως αὐτῶν κατὰ τὰ ὑπὸ Δαυὶδ τεταγμένα, καὶ Ἀσὰφ καὶ Ζαχα-
ρίας καὶ Ἐδδινοὺς ὁ παρὰ τοῦ βασιλέως. 15 καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυ- 15
λῶνος· οὐκ ἔστι παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν· οἱ γὰρ ἀδελφοὶ
αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς. 16 καὶ συνετελέσθη τὰ τῆς θυσίας τοῦ 16
κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀχθῆναι τὸ πάσχα καὶ προσαχθῆναι τὰς θυσίας
ἐπὶ τὸ τοῦ κυρίου θυσιαστήριον κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ἰωσίου.
17 καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ τὸ πάσχα 17
καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. 18 καὶ οὐκ ἤχθη τὸ πάσχα τοιοῦτον 18
ἐν τῷ Ἰσραὴλ ἀπὸ τῶν χρόνων Σαμουὴλ τοῦ προφήτου. 19 καὶ πάντες οἱ βα- 19
σιλεῖς τοῦ Ἰσραὴλ οὐκ ἠγάγοσαν πάσχα τοιοῦτον οἷον ἤγαγεν Ἰωσίας καὶ οἱ
ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ Ἰουδαῖοι καὶ πᾶς Ἰσραὴλ ὁ εὑρεθεὶς ἐν τῇ κατοι-
κήσει αὐτῶν ἐν Ἱερουσαλήμ. 20 ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ἰωσίου ἤχθη 20
τὸ πάσχα τοῦτο. 21 καὶ ὠρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον τοῦ κυρίου αὐτοῦ ἐν 21
καρδίᾳ πλήρει εὐσεβείας. 22 καὶ τὰ κατ' αὐτὸν δὲ ἀναγέγραπται ἐν τοῖς ἔμ- 22
προσθεν χρόνοις, περὶ τῶν ἡμαρτηκότων καὶ ἠσεβηκότων εἰς τὸν κύριον παρὰ
πᾶν ἔθνος καὶ βασιλείαν, καὶ ἃ ἐλύπησαν αὐτόν ἐστι, καὶ οἱ λόγοι τοῦ κυρίου
ἀνέστησαν ἐπὶ Ἰσραήλ. 23 καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην Ἰωσίου συνέβη 23
Φαραὼ βασιλέα Αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν Χαρκαμὺς ἐπὶ τοῦ Εὐ-
φράτου· καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ Ἰωσίας. 24 καὶ διεπέμψατο πρὸς αὐ- 24
τὸν βασιλεὺς Αἰγύπτου λέγων Τί ἐμοὶ καὶ σοί ἐστι, βασιλεῦ τῆς Ἰουδαίας;
25 οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ κυρίου τοῦ θεοῦ, ἐπὶ γὰρ τοῦ Εὐφράτου 25
ὁ πόλεμός μού ἐστι· καὶ νῦν κύριος μετ' ἐμοῦ ἐστί, καὶ κύριος μετ' ἐμοῦ
ἐπισπεύδων ἐστίν· ἀπόστηθι, καὶ μὴ ἐναντιοῦ τῷ κυρίῳ. 26 καὶ οὐκ ἀπέστρε- 26
ψεν ἑαυτὸν Ἰωσίας ἐπὶ τὸ ἅρμα αὐτοῦ, ἀλλὰ πολεμεῖν αὐτὸν ἐπεχείρει, οὐ
προσέχων ῥήμασιν Ἱερεμίου προφήτου ἐκ στόματος κυρίου, 27 ἀλλὰ συνεστή- 27
σατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ Μαγεδδώ· καὶ κατέβησαν οἱ ἄρχοντες
πρὸς τὸν βασιλέα Ἰωσίαν. 28 καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν ἑαυτοῦ Ἀποστή- 28
σατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα γὰρ λίαν. καὶ εὐθέως ἀπέστησαν αὐτὸν
οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς παρατάξεως, 29 καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον 29
αὐτοῦ· καὶ ἀποκατασταθεὶς εἰς Ἱερουσαλὴμ μετήλλαξε τὸν βίον αὐτοῦ, καὶ
ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ. 30 καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ ἐπένθησαν τὸν Ἰω- 30
σίαν, καὶ ἐθρήνησεν Ἱερεμίας ὁ προφήτης ὑπὲρ Ἰωσίου, καὶ οἱ προκαθήμενοι

---

8. και ησυηλος 9. σαβιας pro ασαβιας ... ** οζιηλος 10. και τουτων γενομενων· ευπρεπως ... *και λευιται ... μωση 11. ωπτησαν pro ηψησαν ... χαλκιοις 12. αδελφ. εαυτων 14. εαυτων 16. θυσ. τω κυριω ... προσενεχθηναι 17. ηγαγον 18. τοιουτο 19. τοιουτο ... οι ευρεθεντες (21. πληρεις) 22. και ελυπησαν αυτον εν αισθησει, και 23. εν χαλχαμυς 26. *αρμα εαυτου 27. παιδιω μεταεδδαους 29. εαυτου bis 30. και επενθησαν



Digitized by Google

σὺν γυναιξὶν ἐθρηνοῦσαν αὐτὸν ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐξεδόθη τοῦτο
31 γίνεσθαι ἀεὶ εἰς ἅπαν τὸ γένος Ἰσραήλ. [31] ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βίβλῳ
τῶν ἱστορουμένων περὶ τῶν βασιλέων τῆς Ἰουδαίας, καὶ τὸ καθ᾿ ἓν πραχθὲν
τῆς πράξεως Ἰωσίου καὶ τῆς δόξης αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ ἐν τῷ
νόμῳ κυρίου· τά τε προπραχθέντα ὑπ᾿ αὐτοῦ καὶ τὰ νῦν ἱστόρηται ἐν τῷ
32 βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα. [32] καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους
τὸν Ἰεχονίαν υἱὸν Ἰωσίου ἀνέδειξαν βασιλέα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ,
33 ὄντα ἐτῶν εἴκοσι τριῶν. [33] καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ Ἱερουσαλὴμ μῆνας
τρεῖς· καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου τοῦ μὴ βασιλεύειν ἐν Ἱερου-
34 σαλήμ, [34] καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατὸν καὶ χρυσίου τα-
35 λάντῳ ἑνί. [35] καὶ ἀνέδειξε βασιλεὺς Αἰγύπτου βασιλέα Ἰωακὶμ τὸν ἀδελφὸν
36 αὐτοῦ βασιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ. [36] καὶ ἔδησεν Ἰωακὶμ τοὺς με-
γιστᾶνας, Ζαράκην δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλαβὼν ἀνήγαγεν ἐξ Αἰγύπτου.
37 [37] ἐτῶν δὲ ἦν εἰκοσιπέντε Ἰωακὶμ ὅτε ἐβασίλευσε τῆς Ἰουδαίας καὶ Ἱερου-
38 σαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. [38] μετ᾿ αὐτὸν δὲ ἀνέβη Να-
βουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδησεν αὐτὸν ἐν χαλκείῳ δεσμῷ καὶ
39 ἀπήγαγεν εἰς Βαβυλῶνα. [39] καὶ ἀπὸ τῶν ἱερῶν σκευῶν τοῦ κυρίου λαβὼν Να-
40 βουχοδονόσορ καὶ ἀπενέγκας ἀπηρείσατο ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι. [40] τὰ
δὲ ἱστορηθέντα περὶ αὐτοῦ καὶ τῆς ἀκαθαρσίας αὐτοῦ καὶ δυσσεβείας ἀνα-
41 γέγραπται ἐν τῇ βίβλῳ τῶν χρόνων τῶν βασιλέων. [41] καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ
42 Ἰωακὶμ ὁ υἱὸς αὐτοῦ· ὅτε γὰρ ἀνεδείχθη, ἦν ἐτῶν ὀκτώ. [42] βασιλεύει δὲ μῆ-
νας τρεῖς καὶ ἡμέρας δέκα ἐν Ἱερουσαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι
43 κυρίου. [43] καὶ μετ᾿ ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονόσορ μετήγαγεν αὐτὸν εἰς
44 Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ κυρίου, [44] καὶ ἀνέδειξε Σεδεκίαν βα-
σιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, ὄντα ἐτῶν εἴκοσι ἑνός. βασιλεύει δὲ ἔτη
45 ἕνδεκα, [45] καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ ἐνετράπη ἀπὸ τῶν
46 ῥηθέντων λόγων ὑπὸ Ἱερεμίου τοῦ προφήτου ἐκ στόματος τοῦ κυρίου. [46] καὶ
ὁρκισθεὶς ἀπὸ τοῦ βασιλέως Ναβουχοδονόσορ τῷ ὀνόματι κυρίου, ἐπιορκήσας
ἀπέστη, καὶ σκληρύνας αὐτοῦ τὸν τράχηλον καὶ τὴν καρδίαν αὐτοῦ παρέβη τὰ
47 νόμιμα κυρίου θεοῦ Ἰσραήλ. [47] καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων
πολλὰ ἠσέβησαν καὶ ὑπὲρ πάσας τὰς ἀκαθαρσίας πάντων τῶν ἐθνῶν, καὶ
48 ἐμίαναν τὸ ἱερὸν τοῦ κυρίου τὸ ἁγιαζόμενον ἐν Ἱερουσαλήμ. [48] καὶ ἀπέστειλεν
ὁ θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ ἀγγέλου αὐτοῦ μετακαλέσαι αὐτούς, καθότι
49 ἐφείδετο αὐτῶν καὶ τοῦ σκηνώματος αὐτοῦ. [49] αὐτοὶ δὲ ἐμυκτήρισαν ἐν τοῖς
ἀγγέλοις αὐτοῦ· καὶ ᾗ ἡμέρᾳ ἐλάλησε κύριος, ἦσαν ἐκπαίζοντες τοὺς προφήτας
αὐτοῦ, ἕως οὗ θυμώντα αὐτὸν ἐπὶ τῷ ἔθνει αὐτοῦ διὰ τὰ δυσσεβήματα προσ-
50 τάξαι ἀναβιβάσαι ἐπ᾿ αὐτοὺς τοὺς βασιλεῖς τῶν Χαλδαίων. [50] οὗτοι ἀπέκτειναν
τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ περικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ, καὶ οὐκ
ἐφείσαντο νεανίσκου καὶ παρθένου καὶ πρεσβύτου καὶ νεωτέρου, ἀλλὰ πάντας
51 παρέδωκαν εἰς τὰς χεῖρας αὐτῶν. [51] καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ κυρίου
τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τὰς κιβωτοὺς τοῦ κυρίου καὶ τὰς βασιλικὰς
52 ἀποθήκας ἀναλαβόντες ἀπήνεγκαν εἰς Βαβυλῶνα. [52] καὶ ἐνεπύρισαν τὸν

---

30. εθρηνουν 31. του κυριου ... προςπροαχθεντα ... εν τη βιβλω 32. ιωχαζ pro ιεχονιαν 33. ιουδα pro ισραηλ 35. ** ιωακειμ (* videtur ιωκειμ) 36. * ιωκειμ, ** ιωακειμ 37. ** ιωακειμ (* videtur ιωκειμ) ... εναντι κυριου 38. επ pro μετ ... om ὁ ... και δησας α. ε. χ. δ. απηγαγεν 39. ναω εαυτου 41. ιωακειμ υιος ... δεκαοκτω 44. ante οντα add σεδεκιαν ... εβασιλευσεν 46. ονομ. του κυριου ... εαυτου bis 47. πολλα ηνομησαν και παρεβησαν υπερ ... το αγιασθεν εν ιεροσολυμοις 48. εαυτου bis 49. εξεμυκτηριζον ... εως του θυμωθεντα ... εθνει εαυτου 50. νεωτερου αυτων αλλα παντα παρεδωκεν 51. μικρα και τα σκευη κιβωτου του

Digitized by Google

οἶκον τοῦ κυρίου, καὶ ἔλυσαν τὰ τείχη Ἱερουσαλήμ, καὶ τοὺς πύργους αὐτῆς ἐνε-
πύρισαν ἐν πυρί, [53] καὶ συνετέλεσαν πάντα τὰ ἔνδοξα αὐτῆς ἀχρειῶσαι· καὶ τοὺς 53
ἐπιλοίπους ἀπήγαγε μετὰ ῥομφαίας εἰς Βαβυλῶνα. [54] καὶ ἦσαν παῖδες αὐτῷ καὶ 54
τοῖς υἱοῖς αὐτοῦ μέχρις οὗ βασιλεῦσαι Πέρσας, εἰς ἀναπλήρωσιν ῥήματος τοῦ
κυρίου ἐν στόματι Ἱερεμίου, [55] Ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάββατα αὐτῆς, 55
πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ εἰς συμπλήρωσιν ἐτῶν
ἑβδομήκοντα.

## II.

Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου, εἰς συντέλειαν ῥήματος κυρίου
ἐν στόματι Ἱερεμίου, [2] ἤγειρε κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, 2
καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ ἅμα διὰ γραπτῶν λέγων [3] Τάδε 3
λέγει ὁ βασιλεὺς Περσῶν Κῦρος Ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ κύ-
ριος τοῦ Ἰσραήλ, κύριος ὁ ὕψιστος, [4] καὶ ἐσήμηνέ μοι οἰκοδομῆσαι αὐτῷ οἶκον 4
ἐν Ἱερουσαλὴμ τῇ ἐν τῇ Ἰουδαίᾳ. [5] εἴ τίς ἐστιν οὖν ὑμῶν ἐκ τοῦ ἔϑνους αὐ- 5
τοῦ, ἔστω ὁ κύριος αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἱερουσαλὴμ τὴν
ἐν τῇ Ἰουδαίᾳ οἰκοδομείτω τὸν οἶκον τοῦ κυρίου τοῦ Ἰσραήλ· οὗτος ὁ κύριος
ὁ κατασκηνώσας ἐν Ἱερουσαλήμ. [6] ὅσοι οὖν κατὰ τοὺς τόπους οἰκοῦσι, βοη- 6
ϑείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ, ἐν δόσεσι
μεϑ' ἵππων καὶ κτηνῶν σὺν τοῖς ἄλλοις τοῖς κατ' εὐχὰς προστεϑειμένοις εἰς
τὸ ἱερὸν τοῦ κυρίου τὸ ἐν Ἱερουσαλήμ. [7] καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν 7
πατριῶν τῆς Ἰούδα καὶ Βενιαμὶν φυλῆς, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ
πάντων ὧν ἤγειρε κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι οἶκον τῷ κυρίῳ
τὸν ἐν Ἱερουσαλήμ· [8] καὶ οἱ περικύκλῳ αὐτῶν ἐβοήϑησαν ἐν πᾶσιν, ἐν ἀργυρίῳ 8
καὶ χρυσίῳ, ἵπποις, κτήνεσι καὶ εὐχαῖς ὡς πλείσταις πολλῶν ὧν ὁ νοῦς ἠγέρϑη.
[9] καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ κυρίου, ἃ μετήνεγκε Να- 9
βουχοδονόσορ ἐξ Ἱερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδωλείῳ αὐτοῦ.
[10] ἐξενέγκας δὲ αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν παρέδωκεν αὐτὰ Μιϑραδάτῃ 10
τῷ ἑαυτοῦ γαζοφύλακι· [11] διὰ δὲ τούτου παρεδόϑησαν Σαμανασσάρῳ προστάτῃ 11
τῆς Ἰουδαίας. [12] ὁ δὲ τούτων ἀριϑμὸς ἦν, σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ 12
χίλια, ϑυΐσκαι ἀργυραῖ εἰκοσιεννέα, φιάλαι χρυσαῖ τριάκοντα, ἀργυραῖ δισχίλιαι
τετρακόσιαι δέκα, καὶ ἄλλα σκεύη χίλια. [13] τὰ δὲ πάντα σκεύη ἐκομίσϑη χρυσᾶ 13
καὶ ἀργυρᾶ πεντακισχίλια τετρακόσια ἑξηκονταεννέα· [14] ἀνηνέχϑη δὲ ὑπὸ Σα- 14
μανασσάρου ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ.
[15] ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τῶν Περσῶν βασιλέως χρόνοις κατέγραψαν αὐτῷ 15
κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ Βήλεμος καὶ Μι-
ϑραδάτης καὶ Ταβέλλιος καὶ Ῥάϑυμος καὶ Βεέλτεϑμος καὶ Σαμέλλιος ὁ γραμ-
ματεὺς καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ
τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμμένην ἐπιστολήν· [16] Βασιλεῖ Ἀρταξέρξῃ κυρίῳ 16
οἱ παῖδές σου Ῥάϑυμος ὁ τὰ προσπίπτοντα καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ
οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν καὶ Κριταὶ οἱ ἐν Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ.

---

52. οικ. κυριου ... πυργ. αυτων 53. απο ρομφαιας 54. μεχρι του βασιλευσαι ... αναπληρ. λογου κυριου II. 2. βασιλεια εαυτου 4. εαυτω 5. εστω ο κυριος κυριος αυτου ... οικον κυριου 6. om τους 7. καταστα̣ντες ... βενιαμειν 8. αργυριω sine εν ... ιππ. και κτηνεσιν ... *ut videtur ως ταις πλ., ** ωσται πλ. 9. εαυτου ειδωλιω 10. μιϑριδατη 11. σαναβασσαρω (sed αναβ rescripta sunt) τω προστ. 12. post χιλια primum add και ... φιαλ. χρυσεαι 13. διεκομισϑη 14. σαναβασσαρου ... εις ιεροσολυμα 15. του περσων ... κατεγραψεν ... *μιϑριδατης (videtur) ... ραϑυος και βαελτεϑμος (sed ος και βα rescripta sunt) ... σεμελλιος ... οι οικουντες (οικο**) 16. σεβελλιος ... κραταιοι pro κριται οι

Digitized by Google

17 [17] καὶ νῦν γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ ὅτι οἱ Ἰουδαῖοι ἀναβάντες παρ'
ὑμῶν πρὸς ἡμᾶς ἐλθόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν τὴν ἀποστάτιν καὶ πο-
νηρὰν οἰκοδομοῦσι τάς τε ἀγορὰς αὐτῆς καὶ τὰ τείχη θεραπεύουσι καὶ ναὸν
18 ὑποβάλλονται. [18] ἐὰν οὖν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ τείχη συντελεσθῇ,
φορολογίαν οὐ μὴ ὑπομείνωσι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται·
καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναόν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπερ-
ιδεῖν τὸ τοιοῦτο ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ βασιλεῖ, ὅπως ἂν φαίνηταί
19 σοι ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ τῶν πατέρων σου βιβλίοις. [19] καὶ εὑρήσεις ἐν τοῖς
ὑπομνηματισμοῖς γεγραμμένα περὶ τούτων, καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν
ἀποστάτις καὶ βασιλεῖς καὶ πόλεις ἐνοχλοῦσα, καὶ οἱ Ἰουδαῖοι ἀποστάται καὶ
πολιορκίας συνιστάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος, δι' ἣν αἰτίαν καὶ ἡ πόλις
20 αὕτη ἠρημώθη. [20] νῦν οὖν ὑποδεικνύομέν σοι, κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ πόλις
αὕτη οἰκοδομηθῇ καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, κάθοδος οὐκ ἔτι σοι ἔσται
21 εἰς Κοίλην Συρίαν καὶ Φοινίκην. [21] τότε ἀντέγραψεν ὁ βασιλεὺς Ῥαθύμῳ τῷ
γράφοντι τὰ προσπίπτοντα καὶ Βεελτέθμῳ καὶ Σαμελλίῳ γραμματεῖ καὶ τοῖς
λοιποῖς τοῖς συντασσομένοις καὶ οἰκοῦσιν ἐν τῇ Σαμαρείᾳ καὶ Συρίᾳ καὶ Φοι-
22 νίκῃ τὰ ὑπογεγραμμένα [22] Ἀνέγνων τὴν ἐπιστολὴν ἣν πεπόμφατε πρός με.
ἐπέταξα οὖν ἐπισκέψασθαι· καὶ εὑρέθη ὅτι ἡ πόλις ἐκείνη ἐστὶν ἐξ αἰῶνος
23 βασιλεῦσιν ἀντιπαρατάσσουσα, [23] καὶ οἱ ἄνθρωποι ἀποστάσεις καὶ πολέμους
ἐν αὐτῇ συντελοῦντες, καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ ἦσαν ἐν Ἱερουσαλὴμ
24 κυριεύοντες καὶ φορολογοῦντες Κοίλην Συρίαν καὶ Φοινίκην. [24] νῦν οὖν ἐπέταξα
ἀποκωλῦσαι τοὺς ἀνθρώπους ἐκείνους τοῦ οἰκοδομῆσαι τὴν πόλιν, καὶ προ-
νοηθῆναι ὅπως μηδὲν παρὰ ταῦτα γένηται καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς
25 κακίας εἰς τὸ βασιλεῖς ἐνοχλῆσαι. [25] τότε ἀναγνωσθέντων τῶν παρὰ τοῦ βα-
σιλέως Ἀρταξέρξου γραφέντων Ῥάθυμος καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ
οἱ τούτοις συντασσόμενοι ἀναζεύξαντες εἰς Ἱερουσαλὴμ κατὰ σπουδὴν μεθ'
ἵππου καὶ ὄχλου παρατάξεως ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας· καὶ ἤργει
ἡ οἰκοδομὴ τοῦ ἱεροῦ τοῦ ἐν Ἱερουσαλὴμ μέχρι τοῦ δευτέρου ἔτους τῆς βα-
σιλείας Δαρείου τοῦ Περσῶν βασιλέως.

## III.

Καὶ βασιλεὺς Δαρεῖος ἐποίησε δοχὴν μεγάλην πᾶσι τοῖς ὑπ' αὐτόν, καὶ
πᾶσι τοῖς οἰκογενέσιν αὐτοῦ, καὶ πᾶσι τοῖς μεγιστᾶσι τῆς Μηδίας καὶ τῆς Περ-
2 σίδος, [2] καὶ πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς καὶ τοπάρχαις τοῖς ὑπ' αὐ-
τὸν ἀπὸ τῆς Ἰνδικῆς μέχρις Αἰθιοπίας ἐν ταῖς ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις.
3 [3] καὶ ἔφαγοσαν καὶ ἔπιοσαν, καὶ ἐμπλησθέντες ἀνέλυσαν· ὁ δὲ Δαρεῖος ὁ βα-
σιλεὺς ἀνέλυσεν εἰς τὸν κοιτῶνα ἑαυτοῦ καὶ ἐκοιμήθη, καὶ ἔξυπνος ἐγένετο.
4 [4] τότε οἱ τρεῖς νεανίσκοι οἱ σωματοφύλακες οἱ φυλάσσοντες τὸ σῶμα τοῦ βα-
5 σιλέως εἶπαν ἕτερος πρὸς τὸν ἕτερον [5] Εἴπωμεν ἕκαστος ἡμῶν ἕνα λόγον ὃς
ὑπερισχύσει· καὶ οὗ ἐὰν φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον τοῦ ἑτέρου, δώσει
6 αὐτῷ Δαρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας καὶ ἐπινίκια μεγάλα, [6] καὶ πορ-
φύραν περιβαλέσθαι καὶ ἐν χρυσώμασι πίνειν καὶ ἐπὶ χρυσῷ καθεύδειν καὶ
ἅρμα χρυσοχάλινον καὶ κίδαριν βυσσίνην καὶ μανιάκην περὶ τὸν τράχηλον,
7 [7] καὶ δεύτερος καθιεῖται Δαρείου διὰ τὴν σοφίαν αὐτοῦ, καὶ συγγενὴς Δαρείου

---

17. κυριω μου ... διοτι ... και την πονηραν 18. εαν νυν η ... υπεριδειν τοιουτο ... εαν φανηται 19. εν τοις υπομνημασιν τα γεγραμμενα ... ην εκεινη 20. υποδικνυμεν ... διοτι εαν 21. βεελτεμωθ ... om και συρια 22. ηυρεθη οτι εστιν η π. εκ. 24. om ουν ... κακιας επι τω βασιλεις ενοχλισθαι 25. ο ραθυμος κ. σεμελλιος ... μετ ιππου ... δαριου III. 1. δαριος 2. τοις μετ αυτων απο ... μεχρει της αιθιοπιας ... σατραπιαις 3. και οτε εφαγον και επιον ... τοτε δαριος ... om εαυτου 4. ετερος τω ετερω 6. τραχηλον αυτου 7. σοφιαν εαυτου

Digitized by Google

κληθήσεται. 8 καὶ τότε γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λόγον ἐσφραγίσαντο καὶ 8
ἔθηκαν ὑπὸ τὸ προςκεφάλαιον Δαρείου τοῦ βασιλέως, καὶ εἶπαν 9 Ὅταν ἐγερθῇ 9
ὁ βασιλεύς, δώσουσιν αὐτῷ τὸ γράμμα· καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς καὶ οἱ
τρεῖς μεγιστᾶνες τῆς Περσίδος ὅτι οὗ ὁ λόγος αὐτοῦ σοφώτερος, αὐτῷ δοθή-
σεται τὸ νῖκος καθὼς γέγραπται. 10 ὁ εἷς ἔγραψεν Ὑπερισχύει ὁ οἶνος. 11 ὁ 10 11
ἕτερος ἔγραψεν Ὑπερισχύει ὁ βασιλεύς. 12 ὁ τρίτος ἔγραψεν Ὑπερισχύουσιν αἱ 12
γυναῖκες, ὑπὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια. 13 καὶ ὅτε ἐξηγέρθη ὁ βασιλεύς, 13
λαβόντες τὸ γράμμα ἔδωκαν αὐτῷ, καὶ ἀνέγνω. 14 καὶ ἐξαποστείλας ἐκάλεσε 14
πάντας τοὺς μεγιστᾶνας τῆς Περσίδος καὶ τῆς Μηδείας καὶ τοὺς σατράπας
καὶ στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους, καὶ ἐκάθισεν ἐν τῷ χρηματιστη-
ρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν. 15 καὶ εἶπε Καλέσατε τοὺς 15
νεανίσκους, καὶ αὐτοὶ δηλώσουσι τοὺς λόγους ἑαυτῶν· καὶ ἐκλήθησαν, καὶ
εἰςήλθοσαν. 16 καὶ εἶπαν αὐτοῖς Ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων. καὶ 16
ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου, καὶ ἔφη οὕτως 17 Ἄν- 17
δρες, πῶς ὑπερισχύει ὁ οἶνος. πάντας τοὺς ἀνθρώπους τοὺς πιόντας αὐτὸν
πλανᾷ τὴν διάνοιαν, 18 τοῦ τε βασιλέως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν 18
μίαν, τήν τε τοῦ οἰκέτου καὶ τὴν τοῦ ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν
τοῦ πλουσίου· 19 καὶ πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐφροσύ- 19
νην, καὶ οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα· 20 καὶ πάσας καρδίας 20
ποιεῖ πλουσίας, καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σατράπην· καὶ πάντα διὰ τα-
λάντων ποιεῖ λαλεῖν. 21 καὶ οὐ μέμνηνται ὅταν πίνωσι φιλιάζειν φίλοις καὶ 21
ἀδελφοῖς, καὶ μετ' οὐ πολὺ σπῶνται τὰς μαχαίρας· 22 καὶ ὅταν ἀπὸ τοῦ οἴ- 22
νου ἐγερθῶσιν, οὐ μέμνηνται ἃ ἔπραξαν. 23 ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶνος 23
ὅτι οὕτως ἀναγκάζει ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἴπας.

## IV.

Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ βασιλέως
2 Ὦ ἄνδρες, οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι, τὴν γῆν καὶ τὴν θάλασσαν κατα- 2
κρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς; 3 ὁ δὲ βασιλεὺς ὑπερισχύει καὶ κυριεύει 3
αὐτῶν καὶ δεσπόζει αὐτῶν, καὶ πᾶν ὃ ἐὰν εἴπῃ αὐτοῖς ἐνακούουσιν. 4 ἐὰν 4
εἴπῃ αὐτοῖς ποιῆσαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν· ἐὰν δὲ ἐξα-
ποστείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσι καὶ κατεργάζονται τὰ ὄρη
καὶ τὰ τείχη καὶ τοὺς πύργους, 5 φονεύουσι καὶ φονεύονται, καὶ τὸν λόγον 5
τοῦ βασιλέως οὐ παραβαίνουσιν· ἐὰν δὲ νικήσωσι, τῷ βασιλεῖ κομίζουσι πάντα
καὶ ἐὰν προνομεύσωσι καὶ τὰ ἄλλα πάντα. 6 καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ 6
πολεμοῦσιν ἀλλὰ γεωργοῦσι τὴν γῆν, πάλιν ὅταν σπείρωσι θερίσαντες ἀναφέ-
ρουσι τῷ βασιλεῖ· καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέρουσι τοὺς φόρους
τῷ βασιλεῖ. 7 καὶ αὐτὸς εἷς μόνος ἐστίν· ἐὰν εἴπῃ ἀποκτεῖναι, ἀποκτέννουσιν· 7
ἐὰν εἴπῃ ἀφεῖναι, ἀφιοῦσιν· 8 εἶπε πατάξαι, τύπτουσιν· εἶπεν ἐρημῶσαι, 8
ἐρημοῦσιν· εἶπεν οἰκοδομῆσαι, οἰκοδομοῦσιν· 9 εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν· 9
εἶπε φυτεῦσαι, φυτεύουσι· 10 καὶ πᾶς ὁ λαὸς αὐτοῦ καὶ αἱ δυνάμεις αὐτοῦ 10
ἐνακούουσι. πρὸς δὲ τούτοις αὐτὸς ἀνάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει·
11 αὐτοὶ δὲ τηροῦσι κύκλῳ περὶ αὐτόν, καὶ οὐ δύνανται ἕκαστος ἀπελθεῖν καὶ 11
ποιεῖν τὰ ἔργα αὐτοῦ, οὐδὲ παρακούουσιν αὐτοῦ. 12 ὦ ἄνδρες, πῶς οὐχ ὑπερι- 12

9. om αν ... om ου ... το νικημα 12. ο αλλος εγρ. 13. επεδωκαν 14. και σατραπας (15. δηλουσουσιν) 17. πινοντας ... τη διανοια 20. πασας τας καρδιας (... βασιλεια) 21. μεμνηται 22. γενηθωσιν, ουδεμνηνται (sic) α επραξεν 23. om οτι ... ουτως ειπων IV. 1. ο ειπων 2. ουχ υπερισχ. 3. κυριευει παντων ... παντα ο αν ε. κ. ποιησουσιν 4. ποιησουσιν 5. και οσα εαν προνομ. 7. ** αποκτεινουσιν ... αφιεναι 8. om ειπεν ερημωσαι, ερημουσιν 10. ** επακουουσιν 11. ουτοι δε τηρ. περι αυτον κυκλω ... δυναται 12. πως ουχ

Digitized by Google

13 σχύει ὁ βασιλεὺς ὅτι οὕτως ἐπάκουστός ἐστι; καὶ ἐσίγησεν. 13 ὁ δὲ τρίτος ὁ
εἴπας περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας, οὗτός ἐστι Ζοροβάβελ, ἤρξατο
14 λαλεῖν 14 Ἄνδρες, οὐ μέγας ὁ βασιλεύς, καὶ πολλοὶ οἱ ἄνθρωποι, καὶ ὁ οἶνος
ἰσχύει; τίς οὖν ὁ δεσπόζων αὐτῶν, ἢ τίς ὁ κυριεύων αὐτῶν; οὐχ αἱ γυναῖκες;
15 15 αἱ γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαὸν ὃς κυριεύει τῆς θα-
16 λάσσης καὶ τῆς γῆς· 16 καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται ἐξέθρεψαν αὐτοὺς
17 τοὺς φυτεύσαντας τοὺς ἀμπελῶνας ἐξ ὧν ὁ οἶνος γίνεται· 17 καὶ αὗται ποιοῦσι
τὰς στολὰς τῶν ἀνθρώπων, καὶ αὗται ποιοῦσι δόξαν τοῖς ἀνθρώποις, καὶ οὐ
18 δύνανται οἱ ἄνθρωποι χωρὶς τῶν γυναικῶν εἶναι. 18 ἐὰν δὲ συναγάγωσι χρυ-
σίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον, καὶ ἴδωσι γυναῖκα μίαν καλὴν
19 τῷ εἴδει καὶ τῷ κάλλει, 19 ταῦτα πάντα ἀφέντες εἰς αὐτὴν ἐκκέχηναν, καὶ
χάσκοντες τὸ στόμα θεωροῦσιν αὐτήν, καὶ πάντες αὐτὴν αἱρετίζουσι μᾶλλον
20 ἢ τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον. 20 ἄνθρωπος τὸν ἑαυ-
τοῦ πατέρα ἐγκαταλείπει ὃς ἐξέθρεψεν αὐτὸν καὶ τὴν ἰδίαν χώραν, καὶ πρὸς
21 τὴν ἰδίαν γυναῖκα κολλᾶται, 21 καὶ μετὰ τῆς γυναικὸς ἀφίησι τὴν ψυχήν, καὶ
22 οὔτε τὸν πατέρα μέμνηται οὔτε τὴν μητέρα οὔτε τὴν χώραν. 22 καὶ ἐντεῦθεν
δεῖ ὑμᾶς γνῶναι ὅτι αἱ γυναῖκες κυριεύουσιν ὑμῶν. οὐχὶ πονεῖτε καὶ μοχθεῖτε,
23 καὶ πάντα ταῖς γυναιξὶ δίδοτε καὶ φέρετε; 23 καὶ λαμβάνει ὁ ἄνθρωπος τὴν
ῥομφαίαν αὐτοῦ καὶ ἐκπορεύεται ἐξοδεύειν καὶ λῃστεύειν καὶ κλέπτειν, καὶ
24 εἰς τὴν θάλασσαν πλεῖν καὶ ποταμούς, 24 καὶ τὸν λέοντα θεωρεῖ, καὶ ἐν σκότει
βαδίζει· καὶ ὅταν κλέψῃ καὶ ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ ἀποφέρει.
25 25 καὶ πλεῖον ἀγαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον ἢ τὸν πατέρα καὶ
26 τὴν μητέρα. 26 καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις διανοίαις διὰ τὰς γυναῖ-
27 κας, καὶ δοῦλοι ἐγένοντο δι' αὐτάς, 27 καὶ πολλοὶ ἀπώλοντο καὶ ἐσφάλησαν
28 καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας. 28 καὶ νῦν οὐ πιστεύετέ μοι; οὐχὶ μέγας
ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦνται ἅψασθαι
29 αὐτοῦ; 29 ἐθεώρουν αὐτὸν καὶ Ἀπάμην τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμα-
30 στοῦ τὴν παλλακὴν τοῦ βασιλέως καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως, 30 καὶ
ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως καὶ ἐπιτιθοῦσαν ἑαυτῇ,
31 καὶ ἐῤῥάπιζε τὸν βασιλέα τῇ ἀριστερᾷ. 31 καὶ πρὸς τούτοις ὁ βασιλεὺς χάσκων
τὸ στόμα ἐθεώρει αὐτήν· καὶ ἐὰν προςγελάσῃ αὐτῷ, γελᾷ· ἐὰν δὲ πικρανθῇ
32 ἐπ' αὐτόν, κολακεύει αὐτὴν ὅπως διαλλαγῇ αὐτῷ. 32 ὦ ἄνδρες, πῶς οὐχὶ
33 ἰσχυραὶ αἱ γυναῖκες ὅτι οὕτως πράσσουσι; 33 καὶ τότε ὁ βασιλεὺς καὶ οἱ με-
34 γιστᾶνες ἔβλεπον εἰς τὸν ἕτερον· καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας 34 Ἄν-
δρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρανός, καὶ
ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ καὶ πάλιν
35 ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ. 35 οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ;
36 καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα. 36 πᾶσα ἡ γῆ τὴν ἀλή-
θειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ
37 τρέμει, καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδικον οὐδέν. 37 ἄδικος ὁ οἶνος, ἄδικος ὁ
βασιλεύς, ἄδικοι αἱ γυναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ἄδικα
πάντα τὰ ἔργα αὐτῶν τὰ τοιαῦτα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια, καὶ ἐν
38 τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται. 38 καὶ ἡ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα,

---

13. ο ειπων ... ω ανδρες 16. φυτευοντας 17. *δοξας τοις ανθρωποις χωρις (om κ. ου δυν. οι ανθρ.), ** τας δοξας των ανθρωπων και ου etc. 18. om και παν πρ. ωραιον ... ουχι αγαπωσιν pro ουκ ιδωσι 19. και ταυτα ... εγκεχηναν 23. λαμβανει ανθρωπος ... ** εαυτου ... εκπορ. εις εξοδιαν ληστευειν ... πλει 24. τη ερημωμενη 28. ante αψασθαι add αυτον 30. εραπιζεν 33. ενεβλεπον ετερος προς τον 34. ουχ ισχυραι 36. μετ αυτου 37. add παντα ante τα τοιαυτα ... αδικια εαυτων 38. η δε αληθεια ... ισχυσει

Digitized by Google

καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [39] καὶ οὐκ ἔστι παρ' αὐτὴν λαμ- 39
βάνειν πρόςωπα οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδί-
κων καὶ πονηρῶν· καὶ πάντες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς, [40] καὶ οὐκ ἔστιν 40
ἐν τῇ κρίσει αὐτῆς οὐδὲν ἄδικον. καὶ αὕτη ἡ ἰσχὺς καὶ τὸ βασίλειον καὶ ἡ
ἐξουσία καὶ ἡ μεγαλειότης τῶν πάντων αἰώνων· εὐλογητὸς ὁ θεὸς τῆς ἀλη-
θείας. [41] καὶ ἐσιώπησε τοῦ λαλεῖν· καὶ πᾶς ὁ λαὸς τότε ἐφώνησε, καὶ τότε 41
εἶπον Μεγάλη ἡ ἀλήθεια καὶ ὑπερισχύει. [42] τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ Αἴ- 42
τησαι ὃ θέλεις πλείω τῶν γεγραμμένων, καὶ δώσομέν σοι ὃν τρόπον εὑρέθης
σοφώτερος, καὶ ἐχόμενός μου καθήσῃ, καὶ συγγενής μου κληθήσῃ. [43] τότε 43
εἶπε τῷ βασιλεῖ Μνήσθητι τὴν εὐχὴν ἣν ηὔξω οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ
ἐν τῇ ἡμέρᾳ ᾗ τὸ βασίλειόν σου παρέλαβες, [44] καὶ πάντα τὰ σκεύη τὰ λη- 44
φθέντα ἐξ Ἱερουσαλὴμ καὶ ἐκπέμψαι ἃ ἐχώρισε Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι
Βαβυλῶνα, καὶ ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ. [45] καὶ σὺ ηὔξω οἰκοδομῆσαι τὸν 45
ναὸν ὃν ἐνεπύρισαν οἱ Ἰδουμαῖοι, ὅτε ἠρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν Χαλ-
δαίων. [46] καὶ νῦν τοῦτό ἐστιν ὅ σε ἀξιῶ, κύριε βασιλεῦ, καὶ ὃ αἰτοῦμαί σε, 46
καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ· δέομαι οὖν ἵνα ποιήσῃς τὴν
εὐχὴν ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρανοῦ ποιῆσαι ἐκ στόματός σου. [47] τότε 47
ἀναστὰς Δαρεῖος ὁ βασιλεὺς κατεφίλησεν αὐτόν, καὶ ἔγραψεν αὐτῷ τὰς ἐπι-
στολὰς πρὸς πάντας τοὺς οἰκονόμους καὶ τοπάρχας καὶ στρατηγοὺς καὶ σατρά-
πας, ἵνα προπέμψωσιν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀναβαίνοντας οἰκο-
δομῆσαι τὴν Ἱερουσαλήμ. [48] καὶ πᾶσι τοῖς τοπάρχαις ἐν Κοίλῃ Συρίᾳ καὶ 48
Φοινίκῃ καὶ τοῖς ἐν τῷ Λιβάνῳ ἔγραψεν ἐπιστολάς, μεταφέρειν ξύλα κέδρινα
ἀπὸ τοῦ Λιβάνου εἰς Ἱερουσαλήμ, καὶ ὅπως οἰκοδομήσωσι μετ' αὐτοῦ τὴν
πόλιν. [49] καὶ ἔγραψε πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ τῆς βασιλείας 49
εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα δυνατὸν καὶ τοπάρχην καὶ σα-
τράπην καὶ οἰκονόμον μὴ ἐπελεύσεσθαι ἐπὶ τὰς θύρας αὐτῶν, [50] καὶ πᾶσαν 50
τὴν χώραν ἣν κρατοῦσιν ἀφορολόγητον αὐτοῖς ὑπάρχειν· καὶ ἵνα οἱ Ἰδουμαῖοι
ἀφιῶσι τὰς κώμας ἃς διακρατοῦσι τῶν Ἰουδαίων· [51] καὶ εἰς τὴν οἰκοδομὴν 51
τοῦ ἱεροῦ δοθῆναι κατ' ἐνιαυτὸν τάλαντα εἴκοσι μέχρι τοῦ οἰκοδομηθῆναι·
[52] καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαυτώματα καρποῦσθαι καθ' ἡμέραν καθὰ 52
ἔχουσιν ἐντολήν, ἑπτακαίδεκα προςφέρειν ἄλλα τάλαντα, δέκα κατ' ἐνιαυτόν.
[53] καὶ πᾶσι τοῖς προςβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι τὴν πόλιν, ὑπάρ- 53
χειν τὴν ἐλευθερίαν αὐτοῖς τε καὶ τοῖς ἐκγόνοις αὐτῶν καὶ πᾶσι τοῖς ἱερεῦσι
τοῖς προςβαίνουσιν. [54] ἔγραψε δὲ καὶ τὴν χορηγίαν καὶ τὴν ἱερατικὴν στολὴν 54
ἐν τίνι λατρεύουσιν ἐν αὐτῇ. [55] καὶ τοῖς Λευίταις ἔγραψε δοῦναι τὴν χορη- 55
γίαν ἕως τῆς ἡμέρας ἧς ἐπιτελεσθῇ ὁ οἶκος καὶ Ἱερουσαλὴμ οἰκοδομηθῆναι.
[56] καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώ- 56
νια. [57] καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη ἃ ἐχώρισε Κῦρος ἀπὸ Βαβυλῶνος, 57
καὶ πάντα ὅσα εἶπε Κῦρος ποιῆσαι, καὶ αὐτὸς ἐπέταξε ποιῆσαι καὶ ἐξαπο-
στεῖλαι εἰς Ἱερουσαλήμ. [58] καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον 58
εἰς τὸν οὐρανὸν ἐναντίον Ἱερουσαλὴμ εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ λέγων
[59] Παρὰ σοῦ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα, καὶ ἐγὼ σὸς 59
οἰκέτης. [60] εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν· καὶ σοὶ ὁμολογῶ, δέσποτα 60
τῶν πατέρων. [61] καὶ ἔλαβε τὰς ἐπιστολὰς καὶ ἐξῆλθε, καὶ ἦλθεν εἰς Βαβυ- 61
λῶνα καὶ ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσι. [62] καὶ εὐλόγησαν τὸν θεὸν τῶν 62
πατέρων αὐτῶν, ὅτι ἔδωκεν αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν, [63] ἀναβῆναι καὶ οἰκο- 63

---

39. παρ αυτη ... διαφθορα ... *ποιειν (?) ... αδικων πονηρων 41. ειπεν 42. σοι ανθ ων ευρεθης 44. λημφθεντα ... om και ante εκπεμψαι ... α εξεχωρησεν 46. εστιν μεγαλωσυνη 49. κ. σατραπην κ. τοπαρχην ... και pro μη 55. εως ημερας επιτελεσθη 57. εξεχωρησεν 58. ηυλογησεν 59. η νικη ... σου pro ση 61. om και ηλθεν 62. ηυλογησαν

Digitized by Google

δομῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ἱερὸν οὗ ὠνομάσθη τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτῷ· καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ χαρᾶς ἡμέρας ἑπτά.

## V.

Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν κατὰ φυλὰς
αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες καὶ οἱ
2 παῖδες αὐτῶν, καὶ αἱ παιδίσκαι καὶ τὰ κτήνη αὐτῶν. [2] καὶ Δαρεῖος συνα-
πέστειλε μετ' αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ ἀποκαταστῆσαι αὐτοὺς εἰς Ἱερου-
3 σαλὴμ μετ' εἰρήνης καὶ μετὰ μουσικῶν, τυμπάνων καὶ αὐλῶν. [3] καὶ πάντες
οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, καὶ ἐποίησεν αὐτοὺς συναναβῆναι μετ' ἐκείνων.
4 [4] καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν
5 εἰς τὰς φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. [5] οἱ ἱερεῖς υἱοὶ Φινεὲς υἱοὶ Ἀαρών,
Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ τοῦ Σαραίου, καὶ Ἰωακὶμ ὁ τοῦ Ζοροβάβελ τοῦ Σα-
λαθιὴλ ἐκ τοῦ οἴκου τοῦ Δαυίδ, ἐκ τῆς γενεᾶς Φαρές, φυλῆς δὲ Ἰούδα,
6 [6] ὃς ἐλάλησεν ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν λόγους σοφοὺς ἐν τῷ δευ-
7 τέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ Νισὰν τοῦ πρώτου μηνός. [7] εἰσὶ δὲ οὗτοι
οἱ ἐκ τῆς Ἰουδαίας ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας, οὓς μετῴ-
8 κισε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα, [8] καὶ ἐπέστρεψαν
εἰς Ἱερουσαλὴμ καὶ τὴν λοιπὴν Ἰουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ
ἐλθόντες μετὰ Ζοροβάβελ καὶ Ἰησοῦ, Νεεμίου, Ζαραίου, Ῥησαίου, Ἐνηνέος,
Μαρδοχαίου, Βεελσάρου, Ἀσφαράσου, Ῥεελίου, Ῥοΐμου, Βαανά, τῶν προη-
9 γουμένων αὐτῶν. [9] ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους καὶ οἱ προηγούμενοι αὐτῶν·
υἱοὶ Φόρος, δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομηκονταδύο· υἱοὶ Σαφάτ, τετρακό-
10 11 σιοι ἑβδομηκονταδύο· [10] υἱοὶ Ἀρές, ἑπτακόσιοι πεντηκονταέξ· [11] υἱοὶ Φαὰθ
12 Μωὰβ εἰς τοὺς υἱοὺς Ἰησοῦ καὶ Ἰωάβ, δισχίλιοι ὀκτακόσιοι δεκαδύο· [12] υἱοὶ
Ἠλάμ, χίλιοι διακόσιοι πεντηκοντατέσσαρες· υἱοὶ Ζαθουί, ἐννακόσιοι ἑβδομη-
κονταπέντε· υἱοὶ Χορβέ, ἑπτακόσιοι πέντε· υἱοὶ Βανί, ἑξακόσιοι τεσσαρακον-
13 ταοκτώ· [13] υἱοὶ Βηβαί, ἑξακόσιοι τριακοντατρεῖς· υἱοὶ Ἀργαί, χίλιοι τριακόσιοι
14 εἰκοσιδύο· [14] υἱοὶ Ἀδωνικάν, ἑξακόσιοι τριακονταεπτά· υἱοὶ Βαγοΐ, δισχίλιοι
15 ἑξακόσιοι ἕξ· υἱοὶ Ἀδινοῦ, τετρακόσιοι πεντηκοντατέσσαρες· [15] υἱοὶ Ἀτὴρ Ἐζε-
κίου, ἐννενηκονταδύο· υἱοὶ Κιλὰν καὶ Ἀζηνάν, ἑξηκονταεπτά· υἱοὶ Ἀζαρού,
16 τετρακόσιοι τριακονταδύο· [16] υἱοὶ Ἀννίς, ἑκατὸν εἷς· υἱοὶ Ἀρόμ, τριακονταδύο·
17 υἱοὶ Βασσαί, τριακόσιοι εἰκοσιτρεῖς· υἱοὶ Ἀρσιφουρίθ, ἑκατὸν δύο· [17] υἱοὶ Βαι-
18 τηρούς, τρισχίλιοι πέντε· υἱοὶ ἐκ Βαιθλωμῶν, ἑκατὸν εἰκοσιτρεῖς· [18] οἱ ἐκ
Νετωφάς, πεντηκονταπέντε· οἱ ἐξ Ἀναθώθ, ἑκατὸν πεντηκονταοκτώ· οἱ ἐκ
19 Βαιθασμών, τεσσαρακονταδύο· [19] οἱ ἐκ Καριαθιρί, εἰκοσιπέντε· οἱ ἐκ Καφεί-
20 ρας καὶ Βηρώγ, ἑπτακόσιοι τεσσαρακοντατρεῖς· [20] οἱ Χαδιασαὶ καὶ Ἀμμίδιοι,
21 τετρακόσιοι εἰκοσιδύο· οἱ ἐκ Κιραμᾶς καὶ Γαββῆς, ἑξακόσιοι εἴκοσι εἷς· [21] οἱ
ἐκ Μαχαλών, ἑκατὸν εἰκοσιδύο· οἱ ἐκ Βετολίω, πεντηκονταδύο· υἱοὶ Νιφίς,
22 ἑκατὸν πεντηκονταέξ· [22] υἱοὶ Καλαμωλάλου καὶ Ὠνούς, ἑπτακόσιοι εἰκοσιπέντε·

---

63. om την   V. 1. οικων ... υιοι και αι θυγατερ. αυτων ... παιδισκ. αυτων 2. δαριος 3. εποιησ. αυτους 5. οι ιερεις οι ... ιωακειμ 6. δαριου 7. ουτοι εκ ... οι αναβαντες 8. ιησους ... ζαρεου ... ενηνιου ... ** ρομελιου pro ροϊμου 12. τεσσερακονταπεντε pro εβδομηκονταπεντε ... βανει ... τεσσερακονταοκτω 13. εξακ. εικοσιτρεις· υι. ασταα τρισχιλιοι εξακοσιοι εικοσιδυο 14. αδωνικαμ εξακ. τεσσερακονταεπτα ... βαγοι δισχ. εξηκονταεξ 15. ενενηκονταδυο ... αζητας pro αζηναν ... αζουρου 16. αννιας ... om τριακονταδυο ... βασσα ... αρσιφουρειθ εκατον δεκαδυο 18. νετωφαε ... βαιθασμωθ τεσσερακονταδυο 19. καριαθιαριος ... καφιρας κ. βηρωθ ... τεσσερακοντα τρεις 20. ουχαδιασαι pro οι χαδιασαι ... αμμιδαιοι ... κιραμα 21. βητολιω ... φινεις pro νιφις

Digitized by Google

υἱοὶ Ἱερεχοῦ, διακόσιοι τεσσαρακονταπέντε· [23] υἱοὶ Σανάας, τρισχίλιοι τρια- 23
κόσιοι εἷς· [24] οἱ ἱερεῖς οἱ υἱοὶ Ἰεδδοῦ τοῦ Ἰησοῦ εἰς τοὺς υἱοὺς Σανασίβ, 24
ὀκτακόσιοι ἑβδομηκονταδύο· υἱοὶ Ἐμμηροῦθ, διακόσιοι πεντηκονταδύο· [25] υἱοὶ 25
Φασσούρου, χίλιοι τεσσαρακονταεπτά· υἱοὶ Χαρμί, διακόσιοι δεκαεπτά· [26] οἱ 26
Λευῖται οἱ υἱοὶ Ἰησοῦ καὶ Καδοήλου καὶ Βάννου καὶ Σουδίου, ἑβδομηκοντα-
τέσσαρες· [27] οἱ ἱεροψάλται υἱοὶ Ἀσάφ, ἑκατὸν εἰκοσιοκτώ· [28] οἱ θυρωροὶ υἱοὶ 27 28
Σαλούμ, υἱοὶ Ἀτάρ, υἱοὶ Τολμάν, υἱοὶ Δακούβ, υἱοὶ Ἀτητά, υἱοὶ Τωβίς,
πάντες ἑκατὸν τριακονταεννέα· [29] οἱ ἱερόδουλοι υἱοὶ Ἡσαύ, υἱοὶ Ἀσιφά, υἱοὶ 29
Ταβαώθ, υἱοὶ Κηράς, υἱοὶ Σουδά, υἱοὶ Φαλαίου, υἱοὶ Λαβανά, υἱοὶ Ἀγραβά,
[30] υἱοὶ Ἀκούδ, υἱοὶ Οὐτά, υἱοὶ Κητάβ, υἱοὶ Ἀκκαβά, υἱοὶ Συβαΐ, υἱοὶ Ἀνάν, 30
υἱοὶ Καθουά, υἱοὶ Γεδδούρ, [31] υἱοὶ Ἰαΐρου, υἱοὶ Δαισάν, υἱοὶ Νοεβά, υἱοὶ 31
Χασεβά, υἱοὶ Καζηρά, υἱοὶ Ὀζίου, υἱοὶ Φινοέ, υἱοὶ Ἀσαρά, υἱοὶ Βασθαΐ,
υἱοὶ Ἀσσανά, υἱοὶ Μανί, υἱοὶ Ναφισί, υἱοὶ Ἀκούφ, υἱοὶ Ἀχιβά, υἱοὶ Ἀσούβ,
υἱοὶ Φαρακέμ, υἱοὶ Βασαλέμ, [32] υἱοὶ Μεεδδά, υἱοὶ Κουθά, υἱοὶ Χαρέα, υἱοὶ 32
Βαρχουέ, υἱοὶ Σεράρ, υἱοὶ Θομοΐ, υἱοὶ Νασί, υἱοὶ Ἀτεφά· [33] υἱοὶ παίδων 33
Σαλωμών, υἱοὶ Ἀσσαπφιώθ, υἱοὶ Φαριδά, υἱοὶ Ἰειηλί, υἱοὶ Λοζών, υἱοὶ
Ἰσδαήλ, υἱοὶ Σαφυΐ, [34] υἱοὶ Ἀγιά, υἱοὶ Φαχαρέθ, υἱοὶ Σαβιή, υἱοὶ Σαρωθί, 34
υἱοὶ Μισαίας, υἱοὶ Γάς, υἱοὶ Ἀδδούς, υἱοὶ Σουβά, υἱοὶ Ἀφεῤῥά, υἱοὶ Βαρω-
δίς, υἱοὶ Σαφάγ, υἱοὶ Ἀλλώμ· [35] πάντες οἱ ἱερόδουλοι καὶ οἱ υἱοὶ τῶν παί- 35
δων Σαλωμὼν τριακόσιοι ἑβδομηκονταδύο. [36] οὗτοι ἀναβάντες ἀπὸ Θερμελὲθ 36
καὶ Θελερσάς· ἡγούμενος αὐτῶν Χαρααθαλὰν καὶ Ἀαλάρ. [37] καὶ οὐκ ἠδύναντο 37
ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν καὶ γενεὰς ὡς ἐκ τοῦ Ἰσραὴλ εἰσιν· υἱοὶ Δα-
λὰν τοῦ υἱοῦ τοῦ Βαενάν, υἱοὶ Νεκωδάν, ἑξακόσιοι πεντηκονταδύο. [38] καὶ ἐκ 38
τῶν ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης, καὶ οὐχ εὑρέθησαν· υἱοὶ Ὀβδία, υἱοὶ
Ἀκβώς, υἱοὶ Ἰαδδοὺ τοῦ λαβόντος Αὐγίαν γυναῖκα τῶν θυγατέρων Φαηζελ-
δαίου, καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτοῦ. [39] καὶ τούτων ζητηθείσης τῆς γενι- 39
κῆς γραφῆς ἐν τῷ καταλοχισμῷ καὶ μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ ἱερα-
τεύειν. [40] καὶ εἶπεν αὐτοῖς Νεεμίας καὶ Ἀτθαρίας μὴ μετέχειν τῶν ἁγίων ἕως 40
ἀναστῇ ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. [41] οἱ δὲ πάντες 41
Ἰσραὴλ ἦσαν ἀπὸ δωδεκαετοῦς καὶ ἐπάνω χωρὶς παίδων καὶ παιδισκῶν μυ-
ριάδες τέσσαρες δισχίλιοι τριακόσιοι ἑξήκοντα· παῖδες τούτων καὶ παιδίσκαι
ἑπτακισχίλιοι τριακόσιοι τριακονταεπτά· ψάλται καὶ ψαλτῳδοὶ διακόσιοι τεσ-
σαρακονταπέντε. [42] κάμηλοι τετρακόσιοι τριακονταπέντε, καὶ ἵπποι ἑπτακισ- 42
χίλιοι τριακονταέξ, ἡμίονοι διακόσιοι τεσσαρακονταπέντε, ὑποζύγια πεντακισ-
χίλια πεντακόσια εἰκοσιπέντε. [43] καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς ἐν 43
τῷ παραγίνεσθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ θεοῦ τὸ ἐν Ἱερουσαλὴμ ηὔξαντο
ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν, [44] καὶ δοῦ- 44

---

22. ιερεχου τριακοσιοι τεσσερακονταπεντε 23. τριακοντα pro εις 24. om οι secundum ... ανασειβ ενναχοσιοι ... χιλιοι pro διακοσιοι 25. χιλιοι διακοσιοι τεσσερακονταεπτα ... χαρμη χιλιοι δεκαεπτα 26. οι δε λευιται υιοι ιησουε κ. καδμιηλου 27. υιοι pro οι ... εκατον τεσσερακονταοκτω 28. δακουβι ... σαβει pro τωβις ... οι παντες 29. ταβωθ ... σουσα ... αγγαβα 30. γαβα pro ακκαβα ... συβαει ... ανναν 31. δεσαν ... γαζηρα ... ιοζιου ... βασθαι ... ασανα ... μαανι ... ακουμ ... αχιφα ... ασουρ ... φαρακειμ ... βααλωθ pro βασαλεμ 32. ** θομει pro θομοΐ ... νασιθ ... ατιφα 33. ασαφφιωθ ... φαριδα ... ιεηλι ... σαφυθι 34. φακαρεθ ... σαρωθιε ... μασιας ... σουβας ... βαρωδεις ... σαφατ ... αδλων 36. θελσας pro θελερσας ... χαρα αθαλαρ και αλαρ 37. *οτι pro ως (?) ... βαν pro βαεναν 38. υι. ακκως υι. ιοδδους ... θυγατ. ζορζελλεου 39. om και secundum 40. αγιων αυτους εως ου ανστη (sic) 41. ησαν ισραηλ ... om και επανω ... a τριακοσιοι ad τριακοσιοι transilit ... τεσσερακονταπεντε 42. και καμηλοι ... τεσσερακονταπεντε 43. παραγιγνεσθαι

Digitized by Google

ναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυσίου μνᾶς χιλίας καὶ ἀργυρίου
45 μνᾶς πεντακισχιλίας καὶ στολὰς ἱερατικὰς ἑκατόν. [45] καὶ κατῳκίσθησαν οἱ
ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἐκ τοῦ λαοῦ αὐτοῦ ἐν Ἱερουσαλὴμ καὶ τῇ χώρᾳ,
οἵ τε ἱεροψάλται καὶ οἱ θυρωροὶ καὶ πᾶς Ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν.
46 [46] ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνός, καὶ ὄντων τῶν υἱῶν Ἰσραὴλ ἑκάστου ἐν
τοῖς ἰδίοις, συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύχωρον τοῦ πρώτου πυλῶνος
47 τοῦ πρὸς τῇ ἀνατολῇ· [47] καὶ καταστὰς Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ τούτου ἀδελφοὶ
48 ἡτοίμασαν τὸ θυσιαστήριον τοῦ θεοῦ Ἰσραήλ, [48] προσενέγκαι ἐπ' αὐτοῦ ὁλο-
καυτώσεις ἀκολούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ τοῦ ἀνθρώπου τοῦ θεοῦ διη-
49 γορευμένοις. [49] καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς γῆς καὶ
κατώρθωσαν τὸ θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτῶν, ὅτι ἐν ἔχθρᾳ ἦσαν αὐ-
τοῖς· καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς, καὶ ἀνέφερον
θυσίας κατὰ τὸν καιρὸν καὶ ὁλοκαυτώματα κυρίῳ τὸ πρωινὸν καὶ τὸ δειλινόν.
50 [50] καὶ ἠγάγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτὴν ὡς ἐπιτέτακται ἐν τῷ νόμῳ,
51 καὶ θυσίας καθ' ἡμέραν, ὡς προσῆκον ἦν· [51] καὶ μετὰ ταῦτα προσφορὰς ἐν-
δελεχισμοῦ, καὶ θυσίας σαββάτων καὶ νουμηνιῶν καὶ ἑορτῶν πασῶν ἡγια-
52 σμένων. [52] καὶ ὅσοι ηὔξαντο εὐχὴν τῷ θεῷ ἀπὸ τῆς νουμηνίας τοῦ ἑβδόμου
μηνός, ἤρξαντο προσφέρειν θυσίας τῷ θεῷ, καὶ ὁ ναὸς τοῦ θεοῦ οὔπω ᾠκο-
53 δόμητο. [53] καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τέκτοσι, καὶ ποτὰ καὶ βρωτὰ
καὶ χάρρα τοῖς Σιδωνίοις καὶ Τυρίοις εἰς τὸ παράγειν αὐτοὺς ἐκ τοῦ Λιβά-
νου ξύλα κέδρινα, διαφέρειν σχεδίας εἰς τὸν Ἰόππης λιμένα, κατὰ τὸ πρόσ-
54 ταγμα τὸ γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ Περσῶν βασιλέως. [54] καὶ τῷ δευ-
τέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ θεοῦ εἰς Ἱερουσαλὴμ μηνὸς δευτέ-
ρου ἤρξατο Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ
ἀδελφοὶ αὐτῶν καὶ οἱ ἱερεῖς οἱ Λευῖται καὶ πάντες οἱ παραγενόμενοι ἐκ τῆς
55 αἰχμαλωσίας εἰς Ἱερουσαλήμ, [55] καὶ ἐθεμελίωσαν τὸν ναὸν τοῦ θεοῦ τῇ νου-
μηνίᾳ τοῦ δευτέρου μηνὸς τοῦ δευτέρου ἔτους ἐν τῷ ἐλθεῖν εἰς τὴν Ἰουδαίαν
56 καὶ Ἱερουσαλήμ. [56] καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων
τοῦ κυρίου· καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ καὶ οἱ ἀδελφοί, καὶ Καδμιὴλ ὁ
ἀδελφός, καὶ οἱ υἱοὶ Ἡμαδαβούν, καὶ οἱ υἱοὶ Ἰωδὰ τοῦ Ἡλιαδοὺδ σὺν τοῖς
υἱοῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευῖται ὁμοθυμαδὸν ἐργοδιῶκται, ποιοῦντες εἰς
τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ κυρίου· καὶ ᾠκοδόμησαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ
57 κυρίου. [57] καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων,
καὶ οἱ Λευῖται υἱοὶ Ἀσὰφ ἔχοντες τὰ κύμβαλα ὑμνοῦντες τῷ κυρίῳ καὶ εὐ-
58 λογοῦντες κατὰ Δαυὶδ βασιλέα τοῦ Ἰσραήλ· [58] καὶ ἐφώνησαν δι' ὕμνων εὐλο-
γοῦντες τῷ κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἐν
59 παντὶ Ἰσραήλ. [59] καὶ πᾶς ὁ λαὸς ἐσάλπισαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ,
60 ὑμνοῦντες τῷ κυρίῳ ἐπὶ τῇ ἐγέρσει τοῦ οἴκου κυρίου. [60] καὶ ἦλθοσαν ἐκ τῶν
ἱερέων τῶν Λευιτῶν καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρε-
σβύτεροι οἱ ἑωρακότες τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου οἰκοδομὴν μετὰ
61 κλαυθμοῦ καὶ κραυγῆς μεγάλης, [61] καὶ πολλοὶ διὰ σαλπίγγων καὶ χαρᾶς με-
62 γάλῃ τῇ φωνῇ, [62] ὥστε τὸν λαὸν μὴ ἀκούειν τῶν σαλπίγγων διὰ τὸν κλαυ-
θμὸν τοῦ λαοῦ· ὁ γὰρ ὄχλος ἦν ὁ σαλπίζων μεγάλως ὥστε μακρόθεν ἀκούεσθαι.
63 [63] καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν ἦλθοσαν ἐπιγνῶναι

45. κατοικεισθησαν ... om αυτου 46. πρ. την ανατολην 47. του ισραηλ 48. επ αυτο 49. αυτου pro αυτων ... τω κυριω 50. ηγαγ. τας σκηνοπηγιας εορτ. 53. και βρωτα κ. ποτα κ. χαρρα τ. σιδωνοις ... κυρου των 55. οικον pro ναον 56. καδωηλ ... υι. ιησου ημαδαβουν ... ιλιαδουν ... οικω του θεου· 57. οι υιοι 58. ομολογουντες τω 59. οικ. του κυριου 60. εκ των ιερων των ... οι προεωρακοτες ... κραυγης κ. κλαυθμου μεγαλου 61. om τη (62. μεγαλωστι ως τα μακροθεν) 63. βενιαμειν

Digitized by Google

τις ἡ φωνὴ τῶν σαλπίγγων, 64 καὶ ἐπέγνωσαν ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας 64
οἰκοδομοῦσι τὸν ναὸν τῷ κυρίῳ ϑεῷ Ἰσραήλ. 65 καὶ προσελϑόντες τῷ Ζορο- 65
βάβελ καὶ Ἰησοῦ καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς Συνοι-
κοδομήσωμεν ὑμῖν· 66 ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ κυρίου ὑμῶν, καὶ αὐτῷ 66
ἐπιϑύομεν ἀφ᾽ ἡμερῶν Ἀσβακαφὰς βασιλέως Ἀσσυρίων, ὃς μετήγαγεν ἡμᾶς
ἐνταῦϑα. 67 καὶ εἶπεν αὐτοῖς Ζοροβάβελ καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι τῶν 67
πατριῶν τοῦ Ἰσραήλ Οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίῳ
ϑεῷ ἡμῶν· 68 ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ κυρίῳ τοῦ Ἰσραὴλ ἀκολού- 68
ϑως οἷς προςέταξεν ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν. 69 τὰ δὲ ἔϑνη τῆς γῆς 69
ἐπικοιμώμενα τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ πολιορκοῦντες εἶργον τοῦ οἰκοδομεῖν,
70 καὶ βουλὰς δημαγωγοῦντες καὶ συστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἀπο- 70
τελεσϑῆναι τὴν οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ βασιλέως Κύρου·
καὶ εἴρχϑησαν τῆς οἰκοδομῆς ἔτη δύο ἕως τῆς Δαρείου βασιλείας.

## VI.

Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας ἐπροφήτευσεν Ἀγγαῖος
καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ οἱ προφῆται ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν τῇ Ἰουδαίᾳ
καὶ Ἱερουσαλὴμ ἐπὶ τῷ ὀνόματι κυρίου ϑεοῦ Ἰσραὴλ ἐπ᾽ αὐτούς. 2 τότε στὰς 2
Ζοροβάβελ ὁ τοῦ Σαλαϑιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἤρξαντο οἰκοδομεῖν τὸν
οἶκον τοῦ κυρίου τὸν ἐν Ἱερουσαλήμ, συνόντων τῶν προφητῶν τοῦ κυρίου βοη-
ϑούντων αὐτοῖς. 3 ἐν αὐτῷ τῷ χρόνῳ παρῆν πρὸς αὐτοὺς Σισίννης ὁ ἔπαρχος Συ- 3
ρίας καὶ Φοινίκης καὶ Σαϑραβουζάνης καὶ οἱ συνεταῖροι καὶ εἶπαν αὐτοῖς 4 Τί- 4
νος ὑμῖν συντάξαντος τὸν οἶκον τοῦτον οἰκοδομεῖτε καὶ τὴν στέγην ταύτην καὶ
τὰ ἄλλα πάντα ἐπιτελεῖτε; καὶ τίνες εἰσὶν οἰκοδόμοι οἱ ταῦτα ἐπιτελοῦντες;
5 καὶ ἔσχοσαν χάριν ἐπισκοπῆς γενομένης ἐπὶ τὴν αἰχμαλωσίαν παρὰ τοῦ κυρίου 5
οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, 6 καὶ οὐκ ἐκωλύϑησαν τῆς οἰκοδομῆς μέχρις 6
οὗ ἀποσημανϑῆναι Δαρείῳ περὶ αὐτῶν καὶ προσφωνηϑῆναι. 7 ΑΝΤΙΓΡΑΦΟΝ 7
ΕΠΙΣΤΟΛΗΣ ΗΣ ΕΓΡΑΨΕ ΔΑΡΕΙΩ ΚΑΙ ΑΠΕΣΤΕΙΛΑΝ. Σισίν-
νης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαϑραβουζάνης καὶ οἱ συνεταῖροι οἱ
ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόνες βασιλεῖ Δαρείῳ χαίρειν. 8 πάντα γνωστὰ ἔστω 8
τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ, ὅτι παραγενόμενοι εἰς τὴν χώραν τῆς Ἰουδαίας
καὶ ἐλϑόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν κατελάβομεν τῆς αἰχμαλωσίας τοὺς
πρεσβυτέρους τῶν Ἰουδαίων ἐν Ἱερουσαλὴμ τῇ πόλει οἰκοδομοῦντας οἶκον τῷ
κυρίῳ μέγαν, καινὸν διὰ λίϑων ξυστῶν πολυτελῶν, ξύλων τιϑεμένων ἐν τοῖς
τοίχοις, 9 καὶ τὰ ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα, καὶ εὐοδούμενον τὸ ἔργον 9
ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἐν πάσῃ δόξῃ καὶ ἐπιμελείᾳ συντελούμενον. 10 τότε 10
ἐπυνϑανόμεϑα τῶν πρεσβυτέρων τούτων λέγοντες Τίνος ὑμῖν προστάξαντος οἰκο-
δομεῖτε τὸν οἶκον τοῦτον καὶ τὰ ἔργα ταῦτα ϑεμελιοῦτε; 11 ἐπερωτήσαμεν 11
οὖν αὐτοὺς εἵνεκεν τοῦ γνωρίσαι σοι καὶ γράψαι σοι τοὺς ἀνϑρώπους τοὺς
ἀφηγουμένους, καὶ τὴν ὀνοματογραφίαν ᾐτοῦμεν αὐτοὺς τῶν προκαϑηγουμέ-
νων. 12 οἱ δὲ ἀπεκρίϑησαν ἡμῖν λέγοντες Ἐσμὲν παῖδες τοῦ κυρίου τοῦ κτί- 12
σαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. 13 καὶ ᾠκοδόμητο οἶκος ἔμπροσϑεν ἐτῶν 13
πλειόνων διὰ βασιλέως τοῦ Ἰσραὴλ μεγάλου καὶ ἰσχυροῦ, καὶ ἐπετελέσϑη.
14 καὶ ἐπεὶ οἱ πατέρες ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν κύριον τοῦ 14

---

65. συνοικοδομησομεν ... *αυτοις pro υμιν (?) 66. απο ημερων ασβασαρεϑ ... εντευϑα 67. ειπαν ... κυρ. τω ϑεω 70. και επιβουλας και δημαγωγιας και επισυστασις ποιουμενοι ... επιτελεσϑηναι VI. 1. της του δαριου 3. συνεταιρ. αυτου 4. τ αλλα pro τα αλλα ... om και ante τινες ... οι οικοδομοι 6. μεχρι του υποσημανϑηναι 7. απεστειλεν 8. ξυστων και πολυτελων 9. επι σπουδην γιγνομενα ... συντελουμενα 10. εϑεμελιουται 11. προκαϑημενων 12. ημεις εσμεν

Digitized by Google

Ἰσραὴλ τὸν οὐράνιον, παρέδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως
15 Βαβυλῶνος βασιλέως τῶν Χαλδαίων· 15 τόν τε οἶκον καθελόντες ἐνεπύρισαν,
16 καὶ τὸν λαὸν ᾐχμαλώτευσαν εἰς Βαβυλῶνα. 16 ἐν δὲ τῷ πρώτῳ ἔτει βασι-
λεύοντος Κύρου χώρας Βαβυλωνίας ἔγραψεν ὁ βασιλεὺς Κῦρος τὸν οἶκον τοῦ-
17 τον οἰκοδομῆσαι, 17 καὶ τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε
Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ ἐν
τῷ αὑτοῦ ναῷ, πάλιν ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς ἐκ τοῦ ναοῦ τοῦ ἐν
18 Βαβυλωνίᾳ, καὶ παρεδόθη Σαβανασσάρῳ Ζοροβάβελ τῷ ἐπάρχῳ. 18 καὶ ἐπε-
τάγη αὐτῷ, καὶ ἀπήνεγκε πάντα τὰ σκεύη ταῦτα ἀποθεῖναι ἐν τῷ ναῷ τῷ
19 ἐν Ἱερουσαλήμ, καὶ τὸν ναὸν τοῦ κυρίου οἰκοδομηθῆναι ἐπὶ τοῦ τόπου. 19 τότε
ὁ Σαβανάσσαρος παραγενόμενος ἐνεβάλετο τοὺς θεμελίους τοῦ οἴκου κυρίου
τοῦ ἐν Ἱερουσαλήμ, καὶ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν οἰκοδομούμενος οὐκ ἔλαβε
20 συντέλειαν. 20 νῦν οὖν εἰ κρίνεται, βασιλεῦ, ἐπισκεπήτω ἐν τοῖς βασιλικοῖς
21 βιβλιοφυλακίοις τοῦ Κύρου, 21 καὶ ἐὰν εὑρίσκηται μετὰ τῆς γνώμης Κύρου
τοῦ βασιλέως γενομένην τὴν οἰκοδομὴν τοῦ οἴκου κυρίου τοῦ ἐν Ἱερουσαλήμ,
22 καὶ κρίνηται τῷ κυρίῳ βασιλεῖ ἡμῶν, προςφωνησάτω ἡμῖν περὶ τούτων. 22 τότε
ὁ βασιλεὺς Δαρεῖος προςέταξεν ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακίοις τοῖς κει-
μένοις ἐν Βαβυλῶνι, καὶ εὑρέθη ἐν Ἐκβατάνοις τῇ βάρει τῇ ἐν Μηδείᾳ χώρᾳ
23 τόπος εἷς ἐν ᾧ ὑπομνημάτιστο τάδε. 23 Ἔτους πρώτου βασιλεύοντος Κύρου
βασιλεὺς Κῦρος προςέταξε τὸν οἶκον τοῦ κυρίου τὸν ἐν Ἱερουσαλὴμ οἰκοδο-
24 μῆσαι, ὅπου ἐπιθύουσι διὰ πυρὸς ἐνδελεχοῦς, 24 οὗ τὸ ὕψος πηχῶν ἑξήκοντα,
πλάτος πηχῶν ἑξήκοντα, διὰ δόμων λιθίνων ξυστῶν τριῶν καὶ δόμου ξυλίνου
ἐγχωρίου καινοῦ ἑνός, καὶ τὸ δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου Κύρου τοῦ
25 βασιλέως, 25 καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου κυρίου τά τε χρυσᾶ καὶ ἀργυρᾶ,
ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπήνεγκεν
εἰς Βαβυλῶνα, ἀποκατασταθῆναι εἰς τὸν οἶκον τὸν ἐν Ἱερουσαλὴμ οὗ ἦν κεί-
26 μενα, ὅπως τεθῇ ἐκεῖ. 26 προςέταξε δὲ ἐπιμεληθῆναι Σισίννῃ ἐπάρχῳ Συρίας
καὶ Φοινίκης καὶ Σαθραβουζάνῃ καὶ τοῖς συνεταίροις καὶ τοῖς ἀποτεταγμέ-
νοις ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόσιν ἀπέχεσθαι τοῦ τόπου, ἐᾶσαι δὲ τὸν παῖδα
κυρίου Ζοροβάβελ, ἔπαρχον δὲ τῆς Ἰουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν
27 Ἰουδαίων τὸν οἶκον τοῦ κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου. 27 καὶ ἐγὼ
δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι, καὶ ἀτενίσαι ἵνα συμποιῶσι τοῖς ἐκ τῆς
αἰχμαλωσίας τῆς Ἰουδαίας μέχρι τοῦ ἐπιτελεσθῆναι τὸν οἶκον τοῦ κυρίου,
28 28 καὶ ἀπὸ τῆς φορολογίας Κοίλης Συρίας καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν
δίδοσθαι τούτοις τοῖς ἀνθρώποις εἰς θυσίαν τῷ κυρίῳ, Ζοροβάβελ ἐπάρχῳ,
29 εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας, 29 ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα καὶ οἶνον
καὶ ἔλαιον ἐνδελεχῶς κατ' ἐνιαυτόν, καθὼς ἂν οἱ ἱερεῖς οἱ ἐν Ἱερουσαλὴμ
30 ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ' ἡμέραν ἀναμφισβητήτως, 30 ὅπως προςφέ-
ρωνται σπονδαὶ τῷ θεῷ τῷ ὑψίστῳ ὑπὲρ τοῦ βασιλέως καὶ τῶν παίδων, καὶ
31 προςεύχωνται περὶ τῆς αὐτῶν ζωῆς, 31 καὶ προςτάξαι ἵνα ὅσοι ἐὰν παραβῶσί
τι τῶν γεγραμμένων καὶ ἀκυρώσωσι, ληφθῆναι ξύλον ἐκ τῶν ἰδίων αὐτοῦ
32 καὶ ἐπ' αὐτοῦ κρεμασθῆναι, καὶ τὰ ὑπάρχοντα αὐτοῦ εἶναι βασιλικά. 32 διὰ

---

14. βασιλ. της βαβυλωνιας 16. οικοδομηθηναι 17. αργυρεα ... εαυτου ναω ... εν βαβυλωνι ... παρεδοθη ζοροβαβελ και σαναβασσαρω τω επαρχω 18. αυτω απενεγκαντι ταυτα τα σκευη ... του κυριου τουτον 19. σαναβασσαρος ... του κυριου 20. κυριου pro κυρου 22. βασιλικοις βιβλιοφυλ. ... τομος εις εν ω υπεμνηματιστο 25. τα χρυσεα και τα αργυρεα εξηνεγκεν (sic) 26. εασαι τον παιδα του κυριου ... τον οικον κυριου 27. om δε ... συνποιωσιν ... αιχμαλ. των ιουδαιων μεχρεις του 28. εις θυσιας 29. αναμφισβητως 31. και προσεταξεν ι. οσοι αν παρ. τι των προειρημενων και των προςγεγραμμενων η και ακυρωσωσιν λημφθηναι ... και επι τουτω κρεμασθηναι

Digitized by Google

ταῦτα καὶ ὁ κύριος, οὗ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάντα
βασιλέα καὶ ἔθνος ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν
οἶκον κυρίου ἐκεῖνον τὸν ἐν Ἱερουσαλήμ. [33] ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτικα 33
ἐπιμελῶς κατὰ ταῦτα γίνεσθαι.

## VII.

Τότε Σισίννης ἔπαρχος Κοίλης Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης
καὶ οἱ συνεταῖροι, κατακολουθήσαντες τοῖς ὑπὸ τοῦ βασιλέως Δαρείου προσ-
ταγεῖσιν, [2] ἐπεστάτουν τῶν ἱερῶν ἔργων ἐπιμελέστερον συνεργοῦντες τοῖς πρεσβυ- 2
τέροις τῶν Ἰουδαίων καὶ ἱεροστάταις. [3] καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα, προ- 3
φητευόντων Ἀγγαίου καὶ Ζαχαρίου τῶν προφητῶν. [4] καὶ συνετέλεσαν ταῦτα 4
διὰ προστάγματος κυρίου θεοῦ Ἰσραήλ, καὶ μετὰ τῆς γνώμης τοῦ Κύρου καὶ
Δαρείου καὶ Ἀρταξέρξου βασιλέων Περσῶν. [5] συνετελέσθη ὁ οἶκος ὁ ἅγιος ἕως 5
τρίτης καὶ εἰκάδος μηνὸς Ἀδαρ τοῦ ἕκτου ἔτους βασιλέως Δαρείου. [6] καὶ ἐποίη- 6
σαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰ-
χμαλωσίας οἱ προστεθέντες ἀκολούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ. [7] καὶ προσή- 7
νεγκαν εἰς τὸν ἐγκαινισμὸν τοῦ ἱεροῦ τοῦ κυρίου ταύρους ἑκατόν, κριοὺς
διακοσίους, ἄρνας τετρακοσίους, [8] χιμάρους ὑπὲρ ἁμαρτίας παντὸς τοῦ Ἰσραὴλ 8
δώδεκα πρὸς ἀριθμὸν ἐκ τῶν φυλάρχων τοῦ Ἰσραὴλ δώδεκα. [9] καὶ ἔστησαν 9
οἱ ἱερεῖς καὶ οἱ Λευῖται κατὰ φυλὰς ἐστολισμένοι ἐπὶ τῶν ἔργων κυρίου θεοῦ
Ἰσραὴλ ἀκολούθως τῇ Μωυσέως βίβλῳ, καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶ-
νος. [10] καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ τῶν ἐκ τῆς αἰχμαλωσίας τὸ πάσχα ἐν 10
τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός, ὅτε ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ
Λευῖται ἅμα [11] καὶ πάντες οἱ υἱοὶ τῆς αἰχμαλωσίας· ὅτι ἡγνίσθησαν, ὅτι οἱ 11
Λευῖται ἅμα πάντες ἡγνίσθησαν. [12] καὶ ἔθυσαν τὸ πάσχα πᾶσι τοῖς υἱοῖς τοῖς 12
αἰχμαλωσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς. [13] καὶ ἐφά- 13
γοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες ἀπὸ τῶν
βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν κύριον. [14] καὶ ἠγάγοσαν τὴν 14
ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι ἔναντι κυρίου, [15] ὅτι μετέ- 15
στρεψε τὴν βουλὴν τοῦ βασιλέως Ἀσσυρίων ἐπ' αὐτούς, κατισχῦσαι τὰς χεῖρας
αὐτῶν ἐπὶ τὰ ἔργα κυρίου θεοῦ Ἰσραήλ.

## VIII.

Καὶ μεταγενέστερος τούτων ἐστί, βασιλεύοντος Ἀρταξέρξου τοῦ Περσῶν
βασιλέως προσέβη Ἔσδρας Ἀζαραίου τοῦ Ζεχρίου τοῦ Χελκίου τοῦ Σαλήμου
[2] τοῦ Σαδδούκου τοῦ Ἀχιτὼβ τοῦ Ἀμαρίου τοῦ Ὀζίου τοῦ Βοκκὰ τοῦ Ἀβι- 2
σαΐ τοῦ Φινεὲς τοῦ Ἐλεάζαρ τοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου. [3] οὗτος 3
Ἔσδρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμματεὺς εὐφυὴς ὢν ἐν τῷ Μωυσέως
νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ θεοῦ τοῦ Ἰσραήλ, [4] καὶ ἔδωκεν αὐτῷ ὁ βα- 4
σιλεὺς δόξαν, εὑρόντος χάριν ἐνώπιον αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ.
[5] καὶ συνανέβησαν ἐκ τῶν υἱῶν Ἰσραὴλ καὶ τῶν ἱερέων καὶ Λευιτῶν καὶ ἱερο- 5
ψαλτῶν καὶ θυρωρῶν καὶ ἱεροδούλων εἰς Ἱερουσαλήμ, [6] ἔτους ἑβδόμου βασι- 6
λεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνί· οὗτος ἐνιαυτὸς ἕβδομος τῷ βασιλεῖ·
ἐξελθόντες γὰρ ἐκ Βαβυλῶνος τῇ νουμηνίᾳ τοῦ πρώτου μηνὸς παρεγένοντο

32. οικ. του κυριου VII. 1. ο επαρχος 2. των ιεραιων pro τ. ιουδ. 4. του κυριου ... γνωμης κυρου ... αρταρξερξου ... in f: add εως του εκτου ετους δαρειου βασιλεως περσων 6. μωσεως 8. χιμαρρους 9. κυρ. του θεου ... μωσεως 10. οτι pro οτε 12. υιοις της αιχμ. 14. του κυριου VIII. 1. αρταρξερξου ... εζρας σαρκιου του εζεριου τ. χελκ. 2. εζιου ... ante του βοκκα add του μαρερωθ του ζαραιου του σαουια ... αβισουαι 3. εζρας ... εν τω νομω μωυσεως 5. εις ιεροσολυμα 6. αρταρξερξου ... ουτ. ο ενιαυτος ... post μηνος add εν τη νουμηνια του πεμπτου μηνος

Digitized by Google

εἰς Ἰερουσαλὴμ κατὰ τὴν δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ τοῦ κυρίου ἐπ' αὐτῷ.
7 7 ὁ γὰρ Ἔσδρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν
ἐκ τοῦ νόμου κυρίου καὶ ἐκ τῶν ἐντολῶν, διδάξαι πάντα τὸν Ἰσραὴλ δι-
8 καιώματα καὶ κρίματα. 8 προςπεσόντος δὲ τοῦ γραφέντος προςτάγματος παρὰ
Ἀρταξέρξου βασιλέως πρὸς Ἔσδραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ νόμου κυ-
9 ρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον. 9 Βασιλεὺς Ἀρταξέρξης Ἔσδρᾳ τῷ
10 ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ νόμου κυρίου χαίρειν. 10 καὶ τὰ φιλάνθρωπα ἐγὼ κρί-
νας προςέταξα τοὺς βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱρετίζοντας
καὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τῶνδε ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ συμ-
11 πορεύεσθαί σοι εἰς Ἰερουσαλήμ. 11 ὅσοι οὖν ἐνθυμοῦνται, συνεξορμάσθωσαν
12 καθάπερ δέδοκται ἐμοί τε καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς, 12 ὅπως ἐπι-
σκέψωνται τὰ κατὰ τὴν Ἰουδαίαν καὶ Ἰερουσαλὴμ ἀκολούθως ᾧ ἔχει ἐν τῷ
13 νόμῳ κυρίου, 13 καὶ ἀπενεγκεῖν δῶρα τῷ κυρίῳ τοῦ Ἰσραὴλ ἃ ηὐξάμην ἐγώ
τε καὶ οἱ φίλοι εἰς Ἰερουσαλήμ, καὶ πᾶν χρυσίον καὶ ἀργύριον ὃ ἐὰν εὑρεθῇ
ἐν τῇ χώρᾳ τῆς Βαβυλωνίας τῷ κυρίῳ εἰς Ἰερουσαλὴμ σὺν τῷ δεδωρημένῳ
14 ὑπὸ τοῦ ἔθνους εἰς τὸ ἱερὸν τοῦ κυρίου θεοῦ αὐτῶν τὸ ἐν Ἰερουσαλὴμ 14 συν-
αχθῆναι, τό τε χρυσίον καὶ τὸ ἀργύριον εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας
15 καὶ τὰ τούτοις ἀκόλουθα, 15 ὥςτε προςενεγκεῖν θυσίας τῷ κυρίῳ ἐπὶ τὸ θυ-
16 σιαστήριον τοῦ κυρίου θεοῦ αὐτῶν τὸ ἐν Ἰερουσαλήμ. 16 καὶ πάντα ὅσα ἐὰν
βούλῃ μετὰ τῶν ἀδελφῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ
17 τὸ θέλημα τοῦ θεοῦ σου. 17 καὶ τὰ ἱερὰ σκεύη τοῦ κυρίου, τὰ διδόμενά σοι
18 εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου, 18 δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυ-
19 λακίου. 19 κἀγὼ ἰδοὺ Ἀρταξέρξης βασιλεὺς προςέταξα τοῖς γαζοφύλαξι Συρίας
καὶ Φοινίκης, ἵνα ὅσα ἐὰν ἀποστείλῃ Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ
νόμου τοῦ θεοῦ τοῦ ὑψίστου ἐπιμελῶς διδῶσιν αὐτῷ ἕως ἀργυρίου ταλάντων
20 ἑκατόν, 20 ὁμοίως δὲ καὶ ἕως πυροῦ κόρων ἑκατὸν καὶ οἴνου μετρητῶν ἑκα-
21 τόν. 21 καὶ ἄλλα ἐκ πλήθους πάντα κατὰ τὸν τοῦ θεοῦ νόμον ἐπιτελεσθήτω
ἐπιμελῶς τῷ θεῷ τῷ ὑψίστῳ, ἕνεκεν τοῦ μὴ γενέσθαι ὀργὴν εἰς τὴν βασι-
22 λείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. 22 καὶ ὑμῖν δὲ λέγεται ὅπως πᾶσι
τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις
καὶ πραγματικοῖς τοῦ ἱεροῦ τούτου μηδεμία φορολογία μηδὲ ἄλλη ἐπιβουλὴ
23 γίνηται, καὶ μηδένα ἔχειν ἐξουσίαν ἐπιβαλεῖν τι τούτοις. 23 καὶ σύ, Ἔσδρα,
κατὰ τὴν σοφίαν τοῦ θεοῦ ἀνάδειξον κριτὰς καὶ δικαστάς, ὅπως δικάζωσιν
ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς ἐπισταμένους τὸν νόμον τοῦ θεοῦ σου,
24 καὶ τοὺς μὴ ἐπισταμένους διδάξεις. 24 καὶ πάντες ὅσοι ἂν παραβαίνωσι τὸν
νόμον τοῦ θεοῦ σου καὶ τὸν βασιλικὸν ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ
25 θανάτῳ ἐάν τε καὶ τιμωρίᾳ ἢ ἀργυρικῇ ζημίᾳ ἢ ἀπαγωγῇ. 25 καὶ εἶπεν
Ἔσδρας ὁ γραμματεύς Εὐλογητὸς μόνος κύριος ὁ θεὸς τῶν πατέρων μου ὁ
δοὺς ταῦτα εἰς τὴν καρδίαν τοῦ βασιλέως, δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν
26 Ἰερουσαλήμ, 26 καὶ ἐμὲ ἐτίμησεν ἐναντίον τοῦ βασιλέως καὶ τῶν συμβουλευόντων

---

6. εις ιεροσολυμα ... om επ αυτω 7. εζρας ... παραλειπειν ... om εκ secundum ... τον παντα ισραηλ παντα τα δικ. κ. τα κρ. 8. αρταρξερξου του βασιλεως ... εζραν τ. ιερεαν 9. αρταρξερξης εζρα ... λευιτ. οντων δε αυτων εν τη 11. συνεξορματωσαν 12. ως εχει ... νομω του κυριου 13. om τω κυριω ... * ab ιερουσαλημ ad ιερουσαλημ transiluisse videtur 14. ** (etiam *?) om τε 15. om κυριου 17. in f. add του εν ιερουσαλημ 18. ab initio add και τα λοιπα οσα εαν υποπιπτη σοι εις την χρειαν του ιερου του θεου σου ... εκ του ιερου γαζοφ. 19. καγω δε ο βασιλευς αρταρξερξης ... εζρας 21. επι pro εις 22. και τοις ιεροψαλταις ... μηδε αλλα (sic) βουλη γιγνηται κ. εξουσ. μηδενα εχειν 23. εζρα ... δε διδαξεις 24. οσοι εαν παραβαινουσιν 25. εζρας ... μονος ο κυριος των 26. συμβασιλευοντων

Digitized by Google

καὶ πάντων τῶν φίλων καὶ μεγιστάνων αὐτοῦ. [27] καὶ ἐγὼ εὐθαρσὴς ἐγε- 27
νόμην κατὰ τὴν ἀντίληψιν κυρίου τοῦ θεοῦ μου, καὶ συνήγαγον ἄνδρας ἐκ
τοῦ Ἰσραὴλ ὥστε συναναβῆναί μοι. [28] καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς 28
πατριὰς αὐτῶν καὶ τὰς μεριδαρχίας οἱ ἀναβάντες μετ' ἐμοῦ ἐκ Βαβυλῶνος
ἐν τῇ βασιλείᾳ Ἀρταξέρξου τοῦ βασιλέως. [29] ἐκ τῶν υἱῶν Φινεές, Γηρσών· 29
ἐκ τῶν υἱῶν Ἰαθαμάρου, Γαμαλιήλ· ἐκ τῶν υἱῶν Δαυίδ, Λαττοὺς ὁ Σεχε-
νίου· [30] ἐκ τῶν υἱῶν Φόρος, Ζαχαρίας, καὶ μετ' αὐτοῦ ἀπεγράφησαν ἄνδρες 30
ἑκατὸν πεντήκοντα· [31] ἐκ τῶν υἱῶν Φαὰθ Μωάβ, Ἐλιαωνίας Ζαραίου, καὶ 31
μετ' αὐτοῦ ἄνδρες διακόσιοι· [32] ἐκ τῶν υἱῶν Ζαθόης, Σεχενίας Ἰεζήλου, καὶ 32
μετ' αὐτοῦ ἄνδρες τριακόσιοι· ἐκ τῶν υἱῶν Ἀδίν, Ὠβὴθ Ἰωνάθου, καὶ μετ'
αὐτοῦ ἄνδρες διακόσιοι πεντήκοντα· [33] ἐκ τῶν υἱῶν Ἠλάμ, Ἰεσίας Γοθολίου, 33
καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα· [34] ἐκ τῶν υἱῶν Σαφατίου, Ζαραΐας 34
Μιχαήλου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα· [35] ἐκ τῶν υἱῶν Ἰωάβ, Ἀβα- 35
δίας Ἰεζήλου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι δεκαδύο· [36] ἐκ τῶν υἱῶν 36
Βανίας, Σαλιμὼθ Ἰωσαφίου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑξήκοντα καὶ ἑκατόν·
[37] ἐκ τῶν υἱῶν Βαβί, Ζαχαρίας Βηβαΐ, καὶ μετ' αὐτοῦ ἄνδρες εἰκοσιοκτώ· 37
[38] ἐκ τῶν υἱῶν Ἀστάθ, Ἰωάννης Ἀκατάν, καὶ μετ' αὐτοῦ ἄνδρες ἑκατὸν δέκα· 38
[39] ἐκ τῶν υἱῶν Ἀδωνικὰμ οἱ ἔσχατοι, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλιφαλὰ 39
τοῦ Γεουὴλ καὶ Σαμαίας, καὶ μετ' αὐτῶν ἄνδρες ἑβδομήκοντα· [40] ἐκ τῶν 40
υἱῶν Βαγώ, Οὐθὶ ὁ τοῦ Ἰσταλκούρου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα.
[41] καὶ συνήγαγον αὐτοὺς ἐπὶ τὸν λεγόμενον Θερὰν ποταμόν, καὶ παρενεβάλο- 41
μεν ἡμέρας τρεῖς αὐτόθι, καὶ κατέμαθον αὐτούς. [42] καὶ ἐκ τῶν ἱερέων καὶ 42
ἐκ τῶν Λευιτῶν οὐχ εὑρὼν ἐκεῖ, [43] ἀπέστειλα πρὸς Ἐλεάζαρον καὶ Ἰδουῆλον 43
καὶ Μαιὰ καὶ Μασμὰν καὶ Ἀλναθὰν καὶ Σαμαίαν καὶ Ἰώριβον, Νάθαν, Ἐν-
νατάν, Ζαχαρίαν καὶ Μοσόλλαμον τοὺς ἡγουμένους καὶ ἐπιστήμονας, [44] καὶ 44
εἶπα αὐτοῖς ἐλθεῖν πρὸς Λοδδαῖον τὸν ἡγούμενον τὸν ἐν τῷ τόπῳ τοῦ γαζο-
φυλακίου, [45] ἐντειλάμενος αὐτοῖς διαλεχθῆναι Λοδδαίῳ καὶ τοῖς ἀδελφοῖς αὐ- 45
τοῦ καὶ τοῖς ἐν τῷ τόπῳ γαζοφύλαξιν ἀποστεῖλαι ἡμῖν τοὺς ἱερατεύσοντας ἐν
τῷ οἴκῳ τοῦ κυρίου ἡμῶν. [46] καὶ ἤγαγον ἡμῖν κατὰ τὴν κραταιὰν χεῖρα τοῦ 46
κυρίου ἡμῶν ἄνδρας ἐπιστήμονας, τῶν υἱῶν Μοολὶ τοῦ Λευὶ τοῦ Ἰσραὴλ
Ἀσεβηβίαν, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελφοὺς ὄντας δέκα καὶ ὀκτώ·
[47] καὶ Ἀσεβίαν καὶ Ἄννουον καὶ Ὡσαίαν ἀδελφὸν ἐκ τῶν υἱῶν Χανουναίου, 47
καὶ οἱ υἱοὶ αὐτῶν εἴκοσι ἄνδρες· [48] καὶ ἐκ τῶν ἱεροδούλων ὧν ἔδωκε Δαυίδ, 48
καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευιτῶν, ἱεροδούλους διακοσίους καὶ
εἴκοσι· πάντων ἐσημάνθη ἡ ὀνοματογραφία. [49] καὶ εὐξάμην ἐκεῖ νηστείαν τοῖς 49
νεανίσκοις ἔναντι κυρίου ἡμῶν, [50] ζητῆσαι παρ' αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ 50
τοῖς συνοῦσιν ἡμῖν, τέκνοις ἡμῶν καὶ κτήνεσιν. [51] ἐνετράπην γὰρ αἰτῆσαι τὸν 51
βασιλέα πεζούς τε καὶ ἱππεῖς καὶ προπομπὴν ἕνεκεν ἀσφαλείας τῆς πρὸς τοὺς
ἐναντιουμένους ἡμῖν. [52] εἴπαμεν γὰρ τῷ βασιλεῖ ὅτι ἡ ἰσχὺς τοῦ κυρίου ἡμῶν 52
ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐπανόρθωσιν. [53] καὶ πάλιν 53
ἐδεήθημεν τοῦ κυρίου ἡμῶν πάντα ταῦτα, καὶ ἐτύχομεν εὐιλάτου. [54] καὶ ἐχώρισα 54

---

27. χαγω ... αντιλημψιν ... εκ τ. ισρ. ανδρας 28. αναβαινοντες ... αρταρξερξου 29. υιων ιθαμαρ γαμαηλ ... αττους 30. om εκ (... φορος ζαι μετ αυτου απογραφης ανδρες) 33. ελαμ ιεσσιας 34. om εκ τ. υι. σαφατιου usque εβδομηκοντα 35. δωδεκα 36. βανι ασσαλιμωθ (ita dist.) 37. βηβαι 39. ελιφαλατος ιεουηλ 40. βαγο 41. αυτοθι. ημερας τρεις 42. κ. εκ τ. νιων των ιεραιων 43. om και μαια ... μαασμαν ... ελναθαν 44. δολδαιον 45. δολδαιω ... ιερατευσαντας εν τοπω του 46. ηγαγεν ... οντας δεκα οχτω (sed οντας rescr. est) 47. αννουνον ... ανδρες εικοσι 48. ονομασθη pro εσημανθη 49. ηυξαμην εκ. τοις νεαν. νηστιαν εν. κυρ. του θεου ημων 51. πεζζους 52. οτι ισχυς 53. ημων κατα ταυτα· και ιλατου (** ιλαστου) ετυχομεν.



Digitized by Google

τῶν φυλάρχων τῶν ἱερέων ἄνδρας δεκαδύο, καὶ Ἐσερεβίαν καὶ Σαμίαν,
55 καὶ μετ᾽ αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δώδεκα. [55] καὶ ἔστησα αὐ-
τοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ κυρίου
ἡμῶν, ἃ ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ μεγιστᾶνες
56 καὶ πᾶς Ἰσραήλ. [56] καὶ στήσας παρέδωκα αὐτοῖς ἀργυρίου τάλαντα ἑξακόσια
πεντήκοντα, καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκατόν, καὶ χρυσίου τάλαντα ἑκα-
τόν, καὶ χρυσώματα εἴκοσι, καὶ σκεύη χάλκεα ἀπὸ χρηστοῦ χαλκοῦ στίλβοντα
57 χρυσοειδῆ σκεύη δώδεκα. [57] καὶ εἶπα αὐτοῖς Καὶ ὑμεῖς ἅγιοί ἐστε τῷ κυρίῳ,
καὶ τὰ σκεύη τὰ ἅγια καὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον εὐχὴ τῷ κυρίῳ, κυ-
58 ρίῳ τῶν πατέρων ἡμῶν. [58] ἀγρυπνεῖτε καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι
ὑμᾶς αὐτὰ τοῖς φυλάρχοις τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τοῖς ἡγουμένοις
τῶν πατριῶν τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ ἐν τοῖς παστοφορίοις τοῦ οἴκου τοῦ
59 θεοῦ ἡμῶν. [59] καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὸ ἀργύριον καὶ
τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν Ἱερουσαλὴμ εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ κυ-
60 ρίου. [60] καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ Θερὰ τῇ δωδεκάτῃ τοῦ πρώτου
μηνὸς ἕως εἰσήλθομεν εἰς Ἱερουσαλὴμ κατὰ τὴν κραταιὰν χεῖρα τοῦ κυρίου
ἡμῶν τὴν ἐφ᾽ ἡμῖν· καὶ ἐρρύσατο ἡμᾶς ἀπὸ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ,
61 καὶ ἤλθομεν εἰς Ἱερουσαλήμ. [61] καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης, τῇ
ἡμέρᾳ τῇ τετάρτῃ σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ οἴκῳ
62 κυρίου ἡμῶν Μαρμωθι Οὐρίᾳ ἱερεῖ, [62] καὶ μετ᾽ αὐτοῦ Ἐλεάζαρ ὁ τοῦ Φι-
νεές· καὶ ἦσαν μετ᾽ αὐτοῦ Ἰωσαβδὸς Ἰησοῦ καὶ Μωεθ Σαβάννου. οἱ δὲ Λευῖ-
ται πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα· καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῶν αὐτῇ
63 τῇ ὥρᾳ. [63] οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας προσήνεγκαν θυσίας τῷ
θεῷ τοῦ Ἰσραὴλ κυρίῳ, ταύρους δώδεκα ὑπὲρ παντὸς Ἰσραήλ, κριοὺς ἐνε-
νηκονταέξ, ἄρνας ἑβδομηκονταδύο, τράγους ὑπὲρ σωτηρίου δώδεκα, ἅπαντα
64 θυσίαν τῷ κυρίῳ. [64] καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως τοῖς βασι-
λικοῖς οἰκονόμοις καὶ τοῖς ἐπάρχοις Κοίλης Συρίας καὶ Φοινίκης, καὶ ἐδόξασαν
65 τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ κυρίου. [65] καὶ τούτων τελεσθέντων προσήλθοσάν μοι
66 οἱ ἡγούμενοι λέγοντες [66] Οὐκ ἐχώρισαν τὸ ἔθνος τοῦ Ἰσραὴλ καὶ οἱ ἄρχοντες
καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ τὰς ἀκαθαρσίας
αὐτῶν ἀπὸ τῶν ἐθνῶν τῶν Χαναναίων καὶ Χετταίων καὶ Φερεζαίων καὶ Ἰε-
67 βουσαίων καὶ Μωαβιτῶν καὶ Αἰγυπτίων καὶ Ἰδουμαίων· [67] συνῴκησαν γὰρ
μετὰ τῶν θυγατέρων αὐτῶν καὶ αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν, καὶ ἐπεμίγη τὸ
σπέρμα τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς, καὶ μετεῖχον οἱ προηγούμε-
νοι καὶ οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος.
68 [68] καὶ ἅμα τῷ ἀκοῦσαί με ταῦτα διέρρηξα τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα,
καὶ κατέτιλα τοῦ τριχώματος τῆς κεφαλῆς καὶ τοῦ πώγωνος, καὶ ἐκάθισα
69 σύννους καὶ περίλυπος. [69] καὶ ἐπισυνήχθησαν πρός με ὅσοι ποτὲ ἐπεκινοῦντο
ἐπὶ τῷ ῥήματι κυρίου θεοῦ τοῦ Ἰσραὴλ ἐμοῦ πενθοῦντος ἐπὶ τῇ ἀνομίᾳ, καὶ
70 ἐκαθήμην περίλυπος ἕως τῆς δειλινῆς θυσίας. [70] καὶ ἐξεγερθεὶς ἐκ τῆς νη-
στείας, διερρηγμένα ἔχων τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα, κάμψας τὰ γόνατα
71 καὶ ἐκτείνας τὰς χεῖρας πρὸς τὸν κύριον ἔλεγον [71] Κύριε, ᾔσχυμμαι καὶ ἐντέ-
72 τραμμαι κατὰ πρόσωπόν σου. [72] αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ τὰς

---

54. δωδεκα ... ασαμιαν ... ανδρ. δεκα 55. ουτως pro ἃ 56. εξακοσ. και πεντηκοντα ... αργυρεα ... ab εκατον ad εκατον transilit (... χρυσωματα) 57. τω κυριω, κυριος και τα σκευη αγια 58. αυτα υμας (... τοις ηγεμονοις) ... κυριου pro θεου 60. om πρωτου ... εισοδου κυριος απο 61. τη δε ημερα ... του κυριου ημων μαρμαθι ουρι 62. μετ αυτων ιωσαβδος ... σαβαννου οι λευιται 65. προσηλθον 66. om αυτων 67. συνηκησαν ... om και primum 68. και εγενετο αμα 69. οσοι ησαν ζηλωται και οσοι ποτε ... θεου ισραηλ 71. om και

κεφαλὰς ἡμῶν, καὶ αἱ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐρανοῦ [73] ἔτι ἀπὸ 73
τῶν χρόνων τῶν πατέρων ἡμῶν, καί ἐσμεν ἐν μεγάλῃ ἁμαρτίᾳ ἕως τῆς ἡμέ-
ρας ταύτης. [74] καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ τῶν πατέρων ἡμῶν παρεδό- 74
θημεν σὺν τοῖς ἀδελφοῖς ἡμῶν καὶ σὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ σὺν τοῖς
ἱερεῦσιν ἡμῶν τοῖς βασιλεῦσι τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμαλωσίαν καὶ
προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέρας. [75] καὶ νῦν κατὰ πόσον 75
τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ τοῦ κυρίου κυρίου, καταλειφθῆναι ἡμῖν ῥίζαν καὶ
ὄνομα ἐν τῷ τόπῳ ἁγιάσματός σου, [76] καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῖν 76
ἐν τῷ οἴκῳ κυρίου τοῦ θεοῦ ἡμῶν, δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς
δουλείας ἡμῶν; καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐγκατελείφθημεν ὑπὸ τοῦ κυ-
ρίου ἡμῶν, [77] ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπιον τῶν βασιλέων Περσῶν, 77
δοῦναι ἡμῖν τροφὴν [78] καὶ δοξάσαι τὸ ἱερὸν τοῦ κυρίου ἡμῶν καὶ ἐγεῖραι τὴν 78
ἔρημον Σιών, δοῦναι ἡμῖν στερέωμα ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ. [79] καὶ 79
νῦν τί ἐροῦμεν, κύριε, ἔχοντες ταῦτα; παρέβημεν γὰρ τὰ προστάγματά σου
ἃ ἔδωκας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν λέγων [80] ὅτι ἡ γῆ εἰς ἣν 80
εἰσέρχεσθε κληρονομῆσαι ἔστι γῆ μεμολυσμένη μολυσμῷ τῶν ἀλλογενῶν τῆς
γῆς, καὶ τῆς ἀκαθαρσίας αὐτῶν ἐνέπλησαν αὐτήν· [81] καὶ νῦν τὰς θυγατέρας 81
ὑμῶν μὴ συνοικήσητε τοῖς υἱοῖς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν μὴ λάβητε
τοῖς υἱοῖς ὑμῶν, [82] καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα 82
χρόνον, ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κατακληρονομήσητε
τοῖς τέκνοις ὑμῶν ἕως αἰῶνος. [83] καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν γίνεται διὰ 83
τὰ ἔργα ἡμῶν τὰ πονηρὰ καὶ τὰς μεγάλας ἁμαρτίας ἡμῶν· σὺ γάρ, κύριε
ὁ κουφίσας τὰς ἁμαρτίας ἡμῶν, [84] ἔδωκας ἡμῖν τοιαύτην ῥίζαν, πάλιν ἀνε- 84
κάμψαμεν παραβῆναι τὸν νόμον σου εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν
ἐθνῶν τῆς γῆς. [85] οὐχὶ ὠργίσθης ἡμῖν ἀπολέσαι ἡμᾶς ἕως τοῦ μὴ καταλιπεῖν 85
ῥίζαν καὶ σπέρμα καὶ ὄνομα ἡμῶν; [86] κύριε τοῦ Ἰσραήλ, ἀληθινὸς εἶ· κατ- 86
ελείφθημεν γὰρ ῥίζα ἐν τῇ σήμερον. [87] ἰδοὺ νῦν ἐσμὲν ἐνώπιόν σου ἐν ταῖς 87
ἀνομίαις ἡμῶν· οὐ γὰρ ἔστι στῆναι ἔτι ἔμπροσθέν σου ἐπὶ τούτοις. [88] καὶ 88
ὅτε προσευχόμενος Ἔσδρας ἀνθωμολογεῖτο κλαίων χαμαιπετὴς ἔμπροσθεν τοῦ
ἱεροῦ, ἐπισυνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἱερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄν-
δρες καὶ γυναῖκες καὶ νεανίαι· κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει. [89] καὶ 89
φωνήσας Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ εἶπεν Ἔσδρα, ἡμεῖς ἡμάρτομεν
εἰς τὸν κύριον· συνῳκίσαμεν γυναῖκας ἀλλογενεῖς ἐκ τῶν ἐθνῶν τῆς γῆς· καὶ
νῦν ἐστὶν ἐπάνω πᾶς Ἰσραήλ. [90] ἐν τούτῳ γινέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν 90
κύριον, ἐκβαλεῖν πάσας τὰς γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς
τέκνοις αὐτῶν, ὡς ἐκρίθη σοι, καὶ ὅσοι πειθαρχοῦσι τοῦ νόμου κυρίου. [91] ἀνα- 91
στὰς ἐπιτέλει· πρὸς σὲ γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς μετὰ σοῦ ἰσχὺν ποιεῖν.
[92] καὶ ἀναστὰς Ἔσδρας ὥρκισε τοὺς φυλάρχους τῶν ἱερέων καὶ Λευιτῶν παν- 92
τὸς τοῦ Ἰσραὴλ ποιῆσαι κατὰ ταῦτα, καὶ ὤμοσαν.

## IX.

Καὶ ἀναστὰς Ἔσδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπορεύθη εἰς τὸ παστο-
φόριον Ἰωνὰν τοῦ Ἐλιασίβου, [2] καὶ αὐλισθεὶς ἐκεῖ ἄρτου οὐκ ἐγεύσατο οὐδὲ 2
ὕδωρ ἔπιε, πενθῶν ἐπὶ τῶν ἀνομιῶν τῶν μεγάλων τοῦ πλήθους. [3] καὶ ἐγέ- 3

74. post ιερευσιν ημων add και 75. παρα σου κυριε, καταλειφθ. ... του αγιασματος 76. αναψαι φωστηρα ημων ... του κυριου θεου ... δουλιας ... απο pro υπο 77. αλλ 79. αιρουμεν 80. μεμολυμμενη 81. θυγ. αυτων μη συνοικισητε τοις τεκνοις υμων κ. τ. θυγ. ημων μη δωτε τ. υι. αυτων 82. εως του αιωνος 83. γιγνεται ... κυριε εκουφισας 84. και εδωκας 85. καταλειπειν 88. εζρας ... εξ ιερουσαλημ 89. ιεηλ ο των ... εζρα ... κυριον θεον· και συνωκισαμεν ... απο pro εκ 90. (ηγνεσθω ...) τω νομω 92. εζρας IX. 1. (εδρας ...) ιωαναν



Digitized by Google

νετο κήρυγμα ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ πᾶσι τοῖς ἐκ τῆς αἰχμα-
4 λωσίας, συναχθῆναι εἰς Ἱερουσαλήμ· 4 καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν
ἢ τρισὶν ἡμέραις κατὰ τὸ κρίμα τῶν προκαθημένων πρεσβυτέρων, ἀνιερω-
θήσονται τὰ κτήνη αὐτῶν, καὶ αὐτὸς ἀλλοτριωθήσεται ἀπὸ τοῦ πλήθους τῆς
5 αἰχμαλωσίας. 5 καὶ ἐπισυνήχθησαν πάντες οἱ ἐκ τῆς φυλῆς Ἰούδα καὶ Βενια-
μὶν ἐν τρισὶν ἡμέραις εἰς Ἱερουσαλήμ· οὗτος ὁ μὴν ἔννατος τῇ εἰκάδι τοῦ
6 μηνός. 6 καὶ συνεκάθισαν πᾶν τὸ πλῆθος ἐν τῷ εὐρυχώρῳ τοῦ ἱεροῦ τρέ-
7 μοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα. 7 καὶ ἀναστὰς Ἔσδρας εἶπεν αὐτοῖς Ὑμεῖς
ἠνομήσατε καὶ συνῳκίσατε γυναιξὶν ἀλλογενέσι τοῦ προςθεῖναι ἁμαρτίας τῷ
8 Ἰσραήλ. 8 καὶ νῦν δότε ὁμολογίαν δόξαν τῷ κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν,
9 9 καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ καὶ χωρίσθητε ἀπὸ τῶν ἐθνῶν τῆς γῆς καὶ
10 ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογενῶν. 10 καὶ ἐφώνησεν ἅπαν τὸ πλῆθος καὶ εἶπον
11 μεγάλῃ τῇ φωνῇ Οὕτως ὡς εἴρηκας ποιήσομεν. 11 ἀλλὰ τὸ πλῆθος πολὺ καὶ
ὥρα χειμερινή, καὶ οὐκ ἰσχύομεν στῆναι αἴθριοι· καὶ τὸ ἔργον οὐκ ἔστιν ἡμῖν
12 ἡμέρας μιᾶς οὐδὲ δύο, ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις. 12 στήτωσαν
δὲ οἱ προηγούμενοι τοῦ πλήθους, καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι
13 ἔχουσι γυναῖκας ἀλλογενεῖς παραγενηθήτωσαν λαβόντες χρόνον, 13 ἑκάστου δὲ
τόπου τοὺς πρεσβυτέρους καὶ τοὺς κριτάς, ἕως τοῦ λῦσαι τὴν ὀργὴν κυρίου
14 ἀφ' ἡμῶν τοῦ πράγματος τούτου. 14 Ἰωνάθας Ἀζαήλου καὶ Ἐζεκίας Θεωκα-
νοῦ ἐπεδέξαντο κατὰ ταῦτα, καὶ Μοσόλλαμος καὶ Λευὶς καὶ Σαββαταῖος συν-
15 εβράβευσαν αὐτοῖς. 15 καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλω-
16 σίας. 16 καὶ ἐπελέξατο αὐτῷ Ἔσδρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν πατριῶν
αὐτῶν πάντας κατ' ὄνομα, καὶ συνεκλείσθησαν τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ
17 δεκάτου ἐτάσαι τὸ πρᾶγμα. 17 καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς
18 ἐπισυνέχοντας γυναῖκας ἀλλογενεῖς ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός. 18 καὶ
19 εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς γυναῖκας ἔχοντες 19 ἐκ
τῶν υἱῶν Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ τῶν ἀδελφῶν αὐτοῦ Μαθήλας καὶ Ἐλεά-
20 ζαρος καὶ Ἰώριβος καὶ Ἰωαδάνος, 20 καὶ ἐπέβαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς
21 γυναῖκας αὐτῶν, καὶ εἰς ἐξιλασμὸν κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν· 21 καὶ ἐκ
τῶν υἱῶν Ἐμμήρ, Ἀνανίας καὶ Ζαβδαῖος καὶ Μάνης καὶ Σαμαῖος καὶ Ἱερεὴλ
22 καὶ Ἀζαρίας· 22 καὶ ἐκ τῶν υἱῶν Φαισούρ, Ἐλιωναΐς, Μασσίας, Ἰσμαῆλος
23 καὶ Ναθαναῆλος καὶ Ὠκόδηλος καὶ Σαλόας· 23 καὶ ἐκ τῶν Λευιτῶν, Ἰωζα-
βάδος καὶ Σεμεΐς καὶ Κώϊος, οὗτός ἐστι Καλιτάς, καὶ Παθαῖος καὶ Ἰούδας
24 25 καὶ Ἰωνάς, 24 ἐκ τῶν ἱεροψαλτῶν Ἐλιάσεβος, Βακχοῦρος, 25 ἐκ τῶν θυρω-
26 ρῶν Σαλοῦμος καὶ Τολβάνης· 26 ἐκ τοῦ Ἰσραὴλ ἐκ τῶν υἱῶν Φόρος, Ἱερμὰς
καὶ Ἰεζίας καὶ Μελχίας καὶ Μαῆλος καὶ Ἐλεάζαρος καὶ Ἀσεβίας καὶ Βα-
27 ναίας· 27 ἐκ τῶν υἱῶν Ἠλά, Ματθανίας, Ζαχαρίας καὶ Ἰεζριῆλος καὶ Ἰωα-
28 βδίος καὶ Ἱερεμὼθ καὶ Ἀϊδίας· 28 καὶ ἐκ τῶν υἱῶν Ζαμώθ, Ἐλιαδάς, Ἐλιά-
29 σιμος, Ὀθονίας, Ἰαριμὼθ καὶ Σάβαθος καὶ Ζεραλίας· 29 καὶ ἐκ τῶν υἱῶν
30 Βηβαΐ, Ἰωάννης καὶ Ἀνανίας καὶ Ἰώζαβδος καὶ Ἀμαθίας· 30 ἐκ τῶν υἱῶν
Μανί, Ὠλαμός, Μαμοῦχος, Ἰεδαῖος, Ἰασοῦβος καὶ Ἰασαῆλος καὶ Ἱερεμώθ·

4. οσοι εαν 5. βενιαμειν ... ενατος 6. συνεκαθισεν 7. εζρας ... γυναικας αλλογενεις 10. εφωνησαν ... ειπαν 11. και η ωρα 12. κατοικων 13. και εκαστ. δε ... του κυριου 14. θωκανου 16. εαυτω εζρας ... κατ ονομα παντας ... συνεκαθισαν 17. εως του νουμηνιας 19. om αυτου 20. γυναικας εαυτων 22. φαισου ... ελιωνας ... om κ. ναθαναηλος ... ωκειδηλος 23. σεμεις κ. κωλιος ... φαθαιος κ. ωουδας 24. ελιασιβος 25. σαλλουμος 26. ιεδδιας pro ιεζιας ... ασιβιος κ. βανναιας 27. ηλα και ματθανιας ... om και post ζαχαριος ... ωαβδιος ... αηδιας 28. ζαμοθ ... ζαρδαιος pro ζεραλιας 29. om και primum ... βηβαι ... ωζαβαδος κ. εμαθεις 30. ασαηλος

Digitized by Google

[31] καὶ ἐξ υἱῶν Ἀδδί, Νάαθος καὶ Μοοσίας, Λακκοῦνος καὶ Ναΐδος, Ματθα- 31
νίας καὶ Σεσθὴλ καὶ Βαλνοῦος καὶ Μανασσίας· [32] καὶ ἐκ τῶν υἱῶν Ἀνάν, 32
Ἐλιωνὰς καὶ Ἀσαΐας καὶ Μελχίας καὶ Σαββαῖος καὶ Σίμων Χοσαμαῖος· [33] καὶ 33
ἐκ τῶν υἱῶν Ἀσόμ, Ἀλταναῖος καὶ Ματταθίας καὶ Σαβανναῖος καὶ Ἐλιφαλὰτ
καὶ Μανασσῆς καὶ Σεμεΐ· [34] καὶ ἐκ τῶν υἱῶν Βαανί, Ἱερεμίας, Μομδίος, 34
Ἰσμαῆρος, Ἰουήλ, Μαβδαΐ καὶ Πεδίας καὶ Ἄνως, Ῥαβασίων καὶ Ἐνάσιβος
καὶ Μαμνιτάναιμος, Ἐλίασις, Βαννούς, Ἐλιαλί, Σομεΐς, Σελεμίας, Ναθα-
νίας· καὶ ἐκ τῶν υἱῶν Ἐζωρά, Σεσίς, Ἐσρίλ, Ἀζαῆλος, Σαματός, Ζαμ-
βρί, Ἰώσηφος· [35] καὶ ἐκ τῶν υἱῶν Ἐθμά, Μαζιτίας, Ζαβαδαίας, Ἠδαΐς, 35
Ἰουήλ, Βαναίας. [36] πάντες οὗτοι συνῴκισαν γυναῖκας ἀλλογενεῖς, καὶ ἀπέλυ- 36
σαν αὐτὰς σὺν τέκνοις. [37] καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἐκ 37
τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῇ χώρᾳ τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ ἑβ-
δόμου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν. [38] καὶ συνήχθη πᾶν 38
τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐρύχωρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυ-
λῶνος, [39] καὶ εἶπεν Ἔσδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ Κόμισαι τὸν νόμον Μωυσῆ 39
τὸν παραδοθέντα ὑπὸ κυρίου θεοῦ Ἰσραήλ. [40] καὶ ἐκόμισεν Ἔσδρας ὁ ἀρχιε- 40
ρεὺς τὸν νόμον παντὶ τῷ πλήθει ἀπὸ ἀνθρώπου ἕως γυναικὸς καὶ πᾶσι τοῖς
ἱερεῦσιν ἀκοῦσαι τοῦ νόμου, νουμηνίᾳ τοῦ ἑβδόμου μηνός, [41] καὶ ἀνεγίνωσκεν 41
ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυλῶνος εὐρυχώρῳ ἐξ ὄρθρου ἕως μέσης ἡμέρας ἐνώ-
πιον ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἐπέδωκαν πᾶν τὸ πλῆθος τὸν νοῦν εἰς τὸν
νόμον. [42] καὶ ἔστη Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ ξυλί- 42
νου βήματος τοῦ κατασκευασθέντος· [43] καὶ ἔστησαν παρ' αὐτῷ Ματταθίας, 43
Σαμμούς, Ἀνανίας, Ἀζαρίας, Οὐρίας, Ἐζεκίας, Βαάλσαμος ἐκ δεξιῶν, [44] καὶ 44
ἐξ εὐωνύμων Φαλδαῖος καὶ Μισαήλ, Μελχίας, Λωθάσουβος, Ναβαρίας, Ζα-
χαρίας. [45] καὶ ἀναλαβὼν Ἔσδρας τὸ βιβλίον ἐνώπιον τοῦ πλήθους προεκάθητο 45
ἐπιδόξως ἐνώπιον πάντων, [46] καὶ ἐν τῷ λῦσαι τὸν νόμον πάντες ὀρθοὶ ἔστη- 46
σαν· καὶ εὐλόγησεν Ἔσδρας τῷ κυρίῳ θεῷ ὑψίστῳ θεῷ Σαβαὼθ παντοκρά-
τορι, [47] καὶ ἐπεφώνησε πᾶν τὸ πλῆθος Ἀμήν· καὶ ἄραντες ἄνω τὰς χεῖρας 47
προσπεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν τῷ κυρίῳ. [48] Ἰησοῦς καὶ Ἀννιοὺθ καὶ 48
Σαραβίας καὶ Ἰαδινὸς καὶ Ἰάκουβος, Σαβαταῖος, Αὐταίας, Μαιάννας καὶ
Καλίτας, Ἀζαρίας καὶ Ἰώζαβδος καὶ Ἀνανίας, Φαλίας, οἱ Λευῖται ἐδίδασκον
τὸν νόμον τοῦ κυρίου, καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ κυρίου,
ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν. [49] καὶ εἶπεν Ἀτθαράτης Ἔσδρᾳ τῷ ἀρχιερεῖ 49
καὶ ἀναγνώστῃ καὶ τοῖς Λευίταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας [50] Ἡ 50
ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ κυρίῳ, καὶ πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τοῦ νόμου·
[51] βαδίσαντες οὖν φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ ἀποστείλατε 51
ἀποστολὰς τοῖς μὴ ἔχουσιν. [52] ἁγία γὰρ ἡ ἡμέρα τῷ κυρίῳ, καὶ μὴ λυπεῖσθε· ὁ 52
γὰρ κύριος δοξάσει ὑμᾶς. [53] καὶ οἱ Λευῖται ἐκέλευον παντὶ τῷ δήμῳ λέγοντες 53
Ἡ ἡμέρα αὕτη ἁγία, μὴ λυπεῖσθε. [54] καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν καὶ 54
εὐφραίνεσθαι, καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσι, καὶ εὐφρανθῆναι μεγάλως·
[55] ὅτι γὰρ ἐνεφυσιώθησαν ἐν τοῖς ῥήμασιν οἷς ἐδιδάχθησαν καὶ ἐπισυνήχθησαν. 55

31. και εκ των υιων ... μοος σιας pro μοοσιας ... ναειδος και ματθανιας ... μανασσηας 32. υιων αννας ... ασαιας 33. αλτανναιος κ. μ. κ. βανναιους 34. μομδεις ... μανδαι κ. παιδειας ... χαραβασιων ... ελιασεις ... ελιαλει, σομεις ... σεσσεις, εζριλ, αζαηλ ... ζαμβρις 35. υιων νοομα 40. εζρας 41. ανεγιγνωσκεν ... μεσου ημερας 42. εζρας 43. σαμμους και ανανιας 44. om και sec. 45. εζρας το βιβλ. του νομου ... προεκαθ. γαρ 46. ορθροι ... ηυλογησεν εζρας ... τω υψιστω 48. αννους pro αννιουθ ... ιαδινος· ιακουβος· σαββαταιας ... καλειτας· αζαρειας ... φιαθας pro φαλιας ... εδιδ. τ. νομον κυριου ... a κυριου ad κυριου transilit 49. εζρα 52. om και ... ο γαρ θεος κυριος 53. εκελ. τα παντα τω 55. om γαρ

Subscriptio: εζρας α

Digitized by Google

# Ε Σ Δ Ρ Α Σ

## ΔΕΥΤΕΡΟΝ.

### I.

Καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ βασιλέως Περσῶν, τοῦ τελεσθῆναι
λόγον κυρίου ἀπὸ στόματος Ἱερεμίου, ἐξήγειρε κύριος τὸ πνεῦμα Κύρου βα-
σιλέως Περσῶν, καὶ παρήγγειλε φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ καί γε ἐν
2 γραπτῷ λέγων [2] Οὕτως εἶπε Κῦρος βασιλεὺς Περσῶν Πάσας τὰς βασιλείας
τῆς γῆς ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπεσκέψατο ἐπ' ἐμὲ
3 τοῦ οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ τῇ ἐν τῇ Ἰουδαίᾳ. [3] τίς ἐν ὑμῖν
ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ; καὶ ἔσται ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀνα-
βήσεται εἰς Ἱερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ καὶ οἰκοδομησάτω τὸν οἶκον θεοῦ
4 Ἰσραήλ· αὐτὸς ὁ θεὸς ὁ ἐν Ἱερουσαλήμ. [4] καὶ πᾶς ὁ καταλιπόμενος ἀπὸ πάν-
των τῶν τόπων οὗ αὐτὸς παροικεῖ ἐκεῖ, καὶ λήψονται αὐτὸν ἄνδρες τοῦ τόπου
αὐτοῦ ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποσκευῇ καὶ κτήνεσι μετὰ τοῦ ἑκουσίου
5 εἰς οἶκον τοῦ θεοῦ τὸν ἐν Ἱερουσαλήμ. [5] καὶ ἀνέστησαν ἄρχοντες τῶν πατριῶν
τῶν Ἰούδα καὶ Βενιαμὶν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, πάντων ὧν ἐξήγειρεν
ὁ θεὸς τὸ πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν οἶκον κυρίου τὸν ἐν
6 Ἱερουσαλήμ. [6] καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυσαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν
ἀργυρίου, ἐν χρυσῷ, ἐν ἀποσκευῇ καὶ ἐν κτήνεσι καὶ ἐν ξενίοις, πάρεξ τῶν
7 ἑκουσίων. [7] καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκε τὰ σκεύη οἴκου κυρίου, ἃ ἔλαβε
8 Ναβουχοδονόσορ ἀπὸ Ἱερουσαλὴμ καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ θεοῦ αὐτοῦ· [8] καὶ
ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν ἐπὶ χεῖρα Μιθραδάτου Γασβαρη-
9 νοῦ, καὶ ἠρίθμησεν αὐτὰ τῷ Σασαβασὰρ τῷ ἄρχοντι τοῦ Ἰούδα. [9] καὶ οὗτος
ὁ ἀριθμὸς αὐτῶν· ψυκτῆρες χρυσοῖ τριάκοντα καὶ ψυκτῆρες ἀργυροῖ χίλιοι,
10 παρηλλαγμένα ἐννέα καὶ εἴκοσι, [10] κεφουρῆς χρυσοῖ τριάκοντα καὶ ἀργυροῖ
11 διπλοῖ τετρακόσια δέκα, καὶ σκεύη ἕτερα χίλια. [11] πάντα τὰ σκεύη τῷ χρυσῷ
καὶ τῷ ἀργυρῷ πεντακισχίλια τετρακόσια, τὰ πάντα ἀναβαίνοντα μετὰ Σασα-
βασὰρ ἀπὸ τῆς ἀποικίας ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ.

### II.

Καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλωσίας τῆς
ἀποικίας ἧς ἀπῴκισε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα, καὶ
2 ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ καὶ Ἰούδα ἀνὴρ εἰς πόλιν αὐτοῦ, [2] οἳ ἦλθον μετὰ
Ζοροβάβελ, Ἰησοῦς, Νεεμίας, Σαραΐας, Ῥεελίας, Μαρδοχαῖος, Βαλασάν,
3 Μασφάρ, Βαγουαί, Ῥεούμ, Βαανά. ἀνδρῶν ἀριθμὸς λαοῦ Ἰσραήλ· [3] υἱοὶ
4 Φαρές, δισχίλιοι ἑκατὸν ἑβδομηκονταδύο· [4] υἱοὶ Σαφατία, τριακόσιοι ἑβδο-
5 6 μηκονταδύο· [5] υἱοὶ Ἄρες, ἑπτακόσιοι ἑβδομηκονταπέντε· [6] υἱοὶ Φαὰθ Μωὰβ
7 τοῖς υἱοῖς Ἰησουὲ Ἰωάβ, δισχίλιοι ὀκτακόσιοι δεκαδύο· [7] υἱοὶ Αἰλάμ, χίλιοι
8 διακόσιοι πεντηκοντατέσσαρες· [8] υἱοὶ Ζατθουά, ἐννακόσιοι τεσσαρακονταπέντε·

---

Inscriptio: ιερευς

I. 2. αυτω οικον 3. ιερουσαλημ η εν τη 4. καταλειπομενος ... λημψονται ... και εν χρυσ. και εν αποσχ. 5. βενιαμειν και οι λευιται παντες ων 6. ισχυσαν ε. χ. εαυτων ... και εν αποσκευη ... παρ. των εν εκουσιοις 8. κυρος βασιλευς ... μιθριδατου γαρβαρηνου ... τω σασαβασσαρω 10. κεφουρη χρυσεοι ... om διπλοι usque δεκα και 11. τα παντα τα ... σασαβασσαρ \ II. 1. αποικισεν 2. σαραιας ... βαγουα· ιερεουμ 3. φορες 8. ζαθθουα ... τεσσερακονταπεντε

Digitized by Google

[9] υἱοὶ Ζαχχού, ἑπτακόσιοι ἑξήκοντα· [10] υἱοὶ Βανουί, ἑξακόσιοι τεσσαρακον- 9 10
ταδύο· [11] υἱοὶ Βαβαΐ, ἑξακόσιοι εἰκοσιτρεῖς· [12] υἱοὶ Ἀσγάδ, χίλιοι διακόσιοι 11 12
εἰκοσιδύο· [13] υἱοὶ Ἀδωνικάμ, ἑξακόσιοι ἑξηκονταέξ· [14] υἱοὶ Βαγουέ, δισχίλιοι 13 14
πεντηκονταέξ· [15] υἱοὶ Ἀδδίν, τετρακόσιοι πεντηκοντατέσσαρες. [16] υἱοὶ Ἀτὴρ 15 16
τῷ Ἐζεκίᾳ, ἐνενηκονταοκτώ· [17] υἱοὶ Βασσοῦ, τριακόσιοι εἰκοσιτρεῖς· [18] υἱοὶ 17 18
Ἰωρά, ἑκατὸν δεκαδύο· [19] υἱοὶ Ἀσούμ, διακόσιοι εἰκοσιτρεῖς· [20] υἱοὶ Γαβέρ, 19 20
ἐνενηκονταπέντε· [21] υἱοὶ Βεθλαέμ, ἑκατὸν εἰκοσιτρεῖς· [22] υἱοὶ Νετωφά, πεν- 21 22
τηκονταέξ· [23] υἱοὶ Ἀναθώθ, ἑκατὸν εἰκοσιοκτώ· [24] υἱοὶ Ἀζμώθ, τεσσαρακον- 23 24
τατρεῖς· [25] υἱοὶ Καριαθιαρίμ, Χαφιρὰ καὶ Βηρώθ, ἑπτακόσιοι τεσσαρακον- 25
τατρεῖς· [26] υἱοὶ τῆς Ῥαμὰ καὶ Γαβαά, ἑξακόσιοι εἰκοσιεῖς· [27] ἄνδρες Μαχ- 26 27
μάς, ἑκατὸν εἰκοσιδύο· [28] ἄνδρες Βαιθὴλ καὶ Ἀϊά, τετρακόσιοι εἰκοσιτρεῖς· 28
[29] υἱοὶ Ναβού, πεντηκονταδύο· [30] υἱοὶ Μαγεβίς, ἑκατὸν πεντηκονταέξ· [31] υἱοὶ 29—31
Ἠλαμάρ, χίλιοι διακόσιοι πεντηκοντατέσσαρες· [32] υἱοὶ Ἠλάμ, τριακόσιοι εἴ- 32
κοσι· [33] υἱοὶ Λοδαδὶ καὶ Ὠνώ, ἑπτακόσιοι εἰκοσιπέντε· [34] υἱοὶ Ἱεριχώ, 33 34
τριακόσιοι τεσσαρακονταπέντε· [35] υἱοὶ Σεναά, τρισχίλιοι ἑξακόσιοι τριάκοντα. 35
[36] καὶ οἱ ἱερεῖς υἱοὶ Ἰεδουὰ τῷ οἴκῳ Ἰησοῖ, ἐνναχόσιοι ἑβδομηκοντατρεῖς· 36
[37] υἱοὶ Ἐμμήρ, χίλιοι πεντηκονταδύο· [38] υἱοὶ Φασσούρ, χίλιοι διακόσιοι τεσ- 37 38
σαρακονταεπτά· [39] υἱοὶ Ἠρέμ, χίλιοι ἑπτά. [40] καὶ οἱ Λευῖται υἱοὶ Ἰησοῦ καὶ 39 40
Καδμιὴλ τοῖς υἱοῖς Ὠδουία, ἑβδομηκοντατέσσαρες· [41] οἱ ᾄδοντες υἱοὶ Ἀσάφ, 41
ἑκατὸν εἰκοσιοκτώ· [42] υἱοὶ τῶν πυλωρῶν υἱοὶ Σελλούμ, υἱοὶ Ἀτήρ, υἱοὶ Τελ- 42
μών, υἱοὶ Ἀκούβ, υἱοὶ Ἀτιτά, υἱοὶ Σωβαΐ, οἱ πάντες ἑκατὸν τριακονταεννέα.
[43] οἱ Ναθινίμ· υἱοὶ Σουθία, υἱοὶ Ἀσουφά, υἱοὶ Ταβαώθ, [44] υἱοὶ Κάδης, υἱοὶ 43 44
Σιαά, υἱοὶ Φαδών, [45] υἱοὶ Λαβανώ, υἱοὶ Ἀγαβά, υἱοὶ Ἀκούβ, [46] υἱοὶ Ἀγάβ, 45 46
υἱοὶ Σελαμί, υἱοὶ Ἀνάν, [47] υἱοὶ Γεδδήλ, υἱοὶ Γαάρ, υἱοὶ Ῥαϊά, [48] υἱοὶ 47 48
Ῥασών, υἱοὶ Νεκωδά, υἱοὶ Γαζέμ, [49] υἱοὶ Ἀζώ, υἱοὶ Φασή, υἱοὶ Βασί, 49
[50] υἱοὶ Ἀσενά, υἱοὶ Μοουνίμ, υἱοὶ Νεφουσίμ, [51] υἱοὶ Βακβούκ, υἱοὶ Ἀκουφά, 50 51
υἱοὶ Ἀρούρ, [52] υἱοὶ Βασαλώθ, υἱοὶ Μαουδά, υἱοὶ Ἀρσά, [53] υἱοὶ Βαρκός, υἱοὶ 52 53
Σισάρα, υἱοὶ Θεμά, [54] υἱοὶ Νασθιέ, υἱοὶ Ἀτουφά, [55] υἱοὶ δούλων Σαλω- 54 55
μών, υἱοὶ Σωταΐ, υἱοὶ Σεφηρά, υἱοὶ Φαδουρά, [56] υἱοὶ Ἰεηλά, υἱοὶ Δαρκών, 56
υἱοὶ Γεδήλ, [57] υἱοὶ Σαφατία, υἱοὶ Ἀτίλ, υἱοὶ Φαχεράθ, υἱοὶ Ἀσεβωείμ, υἱοὶ 57
Ἡμεΐ· [58] πάντες οἱ Ναθανὶμ καὶ υἱοὶ Ἀβδησελμὰ τριακόσιοι ἐνενηκονταδύο. 58
[59] καὶ οὗτοι οἱ ἀναβάντες ἀπὸ Θελμελέχ, Θελαρησά, Χερούβ, Ἡδάν, Ἐμ- 59
μήρ, καὶ οὐκ ἐδυνάσθησαν τοῦ ἀναγγεῖλαι οἶκον πατριᾶς αὐτῶν καὶ σπέρμα
αὐτῶν εἰ ἐξ Ἰσραὴλ εἰσίν· [60] υἱοὶ Δαλαΐα, υἱοὶ Βουά, υἱοὶ Τωβίου, υἱοὶ Νε- 60
κωδά, ἑξακόσιοι πεντηκονταδύο. [61] καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων υἱοὶ Λαβεία, 61
υἱοὶ Ἀκκούς, υἱοὶ Βερζελλαΐ, ὃς ἔλαβεν ἀπὸ τῶν θυγατέρων Βερζελλαΐ τοῦ
Γαλααδίτου γυναῖκα καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτῶν· [62] οὗτοι ἐζήτησαν 62
γραφὴν αὐτῶν οἱ μεθωεσὶμ καὶ οὐχ εὑρέθησαν, καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς
ἱερατείας. [63] καὶ εἶπεν Ἀθερσασθὰ αὐτοῖς τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγίου τῶν 63
ἁγίων ἕως ἀναστῇ ἱερεὺς τοῖς φωτίζουσι καὶ τοῖς τελείοις. [64] πᾶσα δὲ ἡ 64

---

9. ζαχχαι 10. τεσσεραχονταδυο 11. βαβαι 12. αβγαδ 14. βαγουαϊ 22. νεφωτα 24. τεσσεραχονταδυο 25. χαριαθιαρειμ· χαφιρα ... τεσσεραχοντατρεις 27. χαμμας 28. αια 29. ναβω 32. ηραμ 33. υι. λυδδων λοδαδιδ 34. ιερειχω ... τεσσεραχονταπεντε 35. σενναα 36. ιεδδουα ... ιησου 38. φασουρ ... τεσσεραχονταεπτα 42. αττηρ ... αχουμ ... σωβαι 43. οι ναθιναιοι υι. σουαα ... ταββαωθ 44. κηραος ... ασαα 46. σελαμει (?) 48. νεχωδαν 49. αζα 50. μοουνειμ ... νεφουσειμ 52. μειδα 53. σισαραα 54. νεθιε ... ατιφα 55. ασεφυραθ s. ασεφοραθ pro σεφηρα 56. ιελα ... δερκων ... γεδδηλ 57. αττιλ ... φακεραθ· ασεβωειμ 58. ναθανειμ κ. οι υιοι 59. απο θελμεχελ ... ηδυνηθησαν 60. om υιοι βουα 61. οβαια pro λαβεια ... βερβελλαι ος ... απο θυγατερων ... βερζελλαι 62. μεθωεσειμ 63. αθερσαθα

Digitized by Google

65 ἐκκλησία ὁμοῦ ὡςεὶ τέσσαρες μυριάδες διςχίλιοι τριακόσιοι ἑξήκοντα, [65] χωρὶς
δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι ἑπτακιςχίλιοι τριακόσιοι τριακον-
66 ταεπτά· καὶ οὗτοι ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι. [66] ἵπποι αὐτῶν ἑπτακόσιοι
67 τριακονταέξ· ἡμίονοι αὐτῶν διακόσιοι τεσσαρακονταπέντε· [67] κάμηλοι αὐτῶν
68 τετρακόσιοι τριακονταπέντε· ὄνοι αὐτῶν ἑξακιςχίλιοι ἑπτακόσιοι εἴκοσι. [68] καὶ
ἀπὸ ἀρχόντων πατριῶν ἐν τῷ εἰςελϑεῖν αὐτοὺς εἰς οἶκον κυρίου τὸν ἐν Ἱερου-
σαλὴμ ἠκουσιάσαντο εἰς οἶκον τοῦ ϑεοῦ τοῦ στῆσαι αὐτὸν ἐπὶ τὴν ἑτοιμασίαν
69 αὐτοῦ· [69] ὡς ἡ δύναμις αὐτῶν, ἔδωκαν εἰς ϑησαυρὸν τοῦ ἔργου χρυσίον κα-
ϑαρὸν μναῖ ἓξ μυριάδες καὶ χίλιαι, καὶ ἀργυρίου μνᾶς πεντακιςχιλίας, καὶ
70 κόϑωνοι τῶν ἱερέων ἑκατόν. [70] καὶ ἐκάϑισαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ
ἀπὸ τοῦ λαοῦ καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ καὶ οἱ Ναϑινὶμ ἐν πόλεσιν αὐ-
τῶν, καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

## III.

Καὶ ἔφϑασεν ὁ μὴν ὁ ἕβδομος καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν,
2 καὶ συνήχϑη ὁ λαὸς ὡς ἀνὴρ εἰς εἰς Ἱερουσαλήμ. [2] καὶ ἀνέστη Ἰησοῦς ὁ τοῦ
Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἱερεῖς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαϑιὴλ καὶ οἱ
ἀδελφοὶ αὐτοῦ καὶ ᾠκοδόμησαν τὸ ϑυσιαστήριον ϑεοῦ Ἰσραήλ, τοῦ ἀνενέγκαι
ἐπ' αὐτὸ ὁλοκαυτώσεις κατὰ τὰ γεγραμμένα ἐν νόμῳ Μωυσῆ ἀνϑρώπου τοῦ
3 ϑεοῦ. [3] καὶ ἡτοίμασαν τὸ ϑυσιαστήριον ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ, ὅτι ἐν κατα-
πλήξει ἐπ' αὐτοὺς ἀπὸ τῶν λαῶν τῶν γαιῶν· καὶ ἀνέβη ἐπ' αὐτὸ ὁλοκαύτω-
4 σις τῷ κυρίῳ τὸ πρωὶ καὶ εἰς ἑσπέραν. [4] καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν σκη-
νῶν κατὰ τὸ γεγραμμένον, καὶ ὁλοκαυτώσεις ἡμέραν ἐν ἡμέρᾳ ἐν ἀριϑμῷ ὡς
5 ἡ κρίσις, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ· [5] καὶ μετὰ τοῦτο ὁλοκαυτώσεις ἐν-
δελεχισμοῦ, καὶ εἰς τὰς νουμηνίας καὶ εἰς πάσας ἑορτὰς τῷ κυρίῳ τὰς ἡγια-
6 σμένας, καὶ παντὶ ἑκουσιαζομένῳ ἑκούσιον τῷ κυρίῳ. [6] ἐν ἡμέρᾳ μιᾷ τοῦ
μηνὸς τοῦ ἑβδόμου ἤρξαντο ἀναφέρειν ὁλοκαυτώσεις τῷ κυρίῳ, καὶ ὁ οἶκος
7 τοῦ κυρίου οὐκ ἐϑεμελιώϑη. [7] καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τοῖς
τέκτοσι, καὶ βρώματα καὶ ποτὰ καὶ ἔλαιον τοῖς Σιδωνίοις καὶ τοῖς Τυρίοις,
ἐνέγκαι ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου πρὸς ϑάλασσαν Ἰόππης, κατ' ἐπιχώ-
8 ρησιν Κύρου βασιλέως Περσῶν ἐπ' αὐτούς. [8] καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τοῦ
ἐλϑεῖν αὐτοὺς εἰς οἶκον τοῦ ϑεοῦ ἐν Ἱερουσαλήμ, ἐν μηνὶ τῷ δευτέρῳ ἤρξατο
Ζοροβάβελ ὁ τοῦ Σαλαϑιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ κατάλοιποι
τῶν ἀδελφῶν αὐτῶν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πάντες οἱ ἐρχόμενοι ἀπὸ τῆς
αἰχμαλωσίας εἰς Ἱερουσαλήμ, καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς καὶ
9 ἐπάνω ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ κυρίου. [9] καὶ ἔστη Ἰησοῦς καὶ οἱ
υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Καδμιὴλ καὶ οἱ υἱοὶ αὐτοῦ υἱοὶ Ἰούδα ἐπὶ
τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ τοῦ ϑεοῦ, υἱοὶ Ἠναδάδ, υἱοὶ αὐτῶν καὶ οἱ
10 ἀδελφοὶ αὐτῶν οἱ Λευῖται. [10] καὶ ἐϑεμελίωσαν τοῦ οἰκοδομῆσαι τὸν οἶκον
κυρίου· καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι ἐν σάλπιγξι καὶ οἱ Λευῖται υἱοὶ
Ἀσὰφ ἐν κυμβάλοις τοῦ αἰνεῖν τὸν κύριον ἐπὶ χεῖρας Δαυὶδ βασιλέως Ἰσραήλ.
11 [11] καὶ ἀπεκρίϑησαν ἐν αἴνῳ καὶ ἀνϑομολογήσει τῷ κυρίῳ, ὅτι ἀγαϑόν, ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ἐπὶ Ἰσραήλ· καὶ πᾶς ὁ λαὸς ἐσήμαινε φωνῇ
12 μεγάλῃ αἰνεῖν τῷ κυρίῳ ἐπὶ τῇ ϑεμελιώσει τοῦ οἴκου κυρίου. [12] καὶ πολλοὶ

---

66. τεσσεραχονταπεντε 68. εν τω ελϑειν ... ηεκουσιασαντο ε. οικον ϑεου 69. χρυσιον δραχμας εξ μυριαδας και χιλιας· κ. αργυριον μναι πεντακιςχιλιαι· και χιτωνας των 70. λαου οι ... ναϑινειμ III. 1. και ο ισραηλ 2. αδελφοι αυτων ... επ αυτω ... μωυσεως 5. εορτας κυριω 6. ο οικος κυριου 7. και ενεγκαι 8. εις ιερουσαλημ ... εν οικω του ϑεου 9. και καδμιηλ ... οι υιοι ιουδα ... om οι ante αδελφ. αυτων 11. εσημανεν ... ϑεμελιωσει οικου

Digitized by Google

ἀπὸ τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ ἄρχοντες τῶν πατριῶν οἱ πρεσβύτεροι
οἳ εἴδοσαν τὸν οἶκον τὸν πρῶτον ἐν θεμελιώσει αὐτοῦ, καὶ τοῦτον τὸν οἶκον
ἐν ὀφθαλμοῖς αὐτῶν, ἔκλαιον φωνῇ μεγάλῃ, καὶ ὁ ὄχλος ἐν σημασίᾳ μετ'
εὐφροσύνης τοῦ ὑψῶσαι ᾠδήν. [13] καὶ οὐκ ἦν ὁ λαὸς ἐπιγινώσκων φωνὴν ση- 13
μασίας τῆς εὐφροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ λαοῦ, ὅτι ὁ λαὸς
ἐκραύγασε φωνῇ μεγάλῃ, καὶ ἡ φωνὴ ἠκούετο ἕως ἀπὸ μακρόθεν.

## IV.

Καὶ ἤκουσαν οἱ θλίβοντες Ἰούδα καὶ Βενιαμὶν ὅτι υἱοὶ τῆς ἀποικίας
οἰκοδομοῦσιν οἶκον τῷ κυρίῳ θεῷ Ἰσραήλ, [2] καὶ ἤγγισαν πρὸς Ζοροβάβελ καὶ 2
πρὸς τοὺς ἄρχοντας τῶν πατριῶν, καὶ εἶπον αὐτοῖς Οἰκοδομήσομεν μεθ' ὑμῶν,
ὅτι ὡς ὑμεῖς ἐκζητοῦμεν τῷ θεῷ ἡμῶν, καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ ἡμε-
ρῶν Ἀσαραδὰν βασιλέως Ἀσσοὺρ τοῦ ἐνέγκαντος ἡμᾶς ὧδε. [3] καὶ εἶπε πρὸς 3
αὐτοὺς Ζοροβάβελ καὶ Ἰησοῦς καὶ οἱ κατάλοιποι τῶν ἀρχόντων τῶν πατριῶν
τοῦ Ἰσραὴλ Οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι οἶκον τῷ θεῷ ἡμῶν, ὅτι
ἡμεῖς αὐτοὶ ἐπὶ τὸ αὐτὸ οἰκοδομήσομεν τῷ κυρίῳ θεῷ ἡμῶν, ὡς ἐνετείλατο
ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν. [4] καὶ ἦν ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας 4
τοῦ λαοῦ Ἰούδα, καὶ ἐνεπόδιζον αὐτοὺς οἰκοδομεῖν, [5] καὶ μισθούμενοι ἐπ' 5
αὐτοὺς βουλευόμενοι τοῦ διασκεδάσαι βουλὴν αὐτῶν πάσας τὰς ἡμέρας Κύρου
βασιλέως Περσῶν καὶ ἕως βασιλείας Δαρείου βασιλέως Περσῶν. [6] καὶ ἐν βα- 6
σιλείᾳ Ἀσσουήρου καὶ ἐν ἀρχῇ βασιλείας αὐτοῦ ἔγραψαν ἐπιστολὴν ἐπὶ οἰκοῦν-
τας Ἰούδα καὶ Ἱερουσαλήμ. [7] καὶ ἐν ἡμέραις Ἀρθασασθὰ ἔγραψεν ἐν εἰρήνῃ 7
Μιθραδάτῃ Ταβεὴλ καὶ τοῖς λοιποῖς συνδούλοις· πρὸς Ἀρθασασθὰ βασιλέα
Περσῶν ἔγραψεν ὁ φορολόγος γραφὴν Συριστὶ καὶ ἡρμηνευμένην. [8] Ῥεοὺμ 8
Βαλτὰμ καὶ Σαμψὰ ὁ γραμματεὺς ἔγραψαν ἐπιστολὴν μίαν κατὰ Ἱερουσαλὴμ
τῷ Ἀρθασασθᾷ βασιλεῖ. [9] τάδε ἔκρινε Ῥεοὺμ Βαλτὰν καὶ Σαμψὰ ὁ γραμμα- 9
τεὺς καὶ οἱ κατάλοιποι σύνδουλοι ἡμῶν, Δειναῖοι, Ἀφαρσαθαχαῖοι, Ταρφα-
λαῖοι, Ἀφαρσαῖοι, Ἀρχυαῖοι, Βαβυλώνιοι, Σουσαναχαῖοι, Δαυαῖοι, [10] καὶ οἱ 10
κατάλοιποι ἐθνῶν ὧν ἀπῴκισεν Ἀσσεναφὰρ ὁ μέγας καὶ ὁ τίμιος καὶ κατῴ-
κισεν αὐτοὺς ἐν πόλεσι τῆς Σομόρων καὶ τὸ κατάλοιπον πέραν τοῦ ποταμοῦ.
[11] αὕτη ἡ διαταγὴ τῆς ἐπιστολῆς ἧς ἀπέστειλαν πρὸς αὐτόν. Πρὸς Ἀρθασασθὰ 11
βασιλέα παῖδές σου ἄνδρες πέραν τοῦ ποταμοῦ. [12] γνωστὸν ἔστω τῷ βασιλεῖ 12
ὅτι οἱ Ἰουδαῖοι οἱ ἀναβάντες ἀπὸ σοῦ πρὸς ἡμᾶς ἤλθοσαν εἰς Ἱερουσαλὴμ
τὴν πόλιν τὴν ἀποστάτιν καὶ πονηράν, ἣν οἰκοδομοῦσι· καὶ τὰ τείχη αὐτῆς
κατηρτισμένα εἰσί, καὶ θεμελίους αὐτῆς ἀνύψωσαν. [13] νῦν οὖν γνωστὸν ἔστω 13
τῷ βασιλεῖ ὅτι ἐὰν ἡ πόλις ἐκείνη ἀνοικοδομηθῇ καὶ τὰ τείχη αὐτῆς καταρ-
τισθῶσι, φόροι οὐκ ἔσονταί σοι οὐδὲ δώσουσι· καὶ τοῦτο βασιλεῖς κακοποιεῖ,
[14] καὶ ἀσχημοσύνην βασιλέως οὐκ ἔξεστιν ἡμῖν ἰδεῖν. διὰ τοῦτο ἐπέμψαμεν 14
καὶ ἐγνωρίσαμεν τῷ βασιλεῖ, [15] ἵνα ἐπισκέψηται ἐν βίβλῳ ὑπομνηματισμοῦ 15
τῶν πατέρων σου, καὶ εὑρήσεις καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη πόλις ἀποστά-
τις, καὶ κακοποιοῦσα βασιλεῖς καὶ χώρας, καὶ φυγαδεῖαι δούλων γίνονται ἐν
μέσῳ αὐτῆς ἀπὸ ἡμερῶν αἰῶνος· διὰ ταῦτα ἡ πόλις αὕτη ἠρημώθη. [16] γνω- 16
ρίζομεν οὖν ἡμεῖς τῷ βασιλεῖ ὅτι ἂν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ καὶ τὰ τείχη

---

12. οφθαλμοις εαυτων 13. την φωνην ... ευφροσυνης pro φωνης ... οτι λαος IV. 1. βενιαμειν 2. τω θεω υμων ... ασαραδδων ... ασουρ 4. ενεποδ. αυτοις του οικ. 5. δαριου ... om περσων in f. 6. ab init. om και ... ασσουηρου περσων ... εγραψεν 7. εγραψαν ... μιθραδατης ταβεηλ συν και τοις λ. σ. αυτου ... συριστει 8. βααλταμ κ. σαμσαι ο γρ. εγραψεν 9. βααλταμ κ. σαμσαι ... διναιοι ... ταρφαλλαιοι ... δαυαιοι 10. απωκισεν ναφαρ ο 11. (αρθα βασιλεα ...) οι παιδες 12. ιουδαιοι αναβαντες 15. εν βιβλιω ... φυγαδεια δ. γιγνονται εμμεσω α. απο χρονων αιωνος 16. οτι εαν

Digitized by Google

17 αὐτῆς καταρτισθῇ, οὐκ ἔστι σοι εἰρήνη. 17 καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρὸς
Ῥεοὺμ Βαλτὰμ καὶ Σαμψὰ γραμματέα καὶ τοὺς καταλοίπους συνδούλους αὐ-
τῶν τοὺς οἰκοῦντας ἐν Σαμαρείᾳ καὶ τοὺς καταλοίπους πέραν τοῦ ποταμοῦ
18 εἰρήνην, καί φησιν 18 Ὁ φορολόγος ὃν ἀπεστείλατε πρὸς ἡμᾶς ἐκλήθη ἔμπρο-
19 σθεν ἐμοῦ. 19 καὶ παρ' ἐμοῦ ἐτέθη γνώμη καὶ ἐπεσκεψάμεθα, καὶ εὕραμεν
ὅτι ἡ πόλις ἐκείνη ἀφ' ἡμερῶν αἰῶνος ἐπὶ βασιλεῖς ἐπαίρεται, καὶ ἀποστά-
20 σεις καὶ φυγαδεῖαι γίνονται ἐν αὐτῇ· 20 καὶ βασιλεῖς ἰσχυροὶ ἐγένοντο ἐν Ἱερου-
σαλήμ, καὶ ἐπικρατοῦντες ὅλης τῆς πέραν τοῦ ποταμοῦ, καὶ φόροι πλήρεις
21 καὶ μέρος δίδονται αὐτοῖς. 21 καὶ νῦν θέτε γνώμην καταργῆσαι τοὺς ἄνδρας
22 ἐκείνους, καὶ ἡ πόλις ἐκείνη οὐκ οἰκοδομηθήσεται ἔτι. 22 ὅπως ἀπὸ τῆς γνώ-
μης πεφυλαγμένοι ἦτε ἄνεσιν ποιῆσαι περὶ τούτου, μή ποτε πληθυνθῇ ἀφα-
23 νισμὸς εἰς κακοποίησιν βασιλεῦσι. 23 τότε ὁ φορολόγος τοῦ Ἀρθασασθὰ βασι-
λέως ἀνέγνω ἐνώπιον Ῥεοὺμ Βαλτὰμ καὶ Σαμψὰ γραμματέως καὶ συνδούλων
αὐτοῦ· καὶ ἐπορεύθησαν σπουδῇ εἰς Ἱερουσαλὴμ καὶ ἐν Ἰούδᾳ, καὶ κατήρ-
24 γησαν αὐτοὺς ἐν ἵπποις καὶ δυνάμει. 24 τότε ἤργησε τὸ ἔργον οἴκου τοῦ θεοῦ
τὸ ἐν Ἱερουσαλήμ, καὶ ἦν ἀργοῦν ἕως δευτέρου ἔτους τῆς βασιλείας Δαρείου
βασιλέως Περσῶν.

## V.

Καὶ προεφήτευσεν Ἀγγαῖος ὁ προφήτης καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ προ-
φητείαν ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν Ἰούδᾳ καὶ Ἱερουσαλὴμ ἐν ὀνόματι θεοῦ
2 Ἰσραὴλ ἐπ' αὐτούς. 2 τότε ἀνέστησαν Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς
υἱὸς Ἰωσεδὲκ καὶ ἤρξαντο οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ τὸν ἐν Ἱερουσα-
3 λήμ, καὶ μετ' αὐτῶν οἱ προφῆται τοῦ θεοῦ βοηθοῦντες αὐτοῖς. 3 ἐν αὐτῷ τῷ
καιρῷ ἦλθεν ἐπ' αὐτοὺς Θανθαναῒ ἔπαρχος πέραν τοῦ ποταμοῦ καὶ Σαθαρ-
βουζαναῒ καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ τοιάδε εἶπαν αὐτοῖς Τίς ἔθηκεν ὑμῖν
γνώμην τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦτον καὶ τὴν χορηγίαν ταύτην καταρτί-
4 σασθαι; 4 τότε ταῦτα εἴποσαν αὐτοῖς Τίνα ἐστὶ τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν
5 οἰκοδομούντων τὴν πόλιν ταύτην; 5 καὶ οἱ ὀφθαλμοὶ τοῦ θεοῦ ἐπὶ τὴν αἰχμα-
λωσίαν Ἰούδα, καὶ οὐ κατήργησαν αὐτοὺς ἕως γνώμη τῷ Δαρείῳ ἀπηνέχθη·
6 καὶ τότε ἀπεστάλη τῷ φορολόγῳ ὑπὲρ τούτου. 6 διασάφησις ἐπιστολῆς ἧς
ἀπέστειλε Θανθαναῒ ὁ ἔπαρχος τοῦ πέραν τοῦ ποταμοῦ καὶ Σαθαρβουζαναῒ
καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσαχαῖοι οἱ ἐν τῷ πέραν τοῦ ποταμοῦ Δαρείῳ
7 τῷ βασιλεῖ· 7 ῥήμασιν ἀπέστειλαν πρὸς αὐτόν, καὶ τάδε γέγραπται ἐν αὐτῷ.
8 Δαρείῳ τῷ βασιλεῖ εἰρήνη πᾶσα. 8 γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι ἐπορεύθημεν
εἰς τὴν Ἰουδαίαν χώραν εἰς οἶκον τοῦ θεοῦ τοῦ μεγάλου, καὶ αὐτὸς οἰκοδο-
μεῖται λίθοις ἐκλεκτοῖς, καὶ ξύλα ἐντίθεται ἐν τοῖς τοίχοις, καὶ τὸ ἔργον ἐκεῖνο
9 ἐπιδέξιον γίνεται καὶ εὐοδοῦται ἐν ταῖς χερσὶν αὐτῶν. 9 τότε ἠρωτήσαμεν τοὺς
πρεσβυτέρους ἐκείνους, καὶ οὕτως εἴπαμεν αὐτοῖς Τίς ἔθηκεν ὑμῖν γνώμην τὸν
10 οἶκον τοῦτον οἰκοδομῆσαι καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι; 10 καὶ τὰ
ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι σοι, ὥστε γράψαι σοι τὰ ὀνό-
11 ματα τῶν ἀνδρῶν τῶν ἀρχόντων αὐτῶν. 11 καὶ τοιοῦτο τὸ ῥῆμα ἀπεκρίθησαν
ἡμῖν λέγοντες Ἡμεῖς ἐσμὲν δοῦλοι τοῦ θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ
οἰκοδομοῦμεν τὸν οἶκον ὃς ἦν ᾠκοδομημένος πρὸ τούτου ἔτη πολλά, καὶ βα-
σιλεὺς τοῦ Ἰσραὴλ μέγας ᾠκοδόμησεν αὐτὸν καὶ κατηρτίσατο αὐτὸν αὐτοῖς.

---

17. βααλταμ κ. σαμσαι ... φασιν 19. γιγνονται 20. γιγνονται επι ιερουσαλημ ... εσπερας pro περαν ... διδοται 22. om ητε 23. ρεουμ και σαμσαι γραμματεως συνδουλων εαυτου 24. om οικου ... αργων ... του βασιλεως V. 1. επροφητευσεν ... κυριου θεου ισρ. 2. οικοδομειν 3. θαθθαναι ... τοια ειπον 4. ειπον 5. δαριω 6. θαθθαναϊς ... σαθαρβουζανης 7. ρησιν απεστειλαν ... εν αυτη 8. γιγνεται ... εν χερσιν 9. ειπομεν 11. τοιουτο ρημα απεχρ. αυτοις

Digitized by Google

[12] ἀφ' ὅτε δὲ παρώργισαν οἱ πατέρες ἡμῶν τὸν θεὸν τοῦ οὐρανοῦ, ἔδωκεν 12
αὐτοὺς εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος τοῦ Χαλδαίου, καὶ
τὸν οἶκον τοῦτον κατέλυσε, καὶ τὸν λαὸν ἀπῴκισεν εἰς Βαβυλῶνα. [13] ἀλλ' ἐν 13
ἔτει πρώτῳ Κύρου τοῦ βασιλέως Κῦρος ὁ βασιλεὺς ἔθετο γνώμην τὸν οἶκον
τοῦ θεοῦ τοῦτον οἰκοδομηθῆναι. [14] καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ θεοῦ τὰ χρυσᾶ 14
καὶ τὰ ἀργυρᾶ, ἃ Ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν Ἱερου-
σαλὴμ καὶ ἀπήνεγκεν αὐτὰ εἰς τὸν ναὸν τοῦ βασιλέως, ἐξήνεγκεν αὐτὰ Κῦρος
ὁ βασιλεὺς ἀπὸ τοῦ ναοῦ τοῦ βασιλέως καὶ ἔδωκε τῷ Σαβανασὰρ τῷ θησαυ-
ροφύλακι τῷ ἐπὶ τοῦ θησαυροῦ, [15] καὶ εἶπεν αὐτῷ Πάντα τὰ σκεύη λάβε 15
καὶ πορεύου θὲς αὐτὰ ἐν τῷ οἴκῳ τῷ ἐν Ἱερουσαλὴμ εἰς τὸν τόπον αὐτῶν.
[16] τότε Σαβανασὰρ ἐκεῖνος ἦλθε καὶ ἔδωκε θεμελίους τοῦ οἴκου τοῦ θεοῦ ἐν 16
Ἱερουσαλήμ, καὶ ἀπὸ τότε ἕως τοῦ νῦν ᾠκοδομήθη, καὶ οὐκ ἐτελέσθη. [17] καὶ 17
νῦν εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, ἐπισκεπήτω ἐν τῷ οἴκῳ τῆς γάζης τοῦ βα-
σιλέως Βαβυλῶνος, ὅπως γνῷς ὅτι ἀπὸ βασιλέως Κύρου ἐτέθη γνώμη οἰκο-
δομῆσαι τὸν οἶκον τοῦ θεοῦ ἐκεῖνον τὸν ἐν Ἱερουσαλήμ· καὶ γνοὺς ὁ βασιλεὺς
περὶ τούτου πεμψάτω πρὸς ἡμᾶς.

## VI.

Τότε Δαρεῖος ὁ βασιλεὺς ἔθηκε γνώμην, καὶ ἐπεσκέψατο ἐν ταῖς βιβλιο-
θήκαις ὅπου ἡ γάζα κεῖται ἐν Βαβυλῶνι. [2] καὶ εὑρέθη ἐν πόλει ἐν τῇ βάρει 2
κεφαλὶς μία, καὶ τοῦτο γεγραμμένον ἐν αὐτῇ ὑπόμνημα. [3] Ἐν ἔτει πρώτῳ 3
Κύρου βασιλέως Κῦρος ὁ βασιλεὺς ἔθηκε γνώμην περὶ οἴκου ἱεροῦ θεοῦ τοῦ
ἐν Ἱερουσαλήμ Οἶκος οἰκοδομηθήτω καὶ τόπος οὗ θυσιάζουσι τὰ θυσιάσματα.
καὶ ἔθηκεν ἔπαρμα ὕψος πήχεις ἑξήκοντα, πλάτος αὐτοῦ πήχεων ἑξήκοντα,
[4] καὶ δόμοι λίθινοι κραταιοὶ τρεῖς, καὶ δόμος ξύλινος εἷς· καὶ ἡ δαπάνη ἐξ 4
οἴκου τοῦ βασιλέως δοθήσεται. [5] καὶ τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ ἀργυρᾶ καὶ 5
τὰ χρυσᾶ, ἃ Ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ
καὶ ἐκόμισεν εἰς Βαβυλῶνα, καὶ δοθήτω καὶ ἀπελθέτω εἰς τὸν ναὸν τὸν ἐν
Ἱερουσαλὴμ ἐπὶ τόπου οὗ ἐτέθη ἐν οἴκῳ τοῦ θεοῦ. [6] νῦν δώσετε ἔπαρχοι πέραν 6
τοῦ ποταμοῦ Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσαχαῖοι οἱ ἐν τῷ
πέραν τοῦ ποταμοῦ μακρὰν ὄντες ἐκεῖθεν, [7] νῦν ἄφετε τὸ ἔργον οἴκου τοῦ 7
θεοῦ· οἱ ἀφηγούμενοι τῶν Ἰουδαίων καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων οἶκον
τοῦ θεοῦ ἐκεῖνον οἰκοδομείτωσαν ἐπὶ τοῦ τόπου αὐτοῦ. [8] καὶ ἀπ' ἐμοῦ γνώμη 8
ἐτέθη μή ποτέ τι ποιήσητε μετὰ τῶν πρεσβυτέρων τῶν Ἰουδαίων τοῦ οἰκο-
δομηθῆναι οἶκον τοῦ θεοῦ ἐκεῖνον· καὶ ἀπὸ ὑπαρχόντων βασιλέως τῶν φόρων
πέραν τοῦ ποταμοῦ ἐπιμελῶς δαπάνη ἔστω διδομένη τοῖς ἀνδράσιν ἐκείνοις
τὸ μὴ καταργηθῆναι· [9] καὶ ὃ ἂν ὑστέρημα, καὶ υἱοὺς βοῶν καὶ κριῶν καὶ 9
ἀμνοὺς εἰς ὁλοκαυτώσεις τῷ θεῷ τοῦ οὐρανοῦ, πυρούς, ἅλας, οἶνον, ἔλαιον,
κατὰ τὸ ῥῆμα ἱερέων τῶν ἐν Ἱερουσαλὴμ ἔστω διδόμενον αὐτοῖς ἡμέραν ἐν
ἡμέρᾳ ὃ ἐὰν αἰτήσωσιν, [10] ἵνα ὦσιν εὐωδίας προσφέροντες τῷ θεῷ τοῦ οὐ- 10
ρανοῦ, καὶ προσεύχωνται εἰς ζωὴν τοῦ βασιλέως καὶ υἱῶν αὐτοῦ. [11] καὶ ἀπ' 11
ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ἄνθρωπος ὃς ἀλλάξει τὸ ῥῆμα τοῦτο, καθαιρεθή-
σεται ξύλον ἐκ τῆς οἰκίας αὐτοῦ καὶ ὠρθωμένος πληγήσεται ἐπ' αὐτοῦ, καὶ
ὁ οἶκος αὐτοῦ τὸ κατ' ἐμὲ ποιηθήσεται. [12] καὶ ὁ θεὸς οὗ κατασκηνοῖ τὸ ὄνομα 12
ἐκεῖ καταστρέψαι πάντα βασιλέα καὶ λαὸν ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ

---

12. απ οτε 14. χρυσεα ... απο οικου ... εις ναον ... απο ναου ... τω σασαβασσαρω 16. σασαβασσαρ ... εως νυν 17. απο του βασ. κυρ. VI. 2. εν αμαθα εν πολει ... ην γεγραμμ. 3. οικου του θεου 5. χρυσεα ... απο οικου ... (εκοσμισεν ...) απελθατω ... επι τοπου τεθη 6. σαθαρβουζανε 7. και νυν ... om οικου 8. οικοδομησαι 9. om ελαιον ... των ιερεων 10. προσφεροντες ευωδιας ... των υιων 11. παγησεται 12. χειρα εαυτου

Digitized by Google

ἀλλάξαι ἢ ἀφανίσαι τὸν οἶκον τοῦ θεοῦ τὸν ἐν Ἱερουσαλήμ. ἐγὼ Δαρεῖος ἔθηκα
13 γνώμην, ἐπιμελῶς ἔσται. 13 τότε Θανθαναΐ ὁ ἔπαρχος πέραν τοῦ ποταμοῦ,
Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτοῦ, πρὸς ὃ ἀπέστειλε Δαρεῖος βασιλεύς,
14 οὕτως ἐποίησαν ἐπιμελῶς. 14 καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων ᾠκοδομοῦσαν
καὶ οἱ Λευῖται ἐν προφητείᾳ Ἀγγαίου τοῦ προφήτου καὶ Ζαχαρίου υἱοῦ Ἀδδώ,
καὶ ἀνῳκοδόμησαν καὶ κατηρτίσαντο ἀπὸ γνώμης θεοῦ Ἰσραὴλ καὶ ἀπὸ γνώ-
15 μης Κύρου καὶ Δαρείου καὶ Ἀρθασασθὰ βασιλέων Περσῶν. 15 καὶ ἐτέλεσαν
τὸν οἶκον τοῦτον ἕως ἡμέρας τρίτης μηνὸς Ἀδάρ, ὅ ἐστιν ἔτος ἕκτον τῆς βασι-
16 λείας Δαρείου τοῦ βασιλέως. 16 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ
Λευῖται καὶ οἱ κατάλοιποι υἱῶν ἀποικεσίας ἐγκαίνια τοῦ οἴκου τοῦ θεοῦ ἐν
17 εὐφροσύνῃ. 17 καὶ προσήνεγκαν εἰς τὰ ἐγκαίνια τοῦ οἴκου τοῦ θεοῦ μόσχους
ἑκατόν, κριοὺς διακοσίους, ἀμνοὺς τετρακοσίους, χιμάῤῥους αἰγῶν ὑπὲρ ἁμαρ-
18 τίας ὑπὲρ παντὸς Ἰσραὴλ δώδεκα εἰς ἀριθμὸν φυλῶν Ἰσραήλ. 18 καὶ ἔστησαν
τοὺς ἱερεῖς ἐν διαιρέσεσιν αὐτῶν καὶ τοὺς Λευίτας ἐν μερισμοῖς αὐτῶν ἐπὶ
19 δουλείας θεοῦ ἐν Ἱερουσαλὴμ κατὰ τὴν γραφὴν βίβλου Μωυσῆ. 19 καὶ ἐποίη-
σαν οἱ υἱοὶ τῆς ἀποικεσίας τὸ πάσχα τῇ τεσσαρεςκαιδεκάτῃ τοῦ μηνὸς τοῦ
20 πρώτου. 20 ὅτι ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ Λευῖται, ἕως εἷς πάντες καθαροί·
καὶ ἔσφαξαν τὸ πάσχα τοῖς πᾶσιν υἱοῖς τῆς ἀποικεσίας καὶ τοῖς ἀδελφοῖς
21 αὐτῶν τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς. 21 καὶ ἔφαγον υἱοὶ Ἰσραὴλ τὸ πάσχα, οἱ ἀπὸ
τῆς ἀποικεσίας καὶ πᾶς ὁ χωριζόμενος τῆς ἀκαθαρσίας ἐθνῶν τῆς γῆς πρὸς
22 αὐτοὺς τοῦ ἐκζητῆσαι κύριον θεὸν Ἰσραήλ. 22 καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν
ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ, ὅτι εὔφρανεν αὐτοὺς κύριος, καὶ ἐπέ-
στρεψε καρδίαν βασιλέως Ἀσσοὺρ ἐπ' αὐτοὺς κραταιῶσαι τὰς χεῖρας αὐτῶν
ἐν ἔργοις οἴκου τοῦ θεοῦ Ἰσραήλ.

## VII.

Καὶ μετὰ τὰ ῥήματα ταῦτα ἐν βασιλείᾳ Ἀρθασασθὰ βασιλέως Περσῶν
2 ἀνέβη Ἔσδρας υἱὸς Σαραίου υἱοῦ Ἀζαρίου υἱοῦ Χελκία 2 υἱοῦ Σελοὺμ υἱοῦ
3 4 Σαδδοὺκ υἱοῦ Ἀχιτὼβ 3 υἱοῦ Σαμαρία υἱοῦ Ἐσριὰ υἱοῦ Μαρεὼθ 4 υἱοῦ Ζα-
5 ραΐα υἱοῦ Ὀζίου υἱοῦ Βοκκὶ 5 υἱοῦ Ἀβισουὲ υἱοῦ Φινεὲς υἱοῦ Ἐλεάζαρ υἱοῦ
6 Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου. 6 αὐτὸς Ἔσδρας ἀνέβη ἐκ Βαβυλῶνος, καὶ
αὐτὸς γραμματεὺς ταχὺς ἐν νόμῳ Μωυσῆ ὃν ἔδωκε κύριος ὁ θεὸς Ἰσραήλ·
καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεύς, ὅτι χεὶρ κυρίου θεοῦ αὐτοῦ ἐπ' αὐτὸν ἐν πᾶσιν
7 οἷς ἐζήτει αὐτός. 7 καὶ ἀνέβησαν ἀπὸ τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπὸ τῶν ἱερέων
καὶ ἀπὸ τῶν Λευιτῶν καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ καὶ οἱ Ναθινὶμ εἰς
8 Ἱερουσαλὴμ ἐν ἔτει ἑβδόμῳ τῷ Ἀρθασασθᾷ τῷ βασιλεῖ. 8 καὶ ἤλθοσαν εἰς
9 Ἱερουσαλὴμ τῷ μηνὶ τῷ πέμπτῳ, τοῦτο τὸ ἔτος ἕβδομον τῷ βασιλεῖ. 9 ὅτι
ἐν μιᾷ τοῦ μηνὸς τοῦ πρώτου αὐτὸς ἐθεμελίωσε τὴν ἀνάβασιν τὴν ἀπὸ Βα-
βυλῶνος, ἐν δὲ τῇ πρώτῃ τοῦ μηνὸς τοῦ πέμπτου ἤλθοσαν εἰς Ἱερουσαλήμ,
10 ὅτι χεὶρ θεοῦ αὐτοῦ ἦν ἀγαθὴ ἐπ' αὐτόν. 10 ὅτι Ἔσδρας ἔδωκεν ἐν καρδίᾳ
αὐτοῦ ζητῆσαι τὸν νόμον καὶ ποιεῖν καὶ διδάσκειν ἐν Ἰσραὴλ προστάγματα
11 καὶ κρίματα. 11 καὶ αὕτη ἡ διασάφησις τοῦ διατάγματος οὗ ἔδωκεν Ἀρθα-
σασθὰ τῷ Ἔσδρᾳ τῷ ἱερεῖ τῷ γραμματεῖ βιβλίου λόγων ἐντολῶν κυρίου καὶ

---

12. θεου εκεινον τον 13. θαθθαναι επαρχος ... σαθαρβουζαναι ... δαρ. ο βασ. 14. ωκοδομευσαν (sic) ... προφητια ... βασιλεως 15. δαριου 17. om του οικου ... χειμαρους αιγ. περι 18. επι δουλεια θεου του ... βιβλιου μωση 20. εκαθερισθησαν ... και οι λευιται 21. οι υιοι ... κυρ. τον θεον 22. κ. κυριος επεστρεψ. VII. 1. εζρας ... χελκειου 2. σελλουμ ... σααδουκ 3. σαμαρεια ... εζρια ... μαραϊωθ 4. οζινι· (versu exeunte) υιου (corrige οζι υιου?) 6. εζρας 7. απο νιων ... ναθινειμ 8. ηλθον ... om το 9. a του μηνος ad του μηνος transilit ... ηλθον 10. εζρας εδωκεν καρδιαν εαυτου ... διδασκειν ισραηλ 11. τω εζρα

Digitized by Google

προσταγμάτων αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ. [12] Ἀρϑασασϑὰ βασιλεὺς βασιλέων Ἔσ- 12
δρᾳ γραμματεῖ νόμου κυρίου τοῦ ϑεοῦ τοῦ οὐρανοῦ. τετέλεστο λόγος καὶ ἡ
ἀπόκρισις. [13] ἀπ᾽ ἐμοῦ ἐτέϑη γνώμη ὅτι πᾶς ὁ ἑκουσιαζόμενος ἐν βασιλείᾳ 13
μου ἀπὸ λαοῦ Ἰσραὴλ καὶ ἱερέων καὶ Λευιτῶν πορευϑῆναι εἰς Ἱερουσαλὴμ
μετὰ σοῦ πορευϑῆναι· [14] ἀπὸ προσώπου τοῦ βασιλέως καὶ τῶν ἑπτὰ συμβού- 14
λων ἀπεστάλη ἐπισκέψασϑαι ἐπὶ τὴν Ἰουδαίαν καὶ εἰς Ἱερουσαλὴμ νόμῳ ϑεοῦ
αὐτῶν τῷ ἐν χειρί σου· [15] καὶ εἰς οἶκον κυρίου ἀργύριον καὶ χρυσίον ὃ ὁ 15
βασιλεὺς καὶ οἱ σύμβουλοι ἑκουσιάσϑησαν τῷ ϑεῷ τοῦ Ἰσραὴλ τῷ ἐν Ἱερου-
σαλὴμ κατασκηνοῦντι· [16] καὶ πᾶν ἀργύριον καὶ χρυσίον ὅ τι ἐὰν εὕρῃς ἐν 16
πάσῃ χώρᾳ Βαβυλῶνος μετὰ ἑκουσιασμοῦ τοῦ λαοῦ καὶ ἱερέων τῶν ἑκουσια-
ζομένων εἰς οἶκον ϑεοῦ τὸν ἐν Ἱερουσαλήμ. [17] καὶ πάντα προσπορευόμενον 17
τοῦτον ἑτοίμως ἔνταξον ἐν βιβλίῳ τούτῳ, μόσχους, κριούς, ἀμνούς, καὶ ϑυ-
σίας αὐτῶν καὶ σπονδὰς αὐτῶν· καὶ προσοίσεις αὐτὰ ἐπὶ τοῦ ϑυσιαστηρίου
τοῦ οἴκου τοῦ ϑεοῦ ὑμῶν τοῦ ἐν Ἱερουσαλήμ. [18] καὶ εἴ τι ἐπὶ σὲ καὶ τοὺς 18
ἀδελφούς σου ἀγαϑυνϑῇ ἐν καταλοίπῳ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου ποιῆσαι,
ὡς ἀρεστὸν τῷ ϑεῷ ὑμῶν ποιήσατε. [19] καὶ τὰ σκεύη τὰ διδόμενά σοι εἰς 19
λειτουργίαν οἴκου ϑεοῦ παράδος ἐνώπιον τοῦ ϑεοῦ ἐν Ἱερουσαλήμ. [20] καὶ κα- 20
τάλοιπον χρείας οἴκου ϑεοῦ σου ὃ ἂν φανῇ σοι δοῦναι δώσεις ἀπὸ οἴκων γάζης
βασιλέως [21] καὶ ἀπ᾽ ἐμοῦ. ἐγὼ Ἀρϑασασϑὰ βασιλεὺς ἔϑηκα γνώμην πάσαις 21
ταῖς γάζαις ταῖς ἐν πέρᾳ τοῦ ποταμοῦ, ὅτι πᾶν ὃ ἂν αἰτήσῃ ὑμᾶς Ἔσδρας
ὁ ἱερεὺς καὶ γραμματεὺς τοῦ ϑεοῦ τοῦ οὐρανοῦ ἑτοίμως γινέσϑω, [22] ἕως ἀρ- 22
γυρίου ταλάντων ἑκατόν, καὶ ἕως πυροῦ κόρων ἑκατόν, καὶ ἕως οἴνου βατῶν
ἑκατόν, καὶ ἕως ἐλαίου βατῶν ἑκατόν, καὶ ἅλας οὗ οὐκ ἔστι γραφή. [23] πᾶν 23
ὅ ἐστιν ἐν γνώμῃ ϑεοῦ τοῦ οὐρανοῦ γινέσϑω. προσέχετε μή τις ἐπιχειρήσῃ
εἰς τὸν οἶκον ϑεοῦ τοῦ οὐρανοῦ, μή ποτε γένηται ὀργὴ ἐπὶ τὴν βασιλείαν τοῦ
βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. [24] καὶ ὑμῖν ἐγνώρισται ἐν πᾶσι τοῖς ἱερεῦσι 24
καὶ τοῖς Λευίταις, ᾄδουσι, πυλωροῖς, Ναϑινὶμ καὶ λειτουργοῖς οἴκου ϑεοῦ
τούτου, φόρος μὴ ἔστω σοι, οὐκ ἐξουσιάσεις καταδουλοῦσϑαι αὐτούς. [25] καὶ 25
σύ, Ἔσδρα, ὡς ἡ σοφία τοῦ ϑεοῦ ἐν χειρί σου κατάστησον γραμματεῖς καὶ
κριτάς, ἵνα ὦσι κρίνοντες παντὶ τῷ λαῷ τῷ ἐν πέρᾳ τοῦ ποταμοῦ πᾶσι τοῖς
εἰδόσι νόμον τοῦ ϑεοῦ σου, καὶ τῷ μὴ εἰδότι γνωριεῖτε. [26] καὶ πᾶς ὃς ἂν 26
μὴ ᾖ ποιῶν νόμον τοῦ ϑεοῦ καὶ νόμον τοῦ βασιλέως ἑτοίμως, τὸ κρίμα ἔσται
γινόμενον ἐξ αὐτοῦ, ἐάν τε εἰς ϑάνατον ἐάν τε εἰς παιδείαν ἐάν τε εἰς ζη-
μίαν τοῦ βίου ἐάν τε εἰς παράδοσιν. [27] εὐλογητὸς κύριος ὁ ϑεὸς τῶν πατέρων 27
ἡμῶν, ὃς ἔδωκεν ἐν καρδίᾳ τοῦ βασιλέως οὕτως, τοῦ δοξάσαι τὸν οἶκον
κυρίου τὸν ἐν Ἱερουσαλήμ, [28] καὶ ἐπ᾽ ἐμὲ ἔκλινεν ἔλεος ἐν ὀφϑαλμοῖς τοῦ 28
βασιλέως καὶ τῶν συμβούλων αὐτοῦ καὶ πάντων τῶν ἀρχόντων τοῦ βασιλέως
τῶν ἐπηρμένων. καὶ ἐγὼ ἐκραταιώϑην ὡς χεὶρ ϑεοῦ ἡ ἀγαϑὴ ἐπ᾽ ἐμέ, καὶ
συνῆξα ἀπὸ Ἰσραὴλ ἄρχοντας ἀναβῆναι μετ᾽ ἐμοῦ.

## VIII.

Καὶ οὗτοι οἱ ἄρχοντες πατριῶν αὐτῶν οἱ ὁδηγοὶ ἀναβαίνοντες μετ᾽ ἐμοῦ
ἐν βασιλείᾳ Ἀρϑασασϑὰ τοῦ βασιλέως Βαβυλῶνος. [2] ἀπὸ υἱῶν Φινεές, Γηρ- 2
σών· ἀπὸ υἱῶν Ἰϑάμαρ, Δανιήλ· ἀπὸ υἱῶν Δαυίδ, Ἀττούς· [3] ἀπὸ υἱῶν Σα- 3

12. εζρα ... κυριου ϑεου ... τετελεσται ο λογος (14. συμβολων) 15. χρυσιον ο βασιλευς 16. αν pro εαν 17. παν ... επι ϑυσιαστηριου 18. και χρυσιου 20. και το καταλ. 21. ο εαν αιτησει υμ. εζρας ... γραμμ. του νομου του ϑεου ... γιγνεσϑω 22. οινου βαδων ... και ελαιου βαδων 23. του ϑεου ... προσεχε ... γιγνεσϑω ... εις οικον του ϑεου 24. ναϑινειμ 25. εζρα ... ϑεου η εν 26. ποιων τον νομον ... γιγνομενον ... δεσμα pro παραδοσιν 27. ουτως post εδωκεν pon. 28. ως χειρ κυριου η VIII. 1. om οι prius 2. γηρσωμ

Digitized by Google

χανία καὶ ἀπὸ υἱῶν Φόρος, Ζαχαρίας, καὶ μετ' αὐτοῦ τὸ σύστρεμμα ἑκατὸν
4 καὶ πεντήκοντα· 4 ἀπὸ υἱῶν Φαὰθ Μωάβ, Ἐλιανὰ υἱὸς Σαραΐα, καὶ μετ'
5 αὐτοῦ διακόσιοι τὰ ἀρσενικά· 5 καὶ ἀπὸ υἱῶν Ζαθόης Σεχενίας υἱὸς Ἀζιήλ,
6 καὶ μετ' αὐτοῦ τριακόσια τὰ ἀρσενικά· 6 καὶ ἀπὸ τῶν υἱῶν Ἀδίν, Ὠβὴθ
7 υἱὸς Ἰωνάθαν, καὶ μετ' αὐτοῦ πεντήκοντα τὰ ἀρσενικά· 7 καὶ ἀπὸ υἱῶν Ἠλάμ,
8 Ἰσαΐας υἱὸς Ἀθελία, καὶ μετ' αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά· 8 καὶ ἀπὸ
υἱῶν Σαφατία, Ζαβαδίας υἱὸς Μιχαήλ, καὶ μετ' αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσε-
9 νικά· 9 καὶ ἀπὸ υἱῶν Ἰωάβ, Ἀβαδία υἱὸς Ἰεϊήλ, καὶ μετ' αὐτοῦ διακόσιοι
10 δεκαοκτὼ τὰ ἀρσενικά· 10 καὶ ἀπὸ τῶν υἱῶν Βαανί, Σελιμοὺθ υἱὸς Ἰωσεφία,
11 καὶ μετ' αὐτοῦ ἑκατὸν ἑξήκοντα τὰ ἀρσενικά· 11 καὶ ἀπὸ υἱῶν Βαβί, Ζαχα-
12 ρίας υἱὸς Βαβί, καὶ μετ' αὐτοῦ εἰκοσιοκτὼ τὰ ἀρσενικά· 12 καὶ ἀπὸ υἱῶν
Ἀσγάδ, Ἰωανὰν υἱὸς Ἀκκατάν, καὶ μετ' αὐτοῦ ἑκατὸν δέκα τὰ ἀρσενικά·
13 13 καὶ ἀπὸ υἱῶν Ἀδωνικὰμ ἔσχατοι, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλιφα-
14 λάτ, Ἰεὴλ καὶ Σαμαΐα, καὶ μετ' αὐτῶν ἑξήκοντα τὰ ἀρσενικά· 14 καὶ ἀπὸ
υἱῶν Βαγουαΐ, Οὐθαῒ καὶ Ζαβούδ, καὶ μετ' αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσε-
15 νικά. 15 καὶ συνῆξα αὐτοὺς πρὸς τὸν ποταμὸν τὸν ἐρχόμενον πρὸς τὸν Εὐί,
καὶ παρενεβάλομεν ἐκεῖ ἡμέρας τρεῖς· καὶ συνῆκα ἐν τῷ λαῷ καὶ ἐν τοῖς
16 ἱερεῦσι, καὶ ἀπὸ υἱῶν Λευὶ οὐχ εὗρον ἐκεῖ. 16 καὶ ἀπέστειλα τῷ Ἐλεάζαρ,
τῷ Ἀριήλ, τῷ Σεμεΐᾳ καὶ τῷ Ἀλωνὰμ καὶ τῷ Ἰαρὶβ καὶ τῷ Ἐλνάθαμ καὶ
τῷ Νάθαν καὶ τῷ Ζαχαρίᾳ καὶ τῷ Μεσολλὰμ καὶ τῷ Ἰωαρὶμ καὶ τῷ Ἐλ-
17 νάθαν συνιέντας. 17 καὶ ἐξήνεγκα αὐτοὺς ἐπὶ ἄρχοντας ἐν ἀργυρίῳ τοῦ τόπου,
καὶ ἔθηκα ἐν στόματι αὐτῶν λόγους λαλῆσαι πρὸς τοὺς ἀδελφοὺς αὐτῶν τῶν
Ἀθινεὶμ ἐν ἀργυρίῳ τοῦ τόπου τοῦ ἐνέγκαι ἡμῖν ᾄδοντας εἰς οἶκον θεοῦ ἡμῶν.
18 18 καὶ ἦλθοσαν ἡμῖν, ὡς χεὶρ θεοῦ ἡμῶν ἀγαθὴ ἐφ' ἡμᾶς, ἀνὴρ Σαχὼν ἀπὸ
υἱῶν Μοολὶ υἱοῦ Λευὶ υἱοῦ Ἰσραήλ, καὶ ἀρχὴν ἦλθον οἱ υἱοὶ αὐτοῦ καὶ ἀδελ-
19 φοὶ αὐτοῦ δεκαοκτώ· 19 καὶ τὸν Ἀσεβία καὶ τὸν Ἰσαΐα ἀπὸ τῶν υἱῶν Μεραρί,
20 ἀδελφοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ εἴκοσι· 20 καὶ ἀπὸ τῶν Ναθινὶμ ὧν ἔδωκε Δαυὶδ
καὶ οἱ ἄρχοντες εἰς δουλείαν τῶν Λευιτῶν, Ναθινὶμ διακόσιοι εἴκοσι· πάντες
21 συνήχθησαν ἐν ὀνόμασι. 21 καὶ ἐκάλεσα ἐκεῖ νηστείαν ἐπὶ τὸν ποταμὸν Ἀουὲ
τοῦ ταπεινωθῆναι ἐνώπιον τοῦ θεοῦ ἡμῶν, ζητῆσαι παρ' αὐτοῦ ὁδὸν εὐθεῖαν
22 ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν καὶ πάσῃ τῇ κτήσει ἡμῶν. 22 ὅτι ᾐσχύνθην αἰτή-
σασθαι παρὰ τοῦ βασιλέως δύναμιν καὶ ἱππεῖς σῶσαι ἡμᾶς ἀπὸ ἐχθροῦ ἐν
τῇ ὁδῷ, ὅτι εἴπαμεν τῷ βασιλεῖ λέγοντες Χεὶρ τοῦ θεοῦ ἡμῶν ἐπὶ πάντας
τοὺς ζητοῦντας αὐτὸν εἰς ἀγαθόν, καὶ κράτος αὐτοῦ καὶ θυμὸς αὐτοῦ ἐπὶ
23 πάντας τοὺς ἐγκαταλείποντας αὐτόν. 23 καὶ ἐνηστεύσαμεν καὶ ἐζητήσαμεν παρὰ
24 τοῦ θεοῦ ἡμῶν περὶ τούτου, καὶ ἐπήκουσεν ἡμῖν. 24 καὶ διέστειλα ἀπὸ ἀρ-
χόντων τῶν ἱερέων δώδεκα, τῷ Σαραΐᾳ, τῷ Ἀσαβίᾳ, καὶ μετ' αὐτῶν ἀπὸ
25 ἀδελφῶν αὐτῶν δέκα. 25 καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ
τὰ σκεύη ἀπαρχῆς οἴκου θεοῦ ἡμῶν, ἃ ὕψωσεν ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι
26 αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ πᾶς Ἰσραὴλ οἱ εὑρισκόμενοι. 26 καὶ ἔστησα
ἐπὶ χεῖρας αὐτῶν ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα, καὶ σκεύη ἀργυρᾶ
27 ἑκατόν, καὶ τάλαντα χρυσίου ἑκατόν· 27 καὶ χαφουρῆ χρυσοῖ εἴκοσι εἰς τὴν
ὁδὸν χίλιοι, καὶ σκεύη χαλκοῦ στίλβοντος ἀγαθοῦ διάφορα ἐπιθυμητὰ ἐν

---

3. om και primum 4. και απο ... ελιαανα υι. ζαραια 5. om και prius ... τριακοσιοι 6. απο υιων ... ωβην 7. ησαια υι. αθλια 8. ζαβδιας υι. μαχαηλ 9. ιεειηλ 10. απο υιων βαανι σελειμουθ 11. βαβει bis 12. αζγαδ 13. ελιφαλαθ ειηλ και σαμαεια 14. γαβουαει 15. ευει ... λευει 16. ιωαρειμ 17. αθανειμ εν αργυριω τοπου 19. απο υιων ... και οι υιοι αυτων 20. ναθινειμ bis ... δουλιαν 21. ενωπιον θεου 22. ειπομεν ... παντας εγκαταλ. 23. παρα θεου 24. τω σαραια τω σαβια 27. χαφουρη χρυσαιοι ... οδον δραχμων ειν χειλειοι (sic)

Digitized by Google

χρυσίῳ. [28] καὶ εἶπα πρὸς αὐτούς Ὑμεῖς ἅγιοι τῷ κυρίῳ, καὶ τὰ σκεύη ἅγια καὶ 28
τὸ ἀργύριον καὶ τὸ χρυσίον ἑκούσια τῷ κυρίῳ θεῷ πατέρων ἡμῶν· [29] ἀγρυ- 29
πνεῖτε καὶ τηρεῖτε, ἕως στῆτε ἐνώπιον ἀρχόντων τῶν ἱερέων καὶ τῶν Λευιτῶν
καὶ τῶν ἀρχόντων τῶν πατριῶν ἐν Ἱερουσαλὴμ εἰς σκηνὰς οἴκου κυρίου. [30] καὶ 30
ἐδέξαντο οἱ ἱερεῖς καὶ οἱ Λευῖται σταθμὸν τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου καὶ
τῶν σκευῶν ἐνεγκεῖν εἰς Ἱερουσαλὴμ εἰς οἶκον θεοῦ ἡμῶν. [31] καὶ ἐξήραμεν 31
ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἀουὲ ἐν τῇ δωδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου τοῦ ἐλ-
θεῖν εἰς Ἱερουσαλήμ· καὶ χεὶρ θεοῦ ἡμῶν ἦν ἐφ' ἡμῖν, καὶ ἐρρύσατο ἡμᾶς
ἀπὸ χειρὸς ἐχθροῦ καὶ πολεμίου ἐν τῇ ὁδῷ. [32] καὶ ἤλθομεν εἰς Ἱερουσαλήμ, 32
καὶ ἐκαθίσαμεν ἐκεῖ ἡμέρας τρεῖς. [33] καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐστή- 33
σαμεν τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἐν οἴκῳ θεοῦ ἡμῶν ἐπὶ χεῖρα
Μεριμὼθ υἱοῦ Οὐρία τοῦ ἱερέως, καὶ μετ' αὐτοῦ Ἐλεάζαρ υἱὸς Φινεές, καὶ
μετ' αὐτῶν Ἰωζαβὰδ υἱὸς Ἰησοῦ καὶ Νωαδία υἱὸς Βαναΐα οἱ Λευῖται, [34] ἐν 34
ἀριθμῷ καὶ ἐν σταθμῷ τὰ πάντα, καὶ ἐγράφη πᾶς ὁ σταθμός. ἐν τῷ καιρῷ
ἐκείνῳ [35] οἱ ἐλθόντες ἐκ τῆς αἰχμαλωσίας υἱοὶ τῆς παροικίας προσήνεγκαν 35
ὁλοκαυτώσεις τῷ θεῷ Ἰσραήλ, μόσχους δώδεκα περὶ παντὸς Ἰσραήλ, κριοὺς
ἐνενηκονταέξ, ἀμνοὺς ἑβδομηκονταεπτά, χιμάρους περὶ ἁμαρτίας δώδεκα, τὰ
πάντα ὁλοκαυτώματα τῷ κυρίῳ. [36] καὶ ἔδωκαν τὸ νόμισμα τοῦ βασιλέως τοῖς 36
διοικηταῖς τοῦ βασιλέως καὶ ἐπάρχοις πέραν τοῦ ποταμοῦ· καὶ ἐδόξασαν τὸν
λαὸν καὶ τὸν οἶκον τοῦ θεοῦ.

## IX.

Καὶ ὡς ἐτελέσθη ταῦτα, ἤγγισαν πρὸς μὲ οἱ ἄρχοντες λέγοντες Οὐκ
ἐχωρίσθη ὁ λαὸς Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἀπὸ λαῶν τῶν γαιῶν
ἐν μακρύμμασιν αὐτῶν, τῷ Χαναν(, ὁ Ἐθί, ὁ Φερεζί, ὁ Ἰεβουσί, ὁ Ἀμ-
μωνί, ὁ Μωαβὶ καὶ ὁ Μοσερὶ καὶ ὁ Ἀμοῤῥί· [2] ὅτι ἐλάβοσαν ἀπὸ θυγατέρων 2
αὐτῶν ἑαυτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν, καὶ παρήχθη σπέρμα τὸ ἅγιον ἐν λαοῖς
τῶν γαιῶν, καὶ χεὶρ τῶν ἀρχόντων ἐν τῇ ἀσυνθεσίᾳ ταύτῃ ἐν ἀρχῇ. [3] καὶ 3
ὡς ἤκουσα τὸν λόγον τοῦτον, διέῤῥηξα τὰ ἱμάτιά μου καὶ ἐπαλλόμην, καὶ
ἔτιλλον ἀπὸ τῶν τριχῶν τῆς κεφαλῆς μου καὶ ἀπὸ τοῦ πώγωνός μου, καὶ
ἐκαθήμην ἠρεμάζων. [4] καὶ συνήχθησαν πρὸς μὲ πᾶς ὁ διώκων λόγον θεοῦ 4
Ἰσραὴλ ἐπὶ ἀσυνθεσίᾳ τῆς ἀποικίας· κἀγὼ καθήμενος ἠρεμάζων ἕως τῆς
θυσίας τῆς ἑσπερινῆς. [5] καὶ ἐν θυσίᾳ τῇ ἑσπερινῇ ἀνέστην ἀπὸ ταπεινώσεώς 5
μου· καὶ ἐν τῷ διαῤῥῆξαί με τὰ ἱμάτιά μου καὶ ἐπαλλόμην, καὶ κλίνω ἐπὶ
τὰ γόνατά μου καὶ ἐκπετάζω τὰς χεῖράς μου πρὸς κύριον τὸν θεόν, [6] καὶ 6
εἶπα Κύριε, ᾐσχύνθην καὶ ἐνετράπην τοῦ ὑψῶσαι θεέ μου τὸ πρόσωπόν μου
πρὸς σέ, ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπληθύνθησαν ὑπὲρ κεφαλῆς ἡμῶν, καὶ αἱ
πλημμέλειαι ἡμῶν ἐμεγαλύνθησαν ἕως εἰς τὸν οὐρανόν. [7] ἀπὸ ἡμερῶν πατέ- 7
ρων ἡμῶν ἐσμὲν ἐν πλημμελείᾳ μεγάλῃ ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐν ταῖς
ἀνομίαις ἡμῶν παρεδόθημεν ἡμεῖς καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ υἱοὶ ἡμῶν
ἐν χειρὶ βασιλέων τῶν ἐθνῶν ἐν ῥομφαίᾳ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρ-
παγῇ καὶ ἐν αἰσχύνῃ προσώπου ἡμῶν, ὡς ἡ ἡμέρα αὕτη. [8] καὶ νῦν ἐπιεικεύ- 8
σατο ἡμῖν ὁ θεὸς ἡμῶν τοῦ καταλιπεῖν ἡμᾶς εἰς σωτηρίαν καὶ δοῦναι ἡμῖν
στήριγμα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ, τοῦ φωτίσαι ὀφθαλμοὺς ἡμῶν καὶ δοῦ-
ναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν. [9] ὅτι δοῦλοί ἐσμεν, καὶ ἐν τῇ 9

28. τω κυρ. θεω 29. στητε εν. των αρχοντ. 31. εν δωδεκατη ... ερυσατο 33. μαρμωθ ... νωαδα 35. απο της αιχμαλωσιας ... χειμαρους 36. εδωκα IX. 1. εμ μακρυμμασιν ... εθθι ... ιεβουσει ... ο μωαβ, ο μωσρι και ο αμορι 2. υιοις εαυτων 3. ερεμαζων ... in f. add ουτως δει και νυν 4. αποικεσιας 5. απο της ταπ. 6. εις ουρανον 8. κυριος ο θεος ημ. του καταλειπειν ημιν ... δουλια

Digitized by Google

δουλείᾳ ἡμῶν οὐκ ἐγκατέλιπεν ἡμᾶς κύριος ὁ θεὸς ἡμῶν, καὶ ἔκλινεν ἐφ'
ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων Περσῶν, δοῦναι ἡμῖν ζωοποίησιν τοῦ ὑψῶσαι
αὐτοὺς τὸν οἶκον τοῦ θεοῦ ἡμῶν καὶ ἀναστῆσαι τὰ ἔρημα αὐτῆς, καὶ τοῦ
10 δοῦναι ἡμῖν φραγμὸν ἐν Ἰούδᾳ καὶ Ἱερουσαλήμ. [10] τί εἴπωμεν ὁ θεὸς ἡμῶν
11 μετὰ τοῦτο; ὅτι ἐγκατελίπομεν ἐντολάς σου, [11] ἃς ἔδωκας ἡμῖν ἐν χειρὶ δού-
λων σου τῶν προφητῶν λέγων Ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε κληρονομῆσαι αὐ-
τὴν γῆ μετακινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν ἐν μακρύμμασιν
αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἐπὶ στόμα ἐν ἀκαθαρσίαις αὐτῶν.
12 [12] καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δότε τοῖς υἱοῖς αὐτῶν, καὶ ἀπὸ τῶν θυγα-
τέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν, καὶ οὐκ ἐκζητήσετε εἰρήνην αὐτῶν
καὶ ἀγαθὸν αὐτῶν ἕως αἰῶνος, ὅπως ἐνισχύσητε καὶ φάγητε τὰ ἀγαθὰ τῆς
13 γῆς καὶ κληροδοτήσητε τοῖς υἱοῖς ὑμῶν ἕως αἰῶνος. [13] καὶ μετὰ πᾶν τὸ ἐρχό-
μενον ἐφ' ἡμᾶς ἐν ποιήμασιν ἡμῶν τοῖς πονηροῖς καὶ ἐν πλημμελείᾳ ἡμῶν
τῇ μεγάλῃ, ὅτι οὐκ ἔστιν ὡς ὁ θεὸς ἡμῶν, ὅτι ἐκούφισας ἡμῶν τὰς ἀνο-
14 μίας καὶ ἔδωκας ἡμῖν σωτηρίαν. [14] ὅτι ἐπεστρέψαμεν διασκεδάσαι ἐντολάς
σου καὶ ἐπαγαμβρεῦσαι τοῖς λαοῖς τῶν γαιῶν· μὴ παροξυνθῇς ἐν ἡμῖν ἕως συν-
15 τελείας τοῦ μὴ εἶναι ἐγκατάλειμμα καὶ διασῳζόμενον. [15] κύριε ὁ θεὸς Ἰσραήλ,
δίκαιος σύ, ὅτι κατελείφθημεν διασῳζόμενοι ὡς ἡ ἡμέρα αὕτη· ἰδοὺ ἡμεῖς
ἐναντίον σου ἐν πλημμελείαις ἡμῶν, ὅτι οὐκ ἔστι στῆναι ἐνώπιόν σου ἐπὶ τούτῳ.

## X.

Καὶ ὡς προσηύξατο Ἔσδρας, καὶ ὡς ἐξηγόρευσε κλαίων καὶ προσευχό-
μενος ἐνώπιον οἴκου τοῦ θεοῦ, συνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἰσραὴλ ἐκκλησία
πολλὴ σφόδρα, ἄνδρες καὶ γυναῖκες καὶ νεανίσκοι, ὅτι ἔκλαυσαν ὁ λαὸς καὶ
2 ὕψωσε κλαίων. [2] καὶ ἀπεκρίθη Σεχενίας υἱὸς Ἰεὴλ ἀπὸ υἱῶν Ἠλὰμ καὶ εἶπε
τῷ Ἔσδρᾳ Ἡμεῖς ἠσυνθετήσαμεν τῷ θεῷ ἡμῶν καὶ ἐκαθίσαμεν γυναῖκας
ἀλλοτρίας ἀπὸ τῶν λαῶν τῆς γῆς· καὶ νῦν ἐστὶν ὑπομονὴ τῷ Ἰσραὴλ ἐπὶ
3 τούτῳ. [3] καὶ νῦν διαθώμεθα διαθήκην τῷ θεῷ ἡμῶν ἐκβαλεῖν πάσας τὰς
γυναῖκας καὶ τὰ γενόμενα ἐξ αὐτῶν, ὡς ἂν βούλῃ· ἀνάστηθι καὶ φοβέρισον
4 αὐτοὺς ἐν ἐντολαῖς θεοῦ ἡμῶν, καὶ ὡς ὁ νόμος γενηθήτω. [4] ἀνάστα, ὅτι ἐπὶ
5 σὲ τὸ ῥῆμα, καὶ ἡμεῖς μετὰ σοῦ· κραταιοῦ καὶ ποίησον. [5] καὶ ἀνέστη Ἔσδρας
καὶ ὥρκισε τοὺς ἄρχοντας, τοὺς ἱερεῖς καὶ Λευίτας καὶ πάντα Ἰσραήλ, τοῦ

---

9. δουλια ... εγκατελειπεν ... (inde a κυριος ο θεος ημ. rursus incipit FA) FA* βασιλεως (videtur) ... FA* δουναι φραγμον ... Ax FA εν ιερουσαλ. 10. FA* και νυν τι ... εγκατελειπομεν εντολ., FA ενκατελιπομ. ημις εντολ. 11. FA*.* δουλου ... FA* εν μακρυνσει αυτων ων (*.* οις, non ::) επλανησαν ... om αυτων prius ... FA* om αυτων extr. 12. Ax FA δωτε ... FA* εκζητησατε (?) ... κληρονομησητε 13. FA *.* (non ::) παντα τα εισελθοντα (ελθ. ?) ... FA εφ υμας (** ημας) εν ποιημ. υμων ... FA*.* (non ::) μεγαλη, οτι συ ο θεος ημων κατεπαυσας το σκηπτρον ημων δια τας αμαρτιας ημων, και ουκ εστιν ως συ, οτι ... FA* ημων, και εκουφισας 14. απεστρεψαμεν ... FA om των γαιων (*.* τουτων s. τουτ. τ. γ. ? ... non ::) ... FA*.* (non ::) και ου παρ. ημιν ... FA ενκαταλιμμα 14. 15. a διασωζομενον ad διασωζομενοι transilit 15. FA *.* οτι ουκ ενκατελιφθημεν ... FA* om η (*.* ει) ... FA* om ιδου ημεις ... FA* post εναντ. σου add ως η ημερα αυτη ... FA* επι τουτο X. 1. εζρας ... FA* om ως sec. ... FA κλαιων προσευχομενος ... FA του οικου ... FA* om απο ισραηλ ... Ax FA εκλαυσεν 2. ιεειηλ ... εζρα ... FA *.* (non ::) ελαβομεν pro εκαθ. ... Ax FA απο λαων 3. FA* εκβαλλειν ... FA :: γεννωμενα ... FA* εως αν ... FA*.* (non ::) pro ως αν usque γενηθ. sic: εν βουλη κυριου και των τρεμοντων εν εντολαις αυτου· και ποιηθησεται κατα τον νομον του θεου ημων. 4. Ax FA** (cf. Prol. codicis) αναστηθι ... om οτι 5. FA ωρκισεν τους (*.* add ιερεις και) λευιτ. κ. τους αρχοντ. κ. π. ισρ.

Digitized by Google

ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο· καὶ ὤμοσαν. [6]καὶ ἀνέστη Ἔσδρας ἀπὸ προς- 6
ώπου οἴκου τοῦ θεοῦ, καὶ ἐπορεύθη εἰς γαζοφυλάκιον Ἰωανὰν υἱοῦ Ἐλισούβ,
καὶ ἐπορεύθη ἐκεῖ· ἄρτον οὐκ ἔφαγε καὶ ὕδωρ οὐκ ἔπιεν, ὅτι ἐπένθει ἐπὶ
τῇ ἀσυνθεσίᾳ τῆς ἀποικίας. [7]καὶ παρήνεγκαν φωνὴν ἐν Ἰούδᾳ καὶ ἐν 7
Ἱερουσαλὴμ πᾶσι τοῖς υἱοῖς τῆς ἀποικίας τοῦ συναθροισθῆναι εἰς Ἱερουσαλήμ.
[8]πᾶς ὃς ἂν μὴ ἔλθῃ εἰς τρεῖς ἡμέρας ὡς ἡ βουλὴ τῶν ἀρχόντων καὶ τῶν 8
πρεσβυτέρων, ἀναθεματισθήσεται πᾶσα ἡ ὕπαρξις αὐτοῦ, καὶ αὐτὸς διαστα-
λήσεται ἀπὸ ἐκκλησίας τῆς ἀποικίας. [9]καὶ συνήχθησαν πάντες ἄνδρες Ἰούδα 9
καὶ Βενιαμὶν εἰς Ἱερουσαλὴμ εἰς τὰς τρεῖς ἡμέρας, οὗτος ὁ μὴν ὁ ἔννατος·
ἐν εἰκάδι τοῦ μηνὸς ἐκάθισε πᾶς ὁ λαὸς ἐν πλατείᾳ οἴκου τοῦ θεοῦ ἀπὸ θο-
ρύβου αὐτῶν περὶ τοῦ ῥήματος καὶ ἀπὸ τοῦ χειμῶνος. [10]καὶ ἀνέστη Ἔσδρας 10
ὁ ἱερεὺς καὶ εἶπε πρὸς αὐτούς Ὑμεῖς ἠσυνθετήκατε καὶ ἐκαθίσατε γυναῖκας
ἀλλοτρίας τοῦ προσθεῖναι ἐπὶ πλημμέλειαν Ἰσραήλ. [11]καὶ νῦν δότε αἴνεσιν 11
κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν, καὶ ποιήσατε τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ,
καὶ διαστάλητε ἀπὸ λαῶν τῆς γῆς καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλοτρίων.
[12]καὶ ἀπεκρίθησαν πᾶσα ἡ ἐκκλησία καὶ εἶπαν Μέγα τοῦτο τὸ ῥῆμά σου 12
ἐφ᾽ ἡμᾶς ποιῆσαι. [13]ἀλλὰ ὁ λαὸς πολύς, καὶ ὁ καιρὸς χειμερινός, καὶ οὐκ 13
ἔστι δύναμις στῆναι ἔξω· καὶ τὸ ἔργον οὐκ εἰς ἡμέραν μίαν καὶ οὐκ εἰς δύο,
ὅτι ἐπληθύναμεν τοῦ ἀδικῆσαι ἐν τῷ ῥήματι τούτῳ. [14]στήτωσαν δὴ ἄρχον- 14
τες ἡμῶν, καὶ πᾶσι τοῖς ἐν πόλεσιν ἡμῶν ὃς ἐκάθισε γυναῖκας ἀλλοτρίας,
ἐλθέτωσαν εἰς καιροὺς ἀπὸ συνταγῶν· καὶ μετ᾽ αὐτῶν πρεσβύτεροι πόλεως
καὶ πόλεως καὶ κριταὶ τοῦ ἀποστρέψαι ὀργὴν θυμοῦ θεοῦ ἡμῶν ἐξ ἡμῶν
περὶ τοῦ ῥήματος τούτου. [15]πλὴν Ἰωνάθαν υἱὸς Ἀσαὴλ καὶ Ἰαζίας υἱὸς Θε- 15
κωὲ μετ᾽ ἐμοῦ περὶ τούτου, καὶ Μεσολλὰμ καὶ Σαββαθαΐ ὁ Λευίτης βοηθῶν
αὐτοῖς. [16]καὶ ἐποίησαν οὕτως υἱοὶ τῆς ἀποικίας· καὶ διεστάλησαν Ἔσδρας 16
ὁ ἱερεὺς καὶ ἄνδρες ἄρχοντες πατριῶν τῷ οἴκῳ καὶ πάντες ἐν ὀνόμασιν, ὅτι
ἐπέστρεψαν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ δεκάτου ἐκζητῆσαι τὸ ῥῆμα. [17]καὶ 17
ἐτέλεσαν ἐν πᾶσιν ἀνδράσιν οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας ἕως ἡμέρας μιᾶς
τοῦ μηνὸς τοῦ πρώτου. [18]καὶ εὑρέθησαν ἀπὸ υἱῶν τῶν ἱερέων οἳ ἐκάθισαν 18
γυναῖκας ἀλλοτρίας, ἀπὸ υἱῶν Ἰησοῦ υἱοῦ Ἰωσεδέκ, καὶ ἀδελφοὶ αὐτοῦ Μαα-
σία καὶ Ἐλιέζερ καὶ Ἰαρὶβ καὶ Γαδαλία· [19]καὶ ἔδωκαν χεῖρα αὐτῶν τοῦ 19
ἐξενέγκαι γυναῖκας ἑαυτῶν καὶ πλημμελείας κριὸν ἐκ προβάτων περὶ πλημ-
μελήσεως αὐτῶν· [20]καὶ ἀπὸ υἱῶν Ἐμμήρ, Ἀνανὶ καὶ Ζαβδία· [21]καὶ ἀπὸ 20 21

---

6. εζρας ... FA*⁎* ιωναν ... FA επι ασυνθεσεια (— σεια etiam Ax) ... της αποικεσιας 7. Ax FA* om πασι τοις usque ιερουσαλημ ... FA*⁎* του συναχθηναι 8. FA και πας ... ως αν η βουλη, FA* ος αν βουλη ... FA* om των αρχοντων 9. FA παντ. οι ανδρες ... Ax FA βενιαμειν ... Ax FA ενατος ... FA*⁎* και εκαθισεν ... FA* om πας ... του θορυβου 10. εζρας ... FA*⁎* (non ⁑⁑) κ. ελαβετε γυν. 11. τω κυριω θεω, FA* τω θεω, FA*⁎* κυριω τω θεω ... FA*⁎* πατερ. υμων 12. FA*⁎* ειπαν φωνη 14. Ax FA οι αρχοντες ... Ax FA τη παση (FA*⁎*, non ⁑⁑, εν τη παση) εκκλησια κ. πασι ... FA ελθατωσαν ... FA* απο συναγωγων ... *⁎* (non ⁑⁑) και παντες οι εν ταις πολεσιν οι λαβοντες γυν. ... om θυμου 15. FA* σαηλ ... FA* λαζεια, ** λαζειας ... θεκουε, FA ελκεια ... μετασολλαμ καββαθαϊ, FA μεσουλαμ και σαβαθαι 16. οι υιοι ... FA*⁎* (non ⁑⁑) κ. διεστιλεν εσδρ. ο ιερ. αρχοντας ... εζρας ... FA* om και tertium (addidit ⁑⁑ ut videtur) ... Ax FA* των οικων ... Ax FA*⁎* επ ονομασιν ... FA*⁎* (non ⁑⁑) δωδεκατου 17. 18. FA* ab αλλοτριας ad αλλοτριας v. seq. transilit. 18. FA*⁎* απο των υιων ... FA*⁎* οι ελαβον ... FA οι αδελφοι ... μαασηια, FA μαασηα ... FA ιωρειμ και γαλαδεια 19. FA* om του εξενεγκαι usq. αυτων ... FA** περι πλημμεληματος α. 20. FA* αμμηρ ... ανανια, FA ανανει ... FA ζαβδεια



Digitized by Google

22 υἱῶν Ἡράμ, Μασαὴλ καὶ Ἐλία καὶ Σαματα καὶ Ἰεὴλ καὶ Ὀζία· [22] καὶ
ἀπὸ υἱῶν Φασούρ, Ἐλιωναΐ, Μαασία καὶ Ἰσμαὴλ καὶ Ναθαναὴλ καὶ Ἰωζα-
23 βὰδ καὶ Ἠλασά· [23] καὶ ἀπὸ τῶν Λευιτῶν Ἰωζαβὰδ καὶ Σαμοὺ καὶ Κωλία,
24 αὐτὸς Κωλίτας, καὶ Φεθεΐα καὶ Ἰούδας καὶ Ἐλιέζερ, [24] καὶ ἀπὸ τῶν ᾀδόν-
25 των Ἐλισάβ, καὶ ἀπὸ τῶν πυλωρῶν Σολμὴν καὶ Τελμὴν καὶ Ὠδούθ· [25] καὶ
ἀπὸ Ἰσραὴλ ἀπὸ υἱῶν Φόρος, Ῥαμία καὶ Ἀζία καὶ Μελχία καὶ Μεαμὶν καὶ
26 Ἐλεάζαρ καὶ Ἀσαβία καὶ Βαναία· [26] καὶ ἀπὸ υἱῶν Ἠλάμ, Ματθανία καὶ
27 Ζαχαρία καὶ Ἰαϊὴλ καὶ Ἀβδία καὶ Ἰαριμὼθ καὶ Ἠλία· [27] καὶ ἀπὸ υἱῶν Ζα-
θουά, Ἐλιωναΐ, Ἐλισούβ, Ματθαναΐ καὶ Ἀρμὼθ καὶ Ζαβὰδ καὶ Ὀζιζά·
28 29 [28] καὶ ἀπὸ υἱῶν Βαβεΐ, Ἰωανάν, Ἀνανία καὶ Ζαβοὺ καὶ Θαλί· [29] καὶ ἀπὸ
υἱῶν Βανουί, Μοσολλάμ, Μαλούχ, Ἀδαΐας, Ἰασοὺβ καὶ Σαλουία καὶ Ῥημώθ·
30 [30] καὶ ἀπὸ υἱῶν Φαὰθ Μωάβ, Ἐδνὲ καὶ Χαλὴλ καὶ Βαναία, Μαασία, Ματ-
31 θανία, Βεσελεὴλ καὶ Βανουὶ καὶ Μανασσῆ· [31] καὶ ἀπὸ υἱῶν Ἡράμ, Ἐλιέ-
32 ζερ, Ἰεσία, Μελχία, Σαμαΐας, Σεμεών, [32] Βενιαμίν, Βαλούχ, Σαμαρία·
33 [33] καὶ ἀπὸ υἱῶν Ἀσήμ, Μετθανία, Ματθαθά, Ζαδάβ, Ἐλιφαλέτ, Ἱεραμί,
34 35 Μανασσῆ, Σεμεΐ· [34] καὶ ἀπὸ υἱῶν Βανί, Μοοδία, Ἀμράμ, Οὐήλ, [35] Βα-
36 37 ναία, Βαδαΐα, Χελκία, [36] Οὐουανία, Μαριμώθ, Ἐλιασίφ, [37] Ματθανία,
38 39 Ματθαναΐ· καὶ ἐποίησαν [38] οἱ υἱοὶ Βανουὶ καὶ οἱ υἱοὶ Σεμεΐ, [39] καὶ Σελε-
40 41 μία καὶ Νάθαν καὶ Ἀδαΐα, [40] Μαχαδναβού, Σεσεΐ, Σαριού, [41] Ἐζριὴλ καὶ
42 43 Σελεμία καὶ Σαμαρία [42] καὶ Σελλούμ, Ἀμαρεία, Ἰωσήφ· [43] ἀπὸ υἱῶν
Ναβού, Ἰαήλ, Ματθανίας, Ζαβάδ, Ζεβεννάς, Ἰαδαὶ καὶ Ἰωὴλ καὶ Βαναία.
44 [44] πάντες οὗτοι ἐλάβοσαν γυναῖκας ἀλλοτρίας, καὶ ἐγέννησαν ἐξ αὐτῶν υἱούς.

---

21. μασεΐας ... FA ελεια ... Ax FA σαμαια ... ιειηλ ... FA οζεια 22. ελιωηναι, FA ελιωνα ... FA μαασαια ... FA σαμαιηλ 23. FA ∴ (non ∷) κ. α. τ. υιων των λευ. ... FA σαμουδ ... κωλαα, FA κωλεια ... FA* κωλιευ, ** κωλιτα ... φεθεια, FA φααια ... FA ιεδομ (pro ιουδ.) κ. ελιαζαρ 24. FA ∴ (non ∷) ωδων pro αδοντων ... FA ελισαφ ... σολλημ, FA γαιλλειμ ... Ax FA τελλημ ... ωδουε 25. FA ∴ (non ∷) φαρες ... FA αδεια pro αζια ... FA μελχεια ... μεαμιμ, FA αμαμειν ... ελεαζα ... FA σαβια ... βαναΐα, FA μαναια 26. μαθθανια, FA μαθανια ... αΐειηλ, FA ϊαειηλ ... FA αβδεια ... ιεριμωθ ... FA ηλεια 27. ζαθθουα, FA ζαθουια ... * ελιωνναΐ, ** ελιωηναΐ, FA ελιωναν ... FA ελισου ... μαθθαναι, FA βαλαθανιαν ... ιαρμωθ, FA αρμων ... FA οζεια 28. βαβει, FA βαβι ... FA ιωναναν ... FA* ανεια, ** ανανεια ... ζαβου οθαλι, FA ζαβου θαλειμ 29. βανει ... σααλ pro σαλουια ... FA βανουειμ ελουσαμα ελουμα δαασουδ και σαλουια κ. μηνων 30. FA εδενεχ ηλ βαναΐα μαση (Ax μαασηα) ... μαθθανια, FA αμαθανεια (sed μ erasum) ... βεσεληλ, FA βεσσεληλ ... FA θανουει 31. ιεσσια, FA ιεσσεια ... Ax FA μελχεια ... σαμαιας, FA σεμεα 32. Ax FA βενιαμειν ... μαλουχ, FA μαδουχ (sed FA* videtur μαλουχ) 33. FA ησιαμ ... μαθθαναΐ, FA μαθανια ... μαθθαθα ζαβαδ, FA αθαζαβελ ... FA ελειφαλεθ ... ιερεμι, FA ιεραμει ... FA σεμεει 34. FA* om και ... βανει, FA ανειμο ... μοοδεια, FA δεδια ... αμβραμ και ουηλ, FA μαριθυηλ 35. βαναΐα ... FA μαδαια ... χελια, FA χελκεια 36. ουουνια, FA ουιερε ... FA χωιεραμωθ ... ελιασειβ, FA ελειασειβ 37. μαθθανια, FA μαθανια ... μαθθαναΐ, FA μαθανα 38. FA και υιοι σεμεει 39. σελεμιας, FA σελεμεια ... αδαΐας, FA αδειαμ 40. μαχναδααβου σεσει, FA αχαδ ναβουσεσει ... αρου, FA σαρουε 41. FA εσριηλ ... σελεμιας, FA σελεμεια ... σαμαρειας, FA σαμαρεια 42. Ax FA om και ... FA σαλουμ ... αμαριας, FA μαρια 43. ιεειηλ ... μαθθαθιας, FA θαμαθια ... om ζαβαδ ζεβεννας, FA σεδεμ ζαμβεινάδια ... ιαδαΐ, FA om ... βαναΐα

Digitized by Google

# N E E M I A Σ.

## I.

Λόγοι Νεεμία υἱοῦ Χελκία. καὶ ἐγένετο ἐν μηνὶ Χασελεῦ ἔτους εἰκοστοῦ
καὶ ἐγὼ ἤμην ἐν Σουσὰν ἀβιρά· [2] καὶ ἦλθεν Ἀνανὶ εἷς ἀπὸ ἀδελφῶν μου, 2
αὐτὸς καὶ ἄνδρες Ἰούδα, καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σωθέντων οἳ κατε-
λείφθησαν ἀπὸ τῆς αἰχμαλωσίας καὶ περὶ Ἱερουσαλήμ. [3] καὶ εἴποσαν πρὸς 3
μέ Οἱ καταλειπόμενοι οἱ καταλειφθέντες ἀπὸ τῆς αἰχμαλωσίας ἐκεῖ ἐν τῇ
χώρᾳ ἐν πονηρίᾳ μεγάλῃ καὶ ἐν ὀνειδισμῷ, καὶ τείχη Ἱερουσαλὴμ καθῃρη-
μένα, καὶ αἱ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν πυρί. [4] καὶ ἐγένετο ἐν τῷ ἀκοῦ- 4
σαί με τοὺς λόγους τούτους ἐκάθισα καὶ ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας, καὶ
ἤμην νηστεύων καὶ προσευχόμενος ἐνώπιον τοῦ θεοῦ τοῦ οὐρανοῦ. [5] καὶ εἶπα 5
Μὴ δή, κύριε ὁ θεὸς τοῦ οὐρανοῦ ὁ ἰσχυρὸς ὁ μέγας καὶ φοβερός, φυλάσ-
σων τὴν διαθήκην καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσι
τὰς ἐντολὰς αὐτοῦ· [6] ἔστω δὴ τὸ οὖς σου προσέχον καὶ οἱ ὀφθαλμοί σου 6
ἀνεῳγμένοι τοῦ ἀκοῦσαι προσευχὴν τοῦ δούλου σου, ἣν ἐγὼ προσεύχομαι ἐνώ-
πιόν σου σήμερον ἡμέραν καὶ νύκτα περὶ υἱῶν Ἰσραὴλ δούλων σου, καὶ ἐξα-
γορεύω ἐπὶ ἁμαρτίαις υἱῶν Ἰσραὴλ αἷς ἡμάρτομέν σοι, καὶ ἐγὼ καὶ ὁ οἶκος
πατρός μου ἡμάρτομεν. [7] διαλύσει διελύσαμεν πρὸς σέ, καὶ οὐκ ἐφυλάξαμεν 7
τὰς ἐντολὰς καὶ τὰ προστάγματα καὶ τὰ κρίματα ἃ ἐνετείλω τῷ Μωυσῇ
παιδί σου. [8] μνήσθητι δὴ τὸν λόγον ὃν ἐνετείλω τῷ Μωυσῇ παιδί σου λέγων 8
Ὑμεῖς ἐὰν ἀσυνθετήσητε, ἐγὼ διασκορπιῶ ὑμᾶς ἐν τοῖς λαοῖς· [9] καὶ ἐὰν ἐπι- 9
στρέψητε πρὸς μέ, καὶ φυλάξητε τὰς ἐντολάς μου καὶ ποιήσητε αὐτάς, ἐὰν
ᾖ ἡ διασπορὰ ὑμῶν ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτούς, καὶ
εἰςάξω αὐτοὺς εἰς τὸν τόπον ὃν ἐξελεξάμην κατασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ.
[10] καὶ αὐτοὶ παῖδές σου καὶ λαός σου, οὓς ἐλυτρώσω ἐν τῇ δυνάμει σου τῇ 10
μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ. [11] μὴ δή, κύριε· ἀλλὰ ἔστω τὸ οὖς 11
σου προσέχον εἰς τὴν προσευχὴν τοῦ δούλου σου καὶ εἰς τὴν προσευχὴν παί-
δων σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά σου· καὶ εὐόδωσον δὴ τῷ παιδί
σου σήμερον καὶ δὸς αὐτὸν εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ ἀνδρὸς τούτου. καὶ
ἐγὼ ἤμην οἰνοχόος τῷ βασιλεῖ.

---

* Liber νεεμιας a libro qui praecedit in Ax FA non separatur. In utroque λογοι νεεμια υιου αχαλια, quae verba v. 1. leguntur, in ipso textu distincta quidem sed non a textu sunt sejuncta. Inscriptio igitur quam proprie dicis non adest.

I. 1. Ax FA αχαλια (ut jam notatum est) ... FA* χεσεηλου, *.* χεσελευ, Ax χασεηλου ... FA* post χεσεηλου add τοις σουσοις μητροπολει περσων ... αβειρρα, FA αβειρα 2. FA αναν 3. (FA* εποιησαν), Ax ειπον ... om οι καταλειφθεντες ... FA post χωρα add εν τη πολει ... FA *.* (non :.:) και τα τειχη ... FA καθειρημενα ... Ax FA * και πυλαι 4. ενωπιον θεου 5. FA* om μη δη ... FA* om του ουρανου ... Ax FA και ο φοβερος ... Ax FA om σου 6. FA ηνεωγμενοι ... FA*.* την προσευχην ... Ax FA προσευχην δουλου ... FA* νυκταν ... Ax FA επι αμαρτιας υ. ι. ας ... FA του πατρος, 7. FA* εδιελυσαμεν ... FA* om προς σε ... παιδω σου (sic) 8. FA om τω ... τω παιδι σου μωυση ... FA* om λεγων ... FA* αθετησητε 9. FA* om η alterum ... FA*.* post ουρανου add εως αχρου του ουρανου ... FA* om και ante εισαξω 10. Ax FA εν δυναμει ... FA* om τη μεγαλη 11. Ax FA* om κυριε ... FA*.* μη δη κυριε μη αποστρεψης το προσωπον σου ... Ax FA αλλ εστω ... om τουτου ... καγω ημην ... FA* ημην ευνουχος

## II.

Καὶ ἐγένετο ἐν μηνὶ Νισὰν ἔτους εἰκοστοῦ Ἀρθασασθᾶ βασιλεῖ καὶ ἦν
ὁ οἶνος ἐνώπιον ἐμοῦ, καὶ ἔλαβον τὸν οἶνον καὶ ἔδωκα τῷ βασιλεῖ, καὶ οὐκ
2 ἦν ἕτερος ἐνώπιον αὐτοῦ. [2] καὶ εἶπέ μοι ὁ βασιλεύς Διὰ τί τὸ πρόςωπόν σου
πονηρόν, καὶ οὐκ εἶ μετριάζων; καὶ οὐκ ἔστι τοῦτο εἰ μὴ πονηρία καρδίας.
3 καὶ ἐφοβήθην πολὺ σφόδρα, [3] καὶ εἶπα τῷ βασιλεῖ Ὁ βασιλεὺς εἰς τὸν αἰῶνα
ζήτω. διὰ τί οὐ μὴ γένηται πονηρὸν τὸ πρόςωπόν μου διότι ἡ πόλις οἶκος
μνημείων πατέρων μου ἠρημώθη καὶ αἱ πύλαι αὐτῆς κατεβρώθησαν ἐν πυρί;
4 [4] καὶ εἶπέ μοι ὁ βασιλεύς Περὶ τίνος τοῦτο σὺ ζητεῖς; καὶ προςηυξάμην πρὸς
5 τὸν θεὸν τοῦ οὐρανοῦ, [5] καὶ εἶπα τῷ βασιλεῖ Εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, καὶ
εἰ ἀγαθυνθήσεται ὁ παῖς σου ἐνώπιόν σου ὥςτε πέμψαι αὐτὸν ἐν Ἰούδᾳ εἰς
6 πόλιν μνημείων πατέρων μου, καὶ ἀνοικοδομήσω αὐτήν. [6] καὶ εἶπέ μοι ὁ βα-
σιλεὺς καὶ ἡ παλλακὴ ἡ καθημένη ἐχόμενα αὐτοῦ Ἕως πότε ἔσται ἡ πορεία
σου, καὶ πότε ἐπιστρέψεις; καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπέ-
7 στειλέ με, καὶ ἔδωκα αὐτῷ ὅρον. [7] καὶ εἶπα τῷ βασιλεῖ Εἰ ἐπὶ τὸν βασιλέα
ἀγαθόν, δότω μοι ἐπιστολὰς πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ, ὥςτε
8 παραγαγεῖν με ἕως ἔλθω ἐπὶ Ἰούδαν, [8] καὶ ἐπιστολὴν ἐπὶ Ἀσὰφ φύλακα τοῦ
παραδείσου ὅς ἐστι τῷ βασιλεῖ, ὥςτε δοῦναί μοι ξύλα στεγάσαι τὰς πύλας
καὶ εἰς τὸ τεῖχος τῆς πόλεως καὶ εἰς οἶκον ὃν εἰςελεύσομαι εἰς αὐτόν. καὶ
9 ἔδωκέ μοι ὁ βασιλεὺς ὡς χεὶρ θεοῦ ἡ ἀγαθή. [9] καὶ ἤλθον πρὸς τοὺς ἐπάρ-
χους πέραν τοῦ ποταμοῦ, καὶ ἔδωκα αὐτοῖς τὰς ἐπιστολὰς τοῦ βασιλέως· καὶ
10 ἀπέστειλε μετ' ἐμοῦ ὁ βασιλεὺς ἀρχηγοὺς δυνάμεως καὶ ἱππεῖς. [10] καὶ ἤκουσε
Σαναβαλλὰτ ὁ Ἀρωνὶ καὶ Τωβία ὁ δοῦλος Ἀμμωνί, καὶ πονηρὸν αὐτοῖς ἐγέ-
11 νετο ὅτι ἥκει ὁ ἄνθρωπος ζητῆσαι ἀγαθὸν τοῖς υἱοῖς Ἰσραήλ. [11] καὶ ἦλθον
12 εἰς Ἱερουσαλήμ, καὶ ἤμην ἐκεῖ ἡμέρας τρεῖς. [12] καὶ ἀνέστην νυκτὸς ἐγὼ καὶ
ἄνδρες ὀλίγοι μετ' ἐμοῦ, καὶ οὐκ ἀπήγγειλα ἀνθρώπῳ τί ὁ θεὸς δίδωσιν εἰς
καρδίαν μου τοῦ ποιῆσαι μετὰ τοῦ Ἰσραήλ, καὶ κτῆνος οὐκ ἔστι μετ' ἐμοῦ
13 εἰ μὴ τὸ κτῆνος ᾧ ἐγὼ ἐπιβαίνω ἐπ' αὐτῷ. [13] καὶ ἐξῆλθον ἐν πύλῃ τοῦ Γω-
ληλὰ καὶ πρὸς στόμα πηγῆς τῶν συκῶν καὶ εἰς πύλην τῆς κοπρίας· καὶ ἤμην
συντρίβων ἐν τῷ τείχει Ἱερουσαλὴμ ὃ αὐτοὶ καθαιροῦσι, καὶ πύλαι αὐτῆς
14 κατεβρώθησαν πυρί. [14] καὶ παρῆλθον ἐπὶ πύλην τοῦ Ἀῒν καὶ εἰς κολυμβήθραν
15 τοῦ βασιλέως, καὶ οὐκ ἦν τόπος τῷ κτήνει παρελθεῖν ὑποκάτω μου. [15] καὶ
ἤμην ἀναβαίνων ἐν τῷ τείχει χειμάῤῥου νυκτός, καὶ ἤμην συντρίβων ἐν τῷ
16 τείχει· καὶ ἤμην ἐν πύλῃ τῆς φάραγγος, καὶ ἐπέστρεψα. [16] καὶ οἱ φυλάσ-

---

II. 1. νεισαν, FA* νισα ... FA* (rursus ::) αρσαρσαθα βασ., *.* αρταξερξη του βασιλεως ... FA* (rursus ::) ην οινος ... FA*.* in f. add και ημην σκυθρωπος 2. Ax FA post μετριαζων om και 3. FA ειπον ... FA εις τους αιωνας ... δια τι pro διοτι ... FA* πατερων σου omisso ηρημωθη 4. τουτο συνζητεις ... προσευξαμην 5. FA* om Ει, addidit ::, sed *.* ex επι fecerat επισταμαι et perrexerat τ. βασ. αγαθον· και ει αγαθον επι τον βασιλεα και αγαθυνθησεται ο παις ... Ax FA εις ιουδα 6. FA*.* (non ::) post εχομ. αυτ. add ινα τι καθησαι παρ εμοι ... FA* και εως ποτε ... παρουσια, FA πορια 7. FA*.* εως ου ελθω 8. FA*.* (non ::) ασαφ τον φυλασσοντα τας ημιονους του βασιλεως και του παραδεισου ... FA*.* (non ::) ad πυλας add της βαρεως του οικου ... *.* εις ον (non ita ::) εις ελευσομαι προς αυτον ... FA*.* (non ::) θεου μου 9. της δυναμεως 10. FA σαναβαλατ ο ανρωνει (corr. est αρωνει) ... Ax ο αμμωνι, FA αμμωνει ... Ax FA ηκει ανθρωπος 12. FA* om ουχ prius ... FA*.* (non ::) ουκ ην μετ εμου αλλο ... Ax FA κτην. ο εγω 13. FA*.* (non ::) post γωληλα add νυκτος ... Ax FA εν πυρι 14. FA του αινα 15. FA χειμαρρους ... FA εν τη πυλη

Digitized by Google

σοντες οὐκ ἔγνωσαν τί ἐπορεύθην καὶ τί ἐγὼ ποιῶ· καὶ τοῖς Ἰουδαίοις καὶ
τοῖς ἱερεῦσι καὶ τοῖς ἐντίμοις καὶ τοῖς στρατηγοῖς καὶ τοῖς καταλοίποις τοῖς
ποιοῦσι τὰ ἔργα ἕως τότε οὐκ ἀπήγγειλα. 17 καὶ εἶπα πρὸς αὐτούς Ὑμεῖς 17
βλέπετε τὴν πονηρίαν ταύτην ἐν ᾗ ἐσμὲν ἐν αὐτῇ, πῶς Ἱερουσαλὴμ ἔρημος
καὶ αἱ πύλαι αὐτῆς ἐδόθησαν πυρί· δεῦτε καὶ διοικοδομήσωμεν τὸ τεῖχος
Ἱερουσαλήμ, καὶ οὐκ ἐσόμεθα ἔτι ὄνειδος. 18 καὶ ἀπήγγειλα αὐτοῖς τὴν χεῖρα 18
τοῦ θεοῦ ἥ ἐστιν ἀγαθὴ ἐπ' ἐμέ, καὶ πρὸς τοὺς λόγους τοῦ βασιλέως οὓς
εἶπέ μοι· καὶ εἶπα Ἀναστῶμεν καὶ οἰκοδομήσωμεν. καὶ ἐκραταιώθησαν αἱ
χεῖρες αὐτῶν εἰς τὸ ἀγαθόν. 19 καὶ ἤκουσε Σαναβαλλὰτ ὁ Ἀρωνὶ καὶ Τωβία 19
ὁ δοῦλος ὁ Ἀμμωνὶ καὶ Γησὰμ ὁ Ἀραβί, καὶ ἐξεγέλασαν ἡμᾶς, καὶ ἦλθον
ἐφ' ἡμᾶς καὶ εἶπον Τί τὸ ῥῆμα τοῦτο ὃ ὑμεῖς ποιεῖτε; ἢ ἐπὶ τὸν βασιλέα
ὑμεῖς ἀποστατεῖτε; 20 καὶ ἐπέστρεψα αὐτοῖς λόγον καὶ εἶπα αὐτοῖς Ὁ θεὸς 20
τοῦ οὐρανοῦ αὐτὸς εὐοδώσει ἡμῖν, καὶ ἡμεῖς δοῦλοι αὐτοῦ καθαροί, καὶ οἰ-
κοδομήσομεν· καὶ ὑμῖν οὐκ ἔστι μερὶς καὶ δικαιοσύνη καὶ μνημόσυνον ἐν
Ἱερουσαλήμ.

## III.

Καὶ ἀνέστη Ἐλιασοὺβ ὁ ἱερεὺς ὁ μέγας καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς
καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατικήν· αὐτοὶ ἡγίασαν αὐτήν, καὶ ἔστη-
σαν θύρας αὐτῆς, καὶ ἕως πύργου τῶν ἑκατὸν ἡγίασαν ἕως πύργου Ἀναμεήλ.
2 καὶ ἐπὶ χεῖρας ἀνδρῶν υἱῶν Ἱεριχώ, καὶ ἐπὶ χεῖρας υἱῶν Ζακχοὺρ υἱοῦ 2
Ἀμαρί. 3 καὶ τὴν πύλην τὴν ἰχθυηρὰν ᾠκοδόμησαν υἱοὶ Ἀσανά· αὐτοὶ ἐστέ- 3
γασαν αὐτήν, καὶ ἐστέγασαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς
αὐτῆς. 4 καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχεν ἐπὶ Ῥαμὼθ υἱοῦ Οὐρία υἱοῦ Ἀκκώς. 4
καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχε Μοσολλὰμ υἱὸς Βαραχίου υἱοῦ Μαζεβήλ. καὶ
ἐπὶ χεῖρα αὐτῶν κατέσχε Σαδὼκ υἱὸς Βαανά. 5 καὶ ἐπὶ χεῖρα αὐτῶν κατέ- 5
σχοσαν οἱ Θεκωίμ, καὶ ἀδωρὶμ οὐκ εἰσήνεγκαν τράχηλον αὐτῶν εἰς δουλείαν
αὐτῶν. 6 καὶ τὴν πύλην Ἰασαναΐ ἐκράτησαν Ἰωιδὰ υἱὸς Φασὲκ καὶ Μεσου- 6
λὰμ υἱὸς Βασωδία· αὐτοὶ ἐστέγασαν αὐτήν, καὶ ἔστησαν θύρας αὐτῆς καὶ
κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς. 7 καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησαν Μαλ- 7
τίας ὁ Γαβαωνίτης καὶ Εὐάρων ὁ Μηρωνωθίτης, ἄνδρες τῆς Γαβαὼν καὶ
τῆς Μασφὰ ἕως θρόνου τοῦ ἄρχοντος τοῦ πέραν τοῦ ποταμοῦ. 8 καὶ παρ' 8
αὐτὸν παρησφαλίσατο Ὀζιὴλ υἱὸς Ἀραχίου πυρωτῶν. καὶ ἐπὶ χεῖρα αὐτῶν
ἐκράτησεν Ἀνανίας υἱὸς τοῦ Ῥωκεΐμ, καὶ κατέλιπον Ἱερουσαλὴμ ἕως τοῦ τεί-
χους τοῦ πλατέος. 9 καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησε Ῥαφαΐα υἱὸς Σούρ, ἄρχων 9

16. FA εγνωσ. οτι εποր. ... FA* τοις βασιλευσιν pro τοις στρατ. κ. τ. καταλ. 17. Ax FA om ταυτην ... FA διωκοδομησομεν (sic) 18. FA* αγαθα ... Ax FA om προς ... Ax FA εις αγαθον 19. FA σαλαβαλλατ ο αρωνει κ. τωβεια ο δ. ο αμμωνει ... FA αραβει ... FA ηλθαν ... FA ειπαν ... FA* om ὃ III. 1. Ax FA ελισουβ ... FA* αδελφ. αυτων ... FA οικοδομησαν ... FA* και αυτοι ... FA om αυτην ... FA* πυργους των ... FA πυργου ναεηλ 2. υιων ανδρων ... Ax FA ιερειχω ... FA ζακχουρ ... μιαρι, FA αμαρει 3. FA* ιχθηραν ... FA ασαναα ... εστησαν θυρας ... FA*.* (non ⁚⁚) τα κλειθρα 4. χειρας, FA* θυρας, corr. χιρας ... Ax FA απο ραμωθ ... FA ακως ... μασεζειηλ (sed ζει in litura), FA μασεζεβηλ ... om και επι χ. α. κ. σ. υι. βαανα ... FA σαδουκ 5. κατεσχον ... Ax FA θεκωειμ ... αδωρην, FA αδωρηεμ ... τραχ. εαυτων ... Ax FA δουλιαν 6. του αΐσανα, FA του αισανα ... ιοειδα, FA υιοι εδα ... FA αβδεια pro βασωδια ... om κ. κλειθρ. α. κ. μοχλ. α. 7. Ax FA om και επι χειρα usque πυρωτων v. 8. 8. και επειρα αυτης (confusa) ... υι. του ρωκεειμ, FA ο υι. του ιωακειμ ... κατελειπον ... FA πλατεως 9. FA** αυτου ... Ax FA ραφαια omissis υι. σουρ

10 ἡμίσους περιχώρου Ἱερουσαλήμ. [10] καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ἰεδαΐα
υἱὸς Ἐρωμάφ, καὶ κατέναντι οἰκίας αὐτοῦ. καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν
11 Ἀττοὺθ υἱὸς Ἀσαβανία. [11] καὶ δεύτερος ἐκράτησε Μελχίας υἱὸς Ἡρὰμ καὶ
12 Ἀσοὺβ υἱὸς Φαὰτ Μωάβ, καὶ ἕως πύργου τῶν θανουρίμ. [12] καὶ ἐπὶ χεῖρα
αὐτοῦ ἐκράτησε Σαλλοὺμ υἱὸς Ἀλλωῆς, ἄρχων ἡμίσους περιχώρου Ἱερουσα-
13 λήμ, αὐτὸς καὶ αἱ θυγατέρες αὐτοῦ. [13] τὴν πύλην τῆς φάραγγος ἐκράτησαν
Ἀνοὺν καὶ οἱ κατοικοῦντες Ζανώ· αὐτοὶ ᾠκοδόμησαν αὐτήν, καὶ ἔστησαν θύρας
αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς, καὶ χιλίους πήχεις ἐν τῷ τεί-
14 χει ἕως τῆς πύλης τῆς κοπρίας. [14] καὶ τὴν πύλην τῆς κοπρίας ἐκράτησε Μελ-
χία υἱὸς Ῥηχάβ, ἄρχων περιχώρου Βηθαχχαρίμ, αὐτὸς καὶ υἱοὶ αὐτοῦ· καὶ
ἐσκέπασαν αὐτήν, καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς
15 αὐτῆς. [15] τὴν δὲ πύλην τῆς πηγῆς ἠσφαλίσατο Σαλωμὼν υἱὸς Χολεζέ, ἄρχων
μέρους τῆς Μασφά· αὐτὸς ἐξῳκοδόμησεν αὐτὴν καὶ ἐστέγασεν αὐτήν, καὶ
ἔστησε τὰς θύρας αὐτῆς καὶ μοχλοὺς αὐτῆς, καὶ τὸ τεῖχος κολυμβήθρας τῶν
κωδίων τῇ κουρᾷ τοῦ βασιλέως, καὶ ἕως τῶν κλιμάκων τῶν καταβαινουσῶν
16 ἀπὸ πόλεως Δαυίδ. [16] ὀπίσω αὐτοῦ ἐκράτησε Νεεμίας υἱὸς Ἀζαβούχ, ἄρχων
ἡμίσους περιχώρου Βηθσοὺρ ἕως κήπου τάφου Δαυὶδ καὶ ἕως τῆς κολυμβή-
17 θρας τῆς γεγονυίας καὶ ἕως Βηθαγγαρίμ. [17] ὀπίσω αὐτοῦ ἐκράτησαν οἱ Λευῖται,
Ῥαοὺμ υἱὸς Βανί. ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Ἀσαβία ἄρχων ἡμίσους περι-
18 χώρου Κεϊλὰ τῷ περιχώρῳ αὐτοῦ. [18] καὶ μετ᾽ αὐτὸν ἐκράτησαν ἀδελφοὶ αὐ-
19 τῶν Βενεΐ υἱὸς Ἠναδάδ, ἄρχων ἡμίσους περιχώρου Κεϊλά. [19] καὶ ἐκράτησεν
ἐπὶ χεῖρα αὐτοῦ Ἀζοὺρ υἱὸς Ἰησοῦ, ἄρχων τοῦ Μασφαί, μέτρον δεύτερον
20 πύργου ἀναβάσεως τῆς συναπτούσης τῆς γωνίας. [20] μετ᾽ αὐτὸν ἐκράτησε
Βαροὺχ υἱὸς Ζαβοῦ μέτρον δεύτερον ἀπὸ τῆς γωνίας ἕως θύρας Βηθελιασοὺβ
21 τοῦ ἱερέως τοῦ μεγάλου. [21] μετ᾽ αὐτὸν ἐκράτησε Μεραμὼθ υἱὸς Οὐρία υἱοῦ
Ἀκκὼς μέτρον δεύτερον ἀπὸ θύρας Βηθελιασοὺβ ἕως ἐκλείψεως Βηθελιασούβ.
22 23 [22] καὶ μετ᾽ αὐτὸν ἐκράτησαν οἱ ἱερεῖς ἄνδρες Ἐχχεχάρ. [23] καὶ μετ᾽ αὐτὸν
ἐκράτησε Βενιαμὶν καὶ Ἀσοὺβ κατέναντι οἴκου αὐτῶν. καὶ μετ᾽ αὐτὸν ἐκρά-
24 τησεν Ἀζαρίας υἱὸς Μαασίου υἱοῦ Ἀνανία ἐχόμενα οἴκου αὐτοῦ. [24] μετ᾽ αὐ-
τὸν ἐκράτησε Βανὶ υἱὸς Ἀδὰδ μέτρον δεύτερον ἀπὸ Βηθαζαρία ἕως τῆς
25 γωνίας καὶ ἕως τῆς καμπῆς [25] Φαλὰχ υἱοῦ Εὐζαΐ ἐξεναντίας τῆς γωνίας,
καὶ ὁ πύργος ὁ ἐξέχων ἐκ τοῦ οἴκου τοῦ βασιλέως ὁ ἀνώτερος ὁ τῆς αὐλῆς
26 τῆς φυλακῆς. καὶ μετ᾽ αὐτὸν Φαδαΐα υἱὸς Φόρος. [26] καὶ οἱ Ναθινὶμ ἦσαν

---

10. FA ιεδδεια υι. ειωμαθ κατεναντι ... οικια ... FA* χειρας αυτων ... αυτους υι. ασβανια, FA ατουθ υι. ασβενεαμ 11. Ax FA μελχειας ... FA ο υιος ... ηρμα ... φααθ, FA φααβ ... θαννουρειμ, FA ναθουρειμ 12. FA εκρατησεν σαλουμ υι. ηλεια 13. εκρατησεν ... FA τας θυρας ... FA* χιλιοι ... FA ως (corr. εως) πυλης 14. μελχεια ... βηθαχχαρμα, FA βηθακαμ ... Ax FA οι υιοι 15. Ax FA om την δε πυλην usque μοχλους αυτης ... FA* κολυμβηθρα των θετου σιλωαμ, *.* κολυμβηθρας των κωλιων 16. FA νεεμειας ... αζβουχ, FA αζαβου ... FA* om ημισους ... FA βησορ ... βηθθαγααρειμ, FA* βηθαγγαρειμ, *.* βηθαγγαβαρειμ 17. FA βαασουθ υι. βαανει ... βανει ... εκρατησαν ... κεειλα, FA καιειλα 18. Ax FA om και ... βενει υι. ην., FA βεζερ υι. ηναδαλατ ... Ax FA κεειλα 19. FA* αζορ ... μασφε, FA μαμφε ... om της ante γωνιας 20. και μετ ... FA* μετ αυτου ... FA ζαβρου ... βηθελει ασσουβ, FA βηθαιλισουβ 21. FA υιος σουρια υιου ιαχωβ ... μετρος ... θυρας βηθελησουβας, FA θυρας (sed θυρας punctis notatum) βηθαιλεισου ... FA εκλιψεως (Ax εκθλιψεως) βηθαιλισουβ 22. αχχεχξαρ, FA χεχαρ 23. Ax FA βενιαμειν ... FA* σουβ (sed ipse* corr., videtur ασουβ) ... *οικου αυτου ... om και ... Ax FA αζαρια ... FA μαδασηλ ... FA* υιος ανανια (videtur) 24. FA και μετ ... Ax FA βανει υι. ηναδαδ ... FA βηθαζαρεια 25. φαλαξ, FA φαλακ ... FA ευει 26. ναθινειμ, FA ναθεινιμ

Digitized by Google

οἰκοῦντες ἐν τῷ Ὠφὰλ ἕως κήπου πύλης τοῦ ὕδατος εἰς ἀνατολάς, καὶ ὁ
πύργος ὁ ἐξέχων. 27 καὶ μετ' αὐτὸν ἐκράτησαν οἱ Θεκωὶμ μέτρον δεύτερον 27
ἐξεναντίας τοῦ πύργου τοῦ μεγάλου τοῦ ἐξέχοντος καὶ ἕως τοῦ τείχους τοῦ
Ὀφλά. 28 ἀνώτερον πύλης τῶν ἵππων ἐκράτησαν οἱ ἱερεῖς, ἀνὴρ ἐξεναντίας 28
οἴκου ἑαυτοῦ. 29 καὶ μετ' αὐτὸν ἐκράτησε Σαδδοὺκ υἱὸς Ἐμμὴρ ἐξεναντίας 29
οἴκου ἑαυτοῦ. καὶ μετ' αὐτὸν ἐκράτησε Σαμαΐα υἱὸς Σεχενία, φύλαξ τῆς πύ-
λης τῆς ἀνατολῆς. 30 μετ' αὐτὸν ἐκράτησεν Ἀνανία υἱὸς Σελεμία καὶ Ἀνὼμ 30
υἱὸς Σελὲφ ὁ ἕκτος μέτρον δεύτερον. μετ' αὐτὸν ἐκράτησε Μεσουλὰμ υἱὸς
Βαραχία ἐξεναντίας γαζοφυλακίου αὐτοῦ. 31 μετ' αὐτὸν ἐκράτησε Μελχία υἱὸς 31
τοῦ Σαρεφὶ ἕως Βηθὰν Ναθινίμ, καὶ οἱ ῥοποπῶλαι ἀπέναντι πύλης τοῦ Μα-
φεκὰδ καὶ ἕως ἀναβάσεως τῆς καμπῆς. 32 καὶ ἀνὰ μέσον τῆς πύλης τῆς προ- 32
βατικῆς ἐκράτησαν οἱ χαλκεῖς καὶ οἱ ῥοποπῶλαι.

## IV.

Καὶ ἐγένετο ἡνίκα ἤκουσε Σαναβαλλὰτ ὅτι ἡμεῖς οἰκοδομοῦμεν τὸ τεῖχος,
καὶ πονηρὸν αὐτῷ ἐφάνη, καὶ ὠργίσθη ἐπὶ πολύ, καὶ ἐξεγέλα ἐπὶ τοῖς Ἰου-
δαίοις. 2 καὶ εἶπεν ἐνώπιον τῶν ἀδελφῶν αὐτοῦ Αὕτη ἡ δύναμις Σομόρων ὅτι 2
οἱ Ἰουδαῖοι οὗτοι οἰκοδομοῦσι τὴν ἑαυτῶν πόλιν; ἆρα θυσιάζουσιν; ἆρα δυνή-
σονται; καὶ σήμερον ἰάσονται τοὺς λίθους μετὰ τὸ χῶμα γενέσθαι γῆς καυ-
θέντας; 3 καὶ Τωβίας ὁ Ἀμμανίτης ἐχόμενα αὐτοῦ ἦλθε καὶ εἶπε πρὸς αὐτούς 3
Μὴ θυσιάζουσιν ἢ φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν; οὐχὶ ἀναβήσεται ἀλώπηξ
καὶ καθελεῖ τὸ τεῖχος λίθων αὐτῶν; 4 ἄκουσον ὁ θεὸς ἡμῶν ὅτι ἐγενήθημεν 4
εἰς μυκτηρισμόν, 5 καὶ ἐπίστρεψον ὀνειδισμὸν αὐτῶν εἰς κεφαλὴν αὐτῶν, καὶ 5
δὸς αὐτοὺς εἰς μυκτηρισμὸν ἐν γῇ αἰχμαλωσίας, 6 καὶ μὴ καλύψῃς ἐπὶ ἀνο- 6
μίαν. 7 καὶ ἐγένετο ὡς ἤκουσε Σαναβαλλὰτ καὶ Τωβία καὶ οἱ Ἄραβες καὶ 7
οἱ Ἀμμανῖται ὅτι ἀνέβη ἡ φυὴ τοῖς τείχεσιν Ἱερουσαλήμ, ὅτι ἤρξαντο αἱ
διασφαγαὶ ἀναφράσσεσθαι, καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα. 8 καὶ συνή- 8
χθησαν πάντες ἐπὶ τὸ αὐτὸ ἐλθεῖν παρατάξασθαι ἐν Ἱερουσαλὴμ καὶ ποιῆσαι
αὐτὴν ἀφανῆ. 9 καὶ προσηυξάμεθα πρὸς τὸν θεὸν ἡμῶν, καὶ ἐστήσαμεν προ- 9
φύλακας ἐπ' αὐτοὺς ἡμέρας καὶ νυκτὸς ἀπὸ προσώπου αὐτῶν. 10 καὶ εἶπεν 10
Ἰούδας Συνετρίβη ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὁ χοῦς πολύς, καὶ ἡμεῖς οὐ
δυνησόμεθα οἰκοδομεῖν ἐν τῷ τείχει. 11 καὶ εἶπαν οἱ θλίβοντες ἡμᾶς Οὐ γνώ- 11
σονται καὶ οὐκ ὄψονται ἕως ὅτου ἔλθωμεν εἰς μέσον αὐτῶν καὶ φονεύσωμεν
αὐτοὺς καὶ καταπαύσωμεν τὸ ἔργον. 12 καὶ ἐγένετο ὡς ἤλθοσαν οἱ Ἰουδαῖοι 12
οἱ οἰκοῦντες ἐχόμενα αὐτῶν, καὶ εἴποσαν ἡμῖν Ἀναβαίνουσιν ἐκ πάντων τῶν
τόπων ἐφ' ἡμᾶς· 13 καὶ ἔστησα εἰς τὰ κατώτατα τοῦ τόπου κατόπισθεν τοῦ 13

26. FA εως κηπου πυλης εν τω ωφαλ του υδατος 27. Ax FA om και ... θεκωειμ, FA θεκωειν ... του σοφλα 28. οικου μετ αυτου 29. Ax FA om και ... FA σαδουχ ... FA σεμεια ... της ανατολας 30. σεεμια ... FA αν. υι. τελεμιας κ. ανουμ υι. τελεμια και τελεμιας υιος ελεφ ο εκτος (sed φ ο εκτο scripsit *.*) ... FA και μετ ... βαρια, FA βαρχεια .. FA γαζζοφυλακειου 31. FA μελχεια υ. τ. σεραφειν εως (corr. add του) βηθαναθι (* videtur βηθαναθιω) ... FA* ροβοπωλαι (videtur) ... FA μαφεθαδ 32. κ. α. μεσ. (corr. add της) αναβασεως της πυλης ... FA* ροβοπωλαι (videtur) IV. 1. FA ηκουσεν αναβαλλατ ... FA* οτι ο ημεις ... Ax FA ην αυτω pro αυτ. εφανη 2. Ax FA om αρα θυσιαζ. usque καυθεντας 3. FA* τωβις ... Ειπαν προς εαυτους, FA ειπεν πρ. εαυτους ... Ax FA θυσιασουσιν ... δος αυτοις ... FA*.* ονειδισμον pro μυκτηρισμον 6. FA επι ανομια 7. FA σαναβαλατ ... FA*.* post αμμανιται add και οι αζωτιοι ... FA ανεβη φυη 8. ελθ. και παραταξ. ... FA εις ιερουσαλημ ... Ax FA om κ. ποιησ. α. αφανη 10. FA* και οχλος πολυς ... FA* om ημεις 11. FA* om Ου 12. FA* om οι sec. ... ειπον... FA* om παντων ... FA*.* post τοπων add επιστρεψετε ... FA*.* εις ημας 13. FA εστησαν bis

Digitized by Google

τείχους ἐν τοῖς σκεπεινοῖς, καὶ ἔστησα τὸν λαὸν κατὰ δήμους μετὰ ῥομφαιῶν
14 αὐτῶν, λόγχας αὐτῶν καὶ τόξα αὐτῶν. [14] καὶ εἶδον, καὶ ἀνέστην καὶ εἶπα
πρὸς τοὺς ἐντίμους καὶ πρὸς τοὺς στρατηγοὺς καὶ πρὸς τοὺς καταλοίπους τοῦ
λαοῦ Μὴ φοβηθῆτε ἀπὸ προσώπου αὐτῶν· μνήσθητε τοῦ θεοῦ ἡμῶν τοῦ
μεγάλου καὶ φοβεροῦ, καὶ παρατάξασθε περὶ τῶν ἀδελφῶν ὑμῶν, υἱῶν ὑμῶν,
15 θυγατέρων ὑμῶν, γυναικῶν ὑμῶν καὶ οἴκων ὑμῶν. [15] καὶ ἐγένετο ἡνίκα ἤκου-
σαν οἱ ἐχθροὶ ἡμῶν ὅτι ἐγνώσθη ἡμῖν, καὶ διεσκέδασεν ὁ θεὸς τὴν βουλὴν
αὐτῶν· καὶ ἐπεστρέψαμεν πάντες ἡμεῖς εἰς τὸ τεῖχος, ἀνὴρ εἰς τὸ ἔργον
16 αὐτοῦ. [16] καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης ἥμισυ τῶν ἐκτετιναγμένων
ἐποίουν τὸ ἔργον, καὶ ἥμισυ αὐτῶν ἀντείχοντο, καὶ λόγχαι καὶ θυρεοὶ καὶ
17 τόξα καὶ θώρακες καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου Ἰούδα [17] τῶν οἰκοδο-
μούντων ἐν τῷ τείχει. καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν ἐν ὅπλοις· ἐν μιᾷ
18 χειρὶ ἐποίει αὐτοῦ τὸ ἔργον, καὶ ἐν μιᾷ ἐκράτει τὴν βολίδα. [18] καὶ οἱ οἰκο-
δόμοι ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένος ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ᾠκοδομοῦ-
19 σαν· καὶ ὁ σαλπίζων ἐν τῇ κερατίνῃ ἐχόμενα αὐτοῦ. [19] καὶ εἶπα πρὸς τοὺς
ἐντίμους καὶ πρὸς τοὺς ἄρχοντας καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ Τὸ
ἔργον πλατὺ καὶ πολύ, καὶ ἡμεῖς σκορπιζόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀνὴρ
20 ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ. [20] ἐν τόπῳ οὗ ἐὰν ἀκούσητε τὴν φωνὴν τῆς κερα-
τίνης, ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς, καὶ ὁ θεὸς ἡμῶν πολεμήσει περὶ ἡμῶν.
21 [21] καὶ ἡμεῖς ποιοῦντες τὸ ἔργον, καὶ ἥμισυ αὐτῶν κρατοῦντες τὰς λόγχας
22 ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως ἐξόδου τῶν ἄστρων. [22] καὶ ἐν τῷ καιρῷ
ἐκείνῳ εἶπα τῷ λαῷ Ἕκαστος μετὰ τοῦ νεανίσκου αὐτοῦ αὐλίσθητε ἐν μέσῳ
23 Ἰερουσαλήμ, καὶ ἔστω ὑμῖν ἡ νὺξ προφυλακή, καὶ ἡ ἡμέρα ἔργον. [23] καὶ
ἤμην ἐγὼ καὶ οἱ ἄνδρες τῆς προφυλακῆς ὀπίσω μου, καὶ οὐκ ἦν ἐξ ἡμῶν
ἐκδιδυσκόμενος ἀνὴρ τὰ ἱμάτια αὐτοῦ.

## V.

Καὶ ἡ κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς τοὺς ἀδελ-
2 φοὺς αὐτῶν τοὺς Ἰουδαίους. [2] καὶ ἦσάν τινες λέγοντες Ἐν υἱοῖς ἡμῶν καὶ
ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί, καὶ λημψόμεθα σῖτον καὶ φαγόμεθα καὶ
3 ζησόμεθα. [3] καὶ εἰσί τινες λέγοντες Ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν καὶ
4 οἰκίαι ἡμῶν, ἡμεῖς διεγγυῶμεν καὶ λημψόμεθα σῖτον καὶ φαγόμεθα. [4] καὶ εἰσί
τινες λέγοντες Ἐδανεισάμεθα ἀργύριον εἰς φόρους τοῦ βασιλέως, ἀγροὶ ἡμῶν
5 καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν. [5] καὶ νῦν ὡς σὰρξ ἀδελφῶν ἡμῶν
σὰρξ ἡμῶν, ὡς υἱοὶ αὐτῶν υἱοὶ ἡμῶν· καὶ ἰδοὺ ἡμεῖς καταδυναστεύομεν
τοὺς υἱοὺς ἡμῶν καὶ τὰς θυγατέρας ἡμῶν εἰς δούλους, καὶ εἰσιν ἀπὸ θυγα-
τέρων ἡμῶν καταδυναστευόμεναι, καὶ οὐκ ἔστι δύναμις χειρῶν ἡμῶν, καὶ
6 ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν τοῖς ἐντίμοις. [6] καὶ ἐλυπήθην σφόδρα κα-
7 θὼς ἤκουσα τὴν κραυγὴν αὐτῶν καὶ τοὺς λόγους τούτους. [7] καὶ ἐβουλεύσατο

---

13. FA* post σκεπεινοις add οπου ευ επιβατα ην ... ρομφ. εαυτων ... FA τα τοξα ... * τοξ. εαυτων 14. ιδον ... FA* ανεστη ... Ax FA ειπον ... FA* om προς τ. στρατηγ. και ... και θυγατερων 15. ηνικα εγνωσαν 16. Ax FA εκτεταγμενων ... FA* επιουν ... FA*,* αντειχον ... Ax FA τα τοξα κ. οι θωρακ. 17. FA διαιροντες ... εαυτου το εργον, FA* αυτο το εργ. ... FA* βολιδαν 18. ρομφ. εαυτου ... FA επι οσφυος εαυτου ... οσφ. εαυτου ... FA* εχομ. εαυτου 19. FA* τους ενδοξους αρχοντας 21. ημισυ pro ημεις, FA ημισοι (pro ημεις οι? ημισυ?) ... FA οι κρατουντες 22. Ax FA om εκαστος μ. τ. ν. αυτου ... εμμεσω 23. FA*,* οι οπισω ... FA* om εξ ημων ... Ax FA εαυτου V. 1. Ax FA και ην κραυγη ... Ax FA αδελφ. εαυτων 2. Ax FA λημψομεθα ... FA* αγομεθα 3. FA* εν υιοις pro αγροι ... Ax FA λημψομεθα 5. FA om και ab initio ... FA υι. ημων υι. αυτων ... τοις υιοις ... FA* om κ. τ. θυγατερ. ημ. ... FA*,* χειρος

Digitized by Google

καρδία μου ἐπ' ἐμέ, καὶ ἐμαχεσάμην πρὸς τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας
καὶ εἶπα αὐτοῖς Ἀπαιτήσει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ ἃ ὑμεῖς ἀπαιτεῖτε; καὶ
ἔδωκα ἐπ' αὐτοὺς ἐκκλησίαν μεγάλην, 8 καὶ εἶπα αὐτοῖς Ἡμεῖς κεκτήμεθα 8
τοὺς ἀδελφοὺς ἡμῶν τοὺς Ἰουδαίους τοὺς πωλουμένους τοῖς ἔθνεσιν ἐν ἑκου-
σίῳ ἡμῶν, καὶ ὑμεῖς πωλεῖτε τοὺς ἀδελφοὺς ὑμῶν, καὶ παραδοθήσονται
ἡμῖν; καὶ ἡσύχασαν καὶ οὐχ εὕροσαν λόγον. 9 καὶ εἶπα Οὐκ ἀγαθὸς ὁ λόγος 9
ὃν ὑμεῖς ποιεῖτε, οὐχ οὕτως ἐν φόβῳ θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδι-
σμοῦ τῶν ἐθνῶν τῶν ἐχθρῶν ἡμῶν. 10 καὶ οἱ ἀδελφοί μου καὶ οἱ γνωστοί 10
μου καὶ ἐγὼ ἐθήκαμεν ἑαυτοῖς ἀργύριον καὶ σῖτον, ἐγκατελίπομεν δὴ τὴν
ἀπαίτησιν ταύτην. 11 ἐπιστρέψατε δὴ αὐτοῖς ὡς σήμερον ἀγροὺς αὐτῶν καὶ 11
ἀμπελῶνας αὐτῶν καὶ ἐλαιῶνας αὐτῶν καὶ οἰκίας αὐτῶν, καὶ ἀπὸ τοῦ ἀργυ-
ρίου τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον ἐξενέγκατε ἑαυτοῖς. 12 καὶ εἶπαν 12
Ἀποδώσομεν καὶ παρ' αὐτῶν οὐ ζητήσομεν, οὕτως ποιήσομεν καθὼς σὺ λέγεις.
καὶ ἐκάλεσα τοὺς ἱερεῖς καὶ ὥρκισα αὐτοὺς ποιῆσαι ὡς τὸ ῥῆμα τοῦτο. 13 καὶ 13
τὴν ἀναβολήν μου ἐξετίναξα καὶ εἶπα Οὕτως ἐκτινάξαι ὁ θεὸς πάντα ἄνδρα
ὃς οὐ στήσει τὸν λόγον τοῦτον ἐκ τοῦ οἴκου αὐτοῦ καὶ ἐκ κόπου αὐτοῦ, καὶ
ἔσται οὕτως ἐκτετιναγμένος καὶ κενός. καὶ εἶπε πᾶσα ἡ ἐκκλησία Ἀμήν, καὶ
ᾔνεσαν τὸν κύριον· καὶ ἐποίησεν ὁ λαὸς τὸ ῥῆμα τοῦτο. 14 ἀπὸ ἡμέρας ἧς 14
ἐνετείλατό μοι εἶναι εἰς ἄρχοντα αὐτῶν ἐν γῇ Ἰούδα, ἀπὸ ἔτους εἰκοστοῦ
καὶ ἕως ἔτους τριακοστοῦ καὶ δευτέρου τῷ Ἀρθασασθᾶ, ἔτη δώδεκα, ἐγὼ
καὶ οἱ ἀδελφοί μου βίαν αὐτῶν οὐκ ἔφαγον. 15 καὶ τὰς βίας τὰς πρώτας ἃς 15
πρὸ ἐμοῦ ἐβάρυναν ἐπ' αὐτούς, καὶ ἐλάβοσαν παρ' αὐτῶν ἐν ἄρτοις καὶ ἐν
οἴνῳ, ἔσχατον ἀργύριον δίδραχμα τεσσαράκοντα, καὶ οἱ ἐκτετιναγμένοι αὐτῶν
ἐξουσιάζονται ἐπὶ τὸν λαόν· κἀγὼ οὐκ ἐποίησα οὕτως ἀπὸ προςώπου φόβου
θεοῦ. 16 καὶ ἐν ἔργῳ τοῦ τείχους τούτων οὐκ ἐκράτησα, ἀγρὸν οὐκ ἐκτησά- 16
μην, καὶ πάντες οἱ συνηγμένοι ἐκεῖ ἐπὶ τὸ ἔργον. 17 καὶ οἱ Ἰουδαῖοι ἑκατὸν 17
καὶ πεντήκοντα ἄνδρες καὶ ἐρχόμενοι πρὸς ἡμᾶς ἀπὸ τῶν ἐθνῶν τῶν κύκλῳ
ἡμῶν ἐπὶ τράπεζάν μου. 18 καὶ ἦν γινόμενον εἰς ἡμέραν μίαν μόσχος εἷς, 18
καὶ πρόβατα ἓξ ἐκλεκτὰ καὶ χίμαρος ἐγίνοντό μοι, καὶ ἀνὰ μέσον δέκα ἡμε-
ρῶν ἐν πᾶσιν οἶνος τῷ πλήθει· καὶ σὺν τούτοις ἄρτους τῆς βίας οὐκ ἐζήτησα,
ὅτι βαρεῖα ἡ δουλεία ἐπὶ τὸν λαὸν τοῦτον. 19 μνήσθητί μου ὁ θεὸς εἰς ἀγα- 19
θὸν πάντα ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

## VI.

Καὶ ἐγένετο καθὼς ἠκούσθη τῷ Σαναβαλλὰτ καὶ Τωβίᾳ καὶ τῷ Γησὰμ
τῷ Ἄραβι καὶ τοῖς καταλοίποις ἐχθρῶν ἡμῶν ὅτι ᾠκοδόμησα τὸ τεῖχος καὶ
οὐ κατελείφθη ἐν αὐτοῖς πνοή, ἕως τοῦ καιροῦ ἐκείνου θύρας οὐκ ἐπέστησα
ἐν ταῖς πύλαις, 2 καὶ ἀπέστειλε Σαναβαλλὰτ καὶ Γησὰμ πρὸς μὲ λέγων Δεῦρο 2

---

7. ειπον ... FA ο ανηρ τ. αδ. εαυτου ... εαυτου ... Ax FA om ἃ 8. ειπον ... FA* πωλ. τ. αδ. ημων ... Ax FA om κ. παραδοθ. ημ. 9. FA επελευσεσθαι ... Ax FA* om τ. εθνων 10. εγκατελειπομεν 11. ως η ημερον ... om και ante ελαιωνας ... FA* ελαιας ... FA* om το ελαιον, *.* habet και το ελ. και 12. FA* καθως οι λεγοντες (** καθως σοι λεγεις) 13. FA * εξετεινα ... ειπον ... FA *.* ηνεσ. τον λογον κυριου ... FA *.* ο λαος τον λογον τουτον 14. Ax FA* απο της ημερας, FA*.* και γε απο ημερας (videtur) ... αρθασασθαι, FA σαρσαθα et *.* add τω βασιλει 15. FA* ελαβον ... FA* αυτων αρτον και οινον ... διδραγμα ... FA τεσσερακοντα ... FA* εκτεταγμενοι ... FA και εγω 17. Ax FA εκατον πεντηκοντα ... FA* εχομενοι 18. γιγνομενον ... FA* om μιαν ... Ax FA χειμαρος ... εγεινοντο ... των δεκα ... Ax FA αρτος ... FA δουλια VI. 1. FA αραβει ... Ax FA των εχθρων ... FA* ωκοδομηθη ... κατελειφθη αυτοις ... Ax FA *.* και γε εως ... FA* λαου pro καιρου ... FA* επι ταις, *.* ταις

Digitized by Google

καὶ συναχθῶμεν ἐπὶ τὸ αὐτὸ ἐν ταῖς κώμαις ἐν πεδίῳ Ὠνώ· καὶ αὐτοὶ λογι-
3 ζόμενοι ποιῆσαί μοι πονηρίαν. [3] καὶ ἀπέστειλα ἐπ' αὐτοὺς ἀγγέλους λέγων
Ἔργον μέγα ἐγὼ ποιῶ, καὶ οὐ δυνήσομαι καταβῆναι μή ποτε καταπαύσῃ
4 τὸ ἔργον· ὡς ἂν τελειώσω αὐτό, καταβήσομαι πρὸς ὑμᾶς. [4] καὶ ἀπέστειλαν
5 πρός με ὡς τὸ ῥῆμα τοῦτο, καὶ ἀπέστειλα αὐτοῖς κατὰ ταῦτα. [5] καὶ ἀπέ-
στειλε πρός με Σαναβαλλὰτ τὸν παῖδα αὐτοῦ, καὶ ἐπιστολὴν ἀνεῳγμένην ἐν
6 χειρὶ αὐτοῦ. [6] καὶ ἦν γεγραμμένον ἐν αὐτῇ Ἐν ἔθνεσιν ἠκούσθη ὅτι σὺ καὶ
οἱ Ἰουδαῖοι λογίζεσθε ἀποστατῆσαι, διὰ τοῦτο σὺ οἰκοδομεῖς τὸ τεῖχος, καὶ
7 σὺ ἔσῃ αὐτοῖς εἰς βασιλέα. [7] καὶ πρὸς τούτοις προφήτας ἔστησας σεαυτῷ,
ἵνα καθίσῃς ἐν Ἱερουσαλὴμ εἰς βασιλέα ἐπὶ Ἰούδᾳ. καὶ νῦν ἀπαγγελήσονται
8 τῷ βασιλεῖ οἱ λόγοι οὗτοι, καὶ νῦν δεῦρο βουλευσώμεθα ἐπὶ τὸ αὐτό. [8] καὶ
ἀπέστειλα πρὸς αὐτὸν λέγων Οὐκ ἐγενήθη ὡς οἱ λόγοι οὗτοι ὡς σὺ λέγεις,
9 ὅτι ἀπὸ καρδίας σου σὺ ψεύδῃ αὐτούς. [9] ὅτι πάντες φοβερίζουσιν ἡμᾶς λέγον-
τες Ἐκλυθήσονται χεῖρες αὐτῶν ἀπὸ τοῦ ἔργου τούτου, καὶ οὐ ποιηθήσεται·
10 καὶ νῦν ἐκραταίωσα τὰς χεῖράς μου. [10] κἀγὼ εἰσῆλθον εἰς οἶκον Σεμεῒ υἱοῦ
Δαλαΐα υἱοῦ Μεταβεήλ, καὶ αὐτὸς συνεχόμενος καὶ εἶπε Συναχθῶμεν εἰς οἶκον
τοῦ θεοῦ ἐν μέσῳ αὐτοῦ καὶ κλείσωμεν τὰς θύρας αὐτοῦ, ὅτι ἔρχονται νυκτὸς
11 φονεῦσαί σε. [11] καὶ εἶπα Τίς ἐστιν ὁ ἀνὴρ ὃς εἰσελεύσεται εἰς τὸν οἶκον καὶ
12 ζήσεται; [12] καὶ ἐπέγνων, καὶ ἰδοὺ ὁ θεὸς οὐκ ἀπέστειλεν αὐτόν, ὅτι ἡ προ-
13 φητεία λόγος κατ' ἐμοῦ· καὶ Τωβίας καὶ Σαναβαλλὰτ ἐμισθώσαντο [13] ἐπ'
ἐμὲ ὄχλον, ὅπως φοβηθῶ καὶ ποιήσω οὕτως καὶ ἁμάρτω καὶ γένωμαι αὐτοῖς
14 εἰς ὄνομα πονηρόν, ὅπως ὀνειδίσωσί με. [14] μνήσθητι ὁ θεὸς Τωβίᾳ καὶ Σα-
ναβαλλὰτ ὡς τὰ ποιήματα αὐτοῦ ταῦτα, καὶ τῷ Νωαδίᾳ τῷ προφήτῃ καὶ
15 καταλοίποις τῶν προφητῶν οἳ ἦσαν φοβερίζοντές με. [15] καὶ ἐτελέσθη τὸ τεῖχος
16 πέμπτῃ καὶ εἰκάδι τοῦ Ἐλοὺλ μηνὸς εἰς πεντήκοντα καὶ δύο ἡμέρας. [16] καὶ
ἐγένετο ἡνίκα ἤκουσαν πάντες οἱ ἐχθροὶ ἡμῶν, καὶ ἐφοβήθησαν πάντα τὰ
ἔθνη τὰ κύκλῳ ἡμῶν, καὶ ἐπέπεσε φόβος σφόδρα ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ
17 ἔγνωσαν ὅτι παρὰ τοῦ θεοῦ ἡμῶν ἐγενήθη τελειωθῆναι τὸ ἔργον τοῦτο. [17] καὶ
ἐν ταῖς ἡμέραις ἐκείναις ἀπὸ πολλῶν ἐντίμων Ἰούδα ἐπιστολαὶ ἐπορεύοντο
18 πρὸς Τωβίαν, καὶ αἱ Τωβία ἤρχοντο πρὸς αὐτούς· [18] ὅτι πολλοὶ ἐν Ἰούδᾳ
ἔνορκοι ἦσαν αὐτῷ, ὅτι γαμβρὸς ἦν τοῦ Σεχενία υἱοῦ Ἠραέ, καὶ Ἰωνὰν υἱὸς
19 αὐτοῦ ἔλαβε τὴν θυγατέρα Μεσουλὰμ υἱοῦ Βαραχία εἰς γυναῖκα. [19] καὶ τοὺς
λόγους αὐτοῦ ἦσαν λέγοντες πρός με, καὶ λόγους μου ἦσαν ἐκφέροντες αὐτῷ·
καὶ ἐπιστολὰς ἀπέστειλε Τωβίας φοβερίσαι με.

## VII.

Καὶ ἐγένετο ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος, καὶ ἔστησα τὰς θύρας, καὶ
2 ἐπεσκέπησαν οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ Λευῖται. [2] καὶ ἐνετειλάμην τῷ

---

2. μοι ποιησαι 3. FA* προς αυτους 4. om κ. απεστειλαν usque τουτο 5. FA απεστιλαν ... FA*.* post σαναβαλλατ add κατα τον λογον τουτον το πεμπτον ... παιδα εαυτου 6. FA*.* ηκουσθη και γοσεμ ειπεν ... om οτι συ ... δια τι συ οικοδομεις ... Ax FA συ γιγνη (FA γινη) αυτοις 7. Ax FA εν ιουδα 8. FA*.* ους συ λεγεις ... FA* om συ sec. 9. FA* φοβερουσιν ... αι χειρες ... FA*.* om νυν 10. FA και εγω ... σεμει, FA σεμεει ... δαλαια ... Ax FA* υιον ... μεηταβεηλ, FA μιταηλ ... εμμεσω ... FA*.* ερχ. φονευσ. σε νυκτος ερχονται φονευσαι σε 11. ειπον ... FA* om ὁ (?) ... Ax FA*.* ante ος add οιος εγω φευξεται η τις οιος ανηρ (FA*.* οιος εγω) ... FA*.* in f. add ουκ εισελευσομαι 12. Ax FA προφητια 14. κ. τω σαναβαλλατ ... FA νοαδια ... Ax FA κ. τοις καταλοιποις ... FA* των ιερεων 15. om μηνος ... πεντηκονταδυο 16. επεσεν ... FA φοβ. μεγας σφοδρα ... FA τουτο το εργον 17. FA* om αι 18. ιωναθαν, FA* ιωαναν, *.* ιωναθαν ... FA βαραχεια

Digitized by Google

Ἀνανίᾳ ἀδελφῷ μου καὶ τῷ Ἀνανίᾳ ἄρχοντι τῆς βιρὰ ἐν Ἱερουσαλήμ, ὅτι
αὐτὸς ὡς ἀνὴρ ἀληθὴς καὶ φοβούμενος τὸν θεὸν παρὰ πολλούς, [3]καὶ εἶπα 3
αὐτοῖς Οὐκ ἀνοιγήσονται πύλαι Ἱερουσαλὴμ ἕως ἅμα τῷ ἡλίῳ, καὶ ἔτι αὐ-
τῶν γρηγορούντων κλειέσθωσαν αἱ θύραι καὶ σφηνούσθωσαν· καὶ στῆσον προ-
φύλακας οἰκούντων ἐν Ἱερουσαλήμ, ἀνὴρ ἐν προφυλακῇ αὐτοῦ, καὶ ἀνὴρ ἀπέ-
ναντι οἰκίας αὐτοῦ. [4]καὶ ἡ πόλις πλατεῖα καὶ μεγάλη, καὶ ὁ λαὸς ὀλίγος ἐν 4
αὐτῇ, καὶ οὐκ ἦσαν οἰκίαι ᾠκοδομημέναι. [5]καὶ ἔδωκεν ὁ θεὸς εἰς τὴν καρ- 5
δίαν μου, καὶ συνῆξα τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν εἰς συν-
οδίας· καὶ εὗρον βιβλίον τῆς συνοδίας οἳ ἀνέβησαν ἐν πρώτοις, καὶ εὗρον
γεγραμμένον ἐν αὐτῷ [6]Καὶ οὗτοι υἱοὶ τῆς χώρας οἱ ἀναβάντες ἀπὸ αἰχμα- 6
λωσίας τῆς ἀποικίας ἧς ἀπῴκισε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ
ἐπέστρεψεν εἰς Ἱερουσαλὴμ καὶ εἰς Ἰούδα ἀνὴρ εἰς τὴν πόλιν αὐτοῦ [7]μετὰ 7
Ζοροβάβελ καὶ Ἰησοῦ καὶ Νεεμία, Ἀζαρία καὶ Ῥεελμά, Ναεμανί, Μαρδο-
χαῖος, Βαλσάν, Μασφαράθ, Ἔσδρα, Βογουία, Ἰναούμ, Βαανά, Μασφάρ.
ἄνδρες λαοῦ Ἰσραήλ, [8]υἱοὶ Φόρος, δισχίλιοι ἑκατὸν ἑβδομηκονταδύο· [9]υἱοὶ 8 9
Σαφατία, τριακόσιοι ἑβδομηκονταδύο· [10]υἱοὶ Ἠρά, ἑξακόσιοι πεντηκονταδύο· 10
[11]υἱοὶ Φαὰθ Μωὰβ τοῖς υἱοῖς Ἰησοῦ καὶ Ἰωάβ, δισχίλιοι ἑξακόσιοι δεκα- 11
οκτώ· [12]υἱοὶ Αἰλάμ, χίλιοι διακόσιοι πεντηκοντατέσσαρες· [13]υἱοὶ Ζαθουία, 12 13
ὀκτακόσιοι τεσσαρακονταπέντε· [14]υἱοὶ Ζαχχού, ἑπτακόσιοι ἑξήκοντα· [15]υἱοὶ 14 15
Βανουί, ἑξακόσιοι τεσσαρακονταοκτώ· [16]υἱοὶ Βηβί, ἑξακόσιοι εἰκοσιοκτώ· 16
[17]υἱοὶ Ἀσγάδ, δισχίλιοι τριακόσιοι εἰκοσιδύο· [18]υἱοὶ Ἀδωνικάμ, ἑξακόσιοι 17 18
ἑξηκονταεπτά· [19]υἱοὶ Βαγοΐ, δισχίλιοι ἑξηκονταεπτά· [20]υἱοὶ Ἠδίν, ἑξακόσιοι 19 20
πεντηκονταπέντε· [21]υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ, ἐνενηκονταοκτώ· [22]υἱοὶ Ἠσάμ, 21 22
τριακόσιοι εἰκοσιοκτώ· [23]υἱοὶ Βεσεΐ, τριακόσιοι εἰκοσιτέσσαρες· [24]υἱοὶ 23 24
Ἀρίφ, ἑκατὸν δώδεκα· υἱοὶ Ἀσέν, διακόσιοι εἰκοσιτρεῖς· [25]υἱοὶ Γαβαών, ἐνε- 25
νηκονταπέντε· [26]υἱοὶ Βαιθαλέμ, ἑκατὸν εἰκοσιτρεῖς· υἱοὶ Ἀτωφά, πεντηκον- 26
ταέξ· [27]υἱοὶ Ἀναθώθ, ἑκατὸν εἰκοσιοκτώ· [28]ἄνδρες Βηθασμώθ, τεσσαρα- 27 28
κονταδύο· [29]ἄνδρες Καριαθαρίμ, Καφιρὰ καὶ Βηρώθ, ἑπτακόσιοι τεσσαρα- 29
κοντατρεῖς· [30]ἄνδρες Ἀραμὰ καὶ Γαβαά, ἑξακόσιοι εἴκοσι· [31]ἄνδρες Μαχε- 30 31
μάς, ἑκατὸν εἰκοσιδύο· [32]ἄνδρες Βαιθὴλ καὶ Ἀΐ, ἑκατὸν εἰκοσιτρεῖς· [33]ἄν- 32 33
δρες Ναβία, ἑκατὸν πεντηκονταδύο· [34]ἄνδρες Ἠλαμαάρ, χίλιοι διακόσιοι 34

VII. 2. Ax FA βειρα ... αυτος ην ανηρ ... FA φοβουμενοι 3. ειπον ... Ax FA* και οτι αυτων ετι ... FA *.* στησω ... Ax FA προφυλ. εαυτου ... οικ. εαυτου 6. οι υιοι ... Ax FA της αιχμαλωσιας ... Ax FA om ὁ ... επεστρεψαν ... FA* om εις secundum ... FA* ιουδα εις πολιν (videtur) ... πολ. εαυτου 7. FA*.* οι ελθοντες μετα ... αζαρεα ... FA δαεμια pro ρεελμα ... FA νααμμανει ... μαρδοχεου, FA μαρδοχαιου ... βαασαν μαασφαραθ εζρα βχγουιαϊ ναουμ, FA βασφανμας φαραδες δρχβατοει ναουμ (distingue potius βασφαν μασφαραδ εσδρα etc.) 10. FA ηραμ επταχοσιοι (*.* χ̅) ... εβδομηκονταδυο 11. FA om και ... δισχιλιοι δεκαοκτω, FA δισχ. οκταχοσιοι δεκαοκτω 12. FA ελαμ ... FA οκταχοσιοι (*.* σ̅) 13. ζαθθουα, FA ζαθουεια ... FA ενναχο(χου sed υ erasum)σιοι (*.* ω̅) ... Ax FA τεσσεραχοντα 14. FA ζαθου ω οκταχοσιοι (*.* ψ̅ pro ω οκτ.) 15. Ax FA τεσσεραχονταοκτω 16. Ax FA βηβει 17. αγεταδ, FA ασταδ 18. FA αδενικαμ 19. βαγουει, FA βαγοει 20. FA ηδειν ... πεντηκοντατεσσαρες 22. ησαμι 23. βασι, FA βεσει 24. αρειμ, FA αρειφ ... δεκαδυο ... om υι. ασεν διαχ. εικ. 26. βαιθσαλεεμ, FA βεθλεεμ (*videtur βεθαλεεμ) ... ανετωφα, FA νετωφα 27. ναθωθ 28. βηθ ... Ax FA τεσσεραχ. 29. Ax FA καριαθιαρειμ (FA -ριμ) ... χαφιρα, FA καφειρα ... Ax FA τεσσεραχ. 30. FA ταβαα ... εικοσιεις, FA* εικοσιμια 31. FA*.* μαχμας 32. FA βηθηλ (*.* βεθηλ) και αλεια 33. FA ναβεια ... Ax FA in f. add υιοι μαγεβως (FA μαγεμως) εκατον πεντηκονταεξ 34. FA δισχιλιοι

Digitized by Google

35 36 πεντηκονταδύο· [35] υἱοὶ Ἠράμ, τριακόσιοι εἴκοσι· [36] υἱοὶ Ἱεριχώ, τριακόσιοι
37 38 τεσσαρακονταπέντε· [37] υἱοὶ Λοδαδὶδ καὶ Ὠνώ, ἑπτακόσιοι εἰκοσιεῖς· [38] υἱοὶ
39 Σανανά, τριςχίλιοι ἐνναχόσιοι τριάκοντα. [39] οἱ ἱερεῖς υἱοὶ Ἰωδαὲ εἰς οἶκον
40 Ἰησοῦ, ἐνναχόσιοι ἑβδομηκοντατρεῖς· [40] υἱοὶ Ἐμμήρ, χίλιοι πεντηκονταδύο·
41 42 [41] υἱοὶ Φασεούρ, χίλιοι διακόσιοι τεσσαρακονταεπτά· [42] υἱοὶ Ἠράμ, χίλιοι
43 δεκαεπτά. [43] οἱ Λευῖται υἱοὶ Ἰησοῦ τοῦ Καδμιὴλ τοῖς υἱοῖς τοῦ Οὐδουία,
44 ἑβδομηκοντατέσσαρες· [44] οἱ ᾄδοντες υἱοὶ Ἀσάφ, ἑκατὸν τεσσαρακονταοκτώ·
45 [45] οἱ πυλωροὶ υἱοὶ Σαλούμ, υἱοὶ Ἀτήρ, υἱοὶ Τελμών, υἱοὶ Ἀκούβ, υἱοὶ Ἀτιτά,
46 υἱοὶ Σαβί, ἑκατὸν τριακονταοκτώ. [46] οἱ Ναθινὶμ υἱοὶ Σηά, υἱοὶ Ἀσφά, υἱοὶ
47 48 Ταβαώθ, [47] υἱοὶ Κιράς, υἱοὶ Ἀσουία, υἱοὶ Φαδών, [48] υἱοὶ Λαβανά, υἱοὶ
49 50 Ἀγαβά, υἱοὶ Σελμεΐ, [49] υἱοὶ Ἀνάν, υἱοὶ Γαδήλ, υἱοὶ Γαάρ, [50] υἱοὶ Ῥααΐα,
51 52 υἱοὶ Ῥασσών, υἱοὶ Νεχωδά, [51] υἱοὶ Γηζάμ, υἱοὶ Ὀζί, υἱοὶ Φεσή, [52] υἱοὶ
53 Βησί, υἱοὶ Μεϊνών, υἱοὶ Νεφωσασί, [53] υἱοὶ Βακβούκ, υἱοὶ Ἀχιφά, υἱοὶ Ἀρούρ,
54 55 [54] υἱοὶ Βασαλώθ, υἱοὶ Μιδά, υἱοὶ Ἀδασάν, [55] υἱοὶ Βαρκουέ, υἱοὶ Σισαράθ,
56 57 υἱοὶ Θημά, [56] υἱοὶ Νισιά, υἱοὶ Ἀτιφά· [57] υἱοὶ δούλων Σαλωμὼν υἱοὶ Σουτεΐ,
58 59 υἱοὶ Σαφαράτ, υἱοὶ Φεριδά, [58] υἱοὶ Ἰελήλ, υἱοὶ Δορκών, υἱοὶ Γαδαήλ, [59] υἱοὶ
60 Σαφατία, υἱοὶ Ἐττήλ, υἱοὶ Φακαράθ, υἱοὶ Σαβαΐμ, υἱοὶ Ἠμίμ· [60] πάντες
61 οἱ Ναθινὶμ καὶ υἱοὶ δούλων Σαλωμὼν τριακόσιοι ἐνενηκονταδύο. [61] καὶ οὗτοι
ἀνέβησαν ἀπὸ Θελμελέθ, Θελαρησά, Χαρούβ, Ἠρών, Ἰεμήρ, καὶ οὐκ ἐδυ-
νάσθησαν ἀπαγγεῖλαι οἴκους πατριῶν αὐτῶν καὶ σπέρμα αὐτῶν εἰ ἀπὸ Ἰσραὴλ
62 εἰσιν· [62] υἱοὶ Δαλαία, υἱοὶ Τωβία, υἱοὶ Νεκωδά, ἑξακόσιοι τεσσαρακονταδύο·
63 [63] καὶ ἀπὸ τῶν ἱερέων υἱοὶ Ἐβία, υἱοὶ Ἀκώς, υἱοὶ Βερζελλί, ὅτι ἔλαβον ἀπὸ
θυγατέρων Βερζελλὶ τοῦ Γαλααδίτου γυναῖκας καὶ ἐκλήθησαν ἐπ' ὀνόματι
64 αὐτῶν· [64] οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν τῆς συνοδίας καὶ οὐχ εὑρέθη, καὶ
65 ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας. [65] καὶ εἶπεν Ἀθερσασθὰ ἵνα μὴ φάγωσιν
66 ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως ἀναστῇ ἱερεὺς φωτίσων. [66] καὶ ἐγένετο πᾶσα

---

34. πεντηκοντατεσσαρες, FA πεντηκοντα, *.* add δ̄ 36. Ax FA ιερειχω ... Ax FA τεσσεραχ. 37. FA λοδαδια ... Ax FA ωνων ... FA εικοσιμια 39. FA οι υι. ιωδαε ... FA* εκατον pro ενναχ. 40. FA χεμηρ 41. Ax FA τεσσεραχ. 42. FA ηρα 43. FA οι υιοι ... Ax FA τω καδμιηλ ... ουδουιδ 44. FA οι υιοι ... Ax FA τεσσεραχ. 45. σελλουμ ... τολμων, FA τελαμων ... Ax FA ακουμ ... FA ατειτα ... σαβαιϊ, FA σαβει 46. ναθινειμ, FA ναθεινειμ ... σιαα ... Ax FA ασειφα ... ταββαωθ 47. Ax FA κειρας ... σιαΐα, FA ιασουια 48. FA λαβαν ... αγγαβα et add Ax FA υιοι ακουδ υιοι ουτα υιοι κηταρ υιοι αγαβ (FA γαβα) ... σελμει, FA σαμαει 49. FA γαναν ... σαδηλ ... FA om υι. γααρ 50. ρααια, FA ραεα ... ρασων, FA ραεσων ... FA νεκωδαμ 51. FA οζει ... φεσση, FA φαιση 52. βησεϊ, FA βαισει ... μεεινωμ, FA μεσσεινωμ ... νεφωσαειμ, FA νεφωσασειμ 53. FA νεκουβ ... FA ακειφα ... FA αρουμ 54. Ax FA μεειδα 55. σεισαραθ, FA σεσειραθ ... FA ημαθ 56. νεισεια, FA ασεια ... Ax FA ατειφα 57. FA σουτιει (*videtur σουτιη) ... σαφαραθ, FA σαφαραθι ... φαρειδα, FA φερειδα 58. Ax FA ιεαηλ ... γαδδηλ, FA γαδηλ 59. FA εγηλ ... φαχαραθ, FA φαχαρατ ... Ax FA σαβαειμ ... Ax FA ημειμ 60. ναθανειμ, FA ναθινινειμ ... FA om δουλων 61. θελμελεχ θελαρσα χερουβ, FA θερμελεθ αρησα χαρουβ (** sive *.* χερουβ) ... ιεμμηρ (*εμμηρ videtur) ... FA ηδυνασθησαν ... FA εαυτων bis 62. Ax FA post δαλαια add υιοι βουα (FA βαθουα) ... FA και τεσσεραχ. (etiam Ax τεσσεραχ.) 63. εβεΐα, FA αβεΐα ... ακκως ... βερζελλαΐ, FA βερζελλει ... βερζελλαΐ, FA του βερζελλει ... FA γαλααδειτου ... Ax FA εκληθη ... το ονοματι pro επ ον. 64. Ax FA γραφ. εαυτων ... FA συνοδειας και ουκ ... Ax FA *.* ηυρεθη (*ηυρεθησαν) 65. Ax FA αθερσαθα αυτοις ... FA εως αν αναστη (corr. om αν) ... ανεστη ... Ax FA ο ιερευς

Digitized by Google

ἡ ἐκκλησία ὡςεὶ τέσσαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκοντα, [67] πάρεξ 67
δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι ἑπτακισχίλιοι τριακόσιοι τριακον- 68
ταεπτά· καὶ ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι τεσσαρακονταπέντε· [69] ὄνοι δισ- 69
χίλιοι ἑπτακόσιοι. [70] καὶ ἀπὸ μέρους ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ἔργον 70
τῷ Νεεμίᾳ εἰς θησαυρὸν χρυσοῦς χιλίους, φιάλας πεντήκοντα καὶ χωθωνὼθ
τῶν ἱερέων τριάκοντα. [71] καὶ ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς θησαυ- 71
ροὺς τοῦ ἔργου χρυσοῦ νομίσματος δύο μυριάδας, καὶ ἀργυρίου μνᾶς δισ-
χιλίας τριακοσίας, καὶ ἔδωκαν οἱ κατάλοιποι τοῦ λαοῦ χρυσίου δύο μυριάδας,
καὶ ἀργυρίου μνᾶς δισχιλίας διακοσίας, καὶ χωθωνὼθ τῶν ἱερέων ἑξηκοντα-
επτά. [72] καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ Λευῖται καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες 72
καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ οἱ Ναθινὶμ καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

## VIII.

Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν,
([1]) καὶ συνήχθησαν πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς τὸ πλάτος τὸ ἔμπροσθεν πύλης 1
τοῦ ὕδατος, καὶ εἶπαν τῷ Ἔσδρᾳ τῷ γραμματεῖ ἐνέγκαι τὸ βιβλίον νόμου
Μωυσῆ ὃν ἐνετείλατο κύριος τῷ Ἰσραήλ. [2] καὶ ἤνεγκεν Ἔσδρας ὁ ἱερεὺς τὸν 2
νόμον ἐνώπιον τῆς ἐκκλησίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς καὶ πᾶς ὁ συνιῶν
ἀκούειν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου, [3] καὶ ἀνέγνω ἐν αὐτῷ ἀπὸ 3
τῆς ὥρας τοῦ διαφωτίσαι τὸν ἥλιον ἕως ἡμίσους τῆς ἡμέρας ἀπέναντι τῶν
ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ αὐτοὶ συνιέντες, καὶ ὦτα παντὸς τοῦ λαοῦ
εἰς τὸ βιβλίον τοῦ νόμου. [4] καὶ ἔστη Ἔσδρας ὁ γραμματεὺς ἐπὶ βήματος 4
ξυλίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ Ματθαθίας καὶ Σαμαΐας καὶ Ἀνανίας
καὶ Οὐρίας καὶ Χελκία καὶ Μαασία ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν Φα-
δαΐας καὶ Μισαὴλ καὶ Μελχίας καὶ Ἀσὼμ καὶ Ἀσαβαδμὰ καὶ Ζαχαρίας καὶ
Μεσολλάμ. [5] καὶ ἤνοιξεν Ἔσδρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ, ὅτι 5
αὐτὸς ἦν ἐπάνω τοῦ λαοῦ· καὶ ἐγένετο ἡνίκα ἤνοιξεν αὐτό, ἔστη πᾶς ὁ λαός.

---

66. εις (pro ωςει) τεσσαρας μυριαδας δισχιλιους τριακοσιους εξηκ. ... FA* δισχιλιαι τριακοσιαι 67. FA om αυτων και ... FA επτακιχιλιοι ... τεσσεραχ. (non FA) 68. 69. ιπποι επτακοσιοι τριακονταεξ· ημιονοι διακοσιοι τεσσερακονταπεντε· καμηλοι τετρακοσιοι τριηκονταπεντε· ονοι εξακισχιλιοι επτακοσιοι εικοσι, FA ονοι εξακισχιλιοι (*⁎* add ψκ)· ιπποι επτακοσιοι τριακονταεξ· ημιονοι διακοσιοι τεσσερακονταπεντε· καμηλοι (*⁎* add αυτων) τετρακοσιοι τριακονταπεντε 70. Ax εργον τω αθερσαθα εδωκαν, FA*⁎* εργ. τω αθαρσαθα εδωκεν ... FA* χιλιας ... χοθωνωθ, FA* μεχωνωθ, *⁎* χοθρνωθ 71. FA* εθηκα s. εθηκαι ... FA* θησαυρον ... Ax FA χρυσιου δυο ... αργυριου μυριας μνας δισχιλιας διακοσιας, FA αργυρ. μνας δισχιλιας διακοσιας (*⁎* ο̅) ... om και εδωκαν usque διακοσιας ... FA*⁎* verbis και εδωκαν (*⁎* α εδωσαν) usque διακοσιας signum ※ praefigit ... FA* χρυσιου εβδομηκοντα μυριαδ., *⁎* χρυσους εν νομισμασιν δυο μυριαδας ... FA* αργυριου μνας χιλιαδας διακοσιας, *⁎* αργυρα σκευη δισχιλια ... χοθωνωθ, FA* μεχωνωθ, *⁎* χοθονωθ ... FA ιερων 72. Ax FA οι λευιται ... ναθινειμ, FA ναθεινειμ VIII. 1. πολεσιν εαυτων ... FA* post πολ. αυτων repetit και εφθασεν ο μην ο εβδομος ... FA om εις alterum ... ειπον τω εζρα ... Ax FA ο ενετειλατο ... FA* om κυριος 2. εζρας ... om τον νομον ... Ax FA και εως 3. FA* φωτισαι (videtur) ... εως μεσου, FA*⁎* εως μεσουσης ... FA και τα ωτα 4. FA* εστησεν εσδρ. ο ιερευς (*⁎* add ο γραμματευς) ... εζρας ... Ax FA** (s. *⁎*) ματταθιας ... Ax FA σαμαιας ... Ax FA*⁎* ουρια ... FA* om και ante χελκια ... χελκεια ... FA μαασαια ... και εξ ευωνυμων ... μεισαηλ ... Ax FA μελχειας ... FA* om κ. ασωμ (Ax FA*⁎* ωσαμ) κ. ασαβαδμα (Ax ασαβααμα, FA*⁎* ασαβδανα) ... FA* om κ. μεσολλαμ (Ax FA*⁎* μοσολλαμ) 5. εζρας

Digitized by Google

6 [6] καὶ ηὐλόγησεν Ἔσδρας κύριον τὸν θεὸν τὸν μέγαν, καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς
καὶ εἶπαν Ἀμήν, ἐπάραντες τὰς χεῖρας αὐτῶν, καὶ ἔκυψαν καὶ προσεκύνησαν
7 τῷ κυρίῳ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. [7] καὶ Ἰησοῦς καὶ Βαναΐας καὶ Σαρα-
βίας ἦσαν συνετίζοντες τὸν λαὸν εἰς τὸν νόμον, καὶ ὁ λαὸς ἐν τῇ στάσει αὐ-
8 τοῦ. [8] καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου τοῦ θεοῦ, καὶ ἐδίδασκεν Ἔσδρας καὶ
9 διέστελλεν ἐν ἐπιστήμῃ κυρίου, καὶ συνῆκεν ὁ λαὸς ἐν τῇ ἀναγνώσει. [9] καὶ
εἶπε Νεεμίας καὶ Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεὺς καὶ οἱ Λευῖται καὶ οἱ
συνετίζοντες τὸν λαόν, καὶ εἶπαν παντὶ τῷ λαῷ Ἡμέρα ἁγία ἐστὶ τῷ κυρίῳ
θεῷ ἡμῶν, μὴ πενθεῖτε μηδὲ κλαίετε· ὅτι ἔκλαιε πᾶς ὁ λαός, ὡς ἤκουσαν
10 τοὺς λόγους τοῦ νόμου. [10] καὶ εἶπεν αὐτοῖς Πορεύεσθε φάγετε λιπάσματα
καὶ πίετε γλυκάσματα καὶ ἀποστείλατε μερίδας τοῖς μὴ ἔχουσιν, ὅτι ἁγία
ἐστὶν ἡ ἡμέρα τῷ κυρίῳ ἡμῶν, καὶ μὴ διαπέσητε, ὅτι ἐστὶ κύριος ἰσχὺς
11 ἡμῶν. [11] καὶ οἱ Λευῖται κατεσιώπων πάντα τὸν λαὸν λέγοντες Σιωπᾶτε, ὅτι
12 ἡμέρα ἁγία, καὶ μὴ καταπίπτετε. [12] καὶ ἀπῆλθε πᾶς ὁ λαὸς φαγεῖν καὶ πιεῖν
καὶ ἀποστέλλειν μερίδας καὶ ποιῆσαι εὐφροσύνην μεγάλην, ὅτι συνῆκαν ἐν
13 τοῖς λόγοις οἷς ἐγνώρισεν αὐτοῖς. [13] καὶ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ συνήχθησαν
οἱ ἄρχοντες τῶν πατριῶν σὺν τῷ παντὶ λαῷ οἱ ἱερεῖς καὶ οἱ Λευῖται πρὸς
14 Ἔσδραν τὸν γραμματέα, ἐπιστῆσαι πρὸς πάντας τοὺς λόγους τοῦ νόμου. [14] καὶ
εὕροσαν γεγραμμένον ἐν τῷ νόμῳ ᾧ ἐνετείλατο κύριος τῷ Μωυσῇ, ὅπως κατ-
15 οικήσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἐν σκηναῖς ἐν ἑορτῇ ἐν μηνὶ τῷ ἑβδόμῳ, [15] καὶ
ὅπως σημάνωσι σάλπιγξιν ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν καὶ ἐν Ἱερουσαλήμ.
καὶ εἶπεν Ἔσδρας Ἐξέλθετε εἰς τὸ ὄρος καὶ ἐνέγκατε φύλλα ἐλαίας καὶ φύλλα
ξύλων κυπαρισσίνων καὶ φύλλα μυρσίνης καὶ φύλλα φοινίκων καὶ φύλλα ξύλου
16 δασέος, ποιῆσαι σκηνὰς κατὰ τὸ γεγραμμένον. [16] καὶ ἐξῆλθεν ὁ λαὸς καὶ
ἤνεγκαν, καὶ ἐποίησαν ἑαυτοῖς σκηνὰς ἀνὴρ ἐπὶ τοῦ δώματος αὐτοῦ καὶ ἐν
ταῖς αὐλαῖς αὐτῶν καὶ ἐν ταῖς αὐλαῖς οἴκου τοῦ θεοῦ καὶ ἐν πλατείαις τῆς
17 πόλεως καὶ ἕως πύλης Ἐφραΐμ. [17] καὶ ἐποίησαν πᾶσα ἡ ἐκκλησία οἱ ἐπι-
στρέψαντες ἀπὸ τῆς αἰχμαλωσίας σκηνάς, καὶ ἐκάθισαν ἐν σκηναῖς, ὅτι οὐκ
ἐποίησαν ἀπὸ ἡμερῶν Ἰησοῦ υἱοῦ Ναυῆ οὕτως οἱ υἱοὶ Ἰσραὴλ ἕως τῆς ἡμέ-
18 ρας ἐκείνης· καὶ ἐγένετο εὐφροσύνη μεγάλη. [18] καὶ ἀνέγνω ἐν βιβλίῳ νόμου
τοῦ θεοῦ ἡμέραν ἐν ἡμέρᾳ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς
ἐσχάτης· καὶ ἐποίησαν ἑορτὴν ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον
κατὰ τὸ κρίμα.

## IX.

Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τούτου συνήχθησαν οἱ υἱοὶ
2 Ἰσραὴλ ἐν νηστείᾳ καὶ ἐν σάκκοις καὶ σποδῷ ἐπὶ κεφαλῆς αὐτῶν. [2] καὶ ἐχω-
ρίσθησαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, καὶ ἔστησαν καὶ ἐξη-
3 γόρευσαν τὰς ἁμαρτίας αὐτῶν καὶ τὰς ἀνομίας τῶν πατέρων αὐτῶν. [3] καὶ

---

6. FA ευλογησεν ... εζρας, FA* om εσδρας ... FA* om επαραντες τ. χ. αυτ. ... Ax FA*.* om τας 7. βαναιας ... Ax FA σαραβια 8. Ax FA εν τω βιβλιω ... εζρας ... διεστελλεν επίστημη ... FA ο λαος κυριου 9. εζρας ... FA εστιν αγια (*αγιαν) ... κυριω τω θεω, FA τω κυριω τω θεω ... Ax FA* ηκουσεν 10. FA*.* πορ. και φαγ. ... Ax FA η ημερα εστιν ... Ax FA om κυριος ... Ax FA*.* ισχ. υμων 11. FA* om παντα 12. FA* πιν ... FA* μυριαδας ... FA*.* ποιειν 13. Ax FA om συν ... εζραν 14. FA* ως pro ω ... FA* om εν extr. 15. FA* κ. πως σημαινωσιν ... FA εν σαλπιγξιν ... εζρας ... εξελθατε ... Ax FA δασεως ... σκηνας αυτοις 16. σκηνας αυτοις ... FA εαυτου et εαυτων ... om ταις sec. ... εως οικου εφρ. 17. FA* εν σκηναις pro σκηνας 18. FA νομω ... FA* και εν τη ... FA* om κατα το κριμα IX. 1. FA ημερ. τεταρτη και εικαδι ... Ax FA om και σποδω ε. κ. αυτ. 2. FA* om κ. εστησαν

Digitized by Google

ἔστησαν ἐπὶ τῇ στάσει αὐτῶν, καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου κυρίου θεοῦ
αὐτῶν, καὶ ἦσαν ἐξαγορεύοντες τῷ κυρίῳ καὶ προσκυνοῦντες τῷ κυρίῳ θεῷ
αὐτῶν. 4 καὶ ἔστη ἐπὶ ἀναβάσει τῶν Λευιτῶν Ἰησοῦς καὶ οἱ υἱοὶ Καδμιήλ, 4
Σεχενία υἱὸς Σαραβία, υἱοὶ Χωνενί, καὶ ἐβόησαν φωνῇ μεγάλῃ πρὸς κύριον
τὸν θεὸν αὐτῶν. 5 καὶ εἴποσαν οἱ Λευῖται Ἰησοῦς καὶ Καδμιήλ Ἀνάστητε 5
εὐλογεῖτε κύριον τὸν θεὸν ἡμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος· καὶ
εὐλογήσουσιν ὄνομα δόξης σου, καὶ ὑψώσουσιν ἐπὶ πάσῃ εὐλογίᾳ καὶ αἰνέσει.
6 καὶ εἶπεν Ἔσδρας Σὺ εἶ αὐτὸς κύριος μόνος, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ 6
τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ πᾶσαν τὴν στάσιν αὐτῶν, τὴν γῆν καὶ πάντα
ὅσα ἐστὶν ἐν αὐτῇ, τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐταῖς· καὶ σὺ ζωοποιεῖς
τὰ πάντα, καὶ σοὶ προσκυνοῦσιν αἱ στρατιαὶ τῶν οὐρανῶν. 7 σὺ εἶ κύριος ὁ 7
θεός, σὺ ἐξελέξω ἐν Ἅβραμ καὶ ἐξήγαγες αὐτὸν ἐκ τῆς χώρας τῶν Χαλδαίων,
καὶ ἐπέθηκας αὐτῷ ὄνομα Ἀβραάμ. 8 καὶ εὗρες τὴν καρδίαν αὐτοῦ πιστὴν 8
ἐνώπιόν σου, καὶ διέθου πρὸς αὐτὸν διαθήκην δοῦναι αὐτῷ τὴν γῆν τῶν
Χαναναίων καὶ Χετταίων καὶ Ἀμορραίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων καὶ
Γεργεσαίων καὶ τῷ σπέρματι αὐτοῦ· καὶ ἔστησας τοὺς λόγους σου, ὅτι δίκαιος
σύ. 9 καὶ εἶδες τὴν ταπείνωσιν τῶν πατέρων ἡμῶν ἐν Αἰγύπτῳ, καὶ τὴν κραυ- 9
γὴν αὐτῶν ἤκουσας ἐπὶ θάλασσαν ἐρυθράν. 10 καὶ ἔδωκας σημεῖα καὶ τέρατα 10
ἐν Αἰγύπτῳ ἐν Φαραῷ καὶ ἐν πᾶσι τοῖς παισὶν αὐτοῦ καὶ ἐν παντὶ τῷ λαῷ
τῆς γῆς αὐτοῦ, ὅτι ἔγνως ὅτι ὑπερηφάνησαν ἐπ' αὐτούς, καὶ ἐποίησας σεαυτῷ
ὄνομα ὡς ἡ ἡμέρα αὕτη. 11 καὶ τὴν θάλασσαν ἔρρηξας ἐνώπιον αὐτῶν, καὶ 11
παρήλθοσαν ἐν μέσῳ τῆς θαλάσσης ἐν ξηρασίᾳ, καὶ τοὺς καταδιώξοντας
αὐτοὺς ἔρριψας εἰς βυθὸν ὡσεὶ λίθον ἐν ὕδατι σφοδρῷ. 12 καὶ ἐν στύλῳ νεφέ- 12
λης ὡδήγησας αὐτοὺς ἡμέρας καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα τοῦ φωτίσαι
αὐτοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύσονται ἐν αὐτῇ. 13 καὶ ἐπὶ ὄρος Σινᾶ κατέβης 13
καὶ ἐλάλησας πρὸς αὐτοὺς ἐξ οὐρανοῦ, καὶ ἔδωκας αὐτοῖς κρίματα εὐθέα
καὶ νόμους ἀληθείας, προστάγματα καὶ ἐντολὰς ἀγαθάς. 14 καὶ τὸ σάββατόν 14
σου τὸ ἅγιον ἐγνώρισας αὐτοῖς, ἐντολὰς καὶ προστάγματα καὶ νόμον ἐνετείλω
αὐτοῖς ἐν χειρὶ Μωυσῆ δούλου σου. 15 καὶ ἄρτον ἐξ οὐρανοῦ ἔδωκας αὐτοῖς 15
εἰς σιτοδοτίαν αὐτῶν, καὶ ὕδωρ ἐκ πέτρας ἐξήνεγκας αὐτοῖς εἰς δίψαν αὐτῶν.
καὶ εἶπας αὐτοῖς εἰςελθεῖν κληρονομῆσαι τὴν γῆν ἐφ' ἣν ἐξέτεινας τὴν χεῖρά
σου δοῦναι αὐτοῖς. 16 καὶ αὐτοὶ καὶ οἱ πατέρες ἡμῶν ὑπερηφανεύσαντο καὶ 16
ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, καὶ οὐκ ἤκουσαν τῶν ἐντολῶν σου. 17 καὶ 17
ἀνένευσαν τοῦ εἰςακοῦσαι, καὶ οὐκ ἐμνήσθησαν τῶν θαυμασίων σου ὧν ἐποίη-
σας μετ' αὐτῶν· καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, καὶ ἔδωκαν ἀρχὴν

---

3. FA om τη ... Ax FA om κυριου ... FA εαυτων ... FA* om κυριω ... FA εαυτων 4. Ax FA om οι ... σαχανια, FA σαραδια ... υι. σαραβαϊα ... Ax FA*.* (*om υι. χων.) υι. χανανι ... om μεγαλη ... FA θεον εαυτων 5. ειπαν ... FA* οι υιοι λευιται ... FA αναστ. και ευλογ. ... τον κυριον θεον ημων (FA*.* υμων) ... om κ. εως τ. αιωνος ... FA om και ante ευλογησουσιν ... FA*.* σου και υψους σου επι 6. εζρας ... FA κυριος αυτος ... om τον ουραν. και ... FA om παντα οσα εστ. ε. αυτη, FA*.* om etiam την γην και 7. FA* om συ ει κυρ. ο θεος ... FA εξελ. εν αβρααμ ... FA* om αυτω 8. FA ευρας ... FA*.* δουναι τω pro και τω 9. ιδες ... FA*.* καχιαν pro ταπεινωσιν 10. εδωκες ... Ax FA om και τερατα ... FA* om και εν π. τω λ. τ. γ. αυτου 11. εμμεσω ... καταδιωκοντας, FA καταδιωξαντας 12. FA* post πυρος add ωδηγησας 13. FA :: σιναϊ ... Ax FA ευθεια 14. FA*.* νομον ον ενετ. ... Ax FA*.* (sive**) του δουλ. σου 15. Ax FA*.* (*σιτοδοινα) σιτοδειαν (Ax σιτοδιαν) ... γην εις ην 16. FA* om και αυτοι usque υπερηφαν. ... FA* om σου 17. FA* ανεμνησθησαν ... τραχηλ. εαυτων

Digitized by Google

ἐπιστρέψαι εἰς δουλείαν αὐτῶν ἐν Αἰγύπτῳ. καὶ σὺ ὁ θεὸς ἐλεήμων καὶ οἰ-
18 κτίρμων, μακρόθυμος καὶ πολυέλεος, καὶ οὐκ ἐγκατέλιπες αὐτούς. [18] ἔτι δὲ
καὶ ἐποίησαν ἑαυτοῖς μόσχον χωνευτὸν καὶ εἶπαν Οὗτοι οἱ θεοὶ οἱ ἐξαγα-
19 γόντες ἡμᾶς ἐξ Αἰγύπτου· καὶ ἐποίησαν παροργισμοὺς μεγάλους. [19] καὶ σὺ ἐν
οἰκτιρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐγκατέλιπες αὐτοὺς ἐν τῇ ἐρήμῳ, τὸν στῦλον
τῆς νεφέλης οὐκ ἐξέκλινας ἀπ' αὐτῶν ἡμέρας ὁδηγῆσαι αὐτοὺς ἐν τῇ ὁδῷ,
καὶ τὸν στῦλον τοῦ πυρὸς τὴν νύκτα φωτίζειν αὐτοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύ-
20 σονται ἐν αὐτῇ. [20] καὶ τὸ πνεῦμά σου τὸ ἀγαθὸν ἔδωκας συνετίσαι αὐτούς,
καὶ τὸ μάννα σου οὐκ ἀφυστέρησας ἀπὸ στόματος αὐτῶν, καὶ ὕδωρ ἔδωκας
21 αὐτοῖς ἐν τῷ δίψει αὐτῶν. [21] καὶ τεσσαράκοντα ἔτη διέθρεψας αὐτοὺς ἐν τῇ
ἐρήμῳ, οὐχ ὑστέρησας αὐτοῖς οὐδέν· ἱμάτια αὐτῶν οὐκ ἐπαλαιώθησαν, καὶ
22 πόδες αὐτῶν οὐ διεῤῥάγησαν. [22] καὶ ἔδωκας αὐτοῖς βασιλείας, καὶ λαοὺς ἐμέ-
ρισας αὐτοῖς, καὶ ἐκληρονόμησαν τὴν γῆν Σηὼν βασιλέως Ἐσεβὼν καὶ τὴν
23 γῆν Ὢγ βασιλέως τοῦ Βασάν. [23] καὶ τοὺς υἱοὺς αὐτῶν ἐπλήθυνας ὡς τοὺς
ἀστέρας τοῦ οὐρανοῦ, καὶ εἰσήγαγες αὐτοὺς εἰς τὴν γῆν ἣν εἶπας τοῖς πα-
24 τράσιν αὐτῶν, καὶ ἐκληρονόμησαν αὐτήν. [24] καὶ ἐξέτριψας ἐνώπιον αὐτῶν
τοὺς κατοικοῦντας τὴν γῆν τῶν Χαναναίων, καὶ ἔδωκας αὐτοὺς εἰς τὰς χεῖ-
ρας αὐτῶν καὶ τοὺς βασιλεῖς αὐτῶν καὶ τοὺς λαοὺς τῆς γῆς, ποιῆσαι αὐτοῖς
25 ὡς ἀρεστὸν ἐνώπιον αὐτῶν. [25] καὶ κατελάβοσαν πόλεις ὑψηλάς, καὶ ἐκληρο-
νόμησαν οἰκίας πλήρεις πάντων ἀγαθῶν, λάκκους λελατομημένους, ἀμπελῶ-
νας καὶ ἐλαιῶνας καὶ πᾶν ξύλον βρώσιμον εἰς πλῆθος· καὶ ἐφάγοσαν καὶ
ἐνεπλήσθησαν καὶ ἐλιπάνθησαν, καὶ ἐτρύφησαν ἐν ἀγαθωσύνῃ σου τῇ μεγάλῃ.
26 [26] καὶ ἤλλαξαν καὶ ἀπέστησαν ἀπὸ σοῦ, καὶ ἔῤῥιψαν τὸν νόμον σου ὀπίσω
σώματος αὐτῶν, καὶ τοὺς προφήτας σου ἀπέκτειναν οἳ διεμαρτύραντο ἐν
αὐτοῖς ἐπιστρέψαι αὐτοὺς πρὸς σέ, καὶ ἐποίησαν παροργισμοὺς μεγάλους.
27 [27] καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ θλιβόντων αὐτούς, καὶ ἔθλιψαν αὐτούς· καὶ
ἀνεβόησαν πρὸς σὲ ἐν καιρῷ θλίψεως αὐτῶν, καὶ σὺ ἐξ οὐρανοῦ σου ἤκου-
σας, καὶ ἐν οἰκτιρμοῖς σου τοῖς μεγάλοις ἔδωκας αὐτοῖς σωτῆρας καὶ ἔσω-
28 σας αὐτοὺς ἐκ χειρὸς θλιβόντων αὐτούς. [28] καὶ ὡς ἀνεπαύσαντο, ἐπέστρεψαν
ποιῆσαι τὸ πονηρὸν ἐνώπιόν σου· καὶ ἐγκατέλιπες αὐτοὺς εἰς χεῖρας ἐχθρῶν
αὐτῶν, καὶ κατῆρξαν ἐν αὐτοῖς. καὶ πάλιν ἀνεβόησαν πρὸς σέ, καὶ σὺ ἐξ
29 οὐρανοῦ εἰσήκουσας καὶ ἐῤῥύσω αὐτοὺς ἐν οἰκτιρμοῖς σου πολλοῖς, [29] καὶ
ἐπεμαρτύρω αὐτοῖς ἐπιστρέψαι αὐτοὺς εἰς τὸν νόμον σου· καὶ οὐκ ἤκουσαν,
ἀλλ' ἐν ταῖς ἐντολαῖς σου καὶ κρίμασί σου ἡμάρτοσαν, ἃ ποιήσας αὐτὰ ἄν-
θρωπος ζήσεται ἐν αὐτοῖς· καὶ ἔδωκαν νῶτον ἀπειθοῦντα καὶ τράχηλον αὐ-
30 τῶν ἐσκλήρυναν, καὶ οὐκ ἤκουσαν. [30] καὶ εἵλκυσας ἐπ' αὐτοὺς ἔτη πολλά, καὶ
ἐπεμαρτύρω αὐτοῖς ἐν πνεύματί σου ἐν χειρὶ προφητῶν σου· καὶ οὐκ ἐνω-
31 τίσαντο, καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ λαῶν τῆς γῆς. [31] καὶ σὺ ἐν οἰκτιρμοῖς

---

17. FA δουλιαν ... Ax FA συ θεος et FA*.* add αφιων ... εγκατελειπες 19. και συν οικτειρμοις σ. τ. μεγαλοις ο. εγκατελειπες ... FA του φωτιζειν ... FA*.* και την οδον 20. FA αυτους συνετισαι ... Ax FA om εν 21. Ax FA τεσσερακοντα ... Ax FA ουχ υστερησαν· ιματια ... Ax FA τα (Ax om τα) υποδηματα pro ποδες 22. διεμερισας ... om την prius ... FA* om βασιλ. εσεβων 24. FA* και τους κατοικ. ... FA* εις χειρας ... FA αρεστα 25. FA* (add**) om ελαιωνας και ... ενετρυφησαν (FA εγρυφησαν?) 26. FA** (vdtr** non *.* esse) ηλαλαξαν ... FA σωματ. εαυτων ... διεμαρτυρουντο 27. om σου post ουρανου ... Ax FA σωτηριας 28. εγκατελειπες ... FA εβοησαν 29. FA αλλα εν ... και τοις κριμ. σου, FA κ. εν τοις κριμ. σου ... FA* ημαρτον ... om εν αυτοις ... FA και εσκληρ. τον τραχ. αυτ. ... τραχ. εαυτων 30. ηλκυσας ... FA*.* εθνη πολλα ... *επεμαρτ. αυτους

Digitized by Google

σου τοῖς πολλοῖς οὐκ ἐποίησας αὐτοὺς εἰς συντέλειαν καὶ οὐκ ἐγκατέλιπες
αὐτούς, ὅτι ἰσχυρὸς εἶ καὶ ἐλεήμων καὶ οἰκτίρμων. 32 καὶ νῦν ὁ θεὸς ἡμῶν 32
ὁ ἰσχυρὸς ὁ μέγας ὁ κραταιὸς καὶ ὁ φοβερός, φυλάσσων τὴν διαθήκην σου
καὶ τὸ ἔλεός σου, μὴ ὀλιγωθήτω ἐνώπιόν σου πᾶς ὁ μόχθος ὅς εὗρεν ἡμᾶς
καὶ τοὺς βασιλεῖς ἡμῶν καὶ τοὺς ἄρχοντας ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ
τοὺς προφήτας ἡμῶν καὶ τοὺς πατέρας ἡμῶν καὶ ἐν παντὶ τῷ λαῷ σου ἀπὸ
ἡμερῶν βασιλέων Ἀσσοὺρ καὶ ἕως τῆς ἡμέρας ταύτης. 33 καὶ σὺ δίκαιος ἐπὶ 33
πᾶσι τοῖς ἐρχομένοις ἐφ' ἡμᾶς, ὅτι ἀλήθειαν ἐποίησας· καὶ ἡμεῖς ἐξημάρ-
τομεν, 34 καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες ἡμῶν καὶ οἱ ἱερεῖς ἡμῶν 34
καὶ οἱ πατέρες ἡμῶν οὐκ ἐποίησαν τὸν νόμον σου, καὶ οὐ προςέσχον τῶν
ἐντολῶν σου καὶ τὰ μαρτύριά σου ἃ διεμαρτύρω αὐτοῖς. 35 καὶ αὐτοὶ ἐν βασι- 35
λείᾳ σου καὶ ἐν ἀγαθωσύνῃ σου τῇ πολλῇ ᾗ ἔδωκας αὐτοῖς καὶ ἐν τῇ γῇ
τῇ πλατείᾳ καὶ λιπαρᾷ ᾗ ἔδωκας ἐνώπιον αὐτῶν οὐκ ἐδούλευσάν σοι, καὶ
οὐκ ἀπέστρεψαν ἀπὸ ἐπιτηδευμάτων αὐτῶν τῶν πονηρῶν. 36 ἰδοὺ σήμερόν 36
ἐσμεν δοῦλοι, καὶ ἡ γῆ ἣν ἔδωκας τοῖς πατράσιν ἡμῶν φαγεῖν τὸν καρπὸν
αὐτῆς καὶ τὰ ἀγαθὰ αὐτῆς, ἰδού ἐσμεν δοῦλοι ἐπ' αὐτῆς, 37 καὶ οἱ καρποὶ 37
αὐτῆς πολλοὶ τοῖς βασιλεῦσιν οἷς ἔδωκας ἐφ' ἡμᾶς ἐν ἁμαρτίαις ἡμῶν, καὶ
ἐπὶ τὰ σώματα ἡμῶν ἐξουσιάζουσι καὶ ἐν κτήνεσιν ἡμῶν ὡς ἀρεστὸν αὐτοῖς,
καὶ ἐν θλίψει μεγάλῃ ἐσμέν. 38 καὶ ἐν πᾶσι τούτοις ἡμεῖς διατιθέμεθα πίστιν 38
καὶ γράφομεν, καὶ ἐπισφραγίζουσιν ἄρχοντες ἡμῶν, Λευῖται ἡμῶν, ἱερεῖς ἡμῶν.

## X.

Καὶ ἐπὶ τῶν σφραγιζόντων Νεεμίας Ἀρτασασθὰ υἱὸς Ἀχαλία, καὶ Σεδε-
κίας 2 υἱὸς Ἀραία, καὶ Ἀζαρία, καὶ Ἱερεμία, 3 Φασούρ, Ἀμαρία, Μελχία, 2 3
4 Ἀττούς, Σεβανί, Μαλούχ, 5 Ἰράμ, Μεραμώθ, Ἀβδία, 6 Δανιήλ, Γαννα- 4 5 6
θών, Βαρούχ, 7 Μεσουλάμ, Ἀβία, Μιαμίν, 8 Μααζία, Βελγαΐ, Σαμαΐα, οὗτοι 7 8
ἱερεῖς· 9 καὶ οἱ Λευῖται Ἰησοῦς υἱὸς Ἀζανία, Βαναίου ἀπὸ υἱῶν Ἠναδάδ, 9
Καδμιὴλ 10 καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Σαβανία, Ὠδουία, Καλιτάν, Φελία, Ἀνάν, 10
11 Μιχά, Ῥοώβ, Ἀσεβίας, 12 Ζαχχώρ, Σαραβία, Σεβανία, 13 Ὠδούμ, υἱοὶ 11—13
Βανουαΐ· 14 ἄρχοντες τοῦ λαοῦ Φόρος, Φαὰθ Μωάβ, Ἠλάμ, Ζαθουία· υἱοὶ 14
Βανί, 15 Ἀσγάδ, Βηβαΐ, 16 Ἀδανία, Βαγοΐ, Ἡδίν, 17 Ἀτήρ, Ἐζεκία, Ἀζούρ, 15—17

---

31. Ax FA om εις ... εγκατελειπες ... FA* om ει, ⁘ add post οικτειρμων (sic) 32. FA* om ημων ... και φοβερος ... FA ο φυλασσων ... om σου primum 33. Ax FA⁘ δικαιος ει ... FA* εχομενοις 35. om τη post γη ... επεστρεψαν ... om αυτων sec., FA εαυτων 36. Ax FA εσμεν σημερον ... Ax FA a καρπον αυτης transiliunt ad τοις βασιλευσιν v. 37. 37. FA* om και επι τα σωμ. usque κτηνεσ. ημων (** εν τοις κτην. ut videtur, non ⁘) 38. FA* om ημεις ... Ax FA* παντες αρχ. ημ. et FA* pergit και λευειται ημ. και ιερις ημ. X. 1. FA⁘ εσφραγισμενων ... Ax FA om αρτασασθα ... FA αχελια 2. υιος σαραια, FA υι. σαραΐα ... FA* ζαχαρια pro αζαρια ... ιερμια 3. μελχεια 4. FA* τουσαβανει (⁘ ατους σαβανει) ... FA μαλου 5. FA χειραμαμ εραμωθ αβδεια 6. γαανναθων, FA ανατωθ 7. FA αβεια ... μιαμειν, FA μειαμων 8. FA αζια βελσια (Ax βελγαι) ... Ax FA σαμαια 9. FA om οι ... FA⁘ αβαναιου ... ηνηλαδ, FA ηναδαβ 10. Ax FA σεβανια 10. 11. FA* om χαλιταν (⁘ χαλιτα) φελια (⁘ et Ax φελεῖα) αναν μιχα ροωβ (⁘ ροοβ) ασεβιας (⁘ et Ax εσεβιας) 12. FA* praemittit χανθαν ... FA* ζαχουρ, corr. ζαχχουρ ... FA* ζαθαρια pro σαραβια 13. ωδουα ... βανουαιαΐ, FA βενιαμειν 14. φααθ, μωαβ sic disting. ed. Rom., item FA; in Ax non liquet ... ζαθθουια ... FA βανιας 15. αζγαδ, FA ταδ ... βηβαι, FA βηθαι 16. αάναα, FA εδανια ... Ax FA βαγοει ... ηδειν 17. FA αδηρ



Digitized by Google

18—20 [18]Ὠδουία, Ἠσάμ, Βησί, [19]Ἀρίφ, Ἀναθώθ, Νωβαΐ, [20]Μεγαφής, Με-
21 22 σουλλάμ, Ἠζίρ, [21]Μεσωζεβήλ, Σαδούκ, Ἰεδδούα, [22]Φαλτία, Ἀνάν, Ἀναΐα,
23—25 [23]Ὠσηέ, Ἀνανία, Ἀσούβ, [24]Ἀλωής, Φαλαΐ, Σωβήκ, [25]Ῥεούμ, Ἐσσα-
26 27 βανά, Μαασία, [26]καὶ Ἀΐα, Αἰνάν, Ἠνάμ, [27]Μαλούχ, Ἠράμ, Βαανά,
28 [28]καὶ οἱ κατάλοιποι τοῦ λαοῦ, οἱ ἱερεῖς, οἱ Λευῖται, οἱ πυλωροί, οἱ ᾄδον-
τες, οἱ Ναθινίμ, καὶ πᾶς ὁ προςπορευόμενος ἀπὸ λαῶν τῆς γῆς πρὸς νόμον
τοῦ θεοῦ, γυναῖκες αὐτῶν, υἱοὶ αὐτῶν, θυγατέρες αὐτῶν· πᾶς ὁ εἰδὼς καὶ
29 συνιῶν [29]ἐνίσχυον ἐπὶ τοὺς ἀδελφοὺς αὐτῶν, καὶ κατηράσαντο αὐτοὺς καὶ
εἰςήλθοσαν ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν νόμῳ τοῦ θεοῦ ὃς ἐδόθη
ἐν χειρὶ Μωυσῆ δούλου τοῦ θεοῦ, φυλάσσεσθαι καὶ ποιεῖν πάσας τὰς ἐντο-
30 λὰς κυρίου καὶ τὰ κρίματα αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ, [30]καὶ τοῦ μὴ
δοῦναι θυγατέρας ἡμῶν τοῖς λαοῖς τῆς γῆς, καὶ τὰς θυγατέρας αὐτῶν οὐ
31 λημψόμεθα τοῖς υἱοῖς ἡμῶν· [31]καὶ λαοὶ τῆς γῆς οἱ φέροντες τοὺς ἀγορασμοὺς
καὶ πᾶσαν πρᾶσιν ἐν ἡμέρᾳ τοῦ σαββάτου ἀποδόσθαι, οὐκ ἀγορῶμεν παρ'
αὐτῶν ἐν σαββάτῳ καὶ ἐν ἡμέρᾳ ἁγίᾳ· καὶ ἀνήσομεν τὸ ἔτος τὸ ἕβδομον
32 καὶ ἀπαίτησιν πάσης χειρός. [32]καὶ στήσομεν ἐφ' ἡμᾶς ἐντολάς, δοῦναι ἐφ'
ἡμᾶς τρίτον τοῦ διδράχμου κατ' ἐνιαυτὸν εἰς δουλείαν οἴκου τοῦ θεοῦ ἡμῶν,
33 [33]εἰς ἄρτους τοῦ προςώπου καὶ θυσίαν τοῦ ἐνδελεχισμοῦ, καὶ εἰς ὁλοκαύτωμα
τοῦ ἐνδελεχισμοῦ τῶν σαββάτων, τῶν νουμηνιῶν, εἰς τὰς ἑορτὰς καὶ εἰς τὰ
ἅγια, καὶ τὰ περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ Ἰσραήλ, καὶ εἰς ἔργα οἴκου
34 τοῦ θεοῦ ἡμῶν. [34]καὶ κλήρους ἐβάλομεν περὶ κλήρου ξυλοφορίας οἱ ἱερεῖς
καὶ οἱ Λευῖται καὶ ὁ λαὸς ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν, εἰς οἶκον πατριῶν
ἡμῶν, εἰς καιροὺς ἀπὸ χρόνων ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἐκκαῦσαι ἐπὶ τὸ θυσια-
35 στήριον κυρίου θεοῦ ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, [35]καὶ ἐνέγκαι τὰ
πρωτογεννήματα τῆς γῆς ἡμῶν καὶ πρωτογεννήματα καρποῦ παντὸς ξύλου
36 ἐνιαυτὸν κατ' ἐνιαυτὸν εἰς οἶκον κυρίου, [36]καὶ τὰ πρωτότοκα υἱῶν ἡμῶν καὶ
κτηνῶν ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, καὶ τὰ πρωτότοκα τῶν βοῶν ἡμῶν
καὶ ποιμνίων ἡμῶν ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν τοῖς ἱερεῦσι τοῖς λειτουρ-
37 γοῦσιν ἐν οἴκῳ θεοῦ ἡμῶν. [37]καὶ τὴν ἀπαρχὴν σίτων ἡμῶν καὶ τὸν καρπὸν
παντὸς ξύλου, οἴνου καὶ ἐλαίου οἴσομεν τοῖς ἱερεῦσιν εἰς τὸ γαζοφυλάκιον
οἴκου τοῦ θεοῦ, καὶ δεκάτην γῆς ἡμῶν τοῖς Λευίταις· καὶ αὐτοὶ οἱ Λευῖται
38 δεκατοῦντες ἐν πάσαις πόλεσι δουλείας ἡμῶν. [38]καὶ ἔσται ὁ ἱερεὺς υἱὸς Ἀα-
ρὼν μετὰ τοῦ Λευίτου ἐν τῇ δεκάτῃ τοῦ Λευίτου, καὶ οἱ Λευῖται ἀνοίσουσι

---

18. Ax FA οδουια ... βησει, FA βηθει 19. FA αρει φαναθωθ βωναῖ (Ax νωβαι) 20. μαγαφης, FA βαγαφης ... Ax FA μεσουλαμ ηζειρ 21. FA σαδδουκ ... ιεδδουκ, FA* om ιεδδουα 22. FA* φαλδεια (corr. φαλτεια) ... FA αναια (corr. ανανια) 23. FA ωσηθα ... FA ασσυθ 24. αδω φαλαει σωβηκ, FA αλωης φαδ αειος ωβηκ 25. ραουμ εσαβανα, FA ραουμεσα βανα ... μααλσια, FA μαασαια 26. FA αινα pro αιναν ... ηιαν, FA ηνα 27. FA μααλουχ ... ρεουμ pro ηραμ 28. και οι λευιται ... ναθινειμ, FA ναθεινιμ ... Ax FA απο του λαου της ... πρ. τον νομον ... ειδων κ. συνιων 29. Ax FA αδελφ. εαυτων ... FA om και primum ... FA ειςηλθον ... FA* εντολας ημων, *.* εντολ. του θεου ημων ... om τα ante κριματα ... Ax FA* om και τα (τα om etiam *.*) προσταγμ. αυτ 30. Ax FA λημψομεθα 31. FA* και την πρασιν ... FA*.* (fortasse non :.:) αγορασωμεν 32. FA* στησ. εφ υμας ... FA δουναι ημας ... διδραγμου ... FA δουλιαν οικου θεου ημ. 33. θυσιαν ενδελεχ. ... τουν νουμηνιων ... FA* οικου τα θεου 34. Ax FA οικους πατριων 35. Ax FA πρωτογενηματα bis ... FA*.* παντος καρπου παντος 36. FA των υι. η. κ. των κτην. ... προτοτοκα bis ... ποιμνημιων 37. FA και οινου ... om γαζοφ. οικ. τ. θ. κ. δεκ. γης (γαμων pro ημων) ... FA δεκατας, *.* δεκατην της (:.: crasit της) ... Ax FA δουλιας 38. FA* om υιος ... FA* δεκατην της γης χαναан δεκατης εις

Digitized by Google

τὴν δεκάτην τῆς δεκάδος εἰς οἶκον θεοῦ ἡμῶν εἰς τὰ γαζοφυλάκια εἰς οἶκον
τοῦ θεοῦ. [39]ὅτι εἰς τοὺς θησαυροὺς εἰςοίσουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ 39
τοῦ Λευὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου, καὶ ἐκεῖ
σκεύη τὰ ἅγια καὶ οἱ ἱερεῖς καὶ οἱ λειτουργοὶ καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδον-
τες, καὶ οὐκ ἐγκαταλείψομεν τὸν οἶκον τοῦ θεοῦ ἡμῶν.

## XI.

Καὶ ἐκάθισαν οἱ ἄρχοντες τοῦ λαοῦ ἐν Ἱερουσαλήμ· καὶ οἱ κατάλοιποι
τοῦ λαοῦ ἐβάλοσαν κλήρους ἐνέγκαι ἕνα ἀπὸ τῶν δέκα καθίσαι ἐν Ἱερουσα-
λὴμ πόλει τῇ ἁγίᾳ καὶ ἐννέα μέρη ἐν ταῖς πόλεσι. [2]καὶ εὐλόγησεν ὁ λαὸς 2
τοὺς πάντας ἄνδρας τοὺς ἑκουσιαζομένους καθίσαι ἐν Ἱερουσαλήμ. [3]καὶ οὗτοι 3
οἱ ἄρχοντες τῆς χώρας οἳ ἐκάθισαν ἐν Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα·
ἐκάθισαν ἀνὴρ ἐν κατασχέσει αὐτοῦ ἐν πόλεσιν αὐτῶν Ἰσραήλ, οἱ ἱερεῖς καὶ
οἱ Λευῖται καὶ οἱ Ναθιναῖοι καὶ οἱ υἱοὶ δούλων Σαλωμών. [4]καὶ ἐν Ἱερου- 4
σαλὴμ ἐκάθισαν ἀπὸ υἱῶν Ἰούδα καὶ ἀπὸ υἱῶν Βενιαμίν. ἀπὸ υἱῶν Ἰούδα·
Ἀθαΐα υἱὸς Ἀζία υἱὸς Ζαχαρία υἱὸς Σαμαρία υἱὸς Σαφατία υἱὸς Μαλε-
λεήλ. καὶ ἀπὸ τῶν υἱῶν Φαρές· [5]καὶ Μαασία υἱὸς Βαροὺχ υἱὸς Χαλαζὰ 5
υἱὸς Ὀζία υἱὸς Ἀδαΐα υἱὸς Ἰωαρὶβ υἱὸς Ζαχαρίου υἱὸς τοῦ Σηλωνί. [6]πάν- 6
τες υἱοὶ Φαρὲς οἱ καθήμενοι ἐν Ἱερουσαλὴμ τετρακόσιοι ἑξηκονταοκτὼ ἄνδρες
δυνάμεως. [7]καὶ οὗτοι υἱοὶ Βενιαμίν· Σηλὼ υἱὸς Μεσουλὰμ υἱὸς Ἰωὰδ υἱὸς 7
Φαδαΐα υἱὸς Κωλεΐα υἱὸς Μαασίου υἱὸς Ἐθιὴλ υἱὸς Ἰεσία, [8]καὶ ὀπίσω 8
αὐτοῦ Γηβέ, Σηλί, ἐνναχόσιοι εἰκοσιοκτώ. [9]καὶ Ἰωὴλ υἱὸς Ζεχρὶ ἐπίσκοπος 9
ἐπ' αὐτούς, καὶ Ἰούδα υἱὸς Ἀσανὰ ἀπὸ τῆς πόλεως δεύτερος· [10]ἀπὸ τῶν 10
ἱερέων· καὶ Ἰαδία υἱὸς Ἰωαρίβ, Ἰαχίν, [11]Σαραία υἱὸς Ἐλχία υἱὸς Μεσου- 11
λὰμ υἱὸς Σαδδοὺκ υἱὸς Μαριὼθ υἱὸς Αἰτὼθ ἀπέναντι οἴκου τοῦ θεοῦ. [12]καὶ 12
οἱ ἀδελφοὶ αὐτῶν ποιοῦντες τὸ ἔργον τοῦ οἴκου ὀκτακόσιοι εἰκοσιδύο. καὶ
Ἀδαΐα υἱὸς Ἱεροὰμ υἱοῦ Φαλαλία υἱοῦ Ἀμασὶ υἱὸς Ζαχαρία υἱὸς Φασσοὺρ
υἱὸς Μελχία, [13]καὶ ἀδελφοὶ αὐτοῦ ἄρχοντες πατριῶν διακόσιοι τεσσαρακον- 13
ταδύο. καὶ Ἀμασία υἱὸς Ἐσδριὴλ υἱοῦ Μεσαριμὶθ υἱοῦ Ἐμμήρ, [14]καὶ ἀδελ- 14
φοὶ αὐτοῦ δυνατοὶ παρατάξεως ἑκατὸν εἰκοσιοκτώ, καὶ ἐπίσκοπος Βαδιὴλ

---

38. δεκατης pro δεκαδος ... FA*.* θησαυρου pro θεου 39. FA λευει ... FA* απαρχας σιτου ... Ax FA* om και post ιερεις ... οικον κυριου θε. ημ. XI. 1. FA* ελαβοσαν, Ax FA*.* εβαλον ... *.* εν (videtur) pro ενα 2. FA ηυλογησεν ... FA* ο θεος pro ο λαος 3. FA*.* εκαθισεν ανηρ εν κατ. εαυτου ... FA* om κ. οι ναθιναιοι 4. Ax FA βενιαμειν ... αθαΐαι υι. οζια, FA αθεε υι. αζεδνα ... FA μαλεληµ ... Ax FA om των 5. μαλσια, FA* μεσεια, *.* αμεσεια ... FA υι. χαλεα υι. οζεια υι. δαλεα (Ax αχαια) υι. ιωρειμ (corr. ιωρειβ et Ax ιωιαριβ) υι. θηδεια υι. του δηλωνει (Ax ηλωνι) 7. FA και αυτοι (** add υιοι) βενιαμειν ... βενιαμειν ... FA*.* σηλωμ ... FA αμεσουλαμ υι. ιωαβ υι. ιωαδ υι. φαλαια υι. χολεια (Ax χωλεια) υι. ματαηλ υι. σεθιηλ (Ax αιθιηλ) υι. ιεσσια (Ax ιεσσεια) 8. FA γηβεις (Ax γηβεει) ηλει (Ax σηλει) ... FA* πενταχοσιοι 9. FA ζεχρει ... ιουδας ασανα ... FA επι της 10. FA κ. δαλεια υι ιωρειμ (Ax ιωριβ) ιαχειν (ita etiam Ax) 11. FA σαραΐα (ita etiam Ax) υι. ελκεια ... FA σαδουκ ... αιτωβ, FA αποβωχ 12. Ax FA και αδελφοι ... FA* om οκτακοσιοι εικ. (*.* ωκβ) κ. αδ. υι. ιερ. (*.* ιροαμ) υι. φαλ. υιου ... om υιου post φαλαλια ... FA αμεσσει υιος (*.* υιου) ... Ax FA φασεουρ et Ax om υιος seq. ... FA μελχεια 13. Ax FA* om και αδελφ. αυτου ... τεσσερακονταδυο, FA* τεσσερακονταοκτω (pro οκτω adscriptum est β̄) ... αμεσαΐ υι. εζριηλ ... Ax FA* om υι. μεσαριμιθ (*.* υιου αζαχιου· υιου μασαλιμιθ) υι. εμμηρ 14. Ax FA*.* επισκ. επ αυτων ... ζοχριηλ, FA* βαζιηλ, *.* ζεχριηλ



Digitized by Google

15 17 υἱὸς τῶν μεγάλων. [15] καὶ ἀπὸ τῶν Λευιτῶν Σαμαΐα υἱὸς Ἐσριχάμ, [17] Ματ-
18 θανίας υἱὸς Μιχά, καὶ Ἰωβὴβ υἱὸς Σαμουί, [18] διακόσιοι ὀγδοηκοντατέσσαρες.
19 [19] καὶ οἱ πυλωροὶ Ἀκούβ, Τελαμίν, καὶ οἱ ἀδελφοὶ αὐτῶν ἑκατὸν ἑβδομη-
22 κονταδύο. [22] καὶ ἐπίσκοπος Λευιτῶν υἱὸς Βανὶ υἱὸς Ὀζὶ υἱὸς Ἀσαβία υἱὸς
23 Μιχά. ἀπὸ υἱῶν Ἀσὰφ τῶν ᾀδόντων ἀπέναντι ἔργου οἴκου τοῦ θεοῦ· [23] ὅτι
24 ἐντολὴ τοῦ βασιλέως εἰς αὐτούς. [24] καὶ Φαθαΐα υἱὸς Βασηζὰ πρὸς χεῖρα τοῦ
25 βασιλέως εἰς πᾶν χρῆμα τῷ λαῷ, [25] καὶ πρὸς τὰς ἐπαύλεις ἐν ἀγρῷ αὐτῶν.
26 27 καὶ ἀπὸ υἱῶν Ἰούδα ἐκάθισαν ἐν Καριαθαρβόκ, [26] καὶ ἐν Ἰησοῦ, [27] καὶ
30 ἐν Βηρσαβεὲ καὶ ἐπαύλεις αὐτῶν, [30] Λαχὶς καὶ ἀγροὶ αὐτῆς· καὶ παρενεβά-
31 36 λοσαν ἐν Βηρσαβεέ. [31] καὶ οἱ υἱοὶ Βενιαμὶν ἀπὸ Γαβαὰ Μαχμάς. [36] καὶ ἀπὸ
τῶν Λευιτῶν μερίδες Ἰούδα τῷ Βενιαμίν.

## XII.

Καὶ οὗτοι οἱ ἱερεῖς καὶ οἱ Λευῖται οἱ ἀναβάντες μετὰ Ζοροβάβελ υἱοῦ
2 3 Σαλαθιὴλ καὶ Ἰησοῦ· Σαραΐα, Ἱερεμία, Ἔσδρα, [2] Ἀμαρία, Μαλούχ, [3] Σε-
7 χενία· [7] οὗτοι οἱ ἄρχοντες τῶν ἱερέων καὶ ἀδελφοὶ αὐτῶν ἐν ἡμέραις Ἰησοῦ.

---

14. Ax FA* om υι. των μεγαλ. 15. σαμαια υιος ασουβ υιος εζρι, FA σ. υιος ασουβ υιος εχρει s. εζρει (*.* εζριχαν) et FA*.* add υιος ασαβιου· υιου βονναῒ (16.) και σοββαθαιος και ιωζαβαδ· επι του εργου του εξωτατου οικου του θεου: απο των αρχηγων των λευιτων 17. και μαθθανιας, FA και μαθθανια (*.* κ. μαθθανιας) ... FA υι. μαχα ... FA σαμουει, sed FA*.* pro κ. ιωβ. υι. σαμ. haec habet: υοι (corrige υιος) ζεχρι· υιου ασαφ· αρχηγος του αινου του ιουδα εις προσευχην και βακβακιας. δευτερος εκ των αδελφων εαυτου και αβδας υιος σαμμουε υιου γαλελ· υιου ιδιθουν. παντες οι λευιται εν τη πολει τη αγια 19. Ax FA τελαμειν ... FA*.* post αυτων add οι φυλασσοντες εν ταις πυλαις ... FA*.* in f. add (20.) το δε λοιπον του ισραηλ οι ιερεις και οι λευιται εν πασαις ταις πολεσιν της ιουδαιας εκαστος εν τη κληρουχια αυτου (corr. εαυτου)· (21.) οι δε ναθιναιοι κατωκησαν εν οφελ και σιαα· και γεσφα· επι τοις ναθιναιοις: 22. FA λευιτων (*.* add εν ιερουσαλημ· αζα·) υιος βανει (*.* υιου βονει) οζει (*.* om οζει) υιος (*.* υιου) ασαβεια (*.* add υιου μαθθανιου) υιος αμειχα (*.* υιου μειχα) ... om υιος ante οζι ... FA α. των υιων ... FA* οικου εργου του θεου 23. Ax FA επ αυτους et FA*.* add και διεμεινεν επι τοις ωδοις εκαστης ημερας αυθημερον 24. FA* παθεϊα, *.* φαθεϊα ... FA*.* υι. βασηζαβεηλ απο των ζαρε υιου ιουδα προς ... FA*.* ρημα 25. καριαθαρβο, FA* καριαθαρ, *.* καριαθαρβα et add και εν ταις θυγατρασιν αυτης και την διβων και τας θυγατερας αυτης και εν καβσεηλ και εν ταις κωμαις αυτης 26. FA*.* κ. ε. ιησου και εν μωλαδα και εν βηθφαλτ (27) και εν εσερσοαλ 27. βερσαβεε ... FA*.* post βηρσαβεε add και ταις θυγατρασιν αυτης (28) και εν σικελεγ και εν μαχνα και εν ταις θυγατρασιν αυτης (29) και εν ρεμμων και εν σαραα· και εν ιριμουθ· (30) ζανωε· οδολλαμ· ... FA αι επαυλεις 30. Ax FA λαχεις κ. οι αγροι αυτης· et FA*.* post αυτης add αζηκα και εν ταις θυγατρασιν ... FA* παρενεβαλον ... βερσαβεε ... FA*.* post βηρσαβεε add εως φαραγγος εννομ 31. Ax FA και υιοι βενιαμειν ... FA* γαβα ... Ax FA* μαχαμας et FA*.* add και αϊω και βηθηρ· και των θυγατερων αυτης (32) αναθωθ· νοβ· ανανια· (33) ασωρ· ραμα· γεθθιμ· (34) αδωδ· σεβοειμ· ναβαλλατ· (35) λυδδα· και ωνω γη αρασιμ 36. Ax FA βενιαμειν XII. 1. FA* om οι tertium ... FA* αναβαινοντες ... ιερμια, FA ιερμεια ... εζρα 2. FA* αρεια, *.* αμαρεια ... FA*.* in f. add αττους 3. FA* εενια, *.* εχενια et add ρεουμ· μαριμωθ· (4) αδαϊας· γεννηθουι· αβιας· (5) μεϊμιν· μααδιας· βαλγας· (6) σεμεϊας· ιωιαριβ· ιδεϊας· (7) σαλουαϊ· αμουκ· χελκιας· ιδεϊας 7. Ax FA om οι ... Ax FA ιησου

Digitized by Google

8 καὶ οἱ Λευῖται· Ἰησοῦ, Βανουί, Καδμιήλ, Σαραβία, Ἰωδαέ, Ματθανία, ἐπὶ 8
τῶν χειρῶν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτῶν εἰς τὰς ἐφημερίας. 10 καὶ Ἰησοῦς 10
ἐγέννησε τὸν Ἰωακίμ, καὶ Ἰωακὶμ ἐγέννησε τὸν Ἐλιασίβ, καὶ Ἐλιασὶβ τὸν
Ἰωδαέ, 11 καὶ Ἰωδαὲ ἐγέννησε τὸν Ἰωνάθαν, καὶ Ἰωνάθαν ἐγέννησε τὸν Ἰαδού. 11
12 καὶ ἐν ἡμέραις Ἰωακὶμ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τῶν πα- 12
τριῶν· τῷ Σαραΐᾳ Ἀμαρία, τῷ Ἱερεμίᾳ Ἀνανία, 13 τῷ Ἔσδρᾳ Μεσουλάμ, 13
τῷ Ἀμαρίᾳ Ἰωανάν, 14 τῷ Ἀμαλοὺχ Ἰωνάθαν, τῷ Σεχενίᾳ Ἰωσήφ, 15 τῷ 14 15
Ἀρὲ Μαννάς, τῷ Μαριὼθ Ἐλκαΐ, 16 τῷ Ἀδαδαΐ Ζαχαρία, τῷ Γαναθὼθ 16
Μεσολάμ, 17 τῷ Ἀβίᾳ Ζεχρί, τῷ Μιαμὶν Μααδαί, τῷ Φελετί, 18 τῷ Βαλγὰς 17 18
Σαμουέ, τῷ Σεμίᾳ Ἰωνάθαν, 19 τῷ Ἰωαρὶβ Ματθαναΐ, τῷ Ἐδίῳ Ὀζί, 19
20 τῷ Σαλαΐ Καλλαΐ, τῷ Ἀμὲκ Ἀβέδ, 21 τῷ Ἐλκίᾳ Ἀσαβίας, τῷ Ἰεδεϊοὺ 20 21
Ναθαναήλ. 22 οἱ Λευῖται ἐν ἡμέραις Ἐλιασίβ, Ἰωαδὰ καὶ Ἰωὰ καὶ Ἰωανὰν 22
καὶ Ἰδούα γεγραμμένοι ἄρχοντες τῶν πατριῶν καὶ οἱ ἱερεῖς ἐν βασιλείᾳ Δα-
ρείου τοῦ Πέρσου· 23 υἱοὶ δὲ Λευὶ ἄρχοντες τῶν πατριῶν γεγραμμένοι ἐπὶ 23
βιβλίῳ λόγων τῶν ἡμερῶν καὶ ἕως ἡμερῶν Ἰωανὰν υἱοῦ Ἐλισουέ. 24 καὶ οἱ 24
ἄρχοντες τῶν Λευιτῶν· Ἀσαβία καὶ Σαραβία καὶ Ἰησοῦ, καὶ υἱοὶ Καδμιὴλ
καὶ ἀδελφοὶ αὐτῶν κατεναντίον αὐτῶν εἰς ὕμνον αἰνεῖν ἐν ἐντολῇ Δαυὶδ ἀν-
θρώπου τοῦ θεοῦ ἐφημερίαν πρὸς ἐφημερίαν. 25 ἐν τῷ συναγαγεῖν με τοὺς 25
πυλωροὺς 26 ἐν ἡμέραις Ἰωακὶμ υἱοῦ Ἰησοῦ υἱοῦ Ἰωσεδέκ, καὶ ἐν ἡμέραις 26
Νεεμία καὶ Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεύς. 27 καὶ ἐν ἐγκαινίοις τείχους 27
Ἱερουσαλὴμ ἐζήτησαν τοὺς Λευίτας ἐν τοῖς τόποις αὐτῶν τοῦ ἐνέγκαι αὐτοὺς
εἰς Ἱερουσαλήμ, ποιῆσαι ἐγκαίνια καὶ εὐφροσύνην ἐν θωδαθᾷ καὶ ἐν ᾠδαῖς
κυμβαλίζοντες καὶ ψαλτήρια καὶ κινύραι. 28 καὶ συνήχθησαν οἱ υἱοὶ τῶν ᾀδόν- 28
των καὶ ἀπὸ τῆς περιχώρου κυκλόθεν εἰς Ἱερουσαλὴμ καὶ ἀπὸ ἐπαύλεων 29 καὶ 29
ἀπὸ ἀγρῶν· ὅτι ἐπαύλεις ᾠκοδόμησαν ἑαυτοῖς οἱ ᾄδοντες ἐν Ἱερουσαλήμ.
30 καὶ ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ ἐκαθάρισαν τὸν λαὸν καὶ 30

---

8. ιωαδε (?), FA*.* ιουδα ... μαθανια, FA μαχανια ... FA*.* post αυτος add και (και erasit :: ) οι αδελφοι αυτου και βαχβαϊας και ιαναϊ ... FA*.* post οι αδ. αυτων add αντικρυς αυτων 10. Ax FA ιωακειμ bis ... ελιασειβ bis (sec. loco etiam FA) ... ιωαδα 11. ιωαδα ... FA τον ιωναθαν (*.* ιωαναθαν), και ιωαναθαν 12. Ax FA ιωακειμ ... FA* και οι αρχοντ. κ. οι ιερ. τ. πατρ. ... σαραια ... FA μαραια pro αμαρια ... ιερμια, FA ιερεμεια ... FA* om ανανια 13. εζρα ... FA* αραμια 14. Ax FA μαλουχ ... Ax FA* om omnia inde ab ιωναθαν usque ναθαναηλ v. 21; ea FA*.* supplet sub signo ※ ... FA*.* τω σεχελιου 15. FA*.* τω ορεμ αδνας 16. FA*.* τω αδδαϊ ζαχαριας· τω γαναθωμ μοσολλαμ 17. FA*.* τω αβια ζεχρι· τω βενιαμειν εν καιροις τω φελητει· 18. FA*.* τω βαλγα σναμουε· τω σεμεϊα ιωναθαν· 19. FA*.* τω ιωιαριβ μαθθαναϊ· τω ιδια οζι 20. FA*.* τω σαλλαϊ ... FA*.* τω αμου αβεδ 21. FA*.* τω ιδεϊου 22. ελιασειβ, FA ελειασειβ ... FA*.* ιωιαδα ... FA*.* om και ιωα ... FA* αδου pro ιδουα ... FA αρχοντες πατριων ... και ιερεις 23. υιοι λευι, FA υιοι λευει ... FA*.* επι βιβλιου ... FA* υιος ελεισουε (*.* υιου ελειασουβ) 24. και αρχοντες ... FA* αβια (*.* ασαβιας) ... FA και οι αδελφοι ... εις αινειν και υμνειν εντολη, FA εις υμνιν και αινιν εντολην (*.* εντολη) ... εφημερια προς ... FA* εις pro προς 25. FA*.* praemittit μαθθανιας και βαχβακιας· οβδιας· μοσολλαμ· ταλμων· ακουβ· φυλακες πυλωροι φυλακης 26. FA*.* praemittit ουτοι ... Ax FA ιωακειμ ... FA* om και prius (*.* add., :: rursus del. ut videtur) ... FA*.* post νεεμια add του αρχοντος ... εζρα, FA εσδρα ... Ax FA κ. ο γραμμ. 27. εν θωλαθα ... FA εν θωλαθας εν εξομολογησει και εν ωδαις ... Ax FA* om κ. κινυραι (*.* supplet και κινυρας) 28. FA* ηχθησαν ... FA*.* in f. add του νετωφαθι και εκβηθαγγαλγαλ 29. FA*.* post αγρων add γαβαε και αζμωθ 30. εκαθερισθησαν

Digitized by Google

31 τοὺς πυλωροὺς καὶ τὸ τεῖχος. [31] καὶ ἀνήνεγκαν τοὺς ἄρχοντας Ἰούδα ἐπάνω
τοῦ τείχους, καὶ ἔστησαν δύο περὶ αἰνέσεως μεγάλους, καὶ διῆλθον ἐκ δεξιῶν
32 ἐπάνω τοῦ τείχους τῆς κοπρίας. [32] καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν Ὡσαΐα καὶ
33 34 ἥμισυ ἀρχόντων Ἰούδα, [33] καὶ Ἀζαρίας καὶ Ἔσδρας καὶ Μεσολλὰμ [34] καὶ
35 Ἰούδα καὶ Βενιαμὶν καὶ Σαμαΐας καὶ Ἱερεμία· [35] καὶ ἀπὸ τῶν υἱῶν τῶν
ἱερέων ἐν σάλπιγξι Ζαχαρίας υἱὸς Ἰωνάθαν υἱὸς Σαμαΐα υἱὸς Ματθανία υἱὸς
36 Μιχαία υἱὸς Ζαχχοὺρ υἱὸς Ἀσάφ, [36] καὶ ἀδελφοὶ αὐτοῦ Σαμαΐα καὶ Ὀζιήλ,
Γελώλ, Ἰαμά, Ἀΐα, Ναθαναὴλ καὶ Ἰούδα, Ἀνανί, τοῦ αἰνεῖν ἐν ᾠδαῖς Δαυὶδ
37 ἀνθρώπου τοῦ θεοῦ· καὶ Ἔσδρας ὁ γραμματεὺς ἔμπροσθεν αὐτῶν [37] ἐπὶ πύ-
λης τοῦ αἰνεῖν κατέναντι αὐτῶν. καὶ ἀνέβησαν ἐπὶ κλίμακας πόλεως Δαυὶδ
ἐν ἀναβάσει τοῦ τείχους ἐπάνωθεν τοῦ οἴκου Δαυὶδ καὶ ἕως τῆς πύλης τοῦ
39 ὕδατος [39] Ἐφραΐμ, καὶ ἐπὶ τὴν πύλην ἰχθυρὰν καὶ πύργῳ Ἀναμεὴλ καὶ ἕως
42 43 πύλης τῆς προβατικῆς· [42] καὶ ἠκούσθησαν οἱ ᾄδοντες, καὶ ἐπεσκέπησαν. [43] καὶ
ἔθυσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θυσιάσματα μεγάλα καὶ ηὐφράνθησαν, ὅτι ὁ θεὸς
ηὔφρανεν αὐτοὺς μεγάλως· καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν ηὐ-
44 φράνθησαν, καὶ ἠκούσθη ἡ εὐφροσύνη ἐν Ἱερουσαλὴμ ἀπὸ μακρόθεν. [44] καὶ
κατέστησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἄνδρας ἐπὶ τῶν γαζοφυλακίων, τοῖς θησαυ-
ροῖς, ταῖς ἀπαρχαῖς καὶ ταῖς δεκάταις καὶ τοῖς συνηγμένοις ἐν αὐτοῖς ἄρχουσι
τῶν πόλεων, μερίδας τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, ὅτι εὐφροσύνη ἐν Ἰούδᾳ
45 ἐπὶ τοὺς ἱερεῖς καὶ ἐπὶ τοὺς Λευίτας τοὺς ἑστῶτας. [45] καὶ ἐφύλαξαν φυλακὰς
θεοῦ αὐτῶν καὶ φυλακὰς τοῦ καθαρισμοῦ καὶ τοὺς ᾄδοντας καὶ τοὺς πυλω-
46 ρούς, ὡς ἐντολαὶ Δαυὶδ καὶ Σαλωμὼν υἱοῦ αὐτοῦ. [46] ὅτι ἐν ἡμέραις Δαυὶδ
47 Ἀσὰφ ἀπ' ἀρχῆς πρῶτος τῶν ᾀδόντων καὶ ὕμνον καὶ αἴνεσιν τῷ θεῷ. [47] καὶ
πᾶς Ἰσραὴλ ἐν ἡμέραις Ζοροβάβελ καὶ ἐν ταῖς ἡμέραις Νεεμίου διδόντες

---

31. Ax FA* om και εστησαν usque κοπριας (FA⁎ supplet ... εστησα ... ⁘ ante της κοπριας add της πυλης) 32. Ax FA επορευθη 33. κ. αζαριας, εζρα κ. μοσολλαμ, FA κ. ζαχαριας, εσδρα κ. μεσουλα (⁎ μεσουλλαμ) 34. Ax FA om και primum ... Ax FA βενιαμειν ... σααμαϊας, FA σαραϊα ... ιερεμιας 35. Ax FA om των prius ... ιερεων σαλπιγξειν ... FA* ιωαναν ... Ax FA⁎ (* μαθανια) μαθθανια et Ax pergit ο υιος ... μιχαϊα, FA μειχαϊα 36. FA κ. οι αδελφ. ... Ax FA* οζειηλ (⁎ οζρειηλ) ... Ax FA* om γελωλ usq. ανανι (⁎ supplet γελωλαϊ μααϊ· μαθαναηλ και ιουδας· ανανι·) ... Ax FA om του ... FA⁎ εν σκευεσιν ωδης ... εζρας, FA εσδρα 37. FA⁎ επι της πυλης ... FA* και κατεναντι ... FA om και ante ανεβ. (* ανεβοησαν) ... FA εως πυλης, Ax εμ pro εως της ... FA⁎ in f. add κατα ανατολας (38) και περι αινεσεως η δευτερα επορευετο συναντωσα αυτοις και εγω οπισω αυτης και το ημισυ του λαου επανω του τειχους υπερανω του πυργου των θεννουριμ· και εως του τειχους του πλατεος (39) και υπερανω της πυλης 39. Ax FA* om την ... FA⁎ post πυλην add της ισανα και επι την πυλην ... Ax FA την ιχθυηραν ... πυργου ... FA ανανεηλ ... FA⁎ ανανεηλ και απο πυργου του μηα και εως της πυλ. τ. προβ. ... FA⁎ in f. add (40) εστησαν (corr. [⁘ ?] και εστησαν) εν πυλη της φυλακης (40) και εστησαν αι δυο της αιρεσεως (corrigo αινεσεως) εν οικω του θεου· και εγω και το ημισυ των στρατηγων μετ εμου· (41) και οι ιερεις ελιακιμ· μαασιας· βενιαμειν· μιχαϊας· ελιωηναϊ· ζαχαριας· ανανιας· εν σαλπιγξιν· (42) και μαασιας· και σεμεϊας· και ελεαζαρ· και οζι· και ιωαναν· και μελχειας· και αιλαμ· και ιεζουρ· 42. FA⁎ post αδοντες add και ιεζριας 43. FA⁎ ante μεγαλως add ευφροσυνη ... FA⁎ om αυτων prius ... Ax FA* om ἡ ... FA⁎ η ευφρ. η εν 44. FA* κατεστησεν ... FA⁎ post μεριδας add του νομου ... Ax FA ευφροσυνη ην εν ι. και επι 45. FA* εφυλαξεν ... Ax FA θεου εαυτων et Ax om και seq. 47. FA* om κ. εν τ. ημερ. νεεμιου

μερίδας τῶν ᾀδόντων καὶ τῶν πυλωρῶν, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, καὶ
ἁγιάζοντες τοῖς Λευίταις, καὶ οἱ Λευῖται ἁγιάζοντες τοῖς υἱοῖς Ἀαρών.

## XIII.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ Μωυσῆ ἐν ὠσὶ τοῦ λαοῦ· καὶ
εὑρέθη γεγραμμένον ἐν αὐτῷ ὅπως μὴ εἰσέλθωσιν Ἀμμανῖται καὶ Μωαβῖται
ἐν ἐκκλησίᾳ θεοῦ ἕως αἰῶνος, 2 ὅτι οὐ συνήντησαν τοῖς υἱοῖς Ἰσραὴλ ἐν ἄρτῳ 2
καὶ ὕδατι, καὶ ἐμισθώσαντο ἐπ' αὐτὸν τὸν Βαλαὰμ καταράσασθαι, καὶ ἐπέ-
στρεψεν ὁ θεὸς ἡμῶν τὴν κατάραν εἰς εὐλογίαν. 3 καὶ ἐγένετο ὡς ἤκουσαν 3
τὸν νόμον, καὶ ἐχωρίσθησαν πᾶς ἐπίμικτος ἐν Ἰσραήλ. 4 καὶ πρὸ τούτου 4
Ἐλιασὶβ ὁ ἱερεὺς οἰκῶν ἐν γαζοφυλακίῳ οἴκου θεοῦ ἡμῶν ἐγγιῶν Τωβίᾳ.
5 καὶ ἐποίησεν ἑαυτῷ γαζοφυλάκιον μέγα, καὶ ἐκεῖ ἦσαν πρότερον διδόντες 5
τὴν μαναὰ καὶ τὸν λίβανον καὶ τὰ σκεύη, καὶ τὴν δεκάτην τοῦ σίτου καὶ
τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἐντολὴν τῶν Λευιτῶν καὶ τῶν ᾀδόντων καὶ τῶν
πυλωρῶν, καὶ ἀπαρχὰς τῶν ἱερέων. 6 καὶ ἐν παντὶ τούτῳ οὐκ ἤμην ἐν Ἱερου- 6
σαλήμ, ὅτι ἐν ἔτει τριακοστῷ καὶ δευτέρῳ τοῦ Ἀρθασασθὰ βασιλέως Βαβυ-
λῶνος ἦλθον πρὸς τὸν βασιλέα, καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ᾐτησάμην
παρὰ τοῦ βασιλέως, 7 καὶ ἦλθον εἰς Ἱερουσαλήμ· καὶ συνῆκα ἐν τῇ πονηρίᾳ 7
ᾗ ἐποίησεν Ἐλιασὶβ τῷ Τωβίᾳ, ποιῆσαι αὐτῷ γαζοφυλάκιον ἐν αὐλῇ οἴκου
τοῦ θεοῦ. 8 καὶ πονηρόν μοι ἐφάνη σφόδρα, καὶ ἔρριψα πάντα τὰ σκεύη οἴκου 8
Τωβία ἔξω ἀπὸ τοῦ γαζοφυλακίου· 9 καὶ εἶπα, καὶ ἐκαθάρισαν τὰ γαζοφυ- 9
λάκια, καὶ ἐπέστρεψα ἐκεῖ σκεύη οἴκου τοῦ θεοῦ τὴν μάννα καὶ τὸν λίβανον.
10 καὶ ἔγνων ὅτι μερίδες τῶν Λευιτῶν οὐκ ἐδόθησαν, καὶ ἐφύγοσαν ἀνὴρ εἰς 10
ἀγρὸν αὐτοῦ οἱ Λευῖται καὶ οἱ ᾄδοντες ποιοῦντες τὸ ἔργον. 11 καὶ ἐμαχεσά- 11
μην τοῖς στρατηγοῖς καὶ εἶπα Διὰ τί ἐγκατελείφθη ὁ οἶκος τοῦ θεοῦ; καὶ
συνήγαγον αὐτούς, καὶ ἔστησα αὐτοὺς ἐπὶ τῇ στάσει αὐτῶν. 12 καὶ πᾶς Ἰούδα 12
ἤνεγκαν δεκάτην τοῦ πυροῦ καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου εἰς τοὺς θησαυ-
ρούς, 13 ἐπὶ χεῖρα Σελεμία τοῦ ἱερέως καὶ Σαδὼκ τοῦ γραμματέως καὶ Φα- 13
δαΐα ἀπὸ τῶν Λευιτῶν· καὶ ἐπὶ χεῖρα αὐτῶν Ἀνὰν υἱὸς Ζακχοὺρ υἱὸς Ματ-
θαναίου, ὅτι πιστοὶ ἐλογίσθησαν ἐπ' αὐτοὺς μερίζειν τοῖς ἀδελφοῖς αὐτῶν.
14 μνήσθητί μου ὁ θεὸς ἐν ταύτῃ, καὶ μὴ ἐξαλειφθήτω ἔλεός μου ὃ ἐποίησα 14
ἐν οἴκῳ κυρίου τοῦ θεοῦ. 15 ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον ἐν Ἰούδᾳ πατοῦν- 15
τας ληνοὺς ἐν τῷ σαββάτῳ, καὶ φέροντας δράγματα καὶ ἐπιγεμίζοντας ἐπὶ
τοὺς ὄνους καὶ οἶνον καὶ σταφυλὴν καὶ σῦκα καὶ πᾶν βάσταγμα, καὶ φέρον-
τας εἰς Ἱερουσαλὴμ ἐν ἡμέρᾳ τοῦ σαββάτου· καὶ ἐπεμαρτυράμην ἐν ἡμέρᾳ
πράσεως αὐτῶν. 16 καὶ ἐκάθισαν ἐν αὐτῇ φέροντες ἰχθὺν καὶ πᾶσαν πρᾶσιν 16
πωλοῦντες τῷ σαββάτῳ τοῖς υἱοῖς Ἰούδα καὶ ἐν Ἱερουσαλήμ. 17 καὶ ἐμαχεσά- 17

---

XIII. 1. FA* βιβλω ... FA* το γεγραμμενον ... FA* αμμωνιται ... FA εν εκκλησια κυριου, *.* εις εκκλησιαν του θεου 2. κ. εν υδατι ... FA εστρεψεν 3. * εν ιερουσαλημ (ιλημ pro ιηλ) 4. Ax FA ελιασειβ ... οικ. του θεου ... FA* εν σιων pro εγγιων 5. εποιησ. αυτω ... Ax FA μανααν ... FA* om και του οινου ... FA και αι απαρχαι 6. FA* και τριακ. και δευτ. ... FA αρσασαρθα ... FA μετα τελος ημερων 7. ελιασειβ, FA* ελισουβ (** s. *.* ελιασουβ) ... om τω 9. εκαθερισαν ... μανααν, FA* βαανα, ** μαανα 10. FA* εγνω ... FA αγρον εαυτου 11. Ax FA* om τοις στρατηγοις ... Ax FA ειπον ... επι στασει 12. δεκατην πυρου ... FA* πυρρου 13. FA*.* praemittit και ενετειλαμην ... FA επι χειρας ιελεμια ... FA σαδδουκ ... FA ααναν ... μαθθανιου, FA* μαθανια, *.* μαθθανια ... FA*.* αδελφ. εαυτων 14. FA*.* post θεου add μου ... FA* om ὃ ... ο τι εποιησα ... Ax FA*.* κυριου θεου, FA* θεου κυριου et *.* add και εν ταις φυλακαις αυτου 15. ιδον ... εν σαββατω ... FA* επιγεμιζοντες ... FA* φεροντες sec. loco 16. FA*.* εν τω σαββατω

Digitized by Google

μην τοῖς υἱοῖς Ἰούδα τοῖς ἐλευθέροις καὶ εἶπα αὐτοῖς Τίς ὁ λόγος οὗτος ὁ
18 πονηρὸς ὃν ὑμεῖς ποιεῖτε, καὶ βεβηλοῦτε τὴν ἡμέραν τοῦ σαββάτου; [18] οὐχὶ
οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν, καὶ ἤνεγκεν ἐπ᾽ αὐτοὺς ὁ θεὸς ἡμῶν καὶ
ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ ταῦτα καὶ ἐπὶ τὴν πόλιν ταύτην; καὶ ὑμεῖς προς-
19 τίθετε ὀργὴν ἐπὶ Ἰσραὴλ βεβηλῶσαι τὸ σάββατον; [19] καὶ ἐγένετο ἡνίκα κατ-
έστησαν πύλαι ἐν Ἰερουσαλὴμ πρὸ τοῦ σαββάτου, καὶ εἶπα καὶ ἔκλεισαν τὰς
πύλας, καὶ εἶπα ὥςτε μὴ ἀνοιγῆναι αὐτὰς ἕως ὀπίσω τοῦ σαββάτου· καὶ ἐκ
τῶν παιδαρίων μου ἔστησα ἐπὶ τὰς πύλας, ὥςτε μὴ αἴρειν βαστάγματα ἐν
20 ἡμέρᾳ τοῦ σαββάτου. [20] καὶ ηὐλίσθησαν πάντες καὶ ἐποίησαν πρᾶσιν ἔξω
21 Ἰερουσαλὴμ ἅπαξ καὶ δίς. [21] καὶ ἐπεμαρτυράμην ἐν αὐτοῖς καὶ εἶπα πρὸς
αὐτούς Διὰ τί ὑμεῖς αὐλίζεσθε ἀπέναντι τοῦ τείχους; ἐὰν δευτερώσητε, ἐκ-
τενῶ χεῖρά μου ἐν ὑμῖν. ἀπὸ τοῦ καιροῦ ἐκείνου οὐκ ἤλθοσαν ἐν σαββάτῳ.
22 [22] καὶ εἶπα τοῖς Λευίταις, οἳ ἦσαν καθαριζόμενοι καὶ ἐρχόμενοι φυλάσσοντες
τὰς πύλας, ἁγιάζειν τὴν ἡμέραν τοῦ σαββάτου. πρὸς ταῦτα μνήσθητί μου,
23 ὁ θεός, καὶ φεῖσαί μου κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. [23] καὶ ἐν ταῖς ἡμέ-
ραις ἐκείναις εἶδον τοὺς Ἰουδαίους οἳ ἐκάθισαν γυναῖκας Ἀζωτίας, Ἀμμανί-
24 τιδας, Μωαβίτιδας, [24] καὶ οἱ υἱοὶ αὐτῶν ἥμισυ λαλοῦντες Ἀζωτιστί, καὶ οὐκ
25 εἰσὶν ἐπιγινώσκοντες λαλεῖν Ἰουδαϊστί. [25] καὶ ἐμαχεσάμην μετ᾽ αὐτῶν καὶ
κατηρασάμην αὐτούς· καὶ ἐπάταξα ἐν αὐτοῖς ἄνδρας καὶ ἐμαδάρωσα αὐτούς,
καὶ ὥρκισα αὐτοὺς ἐν τῷ θεῷ Ἐὰν δῶτε τὰς θυγατέρας ὑμῶν τοῖς υἱοῖς
26 αὐτῶν, καὶ ἐὰν λάβητε ἀπὸ τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς ὑμῶν. [26] οὐχ
οὕτως ἥμαρτε Σαλωμὼν βασιλεὺς Ἰσραήλ; καὶ ἐν ἔθνεσι πολλοῖς οὐκ ἦν βα-
σιλεὺς ὅμοιος αὐτῷ, καὶ ἀγαπώμενος τῷ θεῷ ἦν, καὶ ἔδωκεν αὐτὸν ὁ θεὸς
εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ, καὶ τοῦτον ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι.
27 [27] καὶ ὑμῶν μὴ ἀκουσώμεθα ποιῆσαι πᾶσαν πονηρίαν ταύτην, ἀσυνθετῆσαι
28 ἐν τῷ θεῷ ἡμῶν, καθίσαι γυναῖκας ἀλλοτρίας. [28] καὶ ἀπὸ υἱῶν Ἰωαδὰ τοῦ
Ἐλισοὺβ τοῦ ἱερέως τοῦ μεγάλου νυμφίου τοῦ Σαναβαλλὰτ τοῦ Οὐρανίτου,
29 καὶ ἐξέβρασα αὐτὸν ἀπ᾽ ἐμοῦ. [29] μνήσθητι αὐτοῖς ὁ θεὸς ἐπὶ ἀγχιστείᾳ τῆς
30 ἱερατείας καὶ διαθήκῃ τῆς ἱερατείας καὶ τοὺς Λευίτας. [30] καὶ ἐκαθάρισα αὐ-
τοὺς ἀπὸ πάσης ἀλλοτριώσεως, καὶ ἔστησα ἐφημερίας τοῖς ἱερεῦσι καὶ τοῖς
31 Λευίταις, ἀνὴρ ὡς τὸ ἔργον αὐτοῦ, [31] καὶ τὸ δῶρον τῶν ξυλοφόρων ἐν και-
ροῖς ἀπὸ χρόνων καὶ ἐν τοῖς βακχουρίοις. μνήσθητί μου ὁ θεὸς ἡμῶν εἰς
ἀγαθωσύνην.

---

18. FA* οι πατ. ημων 19. Ax FA* om εως ... Ax FA* om εκ των παιδαρ. μου 20. FA*,* και απαξ 21. Ax FA διεμαρτυραμην ... Ax FA την χειρα 23. Ax FA ιδον ... FA* αμμανωτιδας ... FA* om μωαβιτιδας 24. ημισυ λαλουσειν αζωτιστει ... ιουδαϊστει ... FA*,* in f. add αλλα κατα γλωσσαν λαου και λαου 25. FA* εκατηρασαμην αυτοις ... Ax FA om κ. εμαδαρ. αυτους ... ενωρκισα ... αν δωτε ... FA*,* in f. add και εαυτοις 26. FA* om ουτως ... FA*,* τοις πολλοις ... αγαπωμενος θεω 27. Ax FA*,* ακουσομεθα (* ακουσμεθα) ... Ax FA την πασαν ... FA*,* πον. την μεγαλην ταυτ. 28. ιωιαδα ... FA*,* (sive **?) ελιασουβ ... Ax FA* om του ουρανιτου, *,* supplet του ωραννιτου 29. Ax FA διαθηκης 31. FA* βακχουροις

Subscriptio: εζρας β, FA εσδρας β

# Τ Ω Β Ι Τ.

## I.

Βίβλος λόγων Τωβὶτ τοῦ Τωβιὴλ τοῦ Ἀνανιὴλ τοῦ Ἀδουὴλ τοῦ Γαβαήλ,
ἐκ τοῦ σπέρματος Ἀσιήλ, ἐκ τῆς φυλῆς Νεφθαλί, [2] ὃς ᾐχμαλωτεύθη ἐν ἡμέ- 2
ραις Ἐνεμεσσάρου τοῦ βασιλέως Ἀσσυρίων ἐκ Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν
Κυδίως τῆς Νεφθαλὶ ἐν τῇ Γαλιλαίᾳ ὑπεράνω Ἀσήρ. ἐγὼ Τωβὶτ ὁδοῖς ἀλη-
θείας ἐπορευόμην καὶ δικαιοσύνης πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. [3] καὶ 3
ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου καὶ τῷ ἔθνει τοῖς προπορευ-
θεῖσι μετ᾽ ἐμοῦ εἰς χώραν Ἀσσυρίων εἰς Νινευῆ. [4] καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ 4
μου ἐν τῇ γῇ Ἰσραήλ, νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ Νεφθαλὶ τοῦ
πατρός μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ἱεροσολύμων, τῆς ἐκλεγείσης ἀπὸ πασῶν
τῶν φυλῶν Ἰσραὴλ εἰς τὸ θυσιάζειν πάσας τὰς φυλάς, καὶ ἡγιάσθη ὁ ναὸς
τῆς κατασκηνώσεως τοῦ ὑψίστου καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τοῦ
αἰῶνος· [5] καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ Βάαλ τῇ δαμάλει, 5
καὶ ὁ οἶκος Νεφθαλὶ τοῦ πατρός μου. [6] κἀγὼ μόνος ἐπορευόμην πλεονάκις 6
εἰς Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προσ-
τάγματι αἰωνίῳ, τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γεννημάτων καὶ τὰς
πρωτοκουρίας ἔχων, [7] καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν πρὸς 7
τὸ θυσιαστήριον πάντων τῶν γεννημάτων· τὴν δεκάτην ἐδίδουν τοῖς υἱοῖς
Λευὶ τοῖς θεραπεύουσιν εἰς Ἰερουσαλήμ, καὶ τὴν δευτέραν δεκάτην ἀπεπρα-
τιζόμην, καὶ ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν Ἱεροσολύμοις καθ᾽ ἕκαστον
ἐνιαυτόν, [8] καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο Δεββωρὰ 8

---

Inscriptio: in Ax periisse videtur, FA τωβειθ

I. 1. βιβλιος ... FA τωβειθ ... του ναυη του γαμαηλ pro τ. αδουηλ τ. γαβαηλ ... FA post γαβαηλ add του ραφαηλ του ραγουηλ ... FA εκ φυλης ... Ax FA νεφθαλειμ 2. FA εν ταις ημεραις ... FA των ασσυριων ... εκ θιβης ... κυδιων ... Ax FA νεφθαλειμ ... FA* ε. τ. ανω γαλειλαια ... FA ασσηρ et add οπισω δυσμων ηλιου εξ αριστερων φογωρ ... FA τωβειθ ... FA και εν δικαιοσυναις 3. Ax FA τω εθνει μου ... τοις συνπορευομενοις, FA τ. πορευθεισιν ... FA μετ εμου εν τη αιχμαλωσια εις την χωρ. των ασσυριων 4. FA εν γη ισρ. και οτε ημην νεος πασα η φυλη νεφθαλειμ ... νεφθαλειμ ... FA απεστησαν α. τ. οικ. δαυειδ (h. l. plene scribitur) του πατρος μου. και απο ιερουσαλημ πολεως της εκ πασων φυλων ... FA θυσ. πασαις φυλαις ισραηλ ... FA κατασκην. του θεου κ. ωκοδομηθη εν αυτη εις ... οικοδομηθη 5. FA om και ... FA* παντες οι αδελφοι μου pro πασαι αι φυλ. usque τη δαμαλει ... του νεφθαλειμ, FA νεφθαλειμ ... FA add in f. εθυσιαζον εκεινοι τω μοσχω ον εποιησεν ιεροβεαμ ο βασιλευς ισραηλ εν δαν επι παντων ορεων (ms. ι pro ρ vdtr) της γαλειλαιας 6. και εγω ... FA μονωτατος επ. πολλακις εις ... FA εν παντι ισραηλ ... FA τ. απαρχ. και τα πρωτογενηματα κ. τας δεκ. των κτηνων κ. τ. πρωτοκουρας των προβατων εχων απετρεχον εις ιεροσολυμα ... των γενηματων ... πρωτοκυριας 7. Ax FA εδιδ. αυτα ... αρων ... FA θυσιαστηρ. (*.* add παντων των γενηματων) και την δεκατην του οινου και του σιτου (*.* τ. σιτου κ. του οινου) και ελαιων (*.* ελαιου) και ροων και (*.* add των συκων και) των λοιπων κροδρυων (*.* ακροδρυων et add εδιδουν) τοις υιοις λευει τοις θεραπουσιν εν ιερουσαλημ ... γενηματων ... λευει ... om εις ... FA κ. την δεκ. την δευτερ. απεδεκατιζον αργυριω των εξ ετων και επορευομην ... FA εν ιερουσαλημ 8. FA plene: και εδιδουν αυτα τοις ορφανοις και ταις χηραις και προσηλυτοις τοις προσκειμενοις τοις υιοις ισραηλ

Digitized by Google

ἡ μήτηρ τοῦ πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου.
9 [9] καὶ ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον Ἄνναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πα-
10 τριᾶς ἡμῶν, καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβίαν. [10] καὶ ὅτε ᾐχμαλωτίσθημεν εἰς
Νινευῆ, πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους μου ἤσθιον ἐκ τῶν
11 12 ἄρτων τῶν ἐθνῶν· [11] ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν, [12] κα-
13 θότι ἐμεμνήμην τοῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου. [13] καὶ ἔδωκεν ὁ ὕψιστος χάριν
14 καὶ μορφὴν ἐνώπιον Ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ ἀγοραστής. [14] καὶ ἐπο-
ρευόμην εἰς τὴν Μηδίαν, καὶ παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρία ἐν
15 Ῥάγοις τῆς Μηδίας ἀργυρίου τάλαντα δέκα. [15] καὶ ὅτε ἀπέθανεν Ἐνεμεσσάρ,
ἐβασίλευσε Σενναχηρὶμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκατα-
16 στάθησαν, καὶ οὐκέτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν Μηδίαν. [16] καὶ ἐν ταῖς
17 ἡμέραις Ἐνεμεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς μου. [17] τοὺς
ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι καὶ ἱμάτια τοῖς γυμνοῖς, καὶ εἴ τινα ἐκ
τοῦ γένους μου ἐθεώρουν τεθνηκότα καὶ ἐρριμμένον ὀπίσω τοῦ τείχους Νινευῆ,
18 ἔθαπτον αὐτόν. [18] καὶ εἴ τινα ἀπέκτεννε Σενναχηρὶμ ὁ βασιλεύς, ὅτε ἦλθε
φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν
ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ
19 εὑρέθη. [19] πορευθεὶς δὲ εἷς τῶν ἐν Νινευῆ ὑπέδειξε τῷ βασιλεῖ περὶ ἐμοῦ
ὅτι θάπτω αὐτούς, καὶ ἐκρύβην· ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβη-
20 θεὶς ἀνεχώρησα. [20] καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου, καὶ οὐ κατε-
λείφθη μοι οὐδὲν πλὴν Ἄννας τῆς γυναικός μου καὶ Τωβίου τοῦ υἱοῦ μου.
21 [21] καὶ οὐ διῆλθον ἡμέραι πεντήκοντα ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ
αὐτοῦ, καὶ ἔφυγον εἰς τὰ ὄρη Ἀραράθ· καὶ ἐβασίλευσε Σαχερδονὸς υἱὸς αὐ-
τοῦ ἀντ' αὐτοῦ, καὶ ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ

---

εισεφερον και εδιδουν αυτοις εν τω τριτω ετει και ησθιομεν αυτα κατα το προσταγμα το προστεταγμενον περι αυτων εν τω νομω μωση και κατα τας εντολας ας ενετειλατο δεββωρα η μητηρ ανανιηλ του πατρος ημων οτι ορφανον κατελιπεν με ο πατηρ και απεθανεν ... δεμβωρα 9. FA εγενηθην ... FA om ανναν ... FA εξ αυτης υιον και εκαλεσα το ονομα αυτου τωβιαν μετα το αιχμαλωτισθηναι (corr. add με) εις ασσυριους 10. FA ηχμαλωτισθην (ηχμαλωτισθην etiam Ax) εις νινευη επορευομην (∴ επορ. εις νιν.) και παντες οι αδ. μου 11. FA in f. add εκ των αρτων των εθνων 12. FA και οτε εμεμνημην τ. θ. μου εν ολη ψυχη μου 13. FA εδωκεν μοι ... FA ενεμεσσαρου, και ηγοραζον αυτω παντα τα προς την χρησιν 14. FA εις μηδιαν, και ηγοραζον αυτω εκειθεν εως αυτον αποθανειν, και παρεθεμην γαβηλω (∴ γαβαηλω) βαλλαντια τω αδελφω τω γαβρει εν τη χωρα της μηδιας αργυρ. τ. δ. 15. FA ενεμασσαρ (Ax ενεμασσαρ· ος sic) και εβασιλευσεν ... Ax FA σενναχηρειμ ... FA om ο ... FA οδοι της μηδειας απεστησαν (Ax κατεστησαν) 16. FA* om και ... FA εποιησα (item Ax* ut vdtr) ... FA in f. add τοις εκ του γενους μου 17. κ. τα ιματια μου ... FA τινα των εκ τ. εθνους ... εριμμενον επι του τιχους εις νινευη 18. Ax FA απεκτεινεν σενναχηρειμ ... FA* om ο βασιλευς ... FA οτε απηλθεν φ. εκ τ. ι. εν ημεραις της κρισεως ης εποιησεν εξ αυτου ο βασιλευς του ουρανου περι των βλασφημιων ων εβλασφημησεν, εθαψα· πολλους γαρ α. εν τω θ. α. εκ των υιων ισραηλ, και εκλεπτον τα σωματα αυτων και εθαπτον· και εζητησεν αυτα σενναχηρειμ και ουχ ευρεν αυτα 19. FA και επορευθη εις τις των εκ της νινευη (Ax των νινευιτων) και υπεδειξεν ... FA οτι εγω θ. α. και εκρ. και οτε επεγνων οτι εγνω περι εμου ο βασιλευς και οτι ζητουμαι του αποθανειν, εφοβηθην και απεδρασα ... οτι εθαπτον 20. FA* κ. ηρπαγη π. οσα υπηρχεν μοι ... FA ουδεν ο ουκ ανελημφθη εις το βασιλεικον πλην ... FA τωβια 21. ημεραι πεντηκ., FA ημεραι τεσσερακοντα (∴ ν̄) ... FA* εφυγεν ... Ax FA αραρατ ... σαχερδαν ο υιος ... FA μετ αυτου pro αντ αυτου ... FA αχειχαρον (∴ αχειαχαρον) τον αναηλ τον του αδελφου μου υιον ... τον υιον

Digitized by Google

πᾶσαν τὴν ἐκλογιστίαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν.
22 καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευή. Ἀχιάχαρος δὲ 22
ἦν ὁ οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστής, καὶ κατ-
έστησεν αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας· ἦν δὲ ἐξάδελφός μου.

## II.

Ὅτε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου, καὶ ἀπεδόθη μοι Ἄννα ἡ γυνή μου
καὶ Τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ ἥ ἐστιν ἁγία ἑπτὰ ἑβδομά-
δων, ἐγενήθη ἄριστον καλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν. 2 καὶ ἐθεασάμην 2
ὄψα πολλά, καὶ εἶπα τῷ υἱῷ μου Βάδισον καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελ-
φῶν ἡμῶν ἐνδεῆ ὃς μέμνηται τοῦ κυρίου, καὶ ἰδοὺ μένω σε. 3 καὶ ἐλθὼν 3
εἶπε Πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐστραγγαλωμένος ἔρριπται ἐν τῇ ἀγορᾷ.
4 κἀγὼ πρὶν ἢ γεύσασθαί με ἀναπηδήσας ἀνειλόμην αὐτὸν εἴς τι οἴκημα ἕως 4
οὗ ἔδυ ὁ ἥλιος. 5 καὶ ἐπιστρέψας ἐλουσάμην, καὶ ἤσθιον τὸν ἄρτον μου ἐν 5
λύπῃ. 6 καὶ ἐμνήσθην τῆς προφητείας Ἀμώς, καθὼς εἶπεν Στραφήσονται αἱ 6
ἑορταὶ ὑμῶν εἰς πένθος, καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον. 7 καὶ 7
ἔκλαυσα, καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐτόν. 8 καὶ οἱ 8
πλησίον ἐπεγέλων λέγοντες Οὐκ ἔτι φοβεῖται φονευθῆναι περὶ τοῦ πράγματος
τούτου, καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς. 9 καὶ ἐν αὐτῇ τῇ 9
νυκτὶ ἀνέλυσα θάψας, καὶ ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐ-
λῆς, καὶ τὸ πρόσωπόν μου ἀκάλυπτον ἦν. 10 καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν 10
τῷ τοίχῳ ἐστί· καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ στρου-
θία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα ἐν τοῖς ὀφθαλ-
μοῖς μου· καὶ ἐπορεύθην πρὸς ἰατρούς, καὶ οὐκ ὠφέλησάν με· Ἀχιάχαρος
δὲ ἔτρεφέ με ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα. 11 καὶ ἡ γυνή μου Ἄννα 11
ἠριθεύετο ἐν τοῖς γυναικείοις, 12 καὶ ἀπέστελλε τοῖς κυρίοις· καὶ ἀπέδωκαν 12
αὐτῇ καὶ αὐτοὶ τὸν μισθόν, προσδόντες καὶ ἔριφον. 13 ὅτε δὲ ἦλθε πρός με, 13
ἤρξατο κράζειν· καὶ εἶπα αὐτῇ Πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν ἐστιν; ἀπό-
δος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ θεμιτόν ἐστι φαγεῖν κλεψιμαῖον. 14 ἡ δὲ εἶπεν 14
Δῶρον δέδοταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ, καὶ ἔλεγον ἀπο-
διδόναι αὐτὸ τοῖς κυρίοις, καὶ ἠρυθρίων πρὸς αὐτήν· ἡ δὲ ἀποκριθεῖσα εἶπέ
μοι Ποῦ εἰσὶν αἱ ἐλεημοσύναι σου καὶ αἱ δικαιοσύναι σου; ἰδοὺ γνωστὰ πάντα
μετὰ σοῦ.

## III.

Καὶ λυπηθεὶς ἔκλαυσα, καὶ προσευξάμην μετ' ὀδύνης λέγων 2 Δίκαιος 2
εἶ, κύριε, καὶ πάντα τὰ ἔργα σου καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύναι καὶ

---

21. FA βασιλ. α. και αυτος ειχεν την εξουσιαν επι πασαν την διοικ. 22. FA τοτε ηξιωσεν αχειχαρος ... FA και κατηλθον εις την νινευη. αχειχαρος γαρ ην ο αρχιοινοχοος (Ax ο οινοδοχος) ... FA εκλογιστης επι σενναχηρειμ βασιλεως (⁎ βασιλεα) ασσυριων και κατεστησεν αυτον (⁎ add ο) σαχερδονος ... ο σαχερδονοσος ... FA in f. add και εκ της συγγενιας μου II. 1. om δε ... FA και επι σαρχεδονος βασιλεως κατηλθον ... FA η γυνη μου αννα ... εν τ. π. τη εορτη ... FA και εν τη πεντηκοστη της εορτης ημων ... FA om επτα ... FA μοι αρ. καλον ... ανεπαυσαμην ... FA ανεπεσα του αριστησαι 2. FA και παρετεθη μοι η τραπεζα και παρετεθη μοι οψαρια πλειονα, κ. ειπα τω τωβεια τω υιω μου παιδιον βαδιζε και ον αν ευρης πτωχον των αδελφων ημων (ab his inde verbis deficit codex FA) ... ον εαν ευρ. ... om ενδεη ος μεμνηται 3. εστραγγαλημενος 4. πριν γευσασθαι 6. προφητιας 8. αποδρα 10. om και εγενηθη λευκ. εν τ. οφθ. μου 11. γυναικιοις 12. αυτην 13. κραυαζειν (sic) ... ειπον III. 1. προσηυξαμην

3 ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα. [3] μνή-
σθητί μου καὶ ἐπίβλεψον ἐπ' ἐμέ· μή με ἐκδικῇς ταῖς ἁμαρτίαις μου καὶ
4 τοῖς ἀγνοήμασί μου καὶ τῶν πατέρων μου, ἃ ἥμαρτον ἐνώπιόν σου. [4] παρή-
κουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν καὶ αἰχμα-
λωσίαν καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσι τοῖς ἔθνεσιν ἐν οἷς ἐσκορ-
5 πίσμεθα. [5] καὶ νῦν πολλαὶ αἱ κρίσεις σού εἰσι καὶ ἀληθιναί, ἐξ ἐμοῦ ποιῆσαι
περὶ τῶν ἁμαρτιῶν μοῦ καὶ τῶν πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐν-
6 τολάς σου, οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. [6] καὶ νῦν κατὰ τὸ
ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου,
ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ· διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι
ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐμοί· ἐπίταξον ἀπολυ-
θῆναί με τῆς ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ ἀποστρέψῃς τὸ πρόσ-
7 ωπόν σου ἀπ' ἐμοῦ. [7] ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάρρᾳ
ἐν Ἐκβατάνοις τῆς Μηδίας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν πατρὸς
8 αὐτῆς, [8] ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ Ἀσμοδαῖος τὸ πονηρὸν δαιμό-
νιον ἀπέκτεινεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξί· καὶ
εἶπαν αὐτῇ Οὐ συνιεῖς ἀποπνίγουσά σου τοὺς ἄνδρας; ἤδη ἑπτὰ ἔσχες, καὶ
9 ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης. [9] τί ἡμᾶς μαστιγοῖς; εἰ ἀπέθαναν, βάδιζε μετ'
10 αὐτῶν, μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγατέρα εἰς τὸν αἰῶνα. [10] ταῦτα ἀκούσασα
ἐλυπήθη σφόδρα ὥστε ἀπάγξασθαι, καὶ εἶπεν Μία μέν εἰμι τῷ πατρί μου·
ἐὰν ποιήσω τοῦτο, ὄνειδος αὐτῷ ἔσται, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ'
11 ὀδύνης εἰς ᾅδου. [11] καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν Εὐλογητὸς εἶ, κύριε
ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔντιμον εἰς τοὺς αἰῶ-
12 νας· εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα. [12] καὶ νῦν, κύριε,
13 τοὺς ὀφθαλμούς μου καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα. [13] εἰπὸν ἀπολῦσαί
14 με ἀπὸ τῆς γῆς καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν. [14] σὺ γινώσκεις, κύ-
15 ριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρός, [15] καὶ οὐκ ἐμόλυνα τὸ
ὄνομα μοῦ οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου.
μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομήσει
αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγὺς οὐδὲ ὑπάρχων αὐτῷ υἱὸς ἵνα συντηρήσω ἐμαυτὴν
αὐτῷ γυναῖκα, ἤδη ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῆν; καὶ εἰ μὴ δοκεῖ
σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμέ, καὶ μηκέτι ἐλεῆσαί με καὶ
16 ἀκοῦσαί με ὀνειδισμόν. [16] καὶ εἰσηκούσθη προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς
17 δόξης τοῦ μεγάλου Ῥαφαήλ, [17] καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ Τωβὶτ
λεπῖσαι τὰ λευκώματα, καὶ Σάρραν τὴν τοῦ Ῥαγουὴλ δοῦναι Τωβίᾳ τῷ υἱῷ
Τωβὶτ γυναῖκα, καὶ δῆσαι Ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι Τωβίᾳ
ἐπιβάλλει κληρονομῆσαι αὐτήν. ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας Τωβὶτ εἰσῆλθεν
εἰς τὸν οἶκον αὐτοῦ, καὶ Σάρρα ἡ τοῦ Ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

## IV.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ τοῦ ἀργυρίου οὗ παρέθετο
2 Γαβαὴλ ἐν Ῥάγοις τῆς Μηδίας. [2] καὶ εἶπεν ἐν ἑαυτῷ Ἐγὼ ᾐτησάμην θάνα-
τον, τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου ἵνα αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν
3 με; [3] καὶ καλέσας αὐτὸν εἶπεν Παιδίον, ἐὰν ἀποθάνω θάψον με, καὶ μὴ
ὑπερίδῃς τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου
4 καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ, καὶ μὴ λυπήσῃς αὐτήν. [4] μνήσθητι, παιδίον, ὅτι

3. εκδικησης ... οι ημαρτον 4. αρπαγην 5. εισιν αληθειναι 6. μαλλον αποθανειν 7. om τη ... απο ... του πατρος 8. ειπεν ... ωνασθης 10. εστιν pro εσται 15. και ελεησ. με κ. μηκετι ακ. 16. κ. εισηκουσεν κυριος της προσευχης 17. ** πεισαι ex λεπεισαι corr. ... υιω του τωβιτ IV. 2. ειπεν αυτω ... om τωβιαν

Digitized by Google

πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθάνῃ, θάψον αὐ-
τὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ. [5] πάσας τὰς ἡμέρας, παιδίον, κυρίου τοῦ θεοῦ 5
ἡμῶν μνημόνευε, καὶ μὴ θελήσῃς ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐντολὰς
αὐτοῦ· δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ μὴ πορευ-
θῇς ταῖς ὁδοῖς τῆς ἀδικίας. [6] διότι ποιοῦντος σοῦ τὴν ἀλήθειαν εὐοδίαι ἔσον- 6
ται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην. [7] ἐκ τῶν ὑπαρ- 7
χόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ
ποιεῖν σε ἐλεημοσύνην· μὴ ἀποστρέψῃς τὸ πρόςωπόν σου ἀπὸ παντὸς πτω-
χοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόςωπον τοῦ θεοῦ. [8] ὡς σοὶ ὑπάρ- 8
χοι κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ,
κατὰ τὸν ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην. [9] θέμα γὰρ ἀγαθὸν θησαυρί- 9
ζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης. [10] διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ 10
οὐκ ἐᾷ εἰςελθεῖν εἰς τὸ σκότος. [11] δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι 11
τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. [12] πρόςεχε σεαυτῷ, παιδίον, ἀπὸ 12
πάσης πορνείας, καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων
σου· μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατέρος
σου, διότι υἱοὶ προφητῶν ἐσμέν. Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ οἱ πατέρες
ἡμῶν ἀπὸ τοῦ αἰῶνος, μνήσθητι, παιδίον, ὅτι αὐτοὶ πάντες ἔλαβον γυναῖκας
ἐκ τῶν ἀδελφῶν αὐτῶν, καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ
σπέρμα αὐτῶν κληρονομήσει γῆν. [13] καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελφούς 13
σου, καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου καὶ τῶν
υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου, λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα. διότι
ἐν τῇ ὑπερηφανίᾳ ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρειότητι
ἐλάττωσις καὶ ἔνδεια μεγάλη· ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ. [14] μι- 14
σθὸς παντὸς ἀνθρώπου ὃς ἐὰν ἐργάσηται παρὰ σοὶ μὴ αὐλισθήτω, ἀλλ' ἀπό-
δος αὐτῷ παραυτίκα· ἐὰν δουλεύσῃς τῷ θεῷ, ἀποδοθήσεταί σοι. πρόςεχε
σεαυτῷ, παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ
ἀναστροφῇ σου. [15] καὶ ὃ μισεῖς μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην μὴ πίῃς, 15
καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. [16] ἐκ τοῦ ἄρτου σου δίδου 16
πεινῶντι, καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς· πᾶν ὃ ἐὰν περισσεύσῃ σοι
ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεη-
μοσύνην. [17] ἔκχεον τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων, καὶ μὴ δῷς 17
τοῖς ἁμαρτωλοῖς. [18] συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον, καὶ μὴ κα- 18
ταφρονήσῃς ἐπὶ πάσης συμβουλίας χρησίμης. [19] καὶ ἐν παντὶ καιρῷ εὐλόγει 19
κύριον τὸν θεόν, καὶ παρ' αὐτοῦ αἴτησον ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένωνται
καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαί σου εὐοδωθῶσιν. διότι πᾶν ἔθνος οὐκ ἔχει
βουλήν, ἀλλ' αὐτὸς ὁ κύριος δίδωσι πάντα τὰ ἀγαθά, καὶ ὃν ἐὰν θέλῃ τα-
πεινοῖ καθὼς βούλεται. καὶ νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου, καὶ
μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου. [20] καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα 20
τάλαντα τοῦ ἀργυρίου ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρία ἐν Ῥάγοις τῆς
Μηδίας. [21] καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν· ὑπάρχει σοι πολλά, 21
ἐὰν φοβηθῇς τὸν θεὸν καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας καὶ ποιήσῃς τὸ ἀρε-
στὸν ἐνώπιον αὐτοῦ.

## V.

Καὶ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ Πάτερ, ποιήσω πάντα ὅσα ἐντέταλ-
σαί μοι. [2] ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον, καὶ οὐ γινώσκω αὐτόν; 2

---

5. και δικαιοσυνην ποιειν 7. υπαρχοντ. σου ... om σε 8. ως σοι υπαρχει ... κατα το ολιγον 11. om γαρ 12. και μη λαβης ... πρς i. e. πατρος ... και ισαακ και ιακωβ ... οτι ουτοι ... ηυλογηθησαν 14. αλλα αποδος ... και εαν δουλευσης 16. διαδιδου ... περισσευη ... om σε 19. και αι βουλαι ευοδωθωσιν ... αλλα αυτος 20. γαμαηλω 21. φοβηθ. τ. κυριον

Digitized by Google

3 3 καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον, καὶ εἶπεν αὐτῷ Ζήτησον σεαυτῷ ἄνθρω-
πον ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ, καὶ λάβε πορευ-
4 θεὶς τὸ ἀργύριον. 4 καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον, καὶ εὗρε Ῥαφαὴλ ὃς ἦν
5 ἄγγελος, καὶ οὐκ ᾔδει, 5 καὶ εἶπεν αὐτῷ Εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ
6 ἐν Ῥάγοις τῆς Μηδίας, καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων; 6 καὶ εἶπεν αὐτῷ ὁ
ἄγγελος Πορεύσομαι μετὰ σοῦ, καὶ τῆς ὁδοῦ ἐμπειρῶ, καὶ παρὰ Γαβαὴλ τὸν
7 ἀδελφὸν ἡμῶν ηὐλίσθην. 7 καὶ εἶπεν αὐτῷ Τωβίας Ὑπόμεινόν με, καὶ ἐρῶ
8 9 τῷ πατρί. 8 καὶ εἶπεν αὐτῷ Πορεύου καὶ μὴ χρονίσῃς. 9 καὶ εἰσελθὼν εἶπε
τῷ πατρὶ Ἰδοὺ εὕρηκα ὃς συμπορεύσεταί μοι. ὁ δὲ εἶπεν Φώνησον αὐτὸν
πρός μέ, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστί, καὶ εἰ πιστὸς τοῦ πορευθῆναι μετὰ
10 11 σοῦ. 10 καὶ ἐκάλεσεν αὐτόν· καὶ εἰσῆλθε, καὶ ἠσπάσαντο ἀλλήλους. 11 καὶ
εἶπεν αὐτῷ Τωβίτ Ἀδελφέ, ἐκ ποίας φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ σύ;
12 ὑπόδειξόν μοι. 12 καὶ εἶπεν αὐτῷ Φυλὴν καὶ πατριὰν σὺ ζητεῖς, ἢ μίσθιον
ὃς συμπορεύσεται μετὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβίτ Βούλομαι, ἀδελφέ,
13 ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ ὄνομα. 13 ὃς δὲ εἶπεν Ἐγὼ Ἀζαρίας Ἀνανίου
14 τοῦ μεγάλου τῶν ἀδελφῶν σου. 14 καὶ εἶπεν αὐτῷ Ὑγιαίνων ἔλθοις, ἀδελφέ,
καὶ μή μοι ὀργισθῇς ὅτι ἐζήτησα τὴν φυλήν σου καὶ τὴν πατριάν σου ἐπι-
γνῶναι. καὶ σὺ τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς·
ἐπεγίνωσκον γὰρ ἐγὼ Ἀνανίαν καὶ Ἰωνάθαν τοὺς υἱοὺς Σεμεΐ τοῦ μεγάλου,
ὡς ἐπορευόμεθα κοινῶς εἰς Ἱεροσόλυμα προςκυνεῖν, ἀναφέροντες τὰ πρωτό-
τοκα καὶ τὰς δεκάτας τῶν γεννημάτων, καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ
15 τῶν ἀδελφῶν ἡμῶν· ἐκ ῥίζης καλῆς εἶ, ἀδελφέ. 15 ἀλλὰ εἰπόν μοι τίνα σοι
ἔσομαι μισθὸν διδόναι; δραχμὴν τῆς ἡμέρας καὶ τὰ δέοντα σοὶ ὡς καὶ τῷ
16 υἱῷ μου, 16 καὶ ἔτι προςθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν ὑγιαίνοντες ἐπιστρέ-
17 ψητε. 17 καὶ εὐδόκησαν οὕτως· καὶ εἶπε πρὸς Τωβίαν Ἕτοιμος γίνου πρὸς
τὴν ὁδόν, καὶ εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ πρὸς τὴν ὁδόν·
καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ Πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ δὲ
ἐν τῷ οὐρανῷ οἰκῶν θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος αὐτοῦ
συμπορευθήτω ὑμῖν. καὶ ἐξῆλθαν ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ κύων τοῦ παι-
18 δαρίου μετ᾽ αὐτῶν. 18 ἔκλαυσε δὲ Ἄννα ἡ μήτηρ αὐτοῦ, καὶ εἶπε πρὸς Τω-
βίτ Τί ἐξαπέστειλας τὸ παιδίον ἡμῶν; ἢ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν
19 ἐστὶν ἐν τῷ εἰςπορεύεσθαι αὐτὸν καὶ ἐκπορεύεσθαι ἐνώπιον ἡμῶν; 19 ἀργύ-
20 ριον τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο. 20 ὡς
21 γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ κυρίου, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει. 21 καὶ
εἶπεν αὐτῇ Τωβίτ Μὴ λόγον ἔχε, ἀδελφή· ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλ-
22 μοί σου ὄψονται αὐτόν. 22 ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ, καὶ εὐο-
δωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων.

## VI.

2 Καὶ ἐπαύσατο κλαίουσα. 2 οἱ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον ἑσπέρας
3 ἐπὶ τὸν Τίγριν ποταμόν, καὶ ηὐλίζοντο ἐκεῖ. 3 τὸ δὲ παιδάριον κατέβη περι-
κλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ ἐβουλήθη καταπιεῖν
4 τὸ παιδάριον. 4 ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ Ἐπιλαβοῦ τοῦ ἰχθύος· καὶ ἐκράτησε
5 τὸν ἰχθὺν τὸ παιδάριον, καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν. 5 καὶ εἶπεν αὐτῷ
ὁ ἄγγελος Ἀνάτεμε τὸν ἰχθύν, καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ τὴν
6 χολὴν θὲς ἀσφαλῶς. 6 καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος,

---

V. 4. τον ραφαηλ 5. μηδειας 7. πατρι μου 9. πιστος εστιν 11. συ ει 13. και ειπεν ... om εγω 14. πατριαν επιγνωναι ... εγιγνωσκον ... ιαθαν τ. υ. σεμεΐου ... γενηματων ... επλανηθησαν την πλανην ... μεγαλης pro καλης 17. om τουτου ... κατοικων ... εξηλθον 18. om αννα 22. συμπορευεται

Digitized by Google

τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον· καὶ ὥδευον ἀμφότεροι ἕως οὗ ἤγγισαν ἐν
Ἐκβατάνοις. 7 καὶ εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ Ἀζαρία ἀδελφέ, τί ἐστιν ἡ 7
καρδία καὶ τὸ ἧπαρ καὶ ἡ χολὴ τοῦ ἰχθύος; 8 καὶ εἶπεν αὐτῷ Ἡ καρδία 8
καὶ τὸ ἧπαρ, ἐάν τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρόν, ταῦτα δεῖ καπνί-
σαι ἐνώπιον ἀνθρώπου ἢ γυναικός, καὶ μηκέτι ὀχληθῇ. 9 ἡ δὲ χολὴ ἔγχρισαι 9
ἄνθρωπον ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται. 10 ὡς δὲ 10
προςήγγισαν τῇ Ῥάγῃ, 11 εἶπεν ὁ ἄγγελος τῷ παιδαρίῳ Ἀδελφέ, σήμερον 11
αὐλισθησόμεθα παρὰ Ῥαγουήλ, καὶ αὐτὸς συγγενής σού ἐστιν, καί ἐστιν αὐτῷ
θυγάτηρ ὀνόματι Σάῤῥα. 12 λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι αὐτὴν εἰς 12
γυναῖκα, καὶ ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ
γένους αὐτῆς, καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐστιν. 13 καὶ νῦν ἄκουσόν 13
μου καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ὑποστρέψομεν ἐκ Ῥαγῶν, ποιή-
σομεν τὸν γάμον. διότι ἐπίσταμαι Ῥαγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ
κατὰ τὸν νόμον Μωυσῆ ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοὶ καθή-
κει λαβεῖν ἢ πάντα ἄνθρωπον. 14 τότε εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ Ἀζαρία 14
ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι, καὶ πάντας ἐν τῷ
νυμφῶνι ἀπολωλότας. 15 καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πατρί, καὶ φοβοῦμαι μὴ 15
εἰςελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτὴν ὃ οὐκ
ἀδικεῖ οὐδένα πλὴν τῶν προςαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀπο-
θάνω, καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ' ὀδύ-
νης ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν, καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς ὃς
θάψει αὐτούς. 16 εἶπε δὲ αὐτῷ ὁ ἄγγελος Οὐ μέμνησαι τῶν λόγων ὧν ἐνετεί- 16
λατό σοι ὁ πατήρ σου ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ
νῦν ἄκουσόν μου, ἀδελφέ, διότι σοὶ ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου
μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὕτη εἰς γυναῖκα.
17 καὶ ἐὰν εἰςέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ τέφραν θυμιαμάτων καὶ ἐπιθήσεις 17
ἀπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος, καὶ καπνίσεις, 18 καὶ ὀσφραν- 18
θήσεται τὸ δαιμόνιον καὶ φεύξεται, καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. ὅταν δὲ προςπορεύῃ αὐτῇ, ἐγέρθητε ἀμφότεροι καὶ βοήσατε πρὸς τὸν
ἐλεήμονα θεόν, καὶ σώσει ὑμᾶς καὶ ἐλεήσει. μὴ φοβοῦ, ὅτι σοὶ αὕτη ἡτοι-
μασμένη ἦν ἀπὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ πορεύσεται μετὰ σοῦ,
καὶ ὑπολαμβάνω ὅτι σοὶ ἔσται ἐξ αὐτῆς παιδία. καὶ ὡς ἤκουσε Τωβίας ταῦτα,
ἐφίλησεν αὐτήν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκολλήθη σφόδρα αὐτῇ· καὶ ἦλθεν εἰς
Ἐκβάτανα.

## VII.

Καὶ παρεγένετο εἰς τὴν οἰκίαν Ῥαγουήλ· καὶ Σάῤῥα δὲ ὑπήντησεν αὐτῷ,
καὶ ἐχαιρέτισεν αὐτὸν καὶ αὐτὸς αὐτούς, καὶ εἰςήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν.
2 καὶ εἶπε Ῥαγουὴλ Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ Ὡς ὅμοιος ὁ νεανίσκος Τωβὶτ 2
τῷ ἀνεψιῷ μου. 3 καὶ ἠρώτησεν αὐτοὺς Ῥαγουὴλ Πόθεν ἐστέ, ἀδελφοί; καὶ 3
εἶπον αὐτῷ Ἐκ τῶν υἱῶν Νεφθαλὶ τῶν αἰχμαλώτων ἐκ Νινευῆ. 4 καὶ εἶπεν 4
αὐτοῖς Γινώσκετε Τωβὶτ τὸν ἀδελφὸν ἡμῶν; οἱ δὲ εἶπον Γινώσκομεν. καὶ
εἶπεν αὐτοῖς Ὑγιαίνει; 5 οἱ δὲ εἶπαν Καὶ ζῇ καὶ ὑγιαίνει· καὶ εἶπε Τωβίας 5

---

VI. 6. εως ηγγισαν 7. το ηπαρ και η καρδια 8. ταυτα εδει ... και ουκετι ου μη 9. λευκωμα 11. θυγατηρ μονογενης 12. γυναικα, οτι 13. υποστρεψωμεν ... οφιλεσει (14. παντες) 15. μονος εγω ... διοτι δαιμ. 16. υπερ του λογου τουτου του λαβειν (sed ο πατηρ σου usq. σε γυναι rescr. sunt, *videtur om του λογ. τουτου) ... om αυτη 17. λημψη 18. προςπορευση ... σωσει ημας ... κεκολλητο σφοδρα· και ηλθον VII. 1. παρεγενοντο ... om και ante σαρρα ... υπηντ. αυτοις κ. εχ. αυτους κ. αυτοι αυτην 2. om ραγουηλ ... τω τωβιτ 3. ειπεν pro ειπον ... νεφθαλειμ τ. αιχμ. των εν νινευη 4. γιγνωσκεται ... ειπαν γιγνωσκομεν

Digitized by Google

6 Πατήρ μού ἐστι. [6] καὶ ἀνεπήδησε Ῥαγουήλ, καὶ κατεφίλησεν αὐτὸν καὶ ἔκλαυ-
7 σε, [7] καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν αὐτῷ Ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώ-
που υἱός· καὶ ἀκούσας ὅτι Τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ, ἐλυπήθη
8 καὶ ἔκλαυσε. [8] καὶ Ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ Σάῤῥα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυ-
9 σαν, καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως. [9] καὶ ἔθυσαν κριὸν προβάτων, καὶ
παρέθηκαν ὄψα πλείονα. εἶπε δὲ Τωβίας τῷ Ῥαφαὴλ Ἀζαρία ἀδελφέ, λάλη-
10 σον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ πρᾶγμα. [10] καὶ μετέδωκε
τὸν λόγον τῷ Ῥαγουήλ· καὶ εἶπε Ῥαγουὴλ πρὸς Τωβίαν Φάγε, πίε καὶ ἡδέως
γίνου· σοὶ γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν, πλὴν ὑποδείξω σοι τὴν ἀλή-
11 θειαν. [11] ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι, καὶ ὁπότε ἐὰν εἰςεπορεύοντο
πρὸς αὐτήν, ἀπέθνησκον ὑπὸ τὴν νύκτα. ἀλλὰ τὸ νῦν ἔχον ἡδέως γίνου. καὶ
εἶπε Τωβίας Οὐ γεύομαι οὐδὲν ὧδε ἕως ἂν στήσητε καὶ σταθῆτε πρὸς μέ.
καὶ εἶπε Ῥαγουὴλ Κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δὲ ἀδελ-
φὸς εἶ αὐτῆς, καὶ αὐτὴ σοῦ ἐστίν, ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν τὰ
12 κάλλιστα. [12] καὶ ἐκάλεσε Σάῤῥαν τὴν θυγατέρα αὐτοῦ, καὶ λαβὼν τῆς χειρὸς
αὐτῆς παρέδωκεν αὐτὴν Τωβίᾳ γυναῖκα, καὶ εἶπεν Ἰδοὺ κατὰ τὸν νόμον
Μωυσέως κομίζου αὐτὴν καὶ ἄπαγε πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν
13 αὐτούς. [13] καὶ ἐκάλεσεν Ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ λαβὼν βιβλίον ἔγραψε
14 15 συγγραφὴν καὶ ἐσφραγίσατο. [14] καὶ ἤρξαντο ἐσθίειν. [15] καὶ ἐκάλεσε Ῥαγουὴλ
Ἔδναν τὴν γυναῖκα αὐτοῦ καὶ εἶπεν αὐτῇ Ἀδελφή, ἑτοίμασον τὸ ἕτερον τα-
16 μεῖον καὶ εἰςάγαγε αὐτήν. [16] καὶ ἐποίησεν ὡς εἶπε, καὶ εἰςήγαγεν αὐτὴν ἐκεῖ,
καὶ ἔκλαυσεν· καὶ ἀπεδέξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς καὶ εἶπεν αὐτῇ
17 [17] Θάρσει, τέκνον, ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς
λύπης σου ταύτης· θάρσει, θύγατερ.

## VIII.

2 Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰςήγαγον Τωβίαν πρὸς αὐτήν. [2] ὁ δὲ
πορευόμενος ἐμνήσθη τῶν λόγων Ῥαφαήλ, καὶ ἔλαβε τὴν τέφραν τῶν θυμια-
μάτων καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ ἰχθύος καὶ τὸ ἧπαρ, καὶ ἐκάπνισεν.
3 [3] ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύ-
4 πτου, καὶ ἔδησεν αὐτὸ ὁ ἄγγελος. [4] ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη
Τωβίας ἀπὸ τῆς κλίνης καὶ εἶπεν Ἀνάστηθι, ἀδελφή, καὶ προςευξώμεθα ἵνα
5 ἐλεήσῃ ἡμᾶς ὁ κύριος. [5] καὶ ἤρξατο Τωβίας λέγειν Εὐλογητὸς εἶ ὁ θεὸς τῶν
πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς
6 αἰῶνας· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ κτίσεις σου. [6] σὺ ἐποίη-
σας Ἀδάμ, καὶ ἔδωκας αὐτῷ βοηθὸν Εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ
τούτων ἐγενήθη τὸ ἀνθρώπων σπέρμα. σὺ εἶπας Οὐ καλὸν εἶναι τὸν ἄνθρω-
7 πον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. [7] καὶ νῦν, κύριε, οὐ διὰ
πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ᾽ ἀληθείας ἐπίταξον
8 9 ἐλεῆσαί με καὶ αὐτῇ συγκαταγηρᾶσαι. [8] καὶ εἶπε μετ᾽ αὐτοῦ Ἀμήν. [9] καὶ
ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα· καὶ ἀναστὰς Ῥαγουὴλ ἐπορεύθη καὶ ὤρυξε
10 11 τάφον, [10] λέγων Μὴ καὶ οὗτος ἀποθάνῃ; [11] καὶ ἦλθε Ῥαγουὴλ εἰς τὴν οἰκίαν
12 ἑαυτοῦ, [12] καὶ εἶπεν Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ Ἀπόστειλον μίαν τῶν παιδισκῶν,
13 καὶ ἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτὸν καὶ μηδεὶς γνῷ. [13] καὶ
εἰςῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν, καὶ εὗρε τοὺς δύο καθεύδοντας.

---

7. ηυλογησεν ... om υιος ... om εαυτου 8. κ. εδνα και η 9. * om δε ... εν τη ενπορια, και στητω το 10. φαγε και πιε 11. om μου ... οποτε αν ... απεθνησκοσαν ... εχων ... γευσομαι ... συ αδελφος 12. σαρρα την ... τω τωβια ... ηυλογησεν 15. om ραγουηλ ... ταμιον 16. εισηγαγον 17. * δω VIII. 2. ηπαρ εκαπνισεν 3. εως εις τα ... ο κυριος ημας 7. και ταυτη συνκαταγηρασομε 10. αυτος 12. ειδετωσαν ... γνωτω

Digitized by Google

[14] καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς ὅτι ζῇ. [15] καὶ εὐλόγησε Ῥαγουὴλ τὸν θεὸν 14 15
λέγων Εὐλογητὸς εἶ σὺ ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ· καὶ εὐλο-
γείτωσάν σε οἱ ἅγιοί σου καὶ πᾶσαι αἱ κτίσεις σου καὶ πάντες οἱ ἄγγελοί
σου καὶ οἱ ἐκλεκτοί σου, εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας. [16] εὐλογητὸς εἶ 16
ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ
ἔλεός σου ἐποίησας μεθ᾽ ἡμῶν. [17] εὐλογητὸς εἶ ὅτι ἠλέησας δύο μονογενεῖς· 17
ποίησον αὐτοῖς, δέσποτα, ἔλεος, συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετ᾽
εὐφροσύνης καὶ ἐλέους. [18] ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον. [19] καὶ 18 19
ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων. [20] καὶ εἶπεν αὐτῷ Ῥαγουὴλ 20
πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνόρκως, μὴ ἐξελθεῖν αὐτὸν ἐὰν
μὴ πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, [21] καὶ τότε λαβόντα τὸ 21
ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μεθ᾽ ὑγείας πρὸς τὸν πατέρα, καὶ
τὰ λοιπὰ ὅταν ἀποθάνω καὶ ἡ γυνή μου.

## IX.

Καὶ ἐκάλεσε Τωβίας τὸν Ῥαφαὴλ καὶ εἶπεν αὐτῷ [2] Ἀζαρία ἀδελφέ, 2
λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους, καὶ πορεύθητι ἐν Ῥάγοις τῆς
Μηδίας παρὰ Γαβαήλ, καὶ κόμισαί μοι τὸ ἀργύριον καὶ αὐτὸν ἄγε μοι εἰς
τὸν γάμον. [3] διότι ὀμώμοκε Ῥαγουὴλ μὴ ἐξελθεῖν με· [4] καὶ ὁ πατήρ μου ἀρι- 3 4
θμεῖ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν. [5] καὶ ἐπορεύθη 5
Ῥαφαήλ, καὶ ηὐλίσθη παρὰ Γαβαήλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον· ὃς
δὲ προήνεγκε τὰ θυλάκια ἐν ταῖς σφραγῖσι καὶ ἔδωκεν αὐτῷ. [6] καὶ ὤρθρευ- 6
σαν κοινῶς καὶ ἦλθον εἰς τὸν γάμον, καὶ εὐλόγησε Τωβίας τὴν γυναῖκα αὐτοῦ.

## X.

Καὶ Τωβὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο ἑκάστης ἡμέρας· καὶ ὡς ἐπληρώ-
θησαν αἱ ἡμέραι τῆς πορείας καὶ οὐκ ἤρχετο, [2] εἶπε Μή ποτε κατῄσχυνται; 2
ἢ μή ποτε ἀπέθανε Γαβαήλ, καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ ἀργύριον; [3] καὶ 3
ἐλυπεῖτο λίαν. [4] εἶπε δὲ αὐτῷ ἡ γυνή Ἀπώλετο τὸ παιδίον, διότι κεχρόνικε· 4
καὶ ἤρξατο θρηνεῖν αὐτὸν καὶ εἶπεν [5] Οὐ μέλει μοι, τέκνον, ὅτι ἀφῆκά σε 5
τὸ φῶς τῶν ὀφθαλμῶν μου. [6] καὶ Τωβὶτ λέγει αὐτῇ Σίγα, μὴ λόγον ἔχε, 6
ὑγιαίνει. [7] καὶ εἶπεν αὐτῷ Σίγα, μὴ πλάνα με, ἀπώλετο τὸ παιδίον μου. 7
καὶ ἐπορεύετο καθ᾽ ἡμέραν εἰς τὴν ὁδὸν ἔξω οἵας ἀπῆλθεν, ἡμέρας τε ἄρτον
οὐκ ἤσθιε, τὰς δὲ νύκτας οὐ διελίμπανε θρηνοῦσα Τωβίαν τὸν υἱὸν αὐτῆς,
ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου ἃς ὤμοσε Ῥαγουὴλ
ποιῆσαι αὐτὸν ἐκεῖ. εἶπε δὲ Τωβίας τῷ Ῥαγουὴλ Ἐξαπόστειλόν με, ὅτι ὁ
πατήρ μου καὶ ἡ μήτηρ μου οὐκέτι ἐλπίζουσιν ὄψεσθαί με. [8] εἶπε δὲ αὐτῷ 8
ὁ πενθερός Μεῖνον παρ᾽ ἐμοί, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου καὶ
δηλώσουσιν αὐτῷ τὰ κατὰ σέ. [9] καὶ Τωβίας λέγει Ἐξαπόστειλόν με πρὸς τὸν 9
πατέρα μου. [10] ἀναστὰς δὲ Ῥαγουὴλ ἔδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐ- 10
τοῦ καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα καὶ κτήνη καὶ ἀργύριον, [11] καὶ 11
εὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέγων Εὐοδώσει ὑμᾶς, τέκνα, ὁ θεὸς τοῦ οὐ-
ρανοῦ πρὸ τοῦ με ἀποθανεῖν. [12] καὶ εἶπε τῇ θυγατρὶ αὐτοῦ Τίμα τοὺς πεν- 12
θερούς σου, αὐτοὶ νῦν γονεῖς σού εἰσιν, ἀκούσαιμί σου ἀκοὴν καλήν· καὶ
ἐφίλησεν αὐτήν. καὶ Ἔδνα εἶπε πρὸς Τωβίαν Ἀδελφὲ ἀγαπητέ, ἀποκατα-
στήσαι σε ὁ κύριος τοῦ οὐρανοῦ, καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ Σάῤῥας

---

15. ηυλογησεν ... om εν ... εις παντας τους 17. εν υγια 20. ειπ. αυτοις 21. μετα υγιας IX. 2. om μοι sec. 5. γαβαηλω 6. ωρθρισαν ... ηυλογησεν X. 1. ελογιζετο ... πορειας ... ηρχοντο 2. ειπεν τωβιας ... διδωσιν αυτω 4. γυνη αυτου ... κεχρονικεν 5. *μελει σοι (videtur) 7. απηλθαν ... νυκτας ολας 8. πενθερ. αυτου 9. ουχι αλλα εξαποστειλον 11. Ευλογησει υμας ο θεος τ. ουρ. τεκνα



Digitized by Google

τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον τοῦ κυρίου· καὶ ἰδοὺ παρατίθεμαί
13 σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, καὶ μὴ λυπήσῃς αὐτήν. [13] μετὰ
ταῦτα ἐπορεύετο καὶ Τωβίας εὐλογῶν τὸν θεὸν ὅτι εὐόδωσε τὴν ὁδὸν αὐτοῦ,
καὶ κατευλόγει Ῥαγουὴλ καὶ Ἔδναν τὴν γυναῖκα αὐτοῦ· καὶ ἐπορεύετο μέχρις
οὗ ἐγγίσαι αὐτοὺς εἰς Νινευή.

## XI.

Καὶ εἶπε Ῥαφαὴλ πρὸς Τωβίαν Οὐ γινώσκεις, ἀδελφέ, πῶς ἀφῆκας
2 τὸν πατέρα σου; [2] προδράμωμεν ἔμπροσθεν τῆς γυναικός σου καὶ ἑτοιμάσω-
3 μεν τὴν οἰκίαν, [3] λάβε δὲ παρὰ χεῖρα τὴν χολὴν τοῦ ἰχθύος. καὶ ἐπορεύθη-
4 σαν, καὶ συνῆλθεν ὁ κύων ὄπισθεν αὐτῶν. [4] καὶ Ἄννα ἐκάθητο περιβλεπομένη
5 εἰς τὴν ὁδὸν τὸν παῖδα αὐτῆς, [5] καὶ προσενόησεν αὐτὸν ἐρχόμενον, καὶ εἶπε
τῷ πατρὶ αὐτοῦ Ἰδοὺ ὁ υἱός μου ἔρχεται καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ'
6 αὐτοῦ. [6] καὶ Ῥαφαὴλ εἶπεν Ἐπίσταμαι ἐγὼ ὅτι ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ
7 πατήρ σου· [7] σὺ ἔγχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ δηχθεὶς
8 διατρίψει καὶ ἀποβαλεῖται τὰ λευκώματα καὶ ὄψεταί σε. [8] καὶ προσδραμοῦσα
Ἄννα ἐπέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν αὐτῷ Εἶδόν σε,
9 παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι· καὶ ἔκλαυσαν ἀμφότεροι. [9] καὶ Τωβὶτ
ἐξήρχετο πρὸς τὴν θύραν, καὶ προσέκοπτεν· ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν
10 αὐτῷ, [10] καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ, καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς
11 ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ λέγων Θάρσει, πάτερ. [11] ὡς δὲ συνεδήχθησαν,
12 διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ, [12] καὶ ἐλεπίσθη ἀπὸ τῶν κάνθων τῶν ὀφθαλ-
μῶν αὐτοῦ τὰ λευκώματα. καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχη-
13 λον αὐτοῦ, [13] καὶ ἔκλαυσε καὶ εἶπεν Εὐλογητὸς εἶ ὁ θεός, καὶ εὐλογητὸν τὸ
ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι,
14 [14] ὅτι ἐμαστίγωσας καὶ ἠλέησάς με· ἰδοὺ βλέπω Τωβίαν τὸν υἱόν μου. καὶ
εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων, καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα
15 τὰ γενόμενα αὐτῷ ἐν τῇ Μηδίᾳ. [15] καὶ ἐξῆλθε Τωβὶτ εἰς συνάντησιν τῇ
νύμφῃ αὐτοῦ χαίρων καὶ εὐλογῶν τὸν θεὸν πρὸς τῇ πύλῃ Νινευή· καὶ ἐθαύ-
16 μαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε· [16] καὶ Τωβὶτ ἐξωμολο-
γεῖτο ἐνώπιον αὐτοῦ ὅτι ἠλέησεν αὐτοὺς ὁ θεός. καὶ ὡς ἤγγισε Τωβὶτ Σάῤῥᾳ
τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν αὐτὴν λέγων Ἔλθοις ὑγιαίνουσα, θύγατερ·
εὐλογητὸς ὁ θεός, ὃς ἤγαγέ σε πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου καὶ ἡ μήτηρ
17 σου. καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν Νινευὴ ἀδελφοῖς αὐτοῦ. [17] καὶ παρεγέ-
18 νετο Ἀχιάχαρος καὶ Νασβὰς ὁ ἐξάδελφος αὐτοῦ, [18] καὶ ἤχθη ὁ γάμος Τωβία
μετ' εὐφροσύνης ἡμέρας ἑπτά.

## XII.

Καὶ ἐκάλεσε Τωβὶτ Τωβίαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐτῷ Ὅρα, τέ-
2 κνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσθεῖναι αὐτῷ δεῖ. [2] καὶ
3 εἶπεν Πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ τὸ ἥμισυ ὧν ἐνήνοχα, [3] ὅτι με ἀγήοχέ
σοι ὑγιῆ, καὶ τὴν γυναῖκά μου ἐθεράπευσε, καὶ τὸ ἀργύριόν μου ἤνεγκε, καὶ
4 5 σὲ ὁμοίως ἐθεράπευσε. [4] καὶ εἶπεν ὁ πρεσβύτης Δικαιοῦται αὐτῷ. [5] καὶ ἐκά-
λεσε τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ Λάβε τὸ ἥμισυ πάντων ὧν ἐνηνόχατε, καὶ
6 ὕπαγε ὑγιαίνων. [6] τότε καλέσας τοὺς δύο κρυπτῶς εἶπεν αὐτοῖς Εὐλογεῖτε τὸν

---

12. om και post παρακαταθηκη 13. ευοδωσεν ... ραγουηλ εδναν XI. 5. ο υιος σου 6. εγω τωβια οτι ανοιγει 7. συ ουν ενχρισον ... αποβαλει 8. επεσεν ... ιδον 9. om αυτου 10. εις τους 12. επεσεν 14. μεγαλια ... μηδεια 15. προς την πυλην 16. εξομολογειτο εν. αυτων οτι ηλ. αυτον ο θ. 17. αχειαχαρος 18. επτα ημερ. XII. 2. ειπ. αυτω 4. δικαιουτε 5. ενηνοχας ... om κ. υπ. υγιαιν.

Digitized by Google

ϑεὸν καὶ αὐτῷ ἐξομολογεῖσϑε, καὶ μεγαλωσύνην δίδοτε αὐτῷ, καὶ ἐξομολο-
γεῖσϑε αὐτῷ ἐνώπιον πάντων τῶν ζώντων περὶ ὧν ἐποίησε μεϑ᾽ ὑμῶν. ἀγα-
ϑὸν τὸ εὐλογεῖν τὸν ϑεὸν καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ἔργων
τοῦ ϑεοῦ ἐντίμως ὑποδεικνύοντες· καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσϑαι αὐτῷ. 7 μυ- 7
στήριον βασιλέως καλὸν κρύψαι, τὰ δὲ ἔργα τοῦ ϑεοῦ ἀνακαλύπτειν ἐνδόξως.
ἀγαϑὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. 8 ἀγαϑὸν προσευχὴ μετὰ νη- 8
στείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης· ἀγαϑὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης
ἢ πολὺ μετὰ ἀδικίας· καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ ϑησαυρίσαι χρυσίον.
9 ἐλεημοσύνη γὰρ ἐκ ϑανάτου ῥύεται, καὶ αὕτη ἀποκαϑαριεῖ πᾶσαν ἁμαρτίαν· 9
οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησϑήσονται ζωῆς· 10 οἱ δὲ ἁμαρ- 10
τάνοντες πολέμιοί εἰσι τῆς ἑαυτοῦ ζωῆς. 11 οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν πᾶν ῥῆμα· 11
εἴρηκα δὴ μυστήριον βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ ϑεοῦ ἀνακα-
λύπτειν ἐνδόξως. 12 καὶ νῦν ὅτε προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ 12
προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου· καὶ ὅτε
ἔϑαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήγμην σοι· 13 καὶ ὅτε οὐκ ὤκνησας 13
ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου ὅπως ἀπελϑὼν περιστείλῃς τὸν νεκρόν,
οὐκ ἔλαϑές με ἀγαϑοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην. 14 καὶ νῦν ἀπέστειλέ με ὁ 14
ϑεὸς ἰάσασϑαι σὲ καὶ τὴν νύμφην σου Σάρραν. 15 ἐγώ εἰμι Ῥαφαήλ, εἷς ἐκ 15
τῶν ἑπτὰ ἁγίων ἀγγέλων οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων καὶ
εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου. 16 καὶ ἐταράχϑησαν οἱ δύο καὶ 16
ἔπεσον ἐπὶ πρόσωπον, ὅτι ἐφοβήϑησαν. 17 καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσϑε, εἰ- 17
ρήνη ὑμῖν ἔσται· τὸν δὲ ϑεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα, 18 ὅτι οὐ τῇ ἐμαυτοῦ 18
χάριτι ἀλλὰ τῇ ϑελήσει τοῦ ϑεοῦ ἡμῶν ἦλϑον, ὅϑεν εὐλογεῖτε αὐτὸν εἰς τὸν
αἰῶνα. 19 πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον, 19
ἀλλὰ ὅρασιν ὑμεῖς ἐϑεωρεῖτε. 20 καὶ νῦν ἐξομολογεῖσϑε τῷ ϑεῷ, διότι ἀνα- 20
βαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα τὰ συντελεσϑέντα εἰς
βιβλίον. 21 καὶ ἀνέστησαν, καὶ οὐκέτι εἶδον αὐτόν. 22 ἐξωμολογοῦντο τὰ ἔργα 21 22
τὰ μεγάλα καὶ ϑαυμαστὰ αὐτοῦ, ὡς ὤφϑη αὐτοῖς ὁ ἄγγελος κυρίου.

## XIII.

Καὶ Τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν καὶ εἶπεν Εὐλογητὸς ὁ ϑεὸς
ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ, 2 ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, 2
κατάγει εἰς ᾅδην καὶ ἀνάγει, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ.
3 ἐξομολογεῖσϑε αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἐνώπιον τῶν ἐϑνῶν, ὅτι αὐτὸς διέσπει- 3
ρεν ἡμᾶς ἐν αὐτοῖς. 4 ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ, ὑψοῦτε αὐτὸν 4
ἐνώπιον παντὸς ζῶντος, καϑότι αὐτὸς κύριος ἡμῶν, καὶ ϑεὸς αὐτὸς πατὴρ
ἡμῶν εἰς πάντας τοὺς αἰῶνας. 5 καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν, 5
καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐϑνῶν οὗ ἐὰν σκορπισϑῆτε
ἐν αὐτοῖς. 6 ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ 6
τῇ ψυχῇ ὑμῶν ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήϑειαν, τότε ἐπιστρέψει πρὸς ὑμᾶς
καὶ οὐ μὴ κρύψει τὸ πρόσωπον αὐτοῦ ἀφ᾽ ὑμῶν. καὶ ϑεάσασϑε ἃ ποιήσει
μεϑ᾽ ὑμῶν, καὶ ἐξομολογήσασϑε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν, καὶ εὐλο-
γήσατε τὸν κύριον τῆς δικαιοσύνης, καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων.
ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ, καὶ δεικνύω τὴν

---

6. om και μεγαλωσυνην usque εξομολ. αυτω ... μεϑ ημων ... υποδειγνυοντες 7. κρυπτειν ... om αγαϑον ποιησατε usque ευρησει υμας 8. καλον το ποιησαι 10. εαυτων 11. ειρηκα δε 12. συνπαρημην (sed μην rescr. est) 13. καταλειπιν ... αγαϑον ποιων 16. επεσαν 17. οτι ειρηνη εσται υμιν 18. ϑεου υμων 22. και εξωμολογουντο ... ϑαυμαστα του ϑεου και ως XIII. 2. ελεα 3. εξωμολογεισϑαι 4. και ο ϑεος ο πατηρ 5. εσκορπισϑητε 6. κρυψη ... ευλογειτε τ. κυριον

ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν. ἐπιστρέψατε ἁμαρτωλοὶ
καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ· τίς γινώσκει εἰ θελήσει ὑμᾶς καὶ
7 ποιήσει ἐλεημοσύνην ὑμῖν; 7 τὸν θεόν μου ὑψῶ, καὶ ἡ ψυχή μου τῷ βασιλεῖ
8 τοῦ οὐρανοῦ, καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ. 8 λεγέτωσαν πάντες
9 καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἱεροσολύμοις. 9 Ἱεροσόλυμα πόλις ἁγίου, μα-
στιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου, καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δι-
10 καίων. 10 ἐξομολογοῦ τῷ κυρίῳ ἀγαθῶς, καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώ-
νων, ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς, καὶ εὐφρᾶναι
ἐν σοὶ τοὺς αἰχμαλώτους καὶ ἀγαπῆσαι ἐν σοὶ τοὺς ταλαιπώρους εἰς πάσας
11 τὰς γενεὰς τοῦ αἰῶνος. 11 ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα κυρίου
τοῦ θεοῦ, δῶρα ἐν χερσὶν ἔχοντες καὶ δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ· γενεαὶ
12 γενεῶν δώσουσί σοι ἀγαλλίαμα. 12 ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, εὐ-
13 λογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα. 13 χάρηθι καὶ ἀγαλ-
λίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, ὅτι συναχθήσονται καὶ εὐλογήσουσι τὸν
14 κύριον τῶν δικαίων. 14 ὦ μακάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται ἐπὶ τῇ εἰ-
ρήνῃ σου. μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ
σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου καὶ εὐφρανθήσονται εἰς τὸν
15 16 αἰῶνα. 15 ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν, 16 ὅτι
οἰκοδομηθήσεται Ἱερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ, καὶ λίθῳ ἐντίμῳ τὰ
17 τείχη σου, καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ, 17 καὶ αἱ
πλατεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι καὶ λίθῳ ἐκ Σουφεὶρ ψηφο-
18 λογηθήσονται. 18 καὶ ἐροῦσι πᾶσαι αἱ ῥῦμαι αὐτῆς ἀλληλούια καὶ αἴνεσιν,
λέγοντες Εὐλογητὸς ὁ θεὸς ὃς ὕψωσε πάντας τοὺς αἰῶνας.

## XIV.

2 Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ. 2 καὶ ἦν ἐτῶν πεντηκονταοκτὼ
ὅτε ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέβλεψεν· καὶ ἐποίει ἐλεημοσύ-
3 νας, καὶ προσέθετο φοβεῖσθαι κύριον τὸν θεὸν καὶ ἐξωμολογεῖτο αὐτῷ. 3 με-
γάλως δὲ ἐγήρασεν· καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ
εἶπεν αὐτῷ Τέκνον, λάβε τοὺς υἱούς σου, ἰδοὺ γεγήρακα, καὶ πρὸς τὸ ἀπο-
4 τρέχειν ἐκ τοῦ ζῆν εἰμί. 4 ἄπελθε εἰς τὴν Μηδίαν, τέκνον, ὅτι πέπεισμαι ὅσα
ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης περὶ Νινευῆ ὅτι καταστραφήσεται, ἐν δὲ τῇ
Μηδίᾳ ἔσται εἰρήνη μᾶλλον ἕως καιροῦ· καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ
σκορπισθήσονται ἀπὸ τῆς ἀγαθῆς γῆς, καὶ Ἱεροσόλυμα ἔσται ἔρημος καὶ ὁ
5 οἶκος τοῦ θεοῦ ἐν αὐτῇ κατακαήσεται, καὶ ἔρημος ἔσται μέχρι χρόνου. 5 καὶ
πάλιν ἐλεήσει αὐτοὺς ὁ θεὸς καὶ ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν, καὶ οἰκο-
δομήσουσι τὸν οἶκον, οὐχ οἷος ὁ πρότερος, ἕως πληρωθῶσι καιροὶ τοῦ αἰῶνος.
καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ τῶν αἰχμαλωσιῶν καὶ οἰκοδομήσουσιν Ἱερου-
σαλὴμ ἐντίμως, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται ἐνδόξως,
6 καθὼς ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται. 6 καὶ πάντα τὰ ἔθνη ἐπιστρέψουσιν
7 ἀληθινῶς φοβεῖσθαι κύριον τὸν θεόν, καὶ κατορύξουσι τὰ εἴδωλα αὐτῶν· 7 καὶ
εὐλογήσουσι πάντα τὰ ἔθνη κύριον. καὶ ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ θεῷ,
καὶ ὑψώσει κύριος τὸν λαὸν αὐτοῦ· καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες

---

6. εθνη αμαρτωλων ... γιγνωσκει ... ελεημοσ. εις υμας 7. τον βασιλεα 9. πολις αγια 10. εξομολογου τω αγαθω, και ... παλιν σκηνη ... ευφρανη εν σοι τους εκει αιχμαλ. 11. om και ante δωρα ... γενεα γενεων αινεσουσιν σοι και δωσουσιν αγαλλιασιν 13. χαρητι 16. σαπφιρω ... επιτιμω 17. om εν 18. και αινεσουσιν (sed σουσιν rescr. est) λεγοντες ... υψωσεν εις παντας XIV. 2. ογδοηκονταοκτω ... εξομολογεισθαι 3. τους εξ υιους ... απο του ζην 4. οτι κατασκαφησεται ... ως πληρωθωσιν 5. οικοδομηθησεται εις πασας τας γενεας του αιωνος· οικοδομη ενδοξω· καθως 6. κατορυξωσιν 7. τον κυριον

Digitized by Google

κύριον τὸν θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες ἔλεος τοῖς ἀδελφοῖς
ἡμῶν. 8 καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευῆ, ὅτι πάντως ἔσται ἃ ἐλάλησεν ὁ 8
προφήτης Ἰωνᾶς. 9 σὺ δὲ τήρησον τὸν νόμον καὶ τὰ προστάγματα, καὶ γενοῦ 9
φιλελεήμων καὶ δίκαιος, ἵνα σοι καλῶς ᾖ. 10 καὶ θάψον με καλῶς, καὶ τὴν 10
μητέρα σου μετ' ἐμοῦ, καὶ μηκέτι αὐλισθῆτε εἰς Νινευῆ. τέκνον, ἴδε τί
ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐ-
τὸν εἰς τὸ σκότος καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχαρον μὲν ἔσωσε,
ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος· Μανασ-
σῆς ἐποίησεν ἐλεημοσύνην, καὶ ἐσώθη ἐκ παγίδος θανάτου ἧς ἔπηξεν αὐτῷ,
Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα καὶ ἀπώλετο. 11 καὶ νῦν, παιδία, ἴδετε τί 11
ἐλεημοσύνη ποιεῖ καὶ δικαιοσύνη ῥύεται. καὶ ταῦτα αὐτοῦ λέγοντος ἐξέλιπεν
ἡ ψυχὴ αὐτοῦ ἐπὶ τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκατὸν πεντηκονταοκτώ, καὶ ἔθα-
ψαν αὐτὸν ἐνδόξως. 12 καὶ ὅτε ἀπέθανεν Ἄννα, ἔθαψεν αὐτὴν μετὰ τοῦ πα- 12
τρὸς αὐτοῦ· ἀπῆλθε δὲ Τωβίας μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ
εἰς Ἐκβάτανα πρὸς Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ. 13 καὶ ἐγήρασεν ἐντίμως, 13
καὶ ἔθαψε τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως, καὶ ἐκληρονόμησε τὴν οὐσίαν αὐ-
τῶν καὶ Τωβὶτ τοῦ πατρὸς αὐτοῦ. 14 καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν εἰκοσιεπτὰ 14
ἐν Ἐκβατάνοις τῆς Μηδίας. 15 καὶ ἤκουσε πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπώ- 15
λειαν Νινευῆ ἣν ᾐχμαλώτισε Ναβουχοδονόσορ καὶ Ἀσύηρος, καὶ ἐχάρη πρὸ
τοῦ ἀποθανεῖν ἐπὶ Νινευῆ.

# Ι Ο Υ Δ Ι Θ.

## I.

Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ, ὃς ἐβασίλευσεν Ἀσσυ-
ρίων ἐν Νινευῆ τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασί-
λευσε Μήδων ἐν Ἐκβατάνοις, 2 καὶ ᾠκοδόμησεν ἐπ' Ἐκβατάνων καὶ κύκλῳ 2
τείχη ἐκ λίθων λελαξευμένων, εἰς πλάτος πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν
ἕξ, καὶ ἐποίησε τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα, καὶ τὸ πλάτος
αὐτοῦ πηχῶν πεντήκοντα· 3 καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς πύλαις 3
αὐτῆς πηχῶν ἑκατόν, καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα·
4 καὶ ἐποίησε τὰς πύλας αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομή- 4
κοντα, καὶ τὸ πλάτος αὐτῶν πήχεις τεσσαράκοντα, εἰς ἐξόδους δυνάμεων
δυνατῶν αὐτοῦ καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ. 5 καὶ ἐποίησε πόλεμον ἐν ταῖς 5
ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονόσορ πρὸς βασιλέα Ἀρφαξὰδ ἐν τῷ
πεδίῳ τῷ μεγάλῳ, τοῦτό ἐστιν ἐν τοῖς ὁρίοις Ῥαγαῦ. 6 καὶ συνήντησαν πρὸς 6
αὐτὸν πάντες οἱ κατοικοῦντες τὴν ὀρεινήν, καὶ πάντες οἱ κατοικοῦντες τὸν
Εὐφράτην καὶ τὸν Τίγριν καὶ τὸν Ὑδάσπην, καὶ πεδίῳ Εἰριὼχ ὁ βασιλεὺς
Ἐλυμαίων· καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα εἰς παράταξιν υἱῶν Χελεούλ.

9. γινου 10. εν νινευη ... ηγαγ. αυτ. εις σκοτος ... κ. αχιαχαρος μεν εσωθη 11. και τι δικαιοσυνη ... εξελειπεν αυτου η ψυχη ... εθαψεν 12. υιων εις 15. ηχμαλωτευσεν ... ασουηρος

Subscriptio: τωβειτ

Inscriptio: ιουδειθ

1. 2. om και ante κυκλω ... μηκος pro υψος ... εβδομηκοντα pro πεντηκοντα 4. το πλατ. αυτης π. τεσσερακοντα 5. τουτ εστιν παιδιον εν τοις 6. συνηντησεν ... και παιδια αριωχ ... συνηλθαν ... om σφοδρα ... χελεουδ

Digitized by Google

7 [7] καὶ ἀπέστειλε Ναβουχοδονόσορ ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοι-
κοῦντας τὴν Περσίδα καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς, τοὺς
κατοικοῦντας Κιλικίαν καὶ Δαμασκόν, τὸν Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάν-
8 τας τοὺς κατοικοῦντας κατὰ πρόσωπον παραλίας, [8] καὶ τοὺς ἐν τοῖς ἔθνεσι
τοῦ Καρμήλου καὶ Γαλαὰδ καὶ τὴν ἄνω Γαλιλαίαν καὶ τὸ μέγα πεδίον
9 Ἐσδρηλώμ, [9] καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς, καὶ
πέραν τοῦ Ἰορδάνου ἕως Ἱερουσαλὴμ καὶ Βετάνη καὶ Χελλοὺς καὶ Κάδης
καὶ τοῦ ποταμοῦ Αἰγύπτου, καὶ Ταφνὰς καὶ Ῥαμεσσῆ καὶ πᾶσαν γῆν Γεσὲμ
10 [10] ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως, καὶ πάντας τοὺς κατοικοῦν-
11 τας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας. [11] καὶ ἐφαύλι-
σαν πάντες οἱ κατοικοῦντες πᾶσαν τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονόσορ τοῦ
βασιλέως Ἀσσυρίων καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφο-
βήθησαν αὐτὸν ἀλλ' ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ ἴσος, καὶ ἀνέστρεψαν τοὺς
12 ἀγγέλους αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ πρὸ προσώπου αὐτῶν. [12] καὶ ἐθυμώθη Να-
βουχοδονόσορ ἐπὶ πᾶσαν τὴν γῆν ταύτην σφόδρα, καὶ ὤμοσε κατὰ τοῦ θρό-
νου καὶ τῆς βασιλείας αὐτοῦ, εἰ μὴν ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας
καὶ Δαμασκηνῆς καὶ Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ καὶ πάντας τοὺς
κατοικοῦντας ἐν γῇ Μωὰβ καὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ πᾶσαν τὴν Ἰουδαίαν
καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασσῶν.
13 [13] καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ πρὸς Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει
τῷ ἑπτακαιδεκάτῳ· καὶ ἐκραταιώθη ἐν τῷ πολέμῳ αὐτοῦ, καὶ ἀνέστρεψε
πᾶσαν τὴν δύναμιν Ἀρφαξὰδ καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ καὶ πάντα τὰ ἅρ-
14 ματα αὐτοῦ, [14] καὶ ἐκυρίευσε τῶν πόλεων αὐτοῦ· καὶ ἀφίκετο ἕως Ἐκβατά-
νων, καὶ ἐκράτησε τῶν πύργων καὶ ἐπρονόμευσε τὰς πλατείας αὐτῆς, καὶ
15 τὸν κόσμον αὐτῆς ἔθηκεν εἰς ὄνειδος αὐτῆς· [15] καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν
τοῖς ὄρεσι Ῥαγαῦ, καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς ζιβύναις αὐτοῦ, καὶ ἐξω-
16 λόθρευσεν αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης. [16] καὶ ἀνέστρεψε μετ' αὐτῶν αὐτὸς
καὶ πᾶς ὁ σύμμικτος αὐτοῦ, πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα· καὶ
ἦν ἐκεῖ ῥᾳθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ ἐφ' ἡμέρας
ἑκατὸν εἴκοσι.

## II.

Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ, δευτέρᾳ καὶ εἰκάδι τοῦ πρώτου
μηνός, ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων, ἐκδικῆσαι
2 πᾶσαν τὴν γῆν καθὼς ἐλάλησε. [2] καὶ συνεκάλεσε πάντας τοὺς θεράποντας
αὐτοῦ καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ ἔθετο μετ' αὐτῶν τὸ μυστή-
ριον τῆς βουλῆς αὐτοῦ, καὶ συνετέλεσε πᾶσαν τὴν κακίαν τῆς γῆς ἐκ τοῦ
3 στόματος αὐτοῦ· [3] καὶ αὐτοὶ ἔκριναν ὀλοθρεῦσαι πᾶσαν σάρκα οἳ οὐκ ἠκολού-
4 θησαν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. [4] καὶ ἐγένετο ὡς συνετέλεσε τὴν βουλὴν
αὐτοῦ, ἐκάλεσε Ναβουχοδονόσορ βασιλεὺς Ἀσσυρίων τὸν Ὀλοφέρνην ἀρχι-
στράτηγον τῆς δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ' αὐτόν, καὶ εἶπε πρὸς
5 αὐτόν [5] Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος πάσης τῆς γῆς Ἰδοὺ σὺ
ἐξελεύσῃ ἐκ τοῦ προσώπου μου, καὶ λήψῃ μετὰ σεαυτοῦ ἄνδρας πεποιθότας
ἐν ἰσχύϊ αὐτῶν, πεζῶν εἰς χιλιάδας ἑκατὸν εἴκοσι, καὶ πλῆθος ἵππων σὺν
6 ἀναβάταις μυριάδων δεκαδύο, [6] καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ

7. om ὁ ... om την ... και λιβανον ... της παραλιας 8. εσδρημ 9. σαμαρια ... βλιτανη (lege αι pro λι) ... χελους 11. ναβουχοδονοσορ βασιλεως ... ανηρ εις, και απεστρεψαν ... απο προσωπου 12. om ταυτην ... τα ορη της ... τους υιων αμμων 15. εξωλεθρευσεν 16. αυτων εις νινευη αυτος II. 1. βασιλευς 3. ολεθρευσαι 5. λημψη ... χιλιαδας pro μυριαδων

Digitized by Google

δυσμάς, ὅτι ἠπείθησαν τῷ ῥήματι τοῦ στόματός μου. 7 καὶ ἀπαγγελεῖς αὐτοῖς 7
ἑτοιμάζειν γῆν καὶ ὕδωρ, ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ' αὐτούς, καὶ κα-
λύψω πᾶν τὸ πρόςωπον τῆς γῆς ἐν τοῖς ποσὶ τῆς δυνάμεώς μου, καὶ δώσω
αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς· 8 καὶ οἱ τραυματίαι αὐτῶν πληρώσουσι τὰς φά- 8
ραγγας καὶ τοὺς χειμάῤῥους αὐτῶν, καὶ ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐ-
τῶν πληρωθήσεται· 9 καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα πάσης 9
τῆς γῆς. 10 σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν ὅριον αὐτῶν, καὶ ἐκδώσουσί 10
σοι ἑαυτούς, καὶ διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν· 11 ἐπὶ 11
δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ ὀφθαλμός σου, δοῦναι αὐτοὺς εἰς φόνον
καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ γῇ σου. 12 ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βασι- 12
λείας μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν χειρί μου. 13 καὶ σὺ δὲ οὐ παρα- 13
βήσῃ ἓν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλ' ἐπιτελῶν ἐπιτελέσεις καθότι
προςτέταχά σοι, καὶ οὐ μακρυνεῖς τοῦ ποιῆσαι αὐτά. 14 καὶ ἐξῆλθεν Ὀλο- 14
φέρνης ἀπὸ προςώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἐκάλεσε πάντας τοὺς δυνάστας
καὶ τοὺς στρατηγοὺς καὶ ἐπιστάτας τῆς δυνάμεως Ἀσσούρ, 15 καὶ ἠρίθμησεν 15
ἐκλεκτοὺς ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος αὐτοῦ, εἰς
μυριάδας δεκαδύο, καὶ ἱππεῖς τοξότας μυρίους διςχιλίους, 16 καὶ διέταξεν 16
αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσεται. 17 καὶ ἔλαβε καμήλους καὶ 17
ὄνους καὶ ἡμιόνους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρό-
βατα καὶ βόας καὶ αἶγας εἰς τὴν παρασκευὴν αὐτῶν ὧν οὐκ ἦν ἀριθμός,
18 καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆθος, καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου 18
βασιλέως πολὺ σφόδρα. 19 καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς 19
πορείαν τοῦ προελθεῖν βασιλέως Ναβουχοδονόσορ καὶ καλύψαι πᾶν τὸ πρός-
ωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι καὶ πεζοῖς ἐπιλέκτοις
αὐτῶν. 20 καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συνεξῆλθον αὐτοῖς, καὶ ὡς ἡ ἄμμος 20
τῆς γῆς, οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν. 21 καὶ ἀπῆλθον ἐκ Νινευῆ 21
ὁδὸν τριῶν ἡμερῶν ἐπὶ πρόςωπον τοῦ πεδίου Βαικτιλαίθ, καὶ ἐπεστρατοπέ-
δευσεν ἀπὸ Βαικτιλαὶθ πλησίον τοῦ ὄρους τοῦ ἐπ' ἀριστερᾷ τῆς ἄνω Κιλικίας.
22 καὶ ἔλαβε πᾶσαν τὴν δύναμιν αὐτοῦ, τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς καὶ τὰ 22
ἅρματα αὐτοῦ, καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν ὀρεινήν. 23 καὶ διέκοψε τὸ Φοὺδ 23
καὶ Λούδ, καὶ ἐπρονόμευσαν πάντας υἱοὺς Ῥασσὶς καὶ υἱοὺς Ἰσμαὴλ τοὺς
κατὰ πρόςωπον τῆς ἐρήμου πρὸς νότον τῆς Χελλαίων. 24 καὶ παρῆλθε τὸν 24
Εὐφράτην, καὶ διῆλθε τὴν Μεσοποταμίαν, καὶ διέσκαψε πάσας τὰς πόλεις
τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάῤῥου Ἀβρωνᾶ ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν.
25 καὶ κατελάβετο τὰ ὅρια τῆς Κιλικίας, καὶ κατέκοψε πάντας τοὺς ἀντι- 25
στάντας αὐτῷ, καὶ ἦλθεν ἕως ὁρίων Ἰάφεθ τὰ πρὸς νότον κατὰ πρόςωπον
τῆς Ἀραβίας. 26 καὶ ἐκύκλωσε πάντας τοὺς υἱοὺς Μαδιάν, καὶ ἐνέπρησε τὰ 26
σκηνώματα αὐτῶν, καὶ ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν. 27 καὶ κατέβη εἰς 27
πεδίον Δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐνέπρησε πάντας τοὺς ἀγροὺς
αὐτῶν, καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια ἔδωκεν εἰς ἀφανισμόν, καὶ τὰς πό-
λεις αὐτῶν ἐσκύλευσε καὶ τὰ πεδία αὐτῶν ἐξελίκμησε, καὶ ἐπάταξε πάντας
τοὺς νεανίσκους αὐτῶν ἐν στόματι ῥομφαίας. 28 καὶ ἐπέπεσεν ὁ φόβος καὶ ὁ 28
τρόμος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν, τοὺς ὄντας ἐν Σιδῶνι καὶ
Τύρῳ, καὶ τοὺς κατοικοῦντας Σοὺρ καὶ Ὀκινά, καὶ πάντας τοὺς κατοικοῦν-
τας Ἰεμνaάν, καὶ οἱ κατοικοῦντες ἐν Ἀζώτῳ καὶ Ἀσκάλωνι ἐφοβήθησαν
αὐτὸν σφόδρα.

---

8. φαραγγ. αυτων κ. τ. χειμ., και 10. προςκαταλημψη ... μοι pro εμοι 11. σου του δουναι 15. καθοτι προςεταξεν αυτω 19. om και ante καλυψαι 21. εξηλθεν ... βεκτελεθ ... επεστρατοπαιδευσαν απο πακταλαι 23. τους φουδ ... επρονομευσεν υιους παντας ρασσεις ... της χελεων 24. κατεσκαψεν 26. μαδιαμ 28. επεσεν ... και εν τυρω ... οκεινα

Digitized by Google

## III.

2 Καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους λόγοις εἰρηνικοῖς λέγοντες [2]Ἰδοὺ
ἡμεῖς οἱ παῖδες Ναβουχοδονόσορ βασιλέως μεγάλου παρακείμεθα ἐνώπιόν σου,
3 χρῆσαι ἡμῖν καθὼς ἀρεστόν ἐστι τῷ προσώπῳ σου· [3]ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν
καὶ πᾶν πεδίον πυρῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαι αἱ μάν-
δραι τῶν σκηνῶν ἡμῶν παράκεινται πρὸ προσώπου σου, χρῆσαι καθ' ὃ ἂν
4 ἀρέσκῃ σοι· [4]ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ κατοικοῦντες ἐν αὐταῖς δοῦλοί
5 σού εἰσιν, ἐλθὼν ἀπάντησον αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. [5]καὶ
παρεγένοντο οἱ ἄνδρες πρὸς Ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥή-
6 ματα ταῦτα. [6]καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ, καὶ
ἐφρούρησε τὰς πόλεις τὰς ὑψηλάς, καὶ ἔλαβεν ἐξ αὐτῶν εἰς συμμαχίαν ἄν-
7 δρας ἐπιλέκτους· [7]καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ καὶ πᾶσα ἡ περίχωρος αὐτῶν
8 μετὰ στεφάνων καὶ χορῶν καὶ τυμπάνων. [8]καὶ κατέσκαψε πάντα τὰ ὅρια
αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐξέκοψε· καὶ ἦν δεδογμένον αὐτῷ ἐξολοθρεῦσαι
πάντας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονόσορ λατρεύ-
σωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ γλῶσσαι καὶ πᾶσαι αἱ φυλαὶ αὐτῶν ἐπι-
9 καλέσωνται αὐτὸν εἰς θεόν. [9]καὶ ἦλθε κατὰ πρόσωπον Ἐσδρηλὼν πλησίον τῆς
10 Δωταίας, ἥ ἐστιν ἀπέναντι τοῦ πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας, [10]καὶ
κατεστρατοπέδευσεν ἀνὰ μέσον Γαιβαὶ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα
ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς δυνάμεως αὐτοῦ.

## IV.

Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ Ἰουδαίᾳ πάντα ὅσα
ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ ἀρχιστράτηγος Ναβουχοδονόσορ βασιλέως
Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευσε πάντα τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ
2 εἰς ἀφανισμόν, [2]καὶ ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ προσώπου αὐτοῦ, καὶ
3 περὶ Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ κυρίου θεοῦ αὐτῶν ἐταράχθησαν. [3]ὅτι προσ-
φάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς συνε-
λέλεκτο τῆς Ἰουδαίας, καὶ τὰ σκεύη καὶ τὸ θυσιαστήριον καὶ ὁ οἶκος ἐκ τῆς
4 βεβηλώσεως ἡγιασμένα ἦν. [4]καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμαρείας καὶ
Κωνὰς καὶ Βαιθωρὼν καὶ Βελμὲν καὶ Ἱεριχὼ καὶ εἰς Χωβὰ καὶ Αἰσωρὰ
5 καὶ τὸν αὐλῶνα Σαλήμ, [5]καὶ προκατελάβοντο πάσας τὰς κορυφὰς τῶν ὀρέων
τῶν ὑψηλῶν, καὶ ἐτειχίσαντο τὰς ἐν αὐτοῖς κώμας, καὶ παρέθεντο εἰς ἐπισι-
τισμὸν εἰς παρασκευὴν πολέμου, ὅτι προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερι-
6 σμένα. [6]καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐκεί-
ναις ἐν Ἱερουσαλήμ, τοῖς κατοικοῦσι Βετυλούα καὶ Βετομεσθαίμ, ἥ ἐστιν
7 ἀπέναντι Ἐσδρηλὼν κατὰ πρόσωπον τοῦ πεδίου τοῦ πλησίον Δωθαΐμ, [7]λέγων
διακατασχεῖν τὰς ἀναβάσεις τῆς ὀρεινῆς, ὅτι δι' αὐτῶν ἦν ἡ εἴσοδος εἰς τὴν
Ἰουδαίαν· καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προσβαίνοντας, στενῆς τῆς
8 προσβάσεως οὔσης, ἐπ' ἄνδρας τοὺς πάντας δύο. [8]καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ
καθὰ συνέταξεν αὐτοῖς Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία παντὸς δή-
9 μου Ἰσραὴλ οἳ ἐκάθηντο ἐν Ἱερουσαλήμ. [9]καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ
πρὸς τὸν θεὸν ἐν ἐκτενίᾳ μεγάλῃ, καὶ ἐταπείνουσαν τὰς ψυχὰς αὐτῶν ἐν ἐκ-
10 τενίᾳ μεγάλῃ, [10]αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ νήπια αὐτῶν καὶ τὰ
κτήνη αὐτῶν· καὶ πᾶς πάροικος ἢ μισθωτὸς καὶ ἀργυρώνητος αὐτῶν ἐπέθεντο

---

III. 3. post επαυλεις ημ. add και πας τοπος ημων 6. επαρχιαν pro παραλιαν 8. δεδομενον ... λατρευσι ... και αι φυλαι 9. δωτεας 10. κατεστρατοπεδευσαν ... ταιβαν IV. 1. βασιλευς ... ορια pro ιερα 2. om σφοδρα alterum 4. σαμαριας ... βεθωρω κ. βελμαιν κ. ειεριχω 5. ετειχεισαν 6. ιωακειμ ... om εκειναις ... απεναντι εσερηχων ... δωθαειμ 7. διαβασεως 8. ιωακειμ ... παντος λαου 9. εκτενεια bis 10. παρ. και μισθ.

Digitized by Google

σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν. 11 καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ τὰ παι- 11
δία καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ
ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν, καὶ ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ
πρόσωπον κυρίου, 12 καὶ τὸ θυσιαστήριον σάκκῳ περιέβαλον· καὶ ἐβόησαν πρὸς 12
τὸν θεὸν Ἰσραὴλ ὁμοθυμαδὸν ἐκτενῶς τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νή-
πια αὐτῶν καὶ τὰς γυναῖκας εἰς προνομήν, καὶ τὰς πόλεις τῆς κληρονομίας
αὐτῶν εἰς ἀφανισμόν, καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμόν, ἐπίχαρμα
τοῖς ἔθνεσι. 13 καὶ εἰςήκουσε κύριος τῆς φωνῆς αὐτῶν καὶ εἰςεῖδε τὴν θλῖ- 13
ψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας πλείους ἐν πάσῃ τῇ Ἰουδαίᾳ
καὶ Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων κυρίου παντοκράτορος. 14 καὶ 14
Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον κυρίου, ἱερεῖς
καὶ οἱ λειτουργοῦντες κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν προςέ-
φερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰ ἑκούσια δό-
ματα τοῦ λαοῦ, 15 καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν· καὶ ἐβόων πρὸς 15
κύριον ἐκ πάσης δυνάμεως εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον Ἰσραήλ.

## V.

Καὶ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ἀσσοὺρ διότι οἱ υἱοὶ
Ἰσραὴλ παρεσκευάσαντο εἰς πόλεμον, καὶ τὰς διόδους τῆς ὀρεινῆς συνέκλει-
σαν καὶ ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ, καὶ ἔθηκαν ἐν τοῖς πεδίοις
σκάνδαλα. 2 καὶ ὠργίσθη θυμῷ σφόδρα, καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας 2
Μωὰβ καὶ τοὺς στρατηγοὺς Ἀμμὼν καὶ πάντας σατράπας τῆς παραλίας,
3 καὶ εἶπεν αὐτοῖς· Ἀναγγείλατε δή μοι, υἱοὶ Χαναάν, τίς ὁ λαὸς οὗτος ὁ καθή- 3
μενος ἐν τῇ ὀρεινῇ, καὶ τίνες ἃς κατοικοῦσι πόλεις, καὶ τὸ πλῆθος τῆς δυ-
νάμεως αὐτῶν, καὶ ἐν τίνι τὸ κράτος αὐτῶν καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ τίς
ἀνέστηκεν ἐπ᾽ αὐτῶν βασιλεὺς ἡγούμενος στρατηγίας αὐτῶν, 4 καὶ διὰ τί κατε- 4
νωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ πάντας τοὺς κατοικοῦντας
ἐν δυσμαῖς. 5 καὶ εἶπε πρὸς αὐτὸν Ἀχιὼρ ὁ ἡγούμενος πάντων υἱῶν Ἀμμών 5
Ἀκουσάτω δὴ ὁ κύριός μου λόγον ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγ-
γελῶ σοι τὴν ἀλήθειαν περὶ τοῦ λαοῦ ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην πλη-
σίον σοῦ οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ δούλου
σου. 6 ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων, 7 καὶ παρῴκησαν τὸ πρότερον 6 7
ἐν τῇ Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πα-
τέρων αὐτῶν οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων, 8 καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γο- 8
νέων αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ τοῦ οὐρανοῦ, θεῷ ᾧ ἐπέγνωσαν· καὶ
ἐξέβαλον αὐτοὺς ἀπὸ προσώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοποτα-
μίαν, καὶ παρῴκησαν ἐκεῖ ἡμέρας πολλάς. 9 καὶ εἶπεν ὁ θεὸς αὐτῶν ἐξελ- 9
θεῖν ἐκ τῆς παροικίας αὐτῶν καὶ πορευθῆναι εἰς γῆν Χαναάν· καὶ κατῴκη-
σαν ἐκεῖ, καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσι πολλοῖς
σφόδρα. 10 καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψε γὰρ τὸ πρόσωπον τῆς γῆς 10
Χαναὰν λιμός, καὶ παρῴκησαν ἐκεῖ μέχρις οὗ διετράφησαν· καὶ ἐγένοντο
ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ γένους αὐτῶν. 11 καὶ ἐπανέστη 11
αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεσοφίσαντο αὐτοὺς ἐν πόνῳ καὶ ἐν πλίν-
θῳ, καὶ ἐταπείνωσαν αὐτοὺς καὶ ἔθεντο αὐτοὺς εἰς δούλους. 12 καὶ ἀνεβόησαν 12
πρὸς τὸν θεὸν αὐτῶν, καὶ ἐπάταξε πᾶσαν τὴν γῆν Αἰγύπτου πληγαῖς ἐν αἷς
οὐκ ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν. 13 καὶ 13

---

11. και τα παιδια ... επεθεντο pro επεσον 13. κυριου του παντ. 14. ιωακειμ ... ιερεις οι λιτουργ. 15. παν οικον V. 1. διοτι υιοι 2. ** στρατηγ. υιους αμμων 3. επ αυτ. ο βασ. ηγ. στρατειας α. 5. δη λογον ο κυρ. μου ... λαου τουτου 10. μεχρι ου 11. κατεσοφισατο αυτ. και εν πονω και πλινθω εταπεινωσεν α. και εθετο

Digitized by Google

14 κατεξήρανεν ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν, [14]καὶ ἤγαγεν
αὐτοὺς εἰς ὁδὸν τοῦ Σινᾶ καὶ Κάδης Βαρνή· καὶ ἐξέβαλον πάντας τοὺς
15 κατοικοῦντας ἐν τῇ ἐρήμῳ, [15]καὶ ᾤκησαν ἐν γῇ Ἀμορραίων, καὶ πάντας τοὺς
Ἐσεβωνίτας ἐξωλόθρευσαν ἐν τῇ ἰσχύϊ αὐτῶν· καὶ διαβάντες τὸν Ἰορδάνην
16 ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινήν. [16]καὶ ἐξέβαλον ἐκ προςώπου αὐτῶν τὸν
Χαναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Συχὲμ καὶ πάν-
17 τας τοὺς Γεργεσαίους, καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς. [17]καὶ ἕως
οὐχ ἥμαρτον ἐνώπιον τοῦ θεοῦ αὐτῶν, ἦν τὰ ἀγαθὰ μετ' αὐτῶν, ὅτι θεὸς
18 μισῶν ἀδικίαν μετ' αὐτῶν ἐστίν· [18]ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ ἧς διέ-
θετο αὐτοῖς, ἐξωλοθρεύθησαν ἐν πολλοῖς πολέμοις ἐπὶ πολὺ σφόδρα, καὶ ᾐχμα-
λωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ ναὸς τοῦ θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος,
19 καὶ αἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν ὑπεναντίων. [19]καὶ νῦν ἐπιστρέ-
ψαντες ἐπὶ τὸν θεὸν αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς οὗ διεσπάρησαν ἐκεῖ,
καὶ κατέσχον τὴν Ἱερουσαλὴμ οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν
20 τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος. [20]καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν ἀγνόημα
ἐν τῷ λαῷ τούτῳ καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν αὐτῶν, καὶ ἐπισκεψόμεθα
ὅτι ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀναβησόμεθα καὶ ἐκπολεμήσομεν
21 αὐτούς· [21]εἰ δὲ οὐκ ἔστιν ἀνομία ἐν τῷ ἔθνει αὐτῶν, παρελθέτω δὴ ὁ κύ-
ριός μου, μή ποτε ὑπερασπίσῃ ὁ κύριος αὐτῶν καὶ ὁ θεὸς αὐτῶν ὑπὲρ αὐ-
22 τῶν, καὶ ἐσόμεθα εἰς ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς. [22]καὶ ἐγένετο ὡς
ἐπαύσατο Ἀχιὼρ λαλῶν τοὺς λόγους τούτους, καὶ ἐγόγγυσε πᾶς ὁ λαὸς ὁ κυ-
κλῶν τὴν σκηνὴν καὶ περιεστώς· καὶ εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου καὶ
23 πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν Μωὰβ συγκόψαι αὐτόν, [23]Οὐ
γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ἰσραήλ· ἰδοὺ γὰρ λαὸς ἐν ᾧ οὐκ ἔστι δύναμις
24 οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν. [24]διὸ δὴ ἀναβησόμεθα, καὶ ἔσονται
εἰς κατάβρωμα πάσης τῆς στρατιᾶς σου, δέσποτα Ὀλοφέρνη.

## VI.

Καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν κύκλῳ τῆς συνεδρείας,
καὶ εἶπεν Ὀλοφέρνης ὁ ἀρχιστράτηγος δυνάμεως Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναν-
2 τίον παντὸς τοῦ δήμου ἀλλοφύλων καὶ πρὸς πάντας υἱοὺς Μωάβ [2]Καὶ τίς
εἶ σὺ Ἀχιὼρ καὶ οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ, ὅτι προεφήτευσας ἐν ἡμῖν κα-
θὼς σήμερον, καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ πολεμῆσαι, ὅτι ὁ θεὸς αὐτῶν
ὑπερασπιεῖ αὐτῶν; καὶ τίς ὁ θεὸς εἰ μὴ Ναβουχοδονόσορ; οὗτος ἀποστελεῖ
τὸ κράτος αὐτοῦ καὶ ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προςώπου τῆς γῆς, καὶ οὐ
3 ῥύσεται αὐτοὺς ὁ θεὸς αὐτῶν· [3]ἀλλ' ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐ-
τοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν.
4 [4]κατακαύσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὄρη αὐτῶν μεθυσθήσεται ἐν
τῷ αἵματι αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται νεκρῶν αὐτῶν· καὶ
οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον ἡμῶν, ἀλλὰ
ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ κύριος πάσης τῆς
5 γῆς. εἶπε γάρ, οὐ ματαιωθήσεται τὰ ῥήματα τῶν λόγων αὐτοῦ. [5]σὺ δὲ Ἀχιώρ,
μισθωτὲ τοῦ Ἀμμών, ὃς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου,
οὐκ ὄψει ἔτι τὸ πρόςωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης ἕως οὗ ἐκδικήσω τὸ

14. σεινα 15. τους εσεβων εξωλεθρευσαν 17. ην μετ αυτων τα αγαθα 18. οτε δη ... εξωλεθρευθησαν ... ουχ ιδιαν 21. ιδου pro ει δε ... παρελθατω ο κυριος μη ποτε ... αυτ. περι αυτων ... εις ονειδος 22. λαλων αχειωρ ... ο κυκλω της σκηνης περιεστως 24. εις καταβρωσιν VI. 1. συνεδριας ... της δυναμεως ... των αλλοφυλων ... παντ. τους υιους 2. επροφητευσας ... om αυτων primum ... εξολεθρευσει 3. εξολεθρευσωμεν pro παταξομεν 4. μεθυσθησονται ... (παιδια ...) των νεκρων ... κατα προςωπον των ποδων ημων 5. οψη

Digitized by Google

γένος τῶν ἐξ Αἰγύπτου· [6]καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς στρατιᾶς μου 6
καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου, καὶ πεσῇ ἐν τοῖς τραυ-
ματίαις αὐτῶν ὅταν ἐπιστρέψω· [7]καὶ ἀποκαταστήσουσί σε οἱ δοῦλοί μου 7
εἰς τὴν ὀρεινὴν καὶ θήσουσί σε ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων, [8]καὶ 8
οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ' αὐτῶν. [9]καὶ εἴ περ ἐλπίζεις τῇ καρδίᾳ 9
σου ὅτι οὐ ληφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον. ἐλάλησα, καὶ οὐδὲν
διαπεσεῖται τῶν ῥημάτων μου. [10]καὶ προςέταξεν Ὀλοφέρνης τοῖς δούλοις 10
αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ αὐτοῦ, συλλαβεῖν τὸν Ἀχιὼρ καὶ
ἀποκαταστῆσαι αὐτὸν εἰς Βετυλούα καὶ παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ.
[11]καὶ συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμ- 11
βολῆς εἰς τὸ πεδίον, καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινήν, καὶ
παρεγένοντο ἐπὶ τὰς πηγὰς αἳ ἦσαν ὑποκάτω Βετυλούα. [12]καὶ ὡς εἶδαν αὐ- 12
τοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἀνέλαβον τὰ ὅπλα
αὐτῶν καὶ ἀπῆλθον ἔξω τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ πᾶς
ἀνὴρ σφενδονητὴς διεκράτησαν τὴν ἀνάβασιν αὐτῶν καὶ ἔβαλον ἐν λίθοις
ἐπ' αὐτούς. [13]καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους ἔδησαν τὸν Ἀχιὼρ καὶ 13
ἀφῆκαν ἐρριμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους, καὶ ἀπῴχοντο πρὸς τὸν κύριον
αὐτῶν. [14]καταβάντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ, 14
καὶ λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν Βετυλούα, καὶ κατέστησαν αὐτὸν ἐπὶ
τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν, [15]οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις Ὀζίας 15
ὁ τοῦ Μιχὰ ἐκ τῆς φυλῆς Συμεὼν καὶ Ἄβρὶς ὁ τοῦ Γοθονιὴλ καὶ Χαρμὶς
υἱὸς Μελχιήλ. [16]καὶ συνεκάλεσαν πάντας τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ 16
συνέδραμον πᾶς νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ
ἔστησαν τὸν Ἀχιὼρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν αὐτὸν
Ὀζίας τὸ συμβεβηκός. [17]καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ ῥήματα τῆς 17
συνεδρίας Ὀλοφέρνου, καὶ πάντα τὰ ῥήματα ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρ-
χόντων υἱῶν Ἀσσούρ, καὶ ὅσα ἐμεγαλορρημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον
Ἰσραήλ. [18]καὶ πεσόντες ὁ λαὸς προσεκύνησαν τῷ θεῷ, καὶ ἐβόησαν λέγοντες 18
[19]Κύριε ὁ θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανείας αὐτῶν, καὶ ἐλέη- 19
σον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τῶν
ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ. [20]καὶ παρεκάλεσαν τὸν Ἀχιώρ, καὶ ἐπή- 20
νεσαν αὐτὸν σφόδρα. [21]καὶ παρέλαβεν αὐτὸν Ὀζίας ἐκ τῆς ἐκκλησίας εἰς 21
οἶκον αὐτοῦ, καὶ ἐποίησε πότον τοῖς πρεσβυτέροις· καὶ ἐπεκαλέσαντο τὸν θεὸν
Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.

## VII.

Τῇ δ' ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ
παντὶ τῷ λαῷ αὐτοῦ οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν αὐτοῦ, ἀναζευγνύειν
ἐπὶ Βετυλούα καὶ τὰς ἀναβάσεις τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι καὶ ποιεῖν
πόλεμον πρὸς τοὺς υἱοὺς Ἰσραήλ. [2]καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς 2
ἀνὴρ δυνατὸς αὐτῶν· καὶ ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν χιλιάδες ἀν-
δρῶν πεζῶν ἑκατὸν ἑβδομήκοντα καὶ ἱππέων χιλιάδες δεκαδύο, χωρὶς τῆς
ἀποσκευῆς καὶ τῶν ἀνδρῶν οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα.
[3]καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον Βετυλούα ἐπὶ τῆς πηγῆς, καὶ παρ- 3
έτειναν εἰς εὖρος ἐπὶ Δωθαΐμ καὶ ἕως Βελθέμ, καὶ εἰς μῆκος ἀπὸ Βετυλούα

8. εξολεθρευθης 9. ου συλλημφθησονται ... συμπεσατω 12. απηλθεν ... εβαλλον 13. ρεριμμενον 14. δε super lineam ... οι υιοι ... επεστησ. επ αυτον ... αυτον εις τους 15. οζειας ο του χειμα ... χαβρεις ... χαλμεις 16. εμμεσω (sed μ prius in litura) 17. ελαλησαν εμμεσω ... εμεγαλορημονησεν 19. καθειδε 21. οζειας VII. 1. τη δε επαυρ. ... παντι λαω ... βαιτυλουα 2. χιλιαδες πεζων 3. δωθαειμ εως βελβαιμ ... απο βαιτυλουα

Digitized by Google

4 ἕως Κυαμῶνος ἥ ἐστιν ἀπέναντι Ἐσδρηλώμ. 4 οἱ δὲ υἱοὶ Ἰσραήλ, ὡς εἶδον
αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα, καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλη-
σίον αὐτοῦ Νῦν ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς πάσης, καὶ οὔτε
τὰ ὄρη τὰ ὑψηλὰ οὔτε αἱ φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος
5 αὐτῶν. 5 καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν καὶ ἀνακαύ-
σαντες πυρὰς ἐπὶ τοὺς πύργους αὐτῶν ἔμενον φυλάσσοντες ὅλην τὴν νύκτα
6 ἐκείνην. 6 τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν Ὀλοφέρνης πᾶσαν τὴν ἵππον
7 αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν Ἰσραὴλ οἳ ἦσαν ἐν Βετυλούᾳ, 7 καὶ ἐπεσκέ-
ψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν, καὶ τὰς πηγὰς τῶν ὑδάτων αὐτῶν
ἐφώδευσε καὶ προκατελάβετο αὐτάς, καὶ ἐπέστησεν αὐταῖς παρεμβολὰς ἀν-
8 δρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν αὐτοῦ. 8 καὶ προσελθόν-
τες αὐτῷ πάντες οἱ ἄρχοντες τῶν υἱῶν Ἡσαῦ καὶ πάντες οἱ ἡγούμενοι τοῦ
9 λαοῦ Μωὰβ καὶ οἱ στρατηγοὶ τῆς παραλίας εἶπαν 9 Ἀκουσάτω δὴ λόγον ὁ
10 δεσπότης ἡμῶν, ἵνα μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου. 10 ὁ γὰρ λαὸς
οὗτος τῶν υἱῶν Ἰσραὴλ οὐ πέποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν ἀλλ' ἐπὶ τοῖς
ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς· οὐ γάρ ἐστιν
11 εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν. 11 καὶ νῦν, δέσποτα, μὴ
πολέμει πρὸς αὐτοὺς καθὼς γίνεται πόλεμος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ
12 τοῦ λαοῦ σου ἀνὴρ εἷς. 12 ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου, διαφυλάσσων
πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς
13 πηγῆς τοῦ ὕδατος ἣ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους, 13 διότι ἐκεῖθεν
ὑδρεύονται πάντες οἱ κατοικοῦντες Βετυλούα, καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα, καὶ
ἐκδώσουσι τὴν πόλιν ἑαυτῶν· καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ
τὰς πλησίον κορυφὰς τῶν ὀρέων, καὶ παρεμβαλοῦμεν ἐπ' αὐταῖς εἰς προφυ-
14 λακὴν τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα. 14 καὶ ταχήσονται ἐν τῷ
λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ πρὶν ἐλθεῖν τὴν
ῥομφαίαν ἐπ' αὐτοὺς καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐ-
15 τῶν, 15 καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρὸν ἀνθ' ὧν ἐστασίασαν
16 καὶ οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ. 16 καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν
ἐνώπιον Ὀλοφέρνου καὶ ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ συνέτα-
17 ξαν ποιεῖν καθὼς ἐλάλησαν. 17 καὶ ἀπῆρε παρεμβολὴ υἱῶν Ἀμμών, καὶ μετ'
αὐτῶν χιλιάδες πέντε υἱῶν Ἀσσούρ, καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι καὶ προ-
18 κατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱῶν Ἰσραήλ. 18 καὶ
ἀνέβησαν υἱοὶ Ἡσαῦ καὶ οἱ υἱοὶ Ἀμμὼν καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέ-
ναντι Δωθαΐμ, καὶ ἀπέστειλαν ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι
Ἐκρεβὴλ ἥ ἐστι πλησίον Χοὺς ἥ ἐστιν ἐπὶ τοῦ χειμάῤῥου Μοχμούρ· καὶ ἡ
λοιπὴ στρατιὰ τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ καὶ ἐκάλυψαν πᾶν
τὸ πρόσωπον τῆς γῆς, καὶ αἱ σκηναὶ καὶ αἱ ἀπαρτίαι αὐτῶν κατεστρατοπέ-
19 δευσαν ἐν ὄχλῳ πολλῷ καὶ ἦσαν εἰς πλῆθος πολὺ σφόδρα. 19 καὶ οἱ υἱοὶ
Ἰσραὴλ ἀνεβόησαν πρὸς κύριον θεὸν αὐτῶν, ὅτι ὠλιγοψύχησε τὸ πνεῦμα αὐ-
τῶν, ὅτι ἐκύκλωσαν πάντες οἱ ἐχθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου
20 αὐτῶν. 20 καὶ ἔμεινε κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ἀσσούρ, οἱ πεζοὶ καὶ
τὰ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριακοντατέσσαρας· καὶ ἐξέλιπε
πάντας τοὺς κατοικοῦντας Βετυλούα πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων,
21 21 καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ οὐκ εἶχον πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν

4. om αυτων ... πασης της γης 6. εκ βαιτυλουα 8. παντες αρχοντες υιων 10. επι τοις οψεσι τ. ορaιων εν οις α. κατοικουσιν 13. βαιτυλουα ... εκδ. πολιν αυτων 15. ουχ υπηντησαν 16. οι λογοι αυτου ... συνεταξεν π. καθα 17. απηραν παρεμβολην 18. οι υιοι ησαν ... δωθαειμ ... πλησιον χουσει ... om μοχμουρ ... εκαλυψεν 19. εκυκλωσαν αυτους 20. εμενον ... εξελειπαν ... βαιτυλουα ... αγγια

Digitized by Google

μίαν, ὅτι ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν. 22 καὶ ἠϑύμησαν τὰ νήπια αὐτῶν 22
καὶ αἱ γυναῖκες αὐτῶν, καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης, καὶ ἔπι-
πτον ἐν ταῖς πλατείαις τῆς πόλεως καὶ ἐν ταῖς διόδοις τῶν πυλῶν, καὶ οὐκ
ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς. 23 καὶ ἐπισυνήχϑησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζίαν 23
καὶ τοὺς ἄρχοντας τῆς πόλεως, οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία,
καὶ ἀνεβόησαν φωνῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον πάντων τῶν πρεσβυτέρων
24 Κρίναι ὁ ϑεὸς ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν, ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀδικίαν 24
μεγάλην οὐ λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν Ἀσσούρ. 25 καὶ νῦν οὐκ ἔστι 25
βοηϑὸς ἡμῶν, ἀλλὰ πέπρακεν ἡμᾶς ὁ ϑεὸς εἰς τὰς χεῖρας αὐτῶν τοῦ κατα-
στρωϑῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ καὶ ἀπωλείᾳ μεγάλῃ. 26 καὶ νῦν ἐπικαλέ- 26
σασϑε αὐτοὺς καὶ ἔκδοσϑε τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ὀλοφέρ-
νου καὶ πάσῃ τῇ δυνάμει αὐτοῦ. 27 κρεῖσσον γὰρ ἡμῖν γενηϑῆναι αὐτοῖς εἰς 27
διαρπαγήν· ἐσόμεϑα γὰρ εἰς δούλους καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν, καὶ οὐκ
ὀψόμεϑα τὸν ϑάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφϑαλμοῖς ἡμῶν καὶ τὰς γυναῖ-
κας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς ψυχὰς αὐτῶν. 28 μαρτυρόμεϑα ὑμῖν 28
τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν ϑεὸν ἡμῶν καὶ κύριον τῶν πατέρων ἡμῶν,
ὃς ἐκδικεῖ ἡμᾶς κατὰ τὰς ἁμαρτίας ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν
πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σή-
μερον. 29 καὶ ἐγένετο κλαυϑμὸς μέγας ἐν μέσῳ τῆς ἐκκλησίας πάντων ὁμο- 29
ϑυμαδόν, καὶ ἐβόησαν πρὸς κύριον τὸν ϑεὸν φωνῇ μεγάλῃ. 30 καὶ εἶπε πρὸς 30
αὐτοὺς Ὀζίας Θαρσεῖτε, ἀδελφοί, διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας ἐν αἷς
ἐπιστρέψει κύριος ὁ ϑεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, οὐ γὰρ ἐγκατα-
λείψει ἡμᾶς εἰς τέλος· 31 ἐὰν δὲ διέλϑωσιν αὗται καὶ μὴ ἔλϑῃ ἐφ᾽ ἡμᾶς 31
βοήϑεια, ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν. 32 καὶ ἐσκόρπισε τὸν λαὸν εἰς τὴν 32
ἑαυτοῦ παρεμβολήν, καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς πύργους τῆς πόλεως αὐτῶν
ἀπῆλϑον, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἐξαπέστειλε·
καὶ ἦσαν ἐν ταπεινώσει πολλῇ ἐν τῇ πόλει.

## VIII.

Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδὶϑ ϑυγάτηρ Μεραρὶ υἱοῦ Ὢξ
υἱοῦ Ἰωσὴφ υἱοῦ Ὀζιὴλ υἱοῦ Ἐλκία υἱοῦ Ἡλιοὺ υἱοῦ Χελκίου υἱοῦ Ἐλιὰβ
υἱοῦ Ναϑαναὴλ υἱοῦ Σαλαμιὴλ υἱοῦ Σαρασαδαῒ υἱοῦ Ἰσραήλ. 2 καὶ ὁ ἀνὴρ 2
αὐτῆς Μανασσῆς, τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέϑανεν
ἐν ἡμέραις ϑερισμοῦ κριϑῶν. 3 ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ δράγμα 3
ἐν τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλϑεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ
τὴν κλίνην καὶ ἐτελεύτησεν ἐν Βετυλούᾳ τῇ πόλει αὐτοῦ, καὶ ἔϑαψαν αὐτὸν
μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωϑαῒμ καὶ Βελαμών.
4 καὶ ἦν Ἰουδὶϑ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας. 4
5 καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς, καὶ ἐπέ- 5
ϑηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον, καὶ ἦν ἐπ᾽ αὐτῆς τὰ ἱμάτια τῆς χη-
ρεύσεως αὐτῆς. 6 καὶ ἐνήστευε πάσας τὰς ἡμέρας χηρεύσεως αὐτῆς χωρὶς 6

22. ηϑυμησεν ... om αυτων secundum ... εξελειπον 23. εβοησαν 24. μετα υιων 27. γαρ ημας γενηϑηναι ... ουχ οψομεϑα ... om εν οφϑαλμ. ημων 29. εμμεσω ... χυριον ϑεον 30. οζειας ... διακαρτ. επι πεντε ... επιστρεφει 31. εαν διελϑ. 32. εαυτου πολιν· παρεμβολην· ... κ. επι τους ... εξαπεστειλαν VIII. 1. ιουδειϑ ϑυγ. μεραρει ... οζειηλ υι. ελκεια υιου ανανιου υιου γεδεων υιου ραφαῒν υιου αχιϑων υι. ηλειου υι. ελιαβ υι. ναϑ. υι. σα. υι. σαλασαδαι υι. ιηλ (i. e. ισραηλ, sed corr. est ιεηλ) 2. κριϑων ϑερισμου 3. επι τους δεσμευοντας τα δραγματα ... κλινην αυτου ... βαιτυλουα ... δωϑαειμ κ. βαλαμων 4. ιουδειϑ ... τεσσαρες 6. ενηστευσεν ... της χηρευσεως

Digitized by Google

προσαββάτων καὶ σαββάτων καὶ προνουμηνιῶν καὶ νουμηνιῶν καὶ ἑορτῶν καὶ
7 χαρμοσυνῶν οἴκου Ἰσραήλ. 7 καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφό-
δρα, καὶ ὑπελείπετο αὐτῇ Μανασσῆς ὁ ἀνὴρ αὐτῆς χρυσίον καὶ ἀργύριον καὶ
8 παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμενεν ἐπ᾽ αὐτῶν. 8 καὶ
οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν, ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα.
9 9 καὶ ἤκουσε τὰ ῥήματα τοῦ λαοῦ τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύ-
χησαν ἐπὶ τῇ σπάνει τῶν ὑδάτων, καὶ ἤκουσε πάντας τοὺς λόγους Ἰουδὶθ
οὓς ἐλάλησε πρὸς αὐτοὺς Ὀζίας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν
10 μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις. 10 καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν
ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῆς ἐκάλεσεν Ὀζίαν καὶ Χαβρὶν καὶ Χαρ-
11 μὶν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς. 11 καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶπε
πρὸς αὐτοὺς Ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων ἐν Βετυλούᾳ,
ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ
ταύτῃ, καὶ ἐστήσατε τὸν ὅρκον ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ θεοῦ καὶ ὑμῶν,
καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν ἐὰν μὴ ἐν αὐταῖς ἐπι-
12 στρέψῃ ὁ κύριος βοηθῆσαι ἡμῖν. 12 καὶ νῦν τίνες ἐστὲ ὑμεῖς οἳ ἐπειράσατε
τὸν θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον, καὶ ἵστασθε ὑπὲρ τοῦ θεοῦ ἐν μέσῳ υἱῶν
13 ἀνθρώπων; 13 καὶ νῦν κύριον παντοκράτορα ἐξετάζετε, καὶ οὐθὲν ἐπιγνώσεσθε
14 ἕως τοῦ αἰῶνος, 14 ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ εὑρήσετε, καὶ λόγους
τῆς διανοίας αὐτοῦ οὐ λήψεσθε· καὶ πῶς τὸν θεὸν ὃς ἐποίησε τὰ πάντα
ταῦτα ἐρευνήσετε, καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε, καὶ τὸν λογισμὸν αὐτοῦ
κατανοήσετε; μηδαμῶς, ἀδελφοί, μὴ παροργίζετε κύριον τὸν θεὸν ἡμῶν·
15 15 ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει
τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις, ἢ καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ
16 προσώπου τῶν ἐχθρῶν ἡμῶν. 16 ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς κυρίου
τοῦ θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεὸς ἀπειληθῆναι οὐδὲ ὡς υἱὸς ἀν-
17 θρώπου διαιτηθῆναι. 17 διόπερ ἀναμένοντες τὴν παρ᾽ αὐτοῦ σωτηρίαν ἐπικα-
λεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν ἐὰν
18 ᾖ αὐτῷ ἀρεστόν. 18 ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν οὐδὲ ἔστιν ἐν τῇ
ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ οὔτε πατριὰ οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν
οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέ-
19 ραις, 19 ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες ἡμῶν,
20 καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν. 20 ἡμεῖς δὲ ἕτερον θεὸν
οὐκ ἐπέγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι οὐχ ὑπερόψεται ἡμᾶς οὐδ᾽
21 ἀπὸ τοῦ γένους ἡμῶν. 21 ὅτι ἐν τῷ ληφθῆναι ἡμᾶς οὕτως καθήσεται πᾶσα
ἡ Ἰουδαία, καὶ προνομευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει τὴν βεβήλωσιν
22 αὐτῶν ἐκ τοῦ στόματος ἡμῶν, 22 καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ τὴν
αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας ἡμῶν ἐπιστρέψει
εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν οὗ ἐὰν δουλεύσωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς
23 πρόσκομμα καὶ εἰς ὄνειδος ἐναντίον τῶν κτωμένων ἡμᾶς. 23 ὅτι οὐ κατευθυν-
θήσεται ἡ δουλεία ἡμῶν εἰς χάριν, ἀλλ᾽ εἰς ἀτιμίαν θήσει αὐτὴν κύριος ὁ

---

6. *om και σαββατων et και νουμηνιων, ** sic: χωρις και σαββατων και προνουμηνιων προσαββατω (προσαββατω[ν] ad lineam praeced. post χωρις debebat addi) και εορτων 7. εμεινεν 9. ωλιγοψυχησεν εν τη ... ιουδειθ παντ. τ. λογ. ους ... οζειας 10. om οζιαν και ... χαβρειμ 11. κατοικουντων βαιτυλουα ... τον ορκ. τουτον ον ... επιστρεψει κυριος βοηθ. υμιν 12. ιστατε 14. *λογον (videtur) ... διαλημψεσθε ... εποιησεν παντα ... ερευνησατε ... ** κατανοησατε 15. θελει και πασαις ημεραις ... ολεθρευσαι 17. επικαλεσομεθα 18. ουδε δημος 20. εγνωμεν ... ουτε απο 21. λημφθηναι ... εκζητησει ... εκ του αιματος ημων 22. *om κ. τ. φον. τ. αδελφ. ημων (** υμων)

Digitized by Google

θεὸς ἡμῶν. [24]καὶ νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡμῶν ὅτι ἐξ 24
ἡμῶν κρέμαται ἡ ψυχὴ αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ θυσιαστή-
ριον ἐπεστήρικται ἐφ᾽ ἡμῖν. [25]παρὰ ταῦτα πάντα εὐχαριστήσωμεν κυρίῳ τῷ 25
θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς πατέρας ἡμῶν. [26]μνήσθητε ὅσα 26
ἐποίησε μετὰ Ἀβραάμ, καὶ ὅσα ἐπείρασε τὸν Ἰσαάκ, καὶ ὅσα ἐγένετο τῷ
Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λάβαν τοῦ ἀδελ-
φοῦ τῆς μητρὸς αὐτοῦ. [27]ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν τῆς 27
καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ᾽ εἰς νουθέτησιν μαστιγοῖ κύ-
ριος τοὺς ἐγγίζοντας αὐτῷ. [28]καὶ εἶπε πρὸς αὐτὴν Ὀζίας Πάντα ὅσα εἶπας 28
ἀγαθῇ καρδίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου. [29]ὅτι 29
οὐκ ἐν τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλὰ ἀπ᾽ ἀρχῆς ἡμερῶν
σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐστι τὸ πλάσμα τῆς
καρδίας σου. [30]ἀλλ᾽ ὁ λαὸς ἐδίψησε σφόδρα, καὶ ἠνάγκασαν ποιῆσαι ἡμᾶς 30
καθὰ ἐλαλήσαμεν αὐτοῖς, καὶ ἀπαγαγεῖν ὅρκον ἐφ᾽ ἡμᾶς ὃν οὐ παραβησό-
μεθα. [31]καὶ νῦν δεήθητι περὶ ἡμῶν, ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ 31
κύριος τὸν ὑετὸν εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ ἐκλείψομεν ἔτι.
[32]καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδὶθ Ἀκούσατέ μου, καὶ ποιήσω πρᾶγμα ὃ ἀφί- 32
ξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν. [33]ὑμεῖς στήσεσθε ἐπὶ τῆς 33
πύλης τὴν νύκτα ταύτην, καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἅβρας μου, καὶ ἐν
ταῖς ἡμέραις μεθ᾽ ἃς εἴπατε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν ἐπι-
σκέψεται κύριος τὸν Ἰσραὴλ ἐν χειρί μου. [34]ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν 34
πρᾶξίν μου, οὐ γὰρ ἐρῶ ὑμῖν ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ. [35]καὶ εἶπεν 35
Ὀζίας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν Πορεύου εἰς εἰρήνην, καὶ κύριος ὁ θεὸς
ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐχθρῶν ἡμῶν. [36]καὶ ἀποστρέψαντες ἐκ τῆς 36
σκηνῆς ἐπορεύθησαν ἐπὶ τὰς διατάξεις αὐτῶν.

## IX.

Ἰουδὶθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐπέθετο σποδὸν ἐπὶ τὴν κεφαλὴν
αὐτῆς, καὶ ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον· καὶ ἦν ἄρτι προσφερόμενον
ἐν Ἱερουσαλὴμ εἰς τὸν οἶκον τοῦ θεοῦ τὸ θυμίαμα τῆς ἑσπέρας ἐκείνης, καὶ
ἐβόησε φωνῇ μεγάλῃ Ἰουδὶθ πρὸς κύριον καὶ εἶπε [2]Κύριε ὁ θεὸς τοῦ πατρός 2
μου Συμεών, ᾧ ἔδωκας ἐν χειρὶ ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν, οἳ ἔλυ-
σαν μήτραν παρθένου εἰς μίασμα καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην καὶ
ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος· εἶπας γὰρ Οὐχ οὕτως ἔσται· καὶ ἐποίησαν
[3]ἀνθ᾽ ὧν ἔδωκας ἄρχοντας αὐτῶν εἰς φόνον, καὶ τὴν στρωμνὴν αὐτῶν ἣ 3
ᾐδέσατο τὴν ἀπάτην αὐτῶν εἰς αἷμα, καὶ ἐπάταξας δούλους ἐπὶ δυνάσταις
καὶ δυνάστας ἐπὶ θρόνους αὐτῶν· [4]καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν 4
καὶ θυγατέρας εἰς αἰχμαλωσίαν καὶ πάντα τὰ σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγα-
πημένων ὑπὸ σοῦ, οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν σου καὶ ἐβδελύξαντο μίασμα
αἵματος αὐτῶν καὶ ἐπεκαλέσαντό σε εἰς βοηθόν· ὁ θεὸς ὁ θεὸς ὁ ἐμός, καὶ
εἰσάκουσον ἐμοῦ τῆς χήρας. [5]σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων, καὶ ἐκεῖνα 5
καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν
ἃ ἐνενοήθης, [6]καὶ παρέστησαν ἃ ἐβουλεύσω καὶ εἶπαν Ἰδοὺ πάρεσμεν· πᾶ- 6
σαι γὰρ αἱ ὁδοί σου ἕτοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει. [7]ἰδοὺ γὰρ 7

---

24. επιστηρισαι 25. om παντα 26. ποιμαινοντος αυτου 28. οζειας ... εν αγαθη 30. αλλα ... δεδιψηκεν ... ηναγκασεν ημας ποιησαι ... και επηγαγεν εφ ημας ορκον 32. ιουδειθ 34. εξερευνησατε ... ου γαρ αναγγελω υμιν 35. οζειας IX. 1. ιουδειθ ... οικον του κυριου του θυμιαματος ... φωνην μεγαλην ιουδειθ 3. om αυτων sec. ... ηδεσατο την απατηθεισαν εις ... om δυνασταις και 4. θυγατερ. αυτων ... σκυλα αυτων ... om οι ... ο θεος θεος εμος εισακουσον μου 5. και μετεπειτα 6. αι κρισεις

Digitized by Google

Ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ' ἵππῳ καὶ ἀναβάτῃ,
ἐγαυρίασαν ἐν βραχίονι πεζῶν, ἤλπισαν ἐν ἀσπίδι καὶ ἐν γαισῷ καὶ τόξῳ
8 καὶ σφενδόνῃ, καὶ οὐκ ἔγνωσαν ὅτι σὺ εἶ κύριος συντρίβων πολέμους. [8] κύριος
ὄνομά σοι· σὺ ῥάξον αὐτῶν τὴν ἰσχὺν ἐν δυνάμει σου, καὶ κάταξον τὸ κρά-
τος αὐτῶν ἐν τῷ θυμῷ σου· ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου, μιᾶ-
ναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης σου, καὶ κατα-
9 βαλεῖν σιδήρῳ κέρας θυσιαστηρίου σου. [9] βλέψον εἰς ὑπερηφανίαν αὐτῶν, ἀπό-
στειλον τὴν ὀργήν σου εἰς κεφαλὰς αὐτῶν, δὸς ἐν χειρί μου τῆς χήρας ὃ
10 διενοήθην κράτος. [10] πάταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου ἐπ' ἄρχοντι καὶ
ἄρχοντα ἐπὶ θεράποντι αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστεμα ἐν χειρὶ θηλείας.
11 [11] οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία σου ἐν ἰσχύουσιν, ἀλλὰ
ταπεινῶν εἶ θεός, ἐλαττόνων εἶ βοηθός, ἀντιλήπτωρ ἀσθενούντων, ἀπεγνω-
12 σμένων σκεπαστής, ἀπηλπισμένων σωτήρ. [12] ναὶ ναὶ ὁ θεὸς τοῦ πατρός μου
καὶ θεὸς κληρονομίας Ἰσραήλ, δέσποτα τῶν οὐρανῶν καὶ τῆς γῆς, κτίστα
τῶν ὑδάτων, βασιλεῦ πάσης κτίσεώς σου, σὺ εἰςάκουσον τῆς δεήσεώς μου,
13 [13] καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα καὶ μώλωπα αὐτῶν, οἳ κατὰ
τῆς διαθήκης σου καὶ οἴκου ἡγιασμένου σου καὶ κορυφῆς Σιὼν καὶ οἴκου
14 κατασχέσεως υἱῶν σου ἐβουλεύσαντο σκληρά. [14] καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος
σου καὶ πάσης φυλῆς ἐπίγνωσιν, τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ θεὸς πάσης δυνά-
μεως καὶ κράτους, καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων τοῦ γένους Ἰσραὴλ εἰ
μὴ σύ.

## X.

Καὶ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν θεὸν Ἰσραὴλ καὶ συνετέλεσε
2 πάντα τὰ ῥήματα ταῦτα, [2] καὶ ἀνέστη ἀπὸ τῆς πτώσεως καὶ ἐκάλεσε τὴν
ἅβραν αὐτῆς, καὶ κατέβη εἰς τὸν οἶκον ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέ-
3 ραις τῶν σαββάτων καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς, [3] καὶ περιείλατο τὸν σάκκον
ὃν ἐνεδεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς, καὶ περιε-
κλύσατο τὸ σῶμα ὕδατι καὶ ἐχρίσατο μύρῳ παχεῖ, καὶ διέταξε τὰς τρίχας
τῆς κεφαλῆς αὐτῆς καὶ ἐπέθετο μίτραν ἐπ' αὐτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια
τῆς εὐφροσύνης αὐτῆς ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀν-
4 δρὸς αὐτῆς Μανασσῆ. [4] καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς, καὶ περιέ-
θετο τοὺς χλιδῶνας καὶ τὰ ψέλλια καὶ τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ
πάντα τὸν κόσμον αὐτῆς· καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν
5 ἀνδρῶν ὅσοι ἂν ἴδωσιν αὐτήν. [5] καὶ ἔδωκε τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου
καὶ καμψάκην ἐλαίου, καὶ πήραν ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων
καθαρῶν, καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα αὐτῆς καὶ ἐπέθηκεν ἐπ' αὐτῇ.
6 [6] καὶ ἐξήλθοσαν ἐπὶ τὴν πύλην τῆς πόλεως Βετυλούα, καὶ εὕροσαν ἐφεστῶ-
τας ἐπ' αὐτῆς Ὀζίαν καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως Χαβρὶν καὶ Χαρμίν.
7 [7] ὡς δὲ εἶδον αὐτήν, καὶ ἦν ἠλλοιωμένον τὸ πρόςωπον αὐτῆς, καὶ τὴν στο-
λὴν μεταβεβληκυῖαν αὐτῆς, καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ
8 σφόδρα, καὶ εἶπαν αὐτῇ [8] Ὁ θεὸς ὁ θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς
χάριν, καὶ τελειῶσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ καὶ
9 ὕψωμα Ἱερουσαλήμ. καὶ προσεκύνησε τῷ θεῷ, [9] καὶ εἶπε πρὸς αὐτούς Ἐπι-
τάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξελεύσομαι εἰς τελείωσιν τῶν

---

7. om και εν γαισω 8. om και ante καταβαλειν 10. (απαρτης ...) αναστημα 11. δυναστια ... κυριος pro θεος ... αντιλημπτωρ 12. ναι ναι θεος ... βασιλευς 13. κορυφην 14. επι παντος εθνους ... ει ο θεος θεος X. 3. ον ενεδιδυσκετο ... εν αις εστολ. 4. ψελια ... εις απαντησιν 5. καψακην ... αγγια ... επεθηκεν αυτη 6. βαιτυλουα ... εφεστωτα αυτη οζειαν ... χαβρειν κ. χαρμειν 7. αυτης εθαυμασαν 8. om ο θεος alterum

Digitized by Google

λόγων ὧν ἐλαλήσατε μετ' ἐμοῦ· καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ
καθότι ἐλάλησαν. [10]καὶ ἐποίησαν οὕτως· καὶ ἐξῆλθεν Ἰουδίθ, αὐτὴ καὶ ἡ 10
παιδίσκη αὐτῆς μετ' αὐτῆς· ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως
ἕως οὗ κατέβη τὸ ὄρος, ἕως διῆλθε τὸν αὐλῶνα καὶ οὐκ ἔτι ἐθεώρουν αὐτήν.
[11]καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυλακὴ 11
τῶν Ἀσσυρίων. [12]καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν Τίνων εἶ, καὶ πόθεν 12
ἔρχῃ, καὶ ποῦ πορεύῃ; καὶ εἶπε Θυγάτηρ εἰμὶ τῶν Ἑβραίων, καὶ ἀποδιδρά-
σκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσι δίδοσθαι ὑμῖν εἰς κατάβρωμα. [13]κἀγὼ 13
ἔρχομαι εἰς τὸ πρόσωπον Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ ἀναγ-
γεῖλαι ῥήματα ἀληθείας, καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδὸν καθ' ἣν πορεύ-
σεται καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ
σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. [14]ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς, 14
καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς, καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ
κάλλει σφόδρα, καὶ εἶπαν πρὸς αὐτήν [15]Σέσωκας τὴν ψυχήν σου σπεύσασα 15
καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν
αὐτοῦ, καὶ ἀφ' ἡμῶν προπέμψουσί σε ἕως παραδώσουσί σε εἰς τὰς χεῖρας
αὐτοῦ. [16]ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγ- 16
γειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε ποιήσει. [17]καὶ ἐπέλεξαν ἐξ αὐτῶν 17
ἄνδρας ἑκατόν, καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς
ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου. [18]καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ, 18
διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν
αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς Ὀλοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ
αὐτῆς. [19]καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς, καὶ ἐθαύμαζον τοὺς υἱοὺς 19
Ἰσραὴλ ἀπ' αὐτῆς, καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Τίς καταφρονή-
σει τοῦ λαοῦ τούτου ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν ἐστιν
ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι
πᾶσαν τὴν γῆν. [20]καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες Ὀλοφέρνῃ καὶ πάντες οἱ 20
θεράποντες αὐτοῦ, καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. [21]καὶ ἦν Ὀλοφέρνης 21
ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ πορφύρας καὶ
χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένων. [22]καὶ ἀνήγγειλαν 22
αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προά-
γουσαι αὐτοῦ. [23]ὡς δὲ ἦλθε κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ καὶ τῶν θεραπόν- 23
των αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς· καὶ πε-
σοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

## XI.

Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης Θάρσησον, γύναι, μὴ φοβηθῇς τῇ καρ-
δίᾳ σου, ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον ὅστις ἡρέτικε δουλεύειν βασιλεῖ Να-
βουχοδονόσορ πάσης τῆς γῆς. [2]καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρεινήν, εἰ 2
μὴ ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ' αὐτούς, ἀλλ' αὐτοὶ ἑαυτοῖς
ἐποίησαν ταῦτα. [3]καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας ἀπ' αὐτῶν καὶ ἦλθες 3
πρὸς ἡμᾶς· ἥκεις γὰρ εἰς σωτηρίαν· θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ καὶ εἰς
τὸ λοιπόν· [4]οὐ γὰρ ἔστιν ὃς ἀδικήσει σε, ἀλλ' εὖ σε ποιήσει καθὰ γίνεται τοῖς 4
δούλοις τοῦ κυρίου μου βασιλέως Ναβουχοδονόσορ. [5]καὶ εἶπε πρὸς αὐτὸν Ἰου- 5
δὶθ Δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ παιδίσκη σου κατὰ
πρόσωπόν σου, καὶ οὐκ ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ.

---

9. καθοτι ελαλησεν 10. ιουδειθ ... om μετ αυτης ... εως ου διηλθεν ... εθεωρουσαν 13. απαγγειλαι 14. θαυμασια 15. εις χειρας 16. και ευθη σε ποιησει 18. ιστηκει 19. ** απο αυτης (* ab εθαυμαζον ad εθαυμαζον transiluerat) ... ειπαν εκαστος ... εξ αυτων υπολειπεσθαι 21. κωνωπιω 23. ιουδειθ XI. 1. ηρετισεν 2. εφαυλισεν ... αλλα αυτοι 3. ενεκα 5. ιουδειθ



Digitized by Google

6 [6]καὶ ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα
ποιήσει μετὰ σοῦ ὁ θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμά-
7 των αὐτοῦ. [7]ζῇ γὰρ βασιλεὺς Ναβουχοδονόσορ πάσης τῆς γῆς καὶ ζῇ τὸ κράτος
αὐτοῦ, ὃς ἀπέστειλέ σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι
διὰ σὲ δουλεύουσιν αὐτῷ, ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ
πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ καὶ
8 πάντα τὸν οἶκον αὐτοῦ. [8]ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ πανουργεύ-
ματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι σὺ μόνος ἀγαθὸς ἐν πάσῃ
βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ καὶ θαυμαστὸς ἐν στρατεύμασι πολέμου.
9 [9]καὶ νῦν ὁ λόγος ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρείᾳ σου, ἠκούσαμεν τὰ ῥή-
ματα αὐτοῦ, ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βετυλούα, καὶ ἀνήγγειλεν
10 αὐτοῖς πάντα ὅσα ἐξελάλησε παρὰ σοί. [10]διό, δέσποτα κύριε, μὴ παρέλθῃς
τὸν λόγον αὐτοῦ ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου, ὅτι ἀληθής ἐστιν· οὐ
γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ κατισχύει ῥομφαία ἐπ᾽ αὐτοὺς ἐὰν μὴ ἁμάρ-
11 τωσιν εἰς τὸν θεὸν αὐτῶν. [11]καὶ νῦν ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ
ἄπρακτος, καὶ ἐπιπεσεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐ-
τοὺς ἁμάρτημα ἐν ᾧ παροργιοῦσι τὸν θεὸν αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτο-
12 πίαν. [12]ἐπεὶ γὰρ ἐξέλιπεν αὐτοὺς τὰ βρώματα καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβου-
λεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν, καὶ πάντα ὅσα διεστείλατο αὐτοῖς ὁ
13 θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν διέγνωσαν δαπανῆσαι. [13]καὶ τὰς ἀπαρ-
χὰς τοῦ σίτου καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἃ διεφύλαξαν ἁγιά-
σαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκόσιν ἐν Ἱερουσαλὴμ ἀπέναντι τοῦ προςώπου
τοῦ θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς χερσὶ καθῆκεν ἅψα-
14 σθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ. [14]καὶ ἀπεστάλκασιν εἰς Ἱερουσαλήμ, ὅτι καὶ
οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα, τοὺς μετοικίσαντας αὐτοῖς τὴν ἄφεσιν
15 παρὰ τῆς γερουσίας. [15]καὶ ἔσται ὡς ἂν ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσι, δο-
16 θήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [16]ὅθεν ἐγὼ ἡ δούλη σου ἐπι-
γνοῦσα ταῦτα πάντα ἀπέδρων ἀπὸ προςώπου αὐτῶν, καὶ ἀπέστειλέ με ὁ θεὸς
ποιῆσαι μετὰ σοῦ πράγματα ἐφ᾽ οἷς ἐκστήσεται πᾶσα ἡ γῆ ὅσοι ἐὰν ἀκού-
17 σωσιν αὐτά. [17]ὅτι ἡ δούλη σου θεοσεβής ἐστι, καὶ θεραπεύουσα νυκτὸς καὶ
ἡμέρας τὸν θεὸν τοῦ οὐρανοῦ· καὶ νῦν μενῶ παρὰ σοί, κύριέ μου, καὶ ἐξε-
λεύσεται ἡ δούλη σου κατὰ νύκτα εἰς τὴν φάραγγα καὶ προςεύξομαι πρὸς
18 τὸν θεόν, καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν. [18]καὶ ἐλθοῦσα
προςανοίσω σοι, ἐξελεύσῃ σὺν πάσῃ τῇ δυνάμει σου, καὶ οὐκ ἔστιν ὃς ἀντι-
19 στήσεταί σοι ἐξ αὐτῶν. [19]καὶ ἄξω σε διὰ μέσου τῆς Ἰουδαίας ἕως τοῦ ἐλθεῖν
ἀπέναντι Ἱερουσαλήμ, καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις
αὐτοὺς ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν· καὶ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐ-
τοῦ ἀπέναντί σου, ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν μου καὶ ἀπηγγέλη
20 μοι, καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι. [20]καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον
Ὀλοφέρνου καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ
21 τῇ σοφίᾳ αὐτῆς καὶ εἶπαν [21]Οὐκ ἔστι τοιαύτη γυνὴ ἀπ᾽ ἄκρου ἕως ἄκρου
22 τῆς γῆς καλῷ προςώπῳ καὶ συνέσει λόγων. [22]καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρ-
νης Εὖ ἐποίησεν ὁ θεὸς ἀποστείλας σε ἔμπροσθεν τοῦ λαοῦ, τοῦ γενηθῆναι
23 ἐν χερσὶν ἡμῶν κράτος ἐν δὲ τοῖς φαυλίσασι τὸν κύριόν μου ἀπώλειαν. [23]καὶ
νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου· ὅτι ἐὰν

---

7. ο βασιλευς πασ. τ. γ. ναβουχοδ. 8. πανουργηματα τ. ψ. σου, α και ... παση τη βασ. 9. συνεδρια ... βαιτυλουα 10. δη pro δια ... εστιν αληθης ... ημων ος κατισχυι 11. επι προσωπου αυτων και καταλαβοι ... οπηνικα εαν 12. επει παρεξελειπεν α. τα βρ. αυτων ... om εν 13. om ἃ ... ων ουδεν ταις 15. ως εαν 17. αναγγελει pro ερει 18. και εξελευση 19. οτι μοι ταυτα ελαληθη ... ανηγγελη 21. εν καλω 22. απωλεια

ποιήσῃς καϑὰ ἐλάλησας, ὁ ϑεός σου ἔσται μου ϑεός, καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβουχοδονόσορ καϑήσῃ, καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν.

## XII.

Καὶ ἐκέλευσεν εἰςαγαγεῖν αὐτὴν οὗ ἐτίϑετο τὰ ἀργυρώματα αὐτοῦ, καὶ
συνέταξε καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων αὐτοῦ καὶ τοῦ οἴνου αὐ-
τοῦ πίνειν. [2] καὶ εἶπεν Ἰουδὶϑ Οὐ φάγομαι ἐξ αὐτῶν ἵνα μὴ γένηται σκάν- 2
δαλον, ἀλλ᾽ ἐκ τῶν ἠκολουϑηκότων μοι χορηγηϑήσεται. [3] καὶ εἶπε πρὸς αὐτὴν 3
Ὀλοφέρνης Ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόϑεν ἐξοίσομέν σοι δοῦναι
ὅμοια αὐτοῖς; οὐ γάρ ἐστι μεϑ᾽ ἡμῶν ἐκ τοῦ ἔϑνους σου. [4] καὶ εἶπεν Ἰουδὶϑ 4
πρὸς αὐτόν Ζῇ ἡ ψυχή σου, κύριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ
ὄντα μετ᾽ ἐμοῦ ἕως ἂν ποιήσῃ κύριος ἐν χειρί μου ἃ ἐβουλεύσατο. [5] καὶ ἠγά- 5
γοσαν αὐτὴν οἱ ϑεράποντες Ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσε μέχρι
μεσούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἑωϑινὴν φυλακήν, [6] καὶ ἀπέστειλε 6
πρὸς Ὀλοφέρνην λέγουσα Ἐπιταξάτω δὴ ὁ κύριός μου ἐᾶσαι τὴν δούλην
σου ἐπὶ προςευχὴν ἐξελϑεῖν. [7] καὶ προςέταξεν Ὀλοφέρνης τοῖς σωματοφύλαξι 7
μὴ διακωλύειν αὐτήν· καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς, καὶ
ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βετυλούα, καὶ ἐβαπτίζετο ἐν τῇ
παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. [8] καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ κυρίου 8
ϑεοῦ Ἰσραὴλ κατευϑῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀνάστεμα τῶν υἱῶν τοῦ λαοῦ
αὐτοῦ. [9] καὶ εἰςπορευομένη καϑαρὰ παρέμενε τῇ σκηνῇ, μέχρις οὗ προςηνέγ- 9
κατο τὴν τροφὴν αὐτῆς πρὸς ἑσπέραν. [10] καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τε- 10
τάρτῃ ἐποίησεν Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις, καὶ οὐκ ἐκά-
λεσεν εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις. [11] καὶ εἶπε Βαγώᾳ τῷ 11
εὐνούχῳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ Πεῖσον δὴ πορευϑεὶς τὴν
γυναῖκα τὴν Ἑβραίαν ἥ ἐστι παρὰ σοὶ τοῦ ἐλϑεῖν πρὸς ἡμᾶς καὶ φαγεῖν
καὶ πιεῖν μεϑ᾽ ἡμῶν. [12] ἰδοὺ γὰρ αἰσχρὸν τῷ προςώπῳ ἡμῶν εἰ γυναῖκα 12
τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ· ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώ-
μεϑα, καταγελάσεται ἡμῶν. [13] καὶ ἐξῆλϑε Βαγώας ἀπὸ προςώπου Ὀλοφέρ- 13
νου, καὶ εἰςῆλϑε πρὸς αὐτὴν καὶ εἶπε Μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ
αὕτη ἐλϑοῦσα πρὸς τὸν κύριόν μου δοξασϑῆναι κατὰ πρόςωπον αὐτοῦ, καὶ
πιέσαι μεϑ᾽ ἡμῶν εἰς εὐφροσύνην οἶνον, καὶ γενηϑῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ
ὡς ϑυγάτηρ μία τῶν υἱῶν Ἀσσοὺρ αἳ παρεστήκασιν ἐν οἴκῳ Ναβουχοδονό-
σορ. [14] καὶ εἶπε πρὸς αὐτὸν Ἰουδὶϑ Καὶ τίς εἰμι ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ 14
μου; ὅτι πᾶν ὃ ἔσται ἐν τοῖς ὀφϑαλμοῖς αὐτοῦ ἀρεστὸν σπεύσασα ποιήσω, καὶ
ἔσται τοῦτο ἀγαλλίαμα ἕως ἡμέρας ϑανάτου μου. [15] καὶ διαναστᾶσα ἐκοσμήϑη 15
τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ· καὶ προςῆλϑεν ἡ δούλη
αὐτῆς καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ ἔλαβε
παρὰ Βαγώου εἰς τὴν καϑημερινὴν δίαιταν αὐτῆς εἰς τὸ ἐσϑίειν κατακλινο-
μένην ἐπ᾽ αὐτῶν. [16] καὶ εἰςελϑοῦσα ἀνέπεσεν Ἰουδὶϑ, καὶ ἐξέστη ἡ καρδία 16
Ὀλοφέρνου ἐπ᾽ αὐτήν, καὶ ἐσαλεύϑη ἡ ψυχὴ αὐτοῦ· καὶ ἦν κατεπίϑυμος
σφόδρα τοῦ συγγενέσϑαι μετ᾽ αὐτῆς, καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν
ἀφ᾽ ἧς ἡμέρας εἶδεν αὐτήν. [17] καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης Πίε δὴ καὶ 17
γενήϑητι μεϑ᾽ ἡμῶν εἰς εὐφροσύνην. [18] καὶ εἶπεν Ἰουδὶϑ Πίομαι δή, κύριε, 18

---

23. ποιησεις XII. 1. αργυρ. αυτου και συνετ. κατ. αυτην ... πιειν 2. ιουδειϑ ... αλλα εκ 3. εαν εκλειπη ... ποϑεν εξομεν σοι δ. τα ... γενους σου 4. ιουδειϑ 5. μεσουσης νυκτος ... περι την 6. εξελϑ. επι προςευχ. 7. βαιτυλουα 8. κ. εως ανεβη, εδετο κυριου ... αναστημα 9. κ. εις π. καϑα παρ. εν τη ... μεχρι ου ... τρυφην 10. εις την κλησιν 13. και πιειν μεϑ υμων εις ευφρ. (sed inde ab ειν μεϑ **; *om εις ευφρ.) 14. ιουδειϑ ... και εσται μοι τουτο ... om μου 15. αναστασα ... om και παντι τω κοσμω ... εναντιον ... ελαβον 16. 18. ιουδειϑ



Digitized by Google

ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς
19 γενέσεώς μου. [19]καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐτοῦ ἃ ἡτοίμασεν
20 ἡ δούλη αὐτῆς. [20]καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ' αὐτῆς, καὶ ἔπιεν οἶνον πο-
λὺν σφόδρα ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ' οὗ ἐγεννήθη.

## XIII.

Ὡς δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν· καὶ Βα-
γώας συνέκλεισε τὴν σκηνὴν ἔξωθεν, καὶ ἀπέκλεισε τοὺς παρεστῶτας ἐκ προς-
ώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν· ἦσαν γὰρ πάν-
2 τες κεκοπωμένοι διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον. [2]ὑπελείφθη δὲ Ἰουδὶθ
μόνη ἐν τῇ σκηνῇ, καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ· ἦν
3 γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος. [3]καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι
ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς καθάπερ καθ' ἡμέ-
ραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησε
4 κατὰ τὰ ῥήματα ταῦτα. [4]καὶ ἀπῆλθοσαν πάντες ἐκ προσώπου, καὶ οὐδεὶς
κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ στᾶσα Ἰουδὶθ παρὰ
τὴν κλίνην αὐτοῦ εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς Κύριε ὁ θεὸς πάσης δυνάμεως,
ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου εἰς ὕψωμα Ἱερου-
5 σαλήμ, [5]ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου καὶ ποιῆσαι τὸ
6 ἐπιτήδευμά σου εἰς θραῦμα ἐχθρῶν οἳ ἐπανέστησαν ἡμῖν. [6]καὶ προσελθοῦσα τῷ
κανόνι τῆς κλίνης ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου καθεῖλε τὸν ἀκινάκην αὐ-
7 τοῦ ἀπ' αὐτοῦ, [7]καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς
8 αὐτοῦ, καὶ εἶπεν Κραταίωσόν με ὁ θεὸς Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ταύτῃ. [8]καὶ
ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύϊ αὐτῆς, καὶ ἀφεῖλε τὴν κε-
9 φαλὴν αὐτοῦ ἀπ' αὐτοῦ, [9]καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς,
καὶ ἀφεῖλε τὸ κωνωπεῖον ἀπὸ τῶν στύλων· καὶ μετ' ὀλίγον ἐξῆλθε, καὶ παρέ-
10 δωκε τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου, [10]καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν
πήραν τῶν βρωμάτων αὐτῆς· καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐ-
τῶν. καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην, καὶ
11 προσανέβησαν τὸ ὄρος Βετυλούα, καὶ ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς. [11]καὶ
εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν Ἀνοίξατε ἀνοίξατε
δὴ τὴν πύλην· μεθ' ἡμῶν ὁ θεὸς ὁ θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ
12 καὶ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ σήμερον ἐποίησε. [12]καὶ ἐγένετο ὡς
ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ
καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ συνεκάλεσαν τοὺς πρεσβυ-
13 τέρους τῆς πόλεως. [13]καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, ὅτι
παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν, καὶ ἤνοιξαν τὴν πύλην καὶ ὑπεδέξαντο
14 αὐτάς, καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περιεκύκλωσαν αὐτάς. [14]ἡ δὲ εἶπε πρὸς
αὐτοὺς φωνῇ μεγάλῃ Αἰνεῖτε τὸν θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν θεὸν ὃς οὐκ ἀπέ-
στησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραήλ, ἀλλ' ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν
15 διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ. [15]καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας
ἔδειξε καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ἡ κεφαλὴ Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως
Ἀσσούρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ, καὶ
16 ἐπάταξεν αὐτὸν ὁ κύριος ἐν χειρὶ θηλείας. [16]καὶ ζῇ κύριος ὃς διεφύλαξέ με
ἐν τῇ ὁδῷ μου ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώ-

---

19. επιεν και εφαγεν 20. om πωποτε εν ημ. μια XIII. 2. ιουδειθ ... om εν τη σκηνη ... κλινην εαυτου 3. ιουδειθ 4. προσωπου αυτης ... ιουδειθ ... επιβλεψον τη 5. θραυσμα 6. ακειναχην 7. με κυριε ο 9. τον κωνωπιον 10. εθισμ. αυτων επι την προσευχην ... φαραγγαν ... βαιτυλουα 11. ιουδειθ ... Ανοιξατε δη ανοιξ. την 12. επι την πυλην 14. Αιν. τ. κυριον, αιν. αιν. τ. κυριον οτι ουκ 15. το κωνωπιον αυτου εν 16. ο κυριος

Digitized by Google

λειαν αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ' ἐμοῦ εἰς μίασμα καὶ αἰσχύ-
νην. [17] καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα, καὶ κύψαντες προςεκύνησαν τῷ θεῷ 17
καὶ εἶπαν ὁμοθυμαδόν Εὐλογητὸς εἶ ὁ θεὸς ἡμῶν ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ
τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου. [18] καὶ εἶπεν αὐτῇ Ὀζίας Εὐλογητὴ 18
σὺ θυγάτηρ τῷ θεῷ τῷ ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς,
καὶ εὐλογημένος κύριος ὁ θεὸς ὃς ἔκτισε τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ὃς κατεύ-
θυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν, [19] ὅτι οὐκ ἀποστήσεται 19
ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν θεοῦ ἕως αἰῶνος.
[20] καὶ ποιῆσαί σοι αὐτὰ ὁ θεὸς εἰς ὕψος αἰώνιον τοῦ ἐπισκέψασθαί σε ἐν 20
ἀγαθοῖς, ἀνθ' ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους
ἡμῶν, ἀλλ' ἐπεξῆλθες πτώματι ἡμῶν ἐπ' εὐθεῖαν πορευθεῖσα ἐνώπιον τοῦ
θεοῦ ἡμῶν. καὶ εἶπαν πᾶς ὁ λαός Γένοιτο γένοιτο.

## XIV.

Καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδὶθ Ἀκούσατε δή μου, ἀδελφοί, καὶ λαβόν-
τες τὴν κεφαλὴν ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως τοῦ τείχους
ὑμῶν. [2] καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος καὶ ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν 2
γῆν, ἀναλήψεσθε ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν καὶ ἐξελεύσεσθε πᾶς
ἀνὴρ ἰσχύων ἔξω τῆς πόλεως, καὶ δώσετε ἀρχηγὸν εἰς αὐτούς, ὡς καταβαίνον-
τες ἐπὶ τὸ πεδίον εἰς τὴν προφυλακὴν υἱῶν Ἀσσούρ, καὶ οὐ καταβήσεσθε.
[3] καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὴν παρεμβολὴν 3
αὐτῶν καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως Ἀσσούρ, καὶ συνδραμοῦν-
ται ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ οὐχ εὑρήσουσιν αὐτόν· καὶ ἐπιπεσεῖται ἐπ'
αὐτοὺς φόβος, καὶ φεύξονται ἀπὸ προσώπου ὑμῶν. [4] καὶ ἐπακολουθήσαντες 4
ὑμεῖς καὶ πάντες οἱ κατοικοῦντες πᾶν ὅριον Ἰσραὴλ καταστρώσατε αὐτοὺς
ἐν ταῖς ὁδοῖς αὐτῶν. [5] πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα καλέσατέ μοι Ἀχιὼρ τὸν 5
Ἀμμανίτην, ἵνα ἰδὼν ἐπιγνῷ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ αὐ-
τὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς. [6] καὶ ἐκάλεσαν τὸν Ἀχιὼρ ἐκ τοῦ 6
οἴκου Ὀζία· ὡς δὲ ἦλθε καὶ εἶδε τὴν κεφαλὴν Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς
ἑνὸς ἐν τῇ ἐκκλησίᾳ τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐξελύθη τὸ πνεῦμα
αὐτοῦ. [7] ὡς δὲ ἀνέλαβον αὐτόν, προςέπεσε τοῖς ποσὶν Ἰουδὶθ καὶ προςεκύ- 7
νησε τῷ προσώπῳ αὐτῆς καὶ εἶπεν Εὐλογημένη σὺ ἐν παντὶ σκηνώματι Ἰούδα
καὶ ἐν παντὶ ἔθνει, οἵτινες ἀκούσαντες τὸ ὄνομά σου ταραχθήσονται. [8] καὶ νῦν 8
ἀνάγγειλόν μοι ὅσα ἐποίησας ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἀπήγγειλεν αὐτῷ
Ἰουδὶθ ἐν μέσῳ τοῦ λαοῦ πάντα ὅσα ἦν πεποιηκυῖα, ἀφ' ἧς ἡμέρας ἐξῆλ-
θεν ἕως οὗ ἐλάλει αὐτοῖς. [9] ὡς δὲ ἐπαύσατο λαλοῦσα, ἠλάλαξεν ὁ λαὸς φωνῇ 9
μεγάλῃ καὶ ἔδωκε φωνὴν εὐφρόσυνον ἐν τῇ πόλει αὐτῶν. [10] ἰδὼν δὲ Ἀχιὼρ 10
πάντα ὅσα ἐποίησεν ὁ θεὸς τοῦ Ἰσραήλ, ἐπίστευσε τῷ θεῷ σφόδρα, καὶ
περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ, καὶ προσετέθη πρὸς τὸν οἶ-
κον Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης. [11] ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη, καὶ ἐκρέ- 11
μασαν τὴν κεφαλὴν Ὀλοφέρνου ἐκ τοῦ τείχους, καὶ ἀνέλαβε πᾶς ἀνὴρ
Ἰσραὴλ τὰ ὅπλα αὐτοῦ καὶ ἐξήλθοσαν κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις τοῦ
ὄρους. [12] οἱ δὲ υἱοὶ Ἀσσοὺρ ὡς εἶδον αὐτούς, διέπεμψαν ἐπὶ τοὺς ἡγουμέ- 12
νους αὐτῶν· οἱ δὲ ἦλθον ἐπὶ στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρ-
χοντα αὐτῶν. [13] καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ εἶπαν τῷ 13
ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ Ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ

---

17. *ειπον 18. οζειας Ευλογημενη ει συ ... (ο εκτισεν ...) om ημων 20. τω πτωματι ... om γενοιτο alterum XIV. 1. ιουδειθ 2. ηνικα εαν ... αναλημψεσθε ... εξελευσεται ... δωσεται 3. εις τας παρεμβολας 5. οικον ισραηλ 6. οζεια 7. ανελαβεν ... ιουδειθ 8. ιουδειθ 9. ευφροσυνης 10. εις τον οικον 11. δε ορθρος ανεβη, εκρεμασαν ... om ισραηλ ... σπειραν 12. επι τους στρατηγους ... εξολεθρευθωσιν

Digitized by Google

δοῦλοι καταβαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον, ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.
14 [14]καὶ εἰςῆλθε Βαγώας καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς· ὑπενοεῖτο γὰρ
15 καθεύδειν αὐτὸν μετὰ Ἰουδὶθ. [15]ὡς δὲ οὐδεὶς ἐπήκουσε, διαστείλας εἰςῆλ-
θεν εἰς τὸν κοιτῶνα, καὶ εὗρεν αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐῤῥιμμένον νεκρόν,
16 καὶ ἡ κεφαλὴ αὐτοῦ ἀφῄρητο ἀπ' αὐτοῦ. [16]καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ
κλαυθμοῦ καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.
17 [17]καὶ εἰςῆλθεν εἰς τὴν σκηνὴν οὗ ἦν Ἰουδὶθ καταλύουσα, καὶ οὐχ εὗρεν αὐ-
18 τήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν κράζων [18]Ἠθέτησαν οἱ δοῦλοι, ἐποίησεν
αἰσχύνην μία γυνὴ τῶν Ἑβραίων εἰς τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονό-
19 σορ, ὅτι ἰδοὺ Ὀλοφέρνης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ. [19]ὡς
δὲ ἤκουσαν ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ἀσσούρ, τοὺς χι-
τῶνας αὐτῶν διέῤῥηξαν, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτῶν σφόδρα, καὶ ἐγένετο
αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβολῆς.

## XV.

Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέστησαν ἐπὶ τὸ γεγο-
2 νός, [2]καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, καὶ οὐκ ἦν ἄνθρωπος μέ-
νων κατὰ πρόςωπον τοῦ πλησίον ἔτι, ἀλλ' ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον
3 ἐπὶ πᾶσαν ὁδὸν τοῦ πεδίου καὶ τῆς ὀρεινῆς. [3]καὶ οἱ παρεμβεβληκότες ἐν τῇ
ὀρεινῇ κύκλῳ Βετυλούα καὶ ἐτράπησαν εἰς φυγήν· καὶ τότε οἱ υἱοὶ Ἰσραὴλ
4 πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν ἐξεχύθησαν ἐπ' αὐτούς. [4]καὶ ἀπέστειλεν
Ὀζίας εἰς Βαιτομασθαὶμ καὶ Χωβαὶ καὶ Χωλὰ καὶ εἰς πᾶν ὅριον Ἰσραὴλ
τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελεσμένων, καὶ ἵνα πάντες ἐπεχυθῶσι
5 τοῖς πολεμίοις εἰς τὴν ἀναίρεσιν αὐτῶν. [5]ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ,
πάντες ὁμοθυμαδὸν ἐπέπεσον ἐπ' αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβά.
ὡςαύτως δὲ καὶ οἱ ἐξ Ἱερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ πάσης τῆς ὀρει-
νῆς, ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γεγονότα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν·
καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γαλιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ με-
6 γάλῃ, ἕως οὗ παρῆλθον Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς. [6]οἱ δὲ λοιποὶ οἱ
κατοικοῦντες Βετυλούα ἐπέπεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ καὶ ἐπρονόμευσαν
7 αὐτούς, καὶ ἐπλούτησαν σφόδρα. [7]οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψαντες ἀπὸ
τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι καὶ ἐπαύλεις ἐν τῇ ὀρεινῇ
8 καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύρων, ἦν γὰρ πλῆθος πολὺ σφόδρα. [8]καὶ
Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία τῶν υἱῶν Ἰσραὴλ οἱ κατοικοῦντες
ἐν Ἱερουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθὰ ἃ ἐποίησε κύριος τῷ Ἰσραήλ,
9 καὶ τοῦ ἰδεῖν τὴν Ἰουδὶθ καὶ λαλῆσαι μετ' αὐτῆς εἰρήνην. [9]ὡς δὲ εἰςῆλ-
θον πρὸς αὐτήν, εὐλόγησαν αὐτὴν πάντες ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς αὐτήν
Σὺ ὕψωμα Ἰσραήλ, σὺ γαυρίαμα μέγα τοῦ Ἰσραήλ, σὺ καύχημα μέγα τοῦ
10 γένους ἡμῶν. [10]ἐποίησας πάντα ταῦτα ἐν χειρί σου, ἐποίησας τὰ ἀγαθὰ
μετὰ Ἰσραήλ, καὶ εὐδοκῆσαι ἐπ' αὐτοῖς ὁ θεός: εὐλογημένη γίνου παρὰ τῷ
11 παντοκράτορι κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. καὶ εἶπε πᾶς ὁ λαός Γένοιτο. [11]καὶ
ἐλαφύρευσε πᾶς ὁ λαὸς τὴν παρεμβολὴν ἐφ' ἡμέρας τριάκοντα, καὶ ἔδωκαν
τῇ Ἰουδὶθ τὴν σκηνὴν Ὀλοφέρνου καὶ πάντα τὰ ἀργυρώματα καὶ τὰς κλί-
νας καὶ τὰ ὁλκία καὶ πάντα τὰ σκευάσματα αὐτοῦ, καὶ λαβοῦσα αὐτὴ ἐπέ-
θηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς, καὶ ἔζευξε τὰς ἁμάξας αὐτῆς, καὶ ἐσώρευσεν

---

14. την αυλην ... υπενοει ... ιουδειθ 15. ουδεις υπηκουσεν διεστειλας 17. ιουδειθ ... λαον και εβοησεν 19. διερρηξ. τους χιτ. αυτ. XV. 2. επεσεν 3. βετυλουα ετραπησαν 4. οζειας ε. β. και βηβαι κ. χωβαι κ. κωλα (... συντελεσμενων) ... απεχυθωσιν 5. εκοπτοντο ... εν τη γαλααδ 6. βαιτυλουα επεπεσον 7. κωμ. και αι πολεις εν 8. ιωακειμ ... ιδειν ιουδειθ 9. ειςηλθαν ... υψωμα ιερουσαλημ 10. ταυτα παντα ... ευποιησας τα ... και ευδοκησεν 11. om πας ... ιουδειθ ... ολκεια ... κατασκευασματα

Digitized by Google

αὐτὰ ἐπ' αὐτῶν. 12 καὶ συνέδραμε πᾶσα γυνὴ Ἰσραὴλ τοῦ ἰδεῖν αὐτήν, καὶ 12
εὐλόγησαν αὐτήν, καὶ ἐποίησαν αὐτῇ χορὸν ἐξ αὐτῶν· καὶ ἔλαβε θύρσους ἐν
ταῖς χερσὶν αὐτῆς, καὶ ἔδωκε ταῖς γυναιξὶ ταῖς μετ' αὐτῆς, 13 καὶ ἐστεφα- 13
νώσαντο τὴν ἐλαίαν αὕτη καὶ αἱ μετ' αὐτῆς· καὶ προῆλθε παντὸς τοῦ λαοῦ
ἐν χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ ἠκολούθει πᾶς ἀνὴρ Ἰσραὴλ
ἐνωπλισμένοι μετὰ στεφάνων καὶ ὕμνων ἐν τῷ στόματι αὐτῶν. 14 καὶ ἐξῆρ- 14
χεν Ἰουδὶθ τὴν ἐξομολόγησιν ταύτην ἐν παντὶ Ἰσραήλ, καὶ ὑπεφώνει πᾶς ὁ
λαὸς τὴν αἴνεσιν ταύτην.

## XVI.

Καὶ εἶπεν Ἰουδὶθ Ἐξάρχετε τῷ θεῷ μου ἐν τυμπάνοις, ᾄσατε τῷ κυ-
ρίῳ μου ἐν κυμβάλοις, ἐναρμόσασθε αὐτῷ ψαλμὸν καινόν, ὑψοῦτε καὶ ἐπι-
καλέσασθε τὸ ὄνομα αὐτοῦ. 2 ὅτι θεὸς συντρίβων πολέμους κύριος, ὅτι εἰς 2
παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ ἐξείλατό με ἐκ χειρὸς τῶν καταδιωκόντων
με. 3 ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βοῤῥᾶ, ἦλθεν ἐν μυριάσι δυνάμεως αὐ- 3
τοῦ, ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξε χειμάῤῥους, καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε
βουνούς. 4 εἶπεν ἐμπρήσειν τὰ ὅριά μου, καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν 4
ῥομφαίᾳ, καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος, καὶ τὰ νήπιά μου δώσειν
εἰς προνομήν, καὶ τὰς παρθένους μου σκυλεῦσαι. 5 κύριος παντοκράτωρ ἠθέ- 5
τησεν αὐτοὺς ἐν χειρὶ θηλείας. 6 οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεα- 6
νίσκων, οὐδὲ υἱοὶ Τιτάνων ἐπάταξαν αὐτόν, οὐδὲ ὑψηλοὶ Γίγαντες ἐπέθεντο
αὐτῷ, ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν
αὐτόν. 7 ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς εἰς ὕψος τῶν πονούντων ἐν 7
Ἰσραήλ, ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ, 8 καὶ ἐδήσατο τὰς τρίχας 8
αὐτῆς ἐν μίτρᾳ, καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ. 9 τὸ σανδάλιον 9
αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε ψυχὴν αὐ-
τοῦ· διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ. 10 ἔφριξαν Πέρσαι τὴν τόλμαν 10
αὐτῆς, καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐῤῥάχθησαν. 11 τότε ἠλάλαξαν οἱ ταπεινοί 11
μου, καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν· ὕψωσαν τὴν φω-
νὴν αὐτῶν καὶ ἀνετράπησαν. 12 υἱοὶ κορασίων κατεκέντησαν αὐτούς, καὶ ὡς 12
παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς· ἀπώλοντο ἐκ παρατάξεως κυρίου
μου. 13 ὑμνήσω τῷ θεῷ μου ὕμνον καινόν. κύριε, μέγας εἶ καὶ ἔνδοξος, θαυ- 13
μαστὸς ἐν ἰσχύϊ, ἀνυπέρβλητος. 14 σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· ὅτι 14
εἶπας, καὶ ἐγενήθησαν· ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε, καὶ οὐκ
ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου. 15 ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σα- 15
λευθήσεται, πέτραι δὲ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται· ἐπὶ δὲ τοῖς
φοβουμένοις σε σὺ εὐιλατεύεις αὐτοῖς. 16 ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν 16
εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι· ὁ δὲ φοβούμενος τὸν
κύριον μέγας διὰ παντός. 17 οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου· κύριος 17
παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως, δοῦναι πῦρ καὶ σκώληκας
εἰς σάρκας αὐτῶν, καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος. 18 ὡς δὲ ἦλθοσαν 18
εἰς Ἱερουσαλήμ, προσεκύνησαν τῷ θεῷ, καὶ ἡνίκα ἐκαθαρίσθη ὁ λαός, ἀνή-
νεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα. 19 καὶ 19
ἀνέθηκεν Ἰουδὶθ πάντα τὰ σκεύη Ὀλοφέρνου ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ

---

11. αυτα μετ αυτων 12. om αυτην και εποιησαν ... ταις μεθ αυτης 13. εστεφανωσατο ... αυτη και οι μετ ... χορια 14. *εξηρεν ... ιουδειθ ... υπερεφωνει XVI. 1. ιουδειθ ... εναρμοσασθαι ... και επικαλεισθαι 2. οτι ο θεος ... om των (4. δωσει) 6. ιουδειθ 7. *om το 9. διηλθεν ακιναχις 10. τολμην ... εταραχθησαν 12. παιδες ... om αυτους sec. 13. υμν. τω κυριω υμν. 15. τακησεται· ετι δε ... ευειλατευσεις 17. επανιστανομενοις 18. εκαθερισθη ... in f. add αυτων 19. ιουδειθ

Digitized by Google

τὸ κωνωπεῖον ὃ ἔλαβεν αὕτη ἐκ τοῦ κοιτῶνος αὐτοῦ εἰς ἀνάθημα τῷ θεῷ
20 ἔδωκε. [20] καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν
21 ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ Ἰουδὶθ μετ' αὐτῶν κατέμεινεν. [21] μετὰ δὲ τὰς
ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ Ἰουδὶθ ἀπῆλ-
θεν εἰς Βετυλούα καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ ἐγένετο κατὰ
22 τὸν καιρὸν αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ. [22] καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν,
καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς, ἀφ' ἧς ἡμέ-
ρας ἀπέθανε Μανασσῆς ὁ ἀνὴρ αὐτῆς καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.
23 [23] καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα, καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς
αὐτῆς ἔτη ἑκατὸν πέντε, καὶ ἀφῆκε τὴν ἅβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέ-
θανεν εἰς Βετυλούα, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς
24 Μανασσῆ, [24] καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ ἡμέρας ἑπτά. καὶ διεῖλε τὰ
ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς ἔγγιστα Μανασσῆ τοῦ
25 ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς. [25] καὶ οὐκ ἦν ἔτι ὁ ἐκφο-
βῶν τοὺς υἱοὺς Ἰσραὴλ ἐν ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ ἀποθανεῖν αὐτὴν
ἡμέρας πολλάς.

Τέλος τῆς Ἰουδίθ.

---

# Ε Σ Θ Η Ρ.

## I.

* Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου βασιλέως τῇ μιᾷ τοῦ Νισὰν ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου τοῦ Σεμεΐου τοῦ Κισαίου ἐκ φυλῆς Βενιαμίν, ἄνθρωπος Ἰουδαῖος οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας, θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως· ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας ἧς ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἐξ Ἱερουσαλὴμ μετὰ Ἰεχονίου τοῦ βασιλέως τῆς Ἰουδαίας. καὶ τοῦτο αὐτοῦ τὸ ἐνύπνιον. καὶ ἰδοὺ φωναὶ καὶ θόρυβος, βρονταὶ καὶ σεισμός, τάραχος ἐπὶ τῆς γῆς. καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι, ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν· καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη, καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος. καὶ ἰδοὺ ἡμέρα σκότους καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ τάραχος μέγας ἐπὶ τῆς γῆς· καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον φοβούμενοι τὰ ἑαυτῶν κακά, καὶ ἡτοιμάσθησαν ἀπολέσθαι, καὶ ἐβόησαν πρὸς τὸν θεόν. ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡςανεὶ ἀπὸ μικρᾶς

---

19. κωνωπιον ... ελαβεν εαυτη εκ τ. κ. εαυτου ... ε. αναθεμα τω κυριω εδ. 20. εις ιερουσαλημ ... ιουδειθ 21. ταυτ. τας ημερας ... om εκαστος ... κληρ. εαυτου ... ιουδειθ ... βαιτυλουα 22. μανασση 23. προβαιν. ην ... om εν ... εκατ. πεντε ετη ... βαιτυλουα 24. επενθησαν 25. ιουδειθ

Subscriptio: ιουδειθ

---

Inscriptio: Ax FA εσθηρ

I. 1. Ax FA om βασιλεως 2. Ax FA* νισα ... ιαιρου ... FA σεμειου ... Ax FA κεισαιου 3. Ax FA*.* εκ της φυλης ... Ax FA βενιαμειν ... εν μεσουσοις 5. ναβουχ. ο βασιλευς 7. φωναι θορυβου ... Ax FA *.* και ταραχος ... FA* δυο δρ. μεγ. δυο 8. προςηλθον ... εγενοντο αυτων φωναι μεγαλαι 10. γνοφους, θλιψ. και κακωσις, ταραχος 12. FA δικαιον παν εθνος 13. om ωςανει, FA ως αν

Digitized by Google

πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ· καὶ φῶς καὶ ὁ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον τοὺς ἐνδόξους. καὶ διεγερθεὶς Μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο, καὶ τί ὁ θεὸς βεβούλευται ποιῆσαι, εἶχεν αὐτὸ ἐν τῇ καρδίᾳ, καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός. καὶ ἡσύχασε Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβαθὰ καὶ Θάῤῥα τῶν δύο εὐνούχων τοῦ βασιλέως τῶν φυλασσόντων τὴν αὐλήν, ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας αὐτῶν ἐξηρεύνησεν, καὶ ἔμαθεν ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ. καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐτῶν· καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους, καὶ ὁμολογήσαντες ἀπήχθησαν. καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψε περὶ τῶν λόγων τούτων· καὶ ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαίῳ θεραπεύειν ἐν τῇ αὐλῇ, καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτων. καὶ ἦν Ἀμὰν Ἀμαδάθου Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασιλέως, καὶ ἐζήτησε κακοποιῆσαι
τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ ὑπὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως. [1] καὶ 1*
ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέραις Ἀρταξέρξου, οὗτος ὁ Ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἐκράτησεν. [2] ἐν αὐταῖς ταῖς 2
ἡμέραις ὅτε ἐθρονίσθη βασιλεὺς Ἀρταξέρξης ἐν Σούσοις τῇ πόλει, [3] ἐν τῷ τρίτῳ 3
ἔτει βασιλεύοντος αὐτοῦ, δοχὴν ἐποίησε τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσι καὶ
τοῖς Περσῶν καὶ Μήδων ἐνδόξοις καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν. [4] καὶ μετὰ 4
ταῦτα μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐτοῦ καὶ τὴν δόξαν
τῆς εὐφροσύνης τοῦ πλούτου αὐτοῦ ἐν ἡμέραις ἑκατὸν ὀγδοήκοντα· [5] ὅτε δὲ 5
ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ βασιλεὺς πότον τοῖς ἔθνεσι
τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέρας ἓξ ἐν αὐλῇ οἴκου τοῦ βασιλέως, [6] κεκο- 6
σμημένῃ βυσσίνοις καὶ καρπασίνοις τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις καὶ πορ-
φυροῖς, ἐπὶ κύβοις χρυσοῖς καὶ ἀργυροῖς, ἐπὶ στύλοις παρίνοις καὶ λιθίνοις·
κλῖναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδίτου λίθου καὶ πιννίνου καὶ
παρίνου λίθου, καὶ στρωμναὶ διαφανεῖς ποικίλως διηνθισμέναι, κύκλῳ ῥόδα
πεπασμένα· [7] ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἀνθράκινον κυλίκιον προκείμενον 7
ἀπὸ ταλάντων τρισμυρίων· οἶνος πολὺς καὶ ἡδύς, ὃν αὐτὸς ὁ βασιλεὺς ἔπινεν.
[8] ὁ δὲ πότος οὗτος οὐ κατὰ προκείμενον νόμον ἐγένετο· οὕτως δὲ ἠθέλησεν ὁ 8
βασιλεύς, καὶ ἐπέταξε τοῖς οἰκονόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ τῶν
ἀνθρώπων. [9] καὶ Ἀστὶν ἡ βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς βα- 9
σιλείοις ὅπου ὁ βασιλεὺς Ἀρταξέρξης. [10] ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἡδέως 10

14. post πολυ FA* pergit φωτος ο ηλιος, *.* φως και ο ηλιος 16. βουλευεται ... ειχεν το ενυπνιον τουτο εν καρδια 17. FA* om και ante εν παντι ... ηθελησεν αυτο επιγν. εως νυκτος ... FA* επιγνουναι (*.*-γνωναι) αυτον 18. FA*.* ησυχαζεν ... FA* θαρα, *.* θαρρας 19. ηκουσεν γαρ, FA*.* (non :: ) ηκουσεν δε ... τους λογισμ. αυτων 20. Ax FA εξηραυνησεν 21. Ax FA αρταξερξει 22. Ax FA* (non *.*, sed rursus :: ) εξηχθησαν 25. Ax FA*.* κ. εδωκεν μαρδοχαιω ... περι αυτων, FA*.* (non :: ) περι τουτου 26. αμαθαδου 1. ουτος αρταξερξης ... FA*.* ινδικης εως αιθιοπιας 2. εν ταυταις ... FA*.* ενεθρονισθη ... αρταξερξ. ο βασιλ., FA* om, FA*.* ο βασιλ. αρταξ. 3. FA*.* εποιησεν δοχην 4. FA* om μετα sec. ... FA* ευφρ. και του πλ. ... ημερας εκατ., FA επι ημερας εκατ. 5. Ax FA*.* ημερ. του ποτου ... FA*.* post πολιν add απο μεγαλου και εως μικρου ποτον (praecedens ποτον non deletur) ... om επι ... Ax FA του οικου 6. Ax FA* κεκοσμημενω ... FA corr. καρπασιοις ... FA* τεταγμενοις ... FA* κλιναι χρυσοις κ. αργυροις ... λιθοστρωτους ... σμαραγδου και παρινου και πινινου λιθου, FA* σαμαραγδιτου λιθου και πινινου λιθου, *.* σμαραγδιτου και παρινου λιθου ... στρωμνης επιφανους, FA στρωμναι επιφανεις ... διηνθεισμενης ... και κυκλω δορα ... FA* πεπλασμενα 7. FA* ανθρακιον κυλικινον ... FA*.* και οινος 8. Ax FA*.* om ουτος ... FA* om ου ... εγεινετο ... ουτως γαρ 9. αρταρξερξης

Digitized by Google

γενόμενος ὁ βασιλεὺς εἶπε τῷ Ἀμὰν καὶ Βαζὰν καὶ Θαῤῥᾷ καὶ Βαραζὶ καὶ Ζα-
θολθᾷ καὶ Ἀβαταζᾷ καὶ Θαραβᾷ, τοῖς ἑπτὰ εὐνούχοις τοῖς διακόνοις τοῦ βασιλέως
11 Ἀρταξέρξου, 11 εἰςαγαγεῖν τὴν βασίλισσαν πρὸς αὐτόν, βασιλεύειν αὐτὴν καὶ
περιθεῖναι αὐτῇ τὸ διάδημα καὶ δεῖξαι αὐτὴν τοῖς ἄρχουσι καὶ τοῖς ἔθνεσι τὸ
12 κάλλος αὐτῆς, ὅτι καλὴ ἦν. 12 καὶ οὐκ εἰςήκουσεν αὐτοῦ Ἀστὶν ἡ βασίλισσα
13 ἐλθεῖν μετὰ τῶν εὐνούχων· καὶ ἐλυπήθη ὁ βασιλεὺς καὶ ὠργίσθη, 13 καὶ εἶπε
τοῖς φίλοις αὐτοῦ Κατὰ ταῦτα ἐλάλησεν Ἀστίν, ποιήσατε οὖν περὶ τούτου
14 νόμον καὶ κρίσιν. 14 καὶ προςῆλθεν αὐτῷ Ἀρκεσαῖος καὶ Σαρσαθαῖος καὶ Μα-
λισεὰρ οἱ ἄρχοντες Περσῶν καὶ Μήδων οἱ ἐγγὺς τοῦ βασιλέως, οἱ πρῶτοι
15 παρακαθήμενοι τῷ βασιλεῖ, 15 καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τοὺς νόμους ὡς
δεῖ ποιῆσαι Ἀστὶν τῇ βασιλίσσῃ, ὅτι οὐκ ἐποίησε τὰ ὑπὸ τοῦ βασιλέως προς-
16 ταχθέντα διὰ τῶν εὐνούχων. 16 καὶ εἶπεν ὁ Μουχαῖος πρὸς τὸν βασιλέα καὶ
τοὺς ἄρχοντας Οὐ τὸν βασιλέα μόνον ἠδίκησεν Ἀστὶν ἡ βασίλισσα, ἀλλὰ καὶ
17 πάντας τοὺς ἄρχοντας καὶ τοὺς ἡγουμένους τοῦ βασιλέως. 17 καὶ γὰρ διηγή-
σατο αὐτοῖς τὰ ῥήματα τῆς βασιλίσσης, καὶ ὡς ἀντεῖπε τῷ βασιλεῖ. ὡς οὖν
18 ἀντεῖπε τῷ βασιλεῖ Ἀρταξέρξῃ, 18 οὕτω σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν
ἀρχόντων Περσῶν καὶ Μήδων ἀκούσασαι τὰ τῷ βασιλεῖ λεχθέντα ὑπ' αὐτῆς
19 τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν. 19 εἰ οὖν δοκεῖ τῷ βασιλεῖ,
προςταξάτω βασιλικὸν καὶ γραφήτω κατὰ τοὺς νόμους Μήδων καὶ Περσῶν,
καὶ μὴ ἄλλως χρησάσθω, μηδὲ εἰςελθέτω ἔτι ἡ βασίλισσα πρὸς αὐτόν, καὶ
20 τὴν βασιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς. 20 καὶ ἀκου-
σθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως ὃν ἐὰν ποιῇ ἐν τῇ βασιλείᾳ αὐτοῦ· καὶ
οὕτω πᾶσαι αἱ γυναῖκες περιθήσουσι τιμὴν τοῖς ἀνδράσιν ἑαυτῶν, ἀπὸ πτω-
21 χοῦ ἕως πλουσίου. 21 καὶ ἤρεσεν ὁ λόγος τῷ βασιλεῖ καὶ τοῖς ἄρχουσι· καὶ
22 ἐποίησεν ὁ βασιλεὺς καθὰ ἐλάλησεν ὁ Μουχαῖος, 22 καὶ ἀπέστειλεν εἰς πᾶσαν
τὴν βασιλείαν κατὰ χώραν, κατὰ τὴν λέξιν αὐτῶν, ὥστε εἶναι φόβον αὐτοῖς
ἐν ταῖς οἰκίαις αὐτῶν.

## II.

Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς τοῦ θυμοῦ, καὶ οὐκ ἔτι ἐμνήσθη τῆς Ἀστίν, μνημονεύων οἷα ἐλάλησε καὶ ὡς κατέκρινεν αὐτήν.

---

10. ο βασιλ. γενομενος ... βαζεα, FA* μαζαν ... post βαζ. pergit και σαρεβωα και ζηβαθαθα και αβαταζα και θαβαζ τοις ... FA* om αρταξερξου 11. FA*.* περιθειναι αυτη το διαδ. και βασιλ. αυτην και δειξαι ... Ax FA πασι τοις αρχουσιν 12. Ax FA*⁎* εισηκ. αυτων ... FA* om αστιν ... FA* εισελθειν, *⁎* ελθειν κατα το ρημα του βασιλεως το ... FA* και ωργισθη ο βασ. και ελυπηθη ... F*.* in f. add και εξεκαυθη εν αυτω 13. Ax FA*⁎* ειπ. ο βασιλευς τοις ... εαυτου ... FA* ταυτα α ελαλ. 14. FA* αρκεσαος ... σαρεσθεος ... Ax FA μαλησεαρ 16. FA*.* ο μαμουχαιος ... ητιμασεν ... FA *.* αστιν nomini adposuit ※ 17. και διηγησατο, FA*.* και επιδιηγησατο ... και οσα αντειπε ... FA* om ως ουν αντειπε τω βασιλει, Ax om τω βασιλει αρταξερξη 18. αυτω pro ουτω ... αι λοιπαι αι ... FA*.* αιτινες ακουσασαι τα υπ αυτ. λεχθ. τω βασιλει ... αχθεντα ... τολμησωσιν ... FA*.* ανδρ. εαυτων 19. FA*⁎* περσ. κ. μηδων ... και αλλως ... Ax FA*⁎* (non ⁘) εισελθατω ... FA* αστιν pro ετι ... η βασιλισσ. προς τον βασιλεα αρταξερξην ... ο βασιλ. δοτω 20. Ax FA*⁎* λογος pro νομος ... om ο υπο ... Ax FA*⁎* ον αν, FA* ο εαν ... βασιλεια εαυτου· οτι αληθης ... Ax FA*.* και ουτως 21. FA* ο ευνουχος, FA corr. ο μουχεος, ⁘ ο μαμουχεος 22. Ax FA*⁎* απεστ. ο βασιλευς ... εν παση τη βασιλεια εις χωραν και χωραν ... αυτοις φοβον II. 1. FA*⁎* ο βασιλ. αρταξερξης ... θυμου· εμνησθη γαρ της αστιν καθα εποιησεν και οσα αυτη κατεκριθη ... FA* ελαλησαν κ. ως κατεκριναν

Digitized by Google

2 καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως Ζητηϑήτω τῷ βασιλεῖ κοράσια ἄφϑορα 2
καλὰ τῷ εἴδει· 3 καὶ καταστήσει ὁ βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς χώραις 3
τῆς βασιλείας αὐτοῦ, καὶ ἐπιλεξάτωσαν κοράσια παρϑενικὰ καλὰ τῷ εἴδει εἰς
Σοῦσαν τὴν πόλιν εἰς τὸν γυναικῶνα, καὶ παραδοϑήτωσαν τῷ εὐνούχῳ τοῦ
βασιλέως τῷ φύλακι τῶν γυναικῶν, καὶ δοϑήτω σμῆγμα καὶ ἡ λοιπὴ ἐπι-
μέλεια· 4 καὶ ἡ γυνὴ ᾗ ἂν ἀρέσῃ τῷ βασιλεῖ βασιλεύσει ἀντὶ Ἀστίν. καὶ ἤρεσε 4
τῷ βασιλεῖ τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτως. 5 καὶ ἄνϑρωπος ἦν Ἰουδαῖος ἐν 5
Σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτοῦ Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου τοῦ Σεμείου
τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμίν, 6 ὃς ἦν αἰχμάλωτος ἐξ Ἱερουσαλὴμ ἣν 6
ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος. 7 καὶ ἦν τούτῳ παῖς ϑρε- 7
πτή, ϑυγάτηρ Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ Ἐσϑήρ· ἐν
δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς ἐπαίδευσεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα·
καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει. 8 καὶ ὅτε ἠκούσϑη τὸ τοῦ βασιλέως πρόσ- 8
ταγμα, συνήχϑησαν πολλὰ κοράσια εἰς Σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα Γαΐ, καὶ
ἤχϑη Ἐσϑὴρ πρὸς Γαΐ τὸν φύλακα τῶν γυναικῶν. 9 καὶ ἤρεσεν αὐτῷ τὸ κορά- 9
σιον, καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ· καὶ ἔσπευσε δοῦναι αὐτῇ τὸ σμῆγμα
καὶ τὴν μερίδα καὶ τὰ ἑπτὰ κοράσια τὰ ὑποδεδειγμένα αὐτῇ ἐκ βασιλικοῦ,
καὶ ἐχρήσατο αὐτῇ καλῶς καὶ ταῖς ἅβραις αὐτῆς ἐν τῷ γυναικῶνι. 10 καὶ οὐχ 10
ὑπέδειξεν Ἐσϑὴρ τὸ γένος αὐτῆς οὐδὲ τὴν πατρίδα· ὁ γὰρ Μαρδοχαῖος ἐνε-
τείλατο αὐτῇ μὴ ἀπαγγεῖλαι. 11 καϑ' ἑκάστην δὲ ἡμέραν περιεπάτει ὁ Μαρ- 11
δοχαῖος κατὰ τὴν αὐλὴν τὴν γυναικείαν, ἐπισκοπῶν τί Ἐσϑὴρ συμβήσεται.
12 οὗτος δὲ ἦν καιρὸς κορασίου εἰσελϑεῖν πρὸς τὸν βασιλέα, ὅταν ἀναπληρώσῃ 12
μῆνας δεκαδύο· οὕτως γὰρ ἀναπληροῦνται αἱ ἡμέραι τῆς ϑεραπείας, μῆνας
ἓξ ἀλειφομέναις ἐν σμυρνίνῳ ἐλαίῳ, καὶ μῆνας ἓξ ἐν τοῖς ἀρώμασι καὶ ἐν
τοῖς σμήγμασι τῶν γυναικῶν, 13 καὶ τότε εἰσπορεύεται πρὸς τὸν βασιλέα· καὶ 13
ᾧ ἐὰν εἴπῃ, παραδώσει αὐτὴν συνεισέρχεσϑαι αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως
τῶν βασιλείων. 14 δείλης εἰσπορεύεται, καὶ πρὸς ἡμέραν ἀποτρέχει εἰς τὸν 14
γυναικῶνα τὸν δεύτερον οὗ Γαΐ ὁ εὐνοῦχος τοῦ βασιλέως ὁ φύλαξ τῶν γυναι-
κῶν, καὶ οὐκ ἔτι εἰσπορεύεται πρὸς τὸν βασιλέα ἐὰν μὴ κληϑῇ ὀνόματι. 15 ἐν 15
δὲ τῷ ἀναπληροῦσϑαι τὸν χρόνον Ἐσϑὴρ τῆς ϑυγατρὸς Ἀμιναδὰβ ἀδελφοῦ
πατρὸς Μαρδοχαίου εἰσελϑεῖν πρὸς τὸν βασιλέα, οὐδὲν ἠϑέτησεν ὧν ἐνε-
τείλατο ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν· ἦν γὰρ Ἐσϑὴρ εὑρίσκουσα

---

2. διακον. προς τον βασιλεα ... καλα αφϑορα ... FA* αφωρα καλα τω ειδιν 3. FA* om ταις ... βασιλειας, και επιδειξατωσαν ... FA*.* παντα κορασια ... FA* παρϑενια ... σμιγμα 4. FA* και γυνη 5. ιουδαιος ην ... και ονομα αυτω μαρδ. ο του ιατρου ο του σεμειου του κεισαιου, FA κ. ον. αυτω μαρδ. ο του ιαειρου του σεμεειου του κεισαιου ... Ax FA βενιαμειν 6. ον ηχμαλωτευσεν 7. Ax FA και το ονομα αυτης ... FA*.* αυτην μαρδοχαιος εαυτω ... αυτω γυναικα ... FA καλη τω ειδει et *.* add και ωραιον τη οψει σφοδρα 8. κορασια πολλα ... FA om πολλ. κορ. εις σουσ., *.* supplet τα κορασια πολλα ε. σ. 9. Ax FA αυτη δουναι ... σμιγμα ... αποδεδιγμενα 10. FA ουκ υπεδιξεν ... αυτης το γενος εσϑηρ 11. και καϑ εκ. ημεραν ... Ax FA ο μαρδοχ. περιεπατει ... Ax FA γυναικιαν ... FA*.* τι συμβ. εσϑ., Ax τι αισϑ. συμβαινει 12. και οταν η καιρος ... FA*.* οταν ανεπληρωσεν ... FA δωδεκα ... αναπληρωϑη καιρος κορασια μηνες δεκαδυο ... FA* ουτω ... FA αλιφομεναι ... αλιφομεναι σμυρινινον ελαιον ... om και εν ... FA* om των γυναικων 13. και ω αν ... pro αυτω Ax αυτην, FA *.* αυτη 14. FA* ου γαΐος ευνουχ., *.* ου γαϊ ο ευν. notato σασ super γ (?), Ax ου τε ο ευν. ... ονομαστι 15. FA* om της ϑυγ. αμ. αδ. π. μαρδοχ. (*.* μαρδοχεου) ... om της ... εν τω εισελϑειν, FA του εισελϑειν ... FA ων αυτη ενετιλατο (*.* ελεγεν) ο ευν. ο (ο addidisse vdtr *.*) φυλαξ των, Ax ων αυτη ελεγεν ο ευνουχ. των

Digitized by Google

16 χάριν παρὰ πάντων τῶν βλεπόντων αὐτήν. [16] καὶ εἰςῆλϑεν Ἐσϑὴρ πρὸς Ἀρτα-
ξέρξην τὸν βασιλέα τῷ δωδεκάτῳ μηνὶ ὅς ἐστιν Ἀδάρ, τῷ ἑβδόμῳ ἔτει τῆς βασι-
17 λείας αὐτοῦ. [17] καὶ ἠράσϑη ὁ βασιλεὺς Ἐσϑήρ, καὶ εὗρε χάριν παρὰ πάσας
18 τὰς παρϑένους, καὶ ἐπέϑηκεν αὐτῇ τὸ διάδημα τὸ γυναικεῖον. [18] καὶ ἐποίησεν
ὁ βασιλεὺς πότον πᾶσι τοῖς φίλοις αὐτοῦ καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτά,
καὶ ὕψωσε τοὺς γάμους Ἐσϑήρ, καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν
19 20 αὐτοῦ. [19] ὁ δὲ Μαρδοχαῖος ἐϑεράπευεν ἐν τῇ αὐλῇ. [20] ἡ δὲ Ἐσϑὴρ οὐχ ὑπέ-
δειξε τὴν πατρίδα αὐτῆς· οὕτως γὰρ ἐνετείλατο αὐτῇ Μαρδοχαῖος, φοβεῖσϑαι
τὸν ϑεὸν καὶ ποιεῖν τὰ προςτάγματα αὐτοῦ, καϑὼς ἦν μετ' αὐτοῦ· καὶ Ἐσϑὴρ
21 οὐ μετήλλαξε τὴν ἀγωγὴν αὐτῆς. [21] καὶ ἐλυπήϑησαν οἱ δύο εὐνοῦχοι τοῦ βασι-
λέως οἱ ἀρχισωματοφύλακες ὅτι προήχϑη Μαρδοχαῖος, καὶ ἐζήτουν ἀποκτεῖ-
22 ναι Ἀρταξέρξην τὸν βασιλέα. [22] καὶ ἐδηλώϑη Μαρδοχαίῳ ὁ λόγος, καὶ ἐσή-
23 μανεν Ἐσϑήρ, καὶ αὐτὴ ἐνεφάνησε τῷ βασιλεῖ τὰ τῆς ἐπιβουλῆς. [23] ὁ δὲ
βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους καὶ ἐκρέμασεν αὐτούς· καὶ προςέταξεν ὁ
βασιλεὺς καταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοϑήκῃ ὑπὲρ τῆς
εὐνοίας Μαρδοχαίου ἐν ἐγκωμίῳ.

## III.

Μετὰ δὲ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς Ἀρταξέρξης Ἀμὰν Ἀμαδάϑου Βου-
2 γαῖον, καὶ ὕψωσεν αὐτὸν καὶ ἐπρωτοβάϑρει πάντων τῶν φίλων αὐτοῦ· [2] καὶ
πάντες οἱ ἐν τῇ αὐλῇ προςεκύνουν αὐτῷ, οὕτως γὰρ προςέταξεν ὁ βασιλεὺς
3 ποιῆσαι· ὁ δὲ Μαρδοχαῖος οὐ προςεκύνει αὐτῷ. [3] καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ
τοῦ βασιλέως τῷ Μαρδοχαίῳ Μαρδοχαῖε, τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως
4 λεγόμενα; [4] καϑ' ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ, καὶ οὐχ ὑπήκουεν αὐτῶν·
καὶ ὑπέδειξαν τῷ Ἀμὰν Μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον,
5 καὶ ὑπέδειξεν αὐτοῖς ὁ Μαρδοχαῖος ὅτι Ἰουδαῖός ἐστι. [5] καὶ ἐπιγνοὺς Ἀμὰν
6 ὅτι οὐ προςκυνεῖ αὐτῷ Μαρδοχαῖος, ἐϑυμώϑη σφόδρα, [6] καὶ ἐβουλεύσατο ἀφα-
7 νίσαι πάντας τοὺς ὑπὸ τὴν Ἀρταξέρξου βασιλείαν Ἰουδαίους. [7] καὶ ἐποίησε ψή-
φισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας Ἀρταξέρξου, καὶ ἔβαλε κλήρους ἡμέ-
ραν ἐξ ἡμέρας καὶ μῆνα ἐκ μηνὸς ὥςτε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος
Μαρδοχαίου, καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεςκαιδεκάτην τοῦ μηνὸς ὅς
8 ἐστιν Ἀδάρ. [8] καὶ ἐλάλησε πρὸς τὸν βασιλέα Ἀρταξέρξην λέγων Ὑπάρχει ἔϑνος
διεσπαρμένον ἐν τοῖς ἔϑνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου, οἱ δὲ νόμοι αὐτῶν
ἔξαλλοι παρὰ πάντα τὰ ἔϑνη, τῶν δὲ νόμων τοῦ βασιλέως παρακούουσι, καὶ
9 οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς. [9] εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάτω

---

15. χαριν ενωπιον των βλεπ. 16. Ax FA προς τον αρταξ. τον ... FA*.* δεκατω ... FA* αδωρ, *.* τηβηϑ 17. FA* om αυτη, *.* add post γυνεκιον (sic) ... γυναικιον 18. εφ ημερας 19. εϑεραπευσεν 20. FA* ουτω γαρ ... ο μαρδοχαιος ... FA*.* καϑ. ην παρ αυτω ... ουκ ηλλαξεν 21. FA*.* βαγαϑαν και ϑαρας οι δυο ... ο μαρδοχ. 22. μαρδοχαιω λογος ... και η βασιλισσα ενεφανισεν ... FA ενεφανισεν ... Ax FA*.* τω βασιλ. αρταξερξη 23. FA*.* ανητασεν ... om εν posterius III. 1. μετα ταυτα ... αναμ αναμαϑαδου 2. FA*.* αυλη του βασιλεως ... προσεκ. αμαν, ... επεταξεν ... FA ποιησαι ο βασιλευς ... om ου 4. Ax FA*.* ελεγον αυτω ... Ax FA*.* υπηκουσεν ... FA*.* υπεδιξαν pro υπεδειξεν ... μαρδοχ. μη υπακουοντα τοις του βασ. λογοις· υπεδειξεν γαρ 5. επεγνω ... FA* om μαρδοχαιος, *.* add post (ante?) ου ... και εϑυμωϑη αμαν σφ. 6. FA*.* εβουλευσ. αμαν 7. ετους δωδεκατου βασιλευοντος αρταξερξου ψηφισμα εποιησε κ. εβαλεν κληρους ημερας και ... FA*.* post ψηφισμα add εν τω μηνι τω πρωτω αυτος ο μην νισαν ... FA ο εστιν 8. FA*.* εϑνος εν διεσπαρμενον ... FA* βασιλεια αυτων ... τω βασιλει ου συμφερει 9. ει δοκει ουν, FA*.* ει ουν δοκει

Digitized by Google

ἀπολέσαι αὐτούς, κἀγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως ἀργυρίου
τάλαντα μύρια. 10 καὶ περιελόμενος ὁ βασιλεὺς τὸν δακτύλιον ἔδωκεν εἰς χεῖ- 10
ρας τῷ Ἀμάν, σφραγίσαι κατὰ τῶν γεγραμμένων κατὰ τῶν Ἰουδαίων. 11 καὶ 11
εἶπεν ὁ βασιλεὺς τῷ Ἀμάν Τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς βούλει.
12 καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαιδεκάτῃ, 12
καὶ ἔγραψαν ὡς ἐπέταξεν Ἀμὰν τοῖς στρατηγοῖς καὶ τοῖς ἄρχουσι κατὰ πᾶσαν
χώραν ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ταῖς ἑκατὸν εἰκοσιεπτὰ χώραις, τοῖς
τε ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν αὐτῶν λέξιν, διὰ Ἀρταξέρξου τοῦ βασιλέως.
13 καὶ ἀπεστάλη διὰ βιβλιαφόρων εἰς τὴν Ἀρταξέρξου βασιλείαν, ἀφανίσαι τὸ 13
γένος τῶν Ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου, ὅς ἐστιν Ἀδάρ, καὶ
διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν. τῆς δὲ ἐπιστολῆς ἐστι τὸ ἀντίγραφον τόδε· *

Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρχαις ὑποτεταγμένοις τάδε γράφει. πολλῶν ἐπάρξας ἐθνῶν καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην, μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων, τοὺς τῶν ὑποτεταγμένων ἀκυμάντους διὰ παντὸς καταστῆσαι βίους, τήν τε βασιλείαν ἥμερον καὶ πορευτὴν μέχρι περάτων παρεξόμενος ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην. πυθομένου δέ μου τῶν συμβούλων πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ' ἡμῖν διενέγκας καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτως καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος Ἀμὰν ἐπέδειξεν ἡμῖν, ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυλαῖς ἀναμεμίχθαι δυςμενῆ λαόν τινα, τοῖς νόμοις ἀντίθετον πρὸς πᾶν ἔθνος, τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς διατάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ' ἡμῶν κατευθυνομένην ἀμέμπτως συναρχίαν. διειληφότες οὖν τόδε τὸ ἔθνος μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διὰ παντὸς ἀνθρώπῳ κείμενον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον, καὶ δυςνοοῦν τοῖς ἡμετέροις πράγμασι τὰ χείριστα συντελοῦν κακὰ καὶ πρὸς τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν· προςτετάχαμεν οὖν τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν, πάντας σὺν γυναιξὶ

---

9. FA αυτους απολεσαι, καγω, Ax απολεσθαι, καγω ... FA*.* καγω παραστησω επι χειρας των ποιουντων τα εργα εισαγαγειν εις 10. FA* om ο βασιλευς ... FA* om εις χειρας, *.* ante εδωκεν add ... τ. δακτυλ. αυτου εδ. εις χειρας αμαν 12. FA*.* μηνι πρωτω αυτος ο μην νισαν και τη τρισκαιδ. ημερα αυτου ... FA εγραψεν ... και εγραφησαν ως προσεταξεν ... FA*.* πασ. χωρ. και χωραν ... απο της ινδικης ... αιθιοπ. εκατον εικοσι και επτα ... FA*.* εαυτων ... FA*.* (non :: ) ληξιν ... Ax FA δι αρταξερξου (Ax αταρξ.) 13. FA *.* βιβλιοφορων ... αρταρξερξου ... FA*.* post ιουδαιων add απο νεανισκου ... FA ο εστιν ... FA*.* και διαρπ. και τα [1] FA* εστιν αντιγραφον [2] *αρταρξερξης [3] εικοσι και επτα [4] *om και πασης επικρ. οικ. εβουλ. μη τω θρ. τ. εξουσ. επαιρ. επιεικ. δε ... της οικουμενης [5] ** εξουσ. επιεικεστερον επαιρομενος (FA επερομενος) και μετα ... πιοτητος ... FA*.* μετα πραοτητος [6] Ax FA ακυματους [7] ηρεμον κ. πορ. αχρι [8] ποθ. παρα πασιν ... Ax FA*.* πυνθανομενου [9] FA om ὁ ... περας σωφροσυνης ο παρ [10] FA αποδεδιγμενος πιστι [11] Ax FA* βασιλεων ... απενεγκαμενος ... Ax FA*.* υπεδειξεν ... FA* om εν πασαις [12] FA* ανεμεμιχθε [13] Ax FA αντιτυπον ... FA* παραπεμποντες [15] Ax FA συναρχειαν ... τοδε εθνος ... FA*.* (non :: vdtr) μον. εναντια παραγωγη [16] FA* ανθρωπων κεινουμενον, item ξενιζουσα [17] FA* παραλλασσων, Ax FA*.* παραλλαξιν ... δυςνοη ... FA* πραγματα χειραιστα [18] FA* om και ... Ax FA ευσταθιας [19] FA*.* om ουν [20] FA* παντα

Digitized by Google

καὶ τέκνοις ἀπολέσαι ὁλορριζὶ ταῖς τῶν ἐχθρῶν μαχαίραις ἄνευ παντὸς οἴκτου
καὶ φειδοῦς τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδὰρ τοῦ ἐνεστῶ-
τος ἔτους, ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην
[24] κατελθόντες εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν
*14 διὰ τέλους τὰ πράγματα. [14] τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ
χώραν· καὶ προσετάγη πᾶσι τοῖς ἔθνεσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν ταύ-
15 την. [15] ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς Σοῦσαν· ὁ δὲ βασιλεὺς καὶ Ἀμὰν
ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

## IV.

Ὁ δὲ Μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον διέρρηξε τὰ ἱμάτια ἑαυ-
τοῦ, καὶ ἐνεδύσατο σάκκον καὶ κατεπάσατο σποδόν, καὶ ἐκπηδήσας διὰ τῆς
2 πλατείας τῆς πόλεως ἐβόα φωνῇ μεγάλῃ Αἴρεται ἔθνος μηδὲν ἠδικηκός. [2] καὶ
ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως, καὶ ἔστη· οὐ γὰρ ἦν αὐτῷ ἐξὸν εἰσελ-
3 θεῖν εἰς τὴν αὐλὴν σάκκον ἔχοντι καὶ σποδόν. [3] καὶ ἐν πάσῃ χώρᾳ οὗ ἐξετί-
θετο τὰ γράμματα κραυγὴ καὶ κοπετὸς καὶ πένθος μέγα τοῖς Ἰουδαίοις, σάκ-
4 κον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς. [4] καὶ εἰσῆλθον αἱ ἅβραι καὶ οἱ εὐνοῦχοι
τῆς βασιλίσσης καὶ ἀνήγγειλαν αὐτῇ· καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός,
καὶ ἀπέστειλε στολίσαι τὸν Μαρδοχαῖον καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον·
5 ὁ δὲ οὐκ ἐπείσθη. [5] ἡ δὲ Ἐσθὴρ προσεκαλέσατο Ἀχραθαῖον τὸν εὐνοῦχον αὐ-
τῆς, ὃς παρειστήκει αὐτῇ, καὶ ἀπέστειλε μαθεῖν αὐτῇ παρὰ τοῦ Μαρδοχαίου
7 τὸ ἀκριβές. [7] ὁ δὲ Μαρδοχαῖος ὑπέδειξεν αὐτῷ τὸ γεγονὸς καὶ τὴν ἐπαγγε-
λίαν ἣν ἐπηγγείλατο Ἀμὰν τῷ βασιλεῖ εἰς τὴν γάζαν ταλάντων μυρίων, ἵνα
8 ἀπολέσῃ τοὺς Ἰουδαίους. [8] καὶ τὸ ἀντίγραφον τὸ ἐν Σούσοις ἐκτεθὲν ὑπὲρ τοῦ
ἀπολέσθαι αὐτοὺς ἔδωκεν αὐτῷ δεῖξαι τῇ Ἐσθήρ· καὶ εἶπεν αὐτῷ ἐντείλα-
σθαι αὐτῇ εἰσελθούσῃ παραιτήσασθαι τὸν βασιλέα καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ
λαοῦ, μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου ὡς ἐτράφης ἐν χειρί μου, διότι
Ἀμὰν ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησε καθ᾽ ἡμῶν εἰς θάνατον· ἐπικάλεσαι
τὸν κύριον καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν, ῥῦσαι ἡμᾶς ἐκ θανάτου.
9 10 [9] εἰσελθὼν δὲ ὁ Ἀχραθαῖος ἐλάλησεν αὐτῇ πάντας τοὺς λόγους τούτους. [10] εἶπε
11 δὲ Ἐσθὴρ πρὸς Ἀχραθαῖον Πορεύθητι πρὸς Μαρδοχαῖον καὶ εἰπὸν [11] ὅτι τὰ
ἔθνη πάντα τῆς βασιλείας γινώσκει, ὅτι πᾶς ἄνθρωπος ἢ γυνὴ ὃς εἰσελεύσε-
ται πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος, οὐκ ἔστιν αὐτῷ

---

[21] Ax FA ολοριζει ... ταις των εθνων μαχαις ... FA* οιχτρου κ. φιδω [22] FA* om δωδεκατου [23] FA* βια βιαιως ... Ax FA*.* om εις [24] FA* αταραχον ... παρεχουσιν [25] τα προσταγματα 14. FA*.* κ. χωραν και χωραν ... προσεταγη τοις εθνεσιν πασιν 15. εν σουσοις IV. 1. Ax FA ιματ. αυτου ... FA* ερειται εθνος ... FA*.* ηδικηκος πικρα 2. αυλης pro πυλης ... FA εξον αυτω ... FA*.* εις τ. πυλην ... εχοντα 3. FA*.* χωρα και τοπω ου εξ. το προσταγμα του βασιλεως ... κοπετος ην ... και σακκον και ... FA*.* υπεστρωσαν 4. FA εισηλθοσαν ... FA* το γενος ... om τον post στολισαι ... FA*.* απ αυτου ... Ax ουχ επιθη, FA*.* ουχ επιθει 5. αχραθεον ... FA παριστηκει ... Ax FA*.* (non :: ) αυτον pro αυτη ... om το ακριβες, sed add επι την πλατειαν προς τα (* τη) βασιλεα ... FA*.* in f. add εις την πλατειαν της πολεως η εστιν κατα προσωπον της πυλης της πολεως 7. FA*.* συνπαν το γεγονος κ. τ. επαγγ. του αργυριου η. επ. α. παραστησαι ε. τ. γ. τω βασιλει ... εις γαζαν 8. FA*.* αντιγρ. γραμμα το (το erasit :: ) του δογματος το εν ... om το ante εν ... εισελθουσαν ... Ax FA*.* post λαου add και της πατριδος ... εστραφης εν χ. μου δια τι ... FA* δευτερεων ... επικαλεσαι κυριον ... Ax FA και ρυσαι 9. Ax FA* ο (Ax om ο) αχθραθαιος ελαλ. εσθηρ (FA*.* τη εσθ.) 11. παντα τα εθνη ... FA*.* post βασιλειας add και λαος επαρχιων του βασιλεως ... γιγνωσκει ... και γυνη ... την εντοτεραν

Digitized by Google

σωτηρία· πλὴν ᾧ ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβδον, οὗτος σωθήσεται·
κἀγὼ οὐ κέκλημαι εἰςελθεῖν πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα.
[12] καὶ ἀπήγγειλεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ. [13] καὶ 12 13
εἶπε Μαρδοχαῖος πρὸς Ἀχραθαῖον Πορεύθητι καὶ εἰπὸν αὐτῇ Ἐσθήρ, μὴ εἴ-
πῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ παρὰ πάντας τοὺς Ἰουδαίους·
[14] ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ τῷ καιρῷ, ἄλλοθεν βοήθεια καὶ σκέπη 14
ἔσται τοῖς Ἰουδαίοις. σὺ δὲ καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε· καὶ τίς
εἶδεν εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας; [15] καὶ ἐξαπέστειλεν Ἐσθὴρ τὸν 15
ἥκοντα πρὸς αὐτὴν πρὸς Μαρδοχαῖον λέγουσα [16] Βαδίσας ἐκκλησίασον τοὺς 16
Ἰουδαίους τοὺς ἐν Σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοί, καὶ μὴ φάγητε μηδὲ
πίητε ἐπὶ ἡμέρας τρεῖς νύκτα καὶ ἡμέραν· κἀγὼ δὲ καὶ αἱ ἅβραι μου ἀσι-
τήσομεν· καὶ τότε εἰςελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ
ἀπολέσθαι με δέῃ. [17] καὶ βαδίσας Μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ 17
Ἐσθήρ· καὶ ἐδεήθη κυρίου, μνημονεύων πάντα τὰ ἔργα κυρίου, καὶ εἶπε *
Κύριε κύριε βασιλεῦ πάντων κρατῶν, ὅτι ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστι, καὶ
οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ· ὅτι σὺ ἐποίη-
σας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανόν, καὶ
κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ κυρίῳ· σὺ πάντα γι-
νώσκεις, σὺ οἶδας κύριε ὅτι οὐκ ἐν ὕβρει οὐδὲ ἐν ὑπερηφανείᾳ οὐδὲ ἐν φι-
λοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον Ἀμάν, ὅτι ηὐδόκουν
φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν Ἰσραήλ, ἀλλ' ἐποίησα τοῦτο ἵνα
μὴ θῶ δόξαν ἀνθρώπου ὑπεράνω δόξης θεοῦ· καὶ οὐ προσκυνήσω οὐδένα πλὴν
σοῦ τοῦ κυρίου μου, καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανείᾳ. καὶ νῦν, κύριε ὁ
θεὸς ὁ βασιλεὺς ὁ θεὸς Ἀβραάμ, φεῖσαι τοῦ λαοῦ σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν
εἰς καταφθορὰν καὶ ἐπεθύμησαν ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου·
μὴ ὑπερίδῃς τὴν μερίδα σου ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου· ἐπά-
κουσον τῆς δεήσεώς μου καὶ ἱλάσθητι τῷ κλήρῳ σου, καὶ στρέψον τὸ πένθος
ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνῶμέν σου τὸ ὄνομα, κύριε, καὶ μὴ ἀφανίσῃς
στόμα αἰνούντων σε, κύριε. καὶ πᾶς Ἰσραὴλ ἐκέκραξεν ἐξ ἰσχύος αὐτῶν, ὅτι
θάνατος αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ Ἐσθὴρ ἡ βασίλισσα κατέφυγεν ἐπὶ
τὸν κύριον ἐν ἀγῶνι θανάτου κατειλημμένη, καὶ ἀφελομένη τὰ ἱμάτια τῆς
δόξης αὐτῆς ἐνεδύσατο ἱμάτια στενοχωρίας καὶ πένθους, καὶ ἀντὶ τῶν ὑπερη-
φάνων ἡδυσμάτων σποδοῦ καὶ κοπριῶν ἐνέπλησε τὴν κεφαλὴν αὐτῆς· καὶ

---

11. Ax FA ω εκτινει (*.* add αυτω) ... αυτος σωθησεται· και εγω ουκ εκληρωθην ... FA ελθειν 12. αρχαθαιος, FA αχθραθαιος 13. om προς αχραθαιον ... FA αχθραθαιον ... Ax FA*.* οτι σωθησομαι ... υπερ παντας 14. om ως ... FA*.* παρακουουσα παρακουσης ... αλλοθεν δε ... οιδεν εις τον, FA οιδεν η εις τον 15. και ειπεν εσθηρ εξαποστειλαι παλιν τον ηκοντα προς μαρδοχ. λεγουσα ... FA* τον εικοτα 16. FA*.* εκκλ. μοι παντας τους ... FA* τους ανδρας ιουδαιους ... εφ ημερας ... και εγω δε ... FA*.* ουτως και τοτε ... om με (? fortasse με η pro με δεη) ... FA με η pro με δεη 17. FA*.* κατα παντα οσα [1] Ax FA*.* και μαρδοχαιος (FA*.* -χαος) εδεηθη ... FA*.* του κυριου bis [2] κυριε θεε· κυριε βασιλευ ... FA*.* βασ. παντοκρατωρ οτι [4] om και post ουρανον [5] FA* αντιτασσεται ... γιγνωσκεις, FA γεινωσκεις [6] Ax FA υπερηφανια [7] Ax FA ευδοκουν [8] Ax FA αλλα εποιησα [9] FA* ανθρωπων, *.* ανθρωπω ... Ax FA*.* θεου μου ... ουθενα [10] Ax FA υπερηφανια ... Ax FA*.* κυριε βασιλευ ο θεος αβρααμ [12] απολεσθαι [13] υπερειδης [15] υμν. το ονομα σου [16] το στομα, FA* το αιμα ... Ax FA αινουντ. σοι ... FA om κυριε ... FA εκραξεν [17] ο θανατος [18] κατηλιμμενη [20] Ax FA επλησεν

Digitized by Google

τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα, καὶ πάντα τόπον κόσμου ἀγαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν τριχῶν αὐτῆς· καὶ ἐδεῖτο κυρίου θεοῦ Ἰσραὴλ καὶ εἶπεν Κύριέ μου, βασιλεὺς ἡμῶν σὺ εἶ μόνος, βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μὴ σέ, ὅτι κίνδυνός μου ἐν χειρί μου. ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου, ὅτι σύ, κύριε, ἔλαβες τὸν Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον, καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας· καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν ἀνθ᾽ ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. δίκαιος εἶ, κύριε· καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλ᾽ ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐτῶν, ἐξᾶραι ὁρισμὸν στόματός σου καὶ ἀφανίσαι κληρονομίαν σου, καὶ ἐμφράξαι στόμα αἰνούντων σοι καὶ σβέσαι δόξαν οἴκου σου καὶ θυσιαστηρίου σου, καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀρετὰς ματαίων καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα. μὴ παραδῷς, κύριε, τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι, καὶ μὴ καταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ᾽ αὐτούς· τὸν δὲ ἀρξάμενον ἐφ᾽ ἡμᾶς παραδειγμάτισον. μνήσθητι, κύριε, γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν, καὶ ἐμὲ θάρσυνον, βασιλεῦ τῶν θεῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν· δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος, καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ· ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου, καὶ βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ εἰ μὴ σέ, κύριε. πάντων γνῶσιν ἔχεις, καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων, καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων καὶ παντὸς ἀλλοτρίου. σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανείας μου ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων, καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. καὶ οὐκ ἔφαγεν ἡ δούλη σου τράπεζαν Ἁμάν, καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν· καὶ οὐκ ηὐφράνθη ἡ δούλη σου ἀφ᾽ ἡμέρας μεταβολῆς μου μέχρι νῦν πλὴν ἐπὶ σοί, κύριε ὁ θεὸς Ἀβραάμ. ὁ θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον φωνὴν ἀπηλπισμένων καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων, καὶ ῥῦσαί με ἐκ
* τοῦ φόβου μου.

## V.

* Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐπαύσατο προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας καὶ περιεβάλλετο τὴν δόξαν αὐτῆς· καὶ γενηθεῖσα ἐπιφανής, ἐπικαλεσαμένη τὸν πάντων ἐπόπτην θεὸν καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας, καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς· καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ

[21] τοπον αγαλλ. αυτης κοσμου επληρωσεν (sed αγαλλιαμ. usque τριχ. αυτης **) [22] εδεετο [23] κυριε ο θεος μου ο βασιλευς, FA κυριε μου ο βασιλευς [24] εν τη χ. μου … εγω ηκ. κυριε του πατρος μου οτι συ [25] FA εκ φυλης [27] Ax FA ελαλ. αυτοις et Ax pergit οτι ημαρτηκαμεν [29] ικανωθ. τω πικρασμω [30] FA δουλιας … Ax FA αλλα εθηκαν… FA* om αυτων επι τας χειρας [32] ενφραξη στ. υμνουντων … FA στοματα … Ax FA θυσιαστηριον σου, (Ax σοι) [34] FA* post σκηπτρ. σου add κυριε [35] γελασατωσαν … FA* βουλ. αυτου επ αυτοις [39] FA* καρδιαν αυτων εις [40] FA* συντελειαν αυτων [41] εχουση βοηθον ει [42] a βδελυσσομαι ad βδελυσσομαι [43] transilit [44] Ax FA υπερηφανιας … κεφαλης εν ημερα [45] FA καταμηνιαιων [47] FA επινον [48] Ax FA ευφρανθη … FA* om μου [49] Ax FA*.* φωνης … FA αφηλπισμενων V. 1. [2] Ax FA θεραπιας κ. περιεβαλετο … FA* και εγενηθη επιφανης [3] παρελαβε δυο, FA παρελαβετο δυο [4] επεριδετο, FA επηριδετο [5] (FA* κουφισα …) FA* ως ακμη, *.* εν ακμη

Digitized by Google

κάλλους αὐτῆς, καὶ τὸ πρόςωπον αὐτῆς ἱλαρὸν ὡς προςφιλές, ἡ δὲ καρδία
αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου. καὶ εἰςελϑοῦσα πάσας τὰς ϑύρας κατέ-
στη ἐνώπιον τοῦ βασιλέως· καὶ αὐτὸς ἐκάϑητο ἐπὶ τοῦ ϑρόνου τῆς βασιλείας
αὐτοῦ, καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνδεδύκει, ὅλος διὰ χρυσοῦ
καὶ λίϑων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. καὶ ἄρας τὸ πρόςωπον αὐτοῦ
πεπυρωμένον δόξῃ ἐν ἀκμῇ ϑυμοῦ ἔβλεψεν· καὶ ἔπεσεν ἡ βασίλισσα καὶ μετ-
έβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατεπέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς
ἅβρας τῆς προπορευομένης. καὶ μετέβαλεν ὁ ϑεὸς τὸ πνεῦμα τοῦ βασιλέως
εἰς πραΰτητα, καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ ϑρόνου αὐτοῦ, καὶ ἀνέ-
λαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ μέχρις οὗ κατέστη, καὶ παρεκάλει αὐτὴν
λόγοις εἰρηνικοῖς καὶ εἶπεν αὐτῇ Τί ἐστιν, Ἐσϑήρ; ἐγὼ ὁ ἀδελφός σου, ϑάρ-
σει, οὐ μὴ ἀποϑάνῃς· ὅτι κοινὸν τὸ πρόςταγμα ἡμῶν ἐστίν· πρόςελϑε. [2] καὶ 2
ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέϑηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἠσπάσατο
αὐτὴν καὶ εἶπε Λάλησόν μοι. καὶ εἶπεν αὐτῷ Εἶδόν σε, κύριε, ὡς ἄγγελον
ϑεοῦ, καὶ ἐταράχϑη ἡ καρδία μου ἀπὸ φόβου τῆς δόξης σου ὅτι ϑαυμαστὸς
εἶ, κύριε, καὶ τὸ πρόςωπόν σου χαρίτων μεστόν. ἐν δὲ τῷ διαλέγεσϑαι αὐτὴν
ἔπεσεν ἀπὸ ἐκλύσεως· καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ ϑεραπεία
αὐτοῦ παρεκάλει αὐτήν. [3] καὶ εἶπεν ὁ βασιλεύς Τί ϑέλεις, Ἐσϑήρ; καὶ τί σού 3*
ἐστι τὸ ἀξίωμα; ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι. [4] εἶπε 4
δὲ Ἐσϑήρ Ἡμέρα μου ἐπίσημος σήμερόν ἐστιν· εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλ-
ϑάτω καὶ αὐτὸς καὶ Ἀμὰν εἰς τὴν δοχὴν ἣν ποιήσω σήμερον. [5] καὶ εἶπεν ὁ 5
βασιλεύς Κατασπεύσατε Ἀμὰν ὅπως ποιήσωμεν τὸν λόγον Ἐσϑήρ· καὶ παρα-
γίνονται ἀμφότεροι εἰς τὴν δοχὴν ἣν εἶπεν Ἐσϑήρ. [6] ἐν δὲ τῷ πότῳ εἶπεν 6
ὁ βασιλεὺς πρὸς Ἐσϑήρ Τί ἐστιν, βασίλισσα Ἐσϑήρ; καὶ ἔσται ὅσα ἀξιοῖς.
[7] καὶ εἶπε Τὸ αἴτημά μου καὶ τὸ ἀξίωμα· [8] εἰ εὗρον χάριν ἐνώπιον τοῦ βα- 7 8
σιλέως, ἐλϑάτω ὁ βασιλεὺς καὶ Ἀμὰν ἔτι τὴν αὔριον εἰς τὴν δοχὴν ἣν ποιήσω
αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά. [9] καὶ ἐξῆλϑεν ὁ Ἀμὰν ἀπὸ τοῦ βασιλέως 9
ὑπερχαρὴς εὐφραινόμενος· ἐν δὲ τῷ ἰδεῖν Ἀμὰν Μαρδοχαῖον τὸν Ἰουδαῖον

[6] FA προςωπ. ιλαρ. αυτης ... FA προφιλες [7] FA* om πασας ... Ax FA*.* εστη [8] FA*.* κατενωπιον [9] και την στολην, FA*.* κ. πασ. την στολ. ... Ax FA επιφανιας ... FA* ενεδεδυκει (... δια χρυσω) [10] FA* om αρας ... Ax ηρεν pro αρας [11] FA* πεπληρωμενη δοξη ... om δοξη ... Ax FA* om εβλεψεν [12] επεκυψεν επι της κεφαλης [13] FA προςπορευομενης et Ax FA*.* add αυτης ... FA* μετελαβεν [14] om αυτου post ϑρονου 2. ησπασ. την εσϑηρ ... FA* ειπον ... om φοβου ... Ax FA εκλυσεως αυτης 3. Ax FA*.* ειπεν αυτη ... FA*.* εσϑηρ η βασιλισσα 4. Ax (item FA*.* ut vdtr) ημερα μοι ... σημερον επισημος· ει ... FA om ουν ... Ax FA*.* ελϑ. (Ax ελϑετω) ο βασιλευς και αμαν 5. FA*.* τον αμαν ... FA οπως ποιησομεν ... κατασπευσατω αμαν ποιησαι ... παρεγεινοντο αμφ. επι 6. FA*.* (non ∷ ut vdtr) ποτω του οινου ... και ειπεν ο βασιλευς προς εσϑηρ εν τω ποτω Τι εστιν εσϑ. η βασιλισσα ... FA*.* post βασ. εσϑηρ add τι το αιτημα σου και δοϑησεται σοι και τι το αξιωμα σου εως του ημισους της βασιλειας ... Ax FA*.* εσται σοι 7. ειπ. εσϑηρ ... Ax FA αξιωμ. μου 8. FA*.* post βασιλεως (siquidem huc nota pertinere videtur) add και ο (corrige ει?) επι τον βασιλεα αγαϑον δουναι το αιτημα μου και ποιησαι το αξιωμα μου ... FA* ab αυριον ad αυριον transilit, *.* post αμαν pergit εις την δοχην ην ποιησω αυτοις την αυριον (sed τ. αυρ. ∷ super erasa scripsit) και (erasit ∷ ?) αυριον γαρ (και αυρ. γαρ etiam Ax; FA* αυρ. γαρ) 9. εξηλϑεν αμαν ... FA*.* ο αμαν εν τη ημερα εκεινη ... FA*.* ευφραιν. τη καρδια ... FA ειδιν αμαν ... om αμαν ... FA*.* τον μαρδοχαιον ... FA*.* ε. τ. αυλη του βασιλεως και ουχ ανεστη ουδε ετρομησεν απ αυτου ... εϑυμ. αμαν σφ., FA*.* εϑυμ. αμαν επι μαρδοχαον (sic) σφ.



Digitized by Google

10 ἐν τῇ αὐλῇ ἐθυμώθη σφόδρα. [10] καὶ εἰςελθὼν εἰς τὰ ἴδια ἐκάλεσε τοὺς φίλους
11 καὶ Ζωσάραν τὴν γυναῖκα αὐτοῦ, [11] καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ
καὶ τὴν δόξαν ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρω-
12 τεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας. [12] καὶ εἶπεν Ἀμάν Οὐ κέκληκεν ἡ βασί-
λισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχὴν ἀλλ' ἢ ἐμέ, καὶ εἰς τὴν αὔ-
13 ριον κέκλημαι. [13] καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν ἴδω Μαρδοχαῖον τὸν Ἰου-
14 δαῖον ἐν τῇ αὐλῇ. [14] καὶ εἶπε πρὸς αὐτὸν Ζωσάρα ἡ γυνὴ αὐτοῦ καὶ οἱ φίλοι
Κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα, ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ καὶ κρε-
μασθήτω Μαρδοχαῖος ἐπὶ τοῦ ξύλου· σὺ δὲ εἴςελθε εἰς τὴν δοχὴν σὺν τῷ
βασιλεῖ καὶ εὐφραίνου. καὶ ἤρεσε τὸ ῥῆμα τῷ Ἀμάν, καὶ ἡτοιμάσθη τὸ ξύλον.

## VI.

Ὁ δὲ κύριος ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν νύκτα ἐκείνην,
καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ εἰςφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν ἀνα-
2 γινώσκειν αὐτῷ. [2] εὗρε δὲ τὰ γράμματα τὰ γραφέντα περὶ Μαρδοχαίου, ὡς
ἀπήγγειλε τῷ βασιλεῖ περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν
3 αὐτοὺς καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ. [3] εἶπε δὲ ὁ βασιλεύς
Τίνα δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ; καὶ εἶπαν οἱ διάκονοι τοῦ
4 βασιλέως Οὐκ ἐποίησας αὐτῷ οὐδέν. [4] ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα
περὶ τῆς εὐνοίας Μαρδοχαίου, ἰδοὺ Ἀμὰν ἐν τῇ αὐλῇ· εἶπε δὲ ὁ βασιλεύς
Τίς ἐν τῇ αὐλῇ; ὁ δὲ Ἀμὰν εἰςῆλθεν εἰπεῖν τῷ βασιλεῖ κρεμάσαι τὸν Μαρ-
5 δοχαῖον ἐπὶ τῷ ξύλῳ ᾧ ἡτοίμασε. [5] καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως Ἰδοὺ
6 Ἀμὰν ἕστηκεν ἐν τῇ αὐλῇ· καὶ εἶπεν ὁ βασιλεύς Καλέσατε αὐτόν. [6] εἶπε δὲ
ὁ βασιλεὺς τῷ Ἀμάν Τί ποιήσω τῷ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι; εἶπε
7 δὲ ἐν ἑαυτῷ Ἀμάν Τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ; [7] εἶπε δὲ πρὸς
8 τὸν βασιλέα Ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι, [8] ἐνεγκάτωσαν οἱ παῖδες
τοῦ βασιλέως στολὴν βυσσίνην ἣν ὁ βασιλεὺς περιβάλλεται, καὶ ἵππον ἐφ' ὃν
9 ὁ βασιλεὺς ἐπιβαίνει, [9] καὶ δότω ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων
καὶ στολισάτω τὸν ἄνθρωπον ὃν ὁ βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν
ἐπὶ τὸν ἵππον, καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων Οὕτως

---

10. FA*.* praemittit και ενεκρατευσατο αμαν ... εισηλθεν ε. τ. ιδ. και εκαλεσεν ... FA*.* αποστειλας εκαλεσεν ... σωσαραν 11. FA*.* αυτοις αμαν τ. πλ. α. και το πληθος των υιων αυτου ... περιεθηκ. αυτω ... εποιησ. αυτον πρωτον ηγεισθαι 12. om ειπεν αμαν Ου κεκληκεν ... Ax FA*.* εσθηρ η βασιλισσα ... ουθενα ... FA*.* εις τ. δοχ. ην εποιησεν αλλ ... κεκληκεν pro κεκλημαι ... FA*.* εγω κεκλημαι μετα του βασιλεως 13. FA* επαν ιδω, *.* εν παντι χρονω οταν ιδω ... FA*.* καθημενον εν τη αυλ. του βασιλεως 14. σωσαρα ... FA*.* κ. παντες οι φιλ. αυτου ... om σοι ... FA*.* ξυλ. υψηλον VI. 1. Ax FA τω διδασκαλω αυτου ... εισφερων ... FA*.* τα γραμματα μνημ. λογων των ... αναγιγνωσκειν ... FA*.* αναγ. αυτα ενωπιον του βασιλεως 2. FA* om τα γραφεντα, *.* supplet γραφεντα ... FA*.* περι βαγαθαν και θαρρας των δυο ... ευνουχ. αυτου εν ... FA* φυλασσ. αυτον και ... φυλ. αυτ. εν τω επιβαλ. αυτους τας ... FA αρταξερξει ... FA*.* τω μαρδοχ. περι τουτου ... κ. ειπον οι εκ της διακονιας Ουκ ε. α. ουθεν 4. FA του μαρδοχαιου ... FA*.* ιδου α. εισηλθεν εν τη αυλη οικου του βασιλεως την εξωτεραν ειπειν τω (... κραμασαι) ... FA*.* ητοιμ. αυτω 5. κ. ειπον οι εκ της διακονιας του ... FA*.* βασιλεως προς αυτον ... FA*.* in f. add και εισηλθεν αμαν 6. ω εγω θελω ... FA ειπεν δε αυτω αμαν et *.* add εν εαυτω 7. FA*.* ειπ. δε αμαν ... ειπ. δε τω βασιλει 8. ενεγκατω omissis οι παιδ. τ. βασιλεως ... FA*.* ην εν αυτη ο βασ. περ. κ. ιππ. εφ ον επ αυτον 9. FA*.* και δοθητω διαδημα βασιλειας επι την κεφαλην αυτου και δοθητω το ενδυμα και ο ιππος εν χειρι των φιλων του ... FA*.* στολισατωσαν ... FA* κηρυσσεται, *.* κηρυσσετωσαν

Digitized by Google

ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς δοξάζει. [10] εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν 10
Καλῶς ἐλάλησας· οὕτως ποίησον τῷ Μαρδοχαίῳ τῷ Ἰουδαίῳ τῷ θεραπεύοντι
ἐν τῇ αὐλῇ, καὶ μὴ παραπεσάτω σου λόγος ὧν ἐλάλησας. [11] ἔλαβε δὲ Ἀμὰν 11
τὴν στολὴν καὶ τὸν ἵππον, καὶ ἐστόλισε τὸν Μαρδοχαῖον καὶ ἀνεβίβασεν αὐ-
τὸν ἐπὶ τὸν ἵππον, καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως καὶ ἐκήρυσσε
λέγων Οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. [12] ἐπέστρεψε 12
δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν· Ἀμὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια λυπούμε-
νος κατὰ κεφαλῆς. [13] καὶ διηγήσατο Ἀμὰν τὰ συμβεβηκότα αὐτῷ Ζωσάρᾳ 13
τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις· καὶ εἶπαν πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή
Εἰ ἐκ γένους Ἰουδαίων Μαρδοχαῖος, ἦρξαι ταπεινοῦσθαι ἐνώπιον αὐτοῦ, πε-
σὼν πεσῇ, καὶ οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι θεὸς ζῶν μετ' αὐτοῦ. [14] ἔτι 14
αὐτῶν λαλούντων παραγίνονται οἱ εὐνοῦχοι ἐπισπεύδοντες τὸν Ἀμὰν ἐπὶ τὸν
πότον ὃν ἡτοίμασεν Ἐσθήρ.

## VII.

Εἰςῆλθε δὲ ὁ βασιλεὺς καὶ Ἀμὰν συμπιεῖν τῇ βασιλίσσῃ. [2] εἶπε δὲ ὁ 2
βασιλεὺς Ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ Τί ἐστιν, Ἐσθὴρ βασίλισσα,
καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά σου; καὶ ἔστω σοι ἕως ἡμίσους τῆς
βασιλείας μου. [3] καὶ ἀποκριθεῖσα εἶπεν Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, 3
δοθήτω ἡ ψυχὴ τῷ αἰτήματί μου, καὶ ὁ λαός μου τῷ ἀξιώματί μου. [4] ἐπρά- 4
θημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δουλείαν,
ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρήκουσα· οὐ γὰρ
ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως. [5] εἶπε δὲ ὁ βασιλεὺς Τίς οὗτος 5
ὅςτις ἐτόλμησε ποιῆσαι τὸ πρᾶγμα τοῦτο; [6] εἶπε δὲ Ἐσθὴρ Ἄνθρωπος ἐχθρὸς 6
Ἀμὰν ὁ πονηρὸς οὗτος. Ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασι-
λίσσης. [7] ὁ δὲ βασιλεὺς ἐξανέστη ἀπὸ τοῦ συμποσίου εἰς τὸν κῆπον· ὁ δὲ 7
Ἀμὰν παρῃτεῖτο τὴν βασίλισσαν, ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα. [8] ἐπέ- 8
στρεψε δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου, Ἀμὰν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλί-
νην ἀξιῶν τὴν βασίλισσαν· εἶπε δὲ ὁ βασιλεὺς Ὥςτε καὶ τὴν γυναῖκα βιάζῃ

---

10. FA*.* τω αμαν Ταχεως λαβε συν το ενδυμα και τον ιππον καθως ελαλ. ουτως ποιησον μαρδοχαιω ... ποιησομεν μαρδοχαιω τ. ιουδ. τ. θερ. ον ειπεν ο βασιλευς και μη ... FA*.* λογος εκ παντων ων 11. ab ιππον ad ιππον transilit 12. FA*.* αυλην του βασιλεως ... FA*.* λυπουμ. καταχεκαλυμμενος κεφαλην 13. FA διηγ. απαντα τα συμβεβηκοτα αυτω αμαν ... σωσαρα ... ειπον ... FA*.* οι φιλ. αυτου κ. η γυν. αυτου ζωσαρα ... FA*.* μαρδοχ. ου ηρξω ταπ. ... Ax FA om και post πεση ... ο θεος ο ζων 14. FA*.* λαλουντ. μετ αυτου π. οι ευν. του βασιλεως επισπ. αγαγειν ... FA αισθηρ VII. 1. Ax FA συνπιειν ... FA*.* τη βασ. εσθηρ 2. και ειπεν ο βασιλευς τη δευτερα ... FA*.* και γε τη δευτερα ... FA*.* ποτω του οινου ... εσθ. η βασιλισσα ... FA*.* αιτημ. σ. και δοθησεται σοι και τι ... εσται σοι ... Ax FA εως του ημισους 3. FA*.* αποκριθ. εσθηρ η βασιλισσα ... FA*.* βασιλεως και ει επι τον βασιλεα αγαθον δοθητω μοι η ψ. μου ... FA* τω αιματι μου ... Ax FA* ο λογος pro ο λαος μου 4. om και διαρπαγην ... FA δουλιαν ... FA*.* post παιδισκας add επραθημεν 5. FA*.* ο βασιλ. αρταξερξης τη εσθηρ τη βασιλισση ... FA τις ουτος εστιν et *.* add και ποιος εστιν ουτος ... FA ος ετολμησεν 6. FA*.* ανθρ. επιβουλος και εχθρος 7. FA*.* εξανεστη εν οργη αυτου ... Ax FA εκ του συμποσιου ... FA*.* κηπον τον συμφυτον· ο δε α. εξανεστη και παρ. περι της ψυχης αυτου την βασ. εσθηρ ... Ax FA* εωρα γαρ αυτον ... FA*.* super οντα notat παρα του βασιλεως 8. απο του κηπου ... FA*.* εκ τ. κηπ. του συμφυτου εις τον οικον του ποτου του οινου ... επιπεπτ. και επεσεν ε. τ. κλ. αξ. αυτην ... FA* γυναικαν, *.* γυναικα μετ εμου ... εκβιαζη

43*

Digitized by Google

9 ἐν τῇ οἰκίᾳ μου; Ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ. [9] εἶπε δὲ Βουγαθὰν εἷς
τῶν εὐνούχων πρὸς τὸν βασιλέα Ἰδοὺ καὶ ξύλον ἡτοίμασεν Ἀμὰν Μαρδοχαίῳ τῷ
λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ ὤρθωται ἐν τοῖς Ἀμὰν ξύλον πηχῶν πεν-
10 τήκοντα. εἶπε δὲ ὁ βασιλεύς Σταυρωθήτω ἐπ' αὐτοῦ. [10] καὶ ἐκρεμάσθη Ἀμὰν
ἐπὶ τοῦ ξύλου ὃ ἡτοιμάσθη Μαρδοχαίῳ. καὶ τότε ὁ βασιλεὺς ἐκόπασε τοῦ
θυμοῦ.

## VIII.

Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Ἐσθὴρ ὅσα
ὑπῆρχεν Ἀμὰν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ τοῦ βασιλέως·
2 ὑπέδειξε γὰρ Ἐσθὴρ ὅτι ἐνοικείωται αὐτῇ. [2] ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύ-
λιον ὃν ἀφείλατο Ἀμὰν καὶ ἔδωκεν αὐτὸν Μαρδοχαίῳ, καὶ κατέστησεν Ἐσθὴρ
3 Μαρδοχαῖον ἐπὶ πάντων τῶν Ἀμάν. [3] καὶ προσθεῖσα ἐλάλησε πρὸς τὸν βασι-
λέα, καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ ἠξίου ἀφελεῖν τὴν Ἀμὰν
4 κακίαν καὶ ὅσα ἐποίησε τοῖς Ἰουδαίοις. [4] ἐξέτεινε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τὴν
5 ῥάβδον τὴν χρυσῆν· ἐξηγέρθη δὲ Ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ. [5] καὶ εἶπεν
Ἐσθήρ Εἰ δοκεῖ σοι καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι τὰ γράμματα
τὰ ἀπεσταλμένα ὑπὸ Ἀμάν, τὰ γραφέντα ἀπολέσθαι τοὺς Ἰουδαίους οἵ εἰσιν
6 ἐν τῇ βασιλείᾳ σου. [6] πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου,
7 καὶ πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου; [7] καὶ εἶπεν
ὁ βασιλεὺς πρὸς Ἐσθήρ Εἰ πάντα τὰ ὑπάρχοντα Ἀμὰν ἔδωκα καὶ ἐχαρισά-
μην σοι, καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς Ἰου-
8 δαίοις, τί ἔτι ἐπιζητεῖς; [8] γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου ὡς δοκεῖ
ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου· ὅσα γὰρ γράφεται τοῦ βασιλέως
ἐπιτάξαντος καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν.
9 [9] ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνὶ ὅς ἐστι Νισάν, τρίτῃ καὶ
εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς Ἰουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκο-
νόμοις καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας,
ἑκατὸν εἰκοσιεπτὰ σατράπαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν αὐτῶν λέξιν.
10 [10] ἐγράφη δὲ διὰ τοῦ βασιλέως καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐξα-
πέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων, [11] ὡς ἐπέταξεν αὐτοῖς χρήσασθαι τοῖς

---

8. FA ∵ εν τη οικια· ο λογος εξηλθεν εκ του στοματος του βασιλεως· αμαν δε 9. FA* βουγαθα, ∵ βουγαζαν ... FA ∵ εις απο των ... του βασιλεως pro πρ. τ. βασιλεα ... Ax FA ∵ το ξυλον ο ητ. ... FA ∵ λαλησ. αγαθα ... (ωρθρωτε ...) FA* om και ante ωρθωται ... om ξυλον, FA ∵ υψηλον ξυλον ... Ax FA ∵ ου ητοιμασεν ... εκοπασεν ο βασιλευς VIII. 1. FA* om τω διαβολω, ∵ supplet τω διαβ. των ιουδαιων ... και μαρδοχ. δε ... ενοικιωτο 2. Ax FA ∵ του αμαν ... om αυτον 3. FA ∵ προσθεισ. εσθηρ ... FA ∵ ηξιου και εδεηθη αυτου 4. και εξετεινεν ο 5. χαριν ενωπιον σου, FA ∵ χαρ. ενωπιον σου και ευθης ο λογος ενωπιον του βασιλεως και αγαθη ειμι εν οφθαλμοις αυτου ... Ax FA αποστρεψαι ... Ax FA ∵ εξαπεσταλμενα ... FA ∵ αμαν υιου αμαδαθου βουγαιου ... απολεσαι τ. ιουδ. οσοι ... om σου 6. FA ειδιν, Ax επιδειν 7. βασ. εσθηρ τη βασιλισση ... FA* εδωκε ... om εδωκα και ... επι του ξυλου ... FA* επηνεγκα αν τοις ... om ετι 8. Ax FA* (rursusque ∷) γραφετε και υμ. 9. FA ∵ post γραμμ. add του βασιλεως εν τω καιρω εκεινω ... Ax FA νισα ... FA ∵ εν τω τριτω μηνι ο (correctum ος) εστιν σιουαν ... του αυτου μηνος, FA* του δευτερου ετους ... FA ∵ ενετ. μαρδοχαιος προς ιουδαιους ... FA ∵ οι ησαν απο ... FA χωρ. κ. χωρ. pon. ante εκατον ... εικ. και επτα σατραπιαις, FA εικοσιεπτα σατραπειαις ... FA εαυτων λεξιν 10. και εγραφη ... FA ∵ βασιλεως αρταξερξου ... Ax FA ∵ εξαπεστειλεν ... Ax FA* βιβλιαφορων 11. Ax FA ∵ (non ∷) χρησασθαι

Digitized by Google

νόμοις αὐτῶν ἐν πάσῃ πόλει, βοηθῆσαί τε αὐτοῖς καὶ χρῆσθαι τοῖς ἀντιδί-
κοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν ὡς βούλονται, [12] ἐν ἡμέρᾳ μιᾷ ἐν 12
πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ὅς
ἐστιν Ἀδάρ. [13] ὧν ἐστὶν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα. Βασι- 13*
λεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις χωρῶν ἄρχουσι καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι χαίρειν. πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι μεῖζον ἐφρόνησαν, καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι· καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην. πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ' ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστήσασα περιέβαλε συμφοραῖς ἀνηκέστοις, τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην. σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων ὡς παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶ παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι, καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, εἰς τὸ τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης παρεξόμεθα χρώμενοι ταῖς μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ' ἐπιεικεστέρας ἀπαντήσεως. ὡς γὰρ Ἀμὰν Ἀμαδάθου Μακεδὼν ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν ἔτυχεν ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον ὥστε ἀναγορεύεσθαι ἡμῶν πατέρα καὶ προςκυνούμενον ὑπὸ πάντων τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόςωπον διατελεῖν. οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος, τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ παντὸς εὐεργέτην Μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Ἐσθὴρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος

11. εν τη πολει βοηθησαι αυτοις ... FA*.* (non ::) χρησασθαι ... om τοις αντιδ. αυτων (αυτων om etiam FA) και ... FA*.* in f. add πασαν δυναμιν λαου και χωρας τους θλιβοντας αυτους νηπια και γυναικας και τα σκυλα αυτων εις προνομην 12. Ax FA om δωδεκατου, FA* om etiam ος εστ. αδ., FA*.* post μηνος add του $\overline{\iota\beta}$ ος εστιν αδαρ 13. FA* om ὧν ... FA* om της [2] εικοσι και επτα [3] FA* σατραπαις ιδιων χωρων ... FA αρξουσι ... Ax FA*.* και σατραπαις τοις τα [4] FA* αμινον εφρονησαν ου μονον τ. υ. υμιν αιτουσιν [7] Ax FA και κατα την ευχαρ. (Ax ευχαρ.) ... FA*.* delet αντ in αντανερουντες (sic) [9] Ax FA* (rursus ::) διαλαμβανουσιν ... FA* om δικην [11] FA* παραμυθιαν μετενους (corrige μετετιους) ... FA καταστησας [12] FA*.* κακοηθ. τροπω ψευδει (FA* ψευδει δε) ... FA παραλογισαμενος [13] FA* ακερ. επιγνωσιν ... παραμυθια μεταγνουσα μετα των αθωων καταστησας· περιεβαλε συμφ. αν. των της αληθειας ψευδει παραλογισαμενος την των επ. ακ. εγνωμοσυνην (... FA* τωουτων pro τοσουτον) [14] FA* om ως ... FA*.* παραδεδωκαμεν ... FA οσον εστιν ... (FA* παρα μερος υμιν εκζητουν ...) [15] FA* αξιας (*.* αξια) δυναστευωντο (*.* δυναστευοντων), Ax αξιοδυναστευοντων [16] FA* εις το μετα ... FA*.* και την pro εις το την, :: vdtr το την [17] Ax FA*.* ου χρωμενοι [18] FA* δει pro αει ... Ax FA μετα επιεικ. ... FA* αγανακτησεως [19] αμαθου [21] ως pro ωστε [22] προςκυνουμενος [23] Ax FA υπερηφανιαν (ita etiam ed. rom.) ... επιτηδευσεν [24] ημας στερησαι, FA* στερεσαι υμας ... om και ante του πν. ... FA* σωτηραν ([25] FA* της βασιλεως [26] FA* τοις τουτων εθνει)

Digitized by Google

εἰς ἀπώλειαν· διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους τὴν τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι. ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις, ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει. καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ Ἀμὰν Ἀμαδάθου ἀποσταλεῖσι γράμμασι, διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ κρίσιν· τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παῤῥησίας, ἐᾶν τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νομίμοις, καὶ συνεπισχύειν αὐτοῖς ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ· ταύτην γὰρ ὁ τὰ πάντα δυναστεύων θεὸς ἀντ' ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐποίησεν αὐτοῖς εὐφροσύνην. καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε, ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾖ ἡμῖν καὶ τοῖς εὐνοοῦσι Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι μνημόσυνον τῆς ἀπωλείας. πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ' ὀργῆς· οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος κατασταθήσεται. τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι * πάντας τοὺς Ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους.

(IX.)

14 [14] Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα
15 ἐπιτελεῖν· ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σούσοις. [15] ὁ δὲ Μαρδοχαῖος ἐξῆλ-
θεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν καὶ στέφανον ἔχων χρυσοῦν καὶ διά-
16 δημα βύσσινον πορφυροῦν· ἰδόντες δὲ οἱ ἐν Σούσοις ἐχάρησαν. [16] τοῖς δὲ Ἰου-
17 δαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη [17] κατὰ πόλιν καὶ χώραν οὗ ἂν ἐξετέθη
τὸ πρόσταγμα, οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα· χαρὰ καὶ εὐφροσύνη τοῖς Ἰουδαίοις,
κώθων καὶ εὐφροσύνη· καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμοντο καὶ Ἰουδάιζον διὰ

---

27. om τουτων ... Ax ωηθει, FA* ηθη ... Ax FA *.* λαβειν ... τας pro ημας ... Ax FA*.* την τε [28] om των [29] ευρ. κακ. ουκ οντας [30] FA* αναγκαιοτατους δε ... υιους υψιστου [31] FA* του κατευθυνοντας (sic) ημας τε κ. τ. πρ. η. την αγιαν εν [32] ποιησατε, FA ποιησητε [33] αμαθαδου ... Ax FA* om τον [35] FA* του παντα [36] εκτεθεντες, FA* εκτεθεντος [37] FA* αν pro εαν ... Ax FA νομοις [38] FA* om αυτοις ante αμυνωνται [39] ταυτη γαρ επι παντα, FA* ταυτη ο τα παντα [40] FA ολεθρειας ... FA*.* εις ευφροσυνην [41] om υμων εορταις ... FA* επισημον ημερας [42] σωτηρια μεν υμων και ευνοουντων τοις περσ., FA* σωτηρια υμιν και τοις ευνοουσιν περσ., :: (*.*?) των σωτηρια μεν των ευνοουντων τοις περσ. [43] των δε τουτοις επιβουλευσαντων ... FA* υμιν επιβ. (vdtr) [45] FA *.* (non ::) και μετ οργης ... om εις τον απαντ. χρονον ... FA* εχιστος, FA *.* εσχιστος, Ax αισχιστος ... FA* αυτα σταθησεται ... FA*.* αντιγρ. της επιστολης ... FA εκτιθεσθω, Ax εκτεθεισθω ... ετοιμους δε (IX.) 14. FA*.* ιππεις και επιβαται τωνποριων οι μεγιστανες εξ. σπ. και διωκομενοι τα υπο ... το εκθεμα ... FA*.* in f. add τη βαρει 15. FA*.* εξελθ. εκ προσωπου του βασιλεως εστ. τ. β. στ. υακινθινην αερινην κ. στεφ. χρ. εχων ... στολισμενος ... FA ειδοντες ... FA*.* εχαρ. και ευφρανθησαν 16. οτι τοις ιουδ. ... FA*.* in f. add και αγαλλιαμα και τιμη 17. χωρ. ου εαν εξετεθη το εκθεμα, FA*.* ου αν ο λογος του βασιλεως και το εκθεμα εξετεθη (*om ου α. ε. τ. εκθ.) ... FA* om χαρα κ. ευφρ. (*.* ευφρ. κ. χαρα) τοις ιουδ. κωθ. κ. ευφρ. ... Ax (sed τοις ιουδ. usque των ιουδαιων rescr. sunt) FA *.* περιετεμνοντο ... FA* κ. ενιουδαϊζον και δια

Digitized by Google

τὸν φόβον τῶν Ἰουδαίων. (IX.) [1]Ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ τῇ τριςκαιδεκάτῃ 1
τοῦ μηνός, ὅς ἐστιν Ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασι-
λέως. [2]ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ἰουδαίοις· οὐδεὶς 2
γὰρ ἀντέστη, φοβούμενος αὐτούς. [3]οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν καὶ οἱ 3
τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ἰουδαίους· ὁ γὰρ φόβος
Μαρδοχαίου ἐνέκειτο αὐτοῖς. [4]προςέπεσε γὰρ τὸ πρόςταγμα τοῦ βασιλέως ὀνο- 4
μασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ. [6]καὶ ἐν Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ἰου- 6
δαῖοι ἄνδρας πεντακοσίους, [7]τόν τε Φαρσαννὲς καὶ Δελφὼν καὶ Φασγὰ [8]καὶ 7 8
Φαραδαθὰ καὶ Βαρεὰ καὶ Σαρβακὰ [9]καὶ Μαρμασιμὰ καὶ Ῥουφαῖον καὶ Ἀρ- 9
σαῖον καὶ Ζαβουθαῖον, [10]τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδάθου Βουγαίου τοῦ 10
ἐχθροῦ τῶν Ἰουδαίων, καὶ διήρπασαν [11]ἐν αὐτῇ τῇ ἡμέρᾳ· ἐπεδόθη τε ὁ 11
ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις. [12]εἶπε δὲ ὁ βασιλεὺς πρὸς 12
Ἐσθήρ Ἀπώλεσαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει ἄνδρας πεντακοσίους· ἐν
δὲ τῇ περιχώρῳ πῶς οἴει ἐχρήσαντο; τί οὖν ἀξιοῖς ἔτι καὶ ἔσται σοι; [13]καὶ 13
εἶπεν Ἐσθὴρ τῷ βασιλεῖ Δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡςαύτως τὴν αὔ-
ριον, ὥςτε τοὺς δέκα υἱοὺς Ἀμὰν κρεμάσαι. [14]καὶ ἐπέτρεψεν οὕτως γενέσθαι, 14
καὶ ἐξέθηκε τοῖς Ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν Ἀμὰν κρεμάσαι.
[15]καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεςκαιδεκάτῃ τοῦ Ἀδὰρ καὶ 15
ἀπέκτειναν ἄνδρας τριακοσίους, καὶ οὐδὲν διήρπασαν. [16]οἱ δὲ λοιποὶ τῶν Ἰου- 16
δαίων οἱ ἐν τῇ βασιλείᾳ συνήχθησαν καὶ ἑαυτοῖς ἐβοήθουν, καὶ ἀνεπαύσαντο
ἀπὸ τῶν πολεμίων· ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακιςχιλίους τῇ τριςκαι-
δεκάτῃ τοῦ Ἀδάρ, καὶ οὐδὲν διήρπασαν. [17]καὶ ἀνεπαύσαντο τῇ τεσσαρες- 17
καιδεκάτῃ τοῦ αὐτοῦ μηνός, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς 18
καὶ εὐφροσύνης. [18]οἱ δὲ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ

---

1. Ax FA*.* μηνι τριςκαιδεκατη, FA* μηνι τεσσαρεςκαιδ. ... FA* ο εστιν ... FA*.* in f. add και το δογμα αυτου ποιησαι 2. FA* εν αυτη τη ωρα, *.* εν α. τ. ημερα η ... FA*.* ανεστη κατα προσωπον αυτων (... FA* φοβουμενους) 3. FA* τιμωνται ... FA*.* in f. add εμεγαλυνετο γαρ μαρδοχαιος πορευομενος 4. FA*.* επεπεσεν ... FA ως ονομασθηναι 6. FA* om τη πολ. απεκτ. ... FA*.* απ. οι ιουδ. και απωλεσαν ... FA ανδρ. φ 7. φαρσανεσταν, FA* (vdlr) φαρσαννεσταν, *.* φαρσαννεσταϊν ... FA* και αδελφων, *.* και τον δελφων ... φαγα, FA* φιαγα 8. κ. βαρδαθα κ. βαρελ κ. σαρβαχα, FA κ. φαρααθα κ. βαρ. κ. σαρβαχα 9. κ. μαρμασιμνα κ. ρουφανον κ. α. κ. ζαβουγαθα, FA κ. μαρμασιμ κ. ρουφαιον κ. αρσεον κ. ζαβουδεθαν 10. FA* αμαναδαθου βουδεου (*.* βουγεου), Ax αμαθαδου του βουγαιου ... (FA* βουδεου των τους εχθρου) ... Ax FA*.* απεκτειναν και διηρπασ. 11. Ax om τε ο, FA*.* om τε ... FA*.* in f. add τη πολει 12. om προς ... FA*.* (omisso προς?) εσθ. τη βασιλισση Απ. οι ιουδ. και εφονευσαν ... FA* om τη πολει ... FA*.* post πενταχοσ. add και τους ι υιους αμαν ... χωρα pro περιχωρω ... FA* αιει ... Ax FA*.* κεχρηνται ... και τι αξιοις 13. FA* χρηστε, *.* χρησασθαι ... FA*.* τη αυριον ... om δεκα ... Ax FA*.* κρεμασθηναι ... FA αμαν post κρεμασ. pon. et *.* add επι ξυλου 14. FA ουτω ... om κ. επετρ. ουτ. γενεσθαι ... FA* επεθηκεν ... FA* om της πολ. τα σωματα 15. FA*.* τη τριςκαιδεκατη ... FA* του μηνος, *.* του αδαρ μηνος ... FA*.* απεκτ. οι ιουδαιοι εν σουσοις ... ουθεν 16. συναχθεντες εαυτοις εβοηθουν ... FA*.* εβοηθ. περι της ψυχης αυτων ... FA* δυνατων pro αυτων ... FA*.* post πεντακιςχιλ. add ουδεν διηρπασαν· ουχ απεστειλαν τας χειρας αυτων, deletis postea και ουδεν διηρπασαν ... τη τριςκαιδ. του αδ. και τη τεσσαρεςκαιδεκατη του αυτου μηνος, FA τη τριςκαιδεκ. (*.* add του αυτου αδαρ) και τεσσαρεςκαιδεκατη (*.* om και τεσσ.) 17. FA αυτου του μηνος ... FA αυτην την ημεραν 18. FA οι εν σουσοις ... FA* om τη πολει ... FA συνηχθησαν (*.* add τη ͞γ και ͞ι του αυτου και) omisso και

Digitized by Google

τῇ τεσσαρεςκαιδεκάτῃ καὶ ἀνεπαύσαντο· ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ
19 χαρᾶς καὶ εὐφροσύνης. [19] διὰ τοῦτο οὖν οἱ Ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ
χώρᾳ τῇ ἔξω ἄγουσι τὴν τεσσαρεςκαιδεκάτην τοῦ Ἀδὰρ ἡμέραν ἀγαθὴν μετ’
20 εὐφροσύνης, ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον. [20] ἔγραψε δὲ Μαρ-
δοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον, καὶ ἐξαπέστειλε τοῖς Ἰουδαίοις ὅσοι
21 ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλείᾳ τοῖς ἐγγὺς καὶ τοῖς μακράν, [21] στῆσαι τὰς
ἡμέρας ταύτας ἀγαθάς, ἄγειν τε τὴν τεσσαρεςκαιδεκάτην καὶ τὴν πεντεκαι-
22 δεκάτην τοῦ Ἀδάρ· [22] ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ἰουδαῖοι
ἀπὸ τῶν ἐχθρῶν αὐτῶν· καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη αὐτοῖς, ὃς ἦν Ἀδάρ,
ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον ἀγα-
θὰς ἡμέρας γάμων καὶ εὐφροσύνης, ἐξαποστέλλοντες μερίδας τοῖς φίλοις καὶ
23 τοῖς πτωχοῖς. [23] καὶ προςεδέξαντο οἱ Ἰουδαῖοι καθὼς ἔγραψεν αὐτοῖς ὁ Μαρ-
24 δοχαῖος, [24] πῶς Ἀμὰν Ἀμαδάθου ὁ Μακεδὼν ἐπολέμει αὐτούς, καθὼς ἔθετο
25 ψήφισμα καὶ κλῆρον ἀφανίσαι αὐτούς, [25] καὶ ὡς εἰςῆλθε πρὸς τὸν βασιλέα
λέγων κρεμάσαι τὸν Μαρδοχαῖον· ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς Ἰου-
δαίους κακὰ ἐπ’ αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτὸς καὶ τὰ τέκνα αὐτοῦ.
26 [26] διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραὶ διὰ τοὺς κλήρους, ὅτι
τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραί, διὰ τοὺς λόγους τῆς ἐπιστολῆς ταύ-
27 της, καὶ ὅσα πεπόνθασι διὰ ταῦτα καὶ ὅσα αὐτοῖς ἐγένετο, [27] καὶ ἔστησεν·
καὶ προςεδέχοντο οἱ Ἰουδαῖοι ἐφ’ ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ ἐπὶ
τοῖς προςτεθειμένοις ἐπ’ αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. αἱ δὲ ἡμέ-
ραι αὗται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενεὰν καὶ πόλιν καὶ

---

18. τη τεσσαρεςκαιδεκατη (∵ add του αυτου) ανεπαυσαντο (∵ και ουκ ανεπαυσ., sed και ουκ delevit ::) ... om και ante ανεπαυσ. ... FA* τη πεντεκαιδεκατη 19. Ax FA:: δια γαρ τουτο, FA* δια τουτο, FA ∵ δια τουτο ουν (vdtr) ... Ax FA om οι post ιουδαιοι ... FA ∵ διεσπαρμ. οικουντες εν ... εν τη χωρα ... FA* om τη εξω ... FA* om την ... αγ. και την ... FA* του μηνος, (∵ αδαρ super μηνος notat) ημεραν ... Ax FA μετα ευφροσ. et FA ∵ add και ποτου ... FA* μεριδα ... μεριδας τοις πλησιον ... Ax FA in f. add οι δε κατοικουντες εν ταις μητροπολεσιν και την (FA τη) πεντεκαιδεκατην (FA -τη) του αδαρ ημεραν ευφροσυνης αγαθην αγουσιν (Ax om αγουσιν) εξαποστελλοντες (FA* εξαποστελλουσιν, ∵ -οντες) μεριδα (Ax FA ∵ μεριδας) τοις πλησιον 20. απεστειλεν .. Ax FA ∵ ιουδ. οι εισιν 21. om τε ... FA* τη τεσσεαρεςκαιδεκατη (τεσσεαρεςκ. FA* etiam v. 19.) (∵ την τεσσ. του μηνος αδαρ) και τη πεντεκαιδεκατην (∵ και την ημεραν πεμπτην κ. δεκ.) ... om του αδαρ 22. εν ταις ημερ. αις ... FA ∵ ημεραις ος (ita prorsus) ανεπαυσαντο οι ιουδαιοι (FA* om οι ιουδαιοι) εν αυταις ... FA* om απο ... Ax FA εν ω εγραφη αυτοις ... FA om απο πενθους usque αγαθην ημεραν ... απο οδυνης ε. χαραν· και απο πενθ. ε. αγαθ. ημεραν αγειν αυτας ημερας γαμων ... FA* κ. ευφροσυνην ... FA εξαποστελλοντας 23. om ὁ 24. οπως αμαν αμαθαδου μακεδων, FA οπως ο (ο ∵ delevisse, :: restituisse videtur) αμαν αμαγαθουν (∵ αμαδαθου) ο μακεδων (∵ ο εβουγαιος sic) ... επολεμει τους ιουδαιους και ως, FA* επ. αυτοις καθως, ∵ επ. αυτους και ως ... FA ∵ ψηφισμα και εβαλεν φουρ ο εστιν κληρος απολεσαι αυτους ... απολεσαι αυτους 25. οσα επεχειρ., FA οσα τε επεχειρησαν (∵ -σεν) ... επαξαι τοις ιουδαιοις κ. επ α. εγενετο· εκρεμασθη ... Ax FA :: in f. add επι των ξυλων (∵ επι τοις ξυλοις) 26. om αι ημεραι αυται ... FA ∵ αυται φρουριμ ... καλουνται τη διαλ. αυτων ... FA* καλουνται αι φρουραι, ∵ καλ. φουρ 27. Ax FA και ως προςεδεχοντο ... FA* σπερματι αυτου ... FA ∵ επι πασιν τοις ... FA* επ αυτω ... επι τοις προτεθιμενοις εφ εαυτων ... FA* om επιτελουμενον ... μνημοσυναι επιτελουμεναι κατα γενεαν και πατριαν κ. πολ. κ. χωραν ... FA* (sed ipse * add vdtr) om και post πολιν

Digitized by Google

πατριὰν καὶ χώραν. [28] αἱ δὲ ἡμέραι αὗται τῶν Φρουραὶ ἀχθήσονται εἰς τὸν 28
ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν. [29] καὶ 29
ἔγραψεν Ἐσθὴρ ἡ βασίλισσα θυγάτηρ Ἀμιναδὰβ καὶ Μαρδοχαῖος ὁ Ἰουδαῖος
ὅσα ἐποίησαν τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρουραί. [30] καὶ Μαρδοχαῖος 30
καὶ Ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν, καὶ τότε στήσαντες
κατὰ τῆς ὑγιείας ἑαυτῶν καὶ τὴν βουλὴν αὐτῶν. [31] καὶ Ἐσθὴρ λόγῳ ἔστησεν
εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

## X.

Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ τῆς θαλάσσης·
[2] καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν, πλοῦτόν τε καὶ δόξαν τῆς βασιλείας 2
αὐτοῦ, ἰδοὺ γέγραπται ἐν βιβλίῳ βασιλέων Περσῶν καὶ Μήδων εἰς μνημόσυ-
νον. [3] ὁ δὲ Μαρδοχαῖος διεδέχετο τὸν βασιλέα Ἀρταξέρξην, καὶ μέγας ἦν ἐν 3
τῇ βασιλείᾳ καὶ δεδοξασμένος ὑπὸ τῶν Ἰουδαίων· καὶ φιλούμενος διηγεῖτο
τὴν ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτοῦ. καὶ εἶπε Μαρδοχαῖος Παρὰ τοῦ θεοῦ ἐγέ- *
νετο ταῦτα. ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου οὗ εἶδον περὶ τῶν λόγων τού-
των, οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν λόγος, ἡ μικρὰ πηγὴ ἣ ἐγένετο ποτα-
μός, καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολύ. Ἐσθήρ ἐστιν ὁ ποταμός, ἣν ἐγά-
μησεν ὁ βασιλεὺς καὶ ἐποίησε βασίλισσαν· οἱ δὲ δύο δράκοντες, ἐγώ εἰμι
καὶ Ἀμάν· τὰ δὲ ἔθνη τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν Ἰουδαίων·
τὸ δὲ ἔθνος τὸ ἐμόν, οὗτός ἐστιν Ἰσραὴλ οἱ βοήσαντες πρὸς τὸν θεὸν καὶ
σωθέντες. καὶ ἔσωσε κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐρρύσατο κύριος ἡμᾶς ἐκ
πάντων τῶν κακῶν τούτων· καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα
τὰ μεγάλα ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσι. διὰ τοῦτο ἐποίησε κλήρους δύο, ἕνα
τῷ λαῷ τοῦ θεοῦ καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι· καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι
εἰς ὥραν καὶ καιρὸν καὶ εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ θεοῦ καὶ πᾶσι τοῖς
ἔθνεσι· καὶ ἐμνήσθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ, καὶ ἐδικαίωσε τὴν κληρονομίαν
αὐτοῦ. καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ Ἀδὰρ τῇ τεσσαρεςκαι-
δεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ
εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ κατὰ γενεὰν εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ

---

28. του φρουραι, FA* των φρουρων, *.* των φρουριμ ... FA* αρθησονται ... om εις ... εκλειπη 29. FA* om η βασιλισσα ... FA αμιναδαν ... FA* om ο ιουδαιος ... FA οσα εποιησεν το εστερεωμα (correctum vdtr το τε στερ.) ... το στερεωμα ... των φρουραια, FA* των φρουρων, *.* τ. φρουριμ 30. FA* post μαρδοχαιος repetit haec: οσα εποιησεν το τε στερεωμα της επιστολης ... FA υγιας αυτων και (*.* add την) βουλ. αυτων ... υγιας ... βουλ. αυτων 31. Ax FA* om και ab initio X. 1. εγραψ. γαρ ... FA *.* ο βασιλ. αρταξερξης ... Ax FA τελη επι ... FA* επι της βασιλιας 2. FA* ισχ. αυτης ... FA*.* και την ανδραγαθειαν (* και ανδραγαθεια) ... FA* om ιδου, *.* ιδου ταυτα, Ax και ιδου ... εν τω βιβλιω, FA* εν βιβλω ... FA* βασιλεως 3. ο γαρ μαρδοχ., FA οτε ο μαρδ. et *.* add ο ιουδαιος ... Ax FA ηγειτο [1] FA ο μαρδοχαιος [2] Ax FA*.* εμνησθην περι [3] ουδεν παρηλθεν, FA ου γαρ παρηλθεν ... om απ ... Ax FA* πηγη (*.* add ητις) εγενετο [5] οι δε δρακοντες ... FA* εγω ημην [6] συναχθεντα [7] εστιν ο ισραηλ [8] om κυριος post εσωσε ... Ax FA ερυσατο et Ax FA*.* om seq. κυριος [10] γεγονεν τοις εθνεσιν ... om δια τουτο usque τοις εθνεσι ... FA ενα τω θεω του λαου [11] FA* αυτοι pro ουτοι, Ax om [12] Ax FA εις ωρ. και κληρον ... FA*.* (non :.:) ante πασι add εν (vdtr) ... πασιν εθνεσιν· κ. εμν. ο κυριος [15] Ax* FA* om και τη πεντεκαιδ., FA *.* supplet και τη ε̄ και ῑ ... Ax FA του αυτου μηνος [16] FA κατα γενεας

Ἰσραήλ. ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευίτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραί, ἣν ἔφασαν εἶναι καὶ ἡρμηνευκέναι
[20] Λυσίμαχον Πτολεμαίου τὸν ἐν Ἱερουσαλήμ.

Τέλος τῆς Ἐσθήρ.

---

[17] κλαιοπατρας [18] δωσιθεος, FA* δωσειθε (*,* δωσειθεος) ... πτολεμαιος υιος [19] των φρουραια, FA *,* των φρουριμ ... FA ερμηνευχεναι [20] Ax FA των εν ιερουσαλημ
Subscriptio: Ax FA εσθηρ

Lipsiae, impressit F. A. Brockhaus.

Digitized by Google

Иоанн М. [illegible] 1931.

# Η ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ
# ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ.

# VETUS TESTAMENTUM
## GRAECE
## IUXTA LXX INTERPRETES.

TEXTUM VATICANUM ROMANUM EMENDATIUS EDIDIT, ARGUMENTA ET LOCOS NOVI TESTAMENTI PARALLELOS NOTAVIT, OMNEM LECTIONIS VARIETATEM CODICUM VETUSTISSIMORUM ALEXANDRINI, EPHRAEMI SYRI, FRIDERICO-AUGUSTANI SUBIUNXIT, PROLEGOMENIS ET EPILEGOMENIS INSTRUXIT

CONSTANTINUS TISCHENDORF.

EDITIO ALTERA CORRECTIOR ET AUCTIOR.

TOMUS SECUNDUS.

LIPSIAE:
F. A. BROCKHAUS.
1856.

Digitized by Google

Digitized by Google

# Ι Ω Β.

## Ι.

Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄν-
θρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παν-
τὸς πονηροῦ πράγματος. [2] ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς. 2
[3] καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη 3
βοῶν πεντακόσιαι, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ
σφόδρα καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος
εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν. [4] συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς 4
ἀλλήλους ἐποιοῦσαν πότον καθ' ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα
καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. [5] καὶ ὡς ἂν 5
συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτοὺς
ἀνιστάμενος τὸ πρωί, καὶ προσέφερε περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν
αὐτῶν καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν· ἔλεγε γὰρ Ἰὼβ
Μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς θεόν. οὕτως
οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας. [6] καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ 6
ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον τοῦ κυρίου, καὶ ὁ διάβολος
ἦλθε μετ' αὐτῶν. [7] καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν παραγέγονας; καὶ 7
ἀποκριθεὶς ὁ διάβολος τῷ κυρίῳ εἶπε Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας
τὴν ὑπ' οὐρανὸν πάρειμι. [8] καὶ εἶπεν αὐτῷ ὁ κύριος Προσέσχες τῇ διανοίᾳ 8
σου κατὰ τοῦ παιδός μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἐπὶ τῆς γῆς, ἄν-
θρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγ-
ματος; [9] ἀπεκρίθη δὲ ὁ διάβολος καὶ εἶπεν ἐναντίον τοῦ κυρίου Μὴ δωρεὰν 9
Ἰὼβ σέβεται τὸν κύριον; [10] οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ καὶ τὰ ἔσω τῆς 10
οἰκίας αὐτοῦ καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; τὰ δὲ ἔργα τῶν
χειρῶν αὐτοῦ εὐλόγησας; καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς;
[11] ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων ὧν ἔχει· η μὴν εἰς πρόσ- 11
ωπόν σε εὐλογήσει. [12] τότε εἶπεν ὁ κύριος τῷ διαβόλῳ Ἰδοὺ πάντα ὅσα ἐστὶν 12
αὐτῷ δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. καὶ ἐξῆλθεν ὁ διάβολος
παρὰ τοῦ κυρίου. [13] καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγα- 13
τέρες αὐτοῦ ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου·

---

Inscriptio: ιωβ

I. 1. om τις 2. αμεμπτ. δικαιος αληθεινος θεοσεβ. 3. καμ. τρισχιλιοι ... πεντακοσια, ονοι θηλ. νομιδες (sic) πεντακοσιοι 4. εποιουν 5. απεστειλεν ... το πρωι, προσεφ. τε θυσ. περι αυτων ... υπερ τ. ψυχ. ... εν τη καρδια ... πρ. τον θεον ... om ουν ... om ιωβ ... ημερ. αυτων 6. om ιδου in f. add περιελθων την γην και εμπεριπατησας την υπ ουρανον 7. προς τον διαβολον 8. ο θεος ... θεραποντος pro παιδος ... εστιν ανθρωπος ομοιος αυτω των επι της ... post αμεμπτος add δικαιος 9. om και ειπεν ... εναντιον κυριου ... τον θεον 10. αυτου τα εξω ... τα εξωθεν παντ. τ. ο. αυτω κυκλοθεν 11. ει μην εις 12. και pro τοτε ... εν τη χ. σ. δεδωκα, αλλα ... ο διαβ. απο προσωπου κυριου 13. και εγενετο ως ... και οι υι. του ιωβ ... ησθιον και επινον

14 [14] καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰὼβ καὶ εἶπεν αὐτῷ Τὰ ζεύγη τῶν βοῶν ἠροτρία,
15 καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν· [15] καὶ ἐλθόντες οἱ αἰχμαλω-
τεύοντες ᾐχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις·
16 σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. [16] ἔτι τούτου λαλοῦντος ἦλθεν
ἕτερος ἄγγελος καὶ εἶπε πρὸς Ἰὼβ Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέ-
καυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως· σωθεὶς δὲ ἐγὼ
17 μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. [17] ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος
καὶ εἶπε πρὸς Ἰὼβ Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν
τὰς καμήλους καὶ ᾐχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μα-
18 χαίραις· ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. [18] ἔτι τούτου
λαλοῦντος ἄλλος ἄγγελος ἔρχεται λέγων τῷ Ἰὼβ Τῶν υἱῶν σου καὶ τῶν θυγα-
τέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ,
19 [19] ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων
γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου καὶ ἐτελεύτησαν·
20 ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. [20] οὕτως ἀναστὰς Ἰὼβ
ἔρρηξε τὰ ἱμάτια ἑαυτοῦ καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς, καὶ πεσὼν
21 χαμαὶ προσεκύνησε [21] καὶ εἶπεν Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου,
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο· ὡς τῷ * Jac. 5,
22 κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον. [22] ἐν τούτοις 11.
πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ κυρίου, καὶ
οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

## II.

Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆ-
ναι ἔναντι κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν παραστῆναι ἐναντίον
2 τοῦ κυρίου. [2] καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν σὺ ἔρχῃ; τότε εἶπεν ὁ
διάβολος ἐνώπιον τοῦ κυρίου Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν καὶ ἐμπεριπατή-
3 σας τὴν σύμπασαν πάρειμι. [3] εἶπε δὲ ὁ κύριος πρὸς τὸν διάβολον Προσέσχες
οὖν τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς, ἄν-
θρωπος ἄκακος, ἀληθινός, ἄμεμπτος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κα-
κοῦ; ἔτι δὲ ἔχεται ἀκακίας· σὺ δὲ εἶπας ὑπάρχοντα αὐτοῦ διὰ κενῆς ἀπο-
4 λέσαι. [4] ὑπολαβὼν δὲ ὁ διάβολος εἶπε τῷ κυρίῳ Δέρμα ὑπὲρ δέρματος, ὅσα
5 ὑπάρχει ἀνθρώπῳ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει. [5] οὐ μὴν δὲ ἀλλὰ ἀποστεί-
λας τὴν χεῖρά σου ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ, ἦ μὴν εἰς
6 πρόσωπόν σε εὐλογήσει. [6] εἶπε δὲ ὁ κύριος τῷ διαβόλῳ Ἰδοὺ παραδίδωμί σοι
7 αὐτόν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον. [7] ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τοῦ
8 κυρίου, καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. [8] καὶ

---

14. αγγελοι ηλθεν (sic) ... 15. αυτους κ. τ. παιδ. επαταξαν εν στοματι μαχαιρας και εσωθην εγω μ. και ηλθον 16. αγγελ. προς ιωβ κ. ειπ. αυτω ... ουρανου επι την γην κ. κατεφαγεν τ. πρ. κ. τ. π. κατεκαυσεν ομ. και εσωθην ε. μ. και ηλθον 17. ετερ. αγγ. ερχεται προς ιωβ και λεγει αυτω ... ημιν αρχας τρις ... και εσωθην εγω 18. ερχετ. προς ιωβ λεγων ... παρα του (sic) υιω· σου τω αδελφω 19. ηλθεν απο της ... και εσωθην εγω 20. ουτως ακουσας ιωβ· αναστας διερρηξεν τ. ι. αυτου ... της κεφαλης αυτου και κατεπασατο γην επι της κεφαλης αυτου κ. πεσων χ. πρ. τω κυριω 21. ουτω και εγενετο ... ευλογημ. εις τους αιωνας 22. ουχ ημαρτεν ι. ουδεν εναντι κυριου ουδε εν τοις χιλεσιν αυτου κ. ουκ εδ. II. 1. ενωπιον κυριου ... εν μ. α. ηλθεν παρ. εναντι κυριου 2. εναντι κυριου ... γην pro συμπασαν 3. πρ. τον σαταναν ... γης ανθρωπος ομοιος αυτω αμεμπτος δικαιος αληθεινος θεοσεβης απεχομενος ... τα υπαρχ. α. απολ. δια κενης. 4. και παντα οσα υπαρχει τω ανθρ. δωσει υπ. τ. ψ. α. 5. ει μη pro η μην 6. διατηρησον 7. παρα του

Digitized by Google

ἔλαβεν ὄστρακον ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς
πόλεως. [9] χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ Μέχρι 9
τίνος καρτερήσεις λέγων Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προςδεχόμενος τὴν
ἐλπίδα τῆς σωτηρίας μου; ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς
γῆς, υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκο-
πίασα μετὰ μόχθων· σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτε-
ρεύων αἴθριος, κἀγὼ πλανωμένη καὶ λάτρις τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ
οἰκίας, προςδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων
μου καὶ τῶν ὀδυνῶν αἵ με νῦν συνέχουσιν. ἀλλὰ εἰπόν τι ῥῆμα εἰς κύριον,
καὶ τελεύτα. [10] ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ Ὥςπερ μία τῶν ἀφρόνων γυναικῶν 10
ἐλάλησας· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;
ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν
ἐναντίον τοῦ θεοῦ. [11] ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ 11
ἐπελθόντα αὐτῷ, παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν, Ἐλι-
φὰζ ὁ Θαιμανῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυχέων τύραννος, Σωφὰρ Μιναίων
βασιλεύς· καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν τοῦ παρακαλέσαι καὶ ἐπι-
σκέψασθαι αὐτόν. [12] ἰδόντες δὲ αὐτὸν πόρρωθεν οὐκ ἐπέγνωσαν, καὶ βοήσαν- 12
τες φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν, καὶ κατα-
πασάμενοι γῆν [13] παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, καὶ οὐδεὶς 13
αὐτῶν ἐλάλησεν· ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα.

## III.

Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ καὶ κατηράσατο τὴν ἡμέραν
αὐτοῦ [2] λέγων [3] Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη ᾗ εἶπαν 2 3
Ἰδοὺ ἄρσεν. [4] ἡ νὺξ ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος 4
ἄνωθεν, μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος· [5] ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ 5
θανάτου, ἐπέλθοι ἐπ' αὐτὴν γνόφος. καταραθείη ἡ ἡμέρα [6] καὶ ἡ νὺξ ἐκείνη, 6
ἀπενέγκοιτο αὐτὴν σκότος· μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ, μηδὲ ἀριθμηθείη εἰς
ἡμέρας μηνῶν. [7] ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐ- 7
φροσύνη μηδὲ χαρμονή. [8] ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέ- 8
ραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. [9] σκοτωθείη τὰ ἄστρα 9
τῆς νυκτὸς ἐκείνης· ὑπομείναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσ-
φόρον ἀνατέλλοντα, [10] ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου· ἀπήλ- 10
λαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου. [11] διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύ- 11
τησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην; [12] ἵνα τί δὲ συνήν- 12
τησάν μοι τὰ γόνατα; ἵνα τί δὲ μαστοὺς ἐθήλασα; [13] νῦν ἂν κοιμηθεὶς ἡσύ- 13

8. ιωβ οστρ. ινα αποξεη τον ιχ. αυτου ... κ. αυτος εκαθ. 9. ειπεν τω ιωβ η ... μεχρις ... το μνημ. σου ... υι. σου κ. θυγ. της εμης ... συ δε ... καθισαι ... και εγω πλανητεις και λατρ. τ. εκ τ. περιερχομενη κ. οικ. εξ οικιας ... ποτε δυση ινα αναπαυσομαι τ. μοχθ. και των περιεχουσων με οδυνων ... αλλ ειπον τι ρ. προς 10. αυτη ειπεν ινα τι ωςπερ ... ουτως ελαλησας· ει (ante ει ** adpinxit ※) τα μεν αγαθα ... τα δε κακα ... εν τουτοις πασιν τοις σ. α. ουχ ημ. ιωβ ουδε εν τοις χ. αυτου 11. ιδιας πολεως πρ. α. του παρακαλεσαι και επισκεψασθαι αυτον ελιφαζ ο θεμανων β. βαλδας ο αυχαιων τυρ. και σ. ο μιναιων β. κ. παρεγ. ομοθυμ. πρ. αυτ. του etc. 12. ρηξαντες δε ... in f. add επι τας κεφαλας αυτων 13. παρεκαθηντο ... AC ελαλ. προς αυτον λογον III. 1. και μετα ταυτα 2. και απεκριθη ιωβ λεγων ... εν η εγενηθην εν αυτη κ. η νυξ εν η ειπον ... C om εκεινη 4. AC ημερα pro νυξ ... C φθεγγος 5. και επελθοι ... η ημερ. εκεινη 6. ενιαυτων 7. AC οδυνηρα 8. καταρασε τοιαυτην ... χειρουσασθαι 9. C* και μη υπομειναι ... υπομ. και μη ελθοι κ. μη φωτισαι μηδε ιδοι ... C ειδοι 10. κοπον pro πονον 12. και ινα τι συνηντησεν μοι γονατα ... εθηλασα μητρος μου



Digitized by Google

14 χασα, ὑπνώσας δὲ ἀνεπαυσάμην [14]μετὰ βασιλέων βουλευτῶν γῆς, οἳ ἐγαυ-
15 ριῶντο ἐπὶ ξίφεσιν, [15]ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσός, οἳ ἔπλησαν τοὺς
16 οἴκους αὐτῶν ἀργυρίου, [16]ἢ ὥςπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός,
17 ἢ ὥςπερ νήπιοι οἳ οὐκ εἶδον φῶς. [17]ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς,
18 ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι· [18]ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι οὐκ
19 ἤκουσαν φωνὴν φορολόγου. [19]μικρὸς καὶ μέγας ἐκεῖ ἐστί, καὶ θεράπων δεδοι-
20 κὼς τὸν κύριον αὐτοῦ. [20]ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς
21 ἐν ὀδύναις ψυχαῖς; [21]οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν ἀνορύσ-
22 23 σοντες ὥςπερ θησαυρούς, [22]περιχαρεῖς δὲ ἐγένοντο ἐὰν κατατύχωσι. [23]θάνα-
24 τος ἀνδρὶ ἀνάπαυμα, συνέκλεισε γὰρ ὁ θεὸς κατ' αὐτοῦ. [24]πρὸ γὰρ τῶν σίτων
25 μου στεναγμὸς ἥκει, δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ. [25]φόβος γὰρ ὃν
26 ἐφρόντισα ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι. [26]οὔτε εἰρήνευσα οὔτε
ἡσύχασα οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή.

## IV.

2 Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει [2]Μὴ πολλάκις σοι λελάληται
3 ἐν κόπῳ; ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει; [3]εἰ γὰρ σὺ ἐνουθέτησας πολ-
4 λούς, καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας, [4]ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασι,
5 γόνασί τε ἀδυνατοῦσι θάρσος περιέθηκας· [5]νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ
6 ἥψατό σου, σὺ ἐσπούδασας. [6]πότερον οὐχ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνῃ,
7 καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου; [7]μνήσθητι οὖν τίς καθαρὸς ὢν
8 ἀπώλετο, ἢ πότε ἀληθινοὶ ὁλόῤῥιζοι ἀπώλοντο; [8]καθ' ὃν τρόπον εἶδον τοὺς
9 ἀροτριῶντας τὰ ἄτοπα, οἱ δὲ σπείροντες αὐτὰ ὀδύνας θεριοῦσιν ἑαυτοῖς. [9]ἀπὸ
προστάγματος κυρίου ἀπολοῦνται, ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθή-
10 σονται. [10]σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη.
11 [11]μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν, σκύμνοι δὲ λεόντων ἔλιπον
12 ἀλλήλους. [12]εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, οὐθὲν ἄν σοι
τούτων κακὸν ἀπήντησε. πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ;
13 14 [13]φόβῳ δὲ καὶ ἠχῷ νυκτερινῇ ἐπιπίπτων φόβος ἐπ' ἀνθρώπους, [14]φρίκη μοι
15 συνήντησε καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ διέσεισε, [15]καὶ πνεῦμα ἐπὶ
16 πρόσωπόν μου ἐπῆλθεν, ἔφριξαν δέ μου τρίχες καὶ σάρκες. [16]ἀνέστην καὶ οὐκ
ἐπέγνων, εἶδον καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ
17 φωνὴν ἤκουον. [17]τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ κυρίου; ἢ
18 ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ; [18]εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει,
19 κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησε· [19]τοὺς δὲ κατοικοῦντας οἰκίας
πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν; ἔπαισεν αὐτοὺς σητὸς

---

14. βασ. και βουλ. ... AC ηγαυριωντο 15. και pro η 17. ασεβ. επαυσαν θυμον ... καταχοποι σωματι 18. C δε οι αιων. οι ουκ, A δε δι αιωνος ουκετι ... φωρολογου 19. ου δεδοικως 20. ψυχης φως 21. AC ομειρονται ... om του ... ανορυσσ. αυτον ωςπ. θησαυρον 22. κατατυχ. θανατου 23. θανατος γαρ ... AC αναπαυσις (A -σεις) ... αναπ. ου η οδος απεκρυβη ... ο κυριος 24. AC μοι ηκει 25. ον ευλαβουμην ηλθ. μοι .. ed. r. ενδεδοικειν 26. C om δε IV. 1. C ελιφας ο θεμανιτης 2. C οισει 3. χειρ. ασθενουντων 4. ασθεν. δε ... γονασ. δε ... περιεθ. θαρσ. 5. AC νυνι δε ... AC συ δε ... εσπουδακας 6. A ουχι, C ουκ 7. ουν οτι ουδις ... AC ολοριζοι 8. ιδον ... C αροτριουντας ... C θερισουσιν ... εν αυτοις 10. C καυριαμα ... C εσβηθη 11. AC βορραν ... ελειπον 12. ουδεν ... κακων συνηντησεν μοι ποτερ. ουν ου δεξεται σου το ους μου εξεσια εξεσιοι γαρ παρ αυτου 13. φοβοι και ηχω 14. φρ. δε μοι ... *συνεπεσεν, **συνεσισεν 16. και ανεστην ... ιδον 17. εναντι κυριου 19. εα δε τους κατοικουντας ... εξ ου κ. α. εσμεν εκ τ. α. π.

Digitized by Google

τρόπον, [20] καὶ ἀπὸ πρωΐθεν μέχρι ἑσπέρας οὐκ ἔτι εἰσί, παρὰ τὸ μὴ δύνα- 20
σθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο. [21] ἐνεφύσησε γὰρ αὐτοῖς καὶ ἐξη- 21
ράνθησαν, ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.

## V.

Ἐπικάλεσαι δὲ εἴ τίς σοι ὑπακούσεται, ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ.
[2] καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, πεπλανημένον δὲ θανατοῖ ζῆλος. [3] ἐγὼ δὲ 2 3
ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. [4] πόρρω 4
γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας, κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσό-
νων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. [5] ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδον- 5
ται, αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται· ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς.
[6] οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος, οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος· 6
[7] ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ, νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται. [8] οὐ 7 8
μὴν δὲ ἀλλὰ ἐγὼ δεηθήσομαι κυρίου, κύριον δὲ τὸν πάντων δεσπότην ἐπι-
καλέσομαι, [9] τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, 9
ὧν οὐκ ἔστιν ἀριθμός· [10] τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ 10
ἐπὶ τὴν ὑπ' οὐρανόν· [11] τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας 11
ἐξεγείροντα· [12] διαλλάσσοντα βουλὰς πανούργων, καὶ οὐ μὴ ποιήσουσιν αἱ 12
1 Co. 3, 19. χεῖρες αὐτῶν ἀληθές. [13] ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει, βουλὴν δὲ 13
πολυπλόκων ἐξέστησεν· [14] ἡμέρας συναντήσεται αὐτοῖς σκότος, τὸ δὲ μεσημ- 14
βρινὸν ψηλαφήσαισαν ἴσα νυκτί. [15] ἀπόλοιντο δὲ ἐν πολέμῳ, ἀδύνατος δὲ ἐξέλ- 15
θοι ἐκ χειρὸς δυνάστου· [16] εἴη δὲ ἀδυνάτῳ ἐλπίς, ἀδίκου δὲ στόμα ἐμφρα- 16
χθείη. [17] μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ κύριος· νουθέτημα δὲ παντοκρά- 17
τορος μὴ ἀπαναίνου. [18] αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν· 18
ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. [19] ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν 19
δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν. [20] ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, 20
ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε. [21] ἀπὸ μάστιγος γλώσσης σε κρύ- 21
ψει, καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων. [22] ἀδίκων καὶ ἀνόμων κατα- 22
γελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς· [23] θῆρες γὰρ ἄγριοι εἰρη- 23
νεύσουσί σοι. [24] εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος, ἡ δὲ δίαιτα τῆς 24
σκηνῆς σου οὐ μὴ ἁμάρτῃ. [25] γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου, τὰ δὲ τέκνα 25
σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ. [26] ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος 26
ὥριμος κατὰ καιρὸν θεριζόμενος, ἢ ὥσπερ θιμωνία ἅλωνος καθ' ὥραν συγκο-
μισθεῖσα. [27] ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν ἃ ἀκηκόαμεν· σὺ 27
δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας.

---

20. om και ... εως εσπερας και ουκ ... και παρα 21. ετελευτησαν pro εξηρανθησαν. ... και παρα το μ. εχ. α. σοφ. απωλ. V. 1. σου εισακουσεται ... αγιων αγγελων 3. εορακα ... ευθυς η διαιτα αυτ. εβρ. 4. εγενοντο ... σχολαβρισθειησαν 5. εθερισαν pro συνηγαγον ... ουκ εξερεθησονται και εξιφωνισθειη 6. εκ γης 7. εν κοπω γενναται ... γυπων 8. αλλ εγω ... δε τον παντοκρατορα επικαλ. 10. επι της γης τον αποστελλοντα 12. τον διαλλασσοντα 13. φρονησ. αυτων, βουλας δε 14. εν ημερα αυτοις συναντησεται σκοτος ... ψηλαφησιαν 16. και ειη αδυνατω ελ., και αδικου στομα 17. ο κυρ. επι της γης 18. παταξει pro επαισε ... ιασονται 19. εξελειται σε ... ουχ αψεται 20. και εν πολεμω εκ χ. σ. ρυσεται σε 21. κρυψ. σε, και ου φοβηθηση ... in f. add και ου φοβηθηση απο ταλαιπωριας οτι ελευσεται ταλαιπωρια 22. αγριων της γης ου φοβηθηση 23. in f. add (sed in margine ** addidit signum ⋇ usque ad ειτα γνωση ο. ειρ. σου ο οικος v. 24.) οτι μετα των λιθων του αγρου η διαθηκη σου και τα θηρια του αγρου ειρηνευσει σοι και γνωση οτι εν ειρηνη το σπερμα σου και επισκοπη της ευπρεπιας σου και ου μη αμαρτης 25. και γνωση οτι ... το πανβοτανον 26. απελευση ... καιρον αυτου 27. σεαυτω τι εποιησας

## VI.

2 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 2 Εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργήν, τὰς
3 δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδόν, 3 καὶ δὴ ἄμμου παραλίας βαρυ-
4 τέρα ἔσται· ἀλλ' ὡς ἔοικε τὰ ῥήματά μού ἐστι φαῦλα. 4 βέλη γὰρ κυρίου ἐν
τῷ σώματί μού ἐστιν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα, ὅταν ἄρξω-
5 μαι λαλεῖν κεντοῦσί με. 5 τί γάρ; μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος ἀλλ'
ἢ τὰ σῖτα ζητῶν; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα;
6 6 εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς;
7 7 οὐ δύναται γὰρ παύσασθαί μου ἡ ὀργή· βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου ὥς-
8 περ ὀσμὴν λέοντος. 8 εἰ γὰρ δῴη καὶ ἔλθοι μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα
9 μου δῴη ὁ κύριος. 9 ἀρξάμενος ὁ κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με
10 ἀνελέτω. 10 εἴη δέ μου πόλις τάφος, ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην, ἐπ' αὐτῆς
11 οὐ φείσομαι· οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου. 11 τίς γάρ μου ἡ
12 ἰσχὺς ὅτι ὑπομένω; ἢ τίς μου ὁ χρόνος ὅτι ἀνέχεταί μου ἡ ψυχή; 12 μὴ ἰσχὺς
13 λίθων ἡ ἰσχύς μου; ἢ αἱ σάρκες μού εἰσι χάλκεαι; 13 ἢ οὐκ ἐπ' αὐτῷ ἐπε-
14 ποίθειν; βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν, 14 ἀπείπατό με ἔλεος, ἐπισκοπὴ δὲ
15 κυρίου ὑπερεῖδέ με. 15 οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου, ὥσπερ χειμάῤῥους
16 ἐκλείπων ἢ ὥσπερ κῦμα παρῆλθόν με· 16 οἵτινές με διευλαβοῦντο, νῦν ἐπι-
17 πεπτώκασί μοι ὥσπερ χιὼν ἢ κρύσταλλος πεπηγώς· 17 καθὼς τακεῖσα θέρμης
18 γενομένης οὐκ ἐπεγνώσθη ὅπερ ἦν, 18 οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων,
19 ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην. 19 ἴδετε ὁδοὺς Θαιμανῶν, ἀτραποὺς Σα-
20 βῶν οἱ διορῶντες, 20 καὶ αἰσχύνην ὀφειλήσουσιν οἱ ἐπὶ πόλεσι καὶ χρήμασι
21 πεποιθότες. 21 ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως, ὥστε ἰδόντες τὸ
22 ἐμὸν τραῦμα φοβήθητε. 22 τί γάρ; μή τι ὑμᾶς ᾔτησα, ἢ τῆς παρ' ὑμῶν ἰσχύος
23 ἐπιδέομαι, ὥστε σῶσαί με ἐξ ἐχθρῶν, ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με;
24 25 24 διδάξατέ με, ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι, φράσατέ μοι. 25 ἀλλ'
26 ὡς ἔοικε φαῦλα ἀληθινοῦ ῥήματα, οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι, 26 οὐδὲ
ἔλεγχος ὑμῶν ῥήμασί με παύσει, οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι.
27 28 27 πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν. 28 νυνὶ δὲ
29 εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι. 29 καθίσατε δὴ καὶ μὴ εἴη ἄδι-
30 κον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε. 30 οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδι-
κον· ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;

## VII.

Πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥς-
2 περ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ; 2 ἢ ὥσπερ θεράπων δεδοικὼς τὸν

---

VI. 2. Τι γαρ τις 3. βαρυτεραι εισιν 4. om αυτων 6. καινοις 7. δε μου παυσασθ. η ψυχη ... C μου παυσασθαι (vdtr) ... C ευχη pro οργη 8. ελθη ... δωη ο θεος 9. om με prius 10. δε μοι η πολις μου ταφος ... ελλομην ... ου μη φισωμαι, C ουδεν φισομαι ... εν ρηματι αγιου 12. χαλκαι, C χαλκιαι 14. απ. δε με ... και επισκοπη κυριου υπεριδεν με ... C υπεριδεν 15. προσιδον ... κυματα ... C παρηλθομεν pro παρ. με 16. ευλαβουντο, C διηυλαβουντο 17. τακεις ... γινομενης ουκετι εγνωσθη ... C ανεγνωσθη ... περ ην rescripta sunt 18. AC ουτως ... και εγω ... απωλ. τε και 19. (ιδετ οδους ...) και ατραπους ασεβων ... in f. add αισχυνθηται 20. om και ... αισχυνην οι ορωντες οφ. 21 αταρ δη 23. με εκ χειρος κακων η ρυσ. με εκ χ. δυναστου 25. φαυλα ανδρος αληθεινου ... ρημα ουδε ισχυν 26. ουδε ο ελεγχ. υ. τα ρηματα μου παυσει, ουδε φθεγματος ρηματος υμων ανεξομαι 27. οτι ορφανω 28. εμβλεψας 29. αδικον εν κρισι 30. ου γ. εστ. αδικ. (sed haec in litura) εν γλ. μου· ουχι δε και ο λαρυξ μ. συν. μ. VII. 1. μισθου

Digitized by Google

κύριον αὐτοῦ καὶ τετευχὼς σκιᾶς; ἢ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν
αὐτοῦ; [3] οὕτως κἀγὼ ὑπέμεινα μῆνας κενούς, νύκτες δὲ ὀδυνῶν δεδομέναι 3
μοί εἰσιν. [4] ἐὰν κοιμηθῶ, λέγω Πότε ἡμέρα; ὡς δ' ἂν ἀναστῶ, πάλιν Πότε 4
ἑσπέρα; πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωί. [5] φύρεται δέ μου 5
τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων, τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων. [6] ὁ 6
δὲ βίος μού ἐστιν ἐλαφρότερος λαλιᾶς, ἀπόλωλε δὲ ἐν κενῇ ἐλπίδι. [7] μνήσθητι 7
οὖν ὅτι πνεῦμά μου ἡ ζωή, καὶ οὐκ ἔτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν
ἀγαθόν. [8] οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με· οἱ ὀφθαλμοί σου ἐν ἐμοί, 8
καὶ οὐκ ἔτι εἰμί. [9] ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ· ἐὰν γὰρ ἄνθρω- 9
πος καταβῇ εἰς ᾅδην, οὐκ ἔτι μὴ ἀναβῇ, [10] οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν 10
ἴδιον οἶκον, οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ. [11] ἀτὰρ οὖν οὐδὲ 11
ἐγὼ φείσομαι τῷ στόματί μου, λαλήσω ἐν ἀνάγκῃ ὤν, ἀνοίξω πικρίαν ψυχῆς
μου συνεχόμενος. [12] πότερον θάλασσά εἰμι ἢ δράκων, ὅτι κατέταξας ἐπ' ἐμὲ 12
φυλακήν; [13] εἶπα ὅτι παρακαλέσει με ἡ κλίνη μου, ἀνοίσω δὲ πρὸς ἐμαυτὸν 13
ἰδίᾳ λόγον τῇ κοίτῃ μου· [14] ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασί με κατα- 14
πλήσσεις. [15] ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου, ἀπὸ δὲ θανάτου 15
τὰ ὀστᾶ μου. [16] οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω· ἀπόστα 16
ἀπ' ἐμοῦ, κενὸς γάρ μου ὁ βίος. [17] τί γάρ ἐστιν ἄνθρωπος ὅτι ἐμεγάλυνας 17
αὐτόν; ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν; [18] ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως 18
τὸ πρωί, καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς; [19] ἕως τίνος οὐκ ἐᾷς με οὐδὲ προΐῃ 19
με, ἕως ἂν καταπίω τὸν πτύελόν μου; [20] εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶ- 20
ξαι, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων; διὰ τί ἔθου με κατεντευκτήν
σου, εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον; [21] διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην 21
καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι, ὀρθρίζων
δὲ οὐκ ἔτι εἰμί.

## VIII.

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει [2] Μέχρι τίνος λαλήσεις ταῦτα, 2
πνεῦμα πολυρρῆμον τοῦ στόματός σου; [3] μὴ ὁ κύριος ἀδικήσει κρίνων; ἢ ὁ 3
τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον; [4] εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐ- 4
τοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν. [5] σὺ δὲ ὄρθριζε πρὸς κύριον παντο- 5
κράτορα δεόμενος· [6] εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου, 6
ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης· [7] ἔσται οὖν τὰ μὲν πρῶτά σου 7
ὀλίγα, τὰ δὲ ἔσχατά σου ἀμύθητα. [8] ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξι- 8
χνίασον δὲ κατὰ γένος πατέρων· [9] χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν, σκιὰ 9
γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος. [10] ἢ οὐχ οὗτοί σε διδάξουσι καὶ ἀναγ- 10
γελοῦσι, καὶ ἐκ καρδίας ἐξάξουσι ῥήματα; [11] μὴ θάλλει πάπυρος ἄνευ ὕδα- 11

---

2. τετυχηκως 3. και εγω 4. γινωμαι οδ. αφ εσπερας ... C αφ εσπερας 5. AC ξεων 6. ελαφρ. δρομεως 7. μνησθ. δε οτι ... AC ο οφθαλμος 8. ουκ ατενοι μοι ο οφθ. ορ. με ... om ετι 9. και ουκετι ειμι ωςπερ ... ου μη αν αναβη ετι 10. ουδε μη επιστραφη ετι εις ... ουδε μη επιγνω α. ο τοπ. α. ετι 11. τοιγαρουν ουδε ... λαλησω δε εν αν. ων του πνευματος μου, ανοιξω το στομα μου εν πικρια ψυχης συνεχομενος 12. δρακων, επι κατεταξας κατ εμου φυλ. 13. ειπον παρακαλεσει ... εμαυτ. διαλογον ιδια τη 14. δια τι εκφοβεις 15. απαλλασσεις δε ... απο πνευμ. την ζωην μου, την δε ψυχην μου απο του σωματος μου 16. καινος (ut saepe αι pro ε) 18. ποιη το πρωι 19. πρωιη ... in f. add εν οδυνη 20. τι δυναμαι σοι πραξαι 21. και δια τι ου ληθην εποιησω της αμαρτ. μου και καθ. της ανομιας μ. VIII. 2. πολυρημον 4. ει υιοι ... την ανομιαν α. 6. post αληθεινος repetit ει ... σου επακουσεται 8. om γαρ 9. σκια δε εστιν η. ο βιος επι τ. γ. 10. διδαξ. ρηματα κ. αναγγ. σοι συνεσιν σοφιας κ. εκ κ. σε διδαξουσιν ρ.

Digitized by Google

12 τος; ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου; [12] ἔτι ὂν ἐπὶ ῥίζης, καὶ οὐ μὴ
13 θερισθῇ; πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη οὐχὶ ξηραίνεται; [13] οὕτως τοίνυν ἔσται
τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ κυρίου· ἐλπὶς γὰρ ἀσεβοῦς ἀπο-
14 λεῖται. [14] ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος, ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ
15 σκηνή. [15] ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ· ἐπιλαβομένου δὲ αὐτοῦ
16 οὐ μὴ ὑπομείνῃ· [16] ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου, καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥά-
17 δαμνος αὐτοῦ ἐξελεύσεται. [17] ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλί-
18 κων ζήσεται. [18] ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν· οὐχ ἑώρακας τοιαῦτα,
19 20 [19] ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη, ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει. [20] ὁ
γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον, πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέ-
21 ξεται· [21] ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογή-
22 σεως· [22] οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην, δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.

## IX.

2 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει [2] Ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστί. πῶς γὰρ
3 ἔσται δίκαιος βροτὸς παρὰ κυρίῳ; [3] ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ
4 ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων. [4] σοφὸς
γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας· τίς σκληρὸς γενόμενος ἐναντίον αὐ-
5 τοῦ ὑπέμεινεν; [5] ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ·
6 7 [6] ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται· [7] ὁ
8 λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει· [8] ὁ τανύ-
9 σας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης· [9] ὁ
10 ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμεῖα Νότου· [10] ὁ ποιῶν
11 μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. [11] ἐὰν
12 ὑπερβῇ με, οὐ μὴ ἴδω· ἐὰν παρέλθῃ με, οὐδ' ὣς ἔγνων. [12] ἐὰν ἀπαλλάξῃ,
13 τίς ἀποστρέψει; ἢ τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας; [13] αὐτὸς γὰρ ἀπέστραπται ὀργήν,
14 ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν. [14] ἐὰν δέ μου ὑπακούσεται, ἢ
15 διακρινεῖ τὰ ῥήματά μου· [15] ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰςακούσεταί μου, τοῦ
16 κρίματος αὐτοῦ δεηθήσομαι. [16] ἐάν τε καλέσω καὶ μὴ ὑπακούσῃ, οὐ πιστεύω
17 ὅτι εἰςακήκοέ μου τῆς φωνῆς. [17] μὴ γνόφῳ με ἐκτρίψῃ; πολλὰ δέ μου τὰ
18 συντρίμματα πεποίηκε διὰ κενῆς. [18] οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, ἐνέπλησε δέ
19 με πικρίας, [19] ὅτι μὲν γὰρ ἰσχύει κράτει· τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;
20 [20] ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει· ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς
21 ἀποβήσομαι. [21] εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖταί μου
22 23 ἡ ζωή. [22] διὸ εἶπον Μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή, [23] ὅτι φαῦλοι ἐν
24 θανάτῳ ἐξαισίῳ, ἀλλὰ δίκαιοι καταγελῶνται· [24] παραδέδονται γὰρ εἰς χεῖρας
ἀσεβοῦς, πρόςωπα κριτῶν αὐτῆς συγκαλύπτει· εἰ δὲ μὴ αὐτός ἐστι, τίς ἐστιν;
25 [25] ὁ δὲ βίος μού ἐστιν ἐλαφρότερος δρομέως· ἀπέδρασαν, καὶ οὐκ εἴδοσαν.
26 27 [26] ἢ καί ἐστι ναυσὶν ἴχνος ὁδοῦ, ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν; [27] ἐάν τε

---

12. ετι ον ε. ρ. cum ανευ ποτου conjg. ... πασαν βοτανην· εαν δε μη πιη ξηραινεται 13. του θεου ... ολειται 14. αοικ. δε εσται αυτου ο οικ. και η οδος αυτου, η δε σκηνη αυτου αραχνη αποβ. 15. υπερεισι ... επιλαβ. δε αυτης ου 17. επι συναγωγη 18. αυτον ο τοπ. ψευσεται ... εορακας 19. αλλο 20. αποποιησεται 21. και τα χειλ. α. αγαλλιασεως 22. ενδυσωνται αισχ. (sed αισχυνην in litura) και διαιτα IX. 3. κριθηναι μετ αυτου ... εκ χειλεων 5. αυτα εν οργη 7. τω ηλω μη ανατελλειν και ουκ 8. επι θαλ. ως επ εδαφ. 9. πλιαδα ... ταμια 11. και εαν παρελθη 13. απεστρ. οργη ... εκαμφθη 14. ειςακουση η διακρινη (ed. rom. διακρίνει) 15. εαν τε γαρ 16. και εισακουση ... om της φωνης 17. μη εν γνοφω ... μου τα συντρ. μου 19. ισχυι κρατει 21. πλην οτι αφηρηται 22. απολυει 23. εξωσιω απολουνται 24. κριτων αυτου ... om τις εστιν 25. ελαφρ. εστιν ..., απεδρα ... ιδον 26. βορραν

Digitized by Google

γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ στενάξω. 28 σείομαι 28
πᾶσι τοῖς μέλεσιν, οἶδα γὰρ ὅτι οὐκ ἀθῷόν με ἐάσεις. 29 ἐπειδὴ δέ εἰμι ἀσε- 29
βής, διὰ τί οὐκ ἀπέθανον; 30 ἐὰν γὰρ ἀπολούσωμαι χιόνι, καὶ ἀποκαθάρω- 30
μαι χερσὶ καθαραῖς, 31 ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας, ἐβδελύξατο δέ με ἡ 31
στολή. 32 οὐ γάρ εἶ ἄνθρωπος κατ' ἐμὲ ᾧ ἀντικρινοῦμαι, ἵνα ἔλθωμεν ὁμο- 32
θυμαδὸν εἰς κρίσιν. 33 εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων καὶ διακούων ἀνὰ 33
μέσον ἀμφοτέρων· 34 ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον, ὁ δὲ φόβος αὐτοῦ 34
μή με στροβείτω, 35 καὶ οὐ μὴ φοβηθῶ ἀλλὰ λαλήσω·. οὐ γὰρ οὕτω συνε- 35
πίσταμαι.

## X.

Κάμνων τῇ ψυχῇ μου, στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου·
λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος, 2 καὶ ἐρῶ πρὸς κύριον Μή με ἀσε- 2
βεῖν δίδασκε· καὶ διὰ τί με οὕτως ἔκρινας; 3 ἦ καλόν σοι ἐὰν ἀδικήσω; ὅτι 3
ἀπείπω ἔργα χειρῶν σου, βουλῇ δὲ ἀσεβῶν προσέσχες; 4 ἦ ὥςπερ βροτὸς ὁρᾷ 4
καθορᾷς; ἢ καθὼς ὁρᾷ ἄνθρωπος βλέψῃ; 5 ἦ ὁ βίος σοῦ ἀνθρώπινός ἐστιν, 5
ἢ τὰ ἔτη σοῦ ἀνδρός; 6 ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας 6
μου ἐξιχνίασας; 7 οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα· ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χει- 7
ρῶν σου ἐξαιρούμενος; 8 αἱ χεῖρές σου ἔπλασάν με καὶ ἐποίησάν με, μετὰ 8
ταῦτα μεταβαλών με ἔπαισας. 9 μνήσθητι ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν 9
με πάλιν ἀποστρέφεις. 10 ἢ οὐχ ὥςπερ γάλα με ἤμελξας, ἐτύρωσας δέ με 10
ἴσα τυρῷ; 11 δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με 11
ἐνειρας· 12 ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοί, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ 12
μου τὸ πνεῦμα. 13 ταῦτα ἔχων ἐν σεαυτῷ οἶδα ὅτι πάντα δύνασαι· ἀδυνατεῖ 13
δέ σοι οὐθέν. 14 ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με, ἀπὸ δὲ ἀνομίας οὐκ 14
ἀθῷόν με πεποίηκας. 15 ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· ἐὰν δὲ ὦ δίκαιος, οὐ 15
δύναμαι ἀνακύψαι, πλήρης γὰρ ἀτιμίας εἰμί. 16 ἀγρεύομαι γὰρ ὥςπερ λέων 16
εἰς σφαγήν· πάλιν γὰρ μεταβαλὼν δεινῶς με ὀλέκεις, 17 ἐπανακαινίζων ἐπ' 17
ἐμὲ τὴν ἔτασίν μου· ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω, ἐπήγαγες δὲ ἐπ' ἐμὲ πει-
ρατήρια. 18 ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον, ὀφθαλμὸς 18
δέ με οὐκ εἶδε, 19 καὶ ὥςπερ οὐκ ὢν ἐγενόμην; διὰ τί γὰρ ἐκ γαστρὸς εἰς 19
μνῆμα οὐκ ἀπηλλάγην; 20 ἢ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου; ἔασόν 20
με ἀναπαύσασθαι μικρὸν 21 πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω, εἰς 21
γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος
οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.

## XI.

Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος λέγει 2 Ὁ τὰ πολλὰ λέγων καὶ ἀντα- 2
κούσεται· ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος; 3 εὐλογημένος γεννητὸς γυναικὸς 3

---

28. σιομε γαρ 29. om δε 30. απολουσομαι 31. με εν ρυπω ... η στολη μου 32. ου pro ῳ 33. ει γαρ ην ... κ. ο διελεγχων κ. διακρινων ... in f. add δυειν δε μοι χρια 34. τ. ραβδ. αυτου, και ο φοβος 35. ου γαρ συνεπιστ. εμαυτω αδικον X. 1. καμνω δε τη ... στεν. επ εμαυτον επαφησω τον θυμον μου· τα δε ρηματα μου λαλησω εν πικρια ψυχ. συνεχ. 2. εκρινες 3. σοι εστιν εαν ασεβησω οτι απ. με εργα 4. βλεψις 5. om εστιν 7. οιδα γαρ 8. εποιησ. με κ. επλασ. με ... μετα δε 10. επηξας δε με 11. om δε prius ... ενειρας με 12. ελεον 13. *εν εμαυτω ... ουδεν 14. φυλαξεις ... εασις pro πεποιηκ. 15. C εαν δε ... οιμμοι ... εαν τε ω δ. ου δυνησομαι ανακυμψαι ... γαρ ειμι ανομιας 16. αγρ. δε ωςπερ ... και παλιν μεταβ. με δ. με ολεκεις 17. αιτασιν σου ... εχρ., και επηγειρας επ 19. εγεγονειν ... δια τι δε ... ουκ απηλθον 20. ο χρονος του βιου μου 21. αναστρεφω XI. 2. δικαιος ειναι 3. γυναικος γεννητος

Digitized by Google

ὀλιγόβιος. μὴ πολὺς ἐν ῥήμασι γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι.
4 4 μὴ γὰρ λέγε ὅτι καθαρός εἰμι τοῖς ἔργοις καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ.
5 5 ἀλλὰ πῶς ἂν ὁ κύριος λαλῆσαι πρὸς σέ, καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ;
6 6 εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσται τῶν κατὰ σέ, καὶ
7 τότε γνώσῃ ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ κυρίου ὧν ἡμάρτηκας. 7 ἢ ἴχνος κυρίου
8 εὑρήσεις; ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ παντοκράτωρ; 8 ὑψηλὸς ὁ
9 οὐρανός, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου, τί οἶδας; 9 ἢ μακρότερα
10 μέτρου γῆς ἢ εὔρους θαλάσσης; 10 ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ
11 αὐτῷ Τί ἐποίησας; 11 αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων, ἰδὼν δὲ ἄτοπα οὐ παρό-
12 ψεται. 12 ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις· βροτὸς δὲ γεννητὸς γυναικὸς
13 ἴσα ὄνῳ ἐρημίτῃ. 13 εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ
14 χεῖρας πρὸς αὐτόν· 14 εἰ ἄνομόν τί ἐστιν ἐν χερσί σου, πόῤῥω ποίησον αὐτὸ
15 ἀπὸ σοῦ, ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω. 15 οὕτως γὰρ ἀναλάμψει
σου τὸ πρόςωπον ὥσπερ ὕδωρ καθαρόν, ἐκδύσῃ δὲ ῥύπον καὶ οὐ μὴ φοβη-
16 θήσῃ· 16 καὶ τὸν κόπον ἐπιλήσῃ ὥςπερ κῦμα παρελθόν, καὶ οὐ πτοηθήσῃ·
17 17 ἡ δὲ εὐχή σου ὥςπερ ἑωςφόρος, ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή·
18 18 πεποιθώς τε ἔσῃ ὅτι ἔστι σοι ἐλπίς, ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀνα-
19 φανεῖταί σοι εἰρήνη. 19 ἡσυχάσεις γάρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε· μετα-
20 βαλόμενοι δὲ πολλοὶ σοῦ δεηθήσονται. 20 σωτηρία δὲ αὐτοὺς ἀπολείψει· ἡ γὰρ
ἐλπὶς αὐτῶν ἀπώλεια, ὀφθαλμοὶ δὲ ἀσεβῶν ταχήσονται.

## XII.

2 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 2 Εἶτα ὑμεῖς ἐστὲ ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευ-
3 4 τήσει σοφία; 3 κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστίν. 4 δίκαιος γὰρ ἀνὴρ καὶ
5 ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα· 5 εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν
6 ὑπὸ ἄλλων, 6 οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων. οὐ μὴν δὲ ἀλλὰ
μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῶος ἔσεσθαι, ὅσοι παροργίζουσι τὸν κύριον,
7 ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται. 7 ἀλλὰ δὴ ἐρώτησον τετράποδα ἐάν σοι
8 εἴπωσι, πετεινὰ δὲ οὐρανοῦ ἐάν σοι ἀπαγγείλωσιν· 8 ἐκδιήγησαι γῇ ἐάν σοι
9 φράσῃ, καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης. 9 τίς οὖν οὐκ ἔγνω ἐν
10 πᾶσι τούτοις ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα; 10 εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ
11 πάντων ζώντων καὶ πνεῦμα παντὸς ἀνθρώπου. 11 οὖς μὲν γὰρ ῥήματα δια-
12 κρίνει, λάρυγξ δὲ σῖτα γεύεται. 12 ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ πολλῷ βίῳ
13 14 ἐπιστήμη. 13 παρ' αὐτῷ σοφία καὶ δύναμις, αὐτῷ βουλὴ καὶ σύνεσις. 14 ἐὰν
15 καταβάλῃ, τίς οἰκοδομήσει; ἐὰν κλείσῃ κατ' ἀνθρώπων, τίς ἀνοίξει; 15 ἐὰν
κωλύσῃ τὸ ὕδωρ, ξηρανεῖ τὴν γῆν· ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν κατα-

---

5. λαλησαι ο κυριος ... C διανυξει (i. e. διανοιξει) ... ανοιξη et * μετ αυτου 6. εστιν ... παρεβη ... C παρα κυριου 7. μη ιχνος ... ων εποιησεν 8. C υψηλος ουρανος ... post ουραν. add γη δε βαθια ... η βαθυτερα των 9. μετρων γης επιστασε η ευρος θ. 11. ατοπον 12. * αλογοις ... γυναικος ονω ερημειται ... C ερημειτη 13. υπτιασας δε τ. χ. σου 14. ει usque σου πο in litura ... * αυτων pro αυτο 15. το προςωπ. σου ... φοβηθης 16. των κοπων σου ... * και ου μη πτ. 18. C πεποιθως δε εστιν σοι 19. C ησυχασης ... μεταβαλομενου 20. και σωτηρια ... απολειται pro απωλεια ... in f. add παρ αυτω γαρ σοφια και δυναμις XII. 2. μη pro ειτα ... ανθρωπ. μονοι 3. και εμοι 4. εγενομην ε. χλευασμον 5. πεσειν με υπ αλλοις 6. μου pro αυτου ... οσοι γαρ οργιζουσιν 7. επερωτησον ... ειπη, πετ. τε ... αναγγειλη 8. εκδιηγ. δε γη ... και ει εξηγ. 9. οτι τις ουκ 10. οτι pro ει μη ... παντ. των ζωντ. 11. νους ... λαρυξ 12. σοφια ευρισκεται, εν δε μακρω βιω 13. παρ αυτω βουλη 14. εαν καταστρεψη ... εαν δε και αποκλιση κατα ανθρωπου 15. εαν δε και επαφη

Digitized by Google

στρέψας. [16] παρ' αὐτῷ κράτος καὶ ἰσχύς, αὐτῷ ἐπιστήμη καὶ σύνεσις. [17] διά- 16 17
γων βουλευτὰς αἰχμαλώτους, κριτὰς δὲ γῆς ἐξέστησε. [18] καθιζάνων βασιλεῖς 18
ἐπὶ θρόνους, καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν. [19] ἐξαποστέλλων ἱερεῖς αἰχμα- 19
λώτους, δυνάστας δὲ γῆς κατέστρεψε. [20] διαλλάσσων χείλη πιστῶν, σύνεσιν 20
δὲ πρεσβυτέρων ἔγνω. [21] ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας, ταπεινοὺς δὲ ἰάσατο. 21
[22] ἀνακαλύπτων βαθέα ἐκ σκότους, ἐξήγαγε δὲ εἰς φῶς σκιὰν θανάτου. [23] πλα- 22 23
νῶν ἔθνη καὶ ἀπολλύων αὐτά, καταστρωννύων ἔθνη καὶ καθοδηγῶν αὐτά.
[24] διαλλάσσων καρδίας ἀρχόντων γῆς, ἐπλάνησε δὲ αὐτοὺς ἐν ὁδῷ ᾗ οὐκ 24
ᾔδεισαν· [25] ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς, πλανηθείησαν δὲ ὥςπερ ὁ 25
μεθύων.

## XIII.

'Ιδοὺ ταῦτα ἑώρακέ μου ὁ ὀφθαλμὸς καὶ ἀκήκοέ μου τὸ οὖς· [2] καὶ οἶδα 2
ὅσα καὶ ὑμεῖς ἐπίστασθε, καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν. [3] οὐ μὴν δὲ ἀλλ' 3
ἐγὼ πρὸς κύριον λαλήσω, ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βούληται. [4] ὑμεῖς δέ 4
ἐστε ἰατροὶ ἄδικοι καὶ ἰαταὶ κακῶν πάντες. [5] εἴη δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀπο- 5
βήσεται ὑμῖν σοφία. [6] ἀκούσατε δὲ ἔλεγχον τοῦ στόματός μου, κρίσιν δὲ χει- 6
λέων μου προςέχετε. [7] πότερον οὐκ ἔναντι κυρίου λαλεῖτε, ἔναντι δὲ αὐτοῦ 7
φθέγγεσθε δόλον; [8] ἢ ὑποστελεῖσθε; ὑμεῖς δὲ αὐτοὶ κριταὶ γίνεσθε. [9] καλὸν 8 9
γὰρ ἐὰν ἐξιχνιάσῃ ὑμᾶς· εἰ γὰρ τὰ πάντα ποιοῦντες προςτεθήσεσθε αὐτῷ,
[10] οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς· εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε, [11] πό- 10 11
τερον οὐχ ἡ δῖνα αὐτοῦ στροβήσει ὑμᾶς; ὁ φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται
ὑμῖν, [12] ἀποβήσεται δὲ ὑμῶν τὸ γαυρίαμα ἴσα σποδῷ, τὸ δὲ σῶμα πήλινον. 12
[13] κωφεύσατε ἵνα λαλήσω καὶ ἀναπαύσωμαι θυμοῦ, [14] ἀναλαβὼν τὰς σάρκας 13 14
μου τοῖς ὀδοῦσι, ψυχὴν δέ μου θήσω ἐν χειρί. [15] ἐάν με χειρώσηται ὁ δυ- 15
νάστης, ἐπεὶ καὶ ἤρκται, ἦ μὴν λαλήσω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ· [16] καὶ 16
τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰςελεύσε-
ται. [17] ἀκούσατε ἀκούσατε τὰ ῥήματά μου, ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων. 17
[18] ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. 18
[19] τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι, ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω; [20] δυεῖν 19 20
δέ μοι χρήσῃ, τότε ἀπὸ τοῦ προςώπου σου οὐ κρυβήσομαι· [21] τὴν χεῖρα ἀπ' 21
ἐμοῦ ἀπέχου, καὶ ὁ φόβος σου μή με καταπλησσέτω. [22] εἶτα καλέσεις, ἐγὼ 22
δέ σοι ὑπακούσομαι· ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν. [23] πόσαι 23
εἰσὶν αἱ ἁμαρτίαι μου καὶ ἀνομίαι μου; δίδαξόν με τίνες εἰσί. [24] διὰ τί ἀπ' 24
ἐμοῦ κρύπτῃ, ἥγησαι δέ με ὑπεναντίον σοι; [25] ἢ ὡς φύλλον κινούμενον ὑπὸ 25
ἀνέμου εὐλαβηθήσῃ, ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι;

---

16. παρ αυτω επιστημη 17. βουλ. γης αιχμαλ. 18. καθιζων ... και περιζωννυων αυτους ζωην οσφρυος αυτων 19. ο εξαποστ. 22. ο αποκαλυπτων βαθεια 24. om γης ... αυτους οδω 25. ψηλαφησειαν σκ. και ου φως XIII. 1. εοραχεν ... και το ους μου ακ. 2. επιστασθ., και γε νεωτερος υμων ουκ ειμι ασυνετωτερ. υμων 3. αλλα προς κ. λαλ. εγω 4. υμ. γαρ εστε 5. εις σοφιαν 6. om δε prius ... om του ... κρισει 8. ει υποστελ. αυτοι υμεις κριται γενεσθαι καλως γε λαλουντες 9. om καλον γαρ ... εαν γαρ εξιχν. υμας· ει και τα π. π. πρ. οδω αυτου 10. προσωπον θαυμασεται 11. ποτερον ουχι δειλια αυτου ... φοβος (sine ο) δε κυριου 12. και αποβησεται υμων 13. θυμου μου 14. οδουσιν μου ... εν χερσιν μου 15. εαν μη με ... ου μην δε αλλα λαλ. κ. ελ. υμας ε. α. 16. τουτο το μοι ... εισελευσ. εναντιον αυτου δολος 17. ακουσ. μου ακουσ. μου τα ρηματα 19. ινα νυν 20. C χρησιν, A χρια 21. τ. χειρα σου αποσχου απ εμου 22. υποκουω· λαλησεις, εγω δε ... αποκρισιν 23. τινες εισιν διδαξ. με 24. δια τι με αποκρυπτη ... ωςπερ υπεναντ. σου 25. η ωςπερ ... χορτον φερομενον ... C αντικειμαι σοι, A αντικεισε δε μοι

Digitized by Google

26 [26] ὅτι κατέγραψας κατ' ἐμοῦ κακά, περιέθηκας δέ μοι νεότητος ἁμαρτίας·
27 [27] ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι, ἐφύλαξας δέ μου πάντα τὰ ἔργα, εἰς
28 δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου. [28] ὃ παλαιοῦται ἴσα ἀσκῷ, ἢ ὥσπερ ἱμά-
τιον σητόβρωτον.

## XIV.

2 Βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος καὶ πλήρης ὀργῆς, [2] ἢ ὥσπερ
3 ἄνθος ἀνθῆσαν ἐξέπεσεν, ἀπέδρα δὲ ὥσπερ σκιὰ καὶ οὐ μὴ στῇ. [3] οὐχὶ καὶ
τούτου λόγον ἐποιήσω, καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;
4 5 [4] τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ' οὐθείς, [5] ἐὰν καὶ μία ἡμέρα ὁ βίος
αὐτοῦ ἐπὶ τῆς γῆς· ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ' αὐτοῦ, εἰς χρόνον ἔθου
6 καὶ οὐ μὴ ὑπερβῇ. [6] ἀπόστα ἀπ' αὐτοῦ ἵνα ἡσυχάσῃ, καὶ εὐδοκήσῃ τὸν
7 βίον ὥσπερ ὁ μισθωτός. [7] ἔστι γὰρ δένδρῳ ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπαν-
8 θήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ· [8] ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ
9 ῥίζα αὐτοῦ, ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ, [9] ἀπὸ ὀσμῆς ὕδατος
10 ἀνθήσει, ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον. [10] ἀνὴρ δὲ τελευτήσας ᾤχετο,
11 πεσὼν δὲ βροτὸς οὐκ ἔτι ἐστί. [11] χρόνῳ γὰρ σπανίζεται θάλασσα, ποταμὸς
12 δὲ ἐρημωθεὶς ἐξηράνθη. [12] ἄνθρωπος δὲ κοιμηθεὶς οὐ μὴν ἀναστῇ ἕως ἂν ὁ
13 οὐρανὸς οὐ μὴ συῤῥαφῇ, καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν. [13] εἰ γὰρ
ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας, ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργή,
14 καὶ τάξῃ μοι χρόνον ἐν ᾧ μνείαν μου ποιήσῃ. [14] ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος,
ζήσεται συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ· ὑπομενῶ ἕως πάλιν γένωμαι.
15 [15] εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι, τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ
16 ἀποποιοῦ. [16] ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα, καὶ οὐ μὴ παρέλθῃ σε
17 οὐδὲν τῶν ἁμαρτιῶν μου· [17] ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ,
18 ἐπεσημήνω δὲ εἴ τι ἄκων παρέβην. [18] καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται, καὶ
19 πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς, [19] λίθους ἐλέαναν ὕδατα, καὶ κατέ-
κλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς· καὶ ὑπομονὴν ἀνθρώπου ἀπώ-
20 λεσας. [20] ὦσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο· ἐπέστησας αὐτῷ τὸ πρόσωπον,
21 καὶ ἐξαπέστειλας· [21] πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν, ἐὰν
22 δὲ ὀλίγοι γένωνται οὐκ ἐπίσταται· [22] ἀλλ' ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν, ἡ δὲ
ψυχὴ αὐτοῦ ἐπένθησεν.

## XV.

2 Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει [2] Πότερον σοφὸς ἀπόκρισιν
3 δώσει συνέσεως πνεῦμα, καὶ ἐνέπλησε πόνον γαστρός, [3] ἐλέγχων ἐν ῥήμασιν

---

26. C επει με κακα ... και περιεθηκας μοι 27. εν κυκλωματι, και εφυλαξες μου ... om των 28. οι παλαιουνται XIV. 1. C om γεννητος 3. εν κριματι εισελθειν επι σου 4. εσται καθαρος ... ρυπου ουδε εις, C ρειπου αλλ ουδεις 5 μιας ημερας γενηται ο ... παρ αυτω, εις χρ. γαρ 6. απ εμου ινα ησυχασω κ. ευδοκησω μου τ. βιον ωσπερ μισθ. 7. εαν δε και εκκοπη, παλιν ανθησει ... C εκκοπη, παλιν επανθησει ... εκλιπη 8. εαν δε πετραις, C εαν δε πετρα ... τελευτησει 9. και ποιησει θερ. 10. και πεσων βροτος 11. ποταμοι δε ερημωθεντες ξηρανθησονται 12. ου μη αναστη και ου μη εξεγερθη εως αν ο ουρ. παλαιωθη 13. φυλαξις ... κρυψεις, C εκρυψαν ... C μου η οργη 14. C τας ημερας ... υπομενω σαι εως αν παλιν, C υπομειν •••••• ν (vdlr υπομεινας εως αν) παλιν 15. καλεσ. με 16. C παντα τα 17. τα αμαρτηματα ... AC εν βαλλαντιω ... και επεσημενω ει 18. πιπτων πεσειται 19. ελεανεν 20. και επεστησας α. το πρ. σου κ. εξαπεσταλη 21. εαν τε ολιγοι 22. αυτου επ αυτω επενθησεν XV. 1. ο θεμανιτις 2. τινα αρα pro ποτερον ... πνευματος, εμπλησει δε 3. ελεγχ. με εν ρημ. κενοις

Digitized by Google

οἷς οὐ δεῖ, καὶ ἐν λόγοις οἷς οὐδὲν ὄφελος; 4 οὐ καὶ σὺ ἀπεποιήσω φόβον, 4
συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ κυρίου; 5 ἔνοχος εἶ ῥήμασι στόμα- 5
τός σου, οὐδὲ διέκρινας ῥήματα δυναστῶν· 6 ἐλέγξαι σε τὸ σὸν στόμα καὶ μὴ 6
ἐγώ, τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου. 7 τί γάρ; μὴ πρῶτος ἀνθρώ- 7
πων ἐγεννήθης; ἢ πρὸ θινῶν ἐπάγης; 8 ἢ σύνταγμα κυρίου ἀκήκοας; ἢ συμ- 8
βούλῳ σοι ἐχρήσατο ὁ θεός, εἰς δὲ σὲ ἀφίκετο σοφία; 9 τί γὰρ οἶδας ὃ οὐκ 9
οἴδαμεν; ἢ τί συνιεῖς σὺ ὃ οὐ καὶ ἡμεῖς; 10 καί γε πρεσβύτης καί γε παλαιὸς 10
ἐν ἡμῖν, βαρύτερος τοῦ πατρός σου ἡμέραις. 11 ὀλίγα ὧν ἡμάρτηκας μεμα- 11
στίγωσαι, μεγάλως ὑπερβαλλόντως λελάληκας. 12 τί ἐτόλμησεν ἡ καρδία σου; 12
ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου, 13 ὅτι θυμὸν ἔρρηξας ἔναντι κυρίου, ἐξή- 13
γαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα; 14 τίς γὰρ ὢν βροτὸς ὅτι ἔσται ἄμεμ- 14
πτος; ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός, 15 εἰ κατὰ ἁγίων οὐ πιστεύει, 15
οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ; 16 ἔα δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος 16
ἀνήρ, πίνων ἀδικίας ἴσα ποτῷ. 17 ἀναγγελῶ δέ σοι, ἄκουέ μου, ἃ δὴ ἑώρακα 17
ἀναγγελῶ σοι, 18 ἃ σοφοὶ ἐροῦσιν, καὶ οὐκ ἔκρυψαν πατέρες αὐτῶν· 19 αὐτοῖς 18 19
μόνοις ἐδόθη ἡ γῆ, καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς ἐπ' αὐτούς. 20 πᾶς ὁ βίος 20
ἀσεβοῦς ἐν φροντίδι, ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ, 21 ὁ δὲ φόβος αὐ- 21
τοῦ ἐν ὠσὶν αὐτοῦ· ὅταν δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή.
22 μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους· ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας 22
σιδήρου, 23 κατατέτακται δὲ εἰς σῖτα γυψίν· οἶδε δὲ ἐν ἑαυτῷ ὅτι μένει εἰς 23
πτῶμα. 24 ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει, ἀνάγκη δὲ καὶ θλῖψις αὐτὸν 24
καθέξει ὥςπερ στρατηγὸς πρωτοστάτης πίπτων· 25 ὅτι ἦρκε χεῖρας ἐναντίον 25
τοῦ κυρίου, ἔναντι δὲ κυρίου παντοκράτορος ἐτραχηλίασεν, 26 ἔδραμε δὲ ἐναν- 26
τίον αὐτοῦ ὕβρει ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ· 27 ὅτι ἐκάλυψε τὸ πρόςωπον 27
αὐτοῦ ἐν στέατι αὐτοῦ, καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων. 28 αὐλισθείη 28
δὲ πόλεις ἐρήμους, εἰςέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν,
ἄλλοι ἀποίσονται. 29 οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα· 29
οὐ μὴ βάλῃ ἐπὶ τὴν γῆν σκιάν, 30 οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος· τὸν βλαστὸν 30
αὐτοῦ μαράναι ἄνεμος, ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος. 31 μὴ πιστευέτω ὅτι ὑπο- 31
μενεῖ, κενὰ γὰρ ἀποβήσεται αὐτῷ· 32 ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται, 32
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ· 33 τρυγηθείη δὲ ὡς ὄμφαξ πρὸ ὥρας, 33
ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας. 34 μαρτύριον γὰρ ἀσεβοῦς θάνατος, πῦρ δὲ καύ- 34
σει οἴκους δωροδεκτῶν. 35 ἐν γαστρὶ δὲ λήψεται ὀδύνας, ἀποβήσεται δὲ αὐτῷ 35
κενά, ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον.

---

3. om οις ου δει και ... C om και 4. οτι και σοι (σοι pro συ etiam C) ... AC εναντι κυριου 5. A και ου, C ου pro ουδε 6. ελεγξη ... καταμαρτυρησε (**-σει), C καταμαρτυρησαισαν 7. ανθρωπος 8. AC om η συμβ. σ. εχρησ. ο θεος ... η εις σε 9. η τι συ νοησεις ο ... AC ο ουχι και ημ. 10. *πρεσβυτερος pro βαρυτερ. 11. C ημαρτησας ... υπερβαλλοντως 12. τι οτι ετολμ., C τετολμησεν (sic) ... η τι σοι επηνεγκαν 14. om οτι 15. (C ο πιστ. pro ου πιστ.) ... ου πιστ. μεμψις, ο ουρανος δε ... in f. add αστρα δε ουκ αμεμπτα ... αδικιαν 17. αναγγελλω ουν σοι, συ δε μου ακουε ... AC εοραχα ... αναγγελλω 18. α σοφ. ανηγγειλαν 19. C αυτοις δε μονοις 20. ασεβων 21. ειρηνευεσθαι τοτε ηξει η καταστρ. αυτου 22. εντεταχται 23. ab init. add καταπιπτι δε εις εξαληψιν ... και κατατεταχτ. εις, C κατατετ. γαρ εις 24. ημερα σκοτ. στροβ. αυτον ... πεπτωκως 25. εναντι κυριου, C εναντιον αυτου pro εναντιον του κυρ. 26. C om αυτου prius ... εν πανεχινω της ασπ. α. 27. μηρων αυτου et add αινος δε αυτου υβρις 28. και εισελθοι εις ... εκεινες ητοιμασεν ... C απονσονται 29. τα υπαρχ. αυτου· ουδε μη ... C επι γης 39. εκφυγη σκοτος ... μαραινει αν. και εκπεσοι αυτου 31. αυτω αποβησεται 32. in C litterae θαρησεται** ... πυκασι 33. AC ωςπερ ομφαξ ... και εκπεσοι ωςπερ 34. κατακαυσει 35. και εν γαστρι λημψονται ... C λημψεται ... υποισει πονον

Digitized by Google

## XVI.

2 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει [2]Ἀκήκοα τοιαῦτα πολλά, παρακλήτορες κα-
3 κῶν πάντες. [3]τί γὰρ μὴ τάξις ἐστὶ ῥήμασι πνεύματος; ἢ τί παρενοχλήσει
4 σοι ὅτι ἀποκρίνῃ; [4]κἀγὼ καθ' ὑμᾶς λαλήσω. εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν
ἀντὶ τῆς ἐμῆς, εἶτ' ἐναλοῦμαι ὑμῖν ῥήμασι, κινήσω δὲ καθ' ὑμῶν κεφαλήν.
5 6 [5]εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου, κίνησιν δὲ χειλέων οὐ φείσομαι. [6]ἐὰν γὰρ
λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα· ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσο-
7 μαι; [7]νῦν δὲ κατάκοπόν με πεποίηκε μωρὸν σεσηπότα, καὶ ἐπελάβου μου·
8 [8]εἰς μαρτύριον ἐγενήθη, καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου, κατὰ πρόσωπόν
9 μου ἀνταπεκρίθη. [9]ὀργῇ χρησάμενος κατέβαλέ με, ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόν-
10 τας, βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσαν. [10]ἀκίσιν ὀφθαλμῶν ἐνήλατο, ὀξεῖ
11 ἔπαισέ με εἰς τὰ γόνατα, ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμοί. [11]παρέδωκε
12 γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκων, ἐπὶ δὲ ἀσεβέσιν ἔῤῥιψέ με. [12]εἰρηνεύοντα
διεσκέδασέ με· λαβών με τῆς κόμης διέτιλε, κατέστησέ με ὥσπερ σκοπόν.
13 [13]ἐκύκλωσάν με λόγχαις βάλλοντες εἰς νεφρούς μου, οὐ φειδόμενοι ἐξέχεαν
14 εἰς τὴν γῆν τὴν χολήν μου· [14]κατέβαλόν με πτῶμα ἐπὶ πτώματι, ἔδραμον
15 πρὸς μὲ δυνάμενοι· [15]σάκκον ἔῤῥαψαν ἐπὶ βύρσης μου, τὸ δὲ σθένος μου ἐν
16 γῇ ἐσβέσθη. [16]ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ, ἐπὶ δὲ βλεφάροις
17 18 μου σκιά· [17]ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά. [18]γῆ
μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου, μηδὲ εἴη τόπος τῇ κραυγῇ μου.
19 [19]καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου, ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις.
20 [20]ἀφίκοιτό μου ἡ δέησις πρὸς κύριον, ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλ-
21 μός. [21]εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι κυρίου, καὶ υἱῷ ἀνθρώπου τῷ πλησίον
22 αὐτοῦ. [22]ἔτη δὲ ἀριθμητὰ ἥκασιν, ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι πο-
ρεύσομαι.

## XVII.

2 Ὀλέκομαι πνεύματι φερόμενος, δέομαι δὲ ταφῆς καὶ οὐ τυγχάνω. [2]λίσ-
3 σομαι κάμνων, καὶ τί ποιήσας; [3]ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι·
4 τίς ἐστιν οὗτος; τῇ χειρί μου συνδεθήτω. [4]ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ
5 φρονήσεως, διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς. [5]τῇ μερίδι ἀναγγελεῖ κακίας,
6 ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν. [6]ἔθου δέ με θρύλλημα ἐν ἔθνεσι, γέλως δὲ
7 αὐτοῖς ἀπέβην· [7]πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου, πεπολιόρκη-
8 μαι μεγάλως ὑπὸ πάντων. [8]θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ, δίκαιος δὲ ἐπὶ
9 παρανόμῳ ἐπανασταίη· [9]σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδόν, καθαρὸς δὲ χεῖρας

---

XVI. 4. και εγω δε ... ει γε υπεκειτο ... C η pro ει ... εμης ψυχης ... C ειτ ει εναλλουμαι ... υμιν λογοις 5. και κεινησιν χιλεων 6. το τραυμ. μου 7. C κατα τοπον pro καταχοπον 8. εγενηθην (και επελ. μου εις μαρτ. εγεν. in A et C conjgtur) 9. εβρυξ. δε επ ε. τ. ο. αυτου ... πειρατηριων ... επεσεν 10. ab αχισιν usque οξ**, antea plura ... επι τα γονατα ... επ εμε 11. αδικου, επι δε ασεβεις 12. διετειλεν 13. AC ου φειδομ. conjg. c. antecedd. ... εις γην την ζωην μου 14. επ εμε δυνατοι 15. ερριψαν επι βυρση μου ... εις γην εσβεσαν 16. βλεφαρων ... σκια θανατου 17. αδικ. γαρ 18. om της ... της κραυγης 19. om μου prius 20. η δεησ. μου ... σταξαι ο οφθ. μου 21. ο ελεγχος μου εναντι ... C εναντιον ... υιος 22. ηκουσιν μοι XVII. 2. ποιησω 3. αλλοτριοι τα υπαρχοντα 4. AC εκρυψαν ... ουν μη υψ. 5. AC οφθαλμ. δε μου 6. εθου με θρυλημα ε. ε. και απεβην αυτοις γελος 7. πεπηρωνται δε απο οργ. σου ... και πεπολ. υπο π. μεγαλ. 8. επι τουτοις, δικαιω γαρ παρανομος επανεστη 9. και ο καθαρος χερσιν

Digitized by Google

ἀναλάβοι θάρσος. [10]οὐ μὴν δὲ ἀλλὰ πάντες ἐρείδετε καὶ δεῦτε δή, οὐ γὰρ 10
εὑρίσκω ἐν ὑμῖν ἀληθές. [11]αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ, ἐῤῥάγη δὲ τὰ 11
ἄρθρα τῆς καρδίας μου· [12]νύκτα εἰς ἡμέραν ἔθηκα, φῶς ἐγγὺς ἀπὸ προσώ- 12
που σκότους. [13]ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος, ἐν δὲ γνόφῳ ἔστρωταί 13
μου ἡ στρωμνή. [14]θάνατον ἐπεκαλεσάμην πατέρα μου εἶναι, μητέρα δέ μου καὶ 14
ἀδελφὴν σαπρίαν. [15]ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπίς; ἢ τὰ ἀγαθά μου ὄψο- 15
μαι; [16]ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσονται; ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος 16
καταβησόμεθα;

## XVIII.

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει [2]Μέχρι τίνος οὐ παύσῃ; ἐπί- 2
σχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν. [3]διὰ τί δὲ ὥςπερ τετράποδα σεσιωπήκαμεν 3
ἐναντίον σου; [4]κέχρηταί σοι ὀργή. τί γάρ; ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' 4
οὐρανόν; ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων; [5]καὶ φῶς ἀσεβῶν σβεσθή- 5
σεται, καὶ οὐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ. [6]τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ, 6
ὁ δὲ λύχνος ἐπ' αὐτῷ σβεσθήσεται. [7]θηρεύσαισαν ἐλάχιστοι τὰ ὑπάρχοντα 7
αὐτοῦ, σφάλαι δὲ αὐτοῦ ἡ βουλή. [8]ἐμβέβληται δὲ ὁ πούς αὐτοῦ ἐν παγίδι, 8
ἐν δικτύῳ ἑλιχθείη. [9]ἔλθοισαν δὲ ἐπ' αὐτὸν παγίδες, κατισχύσει ἐπ' αὐτὸν 9
διψῶντας. [10]κέκρυπται ἐν τῇ γῇ σχοινίον αὐτοῦ, καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ 10
τρίβον. [11]κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι· πολλοὶ δὲ περὶ πόδα αὐτοῦ ἔλθοισαν 11
ἐν λιμῷ στενῷ. [12]πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον. [13]βρωθείησαν αὐτοῦ 12 13
κλῶνες ποδῶν, κατέδεται δὲ αὐτοῦ τὰ ὡραῖα θάνατος. [14]ἐκραγείη δὲ ἐκ διαί- 14
της αὐτοῦ ἴασις, σχοίη δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ. [15]κατασκηνώσει ἐν 15
τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ, κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ θείῳ.
[16]ὑποκάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται, καὶ ἐπάνωθεν ἐπιπεσεῖται θε- 16
ρισμὸς αὐτοῦ. [17]τὸ μνημόσυνον αὐτοῦ ἀπόλοιτο ἐκ γῆς, καὶ ὑπάρξει ὄνομα 17
αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω. [18]ἀπώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος. [19]οὐκ 18 19
ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ, οὐδὲ σεσωσμένος ἐν τῇ ὑπ' οὐρανὸν ὁ οἶκος
αὐτοῦ, ἀλλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι· [20]ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι, 20
πρώτους δὲ ἔσχε θαῦμα. [21]οὗτοί εἰσιν οἱ οἶκοι ἀδίκων, οὗτος δὲ ὁ τόπος 21
τῶν μὴ εἰδότων τὸν κύριον.

## XIX.

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει [2]Ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου, καὶ 2
καθαιρεῖτε με λόγοις; [3]γνῶτε μόνον ὅτι ὁ κύριος ἐποίησέ με οὕτως. κατα- 3
λαλεῖτέ μου, οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι. [4]ναὶ δὴ ἐπ' ἀληθείας ἐγὼ 4

---

10. om δη 11. και ημεραι ... δρομω (C θρομω?) 12. εθηκαν 13. η στρομη 14. προσεκαλεσαμην, C προςκαλεσαμην 15. C ουν μοι εστιν ... om εστιν ... οψομ. ετι 16. εις τον αδην καταβησεται XVIII. 1. βαλδας ο αυχιτης 3. ινα τι 4. κεχρησε δε οργη ... AC εαν σοι ... C ανοικητος ... αοικ. εσται η ... η γη pro ορη 5. αναβησεται αυτου 6. διαιτη αυτου ... λυχν. αυτου επ 7. θηρευσιαν τα υπαρχ. αυτου ελαχιστοι, και σφαλιη αυτου 8. ενβληθειη ... AC και εν δικτυω ... ειλιχθειη 9. ελθοι δε εν δε επ (sic) ... παγιδ. κυκλοθεν και κατισχυσουσιν ... διψωντες 10. κεκρ. δε ... συλλημψις ... επι εριβων κυκλοθεν 11. om κυκλω ... και ολεσιαν ... πολλων δε π. ποδας ελθοι λιμω στενω 12. και πτωμα αυτω ητοιμαστο 13. ωμια pro ωραια 14. αναγκη και αιτια 15. και εν σωματι αυτου pro εν νυκτι αυτου ... κατασπαρησεται 17. υπαρχει 18. και απωσιαν 19. εν τω λαω ... αλλ εντος αυτου 21. εισιν οικοι ... δε τοπος ... ιδοτων XIX. 2. εως ποτε ενκοπον π. την ψ. μ. κ. καθελειται 3. εποιησ. μοι ουτως και καταλ. με ο. αισχ. και επιχεσθαι μοι 4. εγω επ αληθ.

Digitized by Google

ἐπλανήθην, παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος, λαλῆσαι ῥήματα ἃ οὐκ ἔδει, τὰ
5 δὲ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐπὶ καιροῦ. 5 ἔα δὲ ὅτι ἐπ' ἐμοὶ μεγαλύ-
6 νεσθε, ἐνάλλεσθε δέ μοι ὀνείδει. 6 γνῶτε οὖν ὅτι κύριός ἐστιν ὁ ταράξας,
7 ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσεν. 7 ἰδοὺ γελῶ ὀνείδει, οὐ λαλήσω· κεκρά-
8 ξομαι, καὶ οὐδαμοῦ κρίμα. 8 κύκλῳ περιῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ, ἐπὶ
9 πρόσωπόν μου σκότος ἔθετο. 9 τὴν δὲ δόξαν ἀπ' ἐμοῦ ἐξέδυσεν, ἀφεῖλε δὲ
10 στέφανον ἀπὸ κεφαλῆς μου. 10 διέσπασέ με κύκλῳ καὶ ᾠχόμην, ἐξέκοψε δὲ
11 ὥςπερ δένδρον τὴν ἐλπίδα μου. 11 δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο, ἡγήσατο δέ
12 με ὥςπερ ἐχθρόν. 12 ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοί,
13 ταῖς ὁδοῖς μου ἐκύκλωσαν ἐγκάθετοι. 13 ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν,
14 ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ· φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν. 14 οὐ προσε-
ποιήσαντό με οἱ ἐγγύτατοί μου, καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου.
15 16 15 γείτονες οἰκίας θεράπαιναί τε μου, ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν. 16 θε-
17 ράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσε· στόμα δέ μου ἐδέετο, 17 καὶ ἱκέ-
τευον τὴν γυναῖκά μου, προςεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου·
18 18 οἱ δὲ εἰς τὸν αἰῶνά με ἀπεποιήσαντο, ὅταν ἀναστῶ κατ' ἐμοῦ λαλοῦσιν.
19 20 19 ἐβδελύξαντό με οἱ ἰδόντες με· οὓς δὴ ἠγαπήκειν, ἐπανέστησάν μοι. 20 ἐν
δέρματί μου ἐσάπησαν αἱ σάρκες μου, τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται.
21 21 ἐλεήσατέ με, ἐλεήσατέ με, ὦ φίλοι· χεὶρ γὰρ κυρίου ἡ ἁψαμένη μού ἐστιν.
22 22 διὰ τί με διώκετε ὥςπερ καὶ ὁ κύριος, ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπί-
23 πλασθε; 23 τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου, τεθῆναι δὲ αὐτὰ ἐν
24 βιβλίῳ εἰς τὸν αἰῶνα, 24 ἐν γραφείῳ σιδηρῷ καὶ μολίβῳ, ἢ ἐν πέτραις ἐγγλυ-
25 26 φῆναι; 25 οἶδα γὰρ ὅτι ἀένναός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς 26 ἀνα-
στῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα· παρὰ γὰρ κυρίου ταῦτά μοι συνε-
27 τελέσθη, 27 ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι, ἃ ὁ ὀφθαλμός μου ἑώρακε καὶ οὐκ
28 ἄλλος, πάντα δέ μοι συντετέλεσται ἐν κόλπῳ. 28 εἰ δὲ καὶ ἐρεῖτε Τί ἐροῦμεν
29 ἔναντι αὐτοῦ, καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ; 29 εὐλαβήθητε δὴ καὶ ὑμεῖς
ἀπὸ ἐπικαλύμματος· θυμὸς γὰρ ἐπ' ἀνόμους ἐπελεύσεται, καὶ τότε γνώσονται
ποῦ ἐστιν αὐτῶν ἡ ὕλη.

## XX.

2 Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος λέγει 2 Οὐχ οὕτως ὑπελάμβανον ἀν-
3 τερεῖν σε ταῦτα, καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ· 3 παιδείαν ἐντροπῆς
4 μου ἀκούσομαι, καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι. 4 μὴ ταῦτα
5 ἔγνως ἀπὸ τοῦ ἔτι, ἀφ' οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς; 5 εὐφροσύνη δὲ

---

4. επλ. και εν εμοι αυλ. ... ρημα ο 6. γνωτε οτι ο κυρ. ε. ο τ. με 7. ιδου λαλω ονειδη και ου 8. επι δε ατραπους μου σκ. εθ. 9. την δοξαν μου απ ... και αφειλεν στεφ. 10. διεσπ. δε με 11. om δε prius 12. ομοθ. αυτου ηλθεν τα πειρ. επ εμε ... με ενκαθετοι 13. απ εμ. δε απεστ. αδ., εγνωσαν ... οι φιλοι δε 14. και ου ... μου, οι ιδοντες 15. γιτονες οικιοι θεραποντες θεραπενοι, αλλογενης εγενομην 16. θεραποντας δε μου εκ. κ. ουκ υπηκουσαν μου ... εδεειτο αυτων 17. και προςεκαλουμην κολ. 18. με απιπαντο 19. εβδελ. δε με οι ιδοτες με· και ους ηγαπων 20. om αι ... εν οδυναις εχεται 21. εγγισατε μοι ελεησατε με ω φιλ. ελεησατε με ... εστιν η αψ. μου 22. δια τι δε με 23. δωη 24. εν γραφιω σιδ. η μολ. 25. αεναος (... ed. rom. μελλων, επι γης) 26. αναστησει δε μου το σωμα το ... μοι ταυτα 27. α οι οφθαλμοι μ. εορακασιν ... C συντετελεσθαι 28. AC εναντιον αυτου ... ευρησον 29. δε pro δη ... απο κριματος ... επ ανομοις ... γνωσονται οτι ουδαμου αυτων η ισχυς εστιν XX. 2. υπελ. σε ειναι και αντεριν σε ταυτα κ. ουχι συνιεναι μ. η εγω 3. AC παιδιαν ... εντρ. σου ... συνεσεως σου 5. AC ευφρ. γαρ

Digitized by Google

ἀσεβῶν πτῶμα ἐξαίσιον, χαρμονὴ δὲ παρανόμων ἀπώλεια· 6 ἐὰν ἀναβῇ εἰς 6
οὐρανὸν αὐτοῦ τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται. 7 ὅταν γὰρ δοκῇ 7
ἤδη κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται· οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσι Ποῦ
ἐστιν; 8 ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ, ἔπτη δὲ ὥσπερ φάσμα 8
νυκτερινόν· 9 ὀφθαλμὸς παρέβλεψε, καὶ οὐ προσθήσει, καὶ οὐκ ἔτι προσνοήσει 9
αὐτὸν ὁ τόπος αὐτοῦ. 10 τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες, αἱ δὲ χεῖρες 10
αὐτοῦ πυρσεύσαισαν ὀδύνας. 11 ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ, καὶ 11
μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται. 12 ἐὰν γλυκανθῇ ἐν στόματι αὐτοῦ 12
κακία, κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ, 13 οὐ φείσεται αὐτῆς καὶ οὐκ 13
ἐγκαταλείψει αὐτήν· καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ, 14 καὶ 14
οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ. χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ. 15 πλοῦτος 15
ἀδίκως συναγόμενος ἐξεμεθήσεται, ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος.
16 θυμὸν δὲ δρακόντων θηλάσειεν, ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως. 17 μὴ ἴδοι 16 17
ἄμελξιν νομάδων μηδὲ νομὰς μέλιτος καὶ βουτύρου. 18 εἰς κενὰ καὶ μάταια 18
ἐκοπίασεν, πλοῦτον ἐξ οὗ οὐ γεύσεται· ὥσπερ στρίφνος ἀμάσητος, ἀκατά-
ποτος. 19 πολλῶν γὰρ δυνατῶν οἴκους ἔθλασεν· δίαιταν δὲ ἥρπασε, καὶ οὐκ 19
ἔστησεν. 20 οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν, ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ 20
σωθήσεται. 21 οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ, διὰ τοῦτο οὐκ ἀν- 21
θήσει αὐτοῦ τὰ ἀγαθά. 22 ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται, πᾶσα 22
δὲ ἀνάγκη ἐπ' αὐτὸν ἐπελεύσεται. 23 εἴ πως εἴ πληρῶσαι γαστέρα αὐτοῦ, 23
ἐπαποστεῖλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς, νίψαι ἐπ' αὐτὸν ὀδύνας· 24 καὶ οὐ μὴ 24
σωθῇ ἐκ χειρὸς σιδήρου, τρῶσαι αὐτὸν τόξον χάλκειον· 25 διεξέλθοι δὲ διὰ 25
σώματος αὐτοῦ βέλος, ἄστρα δὲ ἐν διαίταις αὐτοῦ· περιπατήσαισαν ἐπ' αὐτῷ
φόβοι, 26 πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι· κατέδεται αὐτὸν πῦρ ἄκαυστον, 26
κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον. 27 ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς 27
ἀνομίας, γῆ δὲ ἐπανασταίη αὐτῷ. 28 ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς 28
τέλος, ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ. 29 αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ 29
κυρίου, καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.

## XXI.

1 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 2 Ἀκούσατε ἀκούσατέ μου τῶν λόγων, ἵνα μὴ 2
ᾖ μοι παρ' ὑμῶν αὕτη ἡ παράκλησις. 3 ἄρατέ με, ἐγὼ δὲ λαλήσω, εἶτ' οὐ 3
καταγελάσετέ μου. 4 τί γάρ; μὴ ἀνθρώπου μου ἡ ἔλεγξις; ἢ διὰ τί οὐ θυ- 4

---

5. ασεβων pro παρανομων 6. τα δωρα αυτου 7. om γαρ ... AC εστηριχθαι ... C και οι ειδοτες ιδοντες ... ιδοτες 8. φαντασμα pro φασμα 9. και ου προσνοησει αυτον ο τ. α. ουκετι ... C προνοησει 10. θλασιαν pro ολεσαισαν ... ψηλαφησουσιν pro πυρσευσ. 11. ενεπλησθη 12. om εαν ... εγλυκανθη ... C εκ μεσου 14. in f. add και πονος 15. εξεμεσθησεται εκ κοιλιας αυτου,· εξ οι. δε ... C εξελκυσαι ... αγγελ. θανατου 16. θυμος ... θηλασει, και ανελοι αυτον 17. C ειδοι 18. εκοπιασεν, σχοιη δε πλουτον ... ωσπ. στρυχνον αμασητον ακαταπατητον 19. AC αδυνατων ... εθρασεν· δι. δε αυτων ... C διαιτιαν γαρ • πασεν 20. δια τουτο ουκ εστη αυτω σωτηρια εν τοις υπ. αυτου, ουδε ανθησει αυτου τα αγαθα, εν επιθυμ. α. ου σωθ. 21. AC υπολιμμα ... om δια τουτο usque αγαθα 22. AC om δε ... C ειρηνευειν pro πεπληρ. 23. και πληρωσει pro ει πως ει πληρ., C ει πως κληρωσαι ... ριψαι δε pro νιψαι 24. τρωσαι δε ... χαλκαιον, C χαλκιον 25. και διεξελθοι δια ... ανδρα pro αστρα ... C εν διαιτη ... αυτου μη περιπατησαι 26. και παν σκοτος αυτον ... AC κατεδ. δε αυτον ... πυρ ασβεστον ... και κακωσαι αυτου 27. om δε prius 28. και ημεραι (?) 29. AC υπαρχοντων αυτου XXI. 2. Ακουσ. μου ακ. μου ... ινα μη ειη μοι αυτη παρ υμων παρακλησεις ... C αυτη παρακλησις 3. βαστασατε με ... ειτα μη μου καταγελαται 4. C τι γαρ μοι ανθρωπου η ελεγξις ... μη εξ ανθρ. η ελ. μου; και δια



Digitized by Google

5 6 μωθήσομαι; 5 εἰςβλέψαντες εἰς ἐμὲ θαυμάσετε, χεῖρα θέντες ἐπὶ σιαγόνι. 6 ἐάν
7 τε γὰρ μνησθῶ, ἐσπούδακα, ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι. 7 διὰ τί ἀσε-
8 βεῖς ζῶσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ; 8 ὁ σπόρος αὐτῶν κατὰ ψυχήν,
9 τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς. 9 οἱ οἶκοι αὐτῶν εὐθηνοῦσι, φόβος δὲ οὐ-
10 δαμοῦ, μάστιξ δὲ παρὰ κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς. 10 ἡ βοῦς αὐτῶν οὐκ
11 ὠμοτόκησε, διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα καὶ οὐκ ἔσφαλεν. 11 μένουσι
12 δὲ ὡς πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προςπαίζουσιν, 12 ἀναλαβόντες
13 ψαλτήριον καὶ κιθάραν, καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ. 13 συνετέλεσαν δὲ ἐν
14 ἀγαθοῖς τὸν βίον αὐτῶν, ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν. 14 λέγει δὲ κυ-
15 ρίῳ Ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι· 15 τί ἱκανὸς ὅτι δου-
16 λεύσομεν αὐτῷ; καὶ τίς ὠφέλεια ὅτι ἀπαντήσομεν αὐτῷ; 16 ἐν χερσὶ γὰρ ἦν
17 αὐτῶν τὰ ἀγαθά, ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ. 17 οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν
λύχνος σβεσθήσεται, ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφή, ὠδῖνες δὲ αὐτοὺς
18 ἕξουσιν ἀπὸ ὀργῆς. 18 ἔσονται δὲ ὥσπερ ἄχυρα ὑπ' ἀνέμου, ἢ ὥςπερ κονιορ-
19 τὸς ὃν ὑφείλετο λαῖλαψ. 19 ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ, ἀνταποδώσει
20 πρὸς αὐτὸν καὶ γνώσεται. 20 ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγήν,
21 ἀπὸ δὲ κυρίου μὴ διασωθείη· 21 ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ'
22 αὐτοῦ, καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν. 22 πότερον οὐχὶ ὁ κύριός ἐστιν
23 ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; αὐτὸς δὲ φόνους διακρίνει; 23 οὗτος ἀπο-
24 θανεῖται ἐν κράτει ἁπλοσύνης αὐτοῦ, ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν, 24 τὰ δὲ
25 ἔγκατα αὐτοῦ πλήρη στέατος, μυελὸς δὲ αὐτοῦ διαχεῖται· 25 ὁ δὲ τελευτᾷ
26 ὑπὸ πικρίας ψυχῆς, οὐ φαγὼν οὐδὲν ἀγαθόν· 26 ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοι-
27 μῶνται, σαπρία δὲ αὐτοὺς ἐκάλυψεν. 27 ὥςτε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ
28 μοι, 28 ὥςτε ἐρεῖτε Ποῦ ἔστιν οἶκος ἄρχοντος; καὶ ποῦ ἔστιν ἡ σκέπη τῶν
29 σκηνωμάτων τῶν ἀσεβῶν; 29 ἐρωτήσατε παραπορευομένους ὁδόν, καὶ τὰ ση-
30 μεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε· 30 ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ
31 πονηρός, εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται. 31 τίς ἀπαγγελεῖ ἐπὶ προσώπου
32 αὐτοῦ τὴν ὁδὸν αὐτοῦ; καὶ αὐτὸς ἐποίησε, τίς ἀνταποδώσει αὐτῷ; 32 καὶ
33 αὐτὸς εἰς τάφους ἀπηνέχθη, καὶ αὐτὸς ἐπὶ σωρῶν ἠγρύπνησεν. 33 ἐγλυκάνθησαν
αὐτῷ χάλικες χειμάῤῥου, καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται, καὶ
34 ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι. 34 πῶς δὲ παρακαλεῖτέ με κενά; τὸ δὲ ἐμὲ
καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν.

## XXII.

2 Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει 2 Πότερον οὐχὶ ὁ κύριός ἐστιν
3 ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; 3 τί γὰρ μέλει τῷ κυρίῳ ἐὰν σὺ ἦσθα

---

5. εμβλεψαντες ε. ε. θαυμασατε ... επι στομα 7. δια τι δε ... om εν 8. in f. add αυτων 9. C εστιν αυτοις 10. αυτων η εγ γαστρι 11. AC ωςπερ ... προςπεζει αυτοις 12. αναλαμβανοντα 13. om δε prius 14. λεγ. δε ο ασεβης τω κυριω ... τας οδους 15. C (non A) δουλευσωμεν ... C om και τις ωφ. ο. α. αυτω ... απαντησωμεν 16. αυτων ην ... ασεβων ου καθαρα 17. και ωδινες αυτοις 18. AC προ ανεμου ... AC υφιλατο 19. υιοις 20. ιδοιεν δε οι ... C την αυτου σφαγην ... και υπο κυριου 21. μετ αυτον 25. AC σοφους pro φονους 23. AC αφροσυνης 24. (AC πληρης ...) ο δε μυελος ... C αυτων διαχ. 25. ο δε γε ... αγαθον ουδεν 26. ομοθ. δε οι υιοι αυτου επι γης κοιμηθησονται ... in f. add επι γης 28. C οτι ερειται ... οιχος αρχαιος ... εστιν σχεπη 29. C πορευομενους ... απολλοτριωθησεται (sic) 30. και εις ημ. οργ. α. απαχθησεται 31. C αναγγελει ... επι προςωπον ... και α αυτος εποιησεν (... κ. αυτ. επ., τις αντ. α. conjg. etiam C, sed ed. rom. εποιησε; habet.) 32. απενεχθη, και επι σορω ηγρ. ... C om αυτος sec. 33. αριθμητοι 34. C με παρακαλειτε ... το δε αφ υμων καταπαυσαι με ουδεν εστιν XXII. 1. θεμανιτης 3. εαν συ ης

Digitized by Google

τοῖς ἔργοις ἄμεμπτος; ἢ ὠφέλεια ὅτι ἁπλώσῃς τὴν ὁδόν σου; 4 ἢ λόγον σου 4
ποιούμενος ἐλέγξεις, καὶ συνειςελεύσεταί σοι εἰς κρίσιν; 5 πότερον οὐχ ἡ κακία 5
σού ἐστι πολλή, ἀναρίθμητοι δέ σού εἰσιν αἱ ἁμαρτίαι; 6 ἠνεχύραζες δὲ τοὺς 6
ἀδελφούς σου διὰ κενῆς, ἀμφίασιν δὲ γυμνῶν ἀφείλου· 7 οὐδὲ ὕδωρ διψῶν- 7
τας ἐπότισας, ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν· 8 ἐθαύμασας δέ τινων πρόσω- 8
πον, ᾤκισας δὲ τοὺς ἐπὶ τῆς γῆς· 9 χήρας δὲ ἐξαπέστειλας κενάς, ὀρφανοὺς 9
δὲ ἐκάκωσας. 10 τοιγαροῦν ἐκύκλωσάν σε παγίδες, καὶ ἐσπούδασέ σε πόλεμος 10
ἐξαίσιος. 11 τὸ φῶς σοι σκότος ἀπέβη, κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψε. 12 μὴ 11 12
οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ, τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσε; 13 καὶ 13
εἶπας Τί ἔγνω ὁ ἰσχυρός, ἢ κατὰ τοῦ γνόφου κρίνει; 14 νεφέλη ἀποκρυφὴ αὐτοῦ 14
καὶ οὐχ ὁραθήσεται, καὶ γῦρον οὐρανοῦ διαπορεύεται. 15 μὴ τρίβον αἰώνιον 15
φυλάξεις ἣν ἐπάτησαν ἄνδρες δίκαιοι, 16 οἳ συνελήφθησαν ἄωροι; ποταμὸς 16
ἐπιῤῥέων οἱ θεμέλιοι αὐτῶν, 17 οἱ λέγοντες Κύριος τί ποιήσει ἡμῖν; ἢ τί ἐπά- 17
ξεται ἡμῖν ὁ παντοκράτωρ; 18 ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν ἀγαθῶν, 18
βουλὴ δὲ ἀσεβῶν πόῤῥω ἀπ' αὐτοῦ. 19 ἰδόντες δίκαιοι ἐγέλασαν, ἄμεμπτος 19
δὲ ἐμυκτήρισεν. 20 εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν, καὶ τὸ κατάλειμμα 20
αὐτῶν καταφάγεται πῦρ. 21 γενοῦ δὴ σκληρός, ἐὰν ὑπομείνῃς· εἶτα ὁ καρπός 21
σου ἔσται ἐν ἀγαθοῖς. 22 ἔκλαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν, καὶ ἀνά- 22
λαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου. 23 ἐὰν δὲ ἐπιστραφῇς καὶ ταπεινώσῃς 23
σεαυτὸν ἔναντι κυρίου, πόῤῥω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον· 24 θήσῃ ἐπὶ 24
χώματι ἐν πέτρᾳ, καὶ ὡς πέτρα χειμάῤῥου Σωφίρ. 25 ἔσται οὖν σου ὁ παν- 25
τοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν, καθαρὸν δὲ ἀποδώσει σε ὥςπερ ἀργύριον πε-
πυρωμένον. 26 εἶτα παῤῥησιασθήσῃ ἐναντίον κυρίου ἀναβλέψας εἰς τὸν οὐρανὸν 26
ἱλαρῶς· 27 εὐξαμένου δέ σου πρὸς αὐτὸν εἰςακούσεταί σου, δώσει δέ σοι ἀπο- 27
δοῦναι τὰς εὐχάς· 28 ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης, ἐπὶ δὲ ὁδοῖς 28
σου ἔσται φέγγος. 29 ὅτι ἐταπείνωσας σεαυτόν, καὶ ἐρεῖς Ὑπερηφανεύσατο, 29
καὶ κύφοντα ὀφθαλμοῖς σώσει· 30 ῥύσεται ἀθῷον, καὶ διασώθητι ἐν καθαραῖς 30
χερσί σου.

## XXIII.

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 2 Καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς 2
ἐστι, καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐμῷ στεναγμῷ. 3 τίς δ' ἄρα γνοίη 3
ὅτι εὕροιμι αὐτὸν καὶ ἔλθοιμι εἰς τέλος; 4 εἴποιμι δὲ ἐμαυτοῦ κρίμα, τὸ δὲ 4
στόμα μου ἐμπλῆσαι ἐλέγχων· 5 γνοίην δὲ ἰάματα ἅ μοι ἐρεῖ, αἰσθοίμην δὲ 5
τίνα μοι ἀπαγγελεῖ. 6 καὶ ἐν πολλῇ ἰσχύϊ ἐπελεύσεταί μοι, εἶτα ἐν ἀπειλῇ μοι 6
οὐ χρήσεται. 7 ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ' αὐτοῦ, ἐξαγάγοι δὲ εἰς τέλος 7

---

3. αμεμπτος τ. εργ. η ωφ. αυτω ... C απλωσεις 4. AC ελεγξει σε 5. ουχι ... om εισιν 6. ηνεχυρ. γαρ 8. AC προσωπα ... εκομισας δε πτωχους επι γης, C ωκισ. δε πτωχους επι τ. γ. 9. και ορφαν. εκακ. 10. εκυκλωσεν 11. σοι εις σκοτος ... σε υδωρ 12. om ουχι ... ουκ εφορα 13. C ειπα 14. διαπορευσεται 15. *ην επανεστησαν 16. συνελημφθησαν 17. Τι ποιησει ημ. ο κυριος ... επαξει 18. οτε γε ενεπλ. 19. εμυκτηρ. αυτους 20. om ή ... καταλιμμα 21. γενου δε ... η pro ειτα 22. συν εξηγοριαν 23. και πορρω ποιησον (sed* ποιησης videtur) ... το αδικον (αδικον rescriptum) 24. θησεις έπι χωματος εν π. και ωςπερ χειμαρρους ωφειρ 25. εσται δε σοι 26. ενπαρρησιαση εναντι 27. δε τας ευχ. σου αποδ. 28. οδοις σοι 29. Ει υπερηφανευσαμην 30. ρυσ. δε αθωον, κ. διασωθηση XXIII. 2. χειρων ... om και secundum ... γεγον. επ εμοι, στεναζώ δε επ εμαυτον 3. τις γαρ αν γνωη ... και οτι ελθοιμι 4. ειπ. δε επ αυτου ... εμπλησει με ελεγχου 5. γνωην δε ρηματα ... απαγγελλει 6. και ει πολλη ... μοι, και ει εν απ. ου χρησεται μοι 7. παρ αυτω (sed παρ αυτω **)



Digitized by Google

8 τὸ κρίμα μου. [8] εἰ γὰρ πρῶτος πορεύσομαι, καὶ οὐκ ἔτι εἰμί, τὰ δὲ ἐπ' ἐσχά-
9 τοις, τί οἶδα; [9] ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον, περιβαλεῖ δεξιὰ
10 καὶ οὐκ ὄψομαι. [10] οἶδε γὰρ ἤδη ὁδόν μου, διέκρινε δέ με ὥσπερ τὸ χρυσίον.
11 [11] ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ, ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα, καὶ οὐ μὴ
12 ἐκκλίνω [12] ἀπὸ ἐνταλμάτων αὐτοῦ καὶ οὐ μὴ παρέλθω, ἐν δὲ κόλπῳ μου ἔκρυψα
13 ῥήματα αὐτοῦ. [13] εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ;
14 ὃ γὰρ αὐτὸς ἠθέλησε, καὶ ἐποίησεν. [14] διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα· νου-
15 θετούμενος δὲ ἐφρόντισα αὐτοῦ. [15] ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπου-
16 δασθῶ· κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ. [16] κύριος δὲ ἐμαλάκυνε τὴν
17 καρδίαν μου, ὁ δὲ παντοκράτωρ ἐσπούδασέ με· [17] οὐ γὰρ ᾔδειν ὅτι ἐπε-
λεύσεταί μοι σκότος, πρὸ προσώπου δέ μου ἐκάλυψε γνόφος.

## XXIV.

2 Διὰ τί δὲ κύριον ἔλαθον ὧραι, [2] ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον
3 σὺν ποιμένι ἁρπάσαντες; [3] ὑποζύγιον ὀρφανῶν ἀπήγαγον, καὶ βοῦν χήρας
4 ἠνεχύρασαν. [4] ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας, ὁμοθυμαδὸν δὲ ἐκρύβη-
5 σαν πραεῖς γῆς. [5] ἀπέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ, ὑπὲρ ἐμοῦ ἐξελθόντες
6 τὴν ἑαυτῶν τάξιν· ἡδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους. [6] ἀγρὸν πρὸ ὥρας οὐκ
αὐτῶν ὄντα ἐθέρισαν· ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ εἰργά-
7 σαντο. [7] γυμνοὺς πολλοὺς ἐκοίμισαν ἄνευ ἱματίων, ἀμφίασιν δὲ ψυχῆς αὐτῶν
8 ἀφείλαντο· [8] ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται, παρὰ τὸ μὴ ἔχειν ἑαυτοὺς σκέ-
9 πην πέτραν περιεβάλοντο. [9] ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ, ἐκπεπτωκότα δὲ
10 ἐταπείνωσαν. [10] γυμνοὺς δὲ ἐκοίμισαν ἀδίκως, πεινώντων δὲ τὸν ψωμὸν ἀφεί-
11 12 λαντο. [11] ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν, ὁδὸν δὲ δικαίαν οὐκ ᾔδεισαν. [12] οἳ
ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλοντο, ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα.
13 [13] αὐτὸς δὲ διὰ τί τούτων ἐπισκοπὴν οὐ πεποίηται; ἐπὶ γῆς ὄντων αὐτῶν καὶ
οὐκ ἐπέγνωσαν, ὁδὸν δὲ δικαιοσύνης οὐκ ᾔδεισαν, οὐδὲ ἀτραποὺς αὐτῶν ἐπο-
14 ρεύθησαν. [14] γνοὺς δὲ αὐτῶν τὰ ἔργα παρέδωκεν αὐτοὺς εἰς σκότος, καὶ νυκτὸς
15 ἔσται ὡς κλέπτης. [15] καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξε σκότος, λέγων Οὐ προ-
16 νοήσει με ὀφθαλμός, καὶ ἀποκρυβὴν προσώπου ἔθετο· [16] διώρυξεν ἐν σκότει
17 οἰκίας, ἡμέρας ἐσφράγισαν ἑαυτούς, οὐκ ἐπέγνωσαν φῶς· [17] ὅτι ὁμοθυμαδὸν
18 αὐτοῖς τὸ πρωὶ σκιὰ θανάτου, ὅτι ἐπιγνώσεται τάραχος σκιᾶς θανάτου. [18] ἐλα-
φρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος, καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς, ἀνα-
19 φανείη δὲ τὰ φυτὰ αὐτῶν [19] ἐπὶ γῆς ξηρά· ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπα-
20 σαν. [20] εἶτ' ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία· ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς

---

8. εαν γαρ πορευθω εις τα πρωτα, ουκ ετι 10. μου αυτος, και διεκρινεν με ωςπερ χρυσ. 12. απο εντολων α. ου μη παρ. ινα μη αποθανω, εν δε 13. ο αντερων 15. εσπουδακειν 16. κυρ. μου εμαλ. ... εσπουδακεν επ εμε 17. μοι γνοφος, προςωπον δε μου καλυψει σκοτος XXIV. 1. κυριε ελαθον ωρας 2. ασεβεις ανδρες· οριον δε υπερεβησαν και ποιμν. σ. π. ηρπασαν 3. υποζ. δε 4. εξεκλινον δε 5. και απεβ. ωςπερ ... εξελθ. τη εαυτων πραξει αγρον προ ωρας ουκ αυτων οντα εθερισαν· ηδυνηθη δε αυτω ε. ν. 6. om αγρον usque εθερισαν ... αδυν. δε ασεβ. αμπελ. ασιτι κ. αμισθι 7. γυμν. δε ... ψυχ. εαυτων 8. και παρα ... C αυτους 9. δε ορφανους ... και εκπεπτ. εταπ. 10. om δε prius ... om τον 11. εν σκοτινοις ενηδρευσαν αδικως ... C εν στεν. δε ... δικαιων ' 12. om οι ... και εξ οικιων ιδ. εξεβαλον αυτοις ... μεγαλως 13. ετι οντων αυτων επι γης κ. ουκ επεγνωσομαι (sic) ... δικαιωσυνης ... C ου ηδεισαν ... ουδε επορ. ατρ. αυτης ... C ατραπ. αυτης 15. προςνοησει με ο οφθ. ... προς με που pro προςωπου 16. ημερ. δε ... C εαυτοις 17. C το πρωι αυτοις ... το πρωι διεσκεδασεν, οτι επ. ταραχας σκια θ. 18. επι προςωπου 19. ορφανου 20. ειτα εμνησθη αυτων ... και ωςπερ ομιχλη

Digitized by Google

ἐγένετο· ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν, συντριβείη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ
ἀνιάτῳ. [21] στεῖραν δὲ οὐκ εὖ ἐποίησε, καὶ γύναιον οὐκ ἠλέησε, [22] θυμῷ δὲ 21 22
κατέστρεψεν ἀδυνάτους. ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ
ζωῆς· [23] μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ. [24] πολ- 23 24
λοὺς γὰρ ἐκάκωσε τὸ ὕψωμα αὐτοῦ· ἐμαράνθη δὲ ὥςπερ μολόχη ἐν καύματι,
ἢ ὥςπερ στάχυς ἀπὸ καλάμης αὐτόματος ἀποπεσών. [25] εἰ δὲ μή, τίς ἐστιν 25
ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου;

## XXV.

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει [2] Τί γὰρ προοίμιον ἢ φόβος 2
παρ' αὐτοῦ, ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ; [3] μὴ γάρ τις ὑπολάβοι ὅτι 3
ἐστὶ παρέλκυσις πειραταῖς· ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ;
[4] πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι αὐτὸν 4
γεννητὸς γυναικός, [5] εἰ σελήνῃ συντάσσει καὶ οὐκ ἐπιφαύσκει, ἄστρα δὲ 5
οὐ καθαρὰ ἐναντίον αὐτοῦ; [6] ἔα δέ, ἄνθρωπος σαπρία καὶ υἱὸς ἀνθρώπου 6
σκώληξ.

## XXVI.

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει [2] Τίνι πρόςκεισαι ἢ τίνι μέλλεις βοηθεῖν; πό- 2
τερον οὐχ ᾧ πολλὴ ἰσχὺς καὶ ᾧ βραχίων κραταιός ἐστι; [3] τίνι συμβεβούλευ- 3
σαι; οὐχ ᾧ πᾶσα σοφία; τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις;
[4] τίνι ἀνήγγειλας ῥήματα; πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ; [5] μὴ 4 5
γίγαντες μαιωθήσονται ὑποκάτωθεν ὕδατος καὶ τῶν γειτόνων αὐτοῦ; [6] γυμνὸς 6
ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ. [7] ἐκτείνων βο- 7
ρέαν ἐπ' οὐδέν, κρεμάζων γῆν ἐπὶ οὐδενός. [8] δεσμεύων ὕδωρ ἐν νεφέλαις 8
αὐτοῦ, καὶ οὐκ ἐῤῥάγη νέφος ὑποκάτω αὐτοῦ· [9] ὁ κρατῶν πρόςωπον θρόνου, 9
ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ· [10] πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόςωπον 10
ὕδατος μέχρι συντελείας φωτὸς μετὰ σκότους. [11] στῦλοι οὐρανοῦ ἐπετάσθη- 11
σαν, καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ. [12] ἰσχύϊ κατέπαυσε τὴν θά- 12
λασσαν, ἐπιστήμῃ δὲ ἔστρωται τὸ κῆτος. [13] κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν 13
αὐτόν· προστάγματι δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην. [14] ἰδοὺ ταῦτα μέρη 14
ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ· σθένος δὲ βροντῆς
αὐτοῦ τίς οἶδεν ὁπότε ποιήσει;

## XXVII.

Ἔτι δὲ προςθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ [2] Ζῇ ὁ θεὸς ὃς οὕτω με κέ- 2
κρικε, καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν, [3] εἰ μὴν ἔτι τῆς πνοῆς 3

---

20. αποδοθειη αυτω καθα ... C πας ο αδικ. (?) 21. C στειρ. γαρ ... στειρ. γαρ ουκ εποικτειραν ουδε αγυναιον ηλεασαν 22. κατεστρεψαν ... C πιστευσης et σεαυτου ... υπερ της 23. AC μαλακ. δε ... C om μη ... υγιαναι 24. C om δε ... ωςπερ χλοη ... αυτοματ. αποπεσ. απο καλαμης 25. με ψευδη ... AC ουθεν XXV. 2. γαρ εστιν προοι. ο φοβ. παρ αυτω ... συνπασαν ... εν υψιστω εστιν 3. δε αυτων ουκ 4. βροτ. δικαιος ... C om αν ... C εαυτον ... εαυτον γεννητης (sed corr. γεννητος) γυν. ουδ ανθρωπος ου καθαρος 5. ο λεγων τω ηλιω μη αναστελλειν και ουκ ανατελλει· σεληνην δε συντασσει κ. ο. επιφαυσει ... ουκ αμεμπτα 6. πας ανθρωπος XXVI. 2. πολλη η ισχυς κ. ο βραχ. 3. συνβεβουλευσαι ... ω η πασα ... η τινι (η τινι etiam C) επακολουθεις ... ω η μεγιστη 5. και γειτονων 7. βορεα ... κρεμνων γ. επ ουδενος ... C επι μηδενος 8. υποκατωθεν 9. σκεπων pro εκπεταζ. 11. επεσταθησαν 12. ισχυι μεν ... AC εστρωσεν (C -σε) 13. κλιθρα τε XXVII. 1. τω προοιμιω ειπεν 2. AC ζη κυριος ος ... ουτως ... C κεκρινεν (sic) ... ο πικρωσας 3. C η μην

Digitized by Google

4 μου ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥινί, [4] μὴ λαλήσειν τὰ χείλη
5 μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα. [5] μή μοι εἴη δικαίους ὑμᾶς
6 ἀποφῆναι ἕως ἂν ἀποθάνω, οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν μου· [6] δι-
καιοσύνῃ δὲ προςέχων οὐ μὴν προῶμαι, οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πρά-
7 ξας. [7] οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου ὥςπερ ἡ καταστροφὴ τῶν ἀσε-
8 βῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι ὥςπερ ἡ ἀπώλεια τῶν παρανόμων. [8] καὶ
τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει; πεποιθὼς ἐπὶ κύριον ἄρα σωθήσεται;
9 [9] ἢ τὴν δέησιν αὐτοῦ εἰςακούσεται ὁ θεός; ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης
10 [10] μὴ ἔχει τινὰ παῤῥησίαν ἔναντι αὐτοῦ; ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰςα-
11 κούσεται αὐτοῦ; [11] ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ κυρίου, ἅ ἐστι
12 παρὰ παντοκράτορι οὐ ψεύσομαι. [12] ἰδοὺ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπι-
13 βάλλετε. [13] αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου, κτῆμα δὲ δυνα-
14 στῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτούς. [14] ἐὰν δὲ πολλοὶ γένωνται
οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται· ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προςαιτήσουσιν·
15 [15] οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χήρας δὲ αὐτῶν οὐδεὶς
16 ἐλεήσει. [16] ἐὰν συναγάγῃ ὥςπερ γῆν ἀργύριον, ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυ-
17 σίον, [17] ταῦτα πάντα δίκαιοι περιποιήσονται, τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ
18 καθέξουσιν. [18] ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥςπερ σῆτες καὶ ὥςπερ ἀράχνη.
19 [19] πλούσιος κοιμηθήσεται καὶ οὐ προςθήσει, ὀφθαλμοὺς αὐτοῦ διήνοιξε καὶ
20 οὐκ ἔστι. [20] συνήντησαν αὐτῷ ὥςπερ ὕδωρ αἱ ὀδύναι, νυκτὶ δὲ ὑφείλετο αὐ-
21 τὸν γνόφος· [21] ἀναλήψεται δὲ αὐτὸν καύσων καὶ ἀπελεύσεται, καὶ λικμήσει
22 αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ, [22] καὶ ἐπιῤῥίψει ἐπ' αὐτὸν καὶ οὐ φείσεται· ἐκ
23 χειρὸς αὐτοῦ φυγῇ φεύξεται. [23] κροτήσει ἐπ' αὐτοὺς χεῖρας αὐτῶν, καὶ συριεῖ
αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

## XXVIII.

Ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται, τόπος δὲ χρυσίου ὅθεν διηθεῖται·
2 3 [2] σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. [3] τάξιν
ἔθετο σκότει, καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται· λίθος σκοτία καὶ σκιὰ
4 θανάτου, [4] διακοπὴ χειμάῤῥου ἀπὸ κονίας· οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν
5 ἠσθένησαν, ἐκ βροτῶν ἐσαλεύθησαν. [5] γῆ ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος, ὑπο-
6 κάτω αὐτῆς ἐστράφη ὡςεὶ πῦρ. [6] τόπος σαπφείρου οἱ λίθοι αὐτῆς, καὶ χῶμα
7 χρυσίον αὐτῷ. [7] τρίβος οὐκ ἔγνω αὐτὴν πετεινόν, καὶ οὐ παρέβλεψεν αὐτὴν

---

3. ενουσης εν εμοι ... θειον ετι περιον εν ρημασιν μου (sed εν ρ. μου**) ... C εν ρισιν 4. ου μη λαλησει το στομα μ. αδικα ... C μου τα χειλη ... μελετ. ανομα 5. AC om μου prius 6. προεχων ου μη ... ατοπον 7. αλλ ειησαν οι εχχθροι ... C επανιστανομενοι ... οι επανιστανομενοι μοι 8. ναι μην τις γαρ εστιν ετι ελπις ... μη πεποιθως ... ει αρα 9. ακουση ο κυριος; επελθουσης δε ... C κυριος pro ο θεος 10. C μη εχειν ... om τινα ... AC εναντιον αυτου ... η πως επικαλ. 11. παρα τω παντ. ... C ψευδομαι 12. AC ιδου δη ... C παν pro παντες ... παντ. υμεις εορακατε· δια τι δε κενα κ. επιβαλλεσθε 13. οργη δε δυναστων εξελευσεται ... C επελευσεται ... C επ αυτου (vdtr) 14. om δε ... AC οι υι. αυτου ... C om και ... C ανδροθωσιν ... προςαιτησωσιν, C προςαιτουσιν 15. περιοντ. αυτων κακω θανατω ... C om εν ... τελευτησωσιν ... και χηρας, C χηρ. τε 16. χρυσ. ετοιμ. 18. ωςπερ σητος ... in f. add ο πλουτος αυτου 19. πλ. κοιμηθεις ου πρ., οφθαλμος 20. κοιμηθεντι συναντησονται ... om αι ... AC υφειλατο 21. C αναλαμψεται ... αναλημψεται αυτον 22. C επιριψει, A αποριψει ... om επ ... C και ου γνωσεται 23. επ αυτον, C επ αυτου ... χειρ. αυτου XXVIII. 1. AC χρυσιω 3. και καιρων περας αυτους 4. οδους δικαιοσυνης ... AC om εσαλευθησαν 5. ως πυρ 6. AC σαπφιρου (v. 16. AC -ει-) ... και οι 7. πετεινων

Digitized by Google

ὀφθαλμὸς γυπός· 8 καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' 8
αὐτῆς λέων. 9 ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ, κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη· 9
10 δίνας δὲ ποταμῶν διέῤῥηξε, πᾶν δὲ ἔντιμον εἶδέ μου ὁ ὀφθαλμός· 11 βάθη 10 11
δὲ ποταμῶν ἀνεκάλυψεν, ἔδειξε δὲ αὐτοῦ δύναμιν εἰς φῶς. 12 ἡ δὲ σοφία 12
πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης; 13 οὐκ οἶδε βροτὸς ὁδὸν 13
αὐτῆς, οὐδὲ μὴν εὑρέθη ἐν ἀνθρώποις. 14 ἄβυσσος εἶπεν Οὐκ ἔνεστιν ἐν ἐμοί· 14
καὶ ἡ θάλασσα εἶπεν Οὐκ ἔνεστι μετ' ἐμοῦ. 15 οὐ δώσει συγκλεισμὸν ἀντ' 15
αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς· 16 καὶ οὐ συμβαστα- 16
χθήσεται χρυσίῳ Σωφίρ, ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ· 17 οὐκ ἰσωθήσεται 17
αὐτῇ χρυσίον καὶ ὕαλος, καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ. 18 μετέωρα 18
καὶ γαβὶς οὐ μνησθήσεται, καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα· 19 οὐκ 19
ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας, χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται.
20 ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως; 21 λέληθε 20 21
πάντα ἄνθρωπον, καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη. 22 ἡ ἀπώλεια καὶ ὁ 22
θάνατος εἶπαν Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος. 23 ὁ θεὸς εὖ συνέστησεν αὐτῆς 23
τὴν ὁδόν, αὐτὸς δὲ οἶδε τὸν τόπον αὐτῆς. 24 αὐτὸς γὰρ τὴν ὑπ' οὐρανὸν πᾶσαν 24
ἐφορᾷ, εἰδὼς τὰ ἐν τῇ γῇ πάντα ἃ ἐποίησεν, 25 ἀνέμων σταθμόν, ὕδατος 25
μέτρα 26 ὅτε ἐποίησεν· οὕτως ἰδὼν ἠρίθμησε, καὶ ὁδὸν ἐν τινάγματι φωνάς. 26
27 τότε εἶδεν αὐτὴν καὶ ἐξηγήσατο αὐτήν, ἑτοιμάσας ἐξιχνίασεν· 28 εἶπε δὲ 27 28
ἀνθρώπῳ Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν
ἐπιστήμη.

## XXIX.

Ἔτι δὲ προσθεὶς Ἰὼβ εἶπε τῷ προοιμίῳ 2 Τίς ἄν με θείη κατὰ μῆνα 2
ἔμπροσθεν ἡμερῶν ὧν με ὁ θεὸς ἐφύλαξεν; 3 ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ 3
ὑπὲρ κεφαλῆς μου, ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει· 4 ὅτε ἤμην 4
ἐπιβρίθων ὁδούς, ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου· 5 ὅτε ἤμην 5
ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες· 6 ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ, 6
τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι· 7 ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ 7
πλατείαις ἐτίθετό μου ὁ δίφρος. 8 ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται 8
δὲ πάντες ἔστησαν· 9 ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ 9
στόματι. 10 οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι 10
αὐτῶν ἐκολλήθη· 11 ὅτι οὖς ἤκουσε καὶ ἐμακάρισέ με, ὀφθαλμὸς δὲ ἰδών με 11
ἐξέκλινε. 12 διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ ᾧ οὐκ ἦν 12
βοηθὸς ἐβοήθησα· 13 εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι, στόμα δὲ χήρας 13
με εὐλόγησε. 14 δικαιοσύνην δὲ ἐνδεδύκειν, ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι. 14

---

8. AC om και ... αυτην (et. C) υι. αλλαζ. ου γαρ ηλθεν 10. δεινας, C θινας ... AC ερρηξεν ... τιμιον ιδεν, C τιμιον ιδειν ... αυτου pro μου 11. και βαθη ποταμων ... C αυτων δυναμιν 12. εστιν επιστημης 13. C την οδον ... AC ουδε μη 14. AC εστιν bis ... AC και θαλασσα 16. AC συνβασταχθ. (item C v. 19.) χρ. ωφειρ 17. και ουχ ... C ανταλλαγμα 18. γαβεις in litura, C γαβεις (sed εις et seq. ου**) 20. η δη σοφια ... εστιν τοπος συνεσεως 21. ουκ εκρυβη 22. AC ειπεν ... om δε 23. AC ο κυριος ... αυτος γαρ 24. C επ ουρανον 25. AC* εποιησεν δε ανεμων ... και υδατων, C υδατος τε 26. οτε εποι. c. seqq. conjg. ... C* α pro οτε, C** om ... A* C* φωνης 27. AC** ιδων (C* ιδεν) ... C om και 28. C επεχεσθαι XXIX. 1. προςθ. δε ετι τω προοι. ιωβ λεγει 2. μηνα κατα μηνα ημερων των εμπρ. ημ. ων ο θ. εφυλαττεν με 3. ηυγει λυχνος ... οτε εν τω 4. AC οδοις ... AC ο κυριος 6. AC μου αι οδοι ... C βουτυρων ... εχειτο γαλακτι 8. εκρυβησαν εαυτοις ... επανεστησαν 9. επιτιθεντες επι στ. αυτων 10. ακουσ. περι εμου 11. C ωτιον ... με ιδων 12. ω ουχ υπηρχεν βοηθος 13. A ηυλογησεν με, C με ηυλογ. 14. C δικαιοσυνη γαρ ... εδεδοικειν

Digitized by Google

15 16 15 ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν. 16 ἐγὼ ἤμην πατὴρ ἀδυνάτων,
17 δίκην δὲ ἣν οὐκ ᾔδειν ἐξιχνίασα· 17 συνέτριψα δὲ μύλας ἀδίκων ἐκ μέσου
18 τῶν ὀδόντων αὐτῶν, ἅρπαγμα ἐξήρπασα. 18 εἶπα δέ Ἡ ἡλικία μου γηράσει
19 ὥςπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω· 19 ἡ ῥίζα διήνοικται ἐπὶ ὕδα-
20 τος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου· 20 ἡ δόξα μου κενὴ μετ'
21 ἐμοῦ, καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται. 21 ἐμοῦ ἀκούσαντες προς-
22 ἔσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ· 22 ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προςέθεντο,
23 περιχαρεῖς δὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλουν· 23 ὥςπερ γῆ διψῶσα προςδεχο-
24 μένη τὸν ὑετόν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν. 24 ἐὰν γελάσω πρὸς αὐτούς,
25 οὐ μὴ πιστεύσωσι, καὶ φῶς τοῦ προςώπου μου οὐκ ἀπέπιπτεν. 25 ἐξελεξάμην
ὁδὸν αὐτῶν καὶ ἐκάθισα ἄρχων, καὶ κατεσκήνουν ὡςεὶ βασιλεὺς ἐν μονοζώ-
νοις ὃν τρόπον παθεινοὺς παραχαλῶν.

## XXX.

Νυνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι, νῦν νουθετοῦσί με ἐν μέρει ὧν
ἐξουδένουν τοὺς πατέρας αὐτῶν, οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν
2 νομάδων. 2 καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι; ἐπ' αὐτοὺς ἀπώλετο συν-
3 τέλεια. 3 ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος, οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ
4 ταλαιπωρίαν· 4 οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι, οἵτινες ἅλιμα ἦν αὐτῶν
τὰ σῖτα· ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ῥίζας
5 6 ξύλων ἐμασσῶντο ὑπὸ λιμοῦ μεγάλου. 5 ἐπανέστησάν μοι κλέπται, 6 ὧν οἱ οἶκοι
7 αὐτῶν ἦσαν τρῶγλαι πετρῶν· 7 ἀνὰ μέσον εὐήχων βοήσονται οἳ ὑπὸ φρύγανα
8 ἄγρια διῃτῶντο· 8 ἀφρόνων υἱοὶ καὶ ἀτίμων, ὄνομα καὶ κλέος ἐσβεσμένον ἀπὸ
9 10 γῆς. 9 νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσιν· 10 ἐβδε-
λύξαντο δέ με ἀποστάντες μακράν, ἀπὸ δὲ τοῦ προςώπου μου οὐκ ἐφείσαντο
11 πτύελον. 11 ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέ με, καὶ χαλινὸν τοῦ προς-
12 ώπου μου ἐξαπέστειλαν. 12 ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν, πόδα αὐτῶν ἐξ-
13 έτειναν καὶ ὡδοποίησαν ἐπ' ἐμέ· τρίβους ἀπωλείας αὐτῶν 13 ἐξετρίβησαν
14 τρίβοι μου, ἐξέδυσαν γάρ μου τὴν στολήν· 14 βέλεσιν αὐτοῦ κατηκόντισέ με,
15 κέχρηται δέ μοι ὡς βούλεται. ἐν ὀδύναις πέφυρμαι, 15 ἐπιστρέφονταί μου αἱ
ὀδύναι, ᾤχετό μου ἡ ἐλπὶς ὥςπερ πνεῦμα, καὶ ὥςπερ νέφος ἡ σωτηρία μου.
16 16 καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, ἔχουσι δέ με ἡμέραι ὀδυνῶν·
17 18 17 νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέχυται, τὰ δὲ νεῦρά μου διαλέλυται. 18 ἐν πολλῇ
ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς, ὥςπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου πε-
19 20 ριέσχε με. 19 ἥγησαι δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς. 20 κέ-
κραγα δὲ πρὸς σὲ καὶ οὐκ ἀκούεις μου, ἔστησαν δὲ καὶ κατενόησάν με·

---

17. εκ δε μεσου, C εκ δε μεσων ... om των ... AC εξεσπασα 18. ειπον ... A om δε η, C om η (fortasse δη pro δε) ... πολλυν δε 19. η ριζα μου ... επι τω θερ. 20. C (non A) καινη ... το τοξ. αυτου ... AC πορευσεται 21. πρεσβυτεροι ακουσ. μου προςεσχ., C** εμ. ακουσ. πρεσβυτεροι προςεσχον ... C τη εμου 22. AC επι δε τω ... και περιχαρ. εγιν. οποτε 23. om τον ... C ουτοι ουτως ... in f. add προςεδεχοντο 24. ει εγελων πρ. α. ουκ επιστευον 25. συνπαθεις, C παθηνους ... C επαρεκαλουν XXX. 1. C νυν δε (vdtr) ... ουκ ηγ. αξ. ειναι κοινων των 3. λιμων ... εχθες 4. αλιμμα ε. ηχ., ων αλιμμα ... ατιμ. τε ... om παντος ... εμασωντο 6. των πετρων 8. επι γης 9. αυτων εγω ειμι ... θρυλημα 10. om δε prius ... om του ... πτυελου 11. γαρ οδε φαρετραν ... εξαπεστειλεν 12. του βλαστου ... επ εμε (επ με?) cum τριβ. απ. α. conjg. 13. με την στολ. μου 14. ως εβουλετο 15. επιστρ. δε μου ... in f. add παρηλθεν 17. νυκτες ... συνεθλασαν, και τα νευρα 18. om εν 19. ηγηται ... η μερις μου 20. εις ακουεις ... εστησαν και κατ. μοι

Digitized by Google

21 ἐπέβησαν δέ μοι ἀνελεημόνως, χειρὶ κραταιᾷ με ἐμαστίγωσας· 22 ἔταξας 22
δέ με ἐν ὀδύναις, καὶ ἀπέῤῥιψάς με ἀπὸ σωτηρίας. 23 οἶδα γὰρ ὅτι θάνατός 23
με ἐκτρίψει· οἰκία γὰρ παντὶ θνητῷ γῆ. 24 εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν 24
χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου καὶ ποιήσει μοι τοῦτο. 25 ἐγὼ δὲ ἐπὶ παντὶ 25
ἀδυνάτῳ ἔκλαυσα, ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. 26 ἐγὼ δὲ ἐπέχων ἀγα- 26
θοῖς, ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν. 27 ἡ κοιλία μου ἐξέζεσε καὶ 27
οὐ σιωπήσεται, προέφθασάν με ἡμέραι πτωχείας. 28 στένων πεπόρευμαι ἄνευ 28
φιμοῦ, ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς. 29 ἀδελφὸς γέγονα σειρήνων, ἑταῖ- 29
ρος δὲ στρουθῶν. 30 τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως, τὰ δὲ ὀστᾶ μου 30
ἀπὸ καύματος. 31 ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα, ὁ δὲ ψαλμός μου εἰς 31
κλαυθμὸν ἐμοί.

## XXXI.

Διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον.
2 καὶ τί ἐμέρισεν ὁ θεὸς ἄνωθεν, καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων; 3 οὐαὶ 2 3
ἀπώλεια τῷ ἀδίκῳ, καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν. 4 οὐχὶ αὐτὸς 4
ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται; 5 εἰ δὲ ἤμην 5
πεπορευμένος μετὰ γελοιαστῶν, εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον·
6 ἔσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ, οἶδε δὲ ὁ κύριος τὴν ἀκακίαν μου· 7 εἰ ἐξ- 6 7
έκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ, εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ
καρδία μου, εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων· 8 σπείραιμι ἄρα καὶ 8
ἄλλοι φάγοισαν, ἄῤῥιζος δὲ γενοίμην ἐπὶ γῆς. 9 εἰ ἐξηκολούθησεν ἡ καρδία 9
μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς·
10 ἀρέσαι ἄρα καὶ ἡ γυνὴ μοῦ ἑτέρῳ, τὰ δὲ νήπιά μου ταπεινωθείη. 11 θυ- 10 11
μὸς γὰρ ὀργῆς ἀκατάσχετος, τὸ μιᾶναι ἀνδρὸς γυναῖκα· 12 πῦρ γάρ ἐστι καιό- 12
μενον ἐπὶ πάντων τῶν μερῶν, οὗ δ' ἂν ἐπέλθῃ ἐκ ῥιζῶν ἀπώλεσεν. 13 εἰ δὲ 13
καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρὸς
μέ· 14 τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιῆται ὁ κύριος; ἐὰν δὲ καὶ ἐπισκο- 14
πήν, τίνα ἀπόκρισιν ποιήσομαι; 15 πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρὶ 15
καὶ ἐκεῖνοι γεγόνασι; γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. 16 ἀδύνατοι δὲ χρείαν 16
ἥν ποτε εἶχον οὐκ ἀπέτυχον, χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. 17 εἰ δὲ 17
καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα· 18 ὅτι ἐκ 18
νεότητός μου ἐξέτρεφον ὡς πατήρ, καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα·
19 εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον καὶ οὐκ ἠμφίασα αὐτόν· 20 ἀδύ- 19 20
νατοι δὲ εἰ μὴ εὐλόγησάν με, ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ
ὦμοι αὐτῶν· 21 εἰ ἐπῆρα ὀρφανῷ χεῖρα, πεποιθὼς ὅτι πολλή μοι βοήθεια 21

---

21. απεβησαν ... ανελεημονες, ως χειρι 22. απεριψας 23. γη παντι θν. 24. η δεηθηναι ετερου 25. και εστεναξα ... εν αναγκη 26. και επιχον εγω εν αγαθοις και ιδου συνηντησεν 27. προεφθ. δε με η. πτωχιας 30. μεμελανωται μεγαλως ... in f. add συνεφρυγη 31. om δε ... η κιθ. μου XXXI. 1. επι παρθενων 2. και επεμερισεν ... υψιστου 3. ουαι και απωλ. 4. εξαριθμηθησεται 5. ει γε ημην ... εις δολ. ο πους μ. 6. ειστα με γαρ ... om δε, C γαρ 7. απο της οδου αυτου ... τω οφθ. μου ... και ει εν ταις χερσιν 8. σπειροιμι ... φαγονται ... AC αριζος 9. C ει δε εξηκολ. ... ει δε και ενκαθ. ... C εγκαθητος 10. αλλω pro ετερω 11. ακαθεκτος 12. εκ παντων 13. προς εμε 14. AC ποιηση ο κυριος ... ed. rom. επισκοπ. τινα conjg. 15. ως εγω 16. δε ην π. ειχ. χριαν ... και χηρας τον ... ετηξα 17. μετεδ. ορφανω, C ορφ. μετεδ. εξ αυτου 18. και pro οτι ... C om μου bis 19. AC υπεριδον ... om αυτον 20. ευλογουν ... αρνων μου 21. ει δε και ... C μοι πολλη

Digitized by Google

22 περίεστιν· [22] ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός, ὁ δὲ βραχίων μου
23 ἀπὸ τοῦ ἀγκῶνος συντριβείη. [23] φόβος γὰρ κυρίου συνέσχε με, ἀπὸ τοῦ λήμ-
24 ματος αὐτοῦ οὐχ ὑποίσω. [24] εἰ ἔταξα χρυσίον εἰς χοῦν μου, εἰ δὲ καὶ λίθῳ
25 πολυτελεῖ ἐπεποίθησα, [25] εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου,
26 εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου· [26] ἢ οὐχ ὁρῶμεν ἥλιον τὸν
ἐπιφαύσκοντα ἐκλείποντα, σελήνην δὲ φθίνουσαν; οὐ γὰρ ἐπ' αὐτοῖς ἐστί·
27 [27] καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου, εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στό-
28 ματί μου ἐφίλησα· [28] καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη, ὅτι
29 ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου. [29] εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώ-
30 ματι ἐχθρῶν μου, καὶ εἶπεν ἡ καρδία μου Εὖγε· [30] ἀκούσαι ἄρα τὸ οὖς μου
31 τὴν κατάραν μου, θρυλληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος. [31] εἰ δὲ
καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ
32 πλησθῆναι; λίαν μου χρηστοῦ ὄντος· [32] ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα
33 μου παντὶ ἐλθόντι ἀνέῳκτο· [33] εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρ-
34 τίαν μου, [34] οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι ἐνώ-
35 πιον αὐτῶν· εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ· [35] τίς
δῴη ἀκούοντά μου; χεῖρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν, συγγραφὴν δὲ ἣν εἶχον
36 37 κατά τινος [36] ἐπ' ὤμοις ἂν περιθέμενος στέφανον ἀνεγίνωσκον, [37] καὶ εἰ μὴ
38 ῥήξας αὐτὴν ἀπέδωκα, οὐθὲν λαβὼν παρὰ χρεωφειλέτου· [38] εἰ ἐπ' ἐμοί ποτε
39 ἡ γῆ ἐστέναξεν, εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν· [39] εἰ δὲ
καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς, εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς
40 ἐκλαβὼν ἐλύπησα· [40] ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος.

## XXXII.

Καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν· ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι
2 ἀντειπεῖν Ἰώβ, ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν. [2] ὠργίσθη δὲ Ἐλιοὺς
ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης ἐκ τῆς συγγενείας Ῥάμ, τῆς Αὐσίτιδος χώρας·
ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον κυρίου.
3 [3] καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνήθησαν ἀπο-
4 κριθῆναι ἀντίθετα Ἰώβ, καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ. [4] Ἐλιοὺς δὲ ὑπέμεινε
5 δοῦναι ἀπόκρισιν Ἰώβ, ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις. [5] καὶ εἶδεν Ἐλιοὺς
ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργῇ
6 7 αὐτοῦ. [6] ὑπολαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης εἶπεν [7] Νεώτερος
μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι, διὸ ἡσύχασα φοβηθεὶς τοῦ
8 ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην. [8] εἶπα δὲ ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ

---

21. παρεστιν 22. αρα απο τ. κλιδος ο ωμ. μου ... AC αγκωνος μου 23. συνειχεν ... AC και απο του 25. C ηυφρανθην ... C om μοι ... πλουτ. γενομ. μου, και ει επ 26. επιφ. και εκλειποντα 27. AC ει δε και χειρα 28. ανομια λογισθ. μεγαλη ... AC εναντι 29. C και ει δε επιχαρης ... επι πτωματι εχθρου μου, και ει ειπον τη ... AC ευγε ευγε 30. θρυληθειην δε υπο λαου κακουμ. 31. εμπλησθηναι 32. ευλιζετο ... και η θυρα ... ηνεωκτο, C διηνεωκτο 34. πολυοχλ. λαου του μη εξ. εναντιον ... C om μη 35. AC την θυρ. μου ... C om (vdlr) κολπ. κενω 35. ηδεδοικειν 36. ει επ ωμ. περιθ. ως στεφ. ανεειγνωσχον (sic) 37. ουδεν ... χρεοφιλετου μου, C χρειοφιλετου 39. om δε και ... ανευ τιμης μονος ... εκβαλων ελυπ. 40. om αρα ... εξελθη μοι, C εξελθοιμι XXXII. 1. ετι δε αντειπεν ιωβ· ην γαρ δικ. εν. αυτ. ιωβ ... C om αυτων 2. ο του βουζι ... ραμα, C αραμ ... και ωργισθη τω ... εναντι κυριου 3. των δε τριων φιλ. αυτου ... C οτι ουκ ηδυνασθησαν ... τω ιωβ ... **ασεβην (*ευσεβην) 4. τω ιωβ ... εισιν αυτου ... ημερων, C ημερας 5. ιδεν 6. ο του βουζι λεγει 7. διοτι ... του αναγγ. υμιν την εμην ... C την εαυτου 8. ειπον δε οτι χρονος, C ειπα δε ου χρονος

Digitized by Google

λαλῶν, ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασι σοφίαν. 9 ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς, 9
πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσα· 10 οὐχ οἱ πολυχρόνιοί εἰσι σοφοί, 10
οὐδ᾽ οἱ γέροντες οἴδασι κρίμα. 11 διὸ εἶπα Ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν 11
ἃ οἶδα· ἐνωτίζεσθέ μου τὰ ῥήματα· ἐρῶ γὰρ ὑμῶν ἀκουόντων ἄχρις οὗ ἐτά-
σητε λόγους, 12 καὶ μέχρι ὑμῶν συνήσω· καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων 12
ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν. 13 ἵνα μὴ εἴπητε Εὕρομεν σοφίαν 13
κυρίῳ προσθέμενοι· 14 ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. 14
15 ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι, ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους. 16 ὑπέ- 15 16
μεινα, οὐ γὰρ ἐλάλησα, ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν. 17 ὑπολαβὼν δὲ Ἐλιοὺς 17
λέγει 18 Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων, ὀλέκει γάρ με τὸ πνεῦμα 18
τῆς γαστρός· 19 ἡ δὲ γαστήρ μου ὥςπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος, ἢ 19
ὥςπερ φυσητὴρ χαλκέως ἐῤῥηγώς. 20 λαλήσω ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χεί- 20
λη· 21 ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· 21
22 οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόςωπα· εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.

## XXXIII.

Οὐ μὴν δὲ ἀλλὰ ἄκουσον Ἰὼβ τὰ ῥήματά μου, καὶ λαλιὰν ἐνωτίζου μου·
2 ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου. 3 καθαρά μου 2 3
ἡ καρδία ῥήμασιν, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει. 4 πνεῦμα θεῖον τὸ 4
ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. 5 ἐὰν δύνῃ, δός μοι 5
ἀπόκρισιν πρὸς ταῦτα, ὑπόμεινον, στῆθι κατ᾽ ἐμὲ καὶ ἐγὼ κατὰ σέ. 6 ἐκ 6
πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ, ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα. 7 οὐχ ὁ φόβος 7
μού σε στροβήσει, οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί. 8 πλὴν εἶπας ἐν 8
ὠσί μου, φωνὴν ῥημάτων σου ἀκήκοα, 9 διότι λέγεις Καθαρός εἰμι οὐχ ἁμαρ- 9
τών, ἄμεμπτός εἰμι, οὐ γὰρ ἠνόμησα· 10 μέμψιν δὲ κατ᾽ ἐμοῦ εὗρεν, ἥγηται 10
δέ με ὥςπερ ὑπεναντίον· 11 ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξε δέ μου 11
πάσας τὰς ὁδούς. 12 πῶς γὰρ λέγεις Δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ μου; 12
αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν. 13 λέγεις δὲ Διὰ τί τῆς δίκης μου οὐκ 13
ἐπακήκοέ μου πᾶν ῥῆμα; 14 ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος, ἐν δὲ τῷ 14
δευτέρῳ 15 ἐνύπνιον, ἢ ἐν μελέτῃ νυκτερινῇ, ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος 15
ἐπ᾽ ἀνθρώπους, ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης· 16 τότε ἀνακαλύπτει νοῦν ἀν- 16
θρώπων, ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν, 17 ἀποστρέψαι ἄνθρω- 17
πον ἀπὸ ἀδικίας· τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐῤῥύσατο, 18 ἐφείσατο δὲ 18
τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ. 19 πάλιν δὲ 19

---

8. C* ουκ οιδασιν 9. και ουχ ουτως αλλα ... C πν. δε παρα κυριου παντοκρ. ... εσται η διδασκ. με 10. ου γαρ οι ... ουδε οι 11. διο ειπον ... C ενωτισθαι ... τα ρημ. μου ... post ακουοντων add ιδου ηκουσα τους λογους υμων ενωτισαμην μεχρι συνεσεως υμων ... C αχρι ου ... τους λογους υμων 12. κ. εως υμων ... ο ελεγχων ... ρημασιν αυτ., C αυτ. ρηματα 13. ινα δε μη ... C κυριου ... προςθεμ. κυριω 18. ολεκει δε, C ολεκι γαρ 19. και η γαστηρ ... γεμων pro ζεων ... χαλκ. δεδεμενος και κατερρηγως 20. in f. add μου 22. προςωπον XXXIII. 1. κ. την λαλειαν μου ενωτιζου 3. εν ρημασιν (... καθαρανθησι pro καθαρα νοησι) 5. δυνηθης ... ed. rom. πρ. ταυτα υπομ. conjg. ... υπομ. και στηθει συ κατ ... C καγω ... κατ εσε 6. C καγω ... in f. add πηλου, item C** ante διηρτισμ. 7. ουχι ... *ο φοβ. σου ... στροβ. σε 8. φωνην δε 9. ουχ ημαρτον τοις εργοις ... αμεμπτος δε, C αμεμπτ. γαρ 10. και ηγηται με ... C επεναντιον 11. εθ. δε τον ποδα μου εν κυκλωματι, και εφυλαξεν μου ... C μου τον ποδα ... C τας οδ. μου πασας 13. λεγεις γαρ ... C om δια τι ... AC της δικαιοσυνης μου ... ουκ επακηκ. εν παντι ρηματι ... C om μου sec. 15. ενυπν., ως φασμα εν μελετη ... C η ως οταν ... φοβ. δεινος 16. εξεφοβ. αυτους 17. AC εξ αδικιας et A add αυτου ... απο αδικιας πτωματος ... C ερυσατο 18. και εφισατο της ... θανατου του μη

Digitized by Google

ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης, καὶ πλῆϑος ὀστῶν αὐτοῦ ἐνάρκησε·
20 [20] πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προςδέξασϑαι, καὶ ἡ ψυχὴ αὐτοῦ βρῶ-
21 σιν ἐπιϑυμήσει· [21] ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ
22 αὐτοῦ κενά. [22] ἤγγισε δὲ εἰς ϑάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ·
23 [23] ἐὰν ὦσι χίλιοι ἄγγελοι ϑανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν. ἐὰν
νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς κύριον, ἀναγγείλῃ δὲ ἀνϑρώπῳ τὴν ἑαυ-
24 τοῦ μέμψιν, τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ, [24] ἀνϑέξεται τοῦ μὴ πεσεῖν εἰς ϑά-
νατον· ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥςπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ
25 αὐτοῦ ἐμπλήσει μυελοῦ· [25] ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥςπερ νηπίου, ἀπο-
26 καταστήσει δὲ αὐτὸν ἀνδρωϑέντα ἐν ἀνϑρώποις. [26] εὐξάμενος δὲ πρὸς κύριον,
καὶ δεκτὰ αὐτῷ ἔσται, εἰςελεύσεται προςώπῳ ἱλαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει
27 δὲ ἀνϑρώποις δικαιοσύνην. [27] εἶτα τότε ἀπομέμψεται ἄνϑρωπος αὐτὸς ἑαυτῷ
28 λέγων Οἷα συνετέλουν; καὶ οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον. [28] σῶσον ψυχήν
29 μου τοῦ μὴ ἐλϑεῖν εἰς διαφϑοράν, καὶ ἡ ζωή μου φῶς ὄψεται. [29] ἰδοὺ ταῦτα
30 πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ ἀνδρός· [30] καὶ ἐῤῥύσατο τὴν ψυχήν
31 μου ἐκ ϑανάτου, ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν. [31] ἐνωτίζου Ἰὼβ καὶ
32 ἄκουέ μου· κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω. [32] εἰ εἰσί σοι λόγοι, ἀποκρί-
33 ϑητί μοι· λάλησον, ϑέλω γὰρ δικαιωϑῆναί σε. [33] εἰ μή, σὺ ἄκουσόν μου·
κώφευσον, καὶ διδάξω σε.

## XXXIV.

2 Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει [2] Ἀκούσατέ μου σοφοί, ἐπιστάμενοι ἐνωτί-
3 4 ζεσϑε. [3] ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν. [4] κρίσιν ἑλώ-
5 μεϑα ἑαυτοῖς, γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν. [5] ὅτι εἴρηκεν Ἰὼβ Δί-
6 καιός εἰμι, ὁ κύριος ἀπήλλαξέ μου τὸ κρίμα, [6] ἐψεύσατο δὲ τῷ κρίματί μου·
7 βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας. [7] τίς ἀνὴρ ὥςπερ Ἰώβ, πίνων μυκτηρισμὸν
8 ὥςπερ ὕδωρ; [8] οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας, ἢ οὐδ᾽ οὐ κοινωνήσας μετὰ
9 ποιούντων τὰ ἄνομα, τοῦ πορευϑῆναι μετὰ ἀσεβῶν. [9] μὴ γὰρ εἴπῃς ὅτι οὐκ
10 ἔσται ἐπισκοπὴ ἀνδρός, καὶ ἐπισκοπὴ αὐτῷ παρὰ κυρίου. [10] διὸ συνετοὶ καρ-
δίας ἀκούσατέ μου· μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι, καὶ ἔναντι παντο-
11 κράτορος ταράξαι τὸ δίκαιον· [11] ἀλλὰ ἀποδιδοῖ ἀνϑρώπῳ καϑὰ ποιεῖ ἕκαστος
12 αὐτῶν, καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν. [12] οἴει δὲ τὸν κύριον ἄτοπα ποιή-
13 σειν; ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν, [13] ὃς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν

---

19. om επι, C εν ... AC οστεων 20. C επιϑυμει 22. εγγιση δε η ψ. αυτ. εις ϑαν. ... C αυτου η ψυχη ... εν τω αδη 23. εις εξ αυτων ... C* τρωσει (vdtr) ... επι τον κυριον, C επι κυριον ... και την ανοιαν, C την δε ανομιαν 24. ανϑεξ. αυτου ... AC αυτον εις ϑανατον ... και τα οστα 25. και αποκ. αυτον 26. ευξετε προς ... AC εις ελευσετε (C -ται) δε προςωπ. καϑαρω ... ανϑρωπω την δικαιοσ. αυτου 27. αποπεμψεται ... συνετελουμην 28. την ψυχην ... εξελϑειν ... και ζωη 29. C om παντα 30. C αλλ ερρ. ... ινα η ψυχη μ. 31. ante hunc versum haec add υπολαβων δε ελιους λεγει Ακουσατε μου σοφοι επισταμενοι ενωτιζεσϑαι το καλον Οτι ειρηκεν ιωβ· ιδου ταυτα παντα εργαται ο ισχυρος· Οδους τρις μετα ανδρος Του επιστρεψαι ψυχην αυτου εκ διαφϑορας Του φωτισαι αυτω εν φωτι ζωντων 31. προςεχε ιωβ κ. ακουσον μου· κωφ. ινα λαλησω 32. C λογοι ο αποκρ. ... σε δικαιωϑ. 33. ει δε μη ... AC in f. add σοφιαν XXXIV. 2. AC ενωτιζεσϑαι το καλον 3. οτι νους δοκειμαζει λογους, λαρυγξ δε ... C λαρυξ 4. μεσ. αυτων τι καλον 6. και εψευσ. τω ... C βελος αυτου 8. pro η ουδ ου A ουδε, C ουδ ολως ... κοινωνησ. οδου μετα των ποιουντων 9. εστιν ... αυτου 10. καρδια ... ασεβησαι, εναντι δε 11. αλλα γαρ αποδιδωσιν ... C om αυτων ... C τριβη 12. AC οιη ... τα ατοπα ... C** ποιειν ... ταραξ. το δικαιον 13. ο ποιησας

Digitized by Google

ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν καὶ τὰ ἐνόντα πάντα; 14 εἰ γὰρ βούλοιτο συνέχειν, 14
καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, 15 τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν, 15
πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται ὅθεν καὶ ἐπλάσθη. 16 Ἴδε μὴ νουθετῇ, 16
ἄκουε ταῦτα, ἐνωτίζου φωνὴν ῥημάτων. 17 Ἴδε σὺ τὸν μισοῦντα ἄνομα καὶ 17
τὸν ὀλλύντα τοὺς πονηρούς, ὄντα αἰώνιον δίκαιον. 18 ἀσεβὴς ὁ λέγων βασιλεῖ 18
Παρανομεῖς, ἀσεβέστατε τοῖς ἄρχουσιν· 19 ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον ἐντί- 19
μου, οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν. κενὰ δὲ
αὐτοῖς ἀποβήσεται τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός· 20 ἐχρήσαντο γὰρ παρα- 20
νόμως, ἐκκλεινομένων ἀδυνάτων. 21 αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων, 21
λέληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν· 22 οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς 22
ποιοῦντας τὰ ἄνομα· 23 ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι. ὁ γὰρ κύριος πάντας 23
ἐφορᾷ, 24 ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν 24
ἀριθμός· 25 ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, καὶ στρέψει νύκτα καὶ ταπεινωθή- 25
σονται. 26 ἔσβεσε δὲ ἀσεβεῖς, ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ· 27 ὅτι ἐξέκλιναν ἐκ 26 27
νόμου θεοῦ, δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν, 28 τοῦ ἐπαγαγεῖν ἐπ' αὐ- 28
τὸν κραυγὴν πενήτων, καὶ κραυγὴν πτωχῶν εἰσακούσεται. 29 καὶ αὐτὸς ἡσυ- 29
χίαν παρέξει, καὶ τίς καταδικάσεται; καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται
αὐτόν; καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ 30 βασιλεύων ἄνθρωπον 30
ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ. 31 ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων Εἴληφα, οὐκ 31
ἐνεχυράσω· 32 ἄνευ ἐμαυτοῦ ὄψομαι· σὺ δεῖξόν μοι, εἰ ἀδικίαν εἰργασάμην, 32
οὐ μὴ προσθήσω. 33 μὴ ἀπὸ σοῦ ἀποτίσει αὐτήν, ὅτι σὺ ἀπώσῃ; ὅτι σὺ 33
ἐκλέξῃ καὶ οὐκ ἐγώ; καὶ τί ἔγνως λάλησον. 34 διὸ συνετοὶ καρδίας ἐροῦσι 34
ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα. 35 Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλά- 35
λησεν, τὰ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ. 36 οὐ μὴν δὲ ἀλλὰ μάθε Ἰώβ, 36
μὴ δῷς ἔτι ἀνταπόκρισιν ὥσπερ οἱ ἄφρονες· 37 ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρ- 37
τίαις ἡμῶν, ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα
ἐναντίον τοῦ κυρίου.

## XXXV.

Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει 2 Τί τοῦτο ἡγήσω ἐν κρίσει; σὺ τίς εἶ ὅτι 2
εἶπας Δίκαιός εἰμι ἔναντι κυρίου; 4 ἐγὼ σοὶ δώσω ἀπόκρισιν καὶ τοῖς τρισὶ 4
φίλοις σου. 5 ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἴδε, κατάμαθε δὲ νέφη ὡς ὑψηλὰ 5
ἀπὸ σοῦ. 6 εἰ ἥμαρτες, τί πράξεις; εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι 6
ποιῆσαι; 7 ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, ἢ τί ἐκ χειρός σου λήψε- 7
ται; 8 ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη 8
σου. 9 ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος 9

---

13. C και τα εν αυτη παντα 14. C** συσχειν pro συνεχ. 15. βροτος δε pro πας δε βρ., C πας γαρ βρ. 16. AC ει δε pro ιδε ... ταυτα ιωβ 17. ει δε σοι ουκ οιει τον μισουντα τα ανομα ... ειναι δικαιον 18. ασεβεστατοι 19. αισχυνθη ... εντιμου, ουκ εδωκεν δε τιμην θεσθ. ανδρων του θ. τα ... C αυτοις pro ανδρος 20. γαρ ανομοις εκκλιομενοις και αδυνατοις 22. C εστιν 23. τα παντα, C παντα 25. om ὁ 26. C om δε ... και ορατοι εγενοντο εναντιον των εχθρων 28. AC πενητος (C om π) 29. C παρεξεται 31. ενεχυρασα 32. συ διδαξον με ... ηργασαμην ... προσθω 33. AC παρα σου ... C αποτιεις ... οτι απωσω ... εκλεξω ... om ουκ 34. C om καρδιας, A καρδια ... δε φρονιμος 35. om δε ... ελαλησας ... AC τα δε ρηματα ... σου pro αυτου 36. αποκρισιν 37. C εφ ημων ... εστε pro λογισθησεται ... λαλουσιν ρ. εναντι κυριου XXXV. 3. AC η ερεις τι ποιησω αμαρτων 4. C εγω δε ... σου φιλοις, C om σου 5. καταμ. τα νεφη και ιδε ως 6. ηνομ. πολλα 7. και ει δικαιος ... A (non C) λημψεται

Digitized by Google

10 πολλῶν. 10 καὶ οὐκ εἶπε Ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με, ὁ κατατάσσων φυ-
11 λακὰς νυκτερινάς, 11 ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ δὲ πετεινῶν
12 οὐρανοῦ; 12 ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰςακούσῃ καὶ ἀπὸ ὕβρεως πονηρῶν.
13 13 ἄτοπα γὰρ οὐ βούλεται ἰδεῖν ὁ κύριος· αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής
14 ἐστι 14 τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με. κρίθητι δὲ ἐναντίον αὐτοῦ,
15 εἰ δύνασαι αὐτὸν αἰνέσαι ὡς ἐστι· 15 καὶ νῦν ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος
16 ὀργὴν αὐτοῦ, καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα. 16 καὶ Ἰὼβ ματαίως ἀνοί-
γει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

## XXXVI.

2 Προςθεὶς δὲ ἔτι Ἐλιοὺς λέγει 2 Μεῖνόν με μικρὸν ἔτι ἵνα διδάξω σε·
3 ἔτι γάρ ἐν ἐμοί ἐστι λέξις. 3 ἀναλαβὼν τὴν ἐπιστήμην μου μακράν, ἔργοις δέ
4 5 μου δίκαια ἐρῶ ἐπ' ἀληθείας, 4 καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς. 5 γί-
νωσκε δὲ ὅτι ὁ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον, δυνατὸς ἰσχύι καρ-
6 7 δίας 6 ἀσεβῆ οὐ μὴ ζωοποιήσῃ, καὶ κρίμα πτωχῶν δώσει. 7 οὐκ ἀφελεῖ ἀπὸ
δικαίου ὀφθαλμοὺς αὐτοῦ, καὶ μετὰ βασιλέων εἰς θρόνον καὶ καθιεῖ αὐτοὺς
8 εἰς νῖκος, καὶ ὑψωθήσονται. 8 καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθή-
9 σονται ἐν σχοινίοις πενίας· 9 καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν καὶ τὰ παρα-
10 πτώματα αὐτῶν ὅτι ἰσχύσουσιν. 10 ἀλλὰ τοῦ δικαίου εἰςακούσεται· καὶ εἶπεν
11 ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας. 11 ἐὰν ἀκούσωσι καὶ δουλεύσωσι, συντελέ-
12 σουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις. 12 ἀσε-
βεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν κύριον, καὶ
13 διότι νουθετούμενοι ἀνήκοοι ἦσαν. 13 καὶ ὑποκριταὶ καρδίᾳ τάξουσι θυμόν·
14 οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς. 14 ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐ-
15 τῶν, ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων, 15 ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ
16 καὶ ἀδύνατον· κρίμα δὲ πραέων ἐκθήσει. 16 καὶ προςεπηπάτησέν σε ἐκ στό-
ματος ἐχθροῦ, ἄβυσσος κατάχυσις ὑποκάτω αὐτῆς, καὶ κατέβη τράπεζά σου
17 18 πλήρης πιότητος. 17 οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα, 18 θυμὸς δὲ ἐπ'
19 ἀσεβεῖς ἔσται, δι' ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ' ἀδικίαις. 19 μή σε ἐκ-
20 κλινάτω ἑκὼν ὁ νοῦς δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων, 20 καὶ πάντας τοὺς
κραταιοῦντας ἰσχὺν μὴ ἐξελκύσῃς τὴν νύκτα, τοῦ ἀναβῆναι λαοὺς ἀντ' αὐ-
21 τῶν· 21 ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα· ἐπὶ τούτων γὰρ ἐξείλω ἀπὸ πτω-
22 χείας. 22 ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύι αὐτοῦ· τίς γάρ ἐστι κατ' αὐτὸν
23 δυνάστης; 23 τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα; ἢ τίς ὁ εἰπὼν Ἔπραξεν
24 25 ἄδικα; 24 μνήσθητι ὅτι μεγάλα ἐστὶν αὐτοῦ τὰ ἔργα ὧν ἦρξαν ἄνδρες. 25 πᾶς
26 ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ, ὅσοι τιτρωσκόμενοί εἰσι βροτοί. 26 ἰδοὺ ὁ ἰσχυρὸς
27 πολύς, καὶ οὐ γνωσόμεθα· ἀριθμὸς ἐτῶν αὐτοῦ καὶ ἀπέραντος. 27 ἀριθμηταὶ
28 δὲ αὐτῷ σταγόνες ὑετοῦ, καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην· 28 ῥυήσονται
παλαιώματα, ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ. ὥραν ἔθετο κτήνεσιν,
οἴδασι δὲ κοίτης τάξιν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ

---

11. και απο πετεινων 12. κεκραξον ... ειςακουση απο 13. AC ιδειν ου βουλεται 14. ανομα, ος σωσ. με ... C αινεσει αυτ. (ed. rom. in f. non interpg.) XXXVI. 1. ελιους ετι 2. μειχρον με μεινον ... γαρ μοι ενεστιν 5. γινωσκω δε εγω 6. ασεβων ... ζωοποιησει 7. οφθαλμον ... θρονον καθιει α. και εις νικ. υψωθησεται 8. συνσχεθησονται 9. οταν ισχυσωσιν 12. ιδεναι 14. αποθανη ... τιτρ. ειη υπο 16. εχθρου ... καταχυσεις 17. και ουχ ... om δε 18. επ ασεβ. ηξει, δια ασεβ. ... επ αδικειας 19. εκκλινη ο νους εκων ... αδυνατ. εν αναγκ. οντ. 20. praemittit αλλα φυλαξαι μη πραξης ανομα (... αδους pro λαους) 21. om (cf. ad v. 20.) αλλα φ. μη πρ. ατ. ... επι τουτον ... πτωχιας 22. κραταιωσει σε 24. μνησθ. ουν ιωβ ... αυτου εστιν 25. ιδεν 27. υετου σταγονες 28. επι αμυθητων βροτων ... και οιδασιν κοιτης ... εξιστατο

Digitized by Google

διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος. [29] καὶ ἐὰν συνῇ ἀπέκτασις νεφέ- 29
λης, ἰσότητα σκηνῆς αὐτοῦ [30] ἰδοὺ ἐκτενεῖ ἐπ' αὐτὸν ἠδώ, καὶ ῥιζώματα 30
τῆς θαλάσσης ἐκάλυψεν. [31] ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς, δώσει τροφὴν τῷ 31
ἰσχύοντι. [32] ἐπὶ χειρῶν ἐκάλυψε φῶς, καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαν- 32
τῶντι· [33] ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ κύριος, κτῆσις καὶ περὶ ἀδικίας. 33

## (XXXVII.)

[34] Καὶ ἀπὸ ταύτης ἐταράχθη ἡ καρδία μου καὶ ἀπεῤῥύη ἐκ τοῦ τόπου 34
αὐτῆς. XXXVII. [1] Ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ κυρίου, καὶ μελέτη ἐκ στόματος 1
αὐτοῦ ἐξελεύσεται. [2] ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ, καὶ τὸ φῶς 2
αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς. [3] ὀπίσω αὐτοῦ βοήσεται φωνῇ, βροντήσει ἐν φωνῇ 3
ὕβρεως αὐτοῦ· καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ. [4] βρον- 4
τήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια· ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδει-
μεν, [5] συντάσσων χιόνι Γίνου ἐπὶ γῆς, καὶ χειμὼν ὑετός, καὶ χειμὼν ὑετῶν 5
δυναστείας αὐτοῦ. [6] ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα γνῷ πᾶς 6
ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν. [7] εἰςῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην, ἡσύ- 7
χασαν δὲ ἐπὶ κοίτης. [8] ἐκ ταμιείων ἐπέρχονται ὀδύναι, ἀπὸ δὲ ἀκρωτηρίων 8
ψῦχος. [9] καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος· οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν 9
βούληται, [10] καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη· διασκορπιεῖ νέφος φῶς αὐτοῦ, 10
[11] καὶ αὐτὸς κυκλώματα διαστρέψει, ἐν θεεβουλαθώθ, εἰς ἔργα αὐτῶν· πάντα 11
ὅσα ἂν ἐντείληται αὐτοῖς, ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς, [12] ἐάν 12
τε εἰς παιδείαν, ἐὰν εἰς τὴν γῆν αὐτοῦ, ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν. [13] ἐνωτίζου 13
ταῦτα, Ἰώβ· στῆθι νουθετούμενος δύναμιν κυρίου. [14] οἴδαμεν ὅτι ὁ θεὸς ἔθετο 14
ἔργα αὐτοῦ, φῶς ποιήσας ἐκ σκότους. [15] ἐπίσταται δὲ διάκρισιν νεφῶν, ἐξαίσια 15
δὲ πτώματα πονηρῶν. [16] σοῦ δὲ ἡ στολὴ θερμή, ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς. 16
[17] στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώματα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως. 17
[18] διὰ τί δίδαξόν με, τί ἐροῦμεν αὐτῷ; καὶ παυσώμεθα πολλὰ λέγοντες. [19] μὴ 18 19
βίβλος ἢ γραμματεύς μοι παρέστηκεν, ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;
[20] πᾶσι δὲ οὐχ ὁρατὸν τὸ φῶς, τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν, ὥςπερ 20
τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν. [21] ἀπὸ βοῤῥᾶ νέφη χρυσαυγοῦντα· ἐπὶ τούτοις με- 21
γάλη ἡ δόξα καὶ τιμὴ παντοκράτορος, [22] καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ 22
ἰσχύϊ αὐτοῦ. ὁ τὰ δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν; [23] διὸ φοβηθή- 23
σονται αὐτὸν οἱ ἄνθρωποι, φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

---

28. απο του σωματος 29. συνης επεκτασιν 30. επ αυτην το τοξον, κ. ριζωμα 32. ης in αυτης in rasura 33. *φιλοις ...* κυριου (**erasit) ... κτησεις XXXVII. 34. υπερ ταυτης 1. ακουε ιωβ 2. om υποκατω usque αρχη αυτου ... om της 3. ακουση 4. post θαυμασια add C (cf. 36, 28... ante 37, 4. deest folium cod. C) ωραν εθετο κτηνεσιν οισασιν δε κοιτης ταξιν επι τουτοις πασιν ουκ εξισταται σου η διανοια ουδε διαλλασσεται σου η καρδια απο σωματος ... C εποιησ. δε ... C* (vdtr) ηδειν μεν 5. Επι γης γεινου ... C επι της γης ... C om και χειμ. υετος ... κ. χειμωνι ινα η υετος ... C υετου ... δυναστειαις 7. εισηλθον ... υπο σκεπης, C υπο σκεπην ... και ησυχασεν επι 8. ταμειων, C ταμιων ... εξερχονται ... ακροτηριων 9. οικεια δε υδωρ 10. καταπλησσει ... διασκορπισει ... C om νεφελη διασκορπιει 11. διαστρεψει, εν τοις κατωτατω θεις εργα ... εντειλη 12. AC παιδιαν, εαν τε ... εαν τε εις ελεος αυτου ... om ευρησ. αυτον 13. ιωβ ταυτα ... AC νουθετου 14. οιδας ως εθετο ο θεος ... C κυριος pro ο θεος ... ποιησας φως 15. επιστασαι 17. C απο νοτου στερωσις ... στερεωθεις ... ορασεις 18. C παυσομεθα 19. εστως 20. πασιν γαρ ... ορατον φως ... in f. add εξελθεν (sic) 21. C χρυσαυνουντα ... του παντοκρατ., C παρα παντοκρ. 22. ομοιον αυτω και τη 22. κρινων οιει οτι ουκ εισακουει αυτος ... C οιη ... C εισακουειν 23. αυτον ανθρωποι ... τη καρδια

Digitized by Google

## XXXVIII.

Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως εἶπεν ὁ κύριος τῷ Ἰὼβ διὰ
2 λαίλαπος καὶ νεφῶν [2] Τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ῥήματα
3 ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; [3] ζῶσαι ὥςπερ ἀνὴρ τὴν ὀσφύν σου, ἐρω-
4 τήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. [4] ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν;
5 ἀπάγγειλον δέ μοι, εἰ ἐπίστῃ σύνεσιν. [5] τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας;
6 ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; [6] ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπή-
7 γασι; τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς; [7] ὅτε ἐγενήθησαν
8 ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. [8] ἔφραξα δὲ θάλασσαν
9 πύλαις, ὅτε ἐμαίμασσεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη· [9] ἐθέμην δὲ
10 αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα· [10] ἐθέμην δὲ αὐτῇ ὅρια,
11 περιθεὶς κλεῖθρα καὶ πύλας· [11] εἶπα δὲ αὐτῇ Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ
12 ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. [12] ἢ ἐπὶ σοῦ συν-
13 τέταχα φέγγος πρωινόν; ἑωςφόρος δὲ εἶδε τὴν ἑαυτοῦ τάξιν, [13] ἐπιλαβέσθαι
14 πτερύγων γῆς, ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς; [14] ἢ σὺ λαβὼν γῆν πηλὸν ἔπλα-
15 σας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς; [15] ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ
16 φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας; [16] ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης,
17 ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; [17] ἀνοίγονται δέ σοι φόβῳ πύλαι θα-
18 νάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν; [18] νενουθέτησαι δὲ τὸ εὖρος τῆς
19 ὑπ' οὐρανόν; ἀνάγγειλον δή μοι πόση τίς ἐστι. [19] ποίᾳ δὲ γῇ αὐλίζεται τὸ
20 φῶς; σκότους δὲ ποῖος ὁ τόπος; [20] εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν; εἰ δὲ καὶ
21 ἐπίστασαι τρίβους αὐτῶν; [21] οἶδα ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν
22 σου πολύς. [22] ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος, θησαυροὺς δὲ χαλάζης ἑώρα-
23 κας; [23] ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν, εἰς ἡμέραν πολέμων καὶ μάχης;
24 [24] πόθεν δὲ ἐκπορεύεται πάχνη, ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ' οὐρανόν;
25 26 [25] τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν, ὁδὸν δὲ κυδοιμῶν, [26] τοῦ ὑετίσαι ἐπὶ
27 γῆν οὗ οὐκ ἀνήρ, ἔρημον οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ, [27] τοῦ χορτάσαι
28 ἄβατον καὶ ἀοίκητον, καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης; [28] τίς ἐστιν ὑετοῦ
29 πατήρ; τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου; [29] ἐκ γαστρὸς δὲ τίνος ἐκ-
30 πορεύεται ὁ κρύσταλλος; πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν; [30] ἢ καταβαίνει
31 ὥςπερ ὕδωρ ῥέον; πρόσωπον ἀσεβοῦς τίς ἔπτηξεν; [31] συνῆκας δὲ δεσμὸν
32 Πλειάδος, καὶ φραγμὸν Ὠρίωνος ἤνοιξας; [32] ἢ διανοίξεις Μαζουρὼθ ἐν καιρῷ
33 αὐτοῦ, καὶ Ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτά; [33] ἐπίστασαι δὲ τροπὰς
34 οὐρανοῦ ἢ τὰ ὑπ' οὐρανὸν ὁμοθυμαδὸν γινόμενα; [34] καλέσεις δὲ νέφος φωνῇ,
35 καὶ τρόμῳ ὕδατος λάβρου ὑπακούσεταί σου; [35] ἀποστελεῖς δὲ κεραυνοὺς καὶ
36 πορεύσονται; ἐροῦσι δέ σοι Τί ἐστι; [36] τίς δὲ ἔδωκε γυναιξὶν ὑφάσματος σο-
37 φίαν ἢ ποικιλτικὴν ἐπιστήμην; [37] τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ, οὐρανὸν δὲ

---

XXXVIII. 1. νεφους 3. C** praemitt. αλλα νυν ... 4 ησθα οτε εθεμελιωσα ... αναγγειλον μοι ... C δη pro δε ... επιστασαι 5. C om τα ... C επαγων 6. επι τ. δε οι στυλοι αυτης ... C επ αυτην 7. εγενηθη ... εν φωνη ... in f. add και υμνησαν 8. C εμεμασεν ... οτε εμεουτο και εκ κ. μ. α. εξεπορευετο 9. C αμφιεσιν 11. ειπον ... ουχ υπερβ. 12. C φθεγγος ... επιδεν 13. γης και εκτιναξαι 14. C γης πηλον ... λαλητον αυτο 15. αφιλω δε ... και βραχιονα υπερηφ. 16. AC επι γην θαλασσης 18. αναγγ. δε μ. π. ητις ε. 19. εν ποια ... αυλιζεται φως ... ποιος εστιν τοπος 20. ει αρα αγαγοις 21. οτι εις τουτο γεγενν. 22. εορακας 23. αποκινται ... πολεμου 26. επι γης ... ουχ υπαρχει 28. συνοχας και βωλ. δρ. 29. om ὁ (... παχνη) 30. 31. ως υδωρ ... προσωπ. δε ασ. τ. ετηξεν συνηκας· δεσμον δε πλιαδος εγνως· η φραγμον 32. αυτου και αξεις α.· 34. δρομω 36. τις εδωκεν γυναικι υφασματι σοφ. και π. σοφιας επιστ.

Digitized by Google

εἰς γῆν ἔκλινε; [38] κέχυται δὲ ὥςπερ γῆ κονία, κεκόλληκα δὲ αὐτὸν ὥςπερ 38
λίθῳ κύβον. [39] θηρεύσεις δὲ λέουσι βοράν, ψυχὰς δὲ δρακόντων ἐμπλήσεις; 39
[40] δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν, κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες. [41] τίς 40 41
δὲ ἡτοίμασε κόρακι βοράν; νεοσσοὶ γὰρ αὐτοῦ πρὸς κύριον κεκράγασι πλα-
νώμενοι τὰ σῖτα ζητοῦντες.

## XXXIX.

Εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας, ἐφύλαξας δὲ ὠδῖνας ἐλά-
φων; [2] ἠρίθμησας δὲ μῆνας αὐτῶν πλήρεις τοκετοῦ αὐτῶν, ὠδῖνας δὲ αὐ- 2
τῶν ἔλυσας; [3] ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβου, ὠδῖνας δὲ αὐτῶν 3
ἐξαποστελεῖς; [4] ἀποῤῥήξουσι τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γεννήματι· 4
ἐξελεύσονται, καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς. [5] τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον 5
ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν; [6] ἐθέμην δὲ τὴν δίαιταν αὐ- 6
τοῦ ἔρημον, καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα· [7] καταγελῶν πολυοχλίας 7
πόλεως, μέμψιν δὲ φορολόγου οὐκ ἀκούων, [8] κατασκέψεται ὄρη νομὴν αὐτοῦ, 8
καὶ ὀπίσω παντὸς χλωροῦ ζητεῖ. [9] βουλήσεται δέ σοι μονόκερως δουλεῦσαι, 9
ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου; [10] δήσεις δὲ ἐν ἱμᾶσι ζυγὸν αὐτοῦ, ἢ ἑλκύσει 10
σου αὔλακας ἐν πεδίῳ; [11] πέποιθας δὲ ἐπ' αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ, 11
ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου; [12] πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπό- 12
ρον, εἰςοίσει δέ σου τὸν ἅλωνα; [13] πτέρυξ τερπομένων νεέλασσα, ἐὰν συλ- 13
λάβῃ ἀσίδα καὶ νέσσα· [14] ὅτι ἀφήσει εἰς γῆν τὰ ᾠὰ αὐτῆς, καὶ ἐπὶ χοῦν 14
θάλψει, [15] καὶ ἐπελάθετο ὅτι ποὺς σκορπιεῖ καὶ θηρία ἀγροῦ καταπατήσει. 15
[16] ἀπεσκλήρυνε τὰ τέκνα ἑαυτῆς ὥςτε μὴ ἑαυτήν· εἰς κενὸν ἐκοπίασεν, ἄνευ 16
φόβου. [17] ὅτι κατεσιώπησεν αὐτῇ ὁ θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέρισεν αὐτῇ 17
ἐν τῇ συνέσει. [18] κατὰ καιρὸν ἐν ὕψει ὑψώσει, καταγελάσεται ἵππου καὶ τοῦ 18
ἐπιβάτου αὐτοῦ. [19] ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν, ἐνέδυσας δὲ τραχήλῳ αὐ- 19
τοῦ φόβον; [20] περιέθηκας δὲ αὐτῷ πανοπλίαν, δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ; 20
[21] ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ, ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ· [22] συναν- 21 22
τῶν βασιλεῖ καταγελᾷ, καὶ οὐ μὴν ἀποστραφῇ ἀπὸ σιδήρου. [23] ἐπ' αὐτῷ 23
γαυριᾷ τόξον καὶ μάχαιρα, [24] καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν· καὶ οὐ μὴ πιστεύ- 24
σει ἕως ἂν σημάνῃ σάλπιγξ. [25] σάλπιγγος δὲ σημαινούσης λέγει Εὖγε· πόῤ- 25
ῥωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ. [26] ἐκ δὲ τῆς σῆς 26
ἐπιστήμης ἕστηκεν ἱέραξ, ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος, καθορῶν τὰ
πρὸς νότον; [27] ἐπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετός, γὺψ δὲ ἐπὶ νοσσιᾶς 27
αὐτοῦ καθεσθεὶς αὐλίζεται, [28] ἐπ' ἐξοχῇ πέτρας καὶ ἀποκρύφῳ; [29] ἐκεῖσε ὢν 28 29
ζητεῖ τὰ σῖτα, πόῤῥωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι· [30] νεοσσοὶ δὲ αὐτοῦ 30
φύρονται ἐν αἵματι, οὗ δ' ἂν ὦσι τεθνεῶτες παραχρῆμα εὑρίσκονται. [31] καὶ 31
ἀπεκρίθη κύριος ὁ θεὸς τῷ Ἰὼβ καὶ εἶπε [32] Μὴ κρίσιν μετὰ ἱκανοῦ ἐκκλί- 32
νει; ἐλέγχων δὲ θεὸν ἀποκριθήσεται αὐτήν. [33] ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ 33

---

38. κεχ. γαρ ... γης κονια ... κεκολληκεν ... ωςπ. κυβον λιθοις 41. νεοσσ. δε πρ. κυρ. αυτου XXXIX. 1. om ει εγν. usque πετρας (cf. ad v. 3.) 2. αυτων μηνας ... om αυτων sec. 3. ανευ φοβου et add η εγνως καιρον τοκετου τραγελαφων πετρας 4. ανακ. εαυτοις 6. αυτου την διαιταν 8. ζητησει 9. ατραπελος μονοκερως 10. αυτου εν ειμασιν ζυγον ... σοι αυλακας 11. και επαφησεις αυτω 12. δε αυτω οτι ... και εισοισει σου την αλ. 13. νεελασα ... *ασσιδα ... νεεσσα ελαλησαν 14. ωτα pro ωα 16. τεκν. αυτης 17. εμερισεν αυτη ο θεος εν 18. κ. καιρων 19. και ενεδυσας τραχ. 20. και δοξη στηθεων α. τολμην 22. συναντων βελει καταγελα, και ου μη αποστραφη σιδηρον 23. και οξυσθενης μαχαιρα 24. πιστευση ... σημανιει 25. ερει pro λεγει ... και συν α. κ. κρ. εκπορευεται 27. η επι τω σω 29. ποῤῥωθ. δε οι 30. οὑ δε εαν 32. ελεγχων θεον 33. ειπεν τω κυρ.



Digitized by Google

34 [34] Τί ἔτι ἐγὼ κρίνομαι, νουθετούμενος καὶ ἐλέγχων κύριον, ἀκούων τοιαῦτα
οὐθὲν ὤν; ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα; χεῖρα θήσω ἐπὶ στοματί
35 μου. [35] ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προςθήσω.

## XL.

2 Ἔτι δὲ ὑπολαβὼν ὁ κύριος εἶπε τῷ Ἰὼβ ἐκ τοῦ νέφους [2] Μή, ἀλλὰ
ζῶσαι ὥςπερ ἀνὴρ τὴν ὀσφύν σου, ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι·
3 [3] μὴ ἀποποιοῦ μου τὸ κρίμα. οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα
4 ἀναφανῇς δίκαιος; [4] ἢ βραχίων σοί ἐστι κατὰ τοῦ κυρίου, ἢ φωνῇ κατ' αὐτοῦ
5 βροντᾷς; [5] ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν, δόξαν δὲ καὶ τιμὴν ἀμφίασαι.
6 7 [6] ἀπόστειλον δὲ ἀγγέλους ὀργῇ, πάντα δὲ ὑβριστὴν ταπείνωσον, [7] ὑπερήφανον
8 δὲ σβέσον· σῆψον δὲ ἀσεβεῖς παραχρῆμα, [8] κρύψον δὲ εἰς γῆν ὁμοθυμαδόν,
9 τὰ δὲ πρόςωπα αὐτῶν ἀτιμίας ἔμπλησον· [9] ὁμολογήσω ὅτι δύναται ἡ δεξιά
10 σου σῶσαι. [10] ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοί, χόρτον ἴσα βουσὶν ἐσθίουσιν.
11 [11] ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γα-
12 στρός· [12] ἔστησεν οὐρὰν ὡς κυπάρισσον, τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται·
13 [13] αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι, ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.
14 [14] τοῦτ' ἔστιν ἀρχὴ πλάσματος κυρίου, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν
15 ἀγγέλων αὐτοῦ. [15] ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον ἐποίησε χαρμονὴν τετρά-
16 ποσιν ἐν τῷ ταρτάρῳ· [16] ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται, παρὰ πάπυρον
17 καὶ κάλαμον καὶ βούτομον· [17] σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν
18 ῥαδάμνοις καὶ κλῶνες ἀγροῦ. [18] ἐὰν γένηται πλήμμυρα, οὐ μὴ αἰσθηθῇ, πέ-
19 ποιθεν ὅτι προςκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ· [19] ἐν τῷ ὀφθαλμῷ
20 αὐτοῦ δέξεται αὐτόν, ἐνσκολιευόμενος τρήσει ῥῖνα. [20] ἄξεις δὲ δράκοντα ἐν
21 ἀγκίστρῳ, περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ; [21] ἢ δήσεις κρίκον ἐν
22 τῷ μυκτῆρι αὐτοῦ, ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ; [22] λαλήσει δέ σοι
23 δεήσει, ἱκετηρίᾳ μαλακῶς; [23] θήσεται δὲ μετὰ σοῦ διαθήκην; λήψῃ δὲ αὐ-
24 τὸν δοῦλον αἰώνιον; [24] παίξῃ δὲ ἐν αὐτῷ ὥςπερ ὀρνέῳ; ἢ δήσεις αὐτὸν ὥςπερ
25 στρουθίον παιδίῳ; [25] ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, μεριτεύονται δὲ αὐτὸν
26 Φοινίκων ἔθνη; [26] πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν
27 οὐρᾶς αὐτοῦ, καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ. [27] ἐπιθήσεις δὲ αὐτῷ
χεῖρα, μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν σώματι αὐτοῦ, καὶ μηκέτι γινέσθω.

## (XLI.)

28 1 [28] Οὐχ ἑώρακας αὐτόν; οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; XLI. [1] οὐ
2 δέδοικας ὅτι ἡτοίμασταί μοι; τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς; [2] ἢ τίς ἀντιστή- (Ro. 11,
3 σεταί μοι καὶ ὑπομενεῖ; εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν, [3] οὐ σιωπήσομαι 35.)

---

34. ελεγχομενος υπο κυριου ... μηθεν ων εγω· αποκρισιν δε τινα 35. ελαλησα XL. 1. δια pro εκ 2. αποκριθητι 3. κριμα. μηδε οιου μαι α. σ. κεχρ. αλλ ινα δικ. αναφ. 4. ει βραχ. σ. ε. κατα κυριον, η φωνη βροντης κατ αυτον βροντα ισα 5. αν. δε εις υψος ... om δε 6. εν οργη σου 8. δε αυτους εις γ. εξω ομοθ. 3. ομολογ. αρα ... σου η δεξια 10. αλλ ιδου παρα σοι θηρια ισα βουσιν χορτον εσθιει 11. επι οσφυος et add αυτου ... γαστρ. αυτου 12. ουραν αυτου ωςπερ ... ωςπερ σχοινια συμπεπλ. 13. αυτ. ως πετραι χαλκαι ... ως σιδηρος 14. τουτο εστιν ... εις το ενκαταπ. 16. καλαμ. κ. παπυρ. 17. om εν ... ϑαραμνοις ... αγνου 18. εσθηται 19. ρινα αυτου 20. AC φορβεαν 21. και ειλησεις κλοιον εν τω ... ψελιω 22. δεησεις και ικετηριας 23. λημψη 24. και εμπεξις αυτω ... om η ... δησ. δε 25. δε αυτον εθνη, και μεριτ. α. φ. γενη ... C φενικων γενη 26. ενεγκη μιαν βυρσαν 27.* επιθες ... επ αυτω ... πολεμου του γιγνομενου εν τω 28. AC εορακας XLI. 1. αυτον οτι ητ. σοι ... ανθισταμενος 2. η τις εστιν ος αντιστ. ... η ουχι πασα

Digitized by Google

δι᾽ αὐτόν, καὶ λόγον δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ. [4] τίς ἀποκαλύψει 4
πρόςωπον ἐνδύσεως αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰςέλθοι;
[5] πύλας προςώπου αὐτοῦ τίς ἀνοίξει; κύκλῳ ὀδόντων αὐτοῦ φόβος. [6] τὰ ἔγκατα 5 6
αὐτοῦ ἀσπίδες χάλκεαι, σύνδεσμος δὲ αὐτοῦ ὥςπερ σμυρίτης λίθος· [7] εἷς τοῦ 7
ἑνὸς κολλῶνται, πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν· [8] ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ 8
προςκολληθήσεται, συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν. [9] ἐν πταρμῷ 9
αὐτοῦ ἐπιφαύσκεται φέγγος, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωςφόρου. [10] ἐκ 10
στόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι, καὶ διαῤῥιπτοῦνται ὡς
ἐσχάραι πυρός. [11] ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης 11
πυρὶ ἀνθράκων. [12] ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκ- 12
πορεύεται. [13] ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις, ἔμπροσθεν αὐτοῦ τρέχει 13
ἀπώλεια. [14] σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται· καταχέει ἐπ᾽ αὐτόν, οὐ 14
σαλευθήσεται. [15] ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος, ἕστηκε δὲ ὥςπερ ἄκμων 15
ἀνήλατος. [16] στραφέντος δὲ αὐτοῦ φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς ἀλλομέ- 16
νοις. [17] ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι, δόρυ καὶ θώρακα· 17
[18] ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥςπερ ξύλον σαθρόν. [19] οὐ μὴ τρώ- 18 19
σῃ αὐτὸν τόξον χάλκεον· ἥγηται μὲν πετροβόλον χόρτον, [20] ὡς καλάμη ἐλογίσθησαν 20
σφυρά, καταγελᾷ δὲ σεισμοῦ πυρφόρου. [21] ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς, πᾶς 21
δὲ χρυσὸς θαλάσσης ὑπ᾽ αὐτὸν ὥςπερ πηλὸς ἀμύθητος. [22] ἀναζεῖ τὴν ἄβυσσον 22
ὥςπερ χαλκεῖον· ἥγηται δὲ τὴν θάλασσαν ὥςπερ ἐξάλειπτρον, [23] τὸν δὲ τάρταρον 23
τῆς ἀβύσσου ὥςπερ αἰχμάλωτον· ἐλογίσατο ἄβυσσον εἰς περίπατον. [24] οὐκ ἔστιν 24
οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων
μου· [25] πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν. 25

## XLII.

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ [2] Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ 2
δέ σοι οὐδέν. [3] τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων, 3
καὶ σὲ οἴεται κρύπτειν; τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυ-
μαστὰ ἃ οὐκ ἐπιστάμην; [4] ἄκουσον δέ μου, κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρω- 4
τήσω δέ σε, σὺ δέ με δίδαξον. [5] ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, 5
νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. [6] διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· 6
ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. [7] ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύ- 7
ριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ἰώβ, εἶπεν ὁ κύριος Ἐλιφὰζ τῷ Θαιμα-
νίτῃ Ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς
οὐδὲν ὥςπερ ὁ θεράπων μου Ἰώβ. [8] νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ 8
κριούς, καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ἰώβ, καὶ ποιήσει κάρπωσιν
ὑπὲρ ὑμῶν. Ἰὼβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόςωπον
αὐτοῦ λήψομαι· εἰ μὴ γὰρ δι᾽ αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς· οὐ γὰρ ἐλαλήσατε

---

3. λογος ... ισ. αυτου 4. τις δε αναχαλυψει 5. πυλας δε 6. om τα ... ενκατα δε α. α. χαλκαι, και συνδεσμοι αυτου ω. σμιριτος 7. εις εκ του 8. συνεχωνται 9. επιφωσκεται ... C om δε 10. AC om ως prius ... A (hiat C) διαριπτουνται εσχαραι 11. φλογι pro πυρι 13. ενπροσθεν α. προτρεχει 15. AC ωςπερ λιθος 16. om δε ... αλλομ. επι γης 17. ουδεν ου μη ποι. αυτω δ. κ. θωραξ ... C ουδε μη ποιησουσιν δ. επηρμενον κ. θ. 18. ωςπερ αχυρα 19. om τοξ. χαλκεον ... ηγητ. γαρ ... C om μεν ... AC ως χορτον 20. C καλαμην et σφυραν ... ελογισθη αυτω 22. χαλκιον ... AC εξαλιπτρον 23. C ως περιπατον 24. επι γης ... C ουδεν των επι [ολην ?] την γην (?) XLII. 2. AC δυνασαι παντα 3. om τις δε ... ανηγγελη δε μοι ... ηπισταμην 4. δη μου 5. εως μεν ωτος ακοης ηκουον ... εορακεν (6. ηγη) 7. om ταυτα ... C ελιφας ... θεμανιτη 8. και νυν λαβετε ... παιδα ... ποιησει (* -σεις) καρπωμα ... AC καρπ. περι υμων ... A (non C) λημψομαι ... και ει μη δι ... C* απωλεσαν υμας



Digitized by Google

9 ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ἰώβ. [9]ἐπορεύθη δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης
καὶ Βαλδὰδ ὁ Σαυχίτης καὶ Σωφὰρ ὁ Μιναῖος καὶ ἐποίησαν καθὼς συνέ-
10 ταξεν αὐτοῖς ὁ κύριος· καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ἰώβ. [10]ὁ δὲ *Jac. 42, 10.
κύριος ηὔξησε τὸν Ἰώβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ ἀφῆ-
κεν αὐτοῖς τὴν ἁμαρτίαν· ἔδωκε δὲ ὁ κύριος διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ἰὼβ
11 εἰς διπλασιασμόν. [11]ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ
αὐτοῦ πάντα τὰ συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτόν, καὶ πάντες ὅσοι
ᾔδεισαν αὐτὸν ἐκ πρώτου· φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ παρεκάλεσαν
αὐτόν, καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν ἐπ' αὐτῷ ὁ κύριος· ἔδωκε
12 δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν καὶ τετράδραχμον χρυσοῦ καὶ ἀσήμου. [12]ὁ
δὲ κύριος εὐλόγησε τὰ ἔσχατα Ἰὼβ ἢ τὰ ἔμπροσθεν· ἦν δὲ τὰ κτήνη αὐτοῦ
πρόβατα μύρια τετρακισχίλια, κάμηλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι
13 θήλειαι νομάδες χίλιαι. [13]γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς·
14 [14]καὶ ἐκάλεσε τὴν μὲν πρώτην Ἡμέραν, τὴν δὲ δευτέραν Κασίαν, τὴν δὲ
15 τρίτην Ἀμαλθαίας κέρας· [15]καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελ-
τίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν
16 τοῖς ἀδελφοῖς. [16]ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα,
τὰ δὲ πάντα ἔτη ἔζησε διακόσια τεσσαράκοντα· καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς
17 αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν. [17]καὶ ἐτελεύτησεν
18 Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. [18]γέγραπται δὲ αὐτὸν πάλιν ἀναστή-
σεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν. οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου, ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας· προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ. λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱὸν ᾧ ὄνομα Ἐννών. ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ ἐκ τῶν Ἡσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδώμ, ἧς καὶ αὐτὸς ἦρξε χώρας· πρῶτος Βαλὰκ ὁ τοῦ Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά· μετὰ δὲ Βαλὰκ Ἰωβὰβ ὁ καλούμενος Ἰώβ· μετὰ δὲ τοῦτον Ἀσὼμ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας· μετὰ δὲ τοῦτον Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθαίμ. οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι Ἐλιφὰζ τῶν Ἡσαῦ υἱῶν, Θαιμανῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, Σωφὰρ ὁ Μιναίων βασιλεύς.

---

8. om αληθες et add in f. ουδεν αγαθον 9. επορευθησαν ... θεμανιτης ... εποιησαν εαυτοις ... ελευσεν ... AC την αμαρτ. αυτων 10. om και ... προσεθηκεν pro εδωκεν ... C* ο θεος ... ο κυριος τω ιωβ τα διπλα ων ειχεν εμπρ. εις 11. και παντες δε οσοι ... C* εκ προσωπου (?), A προ τουτου ... πιοντες αυτω ... AC επηγαγεν αυτω ... και εδωκαν αυτω ... AC χρυσουν ασημον (C** add εν) 12. AC ηυλογησεν ... ηυλ. τον ιωβ τα εσχατα μαλλον η 14. κασσιαν ... C αμαλθιας, A μαλθεας 15. C ουχ ευρ. ... ιωβ θυγατερας και τους υιους αυτου β. αυτ. υπο την υπ ... εδωκ. δε ιωβ ταις θυγατρασιν αυτου κληρ. ε. τ. α. αυτου 16. παντα ζη ετη διακ. τεσσερακονταοκτω ... C εζησεν ετη ... C τεσσερακονταοκτω ... AC ιδεν (17. πληρες) 18. γεγρ. παλιν αναστ. αυτον ... ανιστησιν ο κυριος [4] ζαρεθ ... AC των υιων ησαυ υιος omisso εκ [5] C* βοσσορρας, A βοσσορας [7] ο του σεμφωρ [8] ασσομ [9] θεμανιτιδος ... C* βαρα [10] AC γεθθαιμ [11] ελιφας υιος σωφαν των υιων ησαυ [12] C* σαυχιων ... βαλδας υιος αμνων του χοβαρ του αυχειτου τυραννου ... post βασιλευς add haec: θαιμαν υιος ελιφαζ ηγεμων της ιδουμαιας· αυτος ερμηνευεται εκ της συριακης βιβλου εν μεν γη κατοικων τη αυσιτιδι επι των οριων του ευφρατου προϋπηρχεν δε το ονομα αυτου ιωβαβ· ην δε ο πατηρ αυτου ζαρεθ· εξ ανατολων ηλιου.

Subscriptio: AC ιωβ

Digitized by Google

# ΨΑΛΜΟΙ.

## I.

Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρ-
τωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν· 2 ἀλλ' ἢ ἐν τῷ νόμῳ 2
κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυ-
κτός. 3 καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδά- 3
των, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ
ἀποῤῥυήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. 4 οὐχ οὕτως οἱ ἀσε- 4
βεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου
τῆς γῆς. 5 διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ 5
ἐν βουλῇ δικαίων· 6 ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν 6
ἀπολεῖται.

## II.

Act. 4, 25. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; 2 παρέστησαν οἱ βασι- 2
λεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ
κατὰ τοῦ χριστοῦ αὐτοῦ 3 Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψω- 3
μεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. 4 ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐ- 4
τούς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. 5 τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ 5
αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. 6 ἐγὼ δὲ κατεστάθην βασι- 6
Act. 13, 33. λεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, 7 διαγγέλλων τὸ πρόσταγμα 7
Hebr. 1, 5. 5, 5. κυρίου. κύριος εἶπε πρός με Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε·
8 αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν 8
* Ap. 12, 5. 19, 15. κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· 9 ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, 9
ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. 10 καὶ νῦν βασιλεῖς σύνετε, παιδεύ- 10
θητε πάντες οἱ κρίνοντες τὴν γῆν. 11 δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ 11
ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. 12 δράξασθε παιδείας μή ποτε ὀργισθῇ κύριος, 12
καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. 13 ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, 13
μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

## III.

Ψαλμὸς τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ
υἱοῦ αὐτοῦ.

2 Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· 2
3 πολλοὶ λέγουσι τῇ ψυχῇ μου Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ. 3
διάψαλμα. 4 σὺ δέ, κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφα- 4
λήν μου. 5 φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου 5
αὐτοῦ. διάψαλμα. 6 ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι κύριος ἀντι- 6
λήψεταί μου. 7 οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ ἐπιτιθεμένων 7
μοι. 8 ἀνάστα κύριε, σῶσόν με ὁ θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς 8
ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. 9 τοῦ κυρίου ἡ 9
σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

---

Inscriptio: ψαλτηριον

I. 3. ποιηση 5. αναστησονται ασεβεις ... ουδε οι αμαρτ. II. 2. in f. add διαψαλμα 4. ενγελασεται 7. διαγγελων 8. τα περα της 9. και ως σκευη III. 1. om ψαλμος 2. επανεστησαν 3. ματαιοτητας 4. om κυριε ... αντιλημπτωρ 5. εισηκουσεν 6. εγω δε ... αντιλημψετε 7. των κυκλων συνεπιτιθεμενων μοι

Digitized by Google

## IV.

Εἰς τὸ τέλος ἐν ψαλμοῖς ᾠδὴ τῷ Δαυίδ.
2 [2] Ἐν τῷ ἐπικαλεῖσθαί με εἰςήκουσέ μου ὁ θεὸς τῆς δικαιοσύνης μου,
ἐν θλίψει ἐπλάτυνάς μοι· οἰκτείρησόν με καὶ εἰςάκουσον τῆς προςευχῆς μου.
3 [3] υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζη-
4 τεῖτε ψεῦδος; διάψαλμα. [4] καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ·
5 κύριος εἰςακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. [5] ὀργίζεσθε καὶ μὴ* Eph. 4, 26.
ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατα-
6 νύγητε. διάψαλμα. [6] θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ κύριον.
7 [7] πολλοὶ λέγουσι Τίς δείξει ὑμῖν τὰ ἀγαθά; ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ
8 προσώπου σου, κύριε· [8] ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, ἀπὸ καρ-
9 ποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. [9] ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ
κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σύ, κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

## V.

Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαυίδ.
2 3 [2] Τὰ ῥήματά μου ἐνώτισαι, κύριε, σύνες τῆς κραυγῆς μου, [3] πρόσχες
τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ θεός μου· ὅτι πρὸς σὲ
4 προσεύξομαι, κύριε. [4] τὸ πρωὶ εἰςακούσῃ τῆς φωνῆς μου· τὸ πρωὶ παραστή-
5 σομαί σοι, καὶ ἐπόψομαι. [5] ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ· οὐδὲ παροι-
6 κήσει σοι πονηρευόμενος, [6] οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλ-
7 μῶν σου· ἐμίσησας, κύριε, πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, [7] ἀπολεῖς
πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται
8 κύριος. [8] ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰςελεύσομαι εἰς τὸν οἶκόν σου,
9 προςκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. [9] κύριε, ὁδήγησόν με ἐν τῇ
δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.
10 [10] ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία· Ro. 3, 13.
11 τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. [11] κρῖ-
νον αὐτούς, ὁ θεός· ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν κατὰ τὸ πλῆ-
12 θος τῶν ἀσεβειῶν αὐτῶν· ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, κύριε. [12] καὶ
εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσον-
ται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγα-
13 πῶντες τὸ ὄνομά σου, [13] ὅτι σὺ εὐλογήσεις δίκαιον· κύριε, ὡς ὅπλῳ εὐδοκίας
ἐστεφάνωσας ἡμᾶς.

## VI.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυίδ.
2 [2] Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3 [3] ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ
4 5 μου. [4] καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, κύριε, ἕως πότε; [5] ἐπί-
6 στρεψον κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. [6] ὅτι
οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί
7 σοι; [7] ἐκοπίασα ἐν στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου,
8 ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. [8] ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός
9 μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. [9] ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ* Lc. 13, 27.
ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰςήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου·

---

IV. 1. ψαλμος pro εν ψ. ωδη 5. κατανοιγητε 7. ημιν V. 2. συνες τη κραυγη μου 4. και εποψη με 8. του ελαιου σου 10. ο λαρυξ 12. καυχησ. εν σοι 13. ευλογεις VI. 1. om εν υμνοις 7. εν τω στεναγμω

Digitized by Google

[10]εἰςήκουσε κύριος τῆς δεήσεώς μου, κύριος τὴν προσευχήν μου προςεδέξατο. 10
[11]αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἐπιστρα- 11
φείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.

## VII.

Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί.
[2]Κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόν- 2
των με καὶ ῥῦσαί με, [3]μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος 3
λυτρουμένου μηδὲ σώζοντος. [4]κύριε ὁ θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν 4
ἀδικία ἐν χερσί μου, [5]εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέ- 5
σοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· [6]καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν 6
μου καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν
μου εἰς χοῦν κατασκηνώσαι. διάψαλμα. [7]ἀνάστηθι κύριε ἐν ὀργῇ σου, ὑψώ- 7
θητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου· ἐξεγέρθητι, κύριε ὁ θεός μου, ἐν προς-
τάγματι ᾧ ἐνετείλω, [8]καὶ συναγωγὴ λαῶν κυκλώσει σε· καὶ ὑπὲρ ταύτης 8
εἰς ὕψος ἐπίστρεψον. [9]κύριος κρινεῖ λαούς· κρῖνόν με, κύριε, κατὰ τὴν δικαιο- 9
σύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. [10]συντελεσθήτω δὴ πονηρία 10
ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός.
[11]δικαία ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. 11
[12]ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, μὴ ὀργὴν ἐπάγων καθ' 12
ἑκάστην ἡμέραν· [13]ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ 13
τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό· [14]καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη 14
θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. [15]ἰδοὺ ὠδίνησεν ἀδι- 15
κίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν· [16]λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐ- 16
τόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο· [17]ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κε- 17
φαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. [18]ἐξομολογή- 18
σομαι κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

## VIII.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Δαυίδ.
[2]Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· 2
Mt. 21, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. [3]ἐκ στόματος νηπίων 3
16. καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν
καὶ ἐκδικητήν. [4]ὅτι ὄψομαι τοὺς οὐρανούς ἔργα τῶν δακτύλων σου, σελήνην 4
He. 2, καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας· [5]τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ 5
6. 7. υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; [6]ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέ- 6
λους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, [7]καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα 7
1Co. 15, τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, [8]πρόβατα καὶ 8
27. βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, [9]τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ 9
τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. [10]κύριε ὁ 10
κύριος ἡμῶν, ὡς θαυμαστὸν ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

## IX.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ ψαλμὸς τῷ Δαυίδ.
[2]Ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα 2
τὰ θαυμάσιά σου· [3]εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, ψαλῶ τῷ ὀνό- 3
ματί σου, ὕψιστε, [4]ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω· 4

---

10. ηκουσεν 11. αποστραφιησαν εις τα οπισω κ. καταισχυνθιησαν VII. 1. ιεμενι 5. αποπεσοιν (sic) αρα απο των 7. και εξεγερθητι 9. κρινον μοι (13. στιλβωσιν) 18. τω κυριω ... και ψαλω VIII. 3. *εχθρων μου 5. τις εστιν 6. *αγγελλους ... τιμην 8 απασας 10. το ονομα IX. 3. 4. ed. rom. υψιστε. et οπισω,

Digitized by Google

5 ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προςώπου σου. [5] ὅτι ἐποίησας τὴν κρίσιν
6 μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. [6] ἐπετί-
μησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν
7 αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [7] τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς
8 τέλος, καὶ πόλεις καθεῖλες· ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου. [8] καὶ
9 ὁ κύριος εἰς τὸν αἰῶνα μένει· ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, [9] καὶ
10 αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. [10] καὶ
11 ἐγένετο κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει. [11] καὶ
ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς
12 ἐκζητοῦντάς σε, κύριε. [12] ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, ἀναγ-
13 γείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ· [13] ὅτι ἐκζητῶν τὰ αἵματα
14 αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων. [14] ἐλέησόν με
κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν
15 τοῦ θανάτου, [15] ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις
16 τῆς θυγατρὸς Σιών· ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου. [16] ἐνεπάγησαν ἔθνη
ἐν διαφθορᾷ ᾗ ἐποίησαν· ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ ποὺς
17 αὐτῶν. [17] γινώσκεται κύριος κρίματα ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ
18 συνελήφθη ὁ ἁμαρτωλός. ᾠδὴ διαψάλματος. [18] ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ
19 εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ. [19] ὅτι οὐκ εἰς
τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς
20 τὸν αἰῶνα. [20] ἀνάστηθι κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη
21 ἐνώπιόν σου. [21] κατάστησον κύριε νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη
22 (1) ὅτι ἄνθρωποί εἰσιν. διάψαλμα. (X.) [22] Ἵνα τί, κύριε, ἀφέστηκας μα-
23 (2) κρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει; [23] ἐν τῷ ὑπερηφανεύεσθαι τὸν
ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός· συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.
24 (3) [24] ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ
25 (4) ἀδικῶν ἐνευλογεῖται. [25] παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός, κατὰ τὸ πλῆθος
26 (5) τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει· οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ. [26] βεβη-
λοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ
27 (6) προςώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. [27] εἶπε γὰρ ἐν
28 (7) καρδίᾳ αὐτοῦ Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. [28] οὗ Ro. 3,
ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ 14.
29 (8) κόπος καὶ πόνος. [29] ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ
30 (9) ἀποκτεῖναι ἀθῷον· οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν. [30] ἐνε-
δρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ· ἐνεδρεύει τοῦ ἁρπάσαι
31 (10) πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν· ἐν τῇ παγίδι αὐτοῦ [31] τα-
πεινώσει αὐτόν, κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.
32 (11) [32] εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ Ἐπιλέλησται ὁ θεός, ἀπέστρεψε τὸ πρός-
33 (12) ωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος. [33] ἀνάστηθι κύριε ὁ θεός, ὑψωθήτω
34 (13) ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων. [34] ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς
35 (14) τὸν θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ ζητήσει. [35] βλέπεις ὅτι σὺ πόνον
καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου· σοὶ ἐγκαταλέ-
36 (15) λειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός. [36] σύντριψον τὸν βραχίονα τοῦ
ἁμαρτωλοῦ καὶ πονηροῦ· ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

---

IX. 6. το ονομα σου 7. εξελειπον ... μετ ηχους 11. επι σοι παντες οι 13. της φωνης των 14. ειδε 15. αγαλλ. εν τω 16. *εποιησεν (vdlr) ... συνελημφθη 17. συνελημφθη 19. ουκ απολ. εις τελος 23. τον ασεβην ενπυριζεται 29. om του 30. ab ενεδρευει ad ενεδρευει transilit 31. *εν τω αυτω 32. εν καρδια 33. θεος μου ... επιλαθης 34. ουκ εκζητησει 35. κοπον pro πονον ... συ ουν ενκαταλελιπτε ... βοηθων 36. ευρεθη δι αυτην

Digitized by Google

[37] βασιλεύσει κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ἀπο- (16) 37
λεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. [38] τὴν ἐπιθυμίαν τῶν πενήτων εἰςήκουσε (17) 38
κύριος, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προςέσχε τὸ οὖς σου, [39] κρῖ- (18) 39
ναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προςθῇ ἔτι μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ
τῆς γῆς.

## X. (XI.)

### Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

Ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου Μεταναστεύου ἐπὶ τὰ
ὄρη ὡς στρουθίον; [2] ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη 2
εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. [3] ὅτι 3
ἃ κατηρτίσω καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησε; [4] κύριος ἐν ναῷ ἁγίῳ αὐ- 4
τοῦ, κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα
ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. [5] κύριος 5
ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ· ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ
ψυχήν. [6] ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον καὶ πνεῦμα καται- 6
γίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. [7] ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠγά- 7
πησεν, εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ.

## XI. (XII.)

### Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαυίδ.

[2] Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι 2
ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. [3] μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον 3
αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν. [4] ἐξολοθρεύσαι κύριος 4
πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν μεγαλοῤῥήμονα, [5] τοὺς εἰπόντας Τὴν 5
γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ᾽ ἡμῶν ἐστί, τίς ἡμῶν
κύριός ἐστιν; [6] ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ ἀπὸ τοῦ στεναγμοῦ 6
τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος· θήσομαι ἐν σωτηρίῳ, παῤῥη-
σιάσομαι ἐν αὐτῷ. [7] τὰ λόγια κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, 7
δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. [8] σὺ κύριε φυλάξεις ἡμᾶς, 8
καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα. [9] κύκλῳ 9
οἱ ἀσεβεῖς περιπατοῦσι· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν
ἀνθρώπων.

## XII. (XIII.)

### Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

[2] Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ 2
πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; [3] ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας 3
ἐν καρδίᾳ μου ἡμέρας; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ; [4] ἐπί- 4
βλεψον, εἰςάκουσόν μου, κύριε ὁ θεός μου· φώτισον τοὺς ὀφθαλμούς μου,
μή ποτε ὑπνώσω εἰς θάνατον, [5] μή ποτε εἴποι ὁ ἐχθρός μου Ἴσχυσα πρὸς 5
αὐτόν· οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ. [6] ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει 6
σου ἤλπισα· ἀγαλλιάσεται ἡ καρδία μου ἐν τῷ σωτηρίῳ σου· ᾄσω τῷ κυρίῳ
τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

---

37. απολεισθαι 38. το ους αυτου 39. του μεγαλαυχειν ... *ανθρωπον X. 1. την ψυχην 2. εν σκοτωμενη 3. οτι α συ κ. αυτοι καθ. 5. ασεβην ... την αδικιαν 6. παγιδα 7. ευθυτητας XI. 1. υπερ τ. ογδ. post δαυιδ pon 3. in f. add χαχα 4. εξολεθρευσει ... μεγαλορημονα 7. κεκαθερισμενον 8. διατηρησης 9. παντας τους υιους XII. 2. αποστρεφεις 3. ημερας και νυκτος 5. ειπη 6. επι τω σωτηριω

Digitized by Google

## XIII. (XIV.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστι θεός. διέφθειραν καὶ ἐβδελύχθη-
2 σαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. ² κύ- Ro. 3,
ριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι 10. 11.
3 συνιῶν ἢ ἐκζητῶν τὸν θεόν. ³ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι 12. 13. 14. 15.
ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, 16. 17.
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα 18.
ἀρᾶς καὶ πικρίας γέμει· ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα· σύντριμμα καὶ
ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι
4 φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. ⁴ οὐχὶ γνώσονται πάντες οἱ ἐργα-
ζόμενοι τὴν ἀνομίαν, οἱ κατέσθοντες τὸν λαόν μου βρώσει ἄρτου; τὸν κύριον
5 οὐκ ἐπεκαλέσαντο· ⁵ ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ ἦν φόβος· ὅτι ὁ θεὸς ἐν
6 γενεᾷ δικαίᾳ. ⁶ βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι κύριος ἐλπὶς αὐτοῦ ἐστί.
7 ⁷ τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι κύριον τὴν
αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσθω Ἰακὼβ καὶ εὐφρανθήτω Ἰσραήλ.

## XIV. (XV.)

Ψαλμὸς τῷ Δαυίδ.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; καὶ τίς κατασκηνώσει ἐν
2 τῷ ὄρει τῷ ἁγίῳ σου; ² πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην,
3 λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ· ³ ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, οὐδὲ
ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα
4 αὐτοῦ· ⁴ ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους κύ-
5 ριον δοξάζει· ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν· ⁵ τὸ ἀργύριον
αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν· ὁ ποιῶν ταῦτα
οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

## XV. (XVI.)

Στηλογραφία τῷ Δαυίδ.

2 Φύλαξόν με, κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. ² εἶπα τῷ κυρίῳ Κύριός μου εἶ
3 σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ³ τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
4 ἐθαυμάστωσε πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. ⁴ ἐπληθύνθησαν αἱ ἀσθέ-
νειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν· οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν
5 ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. ⁵ κύριος
μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν
6 κληρονομίαν μου ἐμοί. ⁶ σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις, καὶ γὰρ ἡ
7 κληρονομία μου κρατίστη μοί ἐστιν. ⁷ εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά
8 με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. ⁸ προωρώμην τὸν Act. 2,
κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ. 25. 26. 27.
9 ⁹ διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ
10 καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. ¹⁰ ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν Act. 13,
11 μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ¹¹ ἐγνώρισάς μοι 35. 2, 28.
ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότητες
ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

---

XIII. 1. διεφθαρησαν ... *post ποιων χρηστοτητα pergit ουκ ε. π. χρηστοτητα v. 3. 2. ** ηχρεωθησαν 3. om ταφος ανεωγμενος usque των οφθαλμ. αυτων 4. οι κατεσθιοντες ... εν βρωσει 5. ω ουκ ην ... δικαιων 7. αγαλλιασεται ... ευφρανθησεται XIV, 1. η τις κατασκ. εν ορει τω 3. εγγιστας 4. πας πονηρευομενος XV. (3. τα θελημα) 4. ουδ ου μη 5. η μερις 8. προορωμην 10. εις αδου 11. ευφροσυνην ... τερπνοτης.

Digitized by Google

## XVI. (XVII.)

Προσευχὴ τοῦ Δαυίδ.

Εἰςάκουσον, κύριε, τῆς δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου· ἐνώ-
τισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις. [2] ἐκ προσώπου σου τὸ κρίμα 2
μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. [3] ἐδοκίμασας τὴν καρδίαν 3
μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. [4] ὅπως 4
ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν
χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. [5] κατάρτισαι τὰ διαβήματά μου ἐν 5
ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῇ τὰ διαβήματά μου. [6] ἐγὼ ἐκέκραξα, ὅτι 6
ἐπήκουσάς μου, ὁ θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰςάκουσον τῶν ῥημάτων
μου. [7] θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ ἐκ τῶν 7
ἀνθεστηκότων τῇ δεξιᾷ σου. [8] φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ· ἐν σκέπῃ τῶν 8
πτερύγων σου σκεπάσεις με [9] ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων 9
με. οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, [10] τὸ στέαρ αὐτῶν συνέκλεισαν, 10
τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν· [11] ἐκβαλόντες με νυνὶ περιεκύκλω- 11
σάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ· [12] ὑπέλαβόν με ὡςεὶ 12
λέων ἕτοιμος εἰς θήραν, καὶ ὡςεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. [13] ἀνάστηθι 13
κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ
ἀσεβοῦς, ῥομφαίαν σου [14] ἀπὸ ἐχθρῶν τῆς χειρός σου· κύριε ἀπολύων ἀπὸ 14
γῆς, διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμένων σου ἐπλή-
σθη ἡ γαστὴρ αὐτῶν, ἐχορτάσθησαν ὑείων καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς
νηπίοις αὐτῶν. [15] ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτα- 15
σθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.

## XVII. (XVIII.)

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησε τῷ κυρίῳ τοὺς λόγους
τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐῤῥύσατο αὐτὸν κύριος ἐκ χειρὸς πάντων τῶν
ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ, [2] καὶ εἶπεν 2
Ἀγαπήσω σε, κύριε ἰσχύς μου. [3] κύριος στερέωμά μου καὶ καταφυγή 3
μου καὶ ῥύστης μου· ὁ θεός μου βοηθός μου, ἐλπιῶ ἐπ᾽ αὐτόν· ὑπερασπι-
στής μου καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου. [4] αἰνῶν ἐπικαλέσο- 4
μαι κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. [5] περιέσχον με ὠδῖνες θα- 5
νάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με· [6] ὠδῖνες ᾅδου περιεκύκλωσάν 6
με, προέφθασάν με παγίδες θανάτου. [7] καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσά- 7
μην τὸν κύριον, καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα· ἤκουσεν ἐκ ναοῦ ἁγίου
αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰςελεύσεται εἰς τὰ ὦτα
αὐτοῦ. [8] καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων 8
ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός. [9] ἀνέβη καπνὸς 9
ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν, ἄνθρακες ἀνή-
φθησαν ἀπ᾽ αὐτοῦ. [10] καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς 10
πόδας αὐτοῦ. [11] καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτε- 11
ρύγων ἀνέμων. [12] καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ 12
αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. [13] ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον 13
αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός. [14] καὶ ἐβρόντησεν ἐξ 14
οὐρανοῦ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ· [15] καὶ ἐξαπέστειλε βέλη 15

---

XVI. 1. om της 2. ειδετωσαν 3. ουχ ευρεθη (x ευρε in rasura) 5. σαλευθωσιν 6. οτι ειςηκουσεν 7. ed. rom. interpg: σε. εκ 9. ασεβους 10. υπερηφανιαν (ita etiam ed. rom.) 11. εκβαλλοντες 14. απο ολιγων pro απολυων ... εχορτασθ. υιων 15. οφθηναι μοι την XVII. 1. ερυσατο 3. η ισχ. μου 3. και ελπιω ... om και ultimum ... αντιλημπτωρ 11. χερουβειν 14. ο κυριος 15. om και primum

Digitized by Google

16 καὶ ἐσκόρπισεν αὐτούς, καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς. 16 καὶ
ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης
17 ἀπὸ ἐπιτιμήσεώς σου, κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. 17 ἐξα-
18 πέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν. 18 ῥύσε-
ταί με ἐξ ἐχθρῶν μου δυνατῶν καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν
19 ὑπὲρ ἐμέ. 19 προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο κύριος
20 ἀντιστήριγμά μου, 20 καὶ ἐξήγαγέ με εἰς πλατυσμόν· ῥύσεταί με, ὅτι ἠθέ-
21 λησέ με. 21 καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ
22 τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. 22 ὅτι ἐφύλαξα τὰς ὁδοὺς
23 κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου· 23 ὅτι πάντα τὰ κρίματα αὐτοῦ
24 ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. 24 καὶ
25 ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. 25 καὶ ἀν-
ταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα
26 τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. 26 μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ
27 μετὰ ἀνδρὸς ἀθώου ἀθῷος ἔσῃ, 27 καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ
28 στρεβλοῦ διαστρέψεις. 28 ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερη-
29 φάνων ταπεινώσεις· 29 ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, ὁ θεός μου φωτιεῖς
30 τὸ σκότος μου· 30 ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ θεῷ
31 μου ὑπερβήσομαι τεῖχος. 31 ὁ θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια κυρίου
32 πεπυρωμένα, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. 32 ὅτι
33 τίς θεὸς πλὴν τοῦ κυρίου, καὶ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν; 33 ὁ θεὸς ὁ
34 περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου· 34 ὁ καταρτιζό-
35 μενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με· 35 διδά-
σκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου·
36 36 καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό
μου· καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με
37 διδάξει. 37 ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν
38 τὰ ἴχνη μου. 38 καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς, καὶ
39 οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν· 39 ἐκθλίψω αὐτοὺς καὶ οὐ μὴ δύ-
40 νωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου. 40 καὶ περιέζωσάς με δύνα-
μιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω
41 μου. 41 καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξω-
42 λόθρευσας. 42 ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων· πρὸς κύριον, καὶ οὐκ εἰς-
43 ήκουσεν αὐτῶν. 43 καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς
44 πηλὸν πλατειῶν λεανῶ αὐτούς. 44 ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις
45 με εἰς κεφαλὴν ἐθνῶν· λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, 45 εἰς ἀκοὴν ὠτίου
46 ὑπήκουσέ μοι· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, 46 υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν
47 καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. 47 ζῇ κύριος, καὶ εὐλογητὸς ὁ θεός
48 μου, καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου· 48 ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις
49 ἐμοί, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ, 49 ὁ ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων·
ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.
50 50 διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ· Ro. 15,9
51 51 μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ
αὐτοῦ τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

---

16. ανεκαλυφθησαν 18. ρυσαι τε με 21. ab initio repetit: ρυσεται με εξ εχθρων μου δυνατων και εκ των μισουντων με 25. post χειρων μου add ανταποδωσει μοι 34. ο καταρτιζων ... ελαφους 38. καταλημψομαι 40. επανιστανομενους 41. εξωλεθρευσας 42. εισηκουσεν 43. ωσει χνουν 44. ρυσαι τε με απο α. λαων ... ος ουκ 45. επηκουσας μου ... οι υιοι 46. εχωλ. εκ των 49. εξ εχθρ. μου οργ. ... ρυσαι με

Digitized by Google

## XVIII. (XIX.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

²Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει 2
τὸ στερέωμα. ³ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει 3
γνῶσιν. ⁴οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· ⁵εἰς 4 5
10, πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης
3. τὰ ῥήματα αὐτῶν. ⁶ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς ὡς νυμ- 6
φίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν
αὐτοῦ· ⁷ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ 7
ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.
⁸ὁ νόμος τοῦ κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς, ἡ μαρτυρία κυρίου πιστὴ 8
σοφίζουσα νήπια. ⁹τὰ δικαιώματα κυρίου εὐθέα εὐφραίνοντα καρδίαν, ἡ ἐν- 9
τολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς. ¹⁰ὁ φόβος κυρίου ἁγνὸς δια- 10
μένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ
αὐτό, ¹¹ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ 11
μέλι καὶ κηρίον. ¹²καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν 12
αὐτὰ ἀνταπόδοσις πολλή. ¹³παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου 13
καθάρισόν με, ¹⁴καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· ἐὰν μή μου 14
κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας με-
γάλης. ¹⁵καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη 15
τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός, κύριε βοηθέ μου καὶ λυτρωτά μου.

## XIX. (XX.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

²Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα 2
τοῦ θεοῦ Ἰακώβ. ³ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντι- 3
λάβοιτό σου· ⁴μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. 4
διάψαλμα. ⁵δῴη σοι κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πλη- 5
ρώσαι. ⁶ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγα- 6
λυνθησόμεθα. πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. ⁷νῦν ἔγνων ὅτι ἔσωσε 7
κύριος τὸν χριστὸν αὐτοῦ· ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν
δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. ⁸οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπ- 8
ποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. ⁹αὐτοὶ συνε- 9
ποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. ¹⁰κύριε, 10
σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

## XX. (XXI.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

²Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σω- 2
τηρίῳ σου ἀγαλλιάσεται σφόδρα. ³τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας 3
αὐτῷ, καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. διάψαλμα.
⁴ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν 4
αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ⁵ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μα- 5
κρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. ⁶μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ 6
σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν· ⁷ὅτι δώσεις αὐτῷ εὐ- 7
λογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

---

XVIII. 2. αναγγελει 3. η ημερα ... αναγγελει 4. *om αυτων (?) 8. ο νομος κυριου 9. ευθεια 14. κατακυριευσουσιν 15. σου εστιν δια
XIX. 5. δωη σοι κυριος ... πληρωσει 6. αγαλλ. επι τω 8. om κυριου 9. ανορθωθημεν

Digitized by Google

8 [8]ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σα-
9 λευθῇ. [9]εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάν-
10 τας τοὺς μισοῦντάς σε. [10]θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ
προσώπου σου· κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται
11 αὐτοὺς πῦρ. [11]τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ
12 υἱῶν ἀνθρώπων. [12]ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλὴν ἣν οὐ μὴ
13 δύνωνται στῆσαι. [13]ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμά-
14 σεις τὸ πρόσωπον αὐτῶν. [14]ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν καὶ
ψαλοῦμεν τὰς δυναστείας σου.

## XXI. (XXII.)

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαυίδ.

2 [2]Ὁ θεὸς ὁ θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ Mt. 2
3 τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. [3]ὁ θεός μου, κεκράξο- 46. Mc. 1
μαι ἡμέρας πρὸς σὲ καὶ οὐκ εἰςακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. 34.
4 5 [4]σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. [5]ἐπὶ σοὶ ἤλπισαν οἱ πατέ-
6 ρες ἡμῶν, ἤλπισαν καὶ ἐῤῥύσω αὐτούς· [6]πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν,
7 ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν. [7]ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄν-
8 θρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. [8]πάντες οἱ θεωροῦντές με
9 ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν [9]Ἤλπισεν ἐπὶ *Mt. 2
10 κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτὸν ὅτι θέλει αὐτόν. [10]ὅτι σὺ εἶ ὁ ἐκ- 43.
11 σπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· [11]ἐπὶ σὲ
ἐπεῤῥίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ· μὴ ἀποστῇς
12 13 ἀπ᾿ ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, [12]ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. [13]περιεκύκλωσάν με
14 μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· [14]ἤνοιξαν ἐπ᾿ ἐμὲ τὸ στόμα αὐ-
15 τῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος. [15]ὡςεὶ ὕδωρ ἐξεχύθην καὶ διεσκορ-
πίσθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθη ἡ καρδία μου ὡςεὶ κηρὸς τηκόμενος ἐν
16 μέσῳ τῆς κοιλίας μου. [16]ἐξηράνθη ὡςεὶ ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά
17 μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. [17]ὅτι
ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με· ὤρυξαν
18 χεῖράς μου καὶ πόδας, [18]ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατε-
19 νόησαν καὶ ἐπεῖδόν με. [19]διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν Jo. 1
20 ἱματισμόν μου ἔβαλον κλῆρον. [20]σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν 24.
21 μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. [21]ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου,
22 καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· [22]σῶσόν με ἐκ στόματος λέοντος, καὶ
23 ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. [23]διηγήσομαι τὸ ὄνομά σου He. 2
24 τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. [24]οἱ φοβούμενοι κύριον 12.
αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν, φοβηθήτωσαν αὐ-
25 τὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ. [25]ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προςώχθισε τῇ
δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ᾿ ἐμοῦ, καὶ ἐν
26 τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰςήκουσέ μου. [26]παρὰ σοῦ ὁ ἔπαινός μου ἐν
ἐκκλησίᾳ μεγάλῃ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.
27 [27]φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες
28 αὐτόν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. [28]μνησθήσονται καὶ

---

XX. 10. κυριε εν οργη σου συνταραξεις 12. (εκκλιναν ...) βουλας ας ου μη δ. στηναι 13. ed. rom. νωτον εν τ. π. σου conjg. XXI. 1. αντιλημψεως ... om ψαλμ. τω δαυ. 2. εγκατελειπες 4. εν αγιοις ... ο επαινος ισραηλ 5. ερυσω 7. και ουχι ανθρωπος ... ανθρωπου (10. εκπασας) 11. επεριφην 15. εμμεσω 16. ως οστραχον 17. ποδας μου 18. επιδον 20. αντιλημψιν 21. μονογενην 23. εμμεσω 25. επηκουσεν 26. ed. rom. εν εκκλ. μεγ. c. seqq. conjg. ... ενωπ. παντων των

Digitized by Google

ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν
ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· 29 ὅτι τοῦ κυρίου ἡ βασιλεία, 29
καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. 30 ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες 30
τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν.
καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, 31 καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ· ἀναγγε- 31
λήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, 32 καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐ- 32
τοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

## XXII. (XXIII.)

Ψαλμὸς τῷ Δαυίδ.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. 2 εἰς τόπον χλόης ἐκεῖ με 2
κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· 3 τὴν ψυχήν μου ἐπέ- 3
στρεψεν· ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
4 ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι 4
σὺ μετ' ἐμοῦ εἶ· ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.
5 ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν 5
ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον. 6 καὶ 6
τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κα-
τοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν.

## XXIII. (XXIV.)

Ψαλμὸς τῷ Δαυὶδ τῆς μιᾶς σαββάτου.

1 Co. 10, Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ
26. κατοικοῦντες ἐν αὐτῇ. 2 αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ πο- 2
ταμῶν ἡτοίμασεν αὐτήν. 3 τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ τίς 3
στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; 4 ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς 4
οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλη-
σίον αὐτοῦ. 5 οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ 5
θεοῦ σωτῆρος αὐτοῦ. 6 αὕτη ἡ γενεὰ ζητούντων αὐτόν, ζητούντων τὸ πρόσωπον 6
τοῦ θεοῦ Ἰακώβ. διάψαλμα. 7 ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε 7
πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. 8 τίς ἐστιν οὗτος ὁ βα- 8
σιλεὺς τῆς δόξης; κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ.
9 ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύ- 9
σεται ὁ βασιλεὺς τῆς δόξης. 10 τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος 10
τῶν δυνάμεων, αὐτός ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης.

## XXIV. (XXV.)

Ψαλμὸς τῷ Δαυίδ.

Πρὸς σέ, κύριε, ἦρα τὴν ψυχήν μου· 2 ὁ θεός μου, ἐπὶ σοὶ πέποιθα· 2
μὴ καταισχυνθείην, μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου. 3 καὶ γὰρ 3
πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦν-
τες διὰ κενῆς. 4 τὰς ὁδούς σου, κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δί- 4
δαξόν με· 5 ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ 5
ὁ θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. 6 μνήσθητι τῶν 6
οἰκτιρμῶν σου, κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. 7 ἁμαρτίας 7
νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί

---

(28. τα περα) 31. το σπερμα αυτου 33. εποιησεν κυριος XXII. 1. ποιμανει 4. εμμεσω ... αυτα pro αυται XXIII. 2. ητοιμασασεν αυτην (sic) 4. αλαβεν (sic) επι ματαιως (sic) τ. ψυχ. μου ... in f. om αυτου 5. λημψεται 6. om διαψαλμα 8. *om τις ε. ο. ο βασ. τ. δοξης 10. *om τις ε. ο. ο βασ. τ. δοξης ... om ουτος sec. XXIV. 3. *om γαρ ... αισχ. παντες οι 5. εν τη αληθειαν σου (sic)

Digitized by Google

8 μου ἕνεκεν τῆς χρηστότητός σου, κύριε. [8]χρηστὸς καὶ εὐθὴς ὁ κύριος· διὰ
9 τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ, [9]ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει
10 πραεῖς ὁδοὺς αὐτοῦ. [10]πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζη-
11 τοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ. [11]ἕνεκα τοῦ ὀνόματός
12 σου, κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι. [12]τίς ἐστιν ἄνθρω-
13 πος ὁ φοβούμενος τὸν κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο· [13]ἡ
ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει
14 γῆν. [14]κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ
15 δηλῶσαι αὐτοῖς. [15]οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς
16 ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. [16]ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με,
17 ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. [17]αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύν-
18 θησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. [18]ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν
19 κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. [19]ἴδε τοὺς ἐχθρούς μου ὅτι
20 ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. [20]φύλαξον τὴν ψυχήν μου
21 καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ. [21]ἄκακοι καὶ εὐθεῖς
22 ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, κύριε. [22]λύτρωσαι, ὁ θεός, τὸν Ἰσραὴλ ἐκ
πασῶν τῶν θλίψεων αὐτοῦ.

## XXV. (XXVI.)

Τοῦ Δαυίδ.

Κρῖνόν με, κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ κυρίῳ
2 ἐλπίζων οὐ μὴ σαλευθῶ. [2]δοκίμασόν με, κύριε, καὶ πείρασόν με, πύρωσον
3 τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. [3]ὅτι τὸ ἔλεός σου κατέναντι τῶν
4 ὀφθαλμῶν μού ἐστι, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. [4]οὐκ ἐκάθισα μετὰ
5 συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· [5]ἐμίσησα
6 ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. [6]νίψομαι ἐν
7 ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, κύριε, [7]τοῦ ἀκοῦ-
8 σαι φωνῆς αἰνέσεως, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. [8]κύριε, ἠγά-
9 πησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. [9]μὴ συναπο-
λέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν
10 11 μου· [10]ὧν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. [11]ἐγὼ δὲ ἐν
12 ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με καὶ ἐλέησόν με. [12]ὁ πούς μου ἔστη ἐν
εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, κύριε.

## XXVI. (XXVII.)

Τοῦ Δαυὶδ πρὸ τοῦ χρισθῆναι.

Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; κύριος ὑπερα-
2 σπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; [2]ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κα-
κοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ
3 ἠσθένησαν καὶ ἔπεσαν. [3]ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθή-
σεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4 [4]μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ἐκζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ
κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα
5 κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ. [5]ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ
ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ
6 ὕψωσέ με. [6]καὶ νῦν ἰδοὺ ὕψωσε τὴν κεφαλήν μου ἐπ' ἐχθρούς μου·

---

7. ενεκα (9. *διδαξεις) 14. post φοβουμ. αυτον add και το ονομα κυριου των επικαλουμενων αυτον (15. εκπασει) XXV. 1. ασθενησω pro σαλευθω 3. οφθαλμ. σου εστ. 4. ματαιοτητας 7. φωνην 10. ε ανομιαι 11. λυτρ. με κυριε 13. ο γαρ πους XXVI. 1. Τω δαυ. προ του χρισθη (sic) 4. το κατοικειν ... τ. ναον τον αγιον αυτου 6. υψωσεν κυριος

Digitized by Google

ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ, ᾄσομαι καὶ ψαλῶ
τῷ κυρίῳ. [7]εἰσάκουσον, κύριε, τῆς φωνῆς μου ἧς ἐκέκραξα, ἐλέησόν με καὶ 7
εἰσάκουσόν μου. [8]σοὶ εἶπεν ἡ καρδία μου Ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ 8
πρόσωπόν σου κύριε ζητήσω. [9]μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, 9
μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· βοηθός μου γενοῦ, μὴ ἐγκαταλί-
πῃς με καὶ μὴ ὑπερίδῃς με, ὁ θεὸς ὁ σωτήρ μου. [10]ὅτι ὁ πατήρ μου καὶ 10
ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προςελάβετό με. [11]νομοθέτησόν 11
με, κύριε, ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν
ἐχθρῶν μου. [12]μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν 12
μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. [13]πιστεύω τοῦ ἰδεῖν τὰ 13
ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. [14]ὑπόμεινον τὸν κύριον· ἀνδρίζου, καὶ κρα- 14
ταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν κύριον.

## XXVII. (XXVIII.)

Τοῦ Δαυίδ.

Πρὸς σὲ κύριε ἐκέκραξα, ὁ θεός μου μὴ παρασιωπήσῃς ἐπ' ἐμοί· μή
ποτε παρασιωπήσῃς ἐπ' ἐμοὶ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκ-
κον. [2]εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, 2
ἐν τῷ αἴρειν με χεῖράς μου εἰς ναὸν ἅγιόν σου. [3]μὴ συνελκύσῃς μετὰ ἁμαρ- 3
τωλῶν τὴν ψυχήν μου, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με,
τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις
αὐτῶν. [4]δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπι- 4
τηδευμάτων αὐτῶν· κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος
τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς. [5]ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου καὶ εἰς 5
τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
[6]εὐλογητὸς κύριος, ὅτι εἰςήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. [7]κύριος 6 7
βοηθός μου καὶ ὑπερασπιστής μου· ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ
ἐβοηθήθην καὶ ἀνέθαλεν ἡ σάρξ μου· καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι
αὐτῷ. [8]κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων 8
τοῦ χριστοῦ αὐτοῦ ἐστί. [9]σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονο- 9
μίαν σου, καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

## XXVIII. (XXIX.)

Ψαλμὸς τῷ Δαυὶδ ἐξοδίου σκηνῆς.

Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ, ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν· ἐνέγ-
κατε τῷ κυρίῳ δόξαν καὶ τιμήν, [2]ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ· 2
προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. [3]φωνὴ κυρίου ἐπὶ τῶν ὑδά- 3
των, ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν. [4]φωνὴ κυρίου 4
ἐν ἰσχύϊ, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. [5]φωνὴ κυρίου συντρίβοντος κέδρους· 5
συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου, [6]καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον 6
τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. [7]φωνὴ κυρίου διακόπτον- 7
τος φλόγα πυρός. [8]φωνὴ κυρίου συσσείοντος ἔρημον, συσσείσει κύριος τὴν ἔρημον 8
Κάδης. [9]φωνὴ κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς· καὶ 9
ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. [10]κύριος τὸν κατακλυσμὸν κατοικιεῖ· καὶ 10
καθιεῖται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. [11]κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, 11
κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

---

7. ης εχεχρ. προς σε 9. εγκαταλειπης 10. ενκατελειπον 11. om εν prius 12. εαυτης 14. η καρδ. μου XXVII. 1. κεκραξομαι ... παρασιωπ. απ εμου bis 2. ης εκεκραξα προς σε pro εν τω δ. με πρ. σε ... προς ναον 3. εργαζομεν. την (supple αδικιαν) 4. om αυτων ante δος 5. συνηκα ... χειρων αυτων 7. ανεθαλλεν XXVIII. 8. συσειοντος

## XXIX. (XXX.)

Εἰς τὸ τέλος ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τοῦ Δαυίδ.

2 [2]Ὑψώσω σε, κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς
3 4 μου ἐπ' ἐμέ. [3]κύριε ὁ θεός μου, ἐκέκραξα πρὸς σὲ καὶ ἰάσω με· [4]κύριε,
ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς
5 λάκκον. [5]ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς
6 ἁγιωσύνης αὐτοῦ. [6]ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι
αὐτοῦ· τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.
7 8 [7]ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. [8]κύριε,
ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ
9 πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. [9]πρὸς σὲ κύριε κεκράξομαι, καὶ
10 πρὸς τὸν θεόν μου δεηθήσομαι. [10]τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ
καταβῆναί με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν
11 ἀλήθειάν σου; [11]ἤκουσε κύριος καὶ ἠλέησέ με, κύριος ἐγενήθη βοηθός μου.
12 [12]ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέῤῥηξας τὸν σάκκον μου καὶ
13 περιέζωσάς με εὐφροσύνην, [13]ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ
κατανυγῶ. κύριε ὁ θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

## XXX. (XXXI.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυὶδ ἐκστάσεως.

2 [2]Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δι-
3 καιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με. [3]κλῖνον πρὸς μὲ τὸ οὖς σου, τάχυνον
τοῦ ἐξελέσθαι με· γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυ-
4 γῆς τοῦ σῶσαί με. [4]ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν
5 τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με. [5]ἐξάξεις με ἐκ παγίδος
6 ταύτης ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, κύριε. [6]εἰς χεῖράς Lc. 23,
σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, κύριε ὁ θεὸς τῆς ἀληθείας. 46.
7 [7]ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς· ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ
8 ἤλπισα. [8]ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι ἐπεῖδες τὴν
9 ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου· [9]καὶ οὐ συνέ-
10 κλεισάς με εἰς χεῖρας ἐχθροῦ, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. [10]ἐλέη-
σόν με, κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή
11 μου καὶ ἡ γαστήρ μου. [11]ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου
ἐν στεναγμοῖς· ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐτα-
12 ράχθησαν. [12]παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί
μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου· οἱ θεωροῦντές με ἔξω ἔφυγον
13 ἀπ' ἐμοῦ· [13]ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπο-
14 λωλός. [14]ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν· ἐν τῷ συναχθῆ-
15 ναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. [15]ἐγὼ
16 δὲ ἐπὶ σοὶ ἤλπισα, κύριε· εἶπα Σὺ εἶ ὁ θεός μου. [16]ἐν ταῖς χερσί σου
οἱ κλῆροί μου· ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων
17 με. [17]ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ
18 ἐλέει σου. [18]κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν
19 οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου. [19]ἄλαλα γενηθήτω τὰ χείλη τὰ

XXIX. 1. om εις το τελος ... τω δαυιδ 2. ηυφρανας ... επ εμοι 8. θελημ. μου παρασχου XXX. 2. εξελουμαι (id est? εξελου με) 4. κραταιωσις ... *μου pro σου **8. εφειδες 11. εξελειπεν 13. απωλωλος 14. επισυναχθηναι 15. κυριε ηλπισα 18. om οι 19. υπερηφανια (ita etiam ed. rom.) 20. ελπιζ. επι σοι 21. και κατακρυψεις 23. απεριμμε ... *μου pro σου ... **εισηκουσεν (*εισηκουσας vdtr) της φωνης 24. εκζ. ο θεος (vdtr) 24. υπερηφανιαν (ita etiam ed. rom.)

Digitized by Google

δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξου-
δενώσει. [20] ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, κύριε, ἧς ἔκρυψας 20
τοῖς φοβουμένοις σε· ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν
ἀνθρώπων. [21] καταχρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προςώπου σου ἀπὸ τα- 21
ραχῆς ἀνθρώπων· σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
[22] εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. 22
[23] ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου Ἀπέῤῥιμμαι ἀπὸ προςώπου τῶν ὀφθαλ- 23
μῶν σου· διὰ τοῦτο εἰςήκουσας, κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ
κεκραγέναι με πρὸς σέ. [24] ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι 24
ἀληθείας ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφα-
νίαν. [25] ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες 25
ἐπὶ κύριον.

## XXXI. (XXXII.)

Συνέσεως τῷ Δαυίδ.

Ro. 4, 7. 8. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. 1
[2] μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στό- 2
ματι αὐτοῦ δόλος. [3] ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν 3
με ὅλην τὴν ἡμέραν. [4] ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, 4
ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι ἄκανθαν. διάψαλμα. [5] τὴν ἁμαρ- 5
τίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπα Ἐξαγορεύσω
κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρ-
δίας μου. διάψαλμα. [6] ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ 6
εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. [7] σύ 7
μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου λύ-
τρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. διάψαλμα. [8] συνετιῶ σε καὶ συμβιβῶ σε 8
ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. [9] μὴ γίνεσθε 9
ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας
αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ. [10] πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρ- 10
τωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον ἔλεος κυκλώσει. [11] εὐφράνθητε ἐπὶ κύριον 11
καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

## XXXII. (XXXIII.)

Τῷ Δαυίδ.

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. [2] ἐξομο- 2
λογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ· [3] ᾄσατε 3
αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε ἐν ἀλαλαγμῷ. [4] ὅτι εὐθὴς ὁ λόγος τοῦ κυ- 4
ρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει· [5] ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, 5
τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ. [6] τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώ- 6
θησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· [7] συν- 7
άγων ὡςεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. [8] φοβηθήτω 8
τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες
τὴν οἰκουμένην· [9] ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτί- 9
σθησαν. [10] κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ 10
ἀθετεῖ βουλὰς ἀρχόντων· [11] ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λο- 11
γισμοὶ τῆς καρδίας αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς. [12] μακάριον τὸ ἔθνος οὗ 12

---

XXXI. 1. ψαλμος pro συνεσεως 2. ου pro ᾧ 4. εν τω παγηναι μοι ακανθαν ... om διαψαλμα 5. τ. ανομιαν μ. εγν. και τ. αμαρτιαν 7. om διαψαλμα 8. συνβιβω 9. εν κημω κ. χαλινω ... αγξις XXXII. 1. ψαλμος τω δαυ. ... η αινεσις 5. κρισιν ο κυριος 6. τω λογω κυριου 11. αυτου εις γενεαν και γεναιαν



Digitized by Google

13 ἐστὶ κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. [13] ἐξ οὐ-
14 ρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· [14] ἐξ ἑτοίμου
15 κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν, [15] ὁ
16 πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν. [16] οὐ
σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος
17 αὐτοῦ· [17] ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σω-
18 θήσεται. [18] ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπί-
19 ζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, [19] ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ δια-
20 θρέψαι αὐτοὺς ἐν λιμῷ. [20] ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ κυρίῳ, ὅτι βοηθὸς καὶ
21 ὑπερασπιστὴς ἡμῶν ἐστίν· [21] ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν
22 τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. [22] γένοιτο τὸ ἔλεός σου, κύριε, ἐφ' ἡμᾶς
καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

## XXXIII. (XXXIV.)

Τῷ Δαυίδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.

2 [2] Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν
3 τῷ στόματί μου. [3] ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν
4 πραεῖς καὶ εὐφρανθήτωσαν. [4] μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν
5 τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. [5] ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ
6 πασῶν τῶν παροικιῶν μου ἐρρύσατό με. [6] προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
7 καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. [7] οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ
ὁ κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
8 [8] παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐ-
9 τούς. [9] γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει * 1 Pe.
10 ἐπ' αὐτόν. [10] φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέ- 2. 3.
11 ρημα τοῖς φοβουμένοις αὐτόν. [11] πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ
12 ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. διάψαλμα. [12] δεῦτε
13 τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. [13] τίς ἐστιν ἄνθρωπος ὁ θέ- 1 Pe. 3,
14 λων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; [14] παῦσον τὴν γλῶσσάν σου ἀπὸ 10. 11.
15 κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· [15] ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίη- 12.
16 σον ἀγαθόν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν. [16] ὀφθαλμοὶ κυρίου ἐπὶ δι-
17 καίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· [17] πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦν-
18 τας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. [18] ἐκέκραξαν οἱ
δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν
19 ἐρρύσατο αὐτούς. [19] ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς
20 ταπεινοὺς τῷ πνεύματι σώσει. [20] πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πα-
21 σῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος· [21] φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν Jo. 19,
22 ἐξ αὐτῶν οὐ συντριβήσεται. [22] θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες 36.
23 τὸν δίκαιον πλημμελήσουσι. [23] λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ
οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

## XXXIV. (XXXV.)

Τῷ Δαυίδ.

Δίκασον, κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με·
2 3 [2] ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μοι· [3] ἔκχεον ῥομ-
φαίαν καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με· εἰπὸν τῇ ψυχῇ μου
4 Σωτηρία σου ἐγώ εἰμι. [4] αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν

22. γενοιτο κυριε το ελ. σου εφ ... επι σοι XXXIII. 3. επαινεσθησεται 4. υψωσομεν 5. θλιψεων pro παροικιων 8. ρυσεται αυτον 11. *om διαψαλμα 13. ειδειν 21. φυλασσει κυριος XXXIV. 1. ψαλμος τω δαυ. 2. βοηθ. μου 3. ρομφ. σου ... ειμι εγω 4. αισχυνθητωσαν κ. εντραπητωσαν

Digitized by Google

ψυχήν μου, ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνϑείησαν οἱ λογιζό-
μενοί μοι κακά. [5] γενηϑήτωσαν ὡςεὶ χοῦς κατὰ πρόςωπον ἀνέμου, καὶ ἄγγε- 5
λος κυρίου ἐκϑλίβων αὐτούς· [6] γενηϑήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσϑημα, 6
καὶ ἄγγελος κυρίου καταδιώκων αὐτούς. [7] ὅτι δωρεὰν ἔκρυψάν μοι διαφϑορὰν 7
παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου. [8] ἐλϑέτω αὐτοῖς παγὶς ἣν 8
οὐ γινώσκουσι, καὶ ἡ ϑήρα ἣν ἔκρυψαν συλλαβέτω αὐτούς, καὶ ἐν τῇ παγίδι
πεσοῦνται ἐν αὐτῇ. [9] ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, τερφϑή- 9
σεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. [10] πάντα τὰ ὀστᾶ μου ἐροῦσι Κύριε, τίς ὅμοιός 10
σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα
ἀπὸ τῶν διαρπαζόντων αὐτόν. [11] ἀναστάντες μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνω- 11
σκον ἐπηρώτων με· [12] ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν, καὶ ἀτεκνίαν 12
τῇ ψυχῇ μου. [13] ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον, 13
καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προςευχή μου εἰς κόλπον
μου ἀποστραφήσεται· [14] ὡς πλησίον ὡς ἀδελφὸν ἡμέτερον οὕτως εὐηρέστουν, 14
ὡς πενϑῶν καὶ σκυϑρωπάζων οὕτως ἐταπεινούμην. [15] καὶ κατ' ἐμοῦ εὐφράν- 15
ϑησαν καὶ συνήχϑησαν, συνήχϑησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων, διε-
σχίσϑησαν καὶ οὐ κατενύγησαν· [16] ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτη- 16
ρισμόν, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. [17] κύριε, πότε ἐπόψῃ; ἀποκατά- 17
στησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ
μου. [18] ἐξομολογήσομαί σοι καὶ ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. 18
* Jo. 15, 25. [19] μὴ ἐπιχαρείησάν μοι οἱ ἐχϑραίνοντές μοι ματαίως, οἱ μισοῦντές με δωρεὰν 19
καὶ διανεύοντες ὀφϑαλμοῖς. [20] ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ 20
δόλους διελογίζοντο· [21] καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν Εὖγε 21
εὖγε, εἶδον οἱ ὀφϑαλμοὶ ἡμῶν. [22] εἶδες κύριε, μὴ παρασιωπήσῃς· κύριε, μὴ 22
ἀποστῇς ἀπ' ἐμοῦ. [23] ἐξεγέρϑητι κύριε καὶ πρόσχες τῇ κρίσει μου, ὁ ϑεός 23
μου καὶ ὁ κύριός μου, εἰς τὴν δίκην μου. [24] κρῖνόν με, κύριε, κατὰ τὴν δι- 24
καιοσύνην σου, κύριε ὁ ϑεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι. [25] μὴ εἴποισαν 25
ἐν καρδίαις αὐτῶν Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποιεν Κατεπίομεν αὐ-
τόν. [26] αἰσχυνϑείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· 26
ἐνδυσάσϑωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ. [27] ἀγαλ- 27
λιάσαιντο καὶ εὐφρανϑείησαν οἱ ϑέλοντες τὴν δικαιοσύνην μου, καὶ εἰπάτωσαν
διὰ παντός Μεγαλυνϑείη ὁ κύριος, οἱ ϑέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.
[28] καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν 28
ἔπαινόν σου.

## XXXV. (XXXVI.)

Εἰς τὸ τέλος τῷ δούλῳ κυρίου τῷ Δαυίδ.

Ro. 3, 18. [2] Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος ϑεοῦ 2
ἀπέναντι τῶν ὀφϑαλμῶν αὐτοῦ· [3] ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν 3
ἀνομίαν αὐτοῦ καὶ μισῆσαι. [4] τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ 4
δόλος, οὐκ ἠβουλήϑη συνιέναι τοῦ ἀγαϑῦναι. [5] ἀνομίαν ἐλογίσατο ἐπὶ τῆς 5
κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαϑῇ, τῇ δὲ κακίᾳ οὐ προςώχϑισε.

4. αποστραφητωσαν ... καταισχυνϑητωσαν 5. χνους 8. ελϑατω ... συνλαβετω αυτον ... πεσειται 10. Κυριε κυριε ... ρυομενον (sic) πτ. εκ στερεωτερων 11. ηρωτων 12. ανταποδιδοσαν ... αντι αγαϑων 13. αποστραφητω 15. ηυφρανϑησαν 17. (εποψη, αποκαταστ. sic interpg. ed. rom.) ... μονογενην 18. om και 19. αδικως pro ματαιως ... om με 20. επ οργην 21. (επλατυνα) ... ειπον 22. *om κυριε sec. (vdtr) 24. *κρινον μοι (... επιχαρησαν) 25. ειποισαν pro ειποιεν 26. μεγαλορημονουντες (ed. rom. μεγαλορρημουντες) 27. αγαλλιασοιντο κ. ευφρ. επι σοι ... μεγαλυνϑητω 28. *ο επαινος XXXV. 1. Εις το τελος τω δαυ. ψαλμος. 4. εβουληϑη 5. διελογισατο ... αγαϑη, κακια δε ου

Digitized by Google

6 [6]κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν·
7 [7]ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ὡσεὶ ἄβυσσος πολλή.
8 ἀνθρώπους καὶ κτήνη σώσεις κύριε, [8]ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ θεός· οἱ
9 δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. [9]μεθυσθήσον-
ται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐ-
10 11 τούς. [10]ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. [11]παρά-
τεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι
12 τῇ καρδίᾳ. [12]μὴ ἐλθέτω μοι πούς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ
13 σαλεύσαι με. [13]ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν
καὶ οὐ μὴ δύνωνται στῆναι.

## XXXVI. (XXXVII.)

### Τῷ Δαυίδ.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνο-
2 μίαν· [2]ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ
3 ἀποπεσοῦνται. [3]ἔλπισον ἐπὶ κύριον καὶ ποίει χρηστότητα, καὶ κατασκήνου
4 τὴν γῆν καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. [4]κατατρύφησον τοῦ κυρίου,
5 καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. [5]ἀποκάλυψον πρὸς κύριον τὴν
6 ὁδόν σου καὶ ἔλπισον ἐπ᾽ αὐτόν, καὶ αὐτὸς ποιήσει· [6]καὶ ἐξοίσει ὡς φῶς
7 τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. [7]ὑποτάγηθι τῷ κυρίῳ
καὶ ἱκέτευσον αὐτόν· μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ,
8 ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας. [8]παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν,
9 μὴ παραζήλου ὥστε πονηρεύεσθαι. [9]ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται,
10 οἱ δὲ ὑπομένοντες τὸν κύριον αὐτοὶ κληρονομήσουσι τὴν γῆν. [10]καὶ ἔτι ὀλί-
γον καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ
11 εὕρῃς· [11]οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει *Mt. 5,5.
12 εἰρήνης. [12]παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ᾽ αὐτὸν
13 τοὺς ὀδόντας αὐτοῦ· [13]ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει ὅτι ἥξει
14 ἡ ἡμέρα αὐτοῦ. [14]ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν
15 τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ· [15]ἡ
ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντρι-
16 17 βείη. [16]κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. [17]ὅτι
βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ κύριος.
18 [18]γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν
19 αἰῶνα ἔσται· [19]οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ
20 χορτασθήσονται. [20]ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ κυρίου ἅμα
21 τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. [21]δα-
νείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει, ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ.
22 [22]ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν
23 ἐξολοθρευθήσονται. [23]παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται,
24 καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει· [24]ὅταν πέσῃ οὐ καταραχθήσεται, ὅτι κύριος
25 ἀντιστηρίζει χεῖρα αὐτοῦ. [25]νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα, καὶ οὐκ
26 εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. [26]ὅλην
τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

---

7. om ωςει 8. οι δε οι υιοι 12. ελθατω ... υπερηφανιας (ita etiam ed. rom.) ... αμαρτωλου ... σαλευσει 13. επεσαν XXXVI. 1. εις το τελος ψαλμος τω δαυ. 3. ποιμανθησει 4. (καταφρυτησον) ... δωη 7. παρανομιαν 8. εγκαταλειπε 9. εξολεθρευθησονται ... κληρονομησουσιν γην 10. υπαρξει ο αμαρτ. 11. in f. add επ αυτης 18. εις αιωνα 20. εξελειπον 21. διδωσιν 22. εξολεθρευθησονται 23. θελησει σφοδρα 26. δανιζει, ο δικαιος

Digitized by Google

[27] ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶ- 27
νος. [28] ὅτι κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς 28
τὸν αἰῶνα φυλαχθήσονται· ἄμωμοι ἐκδικηθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξο-
λοθρευθήσεται. [29] δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς 29
αἰῶνα αἰῶνος ἐπ' αὐτῆς. [30] στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα 30
αὐτοῦ λαλήσει κρίσιν· [31] ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ 31
ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. [32] κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, 32
καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν· [33] ὁ δὲ κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς 33
τὰς χεῖρας αὐτοῦ, οὐδὲ μὴ καταδικάσαι αὐτὸν ὅταν κρίνηται αὐτῷ. [34] ὑπό- 34
μεινον τὸν κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακλη-
ρονομῆσαι τὴν γῆν, ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. [35] εἶδον τὸν ἀσεβῆ 35
ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· [36] καὶ παρῆλ- 36
θον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.
[37] φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρη- 37
νικῷ. [38] οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό, τὰ ἐγκαταλείμματα 38
τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. [39] σωτηρία δὲ τῶν δικαίων παρὰ κυρίου, καὶ 39
ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως· [40] καὶ βοηθήσει αὐτοῖς κύριος 40
καὶ ῥύσεται αὐτούς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν καὶ σώσει αὐτούς,
ὅτι ἤλπισαν ἐπ' αὐτόν.

## XXXVII. (XXXVIII.)

Ψαλμὸς τῷ Δαυὶδ εἰς ἀνάμνησιν περὶ σαββάτου.

[2] Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. 2
[3] ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου· 3
[4] οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν 4
εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. [5] ὅτι αἱ ἀνομίαι 5
μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.
[6] προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης 6
μου· [7] ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυ- 7
θρωπάζων ἐπορευόμην· [8] ὅτι ἡ ψυχή μου ἐπλήσθη ἐμπαιγμῶν, καὶ οὐκ ἔστιν 8
ἴασις ἐν τῇ σαρκί μου. [9] ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην 9
ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. [10] καὶ ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, 10
καὶ ὁ στεναγμός μου οὐκ ἀπεκρύβη ἀπὸ σοῦ. [11] ἡ καρδία μου ἐταράχθη, 11
ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου οὐκ ἔστι μετ'
ἐμοῦ. [12] οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστη- 12
σαν, καὶ οἱ ἔγγιστά μου μακρόθεν ἔστησαν· [13] καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες 13
τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ
δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. [14] ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, 14
καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ· [15] καὶ ἐγενόμην ὡσεὶ ἄνθρω- 15
πος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. [16] ὅτι ἐπὶ σοί, 16
κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, κύριε ὁ θεός μου. [17] ὅτι εἶπα Μή ποτε ἐπιχα- 17
ρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγα-
λοῤῥημόνησαν. [18] ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν 18
μου διὰ παντός. [19] ὅτι τὴν ἀνομίαν μου ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς 19

---

28. φυλαχθησονται· ανομοι δε εκδιωχθησονται κ. σπ. ασ. εξολεθρευθησ. 33. εγκαταλειπη ... ουδ ου μη καταδικασηται ... κρινεται omisso οταν 34. κληρονομησαι γην ... εξολεθρευεσθαι ... οψη 35. ασεβην 38. εξολεθρευθ. bis XXXVII. 1. (αμνησιν) ... περι του σαββ. 2. ελεγξεις 3. επεστηρισας 4. εν τοις οστεοις 5. om βαρυ 8. οτι αι ψυαι μου επλησθησαν ενπεγματων 10. κυριε (pro και) εναντιον ... απο σου ουκ εκρυβη 11. ενκατελειπεν ... οφθαλμ. μ. και αυτο ουκ 12. απο μακροθεν 13. εξεβιασαντο 17. εμεγαλορημονησαν 18. εστιν δια παντος 19. εγω αναγγελω

Digitized by Google

20 ἁμαρτίας μου. [20] οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ
21 ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως· [21] οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγα-
22 θῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην. [22] μὴ ἐγκαταλίπῃς με,
23 κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ· [23] πρόσχες εἰς τὴν βοήθειάν μου,
κύριε τῆς σωτηρίας μου.

## XXXVIII. (XXXIX.)

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺν, ᾠδὴ τῷ Δαυίδ.

2 [2] Εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· ἐθέ-
μην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.
3 [3] ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου
4 ἀνεκαινίσθη. [4] ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου
5 ἐκκαυθήσεται πῦρ· ἐλάλησα ἐν γλώσσῃ μου. [5] γνώρισόν μοι κύριε τὸ πέρας
μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
6 [6] ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν
7 σου· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. διάψαλμα. [7] μέντοι
γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ
8 οὐ γινώσκει τίνι συνάξει αὐτά. [8] καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ κύριος;
9 καὶ ἡ ὑπόστασίς μου παρὰ σοί ἐστιν. διάψαλμα. [9] ἀπὸ πασῶν τῶν ἀνομιῶν
10 μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με. [10] ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ
11 στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με. [11] ἀπόστησον ἀπ᾽ ἐμοῦ τὰς μάστιγάς
12 σου· ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον. [12] ἐν ἐλεγμοῖς ὑπὲρ ἀνο-
μίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ· πλὴν
13 μάτην ταράσσεται πᾶς ἄνθρωπος. διάψαλμα. [13] εἰσάκουσον τῆς προσευχῆς μου,
κύριε, καὶ τῆς δεήσεώς μου ἐνώτισαι, τῶν δακρύων μου μὴ παρασιωπήσῃς· * He. 11,
ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες 13.
14 μου. [14] ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι μὴ ὑπάρξω.

## XXXIX. (XL.)

Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλμός.

2 [2] Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς
3 δεήσεώς μου· [3] καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος,
καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου·
4 [4] καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ θεῷ ἡμῶν. ὄψονται
5 πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ κύριον. [5] μακάριος ἀνὴρ οὗ ἐστὶ
τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας
6 ψευδεῖς. [6] πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου τὰ θαυμάσιά σου, καὶ τοῖς
διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι· ἀπήγγειλα καὶ ἐλάλησα,
7 ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. [7] θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ He. 10,
8 κατηρτίσω μοι· ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας. [8] τότε εἶπον Ἰδοὺ 5. 6. 7.
9 ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, [9] τοῦ ποιῆσαι τὸ θέλημά σου
10 ὁ θεός μου ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς καρδίας μου. [10] εὐ-
ηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ

---

20. om με 21. μοι κακα 22. εγκαταλειπης XXXVIII. 1. ιδιθουμ 2. *αμαρταννειν ... με εν γλωσσ. μου 4. ed. rom. sic interpg: γλωσση μου, 5. om μου 6. παλεστας ... και η υποστασις ... συνπαντα 7. **συναγει 8. παρα σου ... om διαψαλμα 10. οτι συ εποιησας με 11. απο γαρ της ... εξελειπον 12. om ταρασσεται ... om διαψαλμα 13. ed. rom. conjg. ενωτισαι των δ. μου, cod. alex. cjg. ut edidimus ... παρα σοι pro εν τη γη 14. ουκετι ου μη XXXIX. 1. ψαλμ. τω δαυ. 3. υπο πηλου υλεως ... κατηυθυνεν 5. ενεβλεψεν 6. om σοι 7. ολοκαυτωματα κ. π. α. ουκ εζητησας 9. εμμεσω της κοιλιας μου

Digitized by Google

κωλύσω. κύριε, σὺ ἔγνως [11] τὴν δικαιοσύνην μου· οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου 11
τὴν ἀλήϑειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα· οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ
τὴν ἀλήϑειάν σου ἀπὸ συναγωγῆς πολλῆς. [12] σὺ δὲ κύριε μὴ μακρύνῃς τοὺς 12
οἰκτιρμούς σου ἀπ' ἐμοῦ, τὸ ἔλεός σου καὶ ἡ ἀλήϑειά σου διὰ παντὸς ἀν-
τελάβοντό μου. [13] ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριϑμός, κατέλαβόν 13
με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνάσϑην τοῦ βλέπειν· ἐπληϑύνϑησαν ὑπὲρ τὰς
τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. [14] εὐδόκησον κύριε 14
τοῦ ῥύσασϑαί με, κύριε εἰς τὸ βοηϑῆσαί μοι πρόσχες. [15] καταισχυνϑείησαν 15
καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν· ἀπο-
στραφείησαν εἰς τὰ ὀπίσω καὶ ἐντραπείησαν οἱ ϑέλοντές μοι κακά. [16] κομι- 16
σάσϑωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι Εὖγε εὖγε. [17] ἀγαλ- 17
λιάσαιντο καὶ εὐφρανϑείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε κύριε, καὶ εἰπά-
τωσαν διὰ παντός Μεγαλυνϑήτω ὁ κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.
[18] ἐγὼ δὲ πτωχὸς καὶ πένης εἰμί, κύριος φροντιεῖ μου· βοηϑός μου καὶ ὑπερ- 18
ασπιστής μου εἶ σύ· ὁ ϑεός μου, μὴ χρονίσῃς.

## XL. (XLI.)

### Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

[2] Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται 2
αὐτὸν ὁ κύριος. [3] κύριος φυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν 3
ἐν τῇ γῇ, καὶ μὴ παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχϑροῦ αὐτοῦ. [4] κύριος βοηϑῆσαι 4
αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρω-
στίᾳ αὐτοῦ. [5] ἐγὼ εἶπα Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρ- 5
τόν σοι. [6] οἱ ἐχϑροί μου εἶπαν κακά μοι Πότε ἀποϑανεῖται καὶ ἀπολεῖται 6
τὸ ὄνομα αὐτοῦ; [7] καὶ εἰ εἰςεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐ- 7
τοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει [8] ἐπὶ τὸ αὐτό. 8
κατ' ἐμοῦ ἐψιϑύριζον πάντες οἱ ἐχϑροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι·
[9] λόγον παράνομον κατέϑεντο κατ' ἐμοῦ Μὴ ὁ κοιμώμενος οὐχὶ προςϑήσει τοῦ 9
Jo. 13, ἀναστῆναι; [10] καὶ γὰρ ὁ ἄνϑρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα, ὁ ἐσϑίων 10
18. Act. 1, ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. [11] σὺ δέ, κύριε, ἐλέησόν με καὶ 11
16. ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. [12] ἐν τούτῳ ἔγνων ὅτι τεϑέληκάς με, 12
ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχϑρός μου ἐπ' ἐμέ. [13] ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντε- 13
λάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. [14] εὐλογητὸς κύριος ὁ 14
ϑεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο.

## XLI. (XLII.)

### Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.

[2] Ὃν τρόπον ἐπιποϑεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπι- 2
ποϑεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ ϑεός. [3] ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν ϑεὸν 3
τὸν ζῶντα· πότε ἥξω καὶ ὀφϑήσομαι τῷ προσώπῳ τοῦ ϑεοῦ; [4] ἐγενήϑη τὰ 4
δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός, ἐν τῷ λέγεσϑαί μοι καϑ' ἑκά-
στην ἡμέραν Ποῦ ἔστιν ὁ ϑεός σου; [5] ταῦτα ἐμνήσϑην, καὶ ἐξέχεα ἐπ' ἐμὲ 5
τὴν ψυχήν μου· ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς ϑαυμαστῆς ἕως τοῦ οἴκου
τοῦ ϑεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζόντων. [6] ἵνα τί 6

11. τ. δικαιοσ. σου eaque c. seqq. conjg. 12. αντιλαβοιντο 13. ηδυ-νηϑην ... εγκατελειπεν 14. σπευσον pro προσχες 15. καταισχυνϑειησαν pro εντραπειησαν sec. 17. αγαλλειασοιντο 18. ειμι κ. πενης, ο κυριος (... σοι pro συ ut passim) XL. 3. διαφυλαξαι ... παραδωη ... εχϑρων 4. βοηϑησει 7. om ει ... η καρδ. αυτ. conjg. c. seqq. ... ανομ. αυτω 8. επι το αυτο c. seqq. conjg. XLI. 1. post κορε add ψαλμος τω δαυιδ 3. ϑεον τον ισχυρον τον ζωντα 5. ηχους εορταζοντος

Digitized by Google

περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν
θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ Σωτήριον τοῦ προσώπου μου, ὁ θεός μου.
7 [7] πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς
8 Ἰορδάνου καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ. [8] ἄβυσσος ἄβυσσον ἐπικαλεῖται
εἰς φωνὴν τῶν καταῤῥακτῶν σου· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά
9 σου ἐπ' ἐμὲ διῆλθον. [9] ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς
10 δηλώσει. παρ' ἐμοὶ προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου, [10] ἐρῶ τῷ θεῷ Ἀντι-
λήπτωρ μου εἶ, διὰ τί μου ἐπελάθου; ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ
11 ἐκθλίβειν τὸν ἐχθρόν μου; [11] ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδισάν με
οἱ θλίβοντές με, ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν
12 ὁ θεός σου; [12] ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις
με; ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ Ἡ σωτηρία τοῦ προς-
ώπου μου καὶ ὁ θεός μου.

## XLII. (XLIII.)

### Ψαλμὸς τῷ Δαυίδ.

Κρῖνόν με, ὁ θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου·
2 ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. [2] ὅτι σὺ εἶ ὁ θεὸς κραταίωμά
μου, ἵνα τί ἀπώσω με; καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν
3 τὸν ἐχθρόν μου; [3] ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με
ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.
4 [4] καὶ εἰςελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ, πρὸς τὸν θεὸν τὸν εὐφραί-
νοντα τὴν νεότητά μου· ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ θεὸς ὁ θεός μου.
5 [5] ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ
τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ Σωτήριον τοῦ προσώπου μου, ὁ θεός μου.

## XLIII. (XLIV.)

### Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν ψαλμός.

2 [2] Ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν
3 ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. [3] ἡ χείρ
σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς, ἐκάκωσας λαοὺς καὶ ἐξέ-
4 βαλες αὐτούς. [4] οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βρα-
χίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ
5 φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς. [5] σὺ εἶ αὐτὸς ὁ βασι-
6 λεύς μου καὶ ὁ θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. [6] ἐν σοὶ τοὺς
ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπα-
7 νισταμένους ἡμῖν. [7] οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ
8 σώσει με· [8] ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας
9 ἡμᾶς κατῄσχυνας. [9] ἐν τῷ θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ
10 ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. διάψαλμα. [10] νυνὶ δὲ ἀπώσω
11 καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν. [11] ἀπέστρε-
ψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς
12 διήρπαζον ἑαυτοῖς· [12] ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι
13 διέσπειρας ἡμᾶς· [13] ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν

6. μου και ο θ. μου 7. σου κυριε εκ γης 9. νυκτος ωδη αυτου παρ εμοι· προσευχη 10. αντιλημπτωρ μου δια ... και ινα τι 11. καταθλασαι ... ωνειδιζον με οι εχθροι μου, εν 12. αυτω Σωτηριον XLII. 1. Εις το τελος συνεσεως τοις υιοις κορε ψαλμ. τ. δ. Κρινον μοι 2. om ει 4. om ο θεος 5. και ο θεος μου XLIII. 1. om εις συνεσιν 3. εξωλεθρευσεν 6. εξουδενωσωμεν (sed ω sec. in rasura) ... επανιστανομενους (*επανισταννομ.) 9. om διαψαλμα 10. post εξελευση add ο θεος

Digitized by Google

τοῖς ἀλαλάγμασιν αὐτῶν· 14 ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρι- 14
σμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν· 15 ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς 15
ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. 16 ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου 16
κατεναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προςώπου μου ἐκάλυψέ με, 17 ἀπὸ 17
φωνῆς ὀνειδίζοντος καὶ παραλαλοῦντος, ἀπὸ προςώπου ἐχθροῦ καὶ ἐκδιώκον-
τος. 18 ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ 18
ἠδικήσαμεν ἐν διαθήκῃ σου, 19 καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν· 19
καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. 20 ὅτι ἐταπείνωσας ἡμᾶς 20
ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. 21 εἰ ἐπελαθόμεθα 21
τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν
ἀλλότριον, 22 οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια 22
Ro. 8, τῆς καρδίας. 23 ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς 23
36. πρόβατα σφαγῆς. 24 ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, κύριε; ἀνάστηθι καὶ μὴ ἀπώσῃ 24
εἰς τέλος. 25 ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας 25
ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν; 26 ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, 26
ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. 27 ἀνάστα, κύριε, βοήθησον ἡμῖν καὶ λύ- 27
τρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

## XLIV. (XLV.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

2 Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ 2
βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. 3 ὡραῖος κάλλει παρὰ 3
τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ
σε ὁ θεὸς εἰς τὸν αἰῶνα. 4 περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, 4
δυνατὲ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, 5 καὶ ἔντεινον, καὶ κατευοδοῦ 5
καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει
σε θαυμαστῶς ἡ δεξιά σου. 6 τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω 6
He. 1, σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. 7 ὁ θρόνος σου, ὁ θεός, 7
8 9. εἰς αἰῶνα αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. 8 ἠγάπη- 8
σας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός
σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. 9 σμύρνα καὶ στακτὴ καὶ 9
κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε
10 θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, 10
ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη. 11 ἄκουσον, θύγατερ, καὶ 11
ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ
πατρός σου· 12 ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν 12
ὁ κύριός σου. 13 καὶ προςκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις, τὸ 13
πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς. 14 πᾶσα ἡ δόξα 14
αὐτῆς θυγατρὸς τοῦ βασιλέως Ἐσεβών, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη
πεποικιλμένη. 15 ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλη- 15
σίον αὐτῆς ἀπενεχθήσονταί σοι· 16 ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλ- 16

---

13. αλαλαγμ. ημων 14. εις ονιδος ... χλευασμον pro καταγελωτα ... in f. add (sed και usque εμυκτη in litura) και οι εχθροι ημων εμυκτηρισαν ημας 15. **κεφαλην 16. κατενωπιον 17. καταλαλουντος 21. om του ονοματος 23. ενεχεν 25. ινα τι προςωπον XLIV. 1. om Εις το usque ωδη ... του δαυιδ υπ. του αγ. 4. ed. rom. (item cod. alex. ut vdtr) δυνατε a seqq. separat 5. ed. rom. post βασιλευε plene interpg. 7. εις τον αι. του αιωνος 8. εμισ. αδικιαν 9. verbis ηυφραναν σε cod. alex. finit versum 10. βασιλεως 12. και (pro οτι) επιθυμησει 13. *om τυρου ... om της γης 14. δοξ. της θυγατρος τ. βασ. εσωθεν, εν χροσωτοις 15. οπισω αυτου, οι πλησιον

Digitized by Google

17 λιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως. 17 ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν
18 σοι υἱοί, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. 18 μνησθήσονται
τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί
σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

## XLV. (XLVI.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ὑπὲρ τῶν κρυφίων ψαλμός.

2 2 Ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρού-
3 σαις ἡμᾶς σφόδρα. 3 διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν
4 γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. 4 ἤχησαν καὶ ἐταράχθησαν
τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. διάψαλμα.
5 5 τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ· ἡγίασε τὸ σκή-
6 νωμα αὐτοῦ ὁ ὕψιστος. 6 ὁ θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται· βοηθήσει
7 αὐτῇ ὁ θεὸς τῷ προσώπῳ. 7 ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι· ἔδωκε φω-
8 νὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ. 8 κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ
9 ἡμῶν ὁ θεὸς Ἰακώβ. διάψαλμα. 9 δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ κυρίου, ἃ
10 ἔθετο τέρατα ἐπὶ τῆς γῆς, 10 ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς
γῆς, τόξον συντρίψει καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.
11 11 σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν,
12 ὑψωθήσομαι ἐν τῇ γῇ. 12 κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν
ὁ θεὸς Ἰακώβ.

## XLVI. (XLVII.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός.

2 2 Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλ-
3 λιάσεως. 3 ὅτι κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
4 5 4 ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν· 5 ἐξελέξατο ἡμῖν τὴν
6 κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. διάψαλμα. 6 ἀνέβη ὁ
7 θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. 7 ψάλατε τῷ θεῷ ἡμῶν, ψά-
8 λατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε· 8 ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός,
9 ψάλατε συνετῶς. 9 ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, ὁ θεὸς κάθηται ἐπὶ θρόνου
10 ἁγίου αὐτοῦ. 10 ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ, ὅτι τοῦ
θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

## XLVII. (XLVIII.)

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ σαββάτου.

2 2 Μέγας κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ
3 αὐτοῦ· 3 εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς, ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ,
4 ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. 4 ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,
5 ὅταν ἀντιλαμβάνηται αὐτῆς. 5 ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, ἦλθοσαν ἐπὶ
6 7 τὸ αὐτό· 6 αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν· 7 τρό-
8 μος ἐπελάβετο αὐτῶν, ἐκεῖ ὠδῖνες ὡς τικτούσης. 8 ἐν πνεύματι βιαίῳ

---

17. εγενηθησαν 18. και μνησθ. ... *om λαοι XLV. 1. om Εις το usque κρυφιων ... του δαυιδ ψαλμος 4. εταραχθη τα ορη 6. το προς πρωι πρωι pro τω πρ. 7. εκκλιναν ... φωνην αυτου ο υψιστος 8. αντιλημπτωρ ... *om διαψαλμα 9. ιδατε τα ε. τ. θεου 10. αντανελων (... om γης) 12.*om κυριος ... αντιλημπτωρ XLVI. 1. om υπερ τ. υ. κορε ... ψαλμ. τω δαυιδ 5. εαυτου ... om διαψαλμα 9. επι παντα τα XLVII. Versus 1. sic legitur: εις το τελος ψαλμος τω δαυιδ· 3. πασα (sic) τη γη 4. αντιλαμβανεται 5. βασιλ. της γης (verba της γης etiam ed. rom. habet, sed calamo deleta et in notis improbata) ... **διηλθοσαν 6. ιδοτες 7. υπελαβετο

Digitized by Google

συντρίψεις πλοῖα Θαρσίς. 9 καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει κυ- 9
ρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν· ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν
αἰῶνα. διάψαλμα. 10 ὑπελάβομεν, ὁ θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. 10
11 κατὰ τὸ ὄνομά σου, ὁ θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς 11
γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου. 12 εὐφρανθήτω τὸ ὄρος Σιών, ἀγαλ- 12
λιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκα τῶν κριμάτων σου, κύριε. 13 κυ- 13
κλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς·
14 θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βά- 14
ρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. 15 ὅτι οὗτός ἐστιν ὁ θεὸς 15
ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς
τοὺς αἰῶνας.

## XLVIII. (XLIX.)

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός.

2 Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες 2
τὴν οἰκουμένην, 3 οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ 3
πλούσιος καὶ πένης. 4 τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρ- 4
δίας μου σύνεσιν. 5 κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ 5
πρόβλημά μου. 6 ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης 6
μου κυκλώσει με, 7 οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει 7
τοῦ πλούτου αὐτῶν καυχώμενοι. 8 ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρω- 8
πος; οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ, 9 καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς 9
ψυχῆς αὐτοῦ· καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, 10 καὶ ζήσεται εἰς τέλος, ὅτι οὐκ 10
ὄψεται καταφθοράν· 11 ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας, ἐπὶ τὸ αὐτὸ ἄφρων 11
καὶ ἄνους ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν· 12 καὶ 12
οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν
καὶ γενεάν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. 13 καὶ 13
ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις
καὶ ὡμοιώθη αὐτοῖς. 14 αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα 14
ἐν τῷ στόματι αὐτῶν εὐλογήσουσιν. διάψαλμα. 15 ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, 15
θάνατος ποιμανεῖ αὐτούς· καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ,
καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν. 16 πλὴν 16
ὁ θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου ὅταν λαμβάνῃ με. διάψαλμα.
17 μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου 17
αὐτοῦ· 18 ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκα- 18
ταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. 19 ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλο- 19
γηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ. 20 εἰςελεύσεται ἕως γενεᾶς 20
πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. 21 ἄνθρωπος ἐν τιμῇ ὢν οὐ 21
συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

## XLIX. (L.)

Ψαλμὸς τῷ Ἀσάφ.

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου
μέχρι δυσμῶν· 2 ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. 3 ὁ θεὸς 2 3

---

8. συντριψει πλ. θαρσεις 9. ουτως ιδαμεν ... εν πολ. κυριου usque αιωνα in litura ... om διαψαλμα 12. και αγαλλ. ... ενεκεν 14. αν διηγησεσθαι XLVIII. 1. om Εις usque κορε ... ψαλμ. τω δαυιδ 8. αδ. ου λυτρωται ... εξιλ. αυτου 10. ed. rom. post τελος plene interpg., tum habet καταφθοραν, 13. παρεσυνεβληθη 14. ευδοκησουσιν 15. κατακυριευσωσιν ... in f. add εξωσθησαν 16. om διαψαλμα 17. πλουτησει ανθρ. η οταν 18. λημψεται 21. και ανθρωπος ... παρεσυνεβληθη XLIX. 1. εις το τελος ψ. τ. δαυιδ ... και μεχρι

ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐναντίον αὐτοῦ καυ-
4 θήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. [4]προςκαλέσεται τὸν οὐρανὸν ἄνω
5 καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ. [5]συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ,
6 τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. [6]καὶ ἀναγγελοῦσιν οἱ οὐρα-
7 νοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι θεὸς κριτής ἐστιν. διάψαλμα. [7]ἄκουσον λαός
μου, καὶ λαλήσω σοι· Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι· ὁ θεὸς ὁ θεός σού
8 εἰμι ἐγώ. [8]οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου
9 ἐνώπιόν μού ἐστι διὰ παντός· [9]οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ
10 ἐκ τῶν ποιμνίων σου χιμάρους. [10]ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ,
11 κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες· [11]ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ
12 ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστίν. [12]ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ
13 ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. [13]μὴ φάγομαι κρέα ταύρων; ἢ
14 αἷμα τράγων πίομαι; [14]θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψί-
15 στῳ τὰς εὐχάς σου· [15]καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί
16 σε, καὶ δοξάσεις με. διάψαλμα. [16]τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός Ἵνα τί σὺ
διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόμα-
17 τός σου; [17]σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ
18 ὀπίσω. [18]εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα
19 σου ἐτίθεις· [19]τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέ-
20 πλεκε δολιότητα· [20]καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ
21 τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. [21]ταῦτα ἐποίησας καὶ ἐσίγησα,
ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ
22 πρόςωπόν σου. [22]σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, μή ποτε
23 ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος. [23]θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς
ᾗ δείξω αὐτῷ τὸ σωτήριον θεοῦ.

## L. (LI.)

2 Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ, [2]ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν
προφήτην, ἡνίκα εἰςῆλθε πρὸς Βηρσαβεέ.
3 [3]Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος
4 τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· [4]ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ
5 τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με· [5]ὅτι τὴν ἀνο-
μίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
6 [6]σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιον σοῦ ἐποίησα· ὅπως ἂν δικαιω- Ro. 3, 4
7 θῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. [7]ἰδοὺ γὰρ ἐν ἀνο-
8 μίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. [8]ἰδοὺ γὰρ
ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
9 [9]ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευ-
10 κανθήσομαι. [10]ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ
11 τεταπεινωμένα. [11]ἀπόστρεψον τὸ πρόςωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ
12 πάσας τὰς ἀνομίας μου ἐξάλειψον. [12]καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ
13 θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. [13]μὴ ἀποῤῥίψῃς με
ἀπὸ τοῦ προςώπου σου, καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
14 [14]ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ
15 στήριξόν με. [15]διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέ-
16 ψουσι. [16]ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου· ἀγαλλιά-
17 σεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. [17]κύριε, τὰ χείλη μου ἀνοίξεις,

---

3. ενφανως 4. του διακριναι 6. *om διαψαλμα, ** add post δικαιοσ. αυτου 9. χειμαρρους 10. θηρια του αγρου 15. θλιψ. σου ... *om διαψαλμα, **add post θεος v. seq. 16. εκδιηγη 17. παιδιαν κ. εξεβαλας τας (sic) 19. Post vocem δολιοτητα desunt plura folia codicis alex.

Digitized by Google

καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. [18] ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα 18
ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. [19] θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, 19
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. [20] ἀγά- 20
θυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη
Ἰερουσαλήμ. [21] τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώ- 21
ματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## LI. (LII.)

Εἰς τὸ τέλος συνέσεως τῷ Δαυίδ, [2] ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ 2
ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ Ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.
[3] Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν [4] ἀδικίαν 3 4
ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. [5] ἠγάπησας 5
κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. διάψαλμα.
[6] ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. [7] διὰ τοῦτο 6 7
ὁ θεὸς καθέλοι σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώ-
ματος, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. διάψαλμα. [8] καὶ ὄψονται δίκαιοι 8
καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν [9] Ἰδοὺ ἄνθρωπος 9
ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ
πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. [10] ἐγὼ δὲ ὡσεὶ 10
ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ· ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [11] ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, 11
ὅτι ἐποίησας· καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

## LII. (LIII.)

Εἰς τὸ τέλος ὑπὲρ μαελὲθ συνέσεως τῷ Δαυίδ.

[2] Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστι θεός· διέφθειραν καὶ ἐβδελύ- 2
χθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν. [3] ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυ- 3
Ro. 3, ψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν
10 sqq. θεόν· [4] πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν 4
ἕως ἑνός. [5] οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίον- 5
τες τὸν λαόν μου βρώσει ἄρτου; τὸν θεὸν οὐκ ἐπεκαλέσαντο. [6] ἐκεῖ ἐφοβή- 6
θησαν φόβον οὗ οὐκ ἦν φόβος· ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων,
κατῃσχύνθησαν ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. [7] τίς δώσει ἐκ Σιὼν τὸ σω- 7
τήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἀποστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ
αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

## LIII. (LIV.)

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ, [2] ἐν τῷ ἐλθεῖν τοὺς Ζειφαίους 2
καὶ εἰπεῖν τῷ Σαοὺλ Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;

[3] Ὁ θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρῖνόν 3
με. [4] ὁ θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στό- 4
ματός μου. [5] ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν 5
ψυχήν μου· οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν. διάψαλμα. [6] ἰδοὺ γὰρ ὁ 6
θεὸς βοηθεῖ μοι, καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. [7] ἀποστρέψει τὰ 7
κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. [8] ἑκουσίως 8
θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, κύριε, ὅτι ἀγαθόν· [9] ὅτι ἐκ πάσης 9
θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

## LIV. (LV.)

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ.

[2] Ἐνώτισαι, ὁ θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν 2
μου, [3] πρόσχες μοι καὶ εἰσάκουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ 3
ἐταράχθην [4] ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· ὅτι ἐξέκλιναν 4
ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. [5] ἡ καρδία μου ἐταράχθη ἐν 5

Digitized by Google

6 ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ· 6 φόβος καὶ τρόμος ἦλθεν ἐπ'
7 ἐμέ, καὶ ἐκάλυψέ με σκότος. 7 καὶ εἶπα Τίς δώσει μοι πτέρυγας ὡςεὶ περι-
8 στερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω; 8 ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ
9 ηὐλίσθην ἐν τῇ ἐρήμῳ. διάψαλμα. 9 προςεδεχόμην τὸν σώζοντά με ἀπὸ ὀλι-
10 γοψυχίας καὶ καταιγίδος. 10 καταπόντισον, κύριε, καὶ καταδίελε τὰς γλώσσας
11 αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. 11 ἡμέρας καὶ νυκτὸς
12 κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς 12 καὶ
13 ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. 13 ὅτι εἰ
ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνη-
14 σεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. 14 σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ
15 γνωστέ μου· 15 ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανας ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ
16 ἐπορεύθημεν ἐν ὁμονοίᾳ. 16 ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς
17 ᾅδου ζῶντες· ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. 17 ἐγὼ
18 πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰςήκουσέ μου. 18 ἑσπέρας καὶ πρωὶ
καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰςακούσεται τῆς φωνῆς μου.
19 19 λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολ-
20 λοῖς ἦσαν σὺν ἐμοί. 20 εἰςακούσεται ὁ θεὸς καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων
πρὸ τῶν αἰώνων. διάψαλμα. οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφο-
21 βήθησαν τὸν θεόν. 21 ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ἐβεβήλω-
22 σαν τὴν διαθήκην αὐτοῦ, 22 διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ,
καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ· ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ
23 αὐτοί εἰσι βολίδες. 23 ἐπίῤῥιψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε * *1 Pe. 5, 7.
24 διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. 24 σὺ δέ, ὁ θεός, κα-
τάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ
ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ, κύριε.

## LV. (LVI.)

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

2 2 Ἐλέησόν με, ὁ θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν
3 πολεμῶν ἔθλιψέ με. 3 κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν ἀπὸ
4 ὕψους ἡμέρας· ὅτι πολλοὶ οἱ πολεμοῦντές με 4 φοβηθήσονται, ἐγὼ δὲ ἐλπιῶ
5 ἐπὶ σοί. 5 ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου, ὅλην τὴν ἡμέραν ἐν τῷ θεῷ
6 ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ. 6 ὅλην τὴν ἡμέραν τοὺς λό-
γους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
7 7 παροικήσουσι καὶ κατακρύψουσιν αὐτοί, τὴν πτέρναν μου φυλάξουσι, καθά-
8 περ ὑπέμεινα τῇ ψυχῇ μου· 8 ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς, ἐν ὀργῇ
9 λαοὺς κατάξεις. ὁ θεός, 9 τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου
10 ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. 10 ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς
τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ.
11 12 11 ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον. 12 ἐπὶ τῷ θεῷ ἤλ-
13 πισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. 13 ἐν ἐμοί, ὁ θεός, αἱ εὐχαὶ
14 ἃς ἀποδώσω αἰνέσεώς σου· 14 ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου, καὶ τοὺς
πόδας μου ἐξ ὀλισθήματος, τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ θεοῦ ἐν φωτὶ ζώντων.

## LVI. (LVII.)

Εἰς τὸ τέλος, Μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

2 2 Ἐλέησόν με, ὁ θεός, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου,
3 καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ ἕως οὗ παρέλθῃ ἡ ἀνομία. 3 κεκράξομαι

---

LIV. 7. ed. rom. περιστερας; et καταπαυσω.

Digitized by Google

πρὸς τὸν θεὸν τὸν ὕψιστον, τὸν θεὸν τὸν εὐεργετήσαντά με. διάψαλμα. 4 ἐξα- 4
πέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦν-
τάς με· ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ,
5 καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων. ἐκοιμήθην τεταραγμένος· 5
υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μά-
χαιρα ὀξεῖα. 6 ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ 6
δόξα σου. 7 παγίδας ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν 7
μου· ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσαν εἰς αὐτόν. διάψαλμα.
8 ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ. 8
9 ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι 9
ὄρθρου. 10 ἐξομολογήσομαί σοι ἐν λαοῖς, κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν· 11 ὅτι 10 11
ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά
σου. 12 ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. 12

## LVII. (LVIII.)

Εἰς τὸ τέλος, Μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.

2 Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθεῖα κρίνετε, οἱ υἱοὶ τῶν ἀν- 2
θρώπων. 3 καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες 3
ὑμῶν συμπλέκουσιν. 4 ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανή- 4
θησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ. 5 θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ 5
ὄφεως, ὡςεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, 6 ἥτις οὐκ εἰςακού- 6
σεται φωνὴν ἐπᾳδόντων φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ. 7 ὁ θεὸς 7
συνέτριψε τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόν-
των συνέθλασεν ὁ κύριος. 8 ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον, ἐντε- 8
νεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν. 9 ὡςεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθή- 9
σονται· ἔπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον. 10 πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας 10
ὑμῶν τὴν ῥάμνον, ὡςεὶ ζῶντας ὡςεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς. 11 εὐφρανθή- 11
σεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ
αἵματι τοῦ ἁμαρτωλοῦ. 12 καὶ ἐρεῖ ἄνθρωπος Εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, 12
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

## LVIII. (LIX.)

Εἰς τὸ τέλος, Μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.

2 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ θεός, καὶ ἐκ τῶν ἐπανισταμένων 2
ἐπ' ἐμὲ λύτρωσαί με. 3 ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ 3
ἀνδρῶν αἱμάτων σῶσόν με. 4 ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο 4
ἐπ' ἐμὲ κραταιοί· οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, κύριε. 5 ἄνευ ἀνο- 5
μίας ἔδραμον καὶ κατεύθυνα· ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε, 6 καὶ 6
σὺ κύριε ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς τοῦ Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψα-
σθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
διάψαλμα. 7 ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώ- 7
σουσι πόλιν. 8 ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς 8
χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσε; 9 καὶ σὺ κύριε ἐκγελάσῃ αὐτούς, ἐξουδενώ- 9
σεις πάντα τὰ ἔθνη. 10 τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ θεὸς ἀντι- 10
λήπτωρ μου εἶ. 11 ὁ θεός μου τὸ ἔλεος αὐτοῦ προφθάσει με, ὁ θεός μου 11
δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. 12 μὴ ἀποκτείνῃς αὐτούς, μή ποτε ἐπιλάθων- 12
ται τοῦ νόμου σου· διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάγαγε
αὐτούς, ὁ ὑπερασπιστής μου κύριε. 13 ἁμαρτίαν στόματος αὐτῶν, λόγον χει- 13
λέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν· καὶ ἐξ ἀρᾶς καὶ

LVI. 5. ed. rom. sic: σκυμνων, εκοιμ. τεταραγμενος.



Digitized by Google

14 ψεύδους διαγγελήσονται [14]συντέλειαι, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρ-
ξουσι· καὶ γνώσονται ὅτι ὁ θεὸς τοῦ Ἰακὼβ δεσπόζει τῶν περάτων τῆς γῆς.
15 διάψαλμα. [15]ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώ-
16 σουσι πόλιν· [16]αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, ἐὰν δὲ μὴ χορτασθῶσι,
17 καὶ γογγύσουσιν. [17]ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ
πρωὶ τὸ ἔλεός σου· ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ
18 θλίψεώς μου. [18]βοηθός μου, σοὶ ψαλῶ, ὁ θεός μου· ἀντιλήπτωρ μου εἶ, ὁ
θεός μου, τὸ ἔλεός μου.

## LIX. (LX.)

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις ἔτι εἰς στηλογραφίαν τῷ Δαυὶδ εἰς δι-
2 δαχήν, [2]ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σοβάλ,
καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν δώδεκα χιλιάδας.
3 [3]Ὁ θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας
4 ἡμᾶς. [4]συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα
5 αὐτῆς, ὅτι ἐσαλεύθη. [5]ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον
6 κατανύξεως. [6]ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσ-
7 ώπου τόξου. διάψαλμα. [7]ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ
8 σου καὶ ἐπάκουσόν μου. [8]ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι
9 καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. [9]ἐμός ἐστι
Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆ, καὶ Ἐφραῒμ κραταίωσις τῆς κεφαλῆς μου·
10 Ἰούδας βασιλεύς μου, [10]Μωὰβ λέβης τῆς ἐλπίδος μου· ἐπὶ τὴν Ἰδουμαίαν
11 ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. [11]τίς ἀπάξει με εἰς
12 πόλιν περιοχῆς; τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; [12]οὐχὶ σύ, ὁ θεὸς ὁ
13 ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; [13]δὸς
14 ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. [14]ἐν τῷ θεῷ
ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

## LX. (LXI.)

Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαυίδ.
2 3 [2]Εἰςάκουσον, ὁ θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. [3]ἀπὸ
τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου.
4 ἐν πέτρᾳ ὕψωσάς με· ὡδήγησάς με, [4]ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος
5 ἀπὸ προσώπου ἐχθροῦ. [5]παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας,
6 σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου. διάψαλμα. [6]ὅτι σύ, ὁ θεός,
εἰςήκουσας τῶν προσευχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά
7 σου. [7]ἡμέρας ἐφ' ἡμέρας βασιλέως προςθήσεις· τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας
8 γενεᾶς καὶ γενεᾶς. [8]διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ· ἔλεος καὶ ἀλή-
9 θειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν; [9]οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

## LXI. (LXII.)

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺν ψαλμὸς τῷ Δαυίδ.
2 [2]Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτή-
3 ριόν μου. [3]καὶ γὰρ αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου· οὐ μὴ
4 σαλευθῶ ἐπὶ πλεῖον. [4]ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες
5 ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ. [5]πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο
ἀπώσασθαι, ἔδραμον ἐν δίψει· τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ
6 αὐτῶν κατηρῶντο. διάψαλμα. [6]πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι
7 παρ' αὐτοῦ ἡ ὑπομονή μου. [7]ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντι-

---

LXI. 12. ed. rom. post ημων punctum ponit. LX. 3. ed. rom. sic: μου, εν π. υψ. με.

Digitized by Google

λήπτωρ μου· οὐ μὴ μεταναστεύσω. [8]ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα 8
μου· ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ. [9]ἐλπίσατε ἐπ' 9
αὐτόν, πᾶσα συναγωγὴ λαοῦ· ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι
ὁ θεὸς βοηθὸς ἡμῶν. διάψαλμα. [10]πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευ- 10
δεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος
ἐπὶ τὸ αὐτό. [11]μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἁρπάγματα μὴ ἐπιποθεῖτε· 11
πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. [12]ἅπαξ ἐλάλησεν ὁ θεός, δύο 12
ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ θεοῦ, [13]καὶ σοῦ κύριε τὸ ἔλεος, ὅτι σὺ 13
ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

## LXII. (LXIII.)

Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.

[2]Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σοι ἡ ψυχή μου, πο- 2
σαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, [3]οὕτως ἐν 3
τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. [4]ὅτι κρεῖσ- 4
σον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε. [5]οὕτως εὐλογήσω 5
σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. [6]ὡσεὶ στέατος 6
καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ
ὄνομά σου. [7]εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμε- 7
λέτων εἰς σέ· [8]ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου 8
ἀγαλλιάσομαι. [9]ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ ἀντελάβετο ἡ δεξιά 9
σου. [10]αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ 10
κατώτατα τῆς γῆς, [11]παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλω- 11
πέκων ἔσονται. [12]ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, ἐπαινεθήσεται 12
πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

## LXIII. (LXIV.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

[2]Εἰσάκουσον, ὁ θεός, τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ 2
φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. [3]ἐσκέπασάς με ἀπὸ συστροφῆς πονη- 3
ρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν· [4]οἵτινες ἠκόνησαν ὡς ῥομ- 4
φαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον πρᾶγμα πικρόν, [5]τοῦ κατατοξεῦ- 5
σαι ἐν ἀποκρύφοις ἄμωμον· ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθή-
σονται. [6]ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι παγί- 6
δας· εἶπαν Τίς ὄψεται αὐτούς; [7]ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες 7
ἐξερευνήσει· προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα, [8]καὶ ὑψωθήσεται 8
ὁ θεός. βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, [9]καὶ ἐξουθένησαν αὐτὸν 9
αἱ γλῶσσαι αὐτῶν. ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, [10]καὶ ἐφο- 10
βήθη πᾶς ἄνθρωπος· καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, καὶ τὰ ποιήματα
αὐτοῦ συνῆκαν. [11]εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν· 11
καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

## LXIV. (LXV.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυὶδ ᾠδή.

[2]Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχή. [3]εἰσ- 2 3
άκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. [4]λόγοι ἀνόμων ὑπερεδυ- 4
νάμωσαν ἡμᾶς, καὶ τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ. [5]μακάριος ὃν ἐξελέξω καὶ 5
προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. πλησθησόμεθα ἐν τοῖς ἀγα-
θοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, [6]θαυμαστὸς ἐν δικαιοσύνῃ. ἐπάκου- 6
σον ἡμῶν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ
τῶν ἐν θαλάσσῃ μακράν· [7]ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι σου, περιεζωσμένος ἐν 7
δυναστείᾳ· [8]ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς. 8
ταραχθήσονται τὰ ἔθνη [9]καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ 9



Digitized by Google

10 τῶν σημείων σου· ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. [10] ἐπεσκέψω τὴν γῆν
καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν· ὁ ποταμὸς τοῦ θεοῦ
ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.
11 [11] τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς στα-
12 γόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. [12] εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυ-
13 τοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος· [13] πιαν-
14 θήσεται τὰ ὄρη τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. [14] ἐνε-
δύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκρά-
ξονται, καὶ γὰρ ὑμνήσουσιν.

## LXV. (LXVI.)

Εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ ἀναστάσεως.

2 Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, [2] ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε
3 δόξαν αἰνέσει αὐτοῦ· [3] εἴπατε τῷ θεῷ Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλή-
4 θει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. [4] πᾶσα ἡ γῆ προσκυνη-
σάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου. διάψαλμα.
5 [5] δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν
6 ἀνθρώπων. [6] ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσον-
7 ται ποδί· ἐκεῖ εὐφρανθησόμεθα ἐπ᾽ αὐτῷ, [7] τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ
αὐτοῦ τοῦ αἰῶνος. οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπι-
8 κραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. διάψαλμα. [8] εὐλογεῖτε ἔθνη τὸν θεὸν
9 ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ, [9] τοῦ θεμένου τὴν
10 ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. [10] ὅτι ἐδο-
11 κίμασας ἡμᾶς, ὁ θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. [11] εἰσήγαγες
12 ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, [12] ἐπεβίβασας ἀν-
θρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξή-
13 γαγες ἡμᾶς εἰς ἀναψυχήν. [13] εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμα-
14 σιν, ἀποδώσω σοι τὰς εὐχάς μου, [14] ἃς διέστειλε τὰ χείλη μου καὶ ἐλάλησε
15 τὸ στόμα μου ἐν τῇ θλίψει μου· [15] ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι
μετὰ θυμιάματος καὶ κριῶν, ποιήσω σοι βόας μετὰ χιμάρων. διάψαλμα.
16 [16] δεῦτε ἀκούσατε καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσα
17 ἐποίησε τῇ ψυχῇ μου. [17] πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα
18 ὑπὸ τὴν γλῶσσάν μου. [18] ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω
19 κύριος. [19] διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεός, προσέσχε τῇ φωνῇ τῆς προσευχῆς
20 μου. [20] εὐλογητὸς ὁ θεὸς ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου καὶ τὸ ἔλεος
αὐτοῦ ἀπ᾽ ἐμοῦ.

## LXVI. (LXVII.)

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαυίδ.

2 [2] Ὁ θεός, οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον
3 αὐτοῦ ἐφ᾽ ἡμᾶς. διάψαλμα. [3] τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν
4 ἔθνεσι τὸ σωτήριόν σου. [4] ἐξομολογησάσθωσάν σοι λαοί, ὁ θεός, ἐξομολογη-
5 σάσθωσάν σοι λαοὶ πάντες. [5] εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι
6 κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. διάψαλμα. [6] ἐξομο-
7 λογησάσθωσάν σοι λαοί, ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. [7] γῆ
8 ἔδωκε τὸν καρπὸν αὐτῆς· εὐλογήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν, [8] εὐλογήσαι
ἡμᾶς ὁ θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

## LXVII. (LXVIII.)

Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλμὸς ᾠδῆς.

2 [2] Ἀναστήτω ὁ θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυ-
3 γέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ. [3] ὡς ἐκλείπει καπνὸς ἐκλι-
πέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρ-

Digitized by Google

τωλοὶ ἀπὸ προςώπου τοῦ ϑεοῦ. 4 καὶ οἱ δίκαιοι εὐφρανϑήτωσαν ἀγαλλιάσϑωσαν 4
ἐνώπιον τοῦ ϑεοῦ, τερφϑήτωσαν ἐν εὐφροσύνῃ. 5 ᾄσατε τῷ ϑεῷ, ψάλατε τῷ 5
ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, κύριος ὄνομα αὐτῷ,
καὶ ἀγαλλιᾶσϑε ἐνώπιον αὐτοῦ. 6 ταραχϑήσονται ἀπὸ προςώπου αὐτοῦ, τοῦ 6
πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν· ὁ ϑεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
7 ὁ ϑεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, 7
ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις. 8 ὁ ϑεὸς ἐν τῷ 8
ἐκπορεύεσϑαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε τὴν ἔρημον. διά-
ψαλμα. 9 γῆ ἐσείσϑη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προςώπου τοῦ ϑεοῦ 9
τοῦ Σινᾶ, ἀπὸ προςώπου τοῦ ϑεοῦ Ἰσραήλ. 10 βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ 10
ϑεὸς τῇ κληρονομίᾳ σου· καὶ ἠσϑένησε, σὺ δὲ κατηρτίσω αὐτήν. 11 τὰ ζῶά 11
σου κατοικοῦσιν ἐν αὐτῇ, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ
ϑεός. 12 κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, 13 ὁ βασιλεὺς 12 13
τῶν δυνάμεων τοῦ ἀγαπητοῦ τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέ-
σϑαι σκῦλα. 14 ἐὰν κοιμηϑῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς 14
περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου· 15 ἐν τῷ 15
διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωϑήσονται ἐν Σελμών.
16 ὄρος τοῦ ϑεοῦ ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον. 17 ἵνα τί ὑπολαμ- 16 17
βάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ ϑεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ
γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος. 18 τὸ ἅρμα τοῦ ϑεοῦ μυριοπλάσιον, χι- 18
λιάδες εὐϑηνούντων· κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἐν τῷ ἁγίῳ. 19 ἀναβὰς εἰς 19
Eph. 4, 8. ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνϑρώπῳ, καὶ γὰρ ἀπει-
ϑοῦντες τοῦ κατασκηνῶσαι. 20 κύριος ὁ ϑεὸς εὐλογητός, εὐλογητὸς κύριος ἡμέ- 20
ραν καϑ' ἡμέραν, καὶ κατευοδώσει ἡμῖν ὁ ϑεὸς τῶν σωτηρίων ἡμῶν. διά-
ψαλμα. 21 ὁ ϑεὸς ἡμῶν ὁ ϑεὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου αἱ διέξοδοι τοῦ 21
ϑανάτου. 22 πλὴν ὁ ϑεὸς συνϑλάσει κεφαλὰς ἐχϑρῶν αὐτοῦ, κορυφὴν τριχὸς 22
διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. 23 εἶπε κύριος Ἐκ Βασὰν ἐπιστρέψω, 23
ἐπιστρέψω ἐν βυϑοῖς ϑαλάσσης· 24 ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ 24
γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχϑρῶν παρ' αὐτοῦ. 25 ἐϑεωρήϑησαν αἱ πορεῖαί 25
σου ὁ ϑεός, αἱ πορεῖαι τοῦ ϑεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ· 26 προ- 26
έφϑασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. 27 ἐν 27
ἐκκλησίαις εὐλογεῖτε τὸν ϑεόν, τὸν κύριον ἐκ πηγῶν Ἰσραήλ. 28 ἐκεῖ Βενιαμὶν 28
νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών,
ἄρχοντες Νεφϑαλί. 29 ἔντειλαι ὁ ϑεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ ϑεὸς τοῦτο 29
ὃ κατηρτίσω ἐν ἡμῖν. 30 ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ σοὶ οἴσουσι βασι- 30
λεῖς δῶρα. 31 ἐπιτίμησον τοῖς ϑηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν 31
ταῖς δαμάλεσι τῶν λαῶν τοῦ μὴ ἀποκλεισϑῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυ-
ρίῳ· διασκόρπισον ἔϑνη τὰ τοὺς πολέμους ϑέλοντα. 32 ἥξουσι πρέσβεις ἐξ Αἰ- 32
γύπτου, Αἰϑιοπία προφϑάσει χεῖρα αὐτῆς τῷ ϑεῷ. 33 αἱ βασιλεῖαι τῆς γῆς, 33
ᾄσατε τῷ ϑεῷ, ψάλατε τῷ κυρίῳ. διάψαλμα. 34 ψάλατε τῷ ϑεῷ τῷ ἐπιβεβη- 34
κότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ
φωνὴν δυνάμεως. 35 δότε δόξαν τῷ ϑεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐ- 35
τοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. 36 ϑαυμαστὸς ὁ ϑεὸς ἐν τοῖς ὁσίοις 36
αὐτοῦ· ὁ ϑεὸς Ἰσραήλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ·
εὐλογητὸς ὁ ϑεός.

## LXVIII. (LXIX.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωϑησομένων τῷ Δαυίδ.

2 Σῶσόν με, ὁ ϑεός, ὅτι εἰςήλϑοσαν ὕδατα ἕως ψυχῆς μου. 3 ἐνεπάγην 2 3
εἰς ἰλὺν βυϑοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλϑον εἰς τὰ βάϑη τῆς ϑαλάσσης,

---

LXVII. 14. ed. rom. ο ϑεος c. seqq. conjg.

Digitized by Google

4 καὶ καταιγὶς κατεπόντισέ με. [4]ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου,
5 ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου. [5]ἐπληθύν-
θησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν· ἐκραταιώ- *Jo. 15, 25.
θησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπασα τότε ἀπετίν-
6 νυον. [6]ὁ θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ
7 σοῦ οὐκ ἐκρύβησαν. [7]μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, κύριε
τῶν δυνάμεων· μὴ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ Ἰσραήλ.
8 [8]ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου·
9 [9]ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μη-
10 τρός μου· [10]ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν Jo.2,17.
11 ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. [11]καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν Ro.15,3.
12 μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί· [12]καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον,
13 καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. [13]κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι
14 ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον. [14]ἐγὼ δὲ τῇ προσευχῇ
μου πρὸς σέ, κύριε· καιρὸς εὐδοκίας, ὁ θεός· ἐν τῷ πλήθει τοῦ ἐλέους σου
15 ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. [15]σῶσόν με ἀπὸ πηλοῦ ἵνα
μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων.
16 [16]μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ
17 συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. [17]εἰσάκουσόν μου, κύριε, ὅτι χρη-
στὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.
18 [18]καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι,
19 ταχὺ ἐπάκουσόν μου. [19]πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν, ἕνεκα
20 τῶν ἐχθρῶν μου ῥῦσαί με. [20]σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν
αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με.
21 [21]ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλ- *Mt 27, 34. 48.
22 λυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον. [22]καὶ ἔδωκαν
23 εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. [23]γενη- *Jo. 19, 28.
θήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ Ro.11,9. 10.
24 εἰς σκάνδαλον· [24]σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν
25 νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον· [25]ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ
26 ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς· [26]γενηθήτω ἡ ἔπαυλις αὐτῶν Act.1,20.
27 ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν· [27]ὅτι ὃν
σὺ ἐπάταξας αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέ-
28 θηκαν. [28]πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν
29 δικαιοσύνῃ σου· [29]ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ
30 γραφήτωσαν. [30]πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, καὶ ἡ σωτηρία τοῦ προσώπου
31 σου ἀντελάβετό μου. [31]αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ
32 αὐτὸν ἐν αἰνέσει, [32]καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα
33 καὶ ὁπλάς. [33]ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν, ἐκζητήσατε τὸν θεὸν καὶ
34 ζήσεσθε. [34]ὅτι εἰσήκουσε τῶν πενήτων ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ
35 οὐκ ἐξουδένωσεν. [35]αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ
36 πάντα τὰ ἕρποντα ἐν αὐτοῖς. [36]ὅτι ὁ θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομη-
θήσονται αἱ πόλεις τῆς Ἰουδαίας, καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσου-
37 σιν αὐτήν· [37]καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν, καὶ οἱ
ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

## LXIX. (LXX.)

Εἰς τὸ τέλος τῷ Δαυὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με κύριον.

2 3 [2]Ὁ θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· [3]αἰσχυνθείησαν καὶ ἐντραπείη-
σαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καται-

---

LXVIII. ed. rom. sic: κυριε, καιρος ευδοκιας ο θεος εν τω etc; post σωτηριας σου non interpg.

Digitized by Google

συνθείησαν οἱ βουλόμενοί μοι κακά· [4] ἀποστραφείησαν παραυτίκα αἰσχυνό- 4
μενοι οἱ λέγοντές μοι Εὖγε εὖγε. [5] ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ 5
σοὶ πάντες οἱ ζητοῦντές σε, καὶ λεγέτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ θεός,
οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. [6] ἐγὼ δὲ πτωχὸς καὶ πένης, ὁ θεὸς βοήθη- 6
σόν μοι· βοηθός μου καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς.

## LXX. (LXXI.)

Τῷ Δαυίδ, υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων.

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. [2] ἐν τῇ δι- 2
καιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, κλῖνον πρὸς μὲ τὸ οὖς σου καὶ σῶσόν
με. [3] γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· 3
ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. [4] ὁ θεός μου, ῥῦσαί με ἐκ χει- 4
ρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος· [5] ὅτι σὺ εἶ ἡ ὑπο- 5
μονή μου κύριε, κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. [6] ἐπὶ σὲ ἐπεστηρίχθην 6
ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής· ἐν σοὶ ἡ ὕμνησίς
μου διὰ παντός. [7] ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς κραταιός. 7
[8] πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν 8
ἡμέραν τὴν μεγαλοπρέπειάν σου. [9] μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρους, ἐν 9
τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με. [10] ὅτι εἶπαν οἱ ἐχθροί μου 10
ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, [11] λέ- 11
γοντες Ὁ θεὸς ἐγκατέλιπεν αὐτόν, καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι
οὐκ ἔστιν ὁ ῥυόμενος. [12] ὁ θεὸς μὴ μακρύνῃς ἀπ' ἐμοῦ, ὁ θεός μου εἰς τὴν 12
βοήθειάν μου πρόσχες. [13] αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες 13
τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά
μοι. [14] ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. 14
[15] τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτη- 15
ρίαν σου, ὅτι οὐκ ἔγνων πραγματείας. [16] εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου· 16
κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. [17] ἐδίδαξάς με ὁ θεὸς ἐκ 17
νεότητός μου, καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου, [18] καὶ ἕως γήρους 18
καὶ πρεσβείου· ὁ θεός, μὴ ἐγκαταλίπῃς με ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά
σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ, τὴν δυναστείαν σου [19] καὶ τὴν δικαιοσύνην 19
σου ὁ θεὸς ἕως ὑψίστων, ἃ ἐποίησας μεγαλεῖα. ὁ θεός, τίς ὅμοιός σοι; [20] ὅσας 20
ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ
ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. [21] ἐπλεόνασας τὴν δικαιοσύνην 21
σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν
ἀνήγαγές με. [22] καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλή- 22
θειάν σου, ὁ θεός· ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ. [23] ἀγαλλιά- 23
σονται τὰ χείλη μου ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω. [24] ἔτι 24
δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν
αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

## LXXI. (LXXII.)

Εἰς Σαλωμών.

Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ
τοῦ βασιλέως, [2] κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν 2
κρίσει. [3] ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου καὶ οἱ βουνοί. [4] ἐν δικαιο- 3 4
σύνῃ κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ
ταπεινώσει συκοφάντην· [5] καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης 5
γενεὰς γενεῶν. [6] καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στά- 6
ζουσαι ἐπὶ τὴν γῆν. [7] ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος 7
εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. [8] καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως 8
θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης. [9] ἐνώπιον αὐτοῦ 9
προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι· [10] βασιλεῖς Θαρσὶς 10

Digitized by Google

καὶ αἱ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι·
11 11 καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς, πάντα τὰ ἔθνη δουλεύσουσιν
12 αὐτῷ. 12 ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοη-
13 14 θός· 13 φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει· 14 ἐκ τό-
κου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐ-
15 τῶν ἐνώπιον αὐτοῦ. 15 καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς
Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός, ὅλην τὴν ἡμέραν εὐλο-
16 γήσουσιν αὐτόν. 16 ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων· ὑπεραρ-
θήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ
17 χόρτος τῆς γῆς. 17 ἔστω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ
τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ· καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ
18 φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. 18 εὐλογητὸς κύριος ὁ θεὸς
19 τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος, 19 καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης
αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς αἰῶνα τοῦ αἰῶνος· καὶ πληρωθήσεται τῆς δόξης
αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο.

Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί.

## LXXII. (LXXIII.)

### Ψαλμὸς τῷ Ἀσάφ.

2 Ὡς ἀγαθὸς ὁ θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι καρδίᾳ. 2 ἐμοῦ δὲ παρὰ μι-
3 κρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. 3 ὅτι
4 ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· 4 ὅτι οὐκ ἔστιν ἀνά-
5 νευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν· 5 ἐν κό-
6 ποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. 6 διὰ τοῦτο
ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν.
7 7 ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν, διῆλθον εἰς διάθεσιν καρδίας·
8 9 8 διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν· 9 ἔθεντο
εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
10 10 διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται
11 ἐν αὐτοῖς. 11 καὶ εἶπαν Πῶς ἔγνω ὁ θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ;
12 12 ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου.
13 13 καὶ εἶπα Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις
14 τὰς χεῖράς μου, 14 καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ
15 ἔλεγχός μου εἰς τὰς πρωίας; 15 εἰ ἔλεγον Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ
16 τῶν υἱῶν σου ἠσυνθέτηκα. 16 καὶ ὑπέλαβον τοῦ γνῶναι· τοῦτο κόπος ἐστὶν
17 ἐναντίον μου, 17 ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ, συνῶ εἰς τὰ ἔσχατα.
18 18 πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
19 19 πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν
20 αὐτῶν. 20 ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐ-
21 τῶν ἐξουδενώσεις. 21 ὅτι ηὐφράνθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώ-
22 θησαν· 22 κἀγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων, κτηνώδης ἐγενόμην παρὰ σοί.
23 24 23 κἀγὼ διὰ παντὸς μετὰ σοῦ· ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, 24 ἐν
25 τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. 25 τί γάρ μοι
26 ὑπάρχει ἐν τῷ οὐρανῷ; καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; 26 ἐξέλιπεν
ἡ καρδία μου καὶ ἡ σάρξ μου· ὁ θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου
27 ὁ θεὸς εἰς τὸν αἰῶνα. 27 ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦν-
28 ται· ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. 28 ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι
τῷ θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου, τοῦ ἐξαγγεῖλαι
πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Digitized by Google

## LXXIII. (LXXIV.)

Συνέσεως τῷ Ἀσάφ.

Ἵνα τί ἀπώσω, ὁ θεός, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα
νομῆς σου; 2 μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς· ἐλυτρώσω 2
ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ. 3 ἔπαρον 3
τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ
ἐχθρὸς ἐν τοῖς ἁγίοις σου. 4 καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς 4
ἑορτῆς σου· ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, 5 καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν 5
εἴσοδον ὑπεράνω· ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν 6 τὰς θύρας αὐτῆς 6
ἐπὶ τὸ αὐτό, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν· 7 ἐνεπύρισαν ἐν 7
πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν, ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός
σου. 8 εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτό Δεῦτε κατα- 8
παύσωμεν τὰς ἑορτὰς κυρίου ἀπὸ τῆς γῆς. 9 τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, 9
οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. 10 ἕως πότε, ὁ θεός, 10
ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος; 11 ἵνα τί 11
ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς
τέλος; 12 ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ 12
τῆς γῆς. 13 σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας 13
τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. 14 σὺ συνέτριψας τὰς κεφαλὰς 14
τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι. 15 σὺ διέρρηξας πη- 15
γὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ. 16 σή ἐστιν ἡ ἡμέρα, καὶ 16
σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω ἥλιον καὶ σελήνην. 17 σὺ ἐποίησας πάντα τὰ 17
ὅρια τῆς γῆς· θέρος καὶ ἔαρ σὺ ἐποίησας. 18 μνήσθητι ταύτης τῆς κτίσεώς 18
σου· ἐχθρὸς ὠνείδισε τὸν κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.
19 μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενή- 19
των σου μὴ ἐπιλάθῃ εἰς τέλος. 20 ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπλη- 20
ρώθησαν οἱ ἐσκοτωμένοι τῆς γῆς οἴκων ἀνομιῶν. 21 μὴ ἀποστραφήτω τετα- 21
πεινωμένος καὶ κατῃσχυμμένος· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου. 22
22 ἀνάστα, ὁ θεός, δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν
ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. 23 μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου, 23
ἡ ὑπερηφανία τῶν μισούντων σε ἀναβαίη διὰ παντὸς πρὸς σέ.

## LXXIV. (LXXV.)

Εἰς τὸ τέλος, Μὴ διαφθείρῃς, ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ.

2 Ἐξομολογησόμεθά σοι, ὁ θεός, ἐξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ 2
ὄνομά σου· διηγήσομαι πάντα τὰ θαυμάσιά σου. 3 ὅταν λάβω καιρόν, ἐγὼ 3
εὐθύτητας κρινῶ. 4 ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες αὐτήν, ἐγὼ ἐστε- 4
ρέωσα τοὺς στύλους αὐτῆς. διάψαλμα. 5 εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖν, 5
καὶ τοῖς ἁμαρτάνουσι Μὴ ὑψοῦτε κέρας· 6 μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, 6
μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν· 7 ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν οὔτε 7
ἀπὸ ἐρήμων ὀρέων. 8 ὅτι ὁ θεὸς κριτής ἐστι· τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ. 9 ὅτι 8 9
ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου
εἰς τοῦτο· πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ
τῆς γῆς. 10 ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ θεῷ Ἰακώβ· καὶ πάντα 10
τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

## LXXV. (LXXVI.)

Εἰς τὸ τέλος ἐν ὕμνοις, ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

2 Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. 2
3 καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών· 3

Digitized by Google

4 4 ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. διά-
5 6 ψαλμα. 5 φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. 6 ἐταράχθησαν πάντες
οἱ ἀσύνετοι τῇ καρδίᾳ· ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες
7 οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. 7 ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς
8 Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους. 8 σὺ φοβερὸς εἶ, καὶ τίς ἀν-
9 τιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; 9 ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ
10 ἐφοβήθη καὶ ἡσύχασεν, 10 ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεὸν τοῦ σῶσαι
11 πάντας τοὺς πρᾳεῖς τῇ καρδίᾳ. διάψαλμα. 11 ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολο-
12 γήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. 12 εὔξασθε καὶ ἀπόδοτε
13 κυρίῳ τῷ θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. 13 τῷ φοβερῷ
καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

## LXXVI. (LXXVII.)

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺν ψαλμὸς τῷ Ἀσάφ.

2 2 Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἡ φωνή μου πρὸς τὸν θεόν, καὶ
3 πρόσεσχέ μοι. 3 ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, ταῖς χερσί μου
νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή
4 μου. 4 ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ
5 πνεῦμά μου. διάψαλμα. 5 προκατελάβοντο φυλακὰς πάντες οἱ ἐχθροί μου,
6 ἐταράχθην καὶ οὐκ ἐλάλησα. 6 διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια
7 7 ἐμνήσθην, καὶ ἐμελέτησα, νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ
8 ἔσκαλλον τὸ πνεῦμά μου. 8 μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, καὶ οὐ
9 προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; 9 ἢ εἰς τέλος ἀποκόψει τὸ ἔλεος ἀπὸ γενεᾶς
10 καὶ γενεᾶς; 10 ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεός, ἢ συνέξει ἐν τῇ ὀργῇ
11 αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; διάψαλμα. 11 καὶ εἶπα Νῦν ἠρξάμην, αὕτη ἡ
12 ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. 12 ἐμνήσθην τῶν ἔργων κυρίου, ὅτι μνησθή-
13 σομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου, 13 καὶ μελετήσω ἐν πᾶσι τοῖς
14 ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. 14 ὁ θεός, ἐν τῷ ἁγίῳ
15 ἡ ὁδός σου· τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν; 15 σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμά-
16 σια, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου· 16 ἐλυτρώσω ἐν τῷ βραχίονί
17 σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. διάψαλμα. 17 εἴδοσάν σε
ὕδατα, ὁ θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, καὶ ἐταράχθησαν ἄβυσ-
18 σοι· 18 πλῆθος ἤχους ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη
19 σου διαπορεύονται· 19 φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστρα-
20 παί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. 20 ἐν τῇ θαλάσσῃ
ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνω-
21 σθήσονται. 21 ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

## LXXVII. (LXXVIII.)

Συνέσεως τῷ Ἀσάφ.

Προσέχετε λαός μου τὸν νόμον μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα
2 τοῦ στόματός μου. 2 ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προ- Mt. 13,35.
3 βλήματα ἀπ' ἀρχῆς, 3 ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, καὶ οἱ πατέρες ἡμῶν
4 διηγήσαντο ἡμῖν· 4 οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγ-
γέλλοντες τὰς αἰνέσεις κυρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐ-
5 τοῦ ἃ ἐποίησε. 5 καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ,
6 ὃν ἐνετείλατο τοῖς πατράσιν ἡμῶν γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν, 6 ὅπως ἂν
γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν
7 αὐτὰ τοῖς υἱοῖς αὐτῶν· 7 ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ
8 ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν· 8 ἵνα

LXXVI. 3. ed. rom. η ψυχη μου,

Digitized by Google

μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν γενεὰ σκολιὰ καὶ παραπικραίνουσα, γε-
νεὰ ἥτις οὐ κατεύθυνεν ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ
θεοῦ τὸ πνεῦμα αὐτῆς. 9 υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξον ἐστρά- 9
φησαν ἐν ἡμέρᾳ πολέμου· 10 οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ, καὶ ἐν 10
τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι. 11 καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν 11
αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς, 12 ἐναντίον τῶν πατέρων 12
αὐτῶν ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως. 13 διέρρηξε 13
θάλασσαν καὶ διήγαγεν αὐτούς, ἔστησεν ὕδατα ὡςεὶ ἀσκόν· 14 καὶ ὡδήγησεν 14
αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός· 15 διέῤῥηξε 15
πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ· 16 καὶ ἐξήγαγεν 16
ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. 17 καὶ προςέθεντο ἔτι 17
τοῦ ἁμαρτάνειν αὐτῷ· παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ, 18 καὶ ἐξεπεί- 18
ρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς
αὐτῶν. 19 καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπαν Μὴ δυνήσεται ὁ θεὸς ἑτοι- 19
μάσαι τράπεζαν ἐν ἐρήμῳ; 20 ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ 20
χείμαῤῥοι κατεκλύσθησαν· μὴ καὶ ἄρτον δυνήσεται δοῦναι; ἢ ἑτοιμάσαι τρά-
πεζαν τῷ λαῷ αὐτοῦ; 21 διὰ τοῦτο ἤκουσε κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ 21
ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ· 22 ὅτι οὐκ ἐπίστευσαν 22
ἐν τῷ θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. 23 καὶ ἐνετείλατο νεφέλαις 23
*Jo. 6, ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε· 24 καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, 24
31. καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· 25 ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπι- 25
σιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. 26 ἀπῆρε νότον ἐξ οὐρανοῦ, καὶ 26
ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα, 27 καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡςεὶ χοῦν 27
σάρκας, καὶ ὡςεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά· 28 καὶ ἐπέπεσον εἰς μέσον 28
τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. 29 καὶ ἔφαγοσαν καὶ 29
ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. 30 οὐκ ἐστε- 30
ρήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν· ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ
στόματι αὐτῶν, 31 καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτοὺς καὶ ἀπέκτεινεν ἐν τοῖς 31
πίοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν. 32 ἐν πᾶσι τούτοις 32
ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ· 33 καὶ ἐξέλιπον ἐν 33
ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. 34 ὅταν ἀπέ- 34
κτεινεν αὐτοὺς ἐζήτουν αὐτόν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν·
35 καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστί, καὶ ὁ θεὸς ὁ ὕψιστος λυ- 35
τρωτὴς αὐτῶν ἐστί. 36 καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ 36
γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ· 37 ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐ- 37
τοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. 38 αὐτὸς δέ ἐστιν οἰκτίρμων 38
καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ· καὶ πληθυνεῖ τοῦ ἀπο-
στρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ· 39 καὶ 39
ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον. 40 ποσάκις 40
παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; 41 καὶ 41
ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεόν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.
42 οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς 42
θλίβοντος· 43 ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ 43
ἐν πεδίῳ Τάνεως· 44 καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ 44
ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν· 45 ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν καὶ 45
κατέφαγεν αὐτούς, καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς· 46 καὶ ἔδωκε τῇ 46
ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι· 47 ἀπέκτεινεν 47
ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ·
48 καὶ παρέδωκεν ἐν χαλάζῃ τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ 48
πυρί· 49 ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ 49
θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν· 50 ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, 50
οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θά-
νατον συνέκλεισε· 51 καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν 51

Digitized by Google

52 πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ. 52 καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν
53 αὐτοῦ, ἤγαγεν αὐτοὺς ὡςεὶ ποίμνιον ἐν ἐρήμῳ· 53 καὶ ὡδήγησεν αὐτοὺς ἐν
54 ἐλπίδι καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. 54 καὶ
εἰςήγαγεν αὐτοὺς εἰς ὅρος ἁγιάσματος αὐτοῦ, ὅρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ
55 αὐτοῦ· 55 καὶ ἐξέβαλεν ἀπὸ προςώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς
ἐν σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς
56 φυλὰς τοῦ Ἰσραήλ. 56 καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον,
57 καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο· 57 καὶ ἀπέστρεψαν καὶ ἠσυνθέτησαν
58 καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν· 58 καὶ παρώρ-
γισαν αὐτὸν ἐπὶ τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλω-
59 σαν αὐτόν. 59 ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ·
60 60 καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ, σκήνωμα αὐτοῦ οὗ κατεσκήνωσεν ἐν
61 ἀνθρώποις· 61 καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλ-
62 λονὴν αὐτῶν εἰς χεῖρα ἐχθροῦ· 62 καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐ-
63 τοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. 63 τοὺς νεανίσκους αὐτῶν κατέφαγε
64 πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπένθησαν· 64 οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ
65 ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται. 65 καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν
66 κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου· 66 καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐ-
67 τοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. 67 καὶ ἀπώσατο τὸ σκή-
68 νωμα Ἰωσήφ, καὶ τὴν φυλὴν Ἐφραΐμ οὐκ ἐξελέξατο· 68 καὶ ἐξελέξατο τὴν
69 φυλὴν Ἰούδα, τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε. 69 καὶ ᾠκοδόμησεν ὡς μονοκε-
70 ρώτων τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. 70 καὶ
ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν
71 προβάτων· 71 ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν, ποιμαίνειν Ἰακὼβ τὸν
72 δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. 72 καὶ ἐποίμανεν αὐτοὺς
ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδή-
γησεν αὐτούς.

## LXXVIII. (LXXIX.)

### Ψαλμὸς τῷ Ἀσάφ.

Ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν
2 ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον· 2 ἔθεντο τὰ θνησιμαῖα τῶν
δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου
3 τοῖς θηρίοις τῆς γῆς· 3 ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ἱερουσαλήμ,
4 καὶ οὐκ ἦν ὁ θάπτων. 4 ἐγενήθημεν εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτη-
5 ρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. 5 ἕως πότε κύριε ὀργισθήσῃ εἰς τέλος,
6 ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου; 6 ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ
7 ἐπεγνωκότα σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο· 7 ὅτι
8 κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. 8 μὴ μνησθῇς ἡμῶν
ἀνομιῶν ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτω-
9 χεύσαμεν σφόδρα. 9 βοήθησον ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκα τῆς δόξης
τοῦ ὀνόματός σου· κύριε, ῥῦσαι ἡμᾶς καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα
10 τοῦ ὀνόματός σου· 10 μή ποτε εἴπωσιν ἐν τοῖς ἔθνεσι Ποῦ ἐστιν ὁ θεὸς αὐ-
τῶν; καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκη-
11 σις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου. 11 εἰςελθέτω ἐνώπιόν σου
ὁ στεναγμὸς τῶν πεπεδημένων, κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου
12 περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. 12 ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπτα-
πλάσια εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε, κύριε.
13 13 ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι εἰς
τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Digitized by Google

## LXXIX. (LXXX.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.

2 Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ· 2
ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι, 3 ἐναντίον Ἐφραῒμ καὶ Βενιαμὶν 3
καὶ Μανασσῆ, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
4 ὁ θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. 4
5 κύριε ὁ θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου 5
σου; 6 ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ· 6
7 ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτή- 7
ρισαν ἡμᾶς. 8 κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ 8
πρόσωπόν σου, καὶ σωθησόμεθα. διάψαλμα. 9 ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, 9
ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν· 10 ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ 10
κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ. 11 ἐκάλυψεν ὄρη ἡ σκιὰ 11
αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ· 12 ἐξέτεινε τὰ κλή- 12
ματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς. 13 ἵνα 13
τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευό-
μενοι τὴν ὁδόν; 14 ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατε- 14
νεμήσατο αὐτήν. 15 ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή, ἐπίβλεψον ἐξ οὐρα- 15
νοῦ καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην· 16 καὶ κατάρτισαι αὐτὴν ἣν 16
ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.
17 ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη· ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου 17
ἀπολοῦνται. 18 γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀν- 18
θρώπου ὃν ἐκραταίωσας σεαυτῷ, 19 καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· ζωώσεις 19
ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. 20 κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπί- 20
στρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

## LXXX. (LXXXI.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Ἀσάφ.

2 Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ θεῷ Ἰακώβ· 2
3 λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας· 4 σαλ- 3 4
πίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν, 5 ὅτι πρόσ- 5
ταγμα τῷ Ἰσραὴλ ἐστι, καὶ κρίμα τῷ θεῷ Ἰακώβ· 6 μαρτύριον ἐν τῷ Ἰωσὴφ 6
ἔθετο αὐτόν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου· γλῶσσαν ἣν οὐκ ἔγνω
ἤκουσεν, 7 ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ 7
κοφίνῳ ἐδούλευσαν. 8 ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐῤῥυσάμην σε· ἐπήκουσά 8
σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. διάψαλμα.
9 ἄκουσον, λαός μου, καὶ λαλήσω σοι· Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι. ἐὰν 9
ἀκούσῃς μου, 10 οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ 10
ἀλλοτρίῳ. 11 ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύ- 11
πτου· πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό. 12 καὶ οὐκ ἤκουσεν ὁ λαός 12
μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι· 13 καὶ ἐξαπέστειλα αὐ- 13
τοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτη-
δεύμασιν αὐτῶν. 14 εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπο- 14
ρεύθη, 15 ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς 15
θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου· 16 οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο 16

---

LXXIX. 11. A verbis τας κεδρους του θεου rursus incipit cod. alex. 12. ποταμων 13. *om αυτην 14. υς pro συς 15. και επιβλεψον 18. δεξιαν σου 19. επικαλεσωμεθα LXXX. 1. υπερ τ. αλλοιωθησομενων ψ. τω δαυιδ 4. ημερας ε. ημων 7. νωτ. αυτων 8. om διαψαλμα 9. om και λαλησω σοι ... ισραηλ pon. ante εαν

Digitized by Google

17 αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα· [17]καὶ ἐψώμισεν αὐτοὺς ἐκ
στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

## LXXXI. (LXXXII.)

Ψαλμὸς τῷ Ἀσάφ.

2 [1]Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. [2]ἕως πότε
3 κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; διάψαλμα. [3]κρίνατε
4 ὀρφανὸν καὶ πτωχόν, ταπεινὸν καὶ πένητα δικαιώσατε· [4]ἐξέλεσθε πένητα,
5 καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε. [5]οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν
6 σκότει διαπορεύονται· σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς. [6]ἐγὼ εἶπα
7 Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· [7]ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ Jo. 10
8 ὡς εἷς τῶν ἀρχόντων πίπτετε. [8]ἀνάστα ὁ θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατα- 34.
κληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

## LXXXII. (LXXXIII.)

Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ.

2 [2]Ὁ θεός, τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς, ὁ θεός,
3 4 [3]ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν· [4]ἐπὶ
τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων
5 σου· [5]εἶπαν Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ
6 τὸ ὄνομα Ἰσραὴλ ἔτι· [6]ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ
7 διαθήκην διέθεντο, [7]τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται,
8 Μωὰβ καὶ οἱ Ἀγαρηνοί, [8]Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ, καὶ ἀλλόφυλοι
9 μετὰ τῶν κατοικούντων Τύρον· [9]καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ᾽
10 αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. διάψαλμα. [10]ποίησον αὐτοῖς
ὡς τῇ Μαδιὰμ καὶ τῷ Σεισάρᾳ, ὡς τῷ Ἰαβεὶν ἐν τῷ χειμάῤῥῳ Κεισῶν·
11 12 [11]ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. [12]θοῦ τοὺς
ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμανά, πάντας
13 τοὺς ἄρχοντας αὐτῶν, [13]οἵτινες εἶπαν Κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσια-
14 στήριον τοῦ θεοῦ. [14]ὁ θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ
15 πρόσωπον ἀνέμου. [15]ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν, ὡσεὶ φλὸξ κατακαύσαι
16 ὄρη, [16]οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου
17 ταράξεις αὐτούς. [17]πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ
18 ὄνομά σου, κύριε. [18]αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ
19 αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν· [19]καὶ γνώτωσαν ὅτι ὄνομά σοι
κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

## LXXXIII. (LXXXIV.)

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός.

2 3 [2]Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων. [3]ἐπιποθεῖ καὶ
ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· ἡ καρδία μου καὶ ἡ σάρξ
4 μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. [4]καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν,
καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ οὗ θήσει τὰ νοσσία ἑαυτῆς· τὰ θυσιαστήριά σου,
5 κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ θεός μου. [5]μακάριοι οἱ κατοι-
κοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. διάψαλμα.

---

LXXXI. 3. κρινετε ορφανω και πτωχω 4. in f. add αυτους 8. κλη-
ρονομ. αυτους εν LXXXII. 2. μη σιγησις 4. λα. σου κυριε 5. εξολε-
θρευσωμεν 7. αγγαρηνοι 9. συνπαρεγενετο ... αντιλημψιν ... om διαψαλ-
μα 10. σισαρα, ως ο ιαβειν ... κισσων 11. εξωλεθρ. 13. το αγιαστηριον
14. ed. rom. ανεμου, 17. προσωπον pro ονομα LXXXIII. 5. μακ. παν-
τες οι .. om διαψαλμα

Digitized by Google

6 μακάριος ἀνὴρ οὗ ἐστιν ἡ ἀντίληψις αὐτοῦ παρὰ σοῦ, κύριε· ἀναβάσεις ἐν 6
τῇ καρδίᾳ αὐτοῦ διέθετο, 7 εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον 7
ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· 8 πορεύσονται ἐκ δυνάμεως 8
εἰς δύναμιν, ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών. 9 κύριε ὁ θεὸς τῶν δυνά- 9
μεων εἰςάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ θεὸς Ἰακώβ. διάψαλμα.
10 ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ 10
σου. 11 ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας· ἐξελεξά- 11
μην παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον ἢ οἰκεῖν με ἐπὶ σκηνώμα-
σιν ἁμαρτωλῶν. 12 ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ κύριος, ὁ θεὸς χάριν καὶ 12
δόξαν δώσει· κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.
13 κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. 13

## LXXXIV. (LXXXV.)

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός.

2 Εὐδόκησας κύριε τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ· 2
3 ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. 3
διάψαλμα. 4 κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ 4
σου. 5 ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν 5
θυμόν σου ἀφ' ἡμῶν. 6 μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν 6
ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; 7 ὁ θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, 7
καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. 8 δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου, καὶ 8
τὸ σωτήριόν σου δῴης ἡμῖν. 9 ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός, 9
ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ
τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν. 10 πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν 10
τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. 11 ἔλεος καὶ 11
ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν· 12 ἀλήθεια ἐκ τῆς 12
γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. 13 καὶ γὰρ ὁ κύριος 13
δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. 14 δικαιοσύνη 14
ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

## LXXXV. (LXXXVI.)

Προςευχὴ τῷ Δαυίδ.

Κλῖνον κύριε τὸ οὖς σου καὶ εἰςάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ
ἐγώ. 2 φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι, σῶσον τὸν δοῦλόν σου, ὁ θεός, 2
τὸν ἐλπίζοντα ἐπὶ σέ. 3 ἐλέησόν με κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν 3
ἡμέραν. 4 εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ κύριε ἦρα τὴν 4
ψυχήν μου. 5 ὅτι σύ, κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς 5
ἐπικαλουμένοις σε. 6 ἐνώτισαι κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ 6
τῆς δεήσεώς μου. 7 ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι εἰςήκουσάς 7
μου. 8 οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. 8
9 πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι καὶ προςκυνήσουσιν ἐνώπιόν σου, κύριε, 9
καὶ δοξάσουσι τὸ ὄνομά σου· 10 ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια, σὺ εἶ 10
ὁ θεὸς μόνος ὁ μέγας. 11 ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι 11
ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.
12 ἐξομολογήσομαί σοι, κύριε ὁ θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω 12

---

6. εστιν αντιλημψεις 7. κλαυθμονος, εις τοπον 9. om διαψαλμα 11. κρισσον ... παραριπτεσθαι ... θεου μου μαλλ. η οικ. εν σκην. 12. κυριος ο θεος conjg. ... τους πορευομενους LXXXIV. 2. επεστρεψας 3. * om διαψαλμα 6. εις τους αιωνας 8. κυριε δωης ημιν 12. om και 14. ενωπιον ... *προπορευεται LXXXV. 1. om προσευχη ... επακουσον 2. ο θεος μου 7. επηκουσας 10. om ο μεγας 11. om εν bis

Digitized by Google

13 τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· [13] ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, καὶ ἐρρύσω
14 τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. [14] ὁ θεός, παράνομοι ἐπανέστησαν ἐπ'
ἐμέ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε
15 ἐνώπιον αὐτῶν. [15] καὶ σύ, κύριε ὁ θεός, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος
16 καὶ πολυέλεος καὶ ἀληθινός. [16] ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, δὸς τὸ
17 κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. [17] ποίησον
μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθή-
τωσαν, ὅτι σύ, κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

## LXXXVI. (LXXXVII.)

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς.

2 Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· [2] ἀγαπᾷ κύριος τὰς πύλας
3 Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. [3] δεδοξασμένα ἐλαλήθη περὶ σοῦ,
4 ἡ πόλις τοῦ θεοῦ. διάψαλμα. [4] μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώ-
σκουσί με· καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγενή-
5 θησαν ἐκεῖ. [5] μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ,
6 καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. [6] κύριος διηγήσεται ἐν γραφῇ λαῶν
7 καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. διάψαλμα. [7] ὡς εὐφραινο-
μένων πάντων ἡ κατοικία ἐν σοί.

## LXXXVII. (LXXXVIII.)

Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ, εἰς τὸ τέλος ὑπὲρ μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἰμὰν τῷ Ἰσραηλίτῃ.

2 [2] Κύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναν-
3 τίον σου· [3] εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν
4 δέησίν μου, κύριε. [4] ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ
5 ᾅδῃ ἤγγισε. [5] προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην
6 ὡς ἄνθρωπος ἀβοήθητος, [6] ἐν νεκροῖς ἐλεύθερος· ὡσεὶ τραυματίαι ἐρριμμένοι
καθεύδοντες ἐν τάφῳ ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου
7 ἀπώσθησαν· [7] ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θα-
8 νάτου. [8] ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς
9 σου ἐπήγαγες ἐπ' ἐμέ. διάψαλμα. [9] ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ,
10 ἔθεντό με βδέλυγμα ἑαυτοῖς· παρεδόθην καὶ οὐκ ἐξεπορευόμην. [10] οἱ ὀφθαλ-
μοί μου ἠσθένησαν ἀπὸ πτωχείας· καὶ ἐκέκραξα πρὸς σὲ κύριε ὅλην τὴν ἡμέ-
11 ραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. [11] μὴ τοῖς νεκροῖς ποιήσεις θαυμά-
12 σια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; [12] μὴ διηγήσεταί τις ἐν
13 τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; [13] μὴ γνωσθή-
σεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελη-
14 σμένῃ; [14] κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ προσευχή μου προ-
15 φθάσει σε. [15] ἵνα τί κύριε ἀπωθεῖς τὴν προσευχήν μου, ἀποστρέφεις τὸ πρόσ-
16 ωπόν σου ἀπ' ἐμοῦ; [16] πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψω-
17 θεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. [17] ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, καὶ
18 οἱ φοβερισμοί σου ἐξετάραξάν με· [18] ἐκύκλωσάν με ὡς ὕδωρ, ὅλην τὴν ἡμέ-
19 ραν περιέσχον με ἅμα. [19] ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ τοὺς γνωστούς μου
ἀπὸ ταλαιπωρίας.

---

LXXXVI. 3. *om διαψαλμα 6. om διαψαλμα LXXXVII. 1. συνεσεως αιθαμ 2. κεκραξομαι 3. εισελθατω 5. ωσει ανθρωπος 6. om ερριμμενοι 8. *om διαψαλμα 10. om και 14. και εγω 15. απωθ. τ. ψυχην μ. 16. *om κ. εξηπορ. 17. *om και 18. ολ. τ. ημ. c. antecdd. conjg. 19. post φιλον add και πλησιον

Digitized by Google

## LXXXVIII. (LXXXIX.)

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

[2] Τὰ ἐλέη σου κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγ- 2
γελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. [3] ὅτι εἶπας Εἰς τὸν αἰῶνα ἔλεος 3
οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου· [4] διεθέμην 4
*Act. 2, διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαυὶδ τῷ δούλῳ μου· [5] ἕως τοῦ αἰῶνος 5
30. ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον
σου. διάψαλμα. [6] ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, κύριε, καὶ 6
τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. [7] ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ 7
κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ; [8] ὁ θεὸς ἐνδοξαζόμενος 8
ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. [9] κύριε 9
ὁ θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ κύριε, καὶ ἡ ἀλήθειά σου
κύκλῳ σου. [10] σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν 10
κυμάτων αὐτῆς σὺ καταπραΰνεις. [11] σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφα- 11
νον, καὶ ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.
[12] σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα 12
αὐτῆς σὺ ἐθεμελίωσας. [13] τὸν βορρᾶν καὶ θάλασσαν σὺ ἔκτισας, Θαβὼρ καὶ 13
Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. [14] σὸς ὁ βραχίων μετὰ δυναστείας· 14
κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. [15] δικαιοσύνη καὶ κρίμα 15
ἑτοιμασία τοῦ θρόνου σου· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου
σου. [16] μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν· κύριε, ἐν τῷ φωτὶ τοῦ προς- 16
ώπου σου πορεύσονται, [17] καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν 17
ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. [18] ὅτι τὸ καύχημα τῆς δυνά- 18
μεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. [19] ὅτι 19
τοῦ κυρίου ἡ ἀντίλημψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν. [20] τότε ἐλά- 20
λησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν,
Act. 13, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· [21] εὗρον Δαυὶδ τὸν δοῦλόν μου, ἐν ἐλέει 21
22. ἁγίῳ ἔχρισα αὐτόν. [22] ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων 22
μου κατισχύσει αὐτόν· [23] οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ 23
προςθήσει τοῦ κακῶσαι αὐτόν· [24] καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς 24
ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. [25] καὶ ἡ ἀλήθειά μου 25
καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας
αὐτοῦ· [26] καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. 26
[27] αὐτὸς ἐπικαλέσεταί με Πατήρ μου εἶ σύ, θεός μου καὶ ἀντιλήπτωρ τῆς 27
σωτηρίας μου· [28] κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασι- 28
λεῦσι τῆς γῆς. [29] εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη 29
μου πιστὴ αὐτῷ· [30] καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, 30
καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. [31] ἐὰν ἐγκαταλίπωσιν οἱ 31
υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν· [32] ἐὰν τὰ 32
δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν· [33] ἐπισκέ- 33
ψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἁμαρτίας αὐτῶν·
[34] τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ 34
ἀληθείᾳ μου, [35] οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα 35

---

LXXXVIII. 1. αιθαν 5. om διαψαλμα 6. και γαρ την 7. om και τις 8. φοβερος εστιν 10. καταπραΰνης 11. om και 13. κ. την θαλασσαν ... ερμωνιειμ τω 17. αγαλλιασονται usque υψωθησονται in rasura; antea pauciora 18. οτι καυχημα ... ει συ 19. αντιλημψις 21. εν ελαιω αγιω μου 22. συναντιλημψεται 23. *κακωσει pro προςθ. τ. κακ. αυτ. (vdtr) 24. τους εχθ. μ. απο πρ. αυτου ... *om τροπωσομαι (?) 27. ο θεος ... αντιλημπτωρ 28. και εγω 31. εγκαταλειπωσιν 32. βεβηλωσουσιν 33. αδικιας pro αμαρτιας 34. διασχιδασω ... ουδ ου μη



Digitized by Google

36 διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. 36 ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ
37 τῷ Δαυὶδ ψεύσομαι· 37 τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος
38 αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, 38 καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν
39 αἰῶνα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. διάψαλμα. 39 σὺ δὲ ἀπώσω καὶ ἐξου-
40 δένωσας, ἀνεβάλου τὸν χριστόν σου· 40 κατέστρεψας τὴν διαθήκην τοῦ δούλου
41 σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. 41 καθεῖλες πάντας τοὺς
42 φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν· 42 διήρπασαν αὐτὸν πάν-
43 τες οἱ διοδεύοντες ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. 43 ὕψωσας τὴν
44 δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ· 44 ἀπέστρε-
ψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πο-
45 λέμῳ. 45 κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν
46 κατέρραξας· 46 ἐσμίκρυνας τὰς ἡμέρας τοῦ θρόνου αὐτοῦ, κατέχεας αὐτοῦ
47 αἰσχύνην. διάψαλμα. 47 ἕως πότε κύριε ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται
48 ὡς πῦρ ἡ ὀργή σου; 48 μνήσθητι τίς ἡ ὑπόστασίς μου· μὴ γὰρ ματαίως
49 ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; 49 τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται
καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; διάψαλμα.
50 50 ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, κύριε, ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀλη-
51 θείᾳ σου; 51 μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν
52 τῷ κόλπῳ μου πολλῶν ἐθνῶν· 52 οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύριε, οὗ ὠνεί-
53 δισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου. 53 εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα.
γένοιτο γένοιτο.

## LXXXIX. (XC.)

### Προσευχὴ τοῦ Μωυσῆ ἀνθρώπου τοῦ θεοῦ.

2 Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ· 2 πρὸ τοῦ ὄρη γενη-
θῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος ἕως
3 τοῦ αἰῶνος σὺ εἶ. 3 μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας Ἐπι-
4 στρέψατε υἱοὶ ἀνθρώπων; 4 ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡ ἡμέρα ἡ 2 Pe. 3, 8.
5 ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. 5 τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσον-
6 ται, τὸ πρωὶ ὡσεὶ χλόη παρέλθοι· 6 τὸ πρωὶ ἀνθήσαι καὶ παρέλθοι, τὸ ἑσπέ-
7 ρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. 7 ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου,
8 καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν· 8 ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου,
9 ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου, 9 ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν
ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν· τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων,
10 10 αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυνα-
στείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος· ὅτι ἐπῆλθε
11 πραΰτης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. 11 τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς
12 σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου ἐξαριθμήσασθαι; 12 τὴν δεξιάν σου
13 οὕτως γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. 13 ἐπίστρεψον
14 κύριε· ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. 14 ἐνεπλήσθημεν τὸ
πρωὶ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν· ἐν πάσαις ταῖς
15 ἡμέραις ἡμῶν εὐφρανθείημεν, 15 ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν
16 ὧν εἴδομεν κακά. 16 καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ
17 ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. 17 καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν
ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς.

38. *om διαψαλμα 42. παντ. οι παραπορευομενοι την οδον ... αυτον pro αυτου (?) 43. δεξ. των θλιβοντων αυτον ... εχθρους 46. χρονου pro θρονου 47. αποστρεφεις 48. μου η υποστ. 50. που εισιν LXXXIX. 1. τω μωση ανθρωπω 2. και εως 3. οι υιοι των ανθρ. 4. σου κυριε ως ... εχθες 7. εξελειπομεν 9. εξελειπον ... εξελειπομεν ... ωσει 10. πραοτης 11. γιγνωσκει ... φοβου σου τον θυμον σου 12. γνωρισον μοι ... πεπεδημενους 14. και ηυφρανθημεν ... ημων ευφρανθημεν (sed εν πασαις usque ευφρ. rescripta) 17. in f. add και το εργον των χειρων ημων κατευθυνον

Digitized by Google

## XC. (XCI.)

Αἶνος ᾠδῆς τῷ Δαυίδ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ
αὐλισθήσεται· [2] ἐρεῖ τῷ κυρίῳ Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός 2
μου, ἐλπιῶ ἐπ' αὐτόν. [3] ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ 3
λόγου ταραχώδους· [4] ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς 4
πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. [5] οὐ φοβηθήσῃ 5
ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, [6] ἀπὸ πράγματος δια- 6
πορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. [7] πε- 7
σεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ
ἐγγιεῖ· [8] πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν 8
ὄψει. [9] ὅτι σύ κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. [10] οὐ 9 10
προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου· [11] ὅτι 11
Mt. 4,6. τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς
Lc. 4,10. ὁδοῖς σου· [12] ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα 12
σου· [13] ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ 13
δράκοντα. [14] ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι 14
ἔγνω τὸ ὄνομά μου. [15] ἐπικαλέσεται πρὸς μέ, καὶ εἰσακούσομαι αὐτοῦ, μετ' 15
αὐτοῦ εἰμὶ ἐν θλίψει, καὶ ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. [16] μακρότητι 16
ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

## XCI. (XCII.)

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου.

[2] Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου 2
ὕψιστε, [3] τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ 3
νύκτα, [4] ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ· [5] ὅτι εὔφρανάς με 4 5
κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.
[6] ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. 6
[7] ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. [8] ἐν τῷ ἀνατεῖ- 7 8
λαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [9] σὺ δὲ ὕψιστος 9
εἰς τὸν αἰῶνα, κύριε. [10] ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπι- 10
σθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. [11] καὶ ὑψωθήσεται ὡς μονο- 11
κέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλέῳ πίονι· [12] καὶ ἐπεῖδεν ὁ 12
ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονη-
ρευομένοις ἀκούσεται τὸ οὖς μου. [13] δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡς ἡ κέδρος 13
ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. [14] πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρίου ἐν ταῖς 14
αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν· [15] τότε πληθυνθήσονται ἐν γήρει πίονι, 15
καὶ εὐπαθοῦντες ἔσονται [16] τοῦ ἀναγγεῖλαι ὅτι εὐθὴς κύριος ὁ θεός μου, καὶ 16
οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

## XCII. (XCIII.)

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαυίδ.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κύριος δύναμιν
καὶ περιεζώσατο, καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται.

---

XC. 2. αντιλημπτωρ 3. ρυσεται με 8. οψη 13. επι ασπιδα 15. καικραξεται πρ. με … επακουσομαι 16. μακροτητα XCI. 5. *om οτι 8. ανατειλαι αμαρτωλους … εξολεθρευθωσιν 10. ** ante οτι add οτι ιδου οι εχθροι σου κυριε 11. εν ελαιω 12. και εφιδεν (sed και εφι in rasura) … *om εν τοις prius … επανιστανομενοις 15. ετι pro τοτε … *γηρα (videtur) 16. ο θεος ημων XCII. του σαββατου … εκατωκειστα

2 3 [2]ἕτοιμος ὁ ϑρόνος σου ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. [3]ἐπῆραν οἱ ποταμοὶ
4 κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, [4]ἀπὸ φωνῶν ὑδάτων πολλῶν. ϑαυ-
5 μαστοὶ οἱ μετεωρισμοὶ τῆς ϑαλάσσης· ϑαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος. [5]τὰ
μαρτύριά σου ἐπιστώϑησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, κύριε, εἰς
μακρότητα ἡμερῶν.

## XCIII. (XCIV.)

Ψαλμὸς τῷ Δαυὶδ τετράδι σαββάτου.

2 Θεὸς ἐκδικήσεων κύριος, ὁ ϑεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο. [2]ὑψώϑητι
3 ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. [3]ἕως πότε ἁμαρ-
4 τωλοί, κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; [4]φϑέγξονται καὶ λαλήσουσιν
5 ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; [5]τὸν λαόν σου κύριε
6 ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν· [6]χήραν καὶ ὀρφανὸν ἀπ-
7 έκτειναν, καὶ προσήλυτον ἐφόνευσαν· [7]καὶ εἶπαν Οὐκ ὄψεται κύριος, οὐδὲ
8 συνήσει ὁ ϑεὸς τοῦ Ἰακώβ. [8]σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ ποτὲ
9 φρονήσατε. [9]ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφϑαλμὸν οὐχὶ
10 κατανοεῖ; [10]ὁ παιδεύων ἔϑνη οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνϑρωπον γνῶσιν;
11 12 [11]κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνϑρώπων ὅτι εἰσὶ μάταιοι. [12]μα- 1 Co. 3,
κάριος ὁ ἄνϑρωπος ὃν ἂν σὺ παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς 20.
13 αὐτόν, [13]τοῦ πραΰναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρ-
14 τωλῷ βόϑρος. [14]ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονο-
15 μίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, [15]ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, καὶ
16 ἐχόμενοι αὐτῆς πάντες οἱ εὐϑεῖς τῇ καρδίᾳ. διάψαλμα. [16]τίς ἀναστήσεταί μοι
ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν
17 ἀνομίαν; [17]εἰ μὴ ὅτι κύριος ἐβοήϑησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ
18 ἡ ψυχή μου. [18]εἰ ἔλεγον Σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου κύριε ἐβοή-
19 ϑει μοι· [19]κύριε κατὰ τὸ πλῆϑος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ
20 παρακλήσεις σου ἠγάπησαν τὴν ψυχήν μου. [20]μὴ συμπροσέσται σοι ϑρόνος
21 ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι; [21]ϑηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου,
22 καὶ αἷμα ἀϑῷον καταδικάσονται. [22]καὶ ἐγένετό μοι κύριος εἰς καταφυγήν,
23 καὶ ὁ ϑεός μου εἰς βοηϑὸν ἐλπίδος μου· [23]καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν
αὐτῶν καὶ τὴν πονηρίαν αὐτῶν, ἀφανιεῖ αὐτοὺς κύριος ὁ ϑεὸς ἡμῶν.

## XCIV. (XCV.)

Αἶνος ᾠδῆς τῷ Δαυίδ.

Δεῦτε ἀγαλλιασόμεϑα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ ϑεῷ τῷ σωτῆρι ἡμῶν·
2 [2]προφϑάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλά-
3 ξωμεν αὐτῷ, [3]ὅτι ϑεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς
4 ϑεούς. [4]ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ
5 πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστίν· [5]ὅτι αὐτοῦ ἐστὶν ἡ
ϑάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
6 [6]δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον κυρίου
7 τοῦ ποιήσαντος ἡμᾶς, [7]ὅτι αὐτός ἐστιν ὁ ϑεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς
8 αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ. [8]σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, He. 3, 7. 8. 9.

---

3. in f. add αρουσιν οι ποταμοι επιτριψεις αυτων XCIII. 4. ψαλμ. ωδης 2. om ὁ 4. ed. rom. ανομιαν. interpg. 12. μακαριος ανϑρωπος ... om συ 15. επιστρεψει ... *om διαψαλμα 16. επι πονηρευομενοις ... συνπαραστησεται 18. *om το ελεος σου 19. om κυριε ... ηυφραναν pro ηγαπησαν 20. συνπροσεστω ... επι προσταγμα ... ed. rom. in f. plene interpg. 23. αυτοις κυριος κατα την α. α. κ. κατα την XCIV. 3. επι πασαν την γην 4. om οτι ουκ usque λαον αυτου ... εισιν pro εστιν 6. κλαυσομεν 7. της χειρ. αυτ.

Digitized by Google

μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέ-
ραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· [9]οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδο- 9
κίμασαν καὶ εἶδον τὰ ἔργα μου. [10]τεσσαράκοντα ἔτη προςώχθισα τῇ γενεᾷ 10
ἐκείνῃ, καὶ εἶπα Ἀεὶ πλανῶνται τῇ καρδίᾳ, καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς
μου. [11]ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ εἰςελεύσονται εἰς τὴν κατάπαυσίν μου. 11

## XCV. (XCVI.)

Ὅτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν, ᾠδὴ τῷ Δαυίδ.
Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ· [2]ᾄσατε τῷ 2
κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σω-
τήριον αὐτοῦ. [3]ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς 3
λαοῖς τὰ θαυμάσια αὐτοῦ. [4]ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός 4
ἐστιν ἐπὶ πάντας τοὺς θεούς· [5]ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ 5
δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν. [6]ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, 6
ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. [7]ἐνέγκατε τῷ κυρίῳ αἱ 7
πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν· [8]ἐνέγκατε τῷ κυρίῳ 8
δόξαν ὀνόματι αὐτοῦ, ἄρατε θυσίας καὶ εἰςπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.
[9]προςκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, σαλευθήτω ἀπὸ προσώπου 9
αὐτοῦ πᾶσα ἡ γῆ. [10]εἴπατε ἐν τοῖς ἔθνεσιν Ὁ κύριος ἐβασίλευσε, καὶ γὰρ 10
κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι.
[11]εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα 11
καὶ τὸ πλήρωμα αὐτῆς, [12]χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς, τότε 12
ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ [13]πρὸ προσώπου τοῦ κυρίου ὅτι 13
ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν· κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ
καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

## XCVI. (XCVII.)

Τῷ Δαυὶδ ὅτε ἡ γῆ αὐτοῦ καθίσταται.
Ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.
[2]νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ 2
θρόνου αὐτοῦ. [3]πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς 3
ἐχθροὺς αὐτοῦ· [4]ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη 4
ἡ γῆ. [5]τὰ ὄρη ὡςεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυρίου, ἀπὸ προσώπου 5
κυρίου πάσης τῆς γῆς. [6]ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ 6
εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. [7]αἰσχυνθήτωσαν πάντες οἱ προς- 7
He. 1, 6. κυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν· προσκυνή-
σατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ. [8]ἤκουσε καὶ εὐφράνθη Σιών, καὶ ἠγαλλιά- 8
σαντο αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου, κύριε· [9]ὅτι σὺ 9
εἶ κύριος ὁ ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας
τοὺς θεούς. [10]οἱ ἀγαπῶντες τὸν κύριον μισεῖτε πονηρόν· φυλάσσει κύριος τὰς 10
ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς. [11]φῶς ἀνέ- 11
τειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. [12]εὐφράνθητε δίκαιοι 12
ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

---

8. ed. rom. πειρ. calamo corr. ex πικρ. 9. om με ... με κ. ιδον 10. τεσσερακοντα ... ειπον ... καρδ., αυτοι δε 11. *om ει, **supplet η XCV. 1. ωδη τω δαυ. οτε ο οικ. ωκοδομειτο μ. τ. αιχμ. 3. *om αναγγ. usque δοξ. αυτου 10. *ειπα ... οτι κυριος 13. απο προσωπου κυριου XCVI. 5. ετακησαν ωςει κηρος 6. *ιδον, **ιδοσαν 7. παντ. οι αγγ. 8. ηυφρανθη 9. οτι συ κυριος υψιστ. 10. πονηρα ... αμαρτωλου 11. ευφροσυνην

## XCVII. (XCVIII.)

### Ψαλμὸς τῷ Δαυίδ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος· ἔσωσεν
2 αὐτῷ ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. [2] ἐγνώρισε κύριος τὸ
3 σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. [3] ἐμνή-
σθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ·
4 εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν. [4] ἀλαλάξατε
5 τῷ θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε. [5] ψάλατε τῷ κυρίῳ
6 ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, [6] ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ
7 σάλπιγγος κερατίνης· ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίῳ. [7] σαλευθήτω ἡ
θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ οἱ κατοικοῦντες αὐτήν·
8 9 [8] ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό, τὰ ὄρη ἀγαλλιάσονται, [9] ὅτι ἥκει
κρῖναι τὴν γῆν· κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι.

## XCVIII. (XCIX.)

### Ψαλμὸς τῷ Δαυίδ.

Ὁ κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, ὁ καθήμενος ἐπὶ τῶν Χερου-
2 βίμ, σαλευθήτω ἡ γῆ. [2] κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας
3 τοὺς λαούς. [3] ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν
4 καὶ ἅγιόν ἐστιν. [4] καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ· σὺ ἡτοίμασας εὐθύτητας,
5 κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. [5] ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν,
6 καὶ προςκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. [6] Μωυσῆς
καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ
7 ὄνομα αὐτοῦ· ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς εἰςήκουεν, [7] ἐν στύλῳ νεφέ-
λης ἐλάλει πρὸς αὐτούς· ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προςτάγματα
8 ἃ ἔδωκεν αὐτοῖς. [8] κύριε ὁ θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν· ὁ θεός, εὐίλατος
9 ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. [9] ὑψοῦτε κύριον
τὸν θεὸν ἡμῶν, καὶ προςκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ
θεὸς ἡμῶν.

## XCIX. (C.)

### Ψαλμὸς εἰς ἐξομολόγησιν.

2 Ἀλαλάξατε τῷ κυρίῳ, πᾶσα ἡ γῆ, [2] δουλεύσατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ,
3 εἰςέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. [3] γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεός·
αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς
4 αὐτοῦ. [4] εἰςέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, τὰς αὐλὰς αὐτοῦ ἐν
5 ὕμνοις· ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, [5] ὅτι χρηστὸς κύριος,
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

## C. (CI.)

### Ψαλμὸς τῷ Δαυίδ.

2 Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, κύριε· [2] ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ·
πότε ἥξεις πρὸς μέ; διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου

---

XCVII. 3. (του ιακωβ) ... ιδοσαν 4. τω κυριω 6. φωνης ... βασ. κυριου 7. κ. παντες οι κατοικ. εν αυτη 8. in f. add απο προσωπου κυριου οτι ερχεται XCVIII. 1. χερουβειν 5. αγιον 6. κ. αυτ. εισηκουσεν αυτων 7. οτι εφυλασσον ... προσταγμ. αυτου α 8. συ ευειλατος XCIX. 3. ο θεος ημων ... ημεις, ημεις δε λαος ... om της 4. post εξομολογησει add εις ... εν υμνοις cum εξομ. α. conjg. 5. οτι εις τον C. 1. om ψαλμος ... ελαιον 2. εμμεσω

Digitized by Google

μου. 3 οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παρα- 3
βάσεις ἐμίσησα· οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, 4 ἐκκλίνοντος ἀπ' ἐμοῦ 4
τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. 5 τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, 5
τοῦτον ἐξεδίωκον· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνή-
σθιον. 6 οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς 6
μετ' ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ οὗτός μοι ἐλειτούργει. 7 οὐ κατῴκει 7
ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν
ἐναντίον τῶν ὀφθαλμῶν μου. 8 εἰς τὰς πρωίας ἀπέκτενον πάντας τοὺς ἁμαρ- 8
τωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομέ-
νους τὴν ἀδικίαν.

## CI. (CII.)

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

2 Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλ- 2
θέτω. 3 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβο- 3
μαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ
εἰσάκουσόν μου· 4 ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου 4
ὡσεὶ φρύγιον συνεφρύγησαν. 5 ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία 5
μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. 6 ἀπὸ φωνῆς τοῦ στεναγμοῦ 6
μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. 7 ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, 7
ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, 8 ἠγρύπνησα καὶ ἐγενήθην ὡσεὶ στρου- 8
θίον μονάζον ἐπὶ δώματι. 9 ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ 9
οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον, 10 ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ 10
τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων, 11 ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ 11
τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με. 12 αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλί- 12
θησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. 13 σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις, 13
καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. 14 σὺ ἀναστὰς οἰκτειρήσεις τὴν 14
Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. 15 ὅτι εὐδόκησαν 15
οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι· 16 καὶ 16
φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου κύριε, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν
σου· 17 ὅτι οἰκοδομήσει κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. 17
18 ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέη- 18
σιν αὐτῶν. 19 γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει 19
τὸν κύριον, 20 ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν 20
γῆν ἐπέβλεψε 21 τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι 21
τοὺς υἱοὺς τῶν τεθανατωμένων, 22 τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα κυρίου 22
καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ, 23 ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ 23
αὐτὸ καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ. 24 ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος 24
αὐτοῦ Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· 25 μὴ ἀναγάγῃς με 25
He.1,10. ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. 26 κατ' ἀρχὰς τὴν γῆν 26
11. 12. σὺ κύριε ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· 27 αὐτοὶ 27
ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ
ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· 28 σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ 28
τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. 29 οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ 29
τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

---

7. υπερηφανιαν, ut etiam ed. rom. ... κατηυθυνεν ενωπιον 8. εξολεθρευσαι ... την ανομιαν CI. 1. εναντι 2. ελθατω 3. επικαλεσομαι 4. εξελειπον 8. εγενομην ως ... μοναζων 12. και εγω 16. βασιλ. της γης την 21. τον στεναγμον 23. επισυναχθηναι 26. συ κυριε την γην 29. om οι

Digitized by Google

## CII. (CIII.)

Τῷ Δαυίδ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ
2 ἅγιον αὐτοῦ. [2] εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας
3 τὰς αἰνέσεις αὐτοῦ· [3] τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμε-
4 νον πάσας τὰς νόσους σου· [4] τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν
5 στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς, [5] τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν
6 ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. [6] ποιῶν ἐλεημοσύνας
7 ὁ κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. [7] ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ
8 Μωυσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ· [8] οἰκτίρμων καὶ ἐλεήμων ὁ
9 κύριος, μακρόθυμος καὶ πολυέλεος. [9] οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν
10 αἰῶνα μηνιεῖ· [10] οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς
11 ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν, [11] ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς
12 γῆς ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν· [12] καθ'
ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.
13 [13] καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν,
14 15 [14] ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· μνήσθητι ὅτι χοῦς ἐσμέν. [15] ἄνθρωπος
16 ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει· [16] ὅτι
πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον
17 αὐτοῦ. [17] τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ
18 τοὺς φοβουμένους αὐτόν· καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν, [18] τοῖς φυ-
λάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆ-
19 σαι αὐτάς. [19] κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασι-
20 λεία αὐτοῦ πάντων δεσπόζει. [20] εὐλογεῖτε τὸν κύριον πάντες ἄγγελοι αὐτοῦ,
δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων
21 αὐτοῦ. [21] εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ
22 ποιοῦντες τὰ θελήματα αὐτοῦ. [22] εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ
ἐν παντὶ τόπῳ τῆς δυναστείας αὐτοῦ· εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

## CIII. (CIV.)

Τῷ Δαυίδ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον· κύριε ὁ θεός μου, ἐμεγαλύνθης σφόδρα.
2 ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, [2] ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκ-
3 τείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· [3] ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ
4 τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· [4] ὁ
ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέ- He. 1, 7.
5 γον· [5] ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν
6 αἰῶνα τοῦ αἰῶνος. [6] ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων
7 στήσονται ὕδατα· [7] ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου
8 δειλιάσουσιν· [8] ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθε-
9 μελίωσας αὐτοῖς· [9] ὅριον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι κα-
10 λύψαι τὴν γῆν. [10] ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων
11 διελεύσονται ὕδατα· [11] ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται
12 ὄναγροι εἰς δίψαν αὐτῶν. [12] ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώ-
13 σει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. [13] ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων
14 αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. [14] ὁ ἐξανατέλλων
χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν

---

CII. 2. πασ. τ. ανταποδοσεις αυτ. 8. ** in f. add και αληθεινος 13. οικτειρησεν 14. εμνησθη οτι 19. * βασ. αυτων παντ. 20. παντ. οι αγγ. 21. το θελημα 22. της δεσποτιας αυτου CIII. 1. του δαυιδ ... μεγαλοπρεπιαν 4. ** πυρος φλεγα 5. κεινηθησεται 14. δουλια

Digitized by Google

ἄρτον ἐκ τῆς γῆς· [15]καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι 15
πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. [16]χορτασθήσεται 16
τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν· [17]ἐκεῖ στρουθία 17
ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. [18]ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, 18
πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις. [19]ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος 19
ἔγνω τὴν δύσιν αὐτοῦ. [20]ἔθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται 20
πάντα τὰ θηρία τοῦ δρυμοῦ, [21]σκύμνοι ὠρυόμενοι ἁρπάσαι καὶ ζητῆσαι 21
παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς. [22]ἀνέτειλεν ὁ ἥλιος καὶ συναχθήσονται, καὶ 22
ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται· [23]ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔρ- 23
γον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. [24]ὡς ἐμεγαλύνθη τὰ 24
ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
[25]αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀρι- 25
θμός, ζῷα μικρὰ μετὰ μεγάλων· [26]ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος 26
ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. [27]πάντα πρὸς σὲ προςδοκῶσι, δοῦναι τὴν τρο- 27
φὴν αὐτοῖς εὔκαιρον· [28]δόντος σοῦ αὐτοῖς συλλέξουσιν, ἀνοίξαντος δὲ σοῦ 28
τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος. [29]ἀποστρέψαντος δὲ σοῦ 29
τὸ πρόςωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι,
καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. [30]ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ 30
κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόςωπον τῆς γῆς. [31]ἤτω ἡ δόξα κυρίου 31
εἰς τὸν αἰῶνα, εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ· [32]ὁ ἐπιβλέπων 32
ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνί-
ζονται. [33]ᾄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω· 33
[34]ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ. 34
[35]ἐκλείποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥςτε μὴ ὑπάρχειν αὐτούς· 35
εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

## CIV. (CV.)

Ἀλληλούια.

Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ, ἀπαγγεί-
λατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. [2]ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ, διηγή- 2
σασθε πάντα τὰ θαυμάσια αὐτοῦ. [3]ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ· 3
εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον. [4]ζητήσατε τὸν κύριον καὶ κρα- 4
ταιώθητε, ζητήσατε τὸ πρόςωπον αὐτοῦ διὰ παντός· [5]μνήσθητε τῶν θαυ- 5
μασίων αὐτοῦ ὧν ἐποίησε, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος
αὐτοῦ· [6]σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. [7]αὐτὸς 6 7
κύριος ὁ θεὸς ἡμῶν· ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. [8]ἐμνήσθη εἰς τὸν 8
αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς, [9]ὃν διέθετο 9
τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ· [10]καὶ ἔστησεν αὐτὴν τῷ Ἰα- 10
κὼβ εἰς πρόςταγμα καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον, [11]λέγων Σοὶ δώσω 11
τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ἡμῶν· [12]ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ 12
βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ. [13]καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος 13
καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον· [14]οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, 14
καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς· [15]μὴ ἅψησθε τῶν χριστῶν μου, καὶ ἐν 15
τοῖς προφήταις μου μὴ πονηρεύεσθε. [16]καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν 16
στήριγμα ἄρτου συνέτριψεν. [17]ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς 17
δοῦλον ἐπράθη Ἰωσήφ. [18]ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον 18

---

16. χορτασθησονται ... εφυτευσας 17. αρωδιου 18. καταφ. τοις λαγωοις 21. του αρπασαι 22. και συνηχθησαν, και εις τας μανδρας 27. τ. τροφ. αυτων εις καιρον 28. πλησθ. πιοτητος 31. εις τους αιωνας 33. *om ψαλω usque υπαρχω CIV. 5. *αυτων ων 9. τω ορκω κληρονομ. υμων 15. απτεσθαι et πονηρευεσθαι 17. ** εξαπεστειλεν

Digitized by Google

19 διῆλθεν ἡ ψυχὴ αὐτοῦ· [19] μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον τοῦ
20 κυρίου ἐπύρωσεν αὐτόν. [20] ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαῶν
21 καὶ ἀφῆκεν αὐτόν· [21] κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα
22 πάσης τῆς κτίσεως αὐτοῦ, [22] τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν,
23 καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. [23] καὶ εἰςῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον,
24 καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ· [24] καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα,
25 καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. [25] καὶ μετέστρεψε τὴν καρ-
δίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐ-
26 τοῦ. [26] ἐξαπέστειλε Μωυσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο αὐτόν·
27 [27] ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων ἐν γῇ
28 Χάμ. [28] ἐξαπέστειλε σκότος καὶ ἐσκότασεν, καὶ παρεπίκραναν τοὺς λόγους
29 αὐτοῦ. [29] μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας
30 αὐτῶν. [30] ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων
31 αὐτῶν. [31] εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
32 33 [32] ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν· [33] καὶ
ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύ-
34 λον ὁρίου αὐτῶν. [34] εἶπε, καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός,
35 [35] καὶ κατέφαγε πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε τὸν καρ-
36 πὸν τῆς γῆς αὐτῶν. [36] καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐκ τῆς γῆς αὐτῶν, ἀπαρ-
37 χὴν παντὸς πόνου αὐτῶν. [37] καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ
38 οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν· [38] εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ
39 αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. [39] διεπέτασε νεφέλην εἰς
40 σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα· [40] ᾔτησαν καὶ ἦλθεν
41 ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. [41] διέρρηξε πέτραν καὶ
42 ἐρρύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. [42] ὅτι ἐμνήσθη τοῦ λό-
43 γου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ· [43] καὶ ἐξήγαγε
44 τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. [44] καὶ
45 ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν ἐκληρονόμησαν, [45] ὅπως ἂν
φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

## CV. (CVI.)

Ἀλληλούια.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
2 τοῦ. [2] τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς
3 αἰνέσεις αὐτοῦ; [3] μακάριοι οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην
4 ἐν παντὶ καιρῷ. [4] μνήσθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπί-
5 σκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου, [5] τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν
σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ
6 τῆς κληρονομίας σου. [6] ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν,
7 ἠδικήσαμεν· [7] οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου,
καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου, καὶ παρεπίκραναν ἀνα-
8 βαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. [8] καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος
9 αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ· [9] καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θα-
10 λάσσῃ καὶ ἐξηράνθη, καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ· [10] καὶ
ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ·
11 12 [11] ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. [12] καὶ
13 ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ᾖνεσαν τὴν αἴνεσιν αὐτοῦ. [13] ἐτάχυναν

---

19. το λογιον κυριου 25. om και ... τ. καρδ. αυτου 26. εαυτω pro αυτον 27. τερατων αυτου 28. οτι παρεπικρ. 31. * σκνιφες 35. παντα χορτον ... παντα τον καρπ. 36. εν τη γη αυτ. 37. om ὁ 41. ποταμοις 43. om αυτου sec. 44. κατεκληρονομησαν 45. εκζητησουσιν CV. 7. om και prius 9. * επιτιμησεν 10. μισουντος 12. επιστ. εν τοις

Digitized by Google

ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ· [14]καὶ ἐπε- 14
θύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ. [15]καὶ 15
ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, καὶ ἐξαπέστειλε πλησμονὴν εἰς τὴν ψυχὴν
αὐτῶν. [16]καὶ παρώργισαν Μωυσῆν ἐν τῇ παρεμβολῇ καὶ Ἀαρὼν τὸν ἅγιον 16
κυρίου· [17]ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγω- 17
γὴν Ἀβειρών· [18]καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, καὶ φλὸξ κατέ- 18
φλεξεν ἁμαρτωλούς. [19]καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ 19
γλυπτῷ· [20]καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν ἐν ὁμοιώματι μόσχου ἔσθοντος 20
χόρτον. [21]ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα 21
ἐν Αἰγύπτῳ, [22]θαυμαστὰ ἐν γῇ Χάμ, καὶ φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. 22
[23]καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη 23
ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ, τοῦ
μὴ ἐξολοθρεῦσαι. [24]καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, καὶ οὐκ ἐπίστευσαν 24
τῷ λόγῳ αὐτοῦ· [25]καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκου- 25
σαν τῆς φωνῆς κυρίου. [26]καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ κατα- 26
βαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ, [27]καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς 27
ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. [28]καὶ ἐτελέσθησαν τῷ Βεελ- 28
φεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν· [29]καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτη- 29
δεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. [30]καὶ ἔστη Φινεὲς καὶ 30
ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις· [31]καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς 31
γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. [32]καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντι- 32
λογίας, καὶ ἐκακώθη Μωυσῆς δι' αὐτούς, [33]ὅτι παρεπίκραναν τὸ πνεῦμα 33
αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. [34]οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ 34
εἶπε κύριος αὐτοῖς, [35]καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐ- 35
τῶν· [36]καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάν- 36
δαλον· [37]καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαι- 37
μονίοις, [38]καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων ὧν 38
ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν· καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, [39]καὶ 39
ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν· καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
[40]καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρο- 40
νομίαν αὐτοῦ· [41]καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν 41
αὐτῶν οἱ μισοῦντες αὐτούς· [42]καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐτα- 42
πεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. [43]πλεονάκις ἐρρύσατο αὐτούς, αὐτοὶ δὲ 43
παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνο-
μίαις αὐτῶν. [44]καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσα- 44
κοῦσαι τῆς δεήσεως αὐτῶν· [45]καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμε- 45
λήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ, [46]καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς 46
ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. [47]σῶσον ἡμᾶς κύριε ὁ θεὸς 47
ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν, τοῦ ἐξομολογήσασθαι τῷ ὀνό-
ματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. [48]εὐλογητὸς κύριος 48
ὁ θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ἐρεῖ πᾶς ὁ λαός
Γένοιτο γένοιτο.

---

15. om και sec. ... εξαποστειλεν πλ. εις τας ψυχας α. 16. τον μωσην ε. τ. παρ., τον ααρων 18. om και sec. 20. δοξ. αυτου 21. επελαθ. θεου του ... ** μεγαλεια 22. θαυμασια ... om και 23. εξολεθρευσαι bis ... αποστρ. τον θυμον αυτου ... in f. add αυτους 24. την pro γην ... om και sec. 34. εξωλεθρευσαν 38. in f. add αυτων 39. om totum versum 41. *χειρ. εθνων (vdtr) 44. ιδεν 45. *εμετεμεληθη 46. αιχμαλωτισαντων 47. * om ημας prius

Digitized by Google

## CVI. (CVII.)

Ἀλληλούια.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
2 τοῦ. [2] εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ,
3 [3] καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ
4 καὶ θαλάσσης. [4] ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ, ὁδὸν πόλεως κατοι-
5 κητηρίου οὐχ εὗρον, [5] πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέ-
6 λιπεν. [6] καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν
7 ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς· [7] καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν
8 τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. [8] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ
9 ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων, [9] ὅτι ἐχόρτασε
10 ψυχὴν κενήν, καὶ πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. [10] καθημένους ἐν σκότει καὶ
11 σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ· [11] ὅτι παρεπίκραναν τὰ
12 λόγια τοῦ θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν· [12] καὶ ἐταπεινώθη
13 ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν. [13] καὶ ἐκέκρα-
ξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν
14 αὐτούς, [14] καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς
15 δεσμοὺς αὐτῶν διέῤῥηξεν. [15] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
16 καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων, [16] ὅτι συνέτριψε πύλας
17 χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. [17] ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνο-
18 μίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν· [18] πᾶν βρῶμα ἐβδε-
19 λύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. [19] καὶ ἐκέ-
κραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν
20 ἔσωσεν αὐτούς, [20] ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς, καὶ ἐῤῥύ-
21 σατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. [21] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ
22 ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων, [22] καὶ θυ-
σάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλ-
23 λιάσει. [23] οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν
24 ὕδασι πολλοῖς, [24] αὐτοὶ εἶδον τὰ ἔργα κυρίου καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ
25 βυθῷ. [25] εἶπε καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς·
26 [26] ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων· ἡ
27 ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο, [27] ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων,
28 καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. [28] καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ
29 θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς, [29] καὶ ἐπέ-
ταξε τῇ καταιγίδι καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς·
30 [30] καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήμα-
31 τος αὐτῶν. [31] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμά-
32 σια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων, [32] ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ,
33 καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. [33] ἔθετο ποταμοὺς εἰς ἔρη-
34 μον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν, [34] γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας
35 τῶν κατοικούντων ἐν αὐτῇ. [35] ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄν-
36 υδρον εἰς διεξόδους ὑδάτων· [36] καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστή-
37 σαντο πόλεις κατοικεσίας, [37] καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας,
38 καὶ ἐποίησαν καρπὸν γεννήματος. [38] καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐπληθύνθησαν
39 σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε. [39] καὶ ὠλιγώθησαν καὶ ἐκακώ-
40 θησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης· [40] ἐξεχύθη ἐξουδένωσις ἐπ᾽ ἄρχοντας

---

CVI. 3. om και prim. 5. εξελειπεν 6. ερυσατο 9. και ψυχην πινωσαν 12. και ησθενησαν 23. εις την θαλασσαν ... ** οι ποιουντες 24. ιδον 30. ηυφρανθησαν ... θελημ. αυτου 32. καθεδραις 36. *κατωκησεν 37. γενηματος

Digitized by Google

αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. [41] καὶ ἐβοήθησε πένητι 41
ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς. [42] ὄψονται εὐθεῖς καὶ εὐφραν- 42
θήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. [43] τίς σοφὸς καὶ φυ- 43
λάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ κυρίου;

## CVII. (CVIII.)

Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ.

[2] Ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ 2
ψαλῶ ἐν τῇ δόξῃ μου. [3] ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι 3
ὄρθρου. [4] ἐξομολογήσομαί σοι ἐν λαοῖς, κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν· [5] ὅτι μέγα 4 5
ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
[6] ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. 6
[7] ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν 7
μου. [8] ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, 8
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. [9] ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι 9
Μανασσῆς, καὶ Ἐφραΐμ ἀντίληψις τῆς κεφαλῆς μου· Ἰούδας βασιλεύς μου,
[10] Μωὰβ λέβης τῆς ἐλπίδος μου· ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά 10
μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. [11] τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς 11
ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; [12] οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; 12
καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; [13] δὸς ἡμῖν βοήθειαν ἐκ 13
θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. [14] ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, 14
καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

## CVIII. (CIX.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

Ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· [2] ὅτι στόμα ἁμαρτωλοῦ 2
καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, [3] καὶ 3
λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. [4] ἀντὶ τοῦ ἀγαπᾶν 4
με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην· [5] καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ 5
ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. [6] κατάστησον ἐπ' αὐτὸν ἁμαρ- 6
τωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ· [7] ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλ- 7
θοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. [8] γενη- 8
Act. 1, 20. θήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος·
[9] γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα· [10] σαλευόμε- 9 10
νοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν
οἰκοπέδων αὐτῶν. [11] ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ 11
διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ· [12] μὴ ὑπαρξάτω αὐτῷ ἀντι- 12
λήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ· [13] γενηθήτω τὰ τέκνα 13
αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. [14] ἀνα- 14
μνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι κυρίου, καὶ ἡ ἁμαρτία τῆς
μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη· [15] γενηθήτωσαν ἐναντίον κυρίου διὰ παντός, καὶ 15
ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. [16] ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι 16
ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ
καρδίᾳ τοῦ θανατῶσαι. [17] καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ 17
ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. [18] καὶ ἐνεδύσατο κατάραν 18
ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ καὶ ὡσεὶ ἔλαιον
ἐν τοῖς ὀστέοις αὐτοῦ· [19] γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ 19

---

42. om το 43. συνησουσιν CVII. 1. om ωδη ... ψαλμος τ. δαυ. 9. αντιλημψις 14. ποιησωμεν ... τους θλιβοντας ημας (sed θλιβ. ημ. **) CVIII. 11. και (sed και add**) εξεραυνησατω 12. αντιλημπτωρ 13. εξολεθρευσιν ... εξαλιφθητω 15. εξολεθρευθειη ε. γ. το μνημοσ. αυτου 16. του ποιησαι

Digitized by Google

20 ζώνη ἣν διὰ παντὸς περιζώννυται. 20 τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με
21 παρὰ κυρίου καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. 21 καὶ σύ,
κύριε κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ
22 ἔλεός σου· ῥῦσαί με, 22 ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου
23 τετάρακται ἐντός μου. 23 ὡςεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξε-
24 τινάχθην ὡςεὶ ἀκρίδες. 24 τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ
25 μου ἠλλοιώθη δι' ἔλαιον. 25 κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσά-
26 λευσαν κεφαλὰς αὐτῶν. 26 βοήθησόν μοι, κύριε ὁ θεός μου, καὶ σῶσόν με
27 κατὰ τὸ ἔλεός σου· 27 καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε
28 ἐποίησας αὐτήν. 28 καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί
29 μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. 29 ἐνδυσάσθωσαν οἱ ἐν-
διαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.
30 30 ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν
31 αἰνέσω αὐτόν· 31 ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν κατα-
διωκόντων τὴν ψυχήν μου.

## CIX. (CX.)

Ψαλμὸς τῷ Δαυίδ.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς Mt. 22, 44.
2 ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. 2 ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι pp. Act. 2,
3 κύριος ἐκ Σιών· κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. 3 μετὰ σοῦ ἡ ἀρχὴ 34s. 1Co. 15, 25. He. 1, 13.
ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου· ἐκ γαστρὸς He. 10, 13.
4 πρὸ ἑωςφόρου ἐγέννησά σε. 4 ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται Σὺ ἱερεὺς He. 7, 21.
5 εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. 5 κύριος ἐκ δεξιῶν σου συνέθλασεν 5. 6. 7, 17. Jo. 12,
6 ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς· 6 κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, 34.
7 συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. 7 ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο
ὑψώσει κεφαλήν.

## CX. (CXI.)

Ἀλληλούια.

Ἐξομολογήσομαί σου, κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ
2 συναγωγῇ. 2 μεγάλα τὰ ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα
3 αὐτοῦ· 3 ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη
4 αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. 4 μνείαν ἐποιήσατο τῶν θαυμασίων
5 αὐτοῦ, ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος· 5 τροφὴν ἔδωκε τοῖς φοβουμένοις
6 αὐτόν, μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. 6 ἰσχὺν ἔργων αὐτοῦ ἀνήγ-
7 γειλε τῷ λαῷ αὐτοῦ τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. 7 ἔργα χειρῶν
8 αὐτοῦ ἀλήθεια καὶ κρίσις· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, 8 ἐστηριγμέναι εἰς
9 τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. 9 λύτρωσιν ἀπ-
έστειλε τῷ λαῷ αὐτοῦ· ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ
10 φοβερὸν τὸ ὄνομα αὐτοῦ. 10 ἀρχὴ σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ
πᾶσι τοῖς ποιοῦσιν αὐτήν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

## CXI. (CXII.)

Ἀλληλούια.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελή-
2 σει σφόδρα· 2 δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλο-
3 γηθήσεται· 3 δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ

---

19. ζωνην 20. παρα κυριω 21. μετ εμου ελεος ενεχεν 23. ανταναιρεθην 25. και εγω ... ιδοσαν 28. επανιστανομενοι CIX. 1. τω δαυ. ψαλμ. 2. om σοι ... και καταχυρ. 7. πιεται υδωρ CX. 1. ευθιων CXI. 1. *om σφοδρα 2. ευθειων

Digitized by Google

μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [4] ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν· 4
ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. [5] χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, 5
οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει· [6] ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσε- 6
ται, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. [7] ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθή- 7
σεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, [8] ἐστήρικται ἡ καρδία 8
2Co.9,9. αὐτοῦ, οὐ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. [9] ἐσκόρπισεν, ἔδωκε 9
τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ κέρας
αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. [10] ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόν- 10
τας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

## CXII. (CXIII.)

Ἀλληλούια.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. [2] εἴη τὸ ὄνομα κυρίου 2
εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· [3] ἀπὸ ἀνατολῶν ἡλίου μέχρι 3
δυσμῶν αἰνετὸν τὸ ὄνομα κυρίου. [4] ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος, ἐπὶ 4
τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. [5] τίς ὡς κύριος ὁ θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς 5
κατοικῶν, [6] καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· [7] ὁ ἐγείρων 6 7
ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, [8] τοῦ καθίσαι αὐτὸν μετὰ 8
ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ· [9] ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μη- 9
τέρα ἐπὶ τέκνοις εὐφραινομένην.

## CXIII. (CXIV.)

Ἀλληλούια.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, [2] ἐγε- 2
νήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. [3] ἡ θάλασσα εἶδε καὶ 3
ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· [4] τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, 4
καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. [5] τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; καὶ 5
σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; [6] τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ 6
κριοί, καὶ οἱ βουνοί, ὡς ἀρνία προβάτων; [7] ἀπὸ προσώπου κυρίου ἐσαλεύθη 7
ἡ γῆ, ἀπὸ προσώπου τοῦ θεοῦ Ἰακώβ, [8] τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας 8
ὑδάτων καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. (CXV.) [9] μὴ ἡμῖν, κύριε, (1) 9
μὴ ἡμῖν ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ
σου. [10] μή ποτε εἴπωσι τὰ ἔθνη Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; [11] ὁ δὲ θεὸς (2. 3) 10 11
ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε. [12] τὰ (4) 12
εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· [13] στόμα (5) 13
ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐχ ὄψονται· [14] ὦτα ἔχουσι (6) 14
καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται· [15] χεῖρας ἔχουσι (7) 15
καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν
ἐν τῷ λάρυγγι αὐτῶν. [16] ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες (8) 16
οἱ πεποιθότες ἐπ' αὐτοῖς. [17] οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον· βοηθὸς καὶ (9) 17
ὑπερασπιστὴς αὐτῶν ἐστίν. [18] οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ κύριον· βοηθὸς (10) 18
καὶ ὑπερασπιστὴς αὐτῶν ἐστίν. [19] οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ (11) 19
κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστίν. [20] κύριος μνησθεὶς ἡμῶν (12) 20
εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραήλ, εὐλόγησε τὸν οἶκον Ἀαρών·
[21] εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. (13) 21
[22] προσθείη κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν· [23] εὐ- (14. 15) 22 23
λογημένοι ἡμεῖς τῷ κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. [24] ὁ οὐ- (16) 24
ρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

---

4. *τοις εν σκοτ. ... in f. add κυριος ὁ θεος 8. ου μη φοβηθη 10. επιθ. αμαρτωλων CXII. 1. τον κυριον 3. και μεχρι CXIII. 2. ** ισραηλ εις (?) 3. ιδεν 4. *om οτι 5. σοι pro συ ... *εστραφη 16. ομοιοι αυτων 19. om τον 24. ο ουρ. τω ουρανω

Digitized by Google

25 (17) 25 οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς
26 (18) ᾅδου· 26 ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ
ἕως τοῦ αἰῶνος.

## CXIV. (CXVI.)

Ἀλληλούια.

2 Ἠγάπησα ὅτι εἰςακούσεται κύριος τῆς φωνῆς τῆς δεήσεώς μου, 2 ὅτι
3 ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. 3 περιέσχον
4 με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με, θλῖψιν καὶ ὀδύνην εὗρον· 4 καὶ
5 τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην Ὦ κύριε, ῥῦσαι τὴν ψυχήν μου. 5 ἐλεήμων
6 ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. 6 φυλάσσων τὰ νήπια ὁ κύριος·
7 ἐταπεινώθην καὶ ἔσωσέ με. 7 ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου,
8 ὅτι κύριος εὐηργέτησέ σε· 8 ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς
9 ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. 9 εὐαρε-
στήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων.

## CXV. (CXVI.)

Ἀλληλούια.

1 2 (10. 11) Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. 2 ἐγὼ δὲ εἶπα 2 Co. 4, 13.
3 (12) ἐν τῇ ἐκστάσει μου Πᾶς ἄνθρωπος ψεύστης. 3 τί ἀνταποδώσω τῷ κυρίῳ *Ro. 3, 4.
4 (13) περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; 4 ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ
5 (14) ὄνομα κυρίου ἐπικαλέσομαι· 5 τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον
6 (15) παντὸς τοῦ λαοῦ αὐτοῦ. 6 τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων
7 (16) αὐτοῦ. 7 ὦ κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδί-
8 (17) σκης σου· διέῤῥηξας τοὺς δεσμούς μου. 8 σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ
9 (18) ἐν ὀνόματι κυρίου ἐπικαλέσομαι· 9 τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω
10 (19) ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, 10 ἐν αὐλαῖς οἴκου κυρίου, ἐν μέσῳ σου
Ἱερουσαλήμ.

## CXVI. (CXVII.)

Ἀλληλούια.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί· Ro. 15, 11.
2 2 ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει
εἰς τὸν αἰῶνα.

## CXVII. (CXVIII.)

Ἀλληλούια.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 2 εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
3 3 εἰπάτω δὴ οἶκος Ἀαρὼν ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
4 4 εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα
5 τὸ ἔλεος αὐτοῦ. 5 ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου
6 εἰς πλατυσμόν. 6 κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι He. 13, 6.
7 8 ἄνθρωπος· 7 κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. 8 ἀγαθὸν
9 πεποιθέναι ἐπὶ κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· 9 ἀγαθὸν ἐλπίζειν ἐπὶ κύ-
10 ριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. 10 πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι
11 κυρίου ἠμυνάμην αὐτούς· 11 κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου

---

26. ευλογησωμεν CXIV. 4. *επικαλεσαμην, **επεκαλεσα 7. ψυχην μου ... ευηργετησεν με 8. εξειλατο CXV. 2. om δε 4. λημψομαι 5. om versum 6. οσιων αυτων 7. *om εγω 8. σος alterum 8. *και το ονομα (vdtr) 10. εμμεσω CXVI. 1. και (sed και add**) επαινεσατωσαν 2. εφ ημ. το ελ. αυτου CXVII. 4. om οτι αγαθος 7. και εγω 9. *επ αρχοντας

Digitized by Google

ἠμυνάμην αὐτούς· 12 ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύϑησαν 12
ὡς πῦρ ἐν ἀκάνϑαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. 13 ὠσϑεὶς ἀνε- 13
τράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου. 14 ἰσχύς μου καὶ ὕμνησίς 14
μου ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. 15 φωνὴ ἀγαλλιάσεως καὶ σωτη- 15
ρίας ἐν σκηναῖς δικαίων· δεξιὰ κυρίου ἐποίησε δύναμιν, 16 δεξιὰ κυρίου ὕψωσέ 16
με, δεξιὰ κυρίου ἐποίησε δύναμιν. 17 οὐκ ἀποϑανοῦμαι ἀλλὰ ζήσομαι, καὶ 17
διηγήσομαι τὰ ἔργα κυρίου. 18 παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ ϑα- 18
νάτῳ οὐ παρέδωκέ με. 19 ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰςελϑὼν ἐν αὐταῖς 19
ἐξομολογήσομαι τῷ κυρίῳ. 20 αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰςελεύσονται 20
Mt. 21, ἐν αὐτῇ. 21 ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σω- 21
42. pp. τηρίαν. 22 λίϑον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήϑη εἰς κεφα- 22
Act. 4, 11. 1Pe. λὴν γωνίας· 23 παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι ϑαυμαστὴ ἐν ὀφϑαλμοῖς 23
2, 7. ἡμῶν. 24 αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος· ἀγαλλιασώμεϑα καὶ εὐφραν- 24
ϑῶμεν ἐν αὐτῇ. 25 ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή. 26 εὐλογημένος 25 26
*Mt. 21, ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου. 27 ϑεὸς 27
9. pp. *23, 39. κύριος καὶ ἐπέφανεν ἡμῖν· συστήσασϑε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν
p. *Jo. κεράτων τοῦ ϑυσιαστηρίου. 28 ϑεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· ϑεός 28
12, 13. μου εἶ σύ, καὶ ὑψώσω σε· ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγέ-
νου μοι εἰς σωτηρίαν. 29 ἐξομολογεῖσϑε τῷ κυρίῳ, ὅτι ἀγαϑός, ὅτι εἰς τὸν 29
αἰῶνα τὸ ἔλεος αὐτοῦ.

## CXVIII. (CXIX.)

Ἀλληλούϊα.

Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου. 2 μακάριοι οἱ 2
ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν· 3 οὐ γὰρ 3
οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύϑησαν. 4 σὺ ἐνετείλω 4
τὰς ἐντολάς σου τοῦ φυλάξασϑαι σφόδρα. 5 ὄφελον κατευϑυνϑείησαν αἱ ὁδοί 5
μου τοῦ φυλάξασϑαι τὰ δικαιώματά σου· 6 τότε οὐ μὴ αἰσχυνϑῶ, ἐν τῷ με 6
ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. 7 ἐξομολογήσομαί σοι ἐν εὐϑύτητι καρ- 7
δίας, ἐν τῷ μεμαϑηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. 8 τὰ δικαιώ- 8
ματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα. 9 ἐν τίνι κατορϑώσει 9
νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασϑαι τοὺς λόγους σου. 10 ἐν ὅλῃ καρδίᾳ 10
μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. 11 ἐν τῇ καρδίᾳ μου 11
ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. 12 εὐλογητὸς εἶ κύριε, δί- 12
δαξόν με τὰ δικαιώματά σου. 13 ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρί- 13
ματα τοῦ στόματός σου· 14 ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφϑην ὡς ἐπὶ 14
παντὶ πλούτῳ. 15 ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς 15
σου· 16 ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. 16
17 ἀνταπόδος τῷ δούλῳ σου, ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου. 18 ἀποκά- 17 18
λυψον τοὺς ὀφϑαλμούς μου, καὶ κατανοήσω τὰ ϑαυμάσια ἐκ τοῦ νόμου σου.
19 πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. 19
20 ἐπεπόϑησεν ἡ ψυχή μου τοῦ ἐπιϑυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. 20
21 ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν 21
σου. 22 περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξε- 22
ζήτησα. 23 καὶ γὰρ ἐκάϑισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦ- 23
λός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου· 24 καὶ γὰρ τὰ μαρτύριά σου με- 24
λέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. 25 ἐκολλήϑη τῷ 25

---

12. ωσει πυρ 17. εκδιηγησομαι 24. αυτη ημερα 26. *ημας 28. *om συ prius CXVIII. 1. οι αμωμοι 2. οι εξεραυνωντες 4. σου φυλασεσϑαι (sic) 6. επαισχυνϑω 7. εξομ. σοι κυριε 8. εγκαταλειπης 9. φυλασσεσϑαι 18. τα ϑαυμασ. σου 24. η συμβουλια



Digitized by Google

26 ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου. [26] τὰς ὁδούς μου ἐξήγ-
27 γειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου, [27] ὁδὸν δικαιω-
28 μάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς ϑαυμασίοις σου. [28] ἐνύστα-
29 ξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου· [29] ὁδὸν
30 ἀδικίας ἀπόστησον ἀπ᾿ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. [30] ὁδὸν ἀληϑείας
31 ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαϑόμην. [31] ἐκολλήϑην τοῖς μαρτυ-
32 ρίοις σου, κύριε, μή με καταισχύνῃς. [32] ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλά-
33 τυνας τὴν καρδίαν μου. [33] νομοϑέτησόν με, κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων
34 σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός. [34] συνέτισόν με, καὶ ἐξερευνήσω τὸν
35 νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. [35] ὁδήγησόν με ἐν τῇ τρίβῳ
36 τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠϑέλησα. [36] κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρ-
37 τύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. [37] ἀπόστρεψον τοὺς ὀφϑαλμούς μου τοῦ
38 μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με. [38] στῆσον τῷ δούλῳ σου τὸ
39 λόγιόν σου εἰς τὸν φόβον σου. [39] περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα,
40 ὅτι τὰ κρίματά σου χρηστά. [40] ἰδοὺ ἐπεϑύμησα τὰς ἐντολάς σου· ἐν τῇ δι-
41 καιοσύνῃ σου ζῆσόν με. [41] καὶ ἔλϑοι ἐπ᾿ ἐμὲ τὸ ἔλεός σου, κύριε, τὸ σωτή-
42 ριόν σου κατὰ τὸν λόγον σου· [42] καὶ ἀποκριϑήσομαι τοῖς ὀνειδίζουσί μοι λό-
43 γον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. [43] καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου
44 λόγον ἀληϑείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. [44] καὶ φυ-
λάξω τὸν νόμον σου διὰ παντός, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶ-
45 46 νος. [45] καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα· [46] καὶ
47 ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην· [47] καὶ
48 ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου αἷς ἠγάπησα σφόδρα· [48] καὶ ἦρα τὰς χεῖράς
μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί
49 50 σου. [49] μνήσϑητι τῶν λόγων σου τῷ δούλῳ σου ὧν ἐπήλπισάς με. [50] αὕτη
51 με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. [51] ὑπερή-
52 φανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. [52] ἐμνήσϑην
53 τῶν κριμάτων σου ἀπ᾿ αἰῶνος, κύριε, καὶ παρεκλήϑην. [53] ἀϑυμία κατέσχε με
54 ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. [54] ψαλτὰ ἦσάν μοι
55 τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. [55] ἐμνήσϑην ἐν νυκτὶ τοῦ ὀνό-
56 ματός σου, κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. [56] αὕτη ἐγενήϑη μοι, ὅτι τὰ
57 δικαιώματά σου ἐξεζήτησα. [57] μερίς μου εἶ, κύριε· εἶπα τοῦ φυλάξασϑαι τὸν
58 νόμον σου. [58] ἐδεήϑην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με
59 κατὰ τὸ λόγιόν σου. [59] διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πό-
60 δας μου εἰς τὰ μαρτύριά σου. [60] ἡτοιμάσϑην καὶ οὐκ ἐταράχϑην τοῦ φυλά-
61 ξασϑαι τὰς ἐντολάς σου. [61] σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ
62 νόμου σου οὐκ ἐπελαϑόμην. [62] μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσϑαί
63 σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. [63] μέτοχος ἐγώ εἰμι πάντων τῶν
64 φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. [64] τοῦ ἐλέους σου,
65 κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με. [65] χρηστότητα ἐποίησας
66 μετὰ τοῦ δούλου σου, κύριε, κατὰ τὸν λόγον σου. [66] χρηστότητα καὶ παιδείαν
67 καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. [67] πρὸ τοῦ με τα-
68 πεινωϑῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. [68] χρηστὸς
εἶ σὺ κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.
69 [69] ἐπληϑύνϑη ἐπ᾿ ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξε-
70 ρευνήσω τὰς ἐντολάς σου. [70] ἐτυρώϑη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν

---

25. **κ. το λογιον σ. (*?) 26. τ. οδ. σου 30. om και 34. εξεραυνησω 35. εν τριβω 41. κατα λογιον σου 42. ονειδιζ. με ... επι τους λογους 43. εφηλπισα 48. ηγαπησα σφοδρα 49. τον λογον ... ω εφηλπισας 57. om του 58. om το 59. διελογ. κατα τας 62. εξομολογησασϑαι 64. τ. ελαιους κυριου 65. κατα το λογιον σου 67. εγω εφυλαξα 69. εξεραυνησω

Digitized by Google

νόμον σου ἐμελέτησα. [71] ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ 71
δικαιώματά σου. [72] ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας 72
χρυσίου καὶ ἀργυρίου. [73] αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέ- 73
τισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. [74] οἱ φοβούμενοί σε ὄψονταί με 74
καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. [75] ἔγνων κύριε ὅτι 75
δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. [76] γενηθήτω δὴ τὸ 76
ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου· [77] ἐλθέ- 77
τωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.
[78] αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδο- 78
λεσχήσω ἐν ταῖς ἐντολαῖς σου. [79] ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ 79
οἱ γινώσκοντες τὰ μαρτύριά σου. [80] γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς 80
δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. [81] ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ 81
ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα· [82] ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς 82
τὸ λόγιόν σου, λέγοντες Πότε παρακαλέσεις με; [83] ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν 83
πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. [84] πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ 84
δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; [85] διηγή- 85
σαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου κύριε. [86] πᾶσαι 86
αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. [87] παρὰ βραχὺ 87
συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. [88] κατὰ 88
τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. [89] εἰς 89
τὸν αἰῶνα, κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, [90] εἰς γενεὰν καὶ γε- 90
νεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει, [91] τῇ διατάξει σου 91
διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. [92] εἰ μὴ ὅτι ὁ νόμος σου με- 92
λέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου· [93] εἰς τὸν αἰῶνα 93
οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με. [94] σός 94
εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. [95] ἐμὲ ὑπέμειναν 95
ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. [96] πάσης συντελείας 96
εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα. [97] ὡς ἠγάπησα τὸν νόμον σου 97
κύριε, ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν. [98] ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφι- 98
σάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. [99] ὑπὲρ πάντας τοὺς 99
διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. [100] ὑπὲρ 100
πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. [101] ἐκ πάσης ὁδοῦ πο- 101
νηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου· [102] ἀπὸ 102
τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. [103] ὡς γλυκέα τῷ 103
λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. [104] ἀπὸ τῶν ἐντολῶν 104
*2 Pe. σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. [105] λύχνος τοῖς ποσί 105
1,19. μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. [106] ὤμοσα καὶ ἔστησα τοῦ φυ- 106
λάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. [107] ἐταπεινώθην ἕως σφόδρα κύ- 107
ριε, ζῆσόν με κατὰ τὸν λόγον σου. [108] τὰ ἑκούσια τοῦ στόματός μου εὐδό- 108
κησον δή, κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. [109] ἡ ψυχή μου ἐν ταῖς 109
χερσί σου διὰ παντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. [110] ἔθεντο ἁμαρ- 110
τωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. [111] ἐκληρονόμησα 111
τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν·
[112] ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶ- 112
να δι' ἀντάμειψιν. [113] παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. 113
[114] βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. 114

72. αγαθον 74. εφηλπισα 77. ελθατωσαν ... και ζησον μαι 81. εις τον λογον σ. εφηλπισα 82. εξελειπον ... om λεγ. Π. π. με 84. ωσει ασκος 87. ενκατελειπον 91. η ημερα ... συνπαντα 96. ιδον 98. μοι εστιν 103. γλυκια 104. in f. add οτι συ ενομοθετησας με 107. ed. rom. σφοδρα κυριε, ζησον (cod. alex. ut edidimus) 109. χερσιν μου 112. ανταμιμψιν 114. αντιλημπτωρ ... εφηλπισα

115 [115] ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου.
116 [116] ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με
117 ἀπὸ τῆς προσδοκίας μου. [117] βοήθησόν μοι καὶ σωθήσομαι, καὶ μελετήσω ἐν
118 τοῖς δικαιώμασί σου διὰ παντός. [118] ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας
119 ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. [119] παραβαίνον-
τας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ
120 μαρτύριά σου. [120] καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ
121 τῶν κριμάτων σου ἐφοβήθην. [121] ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παρα-
122 δῷς με τοῖς ἀδικοῦσί με. [122] ἔνδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκο-
123 φαντησάτωσάν με ὑπερήφανοι. [123] οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν
124 σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. [124] ποίησον μετὰ τοῦ δούλου σου
125 κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με. [125] δοῦλός σού εἰμι
126 ἐγώ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου. [126] καιρὸς τοῦ ποιῆσαι
127 τῷ κυρίῳ· διεσκέδασαν τὸν νόμον σου. [127] διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς
128 σου ὑπὲρ χρυσίον καὶ τοπάζιον· [128] διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς
129 σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. [129] θαυμαστὰ τὰ μαρτύριά
130 σου, διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή μου. [130] ἡ δήλωσις τῶν λόγων σου
131 φωτιεῖ καὶ συνετιεῖ νηπίους. [131] τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα,
132 ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. [132] ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ
133 τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. [133] τὰ διαβήματά μου κατεύθυνον
134 κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία· [134] λύτρωσαί
135 με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. [135] τὸ πρόσω-
πόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.
136 [136] διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν
137 138 νόμον σου. [137] δίκαιος εἶ κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· [138] ἐνετείλω
139 δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα. [139] ἐξέτηξέ με ὁ ζῆλός
140 σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. [140] πεπυρωμένον τὸ λό-
141 γιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. [141] νεώτερος ἐγώ εἰμι
142 καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. [142] ἡ δικαιοσύνη σου
143 δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. [143] θλίψεις καὶ ἀνάγκαι εὕ-
144 ροσάν με, ἐντολαί σου μελέτη μου. [144] δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα·
145 συνέτισόν με καὶ ζήσομαι. [145] ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου
146 κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. [146] ἐκέκραξά σοι, σῶσόν με, καὶ φυ-
147 λάξω τὰ μαρτύριά σου. [147] προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λό-
148 γους σου ἐπήλπισα. [148] προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ με-
149 λετᾶν τὰ λόγιά σου. [149] τῆς φωνῆς μου ἄκουσον κύριε κατὰ τὸ ἔλεός σου,
150 κατὰ τὸ κρίμα σου ζῆσόν με. [150] προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ,
151 ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. [151] ἐγγὺς εἶ κύριε, καὶ πᾶσαι αἱ ὁδοί
152 σου ἀλήθεια. [152] κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα
153 ἐθεμελίωσας αὐτά. [153] ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου
154 σου οὐκ ἐπελαθόμην. [154] κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν
155 λόγον σου ζῆσόν με. [155] μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά
156 σου οὐκ ἐξεζήτησαν. [156] οἱ οἰκτιρμοί σου πολλοί, κύριε· κατὰ τὸ κρίμα σου
157 ζῆσόν με. [157] πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων
158 σου οὐκ ἐξέκλινα. [158] εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου
159 οὐκ ἐφυλάξαντο. [159] ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, κύριε· ἐν τῷ ἐλέει

---

115. εξεραυνησω 122. εκδεξαι 123. εξελειπον 124. κυριε κατα το λογιον σου 127. υπερ το χρυσιον 129. εξηραυνησεν 131. ηνυξα και ηλκυσα 132. αγαπουντων 136. διεβησαν 139. ο ζηλος του οικου σου ... των εντολων σου 143. αι εντολαι 144. και ζησον με 146. εκεκραξα σε 147. εφηλπισα 151. ει συ κυριε κ. π. αι εντολαι σ. 153. και εξελουμαι 157. εκθλιβοντες 158. ιδον 159. κυριε c. seqq. conjg.

Digitized by Google

σου ζῆσόν με. 160 ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα 160
τὰ κρίματα τῆς δικαιοσύνης σου. 161 ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ 161
ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. 162 ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ 162
λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. 163 ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξά- 163
μην, τὸν δὲ νόμον σου ἠγάπησα. 164 ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ 164
κρίματα τῆς δικαιοσύνης σου. 165 εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, 165
καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. 166 προσεδόκων τὸ σωτήριόν σου, κύριε, καὶ 166
τὰς ἐντολάς σου ἠγάπησα· 167 ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ 167
ἠγάπησεν αὐτὰ σφόδρα· 168 ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, 168
ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, κύριε. 169 ἐγγισάτω ἡ δέησίς μου ἐνώ- 169
πιόν σου, κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με. 170 εἰσέλθοι τὸ ἀξίωμά μου 170
ἐνώπιόν σου, κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με. 171 ἐξερεύξαιντο τὰ χείλη 171
μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου· 172 φθέγξαιτο ἡ γλῶσσά μου 172
τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. 173 γενέσθω ἡ χείρ σου 173
τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. 174 ἐπεπόθησα τὸ σωτήριόν σου, 174
κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι. 175 ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει 175
σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. 176 ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· 176
ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

## CXIX. (CXX.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. 2 κύριε, 2
ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. 3 τί δο- 3
θείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; 4 τὰ βέλη τοῦ δυνατοῦ 4
ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. 5 οἴμοι ὅτι ἡ παροικία μου ἐμα- 5
κρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. 6 πολλὰ παρῴκησεν ἡ 6
ψυχή μου μετὰ τῶν μισούντων τὴν εἰρήνην. 7 ἤμην εἰρηνικός· ὅταν ἐλάλουν 7
αὐτοῖς, ἐπολέμουν με δωρεάν.

## CXX. (CXXI.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. 2 ἡ βοή- 2
θειά μου παρὰ κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. 3 μὴ δῴης 3
εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. 4 ἰδοὺ οὐ νυστάξει 4
οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. 5 κύριος φυλάξει σε, κύριος σκέπη 5
σου ἐπὶ χεῖρα δεξιάν σου· 6 ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη 6
τὴν νύκτα. 7 κύριος φυλάξαι σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ 7
κύριος. 8 κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ 8
ἕως τοῦ αἰῶνος.

## CXXI. (CXXII.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι Εἰς οἶκον κυρίου πορευσόμεθα· 2 ἑστῶ- 2
τες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. 3 Ἱερουσαλὴμ 3
οἰκοδομουμένη ὡς πόλις ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. 4 ἐκεῖ γὰρ ἀνέβησαν 4

---

164. ηνεσα σοι 165. αγαπ. το ονομα σου 166. προςεδοχουν 168. ενωπιον σου 169. εγγισατω ... εναντιον σου (sed 168. et 169. usque εναντιον σου in litura) 170. κατα το κριμα σου ζησον με 171. εξερευξονται 172. φθεγξεται ... το λογιον σου CXIX. 5. οιμμοι 6. om την ... ed. rom. et cod. alex. ειρηνην cum ημ. ειρηνικ. conjg. CXX. 1. ποθεν ηξει 3. νυσταξει 5. ** δεξιας 7. κυρ. φυλαξει σε CXXI. (1. πορευθωμεθα) 3. οι μετοχοι

Digitized by Google

αἱ φυλαί, φυλαὶ κυρίου μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνό-
5 ματι κυρίου· [5] ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυίδ.
6 [6] ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί
7 σε· [7] γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί
8 σου. [8] ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ
9 σοῦ· [9] ἕνεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

## CXXII. (CXXIII.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

2 Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. [2] ἰδοὺ
ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης
εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν
3 ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. [3] ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ
4 πολὺ ἐπλήσθημεν ἐξουδενώσεως· [4] ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνει-
δος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

## CXXIII. (CXXIV.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

2 Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ, [2] εἰ μὴ ὅτι κύριος
3 ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, [3] ἄρα ζῶντας ἂν κατ-
4 έπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς· [4] ἄρα τὸ ὕδωρ
5 ἂν κατεπόντισεν ἡμᾶς, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· [5] ἄρα διῆλθεν ἡ
6 ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. [6] εὐλογητὸς κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς
7 εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. [7] ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς
8 παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. [8] ἡ βοή-
θεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

## CXXIV. (CXXV.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

Οἱ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα
2 ὁ κατοικῶν Ἱερουσαλήμ. [2] ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ
3 αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. [3] ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον
τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δί-
4 καιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. [4] ἀγάθυνον, κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς
5 εὐθέσι τῇ καρδίᾳ. [5] τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος
μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

## CXXV. (CXXVI.)

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ πα-
2 ρακεκλημένοι. [2] τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν
ἀγαλλιάσεως· τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν Ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ᾽
3 αὐτῶν. [3] ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.
4 5 [4] ἐπίστρεψον, κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ νότῳ. [5] οἱ
6 σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι. [6] πορευόμενοι ἐπορεύοντο, καὶ
ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει
αἴροντες τὰ δράγματα αὐτῶν.

---

4. add αι ante φυλ. κυριου 5. επ οικον 7. γενεσθω δε 8. ενεχεν ... ελαλουν δε 9. ενεχεν ... om σοι CXXIII. 4. om αν 7. ερυσθη ... ερυσθημεν CXXIV. 2. και κυριος 3. om κυριος ... εν ανομια CXXV. 1. ως pro ωσει 2. χαρα 3. ως ο χειμαρρ. 6. αιροντες pro βαλλοντες

Digitized by Google

## CXXVI. (CXXVII.)

'Ωδὴ τῶν ἀναβαθμῶν.

'Εὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦν-
τες· ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. [2] εἰς 2
μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον
ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. [3] ἰδοὺ ἡ κληρονομία κυρίου 3
υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. [4] ὡςεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως 4
οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. [5] μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ 5
αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

## CXXVII. (CXXVIII.)

'Ωδὴ τῶν ἀναβαθμῶν.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς
αὐτοῦ. [2] τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ καὶ καλῶς σοι 2
ἔσται. [3] ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου· 3
οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. [4] ἰδοὺ οὕτως εὐλο- 4
γηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. [5] εὐλογήσαι σε κύριος ἐκ Σιών, 5
καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, [6] καὶ ἴδοις 6
υἱοὺς τῶν υἱῶν σου. εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

## CXXVIII. (CXXIX.)

'Ωδὴ τῶν ἀναβαθμῶν.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ· [2] πλεο- 2
νάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. [3] ἐπὶ 3
τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν· [4] κύ- 4
ριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. [5] αἰσχυνθήτωσαν καὶ ἀποστραφή- 5
τωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών· [6] γενηθήτωσαν ὡςεὶ χόρτος 6
δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· [7] οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα 7
αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων· [8] καὶ οὐκ 8
εἶπαν οἱ παράγοντες Εὐλογία κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνό-
ματι κυρίου.

## CXXIX. (CXXX.)

'Ωδὴ τῶν ἀναβαθμῶν.

'Εκ βαθέων ἐκέκραξά σοι, κύριε· [2] κύριε, εἰςάκουσον τῆς φωνῆς μου, 2
γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. [3] ἐὰν 3
ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; [4] ὅτι παρὰ σοὶ ὁ ἱλα- 4
σμός ἐστιν· ἕνεκεν τοῦ ὀνόματός σου [5] ὑπέμεινά σε κύριε, ὑπέμεινεν ἡ ψυχή 5
μου εἰς τὸν λόγον σου. [6] ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον ἀπὸ φυλακῆς 6
πρωίας μέχρι νυκτός· ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον. [7] ὅτι παρὰ τῷ κυρίῳ 7
τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, [8] καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ 8
ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

---

CXXVI. 1. ο κυριος bis ... οικοδομησει ... οι οικοδομ. αυτον 2. του ορθριζειν ... εγειρεσθαι ... εσθοντες 5. μακαρ. ανθρωπος ος ... καταισχυνθωσιν ... εν πυλη CXXVII. 2. τους καρπους των πονων 3. εν τοις κλιτ. 5. ευλογησει CXXVIII. 2. εδυνηθησαν 3. επι τω νωτου (sic) 6. δοματων CXXIX. 1. εκεκραξα σε 2. εισακ. της προσευχης μ. 3. παρατηρηση 6. ed. rom. post κυριον prius plene interpg. ... και μεχρι ... ante ελπισατω add απο φυλακης πρωιας 7. το ελαιος εστιν 8. *αυτων

Digitized by Google

## CXXX. (CXXXI.)

᾿Ωδὴ τῶν ἀναβαθμῶν.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου·
2 οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. [2] εἰ μὴ ἐταπει-
νοφρόνουν ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν
3 μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. [3] ἐλπισάτω Ἰσραὴλ ἐπὶ
τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

## CXXXI. (CXXXII.)

᾿Ωδὴ τῶν ἀναβαθμῶν.

2 Μνήσθητι, κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ· [2] ὡς ὤμοσε
3 τῷ κυρίῳ, ηὔξατο τῷ θεῷ Ἰακώβ· [3] Εἰ εἰςελεύσομαι εἰς σκήνωμα οἴκου μου,
4 εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, [4] εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς
μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου,
5 6 [5] ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ. [6] Ἰδοὺ ἠκούσαμεν
7 αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ· [7] εἰςελευσώ-
μεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προςκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ
8 πόδες αὐτοῦ. [8] ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ
9 ἁγιάσματός σου· [9] οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου
10 ἀγαλλιάσονται. [10] ἕνεκεν Δαυὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόςωπον
11 τοῦ χριστοῦ σου. [11] ὤμοσε κύριος τῷ Δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει
12 αὐτήν· Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. [12] ἐὰν φυλά-
ξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω
αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.
13 14 [13] ὅτι ἐξελέξατο κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ· [14] αὕτη
ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω ὅτι ᾑρετισάμην αὐτήν.
15 [15] τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων·
16 [16] τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλ-
17 λιάσονται. [17] ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ
18 μου· [18] τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ
ἁγίασμά μου.

## CXXXII. (CXXXIII.)

᾿Ωδὴ τῶν ἀναβαθμῶν.

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ
2 αὐτό; [2] ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν
3 Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ· [3] ὡς δρόσος Ἀερ-
μὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλο-
γίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

## CXXXIII. (CXXXIV.)

᾿Ωδὴ τῶν ἀναβαθμῶν.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, οἱ ἑστῶτες ἐν
2 οἴκῳ κυρίου ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν· [2] ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας

---

CXXX. 1. αναβαθμων τω δαυιδ ... μου η καρδια 2. εταπεινοφορουν α. υ. τ. καρδιαν μου ... ανταποδοσεις CXXXI. 1. πραυτητος 3. H pro Ει 6. εν ευφραθα ... ευραμεν α. εν ταις δασεσει 7. εισελευσομεθα ... *αυτων ... εις τοπον 9. αγαλλιασει αγαλλιασονται 11. αθετησει αυτον ... επι τον θρονον 12. φυλαξ. υιοι σου ... καθειουντ. εως τ. αιωνος ... *επι τον θρονον σ. (vdtr) 13. οτι εκει 15. την χηραν αυτης 17. ητοιμασας τω χριστω μου λυχνον CXXXII. 1. αναβαθμ. τω δαυιδ 2. επι κεφαλην 3. τ. ευλογειαν αυτου και ζωην

Digitized by Google

ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. 3 εὐλογήσαι σε κύριος ἐκ Σιών, 3
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

## CXXXIV. (CXXXV.)

Ἀλληλούια.

Αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον, 2 οἱ ἑστῶτες ἐν οἴκῳ 2
κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. 3 αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος· 3
ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν· 4 ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ 4
κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. 5 ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ κύ- 5
ριος, καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς· 6 πάντα ὅσα ἠθέλησεν ὁ 6
κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πά-
σαις ταῖς ἀβύσσοις. 7 ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν 7
ἐποίησεν, ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. 8 ὃς ἐπάταξε τὰ πρωτότοκα 8
Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους· 9 ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν 9
μέσῳ σου Αἴγυπτε, ἐν Φαραῷ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. 10 ὃς ἐπάταξεν 10
ἔθνη πολλά, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς, 11 τὸν Σηὼν βασιλέα τῶν 11
Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, καὶ πάσας τὰς βασιλείας Χα-
ναάν, 12 καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ 12
αὐτοῦ. 13 κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς 13
γενεὰν καὶ γενεάν· 14 ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις 14
αὐτοῦ παρακληθήσεται. 15 τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα 15
χειρῶν ἀνθρώπων· 16 στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ 16
οὐκ ὄψονται, 17 ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα 17
ἐν τῷ στόματι αὐτῶν. 18 ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες 18
οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. 19 οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν κύριον, οἶκος Ἀα- 19
ρὼν εὐλογήσατε τὸν κύριον· 20 οἶκος Λευὶ εὐλογήσατε τὸν κύριον, οἱ φοβού- 20
μενοι τὸν κύριον εὐλογήσατε τὸν κύριον. 21 εὐλογητὸς κύριος ἐν Σιών, ὁ κα- 21
τοικῶν Ἱερουσαλήμ.

## CXXXV. (CXXXVI.)

Ἀλληλούια.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 2
3 ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 3
4 τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 4
5 τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 5
6 τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 6
7 τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, 8 τὸν 7 8
ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, 9 τὴν σε- 9
λήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ· 10 τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν 10
αἰῶνα τὸ ἔλεος αὐτοῦ· 11 καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι 11
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, 12 ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, 12
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 13 τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν 13
εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 14 καὶ διαγαγόντι τὸν Ἰσραὴλ 14

---

CXXXIV. 3. ** ηδυ pro καλον 4. αυτου pro εαυτω 5. εγνων ... μεγας κυριος 6. om πασαις 12. δουλω pro λαω 13. κυριε pro και priore 17. και ουκ ακουσονται et add ρεινας εχουσιν και ουκ οσφρανθησονται χειρας εχουσιν και ου ψηλαφησουσιν ποδας εχουσιν και ου περιπατησουσιν ου φωνησουσιν εν τω λαρυγγι αυτων 20. λευει 18. παντες οι ποι. α. 21. εκ σιων CXXXV. 1. οτι χρηστος, οτι 9. και τα αστρα

Digitized by Google

15 διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· [15] καὶ ἐκτινάξαντι Φα-
ραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
16 αὐτοῦ· [16] τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ
17 ἔλεος αὐτοῦ· [17] τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
18 αὐτοῦ· [18] καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
19 αὐτοῦ, [19] τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
20 τοῦ, [20] καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
21 [21] καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
22 23 [22] κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· [23] ὅτι
ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
24 αὐτοῦ· [24] καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ
25 ἔλεος αὐτοῦ· [25] ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
26 [26] ἐξομολογεῖσθε τῷ θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

## CXXXVI. (CXXXVII.)

Τῷ Δαυὶδ Ἱερεμίου.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ
2 μνησθῆναι ἡμᾶς τῆς Σιών· [2] ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν
3 τὰ ὄργανα ἡμῶν, [3] ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς
λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν
4 5 Σιών. [4] πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας; [5] ἐὰν ἐπιλάθωμαί
6 σου Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· [6] κολληθείη ἡ γλῶσσά μου τῷ
λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ
7 ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. [7] μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέ-
ραν Ἱερουσαλήμ, τῶν λεγόντων Ἐκκενοῦτε ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.
8 [8] θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀντα-
9 πόδομά σου ὃ ἀνταπέδωκας ἡμῖν· [9] μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ
νήπιά σου πρὸς τὴν πέτραν.

## CXXXVII. (CXXXVIII.)

Ψαλμὸς τῷ Δαυίδ, Ἀγγαίου καὶ Ζαχαρίου.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων
2 ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. [2] προςκυνήσω
πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου
3 καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. [3] ἐν ᾗ
ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου· πολυωρήσεις με ἐν ψυχῇ
4 μου δυνάμει σου. [4] ἐξομολογησάσθωσάν σοι κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς,
5 ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου· [5] καὶ ᾀσάτωσαν ἐν ταῖς
6 ὁδοῖς κυρίου, ὅτι μεγάλη ἡ δόξα κυρίου· [6] ὅτι ὑψηλὸς κύριος, καὶ τὰ τα-
7 πεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. [7] ἐὰν πορευθῶ ἐν μέσῳ
θλίψεως, ζήσεις με· ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ
8 με ἡ δεξιά σου. [8] κύριε ἀνταποδώσεις ὑπὲρ ἐμοῦ· κύριε τὸ ἔλεός σου εἰς τὸν
αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

---

14. *μεσου αυτων 15. τω (om και) εκτιναξ. 26. τω κυριω του ουρ. CXXXVI. 1. om ιερεμιου 2. εκει εκρεμασαμεν 3. οι εχμαλωτευοντες 5. *επιλαθωμεν 6. *προανατα ξωμεν ... om ως 7. εως ου ο θεμελιος εν αυτη CXXXVII. Inscriptio sic: Τω δαυιδ ζαχαριου 1. om οτι ηκουσας usque μου 2. επι παντας το ονομα σου το αγιον et *add σου 3. επικαλεσομαι ... εν δυναμει omisso σου 7. *εμμεσω ... ζωσις με ... *om μου 8. κυριος ανταποδωσει

Digitized by Google

## CXXXVIII. (CXXXIX.)

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με· 2 σὺ ἔγνως τὴν καθέδραν μου καὶ 2
τὴν ἔγερσίν μου, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν· 3 τὴν 3
τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖ-
δες, 4 ὅτι οὐκ ἔστι λόγος ἄδικος ἐν γλώσσῃ μου· ἰδοὺ κύριε σὺ ἔγνως πάντα 4
5 τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα· σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά 5
σου. 6 ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς 6
αὐτήν. 7 ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου 7
ποῦ φύγω; 8 ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν 8
ᾅδην, πάρει· 9 ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθον καὶ κατασκηνώσω 9
εἰς τὰ ἔσχατα τῆς θαλάσσης, 10 καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ 10
καθέξει με ἡ δεξιά σου. 11 καὶ εἶπα Ἄρα σκότος καταπατήσει με, καὶ νὺξ 11
φωτισμὸς ἐν τῇ τρυφῇ μου· 12 ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ 12
νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.
13 ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός 13
μου. 14 ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα 14
σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. 15 οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ 15
σοῦ ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτω τῆς γῆς·
16 ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες 16
γραφήσονται· ἡμέρας πλασθήσονται καὶ οὐθεὶς ἐν αὐτοῖς. 17 ἐμοὶ δὲ λίαν 17
ἐτιμήθησαν οἱ φίλοι σου, ὁ θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν· 18 ἐξα- 18
ριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, καὶ ἔτι εἰμὶ
μετὰ σοῦ. 19 ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ θεός· ἄνδρες αἱμάτων ἐκκλίνατε 19
ἀπ' ἐμοῦ· 20 ὅτι ἐρεῖς εἰς διαλογισμόν, λήψονται εἰς ματαιότητα τὰς πόλεις 20
σου. 21 οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξε- 21
τηκόμην; 22 τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. 23 δοκί- 22 23
μασόν με, ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με καὶ γνῶθι τὰς
τρίβους μου· 24 καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ 24
αἰωνίᾳ.

## CXXXIX. (CXL.)

Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλμός.

2 Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με, 2
3 οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέ- 3
Ro. 3, 13. μους· 4 ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη 4
αὐτῶν. διάψαλμα. 5 φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων 5
ἀδίκων ἐξελοῦ με, οἵτινες ἐλογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου·
6 ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινία διέτειναν παγίδας τοῖς ποσί 6
μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι. διάψαλμα. 7 εἶπα τῷ κυρίῳ Θεός 7
μου εἶ σύ, ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. 8 κύριε κύριε, δύνα- 8
μις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
9 μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' 9
ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μή ποτε ὑψωθῶσιν. διάψαλμα. 10 ἡ κεφαλὴ τοῦ 10

---

CXXXVIII. om ε. το τελος ... τω δ. ψαλμ. ζαχαριου et ** add εν τη διασπορα 3. συ εξιχνιασας 8. συ ει εκει 9. κατ ορθρον 12. οτι το σκοτος ... om και νυξ ως η. φωτ. 13. *om συ 15. εν τοις κατωτατοις 16. το ακατεργαστον σου ειδοσαν οι οφθαλμ. μου 20. λημψονται 21. επι τοις εχθροις 23. κυριε pro ο θεος 24. κ. ειδε η ειδες οδον CXXXIX. 1. ψαλμ. τω δαυ. 2. εξελου μαι 3. αδικιαν 5. απο ανθρωπου αδικου ρυσαι με ... om του 6. om διαψαλμα 9. ενκαταλειπης ... om διαψαλμα

Digitized by Google

11 κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. [11]πεσοῦνται
ἐπ' αὐτοὺς ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς, καὶ καταβαλεῖς αὐτοὺς ἐν ταλαι-
12 πωρίαις, οὐ μὴ ὑποστῶσιν. [12]ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς
13 γῆς· ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς καταφθοράν. [13]ἔγνων ὅτι ποιήσει κύ-
14 ριος τὴν κρίσιν τοῦ πτωχοῦ καὶ τὴν δίκην τῶν πενήτων. [14]πλὴν δίκαιοι ἐξο-
μολογήσονται τῷ ὀνόματί σου, κατοικήσουσιν εὐθεῖς σὺν τῷ προςώπῳ σου.

## CXL. (CXLI.)

Ψαλμὸς τῷ Δαυίδ.

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰςάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεή-
2 σεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. [2]κατευθυνθήτω ἡ προσευχή μου ὡς
3 θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. [3]θοῦ κύριε
4 φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. [4]μὴ ἐκ-
κλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις
ἐν ἁμαρτίαις, σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδοιάσω
5 μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. [5]παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με,
ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου· ὅτι ἔτι καὶ ἡ προς-
6 ευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. [6]κατεπόθησαν ἐχόμενα πέτρας οἱ κραταιοὶ
7 αὐτῶν· ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν. [7]ὡςεὶ πάχος γῆς διεῤῥάγη
8 ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. [8]ὅτι πρὸς σὲ κύριε
9 κύριε οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου· [9]φύ-
λαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργα-
10 ζομένων τὴν ἀνομίαν. [10]πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί· κατὰ
μόνας εἰμὶ ἐγὼ ἕως οὗ ἂν παρέλθω.

## CXLI. (CXLII.)

Συνέσεως τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προσευχή.

2 3 [2]Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην. [3]ἐκ-
χεῶ ἐναντίον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγ-
4 γελῶ. [4]ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους
5 μου· ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην ἔκρυψαν παγίδα μοι. [5]κατενόουν εἰς τὰ
δεξιὰ καὶ ἐπέβλεπον, ὅτι οὐκ ἦν ὁ ἐπιγινώσκων με· ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ,
6 καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. [6]πρὸς σὲ κύριε ἐκέκραξα, καὶ εἶπα
7 Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων. [7]πρόσχες πρὸς τὴν δέησίν μου,
ὅτι ἐταπεινώθην σφόδρα· ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώ-
8 θησαν ὑπὲρ ἐμέ. [8]ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι
τῷ ὀνόματί σου, κύριε· ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.

## CXLII. (CXLIII.)

Ψαλμὸς τῷ Δαυίδ, ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκει.

Κύριε, εἰςάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ
2 ἀληθείᾳ σου, ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· [2]καὶ μὴ εἰςέλθῃς εἰς
κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
3 [3]ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωήν

---

10. *om κοπ. τ. χειλ. αυτ. 11. ανθρακες εν πυρι καταβαλεις α. et εν ταλ. conjg. cum seqq. 12. εις διαφθοραν 14. **και κατοικησουσιν CXL. 4. **συνδυασω (*συνδοασω) 7.** τα οστα αυτων 8. *om κυριε alterum 9. σκανδαλου 10. οι αμαρτωλοι ... om αν CXLI. 2. εκεκρ., και η φωνη μου προς θεον και προσεσχεν μοι 3. εκχ. ενωπιον αυτου 5. απολετο 6. εκεκραξα προς σε κυριε, ειπα 7. εις pro προς CXLII. 1. κατεδιωξεν ... εισακουσον pro επακ. 3. εις γην

Digitized by Google

μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· [4]καὶ ἠκηδίασεν ἐπ' ἐμὲ 4
τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. [5]ἐμνήσθην ἡμερῶν ἀρχαίων, 5
καὶ ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέ-
των. [6]διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. 6
διάψαλμα. [7]ταχὺ εἰςάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέ- 7
ψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς
λάκκον. [8]ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· 8
γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
[9]ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε, ὅτι πρὸς σὲ κατέφυγον. [10]δίδαξόν με 9 10
τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι θεός μου εἶ σύ· τὸ πνεῦμά σου τὸ ἀγαθὸν
ὁδηγήσει με ἐν τῇ εὐθείᾳ. [11]ἕνεκα τοῦ ὀνόματός σου κύριε ζήσεις με, ἐν τῇ 11
δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· [12]καὶ ἐν τῷ ἐλέει σου 12
ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν
μου, ὅτι δοῦλός σού εἰμι ἐγώ.

## CXLIII. (CXLIV.)

Τῷ Δαυὶδ πρὸς τὸν Γολιάδ.

Εὐλογητὸς κύριος ὁ θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράτα-
ξιν, τοὺς δακτύλους μου εἰς πόλεμον· [2]ἔλεός μου καὶ καταφυγή μου, ἀντι- 2
λήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου καὶ ἐπ' αὐτῷ ἤλπισα, ὁ ὑπο-
τάσσων τὸν λαόν μου ὑπ' ἐμέ. [3]κύριε, τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐτῷ, 3
ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτόν; [4]ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέ- 4
ραι αὐτοῦ ὡςεὶ σκιὰ παράγουσι. [5]κύριε, κλῖνον οὐρανούς σου καὶ κατάβηθι, 5
ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται· [6]ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐ- 6
τούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς. [7]ἐξαπόστειλον τὴν 7
χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς
υἱῶν ἀλλοτρίων, [8]ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ 8
ἀδικίας. [9]ὁ θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ 9
σοι, [10]τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ Δαυὶδ τὸν 10
δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς. [11]ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν 11
ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδι-
κίας· [12]ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν, αἱ θυγατέρες 12
αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ· [13]τὰ ταμεῖα 13
αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· τὰ πρόβατα αὐτῶν πολύ-
τοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν, [14]οἱ βόες αὐτῶν παχεῖς· οὐκ ἔστι 14
κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος οὐδὲ κραυγὴ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν.
[15]ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς οὗ κύριος ὁ θεὸς αὐτοῦ. 15

## CXLIV. (CXLV.)

Αἴνεσις τοῦ Δαυίδ.

Ὑψώσω σε, ὁ θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· [2]καθ' ἑκάστην ἡμέραν εὐλο- 2
γήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. [3]μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ 3
οὐκ ἔστι πέρας. [4]γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν 4

---

6. om διαψ. 7. εξελειπεν 9. εξελου μαι 10. om οτι θ. μ. ει συ ... το αγιον οδ. με εν γη ευθ. 12. εξολεθρευσεις ... οτι εγω δουλ. σου ειμι CXLIII. 2. αντιλημπτωρ ... τ. λαον αυτου 3. τις εστιν 4. *σκιαι 6. **αστραπην σου 7. εξελου μαι 10. om την 11. εξελου μαι 12. ων (sed ων in rasura) οι υι. αυτων ως ν. ηδρυμμενα 13. ταμια ... εξερευομενα CXLIV. 1. Αινεσεως τω δαυ. 3. μεγας κυριος 4. *αινεσει

Digitized by Google

5 σου ἀπαγγελοῦσι· [5] καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου
6 λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται· [6] καὶ τὴν δύναμιν τῶν φοβε-
7 ρῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. [7] μνήμην τοῦ πλή-
θους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
8 9 [8] οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος· [9] χρηστὸς κύ-
10 ριος τοῖς ὑπομένουσι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. [10] ἐξο-
μολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησά-
11 τωσάν σε· [11] δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλή-
12 σουσι, [12] τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου καὶ τὴν
13 δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. [13] ἡ βασιλεία σου βασιλεία πάν-
14 των τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. [14] πιστὸς
κύριος ἐν τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ· ὑποστηρί-
ζει κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμέ-
15 νους. [15] οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν
16 ἐν εὐκαιρίᾳ· [16] ἀνοίγεις σὺ τὰς χεῖράς σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.
17 [17] δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις
18 αὐτοῦ. [18] ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλου-
19 μένοις αὐτὸν ἐν ἀληθείᾳ· [19] θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς
20 δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς. [20] φυλάσσει κύριος πάντας τοὺς
21 ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. [21] αἴνεσιν κυρίου
λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

## CXLV. (CXLVI.)

Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρίου.

2 Αἴνει ἡ ψυχή μου τὸν κύριον· [2] αἰνέσω κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ
3 θεῷ μου ἕως ὑπάρχω. [3] μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας καὶ ἐφ᾽ υἱοὺς ἀνθρώπων,
4 οἷς οὐκ ἔστι σωτηρία· [4] ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν
γῆν αὐτοῦ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.
5 [5] μακάριος οὗ ὁ θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν
6 θεὸν αὐτοῦ· [6] τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ
7 πάντα τὰ ἐν αὐτοῖς· τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, [7] ποιοῦντα
κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. κύριος λύει πεπεδημέ-
8 νους· [8] κύριος σοφοῖ τυφλούς· κύριος ἀνορθοῖ κατεῤῥαγμένους· κύριος ἀγαπᾷ
9 δικαίους· [9] κύριος φυλάσσει τοὺς προσηλύτους, ὀρφανὸν καὶ χήραν ἀναλήψεται,
10 καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. [10] βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου
Σιὼν εἰς γενεὰν καὶ γενεάν.

## CXLVI. (CXLVII.)

Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρίου.

Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμός· τῷ θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.
2 [2] οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει·
3 [3] ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα
4 5 αὐτῶν· [4] ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. [5] μέ-
γας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ

5. τ. δοξης σου ... *την αγιοσυνην 6. διηγησων et add και την δυναστιαν σου λαλησουσιν 7. ερευξονται κ. τ. δ. σ. υψωθησονται (sed -η σου υψ. in rasura) 9. τ. υπομενουσιν αυτον 12. δυναμιν pro δυναστειαν 16. ανοιξεις 18. *πασ. τ. επιχ. α. alterum om (vdtr) 20. εξολεθρευσει CXLV. 1. αγγεου 3. επ υιους 5. om αυτου prim. 8. κυρ. ανορθ. κατερρ.* κυρ. σοφ. τυφλ. 9. αναλημψεται ... αφανισει 10. *αιωναν CXLVI. 1. αγγεου

Digitized by Google

ἔστιν ἀριθμός. 6 ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως 6
τῆς γῆς. 7 ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ θεῷ ἡμῶν ἐν 7
κιθάρᾳ, 8 τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ 8
ὑετόν, τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώ-
πων, 9 καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κορά- 9
κων τοῖς ἐπικαλουμένοις αὐτόν. 10 οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, 10
οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ· 11 εὐδοκεῖ κύριος ἐν τοῖς φοβου- 11
μένοις αὐτὸν καὶ ἐν πᾶσι τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

## CXLVII.

Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρίου.

Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου Σιών· 2 ὅτι (12. 13) 1 2
ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. 3 ὁ (14) 3
τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε· 4 ὁ ἀποστέλλων (15) 4
τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ· 5 τοῦ διδόντος (16) 5
χιόνα ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος· 6 βάλλοντος κρύσταλλον (17) 6
αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; 7 ἀπο- (18) 7
στελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά, πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυή-
σεται ὕδατα. 8 ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ (19) 8
κρίματα αὐτοῦ τῷ Ἰσραήλ· 9 οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρί- (20) 9
ματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

## CXLVIII.

Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρίου.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. 2 αἰ- 2
νεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.
3 αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. 3
4 αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρα- 4
νῶν. 5 αἰνεσάτωσαν τὸ ὄνομα κυρίου· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς 5
ἐνετείλατο καὶ ἐκτίσθησαν· 6 ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα 6
τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. 7 αἰνεῖτε τὸν κύριον ἐκ 7
τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι· 8 πῦρ, χάλαζα, χιών, κρύσταλλος, 8
πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ· 9 τὰ ὄρη καὶ πάντες βου- 9
νοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· 10 τὰ θηρία καὶ πάντα τὰ κτήνη, 10
ἑρπετὰ καὶ πετεινὰ πτερωτά· 11 βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες 11
καὶ πάντες κριταὶ γῆς· 12 νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων· 12
13 αἰνεσάτωσαν τὸ ὄνομα κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου, ἡ ἐξο- 13
μολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, 14 καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. ὕμνος 14
πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## CXLIX.

Ἀλληλούια.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. 2 εὐ- 2
φρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν
ἐπὶ τῷ βασιλεῖ αὐτῶν· 3 αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ 3
καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. 4 ὅτι εὐδοκεῖ κύριος ἐν λαῷ αὐτοῦ, καὶ ὑψώ- 4
σει πραεῖς ἐν σωτηρίᾳ. 5 καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ 5
τῶν κοιτῶν αὐτῶν. 6 αἱ ὑψώσεις τοῦ θεοῦ ἐν λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι 6
δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν, 7 τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλε- 7
γμοὺς ἐν τοῖς λαοῖς, 8 τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς 8

8. om και χλ. τη δουλ. τ. ανθρ. CXLVII. 1. αγγεου 8. απαγγελων
CXLVIII. 1. αγγεου 9. παντ. οι βουνοι CXLIX. 6. εν τω λαρυγγι α.

Digitized by Google

9 ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς, [9]τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγ-
γραπτον· δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## CL.

Ἀλληλούϊα.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυ-
2 νάμεως αὐτοῦ· [2]αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ
3 τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. [3]αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε
4 αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ· [4]αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε
5 αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ· [5]αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε
6 αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. [6]πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ, ὅτε ἐμονομάχησε τῷ Γολιάδ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου· ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου, αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου; αὐτὸς κύριος, αὐτὸς εἰσακούει· αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου, καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς κύριος. ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ· ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν ἀπεκεφάλισα αὐτόν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

ΒΙΒΛΟΣ ΨΑΛΜΩΝ ΡΝ'.

---

# ΠΑΡΟΙΜΙΑΙ

## ΣΑΛΩΜΩΝΤΟΣ.

## I.

2 Παροιμίαι Σαλωμῶντος υἱοῦ Δαυίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ, [2]γνῶ-
3 ναι σοφίαν καὶ παιδείαν, νοῆσαί τε λόγους φρονήσεως, [3]δέξασθαί τε στρο-
4 φὰς λόγων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν· [4]ἵνα δῷ
5 ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν. [5]τῶν δὲ γὰρ
6 ἀκούσας σοφὸς σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται· [6]νοήσει
7 τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. [7]ἀρχὴ
σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, εὐσέβεια
δὲ εἰς θεὸν ἀρχὴ αἰσθήσεως· σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.
8 9 [8]ἄκουε υἱὲ παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· [9]στέ-
φανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

---

CL. 4. οργανοις *Cod. alex. praemittit numerum ρνα (i. e. 151) ... ιδιογρ. του δαυιδ ... προς τον γολιαθ [3] οργανον, οι [4] εισακουσεται μου [6] εν τω ελεει ... οι δε αδελφοι [7] ο κυριος. εξηλθεν [8] παρ εκεινου

Subscriptio: ψαλμοι ρν και ιδιογραφος

---

Inscriptio. παροιμιαι

I. 1. σολομωντος 5. AC των τε ... C εστιν 7. αρετη αισθησ. ... C εξουδενησουσιν (in rasura) 8. AC νομους pro παιδειαν 9. εξη

10 υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς μηδὲ βουληθῇς, 11 ἐὰν παρακα- 10 11
λέσωσί σε λέγοντες Ἐλθὲ μεθ' ἡμῶν κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς
γῆν ἄνδρα δίκαιον ἀδίκως, 12 καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα, καὶ 12
ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς, 13 τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ κα- 13
ταλαβώμεθα, πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων· 14 τὸν δὲ σὸν κλῆρον 14
βάλε ἐν ἡμῖν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες καὶ μαρσίππιον ἓν γε-
νηθήτω ἡμῖν. 15 μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον δὲ τὸν πόδα σου 15
ἐκ τῶν τρίβων αὐτῶν. 17 οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς· 18 αὐ- 17 18
τοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά, ἡ δὲ καταστροφὴ
ἀνδρῶν παρανόμων κακή. 19 αὗται αἱ ὁδοί εἰσι πάντων τῶν συντελούντων 19
τὰ ἄνομα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. 20 σοφία ἐν ἐξό- 20
δοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει· 21 ἐπ' ἄκρων δὲ τειχέων 21
κηρύσσεται, ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει, ἐπὶ δὲ πύλαις πόλεως θαῤ-
ῥοῦσα λέγει. 22 ὅσον ἂν χρόνον ἄκακοι ἔχονται τῆς δικαιοσύνης οὐκ αἰσχυν- 22
θήσονται· οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταί, ἀσεβεῖς γενόμενοι
ἐμίσησαν αἴσθησιν, 23 καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. ἰδοὺ προήσομαι ὑμῖν 23
ἐμῆς πνοῆς ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. 24 ἐπειδὴ ἐκάλουν καὶ 24
οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους καὶ οὐ προςείχετε, 25 ἀλλὰ ἀκύρους 25
ἐποιεῖτε ἐμὰς βουλάς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε· 26 τοιγαροῦν κἀγὼ 26
τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, καταχαροῦμαι δὲ ἡνίκα ἔρχηται ὑμῖν
ὄλεθρος, 27 καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταστροφὴ ὁμοίως 27
καταιγίδι παρῇ, καὶ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία, ἢ ὅταν ἔρχη-
ται ὑμῖν ὄλεθρος. 28 ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰςακού- 28
σομαι ὑμῶν· ζητήσουσί με κακοί, καὶ οὐχ εὑρήσουσιν. 29 ἐμίσησαν γὰρ σο- 29
φίαν, τὸν δὲ λόγον τοῦ κυρίου οὐ προείλαντο, 30 οὐδὲ ἤθελον ἐμαῖς προςέχειν 30
βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. 31 τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν 31
ὁδοῦ τοὺς καρπούς, καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται· 32 ἀνθ' ὧν γὰρ 32
ἠδίκουν νηπίους φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ. 33 ὁ δὲ ἐμοῦ 33
ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

## II.

Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, 2 ὑπα- 2
κούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν, παρα-
βαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου. 3 ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ 3
καὶ τῇ συνέσει δῷς φωνήν σου, 4 καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον καὶ 4
ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτήν· 5 τότε συνήσεις φόβον κυρίου, καὶ ἐπίγνωσιν 5
θεοῦ εὑρήσεις. 6 ὅτι κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προςώπου αὐτοῦ γνῶσις 6
καὶ σύνεσις· 7 καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ τὴν πο- 7
ρείαν αὐτῶν 8 τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων, καὶ ὁδὸν εὐλαβουμένων αὐ- 8
τὸν διαφυλάξει. 9 τότε συνήσεις δικαιοσύνην καὶ κρίμα, καὶ κατορθώσεις πάν- 9
τας ἄξονας ἀγαθούς. 10 ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις 10
τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ, 11 βουλὴ καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία 11

---

10. C πλανησουσιν 13. κτισιν 14. AC βαλλαντιον 15. οδους pro εν οδω ... τον σον ποδα 16. οι γαρ ποδες αυτων εις κακιαν τρεχουσιν και ταχινοι του εκχεαι αιμα 20. C σοφια δε 21. C θαρουσα 22. AC εχωνται 24. υπηκουετε 25. ελεγχοις ου προςειχετε 26. AC ηνικα αν 27. AC η οταν pro και οταν ... C om η οτ. ερχ. υμ. ολεθρ. 29. γαρ παιδιαν ... om του ... C τον δε φοβον κυριου 33. εν ελπιδι II. 1. C υιε αν 2. C δε αυτον επι νουθεσιαν 3. AC** in f. add την δε αισθησιν ζητησης μεγαλη τη φωνη 4. εξεραυνησεις, C εξερευνησεις 7. C τ. κατορθωσιν ... AC πορειαν 8. AC οδον 9. αυξονας



Digitized by Google

12 τηρήσει σε, [12] ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος
13 μηδὲν πιστόν. [13] ὢ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας τοῦ πορεύεσθαι ἐν ὁδοῖς
14 σκότους, [14] οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ,
15 [15] ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, [16] τοῦ μακράν σε
ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας καὶ ἀλλότριον τῆς δικαίας γνώμης. υἱέ, μή σε
16 17 καταλάβῃ κακὴ βουλή, [17] ἡ ἀπολιποῦσα διδασκαλίαν νεότητος, καὶ διαθήκην
18 θείαν ἐπιλελησμένη. [18] ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς, καὶ παρὰ
19 τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς· [19] πάντες οἱ πορευόμενοι ἐν
αὐτῇ οὐκ ἀναστρέψουσιν οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας· οὐ γὰρ κα-
20 ταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς. [20] εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθάς,
21 εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας. [21] ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν,
22 καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ· [22] ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ
παράνομοι ἐξωσθήσονται ἀπ᾽ αὐτῆς.

## III.

Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρ-
2 3 δία· [2] μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσί σοι. [3] ἐλεημο-
σύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ,
4 5 καὶ εὑρήσεις χάριν. [4] καὶ προνοοῦ καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων. [5] ἴσθι
6 πεποιθὼς ἐν ὅλῃ τῇ καρδίᾳ ἐπὶ θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου· [6] πά-
7 σαις ὁδοῖς σου γνώριζε αὐτήν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. [7] μὴ ἴσθι φρό-
8 νιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν θεὸν καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ· [8] τότε
9 ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. [9] τίμα τὸν κύ-
ριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιο-
10 σύνης· [10] ἵνα πίμπληται τὰ ταμιεῖά σου πλησμονῆς σίτῳ, οἴνῳ δὲ αἱ ληνοί
11 σου ἐκβλύζωσιν. [11] υἱέ, μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ He. 12,
12 ἐλεγχόμενος· [12] ὃν γὰρ ἀγαπᾷ κύριος ἐλέγχει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν 5. 6.
13 παραδέχεται. [13] μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρό-
14 νησιν. [14] κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυ-
15 ρούς, [15] τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν
πονηρόν. εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον
16 αὐτῆς ἐστι. [16] μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ
ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα· ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δι-
17 καιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. [17] αἱ ὁδοὶ αὐτῆς ὁδοὶ κα-
18 λαί, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ· [18] ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀν-
τεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ᾽ αὐτὴν ὡς ἐπὶ κύριον ἀσφα-
19 λής. [19] ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς φρονή-
20 21 σει· [20] ἐν αἰσθήσει ἄβυσσοι ἐῤῥάγησαν, νέφη δὲ ἐῤῥύησαν δρόσους. [21] υἱὲ μὴ
22 παραῤῥυῇς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν· [22] ἵνα ζήσῃ ἡ ψυχή σου,
καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ· ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέ-
23 λεια τοῖς σοῖς ὀστέοις· [23] ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς
24 σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ. [24] ἐὰν γὰρ κάθῃ ἄφοβος ἔσῃ, ἐὰν δὲ
25 καθεύδῃς ἡδέως ὑπνώσεις· [25] καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν οὐδὲ
26 ὁρμὰς ἀσεβῶν ἐπερχομένας· [26] ὁ γὰρ κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ
27 ἐρείσει σὸν πόδα ἵνα μὴ σαλευθῇς. [27] μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν

12. om σε 17. απολειπουσα 18. αυξονας 19. καταλαμβανωνται 20. λειους 21. ab initio add χρηστοι εσονται οικητορες γης ακακοι δε υπολειφθησονται εν αυτη 22. οδοι δε III. 3. πιστις ... in f. add γραψον δε αυτας επι το πλατος της καρδιας σου 5. om τη 6. εν πασαις 7. εκκλιναι 10. σιτου 12. παιδευει pro ελεγχει 13. ιδεν 14. κρειττον 15. αντιτασσεται 17. παντες οι τριβοι 19. εν φρονησει 21. παραρυης 22. τ. οστ. σου 24. om γαρ 25. και ου μη

Digitized by Google

ἔχῃ ἡ χείρ σου βοηθεῖν. 28 μὴ εἴπῃς Ἐπανελθὼν ἐπάνηκε, αὔριον δώσω, 28
δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. 29 μὴ 29
τεκτήνῃ ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί· 30 μὴ φι- 30
λεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, μή τί σε ἐργάσηται κακόν. 31 μὴ κτήσῃ κα- 31
κῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν. 32 ἀκάθαρτος γὰρ ἔναντι 32
κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδριάζει. 33 κατάρα θεοῦ ἐν 33
Jac.4,6. οἴκοις ἀσεβῶν, ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. 34 κύριος ὑπερηφάνοις ἀντι- 34
1Pe.5,5. τάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. 35 δόξαν σοφοὶ κληρονομήσουσιν, οἱ δὲ 35
ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

## IV.

Ἀκούσατε παῖδες παιδείαν πατρός, καὶ προςέχετε γνῶναι ἔννοιαν. 2 δῶ- 2
ρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε. 3 υἱὸς γὰρ 3
ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος καὶ ἀγαπώμενος ἐν προςώπῳ μητρός, 4 οἳ 4
ἔλεγον καὶ ἐδίδασκόν με Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν· φύ-
λασσε ἐντολάς, μὴ ἐπιλάθῃ· μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος 6 μηδὲ ἐγ- 6
καταλίπῃς αὐτήν, καὶ ἀνθέξεταί σου. ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε· 8 πε- 8
ριχαράκωσον αὐτήν, καὶ ὑψώσει σε· τίμησον αὐτήν, ἵνα σε περιλάβῃ· 9 ἵνα 9
δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου.
10 ἄκουε υἱὲ καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα 10
σοι γένωνται πολλαὶ ὁδοὶ βίου. 11 ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ 11
σε τροχιαῖς ὀρθαῖς. 12 ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβή- 12
ματα· ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις. 13 ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, 13
ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. 14 ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, 14
μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· 15 ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλ- 15
θῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ' αὐτῶν καὶ παράλλαξον. 16 οὐ γὰρ μὴ ὑπνώσωσιν 16
ἐὰν μὴ κακοποιήσωσιν· ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται· 17 οἵδε 17
γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. 18 αἱ δὲ ὁδοὶ 18
τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν ἕως κατορ-
θώσῃ ἡ ἡμέρα. 19 αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προς- 19
κόπτουσιν. 20 υἱέ, ἐμῇ ῥήσει πρόςεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς, 20
21 ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν καρδίᾳ· 22 ζωὴ γάρ 21 22
ἐστι τοῖς εὑρίσκουσιν αὐτάς, καὶ πάσῃ σαρκὶ ἴασις. 23 πάσῃ φυλακῇ τήρει 23
σὴν καρδίαν· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς. 24 περίελε σεαυτοῦ σκολιὸν στόμα, 24
καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι. 25 οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέ- 25
*He.12,13. τωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια. 26 ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί, 26
καὶ τὰς ὁδούς σου κατεύθυνε· 27 μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ μηδὲ εἰς τὰ ἀρι- 27
στερά, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς. ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν
οἶδεν ὁ θεός, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν· αὐτὸς δὲ ὀρθὰς ποιήσει
τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

## V.

Υἱέ, ἐμῇ σοφίᾳ πρόςεχε, ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς, 2 ἵνα φυ- 2
λάξῃς ἔννοιαν ἀγαθήν· αἴσθησις δὲ ἐμῶν χειλέων ἐντέλλεταί σοι. 3 μὴ πρόςεχε 3
φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς

---

27. η χ. σου ευ ποιει (sic) 28. και αυριον 29. τεκτενε 30. εις σε 31. ζηλωση IV. 2. εγκαταλειπητε 5. κτησαι σοφιαν κτησαι συνεσιν μη επιλαθη μηδε εκκλεινης απο ρηματων στοματος μου 6. μη εγκαταλειπης 10. πληθυνθησ. σοι 13. om αλλα 16. απ αυτων, ου 18. κατορθωσει 21. εκλειπωσιν ... εν ση καρδια 22. σαρκι αυτου ιασεις 24. απο σου μακραν απωσον 27. προαξαι V. 2. αισθησιν ... εντελλομαι σοι



Digitized by Google

4 καιρὸν λιπαίνει σὸν φάρυγγα· [4]ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις
5 καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. [5]τῆς γὰρ ἀφροσύνης οἱ πόδες
κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην, τὰ δὲ ἴχνη αὐ-
6 τῆς οὐκ ἐρείδεται· [6]ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, σφαλεραὶ δὲ αἱ τροχιαὶ
7 αὐτῆς καὶ οὐκ εὔγνωστοι. [7]νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ μὴ ἀκύρους ποιήσεις
8 ἐμοὺς λόγους. [8]μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν, μὴ ἐγγίσῃς πρὸς θύ-
9 ραις οἴκων αὐτῆς· [9]ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμο-
10 σιν· [10]ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι εἰς οἴκους
11 ἀλλοτρίων ἔλθωσι· [11]καὶ μεταμεληθήσῃ ἐπ' ἐσχάτων, ἡνίκα ἂν κατατριβῶσι
12 σάρκες σώματός σου, [12]καὶ ἐρεῖς Πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους ἐξέ-
13 κλινεν ἡ καρδία μου· [13]οὐκ ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός
14 με, οὐδὲ παρέβαλλον τὸ οὖς μου· [14]παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ
15 ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς. [15]πῖνε ὕδατα ἀπὸ σῶν ἀγγείων καὶ ἀπὸ
16 σῶν φρεάτων πηγῆς. [16]μὴ ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς, εἰς
17 δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα· [17]ἔστω σοι μόνῳ ὑπάρχοντα,
18 καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι· [18]ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι
19 ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου. [19]ἔλαφος φιλίας
καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου καὶ συνέστω
σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος πολλοστὸς
20 ἔσῃ. [20]μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις τῆς μὴ ἰδίας·
21 [21]ἐνώπιον γάρ εἰσι τῶν τοῦ θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός, εἰς δὲ πάσας τὰς
22 τροχιὰς αὐτοῦ σκοπεύει. [22]παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυ-
23 τοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. [23]οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ
πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξερρίφη καὶ ἀπώλετο δι' ἀφροσύνην.

## VI.

2 Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ. [2]παγὶς γὰρ
3 ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. [3]ποίει
υἱὲ ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σῴζου· ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν
φίλον· ἴσθι μὴ ἐκλυόμενος, παρόξυνε δὲ καὶ τὸν φίλον σου ὃν ἐνεγγυήσω.
4 5 [4]μὴ δῷς ὕπνον σοῖς ὄμμασι, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις, [5]ἵνα σῴζῃ
6 ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. [6]ἴθι πρὸς τὸν μύρ-
μηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σο-
7 φώτερος· [7]ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων
8 μηδὲ ὑπὸ δεσπότην ὤν, [8]ἑτοιμάζεται θέρους τὴν τροφήν, πολλήν τε ἐν τῷ
ἀμητῷ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε
ὡς ἐργάτις ἐστί, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται· ἧς τοὺς πόνους βα-
σιλεῖς καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται· ποθεινὴ δέ ἐστι πᾶσι καὶ ἐπί-
δοξος, καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενής, τὴν σοφίαν τιμήσασα προήχθη.
9 10 [9]ἕως τίνος ὀκνηρὲ κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; [10]ὀλίγον μὲν
ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ
11 στήθη· [11]εἶτ' ἐμπαραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ ἔν-
δεια ὥσπερ ἀγαθὸς δρομεύς. ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός
12 σου, ἡ δὲ ἔνδεια ὥσπερ κακὸς δρομεὺς ἀπαυτομολήσει. [12]ἀνὴρ ἄφρων καὶ

---

4. υστερον δε πικρ. 6. εγνωστοι 7. ποιησης 8. εγγ. προθυραις 10. om μη ... εισελθωσιν 11. και μη μεταμεληθης 14. κακω μου, εμμεσω 15. αγγιων 16. om μη ... τα υδατα εκ 19. εν γαρ ταυτη τη φιλια συνπεριφερ. 20. ταις μη ιδιαις 21. εις δε σας τροχειας αυτους 23. εξεριφη ... δια VI. 1. εγγυη 2. τα ιδ. χειλ. ανδρι 3. ενεγυησω 7. εκεινου 8. πρ. υγιαν φερονται 11. ενπαραγεινεται ... ηξει σοι ... κακ. ανηρ αυτομολησει

Digitized by Google

παράνομος πορεύεται ὁδοὺς οὐκ ἀγαθάς· [13] ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ, ση- 13
μαίνει δὲ ποδί, διδάσκει δὲ ἐννεύμασι δακτύλων· [14] διεστραμμένη καρδίᾳ 14
τεκταίνεται κακά, ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει. [15] διὰ 15
τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ συντριβὴ ἀνίατος·
[16] ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ θεός, συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς· 16
[17] ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος, χεῖρες ἐκχέουσαι αἷμα δικαίου, [18] καὶ 17 18
καρδία τεκταινομένη λογισμοὺς κακούς, καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν.
[19] ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ἐπιπέμπει κρίσεις ἀνὰ μέσον ἀδελφῶν. 19
[20] υἱέ, φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· [21] ἄφα- 20 21
ψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διὰ παντός, καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ.
[22] ἡνίκα ἂν περιπατῇς ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω, ὡς δ' ἂν καθεύδῃς 22
φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. [23] ὅτι λύχνος ἐντολὴ νόμου καὶ 23
φῶς, ὁδὸς ζωῆς καὶ ἔλεγχος καὶ παιδεία, [24] τοῦ διαφυλάσσειν σε ἀπὸ γυ- 24
ναικὸς ὑπάνδρου καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας. [25] μή σε νικήσῃ κάλ- 25
λους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν
αὐτῆς βλεφάρων. [26] τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου, γυνὴ δὲ ἀνδρῶν 26
τιμίας ψυχὰς ἀγρεύει. [27] ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κα- 27
τακαύσει; [28] ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατα- 28
καύσει; [29] οὕτως ὁ εἰςελθὼν πρὸς γυναῖκα ὕπανδρον οὐκ ἀθωωθήσεται, οὐδὲ 29
πᾶς ὁ ἁπτόμενος αὐτῆς. [30] οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων, κλέπτει γὰρ 30
ἵνα ἐμπλήσῃ τὴν ψυχὴν πεινῶν· [31] ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια, καὶ 31
πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν. [32] ὁ δὲ μοιχὸς δι' ἔνδειαν 32
φρενῶν ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται, [33] ὀδύνας τε καὶ ἀτιμίας ὑπο- 33
φέρει· τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. [34] μεστὸς γὰρ 34
ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως· [35] οὐκ ἀνταλλά- 35
ξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

## VII.

Υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ·
υἱέ, τίμα τὸν κύριον καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον. [2] φύλαξον 2
ἐμὰς ἐντολὰς καὶ βιώσεις, τοὺς δὲ ἐμοὺς λόγους ὥςπερ κόρας ὀμμάτων· [3] πε- 3
ρίθου δὲ αὐτοὺς σοῖς δακτύλοις, ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.
[4] εἰπὸν τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον περιποίη- 4
σαι σεαυτῷ, [5] ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐάν σε 5
λόγοις τοῖς πρὸς χάριν ἐμβάλληται. [6] ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς 6
τὰς πλατείας παρακύπτουσα, [7] ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ 7
φρενῶν, [8] παραπορευόμενον παρὰ γωνίαν ἐν διόδοις οἴκων αὐτῆς καὶ λαλοῦντα 8
[9] ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν ἡσυχία νυκτερινὴ καὶ γνοφώδης, [10] ἡ δὲ γυνὴ 9 10
συναντᾷ αὐτῷ, εἶδος ἔχουσα πορνικόν, ἣ ποιεῖ νέων ἐξίπτασθαι καρδίας.
[11] ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες 11
αὐτῆς· [12] χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν 12
γωνίαν ἐνεδρεύει. [13] εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν, ἀναιδεῖ δὲ προσώπῳ 13
προςεῖπεν αὐτῷ [14] Θυσία εἰρηνική μοί ἐστι, σήμερον ἀποδίδωμι τὰς εὐχάς 14
μου· [15] ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σοι, ποθοῦσα τὸ σὸν πρόσωπον, 15

---

14. διεστρ. δε καρδ. (ed. rom. διεστραμμενη καρδια pro -νη -διᾳ) 15. δια δε τουτο 16. μισει ο κυριος ... δια 17. αιμα δικαιον 20. φυλασσε υιε 22. ως αν ... συλλαλησω 23. και οδος ζωης ελεγχ. 25. συναρπασης 27. αποδεσει 28. επ ανθρακα οχνευρος 29. αθοωθησεται 30. τις αλω ... εμπλησει ψυχην πινωσαν 35. μη δια πολλων VII. 2. φυλαξω 3. περιθου αυτοις 5. εμβαληται 9. νυκτερινη και γνοφος 11. ουχ ησυχαζουσιν 15. συναντησ. μου (σου?)

Digitized by Google

16 εὕρηκά σε. [16] κειρίαις τέταχα τὴν κλίνην μου, ἀμφιτάποις δὲ ἔστρωκα τοῖς
17 ἀπ' Αἰγύπτου· [17] διέῤῥαγκα τὴν κοίτην μου κροκίνῳ, τὸν δὲ οἶκόν μου κιν-
18 ναμώμῳ· [18] ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δεῦρο καὶ ἐγκυλισθῶ-
19 μεν ἔρωτι. [19] οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ, πεπόρευται δὲ ὁδὸν μα-
20 κράν, [20] ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χειρὶ αὐτοῦ, δι' ἡμερῶν πολλῶν ἐπαν-
21 ήξει εἰς τὸν οἶκον αὐτοῦ. [21] ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε
22 τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν· [22] ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς,
23 ὥςπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται, καὶ ὥςπερ κύων ἐπὶ δεσμούς, [23] ἢ ὡς
ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ· σπεύδει δὲ ὥςπερ ὄρνεον εἰς παγίδα,
24 οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει. [24] νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ πρόςεχε ῥή-
25 μασι στόματός μου. [25] μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου·
26 [26] πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν·
27 [27] ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς τὰ ταμιεῖα τοῦ θανάτου.

## VIII.

2 Σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ· [2] ἐπὶ γὰρ τῶν
3 ὑψηλῶν ἄκρων ἐστίν, ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε· [3] παρὰ γὰρ πύλαις
4 δυναστῶν παρεδρεύει, ἐν δὲ εἰςόδοις ὑμνεῖται. [4] ὑμᾶς ὦ ἄνθρωποι παρακαλῶ,
5 καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. [5] νοήσατε ἄκακοι πανουργίαν, οἱ
6 δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. [6] εἰςακούσατέ μου· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω
7 ἀπὸ χειλέων ὀρθά. [7] ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ
8 ἐναντίον ἐμοῦ χείλη ψευδῆ· [8] μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στό-
9 ματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες. [9] πάντα ἐνώπια τοῖς
10 συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. [10] λάβετε παιδείαν καὶ μὴ ἀργύ-
11 ριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· [11] κρείσσων γὰρ σοφία λίθων
12 πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστίν. [12] ἐγὼ ἡ σοφία κατεσκή-
13 νωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. [13] φόβος κυρίου μι-
σεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν· μεμίσηκα δὲ
14 ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν. [14] ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις,
15 ἐμὴ δὲ ἰσχύς· [15] δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι
16 δικαιοσύνην· [16] δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ
17 κρατοῦσι γῆς. [17] ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρή-
18 σουσι. [18] πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη.
19 [19] βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, τὰ δὲ ἐμὰ γεννή-
20 ματα κρείσσω ἀργυρίου ἐκλεκτοῦ. [20] ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀνὰ
21 μέσον τρίβων δικαιώματος ἀναστρέφομαι, [21] ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν
ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. ἐὰν ἀναγγείλω ὑμῖν
22 τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. [22] κύριος
23 ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, [23] πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ
24 με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, [24] καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆ-
25 σαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, [25] πρὸ τοῦ ὄρη ἑδρασθῆναι,
26 πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. [26] κύριος ἐποίησε χώρας καὶ ἀοικήτους καὶ
27 ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανῶν. [27] ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρή-
28 μην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων· [28] καὶ ὡς ἰσχυρὰ

---

16. κηριαις 17. κροκω 22. κεφφωθις 24. ρησιν 25. in f. add και μη πλανηθης εν ατραποις αυτης 27. εις ταμιεια VIII. 6. ανοιγω 8. παντ. τα κριματα ... ουδεν εν αυτοις ... στραγγαλωδες 10. in f. add ανταναιρεισθαι εσθησιν χρυσιου και αργυριου 12. κ. γνωσιν c. seqq. conjg. 13. υπερηφανιαν (ita etiam ed. rom.) 17. ευρησουσιν χαριν 19. λιθ. τιμ. πολυν ... γενηματα κρισσον 20. τριβων δικαιοσυνης 23. om εν αρχη 26. υπ ουρανον 27. συνπαρημην 28. ηνικα ισχυρα

Digitized by Google

ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίϑει πηγὰς τῆς ὑπ' οὐρανόν, [29] καὶ 29
ὡς ἰσχυρὰ ἐποίει τὰ ϑεμέλια τῆς γῆς, [30] ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ 30
ἤμην ᾗ προσέχαιρεν, καϑ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν
παντὶ καιρῷ, [31] ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ ἐνευφραί- 31
νετο ἐν υἱοῖς ἀνϑρώπων. [32] νῦν οὖν υἱὲ ἄκουέ μου· [34] μακάριος ἀνὴρ ὃς εἰσα- 32 34
κούσεταί μου, καὶ ἄνϑρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, ἀγρυπνῶν ἐπ' ἐμαῖς
ϑύραις καϑ' ἡμέραν, τηρῶν σταϑμοὺς ἐμῶν εἰσόδων. [35] αἱ γὰρ ἔξοδοί μου 35
ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται ϑέλησις παρὰ κυρίου. [36] οἱ δὲ ἁμαρτάνοντες εἰς 36
ἐμὲ ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς, καὶ οἱ μισοῦντές με ἀγαπῶσι ϑάνατον.

## IX.

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· [2] ἔσφαξε 2
τὰ ἑαυτῆς ϑύματα, ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο
τὴν ἑαυτῆς τράπεζαν· [3] ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ 3
ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα [4] Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός 4
με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν [5] Ἔλϑατε φάγετε τῶν ἐμῶν ἄρτων, καὶ 5
πίετε οἶνον ὃν ἐκέρασα ὑμῖν· [6] ἀπολείπετε ἀφροσύνην, ἵνα εἰς τὸν αἰῶνα βα- 6
σιλεύσητε, καὶ ζητήσατε φρόνησιν, καὶ κατορϑώσατε ἐν γνώσει σύνεσιν. [7] ὁ 7
παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται
ἑαυτόν. [8] μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγα- 8
πήσει σε. [9] δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ 9
προσϑήσει τοῦ δέχεσϑαι. [10] ἀρχὴ σοφίας φόβος κυρίου, καὶ βουλὴ ἁγίων 10
σύνεσις· τὸ γὰρ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαϑῆς. [11] τούτῳ γὰρ τῷ τρόπῳ 11
πολὺν ζήσεις χρόνον, καὶ προστεϑήσεταί σοι ἔτη ζωῆς σου. [12] υἱὲ ἐὰν σοφὸς 12
γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν
ἀντλήσεις κακά. ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους, ὁ δ' αὐ-
τὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς
δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι' ἀνύδρου ἐρή-
μου καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. [13] γυνὴ 13
ἄφρων καὶ ϑρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην· [14] ἐκά- 14
ϑισεν ἐπὶ ϑύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, [15] προσ- 15
καλουμένη τοὺς παριόντας καὶ κατευϑύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· [16] ὃς ἐστιν 16
ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρὸς μέ, καὶ τοῖς ἐνδεέσι φρονήσεως παρα-
κελεύομαι λέγουσα [17] Ἄρτων κρυφίων ἡδέως ἅψασϑε, καὶ ὕδατος κλοπῆς γλυ- 17
κεροῦ. [18] ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον 18
ᾅδου συναντᾷ. ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ, μηδὲ ἐπιστήσῃς
τὸ σὸν ὄνομα πρὸς αὐτήν· οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον· ἀπὸ δὲ ὕδατος
ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρό-
νον, προστεϑῇ δέ σοι ἔτη ζωῆς.

## X.

Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί. [2] οὐκ ὠφε- 2
λήσουσι ϑησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἐκ ϑανάτου. [3] οὐ λιμοκτο- 3

---

29. praemittit haec: εν τω τιϑεναι τη ϑαλασση ακριβασμον αυτου και υδατα ου παρελευσονται στοματος αυτου ... om ως ... τα ϑεληματα 31. οτε ηυφραινετο ... και ενηυφραινετο 32. in f. add και μακαριοι οι οδους μου φυλασσοντες 33. ακουσατε σοφιαν και σοφισϑητε και μη αποφραγητε 36. εις εμε αμαρταν. IX. 6. φρονησιν ινα βιωσητε 7. λημψεται 8. μισωσιν σε ... in f. add ασοφον και μισησει σε 9. γνωρ. δε δικ. 10. το δε γνωναι 11. ζηση ... om σου 12. τω πλησιον ... ποιμανει ... άπελειπεν 15. παριοντ. οδον 16. με, ενδεεσιν δε 18. πετευρον ... ενχρονισης ... επιστης το σον ομμα ... post υδ. αλλοτριον add και υπερβηση ποταμον αλλοτριον ... ζηση

Digitized by Google

4 νήσει κύριος ψυχὴν δικαίαν, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει. [4] πενία ἄνδρα τα-
5 πεινοῖ, χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν. [5] υἱὸς πεπαιδευμένος σοφὸς ἔσται,
τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται· διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων, ἀνε-
6 μόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παράνομος. [6] εὐλογία κυρίου ἐπὶ κεφαλὴν
7 δικαίου, στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον. [7] μνήμη δικαίων μετ' ἐγκω-
8 μίων, ὄνομα δὲ ἀσεβοῦς σβέννυται. [8] σοφὸς καρδίᾳ δέξεται ἐντολάς, ὁ δὲ ἄστε-
9 γος χείλεσι σκολιάζων ὑποσκελισθήσεται. [9] ὃς πορεύεται ἁπλῶς, πορεύεται πε-
10 ποιθώς· ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ γνωσθήσεται. [10] ὁ ἐννεύων ὀφθαλμοῖς
μετὰ δόλου συνάγει ἀνδράσι λύπας, ὁ δὲ ἐλέγχων μετὰ παρρησίας εἰρηνο-
11 ποιεῖ. [11] πηγὴ ζωῆς ἐν χειρὶ δικαίου, στόμα δὲ ἀσεβοῦς καλύψει ἀπώλεια.
12 [12] μῖσος ἐγείρει νεῖκος, πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία.
13 14 [13] ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον. [14] σοφοὶ
15 κρύψουσιν αἴσθησιν, στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ. [15] κτῆσις πλουσίων
16 πόλις ὀχυρά, συντριβὴ δὲ ἀσεβῶν πενία. [16] ἔργα δικαίων ζωὴν ποιεῖ, καρποὶ
17 δὲ ἀσεβῶν ἁμαρτίας. [17] ὁδοὺς δικαίας ζωῆς φυλάσσει παιδεία, παιδεία δὲ
18 ἀνεξέλεγκτος πλανᾶται. [18] καλύπτουσιν ἔχθραν χείλη δίκαια, οἱ δὲ ἐκφέροντες
19 λοιδορίας ἀφρονέστατοί εἰσιν. [19] ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φει-
20 δόμενος δὲ χειλέων νοήμων ἔσῃ. [20] ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου,
21 καρδία δὲ ἀσεβοῦς ἐκλείψει. [21] χείλη δικαίων ἐπίσταται ὑψηλά, οἱ δὲ ἄφρονες
22 ἐν ἐνδείᾳ τελευτῶσιν. [22] εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου αὕτη πλουτίζει,
23 καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ. [23] ἐν γέλωτι ἄφρων πράσσει κακά,
24 ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν. [24] ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται, ἐπι-
25 θυμία δὲ δικαίου δεκτή. [25] παραπορευομένης καταιγίδος ἀφανίζεται ἀσεβής,
26 δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα. [26] ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν
27 καὶ καπνὸς ὄμμασιν, οὕτως παρανομία τοῖς χρωμένοις αὐτῇ. [27] φόβος κυρίου
28 προστίθησιν ἡμέρας, ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσεται. [28] ἐγχρονίζει δικαίοις εὐ-
29 φροσύνη, ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται. [29] ὀχύρωμα ὁσίου φόβος κυρίου, συντριβὴ
30 δὲ τοῖς ἐργαζομένοις κακά. [30] δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει, ἀσεβεῖς δὲ οὐκ
31 οἰκήσουσι γῆν. [31] στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται.
32 [32] χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας, στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

## XI.

Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.
2 [2] οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν.
4 [4] ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος
5 ἀσεβῶν ἀπώλεια. [5] δικαιοσύνη ἀμώμους ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περι-
6 πίπτει ἀδικίᾳ. [6] δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀπωλείᾳ αὐ-
7 τῶν ἁλίσκονται παράνομοι. [7] τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς,
8 τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. [8] δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ
9 δὲ παραδίδοται ὁ ἀσεβής. [9] ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ
10 11 δικαίων εὔοδος. [10] ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις, [11] στόμασι δὲ ἀσε-
12 βῶν κατεσκάφη. [12] μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυ-

---

X. 6. επι κεφαλης 12. νικος ... καλυψει 17. om δικαιας 19. εκφευξεται αμαρτια 20. πεπωρωμενος 22. επι κεφαλης ... om αυτη πλουτιζει 23. ανδρα 24. post περιφερεται add δουλευσει δε αφρων φρονιμω et in f. add καρδια δε ασεβους εκλειψει 25. ο ασεβης 26. βλαβερος 28. ολλυται 30. om εις XI. 3. τελειοτης ευθειων οδηγησει αυτους και υποσκελισμος αθετουντων προνομευσει αυτους 4. ab initio add ουκ ωφελησει υπαρχοντα εν ημερα θυμου και δικαιοσυνη ρυσεται απο θανατου 4. ελειπεν 5. αμωμου 6. ρυσεται ... τη δε αβουλεια αλισκ. 8. δυνει 10. in f. add και εν απωλεια ασεβων αγαλλιαμα 11. ab initio add εν ευλογεια ευθειων υψωθησεται πολις (12. ενδεεις)

Digitized by Google

χίαν ἄγει. 13 ἀνὴρ δίγλωσσος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ, πιστὸς δὲ 13
πνοῇ κρύπτει πράγματα. 14 οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥςπερ φύλλα, 14
σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ. 15 πονηρὸς κακοποιεῖ ὅταν συμμίξῃ δι- 15
καίῳ, μισεῖ δὲ ἦχον ἀσφαλείας. 16 γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ δόξαν, θρό- 16
νος δὲ ἀτιμίας γυνὴ μισοῦσα δίκαια. πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται, οἱ δὲ
ἀνδρεῖοι ἐρείδονται πλούτῳ. 17 τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων, 17
ἐξολλύει δὲ αὐτοῦ σῶμα ὁ ἀνελεήμων. 18 ἀσεβὴς ποιεῖ ἔργα ἄδικα, σπέρμα 18
δὲ δικαίων μισθὸς ἀληθείας. 19 υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν, διωγμὸς δὲ 19
ἀσεβοῦς εἰς θάνατον. 20 βδέλυγμα κυρίῳ διεστραμμέναι ὁδοί, προςδεκτοὶ δὲ 20
αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν. 21 χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως 21
οὐκ ἀτιμώρητος ἔσται, ὁ δὲ σπείρων δικαιοσύνην λήψεται μισθὸν πιστόν.
22 ὥςπερ ἐνώτιον ἐν ῥινὶ ὑός, οὕτως γυναικὶ κακόφρονι κάλλος. 23 ἐπιθυμία 22 23
δικαίων πᾶσα ἀγαθή, ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται. 24 εἰσὶν οἳ τὰ ἴδια σπεί- 24
ροντες πλείονα ποιοῦσιν, εἰσὶ δὲ καὶ οἳ συνάγοντες ἐλαττονοῦνται. 25 ψυχὴ εὐ- 25
λογουμένη πᾶσα ἁπλῆ, ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων. 26 ὁ συνέχων σῖτον 26
ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν, εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος.
27 τεκταινόμενος ἀγαθὰ ζητεῖ χάριν ἀγαθήν, ἐκζητοῦντα δὲ κακὰ καταλήψε- 27
ται αὐτόν. 28 ὁ πεποιθὼς ἐπὶ πλούτῳ οὗτος πεσεῖται, ὁ δὲ ἀντιλαμβανόμενος 28
δικαίων οὗτος ἀνατελεῖ. 29 ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ κληρονο- 29
μήσει ἄνεμον, δουλεύσει δὲ ἄφρων φρονίμῳ. 30 ἐκ καρποῦ δικαιοσύνης φύεται 30
1 Pe. 4, 18. δένδρον ζωῆς, ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων. 31 εἰ ὁ μὲν δίκαιος 31
μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

## XII.

Ὁ ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν, ὁ δὲ μισῶν ἐλέγχους ἄφρων.
2 κρείσσων ὁ εὑρὼν χάριν παρὰ κυρίῳ, ἀνὴρ δὲ παράνομος παρασιωπηθήσε- 2
ται. 3 οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου, αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρ- 3
θήσονται. 4 γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς· ὥςπερ δὲ ἐν ξύλῳ σκώληξ, 4
οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός. 5 λογισμοὶ δικαίων κρίματα, κυβερ- 5
νῶσι δὲ ἀσεβεῖς δόλους. 6 λόγοι ἀσεβῶν δόλιοι, στόμα δὲ ὀρθῶν ῥύσεται αὐ- 6
τούς. 7 οὗ ἐὰν στραφῇ ὁ ἀσεβὴς ἀφανίζεται, οἶκοι δὲ δικαίων παραμένουσι. 7
8 στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρός, νωθροκάρδιος δὲ μυκτηρίζεται. 8
9 κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς καὶ 9
προςδεόμενος ἄρτου. 10 δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ, τὰ δὲ σπλάγχνα 10
τῶν ἀσεβῶν ἀνελεήμονα. 11 ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν ἐμπλησθήσεται 11
ἄρτων, οἱ δὲ διώκοντες μάταια ἐνδεεῖς φρενῶν. ὅς ἐστιν ἡδὺς ἐν οἴνων δια-
τριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν. 12 ἐπιθυμίαι ἀσεβῶν 12
κακαί, αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν ἐν ὀχυρώμασι. 13 δι' ἁμαρτίαν χειλέων ἐμ- 13
πίπτει εἰς παγίδας ἁμαρτωλός, ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος. ὁ βλέπων λεῖα
ἐλεηθήσεται, ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς. 14 ἀπὸ καρπῶν στό- 14
ματος ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δο-
θήσεται αὐτῷ. 15 ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, εἰςακούει δὲ συμβου- 15
λίας σοφός. 16 ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν 16
ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος. 17 ἐπιδεικνυμένην πίστιν ἀπαγγέλλει δίκαιος, 17
ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος. 18 εἰσὶν οἳ λέγοντες τιτρώσκουσι μάχαιραι, 18
γλῶσσαι δὲ σοφῶν ἰῶνται. 19 χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν, μάρτυς δὲ 19
ταχὺς γλῶσσαν ἔχει ἄδικον. 20 δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, οἱ δὲ 20
βουλόμενοι εἰρήνην εὐφρανθήσονται. 21 οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον, 21

---

21. λημψεται μισθ. πιστων 25. ηυλογημενη 27. καταλημψεται 29. συνπεριφερομενος XII. 9. αρτων 10. οικτειρει δικαιος 13. δι αμαρτιας 16. om ανηρ 18. μαχαιραν

Digitized by Google

22 οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν. [22] βδέλυγμα κυρίῳ χείλη ψευδῆ, ὁ δὲ
23 ποιῶν πίστεις δεκτὸς παρ' αὐτῷ. [23] ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως, καρδία
24 δὲ ἀφρόνων συναντήσεται ἀραῖς. [24] χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, δόλιοι
25 δὲ ἔσονται ἐν προνομῇ. [25] φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου,
26 ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν. [26] ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται,
ἁμαρτάνοντας δὲ καταδιώξεται κακά, ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐ-
27 τούς. [27] οὐχ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός. [28] ἐν
ὁδοῖς δικαιοσύνης ζωή, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

## XIII.

2 Υἱὸς πανοῦργος ὑπήκοος πατρί, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ. [2] ἀπὸ καρ-
3 πῶν δικαιοσύνης φάγεται ἀγαθός, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι. [3] ὃς
φυλάσσει τὸ ἑαυτοῦ στόμα τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ προπετὴς χείλεσι
4 πτοήσει ἑαυτόν. [4] ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός, χεῖρες δὲ ἀνδρείων ἐν ἐπι-
5 μελείᾳ. [5] λόγον ἄδικον μισεῖ δίκαιος, ἀσεβὴς δὲ αἰσχύνεται καὶ οὐχ ἕξει παῤῥη-
7 σίαν. [7] εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, καί εἰσιν οἱ ταπεινοῦντες
8 ἑαυτοὺς ἐν πολλῷ πλούτῳ. [8] λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, πτωχὸς
9 δὲ οὐχ ὑφίσταται ἀπειλήν. [9] φῶς δικαίοις διὰ παντός, φῶς δὲ ἀσεβῶν σβέν-
νυται. ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις, δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι.
10 11 [10] κακὸς μεθ' ὕβρεως πράσσει κακά, οἱ δὲ ἑαυτῶν ἐπιγνώμονες σοφοί. [11] ὕπαρ-
ξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται, ὁ δὲ συνάγων ἑαυτῷ
12 μετ' εὐσεβείας πληθυνθήσεται. δίκαιος οἰκτείρει καὶ κιχρᾷ. [12] κρείσσων ἐναρ-
χόμενος βοηθῶν καρδίᾳ τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος· δένδρον
13 γὰρ ζωῆς ἐπιθυμία ἀγαθή. [13] ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται
ὑπ' αὐτοῦ· ὁ δὲ φοβούμενος ἐντολὴν οὗτος ὑγιαίνει. υἱῷ δολίῳ οὐδὲν ἔσται
ἀγαθόν, οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις καὶ κατευθυνθήσεται ἡ ὁδὸς
14 15 αὐτοῦ. [14] νόμος σοφοῦ πηγὴ ζωῆς, ὁ δὲ ἄνους ὑπὸ παγίδος θανεῖται. [15] σύ-
νεσις ἀγαθὴ δίδωσι χάριν, τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς, ὁδοὶ
16 δὲ καταφρονούντων ἐν ἀπωλείᾳ. [16] πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως, ὁ
17 δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν. [17] βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακά,
18 ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν. [18] πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία,
19 ὁ δὲ φυλάσσων ἐλέγχους δοξασθήσεται. [19] ἐπιθυμίαι εὐσεβῶν ἡδύνουσι ψυχήν,
20 ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως. [20] συμπορευόμενος σοφοῖς σοφὸς ἔσῃ,
21 ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται. [21] ἁμαρτάνοντας καταδιώξεται
22 κακά, τοὺς δὲ δικαίους καταλήψεται ἀγαθά. [22] ἀγαθὸς ἀνὴρ κληρονομήσει
23 υἱοὺς υἱῶν, θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν. [23] δίκαιοι ποιήσουσιν
24 ἐν πλούτῳ ἔτη πολλά, ἄδικοι δὲ ἀπολοῦνται συντόμως. [24] ὃς φείδεται τῆς
25 βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ, ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει. [25] δίκαιος
ἔσθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ, ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.

## XIV.

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερ-
2 σὶν αὐτῆς. [2] ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν κύριον, ὁ δὲ σκολιάζων ταῖς
3 ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται. [3] ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη
4 δὲ σοφῶν φυλάσσει αὐτούς. [4] οὗ μή εἰσι βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ
5 γεννήματα, φανερὰ βοὸς ἰσχύς. [5] μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ

---

24. εχθρων pro ευχερως ... εις προνομην 25. ευφρανει 26. post εσται add αι δε γνωμαι των ασεβων ανεπιεικεις ... om δε prius XIII. 2. καρπου 5. και ουκ 6. δικαιοσυνη φυλασσει ακακους οδω τους δε ασεβεις φαυλους ποιει αμαρτια 7. οι πλουτιζουσιν 12. βοηθειν ... επιθυμ. κακη 20. ο συμπορευομενος σ. σ. εσται, ο δε συνρεμβομενος 21. καταλημψεται 22. ο αγαθος XIV. 1. κατεστρεψεν 3. φυλαξει 4. γενηματα

Digitized by Google

μάρτυς ἄδικος. [6] ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, αἴσθησις 6
δὲ παρὰ φρονίμοις εὐχερής. [7] πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθή- 7
σεως χείλη σοφά. [8] σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια 8
δὲ ἀφρόνων ἐν πλάνῃ. [9] οἰκίαι παρανόμων ὀφειλήσουσι καθαρισμόν, οἰκίαι 9
δὲ δικαίων δεκταί. [10] καρδία ἀνδρὸς αἰσθητική, λυπηρὰ ψυχὴ αὐτοῦ· ὅταν 10
δὲ εὐφραίνηται, οὐκ ἐπιμίγνυται ὕβρει. [11] οἰκίαι ἀσεβῶν ἀφανισθήσονται, σκη- 11
ναὶ δὲ κατορθούντων στήσονται. [12] ἔστιν ὁδὸς ἣ δοκεῖ παρὰ ἀνθρώποις ὀρθὴ 12
εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου. [13] ἐν εὐφροσύναις 13
οὐ προςμίγνυται λύπη, τελευταῖα δὲ χαρὰ εἰς πένθος ἔρχεται. [14] τῶν ἑαυτοῦ 14
ὁδῶν πλησθήσεται θρασυκάρδιος, ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ ἀνὴρ ἀγα-
θός. [15] ἄκακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. 15
[16] σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυ- 16
ται ἀνόμῳ. [17] ὀξύθυμος πράσσει μετὰ ἀβουλίας, ἀνὴρ δὲ φρόνιμος πολλὰ 17
ὑποφέρει. [18] μεριοῦνται ἄφρονες κακίαν, οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθή- 18
σεως. [19] ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν, καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας 19
δικαίων. [20] φίλοι μισήσουσι φίλους πτωχούς, φίλοι δὲ πλουσίων πολλοί. [21] ὁ 20 21
ἀτιμάζων πένητας ἁμαρτάνει, ἐλεῶν δὲ πτωχοὺς μακαριστός. [22] πλανώμενοι 22
τεκταίνουσι κακά, ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί· οὐκ ἐπίστανται
ἔλεον καὶ πίστιν τέκτονες κακῶν, ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν
ἀγαθοῖς. [23] ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν, ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος 23
ἐν ἐνδείᾳ ἔσται. [24] στέφανος σοφῶν πανοῦργος, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. 24
[25] ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψευδῆ δόλιος. [26] ἐν 25 26
φόβῳ κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα. [27] πρός- 27
ταγμα κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου. [28] ἐν πολλῷ 28
ἔθνει δόξα βασιλέως, ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου. [29] μακρόθυμος 29
ἀνὴρ πολὺς ἐν φρονήσει, ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων. [30] πραΰθυμος ἀνὴρ 30
καρδίας ἰατρός, σὴς δὲ ὀστέων καρδία αἰσθητική. [31] ὁ συκοφαντῶν πένητα 31
παροξύνει τὸν ποιήσαντα αὐτόν, ὁ δὲ τιμῶν αὐτὸν ἐλεεῖ πτωχόν. [32] ἐν κακίᾳ 32
αὐτοῦ ἀπωσθήσεται ἀσεβής, ὁ δὲ πεποιθὼς τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος. [33] ἐν 33
καρδίᾳ ἀγαθῇ ἀνδρὸς σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται. [34] δι- 34
καιοσύνη ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι. [35] δεκτὸς βασιλεῖ ὑπη- 35
ρέτης νοήμων, τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

## XV.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους, ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει
θυμόν, λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς. [2] γλῶσσα σοφῶν καλὰ ἐπίσταται, 2
στόμα δὲ ἀφρόνων ἀναγγέλλει κακά. [3] ἐν παντὶ τόπῳ ὀφθαλμοὶ κυρίου σκο- 3
πεύουσι κακούς τε καὶ ἀγαθούς. [4] ἴασις γλώσσης δένδρον ζωῆς, ὁ δὲ συν- 4
τηρῶν αὐτὴν πλησθήσεται πνεύματος. [5] ἄφρων μυκτηρίζει παιδείαν πατρός, 5
ὁ δὲ φυλάσσων ἐντολὰς πανουργότερος. [6] ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς 6
πολλή, οἱ δὲ ἀσεβεῖς ὁλόρριζοι ἐκ γῆς ἀπολοῦνται· οἴκοις δικαίων ἰσχὺς πολλή,
καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται. [7] χείλη σοφῶν δέδεται αἰσθήσει, καρδίαι δὲ 7
ἀφρόνων οὐκ ἀσφαλεῖς. [8] θυσίαι ἀσεβῶν βδέλυγμα κυρίῳ, εὐχαὶ δὲ κατευ- 8
θυνόντων δεκταὶ παρ' αὐτῷ. [9] βδέλυγμα κυρίῳ ὁδοὶ ἀσεβοῦς, διώκοντας δὲ 9
δικαιοσύνην ἀγαπᾷ. [10] παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων, οἱ δὲ 10
μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς. [11] ᾅδης καὶ ἀπώλεια φανερὰ παρὰ 11
τῷ κυρίῳ, πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων; [12] οὐκ ἀγαπήσει ἀπαί- 12
δευτος τοὺς ἐλέγχοντας αὐτόν, μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει. [13] καρδίας εὐ- 13
φραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει. [14] καρδία 14

9. αφρονων pro παρανομων 10. υβριν 12. ορθη ειναι παρα ανθρ., τα δε τ. αυτου 13. χαρας 20. μισησωσιν 21. in f. add εσται 31. ελεα
**XV**. 6. ολοριζοι ... ολουνται (7. καρδιας) 13. ουσας

Digitized by Google

15 ὀρθὴ ζητεῖ αἴσθησιν, στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά. [15]πάντα τὸν
χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προςδέχονται κακά, οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι
16 διὰ παντός. [16]κρεῖσσον μικρὰ μερὶς μετὰ φόβου κυρίου ἢ θησαυροὶ μεγάλοι
17 μετὰ ἀφοβίας. [17]κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν ἢ
18 παράθεσις μόσχων μετὰ ἔχθρας. [18]ἀνὴρ θυμώδης παρασκευάζει μάχας, μα-
κρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει· μακρόθυμος ἀνὴρ κατασβέσει
19 κρίσεις, ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον. [19]ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις, αἱ
20 δὲ τῶν ἀνδρείων τετριμμέναι. [20]υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων
21 μυκτηρίζει μητέρα αὐτοῦ. [21]ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνι-
22 μος κατευθύνων πορεύεται. [22]ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια,
23 ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή. [23]οὐ μὴ ὑπακούσει ὁ κακὸς αὐτῇ,
24 οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ. [24]ὁδοὶ ζωῆς διανοήματα
25 συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ. [25]οἴκους ὑβριστῶν κατασπᾷ κύριος,
26 ἐστήρισε δὲ ὅριον χήρας. [26]βδέλυγμα κυρίῳ λογισμὸς ἄδικος, ἁγνῶν δὲ ῥή-
27 σεις σεμναί. [27]ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης, ὁ δὲ μισῶν δώρων λήψεις
σώζεται. (16, 6.) ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, τῷ δὲ
28 φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. [28]καρδίαι δικαίων μελετῶσι πίστεις,
στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά. (16, 7.) δεκταὶ παρὰ κυρίῳ ὁδοὶ ἀν-
29 θρώπων δικαίων, διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται. [29]μακρὰν ἀπέχει
ὁ θεὸς ἀπὸ ἀσεβῶν, εὐχαῖς δὲ δικαίων ἐπακούει. (16, 8.) κρείσσων ὀλίγη λῆ-
ψις μετὰ δικαιοσύνης ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.

## XVI.

(9.) Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ θεοῦ διορθωθῇ τὰ
διαβήματα αὐτοῦ. (15, 30.) θεωρῶν ὀφθαλμὸς καλὰ εὐφραίνει καρδίαν, φήμη
δὲ ἀγαθὴ πιαίνει ὀστᾶ. (15, 32.) ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτόν, ὁ δὲ
τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν αὐτοῦ. (15, 33.) φόβος κυρίου παιδεία καὶ σο-
2 φία, καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ. [2]πάντα τὰ ἔργα τοῦ ταπεινοῦ
5 φανερὰ παρὰ τῷ θεῷ, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. [5]ἀκάθαρτος
παρὰ θεῷ πᾶς ὑψηλοκάρδιος, χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθωωθή-
σεται. ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, δεκτὰ δὲ παρὰ θεῷ μᾶλλον
ἢ θύειν θυσίας. ὁ ζητῶν τὸν κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ
4 ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην. [4]πάντα τὰ ἔργα τοῦ κυρίου μετὰ
10 δικαιοσύνης, φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν. [10]μαντεῖον ἐπὶ χεί-
11 λεσι βασιλέως, ἐν δὲ κρίσει οὐ μὴ πλανηθῇ τὸ στόμα αὐτοῦ. [11]ῥοπὴ ζυγοῦ
12 δικαιοσύνη παρὰ κυρίῳ, τὰ δὲ ἔργα αὐτοῦ στάθμια δίκαια. [12]βδέλυγμα βα-
13 σιλεῖ ὁ ποιῶν κακά, μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς. [13]δεκτὰ
14 βασιλεῖ χείλη δίκαια, λόγους δὲ ὀρθοὺς ἀγαπᾷ. [14]θυμὸς βασιλέως ἄγγελος
15 θανάτου, ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν. [15]ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως,
16 οἱ δὲ προςδεκτοὶ αὐτῷ ὥςπερ νέφος ὄψιμον. [16]νοσσιαὶ σοφίας αἱρετώτεραι
17 χρυσίου, νοσσιαὶ δὲ φρονήσεως αἱρετώτεραι ὑπὲρ ἀργύριον. [17]τρίβοι ζωῆς ἐκ-
κλίνουσιν ἀπὸ κακῶν, μῆκος δὲ βίου ὁδοὶ δικαιοσύνης. ὁ δεχόμενος παιδείαν
ἐν ἀγαθοῖς ἔσται, ὁ δὲ φυλάσσων ἐλέγχους σοφισθήσεται. ὃς φυλάσσει τὰς
ἑαυτοῦ ὁδοὺς τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ἀγαπῶν δὲ ζωὴν αὐτοῦ φείσεται στό-
18 ματος αὐτοῦ. [18]πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος κακοφροσύνη.
19 [19]κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν.

16. κρεισσων 17. ξενισμος λαχανων ... μετ εχθρας 23. υπακουση 27. δωροληmπτης ... λημψις 16, 8. λημψις ... AC γενηματα 15, 33. δοξης αυτου αποκρ. αυτω· προςπορευεται ταπεινος (corrige -νοις) δοξα 16, 5. παρα τω θεω ... AC αθοωθησεται ... C θυσιαν 4. εργα κυριου 11. παρα κυριου, C παρα θεω 13. C δε αγαθους 16. χρυσιω 17. C ζωην εαυτου 19. προθυμος ... C μετα ταπινοφροσυνης ... μετα υβρεως

Digitized by Google

[20] συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ θεῷ μακαριστός. 20
[21] τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα 21
ἀκούσονται. [22] πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, παιδεία δὲ ἀφρόνων κακή. 22
[23] καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει 23
ἐπιγνωμοσύνην. [24] κηρία μέλιτος λόγοι καλοί, γλύκασμα δὲ αὐτοῦ ἴασις ψυ- 24
χῆς. [25] εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρί, τὰ μέντοι τελευταῖα αὐτῶν 25
βλέπει εἰς πυθμένα ᾅδου. [26] ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ καὶ ἐκβιάζεται τὴν 26
ἀπώλειαν ἑαυτοῦ· ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώ-
λειαν. [27] ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θη- 27
σαυρίζει πῦρ. [28] ἀνὴρ σκολιὸς διαπέμπεται κακά, καὶ λαμπτῆρα δόλου πυρ- 28
σεύσει κακοῖς, καὶ διαχωρίζει φίλους. [29] ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, 29
καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς. [30] στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ δια- 30
λογίσεται διεστραμμένα, ὁρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά, οὗτος
κάμινός ἐστι κακίας. [31] στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης 31
εὑρίσκεται. [32] κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, ὁ δὲ κρατῶν ὀργῆς κρείσ- 32
σων καταλαμβανομένου πόλιν. [33] εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, 33
παρὰ δὲ κυρίου πάντα τὰ δίκαια.

## XVII.

Κρείσσων ψωμὸς μεθ᾽ ἡδονῆς ἐν εἰρήνῃ ἢ οἶκος πολλῶν ἀγαθῶν καὶ
ἀδίκων θυμάτων μετὰ μάχης. [2] οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, 2
ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη. [3] ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ 3
χρυσός, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ κυρίῳ. [4] κακὸς ὑπακούει γλώσσης πα- 4
ρανόμων, δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν. [5] ὁ καταγελῶν πτωχοῦ 5
παροξύνει τὸν ποιήσαντα αὐτόν, ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσε-
ται, ὁ δὲ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται. [6] στέφανος γερόντων τέκνα τέκνων, 6
καύχημα δὲ τέκνων πατέρες αὐτῶν. τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημά-
των, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός. [7] οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά, οὐδὲ 7
δικαίῳ χείλη ψευδῆ. [8] μισθὸς χαρίτων παιδεία τοῖς χρωμένοις, οὗ δ᾽ ἂν ἐπι- 8
στρέψῃ εὐοδωθήσεται. [9] ὃς κρύπτει ἀδικήματα ζητεῖ φιλίαν, ὃς δὲ μισεῖ 9
κρύπτειν διίστησι φίλους καὶ οἰκείους. [10] συντρίβει ἀπειλὴ καρδίαν φρονίμου, 10
ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται. [11] ἀντιλογίας ἐγείρει πᾶς κακός, ὁ δὲ 11
κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ. [12] ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοή- 12
μονι, οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά. [13] ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, 13
οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ. [14] ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ 14
δικαιοσύνης, προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη. [15] ὃς δίκαιον κρίνει 15
τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ θεῷ. [16] ἵνα 16
τί ὑπῆρξε χρήματα ἄφρονι; κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται.
ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον ζητεῖ συντριβήν, ὁ δὲ σκολιάζων τοῦ μα-
θεῖν ἐμπεσεῖται εἰς κακά. [17] εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ 17
δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, τούτου γὰρ χάριν γεννῶνται. [18] ἀνὴρ ἄφρων 18
ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ, ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τῶν ἑαυτοῦ φίλων.

---

20. AC επι κυριω 21. AC πλειον ... ακουονται 24. AC αυτων 25. C τα δε τελευτ. αυτου 26. εκβ. εαυτου την απωλ., C εκβ. αυτου την απωλ. ... C φερει 27. ορυσσει πυρ 28. πυρσευει ... C διαχωρι 30. AC om δε ... AC λογιζεται ... οργιζει ... εστιν κακων 32. AC** post ισχυρου add και ανηρ φρονησιν εχων γεωργιου μεγαλου ... του καταλαμβανομενου XVII. 1. AC πληρης πολλων 3. παρα θεω 4. in f. add του πιστου ολος ο κοσμος των χρηματων, του δε απιστου ουδε οβολος (cf. v. 6.) 5. καταγγελλων ... αθοωθησεται ... σπλαγχνιζομενος 6. om του πιστου usque οβολος (cf. ad v. 4.) 8. η παιδεια 13. εις τους οικους αυτου 16. κτησασθ. δε σοφιας 17. αναγκαις(?) 18. τον εαυτου φιλον

Digitized by Google

19 20 19 φιλαμαρτήμων χαίρει μάχαις, 20 ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς.
21 ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά, 21 καρδία δὲ ἄφρονος ὀδύνη
τῷ κεκτημένῳ αὐτήν. οὐκ εὐφραίνεται πατὴρ ἐφ' υἱῷ ἀπαιδεύτῳ, υἱὸς δὲ
22 φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ. 22 καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ,
23 ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ. 23 λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλ-
24 ποις οὐ κατευοδοῦνται ὁδοί, ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης. 24 πρόσω-
25 πον συνετὸν ἀνδρὸς σοφοῦ, οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ' ἄκρα γῆς. 25 ὀργὴ
26 πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν. 26 ζημιοῦν ἄνδρα δίκαιον
27 οὐ καλόν, οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις. 27 ὃς φείδεται ῥῆμα
28 προέσθαι σκληρὸν ἐπιγνώμων, μακρόθυμος δὲ ἀνὴρ φρόνιμος. 28 ἀνοήτῳ ἐπε-
ρωτήσαντι σοφίαν σοφία λογισθήσεται, ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας δόξει
φρόνιμος εἶναι.

## XVIII.

Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, ἐν παντὶ δὲ
2 καιρῷ ἐπονείδιστος ἔσται. 2 οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, μᾶλλον γὰρ
3 ἄγεται ἀφροσύνῃ. 3 ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ, ἐπέρχε-
4 ται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. 4 ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός, ποτα-
5 μὸς δὲ ἀναπηδύει καὶ πηγὴ ζωῆς. 5 θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν,
6 οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει. 6 χείλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς
7 κακά, τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται. 7 στόμα ἄφρονος
8 συντριβὴ αὐτῷ, τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ. 8 ὀκνηροὺς κατα-
9 βάλλει φόβος, ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν. 9 ὁ μὴ ἰώμενος αὐτὸν ἐν
10 τοῖς ἔργοις αὐτοῦ ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν. 10 ἐκ μεγαλωσύνης
11 ἰσχύος ὄνομα κυρίου, αὐτῷ δὲ προσδραμόντες δίκαιοι ὑψοῦνται. 11 ὕπαρξις
12 πλουσίου ἀνδρὸς πόλις ὀχυρά, ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει. 12 πρὸ συν-
13 τριβῆς ὑψοῦται καρδία ἀνδρός, καὶ πρὸ δόξης ταπεινοῦται. 13 ὃς ἀποκρίνεται
14 λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστὶ καὶ ὄνειδος. 14 θυμὸν ἀνδρὸς πραΰ-
15 νει θεράπων φρόνιμος, ὀλιγόψυχον δὲ ἄνδρα τίς ὑποίσει; 15 καρδία φρονίμου
16 κτᾶται αἴσθησιν, ὦτα δὲ σοφῶν ζητεῖ ἔννοιαν. 16 δόμα ἀνθρώπου ἐμπλατύνει
17 αὐτόν, καὶ παρὰ δυνάσταις καθιζάνει αὐτόν. 17 δίκαιος ἑαυτοῦ κατήγορος ἐν
18 πρωτολογίᾳ, ὡς δ' ἂν ἐπιβάλῃ ὁ ἀντίδικος ἐλέγχεται. 18 ἀντιλογίας παύει
19 σιγηρός, ἐν δὲ δυναστείαις ὁρίζει. 19 ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς
20 πόλις ὀχυρὰ καὶ ὑψηλή, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον. 20 ἀπὸ
καρπῶν στόματος ἀνὴρ πίμπλησι κοιλίαν αὐτοῦ, ἀπὸ δὲ καρπῶν χειλέων αὐ-
21 τοῦ ἐμπλησθήσεται. 21 θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες
22 αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς. 22 ὃς εὗρε γυναῖκα ἀγαθὴν εὗρε χάρι-
τας, ἔλαβε δὲ παρὰ θεοῦ ἱλαρότητα· ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν ἐκβάλλει
τὰ ἀγαθά, ὁ δὲ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής. (19, 3.) ἀφροσύνη
ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ, τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

## XIX.

4 4 Πλοῦτος προστίθησι φίλους πολλούς, ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρ-
5 χοντος φίλου λείπεται. 5 μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὁ δὲ ἐγκαλῶν
6 ἀδίκως οὐ διαφεύξεται. 6 πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέων, πᾶς δὲ ὁ
7 κακὸς γίνεται ὄνειδος ἀνδρί. 7 πᾶς ὃς ἀδελφὸν πτωχὸν μισεῖ, καὶ φιλίας μακρὰν

---

19. χειρει μαχας 21. ευφρανει μ. α. 23. εν κολπω αδικως 25. τη τεκ. αυτου 28. om σοφιαν XVIII. 2. αγαγεται 6. αγ. αυτα 9. εαυτον pro αυτον 11. υπαρξεις ... επισχειασει 16. ενπλατυνει 18. AC δυνασταις 20. AC απο καρπου ... πιμπλησει 21. θανατος ζωης 22. παρα κυριου ... C εκβαλλει αγαθα XIX. 5. C ο δ εγκαλων 6. πας δε κακος γ. αδικος α.

Digitized by Google

ἔσται. ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ, ἀνὴρ δὲ φρόνιμος εὑρήσει αὐ-
τήν. ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ κακίαν, ὃς δὲ ἐρεθίζει λόγους οὐ σω-
θήσεται. 8 ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν, ὃς δὲ φυλάσσει φρόνησιν εὑ- 8
ρήσει ἀγαθά. 9 μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὃς δ' ἂν ἐκκαύσῃ 9
κακίαν ἀπολεῖται ὑπ' αὐτῆς. 10 οὐ συμφέρει ἄφρονι τρυφή, καὶ ἐὰν οἰκέτης 10
ἄρξηται μεθ' ὕβρεως δυναστεύειν. 11 ἐλεήμων ἀνὴρ μακροθυμεῖ, τὸ δὲ καύ- 11
χημα αὐτοῦ ἐπέρχεται παρανόμοις. 12 βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος, 12
ὥςπερ δὲ δρόσος ἐπὶ χόρτῳ οὕτως τὸ ἱλαρὸν αὐτοῦ. 13 αἰσχύνη πατρὶ υἱὸς 13
ἄφρων, οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας. 14 οἶκον καὶ ὕπαρξιν μερί- 14
ζουσι πατέρες παισί, παρὰ δὲ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί. 15 δειλία κατέχει 15
ἀνδρόγυνον, ψυχὴ δὲ ἀεργοῦ πεινάσει. 16 ὃς φυλάσσει ἐντολὴν τηρεῖ τὴν ἑαυ- 16
τοῦ ψυχήν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται. 17 δανείζει θεῷ ὁ 17
ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. 18 παίδευε υἱόν 18
σου, οὕτως γὰρ ἔσται εὔελπις, εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου. 19 κα- 19
κόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται, ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ
προςθήσει. 20 ἄκουε υἱὲ παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ' ἐσχάτων 20
σου. 21 πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν 21
αἰῶνα μένει. 22 καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλού- 22
σιος ψευδής. 23 φόβος κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν 23
τόποις οὗ οὐκ ἐπισκοπεῖται γνῶσις. 24 ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖ- 24
ρας ἀδίκως οὐδὲ τῷ στόματι οὐ μὴ προσενείκῃ αὐτάς. 25 λοιμοῦ μαστιγουμέ- 25
νου ἄφρων πανουργότερος γίνεται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει
αἴσθησιν. 26 ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ καταισχυν- 26
θήσεται καὶ ἐπονείδιστος ἔσται. 27 υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πα- 27
τρὸς μελετήσει ῥήσεις κακάς. 28 ὁ ἐγγυώμενος παῖδα ἄφρονα καθυβρίσει δι- 28
καίωμα, στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις. 29 ἑτοιμάζονται ἀκολάστοις 29
μάστιγες, καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

## XX.

Ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη, πᾶς δὲ ἄφρων τοιούτοις συμπλέ-
κεται. 2 οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμοῦ λέοντος, ὁ δὲ παροξύνων αὐτὸν 2
ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν. 3 δόξα ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας, πᾶς 3
δὲ ἄφρων τοιούτοις συμπλέκεται. 4 ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχύνεται, ὡς- 4
αύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμητῷ. 5 ὕδωρ βαθὺ βουλὴ ἐν καρδίᾳ 5
ἀνδρός, ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν. 6 μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ 6
ἐλεήμων, ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν. 7 ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιο- 7
σύνῃ, μακαρίους τοὺς παῖδας αὐτοῦ καταλείψει. 8 ὅταν βασιλεὺς δίκαιος κα- 8
θίσῃ ἐπὶ θρόνου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν. 9 τίς καυ- 9
χήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ
ἁμαρτιῶν; 20 κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπτήρ, αἱ δὲ 20
κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος. 21 μερὶς ἐπισπουδαζομένη ἐν 21
πρώτοις ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται. 22 μὴ εἴπῃς Τίσομαι τὸν 22
ἐχθρόν, ἀλλ' ὑπόμεινον τὸν κύριον ἵνα σοι βοηθήσῃ. 10 στάθμιον μέγα καὶ 10
μικρὸν καὶ μέτρα δισσά, ἀκάθαρτα ἐνώπιον κυρίου καὶ ἀμφότερα, 11 καὶ ὁ 11
ποιῶν αὐτά. ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ συμποδισθήσεται νεανίσκος μετὰ

---

7. C ο μεν κακοποιων ... C ου σωζεται 13. post αφρων add και οδυνη τη τεκουση αυτου ... C και ουχ αγναι 14. AC μεριουσιν 19. C κακοφρονων 22. ψευστης 24. C εκκρυπτων ... AC προςαγαγη 25. πανουργ. εσται ... C ελεγξης 28. καθυβριζει ... κρισις (ut saepissime ις et εις confunduntur) XX. 1. post μεθη add πας δε ο συμμενομενος ουκ εσται σοφος 2. παροξ. εαυτον 8. καθισ. βασ. δικ. 22. αλλα 11. και ο π. αυτα conjg. cum εν τ. επιτ. α. συμπ.

Digitized by Google

12 ὁσίου, καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ. 12 οὖς ἀκούει καὶ ὀφθαλμὸς ὁρᾷ, κυρίου ἔργα
13 καὶ ἀμφότερα. 13 μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς· διάνοιξον τοὺς
23 ὀφθαλμούς σου καὶ ἐμπλήσθητι ἄρτων. 23 βδέλυγμα κυρίῳ δισσὸν στάθμιον,
24 καὶ ζυγὸς δόλιος οὐ καλὸν ἐνώπιον αὐτοῦ. 24 παρὰ κυρίου εὐθύνεται τὰ δια-
25 βήματα ἀνδρί, θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδοὺς αὐτοῦ; 25 παγὶς ἀνδρὶ
26 ταχύ τι τῶν ἰδίων ἁγιάσαι, μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται. 26 λικμήτωρ
27 ἀσεβῶν βασιλεὺς σοφός, καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν. 27 φῶς κυρίου πνοὴ ἀν-
28 θρώπων, ὃς ἐρευνᾷ ταμιεῖα κοιλίας. 28 ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βα-
29 σιλεῖ, καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ. 29 κόσμος νεανίαις
30 σοφία, δόξα δὲ πρεσβυτέρων πολιαί. 30 ὑπώπια καὶ συντρίμματα συναντᾷ
κακοῖς, πληγαὶ δὲ εἰς ταμιεῖα κοιλίας.

## XXI.

Ὥσπερ ὁρμὴ ὕδατος οὕτως καρδία βασιλέως ἐν χειρὶ θεοῦ· οὗ ἐὰν θέλων
2 νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν. 2 πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος, κατευθύνει δὲ
3 καρδίας κύριος. 3 ποιεῖν δίκαια καὶ ἀληθεύειν ἀρεστὰ παρὰ θεῷ μᾶλλον ἢ
4 θυσιῶν αἷμα. 4 μεγαλόφρων ἐν ὕβρει θρασυκάρδιος, λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρ-
6 τία. 6 ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ μάταια διώκει ἐπὶ παγίδας
7 θανάτου. 7 ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται, οὐ γὰρ βούλονται πράσσειν τὰ
8 δίκαια. 8 πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θεός, ἁγνὰ γὰρ καὶ
9 ὀρθὰ τὰ ἔργα αὐτοῦ. 9 κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου ἢ ἐν κεκονιαμέ-
10 νοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ. 10 ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ'
11 οὐδενὸς τῶν ἀνθρώπων. 11 ζημιουμένου ἀκολάστου πανουργότερος γίνεται ὁ
12 ἄκακος, συνιῶν δὲ σοφὸς δέξεται γνῶσιν. 12 συνιεῖ δίκαιος καρδίας ἀσεβῶν
13 καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς. 13 ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἐπα-
14 κοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων. 14 δόσις
λάθριος ἀνατρέπει ὀργάς, δώρων δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν.
15 15 εὐφροσύνη δικαίων ποιεῖν κρίμα, ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις.
16 16 ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται.
17 18 17 ἀνὴρ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην, φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον· 18 περι-
19 κάθαρμα δὲ δικαίου ἄνομος. 19 κρεῖσσον οἰκεῖν ἐν τῇ ἐρήμῳ ἢ μετὰ γυναικὸς
20 μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου. 20 θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται
21 ἐπὶ στόματος σοφοῦ, ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν. 21 ὁδὸς δικαιο-
22 σύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν. 22 πόλεις ὀχυρὰς ἐπέβη σο-
23 φὸς καὶ καθεῖλε τὸ ὀχύρωμα ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς. 23 ὃς φυλάσσει
τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.
24 24 θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται, ὃς δὲ μνησικακεῖ παρά-
25 νομος. 25 ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν, οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐ-
26 τοῦ ποιεῖν τι. 26 ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς, ὁ δὲ
27 δίκαιος ἐλεᾷ καὶ οἰκτείρει ἀφειδῶς. 27 θυσίαι ἀσεβῶν βδέλυγμα κυρίῳ, καὶ
28 γὰρ παρανόμως προσφέρουσιν αὐτάς. 28 μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ δὲ
29 ὑπήκοος φυλασσόμενος λαλήσει. 29 ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώ-
30 πῳ, ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ. 30 οὐκ ἔστι σοφία, οὐκ ἔστιν
31 ἀνδρεία, οὐκ ἔστι βουλὴ πρὸς τὸν ἀσεβῆ. 31 ἵππος ἑτοιμάζεται εἰς ἡμέραν
πολέμου, παρὰ δὲ κυρίου ἡ βοήθεια.

## XXII.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς· ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον
2 χάρις ἀγαθή. 2 πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ

13. διανοιξ. δε 24. om τα 27. η λυχνος ος ερευνα XXI. 1. ου ℵ αν θελων νευση εκλινεν αυτην 4. εφ υβρει ... αμαρτιαι 6. διωκ. και ερχεται επι 8. αποστελει 13. υπακουσαι 25. απεκτενουσιν 29. ευθης XXII. (2. συνητησαν)

κύριος ἐποίησε. [3]πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς αὐτὸς παι- 3
δεύεται, οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν. [4]γενεὰ σοφίας φόβος κυ- 4
ρίου καὶ πλοῦτος καὶ δόξα καὶ ζωή. [5]τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς, 5
ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν ἀφέξεται αὐτῶν. [7]πλούσιοι πτωχῶν ἄρ- 7
ξουσι, καὶ οἰκέται ἰδίοις δεσπόταις δανειοῦσιν. [8]ὁ σπείρων φαῦλα θερίσει 8
*2 Co. 9, 7. κακά, πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει. ἄνδρα ἱλαρὸν καὶ δότην εὐλογεῖ ὁ
θεός, ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει. [9]ὁ ἐλεῶν πτωχὸν αὐτὸς δια- 9
τραφήσεται, τῶν γὰρ ἑαυτοῦ ἄρτων ἔδωκε τῷ πτωχῷ. νίκην καὶ τιμὴν
περιποιεῖται ὁ δῶρα δούς, τὴν μέντοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων.
[10]ἔκβαλε ἐκ συνεδρίου λοιμόν, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος· ὅταν γὰρ 10
καθίσῃ ἐν συνεδρίῳ πάντας ἀτιμάζει. [11]ἀγαπᾷ κύριος ὁσίας καρδίας, δεκτοὶ 11
δὲ αὐτῷ πάντες ἄμωμοι· χείλεσι ποιμαίνει βασιλεύς. [12]οἱ δὲ ὀφθαλμοὶ κυ- 12
ρίου διατηροῦσιν αἴσθησιν, φαυλίζει δὲ λόγους παράνομος. [13]προφασίζεται 13
καὶ λέγει ὀκνηρὸς Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί. [14]βόθρος 14
βαθὺς στόμα παρανόμου, ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου ἐμπεσεῖται εἰς αὐτόν.
εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρός, καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέψαι ἀπ' αὐτῶν,
ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς. [15]ἄνοια ἐξῆπται καρδίας 15
νέου, ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτοῦ. [16]ὁ συκοφαντῶν πένητα 16
πολλὰ ποιεῖ τὰ ἑαυτοῦ, δίδωσι δὲ πλουσίῳ ἐπ' ἐλάσσονι. [17]λόγοις σοφῶν 17
παράβαλλε σὸν οὖς καὶ ἄκουε ἐμὸν λόγον, τὴν δὲ σὴν καρδίαν ἐπίστησον
ἵνα γνῷς ὅτι καλοί εἰσιν. [18]καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου, 18
εὐφρανοῦσί σε ἅμα ἐπὶ σοῖς χείλεσιν, [19]ἵνα σου γένηται ἐπὶ κύριον ἡ ἐλπίς, 19
καὶ γνωρίσῃ σοι τὴν ὁδόν σου. [20]καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ τρισ- 20
σῶς εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. [21]διδάσκω οὖν 21
σε ἀληθῆ λόγον καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν, τοῦ ἀποκρίνεσθαί σε λόγους
ἀληθείας τοῖς προβαλλομένοις σοι. [22]μὴ ἀποβιάζου πένητα, πτωχὸς γάρ ἐστι, 22
καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις. [23]ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν, 23
καὶ ῥύσῃ σὴν ἄσυλον ψυχήν. [24]μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ 24
ὀργίλῳ μὴ συναυλίζου, [25]μή ποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ καὶ λάβῃς βρό- 25
χους τῇ σῇ ψυχῇ. [26]μὴ δίδου σεαυτὸν εἰς ἐγγύην αἰσχυνόμενος πρόσωπον· 26
[27]ἐὰν γὰρ μὴ ἔχῃ πόθεν ἀποτίσῃ, λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς 27
σου. [28]μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου. [29]ὁρατικὸν ἄνδρα 28 29
καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι
ἀνδράσι νωθροῖς.

## XXIII.

Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυνάστου, νοητῶς νόει τὰ παρα-
τιθέμενά σοι, [2]καὶ ἐπίβαλλε τὴν χεῖρά σου, εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρα- 2
σκευάσαι. εἰ δὲ ἀπληστότερος εἶ, [3]μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ· ταῦτα 3
γὰρ ἔχεται ζωῆς ψευδοῦς. [4]μὴ παρεκτείνου πένης ὢν πλουσίῳ, τῇ δὲ σῇ 4
ἐννοίᾳ ἀπόσχου. [5]ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτόν, οὐδαμοῦ φανεῖ- 5
ται· κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ, καὶ ὑποστρέφει εἰς
τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ. [6]μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ, μηδὲ 6
ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ· [7]ὃν τρόπον γὰρ εἴ τις καταπίοι τρίχα, οὕτως 7
ἐσθίει καὶ πίνει. μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν καὶ φάγῃς τὸν ψωμόν σου

9. δεδωκεν ... διδους 11. ed. rom. βασιλευς, 12. διατηρησουσιν 14. ουχ αγαπα 15. καρδια 16. τα εαυτου κακα 17. παραβαλε 18. C ευφραινουσιν 19. AC τ. οδον αυτου 20. C om δε 21. C διδασκων ... γνωσιν αληθη ... αποκριναϲθαι ... λογοις α. τ. π. σε 22. C om γαρ 23. αυτου την δικην 27. AC εχης π. αποτισης ... λημψονται 29. C bis παραστηναι ... και μη παρισταναι XXIII. 2. C τας χειρας 5. C προεστηκ. αυτον 6. C των εδεσματων αυτου



Digitized by Google

8 μετ' αὐτοῦ· 8 ἐξεμέσει γὰρ αὐτὸν καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς κα-
9 λούς. 9 εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μή ποτε μυκτηρίσῃ τοὺς συνετοὺς λό-
10 γους σου. 10 μὴ μεταθῇς ὅρια αἰώνια, εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς.
11 11 ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος κραταιός ἐστι, καὶ κρινεῖ τὴν κρίσιν αὐ-
12 τῶν μετὰ σοῦ. 12 δὸς εἰς παιδείαν τὴν καρδίαν σου, τὰ δὲ ὦτά σου ἑτοί-
13 μασον λόγοις αἰσθήσεως. 13 μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι ἐὰν πατάξῃς
14 αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ· 14 σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ
15 ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ. 15 υἱέ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐ-
16 φρανεῖς καὶ τὴν ἐμὴν καρδίαν, 16 καὶ ἐνδιατρίψει λόγοις τὰ σὰ χείλη πρὸς
17 τὰ ἐμὰ χείλη, ἐὰν ὀρθὰ ὦσι. 17 μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλούς,
18 ἀλλὰ ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέραν. 18 ἐὰν γὰρ τηρήσῃς αὐτά, ἔσται
19 σοι ἔκγονα, ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται. 19 ἄκουε υἱὲ καὶ σοφὸς γίνου,
20 καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας. 20 μὴ ἴσθι οἰνοπότης, μηδὲ ἐκτείνου
21 συμβολαῖς κρεῶν τε ἀγορασμοῖς· 21 πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτω-
22 χεύσει, καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης. 22 ἄκουε υἱὲ
πατρὸς τοῦ γεννήσαντός σε, καὶ μὴ καταφρόνει ὅτι γεγήρακέ σου ἡ μήτηρ.
24 24 καλῶς ἐκτρέφει πατὴρ δίκαιος, ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐ-
25 τοῦ. 25 εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοί, καὶ χαιρέτω ἡ τεκοῦσά
26 σε. 26 δός μοι υἱὲ σὴν καρδίαν, οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν.
27 27 πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος καὶ φρέαρ στενὸν ἀλλότριον.
28 29 28 οὗτος γὰρ συντόμως ἀπολεῖται, καὶ πᾶς παράνομος ἀναλωθήσεται. 29 τίνι
οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι δὲ ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα
30 διὰ κενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; 30 οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις;
31 οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; 31 μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλὰ
ὁμιλεῖτε ἀνθρώποις δικαίοις, καὶ ὁμιλεῖτε ἐν περιπάτοις· ἐὰν γὰρ εἰς τὰς
φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνό-
32 τερος ὑπέρου, 32 τὸ δὲ ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται, καὶ
33 ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτῷ ὁ ἰός. 33 οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν
34 ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά, 34 καὶ κατακείσῃ ὥσπερ ἐν
35 καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι. 35 ἐρεῖς δέ Τύ-
πτουσί με καὶ οὐκ ἐπόνεσα, καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν· πότε ὄρ-
θρος ἔσται ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι;

## XXIV.

Υἱέ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν·
2 2 ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.
3 4 3 μετὰ σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται· 4 μετὰ
5 αἰσθήσεως ἐμπίμπλανται ταμιεῖα ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ. 5 κρείσ-
6 σων σοφὸς ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου. 6 μετὰ κυ-
7 βερνήσεως γίνεται πόλεμος, βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς. 7 σοφία
καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν· σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος κυ-
8 9 ρίου, 8 ἀλλὰ λογίζονται ἐν συνεδρίοις. ἀπαιδεύτοις συναντᾷ θάνατος, 9 ἀπο-
θνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις. ἀκαθαρσία δὲ ἀνδρὶ λοιμῷ ἐμμολυνθήσεται
10 11 10 ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως ἕως ἂν ἐκλίπῃ. 11 ῥῦσαι ἀγομένους
12 εἰς θάνατον καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ. 12 ἐὰν δὲ εἴπῃς Οὐκ οἶδα
τοῦτον, γίνωσκε ὅτι κύριος καρδίας πάντων γινώσκει· καὶ ὁ πλάσας πνοὴν

9. C μυκτηρισει 10. αιωνια α εθεντο οι πατερες σου 13. παιδευων 15. C σοφος 16. ενδιατριψη 18. εγγονα 20. C μηδε εκλυου 28. ουτως 29. τινι κρισις ... τινι αηδιαι ... τινος πελειοι 31. μεθυσχ. οινω ... και εις τα 32. αυτου ο ιος 35. ed. rom. post ηδειν non interpg. et post συνελευσομαι punctum habet XXIV. 4. εμπιπλαται 9. om δε sec. 10. εκλειπη 11. εκπριω 12. οτι ο κυριος

Digitized by Google

πᾶσιν αὐτὸς οἶδε πάντα, ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. [13] φάγε 13
μέλι υἱέ, ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ. [14] οὕτως αἰσθήσῃ 14
σοφίαν τῇ σῇ ψυχῇ· ἐὰν γὰρ εὕρῃς, ἔσται καλὴ ἡ τελευτή σου καὶ ἐλπίς
σε οὐκ ἐγκαταλείψει. [15] μὴ προσαγάγῃς ἀσεβῆ νομῇ δικαίων, μηδὲ ἀπατηθῇς 15
χορτασίᾳ κοιλίας. [16] ἑπτάκις γὰρ πεσεῖται δίκαιος καὶ ἀναστήσεται, οἱ δὲ 16
ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς. [17] ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς 17
αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου· [18] ὅτι ὄψεται κύριος καὶ 18
οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. [19] μὴ χαῖρε 19
ἐπὶ κακοποιοῖς, μηδὲ ζήλου ἁμαρτωλούς· [20] οὐ γὰρ μὴ γένηται ἔκγονα πο- 20
* 1 Pe. νηρῷ, λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται. [21] φοβοῦ τὸν θεὸν υἱὲ καὶ βασιλέα, 21
2, 17. καὶ μηδετέρῳ αὐτῶν ἀπειθήσῃς· [22] ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς, τὰς 22
δὲ τιμωρίας ἀμφοτέρων τίς γνώσεται; [23] (29, 27.) λόγον φυλασσόμενος (29, 27.) 23
υἱὸς ἀπωλείας ἐκτὸς ἔσται, δεχόμενος δὲ ἐδέξατο αὐτόν. μηδὲν ψεῦδος ἀπὸ
γλώσσης βασιλεῖ λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ
ἐξέλθῃ. μάχαιρα γλῶσσα βασιλέως καὶ οὐ σαρκίνη· ὃς δ' ἂν παραδοθῇ, συν-
τριβήσεται. ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ, σὺν νεύροις ἀνθρώπους ἀναλίσκει
καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει, καὶ συγκαίει ὥσπερ φλόξ, ὥστε ἄβρωτα εἶ-
ναι νεοσσοῖς ἀετῶν. [24] (30, 1.) τοὺς ἐμοὺς λόγους υἱὲ φοβήθητι, καὶ δεξάμε- (30, 1.) 24
νος αὐτοὺς μετανόει. τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι θεῷ, καὶ παύομαι.
[2] ἀφρονέστατος γάρ εἰμι ἁπάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπων οὐκ (2) 25
ἔστιν ἐν ἐμοί. [3] θεὸς δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα. (3) 26
[4] τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; (4) 27
τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς,
τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ; [5] πάντες γὰρ λόγοι θεοῦ (5) 28
πεπυρωμένοι, ὑπερασπίζει δὲ αὐτὸς τῶν εὐλαβουμένων αὐτόν. [6] μὴ προσ- (6) 29
θῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ. [7] δύο αἰτοῦμαι (7) 30
παρὰ σοῦ, μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με· [8] μάταιον λόγον (8) 31
καὶ ψευδῆ μακράν μου ποίησον, πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς, σύν-
ταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη· [9] ἵνα μὴ πλησθεὶς ψευδὴς γέ- (9) 32
νωμαι καὶ εἴπω Τίς με ὁρᾷ; ἢ πενηθεὶς κλέψω καὶ ὀμόσω τὸ ὄνομα τοῦ
θεοῦ. [10] μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου, μή ποτε καταράσηταί σε (10) 33
καὶ ἀφανισθῇς. [11] ἔκγονον κακὸν πατέρα καταρᾶται, τὴν δὲ μητέρα οὐκ (11) 34
εὐλογεῖ. [12] ἔκγονον κακὸν δίκαιον ἑαυτὸν κρίνει, τὴν δ' ἔξοδον αὐτοῦ οὐκ (12) 35
ἀπένιψεν. [13] ἔκγονον κακὸν ὑψηλοὺς ὀφθαλμοὺς ἔχει, τοῖς δὲ βλεφάροις (13) 36
αὐτοῦ ἐπαίρεται. [14] ἔκγονον κακὸν μαχαίρας τοὺς ὀδόντας ἔχει καὶ τὰς μύ- (14) 37
λας τομίδας, ὥστε ἀναλίσκειν καὶ κατεσθίειν τοὺς ταπεινοὺς ἀπὸ τῆς γῆς καὶ
τοὺς πένητας αὐτῶν ἐξ ἀνθρώπων. [38] (24, 23.) ταῦτα δὲ λέγω ὑμῖν τοῖς (24, 23.) 38
σοφοῖς ἐπιγινώσκειν, αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν. [24] ὁ εἰπὼν (24) 39
τὸν ἀσεβῆ Δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς ἔσται καὶ μισητὸς εἰς ἔθνη· [25] οἱ (25) 40
δὲ ἐλέγχοντες βελτίους φανοῦνται, ἐπ' αὐτοὺς δὲ ἥξει εὐλογία. [26] χείλη (26) 41
δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀγαθούς. [27] ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ (27) 42
ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν, καὶ πορεύου κατόπισθέν μου
καὶ ἀνοικοδομήσεις τὸν οἶκόν σου. [28] μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πο- (28) 43
λίτην, μηδὲ πλατύνου σοῖς χείλεσι. [29] μὴ εἴπῃς Ὃν τρόπον ἐχρήσατό μοι (29) 44

14. σοφιας 16. ο δικαιος 20. εκγ. πονηρων 21. ed. rom. μηθ' ετερω 23. βασιλεως pro βασιλει ... νευρ. ανθρωπου 24. τους δε 25. παντων, C παντ. των ... AC φρον. ανθρωπου 26. C ο θεος ..**γνωσ. ανθρωπων 27. om τι ονομα sec. ... ** τω υιω pro τοις τεκνοις ... AC in f. add ινα γνως 28. AC om γαρ ... υπερασπισει, C υπερασπιει 31. παιδιαν pro πενιαν ... παντα τα δεοντα και αυταρκη 33. C καταρασεται 35. AC την δε 37. C* της μαχαιρας (vdtr) ... (στομιδας) ... om και κατεσθιειν ... C ασθενεις pro ταπεινους 38. αιδεσθαι πρ. ου καλ. εν κρ. 40. AC ευλογια αγαθη 41. AC λογους σοφους

45 (30) χρήσομαι αὐτῷ, τίσομαι δὲ αὐτὸν ἅ με ἠδίκησεν. 30 ὥςπερ γεώργιον
46 (31) ἀνὴρ ἄφρων, καὶ ὥςπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν· 31 ἐὰν ἀφῇς
αὐτόν, χερσωθήσεται καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος, οἱ δὲ
47 (32) φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται. 32 ὕστερον ἐγὼ μετενόησα,
48 (33) ἐπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν. 33 ὀλίγον νυστάζω, ὀλίγον δὲ καθυ-
49 (34) πνῶ, ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶ στήθη· 34 ἐὰν δὲ τοῦτο ποιῇς, ἥξει
προπορευομένη ἡ πενία σου, καὶ ἡ ἔνδειά σου ὥςπερ ἀγαθὸς δρομεύς.
50 50 (30, 15.) τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀγαπώμεναι, καὶ αἱ
τρεῖς αὗται οὐκ ἐνεπίμπλασαν αὐτήν. καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν
51 (16) Ἱκανόν· 16 ᾅδης, καὶ ἔρως γυναικός, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος,
52 (17) καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν Ἀρκεῖ. 17 ὀφθαλμὸν καταγελῶντα πατρὸς
καὶ ἀτιμάζοντα γῆρας μητρός, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων,
53 (18) καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν. 18 τρία δέ ἐστιν ἀδύνατά μοι
54 (19) νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω· 19 ἴχνη ἀετοῦ πετομένου, καὶ
ὁδοὺς ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς ποντοπορούσης, καὶ ὁδοὺς ἀνδρὸς
55 (20) ἐν νεότητι. 20 τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος, ἣ ὅταν πράξῃ ἀπονι-
56 (21) ψαμένη, οὐδέν φησι πεπραχέναι ἄτοπον. 21 διὰ τριῶν σείεται ἡ γῆ, τὸ
57 (22) δὲ τέταρτον οὐ δύναται φέρειν· 22 ἐὰν οἰκέτης βασιλεύσῃ, καὶ ἄφρων
58 (23) πλησθῇ σιτίων, 23 καὶ οἰκέτης ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, καὶ μισητὴ
59 (24) γυνὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ. 24 τέσσαρα δὲ ἐλάχιστα ἐπὶ τῆς γῆς,
60 (25) ταῦτα δέ ἐστι σοφώτερα τῶν σοφῶν· 25 οἱ μύρμηκες οἷς μή ἐστιν ἰσχύς,
61 (26) καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν· 26 καὶ οἱ χοιρογρύλλιοι ἔθνος οὐκ
62 (27) ἰσχυρόν, οἳ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους· 27 ἀβασίλευτόν
63 (28) ἐστιν ἡ ἀκρίς, καὶ στρατεύει ἀφ᾽ ἑνὸς κελεύσματος εὐτάκτως· 28 καὶ
καλαβώτης χερσὶν ἐρειδόμενος καὶ εὐάλωτος ὤν, κατοικεῖ ἐν ὀχυρώμασι βα-
64 (29) σιλέων. 29 τρία δέ ἐστιν ἃ εὐόδως πορεύεται, καὶ τέταρτον ὃ καλῶς δια-
65 (30) βαίνει· 30 σκύμνος λέοντος ἰσχυρότερος κτηνῶν, ὃς οὐκ ἀποστρέφεται οὐδὲ
66 (31) καταπτήσσει κτῆνος, 31 καὶ ἀλέκτωρ ἐμπεριπατῶν θηλείαις εὔψυχος, καὶ
67 (32) τράγος ἡγούμενος αἰπολίου, καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει. 32 ἐὰν πρόῃ
σεαυτὸν ἐν εὐφροσύνῃ καὶ ἐκτείνῃς τὴν χεῖρά σου μετὰ μάχης, ἀτιμασθήσῃ.
68 (33) 33 ἄμελγε γάλα, καὶ ἔσται βούτυρον· ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται
69 (31, 1.) αἷμα· ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρίσεις καὶ μάχαι. 69 (31, 1.)
οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ θεοῦ βασιλέως, χρηματισμὸς ὃν ἐπαίδευσεν ἡ
70 (2) μήτηρ αὐτοῦ. 2 τί τέκνον τηρήσεις; τί; ῥήσεις θεοῦ· πρωτογενὲς σοὶ λέγω
71 (3) υἱέ· τί τέκνον ἐμῆς κοιλίας; τί τέκνον ἐμῶν εὐχῶν; 3 μὴ δῷς γυναιξὶ
72 (4) σὸν πλοῦτον, καὶ τὸν σὸν νοῦν καὶ βίον εἰς ὑστεροβουλίαν. 4 μετὰ βουλῆς
πάντα ποίει, μετὰ βουλῆς οἰνοπότει. οἱ δυνάσται θυμώδεις εἰσίν, οἶνον δὲ μὴ
73 (5) πινέτωσαν, 5 ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρῖναι οὐ
74 (6) μὴ δύνωνται τοὺς ἀσθενεῖς. 6 δίδοτε μέθην τοῖς ἐν λύπαις, καὶ οἶνον πίνειν
75 (7) τοῖς ἐν ὀδύναις, 7 ἵνα ἐπιλάθωνται τῆς πενίας, καὶ τῶν πόνων μὴ μνησθῶ-
76 77 (8. 9) σιν ἔτι. 8 ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ, καὶ κρῖνε πάντας ὑγιῶς· 9 ἄνοιγε
σὸν στόμα καὶ κρῖνε δικαίως, διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.

---

49. AC om σου sec. 50. C τη βδελλι ... ενεμπιπλασαν 51. *αρης pro αδης ... AC post γυναικος add και ταρταρος ... C εμπιμπλαμενη ... C κ. πυρ κ. υδωρ 52. ἐκκολαψαισαν αυτην ... αυτην 54. C νεως 58. οικετις 59. τεσσερα δε εστιν 62. εκστρατευει 63. βασιλεως 64. πορευονται, κ. το τετ. 66. ενπεριπατων 67. εις ευφροσυνην 71. σου πλουτον ... υστεροβουλειαν 72. om δε 73. επιλανθωνται (sic) ... κρινειν 77. και κριναι

Digitized by Google

## XXV.

Αὗται αἱ παιδεῖαι Σαλωμῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ φίλοι
Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας. [2]δόξα θεοῦ κρύπτει λόγον, δόξα δὲ 2
βασιλέως τιμᾷ πράγματα. [3]οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα, καρδία δὲ βα- 3
σιλέως ἀνεξέλεγκτος. [4]τύπτε ἀδόκιμον ἀργύριον, καὶ καθαρισθήσεται καθαρὸν 4
ἅπαν· [5]κτεῖνε ἀσεβεῖς ἐκ προσώπου βασιλέως, καὶ κατορθώσει ἐν δικαιοσύνῃ 5
ὁ θρόνος αὐτοῦ. [6]μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως, μηδὲ ἐν τόποις δυναστῶν 6
ὑφίστασο· [7]κρεῖσσον γάρ σοι τὸ ῥηθῆναι Ἀνάβαινε πρὸς μέ, ἢ ταπεινῶσαί 7
σε ἐν προσώπῳ δυνάστου. ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε. [8]μὴ πρόσπιπτε 8
εἰς μάχην ταχέως, ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων· ἡνίκα ἄν σε ὀνειδίσῃ
ὁ σὸς φίλος, [9]ἀναχώρει εἰς τὰ ὀπίσω. μὴ καταφρόνει, [10]μή σε ὀνειδίσῃ μὲν 9 10
ὁ φίλος· ἡ δὲ μάχη σου καὶ ἡ ἔχθρα οὐκ ἀπέσται, ἀλλὰ ἔσται σοι ἴση
θανάτῳ. χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονείδιστος
γένῃ, ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως. [11]μῆλον χρυσοῦν ἐν ὁρ- 11
μίσκῳ σαρδίου, οὕτως εἰπεῖν λόγον. [12]εἰς ἐνώτιον χρυσοῦν καὶ σάρδιον πο- 12
λυτελὲς δέδεται, λόγος σοφὸς εἰς εὐήκοον οὖς. [13]ὥσπερ ἔξοδος χιόνος ἐν ἀμητῷ 13
κατὰ καῦμα ὠφελεῖ, οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν· ψυχὰς
γὰρ τῶν αὐτῷ χρωμένων ὠφελεῖ. [14]ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπι- 14
φανέστατα, οὕτως ὁ καυχώμενος ἐπὶ δόσει ψευδεῖ. [15]ἐν μακροθυμίᾳ εὐοδία 15
βασιλεῦσι, γλῶσσα δὲ μαλακὴ συντρίβει ὀστᾶ. [16]μέλι εὑρὼν φάγε τὸ ἱκανόν, 16
μή ποτε πλησθεὶς ἐξεμέσῃς. [17]σπάνιον εἴσαγε σὸν πόδα πρὸς σεαυτοῦ φίλον, 17
μή ποτε πλησθείς σου μισήσῃ σε. [18]ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκι- 18
δωτόν, οὕτως καὶ ἀνὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ.
[19]ὀδοὺς κακοῦ καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ. [20]ὥσπερ ὄξος 19 20
ἕλκει ἀσύμφορον, οὕτως προσπεσὸν πάθος ἐν σώματι καρδίαν λυπεῖ. ὥσπερ
σὴς ἐν ἱματίῳ καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν. [21]ἐὰν 21
Ro. 12, 20. πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν· [22]τοῦτο γὰρ 22
ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὁ δὲ κύριος ἀν-
ταποδώσει σοι ἀγαθά. [23]ἄνεμος βορέας ἐξεγείρει νέφη, πρόσωπον δὲ ἀναι- 23
δὲς γλῶσσαν ἐρεθίζει. [24]κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας δώματος ἢ μετὰ γυ- 24
ναικὸς λοιδόρου ἐν οἰκίᾳ κοινῇ. [25]ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές, 25
οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν. [26]ὥσπερ εἴ τις πηγὴν φράσσοι καὶ 26
ὕδατος ἔξοδον λυμαίνοιτο, οὕτως ἄκοσμον δίκαιον πεπτωκέναι ἐνώπιον ἀσε-
βοῦς. [27]ἐσθίειν μέλι πολὺ οὐ καλόν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους. [28]ὥσπερ 27 28
πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιστος, οὕτως ἀνὴρ ὃς οὐ μετὰ βου-
λῆς τι πράσσει.

## XXVI.

Ὥσπερ δρόσος ἐν ἀμητῷ καὶ ὥσπερ ὑετὸς ἐν θέρει, οὕτως οὐκ ἔστιν
ἄφρονι τιμή. [2]ὥσπερ ὄρνεα πέταται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ 2
ἐπελεύσεται οὐδενί. [3]ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ, οὕτως ῥάβδος 3
ἔθνει παρανόμῳ. [4]μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην, ἵνα 4
μὴ ὅμοιος γένῃ αὐτῷ· [5]ἀλλὰ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, 5

---

XXV. 1. αυτ. αι παροιμιαι σολομωντος 2. προσταγματα 4. κρυπτε 7. το ρηθηναι σοι ... ιδον 8. ηνικα δ αν ... om σος 9. μη καταφρ. c. antecdd. conjg. 10. αλλ εσται 11. χρυσεον 12. χρυσουν σαρδιον 14. επιφανεστατοι ... οι καυχωμενοι 17. πρ. τον σεαυτου ... μισησει 18. ακηλιδωτον ... ο ανηρ ο κ. κατα του φ. εαυτου 19. οδους κακου 20. παθος σωματι ... σης ιματιω 21. τρεφε pro ψωμιζε 22. om πυρος ... ανταποδειδωσει XXVI. 2. πετανται 4. κατα την 5. προς την

Digitized by Google

6 ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ. 6 ἐκ τῶν ὁδῶν ἑαυτοῦ ὄνειδος ποιεῖται
7 ὁ ἀποστείλας δι' ἀγγέλου ἄφρονος λόγον. 7 ἀφελοῦ πορείαν σκελῶν καὶ παρα-
8 νομίαν ἐκ στόματος ἀφρόνων. 8 ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, ὅμοιός
9 ἐστι τῷ διδόντι ἄφρονι δόξαν. 9 ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου, δουλεία
10 δὲ ἐν χειρὶ τῶν ἀφρόνων. 10 πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων, συντρί-
11 βεται γὰρ ἡ ἔκστασις αὐτῶν. 11 ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμε- *2 Pe. 2, 22.
τον καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν
ἑαυτοῦ ἁμαρτίαν. ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα
12 καὶ χάρις. 12 εἶδον ἄνδρα δόξαντα παρ' αὐτῷ σοφὸν εἶναι, ἐλπίδα μέντοι ἔσχε
13 μᾶλλον ἄφρων αὐτοῦ. 13 λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδὸν Λέων ἐν
14 ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί. 14 ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ
15 στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ. 15 κρύψας ὀκνηρὸς τὴν χεῖρα
16 ἐν τῷ κόλπῳ αὐτοῦ οὐ δυνήσεται ἐπενεγκεῖν ἐπὶ στόμα. 16 σοφώτερος ἑαυτῷ
17 ὀκνηρὸς φαίνεται τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν. 17 ὥσπερ ὁ κρατῶν
18 κέρκου κυνός, οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως. 18 ὥσπερ οἱ ἰώμενοι προ-
βάλλουσι λόγους εἰς ἀνθρώπους, ὁ δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος ὑποσκε-
19 20 λισθήσεται· 19 οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους, ὅταν δὲ
21 ὁραθῶσι, λέγουσιν ὅτι παίζων ἔπραξα. 20 ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ
22 οὐκ ἔστι δίθυμος ἡσυχάζει μάχη. 21 ἐσχάρα ἄνθραξι καὶ ξύλα πυρί, ἀνὴρ δὲ
23 λοίδορος εἰς ταραχὴν μάχης. 22 λόγοι κερκώπων μαλακοί, οὗτοι δὲ τύπτουσιν
εἰς ταμιεῖα σπλάγχνων. 23 ἀργύριον διδόμενον μετὰ δόλου ὥσπερ ὄστρακον
24 ἡγητέον· χείλη λεῖα καρδίαν καλύπτει λυπηράν. 24 χείλεσι πάντα ἐπινεύει
25 ἀποκλαιόμενος ἐχθρός, ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δόλους. 25 ἐάν σου δέῃ-
26 ται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ
ψυχῇ αὐτοῦ. 26 ὁ κρύπτων ἔχθραν συνίστησι δόλον, ἐκκαλύπτει δὲ τὰς ἑαυ-
27 τοῦ ἁμαρτίας εὔγνωστος ἐν συνεδρίοις. 27 ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπε-
28 σεῖται εἰς αὐτόν· ὁ δὲ κυλίων λίθον ἐφ' ἑαυτὸν κυλίει. 28 γλῶσσα ψευδὴς μι-
σεῖ ἀλήθειαν, στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας.

## XXVII.

2 Μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα. 2 ἐγκω-
μιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη.
3 3 βαρὺ λίθος καὶ δυσβάστακτον ἄμμος, ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέ-
4 5 ρων. 4 ἀνελεήμων θυμὸς καὶ ὀξεῖα ὀργή, ἀλλ' οὐδὲν ὑφίσταται ζῆλος. 5 κρείσ-
6 σους ἔλεγχοι ἀποκεκαλυμμένοι κρυπτομένης φιλίας. 6 ἀξιοπιστότερά ἐστι τραύ-
7 ματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ. 7 ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις
8 ἐμπαίζει, ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται. 8 ὥσπερ ὅταν ὄρνεον
καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς, οὕτως ἄνθρωπος δουλοῦται ὅταν ἀποξε-
9 νωθῇ ἐκ τῶν ἰδίων τόπων. 9 μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία,
10 καταῤῥήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή. 10 φίλον σὸν ἢ φίλον πατρῷον
μὴ ἐγκαταλίπῃς, εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν·
11 κρείσσων φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν. 11 σοφὸς γίνου υἱέ, ἵνα σου
12 εὐφραίνηται ἡ καρδία, καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους. 12 πα-

---

6. εαυτου οδων 9. του μεθυσου 11. τον εμετον αυτου 12. ιδον ... *δοξαζοντα παρ εαυτω ... αφρων μαλλον 14. επι τω στροφιγγι 15. δυναται ... εις το στομα 16. οκνηρος εαυτω 19. ουτω παντες ... οταν δε φωραθωσιν 20. οξυθυμος 24. ο αποκλ. 25. AC πεισθης αυτω ... AC εν τη καρδια α. 26. AC εν συνεδριω 27. C εφ εαυτου XXVII. 2. το πελας 4. C υφιστατο 5. AC αποκαλυπτομενοι 6. AC om εστι 7. γλυκια, C γλυκεια 8. AC ορνεον οταν ... C καταδουλουται 9. C καταρηγνυται ... C συνπτωματων 10. φιλ. σ. και φιλ. π. μη εγκαταλειπης (-λειπης etiam C) ... κρισσον 11. ινα ευφρ. σου, C ινα ευφρ. μου

Digitized by Google

νοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη, ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσου-
σιν. 13 ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γὰρ ὑβριστὴς ὅστις τὰ ἀλλότρια 13
λυμαίνεται. 14 ὃς ἂν εὐλογῇ φίλον τὸ πρωὶ μεγάλῃ τῇ φωνῇ, καταρωμένου 14
οὐδὲν διαφέρειν δόξει. 15 σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ 15
ἐκ τοῦ οἴκου αὐτοῦ, ὡςαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου. 16 βο- 16
ρέας σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. 17 σίδηρος σίδηρον ὀξύνει, 17
ἀνὴρ δὲ παροξύνει πρόςωπον ἑταίρου. 18 ὃς φυτεύει συκῆν φάγεται τοὺς καρ- 18
ποὺς αὐτῆς, ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον τιμηθήσεται. 19 ὥσπερ οὐχ 19
ὅμοια πρόςωπα προςώποις, οὕτως οὐδὲ αἱ διάνοιαι τῶν ἀνθρώπων. 20 ᾅδης 20
καὶ ἀπώλεια οὐκ ἐμπίμπλανται, ὡςαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων
ἄπληστοι. βδέλυγμα κυρίῳ στηρίζων ὀφθαλμόν, καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς
γλώσσῃ. 21 δοκίμιον ἀργυρίῳ καὶ χρυσῷ πύρωσις, ἀνὴρ δὲ δοκιμάζεται διὰ 21
στόματος ἐγκωμιαζόντων αὐτόν. καρδία ἀνόμου ἐκζητεῖ κακά, καρδία δὲ εὐ-
θὺς ζητεῖ γνῶσιν. 22 ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων, οὐ 22
μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ. 23 γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου, 23
καὶ ἐπιστήσεις καρδίαν σου σαῖς ἀγέλαις· ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀνδρὶ κρά-
τος καὶ ἰσχύς, οὐδὲ παραδίδωσιν ἐκ γενεᾶς εἰς γενεάν. 24 ἐπιμελοῦ τῶν ἐν 24
τῷ πεδίῳ χλωρῶν καὶ κερεῖς πόαν καὶ σύναγε χόρτον ὀρεινόν, ἵνα ἔχῃς πρό-
βατα εἰς ἱματισμόν· τίμα πεδίον, ἵνα ὦσί σοι ἄρνες. 25 υἱέ, παρ' ἐμοῦ ἔχεις 25
ῥήσεις ἰσχυρὰς εἰς τὴν ζωήν σου καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

## XXVIII.

Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος, δίκαιος δὲ ὥςπερ λέων πέποιθε. 2 δι' 2
ἁμαρτίας ἀσεβῶν κρίσεις ἐγείρονται, ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς.
3 ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχούς. ὥςπερ ὑετὸς λάβρος καὶ ἀνω- 3
φελής, 4 οὕτως οἱ ἐγκαταλείποντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν, οἱ δὲ 4
ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος. 5 ἄνδρες κακοὶ οὐ συνή- 5
σουσι κρίμα, οἱ δὲ ζητοῦντες τὸν κύριον συνήσουσιν ἐν παντί. 6 κρείσσων 6
πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου ψευδοῦς. 7 φυλάσσει νόμον υἱὸς συνε- 7
τός, ὃς δὲ ποιμαίνει ἀσωτίαν ἀτιμάζει πατέρα. 8 ὁ πληθύνων τὸν πλοῦτον 8
αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν τῷ ἐλεῶντι πτωχοὺς συνάγει αὐτόν. 9 ὁ 9
ἐκκλίνων τὸ οὖς αὐτοῦ μὴ εἰςακοῦσαι νόμου, καὶ αὐτὸς τὴν προςευχὴν αὐτοῦ
ἐβδέλυκται. 10 ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται, 10
οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθὰ καὶ οὐκ εἰςελεύσονται εἰς αὐτά. 11 σοφὸς 11
παρ' ἑαυτῷ ἀνὴρ πλούσιος, πένης δὲ νοήμων καταγνώσεται αὐτοῦ. 12 διὰ 12
βοήθειαν δικαίων πολλὴ γίνεται δόξα, ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄν-
θρωποι. 13 ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ οὐκ εὐοδωθήσεται, ὁ δὲ ἐξηγού- 13
μενος ἐλέγχους ἀγαπηθήσεται. 14 μακάριος ἀνὴρ ὃς καταπτήσσει πάντα δι' 14
εὐλάβειαν, ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται κακοῖς. 15 λέων πεινῶν καὶ 15
λύκος διψῶν ὃς τυραννεῖ πτωχὸς ὢν ἔθνους πενιχροῦ. 16 βασιλεὺς ἐνδεὴς 16
προςόδων μέγας συκοφάντης, ὁ δὲ μισῶν ἀδικίαν μακρὸν χρόνον ζήσεται.
17 ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφα- 17
λείᾳ. παίδευε υἱὸν καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ, οὐ μὴ
ὑπακούσει ἔθνει παρανόμῳ. 18 ὁ πορευόμενος δικαίως βεβοήθηται, ὁ δὲ σκο- 18

---

12. ελθοντες, C παρελθοντες 13. AC post γαρ disting. ... AC λοιμαινεται (οι i. e. υ) 14. C δοξη 17. AC ετερου 19. C ουκ ... AC αι καρδιαι ... C in f. add ομοιαι 20. ενπιπλανται 21. AC χρυσιω ... AC ευθης εκζητει 22. AC τον αφρονα εν μ. συνεδριω 23. C ποιμνιων ... επιστησης ... AC ου τον αιωνα ... εις γενεας και γενεας, C εις γενεας και γενεαν 24. χλωρω ... ποιαν ... AC συναγαγε XXVIII. 2. AC δια αμαρτιας 7. πατερα αυτου 8. ελεουντι 9. αυτου του μη (10. αγαθας) 17. υπακουση

Digitized by Google

19 λιαῖς ὁδοῖς πορευόμενος ἐμπλακήσεται. [19] ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν πλη-
20 σθήσεται ἄρτων, ὁ δὲ διώκων σχολὴν πλησθήσεται πενίας. [20] ἀνὴρ ἀξιόπιστος
21 πολλὰ εὐλογηθήσεται, ὁ δὲ κακὸς οὐκ ἀτιμώρητος ἔσται. [21] ὃς οὐκ αἰσχύνε-
ται πρόσωπα δικαίων οὐκ ἀγαθός, ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα.
22 [22] σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν ὅτι ἐλεήμων κρατήσει αὐ-
23 τοῦ. [23] ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος.
24 [24] ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινω-
25 νός ἐστιν ἀνδρὸς ἀσεβοῦς. [25] ἄπιστος ἀνὴρ κρινεῖ εἰκῇ, ὃς δὲ πέποιθεν ἐπὶ
26 κύριον ἐν ἐπιμελείᾳ ἔσται. [26] ὃς πέποιθε θρασείᾳ καρδίᾳ ὁ τοιοῦτος ἄφρων,
27 ὃς δὲ πορεύεται σοφίᾳ σωθήσεται. [27] ὃς δίδωσι πτωχοῖς οὐκ ἐνδεηθήσεται,
28 ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν αὐτοῦ ἐν πολλῇ ἀπορίᾳ ἔσται. [28] ἐν τόποις
ἀσεβῶν στένουσι δίκαιοι, ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

## XXIX.

Κρείσσων ἀνὴρ ἐλέγχων ἀνδρὸς σκληροτραχήλου, ἐξαπίνης γὰρ φλεγο-
2 μένου αὐτοῦ οὐκ ἔστιν ἴασις. [2] ἐγκωμιαζομένων δικαίων εὐφρανθήσονται λαοί,
3 ἀρχόντων δὲ ἀσεβῶν στένουσιν ἄνδρες. [3] ἀνδρὸς φιλοῦντος σοφίαν εὐφραίνε-
4 ται πατὴρ αὐτοῦ, ὃς δὲ ποιμαίνει πόρνας ἀπολεῖ πλοῦτον. [4] βασιλεὺς δίκαιος
5 ἀνίστησι χώραν, ἀνὴρ δὲ παράνομος κατασκάπτει. [5] ὃς παρασκευάζεται ἐπὶ
πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν.
6 [6] ἁμαρτάνοντι ἀνδρὶ μεγάλη παγίς, δίκαιος δὲ ἐν χαρᾷ καὶ ἐν εὐφροσύνῃ
7 ἔσται. [7] ἐπίσταται δίκαιος κρίνειν πενιχροῖς, ὁ δὲ ἀσεβὴς οὐ νοεῖ γνῶσιν, καὶ
8 πτωχῷ οὐχ ὑπάρχει νοῦς ἐπιγνώμων. [8] ἄνδρες ἄνομοι ἐξέκαυσαν πόλιν, σο-
9 φοὶ δὲ ἀπέστρεψαν ὀργήν. [9] ἀνὴρ σοφὸς κρίνει ἔθνη, ἀνὴρ δὲ φαῦλος ὀργι-
10 ζόμενος καταγελᾶται καὶ οὐ καταπτήσσει. [10] ἄνδρες αἱμάτων μέτοχοι μισοῦ-
11 σιν ὅσιον, οἱ δὲ εὐθεῖς ἐκζητήσουσι ψυχὴν αὐτοῦ. [11] ὅλον τὸν θυμὸν αὐτοῦ
12 ἐκφέρει ἄφρων, σοφὸς δὲ ταμιεύεται κατὰ μέρος. [12] βασιλέως ὑπακούοντος
13 λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν παράνομοι. [13] δανειστοῦ καὶ χρεωφειλέτου
14 ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ἀμφοτέρων ποιεῖται ὁ κύριος. [14] βασιλέως
ἐν ἀληθείᾳ κρίνοντος πτωχούς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσε-
15 ται. [15] πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν, παῖς δὲ πλανώμενος αἰσχύνει γο-
16 νεῖς αὐτοῦ. [16] πολλῶν ὄντων ἀσεβῶν πολλαὶ γίνονται ἁμαρτίαι, οἱ δὲ δίκαιοι
17 ἐκείνων πιπτόντων κατάφοβοι γίνονται. [17] παίδευε υἱόν σου καὶ ἀναπαύσει σε,
18 καὶ δώσει κόσμον τῇ ψυχῇ σου. [18] οὐ μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ,
19 ὁ δὲ φυλάσσων τὸν νόμον μακαριστός. [19] λόγοις οὐ παιδευθήσεται οἰκέτης
20 σκληρός· ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ' οὐχ ὑπακούσεται. [20] ἐὰν ἴδῃς ἄνδρα τα-
21 χὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. [21] ὃς κατα-
σπαταλᾷ ἐκ παιδὸς οἰκέτης ἔσται, ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ.
22 23 [22] ἀνὴρ θυμώδης ἐγείρει νεῖκος, ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίαν. [23] ὕβρις
24 ἄνδρα ταπεινοῖ, τοὺς δὲ ταπεινόφρονας ἐρείδει δόξῃ κύριος. [24] ὃς μερίζεται
κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν· ἐὰν δὲ ὅρκου προτεθέντος ἀκούσαντες μὴ
25 ἀναγγείλωσι, [25] φοβηθέντες καὶ αἰσχυνθέντες ἀνθρώπους ὑπεσκελίσθησαν, ὁ
δὲ πεποιθὼς ἐπὶ κυρίῳ εὐφρανθήσεται. ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα, ὃς δὲ
26 πέποιθεν ἐπὶ τῷ δεσπότῃ σωθήσεται. [26] πολλοὶ θεραπεύουσι πρόσωπα ἡγου-
27 μένων, παρὰ δὲ κυρίου γίνεται τὸ δίκαιον ἀνδρί. [27] βδέλυγμα δίκαιος ἀνὴρ
ἀνδρὶ ἀδίκῳ, βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

---

20. αξιοπιστοτερος 24. ος αποβιαζεται 25. απληστος ανηρ ... ed. rom. κρίνει XXIX. 1. ουκ εσται 2. εγκωμιαζομενου δε δικαιου 3. ο πατηρ αυτου 6. και ευφροσυνη 7. ου συνησει γνωσιν 8. ανδρ. λοιμοι 9. ed. rom. κρινει 10. ζητησουσιν οσιον 13. χρεοφιλετου αλληλων ... ποιειται αμφοτερων 18. υπαρξει 19. om αλλ 22. ορυσσει νικος ... αμαρτιας 25. υποσχελισθησονται ... επι κυριον ... σφαλμα, ο δε πεποιθως

Digitized by Google

(XXX. 1—14. vide supra post 24, 22., item XXX. 15—33. post 24, 34. Ibidem subsequitur XXXI. 1—9.)

[28](31, 10.) γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων 28
πολυτελῶν ἡ τοιαύτη. [11]θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ (11) 29
τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· [12]ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ (12) 30
πάντα τὸν βίον. [13]μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερ- (13) 31
σὶν αὐτῆς. [14]ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ (14) 32
αὕτη τὸν βίον. [15]καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ (15) 33
καὶ ἔργα ταῖς θεραπαίναις. [16]θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρ- (16) 34
πῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. [17]ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν (17) 35
αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. [18]καὶ ἐγεύσατο ὅτι καλόν (18) 36
ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.
[19]τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς (19) 37
ἐρείδει εἰς ἄτρακτον. [20]χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ (20) 38
ἐξέτεινε πτωχῷ. [21]οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν που (21) 39
χρονίζῃ, πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. [22]δισσὰς χλαίνας (22) 40
ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα.
[23]περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν (23) 41
συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. [24]σινδόνας ἐποίησε καὶ (24) 42
ἀπέδοτο περιζώματα τοῖς Χαναναίοις. [26]στόμα αὐτῆς διήνοιξε προσεχόν- (26) 43
τως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. [25]ἰσχὺν καὶ (25) 44
εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. [27]στεγναὶ δια- (27) 45
τριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. τὸ στόμα δὲ ἀνοίγει σοφῶς
καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς [28]ἀνέστησε τὰ τέκνα αὐτῆς (28) 46
καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. [29]πολλαὶ θυγατέρες ἐκτή- (29) 47
σαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι, ὑπερῆρας πά-
σας. [30]ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ (30) 48
εὐλογεῖται, φόβον δὲ κυρίου αὕτη αἰνείτω. [31]δότε αὐτῇ ἀπὸ καρπῶν (31) 49
χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

---

# ΕΚΚΛΗΣΙΑΣΤΗΣ.

## I.

Ῥήματα ἐκκλησιαστοῦ υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ ἐν Ἱερουσαλήμ.
[2]ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, ματαιότης ματαιοτήτων, τὰ 2
πάντα ματαιότης. [3]τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μο- 3
χθεῖ ὑπὸ τὸν ἥλιον; [4]γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν 4
αἰῶνα ἕστηκε. [5]καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος καὶ εἰς τὸν τόπον 5

---

29. (XXXI, 11.) επ αυτην 30. τω ανδρι αγαθον και ου κακον παντα τ. β. 31. ευχρηστα 32. εγεν. δε ... ενπορευομενη ... δε αυτης τον πλουτον 33. κ. αν. εκ νυκτ. c. antecdd. conjg. 36. εγευσατο δε ... ολ. τ. νυκτα ο λυχν. αυτ. 37. τας χειρας αυτης εκτ. ε. τ. συμφ., τους δε πηχεις αυτης 39. ου φροντιζη : . . ενδιδυσκονται 41. εν πυλ. ο αν. αυτης ... μετα των πρεσβυτερων της γης 42. απεδοτο, περιζ. δε 43. hunc versum post v. 44. pon. 44. ηυφρανθη 45. om το ... στομ. δε αυτης 47. εποιησαν δυνατα ... και υπερηρας 48. C om γυναικος
Subscriptio: AC παροιμιαι σολομωντος et C add παρα εβδομηκοντα

---

Inscriptio: εκκλησιαστης
1. 5. C om και ab initio

6 αὐτοῦ ἕλκει· αὐτὸς ἀνατέλλων [6]ἐκεῖ πορεύεται πρὸς νότον καὶ κυκλοῖ πρὸς
βοῤῥᾶν· κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπι-
7 στρέφει τὸ πνεῦμα. [7]πάντες οἱ χείμαῤῥοι πορεύονται εἰς τὴν θάλασσαν, καὶ
ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη· εἰς τὸν τόπον οὗ οἱ χείμαῤῥοι πορεύον-
8 ται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι. [8]πάντες οἱ λόγοι ἔγκοποι, οὐ
δυνήσεται ἀνὴρ τοῦ λαλεῖν, καὶ οὐ πλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ οὐ
9 πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως. [9]τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον·
καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον· καὶ οὐκ ἔστι πᾶν πρόςφατον
10 ὑπὸ τὸν ἥλιον. [10]ὃς λαλήσει καὶ ἐρεῖ Ἴδε τοῦτο καινόν ἐστιν, ἤδη γέγονεν ἐν
11 τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν. [11]οὐκ ἔστι μνήμη τοῖς πρώ-
τοις, καί γε τοῖς ἐσχάτοις γενομένοις οὐκ ἔσται αὐτῶν μνήμη μετὰ τῶν γε-
12 νησομένων εἰς τὴν ἐσχάτην. [12]ἐγὼ ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς ἐπὶ Ἰσραὴλ
13 ἐν Ἱερουσαλήμ· [13]καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι καὶ τοῦ κατα-
σκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γινομένων ὑπὸ τὸν οὐρανόν, ὅτι
περισπασμὸν πονηρὸν ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶ-
14 σθαι ἐν αὐτῷ. [14]εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον,
15 καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. [15]διεστραμμένον οὐ
16 δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι. [16]ἐλάλησα
ἐγὼ ἐν καρδίᾳ μου τῷ λέγειν Ἰδοὺ ἐγὼ ἐμεγαλύνθην, καὶ προςέθηκα σο-
φίαν ἐπὶ πᾶσιν οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ, καὶ ἔδωκα καρ-
17 δίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν· [17]καὶ καρδία μου εἶδε πολλά, σοφίαν
καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην· ἔγνων ἐγὼ ὅτι καί γε τοῦτό ἐστι
18 προαίρεσις πνεύματος, [18]ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προς-
τιθεὶς γνῶσιν προςθήσει ἄλγημα.

## II.

Εἶπον ἐγὼ ἐν καρδίᾳ μου Δεῦρο δὴ πειράσω σε ἐν εὐφροσύνῃ, καὶ
2 ἴδε ἐν ἀγαθῷ· καὶ ἰδοὺ καί γε τοῦτο ματαιότης. [2]τῷ γέλωτι εἶπα Περιφο-
3 ράν, καὶ τῇ εὐφροσύνῃ Τί τοῦτο ποιεῖς; [3]καὶ κατεσκεψάμην εἰ ἡ καρδία
μου ἑλκύσει ὡς οἶνον τὴν σάρκα μου, καὶ καρδία μου ὡδήγησεν ἐν σοφίᾳ
καὶ τοῦ κρατῆσαι ἐπ' εὐφροσύνην, ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς
τῶν ἀνθρώπων ὃ ποιήσουσιν ὑπὸ τὸν ἥλιον ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν.
4 [4]ἐμεγάλυνα ποίημά μου, ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας,
5 [5]ἐποίησά μοι κήπους καὶ παραδείσους, καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν
6 καρποῦ· [6]ἐποίησά μοι κολυμβήθρας ὑδάτων τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν
7 βλαστῶντα ξύλα· [7]ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό
μοι, καί γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι ὑπὲρ πάντας
8 τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ· [8]συνήγαγόν μοι καί γε ἀρ-
γύριον καί γε χρυσίον, καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν· ἐποίησά
μοι ᾄδοντας καὶ ᾀδούσας, καὶ ἐντρυφήματα υἱῶν ἀνθρώπων, οἰνοχόον καὶ
9 οἰνοχόας· [9]καὶ ἐμεγαλύνθην καὶ προςέθηκα παρὰ πάντας τοὺς γενομένους
10 ἀπὸ ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ, καί γε σοφία μου ἐστάθη μοι· [10]καὶ

---

5. AC ανατελλων αυτος 6. προς βορρα 7. AC ουκ εσται εμπιπλαμενη ... εις τοπον 8. AC ουκ εμπλησθησεται 10. γεγονεν τοις αιωσιν 11. εστιν αυτων, C εστιν αυτοις ... μετα των γενηθησομενων 12. C βασιλευς ισραηλ 13. AC γενομενων ... AC τ. υι. του ανθρωπου 14. ιδον 15. του κοσμηθηναι ... του αριθμηθ. 16. εν τη καρδια ... εγω ιδου ... και εδωκα usque γνωσιν post σοφ. κ. γνωσ. v. 17. pon. 17. ιδεν ... om εγω 18. ο προτηθεις (-τιθεις?) γνωσει II. 3. επ ευφροσυνη ... τ. υι. του ανθρωπου 8. υιων του ανθρωπου, οινοχοους 9. om απο

Digitized by Google

πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου οὐκ ἀφεῖλον ἀπ᾽ αὐτῶν, οὐκ ἀπεκώλυσα τὴν
καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης μου, ὅτι καρδία μου εὐφράνθη ἐν παντὶ
μόχθῳ μου· καὶ τοῦτο ἐγένετο μερίς μου ἀπὸ παντὸς μόχθου μου. [11] καὶ 11
ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν
μόχθῳ ᾧ ἐμόχθησα τοῦ ποιεῖν, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρε-
σις πνεύματος, καὶ οὐκ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον. [12] καὶ ἐπέβλεψα ἐγὼ 12
τοῦ ἰδεῖν σοφίαν καὶ παραφορὰν καὶ ἀφροσύνην, ὅτι τίς ἄνθρωπος ὃς ἐπε-
λεύσεται ὀπίσω τῆς βουλῆς, τὰ ὅσα ἐποίησεν αὐτήν; [13] καὶ εἶδον ἐγὼ ὅτι 13
ἐστὶ περίσσεια τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην ὡς περίσσεια τοῦ φωτὸς ὑπὲρ
τὸ σκότος· [14] τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ, καὶ ὁ ἄφρων 14
ἐν σκότει πορεύεται· καὶ ἔγνων καί γε ἐγὼ ὅτι συνάντημα ἓν συναντήσεται
τοῖς πᾶσιν αὐτοῖς. [15] καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου Ὡς συνάντημα τοῦ ἄφρο- 15
νος καί γε ἐμοὶ συναντήσεταί μοι, καὶ ἵνα τί ἐσοφισάμην ἐγώ; περισσὸν
ἐλάλησα ἐν καρδίᾳ μου ὅτι καί γε τοῦτο ματαιότης, διότι ὁ ἄφρων ἐκ πε-
ρισσεύματος λαλεῖ· [16] ὅτι οὐκ ἔστιν ἡ μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος 16
εἰς τὸν αἰῶνα, καθότι ἤδη αἱ ἡμέραι ἐρχόμεναι τὰ πάντα ἐπελήσθη· καὶ
πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος; [17] καὶ ἐμίσησα σὺν τὴν ζωήν, 17
ὅτι πονηρὸν ἐπ᾽ ἐμὲ τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅτι πάντα
ματαιότης καὶ προαίρεσις πνεύματος. [18] καὶ ἐμίσησα ἐγὼ σύμπαντα μόχθον 18
μου ὃν ἐγὼ κοπιῶ ὑπὸ τὸν ἥλιον, ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γινομένῳ
μετ᾽ ἐμέ· [19] καὶ τίς εἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων; καὶ εἰ ἐξουσιάζεται ἐν 19
παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα καὶ ᾧ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον; καί γε
τοῦτο ματαιότης. [20] καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τὴν καρδίαν μου 20
ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, [21] ὅτι ἐστὶν ἄνθρωπος ὅτι 21
μόχθος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ, καὶ ἄνθρωπος ᾧ οὐκ
ἐμόχθησεν ἐν αὐτῷ δώσει αὐτῷ μερίδα αὐτοῦ· καί γε τοῦτο ματαιότης
καὶ πονηρία μεγάλη, [22] ὅτι γίνεται ἐν τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ 22
καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ ᾧ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον. [23] ὅτι πᾶσαι 23
αἱ ἡμέραι αὐτοῦ ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ, καί γε ἐν νυκτὶ
οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ, καί γε τοῦτο ματαιότης ἐστίν. [24] οὐκ ἔστιν 24
ἀγαθὸν ἀνθρώπῳ, ὃ φάγεται καὶ ὃ πίεται καὶ ὃ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγα-
θὸν ἐν μόχθῳ αὐτοῦ· καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ θεοῦ ἐστίν.
[25] ὅτι τίς φάγεται καὶ τίς πίεται πάρεξ αὐτοῦ; [26] ὅτι τῷ ἀνθρώπῳ τῷ 25 26
ἀγαθῷ πρὸ προσώπου αὐτοῦ ἔδωκε σοφίαν καὶ γνῶσιν καὶ εὐφροσύνην, καὶ
τῷ ἁμαρτάνοντι ἔδωκε περισπασμὸν τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν, τοῦ
δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ θεοῦ· ὅτι καί γε τοῦτο ματαιότης καὶ
προαίρεσις πνεύματος.

## III.

Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν.
[2] καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν, καιρὸς τοῦ φυτεῦσαι καὶ 2

---

10. ουχ υφειλον ... ευφροσυνης, οτι 11. εν πασιν τοις ... μοχθω μου ω 12. περιφοραν ... om ος ... εποιησαν 13. ιδον 15. εγω τοτε περισσον (εγω c. seqq. conjg.) ... διοτι αφρ. εκ περ. λαλει ante οτι και γε pon. 16. εστιν μνημη ... εις αιωνα ... ταις ημεραις ταις επερχομεναις 17. οτι τα παντα 18. συνπαντα ... ον εγω μοχθω ... AC τω γενησομενω ... C μετ εμου 19. AC οιδεν ... η σοφος ... C εξουσιασεται 20. τη καρδια μου επι (et. C) π. τω μοχθω ... AC om μου sec. 21. C et ed. rom. ανδρια ... om ᾧ ... C εμοχθησα ... AC δωσει αυτον 22. AC γινεται τω ανθρωπω 24. C τω ανθρωπω ... ος φαγεται, C ει μη ο φαγεται ... και πιεται ... ιδον ... C om εγω 26. C του θεου pro αυτου III. 1. C om και

Digitized by Google

3 καιρὸς τοῦ ἐκτῖλαι τὸ πεφυτευμένον, [3] καιρὸς τοῦ ἀποκτεῖναι καὶ καιρὸς τοῦ
4 ἰάσασθαι, καιρὸς τοῦ καθελεῖν καὶ καιρὸς τοῦ οἰκοδομεῖν, [4] καιρὸς τοῦ κλαῦ-
σαι καὶ καιρὸς τοῦ γελάσαι, καιρὸς τοῦ κόψασθαι καὶ καιρὸς τοῦ ὀρχήσασθαι,
5 [5] καιρὸς τοῦ βαλεῖν λίθους καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους, καιρὸς τοῦ περι-
6 λαβεῖν καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήψεως, [6] καιρὸς τοῦ ζητῆσαι
7 καὶ καιρὸς τοῦ ἀπολέσαι, καιρὸς τοῦ φυλάξαι καὶ καιρὸς τοῦ ἐκβαλεῖν, [7] καιρὸς
τοῦ ῥῆξαι καὶ καιρὸς τοῦ ῥάψαι, καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν,
8 [8] καιρὸς τοῦ φιλῆσαι καὶ καιρὸς τοῦ μισῆσαι, καιρὸς πολέμου καὶ καιρὸς
9 10 εἰρήνης. [9] τίς περίσσεια τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ; [10] εἶδον σὺν πάντα
τὸν περισπασμὸν ὃν ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι
11 ἐν αὐτῷ. [11] τὰ σύμπαντα ἃ ἐποίησε καλὰ ἐν καιρῷ αὐτοῦ· καί γε σύμπαντα
τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν, ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος τὸ ποίημα
12 ὃ ἐποίησεν ὁ θεὸς ἀπ' ἀρχῆς καὶ μέχρι τέλους. [12] ἔγνων ὅτι οὐκ ἔστιν ἀγα-
θὸν ἐν αὐτοῖς, εἰ μὴ τοῦ εὐφρανθῆναι καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ·
13 [13] καί γε πᾶς ὁ ἄνθρωπος ὃς φάγεται καὶ πίεται καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ
14 μόχθῳ αὐτοῦ, δόμα θεοῦ ἐστίν. [14] ἔγνων ὅτι πάντα ὅσα ἐποίησεν ὁ θεὸς αὐτὰ
ἔσται εἰς τὸν αἰῶνα, ἐπ' αὐτῷ οὐκ ἔστι προςθεῖναι, καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν
15 ἀφελεῖν· καὶ ὁ θεὸς ἐποίησεν ἵνα φοβηθῶσιν ἀπὸ προςώπου αὐτοῦ. [15] τὸ
γενόμενον ἤδη ἐστί, καὶ ὅσα τοῦ γίνεσθαι ἤδη γέγονε, καὶ ὁ θεὸς ζητήσει
16 τὸν διωκόμενον. [16] καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον τόπον τῆς κρίσεως, ἐκεῖ ὁ
17 ἀσεβής, καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ εὐσεβής· [17] καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ
μου Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ θεός, ὅτι καιρὸς τῷ παντὶ
18 πράγματι καὶ ἐπὶ παντὶ τῷ ποιήματι ἐκεῖ. [18] εἶπα ἐγὼ ἐν καρδίᾳ μου περὶ
λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου ὅτι διακρινεῖ αὐτοὺς ὁ θεός, καὶ τοῦ δεῖξαι ὅτι
19 αὐτοὶ κτήνη εἰσί· [19] καί γε αὐτοῖς συνάντημα υἱῶν τοῦ ἀνθρώπου καὶ συν-
άντημα τοῦ κτήνους, συνάντημα ἓν αὐτοῖς· ὡς ὁ θάνατος τούτου, οὕτως
καὶ ὁ θάνατος τούτου, καὶ πνεῦμα ἓν τοῖς πᾶσι· καὶ τί ἐπερίσσευσεν ὁ ἄν-
20 θρωπος παρὰ τὸ κτῆνος; οὐδέν, ὅτι πάντα ματαιότης. [20] τὰ πάντα εἰς τόπον
ἕνα, τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοός, καὶ τὰ πάντα ἐπιστρέψει εἰς τὸν χοῦν.
21 [21] καὶ τίς εἶδε πνεῦμα υἱῶν τοῦ ἀνθρώπου εἰ ἀναβαίνει αὐτὸ ἄνω; καὶ τὸ
22 πνεῦμα τοῦ κτήνους εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν; [22] καὶ εἶδον ὅτι οὐκ
ἔστιν ἀγαθὸν εἰ μὴ ὃ εὐφρανθήσεται ὁ ἄνθρωπος ἐν ποιήμασιν αὐτοῦ, ὅτι
αὐτὸ μερὶς αὐτοῦ· ὅτι τίς ἄξει αὐτὸν τοῦ ἰδεῖν ἐν ᾧ ἐὰν γένηται μετ' αὐτόν;

## IV.

Καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον συμπάσας τὰς συκοφαντίας τὰς γενο-
μένας ὑπὸ τὸν ἥλιον· καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἔστιν
αὐτοῖς παρακαλῶν, καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοῖς ἰσχύς, καὶ οὐκ
2 ἔστιν αὐτοῖς παρακαλῶν. [2] καὶ ἐπήνεσα ἐγὼ σύμπαντας τοὺς τεθνηκότας

---

2. AC εχτειλαι 3. AC οικοδομησαι 5. AC απο περιλημματος 10. AC ιδον συν τον et A pergit πειρασμον ... AC τ. υι. του ανθρωπου 11. AC om τα ... C συνπαντα bis ... και γε συν τον αιωνα εδ. εν κ. αυτου 13. AC πας ανθρωπος ... τουτο δομα ... C δομα του κυριου 14. C και εγνων ... AC επ αυτων ... AC απ αυτων 15. το γεννωμενον 16. AC ιδον ... των δικαιων 17. AC εκει (omisso και) ειπον εγω εν ... παντι ποιηματι 18. ed. rom. εκει. ειπα, AC εκει ειπα ut edidimus ... και τουτο δειξαι 19. AC om και post ουτως ... C επερισσευσεν ανθρωπος ... AC οτι τα παντα 20. AC τα π. πορευεται εις ... C χοος, και παντα ... AC επιστρεφει 21. οιδεν το πνευμα (C hiat ut in sqq. saepe) ... AC εις ανω; και πνευμα ... εις την γην 22. ιδον ... ευφρανθησεται ανθρωπος ... εν ω αν IV. 1. επιστρεψα ... AC ιδον ... συνπασας ... C om και απο χειρος usque παρακαλων ... συκοφαντ. αυτους ... in f. ο παρακαλων 2. εγω συν τους

Digitized by Google

τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας, ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν·
[3]καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους ὅςτις οὔπω ἐγένετο, ὃς οὐκ εἶδε σὺν 3
πᾶν τὸ ποίημα τὸ πονηρὸν τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. [4]καὶ εἶδον ἐγὼ 4
σύμπαντα τὸν μόχθον καὶ σύμπασαν ἀνδρείαν τοῦ ποιήματος, ὅτι αὐτὸ ζῆ-
λος ἀνδρὸς ἀπὸ τοῦ ἑταίρου αὐτοῦ· καί γε τοῦτο ματαιότης καὶ προαίρεσις
πνεύματος. [5]ὁ ἄφρων περιέβαλε τὰς χεῖρας αὐτοῦ καὶ ἔφαγε τὰς σάρκας 5
αὐτοῦ. [6]ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως ὑπὲρ πληρώματα δύο δρακῶν 6
μόχθου καὶ προαιρέσεως πνεύματος. [7]καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον ματαιό- 7
τητα ὑπὸ τὸν ἥλιον· [8]ἔστιν εἷς καὶ οὐκ ἔστι δεύτερος, καί γε υἱὸς καί γε 8
ἀδελφὸς οὐκ ἔστιν αὐτῷ, καὶ οὐκ ἔστι περασμὸς τῷ παντὶ μόχθῳ αὐτοῦ,
καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπίμπλαται πλούτου· καὶ τίνι ἐγὼ μοχθῶ καὶ
στερίσκω τὴν ψυχήν μου ἀπὸ ἀγαθωσύνης; καί γε τοῦτο ματαιότης καὶ
περισπασμὸς πονηρός ἐστιν. [9]ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα, οἷς ἐστιν αὐτοῖς 9
μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν· [10]ὅτι ἐὰν πέσωσιν, ὁ εἷς ἐγερεῖ τὸν μέτο- 10
χον αὐτοῦ· καὶ οὐαὶ αὐτῷ τῷ ἑνὶ ὅταν πέσῃ καὶ μὴ ᾖ δεύτερος ἐγεῖραι
αὐτόν. [11]καί γε ἐὰν κοιμηθῶσι δύο, καὶ θέρμη αὐτοῖς· καὶ ὁ εἷς πῶς θερ- 11
μανθῇ; [12]καὶ ἐὰν ἐπικραταιωθῇ ὁ εἷς, οἱ δύο στήσονται κατέναντι αὐτοῦ, 12
καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχέως ἀποῤῥαγήσεται. [13]ἀγαθὸς παῖς πένης 13
καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα, ὃς οὐκ ἔγνω τοῦ προσέχειν
ἔτι· [14]ὅτι ἐξ οἴκου τῶν δεσμίων ἐξελεύσεται τοῦ βασιλεῦσαι, ὅτι καί γε ἐν 14
βασιλείᾳ αὐτοῦ ἐγενήθη πένης. [15]εἶδον σύμπαντας τοὺς ζῶντας τοὺς περιπα- 15
τοῦντας ὑπὸ τὸν ἥλιον μετὰ τοῦ νεανίσκου τοῦ δευτέρου, ὃς στήσεται ἀντ'
αὐτοῦ· [16]οὐκ ἔστι περασμὸς τῷ παντὶ λαῷ, τοῖς πᾶσιν οἳ ἐγένοντο ἔμπρο- 16
σθεν αὐτῶν, καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐπ' αὐτῷ· ὅτι καί γε
τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. [17]φύλαξον τὸν πόδα σου ἐν ᾧ 17
ἐὰν πορεύῃ εἰς οἶκον τοῦ θεοῦ, καὶ ἐγγὺς τοῦ ἀκούειν· ὑπὲρ δόμα τῶν ἀφρό-
νων θυσία σου, ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν.

## V.

Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξε-
νέγκαι λόγον πρὸ προσώπου τοῦ θεοῦ· ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ
σὺ ἐπὶ τῆς γῆς· διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι. [2]ὅτι παραγίνεται 2
ἐνύπνιον ἐν πλήθει πειρασμοῦ, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων. [3]καθὼς 3
εὔξῃ εὐχὴν τῷ θεῷ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν, ὅτι οὐκ ἔστι θέλημα
ἐν ἄφροσι· σὺ οὖν ὅσα ἐὰν εὔξῃ ἀπόδος. [4]ἀγαθὸν τὸ μὴ εὔξασθαί σε ἢ τὸ 4
εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι. [5]μὴ δῷς τὸ στόμα σου τοῦ ἐξαμαρτῆσαι τὴν 5
σάρκα σου, καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ θεοῦ ὅτι ἄγνοιά ἐστιν, ἵνα μὴ
ὀργισθῇ ὁ θεὸς ἐπὶ φωνῇ σου καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν σου. [6]ὅτι 6
ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν, ὅτι σὺ τὸν θεὸν φο-
βοῦ. [7]ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης ἴδῃς 7
ἐν χώρᾳ, μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι· ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλά-
ξαι, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς. [8]καὶ περίσσεια γῆς ἐπὶ παντί ἐστι, βασιλεὺς 8
τοῦ ἀγροῦ εἰργασμένου. [9]ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται ἀργυρίου· καὶ 9

---

3. ειδεν συν το 4. ιδον ... συνπασαν ανδριαν (ita etiam ed. rom.) ... ετερου 5. om ὁ ... περιελαβεν 7. ιδον 8. πειρασμος ... εμπιπλαται ... πιρασμος 10. εγειρει ... AC του εγειραι 11. οι δυο ... C θερμανη αυτοις 14. των δεσμων εξελευσεται βασιλευσαι 15. ιδον ... AC ος αναστησεται 16. πασιν οσοι ... εν αυτω 17. εν ω αν πορ. ε. τον οικ. V. 1. ταχυνετω ... om ανω ... AC επι τουτω εστωσαν 3. AC καθως αν ... C χρονισης αποδουναι ... οσα αν 5. *αιμα pro στομα ... AC εξαμαρτειν 6. AC συν pro συ 7. ειδης ... AC φυλασσει ... AC επ αυτης 8. C εστιν και βασιλευς

Digitized by Google

10 τίς ἠγάπησεν ἐν πλήϑει αὐτῶν γέννημα; καί γε τοῦτο ματαιότης. 10 ἐν πλή-
ϑει ἀγαϑωσύνης ἐπληϑύνϑησαν ἔσϑοντες αὐτήν· καὶ τί ἀνδρεία τῷ παρ' αὐ-
11 τῆς; ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφϑαλμοῖς αὐτοῦ. 11 γλυκὺς ὕπνος τοῦ δούλου εἰ ὀλί-
γον καὶ εἰ πολὺ φάγεται, καὶ τῷ ἐμπλησϑέντι τοῦ πλουτῆσαι οὐκ ἔστιν ἀφίων
12 αὐτὸν τοῦ ὑπνῶσαι. 12 ἔστιν ἀῤῥωστία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυ-
13 λασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ, 13 καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖ-
νος ἐν περισπασμῷ πονηρῷ, καὶ ἐγέννησεν υἱὸν καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ
14 οὐδέν· 14 καϑὼς ἐξῆλϑεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός, ἐπιστρέψει τοῦ
πορευϑῆναι ὡς ἥκει, καὶ οὐδὲν οὐ λήψεται ἐν μόχϑῳ αὐτοῦ ἵνα πορευϑῇ ἐν
15 χειρὶ αὐτοῦ. 15 καί γε τοῦτο πονηρὰ ἀῤῥωστία· ὥςπερ γὰρ παρεγένετο, οὕ-
16 τως καὶ ἀπελεύσεται· καὶ τίς ἡ περίσσεια αὐτοῦ ᾗ μοχϑεῖ εἰς ἄνεμον; 16 καί
γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένϑει καὶ ϑυμῷ πολλῷ καὶ
17 ἀῤῥωστίᾳ καὶ χόλῳ. 17 ἰδοὺ εἶδον ἐγὼ ἀγαϑὸν ὅ ἐστι καλόν, τοῦ φαγεῖν καὶ
τοῦ πιεῖν καὶ τοῦ ἰδεῖν ἀγαϑωσύνην ἐν παντὶ μόχϑῳ αὐτοῦ ᾧ ἐὰν μοχϑῇ ὑπὸ
τὸν ἥλιον ἀριϑμὸν ἡμερῶν ζωῆς αὐτοῦ ὧν ἔδωκεν αὐτῷ ὁ ϑεός, ὅτι αὐτὸ
18 μερὶς αὐτοῦ. 18 καί γε πᾶς ἄνϑρωπος ᾧ ἔδωκεν αὐτῷ ὁ ϑεὸς πλοῦτον καὶ
ὑπάρχοντα, καὶ ἐξουσίασεν αὐτῷ φαγεῖν ἀπ' αὐτοῦ καὶ λαβεῖν τὸ μέρος αὐ-
19 τοῦ καὶ τοῦ εὐφρανϑῆναι ἐν μόχϑῳ αὐτοῦ, τοῦτο δόμα ϑεοῦ ἐστίν· 19 ὅτι οὐ
πολλὰ μνησϑήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ὅτι ὁ ϑεὸς περισπᾷ αὐτὸν
ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

## VI.

Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, καὶ πολλή ἐστιν ὑπὸ τὸν ἄν-
2 ϑρωπον· 2 ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ ϑεὸς πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν,
καὶ οὐκ ἔστιν ὑστερῶν τῇ ψυχῇ αὐτοῦ ἀπὸ πάντων ὧν ἐπιϑυμήσει, καὶ οὐκ
ἐξουσιάσει αὐτῷ ὁ ϑεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ, ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν·
3 τοῦτο ματαιότης καὶ ἀῤῥωστία πονηρά ἐστιν. 3 ἐὰν γεννήσῃ ἀνὴρ ἑκατόν, καὶ
ἔτη πολλὰ ζήσεται, καὶ πλῆϑος ὅ τι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ, καὶ ψυχὴ
αὐτοῦ οὐ πλησϑήσεται ἀπὸ τῆς ἀγαϑωσύνης, καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ,
4 εἶπα Ἀγαϑὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα· 4 ὅτι ἐν ματαιότητι ἦλϑε, καὶ ἐν σκότει
5 πορεύεται, καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφϑήσεται, 5 καί γε ἥλιον οὐκ εἶδε,
6 καὶ οὐκ ἔγνω ἀναπαύσεις τούτῳ ὑπὲρ τοῦτον. 6 καὶ ἔζησε χιλίων ἐτῶν κα-
ϑόδους, καὶ ἀγαϑωσύνην οὐκ εἶδε, μὴ οὐκ εἰς τόπον ἕνα πορεύεται τὰ πάντα;
7 7 πᾶς μόχϑος ἀνϑρώπου εἰς στόμα αὐτοῦ, καί γε ἡ ψυχὴ οὐ πληρωϑήσεται.
8 8 ὅτι περίσσεια τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα, διότι ὁ πένης οἶδε πορευϑῆναι
9 κατέναντι τῆς ζωῆς. 9 ἀγαϑὸν ὅραμα ὀφϑαλμῶν ὑπὲρ πορευόμενον ψυχῇ· καί
10 γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. 10 εἴ τι ἐγένετο, ἤδη κέκλη-
ται ὄνομα αὐτοῦ, καὶ ἐγνώσϑη ὅ ἐστιν ἄνϑρωπος, καὶ οὐ δυνήσεται κριϑῆ-
11 ναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν· 11 ὅτι εἰσὶ λόγοι πολλοὶ πληϑύνοντες
ματαιότητα.

---

9. AC εν πληϑει αυτου γενημα 10. AC οι εσϑοντες ... AC ανδρια 12. AC ιδον ... AC εις κακ. αυτου 13. αυτου pro πονηρω 14. AC ουδεν λημψεται 17. AC ιδου ο ιδον (C ειδον) ... αγαϑον εστιν καλον ... AC μοχϑηση 18. εξουσιασεν αυτον ... AC του φαγειν 19. AC ου πολλας VI. 1. ιδον ... AC επι τον ανϑρωπον 2. AC απο παντος ου ... επιϑυμει ... ο ϑεος φαγειν ... φαγεται αυτα ... AC και γε τουτο 3. C των ετων ... AC η ψυχη α. ουκ εμπλησϑησεται απο (C om απο) αγαϑωσυνης 6. AC και ει εζησεν ... AC τα παντα πορευεται 7. AC του ανϑρωπου ... AC και γε ψυχη 8. AC οτι τις περισσεια ... C που πορευϑηναι 10. AC η τι εγενετο ... κεκληκεν ... του κριϑηναι ... AC ισχυρου ... C οτι pro ὅ

Digitized by Google

## VII.

(6, 12.) Τί περισσὸν τῷ ἀνθρώπῳ; ὅτι τίς οἶδεν ἀγαθὸν τῷ ἀνθρώπῳ
ἐν τῇ ζωῇ, ἀριθμὸν ζωῆς ἡμερῶν ματαιότητος αὐτοῦ; καὶ ἐποίησεν αὐτὰ
ἐν σκιᾷ· ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν
ἥλιον; [1] ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν, καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ (1) 2
ἡμέραν γεννήσεως. [2] ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους ἢ ὅτι πορευθῆναι (2) 3
εἰς οἶκον πότου, καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου, καὶ ὁ ζῶν δώσει
ἀγαθὸν εἰς καρδίαν αὐτοῦ. [3] ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα, ὅτι ἐν κακίᾳ (3) 4
προσώπου ἀγαθυνθήσεται καρδία. [4] καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ (4) 5
καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης. [5] ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν (5) 6
σοφοῦ ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων. [6] ὡς φωνὴ ἀκανθῶν ὑπὸ τὸν (6) 7
λέβητα, οὕτως γέλως τῶν ἀφρόνων· καί γε τοῦτο ματαιότης. [7] ὅτι ἡ συ- (7) 8
κοφαντία περιφέρει σοφὸν καὶ ἀπόλλυσι τὴν καρδίαν εὐγενείας αὐτοῦ.
[8] ἀγαθὴ ἐσχάτη λόγων ὑπὲρ ἀρχὴν αὐτοῦ, ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψη- (8) 9
λὸν πνεύματι. [9] μὴ σπεύσῃς ἐν πνεύματί σου τοῦ θυμοῦσθαι, ὅτι θυμὸς (9) 10
ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται. [10] μὴ εἴπῃς Τί ἐγένετο ὅτι αἱ ἡμέραι αἱ (10) 11
πρότεραι ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας; ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τού-
του. [11] ἀγαθὴ σοφία μετὰ κληρονομίας καὶ περίσσεια τοῖς θεωροῦσι τὸν (11) 12
ἥλιον· [12] ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιὰ ἀργυρίου, καὶ περίσσεια γνώ- (12) 13
σεως τῆς σοφίας ζωοποιήσει τὸν παρ᾽ αὐτῆς. [13] ἴδε τὰ ποιήματα τοῦ (13) 14
θεοῦ, ὅτι τίς δυνήσεται κοσμῆσαι ὃν ἂν ὁ θεὸς διαστρέψῃ αὐτόν; [14] ἐν (14) 15
ἡμέρᾳ ἀγαθωσύνης ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας· ἴδε καί γε
σὺν τούτῳ συμφώνως τοῦτο ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄν-
θρωπος ὀπίσω αὐτοῦ οὐδέν. [15] σύμπαντα εἶδον ἐν ἡμέραις ματαιότητός (15) 16
μου· ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν
κακίᾳ αὐτοῦ. [16] μὴ γίνου δίκαιος πολὺ μηδὲ σοφίζου περισσά, μή ποτε (16) 17
ἐκπλαγῇς. [17] μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς (17) 18
ἐν οὐ καιρῷ σου. [18] ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ, καί γε ἀπὸ τού- (18) 19
του μὴ μιάνῃς τὴν χεῖρά σου, ὅτι φοβουμένοις τὸν θεὸν ἐξελεύσεται τὰ
πάντα. [19] ἡ σοφία βοηθήσει τῷ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄν- (19) 20
τας ἐν τῇ πόλει· [20] ὅτι ἄνθρωπος οὐκ ἔστι δίκαιος ἐν τῇ γῇ, ὃς ποιήσει (20) 21
ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται. [21] καί γε εἰς πάντας λόγους οὓς λαλήσου- (21) 22
σιν ἀσεβεῖς μὴ θῇς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου κατα-
ρωμένου σε· [22] ὅτι πλειστάκις πονηρεύσεταί σε καὶ καθόδους πολλὰς κα- (22) 23
κώσει καρδίαν σου, ὅτι ὡς καί γε σὺ κατηράσω ἑτέρους. [23] πάντα ταῦτα (23) 24
ἐπείρασα ἐν σοφίᾳ. εἶπα Σοφισθήσομαι· [24] καὶ αὐτὴ ἐμακρύνθη ἀπ᾽ ἐμοῦ (24) 25
μακρὰν ὑπὲρ ὃ ἦν, καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό; [25] ἐκύκλωσα ἐγὼ (25) 26
καὶ ἡ καρδία μου τοῦ γνῶναι καὶ τοῦ κατασκέψασθαι καὶ τοῦ ζητῆσαι σο-
φίαν καὶ ψῆφον, καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην καὶ ὀχληρίαν καὶ πε-
ριφοράν· [26] καὶ εὑρίσκω ἐγὼ αὐτὴν καὶ ἐρῶ πικρότερον ὑπὲρ θάνατον σὺν (26) 27

VII. 1. τι αγαθον ... ζωη αυτου ... ημερων ζωης ... εποιησεν αυτας ... C om εν τη ζωη usque υπο τον ηλιον ... in f. add και καθως εστε τις απαγγελει αυτω 2. AC γενεσεως αυτου 3. τουτο το τελος ... C παντος του ανθρωπου ... εν καρδια αυτου 5. C αφρονος 7. AC οτι ως φωνη των ακανθων ... AC ο γελως ο των αφρ. 8. AC απολλυει ... ευτονιας αυτου 11. AC αι προτερον ... C επερωτησας 12. AC κληροδοσιας 13. AC του αργυριου 14. AC του κοσμησαι ... C ο αν 15. AC και γε τουτο συμφωνον τουτο (C συμφωνει τουτω) ... AC μηδεν 16. συν παντα, C συν τα παντα ... ιδον ... απολλυομενος 17. AC και μη σοφιζου ... C ινα μη εκπλαγ. 19. C φοβουμενος, A ο φοβουμενος 21. C ποιησεται ... C ουχ αμαρτ. 22. AC om ασεβεις 24. AC εν τη σοφια 25. C μακραν απ εμου 26. παραφοραν 27. AC om και ερω ... C πικροτεραν VII, 2. C om του

Digitized by Google

τὴν γυναῖκα ἥτις ἐστὶ θήρευμα, καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖ-
ρας αὐτῆς· ἀγαθὸς πρὸ προςώπου τοῦ θεοῦ ἐξαιρεθήσεται ἀπ᾽ αὐτῆς, καὶ
28 (27) ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ. 27 ἴδε τοῦτο εὗρον, εἶπεν ὁ ἐκκλησια-
29 (28) στής· μία τῇ μιᾷ τοῦ εὑρεῖν λογισμὸν 28 ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ
οὐχ εὗρον· καὶ ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον, καὶ γυναῖκα ἐν πᾶσι τούτοις
30 (29) οὐχ εὗρον. 29 πλὴν ἴδε τοῦτο εὗρον ὃ ἐποίησεν ὁ θεὸς σὺν τὸν ἄνθρωπον
εὐθῆ· καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς.

## VIII.

Τίς οἶδε σοφούς; καὶ τίς οἶδε λύσιν ῥήματος; σοφία ἀνθρώπου φω-
2 τιεῖ πρόςωπον αὐτοῦ, καὶ ἀναιδὴς προςώπῳ αὐτοῦ μισηθήσεται. 2 στόμα
3 βασιλέως φύλαξον, καὶ περὶ λόγου ὅρκου θεοῦ μὴ σπουδάσῃς· 3 ἀπὸ προςώ-
που αὐτοῦ πορεύσῃ, μὴ στῇς ἐν λόγῳ πονηρῷ, ὅτι πᾶν ὃ ἐὰν θελήσῃ ποιή-
4 5 σει, 4 καθὼς βασιλεὺς ἐξουσιάζων, καὶ τίς ἐρεῖ αὐτῷ Τί ποιεῖς; 5 ὁ φυλάσσων
ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν, καὶ καιρὸν κρίσεως γινώσκει καρδία
6 σοφοῦ· 6 ὅτι παντὶ πράγματί ἐστι καιρὸς καὶ κρίσις, ὅτι γνῶσις τοῦ ἀν-
7 θρώπου πολλὴ ἐπ᾽ αὐτόν· 7 ὅτι οὐκ ἔστι γινώσκων τί τὸ ἐσόμενον, ὅτι κα-
8 θὼς ἔσται τίς ἀναγγελεῖ αὐτῷ; 8 οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύ-
ματι τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα· καὶ οὐκ ἔστιν ἐξουσία ἐν ἡμέρᾳ θανάτου,
καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου, καὶ οὐ διασώσει ἀσέβεια τὸν
9 παρ᾽ αὐτῆς. 9 καὶ σύμπαν τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν
τὸ ποίημα ὃ πεποίηται ὑπὸ τὸν ἥλιον, τὰ ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν
10 ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν· 10 καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους εἰςα-
χθέντας, καὶ ἐκ τοῦ ἁγίου, καὶ ἐπορεύθησαν καὶ ἐπῃνέθησαν ἐν τῇ πόλει,
11 ὅτι οὕτως ἐποίησαν· καί γε τοῦτο ματαιότης. 11 ὅτι οὐκ ἔστι γινομένη ἀντίῤ-
ῥησις ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχύ, διὰ τοῦτο ἐπληροφορήθη καρδία
12 υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρόν. 12 ὃς ἥμαρτεν, ἐποίησε
τὸ πονηρὸν ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν· ὅτι καὶ γινώσκω ἐγὼ ὅτι
ἐστὶν ἀγαθὸν τοῖς φοβουμένοις τὸν θεὸν ὅπως φοβῶνται ἀπὸ προςώπου αὐ-
13 τοῦ· 13 καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ, καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ
14 ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προςώπου τοῦ θεοῦ. 14 ἔστι ματαιότης ἣ πεποίη-
ται ἐπὶ τῆς γῆς, ὅτι εἰσὶ δίκαιοι ὅτι φθάνει ἐπ᾽ αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν,
καὶ εἰσιν ἀσεβεῖς ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων· εἶπα
15 ὅτι καί γε τοῦτο ματαιότης. 15 καὶ ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην, ὅτι
οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον, ὅτι εἰ μὴ φαγεῖν καὶ τοῦ
πιεῖν καὶ τοῦ εὐφρανθῆναι· καὶ αὐτὸ συμπροσέσται αὐτῷ ἐν μόχθῳ αὐτοῦ
16 ἡμέρας ζωῆς αὐτοῦ ὅσας ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον. 16 ἐν οἷς ἔδωκα
τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν τὸν
πεποιημένον ἐπὶ τῆς γῆς, ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ὀφθαλμοῖς
17 αὐτοῦ οὐκ ἔστι βλέπων· 17 καὶ εἶδον σύμπαντα τὰ ποιήματα τοῦ θεοῦ, ὅτι

---

27. θηρευματα ... συνλημφθησεται 28. AC ειδε τουτο ... (C ειπειν) 28. εζητησεν ... C και ουχ ευρεν 30. εποιησ. ο κυριος ... (ευρεθη pro ευθη) VIII. 1. om αυτου prius 2. om θεου 3. παν ο αν ... AC θελησει 4. AC εξουσιαζων λαλει ... AC τι ποιησεις 5. C σοφον 7. αναγγελ. αυτοις 8. AC εξουσιαζων pro εξουσια et A pergit ημερας 9. AC συνπαν ... ιδον ... AC παν ποιημα ... εξουσιαζεται 10. ιδον ... C αχθεντας ... C επηνεσθησαν 11. ποιουντων πονηρον 12. AC οτι και γε γινωσκω ε. οτι εσται 14. AC φθαννει bis ... AC προς αυτους pro επ αυτ. 15. AC του φαγειν ... AC συνπροσεσται ... ας εδωκεν, C ων εδωκεν 16. τον πιρασμον ... AC εν οφθαλμοις ... βλεπιν 17. AC ιδον ... συνπαντα

Digitized by Google

οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν
ἥλιον· ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσει· καί γε
ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ εὑρεῖν· ὅτι σύμπαν τοῦτο
ἔδωκα εἰς καρδίαν μου, καὶ καρδία μου σύμπαν εἶδε τοῦτο.

## IX.

Ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ
θεοῦ, καί γε ἀγάπην καί γε μῖσος οὐκ ἔστιν εἰδὼς ὁ ἄνθρωπος· τὰ πάντα
πρὸ προσώπου αὐτῶν, ματαιότης ἐν τοῖς πᾶσι. [2] συνάντημα ἓν τῷ δικαίῳ καὶ 2
τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ κακῷ, καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ,
καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι· ὡς ὁ ἀγαθὸς ὡς ὁ ἁμαρτάνων,
ὡς ὁ ὀμνύων καθὼς ὁ τὸν ὅρκον φοβούμενος. [3] τοῦτο πονηρὸν ἐν παντὶ πε- 3
ποιημένῳ ὑπὸ τὸν ἥλιον ὅτι συνάντημα ἓν τοῖς πᾶσι· καί γε καρδία υἱῶν
τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ, καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ
αὐτῶν, καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς. [4] ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάν- 4
τας τοὺς ζῶντας; ἔστιν ἐλπίς, ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν
λέοντα τὸν νεκρόν. [5] ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται, καὶ οἱ νεκροὶ 5
οὐκ εἰσὶ γινώσκοντες οὐδέν· καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθός, ὅτι ἐπελήσθη
ἡ μνήμη αὐτῶν· [6] καί γε ἀγάπη αὐτῶν καί γε μῖσος αὐτῶν καί γε ζῆλος 6
αὐτῶν ἤδη ἀπώλετο, καί γε μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι εἰς τὸν αἰῶνα ἐν
παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον. [7] δεῦρο φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον 7
σου, καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἰνόν σου, ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιή-
ματά σου· [8] ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ κε- 8
φαλῆς σου μὴ ὑστερησάτω· [9] καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγάπησας πάσας 9
τὰς ἡμέρας ζωῆς ματαιότητός σου τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον, ὅτι αὐτὸ
μερίς σου ἐν τῇ ζωῇ σου καὶ ἐν τῷ μόχθῳ σου ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.
[10] πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου ποίησον, 10
ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ
πορεύῃ ἐκεῖ. [11] ἐπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥλιον ὅτι οὐ τοῖς κούφοις ὁ δρό- 11
μος καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος, καί γε οὐ τῷ σοφῷ ἄρτος καί γε οὐ
τοῖς συνετοῖς πλοῦτος καί γε οὐ τοῖς γινώσκουσι χάρις, ὅτι καιρὸς καὶ ἀπάν-
τημα συναντήσεται σύμπασιν αὐτοῖς. [12] ὅτι καί γε καὶ οὐκ ἔγνω ὁ ἄνθρωπος 12
τὸν καιρὸν αὐτοῦ· ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ
ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι, ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀν-
θρώπου εἰς καιρὸν πονηρόν, ὅταν ἐπιπέσῃ ἐπ᾽ αὐτοὺς ἄφνω. [13] καί γε τοῦτο 13
εἶδον σοφίαν ὑπὸ τὸν ἥλιον, καὶ μεγάλη ἐστὶ πρὸς μέ· [14] πόλις μικρὰ καὶ 14
ἄνδρες ἐν αὐτῇ ὀλίγοι, καὶ ἔλθῃ ἐπ᾽ αὐτὴν βασιλεὺς μέγας καὶ κυκλώσῃ
αὐτὴν καὶ οἰκοδομήσῃ ἐπ᾽ αὐτὴν χάρακας μεγάλους, [15] καὶ εὕρῃ ἐν αὐτῇ 15
ἄνδρα πένητα σοφόν, καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ,
καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. [16] καὶ εἶπα 16
ἐγώ Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν, καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ
οἱ λόγοι αὐτοῦ οὐκ εἰςακουόμενοι. [17] λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται 17

---

17. AC οσα εαν et A pergit ποιηση pro μοχθηση ... AC ο σοφος ... συνπαν ... εις την καρδιαν ... συνπαν ιδεν IX. 1. AC Οτι pro Ὡς 2. AC om και ante τω καθαρω ... C om και ante τω θυσιαζοντι 3. τουτο το πονηρον 5. οτι επλησθη 6. AC και μερις ... AC εις αιωνα 7. AC om ηδη 8. C τα ιματια ... AC επι κεφαλην 9. C πασας ημερας ... C post ηλιον repetit πασας ημερας ματαιοτητος σου ... C εν ζωη σου ... om συ 11. AC ιδον ... AC τοις σοφοις ο αρτος ... AC ο πλουτος ... AC τοις πασιν αυτοις 12. AC om οτι ... AC και γε ουκ εγνω ... C om ὁ 13. AC ιδον 15. πεν. και σοφον ... AC διασωσει 16. AC καί λογοι α. ουκ εισιν ακουομενοι



Digitized by Google

18 ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύναις. [18] ἀγαθὴ σοφία ὑπὲρ σκεύη πο-
λέμου, καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.

## X.

Μυῖαι θανατοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος. τίμιον ὀλίγον
2 σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλην. [2] καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ, καὶ
3 καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ. [3] καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται,
4 καρδία αὐτοῦ ὑστερήσει, καὶ ἃ λογιεῖται πάντα ἀφροσύνη ἐστίν. [4] ἐὰν πνεῦμα
τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει
5 ἁμαρτίας μεγάλας. [5] ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀκούσιον ἐξῆλ-
6 θεν ἀπὸ προσώπου ἐξουσιάζοντος· [6] ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις, καὶ
7 πλούσιοι ἐν ταπεινῷ καθήσονται· [7] εἶδον δούλους ἐφ' ἵππους καὶ ἄρχοντας
8 πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς. [8] ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπε-
9 σεῖται, καὶ καθαιροῦντα φραγμὸν δήξεται αὐτὸν ὄφις· [9] ἐξαίρων λίθους δια-
10 πονηθήσεται ἐν αὐτοῖς, σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς· [10] ἐὰν ἐκπέσῃ τὸ
σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξε· καὶ δυνάμεις δυναμώσει, καὶ περίσ-
11 σεια τῷ ἀνδρὶ οὐ σοφία· [11] ἐὰν δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι
12 περίσσεια τῷ ἐπᾴδοντι. [12] λόγοι στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος
13 καταποντιοῦσιν αὐτόν· [13] ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, καὶ ἐσχάτη
14 στόματος αὐτοῦ περιφέρεια πονηρά, [14] καὶ ὁ ἄφρων πληθύνει λόγους. οὐκ
ἔγνω ἄνθρωπος τί τὸ γενόμενον καὶ τί τὸ ἐσόμενον· ὅ τι ὀπίσω αὐτοῦ τίς
15 ἀναγγελεῖ αὐτῷ; [15] μόχθος τῶν ἀφρόνων κακώσει αὐτούς, ὃς οὐκ ἔγνω τοῦ
16 πορευθῆναι εἰς πόλιν. [16] οὐαί σοι πόλις ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ
17 ἄρχοντές σου πρωῒ ἐσθίουσι. [17] μακαρία σὺ γῆ ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευ-
θέρων, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει καὶ οὐκ αἰ-
18 σχυνθήσονται. [18] ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χει-
19 ρῶν στάξει ἡ οἰκία. [19] εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνον καὶ ἔλαιον τοῦ
εὐφρανθῆναι ζῶντας, καὶ τοῦ ἀργυρίου ταπεινώσει ἐπακούσεται τὰ πάντα.
20 [20] καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, καὶ ἐν ταμιείοις κοιτώ-
νων σου μὴ καταράσῃ πλούσιον· ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φω-
νήν σου, καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

## XI.

Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει
2 ἡμερῶν εὑρήσεις αὐτόν. [2] δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ, ὅτι οὐ
3 γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν. [3] ἐὰν πλησθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ
τὴν γῆν ἐκχέουσι· καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ καὶ ἐὰν ἐν τῷ βορρᾷ,
4 τόπῳ οὗ πεσεῖται τὸ ξύλον ἐκεῖ ἔσται. [4] τηρῶν ἄνεμον οὐ σπείρει, καὶ βλέπων
5 ἐν ταῖς νεφέλαις οὐ θερίσει. [5] ἐν οἷς οὐκ ἔστι γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύ-
ματος, ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ
6 θεοῦ ὅσα ποιήσει τὰ σύμπαντα. [6] ἐν τῷ πρωῒ σπεῖρον τὸ σπέρμα σου, καὶ

---

X. 1. C μεγαλης 5. AC ιδον ... ο εξηλθεν ... AC του εξουσιαζοντος 7. ιδον ... ως δουλ. πορευομ. 8. AC εν αυτω εμπεσειται et A add και ο κυλιων λιθον εφ εαυτον κυλιει 10. δυναμις, C δυναμιν ... AC του ανδριου σοφια 11. C ο οφις 12. καταποντισουσιν 14. AC ο ανθρωπος ... απαγγελει 15. του αφρονος ... A σκοτωσει αυτον, C κοπωσει αυτους 16. AC εν πρωια 17. AC ελευθερου 18. AC αργεια ... στεναξει, C σταζει 19. AC και οινος ευφραινει ζωντας ... C αργυρου ... AC om ταπεινωσει ... AC συν τα παντα 20. C και γε συ εν ... C αποιησει ... AC om τας XI. 1. AC των ημερων 3. AC πληρωθωσιν 4. C σπερει 5. AC της κυοφορουσης ... AC τα συνπαντα 6. AC εν πρωια

Digitized by Google

ἐν ἑσπέρᾳ μὴ ἀφέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει, ἢ τοῦτο
ἢ τοῦτο, καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτό, ἀγαθά. [7]καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγα- 7
θὸν τοῖς ὀφθαλμοῖς τοῦ βλέπειν σὺν τὸν ἥλιον· [8]ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζή- 8
σεται ὁ ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται, καὶ μνησθήσεται τὰς
ἡμέρας τοῦ σκότους ὅτι πολλαὶ ἔσονται· πᾶν τὸ ἐρχόμενον ματαιότης. [9]εὐ- 9
φραίνου νεανίσκε ἐν νεότητί σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις
νεότητός σου, καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος καὶ μὴ ἐν ὁράσει
ὀφθαλμῶν σου· καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ θεὸς ἐν κρίσει. [10]καὶ 10
ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ πάραγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι
ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

## XII.

Καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως ὅτου μὴ
ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας, καὶ φθάσουσιν ἔτη ἐν οἷς ἐρεῖς Οὐκ ἔστι
μοι ἐν αὐτοῖς θέλημα· [2]ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς καὶ ἡ 2
σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψουσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ· [3]ἐν 3
ἡμέρᾳ ᾗ ἐὰν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς
δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ
βλέπουσαι ἐν ταῖς ὀπαῖς· [4]καὶ κλείσουσι θύρας ἐν ἀγορᾷ ἐν ἀσθενείᾳ φω- 4
νῆς τῆς ἀληθούσης, καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπει-
νωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος· [5]καὶ εἰς τὸ ὕψος ὄψονται, καὶ 5
θάμβοι ἐν τῇ ὁδῷ, καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς, καὶ
διασκεδασθῇ ἡ κάππαρις, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ,
καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι· [6]ἕως ὅτου μὴ ἀνατραπῇ τὸ σχοινίον 6
τοῦ ἀργυρίου, καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου, καὶ συντριβῇ ὑδρία ἐπὶ
τῇ πηγῇ, καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον· [7]καὶ ἐπιστρέψῃ ὁ χοῦς 7
ἐπὶ τὴν γῆν ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν θεὸν ὃς ἔδωκεν αὐτό.
[8]ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, τὰ πάντα ματαιότης. [9]καὶ 8 9
περισσὸν ὅτι ἐγένετο ἐκκλησιαστὴς σοφός, ὅτι ἐδίδαξε γνῶσιν σὺν τὸν ἄν-
θρωπον, καὶ οὓς ἐξιχνιάσεται κόσμιον παραβολῶν. [10]πολλὰ ἐζήτησεν ἐκκλη- 10
σιαστὴς τοῦ εὑρεῖν λόγους θελήματος καὶ γεγραμμένον εὐθύτητος, λόγους
ἀληθείας. [11]λόγοι σοφῶν ὡς τὰ βούκεντρα καὶ ὡς ἧλοι πεφυτευμένοι, οἳ παρὰ 11
τῶν συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός. [12]καὶ περισσὸν ἐξ αὐτῶν υἱέ 12
μου φύλαξαι· τοῦ ποιῆσαι βιβλία πολλὰ οὐκ ἔστι περασμός, καὶ μελέτη πολλὴ
κόπωσις σαρκός. [13]τέλος λόγου τὸ πᾶν ἄκουε· τὸν θεὸν φοβοῦ καὶ τὰς ἐν- 13
τολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος. [14]ὅτι σύμπαν τὸ ποίημα 14
ὁ θεὸς ἄξει ἐν κρίσει ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.

---

6. αγαθον 8. C και μνησθηση 9. AC και εν ορασει 10. AC παραγαγε XII. 1. AC εως ου μη ελθ. ημεραι ... κακιας σου ... AC φθασωσιν 2. AC επιστρεψωσιν ... οπισω υετου 3. AC εν ημερα η (C ην) αν 4. θυραν ... φωνη της 5. AC και γε απο υψους ... C θαμβος ... AC ανθησει ... C διασκεδασθη καππαρις ... επορευθη ανθρωπος 6. AC ανατραπη σχοινιον ... συνθλιβη το ανθεμιον ... AC η υδρια επι την πηγην ... C συντροχασει 7. AC επιστρεψει bis 9. ο εκκλησιαστης ... AC σοφος, και οτι ... C εδιδασκεν ... C κοσμον 10. θεληματος, γεγραμμενον 11. AC ηλοι πεπυρωμενοι ... συναγματων 12. AC φυλασσου 13. C πας ανθρωπος 14. συνπαν ... AC αξει ο θεος

Subscriptio: AC εκκλησιαστης



Digitized by Google

# Α Σ Μ Α.

## I.

2 Ἆσμα ᾀσμάτων, ὅ ἐστι Σαλωμών. 2 φιλησάτω με ἀπὸ φιλημάτων στό-
3 ματος αὐτοῦ· ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον, 3 καὶ ὀσμὴ μύρων σου ὑπὲρ
πάντα τὰ ἀρώματα· μύρον ἐκκενωθὲν ὄνομά σου. διὰ τοῦτο νεάνιδες ἠγά-
4 πησάν σε, 4 εἵλκυσάν σε. ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν· εἰσή-
νεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ. ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν
5 ἐν σοί· ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον· εὐθύτης ἠγάπησέ σε. 5 μέλαινά
εἰμι ἐγὼ καὶ καλή, θυγατέρες Ἱερουσαλήμ, ὡς σκηνώματα Κηδάρ, ὡς δέρ-
6 ῥεις Σαλωμών. 6 μὴ βλέψητέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ
με ὁ ἥλιος· υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν
7 ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. 7 ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ
ψυχή μου, ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ, μή ποτε γένωμαι
8 ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου. 8 ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ
ἐν γυναιξίν, ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων καὶ ποίμαινε τὰς ἐρίφους σου
9 ἐπὶ σκηνώμασι τῶν ποιμένων. 9 τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε,
10 ἡ πλησίον μου. 10 τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλός σου
11 ὡς ὁρμίσκοι. 11 ὁμοιώματα χρυσίου ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀρ-
12 γυρίου. 12 ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ, νάρδος μου ἔδωκεν ὀσμὴν
13 αὐτοῦ. 13 ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοί, ἀνὰ μέσον τῶν μα-
14 στῶν μου αὐλισθήσεται. 14 βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοί, ἐν ἀμπε-
15 λῶσιν Ἐγγαδδί. 15 ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· ὀφθαλμοί
16 σου περιστεραί. 16 ἰδοὺ εἶ καλός, ἀδελφιδός μου, καί γε ὡραῖος· πρὸς κλίνη
17 ἡμῶν σύσκιος, 17 δοκοὶ οἴκων ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι.

## II.

2 Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. 2 ὡς κρίνον ἐν μέσῳ
3 ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων. 3 ὡς μῆλον ἐν
τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν· ἐν τῇ
σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί
4 5 μου. 4 εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην. 5 στηρί-
σατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.
6 6 εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.
7 7 ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ,
8 ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ. 8 φωνὴ ἀδελφιδοῦ
μου· ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς.
9 9 ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαι-
θήλ. ἰδοὺ οὗτος ὀπίσω τοῦ τοίχου ἡμῶν, παρακύπτων διὰ τῶν θυρίδων, ἐκ-

---

Inscriptio: A ασματα ασματων, C ασμα ασματων

I. 1. τω σαλωμων 2. praemittit η νυμφη 3. C παντα αρωματα ... ονομα σοι ... ante δια τουτο add ο νυμφιος 4. ταμιειον, C ταμιον ... C αγαπησωμεν 5. praemitt. η νυμφη ... AC om εγω ... AC δερρις 6. εφυλαξαν 7. ποιμανεις ... C ετερων 8. in f. add σου 9. επ αρμασιν 10. τρυγονες ... ορμισκος 11. 12. ed. rom. αργυριου, et εν ανακλ. αυτου. 12. C ανακλησει ... ante ναρδος add ο νυμφιος 14. AC ενγαδδι 15. C ιδου η καλη bis ... οφθαλμος 16. praemitt. η νυμφη ... ο αδελφ. μ. ... ed. rom. ωραιος c. seqq. conjg., non item AC ... C om προς II. 5. om με sec. 6. περιλημψεται 7. AC (C videtur) εν ταις δ. κ. εν ταις 9. (νεφρω ...) AC ιδου ουτ. εστηκεν

Digitized by Google

κύπτων διὰ τῶν δικτύων. [10] ἀποκρίνεται ἀδελφιδός μου καὶ λέγει μοι Ἀνάστα, 10
ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου. [11] ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, 11
ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ· [12] τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς 12
τομῆς ἔφθακεν, φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· [13] ἡ συκῆ 13
ἐξήνεγκεν ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν. ἀνάστα,
ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου. καὶ ἐλθέ, [14] σὺ περιστερά 14
μου, ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος· δεῖξόν μοι τὴν ὄψιν
σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις
σου ὡραία. [15] πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας, καὶ 15
αἱ ἄμπελοι ἡμῶν κυπρίζουσαι. [16] ἀδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ· ὁ ποι- 16
μαίνων ἐν τοῖς κρίνοις, [17] ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. 17
ἀπόστρεψον, ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων ἐπὶ
ὄρη κοιλωμάτων.

## III.

Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα
αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. [2] ἀνα- 2
στήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλα-
τείαις, καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον
αὐτόν. [3] εὕροσάν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει· μὴ ὃν ἠγάπησεν 3
ἡ ψυχή μου ἴδετε; [4] ὡς μικρὸν ὅτε παρῆλθον ἀπ᾽ αὐτῶν, ἕως οὗ εὗρον ὃν 4
ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσή-
γαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. [5] ὥρ- 5
κισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι
τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ. [6] τίς 6
αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου, ὡς στελέχη καπνοῦ τεθυμιαμένη
σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ; [7] ἰδοὺ ἡ κλίνη τοῦ Σα- 7
λωμών, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραήλ· [8] πάντες κατέ- 8
χοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον· ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ
ἀπὸ θάμβους ἐν νυξί. [9] φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν ἀπὸ 9
ξύλων τοῦ Λιβάνου· [10] στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, καὶ ἀνάκλιτον αὐτοῦ 10
χρύσεον· ἐπίβασις αὐτοῦ πορφυρᾶ, ἐντὸς αὐτοῦ λιθόστρωτον, ἀγάπην ἀπὸ
θυγατέρων Ἱερουσαλήμ. [11] θυγατέρες Σιών, ἐξέλθατε καὶ ἴδετε ἐν τῷ βασιλεῖ 11
Σαλωμών, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ
νυμφεύσεως αὐτοῦ καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

## IV.

Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή. ὀφθαλμοί σου περιστεραὶ
ἐκτὸς τῆς σιωπήσεώς σου. τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν αἳ ἀπεκα-
λύφθησαν ἀπὸ τοῦ Γαλαάδ. [2] ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἳ 2
ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν
ἐν αὐταῖς. [3] ὡς σπαρτίον τὸ κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία· 3
ὡς λέπυρον ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου. [4] ὡς πύργος Δαυὶδ 4
τράχηλός σου, ὁ ᾠκοδομημένος εἰς Θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽

---

10. ante Αναστα praemitt. ο νυμφιος 12. του τρυγονος 15. AC κυπριζουσιν 17. διαπνευση ημερα ... ante αποστρεψον add η νυμφη ... C επι τα ορη III. 2. C (videtur) om δη ... A om και prim. ... AC in f. add εκαλεσα αυτον και ουχ υπηκουσεν μου 4. αφησω ... C της μητρος ... ταμιειον 6. praemitt. ο νυμφιος 8. C ρομφαιαν pro ρομφαια ... C τον μηρον 9. φοριον 10. επιβασεις 11. θυγατ. σιων post ιδετε pon. IV. 2. εν αυτοις 3. om το ... της ροας 4. θαλφιωθ

Digitized by Google

5 αὐτόν, πᾶσαι βολίδες τῶν δυνατῶν. [5]δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι
6 δορκάδος οἱ νεμόμενοι ἐν κρίνοις. [6]ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶ-
σιν αἱ σκιαί, πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης καὶ πρὸς τὸν
7 βουνὸν τοῦ Λιβάνου. [7]ὅλη καλὴ εἶ, πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.
8 [8]δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου· ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ
ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανὶρ καὶ Ἑρμὼν, ἀπὸ μανδρῶν λεόντων,
9 ἀπὸ ὀρέων παρδάλεων. [9]ἐκαρδίωσας ἡμᾶς, ἀδελφή μου νύμφη· ἐκαρδίωσας
10 ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου ἐν μιᾷ ἐνθέματι τραχήλων σου. [10]τί ἐκαλλιώ-
θησαν μαστοί σου, ἀδελφή μου νύμφη· τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ
11 οἴνου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα. [11]κηρίον ἀποστάζουσι
χείλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱμα-
12 τίων σου ὡς ὀσμὴ Λιβάνου. [12]κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆ-
13 πος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη· [13]ἀποστολαί σου παράδεισος ῥοῶν
14 μετὰ καρποῦ ἀκροδρύων, κύπροι μετὰ νάρδων· [14]νάρδος καὶ κρόκος, κά-
λαμος καὶ κιννάμωμον μετὰ πάντων ξύλων τοῦ Λιβάνου, σμύρνα ἀλὼθ μετὰ
15 πάντων πρώτων μύρων· [15]πηγὴ κήπου καὶ φρέαρ ὕδατος ζῶντος καὶ ῥοι-
16 ζοῦντος ἀπὸ τοῦ Λιβάνου. [16]ἐξεγέρθητι βορρᾶ, καὶ ἔρχου νότε, καὶ διά-
πνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.

## V.

Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκρο-
δρύων αὐτοῦ. εἰσῆλθον εἰς κῆπόν μου, ἀδελφή μου νύμφη· ἐτρύγησα σμύρ-
ναν μου μετὰ ἀρωμάτων μου, ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου, ἔπιον
οἶνόν μου μετὰ γάλακτός μου. φάγετε πλησίοι καὶ πίετε καὶ μεθύσθητε,
2 ἀδελφοί. [2]ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. φωνὴ ἀδελφιδοῦ μου,
κρούει ἐπὶ τὴν θύραν. ἄνοιξόν μοι, ἡ πλησίον μου, ἀδελφή μου, περιστερά
μου, τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί
3 μου ψεκάδων νυκτός. [3]ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν;
4 ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς; [4]ἀδελφιδός μου ἀπέστειλε
5 χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν. [5]ἀνέ-
στην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, χεῖρές μου ἔσταξαν σμύρναν, δάκτυλοί
6 μου σμύρναν πλήρη ἐπὶ χεῖρας τοῦ κλείθρου. [6]ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ
μου· ἀδελφιδός μου παρῆλθε. ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ· ἐζήτησα
7 αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. [7]εὕρο-
σάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, ἐπάταξάν με, ἐτραυμάτισάν
8 με· ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων. [8]ὥρκισα ὑμᾶς,
θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ,
ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγείλητε αὐτῷ; ὅτι τετρωμένη ἀγά-
9 πης ἐγώ εἰμι. [9]τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί; τί
10 ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς; [10]ἀδελφιδός
11 μου λευκὸς καὶ πυῤῥός, ἐκλελοχισμένος ἀπὸ μυριάδων. [11]κεφαλὴ αὐτοῦ
12 χρυσίον κεφάζ, βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ. [12]ὀφθαλμοὶ
αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων λελουσμέναι ἐν γάλακτι,

---

5. 6. ed. rom. κρινοις, et σκιαι. 6. om ου ... η ημερα 7. ει η πλησ. 8. απ αρχης ... σανειρ κ. αερμων 9. ημας εν απο ... τραχηλου 10. παντα τα αρ. 13. ροων erasum est 15. κηπων, φρεαρ 16. praemitt. η νυμφη ... om και sec. V. 1. κηπον μου ... ante εισηλθον add ο νυμφιος ... φαγετε οι πλησιον 2. η πλησ. μου post αδελφ. μου pon. 3. praemitt. η νυμφη ... πως ενδυσωμαι 5. αι χειρες 6. η ψυχη μου ... ουχ επηκουσεν 7. ετραυματιασαν 8. ειμι εγω 11. καιφαζ 12. λελουμεναι

Digitized by Google

καθήμεναι ἐπὶ πληρώματα. 13 σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύου- 13
σαι μυρεψικά, χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη. 14 χεῖρες αὐτοῦ 14
τορευταὶ χρυσαῖ πεπληρωμέναι Θαρσίς. κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ
λίθου σαπφείρου. 15 κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι τεθεμελιωμένοι ἐπὶ βά- 15
σεις χρυσᾶς. εἶδος αὐτοῦ ὡς Λίβανος, ἐκλεκτὸς ὡς κέδροι. 16 φάρυγξ αὐτοῦ 16
γλυκασμοὶ καὶ ὅλος ἐπιθυμία. οὗτος ἀδελφιδός μου καὶ οὗτος πλησίον μου,
θυγατέρες Ἱερουσαλήμ. 17 ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναι- 17
ξίν; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου; καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.

## VI.

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ εἰς φιάλας τοῦ ἀρώματος, ποι-
μαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα. 2 ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ἀδελφι- 2
δός μου ἐμοί, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις. 3 καλὴ εἶ ἡ πλησίον μου, ὡς 3
εὐδοκία, ὡραία ὡς Ἱερουσαλήμ, θάμβος ὡς τεταγμέναι. 4 ἀπόστρεψον ὀφθαλ- 4
μούς σου ἀπεναντίον μου, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με. τρίχωμά σου ὡς ἀγέ-
λαι τῶν αἰγῶν αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ. 5 ὀδόντες σου ὡς ἀγέλαι 5
τῶν κεκαρμένων αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ
ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτίον τὸ κόκκινον χείλη σου, καὶ ἡ
λαλιά σου ὡραία. 6 ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς 6
σου. 7 ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν 7
οὐκ ἔστιν ἀριθμός· 8 μία ἐστὶ περιστερά μου, τελεία μου, μία ἐστὶ τῇ μητρὶ 8
αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες καὶ μα-
καριοῦσιν αὐτήν, βασίλισσαι καί γε παλλακαὶ καὶ αἰνέσουσιν αὐτήν. 9 τίς 9
αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμ-
βος ὡς τεταγμέναι; 10 εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήμασι τοῦ χει- 10
μάῤῥου, ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, ἐξήνθησαν αἱ ῥοαί· ἐκεῖ δώσω τοὺς
μαστούς μου σοί. 11 οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμιναδάβ. 11
12 ἐπίστρεφε ἐπίστρεφε, ἡ Σουναμῖτις· ἐπίστρεφε ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί. 12

## VII.

Τί ὄψεσθε ἐν τῇ Σουναμίτιδι; ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν.
1 ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασί σου, θύγατερ Ναδάβ. ῥυθμοὶ 1
μηρῶν ὅμοιοι ὁρμίσκοις, ἔργον τεχνίτου. 2 ὀμφαλός σου κρατὴρ τορευτός, μὴ 2
ὑστερούμενος κρᾶμα. κοιλία σου θημωνία σίτου πεφραγμένη ἐν κρίνοις. 3 δύο 3
μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος. 4 ὁ τράχηλός σου ὡς πύργος 4
ἐλεφάντινος. οἱ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβών, ἐν πύλαις θυγατρὸς
πολλῶν. μυκτήρ σου ὡς πύργος τοῦ Λιβάνου σκοπεύων πρόσωπον Δαμασκοῦ.
5 κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος, καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα, 5
βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. 6 τί ὡραιώθης, καὶ τί ἡδύνθης ἀγάπη 6
ἐν τρυφαῖς σου. 7 τοῦτο μέγεθός σου· ὡμοιώθης τῷ φοίνικι, καὶ οἱ μαστοί 7
σου τοῖς βότρυσιν. 8 εἶπα Ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων 8
αὐτοῦ· καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου, καὶ ὀσμὴ ῥινός
σου ὡς μῆλα, 9 καὶ ὁ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθός. πορευόμενος τῷ ἀδελ- 9

---

12. in f. add υδατων 13. φιαλες 14. θαρσεις ... σαπφιρου 16. φαρυξ VI. 1. κηπον μου 2. και ο αδελφ. 3. praemitt. ο νυμφιος 4. απεναντ. εμου 5. εστ. εν αυτοις ... om το 8. τη τεκουσ. αυτης ... βασιλ. και παλλ. 9. praemitt. η νυμφη ... **η εγκυπτουσα, *η αναβαινουσα 10. εν γενηματι ... ει ηνθησαν αι ροαι 12. η σουλαμιτις VII. σουλαμιτιδι 1. τι ωραιωθησαν ... om σου sec. ... θυγ. αμιναδαβ ... μηρων σου ... εργω χειρων τεχνιτου 3. κραματος ... θιμωνια 4. om ὁ ... om οι 6. 7. ed. rom. αγαπη; εν τρ. σου τ. μεγ. σου. ωμοιωθης 7. ωμοιωθη 8. εν τω φοιν. 9. *om ὁ bis

Digitized by Google

10 φιδῷ μου εἰς εὐθύτητα, ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν. [10]ἐγὼ τῷ
11 ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ. [11]ἐλθὲ ἀδελφιδέ μου, ἐξέλ-
12 θωμεν εἰς ἀγρόν, αὐλισθῶμεν ἐν κώμαις· [12]ὀρθρίσωμεν εἰς ἀμπελῶνας,
ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος, ἤνθησεν ὁ κυπρισμός, ἤνθησαν αἱ ῥοαί· ἐκεῖ
13 δώσω τοὺς μαστούς μου σοί. [13]οἱ μανδραγόραι ἔδωκαν ὀσμήν, καὶ ἐπὶ θύ-
ραις ἡμῶν πάντα ἀκρόδρυα νέα πρὸς παλαιά, ἀδελφιδέ μου, ἐτήρησά σοι.

## VIII.

Τίς δῴη σε, ἀδελφιδέ μου, θηλάζοντα μαστοὺς μητρός μου; εὑροῦσά
2 σε ἔξω φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί μοι. [2]παραλήψομαί σε, εἰσάξω
σε εἰς οἶκον μητρός μου καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με· ποτιῶ σε
3 ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ νάματος ῥοῶν μου. [3]εὐώνυμος αὐτοῦ ὑπὸ τὴν
4 κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. [4]ὥρκισα ὑμᾶς, θυγατέρες
Ἱερουσαλήμ, ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐὰν ἐξεγείρητε
5 τὴν ἀγάπην ἕως ἂν θελήσῃ. [5]τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπι-
στηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς; ὑπὸ μῆλον ἐξήγειρά σε· ἐκεῖ ὠδί-
6 νησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε. [6]θές με ὡς σφραγῖδα
ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου· ὅτι κραταιὰ ὡς
θάνατος ἀγάπη, σκληρὸς ὡς ᾅδης ζῆλος· περίπτερα αὐτῆς περίπτερα πυρὸς
7 φλόγες αὐτῆς· [7]ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ
οὐ συγκλύσουσιν αὐτήν. ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
8 ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν. [8]ἀδελφὴ ἡμῶν μικρὰ καὶ μαστοὺς οὐκ
9 ἔχει. τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ; [9]εἰ
τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς· καὶ εἰ θύρα ἐστί,
10 διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην. [10]ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς
11 πύργοι· ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτῶν ὡς εὑρίσκουσα εἰρήνην. [11]ἀμπελὼν
ἐγενήθη τῷ Σαλωμὼν ἐν Βεελαμών· ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τη-
12 ροῦσιν, ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου. [12]ἀμπελών μου ἐμὸς
ἐνώπιόν μου· οἱ χίλιοι Σαλωμών, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν
13 αὐτοῦ. [13]ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκού-
14 τισόν με. [14]φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι ἢ τῷ νεβρῷ τῶν
ἐλάφων ἐπὶ ὄρη τῶν ἀρωμάτων.

---

# ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ.

## I.

Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ κυ-
2 ρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· [2]ὅτι εὑρίσκε-
ται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

---

9. εν χειλεσιν 13. οι μανδραγορες ... υμων VIII. 1. εξουδενησουσιν με 2. παραλημψομαι ... ταμιειον 3. om μου ... και δεξια ... περιλημψεται 4. εν ταις δυναμεσιν και εν ταις ... τι εγειρ. και τι εξεγ. 5. ante υπο μηλον add ο νυμφιος 6. σκληρον 7. συνκλισουσιν ... τον παντα βιαν ... εξουδενησουσιν 8. η αν 10. οφθαλμ. αυτου ευρισκουσα 11. εγενηθην ... om ανηρ usque αργυριου 14. φευγε ... η νεβρω ελαφων επι τα ορη κοιλωματων
Subscriptio: ασμα ασματων

---

Inscriptio: σοφια σολομωντος
I. 2. μη πιστευουσιν αυτω

Digitized by Google

[3] σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ ϑεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει 3
τοὺς ἄφρονας. [4] ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰςελεύσεται σοφία, οὐδὲ 4
κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας. [5] ἅγιον γὰρ πνεῦμα παιδείας φεύ- 5
ξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, καὶ ἐλεγχϑήσεται
ἐπελϑούσης ἀδικίας. [6] φιλάνϑρωπον γὰρ πνεῦμα σοφία, καὶ οὐκ ἀϑωώσει 6
βλάσφημον ἀπὸ χειλέων αὐτοῦ, ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ ϑεός, καὶ
τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληϑὴς καὶ τῆς γλώσσης ἀκουστής· [7] ὅτι 7
πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν
ἔχει φωνῆς. [8] διὰ τοῦτο φϑεγγόμενος ἄδικα οὐδεὶς μὴ λάϑῃ, οὐδὲ μὴν πα- 8
ροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. [9] ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, 9
λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ, [10] ὅτι 10
οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ ϑροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.
[11] φυλάξασϑε τοίνυν γογγυσμὸν ἀνωφελῆ, καὶ ἀπὸ καταλαλιᾶς φείσασϑε 11
γλώσσης· ὅτι φϑέγμα λαϑραῖον κενὸν οὐ πορεύσεται, στόμα δὲ καταψευδό-
μενον ἀναιρεῖ ψυχήν. [12] μὴ ζηλοῦτε ϑάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ 12
ἐπισπᾶσϑε ὄλεϑρον ἔργοις χειρῶν ὑμῶν· [13] ὅτι ὁ ϑεὸς ϑάνατον οὐκ ἐποίησεν, 13
οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· [14] ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, 14
καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον
ὀλέϑρου οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς. [15] δικαιοσύνη γὰρ ἀϑάνατός ἐστιν· 15
[16] ἀσεβεῖς δὲ ταῖς χερσὶ καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν, φίλον ἡγη- 16
σάμενοι αὐτὸν ἐτάκησαν καὶ συνϑήκην ἔϑεντο πρὸς αὐτόν, ὅτι ἄξιοί εἰσι τῆς
ἐκείνου μερίδος εἶναι.

## II.

Εἶπον γὰρ ἑαυτοῖς λογισάμενοι οὐκ ὀρϑῶς Ὀλίγος ἐστὶ καὶ λυπηρὸς ὁ
βίος ἡμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνϑρώπου, καὶ οὐκ ἐγνώσϑη ὁ
ἀναλύσας ἐξ ᾅδου. [2] ὅτι αὐτοσχεδίως ἐγεννήϑημεν, καὶ μετὰ τοῦτο ἐσόμεϑα 2
ὡς οὐχ ὑπάρξαντες· ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν, καὶ ὁ λόγος σπινϑὴρ
ἐν κινήσει καρδίας ἡμῶν, [3] οὗ σβεσϑέντος τέφρα ἀποβήσεται τὸ σῶμα, καὶ 3
τὸ πνεῦμα διαχυϑήσεται ὡς χαῦνος ἀήρ. [4] καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησϑήσε- 4
ται ἐν χρόνῳ, καὶ οὐϑεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν· καὶ παρελεύσεται
ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης, καὶ ὡς ὁμίχλη διασκεδασϑήσεται διωχϑεῖσα
ὑπὸ ἀκτίνων ἡλίου καὶ ὑπὸ ϑερμότητος αὐτοῦ βαρυνϑεῖσα. [5] σκιᾶς γὰρ πά- 5
ροδος ὁ βίος ἡμῶν, καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν, ὅτι κατε-
σφραγίσϑη, καὶ οὐδεὶς ἀναστρέφει. [6] δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων 6
ἀγαϑῶν, καὶ χρησώμεϑα τῇ κτίσει ὡς νεότητι σπουδαίως· [7] οἴνου πολυτε- 7
λοῦς καὶ μύρων πλησϑῶμεν, καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνϑος ἀέρος· [8] στε- 8
ψώμεϑα ῥόδων κάλυξι πρὶν ἢ μαρανϑῆναι· [9] μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς 9
ἡμετέρας ἀγερωχίας, πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης, ὅτι
αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος. [10] καταδυναστεύσωμεν πένητα δί- 10
καιον, μὴ φεισώμεϑα χήρας, μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρο-
νίους· [11] ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, τὸ γὰρ ἀσϑενὲς 11
ἄχρηστον ἐλέγχεται. [12] ἐνεδρεύσωμεν δὲ τὸν δίκαιον, ὅτι δύςχρηστος ἡμῖν ἐστὶ 12
καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου,
καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν· [13] ἐπαγγέλλεται γνῶσιν 13
ἔχειν ϑεοῦ, καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει· [14] ἐγένετο ἡμῖν εἰς ἔλεγχον 14

---

5. πνευμα σοφιας 6. πνευμα σοφιας ... αϑοωσει ... γλωσσ. αυτου 7. επληρωσεν 8. ουδε μη 12. εν εργοις 13. επ αγγελεια ζωντ. 14. ουδε ... επι της γης II. 1. εν εαυτοις 3. σβενσϑεντος ... διαχυνϑησεται 5. * ο καιρος ημων 6. om και prius ... νεοτητος 7. ανϑος εαρος 8. καταλειπωμεν ... ημων pro ουτος 10. πρεσβυτερου 12. om δε ... παιδιας

Digitized by Google

15 ἐννοιῶν ἡμῶν· βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, 15 ὅτι ἀνόμοιος τοῖς ἄλλοις
16 ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ· 16 εἰς κίβδηλον ἐλογίσθημεν
αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν· μακαρίζει ἔσχατα
17 δικαίων, καὶ ἀλαζονεύεται πατέρα θεόν. 17 ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς,
18 καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. 18 εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ,
19 ἀντιλήψεται αὐτοῦ καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων· 19 ὕβρει καὶ
βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ καὶ δοκιμάσωμεν
20 τὴν ἀνεξικακίαν αὐτοῦ· 20 θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν, ἔσται
21 γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. 21 ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθη-
22 σαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, 22 καὶ οὐκ ἔγνωσαν μυστήρια
θεοῦ, οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος, οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων.
23 23 ὅτι ὁ θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιό-
24 τητος ἐποίησεν αὐτόν· 24 φθόνῳ δὲ διαβόλου θάνατος εἰςῆλθεν εἰς τὸν κόσμον,
25 25 πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

## III.

Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.
2 2 ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος
3 4 αὐτῶν, 3 καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. 4 καὶ
γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης,
5 5 καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ θεὸς ἐπείρασεν αὐ-
6 τοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· 6 ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν
7 αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προςεδέξατο αὐτούς. 7 καὶ ἐν καιρῷ ἐπι-
σκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·
8 8 κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς
9 αἰῶνας. 9 οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ
10 προςμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς αὐτοῦ. 10 οἱ δὲ ἀσεβεῖς
καθ' ἃ ἐλογίσαντο ἕξουσιν ἐπιτιμίαν, οἱ ἀμελήσαντες τοῦ δικαίου καὶ τοῦ κυ-
11 ρίου ἀποστάντες. 11 σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος, καὶ
κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κόποι ἀνόνητοι καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν.
12 12 αἱ γυναῖκες αὐτῶν ἄφρονες, καὶ πονηρὰ τὰ τέκνα αὐτῶν, ἐπικατάρατος ἡ
13 γένεσις αὐτῶν. 13 ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν
14 παραπτώματι, ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν· 14 καὶ εὐνοῦχος ὁ μὴ ἐργα-
σάμενος ἐν χειρὶ ἀνόμημα μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ κυρίου πονηρά, δο-
θήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ καὶ κλῆρος ἐν ναῷ κυρίου
15 θυμηρέστερος. 15 ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής, καὶ ἀδιάπτωτος ἡ ῥίζα
16 τῆς φρονήσεως. 16 τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται, καὶ ἐκ παρανόμου κοί-
17 της σπέρμα ἀφανισθήσεται. 17 ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐθὲν λο-
18 γισθήσονται, καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας αὐτῶν· 18 ἐάν τε ὀξέως
τελευτήσωσιν, οὐχ ἕξουσιν ἐλπίδα οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον·
19 19 γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.

## IV.

Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς· ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς,
2 ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις· 2 παροῦσάν τε μιμοῦνται
αὐτήν, καὶ ποθοῦσιν ἀπελθοῦσαν· καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει
3 τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα. 3 πολύγονον δὲ ἀσεβῶν πλῆθος
οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος, οὐδὲ

15. οτι usque βιος αυτου in rasura 18. αντιλημψεται III. 3. πορια 9. εν τοις εκλ. α. et add και επισκοπη εν τοις οσιοις αυτου 10. ed. rom. καθα 11. παιδιαν 13. ψυχων αυτων 18. εαν τε γαρ IV. 2. παρ. τε τιμωσιν αυτην ... ποπεμπει (αποπ.?)

Digitized by Google

ἀσφαλῆ βάσιν ἑδράσει· [4]κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ, ἐπισφα- 4
λῶς βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται, καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθή-
σεται· [5]περικλασθήσονται κλῶνες ἀτέλεστοι, καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, 5
ἄωρος εἰς βρῶσιν καὶ εἰς οὐθὲν ἐπιτήδειος· [6]ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα 6
γεννώμενα μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν. [7]δί- 7
καιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. [8]γῆρας γὰρ τίμιον οὐ 8
τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· [9]πολιὰ δέ ἐστι φρόνησις ἀν- 9
θρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. [10]εὐάρεστος τῷ θεῷ γενόμενος 10
ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· [11]ἡρπάγη μὴ κακία ἀλ- 11
λάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. [12]βασκανία γὰρ φαυ- 12
λότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.
[13]τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· [14]ἀρεστὴ γὰρ ἦν κυρίῳ 13 14
ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. οἱ δὲ λαοὶ ἰδόν-
τες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο, [15]ὅτι χάρις 15
καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ·
[16]κατακρινεῖ δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς, καὶ νεότης τελεσθεῖσα 16
ταχέως πολυετὲς γῆρας ἀδίκου. [17]ὄψονται γὰρ τελευτὴν σοφοῦ, καὶ οὐ 17
νοήσουσι τί ἐβουλεύσατο περὶ αὐτοῦ, καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ κύ-
ριος· [18]ὄψονται καὶ ἐξουθενήσουσιν, αὐτοὺς δὲ ὁ κύριος ἐκγελάσεται· [19]καὶ 18 19
ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος,
ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς, καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων, καὶ
ἕως ἐσχάτου χερσωθήσονται, καὶ ἔσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν
ἀπολεῖται. [20]ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί, καὶ 20
ἐλέγξει αὐτοὺς ἐξεναντίας τὰ ἀνομήματα αὐτῶν.

## V.

Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλι-
ψάντων αὐτὸν καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. [2]ἰδόντες ταραχθήσον- 2
ται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας· [3]ἐροῦσιν 3
ἑαυτοῖς μετανοοῦντες καὶ διὰ στενοχωρίαν πνεύματος στενάζοντες Οὗτος ἦν
ὃν ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· [4]οἱ ἄφρονες τὸν 4
βίον αὐτοῦ ἐλογισάμεθα μανίαν καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον· [5]πῶς κατε- 5
λογίσθη ἐν υἱοῖς θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστίν; [6]ἄρα ἐπλανή- 6
θημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν,
καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν· [7]ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπω- 7
λείας, καὶ διωδεύσαμεν ἐρήμους ἀβάτους, τὴν δὲ ὁδὸν κυρίου οὐκ ἔγνωμεν.
[8]τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία; καὶ τί πλοῦτος μετὰ ἀλαζονείας συμ- 8
βέβληται ἡμῖν; [9]παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ καὶ ὡς ἀγγελία παρατρέ- 9
χουσα· [10]ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης οὐκ ἔστιν 10
ἴχνος εὑρεῖν, οὐδὲ ἀτραπὸν τρόπιος αὐτῆς ἐν κύμασιν· [11]ἢ ὡς ὀρνέου διιπτάν- 11
τος ἀέρα οὐθὲν εὑρίσκεται τεκμήριον πορείας, πληγῇ δὲ ταρσῶν μαστιζόμενον
πνεῦμα κοῦφον καὶ σχιζόμενον βίᾳ ῥοίζου, κινουμένων πτερύγων διωδεύθη,
καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ· [12]ἢ ὡς βέλους βλη- 12
θέντος ἐπὶ σκοπὸν τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν ἀνελύθη, ὡς ἀγνοῆσαι
τὴν δίοδον αὐτοῦ· [13]οὕτως καὶ ἡμεῖς γεννηθέντες ἐξελίπομεν, καὶ ἀρετῆς 13
μὲν σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι, [14]ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν. 14

---

5. ατελεστατοι 10. ευαρεστος θεω 14. *οι δε αλλοι 15. οσιοις pro εκλεκτοις, εκλεκτοις pro οσιοις 16. θανων ... νεοτητος 19. νεκροις αιωνος ... εσχατων V. 1. θλιψοντων 3. και ερουσιν εν εαυτοις ... στεναξονται και ερουσιν 4. οι αφρον. c. antecdd. conjg. 6. ελαμψεν εν ημιν 7. ωδευσαμεν 8. η υπερηφανια (ita etiam ed. rom.) ... η τι πλουτος ... αλαζονιας 10. τροπεως 11. διαπταντος 13. εξελειπομεν

Digitized by Google

15 15 ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χοῦς ὑπὸ ἀνέμου, καὶ ὡς πάχνη ὑπὸ λαί-
λαπος διωχθεῖσα λεπτή, καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη, καὶ ὡς μνεία
16 καταλύτου μονοημέρου παρώδευσε. 16 δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν
17 κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. 17 διὰ τοῦτο λή-
ψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς
κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.
18 18 λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν
19 ἐχθρῶν· 19 ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν
20 21 ἀνυπόκριτον· 20 λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, 21 ὀξυνεῖ δὲ ἀπότο-
μον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παρά-
22 φρονας. 22 πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου
23 τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, 23 καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφή-
σονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγ-
24 κλύσουσιν ἀποτόμως· 24 ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ
ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία
περιτρέψει θρόνους δυναστῶν.

## VI.

2 Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· 2 ἐνω-
3 τίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. 3 ὅτι ἐδόθη
4 παρὰ τοῦ κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου, 4 ὃς ἐξε-
5 τάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει· 5 ὅτι ὑπηρέται ὄντες τῆς
αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν
6 βουλὴν τοῦ θεοῦ ἐπορεύθητε. 6 φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι
7 κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. 7 ὁ γὰρ ἐλάχιστος συγγνωστός
8 ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται· 8 οὐ γὰρ ὑποστελεῖται πρόσω-
πον ὁ πάντων δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος· ὅτι μικρὸν καὶ μέγαν
9 αὐτὸς ἐποίησεν, ὁμοίως τε προνοεῖ περὶ πάντων· 9 τοῖς δὲ κραταιοῖς ἰσχυρὰ
10 ἐφίσταται ἔρευνα. 10 πρὸς ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου, ἵνα μάθητε
11 σοφίαν καὶ μὴ παραπέσητε. 11 οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσον-
12 ται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν. 12 ἐπιθυμήσατε οὖν τῶν
13 λόγων μου, ποθήσατε καὶ παιδευθήσεσθε, 13 λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ
σοφία, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν, καὶ εὑρίσκεται ὑπὸ
14 15 τῶν ζητούντων αὐτήν, 14 φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. 15 ὁ ὀρ-
16 θρίσας ἐπ' αὐτὴν οὐ κοπιάσει, πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ. 16 τὸ
γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης, καὶ ὁ ἀγρυπνήσας δι'
17 αὐτὴν ταχέως ἀμέριμνος ἔσται· 17 ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται
ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς, καὶ ἐν πάσῃ ἐπι-
18 νοίᾳ ὑπαντᾷ αὐτοῖς. 18 ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία,
19 19 φροντὶς δὲ παιδείας ἀγάπη, ἀγάπη δὲ τήρησις νόμων αὐτῆς, προσοχὴ δὲ
20 21 νόμων βεβαίωσις ἀφθαρσίας, 20 ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ· 21 ἐπι-
22 θυμία ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν. 22 εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ
23 σκήπτροις τύραννοι λαῶν, 23 τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.
24 24 τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο ἀπαγγελῶ, καὶ οὐκ ἀποκρύψω ὑμῖν μυ-
στήρια, ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν
25 γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν· 25 οὔτε μὴν φθόνῳ τε-
26 τηκότι συνοδεύσω, ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ. 26 πλῆθος δὲ σοφῶν σω-
27 τηρία κόσμου, καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου· 27 ὥστε παιδεύεσθε
τοῖς ῥήμασί μου, καὶ ὠφεληθήσεσθε.

---

15. χνους 17. λημψονται 18. 20. λημψεται 21. συνεκπολεμησει αυτω
23. συνκλυουσιν ... εκλιμμησει VI. 3. παρα κυριου 7. συγνωστ. ε. ελεου
15. προς αυτην 17. απαντα (21. επιθυμια γαρ ασοφιας) 25. κοινωνει

Digitized by Google

## VII.

Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος, ἴσος ἅπασιν, καὶ γηγενοῦς ἀπόγονος
πρωτοπλάστου· καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ 2 δεκαμηνιαίῳ χρόνῳ, 2
παγεὶς ἐν αἵματι ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνῳ συνελθούσης· 3 καὶ 3
ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν ἀέρα, καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπε-
σον γῆν, πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων· 4 ἐν σπαργάνοις ἀνε- 4
τράφην καὶ ἐν φροντίσιν. 5 οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχε γενέσεως ἀρχήν· 5
6 μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον ἔξοδός τε ἴση. 7 διὰ τοῦτο ηὐξάμην, 6 7
καὶ φρόνησις ἐδόθη μοι· ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα σοφίας. 8 προέ- 8
κρινα αὐτὴν σκήπτρων καὶ θρόνων, καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει
αὐτῆς· 9 οὐδὲ ὁμοίωσα αὐτῇ λίθον ἀτίμητον, ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐ- 9
τῆς ψάμμος ὀλίγη, καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς·
10 ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτήν, καὶ προειλόμην αὐτὴν ἀντὶ 10
φωτὸς ἔχειν, ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος. 11 ἦλθε δέ μοι τὰ ἀγαθὰ 11
ὁμοῦ πάντα μετ᾽ αὐτῆς, καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς· 12 εὐ- 12
φράνθην δὲ ἐπὶ πάντων, ὅτι αὐτῶν ἡγεῖται σοφία, ἠγνόουν δὲ αὐτὴν γενέτιν
εἶναι τούτων. 13 ἀδόλως τε ἔμαθον, ἀφθόνως τε μεταδίδωμι, τὸν πλοῦτον 13
αὐτῆς οὐκ ἀποκρύπτομαι· 14 ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις, ὃν οἱ 14
χρησάμενοι πρὸς θεὸν ἐστείλαντο φιλίαν, διὰ τὰς ἐκ παιδείας δωρεὰς συστα-
θέντες. 15 ἐμοὶ δὲ δῴη ὁ θεὸς εἰπεῖν κατὰ γνώμην καὶ ἐνθυμηθῆναι ἀξίως 15
τῶν δεδομένων, ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι καὶ τῶν σοφῶν διορ-
θωτής. 16 ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρό- 16
νησις καὶ ἐργατειῶν ἐπιστήμη. 17 αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων γνῶσιν 17
ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, 18 ἀρχὴν καὶ τέ- 18
λος καὶ μεσότητα χρόνων, τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν, 19 ἐνιαυ- 19
τῶν κύκλους καὶ ἀστέρων θέσεις, 20 φύσεις ζῴων καὶ θυμοὺς θηρίων, πνευ- 20
μάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν.
21 ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ ἔγνων· ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ 21
με σοφία. 22 ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, μονογενές, πολυμερές, 22
λεπτόν, εὐκίνητον, τρανόν, ἀμόλυντον, σαφές, ἀπήμαντον, φιλάγαθον, ὀξύ,
ἀκώλυτον, εὐεργετικόν, 23 φιλάνθρωπον, βέβαιον, ἀσφαλές, ἀμέριμνον, παντοδύ- 23
ναμον, πανεπίσκοπον, καὶ διὰ πάντων χωροῦν πνευμάτων νοερῶν καθαρῶν
λεπτοτάτων. 24 πάσης γὰρ κινήσεως κινητικώτερον σοφία, διήκει δὲ καὶ χω- 24
ρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα. 25 ἀτμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνά- 25
μεως, καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής· διὰ τοῦτο οὐδὲν
μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει. 26 ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, 26
καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος
αὐτοῦ. 27 μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα και- 27
νίζει, καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα φίλους θεοῦ καὶ προ-
φήτας κατασκευάζει· 28 οὐθὲν γὰρ ἀγαπᾷ ὁ θεὸς εἰ μὴ τὸν σοφίᾳ συνοι- 28
κοῦντα. 29 ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν 29
φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα· 30 τοῦτο μὲν γὰρ διαδέχεται νύξ, 30
σοφίας δὲ οὐκ ἀντισχύει κακία.

---

VII. 4. ανεστραφην και φροντισιν 5. βασιλεων 9. ωμοιωσα αυτην 10. προειλαμην 12. ηυφρανθην δε επι πασιν 14. ον οι κτησαμενοι 15. των λεγομενων 19. ενιαυτου 22. εστι γαρ αυτη 23. παντεπισκοπον 25. ιλικρινειας 27. εν εαυτη παντα 28. ουδεν γαρ ο θεος αγαπα 29. αστερων 30. σοφιαν δε ου κατισχυι κακια

Digitized by Google

## VIII.

Διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα
2 χρηστῶς. [2] ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμ-
3 φην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. [3] εὐγένειαν
δοξάζει συμβίωσιν θεοῦ ἔχουσα, καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν·
4 [4] μύστις γάρ ἐστι τῆς τοῦ θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ.
5 [5] εἰ δὲ πλοῦτός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί σοφίας πλουσιώτερον
6 τῆς τὰ πάντα ἐργαζομένης; [6] εἰ δὲ φρόνησις ἐργάζεται, τίς αὐτῆς τῶν ὄντων
7 μᾶλλόν ἐστι τεχνίτης; [7] καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι ταύτης εἰσὶν
ἀρεταί· σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν,
8 ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. [8] εἰ δὲ καὶ πολυπειρίαν πο-
θεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται: στροφὰς λόγων
καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν
9 καὶ χρόνων. [9] ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν, εἰδὼς ὅτι ἔσται
10 μοι σύμβουλος ἀγαθῶν, καὶ παραίνεσις φροντίδων καὶ λύπης. [10] ἕξω δι᾽ αὐ-
11 τὴν δόξαν ἐν ὄχλοις, καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος· [11] ὀξὺς εὑρεθήσο-
12 μαι ἐν κρίσει, καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι· [12] σιγῶντά με περι-
μενοῦσιν, καὶ φθεγγομένῳ προσέξουσι, καὶ λαλοῦντος ἐπὶ πλεῖον χεῖρα ἐπιθή-
13 σουσιν ἐπὶ στόμα αὐτῶν. [13] ἕξω δι᾽ αὐτὴν ἀθανασίαν, καὶ μνήμην αἰώνιον
14 τοῖς μετ᾽ ἐμὲ ἀπολείψω. [14] διοικήσω λαούς, καὶ ἔθνη ὑποταγήσεταί μοι·
15 [15] φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί, ἐν πλήθει φανοῦμαι ἀγαθὸς
16 καὶ ἐν πολέμῳ ἀνδρεῖος· [16] εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ·
οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς, οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς,
17 ἀλλὰ εὐφροσύνην καὶ χαράν. [17] ταῦτα λογισάμενος ἐν ἐμαυτῷ καὶ φροντίσας
18 ἐν καρδίᾳ μου, ὅτι ἐστὶν ἀθανασία ἐν συγγενείᾳ σοφίας, [18] καὶ ἐν φιλίᾳ αὐτῆς
τέρψις ἀγαθή, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπής, καὶ ἐν συγ-
γυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς, πε-
19 ριήειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν. [19] παῖς δὲ ἤμην εὐφυής, ψυχῆς
20 21 τε ἔλαχον ἀγαθῆς, [20] μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. [21] γνοὺς
δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς ἐὰν μὴ ὁ θεὸς δῷ, καὶ τοῦτο δ᾽ ἦν φρο-
νήσεως τὸ εἰδέναι τίνος ἡ χάρις, ἐνέτυχον τῷ κυρίῳ καὶ ἐδεήθην αὐτοῦ, καὶ
εἶπον ἐξ ὅλης τῆς καρδίας μου

## IX.

Θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ
2 σου, [2] καὶ τῇ σοφίᾳ σου κατεσκευάσας ἄνθρωπον ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ
3 γενομένων κτισμάτων, [3] καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ,
4 καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ, [4] δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον
5 σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· [5] ὅτι ἐγὼ δοῦλος σὸς καὶ
υἱὸς τῆς παιδίσκης σου, ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος καὶ ἐλάσσων ἐν
6 συνέσει κρίσεως καὶ νόμων· [6] κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς
7 ἀπὸ σοῦ σοφίας ἀπούσης εἰς οὐδὲν λογισθήσεται. [7] σύ με προείλω βασιλέα

VIII. 1. **επι περας ... διοικειται 7. AC atque etiam ed. rom. ανδριαν 8. πολυπειραν ... εικαζει 9. αγαγεσθαι ταυτην ... C om αγαγεσθαι 10. C εν οχλω 12. C χειρα δε επιθ. 13. C post αθανασ. add και τιμην παρα — — (reliqua non liquent) ... C καταλιψω 15. C φανησομαι 17. AC αθανασια εστιν 18. C τρεψις ... C εν γυμνασια ... AC ευκλεης 21. AC οτι ου καλως ... C και το δη φρονησεως εστιν ... τινος χαρις, C τιν. εστιν η χαρις IX. 1. C om σου prius 2. C om σου ... κατασκευασας ... C ινα δεσποζει 6. C η τις ... εις ουθεν, C ουθεν 7. C προσειλου

Digitized by Google

λαοῦ σου καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων· [8] εἶπας οἰκοδομῆσαι ναὸν 8
ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον, μίμημα
σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς· [9] καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα 9
τὰ ἔργα σου, καὶ παροῦσα ὅτε ἐποίεις τὸν κόσμον, καὶ ἐπισταμένη τί ἀρεστὸν
ἐν ὀφθαλμοῖς σου καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου· [10] ἐξαπόστειλον αὐτὴν ἐξ 10
ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτήν, ἵνα συμπαροῦσά
μοι κοπιάσῃ, καὶ γνῶ τί εὐάρεστόν ἐστι παρὰ σοί. [11] οἶδε γὰρ ἐκείνη πάντα 11
καὶ συνιεῖ, καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως, καὶ φυλάξει με
ἐν τῇ δόξῃ αὐτῆς· [12] καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου, καὶ διακρινῶ τὸν 12
λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου. [13] τίς γὰρ ἄνθρωπος 13
γνώσεται βουλὴν θεοῦ; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ κύριος; [14] λογισμοὶ 14
γὰρ θνητῶν δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν· [15] φθαρτὸν γὰρ σῶμα 15
βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. [16] καὶ μόλις 16
εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου, τὰ δὲ ἐν
οὐρανοῖς τίς ἐξιχνίασεν; [17] βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν 17
καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων; [18] καὶ οὕτως διωρθώθησαν 18
αἱ τρίβοι τῶν ἐπὶ γῆς, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, [19] καὶ τῇ 19
σοφίᾳ ἐσώθησαν.

## X.

Αὕτη πρωτόπλαστον πατέρα κόσμου μόνον κτισθέντα διεφύλαξεν, καὶ
ἐξείλατο αὐτὸν ἐκ παραπτώματος ἰδίου, [2] ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι 2
ἁπάντων. [3] ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ ἀδελφοκτόνοις συνα- 3
πώλετο θυμοῖς· [4] δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσωσε σοφία, δι' εὐ- 4
τελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα. [5] αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν 5
συγχυθέντων εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον θεῷ, καὶ ἐπὶ
τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν. [6] αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν 6
ἐῤῥύσατο φυγόντα πῦρ καταβάσιον Πενταπόλεως· [7] οἷς ἐπὶ μαρτύριον τῆς πο- 7
νηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα
φυτά, ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός. [8] σοφίαν γὰρ παρο- 8
δεύσαντες οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι τὰ καλά, ἀλλὰ καὶ τῆς ἀφρο-
σύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον, ἵνα ἐν οἷς ἐσφάλησαν μηδὲ λαθεῖν δυ-
νηθῶσι. [9] σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο. [10] αὕτη 9 10
φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον ὡδήγησεν ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ
βασιλείαν θεοῦ, καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων, εὐπόρησεν αὐτὸν ἐν μόχθοις
καὶ ἐπλήθυνε τοὺς πόνους αὐτοῦ· [11] ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη 11
καὶ ἐπλούτισεν αὐτόν, [12] διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν, καὶ ἀπὸ ἐνεδρευόντων 12
ἠσφαλίσατο, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ, ἵνα γνῷ ὅτι παντὸς δυνα-
τωτέρα ἐστὶν εὐσέβεια. [13] αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἐξ 13
ἁμαρτίας ἐῤῥύσατο αὐτόν· [14] συγκατέβη αὐτῷ εἰς λάκκον, καὶ ἐν δεσμοῖς οὐκ 14
ἀφῆκεν αὐτόν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας καὶ ἐξουσίαν τυραν-
νούντων αὐτοῦ, ψευδεῖς τε ἔδειξε τοὺς μωμησαμένους αὐτόν, καὶ ἔδωκεν

8. C οικοδομησω ... κατασκηνεσεως 9. C εποιει 10. C συνπαρουσαν μ. κοπιασει 11. C με ταις πραξ. 12. C σωφρονως pro δικαιως 16. μογις 17. C ει μη συνεδωκας ... C αφ υψους 18. C διορθωθησαν αι τρ. των εθνων επι της γης ... C αριστα X. 2. C εδωκ. δε ... AC παντων 4. C διο pro δι ον ... AC εσωσεν ... C om δι 5. AC εγνω τον δικαιον ... C τω θεω σ. ... C ερυσατο ... AC καταβασ. πυρ 7. ης ετι μαρτυρ., C η εστι μαρτ. 8. απελειπον 9. AC θεραπευοντας ... C ερυσατο 10. C αυτη και φυγαδα ... C γνωσιν ανθρωπων ... τ. κοπους αυτ. 11. C in f. add εν μοχθοις 12. η ευσεβεια 13. εγκατελειπεν ... C ερυσατο 14. C τυραννουντ. αυτον

Digitized by Google

15 αὐτῷ δόξαν αἰώνιον. [15] αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ
16 ἔθνους θλιβόντων· [16] εἰςῆλθεν εἰς ψυχὴν θεράποντος κυρίου, καὶ ἀντέστη βα-
17 σιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις. [17] ἀπέδωκεν ὁσίοις μισθὸν κόπων
αὐτῶν, ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην
18 ἡμέρας καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα. [18] διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυ-
19 θράν, καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ· [19] τοὺς δὲ ἐχθροὺς αὐτῶν
20 κατέκλυσε, καὶ ἐκ βάθους ἀβύσσου ἀνέβρασεν αὐτούς. [20] διὰ τοῦτο δίκαιοι
ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν κύριε τὸ ὄνομα τὸ ἅγιόν σου, τήν τε ὑπέρ-
21 μαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν· [21] ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν,
καὶ γλώσσας νηπίων ἔθηκε τρανάς.

## XI.

2 Εὐώδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου· [2] διώδευσαν ἔρημον
3 ἀοίκητον, καὶ ἐν ἀβάτοις ἔπηξαν σκηνάς· [3] ἀντέστησαν πολεμίοις, καὶ ἠμύ-
4 ναντο ἐχθρούς. [4] ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας
5 ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ. [5] δι' ὧν γὰρ ἐκολάσθη-
6 7 σαν οἱ ἐχθροὶ αὐτῶν, [6] διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετήθησαν. [7] ἀντὶ
8 μὲν πηγῆς ἀεννάου ποταμοῦ αἵματι λυθρώδει ταραχθέντες [8] εἰς ἔλεγχον νη-
9 πιοκτόνου διατάγματος, ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως· [9] δείξας
10 διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλασας. [10] ὅτε γὰρ ἐπειράσθη-
σαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς
11 ἐβασανίζοντο· [11] τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους
12 δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας. [12] καὶ ἀπόντες δὲ καὶ πα-
13 ρόντες ὁμοίως ἐτρύχοντο· [13] διπλῆ γὰρ αὐτοὺς ἔλαβε λύπη καὶ στεναγμὸς
14 μνημῶν τῶν παρελθουσῶν. [14] ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων εὐ-
15 εργετουμένους αὐτούς, ᾔσθοντο τοῦ κυρίου· [15] τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥι-
φέντα ἀπεῖπον χλευάζοντες, ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια
16 δικαίοις διψήσαντες. [16] ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς
πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ, ἐπαπέστειλας
17 αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν, [17] ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρ-
18 τάνει, διὰ τούτων κολάζεται. [18] οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ
κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων ἢ
19 θρασεῖς λέοντας, [19] ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους, ἤτοι πυρ-
πνόον φυσῶντας ἆσθμα, ἢ βρόμους λικμωμένους καπνοῦ, ἢ δεινοὺς ἀπ' ὀμ-
20 μάτων σπινθῆρας ἀστράπτοντας, [20] ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρῖψαι
21 αὐτούς, ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι, [21] καὶ χωρὶς δὲ τούτων ἑνὶ
πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ τῆς δίκης διωχθέντες, καὶ λικμηθέντες ὑπὸ
πνεύματος δυνάμεώς σου· ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέ-
22 ταξας. [22] τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, καὶ κράτει βραχίονός
23 σου τίς ἀντιστήσεται; [23] ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον
24 σου, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν. [24] ἐλεεῖς δὲ πάντας,

---

15. AC ερυσατο 17. μισθον οσιοις ... C κοπ. αυτου ... AC αστερων 19. C εχθρ. αυτου ... κατεκλυσαν ... C διεβιβασεν 20. C την δε et χειραν XI. 1. AC ευοδωσεν ... εργ. αυτου ... προφητων αγιων 3. AC εχθρους ημυναντο 7. αεναου (ita videtur etiam C) ... ταραχθεντος 9. C εκαλεσας 10. C πως μετ οργης 13. των παρελθοντων (C ut ed. rom.) 14. AC ευεργετημενους 15. ον γαρ ... εν εχθεσει, C εν εχθεσι ... C ριφεντα παλαι ανθρωπον απειποντες εχλευαζον ... εθαυμαζον 16. κλωδαλα (δαλα in rasura) 18. η πληθος 19. AC* νεοκτιστου ... AC βρομον ... λιχμωμενους 20. εδυνατο ... AC εκτριψαι 21. C εν ενι πνευματι ... C om σου ... C om και σταθμω 22. AC σοι παρεστιν ... C βραχιονος ουθεις αντιστησεται 23 C κατεναντιον σου (... C ορθινη) ... C επι γης X. 18. C εις θαλ.

Digitized by Google

ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. 25 ἀγα- 25
πᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας, οὐδὲ γὰρ ἂν
μισῶν τι κατεσκεύασας. 26 πῶς δὲ ἔμεινεν ἄν τι εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ 26
μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη; 27 φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, δέσποτα 27
φιλόψυχε.

## XII.

Τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι· 2 διὸ τοὺς παραπίπτοντας 2
κατ᾽ ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα
ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σέ, κύριε. 3 καὶ γὰρ τοὺς παλαιοὺς 3
οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας, 4 ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα φαρ- 4
μακειῶν καὶ τελετὰς ἀνοσίους, 5 τέκνων τε φονέας ἀνελεήμονας, καὶ σπλαγ- 5
χνοφάγων ἀνθρωπίνων σαρκῶν θοῖναν καὶ αἵματος ἐκ μέσου μυσταθείας σου,
6 καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν 6
πατέρων ἡμῶν, 7 ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων ἡ παρὰ σοὶ πασῶν 7
τιμιωτάτη γῆ. 8 ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω, ἀπέστειλάς τε προ- 8
δρόμους τοῦ στρατοπέδου σου σφῆκας, ἵνα αὐτοὺς κατὰ βραχὺ ἐξολοθρεύσω-
σιν· 9 οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ 9
θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ᾽ ἓν ἐκτρῖψαι· 10 κρίνων δὲ κατὰ βραχὺ 10
ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν καὶ ἔμ-
φυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα·
11 σπέρμα γὰρ ἦν κατηραμένον ἀπ᾽ ἀρχῆς· οὐδὲ εὐλαβούμενός τινα ἐφ᾽ οἷς 11
ἡμάρτανον ἄδειαν ἐδίδους. 12 τίς γὰρ ἐρεῖ Τί ἐποίησας; ἢ τίς ἀντιστήσεται 12
τῷ κρίματί σου; τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων, ἃ σὺ ἐποίη-
σας; ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
13 οὔτε γὰρ θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς ὅτι οὐκ 13
ἀδίκως ἔκρινας· 14 οὔτε βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι 14
περὶ ὧν ἀπώλεσας. 15 δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις, αὐτὸν τὸν 15
μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι ἀλλότριον ἡγούμενος τῆς σῆς δυνά-
μεως. 16 ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή, καὶ τὸ πάντων σε δεσπόζειν 16
πάντων φείδεσθαι ποιεῖ· 17 ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως 17
τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις· 18 σὺ δὲ δεσπόζων ἰσχύος 18
ἐν ἐπιεικείᾳ κρίνεις, καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς. πάρεστι γάρ σοι
ὅταν θέλῃς τὸ δύνασθαι, 19 ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔρ- 19
γων, ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον· καὶ εὐέλπιδας ἐποίησας τοὺς
υἱούς σου, ὅτι δίδως ἐπὶ ἁμαρτήμασι μετάνοιαν. 20 εἰ γὰρ ἐχθροὺς παίδων 20
σου καὶ ὀφειλομένους θανάτῳ μετὰ τοσαύτης ἐτιμώρησας προσοχῆς καὶ δεή-
σεως, δοὺς χρόνους καὶ τόπον δι᾽ ὧν ἀπαλλαγῶσι τῆς κακίας, 21 μετὰ πόσης 21
ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας
ἔδωκας ἀγαθῶν ὑποσχέσεων; 22 ἡμᾶς οὖν παιδεύων τοὺς ἐχθροὺς ἡμῶν ἐν 22
μυριότητι μαστιγοῖς, ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες, κρινό-
μενοι δὲ προσδοκῶμεν ἔλεος. 23 ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας 23
ἀδίκους διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων. 24 καὶ γὰρ τῶν πλάνης 24
ὁδῶν μακρότερον ἐπλανήθησαν, θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν

---

25. ουδενα 26. C πως γαρ διεμεινεν αν τις ... C (vdtr) κληθηναι 27. A (item C vdtr) σα εστιν παντα XII. 2. πιστευσωμεν 3. AC μισησας c. seqq. conjg. 4. C φαρμακιας ... C ανοσιων 5. (C φρονεας) ... C σαρκος ... C εμμεσω ... μυστας θειασου 6. C και λυθεντας (7. C αξια) 8. AC εξολεθρευσωσιν 14. εκολασας 16. φειδεσθ. σε ποιει 17. οτι απιστουμενος ... εν τοις ουκ ειδοσι 19. οτι διδοις 20. ετιμωρησω ... om και δεησεως ... χρονον 23. αδικως



Digitized by Google

25 ἐχθρῶν ἄτιμα, νηπίων δίκην ἀφρόνων ψευσθέντες. 25 διὰ τοῦτο ὡς παισὶν
26 ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας· 26 οἱ δὲ παιγνίοις ἐπιτιμήσεως
27 μὴ νουθετηθέντες ἀξίαν θεοῦ κρίσιν πειράσουσιν. 27 ἐφ' οἷς γὰρ αὐτοὶ πά-
σχοντες ἠγανάκτουν, ἐπὶ τούτοις οὓς ἐδόκουν θεούς, ἐν αὐτοῖς κολαζόμενοι,
ἰδόντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι θεὸν ἐπέγνωσαν ἀληθῆ· διὸ καὶ τὸ τέρμα
τῆς καταδίκης ἐπ' αὐτοὺς ἐπῆλθεν.

## XIII.

Μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν θεοῦ ἀγνωσία, καὶ
ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα, οὔτε τοῖς ἔργοις
2 προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην· 2 ἀλλ' ἢ πῦρ ἢ πνεῦμα ἢ ταχινὸν ἀέρα
ἢ κύκλον ἄστρων ἢ βίαιον ὕδωρ ἢ φωστῆρας οὐρανοῦ πρυτάνεις κόσμου
3 θεοὺς ἐνόμισαν. 3 ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι θεοὺς ὑπελάμβανον, γνώ-
τωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων· ὁ γὰρ τοῦ κάλλους γενεσιάρ-
4 χης ἔκτισεν αὐτά· 4 εἰ δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες, νοησάτωσαν
5 ἀπ' αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστιν· 5 ἐκ γὰρ μεγέθους
6 καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. 6 ἀλλ' ὅμως
ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη, καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται θεὸν ζητοῦν-
7 τες καὶ θέλοντες εὑρεῖν· 7 ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευ-
8 νῶσιν, καὶ πείθονται τῇ ὄψει ὅτι καλὰ τὰ βλεπόμενα. 8 πάλιν δὲ οὐδ' αὐτοὶ
9 συγγνωστοί· 9 εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι ἵνα δύνωνται στοχάσασθαι
10 τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον; 10 ταλαίπωροι δὲ καὶ
ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων,
χρυσὸν καὶ ἄργυρον τέχνης ἐμμελέτημα καὶ ἀπεικάσματα ζώων, ἢ λίθον
11 ἄχρηστον χειρὸς ἔργον ἀρχαίας. 11 εἰ δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον
φυτὸν ἐκπρίσας περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ, καὶ τεχνησά-
12 μενος εὐπρεπῶς κατεσκεύασε χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς, 12 τὰ δὲ
13 ἀποβλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη· 13 τὸ
δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐθὲν εὔχρηστον, ξύλον σκολιὸν καὶ ὄζοις συμ-
πεφυκός, λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ, καὶ ἐμπειρίᾳ συνέσεως
14 ἐτύπωσεν αὐτό, ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου, 14 ἢ ζώῳ τινὶ εὐτελεῖ ὡμοίω-
σεν αὐτό, καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ, καὶ πᾶσαν
15 κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας, 15 καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα,
16 ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος σιδήρῳ. 16 ἵνα μὲν οὖν μὴ καταπέσῃ
προενόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι, καὶ γάρ ἐστιν εἰκὼν
17 καὶ χρείαν ἔχει βοηθείας. 17 περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων
προσευχόμενος οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν, καὶ περὶ μὲν ὑγιείας
18 τὸ ἀσθενὲς ἐπικαλεῖται, 18 περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ, περὶ δὲ ἐπικουρίας
τὸν ἀπειρότατον ἱκετεύει, περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνά-
19 μενον, 19 περὶ δὲ πορισμοῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας τὸ ἀδρανέ-
στατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

## XIV.

Πλοῦν τις πάλιν στελλόμενος καὶ ἄγρια μέλλων διοδεύειν κύματα τοῦ
2 φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται. 2 ἐκεῖνο μὲν γὰρ ὄρεξις
3 πορισμῶν ἐπενόησε, τεχνίτης δὲ σοφίᾳ κατεσκεύασεν· 3 ἡ δὲ σή, πάτερ, δια-
κυβερνᾷ πρόνοια, ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν κύμασι τρίβον

XIII. 1. προσεχοντες 3. ταυτα θεους 6. ετι τουτοις μεμψ. εστιν 8. ουδε αυτοι ... συγνωστοι 12. τα δε υπολιμματα ... εις υπηρεσιαν 13. εις ουδεν ... εγλυψεν επιμελεια εργασιας αυτου, και εμπ. ανεσεως ... απεικασεν τε 14. ερυθηνος 18. το νεκρον ... το απειροτατον XIV. 1. ξυλου pro πλοιου 2. τεχνιτις

ἀσφαλῆ, [4]δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν, ἵνα κἂν ἄνευ τέχνης τις 4
ἐπιβῇ. [5]θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα, διὰ τοῦτο καὶ 5
ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχάς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ
διεσώθησαν. [6]καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων, ἡ ἐλπὶς 6
τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως τῇ
σῇ κυβερνηθεῖσα χειρί. [7]εὐλόγηται γὰρ ξύλον δι' οὗ γίνεται δικαιοσύνη· [8]τὸ 7 8
χειροποίητον δὲ ἐπικατάρατον αὐτὸ καὶ ὁ ποιήσας αὐτό, ὅτι ὁ μὲν εἰργάζετο,
τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη. [9]ἐν ἴσῳ γὰρ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ 9
ἡ ἀσέβεια αὐτοῦ· [10]καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. 10
[11]διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται, ὅτι ἐν κτίσματι θεοῦ εἰς 11
βδέλυγμα ἐγενήθησαν καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων καὶ εἰς παγίδα
ποσὶν ἀφρόνων. [12]ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν 12
φθορὰ ζωῆς. [13]οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται· [14]κενο- 13 14
δοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον, καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέ-
λος ἐπενοήθη. [15]ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ τοῦ ταχέως ἀφαιρε- 15
θέντος τέκνου, εἰκόνα ποιήσας τὸν τότε νεκρὸν ἄνθρωπον νῦν ὡς θεὸν ἐτίμησε,
καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετάς· [16]εἶτα ἐν χρόνῳ κρα- 16
τυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη, καὶ τυράννων ἐπιταγαῖς ἐθρη-
σκεύετο τὰ γλυπτά, [17]οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι διὰ τὸ μακρὰν 17
οἰκεῖν, τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου
βασιλέως ἐποίησαν, ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύωσι διὰ τῆς σπου-
δῆς. [18]εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου προε- 18
τρέψατο φιλοτιμία. [19]ὁ μὲν γὰρ τάχα τῷ κρατοῦντι βουλόμενος ἀρέσαι ἐξε- 19
βιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον· [20]τὸ δὲ πλῆθος ἐφελκόμενον 20
διὰ τὸ εὔχαρι τῆς ἐργασίας τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον νῦν σέβασμα
ἐλογίσαντο. [21]καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, ὅτι ἢ συμφορᾷ ἢ τυ- 21
ραννίδι δουλεύσαντες ἄνθρωποι τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέ-
θεσαν. [22]εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τὴν τοῦ θεοῦ γνῶσιν, ἀλλὰ καὶ 22
μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.
[23]ἢ γὰρ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια ἢ ἐμμανεῖς ἐξάλλων θεσμῶν 23
κώμους ἄγοντες, [24]οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, ἕτερος 24
δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυνᾷ. [25]πάντας δ' ἐπιμὶξ ἔχει αἷμα 25
καὶ φόνος, κλοπὴ καὶ δόλος, φθορά, ἀπιστία, ταραχή, ἐπιορκία, θόρυβος ἀγα-
θῶν, [26]χάριτος ἀμνησία, ψυχῶν μιασμός, γενέσεως ἐναλλαγή, γάμων ἀταξία, 26
μοιχεία καὶ ἀσέλγεια. [27]ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία παντὸς 27
ἀρχὴ κακοῦ καὶ αἰτία καὶ πέρας ἐστίν· [28]ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, 28
ἢ προφητεύουσι ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ ἐπιορκοῦσι ταχέως· [29]ἀψύχοις 29
γὰρ πεποιθότες εἰδώλοις κακῶς ὀμόσαντες ἀδικηθῆναι οὐ προσδέχονται. [30]ἀμ- 30
φότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, ὅτι κακῶς ἐφρόνησαν περὶ θεοῦ
προσχόντες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότη-
τος. [31]οὐ γὰρ ἡ τῶν ὀμνυομένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη 31
ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

---

4. εκ παντων ... ινα και ανευ 6. απελειπεν 8. ηργαζετο 11. ιδωλοις (sed 12. 27. ειδωλων) 14. θανατος εισηλθεν εις τον κοσμον ... το τελος 15. τον ποτε νεκρον 16. ειτ εν 17. κολακευσωσιν δια σπουδης 18. θρησκιας 19. AC om τω 20. AC ευχαρες 21. C περιεθηκαν 22. **ηρκεσεν αυτοις το ... AC και εν μεγαλω 23. ed. rom. ἐξ ἄλλων 24. AC δε ετερον 25. AC παντα ... δε επιμιξ ... C απιστειας ... AC ταραχος ... C εφιορκια 26. AC αμνηστια 27. θρησκια 28. εφιορκουσιν 30. C αμφ. δε αυτου ... *τα αδικα ... AC προσεχοντες 31. ομνυμενων



Digitized by Google

## XV.

Σὺ δὲ ὁ θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθής, μακρόθυμος καὶ ἐν ἐλέει διοι-
2 κῶν τὰ πάντα. ² καὶ γὰρ ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος·
3 οὐχ ἁμαρτησόμεθα δέ, εἰδότες ὅτι σοὶ λελογίσμεθα. ³ τὸ γὰρ ἐπίστασθαί σε
4 ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας. ⁴ οὔτε γὰρ
ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιαγράφων πόνος ἄκαρ-
5 πος, εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις· ⁵ ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος
6 ἔρχεται, ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν. ⁶ κακῶν ἐρασταὶ ἄξιοί τε
7 τοιούτων ἐλπίδων καὶ οἱ δρῶντες καὶ οἱ ποθοῦντες καὶ οἱ σεβόμενοι. ⁷ καὶ
γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν
ἕκαστον, ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο τά τε τῶν καθαρῶν ἔργων
δοῦλα σκεύη τά τε ἐναντία πάνθ' ὁμοίως· τούτων δὲ ἑκατέρου τίς ἑκάστου
8 ἐστὶν ἡ χρῆσις, κριτὴς ὁ πηλουργός· ⁸ καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ
αὐτοῦ πλάσσει πηλοῦ, ὃς πρὸ μικροῦ ἐκ γῆς γεννηθεὶς μετ' ὀλίγον πορεύεται
9 ἐξ ἧς ἐλήφθη, τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος. ⁹ ἀλλ' ἔστιν αὐτῷ φροντὶς
οὐχ ὅτι μέλλει κάμνειν, οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει, ἀλλ' ἀντερείδεται μὲν
χρυσουργοῖς καὶ ἀργυροχόοις, χαλκοπλάστας τε μιμεῖται, καὶ δόξαν ἡγεῖται
10 ὅτι κίβδηλα πλάσσει. ¹⁰ σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς
11 αὐτοῦ, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ, ¹¹ ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτὸν
καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν καὶ ἐμφυσήσαντα πνεῦμα ζω-
12 τικόν· ¹² ἀλλ' ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν καὶ τὸν βίον πανη-
13 γυρισμὸν ἐπικερδῆ, δεῖν γάρ φησιν ὅθεν δὴ κἂν ἐκ κακοῦ πορίζειν. ¹³ οὗτος
γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει, ὕλης γεώδους εὔθραυστα σκεύη καὶ
14 γλυπτὰ δημιουργῶν. ¹⁴ πάντες δ' ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νη-
15 πίου, οἱ ἐχθροὶ τοῦ λαοῦ σου καταδυναστεύσαντες αὐτόν, ¹⁵ ὅτι καὶ πάντα
εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεούς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν,
οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος, οὔτε ὦτα ἀκούειν, οὔτε δάκτυλοι χειρῶν εἰς
16 ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν. ¹⁶ ἄνθρωπος γὰρ ἐποίη-
σεν αὐτούς, καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτούς· οὐδεὶς γὰρ αὐτῷ
17 ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν· ¹⁷ θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν
ἀνόμοις· κρείττων γάρ ἐστι τῶν σεβασμάτων αὐτοῦ, ὧν αὐτὸς μὲν ἔζησεν,
18 ἐκεῖνα δὲ οὐδέποτε. ¹⁸ καὶ τὰ ζῷα δὲ τὰ ἔχθιστα σέβονται· ἀνοίᾳ γὰρ συγκρι-
19 νόμενα τῶν ἄλλων ἐστὶ χείρονα. ¹⁹ οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν ζῴων ὄψει
καλὰ τυγχάνει, ἐκπέφευγε δὲ καὶ τὸν τοῦ θεοῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτοῦ.

## XVI.

Διὰ τοῦτο δι' ὁμοίων ἐκολάσθησαν ἀξίως, καὶ διὰ πλήθους κνωδάλων
2 ἐβασανίσθησαν. ² ἀνθ' ἧς κολάσεως εὐεργέτησας τὸν λαόν σου, εἰς ἐπιθυμίαν
3 ὀρέξεως ξένην γεῦσιν, τροφὴν ἡτοίμασας ὀρτυγομήτραν· ³ ἵνα ἐκεῖνοι μὲν ἐπι-
θυμοῦντες τροφὴν διὰ τὴν εἰδέχθειαν τῶν ἐπαπεσταλμένων καὶ τὴν ἀναγ-
καίαν ὄρεξιν ἀποστρέφωνται, αὐτοὶ δὲ ἐπ' ὀλίγον ἐνδεεῖς γενόμενοι καὶ ξένης

---

XV. 1. AC και ελεει 3. AC σου το κρατος 5. *αφρονι (vdtr) ... AC εις ορεξιν ... C ποθειται ν. εικονας ... αγνουν 7. AC ημων εν εκαστον ... C om τα τε εν. π. ομοιως ... παντα ... C εκατερουν 8. πλασσ. εκ του αυτου ... C γενηθεις ... AC ελημφθη 9. C κιβδ. πρασσει 11. AC τον ποιησαντα αυτον ... C αυτω εις ψυχην ... C* αυτω πνευμα (vdtr) 12. αλλα ελογ. ... AC φασιν ... δη και εκ, C δη εκ 13. AC ευθραστα 14. AC παντων δε ... C αφρονεστεροι ... AC υπερ ψυχας νηπιων 15. AC οτι παντα τα ειδωλα ... C om εις ante ορασιν 16. AC δεδανισμενος ... **γαρ ανθρωπων ομοιον ισχυει 17. AC χρισσων ... σεβηματων 18. ed. rom. ἄνοια XVI. 2. οις εις επιθυμιαν 3. δια την δειχθεισαν ... C επαποστρεφονται ... AC ουτοι δε

Digitized by Google

μετάσχωσι γεύσεως. [4] ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν 4
τυραννοῦσι, τούτοις δὲ μόνον δειχθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.
[5] καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων θυμός, δήγμασί τε σκολιῶν διε- 5
φθείροντο ὄφεων, οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου· [6] εἰς νουθεσίαν δὲ 6
πρὸς ὀλίγον ἐταράχθησαν, σύμβουλον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν ἐντο-
λῆς νόμου σου· [7] ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσώζετο, ἀλλὰ 7
διὰ σὲ τὸν πάντων σωτῆρα. [8] καὶ ἐν τούτῳ δὲ ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν, 8
ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ· [9] οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν 9
ἀπέκτεινε δήγματα, καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν, ὅτι ἄξιοι ἦσαν
ὑπὸ τοιούτων κολασθῆναι· [10] τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνί- 10
κησαν ὀδόντες, τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθε καὶ ἰάσατο αὐτούς. [11] εἰς γὰρ 11
ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, καὶ ὀξέως διεσώζοντο, ἵνα μὴ εἰς
βαθεῖαν ἐμπεσόντες λήθην ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας. [12] καὶ 12
γὰρ οὔτε βοτάνη οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, ἀλλὰ ὁ σὸς κύριε λόγος
ὁ πάντα ἰώμενος. [13] σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις 13
εἰς πύλας ᾅδου καὶ ἀνάγεις. [14] ἄνθρωπος δὲ ἀποκτέννει μὲν τῇ κακίᾳ αὐτοῦ, 14
ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει, οὐδὲ ἀναλύει ψυχὴν παραληφθεῖσαν.
[15] τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστιν· [16] ἀρνούμενοι γάρ σε εἰδέναι ἀσε- 15 16
βεῖς ἐν ἰσχύϊ βραχίονός σου ἐμαστιγώθησαν, ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ
ὄμβροις διωκόμενοι ἀπαραιτήτοις καὶ πυρὶ καταναλισκόμενοι. [17] τὸ γὰρ πα- 17
ραδοξότατον ἐν τῷ πάντα σβεννύντι ὕδατι πλεῖον ἐνήργει τὸ πῦρ, ὑπέρμαχος
γὰρ ὁ κόσμος ἐστὶ δικαίων· [18] ποτὲ μὲν γὰρ ἡμεροῦτο φλόξ, ἵνα μὴ κατα- 18
φλέξῃ τὰ ἐπ᾽ ἀσεβεῖς ἀπεσταλμένα ζῶα, ἀλλ᾽ αὐτοὶ βλέποντες ἴδωσιν ὅτι
θεοῦ κρίσει ἐλαύνονται· [19] ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύνα- 19
μιν φλέγει, ἵνα ἀδίκου γῆς γεννήματα διαφθείρῃ. [20] ἀνθ᾽ ὧν ἀγγέλων τροφὴν 20
ἐψώμισας τὸν λαόν σου, καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ᾽ οὐρανοῦ ἔπεμψας ἀκο-
πιάτως, πᾶσαν ἡδονὴν ἰσχύοντα καὶ πρὸς πᾶσαν ἁρμόνιον γεῦσιν. [21] ἡ μὲν 21
γὰρ ὑπόστασίς σου τὴν σὴν γλυκύτητα πρὸς τέκνα ἐνεφάνισε, τῇ δὲ τοῦ
προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν πρὸς ὃ τις ἐβούλετο μετεκιρνᾶτο. [22] χιὼν 22
δὲ καὶ κρύσταλλος ὑπέμεινε πῦρ καὶ οὐκ ἐτήκετο, ἵνα γνῶσιν ὅτι τοὺς τῶν
ἐχθρῶν καρποὺς κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ καὶ ἐν τοῖς ὑε-
τοῖς διαστράπτον· [23] τοῦτο πάλιν δ᾽ ἵνα τραφῶσι δίκαιοι, καὶ τῆς ἰδίας ἐπι- 23
λελῆσθαι δυνάμεως. [24] ἡ γὰρ κτίσις σοι τῷ ποιήσαντι ὑπηρετοῦσα ἐπιτείνε- 24
ται εἰς κόλασιν κατὰ τῶν ἀδίκων, καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς
σὲ πεποιθότων. [25] διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη τῇ παντοτρόφῳ 25
σου δωρεᾷ ὑπηρετεῖ, πρὸς τὴν τῶν δεομένων θέλησιν, [26] ἵνα μάθωσιν οἱ υἱοί 26
σου, οὓς ἠγάπησας κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄν-
θρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ. [27] τὸ γὰρ ὑπὸ 27
πυρὸς μὴ φθειρόμενον ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτή-
κετο, [28] ὅπως γνωστὸν ᾖ ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ᾽ εὐχαριστίαν σου καὶ 28
πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι. [29] ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμέριος 29
πάχνη τακήσεται, καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

6. νομον σου 11. A (item C vdtr) ενκεντριζοντο 12. C αλλ ο σος ... παντας 14. AC παραλημφθεισαν 16. απαρετητως 17. δικαιοις 18. AC αλλα αυτοι ... C κρισει θεου ... ελαυνωνται 19. C γενηματα ... καταφθειρη, C καταφθαρει 20. A (item C vdtr) αρτον απ ουρανου παρεσχες αυτοις ακοπ. (A ακοπιαστως) 21. C om σου ... τ. σην πρ. τεκν. ενεφανιζεν γλυκυτητα 22. υπεμενε ... τους των εθνων 23. AC τουτο δε παλιν ινα ... AC επιλελησται 24. (κτησεις) ... C τω ποιησαντι αυτον επιτινεται ... AC των επι σοι 26. C μαθουσιν ... αι γεν. τ. ανθρωπων 28. AC φθαννειν ... C om και 29. ως χιμερινη

Digitized by Google

## XVII.

Μεγάλαι γάρ σου αἱ κρίσεις καὶ δυςδιήγητοι· διὰ τοῦτο ἀπαίδευτοι
2 ψυχαὶ ἐπλανήθησαν. [2] ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι,
δέσμιοι σκότους καὶ μακρᾶς πεδῆται νυκτὸς κατακλεισθέντες ὀρόφοις, φυγάδες
3 τῆς αἰωνίου προνοίας ἔκειντο. [3] λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρ-
τήμασιν, ἀφεγγεῖ λήθης παρακαλύμματι ἐσκορπίσθησαν, θαμβούμενοι δεινῶς
4 καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι· [4] οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως
διεφύλασσεν, ἦχοι δὲ καταράσσοντες αὐτοὺς περιεκόμπουν, καὶ φάσματα ἀμει-
5 δήτοις κατηφῆ προςώποις ἐνεφανίζετο. [5] καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυε
φωτίζειν, οὔτε ἄστρων ἔκλαμπροι φλόγες καταυγάζειν ὑπέμενον τὴν στυγνὴν
6 ἐκείνην νύκτα. [6] διεφαίνετο δ' αὐτοῖς μόνον αὐτομάτη πυρὰ φόβου πλήρης,
ἐκδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως ἡγοῦντο χείρω τὰ
7 βλεπόμενα. [7] μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης, καὶ τῆς ἐπὶ φρονήσει
8 ἀλαζονείας ἔλεγχος ἐφύβριστος· [8] οἱ γὰρ ὑπισχνούμενοι δείματα καὶ ταραχὰς
9 ἀπελαύνειν ψυχῆς νοσούσης, οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν. [9] καὶ γὰρ
εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, κνωδάλων παρόδοις καὶ ἑρπετῶν συρι-
γμοῖς ἐκσεσοβημένοι, διώλλυντο ἔντρομοι καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα
10 προςιδεῖν ἀρνούμενοι. [10] δειλὸν γὰρ ἰδίως πονηρία μαρτυρεῖ καταδικαζομένη,
11 ἀεὶ δὲ προςείληφε τὰ χαλεπὰ συνεχομένη τῇ συνειδήσει. [11] οὐθὲν γάρ ἐστι
12 φόβος εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων· [12] ἔνδοθεν δὲ οὖσα
ἥττων ἡ προςδοκία πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βά-
13 σανον αἰτίας. [13] οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ᾅδου μυ-
14 χῶν ἐπελθοῦσαν τὸν αὐτὸν ὕπνον κοιμώμενοι, [14] τὰ μὲν τέρασιν ἠλαύνοντο
φαντασμάτων, τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ· αἰφνίδιος γὰρ αὐτοῖς
15 καὶ ἀπροςδόκητος φόβος ἐπῆλθεν. [15] εἶθ' οὕτως, ὃς δή ποτ' οὖν ἦν ἐκεῖ
16 καταπίπτων, ἐφρουρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς· [16] εἴ τε γὰρ
γεωργὸς ἦν τις ἢ ποιμὴν ἢ τῶν κατ' ἐρημίαν ἐργάτης μόχθων, προληφθεὶς
17 τὴν δυςάλυκτον ἔμενεν ἀνάγκην. [17] μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν.
εἴ τε πνεῦμα συρίζον, ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελής, ἢ
ῥυθμὸς ὕδατος πορευομένου βίᾳ, ἢ κτύπος ἀπηνὴς καταῤῥιπτομένων πετρῶν,
18 [18] ἢ σκιρτώντων ζώων δρόμος ἀθεώρητος, ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων
φωνή, ἢ ἀντανακλωμένη ἐκ κοιλοτάτων ὀρέων ἠχώ, παρέλυσεν αὐτοὺς ἐκ-
19 φοβοῦντα. [19] ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτί, καὶ ἀνεμπο-
20 δίστοις συνείχετο ἔργοις· [20] μόνοις δὲ ἐκείνοις ἐπετέτατο βαρεῖα νύξ, εἰκὼν
τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους, ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.

## XVIII.

Τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς, ὧν φωνὴν μὲν ἀκούοντες μορ-
2 φὴν δὲ οὐχ ὁρῶντες, ὅτι μὲν οὖν κἀκεῖνοι ἐπεπόνθεισαν, ἐμακάριζον, [2] ὅτι
δὲ οὐ βλάπτουσι προηδικημένοι, εὐχαριστοῦσιν, καὶ τοῦ διενεχθῆναι χάριν
3 ἐδέοντο. [3] ἀνθ' ὧν πυριφλεγῆ στῦλον, ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας, ἥλιον
4 δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες. [4] ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι
φωτὸς καὶ φυλακισθῆναι ἐν σκότει, οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς

---

XVII. 2. C επειληφοτες 3. C ληθη ... AC εσκοτισθησαν 4. μυθος ... AC αφοβους διεφυλαττεν 5. (C φωτειν) ... C επεμενον 6. εκδ. τε, C εκδειμαντουμενοι μεν ... της θεωρουμενης 7. κατεκιντο ... AC αλαζονιας 8. C διγματα 9. AC συρισμοις ... εκπεφοβημενοι ... C εν τρομω 10. C om γαρ ... μαρτυρι, C μαρτυρια 11. A* (A** ουδε) C ουδεν γαρ 16. AC προλημφθεις ... δυςαληκτον 17. η ορνεων ... καταριπτομενων 18. απηνεστατος ... εκ κοιλοτητος ... παρελυεν 20. επετατο XVIII. 1. οτι μεν ου κακ. 2. ηυχαριστουν 3. ξενητιας 4. εκεινου ... om εν

Digitized by Google

σου, δι᾽ ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι· 5 βουλευ- 5
σαμένους δ᾽ αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια, καὶ ἑνὸς ἐκτεθέντος
τέκνου καὶ σωθέντος, εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλω πλῆθος τέκνων, καὶ ὁμο-
θυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ. 6 ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν 6
ἡμῶν, ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις ἐπευθυμήσωσι. 7 προςεδέχθη 7
δὲ ὑπὸ λαοῦ σου σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπώλεια· 8 ᾧ γὰρ ἐτιμω- 8
ρήσω τοὺς ὑπεναντίους, τούτῳ ἡμᾶς προςκαλεσάμενος ἐδόξασας. 9 κρυφῆ γὰρ 9
ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν, καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ διέ-
θεντο, τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν καὶ κινδύνων μεταλήψεσθαι τοὺς ἁγίους,
πατέρων ἤδη προαναμελπόντων αἴνους. 10 ἀντήχει δ᾽ ἀσύμφωνος ἐχθρῶν βοή, 10
καὶ οἰκτρὰ διεφέρετο θρηνουμένων παίδων. 11 ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα 11
δεσπότῃ κολασθείς, καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων· 12 ὁμοθυμαδὸν 12
δὲ πάντες ἐν ἑνὶ ὀνόματι θανάτου νεκροὺς εἶχον ἀναριθμήτους· οὐδὲ γὰρ πρὸς
τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοί, ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις
αὐτῶν διεφθάρη. 13 πάντα γὰρ ἀπιστοῦντες διὰ τὰς φαρμακίας, ἐπὶ τῷ τῶν 13
πρωτοτόκων ὀλέθρῳ ὡμολόγησαν θεοῦ υἱὸν λαὸν εἶναι. 14 ἡσύχου γὰρ σιγῆς 14
περιεχούσης τὰ πάντα καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης, 15 ὁ παντοδύ- 15
ναμός σου λόγος ἀπ᾽ οὐρανῶν ἐκ θρόνων βασιλειῶν ἀπότομος πολεμιστὴς εἰς
μέσον τῆς ὀλεθρίας ἥλατο γῆς· 16 ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου 16
φέρων, καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου· καὶ οὐρανοῦ μὲν ἥπτετο,
βεβήκει δ᾽ ἐπὶ γῆς. 17 τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξε- 17
τάραξαν αὐτούς, φόβοι δὲ ἐπέστησαν ἀδόκητοι, 18 καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς 18
ἡμίθνητος δι᾽ ἣν ἔθνησκεν αἰτίαν ἐνεφάνιζεν· 19 οἱ γὰρ ὄνειροι θορυβήσαντες 19
αὐτοὺς τοῦτο προεμήνυσαν, ἵνα μὴ ἀγνοοῦντες δι᾽ ὃ κακῶς πάσχουσιν ἀπό-
λωνται. 20 ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, καὶ θραῦσις ἐν ἐρήμῳ ἐγέ- 20
νετο πλήθους· ἀλλ᾽ οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή. 21 σπεύσας γὰρ ἀνὴρ ἄμεμ- 21
πτος προεμάχησε, τὸ τῆς ἰδίας λειτουργίας ὅπλον προςευχὴν καὶ θυμιάματος
ἐξιλασμὸν κομίσας, ἀντέστη τῷ θυμῷ καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ, δει-
κνὺς ὅτι σός ἐστι θεράπων. 22 ἐνίκησε δὲ τὸν ὄχλον οὐκ ἰσχύϊ τοῦ σώματος, 22
οὐχ ὅπλων ἐνεργείᾳ, ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν, ὅρκους πατέρων
καὶ διαθήκας ὑπομνήσας. 23 σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ᾽ ἀλλήλων 23
νεκρῶν, μεταξὺ στὰς ἀνέκοψε τὴν ὀργὴν καὶ διέσχισε τὴν πρὸς τοὺς ζῶντας
ὁδόν. 24 ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κόσμος, καὶ πατέρων δόξαι 24
ἐπὶ τετραστίχου λίθου γλυφῆς, καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς
αὐτοῦ· 25 τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθησαν· ἦν γὰρ μόνη ἡ 25
πεῖρα τῆς ὀργῆς ἱκανή.

## XIX.

Τοῖς δὲ ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη· προῄδει γὰρ
αὐτῶν καὶ τὰ μέλλοντα, 2 ὅτι αὐτοὶ ἐπιστρέψαντες τοῦ ἀπεῖναι καὶ μετὰ 2
σπουδῆς προπέμψαντες αὐτούς, διώξουσι μεταμεληθέντες· 3 ἔτι γὰρ ἐν χερ- 3
σὶν ἔχοντες τὰ πένθη καὶ προςοδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπεσπάσαντο
λογισμὸν ἀνοίας, καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον.
4 εἷλκε γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη, καὶ τῶν συμβεβη- 4
κότων ἀμνηστίαν ἐνέβαλεν, ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προαναπληρώ-
σωσι κόλασιν, 5 καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν περάσῃ, ἐκεῖνοι 5

---

5. τον αυτων αφιλου 7. προςδεχθη 8. ως γαρ 9. om οσιοι ... μεταλημψεσθαι ... προαναμελποντες 10. δε ασυμφωνος ... κ. οικτρ. διεφενετο φωνη θρην. παιδ. 12. διεφθαρτο 16. υποταγην ... δε επι 17. δεινων 18. ριφθις ... εθνησκον αιτ. ενεφανιζον 19. προςεμηνυσαν 24. AC λιθων 25. AC ολεθρευων ... εφοβηθη XIX. 2. επιτρεψαντες 4. C εβαλεν ... AC προςαναπληρωσωσι

6 δὲ ξένον εὕρωσι θάνατον. [6] ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν
διετυποῦτο, ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς, ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν
7 ἀβλαβεῖς. [7] ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη, ἐκ δὲ προϋφεστῶτος ὕδατος
ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη, ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος, καὶ
8 χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου· [8] δι' οὗ πανεθνὶ διῆλθον οἱ τῇ σῇ
9 σκεπαζόμενοι χειρί, θεωρήσαντες θαυμαστὰ τέρατα. [9] ὡς γὰρ ἵπποι ἐνεμήθη-
σαν καὶ ὡς ἀμνοὶ διεσκίρτησαν, αἰνοῦντές σε κύριε τὸν ῥυόμενον αὐτούς·
10 [10] ἐμέμνηντο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, πῶς ἀντὶ μὲν γενέσεως ζώων
ἐξήγαγεν ἡ γῆ σκνῖπα, ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βα-
11 τράχων. [11] ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ νέαν γένεσιν ὀρνέων, ὅτι ἐπιθυμίᾳ προα-
12 χθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς· [12] εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ
θαλάσσης ὀρτυγομήτρα, καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, οὐκ ἄνευ
τῶν γεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν· δικαίως γὰρ ἔπασχον ταῖς
13 ἰδίαις αὐτῶν πονηρίαις. [13] καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν· οἱ
μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας, οὗτοι δὲ εὐεργέτας ξένους
14 ἐδουλοῦντο. [14] καὶ οὐ μόνον, ἀλλ' ἥτις ἐπισκοπὴ ἔσται αὐτῶν, ἐπεὶ ἀπεχθῶς
15 προσεδέχοντο τοὺς ἀλλοτρίους, [15] οἱ δὲ μετὰ ἑορτασμάτων εἰςδεξάμενοι τοὺς
16 ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων δεινοῖς ἐκάκωσαν πόνοις. [16] ἐπλήγησαν
δὲ καὶ ἀορασίᾳ, ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις, ὅτε ἀχανεῖ περι-
17 βληθέντες σκότει ἕκαστος τῶν αὐτοῦ θυρῶν τὴν δίοδον ἐζήτει. [17] δι' ἑαυτῶν
γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ
τὸ ὄνομα διαλλάσσουσι, πάντοτε μένοντα ἤχῳ, ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς
18 τῶν γεγονότων ὄψεως ἀκριβῶς. [18] χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, καὶ
19 νηκτὰ μετέβαινεν ἐπὶ γῆς· [19] πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως, καὶ
20 ὕδωρ τῆς σβεστικῆς δυνάμεως ἐπελανθάνετο· [20] φλόγες ἀνάπαλιν εὐφθάρτων
ζώων οὐκ ἐμάραναν σάρκας ἐμπεριπατούντων, οὐδὲ τηκτὸν εὔτηκτον κρυσταλ-
21 λοειδὲς γένος ἀμβροσίας τροφῆς. [21] κατὰ πάντα γὰρ κύριε ἐμεγάλυνας τὸν
λαόν σου καὶ ἐδόξασας, καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παρι-
στάμενος.

# ΠΡΟΛΟΓΟΣ.

Πολλῶν καὶ μεγάλων ἡμῖν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς ἠκολουθηκότων δεδομένων, ὑπὲρ ὧν δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰσραὴλ παιδείας καὶ σοφίας, καὶ ὡς οὐ μόνον αὐτοὺς τοὺς ἀναγινώσκοντας δέον ἐστὶν ἐπιστήμονας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι τοὺς φιλομαθοῦντας χρησίμους εἶναι καὶ λέγοντας καὶ γράφοντας, ὁ πάππος

6. ταις σαις επιταγαις 7. τη την παρεμβ. σκιαζουση ... εθεωριτο 8. AC παν εθνος 9. AC ρυσαμενον 10. C om μεν ... C εξηγαγεν γη ... σκνιφας ... ανυδρων 11. AC ιδον ... γενεσιν νεαν ... AC οτε 12. AC προγεγονοτων 13. C αυτοι δε 14. C αλλα 16. AC των εαυτου θυρ. 17. C δι εαυτ. δε 18. C μεταβαλλετο 19. AC ισχυεν ... AC δυναμεως επιλελησμενον, και υδ. τ. σβ. φυσεως επελ. 20. AC κρυσταλλ. ευτηκτ. 21. C om και sec. ... C υπεριδες ... C περισταμενος
Subscriptio: A σοφια σολομωνος, C σοφια σολομωντος

Inscriptio: A προλογος, C προλογος σιραχ
[3] AC παιδιας [4] C γενεσθαι

Digitized by Google

μου Ἰησοῦς ἐπὶ πλεῖον ἑαυτὸν δοὺς εἴς τε τὴν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνάγνωσιν, καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προήχθη καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν καὶ σοφίαν ἀνηκόντων, ὅπως οἱ φιλομαθεῖς καὶ τούτων ἔνοχοι γενόμενοι πολλῷ μᾶλλον ἐπιπροςθῶσι διὰ τῆς ἐννόμου βιώσεως. παρακέκλησθε οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν· οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος καὶ αἱ προφητεῖαι καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως παραγενηθεὶς εἰς Αἴγυπτον καὶ συγχρονίσας, εὗρον οὐ μικρᾶς παιδείας ἀφόμοιον· ἀναγκαιότατον ἐθέμην αὐτὸς προσενέγκασθαί τινα σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βίβλον· πολλὴν γὰρ ἀγρυπνίαν καὶ ἐπιστήμην προσενεγκάμενος ἐν τῷ διαστήματι τοῦ χρόνου πρὸς τὸ ἐπὶ πέρας ἄγοντα τὸ βιβλίον ἐκδόσθαι, καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένοις τὰ ἤθη ἐν νόμῳ βιοτεύειν.

---

# ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

## I.

Πᾶσα σοφία παρὰ κυρίου, καὶ μετ' αὐτοῦ ἐστὶν εἰς τὸν αἰῶνα. [2] ἄμμον 2
θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει; [3] ὕψος 3
οὐρανοῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον καὶ σοφίαν τίς ἐξιχνιάσει; [4] προτέρα 4
πάντων ἔκτισται σοφία, καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος. [6] ῥίζα σοφίας τίνι 6
ἀπεκαλύφθη; καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω; [8] εἷς ἐστὶ σοφὸς φο- 8
βερὸς σφόδρα, καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ, κύριος· [9] αὐτὸς ἔκτισεν αὐ- 9
τήν, καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτήν, καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα
αὐτοῦ, [10] μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐχορήγησεν αὐτὴν 10
τοῖς ἀγαπῶσιν αὐτόν. [11] φόβος κυρίου δόξα καὶ καύχημα καὶ εὐφροσύνη καὶ 11
στέφανος ἀγαλλιάματος. [12] φόβος κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφρο- 12
σύνην καὶ χαρὰν καὶ μακροημέρευσιν. [13] τῷ φοβουμένῳ τὸν κύριον εὖ ἔσται 13
ἐπ' ἐσχάτων, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν. [14] ἀρχὴ σοφίας 14
φοβεῖσθαι τὸν θεόν, καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς· [15] καὶ 15
μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσε, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν
ἐμπιστευθήσεται. [16] πλησμονὴ σοφίας φοβεῖσθαι τὸν κύριον, καὶ μεθύσκει 16
αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς· [17] πάντα τὸν οἶκον αὐτῆς ἐμπλήσει ἐπιθυ- 17
μημάτων, καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γεννημάτων αὐτῆς. [18] στέφανος σοφίας 18

---

[6] την νομου [8] AC παιδιαν [9] ενηχοι [14] αι προφητιαι, C οι προφηται [17] AC παιδιας (A sic: παιδιας· Αφομοιον) [18] αναγκ. εθεμ. και αυτος τινα προσεν. σπουδην, C αναγκ. ουν εθεμ. και αυτ. τινα πρ. σπουδ. [19] om τηνδε ... om γαρ ... C αγρυπνιαν επιστημην [21] AC αγαγοντα [22] AC * προκατασκευαζομενους τα ηθη εννομως ... C βιωτευειν

Inscriptio: AC σοφια ιησου υιου σιραχ

I. 6. AC τα πανουργηματα 8. ed. rom. (item AC) κυριος c. seqq. conjg. 9. ιδεν ... ed. rom. in fine plene interpg. 11. C και δωσει ευφροσυνην και χαραν και μακροημερευσιν (ut v. 12.) pro κ. ευφρ. κ. στεφ. αγαλλ. 13. AC ευλογηθησεται pro ευρ. χαρ. 14. φοβ. τ. κυριον, C φοβος κυριου 15. om και prius 17. AC αποδοχια ... AC γενηματων

Digitized by Google

19 φόβος κυρίου, ἀναθάλλων εἰρήνην καὶ ὑγίειαν ἰάσεως. 19 καὶ εἶδε καὶ ἐξη-
ρίθμησεν αὐτήν, ἐπιστήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησε, καὶ δόξαν κρα-
20 τούντων αὐτῆς ἀνύψωσεν. 20 ῥίζα σοφίας φοβεῖσθαι τὸν κύριον, καὶ οἱ κλά-
22 δοι αὐτῆς μακροημέρευσις. 22 οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι· ἡ
23 γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ. 23 ἕως καιροῦ ἀνθέξεται μακρό-
24 θυμος, καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνη· 24 ἕως καιροῦ κρύψει τοὺς
25 λόγους αὐτοῦ, καὶ χείλη πιστῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ. 25 ἐν θησαυροῖς
26 σοφίας παραβολὴ ἐπιστήμης, βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια. 26 ἐπεθύ-
27 μησας σοφίαν, διατήρησον ἐντολάς, καὶ κύριος χορηγήσει σοι αὐτήν. 27 σοφία
γὰρ καὶ παιδεία φόβος κυρίου, καὶ ἡ εὐδοκία αὐτοῦ πίστις καὶ πραότης.
28 28 μὴ ἀπειθήσῃς φόβῳ κυρίου, καὶ μὴ προςέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ.
29 29 μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων, καὶ ἐν τοῖς χείλεσί σου πρόςεχε.
30 30 μὴ ἐξύψου σεαυτόν, ἵνα μὴ πέσῃς καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν,
καὶ ἀποκαλύψει κύριος τὰ κρυπτά σου, καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ
σε, ὅτι οὐ προςῆλθες φόβῳ κυρίου, καὶ ἡ καρδία σου πλήρης δόλου.

## II.

Τέκνον, εἰ προςέρχῃ δουλεύειν κυρίῳ θεῷ, ἑτοίμασον τὴν ψυχήν σου
2 εἰς πειρασμόν· 2 εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς
3 ἐν καιρῷ ἐπαγωγῆς· 3 κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ'
4 ἐσχάτων σου. 4 πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς
5 σου μακροθύμησον· 5 ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός, καὶ ἄνθρωποι δεκτοὶ
6 ἐν καμίνῳ ταπεινώσεως. 6 πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου, εὔθυνον τὰς
7 ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. 7 οἱ φοβούμενοι τὸν κύριον ἀναμείνατε τὸ
8 ἔλεος αὐτοῦ, καὶ μὴ ἐκκλίνητε ἵνα μὴ πέσητε· 8 οἱ φοβούμενοι κύριον πι-
9 στεύσατε αὐτῷ, καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν· 9 οἱ φοβούμενοι κύριον
10 ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. 10 ἐμβλέψατε εἰς
ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς
ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ
11 ὑπερεῖδεν αὐτόν; 11 διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, καὶ ἀφίησιν ἁμαρ-
12 τίας καὶ σώζει ἐν καιρῷ θλίψεως. 12 οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶ παρει-
13 μέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους. 13 οὐαὶ καρδίᾳ παρειμένῃ,
14 ὅτι οὐ πιστεύει· διὰ τοῦτο οὐ σκεπασθήσεται. 14 οὐαὶ ὑμῖν τοῖς ἀπολωλε-
15 κόσι τὴν ὑπομονήν· καὶ τί ποιήσετε ὅταν ἐπισκέπτηται ὁ κύριος; 15 οἱ φο-
βούμενοι κύριον οὐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν
16 συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ· 16 οἱ φοβούμενοι κύριον ζητήσουσιν εὐδοκίαν
17 αὐτοῦ, καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου. 17 οἱ φοβούμενοι
κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν, καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς
18 ψυχὰς αὐτῶν. 18 ἐμπεσούμεθα εἰς χεῖρας κυρίου καὶ οὐκ εἰς χεῖρας ἀν-
θρώπων· ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

## III.

Ἐμοῦ τοῦ πατρὸς ἀκούσατε, τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε·
2 2 ὁ γὰρ κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις, καὶ κρίσιν μητρὸς ἐστερέωσεν
3 4 ἐφ' υἱοῖς. 3 ὁ τιμῶν πατέρα ἐξιλάσεται ἁμαρτίας· 4 καὶ ὡς ὁ ἀποθησαυ-

---

18. C υγιαν 19. ιδεν ... C κρατουντ. αυτην 23. αυτ. αναδ. ευφροσυνην, C αναδ. αυτ. ευφροσυνην 24. πολλων pro πιστων 25. αμαρτωλου 26. AC επιθυμησας 27. AC παιδια ... AC πραυτης 29. C εν χειλεσιν II. 1. om θεω 5. C om καμινω 6. AC αντιλημψεται ... και ευθυνον 7. C om τον 9. C τον κυριον 10. C υπεριδεν 14. C om την 15. C τον κυριον ... οι φοβ. κυρ. ζητησουσιν ευδοκιαν αυτου 16. C τον κυριον ... C om του 18. C μεγαλοσυνη III. 3. AC εξιλασκεται 4. AC ως αποθ.

Digitized by Google

ρίζων ὁ δοξάζων μητέρα αὐτοῦ. 5 ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέ- 5
κνων, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰςακουσθήσεται. 6 ὁ δοξάζων πατέρα 6
μακροημερεύσει, καὶ ὁ εἰςακούων κυρίου ἀναπαύσει μητέρα αὐτοῦ, 7 καὶ ὡς 7
δεσπόταις δουλεύσει ἐν τοῖς γεννήσασιν αὐτόν. 8 ἐν ἔργῳ καὶ λόγῳ τίμα 8
τὸν πατέρα σου, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτοῦ· 9 εὐλογία γὰρ πα- 9
τρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια. 10 μὴ δο- 10
ξάζου ἐν ἀτιμίᾳ πατρός σου, οὐ γάρ ἐστί σοι δόξα πατρὸς ἀτιμία· 11 ἡ 11
γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ, καὶ ὄνειδος τέκνοις μήτηρ ἐν
ἀδοξίᾳ. 12 τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καὶ μὴ λυπήσῃς αὐτὸν ἐν 12
τῇ ζωῇ αὐτοῦ· 13 κἂν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε, καὶ μὴ ἀτιμάσῃς 13
αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου. 14 ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται, καὶ 14
ἀντὶ ἁμαρτιῶν προςανοικοδομηθήσεταί σοι· 15 ἐν ἡμέρᾳ θλίψεώς σου ἀναμνη- 15
σθήσεταί σου· ὡς εὐδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρ-
τίαι. 16 ὡς βλάςφημος ὁ ἐγκαταλιπὼν πατέρα, καὶ κεκατηραμένος ὑπὸ κυρίου 16
ὁ παροργίζων μητέρα αὐτοῦ. 17 τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε, 17
καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ. 18 ὅσῳ μέγας εἶ, τοσούτῳ ταπεινοῦ 18
σεαυτόν, καὶ ἔναντι κυρίου εὑρήσεις χάριν· 20 ὅτι μεγάλη ἡ δυναστεία τοῦ 20
κυρίου καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται. 21 χαλεπώτερά σου μὴ ζήτει, καὶ 21
ἰσχυρότερά σου μὴ ἐξέταζε. 22 ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ 22
ἐστί σοι χρεία τῶν κρυπτῶν. 23 ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιερ- 23
γάζου· πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι. 24 πολλοὺς γὰρ ἐπλά- 24
νησεν ἡ ὑπόληψις αὐτῶν, καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διανοίας αὐτῶν.
26 καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἐμπεσεῖται· καρδία σκληρὰ κακωθήσεται 26
ἐπ' ἐσχάτων. 27 καρδία σκληρὰ βαρυνθήσεται πόνοις, καὶ ὁ ἁμαρτωλὸς προς- 27
θήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις. 28 ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις, 28
φυτὸν γὰρ πονηρίας ἐῤῥίζωκεν ἐν αὐτῷ. 29 καρδία συνετοῦ διανοηθήσεται 29
παραβολήν, καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ. 30 πῦρ φλογιζόμενον ἀποσβέ- 30
σει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας. 31 ὁ ἀνταποδιδοὺς χάριτας 31
μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως εὑρήσει στήριγμα.

## IV.

Τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς, καὶ μὴ παρελκύσῃς
ὀφθαλμοὺς ἐπιδεεῖς· 2 ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, καὶ μὴ παροργίσῃς ἄνδρα 2
ἐν ἀπορίᾳ αὐτοῦ· 3 καρδίαν παροργισμένην μὴ προσταράξῃς, καὶ μὴ παρελ- 3
κύσῃς δόσιν προσδεομένου· 4 ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου, καὶ μὴ ἀπο- 4
στρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ· 5 ἀπὸ δεομένου μὴ ἀποστρέψῃς 5
ὀφθαλμόν, καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε· 6 καταρωμένου 6
γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως αὐτοῦ ἐπακούσεται ὁ ποιήσας
αὐτόν. 7 προςφιλῆ συναγωγῇ σεαυτὸν ποίει, καὶ μεγιστᾶνι ταπείνου τὴν κε- 7
φαλήν σου. 8 κλῖνον πτωχῷ τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν 8
πραΰτητι. 9 ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλιγοψυχήσῃς ἐν 9

---

5. επι τεκνοις 6. C μακροημερευσαι 10. C om σοι ... AC προς (πρς est πατρος) ατιμιαν pro πατρος ατιμια 12. C εν γηρει 13. AC και εαν ... C απολειπης ... συγνωμην 16. C μητερα pro πατερα ... C κατηραμενος ... παρα κυριου 17. τα εργα σου εν πραυτητι 20. AC η δυναστια κυριου 23. C υπεδοθη σοι 24. C υπολημψις ... **διανοιαν 26. AC εν αυτω απολειται 27. C post βαρυνθησεται rasuram habet usque ante φυτον γαρ (cf. codicis editionem) 28. C ** υπερηφανων ... C* post ιασις add οδοιποριαι αυτου εκριζωθησονται (?) ... C ερριζωσεν αυτω 30. C εξιλασκεται 31. AC πτωσεως αυτου IV. 3. παρωργισμενην 6. C εισακουσεται 7. C εν συναγωγη

Digitized by Google

10 τῷ κρίνειν σε. [10] γίνου ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐ-
11 τῶν· καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου, καὶ ἀγαπήσει σε μᾶλλον ἢ μήτηρ σου. [11] ἡ
12 σοφία υἱοὺς ἑαυτῇ ἀνύψωσε, καὶ ἐπιλαμβάνεται τῶν ζητούντων αὐτήν. [12] ὁ
ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν, καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται
13 εὐφροσύνης· [13] ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν, καὶ οὗ εἰςπορεύεται εὐ-
14 λογήσει κύριος· [14] οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ, καὶ τοὺς ἀγα-
15 πῶντας αὐτὴν ἀγαπᾷ ὁ κύριος· [15] ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη, καὶ ὁ
16 προςελθὼν αὐτῇ κατασκηνώσει πεποιθώς. [16] ἐὰν ἐμπιστεύσῃς κατακληρονο-
17 μήσεις αὐτήν, καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ· [17] ὅτι διεστραμ-
μένως πορεύεται μετ' αὐτοῦ ἐν πρώτοις, φόβον δὲ καὶ δειλίαν ἐπάξει ἐπ'
αὐτόν, καὶ βασανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς, ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ
18 αὐτοῦ καὶ πειράσῃ αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς· [18] καὶ πάλιν ἐπανήξει
κατ' εὐθεῖαν πρὸς αὐτὸν καὶ εὐφρανεῖ αὐτόν, καὶ ἀποκαλύψει αὐτῷ τὰ
19 κρυπτὰ αὐτῆς. [19] ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτόν, καὶ παραδώσει
20 αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ. [20] συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ
21 πονηροῦ, καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς· [21] ἔστι γὰρ αἰσχύνη
22 ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. [22] μὴ λάβῃς πρόσω-
23 πον κατὰ τῆς ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου. [23] μὴ κωλύσῃς
24 λόγον ἐν καιρῷ σωτηρίας· [24] ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία, καὶ παιδεία
25 ἐν ῥήματι γλώσσης. [25] μὴ ἀντίλεγε τῇ ἀληθείᾳ, καὶ περὶ τῆς ἀπαιδευσίας
26 σου ἐντράπηθι· [26] μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου, καὶ μὴ βιά-
27 ζου ῥοῦν ποταμοῦ. [27] καὶ μὴ ὑποστρώσῃς σεαυτὸν ἀνθρώπῳ μωρῷ, καὶ μὴ
28 λάβῃς πρόσωπον δυνάστου. [28] ἕως τοῦ θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας,
29 καὶ κύριος ὁ θεὸς πολεμήσει ὑπὲρ σοῦ. [29] μὴ γίνου τραχὺς ἐν γλώσσῃ σου,
30 καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου. [30] μὴ ἴσθι ὡς λέων ἐν τῷ
31 οἴκῳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου. [31] μὴ ἔστω ἡ χείρ σου
ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

## V.

2 Μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασί σου, καὶ μὴ εἴπῃς Αὐτάρκη μοί ἐστι. [2] μὴ
ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ ἰσχύϊ σου, τοῦ πορεύεσθαι ἐν ἐπιθυμίαις
3 καρδίας σου, [3] καὶ μὴ εἴπῃς Τίς με δυναστεύσει; ὁ γὰρ κύριος ἐκδικῶν ἐκδι-
4 κήσει σε. [4] μὴ εἴπῃς Ἥμαρτον, καὶ τί μοι ἐγένετο; ὁ γὰρ κύριός ἐστι μα-
5 κρόθυμος. [5] περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου, προςθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρ-
6 τίαις, [6] καὶ μὴ εἴπῃς Ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν ἁμαρτιῶν
μου ἐξιλάσεται· ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς κατα-
7 παύσει ὁ θυμὸς αὐτοῦ. [7] μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς κύριον, καὶ μὴ ὑπερ-
βάλλου ἡμέραν ἐξ ἡμέρας· ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ κυρίου, καὶ ἐν
8 καιρῷ ἐκδικήσεως ἐξολῇ. [8] μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις· οὐδὲν γὰρ ὠφε-
9 λήσεις ἐν ἡμέρᾳ ἐπαγωγῆς. [9] μὴ λίκμα ἐν παντὶ ἀνέμῳ, καὶ μὴ πορεύου ἐν
10 πάσῃ ἀτραπῷ· οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος. [10] ἴσθι ἐστηριγμένος ἐν συνέ-
11 σει σου, καὶ εἷς ἔστω σου ὁ λόγος. [11] γίνου ταχὺς ἐν ἀκροάσει σου, καὶ ἐν
12 μακροθυμίᾳ φθέγγου ἀπόκρισιν. [12] εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ

---

10. ed. rom. ή pro ἢ 11. AC υιους αυτης 13. AC ευλογει 14. C om ὁ 15. AC κ. ο. προσεχων 16. AC εμπιστευσει (C ενπ.) κατακληρονομησει 17. C διεστραμμενης ... AC πορευσεται (C πορευεσται) ... AC om δε ... AC παιδια, ed. rom. -δίᾳ ... C ενπιστευσει ... AC πειρασει 24. C om κ. παιδ. εν ρημ. γλ. 25. AC εντραπητι 27. AC ανθρ. μωρ. σεαυτον 28. AC εως θανατου 29. ταχυς ... C νωθρος παρειμενος V. 2. AC om του πορ. εν επ. κ. σου 3. C om μη ... om σε 4. C om και ... C om ο γαρ κ. εστ. μακρ. 6. AC παρ αυτω 7. C και εξελουσα pro κ. εν καιρω 8. ωφελησει σε 9. C λιγμα ... C om και 10. C om (vdlr) σου prius 12. C om σοι

Digitized by Google

πλησίον· εἰ δὲ μή, ἡ χείρ σου ἔστω ἐπὶ στόματί σου. 13 δόξα καὶ ἀτιμία ἐν 13
λαλιᾷ, καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ. 14 μὴ κληθῇς ψίθυρος, καὶ τῇ 14
γλώσσῃ σου μὴ ἐνέδρευε· ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη, καὶ κατάγνωσις
πονηρὰ ἐπὶ διγλώσσου. 15 ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει. 15

## VI.

Καὶ ἀντὶ φίλου μὴ γίνου ἐχθρός· ὄνομα γὰρ πονηρὸν αἰσχύνην καὶ
ὄνειδος κληρονομήσει, οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος. 2 μὴ ἐπάρῃς σεαυ- 2
τὸν ἐν βουλῇ ψυχῆς σου, ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σου· 3 τὰ 3
φύλλα σου καταφάγεσαι καὶ τοὺς καρπούς σου ἀπολέσεις, καὶ ἀφήσεις σε-
αυτὸν ὡς ξύλον ξηρόν. 4 ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτήν, καὶ 4
ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν. 5 λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ, καὶ 5
γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα. 6 οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί, 6
οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων. 7 εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι 7
αὐτόν, καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ. 8 ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ, 8
καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου· 9 καὶ ἔστι φίλος μετατιθέμε- 9
νος εἰς ἔχθραν, καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει· 10 καὶ ἔστι φίλος κοι- 10
νωνὸς τραπεζῶν, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου· 11 καὶ ἐν τοῖς 11
ἀγαθοῖς σου ἔσται ὡς σύ, καὶ ἐπὶ τοὺς οἰκέτας σου παρρησιάσεται· 12 ἐὰν 12
ταπεινωθῇς, ἔσται κατὰ σοῦ, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται. 13 ἀπὸ 13
τῶν ἐχθρῶν σου διαχωρίσθητι, καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε. 14 φίλος 14
πιστὸς σκέπη κραταιά, ὁ δὲ εὑρὼν αὐτὸν εὗρε θησαυρόν. 15 φίλου πιστοῦ 15
οὐκ ἔστιν ἀντάλλαγμα, καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ. 16 φίλος 16
πιστὸς φάρμακον ζωῆς, καὶ οἱ φοβούμενοι κύριον εὑρήσουσιν αὐτόν. 17 ὁ φο- 17
βούμενος κύριον εὐθύνει φιλίαν αὐτοῦ, ὅτι κατ᾽ αὐτὸν οὕτως καὶ ὁ πλησίον
αὐτοῦ. 18 τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, καὶ ἕως πολιῶν εὑρήσεις 18
σοφίαν· 19 ὡς ὁ ἀροτριῶν καὶ ὁ σπείρων πρόσελθε αὐτῇ, καὶ ἀνάμενε τοὺς 19
ἀγαθοὺς καρποὺς αὐτῆς· ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις, καὶ ταχὺ
φάγεσαι γεννημάτων αὐτῆς. 20 ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ 20
οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος· 21 ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσται ἐπ᾽ 21
αὐτῷ, καὶ οὐ χρονιεῖ ἀποῤῥῖψαι αὐτήν. 22 σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς 22
ἐστί, καὶ οὐ πολλοῖς ἐστὶ φανερά. 23 ἄκουσον τέκνον καὶ δέξαι γνώμην μου, 23
καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου· 24 καὶ εἰςένεγκον τοὺς πόδας σου εἰς 24
τὰς πέδας αὐτῆς, καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου· 25 ὑπόθες τὸν 25
ὦμόν σου καὶ βάσταξον αὐτήν, καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς·
26 ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ, καὶ ἐν ὅλῃ δυνάμει σου συντήρησον τὰς 26
ὁδοὺς αὐτῆς. 27 ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, καὶ ἐγκρατὴς 27
γενόμενος μὴ ἀφῇς αὐτήν· 28 ἐπ᾽ ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐ- 28
τῆς, καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην· 29 καὶ ἔσονταί σοι αἱ πέδαι εἰς 29
σκέπην ἰσχύος, καὶ οἱ κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης. 30 κόσμος γὰρ χρύσεός 30
ἐστιν ἐπ᾽ αὐτῆς, καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον· 31 στολὴν δόξης 31
ἐνδύσῃ αὐτήν, καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ. 32 ἐὰν θέλῃς 32
τέκνον, παιδευθήσῃ, καὶ ἐὰν δῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ· 33 ἐὰν ἀγα- 33
πήσῃς ἀκούειν, ἐκδέξῃ, καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ. 34 ἐν πλήθει 34
πρεσβυτέρων στῆθι, καὶ τίς σοφός, αὐτῷ προςκολλήθητι· 35 πᾶσαν διήγησιν 35

---

12. C εσται εν τω στομ. σου 13. C και η γλωσσα αυτου VI. 3. AC ως φυλλον ξηρον 5. C λαρυξ ... C ευπροςηγοριαν 9. AC εις εχθρον ... C και μαχη 15. C om αυτου 16. C τον κυριον 19. AC και ως ο σπειρων ... AC των γενηματων 23. εκδεξαι ... AC την γνωμην μου ... συμβουλειαν (non C) 24. ειςενεγκαι 26. C παση pro ολη ... τηρησον 28. C τ. αναπαυσ. σου 32. AC επιδως 33. και εαν αγαπησης

Digitized by Google

36 ϑείαν ϑέλε ἀκούειν, καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε. [36] ἐὰν ἴδῃς
συνετόν, ὄρϑριζε πρὸς αὐτόν, καὶ βαϑμοὺς ϑυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς
37 σου. [37] διανοοῦ ἐν τοῖς προστάγμασι κυρίου, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ με-
λέτα διὰ παντός· αὐτὸς στηριεῖ τὴν καρδίαν σου, καὶ ἡ ἐπιϑυμία τῆς σο-
φίας σου δοϑήσεταί σοι.

## VII.

2 Μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακόν· [2] ἀπόστηϑι ἀπὸ ἀδίκου,
3 καὶ ἐκκλινεῖ ἀπὸ σοῦ. [3] υἱέ, μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας, καὶ οὐ μὴ ϑε-
4 ρίσῃς αὐτὰς ἑπταπλασίως. [4] μὴ ζήτει παρὰ κυρίου ἡγεμονίαν, μηδὲ παρὰ
5 βασιλέως καϑέδραν δόξης. [5] μὴ δικαιοῦ ἔναντι κυρίου, καὶ παρὰ βασιλεῖ μὴ
6 σοφίζου. [6] μὴ ζήτει γενέσϑαι κριτής, μὴ οὐκ ἐξισχύσεις ἐξᾶραι ἀδικίας· μή
ποτε εὐλαβηϑῇς ἀπὸ προσώπου δυνάστου, καὶ ϑήσεις σκάνδαλον ἐν εὐϑύτητί
7 σου. [7] μὴ ἁμάρτανε εἰς πλῆϑος πόλεως, καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.
8 9 [8] μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν, ἐν γὰρ τῇ μιᾷ οὐκ ἀϑῷος ἔσῃ. [9] μὴ εἴ-
πῃς Τῷ πλήϑει τῶν δώρων μου ἐπόψεται, καὶ ἐν τῷ προσενέγκαι με ϑεῷ
10 ὑψίστῳ προσδέξεται. [10] μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου, καὶ ἐλεημο-
11 σύνην ποιῆσαι μὴ παρίδῃς. [11] μὴ καταγέλα ἄνϑρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς
12 αὐτοῦ· ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν. [12] μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ
13 σου, μηδὲ φίλῳ τὸ ὅμοιον ποίει. [13] μὴ ϑέλε ψεύδεσϑαι πᾶν ψεῦδος· ὁ γὰρ
14 ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαϑόν. [14] μὴ ἀδολέσχει ἐν πλήϑει πρεσβυτέρων,
15 καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου. [15] μὴ μισήσῃς ἐπίπονον ἐργα-
16 σίαν καὶ γεωργίαν ὑπὸ ὑψίστου ἐκτισμένην. [16] μὴ προσλογίζου σεαυτὸν ἐν
17 πλήϑει ἁμαρτωλῶν. [17] ταπείνωσον σφόδρα τὴν ψυχήν σου, ([16]) μνήσϑητι ὅτι
18 ὀργὴ οὐ χρονιεῖ, ([17]) ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ. [18] μὴ ἀλλάξῃς
19 φίλον ἕνεκεν ἀδιαφόρου, μηδ' ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφείρ. [19] μὴ
ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαϑῆς, καὶ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον.
20 [20] μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληϑείᾳ, μηδὲ μίσϑιον διδόντα ψυχὴν
21 αὐτοῦ· [21] οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχή, μὴ στερήσῃς αὐτὸν ἐλευϑε-
22 ρίας. [22] κτήνη σοί ἐστιν, ἐπισκέπτου αὐτά, καὶ εἰ ἔστι σοι χρήσιμα, ἐμμε-
23 νέτω σοι. [23] τέκνα σοί ἐστι, παίδευσον αὐτά, καὶ κάμψον ἐκ νεότητος τὸν
24 τράχηλον αὐτῶν. [24] ϑυγατέρες σοί εἰσι, πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ
25 ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. [25] ἔκδου ϑυγατέρα, καὶ ἔσῃ τετελε-
26 κὼς ἔργον μέγα, καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν. [26] γυνή σοί ἐστι κατὰ
27 ψυχήν, μὴ ἐκβάλῃς αὐτήν. [27] ἐν ὅλῃ καρδίᾳ δόξασον τὸν πατέρα σου, καὶ
28 μητρὸς ὠδῖνας μὴ ἐπιλάϑῃ· [28] μνήσϑητι ὅτι δι' αὐτῶν ἐγενήϑης, καὶ τί ἀν-
29 ταποδώσεις αὐτοῖς καϑὼς αὐτοὶ σοί; [29] ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν κύ-
30 ριον, καὶ τοὺς ἱερεῖς αὐτοῦ ϑαύμαζε· [30] ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιή-
31 σαντά σε, καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. [31] φοβοῦ τὸν κύριον
καὶ δόξασον ἱερέα, καὶ δὸς τὴν μερίδα αὐτῷ καϑὼς ἐντέταλταί σοι, ἀπαρχὴν
καὶ περὶ πλημμελείας καὶ δόσιν βραχιόνων καὶ ϑυσίαν ἁγιασμοῦ καὶ ἀπαρ-
32 χὴν ἁγίων. [32] καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, ἵνα τελειωϑῇ ἡ εὐλογία
33 σου. [33] χάρις δόματος ἔναντι παντὸς ζῶντος, καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς
34 35 χάριν. [34] μὴ ὑστέρει ἀπὸ κλαιόντων, καὶ μετὰ πενϑούντων πένϑησον. [35] μὴ

---

35. AC ϑελε ακροασϑαι ... εκφυγετωσαν 37. AC om σου sec. VII. 2. C απο κακου 3. C μη σπειρης ... AC ϑερισ. αυτα ... επταπλασια 6. AC ισχυσεις (C εισχ.) 8. C μη καταδεσμευσεις ... εν γαρ μια 9. εποψομαι 10. AC παρειδης 16. εμπληϑει 17. μνησϑ. usque χρονιει ante ταπεινωσον pon. ... εκδικησεις 18. om ενεκεν ... μηδε αδελφον 19. η γαρ χαρις 20. την ψυχ. 24. προς αυτα 27. εν ολη δυναμει σου 28. εγεννηϑης 30. εγκαταλειπης

Digitized by Google

ὄκνει ἐπισκέπτεσθαι ἄῤῥωστον· ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ. [36] ἐν πᾶσι 36
τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

## VIII.

Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου, μή ποτε ἐμπέσῃς εἰς τὰς χεῖ-
ρας αὐτοῦ. [2] μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου, μή ποτε ἀντιστήσῃ σου τὴν 2
ὁλκήν· πολλοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν.
[3] μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ 3
πῦρ αὐτοῦ ξύλα. [4] μὴ πρόσπαιζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί 4
σου. [5] μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας, μνήσθητι ὅτι πάν- 5
τες ἐσμὲν ἐν ἐπιτιμίοις. [6] μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρει αὐτοῦ, καὶ γὰρ 6
ἐξ ἡμῶν γηράσκουσιν. [7] μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ, μνήσθητι ὅτι πάντες τελευ- 7
τῶμεν. [8] μὴ παρίδῃς διήγημα σοφῶν καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέ- 8
φου, ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν καὶ λειτουργῆσαι μεγιστᾶσιν. [9] μὴ 9
ἀστόχει διηγήματος γερόντων, καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐ-
τῶν, ὅτι παρ' αὐτῶν μαθήσῃ σύνεσιν καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν.
[10] μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ, μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ. 10
[11] μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ, ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον τῷ 11
στόματί σου. [12] μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου, καὶ ἐὰν δανείσῃς, 12
ὡς ἀπολωλεκὼς γίνου. [13] μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου, καὶ ἐὰν ἐγγυήσῃ, 13
ὡς ἀποτίσων φρόντιζε. [14] μὴ δικάζου μετὰ κριτοῦ· κατὰ γὰρ τὴν δόξαν αὐ- 14
τοῦ κρινοῦσιν αὐτῷ. [15] μετὰ τολμηροῦ μὴ πορεύου ἐν ὁδῷ, ἵνα μὴ βαρύνηται 15
κατὰ σοῦ· αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐτοῦ ποιήσει, καὶ τῇ ἀφροσύνῃ αὐ-
τοῦ συναπολῇ. [16] μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, καὶ μὴ διαπορεύου μετ' 16
αὐτοῦ τὴν ἔρημον, ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα, καὶ ὅπου οὐκ
ἔστι βοήθεια καταβαλεῖ σε. [17] μετὰ μωροῦ μὴ συμβουλεύου, οὐ γὰρ δυνήσε- 17
ται λόγον στέξαι. [18] ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν, οὐ γὰρ γινώσκεις τί 18
τέξεται. [19] παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε σὴν καρδίαν, καὶ μὴ ἀναφερέτω σοι χάριν. 19

## IX.

Μὴ ζήλου γυναῖκα τοῦ κόλπου σου, μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν
πονηράν· [2] μὴ δῷς γυναικὶ τὴν ψυχήν σου, ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν 2
σου. [3] μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ, μή ποτε ἐμπέσῃς εἰς τὰς παγίδας 3
αὐτῆς. [4] μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε, μή ποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμα- 4
σιν αὐτῆς. [5] παρθένον μὴ καταμάνθανε, μή ποτε σκανδαλισθῇς ἐν τοῖς ἐπι- 5
τιμίοις αὐτῆς. [6] μὴ δῷς πόρναις τὴν ψυχήν σου, ἵνα μὴ ἀπολέσῃς τὴν κλη- 6
ρονομίαν σου. [7] μὴ περιβλέπου ἐν ῥύμαις πόλεως, καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς 7
μὴ πλανῶ. [8] ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου, καὶ μὴ κατα- 8
μάνθανε κάλλος ἀλλότριον· ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν, καὶ ἐκ
τούτου φιλία ὡς πῦρ ἀνακαίεται. [9] μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ 9
σύνολον, καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ, μή ποτε ἐκκλίνῃ ἡ
ψυχή σου ἐπ' αὐτήν, καὶ τῷ πνεύματί σου ὀλισθήσῃς εἰς ἀπώλειαν. [10] μὴ 10
ἐγκαταλίπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ· οἶνος
νέος φίλος νέος, ἐὰν παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν. [11] μὴ ζηλώ- 11
σῃς δόξαν ἁμαρτωλοῦ· οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ. [12] μὴ 12
εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν, μνήσθητι ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσιν.

---

VIII. 2. αντιστη 5. εν επιτιμοις 6. ανδρα εν γηρα αυτου 8. παρειδης 10. ενπυρισθης 16. C μη ποιησις 19. εκφ. καρδιαν σου IX. 1. AC παιδιαν 8. C οφθαλμον σου ... C om και prius ... C και η εκ τουτου 9. C εις pro επ ... ολισθηση, C ολισθης 10. εγκαταλειπης ... επισος ... C εαν δε παλαιωθη ... μετ ευφροσυνη 11. τις εσται 12. ευδοκησης ευδοκια, C ευδοκ. ευδοκειαις

Digitized by Google

13 13 μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου ὃς ἔχει ἐξουσίαν τοῦ φονεύειν, καὶ οὐ μὴ
ὑποπτεύσῃς φόβον θανάτου· κἂν προςέλθῃς, μὴ πλημμελήσῃς, ἵνα μὴ ἀφέ-
ληται τὴν ζωήν σου· ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ
14 ἐπάλξεων πόλεων περιπατεῖς. 14 κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον,
15 καὶ μετὰ σοφῶν συμβουλεύου, 15 καὶ μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου,
16 καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου. 16 ἄνδρες δίκαιοι ἔστωσαν σύνδει-
17 πνοί σου, καὶ ἐν φόβῳ κυρίου ἔστω τὸ καύχημά σου. 17 ἐν χειρὶ τεχνιτῶν ἔρ-
18 γον ἐπαινεθήσεται, καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ. 18 φοβερὸς
ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης, καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

## X.

Κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ, καὶ ἡγεμονία συνετοῦ τεταγμένη
2 ἔσται. 2 κατὰ τὸν κριτὴν τοῦ λαοῦ αὐτοῦ οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ,
3 καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες αὐτήν. 3 βασι-
λεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, καὶ πόλις οἰκισθήσεται ἐν συνέσει
4 δυναστῶν. 4 ἐν χειρὶ κυρίου ἐξουσία τῆς γῆς, καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς
5 καιρὸν ἐπ' αὐτῆς. 5 ἐν χειρὶ κυρίου εὐοδία ἀνδρός, καὶ προςώπῳ γραμματέως
6 ἐπιθήσει δόξαν αὐτοῦ. 6 ἐπὶ παντὶ ἀδικήματι μὴ μηνιάσῃς τῷ πλησίον, καὶ
7 μὴ πρᾶσσε μηδὲν ἐν ἔργοις ὕβρεως. 7 μισητὴ ἔναντι κυρίου καὶ ἀνθρώπων
8 ὑπερηφανία, καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἄδικα. 8 βασιλεία ἀπὸ ἔθνους
9 εἰς ἔθνος μετάγεται διὰ ἀδικίας καὶ ὕβρεις καὶ χρήματα. 9 τί ὑπερηφανεύεται
10 γῆ καὶ σποδός; ὅτι ἐν ζωῇ ἔρριψα τὰ ἐνδόσθια αὐτοῦ. 10 μακρὸν ἀρρώστημα
11 σκώπτει ἰατρός· καὶ βασιλεὺς σήμερον, καὶ αὔριον τελευτήσει. 11 ἐν γὰρ τῷ
12 ἀποθανεῖν ἄνθρωπον κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας. 12 ἀρχὴ
ὑπερηφανίας ἀνθρώπου ἀφισταμένου ἀπὸ κυρίου, καὶ ἀπὸ τοῦ ποιήσαντος
13 αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ· 13 ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ ὁ
κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα. διὰ τοῦτο παρεδόξασε κύριος τὰς ἐπαγω-
14 γάς, καὶ κατέστρεψεν εἰς τέλος αὐτούς· 14 θρόνους ἀρχόντων καθεῖλεν ὁ κύ-
15 ριος, καὶ ἐκάθισε πραεῖς ἀντ' αὐτῶν· 15 ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ κύριος, καὶ
16 ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν· 16 χώρας ἐθνῶν κατέστρεψεν ὁ κύριος, καὶ
17 ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς· 17 ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐ-
18 τούς, καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν. 18 οὐκ ἔκτισται ἀνθρώ-
19 ποις ὑπερηφανία, οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι γυναικῶν. 19 σπέρμα ἔντιμον
ποῖον; σπέρμα ἀνθρώπου· σπέρμα ἔντιμον ποῖον; οἱ φοβούμενοι τὸν κύριον.
σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου· σπέρμα ἄτιμον ποῖον; οἱ παρα-
20 βαίνοντες ἐντολάς. 20 ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος, καὶ οἱ
22 φοβούμενοι κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ. 22 πλούσιος καὶ ἔνδοξος καὶ πτωχός,
23 τὸ καύχημα αὐτῶν φόβος κυρίου. 23 οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετόν, καὶ
24 οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν. 24 μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης

---

13. (C υποπνευσης) ... ινα μη αφελη ... AC εμμεσω ... παγιδος ... C διαβεννεις ... C πολεως 14. τω πλησιον, C του πλησιον ... βουλευου 15. AC om και prius ... AC πασα η διηγησις 16. C om σου sec. 17. επαινεσθησεται 18. C φοβερ. εν λογω αυτου X. 2. AC ουτως οι ... C οι κατοικ. αυτης 4. η εξουσια ... C εγειρει 5. C pro εν χ. κ. ευ.. ανδρ. tres stichos rasura deletos habet 6. μινησης, C** μηνισης 7. αδικια, C αδικιαν 9. C τι η υπερηφανευται 10. C σκοπτει ... C τελευτα 11. C αυτον pro ανθρωπον 12. C αφεστη 16. C εκ θεμελιων 17. εξηρεν αυτους, C εξηρεν αυτας ... C απωλεσ. αυτας 19. in C erasa sunt σπ. εντιμ. ποι. σπ. ανθρωπου 20. C εμμεσω 22. C πτωχος και πενης pro και πτωχος 23. AC καθηκεν 24. C μεγιστας

Digitized by Google

δοξασϑήσεται, καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν κύριον.
[25] οἰκέτῃ σοφῷ ἐλεύϑεροι λειτουργήσουσι, καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. 25
[26] μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου, καὶ μὴ δοξάζου ἐν καιρῷ στενοχωρίας 26
σου. [27] κρείσσων ἐργαζόμενος ἐν πᾶσιν, ἢ περιπατῶν ἢ δοξαζόμενος καὶ ἀπο- 27
ρῶν ἄρτων. [28] τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ 28
τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. [29] τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς 29
δικαιώσει; καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ; [30] πτωχὸς δο- 30
ξάζεται δι' ἐπιστήμην αὐτοῦ, καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.
[31] ὁ δὲ δοξαζόμενος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς; καὶ ὁ ἄδοξος ἐν 31
πλούτῳ, καὶ ἐν πτωχείᾳ ποσαχῶς;

## XI.

Σοφία ταπεινοῦ ἀνύψωσε κεφαλήν, καὶ ἐν μέσῳ μεγιστάνων καϑίσει
αὐτόν. [2] μὴ αἰνέσεις ἄνδρα ἐν κάλλει αὐτοῦ, καὶ μὴ βδελύξῃ ἄνϑρωπον ἐν 2
ὁράσει αὐτοῦ. [3] μικρὰ ἐν πετεινοῖς μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρ- 3
πὸς αὐτῆς. [4] ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ, καὶ ἐν ἡμέρᾳ δόξης μὴ 4
ἐπαίρου· ὅτι ϑαυμαστὰ τὰ ἔργα κυρίου, καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἐν ἀν-
ϑρώποις. [5] πολλοὶ τύραννοι ἐκάϑισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε 5
διάδημα· [6] πολλοὶ δυνάσται ἠτιμάσϑησαν σφόδρα, καὶ ἔνδοξοι παρεδόϑησαν 6
εἰς χεῖρας ἑτέρων. [7] πρὶν ἐξετάσῃς μὴ μέμψῃ, νόησον πρῶτον καὶ τότε ἐπι- 7
τίμα. [8] πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου, καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου. 8
[9] περὶ πράγματος οὗ οὐκ ἔστι σοι χρεία μὴ ἔριζε, καὶ ἐν κρίσει ἁμαρτωλῶν 9
μὴ συνέδρευε. [10] τέκνον, μὴ περὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου· ἐὰν πλη- 10
ϑυνῇς, οὐκ ἀϑῳωϑήσῃ, καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς, καὶ οὐ μὴ ἐκ-
φύγῃς διαδράς. [11] ἔστι κοπιῶν καὶ πονῶν καὶ σπεύδων, καὶ τόσῳ μᾶλλον 11
ὑστερεῖται. [12] ἔστι νωϑρὸς καὶ προσδεόμενος ἀντιλήψεως, ὑστερῶν ἰσχύϊ καὶ 12
πτωχείᾳ περισσεύει· καὶ οἱ ὀφϑαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαϑά,
καὶ ἀνώρϑωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ, [13] καὶ ἀνύψωσε κεφαλὴν αὐτοῦ, 13
καὶ ἀπεϑαύμασαν ἐπ' αὐτῷ πολλοί. [14] ἀγαϑὰ καὶ κακά, ζωὴ καὶ ϑάνατος, 14
πτωχεία καὶ πλοῦτος παρὰ κυρίου ἐστί. [17] δόσις κυρίου παραμένει εὐσεβέσι, 17
καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωϑήσεται. [18] ἔστι πλουτῶν ἀπὸ 18
προσοχῆς καὶ σφιγγίας αὐτοῦ, καὶ αὕτη ἡ μερὶς τοῦ μισϑοῦ αὐτοῦ. [19] ἐν 19
τῷ εἰπεῖν αὐτόν Εὗρον ἀνάπαυσιν, καὶ νῦν φάγωμαι ἐκ τῶν ἀγαϑῶν μου,
καὶ οὐκ οἶδε τίς καιρὸς παρελεύσεται, καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ
ἀποϑανεῖται. [20] στῆϑι ἐν διαϑήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ, καὶ ἐν τῷ ἔργῳ 20
σου παλαιώϑητι. [21] μὴ ϑαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ, πίστευε τῷ κυρίῳ 21
καὶ ἔμμενε τῷ πόνῳ σου· ὅτι κοῦφον ἐν ὀφϑαλμοῖς κυρίου διὰ τάχους
ἐξάπινα πλουτίσαι πένητα. [22] εὐλογία κυρίου ἐν μισϑῷ εὐσεβοῦς, καὶ ἐν 22
ὥρᾳ ταχινῇ ἀναϑάλλει εὐλογίαν αὐτοῦ. [23] μὴ εἴπῃς Τίς ἐστί μου χρεία, 23
καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μου τὰ ἀγαϑά; [24] μὴ εἴπῃς Αὐτάρκη μοί 24
ἐστι; καὶ τί ἀπὸ τοῦ νῦν κακωϑήσομαι; [25] ἐν ἡμέρᾳ ἀγαϑῶν ἀμνησία κα- 25

---

24. AC των φοβουμενων 27. εργαζ. και περισσευων εν πασιν ... AC** om η sec. ... υστερων αρτων 28. C τη ψυχη 29. εις ψυχην 31. AC ο δεδοξασμενος ... C και ο αδ. εν πτωχια και εν πλουτ. π. XI. 1. ανυψωσει, C ανυψωσαι ... AC κεφαλην αυτου ... C εμμεσω ... καϑησει, C καϑιση 2. AC αινεσης ... C βδελυξη ανδρα 3. C η μελισσα 4. ανϑρωποις sine εν 7. πριν η 8. AC πριν ακουσαι ... C εμμεσω 9. AC om χρεια 10. AC αϑοωϑηση 11. και ποσω μαλλον 12. om και primum ... C δεομενος ... AC αντιλημψεως ... C ανωρϑωσαν 13. C** εϑαυμασαν 19. σφεγγιας ... φαγομε 21. πιστευε δε κυριω ... πλουτησαι 22. εμμεσω pro εν μισϑω 25. εν ημερα αγαϑη



Digitized by Google

26 κῶν, καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν· [26] ὅτι κοῦφον ἔναντι κυ-
27 ρίου ἐν ἡμέρᾳ τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ. [27] κάκωσις
ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων
28 αὐτοῦ. [28] πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, καὶ ἐν τέκνοις αὐτοῦ γνωσθή-
29 σεται ἀνήρ. [29] μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου· πολλὰ γὰρ τὰ
30 ἔνεδρα τοῦ δολίου. [30] πέρδιξ θηρευτὴς ἐν καρτάλλῳ, οὕτως καρδία ὑπερηφά-
31 νου, καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πτῶσιν· [31] τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μετα-
32 στρέφων ἐνεδρεύει, καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶμον. [32] ἀπὸ σπινθῆρος
πυρὸς πληθύνεται ἀνθρακιά, καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει.
33 [33] πρόσεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει, μή ποτε μῶμον εἰς τὸν
34 αἰῶνα δῷ σοι. [34] ἐνοίκισον ἀλλότριον, καὶ διαστρέψει σε ἐν ταραχαῖς καὶ
ἀπαλλοτριώσει σε τῶν ἰδίων σου.

## XII.

2 Ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς σου. [2] εὖ
ποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ
3 ὑψίστου. [3] οὐκ ἔστιν ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακὰ καὶ τῷ ἐλεημοσύνην
4 5 μὴ χαριζομένῳ. [4] δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. [5] εὖ ποίησον
τῷ ταπεινῷ καὶ μὴ δῷς ἀσεβεῖ· ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς
αὐτῷ, ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ· διπλάσια γὰρ κακὰ εὑρήσεις ἐν
6 πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς αὐτῷ. [6] ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτω-
7 λούς, καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν. [7] δὸς τῷ ἀγαθῷ, καὶ μὴ ἀντι-
8 λάβῃ τοῦ ἁμαρτωλοῦ· [8] οὐκ ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος, καὶ οὐ κρυ-
9 βήσεται ἐν κακοῖς ὁ ἐχθρός. [9] ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ,
10 καὶ ἐν τοῖς κακοῖς αὐτοῦ καὶ ὁ φίλος διαχωρισθήσεται. [10] μὴ πιστεύσῃς τῷ
ἐχθρῷ σου εἰς τὸν αἰῶνα· ὡς γὰρ ὁ χαλκὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ·
11 [11] καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφώς, ἐπίστησον τὴν ψυχήν σου
καὶ φύλαξαι ἀπ' αὐτοῦ, καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον, καὶ γνώσῃ
12 ὅτι οὐκ εἰς τέλος κατίωσε. [12] μὴ στήσῃς αὐτὸν παρὰ σεαυτόν, μὴ ἀνατρέψας
σε στῇ ἐπὶ τὸν τόπον σου· μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου, μή ποτε ζη-
τήσῃ τὴν καθέδραν σου, καὶ ἐπ' ἐσχάτῳ ἐπιγνώσῃ τοὺς λόγους μου, καὶ ἐπὶ
13 τῶν ῥημάτων μου κατανυγήσῃ. [13] τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον καὶ πάν-
14 τας τοὺς προσάγοντας θηρίοις; [14] οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ
15 καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. [15] ὥραν μετὰ σοῦ διαμενεῖ, καὶ
16 ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ. [16] καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ γλυκανεῖ ὁ
ἐχθρός, καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε εἰς βόθρον· ἐν
ὀφθαλμοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρός, καὶ ἐὰν εὕρῃ καιρόν, οὐκ ἐμπλησθήσεται
17 ἀφ' αἵματος· [17] κακὰ ἂν ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σου,
18 καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου· [18] κινήσει τὴν κεφαλὴν αὐτοῦ καὶ
ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ, καὶ πολλὰ διαψιθυρίσει καὶ ἀλλοιώσει τὸ
πρόσωπον αὐτοῦ.

---

26. κουφ. εν οφθαλμοις κυριου 28. om ανηρ 31. εν τοις ετεροις XII. 2. ed. rom. εὐποίησον ... ανταποδωμα ... παρα του υψ. 3. ουκ εσται 4. αντιλαμβανου 5. ευποιησον ταπεινω ... κακα ευρησουσιν ... οις εαν 6. αποδω εις εκδικησιν 7. αντιλαβου αμαρτωλου 8. ουκ ενβληθησεται 11. τη ψυχη σ. ... ed. rom. φυλαξε ... κατιωται 12. παρα σεαυτω ... αναστρεψας ... επ εσχατων 14. συμφερομενον 16. C om ουκ 17. κακα εαν υπαντηση, C κ. αν υπαντησει ... προτερ. εκει σου, C προτ. σου εκει 18. AC την κεφ. αυτ. κινησει ... διαψιθυριζει, C ψιθυρισει

Digitized by Google

## XIII.

Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιω-
θήσεται αὐτῷ. 2 βάρος ὑπὲρ σὲ μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιω- 2
τέρῳ μὴ κοινώνει. τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη προςκρούσει, καὶ
αὕτη συντριβήσεται. 3 πλούσιος ἠδίκησε, καὶ αὐτὸς προςενεβριμήσατο· πτω- 3
χὸς ἠδίκηται, καὶ αὐτὸς προςδεηθήσεται. 4 ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί· 4
καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε· 5 ἐὰν ἔχῃς, συμβιώσεταί σοι καὶ ἀποκε- 5
νώσει σε, καὶ αὐτὸς οὐ πονέσει· 6 χρείαν ἔσχηκέ σου, καὶ ἀποπλανήσει σε, 6
καὶ προςγελάσεταί σοι καὶ δώσει σοι ἐλπίδα, λαλήσει σοι καλὰ καὶ ἐρεῖ Τίς
ἡ χρεία σου; 7 καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ, ἕως οὗ ἀποκενώσῃ 7
σε δὶς ἢ τρίς, καὶ ἐπ' ἐσχάτῳ καταμωκήσεταί σου· μετὰ ταῦτα ὄψεταί σε
καὶ καταλείψει σε, καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί. 8 πρόςεχε μὴ 8
ἀποπλανηθῇς, καὶ μὴ ταπεινωθῇς ἐν εὐφροσύνῃ σου. 9 προςκαλεσαμένου σε 9
δυνάστου ὑποχωρῶν γίνου, καὶ τόσῳ μᾶλλον προςκαλέσεταί σε· 10 μὴ ἔμπιπτε 10
ἵνα μὴ ἀπωσθῇς, καὶ μὴ μακρὰν ἀφιστῶ ἵνα μὴ ἐπιλησθῇς. 11 μὴ ἔπεχε 11
εἰςηγορεῖσθαι μετ' αὐτοῦ, καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτοῦ· ἐκ πολ-
λῆς γὰρ λαλιᾶς πειράσει σε, καὶ ὡς προςγελῶν ἐξετάσει· 12 ἀνελεήμων ὁ μὴ 12
συντηρῶν λόγους, καὶ οὐ μὴ φείσηται περὶ κακώσεως καὶ δεσμῶν. 13 συντή- 13
ρησον καὶ πρόςεχε σφοδρῶς, ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς. 15 πᾶν 15
ζῷον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ· 16 πᾶσα 16
σὰρξ κατὰ γένος συνάγεται, καὶ τῷ ὁμοίῳ αὐτοῦ προςκολληθήσεται ἀνήρ.
17 τί κοινωνήσει λύκος ἀμνῷ; οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ. 18 τίς εἰρήνη 17 18
ὑαίνῃ πρὸς κύνα; καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα; 19 κυνήγια λεόντων 19
ὄναγροι ἐν ἐρήμῳ, οὕτως νομαὶ πλουσίων πτωχοί. 20 βδέλυγμα ὑπερηφάνῳ 20
ταπεινότης, οὕτως βδέλυγμα πλουσίῳ πτωχός. 21 πλούσιος σαλευόμενος στη- 21
ρίζεται ὑπὸ φίλων, ταπεινὸς δὲ πεσὼν προςαπωθεῖται ὑπὸ φίλων. 22 πλουσίου 22
σφαλέντος πολλοὶ ἀντιλήπτορες, ἐλάλησεν ἀπόῤῥητα καὶ ἐδικαίωσαν αὐτόν·
ταπεινὸς ἔσφαλε καὶ προςεπετίμησαν αὐτῷ, ἐφθέγξατο σύνεσιν καὶ οὐκ ἐδόθη
αὐτῷ τόπος. 23 πλούσιος ἐλάλησε καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ 23
ἀνύψωσαν ἕως τῶν νεφελῶν· πτωχὸς ἐλάλησε καὶ εἶπαν Τίς οὗτος; κἂν
προςκόψῃ, προςανατρέψουσιν αὐτόν. 24 ἀγαθὸς ὁ πλοῦτος ᾧ μή ἐστιν ἁμαρτία, 24
καὶ πονηρὰ ἡ πτωχεία ἐν στόμασιν ἀσεβοῦς. 25 καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ 25
πρόςωπον αὐτοῦ, ἐάν εἰς ἀγαθὰ ἐάν τε εἰς κακά. 26 ἴχνος καρδίας ἐν ἀγα- 26
θοῖς πρόςωπον ἱλαρόν, καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπου.

## XIV.

Μακάριος ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ, καὶ οὐ κατενύγη
ἐν λύπῃ ἁμαρτίας· 2 μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ, καὶ ὃς οὐκ 2
ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ. 3 ἀνδρὶ μικρολόγῳ οὐ καλὸς ὁ πλοῦτος, καὶ 3
ἀνθρώπῳ βασκάνῳ ἵνα τί χρήματα; 4 ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ 4
συνάγει ἄλλοις, καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. 5 ὁ πονηρὸς 5
ἑαυτῷ τίνι ἀγαθὸς ἔσται; καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ.
6 τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστι πονηρότερος, καὶ τοῦτο ἀνταπόδομα τῆς 6
κακίας αὐτοῦ· 7 κἂν εὖ ποιῇ, ἐν λήθῃ ποιεῖ, καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν 7

XIII. 2. πλουσιοτερω σου ... C αυτη prius in rasura habet ... C προςκουση (corrige προςκρ.) 6. ελπιδαν ... και ερις Τις 7. αποκενωσει 9. σε προςκαλεσηται 10. AC om ινα prius 11. AC εξετασει σε 18. υενη 20. ταπινωσις 22. AC αντιλημπτορες ... ταπεινος εσφαλη 23. προςανατρεπουσιν 24. αγαθος εστιν ο ... εν στοματι 25. εαν τε εις αγαθα 26. μετα κοπων XIV. 1. εν τω στοματι ... αμαρτιων 2. μακαριος ανηρ 6. του βασκανοντος 7. ed. rom. εὐποιῇ, item vv. 11. et 13. εὐποίει

8 κακίαν αὐτοῦ. 8 πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ, ἀποστρέφων πρόσωπον καὶ
9 ὑπερορῶν ψυχάς. 9 πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι, καὶ ἀδικία
10 πονηρὰ ἀναξηραίνει ψυχήν. 10 ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ' ἄρτῳ, καὶ ἐλ-
11 λιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ. 11 τέκνον, καθὼς ἐὰν ἔχῃς εὖ ποίει σεαυτόν,
12 καὶ προσφορὰς κυρίῳ ἀξίως πρόσαγε· 12 μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ,
13 καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι· 13 πρὶν σε τελευτῆσαι εὖ ποίει φίλῳ,
14 καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ. 14 μὴ ἀφυστερήσῃς ἀπὸ ἀγα-
15 θῆς ἡμέρας, καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μή σε παρελθάτω. 15 οὐχὶ ἑτέρῳ
καταλείψεις τοὺς πόνους σου, καὶ τοὺς κόπους σου εἰς διαίρεσιν κλήρου;
16 16 δὸς καὶ λάβε, καὶ ἀπάτησον τὴν ψυχήν σου, ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆ-
17 σαι τρυφήν. 17 πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται· ἡ γὰρ διαθήκη ἀπ' αἰῶ-
18 νος Θανάτῳ ἀποθανῇ. 18 ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος τὰ μὲν
καταβάλλει, ἄλλα δὲ φύει, οὕτως γενεὰ σαρκὸς καὶ αἵματος ἡ μὲν τελευτᾷ,
19 ἑτέρα δὲ γεννᾶται. 19 πᾶν ἔργον σηπόμενον ἐκλείπει, καὶ ὁ ἐργαζόμενος αὐτὸ
20 μετ' αὐτοῦ ἀπελεύσεται. 20 μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτήσει, καὶ ὃς ἐν
21 συνέσει αὐτοῦ διαλεχθήσεται, 21 ὁ διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ
22 αὐτοῦ, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς νοηθήσεται. 22 ἔξελθε ὀπίσω αὐτῆς ὡς
23 ἰχνευτής, καὶ ἐν ταῖς εἰσόδοις αὐτῆς ἐνέδρευε. 23 ὁ παρακύπτων διὰ τῶν θυ-
24 ρίδων αὐτῆς, καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται· 24 ὁ καταλύων
25 σύνεγγυς τοῦ οἴκου αὐτῆς, καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς· 25 στήσει
τὴν σκηνὴν αὐτοῦ κατὰ χεῖρας αὐτῆς, καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν·
26 26 θήσει τὰ τέκνα αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς, καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς
27 αὐλισθήσεται· 27 σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος, καὶ ἐν τῇ δόξῃ
αὐτῆς καταλύσει.

## XV.

Ὁ φοβούμενος κύριον ποιήσει αὐτό, καὶ ὁ ἐγκρατὴς τοῦ νόμου κατα-
2 λήψεται αὐτήν· 2 καὶ ὑπαντήσεται αὐτῷ ὡς μήτηρ, καὶ ὡς γυνὴ παρθενίας
3 προσδέξεται αὐτόν· 3 ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως, καὶ ὕδωρ σοφίας ποτίσει
4 αὐτόν· 4 στηριχθήσεται ἐπ' αὐτὴν καὶ οὐ μὴ κλιθῇ, καὶ ἐπ' αὐτῆς ἐφέξει
5 καὶ οὐ μὴ καταισχυνθῇ· 5 καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτοῦ, καὶ
6 ἐν μέσῳ ἐκκλησίας ἀνοίξει στόμα αὐτοῦ· 6 εὐφροσύνην καὶ στέφανον ἀγαλ-
7 λιάματος καὶ ὄνομα αἰώνιον κατακληρονομήσει. 7 οὐ μὴ καταλήψονται αὐτὴν
8 ἄνθρωποι ἀσύνετοι, καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτήν· 8 μακράν
9 ἐστιν ὑπερηφανίας, καὶ ἄνδρες ψεῦσται οὐ μὴ μνησθήσονται αὐτῆς. 9 οὐχ
10 ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, ὅτι οὐ παρὰ κυρίου ἀπεστάλη· 10 ἐν
11 γὰρ σοφίᾳ ῥηθήσεται αἶνος, καὶ ὁ κύριος εὐοδώσει αὐτόν. 11 μὴ εἴπῃς ὅτι
12 διὰ κύριον ἀπέστην· ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσεις. 12 μὴ εἴπῃς ὅτι αὐτός
13 με ἐπλάνησεν· οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ. 13 πᾶν βδέλυγμα ἐμί-
14 σησε κύριος, καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν. 14 αὐτὸς ἐξ

8. οφθαλμον εαυτου, C οφθαλμοις 9. πλεονεκτου δε ... μεριδα 10. C επ αρτων 11. AC εχης ... σαυτον, C σεαυτω 14. om απο αγαθης ... παρελθετω 15. ετεροις ... εις διαιρεσις κληρων 16. αποτησον ... εν αδη ζ. τρυφης 18. δασεως ... AC ουτως και γενεα 20. διαδεχθησεται 21. om ὁ ... εννοηθησεται 22. εν τοις (sic) οδοις αυτης 24. πησσει 25. στηση ... C κατα τας χειρας 26. AC και στησει τα τεκνα ... εν σκεπη 27. σκεπ. απ αυτης XV. 1. C τον κυριον ... AC καταλημψεται ... αυτον 2. υπαντησει 3. AC ποτιει 4. AC στηρισθησεται 5. C εμμεσω ... AC το στομα 6. αγαλλιαματος ευρησει ... AC ονομα αιωνος 7. AC καταλημψονται ... ανθρωποι pro ανδρες 8. C υπερηφανειας 11. C απεσταλην 13. AC εμισησεν ο κυριος ... C quid pro αγαπητον τοις habeat latet

Digitized by Google

ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ.
[15] ἐὰν θέλῃς, συντηρήσεις ἐντολάς, καὶ πίστιν ποίησαι εὐδοκίας. [16] παρέθηκέ 15 16
σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου· [17] ἔναντι ἀνθρώπων 17
ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ· [18] ὅτι πολλὴ 18
σοφία τοῦ κυρίου, ἰσχυρὸς ἐν δυναστείᾳ καὶ βλέπων τὰ πάντα· [19] καὶ οἱ 19
ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ αὐτὸς ἐπιγνώσεται πᾶν
ἔργον ἀνθρώπου· [20] καὶ οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδωκεν ἄνε- 20
σιν οὐδενὶ ἁμαρτάνειν.

## XVI.

Μὴ ἐπιθύμει τέκνων πλῆθος ἀχρήστων, μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέ-
σιν· [2] ἐὰν πληθύνωσι μὴ εὐφραίνου ἐπ' αὐτοῖς, εἰ μή ἐστι φόβος κυρίου 2
μετ' αὐτῶν. [3] μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν, καὶ μὴ ἔπεχε ἐπὶ τὸν τόπον 3
αὐτῶν· κρείσσων γὰρ εἷς ἢ χίλιοι, καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα
ἀσεβῆ· [4] ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, φυλὴ δὲ ἀνόμων ἐρη- 4
μωθήσεται. [5] πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀφθαλμοῖς μου, καὶ ἰσχυρότερα τού- 5
των ἀκήκοε τὸ οὖς μου. [6] ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, καὶ 6
ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή. [7] οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων, 7
οἳ ἀπέστησαν τῇ ἰσχύϊ αὐτῶν· [8] οὐκ ἐφείσατο περὶ τῆς παροικίας Λώτ, οὓς 8
ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν· [9] οὐκ ἠλέησεν ἔθνος ἀπωλείας, τοὺς 9
ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν· [10] καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν τοὺς 10
ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν. [11] κἂν ᾖ εἷς σκληροτράχηλος, θαυ- 11
μαστὸν τοῦτο εἰ ἀθῳωθήσεται· ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ, δυνάστης
ἐξιλασμῶν καὶ ἐκχέων ὀργήν. [12] κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτως καὶ πολὺς 12
ὁ ἔλεγχος αὐτοῦ· ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει. [13] οὐκ ἐκφεύξεται ἐν 13
ἁρπάγμασιν ἁμαρτωλός, καὶ οὐ μὴ καθυστερήσει ὑπομονὴν εὐσεβοῦς. [14] πάσῃ 14
ἐλεημοσύνῃ ποιήσει τόπον, ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. [17] μὴ εἴπῃς 17
ὅτι ἀπὸ κυρίου κρυβήσομαι, μὴ ἐξ ὕψους τίς μου μνησθήσεται; ἐν λαῷ
πλείονι οὐ μὴ μνησθῶ, τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει; [18] ἰδοὺ ὁ 18
οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ θεοῦ, ἄβυσσος καὶ γῆ σαλευθήσον-
ται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ· [19] ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς ἐν τῷ 19
ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συσσείονται, [20] καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται 20
καρδία· καὶ τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται; [21] καὶ καταιγίς, ἣν οὐκ 21
ὄψεται ἄνθρωπος, τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. [22] ἔργα 22
δικαιοσύνης τίς ἀναγγελεῖ, ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη. [23] ἐλατ- 23
τούμενος καρδίᾳ διανοεῖται ταῦτα, καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖ-
ται μωρά. [24] ἄκουσόν μου τέκνον καὶ μάθε ἐπιστήμην, καὶ ἐπὶ τῶν λόγων 24
μου πρόσεχε τῇ καρδίᾳ σου· [25] ἐκφαίνω ἐν σταθμῷ παιδείαν, καὶ ἐν ἀκρι- 25
βείᾳ ἀπαγγέλλω ἐπιστήμην. [26] ἐν κρίσει κυρίου τὰ ἔργα αὐτοῦ ἀπ' ἀρχῆς, 26
καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε μερίδας αὐτῶν· [27] ἐκόσμησεν εἰς αἰῶνα 27
τὰ ἔργα αὐτοῦ, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν· οὔτε ἐπείνασαν οὔτε
ἐκοπίασαν, καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν· [28] ἕκαστος τὸν πλησίον 28

---

14. C εν τη χειρι 17. ευδοκησει 18. η σοφια ... δυναστια 19. εργον αυτου 20. AC om και prius ... εδωσεν ... C αινεσιν ... C αμαρτειν XVI. 1. AC αχρηστον ... μηδε ευφραινου 3. επεχε επι το πληθος αυτων 5. το ους σου 7. εξιλατο 11. αθοωθησεται ... παρ αυτω, δυναστων 12. ουτω ... κτινι (i. e. κτεινει) pro κρινει 13. εν αρπαγματι ... υπομονη 17. παρα κυριου ... και εξ υψους ... ου μη γνωσθω 18. om του θεου ... εν τη επισκ. αυτ. σαλευθ. 19. συνσιονται 21. των εργ. αυτων 23. ελαττονουμενος 25. εκφανω ... παιδιαν ... ακριβια ... απαγγελω 27. εις τον αιωνα ... εξελειπον

Digitized by Google

αὐτοῦ οὐκ ἔθλιψεν, καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι τοῦ ῥήματος αὐτοῦ.
29 29 καὶ μετὰ ταῦτα κύριος εἰς τὴν γῆν ἐπέβλεψε καὶ ἐνέπλησεν αὐτὴν τῶν
30 ἀγαθῶν αὐτοῦ· 30 ψυχὴν παντὸς ζῴου ἐκάλυψε τὸ πρόσωπον αὐτῆς, καὶ εἰς
αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

## XVII.

Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον, καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐ-
2 τήν· 2 ἡμέρας ἀριθμοῦ καὶ καιρὸν ἔδωκεν αὐτοῖς, καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν
3 τῶν ἐπ᾽ αὐτῆς. 3 καθ᾽ ἑαυτοὺς ἐνέδυσεν αὐτοὺς ἰσχύν, καὶ κατ᾽ εἰκόνα αὐ-
4 τοῦ ἐποίησεν αὐτούς· 4 καὶ ἔθηκε τὸν φόβον αὐτοῦ ἐπὶ πάσης σαρκός, καὶ
6 κατακυριεύειν θηρίων καὶ πετεινῶν. 6 διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμούς,
7 ὦτα καὶ καρδίαν ἔδωκε διανοεῖσθαι αὐτοῖς· 7 ἐπιστήμην συνέσεως ἐνέπλησεν
8 αὐτούς, καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς· 8 ἔθηκε τὸν ὀφθαλμὸν αὐτοῦ
10 ἐπὶ τὰς καρδίας αὐτῶν, δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ· 10 καὶ
9 ὄνομα ἁγιασμοῦ αἰνέσουσιν, 9 ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ.
11 11 προσέθηκεν αὐτοῖς ἐπιστήμην, καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς·
12 12 διαθήκην αἰῶνος ἔστησε μετ᾽ αὐτῶν, καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐ-
13 τοῖς· 13 μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν, καὶ δόξαν φωνῆς αὐτῶν
14 ἤκουσε τὸ οὖς αὐτῶν· 14 καὶ εἶπεν αὐτοῖς Προσέχετε ἀπὸ παντὸς ἀδίκου,
15 καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ πλησίον. 15 αἱ ὁδοὶ αὐτῶν ἐναντίον
17 αὐτοῦ διὰ παντός, οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. 17 ἑκάστῳ ἔθνει
19 κατέστησεν ἡγούμενον, καὶ μερὶς κυρίου Ἰσραήλ ἐστιν. 19 ἅπαντα τὰ ἔργα
αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ τὰς
20 ὁδοὺς αὐτῶν· 20 οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ᾽ αὐτοῦ, καὶ πᾶσαι αἱ
22 ἁμαρτίαι αὐτῶν ἔναντι κυρίου. 22 ἐλεημοσύνη ἀνδρὸς ὡς σφραγὶς μετ᾽ αὐτοῦ,
23 καὶ χάριν ἀνθρώπου ὡς κόρην συντηρήσει. 23 μετὰ ταῦτα ἐξαναστήσεται καὶ
ἀνταποδώσει αὐτοῖς, καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀποδώ-
24 σει· 24 πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον, καὶ παρεκάλεσεν ἐκλείποντας ὑπο-
25 μονήν. 25 ἐπίστρεφε ἐπὶ κύριον καὶ ἀπόλειπε ἁμαρτίας, δεήθητι κατὰ πρόσωπον
26 καὶ σμίκρυνον πρόσκομμα· 26 ἐπάναγε ἐπὶ ὕψιστον καὶ ἀπόστρεφε ἀπὸ ἀδι-
27 κίας, καὶ σφόδρα μίσησον βδέλυγμα. 27 ὑψίστῳ τίς αἰνέσει ἐν ᾅδου ἀντὶ ζών-
28 των καὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν; 28 ἀπὸ νεκροῦ ὡς μηδὲ ὄντος
29 ἀπόλλυται ἐξομολόγησις· ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν κύριον. 29 ὡς μεγάλη ἡ
30 ἐλεημοσύνη τοῦ κυρίου, καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ᾽ αὐτόν. 30 οὐ
γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις, ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου.
31 31 τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει, καὶ πονηρὸς ἐνθυμηθήσεται
32 σάρκα καὶ αἷμα. 32 δύναμιν ὕψους οὐρανοῦ αὐτὸς ἐπισκέπτεται, καὶ οἱ ἄν-
θρωποι πάντες γῆ καὶ σποδός.

## XVIII.

2 Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. 2 κύριος μόνος δικαιω-
4 θήσεται. 4 οὐθενὶ ἐξεποίησεν ἐξαγγεῖλαι τὰ ἔργα αὐτοῦ· καὶ τίς ἐξιχνιάσει τὰ

---

28. εξεθλιψεν 29. επι την γην XVII. 3. εικονα εαυτου 4. om και primum 8. και εθηκεν 9. ινα διηγουνται 11. εκληροδ. αυτους 12. διαθηκ. αιωνιον 13. C μεγαλιον ... AC ιδον ... C φωνης αυτου 15. αι οδ. αυτου ... C ενωπιον αυτου ... οφθαλμ. αυτων 19. AC παντα ... εργα αυτου ... οι οφθ. αυτων 23. κεφαλ. αυτου ... C ανταποδωσει in fine 24. C τοις μετανοουσιν ... C εκλιποντας 25. C επιστρεψον 26. C επαναγαγε 27. AC om και ζωντων ... ed. rom. αδου; et ανθομολογησιν. 30. ο υιος 31. πονηρον ... AC σαρξ 32. και ανθρωποι XVIII. 4. AC ουδενι ... AC εξιχνευσει

Digitized by Google

μεγαλεῖα αὐτοῦ; [5]κράτος μεγαλωσύνης αὐτοῦ τίς ἐξαριθμήσεται; καὶ τίς 5
προσθήσει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ; [6]οὐκ ἔστιν ἐλαττῶσαι οὐδὲ προς- 6
θεῖναι, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ κυρίου· [7]ὅταν συντελέσῃ 7
ἄνθρωπος τότε ἄρχεται, καὶ ὅταν παύσηται τότε ἀπορηθήσεται. [8]τί ἄνθρω- 8
πος καὶ τί ἡ χρῆσις αὐτοῦ; τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ;
[9]ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν· [10]ὡς σταγὼν ὕδατος ἀπὸ 9 10
θαλάσσης καὶ ψῆφος ἄμμου, οὕτως ὀλίγα ἔτη ἐν ἡμέρᾳ αἰῶνος. [11]διὰ τοῦτο 11
ἐμακροθύμησε κύριος ἐπ' αὐτοῖς, καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ·
[12]εἶδε καὶ ἐπέγνω τὴν καταστροφὴν αὐτῶν ὅτι πονηρά, διὰ τοῦτο ἐπλήθυνε 12
τὸν ἐξιλασμὸν αὐτοῦ. [13]ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ κυ- 13
ρίου ἐπὶ πᾶσαν σάρκα· ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων καὶ ἐπιστρέφων
ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ. [14]τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ, καὶ τοὺς 14
κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ. [15]τέκνον, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, 15
καὶ ἐν πάσῃ δόσει λύπην λόγων. [16]οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτως 16
κρείσσων λόγος ἢ δόσις. [17]οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν; καὶ ἀμφότερα 17
παρὰ ἀνδρὶ κεχαριτωμένῳ. [18]μωρὸς ἀχαρίστως ὀνειδιεῖ, καὶ δόσις βασκάνου 18
ἐκτήκει ὀφθαλμούς. [19]πρὶν ἢ λαλῆσαι μάνθανε, καὶ πρὸ ἀρρωστίας θερα- 19
πεύου· [20]πρὸ κρίσεως ἐξέταζε σεαυτόν, καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξι- 20
λασμόν· [21]πρὶν ἀρρωστῆσαί σε ταπεινώθητι, καὶ ἐν καιρῷ ἁμαρτημάτων 21
δεῖξον ἐπιστροφήν. [22]μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως, καὶ μὴ 22
μείνῃς ἕως θανάτου δικαιωθῆναι· [23]πρὶν εὔξασθαι ἑτοίμασον σεαυτόν, καὶ 23
μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν κύριον. [24]μνήσθητι θυμοῦ ἐν ἡμέραις 24
τελευτῆς, καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου. [25]μνήσθητι και- 25
ρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου.
[26]ἀπὸ πρωίθεν ἕως ἑσπέρας μεταβάλλει καιρός, καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι 26
κυρίου. [27]ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται, καὶ ἐν ἡμέραις ἁμαρ- 27
τιῶν προσέξει ἀπὸ πλημμελείας. [28]πᾶς συνετὸς ἔγνω σοφίαν, καὶ τῷ εὑρόντι 28
αὐτὴν δώσει ἐξομολόγησιν. [29]συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο, καὶ 29
ἀνώμβρησαν παροιμίας ἀκριβεῖς. ΕΓΚΡΑΤΕΙΑ ΨΥΧΗΣ. [30]ὀπίσω τῶν ἐπι- 30
θυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου· [31]ἐὰν χορηγή- 31
σῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου.
[32]μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, μηδὲ προσδεθῇς συμβολῇ αὐτῆς· [33]μὴ 32 33
γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ, καὶ οὐδέν σοί ἐστιν ἐν μαρσυπείῳ.

## XIX.

Ἐργάτης μέθυσος οὐ πλουτισθήσεται, ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μι-
κρὸν πεσεῖται. [2]οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς, καὶ ὁ κολλώμενος 2
πόρναις τολμηρότερος ἔσται· [3]σῆτες καὶ σκώληκες κληρονομήσουσιν αὐτόν, 3
καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται. [4]ὁ ταχὺ ἐμπιστεύων κοῦφος καρδίᾳ, καὶ ὁ 4
ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει. [5]ὁ εὐφραινόμενος καρδίᾳ κατα- 5
γνωσθήσεται, [6]καὶ ὁ μισῶν λαλιὰν ἐλαττονοῦται κακίᾳ. [7]μηδέποτε δευτερώ- 6 7

---

4. C τα μεγαλια του κυριου 5. C εργα pro ελεη 6. C* ελαττουσθαι 7. συντελεσει α. τ. ερχεται ... AC απορρηθησεται 10. C εν ημεραις 12. ιδεν ... *τ. καταστρ. αυτου 13. C om και ante επιστρεφων ... C το π. αυτων 14. AC παιδιαν ελεα 15. C λογω 17. ουχ ιδου 20. ιλασμον 23. C ευξεσθαι σε ... C γεινου 24. C** εν ημερα ... C εν επιστροφη 25. μνησθ. κατα καιρον λ. εν ημεραις πλ. 27. om και 29. C ανωμβρωσαν ... *εν παροιμιαις ... C** om (vdtr) εγκρατ. ψυχης 30. μη κωλυου 31. εαν ευδοκησεις τη ... ποιησεις επιχαρμα 32. μη προσδεηθης συμβολης, C μηδε προσδεηθης συ συμβολη 33. AC δανισμου ... AC μαρσιππω XIX. 1. C ο εξουδενων 2. C τολμηρος 3. AC σηπη και σχωλ. 4. C ενπιστευων 6. ελαττον. καρδια

Digitized by Google

8 σῃς λόγον, καὶ οὐθέν σοι οὐ μὴ ἐλαττονωθῇ. [8] ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ
9 διηγοῦ, καὶ εἰ μή ἐστί σοι ἁμαρτία, μὴ ἀποκάλυπτε· [9] ἀκήκοε γάρ σου καὶ
10 ἐφυλάξατό σε, καὶ ἐν καιρῷ μισήσει σε. [10] ἀκήκοας λόγον, συναποθανέτω
11 σοι· θάρσει, οὐ μή σε ῥήξει. [11] ἀπὸ προσώπου λόγου ὠδινήσει μωρός, ὡς
12 ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα. [12] βέλος πεπηγὸς ἐν μηρῷ σαρκός, οὕτως
13 λόγος ἐν κοιλίᾳ μωροῦ. [13] ἔλεγξον φίλον, μή ποτε οὐκ ἐποίησεν, καὶ εἴ τι
14 ἐποίησε, μή ποτε προςθῇ. [14] ἔλεγξον τὸν φίλον, μή ποτε οὐκ εἶπε, καὶ εἰ
15 εἴρηκεν, ἵνα μὴ δευτερώσῃ. [15] ἔλεγξον φίλον, πολλάκις γὰρ γίνεται διαβολή,
16 καὶ μὴ παντὶ λόγῳ πίστευε. [16] ἔστιν ὀλισθαίνων καὶ οὐκ ἀπὸ ψυχῆς, καὶ τίς
17 οὐχ ἡμάρτησεν ἐν τῇ γλώσσῃ αὐτοῦ; [17] ἔλεγξον τὸν πλησίον σου πρὶν ἢ ἀπειλῆ-
20 σαι, καὶ δὸς τόπον νόμῳ ὑψίστου. [20] πᾶσα σοφία φόβος κυρίου, καὶ ἐν πάσῃ
22 σοφίᾳ ποίησις νόμου. [22] καὶ οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη, καὶ οὐκ ἔστιν
23 ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις. [23] ἔστι πονηρία καὶ αὕτη βδέλυγμα, καὶ
24 ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ. [24] κρείττων ἡττώμενος ἐν συνέσει ἔμφοβος
25 ἢ περισσεύων ἐν φρονήσει καὶ παραβαίνων νόμον. [25] ἔστι πανουργία ἀκριβὴς
26 καὶ αὕτη ἄδικος, καὶ ἔστι διαστρέφων χάριν τοῦ ἐκφᾶναι κρίμα. [26] ἔστι πο-
27 νηρευόμενος συγκεκυφὼς μελανίᾳ, καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλου· [27] συγκύ-
28 φων πρόςωπον καὶ ἑτεροκωφῶν, ὅπου οὐκ ἐπεγνώσθη προφθάσει σε· [28] καὶ
ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν, ἐὰν εὕρῃ καιρὸν κακοποιήσει.
29 [29] ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ, καὶ ἀπὸ ἀπαντήσεως προςώπου ἐπι-
30 γνωσθήσεται νοήμων· [30] στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βήματα
ἀνθρώπου ἀναγγέλλει τὰ περὶ αὐτοῦ. (20, 1.) ἔστιν ἔλεγχος ὃς οὐκ ἔστιν
ὡραῖος, καὶ ἔστι σιωπῶν καὶ αὐτὸς φρόνιμος.

## XX.

2 [2] Ὡς καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι, καὶ ὁ ἀνθομολογούμενος ἀπὸ ἐλαττώσεως
4 κωλυθήσεται. [4] ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεάνιδα, οὕτως ὁ ποιῶν ἐν
5 βίᾳ κρίματα. [5] ἔστι σιωπῶν εὑρισκόμενος σοφός, καὶ ἔστι μισητὸς ἀπὸ πολ-
6 λῆς λαλιᾶς. [6] ἔστι σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν, καὶ ἔστι σιωπῶν εἰδὼς
7 καιρόν. [7] ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ, ὁ δὲ λαπιστὴς καὶ ἄφρων
8 ὑπερβήσεται καιρόν. [8] ὁ πλεονάζων λόγῳ βδελυχθήσεται, καὶ ὁ ἐνεξουσιαζό-
9 μενος μισηθήσεται. [9] ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί, καὶ ἔστιν εὕρεμα εἰς
10 ἐλάττωσιν. [10] ἔστι δόσις ἢ οὐ λυσιτελήσει σοι, καὶ ἔστι δόσις ἧς τὸ ἀνταπό-
11 δομα διπλοῦν. [11] ἔστιν ἐλάττωσις ἕνεκεν δόξης, καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως
12 ἦρε κεφαλήν. [12] ἔστιν ἀγοράζων πολλὰ ὀλίγου καὶ ἀποτιννύων αὐτὰ ἑπτα-
13 πλάσιον. [13] ὁ σοφὸς ἐν λόγῳ ἑαυτὸν προςφιλῆ ποιήσει, χάριτες δὲ μωρῶν ἐκ-
14 χυθήσονται. [14] δόσις ἄφρονος οὐ λυσιτελήσει σοι, οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ
15 ἀνθ᾽ ἑνὸς πολλοί· [15] ὀλίγα δώσει καὶ πολλὰ ὀνειδίσει, καὶ ἀνοίξει τὸ στόμα
αὐτοῦ ὡς κήρυξ· σήμερον δανειεῖ καὶ αὔριον ἀπαιτήσει, μισητὸς ἄνθρωπος

---

7. C ουδεν ... ελαττονηθη 8. AC και εχθρω 9. C σου γαρ ... (μασησει) 10. C συναποθανειτω ... θαρση 12. C πεπηγως 13. C ελεγχον ... C και η τι ... om και ει τι usque προςθη 14. om ελεγξ. usque ειπε ... C* ελεγχον et C τον πλησιον ... AC και η ειρηκεν ... δευτερωσει 15. C* ελεγχον 16. ολισθανων ... AC ημαρτεν (17. C νομον) 20. C παρα κυριου pro φοβ. κυρ. ... AC** ποιησεις 22. AC om οπου 24. C κρισσων ... εν συνεσει pro εν φρονησει 26. πληρεις 27. C εγνωσθη 28. κακοποι. σε 29. C* και απο ορασεως 30. C βημα ... AC αναγγελει et C add σοι ... τα περι εμου (20, 1.) C σιωπων in rasura habet XX. 2. C κωλυσθησεται 4. C αποπαρθενωσεν 7. αφιων pro αφρων 8. λογον ... ο εξουσιαζομενος 9. ευωδια 11. εστιν ελαττων 12. ο αγοραζων ... αποτηννυων 13. εν λογοις ... *προςφιλην 15. δανιει κ. αυρ. αποτισει

Digitized by Google

ὁ τοιοῦτος. 16 μωρὸς ἐρεῖ Οὐχ ὑπάρχει μοι φίλος, καὶ οὐκ ἔστι χάρις τοῖς 16
ἀγαθοῖς μου· οἱ ἔσθοντες τὸν ἄρτον μου φαῦλοι γλώσσῃ. 17 ποσάκις καὶ ὅσοι 17
καταγελάσονται αὐτοῦ; 18 ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης, 18
οὕτως πτῶσις κακῶν κατὰ σπουδὴν ἥξει. 19 ἄνθρωπος ἄχαρις, μῦθος ἄκαιρος· 19
ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται. 20 ἀπὸ στόματος μωροῦ ἀποδοκι- 20
μασθήσεται παραβολή, οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς. 21 ἔστι κω- 21
λυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ οὐ κατανυγή-
σεται. 22 ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι᾽ αἰσχύνην, καὶ ἀπὸ ἄφρονος 22
προσώπου ἀπολεῖ αὐτήν. 23 ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, καὶ 23
ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν. 24 μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος, ἐν 24
στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται. 25 αἱρετὸν κλέπτης ἢ ὁ ἐνδελεχίζων 25
ψεύδει, ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν. 26 ἦθος ἀνθρώπου ψευδοῦς 26
ἀτιμία, καὶ ἡ αἰσχύνη αὐτοῦ μετ᾽ αὐτοῦ ἐνδελεχῶς. ΛΟΓΟΙ ΠΑΡΑΒΟΛΩΝ.
27 ὁ σοφὸς ἐν λόγοις προάξει ἑαυτόν, καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγι- 27
στᾶσιν· 28 ὁ ἐργαζόμενος γῆν ἀνυψώσει θημωνίαν αὐτοῦ, καὶ ὁ ἀρέσκων 28
μεγιστᾶσιν ἐξιλάσεται ἀδικίαν. 29 ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σο- 29
φῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς. 30 σοφία κεκρυμμένη 30
καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις; 31 κρείσσων ἄνθρωπος 31
ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

## XXI.

Τέκνον ἥμαρτες, μὴ προσθῇς μηκέτι, καὶ περὶ τῶν προτέρων σου δεή-
θητι. 2 ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας· ἐὰν γὰρ προσέλθῃς, 2
δήξεταί σε· ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, ἀναιροῦντες ψυχὰς ἀνθρώ-
πων. 3 ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία, τῇ πληγῇ αὐτῆς οὐκ ἔστιν ἴασις. 3
4 καταπληγμὸς καὶ ὕβρις ἐρημώσουσι πλοῦτον, οὕτως οἶκος ὑπερηφάνου ἐρη- 4
μωθήσεται. 5 δέησις πτωχοῦ ἐκ στόματος ἕως ὠτίων αὐτοῦ, καὶ τὸ κρίμα 5
αὐτοῦ κατὰ σπουδὴν ἔρχεται. 6 μισῶν ἐλεγμὸν ἐν ἴχνει ἁμαρτωλοῦ, καὶ ὁ 6
φοβούμενος κύριον ἐπιστρέψει ἐν καρδίᾳ. 7 γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν 7
γλώσσῃ, ὁ δὲ νοήμων οἶδεν ἐν τῷ ὀλισθαίνειν αὐτόν. 8 ὁ οἰκοδομῶν τὴν 8
οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις ὡς ὁ συνάγων αὐτοῦ τοὺς λίθους εἰς
χειμῶνα. 9 στυππεῖον συνηγμένον συναγωγὴ ἀνόμων, καὶ ἡ συντέλεια αὐτῶν 9
φλὸξ πυρός. 10 ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ᾽ ἐσχάτῳ αὐ- 10
τῆς βόθρος ᾅδου. 11 ὁ φυλάσσων νόμον κατακρατεῖ τοῦ ἐννοήματος αὐτοῦ, 11
καὶ συντέλεια τοῦ φόβου κυρίου σοφία. 12 οὐ παιδευθήσεται ὃς οὐκ ἔστι πανοῦρ- 12
γος· ἔστι πανουργία πληθύνουσα πικρίαν. 13 γνῶσις σοφοῦ ὡς κατακλυσμὸς 13
πληθυνθήσεται, καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς. 14 ἔγκατα μωροῦ ὡς ἀγ- 14
γεῖον συντετριμμένον, καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει. 15 λόγον σοφὸν ἐὰν 15
ἀκούσῃ ἐπιστήμων, αἰνέσει αὐτὸν καὶ ἐπ᾽ αὐτὸν προσθήσει· ἤκουσεν ὁ σπα-
ταλῶν καὶ ἀπήρεσεν αὐτῷ, καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νώτου αὐτοῦ.
16 ἐξήγησις μωροῦ ὡς ἐν ὁδῷ φορτίον, ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται 16
χάρις. 17 στόμα φρονίμου ζητηθήσεται ἐν ἐκκλησίᾳ, καὶ τοὺς λόγους αὐτοῦ 17
διανοηθήσεται ἐν καρδίᾳ. 18 ὡς οἶκος ἠφανισμένος οὕτως μωρῷ σοφία, καὶ 18
γνῶσις ἀσυνέτου ἀδιεξέταστοι λόγοι. 19 πέδαι ἐν ποσὶν ἀνοήτοις παιδεία, καὶ 19

16. om μοι 22. απολλυει pro απολει 25. om ἢ ὁ 26. ψευδος 27. προσαξει 28. θειμωνιαν ... αδικιας 89. αποτρεμει 31. κριττων XXI. 3. και τη πληγη 4. υπερηφανων 6. ελεγχον ... τον θεον 7. ολισθανειν 8. ως συναγων τους λιθους αυτου 9. στυππιον ... εισαγωγη 10. επ εσχατων 12. AC εστιν δε ... ** παιδιαν 13. C η βουλη αυτων 14. A ως αγγιον, C αγγιον omisso ως 15. οπισω των ωτων αυτου 16. C φ** ρητιον ... om χαρις 17. AC διανοηθησονται 19. C εν πασιν ... ανομια του παιδιου pro ανοη. παιδεια (C παιδια)

Digitized by Google

20 ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς. 20 μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ,
21 ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει. 21 ὡς κόσμος χρυσοῦ φρονίμῳ
22 παιδεία, καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ. 22 ποὺς μωροῦ ταχὺς εἰς οἰκίαν,
23 ἄνϑρωπος δὲ πολύπειρος αἰσχυνϑήσεται ἀπὸ προςώπου. 23 ἄφρων ἀπὸ ϑύρας
24 παρακύπτει εἰς οἰκίαν, ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται. 24 ἀπαιδευσία
25 ἀνϑρώπου ἀκροᾶσϑαι παρὰ ϑύραν, ὁ δὲ φρόνιμος βαρυνϑήσεται ἀτιμίᾳ. 25 χείλη
ἀλλοτρίων ἐν τούτοις βαρυνϑήσεται, λόγοι δὲ φρονίμων ἐν ζυγῷ σταϑήσον-
26 ται. 26 ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν, καρδία δὲ σοφῶν στόμα αὐτῶν.
27 27 ἐν τῷ καταρᾶσϑαι ἀσεβῆ τὸν σατανᾶν αὐτὸς καταρᾶται τὴν ἑαυτοῦ ψυχήν.
28 28 μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιϑυρίζων, καὶ ἐν παροικήσει μισηϑήσεται.

## XXII.

Λίϑῳ ἠρδαλωμένῳ συνεβλήϑη ὀκνηρός, καὶ πᾶς ἐκσυριεῖ ἐπὶ τῇ ἀτιμίᾳ
2 αὐτοῦ. 2 βολβίτῳ κοπρίων συνεβλήϑη ὀκνηρός, πᾶς ὁ ἀναιρούμενος αὐτὸν ἐκ-
3 τινάξει χεῖρα. 3 αἰσχύνη πατρὸς ἐν γεννήσει ἀπαιδεύτου, ϑυγάτηρ δὲ ἐπ' ἐλατ-
4 τώσει γίνεται. 4 ϑυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς, καὶ ἡ καται-
5 σχύνουσα εἰς λύπην γεννήσαντος· 5 πατέρα καὶ ἄνδρα καταισχύνει ἡ ϑρασεῖα,
6 καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασϑήσεται. 6 μουσικὰ ἐν πένϑει ἄκαιρος διήγησις,
7 μάστιγες καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας. 7 συγκολλῶν ὄστρακον ὁ διδά-
8 σκων μωρόν, ἐξεγείρων καϑεύδοντα ἐκ βαϑέως ὕπνου· 8 διηγούμενος νυστά-
11 ζοντι ὁ διηγούμενος μωρῷ, καὶ ἐπὶ συντελείᾳ ἐρεῖ Τί ἐστιν; 11 ἐπὶ νεκρῷ
κλαῦσον, ἐξέλιπε γὰρ φῶς, καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σύνεσις· ἥδιον
κλαῦσον ἐπὶ νεκρῷ ὅτι ἀνεπαύσατο, τοῦ δὲ μωροῦ ὑπὲρ ϑάνατον ἡ ζωὴ πο-
12 νηρά. 12 πένϑος νεκροῦ ἑπτὰ ἡμέραι, μωροῦ δὲ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι
13 τῆς ζωῆς αὐτοῦ. 13 μετὰ ἄφρονος μὴ πληϑύνῃς λόγον, καὶ πρὸς ἀσύνετον μὴ
πορεύου· φύλαξαι ἀπ' αὐτοῦ ἵνα μὴ κόπον ἔχῃς καὶ οὐ μὴ μολυνϑῇς ἐν τῷ
ἐντιναγμῷ αὐτοῦ· ἔκκλινον ἀπ' αὐτοῦ καὶ εὑρήσεις ἀνάπαυσιν, καὶ οὐ μὴ
14 ἀκηδιάσῃς ἐν τῇ ἀπονοίᾳ αὐτοῦ. 14 ὑπὲρ μόλυβδον τί βαρυνϑήσεται, καὶ τί
15 αὐτῷ ὄνομα ἀλλ' ἢ μωρός; 15 ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρου εὔκοπον
16 ὑπενεγκεῖν ἢ ἄνϑρωπον ἀσύνετον. 16 ἱμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδο-
μὴν ἐν συσσεισμῷ οὐ διαλυϑήσεται, οὕτως καρδία ἐστηριγμένη ἐπὶ διανοή-
17 ματος βουλῆς ἐν καιρῷ οὐ δειλιάσει. 17 καρδία ἡδρασμένη ἐπὶ διανοίας συνέ-
18 σεως ὡς κόσμος ψαμμωτὸς τοίχου ξυστοῦ. 18 χάρακες ἐπὶ μετεώρου κείμενοι
κατέναντι ἀνέμου οὐ μὴ ὑπομείνωσιν, οὕτως καρδία δειλὴ ἐπὶ διανοήματος
19 μωροῦ κατέναντι παντὸς φόβου οὐ μὴ ὑπομείνῃ. 19 ὁ νύσσων ὀφϑαλμὸν κατάξει
20 δάκρυα, καὶ ὁ νύσσων καρδίαν ἐκφαίνει αἴσϑησιν. 20 βάλλων λίϑον ἐπὶ πετεινὰ
21 ἀποσοβεῖ αὐτά, καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν. 21 ἐπὶ φίλον ἐὰν σπά-
22 σῃς ῥομφαίαν μὴ ἀπελπίσῃς, ἔστι γὰρ ἐπάνοδος· 22 ἐπὶ φίλον ἐὰν ἀνοίξῃς
στόμα, μὴ εὐλαβηϑῇς, ἔστι γὰρ διαλλαγή· πλὴν ὀνειδισμοῦ καὶ ὑπερηφανίας

---

20. AC την φωνην αυτου ... AC μηδιασει 21. AC χρυσους ... AC παιδια ... χλιδων, C* χελιδων 24. C παρα ϑυρας ... AC ατιμιαν 25. C βαρυνϑησονται 26. καρδ. δε φρονιμων 27. καταρασασϑαι ... ασεβην, C τον ασεβη ... την ψυχ. αυτου 28. C και ου εαν παροικησει XXII. 2. κοπριω ... C εκτιναξαι 5. η ϑρησκια 6. AC μαστιγ. δε και παιδια 7. βαϑεου, C βαϑεος 11. AC εξελειπεν bis (ed. rom. om εξελιπε γαρ ante φως) ... AC συνεσιν ... AC ιδιον ... του γαρ μωρου, C του μωρου ... A (item C* vdtr) om ἡ 12. αυτων 13. εντιναγματι ... κηδιασης ... C υπονοια 14. AC μολιβον (A vitiose βολιβον?) 15. σιδηρουν 16. ** ενδεδεμενη post οικοδ. pon. (*om) ... συσσισμω, C συσισμω 17. επι διανοια 18. AC χαλικες ... ου μη υπομενουσιν, C ουκ υπομινουσιν 19. οφϑαλμους

Digitized by Google

καὶ μυστηρίου ἀποκαλύψεως καὶ πληγῆς δολίας, ἐν τούτοις ἀποφεύξεται πᾶς
φίλος. 23 πίστιν κτῆσαι ἐν πτωχείᾳ μετὰ τοῦ πλησίον, ἵνα ἐν τοῖς ἀγαθοῖς 23
αὐτοῦ ὁμοῦ πλησθῇς· ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ, ἵνα ἐν τῇ κληρονο-
μίᾳ αὐτοῦ συγκληρονομήσῃς. 24 πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνός, οὕτως 24
πρὸ αἱμάτων λοιδορίαι. 25 φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι, καὶ ἀπὸ προσώ- 25
που αὐτοῦ οὐ μὴ κρυβῶ, 26 καὶ εἰ κακά μοι συμβῇ δι' αὐτόν, πᾶς ὁ ἀκούων 26
φυλάξεται ἀπ' αὐτοῦ. 27 τίς δώσει μοι ἐπὶ στόμα μου φυλακὴν καὶ ἐπὶ τῶν 27
χειλέων μου σφραγῖδα πανοῦργον, ἵνα μὴ πέσω ἀπ' αὐτῆς, καὶ ἡ γλῶσσά
μου ἀπολέσῃ με;

## XXIII.

Κύριε, πάτερ καὶ δέσποτα ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐ-
τῶν, μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς. 2 τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου 2
μάστιγας, καὶ ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας, ἵνα ἐπὶ τοῖς ἀγνοήμα-
σί μου μὴ φείσονται, καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν, 3 ὅπως μὴ 3
πληθύνωσιν αἱ ἄγνοιαί μου, καὶ αἱ ἁμαρτίαι μου πλεονάσωσι, καὶ πεσοῦμαι
ἔναντι τῶν ὑπεναντίων, καὶ ἐπιχαρεῖταί μοι ὁ ἐχθρός μου. 4 κύριε, πάτερ καὶ 4
θεὲ ζωῆς μου, μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι, 5 καὶ ἐπιθυμίαν ἀπόστρε- 5
ψον ἀπ' ἐμοῦ· 6 κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με, 6
καὶ ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με. ΠΑΙΔΕΙΑ ΣΤΟΜΑΤΟΣ. 7 παιδείαν 7
στόματος ἀκούσατε τέκνα, καὶ ὁ φυλάσσων οὐ μὴ ἁλῷ ἐν τοῖς χείλεσιν αὐ-
τοῦ· 8 καταλειφθήσεται ἁμαρτωλός, καὶ λοίδορος καὶ ὑπερήφανος σκανδα- 8
λισθήσονται ἐν αὐτοῖς. 9 ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, καὶ ὀνομασίᾳ τοῦ 9
ἁγίου μὴ συνεθισθῇς. 10 ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώ- 10
λωπος οὐκ ἐλαττωθήσεται, οὕτως καὶ ὁ ὀμνύων καὶ ὀνομάζων διὰ παντὸς
ἀπὸ ἁμαρτίας οὐ μὴ καθαρισθῇ. 11 ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, 11
καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ· ἐὰν πλημμελήσῃ, ἁμαρτία
αὐτοῦ ἐπ' αὐτῷ, κἂν ὑπερίδῃ, ἥμαρτε δισσῶς· καὶ εἰ διὰ κενῆς ὤμοσεν,
οὐ δικαιωθήσεται, πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ. 12 ἔστι λέξις 12
ἀντιπεριβεβλημένη θανάτῳ, μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ· ἀπὸ γὰρ
εὐσεβῶν ταῦτα πάντα ἀποστήσεται, καὶ ἐν ἁμαρτίαις οὐκ ἐγκυλισθήσονται.
13 ἀπαιδευσίαν ἀσυρῆ μὴ συνεθίσῃς τὸ στόμα σου· ἔστι γὰρ ἐν αὐτῇ λόγος 13
ἁμαρτίας. 14 μνήσθητι πατρὸς καὶ μητρός σου, ἀνὰ μέσον γὰρ μεγιστάνων 14
συνεδρεύεις· μή ποτ' ἐπιλάθῃ ἐνώπιον αὐτῶν, καὶ τῷ ἐθισμῷ σου μωραν-
θῇς, καὶ θελήσεις εἰ μὴ ἐγεννήθης, καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου κατα-
ράσῃ. 15 ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ ἐν πάσαις ταῖς ἡμέραις 15
αὐτοῦ οὐ μὴ παιδευθῇ. 16 δύο εἴδη πληθύνουσιν ἁμαρτίας, καὶ τὸ τρίτον 16
ἐπάξει ὀργήν· ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, οὐ μὴ σβεσθῇ ἕως ἂν κατα-
ποθῇ· ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ, οὐ μὴ παύσηται ἕως ἂν
ἐκκαύσῃ πῦρ· 17 ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς, οὐ μὴ κοπάσῃ ἕως ἂν 17
τελευτήσῃ· 18 ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλίνης αὐτοῦ, λέγων ἐν τῇ ψυχῇ 18
αὐτοῦ Τίς με ὁρᾷ; σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσι, καὶ οὐ-
θείς με ὁρᾷ, τί εὐλαβοῦμαι; τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψι-

22. πας ο φιλ. 23. ινα επι τοις αγ. αυτ. ευφρανθης συ 26. συμβεβηκεν ... πας ακουων 27. δωσει επι στοματι μου ... πανουργων XXIII. 1. πατηρ κ. θεος ζωης ... εγκαταλειπης ... και μη αφης 2. επιστηση ... παιδιας ... φισωνται 3. πληθυνθωσιν 6. αναιδη ... om παιδεια στοματος 7. παιδιαν ... εν τ. χειλ. αυτ. cum καταλειφθ. conjg. 8. αμαρτωλος c. seqq. conjg. 9. ονομασ. του υψιστου 10. και ο ονομαζων δ. παντ. το ονομα κυριου απο αμαρτ. 11. υπερειδη 14. πατρος σου ... μη ποτε ... om καταραση 16. πληθυνωσιν ... ed. rom. καταποθη c. seqq. conjg. 18. ανθρωπ. πορνος παραβ. α. τ. κοιτης αυτου ... λεγων τη ... τινα ευλαβουμαι

Digitized by Google

19 στος· 19 καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ, καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ
κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων
20 καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη. 20 πρὶν ἢ κτισθῆναι τὰ πάντα ἔγνωσται
21 αὐτῷ, οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι. 21 οὗτος ἐν πλατείαις πόλεως ἐκ-
22 δικηθήσεται, καὶ οὗ οὐχ ὑπενόησε πιασθήσεται. 22 οὕτως καὶ γυνὴ κατα-
23 λιποῦσα τὸν ἄνδρα καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου· 23 πρῶτον μὲν
γὰρ ἐν νόμῳ ὑψίστου ἠπείθησε, καὶ δεύτερον εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέλησε,
καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη, ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέστησεν·
24 24 αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται, καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται·
25 25 οὐ διαδώσουσι τὰ τέκνα αὐτῆς εἰς ῥίζαν, καὶ οἱ κλάδοι αὐτῆς οὐ δώσουσι
26 καρπόν· 26 καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς, καὶ τὸ ὄνειδος αὐ-
27 τῆς οὐκ ἐξαλειφθήσεται· 27 καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες ὅτι οὐθὲν
κρεῖττον φόβου κυρίου, καὶ οὐθὲν γλυκύτερον τοῦ προςέχειν ἐντολαῖς κυρίου.

## XXIV.
## ΑΙΝΕΣΙΣ ΣΟΦΙΑΣ.

Ἡ σοφία αἰνέσει ψυχὴν αὐτῆς, καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυχήσεται.
2 2 ἐν ἐκκλησίᾳ ὑψίστου στόμα αὐτῆς ἀνοίξει, καὶ ἔναντι δυνάμεως αὐτοῦ καυ-
3 χήσεται 3 Ἐγὼ ἀπὸ στόματος ὑψίστου ἐξῆλθον, καὶ ὡς ὁμίχλη κατεκάλυψα
4 γῆν· 4 ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα, καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης·
5 6 5 γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη, καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα· 6 ἐν
κύμασι θαλάσσης καὶ ἐν πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησά-
7 μην· 7 μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα, καὶ ἐν κληρονομίᾳ τίνος αὐ-
8 λισθήσομαι. 8 τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων, καὶ ὁ κτίσας με κατέ-
παυσε τὴν σκηνήν μου καὶ εἶπεν Ἐν Ἰακὼβ κατασκήνωσον, καὶ ἐν Ἰσραὴλ
9 κατακληρονομήθητι. 9 πρὸ τοῦ αἰῶνος ἀπ' ἀρχῆς ἔκτισέ με, καὶ ἕως αἰῶνος
10 οὐ μὴ ἐκλίπω. 10 ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα, καὶ οὕτως ἐν
11 Σιὼν ἐστηρίχθην· 11 ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσε, καὶ ἐν Ἱε-
12 ρουσαλὴμ ἡ ἐξουσία μου· 12 καὶ ἐρρίζωσα ἐν λαῷ δεδοξασμένῳ, ἐν μερίδι
13 κυρίου κληρονομίας αὐτοῦ. 13 ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ, καὶ ὡς
14 κυπάρισσος ἐν ὄρεσιν Ἀερμών· 14 ὡς φοίνιξ ἀνυψώθην ἐν αἰγιαλοῖς, καὶ ὡς
φυτὰ ῥόδου ἐν Ἱεριχώ· ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ, καὶ ἀνυψώθην ὡς
15 πλάτανος. 15 ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμήν, καὶ
ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν, ὡς χαλβάνη καὶ ὄνυξ καὶ στακτή, καὶ
16 ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ. 16 ἐγὼ ὡς τερέμινθος ἐξέτεινα κλάδους μου, καὶ
17 οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος. 17 ἐγὼ ὡς ἄμπελος βλαστήσασα
19 χάριν, καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλούτου. 19 προςέλθετε πρός με
20 οἱ ἐπιθυμοῦντές μου, καὶ ἀπὸ τῶν γεννημάτων μου ἐμπλήσθητε· 20 τὸ γὰρ
μνημόσυνόν μου ὑπὲρ μέλι γλυκύ, καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηροῦ.
21 22 21 οἱ ἐσθίοντές με ἔτι πεινάσουσι, καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν· 22 ὁ
ὑπακούων μου οὐκ αἰσχυνθήσεται, καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτή-
23 σουσιν. 23 ταῦτα πάντα βίβλος διαθήκης θεοῦ ὑψίστου, νόμον ὃν ἐνετείλατο

---

19. κατανοουντες αποκρυφα 20. τελεσθηναι 21. και ος ουχ υπεν. κολασθησεται 22. καταλειπουσα 23. υψιστω ... ανδρα αυτης ... και εξ αλλοτρ. 25. ουχ οισουσιν καρπον 26. καταλειψις XXIV. σοφιας αινεσις 1. εμμεσω ... καυχησονται 3. ομιχλην 7. εζητησα αναπαυσιν ... ed. rom. τινός 8. om Εν ... κληρονομηθητι 9. απαρχην ... εως αιωνων ... εκλειπω 10. ελειτουργουν 11. εξουσιαν μου 13. εν ορει 14. και ως ελαια 15. δεδωκα pro διεδωκα ... και ως χαρβανη 16. εγω δε ως τερεβινθος 17. εβλαστησα 19. προσελθατε ... γενηματων 20. υπερ το μελι το γλυκυ ... μελιτος και κηριου 21. εσθοντες 23. ενετειλατο ημιν

Digitized by Google

Μωυσῆς, κληρονομίαν συναγωγαῖς Ἰακώβ· [25] ὁ πιμπλῶν ὡς Φεισῶν σοφίαν, 25
καὶ ὡς Τίγρις ἐν ἡμέραις νέων· [26] ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν, καὶ 26
ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ· [27] ὁ ἐκφαίνων ὡς φῶς παιδείαν, ὡς Γηῶν 27
ἐν ἡμέραις τρυγητοῦ. [28] οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτήν, καὶ οὕτως ὁ 28
ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν· [29] ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα 29
αὐτῆς, καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης. [30] κἀγὼ ὡς διῶρυξ ἀπὸ 30
ποταμοῦ, καὶ ὡς ὑγραγωγὸς ἐξῆλθον εἰς παράδεισον· [31] εἶπα Ποτιῶ μου τὸν 31
κῆπον, καὶ μεθύσω μου τὴν πρασιάν· καὶ ἰδοὺ ἐγένετό μοι ἡ διῶρυξ εἰς
ποταμόν, καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν. [32] ἔτι παιδείαν ὡς ὄρθρον 32
φωτιῶ, καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν· [33] ἔτι διδασκαλίαν ὡς προφητείαν 33
ἐκχεῶ, καὶ καταλείψω αὐτὴν εἰς γενεὰς αἰώνων. [34] ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ 34
ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ἐκζητοῦσιν αὐτήν.

## XXV.

Ἐν τρισὶν ὡραΐσθην καὶ ἀνέστην ὡραία ἔναντι κυρίου καὶ ἀνθρώπων·
ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον, καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμ-
περιφερόμενοι. [2] τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου καὶ προσώχθισα σφόδρα 2
τῇ ζωῇ αὐτῶν· πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην, γέροντα μοιχὸν
ἐλαττούμενον συνέσει. [3] ἐν νεότητι οὐ συναγήοχας, καὶ πῶς ἂν εὕροις ἐν τῷ 3
γήρᾳ σου; [4] ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν· 4
[5] ὡς ὡραία γερόντων σοφία, καὶ δεδοξασμένοις διανόημα καὶ βουλή· [6] στέ- 5 6
φανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν φόβος κυρίου. [7] ἐννέα 7
ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ, καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης· ἄν-
θρωπος εὐφραινόμενος ἐπὶ τέκνοις, ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν·
[8] μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ, καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν, καὶ 8
ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ αὐτοῦ· [9] μακάριος ὃς εὗρε φρόνησιν, καὶ ὁ διηγού- 9
μενος εἰς ὦτα ἀκουόντων· [10] ὡς μέγας ὁ εὑρὼν σοφίαν, ἀλλ᾽ οὐκ ἔστιν ὑπὲρ 10
τὸν φοβούμενον τὸν κύριον· [11] φόβος κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν, ὁ κρατῶν 11
αὐτοῦ τίνι ὁμοιωθήσεται; [13] πᾶσαν πληγήν, καὶ μὴ πληγὴν καρδίας· καὶ πᾶσαν 13
πονηρίαν, καὶ μὴ πονηρίαν γυναικός· [14] πᾶσαν ἐπαγωγήν, καὶ μὴ ἐπαγωγὴν 14
μισούντων· καὶ πᾶσαν ἐκδίκησιν, καὶ μὴ ἐκδίκησιν ἐχθρῶν. [15] οὐκ ἔστι κε- 15
φαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ. [16] συνοι- 16
κῆσαι λέοντι καὶ δράκοντι εὐδοκήσω ἢ ἐνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.
[17] πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς, καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς 17
ὡς σάκκον· [18] ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς, καὶ 18
ἀκούσας ἀνεστέναξε πικρά. [19] μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός, κλῆρος 19
ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ. [20] ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρου, οὕτως 20
γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ. [21] μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικός, καὶ 21
γυναῖκα μὴ ἐπιποθήσῃς. [22] ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη γυνὴ ἐὰν 22
ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς. [23] καρδία ταπεινὴ καὶ πρόσωπον σκυθρωπὸν καὶ 23
πληγὴ καρδίας γυνὴ πονηρά· χεῖρες παρειμέναι καὶ γόνατα παραλελυμένα,
ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς. [24] ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι᾽ 24
αὐτὴν ἀποθνήσκομεν πάντες. [25] μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ 25
ἐξουσίαν· [26] εἰ μὴ πορεύεται κατὰ χεῖρά σου, ἀπὸ τῶν σαρκῶν σου ἀπό- 26
τεμε αὐτήν.

---

25. ο πιπλων ως φισων 27. παιδιαν 29. διανοηματα ... η βουλ. αυτου 31. ποτισω ... εγενετο μου η 32. παιδιαν ... εμφαινω 33. προφητιαν ... γενεαν XXV. 3. α εν νεοτητι ου συναγειοχας 7. εν τη καρδια μου ... απο γλωσσης 8. αναξιω εαυτου 14. και πασ. επαγωγ. 16. ευδοκησε η συνοικησαι 17. ως αρκος 21. και γυναικα εν καλλει 25. παρρησιαν pro εξουσιαν

Digitized by Google

## XXVI.

Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ, καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ δι-
2 πλάσιος. [2] γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ἔτη αὐτοῦ πληρώσει
3 ἐν εἰρήνῃ. [3] γυνὴ ἀγαθὴ μερὶς ἀγαθή, ἐν μερίδι φοβουμένων κύριον δοθή-
4 σεται. [4] πλουσίου δὲ καὶ πτωχοῦ καρδία ἀγαθή, ἐν παντὶ καιρῷ πρόςωπον
5 ἱλαρόν. [5] ἀπὸ τριῶν εὐλαβήθη ἡ καρδία μου, καὶ ἐπὶ τῷ τετάρτῳ προςώπῳ
ἐδεήθην· διαβολὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλου, καὶ καταψευσμόν, ὑπὲρ θά-
6 νατον πάντα μοχθηρά· [6] ἄλγος καρδίας καὶ πένθος γυνὴ ἀντίζηλος ἐπὶ γυ-
7 ναικί, καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα. [7] βοοζύγιον σαλευόμενον γυνὴ
8 πονηρά, ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου. [8] ὀργὴ μεγάλη γυνὴ
9 μέθυσος, καὶ ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύψει. [9] πορνεία γυναικὸς ἐν με-
10 τεωρισμοῖς ὀφθαλμῶν, καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται. [10] ἐπὶ θυ-
γατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται·
11 [11] ὀπίσω ἀναιδοῦς ὀφθαλμοῦ φύλαξαι, καὶ μὴ θαυμάσῃς ἐὰν εἰς σὲ πλημ-
12 μελήσῃ· [12] ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίγει, καὶ ἀπὸ παντὸς ὕδατος
τοῦ σύνεγγυς πίεται, κατέναντι παντὸς πασσάλου καθήσεται, καὶ ἔναντι βέλους
13 ἀνοίξει φαρέτραν. [13] χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ὀστᾶ
14 αὐτοῦ πιανεῖ ἡ ἐπιστήμη αὐτῆς. [14] δόσις κυρίου γυνὴ σιγηρά, καὶ οὐκ ἔστιν
15 ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς· [15] χάρις ἐπὶ χάριτι γυνὴ αἰσχυντηρά, καὶ
16 οὐκ ἔστι σταθμὸς πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς. [16] ἥλιος ἀνατέλλων ἐν ὑψίστοις
17 κυρίου, καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτοῦ· [17] λύχνος ἐκλάμ-
18 πων ἐπὶ λυχνίας ἁγίας, καὶ κάλλος προςώπου ἐπὶ ἡλικίᾳ στασίμῃ· [18] στῦλοι
28 χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς, καὶ πόδες ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς. [28] ἐπὶ
δυσὶ λελύπηται ἡ καρδία μου, καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν· ἀνὴρ
πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν, καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν,
ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν· ὁ κύριος ἑτοιμάσει εἰς ῥομφαίαν
29 αὐτόν. [29] μόλις ἐξελεῖται ἔμπορος ἀπὸ πλημμελείας, καὶ οὐ δικαιωθήσεται
κάπηλος ἀπὸ ἁμαρτίας.

## XXVII.

Χάριν ἀδιαφόρου πολλοὶ ἥμαρτον, καὶ ὁ ζητῶν πληθῦναι ἀποστρέψει
2 ὀφθαλμόν. [2] ἀνὰ μέσον ἁρμῶν λίθων παγήσεται πάσσαλος, καὶ ἀνὰ μέσον
3 πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται ἁμαρτία. [3] ἐὰν μὴ ἐν φόβῳ κυρίου
4 κρατήσῃ κατὰ σπουδήν, ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος. [4] ἐν σεί-
σματι κοσκίνου διαμένει κοπρία, οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.
5 [5] σκεύη κεραμέως δοκιμάζει κάμινος, καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμῷ
6 αὐτοῦ. [6] γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς αὐτοῦ, οὕτως λόγος ἐνθυμήματος
7 καρδίας ἀνθρώπου. [7] πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα, οὗτος γὰρ πειρασμὸς
8 ἀνθρώπων. [8] ἐὰν διώκῃς τὸ δίκαιον, καταλήψῃ, καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη
9 δόξης. [9] πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει, καὶ ἀλήθεια πρὸς τοὺς
10 ἐργαζομένους αὐτὴν ἐπανήξει. [10] λέων θήραν ἐνεδρεύει, οὕτως ἁμαρτίαι ἐρ-
11 γαζομένους ἄδικα. [11] διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία, ὁ δὲ ἄφρων ὡς
12 σελήνη ἀλλοιοῦται. [12] εἰς μέσον ἀσυνέτων συντήρησον καιρόν, εἰς μέσον δὲ
13 διανοουμένων ἐνδελέχιζε. [13] διήγησις μωρῶν προσόχθισμα, καὶ ὁ γέλως αὐτῶν

---

XXVI. 1. και ο αριθμος ... διπλασιον 2. ανδρια 3. τον κυριον 5. ηυλαβηθη καρδια μου ... προςωπ. εφοβηθην ... ed. rom. υπ. θαν. c. καταψ. conjg. 7. ως δρασσομενος 8. ου μη συγκαλυψει 11. πλημμελησει 12. ανοιξει 13. τερψει ανδρα 16. οικιας αυτης 18. χρυσεως XXVII. (4. ανθρωπους) 5. δοκειμασει ... εν λογισμω 6. καρδια 7. μη επαινει 8. καταλημψη 9. ομοια αυτων 10. αμαρτια 11. διηγησ. σοφου δια 13. προςωχθισμα

Digitized by Google

ἐν σπατάλῃ ἁμαρτίας. [14] λαλιὰ πολυόρκου ὀρθώσει τρίχας, καὶ ἡ μάχη αὐτῶν 14
ἐμφραγμὸς ὠτίων. [15] ἔκχυσις αἵματος μάχη ὑπερηφάνων, καὶ ἡ διαλοιδόρη- 15
σις αὐτῶν ἀκοὴ μοχθηρά. [16] ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε πίστιν, καὶ 16
οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ. [17] στέρξον φίλον καὶ πιστώθητι 17
μετ' αὐτοῦ· ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ, οὐ μὴ καταδιώξῃς
ὀπίσω αὐτοῦ. [18] καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν ἐχθρὸν αὐτοῦ, οὕτως 18
ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίου· [19] καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπέλυ- 19
σας, οὕτως ἀφῆκας τὸν πλησίον, καὶ οὐ θηρεύσεις αὐτόν· [20] μὴ αὐτὸν διώ- 20
ξῃς, ὅτι μακρὰν ἀπέστη, καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος. [21] ὅτι θραῦμά 21
ἐστι καταδῆσαι, καὶ λοιδορίας ἐστὶ διαλλαγή· ὁ δὲ ἀποκαλύψας μυστήρια
ἀπήλπισεν. [22] διανεύων ὀφθαλμῷ τεκταίνει κακά, καὶ οὐδεὶς αὐτὸν ἀποστήσει 22
ἀπ' αὐτοῦ· [23] ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ στόμα σου καὶ ἐπὶ τῶν 23
λόγων σου ἐκθαυμάσει, ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ καὶ ἐν τοῖς
λόγοις σου δώσει σκάνδαλον· [24] πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ, καὶ 24
ὁ κύριος μισήσει αὐτόν. [25] ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει, 25
καὶ πληγὴ δολία διελεῖ τραύματα. [26] ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, 26
καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται· [27] ὁ ποιῶν πονηρὰ εἰς αὐτὸν κυλι- 27
σθήσεται, καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ. [28] ἐμπαιγμὸς καὶ ὀνειδισμὸς 28
ὑπερηφάνων, καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν. [29] παγίδι ἁλώσονται 29
οἱ εὐφραινόμενοι πτώσει εὐσεβῶν, καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ
θανάτου αὐτῶν. [30] μῆνις καὶ ὀργὴ καὶ ταῦτά ἐστι βδελύγματα, καὶ ἀνὴρ 30
ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

## XXVIII.

Ὁ ἐκδικῶν παρὰ κυρίου εὑρήσει ἐκδίκησιν, καὶ τὰς ἁμαρτίας αὐτοῦ δια-
*Mt. 6, τηρῶν διατηρήσει. [2] ἄφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε δεηθέντος σου 2
12. αἱ ἁμαρτίαι σου λυθήσονται. [3] ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, καὶ παρὰ 3
κυρίου ζητεῖ ἴασιν; [4] ἐπ' ἄνθρωπον ὅμοιον αὐτῷ οὐκ ἔχει ἔλεος, καὶ περὶ 4
τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται; [5] αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, τίς ἐξιλάσεται 5
τὰς ἁμαρτίας αὐτοῦ; [6] μνήσθητι τὰ ἔσχατα, καὶ παῦσαι ἐχθραίνων, κατα- 6
φθορὰν καὶ θάνατον, καὶ ἔμμενε ἐντολαῖς. [7] μνήσθητι ἐντολῶν, καὶ μὴ μη- 7
νίσῃς τῷ πλησίον, καὶ διαθήκην ὑψίστου, καὶ πάριδε ἄγνοιαν. [8] ἀπόσχου ἀπὸ 8
μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας· ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην,
[9] καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀνὰ μέσον εἰρηνευόντων ἐμβάλλει 9
διαβολήν. [10] κατὰ τὴν ὕλην πυρὸς οὕτως ἐκκαυθήσεται, κατὰ τὴν ἰσχὺν τοῦ 10
ἀνθρώπου ὁ θυμὸς αὐτοῦ ἔσται, καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ,
καὶ κατὰ τὴν στερέωσιν τῆς μάχης ἐκκαυθήσεται. [11] ἔρις κατασπευδομένη 11
ἐκκαίει πῦρ, καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα. [12] ἐὰν φυσήσῃς σπιν- 12
θῆρα ἐκκαήσεται, καὶ ἐὰν πτύσῃς ἐπ' αὐτὸν σβεσθήσεται, καὶ ἀμφότερα ἐκ

---

14. ed. rom. πολιορχου ... ανωρθωσει (sic) ... ενφραγμος 17. om ου 18. του πλησιον 19. C ουτως απελυσας τον πλ. κ. ουχ ευρησις α. 21. AC τραυμα ... C μυστηριον ... AC αφηλπισεν 22. και εννευων, C ο διανευων ... AC αυτα αποστησει et A pergit απ αυτων 23. AC γλυκανει το στομα αυτου 24. ωμοιωσα αυτοις ... εμισει αυτον, C μισει αυτ. 25. om ὁ ... * ελει τραυμ. 27. εις αυτα ... C om usque κυλ. 29. C θαν. αυτου 30. C εγκρατησεται αυτων XXVIII. 1. AC διαστηριων διαστηρισει (C -ρησει) 3. 4. ed. rom. bis in fine punctum pon. 7. AC παρειδε 9. C * om κ. αν. αμαρτ. ταραξ. (C** κακοι pro ταραξ.) φιλους ... εμβαλει, C εκβαλλει 10. AC και κατα τ. στερεωσ. τ. μ. εκκ. post ουτως εκκαυθησ. pon. ... C** (κατα τ. ισχ. usque εκκαιει πυρ v. seq. rescripta) om εσται 12. AC εις σπινθηρα ... C εαν πτυσις ... AC εις αυτον ... εξελευσεται, C εξελευσονται

Digitized by Google

13 τοῦ στόματός σου ἐκπορεύεται. [13]ψίθυρον καὶ δίγλωσσον καταρᾶσθαι, πολ-
14 λοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσαν. [14]γλῶσσα τρίτη πολλοὺς ἐσάλευσε καὶ
διέστησεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος, καὶ πόλεις ὀχυρὰς καθεῖλε, καὶ οἰ-
15 κίας μεγιστάνων κατέστρεψε. [15]γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλε,
16 καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν· [16]ὁ προσέχων αὐτῇ οὐ μὴ εὕρῃ
17 ἀνάπαυσιν, οὐδὲ κατασκηνώσει μεθ' ἡσυχίας. [17]πληγὴ μάστιγος ποιεῖ μώ-
18 λωπας, πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ. [18]πολλοὶ ἔπεσαν ἐν στόματι μα-
19 χαίρας, καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν. [19]μακάριος ὁ σκεπασθεὶς
ἀπ' αὐτῆς, ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς, ὃς οὐχ εἵλκυσε τὸν ζυγὸν
20 αὐτῆς, καὶ ἐν τοῖς δεσμοῖς αὐτῆς οὐκ ἐδέθη· [20]ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς
21 σιδηροῦς, καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκεοι· [21]θάνατος πονηρὸς ὁ θάνα-
22 τος αὐτῆς, καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς. [22]οὐ μὴ κρατήσῃ εὐσεβῶν,
23 καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται· [23]οἱ καταλείποντες κύριον ἐμπεσοῦν-
ται εἰς αὐτήν, καὶ ἐν αὐτοῖς ἐκκαήσεται καὶ οὐ μὴ σβεσθῇ· ἐξαποσταλήσεται
24 ἐπ' αὐτοῖς ὡς λέων, καὶ ὡς πάρδαλις λυμανεῖται αὐτούς. [24]ἴδε περίφραξον
25 τὸ κτῆμά σου ἀκάνθαις, τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον κατάδησον· [25]καὶ
τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ σταθμόν, καὶ τῷ στόματί σου ποίησον
26 θύραν καὶ μοχλόν· [26]πρόςεχε μή πως ὀλισθήσῃς ἐν αὐτῇ, μὴ πέσῃς κατέναντι
ἐνεδρεύοντος.

## XXIX.

Ὁ ποιῶν ἔλεος δανειεῖ τῷ πλησίον, καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ
2 ἐντολάς. [2]δάνεισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ, καὶ πάλιν ἀπόδος τῷ
3 πλησίον εἰς τὸν καιρόν· [3]στερέωσον λόγον καὶ πιστώθητι μετ' αὐτοῦ, καὶ ἐν
4 παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου. [4]πολλοὶ ὡς εὕρεμα ἐνόμισαν δάνος,
5 καὶ παρέσχον πόνον τοῖς βοηθήσασιν αὐτοῖς· [5]ἕως οὗ λάβῃ καταφιλήσει
χεῖρα αὐτοῦ, καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν· καὶ ἐν
καιρῷ ἀποδόσεως παρελκύσει χρόνον, καὶ ἀποδώσει λόγους ἀκηδίας καὶ τὸν
6 καιρὸν αἰτιάσεται. [6]ἐὰν ἰσχύσῃ, μόλις κομίσεται τὸ ἥμισυ καὶ λογιεῖται αὐτὸ
ὡς εὕρεμα· εἰ δὲ μή, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ, καὶ ἐκτήσατο
αὐτὸν ἐχθρὸν δωρεάν· κατάρας καὶ λοιδορίας ἀποδώσει αὐτῷ, καὶ ἀντὶ δόξης
7 ἀποδώσει αὐτῷ ἀτιμίαν. [7]πολλοὶ χάριν πονηρίας ἀπέστρεψαν, ἀποστερηθῆναι
8 δωρεὰν εὐλαβήθησαν. [8]πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπ' ἐλεημοσύνην
9 μὴ παρελκύσῃς αὐτόν· [9]χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος, καὶ κατὰ τὴν ἔν-
10 δειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν. [10]ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν
11 καὶ φίλον, καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν· [11]θὲς τὸν θησαυρόν
12 σου κατ' ἐντολὰς ὑψίστου, καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον. [12]σύγ-
κλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης
13 κακώσεως· [13]ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ἀλκῆς κατέναντι ἐχθροῦ
14 πολεμήσει ὑπὲρ σοῦ. [14]ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, καὶ ὁ ἀπολω-
15 λεκὼς αἰσχύνην καταλείψει αὐτόν. [15]χάριτας ἐγγύου μὴ ἐπιλάθῃ, ἔδωκε
16 17 γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ. [16]ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός, [17]καὶ
18 ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον. [18]ἐγγύη πολλοὺς ἀπώλεσε
κατευθύνοντας, καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης· ἄνδρας δυνατοὺς

---

13. AC καταρασασθε (C -σθαι) ... απωλεσεν (15. εστερεσαν) 17. AC μωλωπα 18. C ρομφαιας ... ο πεπτωκως 19. C ουκ ειλκ. ... AC και τοις θεσμοις 20. C χαλκοι 22. AC ου μη καησονται 23. C οι καταλ. θεον εμπεσειται (sic) ... AC επαποσταλησεται αυτοις 24. C χρυσιον σου 26. ολισθης XXIX. 1. δανιει ... ποιει εντολας 2. δανισον ... εις καιρον 4. παρεσχ. κοπον 5. χειρας 6. κομιειται 7. πολλοι ουν 8. επι ελεημοσυνη 10. δια αδελφον 11. ˙η χρυσιον 12. ταμιειοις 13. ολκης 14. ενκαταλειψει

Digitized by Google

ἀπῴκισε, καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις. 19 ἁμαρτωλὸς ἐμπεσὼν εἰς 19
ἐγγύην καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσεις. 20 ἀντιλαβοῦ τοῦ πλη- 20
σίον κατὰ δύναμίν σου, καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς. 21 ἀρχὴ ζωῆς ὕδωρ 21
καὶ ἄρτος καὶ ἱμάτιον καὶ οἶκος καλύπτων ἀσχημοσύνην. 22 κρείσσων βίος 22
πτωχοῦ ὑπὸ σκέπην δοκῶν ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις. 23 ἐπὶ μικρῷ 23
καὶ μεγάλῳ εὐδοκίαν ἔχε. 24 ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροι- 24
κήσει οὐκ ἀνοίξει στόμα· 25 ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ἐπὶ 25
τούτοις πικρὰ ἀκούσῃ 26 Πάρελθε πάροικε κόσμησον τράπεζαν, καὶ εἴ τι ἐν 26
τῇ χειρί σου ψώμισόν με· 27 Ἔξελθε πάροικε ἀπὸ προσώπου δόξης, ἐπεξέ- 27
νωταί μοι ὁ ἀδελφός, χρεία τῆς οἰκίας. 28 βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι 28
φρόνησιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

## XXX.

### ΠΕΡΙ ΤΕΚΝΩΝ.

Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ, ἵνα εὐφρανθῇ
ἐπ' ἐσχάτῳ αὐτοῦ. 2 ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ, καὶ ἀνὰ 2
μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται· 3 ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παρα- 3
ζηλώσει τὸν ἐχθρόν, καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται. 4 ἐτελεύτησεν 4
αὐτοῦ ὁ πατήρ, καὶ ὡς οὐκ ἀπέθανεν, ὅμοιον γὰρ αὐτῷ κατέλιπε μετ' αὐτόν.
5 ἐν τῇ ζωῇ αὐτοῦ εἶδε καὶ εὐφράνθη, καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυ- 5
πήθη· 6 ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον, καὶ τοῖς φίλοις ἀνταποδιδόντα 6
χάριν. 7 περιψύχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ, καὶ ἐπὶ πάσῃ βοῇ 7
ταραχθήσεται σπλάγχνα αὐτοῦ. 8 ἵππος ἀδάμαστος ἀποβαίνει σκληρός, καὶ 8
υἱὸς ἀνειμένος ἐκβαίνει προαλής. 9 τιθήνησον τέκνον καὶ ἐκθαμβήσει σε, 9
σύμπαιξον αὐτῷ καὶ λυπήσει σε. 10 μὴ συγγελάσῃς αὐτῷ ἵνα μὴ συνοδυ- 10
νηθῇς, καὶ ἐπ' ἐσχάτῳ γομφιάσεις τοὺς ὀδόντας σου. 11 μὴ δῷς αὐτῷ ἐξου- 11
σίαν ἐν νεότητι· 12 θλάσον τὰς πλευρὰς αὐτοῦ ὡς ἔστι νήπιος, μή ποτε 12
σκληρυνθεὶς ἀπειθήσῃ σοι. 13 παίδευσον τὸν υἱόν σου καὶ ἔργασαι ἐν αὐτῷ, 13
ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ σου προσκόψῃ· 11 καὶ μὴ παρίδῃς τὰς ἀγνοίας 11
αὐτοῦ, 12 κάμψον τὸν τράχηλον αὐτοῦ ἐν νεότητι. ΠΕΡΙ ΥΓΙΕΙΑΣ. 14 χρείσ- 12 14
σων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα
αὐτοῦ. 15 ὑγίεια καὶ εὐεξία βέλτιον παντὸς χρυσίου, καὶ σῶμα εὔρωστον ἢ 15
ὄλβος ἀμέτρητος. 16 οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος, καὶ οὐκ 16
ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας. 17 κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν 17
ἢ ἀρρώστημα ἔμμονον. 18 ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ, θέ- 18
ματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ· 19 τί συμφέρει κάρπωσις εἰδώλῳ; 19
οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ· οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ κυρίου,
20 βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων ὥσπερ εὐνοῦχος περιλαμβάνων παρ- 20
θένον καὶ στενάζων. 21 μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου, καὶ μὴ θλίψῃς 21
σεαυτὸν ἐν βουλῇ σου. 22 εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου, καὶ ἀγαλλίαμα 22

---

19. εμπεσειται pro εμπεσων 21. **ζωης ανθρωπου αρτος κ. υδωρ (*om vdtr ανθρωπ.) 24. παροικησεις ουκ ανοιξεις 25. om εις (26. παρελθεν) 28. δανιστου XXX. 4. και ουκ ως απεθανεν ... κατελειπεν μεθ αυτον 5. ιδεν κ. ηυφρανθη 6. κατελειπεν 8. AC εκβαινει pro αποβαινει 9. ed. rom. συμπαιζον, item C συμπεζον 10. AC επ εσχατων ... *om σου 12. εως ... AC απιθησι 13. C ως εστιν νηπιος pro και εργασαι εν αυτω ... AC ασχημ. αυτου προσκοψης 11. 12. AC hos versus om ... AC om etiam περι υγιειας, sed A ante Ουκ εστιν v. 16. in ora adscriptum habet **περι υγιας, in C vero quae ante Ουκ εστιν minio scripta erant (περι χρηματων? περι βρωματος? περι υγιειας?) evanuerunt. 15. ed. rom. υιγεια, item v. 16. υιγειας ... C ευξεια ... AC βελτιων 16. χαριν καρδ. 17. AC ενμονον



Digitized by Google

23 ἀνδρὸς μακροημέρευσις. 23 ἀγάπα τὴν ψυχήν σου καὶ παρακάλει τὴν καρ-
δίαν σου, καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ· πολλοὺς γὰρ ἀπέκτεινεν
24 ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ. 24 ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν
25 ἡμέρας, καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα. 25 (33, 17.) ὡς καλαμώμενος
ὀπίσω τρυγητῶν ἐν εὐλογίᾳ κυρίου ἔφθασα, καὶ ὡς τρυγῶν ἐπλήρωσα λη-
26 (18) νόν. 26 κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ζη-
27 (19) τοῦσι παιδείαν. 27 ἀκούσατέ μου μεγιστᾶνες λαοῦ, καὶ οἱ ἡγούμενοι ἐκ-
28 (20) κλησίας ἐνωτίσασθε. 28 υἱῷ καὶ γυναικί, ἀδελφῷ καὶ φίλῳ μὴ δῷς
ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου, καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου, ἵνα μὴ
29 (21) μεταμεληθεὶς δέῃ περὶ αὐτῶν. 29 ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοί, μὴ ἀλ-
30 (22) λάξῃς σεαυτὸν πάσῃ σαρκί. 30 κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σου
31 (23) ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου. 31 ἐν πᾶσι τοῖς ἔργοις σου γίνου
32 (24) ὑπεράγων, μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου. 32 ἐν ἡμέρᾳ συντελείας ἡμε-
ρῶν ζωῆς σου καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν. ΠΕΡΙ ΔΟΥΛΩΝ.
33 (25) 33 χορτάσματα καὶ ῥάβδος καὶ φορτία ὄνῳ, ἄρτος καὶ παιδεία καὶ ἔργον
34 (26) οἰκέτῃ. 34 ἔργασαι ἐν παιδί, καὶ εὑρήσεις ἀνάπαυσιν· ἄνες χεῖρας αὐτῷ,
35 (27) καὶ ζητήσει ἐλευθερίαν. 35 ζυγὸς καὶ ἱμὰς κάμψουσι τράχηλον, καὶ οἰκέτῃ
36 (28) κακούργῳ στρέβλαι καὶ βάσανοι· 36 ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ
37 38 (29. 30) ἀργῇ, 37 πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία· 38 εἰς ἔργα κατάστησον
καθὼς πρέπει αὐτῷ, κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ. καὶ μὴ
39 (31) περισσεύσῃς ἐν πάσῃ σαρκί, καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν. 39 εἰ
ἔστι σοι οἰκέτης, ἔστω ὡς σύ, ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν· εἰ ἔστι σοι
οἰκέτης, ἄγε αὐτὸν ὡς σεαυτόν, ὅτι ὡς ἡ ψυχή σου ἐπιδεήσεις αὐτοῦ·
40 (32) 40 ἐὰν κακώσῃς αὐτὸν καὶ ἀπάρας ἀποδρᾷ, ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

## XXXI. (XXXIV.)

Κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί, καὶ ἐνύπνια ἀναπτεροῦσιν
2 ἄφρονας. 2 ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον, οὕτως ὁ ἐπέχων ἐνυ-
3 πνίοις· 3 τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων, κατέναντι προσώπου ὁμοίωμα
4 προσώπου. 4 ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται; καὶ ἀπὸ ψευδοῦς τί ἀλη-
5 θεύσει; 5 μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστι, καὶ ὡς ὠδινούσης
6 φαντάζεται καρδία· 6 ἐὰν μὴ παρὰ ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ, μὴ δῷς
7 εἰς αὐτὰ τὴν καρδίαν σου· 7 πολλοὺς ἐπλάνησε τὰ ἐνύπνια, καὶ ἐξέπεσον ἐλ-
8 πίζοντες ἐπ' αὐτοῖς. 8 ἄνευ ψεύδους συντελεσθήσεται νόμος, καὶ σοφία στό-
9 ματι πιστῷ τελείωσις. 9 ἀνὴρ πεπαιδευμένος ἔγνω πολλά, καὶ ὁ πολύπειρος
10 11 ἐκδιηγήσεται σύνεσιν· 10 ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν, 11 ὁ δὲ πεπλανημένος
12 πληθυνεῖ πανουργίαν. 12 πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου, καὶ πλείονα
13 τῶν λόγων μου σύνεσίς μου· 13 πλεονάκις ἕως θανάτου ἐκινδύνευσα, καὶ διε-
14 15 σώθην τούτων χάριν. 14 πνεῦμα φοβουμένων κύριον ζήσεται, 15 ἡ γὰρ ἐλπὶς
16 αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτούς· 16 ὁ φοβούμενος κύριον οὐ μὴ εὐλαβηθήσεται,
17 καὶ οὐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ. 17 φοβουμένου τὸν κύριον μακαρία
18 19 ἡ ψυχή· 18 τίνι ἐπέχει; καὶ τίς ἀντιστήριγμα αὐτοῦ; 19 οἱ ὀφθαλμοὶ κυρίου
ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν· ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος,
σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας, φυλακὴ ἀπὸ προσκόμματος

---

23. απωλεσεν λυπη, C απωλ. η λυπη 24. C ελαττονουσιν 25. C καλαμουμενος 26. C εκοπιασατε ... παιδιαν, C σοφιαν 29. AC εν παση 31. C γινου υπερανω 32. AC* om περι δουλων 33. χορτασμα ... AC παιδια 34. A* (item C*?) ζητησεις 35. τραχηλ. καμψ., C τραχ. καμπτουσιν 37. C* πολλη 38. AC om αυτου ... επι παση 39. C ως σοι ... AC ως αδελφον pro ως σεαυτον ... επιδ. αυτω, C επιδεησι αυτω XXXI. 4. και απο ακαθαρτου 6. απο υψιστου 7. πολλους γαρ 12. εορακα 15. κυριον πολλα ευλαβηθησεται 16. διλιασει 18. και τις αυτου στηριγμα

Digitized by Google

καὶ βοήθεια ἀπὸ πτώματος, 20 ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμούς, ἴασιν 20
διδοὺς ζωὴν καὶ εὐλογίαν. 21 θυσιάζων ἐξ ἀδίκου, προςφορὰ μεμωκημένη, 21
22 καὶ οὐκ εἰς εὐδοκίαν μωκήματα ἀνόμων· 23 οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προς- 22 23
φοραῖς ἀσεβῶν, οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας. 24 θύων υἱὸν 24
ἔναντι τοῦ πατρὸς αὐτοῦ ὁ προςάγων θυσίαν ἐκ χρημάτων πενήτων. 25 ἄρτος 25
ἐπιδεομένων ζωὴ πτωχῶν, ὁ ἀποστερῶν αὐτὴν ἄνθρωπος αἱμάτων· 26 φονεύων 26
τὸν πλησίον ὁ ἀφαιρούμενος συμβίωσιν, 27 καὶ ἐκχέων αἷμα ὁ ἀποστερῶν μι- 27
σθὸν μισθίου. 28 εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλεῖον ἢ κό- 28
πους; 29 εἷς εὐχόμενος καὶ εἷς καταρώμενος, τίνος φωνῆς εἰςακούσεται ὁ 29
δεσπότης; 30 βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέ- 30
λησε τῷ λουτρῷ αὐτοῦ; 31 οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ 31
καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν· τῆς προσευχῆς αὐτοῦ τίς εἰςα-
κούσεται; καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

## XXXII. (XXXV.)

Ὁ συντηρῶν νόμον πλεονάζει προςφοράς, 2 θυσιάζων σωτηρίου ὁ προςέχων 2
ἐντολαῖς· 3 ἀνταποδιδοὺς χάριν προςφέρων σεμίδαλιν, 4 καὶ ὁ ποιῶν ἐλεημο- 3 4
σύνην θυσιάζων αἰνέσεως. 5 εὐδοκία κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, καὶ ἐξι- 5
λασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας. 6 μὴ ὀφθῇς ἐν προςώπῳ κυρίου κενός, 7 πάντα 6 7
γὰρ ταῦτα χάριν ἐντολῆς. 8 προςφορὰ δικαίου λιπαίνει θυσιαστήριον, καὶ ἡ 8
εὐωδία αὐτῆς ἔναντι ὑψίστου· 9 θυσία ἀνδρὸς δικαίου δεκτή, καὶ τὸ μνημό- 9
συνον αὐτῆς οὐκ ἐπιλησθήσεται. 10 ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν κύριον, 10
καὶ μὴ σμικρύνῃς ἀπαρχὴν χειρῶν σου· 11 ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόςω- 11
πόν σου, καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην. 12 δὸς ὑψίστῳ κατὰ τὴν δόσιν 12
αὐτοῦ, καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ' εὕρεμα χειρός· 13 ὅτι κύριος ἀνταποδιδοὺς 13
ἐστι, καὶ ἑπταπλάσια ἀνταποδώσει σοι. 14 μὴ δωροκόπει, οὐ γὰρ προςδέξεται· 14
15 καὶ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ, ὅτι κύριος κριτής ἐστι, καὶ οὐκ ἔστι παρ' αὐτῷ 15
δόξα προςώπου. 16 οὐ λήψεται πρόςωπον ἐπὶ πτωχοῦ, καὶ δέησιν ἠδικημένου 16
εἰςακούσεται· 17 οὐ μὴ ὑπερίδῃ ἱκετείαν ὀρφανοῦ, καὶ χήραν ἐὰν ἐκχέῃ λα- 17
λιάν. 18 οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβαίνει, 19 καὶ ἡ καταβόησις ἐπὶ 18 19
τῷ καταγαγόντι αὐτά; 20 θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται, καὶ ἡ δέησις 20
αὐτοῦ ἕως νεφελῶν συνάψει· 21 προςευχὴ ταπεινοῦ νεφέλας διῆλθε, καὶ ἕως 21
συνεγγίσῃ, οὐ μὴ παρακληθῇ, καὶ οὐ μὴ ἀποστῇ ἕως ἐπισκέψηται ὁ ὕψιστος·
22 καὶ κρινεῖ δικαίως καὶ ποιήσει κρίσιν. καὶ ὁ κύριος οὐ μὴ βραδύνῃ οὐδὲ 22
μὴ μακροθυμήσει ἐπ' αὐτοῖς, ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων, 23 καὶ 23
τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν· ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν καὶ σκῆπτρα
ἀδίκων συντρίψῃ· 24 ἕως ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ, καὶ 24
τὰ ἔργα τῶν ἀνθρώπων κατὰ τὰ ἐνθυμήματα αὐτῶν· 25 ἕως κρίνῃ τὴν κρίσιν 25
τοῦ λαοῦ αὐτοῦ καὶ εὐφρανεῖ αὐτοὺς ἐν τῷ ἐλέει αὐτοῦ. 26 ὡραῖον ἔλεος ἐν 26
καιρῷ θλίψεως αὐτοῦ, ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

## XXXIII. (XXXVI.)

Ἐλέησον ἡμᾶς, δέσποτα ὁ θεὸς πάντων, 2 καὶ ἐπίβλεψον, καὶ ἐπίβαλε 2
τὸν φόβον σου ἐπὶ πάντα τὰ ἔθνη· 3 ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια, 3

---

19. βοηθ. απο πτωσεως 21. μεμωμημενη 22. μωμηματα 25. επενδεομενων 26. ενβιωσιν 27. και αποστερων 28. ωφελησεν 30. ωφελ. εν τω XXXII. 2. **θυσια 10. μικρυνης 12. δοσιν σου ... ed. rom. καθευρεμα 13. αποδωσει 16. λημψεται 17. παριδη 18. επι σιαγονει 21. επισκεψηται κυριος ... ed. rom. post υψιστος plene interpg. 22. κρινει δικαιοις ... ed. rom. κρισιν, ... μακροθυμηση ... C εως συντριψη 23. C ανταποδιδωσι ... σκηπτρα δικαιων 24. και τα pro κατα τα 25. C εως κρινει ... C om και ευφρανει usque αυτου XXXIII. 1. om δεσποτα



Digitized by Google

4 καὶ ἰδέτωσαν τὴν δυναστείαν σου. [4]ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν
5 ἡμῖν, οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς· [5]καὶ ἐπιγνώτωσάν σε
6 καθάπερ καὶ ἡμεῖς ἐπέγνωμεν, ὅτι οὐκ ἔστι θεὸς πλὴν σοῦ κύριε. [6]ἐγκαίνι-
7 σον σημεῖα καὶ ἀλλοίωσον θαυμάσια, [7]δόξασον χεῖρα καὶ βραχίονα δεξιόν·
8 9 [8]ἔγειρον θυμὸν καὶ ἔκχεον ὀργήν, [9]ἔξαρον ἀντίδικον καὶ ἔκτριψον ἐχθρόν.
10 [10]σπεῦσον καιρὸν καὶ μνήσθητι ὁρκισμοῦ, καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά
11 σου. [11]ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος, καὶ οἱ κακοῦντες τὸν λαόν
12 σου εὕροισαν ἀπώλειαν. [12]σύντριψον κεφαλὰς ἀρχόντων ἐχθρῶν, λεγόντων Οὐκ
13 ἔστι πλὴν ἡμῶν. [13]σύναγε πάσας φυλὰς Ἰακώβ. (30, 25.) λαμπρὰ καρδία καὶ
ἀγαθὴ ἐπὶ ἐδέσμασι τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.

## XXXIV. (XXXI.)

Ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον·
2 [2]μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν, καὶ ἀρρώστημα βαρὺ ἐκνήψει ὕπνος.
3 [3]ἐκοπίασε πλούσιος ἐν συναγωγῇ χρημάτων, καὶ ἐν τῇ ἀναπαύσει ἐμπίπλαται
4 τῶν τρυφημάτων αὐτοῦ· [4]ἐκοπίασε πτωχὸς ἐν ἐλαττώσει βίου, καὶ ἐν τῇ
5 ἀναπαύσει ἐπιδεὴς γίνεται. [5]ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται, καὶ ὁ διώκων
6 διαφθορὰν αὐτὸς πλησθήσεται· [6]πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου,
7 καὶ ἐγενήθη ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν. [7]ξύλον προσκόμματός
8 ἐστι τοῖς ἐνθυσιάζουσιν αὐτῷ, καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ. [8]μακάριος
9 πλούσιος ὃς εὑρέθη ἄμωμος, καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη· [9]τίς ἐστι
10 καὶ μακαριοῦμεν αὐτόν; ἐποίησε γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ. [10]τίς ἐδοκι-
μάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη; καὶ ἔστω εἰς καύχησιν. τίς ἐδύνατο παρα-
11 βῆναι καὶ οὐ παρέβη, καὶ ποιῆσαι κακὰ καὶ οὐκ ἐποίησεν; [11]στερεωθήσεται
12 τὰ ἀγαθὰ αὐτοῦ, καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία. [12]ἐπὶ
τραπέζης μεγάλης ἐκάθισας, μὴ ἀνοίξῃς ἐπ' αὐτῆς φάρυγγά σου, καὶ μὴ
13 εἴπῃς Πολλά γε τὰ ἐπ' αὐτῆς. [13]μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός·
πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται; διὰ τοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.
14 [14]οὗ ἐὰν ἐπιβλέψῃ, μὴ ἐκτείνῃς χεῖρα, καὶ μὴ συνθλίβου αὐτῷ ἐν τρυβλίῳ.
15 16 [15]νόει τὰ τοῦ πλησίον ἐκ σεαυτοῦ, καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ. [16]φάγε
17 ὡς ἄνθρωπος τὰ παρακείμενά σοι, καὶ μὴ διαμασῶ μὴ μισηθῇς· [17]παῦσαι
18 πρῶτος χάριν παιδείας, καὶ μὴ ἀπληστεύου μή ποτε προσκόψῃς· [18]καὶ εἰ
ἀνὰ μέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου.
19 [19]ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον, καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ
20 οὐκ ἀσθμαίνει. [20]ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ· ἀνέστη πρωΐ, καὶ ἡ ψυχὴ
αὐτοῦ μετ' αὐτοῦ· πόνος ἀγρυπνίας καὶ χολέρας καὶ στρόφος μετὰ ἀνδρὸς
21 ἀπλήστου. [21]καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν, ἀνάστα μεσοπωρῶν καὶ ἀναπαύσῃ.
22 [22]ἄκουσόν μου τέκνον καὶ μὴ ἐξουδενώσῃς με, καὶ ἐπ' ἐσχάτῳ εὑρήσεις
τοὺς λόγους μου. ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής, καὶ πᾶν ἀρρώστημα
23 οὐ μή σοι ἀπαντήσῃ. [23]λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη, καὶ μαρτυρία
24 τῆς καλλονῆς αὐτοῦ πιστή· [24]πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις, καὶ ἡ
25 μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής. [25]ἐν οἴνῳ μὴ ἀνδρίζου, πολλοὺς γὰρ
26 ἀπώλεσεν ὁ οἶνος· [26]κάμινος δοκιμάζει στόμωμα ἐν βαφῇ, οὕτως οἶνος καρ-
27 δίας ἐν μάχῃ ὑπερηφάνων. [27]ἐπίσον ζωῆς οἶνος ἀνθρώπῳ, ἐὰν πίνῃς αὐτὸν
μέτρῳ αὐτοῦ· τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ; καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην

4. C μεγαλυνθης 5. επεγνωμεν σε 10. C ορκων 11. A* (? οι αδικ.? οι κατεχοντ.?) C οι κατοικουντες 13. συναγαγε, C συναγαγεται (C** vdtr συναγαγε τας) XXXIV. 1. αφιστατο υπνον 2. C υπνον 9. C om γαρ 11. σοφια pro εκκλησια 12. AC και ειπης 14. C εν τω τρυβλιω 17. AC παιδιας 19. C ουκ ασθενει 20. C υγιας 22. AC επ εσχατου ... λογοις pro εργοις 23. και η μαρτυρια 27. ed. rom. ἐπίσον ... οινος ανθρωποις ... ελασσουμ. οινου

Digitized by Google

ἀνθρώποις. 28 ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς οἶνος πινόμενος ἐν 28
καιρῷ αὐτάρκης· 29 πικρία ψυχῆς οἶνος πινόμενος πολὺς ἐν ἐρεθισμῷ καὶ 29
ἀντιπτώματι. 30 πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα, ἐλαττῶν ἰσχὺν 30
καὶ προσποιῶν τραύματα. 31 ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον, καὶ 31
μὴ ἐξουδενώσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ· λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ,
καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

## XXXV. (XXXII.)
## ΠΕΡΙ ΗΓΟΥΜΕΝΩΝ.

Ἡγούμενόν σε κατέστησαν, μὴ ἐπαίρου· γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐ-
τῶν, φρόντισον αὐτῶν καὶ οὕτω κάθισον· 2 καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας 2
ἀνάπεσε, ἵνα εὐφρανθῇς δι' αὐτούς, καὶ εὐκοσμίας χάριν λάβῃς στέφανον.
3 λάλησον πρεσβύτερε, πρέπει γάρ σοι, ἐν ἀκριβεῖ ἐπιστήμῃ, καὶ μὴ ἐμποδί- 3
σῃς μουσικά. 4 ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιάν, καὶ ἀκαίρως μὴ σοφίζου. 4
5 σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ, σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴ- 5
νου· 6 ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου, μέλος μουσικῶν ἐφ' 6
ἡδεῖ οἴνῳ. 7 λάλησον νεανίσκε εἰ χρεία σου, μόλις δὶς ἐὰν ἐπερωτηθῇς· 8 κε- 7 8
φαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά, γίνου ὡς γινώσκων καὶ ἅμα σιωπῶν.
9 ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου, καὶ ἑτέρου λέγοντος μὴ πολλὰ ἀδολέσχει. 9
10 πρὸ βροντῆς κατασπεύδει ἀστραπή, καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χά- 10
ρις. 11 ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει, ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥᾳθύμει· 11
12 ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου, καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερη- 12
φάνῳ. 13 καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε καὶ μεθύσκοντά σε 13
ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ. 14 ὁ φοβούμενος κύριον ἐκδέξεται παιδείαν, καὶ οἱ 14
ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν· 15 ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ, καὶ 15
ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ· 16 οἱ φοβούμενοι κύριον εὑρήσουσι 16
κρίμα, καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν. 17 ἄνθρωπος ἁμαρτωλὸς ἐκκλίνει 17
ἐλεγμόν, καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα. 18 ἀνὴρ βουλῆς οὐ 18
μὴ παρίδῃ διανόημα, ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον, καὶ
μετὰ τὸ ποιῆσαι μετ' αὐτοῦ ἄνευ βουλῆς. 19 ἄνευ βουλῆς μηθὲν ποιήσῃς, 19
καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ. 20 ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου, 20
καὶ μὴ προσκόψῃς ἐν λιθώδεσι· 21 μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ, 22 καὶ 21 22
ἀπὸ τῶν τέκνων σου φύλαξαι. 23 ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου, καὶ 23
γὰρ τοῦτό ἐστι τήρησις ἐντολῶν. 24 ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, καὶ 24
ὁ πεποιθὼς κυρίῳ οὐκ ἐλαττωθήσεται.

## XXXVI. (XXXIII.)

Τῷ φοβουμένῳ κύριον οὐκ ἀπαντήσει κακόν, ἀλλ' ἐν πειρασμῷ καὶ πά-
λιν ἐξελεῖται. 2 ἀνὴρ σοφὸς οὐ μισήσει νόμον, ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ 2
ὡς ἐν καταιγίδι πλοῖον. 3 ἄνθρωπος συνετὸς ἐμπιστεύσει νόμῳ, καὶ ὁ νόμος 3
αὐτῷ πιστὸς ὡς ἐρώτημα δικαίων. 4 ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ, 4
σύνδησον παιδείαν καὶ ἀποκρίθητι. 5 τροχὸς ἁμάξης σπλάγχνα μωροῦ, καὶ ὡς 5
ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ. 6 ἵππος εἰς ὀχείαν ὡς φίλος μῶκος, 6
ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει. 7 διὰ τί ἡμέρα ἡμέρας ὑπερέχει, 7
καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου; 8 ἐν γνώσει κυρίου διεχωρίσθησαν, 8
καὶ ἠλλοίωσε καιροὺς καὶ ἑορτάς· 9 ἀπ' αὐτῶν ἀνύψωσε καὶ ἡγίασε, καὶ ἐξ 9
αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν. 10 καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους, 10

---

29. γινομενος 31. εξουθενωσης XXXV. titulus περι ηγ. deest 1. ουτως 2. αναπεσον ... τον στεφανον 5. εν συμποσια 8. om ως 11. αθυμει 12. αμαρτησης 18. παρειδη 19. μηδεν 21. και μη πιστευσης 23. εντολης XXXVI. 3. ερωτημα δηλων 4. παιδιαν (35, 14. παιδειαν) 6. οχιον ... χρεμετισει

Digitized by Google

11 καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ· [11] ἐν πλήθει ἐπιστήμης κύριος διεχώρισεν αὐτούς,
12 καὶ ἠλλοίωσε τὰς ὁδοὺς αὐτῶν· [12] ἐξ αὐτῶν εὐλόγησε καὶ ἀνύψωσε, καὶ
ἐξ αὐτῶν ἡγίασε καὶ πρὸς αὐτὸν ἤγγισεν, ἀπ' αὐτῶν κατηράσατο καὶ ἐτα-
13 πείνωσε, καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν. [13] ὡς πηλὸς κεραμέως
ἐν χειρὶ αὐτοῦ, πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ· οὕτως ἄν-
θρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτούς, ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν
14 αὐτοῦ. [14] ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθόν, καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή·
15 οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός. [15] καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ
16 ἔργα τοῦ ὑψίστου, δύο δύο, ἓν κατέναντι τοῦ ἑνός. [16] κἀγὼ ἔσχατος ἠγρύπνησα,
(33, 17 sqq. vide post 30, 24.) καὶ κατεκληρονόμησα αὐτοὺς καθὼς ἀπ'
ἀρχῆς. (haec: και κατ. αυτ. etc. cum 33, 18. i. e. 36, 18. conjg.)
17 (14) [17] ἐλέησον λαὸν κύριε κεκλημένον ἐπ' ὀνόματί σου, καὶ Ἰσραὴλ ὃν πρω-
18 (15) τογόνῳ ὡμοίωσας. [18] οἰκτείρησον πόλιν ἁγιάσματός σου Ἱερουσαλήμ, πόλιν
19 (16) καταπαύματός σου· [19] πλῆσον Σιὼν ἆραι τὰ λόγιά σου, καὶ ἀπὸ τῆς δό-
20 (17) ξης σου τὸν λαόν σου. [20] δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασί σου, καὶ
21 (18) ἔγειρον προφητείας τὰς ἐπ' ὀνόματί σου· [21] δὸς μισθὸν τοῖς ὑπομένουσί
22 (19) σε, καὶ οἱ προφῆταί σου ἐμπιστευθήτωσαν. [22] εἰσάκουσον κύριε δεήσεως
τῶν ἱκετῶν σου κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τοῦ λαοῦ σου, καὶ γνώσονται
23 (20) πάντες οἱ ἐπὶ τῆς γῆς ὅτι σὺ κύριος εἶ ὁ θεὸς τῶν αἰώνων. [23] πᾶν βρῶμα
24 (21) φάγεται κοιλία, ἔστι δὲ βρῶμα βρώματος κάλλιον. [24] φάρυγξ γεύεται
25 (22) βρώματα θήρας, οὕτως καρδία συνετὴ λόγους ψευδεῖς. [25] καρδία στρεβλὴ
26 (23) δώσει λύπην, καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ. [26] πάντα ἄρ-
27 (24) ρενα ἐπιδέξεται γυνή, ἔστι δὲ θυγάτηρ θυγατρὸς κρείσσων. [27] κάλλος γυ-
ναικὸς ἱλαρύνει πρόσωπον, καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει·
28 (25) [28] εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης, οὐκ ἔστιν ὁ ἀνὴρ αὐ-
29 (26) τῆς καθ' υἱοὺς ἀνθρώπων. [29] ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως,
30 (27) βοηθὸν κατ' αὐτὸν καὶ στῦλον ἀναπαύσεως. [30] οὗ οὐκ ἔστι φραγμός, διαρ-
31 (28) παγήσεται κτῆμα· καὶ οὗ οὐκ ἔστι γυνή, στενάξει πλανώμενος. [31] τίς γὰρ
πιστεύσει εὐζώνῳ λῃστῇ σφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν; οὕτως ἀνθρώπῳ
μὴ ἔχοντι νοσσιὰν καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.

## XXXVII.

Πᾶς φίλος ἐρεῖ Ἐφιλίασα αὐτῷ κἀγώ· ἀλλ' ἔστι φίλος ὀνόματι μόνον
2 φίλος. [2] οὐχὶ λύπη ἔνι ἕως θανάτου ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν;
3 [3] ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;
4 [4] ἑταῖρος φίλου ἐν εὐφροσύνῃ ἥδεται, καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι·
5 [5] ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρός, ἔναντι πολέμου λήψεται ἀσπίδα.
6 [6] μὴ ἐπιλάθῃ φίλου ἐν τῇ ψυχῇ σου, καὶ μὴ ἀμνημονήσῃς αὐτοῦ ἐν χρή-
7 μασί σου. [7] πᾶς σύμβουλος ἐξαίρει βουλήν, ἀλλ' ἔστι συμβουλεύων εἰς ἑαυτόν.
8 [8] ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου, καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία·
9 καὶ γὰρ αὐτὸς ἑαυτῷ βουλεύσεται, μή ποτε βάλῃ ἐπὶ σοὶ κλῆρον, [9] καὶ εἴπῃ
σοι Καλὴ ἡ ὁδός σου, καὶ στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι.
10 [10] μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε, καὶ ἀπὸ τῶν ζηλούντων σε κρύ-
11 ψον βουλήν· [11] μετὰ γυναικὸς περὶ ἀντιζήλου αὐτῆς καὶ μετὰ δειλοῦ περὶ
πολέμου, μετὰ ἐμπόρου περὶ μεταβολίας καὶ μετὰ ἀγοράζοντος περὶ πράσεως,

---

12. ηυλογησεν ... και προς αυτον ηγγισεν pro και εταπεινωσεν ... απο αποστασεως 18. ιερουσ. cum seqq. conjg. ... τοπον καταπαυμ. σ. 20. προφητιας 21. εμπιστευθησονται 22. των οικετων σου ... om συ 29. κατα ταυτον ... αναπαυσεως 31. αφαλλομενω XXXVII. 1. om αυτω 2. εις εχθρον 6. συνπονει ... απεναντι πολ. λημψεται 6. επιλαθου ... ed rom. αμνημοσυνης (sic) ... αμν. αυτω 11. AC περι της αντιζ. ... C μετα ευπορου

Digitized by Google

μετὰ βασκάνου περὶ εὐχαριστίας καὶ μετὰ ἀνελεήμονος περὶ χρηστοηθείας,
μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου καὶ μετὰ μισθίου ἐφεστίου περὶ συντελείας,
οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας, μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμ-
βουλίας· 12 ἀλλ' ἢ μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε, ὃν ἂν ἐπιγνῷς συντη- 12
ροῦντα ἐντολάς, ὃς ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου, καὶ ἐὰν πταίσῃς
συναλγήσει σοι. 13 καὶ βουλὴν καρδίας στῆσον, οὐ γάρ ἐστί σοι πιστότερος 13
αὐτῆς· 14 ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν ἢ ἑπτὰ σκοποὶ ἐπὶ 14
μετεώρου καθήμενοι ἐπὶ σκοπῆς. 15 καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι ὑψίστου 15
ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου. 16 ἀρχὴ παντὸς ἔργου λόγος, καὶ πρὸ 16
πάσης πράξεως βουλή. 17 ἴχνος ἀλλοιώσεως καρδίας· 18 τέσσαρα μέρη ἀνα- 17 18
τέλλει, ἀγαθὸν καὶ κακόν, ζωὴ καὶ θάνατος, καὶ κυριεύουσα ἐνδελεχῶς αὐτῶν
γλῶσσά ἐστιν. 19 ἔστιν ἀνὴρ πανοῦργος καὶ πολλῶν παιδευτής, καὶ τῇ ἰδίᾳ 19
ψυχῇ ἄχρηστός ἐστιν. 20 ἔστι σοφιζόμενος ἐν λόγοις μισητός, οὗτος πάσης 20
τροφῆς καθυστερήσει· 21 οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ κυρίου χάρις, ὅτι πάσης 21
σοφίας ἐστερήθη. 22 ἔστι σοφὸς τῇ ἰδίᾳ ψυχῇ, καὶ οἱ καρποὶ τῆς συνέσεως 22
αὐτοῦ ἐπὶ στόματος πιστοί. 23 ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει, καὶ 23
οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί. 24 ἀνὴρ σοφὸς πλησθήσεται εὐλογίας, 24
καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες. 25 ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν, 25
καὶ αἱ ἡμέραι τοῦ Ἰσραὴλ ἀναρίθμητοι. 26 ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρο- 26
νομήσει πίστιν, καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα. 27 τέκνον, ἐν τῇ 27
ζωῇ σου πείρασον τὴν ψυχήν σου, καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς
αὐτῇ· 28 οὐ γὰρ πάντα πᾶσι συμφέρει, καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ. 28
29 μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων· 30 ἐν 29 30
πολλοῖς γὰρ βρώμασιν ἔσται πόνος, καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας·
31 δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν. 31

## XXXVIII.

Τίμα ἰατρὸν πρὸς τὰς χρείας τιμαῖς αὐτοῦ, καὶ γὰρ αὐτὸν ἔκτισε κύ-
ριος· 2 παρὰ γὰρ ὑψίστου ἐστὶν ἴασις, καὶ παρὰ βασιλέως λήψεται δόμα. 2
3 ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἔναντι μεγιστάνων θαυμα- 3
σθήσεται. 4 κύριος ἔκτισεν ἐκ γῆς φάρμακα, καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ 4
αὐτοῖς. 5 οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ; 5
6 καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις 6
αὐτοῦ· 7 ἐν αὐτοῖς ἐθεράπευσε καὶ ἦρε τὸν πόνον αὐτοῦ, 8 μυρεψὸς ἐν τούτοις 7 8
ποιήσει μίγμα· καὶ οὐ μὴ συντελέσῃ ἔργα αὐτοῦ, καὶ εἰρήνη παρ' αὐτοῦ
ἐστὶν ἐπὶ προσώπου τῆς γῆς. 9 τέκνον, ἐν ἀῤῥωστήματί σου μὴ παράβλεπε, 9
ἀλλ' εὖξαι κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε· 10 ἀπόστησον πλημμέλειαν καὶ εὔ- 10
θυνον χεῖρας, καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν· 11 δὸς εὐωδίαν 11
καὶ μνημόσυνον σεμιδάλεως, καὶ λίπανον προσφορὰν ὡς μὴ ὑπάρχων. 12 καὶ 12
ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτὸν ἔκτισε κύριος, καὶ μὴ ἀποστήτω σου, καὶ
γὰρ αὐτοῦ χρεία. 13 ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐωδία· 14 καὶ γὰρ 13 14
αὐτοὶ κυρίου δεηθήσονται ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν καὶ ἴασιν χάριν

---

11. C μετα ελεημονος ... C επεστιου, A επαιτιου ... περι συμβουλιας, C επι παση συμβουλια 17. C in fine add προςωπον 18. AC τεσσερα ... AC και η κυριευουσα ... ενδελ. αυτω, C αυτων ενδελ. 19. AC πανουργος πολλων ... AC εστιν αχρηστος 20. C και αυτος pro ουτος 24. εμπλησθησεται ... om και 26. ζησει 27. AC εν ζωη ... C μη δως αυτω 28. C om εν παντι 29. C εν παση ψυχη 30. εσται νοσος 31. AC δια απληστιαν XXXVIII. 1. χρειας αυτου ... C εκτισεν ο κυριος 2. AC λημψεται 6. ανθρωπω 7. ηρεν παν (sic) πονον, C ηρεν παν --- (reliqua non liquent) 8. AC συντελεσθη 9. εν αρρωστημασιν σου 13. ευοδια 14. C ινα ευοδωσει

Digitized by Google

15 ἐμβιώσεως. 15 ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν ἐμπέσοι εἰς χεῖρας
16 ἰατροῦ. 16 τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι
θρήνου, κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περίστειλον τὸ σῶμα αὐτοῦ, καὶ μὴ ὑπερίδῃς
17 τὴν ταφὴν αὐτοῦ. 17 πίκρανον κλαυθμὸν καὶ θέρμανον κοπετόν, καὶ ποίησον
τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτοῦ ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς, καὶ
18 παρακλήθητι λύπης ἕνεκα· 18 ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος, καὶ λύπη καρ-
19 δίας κάμψει ἰσχύν. 19 ἐν ἀπαγωγῇ παραβαίνει καὶ λύπη, καὶ βίος πτωχοῦ
20 κατὰ καρδίας. 20 μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου, ἀπόστησον αὐτὴν μνη-
21 σθεὶς τὰ ἔσχατα· 21 μὴ ἐπιλάθῃ, οὐ γάρ ἐστιν ἐπάνοδος, καὶ τοῦτον οὐκ
22 ὠφελήσεις καὶ σεαυτὸν κακώσεις. 22 μνήσθητι τὸ κρίμα αὐτοῦ, ὅτι οὕτω ὡς
23 καὶ τὸ σόν· ἐμοὶ χθὲς καὶ σοὶ σήμερον. 23 ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον
τὸ μνημόσυνον αὐτοῦ, καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.
24 24 σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς, καὶ ὁ ἐλασσούμενος πράξει αὐτοῦ
25 σοφισθήσεται. 25 τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου, καὶ καυχώμενος ἐν δόρατι
κέντρου, βόας ἐλαύνων καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν, καὶ ἡ διήγησις
26 αὐτοῦ ἐν υἱοῖς ταύρων; 26 καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὔλακας, καὶ ἡ
27 ἀγρυπνία αὐτοῦ εἰς χορτάσματα δαμάλεων. 27 οὕτως πᾶς τέκτων καὶ ἀρχι-
τέκτων, ὅστις νύκτωρ ὡς ἡμέρᾳ διάγει· οἱ γλύφοντες γλύμματα σφραγίδων,
καὶ ἡ ὑπομονὴ αὐτοῦ ἀλλοιῶσαι ποικιλίαν· καρδίαν αὐτοῦ δώσει εἰς τὸ
28 ὁμοιῶσαι ζωγραφίαν, καὶ ἡ ἀγρυπνία αὐτοῦ τελέσαι ἔργον. 28 οὕτως χαλκεὺς
καθήμενος ἐγγὺς ἄκμονος καὶ καταμανθάνων ἀργῷ σιδήρῳ· ἀτμὶς πυρὸς πήξει
σάρκας αὐτοῦ, καὶ ἐν θέρμῃ καμίνου διαμαχήσεται· φωνὴ σφύρης καινιεῖ
τὸ οὖς αὐτοῦ, καὶ κατέναντι ὁμοιώματος σκεύους οἱ ὀφθαλμοὶ αὐτοῦ· καρ-
δίαν αὐτοῦ δώσει εἰς συντέλειαν ἔργων, καὶ ἡ ἀγρυπνία αὐτοῦ κοσμῆσαι ἐπὶ
29 συντελείας. 29 οὕτω κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτοῦ καὶ συστρέφων ἐν
ποσὶν αὐτοῦ τροχόν, ὃς ἐν μερίμνῃ κεῖται διὰ παντὸς ἐπὶ τὸ ἔργον αὐτοῦ,
30 καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτοῦ· 30 ἐν βραχίονι αὐτοῦ τυπώσει πηλόν,
καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτοῦ· καρδίαν ἐπιδώσει συντελέσαι τὸ χρῖσμα,
31 καὶ ἡ ἀγρυπνία αὐτοῦ καθαρίσαι κάμινον. 31 πάντες οὗτοι εἰς χεῖρας αὐτῶν
32 ἐνεπίστευσαν, καὶ ἕκαστος ἐν τῷ ἔργῳ αὐτοῦ σοφίζεται· 32 ἄνευ αὐτῶν οὐκ
33 οἰκισθήσεται πόλις, καὶ οὐ παροικήσουσιν οὐδὲ περιπατήσουσιν· 33 καὶ ἐν
ἐκκλησίᾳ οὐχ ὑπεραλοῦνται, ἐπὶ δίφρον δικαστοῦ οὐ καθιοῦνται, καὶ διαθήκην
κρίματος οὐ διανοηθήσονται οὐδὲ μὴ ἐκφάνωσι δικαιοσύνην καὶ κρίμα, καὶ
34 ἐν παραβολαῖς οὐχ εὑρεθήσονται, 34 ἀλλὰ κτίσμα αἰῶνος στηρίσουσι, καὶ ἡ
δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης· (39, 1.) πλὴν τοῦ ἐπιδόντος τὴν ψυχὴν αὐ-
τοῦ καὶ διανοουμένου ἐν νόμῳ ὑψίστου.

## XXXIX.

Σοφίαν πάντων ἀρχαίων ἐκζητήσει, καὶ ἐν προφητείαις ἀσχοληθήσεται·
2 2 διηγήσεις ἀνδρῶν ὀνομαστῶν συντηρήσει, καὶ ἐν στροφαῖς παραβολῶν συνεισε-
3 λεύσεται· 3 ἀπόκρυφα παροιμιῶν ἐκζητήσει, καὶ ἐν αἰνίγμασι παραβολῶν ἀνα-
4 στραφήσεται. 4 ἀνὰ μέσον μεγιστάνων ὑπηρετήσει, καὶ ἔναντι ἡγουμένου ὀφθή-
σεται· ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται, ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις
5 ἐπείρασε. 5 τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι πρὸς κύριον τὸν ποιήσαντα

---

15. εις χειρας αυτου 16. ed. rom. εναρξε 19. εν επαγωγη παραμενει 22. το κριμα μου οτι ουτως και το σον ... εχθες 25. τισοφθησεται pro τι σοφισθ. ... αροτρου, καυχωμενος 27. ως ημερας ... η επιμονη ... εις ομοιωσαι 28. καταμανθ. εργον σιδηρου ... τηξει ... κενιει 29. ουτως 31. εις χειρ. εαυτων 32. ουκ οικησεται 33. δυναστου ... καθιονται ... εκφανωσιν παιδιαν και κριμα (39, 1.) επιδιδοντος ... διανοουμενω XXXIX. 2. διηγησιν 4. κακα ανθρωποις

Digitized by Google

αὐτόν, καὶ ἔναντι ὑψίστου δεηθήσεται· καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ἐν προς-
ευχῇ, καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεηθήσεται. 6 ἐὰν κύριος ὁ μέγας θε- 6
λήσῃ, πνεύματι συνέσεως ἐμπλησθήσεται· αὐτὸς ἀνομβρήσει ῥήματα σοφίας
αὐτοῦ, καὶ ἐν προσευχῇ ἐξομολογήσεται κυρίῳ· 7 αὐτὸς κατευθυνεῖ βουλὴν 7
αὐτοῦ καὶ ἐπιστήμην, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ διανοηθήσεται· 8 αὐτὸς 8
ἐκφανεῖ παιδείαν διδασκαλίας αὐτοῦ, καὶ ἐν νόμῳ διαθήκης κυρίου καυχή-
σεται. 9 αἰνέσουσι τὴν σύνεσιν αὐτοῦ πολλοί, ἕως τοῦ αἰῶνος οὐκ ἐξαλει- 9
φθήσεται· οὐκ ἀποστήσεται τὸ μνημόσυνον αὐτοῦ, καὶ ὄνομα αὐτοῦ ζήσεται
εἰς γενεὰς γενεῶν· 10 τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη, καὶ τὸν ἔπαινον 10
αὐτοῦ ἐξαγγελεῖ ἐκκλησία· 11 ἐὰν ἐμμείνῃ, ὄνομα καταλείψει ἢ χίλιοι, καὶ 11
ἐὰν ἀναπαύσηται, ἐμποιεῖ αὐτῷ. 12 ἔτι διανοηθεὶς ἐκδιηγήσομαι, καὶ ὡς δι- 12
χομηνία ἐπληρώθην. 13 εἰςακούσατέ μου υἱοὶ ὅσιοι, καὶ βλαστήσατε ὡς ῥόδον 13
φυόμενον ἐπὶ ῥεύματος ἀγροῦ, 14 καὶ ὡς λίβανος εὐωδιάσατε ὀσμήν, καὶ ἀν- 14
θήσατε ἄνθος ὡς κρίνον, διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾆσμα. εὐλογήσατε κύ-
ριον ἐπὶ πᾶσι τοῖς ἔργοις, 15 δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην, καὶ ἐξο- 15
μολογήσασθε ἐν αἰνέσει αὐτοῦ, ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις, καὶ οὕτως
ἐρεῖτε ἐν ἐξομολογήσει 16 Τὰ ἔργα κυρίου πάντα ὅτι καλὰ σφόδρα, καὶ πᾶν 16
πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται· 17 πάντα γὰρ ἐν καιρῷ αὐτοῦ ζητηθήσε- 17
ται. ἐν λόγῳ αὐτοῦ ἔστη ὡς θημωνία ὕδωρ, καὶ ἐν ῥήματι στόματος αὐτοῦ
ἀποδοχεῖα ὑδάτων. 18 ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδοκία, καὶ οὐκ ἔστιν 18
ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ. 19 ἔργα πάσης σαρκὸς ἐνώπιον αὐτοῦ, καὶ 19
οὐκ ἔστι κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ· 20 ἀπὸ τοῦ αἰῶνος εἰς τὸν 20
αἰῶνα ἐπέβλεψε, καὶ οὐθέν ἐστι θαυμάσιον ἐναντίον αὐτοῦ. 21 οὐκ ἔστιν εἰ- 21
πεῖν Τί τοῦτο; εἰς τί τοῦτο; πάντα γὰρ εἰς χρείας αὐτῶν ἔκτισται. 22 ἡ 22
εὐλογία αὐτοῦ ὡς ποταμὸς ἐπεκάλυψε, καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν·
23 οὕτως ὀργὴν αὐτοῦ ἔθνη κληρονομήσει, ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην. 23
24 αἱ ὁδοὶ αὐτοῦ τοῖς ὁσίοις εὐθεῖαι, οὕτως τοῖς ἀνόμοις προςκόμματα. 25 ἀγαθὰ 24 25
τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς, οὕτως τοῖς ἁμαρτωλοῖς κακά. 26 ἀρχὴ 26
πάσης χρείας εἰς ζωὴν ἀνθρώπου, ὕδωρ, πῦρ καὶ σίδηρος καὶ ἅλα καὶ σε-
μίδαλις πυροῦ καὶ μέλι καὶ γάλα, αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον·
27 ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθά, οὕτως τοῖς ἁμαρτωλοῖς τραπήσεται 27
εἰς κακά. 28 ἔστι πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκτισται, καὶ ἐν θυμῷ αὐτῶν 28
ἐστερέωσαν μάστιγας αὐτῶν· καὶ ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχέουσιν, καὶ
τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσιν. 29 πῦρ καὶ χάλαζα καὶ λιμὸς 29
καὶ θάνατος, πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται· 30 θηρίων ὀδόντες καὶ 30
σκορπίοι καὶ ἔχεις καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβεῖς, 31 ἐν τῇ 31
ἐντολῇ αὐτοῦ εὐφρανθήσονται, καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθήσον-
ται, καὶ ἐν τοῖς καιροῖς αὐτῶν οὐ παραβήσονται λόγον. 32 διὰ τοῦτο ἐξ 32
ἀρχῆς ἐστηρίχθην καὶ διενοήθην καὶ ἐν γραφῇ ἀφῆκα. 33 τὰ ἔργα κυρίου 33

---

5. ανοιξει στομα 6. ο κυριος ο μεγας ... εμπλησει αυτον 7. ed. rom. κατευθυνει 8. C και αυτος ... εκφαινει ... AC παιδιαν ... κυριου διαθηκης 9. AC και εως ... AC και το ονομα αυτου ... ζητησεται 10. AC διηγησεται ... C και επαινον α. εξαγγελησεται εκκλ. 11. AC παυσηται 12. εκδιηγηθησομαι 13. C* εισακουσεται (etiam ed. rom. εισακουσετε) μοι ... C βλαστησεται ... AC ρευμ. υγρου 14. εργοις αυτου 17. AC ab initio add ουκ εστιν ειπειν τι τουτο· εις τι τουτο 17. θιμωνια ... C αποδοχια 20. AC ουδεν εστιν (C εστι) θαυμαστον 21. (C εις sine τι) ... AC εις χριαν 22. C απεκαλυψε 23. 24. AC ως μετεστρ. υδ. εις αλμ. post προσκομματα pon. 26. C εις ψυχην ... AC υδωρ και πυρ ... αλας ... C σεμιδαλιν ... πυρος και μελι, C πυρ και μελι 27. C ευσεβεσι εις (sic) 28. αυτων· εν καιρω 31. εις χειρας ... AC εν καιροις ... C αυτου 32. C και εν γραφη αφ. κ. διενοηθ.

Digitized by Google

34 πάντα ἀγαθά, καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς χορηγήσει· 34 καὶ οὐκ ἔστιν
εἰπεῖν Τοῦτο τούτου πονηρότερον, πάντα γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται.
35 35 καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ στόματι ὑμνήσατε, καὶ εὐλογήσατε τὸ
ὄνομα κυρίου.

## XL.

Ἀσχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ, καὶ ζυγὸς βαρὺς ἐπὶ υἱοὺς
Ἀδάμ, ἀφ' ἡμέρας ἐξόδου ἐκ γαστρὸς μητρὸς αὐτῶν ἕως ἡμέρας ἐπὶ ταφῇ
2 εἰς μητέρα πάντων· 2 τοὺς διαλογισμοὺς αὐτῶν καὶ φόβον καρδίας, ἐπίνοια
3 προσδοκίας, ἡμέρα τελευτῆς· 3 ἀπὸ καθημένου ἐπὶ θρόνου ἐν δόξῃ καὶ ἕως
4 τεταπεινωμένου ἐν γῇ καὶ σποδῷ, 4 ἀπὸ φοροῦντος ὑάκινθον καὶ στέφανον
5 καὶ ἕως περιβαλλομένου ὠμόλινον· 5 θυμὸς καὶ ζῆλος καὶ ταραχὴ καὶ σάλος
καὶ φόβος θανάτου καὶ μηνίαμα καὶ ἔρις. καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ
6 κοίτης ὕπνος νυκτὸς ἀλλοιοῖ γνῶσιν αὐτοῦ· 6 ὀλίγον ὡς οὐδὲν ἐν ἀναπαύσει,
καὶ ἀπ' ἐκείνου ἐν ὕπνοις ὡς ἐν ἡμέρᾳ σκοπιᾶς· τεθορυβημένος ἐν ὁράσει
7 καρδίας αὐτοῦ, ὡς ἐκπεφευγὼς ἀπὸ προσώπου πολέμου· 7 ἐν καιρῷ σωτηρίας
8 αὐτοῦ ἐξηγέρθη, καὶ ἀποθαυμάζων εἰς οὐδένα φόβον. 8 μετὰ πάσης σαρκὸς
ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἐπὶ ἁμαρτωλῶν ἑπταπλάσια πρὸς ταῦτα·
9 9 θάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, ἐπαγωγαί, λιμὸς καὶ σύντριμμα
10 καὶ μάστιξ, 10 ἐπὶ τοὺς ἀνόμους ἐκτίσθη ταῦτα πάντα, καὶ δι' αὐτοὺς ἐγένετο
11 ὁ κατακλυσμός. 11 πάντα ὅσα ἀπὸ γῆς εἰς γῆν ἀναστρέφει, καὶ ἀπὸ ὑδάτων
12 εἰς θάλασσαν ἀνακάμπτει. 12 πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται, καὶ πί-
13 στις εἰς τὸν αἰῶνα στήσεται. 13 χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται,
14 καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει· 14 ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐ-
15 φρανθήσεται, οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν. 15 ἔκγονα
ἀσεβῶν οὐ πληθυνεῖ κλάδους, καὶ ῥίζαι ἀκάθαρτοι ἐπ' ἀκροτόμου πέτρας·
16 16 ἄχει ἐπὶ παντὸς ὕδατος καὶ χείλους ποταμοῦ πρὸ παντὸς χόρτου ἐκτιλή-
17 σεται. 17 χάρις ὡς παράδεισος ἐν εὐλογίαις, καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα
18 διαμένει. 18 ζωὴ αὐτάρκους ἐργάτου γλυκανθήσεται, καὶ ὑπὲρ ἀμφότερα ὁ
19 εὑρίσκων θησαυρόν. 19 τέκνα καὶ οἰκοδομὴ πόλεως στηρίζουσιν ὄνομα, καὶ
20 ὑπὲρ ἀμφότερα γυνὴ ἄμωμος λογίζεται. 20 οἶνος καὶ μουσικὰ εὐφραίνουσι
21 καρδίαν, καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας. 21 αὐλὸς καὶ ψαλτήριον ἡδύ-
22 νουσι μέλι, καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα. 22 χάριν καὶ κάλλος ἐπιθυμή-
23 σει ὁ ὀφθαλμός σου, καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρου. 23 φίλος καὶ ἑταῖρος
24 εἰς καιρὸν ἀπαντῶντες, καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετὰ ἀνδρός. 24 ἀδελφοὶ καὶ
25 βοήθεια εἰς καιρὸν θλίψεως, καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται. 25 χρυ-
σίον καὶ ἀργύριον ἐπιστήσουσι πόδα, καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται.
26 26 χρήματα καὶ ἰσχὺς ἀνυψώσουσι καρδίαν, καὶ ὑπὲρ ἀμφότερα φόβος κυ-
ρίου· οὐκ ἔστι φόβῳ κυρίου ἐλάττωσις, καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ
27 βοήθειαν· 27 φόβος κυρίου ὡς παράδεισος εὐλογίας, καὶ ὑπὲρ πᾶσαν δόξαν
28 ἐκάλυψαν αὐτόν. 28 τέκνον, ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς· κρεῖσσον ἀποθανεῖν

---

33. C παντα τα αγαθα ... C εν καιρω αυτης εχορηγησεν 34. ευδοκιμησεται XL. 1. C μητρος αυτου ... AC ημερ. επιταφης 2. φοβον καρδιαν (sic) 3. AC θρονου ενδοξου ... ως (pro και εως) τε ταπεινουμενου 4. υακινθινον ... C και ως 5. C om και sec. ... μηνιμα, C μηνεις ... C ερεις 6. C ως απο πρ. πολεμ. εκπεφ. 8. C om και επι αμαρτ. επτ. πρ. τ. 10. παντα ταυτα 11. αναστρεψει 14. εκθλιψουσιν 15. ed. rom. πληθυνει 16. αχι (C non liquet) ... και χιλος ... εκτειλησεται 17. C μενει (18. αμφοτερας pro αμφοτερα ο) 20. C ευρησις σοφιας 21. AC ηδυνουσιν μελη 22. AC om ο ... om σου ... C χλοη 23. C ετερος ... μετ ανδρος 24. AC ρυεται 26. ανυψουσιν ... AC εν φοβω κυριου ... C εν αυτω ζητησαι 27. C υπερ αμφοτερα δοξαν (sic) ... εκαλυψεν

Digitized by Google

ἢ ἐπαιτεῖν. 29 ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, οὐκ ἔστιν αὐτοῦ ὁ βίος 29
ἐν λογισμῷ ζωῆς, ἀλισγήσει τὴν ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις· ἀνὴρ
δὲ ἐπιστήμων καὶ πεπαιδευμένος φυλάξεται. 30 ἐν στόματι ἀναιδοῦς γλυκαν- 30
θήσεται ἐπαίτησις, καὶ ἐν κοιλίᾳ αὐτοῦ πῦρ καήσεται.

## XLI.

Ὦ θάνατε, ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστιν ἀνθρώπῳ εἰρηνεύοντι ἐν
τοῖς ὑπάρχουσιν αὐτοῦ, ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσι καὶ ἔτι
ἰσχύοντι ἐπιδέξασθαι τροφήν. 2 ὦ θάνατε, καλόν σου τὸ κρίμα ἐστὶν ἀνθρώπῳ 2
ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ ἰσχύϊ, ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάν-
των, καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν. 3 μὴ εὐλαβοῦ κρίμα θανάτου, 3
μνήσθητι προτέρων σου καὶ ἐσχάτων· 4 τοῦτο τὸ κρίμα παρὰ κυρίου πάσῃ 4
σαρκί, καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου; εἴτε δέκα εἴτε ἑκατὸν εἴτε χί-
λια ἔτη, οὐκ ἔστιν ἐν ᾅδου ἐλεγμὸς ζωῆς. 5 τέκνα βδελυκτὰ γίνεται τέκνα 5
ἁμαρτωλῶν, καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν· 6 τέκνων ἁμαρτωλῶν 6
ἀπολεῖται κληρονομία, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος. 7 πα- 7
τρὶ ἀσεβεῖ μέμψεται τέκνα, ὅτι δι' αὐτὸν ὀνειδισθήσονται. 8 οὐαὶ ὑμῖν ἄνδρες 8
ἀσεβεῖς, οἵτινες ἐγκατελίπετε νόμον θεοῦ ὑψίστου· 9 καὶ ἐὰν γεννηθῆτε, εἰς 9
κατάραν γεννηθήσεσθε, καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μερισθήσεσθε. 10 πάντα 10
ὅσα ἐκ γῆς εἰς γῆν ἀπελεύσεται, οὕτως ἀσεβεῖς ἀπὸ κατάρας εἰς ἀπώλειαν.
11 πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν, ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν 11
ἐξαλειφθήσεται. 12 φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμένει ἢ χίλιοι 12
μεγάλοι θησαυροὶ χρυσίου· 13 ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, καὶ ἀγαθὸν 13
ὄνομα εἰς αἰῶνα διαμένει. 14 παιδείαν ἐν εἰρήνῃ συντηρήσατε, τέκνα· σοφία 14
δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις; 15 κρείσ- 15
σων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ ἢ ἄνθρωπος ἀποκρύπτων τὴν
σοφίαν αὐτοῦ. 16 τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου· οὐ γάρ ἐστι πᾶ- 16
σαν αἰσχύνην διαφυλάξαι καλόν, καὶ οὐ πάντα πᾶσιν ἐν πίστει εὐδοκιμεῖται.
17 αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας, καὶ ἀπὸ ἡγουμένου καὶ 17
δυνάστου περὶ ψεύδους, 18 ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας, ἀπὸ 18
συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας, ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας,
19 καὶ ἀπὸ τόπου οὗ παροικεῖς περὶ κλοπῆς, καὶ ἀπὸ ἀληθείας θεοῦ καὶ δια- 19
θήκης, καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτοις, ἀπὸ σκορακισμοῦ λήψεως καὶ
δόσεως, 20 καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς, ἀπὸ ὁράσεως γυναικὸς ἑταί- 20
ρας, 21 καὶ ἀπὸ ἀποστροφῆς προσώπου συγγενοῦς, ἀπὸ ἀφαιρέσεως μερίδος 21
καὶ δόσεως, καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου, 22 ἀπὸ περιεργείας παι- 22
δίσκης αὐτοῦ, καὶ μὴ ἐπιστῇς ἐπὶ τὴν κοίτην αὐτῆς· ἀπὸ φίλων περὶ λόγων
ὀνειδισμοῦ, καὶ μετὰ τὸ δοῦναι μὴ ὀνείδιζε·

## XLII.

(23) Ἀπὸ δευτερώσεως καὶ λόγου ἀκοῆς, καὶ ἀπὸ ἀποκαλύψεων λόγων
κρυφίων· (24) καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινῶς, καὶ εὑρίσκων χάριν ἔναντι παν-
τὸς ἀνθρώπου. (42, 1.) μὴ περὶ τούτων αἰσχυνθῇς, καὶ μὴ λάβῃς πρόσωπον
τοῦ ἁμαρτάνειν· 2 περὶ νόμου ὑψίστου καὶ διαθήκης, καὶ περὶ κρίματος δι- 2

---

29. om την  XLI. 2. επιδεουμενω ... εν ισχυι  4. AC τουτο κριμα  5. AC βδελυρα  6. ενδελεχει  7. C μεμφεται  8. εγκατελειπετε, C εγκατελειπατε  10. C απελευσονται  14. AC παιδιαν  17. AC αισχυνεσθαι  18. C και απο κοινωνου, A om απο κοιν. κ. φ. π. αδικιας  19. om και ante απο πηξεως ... AC και απο σκοραχ. λημψεως  20. AC και απο ορασεως ... AC γυν. ετερας  21. AC om και ultim.  22. AC λογου ... C ονιδισμων  (23.) C om απο sec. ... AC αποκαλυψεως

Digitized by Google

3 καιῶσαι τὸν ἀσεβῆ, [3] περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων, καὶ περὶ δόσεως
4 κληρονομίας ἑταίρων, [4] περὶ ἀκριβείας ζυγοῦ καὶ σταθμιῶν, περὶ κτήσεως
5 πολλῶν καὶ ὀλίγων, [5] περὶ ἀδιαφόρου πράσεως καὶ ἐμπόρων, καὶ περὶ παι-
6 δείας τέκνων πολλῆς, καὶ οἰκέτῃ πονηρῷ πλευρὰν αἱμάξαι· [6] ἐπὶ γυναικὶ
7 πονηρᾷ καλὸν σφραγίς, καὶ ὅπου χεῖρες πολλαὶ κλεῖσον· [7] ὃ ἐὰν παραδιδῷς,
8 ἐν ἀριθμῷ καὶ σταθμῷ, καὶ δόσις καὶ λῆψις παντὶ ἐν γραφῇ· [8] περὶ παι-
δείας ἀνοήτου καὶ μωροῦ καὶ ἐσχατογήρου κρινομένου πρὸς νέους, καὶ ἔσῃ
9 πεπαιδευμένος ἀληθινῶς καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος. [9] θυγάτηρ
πατρὶ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον· ἐν νεότητι
10 αὐτῆς μή ποτε παρακμάσῃ, καὶ συνῳκηκυῖα μή ποτε μισηθῇ· [10] ἐν παρθε-
νίᾳ μή ποτε βεβηλωθῇ καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται· μετὰ
11 ἀνδρὸς οὖσα μή ποτε παραβῇ, καὶ συνῳκηκυῖα μή ποτε στειρώσῃ. [11] ἐπὶ
θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, μή ποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς,
λαλιὰν ἐν πόλει καὶ ἔκκλητον λαοῦ, καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν.
12 [12] παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει, καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέ-
13 δρευε· [13] ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σής, καὶ ἀπὸ γυναικὸς πονηρία γυ-
14 ναικός. [14] κρείσσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνή, καὶ γυνὴ καταισχύ-
15 νουσα εἰς ὀνειδισμόν. [15] μνησθήσομαι δὴ τὰ ἔργα κυρίου, καὶ ἃ ἑώρακα
16 ἐκδιηγήσομαι· ἐν λόγοις κυρίου τὰ ἔργα αὐτοῦ. [16] ἥλιος φωτίζων κατὰ πᾶν
17 ἐπέβλεψε, καὶ τῆς δόξης αὐτοῦ πλῆρες τὸ ἔργον αὐτοῦ. [17] οὐκ ἐνεποίησε τοῖς
ἁγίοις κύριος ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ, ἃ ἐστερέωσε κύριος
18 ὁ παντοκράτωρ, στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν. [18] ἄβυσσον καὶ καρδίαν
ἐξίχνευσε, καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη· ἔγνω γὰρ ὁ κύριος πᾶσαν
19 εἴδησιν καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος, [19] ἀπαγγέλλων τὰ παρεληλυθότα
20 καὶ ἐπεσόμενα, καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων· [20] οὐ παρῆλθεν αὐτὸν πᾶν
21 διανόημα, οὐκ ἐκρύβη ἀπ' αὐτοῦ οὐδὲ εἷς λόγος. [21] τὰ μεγαλεῖα τῆς σοφίας
αὐτοῦ ἐκόσμησεν, καὶ ἕως ἐστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, οὔτε
22 προσετέθη οὔτε ἠλαττώθη, καὶ οὐδὲ προσεδεήθη οὐδενὸς συμβούλου. [22] ὡς
23 πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητά, καὶ ὡς σπινθῆρός ἐστι θεωρῆσαι. [23] πάντα
ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα ἐν πάσαις χρείαις, καὶ πάντα ὑπακούει·
24 25 [24] πάντα δισσὰ ἓν κατέναντι τοῦ ἑνός, καὶ οὐκ ἐποίησεν οὐδὲν ἐκλεῖπον· [25] ἓν
τοῦ ἑνὸς ἐστερέωσε τὰ ἀγαθά, καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

## XLIII.

Γαυρίαμα ὕψους στερέωμα καθαριότητος, εἶδος οὐρανοῦ ἐν ὁράματι
2 δόξης. [2] ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ, σκεῦος θαυμαστόν, ἔργον
3 ὑψίστου· [3] ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν, καὶ ἐναντίον καύματος
4 αὐτοῦ τίς ὑποστήσεται; [4] κάμινον φυσῶν ἐν ἔργοις καύματος, τριπλασίως
ἥλιος ἐκκαίων ὄρη· ἀτμίδας πυρώδεις ἐμφυσῶν, καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυ-
5 ροῖ ὀφθαλμούς. [5] μέγας κύριος ὁ ποιήσας αὐτόν, καὶ ἐν λόγοις αὐτοῦ κατέ-

XLII. 2. C ασεβην 3. C κοινωνων ... om και sec. ... AC ετερων 4. AC και περι κτησεως 5. AC περι διαφορου πρασεως εμπορων (C εμπορου) ... AC παιδιας ... εμαξας 7. ed. rom. παραδιδως ... AC λημψις παντα 8. AC παιδιας ... AC εσχατογηρω κρινομενω 9. η μεριμνα αυτου 10. AC στειρωθη 11. ποιησει ... AC καταισχυνει 12. C εμμεσω 13. C εξελευσεται σης 15. AC εορακα 16. AC τ. δοξ. κυριου 17. C om ἃ 18. πανουργημασιν ... γαρ ο υψιστος πασ. ιδησιν, C γαρ ο υψιστος (C* vdtr ο υψ., ** fortasse ο κυρ.) πασ. συνειδησιν 19. C και απαγγελλων ... AC και τα εσομενα 20. AC om ουδε 21. AC εκοσμησεν, ος εστιν ... ηλασσωθη ... AC και ου προσεδεηθη 22. C και εως pro κ. ως 24. ελλιπον XLIII. 2. διαγγελων 4. C καμ. φυλασσων ... τριπλασιων ... AC εκφυσων 5. μεγ. ο κυριος

Digitized by Google

σπευσε πορείαν. [6]καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς, ἀνάδειξιν χρόνων 6
καὶ σημεῖον αἰῶνος· [7]ἀπὸ σελήνης σημεῖον ἑορτῆς, φωστὴρ μειούμενος ἐπὶ 7
συντελείας· [8]μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστίν, αὐξανομένη ϑαυμαστῶς ἐν 8
ἀλλοιώσει. σκεῦος παρεμβολῶν ἐν ὕψει, ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων·
[9]κάλλος οὐρανοῦ, δόξα ἄστρων, κόσμος φωτίζων, ἐν ὑψίστοις κύριος· [10]ἐν 9 10
λόγοις ἁγίου στήσονται κατὰ κρίμα, καὶ οὐ μὴ ἐκλυϑῶσιν ἐν φυλακαῖς αὐ-
τῶν. [11]ἴδε τόξον, καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτό, σφόδρα ὡραῖον ἐν τῷ 11
αὐγάσματι αὐτοῦ· [12]ἐγύρωσεν οὐρανὸν ἐν κυκλώσει δόξης, χεῖρες ὑψίστου 12
ἐτάννυσαν αὐτό. [13]προστάγματι αὐτοῦ κατέσπευσε χιόνα, καὶ ταχύνει ἀστρα- 13
πὰς κρίματος αὐτοῦ· [14]διὰ τοῦτο ἠνεῴχϑησαν ϑησαυροί, καὶ ἐξέπτησαν νε- 14
φέλαι ὡς πετεινά· [15]ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσε νεφέλας, καὶ διεϑρύβησαν 15
λίϑοι χαλάζης. [16]καὶ ἐν ὀπτασίαις αὐτοῦ σαλευϑήσεται ὄρη, ἐν ϑελήματι 16
πνεύσεται νότος. [17]φωνὴ βροντῆς αὐτοῦ ὠδίνησε γῆν, καὶ καταιγὶς βορέου 17
καὶ συστροφὴ πνεύματος. ὡς πετεινὰ καϑιπτάμενα πάσσει χιόνα, καὶ ὡς ἀκρὶς
καταλύουσα ἡ κατάβασις αὐτῆς· [18]κάλλος λευκότητος αὐτῆς ἐκϑαυμάσει 18
ὀφϑαλμός, καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία. [19]καὶ πάχνην ὡς ἅλα 19
ἐπὶ γῆς χέει, καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα. [20]ψυχρὸς ἄνεμος βορέης 20
πνεύσει, καὶ παγήσεται κρύσταλλος ἀφ' ὕδατος· ἐπὶ πᾶσαν συναγωγὴν ὕδα-
τος καταλύσει, καὶ ὡς ϑώρακα ἐνδύσεται τὸ ὕδωρ. [21]καταφάγεται ὄρη καὶ 21
ἔρημον ἐκκαύσει, καὶ ἀποσβέσει χλόην ὡς πῦρ. [22]ἴασις πάντων κατὰ σπου- 22
δὴν ὁμίχλη, δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει. [23]λογισμῷ αὐτοῦ 23
ἐκόπασεν ἄβυσσον, καὶ ἐφύτευσεν αὐτὴν Ἰησοῦς. [24]οἱ πλέοντες τὴν ϑάλασσαν 24
διηγοῦνται τὸν κίνδυνον αὐτῆς, καὶ ἀκοαῖς ὠτίων ἡμῶν ϑαυμάζομεν· [25]καὶ 25
ἐκεῖ τὰ παράδοξα καὶ ϑαυμάσια ἔργα, ποικιλία παντὸς ζώου, κτίσις κητῶν.
[26]δι' αὐτὸν εὐοδία τέλος αὐτοῦ, καὶ ἐν λόγῳ αὐτοῦ σύγκειται πάντα. [27]πολλὰ 26 27
ἐροῦμεν καὶ οὐ μὴ ἐφικώμεϑα, καὶ συντέλεια λόγων Τὸ πᾶν ἐστιν αὐτός.
[28]δοξάζοντες ποῦ ἰσχύσωμεν; αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐ- 28
τοῦ. [29]φοβερὸς κύριος καὶ σφόδρα μέγας, καὶ ϑαυμαστὴ ἡ δυναστεία αὐτοῦ. 29
[30]δοξάζοντες κύριον ὑψώσατε καϑόσον ἂν δύνησϑε, ὑπερέξει γὰρ καὶ ἔτι, 30
καὶ ὑψοῦντες αὐτὸν πληϑύνατε ἐν ἰσχύϊ· μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἐφίκησϑε.
[31]τίς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται; καὶ τίς μεγαλύνει αὐτὸν καϑώς ἐστι; 31
[32]πολλὰ ἀπόκρυφά ἐστι μείζονα τούτων, ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων 32
αὐτοῦ. [33]πάντα γὰρ ἐποίησεν ὁ κύριος, καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν. 33

## XLIV.

## ΠΑΤΕΡΩΝ ΥΜΝΟΣ.

Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους καὶ τοὺς πατέρας ἡμῶν τῇ γενέσει.
[2]πολλὴν δόξαν ἔκτισεν ὁ κύριος, τὴν μεγαλωσύνην αὐτοῦ ἀπ' αἰῶνος. [3]κυρι- 2 3
εύοντες ἐν ταῖς βασιλείαις αὐτῶν, καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει· βουλεύ-
σονται ἐν συνέσει αὐτῶν, ἀπηγγελκότες ἐν προφητείαις· [4]ἡγούμενοι λαοῦ ἐν 4
διαβουλίοις καὶ συνέσει γραμματείας λαοῦ, σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν·

---

7. επι συντελεια 8. AC αυξανομενος 9. AC εν υψιστ. χυριου 11. AC αυτον pro αυτο 12. AC ετανυσαν et C pergit αυτον 15. νεφελαις 16. AC εν οπτασια ... σαλευϑησονται, C σαλευονται ... AC και εν ϑεληματι αυτου 17. C ωνειδισεν pro ωδινησε (vdtr) ... γη 20. AC βορεας ... εφ (C φ omisso ε s. α) υδατος ... C και επι 23. αυτηνιησους et A et C confirmant (corrige εν αυτη νησους) 24. AC οι πλεοντ. usque αυτης post ϑαυμαζομεν pon. ... AC διηγουνται κινδυνον 25. AC τα ϑαυμασ. και παραδοξα ... AC κτησις κτηνων 26. ευδοκια ... AC τα παντα 27. αφικωμεϑα ... ed. rom. λογων το παν 28. ισχυσομεν 30. αφικησϑε 31. εορακεν 33. δεδωκεν XLIV. 3. βασιλ. αυτου ... βουλευεται 4. σοφοι εν λογοις παιδια

Digitized by Google

5 6 [5] ἐκζητοῦντες μέλη μουσικῶν, διηγούμενοι ἔπη ἐν γραφῇ· [6] ἄνδρες πλούσιοι
7 κεχορηγημένοι ἰσχύϊ, εἰρηνεύοντες ἐν παροικίαις αὐτῶν· [7] πάντες οὗτοι ἐν γε-
8 νεαῖς ἐδοξάσθησαν, καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα. [8] εἰσὶν αὐτῶν οἳ
9 κατέλιπον ὄνομα τοῦ ἐκδιηγήσασθαι ἐπαίνους, [9] καὶ εἰσὶν ὧν οὐκ ἔστι μνη-
μόσυνον καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες, καὶ ἐγένοντο ὡς οὐ γεγονότες,
10 καὶ τὰ τέκνα αὐτῶν μετ' αὐτούς. [10] ἀλλ' ἢ οὗτοι ἄνδρες ἐλέους, ὧν αἱ
11 δικαιοσύναι οὐκ ἐπελήσθησαν· [11] μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ ἀγαθὴ
12 κληρονομία, ἔκγονα αὐτῶν ἐν ταῖς διαθήκαις· [12] ἔστη σπέρμα αὐτῶν καὶ
13 τέκνα αὐτῶν δι' αὐτούς, [13] ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν, καὶ ἡ δόξα
14 αὐτῶν οὐκ ἐξαλειφθήσεται· [14] τὸ σῶμα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, καὶ τὸ
15 ὄνομα αὐτῶν ζῇ εἰς γενεάς· [15] σοφίαν αὐτῶν διηγήσονται λαοί, καὶ τὸν
16 ἔπαινον ἐξαγγέλλει ἐκκλησία. [16] Ἐνὼχ εὐηρέστησε κυρίῳ καὶ μετετέθη, ὑπό- *He. 11, 5.
17 δειγμα μετανοίας ταῖς γενεαῖς. [17] Νῶε εὑρέθη τέλειος δίκαιος, ἐν καιρῷ
ὀργῆς ἐγένετο ἀντάλλαγμα· διὰ τοῦτο ἐγενήθη κατάλειμμα τῇ γῇ, διὰ τοῦτο
18 ἐγένετο κατακλυσμός· [18] διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτὸν ἵνα μὴ ἐξα-
19 λειφθῇ κατακλυσμῷ πᾶσα σάρξ. [19] Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν,
20 καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ, [20] ὃς συνετήρησε νόμον ὑψίστου, καὶ
ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ, καὶ ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην, καὶ
21 ἐν πειρασμῷ εὑρέθη πιστός· [21] διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ ἐνευλογη-
θῆναι ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ, πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς, καὶ
ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ, καὶ κατακληρονομῆσαι αὐτοὺς ἀπὸ
22 θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου γῆς. [22] καὶ ἐν τῷ Ἰσαὰκ
ἔστησεν οὕτως διὰ Ἀβραὰμ τὸν πατέρα αὐτοῦ εὐλογίαν πάντων ἀνθρώπων
23 καὶ διαθήκην, [23] καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ· ἐπέγνω αὐτὸν ἐν εὐ-
λογίαις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ· καὶ διέστειλε μερίδας αὐτοῦ,
ἐν φυλαῖς ἐμέρισε δεκαδύο· καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους, εὑρίσκοντα
χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός.

## XLV.

Ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων Μωυσῆν, οὗ τὸ μνημόσυνον ἐν
2 εὐλογίαις· [2] ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων, καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις
3 ἐχθρῶν· [3] ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν, ἐδόξασεν αὐτὸν κατὰ πρόσω-
πον βασιλέων· ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ, καὶ ἔδειξεν αὐτῷ τῆς δό-
4 ξης αὐτοῦ· [4] ἐν πίστει καὶ πραΰτητι αὐτοῦ ἡγίασεν, ἐξελέξατο αὐτὸν ἐκ πάσης
5 σαρκός· [5] ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν
γνόφον, καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολάς, νόμον ζωῆς καὶ ἐπιστή-
6 μης, διδάξαι τὸν Ἰακὼβ διαθήκην καὶ κρίματα αὐτοῦ τὸν Ἰσραήλ. [6] Ἀαρὼν
7 ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ ἀδελφὸν αὐτοῦ ἐκ φυλῆς Λευί· [7] ἔστησεν αὐτῷ
διαθήκην αἰῶνος, καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαοῦ· ἐμακάρισεν αὐτὸν ἐν εὐ-
8 κοσμίᾳ, καὶ περιέζωσεν αὐτὸν στολὴν δόξης· [8] ἐνέδυσεν αὐτὸν συντέλειαν
καυχήματος, καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος, περισκελῆ καὶ ποδήρη
9 καὶ ἐπωμίδα· [9] καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις χρυσοῖς, κώδωσι πλείστοις κυ-
κλόθεν, ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτοῦ, ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ

---

5. και διηγουμενοι 6. εν ισχυι ... εν κατοικιαις 8. κατελειπον 12. το σπερμα ... τα τεκνα 13. ουκ εγκαταλειφθησεται 14. τα σωματα 15. επαινον αυτων εξαγγελει 17. καταλιμμα τη γη οτε εγενετο 18. om κατακλυσμω 19. αβραμ ... ομοιος αυτω 20. om και sec. 21. εν σπερματι ... εως ακρου της γης 23. διεστησεν pro διεστειλε XLV. 1. μωσην 2. εν δοξη 4. πραοτητι αυτον ηγιασεν 6. *αρων 7. περιστολη δοξης 9. ed. rom. ροϊσκ. χρ. κωδ. sine interpunctione, cod. alex. χρυσ. cum κωδ. conjg.

Digitized by Google

εἰς μνημόσυνον υἱοῖς λαοῦ αὐτοῦ· [10]στολῇ ἁγίᾳ, χρυσῷ καὶ ὑακίνθῳ καὶ 10
πορφύρᾳ, ἔργῳ ποικιλτοῦ, λογείῳ κρίσεως, δήλοις ἀληθείας, [11]κεκλωσμένῃ 11
κόκκῳ, ἔργῳ τεχνίτου, λίθοις πολυτελέσι γλύμματος σφραγῖδος, ἐν δέσει χρυ-
σίου, ἔργῳ λιθουργοῦ, εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ κατ' ἀριθμὸν
φυλῶν Ἰσραήλ· [12]στέφανον χρυσοῦν ἐπάνω κιδάρεως, ἐκτύπωμα σφραγῖδος 12
ἁγιάσματος, καύχημα τιμῆς, ἔργον ἰσχύος, ἐπιθυμήματα ὀφθαλμῶν κοσμού-
μενα ὡραῖα. [13]πρὸ αὐτοῦ οὐ γέγονε τοιαῦτα ἕως αἰῶνος, οὐκ ἐνεδύσατο 13
ἀλλογενὴς πλὴν τῶν υἱῶν αὐτοῦ μόνον, καὶ τὰ ἔκγονα αὐτοῦ διὰ παντός.
[14]θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται καθ' ἡμέραν ἐνδελεχῶς δίς. [15]ἐπλήρωσε 14 15
Μωυσῆς τὰς χεῖρας καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ· ἐγενήθη αὐτῷ εἰς
διαθήκην αἰώνιον, καὶ ἐν τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ, λειτουρ-
γεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν, καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι
αὐτοῦ. [16]ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος, προσαγαγεῖν κάρπωσιν κυρίῳ, 16
θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον, ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου.
[17]ἔδωκεν αὐτὸν ἐν ἐντολαῖς αὐτοῦ, ἐξουσίαν ἐν διαθήκαις κριμάτων, διδάξαι 17
τὸν Ἰακὼβ τὰ μαρτύρια, καὶ ἐν νόμῳ αὐτοῦ φωτίσαι Ἰσραήλ. [18]ἐπισυνέστη- 18
σαν αὐτῷ ἀλλότριοι καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἄνδρες οἱ περὶ Δαθὰν
καὶ Ἀβειρὼν καὶ ἡ συναγωγὴ Κορὲ ἐν θυμῷ καὶ ὀργῇ· [19]εἶδε κύριος καὶ 19
οὐκ εὐδόκησε, καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς· ἐποίησεν αὐτοῖς τέρατα,
καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ. [20]καὶ προσέθηκεν Ἀαρὼν δόξαν, καὶ 20
ἔδωκεν αὐτῷ κληρονομίαν· ἀπαρχὰς πρωτογεννημάτων ἐμέρισεν αὐτοῖς, ἄρτον
ἐν πρώτοις ἡτοίμασε πλησμονήν· [21]καὶ γὰρ θυσίας κυρίου φάγονται, ἃς ἔδω- 21
κεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ. [22]πλὴν ἐν γῇ λαοῦ οὐ κληρονομήσει, 22
καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ, αὐτὸς γὰρ μερίς σου κληρονομία. [23]καὶ 23
Φινεὲς υἱὸς Ἐλεάζαρ τρίτος εἰς δόξαν, ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ κυ-
ρίου καὶ στῆσαι αὐτὸν ἐν τροπῇ λαοῦ ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ,
καὶ ἐξιλάσατο περὶ τοῦ Ἰσραήλ. [24]διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης, 24
προστάτην ἁγίων καὶ λαῷ αὐτοῦ, ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτοῦ ἱερω-
σύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας. [25]καὶ διαθήκην τῷ Δαυὶδ υἱῷ ἐκ φυλῆς 25
Ἰούδα, κληρονομία βασιλέως υἱοῦ ἐξ υἱοῦ μόνου, κληρονομία Ἀαρὼν καὶ τῷ
σπέρματι αὐτοῦ. [26]δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν, κρίνειν τὸν λαὸν αὐτοῦ 26
ἐν δικαιοσύνῃ, ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν, καὶ τὴν δόξαν αὐτῶν εἰς
γενεὰς αὐτῶν.

## XLVI.

Κραταιὸς ἐν πολέμοις Ἰησοῦς Ναυή, καὶ διάδοχος Μωυσῆ ἐν προφη-
τείαις, ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ,
ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρούς, ὅπως κληρονομήσῃ τὸν Ἰσραήλ. [2]ὡς ἐδο- 2
ξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ καὶ τῷ ἐκκλῖναι ῥομφαίαν ἐπὶ πόλεις.
[3]τίς πρότερον αὐτοῦ οὕτως ἔστη; τοὺς γὰρ πολεμίους κύριος αὐτὸς ἐπήγαγεν. 3
[4]οὐχὶ ἐν χειρὶ αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος, καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο; 4
[5]ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην ἐν τῷ θλῖψαι αὐτὸν ἐχθροὺς κυκλόθεν· 5
καὶ ἐπήκουσεν αὐτῶν μέγας κύριος ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·

10. λογιω 12. 13. ωραια cum seqq. conjg., item εως αιω. cum seqq. 15. μωσης ... και τω σπερματι ... om αυτω in fine (16. ευωδια) 17. εδωχ. αυτω εν ταις εντ. α. ... τον ιαχωβ μαρτυριαν ... τον ισραηλ 19. ιδεν κυριος ... ηυδοκησεν ... φλογος αυτους 20. πρωτογενηματων εμερ. αυτω, αρτον πρωτοις ητοιμ. εν πλησμονη 22. σου και κληρονομια 23. στηναι 24. C μεγαλιον 25. υιω ιεσσαι ... αυτω pro ααρων 26. δοιη ... γενεαν XLVI. 1. AC εν πολεμω ... ιη. υιος ναυη ... μωση ... κατακληρονομηση 2. και εν τω εκτειναι ρομφαιαν 3. προτερος ... πολεμιους κυριου αυτος απηγαγεν 4. ενεποδισθη 5. επηκουσ. αυτου μεγ. κυρ. λιθοις

Digitized by Google

6 [6] κατέῤῥαξεν ἐπ' ἔθνος πόλεμον, καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεστηκότας,
ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῶν, ὅτι ἐναντίον κυρίου ὁ πόλεμος αὐτοῦ· καὶ
7 γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστου. [7] καὶ ἐν ἡμέραις Μωυσέως ἐποίησεν
ἔλεος, αὐτὸς καὶ Χάλεβ υἱὸς Ἰεφοννῆ, ἀντιστῆναι ἔναντι ἐχθροῦ, κωλῦσαι
8 λαὸν ἀπὸ ἁμαρτίας καὶ κοπάσαι γογγυσμὸν πονηρίας. [8] καὶ αὐτοὶ δύο ὄντες
διεσώθησαν ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν, εἰςαγαγεῖν αὐτοὺς εἰς κληρονο-
9 μίαν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. [9] καὶ ἔδωκεν ὁ κύριος τῷ Χάλεβ ἰσχύν,
καὶ ἕως γήρους διέμεινεν αὐτῷ, ἐπιβῆναι αὐτὸν ἐπὶ ὕψος τῆς γῆς, καὶ τὸ
10 σπέρμα αὐτοῦ κατέσχε κληρονομίαν· [10] ὅπως ἴδωσι πάντες οἱ υἱοὶ Ἰσραὴλ
11 ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω κυρίου. [11] καὶ οἱ κριταὶ ἕκαστος τῷ αὐτοῦ
ὀνόματι, ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ
12 κυρίου, εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις· [12] τὰ ὀστᾶ αὐτῶν ἀναθάλοι
ἐκ τοῦ τόπου αὐτῶν, καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον ἐφ' υἱοῖς
13 δεδοξασμένων αὐτῶν. [13] ἠγαπημένος ὑπὸ κυρίου αὐτοῦ Σαμουὴλ προφήτης
14 κυρίου κατέστησε βασιλείαν, καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ· [14] ἐν
15 νόμῳ κυρίου ἔκρινε συναγωγήν, καὶ ἐπεσκέψατο κύριος τὸν Ἰακώβ. [15] ἐν πί-
στει αὐτοῦ ἠκριβάσθη προφήτης, καὶ ἐγνώσθη ἐν πίστει αὐτοῦ πιστὸς ὁρά-
16 σεως. [16] καὶ ἐπεκαλέσατο τὸν κύριον δυνάστην, ἐν τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ
17 κυκλόθεν, ἐν προςφορᾷ ἀρνὸς γαλαθηνοῦ· [17] καὶ ἐβρόντησεν ἀπ' οὐρανοῦ κύ-
18 ριος, καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησε τὴν φωνὴν αὐτοῦ, [18] καὶ ἐξέ-
19 τριψεν ἡγουμένους Τυρίων καὶ πάντας ἄρχοντας Φυλιστιείμ. [19] καὶ πρὸ καιροῦ
κοιμήσεως αἰῶνος ἐπεμαρτύρατο ἔναντι κυρίου καὶ χριστοῦ Χρήματα καὶ
ἕως ὑποδημάτων ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα· καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ
20 ἄνθρωπος. [20] καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσε καὶ ὑπέδειξε βασιλεῖ
τὴν τελευτὴν αὐτοῦ, καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ ἐν προφητείᾳ
ἐξαλεῖψαι ἀνομίαν λαοῦ.

## XLVII.

2 Καὶ μετὰ τοῦτο ἀνέστη Νάθαν προφητεύειν ἐν ἡμέραις Δαυίδ. [2] ὥςπερ
3 στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου, οὕτως Δαυὶδ ἀπὸ τῶν υἱῶν Ἰσραήλ. [3] ἐν
4 λέουσιν ἔπαισεν ὡς ἐν ἐρίφοις, καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων. [4] ἐν
νεότητι αὐτοῦ οὐχὶ ἀπέκτεινε γίγαντα, καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ ἐν τῷ
ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιάθ;
5 [5] ἐπεκαλέσατο γὰρ κύριον τὸν ὕψιστον, καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κρά-
6 τος ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέμῳ, ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ. [6] οὕτως
ἐν μυριάσιν ἐδόξασεν αὐτόν, καὶ ᾔνεσεν αὐτὸν ἐν εὐλογίαις κυρίου ἐν τῷ
7 φέρεσθαι αὐτῷ διάδημα δόξης. [7] ἐξέτριψε γὰρ ἐχθροὺς κυκλόθεν, καὶ ἐξου-
δένωσε Φυλιστιεὶμ τοὺς ὑπεναντίους· ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.
8 [8] ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν ἁγίῳ ὑψίστῳ· ῥήματι δόξης ἐν
9 πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησε καὶ ἠγάπησε τὸν ποιήσαντα αὐτόν. [9] καὶ ἔστησε
ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου, καὶ ἐξ ἤχου αὐτῶν γλυκαίνει μέλη·
10 [10] ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν, καὶ ἐκόσμησε καιροὺς μέχρι συντελείας, ἐν
τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ καὶ ἀπὸ πρωὶ ἠχεῖν τὸ ἁγίασμα.
11 [11] κύριος ἀφεῖλε τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐ-
τοῦ, καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων καὶ θρόνον δόξης ἐν τῷ Ἰσραήλ.

---

6. πανοπλιαν αυτου 7. μωσεως 8. εις̣αγειν 9. AC επι το υψος ... και την pro κατεσχε 15. AC εν ρημασιν pro εν πιστει 19. C Χρηματα εως 20. AC επροφητευσεν ... C επεδειξεν ... εκ γης φωνην αυτου XLVII. 1. μετα τουτον 2. AC απο υιων 3. επεζεν 4. χειρας ... C κατεβαλεν γ. τ. γολιαδ 5. C om γαρ 7. C αυτω κερας 8. ed. rom. αγ. υψ. cum ρημ. conjg. ... C ρηματα δοξης 9. AC κατεναντι θυσιαστηριου ... AC εξ ηχους ... AC γλυκαινειν 10. C το ονομα το αγιον ... AC απο πρωιας

Digitized by Google

12 μετὰ τούτου ἀνέστη υἱὸς ἐπιστήμων, καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ· 12
13 Σαλωμὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης, ᾧ ὁ θεὸς κατέπαυσε κυκλόθεν, 13
ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι αὐτοῦ καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.
14 ὡς ἐσοφίσθης ἐν νεότητί σου, καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως. 15 γῆν 14 15
ἐπεκάλυψεν ἡ ψυχή σου, καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων· 16 εἰς 16
νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σου, καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου· 17 ἐν 17
ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε
χῶραι· 18 ἐν ὀνόματι κυρίου τοῦ θεοῦ τοῦ ἐπικεκλημένου θεοῦ Ἰσραὴλ συν- 18
ήγαγες ὡς κασσίτερον τὸ χρυσίον, καὶ ὡς μόλιβδον ἐπλήθυνας ἀργύριον.
19 παρενέκλινας τὰς λαγόνας σου γυναιξί, καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί 19
σου· 20 ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐβεβήλωσας τὸ σπέρμα σου, 20
ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου, καὶ κατενύγην ἐπὶ τῇ ἀφροσύνῃ σου,
21 γενέσθαι δίχα τυραννίδα καὶ ἐξ Ἐφραὶμ ἄρξαι βασιλείαν ἀπειθῆ. 22 ὁ δὲ 21 22
κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ, καὶ οὐ μὴ διαφθαρῇ ἀπὸ τῶν ἔργων
αὐτοῦ, οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ ἔκγονα, καὶ σπέρμα τοῦ ἀγαπήσαντος
αὐτὸν οὐ μὴ ἐξάρῃ· καὶ τῷ Ἰακὼβ ἔδωκε κατάλειμμα, καὶ τῷ Δαυὶδ ἐξ
αὐτοῦ ῥίζαν. 23 καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν πατέρων, καὶ κατέλιπε 23
μετ' αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συ-
νέσει Ῥοβοάμ, ὃς ἀπέστησε λαὸν ἐκ βουλῆς αὐτοῦ, καὶ Ἱεροβοὰμ υἱὸν Να-
βάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ καὶ ἔδωκε τῷ Ἐφραὶμ ὁδὸν ἁμαρτίας. 24 καὶ 24
ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα, ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς
αὐτῶν· 25 καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν, ἕως ἐκδίκησις ἔλθῃ ἐπ' αὐτούς. 25

## XLVIII.

Καὶ ἀνέστη Ἠλίας προφήτης ὡς πῦρ, καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς
ἐκαίετο· 2 ὃς ἐπήγαγεν ἐπ' αὐτοὺς λιμόν, καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν 2
αὐτούς· 3 ἐν λόγῳ κυρίου ἀνέσχεν οὐρανόν, κατήγαγεν οὕτως τρὶς πῦρ. 4 ὡς 3 4
ἐδοξάσθης Ἠλία ἐν τοῖς θαυμασίοις σου· καὶ τίς ὅμοιός σοι καυχᾶσθαι; 5 ὁ 5
ἐγείρας νεκρὸν ἐκ θανάτου καὶ ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου· 6 ὁ καταγαγὼν βα- 6
σιλεῖς εἰς ἀπώλειαν καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν· 7 ὁ ἀκούων ἐν 7
Σινᾶ ἐλεγμὸν καὶ ἐν Χωρὴβ κρίματα ἐκδικήσεως· 8 ὁ χρίων βασιλεῖς εἰς 8
ἀνταπόδομα, καὶ προφήτας διαδόχους μετ' αὐτόν· 9 ὁ ἀναληφθεὶς ἐν λαί- 9
λαπι πυρὸς ἐν ἅρματι ἵππων πυρίνων· 10 ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς και- 10
ρούς, κοπάσαι ὀργὴν πρὸ θυμοῦ καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν
καὶ καταστῆσαι φυλὰς Ἰακώβ. 11 μακάριοι οἱ ἰδόντες σε καὶ οἱ ἐν ἀγαπήσει 11
κεκοσμημένοι, καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα. 12 Ἠλίας ὃς ἐν λαίλαπι ἐσκε- 12
πάσθη· καὶ Ἐλισαιὲ ἐνεπλήσθη πνεύματος αὐτοῦ, καὶ ἐν ἡμέραις αὐτοῦ οὐκ
ἐσαλεύθη ὑπὸ ἄρχοντος, καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς. 13 πᾶς λόγος 13
οὐχ ὑπερῆρεν αὐτόν, καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτοῦ· 14 καὶ ἐν 14
ζωῇ αὐτοῦ ἐποίησε τέρατα, καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ. 15 ἐν 15
πᾶσι τούτοις οὐ μετενόησεν ὁ λαός, καὶ οὐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν,
ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν καὶ ἐσκορπίσθησαν ἐν πάσῃ τῇ

12. C και μετα ... AC μετα τουτον ... C om και δι αυτ. κ. εν πλατ. 13. σολομων 14. C εσοφισθης (*-σθη) pro ενεπλησθης 15. C ενεπλησαν 17. AC και εν ωδαις ... εν ερημιαις επεθαυμασαν 18. C om θεου sec. (vdtr) ... C κασιτερον ... μολιβον 19. AC παρανεκλινας 22. εγκαταλειπη ... διαφθειρη ... C εξαλιψει ... και το σπερμα ... καταλιμμα 23. πατερων αυτου ... κατελειπεν μεθ αυτον ... τον λαον 25. ως εκδικησις XLVIII. 2. ολιγοποιησεν 4. εν θαυμασιοις σου ... καυχησεται 7. om ὁ 9. ο αναλημφθεις εν λαμπαδι πυρος 10. ο καταγρ. ελεγμος ... om και prius 11. C ειδοτες ... ζωης 12. επλησθη πνευμ. αγιου 13. C ουκ (ita etiam ed. rom.) 14. C εν τη ζωη 15. απο γης ... διεσκορπισθησαν



Digitized by Google

16 γῆ, καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστός, καὶ ἄρχων τῷ οἴκῳ Δαυίδ. 16 τινὲς
17 μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστόν, τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας. 17 Ἐζεκίας
ὠχύρωσε τὴν πόλιν αὐτοῦ, καὶ εἰςήγαγεν εἰς μέσον αὐτῶν τὸν Γώγ· ὤρυξε
18 σιδήρῳ ἀκρότομον, καὶ ᾠκοδόμησε κρήνας εἰς ὕδατα. 18 ἐν ἡμέραις αὐτοῦ
ἀνέβη Σενναχηρὶμ καὶ ἀπέστειλε Ῥαψάκην, καὶ ἀπῆρεν· καὶ ἐπῆρεν ἡ χεὶρ
19 αὐτοῦ ἐπὶ Σιών, καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτοῦ. 19 τότε ἐσαλεύθησαν
20 καρδίαι καὶ χεῖρες αὐτῶν, καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι· 20 καὶ ἐπεκαλέ-
σαντο τὸν κύριον τὸν ἐλεήμονα, ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν.
καὶ ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν, καὶ ἐλυτρώσατο αὐτοὺς ἐν
21 χειρὶ Ἡσαΐου· 21 ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων, καὶ ἐξέτριψεν αὐ-
22 τοὺς ὁ ἄγγελος αὐτοῦ. 22 ἐποίησε γὰρ Ἐζεκίας τὸ ἀρεστὸν κυρίῳ, καὶ ἐνί-
σχυσεν ἐν ὁδοῖς Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, ἃς ἐνετείλατο Ἡσαΐας ὁ προφήτης
23 ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ. 23 ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπόδισεν ὁ
24 ἥλιος, καὶ προςέθηκε ζωὴν βασιλεῖ· 24 πνεύματι μεγάλῳ εἶδε τὰ ἔσχατα,
25 καὶ παρεκάλεσε τοὺς πενθοῦντας ἐν Σιών· 25 ἕως τοῦ αἰῶνος ὑπέδειξε τὰ
ἐσόμενα καὶ τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι αὐτά.

## XLIX.

Μνημόσυνον Ἰωσίου εἰς σύνθεσιν θυμιάματος, ἐσκευασμένον ἔργῳ μυρε-
ψοῦ· ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται, καὶ ὡς μουσικὰ ἐν συμπο-
2 σίῳ οἴνου. 2 αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ λαοῦ, καὶ ἐξῆρε βδελύγματα
3 ἀνομίας· 3 κατεύθυνε πρὸς κύριον τὴν καρδίαν αὐτοῦ, ἐν ἡμέραις ἀνόμων
4 κατίσχυσε τὴν εὐσέβειαν. 4 πάρεξ Δαυὶδ καὶ Ἐζεκίου καὶ Ἰωσίου πάντες
πλημμέλειαν ἐπλημμέλησαν· κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου, οἱ βασι-
5 λεῖς Ἰούδα ἐξέλιπον. 5 ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις καὶ τὴν δόξαν
6 αὐτῶν ἔθνει ἀλλοτρίῳ· 6 ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος, καὶ ἠρή-
7 μωσαν τὰς ὁδοὺς αὐτῆς ἐν χειρὶ Ἱερεμίου. 7 ἐκάκωσαν γὰρ αὐτόν, καὶ αὐτὸς
ἐν μήτρᾳ ἡγιάσθη προφήτης ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν, ὡςαύτως
8 οἰκοδομεῖν καὶ καταφυτεύειν. 8 Ἰεζεκιὴλ ὃς εἶδεν ὅρασιν δόξης ἣν ὑπέδειξεν
9 αὐτῷ ἐπὶ ἅρματος Χερουβίμ· 9 καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ, καὶ
10 ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς. 10 καὶ τῶν δώδεκα προφητῶν τὰ ὀστᾶ
ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν. παρεκάλεσε δὲ τὸν Ἰακώβ, καὶ ἐλυτρώσατο
11 αὐτοὺς ἐν πίστει ἐλπίδος. 11 πῶς μεγαλύνωμεν τὸν Ζοροβάβελ; καὶ αὐτὸς ὡς
12 σφραγὶς ἐπὶ δεξιᾶς χειρός. 12 οὕτως Ἰησοῦς υἱὸς Ἰωσεδέκ· οἳ ἐν ἡμέραις
αὐτῶν ᾠκοδόμησαν οἶκον καὶ ἀνύψωσαν λαὸν ἅγιον κυρίῳ ἡτοιμασμένον εἰς
13 δόξαν αἰῶνος. 13 καὶ Νεεμίου ἐπὶ πολὺ τὸ μνημόσυνον, τοῦ ἐγείραντος ἡμῖν
τείχη πεπτωκότα, καὶ στήσαντος πύλας καὶ μοχλούς, καὶ ἀνεγείραντος τὰ
14 οἰκόπεδα ἡμῶν. 14 οὐδὲ εἷς ἐκτίσθη οἷος Ἐνὼχ τοιοῦτος ἐπὶ τῆς γῆς, καὶ γὰρ
15 αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς· 15 οὐδὲ ὡς Ἰωσὴφ ἐγεννήθη ἀνήρ, ἡγούμενος
16 ἀδελφῶν, στήριγμα λαοῦ, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν. 16 Σὴμ καὶ Σὴθ
ἐν ἀνθρώποις ἐδοξάσθησαν, καὶ ὑπὲρ πᾶν ζῶον ἐν τῇ κτίσει Ἀδάμ.

## L.

Σίμων Ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας, ὃς ἐν ζωῇ αὐτοῦ ὑπέῤῥαψεν οἶκον,
2 καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσε τὸν ναόν· 2 καὶ ὑπ᾽ αὐτοῦ ἐθεμελιώθη ὕψος

15. C κατεληφθη ... εν τω οικω 17. εις μεσον αυτης υδωρ· ωρυξεν 18. σενναχηρειμ ... επηρεν χειρα αυτου 18. υπερηφανεια 19. και αι χειρες 25. C παραγινεσθαι XLIX. 1. εργον μυρεμου (sic) 2. κατηυθυνθη 3. την οδον αυτου 4. πλημμελεια ... κατελειπον (C hiat) ... AC εξελειπον 6. ιηρεμιου 7. εμμητρα ... απολυειν 8. ιδεν ... χερουβειν 10. παρεκαλεσαν γαρ ... ελυτρωσαντο 12. ωκοδομ. πυργον, ανυψωσαν ναον αγ. 14. ουδ· εις (sic) εκτ. επι της γης τοιουτ. οιος ενωχ, και αυτος μετετεθη απο 15. εγενηθη 16. ed. rom. non habet signum commatis L. 1. ο ιερευς ... υπεραψεν ... εστερεωσεν ναον

Digitized by Google

διπλῆς, ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ· [3] ἐν ἡμέραις αὐτοῦ ἠλαττώθη 3
ἀποδοχεῖον ὑδάτων, χαλκὸς ὡςεὶ θαλάσσης τὸ περίμετρον· [4] ὁ φροντίζων τοῦ 4
λαοῦ αὐτοῦ ἀπὸ πτώσεως, καὶ ἐνισχύσας πόλιν ἐμπολιορκῆσαι. [5] ὡς ἐδοξάσθη 5
ἐν περιστροφῇ λαοῦ, ἐν ἐξόδῳ οἴκου καταπετάσματος· [6] ὡς ἀστὴρ ἑωθινὸς 6
ἐν μέσῳ νεφέλης, ὡς σελήνη πλήρης ἐν ἡμέραις· [7] ὡς ἥλιος ἐκλάμπων ἐπὶ 7
ναὸν ὑψίστου, καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης· [8] ὡς ἄνθος ῥόδων ἐν 8
ἡμέραις νέων, ὡς κρίνα ἐπ᾽ ἐξόδων ὕδατος, ὡς βλαστὸς λιβάνου ἐν ἡμέραις
θέρους· [9] ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρίου· ὡς σκεῦος χρυσίου ὁλοσφύρητον 9
κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ· [10] ὡς ἐλαία ἀναθάλλουσα καρπούς, καὶ 10
ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις. [11] ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν 11
δόξης, καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος, ἐν ἀναβάσει θυσια-
στηρίου ἁγίου ἐδόξασε περιβολὴν ἁγιάσματος· [12] ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ 12
χειρῶν ἱερέων, καὶ αὐτὸς ἑστὼς παρ᾽ ἐσχάρᾳ βωμοῦ, κυκλόθεν αὐτοῦ στέ-
φανος ἀδελφῶν ὡς βλάστημα κέδρου ἐν τῷ Λιβάνῳ, καὶ ἐκύκλωσαν αὐτὸν
ὡς στελέχη φοινίκων· [13] καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν δόξῃ αὐτῶν, καὶ προς- 13
φορὰ κυρίου ἐν χερσὶν αὐτῶν ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ· [14] καὶ συν- 14
τέλειαν λειτουργῶν ἐπὶ βωμῶν, κοσμῆσαι προςφορὰν ὑψίστου παντοκράτορος,
[15] ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ, καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς, 15
ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου ὀσμὴν εὐωδίας ὑψίστῳ παμβασιλεῖ. [16] τότε 16
ἀνέκραγον υἱοὶ Ἀαρών, ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν, ἀκουστὴν ἐποίησαν φω-
νὴν μεγάλην εἰς μνημόσυνον ἔναντι ὑψίστου· [17] τότε πᾶς ὁ λαὸς κοινῇ κατέ- 17
σπευσε, καὶ ἔπεσαν ἐπὶ πρόςωπον ἐπὶ τὴν γῆν προςκυνῆσαι τῷ κυρίῳ αὐτῶν
παντοκράτορι θεῷ τῷ ὑψίστῳ· [18] καὶ ᾔνεσαν οἱ ψαλμῳδοὶ ἐν φωναῖς αὐτῶν, 18
ἐν πλείστῳ οἴκῳ ἐγλυκάνθη μέλος· [19] καὶ ἐδεήθη ὁ λαὸς κυρίου ὑψίστου ἐν 19
προςευχῇ κατέναντι ἐλεήμονος, ἕως συντελεσθῇ κόσμος κυρίου καὶ τὴν λει-
τουργίαν αὐτοῦ ἐτελείωσαν. [20] τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν 20
ἐκκλησίαν υἱῶν Ἰσραήλ, δοῦναι εὐλογίαν κυρίῳ ἐκ χειλέων αὐτοῦ καὶ ἐν
ὀνόματι αὐτοῦ καυχᾶσθαι· [21] καὶ ἐδευτέρωσεν ἐν προςκυνήσει ἐπιδείξασθαι 21
τὴν εὐλογίαν παρὰ ὑψίστου. [22] καὶ νῦν εὐλογήσατε τῷ θεῷ πάντες τῷ με- 22
γαλοποιοῦντι πάντῃ, τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας, καὶ ποιοῦντα μεθ᾽
ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ· [23] δῴη ἡμῖν εὐφροσύνην καρδίας, καὶ γενέσθαι 23
εἰρήνην ἐν ἡμέραις ἡμῶν ἐν Ἰσραὴλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος, [24] ἐμπι- 24
στεῦσαι μεθ᾽ ἡμῶν τὸ ἔλεος αὐτοῦ, καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ λυτρωσάσθω
ἡμᾶς. [25] ἐν δυσὶν ἔθνεσι προςώχθισεν ἡ ψυχή μου, καὶ τὸ τρίτον οὐκ ἔστιν 25
ἔθνος· [26] οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας, Φυλιστιεὶμ, καὶ ὁ λαὸς μωρὸς ὁ 26
κατοικῶν ἐν Σικίμοις. [27] παιδείαν συνέσεως καὶ ἐπιστήμης ἐχάραξα ἐν τῷ 27
βιβλίῳ τούτῳ, Ἰησοῦς υἱὸς Σειρὰχ Ἱεροσολυμίτης, ὃς ἀνώμβρησε σοφίαν ἀπὸ 28
καρδίας αὐτοῦ. [28] μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, καὶ ὁ θεὶς αὐτὰ 29
ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται· [29] ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύ-
σει, ὅτι φῶς κυρίου τὸ ἴχνος αὐτοῦ.

## LI.

## ΠΡΟΣΕΥΧΗ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

Ἐξομολογήσομαί σοι κύριε βασιλεῦ, καὶ αἰνέσω σε θεὸν τὸν σωτῆρά
μου, ἐξομολογοῦμαι τῷ ὀνόματί σου· [2] ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι, 2

3. αποδοχια υδ., λακκος 5. ος εδοξασθη 6. εμμεσω 7. υψιστου, ως 8. ωσει κρινα επ εξοδω 11. συντελειαν καυματος 12. εστηκως ... κεδρων 14. επι βωμω (vdtr) 15. σπονδιου 16. οι υιοι 17. κατεσπευσαν ... προςκυνησαι κυριω παντοκρ. θεω υψιστ. 18. οι ψαλτωδοι ... εμεγαλυνθη μελος 20. om καταβας ... χειρα ... om πασαν ... καυχησασθαι 21. επι προςκυνησει 22. παντων τω μεγαλα ποι. π. 23. δωη υμιν 26. σαμαριας και φυλιστ. κ. ο λ. ο μωρος 27. παιδιαν ... υι. σιραχ ελεαζαρ ο ιεροσολ. 28. και θεις 29. ταυτα ποιηση LI. σιραχ 1. Εξομολογουμαι ... om σε



Digitized by Google

καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας καὶ ἐκ παγίδος διαβολῆς γλώσσης,
ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος, καὶ ἔναντι τῶν παρεστηκότων ἐγένου μοι
3 βοηθός, 3 καὶ ἐλυτρώσω με κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου ἐκ βρυ-
γμῶν ἑτοίμων εἰς βρῶμα, ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου, ἐκ πλειόνων
4 θλίψεων ὧν ἔσχον, 4 ἀπὸ πνιγμοῦ πυρὸς κυκλόθεν καὶ ἐκ μέσου πυρὸς οὗ οὐκ
5 ἐξέκαυσα, 5 ἐκ βάθους κοιλίας ᾅδου, καὶ ἀπὸ γλώσσης ἀκαθάρτου καὶ λόγου
6 ψευδοῦς. 6 βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου· ἤγγισεν ἕως θανάτου ἡ ψυχή
7 μου, καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω· 7 περιέσχον με πάντοθεν καὶ
8 οὐκ ἦν ὁ βοηθῶν, ἐμβλέπων εἰς ἀντίληψιν ἀνθρώπων καὶ οὐκ ἦν. 8 καὶ ἐμνή-
σθην τοῦ ἐλέους σου, κύριε, καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος, ὅτι ἐξελῇ
9 τοὺς ὑπομένοντάς σε καὶ σώζεις αὐτοὺς ἐκ χειρὸς ἐθνῶν. 9 καὶ ἀνύψωσα ἐπὶ
10 γῆς ἱκετείαν μου, καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην· 10 ἐπεκαλεσάμην κύριον
πατέρα κυρίου μου, μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως, ἐν καιρῷ ὑπερ-
11 ηφάνων ἀβοηθησίας. 11 αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς, καὶ ὑμνήσω ἐν ἐξο-
12 μολογήσει· καὶ εἰσηκούσθη ἡ δέησίς μου. 12 ἔσωσας γάρ με ἐξ ἀπωλείας,
καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ· διὰ τοῦτο ἐξομολογήσομαι καὶ αἰνέσω
13 σοι, καὶ εὐλογήσω τῷ ὀνόματι κυρίου. 13 ἔτι ὢν νεώτερος πρὶν ἢ πλανηθῆναί
14 με, ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου· 14 ἔναντι ναοῦ ἠξίουν περὶ
15 αὐτῆς, καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτήν. 15 ἐξ ἄνθους ὡς περκαζούσης στα-
φυλῆς εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ, ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι, ἐκ
16 νεότητός μου ἴχνευσα αὐτήν. 16 ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην, καὶ
17 πολλὴν εὗρον ἐμαυτῷ παιδείαν, 17 προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ· τῷ διδόντι
18 μοι σοφίαν δώσω δόξαν. 18 διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτήν, καὶ ἐζήλωσα
19 τὸ ἀγαθόν, καὶ οὐ μὴ αἰσχυνθῶ. 19 διαμεμάχηται ἡ ψυχή μου ἐν αὐτῇ, καὶ
ἐν ποιήσει λιμοῦ διηκριβωσάμην· τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος, καὶ
20 τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα· 20 τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτήν, καρ-
δίαν ἐκτησάμην μετ' αὐτῶν ἀπ' ἀρχῆς, καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν· διὰ
21 τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ. 21 καὶ ἡ κοιλία μου ἐταράχθη ἐκζητῆσαι αὐτήν·
22 διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα. 22 ἔδωκε κύριος γλῶσσάν μοι μισθόν
23 μου, καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν. 23 ἐγγίσατε πρός με ἀπαίδευτοι, καὶ αὐλί-
24 σθητε ἐν οἴκῳ παιδείας, 24 διότι ὑστερεῖτε ἐν τούτοις, καὶ αἱ ψυχαὶ ὑμῶν
25 διψῶσι σφόδρα. 25 ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα, κτήσασθε ἑαυτοῖς ἄνευ
26 ἀργυρίου· 26 τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν, καὶ ἐπιδεξάσθω ἡ ψυχὴ
27 ὑμῶν παιδείαν, ἐγγύς ἐστιν εὑρεῖν αὐτήν. 27 ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι
28 ὀλίγον ἐκοπίασα, καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν. 28 μετάσχετε παιδείας
29 ἐν πολλῷ ἀριθμῷ ἀργυρίου, καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ· 29 εὐφρανθείη
30 ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ, καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ· 30 ἐρ-
γάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ, καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

---

2. εγ. βοηθος 3. ετοιμον 4. πυρας κυκλ. 5. 6. ed. rom. post ψευδους comma, post αδικου punctum habet. 6. διαβολης 7. εβλεπον εις αντιλημψιν 8. οτι εξαιρη τους ... εκ χειρ. εχθρων 9. απο γης ... και απο αθανατου (?) 10. εγκαταλειπειν 12. και εξελουμαι εκ χειρος πονηρου και εξιλουμαι ... εξομολογησ. σοι 14. 15. ed. rom. αυτην, et σταφυλης. 15. *εωςπερικαζουσης, **erasit ι ... ηυφρανθη ... ιχνευον 16. παιδιαν 17. om μοι sec. 18. ποι. με αυτην 19. διαμεμαχισται ... εν ποι. μου διηκριβησαμην 20. καρδ. εκτ. μετ αυτης (sic) ... απ αρχ. pon. post και εν καιρω θερισμου (sic) ευρ. αυτ. ... ed. rom. εγκαταλειφθω, 21. του εκζητησαι 22. γλωσσαν μου 23. και αυλισθησεσθαι ... παιδιας (vv. 26. 28. -ει-) 24. τι οτι υστερ. λεγετε εν

Subscriptio: σοφια ιησου υιου σειραχ

Digitized by Google

# Ω Σ Η Ε.

## I.

Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὡσηὲ τὸν τοῦ Βεηρεὶ ἐν ἡμέραις Ὀζίου
καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα καὶ ἐν ἡμέραις Ἱερο-
βοὰμ υἱοῦ Ἰωὰς βασιλέως Ἰσραήλ. 2 ἀρχὴ λόγου κυρίου ἐν Ὡσηέ. καὶ εἶπε 2
κύριος πρὸς Ὡσηέ Βάδιζε λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορ-
νείας, διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου. 3 καὶ 3
ἐπορεύθη καὶ ἔλαβε τὴν Γόμερ θυγατέρα Δεβηλαΐμ, καὶ συνέλαβε καὶ ἔτεκεν
αὐτῷ υἱόν. 4 καὶ εἶπε κύριος πρὸς αὐτόν Κάλεσον τὸ ὄνομα αὐτοῦ Ἰεζραέλ, 4
διότι ἔτι μικρὸν καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰούδα,
καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ· 5 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 5
συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν κοιλάδι τοῦ Ἰεζραέλ. 6 καὶ συνέλαβεν ἔτι 6
καὶ ἔτεκε θυγατέρα. καὶ εἶπεν αὐτῷ Κάλεσον τὸ ὄνομα αὐτῆς Οὐκ ἠλεημένη,
διότι οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον Ἰσραήλ, ἀλλ' ἢ ἀντιτασσόμενος
ἀντιτάξομαι αὐτοῖς. 7 τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω καὶ σώσω αὐτοὺς ἐν κυ- 7
ρίῳ θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ ἐν ῥομφαίᾳ οὐδὲ ἐν πο-
λέμῳ οὐδὲ ἐν ἵπποις οὐδὲ ἐν ἱππεῦσι. 8 καὶ ἀπεγαλάκτισε τὴν Οὐκ ἠλεημέ- 8
νην, καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱόν. 9 καὶ εἶπε Κάλεσον τὸ ὄνομα αὐτοῦ 9
Οὐ λαός μου, διότι ὑμεῖς οὐ λαός μου καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν. 10 (2, 1.) καὶ 10
ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἣ οὐκ ἐκμετρη-
Ro. 9, θήσεται οὐδὲ ἐξαριθμηθήσεται· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς Οὐ
26. λαός μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ θεοῦ ζῶντος. 11 καὶ συναχθή- (2) 11
σονται υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτό, καὶ θήσονται ἑαυτοῖς
ἀρχὴν μίαν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ.

## II.

Εἴπατε τῷ ἀδελφῷ ὑμῶν Λαός μου, καὶ τῇ ἀδελφῇ ὑμῶν Ἠλεη- (3) 1
μένη. 2 κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου (4) 2
καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς. καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου
καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς, 3 ὅπως ἂν ἐκδύσω αὐ- (5) 3
τὴν γυμνήν, καὶ ἀποκαταστήσω αὐτὴν καθὼς ἡμέρα γενέσεως αὐτῆς· καὶ
θήσω αὐτὴν ἔρημον καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον, καὶ ἀποκτενῶ αὐτὴν
ἐν δίψει· 4 καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστίν. (6) 4
5 ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, κατῄσχυνεν ἡ τεκοῦσα αὐτά, ὅτι εἶπε (7) 5
Πορεύσομαι ὀπίσω τῶν ἐραστῶν μου τῶν διδόντων μοι τοὺς ἄρτους μου καὶ
τὸ ὕδωρ μου καὶ τὰ ἱμάτιά μου καὶ τὰ ὀθόνιά μου, τὸ ἔλαιόν μου καὶ πάντα
ὅσα μοι καθήκει. 6 διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκό- (8) 6
λοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ, 7 καὶ (9) 7
καταδιώξεται τοὺς ἐραστὰς αὐτῆς καὶ οὐ μὴ καταλάβῃ αὐτούς, καὶ ζητήσει
αὐτοὺς καὶ οὐ μὴ εὕρῃ αὐτούς, καὶ ἐρεῖ Πορεύσομαι καὶ ἐπιστρέψω πρὸς
τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν. 8 καὶ αὕτη (10) 8
οὐκ ἔγνω ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ

---

Inscriptio: ωσηε

I. 1. του υιου ιωας 2. προς pro εν ... om βαδιζε 3. δεβηλαειμ 5. εν τη κοιλαδι 6. του ισραηλ 7. ουτε quater ... post πολεμω add ουτε εν αρμασιν 10. εκει κληθησονται υιοι θ. ζ. 11. οι υιοι ιουδα ... θησονται αυτοις II. 3. κ. θησομαι αυτην ως ερημον 5. ειπεν γαρ Ακολουθησω οπισω ... και το ελαιον μου 6. τας οδ. αυτης 8. δεδωκα

Digitized by Google

ἀργύριον ἐπλήθυνα αὐτῇ· αὕτη δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησε τῇ Βάαλ.
9 (11) [9] διὰ τοῦτο ἐπιστρέψω καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ
καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ, καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου καὶ τὰ
10 (12) ὀθόνιά μου τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς· [10] καὶ νῦν ἀπο-
καλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐραστῶν αὐτῆς, καὶ οὐθεὶς οὐ
11 (13) μὴ ἐξέληται αὐτὴν ἐκ χειρός μου· [11] καὶ ἀποστρέψω πάσας τὰς εὐφρο-
σύνας αὐτῆς, ἑορτὰς αὐτῆς καὶ τὰς νουμηνίας αὐτῆς καὶ τὰ σάββατα αὐτῆς
12 (14) καὶ πάσας τὰς πανηγύρεις αὐτῆς· [12] καὶ ἀφανιῶ ἄμπελον αὐτῆς καὶ τὰς
συκᾶς αὐτῆς, ὅσα εἶπε Μισθώματά μου ταῦτά ἐστιν ἃ ἔδωκάν μοι οἱ ἐρα-
σταί μου, καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον, καὶ καταφάγεται αὐτὰ τὰ θηρία
13 (15) τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ ἑρπετὰ τῆς γῆς· [13] καὶ
ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλεὶμ ἐν αἷς ἐπέθυεν αὐτοῖς, καὶ
περιετίθετο τὰ ἐνώτια αὐτῆς καὶ τὰ καθόρμια αὐτῆς καὶ ἐπορεύετο ὀπίσω
14 (16) τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει κύριος. [14] διὰ τοῦτο ἰδοὺ
ἐγὼ πλανῶ αὐτὴν καὶ τάξω αὐτὴν ὡς ἔρημον, καὶ λαλήσω ἐπὶ τὴν καρδίαν
15 (17) αὐτῆς, [15] καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν καὶ τὴν κοιλάδα
Ἀχὼρ διανοῖξαι σύνεσιν αὐτῆς· καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας
νηπιότητος αὐτῆς καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου.
16 (18) [16] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, καλέσει με Ὁ ἀνήρ μου,
17 (19) καὶ οὐ καλέσει με ἔτι Βααλείμ· [17] καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλεὶμ
ἐκ στόματος αὐτῆς, καὶ οὐ μὴ μνησθῶσιν οὐκ ἔτι τὰ ὀνόματα αὐτῶν.
18 (20) [18] καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θη-
ρίων τοῦ ἀγροῦ καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἑρπετῶν τῆς
γῆς· καὶ τόξον καὶ ῥομφαίαν καὶ πόλεμον συντρίψω ἀπὸ τῆς γῆς, καὶ κατοι-
19 (21) κιῶ σε ἐπ' ἐλπίδι. [19] καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα, καὶ
μνηστεύσομαί σε ἐμαυτῷ ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι καὶ ἐν ἐλέει καὶ ἐν
20 (22) οἰκτιρμοῖς, [20] καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν
21 (23) κύριον. [21] καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, ἐπακούσομαι τῷ
22 (24) οὐρανῷ, καὶ αὐτὸς ἐπακούσεται τῇ γῇ, [22] καὶ ἡ γῆ ἐπακούσεται τὸν σῖ-
23 (25) τον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ αὐτὰ ἐπακούσεται τῷ Ἰεζραέλ. [23] καὶ Ro. 9, 25.
σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην, καὶ *1 Pe. 2, 10.
ἐρῶ τῷ οὐ λαῷ μου Λαός μου εἶ σύ, καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ θεός μου εἶ σύ.

## III.

Καὶ εἶπε κύριος πρός με Ἔτι πορεύθητι καὶ ἀγάπησον γυναῖκα ἀγα-
πῶσαν πονηρὰ καὶ μοιχαλίν, καθὼς ἀγαπᾷ ὁ θεὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ
αὐτοὶ ἐπιβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους καὶ φιλοῦσι πέμματα μετὰ σταφί-
2 δος. [2] καὶ ἐμισθωσάμην ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίου καὶ γομὸρ κριθῶν
3 καὶ νέβελ οἴνου, [3] καὶ εἶπα πρὸς αὐτήν Ἡμέρας πολλὰς καθήσῃ ἐπ' ἐμοί,
4 καὶ οὐ μὴ πορνεύσῃς οὐδὲ μὴ γένῃ ἀνδρὶ ἑτέρῳ, καὶ ἐγὼ ἐπὶ σοί. [4] διότι
ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως οὐδὲ ὄντος
ἄρχοντος οὐδὲ οὔσης θυσίας οὐδὲ ὄντος θυσιαστηρίου οὐδὲ ἱερατείας οὐδὲ
5 δήλων. [5] καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐπιζητήσουσι
κύριον τὸν θεὸν αὐτῶν καὶ Δαυὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ
τῷ κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

---

10. εναντιον των ... ουδεις 11. τας εορτας αυτης 16. εν εκεινη τη ημερα καλεσει με Ο ανηρ μου, λεγει κυριος, κ. ου κ. με ουκετι 17. μνησθωσιν ετι 18. εν εκεινη τη ημερα διαθηκην ... και μετα των ερπετων 21. ο ουρανος pro αυτος 23. και ελεησω την ουκ ηλεημενην III. 1. αποβλεπουσιν ... μετα σταφιδων 3. καγω 4. ουκ ουσης 5. τον κυριον θεον αυτων

Digitized by Google

## IV.

Ἀκούσατε λόγον κυρίου υἱοὶ Ἰσραήλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τοὺς
κατοικοῦντας τὴν γῆν, διότι οὐκ ἔστιν ἀλήθεια οὐδὲ ἔλεος οὐδὲ ἐπίγνωσις
θεοῦ ἐπὶ τῆς γῆς· [2]ἀρὰ καὶ ψεῦδος καὶ φόνος καὶ κλοπὴ καὶ μοιχεία κέ- 2
χυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι. [3]διὰ τοῦτο πενθήσει ἡ 3
γῆ, καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν, σὺν τοῖς θηρίοις
τοῦ ἀγροῦ καὶ σὺν τοῖς ἑρπετοῖς τῆς γῆς καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρα-
νοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης ἐκλείψουσιν, [4]ὅπως μηδεὶς μήτε δικάζηται 4
μήτε ἐλέγχῃ μηδείς. ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεύς, [5]καὶ ἀσθενή- 5
σει ἡμέρας, καὶ ἀσθενήσει ὁ προφήτης μετὰ σοῦ· νυκτὶ ὡμοίωσα τὴν μη-
τέρα σου, [6]ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων γνῶσιν· ὅτι σὺ ἐπίγνωσιν 6
ἀπώσω, κἀγὼ ἀπώσομαι σὲ τοῦ μὴ ἱερατεύειν μοι· καὶ ἐπελάθου νόμον θεοῦ
σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου. [7]κατὰ τὸ πλῆθος αὐτῶν οὕτως ἥμαρτόν 7
μοι· τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι, [8]ἁμαρτίας λαοῦ μου φάγονται, 8
καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν. [9]καὶ ἔσται καθὼς 9
ὁ λαὸς οὕτως καὶ ὁ ἱερεύς, καὶ ἐκδικήσω ἐπ' αὐτὸν τὰς ὁδοὺς αὐτοῦ, καὶ
τὰ διαβούλια αὐτοῦ ἀνταποδώσω αὐτῷ. [10]καὶ φάγονται καὶ οὐ μὴ ἐμπλη- 10
σθῶσιν, ἐπόρνευσαν καὶ οὐ μὴ κατευθύνωσι, διότι τὸν κύριον ἐγκατέλιπον τοῦ
φυλάξαι. [11]πορνείαν καὶ οἶνον καὶ μέθυσμα ἐδέξατο καρδία λαοῦ μου· [12]ἐν 11 12
συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτοῦ ἀπήγγελλον αὐτῷ· πνεύματι πορ-
νείας ἐπλανήθησαν καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ θεοῦ αὐτῶν. [13]ἐπὶ τὰς κορυ- 13
φὰς τῶν ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑποκάτω δρυὸς καὶ
λεύκης καὶ δένδρου συσκιάζοντος, ὅτι καλὸν σκέπη. διὰ τοῦτο ἐκπορνεύσουσιν
αἱ θυγατέρες ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσι· [14]καὶ οὐ μὴ ἐπισκέ- 14
ψωμαι ἐπὶ τὰς θυγατέρας ὑμῶν ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν
ὅταν μοιχεύσωσιν· ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο, καὶ μετὰ τῶν
τετελεσμένων ἔθυον, καὶ ὁ λαὸς ὁ συνιῶν συνεπλέκετο μετὰ πόρνης. [15]σὺ δὲ 15
Ἰσραὴλ μὴ ἀγνόει, καὶ Ἰούδα μὴ εἰςπορεύεσθε εἰς Γάλγαλα, καὶ μὴ ἀνα-
βαίνετε εἰς τὸν οἶκον Ὤν, καὶ μὴ ὀμνύετε ζῶντα κύριον. [16]διότι ὡς δάμα- 16
λις παροιστρῶσα παροίστρησεν Ἰσραήλ· νῦν νεμήσει αὐτοὺς κύριος ὡς ἀμνὸν
ἐν εὐρυχώρῳ. [17]μέτοχος εἰδώλων Ἐφραῒμ ἔθηκεν ἑαυτῷ σκάνδαλα, [18]ᾑρέτισε 17 18
Χαναναίους· πορνεύοντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐ-
τῆς. [18]συστροφὴ πνεύματος σὺ εἶ ἐν ταῖς πτέρυξιν αὐτῆς, καὶ καταισχυνθή-
σονται ἐκ τῶν θυσιαστηρίων αὐτῶν.

## V.

Ἀκούσατε ταῦτα οἱ ἱερεῖς, καὶ προςέχετε οἶκος Ἰσραήλ, καὶ ὁ οἶκος τοῦ
βασιλέως ἐνωτίζεσθε, διότι πρὸς ὑμᾶς ἐστι τὸ κρίμα· ὅτι παγὶς ἐγενήθητε
τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, [2]ὃ οἱ ἀγρεύοντες 2
τὴν θήραν κατέπηξαν. ἐγὼ δὲ παιδευτὴς ὑμῶν· [3]ἐγὼ ἔγνων τὸν Ἐφραΐμ, 3
καὶ Ἰσραὴλ οὐκ ἀπέστη ἀπ' ἐμοῦ· διότι νῦν ἐξεπόρνευσεν Ἐφραΐμ, ἐμιάνθη
Ἰσραήλ. [4]οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν θεὸν αὐ- 4

---

IV. 1. διοτι κρισεις 4. οπως μηθεις ... ed. rom. μηδεις, ο δε et ιερευς. (post ιερευς etiam cod. alex. plene dist.) 5. και ασθ. και προφητης ... ed. rom. in fine punctum habet 6. νυκτι ωμοιωθη ... και εγω απωσομαι ... νομου 7. θησω 8. λημψονται 9. διαβουλεια (item 5, 4; non 7, 2.) ... κατευθυνουσιν ... εγκατελειπον 14. πορνευωσιν ... μοιχευωσιν ... διοτι και αυτοι 15. της αδικιας pro Ων 16. οτι ως 18. εκ φρ. αυτων 19. πτερυξ. αυτων V. 1. και οικος του ... σκοπεια 3. ουκ απεστιν

Digitized by Google

5 τῶν, ὅτι πνεῦμα πορνείας ἐν αὐτοῖς ἐστί, τὸν δὲ κύριον οὐκ ἐπέγνωσαν. 5 καὶ
ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόςωπον αὐτοῦ, καὶ Ἰσραὴλ καὶ
Ἐφραΐμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν, καὶ ἀσθενήσει καὶ Ἰούδας
6 μετ᾽ αὐτῶν. 6 μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι τὸν
7 κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτόν, ὅτι ἐκκέκλικεν ἀπ᾽ αὐτῶν· 7 ὅτι τὸν κύ-
ριον ἐγκατέλιπον, ὅτι τέκνα ἀλλότρια ἐγεννήθησαν αὐτοῖς· νῦν καταφάγεται
8 αὐτοὺς ἡ ἐρυσίβη καὶ τοὺς κλήρους αὐτῶν. 8 σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς
βουνούς, ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὤν, ἐξέστη Βενια-
9 μίν, 9 Ἐφραΐμ εἰς ἀφανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου. ἐν ταῖς φυλαῖς τοῦ
10 Ἰσραὴλ ἔδειξα πιστά· 10 ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια,
11 ἐπ᾽ αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου. 11 κατεδυνάστευσεν Ἐφραΐμ τὸν
ἀντίδικον αὐτοῦ, κατεπάτησε τὸ κρίμα, ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν
12 ματαίων. 12 καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφραΐμ, καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα.
13 13 καὶ εἶδεν Ἐφραΐμ τὴν νόσον αὐτοῦ, καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ· καὶ
ἐπορεύθη Ἐφραΐμ πρὸς Ἀσσυρίους καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰα-
ρείμ· καὶ οὗτος οὐκ ἠδυνάσθη ἰάσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν
14 ὀδύνη. 14 διότι ἐγώ εἰμι ὡς πανθὴρ τῷ Ἐφραΐμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα·
καὶ ἐγὼ ἁρπῶμαι καὶ πορεύσομαι καὶ λήψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμε-
15 νος. 15 πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσι καὶ
ζητήσουσι τὸ πρόςωπόν μου.

## VI.

Ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρὸς μὲ λέγοντες Πορευθῶμεν καὶ ἐπιστρέ-
ψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρπακε καὶ ἰάσεται ἡμᾶς,
2 πατάξει καὶ μοτώσει ἡμᾶς, 2 ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας· ἐν τῇ ἡμέρᾳ
3 τῇ τρίτῃ ἐξαναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ, 3 καὶ γνωσόμεθα·
διώξωμεν τοῦ γνῶναι τὸν κύριον, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν, καὶ
4 ἥξει ὡς ὑετὸς ἡμῖν πρώϊμος καὶ ὄψιμος γῇ. 4 τί σοι ποιήσω Ἐφραΐμ; τί σοι
ποιήσω Ἰούδα; τὸ δὲ ἔλεος ὑμῶν ὡς νεφέλη πρωινὴ καὶ ὡς δρόσος ὀρθρινὴ
5 πορευομένη. 5 διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν
6 ῥήματι στόματός μου, καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται. 6 διότι ἔλεος
7 θέλω ἢ θυσίαν, καὶ ἐπίγνωσιν θεοῦ ἢ ὁλοκαυτώματα. 7 αὐτοὶ δέ εἰσιν ὡς ἄν- Mt.9,13. 12,7.
8 θρωπος παραβαίνων διαθήκην· ἐκεῖ κατεφρόνησέ μου 8 Γαλαάδ, πόλις ἐργα-
9 ζομένη μάταια, ταράσσουσα ὕδωρ, 9 καὶ ἡ ἰσχύς σου ἀνδρὸς πειρατοῦ· ἔκρυ-
10 ψαν ἱερεῖς ὁδόν, ἐφόνευσαν Σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν 10 ἐν τῷ οἴκῳ τοῦ
Ἰσραήλ· εἶδον φρικώδη ἐκεῖ, πορνείαν τοῦ Ἐφραΐμ· ἐμιάνθη Ἰσραὴλ καὶ
Ἰούδα. ἄρχου τρυγᾶν σεαυτῷ ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ
λαοῦ μου.

## VII.

Ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραὴλ καὶ ἀποκαλυφθήσεται ἡ ἀδικία Ἐφραΐμ
καὶ ἡ κακία Σαμαρείας, ὅτι εἰργάσαντο ψευδῆ· καὶ κλέπτης πρὸς αὐτὸν
2 εἰςελεύσεται, ἐκδιδύσκων λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ, 2 ὅπως συνᾄδωσιν ὡς
ᾄδοντες τῇ καρδίᾳ αὐτῶν. πάσας τὰς κακίας αὐτῶν ἐμνήσθην· νῦν ἐκύκλω-
3 σαν αὐτοὺς τὰ διαβούλια αὐτῶν, ἀπέναντι τοῦ προςώπου μου ἐγένοντο. 3 ἐν

---

5. και γε ιουδας 6. οτι εξεκλεινεν 7. εγκατελειπον, και τεκνα ... ερισυβη 8. βενιαμειν 11. κατεπατησεν κριμα 13. ιδεν ... και αυτος ουκ 14. λημψομαι 15. επιζητησουσιν VI. 2. αναστησομεθα 3. διωξομεν ... προϊμος κ. ο. τη γη 5. εν ρημασιν 6. θελω και ου θυσιαν 9. οδον κυριου 10. οικω ισραηλ ... ed. rom. post εκει non interpg. ... ιουδας VII. 2. οπως συναδουσιν ως συναδοντες ... εκυκλωσεν

Digitized by Google

ταῖς κακίαις αὐτῶν εὔφραναν βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας·
4 πάντες μοιχεύοντες, ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς 4
φλογός, ἀπὸ φυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι αὐτό. 5 ἡμέραι τῶν βα- 5
σιλέων ὑμῶν, ἤρξαντο οἱ ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου, ἐξέτεινε τὴν χεῖρα
αὐτοῦ μετὰ λοιμῶν· 6 διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ καρδίαι αὐτῶν, ἐν 6
τῷ καταράσσειν αὐτοὺς ὅλην τὴν νύκτα ὕπνου Ἐφραῒμ ἐνεπλήσθη· πρωῒ ἐνε-
γενήθη, ἀνεκαύθη ὡς πυρὸς φέγγος. 7 πάντες ἐθερμάνθησαν ὡς κλίβανος, καὶ 7
κατέφαγον τοὺς κριτὰς αὐτῶν· πάντες οἱ βασιλεῖς αὐτῶν ἔπεσαν, οὐκ ἦν ἐν
αὐτοῖς ὁ ἐπικαλούμενος πρὸς μέ. 8 Ἐφραῒμ ἐν τοῖς λαοῖς αὐτοῦ συνεμίγνυτο, 8
Ἐφραῒμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος· 9 κατέφαγον ἀλλότριοι τὴν 9
ἰσχὺν αὐτοῦ, αὐτὸς δὲ οὐκ ἔγνω, καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐτὸς οὐκ
ἔγνω. 10 καὶ ταπεινωθήσεται ἡ ὕβρις Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ 10
ἐπέστρεψαν πρὸς κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι
τούτοις. 11 καὶ ἦν Ἐφραῒμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν· Αἴγυπτον 11
ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν. 12 καθὼς ἂν πορεύωνται ἐπιβαλῶ 12
ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς,
παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν. 13 οὐαὶ αὐτοῖς, ὅτι ἀπε- 13
πήδησαν ἀπ' ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρω-
σάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. 14 καὶ οὐκ ἐβόησαν 14
πρὸς μὲ αἱ καρδίαι αὐτῶν, ἀλλ' ἢ ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν· ἐπὶ σίτῳ
καὶ οἴνῳ κατετέμνοντο. 15 ἐπαιδεύθησαν ἐν ἐμοί, κἀγὼ κατίσχυσα τοὺς βρα- 15
χίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά. 16 ἀπεστράφησαν εἰς οὐδέν, 16
ἐγένοντο ὡς τόξον ἐντεταμένον· πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι'
ἀπαιδευσίαν γλώσσης αὐτῶν· οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ.

## VIII.

Εἰς κόλπον αὐτῶν ὡς γῆ, ὡς ἀετὸς ἐπ' οἶκον κυρίου, ἀνθ' ὧν παρέ-
βησαν τὴν διαθήκην μου καὶ κατὰ τοῦ νόμου μου ἠσέβησαν. 2 ἐμὲ κεκρά- 2
ξονται Ὁ θεὸς ἐγνώκαμέν σε. 3 ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθά, ἐχθρὸν 3
κατεδίωξαν· 4 ἑαυτοῖς ἐβασίλευσαν καὶ οὐ δι' ἐμοῦ, ἦρξαν καὶ οὐκ ἐγνώρι- 4
σάν μοι, τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα,
ὅπως ἐξολοθρευθῶσιν. 5 ἀπότριψαι τὸν μόσχον σου Σαμάρεια, παρωξύνθη ὁ 5
θυμός μου ἐπ' αὐτούς· ἕως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι 6 ἐν τῷ 6
Ἰσραήλ; καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ θεός ἐστι· διότι πλανῶν ἦν ὁ
μόσχος σου Σαμάρεια. 7 ὅτι ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν 7
ἐκδέξεται αὐτά· δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον, ἐὰν δὲ καὶ
ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό. 8 κατεπόθη Ἰσραήλ, νῦν ἐγένετο ἐν 8
τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον, 9 ὅτι αὐτοὶ ἀνέβησαν εἰς Ἀσσυρίους· ἀνέ- 9
θαλε καθ' ἑαυτὸν Ἐφραῒμ, δῶρα ἠγάπησαν, 10 διὰ τοῦτο παραδοθήσονται 10
ἐν τοῖς ἔθνεσι. νῦν εἰσδέξομαι αὐτούς, καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν βα-
σιλέα καὶ ἄρχοντας. 11 ὅτι ἐπλήθυνεν Ἐφραῒμ θυσιαστήρια, εἰς ἁμαρτίας 11
ἐγένοντο αὐτῷ θυσιαστήρια ἠγαπημένα. 12 καταγράψω αὐτῷ πλῆθος, καὶ τὰ 12

---

4. παντας et *etiam μοιχευωντας (ω sic) 5. αι ημεραι (αι ημ. τ. β. υ. cum antecdd conjg.) 6. πρωι εγενηθη ... πυρ φεγγος 7. ως κλιβ. πυρος καιομενου αι καρδιαι αυτων, και κατεφαγεν πυρ τους ... επεσον ... ο επικαλουμενος εν αυτοις προς εμε 8. συνανεμιγνυτο 9. επεγνω, και πολιαι 15. και εγω ... om και 16. εις ουθεν ... δια απαιδευσιαν VIII. 4. ed. rom. sic interpg. εαυτ. εβασ., και ου δι εμου ηρξ., κ. ο. εγν. μοι το α. αυτ., και (cod. alex. ε. εβασ. δι εμου· ηρξαν· κ. ο. εγν. μοι· το α. αυτων· και) ... ιδωλα ... εξολεθρευθωσιν 6. ed. rom. σαμαρεια, 7. ανεμοφθορια 9. ηγαπησεν 10. παρεδοθησαν ... *κοπιασουσιν ... om μικρον 11. εις αμαρτιαν (ed. rom. θυσιαστ. εις αμαρτ. conjg.) ... τα ηγαπημενα

Digitized by Google

12 νόμιμα αὐτοῦ εἰς ἀλλότρια ἐλογίσθησαν, θυσιαστήρια τὰ ἠγαπημένα. [13] διότι
ἐὰν θύσωσι θυσίαν καὶ φάγωσι κρέα, κύριος οὐ προςδέξεται αὐτά· νῦν μνη-
σθήσεται τὰς ἀδικίας αὐτῶν καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν· αὐτοὶ εἰς
14 Αἴγυπτον ἀπέστρεψαν, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται. [14] καὶ ἐπελά-
θετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτόν, καὶ ᾠκοδόμησαν τεμένη· καὶ Ἰούδας
ἐπλήθυνε πόλεις τετειχισμένας· καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ,
καὶ καταφάγεται τὰ θεμέλια αὐτῶν.

## IX.

Μὴ χαῖρε Ἰσραήλ, μηδὲ εὐφραίνου καθὼς οἱ λαοί, διότι ἐπόρνευσας ἀπὸ
2 τοῦ θεοῦ σου· ἠγάπησας δόματα ἐπὶ πάντα ἅλωνα σίτου. [2] ἅλων καὶ ληνὸς
3 οὐκ ἔγνω αὐτούς, καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς. [3] οὐ κατῴκησαν ἐν τῇ γῇ
τοῦ κυρίου· κατῴκησεν Ἐφραῒμ Αἴγυπτον, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φά-
4 γονται. [4] οὐκ ἔσπεισαν τῷ κυρίῳ οἶνον, καὶ οὐχ ἥδυναν αὐτῷ· αἱ θυσίαι αὐ-
τῶν ὡς ἄρτος πένθους αὐτοῖς, πάντες οἱ ἐσθίοντες αὐτὰ μιανθήσονται, διότι
οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν οὐκ εἰςελεύσονται εἰς τὸν οἶκον κυρίου.
5 6 [5] τί ποιήσετε ἐν ἡμέραις πανηγύρεως καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ κυρίου; [6] διὰ
τοῦτο ἰδοὺ πορεύονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμ-
φις, καὶ θάψει αὐτοὺς Μαχμάς· τὸ ἀργύριον αὐτῶν ὄλεθρος κληρονομήσει
7 αὐτό, ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν. [7] ἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως,
ἥκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου, καὶ κακωθήσεται Ἰσραὴλ ὥςπερ
ὁ προφήτης ὁ παρεξεστηκώς, ἄνθρωπος ὁ πνευματοφόρος· ὑπὸ τοῦ πλήθους
8 τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου. [8] σκοπὸς Ἐφραῒμ μετὰ θεοῦ, προ-
φήτης παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ· μανίαν ἐν οἴκῳ θεοῦ κατέ-
9 πηξαν. [9] ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ· μνησθήσεται ἀδικίας αὐ-
10 τῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν. [10] ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ,
καὶ ὡς σκοπὸν ἐν συκῇ πρώιμον πατέρας αὐτῶν εἶδον· αὐτοὶ εἰςῆλθον πρὸς
τὸν Βεελφεγώρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην, καὶ ἐγένοντο οἱ ἐβδελυ-
11 γμένοι ὡς οἱ ἠγαπημένοι. [11] Ἐφραῒμ ὡς ὄρνεον ἐξεπετάσθη, αἱ δόξαι αὐτῶν
12 ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεων· [12] διότι καὶ ἐὰν ἐκθρέψωσι τὰ τέκνα
αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων· διότι καὶ οὐαὶ αὐτοῖς ἐστι, σάρξ μου
13 ἐξ αὐτῶν. [13] Ἐφραΐμ, ὃν τρόπον εἶδον, εἰς θήραν παρέστησαν τὰ τέκνα αὐ-
14 τῶν, καὶ Ἐφραῒμ τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ. [14] δὸς
αὐτοῖς, κύριε· τί δώσεις αὐτοῖς; μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηρούς.
15 [15] πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγάλ, ὅτι ἐκεῖ ἐμίσησα αὐτοὺς διὰ τὰς κα-
κίας τῶν ἐπιτηδευμάτων αὐτῶν· ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς, οὐ μὴ
προςθήσω τοῦ ἀγαπῆσαι αὐτούς· πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες.
16 [16] ἐπόνεσεν Ἐφραῒμ· τὰς ῥίζας αὐτοῦ ἐξηράνθη, καρπὸν οὐκ ἔτι μὴ ἐνέγκῃ·
17 διότι καὶ ἐὰν γεννήσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα κοιλίας αὐτῶν. [17] ἀπώσε-
ται αὐτοὺς ὁ θεός, ὅτι οὐκ εἰςήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς
ἔθνεσιν.

---

13. αυτοι δε εις 14. τα θεμελ. αυτου IX. 2. *om ὁ 3. εις αιγυπτον 4. και ουκ ηδυναντο αυτω ... εσθοντες ... εις οικον 5. τι ποιησεται εν ημερα π. κ. εν ημεραις 6. πορευσονται ... om αυτο 7. τ. εκδικ. σου ... ανταποδωσεως ... επληθ. μνεια σου 8. εν οικω κυριου 9. αδ. αυτου και εκδ. αμ. αυτου 10. ιδον πατερας αυτων ... εγεν. οι ηγαπημενοι ως εβδελυγμ. 11. συλλημψεων 13. ed. rom. εφραιμ prius cum antecdd. conjg. 14. ante μητραν add δος αυτοις 15. εις γαλγαλ ... αυτους εμεισησα 17. ως πλανηται

Digitized by Google

## X.

Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ, ὁ καρπὸς εὐθηνῶν αὐτῆς· κατὰ τὸ πλῆ-
θος τῶν καρπῶν αὐτῆς ἐπλήθυνε τὰ θυσιαστήρια, κατὰ τὰ ἀγαθὰ τῆς γῆς
αὐτοῦ ᾠκοδόμησε στήλας. [2]ἐμέρισαν καρδίας αὐτῶν, νῦν ἀφανισθήσονται· 2
αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν, ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν.
[3]διότι νῦν ἐροῦσιν Οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν κύριον. 3
ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν, [4]λαλῶν ῥήματα προφάσεις ψευδεῖς; διαθή- 4
σεται διαθήκην, ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ. [5]τῷ μόσχῳ 5
τοῦ οἴκου Ὢν παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν, ὅτι ἐπένθησε λαὸς
αὐτοῦ ἐπ' αὐτόν· καὶ καθὼς παρεπίκραναν αὐτόν, ἐπιχαροῦνται ἐπὶ τὴν δό-
ξαν αὐτοῦ, ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ. [6]καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες, 6
ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ· ἐν δόματι Ἐφραῒμ δέξεται, καὶ αἰσχυν-
θήσεται Ἰσραὴλ ἐν τῇ βουλῇ αὐτοῦ. [7]ἀπέρριψε Σαμάρεια βασιλέα αὐτῆς ὡς 7
φρύγανον ἐπὶ προσώπου ὕδατος· [8]καὶ ἐξαρθήσονται βωμοὶ Ὢν ἁμαρτήματα 8
τοῦ Ἰσραήλ, ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν·
c. 23, 30. καὶ ἐροῦσι τοῖς ὄρεσι Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς Πέσατε ἐφ' ἡμᾶς.
poc. 6, 16. [9]ἀφ' οὗ οἱ βουνοί, ἥμαρτεν Ἰσραήλ, ἐκεῖ ἔστησαν· οὐ μὴ καταλάβῃ αὐτοὺς 9
ἐν τῷ βουνῷ πόλεμος ἐπὶ τὰ τέκνα ἀδικίας [10]παιδεῦσαι αὐτούς· καὶ συνα- 10
χθήσονται ἐπ' αὐτοὺς λαοί, ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις
αὐτῶν. [11]Ἐφραῒμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νεῖκος, ἐγὼ δὲ ἐπελεύσομαι 11
ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτῆς· ἐπιβιβῶ Ἐφραῒμ, παρασιωπήσομαι
Ἰούδαν, ἐνισχύσει αὐτῷ Ἰακώβ. [12]σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγή- 12
σατε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν κύ-
ριον ἕως τοῦ ἐλθεῖν γεννήματα δικαιοσύνης ὑμῖν. [13]ἵνα τί παρεσιωπήσατε 13
ἀσέβειαν, καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε, ἐφάγετε καρπὸν ψευδῆ; ὅτι ἤλ-
πισας ἐν τοῖς ἁμαρτήμασί σου, ἐν πλήθει δυνάμεώς σου, [14]καὶ ἐξαναστήσεται 14
ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται. ὡς
ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου τοῦ Ἱεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ
τέκνοις ἠδάφισαν, [15]οὕτως ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραήλ, ἀπὸ προσώπου 15
ἀδικίας κακιῶν ὑμῶν.

## XI.

Ὄρθρου ἀπεῤῥίφησαν· ἀπεῤῥίφη βασιλεὺς Ἰσραήλ, ὅτι νήπιος Ἰσραὴλ
L 2,15. καὶ ἐγὼ ἠγάπησα αὐτόν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. [2]κα- 2
θὼς μετεκάλεσα αὐτούς, οὕτως ἀπῴχοντο ἐκ προσώπου μου· αὐτοὶ τοῖς Βαα-
λεὶμ ἔθυον καὶ τοῖς γλυπτοῖς ἐθυμίων. [3]καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραῒμ, 3
ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου, καὶ οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτούς.
[4]ἐν διαφθορᾷ ἀνθρώπων ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου, καὶ 4
ἔσομαι αὐτοῖς ὡς ῥαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ· καὶ ἐπιβλέψο-
μαι πρὸς αὐτόν, δυνήσομαι αὐτῷ. [5]κατῴκησεν Ἐφραῒμ ἐν Αἰγύπτῳ, καὶ 5
Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ, ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι· [6]καὶ ἠσθένησεν 6
ἐν ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ.

---

X. 1. αυτης ευθηνων ... **των καρπων αυτου ... και κατα τα 5. δια τουτο επενθ. ο λαος 7. τον βασιλεα ... επι προσωπον 8. τοις ορεσιν πεσετε εφ η. κ. τοις β. καλυψ. ημας 9. post βουνω plene interpg. ... επι τεκνα αδ. ηλθεν 11. και παρασιωπησομαι 12. τρυγησ. εαυτοις εις ... γενηματα 13. ed. rom. ετρυγησατε; εφαγετε καρπ. ψ., οτι ... ηλπ. εν αρμασιν σου, εν ... ed. rom. in fine plene interpg. 14. οιχησεται ... οικου ιεροβααλ 15. om αδικιας XI. 1. του ισραηλ, διοτι ... ηγαπηκα 2. μετεκαλεσατο 4. και εγω εσομαι 6. ησθενησεν ρομφαια

Digitized by Google

7 καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν, [7] καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος
ἐκ τῆς κατοικίας αὐτοῦ· καὶ ὁ ϑεὸς ἐπὶ τὰ τίμια αὐτοῦ ϑυμωϑήσεται, καὶ
8 οὐ μὴ ὑψώσῃ αὐτόν. [8] τί σε διαϑῶμαι Ἐφραΐμ; ὑπερασπιῶ σου Ἰσραήλ; τί
σε διαϑῶ; ὡς Ἀδάμα ϑήσομαί σε καὶ ὡς Σεβοείμ. μετεστράφη ἡ καρδία
9 μου ἐν τῷ αὐτῷ, συνεταράχϑη ἡ μεταμέλειά μου· [9] οὐ μὴ ποιήσω κατὰ
τὴν ὀργὴν τοῦ ϑυμοῦ μου, οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφϑῆναι τὸν Ἐφραΐμ·
διότι ϑεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνϑρωπος· ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰςελεύσομαι
10 εἰς πόλιν. [10] ὀπίσω κυρίου πορεύσομαι· ὡς λέων ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται,
11 καὶ ἐκστήσονται τέκνα ὑδάτων· [11] ἐκστήσονται ὡς ὄρνεον ἐξ Αἰγύπτου, καὶ
ὡς περιστερὰ ἐκ γῆς Ἀσσυρίων· καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους
12 αὐτῶν, λέγει κύριος. [12] ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραΐμ, καὶ ἐν ἀσεβείαις
οἶκος Ἰσραὴλ καὶ Ἰούδα. νῦν ἔγνω αὐτοὺς ὁ ϑεός, καὶ ὁ λαὸς ἅγιος κεκλή-
σεται ϑεοῦ.

## XII.

Ὁ δὲ Ἐφραΐμ πονηρὸν πνεῦμα, ἐδίωξε καύσωνα ὅλην τὴν ἡμέραν·
κενὰ καὶ μάταια ἐπλήϑυνε, καὶ διαϑήκην μετὰ Ἀσσυρίων διέϑετο, καὶ ἔλαιον
2 εἰς Αἴγυπτον ἐνεπορεύετο. [2] καὶ κρίσις τῷ κυρίῳ πρὸς Ἰούδαν τοῦ ἐκδικῆσαι
τὸν Ἰακώβ· κατὰ τὰς ὁδοὺς αὐτοῦ καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀπο-
3 δώσει αὐτῷ. [3] ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐν κόποις αὐ-
4 τοῦ ἐνίσχυσε πρὸς ϑεόν, [4] καὶ ἐνίσχυσε μετὰ ἀγγέλου καὶ ἠδυνάσϑη· ἔκλαυσαν
καὶ ἐδεήϑησάν μου, ἐν τῷ οἴκῳ Ὤν εὕροσάν με, καὶ ἐκεῖ ἐλαλήϑη πρὸς
5 6 αὐτούς. [5] ὁ δὲ κύριος ὁ ϑεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ. [6] καὶ
σὺ ἐν ϑεῷ σου ἐπιστρέψεις, ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν
7 ϑεόν σου διὰ παντός. [7] Χαναὰν ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυνα-
8 στεύειν ἠγάπησε. [8] καὶ εἶπεν Ἐφραΐμ Πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν
ἐμαυτῷ. πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεϑήσονται αὐτῷ δι᾽ ἀδικίας ἃς ἥμαρ-
9 τεν. [9] ἐγὼ δὲ κύριος ὁ ϑεός σου ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἔτι κατοι-
10 κιῶ σε ἐν σκηναῖς καϑὼς ἡμέραι ἑορτῆς· [10] καὶ λαλήσω πρὸς προφήτας, καὶ
11 ἐγὼ ὁράσεις ἐπλήϑυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώϑην. [11] εἰ μὴ Γαλαὰδ
ἐστιν, ἄρα ψευδεῖς ἦσαν ἐν Γαλαὰδ ἄρχοντες ϑυσιάζοντες, καὶ τὰ ϑυσιαστήρια
12 αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ. [12] καὶ ἀνεχώρησεν Ἰακὼβ εἰς πεδίον
13 Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικί, καὶ γυναικὶ ἐφυλάξατο. [13] καὶ ἐν
προφήτῃ ἀνήγαγε κύριος τὸν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διε-
14 φυλάχϑη. [14] ἐϑύμωσεν Ἐφραΐμ καὶ παρώργισε· καὶ τὸ αἷμα αὐτοῦ ἐπ᾽ αὐ-
τὸν ἐκχυϑήσεται, καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει κύριος αὐτῷ.

## XIII.

Κατὰ τὸν λόγον Ἐφραΐμ δικαιώματα ἔλαβεν αὐτὸς ἐν τῷ Ἰσραήλ, καὶ
2 ἔϑετο αὐτὰ τῇ Βάαλ καὶ ἀπέϑανε. [2] καὶ νῦν προσέϑεντο τοῦ ἁμαρτάνειν, καὶ
ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ τοῦ ἀργυρίου αὐτῶν κατ᾽ εἰκόνα εἰδώλων, ἔργα
τεκτόνων συντετελεσμένα αὐτοῖς· αὐτοὶ λέγουσι Θύσατε ἀνϑρώπους, μόσχοι
3 γὰρ ἐκλελοίπασι. [3] διὰ τοῦτο ἔσονται ὡς νεφέλη πρωινὴ καὶ ὡς δρόσος ὀρ-
ϑρινὴ πορευομένη, ὡς χνοῦς ἀποφυσώμενος ἀφ᾽ ἅλωνος καὶ ὡς ἀτμὶς ἀπὸ

---

6. διαβουλειων 7. ο δε ϑεος 8. διαϑω pro διαϑωμαι ... σεβωειμ 9. εγκαταλειπω ... εν σοι videtur c. antecdd. conjg. 11. και εκπτησονται 12. και εν ασεβειας (sic) οικου ... και λαος αγ. κληϑησεται XII. 1. ed. rom. εδιωξε cum seqq. conjg. 2. κρισεις ... προς τον ιουδαν ... ανταποδωσει 3. προς τον ϑεον 4. μου pro Ων ... προς αυτον 8. δια αδικιας 9. ημερα 12. και εν γυναικι εφυλ. 13. εξ αιγυπτου 14. αυτω κυριος XIII. 1. αυτος ελαβεν 2. και προσεϑετο του αμ. ετι ... αργυρ. εαυτων 3. ωςπερ χους ... ατμις εκ καπνοδοχης

Digitized by Google

δακρύων. 4 ἐγὼ δὲ κύριος ὁ θεός σου ὁ στερεῶν τὸν οὐρανὸν καὶ κτίζων γῆν, 4
οὗ αἱ χεῖρες ἔκτισαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξά
σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν· καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς
Αἰγύπτου, καὶ θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σῴζων οὐκ ἔστι πάρεξ ἐμοῦ. 5
5 ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ 6 κατὰ τὰς νομὰς αὐ- 6
τῶν· καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν, καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν,
ἕνεκα τούτου ἐπελάθοντό μου. 7 καὶ ἔσομαι αὐτοῖς ὡς πανθὴρ καὶ ὡς πάρ- 7
δαλις· κατὰ τὴν ὁδὸν Ἀσσυρίων 8 ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκος ἡ ἀπορου- 8
μένη, καὶ διαρρήξω συγκλεισμὸν καρδίας αὐτῶν, καὶ καταφάγονται αὐτοὺς
ἐκεῖ σκύμνοι δρυμοῦ, θηρία ἀγροῦ διασπάσει αὐτούς. 9 τῇ διαφθορᾷ σου 9
Ἰσραὴλ τίς βοηθήσει; 10 ποῦ ὁ βασιλεύς σου οὗτος; καὶ διασωσάτω σε ἐν 10
πάσαις ταῖς πόλεσί σου· κρινάτω σε ὃν εἶπας Δός μοι βασιλέα καὶ ἄρχοντα.
11 καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου, καὶ ἔσχον ἐν τῷ θυμῷ μου. 12 συ- 11 12
στροφὴν ἀδικίας Ἐφραίμ, ἐγκεκρυμμένη ἡ ἁμαρτία αὐτοῦ· 13 ὠδῖνες ὡς τι- 13
κτούσης ἥξουσιν αὐτῷ. οὗτος ὁ υἱός σου ὁ φρόνιμος, διότι οὐ μὴ ὑποστῇ ἐν
συντριβῇ τέκνων. 14 ἐκ χειρὸς ᾅδου ῥύσομαι καὶ ἐκ θανάτου λυτρώσομαι αὐ- 14
Co. 15, τούς· ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; παράκλησις κέκρυπται
55. ἀπὸ ὀφθαλμῶν μου, 15 διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ. ἐπάξει καύ- 15
σωνα ἄνεμον κύριος ἐκ τῆς ἐρήμου ἐπ' αὐτόν, καὶ ἀναξηρανεῖ τὰς φλέβας
αὐτοῦ, ἐξερημώσει τὰς πηγὰς αὐτοῦ· αὐτὸς καταξηρανεῖ τὴν γῆν αὐτοῦ καὶ
πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ.

## XIV.

16 Ἀφανισθήσεται Σαμάρεια, ὅτι ἀντέστη πρὸς τὸν θεὸν αὐτῆς· ἐν ῥομ- 16
φαίᾳ πεσοῦνται αὐτοί, καὶ τὰ ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ αἱ ἐν
γαστρὶ ἔχουσαι αὐτῶν διαρραγήσονται. 1 ἐπιστράφηθι Ἰσραὴλ πρὸς κύριον τὸν 1
θεόν σου, διότι ἠσθένησαν ἐν ταῖς ἀδικίαις σου. 2 λάβετε μεθ' ἑαυτῶν λό- 2
γους καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν· εἴπατε αὐτῷ ὅπως μὴ
λάβητε ἀδικίαν καὶ λάβητε ἀγαθά, καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν.
3 Ἀσσοὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππον οὐκ ἀναβησόμεθα· οὐκ ἔτι μὴ εἴ- 3
πωμεν Θεοὶ ἡμῶν, τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν· ὁ ἐν σοὶ ἐλεήσει ὀρφανόν.
4 ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω αὐτοὺς ὁμολόγως, ὅτι ἀπέστρεψε 4
τὴν ὀργήν μου ἀπ' αὐτοῦ· 5 ἔσομαι ὡς δρόσος τῷ Ἰσραήλ, ἀνθήσει ὡς κρί- 5
νον, καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ ὡς ὁ Λίβανος· 6 πορεύσονται οἱ κλάδοι αὐτοῦ, 6
καὶ ἔσται ὡς ἐλαία κατάκαρπος, καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς Λιβάνου· 7 ἐπι- 7
στρέψουσι καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ, ζήσονται καὶ μεθυσθήσονται
σίτῳ· καὶ ἐξανθήσει ὡς ἄμπελος μνημόσυνον αὐτοῦ, ὡς οἶνος Λιβάνου. 8 τῷ 8
Ἐφραὶμ τί αὐτῷ ἔτι καὶ εἰδώλοις; ἐγὼ ἐταπείνωσα αὐτόν, καὶ κατισχύσω
αὐτόν· ἐγὼ ὡς ἄρκευθος πυκάζουσα, ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. 9 τίς 9
σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς καὶ ἐπιγνώσεται αὐτά; ὅτι εὐθεῖαι αἱ
ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενή-
σουσιν ἐν αὐταῖς.

---

4. ο στερεων ουρανον ... στρατειαν 6. om και prius 8. ως αρκος απορουμενη ... και φαγονται 12. συστρ. αδικ. cum antecdd. conjg. ... ενκεκρυμμενη αδικεια αυτου 13. ωδ. ηξουσ. αυτω ως τικτουσ. 14. ρυσομ. αυτους, εκ ... εξ οφθ. 15. ed. rom. ante διοτι plene interpg., non item post διαστελει ... διαστελλει ... ανεμον καυσωνα εκ τ. ερ. κυριος ... αυτου· ουτος καταξ. 16. εγγαστρι XIV. 1. επιστραφητι ... ησθενησας 2. (οπ. μη λασητε αθ.) ... κ. λαβετε αγ. 3. σωσει ... εφ ιππων 4. διοτι αποστρεψω ... απ αυτων 5. και εσομαι ... ως λιβανος 7. το μνημοσυνον αυτου 8. τω εφρ. c. antecdd. conjg. ... τι ετι αυτω ... και εγω κατισχ. 9. διοτι ευθειαι

Subscriptio: ωσηε α

Digitized by Google

# Α Μ Ω Σ.

## I.

Λόγοι Ἀμὼς οἳ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐκ Θεκουέ, οὓς εἶδεν ὑπὲρ Ἱερου-
σαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς
2 βασιλέως Ἰσραήλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. [2] καὶ εἶπε Κύριος ἐκ Σιὼν
ἐφθέγξατο, καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ
3 τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου. [3] καὶ εἶπε κύριος Ἐπὶ
ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι
αὐτόν, ἀνθ᾽ ὧν ἔπριζον πρίοσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν ἐν Γα-
4 λαάδ· [4] καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαήλ, καὶ καταφάγεται τὰ θεμέλια
5 υἱοῦ Ἄδερ· [5] καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολοθρεύσω κατοικοῦντας
ἐκ πεδίου Ὢν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥάν, καὶ αἰχμαλωτευθήσε-
6 ται λαὸς Συρίας ἐπίκλητος, λέγει κύριος. [6] τάδε λέγει κύριος Ἐπὶ ταῖς τρι-
σὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς,
ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμών, τοῦ συγκλεῖ-
7 σαι εἰς τὴν Ἰδουμαίαν· [7] καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ κατα-
8 φάγεται τὰ θεμέλια αὐτῆς· [8] καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, καὶ
ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ἀκκάρων,
9 καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος. [9] τάδε λέγει κύ-
ριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστρα-
φήσομαι αὐτήν, ἀνθ᾽ ὧν συνέκλεισαν αἰχμαλωσίαν τοῦ Σαλωμὼν εἰς τὴν
10 Ἰδουμαίαν, καὶ οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν· [10] καὶ ἐξαποστελῶ πῦρ
11 ἐπὶ τὰ τείχη Τύρου, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς. [11] τάδε λέγει κύ-
ριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ
ἀποστραφήσομαι αὐτούς, ἕνεκα τοῦ διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν
αὐτοῦ, καὶ ἐλυμήνατο μητέρα ἐπὶ γῆς, καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην
12 αὐτοῦ, καὶ τὸ ὅρμημα αὐτοῦ ἐφύλαξεν εἰς νῖκος· [12] καὶ ἐξαποστελῶ πῦρ εἰς
13 Θαμάν, καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς. [13] τάδε λέγει κύριος Ἐπὶ
ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφή-
σομαι αὐτόν, ἀνθ᾽ ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν,
14 ὅπως ἐμπλατύνωσι τὰ ὅρια ἑαυτῶν· [14] καὶ ἀνάψω πῦρ ἐπὶ τείχη Ῥαββάθ,
καὶ καταφάγεται θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σει-
15 σθήσεται ἐν ἡμέραις συντελείας αὐτῆς· [15] καὶ πορεύσονται οἱ βασιλεῖς αὐτῆς
ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει κύριος.

## II.

Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς τέσ-
σαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ᾽ ὧν κατέκαυσαν τὰ ὀστᾶ βασιλέως
2 τῆς Ἰδουμαίας εἰς κονίαν· [2] καὶ ἐξαποστελῶ πῦρ εἰς Μωάβ, καὶ καταφάγεται
τὰ θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν ἀδυναμίᾳ Μωὰβ μετὰ

---

**Inscriptio**: αμως β

I. 3. τας εγγαστρι εχ. των γαλααδ 4. εξαποστελω ... καταφαγετε θεμελια ... εξολεθρευσω ... αιχμαλωτισθησεται 7. καταφαγεται θεμελια 8. εξολεθρευσω 9. εις την ιουδαιαν 10. καταφαγεται θεμελεια 11. *της ιουδαιας ... (τερσασιν, item *v. 9. 2, 1.) ... ενεκεν ... εκαστος τον αδ. α. ... μητραν επι 12. θαιμαν 13. αποστραφ. αυτους ... εγγαστρι ... οπ. εμπλατυνουσιν τα ορ. αυτων 14. επει τα τειχη ραββα ... εν ημερα II. 2. επι μωαβ ... om τα ... *πολ. αυτων ... αδυναμεια

Digitized by Google

κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος· [3]καὶ ἐξολοθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ 3
πάντας αὐτῆς ἀποκτενῶ μετ' αὐτοῦ, λέγει κύριος. [4]τάδε λέγει κύριος Ἐπὶ 4
ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσο-
μαι αὐτόν, ἕνεκα τοῦ ἀπώσασθαι αὐτοὺς τὸν νόμον τοῦ κυρίου, καὶ τὰ προς-
τάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο, καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν ἃ
ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· [5]καὶ ἐξαποστελῶ 5
πῦρ ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἱερουσαλήμ. [6]τάδε λέγει κύριος 6
Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφή-
σομαι αὐτόν, ἀνθ' ὧν ἀπέδοντο ἀργυρίου δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδη-
μάτων, [7]τὰ πατοῦντα ἐπὶ τὸν χοῦν τῆς γῆς, καὶ ἐκονδύλιζον εἰς κεφαλὰς 7
πτωχῶν, καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν, καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰςεπορεύοντο
πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλῶσι τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν· [8]καὶ 8
τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ
θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ θεοῦ αὐτῶν.
[9]ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμορραῖον ἐκ προσώπου αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου 9
τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν ὡς δρῦς, καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπά-
νωθεν καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν· [10]καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς 10
Αἰγύπτου, καὶ περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη τοῦ κατα-
κληρονομῆσαι τὴν γῆν τῶν Ἀμορραίων· [11]καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς 11
προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν· μὴ οὐκ ἔστι ταῦτα,
υἱοὶ Ἰσραήλ; λέγει κύριος. [12]καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς 12
προφήταις ἐνετέλλεσθε λέγοντες Οὐ μὴ προφητεύσητε. [13]διὰ τοῦτο ἰδοὺ ἐγὼ 13
κυλίω ὑποκάτω ὑμῶν ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ γέμουσα καλάμης·
[14]καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος 14
αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, [15]καὶ ὁ τοξότης οὐ 15
μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ, καὶ ὁ ἱππεὺς οὐ
μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, [16]καὶ ὁ κραταιὸς οὐ μὴ εὑρήσει τὴν καρδίαν 16
αὐτοῦ ἐν δυναστείαις, ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος.

## III.

Ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησε κύριος ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ,
καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, λέγων [2]Πλὴν ὑμᾶς 2
ἔγνων ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς πάσας
τὰς ἁμαρτίας ὑμῶν. [3]εἰ πορεύσονται δύο ἐπὶ τὸ αὐτὸ καθόλου ἐὰν μὴ γνω- 3
ρίσωσιν ἑαυτούς; [4]εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ θήραν οὐκ ἔχων; 4
εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ τῆς μάνδρας αὐτοῦ καθόλου ἐὰν μὴ ἁρ-
πάσῃ τί; [5]εἰ πεσεῖται ὄρνεον ἐπὶ τῆς γῆς ἄνευ ἰξευτοῦ; εἰ σχασθήσεται 5
παγὶς ἐπὶ τῆς γῆς ἄνευ τοῦ συλλαβεῖν τί; [6]εἰ φωνήσει σάλπιγξ ἐν πόλει καὶ 6
λαὸς οὐ πτοηθήσεται; εἰ ἔσται κακία ἐν πόλει ἣν κύριος οὐκ ἐποίησεν;
[7]διότι οὐ μὴ ποιήσῃ κύριος ὁ θεὸς πρᾶγμα ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν 7
πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. [8]λέων ἐρεύξεται, καὶ τίς οὐ φοβη- 8
θήσεται; κύριος ὁ θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει; [9]ἀναγγείλατε χώ- 9
ραις ἐν Ἀσσυρίοις καὶ ἐπὶ τὰς χώρας τῆς Αἰγύπτου, καὶ εἴπατε Συνάχθητε
ἐπὶ τὸ ὄρος Σαμαρείας, καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς καὶ κατα-

---

3. εξολεθρευσω ... παντ. τους αρχοντας αυτης 4. αποστρ. αυτους ενεκεν ... τ. νομον κυριου ... τα αιματα αυτων α ... 7. **βεβηλωσωσιν 9. εξηγειρα ... ed. rom. αυτων ου ην, καθως ... απανωθεν 10. τεσσερακοντα (13. κωλυω) 14. 15. inde ab ου μη κρατηση usque ο ιππευς omnia rescripta ... om ου μη σωση τ. ψ. αυτου ... ουδε ο ιππ. 16. om ὁ κρατ. ου μη ... δυναστιαις III. 5. *χασθησεται 7. παιδειαν αυτου 9. απαγγειλατε ... χωρας αιγυπτου ... εμμεσω αυτ. κ. την καταδ.

Digitized by Google

10 δυναστείαν τὴν ἐν αὐτῇ· 10 καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον αὐτῆς, λέγει κύ-
11 ριος, οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. 11 διὰ
τοῦτο τάδε λέγει κύριος ὁ θεός Τύρος κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ
12 κατάξει ἐκ σοῦ ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. 12 τάδε λέγει
κύριος Ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ λέοντος δύο σκέλη
ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν
13 Σαμαρείᾳ κατέναντι τῆς φυλῆς καὶ ἐν Δαμασκῷ. ἱερεῖς, 13 ἀκούσατε καὶ ἐπι-
14 μαρτύρασθε τῷ οἴκῳ Ἰακώβ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, 14 διότι ἐν
τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτόν, καὶ ἐκδικήσω ἐπὶ
τὰ θυσιαστήρια Βαιθήλ, καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου
15 καὶ πεσοῦνται ἐπὶ τὴν γῆν· 15 συγχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον
ἐπὶ τὸν οἶκον τὸν θερινόν, καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι, καὶ προςτεθή-
σονται ἕτεροι οἶκοι πολλοί, λέγει κύριος.

## IV.

Ἀκούσατε τὸν λόγον τοῦτον, δαμάλεις τῆς Βασανίτιδος αἱ ἐν τῷ ὄρει
τῆς Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς καὶ καταπατοῦσαι πένητας,
2 αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν. 2 ὀμνύει κύριος
κατὰ τῶν ἁγίων αὐτοῦ, διότι ἰδοὺ ἡμέραι ἔρχονται ἐφ' ὑμᾶς καὶ λήψονται
ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς λέβητας ὑποκαιομένους ἐμβαλοῦσιν
3 ἔμπυροι λοιμοί, 3 καὶ ἐξενεχθήσεσθε γυμναὶ κατέναντι ἀλλήλων, καὶ ἀποῤῥι-
4 φήσεσθε εἰς τὸ ὄρος τὸ Ῥομμάν, λέγει κύριος. 4 εἰςήλθατε εἰς Βαιθὴλ καὶ
ἠσεβήσατε, καὶ εἰς Γάλγαλα ἐπληθύνατε τοῦ ἀσεβῆσαι, καὶ ἠνέγκατε εἰς τὸ
5 πρωὶ θυσίας ὑμῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν· 5 καὶ ἀνέγνωσαν
ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίας· ἀναγγείλατε ὅτι ταῦτα ἠγάπησαν
6 οἱ υἱοὶ Ἰσραήλ, λέγει κύριος. 6 καὶ ἐγὼ δώσω ὑμῖν γομφιασμὸν ὀδόντων ἐν
πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔνδειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ
7 οὐκ ἐπεστρέψατε πρὸς μέ, λέγει κύριος. 7 καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑε-
τὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ, καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν
μίαν οὐ βρέξω· μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ξηρανθή-
8 σεται· 8 καὶ συναθροισθήσονται δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν
ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσι, καὶ οὐκ ἐπεστράφητε πρὸς μέ, λέγει κύριος.
9 9 ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ· ἐπληθύνατε κήπους ὑμῶν, ἀμ-
πελῶνας ὑμῶν καὶ συκεῶνας ὑμῶν καὶ ἐλαιῶνας ὑμῶν κατέφαγεν ἡ κάμπη,
10 καὶ οὐδ' ὧς ἐπεστρέψατε πρὸς μέ, λέγει κύριος. 10 ἐξαπέστειλα εἰς ὑμᾶς
θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν
μετὰ αἰχμαλωσίας ἵππων σου, καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ἐν τῇ
11 ὀργῇ ὑμῶν, καὶ οὐδ' ὧς ἐπεστρέψατε πρὸς μέ, λέγει κύριος. 11 κατέστρεψα
ὑμᾶς καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμοῤῥα, καὶ ἐγένεσθε ὡς δα-
λὸς ἐξεσπασμένος ἐκ πυρός, καὶ οὐδ' ὧς ἐπεστρέψατε πρὸς μέ, λέγει κύριος.
12 12 διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ· πλὴν ὅτι οὕτως ποιήσω σοι, ἑτοι-
13 μάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεόν σου, Ἰσραήλ. 13 διότι ἰδοὺ ἐγὼ στερεῶν
βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν χριστὸν

---

10. εσται εν αυτη 12. κατέναντι φυλης ... etiam cod. alex. ιερεις cum seqq. conjg. (cf. Prolegg.) 14. οταν εκδικησω ασεβειαν 15. οικ. ετερ. πολλ. IV. 1. καταδυν. πενητας κ. καταπ. πτωχους 2. οτι ιδου ... λημψονται ... om υποκαιομενους εμβαλουσιν 3. το ρεμμαν ... κυριος ο θεος 4. ηνομησατε pro ησεβησ. 5. απαγγειλατε ... κυριος ο θεος 6. πασαις ταις πολεσιν pro πασι τοις τοποις 7. εφ ην ου βρ. επ αυτην 8. συναθρ. δυο πολεις (*seq. πολεις om videtur) ... και ουδ ως επεστρεψατε 9. συκωνας 10. παρεμβολ. υμων εν τ. ο. μου 12. cd. rom. ισραηλ, πλην ο. ο. π. σοι . ετοιμαζου

Digitized by Google

αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς· κύριος
ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

## V.

Ἀκούσατε τὸν λόγον κυρίου τοῦτον, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς θρῆνον
Οἶκος Ἰσραὴλ [2] ἔπεσεν, οὐκέτι μὴ προσθήσει τοῦ ἀναστῆναι· παρθένος τοῦ 2
Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτοῦ, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτήν. [3] διὰ 3
τοῦτο τάδε λέγει κύριος κύριος Ἡ πόλις ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολει-
φθήσονται ἑκατόν, καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατόν, ὑπολειφθήσονται δέκα τῷ
οἴκῳ Ἰσραήλ. [4] διότι τάδε λέγει κύριος πρὸς τὸν οἶκον Ἰσραὴλ Ἐκζητήσατέ 4
με, καὶ ζήσεσθε· [5] καὶ μὴ ἐκζητεῖτε Βαιθὴλ καὶ εἰς Γάλγαλα μὴ εἰςπο- 5
ρεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ διαβαίνετε, ὅτι Γάλγαλα αἰχμαλω-
τευομένη αἰχμαλωτευθήσεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα. [6] ἐκζη- 6
τήσατε τὸν κύριον, καὶ ζήσατε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος Ἰωσὴφ
καὶ καταφάγῃ αὐτόν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ. [7] ὁ ποιῶν 7
εἰς ὕψος κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν· [8] ὁ ποιῶν πάντα καὶ μετα- 8
σκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωὶ σκιάν, καὶ ἡμέραν εἰς νύκτα συσκοτά-
ζων· ὁ προςκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόςωπον
τῆς γῆς, κύριος ὄνομα αὐτῷ· [9] ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχύν, καὶ ταλαι- 9
πωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. [10] ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον 10
ὅσιον ἐβδελύξαντο. [11] διὰ τοῦτο ἀνθ' ὧν κατεκονδύλιζον πτωχούς, καὶ δῶρα 11
ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξεστοὺς ᾠκοδομήσατε καὶ οὐ μὴ κατοι-
κήσητε ἐν αὐτοῖς, ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε καὶ οὐ μὴ πίητε τὸν
οἶνον αὐτῶν. [12] ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι 12
ὑμῶν, καταπατοῦντες δίκαιον, λαμβάνοντες ἀλλάγματα καὶ πένητας ἐν πύλαις
ἐκκλίνοντες. [13] διὰ τοῦτο ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι και- 13
ρὸς πονηρῶν ἐστίν. [14] ἐκζητήσατε τὸ καλὸν καὶ μὴ πονηρόν, ὅπως ζήσητε, 14
καὶ ἔσται οὕτως μεθ' ὑμῶν κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ὃν τρόπον εἴπατε
[15] Μεμισήκαμεν τὰ πονηρὰ καὶ ἠγαπήσαμεν τὰ καλά, καὶ ἀποκαταστήσατε 15
ἐν πύλαις κρίμα, ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ παντοκράτωρ τοὺς περιλοί-
πους τοῦ Ἰωσήφ. [16] διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ Ἐν 16
πάσαις ταῖς πλατείαις κοπετός, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται οὐαὶ
οὐαί· κληθήσεται γεωργὸς εἰς πένθος καὶ κοπετόν, καὶ εἰς εἰδότας θρῆνον,
[17] καὶ ἐν πάσαις ὁδοῖς κοπετός, διότι ἐλεύσομαι διὰ μέσου σου, εἶπε κύριος. 17
[18] οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου· ἵνα τί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ 18
κυρίου; καὶ αὐτή ἐστι σκότος καὶ οὐ φῶς. [19] ὃν τρόπον ἐὰν φύγῃ ἄνθρωπος 19
ἐκ προςώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκος, καὶ εἰςπηδήσῃ εἰς τὸν
οἶκον αὐτοῦ καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐ-
τὸν ὄφις. [20] οὐχὶ σκότος ἡ ἡμέρα τοῦ κυρίου καὶ οὐ φῶς; καὶ γνόφος οὐκ 20
ἔχων φέγγος αὐτή; [21] μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ 21
θυσίας ἐν ταῖς πανηγύρεσιν ὑμῶν· [22] διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα 22
καὶ θυσίας ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίους ἐπιφανείας ὑμῶν οὐκ ἐπι-

---

13. επι τα υψη V. 1. *om κυριου (videtur) 2. προςθη ... om αυτου 3. διοτι ... επορευοντο bis 5. μη αναβαινετε 6. και ζησετε ... καταφαγεται 7. κυριος ο θεος ο ποιων 8. om ὁ prius ... επι προςωπου ... κυρ. ο θεος ο παντοκρατωρ ονομ. α. 9. om ὁ 11. κατεκονδ. εις κεφαλας πτωχων ... οικ. ξυστους οικοδομησετε ... και αμπελωνας επιθ. φυτευσετε 13. *σιωπηθησεται (vdtr) ... πονηρος 14. το πονηρον 15. το πονηρον κ. ηγαπηκαμεν το καλον ... ελεησει 16. om ταις bis ... ιδοντας 17. επελευσομαι 19. οταν εκφυγη ... *και εμεσει omissis αυτω η αρκ. κ. εισπηδ. ... **εισπηδησει ... απεριση ... προς τον (20. *φθεγγος) 22. διοτι και εαν ... τα ολοκαυτ. ... προςδεξ. αυτα, κ. σωτηριου

23 βλέψομαι. [23] μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου
24 οὐκ ἀκούσομαι· [24] καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ δικαιοσύνη ὡς χει-
25 μάῤῥους ἄβατος. [25] μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι, οἶκος Ἰσραήλ, Act. 7, 42.
26 τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ; [26] καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ Act. 7,
καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥαιφάν, τοὺς τύπους αὐτῶν οὓς ἐποιήσατε 43.
27 ἑαυτοῖς· [27] καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει κύριος, ὁ θεὸς ὁ
παντοκράτωρ ὄνομα αὐτῷ.

## VI.

Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας·
2 ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰςῆλθον αὐτοί. οἶκος τοῦ Ἰσραήλ, [2] διάβητε
πάντες καὶ ἴδετε, καὶ διέλθατε ἐκεῖθεν εἰς Ἐματραββά, καὶ κατάβητε ἐκεῖ-
θεν εἰς Γὲθ ἀλλοφύλων, τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων, εἰ
3 πλέονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων. [3] οἱ ἐρχόμενοι εἰς ἡμέραν
4 κακήν, οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν, [4] οἱ καθεύδοντες
ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ
ἔσθοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά,
5 [5] οἱ ἐπικρατοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστηκότα ἐλογίσαντο καὶ
6 οὐχ ὡς φεύγοντα· [6] οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα
7 χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσήφ. [7] διὰ τοῦτο νῦν
αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵπ-
8 πων ἐξ Ἐφραΐμ. [8] ὅτι ὤμοσε κύριος καθ' ἑαυτοῦ διότι βδελύσσομαι ἐγὼ
πᾶσαν τὴν ὕβριν Ἰακώβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν
9 σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν· [9] καὶ ἔσται ἐὰν ὑπολειφθῶσι δέκα ἄνδρες
10 ἐν οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι, [10] καὶ
λήψονται οἱ οἰκεῖοι αὐτῶν καὶ παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ
τοῦ οἴκου· καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας Εἰ ἔτι ὑπάρχει παρὰ σοί;
καὶ ἐρεῖ Οὐκ ἔτι· καὶ ἐρεῖ Σίγα ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου.
11 [11] διότι ἰδοὺ κύριος ἐντέλλεται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι
12 καὶ τὸν οἶκον τὸν μικρὸν ῥάγμασιν. [12] εἰ διώξονται ἐν πέτραις ἵπποι; εἰ
παρασιωπήσονται ἐν θηλείαις; ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρίμα, καὶ καρπὸν
13 δικαιοσύνης εἰς πικρίαν, [13] οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ, οἱ λέγοντες
14 Οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔσχομεν κέρατα; [14] διότι ἰδοὺ ἐγὼ ἐπεγερῶ ἐφ' ὑμᾶς
οἶκος Ἰσραὴλ ἔθνος, λέγει κύριος τῶν δυνάμεων, καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ
μὴ εἰςελθεῖν εἰς Αἰμὰθ καὶ ὡς τοῦ χειμάῤῥου τῶν δυσμῶν.

## VII.

Οὕτως ἔδειξέ μοι κύριος ὁ θεός, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη
2 ἑωθινή, καὶ ἰδοὺ βροῦχος εἷς Γὼγ ὁ βασιλεύς. [2] καὶ ἔσται ἐὰν συντελέσῃ τοῦ
καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα Κύριε κύριε, ἵλεως γενοῦ· τίς ἀναστή-
3 σει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστι· [3] μετανόησον κύριε ἐπὶ τούτῳ. καὶ τοῦτο
4 οὐκ ἔσται, λέγει κύριος. [4] οὕτως ἔδειξέ μοι κύριος, καὶ ἰδοὺ ἐκάλεσε τὴν
δίκην ἐν πυρὶ κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλήν, καὶ κατέφαγε
5 τὴν μερίδα κυρίου. [5] καὶ εἶπα Κύριε, κόπασον δή· τίς ἀναστήσει τὸν Ἰακώβ;

---

25. προςηνγ. μοι εν τη ερ. οικ. ισρ. τεσσερακοντ. ετη, λεγει κυριος 26. om αυτων VI. 2. αιμαθραββα ... πλιονα 3. οι ευχομενοι 4. om μεσου 5. οι επικροτουντες ... εστωτα ... ουχ ως 8. οτι βδελυσσ. ... χωρ. αυτων 9. om και ante αποθαν. 10. λημψονται οι οικ. α. και οι παραβιωται του 11. ρηγμασιν 12. οτι υμεις εξεστρ. 13. ed. rom. κερατα. 14. επεγειρω ... οικ. του ισραηλ ... om λεγει κυρ. τ. δυναμεων ... om εισελθειν ... εμαθ ... και εως του VII. 1. om ο θεος 4. κυριος ο θεος ... om κυριου 5. Κυριε κυριε

Digitized by Google

ὅτι ὀλιγοστός ἐστι· 6 μετανόησον κύριε ἐπὶ τούτῳ. καὶ τοῦτο οὐ μὴ γένηται, 6
λέγει κύριος. 7 οὕτως ἔδειξέ μοι κύριος, καὶ ἰδοὺ ἑστηκὼς ἐπὶ τείχους ἀδα- 7
μαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. 8 καὶ εἶπε κύριος πρὸς μέ Τί σὺ 8
ὁρᾷς, Ἀμώς; καὶ εἶπα Ἀδάμαντα. καὶ εἶπε κύριος πρὸς μέ Ἰδοὺ ἐγὼ ἐν-
τάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ, οὐκ ἔτι μὴ προσθῶ τοῦ παρελ-
θεῖν αὐτόν· 9 καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ 9
Ἰσραὴλ ἐρημωθήσονται, καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοὰμ ἐν ῥομ-
φαίᾳ. 10 καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ πρὸς Ἱεροβοὰμ βασιλέα 10
Ἰσραὴλ λέγων Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκου Ἰσραήλ,
οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ· 11 διότι τάδε λέ- 11
γει Ἀμώς Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοάμ, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθή-
σεται ἀπὸ τῆς γῆς αὐτοῦ. 12 καὶ εἶπεν Ἀμασίας πρὸς Ἀμώς Ὁ ὁρῶν βάδιζε, 12
ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις·
13 εἰς δὲ Βαιθὴλ οὐκ ἔτι προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως 13
ἐστί, καὶ οἶκος βασιλείας ἐστί. 14 καὶ ἀπεκρίθη Ἀμὼς καὶ εἶπε πρὸς Ἀμασίαν 14
Οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην καὶ
κνίζων συκάμινα. 15 καὶ ἀνέλαβέ με κύριος ἐκ τῶν προβάτων, καὶ εἶπε κύ- 15
ριος πρὸς μέ Βάδιζε καὶ προφήτευσον ἐπὶ τὸν λαόν μου Ἰσραήλ. 16 καὶ νῦν 16
ἄκουε λόγον κυρίου Σὺ λέγεις Μὴ προφήτευε ἐπὶ τὸν Ἰσραήλ, καὶ οὐ μὴ
ὀχλαγωγήσῃς ἐπὶ τὸν οἶκον Ἰακώβ· 17 διὰ τοῦτο τάδε λέγει κύριος Ἡ γυνή 17
σου ἐν τῇ πόλει πορνεύσει, καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομ-
φαίᾳ πεσοῦνται, καὶ ἡ γῆ σου ἐν σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ
ἀκαθάρτῳ τελευτήσεις, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐ-
τοῦ. οὕτως ἔδειξέ μοι κύριος κύριος.

## VIII.

Καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ· καὶ εἶπε Τί σὺ βλέπεις, Ἀμώς; καὶ εἶπα Ἄγγος
ἰξευτοῦ. 2 καὶ εἶπε κύριος πρὸς μέ Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ, 2
οὐ προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν. 3 καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ 3
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος κύριος· πολὺς ὁ πεπτωκὼς ἐν παντὶ τόπῳ,
ἐπιῤῥίψω σιωπήν. 4 ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες εἰς τὸ πρωὶ πένητα, 4
καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς, 5 λέγοντες Πότε διελεύσεται 5
ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα καὶ ἀνοίξομεν θησαυρὸν τοῦ ποιῆ-
σαι μέτρον μικρόν, καὶ τοῦ μεγαλῦναι στάθμιον καὶ ποιῆσαι ζυγὸν ἄδικον,
6 τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ καὶ πτωχοὺς καὶ πένητα ἀντὶ ὑποδημάτων, καὶ 6
ἀπὸ παντὸς γεννήματος ἐμπορευσόμεθα; 7 ὀμνύει κύριος κατὰ τῆς ὑπερηφα- 7
νίας Ἰακώβ Εἰ ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, 8 καὶ ἐπὶ τού- 8
τοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀνα-
βήσεται ὡς ποταμὸς συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου. 9 καὶ 9
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας,
καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· 10 καὶ μεταστρέψω τὰς ἑορτὰς 10
ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ
πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα, καὶ θήσομαι αὐ-
τὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. 11 ἰδοὺ 11

---

7. ανηρ εστηκως 8. εις μεσον λαου ... προσθησω 9. ἐξερημωθησονται 10. εμμεσω ... ου μη γενηται ... απαντας 12. om συ 13. om δε ... ουκ ετι μη προσθης 14. ημην κνιζων 15. βαδιζε προφητευσον ... τον ισραηλ 17. om κυριος alterum VIII. 1. Τι συ ορας 2. ουκετι μη προσθω του 3. om κυριος alterum ... επιριψω 4. om και 5. οι λεγοντες ... ενπολησομεν ... θησαυρους ... μικρον μετρον και μεγαλυναι σταθμια 6. εν αργυριω πτωχους και ταπινον αντι ... γενηματος 7. κατ υπερηφανειας ... επιλησεται 9. εν εκεινη τη ημερα, λ. κυριος ο θεος, και δυσεται

ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν
12 ἄρτων οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον κυρίου· [12] καὶ
σαλευθήσονται ὕδατα ἀπὸ τῆς θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βοῤῥᾶ ἕως
ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον τοῦ κυρίου καὶ οὐ μὴ εὕρω-
13 σιν. [13] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαὶ καὶ οἱ νεανίσκοι
14 ἐν δίψει, [14] οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ οἱ λέγοντες Ζῇ
ὁ θεός σου Δάν, καὶ ζῇ ὁ θεός σου Βηρσαβεέ. καὶ πεσοῦνται καὶ οὐ μὴ
ἀναστῶσιν ἔτι.

## IX.

Εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπε Πάταξον
ἐπὶ τὸ ἱλαστήριον καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς
πάντων· καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενῶ, οὐ μὴ διαφύγῃ
2 ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος. [2] ἐὰν κατα-
κρυβῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν
3 εἰς τὸν οὐρανόν, ἐκεῖθεν κατάξω αὐτούς· [3] ἐὰν ἐγκατακρυβῶσιν εἰς τὴν κο-
ρυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω καὶ λήψομαι αὐτούς· καὶ ἐὰν κατα-
δύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ
4 δράκοντι καὶ δήξεται αὐτούς· [4] καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ
προςώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι τῇ ῥομφαίᾳ καὶ ἀποκτενεῖ
αὐτούς· καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κακὰ καὶ οὐκ εἰς
5 ἀγαθά. [5] καὶ κύριος κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἐφαπτόμενος τῆς γῆς
καὶ σαλεύων αὐτήν, καὶ πενθήσουσι πάντες οἱ κατοικοῦντες αὐτήν, καὶ ἀνα-
βήσεται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου·
6 [6] ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν αὐτοῦ
ἐπὶ τῆς γῆς θεμελιῶν, ὁ προςκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων
7 αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς· κύριος παντοκράτωρ ὄνομα αὐτῷ. [7] οὐχ ὡς υἱοὶ
Αἰθιόπων ὑμεῖς ἐστὲ ἐμοί, υἱοὶ Ἰσραήλ; λέγει κύριος· οὐ τὸν Ἰσραὴλ ἀνήγα-
γον ἐκ γῆς Αἰγύπτου, καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους
8 ἐκ βόθρου; [8] ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρ-
τωλῶν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προςώπου τῆς γῆς· πλὴν ὅτι οὐκ εἰς τέλος
9 ἐξαρῶ τὸν οἶκον Ἰακώβ, λέγει κύριος. [9] διότι ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω ἐν
πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον Ἰσραὴλ ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ
10 οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν· [10] ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρ-
τωλοὶ λαοῦ μου, οἱ λέγοντες Οὐ μὴ ἐγγίσῃ οὐδὲ μὴ γένηται ἐφ' ἡμᾶς τὰ
11 κακά. [11] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, Act. 15,
καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνα- 16.
12 στήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, [12] ὅπως ἐκ- Act. 15,
ζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέ- 17.
13 κληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ ποιῶν πάντα ταῦτα. [13] ἰδοὺ
ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ καταλήψεται ὁ ἀμητὸς τὸν τρυγητόν, καὶ
περκάσει ἡ σταφυλὴ ἐν τῷ σπόρῳ, καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμόν, καὶ
14 πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται· [14] καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν τοῦ

---

11. αρτου ... om τον 12. σαλευθησεται ... om απο τ. θαλασσ. 14. Ζη κυριος ο θεος σου δαν IX. 1. επι το θυσιαστηριον ... ου μη διαφευξη ε. α. φ. ουδε μη 2. κατορυγωσιν 3. εγκρυβωσιν ... λημψομαι 4. στηρ. το προσωπον μου επ 6. επαγγελειαν ... επι γης ... επι προσωπου ... κυριος ο θεος ο παντ. 8. τον οικον ισραηλ 9. διοτι ιδου εγω ... λιγμιω ... τ. οικ. του ισραηλ ... λιγμαται εν τω λιγμω 10. ουδ ου μη 11. και τα κατεστραμμενα 12. οπως αν ... των ανθρωπ. τον κυριον ... κυριος ο θεος ο ποι. ταυτα 13. καταλημψεται ο αλοητος

Digitized by Google

λαοῦ μου Ἰσραήλ, καὶ οἰκοδομήσουσι πόλεις τὰς ἠφανισμένας καὶ κατοική-
σουσι, καὶ φυτεύσουσιν ἀμπελῶνας καὶ πίονται τὸν οἶνον αὐτῶν, καὶ ποιή-
σουσι κήπους καὶ φάγονται τὸν καρπὸν αὐτῶν· [15] καὶ καταφυτεύσω αὐτοὺς 15
ἐπὶ τῆς γῆς αὐτῶν, καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς ἧς ἔδωκα
αὐτοῖς, λέγει κύριος ὁ θεὸς παντοκράτωρ.

---

# ΜΙΧΑΙΑΣ.

## I.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς Μιχαίαν τὸν τοῦ Μωρασθεὶ ἐν ἡμέραις
Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, ὑπὲρ ὧν εἶδε περὶ Σαμα-
ρείας καὶ περὶ Ἱερουσαλήμ. [2] ἀκούσατε λαοὶ λόγους, καὶ προσεχέτω ἡ γῆ καὶ 2
πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται κύριος κύριος ἐν ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ
οἴκου ἁγίου αὐτοῦ. [3] διότι ἰδοὺ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ 3
καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, [4] καὶ σαλευθήσεται τὰ ὄρη 4
ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυ-
ρός, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. [5] δι' ἀσέβειαν Ἰακὼβ πάντα 5
ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. τίς ἡ ἀσέβεια τοῦ Ἰακώβ, οὐχ ἡ
Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα, οὐχὶ Ἱερουσαλήμ; [6] καὶ θήσομαι 6
Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατα-
σπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω· [7] καὶ 7
πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι, καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμ-
πρήσουσιν ἐν πυρί, καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν
διότι ἐκ μισθωμάτων πορνείας συνήγαγε, καὶ ἐκ μισθωμάτων πορνείας συνέ-
στρεψεν. [8] ἕνεκεν τούτου κόψεται καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος καὶ 8
γυμνή, ποιήσεται κοπετὸν ὡς δρακόντων καὶ πένθος ὡς θυγατέρων σειρήνων·
[9] ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν ἕως Ἰούδα καὶ ἥψατο ἕως 9
πύλης λαοῦ μου, ἕως Ἱερουσαλήμ. [10] οἱ ἐν Γὲθ μὴ μεγαλύνεσθε, καὶ οἱ Ἐνα- 10
κεὶμ μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου κατὰ γέλωτα, γῆν καταπάσασθε κατὰ γέ-
λωτα ὑμῶν· [11] κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς, οὐκ ἐξῆλθε κατοικοῦσα 11
Σενναάρ, κόψασθαι οἶκον ἐχόμενον αὐτῆς, λήψεται ἐξ ὑμῶν πληγὴν ὀδύνης.
[12] τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας; ὅτι κατέβη κακὰ παρὰ κυρίου 12
ἐπὶ πύλας Ἱερουσαλήμ, [13] ψόφος ἁρμάτων καὶ ἱππευόντων. κατοικοῦσα Λα- 13
χεὶς ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶ τῇ θυγατρὶ Σιών, ὅτι ἐν σοὶ εὑρέθησαν
ἀσέβειαι τοῦ Ἰσραήλ. [14] διὰ τοῦτο δώσει ἐξαποστελλομένους ἕως κληρονομίας 14
Γέθ, οἴκους ματαίους, εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσι τοῦ Ἰσραήλ· [15] ἕως 15

---

14. και καταφυτευσουσιν ... και καταφυτευσουσιν κηπους 15. απο τ. γ. αυτων ης ... ο παντοκρατωρ
Subscriptio: αμως β

---

Inscriptio: μιχαιας γ
I. 1. μωραθει ... βασιλεως ... ιδε 2. om κυριος alterum 3. om και καταβησεται 5. δια ασεβειαν ... δια αμαρτιαν ... η ασεβ. οικου ιακωβ, ουχι σαμαρεια 6. σαμαρ. ως οπωροφ. 8. και ποιησαιτε 10. μεγαλυνεσθε· οι ε- (versu exeunte) ακειμ ... κατα γελωτα υμων· (υμων in rasura) καταπασασθαι κ. γ. υμ. ... ed. rom. καταπασασθε. et κ. γελ. υμ. cum seqq. conjg. 11. κοψασθε ... λημψεται 13. αμαρτιας αυτης εστιν ... αι ασεβειαι 14. δωσεις ... εις κενα εγενετο τ. βασ. ισραηλ

τοὺς κληρονόμους ἀγάγωσι, κατοικοῦσα Λαχείς· κληρονομία ἕως Ὀδολλὰμ
16 ἥξει, ἡ δόξα τῆς θυγατρὸς Ἰσραήλ. [16] ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ
τρυφερά σου, ἐμπλάτυνον τὴν χηρείαν σου ὡς ἀετός, ὅτι ᾐχμαλωτεύθησαν
ἀπὸ σοῦ.

## II.

Ἐγένοντο λογιζόμενοι κόπους καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐ-
τῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά, διότι οὐκ ἦραν πρὸς τὸν θεὸν
2 χεῖρας αὐτῶν· [2] καὶ ἐπεθύμουν ἀγρούς, καὶ διήρπαζον ὀρφανούς, καὶ οἴκους
κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα καὶ τὸν οἶκον αὐτοῦ, καὶ ἄνδρα καὶ
3 τὴν κληρονομίαν αὐτοῦ. [3] διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ λογίζομαι
ἐπὶ τὴν φυλὴν ταύτην κακά, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν,
4 καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ ἐξαίφνης, ὅτι καιρὸς πονηρός ἐστιν. [4] ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ληφθήσεται ἐφ᾽ ὑμᾶς παραβολή, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει
λέγων Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοι-
νίῳ, καὶ οὐκ ἦν ὁ κωλύων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ ὑμῶν διεμερί-
5 σθησαν. [5] διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον ἐν κλήρῳ ἐν ἐκκλησίᾳ
6 κυρίου. [6] μὴ κλαίετε δάκρυσι, μηδὲ δακρυέτωσαν ἐπὶ τούτοις· οὐδὲ γὰρ ἀπώ-
7 σεται ὀνείδη [7] ὁ λέγων Οἶκος Ἰακὼβ παρώργισε πνεῦμα κυρίου. οὐ ταῦτα
τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστίν; οὐχ οἱ λόγοι αὐτοῦ εἰσὶ καλοὶ μετ᾽ αὐτοῦ,
8 καὶ ὀρθοὶ πεπόρευνται; [8] καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη·
κατέναντι τῆς εἰρήνης αὐτοῦ τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλ-
9 πίδας συντριμμὸν πολέμου. [9] ἡγούμενοι λαοῦ μου ἀποῤῥιφήσονται ἐκ τῶν οἰ-
κιῶν τρυφῆς αὐτῶν, διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. ἐγγίσατε
10 ὄρεσιν αἰωνίοις· [10] ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις
11 ἕνεκεν ἀκαθαρσίας. διεφθάρητε φθορᾷ, [11] κατεδιώχθητε οὐδενὸς διώκοντος·
πνεῦμα ἔστησε ψεῦδος, ἐστάλαξέ σοι εἰς οἶνον καὶ μέθυσμα. καὶ ἔσται ἐκ
12 τῆς σταγόνος τοῦ λαοῦ τούτου [12] συναγόμενος συναχθήσεται Ἰακὼβ σὺν πᾶ-
σιν· ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραήλ, ἐπὶ τὸ αὐτὸ θή-
σομαι τὴν ἀποστροφὴν αὐτοῦ· ὡς πρόβατα ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ
13 κοίτης αὐτῶν ἐξαλοῦνται ἐξ ἀνθρώπων· [13] διὰ τῆς διακοπῆς πρὸ προσώπου
αὐτῶν διέκοψαν, καὶ διῆλθον πύλην καὶ ἐξῆλθον δι᾽ αὐτῆς, καὶ ἐξῆλθεν ὁ
βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν, ὁ δὲ κύριος ἡγήσεται αὐτῶν.

## III.

Καὶ ἐρεῖ Ἀκούσατε δὴ ταῦτα, αἱ ἀρχαὶ οἴκου Ἰακὼβ καὶ οἱ κατάλοιποι
2 οἴκου Ἰσραήλ. οὐχ ὑμῖν ἐστι τοῦ γνῶναι τὸ κρίμα; [2] μισοῦντες τὰ καλὰ καὶ
ζητοῦντες τὰ πονηρά, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ᾽ αὐτῶν καὶ τὰς
3 σάρκας αὐτῶν ἀπὸ τῶν ὀστέων αὐτῶν. [3] ὃν τρόπον κατέφαγον τὰς σάρκας
τοῦ λαοῦ μου, καὶ τὰ δέρματα αὐτῶν ἀπ᾽ αὐτῶν ἐξέδειραν, καὶ τὰ ὀστέα
αὐτῶν συνέθλασαν καὶ ἐμέλισαν ὡς σάρκας εἰς λέβητα καὶ ὡς κρέα εἰς

---

15. ed. rom. αγαγωσι κατοικουσα λαχεις κληρονομια. εως ο. ηξει η 16. χιριαν II. 1. τας χειρ. α. 2. om και ante ανδρα 3. ορθοι 4. λημφθησεται ... ο κωλυσων ... διεμετρηθησαν 5. ed. rom. εν εκκλ. κυρ. cum seqq. conjg., item cod. alex. 6. επι τουτω· ου γαρ 7. ει ταυτα τα ... ed. rom. μετ αυτου; κ. ο. πεπορευνται, 8. αντικατεστη ... ελπιδα 9. δια τουτο ηγουμενοι 10. αυτη η αναπαυσεις 11. ουθενος 12. του λαου τουτου pro ισραηλ ... τ. αποστρ. αυτων ... εμμεσω ... ed. rom. εξ ανθρ. cum seqq. conjg. 13. ed. rom. προ πρ. αυτων. διεκοψαν ... διεκοψαν· διηλθον III. 2. οι μισουντες 3. τα δερμ. αυτ. απο των οστεων αυτων εξεδειραν κ. τα οστα α. συνεκλεισαν

Digitized by Google

χύτραν, [4] οὕτως κεκράξονται πρὸς τὸν κύριον καὶ οὐκ εἰςακούσεται αὐτῶν· καὶ 4
ἀποστρέψει τὸ πρόςωπον αὐτοῦ ἀπ' αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνθ' ὧν
ἐπονηρεύσαντο ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐπ' αὐτούς. [5] τάδε λέγει κύριος 5
ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς
ὀδοῦσιν αὐτῶν καὶ κηρύσσοντας εἰρήνην ἐπ' αὐτόν, καὶ οὐκ ἐδόθη εἰς τὸ
στόμα αὐτῶν, ἤγειραν ἐπ' αὐτὸν πόλεμον· [6] διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ 6
ὁράσεως, καὶ σκοτία ἔσται ὑμῖν ἐκ μαντείας, καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς
προφήτας, καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα· [7] καὶ καταισχυνθήσονται οἱ 7
ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλαλήσουσι
κατ' αὐτῶν πάντες αὐτοί, διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν. [8] ἐὰν μὴ ἐγὼ 8
ἐμπλήσω ἰσχὺν ἐν πνεύματι κυρίου καὶ κρίματος καὶ δυναστείας τοῦ ἀπαγ-
γεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ καὶ τῷ Ἰσραὴλ ἁμαρτίας αὐτοῦ. [9] ἀκούσατε 9
δὴ ταῦτα, οἱ ἡγούμενοι οἴκου Ἰακὼβ καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οἱ
βδελυσσόμενοι κρίμα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, [10] οἱ οἰκοδομοῦντες 10
Σιὼν ἐν αἵμασι καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις· [11] οἱ ἡγούμενοι αὐτῆς μετὰ 11
δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προφῆ-
ται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο λέ-
γοντες Οὐχὶ ὁ κύριος ἐν ἡμῖν ἐστίν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. [12] διὰ 12
τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωρο-
φυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.

## IV.

Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυρίου, ἕτοιμον
ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν· καὶ
σπεύσουσι πρὸς αὐτὸ λαοί, [2] καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι Δεῦτε 2
ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ· καὶ δεί-
ξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ὅτι ἐκ
Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, [3] καὶ κρινεῖ ἀνὰ 3
μέσον λαῶν πολλῶν, καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς μακράν· καὶ κατα-
κόψουσι τὰς ῥομφαίας αὐτῶν εἰς ἄροτρα καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα,
καὶ οὐκέτι μὴ ἀντάρῃ ἔθνος ἐπ' ἔθνος ῥομφαίαν, καὶ οὐκέτι μὴ μάθωσι
πολεμεῖν· [4] καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ἕκαστος 4
ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ στόμα κυρίου
παντοκράτορος ἐλάλησε ταῦτα· [5] ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος τὴν 5
ὁδὸν αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα
καὶ ἐπέκεινα. [6] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, συνάξω τὴν συντετριμμέ- 6
νην, καὶ τὴν ἐξωσμένην εἰςδέξομαι, καὶ οὓς ἀπωσάμην· [7] καὶ θήσομαι τὴν 7
συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος δυνατόν, καὶ
βασιλεύσει κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιὼν ἀπὸ τοῦ νῦν ἕως εἰς τὸν αἰῶνα.
[8] καὶ σὺ πύργος ποιμνίου αὐχμώδης, θυγάτηρ Σιών, ἐπὶ σὲ ἥξει, καὶ εἰςε- 8
λεύσεται ἡ ἀρχὴ ἡ πρώτη βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ Ἱερουσαλήμ.
* Apoc. 12, 2. [9] καὶ νῦν ἵνα τί ἔγνως κακά; μὴ βασιλεὺς οὐκ ἦν σοι; ἢ ἡ βουλή σου ἀπώ- 9
λετο ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης; [10] ὤδινε καὶ ἀνδρίζου 10

---

4. προς κυριον ... αυτου in rasura 5. επ αυτον ειρηνην 6. σκοτ. υμιν εσται 7. επακουσων 8. εμπλησω εγω 9. οικου ισραηλ κ. οι κατ. οικ. ιακωβ 10. om σιων 11. Ουχι κυριος ... τα κακα 12. εις οπωροφυλακιον ... ως αλσος IV. 1. του κυριου 2. πορευσ. προς αυτο εθνη ... του κυριου 3. ελεγξει ... εις γην μακραν ... τας ζιβυνας pro τα δορατα ... ουκετι ου μη αρη ... και ου μη μαθ. ετι πολ. 5. om κυριου 6. λεγει κυριος post συντετριμμ. pon. ... την απωσμενην 7. υπολιμμα ... εθνος ισχυρον ... και εως εις 9. κατεκρατησαν σε ωδινες

Digitized by Google

καὶ ἔγγιζε θυγάτηρ Σιὼν ὡς τίκτουσα· διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κα-
τασκηνώσεις ἐν πεδίῳ, καὶ ἥξεις ἕως Βαβυλῶνος· ἐκεῖθεν ῥύσεταί σε, καὶ
11 ἐκεῖθεν λυτρώσεταί σε κύριος ὁ θεός σου ἐκ χειρὸς ἐχθρῶν σου. 11 καὶ νῦν
ἐπισυνήχθησαν ἐπὶ σὲ ἔθνη πολλὰ λέγοντες Ἐπιχαρούμεθα, καὶ ἐπόψονται
12 ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. 12 αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν κυρίου,
καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγματα ἅλω-
13 νος. 13 ἀνάστηθι καὶ ἀλόα αὐτούς, θυγάτηρ Σιών, ὅτι τὰ κέρατά σου θήσο-
μαι σιδηρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς· καὶ κατατήξεις λαοὺς πολ-
λούς, καὶ ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ
κυρίῳ πάσης τῆς γῆς.

## V.

(4, 14.) Νῦν ἐμφραχθήσεται θυγάτηρ ἐμφραγμῷ, συνοχὴν ἔταξεν ἐφ'
2 (1) ἡμᾶς, ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ. 2 καὶ σὺ Mi. 2. 6
Βηθλεὲμ οἶκος Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ *Jo. 7, 42.
μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραήλ, καὶ ἔξοδοι αὐτοῦ ἀπ'
3 (2) ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. 3 διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης
τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς
4 (3) Ἰσραήλ. 4 καὶ στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν
ἰσχύϊ κύριος, καὶ ἐν τῇ δόξῃ ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑπάρξουσι· διότι
5 (4) νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς. 5 καὶ ἔσται αὕτη εἰρήνη, Ἀσ-
σοὺρ ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν,
καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες καὶ ὀκτὼ δήγματα ἀνθρώ-
6 (5) πων, 6 καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρὼδ
ἐν τῇ τάφρῳ αὐτῆς· καὶ ῥύσεται ἐκ τοῦ Ἀσσούρ, ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν
7 (6) ὑμῶν καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. 7 καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ
Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς δρόσος παρὰ κυρίου πί-
πτουσα καὶ ὡς ἄρνες ἐπὶ ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς μηδὲ ὑποστῇ
8 (7) ἐν υἱοῖς ἀνθρώπων. 8 καὶ ἔσται τὸ ὑπόλειμμα Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν
μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν κτήνεσιν ἐν τῷ δρυμῷ καὶ ὡς σκύμνος
ἐν ποιμνίοις προβάτων, ὃν τρόπον ὅταν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ, καὶ
9 (8) μὴ ᾖ ὁ ἐξαιρούμενος. 9 ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε,
10 (9) καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται. 10 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, λέγει κύριος, ἐξολοθρεύσω τοὺς ἵππους ἐκ μέσου σου καὶ ἀπολῶ τὰ
11 (10) ἅρματά σου, 11 καὶ ἐξολοθρεύσω τὰς πόλεις τῆς γῆς σου καὶ ἐξαρῶ πάντα
12 (11) τὰ ὀχυρώματά σου, 12 καὶ ἐξολοθρεύσω τὰ φάρμακά σου ἐκ τῶν χει-
13 (12) ρῶν σου, καὶ ἀποφθεγγόμενοι οὐκ ἔσονται ἐν σοί· 13 καὶ ἐξολοθρεύσω
τὰ γλυπτά σου καὶ τὰς στήλας σου ἐκ μέσου σου, καὶ οὐκ ἔτι μὴ προσ-
14 (13) κυνήσεις τοῖς ἔργοις τῶν χειρῶν σου, 14 καὶ ἐκκόψω τὰ ἄλση ἐκ μέσου
15 (14) σου, καὶ ἀφανιῶ τὰς πόλεις σου, 15 καὶ ποιήσω ἐν ὀργῇ καὶ ἐν θυμῷ
ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ' ὧν οὐκ εἰσήκουσαν.

---

10. om και εγγιζε ... θυγατερ 11. επισυνηχθη ... οι λεγοντες 12. και αυτοι ουκ 13. αναστα ... θυγατερ ... και λεπτυνεις λαους V. 1. θυγατηρ εφραιμ ενφραγμω ... εφ υμας ... επι σιαγονας 2. του εφραθα ... εξελευσ. ηγουμενος του ... εν τω ισραηλ, και αι εξοδοι 3. ed. rom. τικτουσης, τεξεται, 4. του ονοματος κ. του θεου 5. η ειρηνη οταν ασσυριος επελθη 7. εμμεσω ... επ αγρωστιν 8. το υπολιμμα (non v. 7.) του ιακωβ ... εμμεσω 9. εξολεθρευθησονται 10. εξολεθρευσω τ. ιππ. σου εκ μ. σ. 11. εξολεθρευσω 12. και εξαρω παντα τα 13. εξολεθρευσω 14. τα αλση σου εκ μ. σ. 15. εν θυμω κ. εν οργη ... εισηκ. μου

Digitized by Google

## VI.

'Ακούσατε δὴ λόγον. κύριος κύριος εἶπεν 'Ανάστηθι κρίθητι πρὸς τὰ
ὄρη, καὶ ἀκουσάτωσαν βουνοὶ φωνήν σου. 2 ἀκούσατε ὄρη τὴν κρίσιν τοῦ 2
κυρίου, καὶ αἱ φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν
αὐτοῦ, καὶ μετὰ τοῦ 'Ισραὴλ διελεγχθήσεται. 3 λαός μου, τί ἐποίησά σοι, ἢ 3
τί ἐλύπησά σε, ἢ τί παρηνώχλησά σοι; ἀποκρίθητί μοι. 4 διότι ἀνήγαγόν σε 4
ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην σε, καὶ ἐξαπέστειλα
πρὸ προσώπου σου τὸν Μωυσῆν καὶ 'Ααρὼν καὶ Μαριάμ. 5 λαός μου, μνήσθητι 5
δὴ τί ἐβουλεύσατο κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωάβ, καὶ τί ἀπεκρίθη αὐτῷ
Βαλαὰμ υἱὸς τοῦ Βεὼρ ἀπὸ τῶν σχοίνων ἕως τοῦ Γαλγάλ, ὅπως γνωσθῇ ἡ
δικαιοσύνη τοῦ κυρίου. 6 ἐν τίνι καταλάβω τὸν κύριον; ἀντιλήψομαι θεοῦ μου 6
ὑψίστου; εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν ἐν μόσχοις ἐνιαυσίοις;
7 εἰ προσδέξεται κύριος ἐν χιλιάσι κριῶν ἢ ἐν μυριάσι χιμάρων πιόνων; εἰ 7
δῶ πρωτότοκά μου ὑπὲρ ἀσεβείας, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυ-
χῆς μου; 8 εἰ ἀνηγγέλη σοι ἄνθρωπε τί καλόν; ἢ τί κύριος ἐκζητεῖ παρὰ 8
σοῦ ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεον καὶ ἕτοιμον εἶναι τοῦ πο-
ρεύεσθαι μετὰ κυρίου θεοῦ σου; 9 φωνὴ κυρίου τῇ πόλει ἐπικληθήσεται, καὶ 9
σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ. ἄκουε φυλή, καὶ τίς κοσμήσει πόλιν;
10 μὴ πῦρ καὶ οἶκος ἀνόμου θησαυρίζων θησαυροὺς ἀνόμους καὶ μετὰ ὕβρεως 10
ἀδικίας; 11 εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄνομος, καὶ ἐν μαρσίππῳ στάθμια 11
δόλου, 12 ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν, καὶ οἱ κατοικοῦντες 12
αὐτὴν ἐλάλουν ψεύδη, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ στόματι αὐτῶν;
13 καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε, ἀφανιῶ σε ἐν ταῖς ἁμαρτίαις σου. 14 σὺ 13 14
φάγεσαι καὶ οὐ μὴ ἐμπλησθῇς, καὶ συσκοτάσει ἐν σοὶ καὶ ἐκνεύσει, καὶ οὐ
μὴ διασωθῇς, καὶ ὅσοι ἂν διασωθῶσιν εἰς ῥομφαίαν παραδοθήσονται· 15 σὺ 15
σπερεῖς καὶ οὐ μὴ ἀμήσῃς, σὺ πιέσεις ἐλαίαν καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ
οἶνον καὶ οὐ μὴ πίητε, καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου. 16 καὶ ἐφύλα- 16
ξας τὰ δικαιώματα Ζαμβρὶ καὶ πάντα τὰ ἔργα οἴκου 'Αχαάβ, καὶ ἐπορεύ-
θητε ἐν ταῖς ὁδοῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμὸν καὶ τοὺς κατοι-
κοῦντας αὐτὴν εἰς συρισμόν, καὶ ὀνείδη λαῶν λήψεσθε.

## VII.

Οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ καὶ ὡς ἐπιφυλλίδα
ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρωτόγονα. οἴμοι ψυχή,
2 ὅτι ἀπόλωλεν εὐσεβὴς ἀπὸ τῆς γῆς, καὶ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρ- 2
χει· πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν
ἐκθλιβῇ, 3 ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν· ὁ ἄρχων αἰτεῖ, καὶ 3
ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησε, καταθύμιον ψυχῆς αὐτοῦ ἐστίν. καὶ ἐξε-
λοῦμαι τὰ ἀγαθὰ αὐτῶν 4 ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ κανόνος ἐν 4
ἡμέρᾳ σκοπιᾶς. οὐαὶ αἱ ἐκδικήσεις σου ἥκασιν, νῦν ἔσονται κλαυθμοὶ αὐτῶν.
5 μὴ καταπιστεύετε ἐν φίλοις, καὶ μὴ ἐλπίζετε ἐπὶ ἡγουμένοις, ἀπὸ τῆς συγ- 5
Mt. 10, 35. 36. κοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ· 6 διότι υἱὸς ἀτιμάζει πατέρα, 6

---

VI. 1. λογον κυριου α ο κυριος ειπεν Αν. και κρ. ... οι βουνοι 2. ακουσ. βουνοι την 4. μωσην (ita etiam ed. rom.) 6. αντιλημψ. et καταλημψ. 7. ο κυριος ... αρνων pro χιμαρων ... πρωτοτοκα μου ασεβειας 8. ελεος ... κυρ. του θ. σ. 9. τους φοβουμενους ... και τι κοσμ. 10. ανομων ... θησαυρους ανομιας μετα υβρ. αδικια 11. και ει δικ. 12. ενεπλησαν ... ed. rom. επλησαν; et in fine αυτων. 13. και αφανιω σε επι ταις 14. και σκοτασει 16. εν ταις βουλαις αυτων ... παραδωσω ... λημψεσθε VII. 1. Οιμμοι οτι εγενομην ... οιμμοι ψυχη 2. ευλαβης 4. ουαι· ουαι αι 5. αυτη τι

Digitized by Google

θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθε-
7 ρὰν αὐτῆς, ἐχθροὶ πάντες ἀνδρὸς οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. [7] ἐγὼ δὲ ἐπὶ τὸν
κύριον ἐπιβλέψομαι, ὑπομενῶ ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου, εἰςακούσεταί
8 μου ὁ θεός μου. [8] μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου ὅτι πέπτωκα, καὶ ἀναστή-
9 σομαι· διότι ἐὰν καθίσω ἐν τῷ σκότει, κύριος φωτιεῖ μοι. [9] ὀργὴν κυρίου
ὑποίσω ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ
ποιήσει τὸ κρίμα μου καὶ ἐξάξει με εἰς τὸ φῶς, ὄψομαι τὴν δικαιοσύνην
10 αὐτοῦ· [10] καὶ ὄψεται ἡ ἐχθρά μου καὶ περιβαλεῖται αἰσχύνην, ἡ λέγουσα
Ποῦ κύριος ὁ θεός σου; οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν, νῦν ἔσται εἰς
11 καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. [11] ἡμέρα ἀλοιφῆς πλίνθου, ἐξάλειψίς
12 σου ἡ ἡμέρα ἐκείνη, καὶ ἀποτρίψεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη· [12] καὶ
αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν καὶ εἰς διαμερισμὸν Ἀσσυρίων, καὶ
αἱ πόλεις σου αἱ ὀχυραὶ εἰς διαμερισμὸν ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ, καὶ
13 ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους· [13] καὶ ἔσται ἡ
γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοικοῦσιν αὐτήν, ἀπὸ καρπῶν ἐπιτηδευμάτων
14 αὐτῶν. [14] ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου, πρόβατα κληρονομίας σου, κατα-
σκηνοῦντας καθ' ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου, νεμήσονται τὴν
15 Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος. [15] καὶ κατὰ τὰς
16 ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου ὄψεσθε θαυμαστά· [16] ὄψονται ἔθνη καὶ
καταισχυνθήσονται καὶ ἐκ πάσης τῆς ἰσχύος αὐτῶν, ἐπιθήσουσι χεῖρας ἐπὶ
17 τὸ στόμα αὐτῶν, τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται, [17] λείξουσι χοῦν ὡς ὄφεις
σύροντες γῆν, συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν· ἐπὶ τῷ κυρίῳ θεῷ ἡμῶν
18 ἐκστήσονται, καὶ φοβηθήσονται ἀπὸ σοῦ. [18] τίς θεὸς ὥσπερ σύ; ἐξαίρων ἀνο-
μίας καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ· καὶ
19 οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστίν. [19] ἐπι-
στρέψει καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἀδικίας ἡμῶν καὶ ἀποῤῥιφή-
20 σονται εἰς τὰ βάθη τῆς θαλάσσης, πάσας τὰς ἁμαρτίας ἡμῶν. [20] δώσει εἰς
ἀλήθειαν τῷ Ἰακώβ, ἔλεον τῷ Ἀβραάμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν
κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.

# Ι Ω Η Λ.

## I.

2 Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. [2] ἀκούσατε ταῦτα
οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν γῆν· εἰ γέγονε
τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν, ἢ ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν;

---

6. και θυγατηρ ... και νυμφη ... εχθρ. παντ. οι ανδρες οι 8. ο κυριος 9. εως ου ... και αποισει το ... ed. rom. φως. οψομαι τ. δ. αυτου, 10. η λεγουσα προς με 11. ημερας αλοιφης ... και απωσεται νομιμα η ημ. ε. 12. ποταμου συριας ... και απο του ορους ε. τ. ορ. ημερα υδατος και θορυβου 13. μετα των κατοικουντων αυτων· εκ καρπων 14. εν ραβδω, φυλην σου προβατα ... εμμεσω 16. om και sec. ... χειρα επι στομα αυτ., και τα ... αποκωφωθησονται (ed. rom. -σοται, calamo correctum -σεται) 17. οφις, item ed. rom. 18. αδικιας pro ανομιας 19. αυτος επιστρεψει ... και καταδυσει ... απορριψει ... ed. rom. ante πασας non interpg. 20. ελεος

Subscriptio: μιχαιας γ

---

Inscriptio: ιωηλ δ

I. 2. ακουσ. δη ταυτα

[3] ὑπὲρ αὐτῶν τοῖς τέκνοις ὑμῶν διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις 3
αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν. [4] τὰ κατάλοιπα τῆς κάμπης 4
κατέφαγεν ἡ ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος,
καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. [5] ἐκνήψατε οἱ μεθύον- 5
τες ἐξ οἴνου αὐτῶν καὶ κλαύσατε· θρηνήσατε πάντες οἱ πίνοντες οἶνον εἰς
μέθην, ὅτι ἐξήρθη ἐκ στόματος ὑμῶν εὐφροσύνη καὶ χαρά. [6] ὅτι ἔθνος ἀνέβη 6
ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον, οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέον-
τος, καὶ αἱ μύλαι αὐτοῦ σκύμνου· [7] ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμόν, 7
καὶ τὰς συκᾶς μου εἰς συγκλασμόν· ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔῤῥιψεν,
ἐλεύκανε τὰ κλήματα αὐτῆς. [8] θρήνησον πρὸς μὲ ὑπὲρ νύμφην περιεζωσμέ- 8
νην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. [9] ἐξῆρται θυσία καὶ σπονδὴ 9
ἐξ οἴκου κυρίου· πενθεῖτε οἱ ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ κυρίου.
[10] ὅτι τεταλαιπώρηκε τὰ πεδία, πενθείτω ἡ γῆ· ὅτι τεταλαιπώρηκε σῖτος, 10
ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον, [11] ἐξηράνθησαν γεωργοί· θρηνεῖτε κτήματα 11
ὑπὲρ πυροῦ καὶ κριθῆς, ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ· [12] ἡ ἄμπελος ἐξη- 12
ράνθη, καὶ αἱ συκαῖ ὠλιγώθησαν· ῥοὰ καὶ φοίνιξ καὶ μῆλον καὶ πάντα τὰ
ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν, ὅτι ἦσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων.
[13] περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς, θρηνεῖτε οἱ λειτουργοῦντες θυσιαστη- 13
ρίῳ· εἰςέλθετε ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες θεῷ, ὅτι ἀπέσχηκεν ἐξ
οἴκου θεοῦ ὑμῶν θυσία καὶ σπονδή. [14] ἁγιάσατε νηστείαν, κηρύξατε θερα- 14
πείαν, συναγάγετε πρεσβυτέρους, πάντας κατοικοῦντας γῆν εἰς οἶκον θεοῦ
ὑμῶν, καὶ κεκράξετε πρὸς κύριον ἐκτενῶς [15] Οἴμοι οἴμοι οἴμοι εἰς ἡμέραν, 15
ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου, καὶ ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει.
[16] κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα ἐξωλοθρεύθη, ἐξ οἴκου θεοῦ ὑμῶν 16
εὐφροσύνη καὶ χαρά. [17] ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἠφα- 17
νίσθησαν θησαυροί, κατεσκάφησαν ληνοί, ὅτι ἐξηράνθη σῖτος. [18] τί ἀποθήσο- 18
μεν ἑαυτοῖς; ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς, καὶ τὰ
ποίμνια τῶν προβάτων ἠφανίσθησαν. [19] πρὸς σὲ κύριε βοήσομαι, ὅτι πῦρ 19
ἀνήλωσε τὰ ὡραῖα τῆς ἐρήμου, καὶ φλὸξ ἀνῆψε πάντα τὰ ξύλα τοῦ ἀγροῦ·
[20] καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σέ, ὅτι ἐξηράνθησαν ἀφέσεις 20
ὑδάτων, καὶ πῦρ κατέφαγε τὰ ὡραῖα τῆς ἐρήμου.

## II.

Σαλπίσατε σάλπιγγι ἐν Σιών, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συγχυ-
θήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν, διότι πάρεστιν ἡμέρα κυρίου, ὅτι
ἐγγὺς [2] ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης. ὡς ὄρθρος 2
χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός, ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ
τοῦ αἰῶνος, καὶ μετ' αὐτὸν οὐ προςτεθήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν.
[3] τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ· 3
ὡς παράδεισος τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ, καὶ τὰ ὄπισθεν αὐτοῦ
πεδίον ἀφανισμοῦ, καὶ ἀνασωζόμενος οὐκ ἔσται αὐτῷ. [4] ὡς ὅρασις ἵππων ἡ 4
ὅρασις αὐτῶν, καὶ ὡς ἱππεῖς οὕτως καταδιώξονται· [5] ὡς φωνὴ ἁρμάτων ἐπὶ 5
τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιού-
σης καλάμην, καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον.

---

4. ερισυβη 5. οτι εξηρται εκ του στ. ... ed. rom. χαρα, 7. om αυ-
την ... ελευκανεν κλημ. αυτ. 9. om in fine κυριου ... ed. rom. κυριου,
11. οι γεωργοι 13. εισελθατε 14. κυριου θεου υμων 15. οιμμοι ter ...
ed. rom. ηξει [16] κατ. τ. ο. υ. βρωματα. 16. εξωλεθρευθη 18. ηφανισθη
20. ανεβλεψεν ... om οτι II. 1. συναχθητωσαν ... η ημερα του κυριου,
οτι εγγυς η ημερα του κυριου 2. ομοιος αυτου 3. οπισθεν pro οπισω ...
ουκ εστιν omisso αυτω 4. ως ορ. ιππ. η οψεις αυτων, και οι ιππ.

Digitized by Google

6 [6] ἀπὸ προςώπου αὐτοῦ συντριβήσονται λαοί, πᾶν πρόςωπον ὡς πρόςκαυμα
7 χύτρας. [7] ὡς μαχηταὶ δραμοῦνται, καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ
τὰ τείχη, καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλίνωσι
8 τὰς τρίβους αὐτῶν, [8] καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται·
καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται, καὶ ἐν τοῖς βέλεσιν αὐ-
9 τῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσι. [9] τῆς πόλεως ἐπιλήψονται, καὶ ἐπὶ
τῶν τειχέων δραμοῦνται, καὶ ἐπὶ ταῖς οἰκίαις ἀναβήσονται, καὶ διὰ θυρίδων
10 εἰςελεύσονται ὡς κλέπται. [10] πρὸ προςώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ καὶ
σεισθήσεται ὁ οὐρανός, ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ ἄστρα δύ-
11 σουσι τὸ φέγγος αὐτῶν. [11] καὶ κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προςώπου
δυνάμεως αὐτοῦ, ὅτι πολλή ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ
ἔργα λόγων αὐτοῦ· διότι μεγάλη ἡ ἡμέρα κυρίου, ἐπιφανὴς σφόδρα, καὶ τίς
12 ἔσται ἱκανὸς αὐτῇ; [12] καὶ νῦν λέγει κύριος ὁ θεὸς ὑμῶν Ἐπιστράφητε πρὸς
μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ ἐν κο-
13 πετῷ, [13] καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπι-
στράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστί, μα-
14 κρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. [14] τίς οἶδεν εἰ ἐπι-
στρέψει καὶ μετανοήσει, καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν καὶ θυσίαν
15 καὶ σπονδὴν κυρίῳ τῷ θεῷ ὑμῶν; [15] σαλπίσατε σάλπιγγι ἐν Σιών, ἁγιάσατε
16 νηστείαν, κηρύξατε θεραπείαν, [16] συναγάγετε λαόν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέ-
ξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστούς, ἐξελθέτω νυμ-
17 φίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. [17] ἀνὰ μέσον
τῆς κρηπῖδος τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ κυ-
ρίῳ καὶ ἐροῦσι Φεῖσαι κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου
εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι Ποῦ
18 ἔστιν ὁ θεὸς αὐτῶν; [18] καὶ ἐζήλωσε κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ
19 λαοῦ αὐτοῦ. [19] καὶ ἀπεκρίθη κύριος καὶ εἶπε τῷ λαῷ αὐτοῦ Ἰδοὺ ἐγὼ ἐξα-
ποστέλλω ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ ἐμπλησθήσεσθε
20 αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκ ἔτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσι· [20] καὶ τὸν
ἀπὸ βοῤῥᾶ ἐκδιώξω ἀφ' ὑμῶν καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον, καὶ ἀφα-
νιῶ τὸ πρόςωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ
εἰς τὴν θάλασσαν τὴν ἐσχάτην· καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀνα-
21 βήσεται ὁ βρόμος αὐτοῦ, ὅτι ἐμεγάλυνε τὰ ἔργα αὐτοῦ. [21] θάρσει γῆ, χαῖρε
22 καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι. [22] θαρσεῖτε κτήνη τοῦ
πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν
23 αὐτοῦ, συκῆ καὶ ἄμπελος ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. [23] καὶ τὰ τέκνα Σιὼν
χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυρίῳ θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν τὰ
βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώιμον καὶ ὄψιμον καθὼς
24 ἔμπροσθεν, [24] καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερχυθήσονται αἱ
25 ληνοὶ οἴνου καὶ ἐλαίου. [25] καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέ-
φαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη, ἡ δύναμίς μου
26 ἡ μεγάλη ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· [26] καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλη-
σθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν, ἃ ἐποίησε μεθ'
ὑμῶν εἰς θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα·

---

7. εκκλεινουσιν τους τριβ. αυτ. 8. συντελεσουσιν 9. επιλημψονται ... επι τας οικιας 10. προ προς. αυτων ... τα αστρα ... φθεγγος 11. μεγαλη ημερα του κυριου, μεγαλη και επιφ. σφ., και τις ικαν. εστιν αυτη 12. υμων, εν νηστεια 14. ευλογιαν θυσιαν ... ημων 16. τον λαον ... εξελθατω 17. οι λειτουργουντες κυριω ... κυριος ο θεος αυτων 20. εμεγαλυνθη (sed και τα οπισω usque εργα αυτου in rasura) 22. αμπελος και συκη 23. προϊμον 24. εμπλησθησονται ... υπερεκχυθησονται 25. ερισυβη ... εφ υμας 26. κυριου θεου ημων

Digitized by Google

[27]καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ κύριος ὁ 27
θεὸς ὑμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, καὶ οὐ μὴ καταισχυνθῶσιν ἔτι ὁ
λαός μου εἰς τὸν αἰῶνα. (3, 1.) [28]καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ 28
Act. πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ
2, 17. θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ
2, 18. οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· [29]καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ (2) 29
2, 19. τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου·
2, 20. [30]καὶ δώσω τέρατα ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ (3) 30
2, 21. ἀτμίδα καπνοῦ· [31]ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη (4) 31
Ro. 10, εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. [32]καὶ (5) 32
13. ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται· ὅτι ἐν τῷ ὄρει
Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καθότι εἶπε κύριος, καὶ εὐαγ-
γελιζόμενοι οὓς κύριος προςκέκληται.

## III. (IV.)

(3, 6.) Ὅτι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ (6)
ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ Ἱερουσαλήμ, [2]καὶ συνάξω (7) 2
πάντα τὰ ἔθνη καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ, καὶ διακρι-
θήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου καὶ τῆς κληρονομίας μου
Ἰσραήλ, οἳ διεσπάρησαν ἐν τοῖς ἔθνεσι· καὶ τὴν γῆν μου κατεδιείλαντο,
[3]καὶ ἐπὶ τὸν λαόν μου ἔβαλον κλήρους, καὶ ἔδωκαν τὰ παιδάρια πόρ- (8) 3
ναις, καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ τοῦ οἴνου καὶ ἔπινον. [4]καὶ τί ὑμεῖς (9) 4
ἐμοί, Τύρος καὶ Σιδών, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; μὴ ἀνταπόδομα
ὑμεῖς ἀνταποδίδοτέ μοι; ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοὶ ὀξέως; καὶ ταχέως
ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν, [5]ἀνθ' ὧν τὸ ἀρ- (10) 5
γύριόν μου καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου τὰ καλὰ εἰςη-
νέγκατε εἰς τοὺς ναοὺς ὑμῶν· [6]καὶ τοὺς υἱοὺς Ἰούδα καὶ τοὺς υἱοὺς (11) 6
Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν
ὁρίων αὐτῶν. [7]καὶ ἰδοὺ ἐγὼ ἐξεγείρω αὐτοὺς ἐκ τοῦ τόπου οὗ ἀπέδοσθε (12) 7
αὐτοὺς ἐκεῖ, καὶ ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν,
[8]καὶ ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖρας (13) 8
τῶν υἱῶν Ἰούδα, καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν εἰς ἔθνος μακρὰν
ἀπέχον, ὅτι κύριος ἐλάλησε. [9]κηρύξατε πόλεμον, ἐξεγείρατε τοὺς μαχη- (14) 9
τάς, προςαγάγετε καὶ ἀναβαίνετε πάντες ἄνδρες πολεμισταί, [10]συγκό- (15) 10
ψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομά-
στας· ὁ ἀδύνατος λεγέτω ὅτι ἰσχύω ἐγώ. [11]συναθροίζεσθε καὶ εἰςπο- (16) 11
ρεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν καὶ συνάχθητε ἐκεῖ· ὁ πραῢς ἔστω μαχη-
τής. [12]ἐξεγειρέσθωσαν, ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα (17) 12
Ἰωσαφάτ, διότι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν. [13]ἐξα- (18) 13
*Apoc. ποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητός· εἰςπορεύεσθε, πατεῖτε, διότι
14, 15. πλήρης ἡ ληνός· ὑπερεκχεῖτε τὰ ὑπολήνια, ὅτι πεπλήθυνται τὰ κακὰ αὐτῶν.
[14]ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡμέρα κυρίου ἐν τῇ (19) 14
κοιλάδι τῆς δίκης. [15]ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες (20) 15
δύσουσι φέγγος αὐτῶν. [16]ὁ δὲ κύριος ἐκ Σιὼν ἀνακεκράξεται, καὶ ἐξ (21) 16

---

27. εμμεσω ... καταισχυνθη ουκετι πας ο λαος μ. 28. om και ante εκχεω ... ενυπνιοις 29. και γε επι τους ... δουλας μου 30. ed. rom. δωσωσι ... εν τω ουρανω 32. και ιερουσαλημ III. 1. Διοτι 3. αντι οινου 4. και τι και υμεις 5. μου και τα καλα μου εισην. εις τ. θησαυρους υ. 7. om και ab initio 8. χειρας υιων 9. κηρυξατε ταυτα εν τοις εθνεσιν, αγιασατε πολεμον 12. εγειρεσθωσαν και αναβ. 13. υπερχειτε 14. διοτι εγγ. η ημ. 15. το φεγγ. α. 16. ανακραξεται

Digitized by Google

Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ
17 (22) κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ καὶ ἐνισχύσει τοὺς υἱοὺς Ἰσραήλ. 17 καὶ
ἐπιγνώσεσθε διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ κατασκηνῶν ἐν Σιὼν ὄρει
ἁγίῳ· καὶ ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐ-
18 (23) τῆς οὐκέτι. 18 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη γλυ-
κασμόν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυή-
σονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται καὶ ποτιεῖ τὸν χειμάῤ-
19 (24) ῥουν τῶν σχοίνων. 19 Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται, καὶ ἡ Ἰδουμαία εἰς
πεδίον ἀφανισμοῦ ἔσται ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ' ὧν ἐξέχεαν αἷμα δί-
20 (25) καιον ἐν τῇ γῇ αὐτῶν· 20 ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται,
21 (26) καὶ Ἱερουσαλὴμ εἰς γενεὰς γενεῶν· 21 καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν καὶ
οὐ μὴ ἀθωώσω, καὶ κύριος κατασκηνώσει ἐν Σιών.

---

# Ο Β Δ Ι Ο Υ.

Ὅρασις Ὀβδιού. τάδε λέγει κύριος ὁ θεὸς τῇ Ἰδουμαίᾳ Ἀκοὴν ἤκουσα
παρὰ κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν Ἀνάστητε καὶ ἐξανα-
2 στῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. 2 ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν,
3 ἠτιμωμένος εἶ σὺ σφόδρα· 3 ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε κατα-
σκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὕψῶν κατοικίαν αὐτοῦ, λέγων ἐν καρ-
4 δίᾳ αὐτοῦ Τίς κατάξει με ἐπὶ τὴν γῆν; 4 ἐὰν μετεωρισθῇς ὡς ἀετός, καὶ
ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει κύ-
5 ριος. 5 εἰ κλέπται εἰσῆλθον πρὸς σὲ ἢ λῃσταὶ νυκτός, ποῦ ἂν ἀπεῤῥίφης; οὐκ
ἂν ἔκλεψαν τὰ ἱκανὰ ἑαυτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σέ, οὐκ ἂν ἐπε-
6 λείποντο ἐπιφυλλίδα; 6 πῶς ἐξηρευνήθη Ἡσαῦ καὶ κατελήφθη τὰ κεκρυμ-
7 μένα αὐτοῦ. 7 ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε· πάντες οἱ ἄνδρες τῆς διαθή-
κης σου ἀντέστησάν σοι, ἠδυνάσθησαν πρὸς σὲ ἄνδρες εἰρηνικοί σου, ἔθηκαν
8 ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστι σύνεσις αὐτοῖς. 8 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει
9 κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ· 9 καὶ
πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμάν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους
10 Ἡσαῦ, 10 διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν ἀδελφοῦ σου Ἰακώβ· καλύψει
11 σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. 11 ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξ-
εναντίας ἐν ἡμέραις αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ, καὶ ἀλλότριοι
εἰσῆλθον εἰς πύλας αὐτοῦ καὶ ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἦς
12 ὡς εἷς ἐξ αὐτῶν. 12 καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων,
καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν, καὶ μὴ
13 μεγαλοῤῥημονῇ ἐν ἡμέρᾳ θλίψεως· 13 μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ

---

17. ορει αγιω μου 21. εκδικησω pro εκζητησω ... αθοωσω
**Subscriptio**: ιωηλ δ

---

**Inscriptio**: αβδειου ε

1. αβδιου 2. συ ει 3. εν τη καρδια α. Τις με κατ. 4. om εαν sec. 5. ει pro η ... υπελειποντο 6. εξηραυνηθη ... κατελημφθη αυτου τα κεκρ. 7. οριων σου ... ουκ εστιν σοι συνεσεις εν αυτοις 8. εν εκεινη τη ημερα 9. *σοι pro σου 10. τ. ασεβ. την εις τον αδελφον σου ιακωβ· και καλυψει 11. εν ημερα ... εις τας πυλας 12. επιδοις ... μεγαλορημονησης 13. λαου σου εν ημ.

πόνων αὐτῶν, μηδὲ ἐπίδῃς καὶ σὺ τὴν συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου
αὐτῶν, καὶ μὴ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν·
[14] μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτοῦ ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους 14
αὐτῶν, μηδὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως. [15] διότι 15
ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται
σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου· [16] διότι ὃν τρό- 16
πον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίονται πάντα τὰ ἔθνη οἶνον, πίονται
καὶ καταβήσονται, καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες. [17] ἐν δὲ τῷ ὄρει Σιὼν 17
ἔσται σωτηρία, καὶ ἔσται ἅγιον· καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ
τοὺς κατακληρονομήσαντας αὐτούς. [18] καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, ὁ δὲ 18
οἶκος Ἰωσὴφ φλόξ, ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην, καὶ ἐκκαυθήσονται εἰς
αὐτοὺς καὶ καταφάγονται αὐτούς, καὶ οὐκ ἔσται πυροφόρος τῷ οἴκῳ Ἡσαῦ,
διότι κύριος ἐλάλησε. [19] καὶ κατακληρονομήσουσιν οἱ ἐν Ναγὲβ τὸ ὄρος τὸ 19
Ἡσαῦ, καὶ οἱ ἐν τῇ Σεφηλᾷ τοὺς ἀλλοφύλους· καὶ κατακληρονομήσουσι τὸ
ὄρος Ἐφραῒμ καὶ τὸ πεδίον Σαμαρείας καὶ Βενιαμὶν καὶ τὴν Γαλααδῖτιν.
[20] καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη τοῖς υἱοῖς Ἰσραήλ, γῆ τῶν Χαναναίων 20
ἕως Σαρεπτῶν, καὶ ἡ μετοικεσία Ἱερουσαλὴμ ἕως Ἐφραθά· κληρονομήσουσι
τὰς πόλεις τοῦ Ναγέβ. [21] καὶ ἀναβήσονται ἀνασωζόμενοι ἐξ ὄρους Σιὼν τοῦ 21
ἐκδικῆσαι τὸ ὄρος Ἡσαῦ, καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία.

# Ι Ω Ν Α Σ.

## I.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων [2] Ἀνάστηθι 2
καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ, ὅτι
ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρὸς μέ. [3] καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν 3
εἰς Θαρσὶς ἐκ προσώπου κυρίου, καὶ κατέβη εἰς Ἰόππην· καὶ εὗρε πλοῖον
βαδίζον εἰς Θαρσίς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ καὶ ἀνέβη εἰς αὐτὸ τοῦ
πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου κυρίου. [4] καὶ κύριος ἐξήγειρε 4
πνεῦμα ἐπὶ τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ
τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. [5] καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνε- 5
βόησαν ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν
τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν· Ἰωνᾶς δὲ
κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε καὶ ἔρεγχε. [6] καὶ προσῆλθε 6
πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ Τί σὺ ῥέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ
τὸν θεόν σου, ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα. [7] καὶ εἶ- 7
πεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Δεῦτε βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν
τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν. καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ

13. πονου αυτων ... αυτων, μηδε συνεπιθη 14. μηδε στης ... διεκβ. αυτων του εξολεθρευσαι ... τους φευγ. εξ αυτων εν ... ed. rom. θλιψεως, 15. η ημερα του κυριου ... εστω σοι ... ανταποδωμα ... ανταποδωθησεται 16. δια τουτο ον 17. η σωτηρια 18. εκκαυθησεται ... πυρφορος εν τω 19. βενιαμειν 20. και κληρονομησουσιν 21. ανδρες σεσωσμενοι εξ
Subscriptio: αβδιου ε

Inscriptio: ιωνας ϛ
I. 2. πορευου εις την νινευη 2. θαρσεις bis ... απο προσωπου ... ενεβη ... εις θαρσεις μετ αυτων 4. πνευμα εις την ... του διαλυθηναι 5. εβοων ... θεον αυτων 6. ειπ. προς αυτον ... ει πως pro οπως

Digitized by Google

8 κλῆρος ἐπὶ Ἰωνᾶν. [8] καὶ εἶπον πρὸς αὐτόν Ἀπάγγειλον ἡμῖν τίς σου ἡ ἐργα-
σία ἐστί, καὶ πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ;
9 [9] καὶ εἶπε πρὸς αὐτούς Δοῦλος κυρίου εἰμὶ ἐγώ, καὶ τὸν κύριον θεὸν τοῦ
10 οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. [10] καὶ ἐφο-
βήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπαν πρὸς αὐτόν Τί τοῦτο ἐποίησας;
διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν
11 αὐτοῖς. [11] καὶ εἶπαν πρὸς αὐτόν Τί ποιήσομέν σοι καὶ κοπάσει ἡ θάλασσα
12 ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. [12] καὶ
εἶπεν Ἰωνᾶς πρὸς αὐτούς Ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ
κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ
13 μέγας οὗτος ἐφ' ὑμᾶς ἐστί. [13] καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι
πρὸς τὴν γῆν, καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο
14 μᾶλλον ἐπ' αὐτούς. [14] καὶ ἀνεβόησαν πρὸς κύριον καὶ εἶπαν Μηδαμῶς κύριε·
μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ'
15 ἡμᾶς αἷμα δίκαιον, διότι σὺ κύριε ὃν τρόπον ἐβούλου πεποίηκας. [15] καὶ ἔλα-
βον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ θάλασσα
16 ἐκ τοῦ σάλου αὐτῆς. [16] καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν κύριον,
καὶ ἔθυσαν θυσίαν τῷ κυρίῳ καὶ ηὔξαντο τὰς εὐχάς.

## II.

Καὶ προσέταξε κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰω- * Mt. 12, 40.
2 νᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. [2] καὶ προσηύ- * l. c. 11,
3 ξατο Ἰωνᾶς πρὸς κύριον τὸν θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους, [3] καὶ 29 sq.
εἶπεν Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου·
4 ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου· [4] ἀπέῤῥιψάς με εἰς βάθη
καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με, πάντες οἱ μετεωρισμοί σου
5 καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. [5] καὶ ἐγὼ εἶπα Ἀπῶσμαι ἐξ ὀφθαλ-
μῶν σου· ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;
6 [6] περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κε-
7 φαλή μου εἰς σχισμὰς ὀρέων, [7] κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτο-
8 χοι αἰώνιοι· καὶ ἀναβήτω φθορὰ ζωῆς μου, κύριε ὁ θεός μου. [8] ἐν τῷ
ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ
9 ἡ προσευχή μου εἰς ναὸν τὸν ἅγιόν σου. [9] φυλασσόμενοι μάταια καὶ ψευδῆ
10 ἔλεος αὐτῶν ἐγκατέλιπον. [10] ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογή-
11 σεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίου τῷ κυρίῳ. [11] καὶ
προσετάγη ἀπὸ κυρίου τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν.

## III.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων [2] Ἀνάστηθι
πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ κατὰ
3 τὸ κήρυγμα τὸ ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σέ. [3] καὶ ἀνέστη Ἰωνᾶς καὶ
ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησε κύριος· ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη
4 τῷ θεῷ, ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. [4] καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν

---

8. ειπαν ... Απαγγ. ημ. τινος ενεκεν η κακια αυτη εστιν εν ημιν· τις σου 9. εγω ειμι 11. Τι σοι ποιησωμεν ... επωρυετο (?) 12. om με sec. 13. εδυναντο ... επωρυετο (?) 14. οτι συ 15. ενεβαλον ... σαλους αυτης (? σαλου εαυτης?) 16. om τας II. 3. ante Εβοησα add ωδη ... ed. rom. εισηκ. μου cum εκ κ. αδ. κρ. μου conjg., non item cod. alex. 4. με εκυκλωσαν 5. καγω ... om με 7. εκ φθορας η ζωη μου· 8. την ψυχ. μ. απ εμου ... om τον 9. εγκατελειπον 10. αποδωσω εις σωτηριον μου τω κυριω 11. om απο κυριου III. 2. Αν. και πορ. 3. καθως ... πορειας ο. ημερ. τρ. 4. του εισπορευεσθαι

Digitized by Google

εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας μιᾶς, καὶ ἐκήρυξε καὶ εἶπεν Ἔτι τρεῖς
*Mt. 12, 41. ἡμέραι καὶ Νινευὴ καταστραφήσεται. 5 καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ 5
*Lc. 11, 32. θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν
ἕως μικροῦ αὐτῶν. 6 καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευή· καὶ 6
ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλατο τὴν στολὴν αὐτοῦ ἀφ᾽ ἑαυ-
τοῦ καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. 7 καὶ ἐκηρύχθη καὶ 7
ἐρρέθη ἐν τῇ Νινευῇ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ
λέγων Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσά-
σθωσαν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ πιέτωσαν. 8 καὶ περιεβάλλοντο σάκκους 8
οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν ἐκτενῶς· καὶ ἀπέ-
στρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς
ἐν χερσὶν αὐτῶν, λέγοντες 9 Τίς οἶδεν εἰ μετανοήσει ὁ θεὸς καὶ ἀποστρέψει 9
ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα. 10 καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα 10
αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν· καὶ μετενόησεν
ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε.

## IV.

Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη· 2 καὶ προσεύξατο 2
πρὸς κύριον καὶ εἶπεν Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ
γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσίς, διότι ἔγνων ὅτι σὺ
ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς
κακίαις. 3 καὶ νῦν δέσποτα κύριε λάβε τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ὅτι καλὸν 3
τὸ ἀποθανεῖν με ἢ ζῆν με. 4 καὶ εἶπε κύριος πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύ- 4
πησαι σύ; 5 καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς 5
πόλεως· καὶ ἐποίησεν αὑτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως
οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. 6 καὶ προσέταξε κύριος ὁ θεὸς κολοκύνθῃ, καὶ 6
ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ,
τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ· καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολο-
κύνθῃ χαρὰν μεγάλην. 7 καὶ προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύ- 7
ριον, καὶ ἐπάταξε τὴν κολόκυνθαν, καὶ ἀπεξηράνθη. 8 καὶ ἐγένετο ἅμα τῷ 8
ἀνατεῖλαι τὸν ἥλιον καὶ προσέταξεν ὁ θεὸς πνεύματι καύσωνι συγκαίοντι,
καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ· καὶ ὠλιγοψύχησε καὶ
ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε Καλόν μοι ἀποθανεῖν με ἢ ζῆν. 9 καὶ 9
εἶπεν ὁ θεὸς πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; καὶ
εἶπε Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. 10 καὶ εἶπε κύριος Σὺ ἐφείσω 10
ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ᾽ αὐτήν, καὶ οὐδὲ ἐξέ-
θρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο. 11 ἐγὼ δὲ 11
οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους
ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀρι-
στερὰν αὐτῶν, καὶ κτήνη πολλά;

---

4. ωσει πορ ιας οδου ημ. μ. 5. απο μικρου εως μεγαλου αυτων 7. μη γενεσθωσαν μηθεν μηδε 8. περιεβαλοντο ... απεστρεψεν ... οδου αυτου 10. επι τα κακα α IV. 2. προσηυξατο ... Ω κυριε ... μου ους ελαλησα, ετι ... θαρσεις 5. εκει σκηνην εαυτω ... υπ. αυτης εν σκια εως ου αφειδη 6. κολοκυντη bis ... ανεβη υπερ κεφαλης ιωνα 7. κυριος ο θεος ... κολοκυνταν 8. κυριος ο θεος πν. καυσωνος ... κεφαλην ιωνα ... το αποθανειν ... ed. rom. ζειν (sed corr. calamo ζην) 9. κυριος ο θεος ... κολοκυντη 10. κολοκυντης ... επ αυτης, και ουχ ... η υπο ν. εγεν. 11. om της μεγαλης ... ουδε αριστεραν

**Subscriptio**: ιωνας προφητης ϛ



Digitized by Google

# ΝΑΟΥΜ.

## I.

2 Λῆμμα Νινευή, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου. [2] θεὸς ζηλω-
τὴς καὶ ἐκδικῶν κύριος, ἐκδικῶν κύριος μετὰ θυμοῦ, ἐκδικῶν κύριος τοὺς
3 ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. [3] κύριος μακρό-
θυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ἀθῷον οὐκ ἀθωώσει κύριος· ἐν
συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ, καὶ νεφέλαι κονιορτὸς ποδῶν
4 αὐτοῦ· [4] ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς
ἐξερημῶν. ὠλιγώθη ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος, καὶ τὰ ἐξανθοῦντα τοῦ
5 Λιβάνου ἐξέλιπε· [5] τὰ ὄρη ἐσείσθησαν ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύ-
θησαν· καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα, καὶ πάντες
6 οἱ κατοικοῦντες ἐν αὐτῇ. [6] ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται;
καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχάς,
7 καὶ αἱ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ. [7] χρηστὸς κύριος τοῖς ὑπομένουσιν
8 αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν. [8] καὶ ἐν
κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται, τοὺς ἐπεγειρομένους καὶ τοὺς
9 ἐχθροὺς αὐτοῦ διώξεται σκότος. [9] τί λογίζεσθε ἐπὶ τὸν κύριον; συντέλειαν
10 αὐτὸς ποιήσεται, οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει· [10] ὅτι ἕως θεμε-
λίου αὐτοῦ χερσωθήσεται, καὶ ὡς σμῖλαξ περιπλεκομένη βρωθήσεται, καὶ
11 ὡς καλάμη ξηρασίας μεστή. [11] ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου
12 πονηρά, βουλευόμενος ἐναντία. [12] τάδε λέγει κύριος κατάρχων ὑδάτων πολ-
λῶν Καὶ οὕτως διασταλήσονται, καὶ ἡ ἀκοή σου οὐκ ἐνακουσθήσεται ἔτι.
13 [13] καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμοὺς διαῤῥήξω·
14 [14] καὶ ἐντελεῖται περὶ σοῦ κύριος, οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι·
ἐξ οἴκου θεοῦ σου ἐξολοθρεύσω τὰ γλυπτά, καὶ χωνευτὰ θήσομαι ταφήν σου,
ὅτι ταχεῖς. (2, 1.) ἰδοὺ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου καὶ ἀπαγγέλ-
λοντος εἰρήνην· ἑόρταζε Ἰούδα τὰς ἑορτάς σου, ἀπόδος τὰς εὐχάς σου, διότι
οὐ μὴ προσθήσωσιν ἔτι τοῦ διελθεῖν διὰ σοῦ εἰς παλαίωσιν.

## II.

2 Συντετέλεσται, ἐξῆρται· [2] ἀνέβη ἐμφυσῶν εἰς πρόσωπόν σου, ἐξαιρούμε-
νος ἐκ θλίψεως. σκόπευσον ὁδόν, κράτησον ὀσφύος, ἄνδρισαι τῇ ἰσχύϊ σφόδρα·
3 [3] διότι ἀπέστρεψε κύριος τὴν ὕβριν Ἰακὼβ καθὼς ὕβριν τοῦ Ἰσραήλ, διότι
4 ἐκτινάσσοντες ἐξετίναξαν αὐτοὺς καὶ τὰ κλήματα αὐτῶν διέφθειραν. [4] ὅπλα
δυναστείας αὐτῶν ἐξ ἀνθρώπων, ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί· αἱ
ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς θορυ-
5 βηθήσονται [5] ἐν ταῖς ὁδοῖς, καὶ συγχυθήσονται τὰ ἅρματα καὶ συμπλακή-
σονται ἐν ταῖς πλατείαις· ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς καὶ ὡς ἀστραπαὶ
6 διατρέχουσαι. [6] καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ φεύξονται ἡμέρας

---

Inscriptio: ναουμ ζ .

I. 2. om εκδικων κυριος ante μετα θυμου 3. αθοων (sic) ουκ αθωωσει· κυριος εν (sic distincta) ... συνσισμω 4. εξελειπεν 5. συνπασα 10. θεμελιου αυτων χερσωθησονται· και ως μιλαξ 11. πονηρα λογιζομενος ποιησει (*ποιησεται) εναντια 13. δεσμους σου 14. υπερ σου ... και εξ οικου θ. σ. εξολεθρευσω τα γλ. σου ... ed. rom. χωνευτα, θησομαι ... οτι ταχεις cum ιδου επι conjg. 2, 1. ου μη προσθωσιν ετι ... om δια σου II. 2. εξερουμενος σε ... ισχυι σου 5. *συγχυνθησονται

Digitized by Google

καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη αὐτῆς
καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. πύλαι τῶν πόλεων διηνοίχθησαν,
καὶ τὰ βασίλεια διέπεσε, 7 καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη· καὶ αὕτη ἀνέβαινε, 7
καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐ-
τῶν. 8 καὶ Νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύ- 8
γοντες οὐκ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. 9 διήρπαζον τὸ ἀργύριον, διήρ- 9
παζον τὸ χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς· βεβάρυνται ἐπὶ πάντα
τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτῆς. 10 ἐκτιναγμὸς καὶ ἀνατιναγμός, καὶ ἐκβρασμὸς 10
καὶ καρδίας θραυσμός, καὶ ὑπόλυσις γονάτων καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφύν,
καὶ τὸ πρόσωπον πάντων ὡς πρόσκαυμα χύτρας. 11 ποῦ ἔστι τὸ κατοικητή- 11
ριον τῶν λεόντων, καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις; ποῦ ἐπορεύθη λέων
τοῦ εἰσελθεῖν ἐκεῖ σκύμνον λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν; 12 λέων ἥρπασε 12
τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε
θήρας νοσσιὰν αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς. 13 ἰδοὺ ἐγὼ ἐπὶ 13
σέ, λέγει κύριος παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς
λέοντάς σου καταφάγεται ῥομφαία, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν
σου, καὶ οὐ μὴ ἀκουσθῇ οὐκ ἔτι τὰ ἔργα σου.

## III.

Ὦ πόλις αἱμάτων, ὅλη ψευδής, ἀδικίας πλήρης, οὐ ψηλαφηθήσεται θήρα.
2 φωνὴ μαστίγων καὶ φωνὴ σεισμοῦ τροχῶν, καὶ ἵππου διώκοντος καὶ ἅρ- 2
ματος ἀναβράσσοντος, 3 καὶ ἱππέως ἀναβαίνοντος καὶ στιλβούσης ῥομφαίας 3
καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν καὶ βαρείας πτώσεως,
καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς· καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν
αὐτῶν ἀπὸ πλήθους πορνείας. 4 πόρνη καλὴ καὶ ἐπίχαρις, ἡγουμένη φαρμά- 4
κων, ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς καὶ λαοὺς ἐν τοῖς φαρμάκοις αὐ-
τῆς. 5 ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, καὶ ἀποκαλύψω 5
τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου καὶ
βασιλείαις τὴν ἀτιμίαν σου· 6 καὶ ἐπιρρίψω ἐπὶ σὲ βδελυγμὸν κατὰ τὰς ἀκα- 6
θαρσίας σου, καὶ θήσομαί σε εἰς παράδειγμα· 7 καὶ ἔσται πᾶς ὁ ὁρῶν σε 7
καταβήσεται ἀπὸ σοῦ καὶ ἐρεῖ Δειλαία Νινευή· τίς στενάξει αὐτήν; πόθεν
ζητήσω παράκλησιν αὐτῇ; 8 ἑτοιμάσαι μερίδα, ἁρμόσαι χορδήν, ἑτοιμάσαι 8
μερίδα Ἀμμών, ἡ κατοικοῦσα ἐν ποταμοῖς· ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ
θάλασσα καὶ ὕδωρ τὰ τείχη αὐτῆς· 9 καὶ Αἰθιοπία ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, 9
καὶ οὐκ ἔστη πέρας τῆς φυγῆς, καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς· 10 καὶ 10
αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦ-
σιν ἐπ' ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βα-
λοῦσι κλήρους, καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις. 11 καὶ 11
σὺ μεθυσθήσῃ καὶ ἔσῃ ὑπερεωραμένη, καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ
ἐχθρῶν. 12 πάντα τὰ ὀχυρώματά σου συκαῖ σκοποὺς ἔχουσαι· ἐὰν σαλευθῶσι, 12
πεσοῦνται εἰς στόμα ἔσθοντος. 13 ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς 13
ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καταφάγεται πῦρ

---

6. εν ταις πορειαις αυτων ... om αυτης ... διεπεσαν 7. αναιβεννεν ... εν ταις καρδ. αυτ. 8. ην κολυμβ. υδατος, τειχη υδατα αυτης ... ο βλεπων 9. υπερ παντα 10. εκβραγμος 11. εν τοις σκυμνοις· ου επορευθη ... σκύμνος λεοντος 13. κυριος ο παντοκρατωρ ... εξολεθρευσω ... και ουκετι ου μη ακουσθη III. 1. πληρ. αδικιας 4. επιχαρης ... φυλας pro λαους 5. επι προσωπον σού ... εθνεσιν τ. ασχημοσυνην σ. 6. επιριψω 7. στεναξει απο σου· ποθ. ζητ. παρακλησις αυτη 8. ης η αρχη αυτης 9. η ισχυς αυτης ... ουκ εσται περ. τ. φυγ. σου 11. και γε συ 12. και πεσουνται 13. και καταφαγεται



Digitized by Google

14 τοὺς μοχλούς σου. [14] ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ, καὶ κατακράτησον
τῶν ὀχυρωμάτων σου· ἔμβηθι εἰς πηλὸν καὶ συμπατήθητι ἐν ἀχύροις, κατα-
15 κράτησον ὑπὲρ πλίνθον· [15] ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε ῥομ-
16 φαία, καταφάγεταί σε ὡς ἀκρίς, καὶ βαρυνθήσῃ ὡς βροῦχος. [16] ἐπλήθυνας
τὰς ἐμπορίας σου ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ· βροῦχος ὥρμησε, καὶ ἐξεπε-
17 τάσθη. [17] ἐξήλατο ὡς ἀττέλεβος ὁ συμμικτός σου, ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ
φραγμὸν ἐν ἡμέρᾳ πάγους· ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω
18 τὸν τόπον αὐτῆς. οὐαὶ αὐτοῖς. [18] ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύ-
ριος ἐκοίμισε τοὺς δυνάστας σου· ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ
19 ἦν ὁ ἐκδεχόμενος. [19] οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου, ἐφλέγμανεν ἡ πληγή
σου· πάντες οἱ ἀκούοντες τὴν ἀγγελίαν σου κροτήσουσι χεῖρας ἐπὶ σέ· διότι
ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διὰ παντός;

---

# ΑΜΒΑΚΟΥΜ.

## I.

2 Τὸ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης. [2] ἕως τίνος κύριε κεκράξομαι,
3 καὶ οὐ μὴ εἰσακούσεις; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; [3] ἵνα
τί ἔδειξάς μοι κόπους καὶ πόνους ἐπιβλέπειν, ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξε-
4 ναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· [4] διὰ τοῦτο διεσκέδασται
νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν
5 δίκαιον, ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον. [5] ἴδετε οἱ κατα-
φρονηταὶ καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε· διότι Act. 13,
ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν ὃ οὐ μὴ πιστεύσητε ἐάν τις 41.
6 ἐκδιηγῆται. [6] διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς Χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν
καὶ τὸ ταχινόν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς τοῦ κατακληρονομῆσαι
7 σκηνώματα οὐκ αὐτοῦ· [7] φοβερὸς καὶ ἐπιφανής ἐστιν, ἐξ αὐτοῦ τὸ κρίμα
8 αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται· [8] καὶ ἐξαλοῦνται
ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας·
καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ καὶ ὁρμήσουσι μακρόθεν, καὶ πετασθή-
9 σονται ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν. [9] συντέλεια εἰς ἀσεβεῖς ἥξει, ἀνθε-
στηκότας προσώποις αὐτῶν ἐξεναντίας, καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν.
10 [10] καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς
11 εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα καὶ κρατήσει αὐτοῦ. [11] τότε
μεταβαλεῖ τὸ πνεῦμα, καὶ διελεύσεται καὶ ἐξιλάσεται· αὕτη ἡ ἰσχὺς τῷ θεῷ
12 μου. [12] οὐχὶ σὺ ἀπ' ἀρχῆς κύριε ὁ θεὸς ὁ ἅγιός μου; καὶ οὐ μὴ ἀποθάνω-
μεν. κύριε εἰς κρίμα τέταχας αὐτό, καὶ ἔπλασέ με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ.

---

14. σεαυτη, κατακρατησον ... συνπατει εν αχυροις 15. εξολεθρευσει ... και καταφαγεται 17. αττελαβος ... εν ημεραις παγου ... ουαι ουαι αυτοις 19. ακουσαντες ... χειρα

**Subscriptio**: ναουμ ζ

---

**Inscriptio**: αμβακουμ η

I. 2. εισακουσης 3. μοι εδειξας ... επι ταλαιπωριαν 4. ο ασεβης 5. εκδιηγ. υμιν 6. οτι ιδου ε. εξεγ. εφ υμας τ. χαλδ. τους μαχητας, το εθν. το ταχινον και το πικρον ... επι το πλατος 9. επ ασεβεις 12. ο θεος μου ο αγ. μου ... επλασ. αυτον

Digitized by Google

13 καθαρὸς ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν πονηρὰ καὶ ἐπιβλέπειν ἐπὶ πόνους 13
ὀδύνης· ἵνα τί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ κατα-
πίνειν ἀσεβῆ τὸν δίκαιον; 14 καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας 14
τῆς θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ τὰ οὐκ ἔχοντα ἡγούμενον; 15 συντέλειαν ἐν 15
ἀγκίστρῳ ἀνέσπασε, καὶ εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ, καὶ συνήγαγεν αὐ-
τὸν ἐν ταῖς σαγήναις αὐτοῦ· 16 ἕνεκεν τούτου εὐφρανθήσεται καὶ χαρήσεται 16
ἡ καρδία αὐτοῦ· ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ καὶ θυμιάσει τῷ ἀμ-
φιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανε μερίδα αὐτοῦ καὶ τὰ βρώματα αὐ-
τοῦ ἐκλεκτά· 17 διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διὰ παντὸς 17
ἀποκτέννειν ἔθνη οὐ φείσεται.

## II.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀπο-
σκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοί, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου.
2 καὶ ἀπεκρίθη πρός με κύριος καὶ εἶπε Γράψον ὅρασιν καὶ σαφῶς εἰς πυξίον, 2
ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά. 3 διότι ἔτι ὅρασις εἰς καιρόν, καὶ ἀνατε- 3
λεῖ εἰς πέρας καὶ οὐκ εἰς κενόν· ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν, ὅτι ἐρχό-
He. 10, μενος ἥξει καὶ οὐ μὴ χρονίσῃ. 4 ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου 4
37. 38. ἐν αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. 5 ὁ δὲ κατοιόμενος καὶ κατα- 5
Ro. 1, 17. Ga. 3, 11. φρονητής, ἀνὴρ ἀλαζών, οὐθὲν μὴ περάνῃ· ὃς ἐπλάτυνε καθὼς ᾅδης τὴν
ψυχὴν αὐτοῦ, καὶ οὗτος ὡς θάνατος οὐκ ἐμπιπλάμενος, καὶ ἐπισυνάξει ἐπ᾽
αὐτὸν πάντα τὰ ἔθνη, καὶ εἰςδέξεται πρὸς αὐτὸν πάντας τοὺς λαούς. 6 οὐχὶ 6
ταῦτα πάντα κατ᾽ αὐτοῦ παραβολὴν λήψονται καὶ πρόβλημα εἰς διήγησιν
αὐτοῦ; καὶ ἐροῦσιν Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ ἕως τίνος,
καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. 7 ὅτι ἐξαίφνης ἀναστήσονται δά- 7
κνοντες αὐτόν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐ-
τοῖς. 8 διότι ἐσκύλευσας ἔθνη πολλά, σκυλεύσουσι πάντες οἱ ὑπολελειμμένοι 8
λαοί, δι᾽ αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν
κατοικούντων αὐτήν. 9 ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τοῦ 9
τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ, τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν· 10 ἐβου- 10
λεύσω αἰσχύνην τῷ οἴκῳ σου, συνεπέρανας πολλοὺς λαούς, καὶ ἐξήμαρτεν ἡ
ψυχή σου· 11 διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγ- 11
ξεται αὐτά. 12 οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι, καὶ ἑτοιμάζων πόλιν ἐν 12
ἀδικίαις. 13 οὐ ταῦτά ἐστι παρὰ κυρίου παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ 13
ἱκανοὶ ἐν πυρί, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν. 14 ὅτι ἐμπλησθήσεται ἡ γῆ 14
τοῦ γνῶναι τὴν δόξαν κυρίου, ὡς ὕδωρ κατακαλύψει αὐτούς. 15 ὦ ὁ ποτίζων 15
τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ, καὶ μεθύσκων ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ
σπήλαια αὐτῶν. 16 πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σύ· καρδία σαλεύ- 16
θητι καὶ σείσθητι· ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς κυρίου, καὶ συνήχθη
ἀτιμία ἐπὶ τὴν δόξαν σου. 17 διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ 17
ταλαιπωρία θηρίων πτοήσει σε, δι᾽ αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς
καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων αὐτήν. 18 τί ὠφελεῖ γλυπτόν, τί 18
ἔγλυψαν αὐτό; ἔπλασεν αὐτὸ χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλά-

13. ο οφθ. μου ... επι πονους ου δυνηση· εις τι 14. ερπετα ουκ 16. θυσει τω αμφιβληστρω αυτ. κ. θυμ. τη σαγηνη α. II. 2. κυριος προς με ... επι πυξιον 3. οτι ετι ... ες περας ... υστερησει 4. μου εκ πιστεως ζησ. 5. ο αδης ... επισυν. προς αυτον 6. παραβολην κατ αυτου λημψονται ... αυτω pro εαυτω ... αυτου· εως τινος· (sic dist.) 7. δαγνοντες 8. διοτι συ ... σκυλ. σε παντες οι υπολελιμμενοι ... ασεβειαν (9. εκπασθ.) 10. λαους πολλους 13. εξελειπον 14. και ενεπλησθη η συμπασα γη ... υδωρ πολυ 16. και συ cum seqq. conjg. 17. δια αιματα ... ασεβειαν ... αυτων pro αυτην 18. γλυπτον οτι εγλ. αυτο

Digitized by Google

19 σας ἐπὶ τὸ πλάσμα αὐτοῦ τοῦ ποιῆσαι εἴδωλα κωφά. [19] οὐαὶ ὁ λέγων τῷ
ξύλῳ Ἔκνηψον ἐξεγέρθητι, καὶ τῷ λίθῳ Ὑψώθητι· καὶ αὐτό ἐστι φαντασία,
τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν πνεῦμα οὐκ ἔστιν ἐν
20 αὐτῷ. [20] ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐλαβείσθω ἀπὸ προςώπου αὐτοῦ
πᾶσα ἡ γῆ.

## III.

## ΠΡΟΣΕΥΧΗ ΑΜΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΜΕΤΑ ΩΔΗΣ.

1 2 [1] Κύριε, εἰςακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· [2] κατενόησα τὰ ἔργα
σου, καὶ ἐξέστην. ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπι-
γνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· ἐν τῷ ταραχθῆναι τὴν
3 ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. [3] ὁ θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος
ἐξ ὄρους Φαρὰν κατασκίου δασέος. διάψαλμα. ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ
4 αὐτοῦ, καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. [4] καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται·
5 κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. [5] πρὸ
προςώπου αὐτοῦ πορεύσεται λόγος καὶ ἐξελεύσεται εἰς πεδία· κατὰ πόδας
6 αὐτοῦ [6] ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ διετάκη ἔθνη, διεθρύβη τὰ
7 ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι πορείας αἰωνίας αὐτοῦ. [7] ἀντὶ κόπων εἶδον
8 σκηνώματα Αἰθιόπων, πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ. [8] μὴ ἐν πο-
ταμοῖς ὠργίσθης, κύριε; ἢ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρ-
μημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.
9 [9] ἐντείνων ἐνέτεινας τόξον σου ἐπὶ σκῆπτρα, λέγει κύριος. διάψαλμα. ποτα-
10 μῶν ῥαγήσεται γῆ, [10] ὄψονταί σε καὶ ὠδινήσουσι λαοί. σκορπίζων ὕδατα πο-
11 ρείας· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. ἐπήρθη [11] ὁ
ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς βολίδες σου πορεύ-
12 σονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου. [12] ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν
13 θυμῷ κατάξεις ἔθνη. [13] ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τὸν χρι-
στόν σου· βαλεῖς εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τρα-
14 χήλου. διάψαλμα. [14] διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται
15 ἐν αὐτῇ· διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ἔσθων πτωχὸς λάθρα. [15] καὶ ἐπιβι-
16 βᾶς εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδωρ πολύ. [16] ἐφυλαξάμην,
καὶ ἐπτοήθη ἡ κοιλία μου ἀπὸ φωνῆς προςευχῆς χειλέων μου, καὶ εἰςῆλθε
τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου. ἀνα-
17 παύσομαι ἐν ἡμέρᾳ θλίψεως τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου. [17] διότι
συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις· ψεύσεται
ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν· ἐξέλιπεν ἀπὸ βρώσεως πρό-
18 βατα, καὶ οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτναις. [18] ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλ-
19 λιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. [19] κύριος ὁ θεὸς δύναμίς
μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν· ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με
τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

---

III. μετ ωδης 2. εμμεσω 3. δασεως 5. εξελευσ. εν πεδιλοις (sic) οι ποδες αυτου 6. ** και διεθρυβη ... πορειας αιωνιους 8. οργισθης 9. εντεινων εντενεις το τοξ. σ. επι τα σκ. 10. πορειας αυτου 11. etiam cod. alex. ο ηλιος cum επηρθη conjg. 12. εν απειλη σου ωλιγωσεις ... θυμω σου 13. τους χριστους σου· εβαλας 15. επεβιβασας 17. γενηματα ... εξελειπον ... φατναις εξιλασεως αυτων 18. επι τω κυριω 19. του νικησαι με

Subscriptio: αμβακουμ η

Digitized by Google

# ΣΟΦΟΝΙΑΣ.

## I.

Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Σοφονίαν τὸν τοῦ Χουσὶ υἱὸν Γοδολίου
τοῦ Ἀμορίου τοῦ Ἐζεκίου ἐν ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼν βασιλέως Ἰούδα.
2 ἐκλείψει ἐκλιπέτω ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος· 3 ἐκλιπέτω ἄν- 2 3
θρωπος καὶ κτήνη, ἐκλιπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς
θαλάσσης· καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώ-
που τῆς γῆς, λέγει κύριος. 4 καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδα καὶ ἐπὶ 4
πάντας τοὺς κατοικοῦντας Ἱερουσαλήμ· καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ
ὀνόματα τῆς Βάαλ καὶ τὰ ὀνόματα τῶν ἱερέων, 5 καὶ τοὺς προσκυνοῦντας 5
ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοὺς προσκυνοῦντας καὶ τοὺς
ὀμνύοντας κατὰ τοῦ κυρίου, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ βασιλέως αὐτῶν,
6 καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον, 6
καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου. 7 εὐλαβεῖσθε ἀπὸ προσώπου κυρίου 7
τοῦ θεοῦ, διότι ἐγγὺς ἡμέρα τοῦ κυρίου, ὅτι ἡτοίμακε κύριος τὴν θυσίαν
αὐτοῦ καὶ ἡγίακε τοὺς κλητοὺς αὐτοῦ. 8 καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας κυρίου 8
καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄρχοντας καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως καὶ ἐπὶ
πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια· 9 καὶ ἐκδικήσω ἐμφανῶς ἐπὶ 9
τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον κυρίου θεοῦ
αὐτῶν ἀσεβείας καὶ δόλου. 10 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, 10
φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων, καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας,
καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν. 11 θρηνήσατε οἱ κατοικοῦντες τὴν 11
κατακεκομμένην, ὅτι ὡμοιώθη πᾶς ὁ λαὸς Χαναάν, καὶ ἐξωλοθρεύθησαν
πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ. 12 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω 12
τὴν Ἱερουσαλὴμ μετὰ λύχνου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς κατα-
φρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν· οἱ δὲ λέγοντες ἐν ταῖς καρδίαις αὐ-
τῶν Οὐ μὴ ἀγαθοποιήσῃ κύριος οὐδὲ μὴ κακώσῃ, 13 καὶ ἔσται ἡ δύναμις 13
αὐτῶν εἰς διαρπαγήν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν· καὶ οἰκοδομήσουσιν
οἰκίας καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς, καὶ καταφυτεύσουσιν ἀμπελῶ-
νας καὶ οὐ μὴ πίωσι τὸν οἶνον αὐτῶν. 14 ὅτι ἐγγὺς ἡμέρα κυρίου ἡ μεγάλη, 14
ἐγγὺς καὶ ταχεῖα σφόδρα· φωνὴ ἡμέρας κυρίου πικρὰ καὶ σκληρὰ τέτακται.
15 δυνατὴ ἡμέρα ὀργῆς, ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα 15
ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα γνόφου καὶ σκότους, ἡμέρα νεφέλης καὶ ὁμί-
χλης, 16 ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἐπὶ 16
τὰς γωνίας τὰς ὑψηλάς. 17 καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύσονται ὡς 17
τυφλοί, ὅτι τῷ κυρίῳ ἐξήμαρτον· καὶ ἐκχεεῖ τὸ αἷμα αὐτῶν ὡς χοῦν, καὶ
τὰς σάρκας αὐτῶν ὡς βόλβιτα· 18 καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐ- 18
τῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου. καὶ ἐν πυρὶ

---

Inscriptio: σοφονιας θ

I. 1. χουσει ... αμορειου ... αμώς 2. εκλειπετω 3. εκλειπετω ... εκλειπετωσαν τα 5. στρατεια ... om και τους προςκ. κ. τ. ομν. κατα του κυριου 6. ζητησαντας 7. η ημερα ... ητοιμασεν ... αυτου, ηγιασεν 9. επι παντας εμφανως επι ... κυριου του θεου αυτ. ανομιας κ. δ. 10. εν εκεινη τη ημερα 11. χανααν, εξωλεθρευθησαν 12. εν εκεινη τη ημερα ... οι λεγοντες omissis εν τ. καρδ. αυτων ... ουδ ου μη κακωση 13. καταφυτευσωσιν 14. οτι εγγ. η ημερα κυριου 15. δυνατη· ημερα οργης η ημ. εκεινη· sic dist. ... om ημερα θλιψ. κ. αναγκης ... σκοτους και γνοφου 16. τας ισχυρας, επι τας

Digitized by Google

ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν
ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

## II.

2 Συνάχθητε καὶ συνδέθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, [2]πρὸ τοῦ γενέσθαι
ὑμᾶς ὡς ἄνθος παραπορευόμενον, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν κυρίου,
3 πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν θυμοῦ κυρίου. [3]ζητήσατε τὸν κύριον πάν-
τες ταπεινοὶ γῆς, κρίμα ἐργάζεσθε καὶ δικαιοσύνην ζητήσατε, καὶ ἀποκρίνα-
4 σθε αὐτά, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς κυρίου. [4]διότι Γάζα διηρπα-
σμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμόν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται,
5 καὶ Ἀκκαρὼν ἐκριζωθήσεται. [5]οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θα-
λάσσης, πάροικοι Κρητῶν· λόγος κυρίου ἐφ' ὑμᾶς Χαναάν, γῆ ἀλλοφύλων,
6 καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας· [6]καὶ ἔσται Κρήτη νομὴ ποιμνίων καὶ μάνδρα
7 προβάτων, [7]καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου
Ἰούδα· ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις Ἀσκάλωνος, δείλης καταλύσου-
σιν ἀπὸ προσώπου υἱῶν Ἰούδα, ὅτι ἐπέσκεπται αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν,
8 καὶ ἀποστρέψει τὴν αἰχμαλωσίαν αὐτῶν. [8]ἤκουσα ὀνειδισμοὺς Μωὰβ καὶ
κονδυλισμοὺς υἱῶν Ἀμμών, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου καὶ ἐμεγαλύνοντο
9 ἐπὶ τὰ ὅριά μου. [9]διὰ τοῦτο ζῶ ἐγώ, λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς
Ἰσραήλ, διότι Μωὰβ ὡς Σόδομα ἔσται, καὶ υἱοὶ Ἀμμὼν ὡς Γόμορρα, καὶ
Δαμασκὸς ἐκλελειμμένη ὡς θιμωνία ἅλωνος καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα·
καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους
10 μου κληρονομήσουσιν αὐτούς. [10]αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι
11 ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν κύριον τὸν παντοκράτορα. [11]ἐπιφανή-
σεται κύριος ἐπ' αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς
γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι
12 13 τῶν ἐθνῶν. [12]καὶ ὑμεῖς Αἰθίοπες τραυματίαι ῥομφαίας μού ἐστε· [13]καὶ ἐκ-
τενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ βορρᾶν καὶ ἀπολεῖ τὸν Ἀσσύριον, καὶ θήσει τὴν
14 Νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον· [14]καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς
ποίμνια καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς
φατνώμασιν αὐτῆς κοιτασθήσονται, καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν
αὐτῆς καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτῆς.

## III.

(2, 15.) Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα
ἐν καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι. πῶς ἐγενήθη εἰς ἀφα-
νισμόν, νομὴ θηρίων· πᾶς ὁ διαπορευόμενος δι' αὐτῆς συριεῖ καὶ κινήσει τὰς
1 2 χεῖρας αὐτοῦ. [1]ὦ ἡ ἐπιφανὴς καὶ ἀπολελυτρωμένη πόλις, ἡ περιστερά· [2]οὐχ
εἰσήκουσε φωνῆς, οὐκ ἐδέξατο παιδείαν, ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει, καὶ
3 πρὸς τὸν θεὸν αὐτῆς οὐκ ἤγγισεν. [3]οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες
ὠρυόμενοι· οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ
4 πρωΐ· [4]οἱ προφῆται αὐτῆς πνευματοφόροι ἄνδρες καταφρονηταί· ἱερεῖς αὐτῆς
5 βεβηλοῦσι τὰ ἅγια καὶ ἀσεβοῦσι νόμον. [5]ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς
καὶ οὐ μὴ ποιήσῃ ἄδικον· πρωῒ πρωῒ δώσει κρίμα αὐτοῦ εἰς φῶς, καὶ οὐκ
ἀπεκρύβη καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νεῖκος ἀδικίαν.

---

II. 3. αποκρινεσθαι 4. εσται εις αφανισμον ... εκριζωθησεται, κ. ακχαρ. εκριφησεται 5. προς υμας χανααν 7. επ αυτου νεμησονται ... απεστρεψεν 9. και οι υιοι αμμων ... εκλελιμμενη ... και οι καταλοιπου (sic) του λαου μου 11. επιφανης εσται ... εξολεθρευσει ... τοπου αυτων 13. εκτενω τ. χ. μου 14. εμμεσω ... αυτης, κοραχες ... αναστεμα 15. παραπορευομενος III. 1. ed. rom. η περιστερα cum seqq. conjg., non item cod. alex. 2. παιδιαν ... επεποιθησεν 3. αραβειας ... υπελειποντο 4. οι ιερεις 5. εμμεσω... το κριμα αυτου και ουκ εις νικος αδικιαν

Digitized by Google

[6] ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν· ἐξερη- 6
μώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ διοδεύειν· ἐξέλιπον αἱ πόλεις
αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν μηδὲ κατοικεῖν. [7] εἶπα, πλὴν φοβεῖσθέ με 7
καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς, πάντα
ὅσα ἐξεδίκησα ἐπ᾽ αὐτήν· ἑτοιμάζου ὄρθρισον, ἔφθαρται πᾶσα ἡ ἐπιφυλλὶς
αὐτῶν. [8] διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου 8
εἰς μαρτύριον· διὸ τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰςδέξασθαι βα-
σιλεῖς, τοῦ ἐκχέαι ἐπ᾽ αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου· διότι ἐν πυρὶ ζήλου
μου καταναλωθήσεται πᾶσα ἡ γῆ. [9] ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν 9
εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν
αὐτῷ ὑπὸ ζυγὸν ἕνα. [10] ἐκ περάτων ποταμῶν Αἰθιοπίας προςδέξομαι ἐν διε- 10
σπαρμένοις μου, οἴσουσι θυσίας μοι. [11] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καται- 11
σχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε
περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκ ἔτι μὴ προςθῇς
τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. [12] καὶ ὑπολήψομαι ἐν σοὶ λαὸν 12
πραῢν καὶ ταπεινόν, καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου [13] οἱ κα- 13
τάλοιποι τοῦ Ἰσραήλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν καὶ οὐ λαλήσουσι μάταια,
καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμή-
σονται καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. [14] χαῖρε θύ- 14
γατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ
ὅλης τῆς καρδίας σου, θύγατερ Ἱερουσαλήμ. [15] περιεῖλε κύριος τὰ ἀδικήματά 15
σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεὺς Ἰσραὴλ κύριος ἐν μέσῳ
σου, οὐκ ὄψῃ κακὰ οὐκέτι. [16] ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ Ἱερουσαλήμ 16
Θάρσει Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου. [17] κύριος ὁ θεός σου ἐν σοί, 17
ὁ δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ καινιεῖ σε ἐν τῇ ἀγα-
πήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς. [18] καὶ 18
συνάξω τοὺς συντετριμμένους σου· οὐαὶ τίς ἔλαβεν ἐπ᾽ αὐτὴν ὀνειδισμόν;
[19] ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν σοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, καὶ 19
σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰςδέξομαι, καὶ θήσομαι αὐ-
τοὺς εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. [20] καὶ καταισχυνθήσονται 20
ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ ὅταν εἰς-
δέξωμαι ὑμᾶς· διότι δώσω ὑμᾶς ὀνομαστοὺς καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς
λαοῖς τῆς γῆς, ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν,
λέγει κύριος.

---

# ΑΓΓΑΙΟΣ.

## I.

Ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐν τῷ μηνὶ τῷ ἕκτῳ
μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων
Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν

---

6. εξελειπον ... δια το μηδενα 7. εξολεθρευθητε ... οσα εκδικησα (sic) ... διεφθαρται 8. διοτι το κριμα ... οτι εν πυρι του ζηλου 9. εις γενεας αυτων 10. om προςδεξ. εν διεσπ. μου 12. υπολειψομαι ... λαον πολυν και ταπεινον ... του κυριου 13. αδικιαν· ουδε μη λαλησουσι ... εν στοματι 15. βασιλευσει ο κυριος εμμεσω σου, και ουκ 17. δυνατος sine ὁ ... κενιει ... επι σοι εν 18. ονιδισμον επ αυτην 19. ενεκα 20. οταν εισδεχωμαι

Subscriptio: σοφονιας θ

Inscriptio: αγγαιος ι

I. 1. δαριου ... Ειπον δη ... σαλ. τον εκ φυλης

Digitized by Google

2 τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν λέγων [2] Τάδε λέγει κύριος παντοκρά-
τωρ λέγων Ὁ λαὸς οὗτος λέγουσιν Οὐχ ἥκεν ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν
3 οἶκον κυρίου. [3] καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέ-
4 γων [4] Εἰ καιρὸς μὲν ὑμῖν ἐστι τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ
5 οἶκος ἡμῶν ἐξηρήμωται; [5] καὶ νῦν τάδε λέγει κύριος παντοκράτωρ Τάξατε
6 δὴ καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· [6] ἐσπείρατε πολλὰ καὶ εἰςηνέγκατε
ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονήν, ἐπίετε καὶ οὐκ εἰς μέθην, περιεβά-
λεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν
7 εἰς δεσμὸν τετρυπημένον. [7] τάδε λέγει κύριος παντοκράτωρ Θέσθε τὰς καρ-
8 δίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· [8] ἀνάβητε εἰς τὸ ὄρος καὶ κόψατε ξύλα, οἰ-
κοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε
9 κύριος. [9] ἐπεβλέψατε εἰς πολλὰ καὶ ἐγένετο ὀλίγα, καὶ εἰςηνέχθη εἰς τὸν οἶκον
καὶ ἐξεφύσησα αὐτά. διὰ τοῦτο τάδε λέγει κύριος παντοκράτωρ Ἀνθ' ὧν ὁ
10 οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, [10] διὰ
τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐ-
11 τῆς· [11] καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον
καὶ ἐπὶ τὸν οἶνον καὶ ἐπὶ τὸ ἔλαιον καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς
ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐ-
12 τῶν. [12] καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ Ἰησοῦς
ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ τῆς
φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν καὶ τῶν λόγων τοῦ Ἀγγαίου τοῦ προφήτου,
καθότι ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη
13 ὁ λαὸς ἀπὸ προσώπου κυρίου. [13] καὶ εἶπεν Ἀγγαῖος ἄγγελος κυρίου ἐν ἀγγέ-
14 λοις κυρίου τῷ λαῷ Ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει κύριος. [14] καὶ ἐξήγειρε κύ-
ριος τὸ πνεῦμα Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ τὸ πνεῦμα
Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου καὶ τὸ πνεῦμα τῶν καταλοίπων
παντὸς τοῦ λαοῦ, καὶ εἰςῆλθον καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου παντο-
κράτορος θεοῦ αὐτῶν.

## II.

Τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου τῷ δευτέρῳ ἔτει ἐπὶ Δα-
ρείου τοῦ βασιλέως τῷ μηνὶ τῷ ἑβδόμῳ μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς ἐλάλησε
2 κύριος ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων [2] Εἰπὸν δὴ πρὸς Ζοροβάβελ τὸν
τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν
3 μέγαν καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων [3] Τίς ἐξ ὑμῶν ὃς
εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέ-
4 πετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; [4] καὶ νῦν κατίσχυε Ζο-
ροβάβελ, λέγει κύριος, καὶ κατίσχυε Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας,
καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει κύριος, καὶ ποιεῖτε· διότι μεθ'
5 ὑμῶν ἐγώ εἰμι, λέγει κύριος ὁ παντοκράτωρ, [5] καὶ τὸ πνεῦμά μου ἐφέστηκεν
6 ἐν μέσῳ ὑμῶν. θαρσεῖτε, [6] διότι τάδε λέγει κύριος παντοκράτωρ Ἔτι ἅπαξ He. 12,
7 ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, [7] καὶ 26.
συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν· καὶ πλήσω
8 τὸν οἶκον τοῦτον δόξης, λέγει κύριος παντοκράτωρ. [8] ἐμὸν τὸ ἀργύριον καὶ

---

2. Ουχ ηκει 4. υμιν μεν εστιν ... om υμων ... ο δε οικ. ουτος εξερημωται 5. τας καρδιας υμων 6. ab initio add διοτι ταδε λεγει κυριος παντοκρατωρ ... ed. rom. εισενεγκατε ... ·ες μεθην 8. επι το ορος ... και οικοδομησατε 9. εγενοντο 12. ο εκ φυλης ... των λογων αγγαιου 13. om εν αγγελοις κυριου 14. τα εργα II. 1. δαριου ... τω εβδομω μηνι 2. τον του ιωσεδεκ 3. ος οιδεν 4. ιησους του ιωσεδεκ (?) ... εγω μεθ υμων ... κυριος παντοχρ. 5. εμμεσω 7. συνσεισω ... πληρωσω

Digitized by Google

ἐμὸν τὸ χρυσίον, λέγει κύριος παντοκράτωρ. 9 διότι μεγάλη ἔσται ἡ δόξα 9
τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος παντοκράτωρ·
καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει κύριος παντοκράτωρ, καὶ εἰ-
ρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν
τοῦτον. 10 τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνὸς ἔτους δευτέρου ἐπὶ Δαρείου 10
ἐγένετο λόγος κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην λέγων 11 Τάδε λέγει κύ- 11
ριος παντοκράτωρ Ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον λέγων 12 Ἐὰν λάβῃ 12
ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ
ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψέματος ἢ οἴνου ἢ ἐλαίου ἢ παντὸς
βρώματος, εἰ ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπαν Οὔ. 13 καὶ 13
εἶπεν Ἀγγαῖος Ἐὰν ἅψηται μεμιασμένος ἀκάθαρτος ἐπὶ ψυχῇ ἐπὶ παντὸς
τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπαν Μιανθήσε-
ται. 14 καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ εἶπεν Οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως 14
τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ, λέγει κύριος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν
χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ, μιανθήσεται ἕνεκεν τῶν λημμάτων
αὐτῶν τῶν ὀρθρινῶν, ὀδυνηθήσονται ἀπὸ προσώπου πόνων αὐτῶν, καὶ ἐμι-
σεῖτε ἐν πύλαις ἐλέγχοντα. 15 καὶ νῦν θέσθε δὴ εἰς τὰς καρδίας ὑμῶν ἀπὸ 15
τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω, πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ
ναῷ κυρίου, 16 τίνες ἦτε, ὅτε ἐνεβάλλετε εἰς κυψέλην κριθῆς εἴκοσι σάτα, 16
καὶ ἐγένετο κριθῆς δέκα σάτα, καὶ εἰςεπορεύεσθε εἰς τὸ ὑπολήνιον ἐξαντλῆ-
σαι πεντήκοντα μετρητάς, καὶ ἐγένοντο εἴκοσι. 17 ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ 17
καὶ ἐν ἀνεμοφθορίᾳ καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν, καὶ
οὐκ ἐπεστρέψατε πρός με, λέγει κύριος. 18 ὑποτάξατε δὴ τὰς καρδίας ὑμῶν 18
ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα, ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ
ἐνάτου μηνός, καὶ ἀπὸ τῆς ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς κυρίου· θέσθε
ἐν ταῖς καρδίαις ὑμῶν, 19 εἰ ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω, καὶ εἰ ἔτι ἡ 19
ἄμπελος καὶ ἡ συκῆ καὶ ἡ ῥοὰ καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα
καρπόν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω. 20 καὶ ἐγένετο λόγος κυρίου ἐκ 20
δευτέρου πρὸς Ἀγγαῖον τὸν προφήτην τετράδι καὶ εἰκάδι τοῦ μηνὸς λέγων
21 Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα λέγων Ἐγὼ 21
σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, 22 καὶ 22
καταστρέψω θρόνους βασιλέων, καὶ ὀλοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν,
καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀναβά-
ται αὐτῶν ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ. 23 ἐν τῇ ἡμέρᾳ 23
ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ
τὸν δοῦλόν μου, λέγει κύριος, καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σὲ ᾑρέτισα,
λέγει κύριος παντοκράτωρ.

---

10. μηνι τω ενατω pro του ενατου μηνος ... δαριου 11. om δη 13. μεμιαμμενος η ακαθαρτος ψυχη επι ψυχη απο παντος 14. ελεγχοντας 15. επι τας καρδιας ... και επανω του θειναι (17. εν αφθορια) 18. ταξατε ... εθεμελιωθη 19. ει ετι επιγν. ... om ει ετι ... ταυτης και επανω ευλογησω αυτα 22. εξολεθρευσω ... post αναβατας add και καταστρεψω πασαν την δυναμιν αυτων και καταβαλω τα ορια αυτων· και ενισχυσω τους εκλεκτους μου· ... αναβησονται 23. λημψομαι ... σε εις σφραγιδα οτι σε

Subscriptio: αγγαιος ι

Digitized by Google

# ΖΑΧΑΡΙΑΣ.

## I.

Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου
2 πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἀδδὼ τὸν προφήτην λέγων [2]Ὠργίσθη
3 κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην· [3]καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε
λέγει κύριος παντοκράτωρ Ἐπιστρέψατε πρὸς μέ, λέγει κύριος τῶν δυνάμεων,
4 καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος τῶν δυνάμεων. [4]καὶ μὴ γίνεσθε
καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοῖς οἱ προφῆται ἔμπροσθεν λέ-
γοντες Τάδε λέγει κύριος παντοκράτωρ Ἀποστρέψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν
πονηρῶν καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐκ εἰςήκου-
5 σαν, καὶ οὐ προςέσχον τοῦ εἰςακοῦσαί μου, λέγει κύριος. [5]οἱ πατέρες ὑμῶν
6 ποῦ εἰσι καὶ οἱ προφῆται; μὴ τὸν αἰῶνα ζήσονται; [6]πλὴν τοὺς λόγους μου
καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δού-
λοις μου τοῖς προφήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν. καὶ ἀπεκρί-
θησαν καὶ εἶπαν Καθὼς παρατέτακται κύριος παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν
κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν
7 ἡμῖν. [7]τῇ τετράδι καὶ εἰκάδι τῷ ἑνδεκάτῳ μηνί, οὗτός ἐστιν ὁ μὴν Σαβάτ,
ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ
8 Βαραχίου υἱὸν Ἀδδὼ τὸν προφήτην λέγων [8]Ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ
ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυῤῥόν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον τῶν ὀρέων
τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ καὶ ψαροὶ καὶ ποικίλοι καὶ
9 λευκοί. [9]καὶ εἶπα Τί οὗτοι, κύριε; καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν
10 ἐμοί Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα. [10]καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς
ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπε πρὸς μέ Οὗτοί εἰσιν οὓς ἐξαπέστειλε κύριος
11 περιοδεῦσαι τὴν γῆν. [11]καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφεστῶτι ἀνὰ
μέσον τῶν ὀρέων καὶ εἶπον Περιωδεύσαμεν πᾶσαν τὴν γῆν, καὶ ἰδοὺ πᾶσα
12 ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει. [12]καὶ ἀπεκρίθη ὁ ἄγγελος κυρίου καὶ εἶπε
Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πό-
13 λεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; [13]καὶ ἀπεκρίθη κύριος
παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ ῥήματα καλὰ καὶ λόγους πα-
14 ρακλητικούς. [14]καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί Ἀνάκραγε λέ-
γων Τάδε λέγει κύριος παντοκράτωρ Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν
15 ζῆλον μέγαν, [15]καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτι-
θέμενα, ἀνθ᾽ ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά.
16 [16]διὰ τοῦτο τάδε λέγει κύριος Ἐπιστρέψω ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ, καὶ
ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει κύριος παντοκράτωρ, καὶ μέ-
17 τρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι. [17]καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λα-
λῶν ἐν ἐμοί Ἔτι ἀνάκραγε λέγων Τάδε λέγει κύριος παντοκράτωρ Ἔτι δια-
χυθήσονται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει κύριος ἔτι τὴν Σιὼν καὶ αἱρετιεῖ
18 τὴν Ἱερουσαλήμ. [18]καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ τέσσαρα

---

Inscriptio: ζαχαριας ια

I. 1. δαριου (non v. 7.) 2. πατερας ημων 3. in fine παντοκρατωρ pro των δυναμεων 4. οι εμπροσθεν ... om και ουκ εισηκουσαν 6. του ποιησαι κατα τ. οδ. υμων κ. κ. τα επ. υμων ... υμιν 8. εφ ιππον ... ιστηκει ... των δυο ορεων 10. εξαπεσταλκεν κυρ. του περ. 11. ειπαν Περιωδευκαμεν 12. ελεησεις ... υπεριδες 15. εγω μεν 16. κυριος παντοκρατωρ Επιστρ. ... εκτεθησεται 17. om Ετι primum ... αιρετιει κυριος τ. ιερ. ετι 18. τεσσερα

Digitized by Google

κέρατα. 19 καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί Τί ἐστι ταῦτα, 19
κύριε; καὶ εἶπε πρὸς μέ Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν
καὶ τὸν Ἰσραὴλ καὶ Ἱερουσαλήμ. 20 καὶ ἔδειξέ μοι κύριος τέσσαρας τέκτονας. 20
21 καὶ εἶπα Τί οὗτοι ἔρχονται ποιῆσαι; καὶ εἶπε Ταῦτα τὰ κέρατα τὰ δια- 21
σκορπίσαντα τὸν Ἰούδα καὶ τὸν Ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρε
κεφαλήν· καὶ ἐξήλθοσαν οὗτοι τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν τὰ τέσσαρα
κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν κυρίου τοῦ διασκορπί-
σαι αὐτήν.

## II.

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ ἀνὴρ καὶ ἐν τῇ χειρὶ
αὐτοῦ σχοινίον γεωμετρικόν. 2 καὶ εἶπα πρὸς αὐτόν Ποῦ σὺ πορεύῃ; καὶ εἶπε 2
πρὸς μέ Διαμετρῆσαι τὴν Ἱερουσαλήμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς
ἐστὶ καὶ πηλίκον τὸ μῆκος. 3 καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, 3
καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ, 4 καὶ εἶπε πρὸς αὐτὸν 4
λέγων Δράμε καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων Κατακάρπως
κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν ἐν μέσῳ
αὐτῆς· 5 καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ 5
εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. 6 ὦ ὦ φεύγετε ἀπὸ γῆς βορρᾶ, λέγει κύ- 6
ριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει κύριος·
7 εἰς Σιὼν ἀνασῴζεσθε οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. 8 διότι τάδε 7 8
λέγει κύριος παντοκράτωρ Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυ-
λεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ
ὀφθαλμοῦ αὐτοῦ· 9 διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ᾽ αὐτούς, καὶ 9
ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι κύριος παντοκρά-
τωρ ἀπέσταλκέ με. 10 τέρπου καὶ εὐφραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ 10
ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. 11 καὶ καταφεύξονται 11
ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν,
καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι κύριος παντοκράτωρ
ἐξαπέσταλκέ με πρὸς σέ. 12 καὶ κατακληρονομήσει κύριος τὸν Ἰούδαν, τὴν 12
μερίδα αὐτοῦ ἐπὶ τὴν ἁγίαν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ. 13 εὐλαβείσθω 13
πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

## III.

Καὶ ἔδειξέ μοι κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ
προσώπου ἀγγέλου κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀν-
ud. 9. τικεῖσθαι αὐτῷ. 2 καὶ εἶπε κύριος πρὸς τὸν διάβολον Ἐπιτιμήσαι κύριος ἐν 2
σοὶ διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ·
οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; 3 καὶ Ἰησοῦς ἦν ἐνδεδυ- 3
μένος ἱμάτια ῥυπαρά, καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου. 4 καὶ ἀπε- 4
κρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων Ἀφέλετε τὰ
ἱμάτια τὰ ῥυπαρὰ ἀπ᾽ αὐτοῦ. καὶ εἶπε πρὸς αὐτόν Ἰδοὺ ἀφήρηκα τὰς ἀνο-
μίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη, 5 καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ 5
τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐπέθηκαν κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ,
καὶ περιέβαλον αὐτὸν ἱμάτια. καὶ ὁ ἄγγελος κυρίου εἱστήκει· 6 καὶ διεμαρ- 6

---

19. om και ιερουσαλημ 21. κ. ειπεν προς με ... τον ιουδαν ... και εισηλθον ... τεσσερα ... *om τα εθνη II. 3. ιστηκει ... εις απαντησιν αυτου 4. των εμμεσω αυτης 5. φησιν κυριος ... εμμεσω αυτων 9. δουλευσασιν ... διοτι κυριος 10. om εγω ... εμμεσω 11. εμμεσω ... απεσταλκεν 12. και την μερ. α επι την γην την αγ. 13. διοτι III. 1. κυριος ιησουν ... ιστηκει ... om του 2. ουχ ιδου 3. ιστηκει 5. και περιεβ. αυτ. ιματ. και επεθηκ. κιδαρ. καθ. ε. τ. κ. αυτου ... ιστηκει

Digitized by Google

7 τύρατο ὁ ἄγγελος κυρίου πρὸς Ἰησοῦν λέγων [7] Τάδε λέγει κύριος παντοκρά-
τωρ Ἐὰν ταῖς ὁδοῖς μου πορεύῃ καὶ ἐν τοῖς προστάγμασί μου φυλάξῃ, καὶ
σὺ διακρινεῖς τὸν οἶκόν μου· καὶ ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω
8 σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων. [8] ἄκουε δὴ Ἰησοῦ ὁ
ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου, διότι
ἄνδρες τερατοσκόποι εἰσί· διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν·
9 [9] διότι ὁ λίθος ὃν ἔδωκα πρὸ προσώπου τοῦ Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα
ἑπτὰ ὀφθαλμοί εἰσιν· ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει κύριος παντοκράτωρ,
10 καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. [10] ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, συγκαλέσατε ἕκαστος τὸν πλησίον
αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς.

## IV.

Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἐξήγειρέ με ὃν τρόπον
2 ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ· [2] καὶ εἶπε πρὸς μέ Τί σὺ βλέπεις;
καὶ εἶπα Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω
αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις *Apoc 11, 4
3 τοῖς ἐπάνω αὐτῆς, [3] καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμ-
4 παδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων. [4] καὶ ἐπηρώτησα καὶ εἶπα πρὸς τὸν
5 ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ λέγων Τί ἐστι ταῦτα, κύριε; [5] καὶ ἀπεκρίθη
ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρὸς μὲ λέγων Οὐ γινώσκεις τί ἐστι
6 ταῦτα; καὶ εἶπα Οὐχὶ κύριε. [6] καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς μὲ λέγων Οὗτος
ὁ λόγος κυρίου πρὸς Ζοροβάβελ λέγων Οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ἰσχύϊ
7 ἀλλὰ ἐν πνεύματί μου, λέγει κύριος παντοκράτωρ. [7] τίς εἶ σὺ τὸ ὄρος τὸ μέγα
τὸ πρὸ προσώπου Ζοροβάβελ τοῦ κατορθῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κλη-
8 ρονομίας ἰσότητα χάριτος χάριτα αὐτῆς. [8] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ
9 λέγων [9] Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες
αὐτοῦ ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσῃ διότι κύριος παντοκράτωρ ἐξαπέ-
10 σταλκέ με πρὸς σέ. [10] διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικράς; καὶ χαροῦν-
ται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ· ἑπτὰ οὗτοι
11 ὀφθαλμοί εἰσιν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. [11] καὶ ἀπεκρίθην καὶ εἶπα *Apoc 5, 6
πρὸς αὐτόν Τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐω-
12 νύμων; [12] καὶ ἐπηρώτησα ἐκ δευτέρου καὶ εἶπα πρὸς αὐτόν Τί οἱ δύο κλά-
δοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπι-
13 χεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; [13] καὶ εἶπε πρὸς μέ
14 Οὐκ οἶδας τί ἐστι ταῦτα; καὶ εἶπα Οὐχὶ κύριε. [14] καὶ εἶπεν Οὗτοι οἱ δύο
υἱοὶ τῆς πιότητος παρεστήκασι κυρίῳ πάσης τῆς γῆς.

## V.

Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ δρέπα-
2 νον πετόμενον. [2] καὶ εἶπε πρὸς μέ Τί σὺ βλέπεις; καὶ εἶπα ἐγὼ Ὁρῶ δρέ-
3 πανον πετόμενον μήκους πήχεων εἴκοσι καὶ πλάτους πήχεων δέκα. [3] καὶ εἶπε
πρὸς μέ Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς· διότι
πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος
4 ἐκ τούτου ἐκδικηθήσεται. [4] καὶ ἐξοίσω αὐτό, λέγει κύριος παντοκράτωρ, καὶ

---

6. λεγων πρ. ιησ. 7. φυλασση ... και εαν φυλαξης και γε την ... εμμεσω 8. και οι καθημενοι προ πρ. σου 9. προσωπου ιησου IV. 2. και ειπεν (sic) Εοραχα ... επαρυστιδες 4. om λεγων 5. ειπεν omissis πρ. με λεγων 6. αλλ η εν 9. επιτελουσιν ... εξαπεστειλεν 10. χαρησονται ... εισιν κυριου οι 14. τω κυριω V. 2. ειπα Ορω εγω ... μηκος ... πλατος 3. επι προσωπου ... ante εκδικηθησεται sec. add εως θανατου 4. **εξοισω αυτα

Digitized by Google

εἰςελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ
ὀνόματί μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συν-
τελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ. [5]καὶ ἐξῆλθεν ὁ 5
ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός μέ Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου
καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο. [6]καὶ εἶπα Τί ἐστι; καὶ εἶπε Τοῦτο τὸ μέτρον 6
τὸ ἐκπορευόμενον. καὶ εἶπεν Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. [7]καὶ 7
ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον· καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ
τοῦ μέτρου. [8]καὶ εἶπεν Αὕτη ἐστὶν ἡ ἀνομία· καὶ ἔῤῥιψεν αὐτὴν εἰς μέσον 8
τοῦ μέτρου, καὶ ἔῤῥιψε τὸν λίθον τοῦ μολίβου εἰς τὸ στόμα αὐτῆς. [9]καὶ ἦρα 9
τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ
πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ἔποπος, καὶ ἀνέ-
λαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. [10]καὶ εἶπα 10
πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί Ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον;
[11]καὶ εἶπε πρός με Οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος καὶ ἑτοι- 11
μάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

## VI.

Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ τέσ-
*Apoc. σαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ.
6, 2 sqq. [2]ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοί, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπ- 2
ποι μέλανες, [3]καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί, καὶ ἐν τῷ ἅρματι 3
τῷ τετάρτῳ ἵπποι ποικίλοι ψαροί. [4]καὶ ἀπεκρίθην καὶ εἶπα πρὸς τὸν ἄγγε- 4
λον τὸν λαλοῦντα ἐν ἐμοί Τί ἐστι ταῦτα, κύριε; [5]καὶ ἀπεκρίθη ὁ ἄγγελος 5
ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε Ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, ἐκ-
πορεύονται παραστῆναι τῷ κυρίῳ πάσης τῆς γῆς. [6]ἐν ᾧ ἦσαν ἵπποι οἱ μέ- 6
λανες, ἐξεπορεύοντο ἐπὶ γῆν βοῤῥᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν
αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου, [7]καὶ οἱ ψαροὶ ἐξε- 7
πορεύοντο καὶ ἐπέβλεπον τοῦ πορεύεσθαι τοῦ περιοδεῦσαι τὴν γῆν. καὶ εἶπε
Πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· καὶ περιώδευσαν τὴν γῆν. [8]καὶ ἀνε- 8
βόησε καὶ ἐλάλησε πρὸς μὲ λέγων Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ,
καὶ ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βοῤῥᾶ. [9]καὶ ἐγένετο λόγος κυρίου πρὸς 9
μὲ λέγων [10]Λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ 10
τῶν χρησίμων αὐτῆς καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτήν, καὶ εἰςελεύσῃ σὺ
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου τοῦ Σοφονίου τοῦ ἥκοντος ἐκ
Βαβυλῶνος, [11]καὶ λήψῃ ἀργύριον καὶ χρυσίον καὶ ποιήσεις στεφάνους, 11
καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγά-
λου, [12]καὶ ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος παντοκράτωρ Ἰδοὺ ἀνήρ, 12
Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν
οἶκον κυρίου· [13]καὶ αὐτὸς λήψεται ἀρετήν, καὶ καθιεῖται καὶ κατάρξει ἐπὶ 13
τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ
ἔσται ἀνὰ μέσον ἀμφοτέρων. [14]ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι καὶ 14
τοῖς χρησίμοις αὐτῆς καὶ τοῖς ἐπεγνωκόσιν αὐτήν, καὶ εἰς χάριτα υἱοῦ Σο-
φονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ κυρίου. [15]καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι 15
καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ κυρίου, καὶ γνώσεσθε διότι κύριος παντο-
κράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς· καὶ ἔσται ἐὰν εἰςακούοντες εἰςακούσητε
τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.

---

4. εισελευσομαι ... εμμεσω 7. μολιβου ... εμμεσω του ταλαντου 8. εμμεσω του μετρου 9. πτερυγας ως πτερυγας εποπος VI. 1. τεσσερα 2. πυροι 5. ειπεν Ουτοι εισιν οι 6. οι ιπποι οι 7. του πορευεσθαι και περιοδευσαι 8. βορρα, ανεπαυσαν 10. αυτων pro αυτην 11. λημψη 13. λημψεται ... ο ιερευς 14. τοις υπομεν. αυτον ... χαρ. τοις υιοις σοφονιου 15. και επιγνωσεσθ.

Digitized by Google

## VII.

Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐγένετο λό-
γος κυρίου πρὸς Ζαχαρίαν, τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου ὅς ἐστι Χασελεῦ·
2 [2] καὶ ἐξαπέστειλεν εἰς Βαιθὴλ Σαρασὰρ καὶ Ἀρβεσεὲρ ὁ βασιλεὺς καὶ οἱ
3 ἄνδρες αὐτοῦ ἐξιλάσασθαι τὸν κύριον, [3] λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ
οἴκῳ κυρίου παντοκράτορος καὶ πρὸς τοὺς προφήτας, λέγων Εἰςελήλυθεν
ὧδε ἐν τῷ μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα, καθότι ἐποίησεν ἤδη ἱκανὰ ἔτη.
4 5 [4] καὶ ἐγένετο λόγος κυρίου τῶν δυνάμεων πρὸς ἐμὲ λέγων [5] Εἰπὸν πρὸς
ἅπαντα τὸν λαὸν τῆς γῆς καὶ πρὸς τοὺς ἱερεῖς λέγων Ἐὰν νηστεύσητε ἢ
κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ ἑβδομήκοντα ἔτη
6 μὴ νηστείαν νενηστεύκατέ μοι; [6] καὶ ἐὰν φάγητε ἢ πίητε, οὐχ ὑμεῖς ἐσθίετε
7 καὶ πίνετε; [7] οὐχ οὗτοι οἱ λόγοι οὓς ἐλάλησε κύριος ἐν χερσὶ τῶν προφητῶν
τῶν ἔμπροσθεν, ὅτε ἦν Ἱερουσαλὴμ κατοικουμένη καὶ εὐθηνοῦσα, καὶ αἱ
8 πόλεις κυκλόθεν αὐτῆς, καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο; [8] καὶ ἐγέ-
9 νετο λόγος κυρίου πρὸς Ζαχαρίαν λέγων [9] Τάδε λέγει κύριος παντοκράτωρ
Κρίμα δίκαιον κρίνετε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν
10 ἀδελφὸν αὐτοῦ, [10] καὶ χήραν καὶ ὀρφανὸν καὶ προςήλυτον καὶ πένητα μὴ
καταδυναστεύετε, καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω
11 ἐν ταῖς καρδίαις ὑμῶν. [11] καὶ ἠπείθησαν τοῦ προςέχειν, καὶ ἔδωκαν νῶτον
12 παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰςακούειν, [12] καὶ τὴν
καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰςακούειν τοῦ νόμου μου καὶ τοὺς
λόγους οὓς ἐξαπέστειλε κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν
προφητῶν τῶν ἔμπροσθεν· καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου παντοκρά-
13 τορος. [13] καὶ ἔσται ὃν τρόπον εἶπε καὶ οὐκ εἰςήκουσαν, οὕτως κεκράξονται
14 καὶ οὐ μὴ εἰςακούσω, λέγει κύριος παντοκράτωρ. [14] καὶ ἐκβαλῶ αὐτοὺς εἰς
πάντα τὰ ἔθνη ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν
ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέφοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφα-
νισμόν.

## VIII.

2 Καὶ ἐγένετο λόγος κυρίου παντοκράτορος λέγων [2] Τάδε λέγει κύριος
παντοκράτωρ Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ
3 θυμῷ μεγάλῳ ἐζήλωκα αὐτήν. [3] τάδε λέγει κύριος Ἐπιστρέψω ἐπὶ Σιών,
καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ κληθήσεται ἡ Ἱερουσαλὴμ πό-
4 λις ἀληθινή, καὶ τὸ ὄρος κυρίου παντοκράτορος ὄρος ἅγιον. [4] τάδε λέγει κύ-
ριος παντοκράτωρ Ἔτι καθήσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς
πλατείαις Ἱερουσαλήμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ
5 ἀπὸ πλήθους ἡμερῶν· [5] καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδα-
6 ρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. [6] τάδε λέγει κύριος
παντοκράτωρ Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν
ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιον μου ἀδυνατήσει; λέγει κύριος παν-
7 τοκράτωρ. [7] τάδε λέγει κύριος παντοκράτωρ Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου
8 ἀπὸ γῆς ἀνατολῶν καὶ ἀπὸ γῆς δυσμῶν, [8] καὶ εἰςάξω αὐτοὺς καὶ κατα-

---

VII. 1. δαριου ... τη τετραδι και εικαδι του μηνος του ενατου 2. αρβεσεσερ ... του εξιλασασθαι 3. Ει εισεληλυθεν ωδε το αγιασμα εν τω μηνι τω πεμπτω ... εποιησαν 4. προς με 5. Ειπε πρ. παντα 6. φαγητε και πιητε· ουχ υμ. εσθιετε και υμεις πινετε 7. λογοι εισιν ... αι πολ. αυτων κυκλοθεν, και 9. κρινατε 12. ειςακουσαι ... ορμη μεγαλη 13. ειςηκουσαν αυτου ... ειςακουσω αυτων VIII. 2. εζηλωσα bis 3. Και επιστρεψω ... εμμεσω ... om η 4. om τη 6. Διοτι ει αδυνατησει ... ενωπ. εμου 7. ανασωζω

Digitized by Google

σκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ ἔσονται ἐμοὶ εἰς λαὸν κἀγὼ ἔσομαι
αὐτοῖς εἰς θεὸν ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ. [9] τάδε λέγει κύριος παντο- 9
κράτωρ Κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύ-
ταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τε-
θεμελίωται ὁ οἶκος κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται.
[10] διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἔσται εἰς 10
ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τῷ ἐκπορευομένῳ καὶ τῷ
εἰςπορευομένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως· καὶ ἐξαποστελῶ πάντας
τοὺς ἀνθρώπους ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. [11] καὶ νῦν οὐ κατὰ τὰς ἡμέ- 11
ρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει κύ-
ριος παντοκράτωρ, [12] ἀλλ' ἢ δείξω εἰρήνην· ἡ ἄμπελος δώσει τὸν καρπὸν 12
αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρό-
σον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου τούτου
ταῦτα πάντα. [13] καὶ ἔσται ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν ὁ οἶκος 13
Ἰούδα καὶ οἶκος Ἰσραήλ, οὕτως διασώσω ὑμᾶς καὶ ἔσεσθε ἐν εὐλογίᾳ· θαρ-
σεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. [14] διότι τάδε λέγει κύριος παντο- 14
κράτωρ Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς
πατέρας ὑμῶν, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα, [15] οὕτως παρα- 15
τέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι τὴν
Ἱερουσαλὴμ καὶ τὸν οἶκον Ἰούδα· θαρσεῖτε. [16] οὗτοι οἱ λόγοι οὓς ποιήσετε· 16
λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρίμα εἰρη-
νικὸν κρίνατε ἐν ταῖς πύλαις ὑμῶν, [17] καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον 17
αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε·
διότι ταῦτα πάντα ἐμίσησα, λέγει κύριος παντοκράτωρ. [18] καὶ ἐγένετο λόγος 18
κυρίου παντοκράτορος πρὸς μὲ λέγων [19] Τάδε λέγει κύριος παντοκράτωρ Νη- 19
στεία ἡ τετρὰς καὶ νηστεία ἡ πέμπτη καὶ νηστεία ἡ ἑβδόμη καὶ νηστεία ἡ
δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εὐφροσύνην καὶ εἰς ἑορτὰς
ἀγαθάς, καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε.
[20] τάδε λέγει κύριος παντοκράτωρ Ἔτι ἥξουσι λαοὶ πολλοὶ καὶ κατοικοῦντες 20
πόλεις πολλάς, [21] καὶ συνελεύσονται κατοικοῦντες πέντε πόλεις εἰς μίαν πό- 21
λιν, λέγοντες Πορευθῶμεν δεηθῆναι τοῦ προςώπου κυρίου καὶ ἐκζητῆσαι τὸ
πρόςωπον κυρίου παντοκράτορος, πορεύσομαι κἀγώ· [22] καὶ ἥξουσι λαοὶ πολ- 22
λοὶ καὶ ἔθνη πολλὰ ἐκζητῆσαι τὸ πρόςωπον κυρίου παντοκράτορος ἐν Ἱερου-
σαλὴμ καὶ ἐξιλάσασθαι τὸ πρόςωπον κυρίου. [23] τάδε λέγει κύριος παντοκράτωρ 23
Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐὰν ἐπιλάβωνται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσ-
σῶν τῶν ἐθνῶν, καὶ ἐπιλάβωνται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου, λέγοντες
Πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ θεὸς μεθ' ὑμῶν ἐστίν.

## IX.

Λῆμμα λόγου κυρίου ἐν γῇ Σεδρὰχ καὶ Δαμασκοῦ θυσία αὐτοῦ, διότι
κύριος ἐφορᾷ ἀνθρώπους καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ. [2] καὶ ἐν Ἡμὰθ ἐν 2
τοῖς ὁρίοις αὐτῆς Τύρος καὶ Σιδών, διότι ἐφρόνησαν σφόδρα· [3] καὶ ᾠκοδό- 3
μησε Τύρος ὀχυρώματα αὐτῇ, καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ συνή-
γαγε χρυσίον ὡς πηλὸν ὁδῶν. [4] καὶ διὰ τοῦτο κύριος κληρονομήσει αὐτούς, 4
καὶ πατάξει εἰς θάλασσαν δύναμιν αὐτῆς, καὶ αὕτη ἐν πυρὶ καταναλωθήσεται.

---

8. εμμεσω ... μοι ε. λ. και εγω 10. υπαρχει 12. γενηματα ... του λαου μου παντα ταυτα 13. εθνεσιν οικος ιουδ. κ. ο οικ. 16. om αληθειαν sec. ... κριμα δικαιον κρινετε 17. παντα ταυτα 19. και εις ευφροσυνην 21. εις πολιν μιαν ... ed. rom. παντοκρατορος. πορ. καγω. 22. και του εξιλασκεσθε 23. οτι θεος μετα σου εστιν IX. 1. σεδραχ 2. και ημαθ 3. **εαυτη 4. om και prim. ... κληρονομησει αυτην κ. καταξει ε. θ. την δυν. αυτ.



Digitized by Google

5 [5] ὄψεται Ἀσκάλων καὶ φοβηθήσεται, καὶ Γάζα καὶ ὀδυνηθήσεται σφόδρα,
καὶ Ἀκκάρων, ὅτι ἠσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βα-
6 σιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ. [6] καὶ κατοικήσουσιν ἀλλο-
7 γενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων, [7] καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν
ἐκ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν·
καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος ἐν
8 Ἰούδᾳ, καὶ Ἀκκαρὼν ὡς ὁ Ἰεβουσαῖος· [8] καὶ ὑποστήσομαι τῷ οἴκῳ μου
ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ'
9 αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου. [9] χαῖρε
σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς ἔρ- Mt. 21, 5.
χεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ Jo. 12, 15.
10 πῶλον νέον. [10] καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ καὶ ἵππον ἐξ Ἱερουσα-
λήμ, καὶ ἐξολοθρεύσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν·
11 καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης καὶ ποταμῶν διεκβολὰς γῆς. [11] καὶ σὺ
ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος
12 ὕδωρ. [12] καθήσεσθε ἐν ὀχυρώμασι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς
13 ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι· [13] διότι ἐνέτεινά σε Ἰούδα
ἐμαυτῷ τόξον, ἔπλησα τὸν Ἐφραΐμ, καὶ ἐξεγερῶ τὰ τέκνα σου Σιὼν ἐπὶ τὰ
14 τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ· [14] καὶ κύριος
ἔσται ἐπ' αὐτούς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολίς, καὶ κύριος παντοκρά-
15 τωρ ἐν σάλπιγγι σαλπιεῖ καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. [15] κύριος
παντοκράτωρ ὑπερασπιεῖ αὐτούς· καὶ καταναλώσουσιν αὐτούς, καὶ καταχώ-
σουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται αὐτοὺς ὡς οἶνον, καὶ πλή-
16 σουσι τὰς φιάλας ὡς θυσιαστήριον. [16] καὶ σώσει αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα λαὸν αὐτοῦ, διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ
17 γῆς αὐτοῦ. [17] ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ, καὶ εἴ τι καλὸν αὐτοῦ, σῖτος νεανί-
σκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

## X.

Αἰτεῖσθε παρὰ κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον καὶ ὄψιμον· κύριος
ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν
2 ἀγρῷ. [2] διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις
ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν· διὰ τοῦτο ἐξη-
3 ράνθησαν ὡς πρόβατα, καὶ ἐκακώθησαν διότι οὐκ ἦν ἴασις. [3] ἐπὶ τοὺς ποι-
μένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι· καὶ ἐπι-
σκέψεται κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον Ἰούδα,
4 καὶ τάξει αὐτοὺς ὡς ἵππον εὐπρεπῆ αὐτοῦ ἐν πολέμῳ. [4] καὶ ἀπ' αὐτοῦ ἐπέ-
βλεψε, καὶ ἀπ' αὐτοῦ ἔταξε, καὶ ἀπ' αὐτοῦ τόξον ἐν θυμῷ· ἀπ' αὐτοῦ
5 ἐξελεύσεται πᾶς ὁ ἐξελαύνων ἐν τῷ αὐτῷ. [5] καὶ ἔσονται ὡς μαχηταὶ πατοῦν-
τες πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ, καὶ παρατάξονται, διότι κύριος μετ'
6 αὐτῶν· καὶ καταισχυνθήσονται ἀναβάται ἵππων. [6] καὶ κατισχύσω τὸν οἶκον
Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ αὐτούς, ὅτι ἠγάπησα αὐ-
τούς, καὶ ἔσονται ὃν τρόπον οὐκ ἀπεστρεψάμην αὐτούς· διότι ἐγὼ κύριος ὁ

---

5. ησχυνθ. απο της ελπιδος αυτης· κ. απ. βασιλεια απο γαζης 7. τα βδελ. αυτου 8. αναστεμα ... εωρακα τοις 9. ο βασ. σου 10. εξολεθρευσει ... εξολεθρευθησεται 11. om σου prius ... τους δεσμ. σου 12. και θησονται εν οχυρωματι 13. εις τοξον ... επεγερω 14. και εσται κυριος ... πορευσονται 15. υπερασπ. αυτων ... καταναλωσωσιν ... εκπιοντ. τα αιμα αυτων ως οι. και πλ. ως φιαλας θυσιαστηριον 16. om ο θεος αυτων ... επι της γ. α. 17. καλον παρ αυτου X. 1. υετον παρα κυριου 2. οτι ουκ ην 3. και επισκεπτεται κυριος 4. κ. εξ αυτ. επεβλ. κ. εξ α. ετ. κ. εξ α. το τοξ. ε. θυμω· εξ ... ελαυνων 5. κυριος παντοκρατωρ 6. ηγαπηκα ... και εσται ον τρ.

Digitized by Google

θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτοῖς. [7]καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφραίμ, 7
καὶ χαρήσεται ἡ καρδία αὐτῶν ὡς ἐν οἴνῳ· καὶ τὰ τέκνα αὐτῶν ὄψονται καὶ
εὐφρανθήσονται, καὶ χαρεῖται ἡ καρδία αὐτῶν ἐπὶ τῷ κυρίῳ. [8]σημανῶ αὐ- 8
τοῖς καὶ εἰςδέξομαι αὐτούς, διότι λυτρώσομαι αὐτούς, καὶ πληθυνθήσονται
καθότι ἦσαν πολλοί· [9]καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν μνησθή- 9
σονταί μου, ἐκθρέψουσι τὰ τέκνα αὐτῶν καὶ ἐπιστρέψουσι. [10]καὶ ἐπιστρέψω 10
αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ Ἀσσυρίων εἰςδέξομαι αὐτούς, καὶ εἰς τὴν
Γαλααδῖτιν καὶ εἰς τὸν Λίβανον εἰςάξω αὐτούς, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ
αὐτῶν οὐδὲ εἷς· [11]καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ, καὶ πατάξουσιν ἐν 11
θαλάσσῃ κύματα, καὶ ξηρανθήσεται πάντα τὰ βάθη ποταμῶν, καὶ ἀφαιρε-
θήσεται πᾶσα ὕβρις Ἀσσυρίων, καὶ σκῆπτρον Αἰγύπτου περιαιρεθήσεται. [12]καὶ 12
κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυ-
χήσονται, λέγει κύριος.

## XI.

Διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους
σου· [2]ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐτα- 2
λαιπώρησαν· ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ
σύμφυτος. [3]φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη 3
αὐτῶν· φωνὴ ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορ-
δάνου. [4]τάδε λέγει κύριος παντοκράτωρ Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς, 4
[5]ἃ οἱ κτησάμενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο, καὶ οἱ πωλοῦντες αὐτὰ 5
ἔλεγον Εὐλογητὸς κύριος, καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμένες αὐτῶν οὐκ
ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. [6]διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοι- 6
κοῦντας τὴν γῆν, λέγει κύριος· καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους,
ἕκαστον εἰς χεῖρα τοῦ πλησίον αὐτοῦ καὶ εἰς χεῖρα βασιλέως αὐτοῦ, καὶ κατα-
κόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν. [7]καὶ ποιμανῶ τὰ 7
πρόβατα τῆς σφαγῆς εἰς τὴν Χαναανῖτιν· καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους,
τὴν μὲν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα, καὶ ποι-
μανῶ τὰ πρόβατα. [8]καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί, καὶ βαρυν- 8
θήσεται ἡ ψυχή μου ἐπ' αὐτούς, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ'
ἐμέ. [9]καὶ εἶπα Οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκ- 9
λεῖπον ἐκλιπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτωσαν ἕκαστος τὰς σάρκας τοῦ
πλησίον αὐτοῦ. [10]καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλήν, καὶ ἀποῤῥίψω 10
αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου ἣν διεθέμην πρὸς πάντας τοὺς
λαούς· [11]καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χα- 11
ναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι διότι λόγος κυρίου ἐστί. [12]καὶ ἐρῶ 12
πρὸς αὐτούς Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστί, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε·
Mt. 26, 15. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. [13]καὶ εἶπε κύριος πρὸς μέ 13
Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον
Mt. 27, 9. 10. ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς καὶ ἐνέβαλον
αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον. [14]καὶ ἀπέῤῥιψα τὴν ῥάβδον 14
τὴν δευτέραν, τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν κατάσχεσιν ἀνὰ μέσον
Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. [15]καὶ εἶπε κύριος πρὸς μέ Ἔτι λάβε σεαυτῷ 15
σκεύη ποιμενικὰ ποιμένος ἀπείρου. [16]διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ 16

7. οψεται κ. ευφρανθησεται ... αυτων η καρδια 8. *om διοτι λυτρ. αυτους, **add ante και ειςδεξ. α. 9. αυτ. εν αλληλοις ... και εκθρεψ. 11. ξηρανθησονται XI. 6. κυριος παντοκρατωρ ... εξελουμαι 7. χανανιτιν ... λημψομαι ... την μιαν 9. εκλειπετω 10. λημψομαι 11. διασκεδασθησονται ... om μοι 12. δοτε στησαντες τον 13. και σκεψαι αυτο ει ... εις οικον 14. διασχ. την διαθηκην μου ανα ... του ισραηλ 15. σκευος ποιμαινος απειρου ποιμαινικα

τὴν γῆν, τὸ ἐκλιμπάνον οὐ μὴ ἐπισκέψηται, καὶ τὸ ἐσκορπισμένον οὐ μὴ
ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ κατευ-
θύνῃ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν
17 ἐκστρέψει. [17] ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καταλελοιπότες τὰ πρόβατα·
μάχαιρα ἐπὶ τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ·
ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ
ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

## XII.

Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραήλ, λέγει κύριος, ἐκτείνων οὐρανόν,
2 καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. [2] Ἰδοὺ ἐγὼ τί-
θημι τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ
3 ἐν τῇ Ἰουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλήμ. [3] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι·
πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ'
4 αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς. [4] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντο-
κράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παρα-
φρονήσει, ἐπὶ δὲ τὸν οἶκον Ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας
5 τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. [5] καὶ ἐροῦσιν οἱ χιλίαρχοι
Ἰούδα ἐν ταῖς καρδίαις αὐτῶν Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἱερου-
6 σαλὴμ ἐν κυρίῳ παντοκράτορι θεῷ αὐτῶν. [6] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι
τοὺς χιλιάρχους Ἰούδα ὡς δαλὸν πυρὸς ἐν ξύλοις, καὶ ὡς λαμπάδα πυρὸς ἐν
καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς
7 κυκλόθεν, καὶ κατοικήσει Ἱερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἱερουσαλήμ. [7] καὶ
σώσει κύριος τὰ σκηνώματα Ἰούδα καθὼς ἀπ' ἀρχῆς, ὅπως μὴ μεγαλύνηται
καύχημα οἴκου Δαυὶδ καὶ ἔπαρσις τῶν κατοικούντων Ἱερουσαλὴμ ἐπὶ τὸν
8 Ἰούδα. [8] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ κύριος ὑπὲρ τῶν κατοι-
κούντων Ἱερουσαλήμ· καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
ὡς Δαυίδ, ὁ δὲ οἶκος Δαυὶδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος κυρίου ἐνώπιον αὐ-
9 τῶν. [9] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχό-
10 μενα ἐπὶ Ἱερουσαλήμ, [10] καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυὶδ καὶ ἐπὶ τοὺς κατοι-
κοῦντας Ἱερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ· καὶ ἐπιβλέψονται πρὸς Jo. 19,
μὲ ἀνθ' ὧν κατωρχήσαντο, καὶ κόψονται ἐπ' αὐτὸν κοπετὸν ὡς ἐπ' ἀγα- 37. *Ap. 1, 7.
11 πητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ τῷ πρωτοτόκῳ. [11] ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν Ἱερουσαλὴμ ὡς κοπετὸς ῥοῶνος ἐν
12 πεδίῳ ἐκκοπτομένου, [12] καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυλάς· φυλὴ οἴκου
Δαυὶδ καθ' ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Νάθαν
13 καθ' ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· [13] φυλὴ οἴκου Λευὶ καθ'
ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ τοῦ Συμεὼν καθ' ἑαυ-
14 τήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. [14] πᾶσαι αἱ ὑπολελειμμέναι φυλαί,
φυλὴ καθ' ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.

---

16. το διεσκορπισμενον ... εκτριψει 17. και οι καταλελοιποτες ... ο οφθ. αυτ. ο δεξ. XII. 1. πνευμα αυτου εν 2. και εσται περ. 6. om in fine εν ιερουσαλημ 7. και δωσει κυριος ... επαρξεις ... ιουδαν 8. ως οικος δαυιδ omissis ο δε οικ. δαυιδ 9. του εξαραι ... επερχομενα 10. επ αυτους κοπετον ως επ αγαπητον ... om τω 12. post φυλας φυλας add φυλη φυλη καθ εαυτην· και αι γυναικες αυτων καθ εαυτας ... pro δαυιδ *habuisse vdtr ναθαν 13. λευει 14. πασαι αι φυλαι αι υπολελ.

Digitized by Google

## XIII.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ Δαυὶδ καὶ
τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εἰς τὴν μετακίνησιν καὶ εἰς τὸν χωρισμόν [2] καὶ 2
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος Σαβαώθ, ἐξολοθρεύσω τὰ ὀνόματα
τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔτι αὐτῶν ἔσται μνεία· καὶ τοὺς ψευ-
δοπροφήτας καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς. [3] καὶ ἔσται 3
ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι, καὶ ἐρεῖ πρὸς αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ
μήτηρ αὐτοῦ, οἱ γεννήσαντες αὐτόν Οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐπ᾽ ὀνό-
ματι κυρίου· καὶ συμποδιοῦσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οἱ
γεννήσαντες αὐτόν, ἐν τῷ προφητεύειν αὐτόν. [4] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 4
καταισχυνθήσονται οἱ προφῆται, ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ ἐν τῷ προ-
φητεύειν αὐτόν, καὶ ἐνδύσονται δέῤῥιν τριχίνην ἀνθ᾽ ὧν ἐψεύσαντο. [5] καὶ ἐρεῖ 5
Οὐκ εἰμὶ προφήτης ἐγώ, διότι ἄνθρωπος ἐργαζόμενος τὴν γῆν ἐγώ εἰμι,
ὅτι ἄνθρωπος ἐγέννησέ με ἐκ νεότητός μου. [6] καὶ ἐρῶ πρὸς αὐτόν Τί αἱ 6
πληγαὶ αὗται ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρεῖ Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ
τῷ ἀγαπητῷ μου. [7] ῥομφαία ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας μου καὶ ἐπὶ ἄνδρα 7
Mt. 26, 31. πολίτην μου, λέγει κύριος παντοκράτωρ, πατάξατε τοὺς ποιμένας καὶ ἐκσπά-
Mc. 14, 27. σατε τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς μικρούς. [8] καὶ ἔσται 8
ἐν πάσῃ τῇ γῇ, λέγει κύριος, τὰ δύο μέρη αὐτῆς ἐξολοθρευθήσεται καὶ ἐκ-
λείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ· [9] καὶ διάξω τὸ τρίτον διὰ πυ- 9
ρός, καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς
ὡς δοκιμάζεται τὸ χρυσίον· αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, κἀγὼ ἐπα-
κούσομαι αὐτῷ, καὶ ἐρῶ Λαός μου οὗτός ἐστι, καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ
θεός μου.

## XIV.

Ἰδοὺ ἡμέραι ἔρχονται κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν
σοί· [2] καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώ- 2
σεται ἡ πόλις καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται,
καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ
λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. [3] καὶ ἐξελεύσεται κύριος καὶ 3
παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν
ἡμέρᾳ πολέμου. [4] καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ 4
ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν· καὶ σχισθήσεται τὸ
ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος μέγα
σφόδρα· καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βοῤῥᾶν, καὶ τὸ ἥμισυ αὐ-
τοῦ πρὸς νότον· [5] καὶ φραχθήσεται ἡ φάραγξ τῶν ὀρέων μου, καὶ ἐγκολλη- 5
θήσεται φάραγξ ὀρέων ἕως Ἰασόδ, καὶ ἐμφραχθήσεται καθὼς ἐνεφράγη ἐν
ταῖς ἡμέραις τοῦ συσσεισμοῦ, ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα· καὶ ἥξει
κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ. [6] καὶ ἔσται ἐν ἐκείνῃ τῇ 6
ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψύχη καὶ πάγος [7] ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα 7

---

XIII. 1. εν τω οικω ... ραντισμον pro χωρισμον 2. om σαβαωθ ... εξολεθρευσω ... εσται αυτων 3. ante ου ζηση add εν τω προφητευειν αυτον ... εν ονοματι 5. ab ανθρωπος ad ανθρωπος transilit 6. του αγαπητου μου 7. επι τον ποιμαινα μου κ. επ ανδρα πολ. αυτου ... παταξον τον ποιμενα· και διασκορπισθησονται τα πρ. της ποιμνης ... ποιμενας pro μικρους 8. και εσται εν τη ημερα εκεινη λεγει κυριος ... εξολεθρευθησεται 9. και εγω επακ. XIV. 1. του κυριου 2. εξολεθρευθωσιν 3. καθως ημεραι 4. ab ελαιων ad ελαιων transilit ... ανατολας, και το ημισυ αυτου προς θαλασσαν ... προς βορραν 5. και εμφραχθησεται φαραγξ ορεων μου ... ορεων εως ασαηλ ... om και εμφραχθησεται ... του σεισμου 6. om και εσται ab initio ... ψυχος 7. εσται μια ημερα

ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται
8 φῶς. [8] καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ
αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν
9 τὴν ἐσχάτην, καὶ ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. [9] καὶ ἔσται κύριος εἰς
βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ
10 ὄνομα αὐτοῦ ἕν, [10] κυκλῶν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον ἀπὸ Γαβὲ ἕως
Ῥεμμὼν κατὰ νότον Ἱερουσαλήμ. Ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, ἀπὸ τῆς πύλης
Βενιαμὶν ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τῶν γωνιῶν
11 καὶ ἕως τοῦ πύργου Ἀναμεήλ, ἕως τῶν ὑποληνίων τοῦ βασιλέως [11] κατοική-
σουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει Ἱερουσαλὴμ πε-
12 ποιθότως. [12] καὶ αὕτη ἔσται ἡ πτῶσις ἣν κόψει κύριος πάντας τοὺς λαοὺς
ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλήμ· τακήσονται αἱ σάρκες αὐτῶν ἑστηκότων
ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ῥυήσονται ἐκ τῶν ὀπῶν αὐ-
13 τῶν, καὶ ἡ γλῶσσα αὐτῶν τακήσεται ἐν τῷ στόματι αὐτῶν. [13] καὶ ἔσται ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις κυρίου μεγάλη ἐπ᾽ αὐτούς· καὶ ἐπιλήψονται ἕκα-
στος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς
14 τὴν χεῖρα τοῦ πλησίον αὐτοῦ. [14] καὶ Ἰούδας παρατάξεται ἐν Ἱερουσαλήμ,
καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον καὶ ἀργύριον καὶ
15 ἱματισμὸν εἰς πλῆθος σφόδρα. [15] καὶ αὕτη ἔσται ἡ πτῶσις τῶν ἵππων καὶ
τῶν ἡμιόνων καὶ τῶν καμήλων καὶ τῶν ὄνων καὶ πάντων τῶν κτηνῶν τῶν
16 ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκείναις, κατὰ τὴν πτῶσιν ταύτην. [16] καὶ ἔσται
ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσα-
λήμ, καὶ ἀναβήσονται κατ᾽ ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παν-
17 τοκράτορι καὶ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας. [17] καὶ ἔσται ὅσοι
ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ τοῦ προσ-
κυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ οὗτοι ἐκείνοις προστεθήσονται.
18 [18] ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ μηδὲ ἔλθῃ, καὶ ἐπὶ τούτους ἔσται ἡ
πτῶσις ἣν πατάξει κύριος πάντα τὰ ἔθνη ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι
19 τὴν ἑορτὴν τῆς σκηνοπηγίας. [19] αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου καὶ ἡ ἁμαρ-
τία πάντων τῶν ἐθνῶν, ὃς ἂν μὴ ἀναβῇ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπη-
20 γίας. [20] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ
κυρίῳ παντοκράτορι· καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ κυρίου ὡς φιάλαι
21 πρὸ προσώπου τοῦ θυσιαστηρίου· [21] καὶ ἔσται πᾶς λέβης ἐν Ἱερουσαλὴμ καὶ
ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ κυρίῳ παντοκράτορι· καὶ ἥξουσι πάντες οἱ θυσιάζον-
τες καὶ λήψονται ἐξ αὐτῶν καὶ ἑψήσουσιν ἐν αὐτοῖς, καὶ οὐκ ἔσται Χανα-
ναῖος ἔτι ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

---

7. νυξ, προς 8. αερει 10. κυκλουν ... γαβεε ... βενιαμειν εως της πυλης της ... και εως των υποληνιων 11. κατοικουσιν ε. α. και ουκ εσται α. ετι 12. post εστηκοτων add αυτων ... απο των οπων 13. επ αυτους μεγαλη ... επιλημψεται ... συνπλακησεται ... προς χειρα 14. και ο ιουδας 15. om και ab initio 16. οσοι αν καταλημφθωσιν ... εορταζειν 17. αναβωσιν εκει 18. ελθη εκει, επι τουτοις εσται ... ην κυριος παταξει κυριος (sic) ... οσα εαν 19. αυτη εστιν ... οσα εαν μη α. του εορτ. 20. οι λεβ. οι εν 21. αγιον ... λημψονται ... χαναν. ουκετι

Subscriptio: ζαχαριας ια

Digitized by Google

# ΜΑΛΑΧΙΑΣ.

## I.

Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ· θέσθε δὴ
ἐπὶ τὰς καρδίας ὑμῶν. [2] ἠγάπησα ὑμᾶς, λέγει κύριος· καὶ εἴπατε Ἐν τίνι 2
ἠγάπησας ἡμᾶς; οὐκ ἀδελφὸς ἦν Ἡσαῦ τοῦ Ἰακώβ, λέγει κύριος, καὶ ἠγά-
Ro. 9, πησα τὸν Ἰακώβ, [3] τὸν δὲ Ἡσαῦ ἐμίσησα, καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς 3
13. ἀφανισμὸν καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου; [4] διότι ἐρεῖ Ἡ 4
Ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοικοδομήσωμεν τὰς ἐρή-
μους. τάδε λέγει κύριος παντοκράτωρ Αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ κατα-
στρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέ-
τακται κύριος ἕως αἰῶνος. [5] καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε 5
Ἐμεγαλύνθη κύριος ὑπεράνω τῶν ὁρίων τοῦ Ἰσραήλ. [6] υἱὸς δοξάζει πατέρα, 6
καὶ δοῦλος τὸν κύριον ἑαυτοῦ. καὶ εἰ πατὴρ εἰμι ἐγώ, ποῦ ἔστιν ἡ δόξα μου;
καὶ εἰ κύριός εἰμι ἐγώ, ποῦ ἔστιν ὁ φόβος μου; λέγει κύριος παντοκράτωρ.
ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου, καὶ εἴπατε Ἐν τίνι ἐφαυλίσα-
μεν τὸ ὄνομά σου; [7] προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγη- 7
μένους, καὶ εἴπατε Ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑμᾶς Τρά-
πεζα κυρίου ἠλισγημένη ἐστί, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε. [8] διότι ἐὰν 8
προςαγάγητε τυφλὸν εἰς θυσίας, οὐ κακόν; καὶ ἐὰν προςαγάγητε χωλὸν ἢ
ἄρρωστον, οὐ κακόν; προςάγαγε δὴ αὐτῷ τῷ ἡγουμένῳ σου, εἰ προςδέξεταί
σε, εἰ λήψεται πρόςωπόν σου, λέγει κύριος παντοκράτωρ. [9] καὶ νῦν ἐξιλά- 9
σκεσθε τὸ πρόςωπον τοῦ θεοῦ ὑμῶν καὶ δεήθητε αὐτοῦ· ἐν χερσὶν ὑμῶν
γέγονε ταῦτα· εἰ λήψομαι ἐξ ὑμῶν πρόςωπα ὑμῶν, λέγει κύριος παντοκράτωρ.
[10] διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστή- 10
ριόν μου δωρεάν· οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ,
καὶ θυσίαν οὐ προςδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. [11] διότι ἀπὸ ἀνατολῶν ἡλίου 11
καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ
θυμίαμα προςάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά
μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ. [12] ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν 12
τῷ λέγειν ὑμᾶς Τράπεζα κυρίου ἠλισγημένη ἐστί, καὶ τὰ ἐπιτιθέμενα ἐξου-
δένωται βρώματα αὐτοῦ. [13] καὶ εἴπατε Ταῦτα ἐκ κακοπαθείας ἐστί. καὶ ἐξε- 13
φύσησα αὐτά, λέγει κύριος παντοκράτωρ. καὶ εἰςεφέρετε ἁρπάγματα καὶ τὰ
*χωλὰ καὶ τὰ ἐνοχλούμενα· καὶ ἐὰν φέρητε τὴν θυσίαν, εἰ προςδέξομαι αὐτὰ
ἐκ τῶν χειρῶν ὑμῶν, λέγει κύριος παντοκράτωρ. [14] καὶ ἐπικατάρατος ὃς ἦν 14
δυνατός, καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ,
καὶ θύει διεφθαρμένον τῷ κυρίῳ· διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύ-
ριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσι.

## II.

Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς. [2] ἐὰν μὴ ἀκούσητε, καὶ 2
ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου,

---

Inscriptio: μαλαχιας ιβ

I. 3. εις δοματα 4. τας ηρημμωμενας 6. τον κυρ. αυτου 7. τα επιτιθ. βρωματα εξουδενωμενα 8. εις θυσιαν ... δη αυτο τω ... προςδεξ. αυτο, ει λημψεται 9. λημψομαι 10. θελ. επ υμιν 11. ηλιου εως ... θυμ. προςαγαγετε επι τω 12. εξουδενωνται 13. *εισφερετε ... τα αρπαγματα ... om την 14. υπηρχεν αυτω εν τω ποιμνιω αρσεν ... μεγας βασιλευς II. 2. υπακουσητε

Digitized by Google

λέγει κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπι-
καταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι αὐτήν· καὶ διασκεδάσω
τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε εἰς τὴν
3 καρδίαν ὑμῶν. 3 Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον, καὶ σκορπιῶ ἔνυστρον ἐπὶ
τὰ πρόσωπα ὑμῶν, ἔνυστρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό·
4 4 καὶ ἐπιγνώσεσθε διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύ-
την, τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευίτας, λέγει κύριος παντοκρά-
5 τωρ. 5 ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα
αὐτῷ ἐν φόβῳ φοβεῖσθαί με καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι
6 αὐτόν. 6 νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη
ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολ-
7 λοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας. 7 ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νό-
μον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, διότι ἄγγελος κυρίου παντοκράτορός
8 ἐστιν. 8 ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ,
9 διεφθείρατε τὴν διαθήκην τοῦ Λευί, λέγει κύριος παντοκράτωρ. 9 κἀγὼ δέ-
δωκα ὑμᾶς ἐξουδενωμένους καὶ ἀπερριμμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ'
ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου ἀλλὰ ἐλαμβάνετε πρόσωπα ἐν
10 νόμῳ. 10 οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; τί ὅτι
ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν
11 πατέρων ὑμῶν; 11 ἐγκατελείφθη Ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ
Ἰσραὴλ καὶ ἐν Ἱερουσαλήμ, διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια κυρίου, ἐν
12 οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους. 12 ἐξολοθρεύσει κύριος
τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων
13 Ἰακὼβ καὶ ἐκ προσαγόντων θυσίαν τῷ κυρίῳ παντοκράτορι. 13 καὶ ταῦτα
ἃ ἐμίσουν ἐποιεῖτε· ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον κυρίου καὶ κλαυθμῷ
καὶ στεναγμῷ ἐκ κόπων. ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ἢ λαβεῖν δεκτὸν ἐκ
14 τῶν χειρῶν ὑμῶν; 14 καὶ εἴπατε Ἕνεκεν τίνος; ὅτι κύριος διεμαρτύρατο
ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες, καὶ
15 αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου. 15 καὶ οὐ καλὸν ἐποίησε; καὶ
ὑπόλειμμα πνεύματος αὐτοῦ. καὶ εἴπατε Τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ θεός;
καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκατα-
16 λίπῃς· 16 ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραήλ,
καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει κύριος παντοκράτωρ· καὶ
17 φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν καὶ οὐ μὴ ἐγκαταλίπητε, 17 οἱ παροξύναν-
τες τὸν θεὸν ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε Ἐν τίνι παρωξύναμεν αὐτόν;
ἐν τῷ λέγειν ὑμᾶς Πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς
αὐτὸς εὐδόκησε· καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς δικαιοσύνης;

## III.

Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου Mi. 11,
μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ 10. Mc 1,2.
ἄγγελος τῆς διαθήκης ὃν ὑμεῖς θέλετε· ἰδοὺ ἔρχεται, λέγει κύριος παντοκρά- Lc.7,27.

---

3. ενυστρ. εορτης υμ., κ. λημψομαι υμ. επι το 4. διοτι εγω κυριος 5. του ονοματος 8. πολλους ησθενησατε ... και διεφθειρα ... λευει 9. και εγω ... αλλ 10. ουχι θεος εις εκτ. υμ. ουχι πατ. εις π. υμων ... εγκατελειπετε 12. εξολεθρευσει ... προσαγαγοντων ... om τω 14. ενεκα ... ο κυριος sine οτι ... εγκατελειπες 15. ουχαλλος pro ου καλον ... υπολιμμα ... εγκαταλειπης 16. αλλ εαν ... κυρ. ο θ. ο παντοκρατωρ θεος ισραηλ .., εγκαταλειπηται 17. οι παροξυνοντες ... παροξυναμεν (item ed. rom. sed calamo corr. ω) ... om αυτον III. 1. Ιδου εγω ... ναον αυτου

τωρ. [2] καὶ τίς ὑπομενεῖ ἡμέραν εἰςόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ 2
ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰςπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς ποία
πλυνόντων. [3] καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ 3
χρυσίον, καὶ καθαρίσει τοὺς υἱοὺς Λευὶ καὶ χεεῖ αὐτοὺς ὥςπερ τὸ χρυσίον
καὶ τὸ ἀργύριον· καὶ ἔσονται τῷ κυρίῳ προςάγοντες θυσίαν ἐν δικαιοσύνῃ,
[4] καὶ ἀρέσει τῷ κυρίῳ θυσία Ἰούδα καὶ Ἱερουσαλὴμ καθὼς αἱ ἡμέραι τοῦ 4
αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν. [5] καὶ προςάξω πρὸς ὑμᾶς ἐν κρίσει, 5
καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τὰς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας καὶ
ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας
μισθὸν μισθωτοῦ καὶ τοὺς καταδυναστεύοντας χήραν καὶ τοὺς κονδυλίζοντας
ὀρφανοὺς καὶ τοὺς ἐκκλίνοντας κρίσιν προςηλύτου καὶ τοὺς μὴ φοβουμένους
με, λέγει κύριος παντοκράτωρ. [6] διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐκ ἠλ- 6
λοίωμαι. [7] καὶ ὑμεῖς οἱ υἱοὶ Ἰακὼβ οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἀδικιῶν τῶν πα- 7
τέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου καὶ οὐκ ἐφυλάξασθε. ἐπιστρέψατε πρός
μέ, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος παντοκράτωρ. καὶ εἴπατε
Ἐν τίνι ἐπιστρέψομεν; [8] μή τι πτερνιεῖ ἄνθρωπος θεόν; διότι ὑμεῖς πτερνί- 8
ζετέ με. καὶ ἐρεῖτε Ἐν τίνι ἐπτερνίσαμέν σε; ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρ-
χαὶ μεθ' ὑμῶν εἰσίν· [9] καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς 9
πτερνίζετε. τὸ ἔτος συνετελέσθη, [10] καὶ εἰςηνέγκατε πάντα τὰ ἐκφόρια εἰς 10
τοὺς θησαυρούς, καὶ ἔσται ἡ διαρπαγὴ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ. ἐπιστρέψατε
δὴ ἐν τούτῳ, λέγει κύριος παντοκράτωρ· ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤ-
ῥάκτας τοῦ οὐρανοῦ, καὶ ἐκχεῶ τὴν εὐλογίαν μου ὑμῖν ἕως τοῦ ἱκανωθῆναι·
[11] καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρπὸν 11
τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ, λέγει κύριος
παντοκράτωρ. [12] καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς 12
γῆ θελητή, λέγει κύριος παντοκράτωρ. [13] ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, 13
λέγει κύριος, καὶ εἴπατε Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; [14] εἴπατε Μάταιος 14
ὁ δουλεύων θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ
διότι ἐπορεύθημεν ἱκέται πρὸ προςώπου κυρίου παντοκράτορος; [15] καὶ νῦν 15
ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἄνομα,
καὶ ἀντέστησαν τῷ θεῷ καὶ ἐσώθησαν. [16] ταῦτα κατελάλησαν οἱ φοβούμενοι 16
τὸν κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· καὶ προσέσχε κύριος καὶ εἰςή-
κουσε, καὶ ἔγραψε βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν
κύριον καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ. [17] καὶ ἔσονταί μοι, λέγει κύριος 17
παντοκράτωρ, εἰς ἡμέραν ἣν ἐγὼ ποιῶ εἰς περιποίησιν, καὶ αἱρετιῶ αὐτοὺς
ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ τὸν δουλεύοντα αὐτῷ. [18] καὶ 18
ἐπιστραφήσεσθε καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου καὶ ἀνὰ μέσον ἀνόμου, καὶ
ἀνὰ μέσον τοῦ δουλεύοντος θεῷ καὶ τοῦ μὴ δουλεύοντος.

## IV.

Διότι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει (3, 19) 1
αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα κα-
λάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει κύριος παντοκράτωρ,

2. και τις pro η τις 3. και καθιειται ... και χει αυτ. ως το αργυρ. κ. ωςπερ το χρυσ. 5. προςαξω υμας 6. om και 7. om οι ... απεσχεσθε ... επιστραφητε ... επιστρεψωμεν 8. ει pro μη τι ... και ειπατε Εν τ. επτερνικαμεν σε 10. εκφορεια ... και εν τω οικω αυτου εσται η διαρπ. αυτου ... καταρακτας ... υμιν τ. ευλ. μου 11. υμιν την βρωσιν ... διαφθερω ... ασθενησει η αμπ. υμων η εν αγρω 12. *om και 14. αυτου, διοτι 15. om παντες ... ανομα, αντεστησαν θεω 16. ελαλησαν 18. αδικου pro ανομου ... τω θεω IV. 1. ημερα κυριου

Digitized by Google

2 (20) καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα. [2]καὶ ἀνατελεῖ ὑμῖν
τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυ-
ξιν αὐτοῦ· καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνει-
3 (21) μένα. [3]καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν
4 (22) ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ. [4]καὶ
ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου
5 (23) τὴν μεγάλην καὶ ἐπιφανῆ, [5]ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν *Lc. 1, 17.
καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω τὴν • Mt. 11,
6 (24) γῆν ἄρδην. [6]μνήσθητι νόμου Μωσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην 14. 17, 11.
αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα.

---

2. πτερυξιν αυτων ... σκιρσατε (σκιρτησατε?) 3. καταπάτησατε 4. αποστελλω ... ελθειν ημεραν 6. μωυση

Subscriptio: προφητης· αγγελος· μαλαχιας ιβ

Digitized by Google

# Η Σ Α Ι Α Σ.

## I.

Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ
κατὰ Ἱερουσαλήμ, ἐν βασιλείᾳ Ὀζείου καὶ Ἰωάϑαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου
οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας. [2]ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος 2
ἐλάλησεν. υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠϑέτησαν. [3]ἔγνω βοῦς τὸν 3
κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω,
καὶ ὁ λαός με οὐ συνῆκεν. [4]οὐαὶ ἔϑνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, 4
σπέρμα πονηρόν, υἱοὶ ἄνομοι· ἐγκατελίπατε τὸν κύριον καὶ παρωργίσατε τὸν
ἅγιον τοῦ Ἰσραήλ. [5]τί ἔτι πληγῆτε προστιϑέντες ἀνομίαν; πᾶσα κεφαλὴ εἰς 5
πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· [6]ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν 6
αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα οὔτε μώλωψ οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ
ἔστι μάλαγμα ἐπιϑεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους. [7]ἡ γῆ ὑμῶν ἔρημος, 7
αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατε-
σϑίουσιν αὐτήν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. [8]ἐγκα- 8
ταλειφϑήσεται ἡ ϑυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυ-
λάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη. [9]καὶ εἰ μὴ κύριος Σαβαὼϑ 9
Ro. 9,29. ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήϑημεν, καὶ ὡς Γόμοῤῥα ἂν
ὡμοιώϑημεν. [10]ἀκούσατε λόγον κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον 10
ϑεοῦ, λαὸς Γομόῤῥας. [11]τί μοι πλῆϑος τῶν ϑυσιῶν ὑμῶν; λέγει κύριος· πλή- 11
ρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τρά-
γων οὐ βούλομαι, [12]οὐδ᾽ ἂν ἔρχησϑε ὀφϑῆναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα 12
ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου [13]οὐ προςϑήσεσϑε· ἐὰν φέρητε 13
σεμίδαλιν, μάταιον· ϑυμίαμα, βδέλυγμά μοί ἐστι· τὰς νουμηνίας ὑμῶν καὶ
τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν [14]καὶ 14
τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήϑητέ μοι
εἰς πλησμονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. [15]ὅταν ἐκτείνητε τὰς χεῖ- 15
ρας, ἀποστρέψω τοὺς ὀφϑαλμούς μου ἀφ᾽ ὑμῶν· καὶ ἐὰν πληϑύνητε τὴν
δέησιν, οὐκ εἰςακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. [16]λού- 16
σασϑε, καϑαροὶ γένεσϑε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέ-
ναντι τῶν ὀφϑαλμῶν μου· παύσασϑε ἀπὸ τῶν πονηριῶν ὑμῶν, [17]μάϑετε 17
καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασϑε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ
δικαιώσατε χήραν, [18]καὶ δεῦτε διελεγχϑῶμεν, λέγει κύριος· καὶ ἐὰν ὦσιν 18
αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκ-
κινον, ὡς ἔριον λευκανῶ. [19]καὶ ἐὰν ϑέλητε καὶ εἰςακούσητέ μου, τὰ ἀγαϑὰ 19
τῆς γῆς φάγεσϑε· [20]ἐὰν δὲ μὴ ϑέλητε μηδὲ εἰςακούσητέ μου, μάχαιρα 20
ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. [21]πῶς ἐγένετο πόρνη 21
πόλις πιστή, Σιὼν πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήϑη ἐν αὐτῇ, νῦν
δὲ φονευταί. [22]τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν 22
οἶνον ὕδατι· [23]οἱ ἄρχοντές σου ἀπειϑοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες 23
δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ κρίσιν χηρῶν οὐ

---

Inscriptio: ησαιας προφητης ιγ

I. 1. οζιου ... αχας 4. εγκατελειπετε 6. απο π. ε. κεφ. cum antecdd. conjg. ... om ουκ εστ. ε. α. ολοκληρια 9. εγκατελειπεν ... εγεννηϑημεν ... ομοιωϑημεν 11. τι εμοι 13. φερητε μοι 14. ed. rom. σεμιδαλιν, ματαιον ϑυμιαμα, βδελυγμα ... αργειαν 15. τας χειρ. εκτειν. προς με 18. κ. δ. και διελεγχϑ. 19. ϑελετε 22. αδοκιμον· αι πολεις υμων πυρικαυστοι· οι 23. κρισ. χηρας

Digitized by Google

24 προσέχοντες. [24]διὰ τοῦτο τάδε λέγει κύριος ὁ δεσπότης Σαβαὼθ Οὐαὶ οἱ
ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ
25 κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω. [25]καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ
πυρώσω εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνό-
26 μους ἀπὸ σοῦ· [26]καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς
συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς· καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιο-
27 σύνης, μητρόπολις πιστὴ Σιών. [27]μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλω-
28 σία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης· [28]καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ
29 ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον συντελεσθήσονται· [29]διότι
αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἠσχύνθησαν
30 ἐπὶ τοῖς κήποις ἃ ἐπεθύμησαν. [30]ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα
31 φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων· [31]καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς
καλάμη στιππύου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες, καὶ κατακαυθήσονται
οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων.

## II.

Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ
2 περὶ Ἱερουσαλήμ. [2]ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυ-
ρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω
3 τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. [3]καὶ πορεύσονται ἔθνη
πολλὰ καὶ ἐροῦσι Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου καὶ εἰς τὸν οἶκον
τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν
4 αὐτῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ· [4]καὶ
κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει λαὸν πολύν· καὶ συγκόψουσι τὰς
μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λή-
5 ψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. [5]καὶ νῦν,
6 ὁ οἶκος Ἰακώβ, δεῦτε πορευθῶμεν τῷ φωτὶ κυρίου. [6]ἀνῆκε γὰρ τὸν λαὸν
αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ· ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐ-
τῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη
7 αὐτοῖς· [7]ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν
ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀρι-
8 θμὸς τῶν ἁρμάτων αὐτῶν· [8]καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων
9 τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· [9]καὶ
10 ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς. [10]καὶ
νῦν εἰσέλθετε εἰς τὰς πέτρας καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ *Apoc.
φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι 6, 15.
11 τὴν γῆν. [11]οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός· καὶ
ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ
12 ἡμέρᾳ ἐκείνῃ. [12]ἡμέρα γὰρ κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφα-
13 νον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται, [13]καὶ ἐπὶ
πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον
14 βαλάνου Βασάν, [14]καὶ ἐπὶ πᾶν ὑψηλὸν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν,
15 16 [15]καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν, [16]καὶ ἐπὶ πᾶν
17 πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους· [17]καὶ ταπεινωθή-
σεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὕβρις τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται

---

24. ο δεσποτ. κυριος ... ισχ. ιερουσαλημ 25. πυρωσω σε ... in f. add και παντας υπερηφανους ταπεινωσω 26. δικαιωσυνης 28. εγκαταλειποντες 29. καταισχυνθησονται επι τοις ιδωλοις ... και επαισχυνθησονται επι τ. κ. αυτων α 31. σπινθηρες πυρος II. 1. ο γενομ. παρα κυριου 2. το ορ. του κυριου ... επ αχρων 3. Δευτε αναβωμεν ε. τ. ο. του κυριου 4. ελεγξει ... λημψεται ετι 5. του ιακωβ 8. η γη αυτων 10. εισελθατε 14. om υψηλον prius 17. πεσειτε υψος ανθρωπων

Digitized by Google

κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [18] καὶ τὰ χειροποίητα πάντα κατακρύψου- 18
σιν, [19] εἰςενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ 19
εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προςώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς
δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. [20] τῇ γὰρ ἡμέρᾳ 20
ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ,
ἃ ἐποίησαν προςκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, [21] τοῦ εἰςελθεῖν εἰς 21
τὰς τρώγλας τῆς στερεᾶς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προςώ-
που τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ
θραῦσαι τὴν γῆν.

## III.

Ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ Ἱερουσαλὴμ καὶ ἀπὸ
τῆς Ἰουδαίας ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, [2] γί- 2
γαντα καὶ ἰσχύοντα καὶ ἄνθρωπον πολεμιστὴν καὶ δικαστὴν καὶ προφήτην
καὶ στοχαστὴν καὶ πρεσβύτερον [3] καὶ πεντηκόνταρχον καὶ θαυμαστὸν σύμ- 3
βουλον καὶ σοφὸν ἀρχιτέκτονα καὶ συνετὸν ἀκροατήν· [4] καὶ ἐπιστήσω νεανί- 4
σκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. [5] καὶ συμπεσεῖται 5
ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ·
προκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν ἔντιμον. [6] ὅτι 6
ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ
λέγων Ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ
ἔστω. [7] καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ Οὐκ ἔσομαί σου ἀρχηγός· 7
οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ
λαοῦ τούτου. [8] ὅτι ἀνεῖται Ἱερουσαλὴμ καὶ ἡ Ἰουδαία συμπέπτωκε, καὶ αἱ 8
γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς κύριον ἀπειθοῦντες· διότι νῦν ἐτα-
πεινώθη ἡ δόξα αὐτῶν, [9] καὶ ἡ αἰσχύνη τοῦ προςώπου αὐτῶν ἀντέστη αὐ- 9
τοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. οὐαὶ
τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, [10] εἰπόντες 10
Δήσωμεν τὸν δίκαιον, ὅτι δύςχρηστος ἡμῖν ἐστί· τοίνυν τὰ γεννήματα τῶν
ἔργων αὐτῶν φάγονται. [11] οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν 11
αὐτοῦ συμβήσεται αὐτῷ. [12] λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, 12
καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλα-
νῶσιν ὑμᾶς καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. [13] ἀλλὰ νῦν κατα- 13
στήσεται εἰς κρίσιν κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· [14] αὐτὸς 14
κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρ-
χόντων αὐτοῦ. ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ
τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; [15] τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ 15
πρόςωπον τῶν πτωχῶν καταισχύνετε; [16] τάδε λέγει κύριος Ἀνθ' ὧν ὑψώθη- 16
σαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν
ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς
ποσὶν ἅμα παίζουσαι, [17] καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας Σιών. 17
καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν [18] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἀφελεῖ 18
κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, τὰ ἐμπλόκια καὶ τοὺς κοσύμβους καὶ
τοὺς μηνίσκους, [19] καὶ τὸ κάθεμα καὶ τὸν κόσμον τοῦ προςώπου αὐτῶν, [20] καὶ 19 20
τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας καὶ τὰ ψέλια καὶ τὸ
ἐμπλόκιον καὶ τοὺς δακτυλίους καὶ τὰ περιδέξια καὶ τὰ ἐνώτια, [21] καὶ τὰ 21

---

20. om γαρ ... εποιησεν III. 1. απο της ιουδ. και απο ιερ. 5. προς-κοψει 6. επιλημψεται ... ημων γενου 7. ερει εν τη ημ. εκ. 9. οτι βε-βουλευνται ... ed. rom. πονηραν, καθ 10. ειπαντες ... γενηματα 12. την τριβον 16. και νευμασιν ... πορια 17. αποκαλυψει 18. του ιματ. αυτ. και τους κοσμους αυτων, και τα εμπλ. 20. τ. δοξ. αυτων ... και τα πε-ριδεξ. κ. τους δακτυλ.

Digitized by Google

22 περιπόρφυρα καὶ τὰ μεσοπόρφυρα, [22] καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν
23 καὶ τὰ διαφανῆ Λακωνικά, [23] καὶ τὰ βύσσινα καὶ τὰ ὑακίνθινα καὶ κόκκινα,
καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένα, καὶ θέριστρα κα-
24 τάκλιτα. [24] καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ
ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα ἕξεις διὰ
τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον.
25 [25] καὶ ὁ υἱός σου ὁ κάλλιστος ὃν ἀγαπᾷς μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες
26 ὑμῶν μαχαίρᾳ πεσοῦνται καὶ ταπεινωθήσονται· [26] καὶ πενθήσουσιν αἱ θῆκαι
τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.

## IV.

Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι Τὸν ἄρτον
ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν
2 κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. [2] τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπι-
λάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς τοῦ ὑψῶσαι καὶ δοξάσαι
3 τὸ καταλειφθὲν τοῦ Ἰσραήλ· [3] καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ κα-
ταλειφθὲν ἐν Ἱερουσαλήμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν
4 ἐν Ἱερουσαλήμ. [4] ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων
Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ
5 πνεύματι καύσεως. [5] καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν καὶ πάντα
τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ φωτὸς πυ-
6 ρὸς καιομένου νυκτός, καὶ πάσῃ τῇ δόξῃ σκεπασθήσεται· [6] καὶ ἔσται εἰς
σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

## V.

Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου.
2 ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. [2] καὶ φραγμὸν * Mc.
περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρήκ, καὶ ᾠκοδόμησα 12, 1.
πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆ-
3 σαι σταφυλήν, καὶ ἐποίησεν ἀκάνθας. [3] καὶ νῦν, οἱ ἐνοικοῦντες ἐν Ἱερουσα-
λὴμ καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός
4 μου. [4] τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα
5 τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. [5] νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ἐγὼ
ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπα-
6 γήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα· [6] καὶ ἀνήσω
τὸν ἀμπελῶνά μου, καὶ οὐ τμηθῇ οὐδὲ μὴ σκαφῇ, καὶ ἀναβήσονται εἰς
αὐτὸν ὡς εἰς χέρσον ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι
7 εἰς αὐτὸν ὑετόν. [7] ὁ γὰρ ἀμπελὼν κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραήλ, καὶ
ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε
8 δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν. [8] οὐαὶ οἱ συνάπτοντες οἰκίαν
πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί
9 τι· μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; [9] ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου Σα-
βαὼθ ταῦτα· ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται μεγάλαι
10 καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. [10] οὗ γὰρ ἐργῶνται
δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει

---

23. και τα κοκκινα ... συν χρυσιω 24. οσμης ιδιας IV. 1. επιλημψονται 2. λαμψει 4. om και πνευμ. καυσεως 5. κ. ως φωτος ... νυκτος παση τ. δ. κυριου πασθησεται (sic) 6. om απο sec. V. 1. om μου prius 3. σωρηκ ... σταφυλην, εποιησεν δε 3. ανθρωπος του ιουδα και οι ενοικ. εν ιερ. 5. om εγω ... διαρπαγην pro καταπατημα 6. κ. ου μη τμηθη ... αναβησεται ... ακανθα 7. του ισρ. εστιν 9. om εν αυταις

μέτρα τρία. 11 οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σίκερα διώκοντες, οἱ μέ- 11
νοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. 12 μετὰ γὰρ κιθάρας καὶ ψαλ- 12
τηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα κυρίου οὐκ
ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. 13 τοίνυν αἰχμά- 13
λωτος ὁ λαός μου ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος
ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψος ὕδατος. 14 καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν 14
ψυχὴν αὐτοῦ καὶ διήνοιξε τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν, καὶ καταβή-
σονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς. 15 καὶ 15
ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ, καὶ οἱ ὀφθαλμοὶ οἱ με-
τέωροι ταπεινωθήσονται· 16 καὶ ὑψωθήσεται κύριος Σαβαὼθ ἐν κρίματι, καὶ 16
ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ· 17 καὶ βοσκηθήσονται οἱ διηρ- 17
πασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται.
18 οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι 18
δαμάλεως τὰς ἀνομίας, 19 οἱ λέγοντες Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει ἵνα ἴδω- 19
μεν, καὶ ἐλθάτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ ἵνα γνῶμεν. 20 οὐαὶ οἱ λέγοντες 20
τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς καὶ τὸ
φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. 21 οὐαὶ οἱ 21
συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. 22 οὐαὶ οἱ ἰσχύοντες ὑμῶν 22
οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται οἱ κεραννύντες τὸ σίκερα, 23 οἱ δι- 23
καιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες.
24 διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρός, καὶ συγ- 24
καυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄν-
θος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται· οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου Σα-
βαώθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. 25 καὶ ἐθυμώθη ὀργῇ 25
κύριος Σαβαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα ἐπ᾽ αὐτοὺς καὶ
ἐπάταξεν αὐτούς· καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν
ὡς κόπρια ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐ-
τοῦ, ἀλλὰ ἔτι ἡ χεὶρ ὑψηλή. 26 τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς 26
μακρὰν καὶ συριεῖ αὐτοὺς ἀπ᾽ ἄκρου τῆς γῆς, καὶ ἰδοὺ ταχὺ κούφως ἔρ-
χονται. 27 οὐ πεινάσουσιν οὐδὲ κοπιάσουσιν οὐδὲ νυστάξουσιν οὐδὲ κοιμηθή- 27
σονται, οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ
ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν· 28 ὧν τὰ βέλη ὀξέα ἐστὶ καὶ 28
τὰ τόξα αὐτῶν ἐντεταμένα. οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλο-
γίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. 29 ὁργιῶσιν ὡς λέοντες, 29
καὶ παρέστηκαν ὡς σκύμνοι λέοντος· καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον,
καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς, 30 καὶ βοήσει δι᾽ αὐτοὺς τῇ 30
ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης κυμαινούσης· καὶ ἐμβλέψονται εἰς τὴν γῆν,
καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.

## VI.

Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς εἶδον τὸν κύ-
ριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς
* Apoc. 4, 8. δόξης αὐτοῦ. 2 καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, 2
καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς
δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. 3 καὶ ἐκέκραγεν 3

13. λιμ. και δειψαν υδ. 14. διαλειπειν 19. και ελθοι η ... om ισραηλ 21. ενωπιον εαυτων 22. οι τον οιν. πινοντες ... κεραυνυντες 24. om αγιου 25. Σαβαωθ εις τον ... τ. χειρα αυτου ... εμμεσω οδου· εν πασιν ... ο θυμος αλλ ετι 26. συριει αυτοις 27. om πεινασουσιν ουδε ... ουδ ου μη λυσουσιν 28. οξια 29. ορμωσιν ως λεοντες· κ. παρεστηκασιν ως σκυμνος λεοντος· κ. επιλημψεται κ. βοησεται ... om αυτους 30. κ. βοησεται δι αυτ. εν τη ... απορεια VI. 1. ιδον 2. σεραφειν ιστηκεισαν ... και ταις δυσιν pro ταις δε δυσι 3. εκεκραγον

Digitized by Google

ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ, πλήρης * Apoc.
4 πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. 4 καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς 4, 8.
5 ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. 5 καὶ εἶπον Ὦ τάλας ἐγώ, ὅτι κα- 15, 8.
τανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν μέσῳ λαοῦ ἀκά-
θαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα κύριον Σαβαὼθ εἶδον τοῖς
6 ὀφθαλμοῖς μου. 6 καὶ ἀπεστάλη πρὸς μὲ ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ
7 εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, 7 καὶ ἥψατο τοῦ
στόματός μου καὶ εἶπεν Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς
8 ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. 8 καὶ ἤκουσα τῆς φωνῆς
κυρίου λέγοντος Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;
9 καὶ εἶπα Ἰδοὺ ἐγώ εἰμι· ἀπόστειλόν με. 9 καὶ εἶπε Πορεύθητι καὶ εἰπὸν τῷ Mt. 13,
λαῷ τούτῳ Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ 14 sq.
10 οὐ μὴ ἴδητε. 10 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐ- Mc. 4, 12.
τῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς Lc. 8, 10.
ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, Jo. 12, 40.
11 καὶ ἰάσομαι αὐτούς. 11 καὶ εἶπα Ἕως πότε, κύριε; καὶ εἶπεν Ἕως ἂν ἐρη- Act. 28,
μωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀν- 26 sq.
12 θρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. 12 καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ
θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς,
13 13 καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομήν, ὡς
τερέβινθος καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς.

## VII.

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαμ τοῦ υἱοῦ Ὀζίου βασι-
λέως Ἰούδα ἀνέβη Ῥασὶν βασιλεὺς Ἀρὰμ καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς
Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι
2 αὐτήν. 2 καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαυὶδ λέγων Συνεφώνησεν Ἀρὰμ πρὸς
τὸν Ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν
3 τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. 3 καὶ εἶπε κύριος πρὸς
Ἡσαΐαν Ἔξελθε εἰς συνάντησιν Ἄχαζ σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός
4 σου πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ ἀγροῦ τοῦ κναφέως. 4 καὶ ἐρεῖς
αὐτῷ Φύλαξαι τοῦ ἡσυχάσαι καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω
ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων· ὅταν γὰρ ὀργὴ
5 τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. 5 καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ καὶ ὁ υἱὸς
6 τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν 6 Ἀναβησόμεθα εἰς τὴν Ἰου-
δαίαν, καὶ συλλαλήσαντες αὐτοῖς ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βα-
7 σιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ· 7 τάδε λέγει κύριος Σαβαὼθ Οὐ μὴ μείνῃ
8 ἡ βουλὴ αὕτη οὐδὲ ἔσται, 8 ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός, καὶ ἡ κεφαλὴ
Δαμασκοῦ Ῥασίμ· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία
9 Ἐφραΐμ ἀπὸ λαοῦ, 9 καὶ ἡ κεφαλὴ Ἐφραΐμ Σομόρων, καὶ ἡ κεφαλὴ Σο-
10 μόρων υἱὸς τοῦ Ῥομελίου· καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. 10 καὶ
11 προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων 11 Αἴτησαι σεαυτῷ σημεῖον παρὰ
12 κυρίου θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. 12 καὶ εἶπεν Ἄχαζ Οὐ μὴ αἰτήσω,
13 οὐδὲ μὴ πειράσω κύριον. 13 καὶ εἶπεν Ἀκούσατε δή, οἶκος Δαυίδ· μὴ μικρὸν

---

4. επλησθη 5. ειπα ... εμμεσω 6. σεραφειμ ... ανθρακα πυρος 8. ειμι εγω 9. ακουσητε 10. οφθαλμ. αυτων 12. και οι καταλειφθεντες πληθυνθ. επι 13. οταν εκσπασθη απο της VII. 1. ανεβη ραασσων 2. λεγοντες ... οταν ον τροπ. 3. ιασουβ ο αδελφος σου ... του αγρου του γναφεως 5. in fine add περι σου λεγοντες 6. εις την ιδουμαιαν ... αποστρεψωμεν ... βασιλευσομεν αυτοις τον 7. εμμεινη 8. ρασειν 10. αχααζ 12. ουδ ου μη πειρ.

Digitized by Google

ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; [14] διὰ 14
Mt.1,23. τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται
Lc.1,31. καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· [15] βούτυρον καὶ 15
μέλι φάγεται πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξασθαι τὸ ἀγα-
θόν· [16] διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ ἐκ- 16
λέξασθαι τὸ ἀγαθόν, καὶ καταλειφθήσεται ἡ γῆ ἣν σὺ φοβῇ ἀπὸ προσώπου
τῶν δύο βασιλέων. [17] ἀλλὰ ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ 17
ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας αἳ οὔπω ἥκασιν ἀφ' ἧς ἡμέρας ἀφεῖ-
λεν Ἐφραῒμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων. [18] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 18
ἐκείνῃ συριεῖ κύριος μυίαις, ὃ κυριεύσει μέρος ποταμοῦ Αἰγύπτου, καὶ τῇ
μελίσσῃ ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων· [19] καὶ ἐλεύσονται πάντες ἐν ταῖς φά- 19
ραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ
εἰς πᾶσαν ῥαγάδα. [20] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ ξυρῷ τῷ 20
μεμισθωμένῳ πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων τὴν κεφαλήν, καὶ τὰς
τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ. [21] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 21
θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα· [22] καὶ ἔσται ἀπὸ τοῦ πλεῖ- 22
στον πιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς.
[23] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χι- 23
λίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν· [24] μετὰ βέλους καὶ τοξεύ- 24
ματος εἰςελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ· [25] καὶ 25
πᾶν ὄρος ἠροτριωμένον ἀροτριωθήσεται· οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος, ἔσται γὰρ
ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοός.

## VIII.

Καὶ εἶπε κύριος πρὸς μέ Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, καὶ γρά-
ψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρ-
εστι γάρ· [2] καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν καὶ 2
Ζαχαρίαν υἱὸν Βαραχίου. [3] καὶ προςῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ 3
ἔλαβε καὶ ἔτεκεν υἱόν. καὶ εἶπε κύριός μοι Κάλεσον τὸ ὄνομα αὐτοῦ Ταχέως
σκύλευσον, ὀξέως προνόμευσον· [4] διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πα- 4
τέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι
βασιλέως Ἀσσυρίων. [5] καὶ προςέθετο κύριος λαλῆσαί μοι ἔτι [6] Διὰ τὸ μὴ 5 6
βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ
βούλεσθαι ἔχειν τὸν Ῥασσὶν καὶ τὸν υἱὸν Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, [7] διὰ 7
τοῦτο ἰδοὺ κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ
πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ τὴν δόξαν αὐτοῦ· καὶ ἀναβήσεται ἐπὶ
πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, [8] καὶ ἀφελεῖ 8
ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντε-
λέσασθαί τι· καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς
χώρας σου. μεθ' ἡμῶν ὁ θεός. [9] γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως 9
ἐσχάτου τῆς γῆς, ἰσχυκότες ἡττᾶσθε· ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττη-
θήσεσθε. [10] καὶ ἣν ἂν βουλεύσησθε βουλὴν διασκεδάσει κύριος, καὶ λόγον ὃν 10

---

14. κυρ. αυτοις υμιν (sed δια usque σημειον rescripta sunt, antea plura fuerant) ... εξει pro λημψεται 15. om ἢ sec. ... εκλεξεται 16. του εκλεξασθαι ... αυτων pro των δυο βασιλ. 18. ο κυριευει μερους 19. κ. ελευσ. παντ. και αναπαυσονται ... επι πασαν ραγ. και εν παντι ξυλω 20. κυριος τω ξυρω τω μεγαλω και μεμεθυσμενω ο εστιν περαν 22. ποιειν γαλα 23. και ακανθαν 25. αροτριωμενον αροτριαθησεται· και ου μη ... και εις καταπατημα VIII. 1. τομον χαρτου καινου μεγαλου 2. και τον ζαχαριαν 3. προςηλθεν ... εγγαστρι 4. λημψεται 6. ρaασσων 7. αναγει κυριος 8. ει δυνατον συντελεσαι τι ... om ωςτε πληρωσαι ... τα πλατη 9. επακουσετε 10. και τον λογον

11 ἐὰν λαλήσητε οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ θεός. [11] οὕτω λέγει
κύριος Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου, λέ-
12 γοντες [12] Μή ποτε εἴπωσι σκληρόν· πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος σκλη-
13 ρόν ἐστι· τὸν δὲ φόβον αὐτοῦ οὐ μὴ φοβηθῆτε οὐδὲ μὴ ταραχθῆτε. [13] κύριον 1 Pe. 3,
14 αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. [14] κἂν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, 14. 15.
ἔσται σοι εἰς ἁγίασμα, καὶ οὐχ ὡς λίθου προςκόμματι συναντήσεσθε οὐδὲ * Mt. 21,
ὡς πέτρας πτώματι. οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι ἐγκα- 44. * Lc. 20, 18.
15 θήμενοι ἐν Ἱερουσαλήμ· [15] διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί, καὶ * Lc. 2, 34.
πεσοῦνται καὶ συντριβήσονται, καὶ ἐγγιοῦσι καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφα-
16 λείᾳ. [16] τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν.
17 [17] καὶ ἐρεῖ Μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόςωπον αὐτοῦ ἀπὸ τοῦ
18 οἴκου Ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. [18] ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ Heb. 2,
μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ 13.
19 κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. [19] καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς
Ζητήσατε τοὺς ἐγγαστριμύθους καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενο-
λογοῦντας οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ ἐκζητή-
20 σουσι; τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; [20] νόμον γὰρ εἰς βοή-
θειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα
21 δοῦναι περὶ αὐτοῦ. [21] καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός, καὶ ἔσται ὡς ἂν
πεινάσητε, λυπηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια, καὶ
22 ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, [22] καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται·
καὶ ἰδοὺ ἀπορία στενὴ καὶ σκότος, θλῖψις καὶ στενοχωρία καὶ σκότος ὥςτε
μὴ βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.

## IX.

1 (8, 23.) Τοῦτο πρῶτον πίε, ταχὺ ποίει χώρα Ζαβουλών, ἡ γῆ Νεφθα- Mt. 4,
λίμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν 15. 16.
2 (1 sqq.) ἐθνῶν. [2] ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες
3 ἐν χώρᾳ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. [3] τὸ πλεῖστον τοῦ λαοῦ ὃ
κατήγαγες ἐν εὐφροσύνῃ σου· καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ εὐ-
4 φραινόμενοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. [4] διότι ἀφῄρη-
ται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν·
τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ.
5 [5] ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀπο-
6 τίσουσιν, καὶ θελήσουσιν εἰ ἐγένοντο πυρίκαυστοι. [6] ὅτι παιδίον ἐγεννήθη ἡμῖν,
υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται
τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος· ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρ-
7 χοντας καὶ ὑγίειαν αὐτῷ. [7] μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ
οὐκ ἔστιν ὅριον, ἐπὶ τὸν θρόνον Δαυὶδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι

10. εμμεινη υμιν ... ed. rom. μεθ υμων 11. ουτως λ. κυρ. ο θεος 12. Μη ποτε ειπητε ... ουδ ου μη ταραχθ. 14. και εαν ... συναντησ. αυτω ... ο δε οικος 15. εν ασφαλ. οντες 16. του μαθειν 18. εις σημεια ... εν τω ισραηλ 19. τους απο τ. γ. φωνουντ. κ. τους εγγαστριμυθους τους κενολ. οι απο ... om εκζητησουσι ... τι εκζητωσιν 22. κ. ιδου θλιψ. κ. στενοχ. κ. σκοτος· απορια στενη και σκοτος ωστε ... om ων IX. 1. νεφθαλειμ οδον θαλασσης και οι λ. οι την παραλιον κατοικουντες και ... in fine add τα μερη της ιουδαιας 2. ο λα. ο καθημενος ... χωρα και σκια 3. ευφραινονται οι διαιρουμενοι 4. αφαιρεθησεται ... διεσκεδασεν κυριος 5. ει εγενηθησαν 6. παιδιον εγενηθη ... (εδοθη υμιν) ... και καλεσει ... αγγελος· θαυμαστος συμβουλος ισχυρος εξουσιαστης αρχων ειρηνης πατηρ του μελλοντος αιωνος· εγω γαρ αξω ειρηνην ε. τ. αρχοντας· ειρηνην κ. υγιαν α. 7. ed. rom. post οριον plene interpg., item cod. alex.

Digitized by Google

αὐτὴν καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς
τὸν αἰῶνα· ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα. [8] θάνατον ἀπέστειλε κύ- 8
ριος ἐπὶ Ἰακώβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ· [9] καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ 9
Ἐφραΐμ καὶ οἱ καθήμενοι ἐν Σαμαρείᾳ, ἐφ᾽ ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέ-
γοντες [10] Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ κόψωμεν 10
συκαμίνους καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον. [11] καὶ ῥάξει ὁ 11
θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος Σιὼν ἐπὶ αὐτόν, καὶ τοὺς ἐχθροὺς δια-
σκεδάσει, [12] Συρίαν ἀφ᾽ ἡλίου ἀνατολῶν καὶ τοὺς Ἕλληνας ἀφ᾽ ἡλίου δυ- 12
σμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι. ἐπὶ πᾶσι τούτοις οὐκ
ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. [13] καὶ ὁ λαὸς οὐκ ἐπεστράφη 13
ἕως ἐπλήγη, καὶ τὸν κύριον οὐκ ἐζήτησαν. [14] καὶ ἀφεῖλε κύριος ἀπὸ Ἰσραὴλ 14
κεφαλὴν καὶ οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην καὶ τοὺς τὰ
πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή, [15] καὶ προφήτην διδάσκοντα ἄνομα, 15
οὗτος ἡ οὐρά. [16] καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, 16
καὶ πλανῶσιν ὅπως καταπίνωσιν αὐτούς. [17] διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐ- 17
τῶν οὐκ εὐφρανθήσεται ὁ κύριος, καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας
αὐτῶν οὐκ ἐλεήσει· ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ
ἄδικα. ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.
[18] καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ 18
πυρός· καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ
κύκλῳ τῶν βουνῶν πάντα· [19] διὰ θυμὸν ὀργῆς κυρίου συγκέκαυται ἡ γῆ ὅλη, 19
καὶ ἔσται ὁ λαὸς ὡς κατακεκαυμένος ὑπὸ πυρός. ἄνθρωπος τὸν ἀδελφὸν αὐ-
τοῦ οὐκ ἐλεήσει, [20] ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιὰ ὅτι πεινάσει, καὶ φάγεται 20
ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ
βραχίονος αὐτοῦ. [21] φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραΐμ, καὶ Ἐφραΐμ τοῦ 21
Μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπε-
στράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.

## X.

Οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσιν· [2] ἐκ- 2
κλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου, ὥστε
εἶναι αὐτοῖς χήραν εἰς διαρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν. [3] καὶ τί ποιή- 3
σουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλῖψις ὑμῖν πόῤῥωθεν ἥξει· καὶ
πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν
ὑμῶν [4] τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν; ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ 4
ὀργή, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. [5] οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ 5
ὀργὴ ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. [6] τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, 6
καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομήν, καὶ καταπατεῖν τὰς
πόλεις καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν. [7] αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ 7
τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ ἔθνη
ἐξολοθρεῦσαι οὐκ ὀλίγα. [8] καὶ ἐὰν εἴπωσιν αὐτῷ Σὺ μόνος εἶ ἄρχων, [9] καὶ 8 9
ἐρεῖ Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύρ-

---

7. αντιλαβ. αυτης εν δικαιοσ. κ. εν κριματι ... αιωνα χρονον 9. οι εγκαθημενοι 10. εκκοψωμεν 11. τ. επανιστανομενους επ ορους σιων επ αυτους ... εχθρους αυτων 12. τουτοις πασιν 13. απεστραφη ... εξεζητησαν 16. καταπιωσιν 17. om αυτων primum ... εὐφρανθ. ο θεος 19. συγκαυθησεται ... υπο πυρ. κατακεκ. 20. τ. βραχ. του αδελφου αυτου 21. γαρ μαννασση ... του μαννασση X. 2. και αρπαζοντες ... εις αρπαγην 3. ημερα επισκοπης 4. εις επαγωγην· και υποκατω ανηρημενων πεσουνται· επει τουτοις πασιν ο. απ. ο θυμος 5. οργης εν ταις 6. αποστελλω ... του ποιησαι 7. και του εξολεθρευσαι εθνη ουχ ολιγα 9. χαλαννη



Digitized by Google

10 γος ᾠκοδομήθη, καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν· [10] ὃν
τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς ἀρχὰς λήψομαι. ὀλολύξατε τὰ γλυπτὰ
11 ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ· [11] ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ
τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις
12 αὐτῆς. [12] καὶ ἔσται ὅταν συντελέσῃ κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν
καὶ Ἱερουσαλήμ, ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν ἐπὶ τὸν ἄρχοντα τῶν
13 Ἀσσυρίων καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. [13] εἶπε γάρ Ἐν
τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν
14 ἰσχὺν αὐτῶν προνομεύσω· [14] καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκου-
μένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ᾠὰ
15 ἀρῶ· καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι. [15] μὴ δοξασθήσεται
ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος
16 αὐτόν; ὡς ἄν τις ἄρῃ ῥάβδον ἢ ξύλον, καὶ οὐχ οὕτως; [16] ἀλλὰ ἀποστελεῖ
κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιό-
17 μενον καυθήσεται· [17] καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐ-
18 τὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην. [18] τῇ ἡμέρᾳ ἐκείνῃ
ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ
ψυχῆς ἕως σαρκῶν· καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομέ-
19 νης· [19] καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται, καὶ παιδίον γρά-
20 ψει αὐτούς. [20] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ κατα-
λειφθὲν Ἰσραήλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ
τοὺς ἀδικήσαντας αὐτούς, ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον
21 τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. [21] καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ θεὸν
22 ἰσχύοντα. [22] καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ
κατάλειμμα αὐτῶν σωθήσεται. λόγον συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, Ro 9.
23 24 [23] ὅτι λόγον συντετμημένον κύριος ποιήσει ἐν τῇ οἰκουμένῃ ὅλῃ. [24] διὰ τοῦτο 27. 28.
τάδε λέγει κύριος Σαβαὼθ Μὴ φοβοῦ, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν
ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε· πληγὴν γὰρ ἐπάγω ἐπὶ σὲ τοῦ
25 ἰδεῖν ὁδὸν Αἰγύπτου. [25] ἔτι γὰρ μικρὸν καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός
26 μου ἐπὶ τὴν βουλὴν αὐτῶν· [26] καὶ ἐγερεῖ ὁ θεὸς ἐπ' αὐτοὺς κατὰ τὴν πλη-
γὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως, καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν,
27 εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον. [27] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαιρε-
θήσεται ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ
28 καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. [28] ἥξει γὰρ εἰς τὴν πόλιν
29 Ἀγγαί, [29] καὶ παρελεύσεται εἰς Μαγγεδώ, καὶ ἐν Μαχμὰς θήσει τὰ σκεύη
αὐτοῦ· καὶ παρελεύσεται φάραγγα καὶ ἥξει εἰς Ἀγγαί, φόβος λήψεται Ῥαμᾶ
30 πόλιν Σαούλ. φεύξεται [30] ἡ θυγάτηρ Γαλλείμ, ἐπακούσεται Λαϊσά, ἐπακού-
31 σεται ἐν Ἀναθώθ· [31] καὶ ἐξέστη Μαδεβηνὰ καὶ οἱ κατοικοῦντες Γιββείρ.
32 [32] παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι, τῇ χειρὶ παρακαλεῖτε τὸ ὄρος
33 τὴν θυγατέρα Σιὼν καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ. [33] ἰδοὺ ὁ δεσπότης κύ-
ριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει

9. αραβειαν 10. ελαβον εν τη χειρι μου, κ. π. τ. χωρας λημψομαι 11. χειροποιητοις αυτοις, ουτως 12. και εν ιερουσαλημ, επαξει επι ... τον μεγαν τον αρχοντα 13. om Εν ... και τη συνεσεως της σοφιας 14. καταλημψομαι τη χειρι μου ... καταλελιμμενα ... διαφευξ. μοι 15. ωςαυτως εαν τις ... ed. rom. ξυλον. και ουχ ουτως, 17. ως πυρ, κ. αγ. αυτο 18. κ. οι δρυμ. κ. οι βουνοι 19. εσονται αριθμος 20. αλλ εσονται 22. om αυτων ... λογον γαρ 23. συντετ. ποιησει ο θεος 26. επεγερει ... την πληγ. την μαδιαμ 27. αφαιρεθ. ο φοβος αυτου απο σου και ο ζυγ. αυτ. απο του ωμ. σου 29. μαγεδδω ... λημψεται ... ed. rom. ραμα, πολιν σαουλ φευξεται. 30. εν σα pro λαισα 31. om και prius ... γιββειρ 32. εν τη οδω ... ed. rom. του μειναι τη χειρι. 33. ιδου γαρ

Digitized by Google

συντριβήσονται, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται, [34] καὶ πεσοῦνται ὑψηλοὶ μα- 34
χαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

Whit Sunday. XI.

Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης
ἀναβήσεται· [2] καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας 2
καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας·
[3] ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ. οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ 3
τὴν λαλιὰν ἐλέγξει, [4] ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς 4
τῆς γῆς, καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ
χειλέων ἀνελεῖ ἀσεβῆ· [5] καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, 5
καὶ ἀληθείᾳ εἱλημένος τὰς πλευράς. [6] καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρ- 6
νός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων
ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς· [7] καὶ βοῦς καὶ ἄρκος 7
ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς
φάγεται ἄχυρα· [8] καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων, καὶ ἐπὶ κοίτην 8
ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ. [9] καὶ οὐ μὴ κακοποιήσουσιν οὐδὲ μὴ 9
δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, ὅτι ἐνεπλήσθη ἡ σύμ-
πασα τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. [10] καὶ 10
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν,
ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. [11] καὶ ἔσται τῇ 11
Ro. 15, 12. ἡμέρᾳ ἐκείνῃ προσθήσει ὁ κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι
τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ὑπὸ τῶν Ἀσσυρίων καὶ
ἀπὸ Αἰγύπτου καὶ ἀπὸ Βαβυλωνίας καὶ ἀπὸ Αἰθιοπίας καὶ ἀπὸ Ἐλαμιτῶν
καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας· [12] καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, 12
καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραήλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει
ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. [13] καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ, 13
καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται· Ἐφραΐμ οὐ ζηλώσει Ἰούδαν, καὶ Ἰούδας
οὐ θλίψει Ἐφραΐμ. [14] καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν 14
ἅμα προνομεύσουσι καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ Ἰδουμαίαν, καὶ ἐπὶ
Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακού-
* Apoc. 16, 12. σονται. [15] καὶ ἐρημώσει κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν 15
χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας
ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι· [16] καὶ ἔσται δίοδος τῷ καταλει- 16
φθέντι μου λαῷ ἐν Αἰγύπτῳ, καὶ ἔσται τῷ Ἰσραὴλ ὡς ἡ ἡμέρα ὅτε ἐξῆλ-
θεν ἐκ γῆς Αἰγύπτου.

XII.

Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Εὐλογῶ σε κύριε, διότι ὠργίσθης μοι
καὶ ἀπέστρεψας τὸν θυμόν σου καὶ ἠλέησάς με. [2] ἰδοὺ ὁ θεός μου σωτήρ 2
μου, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου
καὶ ἡ αἴνεσίς μου κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. [3] καὶ ἀντλήσατε ὕδωρ 3
μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. [4] καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 4
Ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔν-
δοξα αὐτοῦ· μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. [5] ὑμνήσατε τὸ ὄνομα 5

---

33. και ταπεινωθ. οι υψηλ. 34. om κ. πεσ. υψηλοι XI. 3. λαλειαν 5. ειλημμενος 6. συνβοσκηθησεται 7. βοσκηθησονται pro εσονται ... αμα φαγονται 8. επι τρωγλην 9. κακοποιησωσιν ουδ ου μη 11. εστ. εν τη ... προσθησει κυριος ... απο των ασσυριων ... και βαβυλωνιας και αιθιοπ. κ. απο αιλαμιτων ... αραβειας 13. αφαιρ. ο ζυγος 16. εστ. οδος XII. 1. Ευλογησω 2. *om μου primum ... εσ. εν αυτω 3. αντλησεται

Digitized by Google

6 κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. [6] ἀγαλλιᾶσθε
καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν
μέσῳ αὐτῆς.

## XIII.

## ΟΡΑΣΙΣ ΗΝ ΕΙΔΕΝ ΗΣΑΙΑΣ ΥΙΟΣ ΑΜΩΣ ΚΑΤΑ ΒΑΒΥΛΩΝΟΣ.

2 [2] Ἐπ᾽ ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς, παρα-
3 καλεῖτε τῇ χειρί, ἀνοίξατε οἱ ἄρχοντες. [3] ἐγὼ συντάσσω, καὶ ἐγὼ ἄγω αὐτούς·
4 γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες ἅμα καὶ ὑβρίζοντες. [4] φωνὴ
ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν
5 συνηγμένων. κύριος Σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ, [5] ἔρχεσθαι ἐκ γῆς
πόρρωθεν ἀπ᾽ ἄκρου θεμελίου τοῦ οὐρανοῦ, κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ,
6 καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. [6] ὀλολύζετε· ἐγγὺς γὰρ ἡμέρα κυρίου, καὶ
7 συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. [7] διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα
8 ψυχὴ ἀνθρώπου δειλιάσει· [8] ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς
ἕξουσιν ὡς γυναικὸς τικτούσης· καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον
9 καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. [9] ἰδοὺ γὰρ
ἡμέρα κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ἔρημον
10 καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. [10] οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ *Mt. 24,
ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσι, καὶ σκοτισθή- 29. *Mc.
11 σεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. [11] καὶ 13, 24sq.
ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν·
12 καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. [12] καὶ ἔσονται
οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος
13 μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐν Σουφίρ. [13] ὁ γὰρ οὐρανὸς θυμωθήσε-
ται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς κυρίου
14 Σαβαώθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. [14] καὶ ἔσονται οἱ κατα-
λελειμμένοι ὡς δορκάδιον φεῦγον καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται
ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος
15 εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. [15] ὃς γὰρ ἂν ἁλῷ ἡττηθήσεται, καὶ οἵτινες
16 συνηγμένοι εἰσὶ πεσοῦνται μαχαίρᾳ· [16] καὶ τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον
αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξου-
17 σιν. [17] ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους, οἳ ἀργύριον οὐ λογίζονται οὐδὲ χρυ-
18 σίου χρείαν ἔχουσι. [18] τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν
οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν.
19 [19] καὶ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως Χαλδαίων, ὃν τρό-
20 πον κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα· [20] οὐ κατοικηθήσεται εἰς τὸν
αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδὲ μὴ
21 διέλθωσιν αὐτὴν Ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ. [21] καὶ
ἀναπαύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου· καὶ ἀναπαύ-
22 σονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, [22] καὶ ὀνοκένταυροι ἐκεῖ
κατοικήσουσι, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

---

6. εν σιων ... εμμεσω σου XIII. 2. φωνην εαυτοις, μη φοβεισθε· παρακαλειτε τη ψυχη 3. post αυτους add ηγιασμενοι εισιν· και εγω αγω αυτους 5. *om θεμελιου ... του καταφθειρ. την οικ. ολην 6. η ημερα 7. πασαι χειρες (sed εκλυθησεται) 8. και ταραχθ. 9. η ημερα ... ανιατ. ερχ. 12. καταλελιμμ. (et v. 14.) ... χρυσειον ... και ο ανθρωπος ... ο εκ σουφειρ 13. om εν 14. και ανθρωπον εις τ. χ. αυτου διωξαι 15. γαρ εαν ... και οσοι συνηγμ. ε. μαχ. πεσ. 16. ενωπ. αυτ. ραξ. 17. οι ου λογιζ. αργυρ. ... χρυσιον 18. ελεησουσιν 19. υπο βασιλεως 20. αναπαυσωνται 21. και πλησθησονται οικιαι ... ορχηθησονται

Digitized by Google

## XIV.

Ταχὺ ἔρχεται καὶ οὐ χρονιεῖ. [1] καὶ ἐλεήσει κύριος τὸν Ἰακώβ, καὶ ἐκ- 1
λέξεται ἔτι τὸν Ἰσραήλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γειώ-
ρας προστεϑήσεται πρὸς αὐτούς, καὶ προστεϑήσεται πρὸς τὸν οἶκον Ἰακώβ,
[2] καὶ λήψονται αὐτοὺς ἔϑνη καὶ εἰςάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατα- 2
κληρονομήσουσι, καὶ πληϑυνϑήσονται ἐπὶ τῆς γῆς εἰς δούλους καὶ δούλας·
καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτούς, καὶ κυριευϑήσονται οἱ
κυριεύσαντες αὐτῶν. [3] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναπαύσει σε κύριος 3
ἀπὸ τῆς ὀδύνης καὶ τοῦ ϑυμοῦ σου τῆς δουλείας σου τῆς σκληρᾶς ἧς ἐδού-
λευσας αὐτοῖς. [4] καὶ λήψῃ τὸν ϑρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα Βαβυλῶνος· 4
πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; [5] συνέτριψε 5
κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων· [6] πατάξας ἔϑνος 6
ϑυμῷ πληγῇ ἀνιάτῳ, παίων ἔϑνος πληγὴν ϑυμοῦ ᾗ οὐκ ἐφείσατο, ἀνεπαύ-
σατο πεποιϑώς. [7] πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, [8] καὶ τὰ ξύλα τοῦ Λιβά- 7 8
νου εὐφράνϑησαν ἐπὶ σοὶ καὶ ἡ κέδρος τοῦ Λιβάνου Ἀφ' οὗ σὺ κεκοίμησαι,
οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. [9] ὁ ᾅδης κάτωϑεν ἐπικράνϑη συναντήσας σοι· 9
συνηγέρϑησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ
τῶν ϑρόνων αὐτῶν πάντας βασιλεῖς ἐϑνῶν. [10] πάντες ἀποκριϑήσονται καὶ 10
ἐροῦσί σοι Καὶ σὺ ἑάλως ὥςπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσϑης. [11] κατέβη 11
εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου· ὑποκάτω σου στρώσουσι σῆ-
ψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ. [12] πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ 12
ἑωςφόρος ὁ πρωὶ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς
πάντα τὰ ἔϑνη. [13] σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου Εἰς τὸν οὐρανὸν ἀνα- 13
* Mt. 11, βήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ ϑήσω τὸν ϑρόνον μου, καϑιῶ ἐν
23. ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, [14] ἀναβήσομαι ἐπάνω τῶν 14
* Lc. 10, 15. νεφῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. [15] νῦν δὲ εἰς ᾅδην καταβήσῃ καὶ εἰς τὰ 15
ϑεμέλια τῆς γῆς. [16] οἱ ἰδόντες σε ϑαυμάσονται ἐπὶ σοὶ καὶ ἐροῦσιν Οὗτος ὁ 16
ἄνϑρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς, [17] ὁ ϑεὶς τὴν οἰκουμένην 17
ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καϑεῖλε, τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσε.
[18] πάντες οἱ βασιλεῖς τῶν ἐϑνῶν ἐκοιμήϑησαν ἐν τιμῇ, ἄνϑρωπος ἐν τῷ οἴκῳ 18
αὐτοῦ· [19] σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος, μετὰ πολλῶν 19
τεϑνηκότων ἐκκεκεντημένων μαχαίραις καταβαινόντων εἰς ᾅδου. ὃν τρόπον
ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καϑαρόν, [20] οὕτως οὐδὲ σὺ ἔσῃ κα- 20
ϑαρός, διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ μὴ
μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. [21] ἑτοίμασον τὰ τέκνα σου 21
σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτῶν, ἵνα μὴ ἀναστῶσι καὶ κληρο-
νομήσωσι τὴν γῆν καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων. [22] καὶ ἐπαναστήσομαι 22
αὐτοῖς, λέγει κύριος Σαβαώϑ, καὶ ἀπολῶ αὐτῶν ὄνομα καὶ κατάλειμμα καὶ
σπέρμα· τάδε λέγει κύριος. [23] καὶ ϑήσω τὴν Βαβυλωνίαν ἔρημον ὥςτε κατοι- 23
κεῖν ἐχίνους, καὶ ἔσται εἰς οὐδέν· καὶ ϑήσω αὐτὴν πηλοῦ βάραϑρον εἰς ἀπώ-
λειαν. [24] τάδε λέγει κύριος Σαβαώϑ Ὃν τρόπον εἴρηκα οὕτως ἔσται, καὶ ὃν 24

---

XIV. ταχ. ερχ. κ. ου χρονιει arctius cum antecdd. conjg. 1. επι pro προς 2. λημψονται ... γης του ϑεου εις 3. σε ο ϑεος εκ της οδυνης ... σου και της δουλιας της σκλ. 4. λημψη ... post βαβυλωνος add και ερεις εν τη ημερα εκεινη 5. συνετριψεν ο ϑεος 8. ηυφρανϑησαν 11. κατεβη δε εις 13. των αστρων 14. των νεφελων 15. εις αδου 16. ϑαυμασουσιν ... σειων sine ὁ 17. om και τ. πολ. αυτ. καϑειλε (... ελευσεν) 18. εκαστος pro ανϑρ. 19. εν αιματι ιματιον 20. σπερμ. πονηρ. cum seqq. conjg. 21. σφαγ. τα τ. σου ... πατρος σου ... την γην κληρονομησωσιν 23. πηλου βαϑρον

Digitized by Google

25 τρόπον βεβούλευμαι οὕτως μενεῖ, [25] τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς
τῆς ἐμῆς καὶ ἐπὶ τῶν ὀρέων μου· καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρε-
θήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαι-
26 ρεθήσεται. [26] αὕτη ἡ βουλὴ ἣν βεβούλευται κύριος ἐπὶ τὴν ὅλην οἰκουμένην,
27 καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. [27] ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βε-
βούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέ-
28 ψει; [28] τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς Ἄχαζ ἐγενήθη τὸ ῥῆμα τοῦτο.
29 [29] μὴ εὐφρανθείητε οἱ ἀλλόφυλοι πάντες, συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος
ὑμᾶς· ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα
30 αὐτῶν ἐξελεύσονται ὄφεις πετάμενοι, [30] καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ·
πτωχοὶ δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα
31 σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ. [31] ὀλολύξατε πύλαι πόλεων, κεκραγέτω-
σαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βορρᾶ καπνὸς ἔρχε-
32 ται, καὶ οὐκ ἔστι τοῦ εἶναι. [32] καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; ὅτι
κύριος ἐθεμελίωσε Σιών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

## XV.

## ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΜΩΑΒΙΤΙΔΟΣ.

Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις, νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς
2 Μωαβίτιδος. [2] λυπεῖσθε ἐφ' ἑαυτούς, ἀπολεῖται γὰρ καὶ Δηβών, οὗ ὁ βω-
μὸς ὑμῶν· ἐκεῖ ἀναβήσεσθε κλαίειν, ἐπὶ Ναβαῦ τῆς Μωαβίτιδος. ὀλολύξατε,
3 ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βραχίονες κατατετμημένοι, [3] ἐν ταῖς
πλατείαις αὐτῆς περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐ-
τῆς καὶ ἐν ταῖς πλατείαις αὐτῆς καὶ ἐν ταῖς ῥύμαις αὐτῆς, πάντες ὀλολύζετε
4 μετὰ κλαυθμοῦ. [4] ὅτι κέκραγεν Ἐσεβὼν καὶ Ἐλεαλή, ἕως Ἰασσὰ ἠκούσθη ἡ
φωνὴ αὐτῶν· διὰ τοῦτο ἡ ὀσφὺς τῆς Μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώ-
5 σεται. [5] ἡ καρδία τῆς Μωαβίτιδος βοᾷ ἐν αὐτῇ ἕως Σηγώρ· δάμαλις γάρ
ἐστι τριετής, ἐπὶ δὲ τῆς ἀναβάσεως Λουεὶθ πρὸς σὲ κλαίοντες ἀναβήσονται
6 τῇ ὁδῷ Ἀρωνιείμ· βοᾷ σύντριμμα καὶ σεισμός, [6] τὸ ὕδωρ τῆς Νεμηρεὶμ ἔρη-
7 μον ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει· χόρτος γὰρ χλωρὸς οὐκ ἔσται. [7] μὴ
καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας καὶ λή-
8 ψονται αὐτήν. [8] συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος τῆς Ἀγαλείμ,
9 καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Αἰλείμ. [9] τὸ δὲ ὕδωρ τὸ Δειμὼν
πλησθήσεται αἵματος· ἐπάξω γὰρ ἐπὶ Δειμὼν Ἄραβας, καὶ ἀρῶ τὸ σπέρμα
Μωὰβ καὶ Ἀριὴλ καὶ τὸ κατάλοιπον Ἄδαμα.

## XVI.

Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν· μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος θυ-
2 γατρὸς Σιών; [2] ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου νοσσὸς ἀφῃρημένος, ἔσῃ
3 θυγάτηρ Μωάβ, ἔπειτα δὲ Ἀρνῶν πλείονα [3] βουλεύου, ποίει τε σκέπην πέν-
θους· αὐτῇ διὰ παντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. μὴ

---

25. απο της γης ... απο των 26. οικουμενην ολην ... εθνη της οικουμενης 27. om αυτου 28. αχαζ ο βασιλ. 29. παντ. οι αλλοφυλοι ... οφεων ... εγγονα ασπιδων ... πετομενοι 30. δε ανδρες επ ειρηνης ... δε λιμω ... καταλιμμα (non v. 22.) 31. ολολυζετε ... καπν. απο βορρα XV. 1. Το οραμα 2. εφ εαυτοις ... γαρ δαιβηδων ... ολολυζετε (ed. rom. post ολολυξατε non interpg.) ... κατατετετμημενοι 3. εν τ. πλ. αυτης cum antecedd. conjg. 4. εσεβων και ελαλησεν εως ηκουσθη η φ. αυτης 5. εν εαυτη ... της προς σε pro λουειθ πρ. σε ... αδωνιειμ 6. της νεμρειμ 7. λημψονται 8. το ορος της ... αγαλλειμ 9. ρεμμων bis pro δειμων XVI. 1. om θυγατρος 2. νεοσσος ... om εση scc.

Digitized by Google

ἀχθῆς, [4]παροικήσουσί σοι οἱ φυγάδες Μωάβ· ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώ- 4
που διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπα-
τῶν ἀπὸ τῆς γῆς. [5]καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' 5
αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυίδ, κρίνων καὶ ἐκζητῶν κρίμα καὶ σπεύ-
δων δικαιοσύνην. [6]ἠκούσαμεν τὴν ὕβριν Μωάβ, ὑβριστὴς σφόδρα, τὴν ὑπερη- 6
φανίαν ἐξῆρα. οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως. [7]ὀλολύξει Μωάβ, ἐν 7
γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι· τοῖς κατοικοῦσι δὲ Σὲθ μελετήσεις,
καὶ οὐκ ἐντραπήσῃ [8]τὰ πεδία Ἐσεβών. πενθήσει ἄμπελος Σεβαμά· κατα- 8
πίνοντες τὰ ἔθνη, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ· οὐ μὴ
συνάψητε, πλανήθητε τὴν ἔρημον, οἱ ἀπεσταλμένοι ἐγκατελείφθησαν, διέβη-
σαν γὰρ πρὸς τὴν θάλασσαν. [9]διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν Ἰαζὴρ 9
ἄμπελον Σεβαμά· τὰ δένδρα σου κατέβαλεν Ἐσεβὼν καὶ Ἐλεαλή, ὅτι ἐπὶ
τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπατήσω, καὶ πάντα πεσοῦνται.
[10]καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώνων, καὶ ἐν τοῖς 10
ἀμπελῶσί σου οὐ μὴ εὐφρανθήσονται, καὶ οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ
ὑπολήνια, πέπαυται γάρ. [11]διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα 11
ἠχήσει, καὶ τὰ ἐντός μου ὡς τεῖχος ἐνεκαίνισας. [12]καὶ ἔσται εἰς τὸ ἐντρα- 12
πῆναί σε, ὅτι ἐκοπίασε Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ εἰςελεύσεται εἰς τὰ χει-
ροποίητα αὐτῆς ὥςτε προσεύξασθαι, καὶ οὐ μὴ δύνηται ἐξελέσθαι αὐτόν.
[13]τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος ἐπὶ Μωάβ, ὁπότε ἐλάλησε. [14]καὶ νῦν 13 14
λέγω Ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ παντὶ
τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστὸς καὶ οὐκ ἔντιμος.

## XVII.

## ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΔΑΜΑΣΚΟΥ.

Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν [2]κατα- 2
λελειμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, καὶ οὐκ ἔσται
ὁ διώκων· [3]καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν Ἐφραΐμ· καὶ οὐκέτι 3
βασιλεία ἐν Δαμασκῷ καὶ τὸ λοιπὸν τῶν Σύρων· οὐ γὰρ σὺ βελτίων εἶ τῶν
υἱῶν Ἰσραήλ, τῆς δόξης αὐτῶν· τάδε λέγει κύριος Σαβαώθ. [4]ἔσται ἐν τῇ 4
ἡμέρᾳ ἐκείνῃ ἔκλειψις δόξης Ἰακώβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθή-
σεται. [5]καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα καὶ σπέρμα 5
σταχύων ἀμήσῃ, καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι
στερεᾷ, [6]καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς 6
ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν κατα-
λειφθῇ. τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ. [7]τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται 7
ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτόν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον
τοῦ Ἰσραὴλ ἐμβλέψονται, [8]καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς οὐδὲ 8
ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ οὐκ
ὄψονται τὰ δένδρα οὐδὲ τὰ βδελύγματα αὐτῶν. [9]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται 9
αἱ πόλεις σου ἐγκαταλελειμμέναι ὃν τρόπον κατέλιπον οἱ Ἀμορραῖοι καὶ οἱ

---

3. απ αρχης pro αχθης 4. om σοι ... εσοντ. γαρ ... post σου add συνετελεσθη ταλαιπωρια ... απολετο ... επι της 5. μετα ελεους 6. ed. rom. post σφοδρα non interpg. ... εξηρας 8. *καταπατησουσιν (?) ... την ερημον pro προς τ. θαλασσ. 9. εσεβων· και ελαλησεν επι 10. αμπελωνων σου 11. ωςει τιχος ο ενεχενισας 12. εστ. ως το ... om οτι 13. οποτε και ελαλ. 14. εν παντι XVII. 2. καταλελιμμενη ... αναπαυσιν βουχολιων 3. εσται βασιλεια ... των συρων (**ασσυρων .. -ριων?) απολειται ... ισραηλ και της 4. της δοξης ιακωβ ... **πλιονα 5. σταχυων εν τω βραχιονι αυτου αμηση 6. κλαδων αυτου 7. εσται ανθρωπος 8. οψοντ. τα αλση αυτων ουδε 9. εγκαταλελιμμεναι ... εγκατελειπον

Digitized by Google

10 Εὐαῖοι ἀπὸ προςώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἔσονται ἔρημοι, [10] διότι κατέ-
λιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης.
11 διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον καὶ σπέρμα ἄπιστον· [11] τῇ ἡμέρᾳ ᾗ
ἂν φυτεύσῃς, πλανηθήσῃ· τὸ δὲ πρωὶ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν ᾗ
12 ἂν ἡμέρᾳ κληρώσῃ, καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς σου. [12] οὐαὶ
πλῆθος ἐθνῶν πολλῶν· ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε, καὶ
13 νῶτος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει· [13] ὡς ὕδωρ πολὺ ἔθνη πολλά, ὡς
ὕδατος πολλοῦ βίᾳ φερομένου. καὶ ἀποσκορακιεῖ αὐτόν, καὶ πόῤῥω αὐτὸν
διώξεται ὡς χνοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν
14 τροχοῦ καταιγὶς φέρουσα· [14] πρὸς ἑσπέραν καὶ ἔσται πένθος, πρὶν ἢ πρωὶ
καὶ οὐκ ἔσται. αὕτη ἡ μερὶς τῶν προνομευσάντων ὑμᾶς, καὶ κληρονομία
τοῖς ὑμᾶς κληρονομήσασιν.

## XVIII.

2 Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, [2] ὁ ἀποστέλ-
λων ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. πορεύ-
σονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον, καὶ ξένον λαὸν καὶ χαλεπόν·
τίς αὐτοῦ ἐπέκεινα; ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον. νῦν οἱ ποταμοὶ
3 τῆς γῆς [3] πάντες ὡς χώρα κατοικουμένη κατοικηθήσεται· ἡ χώρα αὐτῶν
4 ὡςεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται. [4] διότι
οὕτως εἶπε κύριός μοι Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει ὡς φῶς καύματος
5 μεσημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμητοῦ ἔσται [5] πρὸ τοῦ θερισμοῦ,
ὅταν συντελεσθῇ ἄνθος, καὶ ὄμφαξ ἐξανθήσῃ ἄνθος ὀμφακίζουσα· καὶ ἀφε-
λεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς κληματίδας ἀφελεῖ καὶ
6 ἀποκόψει, [6] καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις
τῆς γῆς· καὶ συναχθήσεται ἐπ' αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα
7 τὰ θηρία τῆς γῆς ἐπ' αὐτὸν ἥξει. [7] ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα
κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου καὶ τετιλμένου, καὶ ἀπὸ λαοῦ μεγάλου
ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· ἔθνος ἐλπίζον καὶ καταπεπατημένον,
ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνομα κυ-
ρίου Σαβαώθ, ὄρος Σιών.

## XIX.

### ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον, καὶ
σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προςώπου αὐτοῦ, καὶ ἡ καρδία
2 αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. [2] καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους,
καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἄνθρωπος τὸν πλησίον αὐ-
3 τοῦ, πόλις ἐπὶ πόλιν καὶ νομὸς ἐπὶ νομόν. [3] καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν
Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ ἐπερωτήσουσι
τοὺς θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας
4 καὶ τοὺς ἐγγαστριμύθους. [4] καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων
κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. τάδε λέγει κύριος
5 Σαβαώθ. [5] καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς

---

10. εγκατελειπες 11. τη δε ημερα ... εαν φυτευσης ... ωςπερ πατηρ ... om σου 12. ουτως 13. καταφερομενου ... ως χουν 14. om και primum ... υμας προνομευσ. κ. κληρ. των υμ. κληρονομησαντων XVIII. 2. τι αυτου επεκεινα ... κατεπατημενον (sic) νυν· νυν 4. οτι ουτως ειπ. μοι κυριος 5. post θερισμου plene interpg. ... ανθηση ... καταχοψει 7. ed. rom. μεγαλου, απο ... του ποταμου XIX. 1. αι καρδιαι α. ηττηθησονται 2. επεγερθησεται πολις 3. ενγαστριμυθ. και τους γνωστας 4. om την

Digitized by Google

ἐκλείψει καὶ ξηρανθήσεται· [6]καὶ ἐκλείψουσιν οἱ ποταμοὶ καὶ αἱ διώρυχες 6
τοῦ ποταμοῦ, καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος καὶ ἐν παντὶ ἕλει
καλάμου καὶ παπύρου, [7]καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ 7
καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον. [8]καὶ 8
στενάξουσιν οἱ ἁλιεῖς, καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν
ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας καὶ οἱ ἀμφιβολεῖς πενθήσουσι. [9]καὶ αἰ- 9
σχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ σχιστὸν καὶ τοὺς ἐργαζομένους
τὴν βύσσον, [10]καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ 10
ποιοῦντες τὸν ζῦθον λυπηθήσονται καὶ τὰς ψυχὰς πονέσουσι. [11]καὶ μωροὶ 11
ἔσονται οἱ ἄρχοντες Τάνεως, οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐ-
τῶν μωρανθήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ Υἱοὶ συνετῶν ἡμεῖς, υἱοὶ βασιλέων
τῶν ἐξ ἀρχῆς; [12]ποῦ εἰσὶ νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι καὶ 12
εἰπάτωσαν τί βεβούλευται κύριος Σαβαὼθ ἐπ' Αἴγυπτον; [13]ἐξέλιπον οἱ ἄρ- 13
χοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσιν Αἴ-
γυπτον κατὰ φυλάς. [14]κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ 14
ἐπλάνησαν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων καὶ
ὁ ἐμῶν ἅμα. [15]καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον ὃ ποιήσει κεφαλὴν καὶ 15
οὐρὰν καὶ ἀρχὴν καὶ τέλος. [16]τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς 16
γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς κυρίου Σαβαὼθ
ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. [17]καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις 17
εἰς φόβητρον· πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν
βουλὴν ἣν βεβούλευται κύριος Σαβαὼθ ἐπ' αὐτήν. [18]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσον- 18
ται πέντε πόλεις ἐν τῇ Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χανααντίδι καὶ
ὀμνύντες τῷ ὀνόματι κυρίου Σαβαώθ· πόλις ἀσεδὲκ κληθήσεται ἡ μία πό-
λις. [19]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, 19
καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ, [20]καὶ ἔσται εἰς σημεῖον εἰς τὸν 20
αἰῶνα κυρίῳ ἐν χώρᾳ Αἰγύπτου· ὅτι κεκράξονται πρὸς κύριον διὰ τοὺς θλί-
βοντας αὐτούς, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, κρίνων σώ-
σει αὐτούς. [21]καὶ γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις· καὶ γνώσονται οἱ 21
Αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσι θυσίας, καὶ εὔξον-
ται εὐχὰς τῷ κυρίῳ καὶ ἀποδώσουσι. [22]καὶ πατάξει κύριος τοὺς Αἰγυπτίους 22
πληγῇ, καὶ ἰάσεται αὐτοὺς ἰάσει, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ
εἰσακούσεται αὐτῶν καὶ ἰάσεται αὐτοὺς ἰάσει. [23]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἡ 23
ὁδὸς ἀπὸ Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι εἰς Αἴγυπτον·
καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύσουσιν Αἰγύπτιοι τοῖς
Ἀσσυρίοις. [24]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Ἰσραὴλ τρίτος ἐν τοῖς Αἰγυπτίοις, καὶ 24
ἐν τοῖς Ἀσσυρίοις εὐλογημένος ἐν τῇ γῇ, [25]ἣν εὐλόγησε κύριος Σαβαὼθ 25
λέγων Εὐλογημένος ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ἡ
κληρονομία μου Ἰσραήλ.

## XX.

Τοῦ ἔτους ὅτε εἰσῆλθε Τανάθαν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ Ἀρνᾶ βασιλέως Ἀσσυρίων καὶ ἐπολέμησε τὴν Ἄζωτον καὶ ἔλαβεν αὐτήν,

6. διωρυγες 8. αλεεις 9. λημψεται 10. οι διαλογιζομενοι αυτα ... παντ. οι τον ζυθ. ποιουντες 11. ed. rom. τω βασιλει υιοι συνετων, ημεις υιοι 12. ed. rom. αναγγειλατ. σοι; 13. εξελειπον 15. ουραν, αρχην 17. πας ος αν ... βουλην' κυριου σαβαωθ ην βεβ. κυρ. επ 18. εν αιγυπτω ... χαναντιδι ... ομνυουσαι ... om σαβαωθ 19. το θυσιαστηριον 20. αυτοις κυριος ανθρωπ. 22. πληγη μεγαλη ... επακουσεται ... om ιασει sec. 23. εσται οδος αιγυπτου ... οι αιγυπτιοι 24. τριτος εν τ. ασσυριοις· και εν τ. αιγυπτιοις 25. η pro ην XX. 1. ου εισηλθεν ναθαν ... κ. κατελαβετο αυτ.

Digitized by Google

2 ²τότε ἐλάλησε κύριος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς λέγων Πορεύου καὶ ἄφελε
τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν
3 ποδῶν σου, καὶ ποίησον οὕτως, πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. ³καὶ
εἶπε κύριος Ὃν τρόπον πεπόρευται ὁ παῖς μου Ἡσαΐας γυμνὸς καὶ ἀνυπό-
δετος τρία ἔτη, τρία ἔτη ἔσται εἰς σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ
4 Αἰθίοψιν· ⁴ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου
καὶ Αἰθιόπων, νεανίσκους καὶ πρεσβύτας, γυμνοὺς καὶ ἀνυποδέτους, ἀνακεκα-
5 λυμμένους τὴν αἰσχύνην Αἰγύπτου. ⁵καὶ αἰσχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς
6 Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ Αἰγύπτιοι, ἦσαν γὰρ αὐτοῖς δόξα. ⁶καὶ
ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἰδοὺ ἡμεῖς
ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οἳ οὐκ ἠδύναντο σω-
θῆναι ἀπὸ βασιλέως Ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα;

## XXI.

## ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι, ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς, φοβερὸν
2 ²τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι. ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν ἀνομεῖ.
ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται. νῦν
3 στενάξω καὶ παρακαλέσω ἐμαυτόν. ³διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκ-
λύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν· ἠδίκησα τοῦ μὴ ἀκοῦσαι,
4 ἐσπούδασα τοῦ μὴ βλέπειν. ⁴ἡ καρδία μου πλανᾶται καὶ ἡ ἀνομία με βα-
5 πτίζει, ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον. ⁵ἑτοίμασον τὴν τράπεζαν, φάγετε,
6 πίετε· ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε θυρεούς, ⁶ὅτι οὕτως εἶπε πρὸς μὲ
7 κύριος Βαδίσας σεαυτῷ στῆσον σκοπόν, καὶ ὃ ἂν ἴδῃς ἀνάγγειλον. ⁷καὶ εἶ-
δον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην ὄνου καὶ ἀναβάτην καμήλου. ἀκρόα-
8 σαι ἀκρόασιν πολλήν, ⁸καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν. κύριος εἶπεν Ἔστην
9 διὰ παντὸς ἡμέρας, καὶ ἐπὶ τῆς παρεμβολῆς ἐγὼ ἔστην ὅλην τὴν νύκτα, ⁹καὶ
ἰδοὺ αὐτὸς ἔρχεται ἀναβάτης ξυνωρίδος. καὶ ἀποκριθεὶς εἶπε Πέπτωκε πέπτωκε * Apoc. 14, 8. 18, 2.
Βαβυλών, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς καὶ τὰ χειροποίητα αὐτῆς συνε-
10 τρίβησαν εἰς τὴν γῆν. ¹⁰ἀκούσατε οἱ καταλελειμμένοι καὶ οἱ ὀδυνώμενοι,
ἀκούσατε ἃ ἤκουσα παρὰ κυρίου Σαβαώθ, ὁ θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

11 ¹¹ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

12 Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ Σηείρ Φυλάσσετε ἐπάλξεις. ¹²φυλάσσω τὸ πρωὶ
13 καὶ τὴν νύκτα· ἐὰν ζητῇς ζήτει, καὶ παρ' ἐμοὶ οἴκει, ¹³ἐν τῷ δρυμῷ ἑσπέρας
14 κοιμηθῇς ἢ ἐν τῇ ὁδῷ Δαιδάν. ¹⁴εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ
15 ἐνοικοῦντες ἐν χώρᾳ Θαιμάν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσι ¹⁵διὰ τὸ πλῆθος
τῶν πεφονευμένων καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων καὶ διὰ τὸ πλῆθος
τῆς μαχαίρας καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων καὶ διὰ
16 τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ. ¹⁶διότι οὕτως εἶπέ μοι κύριος
17 Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα τῶν υἱῶν Κηδάρ, ¹⁷καὶ
τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον, ὅτι
κύριος ὁ θεὸς Ἰσραὴλ ἐλάλησεν.

---

2. om υιον αμως ... ανυποδητος (non vv. sqq.) 3. ησαιας ο παις μου ... om τρια ετη prius ... εσται σημεια 5. ηττηθεντες οι αιγυπτιοι επι 6. om εν τη ημ. εκεινη XXI. 2. ελαμειται 3. το μη ακουσαι ... το μη βλεπ. 5. πιετε φαγετε 6. κυριος πρ. με ... ο εαν ιδης 7. ιδον ... δυο, αναβατην ... ed. rom. καμηλου, ακροασαι 8. σκοπιαν κυριου· και ειπεν ... om εγω 9. συνωριδος ... om πεπτωκε alterum 10. οι καταλελιμμενοι και οδυνωμενοι ... ed. rom. κ. οι οδ. ακουσατε, 11. καλειτε ... φυλαξεται 13. κοιμηθηση· εν τη 14. υδωρ διψωντι ... φευγοντων pro πεφονευμενων 15. παιδιω pro πολεμω (sed διατεταμενων usque παιδιω rescripta sunt) 16. οτι ουτως 17. διοτι κυριος ελαλ. ο θεος ισρ.

Digitized by Google

## XXII.

## ΤΟ ΡΗΜΑ ΤΗΣ ΦΑΡΑΓΓΟΣ ΣΙΩΝ.

Τί ἐγένετό σοι ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια; [2]ἐνεπλήσθη 2
ἡ πόλις βοώντων, οἱ τραυματίαι σου οὐ τραυματίαι ἐν μαχαίραις, οὐδὲ οἱ
νεκροί σου νεκροὶ πολέμων. [3]πάντες οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόν- 3
τες σκληρῶς δεδεμένοι εἰσί, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόῤῥω πεφεύγασι. [4]διὰ 4
τοῦτο εἶπα Ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με
ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου, [5]ὅτι ἡμέρα ταραχῆς καὶ 5
ἀπωλείας καὶ καταπατήματος, καὶ πλάνησις παρὰ κυρίου Σαβαὼθ· ἐν φά-
ραγγι Σιὼν πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη. [6]οἱ 6
δὲ Ἐλαμῖται ἔλαβον φαρέτρας, καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵππους, καὶ συνα-
γωγὴ παρατάξεως. [7]καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται 7
ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου, [8]καὶ ἀνακαλύψουσι τὰς 8
πύλας Ἰούδα· καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους
τῆς πόλεως, [9]καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυίδ. καὶ 9
εἴδοσαν ὅτι πλείους εἰσί, καὶ ὅτι ἀπέστρεψε τὸ ὕδωρ τῆς ἀρχαίας κολυμ-
βήθρας εἰς τὴν πόλιν, [10]καὶ ὅτι καθείλοσαν τοὺς οἴκους Ἱερουσαλὴμ εἰς ὀχυ- 10
ρώματα τείχους τῇ πόλει. [11]καὶ ἐποιήσατε ἑαυτοῖς ὕδωρ ἀνὰ μέσον τῶν 11
δύο τειχῶν ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς
τὸν ἀπ' ἀρχῆς ποιήσαντα αὐτήν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε. [12]καὶ 12
ἐκάλεσε κύριος κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ κοπετὸν
καὶ ξύρησιν καὶ ζῶσιν σάκκων, [13]αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλ- 13
λίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέατα καὶ
1 Co. πιεῖν οἶνον, λέγοντες Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. [14]καὶ 14
15, 32. ἀνακεκαλυμμένα ταῦτά ἐστιν ἐν τοῖς ὠσὶ κυρίου Σαβαὼθ, ὅτι οὐκ ἀφεθή-
σεται ὑμῖν αὕτη ἡ ἁμαρτία ἕως ἂν ἀποθάνητε. [15]τάδε λέγει κύριος Σαβαὼθ 15
Πορεύου εἰς τὸ παστοφόριον πρὸς Σομνὰν τὸν ταμίαν καὶ εἰπὸν αὐτῷ [16]Τί 16
σὺ ὧδε, καὶ τί σοί ἐστιν ὧδε ὅτι ἐλατόμησας σεαυτῷ ὧδε, μνημεῖον καὶ
ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ σκη-
νήν; [17]ἰδοὺ δὴ κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀφελεῖ τὴν 17
στολήν σου καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον, [18]καὶ ῥίψει σε εἰς χώραν 18
μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα σου τὸ κα-
λὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς καταπάτημα, [19]καὶ 19
ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου. [20]καὶ ἔσται 20
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου,
[21]καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφανόν σου δώσω αὐτῷ κατὰ 21
κράτος, καὶ τὴν οἰκονομίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ· καὶ ἔσται ὡς
πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδᾳ. [22]καὶ 22
δώσω τὴν δόξαν Δαυὶδ αὐτῷ, καὶ ἄρξει καὶ οὐκ ἔσται ὁ ἀντιλέγων· καὶ
Apoc. δώσω αὐτῷ τὴν κλεῖδα οἴκου Δαυὶδ ἐπὶ τῷ ὤμῳ αὐτοῦ, καὶ ἀνοίξει καὶ οὐκ
3, 7. ἔσται ὁ ἀποκλείων, καὶ κλείσει καὶ οὐκ ἔσται ὁ ἀνοίγων. [23]καὶ στήσω αὐ- 23
τὸν ἄρχοντα ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πα-
τρὸς αὐτοῦ. [24]καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ 24
πατρὸς αὐτοῦ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ.

---

XXII. 1. Το οραμα ... σοι νυν· οτι ανεβ. 2. ου τραυμ. μαχαιρας ... πολεμου 3. δεδεγμενοι 6. ελαμειται ... om και prius ... εφ ιπποις 9. απεστρεψαν 10. εις οχυρωμα του τειχους 11. τειχεων 12. om κυριος alterum 13. κρεα 15. γραμματαια pro ταμιαν 17. ed. rom. ἐκβάλλει 20. εκεινη καλεσω 21. και το κρατος pro κατα κρατος ... *om και τ. ενοικ. εν ιουδα 22. om αυτω sec. ... επι του ωμου ... ο αποκλεισων 24. επικρεμ. εν αυτω ... ed. rom. et cod. alex. αυτω cum τη ημ. εκ. conjg.

Digitized by Google

25 [25]τῇ ἡμέρᾳ ἐκείνῃ, τάδε λέγει κύριος Σαβαώθ, κινηθήσεται ὁ ἄνθρωπος ὁ
ἐστηριγμένος ἐν τόπῳ πιστῷ, καὶ ἀφαιρεθήσεται καὶ πεσεῖται, καὶ ἐξολο-
θρευθήσεται ἡ δόξα ἡ ἐπ' αὐτόν, ὅτι κύριος ἐλάλησεν.

## XXIII.

### ΤΟ ΡΗΜΑ ΤΥΡΟΥ.

Ὀλολύξατε πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχονται ἐκ γῆς
2 Κιτιαίων, ἦκται αἰχμάλωτος. [2]τίνι ὅμοιοι γεγόνασιν οἱ ἐνοικοῦντες ἐν τῇ
3 νήσῳ, μετάβολοι Φοινίκης, διαπερῶντες τὴν θάλασσαν [3]ἐν ὕδατι πολλῷ,
4 σπέρμα μεταβόλων; ὡς ἀμητοῦ εἰςφερομένου, οἱ μετάβολοι τῶν ἐθνῶν. [4]αἰσχύν-
θητι Σιδών, εἶπεν ἡ θάλασσα· ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν Οὐκ ὤδινον
5 οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα νεανίσκους οὐδὲ ὕψωσα παρθένους. [5]ὅταν δὲ
6 ἀκουστὸν γένηται Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου. [6]ἀπέλθατε
7 εἰς Καρχηδόνα, ὀλολύξατε οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. [7]οὐχ αὕτη ἦν
8 ὑμῶν ἡ ὕβρις ἀπ' ἀρχῆς πρὶν ἢ παραδοθῆναι αὐτήν; [8]τίς ταῦτα ἐβούλευ-
σεν ἐπὶ Τύρον; μὴ ἥσσων ἐστὶν ἢ οὐκ ἰσχύει; οἱ ἔμποροι αὐτῆς ἔνδοξοι, *Apoc. 18, 23.
9 ἄρχοντες τῆς γῆς. [9]κύριος Σαβαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν
10 τῶν ἐνδόξων καὶ ἀτιμάσαι πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς. [10]ἐργάζου τὴν γῆν σου,
11 καὶ γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ Καρχηδόνος. [11]ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει
κατὰ θάλασσαν, ἡ παροξύνουσα βασιλεῖς· κύριος Σαβαὼθ ἐνετείλατο περὶ
12 Χαναὰν ἀπολέσαι αὐτῆς τὴν ἰσχύν. [12]καὶ ἐροῦσιν Οὐκέτι οὐ μὴ προστεθῆτε
τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα Σιδῶνος· καὶ ἐὰν ἀπέλθῃς εἰς Κι-
13 τιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι· [13]καὶ εἰς γῆν Χαλδαίων, καὶ αὕτη
14 ἠρήμωται ἀπὸ τῶν Ἀσσυρίων, ὅτι ὁ τοῖχος αὐτῆς πέπτωκεν. [14]ὀλολύξατε
15 πλοῖα Καρχηδόνος, ὅτι ἀπόλωλε τὸ ὀχύρωμα ὑμῶν. [15]καὶ ἔσται ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται Τύρος ἔτη ἑβδομήκοντα, ὡς χρόνος βασι-
λέως, ὡς χρόνος ἀνθρώπου· καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη ἔσται Τύ-
16 ρος ὡς ᾆσμα πόρνης. [16]λάβε κιθάραν, ῥέμβευσον, πόλις πόρνη ἐπιλελη-
σμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται. καὶ ἔσται
μετὰ τὰ ἑβδομήκοντα ἔτη ἐπισκοπὴν ποιήσει ὁ θεὸς Τύρου, καὶ πάλιν ἀπο-
17 καταστήσεται εἰς τὸ ἀρχαῖον, [17]καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις
18 τῆς οἰκουμένης ἐπὶ πρόσωπον τῆς γῆς. [18]καὶ ἔσται αὐτῆς ἡ ἐμπορία καὶ ὁ
μισθὸς ἅγιον κυρίῳ, οὐκ αὐτοῖς συναχθήσεται ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι
κυρίου, πᾶσα ἡ ἐμπορία αὐτῆς, φαγεῖν καὶ πιεῖν καὶ ἐμπλησθῆναι, καὶ εἰς
συμβολὴν μνημόσυνον ἔναντι κυρίου.

## XXIV.

Ἰδοὺ κύριος καταφθείρει τὴν οἰκουμένην, καὶ ἐρημώσει αὐτὴν καὶ ἀνα-
2 καλύψει τὸ πρόσωπον αὐτῆς καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. [2]καὶ
ἔσται ὁ λαὸς ὡς ἱερεύς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ
κυρία· ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, ὁ δανείζων ὡς ὁ δανειζόμενος, καὶ
3 ὁ ὀφείλων ὡς ᾧ ὀφείλει. [3]φθορᾷ φθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευ-

---

25. εν τη ... πιστω, και πεσειται και αφαιρεθησεται η δοξα XXIII. 1. Το οραμα ... ολολυζετε ... χητιαιων 5. εν αιγυπτω, λημψεται 6. ολολυζετε οι ενοικουντες 7. υμων ην η υβρ. η απ 8. ed. rom. post ενδοξοι non interpg. 9. om πασαν 10. ερχονται 12. ουκετι μη προςθητε ... θυγατερα σιων ... εις χητιειμ ... σοι αναπ. εσται 13. ante οτι add ουδε εκει σοι αναπαυσεις εσται 14. ολολυζετε ... οτι απωλετο 16. η μνια ... μετα εβδομηκοντα 17. om επι προσωπ. τ. γ. 18. τω κυριω ... om και ultimum ... *om εναντι κυρ. (videtur) XXIV. 2. ως ο ιερευς ... και ο δανιζων ως ο δανιζ.

Digitized by Google

θήσεται ἡ γῆ· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. 4 ἐπένθησεν ἡ γῆ, καὶ 4
ἐφθάρη ἡ οἰκουμένη, ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς. 5 ἡ δὲ ἠνόμησε διὰ 5
τοὺς κατοικοῦντας αὐτήν, διότι παρήλθοσαν τὸν νόμον καὶ ἤλλαξαν τὰ προς-
τάγματα διαθήκην αἰώνιον. 6 διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν 6
οἱ κατοικοῦντες αὐτήν· διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ,
καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι. 7 πενθήσει οἶνος, πενθήσει ἄμπελος, 7
a Apoc. 18, 22. στενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν. 8 πέπαυται εὐφροσύνη τυμ- 8
πάνων, πέπαυται φωνὴ κιθάρας. 9 ᾐσχύνθησαν, οὐκ ἔπιον οἶνον, πικρὸν ἐγέ- 9
νετο τὸ σίκερα τοῖς πίνουσιν. 10 ἠρημώθη πᾶσα πόλις, κλείσει οἰκίαν τοῦ μὴ 10
εἰςελθεῖν. 11 ὀλολύζεται περὶ τοῦ οἴνου πανταχῇ, πέπαυται πᾶσα εὐφροσύνη 11
τῆς γῆς, ἀπῆλθε πᾶσα εὐφροσύνη τῆς γῆς. 12 καὶ καταλειφθήσονται πόλεις 12
ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται. 13 ταῦτα πάντα ἔσονται ἐν 13
τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν· ὃν τρόπον ἐάν τις καλαμήσηται ἐλαίαν, οὕτως
καλαμήσονται αὐτούς· καὶ ἐὰν παύσηται ὁ τρυγητός, 14 οὗτοι βοῇ φωνήσου- 14
σιν, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ κυρίου,
ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης. 15 διὰ τοῦτο ἡ δόξα κυρίου ἐν ταῖς νή- 15
σοις ἔσται τῆς θαλάσσης, τὸ ὄνομα κυρίου ἔνδοξον ἔσται. 16 κύριε ὁ θεὸς 16
Ἰσραήλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν, ἐλπὶς τῷ εὐσεβεῖ.
καὶ ἐροῦσιν Οὐαὶ τοῖς ἀθετοῦσιν. οἱ ἀθετοῦντες τὸν νόμον, 17 φόβος καὶ βό- 17
θυνος καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς. 18 καὶ ἔσται ὁ φεύ- 18
γων τὸν φόβον ἐμπεσεῖται εἰς τὸν βόθυνον· καὶ ὁ ἐκβαίνων ἐκ τοῦ βοθύνου
ἁλώσεται ὑπὸ τῆς παγίδος· ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ
σεισθήσεται τὰ θεμέλια τῆς γῆς. 19 ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ 19
ἀπορηθήσεται ἡ γῆ. 20 ἔκλινεν ὡς ὁ μεθύων καὶ κραιπαλῶν, καὶ σεισθήσεται 20
ὡς ὀπωροφυλάκιον ἡ γῆ, κατίσχυσε γὰρ ἐπ' αὐτῆς ἡ ἀνομία, καὶ πεσεῖται
καὶ οὐ μὴ δύνηται ἀναστῆναι. 21 καὶ ἐπάξει ὁ θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐ- 21
ρανοῦ τὴν χεῖρα καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς. 22 καὶ συνάξουσι συναγωγὴν 22
αὐτῆς εἰς δεσμωτήριον καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα, διὰ πολλῶν γενεῶν
ἐπισκοπὴ ἔσται αὐτῶν. 23 καὶ τακήσεται ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖχος· 23
ὅτι βασιλεύσει κύριος ἐκ Σιὼν καὶ ἐξ Ἱερουσαλήμ, καὶ ἐνώπιον τῶν πρεσβυ-
τέρων δοξασθήσεται.

## XXV.

Κύριε ὁ θεός, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ
πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. γένοιτο. 2 ὅτι ἔθηκας πόλεις εἰς χῶμα, 2
πόλεις ὀχυρὰς τοῦ μὴ πεσεῖν αὐτῶν τὰ θεμέλια, τῶν ἀσεβῶν πόλις τὸν αἰῶνα
οὐ μὴ οἰκοδομηθῇ. 3 διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις 3
ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. 4 ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ 4
βοηθός, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη, ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ
αὐτούς· σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων, 5 ὡς ἄνθρωποι 5
ὀλιγόψυχοι διψῶντες ἐν Σιὼν ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς ἡμᾶς παρέδωκας.
6 καὶ ποιήσει κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν· ἐπὶ τὸ ὄρος τοῦτο πίονται 6
εὐφροσύνην, πίονται οἶνον· 7 χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. παράδος ταῦτα 7

4. και επενθησαν οι 5. η δε γη ... διοτι παρεβησαν ... τα προςταγμ. κυριου 8. post τυμπανων add πεπαυται αυθαδια και πλουτος ασεβων· 11. ολολυζετε ... om απηλθ. π. ευφρ. τ. γ. 12. εγκαταλελιμμενοι 13. εσται ... εμμεσω 14. βοησονται 18. βοθυνον· ο δε ... ηνεωχθησαν 20. εκλεινεν και σεισθησεται ως οπωροφυλακιον η γη· ως ο μεθυων· και κρεπαλων· και πεσειται κ. ου μη δ. αναστηναι· κατισχυσεν γαρ επ αυτης η ανομια· 22. και συναξ. και αποκλεισ. εις οχ. και εις δεσμωτηριον δια 23. εν σιων και εν ιερ. XXV. 1. praemittit ωδη ... ο θεος μου ... γενοιτο κυριε 2. του πεσειν 4. in fine add ευλογησουσιν σε

Digitized by Google

8 πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. [8] κατέπιεν ὁ θά- 1Co. 15, 54.
νατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλε κύριος ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς *Apoc.
προςώπου· τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς, τὸ γὰρ στόμα 7, 17.
9 κυρίου ἐλάλησε. [9] καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ Ἰδοὺ ὁ θεὸς ἡμῶν ἐφ' ᾧ ἠλ-
πίζομεν, καὶ σώσει ἡμᾶς· οὗτος κύριος, ὑπεμείναμεν αὐτῷ, καὶ ἠγαλλιώμεθα
10 καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. [10] ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ
τὸ ὄρος τοῦτο, καὶ καταπατηθήσεται ἡ Μωαβῖτις ὃν τρόπον πατοῦσιν ἅλωνα
11 ἐν ἁμάξαις· [11] καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε
τοῦ ἀπολέσαι, καὶ ταπεινώσει τὴν ὕβριν αὐτοῦ ἐφ' ἃ τὰς χεῖρας ἐπέβαλε·
12 [12] καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου ταπεινώσει, καὶ καταβήσεται ἕως
τοῦ ἐδάφους.

## XXVI.

Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς Ἰουδαίας Ἰδοὺ
2 πόλις ἰσχυρά, καὶ σωτήριον θήσει τὸ τεῖχος καὶ περίτειχος. [2] ἀνοίξατε πύλας,
3 εἰςελθέτω λαὸς φυλάσσων δικαιοσύνην καὶ φυλάσσων ἀλήθειαν, [3] ἀντιλαμβα-
4 νόμενος ἀληθείας καὶ φυλάσσων εἰρήνην. ὅτι ἐπὶ σοὶ ἐλπίδι [4] ἤλπισαν, κύριε,
5 ἕως τοῦ αἰῶνος, ὁ θεὸς ὁ μέγας ὁ αἰώνιος, [5] ὃς ταπεινώσας κατήγαγες τοὺς
ἐνοικοῦντας ἐν ὑψηλοῖς· πόλεις ὀχυρὰς καταβαλεῖς καὶ κατάξεις ἕως ἐδάφους,
6 7 [6] καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων καὶ ταπεινῶν. [7] ὁδὸς εὐσεβῶν εὐθεῖα
8 ἐγένετο, ἡ ὁδὸς τῶν εὐσεβῶν καὶ παρεσκευασμένη. [8] ἡ γὰρ ὁδὸς κυρίου κρί-
9 σις· ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου καὶ ἐπὶ τῇ μνείᾳ [9] ἣ ἐπιθυμεῖ ἡ ψυχὴ
ἡμῶν. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ θεός, διότι φῶς τὰ προς-
τάγματά σου ἐπὶ τῆς γῆς. δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.
10 [10] πέπαυται γὰρ ὁ ἀσεβής· πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς,
ἀλήθειαν οὐ μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου.
11 [11] κύριε, ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήσον-
ται· ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.
12 13 [12] κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. [13] κύριε
ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά
14 σου ὀνομάζομεν. [14] οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀνα-
στήσουσι· διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.
15 16 [15] πρόςθες αὐτοῖς κακά, κύριε, πρόςθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. [16] κύριε,
17 ἐν θλίψει ἐμνήσθην σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. [17] καὶ ὡς ἡ
ὠδίνουσα ἐγγίζει τεκεῖν, ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ
18 ἀγαπητῷ σου. [18] διὰ τὸν φόβον σου, κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινή-
σαμεν καὶ ἐτέκομεν· πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς· οὐ πε-
19 σούμεθα, ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. [19] ἀναστήσονται
οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν (*Eph.
τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστίν, ἡ δὲ γῆ τῶν ἀσεβῶν 5, 14.)
20 πεσεῖται. [20] βάδιζε λαός μου, εἴςελθε εἰς τὰ ταμεῖά σου, ἀπόκλεισον τὴν θύραν
21 σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου. [21] ἰδοὺ *He. 10, 37.

8. αφειλεν ο θεος 9. ερουσιν εν τη ... om και σώσει ημ. ουτ. κυρ. υπεμ. αυτω ... **ευφρανθημεν 10. οτι αναπαυσει (**-σειν) δωσει ... πατωσιν 12. του τοιχου σου XXVI. 1. praemittit ωδη ... επι γης ιουδα λεγοντες ... πολεις οχυραι κ. σ. ημιν θησει 2. εισελθατω 3. om ελπιδι 4. **ηλπισα 5. καταξ. αυτας εως του εδ. 6. **αυτας 7. και παρεσκευασμενη η οδος των ευσεβ. 8. κρισεις ... **om σου 9. ante εκ νυκτος add ωδη 10. om πας ος ... ποιηση 11. λημψεται 15. πασιν τοις 16. παιδια 17. του τεκειν· και επι τη 18. εγγαστρι ... om ου πεσουμεθα ... om παντες 19. αναστησ. γαρ 20. ο λαος μου ... ταμιεια

Digitized by Google

γὰρ κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς· καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους.

## XXVII.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν με-
γάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα
ὄφιν σκολιόν, ἀνελεῖ τὸν δράκοντα. 2 τῇ ἡμέρᾳ ἐκείνῃ ἀμπελὼν καλὸς ἐπιθύ- 2
μημα ἐξάρχειν κατ᾽ αὐτῆς. 3 ἐγὼ πόλις ὀχυρά, πόλις πολιορκουμένη, μάτην 3
ποτιῶ αὐτήν· ἁλώσεται γὰρ νυκτός, ἡμέρας δὲ πεσεῖται τεῖχος. 4 οὐκ ἔστιν 4
ἣ οὐκ ἐπελάβετο αὐτῆς· τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; διὰ τὴν
πολεμίαν ταύτην ἠθέτηκα αὐτήν. τοίνυν διὰ τοῦτο ἐποίησε κύριος πάντα ὅσα
συνέταξε. κατακέκαυμαι, 5 βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ποιήσωμεν εἰ- 5
ρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην, 6 οἱ ἐρχόμενοι τέκνα Ἰακώβ. βλαστήσει καὶ 6
ἐξανθήσει Ἰσραήλ, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. 7 μὴ 7
ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται; καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως
ἀναιρεθήσεται; 8 μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς· οὐ σὺ ἦσθα 8
μελετῶν τῷ πνεύματι τῷ σκληρῷ, ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ; 9 διὰ τοῦτο 9
ἀφαιρεθήσεται ἀνομία Ἰακώβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέ-
λωμαι τὴν ἁμαρτίαν αὐτοῦ, ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κα-
τακεκομμένους ὡς κονίαν λεπτήν· καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ
τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα ὥςπερ δρυμὸς μακράν. 10 τὸ κατοικούμενον 10
ποίμνιον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελειμμένον· καὶ ἔσται πολὺν χρό-
νον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται ποίμνια. 11 καὶ μετὰ χρόνον οὐκ 11
ἔσται ἐν αὐτῇ πᾶν χλωρὸν διὰ τὸ ξηρανθῆναι. γυναῖκες ἐρχόμεναι ἀπὸ θέας
δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν, διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιή-
σας αὐτούς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσῃ. 12 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 12
ἐκείνῃ συμφράξει ὁ θεὸς ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων·
ὑμεῖς δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς Ἰσραήλ. 13 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 13
ἐκείνῃ σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ
χώρᾳ τῶν Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ, καὶ προςκυνήσουσι τῷ
κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ.

## XXVIII.

Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραΐμ, τὸ ἄνθος τὸ ἐκπε-
σὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέως, οἱ μεθύοντες ἄνευ
οἴνου. 2 ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς κυρίου, ὡς χάλαζα καταφερομένη 2
οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη· ὡς ὕδατος πολὺ πλῆθος σῦρον χώ-
ραν, τῇ γῇ ποιήσει ἀνάπαυμα· ταῖς χερσὶ 3 καὶ τοῖς ποσὶ καταπατηθήσεται ὁ 3
στέφανος τῆς ὕβρεως, οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ. 4 καὶ ἔσται τὸ ἄνθος τὸ ἐκ- 4
πεσὸν τῆς ἐλπίδος τῆς δόξης ἐπ᾽ ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ· ὡς πρόδρο-
μος σύκου, ὁ ἰδὼν αὐτό, πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν αὐτό, θελήσει αὐτὸ
καταπιεῖν. 5 τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος Σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος 5
ὁ πλεκεὶς τῆς δόξης τῷ καταλειφθέντι τοῦ λαοῦ· 6 καταλειφθήσονται ἐπὶ 6

---

21. στομα pro αιμα ... καταχαλ. η γη τους XXVII. 1. om Εν ... και ανελει 3. ισχυρα ... *αυτους (vdlr) ... το τειχος 4. και ουκ εστιν ... κυριος ο θεος 8. ο μελετων 9. η ανομια ... αυτου την αμαρτιαν, οταν θω 10. καταλελιμμενον ... κακει ... om ποιμνια 11. om και ... ελεησει 12. συμφραξει κυριος απο ... τους υι. ισρ. κατ ενα ενα 13. σαλπιουσιν εν τη ... ηξουσιν οι απο ανατολων εν ... προςκυνησωσιν XXVIII. 2. ποιησει αναπαυσιν 4. πριν η εις ... om αυτο prius 5. ο πλακεις ... μου λαω pro του λαου 6. και καταλειφθησονται



Digitized by Google

7 πνεύματι κρίσεως ἐπὶ κρίσιν καὶ ἰσχὺν κωλυόντων ἀνελεῖν. [7] οὗτοι γὰρ οἴνῳ
πεπλημμελημένοι εἰσίν· ἐπλανήθησαν διὰ τὸ σίκερα, ἱερεὺς καὶ προφήτης
ἐξέστησαν διὰ τὸ σίκερα, κατεπόθησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς
8 μέθης, ἐπλανήθησαν· τοῦτ' ἔστι φάσμα. [8] ἀρὰ ἔδεται ταύτην τὴν βουλήν·
9 αὕτη γὰρ ἡ βουλὴ ἕνεκα πλεονεξίας. [9] τίνι ἀνηγγείλαμεν κακά, καὶ τίνι ἀνηγ-
γείλαμεν ἀγγελίαν; οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι
10 ἀπὸ μαστοῦ. [10] θλῖψιν ἐπὶ θλῖψιν προςδέχου, ἐλπίδα ἐπ' ἐλπίδι, ἔτι μικρὸν
11 ἔτι μικρόν, [11] διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι λαλήσουσι τῷ 1 Co. 14, 21.
12 λαῷ τούτῳ [12] λέγοντες αὐτοῖς Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι καὶ τοῦτο
13 τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν. [13] καὶ ἔσται αὐτοῖς τὸ λόγιον τοῦ
θεοῦ θλῖψις ἐπὶ θλῖψιν, ἐλπὶς ἐπ' ἐλπίδι, ἔτι μικρὸν ἔτι μικρόν, ἵνα πονεύ-
σωσι καὶ πέσωσιν ὀπίσω, καὶ συντριβήσονται καὶ κινδυνεύσουσι καὶ ἁλώ-
14 σονται. [14] διὰ τοῦτο ἀκούσατε λόγον κυρίου, ἄνδρες τεθλιμμένοι καὶ οἱ ἄρ-
15 χοντες τοῦ λαοῦ τούτου τοῦ ἐν Ἱερουσαλήμ, [15] ὅτι εἴπατε Ἐποιήσαμεν
διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας· καταιγὶς φερο-
μένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα
16 ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα. [16] διὰ τοῦτο οὕτω λέγει κύριος κύ-
ριος Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρο- Ro. 9,33.
γωνιαῖον ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων οὐ μὴ καταισχυνθῇ. 1 Pe. 2,6. Ro. 10,
17 [17] καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς, καὶ οἱ 11.
18 πεποιθότες μάτην ψεύδει· ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς, [18] μὴ καὶ
ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν
ᾅδην οὐ μὴ ἐμμείνῃ· καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς
19 καταπάτημα. [19] ὅταν παρέλθῃ, λήψεται ὑμᾶς· πρωῒ πρωῒ παρελεύσεται ἡμέ-
20 ρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά. μάθετε ἀκούειν [20] στενοχωρούμενοι·
21 οὐ δυνάμεθα μάχεσθαι, αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ὑμᾶς συναχθῆναι. [21] ὥςπερ
ὄρος ἀσεβῶν ἀναστήσεται κύριος, καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαών, μετὰ
θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον· ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως
22 χρήσεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία. [22] καὶ ὑμεῖς μὴ εὐφρανθείητε,
μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί· διότι συντετελεσμένα καὶ συντετμημένα
23 πράγματα ἤκουσα παρὰ κυρίου Σαβαὼθ ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν. [23] ἐνω-
τίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου, προςέχετε καὶ ἀκούετε τοὺς λόγους μου.
24 [24] μὴ ὅλην τὴν ἡμέραν ἀροτριάσει ὁ ἀροτριῶν; ἢ σπόρον προετοιμάσει πρὶν
25 ἐργάσασθαι τὴν γῆν; [25] οὐχ ὅταν ὁμαλίσῃ τὸ πρόςωπον αὐτῆς, τότε σπείρει
μικρὸν μελάνθιον ἢ κύμινον, καὶ πάλιν σπείρει πυρὸν καὶ κριθὴν καὶ κέγχρον
26 καὶ ζέαν ἐν τοῖς ὁρίοις σου; [26] καὶ παιδευθήσῃ κρίματι θεοῦ σου, καὶ εὐ-
27 φρανθήσῃ. [27] οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς
ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον· ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον, τὸ δὲ
28 κύμινον [28] μετὰ ἄρτου βρωθήσεται. οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ εἰμι ὑμῖν ὀρ-
29 γισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. [29] καὶ ταῦτα
παρὰ κυρίου Σαβαὼθ ἐξῆλθε τὰ τέρατα· βουλεύσασθε, ὑψώσατε ματαίαν
παράκλησιν.

---

6. κωλυων 7. πεπλανημενοι ... om δια το σικερα, κατεποθησαν ... μεθης του σικερα ... τουτο εστιν φαντασμα 8. ενεχεν 9. ed. rom. μαστου, 12. λεγοντες αυτω 13. κυριου του θεου ... ινα πορευθωσιν και πεσωσιν εις τα οπισω, κ. κινδυν. κ. συντριβ. κ. αλ. 14. και αρχοντες ... τουτου εν ιερ. 15. (λαου pro αδου ...) ου μη ελθη ημιν 16. ουτως ... om κυριος alterum ... εμβαλω ... ο πιστευων επ αυτω 19. λημψεται 20. του ημας συναχθ. 21. om κυριος ... και η πικρια αυτου ... συντετελμημενα 23. ενωτ. κ. ακουσατε 24. μελλει ο αροτριων αροτριαν 25. και pro ουχ ... αυτης το προσωπον πρωτον σπιρει μ. μελ. και κυμ. κ. παλ. πυρον ... om και κεγχρον 27. εκτινασσεται 28. om ειμι

Digitized by Google

## XXIX.

Οὐαὶ Ἀριὴλ πόλις, ἣν ἐπολέμησε Δαυίδ. συναγάγετε γεννήματα ἐνιαυτὸν
ἐπὶ ἐνιαυτόν· φάγεσθε, φάγεσθε γὰρ σὺν Μωάβ. [2]ἐκθλίψω γὰρ Ἀριήλ, καὶ 2
ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί· [3]καὶ κυκλώσω ὡς Δαυὶδ ἐπὶ σέ, 3
καὶ βαλῶ περὶ σὲ χάρακα, καὶ θήσω περὶ σὲ πύργους, [4]καὶ ταπεινωθήσονται 4
εἰς τὴν γῆν οἱ λόγοι σου, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται· καὶ ἔσονται
ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου
ἀσθενήσει. [5]καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ 5
ὡς χνοῦς φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε, καὶ ἔσται ὡς
στιγμὴ παραχρῆμα [6]παρὰ κυρίου Σαβαώθ· ἐπισκοπὴ γὰρ ἔσται μετὰ βρον- 6
τῆς καὶ σεισμοῦ καὶ φωνῆς μεγάλης καταιγὶς φερομένη, καὶ φλὸξ πυρὸς
κατεσθίουσα. [7]καὶ ἔσται ὡς ἐνυπνιαζόμενος καθ' ὕπνους νυκτὸς ὁ πλοῦτος 7
ἁπάντων τῶν ἐθνῶν ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἀριήλ, καὶ πάντες οἱ στρατευό-
μενοι ἐπὶ Ἱερουσαλήμ, καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτὴν καὶ οἱ θλίβοντες
αὐτήν. [8]καὶ ὡς οἱ ἐν τῷ ὕπνῳ πίνοντες καὶ ἔσθοντες, καὶ ἐξαναστάντων μά- 8
ταιον τὸ ἐνύπνιον· καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξα-
ναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος
τῶν ἐθνῶν πάντων ὅσοι ἐπεστράτευσαν ἐπὶ τὸ ὄρος Σιών. [9]ἐκλύθητε καὶ 9
ἔκστητε, καὶ κραιπαλήσατε οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου, [10]ὅτι πεπότικεν 10
Ro. 11, 8. ὑμᾶς κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ
τῶν προφητῶν αὐτῶν καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά. [11]καὶ 11
ἔσται ὑμῖν τὰ ῥήματα πάντα ταῦτα ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγι-
σμένου τούτου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα λέγοντες
Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ. [12]καὶ 12
δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα,
καὶ ἐρεῖ αὐτῷ Ἀνάγνωθι τοῦτο· καὶ ἐρεῖ Οὐκ ἐπίσταμαι γράμματα. [13]καὶ 13
Mt. 15, εἶπε κύριος Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χεί-
8 sq. Mc. 7, λεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην
6 sq. δὲ σέβονταί με διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. [14]διὰ 14
τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον· καὶ μεταθήσω αὐτούς,
1 Co. 1, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω.
19. [15]οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ οὐ διὰ κυρίου· οὐαὶ οἱ ἐν κρυφῇ 15
βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσι Τίς ἑώρα-
κεν ἡμᾶς; καὶ τίς ἡμᾶς γνώσεται ἢ ἃ ἡμεῖς ποιοῦμεν; [16]οὐχ ὡς πηλὸς τοῦ 16
*Ro. 9, κεραμέως λογισθήσεσθε; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό Οὐ σύ με
20. ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι Οὐ συνετῶς με ἐποίησας; [17]οὐκέτι μι- 17
κρὸν καὶ μετατεθήσεται ὁ Λίβανος ὡς τὸ ὄρος τὸ Χέρμελ, καὶ τὸ Χέρμελ
*Mt. 11, 5. εἰς δρυμὸν λογισθήσεται. [18]καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λό- 18
γους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ ὁμίχλῃ, ὀφθαλμοὶ τυφλῶν
ὄψονται, [19]καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ κύριον ἐν εὐφροσύνῃ, καὶ οἱ ἀπηλ- 19
πισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης. [20]ἐξέλιπεν ἄνομος, καὶ 20

---

XXIX. 1. πολις αριηλ, ην δαυ. επολεμησεν ... γενηματα εν. επ ενιαυτον ... om φαγεσθε alterum 2. το πλουτος 3. επι σε πυργους 4. ταπεινωθησ. οι λογοι σου εις τ. γην ... εσται pro εσονται 5. om το πληθ. τ. καταδ. σε 6. κραυγης pro βροντης 7. κ. εστ. ως ο ενυπνιαζομ. ενυπνιον ο πλ. των εθν. παντων ... ισραηλ pro αριηλ ... στρατευσαμενοι ... και θλιβ. α. 8. και εσονται ως οι εν υπνω ... ματ. αυτων το ενυπνιον ... παντων των εθνων ... επεστρ. επι ιερουσαλημ και επι το ορ. σιων 9. ουδ απο οινου 11. κ. εσονται υμ. παντα τα ρηματα 13. om εν τω στοματι αυτου και εν 14. ιδου εγω 15. ημας εωρακεν 16. ως ο πηλος ... om αυτο 17. και το ορος το χερμελ εις 18. τυφλων βλεψονται 20. εξελειπεν



Digitized by Google

21 ἀπώλετο ὑπερήφανος, καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, [21] καὶ οἱ
ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ· πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις
22 πρόσκομμα θήσουσιν, ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον. [22] διὰ τοῦτο τάδε
λέγει κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ Οὐ νῦν αἰσχυν-
23 θήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· [23] ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα
αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου, καὶ ἁγιάσουσι τὸν
24 ἅγιον Ἰακώβ, καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. [24] καὶ γνώσονται οἱ
πλανώμενοι τῷ πνεύματι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν,
καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.

## XXX.

Οὐαὶ τέκνα ἀποστάται, λέγει κύριος. ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ
2 συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίας, [2] οἱ
πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν, τοῦ βοηθη-
3 θῆναι ὑπὸ Φαραὼ καὶ σκεπασθῆναι ὑπὸ Αἰγυπτίων. [3] ἔσται γὰρ ὑμῖν σκέπη
4 Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος. [4] ὅτι εἰσὶν
5 ἐν Τάνει ἀρχηγοὶ ἄγγελοι πονηροί· [5] μάτην κοπιάσουσι πρὸς λαὸν ὃς οὐκ
6 ὠφελήσει αὐτοὺς εἰς βοήθειαν ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.
[6] Η ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑΠΟΔΩΝ ΤΩΝ ΕΝ ΤΗ ΕΡΗΜΩ.
Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες
καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον
7 αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτούς. [7] Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελή-
8 σουσιν ὑμᾶς· ἀπάγγειλον αὐτοῖς ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. [8] νῦν οὖν
καθίσας γράψον ἐπὶ πυξίου ταῦτα καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα
9 καιρῷ καὶ ἕως εἰς τὸν αἰῶνα. [9] ὅτι ὁ λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς οἳ οὐκ
10 ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ θεοῦ, [10] οἱ λέγοντες τοῖς προφήταις Μὴ ἀναγ-
γέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε
11 καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, [11] καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ
ταύτης· ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ
12 λόγιον τοῦ Ἰσραήλ. [12] διὰ τοῦτο τάδε λέγει ὁ ἅγιος τοῦ Ἰσραήλ Ὅτι ἠπει-
θήσατε τοῖς λόγοις τούτοις καὶ ἠλπίσατε ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας καὶ
13 πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τούτῳ, [13] διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη
ὡς τεῖχος πίπτον παραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πά-
14 ρεστι τὸ πτῶμα· [14] καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου ὀστρα-
κίνου, ἐκ κεραμίου λεπτὰ ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον ἐν ᾧ πῦρ ἀρεῖς,
15 καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. [15] οὕτω λέγει κύριος κύριος ὁ ἅγιος τοῦ
Ἰσραήλ Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ ποῦ ἦσθα·
ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις, ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη. καὶ οὐκ
16 ἐβούλεσθε ἀκούειν, [16] ἀλλ' εἴπατε Ἐφ' ἵππων φευξόμεθα· διὰ τοῦτο φεύξε-
σθε· καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα· διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώ-
17 κοντες ὑμᾶς. [17] χίλιοι διὰ φωνὴν ἑνὸς φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύ-
ξονται πολλοί, ἕως ἂν καταλειφθῆτε ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν

---

20. εξωλεθρευθησαν 21. θησουσιν, και επλαγ. εν αδ. δ. 22. μεταβαλει ισραηλ 23. αλλα οταν 24. οι τω πν. πλαν. XXX. 1. ταδε λεγει ... βουλην και ου δι ... αμαρτιαις (sic) εφ αμαρτιαις 3. η σκεπη 5. ουτε εις βοηθειαν ουτε εις ωφελειαν αλλα 6. και εν τη στενοχ. ... επ ονων ... in fine add εις βοηθειαν αλλα εις αισχυνην και ονειδος 8. καιρων ταυτα ... om εως 9. οτι λαος 12. ουτως λεγει κυριος ο αγ. 13. om οχυρας 14. αγγιου ... λεπτον 15. ουτως λεγει κυριος ο αγιος ισραηλ ... στεναξη 16. αλλα ... Εφ ιπποις ... και ειπατε Επι κουφοις αναβαται εσ. 17. και δια φ. ε. φευξ. χιλιοι

Digitized by Google

φέρων ἐπὶ βουνοῦ. [18] καὶ πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς, καὶ διὰ 18
τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς κύριος ὁ θεὸς ὑμῶν· μα-
κάριοι οἱ ἐμμένοντες ἐπ' αὐτῷ. [19] διότι λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει· καὶ 19
Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν Ἐλέησόν με· ἐλεήσει σε, τὴν φωνὴν τῆς
κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου. [20] καὶ δώσει κύριος ὑμῖν ἄρτον θλί- 20
ψεως καὶ ὕδωρ στενόν, καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε· ὅτι
οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε, [21] καὶ τὰ ὦτά σου ἀκούσονται 21
τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων, οἱ λέγοντες Αὕτη ἡ ὁδός, πορευθῶ-
μεν ἐν αὐτῇ εἴτε δεξιὰ εἴτε ἀριστερά. [22] καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηρ- 22
γυρωμένα καὶ περικεχρυσωμένα, λεπτὰ ποιήσῃς καὶ λικμήσῃς ὡς ὕδωρ ἀπο-
καθημένης, καὶ ὡς κόπρον ὤσεις αὐτά. [23] τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι 23
τῆς γῆς σου, καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου ἔσται πλησμονὴ καὶ
λιπαρός· καὶ βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ
εὐρύχωρον, [24] οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν φάγονται 24
ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ. [25] καὶ ἔσται ἐπὶ παντὸς ὄρους 25
ὑψηλοῦ καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοὶ καὶ ὅταν πέσωσι πύργοι. [26] καὶ ἔσται τὸ φῶς 26
τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλά-
σιον, ἐν τῇ ἡμέρᾳ ὅταν ἰάσηται κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ
τὴν ὀδύνην τῆς πληγῆς σου ἰάσεται. [27] ἰδοὺ τὸ ὄνομα κυρίου ἔρχεται διὰ 27
χρόνου, καιόμενος θυμός· μετὰ δόξης τὸ λόγιον τῶν χειλέων αὐτοῦ, λόγιον
ὀργῆς πλῆρες, καὶ ἡ ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται· [28] καὶ τὸ πνεῦμα αὐ- 28
τοῦ ὡς ὕδωρ ἐν φάραγγι σῦρον ἥξει ἕως τοῦ τραχήλου, καὶ διαιρεθήσεται
τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις καὶ
λήψεται αὐτοὺς κατὰ πρόςωπον αὐτῶν. [29] μὴ διὰ παντὸς δεῖ ὑμᾶς εὐφραίνε- 29
σθαι, καὶ εἰςπορεύεσθαι εἰς τὰ ἅγιά μου διὰ παντὸς ὡςεὶ ἑορτάζοντας, καὶ
ὡςεὶ εὐφραινομένους εἰςελθεῖν μετὰ αὐλοῦ εἰς τὸ ὄρος κυρίου πρὸς τὸν θεὸν
τοῦ Ἰσραήλ; [30] καὶ ἀκουστὴν ποιήσει κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ καὶ 30
τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς
κατεσθιούσης, κεραυνώσει βιαίως, καὶ ὡς ὕδωρ καὶ χάλαζα συγκαταφερομένη
βίᾳ. [31] διὰ γὰρ τῆς φωνῆς κυρίου ἡττηθήσονται Ἀσσύριοι, τῇ πληγῇ ᾗ ἂν 31
πατάξῃ αὐτούς. [32] καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς 32
βοηθείας, ἐφ' ᾗ αὐτὸς ἐπεποίθει· αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολε-
μήσουσιν αὐτὸν ἐκ μεταβολῆς. [33] σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ· μὴ καὶ 33
*Apoc. 19, 20. σοὶ ἡτοιμάσθη βασιλεύειν, φάραγγα βαθεῖαν, ξύλα κείμενα, πῦρ καὶ ξύλα
πολλά; ὁ θυμὸς κυρίου ὡς φάραγξ ὑπὸ θείου καιομένη.

## XXXI.

Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πε-
ποιθότες καὶ ἐφ' ἅρμασιν· ἔστι γὰρ πολλά, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα·
καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ, καὶ τὸν κύριον οὐκ
ἐζήτησαν. [2] καὶ αὐτὸς σοφῶς ἦγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ λόγος αὐτοῦ 2
οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν καὶ ἐπὶ

---

18. κυρ. ο θ. ημων εστιν· και που καταλειψετε την δοξαν υμων· Μακαριοι παντες οι εμμ. εν αυτω 19. και ελεησει την 20. ουκετι ου μη 22. εξαρεις pro μιανεις ... και τα περικεχρυσωμενα ... ποιησεις κ. λικμησεις 23. γενηματος 24. λελικμημενα 27. δια χρονου ερχεται πολλου· καιομ. ο θυμος ... το λογιον οργης 28. του εθνη ταραξαι ... πλανησ. ματαια κ. λημψεται 29. εις τον οικον του κυριου 30. ποιησει ο θεος την 31. δια γαρ την φωνην κ. η. οι ασσ. ... παταξει 32. οθεν ην αυτω ... μετα αυλων 33. ου γαρ συ προ (... συ pro σοι) ... ed. rom. πολλα, XXXI. 1. κ. τ. θεον ουκ εξεζητησαν 2. σοφος

Digitized by Google

3 τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, [3] Αἰγύπτιον ἄνθρωπον καὶ οὐ θεόν, ἵππων
σάρκας καὶ οὐκ ἔστι βοήθεια· ὁ δὲ κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐ-
4 τούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ ἅμα πάντες ἀπολοῦνται. [4] ὅτι οὕτως
εἶπέ μοι κύριος Ὃν τρόπον βοήσῃ ὁ λέων ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ᾗ ἔλαβε,
καὶ κεκράξῃ ἐπ' αὐτῇ ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ
ἡττήθησαν καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν, οὕτως καταβήσεται κύ-
5 ριος Σαβαὼθ ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σιών, ἐπὶ τὰ ὄρη αὐτῆς. [5] ὡς
ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ κύριος Σαβαώθ, ὑπὲρ Ἱερουσαλὴμ ὑπερα-
6 σπιεῖ καὶ ἐξελεῖται, καὶ περιποιήσεται καὶ σώσει. [6] ἐπιστράφητε οἱ τὴν βα-
7 θεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον υἱοὶ Ἰσραήλ. [7] ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ
ἀπαρνήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ καὶ τὰ χει-
8 ροποίητα τὰ χρυσᾶ ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν· [8] καὶ πεσεῖται Ἀσσούρ·
οὐ μάχαιρα ἀνδρὸς οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτόν, καὶ φεύξε-
9 ται οὐκ ἀπὸ προσώπου μαχαίρας· οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα, [9] πέτρᾳ
γὰρ περιληφθήσονται ὡς χάρακι καὶ ἡττηθήσονται, ὁ δὲ φεύγων ἁλώσεται.
τάδε λέγει κύριος Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα καὶ οἰκείους ἐν Ἱε-
ρουσαλήμ.

## XXXII.

Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρ-
2 ξουσι. [2] καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται
ὡς ἀφ' ὕδατος φερομένου· καὶ φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος
3 ἔνδοξος ἐν γῇ διψώσῃ. [3] καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλὰ
4 τὰ ὦτα ἀκούειν δώσουσι· [4] καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τῷ
ἀκούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην·
5 [5] καὶ οὐκέτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται
6 σου Σίγα. [6] ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει,
τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς
7 πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιήσει. [7] ἡ γὰρ βουλὴ τῶν
πονηρῶν ἄνομα βουλεύσεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις καὶ
8 διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει. [8] οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο,
9 καὶ αὕτη ἡ βουλὴ μενεῖ. [9] γυναῖκες πλούσιαι, ἀνάστητε καὶ ἀκούσατε τῆς
10 φωνῆς μου· θυγατέρες ἐν ἐλπίδι, εἰςακούσατε λόγους μου. [10] ἡμέρας ἐνιαυ-
τοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος· ἀνήλωται ὁ τρυγητός, πέπαυ-
11 ται, οὐκέτι μὴ ἔλθῃ. [11] ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ
12 γένεσθε, περιζώσασθε τὰς ὀσφύας [12] καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, ἀπὸ
13 ἀγροῦ ἐπιθυμήματος καὶ ἀμπέλου γεννήματος. [13] ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα
καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται· πόλις
14 πλουσία, [14] οἶκοι ἐγκαταλελειμμένοι πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπι-
θυμήματος· καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη ὄνων
15 ἀγρίων, βοσκήματα ποιμένων, [15] ἕως ἂν ἔλθῃ ἐφ' ὑμᾶς πνεῦμα ἀφ' ὑψηλοῦ.
16 καὶ ἔσται ἔρημος ὁ Χέρμελ, καὶ ὁ Χέρμελ εἰς δρυμὸν λογισθήσεται. [16] καὶ

---

3. *χειρα αυτων (?) 4. ον τροπον εαν βοηση λεων ... και επι τα 5. om σαβαωθ ... om υπερασπιει sec. 6. βουλευσαμενοι ... om υιοι ισραηλ 7. απαρνηθησονται ... om τα χειροποιητα ... διωκοντος pro μαχαιρας 9. περιλημφθ. XXXII. 2. τους λογους τουτους 3. δωσουσιν ακουειν 4. των ασθενων πρ. του ακουειν ... *om ταχυ 5. ουκετι ου μη bis 6. η καρδια αυτων ... του διαφθειραι ... ποιησαι 7. βουλευεται ... λογισμους ταπεινων 9. ακουσατε τους λογ. μου 10 μετα ελπιδος ... **πεπαυται ο σπορος ... και ουκετι 11. περιζ. σακκους τας 12. μασθων ... περι αγρου ... γενηματος 14. εγκαταλελιμμενοι ... πλουτ. πολ. και οικους επιθυμητους αφησουσιν ... om αἱ 15. επελθη

Digitized by Google

ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα, καὶ δικαιοσύνη ἐν τῷ Καρμήλῳ κατοική-
σει· 17 καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης εἰρήνη, καὶ κρατήσει ἡ δικαιο- 17
σύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἕως τοῦ αἰῶνος· 18 καὶ κατοικήσει ὁ λαὸς 18
αὐτοῦ ἐν πόλει εἰρήνης καὶ ἐνοικήσει πεποιθώς, καὶ ἀναπαύσονται μετὰ πλού-
του. 19 ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. καὶ ἔσονται οἱ ἐνοικοῦν- 19
τες ἐν τοῖς δρυμοῖς πεποιθότες ὡς οἱ ἐν τῇ πεδινῇ. 20 μακάριοι οἱ σπείροντες 20
ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.

## XXXIII.

Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους, καὶ
ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ· ἁλώσονται οἱ ἀθετοῦντες καὶ παραδοθήσονται,
καὶ ὡς σὴς ἐφ' ἱματίου οὕτως ἡττηθήσονται. 2 κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ 2
γὰρ πεποίθαμεν· ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν, ἡ δὲ
σωτηρία ἡμῶν ἐν καιρῷ θλίψεως. 3 διὰ φωνὴν τοῦ φόβου ἐξέστησαν λαοὶ 3
ἀπὸ τοῦ φόβου σου καὶ διεσπάρησαν τὰ ἔθνη. 4 νῦν δὲ συναχθήσεται τὰ 4
σκῦλα ὑμῶν μικροῦ καὶ μεγάλου· ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδας, οὕ-
τως ἐμπαίξουσιν ὑμῖν. 5 ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν ὑψηλῷ, ἐνεπλήσθη Σιὼν 5
κρίσεως καὶ δικαιοσύνης· 6 ἐν νόμῳ παραδοθήσονται, ἐν θησαυροῖς ἡ σωτη- 6
ρία ἡμῶν, ἐκεῖ σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς τὸν κύριον· οὗτοί εἰσι
θησαυροὶ δικαιοσύνης. 7 ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται· οὓς 7
ἐφοβεῖσθε, βοήσονται ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται πικρῶς κλαίοντες,
παρακαλοῦντες εἰρήνην. 8 ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί· πέπαυται ὁ 8
φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογίση-
σθε αὐτοὺς ἀνθρώπους. 9 ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ Λίβανος, ἕλη ἐγένετο ὁ 9
Σάρων· φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Χέρμελ. 10 νῦν ἀναστήσομαι, λέγει 10
κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι· 11 νῦν ὄψεσθε, νῦν αἰσθηθήσεσθε· 11
ματαία ἔσται ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ κατέδεται ὑμᾶς. 12 καὶ ἔσον- 12
ται ἔθνη κατακεκαυμένα ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυμένη.
13 ἀκούσονται οἱ πόρρωθεν ἃ ἐποίησα, γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. 13
14 ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, λήψεται τρόμος τοὺς ἀσεβεῖς· τίς ἀναγγε- 14
λεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; 15 πο- 15
ρευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν,
καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα ἵνα μὴ ἀκούσῃ
κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδῃ ἀδικίαν, 16 οὗτος οἰ- 16
κήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ
ὕδωρ αὐτοῦ πιστόν. 17 βασιλέα μετὰ δόξης ὄψεσθε, οἱ ὀφθαλμοὶ ὑμῶν ὄψον- 17
ται γῆν πόρρωθεν, 18 ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον· ποῦ εἰσιν οἱ γραμμα- 18
τικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἔστιν ὁ ἀριθμῶν τοὺς τρεφομένους
19 μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συμβουλεύσατο οὐδὲ ᾔδει βαθύφωνον, ὥστε 19
μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. 20 ἰδοὺ 20
Σιὼν ἡ πόλις, τὸ σωτήριον ἡμῶν, οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλήμ, πό-
λις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσσαλοι
τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαρρα-

---

17. δικαιωσυνης ... πεποιθ. εσονται εως   XXXIII. 1. ο αθετων υμιν ... επι ιματιου   3. δια φων. τ. φοβ. σου   4. απο μικρου ... εμπεξονται   5. εν υψηλοις   7. αυτοι pro ουτοι ... φοβηθησονται pro βοησονται ... αγγελ. γαρ αποστ. αξιουντες ειρηνην· πικρ.   8. πεπαυται γαρ   9. και ο καρμηλος   11. αισχυνθησεσθε pro αισθηθ. ... υμας κατεδεται   14. λημψεται   16. πετρας οχυρας   17. και οι οφθαλμοι   18. φοβον κυριου ... τους συστρεφομενους   19. συνεβουλευσαν   20. *σαλευθωσιν pro σεισθ. (?) ... ουδ ου μη

Digitized by Google

21 γῶσιν, [21] ὅτι τὸ ὄνομα κυρίου μέγα ὑμῖν. τόπος ὑμῖν ἔσται, ποταμοὶ καὶ διώ-
ρυχες πλατεῖς καὶ εὐρύχωροι· οὐ πορεύσῃ ταύτην τὴν ὁδόν, οὐδὲ πορεύσεται
22 πλοῖον ἐλαῦνον. [22] ὁ γὰρ θεός μου μέγας ἐστίν· οὐ παρελεύσεταί με κύριος
κριτὴς ἡμῶν, κύριος ἄρχων ἡμῶν, κύριος βασιλεὺς ἡμῶν, κύριος οὗτος ἡμᾶς
23 σώσει. [23] ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν· ὁ ἱστός σου ἔκλινεν,
οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς προνομήν. τοί-
24 νυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσι, [24] καὶ οὐ μὴ εἴπωσι Κοπιῶ, ὁ λαὸς
ἐνοικῶν ἐν αὐτοῖς· ἀφεθῇ γὰρ αὐτοῖς ἡ ἁμαρτία.

## XXXIV.

Προςαγάγετε ἔθνη, καὶ ἀκούσατε ἄρχοντες· ἀκουσάτω ἡ γῆ καὶ οἱ ἐν
2 αὐτῇ, ἡ οἰκουμένη καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. [2] διότι θυμὸς κυρίου ἐπὶ πάντα τὰ
ἔθνη καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν, τοῦ ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι
3 αὐτοὺς εἰς σφαγήν. [3] οἱ δὲ τραυματίαι αὐτῶν ῥιφήσονται καὶ οἱ νεκροί, καὶ
ἀναβήσεται αὐτῶν ἡ ὀσμή, καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν.
4 [4] καὶ ταχήσονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ ἑλιγήσεται ὁ οὐρανὸς* Apoc.
ὡς βιβλίον, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς 6, 13 sq.
5 πίπτει φύλλα ἀπὸ συκῆς. [5] ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ· ἰδοὺ ἐπὶ
τὴν Ἰδουμαίαν καταβήσεται καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρίσεως.
6 [6] ἡ μάχαιρα τοῦ κυρίου ἐνεπλήσθη αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵ-
ματος τράγων καὶ ἀμνῶν καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν. ὅτι θυσία τῷ
7 κυρίῳ ἐν Βοσόρ, καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ, [7] καὶ συμπεσοῦνται οἱ
ἁδροὶ μετ᾽ αὐτῶν καὶ οἱ κριοὶ καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ
8 τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται. [8] ἡμέρα γὰρ κρί-
9 σεως κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σιών. [9] καὶ στραφήσονται
αἱ φάραγγες αὐτῆς εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον· καὶ ἔσται ἡ γῆ
10 αὐτῆς ὡς πίσσα καιομένη [10] νυκτὸς καὶ ἡμέρας, καὶ οὐ σβεσθήσεται εἰς τὸν * Apoc.
αἰῶνα χρόνον, καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄνω, εἰς γενεὰς αὐτῆς ἐρη- 14, 11.
11 μωθήσεται, καὶ εἰς χρόνον πολὺν [11] ὄρνεα καὶ ἐχῖνοι καὶ ἴβεις καὶ κόρακες
κατοικήσουσιν ἐν αὐτῇ· καὶ ἐπιβληθήσεται ἐπ᾽ αὐτὴν σπαρτίον γεωμετρίας
12 ἐρήμου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ. [12] οἱ ἄρχοντες αὐτῆς οὐκ ἔσον-
13 ται· οἱ γὰρ βασιλεῖς καὶ οἱ μεγιστᾶνες αὐτῆς ἔσονται εἰς ἀπώλειαν. [13] καὶ
ἀναφυήσει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα καὶ εἰς τὰ ὀχυρώματα αὐ-
14 τῆς, καὶ ἔσται ἐπαύλεις σειρήνων καὶ αὐλὴ στρουθῶν· [14] καὶ συναντήσουσι
δαιμόνια ὀνοκενταύροις καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον, ἐκεῖ ἀναπαύ-
15 σονται ὀνοκένταυροι εὑρόντες αὐτοῖς ἀνάπαυσιν· [15] ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ
ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας· ἐκεῖ συνήντησαν ἔλαφοι
16 καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων· [16] ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ
ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι ὁ κύριος αὐτοῖς ἐνετείλατο,
17 καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτά. [17] καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους,
καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι· εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε,
γενεὰς γενεῶν ἀναπαύσονται ἐπ᾽ αὐτῆς.

---

21. μεγα εστιν· τοπος ... διωρυγες 22. **κυριος πατηρ κυριος κριτης ημων 23. ενισχυσεν ... ποιησωσιν 24. ειπη ... ο ενοικων XXXIV. 1. η γη και οι ενοικουντες εν αυτη· η οικ. 4. om και ταχ. π. αι δ. τ. ουρ. 6. η μαχαιρα κυριου ... αρνων pro απο αιμ. τραγ. κ. αμνων ... θυσια κυριω εν τη βοσορ 8. ανταποδοσεως 9. αυτης αι φαραγγες ... αυτης η γη καιομ. ως πισσα 10. om αυτης sec. ... om και εις χρ. πολ. 11. και κατοικησονται εν αυτη ορν. κ. εχ. κ. ιβ. κ. κορακες· 12. post βασιλεις add αυτης και οι αρχοντες αυτης 13. αναφυσει ... ακανθα pro ακανθ. ξυλα 14. ευρον γαρ αυτοις 15. ελαφοι συνηντησαν κ. ιδον 16. εξεζητησαν, οτι κυριος ενετ. αυτοις ... συνηγ. αυτας 17. κληρονομησατε, εις γενεας

Digitized by Google

## XXXV.

Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρί-
νον, [2] καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· ἡ δόξα τοῦ 2
Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν
δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ. [3] ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα 3
* He.12, 12 sq. παραλελυμένα, [4] παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φο- 4
βεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει
* Mt.11,5. καὶ σώσει ἡμᾶς. [5] τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν 5
ἀκούσονται. [6] τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, τρανὴ δὲ ἔσται γλῶσσα μο- 6
γιλάλων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ, [7] καὶ 7
ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· ἐκεῖ
εὐφροσύνη ὀρνέων, ἐπαύλεις καλάμου καὶ ἕλη. [8] ἔσται ἐκεῖ ὁδὸς καθαρά, 8
καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται
ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ' αὐτῆς καὶ οὐ μὴ
πλανηθῶσι. [9] καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ 9
εἰς αὐτὴν οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι [10] καὶ 10
συνηγμένοι διὰ κύριον, καὶ ἀποστραφήσονται καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐ-
φροσύνης, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐπὶ γὰρ τῆς κεφα-
* Apoc. 21, 4. λῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς, ἀπέδρα
ὀδύνη καὶ λύπη καὶ στεναγμός.

## XXXVI.

Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασιλεύοντος Ἐζεκίου ἀνέβη
Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς καὶ
ἔλαβεν αὐτάς. [2] καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν Ῥαβσάκην ἐκ Λάχης 2
εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν μετὰ δυνάμεως πολλῆς, καὶ ἔστη
ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ κνα-
φέως. [3] καὶ ἐξῆλθε πρὸς αὐτὸν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου ὁ οἰκονόμος καὶ 3
Σομνὰς ὁ γραμματεὺς καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος. [4] καὶ εἶπεν 4
αὐτοῖς Ῥαβσάκης Εἴπατε Ἐζεκίᾳ Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας βασιλεὺς
Ἀσσυρίων Τί πεποιθὼς εἶ; [5] μὴ ἐν βουλῇ καὶ λόγοις χειλέων παράταξις γί- 5
νεται; καὶ νῦν ἐπὶ τίνα πέποιθας ὅτι ἀπειθεῖς μοι; [6] ἰδοὺ πεποιθὼς εἶ ἐπὶ 6
τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ' Αἴγυπτον· ὡς ἂν
ἐπιστηρισθῇ ἀνὴρ ἐπ' αὐτήν, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει
αὐτήν, οὕτως ἐστὶ Φαραὼ βασιλεὺς Αἰγύπτου καὶ πάντες οἱ πεποιθότες ἐπ'
αὐτῷ. [7] εἰ δὲ λέγετε Ἐπὶ κύριον τὸν θεὸν ἡμῶν πεποίθαμεν, [8] νῦν μίχθητε 7 8
τῷ κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχιλίαν ἵππον, εἰ δυ-
νήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς. [9] καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς 9
πρόσωπον τῶν τοπαρχῶν; οἰκέται εἰσίν, οἱ πεποιθότες ἐπ' Αἰγυπτίοις, εἰς
ἵππον καὶ ἀναβάτην. [10] καὶ νῦν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύ- 10
την πολεμῆσαι αὐτήν; κύριος εἶπε πρός με Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην καὶ

---

XXXV. 1. **η διψωσα 2. και η δοξη (?) 4. ανταποδωσει και ανταποδωσει 6. και τρανη εσται 7. και η ανυδρ. εσται ... **om εσται sec. 8. εκει εσται ... ουδε εκει εσται 9. των θηρ. των πονηρων ... αναβη επ αυτην 10. om και sec. ... επι γαρ κεφαλης ... καταλημψεται XXXVI. 1. συνελαβεν 2. ασσυριων ραψακην εκ λαχεις ... γναφεως 4. ραψακης 5. η εν λογοις ... γεινεται ... επι τινι 6. ος αν επιστηριχθη επ αυτην ... om και τρησ. αυτην ... επ αυτω̄ (sic) 8. μου βασιλει 9. αποστρεψαι το προσωπον τοπαρχου ενος 10. om (exeunte columna) κυριος ειπε usque διαφθ. αυτην

Digitized by Google

11 διάφθειρον αὐτήν. 11 καὶ εἶπε πρὸς αὐτὸν Ἐλιακεὶμ καὶ Σομνὰς καὶ Ἰωὰχ
Λάλησον πρὸς τοὺς παῖδάς σου Συριστί, ἀκούομεν γὰρ ἡμεῖς, καὶ μὴ λά-
λει πρὸς ἡμᾶς Ἰουδαϊστί· καὶ ἵνα τί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων
12 ἐπὶ τῷ τείχει; 12 καὶ εἶπε πρὸς αὐτοὺς Ῥαβσάκης Μὴ πρὸς τὸν κύριον
ὑμῶν ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τού-
τους; οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει ἵνα φά-
13 γωσι κόπρον καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα; 13 καὶ ἔστη Ῥαβσάκης
καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστὶ καὶ εἶπεν Ἀκούσατε τοὺς λόγους τοῦ
14 βασιλέως τοῦ μεγάλου βασιλέως Ἀσσυρίων 14 Τάδε λέγει ὁ βασιλεύς Μὴ ἀπα-
15 τάτω ὑμᾶς Ἐζεκίας λόγοις, οὐ δύνηται ῥύσασθαι ὑμᾶς· 15 καὶ μὴ λεγέτω ὑμῖν
Ἐζεκίας ὅτι ῥύσεται ὑμᾶς ὁ θεός, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν
16 χειρὶ βασιλέως Ἀσσυρίων· 16 μὴ ἀκούετε Ἐζεκίου. τάδε λέγει ὁ βασιλεὺς Ἀσ-
συρίων Εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρὸς μέ, καὶ φάγεσθε ἕκαστος
τὴν ἄμπελον αὐτοῦ καὶ τὰς συκᾶς, καὶ πίεσθε ὕδωρ ἐκ τοῦ λάκκου ὑμῶν,
17 17 ἕως ἂν ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου
18 καὶ ἄρτων καὶ ἀμπελώνων. 18 μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λέγων Ὁ θεὸς ῥύ-
σεται ὑμᾶς. μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ
19 χειρὸς βασιλέως Ἀσσυρίων; 19 ποῦ ἐστιν ὁ θεὸς Ἐμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ
ὁ θεὸς τῆς πόλεως Ἐπφαρουαΐμ; μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χει-
20 ρός μου; 20 τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ὅστις ἐρρύσατο τὴν γῆν
αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ θεὸς τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου;
21 21 καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι τὸν βα-
22 σιλέα μηδένα ἀποκριθῆναι. 22 καὶ εἰσῆλθεν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου οἰκονό-
μος καὶ Σομνὰς ὁ γραμματεὺς τῆς δυνάμεως καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπο-
μνηματογράφος πρὸς Ἐζεκίαν ἐσχισμένοι τοὺς χιτῶνας, καὶ ἀνήγγειλαν αὐτῷ
τοὺς λόγους Ῥαβσάκου.

## XXXVII.

Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν, ἔσχισε τὰ ἱμάτια καὶ
2 περιεβάλετο σάκκον, καὶ ἀνέβη εἰς τὸν οἶκον κυρίου. 2 καὶ ἀπέστειλεν Ἐλια-
κεὶμ τὸν οἰκονόμον καὶ Σομνὰν τὸν γραμματέα καὶ τοὺς πρεσβυτέρους τῶν
3 ἱερέων περιβεβλημένους σάκκους πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς τὸν προφήτην, 3 καὶ
εἶπαν αὐτῷ Τάδε λέγει Ἐζεκίας Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ καὶ ἐλεγμοῦ
καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει
4 τοῦ τεκεῖν. 4 εἰσακούσαι κύριος ὁ θεός σου τοὺς λόγους Ῥαβσάκου, οὓς ἀπέ-
στειλε βασιλεὺς Ἀσσυρίων ὀνειδίζειν θεὸν ζῶντα καὶ ὀνειδίζειν λόγους οὓς
ἤκουσε κύριος ὁ θεός σου, καὶ δεηθήσῃ πρὸς κύριόν σου περὶ τῶν καταλε-
5 λειμμένων τούτων. 5 καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως Ἐζεκίου πρὸς Ἡσαΐαν,
6 6 καὶ εἶπεν αὐτοῖς Ἡσαΐας Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν Τάδε λέγει
κύριος Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ πρέσβεις
7 βασιλέως Ἀσσυρίων. 7 ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγ-
γελίαν ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ, καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ
8 γῇ αὐτοῦ. 8 καὶ ἀπέστρεψε Ῥαβσάκης, καὶ κατέλαβε τὸν βασιλέα Ἀσσυρίων

---

11. σομνας ο γραμματευς ... συριστει ... των ανδρων των καθημενων επι 12. ραψακης ... τους ανδρας τους 13. ραψακης ... εβοησεν 14. υμας απατατω ... οι ου μη δυνησονται 16. om εκ 18. υμας απατατω ... Ο θεος υμων 19. ο θεος αιμαρ ... om που sec. ... σεπφαρειμ 20 om οστις ... αυτου εκ της χειρος 22. ο οικονομος ... απηγγειλαν ... ραψακου XXXVII. 1. και σακκον περιεβ. 2. προς τους πρεσβυτερους ... *αμμως 4. om σου ... ραψακου ους απεστ. αυτον ... om και δεηθ. πρ. τ. κ. σου ... καταλελιμμενων 5. om εζεκιου 7. εμβαλω 8. ραψακης

Digitized by Google

πολιορκοῦντα Λοβνάν, καὶ ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ Λαχίς. [9]καὶ ἐξῆλθε Θα- 9
ρακὰ βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν· καὶ ἀκούσας ἀπέστρεψε καὶ ἀπέ-
στειλεν ἀγγέλους πρὸς Ἐζεκίαν λέγων [10]Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς 10
Ἰουδαίας Μή σε ἀπατάτω ὁ θεός σου, ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ λέγων Οὐ
μὴ παραδοθῇ Ἱερουσαλὴμ ἐν χειρὶ βασιλέως Ἀσσυρίων. [11]σὺ οὐκ ἤκουσας 11
ἃ ἐποίησαν βασιλεῖς Ἀσσυρίων, πᾶσαν τὴν γῆν ὡς ἀπώλεσαν, καὶ σὺ ῥυσθήσῃ;
[12]μὴ ἐῤῥύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν οὓς ἀπώλεσαν οἱ πατέρες μου, 12
τήν τε Γωζὰν καὶ Χαῤῥὰν καὶ Ῥαφέθ, αἵ εἰσιν ἐν χώρᾳ Θεεμάθ; [13]ποῦ εἰσὶ 13
βασιλεῖς Ἐμὰθ καὶ ποῦ Ἀρφάθ; καὶ ποῦ πόλεως Ἐπφαρουαΐμ, Ἀναγουγάνα;
[14]καὶ ἔλαβεν Ἐζεκίας τὸ βιβλίον παρὰ τῶν ἀγγέλων καὶ ἀνέγνω αὐτό, καὶ 14
ἀνέβη εἰς οἶκον κυρίου καὶ ἤνοιξεν αὐτὸ ἐναντίον κυρίου. [15]καὶ προςηύξατο 15
Ἐζεκίας πρὸς κύριον λέγων [16]Κύριος Σαβαὼθ ὁ θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ 16
τῶν Χερουβίμ, σὺ εἶ ὁ θεὸς μόνος πάσης βασιλείας τῆς οἰκουμένης, σὺ ἐποίησας
τὸν οὐρανὸν καὶ τὴν γῆν. [17]κλῖνον κύριε τὸ οὖς σου, εἰςάκουσον κύριε, ἄνοι- 17
ξον κύριε τοὺς ὀφθαλμούς σου, εἴςβλεψον κύριε καὶ ἴδε τοὺς λόγους Σεννα-
χηρείμ οὓς ἀπέστειλεν ὀνειδίζειν θεὸν ζῶντα. [18]ἐπ' ἀληθείας γὰρ κύριε ἠρή- 18
μωσαν βασιλεῖς Ἀσσυρίων τὴν οἰκουμένην ὅλην καὶ τὴν χώραν αὐτῶν, [19]καὶ 19
ἀνέβαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ, οὐ γὰρ θεοὶ ἦσαν ἀλλὰ ἔργα χειρῶν
ἀνθρώπων ξύλα καὶ λίθοι, καὶ ἀπώσαντο αὐτούς. [20]νῦν δὲ κύριε ὁ θεὸς 20
ἡμῶν σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, ἵνα γνῷ πᾶσα βασιλεία τῆς γῆς ὅτι σὺ
εἶ ὁ θεὸς μόνος. [21]καὶ ἀπεστάλη Ἡσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν καὶ εἶ- 21
πεν αὐτῷ Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἤκουσα ἃ προςηύξω πρός με
περὶ Σενναχηρεὶμ βασιλέως Ἀσσυρίων. [22]οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐ- 22
τοῦ ὁ θεός Ἐφαύλισέ σε καὶ ἐμυκτήρισέ σε παρθένος θυγάτηρ Σιών, ἐπὶ
σοὶ κεφαλὴν ἐκίνησε θυγάτηρ Ἱερουσαλήμ. [23]τίνα ὠνείδισας καὶ παρώξυνας; 23
ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλ-
μούς σου πρὸς τὸν ἅγιον τοῦ Ἰσραήλ; [24]ὅτι δι' ἀγγέλων ὠνείδισας κύριον· 24
σὺ γὰρ εἶπας Τῷ πλήθει τῶν ἁρμάτων ἐγὼ ἀνέβην εἰς ὕψος ὀρέων καὶ εἰς
τὰ ἔσχατα τοῦ Λιβάνου, καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ καὶ τὸ κάλ-
λος τῆς κυπαρίσσου, καὶ εἰςῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ, [25]καὶ ἔθηκα 25
γέφυραν, καὶ ἠρήμωσα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος. [26]οὐ ταῦτα 26
ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; ἐξ ἡμερῶν ἀρχαίων συνέταξα, νῦν δὲ ἐπέ-
δειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς καὶ οἰκοῦντας ἐν πόλεσιν ὀχυραῖς· [27]ἀνῆκα 27
τὰς χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡς χόρτος ξηρὸς ἐπὶ δωμάτων
καὶ ὡς ἄγρωστις. [28]νῦν δὲ τὴν ἀνάπαυσίν σου καὶ τὴν ἔξοδόν σου καὶ τὴν 28
εἴςοδόν σου ἐγὼ ἐπίσταμαι· [29]ὁ δὲ θυμός σου ὃν ἐθυμώθης καὶ ἡ πικρία 29
σου ἀνέβη πρὸς μέ, καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου καὶ χαλινὸν εἰς τὰ
χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. [30]τοῦτο δέ σοι τὸ 30
σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας, τῷ δὲ ἐνιαυτῷ τῷ δευτέρῳ
τὸ κατάλειμμα, τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε καὶ φυτεύσατε ἀμπελῶνας

---

8. πολιορκουντα τον βασιλεα λοβνα, κ. ηκ. βασιλευς ασσυριων οτι ... om απηρεν απο λαχις 9. om και ... θαραθα ... απεστρεψεν, και απεστρεψεν αγγελ. 10. εφ ω συ πεποιθως ει επ ... εις χειρας 11. η ουκ ηκουσας ... om και συ ρυσθ. 12. οι πατ. μου απωλεσαν ... ραφεις ... θαιμαδ 13. που εισιν οι β. αμαρ και αρφαθ και πολεως σεπφαρειμ (ed. rom. -ρουαΐμ, etiam 36, 19.) ανα εγγουγανα 14. om και ανεγνω usq. οικ. κυρ. 16. κυριε ... χερουβειμ, συ θεος μονος ει 17. om κλιν. κ. το ο. σου ... om ανοιξον κ. τ. ο. σου ... λογους ους απεστειλεν σενναχ. ον. 18. om κυριε 19. ενεβαλον ... και απωλεσαν αυτ. 20. συ δε κυριος ο θ. ημων ... χειρος αυτων ... ει θεος 23. εις τον αγιον 26. εξ αρχ. ημερων ... ενοικουντας 27. ως χορτ. χλωρος 30. και τω pro τω δε ... αμησητε

Digitized by Google

31 καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. 31 καὶ ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ Ἰου-
32 δαίᾳ, φυήσουσι ῥίζαν κάτω καὶ ποιήσουσι σπέρμα ἄνω. 32 ὅτι ἐξ Ἱερουσαλὴμ
ἔσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών· ὁ ζῆλος κυρίου
33 Σαβαὼθ ποιήσει ταῦτα. 33 διὰ τοῦτο οὕτως λέγει κύριος ἐπὶ βασιλέα Ἀσσυ-
ρίων Οὐ μὴ εἰςέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος,
οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεόν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα·
34 34 ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην
35 οὐ μὴ εἰςέλθῃ. τάδε λέγει κύριος 35 Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ
36 σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά μου. 36 καὶ ἐξῆλθεν ἄγγελος
κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοηκοντα-
πέντε χιλιάδας· καὶ ἀναστάντες τὸ πρωὶ εὗρον πάντα τὰ σώματα νεκρά.
37 37 καὶ ἀπῆλθεν ἀποστραφεὶς Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν
38 Νινευῇ. 38 καὶ ἐν τῷ αὐτὸν προςκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ τὸν πάτραρχον
αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις·
αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν· καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

## XXXVIII.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου·
καὶ ἦλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης καὶ εἶπε πρὸς αὐτόν
Τάδε λέγει κύριος Τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ σὺ καὶ οὐ
2 ζήσῃ. 2 καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ πρόςωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ
3 προςηύξατο πρὸς κύριον 3 λέγων Μνήσθητι κύριε ὡς ἐπορεύθην ἐνώπιόν σου
μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα· καὶ
4 ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ. 4 καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἡσαΐαν
5 λέγων 5 Πορεύθητι καὶ εἰπὸν Ἐζεκίᾳ Τάδε λέγει κύριος ὁ θεὸς Δαυὶδ τοῦ
πατρός σου Ἤκουσα τῆς προςευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου· ἰδοὺ προς-
6 τίθημι πρὸς τὸν χρόνον σου δεκαπέντε ἔτη, 6 καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυ-
ρίων ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην, καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως
7 ταύτης. 7 τοῦτο δέ σοι τὸ σημεῖον παρὰ κυρίου ὅτι ποιήσει ὁ θεὸς τὸ ῥῆμα
8 τοῦτο· 8 ἰδοὺ ἐγὼ στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν οὓς κατέβη τοὺς δέκα
ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος, ἀποστρέψω τὸν ἥλιον τοὺς
δέκα ἀναβαθμούς. καὶ ἀνέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς οὓς κατέβη ἡ
9 σκιά. 9 ΠΡΟΣΕΥΧΗ ΕΖΕΚΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ ΗΝΙΚΑ
10 ΕΜΑΛΑΚΙΣΘΗ ΚΑΙ ΑΝΕΣΤΗ ΕΚ ΤΗΣ ΜΑΛΑΚΙΑΣ ΑΥΤΟΥ. 10 ἐγὼ εἶ-
11 πα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου Ἐν πύλαις ᾅδου, καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.
11 εἶπα Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ γῆς ζώντων, οὐκέτι μὴ ἴδω
12 τὸ σωτήριον τοῦ Ἰσραὴλ ἐπὶ γῆς, οὐκέτι μὴ ἴδω ἄνθρωπον. 12 ἐξέλιπεν ἐκ
τῆς συγγενείας μου, κατέλιπον τὸ ἐπίλοιπον τῆς ζωῆς μου, ἐξῆλθε καὶ ἀπῆλ-
θεν ἀπ' ἐμοῦ ὥςπερ ὁ σκηνὴν καταλύων πήξας· ὡς ἱστὸς τὸ πνεῦμά μου
13 παρ' ἐμοὶ ἐγένετο ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν. 13 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρε-

32. ἐξελευσονται pro εσονται ... επ ορους σιων 33. βαλη pro επιβαλη ... ουδ ου μη κυκλωσει 34. om και εις τ. π. τ. ου μη εισελθη 36. εκατον και ογδοηκ. ... εξαναστάντες 37. κ. αποστρ. απηλθεν ... om σενναχηρειμ 38. εν οικω ασαραχ ... σαρασα υιοι ... αρμενειαν XXXVIII. 1. οτι αποθνησκεις συ 2. ed. rom. τειχον 5. πορευου κ. ειπ. προς εζεκιαν ... της φωνης της προσευχ. σ. κ. ιδον ... ετη δεκαπεντε 6. ασσυρ. σωσω σε, και υπερ της πολ. ταυτ. υπερασπιω 7. ο θεος ποιησει 8. ιδου στρεφω ... ους κατεβη ηλιος τους (omisso ο ηλιος post πατρος σου) 9. praemittit ωδη 11. επι της γης ... om ζωντων, ουκετι μη ιδω το σωτ. τ. ισρ. ε. γης ... ουκετι ου μη 12. om εξελιπεν ... κατελειπον το λοιπον ... ο καταλυων σκηνην ... το πν. μου παρ εμ. εγ. ως ιστος εριζου

Digitized by Google

δόθην ἕως πρωὶ ὡς λέοντι, οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου· ἀπὸ γὰρ
τῆς ἡμέρας ἕως νυκτὸς παρεδόθην. [14] ὡς χελιδὼν οὕτω φωνήσω, καὶ ὡς 14
περιστερὰ οὕτω μελετῶ· ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν εἰς τὸ
ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν κύριον, ὃς ἐξείλατό με καὶ ἀφείλατό μου τὴν
ὀδύνην τῆς ψυχῆς. [16] κύριε, περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι, καὶ ἐξήγειράς 16
μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα. [17] εἵλου γάρ μου τὴν ψυχὴν ἵνα 17
μὴ ἀπόληται, καὶ ἀπέῤῥιψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας. [18] οὐ γὰρ οἱ 18
ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν
οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. [19] οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον 19
κἀγώ· ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύ-
νην σου, [20] θεὲ τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλ- 20
τηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ θεοῦ. [21] καὶ 21
εἶπεν Ἡσαΐας πρὸς Ἐζεκίαν Λάβε παλάθην ἐκ σύκων καὶ τρῖψον καὶ κα-
τάπλασαι, καὶ ὑγιὴς ἔσῃ. [22] καὶ εἶπεν Ἐζεκίας Τοῦτο σημεῖον πρὸς Ἐζεκίαν 22
ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ.

## XXXIX.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν ὁ υἱὸς τοῦ Βαλα-
δὰν ὁ βασιλεὺς τῆς Βαβυλωνίας ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα Ἐζε-
κίᾳ· ἤκουσε γὰρ ὅτι ἐμαλακίσθη ἕως θανάτου. καὶ ἀνέστη, [2] καὶ ἐχάρη ἐπ' 2
αὐτοῖς Ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ νεχωθὰ καὶ τοῦ ἀργυρίου
καὶ τοῦ χρυσίου καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων καὶ τοῦ μύρου, καὶ
πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα ἦν ἐν τοῖς θη-
σαυροῖς αὐτοῦ· καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν Ἐζεκίας ἐν τῷ οἴκῳ αὐ-
τοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. [3] καὶ ἦλθεν Ἡσαΐας ὁ προφήτης πρὸς 3
τὸν βασιλέα Ἐζεκίαν καὶ εἶπε πρὸς αὐτόν Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι,
καὶ πόθεν ἥκασι πρὸς σέ; καὶ εἶπεν Ἐζεκίας Ἐκ γῆς πόῤῥωθεν ἥκασι
πρὸς μὲ ἐκ Βαβυλῶνος. [4] καὶ εἶπεν Ἡσαΐας Τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; 4
καὶ εἶπεν Ἐζεκίας Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν
τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου. [5] καὶ 5
εἶπεν Ἡσαΐας αὐτῷ Ἄκουσον τὸν λόγον κυρίου Σαβαώθ [6] Ἰδοὺ ἡμέραι ἔρ- 6
χονται καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου καὶ ὅσα συνήγαγον οἱ πα-
τέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ
καταλείπωσιν· εἶπε δὲ ὁ θεὸς [7] ὅτι καὶ ἀπὸ τῶν τέκνων σου ὧν γεννήσεις 7
λήψονται καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλω-
νίων. [8] καὶ εἶπεν Ἐζεκίας Ἡσαΐᾳ Ἀγαθὸς ὁ λόγος κυρίου ὃν ἐλάλησε, γενέ- 8
σθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.

## XL.

Παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ θεός· [2] ἱερεῖς λαλήσατε 2
εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπεί-
νωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ

---

13. ουτως τα οστα μου συνετριψεν ... εως της νυκτος 14. ουτως bis ... μελετησω ... εξελειπον 17. απεριψας ... αμαρτιας μου 20. κυριε pro θεε 22. τουτο το σημειον ... om πρ. εζεκιαν ... κυριου του θεου ... ed. rom. θεου; XXXIX. 1. μαρωδαχ υιος του αλαδαν 2. εζεκιας χαραν μεγαλην ... κ. του αργ. κ. τ. χρυσ. pon. post μυρου ... εδειξ. αυτοις εζεκ. ... om και εν π. τ. εξ. αυτ. 4. Τι ιδον ... ιδοσαν sec. loco (tert. loco ειδοσαν) 5. αυτω ησαιας 6. ερχονται λεγει κυριος και λημψονται ... και ου μη καταλ. ουθεν 7. εγεννησας λημψονται 8. προς ησαιαν XL. 1. λεγει κυριος·

Digitized by Google

3 τὰ ἁμαρτήματα αὐτῆς. [3] φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Ἑτοιμάσατε τὴν ὁδὸν Mt. 3, 3.
4 κυρίου, εὐθείας ποιῆτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν. [4] πᾶσα φάραγξ πληρω- Mc. 1, 3.
θήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ Jo. 1, 23. Lc. 3,
5 εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία, [5] καὶ ὀφθήσεται ἡ δόξα κυρίου, καὶ 4—6.
6 ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ὅτι κύριος ἐλάλησε. [6] φωνὴ λέγον-
τος Βόησον. καὶ εἶπα Τί βοήσω; πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀν-
7 8 θρώπου ὡς ἄνθος χόρτου· [7] ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσε, [8] τὸ 1 Pe. 1,
9 δὲ ῥῆμα τοῦ θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. [9] ἐπ᾽ ὄρος ὑψηλὸν ἀνάβηθι ὁ 24 sq.
εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος
Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα Ἰδοὺ ὁ θεὸς
10 ὑμῶν, [10] ἰδοὺ κύριος κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυ-
11 ρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. [11] ὡς
ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας,
12 καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει. [12] τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ
τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε τὰ ὄρη σταθμῷ
13 καὶ τὰς νάπας ζυγῷ; [13] τίς ἔγνω νοῦν κυρίου, καὶ τίς αὐτοῦ σύμβουλος Ro. 11,
14 ἐγένετο, ὃς συμβιβᾷ αὐτόν; [14] ἢ πρὸς τίνα συνεβουλεύσατο καὶ συνεβίβασεν 34 sq.
15 αὐτόν; ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ; [15] εἰ 1 Co. 2, 16.
πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, ὡς
16 σίελος λογισθήσονται; [16] ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ
17 τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, [17] καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι
18 καὶ εἰς οὐθὲν ἐλογίσθησαν. [18] τίνι ὡμοιώσατε κύριον, καὶ τίνι ὁμοιώματι
19 ὡμοιώσατε αὐτόν; [19] μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυ-
20 σίον περιεχρύσωσεν αὐτόν; ὁμοίωμα κατεσκεύασεν αὐτόν; [20] ξύλον γὰρ ἄση-
πτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητήσει πῶς στήσει εἰκόνα αὐτοῦ καὶ ἵνα
21 μὴ σαλεύηται. [21] οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν;
22 οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς; [22] ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ οἱ
ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες, ὁ στήσας ὡς καμάραν τὸν οὐρανὸν καὶ
23 διατείνας ὡς σκηνὴν κατοικεῖν, [23] ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν
24 δὲ γῆν ὡς οὐδὲν ἐποίησεν. [24] οὐ γὰρ μὴ φυτεύσωσιν οὐδὲ μὴ σπείρωσιν,
οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν· ἔπνευσεν ἐπ᾽ αὐτοὺς καὶ ἐξη-
25 ράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα λήψεται αὐτούς. [25] νῦν οὖν τίνι με ὡμοιώ-
26 σατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ ἅγιος. [26] ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλ-
μοὺς ὑμῶν καὶ ἴδετε· τίς κατέδειξε ταῦτα πάντα; ὁ ἐκφέρων κατ᾽ ἀριθμὸν
τὸν κόσμον αὐτοῦ, πάντας ἐπ᾽ ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν
27 κράτει ἰσχύος αὐτοῦ οὐδέν σε ἔλαθε. [27] μὴ γὰρ εἴπῃς Ἰακώβ, καὶ τί ἐλάλη-
σας Ἰσραήλ Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ θεοῦ, καὶ ὁ θεός μου τὴν κρίσιν
28 ἀφεῖλε καὶ ἀπέστη; [28] καὶ νῦν οὐκ ἔγνως; εἰ μὴ ἤκουσας; θεὸς αἰώνιος, ὁ
θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει οὐδὲ κοπιάσει, οὐδὲ ἔστιν
29 ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ, [29] διδοὺς τοῖς πεινῶσιν ἰσχὺν καὶ τοῖς μὴ
30 ὀδυνωμένοις λύπην. [30] πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι,
31 καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται· [31] οἱ δὲ ὑπομένοντες τὸν θεὸν ἀλλάξουσιν
ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται
καὶ οὐ πεινάσουσιν.

---

3. ευθειας ποιειτε 4. om παντα ... η τραχεια εις οδους λειας 10. ιδου κυριος μετα (omisso κυριος altero) ... ο βραχ. αυτου 11. εγγαστρι 13. τις συμβ. αυτ. εγ. ος συμβιβασει α. 14. in fine add η τις προεδωκεν αυτω και ανταποδωθησεται (sic) αυτω 15. *και ως σιελον, **και ωσιελαιον (i. e. ωσει ελαιον?) 18. (non v. 19.) ωμοιωματι, item ed. rom. 20. ζητει ... αυτου εικονα 23. εις ουδεν αρχειν 24. σπειρουσιν ουδε μη φυτευσουσιν ... αναλημψεται 26. εις το υψος ... παντα ταυτα ... κατα αριθμον ... παντα επ ... απο της πολλης ... om αυτου 28. om ὁ prius

Digitized by Google

## XLI.

Ἐγκαινίζεσθε πρὸς μὲ νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν· ἐγγι-
σάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν. 2 τίς ἐξήγει- 2
ρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ
πορεύσεται; δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει· καὶ δώσει εἰς
γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν· 3 καὶ 3
διώξεται αὐτούς, διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. 4 τίς ἐνήρ- 4
γησε καὶ ἐποίησε ταῦτα; ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρ-
χῆς· ἐγὼ θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. 5 εἴδοσαν ἔθνη καὶ 5
ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν καὶ ἦλθον ἅμα, 6 κρίνων ἕκαστος 6
τῷ πλησίον καὶ τῷ ἀδελφῷ βοηθῆσαι, καὶ ἐρεῖ 7 *Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ 7
χαλκεὺς τύπτων σφύρῃ, ἅμα ἐλαύνων· ποτὲ μὲν ἐρεῖ Σύμβλημα καλόν ἐστιν,
ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτὰ καὶ οὐ κινηθήσονται. 8 σὺ δὲ Ἰσραήλ, 8
*Jac. 2, 23. παῖς μου Ἰακώβ, καὶ ὃν ἐξελεξάμην σπέρμα Ἀβραὰμ ὃν ἠγάπησα, 9 οὗ 9
ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε
καὶ εἶπά σοι Παῖς μου εἶ, ἐξελεξάμην σε καὶ οὐκ ἐγκατέλιπόν σε· 10 μὴ 10
φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ θεός σου ὁ ἐνισχύσας
σε, καὶ ἐβοήθησά σοι καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου. 11 ἰδοὺ αἰ- 11
σχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς
οὐκ ὄντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου. 12 ζητήσεις αὐτούς, καὶ 12
οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἳ παροινήσουσιν εἰς σέ· ἔσονται γὰρ ὡς οὐκ
ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε. 13 ὅτι ἐγὼ ὁ θεός σου ὁ κρα- 13
τῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι Μὴ φοβοῦ 14 Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ· 14
ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ θεός σου, ὁ λυτρούμενός σε Ἰσραήλ. 15 ἰδοὺ ἐποίησά 15
σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς, καὶ ἀλοήσεις ὄρη καὶ
λεπτυνεῖς βουνούς, καὶ ὡς χνοῦν θήσεις 16 καὶ λικμήσεις· καὶ ἄνεμος λήψε- 16
ται αὐτούς, καὶ καταιγὶς διασπερεῖ αὐτούς. σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις
Ἰσραήλ, 17 καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ καὶ οἱ ἐνδεεῖς. ζητήσουσι γὰρ ὕδωρ 17
καὶ οὐκ ἔσται, ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη· ἐγὼ κύριος ὁ
θεός, ἐγὼ ἐπακούσομαι ὁ θεὸς Ἰσραὴλ καὶ οὐκ ἐγκαταλείψω αὐτούς, 18 ἀλλὰ 18
ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς καὶ ἐν μέσῳ πεδίων πηγάς, ποιήσω τὴν
ἔρημον εἰς ἕλη ὑδάτων καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς, 19 θήσω εἰς 19
τὴν ἄνυδρον γῆν κέδρον καὶ πύξον, μυρσίνην καὶ κυπάρισσον καὶ λεύκην,
20 ἵνα ἴδωσι καὶ γνῶσι, καὶ ἐννοηθῶσι καὶ ἐπιστῶνται ἅμα ὅτι χεὶρ κυρίου 20
ἐποίησε ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν. 21 ἐγγίζει ἡ κρίσις ὑμῶν, 21
λέγει κύριος ὁ θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς Ἰακώβ. 22 ἐγγι- 22
σάτωσαν καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερον τίνα ἦν
εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν, καὶ γνωσόμεθα τί τὰ ἔσχατα καὶ τὰ
ἐπερχόμενα· εἴπατε ἡμῖν, 23 ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, 23
καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. εὖ ποιήσατε καὶ κακώσατε, καὶ θαυμασόμεθα,
καὶ ὀψόμεθα ἅμα 24 ὅτι πόθεν ἐστὲ ὑμεῖς καὶ πόθεν ἡ ἐργασία ὑμῶν· ἐκ 24
γῆς βδέλυγμα ἐξελέξαντο ὑμᾶς. 25 ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βορρᾶ καὶ τὸν ἀφ' 25
ἡλίου ἀνατολῶν, κληθήσονται τῷ ὀνόματί μου· ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς
πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλόν, οὕτω καταπατη-

---

XLI. 1. κρισεις 2. om και ante πορευσεται 3. και διελευσεται 5. ηλθοσαν 7. *om αμα ... τοτε μεν 8. om και 9. εγκατελειπον 13. om σου prius 14. om σου 15. πριστοειδεις ... ως χουν 16. λημψεται 18. εμμεσω ... om υδατων 19. και μυρσινην 30. ταυτα παντα 22. τα προτερα 23. om ημιν ... ed. rom. επεχομενα ... om και οψομ. αμα 25. om δε ... απ ηλιου ... κλησονται

Digitized by Google

26 θήσεσθε. [26] τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν καὶ τὰ ἔμπροσθεν,
καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστίν; οὐκ ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων ὑμῶν
27 τοὺς λόγους. [27] ἀρχὴν Σιὼν δώσω, καὶ Ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν.
28 [28] ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐδείς, καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ
ἀναγγέλλων· καὶ ἐὰν ἐρωτήσω αὐτούς πόθεν ἐστέ, οὐ μὴ ἀποκριθῶσί μοι.
29 [29] εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.

## XLII.

Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσε- Mt. 12,
δέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς 18—21.
2 ἔθνεσιν ἐξοίσει· [2] οὐ κεκράξεται οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ
3 αὐτοῦ. [3] κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέ-
4 σει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν· [4] ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως
5 ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. [5] οὕτω
λέγει κύριος ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας
τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα
6 τοῖς πατοῦσιν αὐτήν. [6] ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρα-
τήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους,
7 εἰς φῶς ἐθνῶν, [7] ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμέ-
8 νους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. [8] ἐγὼ κύριος ὁ θεός,
τοῦτό μού ἐστι τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς
9 μου τοῖς γλυπτοῖς. [9] τὰ ἐπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ ἐγὼ ἀναγγέλλω,
10 καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. [10] ὑμνήσατε τῷ κυρίῳ ὕμνον καινόν·
ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαί-
νοντες εἰς τὴν θάλασσαν καὶ πλέοντες αὐτήν, αἱ νῆσοι καὶ οἱ κατοικοῦντες
11 αὐτάς. [11] εὐφράνθητι ἔρημος καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις καὶ οἱ κατοι-
κοῦντες Κηδάρ. εὐφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ' ἄκρου τῶν
12 ὀρέων βοήσουσι, [12] δώσουσι τῷ θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις
13 ἀναγγελοῦσι. [13] κύριος ὁ θεὸς τῶν δυνάμεων ἐξελεύσεται καὶ συντρίψει πό-
λεμον, ἐπεγερεῖ ζῆλον καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος.
14 [14] ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέ-
15 ρησα, ἐκστήσω καὶ ξηρανῶ ἅμα, [15] ἐρημώσω ὄρη καὶ βουνούς, καὶ πάντα
16 χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ. [16] καὶ
ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν πατῆσαι
ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐ-
17 θεῖαν. ταῦτα τὰ ῥήματα ποιήσω καὶ οὐκ ἐγκαταλείψω αὐτούς· [17] αὐτοὶ δὲ
ἀπεστράφησαν εἰς τὰ ὀπίσω. αἰσχύνθητε αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς
18 γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς Ὑμεῖς ἐστὲ θεοὶ ἡμῶν. [18] οἱ κωφοὶ
19 ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. [19] καὶ τίς τυφλὸς ἀλλ' ἢ οἱ παῖ-
δές μου, καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ἐτυφλώθησαν οἱ δοῦ-
20 λοι τοῦ θεοῦ. [20] εἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα,
21 καὶ οὐκ ἠκούσατε. [21] κύριος ὁ θεὸς ἐβουλεύσατο ἵνα δικαιωθῇ καὶ μεγαλύνῃ
22 αἴνεσιν. [22] καὶ εἶδον, καὶ ἐγένετο ὁ λαὸς πεπρονομευμένος καὶ διηρπασμένος·
ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν
αὐτούς, ἐγένοντο εἰς προνομήν· καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ

---

26. ουδ ακουων τ. λογ. υμων 27. παρακαλ. εν οδω 28. ουθεις ... ιδωλων XLII. 1. αντιλημψομαι 2. ου κραξεται 3. συντεθλασμενον 5. ουτως ... pro πηξας αυτον habuit *την γην και τα εν αυτη (vdtr) ... δους 7. om και sec. 9. και κενα εγω αναγγελω ... ανατειλαι 10. επ αχρου 11. απ αχρων ... om βοησουσιν 14. εχαρτερησα ως η τικτουσα 15. om ερημωσω usque ξηρανω 16. ους pro ας ... ρημ. α ποιησω 20. ιδετε 22. ιδον ... ταμιειοις ... ο εξερουμενος

Digitized by Google

ἦν ὁ λέγων Ἀπόδος. [23] τίς ἐν ὑμῖν ὃς ἐνωτιεῖται ταῦτα; εἰςακούσατε εἰς τὰ 23
ἐπερχόμενα. [24] τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ τοῖς προνομεύου- 24
σιν αὐτόν; οὐχὶ ὁ θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς
αὐτοῦ πορεύεσθαι οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; [25] καὶ ἐπήγαγεν ἐπ' αὐ- 25
τοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες
αὐτοὺς κύκλῳ, καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

## XLIII.

Καὶ νῦν οὕτως λέγει κύριος ὁ θεός, ὁ ποιήσας σε Ἰακώβ, καὶ ὁ πλά-
σας σε Ἰσραήλ Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ ὄνομα σου,
ἐμὸς εἶ σύ. [2] καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμί, καὶ ποταμοὶ οὐ 2
συγκλύσουσί σε· καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ
κατακαύσει σε. [3] ὅτι ἐγὼ κύριος ὁ θεός σου ὁ ἅγιος Ἰσραὴλ ὁ σῴζων σε· 3
ἐποίησα ἄλλαγμά σου Αἴγυπτον καὶ Αἰθιοπίαν, καὶ Σοήνην ὑπὲρ σοῦ. [4] ἀφ' 4
οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξάσθης καὶ ἐγώ σε ἠγάπησα, καὶ δώσω
ἀνθρώπους ὑπὲρ σοῦ καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. [5] μὴ φοβοῦ, ὅτι 5
μετὰ σοῦ εἰμί· ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω
σε. [6] ἐρῶ τῷ βορρᾷ Ἄγε, καὶ τῷ λιβὶ Μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ 6
τῆς πόρρωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς, [7] πάντας ὅσοι 7
ἐπικέκληνται τῷ ὀνόματί μου. ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτὸν καὶ
ἔπλασα αὐτὸν καὶ ἐποίησα αὐτόν, [8] καὶ ἐξήγαγον λαὸν τυφλόν, καὶ ὀφθαλ- 8
μοί εἰσιν ὡσαύτως τυφλοί, καὶ κωφοὶ τὰ ὦτα ἔχοντες. [9] πάντα τὰ ἔθνη 9
συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα;
ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ
δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. [10] γένεσθέ μοι 10
μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεός, καὶ ὁ παῖς μου ὃν ἐξελε-
ξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου
οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. [11] ἐγὼ ὁ θεός, καὶ οὐκ 11
ἔστι πάρεξ ἐμοῦ σῴζων. [12] ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ 12
ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ κύριος ὁ θεὸς [13] ἔτι 13
ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ὁ ἐξαιρούμενος· ποιήσω,
καὶ τίς ἀποστρέψει αὐτό; [14] οὕτως λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς, 14
ὁ ἅγιος τοῦ Ἰσραήλ Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα καὶ ἐπεγερῶ
φεύγοντας πάντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται. [15] ἐγὼ κύριος ὁ 15
θεὸς ὁ ἅγιος ὑμῶν ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν. [16] οὕτως λέγει κύ- 16
ριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, [17] ὁ ἐξαγαγὼν 17
ἅρματα καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν· ἀλλ' ἐκοιμήθησαν καὶ οὐκ ἀναστή-
σονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον. [18] μὴ μνημονεύετε τὰ πρῶτα, καὶ 18
*Apoc. τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· [19] ἰδοὺ ἐγὼ ποιῶ καινὰ ἃ νῦν ἀνατελεῖ, καὶ 19
21, 5. γνώσεσθε αὐτά. καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν καὶ ἐν τῇ ἀνύδρῳ ποτα-
μούς· [20] εὐλογήσουσί με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρου- 20
θῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ, ποτίσαι
*1 Pe. τὸ γένος μου τὸ ἐκλεκτόν, [21] λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου 21
2, 9. διηγεῖσθαι. [22] οὐ νῦν ἐκάλεσά σε Ἰακώβ, οὐδὲ κοπιάσαι σε ἐποίησα Ἰσραήλ· 22

23. εισακουσεται 24. ed. rom. οις pro τις ... εβουλοντο 25. επ αυτους πολεμος XLIII. 1. ιακωβ ο πλασας 3. σου αλλαγμα 4. εναντιον μου ... καγω ... ανθρ. πολλους υπερ 6. απο γης 7. om αυτον sec. 8. κωφοι ωτα 9. κ. ειπατ. αληθ. κ. ακουσατ. 10. καγω ... ο παις ον ... και πιστευσηται μοι 12. om εγω prius ... μαρτυρες, καγω μαρτυς λεγει κυριος ο θεος 13. μου εξαιρουμενος 14. ο αγιος ισραηλ ... παντας φευγοντας ... εν κλοιοις 16. οδον εν θαλ. 17. ο εξαγων ... αλλα 18. om μη 19. om εγω 20. ευλογησει ... ποτιω 22. ου κοπιασαι



Digitized by Google

23 [23] οὐκ ἤνεγκάς μοι πρόβατά σου τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυ-
σίαις σου ἐδόξασάς με, οὐκ ἐδούλωσά σε ἐν θυσίαις, οὐδὲ ἔγκοπον ἐποίησά
24 σε ἐν λιβάνῳ, [24] οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυσίασμα, οὐδὲ τὸ στέαρ τῶν
θυσιῶν σου ἐπεθύμησα, ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σου προέστης μου καὶ ἐν
25 ταῖς ἀδικίαις σου. [25] ἐγώ εἰμι ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν
26 ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου καὶ οὐ μὴ μνησθήσομαι. [26] σὺ δὲ μνήσθητι καὶ
27 κριθῶμεν· λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. [27] οἱ πατέρες
28 ὑμῶν πρῶτοι καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ, [28] καὶ ἐμίαναν οἱ ἄρ-
χοντες τὰ ἅγιά μου· καὶ ἔδωκα ἀπολέσαι Ἰακώβ, καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.

## XLIV.

2 Νῦν δὲ ἄκουσον Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην. [2] οὕτω
λέγει κύριος ὁ θεὸς ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας, ἔτι βοηθη-
θήσῃ, Μὴ φοβοῦ παῖς μου Ἰακώβ, καὶ ἠγαπημένος Ἰσραὴλ ὃν ἐξελεξάμην.
3 [3] ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ, ἐπιθήσω τὸ
πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου,
4 [4] καὶ ἀνατελοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος, καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον
5 ὕδωρ. [5] οὗτος ἐρεῖ Τοῦ θεοῦ εἰμί, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ,
καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ Τοῦ θεοῦ εἰμί, καὶ ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ
6 βοήσεται. [6] οὕτως λέγει ὁ θεὸς ὁ βασιλεὺς Ἰσραὴλ καὶ ῥυσάμενος αὐτόν, θεὸς
7 Σαβαὼθ Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ οὐκ ἔστι θεός. [7] τίς *Apoc.
ὥσπερ ἐγώ, στήτω καὶ καλεσάτω καὶ ἀναγγειλάτω, καὶ ἑτοιμασάτω μοι ἀφ' 22, 13.
οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγ-
8 γειλάτωσαν ὑμῖν. [8] μὴ παρακαλύπτεσθε μηδὲ πλανᾶσθε· οὐκ ἀπ' ἀρχῆς ἠνω-
τίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; μάρτυρες ὑμεῖς ἐστὲ εἰ ἔστι θεὸς πλὴν ἐμοῦ.
9 καὶ οὐκ ἤκουσαν τότε [9] οἱ πλάσσοντες καὶ οἱ γλύφοντες, πάντες μάταιοι,
ποιοῦντες τὰ καταθύμια αὐτῶν ἃ οὐκ ὠφελήσει αὐτούς· ἀλλὰ αἰσχυνθήσονται
10 11 [10] οἱ πλάσσοντες θεὸν καὶ γλύφοντες πάντες ἀνωφελῆ, [11] καὶ πάντες ὅθεν
ἐγένοντο ἐξηράνθησαν· καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες καὶ
12 στησάτωσαν ἅμα, καὶ ἐντραπήτωσαν καὶ αἰσχυνθήτωσαν ἅμα. [12] ὅτι ὤξυνε
τέκνων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸ καὶ ἐν τερέτρῳ ἔστησεν αὐτό, καὶ
εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ· καὶ πεινάσει καὶ ἀσθενή-
13 σει καὶ οὐ μὴ πίῃ ὕδωρ. [13] ἐκλεξάμενος τέκτων ξύλον ἔστησεν αὐτὸ ἐν μέτρῳ,
καὶ ἐν κόλλῃ ἐῤῥύθμισεν αὐτό, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς καὶ ὡς
14 ὡραιότητα ἀνθρώπου, στῆσαι αὐτὸ ἐν οἴκῳ. [14] ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ
15 ὃ ἐφύτευσε κύριος, πίτυν, καὶ ὑετὸς ἐμήκυνεν, [15] ἵνα ᾖ ἀνθρώποις εἰς καῦ-
σιν· καὶ λαβὼν ἀπ' αὐτοῦ ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ'
16 αὐτῶν· τὸ δὲ λοιπὸν εἰργάσαντο θεούς, καὶ προςκυνοῦσιν αὐτοῖς. [16] οὗ τὸ

---

23. ουκ εμοι (sine ηνεγκας) προβ. της ... ουδε εδουλευσας εν ταις θυσ. σου 24. θυμιαμα, ουδε στεαρ ... αμ. σου και εν τ. αδ. σ. προεστην σου 25. om ενεχ. εμ. και τας αμ. σου ... in fine add τας αδικιας σου 27. πατ. ημων ... αρχοντ. αυτων 28. ed. rom. απωλεσαι ... ιερουσαλημ pro ισραηλ XLIV. 1. ακουσ. παις μου ιακωβ 2. ουτως ... και ο ηγαπημενος 4. ωσει χορτ. ανα μεσον υδατος ... ειτεα ... παραρεον 5. ερει pro βοησεται ... επιγραφει ... om χειρι αυτου ... om και ultimum ... om βοησεται 6. του ισραηλ ο ρυσαμενος 7. στητω καλεσατω ... om και αναγγειλ. 8. om μηδε πλανασθε ... και ουκ ησαν τοτε 9. και γλυφοντες ... οι ποιουντες 10. παντες οι πλασσ. θ. κ. γλ. ανωφ. 11. post ανθρωπων plene disting. ..∴ και στησονται αμα, εντραπητωσαν 12. ετρησεν αυτο, ειργασατο 13. ερυθμισεν αυτο, εποιησεν 14. ο εκοψεν ... om πιτυν 15. αρτ. επ αυτου ... ειργασατο εις θεους κ. προσκ. αυτους

Digitized by Google

ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ ἔπεψεν ἐν τοῖς
ἄνϑραξιν ἄρτους, καὶ ἐπ᾽ αὐτοῦ κρέας ὀπτήσας ἔφαγε καὶ ἐνεπλήσϑη, καὶ
ϑερμανϑεὶς εἶπεν Ἡδύ μοι ὅτι ἐϑερμάνϑην καὶ εἶδον πῦρ· [17] τὸ δὲ λοιπὸν 17
ἐποίησεν εἰς ϑεὸν γλυπτόν, καὶ προςκυνεῖ καὶ προςεύχεται λέγων Ἐξελοῦ με,
ὅτι ϑεός μου εἶ σύ. [18] οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώϑησαν τοῦ βλέπειν 18
τοῖς ὀφϑαλμοῖς αὐτῶν καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. [19] καὶ οὐκ ἐλογίσατο 19
τῇ ψυχῇ αὐτοῦ οὐδὲ ἔγνω τῇ φρονήσει ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν
πυρί, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνϑράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέα ἔφαγε,
καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε καὶ προςκυνοῦσιν αὐτῷ. [20] γνῶϑι 20
ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐδεὶς δύναται ἐξελέσϑαι
τὴν ψυχὴν αὐτοῦ· ἴδετε, οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. [21] μνήσϑητι 21
ταῦτα Ἰακὼβ καὶ Ἰσραήλ, ὅτι παῖς μου εἶ σύ· ἔπλασά σε παῖδά μου, καὶ
σὺ Ἰσραὴλ μὴ ἐπιλανϑάνου μου. [22] ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνο- 22
μίας σου, καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου· ἐπιστράφηϑι πρός μέ, καὶ λυ-
τρώσομαί σε. [23] εὐφράνϑητε οὐρανοί, ὅτι ἠλέησεν ὁ ϑεὸς τὸν Ἰσραήλ· σαλ- 23
πίσατε τὰ ϑεμέλια τῆς γῆς, βοήσατε ὄρη εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα
τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ ϑεὸς τὸν Ἰακώβ, καὶ Ἰσραὴλ δο-
ξασϑήσεται. [24] οὕτω λέγει κύριος ὁ λυτρούμενός σε καὶ πλάσσων σε ἐκ κοιλίας 24
Ἐγὼ κύριος ὁ συντελῶν πάντα, ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ ἐστερέωσα
τὴν γῆν. [25] τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύϑων καὶ μαντείας ἀπὸ 25
καρδίας, ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μω-
ραίνων, [26] καὶ ἱστῶν ῥῆμα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ 26
ἀληϑεύων; ὁ λέγων τῇ Ἱερουσαλὴμ Κατοικηϑήσῃ, καὶ ταῖς πόλεσι τῆς Ἰδου-
μαίας Οἰκοδομηϑήσεσϑε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ· [27] ὁ λέγων τῇ ἀβύσσῳ 27
Ἐρημωϑήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ· [28] ὁ λέγων Κύρῳ φρονεῖν, καὶ 28
πάντα τὰ ϑελήματά μου ποιήσει· ὁ λέγων Ἱερουσαλὴμ Οἰκοδομηϑήσῃ, καὶ
τὸν οἶκον τὸν ἅγιόν μου ϑεμελιώσω.

## XLV.

Οὕτω λέγει κύριος ὁ ϑεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δε-
ξιᾶς ἐπακοῦσαι ἔμπροσϑεν αὐτοῦ ἔϑνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω, ἀνοίξω
ἔμπροσϑεν αὐτοῦ ϑύρας, καὶ πόλεις οὐ συγκλεισϑήσονται, [2] Ἐγὼ ἔμπροσϑέν 2
σου πορεύσομαι καὶ ὄρη ὁμαλιῶ, ϑύρας χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδη-
ροῦς συγκλάσω, [3] καὶ δώσω σοι ϑησαυροὺς σκοτεινοὺς ἀποκρύφους, ἀοράτους 3
ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ κύριος ὁ ϑεός σου ὁ καλῶν τὸ ὄνομά σου ὁ
ϑεὸς Ἰσραήλ. [4] ἕνεκεν τοῦ παιδός μου Ἰακὼβ καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου 4
ἐγὼ καλέσω σε τῷ ὀνόματί σου καὶ προςδέξομαί σε· σὺ δὲ οὐκ ἔγνως με.
[5] ὅτι ἐγὼ κύριος ὁ ϑεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ ϑεός· ἐνίσχυσά σε, καὶ 5
οὐκ ᾔδεις με, [6] ἵνα γνῶσιν οἱ ἀπ᾽ ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν ὅτι 6
οὐκ ἔστι ϑεὸς πλὴν ἐμοῦ. ἐγὼ κύριος ὁ ϑεός, καὶ οὐκ ἔστιν ἔτι, [7] ἐγὼ ὁ 7

---

16. και καυσαντες επεψαν αρτους επ αυτων pro και επι του ημισους usque αρτους ... ιδον 17. εποιησεν ϑεον ... προςκυνει αυτω ... Εξελουμαι οτι 19. ουκ ελογισ. τη καρδια αυτου· ουδε αν ελογισατο εν τη ψυχη αυτου· ουδε εγνω ... κρεας 20. γνωτε 22. ως γνοφ. τας αμαρτιας σου· επιστραφητι 23. σαλπισατε ϑεμελια ... ηλεησεν pro ελυτρωσατο 24. ουτως ... ο λυτρωμενος ... ταυτα pro παντα 25. διεσκεδασεν ... μωρευων 26. ρηματα παιδων ... om τη ... της ιουδαιας XLV. 1. ουτως ... εκρατησας 2. εμπροσϑ. αυτου 3. *om αορατους ... ινα γνωση ... ο ϑεος ο καλ. το ον. σου ϑ. ισρ. 4. ενεκεν ιακωβ του π. μου ... τω ονοματι μου ... ed. rom. εγνως με, 5. om ενισχυσα σε ... ηδεισαν 6. απο ανατολων ... om ϑεος prius ... και οτι εγω κυρ.



Digitized by Google

κατασκευάσας φῶς καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά·
8 ἐγὼ κύριος ὁ θεὸς ὁ ποιῶν πάντα ταῦτα. [8] εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν,
καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ καὶ βλαστησάτω
9 ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα· ἐγώ εἰμι κύριος ὁ κτίσας σε. [9] ποῖον
βέλτιον κατεσκεύασα ὡς πηλὸν κεραμέως; μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν
ὅλην τὴν ἡμέραν; μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ *Ro. 9.
10 οὐδὲ ἔχεις χεῖρας; [10] μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό; 20.
11 ὁ λέγων τῷ πατρὶ Τί γεννήσεις; καὶ τῇ μητρί Τί ὠδίνεις; [11] ὅτι οὕτω λέγει
κύριος ὁ θεὸς ὁ ἅγιος Ἰσραὴλ ὁ ποιήσας τὰ ἐπερχόμενα Ἐρωτήσατέ με περὶ
12 τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. [12] ἐγὼ
ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐ-
13 ρανόν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. [13] ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιο-
σύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι· οὗτος οἰκοδομήσει τὴν πό-
λιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων
14 οὐδὲ μετὰ δώρων, εἶπε κύριος Σαβαώθ. [14] οὕτω λέγει κύριος Σαβαὼθ Ἐκο-
πίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ
σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι καὶ ὀπίσω σου ἀκολουθήσουσι δε-
δεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σὲ καὶ προσκυνήσουσί σοι, καὶ ἐν *Apoc.
15 σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. [15] σὺ 3, 9.
16 γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ Ἰσραὴλ σωτήρ. [16] αἰσχυνθήσονται
καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ.
17 ἐγκαινίζεσθε πρός με νῆσοι. [17] Ἰσραὴλ σώζεται ὑπὸ κυρίου σωτηρίαν αἰώ-
18 νιον· οὐκ αἰσχυνθήσονται οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος ἔτι. [18] οὕτως
λέγει κύριος ὁ ποιήσας τὸν οὐρανόν, οὗτος ὁ θεὸς ὁ καταδείξας τὴν γῆν καὶ
ποιήσας αὐτήν, αὐτὸς διώρισεν αὐτήν, οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν, ἀλλὰ
19 κατοικεῖσθαι ἔπλασεν αὐτήν, Ἐγώ εἰμι κύριος, καὶ οὐκ ἔστιν ἔτι. [19] οὐκ ἐν
κρυφῇ λελάληκα οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ· οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ
Μάταιον ζητήσατε· ἐγώ εἰμι ἐγώ εἰμι κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγ-
20 γέλλων ἀλήθειαν. [20] συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα οἱ σωζόμενοι
ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ οἱ
21 προσευχόμενοι πρὸς θεοὺς οἳ οὐ σώζουσιν. [21] εἰ ἀναγγελοῦσιν, ἐγγισάτωσαν,
ἵνα γνῶσιν ἅμα τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς· τότε ἀνηγγέλη ὑμῖν
Ἐγὼ ὁ θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, δίκαιος καὶ σωτήρ, οὐκ ἔστι
22 πάρεξ ἐμοῦ. [22] ἐπιστράφητε ἐπ' ἐμὲ καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς
23 γῆς· ἐγώ εἰμι ὁ θεός, καὶ οὐκ ἔστιν ἄλλος. [23] κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴ
ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφή-
24 σονται, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν θεόν, [24] λέγων Ro. 14,
Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διορί- 11.
25 ζοντες αὐτούς· [25] ἀπὸ κυρίου δικαιωθήσονται, καὶ ἐν τῷ θεῷ ἐνδοξασθήσεται
πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.

---

7. ταυτα παντα 8. ραινετωσαν ... κ. δικαιοσυνη ανατ. αμα 9. om ολην την ημεραν 10. om μη αποκριθ. usque αυτο ... ωδινησεις 11. ουτως ... post υιων μου add και περι των θυγατερων μου 13. om βασιλεα ... αυτος pro ουτος 14. ουτως ... οι σεβωειμ ... και διαβησ. πρ. σε ... και ερουσιν Ουκ εστιν ο θεος πλ. σου 17. om ετι 18. om επλασεν αυτην ... om κυριος 19. om κυριος ο 20. και προσευχομενοι ως προς ... σωζωσιν 21. αναγγελλουσιν ... ινα γνωμεν ... inde ab -γελη υμιν Εγω usque ομνυω v. 23. rescripta sunt ..**ουκ εστιν αλλος παρεξ εμ. 22. **προς με ... **αλλος πλην εμου δικαιος και σωτηρ ουκ εστιν παρεξ εμου 23. ει μην ... και εξομολογησεται πασα γλ. τω θεω 24. ηξουσιν ... αφοριζοντες αυτ. 25. απο κυριου cum antecdd. conjg. ... ενδοξασθησονται και παν

Digitized by Google

## XLVI.

Ἔπεσε Βήλ, συνετρίβη Ναβώ, ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία καὶ
τὰ κτήνη· αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι ² ἐκλελυμένῳ καὶ 2
πεινῶντι, οὐκ ἰσχύοντι ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου, αὐτοὶ
δὲ αἰχμάλωτοι ἤχθησαν. ³ ἀκούετέ μου οἶκος τοῦ Ἰακὼβ καὶ πᾶν τὸ κατά- 3
λοιπον τοῦ Ἰσραήλ, οἱ αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἐκ παιδίου
⁴ ἕως γήρως· ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι, ἐγὼ ἀνέχομαι 4
ὑμῶν, ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀνήσω, ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. ⁵ τίνι 5
με ὡμοιώσατε; ἴδετε, τεχνάσασθε οἱ πλανώμενοι, ⁶ οἱ συμβαλλόμενοι χρυσίον 6
ἐκ μαρσυππίου καὶ ἀργύριον ἐν ζυγῷ, στήσουσιν ἐν σταθμῷ, καὶ μισθωσά-
μενοι χρυσοχόον ἐποίησαν χειροποίητα καὶ κύψαντες προςκυνοῦσιν αὐτοῖς.
⁷ αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου καὶ πορεύονται· ἐὰν δὲ θῶσιν αὐτό, ἐπὶ τοῦ 7
τόπου αὐτοῦ μένει, οὐ μὴ κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτόν, οὐ μὴ
εἰςακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν. ⁸ μνήσθητε ταῦτα καὶ στενάξατε, 8
μετανοήσατε οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ, ⁹ καὶ μνήσθητε τὰ 9
πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ,
¹⁰ ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν γενέσθαι, καὶ ἅμα συνετελέσθη· καὶ 10
εἶπα, πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω·
¹¹ καλῶν ἀπὸ ἀνατολῶν πετεινὸν καὶ ἀπὸ γῆς πόῤῥωθεν περὶ ὧν βεβούλευ- 11
μαι, ἐλάλησα καὶ ἤγαγον, ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτὸν καὶ εὐόδωσα
τὴν ὁδὸν αὐτοῦ. ¹² ἀκούσατέ μου οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν 12
ἀπὸ τῆς δικαιοσύνης. ¹³ ἤγγισα τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν 13
παρ᾽ ἐμοῦ οὐ βραδυνῶ· δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.

## XLVII.

Κατάβηθι κάθισον ἐπὶ τὴν γῆν παρθένος θυγάτηρ Βαβυλῶνος, κάθισον
εἰς τὴν γῆν θυγάτηρ Χαλδαίων, ὅτι οὐκέτι προςτεθήσῃ κληθῆναι ἁπαλὴ καὶ
τρυφερά. ² λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψαι τὸ κατακάλυμμά σου, 2
ἀνακάλυψαι τὰς πολιάς, ἀνάσυρε τὰς κνήμας, διάβηθι ποταμούς, ³ ἀνακαλυ- 3
φθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου· τὸ δίκαιον ἐκ σοῦ
λήψομαι, οὐκέτι μὴ παραδῶ ἀνθρώποις. ⁴ ὁ ῥυσάμενός σε κύριος Σαβαώθ, 4
ὄνομα αὐτῷ ἅγιος Ἰσραήλ. ⁵ κάθισον κατανενυγμένη, εἴςελθε εἰς τὸ σκότος 5
θύγατερ Χαλδαίων, οὐκέτι μὴ κληθήσῃ ἰσχὺς βασιλείας. ⁶ παρωξύνθην ἐπὶ 6
τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου· ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά
σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν
σφόδρα, ⁷ καὶ εἶπας Εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ἐνόησας ταῦτα ἐν 7
τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατα. ⁸ νῦν δὲ ἄκουε ταῦτα, τρυφερά, 8
ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ οὐκ
* Apoc. ἔστιν ἑτέρα, οὐ καθιῶ χήρα οὐδὲ γνώσομαι ὀρφανίαν. ⁹ νῦν δὲ ἥξει ἐπὶ σὲ 9
18, 7sq. τὰ δύο ταῦτα ἐξαίφνης ἐν ἡμέρᾳ μιᾷ, ἀτεκνία καὶ χηρεία ἥξει ἐξαίφνης ἐπὶ

---

XLVI. 1. συνετρ. δαγων ... και κτηνη εδεται αυτα 2. και πινωντι και εκλελυμενω ... οι ου μη δυνωνται 3. ακουσατε ... απο παιδιου 4. γηρους ... αναλημψομαι 6. προςκυν. αυτο 7. επι των ωμων ... ed. rom. επι τ. τοπ. α. cum αυτο conjg., non item cod. alex. ... και ος αν ... ακουση ... σωσει 10. πριν αυτα γεν. ... μου η βουλη 11. απ ανατολων ... ευοδωσα XLVII. 1. βαβυλωνος, εις ελθε εις το σκοτος θυγατηρ 2. αλλισον αλευρον ... ανασυραι 3. λημψομαι 4. ειπεν ο ρυσαμ. 5. θυγατηρ 6. om αυτους 7. ed. rom. τα εσχατα; 8. ακουσον ταυτα η τρυφ. ... εν τη καρδια 9. νυν δε ηξ. εξεφνης (etiam postea εξεφνης) τα δυο ταυτα εν μια ημερα· χηρια και ατεκνια

Digitized by Google

10 σὲ ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα, [10] τῇ ἐλ-
πίδι τῆς πονηρίας σου. σὺ γὰρ εἶπας Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· γνῶϑι,
ἡ σύνεσις τούτων ἔσται, καὶ ἡ πορνεία σου σοὶ αἰσχύνη· καὶ εἶπας τῇ καρ-
11 δίᾳ σου Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. [11] καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια καὶ οὐ
μὴ γνῷς, βόϑυνος, καὶ ἐμπεσῇ εἰς αὐτόν· καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ
οὐ μὴ δυνήσῃ καϑαρὰ γενέσϑαι· καὶ ἥξει ἐπὶ σὲ ἐξαπίνης ἀπώλεια καὶ οὐ
12 μὴ γνώσῃ. [12] στῆϑι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου καὶ ἐν τῇ πολλῇ φαρμακείᾳ
13 σου, ἃ ἐμάνϑανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληϑῆναι. [13] κεκοπίακας ἐν
ταῖς βουλαῖς σου· στήτωσαν δὴ καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρα-
νοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπὶ σὲ ἔρχεσϑαι.
14 [14] ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυϑήσονται, καὶ οὐ μὴ ἐξέλωνται
τὴν ψυχὴν αὐτῶν ἐκ φλογός, ὅτι ἔχεις ἄνϑρακας πυρός, κάϑισαι ἐπ' αὐτούς,
15 [15] οὗτοι ἔσονταί σοι βοήϑεια· ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος, ἄνϑρω-
πος καϑ' ἑαυτὸν ἐπλανήϑη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

## XLVIII.

Ἀκούσατε ταῦτα οἶκος Ἰακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ
καὶ ἐξ Ἰούδα ἐξελϑόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι κυρίου ϑεοῦ Ἰσραήλ, μι-
2 μνησκόμενοι οὐ μετὰ ἀληϑείας οὐδὲ μετὰ δικαιοσύνης, [2] καὶ ἀντεχόμενοι τῷ
ὀνόματι τῆς πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ ϑεῷ Ἰσραὴλ ἀντιστηριζόμενοι,
3 κύριος Σαβαὼϑ ὄνομα αὐτῷ. [3] τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στό-
ματός μου ἐξῆλϑε καὶ ἀκουστὸν ἐγένετο· ἐξάπινα ἐποίησα, καὶ ἐπῆλϑεν.
4 [4] γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν
5 σου χαλκοῦν. [5] καὶ ἀνήγγειλά σοι πάλαι ἃ πρὶν ἐλϑεῖν ἐπὶ σέ· ἀκουστόν σοι
ἐποίησα, μή ποτε εἴπῃς ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ εἴπῃς ὅτι τὰ γλυπτὰ
6 καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. [6] ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε·
ἀλλὰ ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν ἃ μέλλει γίνεσϑαι· καὶ
7 οὐκ εἶπας [7] Νῦν γίνεται καὶ οὐ πάλαι, καὶ οὐ προτέραις ἡμέραις ἤκουσας
8 αὐτά· μὴ εἴπῃς Ναὶ γινώσκω αὐτά. [8] οὔτε ἔγνως οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρχῆς
ἤνοιξά σου τὰ ὦτα· ἔγνων γὰρ ὅτι ἀϑετῶν ἀϑετήσεις, καὶ ἄνομος ἔτι ἐκ κοιλίας
9 κληϑήσῃ. [9] ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν ϑυμόν μου, καὶ τὰ ἔν-
10 δοξά μου ἐπάξω ἐπὶ σέ, ἵνα μὴ ἐξολοϑρεύσω σε. [10] ἰδοὺ πέπρακά σε οὐχ
11 ἕνεκεν ἀργυρίου· ἐξειλάμην δέ σε ἐκ καμίνου πτωχείας· [11] ἕνεκεν ἐμοῦ ποιήσω
σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω.
12 [12] ἄκουέ μου Ἰακώβ, καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ· ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ
13 εἰμι εἰς τὸν αἰῶνα, [13] καὶ ἡ χείρ μου ἐϑεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου
14 ἐστερέωσε τὸν οὐρανόν· καλέσω αὐτούς, καὶ στήσονται ἅμα, [14] καὶ συναχϑή-
σονται πάντες καὶ ἀκούσονται. τίς αὐτοῖς ἀνήγγειλε ταῦτα; ἀγαπῶν σε ἐποίησα
15 τὸ ϑέλημά σου ἐπὶ Βαβυλῶνα τοῦ ἆραι σπέρμα Χαλδαίων· [15] ἐγὼ ἐλάλησα,
16 ἐγὼ ἐκάλεσα, ἤγαγον αὐτὸν καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. [16] προσαγάγετε
πρός με καὶ ἀκούσατε ταῦτα, οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα
ἐγένετο, ἐκεῖ ἤμην, καὶ νῦν κύριος κύριος ἀπέστειλέ με καὶ τὸ πνεῦμα αὐτοῦ.

---

10. γνωϑι οτι ... τουτων και η πορν. σ. εσται σοι 11. εξεφνης απωλεια ... γνως 13. om δη 14. καταχαησονται 15. μεταβολη σου XLVIII. 1. om επι ... και οι εξ ιουδα 2. του ισραηλ ... cd. rom. αντιστηριζομενοι. κυριος 3. ακουστα εγενετο 4. γινωσκω εγω 5. τα παλαι πριν ... μη ειπης ... μοι εποιησαν, και (sed **add μη ειπης οτι) τα γλ. 6. αλλα και ακουστα 7. γεινεται ... οτι ναι 8. τα ωτα σου 9. επαξω επι σοι ... εξολεϑρευσω 10. ουχ ενεκεν 14. σε εποιησα ταυτα επι βαβυλ. το ϑελημα σου 15. ευοδωσα 16. cod. alex. post ταυτα plene dist. ... ελαλησα ουδε εν τοπω γης σκοτινω· ηνικα ... νυν κυριος απεσταλκεν

Digitized by Google

[17] οὕτω λέγει κύριος ὁ ῥυσάμενός σε ἅγιος Ἰσραὴλ Ἐγώ εἰμι ὁ θεός σου, 17
δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. [18] καὶ εἰ ἤκου- 18
σας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡςεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιο-
σύνη σου ὡς κῦμα θαλάσσης· [19] καὶ ἐγένετο ἂν ὡς ἡ ἄμμος τὸ σπέρμα σου, 19
καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς· οὐδὲ νῦν οὐ μὴ ἐξολο-
θρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. [20] Ἔξελθε ἐκ Βαβυλῶνος 20
φεύγων ἀπὸ τῶν Χαλδαίων· φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν
γενέσθω τοῦτο, ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε Ἐῤῥύσατο κύριος
τὸν δοῦλον αὐτοῦ Ἰακώβ· [21] καὶ ἐὰν διψήσωσι, δι' ἐρήμου ἄξει αὐτούς, ὕδωρ 21
ἐκ πέτρας ἐξάξει αὐτοῖς, σχισθήσεται πέτρα καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται
ὁ λαός μου. [22] οὐκ ἔστι χαίρειν, λέγει κύριος, τοῖς ἀσεβέσιν. 22

## XLIX.

Ἀκούσατέ μου νῆσοι, καὶ προςέχετε ἔθνη· διὰ χρόνου πολλοῦ στήσε-
ται, λέγει κύριος. ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, [2] καὶ ἔθηκε 2
τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ
ἔκρυψέ με· ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ
με, [3] καὶ εἶπέ μοι Δοῦλός μου εἶ σὺ Ἰσραήλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι. 3
[4] καὶ ἐγὼ εἶπα Κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν 4
μου· διὰ τοῦτο ἡ κρίσις μου παρὰ κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ
θεοῦ μου. [5] καὶ νῦν οὕτω λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ 5
τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτὸν καὶ Ἰσραὴλ Συναχθήσομαι καὶ δο-
ξασθήσομαι ἐναντίον κυρίου, καὶ ὁ θεός μου ἔσται μοι ἰσχύς. [6] καὶ εἶπέ 6
μοι Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς
Act. 13, 47. Ἰακὼβ καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι· ἰδοὺ δέδωκά σε εἰς
διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου
τῆς γῆς. [7] οὕτως λέγει κύριος ὁ ῥυσάμενός σε ὁ θεὸς Ἰσραὴλ Ἁγιάσατε 7
τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν
δούλων τῶν ἀρχόντων· βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες
καὶ προςκυνήσουσιν αὐτῷ ἕνεκεν κυρίου· ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραήλ,
2 Cor. 6, 2. καὶ ἐξελεξάμην σε. [8] οὕτως λέγει κύριος Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ 8
ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε καὶ ἔδωκά σε εἰς δια-
θήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν καὶ κληρονομῆσαι κληρονομίας ἐρή-
μους, [9] λέγοντα τοῖς ἐν δεσμοῖς Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακα- 9
λυφθῆναι. ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις
Apoc. 7, 16. ἡ νομὴ αὐτῶν· [10] οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ 10
καύσων οὐδὲ ὁ ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν
ὑδάτων ἄξει αὐτούς· [11] καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον 11
εἰς βόσκημα αὐτοῖς. [12] ἰδοὺ οὗτοι πόῤῥωθεν ἥξουσιν, οὗτοι ἀπὸ βοῤῥᾶ καὶ 12
θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. [13] εὐφραίνεσθε οὐρανοί, καὶ ἀγαλλιά- 13
σθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν
αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. [14] εἶπε δὲ Σιών 14

---

17. ουτως ... ο αγιος (sed inde ab ουτως usque του ευ- scripsit **) ... *om Εγω ειμι ο θ. σου 19. ωςει αμμος ... εξολεθρευθης ... ενωπιον μου 20. απαγγειλατε εως ... ερυσατο κυρ. τ. λαον α. 21. διψησουσιν 22. λεγει κυριος post ασεβεσιν pon. XLIX. 2. ωςει μαχαιραν ... φαρ. αυτ. εσκεπασεν με 3. δοξασθησομαι 4. και εις ματαιον ... ουθεν ... παρα κυριου 5. ουτως ... τον ιακ. και ισρ. πρ. αυτον ... εσται μου ισχυς 6. ιδου τεθεικα ... om εις διαθηκην γενους 8. om και επλασα σε ... κληρονομιαν ερημου 9. και εν πασαις τ. οδ. αυτων 10. ουδε μη παταξει αυτους καυσων ... αλλα 12. ερχονται ... και ουτοι απο θαλασσης (... εγ γης)

Digitized by Google

15 Ἐγκατέλιπέ με κύριος, καὶ ὅτι κύριος ἐπελάθετό μου. [15] μὴ ἐπιλήσεται γυνὴ
τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ
δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε κύριος.
16 [16] ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκά σου τὰ τείχη, καὶ ἐνώπιόν μου
17 εἶ διὰ παντός, [17] καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ἐρη-
18 μώσαντές σε ἐξελεύσονται ἐκ σοῦ. [18] ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ
ἴδε πάντας, ἰδοὺ συνήχθησαν καὶ ἦλθοσαν πρὸς σέ· ζῶ ἐγώ, λέγει κύριος,
ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσεις αὐτοὺς ὡς κόσμον
19 νύμφη. [19] ὅτι τὰ ἔρημά σου καὶ τὰ κατεφθαρμένα καὶ πεπτωκότα, ὅτι νῦν
στενοχωρήσει ἀπὸ τῶν κατοικούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ κα-
20 ταπίνοντές σε. [20] ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου οὓς ἀπολώλεκας
21 Στενός μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω. [21] καὶ ἐρεῖς ἐν τῇ
καρδίᾳ σου Τίς ἐγέννησέ μοι τούτους; ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, τούτους
δὲ τίς ἐξέθρεψέ μοι; ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν;
22 [22] οὕτως λέγει κύριος κύριος Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς
τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς
23 δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι, [23] καὶ ἔσονται βασιλεῖς τιθηνοί σου,
αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου· ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί
σε, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος, καὶ
24 οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με. [24] μὴ λήψεταί τις παρὰ γίγαντος
25 σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσεται; [25] ὅτι οὕτω λέγει
κύριος Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα· λαμβάνων δὲ παρὰ
ἰσχύοντος σωθήσεται· ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς σου
26 ῥύσομαι, [26] καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται
ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν καὶ μεθυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα
σὰρξ ὅτι ἐγὼ κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ.

## L.

Οὕτως λέγει κύριος Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν,
ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἁμαρτίαις
2 ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. [2] τί
ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος; ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων; μὴ οὐκ
ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ τῷ ἐλεγμῷ
μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθή-
σονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει.
3 [3] ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. * Apoc. 6, 12
4 [4] κύριος κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν
5 λόγον· ἔθηκέ μοι πρωΐ, προσέθηκέ μοι ὠτίον ἀκούειν, [5] καὶ ἡ παιδεία κυρίου
6 κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω. [6] τὸν νῶτόν
μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσω-
7 πόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, [7] καὶ κύριος κύριος βοη-
θός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς

---

14. εγκατελειπεν με κ., και ο θεος επελ. μ. 15. μητηρ pro γυνη ... om ἢ ... επιλαθοιτο ταυτα γυνη 16. εζωγραφησα 17. εξου (pro εκ σου) εξελευσ. 18. om ως κοσμον prius ... περιθηση ... νυμφης 19. τα διεφθαρμενα κ. τα πεπτωκοτα· νυν ... ενοικουντων (20. απωλεκας) 22. om κυριος alterum ... συνσημον 23. om αυτων ... προςκυν. σοι ... αισχυνθηση sine οι υπομεν. με 24. λημψεται 25. om οτι ... ουτως ... λημψεται 26. οι θλιβοντες ... om κυριος L. 2. και ουχ υπηκουσεν ... ιδου τη απειλη μου 3. και ενδυσω ... και θησω ως σακκον 4. om κυριος alterum ... γλωσσ. σοφιας του γν. εν καιρω ηνικα ... το πρωι 5. παιδια ... om κυριου alterum ... τα ωτα μου 6. δεδωκα 7. και κυριος βοηθ. μου

Digitized by Google

στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, [8]ὅτι ἐγγίζει ὁ δικαιώσας 8
με. τίς ὁ κρινόμενός μοι; ἀντιστήσω μοι ἅμα· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγι-
σάτω μοι. [9]ἰδοὺ κύριος κύριος βοηθήσει μοι· τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς 9
ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς. [10]τίς ἐν ὑμῖν ὁ φο- 10
βούμενος τὸν κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ· οἱ πορευό-
μενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου
καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. [11]ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατι- 11
σχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύ-
σατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

## LI.

Ἀκούσατέ μου οἱ διώκοντες τὸ δίκαιον καὶ ζητοῦντες τὸν κύριον, ἐμ-
βλέψατε εἰς τὴν στερεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ
λάκκου ὃν ὠρύξατε. [2]ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν 2
τὴν ὠδίνουσαν ὑμᾶς· ὅτι εἷς ἦν καὶ ἐκάλεσα αὐτόν, καὶ εὐλόγησα αὐτὸν καὶ
ἠγάπησα αὐτὸν καὶ ἐπλήθυνα αὐτόν. [3]καὶ σὲ νῦν παρακαλέσω Σιών, καὶ 3
παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παρά-
δεισον, καὶ τὰ πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον κυρίου· εὐφροσύνην καὶ
ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως. [4]ἀκούσατέ 4
μου, ἀκούσατέ μου λαός μου, καὶ οἱ βασιλεῖς πρός μὲ ἐνωτίσασθε, ὅτι νόμος
παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. [5]ἐγγίζει ταχὺ ἡ 5
δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βρα-
χίονά μου ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου
ἐλπιοῦσιν. [6]ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς 6
τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον
παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀποθανοῦνται, τὸ δὲ σωτή-
ριόν μου εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ. [7]ἀκού- 7
σατέ μου οἱ εἰδότες κρίσιν, λαὸς οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ
φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. [8]ὡς 8
γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός, ἡ
δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γε-
νεῶν. [9]ἐξεγείρου ἐξεγείρου Ἱερουσαλὴμ καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός 9
σου, ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος. οὐ σὺ εἶ [10]ἡ ἐρημοῦσα 10
θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν δια-
βάσεως ῥυομένοις [11]καὶ λελυτρωμένοις; ὑπὸ γὰρ κυρίου ἀποστραφήσονται, 11
καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου· ἐπὶ κε-
φαλῆς γὰρ αὐτῶν αἴνεσις καὶ εὐφροσύνη καταλήψεται αὐτούς, ἀπέδρα ὀδύνη
καὶ λύπη καὶ στεναγμός. ἐγώ εἰμι [12]ἐγώ εἰμι ὁ παρακαλῶν σε· γνῶθι τίς 12
οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος
ἐξηράνθησαν. [13]καὶ ἐπελάθου θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐ- 13
ρανὸν καὶ θεμελιώσαντα τὴν γῆν· καὶ ἐφόβου ἀεὶ πάσας τὰς ἡμέρας τὸ
πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε, ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί
σε· καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; [14]ἐν γὰρ τῷ σώζεσθαί σε οὐ 14
στήσεται οὐδὲ χρονιεῖ, [15]ὅτι ἐγὼ ὁ θεός σου ὁ ταράσσων τὴν θάλασσαν καὶ 15

---

9. ιδου κυριος βοηθει μοι ... και ως σης 10. ακουσατω ... εν σκοτει, ουκ LI. 2. ηυλογησα 3. om και θησω usque δυσμας αυτης 4. om μου sec. 5. *η δικ. σου (vdlr) ... om ως φως 6. και η γη ως ... κατοικουντες την γην 7. λαος μου ... φοβεισθαι et ηττασθαι 8. ωςπερ bis 10. **θαλασσα 11. επι γαρ της κεφαλης αυτ. αγαλλιαμα και αιν. κ. ευφρ. καταλημψεται 12. γνωθι τινα ευλαβηθεισα εφοβηθης 13. ed. rom. σε. ον τροπον et αραι σε, και νυν ... του αρεσαι σε

Digitized by Google

16 ἠχῶν τὰ κύματα αὐτῆς, κύριος Σαβαὼθ ὄνομά μοι. 16 θήσω τοὺς λόγους μου
εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ
ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα τὴν γῆν, καὶ ἐρεῖ Σιὼν Λαός μου εἶ σύ.
17 17 ἐξεγείρου ἐξεγείρου, ἀνάστηθι Ἱερουσαλήμ, ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ
ποτήριον τοῦ θυμοῦ αὐτοῦ· τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυ- * Apoc. 14, 10.
18 μοῦ ἐξέπιες καὶ ἐξεκένωσας, 18 καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν
τέκνων σου ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου οὐδὲ
19 ἀπὸ πάντων τῶν υἱῶν σου ὧν ὕψωσας. 19 διὸ ταῦτα ἀντικείμενά σοι· τίς συλ-
λυπηθήσεταί σοι; πτῶμα καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα· τίς παρακα-
20 λέσει σε; 20 οἱ υἱοί σου οἱ ἀπορούμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης
ἐξόδου ὡς σευτλίον ἡμίεφθον, οἱ πλήρεις θυμοῦ κυρίου, ἐκλελυμένοι διὰ κυ-
21 ρίου τοῦ θεοῦ. 21 διὰ τοῦτο ἄκουε τεταπεινωμένη καὶ μεθύουσα οὐκ ἀπὸ οἴ-
22 νου. 22 οὕτω λέγει κύριος ὁ θεὸς ὁ κρίνων τὸν λαὸν αὐτοῦ Ἰδοὺ εἴληφα ἐκ
τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ
23 προςθήσῃ ἔτι πιεῖν αὐτό· 23 καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάν-
των σε καὶ τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ ψυχῇ σου Κύψον ἵνα παρέλ-
θωμεν· καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω τοῖς παραπορευομένοις.

## LII.

Ἐξεγείρου ἐξεγείρου Σιών, ἔνδυσαι τὴν ἰσχύν σου Σιών, καὶ σὺ ἔνδυσαι
τὴν δόξαν σου Ἱερουσαλὴμ πόλις ἡ ἁγία· οὐκέτι προςτεθήσεται διελθεῖν διὰ
2 σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος. 2 ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι, κάθισον
Ἱερουσαλήμ, ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου ἡ αἰχμάλωτος θυγάτηρ
3 Σιών. 3 ὅτι τάδε λέγει κύριος Δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυ-
4 τρωθήσεσθε. 4 οὕτως λέγει κύριος Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρό-
5 τερον παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους βίᾳ ἤχθησαν· 5 καὶ νῦν τί ἐστε
ὧδε; τάδε λέγει κύριος Ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν, θαυμάζετε καὶ
ὀλολύζετε. τάδε λέγει κύριος Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖ- Ro. 2, 24.
6 ται ἐν τοῖς ἔθνεσι. 6 διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ
7 ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν, πάρειμι 7 ὡς ὥρα ἐπὶ τῶν ὀρέων,
ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι Ro. 10,
ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου λέγων Σιὼν Βασιλεύσει σου ὁ θεός· 15.
8 8 ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται·
ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ κύριος τὴν Σιών.
9 9 ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλήμ, ὅτι ἠλέησε κύριος αὐτὴν
10 καὶ ἐρρύσατο Ἱερουσαλήμ. 10 καὶ ἀποκαλύψει κύριος τὸν βραχίονα τὸν ἅγιον
αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα ἄκρα τῆς γῆς τὴν
11 σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν. 11 ἀπόστητε ἀπόστητε, ἐξέλθατε ἐκεῖθεν 2 Cor.
καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε οἱ φέρον- 6, 17.
12 τες τὰ σκεύη κυρίου· 12 ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε οὐδὲ φυγῇ πορεύ-
σεσθε, προπορεύσεται γὰρ πρότερος ὑμῶν κύριος καὶ ὁ ἐπισυνάγων ὑμᾶς θεὸς
13 Ἰσραήλ. 13 ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται καὶ δοξασθήσεται σφόδρα.
14 14 ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων

---

16. υπο την δεξιαν μου σκεπασω σε 17. το ποτηρ. του θυμου εκ χειρ. κυριου ... επιες 19. δυο ταυτα ... σοι συλλυπηθησεται ... σε παρακαλεσει 20. οι υι. σοι, οι 22. ουτως ... om μου 23. κ. εμβαλω αυτο ... μεταφρενα pro μεσα LII. 1. om συ ... πολις αγια 5. τι ωδε εσται ... εληmφθη 7. ed. rom. λεγων, Σιων βασιλευσει. 8. ελεησει 10. αυτου τον αγιον ... παντα τα ακρα ... om ημων 11. μη απτεσθαι, εξελθατε 12. πορευσεται ... κυριος ο θεος ισρ. 14. απο ανθρωπων

Digitized by Google

τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. 15 οὕτω θαυμάσονται 15
ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ
Ro.15,21. ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσι.

## LIII.

Jo.12,38. Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπε-
Ro.10,16. καλύφθη; 2 ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ· 2
οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα. καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ
κάλλος, 3 ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀν- 3
θρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται
Mt.8,17. τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. 4 οὗτος τὰς ἁμαρτίας ἡμῶν 4
1 Pe.2, 22.23. φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ
24. καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. 5 αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας 5
ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ'
αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. 6 πάντες ὡς πρόβατα ἐπλανήθημεν, 6
ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρ-
τίαις ἡμῶν, 7 καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· 7
Act. 8, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφω-
32. 33. νος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα. 8 ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· 8
τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ,
ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. 9 καὶ δώσω τοὺς πονηροὺς 9
ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνο-
μίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ· 10 καὶ κύριος βούλεται 10
καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψε-
ται σπέρμα μακρόβιον· καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυ-
χῆς αὐτοῦ, 11 δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ 11
δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. 12 διὰ τοῦτο αὐ- 12
Mc.15, τὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη
28. Lc. εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρ-
22,37. * Ro.4, 25. τίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

## LIV.

Gal.4,27. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα,
ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα· εἶπε γὰρ
κύριος. 2 πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαιῶν σου, πῆξον, 2
μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυ-
σον, 3 ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον· καὶ τὸ σπέρμα σου ἔθνη 3
κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. 4 μὴ φοβοῦ ὅτι κατῃσχύν- 4
θης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνει-
δος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ ἔτι. 5 ὅτι κύριος ὁ ποιῶν σε, κύριος 5
Σαβαὼθ ὄνομα αὐτῷ· καὶ ὁ ῥυσάμενός σε, αὐτὸς θεὸς Ἰσραήλ, πάσῃ τῇ γῇ
κληθήσεται. 6 οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ 6
κύριος, οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην· εἶπεν ὁ θεός σου.

---

14. των pro υιων 15. ουτως ... συναξουσιν LIII. 2. εναντ. αυτ. ως παιδιον ... ιδομεν 3. ατιμον εκλειπον παρα παντας ανθρωπους 5. δια τ. ανομιας ημ. και εμαλακισθη δια τ. αμαρτιας ημων ... παιδια 7. om αυτου ... του κειραντος αυτον ... in fine add αυτου 9. ουδε ευρεθη δολος εν 10. απο της πληγης (cod. alex. confirmat δωτε, non δωται) ... ed. rom. περι αμαρτιας η ψυχη ημων, οψεται 12. αμαρτιας pro ανομιας LIV. 3. και εις τα αριστερα ... κατοικησις 4. χηριας ... om ετι 5. θεος αυτος ισραηλ 6. *om και ολιγοψυχον ... σε κυριος

Digitized by Google

7 8 [7]χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου ἐλεήσω σε· [8]ἐν θυμῷ
μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω
9 σε· εἶπεν ὁ ῥυσάμενός σε κύριος. [9]ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί
ἐστι, καθότι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ, τῇ γῇ μὴ θυμωθήσεσθαι ἐπὶ
10 σοὶ ἔτι, μηδὲ ἐν ἀπειλῇ σου [10]τὰ ὄρη μεταστήσεσθαι, οὐδ' οἱ βουνοί σου
μετακινηθήσονται· οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ δια-
11 θήκη τῆς εἰρήνης σου οὐ μὴ μεταστῇ· εἶπε γὰρ ἵλεώς σοι κύριε. [11]ταπεινὴ
καὶ ἀκατάστατος οὐ παρεκλήθης· ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον * Apoc.
12 σου, καὶ τὰ θεμέλιά σου σάπφειρον, [12]καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, 21,19sq.
καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλε-
13 κτούς, [13]καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ Jo.6,45.
14 τὰ τέκνα σου. [14]καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ· ἀπέχου ἀπὸ ἀδίκου, καὶ
15 οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. [15]ἰδοὺ προσήλυτοι προσελεύσονταί
16 σοι δι' ἐμοῦ, καὶ παροικήσουσί σοι καὶ ἐπὶ σὲ καταφεύξονται. [16]ἰδοὺ ἐγὼ
ἔκτισά σε, οὐχ ὡς χαλκεὺς φυσῶν ἄνθρακας καὶ ἐκφέρων σκεῦος εἰς ἔργον·
17 ἐγὼ δὲ ἔκτισά σε οὐκ εἰς ἀπώλειαν φθεῖραι. [17]πᾶν σκεῦος σκευαστὸν ἐπὶ
σὲ οὐκ εὐοδώσω· καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας
αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ. ἔστι κληρονομία τοῖς
θεραπεύουσι κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει κύριος.

## LV.

Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον βαδί- * Apoc.
2 σαντες ἀγοράσατε, καὶ φάγετε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ. [2]ἵνα 22,17.
τί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; ἀκούσατέ
3 μου, καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. [3]προς-
έχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου· εἰςακούσατέ μου,
καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, Act. 13,
4 τὰ ὅσια Δαυὶδ τὰ πιστά. [4]ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα 34.
5 καὶ προστάσσοντα ἔθνεσιν. [5]ἔθνη ἃ οὐκ οἴδασί σε ἐπικαλέσονταί σε, καὶ
λαοὶ οἳ οὐκ ἐπίστανταί σε ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν κυρίου τοῦ θεοῦ
6 σου τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε. [6]ζητήσατε τὸν κύριον, καὶ ἐν τῷ
7 εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, [7]ἀπολιπέτω ὁ ἀσε-
βὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ καὶ ἐπιστραφήτω
8 ἐπὶ κύριον, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. [8]οὐ
γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν
9 αἱ ὁδοί μου, λέγει κύριος· [9]ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως
ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς
10 διανοίας μου. [10]ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ
οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ καὶ ἐκβλαστήσῃ,
11 καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν, [11]οὕτως ἔσται τὸ ῥῆ- * 2 Co.
μά μου ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ ἕως ἂν 9,10.

---

7. κατελειπον ... μετα 8. ηλεησα σε 9. cd. rom. εκεινω τη γη, μη 10. μεταστησασθαι ουδε οι ... ειπεν γαρ κυριος Ιλεως σοι (ante ταπεινη non interpg.) 12. ιασπειν 14. και εν δ. οικ. cum antecdd. conjg. videtur ac post οικοδομ. plenissime interpg. 15. om και παροικ. σοι 16. ιδου εγω κτιζω 17. παν σκευος φθαρτον (cum antecedd. conjg. videtur) επι δε σε ουκ ευδοκησω ... φωνη η αναστ. ... θεραπ. κυριω LV. 1. πιετε pro φαγετε ... οινου 3. τοις ωτιοις υμων ... επακουσατε ... η ψυχ. ημων 4. δεδωκα 5. ηδεισαν ... επικαλεσωνται ... om κυριου 6. ζητ. τον θεον ... ηνικα αν εγγιζει 7. απολειπετω 8. ουδε ωςπερ 10. ως γαρ εαν καταβη υετος ... απο του ουρανου ... κ. βλαστησει κ. δωσει

Digitized by Google

τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς σου καὶ τὰ ἐντάλματά μου.
[12] ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε καὶ ἐν χαρᾷ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ 12
οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ
ἐπικροτήσει τοῖς κλάδοις, [13] καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, 13
ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη· καὶ ἔσται κύριος εἰς ὄνομα καὶ
εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

## LVI.

Τάδε λέγει κύριος Φυλάσσεσθε κρίσιν καὶ ποιήσατε δικαιοσύνην· ἤγγικε
γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. [2] μα- 2
κάριος ἀνὴρ ὁ ποιῶν ταῦτα, καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυ-
λάσσων τὰ σάββατα μὴ βεβηλοῦν, καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν
ἄδικα. [3] μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προςκείμενος πρὸς κύριον Ἀφοριεῖ με ἄρα 3
κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ· καὶ μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι ξύλον ἐγώ εἰμι
ξηρόν. [4] τάδε λέγει κύριος τοῖς εὐνούχοις Ὅσοι ἂν φυλάξωνται τὰ σάββατά 4
μου καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω καὶ ἀντέχωνται τῆς διαθήκης μου, [5] δώσω 5
αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστόν, κρείττω υἱῶν
καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς καὶ οὐκ ἐκλείψει. [6] καὶ τοῖς ἀλ- 6
λογενέσι τοῖς προσκειμένοις κυρίῳ δουλεύειν αὐτῷ, καὶ ἀγαπᾶν τὸ ὄνομα κυρίου
τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας, καὶ πάντας τοὺς φυλασσομένους τὰ
σάββατά μου μὴ βεβηλοῦν καὶ ἀντεχομένους τῆς διαθήκης μου, [7] εἰςάξω 7
αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προς-
ευχῆς μου· τὰ ὁλοκαυτώματα αὐτῶν καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ
Mt. 21, ἐπὶ τὸ θυσιαστήριόν μου. ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι
13. Mc. 11, τοῖς ἔθνεσιν, [8] εἶπε κύριος ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ, ὅτι συνάξω 8
17. ἐπ' αὐτὸν συναγωγήν. [9] πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε φάγετε, πάντα τὰ 9
Lc. 19, θηρία τοῦ δρυμοῦ. [10] ἴδετε ὅτι ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν, κύνες 10
46. ἐνεοὶ οὐ δυνήσονται ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυστάξαι.
[11] καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονήν· καί εἰσι πονηροὶ 11
οὐκ εἰδότες σύνεσιν, πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ
τὸ ἑαυτοῦ.

## LVII.

Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, καὶ ἄν-
δρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται
ὁ δίκαιος· [2] ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου. [3] ὑμεῖς δὲ 2 3
προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης· [4] ἐν τίνι ἐνετρυ- 4
φήσατε; καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε
τὴν γλῶσσαν ὑμῶν; οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας; σπέρμα ἄνομον; [5] οἱ 5
παρακαλοῦντες εἴδωλα ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς
φάραγξιν ἀνὰ μέσον τῶν πετρῶν; [6] ἐκείνη σου ἡ μερίς, οὗτός σου ὁ κλῆρος, 6
κἀκείνοις ἐξέχεας σπονδὰς καὶ τούτοις ἀνήνεγκας θυσίας· ἐπὶ τούτοις οὖν
οὐκ ὀργισθήσομαι; [7] ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ 7
ἐκεῖ ἀνεβίβασας θυσίας σου, [8] καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθη- 8
κας μνημόσυνά σου· ᾤου ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις; ἠγά-

---

11. συντελεσθη οσα ηθελησα   LVI. 1. om και prius ... ηγγεισεν ... παραγεινεσθαι 2. αδικημα 3. οτι εγω ειμι ξυλ. ξηρ. 5. κρεισσων (sic) ... δωσω α. κ. ο. εκλ. in rasura 6. προςκειμ. προς κυριον 7. επι του θυσιαστηριου 10. παντ. εκτετυφλ., ουχ εγν. φρονησαι, παντες κυνες 11. εν ταις οδοις ... κατα το αυτο   LVII. 5. τα ειδωλα 6. καχεινοις pro και τουτοις 7. om σου in fine

Digitized by Google

9 πησας τοὺς κοιμωμένους μετὰ σοῦ, [9]καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ'
αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ, καὶ ἀπέστειλας πρέσβεις
10 ὑπὲρ τὰ ὅριά σου, καὶ ἐταπεινώθης ἕως ᾅδου. [10]ταῖς πολυοδίαις σου ἐκο-
πίασας, καὶ οὐκ εἶπας Παύσομαι, ἐνισχύουσα ὅτι ἔπραξας ταῦτα, διὰ τοῦτο
11 οὐ κατεδεήθης μου σύ. [11]τίνα εὐλαβηθεῖσα ἐφοβήθης, καὶ ἐψεύσω με καὶ
οὐκ ἐμνήσθης, οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιαν οὐδὲ εἰς τὴν καρδίαν σου;
12 καὶ ἐγώ σε ἰδὼν παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης. [12]καὶ ἐγὼ ἀπαγγελῶ τὴν
13 δικαιοσύνην σου καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσει σε· [13]ὅταν ἀναβοήσῃς,
ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας ἄνεμος λήψεται καὶ
ἀποίσει καταιγίς. οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι
14 τὸ ὄρος τὸ ἅγιόν μου, [14]καὶ ἐροῦσι Καθαρίσατε ἀπὸ προςώπου αὐτοῦ ὁδούς,
15 καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. [15]τάδε λέγει ὁ ὕψιστος ἐν
ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, ὕψιστος ἐν ἁγίοις
ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ διδοὺς ζωὴν τοῖς
16 συντετριμμένοις τὴν καρδίαν [16]Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διὰ
παντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν
17 πᾶσαν ἐγὼ ἐποίησα. [17]δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτόν, καὶ ἐπάταξα
αὐτὸν καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη, καὶ ἐπο-
18 ρεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ. [18]τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασά-
μην αὐτὸν καὶ παρεκάλεσα αὐτόν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν,
19 [19]εἰρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. καὶ εἶπε κύριος Ἰά- *Eph. 2, 17.
20 σομαι αὐτούς· [20]οἱ δὲ ἄδικοι κλυδωνισθήσονται καὶ ἀναπαύσασθαι οὐ δυ-
21 νήσονται. [21]οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ θεός.

## LVIII.

Ἀναβόησον ἐν ἰσχύϊ καὶ μὴ φείσῃ, ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου,
καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν καὶ τῷ οἴκῳ Ἰακὼβ
2 τὰς ἀνομίας αὐτῶν. [2]ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσιν, καὶ γνῶναί μου τὰς
ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς καὶ κρίσιν θεοῦ αὐτοῦ
μὴ ἐγκαταλελοιπώς· αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν θεῷ ἐπι-
3 θυμοῦσι, [3]λέγοντες Τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς
ψυχὰς ἡμῶν καὶ οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρί-
σκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε.
4 [4]εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε πυγμαῖς ταπεινόν, ἵνα τί
5 μοι νηστεύετε ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; [5]οὐ ταύ-
την τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν
αὐτοῦ, οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σπο-
6 δὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν. [6]οὐχὶ τοιαύτην νη-
στείαν ἐξελεξάμην, λέγει κύριος, ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας, διάλυε
στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ
7 πᾶσαν συγγραφὴν ἄδικον διάσπα. [7]διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ
πτωχοὺς ἀστέγους εἴςαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ
8 ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. [8]τότε ῥαγήσεται πρώϊμον

---

9. ante και εταπειν. add και αποστρεψας 10. ed. rom. ταις πολ. σου cum antecdd. conjg., item ενισχυουσα cum παυσομαι ... συ cum τινα conjg. 11. εμνησθ. μου ... καγω σε ειδων 12. καγω απαγγελλω τ. δικ. μου ... ωφελησουσιν 13. λημψεται 15. κυριος ο υψιστ. ο εν ... ονομα αυτω κυριος 16. και ουχ εις 17. δια αμαρτιαν 19. ειρ. επ ειρηνην 20. οι δε αδ. ουτως 21. ειπ. κυριος ο θεος LVIII. 1. ως σαλπιγγα 2. ζητησουσιν ... δικαιοσυν. θεου 3. προσεσχες pro εγνως 4. om ει ac videtur εις κρ. κ. μαχ. cum antecedd. conjg. 5. ουδ ουτως 6. εγω εξελεξαμην 7. υπεροψη 8. προϊμον

τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπρο-
σθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε· [9] τότε 9
βοήσῃ, καὶ ὁ θεὸς εἰςακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ Ἰδοὺ πάρειμι.
ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ, [10] καὶ 10
δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς,
τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία,
[11] καὶ ἔσται ὁ θεός σου μετὰ σοῦ διὰ παντός· καὶ ἐμπλησθήσῃ καθάπερ 11
ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσται ὡς κῆπος
μεθύων καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ· [12] καὶ οἰκοδομηθήσονταί σου αἱ 12
ἔρημοι αἰώνιοι, καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια γενεῶν γενεαῖς· καὶ κλη-
θήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους σου ἀνὰ μέσον παύσεις. [13] ἐὰν 13
ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων τοῦ μὴ ποιεῖν τὰ θελήματά
σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσεις τὰ σάββατα τρυφερά, ἅγια τῷ θεῷ,
οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ, οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στό-
ματός σου, [14] καὶ ἔσῃ πεποιθὼς ἐπὶ κύριον, καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ 14
τῆς γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ἰακὼβ τοῦ πατρός σου· τὸ γὰρ
στόμα κυρίου ἐλάλησε ταῦτα.

## LIX.

Μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ
μὴ εἰςακοῦσαι; [2] ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ 2
ἀνὰ μέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόςωπον
ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι. [3] αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ 3
οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις, τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ
γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. [4] οὐθεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀλη- 4
θινή· πεποίθασιν ἐπὶ ματαίοις καὶ λαλοῦσι κενά, ὅτι κύουσι πόνον καὶ τί-
κτουσιν ἀνομίαν. [5] ᾠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν, καὶ 5
ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν συντρίψας οὔριον εὗρε καὶ ἐν αὐτῷ βασι-
λίσκον. [6] ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν 6
Ro. 3, 15—18. ἔργων αὐτῶν· τὰ γὰρ ἔργα αὐτῶν ἔργα ἀνομίας. [7] οἱ δὲ πόδες αὐτῶν ἐπὶ 7
πονηρίαν τρέχουσι, ταχινοὶ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν διαλογισμοὶ
ἀπὸ φόνων· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, [8] καὶ ὁδὸν εἰ- 8
ρήνης οὐκ οἴδασι, καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν· αἱ γὰρ τρίβοι
αὐτῶν διεστραμμέναι ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην. [9] διὰ τοῦτο 9
ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη· ὑπο-
μεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιε-
πάτησαν. [10] ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλ- 10
μῶν ψηλαφήσουσι, καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς
ἀποθνήσκοντες στενάξουσιν, [11] ὡς ἄρκος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται· 11
ἀνεμείναμεν κρίσιν καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν.
[12] πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστη- 12
σαν ἡμῖν· αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν·
[13] ἠσεβήσαμεν καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ὄπισθεν τοῦ θεοῦ ἡμῶν· ἐλα- 13
λήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν, ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας
ἡμῶν λόγους ἀδίκους, [14] καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιο- 14

---

10. τον αρτον σου 11. om μετα σου ... εξελειπεν ... in f. add και τα οστα σου ως βοτανη ανατελει· και πιανθησεται και κληρονομησουσι γενεας γενεων 12. σου τα θεμελια ... και τους τριβ. τους ανα 13. *om και ... τω θεω σου LIX. 2. διαστωσιν ... om και ανα μ. τ. θεου ... το προςωπ. αυτου 3. μεμολυμμεναι 4. ουδις (5. βασιλισχος) 7. αφρονων pro απο φονων 8. ουκ εγνωσαν 9. *om αυτων (vdtr) 13. απο οπισθεν

Digitized by Google

σύνη μακρὰν ἀφέστηκεν· ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια,
15 καὶ δι' εὐθείας οὐκ ἐδύναντο διελθεῖν. [15] καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστη-
σαν τὴν διάνοιαν τοῦ συνιέναι· καὶ εἶδε κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι
16 οὐκ ἦν κρίσις. [16] καὶ εἶδε καὶ οὐκ ἦν ἀνήρ, καὶ κατενόησε καὶ οὐκ ἦν ὁ
ἀντιληψόμενος, καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ καὶ τῇ ἐλεημοσύνῃ
17 ἐστηρίσατο. [17] καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικε-
φαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς, καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως, καὶ
18 τὸ περιβόλαιον αὐτοῦ [18] ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναν-
19 τίοις. [19] καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου, καὶ οἱ ἀπ' ἀνα-
τολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον· ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ
20 κυρίου, ἥξει μετὰ θυμοῦ. [20] καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέ- Ro. 11,
21 ψει ἀσεβείας ἀπὸ Ἰακώβ. [21] καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπε 26. 27.
κύριος· τὸ πνεῦμα τὸ ἐμὸν ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ
στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου καὶ ἐκ τοῦ στόματος τοῦ
σπέρματός σου· εἶπε γὰρ κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

## LX.

Φωτίζου φωτίζου Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυ-
2 ρίου ἐπὶ σὲ ἀνατέταλκεν. [2] ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη·
3 ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται· [3] καὶ
4 πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου. [4] ἆρον κύκλῳ * Apoc.
τοὺς ὀφθαλμούς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκασι πάντες οἱ υἱοί 21, 24.
5 σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. [5] τότε ὄψῃ, καὶ
φοβηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης
6 καὶ ἐθνῶν καὶ λαῶν. καὶ ἥξουσί σοι [6] ἀγέλαι καμήλων, καὶ καλύψουσί σε
κάμηλοι Μαδιὰμ καὶ Γαιφά· πάντες ἐκ Σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ
7 λίβανον οἴσουσι, καὶ τὸ σωτήριον κυρίου εὐαγγελιοῦνται· [7] καὶ πάντα τὰ πρό-
βατα Κηδὰρ συναχθήσονται, καὶ κριοὶ Ναβαιὼθ ἥξουσι, καὶ ἀνενεχθήσεται
δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθή-
8 σεται. [8] τίνες οἵδε ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νοσσοῖς
9 ἐπ' ἐμέ; [9] ἐμὲ αἱ νῆσοι ὑπέμειναν καὶ πλοῖα Θαρσὶς ἐν πρώτοις, ἀγαγεῖν
τὰ τέκνα σου μακρόθεν καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐτῶν,
καὶ διὰ τὸ ὄνομα κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδο-
10 ξον εἶναι. [10] καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς
αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ ὀργήν μου ἐπάταξά σε, καὶ διὰ ἔλεον
11 ἠγάπησά σε. [11] καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντός, ἡμέρας καὶ * Apoc.
νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν καὶ βασιλεῖς αὐ- 21, 25.
12 τῶν ἀγομένους. [12] τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς οἵτινες οὐ δουλεύσουσί σοι
13 ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. [13] καὶ ἡ δόξα τοῦ Λιβάνου
πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον
14 τὸν ἅγιόν μου. [14] καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων σε
15 καὶ παροξυνάντων σε, καὶ κληθήσῃ πόλις Σιὼν ἁγίου Ἰσραήλ· [15] διὰ τὸ γε-
γενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν· καὶ

---

14. αφεστηκ. αφ ημων· οτι καταναλωθη ... ηδυναντο 15. **τ. διανοιαν αυτων ... συνιναι 16. ιδεν ... *om ο ... αντιλημψομενος 17. om αυτου 19. απο ανατολων 21. εκλειπη ... om γαρ LX. 2. ιδου σκ. και γνοφ. καλυπτει γην επ εθνη· επι σε 4. ιδου ηκασιν 6. γαιφαρ ... post οισουσιν add και λιθον τιμιον 7. και οι κριοι ν. ηξ. σοι 8. ως περιστ. συν νεοσσοις ... om επ εμε 9. εμε νησοι ... θαρσεις ... τ. χρυσον μετ αυτων δια 10. ελεος 11. om αυτων 12. οι βασιλ. αυτων ... αποθανουνται ... ερημωθησονται 14. πολις κυριου σιων 15. εγκαταλελιμμενην

Digitized by Google

ϑήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς. [16] καὶ ϑηλάσεις 16
γάλα ἐϑνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος ὁ
σώζων σε, καὶ ἐξαιρούμενός σε ϑεὸς Ἰσραήλ. [17] καὶ ἀντὶ χαλκοῦ οἴσω σοι 17
χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ ξύλων οἴσω σοι χαλ-
κόν, ἀντὶ δὲ λίϑων σίδηρον. καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς
ἐπισκόπους σου ἐν δικαιοσύνῃ· [18] καὶ οὐκ ἀκουσϑήσεται ἔτι ἀδικία ἐν τῇ γῇ 18
σου, οὐδὲ σύντριμμα οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληϑήσεται
*Apoc. σωτήριον τὰ τείχη σου, καὶ αἱ πύλαι σου γλύμμα. [19] καὶ οὐκ ἔσται σοι ἔτι 19
21, 23. ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σου τὴν νύκτα, ἀλλ'
ἔσται σοι κύριος φῶς αἰώνιον, καὶ ὁ ϑεὸς δόξα σου. [20] οὐ γὰρ δύσεται ὁ 20
ἥλιός σοι, καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει· ἔσται γάρ σοι κύριος φῶς αἰώ-
νιον, καὶ ἀναπληρωϑήσονται αἱ ἡμέραι τοῦ πένϑους σου. [21] καὶ ὁ λαός σου 21
πᾶς δίκαιος, δι' αἰῶνος κληρονομήσουσι τὴν γῆν, φυλάσσων τὸ φύτευμα ἔργα
χειρῶν αὐτοῦ εἰς δόξαν. [22] ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος 22
εἰς ἔϑνος μέγα· ἐγὼ κύριος κατὰ καιρὸν συνάξω αὐτούς.

## LXI.

Lc. 4, Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με εὐαγγελίσασϑαι πτωχοῖς,
18. 19. ἀπέσταλκέ με ἰάσασϑαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμα-
λώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, [2] καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ 2
ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενϑοῦντας, [3] δοϑῆναι τοῖς 3
πενϑοῦσι Σιὼν αὐτοῖς δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενϑοῦσιν,
καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληϑήσονται γενεαὶ δικαιο-
σύνης, φύτευμα κυρίου εἰς δόξαν. [4] καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξη- 4
ρημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους, ἐξηρημω-
μένας εἰς γενεάς. [5] καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου καὶ 5
ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί· [6] ὑμεῖς δὲ ἱερεῖς κυρίου κληϑήσεσϑε, 6
λειτουργοὶ ϑεοῦ, ἰσχὺν ἐϑνῶν κατέδεσϑε καὶ ἐν τῷ πλούτῳ αὐτῶν ϑαυμα-
σϑήσεσϑε. [7] οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώ- 7
νιος ὑπὲρ κεφαλῆς αὐτῶν. [8] ἐγὼ γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιοσύνην καὶ 8
μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχϑον αὐτῶν δικαίοις, καὶ
διαϑήκην αἰώνιον διαϑήσομαι αὐτοῖς. [9] καὶ γνωσϑήσεται ἐν τοῖς ἔϑνεσι τὸ 9
σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν· πᾶς ὁ ὁρῶν αὐτοὺς
ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα ηὐλογημένον ὑπὸ ϑεοῦ, [10] καὶ εὐ- 10
φροσύνῃ εὐφρανϑήσονται ἐπὶ κύριον. ἀγαλλιάσϑω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ·
ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέ-
ϑηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. [11] καὶ ὡς γῆν 11
αὔξουσαν τὸ ἄνϑος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατε-
λεῖ κύριος κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐϑνῶν.

## LXII.

Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλ-
ϑῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυϑήσεται.
[2] καὶ ὄψονται ἔϑνη τὴν δικαιοσύνην σου καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ 2
καλέσει σε τὸ ὄνομα τὸ καινὸν ὃ ὁ κύριος ὀνομάσει αὐτό. [3] καὶ ἔσῃ στέ- 3
φανος κάλλους ἐν χειρὶ κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ ϑεοῦ σου.

---

16. ο ϑεος ισρ. 17. ξυλου 19. om ετι ... φωτιει σοι την ... αλλαι-
σται (sic) 20. ο ηλιος σου ... κυριος σοι 21. και δια αιωνος LXI. 1. τη
καρδια 3. om αυτοις 4. εξερημωμενας προτερας ... εξερημωμενας 6. και
λειτουργοι ... (ισχυς ...) και επι τω 9. om εν μεσω τ. λαων 10. και
εν ευφροσυνη 11. κηπον ... om κυριος alterum LXII. 1. η δικαιοσ.
μου 2. το ον. σου το



Digitized by Google

4 ⁴καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρη-
μος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμόν, καὶ τῇ γῇ σου οἰκουμένη, ὅτι εὐδό-
5 κησε κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. ⁵καὶ ὡς συνοικῶν νεανίσκος
παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται ὃν τρόπον εὐφρανθή-
6 σεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί. ⁶καὶ ἐπὶ
τῶν τειχῶν σου, Ἱερουσαλήμ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν καὶ ὅλην
7 τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνησκόμενοι κυρίου. ⁷οὐκ ἔστι
γὰρ ὑμῖν ὅμοιος· ἐὰν διορθώσῃ, καὶ ποιήσῃ Ἱερουσαλὴμ γαυρίαμα ἐπὶ τῆς
8 γῆς. ⁸ὤμοσε κύριος κατὰ τῆς δόξης αὐτοῦ καὶ κατὰ τῆς ἰσχύος τοῦ βρα-
χίονος αὐτοῦ Εἰ ἔτι δώσω τὸν σῖτόν σου καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς
9 σου, καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου ἐφ' ᾧ ἐμόχθησας, ⁹ἀλλ'
οἱ συναγαγόντες φάγονται αὐτὰ καὶ αἰνέσουσι κύριον, καὶ οἱ συναγαγόντες
10 πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου. ¹⁰πορεύεσθε διὰ τῶν πυλῶν
μου καὶ ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε,
11 ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. ¹¹ἰδοὺ γὰρ κύριος ἐποίησεν ἀκουστὸν ἕως
ἐσχάτου τῆς γῆς· εἴπατε τῇ θυγατρὶ Σιών Ἰδού ὁ σωτήρ σοι παραγέγονεν• Apoc.
12 ἔχων τὸν ἑαυτοῦ μισθόν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. ¹²καὶ κα- 22, 12.
λέσει αὐτὸν λαὸν ἅγιον λελυτρωμένον ὑπὸ κυρίου, σὺ δὲ κληθήσῃ ἐπιζητου-
μένη πόλις καὶ οὐκ ἐγκαταλελειμμένη.

## LXIII.

Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; οὕ-
τως ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος; ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρί-
2 σιν σωτηρίου. ²διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ• Apoc.
3 πατητοῦ ληνοῦ; ³πλήρης καταπεπατημένης, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ 14, 19.
μετ' ἐμοῦ, καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς 19, 13.
4 γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. ⁴ἡμέρα γὰρ ἀνταποδόσεως
5 ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι. ⁵καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν
βοηθός· καὶ προσενόησα, καὶ οὐθεὶς ἀντελαμβάνετο· καὶ ἐρρύσατο αὐτοὺς ὁ
6 βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη. ⁶καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ
7 μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. ⁷τὸν ἔλεον κυρίου ἐμνήσθην,
τὰς ἀρετὰς κυρίου ἐν πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσι. κύριος κριτὴς ἀγαθὸς
τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς
8 δικαιοσύνης αὐτοῦ. ⁸καὶ εἶπεν Οὐχ ὁ λαός μου; τέκνα οὐ μὴ ἀθετήσωσι·
9 καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ⁹ἐκ πάσης θλίψεως αὐτῶν. οὐ πρέσβυς οὐδὲ
ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτοὺς διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι
αὐτῶν· αὐτὸς ἐλυτρώσατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς
10 πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. ¹⁰αὐτοὶ δὲ ἠπείθησαν καὶ παρώξυναν τὸ
πνεῦμα τὸ ἅγιον αὐτοῦ· καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, αὐτὸς ἐπολέμησεν
11 αὐτούς. ¹¹καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων· ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσ-
σης τὸν ποιμένα τῶν προβάτων; ποῦ ἔστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ

---

4. καταλελιμμενη ... om ετι ... om οτι ευδοκησε usque συνοικισθησεται 5. ουτως ... οι υι. σου μετα σου 6. τειχεων 7. αγαυριαμα 8. om ει sec. 9. αλλ η ... συναγοντες bis ... αγιαις σου 10. τους λιθ. τους 11. σοι ο σωτ. παραγειναται ... om αυτου prius 12. εγκαταλελιμμενη LXII. 1. παραγινομενος εξ εδεμ ... ερυθηματα 2. 3. ed. rom. ληνου ³πληρης καταπεπατημενης; et μετ εμου; 3. om μου 4. ανταποδωσεως 5. και ουδεις βοηθος 7. οις ο κυριος ημιν 8. ο λα. μου τεκνα· και ου μη 9. om αυτων prius ... πρεσβεις ... αλλ αυτος κυριος ... ⁹και αυτος ελυτρ. 10. om αυτου ... και αυτος επολ. 10. 11. ed. rom. αυτους, et αιωνιων. 11. om που prius ... εκ της γης

Digitized by Google

ἅγιον; [12] ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωυσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; κατίσχυ- 12
σεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον. [13] ἤγαγεν 13
αὐτοὺς δι' ἀβύσσου ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, [14] καὶ ὡς 14
κτήνη διὰ πεδίου· κατέβη πνεῦμα παρὰ κυρίου καὶ ὡδήγησεν αὐτούς· οὕτως
ἤγαγες τὸν λαόν σου ποιῆσαι σεαυτῷ ὄνομα δόξης. [15] ἐπίστρεψον ἐκ τοῦ οὐ- 15
ρανοῦ καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης σου· ποῦ ἐστιν ὁ ζῆ-
λός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου καὶ οἰκτιρμῶν
σου, ὅτι ἀνέσχου ἡμῶν; [16] σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω 16
ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ κύριε πατὴρ ἡμῶν ῥῦσαι
ἡμᾶς, ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστί. [17] τί ἐπλάνησας ἡμᾶς κύριε 17
ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε;
ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, [18] ἵνα 18
μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. [19] ἐγενόμεθα ὡς τὸ ἀπ' 19
ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν οὐδὲ ἐκλήθη τὸ ὄνομα σου ἐφ' ἡμᾶς.

## LXIV.

Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσον-
ται [2] ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπε- 2
ναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου ἐν τοῖς ὑπεναντίοις· ἀπὸ προσώπου
σου ἔθνη ταραχθήσονται, [3] ὅταν ποιῇς τὰ ἔνδοξα· τρόμος λήψεται ἀπὸ σοῦ 3
1Co.2,9. ὄρη. [4] ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον θεὸν 4
πλὴν σοῦ καὶ τὰ ἔργα σου ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον. [5] συναντήσε- 5
ται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. ἰδοὺ σὺ
ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· διὰ τοῦτο ἐπλανήθημεν, [6] καὶ ἐγενήθημεν 6
ὡς ἀκάθαρτοι πάντες ἡμεῖς, ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη
ἡμῶν· καὶ ἐξεῤῥύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν· οὕτως ἄνεμος οἴσει
ἡμᾶς. [7] καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου καὶ ὁ μνησθεὶς ἀντι- 7
λαβέσθαι σου· ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας
ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. [8] καὶ νῦν κύριε πατὴρ ἡμῶν σύ, ἡμεῖς δὲ 8
πηλός, ἔργα τῶν χειρῶν σου πάντες. [9] μὴ ὀργίζου ἡμῖν σφόδρα, καὶ μὴ ἐν 9
καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν· καὶ νῦν ἐπίβλεψον, ὅτι λαός σου πάντες
ἡμεῖς. [10] πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, Σιὼν ὡς ἔρημος ἐγενήθη, 10
Ἱερουσαλὴμ εἰς κατάραν· [11] ὁ οἶκος τὸ ἅγιον ἡμῶν καὶ ἡ δόξα ἣν εὐλόγη- 11
σαν οἱ πατέρες ἡμῶν ἐγενήθη πυρίκαυστος, καὶ πάντα ἔνδοξα ἡμῶν συνέ-
πεσε. [12] καὶ ἐπὶ πᾶσι τούτοις ἀνέσχου κύριε καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας 12
ἡμᾶς σφόδρα.

## LXV.

Ro. 10, 20. 21. Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζη-
τοῦσιν· εἶπα Ἰδού εἰμι τῷ ἔθνει οἳ οὐκ ἐκάλεσάν μου τὸ ὄνομα. [2] ἐξεπέτασα 2
τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς
πορευομένοις ὁδῷ οὐ καλῇ ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. [3] ὁ λαὸς οὗτος 3

12. μωσην, item ed. rom. ... ποιησαι αυτω 13. και ηγαγεν α. δια της αβυσσου 14. και κατεβη 15. δοξης· που ... των οικτειρμων 16. ημων ει πατηρ ... σου εστιν εν ημιν 17. ημων τας καρδιας 18. in fine add οι υπεναντιοι ημων κατεπατησαν το αγιασμα μου 19. επεκληθη LXIV. 1. λημψεται 2. το ονομα κυριου 3. λημψεται 4. ιδον ... *om θεον πλ. σου 6. εξερυημεν 8. εργον 10. πολις τ. α. σου cum ημεις anteced. conjg. videtur, item εις καταραν cum ο οικ. το α. ημων 11. ηυλογησαν ... παντα τα ενδοξα συνεπεσεν LXV. 1. εγενομην τοις ε. μ. ζητουσιν· ε. τ. ε. μη επερωτωσιν ... οιτινες ουκ εκ. το ον. μου 2. αντιλεγοντα, οι ουκ επορευθησαν οδω αληθινη αλλ ... ed. rom. αυτων,



Digitized by Google

ὁ παροξύνων με ἐναντίον ἐμοῦ διὰ παντός· αὐτοὶ ϑυσιάζουσιν ἐν τοῖς κήποις
4 καὶ ϑυμιῶσιν ἐπὶ ταῖς πλίνϑοις τοῖς δαιμονίοις ἃ οὐκ ἔστιν, [4] ἐν τοῖς μνή-
μασι καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται διὰ ἐνύπνια, οἱ ἔσϑοντες κρέας ὕειον
5 καὶ ζωμὸν ϑυσιῶν, μεμολυμμένα πάντα τὰ σκεύη αὐτῶν, [5] οἱ λέγοντες Πόῤῥω
ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καϑαρός εἰμι· οὗτος καπνὸς τοῦ ϑυμοῦ μου,
6 πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. [6] ἰδοὺ γέγραπται ἐνώπιόν μου Οὐ
7 σιωπήσω ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν [7] τὰς ἁμαρτίας αὐτῶν καὶ
τῶν πατέρων αὐτῶν, λέγει κύριος· οἳ ἐϑυμίασαν ἐπὶ τῶν ὀρέων καὶ ἐπὶ τῶν
8 βουνῶν ὠνείδισάν με, ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν. [8] οὕτως
λέγει κύριος Ὃν τρόπον εὑρεϑήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι Μὴ
λυμήνῃ αὐτὸν ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ, οὕτως ποιήσω ἕνεκεν τοῦ δου-
9 λεύοντός μοι, τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας. [9] καὶ ἐξάξω τὸ ἐξ Ἰα-
κὼβ σπέρμα καὶ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου, καὶ
κληρονομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ.
10 [10] καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνά-
11 παυσιν βουκολίων τῷ λαῷ μου οἳ ἐζήτησάν με. [11] ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες
με καὶ ἐπιλανϑανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ
12 τράπεζαν καὶ πληροῦντες τῇ τύχῃ κέρασμα, [12] ἐγὼ παραδώσω ὑμᾶς εἰς μά-
χαιραν, πάντες ἐν σφαγῇ πεσεῖσϑε· ὅτι ἐκάλεσα ὑμᾶς καὶ οὐχ ὑπηκούσατε,
ἐλάλησα καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ
13 ἃ οὐκ ἐβουλόμην ἐξελέξασϑε. [13] διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ οἱ δου-
λεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται,
ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανϑήσονται, ὑμεῖς δὲ αἰσχυν-
14 ϑήσεσϑε· [14] ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ
κεκράξεσϑε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος
15 ὑμῶν ὀλολύξετε. [15] καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκ-
λεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ κύριος. τοῖς δὲ δουλεύουσί μοι κληϑήσεται ὄνομα
16 καινόν, [16] ὃ εὐλογηϑήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσι γὰρ τὸν ϑεὸν ἀληϑινόν,
καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν ϑεὸν τὸν ἀληϑινόν. ἐπιλήσονται
γὰρ τὴν ϑλῖψιν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν.
17 [17] ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησϑῶσι τῶν *2 Pe.3,
18 προτέρων οὐδ' οὐ μὴ ἐπέλϑῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, [18] ἀλλ' εὐφροσύνην 13.
καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ· ὅτι ἰδοὺ ἐγὼ ποιῶ ἀγαλλίαμα Ἱερουσα- *Apoc. 21, 1.
19 λὴμ καὶ τὸν λαόν μου εὐφροσύνην. [19] καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλήμ, καὶ
εὐφρανϑήσομαι ἐπὶ τῷ λαῷ μου· καὶ οὐκέτι μὴ ἀκουσϑῇ ἐν αὐτῇ φωνὴ
20 κλαυϑμοῦ καὶ φωνὴ κραυγῆς, [20] οὐδ' οὐ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος καὶ πρε-
σβύτης ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ· ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν,
21 ὁ δὲ ἀποϑνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται. [21] καὶ
οἰκοδομήσουσιν οἰκίας καὶ αὐτοὶ ἐνοικήσουσι, καὶ καταφυτεύσουσιν ἀμπελῶ-
22 νας καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν· [22] οὐ μὴ οἰκοδομήσουσι καὶ
ἄλλοι ἐνοικήσουσι, καὶ οὐ μὴ φυτεύσουσι καὶ ἄλλοι φάγονται. κατὰ γὰρ τὰς
ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου· τὰ γὰρ ἔργα
23 τῶν πόνων αὐτῶν παλαιώσουσιν. [23] οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενόν,
οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν, ὅτι σπέρμα εὐλογημένον ὑπὸ ϑεοῦ ἐστί,

---

3. αυτοι ϑυμιαζουσιν ... α ουκ εσται 4. add και ab initio ... δι ενυπνια εσϑοντες κρεα υϊα 5. εγγισ. μου 6. σιωπησομαι ... αποδω 8. ευλογια κυριου 9. και το εξ ιουδα ... om και extr. 11. εγκαταλειποντες 13. διψησεσϑαι 14. om υμων sec. 15. ed. rom. κυριος, ... δουλευουσιν αυτω 16. ϑλιψ. αυτων 18. om οτι ... ιερουσ. αγαλλ. 19. ουδε φωνη κραυγης 20. και ου μη ... om ετι ... επικατ. εστιν 21. γενηματα 22. και ου μη οικοδ. ... τα εργα 23. οι δε εκλ. ... τεκνα ποιησουσιν ... ηυλογημενον υπο του ϑεου

Digitized by Google

καὶ τὰ ἔκγονα αὐτῶν μετ' αὐτῶν. [24] καὶ ἔσται πρὶν ἢ κεκράξαι αὐτοὺς ἐγὼ 24
ὑπακούσομαι αὐτῶν, ἔτι λαλούντων αὐτῶν ἐρῶ Τί ἐστι; [25] τότε λύκοι καὶ 25
ἄρνες βοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν
ὡς ἄρτον· οὐκ ἀδικήσουσιν οὐδὲ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου,
λέγει κύριος.

## LXVI.

Act. 7, 49 sq. Οὕτως λέγει κύριος Ὁ οὐρανός μου θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν
ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος τῆς καταπαύ-
σεώς μου; [2] πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καί ἐστιν ἐμὰ πάντα 2
ταῦτα, λέγει κύριος· καὶ ἐπὶ τίνα ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύ-
χιον καὶ τρέμοντα τοὺς λόγους μου; [3] ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον ὡς 3
ὁ ἀποκτέννων κύνα, ὁ δὲ ἀναφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, ὁ διδοὺς λί-
βανον εἰς μνημόσυνον ὡς βλάσφημος. καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν,
καὶ τὰ βδελύγματα αὐτῶν ἡ ψυχὴ αὐτῶν ἠθέλησε, [4] καὶ ἐγὼ ἐκλέξομαι τὰ 4
ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς· ὅτι ἐκάλεσα αὐ-
τοὺς καὶ οὐχ ὑπήκουσάν μου, ἐλάλησα καὶ οὐκ ἤκουσαν, καὶ ἐποίησαν τὸ
πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξαντο. [5] ἀκούσατε ῥήματα 5
κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ Εἴπατε ἀδελφοὶ ἡμῶν τοῖς μισοῦσιν
ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐ-
φροσύνῃ αὐτῶν, καὶ ἐκεῖνοι αἰσχυνθήσονται. [6] φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ 6
ἐκ ναοῦ, φωνὴ κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις. [7] πρὶν 7
τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν
ἄρσεν. [8] τίς ἤκουσε τοιοῦτο, καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ 8
μιᾷ, ἢ καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐ-
τῆς; [9] ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπε 9
κύριος. οὐκ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα; εἶπεν ὁ θεός σου.
[10] εὐφράνθητι Ἱερουσαλήμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες 10
αὐτήν, χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, [11] ἵνα θη- 11
λάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες
τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. [12] ὅτι τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐκ- 12
κλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν
ἐθνῶν· τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται καὶ ἐπὶ γονάτων παρακλη-
θήσονται. [13] ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς, 13
καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε. [14] καὶ ὄψεσθε, καὶ χαρήσεται ἡ καρδία 14
ὑμῶν, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ· καὶ γνωσθήσεται ἡ χεὶρ κυ-
ρίου τοῖς φοβουμένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν. [15] ἰδοὺ γὰρ κύ- 15
ριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ
ἐκδίκησιν αὐτοῦ καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός. [16] ἐν γὰρ τῷ 16
πυρὶ κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ·
πολλοὶ τραυματίαι ἔσονται ὑπὸ κυρίου. [17] οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι 17
εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον καὶ τὰ βδελύ-
γματα καὶ τὸν μῦν, ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, εἶπε κύριος. [18] κἀγὼ τὰ ἔργα 18

---

23. in line add εσονται 24. επακουσομαι 25. ουδε μη λυμαν. LXVI. 1. Ο ουρ. μοι θρον., η δε γη ... η ποιος 3. υἱον ... και ουτοι εξελ. ... α η ψυχη 4. καγω ... αμαρτιας αυτων ... εναντιον μου 5. το ρημα κυριου ... ed. rom. αδελφοι υμων ... ημας ... κακεινοι 7. πριν η bis 8. ed. rom. ουτως, ει ... εν μια ημερα, ει ετεχθη 9. om σου 10. πανυγυρισατε (sic) παντες οι ενοικουντες εν αυτη, χαρητε χαραν παντες οι π. επ αυτης 13. οτι ουτως και εγω 14. οψεται ... υμων η καρδια ... τοις σεβομενοις αυτον 15. om αυτου sec. et tert. 16. καταναλωθησεται pro κριθησεται 17. κρεα υἱον ... καταναλωθησονται

Digitized by Google

αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν· ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔϑνη καὶ τὰς
19 γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου. [19] καὶ καταλείψω ἐπ' αὐ-
τῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔϑνη, εἰς Θαρσὶς
καὶ Φοὺδ καὶ Λοὺδ καὶ Μοσὸχ, καὶ εἰς Θοβὲλ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς
τὰς νήσους τὰς πόῤῥω, οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα οὔτε ἑωράκασί μου
20 τὴν δόξαν, καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔϑνεσι. [20] καὶ ἄξουσι τοὺς
ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐϑνῶν δῶρον κυρίῳ, μεϑ' ἵππων καὶ ἁρμά-
των ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων, εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ,
εἶπε κύριος, ὡς ἀνενέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ τὰς ϑυσίας αὐτῶν ἐμοὶ μετὰ
21 ψαλμῶν εἰς τὸν οἶκον κυρίου. [21] καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ Λευίτας,
22 εἶπε κύριος. [22] ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ 2 Pe. 3,
μένει ἐνώπιον ἐμοῦ, λέγει κύριος, οὕτω στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ 13
23 ὄνομα ὑμῶν. [23] καὶ ἔσται μὴν ἐκ μηνὸς καὶ σάββατον ἐκ σαββάτου ἥξει Apoc.
24 πᾶσα σὰρξ τοῦ προςκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλήμ, εἶπε κύριος. [24] καὶ 21, 1.
ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνϑρώπων τῶν παραβεβηκότων ἐν
ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσϑή- Mc. 9,
σεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. 48.

---

# ΙΕΡΕΜΙΑΣ.

## I.

Τὸ ῥῆμα τοῦ ϑεοῦ ὃ ἐγένετο ἐπὶ Ἱερεμίαν τὸν τοῦ Χελκίου ἐκ τῶν ἱε-
2 ρέων, ὃς κατῴκει ἐν Ἀναϑὼϑ ἐν γῇ Βενιαμείν, [2] ὡς ἐγενήϑη λόγος τοῦ ϑεοῦ
πρὸς αὐτὸν ἐν ταῖς ἡμέραις Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα, ἔτους τρις-
3 καιδεκάτου ἐν τῇ βασιλείᾳ αὐτοῦ. [3] καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἰωακεὶμ
υἱοῦ Ἰωσία βασιλέως Ἰούδα ἕως ἑνδεκάτου ἔτους τοῦ Σεδεκία υἱοῦ Ἰωσία
βασιλέως Ἰούδα, ἕως τῆς αἰχμαλωσίας Ἱερουσαλὴμ ἐν τῷ πέμπτῳ μηνί,
5 [4] καὶ ἐγένετο λόγος κυρίου πρὸς αὐτόν [5] Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ
ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελϑεῖν ἐκ μήτρας ἡγίακά σε, προφήτην εἰς
6 ἔϑνη τέϑεικά σε. [6] καὶ εἶπα Ὁ ὢν δέσποτα κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λα-
7 λεῖν, ὅτι νεώτερος ἐγώ εἰμι. [7] καὶ εἶπε κύριος πρός μέ Μὴ λέγε ὅτι νεώτε-
ρος ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἐὰν ἐξαποστείλω σε πορεύσῃ, καὶ κατὰ
8 πάντα ὅσα ἐὰν ἐντείλωμαί σοι λαλήσεις. [8] μὴ φοβηϑῇς ἀπὸ προσώπου αὐ-
9 τῶν, ὅτι μετὰ σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσϑαί σε, λέγει κύριος. [9] καὶ ἐξέτεινε
κύριος τὴν χεῖρα αὐτοῦ πρὸς μὲ καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπε
10 κύριος πρός μέ Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου. [10] ἰδοὺ

---

18. ed. rom. ante ερχ. non dist. (nec cod. alex.) 19. σημεια ... ϑαρσεις ... και ϑοβελ ... ουδε εωρακασιν τ. δοξ. μου ... μου την δοξ. εν 20. εμοι post ισραηλ pon. 21. λημψομαι εμαυτω ιερεις 22. ενωπιον μου ... ουτως 23. μηνα. εκ μηνος ... σαρξ ενωπιον μου προςκυνησαι (...'οιη κυριος) 24. ου τελευτα

Subscriptio: ησαιας προφητης

Inscriptio: ιερεμιας

I. 1. επ ιηρεμιαν 2. ος pro ως ... λογος ϑεου 3. ετους σεδεκιου υι. ιωσειου 4. προς με λεγων 5. σε εκ κοιλιας ... του εξελϑ. σε 7. παντα οσα αν 8. μη φοβης 10. om ιδου

Digitized by Google

καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας, ἐκριζοῦν καὶ κατασκά-
πτειν καὶ ἀπολύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν. 11 καὶ ἐγένετο λόγος 11
κυρίου πρὸς μὲ λέγων Τί σὺ ὁρᾷς; καὶ εἶπα Βακτηρίαν καρυΐνην. 12 καὶ 12
εἶπε κύριος πρὸς μέ Καλῶς ἑώρακας, διότι ἐγρήγορα· ἐγὼ ἐπὶ τοὺς λόγους
μου τοῦ ποιῆσαι αὐτούς. 13 καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρὸς μὲ 13
λέγων Τί σὺ ὁρᾷς; καὶ εἶπα Λέβητα ὑποκαιόμενον, καὶ τὸ πρόςωπον αὐτοῦ
ἀπὸ προςώπου βοῤῥᾶ. 14 καὶ εἶπε κύριος πρὸς μέ Ἀπὸ προςώπου βοῤῥᾶ ἐκ- 14
καυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. 15 διότι ἰδοὺ ἐγὼ 15
συγκαλῶ πάσας τὰς βασιλείας τῆς γῆς ἀπὸ βοῤῥᾶ, λέγει κύριος, καὶ ἥξουσι
καὶ θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν Ἱερου-
σαλὴμ καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ αὐτῆς καὶ ἐπὶ πάσας τὰς πόλεις
Ἰούδα. 16 καὶ λαλήσω πρὸς αὐτοὺς μετὰ κρίσεως περὶ πάσης τῆς κακίας 16
αὐτῶν, ὡς ἐγκατέλιπόν με καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις καὶ προσεκύνησαν
τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. 17 καὶ σὺ περίζωσαι τὴν ὀσφύν σου καὶ ἀνά- 17
στηθι καὶ εἰπὸν πάντα ὅσα ἂν ἐντείλωμαί σοι· μὴ φοβηθῆς ἀπὸ προςώπου
αὐτῶν μηδὲ πτοηθῇς ἐναντίον αὐτῶν, ὅτι μετὰ σοῦ εἰμὶ τοῦ ἐξαιρεῖσθαί σε,
λέγει κύριος. 18 ἰδοὺ τέθεικά σε ἐν τῇ σήμερον ἡμέρᾳ ὡς πόλιν ὀχυρὰν καὶ 18
ὡς τεῖχος χαλκοῦν, ὀχυρὸν πᾶσι τοῖς βασιλεῦσιν Ἰούδα καὶ τοῖς ἄρχουσιν
αὐτοῦ καὶ τῷ λαῷ τῆς γῆς· 19 καὶ πολεμήσουσί σε καὶ οὐ μὴ δύνωνται 19
πρὸς σέ, διότι μετὰ σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, εἶπε κύριος.

## II.

2 Καὶ εἶπε Τάδε λέγει κύριος Ἐμνήσθην ἐλέους νεότητός σου καὶ ἀγά- 2
πης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραήλ, λέγει κύριος.
3 ὁ ἅγιος Ἰσραὴλ τῷ κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ, πάντες οἱ ἔσθοντες 3
αὐτὸν πλημμελήσουσι, κακὰ ἥξει ἐπ᾽ αὐτούς, φησὶ κύριος. 4 ἀκούσατε λόγον 4
κυρίου, οἶκος Ἰακὼβ καὶ πᾶσα πατριὰ οἴκου Ἰσραήλ. 5 τάδε λέγει κύριος Τί 5
εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ᾽
ἐμοῦ, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων καὶ ἐματαιώθησαν; 6 καὶ οὐκ 6
εἶπαν Ποῦ ἔστι κύριος ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας
ἡμᾶς ἐν τῇ ἐρήμῳ ἐν γῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ, ἐν
γῇ ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνὴρ οὐθὲν καὶ οὐ κατῴκησεν ἄνθρωπος ἐκεῖ;
7 καὶ ἤγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον τοῦ φαγεῖν ὑμᾶς τοὺς καρποὺς αὐτοῦ 7
καὶ τὰ ἀγαθὰ αὐτοῦ· καὶ εἰςήλθετε καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν
κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. 8 οἱ ἱερεῖς οὐκ εἶπαν Ποῦ ἔστι κύ- 8
ριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέ-
βουν εἰς ἐμέ, καὶ οἱ προφῆται ἐπροφήτευον τῇ Βάαλ καὶ ὀπίσω ἀνωφελοῦς
ἐπορεύθησαν. 9 διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, καὶ πρὸς τοὺς υἱοὺς 9
τῶν υἱῶν ὑμῶν κριθήσομαι. 10 διότι ἔλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε, 10
καὶ εἰς Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα, καὶ ἴδετε εἰ γέγονε τοι-
αῦτα, 11 εἰ ἀλλάξωνται ἔθνη θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ θεοί· ὁ δὲ 11
λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται. 12 ἐξέστη 12

---

10. κατεσταχα ... επι βασιλεις ..., απολλυειν ... om κ. ανοικοδ. κ. καταφυτ. 11. ορας ιερεμια ... καρυηνην 13. προς με εκ δευτερου 15. βασιλειας απο προσωπου βορρα της γης 16. μετα κρισ. post κακ. αυτων pon. ... εγκατελειπον 17. ειπον προς αυτους ... εγω ειμι ... * εξαιρεσθαι 18. απασιν ... αρχουσιν αυτων (* αυτω) 19. εγω μετα σου ... λεγει κυριος II. 3. αγιος pro ο αγιος ... γενηματων 5. ευροισαν ... (ημων) 6. (ο αναγ. υμας ...) αβατω και απειρω ... εν γη εν η ... om ανηρ 7. εισηλθατε ... κληρονομιαν και εθεσθαι (sed και εθεσθαι in rasura) εις 8. του νομου μου ... επισταντο ... επροφητευοντο 9. προς υμας λεγει κυριος 10. (ηλθετε) ... ειδετε ει γεγ. 11. αλλαξονται τα εθνη

Digitized by Google

13 ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει κύριος. 13 ὅτι δύο
καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς, καὶ
ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.
14 14 μὴ δοῦλός ἐστιν Ἰσραήλ, ἢ οἰκογενής ἐστι; διὰ τί εἰς προνομὴν ἐγένετο;
15 15 ἐπ' αὐτὸν ὠρύοντο λέοντες καὶ ἔδωκαν τὴν φωνὴν αὐτῶν, οἳ ἔταξαν τὴν
γῆν αὐτοῦ εἰς ἔρημον, καὶ αἱ πόλεις αὐτοῦ κατεσκάφησαν παρὰ τὸ μὴ κα-
16 τοικεῖσθαι. 16 καὶ υἱοὶ Μέμφεως καὶ Τάφνας ἔγνωσάν σε καὶ κατέπαιζόν
17 σου· οὐχὶ ταῦτα ἐποίησέ σοι τὸ καταλιπεῖν σε ἐμέ; 17 λέγει κύριος ὁ θεός
18 σου. 18 καὶ νῦν τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γηῶν; καὶ τί
19 σοι καὶ τῇ ὁδῷ Ἀσσυρίων τοῦ πιεῖν ὕδωρ ποταμῶν; 19 παιδεύσει σε ἡ ἀπο-
στασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε· καὶ γνῶθι καὶ ἴδε ὅτι πικρόν σοι
τὸ καταλιπεῖν σε ἐμέ, λέγει κύριος ὁ θεός σου· καὶ οὐκ εὐδόκησα ἐπὶ σοί,
20 λέγει κύριος ὁ θεός σου. 20 ὅτι ἀπ' αἰῶνος συνέτριψας τὸν ζυγόν σου καὶ
διέσπασας τοὺς δεσμούς σου, καὶ εἶπας Οὐ δουλεύσω σοι, ἀλλὰ πορεύσομαι
ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου κατασκίου, ἐκεῖ δια-
21 χυθήσομαι ἐν τῇ πορνείᾳ μου. 21 ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον
22 πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; 22 ἐὰν
ἀποπλύνῃ ἐν νίτρῳ καὶ πληθύνῃς σεαυτῇ ποίαν, κεκηλίδωσαι ἐν ταῖς ἀδι-
23 κίαις σου ἐναντίον ἐμοῦ, λέγει κύριος. 23 πῶς ἐρεῖς Οὐκ ἐμιάνθην καὶ ὀπίσω
τῆς Βάαλ οὐκ ἐπορεύθην; ἴδε τὰς ὁδούς σου ἐν τῷ πολυανδρίῳ, καὶ γνῶθι
24 τί ἐποίησας. ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξε, 24 τὰς ὁδοὺς αὐτῆς ἐπλάτυνεν ἐφ'
ὕδατα ἐρήμου, ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο, παρεδόθη· τίς
ἐπιστρέψει αὐτήν; πάντες οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν, ἐν τῇ ταπει-
25 νώσει αὐτῆς εὑρήσουσιν αὐτήν. 25 ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ τρα-
χείας, καὶ τὸν φάρυγγά σου ἀπὸ δίψους. ἡ δὲ εἶπεν Ἀνδριοῦμαι, ὅτι ἠγαπήκει
26 ἀλλοτρίους καὶ ὀπίσω αὐτῶν ἐπορεύετο. 26 ὡς αἰσχύνη κλέπτου ὅταν ἁλῷ,
οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ Ἰσραήλ, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν καὶ οἱ
27 ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ προφῆται αὐτῶν. 27 τῷ ξύλῳ
εἶπαν ὅτι πατήρ μου εἶ σύ, καὶ τῷ λίθῳ Σὺ ἐγέννησάς με· καὶ ἔστρεψαν
ἐπ' ἐμὲ νῶτα καὶ οὐ πρόσωπα αὐτῶν, καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν
28 ἐροῦσιν Ἀνάστα καὶ σῶσον ἡμᾶς. 28 καὶ ποῦ εἰσιν οἱ θεοί σου οὓς ἐποίησας
σεαυτῷ; εἰ ἀναστήσονται καὶ σώσουσιν ἐν καιρῷ τῆς κακώσεώς σου; ὅτι
κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου Ἰούδα, καὶ κατ' ἀριθμὸν
29 διόδων τῆς Ἱερουσαλὴμ ἔθυον τῇ Βάαλ. 29 ἵνα τί λαλεῖτε πρός με; πάντες
30 ὑμεῖς ἠσεβήσατε, καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμέ, λέγει κύριος. 30 μάτην
ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε· μάχαιρα κατέφαγε τοὺς
31 προφήτας ὑμῶν ὡς λέων ὀλοθρεύων, καὶ οὐκ ἐφοβήθητε. 31 ἀκούσατε λόγον
κυρίου Τάδε λέγει κύριος Μὴ ἔρημος ἐγενόμην τῷ Ἰσραὴλ ἢ γῆ κεχερσω-
μένη; διὰ τί εἶπεν ὁ λαός μου Οὐ κυριευθησόμεθα, καὶ οὐχ ἥξομεν πρὸς σὲ
32 ἔτι; 32 μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς, καὶ παρθένος τὴν στηθο-
δεσμίδα αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας ὧν οὐκ ἔστιν ἀριθμός.
33 33 τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου τοῦ ζητῆσαι ἀγάπησιν; οὐχ
34 οὕτως· ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ μιᾶναι τὰς ὁδούς σου, 34 καὶ ἐν ταῖς
χερσί σου εὑρέθησαν αἵματα ψυχῶν ἀθῴων· οὐκ ἐν διορύγμασιν εὗρον αὐ-
35 τούς ἀλλ' ἐπὶ πάσῃ δρυΐ. 35 καὶ εἶπας Ἀθῷός εἰμι, ἀλλὰ ἀποστραφήτω

13. εγκατελειπον ... υδατος ζωντος 16. κατεπεξαν 18. τι σοι και γη αιγυπτου ... τη γη ασσυριων 19. ηυδοκησα εν σοι 20. om σοι 21. αληθεινην πασαν ... εστραφη 22. αποχρυνη ... ποαν ... εναντ. εμου εν τ. αδικ. σου, λεγ. κυρ. ο θεος σου 26. om αυτων post αρχοντες 28. σωσουσιν σε ... κατα αριθμον bis 29. om παντες υμ. ησεβ. και 30. ωλεθρευων 31. τον λογον κυριου ... εγεναμην ... Ου δουλευθησομεθα και ουκ ηξομεν 34. ευρεθη ... αλλ εν παση

Digitized by Google

ὁ θυμὸς αὐτοῦ ἀπ᾽ ἐμοῦ. ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σέ, ἐν τῷ λέγειν σε Οὐχ
ἥμαρτον, [36]ὅτι κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου· καὶ 36
ἀπὸ Αἰγύπτου καταισχυνθήσῃ καθὼς κατῃσχύνθης ἀπὸ Ἀσσούρ, ὅτι καὶ ἐν-
τεῦθεν ἐξελεύσῃ, καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου· ὅτι ἀπώσατο κύριος
τὴν ἐλπίδα σου, καὶ οὐκ εὐοδωθήσῃ ἐν αὐτῇ.

## III.

Ἐὰν ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπέλθῃ ἀπ᾽ αὐτοῦ καὶ
γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνακάμπτουσα ἀνακάμψει πρὸς αὐτὸν ἔτι; οὐ μιαι-
νομένη μιανθήσεται ἡ γυνὴ ἐκείνη; καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσι πολλοῖς
καὶ ἀνέκαμπτες πρός μέ, λέγει κύριος. [2]ἆρον τοὺς ὀφθαλμούς σου εἰς εὐ- 2
θεῖαν καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης· ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς ὡσεὶ κο-
ρώνη ἐρημουμένη, καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου καὶ ἐν ταῖς
κακίαις σου, [3]καὶ ἔσχες ποιμένας πολλοὺς εἰς πρόσκομμα σεαυτῇ· ὄψις πόρνης 3
ἐγένετό σου, ἀπηναισχύντησας πρὸς πάντας. [4]οὐχ ὡς οἶκόν με ἐκάλεσας καὶ 4
πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου; [5]μὴ διαμενεῖ εἰς τὸν αἰῶνα, ἢ φυ- 5
λαχθήσεται εἰς νῖκος; ἰδοὺ ἐλάλησας καὶ ἐποίησας τὰ πονηρὰ ταῦτα καὶ
ἠδυνάσθης. [6]καὶ εἶπε κύριος πρὸς μὲ ἐν ταῖς ἡμέραις Ἰωσίου τοῦ βασιλέως 6
Εἶδες ἃ ἐποίησέ μοι ἡ κατοικία τοῦ Ἰσραήλ; ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος
ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους καὶ ἐπόρνευσαν ἐκεῖ. [7]καὶ εἶπα 7
μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα Πρὸς μὲ ἀνάστρεψον· καὶ οὐκ ἀνέ-
στρεψε. καὶ εἶδε τὴν ἀσυνθεσίαν αὐτῆς ἡ ἀσύνθετος Ἰούδα. [8]καὶ εἶδον ὅτι 8
περὶ πάντων ὧν κατελήφθη ἐν οἷς ἐμοιχᾶτο ἡ κατοικία Ἰσραήλ, καὶ ἐξαπέ-
στειλα αὐτὴν καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς· καὶ
οὐκ ἐφοβήθη ἡ ἀσύνθετος Ἰούδα, καὶ ἐπορεύθη καὶ ἐπόρνευσε καὶ αὐτή,
[9]καὶ ἐγένετο εἰς οὐθὲν ἡ πορνεία αὐτῆς, καὶ ἐμοίχευσε τὸ ξύλον καὶ τὸν 9
λίθον. [10]καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπεστράφη πρὸς μὲ ἡ ἀσύνθετος Ἰούδα ἐξ 10
ὅλης τῆς καρδίας αὐτῆς ἀλλ᾽ ἐπὶ ψεύδει. [11]καὶ εἶπε κύριος πρός μέ Ἐδι- 11
καίωσε τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰούδα. [12]πορεύου καὶ 12
ἀνάγνωθι τοὺς λόγους τούτους πρὸς βορρᾶν, καὶ ἐρεῖς Ἐπιστράφηθι πρὸς μὲ
ἡ κατοικία τοῦ Ἰσραήλ, λέγει κύριος, καὶ μὴ στηριῶ τὸ πρόσωπόν μου ἐφ᾽
ὑμᾶς· ὅτι ἐλεήμων ἐγώ εἰμι, λέγει κύριος, καὶ οὐ μηνιῶ ὑμῖν εἰς τὸν αἰῶνα.
[13]πλὴν γνῶθι τὴν ἀδικίαν σου, ὅτι εἰς κύριον τὸν θεόν σου ἠσέβησας, καὶ 13
διέχεας τὰς ὁδούς σου εἰς ἀλλοτρίους ὑποκάτω παντὸς ξύλου ἀλσώδους, τῆς
δὲ φωνῆς μου οὐχ ὑπήκουσας, λέγει κύριος. [14]ἐπιστράφητε υἱοὶ ἀφεστηκό- 14
τες, λέγει κύριος, διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ
πόλεως καὶ δύο ἐκ πατριᾶς καὶ εἰσάξω ὑμᾶς εἰς Σιών, [15]καὶ δώσω ὑμῖν 15
ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ᾽
ἐπιστήμης. [16]καὶ ἔσται ἐὰν πληθυνθῆτε καὶ αὐξηθῆτε ἐπὶ τῆς γῆς, λέγει 16
κύριος, ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἐροῦσιν ἔτι Κιβωτὸς διαθήκης ἁγίου
Ἰσραήλ, οὐκ ἀναβήσεται ἐπὶ καρδίαν, οὐκ ὀνομασθήσεται οὐδὲ ἐπισκεφθήσεται

---

III. 2. αρ. εις ευθ. τους οφθ. σου λεγει κυριος και ιδε ... οδοις αις εκαθ. ... ηρημωμενη ... πορνιαις (non v. 9.) ... om και εν τ. κακ. σου 3. εγεν. σοι ... παρθενειας 5. διαφυλαχθησεται 6. ιωσια ... om του βασιλεως ... ιδες ... κατοικεια (etiam v. 8. et 12.) ... ᾿επορνευσεν (videtur) 7. παντα ταυτα ... και ουκ αναστρεψεν (ε sec. in rasura) ... ιδεν 8. ιδον διοτι ... κατεληµφθη ... του ισραηλ 10. απεστραφη 12. πορευθητι και αναγνωσον ... προς βορρα ... Επιστραφητι ... και ου στηριω ... ελεων 13. ουκ ηκουσας 14. διοτι ιδου εγω ... λημψομαι 15. ποιμαινες pro ποιμαινοντες 16. λεγει κυριος post εκειναις pon. ... και ουκ ονομασθ.

Digitized by Google

17 καὶ οὐ ποιηθήσεται ἔτι. [17] ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ
καλέσουσι τὴν Ἱερουσαλὴμ θρόνον κυρίου, καὶ συναχθήσονται πάντα τὰ ἔθνη
εἰς αὐτήν, καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας αὐ-
18 τῶν τῆς πονηρᾶς. [18] ἐν ταῖς ἡμέραις ἐκείναις συνελεύσονται ὁ οἶκος Ἰούδα
ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ ἥξουσιν ἐπὶ τὸ αὐτὸ ἀπὸ γῆς βοῤῥᾶ καὶ ἀπὸ
πασῶν τῶν χωρῶν ἐπὶ τὴν γῆν ἣν κατεκληρονόμησα τοὺς πατέρας αὐτῶν.
19 [19] καὶ ἐγὼ εἶπα, γένοιτο κύριε, ὅτι τάξω σε εἰς τέκνα, καὶ δώσω σοι γῆν
ἐκλεκτὴν κληρονομίαν θεοῦ παντοκράτορος ἐθνῶν· καὶ εἶπα Πατέρα καλέσετέ
20 με, καὶ ἀπ' ἐμοῦ οὐκ ἀποστραφήσεσθε. [20] πλὴν ὡς ἀθετεῖ γυνὴ εἰς τὸν
21 συνόντα αὐτῇ, οὕτως ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος Ἰσραήλ, λέγει κύριος. [21] φωνὴ
ἐκ χειλέων ἠκούσθη κλαυθμοῦ καὶ δεήσεως υἱῶν Ἰσραήλ, ὅτι ἠδίκησαν ἐν
22 ταῖς ὁδοῖς αὐτῶν, ἐπελάθοντο θεοῦ ἁγίου αὐτῶν. [22] ἐπιστράφητε υἱοὶ ἐπι-
στρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. ἰδοὺ δοῦλοι ἡμεῖς ἐσόμεθά
23 σοι, ὅτι σὺ κύριος ὁ θεὸς ἡμῶν εἶ. [23] ὄντως εἰς ψεῦδος ἦσαν οἱ βουνοὶ καὶ
ἡ δύναμις τῶν ὀρέων, πλὴν διὰ κυρίου θεοῦ ἡμῶν ἡ σωτηρία τοῦ Ἰσραήλ.
24 [24] ἡ δὲ αἰσχύνη κατηνάλωσε τοὺς μόχθους τῶν πατέρων ἡμῶν ἀπὸ νεότητος
ἡμῶν, τὰ πρόβατα αὐτῶν καὶ τοὺς μόσχους αὐτῶν, καὶ τοὺς υἱοὺς αὐτῶν
25 καὶ τὰς θυγατέρας αὐτῶν. [25] ἐκοιμήθημεν ἐν τῇ αἰσχύνῃ ἡμῶν, καὶ ἐπεκά-
λυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν, διότι ἔναντι τοῦ θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς
καὶ οἱ πατέρες ἡμῶν ἀπὸ νεότητος ἡμῶν ἕως τῆς ἡμέρας ταύτης, καὶ οὐχ
ὑπηκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν.

## IV.

Ἐὰν ἐπιστραφῇ Ἰσραήλ, λέγει κύριος, πρὸς μέ, ἐπιστραφήσεται· καὶ
ἐὰν περιέλῃ τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ, καὶ ἀπὸ τοῦ προς-
2 ώπου μου εὐλαβηθῇ, [2] καὶ ὀμόσῃ Ζῇ κύριος μετὰ ἀληθείας ἐν κρίσει καὶ ἐν
δικαιοσύνῃ, καὶ εὐλογήσουσιν ἐν αὐτῷ ἔθνη, καὶ ἐν αὐτῷ αἰνέσουσι τῷ θεῷ
3 ἐν Ἱερουσαλήμ. [3] ὅτι τάδε λέγει κύριος τοῖς ἀνδράσιν Ἰούδα καὶ τοῖς κατοι-
κοῦσιν Ἱερουσαλὴμ Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρητε ἐπ' ἀκάν-
4 θαις. [4] περιτμήθητε τῷ θεῷ ὑμῶν, καὶ περιτέμεσθε τὴν σκληροκαρδίαν ὑμῶν,
ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ, μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμός
μου καὶ ἐκκαυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων ἀπὸ προσώπου πονηρίας
5 ἐπιτηδευμάτων ὑμῶν. [5] ἀναγγείλατε ἐν τῷ Ἰούδᾳ, καὶ ἀκουσθήτω ἐν Ἱερου-
σαλήμ· εἴπατε, σημάνατε ἐπὶ τῆς γῆς σάλπιγγι, κεκράξατε μέγα· εἴπατε
6 Συνάχθητε καὶ εἰςέλθωμεν εἰς τὰς πόλεις τὰς τειχήρεις, [6] ἀναλαβόντες φεύ-
γετε εἰς Σιών· σπεύσατε, μὴ στῆτε, ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ βοῤῥᾶ καὶ
7 συντριβὴν μεγάλην. [7] ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ, ἐξολοθρεύων ἔθνη
ἐξῆρε, καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ τοῦ θεῖναι τὴν γῆν εἰς ἐρήμωσιν, καὶ
8 αἱ πόλεις καθαιρεθήσονται παρὰ τὸ μὴ κατοικεῖσθαι αὐτάς. [8] ἐπὶ τούτοις
περιζώσασθε σάκκους καὶ κόπτεσθε καὶ ἀλαλάξατε, διότι οὐκ ἀπεστράφη ὁ

---

17. θρονος ... εις αυτην παντα τα εθνη ... επιθυμηματων 18. και εν ταις ... συνελευσεται οικος ισραηλ επι τ. οικον ιουδα ... βορρα· απο πασων ... κατεκληρονομησαν οι πατερες αυτων 19. και ει πατερα 20. λεγει κυρ. ο οικ. ισρ. 22. και ιασομαι αυτους· ιδου ... om συ ... ει cum seq. οντως conjg. 23. τω ισραηλ 24. καταναλωσεν ... νεοτητ. αυτων ... μοχθους pro μοσχους 25. του θεου ημαρτομεν και οι ... ουκ ηκουσαμεν IV. 1. προς με λεγει κυριος επιστραφησεται· εαν ... om εκ στομ. αυτου ... απο προσωπου αυτου 2. και εν κρισει 3. om οτι ταδε usque ιερουσαλημ 4. περιτμηθησεσθαι τω θεω ημων και περιελεσθαι την ... εν ιερουσαλημ 6. σαλπιγγι cum κεκραξ. conjg. ... και ειπατε Συναχθ. κ. εισελθατε ... τας οχυρας 6. εγω κακα 7. εξολεθρευων ... και πολεις 8. αλαλαξατε

Digitized by Google

θυμὸς κυρίου ἀφ᾿ ὑμῶν. [9] καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, ἀπο- 9
λεῖται ἡ καρδία τοῦ βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς
ἐκστήσονται καὶ οἱ προφῆται θαυμάσονται. [10] καὶ εἶπα Ὦ δέσποτα κύριε, 10
ἆρά γε ἀπατῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὴν Ἱερουσαλήμ, λέγων Εἰ-
ρήνη ἔσται, καὶ ἰδοὺ ἥψατο ἡ μάχαιρα ἕως τῆς ψυχῆς αὐτῶν; [11] ἐν τῷ 11
καιρῷ ἐκείνῳ ἐροῦσι τῷ λαῷ τούτῳ καὶ τῇ Ἱερουσαλὴμ Πνεῦμα πλανήσεως
ἐν τῇ ἐρήμῳ, ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς καθαρὸν οὐδ᾿ εἰς
ἅγιον. [12] πνεῦμα πληρώσεως ἥξει μοι· νῦν δὲ ἐγὼ λαλῶ κρίματά μου πρὸς 12
αὐτούς. [13] ἰδοὺ ὡς νεφέλη ἀναβήσεται, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, 13
κουφότεροι ἀετῶν οἱ ἵπποι αὐτοῦ· οὐαὶ ἡμῖν, ὅτι ταλαιπωροῦμεν. [14] ἀπόπλυνε 14
ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ, ἵνα σωθῇς· ἕως πότε ὑπάρχουσιν ἐν
σοὶ διαλογισμοὶ πόνων σου; [15] διότι φωνὴ ἀγγέλλοντος ἐκ Δὰν ἥξει, καὶ 15
ἀκουσθήσεται πόνος ἐξ ὄρους Ἐφραΐμ. [16] ἀναμνήσατε ἔθνη, ἰδοὺ ἥκασιν· ἀναγ- 16
γείλατε ἐν Ἱερουσαλήμ, συστροφαὶ ἔρχονται ἐκ γῆς μακρόθεν καὶ ἔδωκαν
ἐπὶ τὰς πόλεις Ἰούδα φωνὴν αὐτῶν. [17] ὡς φυλάσσοντες ἀγρὸν ἐγένοντο ἐπ᾿ 17
αὐτὴν κύκλῳ, ὅτι ἐμοῦ ἠμέλησας, λέγει κύριος. [18] αἱ ὁδοί σου καὶ τὰ ἐπι- 18
τηδεύματά σου ἐποίησαν ταῦτά σοι· αὕτη ἡ κακία σου, ὅτι πικρά, ὅτι ἥψατο
ἕως τῆς καρδίας σου. [19] τὴν κοιλίαν μου τὴν κοιλίαν μου ἀλγῶ, καὶ τὰ αἰ- 19
σθητήρια τῆς καρδίας μου μαιμάσσει ἡ ψυχή μου, σπαράσσεται ἡ καρδία
μου· οὐ σιωπήσομαι, ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου, κραυγὴν
πολέμου [20] καὶ ταλαιπωρίας συντριμμὸν ἐπικαλεῖται, ὅτι τεταλαιπώρηκε πᾶσα 20
ἡ γῆ, ἄφνω τεταλαιπώρηκεν ἡ σκηνή, διεσπάσθησαν αἱ δέρρεις μου. [21] ἕως 21
πότε ὄψομαι φεύγοντας ἀκούων φωνὴν σαλπίγγων; [22] διότι οἱ ἡγούμενοι τοῦ 22
λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν· υἱοὶ ἄφρονές εἰσι καὶ οὐ συνετοί, σοφοί εἰσι
τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἐπέγνωσαν. [23] ἐπέβλεψα ἐπὶ τὴν 23
γῆν, καὶ ἰδοὺ οὐθέν, καὶ εἰς τὸν οὐρανόν, καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ. [24] εἶδον 24
τὰ ὄρη καὶ ἦν τρέμοντα, καὶ πάντας τοὺς βουνοὺς ταρασσομένους. [25] ἐπέ- 25
βλεψα, καὶ ἰδοὺ οὐκ ἦν ἄνθρωπος, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐπτοεῖτο.
[26] εἶδον, καὶ ἰδοὺ ὁ Κάρμηλος ἔρημος, καὶ πᾶσαι αἱ πόλεις ἐμπεπυρισμέναι 26
πυρὶ ἀπὸ προσώπου κυρίου, καὶ ἀπὸ προσώπου ὀργῆς θυμοῦ αὐτοῦ ἠφανί-
σθησαν. [27] τάδε λέγει κύριος Ἔρημος ἔσται πᾶσα ἡ γῆ, συντέλειαν δὲ οὐ μὴ 27
ποιήσω. [28] ἐπὶ τούτοις πενθείτω ἡ γῆ, καὶ συσκοτασάτω ὁ οὐρανὸς ἄνωθεν· 28
διότι ἐλάλησα καὶ οὐ μετανοήσω, ὥρμησα καὶ οὐκ ἀποστρέψω ἀπ᾿ αὐτῆς.
[29] ἀπὸ φωνῆς ἱππέως καὶ ἐντεταμένου τόξου ἀνεχώρησε πᾶσα ἡ χώρα· εἰςέδυ- 29
σαν εἰς τὰ σπήλαια, καὶ εἰς τὰ ἄλση ἐκρύβησαν, καὶ ἐπὶ τὰς πέτρας ἀνέ-
βησαν· πᾶσα πόλις ἐγκατελείφθη, οὐ κατῴκει ἐν αὐταῖς ἄνθρωπος. [30] καὶ σὺ 30
τί ποιήσεις ἐὰν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, ἐὰν ἐγχρίσῃ
στίβι τοὺς ὀφθαλμούς σου; εἰς μάταιον ὡραϊσμός σου· ἀπώσαντό σε οἱ ἐρα-
σταί σου, τὴν ψυχήν σου ζητοῦσιν. [31] ὅτι φωνὴν ὡς ὠδινούσης ἤκουσα τοῦ 31
στεναγμοῦ σου, ὡς πρωτοτοκούσης· φωνὴ θυγατρὸς Σιὼν ἐκλυθήσεται, καὶ
παρήσει τὰς χεῖρας αὐτῆς Οἴμοι ἐγώ, ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ τοῖς
ἀνῃρημένοις.

---

9. om και οι προφ. θαυμασ. 10. και ειπαν ... εσται υμιν· και ηψατο 11. εν τω καιρ. τουτω 12. om μου 13. τα αρμ. αυτων ... οι ιππ. αυτων ... ουαι υμιν 14. αποπλυναι ... υπαρξουσιν 15. αναγγελλοντος 20. κ. ταλαιπωριαν και συντρ. ... αφνω τεταλαιπωρηκεν· σκηναι 22. το δε καλον ποιουντες ουκ εγνωσαν 24. ιδον 26. ιδον 29. πασα χωρα ... εις τας πετρας ... ου κατοικησει 30. και εαν ενχρεισῃ στιμη ... εις ματην ο ωρ. σου ... ζητησουσιν 31. οιμμοι

Digitized by Google

# V.

Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ, καὶ ἴδετε καὶ γνῶτε καὶ ζητή-
σατε ἐν ταῖς πλατείαις αὐτῆς· ἐὰν εὕρητε, εἰ ἔστι ποιῶν κρίμα καὶ ζητῶν
2 πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει κύριος. [2] Ζῇ κύριος, λέγουσι, διὰ τοῦτο
3 οὐκ ἐν ψεύδεσιν ὀμνύουσι. [3] κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν· ἐμαστίγωσας
αὐτοὺς καὶ οὐκ ἐπόνεσαν, συνετέλεσας αὐτοὺς καὶ οὐκ ἠθέλησαν δέξασθαι
παιδείαν, ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν καὶ οὐκ ἠθέλησαν
4 ἐπιστραφῆναι. [4] καὶ ἐγὼ εἶπα Ἴσως πτωχοί εἰσι, διότι οὐκ ἐδυνάσθησαν, ὅτι
5 οὐκ ἔγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ· [5] πορεύσομαι πρὸς τοὺς ἁδροὺς
καὶ λαλήσω αὐτοῖς, ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ· καὶ
6 ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγόν, διέῤῥηξαν δεσμούς. [6] διὰ τοῦτο ἔπαισεν
αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἕως τῶν οἰκιῶν ὠλόθρευσεν αὐτούς,
καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ τὰς πόλεις αὐτῶν· πάντες οἱ ἐκπορευόμενοι
ἀπ' αὐτῶν θηρευθήσονται, ὅτι ἐπλήθυναν ἀσεβείας αὐτῶν, ἴσχυσαν ἐν ταῖς
7 ἀποστροφαῖς αὐτῶν. [7] ποίᾳ τούτων ἵλεως γένωμαί σοι; οἱ υἱοί σου ἐγκατέ-
λιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς· καὶ ἐχόρτασα αὐτούς, καὶ ἐμοι-
8 χῶντο καὶ ἐν οἴκοις πορνῶν κατέλυον. [8] ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκα-
9 στος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον. [9] μὴ ἐπὶ τούτοις οὐκ
ἐπισκέψομαι, λέγει κύριος; ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;
10 [10] ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς καὶ κατασκάψατε, συντέλειαν δὲ μὴ
11 ποιήσητε· ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν. [11] ὅτι
ἀθετῶν ἠθέτησεν εἰς ἐμέ, λέγει κύριος, οἶκος Ἰσραήλ, καὶ οἶκος Ἰούδα
12 [12] ἐψεύσατο τῷ κυρίῳ αὐτῶν, καὶ εἶπαν Οὐκ ἔστι ταῦτα· οὐχ ἥξει ἐφ' ἡμᾶς
13 κακά, καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα· [13] οἱ προφῆται ἡμῶν ἦσαν εἰς
14 ἄνεμον, καὶ λόγος κυρίου οὐχ ὑπῆρχεν ἐν αὐτοῖς. [14] διὰ τοῦτο τάδε λέγει
κύριος παντοκράτωρ Ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἐγὼ δέδωκα
τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα, καὶ κα-
15 ταφάγεται αὐτούς. [15] ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόῤῥωθεν, οἶκος
Ἰσραήλ, λέγει κύριος, ἔθνος οὗ οὐκ ἀκούσει τῆς φωνῆς τῆς γλώσσης αὐτοῦ,
16 17 [16] πάντες ἰσχυροί, καὶ κατέδονται τὸν θερισμὸν ὑμῶν [17] καὶ τοὺς ἄρτους
ὑμῶν, καὶ κατέδονται τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν, καὶ κατέ-
δονται τὰ πρόβατα ὑμῶν καὶ τοὺς μόσχους ὑμῶν, καὶ κατέδονται τοὺς ἀμ-
πελῶνας ὑμῶν καὶ τοὺς συκῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν· καὶ ἀλοή-
σουσι τὰς πόλεις τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πεποίθατε ἐπ' αὐταῖς, ἐν
18 ῥομφαίᾳ. [18] καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει κύριος ὁ θεός σου, οὐ
19 μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν. [19] καὶ ἔσται ὅταν εἴπητε Τίνος ἕνεκεν ἐποίησε
κύριος ὁ θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα; καὶ ἐρεῖς αὐτοῖς Ἀνθ' ὧν ἐδουλεύ-
σατε θεοῖς ἀλλοτρίοις ἐν τῇ γῇ ὑμῶν, οὕτως δουλεύσετε ἀλλοτρίοις ἐν τῇ γῇ
20 οὐχ ὑμῶν. [20] ἀναγγείλατε ταῦτα εἰς τὸν οἶκον Ἰακώβ, καὶ ἀκουσθήτω ἐν
21 τῷ οἴκῳ Ἰούδα. [21] ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ
22 αὐτοῖς καὶ οὐ βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσι. [22] μὴ ἐμὲ οὐ φο-
βηθήσεσθε, λέγει κύριος, ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε; τὸν

---

V. 1. ειδετε ... πλατιαις 2. επι ψευδεσιν 3. και pro κυριε ... ουχ επονεσαν ... παιδιαν ... εστερεωθησαν 4. εισιν, δια τουτο ουκ ηδυνηθησαν 5. λαλησω προς αυτους 6. εκ δρυμου ... ωλεθρευσεν ... θηρευσονται ... και ισχυσαν 7. εγκατελειπον ... εμοιχοντο ... κατελευοντο 9. επισκεψωμαι 10. ου μη ποιησετε ... υπολειπεσθε 11. om λεγει κυριος 12. ουχ οψομεθα 15. ακουση ... om της γλωσσης 16. τον θερισμ. αυτων 17. μοσχους, και 19. απαντα ... θεοις ετεροις εν γη ουχ υμων omissis ουτως δουλ. usque ουχ υμων 20. εν τω ιουδα 22. μη pro η

Digitized by Google

τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον καὶ οὐχ ὑπερβήσεται
αὐτό, καὶ ταραχθήσεται καὶ οὐ δυνήσεται, καὶ ἠχήσουσι τὰ κύματα αὐτῆς
καὶ οὐχ ὑπερβήσεται αὐτό. [23]τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος 23
καὶ ἀπειθής, καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν. [24]καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ 24
αὐτῶν Φοβηθῶμεν δὴ κύριον τὸν θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώιμον
καὶ ὄψιμον κατὰ καιρὸν πληρώσεως προστάγματος θερισμοῦ, καὶ ἐφύλαξεν
ἡμῖν. [25]αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα, καὶ αἱ ἁμαρτίαι ὑμῶν ἀπέστησαν 25
τὰ ἀγαθὰ ἀφ' ὑμῶν. [26]ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου ἀσεβεῖς, καὶ παγίδας 26
ἔστησαν τοῦ διαφθεῖραι ἄνδρας, καὶ συνελαμβάνοσαν. [27]ὡς παγὶς ἐφεστα- 27
μένη πλήρης πετεινῶν, οὕτως οἱ οἶκοι αὐτῶν πλήρεις δόλου· διὰ τοῦτο ἐμε-
γαλύνθησαν καὶ ἐπλούτησαν, [28]καὶ παρέβησαν κρίσιν, οὐκ ἔκριναν κρίσιν ὀρ- 28
φανοῦ, καὶ κρίσιν χήρας οὐκ ἐκρίνοσαν. [29]μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, 29
λέγει κύριος; ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; [30]ἔκστασις 30
καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς. [31]οἱ προφῆται προφητεύουσιν ἄδικα, καὶ 31
οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν, καὶ ὁ λαός μου ἠγάπησεν οὕτως·
καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα;

## VI.

Ἐνισχύσατε υἱοὶ Βενιαμὶν ἐκ μέσου τῆς Ἱερουσαλήμ, καὶ ἐν Θεκουὲ
σημάνατε σάλπιγγι, καὶ ὑπὲρ Βαιθαχαρμὰ ἄρατε σημεῖον· ὅτι κακὰ ἐκκέ-
κυφεν ἀπὸ βορρᾶ, καὶ συντριβὴ μεγάλη γίνεται, [2]καὶ ἀφαιρεθήσεται τὸ ὕψος 2
θύγατερ Σιών. [3]εἰς αὐτὴν ἥξουσι ποιμένες καὶ τὰ ποίμνια αὐτῶν, καὶ πήξου- 3
σιν ἐπ' αὐτὴν σκηνὰς κύκλῳ, καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ.
[4]παρασκευάσασθε ἐπ' αὐτὴν εἰς πόλεμον, ἀνάστητε καὶ ἀναβῶμεν ἐπ' αὐ- 4
τὴν μεσημβρίας· οὐαὶ ἡμῖν, ὅτι κέκλικεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ σκιαὶ
τῆς ἡμέρας. [5]ἀνάστητε καὶ ἀναβῶμεν ἐπ' αὐτὴν νυκτί, καὶ διαφθείρωμεν 5
τὰ θεμέλια αὐτῆς. [6]ὅτι τάδε λέγει κύριος Ἔκκοψον τὰ ξύλα αὐτῆς, ἔκχεον 6
ἐπὶ Ἱερουσαλὴμ δύναμιν· ὦ πόλις ψευδής, ὅλη καταδυναστεία ἐν αὐτῇ. [7]ὡς 7
ψύχει λάκκος ὕδωρ, οὕτω ψύχει κακία αὐτῆς· ἀσέβεια καὶ ταλαιπωρία ἀκου-
σθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς διὰ παντός. πόνῳ καὶ μάστιγι [8]παι- 8
δευθήσῃ Ἱερουσαλήμ· μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον
γῆν ἥτις οὐ κατοικισθῇ. [9]ὅτι τάδε λέγει κύριος Καλαμᾶσθε καλαμᾶσθε ὡς 9
ἄμπελον τὰ κατάλοιπα τοῦ Ἰσραήλ, ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρ-
ταλλον αὐτοῦ. [10]πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι, καὶ εἰσακούσεται; 10
ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δυνήσονται ἀκούειν· ἰδοὺ τὸ ῥῆμα
κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν, οὐ μὴ βουληθῶσιν αὐτό. [11]καὶ τὸν θυ- 11
μόν μου ἔπλησα καὶ ἐπέσχον, καὶ συνετέλεσα αὐτούς· ἐκχεῶ ἐπὶ νήπια ἔξω-
θεν καὶ ἐπὶ συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ συλληφθήσονται,
πρεσβύτερος μετὰ πλήρους ἡμερῶν· [12]καὶ μεταστραφήσονται αἱ οἰκίαι αὐ- 12
τῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ἐπὶ τὸ αὐτό, ὅτι ἐκτενῶ τὴν
χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην, λέγει κύριος. [13]ὅτι ἀπὸ 13
μικροῦ αὐτῶν καὶ ἕως μεγάλου πάντες συνετελέσαντο ἄνομα, ἀπὸ ἱερέως
καὶ ἕως ψευδοπροφήτου πάντες ἐποίησαν ψευδῆ. [14]καὶ ἰῶντο σύντριμμα τοῦ 14

---

22. εριον τη θαλασση ... ed. rom. ουχ υπερβ. ... δυνηθησεται 24. ειπαν ε. τ. κ. αυτης (sic) ... διδ. υμιν 25. εξαπεστησαν 26. ασεβειαι, παγιδας ... om του 27. επεσταμενη 29. η εθνει τοιουτω 31. ο λαος ηγαπησαν VI. 1. βενιαμειν ... εκ θεκουε ... βηθθαχαρ 2. το υψ. σου θυγατηρ 3. τη χειρι αυτων 4. της εσπερας 5. διαβωμεν εν τη νυκτι 7. ουτως 8. κατοικηθησεται 10. διαμαρτυρομαι ... ακουσεται ... τα ωτα υμων κ. ου δυνασθαι ... και ου μη βουλ. αυτο ακουσαι 11. και ου συνετελεσα ... συλλημφθησονται, πρεσβ. και μετα 12. εις εταιρους 13. και μεγαλου ... συνετελεσαν 14. το συντριμμα

Digitized by Google

λαοῦ μου, ἐξουθενοῦντες καὶ λέγοντες Εἰρήνη εἰρήνη. καὶ ποῦ ἔστιν εἰρήνη;
15 [15] κατῃσχύνθησαν ὅτι ἐξέλιποσαν· καὶ οὐδ' ὡς καταισχυνόμενοι κατῃσχύνθη-
σαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν· διὰ τοῦτο πεσοῦνται ἐν τῇ πτώσει
16 αὐτῶν, καὶ ἐν καιρῷ ἐπισκοπῆς ἀπολοῦνται, εἶπε κύριος. [16] τάδε λέγει κύριος
Στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους, καὶ
ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνι-
17 σμὸν ταῖς ψυχαῖς ὑμῶν· καὶ εἶπαν Οὐ πορευσόμεθα. [17] καθέσταχα ἐφ' ὑμᾶς
σκοπούς, ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος· καὶ εἶπαν Οὐκ ἀκουσόμεθα.
18 19 [18] διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια αὐτῶν. [19] ἄκουε
γῆ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά, τὸν καρπὸν ἀποστροφῆς αὐ-
20 τῶν, ὅτι τῶν λόγων μου οὐ προςέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο. [20] ἵνα
τί μοι λίβανον ἐκ Σαβὰ φέρετε καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλο-
21 καυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι. [21] διὰ
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν,
καὶ ἀσθενήσουσι πατέρες καὶ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦν-
22 ται. [22] τάδε λέγει κύριος Ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βοῤῥᾶ, καὶ ἔθνη ἐξεγερθή-
23 σονται ἀπ' ἐσχάτου τῆς γῆς, [23] τόξον καὶ ζιβύνην κρατήσουσιν· ἰταμός ἐστι,
καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα, ἐφ' ἵπποις καὶ ἅρ-
24 μασι παρατάξεται ὡς πῦρ εἰς πόλεμον πρὸς σέ, θύγατερ Σιών. [24] ἠκούσαμεν
τὴν ἀκοὴν αὐτῶν, παρελύθησαν αἱ χεῖρες ἡμῶν, θλῖψις κατέσχεν ἡμᾶς, ὠδῖ-
25 νες ὡς τικτούσης. [25] μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδί-
26 ζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν. [26] θύγατερ λαοῦ μου, περί-
ζωσαι σάκκον, κατάπασσε ἐν σποδῷ, πένθος ἀγαπητοῦ ποίησαι σεαυτῇ κοπετὸν
27 οἰκτρόν, ὅτι ἐξαίφνης ἥξει ταλαιπωρία ἐφ' ὑμᾶς. [27] δοκιμαστὴν δέδωκά σε
ἐν λαοῖς δεδοκιμασμένοις καὶ γνώσῃ με ἐν τῷ δοκιμάσαι με τὴν ὁδὸν αὐ-
28 τῶν· [28] πάντες ἀνήκοοι, πορευόμενοι σκολιῶς· χαλκὸς καὶ σίδηρος, πάντες
29 διεφθαρμένοι εἰσίν. [29] ἐξέλιπε φυσητὴρ ἀπὸ πυρός, ἐξέλιπε μόλιβος· εἰς κενὸν
30 ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρία αὐτῶν οὐκ ἐτάκη. [30] ἀργύριον ἀποδεδοκι-
μασμένον καλέσατε αὐτούς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς κύριος.

## VII.

2 3 [2] Ἀκούσατε λόγον κυρίου, πᾶσα Ἰουδαία. [3] τάδε λέγει κύριος ὁ θεὸς
Ἰσραὴλ Διορθώσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ κατοι-
4 κιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ. [4] μὴ πεποίθατε ἐφ' ἑαυτοῖς ἐπὶ λόγοις ψευδέ-
σιν, ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς λέγοντες Ναὸς κυρίου, ναὸς κυρίου
5 ἐστίν. [5] ὅτι ἐὰν διορθοῦντες διορθώσητε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύ-
ματα ὑμῶν, καὶ ποιοῦντες ποιήσητε κρίσιν ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον
6 τοῦ πλησίον αὐτοῦ, [6] καὶ προςήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυνα-
στεύσητε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ, καὶ ὀπίσω θεῶν
7 ἀλλοτρίων μὴ πορεύησθε εἰς κακὸν ὑμῖν, [7] καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ
8 τούτῳ ἐν γῇ ᾗ ἔδωκα τοῖς πατράσιν ὑμῶν ἐξ αἰῶνος καὶ ἕως αἰῶνος. [8] εἰ δὲ
9 ὑμεῖς πεποίθατε ἐπὶ λόγοις ψευδέσιν ὅθεν οὐκ ὠφεληθήσεσθε, [9] καὶ φονεύετε
καὶ μοιχᾶσθε καὶ κλέπτετε καὶ ὀμνύετε ἐπ' ἀδίκῳ, καὶ θυμιᾶτε τῇ Βάαλ καὶ
10 ἐπορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων ὧν οὐκ οἴδατε [10] τοῦ κακῶς εἶναι ὑμῖν,

---

15. εξελειποσαν ... καταισχ. ησχυνθησαν ... επισκοπης αυτων 16. οδοις και ειδετε ... βαδισατε ... αγιασμον 17. κατεσταχα 19. ακουε γη ιουδα· εγω ... τοις λογοις 20. κινναμωμον 21. ασθενησουσιν εν αυτη 22. και εθνος μεγα εξεγερθησεται 26. και καταπασαι σποδον 28. σιδηρος, και παντες 29. εξελειπεν φ. απο της γης, εξελειπεν VII. 2. πασα η ιουδαια 3. και ου κατοικιω 5. om και τα επιτηδ. υμων ... κριμα 6. πορευσησθε 9. και οπ. θε. αλλ. πορευεσθε

Digitized by Google

καὶ ἤλθετε καὶ ἔστητε ἐνώπιον ἐμοῦ ἐν τῷ οἴκῳ οὗ ἐπικέκληται τὸ ὄνομά
μου ἐπ᾽ αὐτῷ, καὶ εἴπατε Ἀπεσχήμεθα τοῦ μὴ ποιεῖν πάντα τὰ βδελύγματα
Mt. 21, ταῦτα. [11] μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου οὗ ἐπικέκληται τὸ ὄνομά μου 11
13. Mc. 11, ἐπ᾽ αὐτῷ ἐκεῖ ἐνώπιον ὑμῶν; καὶ ἰδοὺ ἐγὼ ἑώρακα, λέγει κύριος, [12] ὅτι πο- 12
17. Lc. 19, ρεύθητε εἰς τὸν τόπον μου τὸν ἐν Σηλώ, οὗ κατεσκήνωσα τὸ ὄνομά μου ἐκεῖ
46. ἔμπροσθεν, καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κακίας λαοῦ μου Ἰσραήλ.
[13] καὶ νῦν ἀνθ᾽ ὧν ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα, καὶ ἐλάλησα πρὸς ὑμᾶς 13
καὶ οὐκ ἠκούσατέ μου, καὶ ἐκάλεσα ὑμᾶς καὶ οὐκ ἀπεκρίθητε, [14] τοίνυν κἀγὼ 14
ποιήσω τῷ οἴκῳ ᾧ ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτῷ, ἐφ᾽ ᾧ ὑμεῖς πε-
ποίθατε ἐπ᾽ αὐτῷ, καὶ τῷ τόπῳ ᾧ ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν,
καθὼς ἐποίησα τῇ Σηλώ. [15] καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ προσώπου μου, καθὼς 15
ἀπέῤῥιψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ σπέρμα Ἐφραίμ. [16] καὶ σὺ μὴ προσεύ- 16
χου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτούς, καὶ μὴ εὔχου
καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαι. [17] ἢ οὐχ ὁρᾷς τί 17
αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; [18] οἱ 18
υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυ-
ναῖκες αὐτῶν τρίβουσι σταῖς, τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ,
καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις ἵνα παροργίσωσί με. [19] μὴ ἐμὲ αὐτοὶ 19
παροργίζουσι, λέγει κύριος; οὐχὶ ἑαυτοὺς ὅπως καταισχυνθῇ τὰ πρόσωπα αὐ-
τῶν; [20] διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ 20
τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ πᾶν
ξύλον τοῦ ἀγροῦ αὐτῶν καὶ ἐπὶ τὰ γεννήματα τῆς γῆς, καὶ καυθήσεται καὶ
οὐ σβεσθήσεται. [21] τάδε λέγει κύριος Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε 21
μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε κρέα. [22] ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πα- 22
τέρας ὑμῶν καὶ οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς
Αἰγύπτου περὶ ὁλοκαυτωμάτων καὶ θυσίας· [23] ἀλλ᾽ ἢ τὸ ῥῆμα τοῦτο ἐνετει- 23
λάμην αὐτοῖς λέγων Ἀκούσατε τῆς φωνῆς μου, καὶ ἔσομαι ὑμῖν εἰς θεὸν
καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν, καὶ πορεύεσθε ἐν πάσαις ταῖς ὁδοῖς μου αἷς
ἂν ἐντείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑμῖν. [24] καὶ οὐκ ἤκουσάν μου καὶ οὐ 24
προσέσχε τὸ οὖς αὐτῶν, ἀλλ᾽ ἐπορεύθησαν ἐν τοῖς ἐνθυμήμασι τῆς καρδίας
αὐτῶν τῆς κακῆς, καὶ ἐγενήθησαν εἰς τὰ ὄπισθεν καὶ οὐκ εἰς τὰ ἔμπρο-
σθεν, [25] ἀφ᾽ ἧς ἡμέρας ἐξήλθοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς Αἰγύπτου καὶ 25
ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐξαπέστειλα πρὸς ὑμᾶς πάντας τοὺς δούλους
μου τοὺς προφήτας ἡμέρας καὶ ὄρθρου, καὶ ἀπέστειλα. [26] καὶ οὐκ εἰσήκου- 26
σάν μου καὶ οὐ προσέσχε τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐ-
τῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν. [28] καὶ ἐρεῖς αὐτοῖς τοῦτον τὸν λόγον Τοῦτο 28
τὸ ἔθνος ὃ οὐκ ἤκουσε τῆς φωνῆς κυρίου οὐδὲ ἐδέξατο παιδείαν, ἐξέλιπεν ἡ
πίστις ἐκ στόματος αὐτῶν. [29] κεῖρε τὴν κεφαλήν σου καὶ ἀπόῤῥιπτε, καὶ ἀνά- 29
λαβε ἐπὶ χειλέων θρῆνον, ὅτι ἀπεδοκίμασε κύριος καὶ ἀπώσατο τὴν γενεὰν
τὴν ποιοῦσαν ταῦτα. [30] ὅτι ἐποίησαν οἱ υἱοὶ Ἰούδα τὸ πονηρὸν ἐναντίον 30
ἐμοῦ, λέγει κύριος· ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπικέκλη-
ται τὸ ὄνομά μου ἐπ᾽ αὐτόν, τοῦ μιᾶναι αὐτόν· [31] καὶ ᾠκοδόμησαν τὸν βω- 31
μὸν τοῦ Ταφέθ, ὅς ἐστιν ἐν φάραγγι υἱοῦ Ἐννόμ, τοῦ κατακαίειν τοὺς υἱοὺς

---

10. ηλθατε ... εν τω οικω ενωπιον μου (... παντα pro ταυτα) 12. om οτι ... εν σηλωμ 14. ποιησω τω τοπω τουτω ω επικεκλ. ... τοπω ω ελαλησα υμιν 15. αποριψω 16. υπερ pro περι ... om και μη ευχου usque περι αυτων ... ουχ 17. om εν ταις πολ. ιουδα και 18. χαυωνας τη στρατεια τ. ουρ. και σπισαι 19. ουχ εαυτους 20. εκχειται ... και επι παντα τα γενηματα αυτης ... in fine add και ουκ εσται ο σβεσων 22. και pro οτι ... θυσιων 23. υμων εις θεον 24. εισηκουσαν ... προσεσχον ... επιθυμημασιν 25. ορθρου, απεστειλα 28. τον λογον τουτον ... εξελειπεν 29. κειραι ... απεδοκ. κ. απωσατο κυριος 30. τα πονηρα ενωπιον εμου

Digitized by Google

αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς καὶ οὐ
32 διενοήθην ἐν τῇ καρδίᾳ μου. [32] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύ-
ριος, καὶ οὐκ ἐροῦσιν ἔτι βωμὸς τοῦ Ταφὲθ καὶ φάραγξ υἱοῦ Ἐννόμ, ἀλλ᾽
ἡ φάραγξ τῶν ἀνῃρημένων· καὶ θάψουσιν ἐν τῷ Ταφὲθ διὰ τὸ μὴ ὑπάρ-
33 χειν τόπον, [33] καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου εἰς βρῶσιν τοῖς πετει-
νοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται ὁ ἀποσοβῶν.
34 [34] καὶ καταλύσω ἐκ πόλεων Ἰούδα καὶ ἐκ διόδων Ἱερουσαλὴμ φωνὴν εὐ-
φραινομένων καὶ φωνὴν χαιρόντων, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὅτι * Apoc. 18, 23.
εἰς ἐρήμωσιν ἔσται πᾶσα ἡ γῆ.

## VIII.

Ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, ἐξοίσουσι τὰ ὀστᾶ τῶν βασιλέων
Ἰούδα καὶ τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτοῦ καὶ τὰ ὀστᾶ τῶν ἱερέων καὶ τὰ
ὀστᾶ προφητῶν καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν Ἱερουσαλὴμ ἐκ τῶν τά-
2 φων αὐτῶν, [2] καὶ ψύξουσιν αὐτὰ πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πρὸς
πάντας τοὺς ἀστέρας καὶ πρὸς πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ἃ ἠγάπη-
σαν καὶ οἷς ἐδούλευσαν καὶ ὧν ἐπορεύθησαν ὀπίσω αὐτῶν, καὶ ὧν ἀντείχοντο
καὶ οἷς προσεκύνησαν αὐτοῖς· οὐ κοπήσονται καὶ οὐ ταφήσονται, καὶ ἔσονται
3 εἰς παράδειγμα ἐπὶ προσώπου τῆς γῆς, [3] ὅτι εἵλοντο τὸν θάνατον ἢ τὴν ζωήν,
καὶ πᾶσι τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γενεᾶς ἐκείνης, ἐν
4 παντὶ τόπῳ οὗ ἐὰν ἐξώσω αὐτοὺς ἐκεῖ. [4] ὅτι τάδε λέγει κύριος Μὴ ὁ πίπτων
5 οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει; [5] διὰ τί ἀπέστρεψεν ὁ λαός
μου οὗτος ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν
6 καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι; [6] ἐνωτίσασθε δὴ καὶ ἀκούσατε· οὐχ οὕτω
λαλήσουσιν, οὐκ ἔστιν ἄνθρωπος ὁ μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων
Τί ἐποίησα; διέλιπεν ὁ τρέχων ἀπὸ τοῦ δρόμου αὐτοῦ ὡς ἵππος κάθιδρος
7 ἐν χρεμετισμῷ αὐτοῦ. [7] καὶ ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς·
τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν· ὁ
8 δὲ λαός μου οὗτος οὐκ ἔγνω τὰ κρίματα κυρίου. [8] πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν
ἡμεῖς, καὶ νόμος κυρίου μεθ᾽ ἡμῶν ἐστιν; εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς
9 γραμματεῦσιν. [9] ᾐσχύνθησαν σοφοὶ καὶ ἐπτοήθησαν καὶ ἑάλωσαν, ὅτι τὸν νό-
10 μον κυρίου ἀπεδοκίμασαν· σοφία τίς ἐστιν ἐν αὐτοῖς; [10] διὰ τοῦτο δώσω
13 τὰς γυναῖκας αὐτῶν ἑτέροις, καὶ τοὺς ἀγροὺς αὐτῶν τοῖς κληρονόμοις, [13] καὶ
συνάξουσι τὰ γεννήματα αὐτῶν, λέγει κύριος· οὐκ ἔστι σταφυλὴ ἐν ταῖς
ἀμπέλοις, καὶ οὐκ ἔστι σῦκα ἐν ταῖς συκαῖς, καὶ τὰ φύλλα κατεῤῥύηκεν.
14 [14] ἐπὶ τί ἡμεῖς καθήμεθα; συνάχθητε καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς
ὀχυρὰς καὶ ἀποῤῥιφῶμεν ἐκεῖ, ὅτι ὁ θεὸς ἀπέῤῥιψεν ἡμᾶς καὶ ἐπότισεν ἡμᾶς
15 ὕδωρ χολῆς, ὅτι ἡμάρτομεν ἐναντίον αὐτοῦ. [15] συνήχθημεν εἰς εἰρήνην, καὶ
16 οὐκ ἦν ἀγαθά, εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ σπουδή. [16] ἐκ Δὰν ἀκουσόμεθα
φωνὴν ὀξύτητος ἵππων αὐτοῦ, ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐ-
τοῦ ἐσείσθη πᾶσα ἡ γῆ· καὶ ἥξει καὶ καταφάγεται τὴν γῆν καὶ τὸ πλή-
17 ρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. [17] διότι ἰδοὺ ἐγὼ ἐξαπο-
στέλλω εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς οὐκ ἔστιν ἐπᾶσαι, καὶ δήξονται ὑμᾶς
18 19 [18] ἀνίατα μετ᾽ ὀδύνης καρδίας ὑμῶν ἀπορουμένης. [19] ἰδοὺ φωνὴ κραυγῆς

---

31. αυτοις ουδε διεν. 32. εν τω ταφω ταφεθ 33. εις καταβρωμα πασιν τοις 34. εκ πολεως VIII. 1. των προφητων αυτων ... κατοικουντων ιερουσαλημ 2. στρατειαν 3. ειλαντο τ. θαν. μαλλον η ... ω εαν 4. ουκ επιστρεψει 5. * διοτι pro δια τι ... om μου ... κατεκρατηθησαν τη ... om του 6. ουτως λαλουσιν . . ανθρωπος μετανοων ... διελειπεν ... εκ pro απο 7. εισοδου αυτων ... om ουτος 9. τον λογον κυριου 10. εταιροις 13. γενηματα 14. om εκει 16. ακουσομαι ... απ αυτου πασα η 17. εφ υμας ... * επιλησαι, ** επιλαλησαι pro επασαι

Digitized by Google

θυγατρὸς λαοῦ μου ἀπὸ γῆς μακρόθεν· μὴ κύριος οὐκ ἔστιν ἐν Σιών; ἢ
βασιλεὺς οὐκ ἔστιν ἐκεῖ; διότι παρώργισάν με ἐν τοῖς γλυπτοῖς αὐτῶν καὶ
ἐν ματαίοις ἀλλοτρίοις. [20] διῆλθε θέρος, παρῆλθεν ἀμητός, καὶ ἡμεῖς οὐ διε- 20
σώθημεν. [21] ἐπὶ συντρίμματι θυγατρὸς λαοῦ μου ἐσκοτώθην· ἐν ἀπορίᾳ κα- 21
τίσχυσάν με ὠδῖνες ὡς τικτούσης. [22] καὶ μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, 22
ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;

## IX.

Τίς δώσει κεφαλῇ μου ὕδωρ καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ
κλαύσομαι τὸν λαόν μου τοῦτον ἡμέρας καὶ νυκτός, τοὺς τετραυματισμένους
θυγατρὸς λαοῦ μου; [2] τίς δῴη μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ κατα- 2
λείψω τὸν λαόν μου καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν; ὅτι πάντες μοιχῶνται,
σύνοδος ἀθετούντων, [3] καὶ ἐνέτειναν τὴν γλῶσσαν αὐτῶν ὡς τόξον· ψεῦδος 3
καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ τῆς γῆς, ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξήλθοσαν, καὶ
ἐμὲ οὐκ ἔγνωσαν, φησὶ κύριος. [4] ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε, 4
καὶ ἐπ' ἀδελφοῖς αὐτῶν μὴ πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ,
καὶ πᾶς φίλος δολίως πορεύσεται. [5] ἕκαστος κατὰ τοῦ φίλου αὐτοῦ καταπαί- 5
ξεται, ἀλήθειαν οὐ μὴ λαλήσωσι· μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ,
ἠδίκησαν καὶ οὐ διέλιπον τοῦ ἐπιστρέψαι. [6] τόκος ἐπὶ τόκῳ, καὶ δόλος ἐπὶ 6
δόλῳ· οὐκ ἤθελον εἰδέναι με, φησὶ κύριος. [7] διὰ τοῦτο τάδε λέγει κύριος 7
Ἰδοὺ ἐγὼ πυρώσω αὐτοὺς καὶ δοκιμῶ αὐτούς, ὅτι ποιήσω ἀπὸ προσώπου
πονηρίας θυγατρὸς λαοῦ μου. [8] βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια 8
τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ καὶ ἐν
ἑαυτῷ ἔχει τὴν ἔχθραν. [9] μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος, ἢ 9
ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; [10] ἐπὶ τὰ ὄρη λάβετε κοπετόν, 10
καὶ ἐπὶ τὰς τρίβους τῆς ἐρήμου θρῆνον, ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι ἀν-
θρώπους· οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ καὶ ἕως
κτηνῶν, ἐξέστησαν, ᾤχοντο. [11] καὶ δώσω τὴν Ἱερουσαλὴμ εἰς μετοικίαν καὶ 11
εἰς κατοικητήριον δρακόντων, καὶ τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν θήσομαι
παρὰ τὸ μὴ κατοικεῖσθαι. [12] τίς ὁ ἄνθρωπος ὁ συνετὸς καὶ συνέτω τοῦτο; 12
καὶ ᾧ λόγος στόματος κυρίου πρὸς αὐτόν, ἀναγγειλάτω ὑμῖν ἕνεκεν τίνος
ἀπώλετο ἡ γῆ, ἀνήφθη ὡς ἔρημος παρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν. [13] καὶ 13
εἶπε κύριος πρός με Διὰ τὸ ἐγκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου ὃν ἔδωκα πρὸ
προσώπου αὐτῶν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου, [14] ἀλλ' ἐπορεύθησαν 14
ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν τῆς κακῆς καὶ ὀπίσω τῶν εἰδώλων
ἃ ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν. [15] διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς 15
Ἰσραὴλ Ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ἀνάγκας, καὶ ποτιῶ αὐτοὺς ὕδωρ χολῆς,
[16] καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν εἰς οὓς οὐκ ἐγίνωσκον αὐτοὶ καὶ οἱ 16
πατέρες αὐτῶν, καὶ ἐπαποστελῶ ἐπ' αὐτοὺς τὴν μάχαιραν ἕως τοῦ ἐξανα-
λῶσαι αὐτοὺς ἐν αὐτῇ. [17] τάδε λέγει κύριος Καλέσατε τὰς θρηνούσας καὶ 17
ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε καὶ φθεγξάσθωσαν [18] καὶ λαβέ- 18
τωσαν ἐφ' ὑμᾶς θρῆνον, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα,
καὶ τὰ βλέφαρα ὑμῶν ῥείτω ὕδωρ, [19] ὅτι φωνὴ οἴκτρου ἠκούσθη ἐν Σιών 19
Πῶς ἐταλαιπωρήσαμεν, κατῃσχύνθημεν σφόδρα, ὅτι ἐγκατελίπομεν τὴν γῆν

---

21. εσκοτωθην· απορια 22. om και ... ριτινη IX. 1. και τετραυματισμενους 3. om φησι κυριος 4. εξηλθοσαν φυλαξασθε ... αδελφ. εαυτων 5. φιλ. εαυτου ... λαλησουσιν ... διελειπον 6. om φησι κυριος 8. η καρδια αυτων 10. εξελειπον ... των κτηνων 11. κατοικητηρια 12. τις ανθρωπος συνετος (*συνετως) και συνιειτε τουτο· και ο λογος ... αναγγ. ημιν τινος ενεκεν ... **om αυτην 14. οπισω των εραστων ... ιδωλων 15. ψωμιζω υμας αυτους 17. ελθατωσαν 19. εγκατελειπομεν

20 καὶ ἀπεῤῥίψαμεν τὰ σκηνώματα ἡμῶν. [20] ἀκούσατε δὴ γυναῖκες λόγον θεοῦ,
καὶ δεξάσθω τὰ ὦτα ὑμῶν λόγους στόματος αὐτοῦ, καὶ διδάξατε τὰς θυ-
21 γατέρας ὑμῶν οἶκτον, καὶ γυνὴ τὴν πλησίον αὐτῆς θρῆνον. [21] ὅτι ἀνέβη θά-
νατος διὰ τῶν θυρίδων ὑμῶν, εἰςῆλθεν εἰς τὴν γῆν ὑμῶν τοῦ ἐκτρῖψαι νήπια
22 ἔξωθεν καὶ νεανίσκους ἀπὸ τῶν πλατειῶν. [22] καὶ ἔσονται οἱ νεκροὶ τῶν ἀν-
θρώπων εἰς παράδειγμα ἐπὶ προςώπου τοῦ πεδίου τῆς γῆς ὑμῶν, ὡς χόρτος
23 ὀπίσω θερίζοντος, καὶ οὐκ ἔσται ὁ συνάγων. [23] τάδε λέγει κύριος Μὴ καυ- 1 Cor.
χάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ 1, 31. 2 Cor.
24 αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, [24] ἀλλ' ἢ ἐν τούτῳ 10, 17.
καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν ὅτι ἐγώ εἰμι κύριος ὁ ποιῶν
ἔλεος καὶ κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου,
25 λέγει κύριος. [25] ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐπισκέψομαι ἐπὶ πάν-
26 τας περιτετμημένους ἀκροβυστίας αὐτῶν, [26] ἐπ' Αἴγυπτον καὶ ἐπὶ Ἰδουμαίαν
καὶ ἐπὶ Ἐδώμ, καὶ ἐπὶ υἱοὺς Ἀμμὼν καὶ ἐπὶ υἱοὺς Μωάβ, καὶ ἐπὶ πάντα
περικειρόμενον τὰ κατὰ πρόσωπον αὐτοῦ τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ,
ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκί, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι
καρδίας αὐτῶν.

## X.

2 Ἀκούσατε τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ. [2] τάδε
λέγει κύριος Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων
3 τοῦ οὐρανοῦ μὴ φοβεῖσθε, ὅτι φοβοῦνται αὐτὰ τοῖς προςώποις αὐτῶν. [3] ὅτι
τὰ νόμιμα τῶν ἐθνῶν μάταια· ξύλον ἐστὶν ἐκ τοῦ δρυμοῦ ἐκκεκομμένον, ἔρ-
4 γον τέκτονος καὶ χώνευμα, [4] ἀργυρίῳ καὶ χρυσίῳ κεκαλλωπισμένα ἐν σφύραις,
5 9 καὶ ἥλοις ἐστερέωσαν αὐτά· [5] στήσουσιν αὐτὰ καὶ οὐ κινηθήσονται· [9] ἀργύ-
ριον τορευτόν ἐστιν, οὐ πορεύσονται, ἀργύριον προςβλητόν ἐστιν ἀπὸ Θαρσίς,
ἥξει χρυσίον Μωφάζ, καὶ χεὶρ χρυσοχόων, ἔργα τεχνιτῶν πάντα, ὑάκινθον καὶ
5 πορφύραν ἐνδύσουσιν αὐτά· [5] αἰρόμενα ἀρθήσονται, ὅτι οὐκ ἐπιβήσονται. μὴ
φοβηθῆτε αὐτά, ὅτι οὐ μὴ κακοποιήσωσιν, καὶ ἀγαθὸν οὐκ ἔστιν ἐν αὐτοῖς.
11 [11] οὕτως ἐρεῖτε αὐτοῖς Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπο-
12 λέσθωσαν ἐκ τῆς γῆς καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου. [12] κύριος ὁ ποιή-
σας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ
13 αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν [13] καὶ πλῆθος ὕδατος ἐν
οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν
14 ἐποίησε, καὶ ἐξήγαγε φῶς ἐκ θησαυρῶν αὐτοῦ. [14] ἐμωράνθη πᾶς ἄνθρωπος
ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἐπὶ τοῖς γλυπτοῖς αὐτοῦ, ὅτι ψευδῆ
15 ἐχώνευσεν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς. [15] μάταιά ἐστιν ἔργα ἐμπεπαιγμένα,
16 ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. [16] οὐκ ἔστι τοιαύτη μερὶς τῷ Ἰακώβ,
17 ὅτι ὁ πλάσας τὰ πάντα αὐτὸς κληρονομία αὐτοῦ, κύριος ὄνομα αὐτῷ. [17] συνή-
18 γαγεν ἔξωθεν τὴν ὑπόστασίν σου κατοικοῦσαν ἐν ἐκλεκτοῖς. [18] ὅτι τάδε λέγει
κύριος Ἰδοὺ ἐγὼ σκελίζω τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἐν θλίψει ὅπως
19 εὑρεθῇ ἡ πληγή σου. [19] οὐαὶ ἐπὶ συντρίμματί σου, ἀλγηρὰ ἡ πληγή σου.
20 κἀγὼ εἶπα Ὄντως τοῦτο τὸ τραῦμά σου, καὶ κατέλαβέ σε. [20] ἡ σκηνή σου

20. λογον κυριου ... οικτρον ... εαυτης 21. οτι ανεβη θαν. εις τ. γ. υμ. και ηλθεν δια των θυριδων υμων του 22. και ως χορτος 24. συνιειν usque ελεος και κρι in rasura; antea pauciora erant. 25. περιτετετμημενους 26. επι την ιδουμαιαν ... επι παντας τους υιους αμμων κ. ε. τους υιους μ. κ. ε. παν περικ. ... απεριτετμητα ... ισρ. απεριτμητος X. 1. ακουσατε λογον 2. πορευεσθαι pro μανθανετε 4. κεκαλλωπ. εστιν 5. om θησουσιν αυτα 9. προςβλητον απο θαρσεις ηξει ... ed. rom. εστι. απο ... χειρες 5. οτι ου κακοποιησουσιν 11. απο της γης 16. κυριος ον. αυτου 17. η κατοικουσα 19. και εγω ... τραυμα ουκ εκατελαβεν με

Digitized by Google

ἐταλαιπώρησεν, ὤλετο, καὶ πᾶσαι αἱ δέῤῥεις σου διεσπάσθησαν· οἱ υἱοί μου
καὶ τὰ πρόβατά μου οὐκ εἰσίν, οὐκ ἔστιν ἔτι τόπος τῆς σκηνῆς μου, τόπος
τῶν δέῤῥεών μου. [21] ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν κύριον οὐκ ἐζή- 21
τησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομή, καὶ διεσκορπίσθησαν. [22] φωνὴ 22
ἀκοῆς ἰδοὺ ἔρχεται καὶ σεισμὸς μέγας ἐκ γῆς βοῤῥᾶ τοῦ τάξαι τὰς πόλεις
Ἰούδα εἰς ἀφανισμὸν καὶ κοίτην στρουθῶν. [23] οἶδα κύριε ὅτι οὐχὶ τοῦ ἀν- 23
θρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἀνὴρ πορεύσεται καὶ κατορθώσει πορείαν αὐτοῦ.
[24] παίδευσον ἡμᾶς κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους 24
ἡμᾶς ποιήσῃς. [25] ἔκχεον τὸν θυμόν σου ἐπὶ ἔθνη τὰ μὴ εἰδότα σε καὶ ἐπὶ 25
γενεὰς αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο, ὅτι κατέφαγον τὸν Ἰακὼβ καὶ
ἐξανήλωσαν αὐτόν, καὶ τὴν νομὴν αὐτοῦ ἠρήμωσαν.

## XI.

### Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΛΕΓΩΝ

[2] Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ λαλήσεις πρὸς ἄνδρας 2
Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ, [3] καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε 3
λέγει κύριος ὁ θεὸς Ἰσραήλ Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς οὐκ ἀκούσεται τῶν
λόγων τῆς διαθήκης ταύτης, [4] ἧς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ᾗ 4
ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐκ καμίνου τῆς σιδηρᾶς, λέγων Ἀκούσατε
τῆς φωνῆς μου καὶ ποιήσατε πάντα ὅσα ἐὰν ἐντείλωμαι ὑμῖν, καὶ ἔσεσθέ
μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς θεόν, [5] ὅπως στήσω τὸν ὅρκον μου ὃν 5
ὤμοσα τοῖς πατράσιν ὑμῶν, τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι
καθὼς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθην καὶ εἶπα Γένατο, κύριε. [6] καὶ εἶπε κύ- 6
ριος πρὸς μέ Ἀνάγνωθι τοὺς λόγους τούτους ἐν πόλεσιν Ἰούδα καὶ ἔξωθεν
Ἱερουσαλὴμ λέγων Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης καὶ ποιήσατε
αὐτούς. [8] καὶ οὐκ ἐποίησαν. [9] καὶ εἶπε κύριος πρὸς μέ Εὑρέθη σύνδεσμος ἐν 8 9
ἀνδράσιν Ἰούδα καὶ ἐν τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλήμ· [10] ἐπεστράφησαν ἐπὶ 10
τὰς ἀδικίας τῶν πατέρων αὐτῶν τῶν πρότερον, οἳ οὐκ ἠθέλησαν εἰσακοῦσαι
τῶν λόγων μου, καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δου-
λεύειν αὐτοῖς, καὶ διεσκέδασεν οἶκος Ἰσραὴλ καὶ οἶκος Ἰούδα τὴν διαθήκην
μου ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν. [11] διὰ τοῦτο τάδε λέγει κύριος 11
Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ ἐξ ὧν οὐ δυνήσονται ἐξελθεῖν
ἐξ αὐτῶν, καὶ κεκράξονται πρὸς μὲ καὶ οὐκ εἰσακούσομαι αὐτῶν. [12] καὶ 12
πορεύσονται πόλεις Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ καὶ κεκράξονται
πρὸς τοὺς θεοὺς οἷς αὐτοὶ θυμιῶσιν αὐτοῖς, οἳ μὴ σώσουσιν αὐτοὺς ἐν τῷ
καιρῷ τῶν κακῶν αὐτῶν. [13] ὅτι κατ᾽ ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί 13
σου, Ἰούδα, καὶ κατ᾽ ἀριθμὸν ἐξόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βωμοὺς θυ-
μιᾶν τῇ Βάαλ. [14] καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου 14
περὶ αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι ἐν τῷ καιρῷ ἐν ᾧ

---

21. οι ποιμ. μου ηυφρονευσαντο ... εξεζητησαν 23.ποριαν 24. ποιησεις 25. εκχ. την οργην σου ... ιδοντα σε ... ab επι γενεας rursus incipit cod. FA ... FA* κατεφαγεσαν ... εξανηλ. τον ισραηλ ... FA* τον νομον XI. 2. και τους κατοικουντας ιερουσαλημ 3. FA επικαταρατος ανθρωπ. ος ουκ ακουσει της φωνης της διαθ. τ. 4. ην ενετειλαμην ... FA*.* εκ της καμινου ... om εαν 5. ως pro καθως 9. εν πολεσιν ιουδα ... Ax FA κατοικουσιν ιερουσαλημ 10. FA των προτερων ... Ax FA ηθελον ... ακουσαι, FA υπακουσαι ... Ax FA αυτοι βαδιζουσιν οπισω ... FA διεσκεδασαν 11. FA εξ αυτων εξελθειν 12. θεους αυτων ... FA εθυμιωσαν ... FA* om οι μη σ. αυτ., *.* supplet ου μη σωσουσ. αυτους atque his :: praemittit και ... om οι ... εν καιρω 13. κατα αριθμον bis ... FA αριθμον πολεων ησαν ... FA των εξοδων ... Ax FA εταξαν ... του θυμιαν 14. υπερ του ... FA* εισακουσω ... καιρω ω



Digitized by Google

15 ἐπικαλοῦνταί με, ἐν καιρῷ κακώσεως αὐτῶν. [15] τί ἡ ἠγαπημένη ἐν τῷ
οἴκῳ μου ἐποίησε βδέλυγμα; μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσιν ἀπὸ σοῦ
16 τὰς κακίας σου, ἢ τούτοις διαφεύξῃ; [16] ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει ἐκά-
λεσε κύριος τὸ ὄνομά σου· εἰς φωνὴν περιτομῆς αὐτῆς ἀνήφθη πῦρ ἐπ' αὐ-
17 τήν, μεγάλη ἡ θλῖψις ἐπὶ σέ, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς, [17] καὶ κύριος ὁ
καταφυτεύσας σε ἐλάλησεν ἐπὶ σὲ κακὰ ἀντὶ τῆς κακίας οἴκου Ἰσραὴλ καὶ
οἴκου Ἰούδα, ὅτι ἐποίησαν ἑαυτοῖς τοῦ παροργίσαι με ἐν τῷ θυμιᾶν αὐτοὺς
18 τῇ Βάαλ. [18] κύριε γνώρισόν μοι, καὶ γνώσομαι· τότε εἶδον τὰ ἐπιτηδεύματα
19 αὐτῶν, [19] ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων· ἐπ'
ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρόν, λέγοντες Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς
τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐ-
20 τοῦ οὐ μὴ μνησθῇ οὐκέτι. [20] κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ
καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ
21 δικαίωμά μου. [21] διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ τοὺς
ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας Οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνό-
22 ματι κυρίου, εἰ δὲ μή, ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. [22] ἰδοὺ ἐγὼ ἐπισκέ-
ψομαι ἐπ' αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ
23 αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, [23] καὶ ἐγκατάλειμμα
οὐκ ἔσται αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ ἐν
ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

## XII.

Δίκαιος εἶ κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω
πρὸς σέ. τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες
2 ἀθετήματα; [2] ἐφύτευσας αὐτοὺς καὶ ἐρριζώθησαν, ἐτεκνοποιήσαντο καὶ ἐποίη-
σαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν
3 αὐτῶν. [3] καὶ σὺ κύριε γινώσκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον
4 σου· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν. [4] ἕως πότε πενθήσει ἡ γῆ
καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν
αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶπαν Οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς
5 ἡμῶν. [5] σοῦ οἱ πόδες τρέχουσι καὶ ἐκλύουσί σε· πῶς παρασκευάσῃ ἐφ' ἵπ-
ποις, καὶ ἐν γῇ εἰρήνης σου πέποιθας; πῶς ποιήσεις ἐν φρυάγματι τοῦ
6 Ἰορδάνου; [6] ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου, καὶ οὗτοι
ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν· μὴ πι-
7 στεύσῃς ἐν αὐτοῖς, ὅτι λαλήσουσι πρὸς σὲ καλά. [7] ἐγκαταλέλοιπα τὸν οἶκόν
μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς
8 χεῖρας ἐχθρῶν αὐτῆς. [8] ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ,
9 ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. [9] μὴ σπήλαιον

15. FA* om ἡ 16. FA εκαλεσεν σε κυριος ... πυρ εν αυτη ... FA* om ἡ ... Ax FA ηχρεωθησαν ... ed. rom. σου, εις φω. περ. αυτης. ανηφθη 17. (FA κακιας σου·ικου ...) εποιησαν αυτοις 18. ιδον 19. Ax FA εγω ως ... FA* αγομενος ... κατα σου λεγοντες ... εμβαλομεν, FA ενβαλωμεν ... αρτον τραχηλον αυτου ... και ονομα ... μνησθη ετι 20. FA και δοκιμαζων ... FA ειδοιμι (*ειδυμι) 21. κυριος ο θεος ... προφητευσης 22. εν μαχ. πεσουνται 23. FA ενκαταλιμμα, (Ax ενκαταλειμμα) ... FA και pro οτι XII. 1. FA αθετημα, Ax αθετησει 2. ερριζωσαν, FA εριζωσαν ... Ax FA ετεκνοποιησαν ... FA om και εποιησαν 3. εδοκιμασας (... FA* μου pro σου) 4. πας χορτος ξηρανθησεται ... των κατοικ. αυτων· ηφανισας κτ. κ. π. και ειπαν 5. εκλυσουσιν ... FA παρασκευαζη ... FA* ου (corrige συ?) pro σου ... FA* ποιησω εν φυαγματι (sic) 6. οτι οι ... om και ουτοι ... FA μη πιστευσεις ... λαλησουσιν επι σε 7. Ax FA ενκαταλ. 8. FA* εδωκαν

Digitized by Google

υαίνης ἡ κληρονομία μου ἐμοί, ἢ σπήλαιον κύκλῳ αὐτῆς; βαδίσατε συναγά-
γετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. [10] ποιμέ- 10
νες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν
τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον, [11] ἐτέθη εἰς ἀφανισμὸν 11
ἀπωλείας· δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τι-
θέμενος ἐν καρδίᾳ. [12] ἐπὶ πᾶσαν διεκβολὴν ἐν τῇ ἐρήμῳ ἦλθον ταλαιπωροῦν- 12
τες, ὅτι μάχαιρα τοῦ κυρίου καταφάγεται ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου
τῆς γῆς, οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί. [13] σπείρατε πυροὺς καὶ ἀκάνθας θε- 13
ρίζετε· οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς· αἰσχύνθητε ἀπὸ καυχή-
σεως ὑμῶν, ἀπὸ ὀνειδισμοῦ ἔναντι κυρίου. [14] ὅτι τάδε λέγει κύριος περὶ πάντων 14
τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου ἧς ἐμέρισα
τῷ λαῷ μου Ἰσραήλ Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν
Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν. [15] καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς 15
ἐπιστρέψω καὶ ἐλεήσω αὐτούς, καὶ κατοικιῶ αὐτοὺς ἕκαστον εἰς τὴν κληρο-
νομίαν αὐτοῦ καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ. [16] καὶ ἔσται ἐὰν μαθόντες 16
μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου τοῦ ὀμνύειν τῷ ὀνόματί μου Ζῇ κύριος,
καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ Βάαλ, καὶ οἰκοδομηθήσεται ἐν
μέσῳ τοῦ λαοῦ μου· [17] ἐὰν δὲ μὴ ἐπιστρέψωσι, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο 17
ἐξάρσει καὶ ἀπωλείᾳ.

## XIII.

Τάδε λέγει κύριος Βάδισον καὶ κτῆσαι σεαυτῷ περίζωμα λινοῦν καὶ
περίθου περὶ τὴν ὀσφύν σου, καὶ ἐν ὕδατι οὐ διελεύσεται. [2] καὶ ἐκτησάμην 2
τὸ περίζωμα κατὰ τὸν λόγον κυρίου καὶ περιέθηκα περὶ τὴν ὀσφύν μου. [3] καὶ 3
ἐγενήθη λόγος κυρίου πρὸς μὲ λέγων [4] Λάβε τὸ περίζωμα τὸ περὶ τὴν ὀσφύν 4
σου, καὶ ἀνάστηθι καὶ βάδισον ἐπὶ τὸν Εὐφράτην, καὶ κατάκρυψον αὐτὸ ἐκεῖ
ἐν τῇ τρυμαλιᾷ τῆς πέτρας. [5] καὶ ἐπορεύθην καὶ ἔκρυψα αὐτὸ ἐν τῷ Εὐ- 5
φράτῃ, καθὼς ἐνετείλατό μοι κύριος. [6] καὶ ἐγένετο μεθ' ἡμέρας πολλὰς καὶ 6
εἶπε κύριος πρός μέ Ἀνάστηθι βάδισον ἐπὶ τὸν Εὐφράτην, καὶ λάβε ἐκεῖθεν
τὸ περίζωμα ὃ ἐνετειλάμην σοι τοῦ κατακρύψαι ἐκεῖ. [7] καὶ ἐπορεύθην ἐπὶ 7
τὸν Εὐφράτην ποταμὸν καὶ ὤρυξα, καὶ ἔλαβον τὸ περίζωμα ἐκ τοῦ τόπου οὗ
κατώρυξα αὐτὸ ἐκεῖ, καὶ ἰδοὺ διεφθαρμένον ἦν, ὃ οὐ μὴ χρησθῇ εἰς οὐθέν.
[8] καὶ ἐγενήθη λόγος κυρίου πρὸς μὲ λέγων Τάδε λέγει κύριος [9] Οὕτω φθερῶ 8 9
τὴν ὕβριν Ἰούδα καὶ τὴν ὕβριν Ἱερουσαλήμ, [10] τὴν πολλὴν ταύτην ὕβριν, 10
τοὺς μὴ βουλομένους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν
ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς καὶ τοῦ προσκυνεῖν αὐτοῖς· καὶ ἔσονται ὥσπερ
τὸ περίζωμα τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν. [11] ὅτι καθάπερ κολλᾶται τὸ 11
περίζωμα περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώπου, οὕτως ἐκόλλησα πρὸς ἐμαυτὸν τὸν
οἶκον τοῦ Ἰσραὴλ καὶ πάντα οἶκον Ἰούδα, τοῦ γενέσθαι μοι εἰς λαὸν ὀνο-

9. FA νενης, Ax ληστων ... om η σπηλ. κυκλ. αυτης ... βαδισ. και συναγ. ... Ax FA ελθατωσαν ... καταφαγειν 10. FA om εμολυν. τ. μερ. μου ... εδωκαν μεριδα μου επιθυμητην εις, FA εδωκαν μεριδαν (ν deletum) επιθυμητην μου εις ... FA αβατον ερημον 11. εγενηθη εις ... FA ηφανισθη αφανισμω 12. ηλθοσαν ... FA εις οτι ... κατεφαγεν ... και εως ακρου 13. εσπειρατε ... θερισατε, FA θερισεται ... εαυτους ... αισχυνθ. αισχυνην ... FA απο ονιδισμων 14. των σκληρων ... FA εμερικα ... FA* τον ιουδα 15. om με ... FA* om και εκαστ. ε. τ. γην αυτ. 16. μανθανοντες ... om του λαου ... FA* τω ομνυειν ... ωκοδομηθησονται (sic) εμμεσω 17. Ax FA om και prius ... εξαρξει XIII. 3. εγενετο 5. FA* om και επορευθην 6. Ax FA Αναστ. και βαδ. 7. FA* κατωρυξαν 9. Ax FA ουτως 10. *του pro τους ... FA* πορευομενους ... Ax ο ου μη χρ., FA ο ου μη χρησθη 11. παντα τον οικον, FA* παν οικον ... FA του ιουδα

Digitized by Google

12 μαστὸν καὶ εἰς καύχημα καὶ εἰς δόξαν, καὶ οὐκ εἰσήκουσάν μου. [12] καὶ ἐρεῖς
πρὸς τὸν λαὸν τοῦτον Πᾶς ἀσκὸς πληρωθήσεται οἴνου· καὶ ἔσται ἐὰν εἴπωσι
13 πρὸς σέ Μὴ γνόντες οὐ γνωσόμεθα ὅτι πᾶς ἀσκὸς πληρωθήσεται οἴνου; [13] καὶ
ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ πληρῶ τοὺς κατοικοῦντας
τὴν γῆν ταύτην καὶ τοὺς βασιλεῖς αὐτῶν τοὺς καθημένους υἱοὺς τοῦ Δαυὶδ
ἐπὶ τοῦ θρόνου αὐτῶν καὶ τοὺς ἱερεῖς καὶ τοὺς προφήτας καὶ τὸν Ἰούδαν
14 καὶ πάντας τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ μεθύσματι, [14] καὶ διασκορπιῶ
αὐτοὺς ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τοὺς πατέρας αὐτῶν καὶ τοὺς υἱοὺς
αὐτῶν ἐν τῷ αὐτῷ· οὐκ ἐπιποθήσω, λέγει κύριος, καὶ οὐ φείσομαι καὶ οὐκ
15 οἰκτειρήσω ἀπὸ διαφθορᾶς αὐτῶν. [15] ἀκούσατε καὶ ἐνωτίσασθε, καὶ μὴ ἐπαί-
16 ρεσθε, ὅτι κύριος ἐλάλησε. [16] δότε τῷ κυρίῳ θεῷ ὑμῶν δόξαν πρὸ τοῦ συ-
σκοτάσαι καὶ πρὸ τοῦ προσκόψαι πόδας ὑμῶν ἐπ' ὄρη σκοτεινά· καὶ ἀνα-
17 μενεῖτε εἰς φῶς, καὶ ἐκεῖ σκιὰ θανάτου, καὶ τεθήσονται εἰς σκότος. [17] ἐὰν
δὲ μὴ ἀκούσητε, κεκρυμμένως κλαύσεται ἡ ψυχὴ ὑμῶν ἀπὸ προσώπου ὕβρεως,
καὶ κατάξουσιν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα, ὅτι συνετρίβη τὸ ποίμνιον κυρίου.
18 [18] εἴπατε τῷ βασιλεῖ καὶ τοῖς δυναστεύουσι Ταπεινώθητε καὶ καθίσατε, ὅτι
19 καθῃρέθη ἀπὸ κεφαλῆς ὑμῶν στέφανος δόξης ὑμῶν. [19] πόλεις αἱ πρὸς νότον
συνεκλείσθησαν, καὶ οὐκ ἦν ὁ ἀνοίγων· ἀπῳκίσθη Ἰούδας, συνετέλεσαν ἀποι-
20 κίαν τελείαν. [20] ἀνάλαβε ὀφθαλμούς σου, Ἱερουσαλήμ, καὶ ἴδε τοὺς ἐρχομέ-
νους ἀπὸ βορρᾶ· ποῦ ἔστι τὸ ποίμνιον ὃ ἐδόθη σοι, πρόβατα δόξης σου;
21 [21] τί ἐρεῖς ὅταν ἐπισκέπτωνταί σε; καὶ σὺ ἐδίδαξας αὐτοὺς ἐπὶ σὲ μαθήματα
22 εἰς ἀρχήν· οὐκ ὠδῖνες καθέξουσί σε καθὼς γυναῖκα τίκτουσαν; [22] καὶ ἐὰν
εἴπῃς ἐν τῇ καρδίᾳ σου Διὰ τί ἀπήντησέ μοι ταῦτα; διὰ τὸ πλῆθος τῆς
ἀδικίας σου ἀνεκαλύφθη τὰ ὀπίσθιά σου, παραδειγματισθῆναι τὰς πτέρνας
23 σου. [23] εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα
24 αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιῆσαι μεμαθηκότες τὰ κακά. [24] καὶ διέσπειρα
25 αὐτοὺς ὡς φρύγανα φερόμενα ὑπὸ ἀνέμου εἰς ἔρημον. [25] οὗτος ὁ κλῆρός σου
καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοί, λέγει κύριος· ὡς ἐπελάθου μου καὶ ἤλπισας
26 ἐπὶ ψεύδεσι, [26] κἀγὼ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ ὀφθή-
27 σεται ἡ ἀτιμία σου [27] καὶ ἡ μοιχεία σου καὶ χρεμετισμός σου καὶ ἡ ἀπαλλοτρίω-
σις τῆς πορνείας σου· ἐπὶ τῶν βουνῶν καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά
σου. οὐαί σοι Ἱερουσαλήμ, ὅτι οὐκ ἐκαθαρίσθης ὀπίσω μου ἕως τίνος ἔτι.

## XIV.

## ΚΑΙ ΕΓΕΝΕΤΟ ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΠΕΡΙ ΤΗΣ ΑΒΡΟΧΙΑΣ.

2 [2] Ἐπένθησεν ἡ Ἰουδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκενώθησαν, καὶ ἐσκοτώ-
3 θησαν ἐπὶ τῆς γῆς, καὶ ἡ κραυγὴ τῆς Ἱερουσαλὴμ ἀνέβη, [3] καὶ οἱ μεγιστᾶ-

11. Ax FA* ηκουσαν 13. FA* αυτων καθημενους υιου δαυειδ ... Ax FA om του prius ... επι θρονους α., FA επι θρονου αυτου (** αυτων) ... FA* τον ιουδα ... καθημενους εν ιερουσ. 14. FA* απο διασπορας αυτων 15. FA* ακουσασθε 16. θεω ημων 17. Ax FA om δε ... FA* κεκρυσμενως 18. om και καθισατε ... της κεφαλης ... om υμων secund. 19. απωκεισθη (sed FA confirmat αποικισθη) ... Ax FA συνετελεσεν 20. τους οφθαλμους ... ** ισραηλ pro ιερουσαλημ ... FA ειδε ... FA* ·απο βορραν 21. μαθητας εις αρχην ... Ax FA ουχ ωδινες ... ουχ ως γυναικα 22. om Δια ... της κακιας σου ... FA και ανεκαλυφθη ... Ax FA παραδιγματισθηναι 23. om αυτου ... δυνησεται 24. FA* om και ... διεφθειρα ... ερημον τοπον 25. Ax FA ουτος ... FA ο κληρονομος σου μερις ... επελ. νομου μου ... ·η ηλπισας (videtur) 26. τα οπισθια σου κατα προσωπον σου 27. αι μοιχιαι σου ... Ax FA ο χρεμετισμος ... FA της πονηριας σου ... εκαθερισθης XIV. 1. ο λογος ο γεναμενος πρ. ιερ. παρα κυριου περι τ. αβρ. 2. FA* κραυη

Digitized by Google

νες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ· ἤλθοσαν ἐπὶ τὰ
φρέατα, καὶ οὐχ εὕροσαν ὕδωρ, καὶ ἀπέστρεψαν τὰ ἀγγεῖα αὐτῶν κενά. 4 καὶ 4
τὰ ἔργα τῆς γῆς ἐξέλιπεν, ὅτι οὐκ ἦν ὑετός· ᾐσχύνθησαν οἱ γεωργοί, ἐπεκά-
λυψαν τὰς κεφαλὰς αὐτῶν. 5 καὶ ἔλαφοι ἐν ἀγρῷ ἔτεκον καὶ ἐγκατέλιπον, 5
ὅτι οὐκ ἦν βοτάνη. 6 ὄνοι ἄγριοι ἔστησαν ἐπὶ νάπας καὶ εἵλκυσαν ἄνεμον, 6
ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος. 7 αἱ ἁμαρτίαι ἡμῶν ἀντέ- 7
στησαν ἡμῖν· κύριε, ποίησον ἡμῖν ἕνεκεν σοῦ, ὅτι πολλαὶ αἱ ἁμαρτίαι ἡμῶν
ἐναντίον σοῦ, ὅτι σοὶ ἡμάρτομεν. 8 ὑπομονὴ Ἰσραήλ, κύριε, καὶ σώζεις ἐν 8
καιρῷ κακῶν· ἵνα τί ἐγενήθης ὡςεὶ πάροικος ἐπὶ τῆς γῆς καὶ ὡς αὐτόχθων
ἐκκλίνων εἰς κατάλυμα; 9 μὴ ἔσῃ ὥςπερ ἄνθρωπος ὑπνῶν ἢ ὡς ἀνὴρ οὐ δυ- 9
νάμενος σώζειν; καὶ σὺ ἐν ἡμῖν εἶ, κύριε, καὶ τὸ ὄνομά σου ἐπικέκληται ἐφ'
ἡμᾶς, μὴ ἐπιλάθῃ ἡμῶν. 10 οὕτως λέγει κύριος τῷ λαῷ τούτῳ Ἠγάπησαν 10
κινεῖν πόδας αὐτῶν καὶ οὐκ ἐφείσαντο, καὶ ὁ θεὸς οὐκ εὐώδωσεν ἐν αὐτοῖς,
νῦν μνησθήσεται τῆς ἀδικίας αὐτῶν. 11 καὶ εἶπε κύριος πρὸς μέ Μὴ προςεύ- 11
χου περὶ τοῦ λαοῦ τούτου εἰς ἀγαθά, 12 ὅτι ἐὰν νηστεύσωσιν, οὐκ εἰςακούσο- 12
μαι τῆς δεήσεως αὐτῶν, καὶ ἐὰν προσενέγκωσιν ὁλοκαυτώματα καὶ θυσίας,
οὐκ εὐδοκήσω ἐν αὐτοῖς, ὅτι ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ ἐγὼ
συντελέσω αὐτούς. 13 καὶ εἶπα Ὁ ὢν κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφη- 13
τεύουσι καὶ λέγουσιν Οὐχ ὄψεσθε μάχαιραν, οὐδὲ λιμὸς ἔσται ἐν ὑμῖν, ὅτι
ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς καὶ ἐν τῷ τόπῳ τούτῳ. 14 καὶ εἶπε 14
κύριος πρὸς μέ Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ
ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐνετειλάμην αὐτοῖς καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς·
ὅτι ὁράσεις ψευδεῖς καὶ μαντείας καὶ οἰωνίσματα καὶ προαιρέσεις καρδίας
αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν. 15 διὰ τοῦτο τάδε λέγει κύριος περὶ τῶν 15
προφητῶν τῶν προφητευόντων ἐπὶ τῷ ὀνόματί μου ψευδῆ, καὶ ἐγὼ οὐκ ἀπέ-
στειλα αὐτούς, οἳ λέγουσι Μάχαιρα καὶ λιμὸς οὐκ ἔσται ἐπὶ τῆς γῆς ταύτης,
Ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, καὶ ἐν λιμῷ συντελεσθήσονται οἱ προφῆ-
ται 16 καὶ ὁ λαὸς οἷς αὐτοὶ προφητεύουσιν αὐτοῖς, καὶ ἔσονται ἐῤῥιμμένοι 16
ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ, καὶ οὐκ
ἔσται ὁ θάπτων αὐτούς, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ
θυγατέρες αὐτῶν, καὶ ἐκχεῶ ἐπ' αὐτοὺς τὰ κακὰ αὐτῶν. 17 καὶ ἐρεῖς πρὸς 17
αὐτοὺς τὸν λόγον τοῦτον Καταγάγετε ἐπ' ὀφθαλμοὺς ὑμῶν δάκρυα ἡμέρας
καὶ νυκτὸς καὶ μὴ διαλιπέτωσαν, ὅτι συντρίμματι συνετρίβη θυγάτηρ λαοῦ
μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα. 18 ἐὰν ἐξέλθω εἰς τὸ πεδίον, καὶ ἰδοὺ τραυ- 18
ματίαι μαχαίρας, καὶ ἐὰν εἰςέλθω εἰς τὴν πόλιν, καὶ ἰδοὺ πόνος λιμοῦ, ὅτι
ἱερεὺς καὶ προφήτης ἐπορεύθησαν εἰς γῆν ἣν οὐκ ᾔδεισαν. 19 μὴ ἀποδοκι- 19
μάζων ἀπεδοκίμασας τὸν Ἰούδαν, καὶ ἀπὸ Σιὼν ἀπέστη ἡ ψυχή σου; ἵνα
τί ἔπαισας ἡμᾶς καὶ οὐκ ἔστιν ἡμῖν ἴασις; ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ
ἦν ἀγαθά, εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ ταραχή. 20 ἔγνωμεν κύριε ἁμαρτήματα 20

3. FA* απεστησαν ... νεωτερ. αυτης ... ουχ ευρον, FA ουκ ευροσαν ... υδωρ, απεστρεψαν ... αγγια 4. εξελειπεν ... om οι ... FA* επεκαλυψεν ... Ax FA την κεφαλην 5. ετεκοσαν κ. εγκατελειπον 6. FA οναγροι pro ον. αγρ. ... FA ναπας, ειλκυσαν ... εξελειπον ... in fine add απο λαου αδικιας 8. FA σωσεις ... FA ωςει αυτοχθων ... Ax FA εκκλεινων 9. FA η pro μη 10. FA ουτως ειπεν ... ουκ ηυδοκησεν, FA ουκ ευδοκησεν ... Ax FA των αδικιων 12. εαν νηστευσουσιν ... FA ευδοκω ... εν μαχαιρη ... FA συντελω 13. Ο ων δεσποτα κυριε ... FA ουχ οψεσθαι (*οψομεθα) μ. ουδε λιμ. ουκ ... εν ημιν ... FA* γης εν τω 14. FA* προφητευσουσιν επι ... Ax FA μαντιας 15. om επι ... Ax FA καγω ουκ ... οι λεγοντες 16. διοδοις ... μαχαιρης ... FA και λιμου, κ. ο. εστιν ... FA om και αι θυγ. αυτων 17. FA εφ οφθαλμους ... διαλειπετωσαν ... η θυγατηρ 18. τραυμ. ρομφαιας ... επορευθ. οδον ην 19. ed. rom. non interpg. post αγαθα

Digitized by Google

21 ἡμῶν, ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομεν ἐναντίον σου. [21] κόπασον διὰ
τὸ ὄνομά σου, μὴ ἀπολέσῃς θρόνον δόξης σου· μνήσθητι, μὴ διασκεδάσῃς
22 τὴν διαθήκην σου τὴν μεθ' ἡμῶν. [22] μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων; καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ εἶ αὐτός; καὶ ὑπομενοῦμέν σε, κύριε, ὅτι σὺ ἐποίησας πάντα ταῦτα.

## XV.

Καὶ εἶπε κύριος πρός με· Ἐὰν στῇ Μωυσῆς καὶ Σαμουὴλ πρὸ προσώ- *
που μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς· ἐξαπόστειλον τὸν λαὸν τοῦτον,
2 καὶ ἐξελθέτωσαν. [2] καὶ ἔσται ἐὰν εἴπωσι πρὸς σέ· Ποῦ ἐξελευσόμεθα; καὶ
ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει κύριος· Ὅσοι εἰς θάνατον, εἰς θάνατον· καὶ
ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν· καὶ ὅσοι εἰς λιμόν, εἰς λιμόν· καὶ ὅσοι εἰς *Apoc. 13, 10.
3 αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν. [3] καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τέσσαρα εἴδη,
λέγει κύριος· τὴν μάχαιραν εἰς σφαγήν, καὶ τοὺς κύνας εἰς διασπασμόν, καὶ
τὰ θηρία τῆς γῆς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ εἰς βρῶσιν καὶ διαφθοράν.
4 [4] καὶ παραδώσω αὐτοὺς εἰς ἀνάγκας πάσαις ταῖς βασιλείαις τῆς γῆς διὰ
Μανασσῆ υἱὸν Ἐζεκίου βασιλέως Ἰούδα περὶ πάντων ὧν ἐποίησεν ἐν Ἱερου-
5 σαλήμ. [5] τίς φείσεται ἐπὶ σοί, Ἱερουσαλήμ; καὶ τίς δειλιάσει ἐπὶ σοί; ἢ τίς
6 ἀνακάμψει εἰς εἰρήνην σοι; [6] σὺ ἀπεστράφης με, λέγει κύριος, ὀπίσω πορεύσῃ,
7 καὶ ἐκτενῶ τὴν χεῖρά μου καὶ διαφθερῶ σε, καὶ οὐκέτι ἀνήσω αὐτούς. [7] καὶ
διασπερῶ αὐτοὺς ἐν διασπορᾷ, ἐν πύλαις λαοῦ μου ἠτεκνώθησαν, ἀπώλεσαν
8 τὸν λαόν μου διὰ τὰς κακίας αὐτῶν, [8] ἐπληθύνθησαν αἱ χῆραι αὐτῶν ὑπὲρ
τὴν ἄμμον τῆς θαλάσσης· ἐπήγαγον ἐπὶ μητέρα νεανίσκους ταλαιπωρίαν ἐν
9 μεσημβρίᾳ, ἐπέῤῥιψα ἐπ' αὐτὴν ἐξαίφνης τρόμον καὶ σπουδήν. [9] ἐκενώθη ἡ
τίκτουσα ἑπτά, ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς, ἐπέδυ ὁ ἥλιος αὐτῇ ἔτι μεσούσης
τῆς ἡμέρας, κατῃσχύνθη καὶ ὠνειδίσθη· τοὺς καταλοίπους αὐτῶν εἰς μάχαι-
10 ραν δώσω ἐναντίον τῶν ἐχθρῶν αὐτῶν. [10] οἴμοι ἐγώ, μῆτερ, ὡς τινά με ἔτε-
κες ἄνδρα δικαζόμενον καὶ διακρινόμενον πάσῃ τῇ γῇ· οὔτε ὠφέλησα, οὔτε
11 ὠφέλησέν με οὐδείς· ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. [11] γένοιτο δέσποτα κατευθυνόντων αὐτῶν· εἰ μὴ παρέστην σοι ἐν καιρῷ τῶν κακῶν
12 αὐτῶν καὶ ἐν καιρῷ θλίψεως αὐτῶν, εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν. [12] εἰ γνω-
13 σθήσεται σίδηρος; καὶ περιβόλαιον χαλκοῦν ἡ ἰσχύς σου. [13] καὶ τοὺς θησαυ-
ρούς σου εἰς προνομὴν δώσω ἀντάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας σου καὶ
14 ἐν πᾶσι τοῖς ὁρίοις σου. [14] καὶ καταδουλώσω σε κύκλῳ τοῖς ἐχθροῖς σου ἐν
τῇ γῇ ᾗ οὐκ ᾔδεις· ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, ἐφ' ὑμᾶς καυ-
15 θήσεται. [15] κύριε, μνήσθητί μου καὶ ἐπίσκεψαί με, καὶ ἀθῴωσόν με ἀπὸ τῶν
καταδιωκόντων με, μὴ εἰς μακροθυμίαν· γνῶθι ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμὸν

21. FA κοπασον δη δια ... σου μεθ ημων 22. FA εν ιδωλοις ... Ax FA om κυριε ... FA ταυτα παντα XV. 1. cod. alex. item ed. rom. μωσης ... ααρων pro σαμουηλ ... Ax FA εξελθατωσαν 2. κυριος ο θεος ... FA* χαραν bis pro μαχαιραν 3. Ax FA τεσσερα ... Ax FA και εις διαφθ. 4. μαννασση υι. εζεκια ... Ax FA βασιλεα 5. FA η τις pro και τις ... FA επ ιρηνην (in Ax εποιησεν usque απεστραφης rescripta; antea pauciora) 6. οπισω μου ... την χειρ. μου επι σε 7. FA* om και διασπερω αυτους ... και διαφθερω εν διαφθορα ... FA* om μου ... FA* ητεκνωθην ... FA om απωλεσ. τ. λα. μου 8. Ax FA om αι ... FA υπερ αμμον ... FA νεανισκου ... FA επεριψα ... Ax FA* εξεφνης 9. FA* εγενηθη pro εκενωθη ... FA αυτη επιμεσουσης ... FA εναντι 10. Ax FA οιμμοι ... FA μητηρ ... FA* ω τινα pro ως τινα ... FA διακρ. εν παση τη γη, Ax διακρ. τη γη ... FA ουδε ωφελησεν με ουδε εις (correctum ουδεις) ... εξελειπεν 11. ed. rom. καθευθυνοντων (κατευθ. Ax FA) 12. FA* γνωσεται 13. FA δως ως ανταλλαγμα ... κακιας pro αμαρτιας 14. καταδουλωσουσιν 15. Ax FA αθοωσον ... FA με εκ των

Digitized by Google

16 ὑπὸ τῶν ἀθετούντων τοὺς λόγους σου, συντέλεσον αὐτούς, καὶ ἔσται ὁ λόγος 16
σου ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου, ὅτι ἐπικέκληται τὸ ὄνομά
σου ἐπ' ἐμοί, κύριε παντοκράτωρ. 17 οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παι- 17
ζόντων, ἀλλὰ εὐλαβούμην ἀπὸ προςώπου χειρός σου· καταμόνας ἐκαθήμην,
ὅτι πικρίας ἐνεπλήσθην. 18 ἵνα τί οἱ λυποῦντές με κατισχύουσί μου; ἡ πληγή 18
μου στερεά, πόθεν ἰαθήσομαι; γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδές, οὐκ
ἔχον πίστιν. 19 διὰ τοῦτο τάδε λέγει κύριος Ἐὰν ἐπιστρέψῃς, καὶ ἀποκατα- 19
στήσω σε καὶ πρὸ προςώπου μου στήσῃ· καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀνα-
ξίου, ὡς τὸ στόμα μου ἔσῃ· καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σέ, καὶ σὺ οὐκ
ἀναστρέψεις πρὸς αὐτούς. 20 καὶ δώσω σε τῷ λαῷ τούτῳ ὡς τεῖχος ὀχυρὸν 20
χαλκοῦν· καὶ πολεμήσουσι πρὸς σέ, καὶ οὐ μὴ δύνωνται πρὸς σέ, διότι μετὰ
σοῦ εἰμὶ τοῦ σώζειν σε 21 καὶ τοῦ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονηρῶν, καὶ 21
λυτρώσομαί σε ἐκ χειρὸς λοιμῶν.

## XVI.

Καὶ σὺ μὴ λάβῃς γυναῖκα, λέγει κύριος ὁ θεὸς Ἰσραήλ, 2 καὶ οὐ γεν- 2
νηθήσεταί σοι υἱὸς οὐδὲ θυγάτηρ ἐν τῷ τόπῳ τούτῳ. 3 ὅτι τάδε λέγει κύριος 3
περὶ τῶν υἱῶν καὶ περὶ τῶν θυγατέρων τῶν γεννωμένων ἐν τῷ τόπῳ τούτῳ,
καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τετοκυιῶν αὐτούς, καὶ περὶ τῶν πατέρων
αὐτῶν τῶν γεγεννηκότων αὐτοὺς ἐν τῇ γῇ ταύτῃ 4 Ἐν θανάτῳ νοσερῷ ἀπο- 4
θανοῦνται, οὐ κοπήσονται καὶ οὐ ταφήσονται· εἰς παράδειγμα ἐπὶ προσώπου
τῆς γῆς ἔσονται, καὶ τοῖς θηρίοις τῆς γῆς ἔσονται καὶ τοῖς πετεινοῖς τοῦ
οὐρανοῦ· ἐν μαχαίρᾳ πεσοῦνται καὶ ἐν λιμῷ συντελεσθήσονται. 5 τάδε λέγει 5
κύριος Μὴ εἰςέλθῃς εἰς θίασον αὐτῶν, καὶ μὴ πορευθῇς τοῦ κόψασθαι, καὶ
μὴ πενθήσῃς αὐτούς, ὅτι ἀφέστακα τὴν εἰρήνην μου ἀπὸ τοῦ λαοῦ τούτου.
6 οὐ μὴ κόψονται αὐτοὺς οὐδὲ ἐντομίδας οὐ μὴ ποιήσουσι καὶ οὐ ξυρηθή- 6
σονται, 7 καὶ οὐ μὴ κλασθῇ ἄρτος ἐν πένθει αὐτῶν εἰς παράκλησιν ἐπὶ τε- 7
θνηκότι· οὐ ποτιοῦσιν αὐτὸν ποτήριον εἰς παράκλησιν ἐπὶ πατρὶ καὶ μητρὶ
αὐτοῦ. 8 εἰς οἰκίαν πότου οὐκ εἰςελεύσῃ σὺ συγκαθίσαι μετ' αὐτῶν τοῦ φα- 8
γεῖν καὶ πιεῖν. 9 διότι τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ ἐγὼ καταλύω 9
ἐκ τοῦ τόπου τούτου ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν καὶ ἐν ταῖς ἡμέραις ὑμῶν
φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης.
10 καὶ ἔσται ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ ῥήματα ταῦτα, καὶ 10
εἴπωσι πρὸς σέ Διὰ τί ἐλάλησε κύριος ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα; τίς
ἡ ἀδικία ἡμῶν; καὶ τίς ἡ ἁμαρτία ἡμῶν ἣν ἡμάρτομεν ἔναντι κυρίου τοῦ
θεοῦ ἡμῶν; 11 καὶ ἐρεῖς πρὸς αὐτούς Ἀνθ' ὧν ἐγκατέλιπόν με οἱ πατέρες 11
ὑμῶν, λέγει κύριος, καὶ ᾤχοντο ὀπίσω θεῶν ἀλλοτρίων καὶ ἐδούλευσαν αὐτοῖς
καὶ προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον καὶ τὸν νόμον μου οὐκ ἐφυ-

18. ιασομαι ... FA* γεινομενη ... μοι εγενηθη ... Ax FA ψευδος ... ουκ εχων, FA*.* ουκ εσχον 19. Ax FA* απο αξιου ... Ax FA ως στομα 20. FA σε εν τω ... FA πολεμησωσι ... om προς 21. Ax FA om του ... FA om λυτρωσομαι σε XVI. 2. FA* εκινω pro τουτω 3. Ax FA και των θυγατερων ... FA των γεγεννημενων εν ... FA* μητερων τουτων 4. FA και ου κοπησονται ... ουδε ταφησονται ... Ax FA* παραδιγμα ... Ax FA om εσονται secundum ... εν μαχαιρη 5. FA αυτοὺων ... και πενθησης, FA και μη πενθησεις ... Ax FA* αφεστηκα 6. ου κοψονται, FA ου μη κοψωνται ... FA ουδ (*.* ουδε) εντομιδας ποιησουσιν ... ουδε μη ξυρησονται, FA και ου μη ξυρηθησονται 7. FA* εις παρακλησεις επι τεθν. ... επι πατρι αυτου η επι μητρι αυτου 8. FA om συ ... συ του καθεισαι 9. Ax FA υμων εν ταις ... *om και post χαρας 10. Ax FA απαγγειλης ... om τουτω ... FA* om κυριος ... Ax FA απαντα ... εναντιον 11. FA ερεις αυτοις ... εγκατελειπον ... οι πατερ. αυτων ... om και προσεκυν. αυτοι ... εγκατελειπον

Digitized by Google

12 λάξαντο, [12] καὶ ὑμεῖς ἐπονηρεύσασθε ὑπὲρ τοὺς πατέρας ὑμῶν· καὶ ἰδοὺ ὑμεῖς
πορεύεσθε ἕκαστος ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς τοῦ
13 μὴ ὑπακούειν μου. [13] καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης εἰς τὴν γῆν
ἣν οὐκ ᾔδειτε ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ δουλεύσετε ἐκεῖ θεοῖς ἑτέροις
14 οἳ οὐ δώσουσιν ὑμῖν ἔλεος. [14] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος,
καὶ οὐκ ἐροῦσιν ἔτι Ζῇ κύριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰ-
15 γύπτου, [15] ἀλλά Ζῇ κύριος ὃς ἀνήγαγε τὸν οἶκον Ἰσραὴλ ἀπὸ γῆς βοῤῥᾶ καὶ
ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ· καὶ ἀποκαταστήσω αὐτοὺς εἰς
16 τὴν γῆν αὐτῶν ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν. [16] ἰδοὺ ἐγὼ ἀποστέλλω τοὺς
ἁλιεῖς τοὺς πολλούς, λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα
ἀποστέλλω τοὺς πολλοὺς θηρευτάς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς
17 ὄρους καὶ ἐπάνω παντὸς βουνοῦ καὶ ἐκ τῶν τρυμαλιῶν τῶν πετρῶν. [17] ὅτι οἱ
ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν, καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα
18 αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. [18] καὶ ἀνταποδώσω διπλᾶς τὰς κακίας
αὐτῶν καὶ τὰς ἁμαρτίας αὐτῶν, ἐφ᾽ αἷς ἐβεβήλωσαν τὴν γῆν μου ἐν τοῖς θνη-
σιμαίοις τῶν βδελυγμάτων αὐτῶν καὶ ἐν ταῖς ἀνομίαις αὐτῶν, ἐν αἷς ἐπλημ-
19 μέλησαν τὴν κληρονομίαν μου. [19] κύριε, σὺ ἰσχύς μου καὶ βοήθειά μου καὶ
καταφυγή μου ἐν ἡμέραις κακῶν· πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ᾽ ἐσχάτου τῆς
γῆς καὶ ἐροῦσιν Ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ
20 ἔστιν ἐν αὐτοῖς ὠφέλημα. [20] εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεούς, καὶ οὗτοι
21 οὐκ εἰσὶ θεοί; [21] διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν
χεῖρά μου, καὶ γνωριῶ αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ὄνομά
μοι κύριος.

## XVII.

5 [5] Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ᾽ ἄνθρωπον, καὶ στη-
ρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ᾽ αὐτόν, καὶ ἀπὸ κυρίου ἀποστῇ ἡ καρδία
6 αὐτοῦ· [6] καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ, οὐκ ὄψεται ὅταν ἔλθῃ
τὰ ἀγαθά, καὶ κατασκηνώσει ἐν ἁλίμοις καὶ ἐν ἐρήμῳ, ἐν γῇ ἁλμυρᾷ ἥτις
7 οὐ κατοικεῖται. [7] καὶ εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ κυρίῳ, καὶ
8 ἔσται κύριος ἐλπὶς αὐτοῦ· [8] καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ᾽ ὕδατα, καὶ
ἐπὶ ἰκμάδα βαλεῖ ῥίζαν αὐτοῦ· οὐ φοβηθήσεται ὅταν ἔλθῃ καῦμα, καὶ ἔσται
ἐπ᾽ αὐτῷ στελέχη ἀλσώδη, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ
9 διαλείψει ποιῶν καρπόν. [9] βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστι,
10 καὶ τίς γνώσεται αὐτόν; [10] ἐγὼ κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων νε-
φρούς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ καὶ κατὰ τοὺς καρποὺς
11 τῶν ἐπιτηδευμάτων αὐτοῦ. [11] ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε· ποιῶν
πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡμίσει ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν
12 αὐτόν, καὶ ἐπ᾽ ἐσχάτων αὐτοῦ ἔσται ἄφρων. [12] θρόνος δόξης ὑψωμένος,

12. FA* και υμις ουκ επορευεσθαι υπερ ... ερκστων 13. *om απο της γης ταυτης ... FA εις γην ... FA* ην ουκ ιδητε ... om εκει 15. FA απο γης βορραν (ν erasum) τον οικ. ισραηλ ... FA* ουκ pro οὗ ... FA* γην ταυτην ην 16. FA αποστελλω αλεεις (correctum αλειεις) πολλους ... αλεεις ... Ax FA*.* αποστελω ... τους σοφους θηρευτας ... FA* και επανω ... βουνου υψηλου 17. FA αυτων ουκ εκρυβησαν απο προσωπου μου και ουκ εκρυβη ... FA* οφθαλμ. αυτων 18. Ax FA αδικιας pro κακιας 19. om συ ... FA εν ημερα 21. FA οτι εγω κυριος ονομα μοι κυριος (*.* om ον. μ. κυρ.) XVII. 5. FA om ὁ ... FA* σαρκαν, *.* σαρκας ... FA om επ αυτον ... FA* απεστη 6. FA* om ἡ bis ... *αγρομυρικη ... Ax FA η ουκ οψεται ... εν τη ερημω, FA* εν ερημοις ... FA* κατοικηθησεται 8. Ax FA ριζας ... Ax FA*.* και ου φοβηθ. ... εν αυτω ... FA*.* ποιουν 10. FA καρδιας, δοκιμαζων 11. ed. rom. ετεκε, ποιων 12. υψουμενος

Digitized by Google

ἁγίασμα ἡμῶν, [13] ὑπομονὴ Ἰσραήλ, κύριε, πάντες οἱ καταλιπόντες σε καται- 13
σχυνθήτωσαν, ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν
ζωῆς τὸν κύριον. [14] ἴασαί με κύριε, καὶ ἰαθήσομαι· σῶσόν με, καὶ σωθήσο- 14
μαι, ὅτι καύχημά μου σὺ εἶ. [15] ἰδοὺ αὐτοὶ λέγουσι πρός με Ποῦ ἐστιν ὁ λό- 15
γος κυρίου; ἐλθέτω. [16] ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ 16
ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα, σὺ ἐπίστῃ· τὰ ἐκπορευόμενα διὰ τῶν
χειλέων μου πρὸ προσώπου σού ἐστι. [17] μὴ γενηθῇς μοι εἰς ἀλλοτρίωσιν, φει- 17
δόμενός μου ἐν ἡμέρᾳ πονηρᾷ. [18] καταισχυνθήτωσαν οἱ διώκοντές με, καὶ μὴ 18
καταισχυνθείην ἐγώ· πτοηθείησαν αὐτοί, καὶ μὴ πτοηθείην ἐγώ· ἐπάγαγε ἐπ'
αὐτοὺς ἡμέραν πονηράν, δισσὸν σύντριμμα σύντριψον αὐτούς. [19] τάδε λέγει 19
κύριος Βάδισον καὶ στῆθι ἐν ταῖς πύλαις υἱῶν λαοῦ σου, ἐν αἷς εἰςπορεύον-
ται ἐν αὐταῖς βασιλεῖς Ἰούδα καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν
πάσαις ταῖς πύλαις Ἱερουσαλὴμ [20] καὶ ἐρεῖς αὐτοῖς Ἀκούσατε τὸν λόγον κυ- 20
ρίου, βασιλεῖς Ἰούδα καὶ πᾶσα Ἰουδαία καὶ πᾶσα Ἱερουσαλήμ, οἱ εἰςπο-
ρευόμενοι ἐν ταῖς πύλαις ταύταις [21] Τάδε λέγει κύριος Φυλάσσεσθε τὰς 21
ψυχὰς ὑμῶν καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ μὴ
ἐκπορεύεσθε ταῖς πύλαις Ἱερουσαλήμ, [22] καὶ μὴ ἐκφέρετε βαστάγματα ἐξ 22
οἰκιῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε· ἁγιά-
σατε τὴν ἡμέραν τῶν σαββάτων καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν. καὶ
οὐκ ἤκουσαν καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, [23] καὶ ἐσκλήρυναν τὸν τράχηλον 23
αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν τοῦ μὴ ἀκοῦσαί μου καὶ τοῦ μὴ δέξασθαι
παιδείαν. [24] καὶ ἔσται ἐὰν εἰςακούσητέ μου, λέγει κύριος, τοῦ μὴ εἰςφέρειν 24
βαστάγματα διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων,
καὶ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων τοῦ μὴ ποιεῖν πᾶν ἔργον, [25] καὶ εἰςε- 25
λεύσονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης βασιλεῖς καὶ ἄρχοντες καθήμε-
νοι ἐπὶ θρόνου Δαυὶδ καὶ ἐπιβεβηκότες ἐφ' ἅρμασι καὶ ἵπποις αὐτῶν, αὐτοὶ
καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ·
καὶ κατοικισθήσεται ἡ πόλις αὕτη εἰς τὸν αἰῶνα, [26] καὶ ἥξουσιν ἐκ τῶν πό- 26
λεων Ἰούδα, καὶ κυκλόθεν Ἱερουσαλὴμ καὶ ἐκ γῆς Βενιαμὶν καὶ ἐκ γῆς
πεδινῆς καὶ ἐκ τοῦ ὄρους καὶ ἐκ τῆς πρὸς νότον φέροντες ὁλοκαυτώματα
καὶ θυσίας καὶ θυμιάματα καὶ μάννα καὶ λίβανον, φέροντες αἴνεσιν εἰς οἶκον
κυρίου. [27] καὶ ἔσται ἐὰν μὴ ἀκούσητέ μου τοῦ ἁγιάζειν τὴν ἡμέραν τῶν σαβ- 27
βάτων, τοῦ μὴ αἴρειν βαστάγματα καὶ μὴ εἰςπορεύεσθαι ταῖς πύλαις Ἱερου-
σαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἀνάψω πῦρ ἐν ταῖς πύλαις αὐτῆς
καὶ καταφάγεται ἄμφοδα Ἱερουσαλήμ, καὶ οὐ σβεσθήσεται.

---

13. FA* υπομονης ... καταλειποντες ... FA* ante εσχυνθητωσαν (*.* καταισχυνθ.) add πτοηθιησαν ουτοι και μη πτοηθιην εγνω (corrige εγω) ... FA*.* απο της γης εγγραφητωσαν ... εγκατελειπον 14. *om σωσ. με και σωθησομαι ... FA*.* οτι το καυχημα ... om οτι ... om συ 15. Ax FA ελθατω 16. επιστασαι ... προσωπου μου 17. FA* om εν ημερα πονηρα 18. πτοηθειην pro καταισχυνθειην ... om πτοηθειην ... λιμον πονηραν ... FA συντριμα 19. εν πυλαις υιων ... FA* εισπορευονται (*.* add βασιλεις ιουδα και εν αις εκπορευονται εν αυταις, sed εν αυταις rursus erasum est) εν αυταις και εν πασαις 20. ερ. προς αυτους ... Ax FA om τον ... om και πασα ιουδ. ... FA πασα η ιουδ. 21. (*μη φυλασσ.) ... τας φυλακας υμων 21. 22. FA* om και μη εκπορ. τ. π. ιερ. [22] και μη εκφερ. (FA*.* φερεται, sed correctum est εκφερ.) usq. ημερα τ. σαββ. 22. οικων (... ημων) 23. εισακουσαι ... om και του μη δεξ. παιδ. 24. ακουσητε ... FA* om και αγιαζ. τ. ημ. τ. σαββατων 25. FA ιπποις, αυτοι ... FA αυτων και οι ανδρες ... om εν ... κατοικηθησεται 26. βενιαμειν ... Ax FA εκ της πεδινης ... FA θυσιαν (*.* add και) θυμιαματα, Ax θυσιαν και θυμιαμα 27. Ax FA εισακουσητε ... Ax FA*.* om μη tertium

Digitized by Google

## XVIII.

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ
2 ΛΕΓΩΝ [2]Ἀνάστηϑι καὶ κατάβηϑι εἰς οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ
3 τοὺς λόγους μου. [3]καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ αὐτὸς ἐποίει
4 ἔργον ἐπὶ τῶν λίϑων, [4]καὶ ἔπεσε τὸ ἀγγεῖον ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν
αὐτοῦ· καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον καϑὼς ἤρεσεν ἐνώπιον
5 6 αὐτοῦ ποιῆσαι. [5]καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [6]Εἰ καϑὼς ὁ κε-
ραμεὺς οὗτος οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς, οἶκος Ἰσραήλ; ἰδοὺ ὡς ὁ πη-
7 λὸς τοῦ κεραμέως ὑμεῖς ἐστὲ ἐν χερσί μου. [7]πέρας λαλήσω ἐπὶ ἔϑνος ἢ ἐπὶ
8 βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν, [8]καὶ ἐπιστραφῇ τὸ ἔϑνος
ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν ὧν
9 ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς. [9]καὶ πέρας λαλήσω ἐπὶ ἔϑνος καὶ βασιλείαν
10 τοῦ ἀνοικοδομεῖσϑαι καὶ τοῦ καταφυτεύεσϑαι, [10]καὶ ποιήσωσι τὰ πονηρὰ
ἐναντίον μου τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, καὶ μετανοήσω περὶ τῶν ἀγα-
11 ϑῶν ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. [11]καὶ νῦν εἰπὸν πρὸς ἄνδρας Ἰούδα
καὶ πρὸς τοὺς κατοικοῦντας Ἱερουσαλὴμ Ἰδοὺ ἐγὼ πλάσσω ἐφ᾽ ὑμᾶς κακά,
καὶ λογίζομαι ἐφ᾽ ὑμᾶς λογισμόν· ἀποστραφήτω δὴ ἕκαστος ἀπὸ ὁδοῦ αὐ-
12 τοῦ τῆς πονηρᾶς, καὶ καλλίονα ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν. [12]καὶ εἶπαν
Ἀνδριούμεϑα, ὅτι ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεϑα, καὶ ἕκαστος
13 τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν. [13]διὰ τοῦτο τάδε λέ-
γει κύριος Ἐρωτήσατε δὴ ἐν ἔϑνεσι, τίς ἤκουσε τοιαῦτα φρικτὰ ἃ ἐποίησε
14 σφόδρα παρϑένος Ἰσραήλ; [14]μὴ ἐκλείψουσιν ἀπὸ πέτρας μαστοί, ἢ χιὼν ἀπὸ
15 τοῦ Λιβάνου; μὴ ἐκκλίνῃ ὕδωρ βιαίως ἀνέμῳ φερόμενον; [15]ὅτι ἐπελάϑοντό
μου λαός μου, εἰς κενὸν ἐϑυμίασαν, καὶ ἀσϑενήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν
16 σχοίνους αἰωνίους τοῦ ἐπιβῆναι τρίβους οὐκ ἔχοντας ὁδὸν εἰς πορείαν, [16]τοῦ
τάξαι τὴν γῆν αὐτῶν εἰς ἀφανισμὸν καὶ σύριγμα αἰώνιον· πάντες οἱ διαπο-
17 ρευόμενοι δι᾽ αὐτῆς ἐκστήσονται καὶ κινήσουσι τὴν κεφαλὴν αὐτῶν. [17]ὡς
ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον ἐχϑρῶν αὐτῶν, δείξω αὐ-
18 τοῖς ἡμέραν ἀπωλείας αὐτῶν. [18]καὶ εἶπαν Δεῦτε καὶ λογισώμεϑα ἐπὶ Ἱερε-
μίαν λογισμόν, ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ ἱερέως καὶ βουλὴ ἀπὸ συνετοῦ
καὶ λόγος ἀπὸ προφήτου· δεῦτε καὶ πατάξωμεν αὐτὸν ἐν γλώσσῃ, καὶ ἀκου-
19 σόμεϑα πάντας τοὺς λόγους αὐτοῦ. [19]εἰςάκουσόν μου κύριε, καὶ εἰςάκουσον
20 τῆς φωνῆς τοῦ δικαιώματός μου. [20]εἰ ἀνταποδίδοται ἀντὶ ἀγαϑῶν κακά;
ὅτι συνελάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου, καὶ τὴν κόλασιν αὐτῶν ἔκρυ-
ψάν μοι· μνήσϑητι ἑστηκότος μου κατὰ πρόςωπόν σου τοῦ λαλῆσαι ὑπὲρ αὐ-
21 τῶν ἀγαϑά, τοῦ ἀποστρέψαι τὸν ϑυμόν σου ἀπ᾽ αὐτῶν. [21]διὰ τοῦτο δὸς

---

XVIII. 3. FA εις οικον 4. FA διεπεσεν ... αγγιον ... FA το αγγιον αυτου (⁘ add ο) εποιει ... παλιν αυτο εποιησεν αγγιον ... FA αγγιον ... Ax FA του ποιησαι 6. εν ταις χερσ. μ. 7. FA* επι εϑνη ... FA και επι pro η επι ... επι βασιλειας 8. επιστρεψη ... om αυτων ... Ax FA περι παντων των ... ων ελαλησα 9. επι εϑνη και επι βασιλειας 10. Ax FA ποιησουσι (-σιν Ax) ... την φωνην 11. FA* ενιπον πρ. ανδρα ... FA εν ιερουσαλημ ... FA* λογειμον ... απο της οδου ... FA ποιησεται (⁘ add τα) επιτηδευματα 12. FA* πορευσωμεϑα 13. εποι. μοι σφοδρα ... Ax FA παρϑ. ιερουσαλημ 14. FA* om μη pr. 15. Ax FA επελαϑεντο ... Ax FA ο λαος μου ... FA* εϑυμιασεν ... FA οδον ειςποριαν, Ax οδον πορειας 16. συρρηγμα ... παραπορευομενοι ... τας κεφαλας ... FA om την 17. των εχϑρων 18. Ax FA δευτε λογισωμεϑα ... FA* ιερεων et συνετων ... αυτον γλωσση ... FA λογους αυτω̈νου 19. και επακουσον της 20. Ax FA ανταποδιδοτε ... Ax FA om μοι ... FA* την ϑυραν σου

τοὺς υἱοὺς αὐτῶν εἰς λιμόν, καὶ ἄθροισον αὐτοὺς εἰς χεῖρας μαχαίρας· γε-
νέσθωσαν αἱ γυναῖκες αὐτῶν ἄτεκνοι καὶ χῆραι, καὶ οἱ ἄνδρες αὐτῶν γενέ-
σθωσαν ἀνῃρημένοι θανάτῳ, καὶ οἱ νεανίσκοι αὐτῶν πεπτωκότες μαχαίρᾳ ἐν
πολέμῳ. [22] γενηθήτω κραυγὴ ἐν ταῖς οἰκίαις αὐτῶν, ἐπάξεις ἐπ' αὐτοὺς λη- 22
στὰς ἄφνω, ὅτι ἐνεχείρησαν λόγον εἰς σύλληψίν μου καὶ παγίδας ἔκρυψαν
ἐπ' ἐμέ. [23] καὶ σὺ κύριε ἔγνως ἅπασαν τὴν βουλὴν αὐτῶν ἐπ' ἐμὲ εἰς θά- 23
νατον· μὴ ἀθωώσῃς τὰς ἀδικίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώ-
που σου μὴ ἐξαλείψῃς· γενέσθω ἡ ἀσθένεια αὐτῶν ἐναντίον σου, ἐν καιρῷ
θυμοῦ σου ποίησον ἐν αὐτοῖς.

## XIX.

Τότε εἶπε κύριος πρὸς μέ Βάδισον καὶ κτῆσαι βικὸν πεπλασμένον ὀστρά-
κινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ ἀπὸ τῶν ἱερέων, [2] καὶ 2
ἐξελεύσῃ εἰς τὸ πολυάνδριον υἱῶν τῶν τέκνων αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν προ-
θύρων πύλης τῆς χαρσεὶθ, καὶ ἀνάγνωθι ἐκεῖ πάντας τοὺς λόγους τούτους
οὓς ἂν λαλήσω πρὸς σέ, [3] καὶ ἐρεῖς αὐτοῖς Ἀκούσατε τὸν λόγον κυρίου, βα- 3
σιλεῖς Ἰούδα καὶ ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ οἱ
εἰςπορευόμενοι ἐν ταῖς πύλαις ταύταις Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ
Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακὰ ὥστε παντὸς ἀκούοντος αὐτὰ
ἠχήσει τὰ ὦτα αὐτοῦ, [4] ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ ἀπηλλοτρίωσαν τὸν τό- 4
πον τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐτῷ θεοῖς ἀλλοτρίοις οἷς οὐκ ᾔδεισαν αὐτοὶ
καὶ οἱ πατέρες αὐτῶν· καὶ οἱ βασιλεῖς Ἰούδα ἔπλησαν τὸν τόπον τοῦτον αἱ-
μάτων ἀθώων, [5] καὶ ᾠκοδόμησαν ὑψηλὰ τῇ Βάαλ τοῦ κατακαίειν τοὺς υἱοὺς 5
αὐτῶν ἐν πυρί, ἃ οὐκ ἐνετειλάμην οὐδὲ διενοήθην ἐν τῇ καρδίᾳ μου. [6] διὰ 6
τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ οὐ κληθήσεται τῷ τόπῳ τούτῳ
ἔτι Διάπτωσις καὶ Πολυάνδριον υἱοῦ Ἐννόμ, ἀλλ' ἢ Πολυάνδριον τῆς σφα-
γῆς. [7] καὶ σφάξω τὴν βουλὴν Ἰούδα καὶ τὴν βουλὴν Ἱερουσαλὴμ ἐν τῷ τόπῳ 7
τούτῳ, καὶ καταβαλῶ αὐτοὺς ἐν μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν καὶ
ἐν χερσὶ τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν, καὶ δώσω τοὺς νεκροὺς αὐτῶν
εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, [8] καὶ κα- 8
τάξω τὴν πόλιν ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συρισμόν· πᾶς ὁ παραπορευό-
μενος ἐπ' αὐτῆς σκυθρωπάσει καὶ συριεῖ ὑπὲρ πάσης τῆς πληγῆς αὐτῆς. [9] καὶ 9
ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν καὶ τὰς σάρκας τῶν θυγατέρων αὐτῶν,
καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ ἔδονται ἐν τῇ περιοχῇ καὶ ἐν τῇ
πολιορκίᾳ ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. [10] καὶ συντρίψεις τὸν 10
βικὸν κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν ἐκπορευομένων μετὰ σοῦ, [11] καὶ ἐρεῖς 11

---

21. μαχαιρης, FA* om μαχαιρας ... ατεκνοι χηραι ... αυτων εστωτες ανηρημενοι εν θανατω ... εν μαχαιρη 22. επαγαγε επ ... FA* αφνων ... FA* ενεχιρωσαν ... συλλημψιν, FA συνλημψιν 23. κυριε κυριε ... FA πασαν ... βουλ. αυτ. ην εβουλευσαντο επ ... FA* επ εμοι ... Ax FA αθωωσης ... Ax FA αμαρτ. των πατερων αυτων ... FA* om σου ante μη ... και μη εξαλ. ... FA θυμω ... ποιησον αυτοις XIX. 1. FA* om οστρακινον ... λαου σου κ. α. των πρεσβυτερων των ιερ. 2. της πυλης, FA πυλων ... FA*.* χαρσιθ (*πρθαρσινς i. e. θαρσις) ... λογους ους εαν, FA λογους ους αν 3. ακ. λογους, FA ακ. τους λογους ... om και ανδρ. ιουδα ... om εν prius ... FA om και οι εισπορ. ε. τ. π. ταυταις ... om αυτα ... FA *.* αμφοτερα τα ωτα 4. εγκατελειπον ... FA αθοων 5. post ενετειλ. add ουδε ελαλησα 6. κληθ. επι (corrige ετι?) τω ... om ετι 7. εν μαχαιρη ... FA εναντι ... FA χερσιν (** add των) ζητ. 8. και ταξω ... FA*.* και εις συριγμον, Ax και συριγμον ... FA* πορευομενος ... FA* ταυτης pro πασης 9. FA om αυτων secundum ... Ax FA εν πολιορκια (ed. rom. πολυορκια) 10. τ. βικ. τουτον

Digitized by Google

Τάδε λέγει κύριος Οὕτως συντρίψω τὸν λαὸν τοῦτον καὶ τὴν πόλιν ταύτην
12 καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δυνήσεται ἰαθῆναι ἔτι. [12] οὕτως
ποιήσω, λέγει κύριος, τῷ τόπῳ τούτῳ καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ
13 δοθῆναι τὴν πόλιν ταύτην ὡς τὴν διαπίπτουσαν. [13] καὶ οἶκοι Ἱερουσαλὴμ
καὶ οἶκοι βασιλέων Ἰούδα ἔσονται καθὼς ὁ τόπος ὁ διαπίπτων, ἀπὸ τῶν
ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις ἐν αἷς ἐθυμίασαν ἐπὶ τῶν δωμά-
των αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλο-
14 τρίοις. [14] καὶ ἦλθεν Ἱερεμίας ἀπὸ τῆς διαπτώσεως, οὗ ἀπέστειλεν αὐτὸν
κύριος ἐκεῖ τοῦ προφητεῦσαι, καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου κυρίου καὶ εἶπε
15 πρὸς πάντα τὸν λαόν [15] Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὴν πόλιν
ταύτην καὶ ἐπὶ πάσας τὰς πόλεις αὐτῆς καὶ ἐπὶ τὰς κώμας αὐτῆς ἅπαντα
τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτήν, ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν τοῦ
μὴ εἰςακούειν τῶν ἐντολῶν μου.

## XX.

Καὶ ἤκουσε Πασχὼρ ὁ υἱὸς Ἐμμὴρ ὁ ἱερεύς, καὶ οὗτος ἦν καθεστα-
μένος ἡγούμενος οἴκου κυρίου, τοῦ Ἱερεμίου προφητεύοντος τοὺς λόγους τού-
2 τους. [2] καὶ ἐπάταξεν αὐτόν, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸν καταράκτην ὃς ἦν ἐν
3 πύλῃ οἴκου ἀποτεταγμένου τοῦ ὑπερῴου ὃς ἦν ἐν οἴκῳ κυρίου. [3] καὶ ἐξήγαγε
Πασχὼρ τὸν Ἱερεμίαν ἐκ τοῦ καταράκτου, καὶ εἶπεν αὐτῷ Ἱερεμίας Οὐχὶ
4 Πασχὼρ ἐκάλεσε τὸ ὄνομά σου ἀλλ' ἢ Μέτοικον. [4] διότι τάδε λέγει κύριος
Ἰδοὺ ἐγὼ δίδωμί σε εἰς μετοικίαν σὺν πᾶσι τοῖς φίλοις σου· καὶ πεσοῦνται
ἐν μαχαίρᾳ ἐχθρῶν αὐτῶν, καὶ οἱ ὀφθαλμοί σου ὄψονται· καὶ σὲ καὶ πάντα
Ἰούδα δώσω εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ μετοικιοῦσιν αὐτοὺς καὶ
5 κατακόψουσιν ἐν μαχαίραις. [5] καὶ δώσω τὴν πᾶσαν ἰσχὺν τῆς πόλεως ταύ-
της καὶ πάντας τοὺς πόνους αὐτῆς καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως
6 Ἰούδα εἰς χεῖρας ἐχθρῶν αὐτοῦ, καὶ ἄξουσιν αὐτοὺς εἰς Βαβυλῶνα. [6] καὶ σὺ
καὶ πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου πορεύσεσθε ἐν αἰχμαλωσίᾳ, καὶ
ἐν Βαβυλῶνι ἀποθανῇ, καὶ ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ φίλοι σου οἷς
7 ἐπροφήτευσας αὐτοῖς ψευδῆ. [7] ἠπάτησάς με κύριε καὶ ἠπατήθην, ἐκράτησας
καὶ ἠδυνάσθης· ἐγενόμην εἰς γέλωτα, πᾶσαν ἡμέραν διετέλεσα μυκτηριζόμε-
8 νος. [8] ὅτι πικρῷ λόγῳ μου γελάσομαι, ἀθεσίαν καὶ ταλαιπωρίαν ἐπικαλέσο-
μαι, ὅτι ἐγενήθη λόγος κυρίου εἰς ὀνειδισμὸν ἐμοὶ καὶ εἰς χλευασμὸν πᾶσαν
9 ἡμέραν μου. [9] καὶ εἶπα Οὐ μὴ ὀνομάσω τὸ ὄνομα κυρίου, καὶ οὐ μὴ λα-
λήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. καὶ ἐγένετο ὡς πῦρ καιόμενον φλέγον ἐν
10 τοῖς ὀστοῖς μου, καὶ παρεῖμαι πάντοθεν καὶ οὐ δύναμαι φέρειν, [10] ὅτι ἤκουσα
ψόγον πολλῶν συναθροιζομένων κυκλόθεν Ἐπισύστητε, καὶ ἐπισυστῶμεν ἐπ'
αὐτῷ πάντες ἄνδρες φίλοι αὐτοῦ· τηρήσατε τὴν ἐπίνοιαν αὐτοῦ εἰ ἀπατη-

---

11. FA om ετι 12. FA οτι ουτως ... FA* om ποιησω ... FA ειπεν κυριος ... τω τοπ. τουτ., λεγει κυριος, τοις ... FA* πολ. αυτην ... om ταυτην ... FA* in fine add γην 13. FA οι οικ. ιερ. και (*.* add οι) οικοι ... FA om απο ... Ax FA om αυτων prius ... εθυμιωσαν ... om αυτων secundum ... στρατεια 14. ιηρεμιας ... διαπτ. του τοπου ταφεθ ... FA ης pro ου ... om εκει ... Ax FA* εν αυλη 15. ταυτην κακα και επι τας πολ. πασας και ... FA επι τας πολεις και τας ... Ax FA επ αυτην και επι τας πολεις αυτης ... FA τον αυχενα αυτων ... των λογων μου XX. 1. Ax FA πασχωρ υιος ... FA και αυτος ην ... κατεσταμενος 2. FA αποτεταγμενηου 3. Ax FA εκαλεσεν κυριος το ... * μετοικον 4. δια τουτο ταδε ... εν μαχαιρη ... Ax FA*.* ιουδαν ... καταχ. αυτους εν μαχαιρα 5. πασαν την ... εχθρων αυτων 6. FA* πορευεσθε 7. FA εκρατησας με κ. ηδυνασθην· και εγενομην 8. FA χλευασμα 9. om ετι ... τουτω pro αυτου ... Ax FA οστεοις 10. FA* επι pro οτι ... FA* επιστηται ... επ αυτον

Digitized by Google

θήσεται, καὶ δυνησόμεθα αὐτῷ καὶ λημψόμεθα τὴν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ.
[11] ὁ δὲ κύριος μετ' ἐμοῦ καθὼς μαχητὴς ἰσχύων· διὰ τοῦτο ἐδίωξαν καὶ νοῆ- 11
σαι οὐκ ἠδύναντο· ᾐσχύνθησαν σφόδρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίας αὐτῶν, αἳ
δι' αἰῶνος οὐκ ἐπιλησθήσονται. [12] κύριε δοκιμάζων δίκαια, συνιῶν νεφροὺς 12
καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς, ὅτι πρὸς σὲ ἀπεκά-
λυψα τὰ ἀπολογήματά μου. [13] ᾄσατε τῷ κυρίῳ, αἰνέσατε αὐτῷ, ὅτι ἐξείλατο 13
τὴν ψυχὴν πένητος ἐκ χειρὸς πονηρευομένων. [14] ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ 14
ἐτέχθην ἐν αὐτῇ, ἡ ἡμέρα ἐν ᾗ ἔτεκέ με ἡ μήτηρ μου μὴ ἔστω ἐπευκτή·
[15] ἐπικατάρατος ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος τῷ πατρί μου λέγων Ἐτέχθη 15
σοι ἄρσην· εὐφραινόμενος [16] ἔστω ὁ ἄνθρωπος ἐκεῖνος ὡς αἱ πόλεις ἃς κατέ- 16
στρεψε κύριος ἐν θυμῷ καὶ οὐ μετεμελήθη. ἀκουσάτω κραυγῆς τῷ πρωὶ καὶ ἀλα-
λαγμοῦ μεσημβρίας, [17] ὅτι οὐκ ἀπέκτεινέ με ἐν μήτρᾳ καὶ ἐγένετό μοι ἡ μήτρη 17
μου τάφος μου καὶ ἡ μήτρα συλλήψεως αἰωνίας. [18] ἵνα τί τοῦτο ἐξῆλθον ἐκ μή- 18
τρας τοῦ βλέπειν κόπους καὶ πόνους, καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου;

## XXI.

## Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΟΤΕ ΑΠΕΣΤΕΙΛΕ ΠΡΟΣ ΑΥΤΟΝ Ο ΒΑΣΙΛΕΥΣ ΣΕΔΕΚΙΑΣ ΤΟΝ ΠΑΣΧΩΡ ΥΙΟΝ ΜΕΛΧΙΟΥ ΚΑΙ ΣΟΦΟΝΙΑΝ ΥΙΟΝ ΒΑΣΑΪΟΥ ΤΟΝ ΙΕΡΕΑ ΛΕΓΩΝ

[2] Ἐπερώτησον περὶ ἡμῶν κύριον, ὅτι βασιλεὺς Βαβυλῶνος ἐφέστηκεν 2
ἐφ' ἡμᾶς, εἰ ποιήσει κύριος κατὰ πάντα τὰ θαυμάσια αὐτοῦ, καὶ ἀπελεύσε-
ται ἀφ' ἡμῶν. [3] καὶ εἶπε πρὸς αὐτοὺς Ἱερεμίας Οὕτως ἐρεῖτε πρὸς Σεδεκίαν 3
βασιλέα Ἰούδα [4] Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πο- 4
λεμικὰ ἐν οἷς ὑμεῖς πολεμεῖτε ἐν αὐτοῖς πρὸς τοὺς Χαλδαίους τοὺς συγκε-
κλεικότας ὑμᾶς ἔξωθεν τοῦ τείχους· καὶ συνάξω αὐτοὺς εἰς τὸ μέσον τῆς πόλεως
ταύτης, [5] καὶ πολεμήσω ἐγὼ ὑμᾶς ἐν χειρὶ ἐκτεταμένῃ καὶ ἐν βραχίονι κρα- 5
ταιῷ μετὰ θυμοῦ καὶ ὀργῆς μεγάλης· [6] καὶ πατάξω πάντας τοὺς κατοικοῦν- 6
τας ἐν τῇ πόλει ταύτῃ, τοὺς ἀνθρώπους καὶ τὰ κτήνη, ἐν θανάτῳ μεγάλῳ,
καὶ ἀποθανοῦνται. [7] καὶ μετὰ ταῦτα οὕτως λέγει κύριος Δώσω τὸν Σεδεκίαν 7
βασιλέα Ἰούδα καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὸν λαὸν καταλειφθέντα ἐν τῇ
πόλει ταύτῃ ἀπὸ τοῦ θανάτου καὶ ἀπὸ τοῦ λιμοῦ καὶ ἀπὸ τῆς μαχαίρας εἰς
χεῖρας ἐχθρῶν αὐτῶν τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν, καὶ κατακόψουσιν
αὐτοὺς ἐν στόματι μαχαίρας· οὐ φείσομαι ἐπ' αὐτοῖς, καὶ οὐ μὴ οἰκτειρήσω
αὐτούς. [8] πρὸς τὸν λαὸν τοῦτον ἐρεῖς Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ δέδωκα 8
πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου· [9] ὁ κα- 9
θήμενος ἐν τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκ-
πορευόμενος προσχωρῆσαι πρὸς τοὺς Χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς

10. Ax FA λημψομεθα 11. και pro ο δε*... (μαθητης ...) ισχυρος 12. FA ειδοιμι ... FA* om τα 13. Ax FA om την ... χειρ. στερεωτερων αυτου, FA χειρ. στερεωτερων (*·*-οτερων και) πονηρευομενων 14. η εγενηθην pro εν η ετεχθην ... FA η ετεχεν pro εν η ετ. 15. FA αρσεν 16. εσται ... FA* ακουσατε κραυης ... Ax FA το πρωι 17. εν μητρα μητρος ... Ax FA συλλημψεως 18. FA* εκ μητρος ... FA* μοχθους pro πονους ... FA om και ante διετελεσαν XXI. 1. ιηρεμιαν οτι ... FA* om προς αυτον ... υι. μασσαιου, FA υι. μασεου ... FA* τον ιερεαν 2. Ax FA τον κυριον ... οτι ο βασ. ... FA* om αφ ημων (supplet **) 4. συγκλειοντας ημας, FA συνκεκλικοτ. ημ. ... Ax FA om και συναξω αυτους 5. FA υμας εγω ... εντεταμενη ... FA βραχ. υψηλω (*·* add και) κρατεω ... οργης και παροργισμου μεγαλου 6. FA* om εν sec. 7. FA* ουτω ... FA* βασιλεαν ... FA* παιδ. αυτων ... Ax FA τ. λ. τον καταλ. ... φεισ. επ αυτους 8. FA ειδου δεδωκα 9. συγκεκλικοτας, FA συνκεκλικοτας

Digitized by Google

10 ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς σκῦλα καὶ ζήσεται. 10 διότι ἐστήριχα
τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά· εἰς
χεῖρας βασιλέως Βαβυλῶνος παραδοθήσεται, καὶ κατακαύσει αὐτὴν ἐν πυρί.
11 12 11 ὁ οἶκος βασιλέως Ἰούδα, ἀκούσατε λόγον κυρίου· 12 οἶκος Δαυίδ, τάδε λέγει
κύριος Κρίνατε πρωὶ κρίμα καὶ κατευθύνατε, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ
χειρὸς ἀδικοῦντος αὐτόν, ὅπως μὴ ἀναφθῇ ὡς πῦρ ἡ ὀργή μου καὶ καυθή-
13 σεται, καὶ οὐκ ἔσται ὁ σβέσων. 13 ἰδοὺ ἐγὼ πρὸς σὲ τὸν κατοικοῦντα τὴν
κοιλάδα Σὸρ τὴν πεδεινήν, τοὺς λέγοντας Τίς πτοήσει ἡμᾶς; ἢ τίς εἰςελεύ-
14 σεται πρὸς τὸ κατοικητήριον ἡμῶν; 14 καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς,
καὶ ἔδεται πάντα τὰ κύκλῳ αὐτῆς.

## XXII.

Τάδε λέγει κύριος Πορεύου καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ βασιλέως
2 Ἰούδα, καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον, 2 καὶ ἐρεῖς Ἄκουε λόγον κυρίου,
βασιλεῦ Ἰούδα ὁ καθήμενος ἐπὶ θρόνου Δαυίδ, σὺ καὶ ὁ οἶκός σου καὶ ὁ
3 λαός σου καὶ οἱ εἰςπορευόμενοι ταῖς πύλαις ταύταις, 3 Τάδε λέγει κύριος
Ποιεῖτε κρίσιν καὶ δικαιοσύνην, καὶ ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδι-
κοῦντος αὐτόν, καὶ προςήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύετε,
4 καὶ μὴ ἀσεβεῖτε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ. 4 διότι
ἐὰν ποιοῦντες ποιήσητε τὸν λόγον τοῦτον, καὶ εἰςελεύσονται ἐν ταῖς πύλαις
τοῦ οἴκου τούτου βασιλεῖς καθήμενοι ἐπὶ θρόνου Δαυὶδ καὶ ἐπιβεβηκότες ἐφ'
5 ἁρμάτων καὶ ἵππων, αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν καὶ ὁ λαὸς αὐτῶν. 5 ἐὰν δὲ
μὴ ποιήσητε τοὺς λόγους τούτους, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, ὅτι εἰς
6 ἐρήμωσιν ἔσται ὁ οἶκος οὗτος. 6 ὅτι τάδε λέγει κύριος κατὰ τοῦ οἴκου βασι-
λέως Ἰούδα Γαλαὰδ σύ μοι ἀρχὴ τοῦ Λιβάνου, ἐὰν μὴ θῶ σε εἰς ἔρημον,
7 πόλεις μὴ κατοικηθησομένας, 7 καὶ ἐπάξω ἐπὶ σὲ ὀλοθρεύοντα ἄνδρα καὶ τὸν
πέλεκυν αὐτοῦ, καὶ ἐκκόψουσι τὰς ἐκλεκτὰς κέδρους σου καὶ ἐμβαλοῦσιν εἰς
8 τὸ πῦρ. 8 καὶ διελεύσονται ἔθνη διὰ τῆς πόλεως ταύτης, καὶ ἐρεῖ ἕκαστος
πρὸς τὸν πλησίον αὐτοῦ Διὰ τί ἐποίησε κύριος οὕτως τῇ πόλει ταύτῃ τῇ με-
9 γάλῃ; 9 καὶ ἐροῦσιν Ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην κυρίου θεοῦ αὐτῶν,
10 καὶ προςεκύνησαν θεοῖς ἀλλοτρίοις καὶ ἐδούλευσαν αὐτοῖς. 10 μὴ κλαίετε τὸν
τεθνηκότα μηδὲ θρηνεῖτε αὐτόν· κλαύσατε κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι
11 οὐκ ἐπιστρέψει ἔτι οὐδὲ ὄψεται τὴν γῆν πατρίδος αὐτοῦ. 11 διότι τάδε λέγει
κύριος ἐπὶ Σελλὴμ υἱὸν Ἰωσία τὸν βασιλεύοντα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐ-
12 τοῦ, ὃς ἐξῆλθεν ἐκ τοῦ τόπου τούτου, Οὐκ ἀναστρέψει ἐκεῖ ἔτι, 12 ἀλλ' ἢ
ἐν τῷ τόπῳ τούτῳ οὗ μετῴκισα αὐτὸν ἐκεῖ ἀποθανεῖται, καὶ τὴν γῆν ταύτην
13 οὐκ ὄψεται ἔτι. 13 ὁ οἰκοδομῶν οἰκίαν αὐτοῦ οὐ μετὰ δικαιοσύνης καὶ τὰ
ὑπερῷα αὐτοῦ οὐκ ἐν κρίματι, παρὰ τῷ πλησίον αὐτοῦ ἐργᾶται δωρεάν, καὶ
14 τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσει αὐτῷ. 14 ᾠκοδόμησας σεαυτῷ οἶκον σύμ-
μετρον, ὑπερῷα ῥιπιστὰ διεσταλμένα θυρίσι καὶ ἐξυλωμένα ἐν κέδρῳ καὶ

10. FA* οτι ... εστηρισα, FA*.* εστηριξα 12. FA το πρωι ... FA κατευθυνεται (*om θυ) 13. Ax FA πεδινην (Ax παιδ.) 14. (θυμω ...) και κατεδεται XXII. 1. FA* επ οικον, *.* εις οικον 2. FA* βασιλεως ... FA*.* post συ add και οι παιδες, erasit :: ... εν ταις π. τ., FA τας πυλας ταυτας 3. FA καταδυναστευσητε 4. FA εισελευσεται ... FA*.* βασιλεως, Ax βασιλεις και αρχοντες 6. FA του βασιλεως 7. εισαξω ... FA επι σοι ... Ax FA ανδρα ολοθρ. (Ax ολεθρ.) 8. FA* ελευσονται ... Ax FA ερουσιν ... Ax FA τη μεγαλη ταυτη 9. Ax FA*.* εγκατελειπον (FA ενκ.) ... του θεου 10. αναστρεψει (οτι usque αναστρε in rasura) ... FA ετι και ου μη ιδη την 11. FA οτι ... Ax FA υιον ιωσια (Ax ιωσιου) τω βασιλευοντι αντι ιωσια ... FA αναχαμψει ... Ax FA εκει ουκετι 12. Ax FA om τουτω 13. ω ο οικοδ. την οικ. α. ουκ εν δικαιοσυνη 14. FA συνμετρον (7. FA ενβαλουσιν)

Digitized by Google

κεχρισμένα ἐν μίλτῳ. [15] μὴ βασιλεύσῃς, ὅτι σὺ παροξύνῃ ἐν Ἀχαζ τῷ πατρί 15
σου; οὐ φάγονται καὶ οὐ πίονται· βέλτιόν σε ποιεῖν κρίμα καὶ δικαιοσύνην.
[16] οὐκ ἔγνωσαν, οὐκ ἔκριναν κρίσιν ταπεινῷ οὐδὲ κρίσιν πένητος· οὐ τοῦτό 16
ἐστι τὸ μὴ γνῶναί σε ἐμέ, λέγει κύριος; [17] ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου 17
οὐδὲ ἡ καρδία σου καλή, ἀλλὰ εἰς τὴν πλεονεξίαν σου καὶ εἰς τὸ αἷμα τὸ
ἀθῷον τοῦ ἐκχέαι αὐτό, καὶ εἰς ἀδικήματα καὶ εἰς φόνον τοῦ ποιεῖν αὐτά.
[18] διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ Ἰωακειμ υἱὸν Ἰωσία βασιλέα Ἰούδα Καὶ 18
ἐπὶ τὸν ἄνδρα τοῦτον, οὐ κόψονται αὐτόν Ὦ ἀδελφέ, οὐδὲ μὴ κλαύσονται
αὐτόν Οἴμοι κύριε. [19] ταφὴν ὄνου ταφήσονται, συμψησθεὶς ῥιφήσεται ἐπέκεινα 19
τῆς πύλης Ἱερουσαλήμ. [20] ἀνάβηθι εἰς τὸν Λίβανον καὶ κράξον, καὶ εἰς τὴν 20
Βασὰν δὸς τὴν φωνήν σου, καὶ βόησον εἰς τὸ πέρας τῆς θαλάσσης, ὅτι συνε-
τρίβησαν πάντες οἱ ἐρασταί σου. [21] ἐλάλησα πρὸς σὲ ἐν τῇ παραπτώσει σου, 21
καὶ εἶπας Οὐκ ἀκούσομαι· αὕτη ἡ ὁδός σου ἐκ νεότητός σου, οὐκ ἤκουσας
τῆς φωνῆς μου. [22] πάντας τοὺς ποιμένας σου ποιμανεῖ ἄνεμος, καὶ οἱ ἐρα- 22
σταί σου ἐν αἰχμαλωσίᾳ ἐξελεύσονται, ὅτι τότε αἰσχυνθήσῃ καὶ ἀτιμωθήσῃ
ἀπὸ πάντων τῶν φιλούντων σε. [23] κατοικοῦσα ἐν τῷ Λιβάνῳ, ἐννοσσεύουσα 23
ἐν ταῖς κέδροις, καταστενάξεις ἐν τῷ ἐλθεῖν σοι ὀδύνας ὡς τικτούσης. [24] ζῶ 24
ἐγώ, λέγει κύριος, ἐὰν γενόμενος γένηται Ἰεχονίας υἱὸς Ἰωακειμ βασιλεὺς
Ἰούδα ἀποσφράγισμα ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐκεῖθεν ἐκσπάσω σε,
[25] καὶ παραδώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου, ὧν σὺ εὐλαβῇ 25
ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν Χαλδαίων, [26] καὶ ἀπορρίψω σὲ καὶ 26
τὴν μητέρα σου τὴν τεκοῦσάν σε εἰς γῆν οὗ οὐκ ἐτέχθης ἐκεῖ, καὶ ἐκεῖ ἀπο-
θανεῖσθε. [27] εἰς δὲ τὴν γῆν ἣν αὐτοὶ εὔχονται ταῖς ψυχαῖς αὐτῶν οὐ μὴ ἀπο- 27
στρέψωσιν. [28] ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστι χρεία αὐτοῦ, ὅτι ἐξεῤ- 28
ῥίφη καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδει. [29] γῆ γῆ, ἄκουε λόγον κυρίου, [30] γράψον 29 30
τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον, ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος
αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαυιδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ.

## XXIII.

Ὦ ΠΟΙΜΕΝΕΣ οἱ ἀπολλύοντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς
νομῆς αὐτῶν. [2] διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν 2
μου Ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτὰ καὶ οὐκ ἐπε-
σκέψασθε αὐτά, ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα
ὑμῶν. [3] καὶ ἐγὼ εἰσδέξομαι τοὺς καταλοίπους τοῦ λαοῦ μου ἐπὶ πάσης τῆς 3
γῆς οὗ ἐξῶσα αὐτοὺς ἐκεῖ, καὶ καταστήσω αὐτοὺς εἰς τὴν νομὴν αὐτῶν, καὶ

---

15. Ax FA μη βασιλευσεις ... εν αχααβ ... Ax FA βελτιον ην ... δικαιοσυνην καλην 16. ταπεινων ... τουτο σοι 17. Ax FA εχχεειν ... ποιειν ταυτα, FA om αυτα 18. FA ab επι ad επι seq. transilit ... ουαι pro και ... Ax FA ου μη κοψονται (FA -ψωνται) ... Ax FA*.* ουαι αδελφε ... om ουδε usque κυριε ... FA οιμμοι 19. FA ταφην ου ταφησεται ... ταφησεται ... Ax FA συνψηθεις 20. Ax FA και κεχραξον ... Ax FA περαν 21. Ax FA ελαλησαν ... om και ειπας usque νεοτητος σου ... FA ου μη ακουσομαι ... FA* της φωνην 22. om οι ερασται σου ... FA* αισχυνθησει ... ατιμασθηση 23. ωδινας 24. ιωακειμ υιος ιεχονια 25. FA om και παραδ. σε 26. παραδωσω pro απορριψω ... FA* και την τεκουσαν ... FA*.* ην pro ου 27. επιστρεψουσιν 28. Ax FA εξεριφη 30. FA εκ σπερματος ... ανηρ καθημενος ... ετι εν τω οικω ιουδα, FA ετι του ιουδα XXIII. 1. ω οι ποιμ. οι διασχ. κ. απολλ., FA ω οι ποιμενεοντες (ποιμαινοντες?) και οι διασκορπ. και απολλυντες ... νομης μου 2. απωσατε ... επεσκεψατε ... εκδικησω 3. καγω εισδ. το καταλοιπον ... FA post λαου μου add ου διεσπιρα αυτους ... Ax FA απο πασης ... FA* ουκ pro ου



Digitized by Google

4 αὐξηθήσονται καὶ πληθυνθήσονται. 4 καὶ ἀναστήσω αὐτοῖς ποιμένας οἳ ποιμα-
νοῦσιν αὐτούς, καὶ οὐ φοβηθήσονται ἔτι οὐδὲ πτοηθήσονται, λέγει κύριος.
5 5 ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ Δαυὶδ ἀνατολὴν δι-
καίαν, καὶ βασιλεύσει βασιλεὺς καὶ συνήσει καὶ ποιήσει κρίμα καὶ δικαιο-
6 σύνην ἐπὶ τῆς γῆς. 6 ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ
Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ ὃ καλέσει αὐτὸν
9 κύριος, Ἰωσεδέκ. (vv. 7. 8. vide post v. 40.) ἐν τοῖς προφήταις. 9 συνετρίβη
ἡ καρδία μου ἐν ἐμοί, ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθην ὡς ἀνὴρ
συντετριμμένος καὶ ὡς ἄνθρωπος συνεχόμενος ἀπὸ οἴνου ἀπὸ προσώπου κυ-
10 ρίου καὶ ἀπὸ προσώπου εὐπρεπείας δόξης αὐτοῦ. 10 ὅτι ἀπὸ προσώπου τούτων
ἐπένθησεν ἡ γῆ, ἐξηράνθησαν αἱ νομαὶ τῆς ἐρήμου· καὶ ἐγένετο ὁ δρόμος
11 αὐτῶν πονηρός, καὶ ἡ ἰσχὺς αὐτῶν οὕτως. 11 ὅτι ἱερεὺς καὶ προφήτης ἐμο-
12 λύνθησαν, καὶ ἐν τῷ οἴκῳ μου εἶδον πονηρίας αὐτῶν. 12 διὰ τοῦτο γενέσθω
ἡ ὁδὸς αὐτῶν αὐτοῖς εἰς ὀλίσθημα ἐν γνόφῳ, καὶ ὑποσκελισθήσονται καὶ
πεσοῦνται ἐν αὐτῇ· διότι ἐπάξω ἐπ᾽ αὐτοὺς κακὰ ἐν ἐνιαυτῷ ἐπισκέψεως
13 αὐτῶν. 13 καὶ ἐν τοῖς προφήταις Σαμαρείας εἶδον ἀνομήματα· ἐπροφήτευσαν
14 διὰ τῆς Βάαλ, καὶ ἐπλάνησαν τὸν λαόν μου Ἰσραήλ. 14 καὶ ἐν τοῖς προφή-
ταις Ἱερουσαλὴμ ἑώρακα φρικτά, μοιχωμένους καὶ πορευομένους ἐν ψεύδεσι
καὶ ἀντιλαμβανομένους χειρῶν πολλῶν τοῦ μὴ ἀποστραφῆναι ἕκαστον ἀπὸ
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς· ἐγενήθησάν μοι πάντες ὡς Σόδομα, καὶ οἱ
15 κατοικοῦντες αὐτὴν ὥσπερ Γόμορρα. 15 διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ
ψωμιῶ αὐτοὺς ὀδύνην καὶ ποτιῶ αὐτοὺς ὕδωρ πικρόν, ὅτι ἀπὸ τῶν προφη-
16 τῶν Ἱερουσαλὴμ ἐξῆλθε μολυσμὸς πάσῃ τῇ γῇ. 16 οὕτως λέγει κύριος παντο-
κράτωρ Μὴ ἀκούετε τοὺς λόγους τῶν προφητῶν, ὅτι ματαιοῦσιν ἑαυτοῖς ὅρασιν,
17 ἀπὸ καρδίας αὐτῶν λαλοῦσι καὶ οὐκ ἀπὸ στόματος κυρίου· 17 λέγουσι τοῖς
ἀπωθουμένοις τὸν λόγον κυρίου Εἰρήνη ἔσται ὑμῖν, καὶ πᾶσι τοῖς πορευομέ-
νοις τοῖς θελήμασιν αὐτῶν καὶ παντὶ τῷ πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ
18 εἶπαν Οὐχ ἥξει ἐπὶ σὲ κακά. 18 ὅτι τίς ἔστη ἐν ὑποστήματι κυρίου καὶ εἶδε
19 τὸν λόγον αὐτοῦ; τίς ἠνωτίσατο καὶ ἤκουσεν; 19 ἰδοὺ σεισμὸς παρὰ κυρίου
καὶ ὀργὴ ἐκπορεύεται εἰς συσσεισμόν, συστρεφομένη ἐπὶ τοὺς ἀσεβεῖς ἥξει·
20 20 καὶ οὐκ ἔτι ἀποστρέψει ὁ θυμὸς κυρίου, ἕως ποιήσῃ αὐτὸ καὶ ἕως ἂν
στήσῃ αὐτὸ ἀπὸ ἐγχειρήματος καρδίας αὐτοῦ ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν νοή-
21 σουσιν αὐτό. 21 οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐδὲ ἐλά-
22 λησα πρὸς αὐτούς, καὶ αὐτοὶ ἐπροφήτευον. 22 καὶ εἰ ἔστησαν ἐν τῇ ὑποστάσει

---

4. και pro οι ... Ax FA και ου πτοηθησ. et Ax add ετι 6. εκειναις pro αυτου ... FA ιερουσαλημ pro ισραηλ ... om αυτου secundum ... FA* ιωσειχειμ ... ed. rom. ante εν τοις non interpg. (nec videntur Ax FA) 9. συν εμοι ... ** (item *?) ανθρωπος pro ανηρ ... FA ευπρεπιας 10. αυτων ουχ ουτως 11. ιδον 12. FA επισχ. αυτουων ... in f. add φησιν κυριος 13. FA σαμαριας ... ιδον ... FA α επροφητ., Ax επροφ. επ ονοματι μου 14. FA τα φρικτα μοιχωμενους ... χειρων πονηρων του ... FA γενεσθωσαν ... ως γομορρα, FA και ωσπερ λαος γομορα 15. ψωμιζω αυτους οδυνας ... FA εν παση 16. FA om ουτως λ. κ. παντοκρ. ... FA των λογων ... ματαιουσιν αυτοις ορασις ... Ax FA και απο καρδ. αυτ. (Ax εαυτων) 17. FA αυτων παντι ... FA καρδ. αυτωνου ... Ax FA om ειπαν ... FA ουχ ηξει 18. om τις ... ιδεν ... FA η τις ενωτισατο (etiam Ax ενωτισατο) 19. **εκπορευομενη, FA* εισπορευεται ... Ax FA συνσισμον ... FA συστερφομενη ... ηξ. επι τ. ασεβ. 20. εως αν ποιηση, FA εως αν ποιησει ... FA* om και εως usque αυτο, *.* supplet και εως αν αναστηση αυτο ... εσχατων ... αυτα 21. Ax FA ουχ ελαλησα et FA pergit αυτοις ... FA επροφητευσαν

Digitized by Google

μου καὶ εἰ ἤκουσαν τῶν λόγων μου, καὶ τὸν λαόν μου ἂν ἀπέστρεφον αὐτοὺς
ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν. [23] Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει κύ- 23
ριος, καὶ οὐχὶ θεὸς πόρρωθεν. [24] εἰ κρυβήσεταί τις ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ 24
ὄψομαι αὐτόν; μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος;
[25] ἤκουσα ἃ λαλοῦσιν οἱ προφῆται, ἃ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, 25
ψευδῆ λέγοντες Ἠνυπνιασάμην ἐνύπνιον. [26] ἕως πότε ἔσται ἐν καρδίᾳ τῶν 26
προφητῶν τῶν προφητευόντων ψευδῆ, ἐν τῷ προφητεύειν αὐτοὺς τὰ θελή-
ματα τῆς καρδίας αὐτῶν, [27] τῶν λογιζομένων τοῦ ἐπιλαθέσθαι τοῦ νόμου μου 27
ἐν τοῖς ἐνυπνίοις αὐτῶν, ἃ διηγοῦντο ἕκαστος τῷ πλησίον αὐτοῦ, καθάπερ
ἐπελάθοντο οἱ πατέρες αὐτῶν τοῦ ὀνόματός μου ἐν τῇ Βάαλ; [28] ὁ προφήτης 28
ἐν ᾧ τὸ ἐνύπνιόν ἐστι διηγησάσθω τὸ ἐνύπνιον αὐτοῦ, καὶ ἐν ᾧ ὁ λόγος μου
πρὸς αὐτὸν διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας. τί τὸ ἄχυρον πρὸς τὸν
σῖτον; [29] οὕτως οἱ λόγοι μου, λέγει κύριος· οὐκ ἰδοὺ οἱ λόγοι μου ὥσπερ πῦρ, 29
λέγει κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν; [30] ἰδοὺ ἐγὼ διὰ τοῦτο πρὸς τοὺς 30
προφήτας, λέγει κύριος ὁ θεός, τοὺς κλέπτοντας τοὺς λόγους μου ἕκαστον
παρὰ τοῦ πλησίον αὐτοῦ· [31] ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας 31
προφητείας γλώσσης καὶ νυστάζοντας νυσταγμὸν αὐτῶν. [32] διὰ τοῦτο ἰδοὺ 32
ἐγὼ πρὸς τοὺς προφήτας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ, καὶ οὐ διη-
γοῦντο αὐτά, καὶ ἐπλάνησαν τὸν λαόν μου ἐν τοῖς ψεύδεσιν αὐτῶν καὶ ἐν τοῖς
πλάνοις αὐτῶν, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐνετειλάμην αὐτοῖς,
καὶ ὠφέλειαν οὐκ ὠφελήσουσι τὸν λαὸν τοῦτον. [33] καὶ ἐὰν ἐρωτήσωσιν ὁ 33
λαὸς οὗτος ἢ ἱερεὺς ἢ προφήτης Τί τὸ λῆμμα κυρίου; καὶ ἐρεῖς αὐτοῖς Ὑμεῖς
ἐστὲ τὸ λῆμμα καὶ ῥάξω ὑμᾶς, λέγει κύριος. [34] ὁ προφήτης καὶ οἱ ἱερεῖς 34
καὶ ὁ λαὸς οἳ ἂν εἴπωσι Λῆμμα κυρίου, καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον
καὶ τὸν οἶκον αὐτοῦ. [35] οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ 35
ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Τί ἀπεκρίθη κύριος, καὶ τί ἐλάλησε κύριος;
[36] καὶ λῆμμα κυρίου μὴ ὀνομάζετε ἔτι, ὅτι τὸ λῆμμα τῷ ἀνθρώπῳ ἔσται ὁ 36
λόγος αὐτοῦ. [37] καὶ διὰ τί ἐλάλησε κύριος ὁ θεὸς ἡμῶν; [38] διὰ τοῦτο τάδε 37 38
λέγει κύριος ὁ θεὸς ἡμῶν Ἀνθ' ὧν εἴπατε τὸν λόγον τοῦτον Λῆμμα κυρίου,
καὶ ἀπέστειλα πρὸς ὑμᾶς λέγων Οὐκ ἐρεῖτε λῆμμα κυρίου, [39] διὰ τοῦτο ἰδοὺ 39
ἐγὼ λαμβάνω καὶ ῥάσσω ὑμᾶς καὶ τὴν πόλιν ἣν ἔδωκα ὑμῖν καὶ τοῖς πα-
τράσιν ὑμῶν, [40] καὶ δώσω ἐφ' ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτιμίαν αἰώνιον, 40
ἥτις οὐκ ἐπιλησθήσεται. [7] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ 7
οὐκ ἐροῦσιν ἔτι Ζῇ κύριος ὃς ἀνήγαγε τὸν οἶκον Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου,
[8] ἀλλά Ζῇ κύριος ὃς συνήγαγε πᾶν τὸ σπέρμα Ἰσραὴλ ἀπὸ γῆς βορρᾶ καὶ 8
ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξῶσεν αὐτοὺς ἐκεῖ, καὶ ἀπεκατέστησεν αὐτοὺς
εἰς τὴν γῆν αὐτῶν.

---

22. FA και εισηκουσαν των ... FA om αυτους ... μου αποστρεφειν αυτους απο των επιτ. αυτ. των πον. 23. FA om ειμι ... ου pro ουχι 24. ανθρωπος pro τις 25. FA ηκουσα α οι προφ. προφητευουσιν επι ... ενυπνιασαμην 26. Ax FA ψευδη και εν ... FA θεληματα καρδιας 27. διηγουνται ... FA επελαθεντο 29. Ax ουχ et FA ουχι pro ουκ ιδου ... φλεγον πυρ ... πελεκυς 30. Ax FA δια τουτο ιδου εγω ... Ax FA εκαστος 31. προφητειαν γλωσση ... Ax FA νυσταγμ. εαυτων 32. Ax FA om δια τουτο ... ψευδη ενυπνια ... Ax FA και διηγουντο ... FA καγω ... ωφελιαν, FA ωφελια 33. Ax ερωτησωσιν σε, FA επερωτησουσιν σε ... FA η ιερευς (corrector add η) ο προφητης (⁘ add λεγων) ... FA* εστε το ρημα 34. Ax FA ο (FA* οι) ιερευς 35. οτι ουτως ... om και τι ελαλ. κυριος 36. Ax FA om ετι ... οτι λημμα κυριου εσται τω ανθρ. ο λ. αυτου ... FA* om αυτου, ⁘ supplet κυριου 37. FA και τι οτι 38. Ax FA om ημων 40. FA η pro ητις (Ax ει τις) 7. FA* ος συνηγαγεν ... FA τον λαον ισρ. 8. Ax FA απαν ... FA* βορραν ... FA* om απο π. τ. χωρων ... FA* ουχ pro ου



Digitized by Google

## XXIV.

Ἔδειξέ μοι κύριος δύο καλάθους σύκων, κειμένους κατὰ πρόςωπον ναοῦ
κυρίου, μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν
υἱὸν Ἰωακεὶμ βασιλέα Ἰούδα καὶ τοὺς ἄρχοντας καὶ τοὺς τεχνίτας καὶ τοὺς
δεσμώτας καὶ τοὺς πλουσίους ἐξ Ἱερουσαλήμ, καὶ ἤγαγεν αὐτοὺς εἰς Βαβυ-
2 λῶνα. ² ὁ κάλαθος ὁ εἷς σύκων χρηστῶν σφόδρα ὡς τὰ σῦκα τὰ πρώϊμα,
καὶ ὁ κάλαθος ὁ ἕτερος σύκων πονηρῶν σφόδρα ἃ οὐ βρωθήσεται ἀπὸ πο-
3 νηρίας αὐτῶν. ³ καὶ εἶπε κύριος πρὸς μέ Τί σὺ ὁρᾷς, Ἱερεμία; καὶ εἶπα Σῦκα·
σῦκα τὰ χρηστά, χρηστὰ λίαν, καὶ τὰ πονηρά, πονηρὰ λίαν, ἃ οὐ βρωθήσεται
4 5 ἀπὸ πονηρίας αὐτῶν. ⁴ καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων ⁵ Τάδε λέγει
κύριος ὁ θεὸς Ἰσραήλ Ὡς τὰ σῦκα τὰ χρηστὰ ταῦτα, οὕτως ἐπιγνώσομαι
τοὺς ἀποικισθέντας Ἰουδαίους, οὓς ἐξαπέσταλκα ἐκ τοῦ τόπου τούτου εἰς γῆν
6 Χαλδαίων εἰς ἀγαθά. ⁶ καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ᾽ αὐτοὺς εἰς ἀγαθά,
καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθά· καὶ ἀνοικοδομήσω
αὐτοὺς καὶ οὐ μὴ καθελῶ αὐτούς, καὶ καταφυτεύσω αὐτοὺς καὶ οὐ μὴ ἐκ-
7 τίλω. ⁷ καὶ δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμέ, ὅτι ἐγώ εἰμι κύριος,
καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, ὅτι ἐπιστραφήσον-
8 ται ἐπ᾽ ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐτῶν. ⁸ καὶ ὡς τὰ σῦκα τὰ πονηρὰ ἃ
οὐ βρωθήσονται ἀπὸ πονηρίας αὐτῶν, τάδε λέγει κύριος, οὕτως παραδώσω
τὸν Σεδεκίαν βασιλέα Ἰούδα καὶ τοὺς μεγιστᾶνας αὐτοῦ καὶ τὸ κατάλοιπον
Ἱερουσαλὴμ τοὺς ὑπολελειμμένους ἐν τῇ γῇ ταύτῃ καὶ τοὺς κατοικοῦντας ἐν
9 Αἰγύπτῳ. ⁹ καὶ δώσω αὐτοὺς εἰς διασκορπισμὸν εἰς πάσας τὰς βασιλείας τῆς
γῆς, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς παραβολὴν καὶ εἰς μῖσος καὶ εἰς κα-
10 τάραν, ἐν παντὶ τόπῳ οὗ ἐξῶσα αὐτοὺς ἐκεῖ. ¹⁰ καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν
λιμὸν καὶ τὸν θάνατον καὶ τὴν μάχαιραν, ἕως ἂν ἐκλείπωσιν ἀπὸ τῆς γῆς
ἧς ἔδωκα αὐτοῖς.

## XXV.

(Graece 25, 14-18. == Hebraice 49, 34-39.)
( — 32, 1 sqq. == — 25, 15 sqq.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΕΠΙ ΠΑΝΤΑ
τὸν λαὸν Ἰούδα ἐν τῷ ἔτει τῷ τετάρτῳ τοῦ Ἰωακεὶμ υἱοῦ Ἰωσία βασιλέως
2 Ἰούδα, ² ὃν ἐλάλησε πρὸς πάντα τὸν λαὸν Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας
3 Ἱερουσαλὴμ λέγων ³ Ἐν τριςκαιδεκάτῳ ἔτει Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα
καὶ ἕως τῆς ἡμέρας ταύτης εἴκοσι καὶ τρία ἔτη, καὶ ἐλάλησα πρὸς ὑμᾶς
4 ὀρθρίζων καὶ λέγων ⁴ Καὶ ἀπέστελλον πρὸς ὑμᾶς τοὺς δούλους μου τοὺς προ-
φήτας ὄρθρου ἀποστέλλων, καὶ οὐκ εἰςηκούσατε καὶ οὐ προςέσχετε τοῖς ὠσὶν
5 ὑμῶν, ⁵ λέγων Ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ
ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς
6 ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν ἀπ᾽ αἰῶνος καὶ ἕως αἰῶνος. ⁶ μὴ πο-
ρεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς καὶ τοῦ προςκυνεῖν αὐτοῖς,
ὅπως μὴ παροργίζητέ με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν τοῦ κακῶσαι ὑμᾶς,

---

XXIV. 1. Ax FA*·* και (rursus delevit ∵)εδ. ... αρχοντας βασιλεως ιουδα ... FA* om και τους δεσμωτας 2. FA προϊμα 3. ειπα συκα· και τα συκα τα χρ., FA ειπα (*·* add τα) συκα τα χρ. 5. αποικ. ιουδα ους εξάπεσταλκας εκ 6. FA om αυτους post καθελω 7. FA ιδεναι 8. Ax FA βρωθησεται ... FA της ιερουσαλημ ... υπολελιμμενους εν τη πολει ταυτη 9. FA om εσονται 10. την λιμον ... FA εκλιπωσιν ... FA* ως pro ης XXV. 1. γεναμενος ... FA* om εν τω ετει usque τον λαον ιουδα vs. 2. ... FA*·* ιωακιμ 3. του βασιλεως ιωσια ... FA* ορθιζων 4. FA ορθρου (*ορθου) απεστελλον και ... FA προσεσχατε 5. FA* om και ante απο ... εως του αιωνος 6. FA*·* (non ∵) και μη πορ. ... παροργισητε

Digitized by Google

[7] καὶ οὐκ ἠκούσατέ μου. [8] διὰ τοῦτο τάδε λέγει κύριος Ἐπειδὴ οὐκ ἐπιστεύ- 8
σατε τοῖς λόγοις μου, [9] ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ λήψομαι πατριὰν ἀπὸ βοῤῥᾶ, 9
καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν καὶ
ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς, καὶ ἐξερημώσω αὐτοὺς καὶ δώσω αὐ-
* Apoc. τοὺς εἰς ἀφανισμὸν καὶ εἰς συριγμὸν καὶ εἰς ὀνειδισμὸν αἰώνιον. [10] καὶ ἀπολῶ 10
18, 22sq. ἀπ' αὐτῶν φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν
νύμφης, ὀσμὴν μύρου καὶ φῶς λύχνου. [11] καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἀφανι- 11
σμόν, καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ἑβδομήκοντα ἔτη, [12] καὶ ἐν τῷ πλη- 12
ρωθῆναι τὰ ἑβδομήκοντα ἔτη ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο καὶ θήσομαι αὐτοὺς
εἰς ἀφανισμὸν αἰώνιον, [13] καὶ ἐπάξω ἐπὶ τὴν γῆν ἐκείνην πάντας τοὺς λόγους 13
μου οὓς ἐλάλησα κατ' αὐτῆς, πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.
Α ΕΠΡΟΦΗΤΕΥΣΕ ΙΕΡΕΜΙΑΣ ΕΠΙ ΤΑ ΕΘΝΗ (49, 34.) ΤΑ ΑΙΛΑΜ. (49, 34.)
[14] τάδε λέγει κύριος Συντρίβη τὸ τόξον Αἰλάμ, ἀρχὴ δυναστείας αὐτῶν. (35) 14
[15] καὶ ἐπάξω ἐπὶ Αἰλὰμ τέσσαρας ἀνέμους ἐκ τῶν τεσσάρων ἄκρων τοῦ (36) 15
οὐρανοῦ καὶ διασπερῶ αὐτοὺς ἐν πᾶσι τοῖς ἀνέμοις τούτοις, καὶ οὐκ ἔσται
ἔθνος ὃ οὐχ ἥξει ἐκεῖ, οἱ ἐξωσμένοι Αἰλάμ. [16] καὶ πτοήσω αὐτοὺς ἐναντίον (37) 16
τῶν ἐχθρῶν αὐτῶν τῶν ζητούντων τὴν ψυχὴν αὐτῶν, καὶ ἐπάξω ἐπ' αὐτοὺς
κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, καὶ ἐξαποστελῶ ὀπίσω αὐτῶν τὴν μάχαιράν
μου ἕως τοῦ ἐξαναλῶσαι αὐτούς. [17] καὶ θήσω τὸν θρόνον μου ἐν Αἰλάμ, (38) 17
καὶ ἐξαποστελῶ ἐκεῖθεν βασιλέα καὶ μεγιστᾶνας, [18] καὶ ἔσται ἐπ' ἐσχά- (39) 18
του τῶν ἡμερῶν καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν Αἰλάμ, λέγει κύριος.

## XXVI.

(Graece 26. = Hebraice 46.)
( — 33. = — 26.)

Ἐν ἀρχῇ βασιλεύοντος Σεδεκίου βασιλέως ἐγένετο ὁ λόγος οὗτος περὶ
Αἰλάμ. [2] ΤΗ ΑΙΓΥΠΤΩ ΕΠΙ ΔΥΝΑΜΙΝ ΦΑΡΑΩ ΝΕΧΑΩ ΒΑΣΙΛΕΩΣ 2
ΑΙΓΥΠΤΟΥ, ὃς ἦν ἐπὶ τῷ ποταμῷ Εὐφράτῃ ἐν Χαρμείς, ὃν ἐπάταξε Να-
βουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἐν τῷ ἔτει τῷ τετάρτῳ Ἰωακεὶμ βασιλέως
Ἰούδα. [3] ἀναλάβετε ὅπλα καὶ ἀσπίδας, καὶ προςαγάγετε εἰς πόλεμον, [4] καὶ 3 4
ἐπισάξατε τοὺς ἵππους, ἐπίβητε οἱ ἱππεῖς καὶ κατάστητε ἐν ταῖς περικεφα-
λαίαις ὑμῶν, προςβάλετε τὰ δόρατα καὶ ἐνδύσασθε τοὺς θώρακας ὑμῶν. [5] τί 5
ὅτι αὐτοὶ πτοοῦνται καὶ ἀποχωροῦσιν εἰς τὸ ὀπίσω; διότι οἱ ἰσχυροὶ αὐτῶν
κοπήσονται, φυγῇ ἔφυγον καὶ οὐκ ἀνέστρεψαν περιεχόμενοι κυκλόθεν, λέγει
κύριος. [6] μὴ φευγέτω ὁ κοῦφος, καὶ μὴ ἀνασωζέσθω ὁ ἰσχυρὸς ἐπὶ βοῤῥᾶν· 6
τὰ παρὰ τὸν Εὐφράτην ἠσθένησε καὶ πεπτώκασι. [7] τίς οὗτος ὡς ποταμὸς 7
ἀναβήσεται, καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ; [8] ὕδατα Αἰγύπτου ὡς ποταμὸς 8

---

7. εισηκουσαν, FA εισηκουσατε 9. Ax FA ληψομαι ... τας την πατριαν, FA την πατριαν ... FA εκ του βορρα (*βορραν) ... αυτης εξερημωσω ... FA συρισμον 10. φων. ευφροσ. κ. φων. χαρας ... FA και φωνην νυμφιου 12. συμπληρωθηναι ... εκεινο φησιν κυριος ... FA θησομαι αυτο 13. παταξω ... απαντας ... ιηρεμιας ... FA* εθνη αιλαμ 14. Ax FA συντριβητω ... FA om το ... FA δυναστιας 15. FA ανεμ. απο των ... FA* διασπιρω ... FA ουκ ηξει 16. FA κακα κατα την ... εξαποστελω, FA* επαποστειλω 17. FA εκειθεν και βασιλεα 18. εσχατων ... om και sec. XXVI. 1. om βασιλεως ... FA του βασιλεως ... επι αιλαμ 2. βασιλεα ... επι του ποταμου ευφρατου 3. Ax FA om και sec. 4. Ax FA om και primum ... προβαλατε, FA προβαλεται ... τα δορατα υμων ... FA ενδυσεσθαι 5. Ax FA πτοωνται ... Ax FA om εις το ... FA* κυκλοθε 6. ανασωζετω ... ησθενησαν πεπτωκασιν, FA ησθενηκεν και (corrector delet) πεπτωκασιν 7. κυμανουσιν 8. FA και (corrector delet) ωσει ποταμος

Digitized by Google

ἀναβήσεται, καὶ εἶπεν Ἀναβήσομαι καὶ κατακαλύψω τὴν γῆν καὶ ἀπολῶ
9 τοὺς κατοικοῦντας ἐν αὐτῇ. [9] ἐπίβητε ἐπὶ τοὺς ἵππους, παρασκευάσατε τὰ
ἅρματα, ἐξέλϑατε οἱ μαχηταὶ Αἰϑιόπων καὶ Λίβυες καϑωπλισμένοι ὅπλοις,
10 καὶ Λυδοὶ ἀνάβητε, ἐντείνατε τόξον, [10] καὶ ἡ ἡμέρα ἐκείνη κυρίῳ τῷ ϑεῷ
ἡμῶν ἡμέρα ἐκδικήσεως τοῦ ἐκδικῆσαι τοὺς ἐχϑροὺς αὐτοῦ· καὶ καταφάγε-
ται ἡ μάχαιρα κυρίου, καὶ ἐμπλησϑήσεται καὶ μεϑυσϑήσεται ἀπὸ τοῦ αἵματος
11 αὐτῶν, ὅτι ϑυσία τῷ κυρίῳ ἀπὸ γῆς βορρᾶ ἐπὶ ποταμῷ Εὐφράτῃ. [11] ἀνά-
βηϑι Γαλαὰδ καὶ λάβε ῥητίνην τῇ παρϑένῳ ϑυγατρὶ Αἰγύπτου· εἰς τὸ κενὸν
12 ἐπλήϑυνας ἰάματά σου, ὠφέλεια οὐκ ἔστιν ἐν σοί· [12] ἤκουσαν ἔϑνη φωνήν
σου, καὶ τῆς κραυγῆς σου ἐπλήσϑη ἡ γῆ, ὅτι μαχητὴς πρὸς μαχητὴν ἠσϑέ-
13 νησαν, ἐπὶ τὸ αὐτὸ ἔπεσαν ἀμφότεροι. [13] Α ΕΛΑΛΗΣΕ ΚΥΡΙΟΣ ΕΝ ΧΕΙΡΙ
ΙΕΡΕΜΙΟΥ ΤΟΥ ΕΛΘΕΙΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΒΑΒΥΛΩΝΟΣ ΤΟΥ ΚΟΨΑΙ
14 ΓΗΝ ΑΙΓΥΠΤΟΥ. [14] ἀναγγείλατε εἰς Μάγδωλον, καὶ παραγγείλατε εἰς
Μέμφιν· εἴπατε Ἐπίστηϑι καὶ ἑτοίμασον, ὅτι κατέφαγε μάχαιρα τὴν σμί-
15 λακά σου. [15] διὰ τί ἔφυγεν ἀπὸ σοῦ ὁ Ἆπις; ὁ μόσχος ὁ ἐκλεκτός σου οὐκ
16 ἔμεινεν ὅτι κύριος παρέλυσεν αὐτόν. [16] καὶ τὸ πλῆϑός σου ἠσϑένησε καὶ
ἔπεσε, καὶ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἐλάλει Ἀναστῶμεν καὶ ἀνα-
στρέψωμεν πρὸς τὸν λαὸν ἡμῶν εἰς τὴν πατρίδα ἡμῶν ἀπὸ προσώπου
17 μαχαίρας Ἑλληνικῆς. [17] καλέσατε τὸ ὄνομα Φαραὼ Νεχαὼ βασιλέως Αἰ-
18 γύπτου Σαὼν Ἐσβειὲ Μωήδ. [18] ζῶ ἐγώ, λέγει κύριος ὁ ϑεός, ὅτι ὡς τὸ
19 Ἰταβύριον ἐν τοῖς ὄρεσι καὶ ὡς ὁ Κάρμηλος ὁ ἐν τῇ ϑαλάσσῃ ἥξει. [19] σκεύη
ἀποικισμοῦ ποίησον σεαυτῇ, κατοικοῦσα ϑύγατερ Αἰγύπτου, ὅτι Μέμφις εἰς
ἀφανισμὸν ἔσται, καὶ κληϑήσεται οὐαί, διὰ τὸ μὴ ὑπάρχειν κατοικοῦντας ἐν
20 αὐτῇ. [20] δάμαλις κεκαλλωπισμένη Αἴγυπτος, ἀπόσπασμα ἀπὸ βορρᾶ ἦλϑεν
21 ἐπ᾽ αὐτήν, [21] καὶ οἱ μισϑωτοὶ αὐτῆς ἐν αὐτῇ ὥσπερ μόσχοι σιτευτοὶ τρεφό-
μενοι ἐν αὐτῇ· διότι καὶ αὐτοὶ ἐπεστράφησαν καὶ ἔφυγον ὁμοϑυμαδόν, οὐκ
ἔστησαν ὅτι ἡμέρα ἀπωλείας ἦλϑεν ἐπ᾽ αὐτοὺς καὶ καιρὸς ἐκδικήσεως αὐ-
22 τῶν. [22] φωνὴ αὐτῶν ὡς ὄφεως συρίζοντος, ὅτι ἐν ἄμμῳ πορεύονται, ἐν ἀξί-
23 ναις ἥξουσιν ἐπ᾽ αὐτήν· [23] ὡς κόπτοντες ξύλα ἐκκόψουσι τὸν δρυμὸν αὐτῆς,
λέγει κύριος, ὅτι οὐ μὴ εἰκασϑῇ, ὅτι πληϑύνει ὑπὲρ ἀκρίδα καὶ οὐκ ἔστιν
24 αὐτοῖς ἀριϑμός. [24] κατῃσχύνϑη ἡ ϑυγάτηρ Αἰγύπτου, παρεδόϑη εἰς χεῖρας λαοῦ
25 ἀπὸ βορρᾶ. [25] ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν Ἀμμὼν τὸν υἱὸν αὐτῆς ἐπὶ Φαραὼ καὶ
27 ἐπὶ τοὺς πεποιϑότας ἐπ᾽ αὐτῷ. [27] σὺ δὲ μὴ φοβηϑῇς δοῦλός μου Ἰακώβ,
μηδὲ πτοηϑῇς Ἰσραήλ, διότι ἐγὼ ἰδοὺ σώζων σε μακρόϑεν καὶ τὸ σπέρμα
σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν· καὶ ἀναστρέψει Ἰακὼβ καὶ ἡσυχάσει καὶ
28 ὑπνώσει, καὶ οὐκ ἔσται ὁ παρενοχλῶν αὐτόν. [28] μὴ φοβοῦ παῖς μου Ἰακώβ,
λέγει κύριος, ὅτι μετὰ σοῦ ἐγώ εἰμι· ἡ ἀπτόητος καὶ τρυφερὰ παρεδόϑη,

---

8. FA ειπας ... FA om την ... Ax FA om τους 9. και κατασκευασατε 10. FA* om ἡ ... FA κυριω ϑεω ... FA καταφαγεται μαχερα ... FA πλησϑησεται ... τω κυρ. σαβαωϑ 11. εις κενον ... Ax FA εστιν σοι 12. FA* κραυης ... Ax FA ησϑενησεν ... FA επεσον 13. ναβουχοδονοσορ τον βασ. β. και εκκοψαι την γην αυτου 14. FA σμιλακαν 15. Ax FA om απο σου ... οτι ο κυριος 16. επεσον ... ελαλουν ... αποστρεψωμεν εις τον λ. ημ. απο προσωπου ... FA ημων (*·* add και) εις την 17. Ax εσβι· εμωηδ, item FA videtur εσβει εμωηδ habere 18. Ax FA ο καρμηλος εν 19. FA* αποικιασμου π. σεαυτω καταοικουσα ... FA ϑυγατηρ 21. ** διοτι και ουτοι ... Ax FA απεστραφησαν ... επ αυτοις 22. Ax FA om αυτων ... Ax FA πορευσονται 23. λεγει κυρ. ο ϑεος, FA λεγει ο ϑεος ... επληϑυνεν υπερ ακριδας ... FA αυτω αριϑμος 24. FA κατεσχυνϑη (*·* καταισχ.) ϑυγατηρ 27. FA* δουλους ... Ax FA διοτι (FA*·* add ιδου) εγω (Ax* omiserat διοτ. εγω) σωζω ... FA* om και υπνωσει ... FA παρενοχλ. αυτω 28. και συ μη φοβου

Digitized by Google

ὅτι ποιήσω ἔθνει συντέλειαν ἐν παντὶ ἔθνει εἰς οὓς ἐξῶσά σε ἐκεῖ, σὲ δὲ οὐ μὴ ποιήσω ἐκλιπεῖν· καὶ παιδεύσω σε εἰς κρίμα, καὶ ἀθῷον οὐκ ἀθωώσω σε.

## XXVII.

(Graece 27. = Hebraice 50.)
( — 34. = — 27.)

* Apoc. 18, 2 sq.

ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΟΝ ΕΛΑΛΗΣΕΝ ΕΠΙ ΒΑΒΥΛΩΝΑ. [2]Ἀναγγεί- 2
λατε ἐν τοῖς ἔθνεσι καὶ ἀκουστὰ ποιήσατε καὶ μὴ κρύψητε· εἴπατε Ἑάλωκε
Βαβυλών, κατῃσχύνθη Βῆλος ἡ ἀπτόητος, ἡ τρυφερὰ παρεδόθη Μαιρωδάχ,
[3]ὅτι ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βοῤῥᾶ, οὗτος θήσει τὴν γῆν αὐτῆς εἰς ἀφα- 3
νισμόν, καὶ οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ ἀπὸ ἀνθρώπου καὶ ἕως κτήνους.
[4]ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ἰσραήλ, 4
αὐτοὶ καὶ οἱ υἱοὶ Ἰούδα ἐπὶ τὸ αὐτὸ βαδίζοντες καὶ κλαίοντες πορεύσονται,
τὸν κύριον θεὸν αὐτῶν ζητοῦντες. [5]ἕως Σιὼν ἐρωτήσουσι τὴν ὁδόν, ὧδε γὰρ 5
τὸ πρόσωπον αὐτῶν δώσουσι, καὶ ἥξουσι καὶ καταφεύξονται πρὸς κύριον τὸν
θεόν· διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται. [6]πρόβατα ἀπολωλότα ἐγενήθη 6
ὁ λαός μου, οἱ ποιμένες αὐτῶν ἐξῶσαν αὐτούς, ἐπὶ τὰ ὄρη ἀπεπλάνησαν αὐ-
τούς, ἐξ ὄρους ἐπὶ βουνὸν ᾤχοντο, ἐπελάθοντο κοίτης αὐτῶν. [7]πάντες οἱ εὑ- 7
ρίσκοντες αὐτοὺς ἀνήλισκον αὐτούς· οἱ ἐχθροὶ αὐτῶν εἶπαν Μὴ ἀνῶμεν αὐτούς,
ἀνθ' ὧν ἥμαρτον τῷ κυρίῳ· νομὴ δικαιοσύνης τῷ συναγαγόντι τοὺς πατέρας
αὐτῶν. [8]ἀπαλλοτριώθητε ἐκ μέσου Βαβυλῶνος καὶ ἀπὸ γῆς Χαλδαίων καὶ 8
ἐξέλθατε, καὶ γένεσθε ὥςπερ δράκοντες κατὰ πρόςωπον προβάτων. [9]ὅτι ἰδοὺ 9
ἐγὼ ἐγείρω ἐπὶ Βαβυλῶνα συναγωγὰς ἐθνῶν ἐκ γῆς βοῤῥᾶ, καὶ παρατάξονται
αὐτῇ· ἐκεῖθεν ἁλώσεται, ὡς βολὶς μαχητοῦ συνετοῦ οὐκ ἐπιστρέψει κενή.
[10]καὶ ἔσται ἡ Χαλδαία εἰς προνομήν, πάντες οἱ προνομεύοντες αὐτὴν ἐμ- 10
πλησθήσονται. [11]ὅτι ηὐφραίνεσθε καὶ κατεκαυχᾶσθε διαρπάζοντες τὴν κλη- 11
ρονομίαν μου, διότι ἐσκιρτᾶτε ὡς βοΐδια ἐν βοτάνῃ, καὶ ἐκερατίζετε ὡς ταῦροι.
[12]ᾐσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα, ἐνετράπη ἡ τεκοῦσα ὑμᾶς μήτηρ ἐπ' 12
ἀγαθά, ἐσχάτη ἐθνῶν, ἔρημος, [13]ἀπὸ ὀργῆς κυρίου οὐ κατοικηθήσεται· καὶ 13
ἔσται εἰς ἀφανισμὸν πᾶσα, καὶ πᾶς ὁ διοδεύων διὰ Βαβυλῶνος σκυθρωπάσει,
καὶ συριοῦσιν ἐπὶ πᾶσαν τὴν πληγὴν αὐτῆς. [14]παρατάξασθε ἐπὶ Βαβυλῶνα 14
κύκλῳ πάντες τείνοντες τόξον, τοξεύσατε ἐπ' αὐτήν, μὴ φείσησθε ἐπὶ τοῖς
τοξεύμασιν ὑμῶν [15]καὶ κατακρατήσατε αὐτήν· παρελύθησαν αἱ χεῖρες αὐτῆς, 15
ἔπεσαν αἱ ἐπάλξεις αὐτῆς, καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς· ὅτι ἐκδίκησις
παρὰ θεοῦ ἐστίν, ἐκδικεῖτε ἐπ' αὐτήν, καθὼς ἐποίησε ποιήσατε αὐτῇ. [16]ἐξο- 16
λοθρεύσασθε σπέρμα ἐκ Βαβυλῶνος, κατέχοντα δρέπανον ἐν καιρῷ θερισμοῦ,
ἀπὸ προςώπου μαχαίρας Ἑλληνικῆς ἕκαστος εἰς τὸν λαὸν αὐτοῦ ἀποστρέ-
ψουσι, καὶ ἕκαστος εἰς τὴν γῆν αὐτοῦ φεύξεται. [17]πρόβατον πλανώμενον 17

---

28. Ax FA om εθνει prius ... FA εθνει ου εξωσα ... Ax FA*.* εκλειπειν ... εις κρισιν ... αθοωσω ... FA αθοων ουκ αθοωσω **XXVII.** 1. Ax FA ο λογος ... om κυριου ... ελαλησεν κυριος 2. Ax FA βηλ ... Ax FA μεωδαχ 3. *επ αυτη ... ανθρωπου εως 4. FA και εν ταις ... ιακωβ pro ισραηλ ... om αυτοι ... FA πορευσονται κυριον τον θεον 5. Ax FA εως εις σιων ... Ax FA κυριον θεον 6. Ax FA επελαθεντο 7. καταναλισκον, FA*.* (*om ανηλισκ. αυτ.) κατανηλισκον ... FA ειπον 8. απηλλοτριωθητε 9. FA* βορραν ... αλωσονται 10. προνομευσαντες 11. FA καταχαυχασθαι 12. ημων et ημας ... FA om ενετραπη η τεκ. υμας 13. ου κατοικ. εις τον αιωνα ... πασα η γη και πας ... FA* κυκλωπασει και ριουσιν 14. FA και μη φεισ. 15. κατακρατ. επ αυτην ... FA επεσον ... αυτης, κατεσκαφη ... FA του θεου ... FA εκδικηται (corr. est εκδικησαται, sed σα rursus erasum) 16. εξολεθρευσατε, FA εξωλεθρευσατε ... τοπον pro λαον ... τον οικον pro τ. γην

Digitized by Google

Ἰσραήλ, λέοντες ἐξῶσαν αὐτόν· ὁ πρῶτος ἔφαγεν αὐτὸν βασιλεὺς Ἀσσούρ,
18 καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς Βαβυλῶνος. [18] διὰ τοῦτο τάδε λέ-
γει κύριος Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα Βαβυλῶνος καὶ ἐπὶ τὴν γῆν
19 αὐτοῦ καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα Ἀσσούρ. [19] καὶ ἀποκαταστήσω τὸν
Ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ, καὶ νεμήσεται ἐν τῷ Καρμήλῳ καὶ ἐν ὄρει
20 Ἐφραῒμ καὶ ἐν τῷ Γαλαάδ, καὶ πλησθήσεται ἡ ψυχὴ αὐτοῦ. [20] ἐν ταῖς ἡμέ-
ραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ζητήσουσι τὴν ἀδικίαν Ἰσραήλ, καὶ
οὐχ ὑπάρξει, καὶ τὰς ἁμαρτίας Ἰούδα, καὶ οὐ μὴ εὑρεθῶσιν, ὅτι ἵλεως ἔσο-
21 μαι τοῖς ὑπολελειμμένοις [21] ἐπὶ τῆς γῆς, λέγει κύριος. πικρῶς ἐπίβηθι ἐπ'
αὐτὴν καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ' αὐτήν· ἐκδίκησον μάχαιρα καὶ ἀφά-
22 νισον, λέγει κύριος, καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι. [22] φωνὴ πολέ-
23 μου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων. [23] πῶς ἐκλάσθη καὶ συνετρίβη ἡ
σφυρὰ πάσης τῆς γῆς; πῶς ἐγενήθη εἰς ἀφανισμὸν Βαβυλὼν ἐν ἔθνεσιν;
24 [24] ἐπιβήσονταί σοι, καὶ οὐ γνώσῃ ὡς Βαβυλὼν καὶ ἁλώσῃ· εὑρέθης καὶ ἐλή-
25 φθης, ὅτι τῷ κυρίῳ ἀντέστης. [25] ἤνοιξε κύριος τὸν θησαυρὸν αὐτοῦ καὶ ἐξή-
νεγκε τὰ σκεύη ὀργῆς αὐτοῦ, ὅτι ἔργον τῷ κυρίῳ θεῷ ἐν γῇ Χαλδαίων,
26 [26] ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς, ἐρευνήσατε
αὐτὴν ὡς σπήλαιον καὶ ἐξολοθρεύσατε αὐτήν, μὴ γενέσθω αὐτῆς κατά-
27 λειμμα· [27] ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρπούς, καὶ καταβήτωσαν εἰς
σφαγήν. οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν καὶ καιρὸς ἐκδικήσεως αὐ-
28 τῶν. [28] φωνὴ φευγόντων καὶ ἀνασωζομένων ἐκ γῆς Βαβυλῶνος τοῦ ἀναγγεῖ-
29 λαι εἰς Σιὼν τὴν ἐκδίκησιν παρὰ κυρίου θεοῦ ἡμῶν. [29] παραγγείλατε ἐπὶ
Βαβυλῶνα πολλοῖς, παντὶ ἐντείνοντι τόξον, παρεμβάλλετε ἐπ' αὐτὴν κυκλό-
θεν· μὴ ἔστω αὐτῆς ἀνασωζόμενος, ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς·
κατὰ πάντα ὅσα ἐποίησε ποιήσατε αὐτῇ, ὅτι πρὸς κύριον ἀντέστη θεὸν ἅγιον
30 τοῦ Ἰσραήλ. [30] διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς ἐν ταῖς πλατείαις
αὐτῆς, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς ῥιφήσονται, εἶπε κύριος.
31 [31] ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, λέγει κύριος, ὅτι ἥκει ἡ ἡμέρα σου καὶ
32 ὁ καιρὸς ἐκδικήσεώς σου, [32] καὶ ἀσθενήσει ἡ ὕβρις σου καὶ πεσεῖται, καὶ
οὐδεὶς ἔσται ὁ ἀνιστῶν αὐτήν· καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ κα-
33 ταφάγεται πάντα τὰ κύκλῳ αὐτῆς. [33] τάδε λέγει κύριος Καταδεδυνάστευνται
οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα, ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτοὺς
34 κατεδυνάστευσαν αὐτούς, ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς. [34] καὶ ὁ λυ-
τρούμενος αὐτοὺς ἰσχυρός, κύριος παντοκράτωρ ὄνομα αὐτῷ· κρίσιν κρινεῖ πρὸς
τοὺς ἀντιδίκους αὐτοῦ, ὅπως ἐξάρῃ τὴν γῆν καὶ παροξυνεῖ τοῖς κατοικοῦσι
35 Βαβυλῶνα. [35] μάχαιραν ἐπὶ τοὺς Χαλδαίους καὶ ἐπὶ τοὺς κατοικοῦντας Βα-
36 βυλῶνα καὶ ἐπὶ τοὺς μεγιστᾶνας αὐτῆς καὶ ἐπὶ τοὺς συνετοὺς αὐτῆς· [36] μά-
χαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῆς, καὶ παραλυθήσονται· μάχαιραν ἐπὶ τοὺς
37 ἵππους αὐτῶν καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν· [37] μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐ-

---

17. FA* και οστερος (corr. est ο υστερος et ουτος ο υστερον) 18. FA* εξεδικηκα 19. FA εφρεμ ... εν γη γαλααδ και εμπλησθησεται 20. post εκεινω add φησιν κυριος ... Ax FA υπολελιμμενοις 21. FA* om και επι τ. κατ. επ (επ om Ax) αυτην ... FA μαχεραν 23. Ax FA συνεκλασθη 24. FA επιθησονται σοι και φυγη ως βαβυλων και αλωση (*.* add και ου γνωση) ευρεθης ... και αλωση και ου γνωση ως βαβυλων και ευρεθης ... Ax FA εληµφθης 25. FA* om τω ... om θεω 26. και εραυνησατε, FA* εραυνησατε ... FA om ως σπ. και εξολ. αυτην ... εξολεθρευσατε ... FA καταλιμμα 28. om την ... θεου αυτων, FA θε. υμων 29. παρεμβαλατε, FA παρεμβαλεται ... Ax FA πρ. τον κυριον 31. προς σε ... υβριστιαν, FA* υβρινστιαν ... Ax FA της εκδικησεως 32. Ax FA και ουκ εσται 33. FA bis υιοι sine οι ... FA* om κατεδυν. αυτους 34. FA παροικουσιν

Digitized by Google

τῶν καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν μέσῳ αὐτῆς, καὶ ἔσονται ὡςεὶ γυναῖκες·
μάχαιραν ἐπὶ τοὺς θησαυρούς, καὶ διασκορπισθήσονται, 38 ἐπὶ τῷ ὕδατι αὐ- 38
τῆς, καὶ καταισχυνθήσονται, ὅτι γῆ τῶν γλυπτῶν ἐστί, καὶ ἐν ταῖς νήσοις
οὗ κατεκαυχῶντο. 39 διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα ἐν ταῖς νήσοις, καὶ 39
κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες σειρήνων, οὐ μὴ κατοικηθῇ οὐκέτι εἰς τὸν
αἰῶνα. 40 καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμοῤῥα καὶ τὰς ὁμορού- 40
σας αὐταῖς, εἶπε κύριος, οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ παροι-
κήσει ἐκεῖ υἱὸς ἀνθρώπου. 41 ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βοῤῥᾶ, καὶ ἔθνος μέγα 41
καὶ βασιλεῖς πολλοὶ ἐξεγερθήσονται ἀπ' ἐσχάτου τῆς γῆς, 42 τόξον καὶ ἐγχει- 42
ρίδιον ἔχοντες· ἰταμός ἐστι, καὶ οὐ μὴ ἐλεήσῃ· ἡ φωνὴ αὐτῶν ὡς θάλασσα
ἠχήσει, ἐφ' ἵπποις ἱππάσονται παρεσκευασμένοι ὥςπερ πῦρ εἰς πόλεμον, πρὸς
σὲ θύγατερ Βαβυλῶνος. 43 ἤκουσε βασιλεὺς Βαβυλῶνος τὴν ἀκοὴν αὐτῶν, καὶ 43
παρελύθησαν αἱ χεῖρες αὐτοῦ· θλῖψις κατεκράτησεν αὐτοῦ, ὠδῖνες ὡς τικτού-
σης. 44 ἰδοὺ ὥςπερ λέων ἀναβήσεται ἀπὸ τοῦ Ἰορδάνου εἰς Γαιθάν, ὅτι τα- 44
χέως ἐκδιώξω αὐτοὺς ἀπ' αὐτῆς, καὶ πάντα νεανίσκον ἐπ' αὐτὴν ἐπιστήσω.
ὅτι τίς ὥςπερ ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς στή-
σεται κατὰ πρόςωπόν μου; 45 διὰ τοῦτο ἀκούσατε τὴν βουλὴν κυρίου ἣν βε- 45
βούλευται ἐπὶ Βαβυλῶνα, καὶ λογισμοὺς αὐτοῦ οὓς ἐλογίσατο ἐπὶ τοὺς κατοι-
κοῦντας Χαλδαίους· ἐὰν μὴ διαφθαρῇ τὰ ἀρνία τῶν προβάτων αὐτῶν, ἐὰν
μὴ ἀφανισθῇ νομὴ ἀπ' αὐτῶν. 46 ὅτι ἀπὸ φωνῆς ἁλώσεως Βαβυλῶνος σει- 46
σθήσεται ἡ γῆ, καὶ κραυγὴ ἐν ἔθνεσιν ἀκουσθήσεται.

## XXVIII.

(Graece 28. = Hebraice 51.)
( — 35. = — 28.)

Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ Βαβυλῶνα καὶ ἐπὶ τοὺς κα-
τοικοῦντας Χαλδαίους ἄνεμον καύσωνα διαφθείροντα. 2 καὶ ἐξαποστελῶ εἰς 2
Βαβυλῶνα ὑβριστάς, καὶ καθυβρίσουσιν αὐτὴν καὶ λυμανοῦνται τὴν γῆν αὐ-
τῆς· οὐαὶ ἐπὶ Βαβυλῶνα κυκλόθεν ἐν ἡμέρᾳ κακώσεως αὐτῆς. 3 τεινέτω ὁ 3
τείνων τὸ τόξον αὐτοῦ, καὶ περιθέσθω ᾧ ἐστὶν ὅπλα αὐτοῦ, καὶ μὴ φείσησθε
ἐπὶ τοὺς νεανίσκους αὐτῆς καὶ ἀφανίσατε πᾶσαν τὴν δύναμιν αὐτῆς. 4 καὶ 4
πεσοῦνται τραυματίαι ἐν γῇ Χαλδαίων καὶ κατακεκεντημένοι ἔξωθεν αὐτῆς.
5 διότι οὐκ ἐχήρευσεν Ἰσραὴλ καὶ Ἰούδας ἀπὸ θεοῦ αὐτῶν, ἀπὸ κυρίου παν- 5
τοκράτορος· ὅτι ἡ γῆ αὐτῶν ἐπλήσθη ἀδικίας ἀπὸ τῶν ἁγίων Ἰσραήλ. 6 φεύγετε 6
ἐκ μέσου Βαβυλῶνος καὶ ἀνασώζετε ἕκαστος τὴν ψυχὴν αὐτοῦ, καὶ μὴ ἀποῤ-
ῥιφῆτε ἐν τῇ ἀδικίᾳ αὐτῆς, ὅτι καιρὸς ἐκδικήσεως αὐτῆς ἐστὶ παρὰ κυρίου,
*Apoc. 17, 4. ἀνταπόδομα αὐτὸς ἀνταποδίδωσιν αὐτῇ. 7 ποτήριον χρυσοῦν Βαβυλὼν ἐν χειρὶ 7
18, 3. 14, 8. κυρίου, μεθύσκον πᾶσαν τὴν γῆν· ἀπὸ τοῦ οἴνου αὐτῆς ἐπίοσαν ἔθνη, διὰ

---

37. και τον συμμ. (FA συνμ.) ... FA* om τον sec. ... εμμεσω ... ως γυναίκες ... Ax FA θησαυρ. αυτης 38. FA εν τω υδατι ... επεποιθει και καταισχ. ... om οὗ, FA habet σου 39. FA και δια τουτο κατοικησουσιν ... FA σιρηνων ... FA* αιωναν 40. ομορροουσας, FA ομορρουσας ... κατοικησει pro παροικησει 41. FA* βορραν ... απο γης βορρα 42. FA ελεησει ... Ax FA om ἡ ... αυτου ... FA* εφ ιππον ... FA παρεσκ. ιππασονται ... Ax FA θυγατηρ 43. FA* αι χειρ. αυτων ... Ax FA* κατεκρ. αυτους 44. εις τοπον αιθαμ ... FA* θαιθαμ (corr. est γαιθαμ et χαιθαμ) 45. διαλογισμους ους διελογισατο ... *εαν μη διαφθιρω ... FA* om απ 46. FA* κραυη XXVIII. 2. καθυβριουσιν ... FA* γ. εκινην pro γ. αυτης 3. FA*.* επ αυτην τινετω ... FA ως εστιν ... FA*.* om και sec. ... Ax FA om τους 5. δια τι ουκ ... ιουδ. απο κυρ. θεου αυτων κυριου 6. Ax FA αποριφητε ... FA οτι ο καιρος 7. FA εν χειρι θεου

8 τοῦτο ἐσαλεύθησαν, [8] καὶ ἄφνω ἔπεσε Βαβυλὼν καὶ συνετρίβη. θρηνεῖτε αὐ-
9 τήν, λάβετε ῥητίνην τῇ διαφθορᾷ αὐτῆς, εἴ πως ἰαθήσεται. [9] ἰατρεύσαμεν τὴν
Βαβυλῶνα, καὶ οὐκ ἰάθη· ἐγκαταλίπωμεν αὐτὴν καὶ ἀπέλθωμεν ἕκαστος εἰς
τὴν γῆν αὐτοῦ, ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρίμα αὐτῆς, ἐξῆρεν ἕως τῶν
10 ἄστρων. [10] ἐξήνεγκε κύριος τὸ κρίμα αὐτοῦ· δεῦτε καὶ ἀναγγείλωμεν ἐν Σιὼν
11 τὰ ἔργα κυρίου τοῦ θεοῦ ἡμῶν. [11] παρασκευάζετε τὰ τοξεύματα, πληροῦτε
τὰς φαρέτρας· ἤγειρε κύριος τὸ πνεῦμα βασιλέως Μήδων, ὅτι εἰς Βαβυλῶνα
ἡ ὀργὴ αὐτοῦ τοῦ ἐξολοθρεῦσαι αὐτήν, ὅτι ἐκδίκησις κυρίου ἐστίν, ἐκδίκησις
12 λαοῦ αὐτοῦ ἐστίν. [12] ἐπὶ τειχέων Βαβυλῶνος ἄρατε σημεῖον, ἐπιστήσατε φα-
ρέτρας, ἐγείρατε φυλακάς, ἑτοιμάσατε ὅπλα ὅτι ἐνεχείρισε, καὶ ποιήσει κύ-
13 ριος ἃ ἐλάλησεν ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα, [13] κατασκηνοῦντας ἐφ'
ὕδασι πολλοῖς καὶ ἐπὶ πλήθει θησαυρῶν αὐτῆς. ἥκει τὸ πέρας σου ἀληθῶς
14 εἰς τὰ σπλάγχνα σου. [14] ὅτι ὤμοσε κύριος κατὰ τοῦ βραχίονος αὐτοῦ διότι * Apoc.
πληρώσω σε ἀνθρώπων ὡσεὶ ἀκρίδων, καὶ φθέγξονται ἐπὶ σὲ οἱ καταβαί- 17, 1.
15 νοντες. [15] κύριος ποιῶν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ἑτοιμάζων οἰκουμένην ἐν τῇ
16 σοφίᾳ αὐτοῦ, ἐν τῇ συνέσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανόν, [16] εἰς φωνὴν ἔθετο
ἦχος ὕδατος ἐν οὐρανῷ καὶ ἀνήγαγε νεφέλας ἀπ' ἐσχάτου τῆς γῆς, ἀστρα-
17 πὰς εἰς ὑετὸν ἐποίησε καὶ ἐξήγαγε φῶς ἐκ τῶν θησαυρῶν αὐτοῦ. [17] ἐμα-
ταιώθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν
18 γλυπτῶν αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς. [18] μάταιά
19 ἐστιν ἔργα μεμωκημένα, ἐν καιρῷ ἐπισκέψεως αὐτῶν ἀπολοῦνται. [19] οὐ τοι-
αύτη μερὶς τῷ Ἰακώβ, ὅτι ὁ πλάσας τὰ πάντα αὐτός ἐστι κληρονομία αὐτοῦ,
20 κύριος ὄνομα αὐτῷ. [20] διασκορπίζεις σύ μοι σκεύη πολέμου, καὶ διασκορπιῶ
21 ἐν σοὶ ἔθνη καὶ ἐξαρῶ ἐκ σοῦ βασιλεῖς. [21] καὶ διασκορπιῶ ἐν σοὶ ἵππον καὶ
22 ἐπιβάτην αὐτοῦ, [22] καὶ διασκορπιῶ ἐν σοὶ ἅρματα καὶ ἀναβάτας αὐτῶν· καὶ
διασκορπιῶ ἐν σοὶ νεανίσκον καὶ παρθένον, καὶ διασκορπιῶ ἐν σοὶ ἄνδρα καὶ
23 γυναῖκα. [23] καὶ διασκορπιῶ ἐν σοὶ ποιμένα καὶ τὸ ποίμνιον αὐτοῦ, καὶ δια-
σκορπιῶ ἐν σοὶ γεωργὸν καὶ τὸ γεώργιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ ἡγε-
24 μόνας καὶ στρατηγούς σου. [24] καὶ ἀνταποδώσω τῇ Βαβυλῶνι καὶ πᾶσι τοῖς
κατοικοῦσι Χαλδαίοις πάσας τὰς κακίας αὐτῶν ἃς ἐποίησαν ἐπὶ Σιὼν κατ'
25 ὀφθαλμοὺς ὑμῶν, λέγει κύριος. [25] ἰδοὺ ἐγὼ πρὸς σὲ τὸ ὄρος τὸ διεφθαρμένον
τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ κατα-
26 κυλιῶ σε ἐπὶ τῶν πετρῶν, καὶ δώσω σε ὡς ὄρος ἐμπεπυρισμένον, [26] καὶ οὐ
μὴ λάβωσιν ἀπὸ σοῦ λίθον εἰς γωνίαν καὶ λίθον εἰς θεμέλιον, ὅτι εἰς ἀφα-
27 νισμὸν ἔσῃ εἰς τὸν αἰῶνα, λέγει κύριος. [27] ἄρατε σημεῖον ἐπὶ τῆς γῆς, σαλ-
πίσατε ἐν ἔθνεσι σάλπιγγι, ἁγιάσατε ἐπ' αὐτὴν ἔθνη, παραγγείλατε ἐπ' αὐτήν,
βασιλεῖς ἄρατε παρ' ἐμοῦ, καὶ τοῖς Ἀχαναζέοις· ἐπιστήσατε ἐπ' αὐτὴν βε-
28 λοστάσεις, ἀναβιβάσατε ἐπ' αὐτὴν ἵππον ὡς ἀκρίδων πλῆθος. [28] ἀναβιβάσατε

---

8. FA* αφνων ... FA* om θρην. αυτην ... ριτινην 9. FA* βαβυλωναν ... Ax FA*.* εγκαταλειπωμεν (FA ενκ.) ... Ax FA ηγγεισεν 10. εις σιων ... Ax FA κυριου θεου 11. παρασκευσατε ... FA* βασιλεων ... εξολεθρ., FA εξωλεθρ. 12. FA* φαρετραν ... εγειρετε ... ενεχειρησεν, FA ενεχιρησεν ... FA* om και ποι. κυρ. α ελ. 13. FA* υδατι (sed πολλοις) ... Ax FA επι pro εις 14. καταβεννοντες (FA -βενοντες) 15. Ax FA om κυριος ... FA ο ποιων 16. Ax FA εν τω ουρανω ... FA om των 17. εμωρανθη ... FA* γλυπτων αυτου ... εχωνευσεν 18. απολουντ. ουτοι· [19] αυτη μερις 20. καγω διασκορπιω 21. αναβατην 22. κ. διασκ. εν σοι ανδρα κ. γυν. και διασκ. εν σ. νεανισκ. κ. παρθ. *23. ηγεμονα ... FA om σου 24. βαβυλωνια ... αδικιας ... FA om αυτων 25. καταχυλισω σε ... Ax FA απο των πετρων ... FA εις τ. αι. εση 27. FA γης (*.* add σαλπισατε εν εθνεσιν) λεγει κυριος (*.* delet λ. κ.) σαλπιγγει ... *αγιασ. επ αυτη ... παραγγ. ε. α. βασιλειαις αραρεθ παρ εμου ... Ax FA ασχαναζεοις (Ax -ζαιοις) ... FA* ab αναβ. επ αυτ. ad αναβ. επ αυτ. seq. transilit.

Digitized by Google

ἐπ' αὐτὴν ἔθνη, τὸν βασιλέα τῶν Μήδων καὶ πάσης τῆς γῆς, τοὺς ἡγουμέ-
νους αὐτοῦ καὶ πάντας τοὺς στρατηγοὺς αὐτοῦ. [29] ἐσείσθη ἡ γῆ καὶ ἐπόνεσε, 29
διότι ἐξανέστη ἐπὶ Βαβυλῶνα λογισμὸς κυρίου τοῦ θεῖναι τὴν γῆν Βαβυλῶνος
εἰς ἀφανισμὸν καὶ μὴ κατοικεῖσθαι αὐτήν. [30] ἐξέλιπε μαχητὴς Βαβυλῶνος τοῦ 30
πολεμεῖν, καθήσονται ἐκεῖ ἐν περιοχῇ, ἐθραύσθη ἡ δυναστεία αὐτῶν, ἐγενή-
θησαν ὡςεὶ γυναῖκες· ἐνεπυρίσθη τὰ σκηνώματα αὐτῆς, συνετρίβησαν οἱ μο-
χλοὶ αὐτῆς. [31] διώκων εἰς ἀπάντησιν διώκοντος διώξεται, καὶ ἀναγγέλλων εἰς 31
ἀπάντησιν ἀναγγέλλοντος τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ Βαβυλῶνος ὅτι ἑάλωκεν
ἡ πόλις αὐτοῦ, [32] ἀπ' ἐσχάτου τῶν διαβάσεων αὐτοῦ ἐλήφθησαν, καὶ τὰ 32
συστήματα αὐτῶν ἐνέπρησαν ἐν πυρί, καὶ ἄνδρες αὐτοῦ οἱ πολεμισταὶ ἐξέρ-
χονται. [33] διότι τάδε λέγει κύριος Οἶκοι βασιλέως Βαβυλῶνος ὡς ἅλων ὥρι- 33
μος ἀλοηθήσονται· ἔτι μικρὸν καὶ ἥξει ὁ ἀμητὸς αὐτῆς. [34] κατέφαγέ με, 34
ἐμερίσατό με, κατέλαβέ με σκότος λεπτόν, Ναβουχοδονόσορ βασιλεὺς Βαβυ-
λῶνος κατέπιέ με, ὡς δράκων ἔπλησε τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῆς τρυφῆς
μου· [35] ἐξῶσάν με οἱ μόχθοι μου καὶ αἱ ταλαιπωρίαι μου εἰς Βαβυλῶνα, ἐρεῖ 35
κατοικοῦσα Σιών, καὶ τὸ αἷμά μου ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους, ἐρεῖ
Ἱερουσαλήμ. [36] διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ κρινῶ τὴν ἀντίδικόν 36
σου καὶ ἐκδικήσω τὴν ἐκδίκησίν σου, καὶ ἐρημώσω τὴν θάλασσαν αὐτῆς καὶ
ξηρανῶ τὴν πηγὴν αὐτῆς· [37] καὶ ἔσται Βαβυλὼν εἰς ἀφανισμόν, καὶ οὐ κατοι- 37
κηθήσεται. [38] ὅτι ἅμα ὡς λέοντες ἐξηγέρθησαν καὶ ὡς σκύμνοι λεόντων. 38
[39] ἐν τῇ θερμασίᾳ αὐτῶν δώσω πότημα αὐτοῖς, καὶ μεθύσω αὐτοὺς ὅπως 39
καρωθῶσι καὶ ὑπνώσωσιν ὕπνον αἰώνιον καὶ οὐ μὴ ἐξεγερθῶσι, λέγει κύ-
ριος. [40] καὶ καταβίβασον αὐτοὺς ὡς ἄρνας εἰς σφαγὴν καὶ ὡς κριοὺς μετ' 40
ἐρίφων. [41] πῶς ἑάλω καὶ ἐθηρεύθη τὸ καύχημα πάσης τῆς γῆς; πῶς ἐγένετο 41
Βαβυλὼν εἰς ἀφανισμὸν ἐν τοῖς ἔθνεσιν; [42] ἀνέβη ἐπὶ Βαβυλῶνα ἡ θάλασσα 42
ἐν ἤχῳ κυμάτων αὐτῆς, καὶ κατεκαλύφθη. [43] ἐγενήθησαν αἱ πόλεις αὐτῆς ὡς 43
γῆ ἄνυδρος καὶ ἄβατος, οὐ κατοικήσει ἐν αὐτῇ οὐδὲ εἷς, οὐδὲ μὴ καταλύσει
ἐν αὐτῇ υἱὸς ἀνθρώπου. [44] καὶ ἐκδικήσω ἐπὶ Βαβυλῶνα, καὶ ἐξοίσω ἃ κατέ- 44
πιεν ἐκ τοῦ στόματος αὐτῆς, καὶ οὐ μὴ συναχθῶσι πρὸς αὐτὴν ἔτι τὰ ἔθνη,
[49] καὶ ἐν Βαβυλῶνι πεσοῦνται τραυματίαι πάσης τῆς γῆς. [50] ἀνασωζόμενοι ἐκ 49 50
γῆς πορεύεσθε καὶ μὴ ἵστασθε· οἱ μακρόθεν μνήσθητε τοῦ κυρίου, καὶ Ἱερου-
σαλὴμ ἀναβήτω ἐπὶ τὴν καρδίαν ὑμῶν. [51] ᾐσχύνθημεν ὅτι ἠκούσαμεν ὀνειδι- 51
σμὸν ἡμῶν, κατεκάλυψεν ἀτιμία τὸ πρόσωπον ἡμῶν, εἰςῆλθον ἀλλογενεῖς εἰς
τὰ ἅγια ἡμῶν, εἰς οἶκον κυρίου. [52] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύ- 52
ριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς, καὶ ἐν πάσῃ τῇ γῇ αὐτῆς πεσοῦν-
ται τραυματίαι. [53] ὅτι ἐὰν ἀναβῇ Βαβυλὼν ὡς ὁ οὐρανός, καὶ ὅτι ἐὰν ὀχυρώσῃ 53
τὰ τείχη ἰσχύϊ αὐτῆς, παρ' ἐμοῦ ἥξουσιν ἐξολοθρεύοντες αὐτήν, λέγει κύριος.

---

28. FA om bis αυτους ... ηγεμονας ... in fine add και πασης της γης εξουσιας αυτου 29. FA* ανεστη 30. Ax FA*.* εξελειπεν ... και καθησονται ... Ax FA δυναστια ... FA και εγενηθησαν 31. διωχ. εις απαντην ... FA* απαγγελλων 32. FA* της διαβασεως ... Ax FA εληмφθησαν ... Ax FA συστεματα ... αυτου ενεπρησθησαν ... FA* ανδρ. αυτοι 33. FA* βασιλεων ... Ax FA αλοηθησεται 34. ως δραχ. cum antecdd. conjg. 35. FA εχθροι pro μοχθοι ... FA* ερει και κατοικ. ... **επι ιερουσ. pro ερει ιερ. 36. om και εκδ. τ. εκδ. σου ... FA εξαρω pro ξηρανω ... Ax FA γην pro πηγην 38. Ax FA om οτι ... ως λε. εξηγ. αμα 39. FA οπως καθαρωσιν ... υπνωσουσιν ... FA* om και υπνωσωσιν usque εξεγερθωσιν 40. om και prim. ... FA* καταβιβασω (41. FA* πως ελαληκεν) 43. Ax FA om ως ... FA εν αυτη ουδεις ... FA καταλυση 44. FA* εκσοισω ... ετι προς αυτην 49. FA και παντα τα εθνη pro τραυμ. π. τ. γης 50. om και prius ... FA* ιστασθ. εις γην μακροθεν ... FA αναβατω ... καρδ. ημων 51. FA* ονιδισμ. υμων 52. FA δια τουτο ταδε λεγει κυρ. ιδου ημ. ερχ. και εκδ. τα 53. Ax FA*.* οχυρ. υψος ισχυος (FA* υψη ισχυει) αυτης ... Ax FA εξολεθρευοντες

Digitized by Google

54 55 [54] φωνὴ κραυγῆς ἐν Βαβυλῶνι, καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων, [55] ὅτι ἐξω-
λόθρευσε κύριος τὴν Βαβυλῶνα, καὶ ἀπώλεσεν ἀπ' αὐτῆς φωνὴν μεγάλην ἠχοῦ-
56 σαν ὡς ὕδατα πολλά, ἔδωκεν εἰς ὄλεθρον φωνὴν αὐτῆς. [56] ὅτι ἦλθεν ἐπὶ Βαβυ-
λῶνα ταλαιπωρία, ἑάλωσαν οἱ μαχηταὶ αὐτῆς, ἐπτόηται τὸ τόξον αὐτῶν, ὅτι ὁ
57 θεὸς ἀνταποδίδωσιν αὐτοῖς. [57] κύριος ἀνταποδίδωσι καὶ μεθύσει μέθῃ τοὺς ἡγε-
μόνας αὐτῆς καὶ τοὺς σοφοὺς αὐτῆς καὶ τοὺς στρατηγοὺς αὐτῆς, λέγει ὁ βασιλεύς,
58 κύριος παντοκράτωρ ὄνομα αὐτῷ. [58] τάδε λέγει κύριος Τεῖχος Βαβυλῶνος ἐπλα-
τύνθη, κατασκαπτόμενον κατασκαφήσεται, καὶ αἱ πύλαι αὐτῆς αἱ ὑψηλαὶ ἐμπυ-
ρισθήσονται, καὶ οὐ κοπιάσουσι λαοὶ εἰς κενόν, καὶ ἔθνη ἐν ἀρχῇ ἐκλείψουσιν.
59 [59] Ο ΛΟΓΟΣ ΟΝ ΕΝΕΤΕΙΛΑΤΟ ΚΥΡΙΟΣ ΙΕΡΕΜΙΑ ΤΩ ΠΡΟΦΗΤΗ
εἰπεῖν τῷ Σαραίᾳ υἱῷ Νηρείου υἱοῦ Μαασαίου, ὅτε ἐπορεύετο παρὰ Σεδε-
κίου βασιλέως Ἰούδα εἰς Βαβυλῶνα, ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας
60 αὐτοῦ, καὶ Σαραίας ἄρχων δώρων. [60] καὶ ἔγραψεν Ἱερεμίας πάντα τὰ κακὰ
ἃ ἥξει ἐπὶ Βαβυλῶνα ἐν βιβλίῳ, πάντας τοὺς λόγους τούτους τοὺς γεγραμ-
61 μένους ἐπὶ Βαβυλῶνα. [61] καὶ εἶπεν Ἱερεμίας πρὸς Σαραίαν Ὅταν ἔλθῃς εἰς
62 Βαβυλῶνα, καὶ ὄψῃ καὶ ἀναγνώσῃ πάντας τοὺς λόγους τούτους, [62] καὶ ἐρεῖς
Κύριε κύριε, σὺ ἐλάλησας ἐπὶ τὸν τόπον τοῦτον τοῦ ἐξολοθρεῦσαι αὐτὸν καὶ
τοῦ μὴ εἶναι ἐν αὐτῷ κατοικοῦντας ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅτι ἀφανι-
63 σμὸς εἰς τὸν αἰῶνα ἔσται. [63] καὶ ἔσται ὅταν παύσῃ τοῦ ἀναγινώσκειν τὸ βι-
βλίον τοῦτο, καὶ ἐπιδήσεις ἐπ' αὐτὸ λίθον καὶ ῥίψεις αὐτὸ εἰς μέσον τοῦ •Apoc.
64 Εὐφράτου, [64] καὶ ἐρεῖς Οὕτως καταδύσεται Βαβυλών, καὶ οὐ μὴ ἀναστῇ ἀπὸ 18, 21.
προσώπου τῶν κακῶν ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτήν.

## XXIX.

(Graece 29, 1 — 7. = Hebraice 47, 1 — 7.
— 29, 7 — 22 = — 49, 7 — 22.
— 36. = 29.)

2 ΕΠΙ ΤΟΥΣ ΑΛΛΟΦΥΛΟΥΣ. ΤΑΔΕ ΛΕΓΕΙ ΚΥΡΙΟΣ [2] Ἰδοὺ ὕδατα
ἀναβαίνει ἀπὸ βορρᾶ, καὶ ἔσται εἰς χειμάρρουν κατακλύζοντα, καὶ κατακλύσει
γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· καὶ κε-
κράξονται οἱ ἄνθρωποι, καὶ ἀλαλάξουσιν ἅπαντες οἱ κατοικοῦντες τὴν γῆν
3 [3] ἀπὸ φωνῆς ὁρμῆς αὐτοῦ, ἀπὸ τῶν ὅπλων τῶν ποδῶν αὐτοῦ καὶ ἀπὸ σει-
σμοῦ τῶν ἁρμάτων αὐτοῦ, ἤχου τροχῶν αὐτοῦ. οὐκ ἐπέστρεψαν πατέρες ἐφ'
4 υἱοὺς αὐτῶν ἀπὸ ἐκλύσεως χειρῶν αὐτῶν [4] ἐν τῇ ἡμέρᾳ τῇ ἐπερχομένῃ τοῦ
ἀπολέσαι πάντας τοὺς ἀλλοφύλους. καὶ ἀφανιῶ τὴν Τύρον καὶ τὴν Σειδῶνα
καὶ πάντας τοὺς καταλοίπους τῆς βοηθείας αὐτῶν, ὅτι ἐξολοθρεύσει κύριος
5 τοὺς καταλοίπους τῶν νήσων. [5] ἥκει φαλάκρωμα ἐπὶ Γάζαν, ἀπερρίφη Ἀσκά-

---

54. FA* κραυης ... εκ γης 55. Αx FA εξωλεθρευσεν 56. FA* εαλωκαν ... FA* οτι θεος ... FA*.* ανταποδιδων αυτοις (sed* om αυτοις [57] κυρ. ανταποδ.) 57. ανταποδ. αυτη την ανταποδοσιν ... om και τ. στρατηγ. αυτ. 59. FA* ο κυριος ... FA* om υιω νηρειου ... Ax FA*.* νηριου ... μαασσαιου, FA* μαχαιου ... *οτι επορ. ... εν τω τεταρτ. ετει ... FA σαρεας 60. ιηρεμιας ... Ax FA εν βιβλ. ενι ... λογους τους ενγεγραμμ. 61. FA* om κ. ειπ. ιερ. (*.* ιηρεμιας) πρ. σ. usque βαβυλωνα 62. FA om κυριε alterum ... FA* om του prius ... Ax FA εξολεθρευσαι (FA εξωλ.) ... FA* εν αυτοις 63. Ax FA παυση αναγινωσκων ... επιδησεις (* -σει) αυτω ... FA επιρηψεις ... FA εις το μεσον 64. om και secundum XXIX. 1. ed. rom. επι τ. αλλοφ. cum seqq. conjg., non item Ax FA 2. Ax FA* αναβεννει ... FA* βορραν ... χιμαρρουν, FA* χιμαρρον ... FA* πολις ... τους ενοικουντας ... FA* κραξονται ... αλαλαξονται παντες 3. FA* οπλων και των ... FA τροχου ... και ηχου των τροχων ... FA* εστρεψαν ... επι υιους 4. Ax FA ερχομενη ... Ax FA σιδωνα ... Ax FA εξολεθρ. (FA εξωλ.) ... τας καταλοιπους τ. ν. 5. Ax FA απεριφη

Digitized by Google

λων καὶ οἱ κατάλοιποι Ἐνακίμ. [6] ἕως τίνος κόψεις ἡ μάχαιρα τοῦ κυρίου; 6
ἕως τίνος οὐχ ἡσυχάσεις; ἀποκατάστηθι εἰς τὸν κολεόν σου, ἀνάπαυσαι καὶ
ἐπάρθητι. [7] πῶς ἡσυχάσει; καὶ κύριος ἐνετείλατο αὐτῇ ἐπὶ τὴν Ἀσκάλωνα καὶ 7
ἐπὶ τὰς παραθαλασσίους, ἐπὶ τὰς καταλοίπους ἐπεγερθῆναι. [8] (49, 7) ΤΗ (49, 7) 8
ΙΔΟΥΜΑΙΑ. τάδε λέγει κύριος Οὐκ ἔστιν ἔτι σοφία ἐν Θαιμάν, ἀπώλετο
βουλὴ ἐκ συνετῶν, ᾤχετο σοφία αὐτῶν, [9] ἠπατήθη ὁ τόπος αὐτῶν. βαθύ- (8) 9
νατε εἰς κάθισιν οἱ κατοικοῦντες ἐν Δαιδάμ, ὅτι δύσκολα ἐποίησεν. ἤγαγον ἐπ'
αὐτὸν ἐν χρόνῳ ᾧ ἐπεσκεψάμην ἐπ' αὐτόν, [10] ὅτι τρυγηταὶ ἦλθον οἳ οὐ (9) 10
καταλείψουσί σοι κατάλειμμα· ὡς κλέπται ἐν νυκτὶ ἐπιθήσουσι χεῖρα αὐτῶν,
[11] ὅτι ἐγὼ κατέσυρα τὸν Ἠσαῦ, ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν, κρυβῆναι (10) 11
οὐ μὴ δύνωνται· ὤλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ γείτονός μου, καὶ οὐκ
ἔστιν [12] ὑπολείπεσθαι ὀρφανόν σου ἵνα ζήσηται· καὶ ἐγὼ ζήσομαι, καὶ (11) 12
αἱ χῆραι ἐπ' ἐμὲ πεποίθασιν. [13] ὅτι τάδε εἶπε κύριος Οἷς οὐκ ἦν νόμος (12) 13
πιεῖν τὸ ποτήριον, ἔπιον· καὶ σὺ ἀθωωμένη οὐ μὴ ἀθωωθῇς, [14] ὅτι κατ' (13) 14
ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, ὅτι εἰς ἄβατον καὶ εἰς ὀνειδισμὸν καὶ εἰς κα-
τάρασιν ἔσῃ ἐν μέσῳ αὐτῆς, καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσονται ἔρημοι εἰς
αἰῶνα. [15] ἀκοὴν ἤκουσα παρὰ κυρίου, καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλεν (14) 15
Συνάχθητε καὶ παραγένεσθε εἰς αὐτήν, ἀνάστητε εἰς πόλεμον. [16] μικρὸν (15) 16
ἔδωκά σε ἐν ἔθνεσιν, εὐκαταφρόνητον ἐν ἀνθρώποις. [17] ἡ παιγνία σου (16) 17
ἐνεχείρησέ σοι, ἰταμία καρδίας σου κατέλυσε τρυμαλιὰς πετρῶν, συνέλαβεν
ἰσχὺν βουνοῦ ὑψηλοῦ· ὅτι ὕψωσεν ὥςπερ ἀετὸς νοσσιὰν αὐτοῦ, ἐκεῖθεν κα-
θελῶ σε. [18] καὶ ἔσται ἡ Ἰδουμαία εἰς ἄβατον, πᾶς ὁ παραπορευόμενος (17) 18
ἐπ' αὐτὴν συριεῖ. [19] ὥςπερ κατεστράφη Σόδομα καὶ Γόμορρα καὶ αἱ (18) 19
πάροικοι αὐτῆς, εἶπε κύριος παντοκράτωρ, οὐ μὴ καθίσει ἐκεῖ ἄνθρωπος, καὶ
οὐ μὴ κατοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. [20] ἰδοὺ ὥςπερ λέων ἀναβήσεται (19) 20
ἐκ μέσου τοῦ Ἰορδάνου εἰς τόπον Αἰθάμ, ὅτι ταχὺ ἐκδιώξω αὐτοὺς ἀπ' αὐ-
τῆς, καὶ τοὺς νεανίσκους ἐπ' αὐτὴν ἐπιστήσατε. ὅτι τίς ὥςπερ ἐγώ; καὶ τίς
ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόςωπόν μου;
[21] διὰ τοῦτο ἀκούσατε βουλὴν κυρίου ἣν ἐβουλεύσατο ἐπὶ τὴν Ἰδουμαίαν, (20) 21
καὶ λογισμὸν αὐτοῦ ὃν ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας Θαιμάν, ἐὰν μὴ
συμψηθῶσι τὰ ἐλάχιστα τῶν προβάτων, ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτοὺς κατά-
λυσις αὐτῶν, [22] ὅτι ἀπὸ φωνῆς πτώσεως αὐτῶν ἐφοβήθη ἡ γῆ, καὶ κραυγὴ (21) 22
θαλάσσης οὐκ ἠκούσθη. [23] ἰδοὺ ὥςπερ ἀετὸς ὄψεται καὶ ἐκτενεῖ τὰς πτέ- (22) 23
ρυγας ἐπ' ὀχυρώματα αὐτῆς· καὶ ἔσται ἡ καρδία τῶν ἰσχυρῶν τῆς Ἰδου-
μαίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς καρδία γυναικὸς ὠδινούσης.

---

5. και τα καταλοιπα ... Ax BA εναχειμ 6. om του ... ουχ ησυχ., FA ου μη ησυχ. 7. ησυχασεις ... FA και οτ κυριος 8. FA* τη ιουμεα (sic) ... FA θεμαν 9. FA om ὁ ... βαθ. εαυτοις εις καθησιν ... Ax FA δαιδαν ... επεσχ. αυτον, FA επεσχ. επ αυτην 10. ηλθ. σοι ου καταλ. σοι καταλιμματα ωςπερ ... FA* om ου ... FA καταλιμμα ... Ax FA χειρας 11. οτι ε. κατηραυνησα ... FA* αναχαλυψα τε χρ. ... FA* αδελφ. σου ... αυτ. και γιτονος αυτου 12. Ax FA* υπολιπεσθαι ... Ax FA ζησεται ... FA om αι 13. λεγει ... FA* πιν ... Ax αθοουμενη, FA αθοωμενη ... Ax FA αθοωθης ... in fine add οτι πινων πιεσαι 14. om οτι prius ... Ax FA καταραν ... εις τον αιωνα 15. FA* συναχθηναι κ. παραγενεσθαι 16. ιδου μικρον δεδωκα ... και ευκαταφρονητον 17. οτι εαν υψωσεις ... νοσσιαν σου, FA νοσσ. εαυτου 18. FA* ιουμαια (sic) 19. FA καθιση, Ax κατοικησει ... FA ενοικησει, Ax καθειση 20. FA* εκ του υδατος pro εκ μεσ. τ. ιορδ. ... εις τον τοπον ηθαμ ... FA επ (*om) αυτης ... επιστησεται ... FA ουτ. ο ποιμην 21. συνψηφισθωσιν, FA συνωσιν ... επ αυτη, FA επ αυτην (*.* -της) 22. εσισθη η γη ... FA* κραυη ... κραυγη σου εν θαλασση ηκουσθη

Digitized by Google

## XXX.

(Graece 30, 1 - 5. 6 - 11. 12 - 16. = Hebraice 49, 1 - 5. 28 - 33. 23 - 27.)
( — 37. = — 30. )

ΤΟΙΣ ΥΙΟΙΣ ΑΜΜΩΝ. οὕτως εἶπε κύριος Μὴ υἱοὶ οὐκ εἰσὶν ἐν Ἰσραήλ, ἢ
παραληψόμενος οὐκ ἔστιν αὐτοῖς; διὰ τί παρέλαβε Μελχὸλ τὴν Γαλαάδ, καὶ
2 ὁ λαὸς αὐτῶν ἐν πόλεσιν αὐτῶν ἐνοικήσει; [2] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται,
φησὶ κύριος, καὶ ἀκουτιῶ ἐπὶ Ῥαββὰθ θόρυβον πολέμων, καὶ ἔσονται εἰς
ἄβατον καὶ εἰς ἀπώλειαν, καὶ βωμοὶ αὐτῆς ἐν πυρὶ κατακαυθήσονται, καὶ
3 παραλήψεται Ἰσραὴλ τὴν ἀρχὴν αὐτοῦ. [3] ἀλάλαξον Ἐσεβών, ὅτι ὤλετο Γαΐ.
κεκράξατε θυγατέρες Ῥαββάθ, περιζώσασθε σάκκους καὶ κόψασθε, ὅτι Μελ-
4 χὸλ βαδιεῖται ἐν ἀποικίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα. [4] τί
ἀγαλλιᾶσθε ἐν τοῖς πεδίοις Ἐνακείμ; θύγατερ ἰταμίας, ἡ πεποιθυῖα ἐπὶ θη-
5 σαυροῖς, ἡ λέγουσα Τίς εἰσελεύσεται ἐπ᾽ ἐμέ; [5] ἰδοὺ ἐγὼ φέρω φόβον ἐπὶ
σέ, εἶπε κύριος, ἀπὸ πάσης τῆς περιοίκου σου, καὶ διασπαρήσεσθε ἕκαστος
6 (49, 28.) εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ συνάγων. [6] (49, 28.) ΤΗ ΚΗΔΑΡ
ΤΗ ΒΑΣΙΛΙΣΣΗ ΤΗΣ ΑΥΛΗΣ, ΗΝ ΕΠΑΤΑΞΕ ΝΑΒΟΥΧΟΔΟΝΟΣΟΡ
ΒΑΣΙΛΕΥΣ ΒΑΒΥΛΩΝΟΣ. οὕτως εἶπε κύριος Ἀνάστητε καὶ ἀνάβητε ἐπὶ
7 (29) Κηδάρ, καὶ πλήσατε τοὺς υἱοὺς Κεδέμ. [7] σκηνὰς αὐτῶν καὶ τὰ πρόβατα
αὐτῶν λήψονται· ἱμάτια αὐτῶν καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ καμήλους
αὐτῶν λήψονται ἑαυτοῖς· καὶ καλέσατε ἐπ᾽ αὐτοὺς ἀπώλειαν κυκλόθεν.
8 (30) [8] φεύγετε, λίαν ἐμβαθύνατε εἰς κάθισιν καθήμενοι ἐν τῇ αὐλῇ, ὅτι ἐβού-
λευσατο ἐφ᾽ ὑμᾶς βασιλεὺς Βαβυλῶνος βουλὴν καὶ ἐλογίσατο λογισμόν.
9 (31) [9] ἀνάστηθι καὶ ἀνάβηθι ἐπ᾽ ἔθνος εὐσταθοῦν καθήμενον εἰς ἀναψυχήν,
10 (32) οἷς οὐκ εἰσὶ θύραι, οὐ βάλανοι, οὐ μοχλοί, μόνοι καταλύουσι. [10] καὶ ἔσον-
ται κάμηλοι αὐτῶν εἰς προνομὴν καὶ πλῆθος κτηνῶν αὐτῶν εἰς ἀπώλειαν,
καὶ λικμήσω αὐτοὺς παντὶ πνεύματι κεκαρμένους πρὸ προσώπου αὐτῶν, ἐκ
11 (33) παντὸς πέραν αὐτῶν οἴσω τὴν τροπὴν αὐτῶν, εἶπε κύριος. [11] καὶ ἔσται
ἡ αὐλὴ διατριβὴ στρουθῶν καὶ ἄβατος ἕως αἰῶνος, οὐ μὴ καθίσῃ ἐκεῖ ἄν-
12 (23) θρωπος, καὶ οὐ μὴ κατοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. [12] ΤΗ ΔΑΜΑΣΚΩ.
κατῃσχύνθη Ἡμὰθ καὶ Ἀρφάθ, ὅτι ἤκουσαν ἀκοὴν πονηράν, ἐξέστησαν, ἐθυ-
13 (24) μώθησαν, ἀναπαύσασθαι οὐ μὴ δύνωνται. [13] ἐξελύθη Δαμασκός, ἀπε-
14 (25) στράφη εἰς φυγήν, τρόμος ἐπελάβετο αὐτῆς. [14] πῶς οὐχὶ ἐγκατέλιπεν

---

XXX. 1. ed. rom. τ. υι. αμμων cum seqq. conjg., non item Ax FA ... Ax FA παραλημψομενος ... εν αυτοις ... Ax FA διοτι παρελ. ... ενοικει 2. FA* ραβαθ ... θορ. πολεμου ... FA και απωλιαν ... Ax FA οι βωμοι ... FA* κατακαυθησεται ... Ax FA παραλημψεται ... FA* ιερουσαλημ pro ισρ. 3. Ax FA και pro γαι ... FA* κραξαται ... FA ρεββαθ ... Ax FA post σακκους add επιλημπτευσασθαι (Ax -ευεσθαι) ... επι μελχομ οτι ... Ax FA εν αποικια βαδιειται (FA* βαδιει) ... FA και οι ιερεις 4. Ax FA*.* οτι (FA* αι) pro τι ... αγαλλιαση, FA αγαλλιασι (*.* -σει) ... FA om ενακειμ, *.* supplet σου, :: rursus delet ... Ax FA θυγατηρ ... επι τοις θησαυροις αυτης, FA επι θησαυρους αυτης ... FA* ουδεις pro τις 5. FA* απασης pro απο πασης ... παροικου ... FA* om και prius ... Ax FA εις προσωπον ... ουκ εσται 6. FA om τη sec. ... ο βασιλευς ... ed. rom. τη κηδαρ etc. cum ουτως ειπε conjg., non Ax FA ... FA* om και αναβητε 7. FA και προβατα ... Ax FA λημψονται bis ... καμηλ. εαυτων ... αυτοις· και καλεσατε αυτους 8. εβαθυνατε, FA εβαθυνας ... εις καθησιν ... FA* εν τη αυλη οτι εν τη αυλη ... ελογ. εφ υμας λογισμ. 9. επι εθνος ... ουδε βαλανοι 10. οι καμηλοι ... κεκραμενους ... μερους pro περαν 12. FA ημαρ και αφαδ (*.* αρφ.) ... FA πονηρ. ακοην ηκουσαν ... FA* ηθυμωθησαν, Ax εκοιμηθησαν 14. εγκατελειπον

Digitized by Google

πόλιν ἐμήν, κώμην ἠγάπησαν; [15]διὰ τοῦτο πεσοῦνται νεανίσκοι ἐν πλα- ([26]) 15
τείαις σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου πεσοῦνται, φησὶ κύριος,
[16]καὶ καύσω πῦρ ἐν τείχει Δαμασκοῦ καὶ καταφάγεται ἄμφοδα υἱοῦ Ἄδερ. ([27]) 16

## XXXI.

(Graece 31. = Hebraice 48.)
( — 38. = — 31.)

ΤΗ ΜΩΑΒ. οὕτως εἶπε κύριος Οὐαὶ ἐπὶ Ναβαῦ, ὅτι ὤλετο· ἐλήφθη
Καριαθέμ, ᾐσχύνθη Ἀμὰθ καὶ Ἀγάθ. [2]οὐκ ἔστιν ἔτι ἰατρεία Μωάβ, γαυ- 2
ρίαμα ἐν Ἐσεβὼν· ἐλογίσατο ἐπ' αὐτὴν κακά· ἐκόψαμεν αὐτὴν ἀπὸ ἔθνους,
καὶ παῦσιν παύσεται. ὄπισθέν σου βαδιεῖται μάχαιρα, [3]ὅτι φωνὴ κεκραγό- 3
των ἐξ Ὠρωναίμ, Ὄλεθρον καὶ σύντριμμα μέγα, [4]συνετρίβη Μωάβ. ἀναγγεί- 4
λατε εἰς Ζογόρα, [5]ὅτι ἐπλήσθη Ἀλὼθ ἐν κλαυθμῷ. ἀναβήσεται κλαίων ἐν 5
ὁδῷ Ὠρωναίμ, κραυγὴν συντρίμματος ἠκούσατε, [6]φεύγετε καὶ σώσατε τὰς 6
ψυχὰς ὑμῶν, καὶ ἔσεσθε ὥσπερ ὄνος ἄγριος ἐν ἐρήμῳ. [7]ἐπειδὴ ἐπεποίθεις 7
ἐν ὀχυρώματί σου, καὶ σὺ συλληφθήσῃ· καὶ ἐξελεύσεται Χαμὼς ἐν ἀποικίᾳ,
καὶ οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα. [8]καὶ ἥξει ὄλεθρος ἐπὶ πᾶ- 8
σαν πόλιν, οὐ μὴ σωθῇ, καὶ ἀπολεῖται ὁ αὐλών, καὶ ἐξολοθρευθήσεται ἡ
πεδινή, καθὼς εἶπε κύριος. [9]δότε σημεῖα τῇ Μωάβ, ὅτι ἀφῇ ἀφθήσεται, 9
καὶ πᾶσαι αἱ πόλεις αὐτῆς εἰς ἄβατον ἔσονται· πόθεν ἔνοικος αὐτῇ; [10]ἐπι- 10
κατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, ἐξαίρων μάχαιραν αὐτοῦ ἀφ'
αἵματος. [11]ἀνεπαύσατο Μωὰβ ἐκ παιδαρίου, καὶ πεποιθὼς ἦν ἐπὶ τῇ δόξῃ 11
αὐτοῦ· οὐκ ἐνέχεεν ἐξ ἀγγείου εἰς ἀγγεῖον, καὶ εἰς ἀποικισμὸν οὐκ ᾤχετο·
διὰ τοῦτο ἔστη γεῦμα αὐτοῦ ἐν αὐτῷ, καὶ ὀσμὴ αὐτοῦ οὐκ ἐξέλιπε. [12]διὰ 12
τοῦτο ἰδοὺ ἡμέραι αὐτοῦ ἔρχονται, φησὶ κύριος, καὶ ἀποστελῶ αὐτῷ κλίνον-
τας, καὶ κλινοῦσιν αὐτὸν καὶ τὰ σκεύη αὐτοῦ λεπτυνοῦσι καὶ τὰ κέρατα αὐ-
τοῦ συγκόψουσι, [13]καὶ καταισχυνθήσεται Μωὰβ ἀπὸ Χαμὼς ὥσπερ κατῃ- 13
σχύνθη οἶκος Ἰσραὴλ ἀπὸ Βαιθὴλ ἐλπίδος αὐτῶν πεποιθότες ἐπ' αὐτοῖς.
[14]πῶς ἐρεῖτε Ἰσχυροί ἐσμεν, καὶ ἄνθρωπος ἰσχύων εἰς τὰ πολεμικά; [15]ὤλετο 14 15
Μωὰβ πόλις αὐτοῦ, καὶ ἐκλεκτοὶ νεανίσκοι αὐτοῦ κατέβησαν εἰς σφαγήν.
[16]ἐγγὺς ἡμέρα Μωὰβ ἐλθεῖν, καὶ πονηρία αὐτοῦ ταχεῖα σφόδρα. [17]κινήσατε 16 17
αὐτῷ πάντες κυκλόθεν αὐτοῦ, πάντες εἴδοτε ὄνομα αὐτοῦ· εἴπατε Πῶς συνε-
τρίβη βακτηρία εὐκλεής, ῥάβδος μεγαλώματος. [18]κατάβηθι ἀπὸ δόξης καὶ 18
κάθισον ἐν ὑγρασίᾳ καθημένη. Δαιβὼν ἐκτριβήσεται, ὅτι ὤλετο Μωάβ· ἀνέβη
εἰς σὲ λυμαινόμενος ὀχύρωμά σου. [19]ἐφ' ὁδοῦ στῆθι καὶ ἔπιδε καθημένη ἐν 19
Ἀρήρ, καὶ ἐρώτησον φεύγοντα καὶ σωζόμενον καὶ εἰπὸν Τί ἐγένετο; [20]κατῃ- 20

15. Ax FA πλατιαις ... om πεσουνται sec. XXXI. 1. ed. rom. τη μωαβ cum seqq. conjg., non item Ax FA ... Ax FA εληιμφθη ... Ax FA χαριαθαιμ ... Ax FA ησχυνθη αμαθ (FA om) το κραταιωμα και ηττηθη 2. και γαρ ουκ εστιν ... Ax FA ιατρια ... εν μωαβ ... Ax FA αγαυριαμα ... FA* om εν εσεβ. ελογισατο (*.* -σαντο) ... FA οπισω σου 3. FA* φωνην ... FA κεκραγοντων ... FA ορωναϊμ ... ολεθρος 4. ed. rom. μεγα. [4] συνετρ. μωαβ, (contra Ax FA post μωαβ plene disting.) 5. αλαωθ, FA* αλεθ ... ed. rom. ορωναϊμ (antea ὡρωναιμ), FA* αρωναϊμ (*.* ορων.) ... FA κραυην ... FA ηκουσα 6. ψυχας αυτων ... FA* θεσθε pro εσεσθε ... ed. rom. ερημω, 7. Ax FA οχυρωμασιν ... om συ ... Ax FA συλλημφθηση 8. και πολεις ου μη σωθη ... Ax FA εξολεθρευθησεται 9. σημειον τω μωαβ ... αναφθησεται ... εσονται απο ενοικουντων αυτας. [11] FA* επαυσατο ... Ax FA εξ αγγιου εις αγγιον ... FA* και απωκισμον (sic) ... εκλιπει, FA*.* εξελειπεν 12. om αυτου primum ... FA* κλινουσιν αυτο 13. καταισχυνθη ο οικος ... FA βεθηλ 17. κινησατε αυτον, FA* om αυτω 18. FA* om καταβ. α. δοξ. και ... θυγατηρ δαιβων εκτριβητε, FA δεβων εκτριβηται ... οχυρωματα 19. FA και (*om) εφιδε ... Ax FA αροηρ

Digitized by Google

σχύνθη Μωάβ, ὅτι συνετρίβη· ὀλόλυξον καὶ κέκραξον, ἀνάγγειλον ἐν Ἀρνῶν
21 ὅτι ὤλετο Μωάβ, [21] καὶ κρίσις ἔρχεται εἰς τὴν γῆν Μεισὼρ ἐπὶ Χελὼν καὶ
22 Ῥεφὰς καὶ Μωφάς, [22] καὶ ἐπὶ Δαιβὼν καὶ ἐπὶ Ναβαῦ καὶ ἐπ' οἶκον Δαι-
23 θλαθαίμ, [23] καὶ ἐπὶ Καριαθαὶμ καὶ ἐπ' οἶκον Γαιμὼλ καὶ ἐπ' οἶκον Μαών,
24 [24] καὶ ἐπὶ Καριὼθ καὶ ἐπὶ Βοσὸρ καὶ ἐπὶ πάσας τὰς πόλεις Μωὰβ τὰς πόρρω
25 καὶ τὰς ἐγγύς. [25] κατεάχθη κέρας Μωάβ, καὶ τὸ ἐπίχειρον αὐτοῦ συνετρίβη.
26 [26] μεθύσατε αὐτόν, ὅτι ἐπὶ κύριον ἐμεγαλύνθη· καὶ ἐπικρούσει Μωὰβ ἐν
27 χειρὶ αὐτοῦ, καὶ ἔσται εἰς γέλωτα καὶ αὐτός. [27] καὶ εἰ μὴ εἰς γελοιασμὸν
28 ἦν σοι Ἰσραὴλ καὶ ἐν κλοπαῖς σου εὑρέθη, ὅτι ἐπολέμεις αὐτόν. [28] κατέλιπον
τὰς πόλεις καὶ ᾤκησαν ἐν πέτραις οἱ κατοικοῦντες Μωάβ· ἐγενήθησαν ὥςπερ
29 περιστεραὶ νοσσεύουσαι ἐν πέτραις στόματι βοθύνου. [29] καὶ ἤκουσα ὕβριν
Μωάβ, ὕβρισε λίαν ὕβριν αὐτοῦ καὶ ὑπερηφανίαν αὐτοῦ, καὶ ὑψώθη ἡ καρ-
30 δία αὐτοῦ, [30] ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ· οὐχὶ τὸ ἱκανὸν αὐτῷ οὐχ οὕτως
31 ἐποίησε; [31] διὰ τοῦτο ἐπὶ Μωὰβ ὀλολύζετε πάντοθεν· βοήσατε ἐπ' ἄνδρας
32 κειράδας αὐχμοῦ. [32] ὡς κλαυθμὸν Ἰαζὴρ ἀποκλαύσομαί σοι ἄμπελος Ἀσε-
ρημά· κλήματά σου διῆλθε θάλασσαν, πόλις Ἰαζὴρ ἥψαντο, ἐπὶ ὀπώραν σου
33 ἐπὶ τρυγηταῖς σου ὄλεθρος ἐπέπεσε. [33] συνεψήσθη χαρμοσύνη καὶ εὐφροσύνη
ἐκ τῆς Μωαβίτιδος, καὶ οἶνος ἦν ἐπὶ ληνοῖς σου· πρωὶ οὐκ ἐπάτησαν, οὐδὲ
34 δείλης οὐκ ἐποίησαν αἶδε. [34] ἀπὸ κραυγῆς Ἐσεβὼν ἕως Αἰτὰμ αἱ πόλεις
αὐτῶν ἔδωκαν φωνὴν αὐτῶν ἀπὸ Ζογὸρ ἕως Ὡρωναὶμ καὶ ἀγγελίαν Σαλα-
35 σία, ὅτι καὶ τὸ ὕδωρ Νεβρεὶν εἰς κατάκαυμα ἔσται. [35] καὶ ἀπολῶ τὸν Μωάβ,
36 φησὶ κύριος, ἀναβαίνοντα ἐπὶ τὸν βωμὸν καὶ θυμιῶντα θεοῖς αὐτοῦ. [36] διὰ
τοῦτο καρδία τοῦ Μωὰβ ὥςπερ αὐλοὶ βομβήσουσι, καρδία μου ἐπ' ἀνθρώ-
πους κειράδας ὥςπερ αὐλὸς βομβήσει· διὰ τοῦτο ἃ περιεποιήσατο ἀπώλετο
37 ἀπὸ ἀνθρώπου. [37] πᾶσαν κεφαλὴν ἐν παντὶ τόπῳ ξυρηθήσονται, καὶ πᾶς πώ-
γων ξυρηθήσεται, καὶ πᾶσαι χεῖρες κόψονται, καὶ ἐπὶ πάσης ὀσφύος σάκκος.
38 [38] καὶ ἐπὶ πάντων τῶν δωμάτων Μωὰβ καὶ ἐπὶ ταῖς πλατείαις αὐτῆς, ὅτι
39 συνέτριψα, φησὶ κύριος, ὡς ἀγγεῖον οὗ οὐκ ἔστι χρεία αὐτοῦ. [39] πῶς κατήλ-
λαξε; πῶς ἔστρεψε νῶτον Μωάβ; ᾐσχύνθη, καὶ ἐγένετο Μωὰβ εἰς γέλωτα
40 41 καὶ ἐγκότημα πᾶσι τοῖς κύκλῳ αὐτῆς. [40] ὅτι οὕτως εἶπε κύριος [41] Ἐλήφθη

---

20. αερνων 21. FA εις γην ... Ax FA του μισώρ ... και επι ρεφας κ. μωφαθ, FA* και επι ραφαθ, *.* κ. ε. ρασας και επι νωφαθ 22. FA δεβων ... Ax FA δεβλαθαιμ 23. FA καριαθεν ... κ. επι οικον γαμωλα, FA* om και επ οι. γαιμωλ, *.* supplet κ. επ οικον γαμωαβ ... FA* μαωθ, *.* γαμων 24. FA* om πασας 27. και μη εις γελ. σοι ... Ax FA ισραηλ, ει εν κλ. 28. Ax FA*.* κατελειπον ... εν πετρ. οικουντες μωαβ ... ως περιστεραι ε (αἱ?) νοσσευουσαι εν π. βοθ. στομ. 29. Ax FA *.* om και primum ... σφοδρα και υβρ., FA*.* λιαν και υβρ. 30. τα εργα ... Ax FA ιχαν. αυτου 31. κιδαρας, FA κιραδας 32. om σοι ... FA* ωσερημος, *.* ωσερημα ... Ax FA *.* πολεις ... και επι τρυγητ. ... επεσεν, FA ενεπεσεν 33. συνεψηθη ... FA *.* χαρμονη ... FA μωαβειτιδος ... επατηθησαν, FA* επατησας ... ed. rom. αἱ δὲ [34] ἀπὸ (etiam Ax FA*.* ante αιδε interpungunt) 34. FA* επι κραυης ... FA ως (*.* εως) εγαβ πολις (*.* αι πολεις) ... εως ελεαλη και εως ιασσα pro εως αιταμ ... ed. rom. ωρωναϊμ (item FA*.*) cf. ad vv. 3. 5. ... FA* om και αγγ. Σαλ. οτι, *.* supplet κ. αγγ. εις σαλισα· οτι, Ax κ. αγγελια σαλισια· οτι ... εβριμ, FA νεβρειμ ... FA ερημος αιστε εις καταχ. εστ. 35. αναβεννοντα (FA* -βενοντα) επι μωαβ 36. FA* της μωαβ ... και καρδια μου ... κειδαρεις, FA* κιδαρ, *.* κιδαρας 37. Ax FA ξηρησονται ... FA* παν πωγων 38. Ax FA επι πλατιαις ... FA* συνεστρεψα, *.* συνετρ. τον μωαβ, item Ax τον μωαβ post κυριος add ... αγγιον 39. FA* ab μωαβ ad μωαβ transilit ... Ax FA ενκοτημα ... **κυκλω αυτου 41. Ax FA εληνφθη

Digitized by Google

Καριώθ, καὶ τὰ ὀχυρώματα συνελήφθη, 42 καὶ ἀπολεῖται Μωὰβ ἀπὸ ὄχλου, 42
ὅτι ἐπὶ τὸν κύριον ἐμεγαλύνθη. 43 παγὶς καὶ φόβος καὶ βόθυνος ἐπὶ σὲ κα- 43
θήμενος Μωάβ. 44 ὁ φεύγων ἀπὸ προςώπου τοῦ φόβου ἐμπεσεῖται εἰς τὸν 44
βόθυνον· καὶ ὁ ἀναβαίνων ἐκ τοῦ βοθύνου, καὶ συλληφθήσεται ἐν τῇ παγίδι·
ὅτι ἐπάξω ταῦτα ἐπὶ Μωὰβ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

## XXXII.

(Graece 32, 1 - 24. = Hebraice 25, 15 - 38.)
( — 39. = — 32.)

Apoc. 14, 8. 18, 3. (25, 15.) Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ Λάβε τὸ ποτήριον τοῦ 1
οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου, καὶ ποτιεῖς πάντα τὰ ἔθνη πρὸς
ἃ ἐγὼ ἀποστέλλω σε πρὸς αὐτούς, 2 καὶ πίονται καὶ ἐξεμοῦνται, καὶ (16) 2
ἐκμανήσονται ἀπὸ προςώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀνὰ μέσον
αὐτῶν. 3 καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς κυρίου, καὶ ἐπότισα τὰ ἔθνη (17) 3
πρὸς ἃ ἀπέστειλέ με κύριος πρὸς αὐτά, 4 τὴν Ἱερουσαλὴμ καὶ τὰς πό- (18) 4
λεις Ἰούδα καὶ βασιλεῖς Ἰούδα καὶ ἄρχοντας αὐτοῦ, τοῦ θεῖναι αὐτὰς εἰς
ἐρήμωσιν καὶ εἰς ἄβατον καὶ εἰς συριγμόν, 5 καὶ τὸν Φαραὼ βασιλέα Αἰ- (19) 5
γύπτου καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς μεγιστᾶνας αὐτοῦ 6 καὶ πάντα (20) 6
τὸν λαὸν αὐτοῦ καὶ πάντας τοὺς συμμίκτους, καὶ πάντας τοὺς βασιλεῖς ἀλ-
λοφύλων καὶ τὴν Ἀσκάλωνα καὶ τὴν Γάζαν καὶ τὴν Ἀκκάρων, καὶ τὸ ἐπί-
λοιπον Ἀζώτου, 7 καὶ τὴν Ἰδουμαίαν καὶ τὴν Μωαβῖτιν καὶ τοὺς υἱοὺς (21) 7
Ἀμμών, 8 καὶ βασιλεῖς Τύρου καὶ βασιλεῖς Σιδῶνος καὶ βασιλεῖς τοὺς (22) 8
ἐν τῷ πέραν τῆς θαλάσσης, 9 καὶ τὴν Δαιδὰν καὶ τὴν Θαιμὰν καὶ τὴν (23) 9
Ῥῶς καὶ πᾶν περικεκαρμένον κατὰ πρόςωπον αὐτοῦ, 10 καὶ πάντας τοὺς (24) 10
συμμίκτους τοὺς καταλύοντας ἐν τῇ ἐρήμῳ, 11 καὶ πάντας βασιλεῖς Αἰλὰμ (25) 11
καὶ πάντας βασιλεῖς Περσῶν, 12 καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς (26) 12
πόῤῥω καὶ τοὺς ἐγγύς, ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ πάσας βασι-
λείας τὰς ἐπὶ προςώπου τῆς γῆς. 13 καὶ ἐρεῖς αὐτοῖς Οὕτως εἶπε κύριος (27) 13
παντοκράτωρ Πίετε, μεθύσθητε, καὶ ἐξεμέσετε καὶ πεσεῖσθε, καὶ οὐ μὴ ἀνα-
στῆτε ἀπὸ προςώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀνὰ μέσον ὑμῶν.
14 καὶ ἔσται ὅταν μὴ βούλωνται δέξασθαι τὸ ποτήριον ἐκ τῆς χειρός σου (28) 14
ὥςτε πιεῖν, καὶ ἐρεῖς Οὕτως εἶπε κύριος Πιόντες πίεσθε, 15 ὅτι ἐν πόλει (29) 15
ἐν ᾗ ὠνομάσθη τὸ ὄνομά μου ἐπ' αὐτὴν ἐγὼ ἄρχομαι κακῶσαι, καὶ ὑμεῖς
καθάρσει οὐ μὴ καθαρισθῆτε, ὅτι μάχαιραν ἐγὼ καλῶ ἐπὶ πάντας τοὺς κα-
θημένους ἐπὶ τῆς γῆς. 16 καὶ σὺ προφητεύσεις ἐπ' αὐτοὺς τοὺς λόγους (30) 16

---

41. ακκαριωθ, FA ακκαρων ... Ax FA συνελημφθη 42. FA επι κυριον 43. Ax FA* επι σοι, *.* επ εμε ... καθ. επι μωαβ 44. FA* ο φευων απο προςω φοβου (sic) ... FA ενπεσ. ... FA* αναβενων ... βοθυνου συλλημφθησεται, FA βοθυνου συνλημφθησεται ... διοτι ... Ax FA επισκεψ. αυτης XXXII. 1. ante Ουτως add οσα επροφητευσεν ιερεμιας επι παντα τα εθνη ... FA* om εκ χειρ. μου 2. FA om και πιονται ... Ax FA μανησονται ... μαχαιρης 3. FA εκ χ. κυρ. το ποτηριον ... Ax FA κυρ. επ αυτα 4. FA* συρισμον 6. Ax FA συμμικτ. αυτου ... παντων των αλλοφυλων ... FA αλλοφυλων την ... FA* ασκαλωναν ... FA* ακκαρω 7. FA μωαβειτιν 8. και παντας βασ. τυρου 9. FA δεδαν ... FA*.* θεμαν, *θωμεαν ... FA* ρωθ ... FA παντα περικιρομενον 10. συμμικτ. αυτου τους 11. Ax* FA* om κ. π. βασ. αιλαμ (Ax** δαιδαν) 12. βασ. του απηλ., FA βασ. τους απο απηλ. ... πασας τας βασιλ., FA πασ. βασ. αυτου ... FA πασης της γης 13. Ax FA Πιετε και μεθ. ... Ax FA εξεμεσατε ... FA* αποστ. απο προςωπου υμων 14. *om σου 15. πολ. εφ η .. επ αυτης ... ερχομαι ... καλεσω ... Ax FA om παντας 16. τους λογους τουτους επ αυτ. (*om επ αυτ.)



Digitized by Google

τούτους, καὶ ἐρεῖς Κύριος ἀφ' ὑψηλοῦ χρηματιεῖ, ἀπὸ τοῦ ἁγίου αὐτοῦ δώσει
φωνὴν αὐτοῦ, λόγον χρηματιεῖ ἐπὶ τοῦ τόπου αὐτοῦ, καὶ οἶδε ὥςπερ τρυ-
17 (31) γῶντες ἀποκριθήσονται. καὶ ἐπὶ καθημένους τὴν γῆν ἥκει ὄλεθρος, 17 ἐπὶ
μέρος τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ ἐν τοῖς ἔθνεσι· κρίνεται αὐτὸς πρὸς πᾶ-
18 (32) σαν σάρκα, οἱ δὲ ἀσεβεῖς ἐδόθησαν εἰς μάχαιραν, λέγει κύριος. 18 οὕτως
εἶπε κύριος Ἰδοὺ κακὰ ἔρχεται ἀπὸ ἔθνους ἐπὶ ἔθνος, καὶ λαῖλαψ μεγάλη
19 (33) ἐκπορεύεται ἀπ' ἐσχάτου τῆς γῆς, 19 καὶ ἔσονται τραυματίαι ὑπὸ κυρίου
ἐν ἡμέρᾳ κυρίου ἐκ μέρους τῆς γῆς καὶ ἕως εἰς μέρος τῆς γῆς· οὐ μὴ κατο-
20 (34) ρυγῶσιν εἰς κόπρια, ἐπὶ προςώπου τῆς γῆς ἔσονται. 20 ἀλαλάξατε ποιμένες,
καὶ κεκράξατε καὶ κόπτεσθε οἱ κριοὶ τῶν προβάτων, ὅτι ἐπληρώθησαν αἱ
21 (35) ἡμέραι ὑμῶν εἰς σφαγήν, καὶ πεσεῖσθε ὥςπερ οἱ κριοὶ οἱ ἐκλεκτοί· 21 καὶ
ἀπολεῖται φυγὴ ἀπὸ τῶν ποιμένων, καὶ σωτηρία ἀπὸ τῶν κριῶν τῶν προβά-
22 (36) των. 22 φωνὴ κραυγῆς τῶν ποιμένων, καὶ ἀλαλαγμὸς τῶν προβάτων καὶ
23 (37) τῶν κριῶν, ὅτι ὠλόθρευσε κύριος τὰ βοσκήματα αὐτῶν, 23 καὶ παύσεται
24 (38) τὰ κατάλοιπα τῆς εἰρήνης ἀπὸ προσώπου ὀργῆς θυμοῦ μου. 24 ἐγκατέλι-
πεν ὥςπερ λέων κατάλειμμα αὐτοῦ, ὅτι ἐγενήθη ἡ γῆ αὐτῶν εἰς ἄβατον ἀπὸ
προςώπου τῆς μαχαίρας τῆς μεγάλης.

## XXXIII.

(Graece 33. == Hebraice 26.)
( — 40. == — 33.)

ΕΝ ΑΡΧΗ ΒΑΣΙΛΕΩΣ ΙΩΑΚΕΙΜ ΥΙΟΥ ΙΩΣΙΑ ΕΓΕΝΗΘΗ Ο
2 ΛΟΓΟΣ ΟΥΤΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ 2 Οὕτως εἶπε κύριος Στῆθι ἐν αὐλῇ
οἴκου κυρίου, καὶ χρηματιεῖς ἅπασι τοῖς Ἰουδαίοις καὶ πᾶσι τοῖς ἐρχομένοις
προςκυνεῖν ἐν οἴκῳ κυρίου ἅπαντας τοὺς λόγους οὓς συνέταξά σοι χρηματί-
3 σαι αὐτοῖς, μὴ ἀφέλῃς ῥῆμα. 3 Ἴσως ἀκούσονται καὶ ἀποστραφήσονται ἕκαστος
ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ παύσομαι ἀπὸ τῶν κακῶν ὧν ἐγὼ
λογίζομαι τοῦ ποιῆσαι αὐτοῖς ἕνεκεν τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν.
4 4 καὶ ἐρεῖς Οὕτως εἶπε κύριος Ἐὰν μὴ ἀκούσητέ μου τοῦ πορεύεσθαι ἐν τοῖς
5 νομίμοις μου οἷς ἔδωκα κατὰ πρόσωπον ὑμῶν, 5 εἰςακούειν τῶν λόγων τῶν
παίδων μου τῶν προφητῶν οὓς ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς ὄρθρου, καὶ ἀπέ-
6 στειλα καὶ οὐκ ἠκούσατέ μου, 6 καὶ δώσω τὸν οἶκον τοῦτον ὥςπερ Σηλώ,
7 καὶ τὴν πόλιν δώσω εἰς κατάραν πᾶσι τοῖς ἔθνεσι πάσης τῆς γῆς. 7 καὶ
ἤκουσαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς τοῦ Ἱερεμίου λα-
8 λοῦντος τοὺς λόγους τούτους ἐν οἴκῳ κυρίου. 8 καὶ ἐγένετο Ἱερεμίου παυσα-
μένου λαλοῦντος πάντα ἃ συνέταξε κύριος αὐτῷ λαλῆσαι παντὶ τῷ λαῷ, καὶ
συνελάβοσαν αὐτὸν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς λέγων
9 Θανάτῳ ἀποθανῇ, 9 ὅτι ἐπροφήτευσας τῷ ὀνόματι κυρίου λέγων Ὥςπερ Σηλὼ

16. ερεις αυτοις ... FA εφ υψηλου ... απο του τοπ. τουτου ... τρυγωτες ... επι παντας τους καθημ. επι τ. γ. εκει ολεθρ. 17. FA* επι μερους ... FA* κρινετε αυτους πρ. π. σαρκαν 18. Ax FA απο εθν. εις εθν. ... Ax FA λελαψ 19. FA* om και εως ε. μ. τ. γης ... κατορυξωσιν ... ed. rom. κατορυγ., εις κοπρ. επι 20. Ax FA κεκραξετε 21. FA απολεισθαι 22. (FA* καυης pro κραυγ.) ... FA τ. κρ. και τ. προβ. ... Ax FA ωλεθρευσεν ... FA το βοσκημα 24. κατελειπεν με (sed με ** est), FA ενκατελειπεν ... Ax FA καταλυμα ... om της prius XXXIII. (1. εγενη) 2. πασι τ. ιουδαιοις ... FA ιουδ. τοις ερχ. ... Ax FA αυτοις χρηματισαι 3. απο οδου αυτων 4. νομοις 5. λογ. μου και των ... FA* om των παιδ. μου, ·.· supplet, :: rursus delet ... Ax FA εισηκουσατε 6. Ax FA** σηλωμ ... την πολ. ταυτην 8. οσα συνεταξεν ... Ax FA αυτω κυριος ... FA παντι τω λαω λαλησαι ... FA·.· συνελαβον 9. FA επι τω ονοματι ... Ax FA σηλωμ

Digitized by Google

ἔσται ὁ οἶκος οὗτος, καὶ ἡ πόλις αὕτη ἐρημωθήσεται ἀπὸ κατοικούντων· καὶ
ἐξεκκλησιάσθη πᾶς ὁ λαὸς ἐπὶ Ἱερεμίαν ἐν οἴκῳ κυρίου. [10] καὶ ἤκουσαν οἱ 10
ἄρχοντες Ἰούδα τὸν λόγον τοῦτον, καὶ ἀνέβησαν ἐξ οἴκου τοῦ βασιλέως εἰς
οἶκον κυρίου, καὶ ἐκάθισαν ἐν προθύροις πύλης τῆς καινῆς. [11] καὶ εἶπαν οἱ 11
ἱερεῖς καὶ οἱ ψευδοπροφῆται πρὸς τοὺς ἄρχοντας καὶ παντὶ τῷ λαῷ Κρίσις
θανάτου τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ἐπροφήτευσε κατὰ τῆς πόλεως ταύτης κα-
θὼς ἠκούσατε ἐν τοῖς ὠσὶν ὑμῶν. [12] καὶ εἶπεν Ἱερεμίας πρὸς τοὺς ἄρχοντας 12
καὶ παντὶ τῷ λαῷ λέγων Κύριος ἀπέστειλέ με προφητεῦσαι ἐπὶ τὸν οἶκον
τοῦτον καὶ ἐπὶ τὴν πόλιν ταύτην πάντας τοὺς λόγους οὓς ἠκούσατε. [13] καὶ 13
νῦν βελτίους ποιήσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν, καὶ ἀκούσατε τῆς
φωνῆς κυρίου, καὶ παύσεται κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς.
[14] καὶ ἰδοὺ ἐγὼ ἐν χερσὶν ὑμῶν, ποιήσατέ μοι ὡς συμφέρει καὶ ὡς βέλτιον 14
ὑμῖν. [15] ἀλλ' ἢ γνόντες γνώσεσθε ὅτι εἰ ἀναιρεῖτέ με, αἷμα ἀθῷον δίδοτε 15
ἐφ' ὑμᾶς καὶ ἐπὶ τὴν πόλιν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· ὅτι
ἐν ἀληθείᾳ ἀπέσταλκέ με κύριος πρὸς ὑμᾶς λαλῆσαι εἰς τὰ ὦτα ὑμῶν πάν-
τας τοὺς λόγους τούτους. [16] καὶ εἶπον οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς πρὸς τοὺς 16
ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας Οὐκ ἔστι τῷ ἀνθρώπῳ τούτῳ κρίσις
θανάτου, ὅτι ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ θεοῦ ἡμῶν ἐλάλησε πρὸς ἡμᾶς.
[17] καὶ ἀνέστησαν ἄνδρες τῶν πρεσβυτέρων τῆς γῆς καὶ εἶπαν πάσῃ τῇ συνα- 17
γωγῇ τοῦ λαοῦ [18] Μιχαίας ὁ Μωραθίτης ἦν ἐν ταῖς ἡμέραις Ἐζεκίου βασι- 18
λέως Ἰούδα καὶ εἶπε παντὶ τῷ λαῷ Ἰούδα Οὕτως εἶπε κύριος Σιὼν ὡς
ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ εἰς ἄβατον ἔσται, καὶ τὸ ὄρος τοῦ
οἴκου εἰς ἄλσος δρυμοῦ. [19] μὴ ἀνελὼν ἀνεῖλεν αὐτὸν Ἐζεκίας καὶ πᾶς Ἰούδα; 19
οὐχ ὅτι ἐφοβήθησαν τὸν κύριον, καὶ ὅτι ἐδεήθησαν τοῦ προσώπου κυρίου; καὶ
ἐπαύσατο κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐπ' αὐτούς; καὶ ἡμεῖς ἐποιήσαμεν
κακὰ μεγάλα ἐπὶ ψυχὰς ἡμῶν. [20] καὶ ἄνθρωπος ἦν προφητεύων τῷ ὀνόματι 20
κυρίου, Οὐρίας υἱὸς Σαμαίου ἐκ Καριαθιαρίμ, καὶ ἐπροφήτευσε περὶ τῆς γῆς
ταύτης κατὰ πάντας τοὺς λόγους Ἱερεμίου. [21] καὶ ἤκουσεν ὁ βασιλεὺς Ἰωακεὶμ 21
καὶ πάντες οἱ ἄρχοντες πάντας τοὺς λόγους αὐτοῦ, καὶ ἐζήτουν ἀποκτεῖναι
αὐτόν· καὶ ἤκουσεν Οὐρίας, καὶ εἰςῆλθεν εἰς Αἴγυπτον. [22] καὶ ἐξαπέστειλεν 22
ὁ βασιλεὺς ἄνδρας εἰς Αἴγυπτον, [23] καὶ ἐξηγάγοσαν αὐτὸν ἐκεῖθεν καὶ εἰςηγάγο- 23
σαν αὐτὸν πρὸς τὸν βασιλέα· καὶ ἐπάταξεν αὐτὸν ἐν μαχαίρᾳ, καὶ ἔρριψεν αὐ-
τὸν εἰς τὸ μνῆμα υἱῶν λαοῦ αὐτοῦ. [24] πλὴν χεὶρ Ἀχεικὰμ υἱοῦ Σαφὰν ἦν μετὰ 24
Ἱερεμίου τοῦ μὴ παραδοῦναι αὐτὸν εἰς χεῖρας τοῦ λαοῦ μὴ ἀνελεῖν αὐτόν.

## XXXIV.

(Graece 34, 1 — 21. = Hebraice 27, 2 — 22.
— 41. = — 34.)

(27, 2.) Οὕτως εἶπε κύριος Ποίησον σεαυτῷ δεσμοὺς καὶ κλοιούς, καὶ περί- 1
θου περὶ τὸν τράχηλόν σου, [2] καὶ ἀποστελεῖς αὐτοὺς πρὸς βασιλέα Ἰδουμαίας ([3]) 2

9. ενοικουντων 10. FA* om οι ... των λογων τουτων ... πυλης κυριου της 11. FA* αρχοντας παντι 12. FA απεσταλκεν ... Ax FA τ. λογ. τουτους ... FA om ους ηκουσ. 13. FA* om και τα εργ. υμων ... ακουσετε ... FA*.*.* κυριου του θεου ημων ... FA* ελ. προς υμας 15. FA*.* οτι αιμα ... απεστειλεν 16. Ax FA ειπαν ... Ax FA om προς secundum ... πρ. υμας 18. FA μιχεας ... λεγων Ουτως ... Ax FA σειων ... ιερ. ως οπωροφυλακιον εσται ... ως αλσος 19. μη ανερων ... ουχι οτι εφοβ., FA ουχι εφοβ. ... FA κυριον οτι ... προσωπου αυτου ... επι ψυχαις 20. επι τω ονοματι ... FA υι. μασεου ... καριαθιαρειμ, FA καριαθειαρειμ ... FA και κατα ... ιηρεμιου 23. και συνελαβοσαν αυτον κ. εξηγαγον α. εκ. ... Ax FA εισηγαγον ... εν μαχαιρη ... FA εριψεν ... μνημειον 24. αχικαμ ... ιηρεμιου ... Ax FA του μη ανελ. XXXIV. 1. Ax FA om σεαυτω 2. FA* αποστελλις ... Ax FA*.* πρ. τον βασ. ιδουμ.



Digitized by Google

καὶ πρὸς βασιλέα Μωὰβ καὶ πρὸς βασιλέα υἱῶν Ἀμμὼν καὶ πρὸς τὸν βα-
σιλέα Τύρου καὶ πρὸς βασιλέα Σιδῶνος ἐν χερσὶν ἀγγέλων αὐτῶν τῶν ἐρ-
χομένων εἰς ἀπάντησιν αὐτῶν εἰς Ἱερουσαλὴμ πρὸς Σεδεκίαν βασιλέα Ἰούδα.
3 (4) 3 καὶ συντάξεις αὐτοῖς πρὸς τοὺς κυρίους αὐτῶν εἰπεῖν Οὕτως εἶπε κύριος
4 (5) ὁ θεὸς Ἰσραήλ, οὕτως ἐρεῖτε πρὸς τοὺς κυρίους ὑμῶν 4 ὅτι ἐγὼ ἐποίησα
τὴν γῆν ἐν τῇ ἰσχύϊ μου τῇ μεγάλῃ καὶ ἐν τῷ ἐπιχείρῳ μου τῷ ὑψηλῷ, καὶ
5 (6) δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου. 5 Ἔδωκα τὴν γῆν τῷ Ναβου-
χοδονόσορ βασιλεῖ Βαβυλῶνος δουλεύειν αὐτῷ, καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐρ-
6 (8) γάζεσθαι αὐτῷ. 6 καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία ὅσοι ἐὰν μὴ ἐμβάλωσι τὸν
τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν βασιλέως Βαβυλῶνος, ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ
7 (9) ἐπισκέψομαι αὐτούς, εἶπε κύριος, ἕως ἐκλίπωσιν ἐν χειρὶ αὐτοῦ. 7 καὶ
ὑμεῖς μὴ ἀκούετε τῶν ψευδοπροφητῶν ὑμῶν καὶ τῶν μαντευομένων ὑμῖν
καὶ τῶν ἐνυπνιαζομένων ὑμῖν καὶ τῶν οἰωνισμάτων ὑμῶν καὶ τῶν φαρμα-
8 (10) κῶν ὑμῶν τῶν λεγόντων Οὐ μὴ ἐργάσησθε τῷ βασιλεῖ Βαβυλῶνος, 8 ὅτι
ψευδῆ αὐτοὶ προφητεύουσιν ὑμῖν πρὸς τὸ μακρῦναι ὑμᾶς ἀπὸ τῆς γῆς ὑμῶν.
9 (11) 9 καὶ τὸ ἔθνος ὃ ἐὰν εἰςαγάγῃ τὸν τράχηλον αὐτοῦ ὑπὸ τὸν ζυγὸν βασι-
λέως Βαβυλῶνος καὶ ἐργάσηται αὐτῷ, καὶ καταλείψω αὐτὸν ἐπὶ τῆς γῆς αὐ-
10 (12) τοῦ, καὶ ἐργᾶται αὐτῷ καὶ ἐνοικήσει ἐν αὐτῇ. 10 καὶ πρὸς Σεδεκίαν βα-
σιλέα Ἰούδα ἐλάλησα κατὰ πάντας τοὺς λόγους τούτους λέγων Εἰςαγάγετε
11 (14) τὸν τράχηλον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος. 11 ὅτι ἄδικα
12 (15) αὐτοὶ προφητεύουσιν ὑμῖν, 12 ὅτι οὐκ ἀπέστειλα αὐτούς, φησὶ κύριος, καὶ
προφητεύουσι τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ πρὸς τὸ ἀπολέσαι ὑμᾶς, καὶ ἀπο-
λεῖσθε ὑμεῖς καὶ οἱ προφῆται ὑμῶν οἱ προφητεύοντες ὑμῖν ἐπ' ἀδίκῳ ψευδῆ.
13 (16) 13 ὑμῖν καὶ παντὶ τῷ λαῷ τούτῳ καὶ τοῖς ἱερεῦσιν ἐλάλησα λέγων Οὕτως
εἶπε κύριος Μὴ ἀκούετε τῶν λόγων τῶν προφητῶν τῶν προφητευόντων ὑμῖν
λεγόντων Ἰδοὺ σκεύη οἴκου κυρίου ἐπιστρέψει ἐκ Βαβυλῶνος, ὅτι ἄδικα αὐ-
14 15 (17 18) τοὶ προφητεύουσιν ὑμῖν· 14 οὐκ ἀπέστειλα αὐτούς. 15 εἰ προφῆταί
16 (19) εἰσι, καὶ εἰ ἔστι λόγος κυρίου ἐν αὐτοῖς, ἀπαντησάτωσάν μοι, 16 ὅτι οὕ-
17 (20) τως εἶπε κύριος. καὶ τῶν ἐπιλοίπων σκευῶν, 17 ὧν οὐκ ἔλαβε βασιλεὺς
18 (22) Βαβυλῶνος, ὅτε ἀπῴκισε τὸν Ἰεχονίαν ἐξ Ἱερουσαλήμ, 18 εἰς Βαβυλῶνα
εἰςελεύσεται, λέγει κύριος.

## XXXV.

(Graece 35. = Hebraice 28.)
( — 42. = — 35.)

Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Σεδεκία βασιλέως Ἰούδα ἐν μηνὶ τῷ
πέμπτῳ εἶπέ μοι Ἀνανίας υἱὸς Ἀζὼρ ὁ ψευδοπροφήτης ἀπὸ Γαβαὼν ἐν οἴκῳ
2 κυρίου κατ' ὀφθαλμοὺς τῶν ἱερέων καὶ παντὸς τοῦ λαοῦ λέγων 2 Οὕτως
3 εἶπε κύριος Συνέτριψα τὸν ζυγὸν τοῦ βασιλέως Βαβυλῶνος. 3 ἔτι δύο ἔτη
ἡμερῶν καὶ ἐγὼ ἀποστρέψω εἰς τὸν τόπον τοῦτον τὰ σκεύη οἴκου κυρίου

2. Ax FA προς βασ. τυρου ... των αγγελων ... FA απαντ. αυτω 3. ερειτε τοις κυριοις υμων 4. FA εν ισχυι ... FA ω αν δοξη 5. την γην πασαν ... FA om ναβουχοδονοσορ ... FA om δουλ. αυτω 6. οσοι αν μη ... υπο ζυγ. βασ. βαβ. και δουλευσωσιν αυτω ... Ax FA* εν μαχ. πεσουνται ... εως αν ... Ax FA*.* εκλειπωσιν 7. FA* και των λεγοντων 8. FA αυτοι ψευδη 9. οσοι αν εισαγαγωσιν τον τρ. αυτων (postea εργασητε) ... FA* εργατ. εν αυτω 10. και εργαζεσθαι, FA και εργασεσθαι 12. FA προφητευσουσιν ... επι τω ονοματι ... απολεσθαι υμας ... FA* απολεσθε υμεις 13. Ax (item FA videtur) υμιν usque τουτω cum antecedd. conjg. ... FA* μη ακουε ... προφητευοντ. υμ. ψευδη και λεγ. ... επιστρεφει 15. και ει προφ. εισ. και εστιν ... FA* νομος κυριου 16. FA υπολοιπων 18. FA κυρ. ο θεος XXXV. 1. βασιλευοντος σεδεκιου βασ. ι. εν τω πεμπτ. μηνι ... Ax FA ο απο γαβαων 2. FA om του 3. ετη δυο ... Ax FA ημερων εγω

Digitized by Google

⁴ καὶ Ἰεχονίαν καὶ τὴν ἀποικίαν Ἰούδα, ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυ- 4
λῶνος. ⁵ καὶ εἶπεν Ἱερεμίας πρὸς Ἀνανίαν κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ καὶ 5
κατ' ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ κυρίου, ⁶ καὶ εἶπεν 6
Ιερεμίας Ἀληθῶς οὕτω ποιῆσαι κύριος, στῆσαι τὸν λόγον σου ὃν σὺ προ-
φητεύεις, τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου κυρίου καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ
Βαβυλῶνος εἰς τὸν τόπον τοῦτον. ⁷ πλὴν ἀκούσατε τὸν λόγον κυρίου ὃν ἐγὼ 7
λέγω εἰς τὰ ὦτα ὑμῶν καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ ⁸ Οἱ προφῆται οἱ 8
γεγονότες πρότεροι μοῦ καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἐπροφήτευ-
σαν ἐπὶ γῆς πολλῆς καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον· ⁹ ὁ προφήτης ὁ 9
προφητεύσας εἰς εἰρήνην, ἐλθόντος τοῦ λόγου γνώσονται τὸν προφήτην ὃν ἀπέ-
στειλεν αὐτοῖς κύριος ἐν πίστει. ¹⁰ καὶ ἔλαβεν Ἀνανίας ἐν ὀφθαλμοῖς παντὸς τοῦ 10
λαοῦ τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου Ἱερεμίου καὶ συνέτριψεν αὐτούς. ¹¹ καὶ εἶ- 11
πεν Ἀνανίας κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ λέγων Οὕτως εἶπε κύριος Οὕτως
συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν.
καὶ ᾤχετο Ἱερεμίας εἰς τὴν ὁδὸν αὐτοῦ. ¹² καὶ ἐγένετο λόγος κυρίου πρὸς 12
Ἱερεμίαν μετὰ τὸ συντρῖψαι Ἀνανίαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου αὐτοῦ
λέγων ¹³ Βάδιζε καὶ εἰπὸν πρὸς Ἀνανίαν λέγων Οὕτως εἶπε κύριος Κλοιοὺς 13
ξυλίνους συνέτριψας, καὶ ποιήσω ἀντ' αὐτῶν κλοιοὺς σιδηροῦς, ¹⁴ ὅτι οὕτως 14
εἶπε κύριος Ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν ἐρ-
γάζεσθαι τῷ βασιλεῖ Βαβυλῶνος. ¹⁵ καὶ εἶπεν Ἱερεμίας τῷ Ἀνανίᾳ Οὐκ ἀπέ- 15
σταλκέ σε κύριος, καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ. ¹⁶ διὰ 16
τοῦτο οὕτως εἶπε κύριος Ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς γῆς,
τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ. ¹⁷ καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ. 17

## XXXVI.

(Graece 36. = Hebraice 29.)
( — 43. = — 36.)

Καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου οὓς ἀπέστειλεν Ἱερεμίας ἐξ Ἱερουσαλὴμ
πρὸς τοὺς πρεσβυτέρους τῆς ἀποικίας καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς
ψευδοπροφήτας, ἐπιστολὴν εἰς Βαβυλῶνα τῇ ἀποικίᾳ, καὶ πρὸς ἅπαντα
τὸν λαόν, ² ὕστερον ἐξελθόντος Ἰεχονίου τοῦ βασιλέως καὶ τῆς βασιλίσσης 2
καὶ τῶν εὐνούχων καὶ παντὸς ἐλευθέρου καὶ δεσμώτου καὶ τεχνίτου ἐξ Ἱε-
ρουσαλήμ, ³ ἐν χειρὶ Ἐλεασὰν υἱοῦ Σαφὰν καὶ Γαμαρίου υἱοῦ Χελκίου, 3
ὃν ἀπέστειλε Σεδεκίας βασιλεὺς Ἰούδα πρὸς βασιλέα Βαβυλῶνος εἰς Βαβυ-
λῶνα, λέγων ⁴ Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ ἐπὶ τὴν ἀποικίαν ἣν 4
ἀπῴκισα ἀπὸ Ἱερουσαλὴμ ⁵ Οἰκοδομήσατε οἴκους καὶ κατοικήσατε, καὶ φυ- 5
τεύσατε παραδείσους καὶ φάγετε τοὺς καρποὺς αὐτῶν, ⁶ καὶ λάβετε γυναῖ- 6
κας καὶ τεκνοποιήσατε υἱοὺς καὶ θυγατέρας, καὶ λάβετε τοῖς υἱοῖς ὑμῶν
γυναῖκας, καὶ τὰς θυγατέρας ὑμῶν δότε ἀνδράσι, καὶ πληθύνεσθε καὶ μὴ
σμικρυνθῆτε, ⁷ καὶ ζητήσατε εἰς εἰρήνην τῆς γῆς εἰς ἣν ἀπῴκισα ὑμᾶς ἐκεῖ, 7
καὶ προσεύξεσθε περὶ αὐτῶν πρὸς κύριον, ὅτι ἐν εἰρήνῃ αὐτῆς εἰρήνη ὑμῖν.

---

4. και τον ιεχονιαν ... οτι συνετριψα τ. ζ. του 6. Ax FA (*.*?) ουτως ... FA ποιησι (*.*-σει) ... στησαι κυριος 8. FA βασιλειας μεγαλης 11. FA om παντος ... FA τραχηλου 12. τραχ. ιερεμιου λεγων 13. βαδισον 14. FA εργασασθαι 15. και συ πεποιθ. 16. FA*.* εξαποστελω ... FA αποθανιτε 17. εν τω εβδ. μηνι ... FA om εν XXXVI. 1. Ax FA προς παντα 3. ελεασαρ, FA ελεαζαρ 4. αποικεισεν, FA απωκισεν ... εξ ιερουσ. 5. Ax FA οικιας (FA*-ιαν) ... FA και καταφυτευσατε ... Ax FA παραδισους ... φαγεσθε τ. κ. αυτου 6. FA τεκνοποιησασθε ... FA* a θυγατερας ad θυγατερας transilit ... FA ανδρ. δοτε 7. προσευχεσθε, FA προσευξασθε ... εν τη ειρ. αυτων εσται η ειρ. υμων ... FA οτι εν ιρηνη (*.*ειρηνη et add αυτων εσται ιρηνη) υμειν

8 [8]ὅτι οὕτως εἶπε κύριος Μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ ψευδοπροφῆται οἱ ἐν
ὑμῖν, καὶ μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ μάντεις ὑμῶν, καὶ μὴ ἀκούετε εἰς τὰ
9 ἐνύπνια ὑμῶν ἃ ὑμεῖς ἐνυπνιάζεσθε, [9]ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν
10 ἐπὶ τῷ ὀνόματί μου καὶ οὐκ ἀπέστειλα αὐτούς. [10]ὅτι οὕτως εἶπε κύριος Ὅταν
μέλλῃ πληροῦσθαι Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπι-
στήσω τοὺς λόγους μου ἐφ' ὑμᾶς τοῦ ἀποστρέψαι τὸν λαὸν ὑμῶν εἰς τὸν
11 τόπον τοῦτον, [11]καὶ λογιοῦμαι ἐφ' ὑμᾶς λογισμὸν εἰρήνης καὶ οὐ κακὰ τοῦ
12 13 δοῦναι ὑμῖν ταῦτα. [12]καὶ προσεύξασθε πρός μέ, καὶ εἰσακούσομαι ὑμῶν· [13]καὶ
ἐκζητήσατέ με, καὶ εὑρήσετέ με· ὅτι ζητήσετέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν,
14 15 [14]καὶ ἐπιφανοῦμαι ὑμῖν. [15]ὅτι εἴπατε Κατέστησεν ἡμῖν κύριος προφήτας ἐν
21 Βαβυλῶνι, [21]οὕτως εἶπε κύριος ἐπὶ Ἀχιὰβ καὶ ἐπὶ Σεδεκίαν Ἰδοὺ ἐγὼ δί-
δωμι αὐτοὺς εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ πατάξει αὐτοὺς κατ' ὀφθαλ-
22 μοὺς ὑμῶν. [22]καὶ λήψονται ἀπ' αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ Ἰούδα
ἐν Βαβυλῶνι λέγοντες Ποιήσαι σε κύριος ὡς Σεδεκίαν ἐποίησε καὶ ὡς Ἀχιάβ,
23 οὓς ἀπετηγάνισε βασιλεὺς Βαβυλῶνος ἐν πυρί, [23]δι' ἣν ἐποίησαν ἀνομίαν ἐν
Ἰσραήλ, καὶ ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν, καὶ λόγον ἐχρη-
μάτισαν ἐν τῷ ὀνόματί μου ὃν οὐ συνέταξα αὐτοῖς, καὶ ἐγὼ μάρτυς, φησὶ
24 25 κύριος. [24]καὶ πρὸς Σαμαίαν τὸν Αἰλαμίτην ἐρεῖς [25]Οὐκ ἀπέστειλά σε τῷ
26 ὀνόματί μου. καὶ πρὸς Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα εἰπέ [26]Κύριος
ἔδωκέ σε ἱερέα ἀντὶ Ἰωδαὲ τοῦ ἱερέως, γενέσθαι ἐπιστάτην ἐν τῷ οἴκῳ κυ-
ρίου παντὶ ἀνθρώπῳ προφητεύοντι καὶ παντὶ ἀνθρώπῳ μαινομένῳ, καὶ δώ-
27 σεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν καταράκτην. [27]καὶ νῦν διὰ τί
28 συνελοιδορήσατε Ἱερεμίαν τὸν ἐξ Ἀναθὼθ τὸν προφητεύσαντα ὑμῖν; [28]οὐ διὰ
τοῦτο ἀπέστειλεν; ὅτι διὰ τοῦ μηνὸς τούτου ἀπέστειλε πρὸς ὑμᾶς εἰς Βα-
βυλῶνα λέγων Μακράν ἐστιν, οἰκοδομήσατε οἰκίας καὶ κατοικήσατε, καὶ
29 φυτεύσατε κήπους καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. [29]καὶ ἀνέγνω Σοφονίας
30 τὸ βιβλίον εἰς τὰ ὦτα Ἱερεμίου. [30]καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἱερεμίαν
31 λέγων [31]Ἀπόστειλον πρὸς τὴν ἀποικίαν λέγων Οὕτως εἶπε κύριος ἐπὶ Σα-
μαίαν τὸν Αἰλαμίτην Ἐπειδὴ ἐπροφήτευσεν ὑμῖν Σαμαίας καὶ ἐγὼ οὐκ ἀπέ-
32 στειλα αὐτόν, καὶ πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ' ἀδίκοις, [32]διὰ τοῦτο οὕ-
τως εἶπε κύριος Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ Σαμαίαν καὶ ἐπὶ τὸ γένος αὐτοῦ,
καὶ οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν τοῦ ἰδεῖν τὰ ἀγαθὰ ἃ ἐγὼ
ποιήσω ὑμῖν, οὐκ ὄψονται.

## XXXVII.

(Graece 37. = Hebraice 30.)
( — 44. = — 37.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΠΑΡΑ ΚΥΡΙΟΥ
2 ΕΙΠΕΙΝ [2]Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ λέγων Γράψον πάντας τοὺς
3 λόγους οὓς ἐχρημάτισα πρὸς σὲ ἐπὶ βιβλίου. [3]ὅτι ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ

---

8. om οτι ... FA πειθετωσαν sec. loco 10. FA* οτι οταν ... Ax FA του τον λα. υ. αποστρ. 13. εκζητησετε, FA ζητησετε ... FA om και ευρ. με ο. ζη. με ... οταν pro οτι ζητ. με ... om υμων 15. υμιν κυρ. προφητην 22. Ax FA λημψονται ... επ αυτων ... FA* αποκρισει pro αποικια ... FA* απεστησανεισεν 23. FA*.* εν ιερουσαλημ ... καγω μαρτυς 24. FA σαμεαν τ. ελαμιτην (ελαμ. etiam Ax) 25. FA om και ... μασσαιου, FA μασεου ... ειπειν, FA ειπεν (cum κυριος seq. conj.) 26. Ax FA αποκλισμα 27. FA ελοιδορησατε 28. FA* om ου, Ax οτι ... Ax FA om οτι δια τ. μ. τ. απεστ. 31. FA σαμεαν τ. ελαμιτην (ελαμ. etiam Ax) et σαμεας ... καγω ... Ax FA επ αδικω 32. FA σαμεαν ... FA αυτω ανθρωπος ... εμμεσω ... FA* τω ειδιν XXXVII. 1. γεναμενος 2. ους εγω

Digitized by Google

κύριος, καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου Ἰσραὴλ καὶ Ἰούδα, εἶπε κύ-
ριος, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν,
καὶ κυριεύσουσιν αὐτῆς. [4] ΚΑΙ ΟΥΤΟΙ ΟΙ ΛΟΓΟΙ ΟΥΣ ΕΛΑΛΗΣΕ 4
ΚΥΡΙΟΣ ΕΠΙ ΙΣΡΑΗΛ ΚΑΙ ΙΟΥΔΑ. [5] οὕτως εἶπε κύριος Φωνὴν φόβου 5
ἀκούσεσθε· φόβος, καὶ οὐκ ἔστιν εἰρήνη. [6] ἐρωτήσατε καὶ ἴδετε εἰ ἔτεκεν 6
ἄρσεν; καὶ περὶ φόβου ἐν ᾧ καθέξουσιν ὀσφὺν καὶ σωτηρίαν; διότι ἑώρακα
πάντα ἄνθρωπον καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ, ἐστράφησαν
πρόσωπα εἰς ἴκτερον. [7] ὅτι ἐγενήθη μεγάλη ἡ ἡμέρα ἐκείνη καὶ οὐκ ἔστι 7
τοιαύτη, καὶ χρόνος στενός ἐστι τῷ Ἰακώβ, [8] καὶ ἀπὸ τούτου σωθήσεται. 8
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε κύριος, συντρίψω τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου αὐ-
τῶν καὶ τοὺς δεσμοὺς αὐτῶν διαῤῥήξω, καὶ οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλο-
τρίοις, [9] καὶ ἐργῶνται τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ τὸν Δαυὶδ βασιλέα αὐτῶν 9
ἀναστήσω αὐτοῖς. [12] οὕτως εἶπε κύριος Ἀνέστησα σύντριμμα, ἀλγηρὰ ἡ πληγή 12
σου, [13] οὐκ ἔστι κρίνων κρίσιν σου, εἰς ἀλγηρὸν ἰατρεύθης, ὠφέλειά σοι οὐκ 13
ἔστι. [14] πάντες οἱ φίλοι σου ἐπελάθοντό σου, οὐ μὴ ἐπερωτήσωσιν· ὅτι πλη- 14
γὴν ἐχθροῦ ἔπαισά σε, παιδείαν στερεάν, ἐπὶ πᾶσαν ἀδικίαν σου ἐπλήθυναν
αἱ ἁμαρτίαι σου. [16] διὰ τοῦτο πάντες οἱ ἔσθοντές σε βρωθήσονται, καὶ πάν- 16
τες οἱ ἐχθροί σου κρέας αὐτῶν πᾶν ἔδονται· ἐπὶ πλῆθος ἀδικιῶν σου ἐπλη-
θύνθησαν αἱ ἁμαρτίαι σου, ἐποίησαν ταῦτά σοι· καὶ ἔσονται οἱ διαφοροῦντές
σε εἰς διαφόρημα, καὶ πάντας τοὺς προνομεύσαντάς σε δώσω εἰς προνομήν.
[17] ὅτι ἀνάξω τὸ ἴαμά σου, ἀπὸ πληγῆς ὀδυνηρᾶς ἰατρεύσω σε, φησὶ κύριος· 17
ὅτι ἐσπαρμένη ἐκλήθης, θήρευμα ὑμῶν ἐστίν, ὅτι ζητῶν οὐκ ἔστιν αὐτήν.
[18] οὕτως εἶπε κύριος Ἰδοὺ ἐγὼ ἀποστρέψω τὴν ἀποικίαν Ἰακώβ, καὶ τὴν 18
αἰχμαλωσίαν αὐτοῦ ἐλεήσω· καὶ οἰκοδομηθήσεται πόλις ἐπὶ τὸ ὕψος αὐτῆς,
καὶ ὁ λαὸς κατὰ τὸ κρίμα αὐτοῦ καθεδεῖται. [19] καὶ ἐξελεύσονται ἀπ' αὐτῶν 19
ᾄδοντες, φωνὴ παιζόντων· καὶ πλεονάσω αὐτούς, καὶ οὐ μὴ ἐλαττωθῶσι.
[20] καὶ εἰςελεύσονται οἱ υἱοὶ αὐτῶν ὡς τὸ πρότερον, καὶ τὰ μαρτύρια αὐτῶν 20
κατὰ πρόσωπόν μου ὀρθωθήσεται· καὶ ἐπισκέψομαι τοὺς θλίβοντας αὐτούς,
[21] καὶ ἔσονται ἰσχυρότεροι αὐτοῦ ἐπ' αὐτούς, καὶ ὁ ἄρχων αὐτοῦ ἐξ αὐτοῦ 21
ἐξελεύσεται· καὶ συνάξω αὐτοὺς καὶ ἀποστρέψουσι πρός μέ, ὅτι τίς ἐστιν
οὗτος ὃς ἔδωκε τὴν καρδίαν αὐτοῦ ἀποστρέψαι πρὸς μέ, φησὶ κύριος; [23] ὅτι 23
ὀργὴ κυρίου ἐξῆλθε θυμώδης, ἐξῆλθεν ὀργὴ στρεφομένη, ἐπ' ἀσεβεῖς ἥξει.
[24] οὐ μὴ ἀποστραφῇ ὀργὴ θυμοῦ κυρίου ἕως ποιήσει, καὶ ἕως καταστήσῃ 24
ἐγχείρημα καρδίας αὐτοῦ· ἐπ' ἐσχάτων τῶν ἡμερῶν γνώσεσθε αὐτά.

---

3. Ax FA ειπ. κυρ. παντοκρατωρ 5. FA φοβου αυτου ... ακουσασθαι 6. FA* καταξουσιν ... Ax FA εικτερον 7. Ax FA οτι post εγενηθη ponunt ... FA και ο χρ. ... FA* στερος 8. Ax FA συντρ. ζυγον απο τραχ. ... FA* διαρηξω ... εν αλλοτριοις 9. τον βασιλεα ... FA* αναστητω αυτ. 12. ουτ. λεγει ... FA* ανεστησαν ... συντρ. σου 13. Ax FA ωφελια ουκ εστ. σοι 14. FA*,* επελαθεντο ... Ax FA επερωτησουσιν ... Ax FA παιδιαν 16. FA εχθροι σου pro εσθοντ. σε ... αδικιας σου, FA δικαιων σου ... FA* οι βιαφοβουντες σε ε. βιαφορημα ... FA παντες οι προνομευοντες (Ax προνομευοντας) σε δοθησονται 17. ιματιον pro ιαμα ... FA ουκ εστ. αυτη 18. απ. την αιχμαλωσιαν, FA αποστρεφω αποικιαν ... και την αποικιαν, FA και αιχμαλωσιαν ... επι τειχος αυτης 19. FA* εδοντες ... Ax FA και φων. παιζ. ... FA ελαττονωθωσιν 20. οι υι. αυτου ... ʼως προτερον ... τα μαρτ. αυτ. ως το απ αρχης κατα 21. ισχυροτ. αυτων ... επιστρεψαι 23. FA επηλθεν οργη 24. FA* om θυμου ... Ax FA ποιηση ... FA* om και εως καταστ. ... επ εσχατου, FA επ εσχατω ... FA επιγνωσεσθε

Digitized by Google

## XXXVIII.

(Graece 38. = Hebraice 31.)
( — 45. = — 38.)

'Εν τῷ χρόνῳ ἐκείνῳ, εἶπε κύριος, ἔσομαι εἰς θεὸν τῷ γένει 'Ισραήλ,
2 καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. [2] οὕτως εἶπε κύριος Εὗρον θερμὸν ἐν ἐρήμῳ
3 μετὰ ὀλωλότων ἐν μαχαίρᾳ· βαδίσατε καὶ μὴ ὀλέσητε τὸν 'Ισραήλ. [3] κύριος
πόῤῥωθεν ὤφθη αὐτῷ· 'Αγάπησιν αἰώνιον ἠγάπησά σε, διὰ τοῦτο εἵλκυσά
4 σε εἰς οἰκτείρημα. [4] ὅτι οἰκοδομήσω σε, καὶ οἰκοδομηθήσῃ παρθένος 'Ισραήλ·
5 ἔτι λήψῃ τύμπανόν σου καὶ ἐξελεύσῃ μετὰ συναγωγῆς παιζόντων. [5] ὅτι ἐφυ-
6 τεύσατε ἀμπελῶνας ἐν ὄρεσι Σαμαρείας· φυτεύσατε καὶ αἰνέσατε, [6] ὅτι ἔστιν
ἡμέρα κλήσεως ἀπολογουμένων ἐν ὄρεσιν 'Εφραΐμ 'Ανάστητε καὶ ἀνάβητε
7 εἰς Σιὼν πρὸς κύριον τὸν θεὸν ὑμῶν. [7] ὅτι οὕτως εἶπε κύριος τῷ 'Ιακὼβ
Εὐφράνθητε καὶ χρεμετίσατε ἐπὶ κεφαλὴν ἐθνῶν, ἀκουστὰ ποιήσατε καὶ
αἰνέσατε· εἴπατε 'Εσωσε κύριος τὸν λαὸν αὐτοῦ, τὸ κατάλοιπον τοῦ 'Ισραήλ.
8 [8] ἰδοὺ ἐγὼ ἄγω αὐτοὺς ἀπὸ βοῤῥᾶ, καὶ συνάξω αὐτοὺς ἀπ' ἐσχάτου τῆς γῆς
9 ἐν ἑορτῇ φασέκ· καὶ τεκνοποιήσει ὄχλον πολύν, καὶ ἀποστρέψουσιν ὧδε. [9] ἐν
κλαυθμῷ ἐξῆλθον, καὶ ἐν παρακλήσει ἀνάξω αὐτούς, αὐλίζων ἐπὶ διώρυγας
ὑδάτων ἐν ὁδῷ ὀρθῇ, καὶ οὐ μὴ πλανηθῶσιν ἐν αὐτῇ· ὅτι ἐγενόμην τῷ
10 'Ισραὴλ εἰς πατέρα, καὶ 'Εφραΐμ πρωτότοκός μού ἐστιν. [10] ἀκούσατε λόγους
κυρίου ἔθνη καὶ ἀναγγείλατε εἰς νήσους τὰς μακρόθεν· εἴπατε 'Ο λικμήσας
τὸν 'Ισραὴλ καὶ συνάξει αὐτόν, καὶ φυλάξει αὐτὸν ὡς ὁ βόσκων ποίμνιον
11 αὐτοῦ. [11] ὅτι ἐλυτρώσατο κύριος τὸν 'Ιακώβ, ἐξείλατο αὐτὸν ἐκ χειρὸς στε-
12 ρεωτέρων αὐτοῦ. [12] καὶ ἥξουσι καὶ εὐφρανθήσονται ἐν τῷ ὄρει Σιών, καὶ
ἥξουσιν ἐπ' ἀγαθὰ κυρίου, ἐπὶ γῆν σίτου καὶ οἴνου καὶ καρπῶν καὶ κτηνῶν
καὶ προβάτων· καὶ ἔσται ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον ἔγκαρπον, καὶ οὐ πει-
13 νάσουσιν ἔτι. [13] τότε χαρήσονται παρθένοι ἐν συναγωγῇ νεανίσκων, καὶ πρε-
σβῦται χαρήσονται, καὶ στρέψω τὸ πένθος αὐτῶν εἰς χαρμονήν, καὶ ποιήσω
14 αὐτοὺς εὐφραινομένους. [14] μεγαλυνῶ καὶ μεθύσω τὴν ψυχὴν τῶν ἱερέων υἱῶν
15 Λευί, καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθήσεται. [15] οὕτως εἶπε κύριος Mt. 2, 18.
Φωνὴ ἐν 'Ραμᾶ ἠκούσθη θρήνου καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ· 'Ραχὴλ ἀπο-
16 κλαιομένη οὐκ ἤθελε παύσασθαι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ εἰσίν. [16] οὕτως
εἶπε κύριος Διαλειπέτω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου
ἀπὸ δακρύων σου, ὅτι ἔστι μισθὸς τοῖς σοῖς ἔργοις, καὶ ἐπιστρέψουσιν ἐκ
17 18 γῆς ἐχθρῶν, [17] μόνιμον τοῖς σοῖς τέκνοις. [18] ἀκοὴν ἤκουσα 'Εφραΐμ ὀδυρο-

---

XXXVIII. 1. και εσομαι ... om αυτοι 2. εν μαχαιρη 3. Ax FA οφθησεται ... αιωνιαν ... FA* οικτειρμα 4. Ax FA ετι pro οτι ..., ετι ληημψη, FA επιλημψη 5. ετι φυτευσατε, FA οτι ετι εφυτευσατε ... FA σαμαριας ... Ax FA*.* φυτευσαντες φυτευσατε ... ed. rom. σαμαρειας, φ. κ. αιν., 6. FA εφρεμ ... FA κυριον θεον ... εις σ. εν ορεσιν κυριου θεου ημων ... ed. rom. εφρ., αναστ. et υμων, 7. επι κεφαλης ... FA ακουσατε και ποιησατε ... FA* τ. λα. τουτον καταλοιπον 8. επ εσχατου ... τεκνοποιηση ... FA αποστρεψωσιν 9. διορυγας ... FA εγενηθη pro εστιν 10. FA λογον ... FA* εθνη αναγγ. ... τας μακραν, FA τ. μακροτερον ... Ax FA ισραηλ συναξει ... FA* om και φυλ. αυτ. ως ... Ax FA το ποιμνιον 11. FA* στερωτερων 12. FA* τη ψυχη 13. FA* επιστρεψω ... εις ευφροσυνην 14. FA την ψ. των υι. λευει των ιερεων ... FA εμπλησθησονται 15. Ax FA* φωνη (FA*.* add εν ραμα) εν τη υψηλη ... Ax FA αποκλαιομενης ... FA και ουχ ηθ. πανσ. επι τ. υι. α., Ax επι των υιων αυτης και ουχ ηθ. παρακληθηναι 16. FA διαλιπετω ... δακρυων οτι 18. FA εφρεμ

Digitized by Google

μένου Ἐπαίδευσάς με καὶ ἐπαιδεύθην· ἐγὼ ὥσπερ μόσχος οὐκ ἐδιδάχθην· ἐπί-
στρεψόν με καὶ ἐπιστρέψω, ὅτι σὺ κύριος ὁ θεός μου. [19] ὅτι ὕστερον αἰχμα- 19
λωσίας μου μετενόησα, καὶ ὕστερον τοῦ γνῶναί με ἐστέναξα ἐφ' ἡμέρας
αἰσχύνης, καὶ ὑπέδειξά σοι ὅτι ἔλαβον ὀνειδισμὸν ἐκ νεότητός μου. [20] υἱὸς 20
ἀγαπητὸς Ἐφραΐμ, ἐμοὶ παιδίον ἐντρυφῶν, ὅτι ἀνθ' ὧν οἱ λόγοι μου ἐν
αὐτῷ, μνείᾳ μνησθήσομαι αὐτοῦ, διὰ τοῦτο ἔσπευσα ἐπ' αὐτῷ, ἐλεῶν ἐλεήσω
αὐτόν, φησὶ κύριος. [21] στῆσον σεαυτὴν Σιών, ποίησον τιμωρίαν, δὸς καρδίαν 21
σου εἰς τοὺς ὤμους· ὁδὸν ἣ ἐπορεύθης ἀποστράφηθι παρθένος Ἰσραήλ, ἀπο-
στράφηθι εἰς τὰς πόλεις σου πενθοῦσα. [22] ἕως πότε ἀποστρέψεις θυγάτηρ 22
ἠτιμωμένη; ὅτι ἔκτισε κύριος σωτηρίαν εἰς καταφύτευσιν καινήν, ἐν σωτη-
ρίᾳ περιελεύσονται ἄνθρωποι. [23] ὅτι οὕτως εἶπε κύριος Ἔτι ἐροῦσι τὸν λόγον 23
τοῦτον ἐν γῇ Ἰούδα καὶ ἐν πόλεσιν αὐτοῦ, ὅταν ἀποστρέψω τὴν αἰχμαλω-
σίαν αὐτοῦ Εὐλογημένος κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ· [24] καὶ ἐνοι- 24
κοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν πάσῃ τῇ γῇ αὐτοῦ, ἅμα γεωργῷ, καὶ
ἀρθήσεται ἐν ποιμνίῳ. [25] ὅτι ἐμέθυσα πᾶσαν ψυχὴν διψῶσαν, καὶ πᾶσαν 25
ψυχὴν πεινῶσαν ἐνέπλησα. [26] διὰ τοῦτο ἐξηγέρθην καὶ εἶδον, καὶ ὁ ὕπνος 26
μου ἡδύς μοι ἐγενήθη. [27] διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ 27
σπερῶ τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν, σπέρμα ἀνθρώπου καὶ σπέρμα κτήνους.
[28] καὶ ἔσται ὥσπερ ἐγρηγόρουν ἐπ' αὐτοὺς καθαιρεῖν καὶ κακοῦν, οὕτως γρη- 28
γορήσω ἐπ' αὐτοὺς τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν, φησὶ κύριος. [29] ἐν ταῖς 29
ἡμέραις ἐκείναις οὐ μὴ εἴπωσιν Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες
τῶν τέκνων ἡμωδίασαν· [30] ἀλλ' ἢ ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖ- 30
ται, καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες αὐτοῦ. [31] ἰδοὺ 31
Heb. 8, ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ
8. 9. Ἰούδα διαθήκην καινήν, [32] οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατρά- 32
σιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς
ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέ-
Heb. 8, λησα αὐτῶν, φησὶ κύριος. [33] ὅτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ 33
10–12. 10,16sq. οἴκῳ Ἰσραὴλ Μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ κύριος, διδοὺς δώσω νόμους
Ro. 11, μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτούς, καὶ ἔσο-
27. μαι αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. [34] καὶ οὐ μὴ διδάξωσιν 34
ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων Γνῶθι
τὸν κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν,
ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνη-
σθῶ ἔτι. [37] ἐὰν ὑψωθῇ ὁ οὐρανὸς εἰς τὸ μετέωρον, φησὶ κύριος, καὶ ἐὰν τα- 37
πεινωθῇ τὸ ἔδαφος τῆς γῆς κάτω, καὶ ἐγὼ οὐκ ἀποδοκιμῶ τὸ γένος Ἰσραήλ,

---

18. FA* οτι εγω κυρ. ο θε. σου 19. FA εφ ημεραις ... FA*.* υπεδειξ. σε 20. FA εφρεμ ... FA* μνιαν ... FA* ελεον 21. Ax FA*.* ωμους σου ... Ax FA οδον ην ... Ax FA αποστραφητι ... FA* om παρθ. ισρ. απ. (*.*-φητι, item Ax) ... παρθεν. θυγατηρ ιερουσαλημ 22. εν η σωτηρια, FA εις σωτηριαν 23. Ax FA om οτι ... FA* εν γη ιουδεα 24. Ax FA*.* οι ενοικουντες ... εν πολεσιν ιουδα και εν πασαις ταις πολεσιν αυτου, FA εν τη ιουδαια και εν παση πολι αυτου 26. ιδον ... εγενετο 27. FA*.* om δια τουτο ... FA σπιρω 29. FA ομφακακας ... εμωδιασαν, FA* εμμωνδιασαν, *.* ωμωδιασαν 30. εν τη αμ. αυτου ... FA* εμωδιασουσιν, *.* ωμωδ. 31. Ax FA λεγει κυριος ... FA* om καινην 32. FA πατρασ. υμων ... καγω 33. Ax FA om μου ... om δωσω ... FA* νομον ... FA* καρδιαν pro διανοιαν ... και επιγραψω αυτ. επι τας καρδιας (FA επι καρδιαν) αυτων ... Ax FA και οψομαι αυτους και εσομ. 34. αδελφον pro πολιτην ... πλησιον pro αδελφον ... μικρου εως, FA μικρ. αυτ. και εως 37. FA καγω

Digitized by Google

35 φησὶ κύριος, περὶ πάντων ὧν ἐποίησαν. [35] οὕτως εἶπε κύριος, ὁ δοὺς τὸν
ἥλιον εἰς φῶς τῆς ἡμέρας, σελήνην καὶ ἀστέρας εἰς φῶς τῆς νυκτός, καὶ
κραυγὴν ἐν θαλάσσῃ, καὶ ἐβόμβησε τὰ κύματα αὐτῆς, κύριος παντοκράτωρ
36 ὄνομα αὐτῷ [36] Ἐὰν παύσωνται οἱ νόμοι οὗτοι ἀπὸ προσώπου μου, φησὶ κύ-
ριος, καὶ τὸ γένος Ἰσραὴλ παύσεται γενέσθαι ἔθνος κατὰ πρόσωπόν μου πάσας
38 τὰς ἡμέρας. [38] ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ οἰκοδομηθήσεται πό-
39 λις τῷ κυρίῳ ἀπὸ πύργου Ἀναμεὴλ ἕως πύλης τῆς γωνίας, [39] καὶ ἐξελεύσεται
ἡ διαμέτρησις αὐτῆς ἀπέναντι αὐτῶν ἕως βουνῶν Γαρήβ, καὶ περικυκλωθή-
40 σεται κύκλῳ ἐξ ἐκλεκτῶν λίθων, [40] καὶ πάντες Ἀσαρημὼθ ἕως Νάχαλ Κέ-
δρων, ἕως γωνίας πύλης ἵππων ἀνατολῆς, ἁγίασμα τῷ κυρίῳ, καὶ οὐκέτι οὐ
μὴ ἐκλίπῃ καὶ οὐ μὴ καθαιρεθῇ ἕως τοῦ αἰῶνος.

## XXXIX.

(Graece 39. = Hebraice 32.)
( — 49. = — 39.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ
ἐν τῷ ἐνιαυτῷ δεκάτῳ βασιλεῖ Σεδεκίᾳ, οὗτος ἐνιαυτὸς ὀκτωκαιδέκατος τῷ βα-
2 σιλεῖ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος. [2] καὶ δύναμις βασιλέως Βαβυλῶνος
ἐχαράκωσεν ἐπὶ Ἱερουσαλήμ, καὶ Ἱερεμίας ἐφυλάσσετο ἐν αὐλῇ τῆς φυλακῆς
3 ἥ ἐστιν ἐν οἴκῳ βασιλέως, [3] ἐν ᾗ κατέκλεισεν αὐτὸν ὁ βασιλεὺς Σεδεκίας
λέγων Διὰ τί σὺ προφητεύεις λέγων Οὕτως εἶπε κύριος Ἰδοὺ ἐγὼ δίδωμι
4 τὴν πόλιν ταύτην ἐν χερσὶ βασιλέως Βαβυλῶνος καὶ λήψεται αὐτήν, [4] καὶ
Σεδεκίας οὐ μὴ σωθῇ ἐκ χειρὸς τῶν Χαλδαίων, ὅτι παραδόσει παραδοθή-
σεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λαλήσει στόμα αὐτοῦ πρὸς στόμα
5 αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται, [5] καὶ εἰσελεύ-
6 σεται Σεδεκίας εἰς Βαβυλῶνα καὶ ἐκεῖ καθιεῖται; [6] ΚΑΙ Ο ΛΟΓΟΣ ΚΥΡΙΟΥ
7 ΕΓΕΝΗΘΗ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΛΕΓΩΝ [7] Ἰδοὺ Ἀναμεὴλ υἱὸς Σαλὼμ ἀδελ-
φοῦ πατρός σου ἔρχεται πρὸς σὲ λέγων Κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν
8 Ἀναθώθ, ὅτι σοὶ κρίσις παραλαβεῖν εἰς κτῆσιν. [8] καὶ ἦλθε πρὸς μὲ Ἀναμεὴλ υἱὸς
Σαλὼμ ἀδελφοῦ πατρός μου εἰς τὴν αὐλὴν τῆς φυλακῆς καὶ εἶπε Κτῆσαι σεαυ-
τῷ τὸν ἀγρόν μου τὸν ἐν γῇ Βενιαμὶν τὸν ἐν Ἀναθώθ, ὅτι σοὶ κρίμα κτήσασθαι
9 αὐτὸν καὶ σὺ πρεσβύτερος. καὶ ἔγνων ὅτι λόγος κυρίου ἐστί, [9] καὶ ἐκτησάμην
τὸν ἀγρὸν Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου, καὶ ἔστησα αὐτῷ ἑπτὰ σί-
10 κλους καὶ δέκα ἀργυρίου, [10] καὶ ἔγραψα εἰς βιβλίον καὶ ἐσφραγισάμην, καὶ
11 διεμαρτυράμην μάρτυρας, καὶ ἔστησα τὸ ἀργύριον ἐν ζυγῷ. [11] καὶ ἔλαβον
12 τὸ βιβλίον τῆς κτήσεως τὸ ἐσφραγισμένον [12] καὶ ἔδωκα αὐτὸ τῷ Βαροὺχ

37. εποι. μοι 35. τα αστρα ... FA* κραυγην ... εν τη θαλασση ... FA εβομβησεν 36. παυσηται ... FA*.* του γενεσθαι ... in fine add φησιν κυριος 38. Ax FA* οικοδομησεται ... FA* πολις τω λαω ... εως της πυλης 39. FA* περικυκλωσεται ... κυκλω εξ εκλεκτων κυκλω sine λιθων 40. FA* σαρημωθ, *.* ασσαρημωθ ... εως χειμαρρου ναχαλ ... FA αγιασμα κυριω ... Ax FA*.* εκλειπη XXXIX. 1. γεναμενος ... παρ. κυρ. πρ. ιερεμ. παρα κυριου ... Ax FA τω δεκ. τω βασιλει ... post σεδεκ. add βασιλει ιουδα ... ουτ. ο ενιαυτ. ... om βασιλει extr. 2. FA* om και δυναμις usque εις χειρ. βασ. βαβυλωνος v. 4. ... εν ιερουσαλημ ... FA*.* ιηρεμιας ... Ax FA*.* εν τη αυλη ... Ax FA*.* του βασιλ. 3. om εγω ... Ax FA*.* λημψεται 4. εκ χειρ. βασιλεως χαλδαιων ... FA*.* παραδωσι ... παραδοθησονται ... FA προς pro τους 5. εις βαβυλ. σεδεκιας ... FA καθιειται, Ax αποθανειται 6. και εγενετο λογ. κυριου ... FA om ὁ 7. FA* σαλμων ... λεγων σοι ... Ax FA κριμα 8. Ax FA και ειπεν μοι ... βενιαμειν ... παραλαβειν εις κτησιν pro κτησ. αυτον ... FA om αυτον 9. FA επτα και δεκ. σικλ. αργυρ. 10. Ax FA διεσφραγισαμην 11. Ax FA in fine add και το ανεγνωσμενον

Digitized by Google

υἱῷ Νηρίου υἱῷ Μαασαίου κατ' ὀφθαλμοὺς Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου
καὶ κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν παρεστηκότων καὶ γραφόντων ἐν τῷ
βιβλίῳ τῆς κτήσεως καὶ κατ' ὀφθαλμοὺς τῶν Ἰουδαίων τῶν ἐν τῇ αὐλῇ τῆς
φυλακῆς. [13] καὶ συνέταξα τῷ Βαροὺχ κατ' ὀφθαλμοὺς αὐτῶν λέγων [14] Οὕτως 13 14
εἶπε κύριος παντοκράτωρ Λάβε τὸ βιβλίον τῆς κτήσεως τοῦτο καὶ τὸ βιβλίον
τὸ ἀνεγνωσμένον καὶ θήσεις αὐτὸ εἰς ἀγγεῖον ὀστράκινον, ἵνα διαμείνῃ ἡμέ-
ρας πλείους. [15] ὅτι οὕτως εἶπε κύριος Ἔτι κτισθήσονται ἀγροὶ καὶ οἰκίαι καὶ 15
ἀμπελῶνες ἐν τῇ γῇ ταύτῃ. [16] καὶ προσευξάμην πρὸς κύριον μετὰ τὸ δοῦναί 16
με τὸ βιβλίον τῆς κτήσεως πρὸς Βαροὺχ υἱὸν Νηρίου λέγων [17] Ὁ ὢν κύριε, 17
σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ καὶ τῷ βρα-
χίονί σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπὸ σοῦ οὐθέν,
[18] ποιῶν ἔλεος εἰς χιλιάδας καὶ ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπους 18
τέκνων αὐτῶν μετ' αὐτούς· ὁ θεὸς ὁ μέγας ὁ ἰσχυρός, [19] κύριος μεγάλης 19
βουλῆς καὶ δυνατὸς τοῖς ἔργοις, ὁ θεὸς ὁ μέγας ὁ παντοκράτωρ καὶ μεγα-
λώνυμος κύριος· οἱ ὀφθαλμοί σου εἰς τὰς ὁδοὺς τῶν υἱῶν τῶν ἀνθρώπων
δοῦναι ἑκάστῳ κατὰ τὴν ὁδὸν αὐτοῦ· [20] ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν 20
γῇ Αἰγύπτῳ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐν Ἰσραὴλ καὶ ἐν τοῖς γηγενέσι,
καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡμέρα αὕτη, [21] καὶ ἐξήγαγες τὸν λαόν σου 21
Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἐν σημείοις καὶ ἐν τέρασιν, ἐν χειρὶ κραταιᾷ καὶ
ἐν βραχίονι ὑψηλῷ [22] καὶ ἐν ὁράμασι μεγάλοις, καὶ ἔδωκας αὐτοῖς τὴν γῆν 22
ταύτην ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι. [23] καὶ 23
εἰσήλθοσαν καὶ ἔλαβον αὐτήν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς σου, καὶ ἐν τοῖς
προστάγμασί σου οὐκ ἐπορεύθησαν· ἅπαντα ἃ ἐνετείλω αὐτοῖς οὐκ ἐποίησαν,
καὶ ἐποίησαν συμβῆναι αὐτοῖς πάντα τὰ κακὰ ταῦτα. [24] ἰδοὺ ὄχλος ἥκει εἰς 24
τὴν πόλιν συλλαβεῖν αὐτήν, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων τῶν
πολεμούντων αὐτὴν ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ· ὡς ἐλάλησας,
οὕτως ἐγένετο. [25] καὶ σὺ λέγεις πρός μέ Κτῆσαι σεαυτῷ τὸν ἀγρὸν ἀργυρίου· 25
καὶ ἔγραψα βιβλίον καὶ ἐσφραγισάμην, καὶ ἐπεμαρτυράμην μάρτυρας, καὶ ἡ
πόλις ἐδόθη εἰς χεῖρας Χαλδαίων. [26] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 26
[27] Ἐγὼ κύριος ὁ θεὸς πάσης σαρκός, μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; [28] διὰ 27 28
τοῦτο οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ Δοθεῖσα παραδοθήσεται ἡ πόλις αὕτη
εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτήν, [29] καὶ ἥξουσιν οἱ Χαλ- 29
δαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην, καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν
πυρί, καὶ κατακαύσουσι τὰς οἰκίας ἐν αἷς ἐθυμιῶσαν ἐπὶ τῶν δωμάτων αὐ-
τῶν τῇ Βάαλ καὶ ἔσπενδον σπονδὰς θεοῖς ἑτέροις πρὸς τὸ παραπικρᾶναί με.
[30] ὅτι ἦσαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα μόνοι ποιοῦντες τὸ πονηρὸν 30
κατ' ὀφθαλμούς μου ἐκ νεότητος αὐτῶν. [31] ὅτι ἐπὶ τὴν ὀργήν μου καὶ ἐπὶ 31

---

12. υιου μασσαιου, FA υιω μασεου ... FA* πατρ. μου κατ ... Ax FA om των ανδρων ... Ax FA εστηκοτων ... τ. ιουδαιων παντων των καθημενων εν τη 14. FA καταθησεις ... Ax FA om αυτο ... Ax FA αγγιον 15. Ax FA*,* κτηθησονται, FA* κτησονται 16. προσηυξαμην ... FA om με 17. κυριε κυριε ... εν τη ισχυι ... FA om και τω μετεωρω 18. FA κολπον ... Ax FA και ισχυρος 19. και ο δυνατος ... FA εργοις, κυριος παντοκρατωρ ο μεγαλωνυμος (*,* add κυριε) οι ... Ax FA om των υιων ... αποδουναι ... FA κατα τας οδους αυτων 20. οσα εποιησας ... FA αιγυπτου ... Ax FA η ημ. αυτη 21. και τερασιν και εν 23. Ax FA ελαβοσαν (... FA* om κ. εποιησ.) ... απαντα pro παντα 24. και ιδου ... εις τ. πολ. ταυτην ... FA εις τας χειρας 25. Ax FA σεαυτω αγρον ... εγρ. εις βιβλ. 27. FA* κρυβεται τει, Ax κρυβησ. ετι 28. FA om ο θε. ισραηλ ... FA* βασιλεων et λημψουσιν (Ax FA*,* λημψεται) 29. επι τ. γην ταυτ. ... καυσωσιν pro κατακαυσουσι ... FA* την οικιαν εν ες (videtur) ... εθυμιωσ. εν αυταις 30. FA ησαν υιοι ισρ. και υιοι ... εκ νεοτ. αυτ. κατ οφθ. μου

Digitized by Google

τὸν θυμόν μου ἦν ἡ πόλις αὕτη, ἀφ' ἧς ἡμέρας ᾠκοδόμησαν αὐτὴν καὶ ἕως
32 τῆς ἡμέρας ταύτης, ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου μου 32 διὰ πάσας τὰς
πονηρίας τῶν υἱῶν Ἰσραὴλ καὶ Ἰούδα ὧν ἐποίησαν πικρᾶναί με, αὐτοὶ καὶ
οἱ βασιλεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ προ-
33 φῆται αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ, 33 καὶ ἀπέ-
στρεψαν πρὸς μὲ νῶτον καὶ οὐ πρόσωπον, καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου καὶ
34 οὐκ ἤκουσαν ἔτι λαβεῖν παιδείαν. 34 καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ
35 οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐν ἀκαθαρσίαις αὐτῶν. 35 καὶ
ᾠκοδόμησαν τοὺς βωμοὺς τῇ Βάαλ τοὺς ἐν φάραγγι υἱοῦ Ἐννὸμ τοῦ ἀνα-
φέρειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τῷ Μολὸχ βασιλεῖ, ἃ οὐ
συνέταξα αὐτοῖς, καὶ οὐκ ἀνέβη ἐπὶ καρδίαν μου τοῦ ποιῆσαι τὸ βδέλυγμα
36 τοῦτο πρὸς τὸ ἐφαμαρτεῖν τὸν Ἰούδαν. 36 καὶ νῦν οὕτως εἶπε κύριος ὁ θεὸς
Ἰσραὴλ ἐπὶ τὴν πόλιν ἣν σὺ λέγεις Παραδοθήσεται εἰς χεῖρας βασιλέως Βα-
37 βυλῶνος ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν ἀποστολῇ, 37 Ἰδοὺ ἐγὼ συνάγω αὐ-
τοὺς ἐκ πάσης τῆς γῆς οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου καὶ τῷ θυμῷ
μου καὶ ἐν παροξυσμῷ μεγάλῳ, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὸν τόπον τοῦτον,
38 καὶ καθιῶ αὐτοὺς πεποιθότας, 38 καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι
39 αὐτοῖς εἰς θεόν. 39 καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν, φοβη-
θῆναί με πάσας τὰς ἡμέρας, καὶ εἰς ἀγαθὸν αὐτοῖς καὶ τοῖς τέκνοις αὐτῶν
40 μετ' αὐτούς. 40 καὶ διαθήσομαι αὐτοῖς διαθήκην αἰωνίαν, ἣν οὐ μὴ ἀπο-
στρέψω ὄπισθεν αὐτῶν· καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν
41 πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ' ἐμοῦ. 41 καὶ ἐπισκέψομαι τοῦ ἀγαθῶσαι
αὐτούς, καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει καὶ ἐν πάσῃ καρδίᾳ
42 μου καὶ ἐν πάσῃ ψυχῇ. 42 ὅτι οὕτως εἶπε κύριος Καθὰ ἐπήγαγον ἐπὶ τὸν
λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ μεγάλα ταῦτα, οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐ-
43 τοὺς πάντα τὰ ἀγαθὰ ἃ ἐλάλησα ἐπ' αὐτούς. 43 καὶ κτηθήσονται ἔτι ἀγροὶ
ἐν τῇ γῇ ἣ σὺ λέγεις Ἄβατος ἔσται ἀπὸ ἀνθρώπων καὶ κτήνους, καὶ παρε-
44 δόθησαν εἰς χεῖρας Χαλδαίων· 44 καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ, καὶ
γράψεις βιβλίον καὶ σφραγιῇ, καὶ διαμαρτύρῃ μάρτυρας, ἐν γῇ Βενιαμὶν καὶ
κύκλῳ τῆς Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα καὶ ἐν πόλεσι τοῦ ὄρους καὶ
ἐν πόλεσι τῆς σεφηλὰ καὶ ἐν πόλεσι τῆς ναγέβ, ὅτι ἀποστρέψω τὰς ἀποι-
κίας αὐτῶν.

## XL.

(Graece = 40. Hebraice 33.)
( — = 47. — 40.)

ΚΑΙ ΕΓΕΝΕΤΟ ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΔΕΥΤΕΡΟΝ,
2 καὶ αὐτὸς ἦν ἔτι δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων 2 Οὕτως εἶπε
κύριος, ποιῶν γῆν καὶ πλάσσων αὐτὴν τοῦ ἀνορθῶσαι αὐτήν, κύριος ὄνομα
3 αὐτῷ 3 Κέκραξον πρὸς μὲ καὶ ἀποκριθήσομαί σοι, καὶ ἀπαγγελῶ σοι μεγάλα

31. απαλλαξ. αυτους 32. Ax FA om των ... Ax FA παραπικραναι ... post αυτοι add και οι πατερες αυτων ... FA κατοικουντες ιερουσ. 33. FA επεστρεψαν ... FA κ. εδιδ. α. ορθου (*.* ορθρ.) και εδιδαξα και ουκ ... και ουκ ηθελησαν ... Ax FA παιδιαν 34. FA* μιανσματα ... ω επεκληθη 35. βωμους αυτων ... επι την καρδιαν ... τον ιουδα 36. εν μαχαιρη 37. FA* (item :\:, supplet *.*) om εγω ... Ax FA και παροξυσμω ... κατοικιω 40. Ax FA αιωνιον 41. FA επισκ. αυτους αγ. αυτους ... FA εν πιστ. κ. εν π. ...... αληθια καρδια και εν ... om μου ... ψυχη μου 42. εγω επαγω 43. ην συ λεγεις ... FA Αβατος εστιν ... Ax FA απο ανθρωπου 44. βενιαμειν ... κυκλοθεν ιερουσ., FA κρυψω (*.* κυκλω) ιερουσ. XL. 1. εκ δευτερου ... ετι ην 3. αναγγελω

Digitized by Google

καὶ ἰσχυρὰ ἃ οὐκ ἔγνως αὐτά. [4]ὅτι οὕτως εἶπε κύριος περὶ οἴκων τῆς πό- 4
λεως ταύτης καὶ περὶ οἴκων βασιλέως Ἰούδα τῶν καθῃρημένων εἰς χάρα-
κας καὶ προμαχῶνας, [5]τοῦ μάχεσθαι πρὸς τοὺς Χαλδαίους καὶ πληρῶσαι 5
αὐτὴν τῶν νεκρῶν τῶν ἀνθρώπων οὓς ἐπάταξα ἐν ὀργῇ μου καὶ ἐν θυμῷ
μου, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν περὶ πασῶν τῶν πονη-
ριῶν αὐτῶν, [6]Ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν καὶ ἴαμα, καὶ φανερώσω 6
αὐτοῖς καὶ ἰατρεύσω αὐτήν, καὶ ποιήσω καὶ εἰρήνην καὶ πίστιν, [7]καὶ ἀπο- 7
στρέψω τὴν ἀποικίαν Ἰούδα καὶ ἀποικίαν Ἰσραήλ, καὶ οἰκοδομήσω αὐτοὺς
καθὼς καὶ τὸ πρότερον, [8]καὶ καθαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐ- 8
τῶν ὧν ἡμάρτοσάν μοι, καὶ οὐ μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν ἥμαρ-
τόν μοι καὶ ἀπέστησαν ἀπ' ἐμοῦ. [9]καὶ ἔσται εἰς εὐφροσύνην καὶ αἴνεσιν καὶ 9
εἰς μεγαλειότητα παντὶ τῷ λαῷ τῆς γῆς οἵτινες ἀκούσονται πάντα τὰ ἀγαθὰ
ἃ ἐγὼ ποιήσω, καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων τῶν ἀγα-
θῶν καὶ περὶ πάσης τῆς εἰρήνης ἧς ἐγὼ ποιήσω αὐτοῖς. [10]οὕτως εἶπε κύ- 10
ριος Ἔτι ἀκουσθήσεται ἐν τῷ τόπῳ τούτῳ ᾧ ὑμεῖς λέγετε Ἔρημός ἐστιν
ἀπὸ ἀνθρώπων καὶ κτηνῶν, ἐν πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλὴμ ταῖς
ἠρημωμέναις παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη, [11]φωνὴ εὐφροσύνης 11
καὶ φωνὴ χαρμοσύνης, φωνὴ νυμφίου καὶ φωνὴ νύμφης, φωνὴ λεγόντων
Ἐξομολογεῖσθε κυρίῳ παντοκράτορι, ὅτι χρηστὸς κύριος, ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ· καὶ εἰσοίσουσι δῶρα εἰς οἶκον κυρίου, ὅτι ἀποστρέψω πᾶσαν
τὴν ἀποικίαν τῆς γῆς ἐκείνης κατὰ τὸ πρότερον, εἶπε κύριος. [12]οὕτως εἶπε 12
κύριος τῶν δυνάμεων Ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ παρὰ τὸ μὴ
εἶναι ἄνθρωπον καὶ κτῆνος, ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ καταλύματα ποι-
μένων κοιταζόντων πρόβατα, [13]ἐν πόλεσι τῆς ὀρεινῆς καὶ ἐν πόλεσι τῆς σε- 13
φηλὰ καὶ ἐν πόλεσι τῆς ναγὲβ καὶ ἐν γῇ Βενιαμὶν καὶ ἐν ταῖς κύκλῳ Ἱερου-
σαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα, ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος,
εἶπε κύριος.

## XLI.

(Graece 41. = Hebraice 34.
— 48. = — 41.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΠΑΡΑ ΚΥΡΙΟΥ,
καὶ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ καὶ

---

4. Ax FA κυριος ο θεος ισραηλ ... FA* om (item rursus ⁕ ut videtur) της πολ. ταυτ. κ. περι οικων (Ax FA⁕ οικιας) ... FA καθειρημενων, Ax καθημενων 5. αυτην νεκρων ... επαταξεν οργη ... FA εν τω θυμω 6. επαγω επ αυτους ... ιαμα, και ιατρευσω αυτους και φανεροι (sic) αυτοις εισακουειν, κ. ιατρευσω αυτους κ. π. αυτ. ειρ. κ. πιστ., FA ιαμα, και ιατρευσω αυτην (⁕ αυτους) κεν ιρηνη και φανερωσω αυτοις εισακουειν, κ. ιατρ. αυτην (⁕ αυτους) και (⁕ add ποιησω αυτοις) ειρηνη (⁕ -νην) κ. πιστει (⁕ -στειν) 7. FA⁕ επιστρεψω ... Ax FA και την αποικ. ισρ. (FA⁕ ιερουσαλημ) ... ως το προτερον 8. ημαρτον pro ημαρτοσαν ... FA ου μη μνησθω ... ημαρτον μου, FA ημαρτοσαν μοι ... FA* απεστησαν μου 9. Ax FA και εις αινεσιν ... μεγαλιοτητα, FA μεγαλωσυνην ... ποιω ... om και πικρανθησονται ... ποιω αυτοις 10. FA* ακουσεται ... Ax FA ερημωμεναις ... και παρα το ... FA ανθρωπους κ. κτηνη 11. FA om και primum ... χαρμονης ... λεγοντος ... FA τω κυριω ... δωρα αινεσεως ... FA επιστρεψω ... αποστρ. την αποικ. πασης της γης εκειν. καθα προτ. 12. *om των δυναμεων ... FA Ετι ακουσθησεσται εν τω ... τοπω τω ηρημωμενω τουτω ... κτηνη ... Ax FA και εν πασαις ... προβατων 13. om και εν πολ. της σεφηλα ... Ax FA βενιαμειν ... επι pro ετι ... FA* χειραν XLI. 1. γεναμενος ... FA παρα κυρ. πρ. ιερ.

Digitized by Google

πᾶσα ἡ γῆ ἀρχῆς αὐτοῦ ἐπολέμουν ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ πάσας τὰς
2 πόλεις Ἰούδα, λέγων [2] Οὕτως εἶπε κύριος Βάδισον πρὸς Σεδεκίαν βασιλέα
Ἰούδα καὶ ἐρεῖς αὐτῷ Οὕτως εἶπε κύριος Παραδόσει παραδοθήσεται ἡ πόλις
αὕτη εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ συλλήψεται αὐτὴν καὶ καύσει αὐ-
3 τὴν ἐν πυρί, [3] καὶ σὺ οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐτοῦ, καὶ συλλήψει συλλη-
φθήσῃ καὶ εἰς χεῖρας αὐτοῦ δοθήσῃ, καὶ ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς αὐτοῦ
4 ὄψονται, καὶ εἰς Βαβυλῶνα εἰςελεύσῃ. [4] ἀλλὰ ἄκουσον τὸν λόγον κυρίου, Σε-
5 δεκία βασιλεῦ Ἰούδα Οὕτως λέγει κύριος [5] Ἐν εἰρήνῃ ἀποθανῇ· καὶ ὡς
ἔκλαυσαν τοὺς πατέρας σου τοὺς βασιλεύσαντας πρότερόν σου, κλαύσονται
καὶ σέ Οὐαὶ κύριε, καὶ ἕως ᾅδου κόψονταί σε· ὅτι λόγον ἐγὼ ἐλάλησα, εἶπε
6 κύριος. [6] καὶ ἐλάλησεν Ἱερεμίας πρὸς τὸν βασιλέα Σεδεκίαν πάντας τοὺς λό-
7 γους τούτους ἐν Ἱερουσαλήμ. [7] καὶ ἡ δύναμις βασιλέως Βαβυλῶνος ἐπολέμει
ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ τὰς πόλεις Ἰούδα καὶ ἐπὶ Λαχὶς καὶ ἐπὶ Ἀζηκα,
8 ὅτι αὗται κατελείφθησαν ἐν πόλεσιν Ἰούδα πόλεις ὀχυραί. [8] ὁ λόγος ὁ γε-
νόμενος πρὸς Ἱερεμίαν παρὰ κυρίου μετὰ τὸ συντελέσαι τὸν βασιλέα Σεδε-
9 κίαν διαθήκην πρὸς τὸν λαὸν τοῦ καλέσαι ἄφεσιν, [9] τοῦ ἐξαποστεῖλαι ἕκαστον
τὸν παῖδα αὐτοῦ καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ τὸν Ἑβραῖον καὶ τὴν
10 Ἑβραίαν ἐλευθέρους, πρὸς τὸ μὴ δουλεύειν ἄνδρα ἐξ Ἰούδα. [10] καὶ ἐπεστρά-
φησαν πάντες οἱ μεγιστᾶνες καὶ πᾶς ὁ λαὸς οἱ εἰςελθόντες ἐν τῇ διαθήκῃ
τοῦ ἀποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ,
11 12 καὶ ἐῶσαν [11] αὐτοὺς εἰς παῖδας καὶ παιδίσκας. [12] καὶ ἐγενήθη λόγος κυρίου
13 πρὸς Ἱερεμίαν λέγων [13] Οὕτως εἶπε κύριος Ἐγὼ διεθέμην διαθήκην πρὸς
τοὺς πατέρας ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐξειλάμην αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ
14 οἴκου δουλείας, λέγων [14] Ὅταν πληρωθῇ ἓξ ἔτη, ἀποστελεῖς τὸν ἀδελφόν σου
τὸν Ἑβραῖον ὃς πραθήσεταί σοι καὶ ἐργᾶταί σοι ἓξ ἔτη, καὶ ἐξαποστελεῖς
15 αὐτὸν ἐλεύθερον· καὶ οὐκ ἤκουσάν μου καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν. [15] καὶ
ἐπέστρεψαν σήμερον ποιῆσαι τὸ εὐθὲς πρὸ ὀφθαλμῶν μου τοῦ καλέσαι ἄφεσιν
ἕκαστον τοῦ πλησίον αὐτοῦ, καὶ συνετέλεσαν διαθήκην κατὰ πρόσωπόν μου
16 ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ. [16] καὶ ἐπεστρέψατε καὶ
ἐβεβηλώσατε τὸ ὄνομά μου τοῦ ἐπιστρέψαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ
ἕκαστον τὴν παιδίσκην αὐτοῦ, οὓς ἐξαπεστείλατε ἐλευθέρους τῇ ψυχῇ αὐτῶν,
17 τοῦ εἶναι ὑμῖν εἰς παῖδας καὶ παιδίσκας. [17] διὰ τοῦτο οὕτως εἶπε κύριος
Ὑμεῖς οὐκ ἠκούσατέ μου τοῦ καλέσαι ἄφεσιν ἕκαστος πρὸς τὸν πλησίον αὐ-
τοῦ· ἰδοὺ ἐγὼ καλῶ ἄφεσιν ὑμῖν εἰς μάχαιραν καὶ εἰς τὸν θάνατον καὶ εἰς
τὸν λιμόν, καὶ δώσω ὑμᾶς εἰς διασπορὰν πάσαις ταῖς βασιλείαις τῆς γῆς.

---

2. Ax FA συλλημψεται 3. FA om συ ... εκ χειρ. αυτων ... Ax FA συλλημψει συλλημφθηση ... om κ. εις χ. αυτ. δοθηση ... Ax FA και οι οφθαλμοι ... FA τους οφθ. αυτων ... post οψονται add και στομα αυτου μετα του στοματος σου λαλησει 5. ω κυριε, FA om ουαι κυριε ... εως αδ. κλαυσονται σε ... om εγω 6. Ax FA προς βασιλεα 7. FA* επι πολεις ... FA ιουδα, επι λαχεις, Ax ιουδα τας καταλελιμμενας, επι λαχεις 8. γεναμενος ... FA συντελεσαι βασιλεα ... λαον τον εν ιερουσαλημ 9. FA* om εκαστον secundum ... ανδρα εξ ισραηλ 10. FA* om και primum ... οι ελθοντες εις την διαθηκην ... FA εξαποστειλαι ... om και εκαστ. την παιδ. αυτου 12. εγενετο ... FA* om κυριου 13. κυριος ο θεος ισραηλ ... FA εθεμην ... FA δουλιας 14. FA* αποστελλις ... και αποστελεις, FA* και εξαπαστελλις (sic) 15. εστρεψαν ... εν οφθαλμοις μου ... εκαστος τω πλησ. αυτου ... FA* om κατα προσωπ. μου 16. εβεβηλ. την διαθηκην μου ... FA om του ειναι 17. FA μου καλεσαι εκαστον αφεσιν εκαστον (*·* add προς τον αδελφον αυτου και εκαστον) προς τον, Ax μου καλεσαι εκαστος αφεσιν προς τον αδελφον αυτου και εκαστον προς τον ... FA* και ιδου

Digitized by Google

[18] καὶ δώσω τοὺς ἄνδρας τοὺς παρεληλυθότας τὴν διαθήκην μου, τοὺς μὴ 18
στήσαντας τὴν διαθήκην μου ἣν ἐποίησαν κατὰ πρόςωπόν μου, τὸν μόσχον
ὃν ἐποίησαν ἐργάζεσθαι αὐτῷ, [19] τοὺς ἄρχοντας Ἰούδα καὶ τοὺς δυνάστας 19
καὶ τοὺς ἱερεῖς καὶ τὸν λαόν, [20] καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν, καὶ 20
ἔσται τὰ θνησιμαῖα αὐτῶν βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θη-
ρίοις τῆς γῆς. [21] καὶ τὸν Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ τοὺς ἄρχοντας 21
αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δύναμις βασιλέως Βαβυλῶνος
τοῖς ἀποτρέχουσιν ἀπ' αὐτῶν. [22] ἰδοὺ ἐγὼ συντάσσω, φησὶ κύριος, καὶ ἐπι- 22
στρέψω αὐτοὺς εἰς τὴν γῆν ταύτην, καὶ πολεμήσουσιν ἐπ' αὐτὴν καὶ λήψον-
ται αὐτὴν καὶ κατακαύσουσιν αὐτὴν ἐν πυρί, καὶ τὰς πόλεις Ἰούδα καὶ δώσω
αὐτὰς ἐρήμους ἀπὸ τῶν κατοικούντων.

## XLII.

(Graece 42. = Hebraice 35.)
( — 49. = — 42.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΠΑΡΑ ΚΥΡΙΟΥ
ἐν ἡμέραις Ἰωακεὶμ βασιλέως Ἰούδα λέγων [2] Βάδισον εἰς οἶκον Ἀρχαβεὶν 2
καὶ ἄξεις αὐτοὺς εἰς οἶκον κυρίου εἰς μίαν τῶν αὐλῶν, καὶ ποτιεῖς αὐτοὺς
οἶνον. [3] καὶ ἐξήγαγον τὸν Ἰεχονίαν υἱὸν Ἱερεμὶν υἱοῦ Χαβασὶν καὶ τοὺς 3
ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πᾶσαν τὴν οἰκίαν Ἀρχαβείν, [4] καὶ 4
εἰςήγαγον αὐτοὺς εἰς οἶκον κυρίου εἰς τὸ παστοφόριον υἱῶν Ἰωνᾶν υἱοῦ Ἀνανίου
υἱοῦ Γοδολίου ἀνθρώπου τοῦ θεοῦ, ὅς ἐστιν ἐγγὺς τοῦ οἴκου τῶν ἀρχόντων
τῶν ἐπάνω τοῦ οἴκου Μαασαίου υἱοῦ Σελὼμ τοῦ φυλάσσοντος τὴν αὐλήν.
[5] καὶ ἔδωκα κατὰ πρόςωπον αὐτῶν κεράμιον οἴνου καὶ ποτήρια, καὶ εἶπα 5
Πίετε οἶνον. [6] καὶ εἶπον Οὐ μὴ πίωμεν οἶνον, ὅτι Ἰωναδὰβ υἱὸς Ῥηχὰβ ὁ 6
πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν λέγων Οὐ μὴ πίητε οἶνον ὑμεῖς καὶ οἱ υἱοὶ
ὑμῶν ἕως αἰῶνος, [7] καὶ οἰκίας οὐ μὴ οἰκοδομήσητε, καὶ σπέρμα οὐ μὴ σπεί- 7
ρητε, καὶ ἀμπελὼν οὐκ ἔσται ὑμῖν, ὅτι ἐν σκηναῖς οἰκήσετε πάσας τὰς ἡμέ-
ρας ὑμῶν, ὅπως ἂν ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς γῆς ἐφ' ἧς διατρίβετε
ὑμεῖς ἐπ' αὐτῆς. [8] καὶ ἠκούσαμεν τῆς φωνῆς Ἰωναδὰβ τοῦ πατρὸς ἡμῶν πρὸς 8
τὸ μὴ πιεῖν οἶνον πάσας τὰς ἡμέρας ἡμῶν, ἡμεῖς καὶ αἱ γυναῖκες ἡμῶν καὶ
οἱ υἱοὶ ἡμῶν καὶ αἱ θυγατέρες ἡμῶν, [9] καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν οἰκίας 9
τοῦ κατοικεῖν ἐκεῖ, καὶ ἀμπελὼν καὶ ἀγρὸς καὶ σπέρμα οὐκ ἐγένετο ἡμῖν.
[10] καὶ ᾠκήσαμεν ἐν σκηναῖς, καὶ ἠκούσαμεν καὶ ἐποιήσαμεν κατὰ πάντα ἃ 10
ἐνετείλατο ἡμῖν Ἰωναδὰβ ὁ πατὴρ ἡμῶν. [11] καὶ ἐγενήθη ὅτε ἀνέβη Ναβου- 11
χοδονόσορ ἐπὶ τὴν γῆν, καὶ εἴπαμεν εἰςελθεῖν, καὶ εἰςήλθομεν εἰς Ἱερουσαλὴμ

---

18. Ax FA* om τους μη στησ. την διαθ. μου ... FA* om μου post προσωπον 20. βρωματα 21. βασιλεα ιουδα ... FA των εχθρ. αυτων ... δυναμεις ... οι αποτρεχοντες 22. πολ. επ αυτους ... Ax FA λημψονται ... ιουδα δωσω αυτας εις αβατον, FA ιουδα και δ. αυτους ερημους ... Ax FA om των XLII. 1. γεναμενος παρ. κυρ. πρ. ιερεμ. ... ιωακειμ υιου ιωσιου 2. Πορευθητι εις ... FA οικιαν ... αλχαβειν και καλεσον αυτους και εισαξεις αυτους εις 3. ηγαγον ... ιερεμιου ... FA χαβασειν ... οικ. χαραβειν 4. om υιων ιω. υιου ... FA υιων ανναν υιου αννανιου (*.* ανανιου) ... FA om υιου γοδολιου ... εγγυς οικουντων αρχοντων ... Ax FA* om των ante επανω ... μασαιου, FA μασεου (*.* μαασ.) ... FA* αιλωμ, *.* σαιλωμ ... FA*.* του φυλ. την οδον 5. εστησα 6. Ax FA ειπαν ... ου πιομεν, FA ου μη πιομεν ... FA* om υι. ρηχαβ ... ειπας Ου 7. FA οικιαν ... κατοικησετε ... ημερ. της ζωης υμων ... ζητε, FA ζησεται 8. εισηκουσαμεν ... FA ιωναδαν ... FA* πινειν ... ημερ. της ζωης ημων ... om ημεις κ. αι γυν. ημων 9. om και primum ... *οικειν οικιας ... FA εκει, αμπελωνας κ. αγρους 10. οικησαμεν ... om και εποιησαμεν ... παντα οσα 11. FA* ειπαν ... αναβαντες εισελευσομεθα, FA εισελθατε και εισελθωμεν

Digitized by Google

ἀπὸ προςώπου τῆς δυνάμεως τῶν Χαλδαίων καὶ ἀπὸ προςώπου τῆς δυ-
12 νάμεως τῶν Ἀσσυρίων, καὶ ᾠκοῦμεν ἐκεῖ. [12] καὶ ἐγένετο λόγος κυρίου πρὸς
13 μὲ λέγων [13] Οὕτως λέγει κύριος Πορεύου καὶ εἰπὸν ἀνθρώπῳ Ἰούδα καὶ τοῖς
κατοικοῦσιν Ἱερουσαλήμ Οὐ μὴ λάβητε παιδείαν τοῦ ἀκούειν τοὺς λόγους
14 μου; [14] ἔστησαν ῥῆμα υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχάβ, ὃ ἐνετείλατο τοῖς τέκνοις
αὐτοῦ πρὸς τὸ μὴ πιεῖν οἶνον, καὶ οὐκ ἐπίοσαν· καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς
15 ὄρθρου, καὶ οὐκ ἠκούσατε. [15] καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς
προφήτας λέγων Ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς
καὶ βελτίω ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ οὐ πορεύεσθε ὀπίσω θεῶν
ἑτέρων τοῦ δουλεύειν αὐτοῖς, καὶ οἰκήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ
τοῖς πατράσιν ὑμῶν· καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν καὶ οὐκ εἰςηκούσατε.
16 [16] καὶ ἔστησαν υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν,
17 ὁ δὲ λαὸς οὗτος οὐκ ἤκουσέ μου. [17] διὰ τοῦτο οὕτως εἶπε κύριος Ἰδοὺ ἐγὼ
φέρω ἐπὶ Ἰούδαν καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πάντα τὰ κακὰ
18 ἃ ἐλάλησα ἐπ' αὐτούς. [18] διὰ τοῦτο οὕτως εἶπε κύριος Ἐπειδὴ ἤκουσαν υἱοὶ
Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν ποιεῖν καθότι ἐνετεί-
19 λατο αὐτοῖς ὁ πατὴρ αὐτῶν, [19] οὐ μὴ ἐκλείπῃ ἀνὴρ τῶν υἱῶν Ἰωναδὰβ υἱοῦ
Ῥηχὰβ παρεστηκὼς κατὰ πρόςωπόν μου πάσας τὰς ἡμέρας τῆς γῆς.

## XLIII.

(Graece 43. = Hebraice 36.)
( — 50. = — 43.)

ΕΝ ΤΩ ΕΝΙΑΥΤΩ ΤΕΤΑΡΤΩ ΙΩΑΚΕΙΜ ΥΙΟΥ ΙΩΣΙΑ ΒΑΣΙΛΕΩΣ
2 Ἰούδα ἐγενήθη λόγος κυρίου πρὸς μὲ λέγων [2] Λάβε σεαυτῷ χαρτίον βιβλίου,
καὶ γράψον ἐπ' αὐτοῦ πάντας τοὺς λόγους οὓς ἐλάλησα πρὸς σὲ ἐπὶ Ἱερου-
σαλὴμ καὶ ἐπὶ Ἰούδα καὶ ἐπὶ πάντα τὰ ἔθνη ἀφ' ἧς ἡμέρας λαλήσαντός
μου πρὸς σὲ ἀφ' ἡμερῶν Ἰωσία βασιλέως Ἰούδα καὶ ἕως τῆς ἡμέρας ταύ-
3 της. [3] ἴσως ἀκούσεται ὁ οἶκος Ἰούδα πάντα τὰ κακὰ ἃ ἐγὼ λογίζομαι ποιῆ-
σαι αὐτοῖς, ἵνα ἀποστρέψωσιν ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ ἵλεως
4 ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ ταῖς ἁμαρτίαις αὐτῶν. [4] καὶ ἐκάλεσεν Ἱερε-
μίας τὸν Βαροὺχ υἱὸν Νηρίου, καὶ ἔγραψεν ἀπὸ στόματος Ἱερεμίου πάντας
5 τοὺς λόγους κυρίου, οὓς ἐλάλησε πρὸς αὐτόν, εἰς χαρτίον βιβλίου. [5] καὶ ἐνε-
τείλατο Ἱερεμίας τῷ Βαροὺχ λέγων Ἐγὼ φυλάσσομαι, οὐ μὴ δύνωμαι εἰςελ-
6 θεῖν εἰς οἶκον κυρίου. [6] καὶ ἀναγνώσῃ ἐν τῷ χαρτίῳ τούτῳ εἰς τὰ ὦτα τοῦ
λαοῦ ἐν οἴκῳ κυρίου ἐν ἡμέρᾳ νηστείας, καὶ ἐν ὠσὶ παντὸς Ἰούδα τῶν ἐρ-
7 χομένων ἐκ πόλεων αὐτῶν ἀναγνώσῃ αὐτοῖς. [7] ἴσως πεσεῖται ἔλεος αὐτῶν

---

11. Ax FA* om των χαλδ. κ. α. πρ. της δυναμεως ... FA* om των ante ασσυριων ... ωκησαμεν, FA οικουμεν 13. κατ. εν ιερουσαλημ ... Ax FA παιδιαν (Ax -δειαν) ακουειν 14. FA υιοι ρηχαβ ... ουκ επιον· καγω ... FA post ορθου (corr. est ορθρ.) add και ελαλησα ... εισηκουσατε 15. δουλους pro παιδας ... FA απο οδου ... βελτιον ποιησατε επιτηδευματα ... Ax FA θεων αλλοτριων ... FA* γης ως ... ηκουσατε, FA εισηκ. μου 16. Ax FA οι υιοι ... FA ιων. οι υιοι ρηχαβ ... FA και ο λαος ... λαος μου ουκ ηκουσαν μου ... FA ηκουσαν 17. om totum versum 18. Ax FA οι υιοι ... FA om υι. ρηχ. την εντολην ... οσα pro καθοτι 19. FA* εκλιπη XLIII. 1. Ax FA*.* και εν τω ... υιου ιωσιου, FA υιω ιωσια 2. χαρτην ... επ αυτω ... εχρηματισα πρ. σε επι ισραηλ ... FA*.* επι ιουδαν 3. ακουσονται οικος ... κακα α ελαλησα επ αυτους ινα αποστραφωσιν απο οδου αυτου τ. π. ... FA απο οδου ... FA ειλεος 4. εγραψεν βαρουχ ... ους εχρηματισεν προς 5. και ου δυναμαι 6. Ax FA εν τω χαρτη ... Ax FA νηστιας ... παντος του λαου των ερχομενων ... Ax FA εκ πολεως

Digitized by Google

κατὰ πρόσωπον κυρίου, καὶ ἀποστρέψουσιν ἐκ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς,
ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ κυρίου ἣν ἐλάλησεν ἐπὶ τὸν λαὸν τοῦτον.
[8] καὶ ἐποίησε Βαροὺχ κατὰ πάντα ἃ ἐνετείλατο αὐτῷ Ἱερεμίας, τοῦ ἀναγνῶ- 8
ναι ἐν τῷ βιβλίῳ τοὺς λόγους κυρίου ἐν οἴκῳ κυρίου. [9] καὶ ἐγενήθη ἐν τῷ 9
ἔτει τῷ ὀγδόῳ τῷ βασιλεῖ Ἰωακεὶμ ἐν τῷ μηνὶ τῷ ἐνάτῳ ἐξεκκλησίασαν
νηστείαν κατὰ πρόσωπον κυρίου πᾶς ὁ λαὸς ἐν Ἱερουσαλὴμ καὶ οἶκος Ἰούδα.
[10] καὶ ἀνεγίνωσκε Βαροὺχ ἐν τῷ βιβλίῳ τοὺς λόγους Ἱερεμίου ἐν οἴκῳ κυ- 10
ρίου, ἐν οἴκῳ Γαμαρίου υἱοῦ Σαφὰν τοῦ γραμματέως, ἐν τῇ αὐλῇ τῇ ἐπάνω
ἐν προθύροις πύλης τοῦ οἴκου κυρίου τῆς καινῆς καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ.
[11] καὶ ἤκουσε Μιχαίας υἱὸς Γαμαρίου υἱοῦ Σαφὰν ἅπαντας τοὺς λόγους κυ- 11
ρίου ἐκ τοῦ βιβλίου. [12] καὶ κατέβη εἰς οἰκίαν τοῦ βασιλέως, εἰς τὸν οἶκον 12
τοῦ γραμματέως, καὶ ἰδοὺ ἐκεῖ πάντες οἱ ἄρχοντες ἐκάθηντο, Ἐλισαμὰ ὁ
γραμματεὺς καὶ Δαλαίας υἱὸς Σελεμίου καὶ Ἰωνάθαν υἱὸς Ἀχοβὼρ καὶ Γα-
μαρίας υἱὸς Σαφὰν καὶ Σεδεκίας υἱὸς Ἀνανίου καὶ πάντες οἱ ἄρχοντες, [13] καὶ 13
ἀνήγγειλεν αὐτοῖς Μιχαίας πάντας τοὺς λόγους οὓς ἤκουσεν ἀναγινώσκοντος
Βαροὺχ εἰς τὰ ὦτα τοῦ λαοῦ. [14] καὶ ἀπέστειλαν πάντες οἱ ἄρχοντες πρὸς 14
Βαροὺχ υἱὸν Νηρίου τὸν Ἰουδὶν υἱὸν Ναθανίου υἱοῦ Σελεμίου υἱοῦ Χουσὶ
λέγοντες Τὸ χαρτίον ἐν ᾧ σὺ ἀναγινώσκεις ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λάβε
αὐτὸ εἰς τὴν χεῖρά σου καὶ ἧκε. καὶ ἔλαβε Βαροὺχ τὸ χαρτίον καὶ κατέβη
πρὸς αὐτούς. [15] καὶ εἶπον αὐτῷ Πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ἡμῶν· καὶ ἀνέγνω 15
Βαρούχ. [16] καὶ ἐγενήθη ὡς ἤκουσαν πάντας τοὺς λόγους, συνεβουλεύσαντο 16
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ εἶπον Ἀναγγέλλοντες ἀναγγείλωμεν τῷ
βασιλεῖ ἅπαντας τοὺς λόγους τούτους. [17] καὶ τὸν Βαροὺχ ἠρώτησαν λέγοντες 17
Ποῦ ἔγραψας πάντας τοὺς λόγους τούτους; [18] καὶ εἶπε Βαρούχ Ἀπὸ στόμα- 18
τος αὐτοῦ ἀνήγγειλέ μοι Ἱερεμίας πάντας τοὺς λόγους τούτους καὶ ἔγραφον
ἐν βιβλίῳ. [19] καὶ εἶπον τῷ Βαρούχ Βάδισον καὶ κατακρύβηθι σὺ καὶ Ἱερε- 19
μίας, ἄνθρωπος μὴ γνώτω ποῦ ὑμεῖς. [20] καὶ εἰςῆλθον πρὸς τὸν βασιλέα εἰς 20
τὴν αὐλήν, καὶ τὸ χαρτίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ Ἐλισαμά, καὶ ἀνήγ-
γειλαν τῷ βασιλεῖ πάντας τοὺς λόγους τούτους. [21] καὶ ἀπέστειλεν ὁ βασιλεὺς 21
τὸν Ἰουδὶν λαβεῖν τὸ χαρτίον. καὶ ἔλαβεν αὐτὸ ἐξ οἴκου Ἐλισαμά, καὶ ἀνέγνω
Ἰουδὶν εἰς τὰ ὦτα τοῦ βασιλέως καὶ εἰς τὰ ὦτα πάντων τῶν ἀρχόντων τῶν
ἑστηκότων περὶ τὸν βασιλέα. [22] καὶ ὁ βασιλεὺς ἐκάθητο ἐν οἴκῳ χειμερινῷ, 22
καὶ ἐσχάρα πυρὸς κατὰ πρόσωπον αὐτοῦ. [23] καὶ ἐγενήθη ἀναγινώσκοντος 23
Ἰουδὶν τρεῖς σελίδας καὶ τέσσαρας, ἀπέτεμεν αὐτὰς τῷ ξυρῷ τοῦ γραμμα-

---

7. απο της οδου ... ο θυμ. κυριου κ. η οργη η (** ην) ελ. κυριος επι τ. τοπον τ. 8. FA om τους 9. τω πεμπτω ιωακειμ βασιλει εν ... FA om εν secundum ... FA* εξεκλησιασεν ... FA νηστιαν ... εις ιερουσ. και ο οικ. ι. 10. om τους ... εν προθυροις οικου κ. της καινης εις τα ωτα 11. FA μιχεας ... παντας 12. Ax FA κατεβη εις οικον ... FA δαλιας (Ax δάλεας) υι. σεδεκιου ... και ναθαν υι. αχόβωρ 13. FA μιχεας ... αναγ. του βαρουχ ... FA* κυριου του θεου pro τ. λαου 14. τον ιουδει, FA om τον ιουδιν ... FA υιου ναθανιου ... σαλαμιου ... FA* om λεγοντες Το χαρτιον ... Το βιβλιον εν ω αναγ. ... FA* om εις τ. χ. σου ... βαρουχ υιος νηριου το χ. εν χειρι αυτου 15. Ax FA ειπαν 16. FA εγενετο ... Ax FA ειπαν ... αναγγελοντες ... Ax FA* αναγγελωμεν ... Ax FA παντας 17. FA πού ποθεν, Ax πόθεν ... FA om παντας 18. om αυτου ... καγω εγραφον 19. και ειπαν οι αρχοντες προς βαρουχ, FA κ. ειπαν τω βαρουχ ... και κρυβηθι ... FA om και ... Ax FA και ανθρωπος ... μη γνω ... FA* πού υπαγεις 20. το βιβλιον ... FA ελεισαμα ... FA om τουτους 21. ιουδειν ... FA οικου ελεισα ... Ax FA ιουδειν ... om παντων ... προς τον βασιλεα 23. Ax FA ιουδειν ... FA*·* η τεσσαρας (?) ... FA απετεμνεν ... Ax FA αυτα τω

τέως καὶ ἐῤῥίπτεν εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως ἐξέλιπε πᾶς ὁ χάρτης
24 εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας. [24] καὶ οὐκ ἐζήτησαν, καὶ οὐ διέῤῥηξαν τὰ
ἱμάτια αὐτῶν ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας τοὺς λό-
25 γους τούτους. [25] καὶ Ἐλνάθαν καὶ Γοδολίας ὑπέθεντο τῷ βασιλεῖ πρὸς τὸ
26 κατακαῦσαι τὸ χαρτίον. [26] καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἱερεμεὴλ υἱῷ τοῦ
βασιλέως καὶ τῷ Σαραίᾳ υἱῷ Ἐσριὴλ συλλαβεῖν τὸν Βαροὺχ καὶ τὸν Ἱερε-
27 μίαν, καὶ κατεκρύβησαν. [27] καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἱερεμίαν, μετὰ
τὸ κατακαῦσαι τὸν βασιλέα τὸ χαρτίον πάντας τοὺς λόγους οὓς ἔγραψε Βα-
28 ροὺχ ἀπὸ στόματος Ἱερεμίου, λέγων [28] Πάλιν λάβε σὺ χαρτίον ἕτερον καὶ
γράψον πάντας τοὺς λόγους τοὺς ὄντας ἐπὶ τοῦ χαρτίου οὓς κατέκαυσεν ὁ
29 βασιλεὺς Ἰωακείμ, [29] καὶ ἐρεῖς Οὕτως εἶπε κύριος Σὺ κατέκαυσας τὸ χαρτίον
τοῦτο, λέγων Διὰ τί ἔγραψας ἐπ᾿ αὐτῷ λέγων Εἰςπορευόμενος εἰςπορεύσεται
βασιλεὺς Βαβυλῶνος καὶ ἐξολοθρεύσει τὴν γῆν ταύτην, καὶ ἐκλείψει ἐπ᾿ αὐ-
30 τῆς ἄνθρωπος καὶ κτήνη; [30] διὰ τοῦτο οὕτως εἶπε κύριος ἐπὶ Ἰωακεὶμ βα-
σιλέα Ἰούδα Οὐκ ἔσται αὐτῷ καθήμενος ἐπὶ θρόνου Δαυίδ, καὶ τὸ θνησι-
μαῖον αὐτοῦ ἔσται ἐῤῥιμμένον ἐν τῷ καύματι τῆς ἡμέρας καὶ ἐν τῷ παγετῷ
31 τῆς νυκτός. [31] καὶ ἐπισκέψομαι ἐπ᾿ αὐτὸν καὶ ἐπὶ τὸ γένος αὐτοῦ καὶ ἐπὶ
τοὺς παῖδας αὐτοῦ, καὶ ἐπάξω ἐπ᾿ αὐτὸν καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερου-
σαλὴμ καὶ ἐπὶ γῆν Ἰούδα πάντα τὰ κακὰ ἃ ἐλάλησα πρὸς αὐτούς, καὶ οὐκ
32 ἤκουσαν. [32] καὶ ἔλαβε Βαροὺχ χαρτίον ἕτερον καὶ ἔγραψεν ἐπ᾿ αὐτῷ ἀπὸ στό-
ματος Ἱερεμίου ἅπαντας τοὺς λόγους τοῦ βιβλίου οὓς κατέκαυσεν Ἰωακείμ.
καὶ ἔτι προςετέθησαν αὐτῷ λόγοι πλείονες ὡς οὗτοι.

## XLIV.

(Graece 44. = Hebraice 37.)
( — 51, 1-31. = — 44.)

Καὶ ἐβασίλευσε Σεδεκίας υἱὸς Ἰωσία ἀντὶ Ἰωακείμ, ὃν ἐβασίλευσε Να-
2 βουχοδονόσορ βασιλεύειν τοῦ Ἰούδα. [2] καὶ οὐκ ἤκουσαν αὐτὸς καὶ οἱ παῖδες
αὐτοῦ καὶ ὁ λαὸς τῆς γῆς τοὺς λόγους κυρίου οὓς ἐλάλησεν ἐν χειρὶ Ἱερε-
3 μίου. [3] καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σεδεκίας τὸν Ἰωάχαλ υἱὸν Σελεμίου καὶ
τὸν Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα πρὸς Ἱερεμίαν λέγων Πρόςευξαι δὴ
4 περὶ ἡμῶν πρὸς κύριον. [4] καὶ Ἱερεμίας ἦλθε καὶ διῆλθε διὰ μέσου τῆς πό-
5 λεως, καὶ οὐκ ἔδωκαν αὐτὸν εἰς τὸν οἶκον τῆς φυλακῆς. [5] καὶ δύναμις Φα-
ραὼ ἐξῆλθεν ἐξ Αἰγύπτου, καὶ ἤκουσαν οἱ Χαλδαῖοι τὴν ἀκοὴν αὐτῶν, καὶ
6 ἀνέβησαν ἐπὶ Ἱερουσαλήμ. [6] καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἱερεμίαν λέγων

---

23. Ax FA εριπτεν (FA -τε) ... εως ου εξελειπεν, FA*.* εως εξελειπεν 24. εξεζητησαν ... FA* om ου ... FA* διερηξαν ... αυτου ακουσαντες παντες τους 25. κ. ναθαν κ. γοδ. και γαμαριας, FA*.*.* κ. ελν. και δαλαιας και γολιας και γαμαριας ... Ax FA*.* μη κατακαυσαι ... το βιβλιον 26. ιερεμιηλ, FA ιερεμιαηλ ... FA σαρεα ... εσζριηλ ... FA* και αυτον ιερεμηαν ... FA* om και κατεκρ. [27]και εγ. λ. κ. πρ. ιερ. (*.* ιηρεμιαν) 27. Ax FA* καυσαι 28. λαβε σεαυτω χαρτιον ... απαντας 29. το βιβλιον τουτο ... FA εγρ. επ αυτο ... FA* εισπορευεται ... Ax FA ο βασιλευς ... εξολεθρ., FA εξωλεθρ. ... και εκτριψει απ αυτης ανθρωπον ... FA απ αυτης 30. επι θρονον ... ρεριμμενον, FA εριμμενον 31. Ax FA επαξω επ αυτους ... FA επι την ιδουμαιαν (correctum ιουδαιαν) pro επι γην ιουδα ... α ελαλ. επ αυτους 32. FA παντας ... FA ου κατεκαυσεν ... FA και επι τι προςετεθ. XLIV. 1. αντι ιεχονιου υιου ιωακειμ ... ναβουχ. βασιλευς βαβυλωνος 2. FA ηκουσεν 3. τ. ιωαχαζ, FA τ. ιωαχαχ (*.*-χας) ... FA σεδεκιου ... μασαιου ... *ιερεαν 4. ανα μεσον ... εις οικον, FA εις οικιαν 5. Ax FA*.* απο ιερουσ.

Digitized by Google

7 Οὕτως εἶπε κύριος Οὕτως ἐρεῖς πρὸς βασιλέα Ἰούδα τὸν ἀποστείλαντα πρὸς 7
σὲ τοῦ ἐκζητῆσαί με Ἰδοὺ δύναμις Φαραὼ ἡ ἐξελθοῦσα ὑμῖν εἰς βοήθειαν
ἀποστρέψουσιν εἰς γῆν Αἰγύπτου, 8 καὶ ἀναστρέψουσιν αὐτοὶ οἱ Χαλδαῖοι καὶ 8
πολεμήσουσιν ἐπὶ τὴν πόλιν ταύτην, καὶ συλλήψονται αὐτὴν καὶ καύσουσιν
αὐτὴν ἐν πυρί. 9 ὅτι οὕτως εἶπε κύριος Μὴ ὑπολάβητε ταῖς ψυχαῖς ὑμῶν 9
λέγοντες Ἀποτρέχοντες ἀπελεύσονται ἀφ' ἡμῶν οἱ Χαλδαῖοι, ὅτι οὐ μὴ ἀπέλ-
θωσι. 10 καὶ ἐὰν πατάξητε πᾶσαν δύναμιν τῶν Χαλδαίων τοὺς πολεμοῦντας 10
ὑμᾶς, καὶ καταλειφθῶσί τινες ἐκκεκεντημένοι, ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ
οὗτοι ἀναστήσονται καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρί. 11 καὶ ἐγένετο 11
ὅτε ἀνέβη ἡ δύναμις τῶν Χαλδαίων ἀπὸ Ἱερουσαλὴμ ἀπὸ προσώπου τῆς
δυνάμεως Φαραώ, 12 ἐξῆλθεν Ἱερεμίας ἀπὸ Ἱερουσαλὴμ τοῦ πορευθῆναι εἰς 12
γῆν Βενιαμὶν τοῦ ἀγοράσαι ἐκεῖθεν ἐν μέσῳ τοῦ λαοῦ. 13 καὶ ἐγένετο αὐτὸς 13
ἐν πύλῃ Βενιαμίν, καὶ ἐκεῖ ἄνθρωπος παρ' ᾧ κατέλυε Σαρουία υἱὸς Σελε-
μίου υἱοῦ Ἀνανίου, καὶ συνέλαβε τὸν Ἱερεμίαν λέγων Πρὸς τοὺς Χαλδαίους
σὺ φεύγεις; 14 καὶ εἶπε Ψεῦδος, οὐκ εἰς τοὺς Χαλδαίους ἐγὼ φεύγω. καὶ 14
οὐκ εἰσήκουσεν αὐτοῦ, καὶ συνέλαβε Σαρουία τὸν Ἱερεμίαν καὶ εἰσήγαγεν
αὐτὸν πρὸς τοὺς ἄρχοντας. 15 καὶ ἐπικράνθησαν οἱ ἄρχοντες ἐπὶ Ἱερεμίαν καὶ 15
ἐπάταξαν αὐτόν, καὶ ἀπέστειλαν αὐτὸν εἰς τὴν οἰκίαν Ἰωνάθαν τοῦ γραμ-
ματέως, ὅτι ταύτην ἐποίησαν εἰς οἰκίαν φυλακῆς. 16 καὶ ἦλθεν Ἱερεμίας εἰς 16
οἰκίαν τοῦ λάκκου καὶ εἰς τὴν χερέθ, καὶ ἐκάθισεν ἐκεῖ ἡμέρας πολλάς.
17 καὶ ἀπέστειλε Σεδεκίας καὶ ἐκάλεσεν αὐτόν, καὶ ἠρώτα αὐτὸν ὁ βασιλεὺς 17
κρυφαίως εἰπεῖν εἰ ἔστιν ὁ λόγος παρὰ κυρίου; καὶ εἶπεν Ἔστιν· εἰς χεῖρας
βασιλέως Βαβυλῶνος παραδοθήσῃ. 18 καὶ εἶπεν Ἱερεμίας τῷ βασιλεῖ Τί ἠδί- 18
κησά σε καὶ τοὺς παῖδάς σου καὶ τὸν λαὸν τοῦτον, ὅτι σὺ δίδως με εἰς οἰ-
κίαν φυλακῆς; 19 καὶ ποῦ εἰσὶν οἱ προφῆται ὑμῶν οἱ προφητεύσαντες ὑμῖν 19
λέγοντες ὅτι οὐ μὴ ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην; 20 καὶ 20
νῦν, κύριε βασιλεῦ, πεσέτω τὸ ἔλεός μου κατὰ πρόσωπόν σου· καὶ τί ἀπο-
στρέφεις με εἰς οἰκίαν Ἰωνάθαν τοῦ γραμματέως, καὶ οὐ μὴ ἀποθάνω ἐκεῖ;
21 καὶ συνέταξεν ὁ βασιλεύς, καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς φυλακῆς, 21
καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας ἔξωθεν οὗ πέσσουσιν, ἕως ἐξέλι-
πον οἱ ἄρτοι ἐκ τῆς πόλεως. καὶ ἐκάθισεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

## XLV.

(Graece 45. = Hebraice 38.
— 51, 31 sqq. = — 45.)

Καὶ ἤκουσε Σαφανίας υἱὸς Νάθαν καὶ Γοδολίας υἱὸς Πασχὼρ καὶ Ἰωά-
χαλ υἱὸς Σελεμίου τοὺς λόγους οὓς Ἱερεμίας ἐλάλει ἐπὶ τὸν λαὸν λέγων

7. FA αποστελλοντα ... om του ... FA* ab αποστρεψ. ad αυτοι v. 8. transilit. 8. om αυτοι ... οι χαλδ. οι πολεμουντες την γην ταυτην ... συλλημψ., FA συνλημψονται ... FA αυτην πυρι 9. FA om οτι 10. εν τοπω αυτου οτι αυτοι ... FA* αναστησουσιν 11. επι ιερουσ. 12. ιηρεμιας ... FA του πορευεσθαι ... Ax FA βενιαμειν ... FA*.* εκειθεν αρτον εν ... εμμεσω 13. Ax FA βενιαμειν ... κατελυσεν ... Ax FA σαρουιας ... FA υιος ανανιου 14. Ax FA ουχι προς τους χαλδαιους (-δεους FA atque sic plerumque) ... Ax FA ηκουσεν ... Ax FA σαρουιας 15. εις οικον φυλακης ... FA* της φυλακης 16. FA* οτι ηλθεν ... FA χαρεθ 17. επηρωτησεν, FA* ηρωτησεν ... om ο βασιλευς ... Ax FA om ειπειν ... Ax FA ει εστιν λογος (FA*.* add παρα) κυριου ... κ. ειπ. αυτω 18. ιηρεμιας ... της φυλακης 19. προφητευοντες 20. κυριε μου βασιλευ ... πεσατω δη, FA πεσατω 21. Ax FA*.* εξελειπον XLV. 1. FA* γολιας ... FA ιωαχας ... ους ελαλησεν ιηρεμιας, FA ους ελαλει ιερεμιας ... FA* οχλον



Digitized by Google

2 ² Οὕτως εἶπε κύριος Ὁ κατοικῶν ἐν τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν ῥομ-
φαίᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς Χαλδαίους ζήσεται, καὶ
3 ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρημα καὶ ζήσεται. ³ ὅτι οὕτως εἶπε κύριος Πα-
ραδιδομένη παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας δυνάμεως βασιλέως Βα-
4 βυλῶνος, καὶ συλλήψεται αὐτήν. ⁴ καὶ εἶπον τῷ βασιλεῖ Ἀναιρεθήτω δὴ ὁ
ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολε-
μούντων τῶν καταλειπομένων ἐν τῇ πόλει καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ,
λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους, ὅτι ὁ ἄνθρωπος οὗτος οὐ
5 χρησμολογεῖ εἰρήνην τῷ λαῷ τούτῳ ἀλλ' ἢ πονηρά. ⁵ καὶ εἶπεν ὁ βασιλεύς
6 Ἰδοὺ αὐτὸς ἐν χερσὶν ὑμῶν· ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς. ⁶ καὶ
ἔῤῥιψαν αὐτὸν εἰς λάκκον Μελχίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς
φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ οὐκ ἦν ὕδωρ
7 ἀλλ' ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ. ⁷ καὶ ἤκουσεν Ἀβδεμέλεχ ὁ Αἰθίοψ,
καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βασιλέως, ὅτι ἔδωκαν Ἱερεμίαν εἰς τὸν λάκκον· καὶ
8 ὁ βασιλεὺς ἦν ἐν τῇ πύλῃ Βενιαμίν· ⁸ καὶ ἐξῆλθε πρὸς αὐτόν, καὶ ἐλάλησε
9 πρὸς τὸν βασιλέα καὶ εἶπεν ⁹ Ἐπονηρεύσω ἃ ἐποίησας τοῦ ἀποκτεῖναι τὸν
ἄνθρωπον τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν ἔτι ἄρτοι ἐν τῇ πό-
10 λει. ¹⁰ καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἀβδεμέλεχ λέγων Λάβε εἰς τὰς χεῖράς
σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου, ἵνα
11 μὴ ἀποθάνῃ. ¹¹ καὶ ἔλαβεν Ἀβδεμέλεχ τοὺς ἀνθρώπους καὶ εἰσῆλθεν εἰς τὴν
οἰκίαν τοῦ βασιλέως τὴν ὑπόγαιον, καὶ ἔλαβεν ἐκεῖθεν παλαιὰ ῥάκη καὶ πα-
12 λαιὰ σχοινία, καὶ ἔῤῥιψεν αὐτὰ πρὸς Ἱερεμίαν εἰς τὸν λάκκον, ¹² καὶ εἶπε
13 Ταῦτα θὲς ὑποκάτω τῶν σχοινίων. καὶ ἐποίησεν Ἱερεμίας οὕτως. ¹³ καὶ εἵλ-
κυσαν αὐτὸν τοῖς σχοινίοις καὶ ἀνήγαγον αὐτὸν ἐκ τοῦ λάκκου· καὶ ἐκάθι-
14 σεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς. ¹⁴ καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ
ἐκάλεσεν αὐτὸν πρὸς ἑαυτὸν εἰς οἰκίαν Ἀσελεισὴλ τὴν ἐν οἴκῳ κυρίου. καὶ
εἶπεν αὐτῷ ὁ βασιλεύς Ἐρωτήσω σε λόγον, καὶ μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ
15 ῥῆμα. ¹⁵ καὶ εἶπεν Ἱερεμίας τῷ βασιλεῖ Ἐὰν ἀναγγείλω σοι, οὐχὶ θανάτῳ
16 με θανατώσεις; καὶ ἐὰν συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς μου; ¹⁶ καὶ ὤμο-
σεν αὐτῷ ὁ βασιλεὺς λέγων Ζῇ κύριος, ὃς ἐποίησεν ἡμῖν τὴν ψυχὴν ταύτην,
17 εἰ ἀποκτενῶ σε καὶ εἰ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων τούτων. ¹⁷ καὶ
εἶπεν αὐτῷ Ἱερεμίας Οὕτως εἶπε κύριος Ἐὰν ἐξελθὼν ἐξέλθῃς πρὸς ἡγεμό-
νας βασιλέως Βαβυλῶνος, ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ
18 κατακαυθῇ ἐν πυρί, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου. ¹⁸ καὶ ἐὰν μὴ ἐξέλθῃς,
δοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ καύσουσιν αὐτὴν ἐν
19 πυρί, καὶ σὺ οὐ μὴ σωθῇς. ¹⁹ καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἱερεμίᾳ Ἐγὼ λόγον
ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώσειν με εἰς
20 χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου. ²⁰ καὶ εἶπεν Ἱερεμίας Οὐ μὴ

---

2. Ax FA ευρεμα ... om και ζησεται in fine 3. FA om βασιλεως ... συλλημψονται, FA* λημψετε (correctum est συνλημψεται) 4. Ax FA ειπαν (FA* -πεν) ... om δη ... om αυτος ... των πολεμιστων των καταλελιμμενων επι τη πολει ... FA καταλιπομενων ... om τουτω 5. εν ταις χερσιν ... FA εδυνατο 6. Ax FA εριψαν (Ax ερριψ.) α. εις τον λακκον ... μελχειου 7. εν τη αυλη βενιαμειν 9. FA επονηρευσου ... FA αρτοι εις την πολιν 10. εις την χειρα σου απ εντευθεν 11. FA υπογεον ... FA*.* ρακχη ... προς τον ιερεμιαν 12. ιηρεμιας 13. εν τοις σχοινιοις ... ιηρεμιας ... Ax FA εν αυλη 14. σαλαθιηλ, FA ασαλιηλ ... και μη κρυψ., FA και δη μη κρ. 15. ουχι θανατωσεις με ... FA και αν συμβ. ... μου ακουσῃς 16. FA* αποκτινω ... παραδωσω 17. Ax FA και ζησεται 18. FA* ελθῃς ... παραδοθησεται ... βασιλεως βαβυλωνος pro των χαλδ. 19. FA ο βασ. σεδεκιας ιερεμια

Digitized by Google

παραδῶσί σε· ἄκουσον τὸν λόγον κυρίου ὃν ἐγὼ λέγω πρὸς σέ, καὶ βέλτιον
ἔσται σοι καὶ ζήσεται ἡ ψυχή σου. [21] καὶ εἰ μὴ θέλῃς σὺ ἐξελθεῖν, οὗτος 21
ὁ λόγος ὃν ἔδειξέ μοι κύριος [22] Καὶ ἰδοὺ πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖ- 22
σαι ἐν οἰκίᾳ βασιλέως Ἰούδα ἐξήγοντο πρὸς ἄρχοντας βασιλέως Βαβυλῶνος,
καὶ αὗται ἔλεγον Ἠπάτησάν σε, καὶ δυνήσονταί σοι ἄνδρες εἰρηνικοί σου,
καὶ καταλύσουσιν ἐν ὀλισθήμασι πόδα σου, ἀπέστρεψαν ἀπὸ σοῦ. [23] καὶ τὰς 23
γυναῖκάς σου καὶ τὰ τέκνα σου ἐξάξουσι πρὸς τοὺς Χαλδαίους, καὶ σὺ οὐ
μὴ σωθῇς, ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη
κατακαυθήσεται. [24] καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ἄνθρωπος μὴ γνώτω ἐκ τῶν 24
λόγων τούτων, καὶ σὺ οὐ μὴ ἀποθάνῃς. [25] καὶ ἐὰν οἱ ἄρχοντες ἀκούσωσιν 25
ὅτι ἐλάλησά σοι, καὶ ἔλθωσι πρὸς σὲ καὶ εἴπωσί σοι Ἀνάγγειλον ἡμῖν τί
ἐλάλησέ σοι ὁ βασιλεύς; μὴ κρύψῃς ἀφ' ἡμῶν, καὶ οὐ μὴ ἀνέλωμέν σε·
καὶ τί ἐλάλησε πρὸς σὲ ὁ βασιλεύς; [26] καὶ ἐρεῖς αὐτοῖς Ῥίπτω ἐγὼ τὸ ἔλεός 26
μου κατ' ὀφθαλμοὺς τοῦ βασιλέως πρὸς τὸ μὴ ἀποστρέψαι με εἰς οἰκίαν
Ἰωνάθαν ἀποθανεῖν με ἐκεῖ. [27] καὶ ἦλθοσαν πάντες οἱ ἄρχοντες πρὸς Ἱερε- 27
μίαν καὶ ἠρώτησαν αὐτόν· καὶ ἀνήγγειλεν αὐτοῖς κατὰ πάντας τοὺς λόγους
τούτους οὓς ἐνετείλατο αὐτῷ ὁ βασιλεύς· καὶ ἀπεσιώπησαν, ὅτι οὐκ ἠκούσθη
ὁ λόγος κυρίου. [28] καὶ ἐκάθισεν Ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς ἕως χρό- 28
νου οὗ συνελήφθη Ἱερουσαλήμ.

## XLVI.

(Graece 46. = Hebraice 39.)
( — 26. = — 46.)

Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἐνάτῳ τοῦ Σεδεκία βασιλέως Ἰούδα παρεγέ-
νετο Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ
Ἱερουσαλήμ, καὶ ἐπολιόρκουν αὐτήν. [2] καὶ ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκία 2
ἐν τῷ μηνὶ τῷ τετάρτῳ ἐνάτῃ τοῦ μηνὸς ἐρράγη ἡ πόλις, [3] καὶ εἰσῆλθον 3
πάντες οἱ ἡγούμενοι βασιλέως Βαβυλῶνος, καὶ ἐκάθισαν ἐν πύλῃ τῇ μέσῃ
Μαργανασὰρ καὶ Σαμαγὼθ καὶ Ναβουσάχαρ καὶ Ναβουσαρείς, Ναγαργᾶς,
Νασερραβαμάθ, καὶ οἱ κατάλοιποι ἡγεμόνες βασιλέως Βαβυλῶνος. [14] καὶ ἀπέ- 14
στειλαν καὶ ἔλαβον τὸν Ἱερεμίαν ἐξ αὐλῆς τῆς φυλακῆς, καὶ ἔδωκαν αὐτὸν
πρὸς τὸν Γοδολίαν υἱὸν Ἀχεικὰν υἱοῦ Σαφάν, καὶ ἐξήγαγον αὐτόν, καὶ ἐκά-
θισεν ἐν μέσῳ τοῦ λαοῦ. [15] καὶ πρὸς Ἱερεμίαν ἐγένετο λόγος κυρίου ἐν τῇ 15
αὐλῇ τῆς φυλακῆς λέγων [16] Πορεύου καὶ εἰπὲ πρὸς Ἀβδεμέλεχ τὸν Αἰθίοπα 16
Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ ἐγὼ φέρω τοὺς λόγους μου ἐπὶ τὴν
πόλιν ταύτην εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά, [17] καὶ σώσω σε ἐν τῇ ἡμέρᾳ 17

---

20. Ax FA παραδωσουσιν ... FA και ακουσον ... om τον 21. βουλη συ, FA θελις (*.* -λεις) συ ... FA* σοι χυριος 22. FA του βασιλεως ιουδα ... ηπατησεν ... ποδας σου και απεστρ., FA ποδα (*.* -δας) σου (*.* add και) αποστρεψον (*.* απεστρεψαν) 23. και τα τεχνα σ. και τας γ. σου ... οτι εις χειρας βασ. β. παραδοθηση ... FA συλλημφθηση 25. Ax FA αχουσ. οι αρχ. ... FA* om σοι secundum ... μη δη κρυψης 26. Ax FA επιστρεψαι ... Ax FA* om με prius ... Ax FA om με sec. 27. Ax FA ηλθαν ... εσιωπησαν ... Ax FA ηχουσθη λογος 28. Ax FA συνελημφθη ... ιερουσαλημ η πολεις XLVI. 1. εν τω ετει τω ενατω ... Ax FA σεδεκιου ... post ιουδα add εν τω μηνι τω δεκατω ... FA παρεγενοντο ... (Ax FA βασιλεως) ... επολιορκει 2. σεδεκιου 3. Ax FA οι ηγεμονες ... εν τη πυλη ... FA μαργαννασαρ σαμαγωθ, Ax νηργελ σασασαρ εισσαμαγαθ ... και ναβουσαχαρ και ναβουζαρις και ναγαργας νασερραμαβαχ, FA κ. ναβουσαχαρ ναβουσεεις (.*. ναβουσαρις) ναγαργας νασαρραματ (*.* νασαρραβαματ) 14. FA* εξ αυτης της φυλακης ... προς γοδολιαν ... Ax FA υιον αχιχαμ ... υιον σαφαν ... εκαθεισαν εμμεσω 16. Ax FA ειπον ... FA* εθιοπαν ... εις την γην ταυτην

Digitized by Google

ἐκείνῃ, καὶ οὐ μὴ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων ὧν σὺ φοβῇ ἀπὸ προσώ-
18 που αὐτῶν. [18] ὅτι σώζων σώσω σε, καὶ ἐν ῥομφαίᾳ οὐ μὴ πέσῃς· καὶ ἔσται
ἡ ψυχή σου εἰς εὕρημα, ὅτι ἐπεποίθεις ἐπ' ἐμοί, φησὶ κύριος.

## XLVII.

(Graece 47. = Hebraice 40.)
( — 29, 1-7. = — 47.)

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΑΡΑ ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ
μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Ναβουζαρδὰν τὸν ἀρχιμάγειρον τὸν ἐκ Ῥαμᾶ, ἐν
τῷ λαβεῖν αὐτὸν ἐν χειροπέδαις ἐν μέσῳ ἀποικίας Ἰούδα τῶν ἠγμένων εἰς
2 Βαβυλῶνα. [2] καὶ ἔλαβεν αὐτὸν ὁ ἀρχιμάγειρος καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός
3 σου ἐλάλησε τὰ κακὰ ταῦτα ἐπὶ τὸν τόπον τοῦτον, [3] καὶ ἐποίησε κύριος, ὅτι
4 ἡμάρτετε αὐτῷ καὶ οὐκ ἠκούσατε τῆς φωνῆς αὐτοῦ. [4] ἰδοὺ ἔλυσά σε ἀπὸ
τῶν χειροπέδων τῶν ἐπὶ τὰς χεῖράς σου· εἰ καλὸν ἐναντίον σου ἐλθεῖν μετ'
5 ἐμοῦ εἰς Βαβυλῶνα, καὶ θήσω τοὺς ὀφθαλμούς μου ἐπὶ σέ· [5] εἰ δὲ μή, ἀπό-
τρεχε, ἀνάστρεψον πρὸς τὸν Γοδολίαν υἱὸν Ἀχεικὰμ υἱοῦ Σαφάν, ὃν κατέ-
στησε βασιλεὺς Βαβυλῶνος ἐν γῇ Ἰούδα, καὶ οἴκησον μετ' αὐτοῦ ἐν μέσῳ
τοῦ λαοῦ ἐν γῇ Ἰούδα εἰς ἅπαντα τὰ ἀγαθὰ ἐν ὀφθαλμοῖς σου τοῦ πορευ-
θῆναι ἐκεῖ, καὶ πορεύου. καὶ ἔδωκεν αὐτῷ ὁ ἀρχιμάγειρος δῶρα καὶ ἀπέ-
6 στειλεν αὐτόν. [6] καὶ ἦλθε πρὸς Γοδολίαν εἰς Μασσηφά, καὶ ἐκάθισεν ἐν μέσῳ
7 τοῦ λαοῦ αὐτοῦ τοῦ καταλειφθέντος ἐν τῇ γῇ. [7] καὶ ἤκουσαν πάντες οἱ ἡγε-
μόνες τῆς δυνάμεως τῆς ἐν ἀγρῷ, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν, ὅτι κατέστησε
βασιλεὺς Βαβυλῶνος τὸν Γοδολίαν ἐν τῇ γῇ, καὶ παρακατέθεντο αὐτῷ ἄν-
8 δρας καὶ γυναῖκας αὐτῶν οὓς οὐ κατῴκισεν εἰς Βαβυλῶνα. [8] καὶ ἦλθε πρὸς
Γοδολίαν εἰς Μασσηφὰ Ἰσμαὴλ υἱὸς Ναθανίου καὶ Ἰωάναν υἱὸς Κάρηε καὶ
Σαραίας υἱὸς Θαναεμὲθ καὶ υἱοὶ Ἰωφὲ τοῦ Νετωφαθὶ καὶ Ἐζονίας υἱὸς τοῦ
9 Μωχαθί, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν. [9] καὶ ὤμοσεν αὐτοῖς Γοδολίας καὶ τοῖς
ἀνδράσιν αὐτῶν λέγων Μὴ φοβηθῆτε ἀπὸ προσώπου τῶν παίδων τῶν Χαλ-
δαίων· κατοικήσατε ἐν τῇ γῇ καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ
10 βέλτιον ἔσται ὑμῖν. [10] καὶ ἰδοὺ ἐγὼ κάθημαι ἐναντίον ὑμῶν εἰς Μασσηφὰ
στῆναι κατὰ πρόσωπον τῶν Χαλδαίων οἳ ἂν ἔλθωσιν ἐφ' ὑμᾶς· καὶ ὑμεῖς
συνάγετε οἶνον καὶ ὀπώραν καὶ ἔλαιον, καὶ βάλετε εἰς τὰ ἀγγεῖα ὑμῶν, καὶ
11 οἰκήσατε ἐν ταῖς πόλεσιν αἷς κατεκρατήσατε. [11] καὶ πάντες οἱ Ἰουδαῖοι οἱ
ἐν Μωὰβ καὶ ἐν υἱοῖς Ἀμμὼν καὶ οἱ ἐν τῇ Ἰδουμαίᾳ καὶ οἱ ἐν πάσῃ τῇ
γῇ ἤκουσαν ὅτι ἔδωκε βασιλεὺς Βαβυλῶνος κατάλειμμα τῷ Ἰούδᾳ, καὶ ὅτι
12 κατέστησεν ἐπ' αὐτοὺς τὸν Γοδολίαν υἱὸν Ἀχεικάμ. [12] καὶ ἦλθον πρὸς Γοδο-
λίαν εἰς γῆν Ἰούδα εἰς Μασσηφά, καὶ συνήγαγον οἶνον καὶ ὀπώραν πολλὴν

---

17. ου μη παραδωσω, FA ου δωσω ... FA εις τας χειρας ... om των 18. Ax FA ευρεμα ... FA πεποιθεις XLVII. 1. γεναμενος ... υστερον μετα το ... om τον secundum ... FA τον εκ δαμαν ... εμμεσω ... των απαγομενων 2. om σου 3. εισηκουσατε ... FA αυτου της φωνης 4. των υπο τας ... ηκε θησω, FA ηκε και θησω ... FA επι σοι 5. αποστρεψον και αποτρεχε, FA αποστρεχε (σ erasum) και αναστρ. ... Ax FA προς γοδολιαν υι. αχιχαμ ... Ax FA* υιον σαφαν ... εμμεσω ... FA εις παντα ... Ax om εκει, FA om εκει και 6. εμμεσω ... Ax FA om αυτου 7. αυτοι και η δυναμεις αυτων και οι ... παρεκατεθεντο, FA παρεακατεθετο ... FA om ου 8. ιωανναν ... FA ναθαναεμεθ ... ωφετ του νετωφατει, FA ωφε του νεωφατι ... Ax FA ιεζονιας ... μωχατει, FA μοχατει 9. και εργαζεσθαι 10. FA εν μασηφα ... Ax FA οι εαν ... Ax FA συναγαγετε ... οπωραν και συναγαγετε ελαιον ... Ax FA αγγια ... οικησεται 11. FA om οι secundum ... Ax FA εν γη μωαβ και οι εν ... FA* οι εν τη ιουδαια ... τα καταλειμματα, FA καταλιμμα ... Ax FA αχιχαμ

Digitized by Google

σφόδρα καὶ ἔλαιον. 13 καὶ Ἰωάναν υἱὸς Κάρηε καὶ πάντες οἱ ἡγεμόνες τῆς 13
δυνάμεως οἱ ἐν τοῖς ἀγροῖς ἦλθον πρὸς τὸν Γοδολίαν εἰς Μασσηφὰ 14 καὶ 14
εἶπον αὐτῷ Εἰ γνώσει γινώσκεις ὅτι Βελεισσὰ βασιλεὺς υἱὸς Ἀμμὼν ἀπέστειλε
πρὸς σὲ τὸν Ἰσμαὴλ πατάξαι σου ψυχήν; καὶ οὐκ ἐπίστευσεν αὐτοῖς Γοδο-
λίας. 15 καὶ εἶπε Ἰωάναν τῷ Γοδολίᾳ κρυφαίως ἐν Μασσηφᾷ Πορεύσομαι δὴ 15
καὶ πατάξω τὸν Ἰσμαήλ, καὶ μηδεὶς γνώτω, μὴ πατάξῃ σου ψυχὴν καὶ
διασπαρῇ πᾶς Ἰούδα οἱ συνηγμένοι πρὸς σὲ καὶ ἀπολοῦνται οἱ κατάλοιποι
Ἰούδα. 16 καὶ εἶπε Γοδολίας πρὸς Ἰωάναν Μὴ ποιήσῃς τὸ πρᾶγμα, ὅτι ψευδῆ 16
σὺ λέγεις ὑπὲρ Ἰσμαήλ.

## XLVIII.

(Graece 28. = Hebraice 41.)
( — 31. = — 48.)

Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθανίου υἱοῦ
Ἐλεασὰ ἀπὸ γένους τοῦ βασιλέως, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ, πρὸς Γο-
δολίαν εἰς Μασσηφά, καὶ ἔφαγον ἐκεῖ ἄρτον ἅμα. 2 καὶ ἀνέστη Ἰσμαὴλ καὶ 2
οἱ δέκα ἄνδρες οἳ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπάταξαν τὸν Γοδολίαν, ὃν κατέ-
στησε βασιλεὺς Βαβυλῶνος ἐπὶ τῆς γῆς, 3 καὶ πάντας τοὺς Ἰουδαίους τοὺς 3
ὄντας μετ' αὐτοῦ ἐν Μασσηφᾷ καὶ πάντας τοὺς Χαλδαίους τοὺς εὑρεθέντας
ἐκεῖ. 4 καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ δευτέρᾳ πατάξαντος αὐτοῦ τὸν Γοδολίαν, 4
καὶ ἄνθρωπος οὐκ ἔγνω, 5 καὶ ἦλθοσαν ἄνδρες ἀπὸ Συχὲμ καὶ ἀπὸ Σαλὴμ 5
καὶ ἀπὸ Σαμαρείας, ὀγδοήκοντα ἄνδρες, ἐξυρημένοι πώγωνας καὶ διεῤῥη-
γμένοι τὰ ἱμάτια καὶ κοπτόμενοι, καὶ μάννα καὶ λίβανος ἐν χερσὶν αὐτῶν
τοῦ εἰςενεγκεῖν εἰς οἶκον κυρίου. 6 καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς Ἰσμαήλ, 6
αὐτοὶ ἐπορεύοντο καὶ ἔκλαιον, καὶ εἶπεν αὐτοῖς Εἰςέλθετε πρὸς Γοδολίαν.
7 καὶ ἐγένετο εἰςελθόντων αὐτῶν εἰς τὸ μέσον τῆς πόλεως ἔσφαξεν αὐτοὺς 7
εἰς τὸ φρέαρ. 8 καὶ δέκα ἄνδρες εὑρέθησαν ἐκεῖ καὶ εἶπον τῷ Ἰσμαὴλ Μὴ 8
ἀνέλῃς ἡμᾶς, ὅτι εἰσὶν ἡμῖν θησαυροὶ ἐν ἀγρῷ, πυροὶ καὶ κριθαί, μέλι καὶ
ἔλαιον· καὶ παρῆλθε καὶ οὐκ ἀνεῖλεν αὐτοὺς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν.
9 καὶ τὸ φρέαρ εἰς ὃ ἔῤῥιψεν ἐκεῖ Ἰσμαὴλ πάντας οὓς ἐπάταξε, φρέαρ μέγα 9
τοῦτό ἐστιν ὃ ἐποίησεν ὁ βασιλεὺς Ἀσὰ ἀπὸ προςώπου Βαασὰ βασιλέως
Ἰσραήλ, τοῦτο ἐνέπλησεν Ἰσμαὴλ τραυματιῶν. 10 καὶ ἀπέστρεψεν Ἰσμαὴλ 10
πάντα τὸν λαὸν τὸν καταλειφθέντα εἰς Μασσηφὰ καὶ τὰς θυγατέρας τοῦ βα-
σιλέως, ἃς παρακατέθετο ὁ ἀρχιμάγειρος τῷ Γοδολίᾳ υἱῷ Ἀχεικάμ, καὶ ᾤ-
χετο εἰς τὸ πέραν υἱῶν Ἀμμών. 11 καὶ ἤκουσεν Ἰωάναν υἱὸς Κάρηε καὶ 11
πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ πάντα τὰ κακὰ ἃ ἐποίη-
σεν Ἰσμαήλ, 12 καὶ ἤγαγον ἅπαν τὸ στρατόπεδον αὐτῶν καὶ ᾤχοντο πολεμεῖν 12

---

13. ιωανναν ... ηλθαν ... Ax FA προς γοδολιαν 14. Ax FA ειπαν ... βελισα idque post αμμων ponit, FA* βενεσα (*.*βελεισα) ... Ax FA υιων αμμων ... FA αυτω γοδολιας 15. ιωανναν ειπεν, FA ανναν (*.*ιωαναν) ειπεν ... FA εκρυφαιως ... εις μασσηφα ... FA πορευομαι ... FA μηθεις ... μη ποτε παταξη ... διασπαρησονται παντες οι ιουδαιοι ... FA ιουδα συνηγμενοι (*.*ιουδας οι συνηγμ.) 16. Ax FA* ιωανναν ... Ax FA το πραγμα τουτο ... κατα του ισμαηλ, FA περι ισμαηλ XLVIII. 1. FA υιος (correctum est υιου) ελεσα, Ax υιου ελασα ... FA δωδεκα ... FA αρτον εκει 2. FA δωδεκα ... ο βασιλευς 3. εις μασσηφα 5. σαλωμ ... FA σαμαριας ... διερρηχοτες ... FA* om τα ιματ. και κοπτομενοι ... εν ταις χερσιν, FA εν χειρι ... εισενεγκαι ... FA εν τω οικω 6. FA* om ισμαηλ ... και αυτοι ... FA om αυτοις ... εισελθατε 7. FA εις μεσον 8. Ax FA ειπαν ... εμμεσω 9. FA εριψεν ... FA εποιησεν βασιλευς βαβυλωνος απο ... FA om βαασα 10. Ax FA παρεκατεθετο ... FA* om ο ... αχικαμ 12. FA παν

Digitized by Google

13 αὐτόν, καὶ εὗρον αὐτὸν ἐπὶ ὕδατος πολλοῦ ἐν Γαβαών, [13] καὶ ἐγένετο ὅτε
εἶδε πᾶς ὁ λαὸς ὁ μετὰ Ἰσμαὴλ τὸν Ἰωάναν καὶ τοὺς ἡγεμόνας τῆς δυνά-
14 15 μεως τῆς μετ᾽ αὐτοῦ, [14] καὶ ἀνέστρεψαν πρὸς Ἰωάναν. [15] καὶ Ἰσμαὴλ ἐσώϑη
16 σὺν ὀκτὼ ἀνϑρώποις, καὶ ᾤχετο πρὸς τοὺς υἱοὺς Ἀμμών. [16] καὶ ἔλαβεν Ἰωά-
ναν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ᾽ αὐτοῦ πάντας τοὺς κατα-
λοίπους τοῦ λαοῦ οὓς ἀπέστρεψεν ἀπὸ Ἰσμαήλ, δυνατοὺς ἄνδρας ἐν πολέμῳ,
καὶ τὰς γυναῖκας καὶ τὰ λοιπὰ καὶ τοὺς εὐνούχους οὓς ἀπέστρεψαν ἀπὸ
17 Γαβαών, [17] καὶ ᾤχοντο καὶ ἐκάϑισαν ἐν Γαβηρωχαμάα τῇ πρὸς Βηϑλεέμ,
18 τοῦ πορευϑῆναι εἰς Αἴγυπτον [18] ἀπὸ προσώπου τῶν Χαλδαίων, ὅτι ἐφοβή-
ϑησαν ἀπὸ προσώπου αὐτῶν· ὅτι ἐπάταξεν Ἰσμαὴλ τὸν Γοδολίαν, ὃν κα-
τέστησεν ὁ βασιλεὺς Βαβυλῶνος ἐν τῇ γῇ.

## XLIX.

(Graece 49. = Hebraice 42.)
( — 30. 29. 25. = — 49.)

Καὶ προσῆλϑον πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως καὶ Ἰωάναν καὶ Ἀζα-
2 ρίας υἱὸς Μαασαίου καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου [2] πρὸς
Ἰερεμίαν τὸν προφήτην καὶ εἶπαν αὐτῷ Πεσέτω δὴ τὸ ἔλεος ἡμῶν κατὰ
πρόσωπόν σου, καὶ πρόσευξαι πρὸς κύριον τὸν ϑεόν σου περὶ τῶν καταλοί-
πων τούτων· ὅτι κατελείφϑημεν ὀλίγοι ἀπὸ πολλῶν, καϑὼς οἱ ὀφϑαλμοί
3 σου βλέπουσι. [3] καὶ ἀναγγειλάτω ἡμῖν κύριος ὁ ϑεός σου τὴν ὁδὸν ᾗ πορευ-
4 σόμεϑα ἐν αὐτῇ καὶ λόγον ὃν ποιήσομεν. [4] καὶ εἶπεν αὐτοῖς Ἱερεμίας Ἤκουσα·
ἰδοὺ ἐγὼ προσεύξομαι ὑπὲρ ὑμῶν πρὸς κύριον τὸν ϑεὸν ἡμῶν κατὰ τοὺς λό-
γους ὑμῶν. καὶ ἔσται, ὁ λόγος ὃν ἂν ἀποκριϑήσεται κύριος ὁ ϑεὸς ἀναγ-
5 γελῶ ὑμῖν, οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν ῥῆμα. [5] καὶ αὐτοὶ εἶπαν τῷ Ἱερεμίᾳ
Ἔστω κύριος ἐν ἡμῖν εἰς μάρτυρα δίκαιον καὶ πιστόν, εἰ μὴ κατὰ πάντα
6 τὸν λόγον ὃν ἐὰν ἀποστείλῃ κύριος πρὸς ἡμᾶς, οὕτως ποιήσωμεν. [6] καὶ ἐὰν
ἀγαϑὸν καὶ ἐὰν κακόν, τὴν φωνὴν κυρίου τοῦ ϑεοῦ ἡμῶν, οὗ ἡμεῖς ἀπο-
στέλλομέν σε πρὸς αὐτόν, ἀκουσόμεϑα, ἵνα βέλτιον ἡμῖν γένηται, ὅτι ἀκου-
7 σόμεϑα τῆς φωνῆς κυρίου τοῦ ϑεοῦ ἡμῶν. [7] καὶ ἐγενήϑη μεϑ᾽ ἡμέρας δέκα
8 ἐγενήϑη λόγος κυρίου πρὸς Ἱερεμίαν. [8] καὶ ἐκάλεσε τὸν Ἰωάναν καὶ τοὺς ἡγε-
9 μόνας τῆς δυνάμεως καὶ πάντα τὸν λαὸν ἀπὸ μικροῦ καὶ ἕως μεγάλου, [9] καὶ
10 εἶπεν αὐτοῖς Οὕτως εἶπε κύριος [10] Ἐὰν καϑίσαντες καϑίσητε ἐν τῇ γῇ ταύτῃ,
οἰκοδομήσω ὑμᾶς καὶ οὐ μὴ καϑελῶ, καὶ φυτεύσω ὑμᾶς καὶ οὐ μὴ ἐκτίλω,
11 ὅτι ἀναπέπαυμαι ἐπὶ τοῖς κακοῖς οἷς ἐποίησα ὑμῖν. [11] μὴ φοβηϑῆτε ἀπὸ

---

13. FA οτε ειδον ... ιδον αυτον πας ο λαος μετα ... τ. ιωανναν και παντας τους ηγεμονας ... FA τους μετ αυτου 14. Ax FA* ιωανναν 15. FA εν οκτω ... FA* οχετο 16. ιωανναν ... απεστρεψαν ... FA ανδρας πολεμου (*.* πολεμω) ..., FA* και τας λοιπας ... FA ους (* om) απεστραψαν (sic, *.*-ψεν) 17. FA εκαϑισεν ... γηβηρωϑχαμααμ, FA γηβαηρωχαμα ... Ax FA την προς ... πορευϑηναι εισελϑειν 18. Ax FA κατεστησεν βασιλευς XLIX. 1. ιωανναν ... μασαιου, FA* αννανιου, *.* ωσαιου ..., Ax μικρου εως, FA μικρου αυτων εως 2. επι ιερεμιαν ... Ax FA πεσατω ,.. FA ϑεον περι ... FA καϑοτι pro καϑως 3. FA* υμιν ... om σου ... FA οδον ην πορ. 4. Ax FA om υπερ υμων ,.. FA om τον ... *om κατα τ. λογ. υμων ... FA ον εαν, Ax ον ... Ax FA om ο ϑεος ... FA* αναγγιλω 5. om εν ... ον απεστειλεν, FA ον αν αποστιλη σαι (*.* αποστειλη σε) ..., ου ποιησομεν, FA ουτως ποιησομεν 7. FA μετα ·ι̅· ημερας (*.* add εγενετο) λογος 8. και παντας τους ... Ax FA μικρου εως 10. FA και ου (*.* add μη) καϑελω ... εκτειλω ... FA* ανεπαυμαι ... Ax FA απο των κακων ωγ (Ax οις)

Digitized by Google

προςώπου βασιλέως Βαβυλῶνος, οὓ ὑμεῖς φοβεῖσθε ἀπὸ προςώπου αὐτοῦ· μὴ
φοβηθῆτε, φησὶ κύριος, ὅτι μεθ' ὑμῶν ἐγὼ ἐξαιρεῖσθαι ὑμᾶς καὶ σώζειν ὑμᾶς
ἐκ χειρὸς αὐτῶν. 12 καὶ δώσω ὑμῖν ἔλεος, καὶ ἐλεήσω ὑμᾶς καὶ ἐπιστρέψω 12
ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. 13 καὶ εἰ λέγετε ὑμεῖς Οὐ μὴ καθίσωμεν ἐν τῇ γῇ 13
ταύτῃ πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς κυρίου, 14 ὅτι εἰς γῆν Αἰγύπτου εἰςελευσό- 14
μεθα, καὶ οὐ μὴ ἴδωμεν πόλεμον, καὶ φωνὴν σάλπιγγος οὐ μὴ ἀκούσωμεν,
καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν, καὶ ἐκεῖ οἰκήσομεν· 15 διὰ τοῦτο ἀκούσατε 15
λόγον κυρίου Οὕτως εἶπε κύριος Ἐὰν ὑμεῖς δῶτε τὸ πρόςωπον ὑμῶν εἰς
Αἴγυπτον καὶ εἰςέλθητε ἐκεῖ κατοικεῖν, 16 καὶ ἔσται ἡ ῥομφαία ἣν ὑμεῖς φο- 16
βεῖσθε ἀπὸ προςώπου αὐτῆς εὑρήσει ὑμᾶς ἐν γῇ Αἰγύπτου, καὶ ὁ λιμὸς οὗ
ὑμεῖς λόγον ἔχετε ἀπὸ προςώπου αὐτοῦ καταλήψεται ὑμᾶς ὀπίσω ὑμῶν ἐν
Αἰγύπτῳ, καὶ ἐκεῖ ἀποθανεῖσθε. 17 καὶ ἔσονται πάντες οἱ ἄνθρωποι καὶ πάν- 17
τες οἱ ἀλλογενεῖς, οἱ θέντες τὸ πρόςωπον αὐτῶν εἰς γῆν Αἰγύπτου ἐνοικεῖν
ἐκεῖ, ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ καὶ ἐν τῷ λιμῷ, καὶ οὐκ ἔσται αὐτῶν οὐ-
δεὶς σωζόμενος ἀπὸ τῶν κακῶν ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτούς. 18 ὅτι οὕτως εἶπε 18
κύριος Καθὼς ἔσταξεν ὁ θυμός μου ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλήμ, οὕ-
τως στάξει ὁ θυμός μου ἐφ' ὑμᾶς, εἰςελθόντων ὑμῶν εἰς Αἴγυπτον· καὶ
ἔσεσθε εἰς ἄβατον καὶ ὑποχείριοι καὶ εἰς ἀρὰν καὶ εἰς ὀνειδισμόν, καὶ οὐ
μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον. 19 ἃ ἐλάλησε κύριος ἐφ' ὑμᾶς τοὺς κατα- 19
λοίπους Ἰούδα, μὴ εἰςέλθητε εἰς Αἴγυπτον. καὶ νῦν γνόντες γνώσεσθε 20 ὅτι 20
ἐπονηρεύσασθε ἐν ψυχαῖς ὑμῶν ἀποστείλαντές με λέγοντες Πρόςευξαι περὶ
ἡμῶν πρὸς κύριον, καὶ κατὰ πάντα ἃ ἐὰν λαλήσει σοι κύριος ποιήσομεν.
21 καὶ οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου ἧς ἀπέστειλέ με πρὸς ὑμᾶς. 22 καὶ 21 22
νῦν ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε ἐν τῷ τόπῳ ᾧ ὑμεῖς βούλεσθε εἰςελ-
θεῖν κατοικεῖν ἐκεῖ.

## L.

(Graece 50. = Hebraice 43.)
( — 27. = — 50.)

Καὶ ἐγενήθη ὡς ἐπαύσατο Ἱερεμίας λέγων πρὸς τὸν λαὸν πάντας τοὺς
λόγους κυρίου οὓς ἀπέστειλεν αὐτὸν κύριος πρὸς αὐτούς, πάντας τοὺς λόγους
τούτους, 2 καὶ εἶπεν Ἀζαρίας υἱὸς Μαασαίου καὶ Ἰωάναν υἱὸς Κάρηε καὶ 2
πάντες οἱ ἄνδρες οἱ εἰπόντες τῷ Ἱερεμίᾳ λέγοντες Ψεύδη, οὐκ ἀπέστειλέ σε
κύριος πρὸς ἡμᾶς λέγων Μὴ εἰςέλθητε εἰς Αἴγυπτον οἰκεῖν ἐκεῖ, 3 ἀλλ' ἢ 3
Βαροὺχ υἱὸς Νηρίου συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας τῶν
Χαλδαίων τοῦ θανατῶσαι ἡμᾶς καὶ ἀποικισθῆναι ἡμᾶς εἰς Βαβυλῶνα. 4 καὶ 4
οὐκ ἤκουσεν Ἰωάναν καὶ πάντες ἡγεμόνες τῆς δυνάμεως καὶ πᾶς ὁ λαὸς
τῆς φωνῆς κυρίου, κατοικῆσαι ἐν γῇ Ἰούδα. 5 καὶ ἔλαβεν Ἰωάναν καὶ πάντες 5

---

11. ed. rom. ante απο πρ. αυτου distinguit, non item Ax FA ... εγω ειμι του εξαιρ., FA* ειμι (*.* add εγω του) εξαιρ. ... FA χειρ. αυτου 12. FA ελεους 14. FA εις την γην ... ακουσομεν ... FA* om και εν αρτ. ου μη πειν. ... FA οικησωμεν 15. FA λογους κυριου ... FA* om ουτ. ειπ. κυριος 16. FA* εφοβεισθε ... εν γη αιγυπτω ... FA και λιμος ... FA και καταλιψεται (**-λημψεται, item Ax) 17. Ax FA ουθεις 18. κυριος οτι καθως ... FA* εσ. εις αιγυπτον υποχιριοι ... και ονειδισμον ... FA ειδητε 19. FA* om κυριος 20. εν ταις ψυχαις ... FA προσευξαι δη ... α αν λαληση, FA οσα εαν λαλησει 21. εισηκουσατε ... απεστ. μοι προς 22. ου υμεις βουλευεσθαι L. 1. FA τους παντας λογους ... κυριου θεου αυτων ... κυριος ο θεος αυτων ... FA*.* προς αυτους ειπιν 2. FA* ζαχαριας ... μασαιου, FA* μασεου (*.*μαασεου) ... FA* ειπαντες ... ειπειν pro λεγων ... κατοικειν 3. και του αποικισθ. 4. ηκουσαν ... Ax FA παντ. οι ηγεμονες ... FA του κυριου

Digitized by Google

οἱ ἡγεμόνες τῆς δυνάμεως πάντας τοὺς καταλοίπους Ἰούδα τοὺς ἀποστρέ-
6 ψαντας κατοικεῖν ἐν τῇ γῇ, 6 τοὺς δυνατοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ
νήπια τὰ λοιπὰ καὶ τὰς θυγατέρας τοῦ βασιλέως, καὶ τὰς ψυχὰς ἃς κατέ-
λιπε Ναβουζαρδὰν μετὰ Γοδολίου υἱοῦ Ἀχεικάμ, καὶ Ἱερεμίαν τὸν προφήτην
7 καὶ Βαροὺχ υἱὸν Νηρίου, 7 καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὅτι οὐκ ἤκουσαν τῆς
8 φωνῆς κυρίου, καὶ εἰσῆλθον εἰς Τάφνας. 8 ΚΑΙ ΕΓΕΝΕΤΟ ΛΟΓΟΣ
9 ΚΥΡΙΟΥ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΕΝ ΤΑΦΝΑΣ ΛΕΓΩΝ 9 Λάβε σεαυτῷ
λίθους μεγάλους καὶ κατάκρυψον αὐτοὺς ἐν προθύροις, ἐν πύλῃ τῆς οἰκίας
10 Φαραὼ ἐν Τάφνας, κατ' ὀφθαλμοὺς ἀνδρῶν Ἰούδα, 10 καὶ ἐρεῖς Οὕτως εἶπε
κύριος Ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ ἄξω Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος, καὶ
θήσει αὐτοῦ τὸν θρόνον ἐπάνω τῶν λίθων τούτων ὧν κατέκρυψας, καὶ ἀρεῖ
11 τὰ ὅπλα ἐπ' αὐτούς, 11 καὶ εἰσελεύσεται καὶ πατάξει γῆν Αἰγύπτου, οὓς εἰς
θάνατον εἰς θάνατον, καὶ οὓς εἰς ἀποικισμὸν εἰς ἀποικισμόν, καὶ οὓς εἰς
12 ῥομφαίαν εἰς ῥομφαίαν. 12 καὶ καύσει πῦρ ἐν οἰκίαις τῶν θεῶν αὐτῶν, καὶ
ἐμπυριεῖ αὐτὰς καὶ ἀποικιεῖ αὐτούς, καὶ φθειριεῖ γῆν Αἰγύπτου ὥσπερ φθειρί-
13 ζει ποιμὴν τὸ ἱμάτιον αὐτοῦ. καὶ ἐξελεύσεται ἐν εἰρήνῃ, 13 καὶ συντρίψει
τοὺς στύλους Ἡλιουπόλεως τοὺς ἐν Ὢν, καὶ τὰς οἰκίας αὐτῶν κατακαύσει
ἐν πυρί.

## LI.

(Graece 51. = Hebraice 44. 45.)
( — 28. = — 51. )

Ο ΛΟΓΟΣ Ο ΓΕΝΟΜΕΝΟΣ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ ΑΠΑΣΙ ΤΟΙΣ
Ἰουδαίοις τοῖς κατοικοῦσιν ἐν γῇ Αἰγύπτου καὶ τοῖς καθημένοις ἐν Μαγδώλῳ
2 καὶ ἐν Τάφνας καὶ ἐν γῇ Παθουρῆς λέγων 2 Οὕτως εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ
Ὑμεῖς ἑωράκατε πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ τὰς
3 πόλεις Ἰούδα· καὶ ἰδού εἰσιν ἔρημοι ἀπὸ ἐνοίκων 3 ἀπὸ προσώπου πονηρίας
αὐτῶν, ἧς ἐποίησαν παραπικρᾶναί με πορευθέντες θυμιᾶν θεοῖς ἑτέροις οἷς
4 οὐκ ἔγνωτε. 4 καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρ-
θρου, καὶ ἀπέστειλα λέγων Μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μολύνσεως ταύτης
5 ἧς ἐμίσησα. 5 καὶ οὐκ ἤκουσάν μου, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν ἀποστρέ-
6 ψαι ἀπὸ τῶν κακῶν αὐτῶν πρὸς τὸ μὴ θυμιᾶν θεοῖς ἑτέροις. 6 καὶ ἔσταξεν
ἡ ὀργή μου καὶ ὁ θυμός μου, καὶ ἐξεκαύθη ἐν πύλαις Ἰούδα καὶ ἔξωθεν
Ἱερουσαλήμ, καὶ ἐγενήθησαν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον ὡς ἡ ἡμέρα αὕτη.
7 7 καὶ νῦν οὕτως εἶπε κύριος παντοκράτωρ Ἵνα τί ὑμεῖς ποιεῖτε κακὰ μεγάλα
ἐπὶ ψυχαῖς ὑμῶν ἐκκόψαι ὑμῶν ἄνθρωπον καὶ γυναῖκα, νήπιον καὶ θηλά-
8 ζοντα ἐκ μέσου Ἰούδα, πρὸς τὸ μὴ καταλειφθῆναι ὑμῶν μηδένα, 8 παρα-

---

5. Ax FA απαντας τ. λοιπους ... FA* τους απεστρεψαν et FA pergit εις μετοικεσιαν εν ... Ax γη ιουδα 6. FA om τα νηπια ... νηπια και τα ... και πασας τας ψυχας ... κατελειπεν ... αχιχαμ 7. FA εισηλθοσαν bis ... εν ταφνας 8. FA* om πρ. ιερεμ. (*.* supplet πρ. ιηρεμιαν) 9. FA επι προθυροις ... om φαραω 10. τα οπλα αυτου 11. FA* om εις θανατον alterum, εις αποικισμ. alterum, εις ρομφ. alterum 12. Ax FA om των ... Ax FA ενπυριει ... FA την γην ... φθεριει γην αυτου ωσπερ φθεριζει ο ποιμην 13. εν ενων LI. 1. γεναμενος ... FA απασιν τοις κατοικουσιν ιουδα τοις εν αιγυπτω και τοις κατοικουσιν εν μαγδ. (*.* add και εν μεμφι) και ταφν. και ... εν γη αιγυπτω ... και εν παθουρης 2. FA α ηγαγον ... FA* ισραηλ (ισλ) pro ιερουσαλημ (ισλμ) ... FA επι πολεις ... FA om ιδου ... ενοικουντων 3. FA ους ουκ 4. δουλους pro παιδας ... εγω προς υμας λεγων ... FA ου μη ποιησητε 5. FA om μου 6. κ. εστ. ο θυμ. μου και η οργη μου ... FA ante εξεκαυθη repetit ο θυμος μου 7. FA* επι ψυχας ... υμων και εκκοψω αφ υμων

Digitized by Google

πικρᾶναί με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, θυμιᾶν θεοῖς ἑτέροις ἐν γῇ
Αἰγύπτῳ εἰς ἣν ἤλθετε κατοικεῖν ἐκεῖ, ἵνα κοπῆτε καὶ ἵνα γένησθε εἰς κα-
τάραν καὶ εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς ἔθνεσι τῆς γῆς; [9] μὴ ἐπιλέλησθε ὑμεῖς 9
τῶν κακῶν τῶν πατέρων ὑμῶν καὶ τῶν κακῶν τῶν βασιλέων Ἰούδα καὶ
τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν καὶ τῶν κακῶν τῶν γυναικῶν ὑμῶν, ὧν
ἐποίησαν ἐν γῇ Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλήμ; [10] καὶ οὐκ ἐπαύσαντο ἕως 10
τῆς ἡμέρας ταύτης, καὶ οὐκ ἀντείχοντο τῶν προσταγμάτων μου ὧν ἔδωκα
κατὰ πρόσωπον τῶν πατέρων αὐτῶν. [11] διὰ τοῦτο οὕτως εἶπε κύριος Ἰδοὺ 11
ἐγὼ ἐφίστημι τὸ πρόσωπόν μου [12] τοῦ ἀπολέσαι πάντας τοὺς καταλοίπους 12
τοὺς ἐν Αἰγύπτῳ, καὶ πεσοῦνται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ἐκλείψουσιν
ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς ἀπώλειαν καὶ
εἰς κατάραν. [13] καὶ ἐπισκέψομαι ἐπὶ τοὺς καθημένους ἐν γῇ Αἰγύπτῳ ὡς 13
ἐπεσκεψάμην ἐπὶ Ἱερουσαλὴμ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, [14] καὶ οὐκ ἔσται 14
σεσωσμένος οὐδεὶς τῶν ἐπιλοίπων Ἰούδα τῶν παροικούντων ἐν γῇ Αἰγύπτῳ
τοῦ ἐπιστρέψαι εἰς γῆν Ἰούδα, ἐφ' ἣν αὐτοὶ ἐλπίζουσι ταῖς ψυχαῖς αὐτῶν
τοῦ ἐπιστρέψαι ἐκεῖ· οὐ μὴ ἐπιστρέψωσιν ἀλλ' ἢ οἱ ἀνασεσωσμένοι. [15] καὶ 15
ἀπεκρίθησαν τῷ Ἱερεμίᾳ πάντες οἱ ἄνδρες οἱ γνόντες ὅτι θυμιῶσιν αἱ γυ-
ναῖκες αὐτῶν καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ λαὸς οἱ
καθήμενοι ἐν γῇ Αἰγύπτῳ, ἐν Παθουρῇ, λέγοντες [16] Ὁ λόγος ὃν ἐλάλησας πρὸς 16
ἡμᾶς τῷ ὀνόματι κυρίου, οὐκ ἀκούσομέν σου, [17] ὅτι ποιοῦντες ποιήσομεν 17
πάντα τὸν λόγον ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ
τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πα-
τέρες ἡμῶν καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ἰούδα
καὶ ἔξωθεν Ἱερουσαλήμ· καὶ ἐπλήσθημεν ἄρτων καὶ ἐγενόμεθα χρηστοί,
καὶ κακὰ οὐκ εἴδομεν. [18] καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐ- 18
ρανοῦ, ἠλαττώθημεν πάντες, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν. [19] καὶ 19
ὅτι ἡμεῖς ἐθυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ ἐσπείσαμεν αὐτῇ σπον-
δάς, μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν αὐτῇ χαυῶνας καὶ ἐσπείσαμεν
αὐτῇ σπονδάς; [20] καὶ εἶπεν Ἱερεμίας παντὶ τῷ λαῷ τοῖς δυνατοῖς καὶ ταῖς 20
γυναιξί, καὶ παντὶ τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους, λέγων [21] Οὐχὶ τοῦ 21
θυμιάματος οὗ ἐθυμιάσατε ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλήμ,
ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν καὶ οἱ βασιλεῖς ὑμῶν καὶ οἱ ἄρχοντες ὑμῶν καὶ
ὁ λαὸς τῆς γῆς, ἐμνήσθη κύριος καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ; [22] καὶ 22
οὐκ ἠδύνατο κύριος ἔτι φέρειν ἀπὸ προσώπου πονηρίας πραγμάτων ὑμῶν καὶ
ἀπὸ τῶν βδελυγμάτων ὑμῶν ὧν ἐποιήσατε· καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρή-
μωσιν καὶ εἰς ἄβατον καὶ εἰς ἀρὰν ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ, [23] ἀπὸ προσώ- 23
που ὧν ἐθυμιᾶτε καὶ ὧν ἡμάρτετε τῷ κυρίῳ· καὶ οὐκ ἠκούσατε τῆς φωνῆς
κυρίου, καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς μαρ-
τυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε, καὶ ἐπελάβετο ὑμῶν τὰ κακὰ ταῦτα. [24] καὶ 24

---

8. FA εις γην αιγυπτου ... Ax FA εισηλθατε (FA* εισελθ.) ενοικειν ... FA*.* εκει και ινα ... Ax FA εκκοπητε et FA om και seq. ... om εν 9. εργων pro κακων primo ... εποιησαν εν πολεσιν ιουδα 11. επιστημι 12. FA του πολεμησαι π. τ. καταλ. εν ... Ax FA om και post λιμω ... FA μικρου αυτων ... και εως 13. εν αιγυπτω, FA εν γη αιγυπτου ... add in fine και εν θανατω 14. FA ουθεις ... Ax FA ου μη επιστρεψουσιν ... FA* om οι 15. απαντες ... post αι γυν. αυτων add θεοις ετεροις ... εν αιγυπτω 16. FA εν ονοματι ... ακουσομεθα 17. FA* οι αρχοντ. ιουδα ... εγεναμεθα ... FA ιδομεν 18. διελειπομεν ... ηλαττονωθημεν ημεις και ... εξελειπομεν 19. οτι θυμιωμεν ημεις ... και ει εσπεισαμεν ... FA* χαυβωνας 21. FA* εθυμιασαν ... FA* om και οι αρχ. υμων ... λαος γης ... FA*.* om την 22. Ax FA υμων απο των ... Ax FA om υμων ante ων ... εγενετο 23. FA εθυμιασατε ... Ax FA νομω αυτου

Digitized by Google

25 εἶπεν Ἱερεμίας τῷ λαῷ καὶ ταῖς γυναιξίν Ἀκούσατε λόγον κυρίου. [25] οὕτως
εἶπε κύριος ὁ θεὸς Ἰσραὴλ Ὑμεῖς γυναῖκες τῷ στόματι ὑμῶν ἐλαλήσατε, καὶ
ταῖς χερσὶν ὑμῶν ἐπληρώσατε, λέγουσαι Ποιοῦσαι ποιήσομεν τὰς ὁμολογίας
ἡμῶν ἃς ὡμολογήκαμεν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν
αὐτῇ σπονδάς· ἐμμείνασαι ἐνεμείνατε ταῖς ὁμολογίαις ὑμῶν, καὶ ποιοῦσαι
26 ἐποιήσατε. [26] διὰ τοῦτο ἀκούσατε λόγον κυρίου, πᾶς Ἰούδα οἱ καθήμενοι ἐν
γῇ Αἰγύπτῳ Ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ, εἶπε κύριος, ἐὰν γέ-
νηται ἔτι ὄνομά μου ἐν τῷ στόματι παντὸς Ἰούδα εἰπεῖν Ζῇ κύριος, ἐπὶ
27 πάσῃ γῇ Αἰγύπτῳ. [27] ὅτι ἐγὼ ἐγρήγορα ἐπ' αὐτοὺς τοῦ κακῶσαι αὐτοὺς καὶ
οὐκ ἀγαθῶσαι, καὶ ἐκλείψουσι πᾶς Ἰούδα οἱ κατοικοῦντες ἐν γῇ Αἰγύπτῳ ἐν
28 ῥομφαίᾳ καὶ ἐν λιμῷ, ἕως ἂν ἐκλείπωσιν. [28] καὶ οἱ σεσωσμένοι ἀπὸ ῥομ-
φαίας ἐπιστρέψουσιν εἰς γῆν Ἰούδα ὀλίγοι ἀριθμῷ, καὶ γνώσονται οἱ κατά-
λοιποι Ἰούδα οἱ καταστάντες ἐν γῇ Αἰγύπτῳ κατοικῆσαι ἐκεῖ, λόγος τίνος
29 ἐμμενεῖ. [29] καὶ τοῦτο τὸ σημεῖον ὑμῖν ὅτι ἐπισκέψομαι ἐγὼ ἐφ' ὑμᾶς εἰς
30 πονηρά· [30] οὕτως εἶπε κύριος Ἰδοὺ ἐγὼ δίδωμι τὸν Οὐαφρῆ βασιλέα Αἰγύπτου
εἰς χεῖρας ἐχθροῦ αὐτοῦ καὶ εἰς χεῖρας ζητοῦντος τὴν ψυχὴν αὐτοῦ, καθὰ
ἔδωκα τὸν Σεδεκίαν βασιλέα Ἰούδα εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως
31 (45, 1) Βαβυλῶνος ἐχθροῦ αὐτοῦ καὶ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ. [31] (45, 1)
Ο ΛΟΓΟΣ ΟΝ ΕΛΑΛΗΣΕΝ ΙΕΡΕΜΙΑΣ Ο ΠΡΟΦΗΤΗΣ πρὸς Βαροὺχ
υἱὸν Νηρίου, ὅτε ἔγραφε τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στόματος
Ἱερεμίου, ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακεὶμ υἱῷ Ἰωσία βασιλέως Ἰούδα.
32 33 (2 3) [32] οὕτως εἶπε κύριος ἐπὶ σοὶ Βαρούχ, [33] ὅτι εἶπας Οἴμοι οἴμοι, ὅτι
προσέθηκε κύριος κόπον ἐπὶ πόνον μοι, ἐκοιμήθην ἐν στεναγμοῖς, ἀνάπαυσιν
34 (4) οὐχ εὗρον· [34] εἰπὸν αὐτῷ Οὕτως εἶπε κύριος Ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα,
35 (5) ἐγὼ καθαιρῶ· καὶ οὓς ἐγὼ ἐφύτευσα, ἐγὼ ἐκτίλλω. [35] καὶ σὺ ζητήσεις
σεαυτῷ μεγάλα; μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα,
λέγει κύριος, καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρημα ἐν παντὶ τόπῳ οὗ ἐὰν
βαδίσῃς ἐκεῖ.

## LII.

Ὄντος εἰκοστοῦ καὶ ἑνὸς ἔτους Σεδεκίου ἐν τῷ βασιλεύειν αὐτόν, καὶ
ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμει-
4 τάαλ θυγάτηρ Ἱερεμίου ἐκ Λοβενά. [4] καὶ ἐγένετο τῷ ἔτει τῷ ἐνάτῳ τῆς
βασιλείας αὐτοῦ ἐν μηνὶ τῷ ἐνάτῳ δεκάτῃ τοῦ μηνὸς ἦλθε Ναβουχοδονόσορ
βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλήμ, καὶ περιε-
χαράκωσαν αὐτὴν καὶ περιῳκοδόμησαν αὐτὴν τετραπέδοις λίθοις κύκλῳ.

25. FA* om Ποιουσαι ... Αx FA ποιησωμεν ... ωμωλογησαμεν (sic), FA ομολογησαμεν (*-σωμεν) ... FA* βααλ pro βασιλ. τ. ουρανου ... FA ενμεινασαι ... FA ποιουσε (*.*-σαι) ποιησατε 26. λεγει κυριος ... *om ιουδα ειπειν ... Αx FA ζη κυριος κυριος ... FA* παση τη γη ... FA αιγυπτου 27. οτι ιδου εγω ... αγαθυναι ... Αx FA αιγυπτου ... FA εκλιπωσιν 28. αριθμοι ... οι καταλ. ιουδ. και οι καταβαινοντες εν γη αιγυπτου, FA οι κ. ι. οι παροικουντες εν γη αιγυπτου ... Αx FA παροικησαι ... FA ενμενει 29. Αx FA υμιν (Αx ημιν) το σημειον 30. FA* αφρη ... Αx FA χειρ. ζητουντων ... FA* εκχθρου 31. FA* πρ. βαρ. υιω ... εγραψεν ... FA εν βιβλιω ... Αx FA τω ιωακειμ 33. Αx FA οιμμοι οιμμοι ... προσεθηκ. μοι 34. FA ουτως ειπον αυτω ους εγω ωκοδομησα ... Αx FA ους εφυτευσα ... FA*.* εκτιλω 35. FA ζητεις ... εαυτω μεγαλα ... om μη ζητησης ... FA μη ζητης (corr. est ζητησης) εαυτω μεγαλα μη ζητι οτι ειδου ... FA* σαρκαν ... FA om εις ... Αx FA ευρεμα ... FA ου αν LII. 1. οντος δευτερου και εικοστου ετους ... FA om εν ιερουσαλημ ... Αx FA αμιταα λ ... δοβενα 4. εν τω ετει ... εν τω μηνι τω εβδομω ... Αx FA περιεχαρακωσεν ... περιωκοδομησεν α. τετραποδοις ... Αx FA om λιθοις

Digitized by Google

5 καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ Σεδεκίᾳ 5
6 ἐν τῇ ἐνάτῃ τοῦ μηνός, καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν 6
ἄρτοι τῷ λαῷ τῆς γῆς. 7 καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πο- 7
λεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πύλης ἀνὰ μέσον τοῦ τείχους
καὶ τοῦ προτειχίσματος, ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως, καὶ οἱ Χαλ-
δαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Ἄραβα, 8 καὶ 8
κατεδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον
αὐτὸν ἐν τῷ πέραν Ἱεριχώ, καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ'
αὐτοῦ. 9 καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βα- 9
βυλῶνος εἰς Δεβλαθά· καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως. 10 καὶ ἔσφαξε βα- 10
σιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκίου κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ πάντας
τοὺς ἄρχοντας Ἰούδα ἔσφαξεν ἐν Δεβλαθά. 11 καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου 11
ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις· καὶ ἤγαγεν αὐτὸν βασιλεὺς Βαβυ-
λῶνος εἰς Βαβυλῶνα, καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος ἕως ἡμέρας ἧς
ἀπέθανε. 12 καὶ ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς ἦλθε Ναβουζαρδὰν ὁ 12
ἀρχιμάγειρος ἑστηκὼς κατὰ πρόςωπον τοῦ βασιλέως Βαβυλῶνος εἰς Ἱερουσα-
λήμ, 13 καὶ ἐνέπρησε τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ πάσας 13
τὰς οἰκίας τῆς πόλεως καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρί. 14 καὶ 14
πᾶν τεῖχος Ἱερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων ἡ μετὰ
τοῦ ἀρχιμαγείρου. 16 καὶ τοὺς καταλοίπους τοῦ λαοῦ κατέλιπεν ὁ ἀρχιμάγει- 16
ρος εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς. 17 καὶ τοὺς στύλους τοὺς χαλκοῦς 17
τοὺς ἐν οἴκῳ κυρίου καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν
οἴκῳ κυρίου συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν καὶ ἀπή-
νεγκαν εἰς Βαβυλῶνα. 18 καὶ τὴν στεφάνην καὶ τὰς φιάλας καὶ τὰς κρεάγρας 18
καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, 19 καὶ τὰς 19
ἀπφὼθ καὶ τὰς μασμαρὼθ καὶ τοὺς ὑποχυτῆρας καὶ τὰς λυχνίας καὶ τὰς
θυΐσκας καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ χρυσᾶ καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ,
ἔλαβεν ὁ ἀρχιμάγειρος. 20 καὶ οἱ στῦλοι δύο, καὶ ἡ θάλασσα μία, καὶ οἱ 20
μόσχοι δώδεκα χαλκοῖ ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς Σα-
λωμὼν εἰς οἶκον κυρίου, οὗ οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν. 21 καὶ οἱ 21
στῦλοι τριακονταπέντε πηχῶν ὕψος τοῦ στύλου τοῦ ἑνός, καὶ σπαρτίον δώ-
δεκα πήχεων περιεκύκλου αὐτόν, καὶ τὸ πάχος αὐτοῦ δακτύλων τεσσάρων
κύκλῳ, 22 καὶ γεῖσος ἐπ' αὐτοῖς χαλκοῦν, καὶ πέντε πήχεων τὸ μῆκος, ὑπερ- 22
οχὴ τοῦ γείσους τοῦ ἑνός, καὶ δίκτυον καὶ ῥοαὶ ἐπὶ τοῦ γείσους κύκλῳ, τὰ
πάντα χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ, ὀκτὼ ῥοαὶ τῷ πήχει
τοῖς δώδεκα πήχεσι. 23 καὶ ἦσαν αἱ ῥοαὶ ἐνενηκονταὲξ τὸ ἓν μέρος, καὶ ἦσαν 23
αἱ πᾶσαι ῥοαὶ ἑκατὸν ἐπὶ τοῦ δικτύου κύκλῳ. 24 καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος 24

6. om εν τη pr. 7. FA* οδ. της πολεως ... της πυλης pro του τειχ. ... εκυκλωσαν και ωχοντο pro κυκλω κ. επορευθησαν ... FA οδον εις ραβα (sic) 8. FA κατεδιωξεν δυναμις ... κατελαβεν 9. FA* βασιλεαν 10. FA ο βασιλευς 11. FA σεδεκιαου ... om ημερας ης (FA* om ης) 12. εν μ. τω πεμπτω ... (FA* και δεκα του) ... FA *.**.* post μηνος add αυτος ενιαυτως εννεακαιδεκατος του ναβουχοδονοσορ βασιλεος βαβυλονος ... Ax FA ο εστηκως ... προσωπον βασιλεως 14. εν ιερουσαλημ ... FA om ἡ ante μετα 16. FA τους λοιπους ... κατελειπεν ... FA εις γεωργ. και αμπελουργους 17. ab οικω κυριου ad οικω κυριου seq. transilit ... FA χαλκον αυτης 18. κεαγρας ... ελιτουργων 19. αφφωθ, FA σαφφωθ ... FA om και τους υποχ. κ. τ. λυχνιας 20. FA εποιησεν βασιλευς ... Ax FA om οὗ ... FA χαλκου αυτου 21. πηχεων υψος ... FA* περικυκλοι, Ax περικυκλουν ... FA το πλατος αυτου ... τεσσαρ. δακτυλ. 22. ροαι επι γεισους ... FA χαλκα· κατα ... κατα αυτα 23. FA εκατον post κυκλω pon.

Digitized by Google

τὸν ἱερέα τὸν πρῶτον καὶ τὸν ἱερέα τὸν δευτεροῦντα καὶ τοὺς τρεῖς τοὺς
25 φυλάττοντας τὴν ὁδόν, [25]καὶ εὐνοῦχον ἕνα ὃς ἦν ἐπιστάτης τῶν ἀνδρῶν τῶν
πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς τοὺς ἐν προςώπῳ τοῦ βασιλέως
τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν γραμματέα τῶν δυνάμεων τὸν γραμμα-
τεύοντα τῷ λαῷ τῆς γῆς, καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς
26 τοὺς εὑρεθέντας ἐν μέσῳ τῆς πόλεως· [26]καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ
ἀρχιμάγειρος τοῦ βασιλέως καὶ ἤγαγεν αὐτοὺς πρὸς βασιλέα Βαβυλῶνος εἰς
27 Δεβλαθά· [27]καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν Δεβλαθὰ ἐν γῇ
31 Αἱμάθ. [31]καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει ἀποικισθέντος τοῦ
Ἰωακεὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἐν τῇ τετράδι καὶ εἰκάδι
τοῦ μηνός, ἔλαβεν Οὐλαιμαδάχαρ βασιλεὺς Βαβυλῶνος, ἐν τῷ ἐνιαυτῷ ᾧ
ἐβασίλευσε, τὴν κεφαλὴν Ἰωακεὶμ βασιλέως Ἰούδα καὶ ἔκειρεν αὐτόν, καὶ
32 ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας ἧς ἐφυλάσσετο, [32]καὶ ἐλάλησεν αὐτῷ χρηστά, καὶ
ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ ἐν Βαβυλῶνι,
33 [33]καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διὰ παντὸς
34 κατὰ πρόςωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησε. [34]καὶ ἡ σύνταξις αὐτῷ
ἐδίδοτο διὰ παντὸς παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν ἕως
ἡμέρας ἧς ἀπέθανεν.

---

# Β Α Ρ Ο Υ Χ.

## I.

Καὶ οὗτοι οἱ λόγοι τοῦ βιβλίου οὓς ἔγραψε Βαροὺχ υἱὸς Νηρίου υἱοῦ
2 Μαασαίου υἱοῦ Σεδεκίου υἱοῦ Ἀσαδίου υἱοῦ Χελκίου ἐν Βαβυλῶνι, [2]ἐν τῷ
ἔτει τῷ πέμπτῳ ἐν ἑβδόμῃ τοῦ μηνός, ἐν τῷ καιρῷ ᾧ ἔλαβον οἱ Χαλδαῖοι
3 τὴν Ἱερουσαλὴμ καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρί. [3]καὶ ἀνέγνω Βαροὺχ τοὺς
λόγους τοῦ βιβλίου τούτου ἐν ὠσὶν Ἰεχονίου υἱοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα,
4 καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ τῶν ἐρχομένων πρὸς τὴν βίβλον, [4]καὶ ἐν ὠσὶ
τῶν δυνατῶν καὶ υἱῶν τῶν βασιλέων, καὶ ἐν ὠσὶ τῶν πρεσβυτέρων, καὶ ἐν
ὠσὶ παντὸς τοῦ λαοῦ ἀπὸ μικροῦ ἕως μεγάλου, πάντων τῶν κατοικούντων ἐν
5 Βαβυλῶνι ἐπὶ ποταμοῦ Σούδ. [5]καὶ ἔκλαιον καὶ ἐνήστευον καὶ ηὔχοντο ἐναν-

---

24. FA τ. ιερεαν τ. δευτερον (*.* πρωτον) κ. τ. ιερεαν τ. δευτερευοντα ... Ax FA φυλασσοντας 25. και εκ της πολεως ελαβεν ευνουχον ... FA ονομαστους εν ... εμμεσω 26. Ax FA om του βασιλεως ... προς τον βασιλεα 27. FA ο βασιλευς ... FA εις δεβλαθα ... αιμααθ, FA μααθ 31. εν τριακοστω ... FA εν τριακοντα και επτα ετεσιν ... ουλαιμαραδαχ, FA ουλεδαμαχαρ ... Ax FA om και εκειρεν αυτον (sed FA*.* post εβασιλευσεν add και εκιρεν) ... εφυλαττετο ... FA εφυλαξενσσετο 32. FA αυτου τον θρονον ... επανω των θρονων των βασ. 33. FA ηλλαξαν 34. και ισχυνταξεις (sic) αυτω ... Ax FA εδιδετο (FA*.*-δοτο?) ... εξ ημερων εις ημερας

Subscriptio: Ax ιερεμιας προφητης ιδ, FA ιερεμιας

---

Inscriptio: βαρουχ

I. 1. υιος μαασαιου υιος σεδεκιου υιου σαδαιου 2. πεμπτω εβδομη 4. υιων του βασιλεως ... μεγαλου αυτων ... επι του ποταμου 5. ηυχοντο ευχας εναντι

Digitized by Google

τίον κυρίου, 6 καὶ συνήγαγον ἀργύριον καθὸ ἑκάστου ἠδύνατο ἡ χείρ. 7 καὶ 6 7
ἀπέστειλαν εἰς Ἱερουσαλὴμ πρὸς Ἰωακεὶμ υἱὸν Χελκίου υἱοῦ Σαλὼμ τὸν ἱερέα,
καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς πάντα τὸν λαὸν τοὺς εὑρεθέντας μετ' αὐτοῦ
ἐν Ἱερουσαλήμ, 8 ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη οἴκου κυρίου τὰ ἐξενεχθέντα 8
ἐκ τοῦ ναοῦ ἀποστρέψαι εἰς γῆν Ἰούδα, τῇ δεκάτῃ τοῦ Σειουάλ, σκεύη ἀρ-
γυρᾶ ἃ ἐποίησε Σεδεκίας υἱὸς Ἰωσία βασιλεὺς Ἰούδα, 9 μετὰ τὸ ἀποικίσαι 9
Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος τὸν Ἰεχονίαν καὶ τοὺς ἄρχοντας καὶ τοὺς
δεσμώτας καὶ τοὺς δυνατοὺς καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ Ἱερουσαλήμ, καὶ
ἤγαγεν αὐτὸν εἰς Βαβυλῶνα. 10 καὶ εἶπαν Ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀρ- 10
γύριον, καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας καὶ
λίβανον, καὶ ποιήσατε μάννα καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον κυρίου τοῦ
θεοῦ ἡμῶν, 11 καὶ προσεύξασθε περὶ τῆς ζωῆς Ναβουχοδονόσορ βασιλέως Βα- 11
βυλῶνος καὶ εἰς ζωὴν Βαλτάσαρ υἱοῦ αὐτοῦ, ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν ὡς
αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. 12 καὶ δώσει κύριος ἰσχὺν ἡμῖν καὶ φω- 12
τίσει τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ζησόμεθα ὑπὸ τὴν σκιὰν Ναβουχοδονόσορ
βασιλέως Βαβυλῶνος καὶ ὑπὸ τὴν σκιὰν Βαλτάσαρ υἱοῦ αὐτοῦ, καὶ δουλεύ-
σομεν αὐτοῖς ἡμέρας πολλὰς καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν. 13 καὶ 13
προσεύξασθε περὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι ἡμάρτομεν τῷ κυρίῳ
θεῷ ἡμῶν, καὶ οὐκ ἀπέστρεψεν ὁ θυμὸς κυρίου καὶ ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν
ἕως τῆς ἡμέρας ταύτης. 14 καὶ ἀναγνώσεσθε τὸ βιβλίον τοῦτο ὃ ἀπεστείλα- 14
μεν πρὸς ὑμᾶς ἐξαγορεῦσαι ἐν οἴκῳ κυρίου ἐν ἡμέρᾳ ἑορτῆς καὶ ἐν ἡμέραις
καιροῦ, 15 καὶ ἐρεῖτε Τῷ κυρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ αἰσχύνη 15
τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη, ἀνθρώπῳ Ἰούδα καὶ τοῖς κατοικοῦσιν
Ἱερουσαλήμ, 16 καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν καὶ τοῖς 16
ἱερεῦσιν ἡμῶν καὶ τοῖς προφήταις ἡμῶν καὶ τοῖς πατράσιν ἡμῶν, 17 ὧν ἡμάρ- 17
τομεν ἔναντι κυρίου 18 καὶ ἠπειθήσαμεν αὐτῷ, καὶ οὐκ ἠκούσαμεν τῆς φω- 18
νῆς κυρίου θεοῦ ἡμῶν πορεύεσθαι τοῖς προστάγμασι κυρίου οἷς ἔδωκε κατὰ
πρόσωπον ἡμῶν, 19 ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγε κύριος τοὺς πατέρας ἡμῶν 19
ἐκ γῆς Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης ἤμεθα ἀπειθοῦντες πρὸς κύ-
ριον θεὸν ἡμῶν, καὶ ἐσχεδιάζομεν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ.
20 καὶ ἐκολλήθη εἰς ἡμᾶς τὰ κακὰ καὶ ἡ ἀρὰ ἣν συνέταξε κύριος τῷ Μωυσῇ 20
παιδὶ αὐτοῦ ἐν ἡμέρᾳ ᾗ ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου δοῦ-
ναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι, ὡς ἡ ἡμέρα αὕτη. 21 καὶ οὐκ ἠκού- 21
σαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν κατὰ πάντας τοὺς λόγους τῶν προ-
φητῶν ὧν ἀπέστειλε πρὸς ἡμᾶς, 22 καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ καρδίας 22
αὐτοῦ τῆς πονηρᾶς ἐργάζεσθαι θεοῖς ἑτέροις, ποιῆσαι τὰ κακὰ κατ' ὀφθαλ-
μοὺς κυρίου θεοῦ ἡμῶν.

## II.

Καὶ ἔστησε κύριος τὸν λόγον αὐτοῦ ὃν ἐλάλησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς
δικαστὰς ἡμῶν τοὺς δικάσαντας τὸν Ἰσραὴλ καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν καὶ
ἐπὶ τοὺς ἄρχοντας ἡμῶν καὶ ἐπὶ ἄνθρωπον Ἰσραὴλ καὶ Ἰούδα, 2 τοῦ ἀγα- 2
γεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, ἃ οὐκ ἐποίησεν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ
καθὰ ἐποιήθη ἐν Ἱερουσαλήμ, κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωυσῆ,
3 τοῦ φαγεῖν ἡμᾶς ἄνθρωπον σάρκας υἱοῦ αὐτοῦ καὶ ἄνθρωπον σάρκας θυ- 3

---

6. καθα 7. εις ιερουσαλημ 8. του ιουαν (**σιουαν) 9. εισηγαγεν αυτους 10. θεου υμων 11. αι ημερ. αυτου 12. φωτιση 13. κυριον θεον υμων οτι ημαρτομεν κυριω 14. εν ημεραις εορτης 15. η αισχυνη 17. εναντιον 18. πορ. εν τοις 19. εσχεδιασαμεν 20. ed. rom. εις υμας et πατερ. υμων ... κυριος μωυση ... η ημερα ταυτη (sic) 21. κυριου θεου ... ους απεστειλεν 22. καρδιας ημων II. 2. α ουκ εποιηθη 3. υιων αυτου

Digitized by Google

4 γατρὸς αὐτοῦ. [4]καὶ ἔδωκεν αὐτοὺς ὑποχειρίους πάσαις ταῖς βασιλείαις ταῖς
κύκλῳ ἡμῶν, εἰς ὀνειδισμὸν καὶ ἄβατον ἐν πᾶσι τοῖς λαοῖς τοῖς κύκλῳ οὗ
5 διέσπειρεν αὐτοὺς κύριος ἐκεῖ. [5]καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐπάνω, ὅτι
6 ἡμάρτομεν κυρίῳ θεῷ ἡμῶν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ. [6]τῷ κυ-
ρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ καὶ τοῖς πατράσιν ἡμῶν ἡ αἰσχύνη
7 τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη. [7]ἃ ἐλάλησε κύριος ἐφ᾽ ἡμᾶς, πάντα τὰ
8 κακὰ ταῦτα ἃ ἦλθεν ἐφ᾽ ἡμᾶς. [8]καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου
τοῦ ἀποστρέψαι ἕκαστον ἀπὸ τῶν νοημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς.
9 [9]καὶ ἐγρηγόρησε κύριος ἐπὶ τοῖς κακοῖς, καὶ ἐπήγαγε κύριος ἐφ᾽ ἡμᾶς, ὅτι
10 δίκαιος ὁ κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ ἃ ἐνετείλατο ἡμῖν. [10]καὶ οὐκ
ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ, πορεύεσθαι τοῖς προστάγμασι κυρίου οἷς ἔδωκε
11 κατὰ πρόσωπον ἡμῶν. [11]καὶ νῦν κύριε ὁ θεὸς Ἰσραήλ, ὃς ἐξήγαγες τὸν λαόν
σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ ἐν σημείοις καὶ ἐν τέρασι καὶ
ἐν δυνάμει μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς
12 ἡ ἡμέρα αὕτη, [12]ἡμάρτομεν, ἠσεβήσαμεν, ἠδικήσαμεν, κύριε ὁ θεὸς ἡμῶν,
13 ἐπὶ πᾶσι τοῖς δικαιώμασί σου. [13]ἀποστραφήτω ὁ θυμός σου ἀφ᾽ ἡμῶν, ὅτι
14 κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν οὗ διέσπειρας ἡμᾶς ἐκεῖ. [14]εἰσάκουσον
κύριε τῆς προσευχῆς ἡμῶν καὶ τῆς δεήσεως ἡμῶν, καὶ ἐξελοῦ ἡμᾶς ἕνεκεν
15 σοῦ καὶ δὸς ἡμῖν χάριν κατὰ πρόσωπον τῶν ἀποικισάντων ἡμᾶς, [15]ἵνα γνῷ
πᾶσα ἡ γῆ ὅτι σὺ κύριος ὁ θεὸς ἡμῶν, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ
16 Ἰσραὴλ καὶ ἐπὶ τὸ γένος αὐτοῦ. [16]κύριε, κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου
17 καὶ ἐννόησον εἰς ἡμᾶς, καὶ κλῖνον κύριε τὸ οὖς σου καὶ ἄκουσον. [17]ἄνοιξον
ὀφθαλμούς σου καὶ ἴδε ὅτι οὐχ οἱ τεθνηκότες ἐν τῷ ᾅδῃ, ὧν ἐλήφθη τὸ
πνεῦμα αὐτῶν ἀπὸ τῶν σπλάγχνων αὐτῶν, δώσουσι δόξαν καὶ δικαίωμα τῷ
18 κυρίῳ· [18]ἀλλὰ ἡ ψυχὴ ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ
ἀσθενοῦν, καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσί
19 σοι δόξαν καὶ δικαιοσύνην, κύριε. [19]ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν πατέ-
ρων ἡμῶν καὶ τῶν βασιλέων ἡμῶν ἡμεῖς καταβάλλομεν τὸν ἔλεον κατὰ
20 πρόσωπόν σου, κύριε ὁ θεὸς ἡμῶν, [20]ὅτι ἐνῆκας τὸν θυμόν σου καὶ τὴν ὀρ-
γήν σου εἰς ἡμᾶς, καθάπερ ἐλάλησας ἐν χειρὶ τῶν παίδων σου τῶν προφη-
21 τῶν [21]Οὕτως εἶπε κύριος Κλίνατε τὸν ὦμον ὑμῶν ἐργάσασθαι τῷ βασιλεῖ
Βαβυλῶνος, καὶ καθίσατε ἐπὶ τὴν γῆν ἣν δέδωκα τοῖς πατράσιν ὑμῶν·
22 [22]καὶ ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς κυρίου ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶ-
23 νος, [23]ἐκλείψειν ποιήσω ἐκ πόλεων Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλὴμ φωνὴν
εὐφροσύνης καὶ φωνὴν χαρμοσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, καὶ
24 ἔσται πᾶσα ἡ γῆ εἰς ἄβατον ἀπὸ ἐνοικούντων. [24]καὶ οὐκ ἠκούσαμεν τῆς
φωνῆς σου ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος, καὶ ἔστησας τοὺς λόγους σου
οὓς ἐλάλησας ἐν χερσὶ τῶν παίδων σου τῶν προφητῶν τοῦ ἐξενεχθῆναι τὰ
ὀστᾶ βασιλέων ἡμῶν καὶ τὰ ὀστᾶ τῶν πατέρων ἡμῶν ἐκ τοῦ τόπου αὐτῶν.
25 [25]καὶ ἰδού, ἔστιν ἐξερριμμένα τῷ καύματι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς
νυκτός· καὶ ἀπεθάνοσαν ἐν πόνοις πονηροῖς, ἐν λιμῷ καὶ ἐν ῥομφαίᾳ καὶ ἐν
26 ἀποστολῇ. [26]καὶ ἔθηκας τὸν οἶκον οὗ ἐπεκλήθη τὸ ὄνομά σου ἐπ᾽ αὐτῷ ὡς
27 ἡ ἡμέρα αὕτη, διὰ πονηρίαν οἴκου Ἰσραὴλ καὶ οἴκου Ἰούδα. [27]καὶ ἐποίησας

---

4. και εις αβατον ... τοις κυκλω ημων 5. τω κυριω 8. καρδιας αυτου 9. δικαιος κυριος 11. om και νυν 13. αποστραφ. δη 14. ενεκεν του ονοματος σου 15. επικεκληται 16. κατειδε ... εννοησον ημας· κλεινον ... εισακουσον 17. και ανοιξον κυριε τους οφθ. σου ... ουχ οι τεθνεωτες ... εληηφθη ... δωσουσιν σοι 18. αλλ η ... δωσ. δοξαν σοι 19. τον ελ. ημων 20. εφ ημας ... in fine add λεγων 21. υμων και εργαζεσθαι ... επι της γης ης εδωκα 22. εργαζεσθαι 23. εκ πολεως 24. εργαζεσθαι ... των βασιλεων ... post βασιλ. ημων add και τα οστα των αρχοντων ημων ... τοπου αυτου 25. εισιν εξεριμμενα 26. τ. οικ. σου ου

Digitized by Google

εἰς ἡμᾶς, κύριε ὁ θεὸς ἡμῶν, κατὰ πᾶσαν ἐπιείκειάν σου καὶ κατὰ πάντα
οἰκτιρμόν σου τὸν μέγαν, [28] καθὰ ἐλάλησας ἐν χειρὶ παιδός σου Μωυσῆ, ἐν 28
ἡμέρᾳ ἐντειλαμένου σου αὐτῷ γράψαι τὸν νόμον σου ἐναντίον υἱῶν Ἰσραὴλ
λέγων [29] Ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, εἰ μὴν ἡ βόμβησις ἡ μεγάλη ἡ 29
πολλὴ αὕτη ἀποστρέψει εἰς μικρὰν ἐν τοῖς ἔθνεσιν οὗ διασπερῶ αὐτοὺς ἐκεῖ.
[30] ὅτι ἔγνων ὅτι οὐ μὴ ἀκούσωσί μου, ὅτι λαὸς σκληροτράχηλός ἐστι· καὶ 30
ἐπιστρέψουσιν ἐπὶ καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν, [31] καὶ γνώσονται 31
ὅτι ἐγὼ κύριος ὁ θεὸς αὐτῶν. καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα ἀκούοντα,
[32] καὶ αἰνέσουσί με ἐν γῇ ἀποικισμοῦ αὐτῶν, καὶ μνησθήσονται τοῦ ὀνόμα- 32
τός μου, [33] καὶ ἀποστρέψουσιν ἀπὸ τοῦ νώτου αὐτῶν τοῦ σκληροῦ καὶ ἀπὸ 33
πονηρῶν προσταγμάτων αὐτῶν, ὅτι μνησθήσονται τῆς ὁδοῦ πατέρων αὐτῶν
τῶν ἁμαρτόντων ἔναντι κυρίου. [34] καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ὤ- 34
μοσα τοῖς πατράσιν αὐτῶν, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ, καὶ
κυριεύσουσιν αὐτῆς· καὶ πληθυνῶ αὐτούς, καὶ οὐ μὴ σμικρυνθῶσι. [35] καὶ 35
στήσω αὐτοῖς διαθήκην αἰώνιον τοῦ εἶναί με αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσον-
ταί μοι εἰς λαόν· καὶ οὐ κινήσω ἔτι τὸν λαόν μου Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς
ἔδωκα αὐτοῖς.

## III.

Κύριε παντοκράτωρ ὁ θεὸς Ἰσραήλ, ψυχὴ ἐν στενοῖς καὶ πνεῦμα ἀκη-
διῶν κέκραγε πρὸς σέ. [2] ἄκουσον κύριε καὶ ἐλέησον, ὅτι ἡμάρτομεν ἐναντίον 2
σου, [3] ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. [4] κύριε 3 4
παντοκράτωρ ὁ θεὸς Ἰσραήλ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκότων
Ἰσραὴλ καὶ υἱῶν τῶν ἁμαρτανόντων ἐναντίον σου, οἳ οὐκ ἤκουσαν τῆς φω-
νῆς σου θεοῦ αὐτῶν, καὶ ἐκολλήθη ἡμῖν τὰ κακά. [5] μὴ μνησθῇς ἀδικιῶν 5
πατέρων ἡμῶν, ἀλλὰ μνήσθητι χειρός σου καὶ ὀνόματός σου ἐν τῷ καιρῷ
τούτῳ, [6] ὅτι σὺ κύριος ὁ θεὸς ἡμῶν, καὶ αἰνέσομέν σε κύριε. [7] ὅτι διὰ τοῦτο 6 7
ἔδωκας τὸν φόβον σου ἐπὶ καρδίαν ἡμῶν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου·
καὶ αἰνέσομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν, ὅτι ἀπεστρέψαμεν ἀπὸ καρδίας ἡμῶν
πᾶσαν ἀδικίαν πατέρων ἡμῶν τῶν ἡμαρτηκότων ἐναντίον σου. [8] ἰδοὺ ἡμεῖς 8
σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν, οὗ διέσπειρας ἡμᾶς ἐκεῖ εἰς ὀνειδισμὸν καὶ εἰς
ἀρὰν καὶ εἰς ὄφλησιν κατὰ πάσας τὰς ἀδικίας πατέρων ἡμῶν, οἳ ἀπέστησαν
ἀπὸ κυρίου θεοῦ ἡμῶν. [9] ἄκουε Ἰσραὴλ ἐντολὰς ζωῆς, ἐνωτίσασθε γνῶναι 9
φρόνησιν. [10] τί ἐστιν Ἰσραήλ; τί ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ; ἐπαλαιώθης ἐν 10
γῇ ἀλλοτρίᾳ, συνεμιάνθης τοῖς νεκροῖς, [11] προσελογίσθης μετὰ τῶν εἰς ᾅδου, 11
[12] ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας. [13] τῇ ὁδῷ τοῦ θεοῦ εἰ ἐπορεύθης, κα- 12 13
τῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα. [14] μάθε ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, 14
ποῦ ἐστι σύνεσις, τοῦ γνῶναι ἅμα ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι
φῶς ὀφθαλμῶν καὶ εἰρήνη. [15] τίς εὗρε τὸν τόπον αὐτῆς, καὶ τίς εἰσῆλθεν 15
εἰς τοὺς θησαυροὺς αὐτῆς; [16] ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κυ- 16
ριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, [17] οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμ- 17
παίζοντες, καὶ τὸ ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυσίον ᾧ ἐπεποίθεισαν
ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν; [18] ὅτι οἱ τὸ ἀργύριον 18
τεκταίνοντες καὶ μεριμνῶντες, καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν.
[19] ἠφανίσθησαν καὶ εἰς ᾅδου κατέβησαν, καὶ ἄλλοι ἀνέστησαν ἀντ' αὐτῶν. 19

---

28. μωση .. ενωπιον υιων 29. και η πολλη ... εις μακραν 30. εισακουσωσιν 33. επιστρεψουσιν απο νωτου ... απο των πονηρων πραγματων ... αμαρτανοντων III. 1. εκεκραξε 2. ελεησ. οτι θεος ελεημων ει· και ελεησον οτι ημ. εν. σ. 3. *om συ 4. om σου secundum ... προσεκολληθη 7. ημων του επικαλεισθαι ... απεστρ. επι καρδιαν 8. πασας αδικιας 10. ισραηλ οτι εν τη γη 12. εγκατελειπες 13. τον αιωνα χρονον 19. **ανταναστησαν

20 [20]νεώτεροι εἶδον φῶς καὶ κατῴκησαν ἐπὶ τῆς γῆς, ὁδὸν δὲ ἐπιστήμης οὐκ
21 ἔγνωσαν [21]οὐδὲ συνῆκαν τρίβους αὐτῆς οὐδὲ ἀντελάβοντο αὐτῆς· οἱ υἱοὶ αὐ-
22 τῶν ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόῤῥω ἐγενήθησαν, [22]οὐδὲ ἠκούσθη ἐν Χαναὰν
23 οὐδὲ ὤφθη ἐν Θαιμάν. [23]οἵ τε υἱοὶ Ἄγαρ οἱ ἐκζητοῦντες τὴν σύνεσιν οἱ ἐπὶ
τῆς γῆς, οἱ ἔμποροι τῆς Μεῤῥὰν καὶ Θαιμάν, καὶ οἱ μυθολόγοι καὶ οἱ ἐκζη-
τηταὶ τῆς συνέσεως, ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν οὐδὲ ἐμνήσθησαν τὰς τρί-
24 βους αὐτῆς. [24]ὦ Ἰσραήλ, ὡς μέγας ὁ οἶκος τοῦ θεοῦ, καὶ ἐπιμήκης ὁ τό-
25 πος τῆς κτήσεως αὐτοῦ· [25]μέγας καὶ οὐκ ἔχει τελευτήν, ὑψηλὸς καὶ ἀμέ-
26 τρητος. [26]ἐκεῖ ἐγεννήθησαν οἱ γίγαντες οἱ ὀνομαστοὶ ἀπ' ἀρχῆς γενόμενοι
27 εὐμεγέθεις ἐπιστάμενοι πόλεμον. [27]οὐ τούτους ἐξελέξατο ὁ θεός, οὐδὲ ὁδὸν
28 ἐπιστήμης ἔδωκεν αὐτοῖς, [28]καὶ ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν φρόνησιν, ἀπώ-
29 λοντο διὰ τὴν ἀβουλίαν αὐτῶν. [29]τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ ἔλαβεν αὐ-
30 τήν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν; [30]τίς διέβη πέραν τῆς θα-
31 λάσσης καὶ εὗρεν αὐτήν, καὶ οἴσει αὐτὴν χρυσίου ἐκλεκτοῦ; [31]οὐκ ἔστιν ὁ
32 γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς. [32]ἀλλ' ὁ
εἰδὼς τὰ πάντα γινώσκει αὐτήν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ κατα-
σκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπό-
33 δων· [33]ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν
34 αὐτῷ τρόμῳ· [34]οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν καὶ εὐφράν-
35 θησαν· [35]ἐκάλεσεν αὐτούς, καὶ εἶπον Πάρεσμεν· ἔλαμψαν μετ' εὐφροσύνης τῷ
36 ποιήσαντι αὐτούς. [36]οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.
37 [37]ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ
38 καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. [38]μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη,
καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.

## IV.

Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ θεοῦ, καὶ ὁ νόμος ὁ ὑπάρχων
εἰς τὸν αἰῶνα· πάντες οἱ κρατοῦντες αὐτήν, εἰς ζωήν· οἱ δὲ καταλείποντες
2 αὐτὴν ἀποθανοῦνται. [2]ἐπιστρέφου Ἰακὼβ καὶ ἐπιλαβοῦ αὐτῆς, διόδευσον πρὸς
3 τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς. [3]μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ
4 τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. [4]μακάριοί ἐσμεν Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ
5 6 τοῦ θεοῦ ἡμῖν γνωστά ἐστιν. [5]θαρσεῖτε λαός μου, μνημόσυνον Ἰσραήλ. [6]ἐπρά-
θητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν, διὰ τὸ παροργίσαι ὑμᾶς τὸν θεόν· παρε-
7 δόθητε τοῖς ὑπεναντίοις, [7]παρωξύνατε γὰρ τὸν ποιήσαντα ὑμᾶς θύσαντες
8 δαιμονίοις καὶ οὐ θεῷ. [8]ἐπελάθεσθε τὸν τροφεύσαντα ὑμᾶς θεὸν αἰώνιον,
9 ἐλυπήσατε δὲ καὶ τὴν ἐκθρέψασαν ὑμᾶς Ἱερουσαλήμ. [9]εἶδε γὰρ τὴν ἐπελ-
θοῦσαν ὑμῖν ὀργὴν παρὰ τοῦ θεοῦ, καὶ εἶπεν Ἀκούσατε αἱ πάροικοι Σιών,
10 ἐπήγαγέ μοι ὁ θεὸς πένθος μέγα. [10]εἶδον γὰρ τὴν αἰχμαλωσίαν τῶν υἱῶν
11 μου καὶ τῶν θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνιος. [11]ἔθρεψα γὰρ αὐ-
12 τοὺς μετ' εὐφροσύνης, ἐξαπέστειλα δὲ μετὰ κλαυθμοῦ καὶ πένθους. [12]μηδεὶς
ἐπιχαιρέτω μοι τῇ χήρᾳ καὶ καταλειφθείσῃ ὑπὸ πολλῶν· ἠρημώθην διὰ τὰς
13 ἁμαρτίας τῶν τέκνων μου, διότι ἐξέκλιναν ἐκ νόμου θεοῦ [13]καὶ δικαιώματα
αὐτοῦ οὐκ ἔγνωσαν, οὐδὲ ἐπορεύθησαν ὁδοῖς ἐντολῶν θεοῦ, οὐδὲ τρίβους παι-
14 δείας ἐν δικαιοσύνῃ αὐτοῦ ἐπέβησαν. [14]ἐλθέτωσαν αἱ πάροικοι Σιὼν καὶ μνή-
σθητε τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς

---

20. ιδον 21. οι υιοι αυτων cum antecedd. conjg. 23. ουτε pro οι τε ... οδον της σοφιας 25. ουχ 26. εγενηθησαν ... οι απ αρχης 34. ηυφρανθησαν 35. και ελαμψαν 37. αυτου pro υπ αυτου 38. επι γης IV. 1. οι κρατ. αυτης 4. τω θεω 6. δια δε το 8. επελαθ. δε 9. ιδεν την ... επηγαγεν γαρ μοι 10. ιδον ... του λαου των υι. μου 13. om και ... δικ. δε α. ουχ εφυλαξαν ... παιδιας 14. ελθατωσαν ... και των θυγατερων

Digitized by Google

ὁ αἰώνιος. [15] ἐπήγαγεν γὰρ ἐπ' αὐτοὺς ἔθνος μακρόθεν, ἔθνος ἀναιδὲς καὶ 15
ἀλλόγλωσσον· ὅτι οὐκ ᾐσχύνθησαν πρεσβύτην οὐδὲ παιδίον ἠλέησαν, [16] καὶ 16
ἀπήγαγον τοὺς ἀγαπητοὺς τῆς χήρας, καὶ ἀπὸ τῶν θυγατέρων τὴν μόνην
ἠρήμωσαν. [17] ἐγὼ δὲ τί δυνατὴ βοηθῆσαι ὑμῖν; [18] ὁ γὰρ ἐπαγαγὼν τὰ κακὰ 17 18
ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. [19] βαδίζετε τέκνα βαδίζετε, ἐγὼ γὰρ 19
κατελείφθην ἔρημος. [20] ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης, ἐνεδυσάμην δὲ 20
σάκκον τῆς δεήσεώς μου· κεκράξομαι πρὸς τὸν αἰώνιον ἐν ταῖς ἡμέραις μου.
[21] θαρρεῖτε τέκνα, βοήσατε πρὸς τὸν θεόν, καὶ ἐξελεῖται ὑμᾶς ἐκ δυναστείας, 21
ἐκ χειρὸς ἐχθρῶν. [22] ἐγὼ γὰρ ἤλπισα ἐπὶ τῷ αἰωνίῳ τὴν σωτηρίαν ὑμῶν, 22
καὶ ἦλθέ μοι χαρὰ παρὰ τοῦ ἁγίου ἐπὶ τῇ ἐλεημοσύνῃ, ᾗ ἥξει ὑμῖν ἐν τά-
χει παρὰ τοῦ αἰωνίου σωτῆρος ὑμῶν. [23] ἐξέπεμψα γὰρ ὑμᾶς μετὰ κλαυθμοῦ 23
καὶ πένθους, ἀποδώσει δέ μοι ὁ θεὸς ὑμᾶς μετὰ χαρμοσύνης καὶ εὐφροσύ-
νης εἰς τὸν αἰῶνα. [24] ὥσπερ γὰρ νῦν ἑωράκασιν αἱ πάροικοι Σιὼν τὴν ὑμε- 24
τέραν αἰχμαλωσίαν, οὕτως ὄψονται ἐν τάχει τὴν παρὰ τοῦ θεοῦ ὑμῶν σωτηρίαν,
ἣ ἐπελεύσεται ὑμῖν μετὰ δόξης μεγάλης καὶ λαμπρότητος τοῦ αἰωνίου. [25] τέκνα, 25
μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν· κατεδίωξέ σε ὁ
ἐχθρός, καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τραχήλους αὐτῶν
ἐπιβήσῃ. [26] οἱ τρυφεροί μου ἐπορεύθησαν ὁδοὺς τραχείας, ἤρθησαν ὡς ποί- 26
μνιον ἡρπασμένον ὑπὸ ἐχθρῶν. [27] θαρσήσατε τέκνα καὶ βοήσατε πρὸς τὸν 27
θεόν, ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία. [28] ὥσπερ γὰρ ἐγένετο ἡ διά- 28
νοια ὑμῶν εἰς τὸ πλανηθῆναι ἀπὸ τοῦ θεοῦ, δεκαπλασιάσατε ἐπιστραφέντες
ζητῆσαι αὐτόν. [29] ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ ἐπάξει ὑμῖν τὴν αἰώνιον 29
εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν. [30] θάρσει Ἰερουσαλήμ, παρακαλέσει 30
σε ὁ ὀνομάσας σε. [31] δείλαιοι οἱ σὲ κακώσαντες καὶ ἐπιχαρέντες τῇ σῇ πτώ- 31
σει, [32] δείλαιαι αἱ πόλεις αἷς ἐδούλευσαν τὰ τέκνα σου, δειλαία ἡ δεξαμένη 32
τοὺς υἱούς σου. [33] ὥσπερ γὰρ ἐχάρη ἐπὶ τῇ σῇ πτώσει καὶ εὐφράνθη ἐπὶ τῷ 33
πτώματί σου, οὕτως λυπηθήσεται ἐπὶ τῇ ἑαυτῆς ἐρημίᾳ. [34] καὶ περιελῶ αὐ- 34
τῆς τὸ ἀγαλλίαμα τῆς πολυοχλίας, καὶ τὸ ἀγαυρίαμα αὐτῆς εἰς πένθος.
[35] πῦρ γὰρ ἐπελεύσεται αὐτῇ παρὰ τοῦ αἰωνίου εἰς ἡμέρας μακράς, καὶ κα- 35
τοικηθήσεται ὑπὸ δαιμονίων τὸν πλείονα χρόνον. [36] περίβλεψον πρὸς ἀνατολάς, 36
Ἰερουσαλήμ, καὶ ἴδε τὴν εὐφροσύνην τὴν παρὰ τοῦ θεοῦ σοι ἐρχομένην. [37] ἰδοὺ 37
ἔρχονται οἱ υἱοί σου οὓς ἐξαπέστειλας, ἔρχονται συνηγμένοι ἀπὸ ἀνατολῶν
ἕως δυσμῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντες τῇ τοῦ θεοῦ δόξῃ.

## V.

Ἔκδυσαι Ἰερουσαλὴμ τὴν στολὴν τοῦ πένθους καὶ τῆς κακώσεώς σου,
καὶ ἔνδυσαι τὴν εὐπρέπειαν τῆς παρὰ τοῦ θεοῦ δόξης εἰς τὸν αἰῶνα. [2] περι- 2
βαλοῦ τὴν διπλοΐδα τῆς παρὰ τοῦ θεοῦ δικαιοσύνης, ἐπίθου τὴν μίτραν ἐπὶ
τὴν κεφαλήν σου τῆς δόξης τοῦ αἰωνίου. [3] ὁ γὰρ θεὸς δείξει τῇ ὑπ' οὐρα- 3
νὸν πάσῃ τὴν σὴν λαμπρότητα. [4] κληθήσεται γάρ σου τὸ ὄνομα παρὰ τοῦ 4
θεοῦ εἰς τὸν αἰῶνα, εἰρήνη δικαιοσύνης καὶ δόξα θεοσεβείας. [5] ἀνάστηθι 5

---

15. ο θεος εθνος μακρ. ... οι pro οτι 16. ηγαγον ... την μονογενην 17. τι δυναμαι 18. τα κακα υμιν 20. και ενεδυσαμην σακκον ... αιωνιον υψιστον 21. θαρσειτε τ. και βοησατε ... om εκ δυναστειας ... εχθρων υμων 22. επι τω αιωνιω ηλπισα ... om επι τη ελεημοσυνη 23. μετα πενθους κ. κλαυθμου 24. θεου ημων ... ημιν 25. κατεδ. γαρ σε ο εχθρ. σου κ. οψη ... επι τους τραχηλους 26. απο εχθρων 28. πλανηθηναι υμας ... ουτω νυν δεκαπλασ. 30. παρακαλει 31. επιχαραντες 31. 32. δηλαιοι, δηλαιε, δηλαια 33. ηυφρανθη επι πτωματι 34. το αγαλμα τ. πολ. ... εσται εις πενθ. 36. περιβλεψαι ... επερχομενην 37. συνηγμενοι ερχονται απο ανατολης V. 1. του πενθους κακωσεως σου ... σοι δοξης 2. αγιου pro αιωνιου 3. δειξη



Digitized by Google

Ἱερουσαλὴμ καὶ στῆθι ἐπὶ τοῦ ὑψηλοῦ, καὶ περίβλεψαι πρὸς ἀνατολὰς καὶ
ἴδε συνηγμένα τὰ τέκνα σου ἀπὸ ἡλίου δυσμῶν ἕως ἀνατολῶν τῷ ῥήματι
6 τοῦ ἁγίου, χαίροντας τῇ τοῦ θεοῦ μνείᾳ. [6] ἐξῆλθον γὰρ παρὰ σοῦ πεζοὶ ἀγό-
μενοι ὑπὸ ἐχθρῶν, εἰσάγει δὲ αὐτοὺς ὁ θεὸς πρὸς σὲ αἰρομένους μετὰ δόξης
7 ὡς θρόνον βασιλείας. [7] συνέταξε γὰρ ὁ θεὸς ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλὸν
καὶ θῖνας ἀεννάους καὶ φάραγγας πληροῦσθαι εἰς ὁμαλισμὸν τῆς γῆς, ἵνα
8 βαδίσῃ Ἰσραὴλ ἀσφαλῶς τῇ τοῦ θεοῦ δόξῃ. [8] ἐσκίασαν δὲ καὶ οἱ δρυμοὶ καὶ
9 πᾶν ξύλον εὐωδίας τῷ Ἰσραὴλ προστάγματι τοῦ θεοῦ. [9] ἡγήσεται γὰρ ὁ θεὸς
Ἰσραὴλ μετ' εὐφροσύνης τῷ φωτὶ τῆς δόξης αὐτοῦ σὺν ἐλεημοσύνῃ καὶ δι-
καιοσύνῃ τῇ παρ' αὐτοῦ.

---

# ΘΡΗΝΟΙ ΙΕΡΕΜΙΟΥ.

## I.

Καὶ ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραὴλ καὶ Ἱερουσαλὴμ ἐρη-
μωθῆναι ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ
Ἱερουσαλὴμ καὶ εἶπεν

1 Ἄλεφ. [1] Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν; ἐγενήθη
ὡς χήρα πεπληθυμμένη ἐν ἔθνεσιν, ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον.
2 Βήθ. [2] Κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σια-
γόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγα-
πώντων αὐτήν· πάντες οἱ φιλοῦντες αὐτὴν ἠθέτησαν ἐν αὐτῇ, ἐγένοντο αὐτῇ
εἰς ἐχθρούς.
3 Γίμελ. [3] Μετῳκίσθη Ἰουδαία ἀπὸ ταπεινώσεως αὐτῆς καὶ ἀπὸ πλήθους
δουλείας αὐτῆς· ἐκάθισεν ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν· πάντες οἱ κατα-
διώκοντες αὐτὴν κατέλαβον αὐτὴν ἀνὰ μέσον τῶν θλιβόντων.
4 Δάλεθ. [4] Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ·
πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι, οἱ ἱερεῖς αὐτῆς ἀναστενάζουσιν, αἱ παρ-
θένοι αὐτῆς ἀγόμεναι, καὶ αὐτὴ πικραινομένη ἐν ἑαυτῇ.
5 Ἤ. [5] Ἐγένοντο οἱ θλίβοντες αὐτὴν εἰς κεφαλήν, καὶ οἱ ἐχθροὶ αὐτῆς
εὐθηνοῦσαν, ὅτι κύριος ἐταπείνωσεν αὐτὴν ἐπὶ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῆς·
τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ κατὰ πρόσωπον θλίβοντος.
6 Οὐαῦ. [6] Καὶ ἐξήρθη ἐκ θυγατρὸς Σιὼν πᾶσα ἡ εὐπρέπεια αὐτῆς· ἐγέ-
νοντο οἱ ἄρχοντες αὐτῆς ὡς κριοὶ οὐχ εὑρίσκοντες νομήν, καὶ ἐπορεύοντο ἐν
οὐκ ἰσχύϊ κατὰ πρόσωπον διώκοντος.

---

5. σου συνηγμενα τα τεκνα ... και εως ... χαιροντες 6. μ. δοξ. υιους βασιλειας 7. θεινας αεναους 9. και τη παρα του θεου δικαιοσυνη

**Subscriptio**: βαρουχ

---

**Inscriptio**: Αx θρηνοι, FA θρηνοι ιερεμιου

I. αλφ > α, FA αλφ ... FA* om ως 2. βηθ·ℸ ... κλαιουσα εδακρυσεν ... FA ουχ υπαρχει ... FA ηθετησαν αυτην 3. γιμλ·λ·, FA 'γιμελ, sed ε erasum est ... η ιουδαια ... Αx FA δουλιας ... FA και ουχ ευρεν ... FA διωχοντες ... θλιβοντ. αυτην 4. δελτ ℸ, FA δελεθ ... FA πενθησουσιν ... εν αυτη 5. ηγι (sic), FA η ... FA ευθηνουσιν ... FA ενωπιον pro καταπρο σωπ. 6. ουαυ ℸ, FA ουαυ ... FA ευπρεπια ... Αx FA* και εξηλθεν ... μη ευρισκοντες ... FA* post νομην add εδωκαν τα επιθυμηματα αυτων εν βρωσι του αναπαυσαι ψυχην ... ενωπιον pro κατα προσωπον

Ζαΐν. [7]Ἐμνήσθη Ἱερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς καὶ ἀπωσμῶν 7
αὐτῆς, πάντα τὰ ἐπιθυμήματα αὐτῆς ὅσα ἦν ἐξ ἡμερῶν ἀρχαίων, ἐν τῷ
πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλίβοντος, καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ·
ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐγέλασαν ἐπὶ κατοικεσίᾳ αὐτῆς.
Ἡθ. [8]Ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλήμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο· 8
πάντες οἱ δοξάζοντες αὐτὴν ἐταπείνωσαν αὐτήν· εἶδον γὰρ τὴν ἀσχημοσύ-
νην αὐτῆς, καί γε αὐτὴ στενάζουσα καὶ ἀπεστράφη ὀπίσω.
Τήθ. [9]Ἀκαθαρσία αὐτῆς πρὸ ποδῶν αὐτῆς, οὐκ ἐμνήσθη ἔσχατα αὐ- 9
τῆς καὶ κατεβίβασεν ὑπέρογκα· οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. ἴδε κύριε
τὴν ταπείνωσιν μου, ὅτι ἐμεγαλύνθη ὁ ἐχθρός.
Ἰώδ. [10]Χεῖρα αὐτοῦ ἐξεπέτασε θλίβων ἐπὶ πάντα τὰ ἐπιθυμήματα 10
αὐτῆς, εἶδε γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ ἁγίασμα αὐτῆς ἃ ἐνετείλω μὴ εἰσελ-
θεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.
Χάφ. [11]Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες, ζητοῦντες ἄρτον· ἔδωκαν 11
τὰ ἐπιθυμήματα αὐτῆς ἐν βρώσει τοῦ ἐπιστρέψαι ψυχήν. ἴδε κύριε καὶ ἐπί-
βλεψον, ὅτι ἐγενήθη ἠτιμωμένη.
Λάμεδ. [12]Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι ὁδόν, ἐπιστρέψατε 12
καὶ ἴδετε εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου ὃ ἐγενήθη· φθεγξάμενος ἐν
ἐμοὶ ἐταπείνωσέ με κύριος ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ.
Μήμ. [13]Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγα- 13
γεν αὐτό· διεπέτασε δίκτυον τοῖς ποσί μου, ἀπέστρεψέ με εἰς τὰ ὀπίσω,
ἔδωκέ με ἠφανισμένην, ὅλην τὴν ἡμέραν ὀδυνωμένην.
Νούν. [14]Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου, ἐν χερσί μου συνεπλά- 14
κησαν, ἀνέβησαν ἐπὶ τὸν τράχηλόν μου· ἠσθένησεν ἡ ἰσχύς μου, ὅτι ἔδωκε
κύριος ἐν χερσί μου ὀδύνας, οὐ δυνήσομαι στῆναι.
Σάμεχ. [15]Ἐξῆρε πάντας τοὺς ἰσχυρούς μου ὁ κύριος ἐκ μέσου μου, 15
ἐκάλεσεν ἐπ' ἐμὲ καιρὸν τοῦ συντρῖψαι ἐκλεκτούς μου· ληνὸν ἐπάτησε κύ-
ριος παρθένῳ θυγατρὶ Ἰούδα, ἐπὶ τούτοις ἐγὼ κλαίω.
Ἀΐν. [16]Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ, ὅτι ἐμακρύνθη ἀπ' ἐμοῦ ὁ 16
παρακαλῶν με, ὁ ἐπιστρέφων ψυχήν μου· ἐγένοντο οἱ υἱοί μου ἠφανισμέ-
νοι, ὅτι ἐκραταιώθη ὁ ἐχθρός.
Φή. [17]Διεπέτασε Σιὼν χεῖρα αὐτῆς, οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. 17
ἐνετείλατο κύριος τῷ Ἰακώβ· κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν, ἐγενήθη
Ἱερουσαλὴμ εἰς ἀποκαθημένην ἀνὰ μέσον αὐτῶν.
Τσαδή. [18]Δίκαιός ἐστι κύριος, ὅτι στόμα αὐτοῦ παρεπίκρανα. ἀκούσατε 18
δὴ πάντες οἱ λαοὶ καὶ ἴδετε τὸ ἄλγος μου· παρθένοι μου καὶ νεανίσκοι μου
ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.
Κώφ. [19]Ἐκάλεσα τοὺς ἐραστάς μου, αὐτοὶ δὲ παρελογίσαντό με· οἱ 19
ἱερεῖς μου καὶ οἱ πρεσβύτεροί μου ἐν τῇ πόλει ἐξέλιπον, ὅτι ἐζήτησαν βρῶ-
σιν αὐτοῖς ἵνα ἐπιστρέψωσι ψυχὰς αὐτῶν, καὶ οὐχ εὗρον.

---

7. ζαι ρ, FA ζαι ... επι μετοικεσιας αυτης 8. ηθ η, FA ηθ ... ιδοντες γαρ ... εις τα οπισω 9. τηθ β, FA τηθ ... Ax FA προς ποδων ... εσχατων ... FA εμεγαλυνθη εχ. 10. ιωθ ι, FA ιωδ ... ιδον ... om αυτα 11. χαφ כ, FA χαφ ... FA om αρτον ... FA εις βρωσιν ... om κυριε ... Ax FA* εγενηθην 12. λαβδ ς, FA λαβδ ... FA*.* προς ημας ... FA ειδεται ... FA* om το ... FA θυμου οργης 13. Ax FA μημ ... FA κατηγ. αυτον ... κυριος ηφανισμενην ... FA οδυνωμενην, Ax οδυρωμενην 14. νουν · ςς, FA νουμ ... συνεπλακησαν 15. Ax FA σαμχ ... FA μου κυριος 16. Ax FA αιν (non αΐν) 17. φη υ ςς, FA φη ... FA χειρας, Ax τας χειρας ... FA* om ὁ ... om αυτου 18. Ax σαδη צ, FA σαδη ... Ax FA το στομα ... FA παρεπικραναν ... FA παντες λαοι ... FA ειδετε ... FA αι παρθ. μου κ. οι νε. μου 19. χωφ γο, FA χωφ ... Ax FA*.* εξελειπον ... FA επιστρεψουσιν εις ψυχας

Digitized by Google

20 ʽΡῆχς. [20]Ἴδε κύριε ὅτι θλίβομαι, ἡ κοιλία μου ἐταράχθη, καὶ ἡ καρ-
δία μου ἐστράφη ἐν ἐμοί· ὅτι παραπικραίνουσα παρεπικράνθην, ἔξωθεν ἠτέ-
κνωσέ με μάχαιρα ὥσπερ θάνατος ἐν οἴκῳ.
21 Χσέν. [21]Ἀκούσατε δὴ ὅτι στενάζω ἐγώ, οὐκ ἔστιν ὁ παρακαλῶν με·
πάντες οἱ ἐχθροί μου ἤκουσαν τὰ κακά μου καὶ ἐχάρησαν, ὅτι σὺ ἐποίησας·
ἐπήγαγες ἡμέραν, ἐκάλεσας καιρόν, ἐγένοντο ὅμοιοι ἐμοί.
22 Θαῦ. [22]Εἰσέλθοι πᾶσα ἡ κακία αὐτῶν κατὰ πρόσωπόν σου, καὶ ἐπι-
φύλλισον αὐτοῖς ὃν τρόπον ἐποίησαν ἐπιφυλλίδα περὶ πάντων τῶν ἁμαρτη-
μάτων μου, ὅτι πολλοὶ οἱ στεναγμοί μου, καὶ ἡ καρδία μου λυπεῖται.

## II.

1 Ἄλεφ. [1]Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγατέρα Σιών·
κατέῤῥιψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ἰσραήλ, καὶ οὐκ ἐμνήσθη ὑποπο-
δίου ποδῶν αὐτοῦ.
2 Βήθ. [2]Ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ (²) κατεπόντισε κύριος, οὐ φεισάμενος·
πάντα τὰ ὡραῖα Ἰακὼβ καθεῖλεν ἐν θυμῷ αὐτοῦ, τὰ ὀχυρώματα τῆς θυ-
γατρὸς Ἰούδα ἐκόλλησεν εἰς τὴν γῆν, ἐβεβήλωσε βασιλέα αὐτῆς καὶ ἄρ-
χοντας αὐτῆς.
3 Γίμελ. [3]Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας Ἰσραήλ, ἀπέ-
στρεψεν ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προσώπου ἐχθροῦ, καὶ ἀνῆψεν ἐν Ἰακὼβ
ὡς πῦρ φλόγα καὶ κατέφαγε πάντα τὰ κύκλῳ.
4 Δάλεθ. [4]Ἐνέτεινε τόξον αὐτοῦ ὡς ἐχθρὸς ὑπεναντίος, ἐστερέωσε δεξιὰν
αὐτοῦ ὡς ὑπεναντίος, καὶ ἀπέκτεινε πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν
μου ἐν σκηνῇ θυγατρὸς Σιών, ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.
5 Ἤ. [5]Ἐγενήθη κύριος ὡς ἐχθρός, κατεπόντισεν Ἰσραήλ, κατεπόντισε
τὰς βάρεις αὐτῆς, διέφθειρε τὰ ὀχυρώματα αὐτοῦ καὶ ἐπλήθυνε τῇ θυγατρὶ
Ἰούδα ταπεινουμένην καὶ τεταπεινωμένην.
6 Οὐαῦ. [6]Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ, διέφθειρεν
ἑορτὴν αὐτοῦ· ἐπελάθετο κύριος ἃ ἐποίησεν ἐν Σιὼν ἑορτῆς καὶ σαββάτου,
καὶ παρώξυνεν ἐμβριμήματι ὀργῆς αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ ἄρχοντα.
7 Ζαΐν. [7]Ἀπώσατο κύριος θυσιαστήριον αὐτοῦ, ἀπετίναξεν ἁγίασμα αὐ-
τοῦ, συνέτριψεν ἐν χειρὶ ἐχθροῦ τεῖχος βάρεων αὐτῆς· φωνὴν ἔδωκαν ἐν οἴκῳ
κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς.
8 Ἤθ. [8]Καὶ ἐπέστρεψε διαφθεῖραι τεῖχος θυγατρὸς Σιών· ἐξέτεινε μέτρον,
οὐκ ἀπέστρεψε χεῖρα αὐτοῦ ἀπὸ καταπατήματος, καὶ ἐπένθησε τὸ προτεί-
χισμα, καὶ τεῖχος ὁμοθυμαδὸν ἠσθένησε.

---

20. ρης ⅃, FA ρης ... και η κοιλια ... FA εταραχθη· η καρδ. ... FA παραπ. παρεπικρανα 21. σενω, FA σεν ... FA και εγενοντο ... και εγενετο οιμμοι οιμμοι 22. θαυ π, FA θαυ ... επιφαυλισον αυτοις, FA επιφυλλ. αυτους II. 1. αλφ β, FA*.* αλφ ... om κυριος ... FA κατεριψεν 2. εν ημ. οργης θυμου αυτου eaque verba ad v. 1. trahit (non FA) ... Ax FA βηθ ... post εβεβηλωσεν add εις την γην ... αρχοντα 3. γιμλ ⅂, FA γιμελ sed ε erasum est ..., εις τα οπισω ... FA* om δεξιαν usque εχθρου ... ανηψεν ιακωβ 4. δελθ ϶, FA* δαλεθ, *.* δελθ ... ενετειλεν ... FA παντα επιθυμηματα οφθαλμ. μου ... μου σκηνη 5. ηπ η, FA η ... πασας τας βαρεις ... FA*.* βαρεις αυτου ... οχυρ. αυτης ... FA* επληθυναν ... Ax FA ιουδα ταπεινουμενον (FA: ταπειν.) 6. Ax FA ουαυ ... Ax FA ο εποιησεν ... Ax FA ενβριμηματι ... *om και αρχ., sed ipse* supplevit 7. Ax FA ζαι ... θυσιαστ. αυτου κυριος (... FA* ενχιρειδειεχθρουστιχος) ... εδωκεν ... FA om κυριου 8. τηθ, FA ηθ ... Ax FA απεστρεψεν ... κυριος του διαφθ., FA του διαφθ. ... FA ουκ επεστρεψεν ... κυριος χειρα αυτου ... ησθενησαν

Digitized by Google

Τήϑ. [9]Ἐνεπάγησαν εἰς γῆν πύλαι αὐτῆς· ἀπώλεσε καὶ συνέτριψε μο- 9
χλοὺς αὐτῆς, βασιλέα αὐτῆς καὶ ἄρχοντα αὐτῆς ἐν τοῖς ἔϑνεσιν· οὐκ ἔστι νό-
μος, καί γε προφῆται αὐτῆς οὐκ εἶδον ὅρασιν παρὰ κυρίου.
Ἰώδ. [10]Ἐκάϑισαν εἰς τὴν γῆν, ἐσιώπησαν πρεσβύτεροι ϑυγατρὸς Σιών, 10
ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, περιεζώσαντο σάκκους, κατήγαγον
εἰς γῆν ἀρχηγοὺς παρϑένους ἐν Ἱερουσαλήμ.
Χάφ. [11]Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφϑαλμοί μου, ἐταράχϑη ἡ καρδία 11
μου, ἐξεχύϑη εἰς τὴν γῆν ἡ δόξα μου, ἐπὶ τὸ σύντριμμα τῆς ϑυγατρὸς λαοῦ
μου, ἐν τῷ ἐκλείπειν νήπιον καὶ ϑηλάζοντα ἐν πλατείαις πόλεως.
Λάμεδ. [12]Ταῖς μητράσιν αὐτῶν εἶπαν Ποῦ σῖτος καὶ οἶνος; ἐν τῷ ἐκ- 12
λύεσϑαι αὐτοὺς ὡς τραυματίας ἐν πλατείαις πόλεως, ἐν τῷ ἐκχεῖσϑαι ψυχὰς
αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.
Μήμ. [13]Τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι, ϑύγατερ Ἱερουσαλήμ; 13
τίς σώσει καὶ παρακαλέσει σε, παρϑένος ϑύγατερ Σιών; ὅτι ἐμεγαλύνϑη πο-
τήριον συντριβῆς σου, τίς ἰάσεταί σε;
Νούν. [14]Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην, καὶ οὐκ 14
ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν σου, καὶ εἴ-
δοσάν σοι λήμματα μάταια καὶ ἐξώσματα.
Σάμεχ. [15]Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδόν, 15
ἐσύρισαν καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν ϑυγατέρα Ἱερουσαλήμ·
αὕτη ἡ πόλις, ἐροῦσι, στέφανος εὐφροσύνης πάσης τῆς γῆς.
Αἴν. [16]Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχϑροί σου, ἐσύρισαν 16
καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπαν Κατεπίομεν αὐτήν· πλὴν αὕτη ἡ ἡμέρα ἣν
προσεδοκῶμεν, εὕρομεν αὐτήν, εἴδομεν.
Φή. [17]Ἐποίησε κύριος ἃ ἐνεϑυμήϑη, συνετέλεσε ῥῆμα αὐτοῦ, ἃ ἐνετεί- 17
λατο ἐξ ἡμερῶν ἀρχαίων· καϑεῖλε καὶ οὐκ ἐφείσατο, καὶ ηὔφρανεν ἐπὶ σὲ
ἐχϑρόν, ὕψωσε κέρας ϑλίβοντός σε.
Τσαδή. [18]Ἐβόησε καρδία αὐτῶν πρὸς κύριον. τείχη Σιών, καταγάγετε 18
ὡς χειμάῤῥους δάκρυα ἡμέρας καὶ νυκτός· μὴ δῷς ἔκνηψιν σεαυτῇ, μὴ σιω-
πήσαιτο ϑυγάτηρ ὀφϑαλμῶν σου.
Κώφ. [19]Ἀνάστα ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου, ἔκχεον 19
ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου κυρίου, ἆρον πρὸς αὐτὸν χεῖράς
σου περὶ ψυχῆς νηπίων σου τῶν ἐκλυομένων λιμῷ ἐπ' ἀρχῆς πασῶν ἐξόδων.
Ῥήχς. [20]Ἴδε κύριε καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως. εἰ φάγονται 20
γυναῖκες καρπὸν κοιλίας αὐτῶν; ἐπιφυλλίδα ἐποίησε μάγειρος, φονευϑήσονται
νήπια ϑηλάζοντα μαστούς; ἀποκτενεῖς ἐν ἁγιάσματι κυρίου ἱερέα καὶ προφήτην;

---

9. ηϑ, FA τηϑ ... εις την γην αι π. αυτης ... Ax FA αρχοντας ... FA ιδον 10. ιωϑ, FA ιωδ ... FA χουν εις την ... κατηγαγ. εις την γην ... FA* om εν 11. Ax FA χαφ ... Ax FA*.* εξελειπον ... Ax FA εις γην ... Ax FA του λαου μου ... εκλιπειν, FA* εκλιπιν ... Ax FA πλατιαις (item v. 12.) 12. Ax FA λαβδ 13. Ax FA μημ ... FA ϑυγατηρ ... Ax FA σωσει σε ... FA παρϑενος ϑυγατρος ... FA* om σε extr. 14. νουν, FA νουμ ... ιδον ματαια ... FA την αιχμ. σου ... ιδοσαν 15. σαχμ, FA σαμχ ... FA* ϑυγατεραν ... η αυτη η πολις ην ερουσιν ... Ax FA στεφαν. δοξης ευφροσυνης (FA* -συνη) 16. Ax FA αιν ... FA οι εχϑροι εσυρισαν ... FA οδοντας ειπαν Καταπιωμεν ..., FA αυτη ημερα 17. Ax φη ς, FA φη ... ρηματα αυτου α ενεϑυμηϑη. FA ρηματα αυτου α ενεϑυτιλατο (sic; ενεϑυ exit linea) ... FA ευφρανεν ... υψωσεν κεφαλας 18. Ax FA σαδη ... FA* τιχη ϑυγατρος σιων ... καταγαγετωσαν ... FA* σιωπησετω, *.* -σατω ... ϑυγατερ ... Ax FA ο οφϑαλμος σου 19. Ax FA κωφ ... FA om εν ... FA του προσωπου ... αρον αρον ... FA ante λιμω add σου 20. Ax FA ρης ... επεφαυλισας ... μασϑους ... ιερεα και προφη: his finitur FA

Digitized by Google

21 Χσέν. [21]Ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης· παρ-
θένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ· ἐν ῥομφαίᾳ καὶ
ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας, οὐκ ἐφείσω.
22 Θαῦ. [22]Ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν, καὶ οὐκ ἐγέ-
νοντο ἐν ἡμέρᾳ ὀργῆς κυρίου ἀνασωζόμενος καὶ καταλελειμμένος, ὡς ἐπε-
κράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

## III.

1 Ἄλεφ. [1]Ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν, ἐν ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ'
2 3 ἐμέ. [2]παρέλαβέ με καὶ ἀπήγαγέ με εἰς σκότος καὶ οὐ φῶς. [3]πλὴν ἐν ἐμοὶ
4 ἐπέστρεψε χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν, [4]ἐπαλαίωσε σάρκα μου καὶ δέρμα
μου, ὀστέα μου συνέτριψεν.
5 Βήθ. [5]Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ ἐκύκλωσε κεφαλήν μου καὶ ἐμό-
6 7 χθησεν, [6]ἐν σκοτεινοῖς ἐκάθισέ με ὡς νεκροὺς αἰῶνος. [7]ἀνῳκοδόμησε κατ'
ἐμοῦ καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνε χαλκόν μου.
8 Γίμελ. [8]Καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξε προσευχήν μου.
9 Δάλεθ. [9]Ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξε τρίβους μου, ἐτάραξεν
10 11 [10]ἄρκος ἐνεδρεύουσα, αὐτός μοι λέων ἐν κρυφαίοις, [11]κατεδίωξεν ἀφεστη-
κότα καὶ κατέπαυσέ με, ἔθετό με ἠφανισμένην.
12 Ἤ. [12]Ἐνέτεινε τόξον αὐτοῦ καὶ ἐστήλωσέ με ὡς σκοπὸν εἰς βέλος.
13 14 [13]εἰσήγαγεν ἐν τοῖς νεφροῖς μου ἰοὺς φαρέτρας αὐτοῦ. [14]ἐγενήθην γέλως
παντὶ λαῷ μου, ψαλμὸς αὐτῶν ὅλην τὴν ἡμέραν.
15 16 Οὐαῦ. [15]Ἐχόρτασέ με πικρίας, ἐμέθυσέ με χολῆς, [16]καὶ ἐξέβαλε ψήφῳ
17 ὀδόντας μου, ἐψώμισέ με σποδόν, [17]καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου,
18 ἐπελαθόμην ἀγαθά, [18]καὶ ἀπώλετο νῖκός μου, καὶ ἡ ἐλπίς μου ἀπὸ κυρίου.
19 20 Ζαΐν. [19]Ἐμνήσθην ἀπὸ πτωχείας μου καὶ ἐκ διωγμοῦ, [20]πικρία καὶ
21 χολή μου μνησθήσεται, καὶ καταδολεσχήσει ἐπ' ἐμὲ ἡ ψυχή μου. [21]ταύτην
τάξω εἰς τὴν καρδίαν μου, διὰ τοῦτο ὑπομενῶ.
22 Ἤθ. [22]Τὰ ἐλέη κυρίου ὅτι οὐκ ἐξέλιπέ με, ὅτι οὐ συνετελέσθησαν οἱ
οἰκτιρμοὶ αὐτοῦ. μῆνας εἰς τὰς πρωίας ἐλέησον κύριε, ὅτι οὐ συνετελέσθημεν,
23 ὅτι οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ. [23]καινὰ εἰς τὰς πρωίας, πολλὴ
24 ἡ πίστις σου. [24]μερίς μου κύριος, εἶπεν ἡ ψυχή μου· διὰ τοῦτο ὑπομενῶ
αὐτῷ.
25 26 Τήθ. [25]Ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν αὐτόν, [26]ψυχῇ ἣ ζητήσει αὐ-
τὸν ἀγαθόν· καὶ ὑπομενεῖ, καὶ ἡσυχάσει εἰς τὸ σωτήριον κυρίου.
27 28 Τήθ. [27]Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ, [28]καθήσεται
κατὰ μόνας καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ.
29 Ἰώδ. [29]Δώσει τῷ παίοντι αὐτὸν σιαγόνα, χορτασθήσεται ὀνειδισμῶν,
30 [30]ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται κύριος.
31 Χάφ. [31]Ὅτι ὁ ταπεινώσας οἰκτειρήσει καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους
32 αὐτοῦ. [32]οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ καὶ ἐταπείνωσεν υἱοὺς ἀνδρός.
33 Λάμεδ. [33]Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμίους γῆς,
34 35 [34]τοῦ ἐκκλῖναι κρίσιν ἀνδρὸς κατέναντι προσώπου ὑψίστου, [35]καταδικάσαι

---

21. σεν 22. θαυ ... και ουκ εγενετο ... καταλελιμμενος III. 1. αλφ ... πτωχιαν 4. τας σαρκας μου ... οστα 5. βηθ ... εν σκοτινοις αιωνος pro ως νεκρ. αιωνος 8. γιμλ ... και γε βοησω 9. δελεθ 11. om με prius 12. η 13. om εν 14. παντι τω 15. ουαυ 16. om και ... τους οδοντ. μου 19. ζαι ... πτωχιας ... διωγμου μου 20. πικρια γαρ ... Versus tres 22. 23. 24. desunt. 25. ηθ 27. τηθ 29. ιωδ 31. χαφ ... οικτιρησει (ed. rom. οικτηρησει) κατα 33. λαβδ

ἄνθρωπον ἐν τῷ κρίνεσθαι αὐτόν, κύριος οὐκ εἶπε. 36 τίς οὕτως εἶπε, καὶ 36
ἐγενήθη; κύριος οὐκ ἐνετείλατο. 37 ἐκ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ 37
κακὰ καὶ τὸ ἀγαθόν.
Μήμ. 38 Τί γογγύσει ἄνθρωπος ζῶν ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ; 38
Νούν. 39 Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ ἠτάσθη, καὶ ἐπιστρέψομεν ἕως 39
κυρίου. 40 ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν πρὸς ὑψηλὸν ἐν οὐρανῷ. 40
41 ἡμαρτήσαμεν, ἠσεβήσαμεν, καὶ οὐχ ἱλάσθης. 41
Σάμεχ. 42 Ἐπεσκέπασας ἐν θυμῷ καὶ ἀπεδίωξας ἡμᾶς, ἀπέκτεινας, οὐκ 42
ἐφείσω. 43 ἐπεσκέπασας νεφέλην σεαυτῷ ἕνεκεν προσευχῆς, καμμύσαι με 43
44 καὶ ἀπωσθῆναι. 44
Αἴν. Ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν, 45 διήνοιξαν ἐφ' ἡμᾶς τὸ στόμα 45
αὐτῶν πάντες οἱ ἐχθροὶ ἡμῶν. 46 φόβος καὶ θυμὸς ἐγενήθη ἡμῖν, ἔπαρσις 46
καὶ συντριβή. 47 ἀφέσεις ὑδάτων κατάξει ὁ ὀφθαλμός μου ἐπὶ τὸ σύντριμμα 47
τῆς θυγατρὸς τοῦ λαοῦ μου.
Φή. 48 Ὁ ὀφθαλμός μου κατεπόθη, καὶ οὐ σιγήσομαι τοῦ μὴ εἶναι 48
ἔκνηψιν, 49 ἕως οὗ διακύψῃ καὶ ἴδῃ κύριος ἐξ οὐρανοῦ. 50 ὁ ὀφθαλμός μου 49 50
ἐπιφυλλιεῖ ἐπὶ τὴν ψυχήν μου παρὰ πάσας θυγατέρας πόλεως.
Τσαδή. 51 Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον πάντες οἱ ἐχθροί 51
μου δωρεάν, 52 ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου καὶ ἐπέθηκαν λίθον ἐπ' 52
ἐμοί, 53 ὑπερεχύθη ὕδωρ ἐπὶ τὴν κεφαλήν μου· εἶπα Ἄπωσμαι. 53
Κώφ. 54 Ἐπεκαλεσάμην τὸ ὄνομά σου κύριε ἐκ λάκκου κατωτάτου, 54
55 φωνήν μου ἤκουσας. μὴ κρύψῃς τὰ ὦτά σου εἰς τὴν δέησίν μου· 56 εἰς 55 56
τὴν βοήθειάν μου ἤγγισας, ἐν ἡμέρᾳ ᾗ ἐπεκαλεσάμην σε εἶπάς μοι Μὴ φοβοῦ.
Ῥήχς. 57 Ἐδίκασας κύριε τὰς δίκας τῆς ψυχῆς μου, ἐλυτρώσω τὴν ζωήν 57
μου. 58 ἴδες κύριε τὰς ταραχάς μου, ἔκρινας τὴν κρίσιν μου. 59 εἶδες πᾶ- 58 59
σαν τὴν ἐκδίκησιν αὐτῶν, εἰς πάντας διαλογισμοὺς αὐτῶν ἐν ἐμοί.
Χσέν. 60 Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν, πάντας τοὺς διαλογισμοὺς αὐ- 60
τῶν κατ' ἐμοῦ, 61 χείλη ἐπανισταμένων μοι καὶ μελέτας αὐτῶν κατ' ἐμοῦ 61
ὅλην τὴν ἡμέραν, 62 καθέδραν αὐτῶν καὶ ἀνάστασιν αὐτῶν. ἐπίβλεψον ἐπὶ 62
ὀφθαλμοὺς αὐτῶν, 63 ἀποδώσεις αὐτοῖς ἀνταπόδομα κύριε κατὰ τὰ ἔργα τῶν 63
χειρῶν αὐτῶν.
Θαῦ. 64 Ἀποδώσεις αὐτοῖς ὑπερασπισμόν, καρδίας μου μόχθον. 65 σὺ 64 65
αὐτοὺς καταδιώξεις ἐν ὀργῇ καὶ ἐξαναλώσεις αὐτοὺς ὑποκάτωθεν τοῦ οὐρανοῦ κύριε.

## IV.

Ἄλεφ. 1 Πῶς ἀμαυρωθήσεται χρυσίον, ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ 1
ἀγαθόν; ἐξεχύθησαν λίθοι ἅγιοι ἐπ' ἀρχῆς πασῶν ἐξόδων.
Βήθ. 2 Οἱ υἱοὶ Σιὼν οἱ τίμιοι, οἱ ἐπηρμένοι ἐν χρυσίῳ, πῶς ἐλογίσθη- 2
σαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως;
Γίμελ. 3 Καί γε δράκοντες ἐξέδυσαν μαστούς, ἐθήλασαν σκύμνοι αὐτῶν 3
θυγατέρας λαοῦ μου εἰς ἀνίατον, ὡς στρουθίον ἐν ἐρήμῳ.

---

36. κυριος pro τις 38. μημ 39. νουμ ... επιστρεψωμεν εως του (supple κυριου?). 40. πρ. υψηλ. επι χειρ. 41. ουχ ιλασθης 42. σαμχ ... και ουχ εφεισω 43. εινεκεν 44. απεωσθηναι ... αιν ... εμμεσω 45. om το 48. φη ... και ου σιωπησωμαι 51. σαδη ... om παντες ... επερεχυθη (sic) ... Versus 54. 55. 56. desunt. 57. κωφ ... τας αδικιας 59. ιδες 60. σεν 61. επανιστανομενων 62. επι τους οφθ. αυτ. 64. θαυ ... καρδιας μοχθον 65. καταξεις εν οργη ... υποκατω IV. 1. αλφ ... το χρυσιον 2. βηθ ... om Οι ... επηρμενοι sine οι ... αγγια 3. γιμλ ... θυγατερες

Digitized by Google

4 Δάλεθ. [4]Ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν
δίψει· νήπια ᾔτησαν ἄρτον, ὁ διακλῶν οὐκ ἔστιν αὐτοῖς.
5 Ἤ. [5]Οἱ ἔσθοντες τὰς τρυφὰς ἠφανίσθησαν ἐν ταῖς ἐξόδοις, οἱ τιθηνού-
μενοι ἐπὶ κόκκων περιεβάλλοντο κοπρίας.
6 Οὐαῦ. [6]Καὶ ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου ὑπὲρ ἀνομίας Σοδό-
μων τῆς κατεστραμμένης ὥςπερ σπουδῇ, καὶ οὐκ ἐπόνεσαν ἐν αὐτῇ χεῖρας.
7 Ζαΐν. [7]Ἐκαθαριώθησαν Ναζιραῖοι αὐτῆς ὑπὲρ χιόνα, ἔλαμψαν ὑπὲρ γάλα,
ἐπυρώθησαν ὑπὲρ λίθους, σαπφείρου τὸ ἀπόσπασμα αὐτῶν.
8 Ἤθ. [8]Ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν, οὐκ ἐπεγνώσθησαν ἐν
ταῖς ἐξόδοις· ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν, ἐξηράνθησαν, ἐγενή-
θησαν ὥςπερ ξύλον.
9 Τήθ. [9]Καλοὶ ἦσαν οἱ τραυματίαι ῥομφαίας ἢ οἱ τραυματίαι λιμοῦ·
ἐπορεύθησαν ἐκκεκεντημένοι ἀπὸ γεννημάτων ἀγρῶν.
10 Ἰώδ. [10]Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν, ἐγενή-
θησαν εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι τῆς θυγατρὸς τοῦ λαοῦ μου.
11 Χάφ. [11]Συνετέλεσε κύριος θυμὸν αὐτοῦ, ἐξέχεε θυμὸν ὀργῆς αὐτοῦ καὶ
ἀνῆψε πῦρ ἐν Σιών, καὶ κατέφαγε τὰ θεμέλια αὐτῆς.
12 Λάμεδ. [12]Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς, πάντες οἱ κατοικοῦντες τὴν οἰ-
κουμένην, ὅτι εἰςελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων διὰ τῶν πυλῶν Ἱερουσαλήμ.
13 Μήμ. [13]Ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς, ἀδικιῶν ἱερέων αὐτῆς, τῶν ἐκ-
χεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.
14 Νούν. [14]Ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις, ἐμολύνθησαν ἐν
αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτούς, ἥψαντο ἐνδυμάτων αὐτῶν.
15 Σάμεχ. [15]Ἀπόστητε ἀκαθάρτων, καλέσατε αὐτούς· Ἀπόστητε ἀπόστητε,
μὴ ἅπτεσθε, ὅτι ἀνήφθησαν καί γε ἐσαλεύθησαν· εἴπατε ἐν τοῖς ἔθνεσιν Οὐ
μὴ προςθῶσι τοῦ παροικεῖν.
16 Αΐν. [16]Πρόςωπον κυρίου μερὶς αὐτῶν, οὐ προςθήσει ἐπιβλέψαι αὐτοῖς·
πρόςωπον ἱερέων οὐκ ἔλαβον, προφήτας οὐκ ἠλέησαν.
17 Φή. [17]Ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ ἡμῶν, εἰς τὴν βοήθειαν
ἡμῶν μάταια ἀποσκοπευόντων ἡμῶν.
18 Τσαδή. [18]Ἀπεσκοπεύσαμεν εἰς ἔθνος οὐ σῶζον, ἐθηρεύσαμεν μικροὺς
ἡμῶν τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν.
19 Κώφ. [19]Ἤγγικεν ὁ καιρὸς ἡμῶν, ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν, πάρ-
εστιν ὁ καιρὸς ἡμῶν· κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρα-
νοῦ, ἐπὶ τῶν ὀρέων ἐξέπτησαν, ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς.
20 Ῥήχς. [20]Πνεῦμα προςώπου ἡμῶν χριστὸς κύριος συνελήφθη ἐν ταῖς
διαφθοραῖς αὐτῶν, οὗ εἴπαμεν Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι.
21 Χσέν. [21]Χαῖρε καὶ εὐφραίνου, θύγατερ Ἰδουμαίας ἡ κατοικοῦσα ἐπὶ
γῆς, καί γε ἐπὶ σὲ διελεύσεται τὸ ποτήριον κυρίου, μεθυσθήσῃ καὶ ἀποχεεῖς.
22 Θαῦ. [22]Ἐξέλιπεν ἡ ἀνομία σου, θύγατερ Σιών, οὐ προςθήσει τοῦ ἀποι-
κίσαι σε. ἐπεσκέψατο ἀνομίας σου, θύγατερ Ἐδώμ, ἀπεκάλυψεν ἐπὶ τὰ ἀσε-
βήματά σου.

---

4. δελεθ ... και ο κλων 5. ηπ ... εσθιοντες τας τροφας ... επι κολπων περιελαβον 6. ουαυ ... η ανομια 7. ζαι ... ετυρωθησαν ... cd. rom. επ., υπερ λιθου 8. ηθ ... οστα 9. τηθ ... γενηματων 10. ιωδ 11. χαφ deest; συνετελεσεν usq. αυτης c. antecedd. conjg. ... εξεχεεν οργην θυμου αυτου 12. λαβδ 13. μημ ... προφητ. αυτων ... *om εν μεσω (**εμμεσω) αυτης 14. νουμ ... επι ταις εξοδοις ... ηψατο 15. σαχχ (sic) ... απο ακαθαρτων 16. αιν ... πρεσβυτας pro προφητας 17. φη ... εξελειπον 18. σαδη ... παραπορευεσθαι ... πλατιαις 19. χωφ ... επι των ορεων· εξηφθησαν επι των ορεων ενηδρ. ημ. 20. ρης ... συνελημφθη ... οι ειπαμεν 21. σεν ... επι της γης ... διελευσεται ποτηριον κυριου· και μεθυσθηση ... cd. rom. ἀποχέεις 22. θαυ ... εξελειπεν ... προςθ. ετι αποικισαι σε· επ. αδικιαν σου

Digitized by Google

## V.

Μνήσϑητι κύριε ὅ τι ἐγενήϑη ἡμῖν, ἐπίβλεψον καὶ ἴδε τὸν ὀνειδισμὸν
ἡμῶν. 2 κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις, οἱ οἶκοι ἡμῶν ξένοις. 3 ὀρ- 2 3
φανοὶ ἐγενήϑημεν, οὐχ ὑπάρχει πατήρ, μητέρες ἡμῶν ὡς αἱ χῆραι. 4 ὕδωρ 4
ἡμῶν ἐν ἀργυρίῳ ἐπίομεν, ξύλα ἡμῶν ἐν ἀλλάγματι ἦλϑεν ἐπὶ τὸν τράχηλον
ἡμῶν. 5 ἐδιώχϑημεν, ἐκοπιάσαμεν, οὐκ ἀνεπαύϑημεν. 6 Αἴγυπτος ἔδωκε χεῖρα, 5 6
Ἀσσοὺρ εἰς πλησμονὴν αὐτῶν. 7 οἱ πατέρες ἡμῶν ἥμαρτον, οὐχ ὑπάρχουσιν, 7
ἡμεῖς τὰ ἀνομήματα αὐτῶν ὑπέσχομεν. 8 δοῦλοι ἐκυρίευσαν ἡμῶν, λυτρούμε- 8
νος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν. 9 ἐν ταῖς ψυχαῖς ἡμῶν εἰςοίσομεν ἄρτον 9
ἡμῶν ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου. 10 τὸ δέρμα ἡμῶν ὡς κλίβανος 10
ἐπελιώϑη, συνεσπάσϑησαν ἀπὸ προσώπου καταιγίδων λιμοῦ. 11 γυναῖκας ἐν 11
Σιὼν ἐταπείνωσαν, παρϑένους ἐν πόλεσιν Ἰούδα. 12 ἄρχοντες ἐν χερσὶν αὐτῶν 12
ἐκρεμάσϑησαν, πρεσβύτεροι οὐκ ἐδοξάσϑησαν. 13 ἐκλεκτοὶ κλαυϑμὸν ἀνέλαβον, 13
καὶ νεανίσκοι ἐν ξύλῳ ἠσϑένησαν. 14 καὶ πρεσβῦται ἀπὸ πύλης κατέπαυσαν, 14
ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν. 15 κατέλυσε χαρὰ καρδίας ἡμῶν, 15
ἐστράφη εἰς πένϑος ὁ χορὸς ἡμῶν, 16 ἔπεσεν ὁ στέφανος ἡμῶν τῆς κεφαλῆς. 16
οὐαὶ δὲ ἡμῖν ὅτι ἡμάρτομεν. 17 περὶ τούτου ἐγενήϑη ὀδύνη ὀδυνηρὰ ἡ καρδία 17
ἡμῶν, περὶ τούτου ἐσκότασαν οἱ ὀφϑαλμοὶ ἡμῶν. 18 ἐπ' ὄρος Σιών, ὅτι 18
ἠφανίσϑη, ἀλώπεκες διῆλϑον ἐν αὐτῇ. 19 σὺ δὲ κύριε εἰς τὸν αἰῶνα κατοι- 19
κήσεις, ὁ ϑρόνος σου εἰς γενεὰν καὶ γενεάν. 20 ἵνα τί εἰς νῖκος ἐπιλήσῃ 20
ἡμῶν; καταλείψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν; 21 ἐπίστρεψον ἡμᾶς κύριε 21
πρὸς σέ, καὶ ἐπιστραφησόμεϑα· καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καϑὼς ἔμ-
προσϑεν. 22 ὅτι ἀπωϑούμενος ἀπώσω ἡμᾶς, ὠργίσϑης ἐφ' ἡμᾶς ἕως σφόδρα. 22

---

# ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ.

Ἀντίγραφον ἐπιστολῆς ἧς ἀπέστειλεν Ἱερεμίας πρὸς τοὺς ἀχϑησομένους
αἰχμαλώτους εἰς Βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων, ἀναγγεῖλαι
αὐτοῖς καϑότι ἐπετάγη αὐτῷ ὑπὸ τοῦ ϑεοῦ. Διὰ τὰς ἁμαρτίας ἃς ἡμαρτή-
κατε ἐναντίον τοῦ ϑεοῦ ἀχϑήσεσϑε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχο-
δονόσορ βασιλέως τῶν Βαβυλωνίων. 2 εἰςελϑόντες οὖν εἰς Βαβυλῶνα ἔσεσϑε 2
ἐκεῖ ἔτη πλείονα καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά· μετὰ τοῦτο δὲ ἐξάξω
ὑμᾶς ἐκεῖϑεν μετ' εἰρήνης. 3 νυνὶ δὲ ὄψεσϑε ἐν Βαβυλῶνι ϑεοὺς ἀργυροῦς 3
καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ' ὤμοις αἰρομένους, δεικνύντας φόβον τοῖς ἔϑνεσιν.
4 εὐλαβήϑητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωϑέντες τοῖς ἀλλοφύλοις ἀφομοιωϑῆτε, 4
καὶ φόβος ὑμᾶς λάβῃ ἐπ' αὐτοῖς, 5 ἰδόντας ὄχλον ἔμπροσϑεν καὶ ὄπισϑεν 5
αὐτῶν προςκυνοῦντας αὐτά· εἴπατε δὲ τῇ διανοίᾳ Σοὶ δεῖ προςκυνεῖν δέσποτα.
6 ὁ γὰρ ἄγγελός μου μεϑ' ὑμῶν ἐστίν, αὐτός τε ἐκζητῶν τὰς ψυχὰς ὑμῶν. 6

---

V. 1. ed. rom. οτι 3. ως χηραι 4. εξ ημερων ημων (sic) pro υδ. ημων εν αργ. επιομεν ... ηλϑον 10. το δερημα 16. της κεφαλ. ημων 17. om οδυνη 22. ημας οργισϑης (sed -ας οργι- in rasura)

Subscriptio: ϑρηνοι ιερεμιου

---

Inscriptio: επιστολη ιερεμιου

1. υπεταγη αυτοις ... εναντι ... ναβ. του βασιλεως 5. ιδοντες ... om αυτων ... om ειπατε δε usque δεσποτα

Digitized by Google

7 [7] γλῶσσα γὰρ αὐτῶν ἐστὶ κατεξυσμένη ὑπὸ τέκτονος, αὐτά τε περίχρυσα καὶ
8 περιάργυρα, ψευδῆ δ' ἐστὶ καὶ οὐ δύνανται λαλεῖν. [8] καὶ ὥςπερ παρθένῳ φι-
9 λοκόσμῳ λαμβάνοντες χρυσίον [9] κατασκευάζουσι στεφάνους ἐπὶ τὰς κεφαλὰς
τῶν θεῶν αὐτῶν· ἔστι δὲ καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐ-
10 τῶν χρυσίον καὶ ἀργύριον εἰς ἑαυτοὺς καταναλοῦσι, [10] δώσουσι δὲ ἀπ' αὐτῶν
καὶ ταῖς ἐπὶ τοῦ στέγους πόρναις. κοσμοῦσί τε αὐτοὺς ὡς ἀνθρώπους τοῖς
11 ἐνδύμασι, θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς καὶ ξυλίνους. [11] οὗτοι δὲ οὐ
διασώζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων, περιβεβλημένων αὐτῶν ἱματισμὸν πορ-
12 φυροῦν. [12] ἐκμάσσονται τὸ πρόςωπον αὐτῶν διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν,
13 ὅς ἐστι πλείω ἐπ' αὐτοῖς. [13] καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας,
14 ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖ. [14] ἔχει δὲ ἐγχειρίδιον δεξιᾷ καὶ
πέλεκυν, ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. ὅθεν γνώριμοί εἰ-
15 σιν οὐκ ὄντες θεοί· μὴ οὖν φοβηθῆτε αὐτούς. [15] ὥςπερ γὰρ σκεῦος ἀνθρώ-
16 που συντριβὲν ἀχρεῖον γίνεται, [16] τοιοῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν, καθι-
δρυμένων αὐτῶν ἐν τοῖς οἴκοις. οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶ κονιορτοῦ
17 ἀπὸ τῶν ποδῶν τῶν εἰςπορευομένων. [17] καὶ ὥςπερ τινὶ ἠδικηκότι βασιλέα
περιπεφραγμέναι εἰσὶν αἱ αὐλαί, ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ, τοὺς οἴκους αὐ-
τῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασί τε καὶ κλείθροις καὶ μοχλοῖς, ὅπως ὑπὸ
18 τῶν λῃστῶν μὴ συληθῶσιν. [18] λύχνους καίουσι καὶ πλείους ἢ ἑαυτοῖς, ὧν
19 οὐδένα δύνανται ἰδεῖν. [19] ἔστι μὲν ὥςπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ
καρδίας αὐτῶν φασὶν ἐκλείχεσθαι τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν, κατεσθόντων
20 αὐτούς τε καὶ τὸν ἱματισμὸν αὐτῶν οὐκ αἰσθάνονται. [20] μεμελανωμένοι τὸ
21 πρόςωπον αὐτῶν ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. [21] ἐπὶ τὸ σῶμα αὐτῶν
καὶ ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐφίπτανται νυκτερίδες, χελιδόνες καὶ τὰ ὄρνεα,
22 ὡσαύτως δὲ καὶ οἱ αἴλουροι. [22] ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσὶ θεοί· μὴ οὖν φο-
23 βεῖσθε αὐτά. [23] τὸ γὰρ χρυσίον ὃ περίκειται εἰς κάλλος, ἐὰν μή τις ἐκμάξῃ
24 τὸν ἰόν, οὐ μὴ στίλψωσιν· οὐδὲ γὰρ ὅτε ἐχωνεύοντο ᾐσθάνοντο. [24] ἐκ πάσης
25 τιμῆς ἠγορασμένα ἐστίν, ἐν οἷς οὐκ ἔστι πνεῦμα. [25] ἄνευ ποδῶν ἐπ' ὤμοις
φέρονται ἐνδεικνύμενοι τὴν ἑαυτῶν ἀτιμίαν τοῖς ἀνθρώποις, αἰσχύνονταί τε
26 καὶ οἱ θεραπεύοντες αὐτά, [26] διὰ τὸ εἴ ποτε ἐπὶ τὴν γῆν πέσῃ μὴ δι' αὐτῶν
ἀνίστασθαι· μήτε ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ, δι' ἑαυτοῦ κινηθήσεται, μήτε
ἐὰν κλιθῇ, οὐ μὴ ὀρθωθῇ, ἀλλ' ὥςπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται.
27 [27] τὰς δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται· ὡσαύτως
δὲ καὶ αἱ γυναῖκες ἀπ' αὐτῶν ταριχεύουσαι οὔτε πτωχῷ οὔτε ἀδυνάτῳ μὴ
28 μεταδῶσι· [28] τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ λεχὼς ἅπτονται. γνόντες
29 οὖν ἀπὸ τούτων ὅτι οὐκ εἰσὶ θεοί, μὴ φοβηθῆτε αὐτούς. [29] πόθεν γὰρ κλη-
θείησαν θεοί; ὅτι γυναῖκες παρατιθέασι θεοῖς ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυ-
30 λίνοις· [30] καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς διφρεύουσιν, ἔχοντες τοὺς χιτῶνας
διεῤῥωγότας καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους, ὧν αἱ κεφα-
31 λαὶ ἀκάλυπτοί εἰσιν, [31] ὠρύονται δὲ βοῶντες ἐναντίον τῶν θεῶν αὐτῶν ὥςπερ
32 τινὲς ἐν περιδείπνῳ νεκροῦ. [32] ἀπὸ τοῦ ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς

---

7. om εστι ... ψ. δε εστιν 9. υφαιρομενοι ... καταναλωσουσιν 10. τεγους ... κοσμ. δε ... θεους χρυσους και αργυρους κ. ξυλ. 14. εν τη δεξια ... εκ πολεμων 15. αχρηστον γεινεται 16. εν τοις κηποις 17. η ως επι ... οι ιερεις αυτων ... οπως μη υπο τ. λ. συληθωσιν 18. και πλειονας αυτοις ων ου δυνανται 19. εστιν δε ωςπερ 20. του εκ της γης καιομενου 21. χελιδ. και νυκτερ. ... ελουροι 22. φοβηθητε 25. επ ωμοις αιρονται ενδιγνυμενοι ... αισχυν. δε 26. το μη ποτε ... πεση δι εαυτων ... μη ποτε εαν τις αυτον ... μη ποτε εαν κλειθη ... αλλα ωςπερ 27. αι γυναικες αυτων απ αυτων ... αδυν. μεταδιδοασιν 28. και λοχω (corrige λεχω?) απτονται 29. κληθησονται θεοι 30. οι ιερ. διαφθειρουσιν ... εξυρημενοι 31. ορυονται ... παιδιπνω (sic)

Digitized by Google

ἐνδύσουσι τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία· οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό
τινος [33] οὔτε ἐὰν ἀγαθόν, δυνήσονται ἀνταποδοῦναι· οὔτε καταστῆσαι βασι- 33
λέα δύνανται οὔτε ἀφελέσθαι. [34] ὡσαύτως οὔτε πλοῦτον οὔτε χαλκὸν οὐ μὴ 34
δύνωνται διδόναι· ἐάν τις εὐχὴν αὐτοῖς εὐξάμενος μὴ ἀποδῷ, οὐ μὴ ἐπιζη-
τήσωσιν· [35] ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται, οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ 35
μὴ ἐξέλωνται· [36] ἄνθρωπον τυφλὸν εἰς ὅρασιν οὐ μὴ περιστήσωσιν, ἐν ἀνάγκῃ 36
ἄνθρωπον ὄντα οὐ μὴ ἐξέλωνται· [37] χήραν οὐ μὴ ἐλεήσωσιν, οὔτε ὀρφανὸν 37
εὖ ποιήσωσι. [38] τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμένοι εἰσὶ τὰ ξύλινα καὶ τὰ 38
περίχρυσα καὶ τὰ περιάργυρα, οἱ δὲ θεραπεύοντες αὐτὰ καταισχυνθήσονται.
[39] πῶς οὖν νομιστέον ἢ κλητέον ὑπάρχειν αὐτοὺς θεούς; [40] ἔτι δὲ καὶ αὐτῶν 39 40
τῶν Χαλδαίων ἀτιμαζόντων αὐτά, οἳ ὅταν ἴδωσιν ἐνεὸν μὴ δυνάμενον λαλῆ-
σαι, προσενεγκάμενοι τὸν Βῆλον ἀξιοῦσι φωνῆσαι, ὡς δυνατοῦ ὄντος αὐτοῦ
αἰσθέσθαι, [41] καὶ οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά, αἴσθησιν 41
γὰρ οὐκ ἔχουσιν. [42] αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγκά- 42
θηνται, θυμιῶσαι τὰ πίτυρα· [43] ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος 43
τῶν παραπορευομένων κοιμηθῇ, τὴν πλησίον ὀνειδίζει, ὅτι οὐκ ἠξίωται ὥσπερ
καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διεῤῥάγη. [44] πάντα τὰ γενόμενα ἐν αὐτοῖς 44
ἐστὶ ψευδῆ. πῶς οὖν νομιστέον ἢ κλητέον ὡς θεοὺς αὐτοὺς ὑπάρχειν; [45] ὑπὸ 45
τεκτόνων καὶ χρυσοχόων κατεσκευασμένα εἰσίν· οὐθὲν ἄλλο μὴ γένηται ἢ ὃ
βούλονται οἱ τεχνῖται αὐτὰ γενέσθαι. [46] αὐτοί τε οἱ κατασκευάζοντες αὐτὰ 46
οὐ μὴ γένωνται πολυχρόνιοι· [47] πῶς τε δὴ μέλλει τὰ ὑπ᾽ αὐτῶν κατασκευα- 47
σθέντα; κατέλιπον γὰρ ψεύδη καὶ ὄνειδος τοῖς ἐπιγινομένοις. [48] ὅταν γὰρ 48
ἐπέλθῃ ἐπ᾽ αὐτὰ πόλεμος καὶ κακά, βουλεύονται πρὸς ἑαυτοὺς οἱ ἱερεῖς ποῦ
συναποκρυβῶσι μετ᾽ αὐτῶν. [49] πῶς οὖν οὐκ ἔστιν αἰσθέσθαι ὅτι οὐκ εἰσὶ 49
θεοί, οἳ οὔτε σώζουσιν ἑαυτοὺς ἐκ πολέμου οὔτε ἐκ κακῶν; [50] ὑπάρχοντα 50
γὰρ ξύλινα καὶ περίχρυσα καὶ περιάργυρα γνωσθήσεται μετὰ ταῦτα ὅτι ἐστὶ
ψευδῆ· τοῖς ἔθνεσι πᾶσι τοῖς τε βασιλεῦσι φανερὸν ἔσται ὅτι οὐκ εἰσὶ θεοὶ
ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, καὶ οὐδὲν θεοῦ ἔργον ἐν αὐτοῖς ἐστι. [51] τίνι 51
οὖν γνωστέον ἐστὶν ὅτι οὐκ εἰσὶ θεοί; [52] βασιλέα γὰρ χώρας οὐ μὴ ἀναστή- 52
σωσιν, οὔτε ὑετὸν ἀνθρώποις οὐ μὴ δῶσι, [53] κρίσιν τε οὐ μὴ διακρίνωσιν 53
ἑαυτῶν, οὐδὲ μὴ ῥύσωνται ἀδίκημα, ἀδύνατοι ὄντες· [54] ὥςπερ γὰρ κορῶναι 54
ἀνὰ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς. καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν
ξυλίνων ἢ περιχρύσων ἢ περιαργύρων πῦρ, οἱ μὲν ἱερεῖς αὐτῶν φεύξονται
καὶ διασωθήσονται, αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι κατακαυθήσονται. [55] βασιλεῖ 55
δὲ καὶ πολεμίοις οὐ μὴ ἀντιστῶσι. [56] πῶς οὖν ἐκδεκτέον ἢ νομιστέον ὅτι εἰσὶ 56
θεοί; οὔτε ἀπὸ κλεπτῶν οὔτε ἀπὸ λῃστῶν οὐ μὴ διασωθῶσι, θεοὶ ξύλινοι
καὶ περιάργυροι καὶ περίχρυσοι· [57] ὧν οἱ ἰσχύοντες περιελοῦνται τὸ χρυσίον 57
καὶ τὸ ἀργύριον, καὶ τὸν ἱματισμὸν τὸν περικείμενον αὐτοῖς ἀπελεύσονται
ἔχοντες, οὔτε ἑαυτοῖς οὐ μὴ βοηθήσωσιν. [58] ὥστε κρεῖσσον εἶναι βασιλέα 58
ἐπιδεικνύμενον τὴν ἑαυτοῦ ἀνδρείαν ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον, ἐφ᾽ ᾧ

---

34. αυτοις ευχην 35. ου μη εξελωνται 36. παραστησωσιν 39. αυτους υπαρχειν 40. ου δυναμενον ... τον βηλ αξιουσι τοτε λαλησαι 41. αυτοι τουτο νοησ. 42. περιτιθεμεναι ... θυμιωντες 43. απελκυσθεις ... κοιμηθη μετ αυτης την πλ. αυτης ... ουδε το 44. γεινομενα παρ αυτοις ... ωςτε θεους 45. εστιν· ουθεν γαρ αλλο ου μη γενωνται ... om οι τεχν. α. γεν. 47. πως ουν μελλει ... κατασκ. ειναι θεοι· κατελειπον 48. om επελθη ... επ αυτους 49. om οἳ ... σωζ. αυτους εκ πολεμων 50. οτι εισιν ψευδη ... τοις βασιλευσι φ. εστιν ... ουν pro θεου 51. γνωστον ουκ εσται οτι 53. διακρινωσιν αυτων ... ρυσ. αδικουμενον 54. ωςπ. αι κορωναι αι ανα ... om πυρ 55. βασιλει τε 56. ουν η νομισταιον η δεκταιον ... διασωσουσιν 57. και απελευσονται ... οι δε εαυτοις 58. κρεισσων ... επιδειγνυμενον ... ανδριαν

Digitized by Google

κεχρήσεται ὁ κεκτημένος, ἢ οἱ ψευδεῖς θεοί· ἢ καὶ θύρα ἐν οἰκίᾳ διασώζουσα
τὰ ἐν αὐτῇ ὄντα ἢ οἱ ψευδεῖς θεοί, καὶ ξύλινος στῦλος ἐν βασιλείοις ἢ οἱ
59 ψευδεῖς θεοί. [59] ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ καὶ ἀπο-
60 στελλόμενα ἐπὶ χρείας εὐήκοά εἰσιν. [60] ὡσαύτως καὶ ἀστραπὴ ὅταν ἐπιφανῇ
61 εὔοπτός ἐστι· τὸ δ' αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ χώρᾳ πνεῖ· [61] καὶ νεφέλαις
ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ ἐπιπορεύεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην, συντε-
62 λοῦσι τὸ ταχθέν· [62] τό τε πῦρ ἐξαποσταλὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυ-
μοὺς ποιεῖ τὸ συνταχθέν. ταῦτα δὲ οὔτε ταῖς εἰδέαις οὔτε ταῖς δυνάμεσιν αὐτῶν
63 ἀφωμοιωμένα ἐστίν. [63] ὅθεν οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν αὐτοὺς
θεούς, οὐ δυνατῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι οὔτε εὖ ποιῆσαι ἀνθρώ-
64 65 ποις. [64] γνόντες οὖν ὅτι οὐκ εἰσὶ θεοί, μὴ φοβηθῆτε αὐτούς. [65] οὔτε γὰρ βα-
66 σιλεῦσιν οὐ μὴ καταράσωνται οὔτε μὴ εὐλογήσωσιν. [66] σημεῖά τε ἐν ἔθνεσιν
ἐν οὐρανῷ οὐ μὴ δείξωσιν, οὐδὲ ὡς ὁ ἥλιος λάμψουσιν, οὔτε φωτιοῦσιν ὡς
67 ἡ σελήνη. [67] τὰ θηρία αὐτῶν ἐστι κρείττω, ἃ δύνανται ἐκφυγόντα εἰς σκέπην
68 ἑαυτὰ ὠφελῆσαι. [68] κατ' οὐδένα οὖν τρόπον ἡμῖν ἐστι φανερὸν ὅτι εἰσὶ θεοί·
69 διὸ μὴ φοβηθῆτε αὐτούς. [69] ὥςπερ γὰρ ἐν σικυηράτῳ προβασκάνιον οὐδὲν
φυλάσσον, οὕτως οἱ θεοὶ αὐτῶν εἰσὶ ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι.
70 [70] τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ' ἧς πᾶν ὄρνεον ἐπικάθηται,
ὡσαύτως δὲ καὶ νεκρῷ ἐῤῥιμμένῳ ἐν σκότει ἀφωμοίωνται οἱ θεοὶ αὐτῶν ξύ-
71 λινοι καὶ περίχρυσοι καὶ περιάργυροι. [71] ἀπό τε τῆς πορφύρας καὶ τῆς μαρ-
μάρου τῆς ἐπ' αὐτοὺς σηπομένης γνωσθήσονται ὅτι οὐκ εἰσὶ θεοί· αὐτά τε
72 ἐξ ὑστέρου βρωθήσονται, καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ. [72] κρεῖσσον οὖν ἄν-
θρωπος δίκαιος οὐκ ἔχων εἴδωλα, ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

---

# ΙΕΖΕΚΙΗΛ.

## I.

Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τετάρτῳ μηνὶ πέμπτῃ τοῦ Αρος
μηνὸς καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, 4. 5
2 καὶ ἠνοίχθησαν οἱ οὐρανοί, καὶ ἴδον ὁράσεις θεοῦ. [2] πέμπτῃ τοῦ μηνός, τοῦτο
τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως Ἰωακεὶμ, καὶ ἐγένετο
λόγος κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζεὶ τὸν ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ
3 4 ποταμοῦ τοῦ Χοβάρ. [3] καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, [4] καὶ ἴδον, καὶ ἰδοὺ
πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ βοῤῥᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος
κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον, καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου
5 ἐν μέσῳ τοῦ πυρὸς καὶ φέγγος ἐν αὐτῷ, [5] καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα

58. χρησεται ο κτησαμενος 59. ευηκοα εστιν 60. το δ αυτο πνευμα ... νεφελη 62. το δε πυρ ... ουδε bis ... ιδεαις ... ενι αυτων 63. ουτε εκλεκταιον αυτους υπαρχειν ... ποιειν 65. καταρασονται ... ευλογησουσιν 66. εν ουρανω και εν εθνεσιν ... ουτε ως ο ηλ. ου μη εκλαμψουσιν ουτε μη 67. κρισσων εστιν αυτων ... αυτα ωφελ. 68. εστιν ημιν 69. συκηερατω ... φυλασσων 70. την εν κηπω (sed sequitur ραμνω) ... ωςαυτως και 71. επ αυτων ... γνωσεσθαι ... βρωθησονται απ αυτων ... εν χωρα 72. κρισσων ... ιδωλα, εστ. γαρ αυτος

Subscriptio: ιερεμιας προφητης βαρουχ θρηνοι και επιστολη

Inscriptio: ιεζεκιηλ προφητης ιε

I. 1. εμμεσω 2. ετος πεμπτον 3. εκει επ εμε 4. ως ομοιωμα ηλεκτρου εμμεσω

Digitized by Google

τεσσάρων ζώων. καὶ αὕτη ἡ ὅρασις αὐτῶν. ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς·
[6]καὶ τέσσαρα πρόσωπα τῷ ἑνί, καὶ τέσσαρες πτέρυγες τῷ ἑνί· [7]καὶ τὰ σκέλη 6 7
αὐτῶν ὀρθά, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων
χαλκός· καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν, [8]καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν 8
τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν· καὶ τὰ πρόσωπα αὐτῶν
τῶν τεσσάρων [9]οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά, ἕκαστον ἀπέναντι τοῦ 9
προσώπου αὐτῶν ἐπορεύοντο. [10]καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον 10
ἀνθρώπου καὶ πρόσωπον τοῦ λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον
μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι. [11]καὶ 11
αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν, ἑκατέρῳ δύο συνε-
ζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν.
[12]καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο· οὗ ἂν ἦν τὸ πνεῦμα πο- 12
ρευόμενον ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον. [13]καὶ ἐν μέσῳ τῶν ζώων ὅρασις 13
ὡς ἀνθράκων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων ἀνὰ μέσον
τῶν ζώων καὶ φέγγος τοῦ πυρός, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή.
[15]καὶ ἴδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζώων τοῖς τέσ- 15
σαρσι. [16]καὶ τὸ εἶδος τῶν τροχῶν ὡς εἶδος θαρσείς, καὶ ὁμοίωμα ἓν τοῖς 16
τέσσαρσι· καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ, [17]ἐπὶ τὰ 17
τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο. οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά,
[18]οὐδ' οἱ νῶτοι αὐτῶν, καὶ ὕψος ἦν αὐτοῖς· καὶ ἴδον αὐτά, καὶ οἱ νῶτοι 18
αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσιν. [19]καὶ ἐν τῷ πορεύεσθαι 19
τὰ ζῶα ἐπορεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῶα ἀπὸ
τῆς γῆς ἐξήροντο οἱ τροχοί. [20]οὗ ἂν ἦν ἡ νεφέλη ἐκεῖ τὸ πνεῦμα τοῦ πο- 20
ρεύεσθαι, ἐπορεύοντο οἱ τροχοὶ καὶ ἐξήροντο σὺν αὐτοῖς, διότι πνεῦμα ζωῆς
ἐν τοῖς τροχοῖς. [21]ἐν τῷ πορεύεσθαι αὐτὰ ἐπορεύοντο, καὶ ἐν τῷ ἑστάναι 21
αὐτὰ εἱστήκεισαν, καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς ἐξήροντο σὺν αὐ-
τοῖς, ὅτι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. [22]καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐ- 22
τῶν τῶν ζώων ὡσεὶ στερέωμα ὡς ὅρασις κρυστάλλου ἐκτεταμένον ἐπὶ τῶν
πτερύγων αὐτῶν ἐπάνωθεν, [23]καὶ ὑποκάτωθεν τοῦ στερεώματος αἱ πτέρυγες 23
αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο ἐπικαλύπτου-
σαι τὰ σώματα αὐτῶν. [24]καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ 24
Apoc. 1, 15. πορεύεσθαι αὐτὰ ὡς φωνὴν ὕδατος πολλοῦ· καὶ ἐν τῷ ἑστάναι αὐτὰ κατέ-
παυον αἱ πτέρυγες αὐτῶν. [25]καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος 25
τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν [26]ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρό- 26
νου ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀν-
θρώπου ἄνωθεν. [27]καὶ ἴδον ὡς ὄψιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, 27

---

6. τεσσερα 7. ως ο εξαστραπτων 8. επι τα τεσσαρα usque προςωπα in rasura; antea nonnulla defuerunt ... και τα προςωπ. αυτων και αι πτερυγες αυτων των τεσσαρων εχομενα (-ναι correctum est) ετερα της ετερας· και τα προςωπα αυτων 9. κατεναντι 10. και η ομοιωσεις ... προςωπ. ανθρωπου αυτοις κ. πρ. λεοντος ... τοις τεσσαροις 11. *om ανωθεν 12. η pro ην ... επορευετο κ. ο. επεστρεφεν 13. εμμεσω ... ορασις ανθρακων ... ως αστραπη et add ([14]) και τα ζωα ετρεχον και ανεκαμπτον ως ειδος του βεζεκ 16. *om και ομοι. εν τ. τεσσαρσιν ... επι τροχω 17. τεσσερα 20. επορ. τα ζωα και οι τρ. εξηροντο ... ζωης ην εν 21. ιστηκεισαν ... εν τ. τροχ. ην 22. κεφαλης αυτοις 23. υποκατω ... δυο συνεζευγμεναι επικαλ. τω σωματι τα προσωπα αυτων 24. post πολλου add ως φωνην ικανου εν τω πορευεσθαι αυτα· φωνη του λογου ως φωνη παρεμβολης 25. υπερανω ... in fine add εν τω εσταναι αυτα ανιεντο αι πτερυγες αυτων 26. ab initio add και υπερανω του στερεωματος του υπερ κεφαλης αυτων ... επ αυτω 27. ειδον ... post ηλεκτρου add ως ορασις πυρος εσωθεν αυτου

Digitized by Google

καὶ ἀπὸ ὁράσεως ὀσφύος καὶ ἕως κάτω ἴδον ὅρασιν πυρός, καὶ τὸ φέγγος *Apoc
28 αὐτοῦ κύκλῳ [28] ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέραις ὑετοῦ, 1, 14.
οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν.

## II.

Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης κυρίου· καὶ ἴδον, καὶ πίπτω ἐπὶ
1 πρόςωπόν μου, καὶ ἤκουσα φωνὴν λαλοῦντος, [1] καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώ-
2 που, στῆθι ἐπὶ τοὺς πόδας σου, καὶ λαλήσω πρὸς σέ. [2] καὶ ἦλθεν ἐπ' ἐμὲ
πνεῦμα, καὶ ἀνέλαβέ με καὶ ἐξῆρέ με καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου,
3 καὶ ἤκουον αὐτοῦ λαλοῦντος πρὸς μέ, [3] καὶ εἶπε πρὸς μέ Υἱὲ ἀνθρώπου, ἐξα-
ποστέλλω ἐγὼ σὲ πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ, τοὺς παραπικραίνοντάς με,
οἵτινες παρεπίκρανάν με αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἕως τῆς σήμερον ἡμέ-
4 5 ρας, [4] καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος, [5] ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοη-
θῶσι, διότι οἶκος παραπικραίνων ἐστί, καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ ἐν
6 μέσῳ αὐτῶν. [6] καὶ σὺ υἱὲ ἀνθρώπου μὴ φοβηθῇς αὐτούς, μηδὲ ἐκστῇς ἀπὸ
προςώπου αὐτῶν· διότι παροιστρήσουσι καὶ ἐπισυστήσονται ἐπὶ σὲ κύκλῳ,
καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς, καὶ
7 ἀπὸ προςώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος παραπικραίνων ἐστί. [7] καὶ λα-
λήσεις τοὺς λόγους μου πρὸς αὐτούς, ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, ὅτι
8 οἶκος παραπικραίνων ἐστί. [8] καὶ σὺ υἱὲ ἀνθρώπου ἄκουε τοῦ λαλοῦντος πρὸς
σέ, μὴ γίνου παραπικραίνων καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε τὸ στόμα *Apoc
9 σου καὶ φάγε ὃ ἐγὼ δίδωμί σοι. [9] καὶ ἴδον, καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρὸς 10, 9. 10
10 μέ, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου. [10] καὶ ἀνείλησεν αὐτὴν ἐνώπιόν μου, καὶ ἦν
ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν καὶ τὰ ὀπίσω, καὶ ἐγέγραπτο θρῆνος καὶ
μέλος καὶ οὐαί. (3, 1.) καὶ εἶπε πρὸς μέ Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κε-
2 φαλίδα ταύτην, καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ. [2] καὶ διήνοιξε
τὸ στόμα μου, καὶ ἐψώμισέ με τὴν κεφαλίδα.

## III.

3 [3] Καὶ εἶπε πρὸς μέ Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία
σου πλησθήσεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ. καὶ ἔφαγον
4 αὐτήν, καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. [4] καὶ εἶπε πρὸς μέ *Apoc.
Υἱὲ ἀνθρώπου, βάδιζε καὶ εἴςελθε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ λάλησον 10, 10.
5 τοὺς λόγους μου πρὸς αὐτούς, [5] διότι οὐ πρὸς λαὸν βαθύγλωσσον σὺ ἐξαπο-
6 στέλλῃ, πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ, [6] οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους
ἢ ἀλλογλώσσους οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λό-
7 γους· καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰςήκουσάν σου. [7] ὁ δὲ
οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰςακοῦσαί σου, διότι οὐ βούλονται εἰςα-
8 κούειν μου, ὅτι πᾶς ὁ οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσι καὶ σκληροκάρδιοι. [8] καὶ
ἰδοὺ δέδωκα τὸ πρόςωπόν σου δυνατὸν κατέναντι τῶν προςώπων αὐτῶν, καὶ
9 τὸ νῖκός σου κατισχύσω κατέναντι τοῦ νίκους αὐτῶν, [9] καὶ ἔσται διὰ παντὸς
κραταιότερον πέτρας. μὴ φοβηθῇς ἀπ' αὐτῶν μηδὲ πτοηθῇς ἀπὸ προςώπου

---

κυκλω (sed inde ab αυτου κυκλω usque ad ανελ. με κ. εξηγειρεν με και omnia in rasura) ... ειδον ως ορασιν   II. ομοιωμα της δοξης ... ειδον 1. εξηγειρεν pro εξηρε 3. εξαποστελω ... οι πατερ. αυτ. ηθετησαν εν εμοι εως 4. ab initio add και υιοι σκληροπροσωποι και στερεοκαρδιοι· εγω αποστελλω σε προς αυτους ... κυριος κυριος 5. εμμεσω 6. εμμεσω 7. διοτι οικος 8. **και συ καθως ... α εγω 10. ενωπ. εμου ... κ. εν α. γεγρ. ην τα οπισθεν κ. τα εμπρ. ... εγεγραπτο εις αυτην   III. 4. βαδιζε εισελθε 5. βαθυχειλον (sed βαθ in rasura) και βαρυγλωσσον 6. τους λογ. αυτων 7. του ισραηλ φιλονεικοι 9. post πετρας add δεδωκα το νεικος (v. 8. νικος et νεικους) σου

Digitized by Google

αὐτῶν, διότι οἶκος παραπικραίνων ἐστί. 10 καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου, 10
πάντας τοὺς λόγους οὓς λελάληκα μετὰ σοῦ λάβε εἰς τὴν καρδίαν σου καὶ
τοῖς ὠσί σου ἄκουε, 11 καὶ βάδιζε εἴςελθε εἰς τὴν αἰχμαλωσίαν πρὸς τοὺς 11
υἱοὺς τοῦ λαοῦ σου καὶ λαλήσεις πρὸς αὐτούς, καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε
λέγει κύριος, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσι. 12 καὶ ἀνέλαβέ με πνεῦμα, 12
καὶ ἤκουσα κατόπισθέν μου φωνὴν σεισμοῦ μεγάλου Εὐλογημένη ἡ δόξα
κυρίου ἐκ τοῦ τόπου αὐτοῦ. 13 καὶ ἴδον φωνὴν τῶν πτερύγων τῶν ζώων πτε- 13
ρυσσομένων ἑτέρα πρὸς τὴν ἑτέραν, καὶ φωνὴ τῶν τροχῶν ἐχομένη αὐτῶν,
καὶ φωνὴ τοῦ σεισμοῦ. 14 καὶ τὸ πνεῦμα ἐξῆρέ με καὶ ἀνέλαβέ με, καὶ ἐπο- 14
ρεύθην ἐν ὁρμῇ τοῦ πνεύματός μου, καὶ χεὶρ κυρίου ἐγένετο ἐπ' ἐμὲ κραταιά.
15 καὶ εἰςῆλθον εἰς τὴν αἰχμαλωσίαν μετέωρος, καὶ περιῆλθον τοὺς κατοι- 15
κοῦντας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβὰρ τοὺς ὄντας ἐκεῖ· καὶ ἐκάθισα ἐκεῖ ἑπτὰ
ἡμέρας ἀναστρεφόμενος ἐν μέσῳ αὐτῶν. 16 καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας 16
λόγος κυρίου πρὸς μὲ λέγων 17 Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ 17
Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον, καὶ διαπειλήσῃ αὐτοῖς παρ'
ἐμοῦ, 18 ἐν τῷ λέγειν με τῷ ἀνόμῳ Θανάτῳ θανατωθήσῃ· καὶ οὐ διεστείλω 18
αὐτῷ τοῦ διαστείλασθαι τῷ ἀνόμῳ ἀποστρέψαι ἀπὸ τῶν ὁδῶν αὐτοῦ τοῦ
ζῆσαι αὐτόν, ὁ ἄνομος ἐκεῖνος τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ τὸ αἷμα
αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. 19 καὶ σὺ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ, καὶ 19
μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, ὁ ἄνομος
ἐκεῖνος ἐν τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ. 20 καὶ 20
ἐν τῷ ἀποστρέφειν δίκαιον ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ καὶ ποιήσει παρά-
πτωμα, καὶ δώσω τὴν βάσανον εἰς πρόςωπον αὐτοῦ, αὐτὸς ἀποθανεῖται, ὅτι
οὐ διεστείλω αὐτῷ· καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται, διότι οὐ μὴ
μνησθῶσιν αἱ δικαιοσύναι αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκ-
ζητήσω. 21 σὺ δὲ ἐὰν διαστείλῃ τῷ δικαίῳ τοῦ μὴ ἁμαρτεῖν, καὶ αὐτὸς μὴ 21
ἁμάρτῃ, ὁ δίκαιος ζωῇ ζήσεται, ὅτι διεστείλω αὐτῷ, καὶ σὺ τὴν σεαυτοῦ
ψυχὴν ῥύσῃ. 22 καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, καὶ εἶπε πρός μέ Ἀνάστηθι 22
καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ ἐκεῖ λαληθήσεται πρὸς σέ. 23 καὶ ἀνέστην καὶ 23
ἐξῆλθον πρὸς τὸ πεδίον, καὶ ἰδοὺ ἐκεῖ δόξα κυρίου εἱστήκει καθὼς ἡ ὅρασις
καὶ καθὼς ἡ δόξα κυρίου ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, καὶ πίπτω
ἐπὶ πρόςωπόν μου, 24 καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα καὶ ἔστησέ με ἐπὶ τοὺς 24
πόδας μου, καὶ ἐλάλησε πρὸς μὲ καὶ εἶπέ μοι Εἴςελθε καὶ ἐγκλείσθητι ἐν
μέσῳ τοῦ οἴκου σου. 25 καὶ σὺ υἱὲ ἀνθρώπου, ἰδοὺ δέδονται ἐπὶ σὲ δεσμοί, 25
καὶ δήσουσί σε ἐν αὐτοῖς, καὶ οὐ μὴ ἐξέλθῃς ἐκ μέσου αὐτῶν. 26 καὶ τὴν 26
γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα
ἐλέγχοντα, διότι οἶκος παραπικραίνων ἐστί. 27 καὶ ἐν τῷ λαλεῖν με πρὸς σὲ 27
ἀνοίξω τὸ στόμα σου καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος Ὁ ἀκούων
ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω, διότι οἶκος παραπικραίνων ἐστί.

## IV.

Καὶ σύ, υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον καὶ θήσεις αὐτὴν πρὸ
προςώπου σου, καὶ διαγράψεις ἐπ' αὐτὴν πόλιν τὴν Ἱερουσαλήμ, 2 καὶ δώσεις 2
ἐπ' αὐτὴν περιοχήν, καὶ οἰκοδομήσεις ἐπ' αὐτὴν προμαχῶνας, καὶ περιβα-

---

10. ελαληκα (sic) 11. κυριος κυριος 12. μεγαλου λεγοντων 13. ειδον φωνην πτερυγ. 14. το πν. κυριου ... επορ. μετεωρος εν ορμη 15. εμμεσω 16. 17. hi duo versus rescripti sunt. 18. ου διεστειλω αυτω ουδε ελαλησας του ... του ζητησαι αυτον ... εκ χειρος 19. αυτου και της ... σου ερυσω 20. απο της δικαιοσυνης ... ποιηση ... αι δικαιοσ. αυτ. ας εποιησεν 21. αμαρτανειν ... την ψυχ. σου 23. εις το παιδιον ... * om εκει ... ιστηκει ... om κυριου secundum 24. επι ποδας μου 24. εμμεσω 25. και συ ου μη εξελθης εξ αυτων 27. κυριος κυριος ... απιθετω



Digitized by Google

λεῖς ἐπ' αὐτὴν χάρακα, καὶ δώσεις ἐπ' αὐτὴν παρεμβολάς, καὶ τάξεις τὰς
3 βελοστάσεις κύκλῳ. [3] καὶ σὺ λάβε σεαυτῷ τήγανον σιδηροῦν καὶ θήσεις αὐτὸ
τοῖχον σιδηροῦν ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς πόλεως, καὶ ἑτοιμάσεις
τὸ πρόςωπόν σου ἐπ' αὐτήν, καὶ ἔσται ἐν συγκλεισμῷ, καὶ συγκλείσεις αὐ-
4 τήν· σημεῖόν ἐστι τοῦτο τοῖς υἱοῖς Ἰσραήλ. [4] καὶ σὺ κοιμηθήσῃ ἐπὶ τὸ πλευ-
ρόν σου τὸ ἀριστερόν, καὶ θήσεις τὰς ἀδικίας τοῦ οἴκου Ἰσραὴλ ἐπ' αὐτοῦ
κατὰ ἀριθμὸν τῶν ἡμερῶν πεντήκοντα καὶ ἑκατὸν ἃς κοιμηθήσῃ ἐπ' αὐτοῦ,
5 καὶ λήψῃ τὰς ἀδικίας αὐτῶν. [5] καὶ ἐγὼ δέδωκά σοι τὰς ἀδικίας αὐτῶν εἰς
ἀριθμὸν ἡμερῶν ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας, καὶ λήψῃ τὰς ἀδικίας τοῦ
6 οἴκου Ἰσραήλ. [6] καὶ συντελέσεις ταῦτα, καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου
τὸ δεξιόν, καὶ λήψῃ τὰς ἀδικίας τοῦ οἴκου Ἰούδα τεσσαράκοντα ἡμέρας·
7 ἡμέραν εἰς ἐνιαυτὸν τέθεικά σοι. [7] καὶ εἰς τὸν συγκλεισμὸν Ἱερουσαλὴμ ἑτοι-
μάσεις τὸ πρόςωπόν σου, καὶ τὸν βραχίονά σου στερεώσεις, καὶ προφητεύσεις
8 ἐπ' αὐτήν. [8] καὶ ἐγὼ ἰδοὺ δέδωκα ἐπὶ σὲ δεσμούς, καὶ μὴ στραφῇς ἀπὸ
τοῦ πλευροῦ σου τὸ πλευρόν σου ἕως οὗ συντελεσθῶσιν ἡμέραι τοῦ συγκλει-
9 σμοῦ σου. [9] καὶ σὺ λάβε σεαυτῷ πυροὺς καὶ κριθὰς καὶ κύαμον καὶ φακὸν
καὶ κέγχρον καὶ ὀλύραν, καὶ ἐμβαλεῖς αὐτὰ εἰς ἄγγος ἓν ὀστράκινον, καὶ
ποιήσεις αὐτὰ σεαυτῷ εἰς ἄρτους, καὶ κατὰ ἀριθμὸν τῶν ἡμερῶν ἃς σὺ κα-
θεύδεις ἐπὶ τοῦ πλευροῦ σου ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας φάγεσαι αὐτά.
10 [10] καὶ τὸ βρῶμά σου φάγεσαι ἐν σταθμῷ, εἴκοσι σίκλους τὴν ἡμέραν· ἀπὸ
11 καιροῦ ἕως καιροῦ φάγεσαι αὐτά. [11] καὶ ὕδωρ ἐν μέτρῳ πίεσαι, καὶ τὸ ἕκτον
12 τοῦ εἲν ἀπὸ καιροῦ ἕως καιροῦ πίεσαι. [12] καὶ ἐγκρυφίαν κρίθινον φάγεσαι
αὐτά, ἐν βολβίτοις κόπρου ἀνθρωπίνης ἐγκρύψεις αὐτὰ κατ' ὀφθαλμοὺς αὐτῶν,
13 [13] καὶ ἐρεῖς Τάδε λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραήλ Οὕτως φάγονται οἱ υἱοὶ
14 τοῦ Ἰσραὴλ ἀκάθαρτα ἐν τοῖς ἔθνεσιν. [14] καὶ εἶπα Μηδαμῶς, κύριε θεὲ
Ἰσραήλ· εἰ ἡ ψυχή μου οὐ μεμίανται ἐν ἀκαθαρσίᾳ, καὶ θνησιμαῖον καὶ
θηριάλωτον οὐ βέβρωκα ἀπὸ γενέσεώς μου ἕως τοῦ νῦν, οὐδὲ εἰςελήλυθεν εἰς
15 τὸ στόμα μου πᾶν κρέας ἕωλον. [15] καὶ εἶπε πρός μέ Ἰδοὺ δέδωκά σοι βόλ-
βιτα βοῶν ἀντὶ τῶν βολβίτων τῶν ἀνθρωπίνων, καὶ ποιήσεις τοὺς ἄρτους σου
16 ἐπ' αὐτῶν. [16] καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ συντρίβω στήριγμα
ἄρτου ἐν Ἱερουσαλήμ, καὶ φάγονται ἄρτον ἐν σταθμῷ καὶ ἐν ἐνδείᾳ, καὶ ὕδωρ
17 ἐν μέτρῳ καὶ ἐν ἀφανισμῷ πίονται, [17] ὅπως ἐνδεεῖς γένωνται ἄρτου καὶ ὕδα-
τος· καὶ ἀφανισθήσεται ἄνθρωπος καὶ ἀδελφὸς αὐτοῦ, καὶ ἐντακήσονται ἐν
ταῖς ἀδικίαις αὐτῶν.

## V.

Καὶ σύ, υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ ῥομφαίαν ὀξεῖαν ὑπὲρ ξυρὸν κου-
ρέως, κτήσῃ αὐτὴν σεαυτῷ, καὶ ἐπάξεις αὐτὴν ἐπὶ τὴν κεφαλήν σου καὶ ἐπὶ
2 τὸν πώγωνά σου. καὶ λήψῃ ζυγὸν σταθμίων καὶ διαστήσεις αὐτούς, [2] τὸ τέ-
ταρτον ἐν πυρὶ ἀνακαύσεις ἐν μέσῃ τῇ πόλει κατὰ τὴν πλήρωσιν τῶν ἡμερῶν
τοῦ συγκλεισμοῦ, καὶ λήψῃ τὸ τέταρτον καὶ κατακαύσεις αὐτὸ ἐν μέσῳ αὐ-
τῆς, καὶ τὸ τέταρτον κατακόψεις ἐν ῥομφαίᾳ κύκλῳ αὐτῆς, καὶ τὸ τέταρτον
3 διασκορπιεῖς τῷ πνεύματι, καὶ μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν. [3] καὶ λήψῃ
4 ἐκεῖθεν ὀλίγους ἐν ἀριθμῷ καὶ συμπεριλήψῃ αὐτοὺς τῇ ἀναβολῇ σου. [4] καὶ

IV. 4. εκατον ημερας ας ... λημψη 5. τας δυο αδικιας ... λημψη 6. συντελ. αυτα παντα ... λημψη ... τεσσερακοντα 7. εις συνκλισμον 8. ιδου εγω ... και ου μη στραφης ... αι ημεραι 10. ο φαγεσαι εν σταθμιω ... ημεραν φαγεσαι · απο καιρ. και εως 11. πιεσαι το εκτον του ιν 12. κατακρυψεις pro εγκρυψ. 13. οι υιοι ισραηλ 14. κυριε κυριε θεε του ισραηλ ... απο της γενεσεως ... ** βεβηλον pro εωλον 15. κυριος προς με 16. κυριος προς με ... εν (*om) ενδια 17. ταχησονται V. 1. κτησαι ... λημψη 2. *το τεταρτ. το ... εμμεση ... λημψη ... εμμεσω 3. λημψη ... συνπεριλημψη

Digitized by Google

ἐκ τούτων λήψῃ ἔτι καὶ ῥίψεις αὐτοὺς εἰς μέσον τοῦ πυρός, καὶ κατακαύ-
σεις αὐτοὺς ἐν πυρί· ἐξ αὐτῆς ἐξελεύσεται πῦρ. καὶ ἐρεῖς παντὶ οἴκῳ Ἰσραὴλ
[5] Τάδε λέγει κύριος Αὕτη ἡ Ἱερουσαλήμ, ἐν μέσῳ τῶν ἐθνῶν τέθεικα αὐτὴν 5
καὶ τὰς κύκλῳ αὐτῆς χώρας. [6] καὶ ἐρεῖς τὰ δικαιώματά μου τῇ ἀνόμῳ ἐκ 6
τῶν ἐθνῶν, καὶ τὰ νόμιμά μου τῶν χωρῶν τῶν κύκλῳ αὐτῆς, διότι τὰ δι-
καιώματά μου ἀπώσαντο, καὶ ἐν τοῖς νομίμοις μου οὐκ ἐπορεύθησαν ἐν αὐ-
τοῖς. [7] διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ' ὧν ἡ ἀφορμὴ ὑμῶν ἐκ τῶν ἐθνῶν 7
τῶν κύκλῳ ὑμῶν, καὶ ἐν τοῖς νομίμοις μου οὐκ ἐπορεύθητε, καὶ τὰ δικαιώ-
ματά μου οὐκ ἐποιήσατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν τῶν
κύκλῳ ὑμῶν οὐ πεποιήκατε, [8] διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, 8
καὶ ποιήσω ἐν μέσῳ σου κρίμα ἐνώπιον τῶν ἐθνῶν, [9] καὶ ποιήσω ἐν σοὶ ἃ 9
οὐ πεποίηκα καὶ ἃ οὐ ποιήσω ὅμοια αὐτοῖς ἔτι κατὰ πάντα τὰ βδελύγματά
σου. [10] διὰ τοῦτο πατέρες φάγονται τέκνα ἐν μέσῳ σου, καὶ τέκνα φάγονται 10
πατέρας· καὶ ποιήσω ἐν σοὶ κρίματα, καὶ διασκορπιῶ πάντας τοὺς καταλοί-
πους σου εἰς πάντα ἄνεμον. [11] διὰ τοῦτο Ζῶ ἐγώ, λέγει κύριος, ἡ μὴν ἀνθ' 11
ὧν τὰ ἅγιά μου ἐμίανας ἐν πᾶσι τοῖς βδελύγμασί σου, κἀγὼ ἀπώσομαί σε,
οὐ φείσεταί μου ὁ ὀφθαλμός, κἀγὼ οὐκ ἐλεήσω. [12] τὸ τέταρτόν σου ἐν θα- 12
νάτῳ ἀναλωθήσεται, καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται ἐν μέσῳ
σου, καὶ τὸ τέταρτόν σου εἰς πάντα ἄνεμον σκορπιῶ αὐτούς, καὶ τὸ τέταρ-
τόν σου ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου, καὶ μάχαιραν ἐκκενώσω ὀπίσω
αὐτῶν. [13] καὶ συντελεσθήσεται ὁ θυμός μου καὶ ἡ ὀργή μου ἐπ' αὐτούς, καὶ 13
ἐπιγνώσῃ διότι ἐγὼ κύριος λελάληκα ἐν ζήλῳ μου, ἐν τῷ συντελέσαι με τὴν
ὀργήν μου ἐπ' αὐτούς. [14] καὶ θήσομαί σε εἰς ἔρημον καὶ τὰς θυγατέρας σου 14
κύκλῳ σου ἐνώπιον παντὸς διοδεύοντος, [15] καὶ ἔσῃ στενακτὴ καὶ δηλαϊστὴ ἐν 15
τοῖς ἔθνεσι τοῖς κύκλῳ σου, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα ἐν ἐκδικήσει
θυμοῦ μου· ἐγὼ κύριος λελάληκα. [16] καὶ ἐν τῷ ἀποστεῖλαί με βολίδας τοῦ 16
λιμοῦ ἐπ' αὐτούς, καὶ ἔσονται εἰς ἔκλειψιν, καὶ συντρίψω στήριγμα ἄρτου
σου. [17] καὶ ἐξαποστελῶ ἐπὶ σὲ λιμὸν καὶ θηρία πονηρὰ καὶ τιμωρήσομαί σε, 17
καὶ θάνατος καὶ αἷμα διελεύσονται ἐπὶ σέ, καὶ ῥομφαίαν ἐπάξω ἐπὶ σὲ κυ-
κλόθεν· ἐγὼ κύριος λελάληκα.

## VI.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, στήρισον τὸ 2
πρόσωπόν σου ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ προφήτευσον ἐπ' αὐτά, [3] καὶ ἐρεῖς Τὰ 3
ὄρη Ἰσραήλ, ἀκούσατε λόγον κυρίου Τάδε λέγει κύριος τοῖς ὄρεσι καὶ τοῖς
βουνοῖς καὶ ταῖς φάραγξι καὶ ταῖς νάπαις Ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ῥομ-
φαίαν, καὶ ἐξολοθρευθήσεται τὰ ὑψηλὰ ὑμῶν, [4] καὶ συντριβήσονται τὰ θυ- 4
σιαστήρια ὑμῶν καὶ τὰ τεμένη ὑμῶν, καὶ καταβαλῶ τραυματίας ὑμῶν ἐνώπιον
τῶν εἰδώλων ὑμῶν, [5] καὶ διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν κύκλῳ τῶν θυσιαστη- 5
ρίων ὑμῶν. [6] καὶ ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν αἱ πόλεις ἐξερημωθήσονται καὶ 6

---

4. ληνψη 5. λεγ. αδωναι (h. l. sic, non -ναϊ) κυριος τη ιερουσαλημ εμμεσω 6. εκ των χωρων 7. αδωναϊ κυριος ... υμων ουκ εποιησατε 8. αδωναϊ κυριος 9. α ουκ εποιησα και ου μη ποιησω 10. εμμεσω 11. αδωναϊ κυριος ει μη ανθ ... εν πασι τοις προσοχθισμασιν σου και εν πασιν τ. βδ. σου ... και εγω ... και ου φεισεται ... και εγω ουκ ελ. σε 12. εμμεσω ... διασπερω αυτους 13. εν τω ζηλω μου 15. δηλαια ... εν οργη και εν θυμω και εν εκδικησει θυμου μου 16. om και ab initio ... εξαποστειλαι με τας βολιδας μου του θυμου επ VI. 3. λογ. αδωναι κυριου ... αδωναϊ κυριος ... **κ. ταις ναπ. κ. τ. φαραγξι ... εξολεθρευθησεται 5. ab initio add και δωσω τα πτωματα των υιων ισραηλ κατα προσωπον των ειδωλων αυτων 6. om και pr. ... ed. rom. et cod. alex. ὑμῶν. αἱ interpg.



Digitized by Google

τὰ ὑψηλὰ ἀφανισθήσεται, ὅπως ἐξολοθρευθῇ τὰ θυσιαστήρια ὑμῶν καὶ συν-
7 τριβήσονται τὰ εἴδωλα ὑμῶν καὶ ἐξαρθῇ τὰ τεμένη ὑμῶν, [7] καὶ πεσοῦνται
8 τραυματίαι ἐν μέσῳ ὑμῶν, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος. [8] ἐν τῷ γενέσθαι
ἐξ ὑμῶν ἀνασωζομένους ἐκ ῥομφαίας ἐν τοῖς ἔθνεσι, καὶ ἐν τῷ διασκορπι-
9 σμῷ ὑμῶν ἐν ταῖς χώραις, [9] καὶ μνησθήσονταί μου οἱ ἀνασωζόμενοι ἐξ
ὑμῶν ἐν τοῖς ἔθνεσιν οὗ ᾐχμαλωτεύθησαν ἐκεῖ· ὀμώμοχα τῇ καρδίᾳ αὐ-
τῶν τῇ ἐκπορνευούσῃ ἀπ' ἐμοῦ καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν τοῖς ἐκπορνεύ-
ουσιν ὀπίσω τῶν ἐπιτηδευμάτων αὐτῶν, καὶ κόψονται πρόσωπα αὐτῶν ἐν
10 πᾶσι τοῖς βδελύγμασιν αὐτῶν, [10] καὶ ἐπιγνώσονται διότι ἐγὼ κύριος λελά-
11 ληκα. [11] τάδε λέγει κύριος Κρότησον τῇ χειρὶ καὶ ψόφησον τῷ ποδὶ καὶ εἰ-
πόν Εὖγε εὖγε ἐπὶ πᾶσι τοῖς βδελύγμασιν οἴκου Ἰσραήλ· ἐν ῥομφαίᾳ καὶ ἐν θα-
12 νάτῳ καὶ ἐν λιμῷ πεσοῦνται. [12] ὁ ἐγγὺς ἐν ῥομφαίᾳ πεσεῖται, ὁ δὲ μακρὰν
ἐν θανάτῳ τελευτήσει, καὶ ὁ περιεχόμενος ἐν λιμῷ συντελεσθήσεται, καὶ συν-
13 τελέσω τὴν ὀργήν μου ἐπ' αὐτούς. [13] καὶ γνώσεσθε διότι ἐγὼ κύριος, ἐν τῷ
εἶναι τοὺς τραυματίας ὑμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν κύκλῳ τῶν θυσια-
στηρίων ὑμῶν ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω δένδρου συσκίου, οὗ
14 ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας πᾶσι τοῖς εἰδώλοις αὐτῶν. [14] καὶ ἐκτενῶ τὴν
χεῖρά μου ἐπ' αὐτούς, καὶ θήσομαι τὴν γῆν εἰς ἀφανισμὸν καὶ εἰς ὄλεθρον
ἀπὸ τῆς ἐρήμου Δεβλαθὰ ἐκ πάσης τῆς κατοικεσίας αὐτῶν· ἐπιγνώσεσθε
ὅτι ἐγὼ κύριος.

## VII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Καὶ σὺ υἱὲ ἀνθρώπου εἰπόν
Τάδε λέγει κύριος Τῇ γῇ τοῦ Ἰσραὴλ πέρας ἥκει, τὸ πέρας ἥκει ἐπὶ τὰς
6 7 τέσσαρας πτέρυγας τῆς γῆς· [6] ἥκει τὸ πέρας [7] ἐπὶ σὲ τὸν κατοικοῦντα τὴν γῆν,
8 ἥκει ὁ καιρός, ἤγγικεν ἡ ἡμέρα, οὐ μετὰ θορύβων οὐδὲ μετὰ ὠδίνων. [8] νῦν ἐγ-
γύθεν ἐκχεῶ τὴν ὀργήν μου ἐπὶ σέ, καὶ συντελέσω τὸν θυμόν μου ἐν σοί, καὶ
9 κρινῶ σε ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· [9] οὐ
φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω· διότι τὰς ὁδούς σου ἐπὶ σὲ δώσω,
καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσονται, καὶ ἐπιγνώσῃ διότι ἐγώ εἰμι κύ-
3 ριος ὁ τύπτων. [3] νῦν τὸ πέρας πρὸς σέ, καὶ ἀποστελῶ ἐγὼ ἐπὶ σὲ καὶ ἐκδικήσω
4 ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· [4] οὐ φεί-
σεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω· διότι τὴν ὁδόν σου ἐπὶ σὲ δώσω,
καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσται, καὶ ἐπιγνώσῃ διότι ἐγὼ κύριος.
5 10 [5] διότι τάδε λέγει κύριος [10] Ἰδοὺ τὸ πέρας ἥκει, ἰδοὺ ἡ ἡμέρα κυρίου· εἰ καὶ
11 ἡ ῥάβδος ἤνθηκεν, ἡ ὕβρις ἐξανέστηκεν. [11] καὶ συντρίψει στήριγμα ἀνόμου,

---

6. αφανισθησονται ... εξολεθρευθη ... εξαρθησεται ... in fine add και εξαλιφθωσιν τα εργα υμων 7. εμμεσω 8. ab initio add και υπολειψομαι 9. ομωμεκα ... τη εκπορνευουση απ εμου (*om α. εμ.) τη αποστασῃ απ εμου ... τα προσωπα αυτ. περι των κακιων ων εποιησαν εν π. τ. βδ. α. και εν πασιν τοις επιτηδευμασιν αυτων 10. κ. επιγν. οτι εγω κυρ. ουκ εις δωρεαν λελαληκα του ποιησαι αυτοις απαντα τα κακα ταυτα 11. αδωναι κυριος 12. εν ρομφ. τελευτησει ... και ο υπολιφθεις και ο περιεχ. 13. εμμεσω ... post υψηλον add και εν πασαις κορυφαις των ορεων ... post συσκιου add και υποκατω πασης δρυος δασιας 14. κατοικιας· και επιγν. VII. 2. αδωναϊ κυριος ... τη γ. τ. ισρ. cum antecdd. conjg. videtur. 3. 4. 5. (vide post v. 9. in ed. rom.) ante v. 6. in codice alex. habentur. 3. ab initio add ηκει το περας ... εκδικησω σε εν 4. μου επι σε, ουδε ... και γνωση οτι (post οτι usque τα βδελ. σου v. 8. omnia rescripta; antea videntur fuisse plura) 6. om ηκ. το περας 7. μετ ωδινων 9. εμμεσω (non item v. 4.) 10. Ιδου ημερα ηκει· ιδου το περας ηκει· εξηλθεν η πλοκη· και ηνθηκεν η ραβδος· εξανεστηκ. η υβρις

Digitized by Google

καὶ οὐ μετὰ θορύβου οὐδὲ μετὰ σπουδῆς. [12] ἥκει ὁ καιρός, ἰδοὺ ἡ ἡμέρα· 12
ὁ κτώμενος μὴ χαιρέτω, καὶ ὁ πωλῶν μὴ θρηνείτω· [13] διότι ὁ κτώμενος 13
πρὸς τὸν πωλοῦντα οὐκέτι μὴ ἐπιστρέψει, καὶ ἄνθρωπος ἐν ὀφθαλμῷ ζωῆς
αὐτοῦ οὐ κρατήσει. [14] σαλπίσατε ἐν σάλπιγγι καὶ κρίνατε τὰ σύμπαντα. [15] ὁ 14 15
πόλεμος ἐν ῥομφαίᾳ ἔξωθεν, καὶ ὁ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν· ὁ ἐν τῷ πε-
δίῳ ἐν ῥομφαίᾳ τελευτήσει, τοὺς δ' ἐν τῇ πόλει λιμὸς καὶ θάνατος συντελέ-
σει. [16] καὶ ἀνασωθήσονται οἱ ἀνασωζόμενοι ἐξ αὐτῶν καὶ ἔσονται ἐπὶ τῶν 16
ὀρέων· καὶ πάντας ἀποκτενῶ, ἕκαστον ἐν ταῖς ἀδικίαις αὐτοῦ. [17] πᾶσαι χεῖρες 17
ἐκλυθήσονται, καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ, [18] καὶ περιζώσονται 18
σάκκους, καὶ καλύψει αὐτοὺς θάμβος· καὶ ἐπὶ πᾶν πρόσωπον αἰσχύνη ἐπ'
αὐτούς, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. [19] τὸ ἀργύριον αὐτῶν ῥιφήσεται 19
ἐν ταῖς πλατείαις, καὶ τὸ χρυσίον αὐτῶν ὑπεροφθήσεται· αἱ ψυχαὶ αὐτῶν οὐ
μὴ ἐμπλησθῶσι, καὶ αἱ κοιλίαι αὐτῶν οὐ μὴ πληρωθῶσι, διότι βάσανος τῶν
ἀδικιῶν αὐτῶν ἐγένετο. [20] ἐκλεκτὰ κόσμου εἰς ὑπερηφανίαν ἔθεντο αὐτά, καὶ 20
εἰκόνας τῶν βδελυγμάτων αὐτῶν ἐποίησαν ἐξ αὐτῶν· ἕνεκεν τούτου δέδωκα
αὐτὰ αὐτοῖς εἰς ἀκαθαρσίαν. [21] καὶ παραδώσω αὐτὰ εἰς χεῖρας ἀλλοτρίων τοῦ 21
διαρπάσαι αὐτά, καὶ τοῖς λοιμοῖς τῆς γῆς εἰς σκῦλα, καὶ βεβηλώσουσιν αὐτά.
[22] καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ μιανοῦσι τὴν ἐπισκοπήν 22
μου, καὶ εἰςελεύσονται εἰς αὐτὰ ἀφυλάκτως καὶ βεβηλώσουσιν αὐτὰ [23] καὶ 23
ποιήσουσι φυρμόν, διότι ἡ γῆ πλήρης λαῶν, καὶ ἡ πόλις πλήρης ἀνομίας.
[24] καὶ ἀποστρέψω τὸ φρύαγμα τῆς ἰσχύος αὐτῶν, καὶ μιανθήσεται τὰ ἅγια 24
αὐτῶν. [25] καὶ ἐξιλασμὸς ἥξει καὶ ζητήσει εἰρήνην, καὶ οὐκ ἔσται. [26] οὐαὶ ἐπὶ 25 26
οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν ἔσται, καὶ ζητηθήσεται ὅρασις ἐκ προ-
φήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως καὶ βουλὴ ἐκ πρεσβυτέρων. [27] ἄρχων 27
ἐνδύσεται ἀφανισμόν, καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς γῆς παραλυθήσονται· κατὰ
τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς, καὶ ἐν τοῖς κρίμασιν αὐτῶν ἐκδικήσω αὐτούς,
καὶ γνώσονται ὅτι ἐγὼ κύριος.

## VIII.

Καὶ ἐγένετο ἐν τῷ ἕκτῳ ἔτει ἐν τῷ πέμπτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς ἐγὼ
ἐκαθήμην ἐν τῷ οἴκῳ, καὶ οἱ πρεσβύτεροι Ἰούδα ἐκάθηντο ἐνώπιόν μου.
καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, [2] καὶ ἴδον, καὶ ἰδοὺ ὁμοίωμα ἀνδρός, ἀπὸ 2
τῆς ὀσφύος αὐτοῦ καὶ ἕως κάτω πῦρ, καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ ὑπεράνω
αὐτοῦ ὡς ὅρασις ἠλέκτρου. [3] καὶ ἐξέτεινεν ὁμοίωμα χειρὸς καὶ ἀνέλαβέ με 3
τῆς κορυφῆς μου, καὶ ἀνέλαβέ με πνεῦμα ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον
τοῦ οὐρανοῦ καὶ ἤγαγέ με εἰς Ἱερουσαλὴμ ἐν ὁράσει θεοῦ ἐπὶ τὰ πρόθυρα
τῆς πύλης τῆς βλεπούσης εἰς βοῤῥᾶν, οὗ ἦν ἡ στήλη τοῦ κτωμένου. [4] καὶ 4
ἰδοὺ ἦν ἐκεῖ δόξα κυρίου θεοῦ Ἰσραὴλ κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐν τῷ πεδίῳ.

---

11. θορυβων ... in fine add και ουκ εξ αυτων εισιν· ουδε ωραϊσμος εν αυτοις 12. in fine add οτι οργη εις παν το πληθος αυτης 13. ουκετι ου μη επιστρεψη et add και ετι εν ζοη (sic) το ζην αυτων· οτι ορασις εις παν το πληθος αυτης ουκ ανακαμψει 14. om και ... in fine add και ουκ εστιν πορευομενος εις τον πολεμον οτι η οργη μου εις παν το πληθος αυτης 15. οι εν τω π. ε. ρ. τελευτησουσι· τους δε εν 16. ορεων ως περιστεραι μελετητι· και (sic) παντας 19. πλατιαις ... post υπεροφθησεται add το αργυριον αυτων και το χρυσιον αυτων ου δυνηθησεται εξελεσθαι αυτους εν ημερα οργης κυριου 21. του διαφθειραι αυτα 24. ab initio add και αξω πονηρους εθνων και κληρονομησουσιν τους οικους αυτων 25. om και ab initio ... εις ειρηνην 27. ab initio add ο βασιλευς πενθησει και ο ... και τοις κριμασιν VIII. 1. om εγω ... ενωπ. εμου ... αδωναϊ κυριου 2. ʽτα υπερανω ... ως ορασις αυρας ως ιδος ηλεκτρ. 3. της πυλης της εσωτερας τ. βλεπ. προς βορραν 4. εκει ην

Digitized by Google

5 [5]καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου πρὸς βορρᾶν.
καὶ ἀνέβλεψα τοῖς ὀφθαλμοῖς μου πρὸς βορρᾶν, καὶ ἰδοὺ ἀπὸ βορρᾶ ἐπὶ τὴν
6 πύλην τὴν πρὸς ἀνατολάς. [6]καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου, ἑώρακας τί
οὗτοι ποιοῦσιν; ἀνομίας μεγάλας ποιοῦσιν ὧδε τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων
7 μου, καὶ ἔτι ὄψει ἀνομίας μείζονας. [7]καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς
8 αὐλῆς, [8]καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου ὄρυξον. καὶ ὤρυξα, καὶ ἰδοὺ θύρα.
9 10 [9]καὶ εἶπε πρός μέ Εἴσελθε καὶ ἴδε τὰς ἀνομίας ἃς οὗτοι ποιοῦσιν ὧδε. [10]καὶ
εἰσῆλθον καὶ ἴδον, καὶ ἰδοὺ μάταια βδελύγματα καὶ πάντα τὰ εἴδωλα οἴκου
11 Ἰσραὴλ διαγεγραμμένα ἐπ' αὐτοὺς κύκλῳ. [11]καὶ ἑβδομήκοντα ἄνδρες ἐκ
τῶν πρεσβυτέρων οἴκου Ἰσραήλ, καὶ Ἰεχονίας ὁ τοῦ Σαφὰν ἐν μέσῳ αὐτῶν
εἱστήκει πρὸ προσώπου αὐτῶν, καὶ ἕκαστος θυμιατήριον αὐτοῦ εἶχεν ἐν τῇ
χειρί, καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἀνέβαινε. [12]καὶ εἶπε πρός μέ Ἑώρακας,
12 υἱὲ ἀνθρώπου, ἃ οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ποιοῦσιν, ἕκαστος αὐτῶν ἐν
τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν, διότι εἶπαν Οὐχ ὁρᾷ ὁ κύριος, ἐγκαταλέλοιπε
13 κύριος τὴν γῆν. [13]καὶ εἶπε πρός μέ Ἔτι ὄψει ἀνομίας μείζονας ἃς οὗτοι ποιοῦσι.
14 [14]καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου κυρίου τῆς βλεπούσης
πρὸς βορρᾶν, καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι θρηνοῦσαι τὸν Θαμμούζ.
15 [15]καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου ἑώρακας, καὶ ἔτι ὄψει ἐπιτηδεύματα μεί-
16 ζονα τούτων. [16]καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν οἴκου κυρίου τὴν ἐσωτέραν,
καὶ ἐπὶ τῶν προθύρων τοῦ ναοῦ κυρίου ἀνὰ μέσον τῶν αιλὰμ καὶ ἀνὰ μέ-
σον τοῦ θυσιαστηρίου ὡς εἴκοσι ἄνδρες, τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν τοῦ
κυρίου καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι, καὶ οὗτοι προσκυνοῦσι τῷ ἡλίῳ.
17 [17]καὶ εἶπε πρός μέ Ἑώρακας υἱὲ ἀνθρώπου· μὴ μικρὰ τῷ οἴκῳ Ἰούδα τοῦ
ποιεῖν τὰς ἀνομίας ἃς πεποιήκασιν ὧδε, διότι ἔπλησαν τὴν γῆν ἀνομίας; καὶ
18 ἰδοὺ αὐτοὶ ὡς μυκτηρίζοντες. [18]καὶ ἐγὼ ποιήσω αὐτοῖς μετὰ θυμοῦ· οὐ
φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω.

## IX.

Καὶ ἀνέκραγεν εἰς τὰ ὦτά μου φωνῇ μεγάλῃ λέγων Ἤγγικεν ἡ ἐκδί-
κησις τῆς πόλεως· καὶ ἕκαστος εἶχε τὰ σκεύη τῆς ἐξολοθρεύσεως ἐν χειρὶ
2 αὐτοῦ. [2]καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς
τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ εἷς
ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος
αὐτοῦ· καὶ εἰσήλθοσαν καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ.
3 [3]καὶ δόξα θεοῦ τοῦ Ἰσραὴλ ἀνέβη ἀπὸ τῶν Χερουβίμ, ἡ οὖσα ἐπ' αὐτῶν,

---

5. επι την πυλην του θυσιαστηριου η εικων του ζηλους τουτου· εν τω εισπορευεσθαι σε (σε deletum) αυτην την βλεπουσαν προς ανατ. 6. εορακας ... ανομ. μεγαλ. ας ο οικος ισραηλ ποιουσιν ... οψη αμαρτιας 7. in fine add και ιδον και ιδου οπη μια εν τω τοιχω 8. ορυξον δη εν τω τοιχω ... θυρα μια 9. τας ανομ. τας πονηρας ας ... ωδε σημερον 10. και ιδου πασα ομοιωσις ερπετου και κτηνους· ματ. βδελ. και ειδον παντα τα ιδωλα ... επ αυτου 11. ιεζονιας ... εμμεσω ... ιστηκει ... εν χειρι αυτου ... αναιβενεν 12. Υιε ανθρ. εωρακας ... ποιουσιν ωδε ... ειπαν Εγκαταλελοιπεν κυριος· ουκ εφορα ο κυρ. την γην 13. οψη 15. post εωρακας add μη μικρα τω οικω ιουδα του ποιειν τας ανομιας ας πεποιηκαν αυτοι ωδε ... οψη 16. και ιδου επι των προθ. ναου ... ως εικ. και πεντε ... αυτ. δεδωκοτες προς τ. ναον κυριου ... προσεκυνουν κατ ανατολας τω ηλ. 17. τω οικω ισραηλ ... ανομιας· και επεστρεψαν παροργισαι με και ιδου αυτοι εκτινουσιν το κλημα ως μυκτηριζοντες 18. in fine add και καλεσουσιν εν τοις ωσιν μου και ου μη εισακουσω αυτων IX. 1. αυτος pro εκαστος ... εξολεθρευσεως 2. ζωνην ... εχομενα 3. θεου ισραηλ αν. επι των χερουβειν

Digitized by Google

εἰς τὸ αἴθριον τοῦ οἴκου. καὶ ἐκάλεσε τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη,
ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος αὐτοῦ τὴν ζώνην, [4]καὶ εἶπε πρὸς αὐτόν Δίελθε 4
*Apoc. μέσην Ἱερουσαλήμ, καὶ δὸς σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν κατα-
7, 3. στεναζόντων καὶ τῶν κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέ-
ναις ἐν μέσῳ αὐτῶν. [5]καὶ τούτοις εἶπεν ἀκούοντός μου Πορεύεσθε ὀπίσω αὐτοῦ 5
εἰς τὴν πόλιν, καὶ κόπτετε καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ
ἐλεήσητε· [6]πρεσβύτερον καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια καὶ γυναῖκας 6
ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον μὴ ἐγ-
γίσητε, ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν
πρεσβυτέρων οἳ ἦσαν ἔσω ἐν τῷ οἴκῳ. [7]καὶ εἶπε πρὸς αὐτούς Μιάνατε τὸν 7
οἶκον, καὶ πλήσατε τὰς ὁδοὺς νεκρῶν ἐκπορευόμενοι καὶ κόπτετε. [8]καὶ ἐγέ- 8
νετο ἐν τῷ κόπτειν αὐτοὺς καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα καὶ
εἶπα Οἴμοι κύριε, ἐξαλείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραὴλ ἐν τῷ ἐκχέαι
σε τὸν θυμόν σου ἐπὶ Ἱερουσαλήμ; [9]καὶ εἶπε πρὸς μέ Ἀδικία τοῦ οἴκου 9
Ἰσραὴλ καὶ Ἰούδα μεμεγάλυνται σφόδρα σφόδρα, ὅτι ἐπλήσθη ἡ γῆ λαῶν
πολλῶν, καὶ ἡ πόλις ἐπλήσθη ἀδικίας καὶ ἀκαθαρσίας· ὅτι εἶπαν Ἐγκατέ-
λιπε κύριος τὴν γῆν, οὐχ ἐφορᾷ ὁ κύριος. [10]καὶ οὐ φείσεταί μου ὁ ὀφθαλ- 10
μὸς οὐδὲ μὴ ἐλεήσω, τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν δέδωκα. [11]καὶ 11
ἰδοὺ ὁ ἀνὴρ ὁ ἐνδεδυκὼς τὸν ποδήρη καὶ ἐζωσμένος τῇ ζώνῃ τὴν ὀσφὺν
αὐτοῦ, καὶ ἀπεκρίνατο λέγων Πεποίηκα καθὼς ἐνετείλω μοι.

## X.

Καὶ ἴδον, καὶ ἰδοὺ ἐπάνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς τῶν Χε-
ρουβὶμ ὡς λίθος σαπφείρου ὁμοίωμα θρόνου ἐπ' αὐτῶν. [2]καὶ εἶπε πρὸς τὸν 2
ἄνδρα τὸν ἐνδεδυκότα τὴν στολήν Εἴσελθε εἰς τὸ μέσον τῶν τροχῶν τῶν ὑπο-
κάτω τῶν Χερουβίμ, καὶ πλῆσον τὰς δράκας σου ἀνθράκων πυρὸς ἐκ μέσου
τῶν Χερουβὶμ καὶ διασκόρπισον ἐπὶ τὴν πόλιν. καὶ εἰσῆλθεν ἐνώπιον ἐμοῦ.
[3]καὶ τὰ Χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου ἐν τῷ εἰσπορεύεσθαι τὸν 3
ἄνδρα, καὶ ἡ νεφέλη ἔπλησε τὴν αὐλὴν τὴν ἐσωτέραν. [4]καὶ ἀπῆρεν ἡ δόξα 4
κυρίου ἀπὸ τῶν Χερουβὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου, καὶ ἔπλησε τὸν οἶκον ἡ
νεφέλη, καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης κυρίου. [5]καὶ φωνὴ τῶν 5
πτερύγων τῶν Χερουβὶμ ἠκούετο ἕως τῆς αὐλῆς τῆς ἐξωτέρας ὡς φωνὴ
θεοῦ Σαδδαΐ λαλοῦντος. [6]καὶ ἐγένετο ἐν τῷ ἐντέλλεσθαι αὐτὸν τῷ ἀνδρὶ τῷ 6
ἐνδεδυκότι τὴν στολὴν τὴν ἁγίαν λέγων Λάβε πῦρ ἐκ μέσου τῶν τροχῶν ἐκ
μέσου τῶν Χερουβίμ, καὶ εἰσῆλθε καὶ ἔστη ἐχόμενος τῶν τροχῶν. [7]καὶ ἐξέ- 7
τεινε τὴν χεῖρα αὐτοῦ εἰς μέσον τοῦ πυρὸς τοῦ ὄντος εἰς μέσον τῶν Χερου-
βίμ, καὶ ἔλαβε καὶ ἔδωκεν εἰς τὰς χεῖρας τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν
ἁγίαν, καὶ ἔλαβε καὶ ἐξῆλθε. [8]καὶ ἴδον τὰ Χερουβὶμ ὁμοίωμα χειρῶν ἀν- 8
θρώπων ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. [9]καὶ ἴδον, καὶ ἰδοὺ τροχοὶ τέσ- 9
σαρες εἱστήκεισαν ἐχόμενοι τῶν Χερουβίμ, τροχὸς εἷς ἐχόμενος Χεροὺβ ἑνός,
καὶ ἡ ὄψις τῶν τροχῶν ὡς ὄψις λίθου ἄνθρακος. [10]καὶ ὄψις αὐτῶν ὁμοίωμα 10

---

4. κυριος προς αυτον ... μεσην την ιερ. ... το σημειον ... εμμεσω (non v. 2.) αυτης 5. φεισησθε 6. και απο των αγιων ... om των ανδρων 7. πληρωσατε 8. οιμμοι αδωναϊ κυριε ... om σε 9. Εγκαταλελοιπεν ο κυριος ... om ουχ εφ. ο κυρ. 10. ab initio και εγω ειπα Εγω ειμι· ου φεισεται ο οφθ. μου 11. περιεζωσμενος ... λογον λεγων ... καθα X. 1. των χερουβειμ ... επ αυτω 2. χερουβειμ ... πλησ. τας χειρας σου ... χερουβειν 3. χερουβειν ιστηκει 4. χερουβειν 5. χερουβειν 6. εκ μ. τ. τρ. εκ μ. των τροχων τ. χερουβειμ 7. και εξετ. ο χερουβ ... του οντ. εμμεσω των χερουβειν 8. και ιδου τα χερουβειν 9. ιστηκεισαν ... χερουβειν ... τρ. ε. εχ. του χερουβ του ενος· και τροχος εις εχομενος του χερουβ· η οψις των τροχων ως οψις 10. και η οψ.

Digitized by Google

11 ἐν τοῖς τέσσαρσιν, ὃν τρόπον ὅταν ᾖ τροχὸς ἐν μέσῳ τροχοῦ· [11] ἐν τῷ πο-
ρεύεσθαι αὐτὰ εἰς τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο, οὐκ ἐπέστρεφον ἐν
τῷ πορεύεσθαι αὐτά· ὅτι εἰς ὃν ἂν τόπον ἐπέβλεψεν ἡ ἀρχὴ ἡ μία ἐπορεύοντο,
12 καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά. [12] καὶ οἱ νῶτοι αὐτῶν καὶ αἱ
χεῖρες αὐτῶν καὶ αἱ πτέρυγες αὐτῶν καὶ οἱ τροχοὶ πλήρεις ὀφθαλμῶν κυ-
13 κλόθεν τοῖς τέσσαρσι τροχοῖς. [13] τοῖς δὲ τροχοῖς τούτοις ἐπεκλήθη Γελγὲλ
15 ἀκούοντός μου. [15] καὶ τὰ Χερουβὶμ ἦσαν τοῦτο τὸ ζῶον ὃ ἴδον ἐπὶ τοῦ πο-
16 ταμοῦ τοῦ Χοβάρ. [16] καὶ ἐν τῷ πορεύεσθαι τὰ Χερουβὶμ ἐπορεύοντο οἱ τρο-
χοί, καὶ οὗτοι ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ Χερουβὶμ τὰς πτέρυ-
γας αὐτῶν τοῦ μετεωρίζεσθαι ἀπὸ τῆς γῆς οὐκ ἐπέστρεφον οἱ τροχοὶ αὐτῶν·
17 [17] ἐν τῷ ἑστάναι αὐτὰ εἱστήκεισαν, καὶ ἐν τῷ μετεωρίζεσθαι αὐτὰ μετεωρί-
18 ζοντο μετ' αὐτῶν· διότι πνεῦμα ζωῆς ἐν αὐτοῖς ἦν. [18] καὶ ἐξῆλθε δόξα κυ-
19 ρίου ἀπὸ τοῦ οἴκου καὶ ἐπέβη ἐπὶ τὰ Χερουβίμ, [19] καὶ ἀνέλαβον τὰ Χερουβὶμ
τὰς πτέρυγας αὐτῶν καὶ ἐμετεωρίσθησαν ἀπὸ τῆς γῆς ἐνώπιον ἐμοῦ· ἐν τῷ
ἐξελθεῖν αὐτὰ καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἔστησαν ἐπὶ τὰ πρόθυρα
τῆς πύλης οἴκου κυρίου τῆς ἀπέναντι, καὶ δόξα θεοῦ Ἰσραὴλ ἦν ἐπ' αὐτῶν
20 ὑπεράνω. [20] τοῦτο τὸ ζῶόν ἐστιν ὃ ἴδον ὑποκάτω θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ πο-
21 ταμοῦ τοῦ Χοβάρ, καὶ ἔγνων ὅτι Χερουβὶμ ἐστι. [21] τέσσαρα πρόσωπα τῷ ἑνί,
καὶ ὀκτὼ πτέρυγες τῷ ἑνί, καὶ ὁμοίωμα χειρῶν ἀνθρώπων ὑποκάτωθεν τῶν
22 πτερύγων αὐτῶν. [22] καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, ταῦτα τὰ πρόσωπά
ἐστιν ἃ ἴδον ὑποκάτω τῆς δόξης τοῦ θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ
Χοβάρ, καὶ αὐτὰ ἕκαστον κατὰ πρόσωπον αὐτῶν ἐπορεύοντο.

## XI.

Καὶ ἀνέλαβέ με πνεῦμα καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τοῦ οἴκου κυρίου
τὴν κατέναντι τὴν βλέπουσαν κατὰ ἀνατολάς. καὶ ἰδοὺ ἐπὶ τῶν προθύρων
τῆς πύλης ὡς εἴκοσι καὶ πέντε ἄνδρες, καὶ ἴδον ἐν μέσῳ αὐτῶν τὸν Ἰεχο-
νίαν τὸν τοῦ Ἔζερ καὶ Φαλτίαν τὸν τοῦ Βαναίου τοὺς ἀφηγουμένους τοῦ
2 λαοῦ. [2] καὶ εἶπε κύριος πρὸς μέ Υἱὲ ἀνθρώπου, οὗτοι οἱ ἄνδρες οἱ λογιζό-
3 μενοι μάταια καὶ βουλευόμενοι βουλὴν πονηρὰν ἐν τῇ πόλει ταύτῃ, [3] οἱ λέ-
γοντες Οὐχὶ προσφάτως ᾠκοδόμηνται αἱ οἰκίαι; αὕτη ἐστὶν ὁ λέβης, ἡμεῖς
4 δὲ τὰ κρέα. [4] διὰ τοῦτο προφήτευσον ἐπ' αὐτούς, προφήτευσον υἱὲ ἀνθρώπου.
5 [5] καὶ ἔπεσεν ἐπ' ἐμὲ πνεῦμα κυρίου καὶ εἶπε πρὸς μέ Λέγε Τάδε λέγει κύ-
ριος Οὕτως εἴπατε οἶκος Ἰσραήλ, καὶ τὰ διαβούλια τοῦ πνεύματος ὑμῶν ἐγὼ
6 ἐπίσταμαι, [6] ἐπληθύνατε νεκροὺς ὑμῶν ἐν τῇ πόλει ταύτῃ, καὶ ἐνεπλήσατε
7 τὰς ὁδοὺς αὐτῶν τραυματιῶν. [7] διὰ τοῦτο τάδε λέγει κύριος Τοὺς νεκροὺς
ὑμῶν οὓς ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσι τὰ κρέα, αὐτὴ δὲ ὁ λέβης
8 ἐστί, καὶ ὑμᾶς ἐξάξω ἐκ μέσου αὐτῆς. [8] ῥομφαίαν φοβεῖσθε, καὶ ῥομφαίαν
9 ἐπάξω ἐφ' ὑμᾶς, λέγει κύριος. [9] καὶ ἐξάξω ὑμᾶς ἐκ μέσου αὐτῆς, καὶ παρα-
10 δώσω ὑμᾶς εἰς χεῖρας ἀλλοτρίων, καὶ ποιήσω ἐν ὑμῖν κρίματα. [10] ἐν ῥου-

---

10. εμμεσω 11. τεσσερα 12. om κυκλοθεν ... in fine add αυτων 13. τουτο pro τουτοις ... om ακουοντος μου (14.) και τεσσερα προσωπα τω ενι το προσωπον του ενος προσωπον χερουβ· και το προσωπον του δευτερου προσωπον ανθρωπου και το προσωπον του τριτου προσωπον λεοντος· και το τεταρτον προσωπον αετου 15. και επηραν τα χερουβειν· τουτο το ... ειδον 16. χερουβειν επορ. και οι ... χερουβειν ... in fine add και γε αυτοι απο των εχομενα αυτων 17. ιστηκεισαν ... εμετεωριζοντο 18. απο του αιθριου του οικου ... χερουβειν 19. χερουβειν ... εν τω εξαιρειν αυτα ... δοξα κυριου θεου 20. ειδον ... χερουβειν (videtur) 21. τεσσερα ... ανθρωπου 22. ομοιωμα ... ειδον ... δοξης θεου ... του χοβαρ την ορασιν αυτων XI. 1. κατ ανατολας ... εμμεσω ... τον του ιαζερ 5. ο οικος 6. τας οδ. αυτης 7. αδωναϊ κυριος ... ους εφονευσατε εμμεσω 8. αδωναι κυριος

Digitized by Google

φαίᾳ πεσεῖσθε, ἐπὶ τῶν ὁρέων τοῦ Ἰσραὴλ κρινῶ ὑμᾶς, καὶ ἐπιγνώσεσθε ὅτι
ἐγὼ κύριος. [13] καὶ ἐγένετο ἐν τῷ προφητεύειν με καὶ Φαλτίας ὁ τοῦ Βα- 13
ναίου ἀπέθανε, καὶ πίπτω ἐπὶ πρόςωπόν μου, καὶ ἀνεβόησα φωνῇ μεγάλῃ
καὶ εἶπα Οἴμοι οἴμοι κύριε, εἰς συντέλειαν ποιεῖς σὺ τοὺς καταλοίπους τοῦ
Ἰσραήλ; [14] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [15] Υἱὲ ἀνθρώπου, οἱ 14 15
ἀδελφοί σου καὶ οἱ ἄνδρες τῆς αἰχμαλωσίας σου καὶ πᾶς ὁ οἶκος τοῦ Ἰσραὴλ
συντετέλεσται, οἷς εἶπαν αὐτοῖς οἱ κατοικοῦντες Ἱερουσαλὴμ Μακρὰν ἀπέ-
χετε ἀπὸ τοῦ κυρίου, ἡμῖν δέδοται ἡ γῆ εἰς κληρονομίαν. [16] διὰ τοῦτο εἰ- 16
πὸν Τάδε λέγει κύριος ὅτι ἀπώσομαι αὐτοὺς εἰς τὰ ἔθνη, καὶ διασκορπιῶ
αὐτοὺς εἰς πᾶσαν γῆν, καὶ ἔσομαι αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώ-
ραις οὗ ἐὰν εἰςέλθωσιν ἐκεῖ. [17] διὰ τοῦτο εἰπὸν Τάδε λέγει κύριος Καὶ εἰς- 17
δέξομαι αὐτοὺς ἐκ τῶν ἐθνῶν, καὶ συνάξω αὐτοὺς ἐκ τῶν χωρῶν οὗ διέ-
σπειρα αὐτοὺς ἐν αὐταῖς, καὶ δώσω αὐτοῖς τὴν γῆν τοῦ Ἰσραήλ· [18] καὶ 18
εἰςελεύσονται ἐκεῖ, καὶ ἐξαροῦσι πάντα τὰ βδελύγματα αὐτῆς καὶ πάσας
τὰς ἀνομίας αὐτῆς ἐξ αὐτῆς. [19] καὶ δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ πνεῦμα 19
καινὸν δώσω ἐν αὐτοῖς, καὶ ἐκσπάσω τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρ-
κὸς αὐτῶν καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, [20] ὅπως ἐν τοῖς προστάγμασί 20
μου πορεύωνται, καὶ τὰ δικαιώματά μου φυλάσσωνται καὶ ποιῶσιν αὐτά,·
καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. [21] καὶ εἰς τὴν 21
καρδίαν τῶν βδελυγμάτων αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν, ὡς ἡ καρδία αὐ-
τῶν ἐπορεύετο, τὰς ὁδοὺς αὐτῶν εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει κύ-
ριος. [22] καὶ ἐξῆραν τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι 22
αὐτῶν, καὶ ἡ δόξα θεοῦ Ἰσραὴλ ἐπ' αὐτὰ ὑπεράνω αὐτῶν. [23] καὶ ἀνέβη ἡ 23
δόξα κυρίου ἐκ μέσης τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι
τῆς πόλεως. [24] καὶ ἀνέλαβέ με πνεῦμα καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων εἰς 24
τὴν αἰχμαλωσίαν ἐν ὁράσει ἐν πνεύματι θεοῦ. καὶ ἀνέβην ἀπὸ τῆς ὁράσεως
ἧς ἴδον, [25] καὶ ἐλάλησα πρὸς τὴν αἰχμαλωσίαν πάντας τοὺς λόγους τοῦ κυ- 25
ρίου οὓς ἔδειξέ μοι.

## XII.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, ἐν μέσῳ τῶν 2
ἀδικιῶν αὐτῶν σὺ κατοικεῖς, οἳ ἔχουσιν ὀφθαλμοὺς τοῦ βλέπειν καὶ οὐ βλέ-
πουσι, καὶ ὦτα ἔχουσι τοῦ ἀκούειν καὶ οὐκ ἀκούουσι, διότι οἶκος παραπι-
κραίνων ἐστί. [3] καὶ σύ, υἱὲ ἀνθρώπου, ποίησον σεαυτῷ σκεύη αἰχμαλωσίας 3
ἡμέρας ἐνώπιον αὐτῶν, καὶ αἰχμαλωτευθήσῃ ἐκ τοῦ τόπου σου εἰς ἕτερον
τόπον ἐνώπιον αὐτῶν, ὅπως ἴδωσι διότι οἶκος παραπικραίνων ἐστί. [4] καὶ 4
ἐξοίσεις τὰ σκεύη σου σκεύη αἰχμαλωσίας ἡμέρας κατ' ὀφθαλμοὺς αὐτῶν,
καὶ σὺ ἐξελεύσῃ ἑσπέρας ὡς ἐκπορεύεται αἰχμάλωτος [5] ἐνώπιον αὐτῶν· διό- 5
ρυξον σεαυτῷ εἰς τὸν τοῖχον, καὶ διεξελεύσῃ δι' αὐτοῦ [6] ἐνώπιον αὐτῶν· 6
ἐπ' ὤμων ἀναληφθήσῃ καὶ κεκρυμμένος ἐξελεύσῃ, τὸ πρόςωπόν σου συγκα-

10. και επι των (11.) αυτη υμιν ουκ εσται εις λεβητα· και υμεις ου μη γενησθαι εμμεσω αυτης εις κρεα· επι των ορεων του ισραηλ κρινω υμας. (12.) και επιγνωσεσθαι διοτι εγω κυριος· 13. οιμμοι· οιμμοι αδωναϊ κυριε ... συ ποιεις 16. αδωναϊ κυριος ... πασαν την γην 17. δια τουτο ταδε λεγει αδωναϊ κυριος ... Και εισδεξ. usque του ισραηλ rescripta 19. την καρδιαν αυτων την λιθ. 20. ποιησουσιν ... in fine add λεγει κυριος 21. και κατα τας καρδιας των ... post ανομ. αυτων add και των πονηρων ων εποιησαν ... εις κεφαλας ... αδωναϊ κυριος 22. χερουβειμ ... ην επ αυτοις υπερανω αυτων 23. ανεβη δοξα ... μεσου 25. λογους κυριου ... in fine add κυριος XII. 2. εμμεσω ... οφθ. του οραν 3. αιχμαλωσιας και αιχμαλωτισθητι ημερας ... εκ του οικου σου 4. 5. εξελευση συ εσπ. ενωπιον αυτων ως εκπ. αιχμ. [5] ενωπιον αυτων· (sed h. l. εν. αυτ. improbatum est) 6. αναλημφθηση

Digitized by Google

λύψεις καὶ οὐ μὴ ἴδῃς τὴν γῆν, διότι τέρας δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ.
7 [7] καὶ ἐποίησα οὕτως κατὰ πάντα ὅσα ἐνετείλατό μοι, καὶ σκεύη ἐξήνεγκα
αἰχμαλωσίας ἡμέρας, καὶ ἑσπέρας διώρυξα ἐμαυτῷ τὸν τοῖχον καὶ κεκρυμ-
8 μένος ἐξῆλθον, ἐπ' ὤμων ἀνελήφθην ἐνώπιον αὐτῶν. [8] καὶ ἐγένετο λόγος κυ-
9 ρίου τὸ πρωὶ πρὸς μὲ λέγων [9] Υἱὲ ἀνθρώπου, οὐκ εἶπαν πρὸς σὲ ὁ οἶκος τοῦ
10 Ἰσραήλ, οἶκος ὁ παραπικραίνων Τί σὺ ποιεῖς; [10] εἰπὸν πρὸς αὐτούς Τάδε
λέγει κύριος κύριος Ὁ ἄρχων καὶ ὁ ἀφηγούμενος ἐν Ἱερουσαλὴμ καὶ παντὶ
11 οἴκῳ Ἰσραὴλ οἵ εἰσιν ἐν μέσῳ αὐτῶν, [11] εἰπὸν ὅτι ἐγὼ τέρατα ποιῶ, ὃν τρό-
πον πεποίηκα οὕτως ἔσται αὐτῷ· ἐν μετοικεσίᾳ καὶ ἐν αἰχμαλωσίᾳ πορεύ-
12 σονται, [12] καὶ ὁ ἄρχων ἐν μέσῳ αὐτῶν ἐπ' ὤμων ἀρθήσεται, καὶ κεκρυμμένος
ἐξελεύσεται διὰ τοῦ τοίχου, καὶ διορύξει τοῦ ἐξελθεῖν αὐτὸν δι' αὐτοῦ· τὸ
πρόςωπον αὐτοῦ συγκαλύψει ὅπως μὴ ὁραθῇ ὀφθαλμῷ, καὶ αὐτὸς τὴν γῆν
13 οὐκ ὄψεται. [13] καὶ ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐτόν, καὶ συλληφθήσεται
ἐν τῇ περιοχῇ μου, καὶ ἄξω αὐτὸν εἰς Βαβυλῶνα εἰς γῆν Χαλδαίων, καὶ
14 αὐτὴν οὐκ ὄψεται, καὶ ἐκεῖ τελευτήσει. [14] καὶ πάντας τοὺς κύκλῳ αὐτοῦ τοὺς
βοηθοὺς αὐτοῦ καὶ πάντας τοὺς ἀντιλαμβανομένους αὐτοῦ διασπερῶ εἰς πάντα
15 ἄνεμον, καὶ ῥομφαίαν ἐκκενώσω ὀπίσω αὐτῶν. [15] καὶ γνώσονται διότι ἐγὼ
κύριος, ἐν τῷ διασκορπίσαι με αὐτοὺς ἐν τοῖς ἔθνεσι, καὶ διασπερῶ αὐτοὺς
16 ἐν ταῖς χώραις. [16] καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἄνδρας ἀριθμῷ ἐκ ῥομφαίας
καὶ ἐκ λιμοῦ καὶ ἐκ θανάτου, ὅπως ἐκδιηγῶνται πάσας τὰς ἀνομίας αὐτῶν
17 ἐν τοῖς ἔθνεσιν οὗ εἰςήλθοσαν ἐκεῖ, καὶ γνώσονται ὅτι ἐγὼ κύριος. [17] καὶ ἐγέ-
18 νετο λόγος κυρίου πρὸς μὲ λέγων [18] Υἱὲ ἀνθρώπου, τὸν ἄρτον σου μετὰ ὀδύ-
19 νης φάγεσαι, καὶ τὸ ὕδωρ μετὰ βασάνου καὶ θλίψεως πίεσαι. [19] καὶ ἐρεῖς
πρὸς τὸν λαὸν τῆς γῆς Τάδε λέγει κύριος τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ ἐπὶ
τῆς γῆς τοῦ Ἰσραήλ Τοὺς ἄρτους αὐτῶν μετὰ ἐνδείας φάγονται, καὶ τὸ ὕδωρ
αὐτῶν μετὰ ἀφανισμοῦ πίονται, ὅπως ἀφανισθῇ ἡ γῆ σὺν πληρώματι αὐτῆς,
20 ἐν ἀσεβείᾳ γὰρ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. [20] καὶ αἱ πόλεις αὐτῶν αἱ
κατοικούμεναι ἐξερημωθήσονται, καὶ ἡ γῆ εἰς ἀφανισμὸν ἔσται, καὶ ἐπιγνώ-
21 22 σεσθε διότι ἐγὼ κύριος. [21] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [22] Υἱὲ
ἀνθρώπου, τίς ἡ παραβολὴ ὑμῖν ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ, λέγοντες Μακραὶ
23 αἱ ἡμέραι, ἀπόλωλεν ὅρασις; [23] διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς Τάδε λέγει κύ-
ριος Καὶ ἀποστρέψω τὴν παραβολὴν ταύτην, καὶ οὐκέτι μὴ εἴπωσι τὴν παρα-
βολὴν ταύτην οἶκος τοῦ Ἰσραήλ, ὅτι λαλήσεις πρὸς αὐτούς Ἤγγικασιν αἱ
24 ἡμέραι καὶ λόγος πάσης ὁράσεως. [24] ὅτι οὐκ ἔσται ἔτι πᾶσα ὅρασις ψευδὴς
25 καὶ μαντευόμενος τὰ πρὸς χάριν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. [25] διότι ἐγὼ
κύριος λαλήσω τοὺς λόγους μου, λαλήσω καὶ ποιήσω, καὶ οὐ μὴ μηκύνω ἔτι·
ὅτι ἐν ταῖς ἡμέραις ὑμῶν, οἶκος ὁ παραπικραίνων, λαλήσω λόγον καὶ ποιήσω,
26 27 λέγει κύριος. [26] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [27] Υἱὲ ἀνθρώπου,
ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν Ἡ ὅρασις ἣν οὗτος
28 ὁρᾷ εἰς ἡμέρας πολλάς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. [28] διὰ
τοῦτο εἰπὸν πρὸς αὐτούς Τάδε λέγει κύριος Οὐ μὴ μηκύνωσιν οὐκέτι πάντες
οἱ λόγοι μου οὓς ἂν λαλήσω· λαλήσω καὶ ποιήσω, λέγει κύριος.

---

7. και εξηνεγκα ως σκευη αιχμαλ. ... ωρυξα ε. τ. τοιχ. τη χειρι ... ανελημφθην 8. προς με το πρωι 9. ο οικος ισραηλ ο παραπικραινων 10. post κυρ. κυρ. pergit ειπον (ειπ. improbatur) τω αρχοντι και τω αφηγουμενω ιερουσαλημ ... εμμεσω 11. ποιω εμμεσω αυτης ... εσται αυτοις 12. ο αρχ. αυτων εμμεσω αυτης ... ορυξει 13. συλλημφθησεται 14. εκχεω pro εκκενωσω 16. εκδιηγησωνται ... om πασας 18. μετ οδυνης ... το υδωρ σου ... και εκθλιψεως 19. αδωναι κυριος ... μετ ενδειας ... συν τω πληρωματι 20. η γη αυτης 22. τις υμιν η παραβ. αυτη ... Μακραν 23. αδωναϊ κυριος Αποστρεψω 24. και ουκετι εσται πασα ... εμμεσω 25. om οτι ... οικος παραπικρ. ... αδωναϊ κυριος 28. αδωναϊ κυριος ... λαλησω· οτι λαλησω λογον κ. π. λεγ. αδωναϊ κυρ.

Digitized by Google

# XIII.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, προφήτευσον 2
ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραήλ, καὶ προφητεύσεις καὶ ἐρεῖς πρὸς αὐτούς
Ἀκούσατε λόγον κυρίου 3 Τάδε λέγει κύριος Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ 3
καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσιν. 4 ὡς ἀλώπεκες ἐν ταῖς ἐρή- 4
μοις οἱ προφῆταί σου, Ἰσραήλ· 5 οὐκ ἔστησαν ἐν στερεώματι καὶ συνήγαγον 5
ποίμνια ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ, οὐκ ἀνέστησαν οἱ λέγοντες ἐν ἡμέρᾳ κυ-
ρίου, 6 βλέποντες ψευδῆ, μαντευόμενοι μάταια, οἱ λέγοντες Λέγει κύριος, καὶ 6
κύριος οὐκ ἀπέσταλκεν αὐτούς, καὶ ἤρξαντο τοῦ ἀναστῆσαι λόγον. 7 οὐχὶ ὅρα- 7
σιν ψευδῆ ἑωράκατε, καὶ μαντείας ματαίας εἰρήκατε; 8 καὶ διὰ τοῦτο εἰπόν 8
Τάδε λέγει κύριος Ἀνθ' ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς καὶ αἱ μαντεῖαι ὑμῶν
μάταιαι, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, λέγει κύριος, 9 καὶ ἐκτενῶ τὴν χεῖρά 9
μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ καὶ τοὺς ἀποφθεγγομένους μά-
ταια· ἐν παιδείᾳ τοῦ λαοῦ μου οὐκ ἔσονται, οὐδὲ ἐν γραφῇ οἴκου Ἰσραὴλ
οὐ γραφήσονται, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰςελεύσονται, καὶ γνώ-
σονται διότι ἐγὼ κύριος. 10 ἀνθ' ὧν ἐπλάνησαν τὸν λαόν μου, λέγοντες Εἰρήνη, 10
καὶ οὐκ ἔστιν εἰρήνη· καὶ οὗτος οἰκοδομεῖ τοῖχον, καὶ αὐτοὶ ἀλείφουσιν αὐ-
τόν, πεσεῖται. 11 εἰπὸν πρὸς τοὺς ἀλείφοντας Πεσεῖται, καὶ ἔσται ὑετὸς κατα- 11
κλύζων, καὶ δώσω λίθους πετροβόλους εἰς τοὺς ἐνδέσμους αὐτῶν, καὶ πεσοῦν-
ται, καὶ πνεῦμα ἐξαῖρον, καὶ ῥαγήσεται. 12 καὶ ἰδοὺ πέπτωκεν ὁ τοῖχος, καὶ 12
οὐκ ἐροῦσι πρὸς ὑμᾶς Ποῦ ἔστιν ἡ ἀλοιφὴ ὑμῶν ἣν ἠλείψατε; 13 διὰ τοῦτο 13
τάδε λέγει κύριος Καὶ ῥήξω πνοὴν ἐξαίρουσαν μετὰ θυμοῦ, καὶ ὑετὸς κατα-
κλύζων ἐν ὀργῇ μου ἔσται, καὶ τοὺς λίθους τοὺς πετροβόλους ἐν θυμῷ ἐπάξω
εἰς συντέλειαν, 14 καὶ κατασκάψω τὸν τοῖχον ὃν ἠλείψατε, καὶ πεσεῖται· καὶ 14
θήσω αὐτὸν ἐπὶ τὴν γῆν καὶ ἀποκαλυφθήσεται τὰ θεμέλια αὐτοῦ, καὶ πε-
σεῖται καὶ συντελεσθήσεσθε μετ' ἐλέγχων, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος.
15 καὶ συντελέσω τὸν θυμόν μου ἐπὶ τὸν τοῖχον καὶ ἐπὶ τοὺς ἀλείφοντας αὐ- 15
τόν, πεσεῖται. καὶ εἶπα πρὸς ὑμᾶς Οὐκ ἔστιν ὁ τοῖχος οὐδὲ οἱ ἀλείφοντες
αὐτὸν 16 προφῆται τοῦ Ἰσραήλ, οἱ προφητεύοντες ἐπὶ Ἱερουσαλὴμ καὶ οἱ 16
ὁρῶντες αὐτῇ εἰρήνην, καὶ οὐκ ἔστιν εἰρήνη, λέγει κύριος. 17 καὶ σύ, υἱὲ 17
ἀνθρώπου, στήρισον τὸ πρόςωπόν σου ἐπὶ τὰς θυγατέρας τοῦ λαοῦ σου τὰς
προφητευούσας ἀπὸ καρδίας αὐτῶν, καὶ προφήτευσον ἐπ' αὐτὰς 18 καὶ ἐρεῖς 18
Τάδε λέγει κύριος Οὐαὶ ταῖς συρράπτουσαις προςκεφάλαια ὑπὸ πάντα ἀγκῶνα
χειρὸς καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας τοῦ δια-
στρέφειν ψυχάς. αἱ ψυχαὶ διεστράφησαν τοῦ λαοῦ μου, καὶ ψυχὰς περιε-
ποιοῦντο, 19 καὶ ἐβεβήλουν με πρὸς τὸν λαόν μου ἕνεκεν δρακὸς κριθῶν καὶ 19
ἕνεκεν κλασμάτων ἄρτων τοῦ ἀποκτεῖναι ψυχὰς ἃς οὐκ ἔδει ἀποθανεῖν, καὶ
τοῦ περιποιήσασθαι ψυχὰς ἃς οὐκ ἔδει ζῆσαι, ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς

---

XIII. 2. τους προφ. τ. ισρ. τους προφητευοντας· και ερεις τοις προφητες τοις προφητευουσιν απο καρδιας αυτων· και προφητευσεις· και ερεις πρ. αυτ. 3. αδωναϊ κυριος 4. οι προφ. σου ισρ. ωςει αλωπηκες (sic) εν τ. ερ. 5. και επι τον 6. Ταδε λεγει κυριος· και ο κυριος 7. μαντιας (v. 8. μαντιαι, atque ita plerumque) ... in fine add και λεγεται· φησιν κυριος· και εγω ουκ ελαληκα (sic) 8. om και ab initio ... αδωναϊ κυριος bis 9. οτι εγω ειμι αδωναϊ κυρ. 10. λεγοντες Ειρηνη· ειρηνη ... τον τοιχον· και αλλοι ... om πεσειται 11. αλιφοντ. αυτον 13. om ουκ 13. αδωναι κυριος ... επαξω εν θυμω 14. συντελεσθησεται 15. και πεσειται 16. και ορωντες ... **αυτην ειρηνην ... αδωναι κυριος 18. *κ. ερ. προς αυτας ... αδωναϊ κυριος ... επι παντα 18. και αι ψυχαι 19. και κλασματος αρτου αποκτειναι ... και περιεποιουντο ψυχας ... ζην

20 λαῷ εἰςακούοντι μάταια ἀποφθέγματα. [20] διὰ τοῦτο τάδε λέγει κύριος κύριος
Ἰδοὺ ἐγὼ ἐπὶ τὰ προςκεφάλαια ὑμῶν, ἐφ᾽ ἃ ὑμεῖς ἐκεῖ συστρέφετε ψυχάς,
καὶ διαῤῥήξω αὐτὰ ἀπὸ τῶν βραχιόνων ὑμῶν, καὶ ἐξαποστελῶ τὰς ψυχὰς ἃς
21 ὑμεῖς ἐκστρέφετε τὰς ψυχὰς αὐτῶν εἰς διασκορπισμόν, [21] καὶ διαῤῥήξω τὰ
ἐπιβόλαια ὑμῶν, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσονται
22 ἐν χερσὶν ὑμῶν εἰς συστροφήν, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. [22] ἀνθ᾽
ὧν διεστρέφετε καρδίαν δικαίου, καὶ ἐγὼ οὐ διέστρεφον αὐτόν, καὶ τοῦ κατι-
σχῦσαι χεῖρας ἀνόμου τὸ καθόλου μὴ ἀποστρέψαι ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς
23 πονηρᾶς καὶ ζῆσαι αὐτόν, [23] διὰ τοῦτο ψευδῆ οὐ μὴ ἴδητε, καὶ μαντείας οὐ
μὴ μαντεύσησθε ἔτι· καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς ὑμῶν, καὶ γνώσεσθε
ὅτι ἐγὼ κύριος.

## XIV.

Καὶ ἦλθον πρός με ἐκ τῶν πρεσβυτέρων ἄνδρες τοῦ λαοῦ Ἰσραήλ, καὶ
2 3 ἐκάθισαν πρὸ προςώπου μου. [2] καὶ ἐγένετο πρός με λόγος κυρίου λέγων [3] Υἱὲ
ἀνθρώπου, οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα αὐτῶν ἐπὶ τὰς καρδίας
αὐτῶν, καὶ τὴν κόλασιν τῶν ἀδικιῶν αὐτῶν ἔθηκαν πρὸ προςώπου αὐτῶν·
4 εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς; [4] διὰ τοῦτο λάλησον αὐτοῖς, καὶ ἐρεῖς
πρὸς αὐτούς Τάδε λέγει κύριος Ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ
ὃς ἂν θῇ τὰ διανοήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν κόλασιν τῆς
ἀδικίας αὐτοῦ τάξῃ πρὸ προςώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν προφήτην, ἐγὼ
5 κύριος ἀποκριθήσομαι αὐτῷ ἐν οἷς ἐνέχεται ἡ διάνοια αὐτοῦ, [5] ὅπως πλα-
γιάσῃ τὸν οἶκον τοῦ Ἰσραὴλ κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλλοτριωμένας
6 ἀπ᾽ ἐμοῦ ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. [6] διὰ τοῦτο εἰπὸν εἰς τὸν οἶκον τοῦ
Ἰσραήλ Τάδε λέγει κύριος κύριος Ἐπιστράφητε καὶ ἀποστρέψατε ἀπὸ τῶν
ἐπιτηδευμάτων ὑμῶν καὶ ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ ἐπιστρέψατε
7 τὰ πρόςωπα ὑμῶν. [7] διότι ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ καὶ ἐκ
τῶν προςηλύτων τῶν προςηλυτευόντων ἐν τῷ Ἰσραὴλ ὃς ἂν ἀπαλλοτριωθῇ
ἀπ᾽ ἐμοῦ, καὶ θῆται τὰ ἐνθυμήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν
κόλασιν τῆς ἀδικίας αὐτοῦ τάξῃ πρὸ προςώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν
προφήτην τοῦ ἐπερωτῆσαι αὐτὸν ἐν ἐμοί, ἐγὼ κύριος ἀποκριθήσομαι αὐτῷ
8 ἐν ᾧ ἐνέχεται ἐν αὐτῷ. [8] καὶ στηριῶ τὸ πρόςωπόν μου ἐπὶ τὸν ἄνθρωπον
ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς ἔρημον καὶ εἰς ἀφανισμόν, καὶ ἐξαρῶ αὐτὸν
9 ἐκ μέσου τοῦ λαοῦ μου, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος. [9] καὶ ὁ προφήτης
ἐὰν πλανήσῃ καὶ λαλήσῃ, ἐγὼ κύριος πεπλάνηκα τὸν προφήτην ἐκεῖνον, καὶ
ἐκτενῶ τὴν χεῖρά μου ἐπ᾽ αὐτὸν καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου
10 Ἰσραήλ, [10] καὶ λήψονται τὴν ἀδικίαν αὐτῶν κατὰ τὸ ἀδίκημα τοῦ ἐπερω-
11 τῶντος, καὶ κατὰ τὸ ἀδίκημα ὁμοίως τῷ προφήτῃ ἔσται, [11] ὅπως μὴ πλα-
νᾶται ἔτι ὁ οἶκος τοῦ Ἰσραὴλ ἀπ᾽ ἐμοῦ, καὶ ἵνα μὴ μιαίνωνται ἔτι ἐν πᾶσι
τοῖς παραπτώμασιν αὐτῶν, καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς
12 13 εἰς θεόν, λέγει κύριος. [12] καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [13] Υἱὲ ἀν-
θρώπου, γῆ ἣ ἐὰν ἁμάρτῃ μοι τοῦ παραπεσεῖν παράπτωμα, καὶ ἐκτενῶ τὴν

---

20. συστρεφετε εκει 21. περιβολαια ... οτι 22. διαστρεφετε κ. δικ. αδικως ... τον απο της ... πονηρ. αποστρεψαι και ζητησαι αυτ. 23. μαντιαν ... μαντευσησθαι· οτι ρυσομαι ... επιγνωσεσθαι XIV. 1. ανδρες απο των πρεσβυτ. ισραηλ 2. λογ. κυρ. προς με 4. αδωναϊ κυριος 5. οπως μη διαστρεψωσιν τον οικον 6. προς τον οικον ... κυρ. κυρ. ο θεος ... και επιστραφητε προς με (sine τα πρ. υμ.) 7. και των προσηλ. των προσκειμενων εν ισραηλ ος εαν απηλλοτριωθη ... και θη τα 8. και θησω αυτον 9. πλανηθη ... επλανησα 10. ** λημψομαι (*λημψονται) ... την αδικ. αυτου 11. ο οικος ισραηλ ... **αδωναι κυριος 13. γη εαν ... παραπτωματι

Digitized by Google

χειρά μου ἐπ' αὐτὴν καὶ συντρίψω αὐτῆς στήριγμα ἄρτου, καὶ ἐξαποστελῶ
ἐπ' αὐτὴν λιμὸν καὶ ἐξαρῶ ἐξ αὐτῆς ἄνθρωπον καὶ κτήνη. 14 καὶ ἐὰν ὦσιν 14
οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Δανιὴλ καὶ Ἰώβ, αὐτοὶ ἐν
τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται, λέγει κύριος. 15 ἐὰν καὶ θηρία πονηρὰ ἐπάγω 15
ἐπὶ τὴν γῆν καὶ τιμωρήσομαι αὐτήν, καὶ ἔσται εἰς ἀφανισμόν, οὐκ ἔσται ὁ
διοδεύων ἀπὸ προσώπου τῶν θηρίων, 16 καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ 16
αὐτῆς ὦσι, ζῶ ἐγώ, λέγει κύριος, εἰ υἱοὶ ἢ θυγατέρες σωθήσονται, ἀλλ' ἢ
αὐτοὶ μόνοι σωθήσονται, ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. 17 ἢ καὶ ῥομφαίαν ἐὰν 17
ἐπάγω ἐπὶ τὴν γῆν ἐκείνην καὶ εἴπω Ῥομφαία διελθάτω διὰ τῆς γῆς, καὶ
ἐξαρῶ ἐξ αὐτῶν ἄνθρωπον καὶ κτῆνος, 18 καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ 18
αὐτῆς, ζῶ ἐγώ, λέγει κύριος, οὐ μὴ ῥύσονται υἱοὺς οὐδὲ θυγατέρας, ἀλλ' ἢ
αὐτοὶ μόνοι σωθήσονται. 19 ἢ καὶ θάνατον ἐπαποστέλλω ἐπὶ τὴν γῆν ἐκείνην, 19
καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπ' αὐτὴν ἐν αἵματι τοῦ ἐξολεθρεῦσαι ἐξ αὐτῆς
ἄνθρωπον καὶ κτῆνος, 20 καὶ Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ ἐν μέσῳ αὐτῆς, ζῶ 20
ἐγώ, λέγει κύριος, ἐὰν υἱοὶ ἢ θυγατέρες ὑπολειφθῶσιν, αὐτοὶ ἐν τῇ δικαιο-
σύνῃ αὐτῶν ῥύσονται τὰς ψυχὰς αὐτῶν. 21 τάδε λέγει κύριος Ἐὰν δὲ καὶ 21
τὰς τέσσαρας ἐκδικήσεις μου τὰς πονηράς, ῥομφαίαν καὶ λιμὸν καὶ θηρία
πονηρὰ καὶ θάνατον, ἐξαποστείλω ἐπὶ Ἰερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι ἐξ αὐ-
τῆς ἄνθρωπον καὶ κτῆνος, 22 καὶ ἰδοὺ ὑπολελειμμένοι ἐν αὐτῇ οἱ ἀνασεσω- 22
σμένοι αὐτῆς, οἳ ἐξάγουσιν ἐξ αὐτῆς υἱοὺς καὶ θυγατέρας, ἰδοὺ ἐκπορεύονται
πρὸς ὑμᾶς, καὶ ὄψεσθε τὰς ὁδοὺς αὐτῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ
μεταμεληθήσεσθε ἐπὶ τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ Ἰερουσαλήμ, πάντα τὰ κακὰ
ἃ ἐπήγαγον ἐπ' αὐτήν, 23 καὶ παρακαλέσουσιν ὑμᾶς, διότι ὄψεσθε τὰς ὁδοὺς 23
αὐτῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ ἐπιγνώσεσθε διότι οὐ μάτην πεποίηκα
πάντα ὅσα ἐποίησα ἐν αὐτῇ λέγει κύριος.

## XV.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 2 Καὶ σύ υἱὲ ἀνθρώπου, τί ἂν 2
γένοιτο τὸ ξύλον τῆς ἀμπέλου ἐκ πάντων τῶν ξύλων τῶν κλημάτων τῶν ὄν-
των ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ; 3 εἰ λήψονται ἐξ αὐτῆς ξύλον τοῦ ποιῆσαι 3
εἰς ἐργασίαν; εἰ λήψονται ἐξ αὐτῆς πάσσαλον τοῦ κρεμάσαι ἐπ' αὐτὸν πᾶν
σκεῦος; 4 πάρεξ ὃ πυρὶ δέδοται εἰς ἀνάλωσιν, τὴν κατ' ἐνιαυτὸν κάθαρσιν 4
ἀπ' αὐτῆς ἀναλίσκει τὸ πῦρ, καὶ ἐκλείπει εἰς τέλος· μὴ χρήσιμον ἔσται εἰς
ἐργασίαν; 5 οὐδὲ ἔτι αὐτοῦ ὄντος ὁλοκλήρου οὐκ ἔσται εἰς ἐργασίαν; μὴ ὅτι 5
ἐὰν καὶ πῦρ αὐτὸ ἀναλώσῃ εἰς τέλος, εἰ ἔτι ἔσται εἰς ἐργασίαν. 6 διὰ τοῦτο 6
εἰπόν Τάδε λέγει κύριος Ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν τοῖς ξύλοις
τοῦ δρυμοῦ ὃ δέδωκα αὐτὸ πυρὶ εἰς ἀνάλωσιν, οὕτως δέδωκα τοὺς κατοι-
κοῦντας Ἰερουσαλήμ. 7 καὶ δώσω τὸ πρόσωπόν μου ἐπ' αὐτούς· ἐκ τοῦ πυρὸς 7
ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ ἐπιγνώσονται ὅτι ἐγὼ κύριος
ἐν τῷ στηρίσαι με τὸ πρόσωπόν μου ἐπ' αὐτούς. 8 καὶ δώσω τὴν γῆν εἰς 8
ἀφανισμὸν ἀνθ' ὧν παρέπεσον παραπτώματι, λέγει κύριος.

---

13. απ αυτης στηριγμα ... εξαρω απ αυτης 14. εμμεσω ... ουτοι εν τη ... **αδωναϊ κυριος 15. εαν δε και ... επαγαγω ... και ουκ εσται ο 16. εμμεσω ... υιοι και θυγατ. αυτων 17. η και εαν ρομφ. επαγαγω ... εξαρω εξ αυτης ... κτηνη 18. εμμεσω αυτης ωσιν ... ρυσωνται υι. η θυγ. 19. θαν. επαγω επι ... εξολεθρευσαι 20. εμμεσω αυτης ωσιν ... υπολειφθωσιν αυτοις, αυτοι 21. αδωναϊ κυριος ... επαποστελω ... εξολεθρευσαι 22. υπολελιμμενοι ... οι ανασεσωσμ. εξ αυτης ουτοι εξαξουσιν υιους ... ιδου αυτοι XV. 2. om Και συ 3. λημψονται bis ... επ αυτου 4. *παρεξ πυρι ... καθαρσιν αυτης 5. εργασιαν· διοτι εαν και μη ... τελος, μη εσται ετι εις 6. αδωναϊ κυριος ... τω πυρι ... κατοικ. εν ιερουσ. 7. στηριω pro δωσω

## XVI.

2 Καὶ ἐγένετο λόγος κυρίου πρός μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, διαμάρτυραι
3 τῇ Ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς, [3] καὶ ἐρεῖς Τάδε λέγει κύριος τῇ Ἱερου-
σαλήμ Ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς Χαναάν, ὁ πατήρ σου Ἀμοῤ-
4 ῥαῖος, καὶ ἡ μήτηρ σου Χετταία. [4] καὶ ἡ γένεσίς σου· ἐν ᾗ ἡμέρᾳ ἐτέχθης
οὐκ ἔδησας τοὺς μαστούς σου, καὶ ἐν ὕδατι οὐκ ἐλούσθης οὐδὲ ἁλὶ ἡλίσθης,
5 καὶ ἐν σπαργάνοις οὐκ ἐσπαργανώθης, [5] οὐδὲ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπὶ
σοὶ τοῦ ποιῆσαί σοι ἓν ἐκ πάντων τούτων τοῦ παθεῖν τι ἐπὶ σοί· καὶ ἀπεῤ-
ῥίφης ἐπὶ πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν ἡμέρᾳ ᾗ
6 ἐτέχθης. [6] καὶ διῆλθον ἐπὶ σὲ καὶ ἴδον σε πεφυρμένην ἐν τῷ αἵματί σου,
7 καὶ εἶπά σοι Ἐκ τοῦ αἵματός σου ζωή, [7] πληθύνου, καθὼς ἡ ἀνατολὴ τοῦ
ἀγροῦ δέδωκά σε· καὶ ἐπληθύνθης καὶ ἐμεγαλύνθης, καὶ εἰςῆλθες εἰς πόλεις
πόλεων. οἱ μαστοί σου ἀνωρθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλε, σὺ δὲ ἦσθα
8 γυμνὴ καὶ ἀσχημονοῦσα. [8] καὶ διῆλθον διὰ σοῦ καὶ ἴδον σε, καὶ ἰδοὺ και-
ρός σου καὶ καιρὸς καταλυόντων, καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σὲ
καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι καὶ εἰςῆλθον ἐν διαθήκῃ
9 μετὰ σοῦ, λέγει κύριος, καὶ ἐγένου μοι. [9] καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἀπέ-
10 πλυνα τὸ αἷμά σου ἀπὸ σοῦ, καὶ ἔχρισά σε ἐν ἐλαίῳ· [10] καὶ ἐνέδυσά σε
ποικίλα καὶ ὑπέδυσά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ καὶ περιέβαλόν σε
11 τριχαπτῷ· [11] καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλια περὶ τὰς χεῖράς
12 σου καὶ κάθεμα περὶ τὸν τράχηλόν σου· [12] καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυ-
κτῆρά σου καὶ τροχίσκους ἐπὶ τὰ ὦτά σου καὶ στέφανον καυχήσεως ἐπὶ
13 τὴν κεφαλήν σου· [13] καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀργυρίῳ, καὶ τὰ περιβόλαιά
σου βύσσινα καὶ τριχαπτὰ καὶ ποικίλα· σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφα-
14 γες, καὶ ἐγένου καλὴ σφόδρα. [14] καὶ ἐξῆλθέ σου ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν
τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν εὐπρεπείᾳ ἐν τῇ ὡραιότητι ᾗ
15 ἔταξα ἐπὶ σέ, λέγει κύριος. [15] κατεπεποίθεις ἐν τῷ κάλλει σου καὶ ἐπόρνευ-
σας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον.
16 [16] καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτὰ καὶ
17 ἐξεπόρνευσας ἐπ᾽ αὐτά, καὶ οὐ μὴ εἰςέλθῃς οὐδὲ μὴ γένηται. [17] καὶ ἔλαβες
τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ χρυσίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου
ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρσενικὰς καὶ ἐξεπόρνευσας
18 ἐν αὐταῖς, [18] καὶ ἔλαβες τὸν ἱματισμὸν τὸν ποικίλον σου καὶ περιέβαλες αὐ-
τάς, καὶ τὸ ἔλαιόν μου καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προςώπου αὐτῶν,
19 [19] καὶ τοὺς ἄρτους μου οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἐψώ-
μισά σε, καὶ ἔθηκας αὐτὰ πρὸ προςώπου αὐτῶν εἰς ὀσμὴν εὐωδίας. καὶ ἐγέ-
20 νετο, λέγει κύριος, [20] καὶ ἔλαβες τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου ἃς
21 ἐγέννησας, καὶ ἔθυσας αὐτοῖς εἰς ἀνάλωσιν· ὡς μικρὰ ἐξεπόρνευσας, [21] καὶ
ἔσφαξας τὰ τέκνα σου καὶ ἔδωκας αὐτὰ ἐν τῷ ἀποτροπιάζεσθαί σε αὐτὰ αὐ-
22 τοῖς. [22] τοῦτο παρὰ πᾶσαν τὴν πορνείαν σου, καὶ οὐκ ἐμνήσθης τῆς νηπιό-
τητός σου, ὅτε ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα, πεφυρμένη ἐν τῷ αἵματί σου

---

XVI. 4. εδησαν ... ελουσθης του χριστου μου ... και σπαργανοις 5. ου φεισεται ... εν η ημερα ετεχθης 6. σου η ζωη σου 7. και πληθυνου ... ανορθωθησαν ... ανετειλεν· και ησθα 8. καιρ. σου ως καιρος ... **αδωναϊ κυριος 10. υπεδησα 12. ενωτιον επι τον 13. εκοσμ. κοσμω χρυσω και αργυρω ... σφοδρα σφοδρα 14. εθνεσ. επι τω ... **αδωναϊ κυριος 15. και κατεπεποιθεις επι τω ... in fine add ο ουκ εσται 16. ουδ ου μη γενηται 17. σου και εκ του 18. περιεβ. αυτα 19. κ. εγεν. μετα ταυτα 20. om και ab initio ... om ας εγεννησας ... εθυσ. αυτα αυτοις 21. εδωκες ... σε εν αυτοις 22. πορν. σου και τα βδελυγματα σου ... εμνησθη (sic) τας ημερας της ... και πεφυρμενη

Digitized by Google

ἔζησας. 23 καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου, λέγει κύριος, 24 καὶ ᾠκο- 23 24
δόμησας σεαυτῇ οἴκημα πορνικόν, καὶ ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλα-
τείᾳ, 25 καὶ ἐπ᾽ ἀρχῆς πάσης ὁδοῦ ᾠκοδόμησας τὰ πορνεῖά σου καὶ ἐλυμήνω 25
τὸ κάλλος σου, καὶ διήγαγες τὰ σκέλη σου παντὶ παρόδῳ καὶ ἐπλήθυνας τὴν
πορνείαν σου, 26 καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου τοὺς ὁμοροῦντάς 26
σοι τοὺς μεγαλοσάρκους, καὶ πολλαχῶς ἐξεπόρνευσας τοῦ παροργίσαι με. 27 ἐὰν 27
δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ ἐξάρω τὰ νόμιμά σου καὶ παραδώσω
εἰς ψυχὰς μισούντων σε, θυγατέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἐκ τῆς
ὁδοῦ σου ἧς ἠσέβησας. 28 καὶ ἐξεπόρνευσας ἐπὶ τὰς θυγατέρας Ἀσσούρ, καὶ 28
οὐδ᾽ οὕτως ἐνεπλήσθης, καὶ ἐξεπόρνευσας καὶ οὐκ ἐνεπίπλω. 29 καὶ ἐπλήθυ- 29
νας τὰς διαθήκας σου πρὸς γῆν Χαλδαίων, καὶ οὐδὲ ἐν τούτοις ἐνεπλήσθης.
30 τί διαθῶ τὴν θυγατέρα σου, λέγει κύριος, ἐν τῷ ποιῆσαί σε πάντα ταῦτα 30
ἔργα γυναικὸς πόρνης; καὶ ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγατράσι σου·
31 τὸ πορνεῖον ᾠκοδόμησας ἐν πάσῃ ἀρχῇ ὁδοῦ, καὶ τὴν βάσιν σου ἐποίησας 31
ἐν πάσῃ πλατείᾳ. καὶ ἐγένου ὡς πόρνη συνάγουσα μισθώματα, 32 ἡ γυνὴ ἡ 32
μοιχωμένη ὁμοία σοι, παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβάνουσα μισθώματα, 33 πᾶσι 33
τοῖς ἐκπορνεύσασιν αὐτὴν προσεδίδου μισθώματα· καὶ σὺ δέδωκας μισθώματα
πᾶσι τοῖς ἐρασταῖς σου, καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλό-
θεν ἐν τῇ πορνείᾳ σου. 34 καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυ- 34
ναῖκας ἐν τῇ πορνείᾳ σου, καὶ μετὰ σοῦ πεπορνεύκασιν ἐν τῷ προσδιδόναι σε
μισθώματα, καὶ σοὶ μισθώματα οὐκ ἐδόθη, καὶ ἐγένετο ἐν σοὶ διεστραμμένα.
35 διὰ τοῦτο πόρνη ἄκουε λόγον κυρίου 36 Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐξέχεας 35 36
τὸν χαλκόν σου, καὶ ἀποκαλυφθήσεται ἡ αἰσχύνη σου ἐν τῇ πορνείᾳ σου
πρὸς τοὺς ἐραστάς σου καὶ εἰς πάντα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου καὶ
ἐν τοῖς αἵμασι τῶν τέκνων σου ὧν ἔδωκας αὐτοῖς. 37 διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπι- 37
συνάγω πάντας τοὺς ἐραστάς σου ἐν οἷς ἐπεμίγης ἐν αὐτοῖς, καὶ πάντας οὓς
ἠγάπησας σὺν πᾶσιν οἷς ἐμίσεις· καὶ συνάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν καὶ
ἀποκαλύψω τὰς κακίας σου πρὸς αὐτούς, καὶ ὄψονται πᾶσαν τὴν αἰσχύνην
σου, 38 καὶ ἐκδικήσω σε ἐκδικήσει μοιχαλίδος, καὶ θήσω σε ἐν αἵματι θυμοῦ 38
καὶ ζήλου. 39 καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ κατασκάψουσι τὸ πορ- 39
νεῖόν σου καὶ καθελοῦσι τὴν βάσιν σου, καὶ ἐκδύσουσί σε τὰ ἱμάτιά σου καὶ
λήψονται τὰ σκεύη τῆς καυχήσεώς σου, καὶ ἀφήσουσί σε γυμνὴν καὶ ἀσχη-
μονοῦσαν. 40 καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους, καὶ λιθοβολήσουσί σε ἐν λίθοις, καὶ 40
κατασφάξουσί σε ἐν τοῖς ξίφεσιν αὐτῶν, 41 καὶ ἐμπρήσουσι τοὺς οἴκους σου 41
πυρί, καὶ ποιήσουσιν ἐν σοὶ ἐκδικήσεις ἐνώπιον γυναικῶν πολλῶν· καὶ ἀπο-
στρέψω σε ἐκ πορνείας, καὶ μισθώματα οὐ μὴ δώσω οὐκέτι. 42 καὶ ἐπαφήσω 42
τὸν θυμόν μου ἐπὶ σέ, καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ· καὶ ἀναπαύσο-
μαι, καὶ οὐ μὴ μεριμνήσω οὐκέτι. 43 ἀνθ᾽ ὧν οὐκ ἐμνήσθης τῆς νηπιότητός 43
σου, καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις, καὶ ἰδοὺ ἐγὼ τὰς ὁδούς σου εἰς κεφαλὴν

---

23. ουαι ουαι σοι λεγει κυριος 25. επ αρχην πασων εξοδων ... τα πορνια σου ... ηγαγες 26. ομοροουντας 27. επι σε, εξαρω ... παραδωσω σε ... οδου σου εξεπορνευσας 28. και ησεβησας επι ... θυγατερας σουρ ... ενεπλησθης, εξεπ. ... ενεμπιπλω 29. την διαθηκην σ. πρ. γ. χαναναιων και χαλδαιων κ. ουδ εν 30. om παντα ταυτα ... πορνης· εξεπ. τρ. επι ταις 31. και το πορνιον ωκ. επι πασης αρχης οδου, την 32. ως γυνη μοιχωμενη 33. εκπορνευουσιν ... transilit a μισθωματα ad μισθωματα 34. εγενετο σοι εξεστραμμενον ... προδιδοναι ... εξεστραμμενα 36. αδωναϊ κυριος ... και επι παντα 37. επι σε συναγω 38. μοιχαλιδος και εκχεουσης αιμα, και θησομαι σε εν τω αιματι σου, και δωσω σε εις αιμα θυμου κ. ζηλους 39. κατασκοψουσιν (sic) ... πορνιον ... τον ιματισμον σου ... λημψονται 41. εν πυρι ... απο της πορν. σου ... ου μη δως 43. την ημεραν της νηπιοτ. σου ... ed. rom. τουτοις. και ... και εγω ιδου

Digitized by Google

σου δέδωκα, λέγει κύριος· καὶ οὕτως ἐποίησας τὴν ἀσέβειαν ἐπὶ πάσαις ταῖς
44 ἀνομίαις σου. [44] ταῦτά ἐστι πάντα ὅσα εἶπαν κατὰ σοῦ ἐν παραβολῇ λέγον-
45 τες Καθὼς ἡ μήτηρ, [45] καὶ ἡ θυγάτηρ τῆς μητρός σου· σὺ εἶ ἡ ἀπωσαμένη
τὸν ἄνδρα αὐτῆς καὶ τὰ τέκνα αὐτῆς, καὶ ἀδελφαὶ τῶν ἀδελφῶν σου αἱ
ἀπωσάμεναι τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν· ἡ μήτηρ ὑμῶν Χετ-
46 ταία, καὶ ὁ πατὴρ Ἀμορραῖος. [46] ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσβυτέρα Σαμάρεια,
αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ εὐωνύμων σου· καὶ ἡ ἀδελφή
σου ἡ νεωτέρα σου ἡ κατοικοῦσα ἐκ δεξιῶν σου Σόδομα καὶ αἱ θυγατέρες
47 αὐτῆς. [47] καὶ οὐδ' ὡς ἐν ταῖς ὁδοῖς αὐτῶν ἐπορεύθης, οὐδὲ κατὰ τὰς ἀνο-
μίας αὐτῶν ἐποίησας· παρὰ μικρὸν καὶ ὑπέρκεισαι αὐτὰς ἐν πάσαις ταῖς
48 ὁδοῖς σου. [48] ζῶ ἐγώ, λέγει κύριος, εἰ πεποίηκε Σόδομα αὕτη καὶ αἱ θυγα-
49 τέρες αὐτῆς ὃν τρόπον ἐποίησας σὺ καὶ αἱ θυγατέρες σου. [49] πλὴν τοῦτο τὸ
ἀνόμημα Σοδόμων τῆς ἀδελφῆς σου, ὑπερηφανία· ἐν πλησμονῇ ἄρτων καὶ
ἐν εὐθηνίᾳ ἐσπατάλων αὕτη καὶ αἱ θυγατέρες αὐτῆς· τοῦτο ὑπῆρχεν αὐτῇ
καὶ ταῖς θυγατράσιν αὐτῆς, καὶ χεῖρα πτωχοῦ καὶ πένητος οὐκ ἀντελαμβά-
50 νοντο, [50] καὶ ἐμεγαλαύχουν καὶ ἐποίησαν ἀνομήματα ἐνώπιον ἐμοῦ, καὶ ἐξῆρα
51 αὐτὰς καθὼς ἴδον. [51] καὶ Σαμάρεια κατὰ τὰς ἡμίσεις τῶν ἁμαρτιῶν σου οὐχ
ἥμαρτε, καὶ ἐπλήθυνας τὰς ἀνομίας σου ὑπὲρ αὐτάς, καὶ ἐδικαίωσας τὰς
52 ἀδελφάς σου ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐποίησας. [52] καὶ σὺ κόμισαι
βάσανόν σου ἐν ᾗ ἔφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου αἷς ἠνό-
μησας ὑπὲρ αὐτάς, καὶ ἐδικαίωσας αὐτὰς ὑπὲρ σεαυτήν· καὶ σὺ αἰσχύνθητι
53 καὶ λάβε τὴν ἀτιμίαν σου ἐν τῷ δικαιῶσαί σε τὰς ἀδελφάς σου. [53] καὶ ἀπο-
στρέψω τὰς ἀποστροφὰς αὐτῶν τὴν ἀποστροφὴν Σοδόμων καὶ τῶν θυγατέ-
ρων αὐτῆς, καὶ ἀποστρέψω τὴν ἀποστροφὴν Σαμαρείας καὶ τῶν θυγατέρων
54 αὐτῆς, καὶ ἀποστρέψω τὴν ἀποστροφὴν σοῦ ἐν μέσῳ αὐτῶν, [54] ὅπως κομίσῃ
τὴν βάσανόν σου καὶ ἀτιμωθήσῃ ἐκ πάντων ὧν ἐποίησας ἐν τῷ παροργίσαι
55 με. [55] καὶ ἡ ἀδελφή σου Σόδομα καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθή-
σονται καθὼς ἦσαν ἀπ' ἀρχῆς· καὶ σὺ καὶ αἱ θυγατέρες σου ἀποκατασta-
56 θήσεσθε καθὼς ἀπ' ἀρχῆς ἦτε. [56] καὶ εἰ μὴ ἦν Σόδομα ἡ ἀδελφή σου εἰς
57 ἀκοὴν ἐν τῷ στόματί σου ἐν ταῖς ἡμέραις ὑπερηφανίας σου, [57] πρὸ τοῦ ἀπο-
καλυφθῆναι τὰς κακίας σου, ὃν τρόπον νῦν ὄνειδος εἶ θυγατέρων Συρίας καὶ
πάντων τῶν κύκλῳ αὐτῆς θυγατέρων ἀλλοφύλων τῶν περιεχουσῶν σε κύκλῳ,
58 [58] τὰς ἀσεβείας σου καὶ τὰς ἀνομίας σου σὺ κεκόμισαι αὐτάς, λέγει κύριος.
59 [59] τάδε λέγει κύριος Καὶ ποιήσω ἐν σοὶ καθὼς ἐποίησας ὡς ἠτίμωσας ταῦτα
60 τοῦ παραβῆναι τὴν διαθήκην μου. [60] καὶ μνησθήσομαι ἐγὼ τῆς διαθήκης μου
τῆς μετὰ σοῦ ἐν ἡμέραις νηπιότητός σου, καὶ ἀναστήσω σοι διαθήκην αἰώ-
61 νιον. [61] καὶ μνησθήσῃ τὴν ὁδόν σου, καὶ ἐξατιμωθήσῃ ἐν τῷ ἀναλαβεῖν σε
τὰς ἀδελφάς σου τὰς πρεσβυτέρας σου σὺν ταῖς νεωτέραις σου, καὶ δώσω
62 αὐτάς σοι εἰς οἰκοδομὴν καὶ οὐκ ἐκ διαθήκης σου. [62] καὶ ἀναστήσω ἐγὼ
63 τὴν διαθήκην μου μετὰ σοῦ, καὶ ἐπιγνώσῃ ὅτι ἐγὼ κύριος. [63] ὅπως μνησθῇς
καὶ αἰσχυνθῇς, καὶ μὴ ᾖ σοι ἔτι ἀνοῖξαι τὸ στόμα σου ἀπὸ προσώπου τῆς ἀτι-
μίας σου, ἐν τῷ ἐξιλάσκεσθαί με σοὶ κατὰ πάντα ὅσα ἐποίησας, λέγει κύριος.

---

43. την ασεβ. σου 45. om σου prius ... και αι αδελφαι σου τ. αδ. αι ... ed. rom. η μητ. ημων ... ο πατ. υμων αμορρ. 47. ed. rom. εποιησας cum παρα μικρον conjg. ... post αυτας add παρα πικρον 48. σοδομα η αδελφη σου αυτη ... ον τροπ. πεποιηκας 49. εν ευθην. οινου ... αντελαβοντο 50. ανομα ... om ιδον 51. τας αμαρτιας σ. υπ. αυτας 52. διεφθειρας 53. εμμεσω 54. εν τω σε παροργ. με 55. post ησαν απ αρχης add και σαμαρεια και αι θυγατερες αυτης αποκατασταθησονται καθως ησαν απ αρχης 58. εν ταις ασεβιαις σου και ταις ανομιαις σου συ κεκοσμησαι αυτας 59. αδωναι κυριος ... ποιησω σοι ... ητιμασας 61. ατιμασθηση ... διαθηκ. μου 62. om εγω 63. om σου prius ... om της ... και εν τω

Digitized by Google

## XVII.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, διήγησαι διή- 2
γημα καὶ εἰπὸν παραβολὴν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ, [3]καὶ ἐρεῖς Τάδε 3
λέγει κύριος Ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος ὁ μακρὸς τῇ ἐκτάσει πλήρης
ὀνύχων, ὃς ἔχει τὸ ἥγημα εἰςελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα
τῆς κέδρου, [4]τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέκνισε, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν 4
Χαναάν, εἰς πόλιν τετειχισμένην ἔθετο αὐτά. [5]καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρ- 5
ματος τῆς γῆς καὶ ἔδωκεν αὐτὸ εἰς τὸ πεδίον φυτὸν ἐφ' ὕδατι πολλῷ, ἐπι-
βλεπόμενον ἔταξεν αὐτό. [6]καὶ ἀνέτειλε καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν 6
καὶ μικράν, τοῦ ἐπιφαίνεσθαι αὐτὴν τὰ κλήματα αὐτῆς ἐπ' αὐτό, καὶ ῥίζαι
αὐτῆς ὑποκάτω αὐτῆς ἦσαν. καὶ ἐγένετο εἰς ἄμπελον καὶ ἐποίησεν ἀπώρυ-
γας καὶ ἐξέτεινε τὴν ἀναδενδράδα αὐτῆς. [7]καὶ ἐγένετο ἀετὸς ἕτερος μέγας 7
μεγαλοπτέρυγος πολὺς ὄνυξι, καὶ ἰδοὺ ἡ ἄμπελος αὕτη περιπεπλεγμένη πρὸς
αὐτόν, καὶ ῥίζαι αὐτῆς πρὸς αὐτόν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλεν
αὐτῷ τοῦ ποτίσαι αὐτὴν σὺν τῷ βόλῳ τῆς φυτείας αὐτῆς. [8]εἰς πεδίον κα- 8
λὸν ἐφ' ὕδατι πολλῷ αὕτη πιαίνεται τοῦ ποιεῖν βλαστοὺς καὶ φέρειν καρπόν,
τοῦ εἶναι εἰς ἄμπελον μεγάλην. [9]διὰ τοῦτο εἰπόν Τάδε λέγει κύριος Εἰ κα- 9
τευθυνεῖ, οὐχὶ αἱ ῥίζαι τῆς ἁπαλότητος αὐτῆς καὶ ὁ καρπὸς σαπήσεται, καὶ
ξηρανθήσεται πάντα τὰ προανατέλλοντα αὐτῆς, καὶ οὐκ ἐν βραχίονι μεγάλῳ
οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς; [10]καὶ ἰδοὺ πιαί- 10
νεται· μὴ κατευθυνεῖ; οὐχὶ ἅμα τῷ ἅψεσθαι αὐτῆς ἄνεμον τὸν καύσωνα ξη-
ρανθήσεται; σὺν τῷ βόλῳ ἀνατολῆς αὐτῆς ξηρανθήσεται. [11]καὶ ἐγένετο λόγος 11
κυρίου πρός με λέγων [12]Υἱὲ ἀνθρώπου, εἰπὸν δὴ πρὸς τὸν οἶκον τὸν παρα- 12
πικραίνοντα Οὐκ ἐπίστασθε τί ἦν ταῦτα; εἰπόν Ὅταν ἔλθῃ βασιλεὺς Βαβυ-
λῶνος ἐπὶ Ἱερουσαλήμ, καὶ λήψεται τὸν βασιλέα αὐτῆς καὶ τοὺς ἄρχοντας
αὐτῆς καὶ ἄξῃ αὐτοὺς πρὸς αὐτοὺς εἰς Βαβυλῶνα. [13]καὶ λήψεται ἐκ τοῦ σπέρ- 13
ματος τῆς βασιλείας, καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην καὶ εἰςάξει αὐτὸν
ἐν ἀρᾷ, καὶ τοὺς ἡγεμόνας τῆς γῆς λήψεται, [14]τοῦ γενέσθαι εἰς βασιλείαν 14
ἀσθενῆ τὸ καθόλου μὴ ἐπαίρεσθαι, τοῦ φυλάσσειν τὴν διαθήκην αὐτοῦ καὶ
ἱστάνειν αὐτήν. [15]καὶ ἀποστήσεται ἀπ' αὐτοῦ τοῦ ἐξαποστέλλειν ἀγγέλους 15
ἑαυτοῦ εἰς Αἴγυπτον τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. εἰ κατευθυνεῖ;
εἰ διασωθήσεται ὁ ποιῶν ἐναντία; καὶ παραβαίνων διαθήκην εἰ διασωθήσε-
ται; [16]ζῶ ἐγώ, λέγει κύριος, ἐὰν μὴ ἐν τόπῳ ὁ βασιλεὺς ὁ βασιλεύσας αὐτόν, 16
ὃς ἠτίμωσε τὴν ἀράν μου καὶ ὃς παρέβη τὴν διαθήκην μου, μετ' αὐτοῦ ἐν
μέσῳ Βαβυλῶνος τελευτήσει. [17]καὶ οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ὄχλῳ 17
πολλῷ ποιήσει πρὸς αὐτὸν Φαραὼ πόλεμον, ἐν χαρακοβολίᾳ καὶ ἐν οἰκοδομῇ
βελοστάσεων τοῦ ἐξᾶραι ψυχάς. [18]καὶ ἠτίμωσεν ὁρκωμοσίαν τοῦ παραβῆναι 18
διαθήκην, καὶ ἰδοὺ δέδωκα τὴν χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ,
μὴ σωθήσεται. [19]διὰ τοῦτο εἰπόν Τάδε λέγει κύριος Ζῶ ἐγὼ ἐὰν μὴ τὴν 19
ὁρκωμοσίαν μου ἣν ἠτίμωσε, καὶ τὴν διαθήκην μου ἣν παρέβη, καὶ δώσω αὐτὴν

---

XVII. 3. Ο αετος ... τη εκστασει ... τα εκλεκτα 4. εις γην χαλδαιων 6. ευθηνουσαν κ. μικρ. τω μεγεθει τω επιφαινεσθαι αυτη τα κ. α. επ αυτην ... αι ριζαι ... εις αμπελον μεγαλην 7. αι ριζαι ... αυτης και εξαπεστειλεν αυτην ... βωλω 8. του ποιησαι καρπον κ. ενεγκαι βλαστον 9. κατευθυνθησεται 10. αψασθαι ... ξηρανθησ. ξηρασια ... βωλω ... om ξηρανθησεται sec. 12. οικον ισραηλ ... τι εστιν ταυτα· α´ειπον ... εις ιερουσαλημ λημψεται ... om και τ. αρχ. αυτης ... αξει ... προς αυτον 13. λημψεται ... τους ηγουμενους ... λημψεται 14. αυτου του ιστανειν 15. σωθησεται in fine 16. δια τουτο ζω ... εν τω τοπω ω ο ... εμμεσω 17. βελοστασεως 18. οτι ητιμασεν ... δεδωκεν 19. την διαθηκ. μου την παρεβη και την ορκωμ. μ. ην ητιμωσεν κ. δωσω αυτα



Digitized by Google

20 εἰς κεφαλὴν αὐτοῦ. [20] καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυον, καὶ ἁλώσεται
21 ἐν τῇ περιοχῇ αὐτοῦ. [21] ἐν πάσῃ παρατάξει αὐτοῦ ἐν ῥομφαίᾳ πεσοῦνται,
καὶ τοὺς καταλοίπους εἰς πάντα ἄνεμον διασπερῶ, καὶ ἐπιγνώσεσθε διότι
22 ἐγὼ κύριος λελάληκα. [22] διότι τάδε λέγει κύριος Καὶ λήψομαι ἐγὼ ἐκ τῶν
ἐκλεκτῶν τῆς κέδρου ἐκ κορυφῆς, καρδίας αὐτῶν ἀποκνιῶ καὶ καταφυτεύσω
23 ἐγὼ ἐπ' ὄρος ὑψηλόν, [23] καὶ κρεμάσω αὐτὸν ἐν ὄρει μετεώρῳ Ἰσραὴλ καὶ
καταφυτεύσω, καὶ ἐξοίσει βλαστὸν καὶ ποιήσει καρπὸν καὶ ἔσται εἰς κέδρον
μεγάλην· καὶ ἀναπαύσεται ὑποκάτω αὐτοῦ πᾶν ὄρνεον, καὶ πᾶν πετεινὸν ὑπὸ
24 τὴν σκιὰν αὐτοῦ ἀναπαύσεται. τὰ κλήματα αὐτοῦ ἀποκατασταθήσεται, [24] καὶ
γνώσονται πάντα τὰ ξύλα τοῦ πεδίου διότι ἐγὼ κύριος ὁ ταπεινῶν ξύλον
ὑψηλὸν καὶ ὑψῶν ξύλον ταπεινόν, καὶ ξηραίνων ξύλον χλωρὸν καὶ ἀναθάλλων
ξύλον ξηρόν. ἐγὼ κύριος λελάληκα καὶ ποιήσω.

## XVIII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, τί ὑμῖν ἡ
παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς Ἰσραήλ, λέγοντες Οἱ πατέρες ἔφαγον ὄμφακα,
3 καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; [3] ζῶ ἐγώ, λέγει κύριος, ἐὰν γένηται
4 ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ. [4] ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί
εἰσιν, ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ, ἐμαί εἰ-
5 σιν· ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. [5] ὁ δὲ ἄνθρωπος ὃς ἔσται
6 δίκαιος, ὁ ποιῶν κρίμα καὶ δικαιοσύνην, [6] ἐπὶ τῶν ὀρέων οὐ φάγεται, καὶ
τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ ἐπάρῃ πρὸς τὰ ἐνθυμήματα οἴκου Ἰσραήλ, καὶ
τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ
7 οὖσαν οὐ προσεγγιεῖ, [7] καὶ ἄνθρωπον οὐ μὴ καταδυναστεύσῃ, ἐνεχυρασμὸν
ὀφείλοντος ἀποδώσει καὶ ἅρπαγμα οὐχ ἁρπᾶται, τὸν ἄρτον αὐτοῦ τῷ πει-
8 νῶντι δώσει καὶ γυμνὸν περιβαλεῖ, [8] καὶ τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώ-
σει καὶ πλεονασμὸν οὐ λήψεται, καὶ ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ,
κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ,
9 [9] καὶ τοῖς προστάγμασί μου πεπόρευται καὶ τὰ δικαιώματά μου πεφύλακται
10 τοῦ ποιῆσαι αὐτά· δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει κύριος. [10] καὶ ἐὰν
11 γεννήσῃ υἱὸν λοιμόν, ἐκχέοντα αἷμα καὶ ποιοῦντα ἁμαρτήματα, [11] ἐν τῇ ὁδῷ
τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη, ἀλλὰ καὶ ἐπὶ τῶν ὀρέων ἔφαγε,
12 καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐμίανε, [12] καὶ πτωχὸν καὶ πένητα κα-
τεδυνάστευσε, καὶ ἅρπαγμα ἥρπασε καὶ ἐνεχυρασμὸν οὐκ ἀπέδωκε, καὶ εἰς
13 τὰ εἴδωλα ἔθετο τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἀνομίαν πεποίηκε, [13] μετὰ τόκου
ἔδωκε καὶ πλεονασμὸν ἔλαβεν· οὗτος ζωῇ οὐ ζήσεται, πάσας τὰς ἀνομίας
ταύτας ἐποίησε, θανάτῳ θανατωθήσεται, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται.
14 [14] ἐὰν δὲ γεννήσῃ υἱόν, καὶ ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτοῦ ἃς
15 ἐποίησε, καὶ φοβηθῇ καὶ μὴ ποιήσῃ κατ' αὐτάς, [15] ἐπὶ τῶν ὀρέων οὐ βέ-
βρωκε, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο εἰς τὰ ἐνθυμήματα οἴκου Ἰσραήλ,

---

20. το δικτ. μου ... in fine add και αξω αυτον εις βαβυλωνα· και διακριθησομαι μετ αυτου εκει· την αδικιαν αυτου ην ηδικησεν εν εμοι· 21. ab initio add και πασας φυγαδειας αυτου ... εν παση τη 22. δια τουτο ειπον Ταδε ... λημψομαι ... επιλεκτων ... om εκ ... καρδ. αυτων· και δωσω απο κεφαλης παραφυαδων αυτης· καρδιας αυτων αποκν. 23. του ισραηλ ... αυτου παν θηριον και τα πετεινα υπο ... και τα κλημ. 24. τα ξυλα του αγρου ... και ο υψων XVIII. 2. αυτη επι της γης εν 3. αδωναϊ κυριος ... η αμαρτ. αποθανειται· και του φαγοντος τον ομφακα αιμωδιασουσιν οι οδοντες αυτου 5. om ος 6. επαρη επι τα 7. ανδρα pro αρτον ... περιβαλει ιματιον 8. λημψεται 9. om ουτος ... αδωναϊ κυριος 10. εαν δε γεννησης 12. ιδωλα 13. θανατω αποθανειται 14. γεννησης 15. ορ. ουχ εφαγεν

Digitized by Google

καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ ἐμίανε, 16 καὶ ἄνθρωπον οὐ κατεδυ- 16
νάστευσε, καὶ ἐνεχυρασμὸν οὐκ ἐνεχύρασε καὶ ἅρπαγμα οὐχ ἥρπασε, τὸν ἄρ-
τον αὐτοῦ τῷ πεινῶντι ἔδωκε καὶ γυμνὸν περιέβαλεν, 17 καὶ ἀπὸ ἀδικίας ἀπέ- 17
στρεψε τὴν χεῖρα αὐτοῦ, τόκον οὐδὲ πλεονασμὸν οὐκ ἔλαβε, δικαιοσύνην
ἐποίησε καὶ ἐν τοῖς προςτάγμασί μου ἐπορεύθη, οὐ τελευτήσει ἐν ἀδικίαις
πατρὸς αὐτοῦ, ζωῇ ζήσεται. 18 ὁ δὲ πατὴρ αὐτοῦ ἐὰν θλίψει θλίψῃ καὶ ἁρ- 18
πάσῃ ἅρπαγμα, ἐναντία ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου, καὶ ἀποθανεῖται
ἐν τῇ ἀδικίᾳ αὐτοῦ. 19 καὶ ἐρεῖτε Τί ὅτι οὐκ ἔλαβε τὴν ἀδικίαν ὁ υἱὸς τοῦ 19
πατρός; ὅτι ὁ υἱὸς δικαιοσύνην καὶ ἔλεος πεποίηκε· πάντα τὰ νόμιμά μου
συνετήρησε καὶ ἐποίησεν αὐτά, ζωῇ ζήσεται. 20 ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα 20
ἀποθανεῖται· ὁ δὲ υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρός, οὐδὲ ὁ πα-
τὴρ λήψεται τὴν ἀδικίαν τοῦ υἱοῦ· δικαιοσύνη δικαίῳ ἐπ' αὐτὸν ἔσται, καὶ
ἀνομία ἀνόμῳ ἐπ' αὐτὸν ἔσται. 21 καὶ ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν 21
τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε, καὶ φυλάξηται πάσας τὰς ἐντολάς μου
καὶ ποιήσῃ δικαιοσύνην καὶ ἔλεος, ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ. 22 πάντα 22
τὰ παραπτώματα αὐτοῦ ὅσα ἐποίησεν οὐ μνησθήσονται· ἐν τῇ δικαιοσύνῃ αὐ-
τοῦ ᾗ ἐποίησε ζήσεται. 23 μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει 23
κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν;
24 ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδι- 24
κίαν κατὰ πάσας τὰς ἀνομίας ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι
αὐτοῦ ἃς ἐποίησεν οὐ μὴ μνησθῶσιν· ἐν τῷ παραπτώματι αὐτοῦ ᾧ παρέ-
πεσε, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. 25 καὶ 25
εἴπατε Οὐ κατευθύνει ἡ ὁδὸς κυρίου. ἀκούσατε δὴ πᾶς ὁ οἶκος Ἰσραήλ· μὴ
ἡ ὁδὸς μοῦ οὐ κατευθύνει; οὐχὶ ἡ ὁδὸς ὑμῶν κατευθύνει; 26 ἐν τῷ ἀποστρέ- 26
ψαι τὸν δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσει παράπτωμα, καὶ ἀπο-
θάνῃ ἐν τῷ παραπτώματι ᾧ ἐποίησεν, ἐν αὐτῷ ἀποθανεῖται. 27 καὶ ἐν τῷ 27
ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε καὶ ποιήσει κρίμα
καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε, 28 καὶ ἀπέστρεψεν ἐκ πα- 28
σῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε, ζωῇ ζήσεται, οὐ μὴ ἀποθάνῃ. 29 καὶ λέ- 29
γουσιν ὁ οἶκος τοῦ Ἰσραήλ Οὐ κατορθοῖ ἡ ὁδὸς κυρίου. μὴ ἡ ὁδὸς μοῦ οὐ
κατορθοῖ, οἶκος Ἰσραήλ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κατορθοῖ; 30 ἕκαστον κατὰ 30
τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ, λέγει κύριος· ἐπιστράφητε καὶ
ἀποστρέψατε ἐκ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κό-
λασιν ἀδικίας. 31 ἀποῤῥίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν ἃς ἠσε- 31
βήσατε εἰς ἐμέ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν·
καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; 32 διότι οὐ θέλω τὸν θάνατον τοῦ 32
ἀποθνήσκοντος, λέγει κύριος.

---

18. αυτου εν θλιψη (sic) θλιψη 19. om Τι ... ελαβεν αδικιαν υιος πατρος αυτου ... ελεος εποιησεν 20. αυτη αποθανειται ... υιους (sic) pro ο δε υιος ... λημψεται ... τ. πατρ. αυτου· ουδε πατηρ λημψεται τ. α. τ. υι. αυτου· δικ. δικαιου ... ανομου 21. εαν δε αποστραφη ανομος απο πασων ... φυλαξη ... και ποιηση τα δικαιωματα μου ζωη 22. πασαι αι αδικιαι ας εποιησεν ου μη μνησθωσιν· αλλ εν τη δ. α. η επ. εν αυτη ζησεται 23. οτι ου βουλομαι τον θανατον του ανομου λ. κυριος κυριος ... οδου αυτου της 24. δικ. απο της ... και ποιηση 25. Ου κατορθοι η ... πας οικος ... ed. rom. κατευθυνεῖ sec. loco ... υμων ου κατευθ. 26. om τον ... ποιηση 27. και ποιηση κρ. 28. ab initio add και ιδεν ... εκ πασων των 29. om του 30. δια τουτο εκαστον ... υμεις ... λεγει αδωναϊ κυριος 31. απο εαυτων ... ασεβιας, v. 30. ασεβιων ... εποιησατε pro ησεβ. εις εμε ... post καινον add και ποιησαται πασας τας εντολας μου ... in f. add λεγει κυριος 32. αδωναϊ κυριος et add και επιστρεψαται και ζησαται



Digitized by Google

## XIX.

2 Καὶ σὺ λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα τοῦ Ἰσραήλ, [2] καὶ ἐρεῖς Τί ἡ
μήτηρ σου σκύμνος, ἐν μέσῳ λεόντων ἐγενήθη, ἐν μέσῳ λεόντων ἐπλήθυνε
3 σκύμνους αὐτῆς; [3] καὶ ἀπεπήδησεν εἷς τῶν σκύμνων αὐτῆς, λέων ἐγένετο,
4 καὶ ἔμαθε τοῦ ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους ἔφαγε. [4] καὶ ἤκουσαν κατ᾽
αὐτοῦ ἔθνη, ἐν τῇ διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἤγαγον αὐτὸν ἐν κημῷ
5 εἰς γῆν Αἰγύπτου. [5] καὶ εἶδεν ὅτι ἀπῶσται ἀπ᾽ αὐτῆς, ἀπώλετο ἡ ὑπόστασις
6 αὐτῆς· καὶ ἔλαβεν ἄλλον ἐκ τῶν σκύμνων αὐτῆς, λέοντα ἔταξεν αὐτόν. [6] καὶ
ἀνεστρέφετο ἐν μέσῳ λεόντων, λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπά-
7 γματα, ἀνθρώπους ἔφαγε, [7] καὶ ἐνέμετο τῷ θράσει αὐτοῦ καὶ τὰς πόλεις
αὐτῶν ἐξηρήμωσε, καὶ ἠφάνισε γῆν καὶ τὸ πλήρωμα αὐτῆς ἀπὸ φωνῆς
8 ὠρυώματος αὐτοῦ. [8] καὶ ἔδωκαν ἐπ᾽ αὐτὸν ἔθνη ἐκ χωρῶν κυκλόθεν, καὶ
9 ἐξεπέτασαν ἐπ᾽ αὐτὸν δίκτυα αὐτῶν, ἐν διαφθορᾷ αὐτῶν συνελήφθη· [9] καὶ
ἔθεντο αὐτὸν ἐν κημῷ καὶ ἐν γαλεάγρᾳ, ἦλθε πρὸς βασιλέα Βαβυλῶνος, καὶ
εἰσήγαγεν αὐτὸν εἰς φυλακήν, ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ ἐπὶ τὰ ὄρη τοῦ
10 Ἰσραήλ. [10] ἡ μήτηρ σου ὡς ἄμπελος καὶ ὡς ἄνθος ἐν ῥοᾷ ἐν ὕδατι πεφυτευ-
11 μένη, ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο ἐξ ὕδατος πολλοῦ. [11] καὶ
ἐγένετο αὕτη ῥάβδος ἐπὶ φυλὴν ἡγουμένων, καὶ ὑψώθη τῷ μεγέθει αὐτῆς
ἐν μέσῳ στελεχῶν. καὶ εἶδε τὸ μέγεθος αὐτῆς ἐν πλήθει κλημάτων αὐτῆς,
12 [12] καὶ κατεκλάσθη ἐν θυμῷ, ἐπὶ γῆν ἐῤῥίφη, καὶ ἄνεμος ὁ καύσων ἐξήρανε
τὰ ἐκλεκτὰ αὐτῆς· ἐξεδικήθησαν καὶ ἐξηράνθη ἡ ῥάβδος ἰσχύος αὐτῆς, πῦρ
13 ἀνήλωσεν αὐτήν. [13] καὶ νῦν πεφύτευκαν αὐτὴν ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀνύδρῳ.
14 [14] καὶ ἐξῆλθε πῦρ ἐκ ῥάβδου ἐκλεκτῶν αὐτῆς καὶ κατέφαγεν αὐτήν, καὶ οὐκ
ἦν ἐν αὐτῇ ῥάβδος ἰσχύος· φυλὴ εἰς παραβολὴν θρόνου ἐστί, καὶ ἔσται εἰς
θρῆνον.

## XX.

Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς ἦλθον
ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ἰσραὴλ ἐπερωτῆσαι τὸν κύριον, καὶ ἐκά-
2 3 θισαν πρὸ προσώπου μου. [2] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [3] Υἱὲ
ἀνθρώπου, λάλησον πρὸς τοὺς πρεσβυτέρους τοῦ οἴκου Ἰσραὴλ καὶ ἐρεῖς πρὸς
αὐτούς Τάδε λέγει κύριος Εἰ ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε; ζῶ ἐγὼ εἰ ἀπο-
4 κριθήσομαι ὑμῖν, λέγει κύριος, [4] εἰ ἐκδικήσω αὐτοὺς ἐκδικήσει. υἱὲ ἀνθρώπου,
5 τὰς ἀνομίας τῶν πατέρων αὐτῶν διαμάρτυραι αὐτοῖς, [5] καὶ ἐρεῖς πρὸς αὐτούς
Τάδε λέγει κύριος Ἀφ᾽ ἧς ἡμέρας ᾑρέτισα τὸν οἶκον Ἰσραήλ, καὶ ἐγνωρί-
σθην τῷ σπέρματι οἴκου Ἰακώβ, καὶ ἐγνώσθην αὐτοῖς ἐν γῇ Αἰγύπτου, καὶ
6 ἀντελαβόμην τῇ χειρί μου αὐτῶν λέγων Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [6] ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς
Αἰγύπτου εἰς τὴν γῆν ἣν ἡτοίμασα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κη-
7 ρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν. [7] καὶ εἶπα πρὸς αὐτούς Ἕκαστος βδελύγματα
τῶν ὀφθαλμῶν αὐτοῦ ἀποῤῥιψάτω, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν Αἰγύπτου μὴ

---

XIX. 1. Και συ υιε ανθρωπου 2. εγενηθη, και εν 3. απεδημησεν 4. συνελημφθη 5. ιδεν οτι αποσπαται ... και απωλετο 7. ενεμετο εν τω ... εξερημωσεν ... ωρυματος 8. απο χωρων ... τα δικτυα ... και συνελημφθη 9. εν κημω· και ηνεγκαν αυτον εν γ. προς ... εισηγαγον 10. αμπελος· ως 11. εγενοντο αυτη ραβδ. ισχυος ... εν τω μεγεθει ... στελεχεων ... ιδεν 12. εριφη ... ανεμος καυσων ... εξεδικηθη 13. εφυτευσαν 14. ισχυος αυτης XX. 1. εβδομω εν τω πεμπτω μηνι δεκατη του μηνος ... του οικου 3. om Ει ... αδωναϊ κυριος 5. κυριος ο θεος ... του οικου ... εν γη αιγυπτω 6. αυτους εις γην αιγυπτου εις την γην ην ωμοσα 7. τα βδελυγματα ... απορειψατω

Digitized by Google

μιαίνεσθε, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. 8 καὶ ἀπέστησαν ἀπ' ἐμοῦ, καὶ οὐκ ἠθέ- 8
λησαν εἰσακοῦσαί μου, τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἀπέῤῥιψαν
καὶ τὰ ἐπιτηδεύματα Αἰγύπτου οὐκ ἐγκατέλιπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν
θυμόν μου ἐπ' αὐτοὺς τοῦ συντελέσαι ὀργήν μου ἐν αὐτοῖς ἐν μέσῳ τῆς
Αἰγύπτου. 9 καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώ- 9
πιον τῶν ἐθνῶν ὧν αὐτοί εἰσιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώσθην πρὸς αὐ-
τοὺς ἐνώπιον αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. 10 καὶ ἤγαγον 10
αὐτοὺς εἰς τὴν ἔρημον, 11 καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου, καὶ τὰ 11
δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ὅσα ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται
ἐν αὐτοῖς. 12 καὶ τὰ σάββατά μου ἔδωκα αὐτοῖς τοῦ εἶναι εἰς σημεῖον ἀνὰ 12
μέσον ἐμοῦ καὶ ἀνὰ μέσον αὐτῶν, τοῦ γνῶναι αὐτοὺς διότι ἐγὼ κύριος ὁ
ἁγιάζων αὐτούς. 13 καὶ εἶπα πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Ἐν 13
τοῖς προστάγμασί μου πορεύεσθε. καὶ οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά
μου ἀπώσαντο, ἃ ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ
σάββατά μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ'
αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ ἐξαναλῶσαι αὐτούς. 14 καὶ ἐποίησα ὅπως τὸ ὄνομά 14
μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν ὧν ἐξήγαγον αὐτοὺς κατ'
ὀφθαλμοὺς αὐτῶν. 15 καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ 15
τὸ παράπαν τοῦ μὴ εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς, γῆν
ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν, 16 ἀνθ' ὧν τὰ 16
δικαιώματά μου ἀπώσαντο, καὶ ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν
ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων
καρδίας αὐτῶν ἐπορεύοντο. 17 καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ' αὐτοὺς τοῦ 17
ἐξαλεῖψαι αὐτούς, καὶ οὐκ ἐποίησα αὐτοὺς εἰς συντέλειαν ἐν τῇ ἐρήμῳ. 18 καὶ 18
εἶπα πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ Ἐν τοῖς νομίμοις τῶν πατέρων
ὑμῶν μὴ πορεύεσθε, καὶ τὰ δικαιώματα αὐτῶν μὴ φυλάσσεσθε, καὶ ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτῶν μὴ συναναμίσγεσθε καὶ μὴ μιαίνεσθε. 19 ἐγὼ κύριος ὁ 19
θεὸς ὑμῶν, ἐν τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυ-
λάσσεσθε καὶ ποιεῖτε αὐτά, 20 καὶ τὰ σάββατά μου ἁγιάζετε, καὶ ἔστω εἰς 20
σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν τοῦ γινώσκειν διότι ἐγὼ κύριος ὁ θεὸς
ὑμῶν. 21 καὶ παρεπίκρανάν με καὶ τὰ τέκνα αὐτῶν, ἐν τοῖς προστάγμασί 21
μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν
αὐτά, ἃ ποιήσει ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβε-
βήλουν· καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ
συντελέσαι τὴν ὀργήν μου ἐπ' αὐτούς. 22 καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ 22
παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, καὶ ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλ-
μοὺς αὐτῶν. 23 ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ διασκορ- 23
πίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσι, διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις, 24 ἀνθ' ὧν 24
τὰ δικαιώματά μου οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ
τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐ-
τῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν. 25 καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ 25
καὶ δικαιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. 26 καὶ μιανῶ αὐτοὺς ἐν τοῖς 26

---

8. ενκατελειπον ... ειπον ... την οργην μου ... γης pro της 10. κ. εξηγαγον αυτους εκ γης αιγυπτου και ηγαγον α. εις 13. post πορευεσθε add και τα δικαιωματα μου φυλασσετε του ποιειν αυτα· α ποιησει αυτα ανθρωπος και ζησεται εν αυτοις· και παρεπικραναν με ο οικος ισραηλ εν τη ερημω εν τοις προσταγμασιν μου et om και ante ουκ 14. και ουκ εποιησα ... καθ οφθαλμους 16. των καρδιων 18. συναναμιγνυσθαι (praecedunt -εσθαι, -σεσθαι, sequitur -νεσθαι) 20. και ανα μεσον υμων του γινωσκ. υμας οτι 21. ed. rom. με, καί ... και εν τοις ... post ποιησει add αυτα ... om εν τη ερημω usque επ αυτους 22. κ. ουκ εποιησα ... εθν. ων εξηγαγον 23. και εξηρα ... και του διασκορπισαι pro διασπειραι

Digitized by Google

δόγμασιν αὐτῶν ἐν τῷ διαπορεύεσθαί με πᾶν διανοῖγον μήτραν ὅπως ἀφανίσω
27 αὐτούς. [27] διὰ τοῦτο λάλησον πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ, υἱὲ ἀνθρώπου,
καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος Ἕως τούτου παρώργισάν με οἱ πα-
28 τέρες ὑμῶν ἐν τοῖς παραπτώμασιν αὐτῶν ἐν οἷς παρέπεσον εἰς ἐμέ. [28] καὶ
εἰςήγαγον αὐτοὺς εἰς τὴν γῆν ἣν ἦρα τὴν χεῖρά μου δοῦναι αὐτὴν αὐτοῖς,
καὶ ἴδον πάντα βουνὸν ὑψηλὸν καὶ πᾶν ξύλον κατάσκιον καὶ ἔθυσαν ἐκεῖ τοῖς
θεοῖς αὐτῶν, καὶ ἔταξαν ἐκεῖ ὀσμὴν εὐωδίας καὶ ἔσπεισαν ἐκεῖ τὰς σπον-
29 δὰς αὐτῶν. [29] καὶ εἶπον πρὸς αὐτούς Τί ἐστιν ἀβαμὰ ὅτι ὑμεῖς εἰςπορεύεσθε
ἐκεῖ; καὶ ἐπεκάλεσαν τὸ ὄνομα αὐτοῦ Ἀβαμὰ ἕως τῆς σήμερον ἡμέρας.
30 [30] διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ Τάδε λέγει κύριος Εἰ ἐν ταῖς
ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε καὶ ὀπίσω τῶν βδελυγμάτων
31 αὐτῶν ὑμεῖς ἐκπορνεύετε, [31] καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν δομάτων ὑμῶν, ἐν
τοῖς ἀφορισμοῖς οἷς ὑμεῖς μιαίνεσθε ἐν πᾶσι τοῖς ἐνθυμήμασιν ὑμῶν ἕως τῆς
σήμερον ἡμέρας, καὶ ἐγὼ ἀποκριθῶ ὑμῖν, οἶκος τοῦ Ἰσραήλ; ζῶ ἐγώ, λέ-
γει κύριος, εἰ ἀποκριθήσομαι ὑμῖν, καὶ εἰ ἀναβήσεται ἐπὶ τὸ πνεῦμα ὑμῶν
32 τοῦτο. [32] καὶ οὐκ ἔσται ὃν τρόπον ὑμεῖς λέγετε Ἐσόμεθα ὡς τὰ ἔθνη καὶ ὡς
33 αἱ φυλαὶ τῆς γῆς τοῦ λατρεύειν ξύλοις καὶ λίθοις. [33] διὰ τοῦτο Ζῶ ἐγώ,
λέγει κύριος, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυ-
34 μένῳ βασιλεύσω ἐφ᾽ ὑμᾶς, [34] καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰςδέξομαι
ὑμᾶς ἐκ τῶν χωρῶν οὗ διεσκορπίσθητε ἐν αὐταῖς ἐν χειρὶ κραταιᾷ καὶ ἐν
35 βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ. [35] καὶ ἄξω ὑμᾶς εἰς τὴν ἔρημον
τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ πρόσωπον κατὰ πρόσωπον.
36 [36] ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ ἐρήμῳ γῆς Αἰγύπτου,
37 οὕτως κρινῶ ὑμᾶς, λέγει κύριος. [37] καὶ διάξω ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ
38 εἰςάξω ὑμᾶς ἐν ἀριθμῷ, [38] καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀσεβεῖς καὶ τοὺς ἀφε-
στηκότας, διότι ἐκ τῆς παροικεσίας αὐτῶν ἐξάξω αὐτούς, καὶ εἰς τὴν γῆν
τοῦ Ἰσραὴλ οὐκ εἰςελεύσονται· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος κύριος.
39 [39] καὶ ὑμεῖς οἶκος Ἰσραήλ, τάδε λέγει κύριος κύριος Ἕκαστος τὰ ἐπιτηδεύ-
ματα αὐτοῦ ἐξάρατε, καὶ μετὰ ταῦτα εἰ ὑμεῖς εἰςακούετέ μου, καὶ τὸ ὄνομά
μου τὸ ἅγιον οὐ βεβηλώσετε οὐκέτι ἐν τοῖς δώροις ὑμῶν καὶ ἐν τοῖς ἐπι-
40 τηδεύμασιν ὑμῶν, [40] διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου, ἐπ᾽ ὄρους ὑψηλοῦ,
λέγει κύριος κύριος, ἐκεῖ δουλεύσουσί μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος. καὶ
ἐκεῖ προςδέξομαι καὶ ἐκεῖ ἐπισκέψομαι τὰς ἀπαρχὰς ὑμῶν καὶ τὰς ἀπαρχὰς
41 τῶν ἀφορισμῶν ὑμῶν ἐν πᾶσι τοῖς ἁγιάσμασιν ὑμῶν. [41] ἐν ὀσμῇ εὐωδίας
προςδέξομαι ὑμᾶς, ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν λαῶν καὶ εἰςδέχεσθαι
ὑμᾶς ἐκ τῶν χωρῶν ἐν αἷς διεσκορπίσθητε ἐν αὐταῖς, καὶ ἁγιασθήσομαι ἐν
42 ὑμῖν κατ᾽ ὀφθαλμοὺς τῶν λαῶν. [42] καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος, ἐν
τῷ εἰςαγαγεῖν με ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ εἰς τὴν γῆν εἰς ἣν ἦρα τὴν
43 χεῖρά μου τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν ὑμῶν. [43] καὶ μνησθήσεσθε ἐκεῖ
τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν ἐν οἷς ἐμιαίνεσθε ἐν αὐτοῖς, καὶ
44 κόψεσθε τὰ πρόσωπα ὑμῶν ἐν πάσαις ταῖς κακίαις ὑμῶν. [44] καὶ ἐπιγνώσεσθε
διότι ἐγὼ κύριος, ἐν τῷ ποιῆσαί με οὕτως ὑμῖν ὅπως τὸ ὄνομά μου μὴ

---

26. δομασιν ... in f. add εινα γνωσιν οτι εγω κυριος 27. **αδωναϊ κυριος ... παρεπεσαν 28. εις ην ηρα ... του δουναι αυτοις ... ειδαν παν βουνον ... ευωδιας αυτων 29. ειπα ... εστιν η αββανα ... αββανα 30. κυριος κυριος ο θεος 31. υμων και εν τοις αφ. υιων υμων εν πυρι υμεις μιαινεσθαι 33. αδωναϊ κυριος, εαν μη εν 36. ερημω οτε εξηγαγον αυτους εκ γης αιγυπτου καγω κρινω υ. λ.. κυρ. ο θεος 38. αυτων εξαρω αυτους ... εγω κυριος ο θεος 39. ει μη υμ. εισακ. και 40. λεγει κυρ. κυρ. post ισραηλ pon ... απαρχιας priore loco 41. εξαγειν ... και εισδεξομαι ... ου pro εν αις 42. οτι εγω ... αυτοις pro τοις πα. υμων 43. **και οψεσθαι

Digitized by Google

βεβηλωθῇ κατὰ τὰς ὁδοὺς ὑμῶν τὰς κακὰς καὶ κατὰ τὰ ἐπιτηδεύματα ὑμῶν
τὰ διεφθαρμένα, λέγει κύριος. [45] καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 45
[46] Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Θαιμὰν καὶ ἐπίβλεψον ἐπὶ 46
Δαρὸμ καὶ προφήτευσον ἐπὶ δρυμὸν ἡγούμενον Ναγέβ, [47] καὶ ἐρεῖς τῷ δρυμῷ 47
Ναγέβ Ἄκουε λόγον κυρίου Τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἀνάπτω ἐν
σοὶ πῦρ, καὶ καταφάγεται ἐν σοὶ πᾶν ξύλον χλωρὸν καὶ πᾶν ξύλον ξηρόν,
οὐ σβεσθήσεται ἡ φλὸξ ἡ ἐξαφθεῖσα, καὶ κατακαυθήσεται ἐν αὐτῇ πᾶν πρόσω-
πον ἀπὸ ἀπηλιώτου ἕως βοῤῥᾶ. [48] καὶ ἐπιγνώσεται πᾶσα σὰρξ ὅτι ἐγὼ κύ- 48
ριος ἐξέκαυσα αὐτό, οὐ σβεσθήσεται. [49] καὶ εἶπα Μηδαμῶς, κύριε κύριε· αὐ- 49
τοὶ λέγουσι πρός με Οὐχὶ παραβολή ἐστι λεγομένη αὕτη;

## XXI.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2] Διὰ τοῦτο προφήτευσον, υἱὲ 2
ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπίβλεψον ἐπὶ τὰ
ἅγια αὐτῶν, καὶ προφητεύσεις ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ. [3] καὶ ἐρεῖς πρὸς τὴν 3
γῆν τοῦ Ἰσραὴλ Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ πρὸς σέ, καὶ ἐκσπάσω τὸ ἐγ-
χειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐξολοθρεύσω ἐκ σοῦ ἄνομον καὶ ἄδι-
κον. [4] ἀνθ᾽ ὧν ἐξολοθρεύσω ἐκ σοῦ ἄδικον καὶ ἄνομον, οὕτως ἐξελεύσεται τὸ 4
ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ ἐπὶ πᾶσαν σάρκα ἀπὸ ἀπηλιώτου ἕως
βοῤῥᾶ, [5] καὶ ἐπιγνώσεται πᾶσα σὰρξ διότι ἐγὼ κύριος ἐξέσπασα τὸ ἐγχειρί- 5
διόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, οὐκ ἀποστρέψει οὐκέτι. [6] καὶ σὺ υἱὲ ἀνθρώπου 6
καταστέναξον ἐν συντριβῇ ὀσφύος σου, καὶ ἐν ὀδύναις στενάξεις κατ᾽ ὀφθαλ-
μοὺς αὐτῶν. [7] καὶ ἔσται ἐὰν εἴπωσι πρός σέ Ἕνεκα τίνος σὺ στενάζεις; καὶ 7
ἐρεῖς Ἐπὶ τῇ ἀγγελίᾳ διότι ἔρχεται, καὶ θραυσθήσεται πᾶσα καρδία, καὶ
πᾶσαι χεῖρες παραλυθήσονται, καὶ ἐκψύξει πᾶσα σὰρξ καὶ πᾶν πνεῦμα, καὶ
πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ· ἰδοὺ ἔρχεται, λέγει κύριος. [8] καὶ ἐγέ- 8
νετο λόγος κυρίου πρός με λέγων [9] Υἱὲ ἀνθρώπου, προφήτευσον καὶ ἐρεῖς 9
Τάδε λέγει κύριος Εἰπόν Ῥομφαία ῥομφαία ὀξύνου καὶ θυμώθητι, [10] ὅπως 10
σφάξῃς σφάγια, ὀξύνου ὅπως γένῃ εἰς στίλβωσιν, ἑτοίμη εἰς παράλυσιν·
σφάζε, ἐξουδένει, ἀπόθου πᾶν ξύλον. [11] καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ κρα- 11
τεῖν χεῖρα αὐτοῦ. ἐξηκονήθη ἡ ῥομφαία, ἐστὶν ἑτοίμη τοῦ δοῦναι αὐτὴν εἰς
χεῖρα ἀποκεντοῦντος. [12] ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου, ὅτι αὕτη ἐγέ- 12
νετο ἐν τῷ λαῷ μου, αὕτη ἐν πᾶσι τοῖς ἀφηγουμένοις τοῦ Ἰσραὴλ παροι-
κήσουσιν, ἐπὶ ῥομφαίᾳ ἐγένετο ἐν τῷ λαῷ μου. διὰ τοῦτο κρότησον ἐπὶ τὴν
χεῖρά σου, [13] ὅτι δεδικαίωται. καὶ τί εἰ καὶ φυλὴ ἀπωσθῇ; οὐκ ἔσται, λέγει 13
κύριος κύριος. [14] καὶ σὺ υἱὲ ἀνθρώπου προφήτευσον καὶ κρότησον χεῖρα ἐπὶ 14
χεῖρα καὶ διπλασίασον ῥομφαίαν· ἡ τρίτη ῥομφαία τραυματιῶν ἐστί, ῥομ-
φαία τραυματιῶν ἡ μεγάλη. καὶ ἐκστήσεις αὐτούς, [15] ὅπως μὴ θραυσθῇ ἡ 15
καρδία, καὶ πληθυνθῶσιν οἱ ἀσθενοῦντες ἐπὶ πᾶσαν πύλην. παραδέδονται εἰς
σφάγια ῥομφαίας, εὖ γέγονεν εἰς σφαγήν, εὖ γέγονεν εἰς στίλβωσιν. [16] καὶ 16
διαπορεύου, ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρόσωπόν σου

---

44. λεγει αδωναϊ κυριος 46. δαγων pro δαρομ 47. λεγει κυριος ο θεος ισραηλ ... om εν σοι prius 48. και ου σβεσθησ. ετι XXI. 2. υιε ανθρ. δια τ. προφ. και στηρ. 3. κυριος ο θεος ... εξολεθρευσω ... αδικ. κ. ανομ., sed v. 4. om ανθ ων usque ανομον 4. κολλιου (v. 3. κολαιου; ita etiam v. 4. scriptum videtur) 5. οτι εγω ... αυτου, και ουκ 7. οτι ερχεται ... ιδου ερχ. και εσται λεγει κυρ. ο θεος 9. ** αδωναϊ κυριος 10. απωθου 11. om ή ... δοθηναι ... εις χειρας 13. και ετι ει και φ. απωσθης 14. κροτ. τη χειρι επι ... ed. rom. (non cod. alex.) bis τραυματειων ... εκστησει 15. οπως θραυσθησεται πασα καρδια ... ed. rom. πύλην, παραδ. ε. σφ. ῥομφαίας. εὖ ... πυλην αυτων και παραδοθησονται 16. om και prius

Digitized by Google

17 ἐξεγείρηται. [17] καὶ ἐγὼ δὲ κροτήσω χεῖρά μου πρὸς χεῖρά μου καὶ ἐναφήσω
18 θυμόν μου, ἐγὼ κύριος λελάληκα. [18] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων
19 20 [19] Καὶ σὺ υἱὲ ἀνθρώπου διάταξον σεαυτῷ δύο ὁδοὺς [20] τοῦ εἰςελθεῖν ῥομφαίαν
βασιλέως Βαβυλῶνος· ἐκ χώρας μιᾶς ἐξελεύσονται αἱ δύο, καὶ χεὶρ ἐν ἀρχῇ
ὁδοῦ πόλεως, ἐπ' ἀρχῆς ὁδοῦ διατάξεις τοῦ εἰςελθεῖν ῥομφαίαν ἐπὶ Ῥαββὰθ
υἱῶν Ἀμμὼν καὶ ἐπὶ τὴν Ἰουδαίαν καὶ ἐπὶ Ἱερουσαλὴμ ἐν μέσῳ αὐτῆς.
21 [21] διότι στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν ὁδόν, ἐπ' ἀρχῆς τῶν
δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ ἀναβράσαι ῥάβδον καὶ ἐπερωτῆ-
22 σαι ἐν τοῖς γλυπτοῖς καὶ κατασκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ. [22] ἐγένετο τὸ
μαντεῖον ἐπὶ Ἱερουσαλὴμ τοῦ βαλεῖν χάρακα, τοῦ διανοῖξαι στόμα ἐν βοῇ,
ὑψῶσαι φωνὴν μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ἐπὶ τὰς πύλας αὐτῆς καὶ
23 βαλεῖν χῶμα καὶ οἰκοδομῆσαι βελοστάσεις. [23] καὶ αὐτὸς αὐτοῖς ὡς μαντευό-
μενος μαντείαν ἐνώπιον αὐτῶν, καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας αὐτοῦ μνη-
24 σθῆναι. [24] διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ' ὧν ἀνεμνήσατε τὰς ἀδικίας ὑμῶν
ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν, τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν ἐν
πάσαις ταῖς ἀσεβείαις ὑμῶν καὶ ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν, ἀνθ' ὧν ἀνε-
25 μνήσατε, ἐν τούτοις ἁλώσεσθε. [25] καὶ σὺ βέβηλε ἄνομε ἀφηγούμενε τοῦ Ἰσραήλ,
26 οὗ ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας, [26] τάδε λέγει κύριος Ἀφείλου τὴν
κίδαριν καὶ ἐπέθου τὸν στέφανον αὐτῇ, οὐ τοιαύτη ἔσται· ἐταπείνωσας τὸ
27 ὑψηλόν, καὶ ὕψωσας τὸ ταπεινόν. [27] ἀδικίαν ἀδικίαν ἀδικίαν θήσομαι αὐτήν,
οὐαὶ αὐτῇ· τοιαύτη ἔσται ἕως οὗ ἔλθῃ ᾧ καθήκει, καὶ παραδώσω αὐτῷ.
28 [28] καὶ σὺ υἱὲ ἀνθρώπου προφήτευσον καὶ ἐρεῖς Τάδε λέγει κύριος πρὸς τοὺς
υἱοὺς Ἀμμὼν καὶ πρὸς τὸν ὀνειδισμὸν αὐτῶν, καὶ ἐρεῖς Ῥομφαία ῥομφαία
ἐσπασμένη εἰς σφάγια καὶ ἐσπασμένη εἰς συντέλειαν, ἐγείρου ὅπως στίλβῃς.
29 [29] ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ, καὶ ἐν τῷ μαντεύεσθαί σε ψευδῆ, τοῦ παρα-
δοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων, ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδι-
30 κίας πέρας. [30] ἀπόστρεφε, μὴ καταλύσῃς ἐν τῷ τόπῳ τούτῳ ᾧ γεγέννησαι,
31 ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε. [31] καὶ ἐκχεῶ ἐπὶ σὲ ὀργήν μου, ἐν πυρὶ
ὀργῆς μου ἐμφυσήσω ἐπὶ σέ, καὶ παραδώσω σε εἰς χεῖρας ἀνδρῶν βαρβάρων
32 τεκταινόντων διαφθοράς. [32] ἐν πυρὶ ἔσῃ κατάβρωμα, τὸ αἷμά σου ἔσται ἐν
μέσῳ τῆς γῆς σου· οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ κύριος λελάληκα.

## XXII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Καὶ σὺ υἱὲ ἀνθρώπου εἰ κρι-
νεῖς τὴν πόλιν τῶν αἱμάτων; καὶ παράδειξον αὐτῇ πάσας τὰς ἀνομίας αὐτῆς,
3 [3] καὶ ἐρεῖς Τάδε λέγει κύριος κύριος Ὦ πόλις ἐκχέουσα αἵματα ἐν μέσῳ
αὐτῆς τοῦ ἐλθεῖν καιρὸν αὐτῆς, καὶ ποιοῦσα ἐνθυμήματα καθ' ἑαυτῆς τοῦ
4 μιαίνειν αὐτήν [4] ἐν τοῖς αἵμασιν αὐτῶν οἷς ἐξέχεας· παραπέπτωκας, καὶ ἐν
τοῖς ἐνθυμήμασί σου οἷς ἐποίεις ἐμιαίνου, καὶ ἤγγισας τὰς ἡμέρας σου, καὶ
ἤγαγες καιρὸν ἐτῶν σου. διὰ τοῦτο δέδωκά σε εἰς ὀνειδισμὸν τοῖς ἔθνεσι καὶ
5 εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις [5] ταῖς ἐγγιζούσαις πρὸς σὲ καὶ ταῖς μακρὰν
ἀπεχούσαις ἀπὸ σοῦ, καὶ ἐμπαίξεται ἐν σοὶ ἀκάθαρτος ἡ ὀνομαστὴ καὶ πολλὴ

---

17. τον θυμον μου εν σοι ... ελαλησα 20. εξελ. αρχαι δυο και χειρα ετοιμασουσιν επ αρχης οδου πολεως· επ αρχ. ... ραββ. και επι υιων ... εμμεσω 21. ραβδια ... ηπατοσκοπησασθαι 22. και του διαν. 23. αδικιας αυτων 24. κυρ. κυριος ο θεος ... ασεβιαις, sed antea -βειας ... αλωθησεσθαι 26. κυρ. κυριος ο θεος ... **αυτη (*om videtur) τον στεφανον ... το ταπειν. υψωσας 27. αδικιαν tertium om ... ου pro ουαι αυτη ... παραδ. αυτην 28. κυριος ο θεος ... ετοιμαζου εσπασμενη σφαγια ... ανομων ων ηκει 31. εχχεω επι σοι ... διαφθοραν 32. εμμεσω XXII. 2. ου pro ει 3. κυρ. κυρ. ο θεος ... εμμεσω ... κατ αυτης 4. εις ονιδος 5. εμπεξονται

Digitized by Google

ἐν ταῖς ἀνομίαις. [6] ἰδοὺ οἱ ἀφηγούμενοι οἴκου Ἰσραὴλ ἕκαστος πρὸς τοὺς 6
συγγενεῖς αὐτοῦ συνεφύροντο ἐν σοὶ ὅπως ἐκχέωσιν αἷμα· [7] πατέρα καὶ μη- 7
τέρα ἐκακολόγουν ἐν σοί, καὶ πρὸς τὸν προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις
ἐν σοί, ὀρφανὸν καὶ χήραν κατεδυνάστευον, [8] καὶ τὰ ἅγιά μου ἐξουθένουν 8
καὶ τὰ σάββατά μου ἐβεβήλουν ἐν σοί. [9] ἄνδρες ἦσαν ἐν σοὶ ὅπως ἐκχέωσιν 9
ἐν σοὶ αἷμα, καὶ ἐπὶ τῶν ὀρέων ἤσθιον ἐπὶ σοί, ἀνόσια ἐποίουν ἐν μέσῳ σου.
[10] αἰσχύνην πατρὸς ἀπεκάλυψαν ἐν σοί, καὶ ἐν ἀκαθαρσίαις ἀποκαθημένην 10
ἐταπείνουν ἐν σοί· [11] ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἠνομοῦσαν, καὶ 11
ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμίαινεν ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν
αὐτοῦ θυγατέρα τοῦ πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί. [12] δῶρα ἐλαμβάνοσαν 12
ἐν σοὶ ὅπως ἐκχέωσιν αἷμα, τόκον καὶ πλεονασμὸν ἐλαμβάνοσαν ἐν σοί· καὶ
συνετελέσω συντέλειαν κακίας σου τὴν ἐν καταδυναστείᾳ, ἐμοῦ δὲ ἐπελάθου,
λέγει κύριος. [13] ἐὰν δὲ πατάξω χεῖρά μου ἐφ' οἷς συντετέλεσαι οἷς ἐποίησας, 13
καὶ ἐπὶ τοῖς αἵμασί σου τοῖς γεγενημένοις ἐν μέσῳ σου, [14] εἰ ὑποστήσεται ἡ 14
καρδία σου; εἰ κρατήσουσιν αἱ χεῖρές σου ἐν ταῖς ἡμέραις αἷς ἐγὼ ποιῶ ἐν
σοί; ἐγὼ κύριος λελάληκα καὶ ποιήσω. [15] καὶ διασκορπιῶ σε ἐν τοῖς ἔθνεσι, 15
καὶ διασπερῶ σε ἐν ταῖς χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ,
[16] καὶ κατακληρονομήσω ἐν σοὶ κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν, καὶ γνώσεσθε 16
διότι ἐγὼ κύριος. [17] καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [18] Υἱὲ ἀνθρώ- 17 18
που, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀναμεμιγμένοι πάντες χαλκῷ καὶ
σιδήρῳ καὶ κασσιτέρῳ καὶ μολίβῳ, ἐν μέσῳ ἀργυρίου ἀναμεμιγμένος ἐστί.
[19] διὰ τοῦτο εἰπὸν Τάδε λέγει κύριος κύριος Ἀνθ' ὧν ἐγένεσθε εἰς σύγκρα- 19
σιν μίαν, διὰ τοῦτο ἐγὼ εἰςδέχομαι ὑμᾶς εἰς μέσον Ἱερουσαλήμ· [20] καθὼς 20
εἰςδέχεται ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος καὶ κασσίτερος καὶ μόλιβος εἰς
μέσον καμίνου τοῦ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνευθῆναι, οὕτως εἰςδέξο-
μαι ἐν ὀργῇ μου καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς, [21] καὶ ἐκφυσήσω ἐφ' ὑμᾶς 21
ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς. [22] ὃν τρόπον χωνεύε- 22
ται ἀργύριον ἐν μέσῳ καμίνου, οὕτως χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς, καὶ
ἐπιγνώσεσθε διότι ἐγὼ κύριος ἐξέχεα τὸν θυμόν μου ἐφ' ὑμᾶς. [23] καὶ ἐγέ- 23
νετο λόγος κυρίου πρὸς μὲ λέγων [24] Υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ Σὺ εἶ γῆ ἡ 24
οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς. [25] ἧς οἱ ἀφηγού- 25
μενοι ἐν μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυχὰς
κατεσθίοντες ἐν δυναστείᾳ καὶ τιμὰς λαμβάνοντες, καὶ χῆραί σου ἐπληθύν-
θησαν ἐν μέσῳ σου. [26] καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου καὶ ἐβεβή- 26
λουν τὰ ἅγιά μου· ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀνὰ
μέσον ἀκαθάρτου καὶ τοῦ καθαροῦ οὐ διέστελλον, καὶ ἀπὸ τῶν σαββάτων
μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν.

---

6. συνανεφυροντο 7. κατεδυν. εν σοι 9. ανδρες λησται ... ησθιον εν σοι ... εμμεσω 10. αποκαθημενης 11. αδελφην pro νυμφην ... εμιαινον 12. δωρα ελαμβανον ... εν καταδυν. σου · οτι εμου επελαθου λ. κυρ. κυριος 13. χειρα μου προς χειρα μου εφ ... γεγεννημενοις εμμεσω 16. κατακλ. σε ενωπιον των εθνων· κ. γνωση οτι 18. γεγονεν ο οικος ισρ. αναμεμιγμενος χαλκω ... μολιβδω εμμεσω 19. κυρ. κυρ. ο θεος ... εγενεσθ. παντες ... δια τ. ιδου εγω 20. μολιβδος ... καμινου πυρος του εμφυσησαι εις αυτα πυρ του χωνευσαι ... εισδεξ. υμας εν ο. μου· και εν τω θυμω μου κ. σ. κ. χωνευσω (sed* επαφησω) υμ. 21. κ. εκφ. εις υμας εκφυσημα εν ... εμμεσω 22. εμμεσω bis 23. *om υιε ανθρ. 24. om ἡ ... καταβησεται σοι pro εγενετο usque οργης 25. οι (om ἧς) αφηγ. αυτης εμμεσω α. ως λ. ερευγομενοι ... κατεσθ. εδυναστευσαν εν δυναστεια· δωρα ελαμβανον εν αδικια· κ. χηρ. ... εμμεσω 26. τον νομον ... τα σαββατα μου εβεβηλουν pro εβεβηλουμην ... εμμεσω

Digitized by Google

27 [27] οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι ἁρπάζοντες ἁρπάγματα τοῦ
28 ἐκχέαι αἷμα, ὅπως πλεονεξίᾳ πλεονεκτῶσι. [28] καὶ οἱ προφῆται αὐτῆς ἀλεί-
φοντες αὐτοὺς πεσοῦνται, ὁρῶντες μάταια, μαντευόμενοι ψευδῆ, λέγοντες
29 Τάδε λέγει κύριος, καὶ κύριος οὐκ ἐλάλησε. [29] λαὸν τῆς γῆς ἐκπιεζοῦντες
ἀδικίᾳ καὶ διαρπάζοντες ἁρπάγματα, πτωχὸν καὶ πένητα καταδυναστεύοντες,
30 καὶ πρὸς τὸν προσήλυτον οὐκ ἀναστρεφόμενοι μετὰ κρίματος. [30] καὶ ἐζήτουν
ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον ὀρθῶς καὶ ἑστῶτα πρὸ προσώπου μου ὁλο-
σχερῶς ἐν τῷ καιρῷ τῆς ὀργῆς τοῦ μὴ εἰς τέλος ἐξαλεῖψαι αὐτήν, καὶ οὐχ
31 εὗρον. [31] καὶ ἐξέχεα ἐπ' αὐτὴν θυμόν μου ἐν πυρὶ ὀργῆς μου τοῦ συντελέσαι·
τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει κύριος κύριος.

## XXIII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, δύο γυναῖκες
3 ἦσαν θυγατέρες μητρὸς μιᾶς, [3] καὶ ἐξεπόρνευσαν ἐν Αἰγύπτῳ ἐν τῇ νεότητι
4 αὐτῶν, ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν, ἐκεῖ διεπαρθενεύθησαν. [4] καὶ τὰ ὀνό-
ματα αὐτῶν ἦν Ὀολὰ ἡ πρεσβυτέρα, καὶ Ὀολιβὰ ἡ ἀδελφὴ αὐτῆς. καὶ ἐγέ-
νοντό μοι, καὶ ἔτεκον υἱοὺς καὶ θυγατέρας· καὶ τὰ ὀνόματα αὐτῶν, Σαμάρεια
5 ἦν Ὀολά, καὶ Ἱερουσαλὴμ ἦν Ὀολιβά. [5] καὶ ἐξεπόρνευσεν ἡ Ὀολὰ ἀπ' ἐμοῦ
καὶ ἐπέθετο ἐπὶ τοὺς ἐραστὰς αὐτῆς, ἐπὶ τοὺς Ἀσσυρίους τοὺς ἐγγίζοντας
6 αὐτῇ, [6] ἐνδεδυκότας ὑακίνθινα, ἡγουμένους καὶ στρατηγούς, νεανίσκοι καὶ ἐπί-
7 λεκτοι, πάντες ἱππεῖς ἱππαζόμενοι ἐφ' ἵππων. [7] καὶ ἔδωκε τὴν πορνείαν αὐ-
τῆς ἐπ' αὐτούς· ἐπίλεκτοι υἱοὶ Ἀσσυρίων πάντες, καὶ ἐπὶ πάντας οὓς ἐπέθετο,
8 ἐν πᾶσι τοῖς ἐνθυμήμασιν αὐτοῖς ἐμιαίνετο. [8] καὶ τὴν πορνείαν αὐτῆς ἐξ
Αἰγύπτου οὐκ ἐγκατέλιπεν, ὅτι μετ' αὐτῆς ἐκοιμῶντο ἐν νεότητι αὐτῆς, καὶ
αὐτοὶ διεπαρθένευσαν αὐτὴν καὶ ἐξέχεαν τὴν πορνείαν αὐτῶν ἐπ' αὐτήν.
9 [9] διὰ τοῦτο παρέδωκα αὐτὴν εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς, εἰς χεῖρας υἱῶν
10 Ἀσσυρίων ἐφ' οὓς ἐπετίθετο. [10] αὐτοὶ ἀπεκάλυψαν τὴν αἰσχύνην αὐτῆς, υἱοὺς
καὶ θυγατέρας αὐτῆς ἔλαβον, καὶ αὐτὴν ἐν ῥομφαίᾳ ἀπέκτειναν. καὶ ἐγένετο
λάλημα εἰς γυναῖκας, καὶ ἐποίησαν ἐκδικήσεις ἐν αὐτῇ εἰς τὰς θυγατέρας.
11 [11] καὶ εἶδεν ἡ ἀδελφὴ αὐτῆς Ὀολιβά, καὶ διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ
12 αὐτήν, καὶ τὴν πορνείαν αὐτῆς ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς· [12] ἐπὶ
τοὺς υἱοὺς τῶν Ἀσσυρίων ἐπέθετο ἡγουμένους καὶ στρατηγοὺς τοὺς ἐγγὺς αὐ-
τῆς ἐνδεδυκότας εὐπάρυφα, ἱππεῖς ἱππαζομένους ἐφ' ἵππων, νεανίσκοι ἐπί-
13 14 λεκτοι πάντες. [13] καὶ ἴδον ὅτι μεμίανται ὁδὸς μία τῶν δύο. [14] καὶ προσέθετο
πρὸς τὴν πορνείαν αὐτῆς, καὶ εἶδεν ἄνδρας ἐζωγραφημένους ἐπὶ τοῦ τοίχου,
15 εἰκόνας Χαλδαίων, ἐζωγραφημένους ἐν γραφίδι, [15] ἐζωσμένους ποικίλματα ἐπὶ
τὰς ὀσφύας αὐτῶν παραβαπτὰ καὶ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, ὄψις τρισσὴ
16 πάντων, ὁμοίωμα υἱῶν Χαλδαίων γῆς πατρίδος αὐτοῦ. [16] καὶ ἐπέθετο ἐπ'
αὐτοὺς τῇ ὁράσει ὀφθαλμῶν αὐτῆς, καὶ ἐξαπέστειλεν ἀγγέλους πρὸς αὐτοὺς
17 εἰς γῆν Χαλδαίων. [17] καὶ ἦλθοσαν πρὸς αὐτὴν υἱοὶ Βαβυλῶνος εἰς κοίτην

---

27. εμμεσω 28. οι αλειφοντες ... οι ορωντες 29. τον λαον ... εν αδικια 30. το ολοσχερες εν καιρω τ. ο. μου 31. τον θυμον ... συντελεσαι αυτους XXIII. 3. post νεοτ. αυτων add εποργευσαν ... και εκει διεπαρθ. 4. ην ολλα ... ολιβα ... σαμαρ. η ολλα κ. ιερ. ολιβα 5. η ολλα ... προσεθετο 6. ενδεδυμενους ... νεανισχους επιλεχτους ... ιπποις (?) pro ιππεις 7. πορνιαν (plerumque etiam vv. sqq.) αυτων ... ενθυμημ. αυτης εμ. 8. εγκατελειπεν ... εν τη νεοτητι 10. την ασχημοσυνην αυτης ... εις τας γυναικας ... in f. add αυτης 11. η ολιβα ... *επι αυτη pro υπερ αυτην 12. ενδεδυμενους ευπορφυρα ... ιππαζομενοι 13. ειδον 14. εζωγραφημενας εν γραφιδι 15. διεζωσμενους ... *om αυτων prius? ... και τιαραι βαπται επι ... πατριδ. αυτων 16. εν ορασει 17. ηλθον

Digitized by Google

καταλυόντων, καὶ ἐμίαινον αὐτὴν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐμιάνθη ἐν αὐτοῖς,
καὶ ἀπέστη ἡ ψυχὴ αὐτῆς ἀπ' αὐτῶν. [18]καὶ ἀπεκάλυψε τὴν πορνείαν αὐ- 18
τῆς, καὶ ἀπεκάλυψεν αἰσχύνην αὐτῆς· καὶ ἀπέστη ἡ ψυχή μου ἀπ' αὐτῆς,
ὃν τρόπον ἀπέστη ἡ ψυχή μου ἀπὸ τῆς ἀδελφῆς αὐτῆς. [19]καὶ ἐπλήθυνας 19
τὴν πορνείαν σου τοῦ ἀναμνῆσαι ἡμέραν νεότητός σου ἐν αἷς ἐπόρνευσας ἐν
Αἰγύπτῳ, [20]καὶ ἐπέθου ἐπὶ τοὺς Χαλδαίους, ὧν ὡς ὄνων αἱ σάρκες αὐτῶν, 20
καὶ αἰδοῖα ἵππων τὰ αἰδοῖα αὐτῶν, [21]καὶ ἐπεσκέψω τὴν ἀνομίαν νεότητός 21
σου, ἃ ἐποίεις ἐν Αἰγύπτῳ ἐν τῷ καταλύματί σου, οὗ οἱ μαστοὶ νεότητός
σου. [22]διὰ τοῦτο, Ὀολιβά, τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς ἐρα- 22
στάς σου ἐπὶ σέ, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐτῶν, καὶ ἐπάξω αὐ-
τοὺς ἐπὶ σὲ κυκλόθεν, [23]υἱοὺς Βαβυλῶνος καὶ πάντας τοὺς Χαλδαίους, Φα- 23
κοὺκ καὶ Σουὲ καὶ Ὑχουέ, καὶ πάντας υἱοὺς Ἀσσυρίων μετ' αὐτῶν,
νεανίσκους ἐπιλέκτους, ἡγεμόνας καὶ στρατηγούς, πάντας τρισσοὺς καὶ ὀνο-
μαστούς, ἱππεύοντας ἐφ' ἵππων. [24]καὶ πάντες ἥξουσιν ἐπὶ σὲ ἀπὸ βορρᾶ, 24
ἅρματα καὶ τροχοὶ μετ' ὄχλου λαῶν, θυρεοὶ καὶ πέλται, καὶ βαλεῖ φυλακὴν
ἐπὶ σὲ κύκλῳ. [25]καὶ δώσω πρὸ προσώπου αὐτῶν κρίμα, καὶ ἐκδικήσουσί σε 25
ἐν τοῖς κρίμασιν αὐτῶν· καὶ δώσω τὸν ζῆλόν μου ἐν σοί, καὶ ποιήσουσι
μετὰ σοῦ ἐν ὀργῇ θυμοῦ· μυκτῆρά σου καὶ ὦτά σου ἀφελοῦσι, καὶ τοὺς
καταλοίπους σου ἐν ῥομφαίᾳ καταβαλοῦσιν. αὐτοὶ υἱούς σου καὶ θυγατέρας
σου λήψονται, καὶ τοὺς καταλοίπους σου πῦρ καταφάγεται· [26]καὶ ἐκδύσουσί 26
σε τὸν ἱματισμόν σου, καὶ λήψονται τὰ σκεύη τῆς καυχήσεώς σου. [27]καὶ 27
ἀποστρέψω τὰς ἀσεβείας σου ἐκ σοῦ καὶ τὴν πορνείαν σου ἐκ γῆς Αἰγύπτου,
καὶ οὐ μὴ ἄρῃς τοὺς ὀφθαλμούς σου ἐπ' αὐτούς, καὶ Αἰγύπτου οὐ μὴ μνη-
σθῇς οὐκέτι. [28]διότι τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ παραδίδωμί σε εἰς 28
χεῖρας ὧν μισεῖς, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐτῶν· [29]καὶ ποιήσου- 29
σιν ἐν σοὶ ἐν μίσει, καὶ λήψονται πάντας τοὺς πόνους σου καὶ τοὺς μόχθους
σου, καὶ ἔσῃ γυμνὴ καὶ αἰσχύνουσα, καὶ ἀποκαλυφθήσεται αἰσχύνη πορνείας
σου καὶ ἀσέβειά σου. καὶ ἡ πορνεία σου [30]ἐποίησε ταῦτά σοι, ἐν τῷ ἐκ- 30
πορνεῦσαί σε ὀπίσω ἐθνῶν, καὶ ἐμιαίνου ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. [31]ἐν 31
τῇ ὁδῷ τῆς ἀδελφῆς σου ἐπορεύθης, καὶ δώσω τὸ ποτήριον αὐτῆς εἰς χεῖ-
ράς σου. [32]τάδε λέγει κύριος Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι, τὸ βαθὺ 32
καὶ τὸ πλατὺ καὶ τὸ πλεονάζον τοῦ συντελέσαι μέθην, [33]καὶ ἐκλύσεως πλη- 33
σθήσῃ· καὶ τὸ ποτήριον ἀφανισμοῦ ποτήριον ἀδελφῆς σου Σαμαρείας [34]πίεσαι 34
αὐτό, καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας αὐτῆς ἀποστρέψω· διότι ἐγὼ λελά-
ληκα, λέγει κύριος. [35]διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ' ὧν ἐπελάθου μου 35
καὶ ἀπέρριψάς με ὀπίσω τοῦ σώματός σου, καὶ σὺ λάβε τὴν ἀσέβειάν σου
καὶ τὴν πορνείαν σου. [36]καὶ εἶπε κύριος πρὸς μέ Υἱὲ ἀνθρώπου, οὐ κρινεῖς 36
τὴν Ὀολὰν καὶ τὴν Ὀολιβὰν καὶ ἀναγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐτῶν,
[37]ὅτι ἐμοιχῶντο, καὶ αἷμα ἐν χερσὶν αὐτῶν; τὰ ἐνθυμήματα αὐτῶν ἐμοι- 37

---

18. την ασχημοσυνην αυτης ... ημερας 20. ων ησαν ως 21. ed. rom. επισκεψω ... μαστοι επεσαν νε. σ. 22. ολιβα ... κυρ. κυριος ο θεος επι σε ολιβα ιδου 23. και φουδ και σουδ και λουδ κ. π. τους υι. 24. om και prim. ... τροχοι· ιπποι μετα ... πελται· και περικεφαλαιαι· κ. β. επι σε προφυλακην κυκλ. 25. θυμου μου ... τους υιους σ. κ. τας θυγ. σ. λημψονται ... κα. σ. ενπρησουσιν εν πυρι 26. λημψονται 28. κυρ. κυρ. ο θεος 29. λημψονται ... ασχημονουσα ... η αισχυνη σου πορνεια σου κ. ασεβεια σου 30. επιθυμημασιν 31. τας χειρας 32. αδωναϊ κυρ. κυριος ο θεος ... πλατυ εσται εις γελωτα· και εις μυκτηρισμον· το πλεοναζον 33. και εχχεω οπως pro κ. εκλυσεως ... κ. το ποτ. της αδ. σου σαμαρ. ποτηριον αφανισμου 34. πιεσαι αυτο και εκστραγγιεις ... νουμηνιας ... ελαλησα ... κυρ. κυριος ο θεος 35. αδωναϊ κυριος 36. ολλαν ... ολιβαν ... απαγγελεις αυτοις 37. και τα ενθυμ.

Digitized by Google

χῶντο, καὶ τὰ τέκνα αὐτῶν ἃ ἐγέννησάν μοι διήγαγον αὐτοῖς δι' ἐμπύρων.
38 38 ἕως καὶ ταῦτα ἐποίησάν μοι, τὰ ἅγιά μου ἐμίαινον καὶ τὰ σάββατά μου
39 ἐβεβήλουν, 39 καὶ ἐν τῷ σφάζειν αὐτοὺς τὰ τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐ-
τῶν, καὶ εἰςεπορεύοντο εἰς τὰ ἅγιά μου τοῦ βεβηλοῦν αὐτά. καὶ ὅτι οὕτως
40 ἐποίουν ἐν μέσῳ τοῦ οἴκου μου, 40 καὶ ὅτι τοῖς ἀνδράσι τοῖς ἐρχομένοις μα-
κρόθεν, οἷς ἀγγέλους ἐξαπέστειλον πρὸς αὐτούς, καὶ ἅμα τῷ ἔρχεσθαι αὐ-
τοὺς εὐθὺς ἐλούου καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου καὶ ἐκόσμου κόσμῳ,
41 41 καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρωμένης, καὶ τράπεζα κεκοσμημένη πρὸ προςώ-
42 που αὐτῆς. καὶ τὸ θυμίαμα καὶ τὸ ἔλαιόν μου εὐφραίνοντο ἐν αὐτοῖς, 42 καὶ
φωνὴν ἁρμονίας ἀνεκρούοντο, καὶ πρὸς ἄνδρας ἐκ πλήθους ἀνθρώπων ἥκον-
τας ἐκ τῆς ἐρήμου, καὶ ἐδίδοσαν ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῶν καὶ στέφα-
43 νον καυχήσεως ἐπὶ τὰς κεφαλὰς αὐτῶν. 43 καὶ εἶπα Οὐκ ἐν τούτοις μοι-
44 χεύουσι; καὶ ἔργα πόρνης καὶ αὐτὴ ἐξεπόρνευσε; 44 καὶ εἰςεπορεύοντο πρὸς
αὐτήν, ὃν τρόπον εἰςπορεύονται πρὸς γυναῖκα πόρνην, οὕτως εἰςεπορεύοντο
45 πρὸς Ὀολὰν καὶ πρὸς Ὀολιβὰν τοῦ ποιῆσαι ἀνομίαν. 45 καὶ ἄνδρες δίκαιοι
αὐτοὶ καὶ ἐκδικήσουσιν αὐτὰς ἐκδικήσει μοιχαλίδος καὶ ἐκδικήσει αἵματος,
46 ὅτι μοιχαλίδες εἰσί, καὶ αἷμα ἐν χερσὶν αὐτῶν. 46 τάδε λέγει κύριος κύριος
47 Ἀνάγαγε ἐπ' αὐτὰς ὄχλον, καὶ δὸς ἐν αὐταῖς ταραχὴν καὶ διαρπαγήν, 47 καὶ
λιθοβόλησον ἐπ' αὐτὰς λίθοις ὄχλων, καὶ κατακέντει αὐτὰς ἐν τοῖς ξίφεσιν
αὐτῶν. υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν ἀποκτενοῦσιν, καὶ τοὺς οἴκους
48 αὐτῶν ἐμπρήσουσιν. 48 καὶ ἀποστρέψω ἀσέβειαν ἐκ τῆς γῆς, καὶ παιδευθή-
σονται πᾶσαι αἱ γυναῖκες, καὶ οὐ μὴ ποιήσουσι κατὰ τὰς ἀσεβείας αὐτῶν.
49 49 καὶ δοθήσεται ἡ ἀσέβεια ὑμῶν ἐφ' ὑμᾶς, καὶ τὰς ἁμαρτίας τῶν ἐνθυμη-
μάτων ὑμῶν λήψεσθε, καὶ γνώσεσθε διότι ἐγὼ κύριος.

## XXIV.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ ἐν τῷ ἔτει τῷ ἐννάτῳ ἐν τῷ μηνὶ
2 τῷ δεκάτῳ, δεκάτῃ τοῦ μηνός, λέγων 2 Υἱὲ ἀνθρώπου, γράψον σεαυτῷ εἰς
ἡμέραν ἀπὸ τῆς ἡμέρας ταύτης ἀφ' ἧς ἀπηρείσατο βασιλεὺς Βαβυλῶνος ἐπὶ
3 Ἱερουσαλήμ, ἀπὸ τῆς ἡμέρας τῆς σήμερον, 3 καὶ εἰπὸν ἐπὶ τὸν οἶκον τὸν
παραπικραίνοντα παραβολήν, καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος Ἐπί-
4 στησον τὸν λέβητα καὶ ἔγχεον εἰς αὐτὸν ὕδωρ, 4 καὶ ἔμβαλε εἰς αὐτὸν τὰ
διχοτομήματα, πᾶν διχοτόμημα καλόν, σκέλος καὶ ὦμον ἐκσεσαρκισμένα ἀπὸ
5 τῶν ὀστῶν 5 ἐξ ἐπιλέκτων κτηνῶν εἰλημμένων, καὶ ὑπόκαιε τὰ ὀστᾶ ὑπο-
6 κάτω αὐτῶν. ἔζεσε καὶ ἥψηται τὰ ὀστᾶ αὐτῆς ἐν μέσῳ αὐτῆς. 6 διὰ τοῦτο
τάδε λέγει κύριος Ὦ πόλις αἱμάτων λέβης, ἐν ᾧ ἐστιν ἰὸς ἐν αὐτῷ, καὶ ὁ
ἰὸς οὐκ ἐξῆλθεν ἐξ αὐτῆς, κατὰ μέλος αὐτῆς ἐξήνεγκεν, οὐκ ἔπεσεν ἐπ' αὐ-
7 τὴν κλῆρος. 7 ὅτι αἷμα αὐτῆς ἐν μέσῳ αὐτῆς ἐστίν, ἐπὶ λεωπετρίαν τέταχα
8 αὐτό· οὐκ ἐκκέχυκα αὐτὸ ἐπὶ τὴν γῆν τοῦ καλύψαι ἐπ' αὐτὸ γῆν, 8 τοῦ
ἀναβῆναι θυμὸν εἰς ἐκδίκησιν ἐκδικηθῆναι· δέδωκα τὸ αἷμα αὐτῆς ἐπὶ λεω-
9 πετρίαν τοῦ μὴ καλύψαι αὐτό. 9 διὰ τοῦτο τάδε λέγει κύριος Κἀγὼ μεγα-

---

37. διηγον αυτα δι 38. post μοι add και α εμεισουν εποιησαν 39. ιδωλοις ... μου αφυλακτως εν τη ημερα εκεινη του βε. αυτ. 40. om οτι ... εξαπεστελλοσαν 41. θυμιαμα μου ... εξευφραινοντο 42. ηκοντας οινωμενους εκ ... ψελια ... χειρας σου· συ δε στεφανον 43. και ειπας ... μοιχωνται· εργα γυναικος πορνης εποιεις· 44 και εισπορευοντο 44. ον τρ. εισεπορευοντο ... ολλαν ... ολιβαν 45. αιματα 46. αδωναϊ κυριος Αναγαγε ... δος επ αυτας 47. om επ ... καταχεντησον ... εμπυριουσιν 48. απο της γης 49. λημψεσθαι XXIV. 1. ενατω 3. αδωναϊ κυριος ... εκχεον 4. και σκελος ... εκ των οστεων αυτων 5. ειλημμενα ... εζεσεν και εξεζεσεν κ. ηψηθη 6. αδωναϊ κυριος ... post ο ιος repetit εν αυτω 7. λεοπετριαν (non v. 8.) ... καλυψαι αυτο γην (sed *κα. αυτω επι την γην) 8. *καταβηναι 9. αδωναϊ κυριος· ουαι πολεις των αιματων· καγω

Digitized by Google

λυνῶ τὸν δαλόν, 10 καὶ πληθυνῶ τὰ ξύλα καὶ ἀνακαύσω τὸ πῦρ, ὅπως ταχῇ 10
τὰ κρέα καὶ ἐλαττωθῇ ὁ ζωμός 11 καὶ στῇ ἐπὶ τοὺς ἄνθρακας, ὅπως προς- 11
καυθῇ καὶ θερμανθῇ ὁ χαλκὸς αὐτῆς καὶ ταχῇ ἐν μέσῳ ἀκαθαρσίας αὐτῆς,
καὶ ἐκλίπῃ ὁ ἰὸς αὐτῆς, 12 καὶ οὐ μὴ ἐξέλθῃ ἐξ αὐτῆς πολὺς ὁ ἰὸς αὐτῆς· 12
καταισχυνθήσεται ὁ ἰὸς αὐτῆς, 13 ἀνθ' ὧν ἐμιαίνου σύ. καὶ τί ἐὰν μὴ κα- 13
θαρισθῇς ἔτι ἕως οὗ ἐμπλήσω τὸν θυμόν μου; 14 ἐγὼ κύριος λελάληκα, καὶ 14
ἥξει καὶ ποιήσω, οὐ διαστελῶ οὐδὲ μὴ ἐλεήσω· κατὰ τὰς ὁδούς σου καὶ
κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, λέγει κύριος. διὰ τοῦτο ἐγὼ κρινῶ σε
κατὰ τὰ αἵματά σου, καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, ἡ ἀκάθαρτος
ἡ ὀνομαστὴ καὶ πολλὴ τοῦ παραπικραίνειν. 15 καὶ ἐγένετο λόγος κυρίου πρὸς 15
μὲ λέγων 16 Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ λαμβάνω ἐκ σοῦ τὰ ἐπιθυμήματα τῶν 16
ὀφθαλμῶν σου ἐν παρατάξει, οὐ μὴ κοπῇς οὐδ' οὐ μὴ κλαυσθῇς, 17 στε- 17
ναγμὸς αἵματος, ὀσφύος πένθος ἔσῃ· οὐκ ἔσται τὸ τρίχωμά σου συμπεπλε-
γμένον ἐπὶ σέ, καὶ τὰ ὑποδήματά σου ἐν τοῖς ποσί σου, οὐ μὴ παρακληθῇς
ἐν χείλεσιν αὐτῶν, καὶ ἄρτον ἀνδρῶν οὐ μὴ φάγῃς. 18 καὶ ἐλάλησα πρὸς 18
τὸν λαὸν τὸ πρωὶ ὃν τρόπον ἐνετείλατό μοι ἑσπέρας, καὶ ἐποίησα τὸ πρωὶ
ὃν τρόπον ἐπετάγη μοι. 19 καὶ εἶπε πρὸς μὲ ὁ λαός Οὐκ ἀναγγέλλεις ἡμῖν τί 19
ἐστι ταῦτα ἃ σὺ ποιεῖς; 20 καὶ εἶπα πρὸς αὐτούς Λόγος κυρίου ἐγένετο πρὸς 20
μὲ λέγων 21 Εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ 21
βεβηλῶ τὰ ἅγιά μου, φρύαγμα ἰσχύος ὑμῶν, ἐπιθυμήματα ὀφθαλμῶν ὑμῶν,
καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ ὑμῶν. καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες
ὑμῶν οὓς ἐγκατελίπετε ἐν ῥομφαίᾳ πεσοῦνται, 22 καὶ ποιήσετε ὃν τρόπον πε- 22
ποίηκα· ἀπὸ στόματος αὐτῶν οὐ παρακληθήσεσθε, καὶ ἄρτον ἀνδρῶν οὐ
φάγεσθε, 23 καὶ αἱ κόμαι ὑμῶν ἐπὶ τῆς κεφαλῆς ὑμῶν, καὶ τὰ ὑποδήματα 23
ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν· οὔτε μὴ κόψησθε οὔτε μὴ κλαύσητε, καὶ ἐντα-
κήσεσθε ἐν ταῖς ἀδικίαις ὑμῶν, καὶ παρακαλέσετε ἕκαστος τὸν ἀδελφὸν αὐ-
τοῦ. 24 καὶ ἔσται Ἰεζεκιὴλ ὑμῖν εἰς τέρας, κατὰ πάντα ὅσα ἐποίησα ποιήσετε 24
ὅταν ἔλθῃ ταῦτα, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. 25 καὶ σὺ υἱὲ ἀνθρώ- 25
που, οὐχὶ ἐν τῇ ἡμέρᾳ ὅταν λαμβάνω τὴν ἰσχὺν παρ' αὐτῶν, τὴν ἔπαρσιν
τῆς καυχήσεως αὐτῶν, τὰ ἐπιθυμήματα ὀφθαλμῶν αὐτῶν καὶ τὴν ἔπαρσιν
ψυχῆς αὐτῶν, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν, 26 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 26
ἥξει ὁ ἀνασωζόμενος πρὸς σὲ τοῦ ἀναγγεῖλαί σοι εἰς τὰ ὦτα; 27 ἐν τῇ ἡμέρᾳ 27
ἐκείνῃ διανοιχθήσεται τὸ στόμα σου πρὸς τὸν ἀνασωζόμενον· λαλήσεις, καὶ
οὐ μὴ ἀποκωφωθῇς οὐκέτι, καὶ ἔσῃ αὐτοῖς εἰς τέρας, καὶ ἐπιγνώσονται
διότι ἐγὼ κύριος.

## XXV.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, στήρισον τὸ 2
πρόσωπόν σου ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ προφήτευσον ἐπ' αὐτούς, 3 καὶ 3

---

10. εκκαυσω ... οπως ελαττωθη ο ζωμος· και εκτακη τα κρεα· και τα οστα συνφρυγησονται 11. ανθρακας αυτης· εξηφθη οπως εκκαυθη· οπως συνφρυγη ο χαλκ. α. κ. τ. εμμεσω αυτης· η ακαθαρσια αυτης ... εκλειπη ... in f. om αυτης 12. και κατεσχυνθησεται 13. εν τη ακαθαρσια σου ζεμμα· ανθ ων εμιανης (** εμιανθης) συ· και ουκ εκαθαρισθης απο ακαθαρσιας σου· και ετι εσται εαν μη ... om ετι ... in f. add εν σοι 14. λεγει αδωναϊ κυριος 16. om των ... *ουδ ου μη κοπης 17. πενθους εσται αυτη· ουκ εσται 18. ante εσπερας add και απεθανεν η γυνη μου ... καθως pro ον τροπ. secundo 19. Ου μη απαγγειλης 20. ταδε λεγει αδωναϊ κυριος pro Λογος usq. λεγων 21. κυρ. κυριος ο θεος ... εγκατελειπεται 22. κ. ποιησω ον τρ. εποιησα ... ου μη παρακλ. et ου μη φαγησθαι 23. ου μη κοψ. ... κλαυσθητε 25. αυτων παρ αυτων ... της ψυχης 26. εν εκεινη τη ημερα ... ωτα σου 27. ανασωζ.· και ερεις· ου μη

Digitized by Google

ἐρεῖς τοῖς υἱοῖς Ἀμμὼν Ἀκούσατε λόγον κυρίου Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν
ἐπεχάρητε ἐπὶ τὰ ἅγιά μου ὅτι ἐβεβηλώθη, καὶ ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ
ὅτι ἠφανίσθη, καὶ ἐπὶ τὸν οἶκον τοῦ Ἰούδα ὅτι ἐπορεύθησαν ἐν αἰχμαλω-
4 σίᾳ, [4] διὰ τοῦτο ἰδοὺ ἐγὼ παραδίδωμι ὑμᾶς τοῖς υἱοῖς Κεδὲμ εἰς κληρονο-
μίαν, καὶ κατασκηνώσουσιν ἐν τῇ ἀπαρτίᾳ αὐτῶν ἐν σοί, καὶ δώσουσιν ἐν
σοὶ τὰ σκηνώματα αὐτῶν· αὐτοὶ φάγονται τοὺς καρπούς σου, καὶ αὐτοὶ
5 πίονται τὴν πιότητά σου. [5] καὶ δώσω τὴν πόλιν τοῦ Ἀμμὼν εἰς νομὰς κα-
μήλων, καὶ τοὺς υἱοὺς Ἀμμὼν εἰς νομὴν προβάτων, καὶ ἐπιγνώσεσθε διότι
6 ἐγὼ κύριος. [6] διότι τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐκρότησας τὴν χεῖρά σου καὶ
ἐψόφησας τῷ ποδί σου, καὶ ἐπέχαρας ἐκ ψυχῆς σου ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ,
7 [7] διὰ τοῦτο ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ δώσω σε εἰς διαρπαγὴν ἐν
τοῖς ἔθνεσι, καὶ ἐξολοθρεύσω σε ἐκ τῶν λαῶν, καὶ ἀπολῶ σε ἐκ τῶν χωρῶν
8 ἀπωλείᾳ, καὶ ἐπιγνώσῃ διότι ἐγὼ κύριος. [8] τάδε λέγει κύριος Ἀνθ᾽ ὧν εἶπε
9 Μωὰβ Ἰδοὺ οὐχ ὃν τρόπον πάντα τὰ ἔθνη οἶκος Ἰσραὴλ καὶ Ἰούδα; [9] διὰ
τοῦτο ἰδοὺ ἐγὼ παραλύω τὸν ὦμον Μωὰβ ἀπὸ πόλεων ἀκρωτηρίων αὐτοῦ,
10 ἐκλεκτὴν γῆν οἶκον Βεθασιμοὺθ ἐπάνω πηγῆς πόλεως παραθαλασσίας, [10] τοὺς
υἱοὺς Κεδὲμ ἐπὶ τοὺς υἱοὺς Ἀμμών, δέδωκα αὐτῷ εἰς κληρονομίαν, ὅπως
11 μὴ μνεία γένηται τῶν υἱῶν Ἀμμών. [11] καὶ εἰς Μωὰβ ποιήσω ἐκδίκησιν, καὶ
12 ἐπιγνώσονται διότι ἐγὼ κύριος. [12] τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐποίησεν ἡ
Ἰδουμαία ἐν τῷ ἐκδικῆσαι αὐτοὺς ἐκδίκησιν εἰς τὸν οἶκον Ἰούδα, καὶ ἐμνη-
13 σικάκησαν καὶ ἐξεδίκησαν δίκην, [13] διὰ τοῦτο τάδε λέγει κύριος Καὶ ἐκτενῶ
τὴν χεῖρά μου ἐπὶ τὴν Ἰδουμαίαν, καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ
κτῆνος, καὶ θήσομαι αὐτὴν ἔρημον, καὶ ἐκ Θαιμὰν διωκόμενοι ἐν ῥομφαίᾳ
14 πεσοῦνται· [14] καὶ δώσω ἐκδίκησίν μου ἐπὶ τὴν Ἰδουμαίαν ἐν χειρὶ λαοῦ μου
Ἰσραήλ, καὶ ποιήσουσιν ἐν τῇ Ἰδουμαίᾳ κατὰ τὴν ὀργήν μου καὶ κατὰ τὸν
15 θυμόν μου, καὶ ἐπιγνώσονται τὴν ἐκδίκησίν μου, λέγει κύριος. [15] διὰ τοῦτο
τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐποίησαν οἱ ἀλλόφυλοι ἐν ἐκδικήσει καὶ ἐξανέ-
16 στησαν ἐκδίκησιν ἐπιχαίροντες ἐκ ψυχῆς τοῦ ἐξαλεῖψαι ἕως ἑνός, [16] διὰ
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ τοὺς ἀλλοφύ-
λους, καὶ ἐξολοθρεύσω Κρῆτας, καὶ ἀπολῶ τοὺς καταλοίπους τοὺς κατοι-
17 κοῦντας τὴν παραλίαν· [17] καὶ ποιήσω ἐν αὐτοῖς ἐκδικήσεις μεγάλας, καὶ
ἐπιγνώσονται διότι ἐγὼ κύριος, ἐν τῷ δοῦναι τὴν ἐκδίκησίν μου ἐπ᾽ αὐτούς.

## XXVI.

Καὶ ἐγενήθη ἐν τῷ ἑνδεκάτῳ ἔτει μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου
2 πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, ἀνθ᾽ οὗ εἶπε Σὸρ ἐπὶ Ἱερουσαλὴμ Εὖγε
3 συνετρίβη, ἀπόλωλε, τὰ ἔθνη ἐπεστράφη πρὸς μέ, ἡ πλήρης ἠρήμωται, [3] διὰ
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Σόρ, καὶ ἀνάξω ἐπὶ σὲ ἔθνη πολλὰ
4 ὡς ἀναβαίνει ἡ θάλασσα τοῖς κύμασιν αὐτῆς. [4] καὶ καταβαλοῦσι τὰ τείχη
Σόρ, καὶ καταβαλοῦσι τοὺς πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς ἀπ᾽

XXV. 3. αδωναι κυριος ... εβεβηλωθησαν ... οικον ιουδα 4. συν τη απαρτια 5. εις προνομην προβ. 6. κυριος ο θεος ... τας χειρας ... επεψοφησας 7. δια τουτο ιδου εγω ... εξολεθρευσω ... ed. rom. χειρων pro χωρων 8. αδωναϊ κυριος ... μωαβ και σηειρ ... om ουχ ... ο οικος 9. απο των πολεων· απο πολεων ... ed. rom. ante εκλεκτην non interpg. 10. ed. rom. ante δεδωκα non interpg. ... γενηται μνεια ... in f. add εν τοις εθνεσιν 11. εν μωαβ 12. αδωναϊ κυριος ... του pro εν τω 13. αδωναϊ κυριος ... εξολεθρευσω 14. την εκδικησιν ... οργην του θυμου μου ... **om κυριος 15. αδωναϊ κυριος ... αιωνος pro ενος 16. αδωναϊ κυριος ... εκτενω ... εξολεθρευσω κριτας σιδωνος ... παραθαλασσιαν 17. δουναι με
XXVI. 1. Και εγενετο εν τω δωδεκατω ε. μ. τ. μ. του πρωτου 2. ανθ ων ... ed. rom. απολωλε τα εθνη conjg; item ut videtur cod. alex. 3. αδωναϊ κυριος ... εν τοις κυμ. α. 4. καθελουσιν τους πυργ. σ. κ. λικμησουσιν

Digitized by Google

αὐτῆς, καὶ δώσω αὐτὴν εἰς λεωπετρίαν, [5]ψυγμὸς σαγηνῶν ἔσται ἐν μέσῳ 5
θαλάσσης, ὅτι ἐγὼ λελάληκα, λέγει κύριος. καὶ ἔσται εἰς προνομὴν τοῖς ἔθνε-
σιν, [6]καὶ αἱ θυγατέρες αὐτῆς ἐν πεδίῳ μαχαίρᾳ ἀναιρεθήσονται, καὶ γνώ- 6
σονται ὅτι ἐγὼ κύριος. [7]ὅτι τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ Σὸρ 7
τὸν Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος ἀπὸ τοῦ βορρᾶ, βασιλεὺς βασιλέων
ἐστί, μεθ᾽ ἵππων καὶ ἁρμάτων καὶ ἱππέων καὶ συναγωγῆς ἐθνῶν πολλῶν
σφόδρα. [8]οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ, καὶ 8
δώσει ἐπὶ σὲ προφυλακὴν καὶ περιοικοδομήσει, καὶ ποιήσει ἐπὶ σὲ κύκλῳ
χάρακα καὶ περίστασιν ὅπλων, καὶ τὰς λόγχας αὐτοῦ ἀπέναντί σου δώσει·
[9]τὰ τείχη σου καὶ τοὺς πύργους σου καταβαλεῖ ἐν ταῖς μαχαίραις αὐτοῦ. 9
[10]ἀπὸ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ κατακαλύψει σε ὁ κονιορτὸς αὐτῶν, 10
καὶ ἀπὸ τῆς φωνῆς τῶν ἱππέων αὐτοῦ καὶ τῶν τροχῶν τῶν ἁρμάτων αὐτοῦ
σεισθήσεται τὰ τείχη σου, εἰσπορευομένου αὐτοῦ τὰς πύλας σου ὡς εἰσπο-
ρευόμενος εἰς πόλιν ἐκ πεδίου. [11]ἐν ταῖς ὁπλαῖς τῶν ἵππων αὐτοῦ καταπα- 11
τήσουσί σου πάσας τὰς πλατείας· τὸν λαόν σου μαχαίρᾳ ἀνελεῖ, καὶ τὴν
ὑπόστασιν τῆς ἰσχύος σου ἐπὶ τὴν γῆν κατάξει. [12]καὶ προνομεύσει τὴν δύ- 12
ναμίν σου, καὶ σκυλεύσει τὰ ὑπάρχοντά σου, καὶ καταβαλεῖ τὰ τείχη σου,
καὶ τοὺς οἴκους σου τοὺς ἐπιθυμητοὺς καθελεῖ, καὶ τοὺς λίθους σου καὶ τὰ
ξύλα σου καὶ τὸν χοῦν σου εἰς μέσον τῆς θαλάσσης σου ἐμβαλεῖ. [13]καὶ κα- 13
ταλύσει τὸ πλῆθος τῶν μουσικῶν σου, καὶ ἡ φωνὴ τῶν ψαλτηρίων σου οὐ
μὴ ἀκουσθῇ ἔτι. [14]καὶ δώσω σε λεωπετρίαν, ψυγμὸς σαγηνῶν ἔσῃ, οὐ μὴ 14
οἰκοδομηθῇς ἔτι, ὅτι ἐγὼ κύριος ἐλάλησα, λέγει κύριος. [15]διότι τάδε λέγει 15
κύριος κύριος τῇ Σόρ Οὐχ ἀπὸ φωνῆς τῆς πτώσεώς σου ἐν τῷ στενάξαι
τραυματίας ἐν τῷ σπάσαι μάχαιραν ἐν μέσῳ σου σεισθήσονται αἱ νῆσοι;
Apoc. 18, 10. [16]καὶ καταβήσονται ἀπὸ τῶν θρόνων αὐτῶν πάντες οἱ ἄρχοντες ἐκ τῶν ἐθνῶν 16
τῆς θαλάσσης, καὶ ἀφελοῦνται τὰς μίτρας ἀπὸ τῶν κεφαλῶν αὐτῶν, καὶ τὸν
ἱματισμὸν τὸν ποικίλον αὐτῶν ἐκδύσονται· ἐκστάσει ἐκστήσονται, ἐπὶ γῆν
καθεδοῦνται καὶ φοβηθήσονται τὴν ἀπώλειαν αὐτῶν, καὶ στενάξουσιν ἐπὶ
σέ, [17]καὶ λήψονται ἐπὶ σὲ θρῆνον καὶ ἐροῦσί σοι Πῶς κατελύθης ἐκ θα- 17
λάσσης, ἡ πόλις ἡ ἐπαινετή, ἡ δοῦσα τὸν φόβον αὐτῆς πᾶσι τοῖς κατοικοῦ-
σιν αὐτήν; [18]καὶ φοβηθήσονται αἱ νῆσοι ἀπὸ ἡμέρας πτώσεώς σου, [19]ὅτι 18 19
τάδε λέγει κύριος κύριος Ὅταν δῶ πόλιν ἠρημωμένην ὡς τὰς πόλεις τὰς μὴ
κατοικισθησομένας, ἐν τῷ ἀναγαγεῖν με ἐπὶ σὲ τὴν ἄβυσσον, καὶ κατακα-
λύψει σε ὕδωρ πολύ, [20]καὶ καταβιβάσω σε πρὸς τοὺς καταβαίνοντας εἰς 20
βόθρον πρὸς λαὸν αἰῶνος, καὶ κατοικιῶ σε εἰς βάθη τῆς γῆς ὡς ἔρημον
αἰώνιον μετὰ καταβαινόντων εἰς βόθρον, ὅπως μὴ κατοικηθῇς μηδὲ ἀναστῇς

---

4. δωσω σε εις ... ed. rom. λεοπετρ. (non v. 14.) 5. εμμεσω της θαλασσης ... ελαλησα λ. κυριος κυριος ... om τοις 6. αι εν τω παιδιω μαχ. πεσουνται ... εγω ειμι κυριος 7. δια τουτο ταδε λ. αδωναϊ κυριος ... βασιλεα βασιλεα βαβ. ... μετα ιππων ... om και ιππεων ... συναγ. πολλης εθνων σφ. 8. περιποιησει επι σε κυ. σου χα. κ. βελοστασεις οπλων ... επι σε pro απεν. σου 10. καλυψει ... αυτων, απο φωνης των ... ως ο εισπορευομενος 11. καταπ. πασ. τ. πλ. σου 12. τον πλουτον pro τα υπαρχ. ... κ. καθελει τους οικ. σ. τ. επιθ. ... θαλασσης εμβαλει 13. ακουσθη εν σοι ουκετι 14. σε εις λεωπετρ. και ψυγμος ... εγω ελαλησα 15. αδωναϊ κυρ. κυρ. επι σε σορ Ουχι ... τραυματιας σου ... εμμεσω 16. *καθελουσιν, **ελουσιν pro αφελουνται ... και εκστασει ... επι την γην καθ. (** καθελουνται [?]) 17. λημψονται ... Πως απωλου και κατελυθης (*καθελ.) ... ante η δουσα add ητις εγενηθη ισχυρα εν θαλασση· αυτη και οι κατοικουντες αυτην 18. και νυν φοβ. ... in f. add και ταραχθησονται νησοι εν τη θαλασση απο της εξοδιας σου 19. δω σε ... κατοικηθησομενας 20. καταβιβω ... τα βαθη ... ανασταθης

Digitized by Google

21 ἐπὶ γῆς ζωῆς. [21] ἀπώλειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα,
λέγει κύριος κύριος.

## XXVII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Καὶ σὺ υἱὲ ἀνθρώπου λάβε* Apoc. 18, 9 ss.
3 ἐπὶ Σὸρ θρῆνον, [3] καὶ ἐρεῖς τῇ Σὸρ τῇ κατοικούσῃ ἐπὶ τῆς εἰσόδου τῆς θα-
λάσσης, τῷ ἐμπορίῳ τῶν λαῶν, ἀπὸ νήσων πολλῶν Τάδε λέγει κύριος τῇ
4 Σόρ Σὺ εἶπας Ἐγὼ περιέθηκα ἐμαυτῇ κάλλος μου, [4] ἐν καρδίᾳ θαλάσσης
5 τῷ Βεελεὶμ υἱοί σου περιέθηκάν σοι κάλλος. [5] κέδρος ἐκ Σενεὶρ ᾠκοδομήθη
σοι, ταινίαι σανίδων κυπαρίσσου ἐκ τοῦ Λιβάνου ἐλήφθησαν τοῦ ποιῆσαί σοι
6 ἱστοὺς ἐλατίνους· [6] ἐκ τῆς Βασανίτιδος ἐποίησαν τὰς κώπας σου, τὰ ἱερά
7 σου ἐποίησαν ἐξ ἐλέφαντος, οἴκους ἀλσώδεις ἀπὸ νήσων τῶν Χεττιείμ. [7] βύσσος
μετὰ ποικιλίας ἐξ Αἰγύπτου ἐγένετό σοι στρωμνὴ τοῦ περιθεῖναί σοι δόξαν
καὶ περιβαλεῖν σε ὑάκινθον καὶ πορφύραν ἐκ τῶν νήσων Ἐλεισαί, καὶ ἐγέ-
8 νετο περιβόλαιά σου. [8] καὶ οἱ ἄρχοντές σου οἱ κατοικοῦντες Σιδῶνα καὶ
Ἀράδιοι ἐγένοντο κωπηλάται σου· οἱ σοφοί σου Σὸρ οἳ ἦσαν ἐν σοί, οὗτοι
9 κυβερνῆταί σου· [9] οἱ πρεσβύτεροι βιβλίων καὶ οἱ σοφοὶ αὐτῶν οἳ ἦσαν ἐν
σοί, οὗτοι ἐνίσχυον τὴν βουλήν σου· καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης καὶ
10 οἱ κωπηλάται αὐτῶν ἐγένοντό σοι ἐπὶ δυσμὰς δυσμῶν. [10] Πέρσαι καὶ Λυδοὶ
καὶ Λίβυες ἦσαν ἐν τῇ δυνάμει σου, ἄνδρες πολεμισταί σου πέλτας καὶ πε-
11 ρικεφαλαίας ἐκρέμασαν ἐν σοί, οὗτοι ἔδωκαν τὴν δόξαν σου. [11] υἱοὶ Ἀραδίων
καὶ ἡ δύναμίς σου ἐπὶ τῶν τειχέων σου· φύλακες ἐν τοῖς πύργοις σου ἦσαν,
τὰς φαρέτρας αὐτῶν ἐκρέμασαν ἐπὶ τῶν ὅρμων σου κύκλῳ, οὗτοι ἐτελείω-
12 σάν σου τὸ κάλλος. [12] Καρχηδόνιοι ἔμποροί σου ἀπὸ πλήθους πάσης ἰσχύος
σου, ἀργύριον καὶ χρυσίον καὶ σίδηρον καὶ κασσίτερον καὶ μόλιβον ἔδωκαν
13 τὴν ἀγοράν σου. [13] ἡ Ἑλλὰς καὶ ἡ σύμπασα καὶ τὰ παρατείνοντα, οὗτοι
ἐνεπορεύοντό σοι ἐν ψυχαῖς ἀνθρώπων καὶ σκεύη χαλκᾶ ἔδωκαν τὴν ἐμπο-
14 ρίαν σου· [14] ἐξ οἴκου Θογαρμὰ ἵπποι καὶ ἱππεῖς ἔδωκαν τὴν ἀγοράν σου.
15 [15] υἱοὶ Ῥοδίων ἔμποροί σου, ἀπὸ νήσων ἐπλήθυναν τὴν ἐμπορίαν σου ὀδόν-
16 τας ἐλεφαντίνους, καὶ τοῖς εἰσαγομένοις ἀντεδίδους τοὺς μισθούς σου, [16] ἀν-
θρώπους ἐμπορίαν σου ἀπὸ πλήθους τοῦ συμμίκτου σου, στακτὴν καὶ ποι-
17 κίλματα ἐκ Θαρσὶς καὶ Ῥαμὸθ καὶ Χορχὸρ ἔδωκαν τὴν ἀγοράν σου. [17] Ἰούδας
καὶ οἱ υἱοὶ τοῦ Ἰσραήλ, οὗτοι ἔμποροί σου ἐν πράσει σίτου καὶ μύρων καὶ
κασίας, καὶ πρῶτον μέλι καὶ ἔλαιον καὶ ῥητίνην ἔδωκαν εἰς τὸν σύμμικτόν
18 σου. [18] Δαμασκὸς ἔμποροί σου ἐκ πλήθους πάσης δυνάμεώς σου· οἶνος ἐκ
19 Χελβὼν καὶ ἔρια ἐκ Μιλήτου, καὶ οἶνον εἰς τὴν ἀγοράν σου ἔδωκαν. [19] ἐξ
20 Ἀσὴλ σίδηρος εἰργασμένος, καὶ τροχιὰς ἐν τῷ συμμίκτῳ σού ἐστι. [20] Δαιδὰν
21 ἔμποροί σου μετὰ κτηνῶν ἐκλεκτῶν εἰς ἅρματα. [21] ἡ Ἀραβία καὶ πάντες οἱ
ἄρχοντες Κηδάρ, οὗτοι ἔμποροί σου διὰ χειρός σου, καμήλους καὶ ἀμνοὺς
22 καὶ κριοὺς ἐν οἷς ἐμπορεύονταί σε. [22] ἔμποροι Σαββὰ καὶ Ῥαμμά, οὗτοι
ἔμποροί σου μετὰ πρώτων ἡδυσμάτων καὶ λίθων χρηστῶν, καὶ χρυσὸν

---

21. ετι· και ζητηθηση εις ... κυρ. κυρ. ο θεος XXVII. 2. θρην. επι σορ 3. της οδου της ... αδωναϊ κυρ. κυριος επι σορ 4. και υιοι 5. σανειρ ... κυπαριστινων (sic) ... εληµφθησαν 6. χεττιειμ 7. περιβολαια εγενετο 8. σιδονα 6. om οἳ ... κωπελαται (non v. 8.) αυτης 11. κυκλω φυλακες 12. post χρυσιον add και χαλκον ... μολιβδον 13. τα συμπαντα pro η συμπασα ... αυτοι ενεμπορευονται 14. θεργαμα ιππους κ. ιππ. και ημιονους ... om την 15. αραδιων 16. εκ θαρρεις κ. ραμμωθ κ. χορχορυς 17. ιουδα ... υιοι ισραηλ ... εν σιτου πρασ. 18. οινον εκ χεβρων 19. εξ ασαηλ σιδηρον ειργασμενον κ. τροχειας εδωκαν· εν 21. αραβεια ... καμ. κ. κριους κ. μοσχους εν ... ενεπορευοντο σοι 22. σαβα κ. ραγμα ... λιθων εκλεκτων κ. χρυσιον

Digitized by Google

ἔδωκαν τὴν ἀγοράν σου. [23]Χαῤῥὰ καὶ Χαναά, οὗτοι ἔμποροί σου. Ἀσσοὺρ καὶ 23
Χαρμὰν ἔμποροί σου, [24]φέροντες ἐμπορίαν ὑάκινθον καὶ θησαυροὺς ἐκλεκτοὺς 24
δεδεμένους σχοινίοις καὶ κυπαρίσσινα. [25]πλοῖα ἔμποροί σου ἐν τῷ πλήθει 25
ἐν τῷ συμμίκτῳ σου, καὶ ἐνεπλήσθης καὶ ἐβαρύνθης σφόδρα ἐν καρδίᾳ θα-
λάσσης, [26]ἐν ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάταί σου. τὸ πνεῦμα τοῦ νότου 26
συνέτριψέ σε ἐν καρδίᾳ θαλάσσης· [27]ἦσαν δυνάμεις σου, καὶ ὁ μισθός σου 27
καὶ τῶν συμμίκτων σου, καὶ οἱ κωπηλάται σου καὶ οἱ κυβερνῆταί σου καὶ
οἱ σύμβουλοί σου, καὶ οἱ σύμμικτοί σου ἐκ τῶν συμμίκτων σου, καὶ πάντες
οἱ ἄνδρες οἱ πολεμισταί σου οἱ ἐν σοί· καὶ πᾶσα συναγωγή σου ἐν μέσῳ
σου πεσοῦνται ἐν καρδίᾳ θαλάσσης ἐν τῇ ἡμέρᾳ τῆς πτώσεώς σου. [28]πρὸς 28
τὴν κραυγὴν τῆς φωνῆς σου οἱ κυβερνῆταί σου φόβῳ φοβηθήσονται, [29]καὶ 29
καταβήσονται ἀπὸ τῶν πλοίων πάντες οἱ κωπηλάται καὶ οἱ ἐπιβάται, καὶ
*Apoc. 18, 9sq. οἱ πρωρεῖς τῆς θαλάσσης ἐπὶ τὴν γῆν στήσονται, [30]καὶ ἀλαλάξουσιν ἐπὶ σὲ 30
τῇ φωνῇ αὐτῶν καὶ κεκράξονται πικρόν, καὶ ἐπιθήσουσι γῆν ἐπὶ τὴν κεφα-
λὴν αὐτῶν καὶ σποδὸν στρώσονται. [32]καὶ λήψονται οἱ υἱοὶ αὐτῶν ἐπὶ σὲ θρῆνον, 32
θρήνημα Σόρ. [33]πόσον τινὰ εὗρες μισθὸν ἀπὸ τῆς θαλάσσης; ἐνέπλησας 33
ἔθνη ἀπὸ τοῦ πλήθους σου, καὶ ἀπὸ τοῦ συμμίκτου σου ἐπλούτησας πάντας
βασιλεῖς τῆς γῆς. [34]νῦν συνετρίβης ἐν θαλάσσῃ, ἐν βάθει ὕδατος ὁ σύμ- 34
μικτός σου, καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου. [35]ἔπεσον πάντες οἱ 35
κωπηλάται σου, πάντες οἱ κατοικοῦντες τὰς νήσους ἐστύγνασαν ἐπὶ σέ, καὶ
οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐξέστησαν καὶ ἐδάκρυσε τὸ πρόσωπον αὐτῶν.
*Apoc. 18, 11. [36]ἔμποροι ἀπὸ ἐθνῶν ἐσύρισάν σε, ἀπώλεια ἐγένου, καὶ οὐκέτι ἔσῃ εἰς τὸν 36
αἰῶνα.

## XXVIII.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Καὶ σύ υἱὲ ἀνθρώπου εἰπὸν 2
τῷ ἄρχοντι Τύρου Τάδε λέγει κύριος Ἀνθ' οὗ ὑψώθη σου ἡ καρδία, καὶ
εἶπας Θεός εἰμι ἐγώ, κατοικίαν θεοῦ κατῴκηκα ἐν καρδίᾳ θαλάσσης, σὺ δὲ
εἶ ἄνθρωπος καὶ οὐ θεός, καὶ ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ,
[3]μὴ σοφώτερος εἶ σὺ τοῦ Δανιήλ; ἢ σοφοὶ οὐκ ἐπαίδευσάν σε τῇ ἐπιστήμῃ 3
αὐτῶν; [4]μὴ ἐν τῇ ἐπιστήμῃ σου ἢ τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύ- 4
ναμιν καὶ χρυσίον καὶ ἀργύριον ἐν τοῖς θησαυροῖς σου; [5]ἐν τῇ πολλῇ ἐπι- 5
στήμῃ σου καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου, ὑψώθη ἡ καρδία σου

---

23. χαρραν κ. χανααν και δαιδαν αυτοι 24. post υακινθον add και πορφυραν ... σχοινιοις εν κυπαρισσινοις ... ed. rom. κυπαρίσσινα [25]πλοῖα. ἔμποροι 25. πλοιοις εν αυτοις καρχηδονιοι εμποροι σου θαρσος εμποροι σου εν τω ... ed. rom. θαλάσσης [26]ἐν ὕδ. πολλῷ. ἦγον 26. ed. rom. σου, τό ... σε εμμεσω θαλασσης ... ed. rom. in f. non interpg. 27. ο μισθ. σ. εν τω συμμικτω σου οι ... om οι εν σοι ... πασα η ... εμμεσω 28. φωνην της κραυγης ... om φοβω 29. om και primum ... πλοιων αυτων π. οι κωπ. σου ... επι της γης 30. αλλαξονται ε. σ. την κραυγην αυτων ... πικρως ... γην post κεφ. αυτ. pon ... υποστρωσονται [31.] και φαλακρωσουσιν επι σε φαλακρωματα· και περιζωνται σακκον· και κλαυσονται περι σου εν πικρασμω ψυχης· και κοπετον πικρον εκστησονται 32. λημψονται ... και θρηνημα σοι· τις ωσπερ τυρος κατασιγηθεισα εμμεσω θαλασσης 33. ποσον και τινα ... ενεποιησας εθνη ... επλουτισας πα. τους 34. εμμεσω 35. επεσον cum antecdd. conjg. ... παντ. οι κατοικ. τας νησ. και οι κωπηλ. σ. εστυγν. ... εδακρυσαν τω προσωπω αυτ. επι σοι 36. add in f. λεγει κυριος ο θεος XXVIII. 2. om και συ ... κυρ. ο θεος Ανθ ων ... κατωκησα 3. σε εν τη 4. η εν τη ... ante χρυσιον add εποιησας 5. η εν τη ... δυναμεις σου



Digitized by Google

6 ἐν τῇ δυνάμει σου. [6] διὰ τοῦτο τάδε λέγει κύριος Ἐπειδὴ δέδωκας τὴν καρ-
7 δίαν σου ὡς καρδίαν θεοῦ, [7] ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους
λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσουσι τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ καὶ ἐπὶ
τὸ κάλλος τῆς ἐπιστήμης σου, καὶ στρώσουσι τὸ κάλλος σου εἰς ἀπώλειαν,
8 [8] καὶ καταβιβάσουσί σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσ-
9 σης. [9] μὴ λέγων ἐρεῖς Θεός εἰμι ἐγὼ ἐνώπιον τῶν ἀναιρούντων σε; σὺ δὲ
10 εἶ ἄνθρωπος καὶ οὐ θεός. [10] ἐν πλήθει ἀπεριτμήτων ἀπολῇ ἐν χερσὶν ἀλλο-
11 τρίων, ὅτι ἐγὼ ἐλάλησα, λέγει κύριος. [11] καὶ ἐγένετο λόγος κυρίου πρός με
12 λέγων [12] Υἱὲ ἀνθρώπου, λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα Τύρου καὶ εἰπὸν αὐτῷ
Τάδε λέγει κύριος κύριος Σὺ ἀποσφράγισμα ὁμοιώσεως καὶ στέφανος κάλ-
13 λους [13] ἐν τῇ τρυφῇ τοῦ παραδείσου τοῦ θεοῦ ἐγενήθης. πᾶν λίθον χρηστὸν
ἐνδέδεσαι, σάρδιον καὶ τοπάζιον, καὶ σμάραγδον καὶ ἄνθρακα, καὶ σάπφειρον
καὶ ἴασπιν, καὶ ἀργύριον καὶ χρυσίον, καὶ λιγύριον καὶ ἀχάτην, καὶ ἀμέθυ-
στον καὶ χρυσόλιθον, καὶ βηρύλλιον καὶ ὀνύχιον, καὶ χρυσίου ἐνέπλησας τοὺς
14 θησαυρούς σου καὶ τὰς ἀποθήκας σου ἐν σοί. [14] ἀφ' ἧς ἡμέρας ἐκτίσθης σὺ
μετὰ τοῦ Χερούβ, ἔθηκά σε ἐν ὄρει ἁγίῳ θεοῦ, ἐγενήθης ἐν μέσῳ λίθων
15 πυρίνων, [15] ἐγενήθης σὺ ἄμωμος ἐν ταῖς ἡμέραις σου, ἀφ' ἧς ἡμέρας σὺ
16 ἐκτίσθης ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί. [16] ἀπὸ πλήθους τῆς ἐμπορίας σου
ἔπλησας τὰ ταμεῖά σου ἀνομίας, καὶ ἥμαρτες καὶ ἐτραυματίσθης ἀπὸ ὄρους
17 τοῦ θεοῦ, καὶ ἤγαγέ σε τὸ Χεροὺβ ἐκ μέσου λίθων πυρίνων. [17] ὑψώθη ἡ
καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ κάλλους
σου· διὰ πλῆθος ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν ἔρριψά σε, ἐναντίον βασιλέων
18 ἔδωκά σε παραδειγματισθῆναι. [18] διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου καὶ τῶν
ἀδικιῶν τῆς ἐμπορίας σου ἐβεβήλωσα τὰ ἱερά σου, καὶ ἐξάξω πῦρ ἐκ μέσου
σου, τοῦτο καταφάγεταί σε· καὶ δώσω σε σποδὸν ἐπὶ τῆς γῆς σου ἐναν-
19 τίον πάντων τῶν ὁρώντων σε. [19] καὶ πάντες οἱ ἐπιστάμενοί σε ἐν τοῖς ἔθνεσι
στενάξουσιν ἐπὶ σέ· ἀπώλεια ἐγένου, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα.
20 21 [20] καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [21] Υἱὲ ἀνθρώπου, στήρισον τὸ
22 πρόσωπόν σου ἐπὶ Σιδῶνα καὶ προφήτευσον ἐπ' αὐτὴν [22] καὶ εἰπόν Τάδε
λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Σιδών, καὶ ἐνδοξασθήσομαι ἐν σοί, καὶ γνώσῃ
ὅτι ἐγώ εἰμι κύριος, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα, καὶ ἁγιασθήσομαι
23 ἐν σοί. [23] αἷμα καὶ θάνατος ἐν ταῖς πλατείαις σου, καὶ πεσοῦνται τετραυμα-
τισμένοι μαχαίραις ἐν σοὶ περικύκλῳ σου, καὶ γνώσονται διότι ἐγώ εἰμι κύ-
24 ριος. [24] καὶ οὐκ ἔσονται οὐκέτι ἐν τῷ οἴκῳ τοῦ Ἰσραὴλ σκόλοψ πικρίας καὶ
ἄκανθα ὀδύνης ἀπὸ τῶν περικύκλῳ αὐτῶν τῶν ἀτιμασάντων αὐτούς, καὶ γνώ-
25 σονται ὅτι ἐγώ εἰμι κύριος. [25] τάδε λέγει κύριος κύριος Καὶ συνάξω τὸν
Ἰσραὴλ ἐκ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς
26 καὶ ἐνώπιον τῶν λαῶν καὶ τῶν ἐθνῶν. [26] καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς
αὐτῶν, ἣν δέδωκα τῷ δούλῳ μου Ἰακώβ, καὶ κατοικήσουσιν ἐπ' αὐτῆς ἐν ἐλ-
πίδι, καὶ οἰκοδομήσουσιν οἰκίας καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ κατοική-

---

6. κυρ. κυριος ο θεος ανθ ων εδωκας 10. εν πληθ. τραυματιζοντων σε θανατοις απεριτμητοις απολη ... ** om κυριος 12. λεγει κυριος Συ ει 13. παντα λιθον ... σαρδιον· τοπαζιον ... ανθρακαν 14. om εγενηθης ... εμμεσω 15. αμωμος συ ... εως ημερας ... σου εν σοι 16. επληθυνας τα ταμιεια ... εμμεσω λιθων 17. δια το πληθ. των ... εριψα 18. και αδικιων ... εβεβηλωσας ... εκ μεσω (sic) ... εις σποδον 19. στυγνασουσιν 20. ante hunc versum add minio scriptum επι σιδωνα 22. κυριος erasum est 23. και εξαποστελω επι σεαυτην θανατον και αιμα· και θανατος εν τ. π. σ. εσται ... εν μαχαιραις ... γνωση οτι 24. και ουκετι εσονται τω οικω ισρ. σχολοψ ... κυκλω ... κυρ. ο θεος αυτων 25. κυρ. κυρ. ο θεος ... εκ των χωρων ου ... εν αυτοις ενωπιον τ. λαων των 26. ης εδωκα ... φυτευσωσιν

Digitized by Google

σουσιν ἐν ἐλπίδι, ὅταν ποιήσω κρίμα ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐτοὺς ἐν τοῖς κύκλῳ αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν καὶ ὁ θεὸς τῶν πατέρων αὐτῶν.

## XXIX.

Ἐν τῷ ἔτει τῷ δωδεκάτῳ ἐν τῷ δεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς ἐγένετο
λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ 2
Φαραὼ βασιλέα Αἰγύπτου, καὶ προφήτευσον ἐπ' αὐτὸν καὶ ἐπ' Αἴγυπτον ὅλην
[3] καὶ εἰπόν Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ Φαραώ, τὸν δράκοντα τὸν μέγαν 3
τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν αὐτοῦ, τὸν λέγοντα Ἐμοί εἰσιν οἱ ποτα-
μοί, καὶ ἐγὼ ἐποίησα αὐτούς. [4] καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας 4
σου, καὶ προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ σου πρὸς τὰς πτέρυγάς σου,
καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου, [5] καὶ καταβαλῶ σε ἐν τάχει καὶ 5
πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου· ἐπὶ πρόσωπον τοῦ πεδίου πέσῃ, καὶ
οὐ μὴ συναχθῇς καὶ οὐ μὴ περισταλῇς, τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πε-
τεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα, [6] καὶ γνώσονται πάντες οἱ 6
κατοικοῦντες Αἴγυπτον ὅτι ἐγώ εἰμι κύριος. ἀνθ' ὧν ἐγενήθης ῥάβδος καλα-
μίνη τῷ οἴκῳ Ἰσραήλ, [7] ὅτε ἐπελάβετό σου τῇ χειρὶ αὐτῶν, ἐθλάσθης· καὶ 7
ὅτε ἐπεκρότησεν ἐπ' αὐτοὺς πᾶσα χείρ, καὶ ὅτε ἐπανεπαύσαντο ἐπὶ σέ, συνε-
τρίβης, καὶ συνέκλασας αὐτῶν πᾶσαν ὀσφύν. [8] διὰ τοῦτο τάδε λέγει κύριος 8
Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ῥομφαίαν, καὶ ἀπολῶ ἀπὸ σοῦ ἀνθρώπους καὶ κτήνη,
[9] καὶ ἔσται ἡ γῆ Αἰγύπτου ἀπώλεια καὶ ἔρημος, καὶ γνώσονται ὅτι ἐγώ εἰμι 9
κύριος. ἀντὶ τοῦ λέγειν σε Οἱ ποταμοὶ ἐμοί εἰσι, καὶ ἐγὼ ἐποίησα αὐτούς,
[10] διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου, καὶ δώσω γῆν 10
Αἰγύπτου εἰς ἔρημον καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ Μαγδώλου καὶ Συήνης
καὶ ἕως ὁρίων Αἰθιόπων. [11] οὐ μὴ διέλθῃ ἐν αὐτῇ πούς ἀνθρώπου, καὶ πούς 11
κτήνους οὐ μὴ διέλθῃ αὐτήν, καὶ οὐ κατοικηθήσεται τεσσαράκοντα ἔτη.
[12] καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμένης, καὶ αἱ 12
πόλεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται τεσσαράκοντα ἔτη. καὶ
διασπερῶ Αἴγυπτον ἐν τοῖς ἔθνεσι, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας.
[13] τάδε λέγει κύριος Μετὰ τεσσαράκοντα ἔτη συνάξω Αἰγυπτίους ἀπὸ τῶν 13
ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ, [14] καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν τῶν 14
Αἰγυπτίων, καὶ κατοικίσω αὐτοὺς ἐν γῇ Φαθωρῆς, ἐν τῇ γῇ ὅθεν ἐλήφθη-
σαν· καὶ ἔσται ἀρχὴ ταπεινὴ [15] παρὰ πάσας τὰς ἀρχάς, οὐ μὴ ὑψωθῇ ἔτι 15
ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω τοῦ μὴ εἶναι αὐτοὺς πλείονας
ἐν τοῖς ἔθνεσι. [16] καὶ οὐκέτι ἔσονται τῷ οἴκῳ Ἰσραὴλ εἰς ἐλπίδα ἀναμιμνή- 16
σκουσαν ἀνομίαν ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς ὀπίσω αὐτῶν, καὶ γνώσονται
ὅτι ἐγώ εἰμι κύριος. [17] καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει μιᾷ τοῦ 17
μηνὸς τοῦ πρώτου ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [18] Υἱὲ ἀνθρώπου, 18

---

**XXIX.** Minio inscribitur (**ut videtur) φαραω βασιλευς αιγυπτου 1. τω δεκατω εν τω ενδεκατω 3. και λαλησον και ειπον ... κυρ. ο θεος ... επι σε φαραω βασιλευ αιγυπτου ... εμμεσω 4. om εγω ... τας παγιδας ... inter ποταμου et σου repetit και παντας τους ιχθυας του ποταμου 5. ουδ ου μη περισταλης ... του αγρου pro της γης ... εις βρωσιν 7. επελαβοντο ... επεκρατησεν 8. κυρ. ο θεος ... ανθρωπον κ. κτηνος 9. πασα η γη ... σε οτι οι 10. την γην ... om και ρομφαιαν ... σοηνης ... αιθιοπιας 11. εν αυτη ανθρωπος και κτηνος· ουδε κατοικ. τεσσεραχ. 12. εις απωλειαν εμμεσω της ερημου ... πολ. αυτων εμμεσω ... αφανισμος εσται pro τεσσαρ. ετη 13. οτι ταδε λ. κυρ. κυριος ... τεσσερακοντα ... τους αιγυπτιους 14. αιχμαλ. αιγυπτου κ. κατοικιω ... παθουρης ... ελημφθησαν 16. αναμιμνησκουσα αμαρτιαν ... αυτους ακολουθησαι οπ. των καρδιων αυτων ... κυρ. ο θεος



Digitized by Google

Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο τὴν δύναμιν αὐτοῦ δου-
λείᾳ μεγάλῃ ἐπὶ Τύρου· πᾶσα κεφαλὴ φαλακρά, καὶ πᾶς ὦμος μαδῶν· καὶ
μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ ἐπὶ Τύρον, καὶ τῆς δου-
19 λείας ἧς ἐδούλευσαν ἐπ' αὐτήν. [19] τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ δί-
δωμι τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος γῆν Αἰγύπτου, καὶ προνομεύσει
τὴν προνομὴν αὐτῆς καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. καὶ ἔσται μισθὸς τῇ
20 δυνάμει αὐτοῦ, [20] ἀντὶ τῆς λειτουργείας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ Τύρον δέ-
21 δωκα αὐτῷ γῆν Αἰγύπτου. τάδε λέγει κύριος κύριος [21] Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἀνατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ἰσραήλ, καὶ σοὶ δώσω στόμα ἀνεῳγμένον ἐν
μέσῳ αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.

## XXX.

2 Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2] Υἱὲ ἀνθρώπου, προφήτευσον
3 καὶ εἰπόν Τάδε λέγει κύριος Ὦ ὢ ἡμέρα, [3] ὅτι ἐγγὺς ἡμέρα τοῦ κυρίου,
4 ἡμέρα νεφέλης, πέρας ἐθνῶν ἔσται, [4] καὶ ἥξει μάχαιρα ἐπ' Αἰγυπτίους, καὶ
ἔσται ταραχὴ ἐν γῇ Αἰθιοπίᾳ, καὶ συμπεσοῦνται τετραυματισμένοι ἐν Αἰγύπτῳ
5 καὶ συμπεσεῖται τὰ θεμέλια αὐτῆς. [5] Πέρσαι καὶ Κρῆτες καὶ Λυδοὶ καὶ
Λίβυες καὶ πάντες οἱ ἐπίμικτοι καὶ τῶν υἱῶν τῆς διαθήκης μου μαχαίρᾳ
6 πεσοῦνται ἐν αὐτῇ. [6] καὶ πεσοῦνται τὰ ἀντιστηρίγματα Αἰγύπτου, καὶ κατα-
βήσεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς ἀπὸ Μαγδώλου ἕως Συήνης, μαχαίρᾳ
7 πεσοῦνται ἐν αὐτῇ, λέγει κύριος. [7] καὶ ἐρημωθήσεται ἐν μέσῳ χωρῶν ἠρη-
8 μωμένων, καὶ αἱ πόλεις αὐτῶν ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται. [8] καὶ
γνώσονται ὅτι ἐγώ εἰμι κύριος, ὅταν δῶ πῦρ ἐπ' Αἴγυπτον καὶ συντριβῶσι
9 πάντες οἱ βοηθοῦντες αὐτῇ. [9] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσονται ἄγγελοι σπεύ-
δοντες ἀφανίσαι τὴν Αἰθιοπίαν, καὶ ἔσται ταραχὴ ἐν αὐτοῖς ἐν τῇ ἡμέρᾳ
10 Αἰγύπτου, ὅτι ἰδοὺ ἥκει. [10] τάδε λέγει κύριος κύριος Καὶ ἀπολῶ πλῆθος Αἰ-
11 γυπτίων διὰ χειρὸς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, [11] αὐτοῦ καὶ τοῦ
λαοῦ αὐτοῦ, λοιμοὶ ἀπὸ ἐθνῶν ἀπεσταλμένοι ἀπολέσαι γῆν· καὶ ἐκκενώσουσι
πάντες τὰς μαχαίρας αὐτῶν ἐπ' Αἴγυπτον, καὶ πλησθήσεται ἡ γῆ τραυμα-
12 τιῶν. [12] καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους καὶ ἀπολῶ τὴν γῆν, καὶ
13 τὸ πλήρωμα αὐτῆς ἐν χερσὶν ἀλλοτρίων, ἐγὼ κύριος λελάληκα. [13] ὅτι τάδε
λέγει κύριος κύριος Καὶ ἀπολῶ μεγιστᾶνας ἀπὸ Μέμφεως καὶ ἄρχοντας
14 Μέμφεως ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ ἔσονται ἔτι. [14] καὶ ἀπολῶ γῆν Φαθω-
15 ρῆς, καὶ δώσω πῦρ ἐπὶ Τάνιν, καὶ ποιήσω ἐκδίκησιν ἐν Διοσπόλει. [15] καὶ
ἐκχεῶ τὸν θυμόν μου ἐπὶ Σαΐν τὴν ἰσχὺν Αἰγύπτου, καὶ ἀπολῶ τὸ πλῆθος
16 Μέμφεως. [16] καὶ δώσω πῦρ ἐπ' Αἴγυπτον, καὶ ταραχῇ ταραχθήσεται ἡ
17 Συήνη, καὶ ἐν Διοσπόλει ἔσται ἔκρηγμα καὶ διαχυθήσεται ὕδατα. [17] νεανίσκοι

---

18. **επι τυρον ... φαλακρωμα ... δουλειας ης εδουλωσεν αυτην 19. δια τουτο ταδε λ. αδωναΐ κυρ. Ιδου διδωμι ... post αιγυπτου add και λημψεται το πληθος αυτης 20. α. τ. δουλειας ης ... post αιγυπτου add οσα εποιησαν μοι ... αδωναι κυριος [21] Εν 21. δωσω σοι ... εμμεσω XXX. 2. η ημερα 3. η ημερα ... καιρος περας 4. η μαχ. επ αιγυπτον ... εν τη αιθιοπ. κ. πεσουνται ... post αιγυπτω add και λημψονται το πληθος αυτης 5. επιμικτ. επ αυτην και απο των ... εν αυτη μαχ. πεσ. 6. σουηνης 7. εμμεσω χωρων ηφανισμενων ... εμμεσω 8. γνωσονται παντες ... συντριβησονται 9. εν αιγυπτω pro εν αυτη 10. αδωναΐ κυρ. Και 11. απεσταλμ. αφανισαι αυτην ... τραυματιων η γη 12. post ερημους add και αποδωσομαι την γην εν χειρι πονηρων ... τ. γην αυτων συν τω πληρωματι ... ελαλησα 13. αδωναΐ κυριος Και α. βδελυγματα και καταπαυσω μεγ. ... αρχοντ. τανεως εκ ... ουκ εσ. ουκετι· και δωσω φοβον εν γη αιγυπτω 14. κ. αφανιω γ. παθουρης 15. τανιν pro σαΐν ... om το 16. κ. απολειται συηνη

Digitized by Google

Ἡλιουπόλεως καὶ Βουβάστου ἐν μαχαίρᾳ πεσοῦνται, καὶ αἱ γυναῖκες ἐν αἰχμα-
λωσίᾳ πορεύσονται, 18 καὶ ἐν Τάφναις συσκοτάσει ἡ ἡμέρα, ἐν τῷ συντρῖψαι 18
με ἐκεῖ τὰ σκῆπτρα Αἰγύπτου, καὶ ἀπολεῖται ἐκεῖ ἡ ὕβρις ἰσχύος αὐτῆς, καὶ
ταύτην νεφέλη καλύψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀρθήσονται.
19 καὶ ποιήσω κρίμα ἐν Αἰγύπτῳ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. 20 καὶ 19 20
ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ πρώτῳ μηνὶ ἑβδόμῃ τοῦ μηνὸς ἐγένετο
λόγος κυρίου πρὸς μὲ λέγων 21 Υἱὲ ἀνθρώπου, τοὺς βραχίονας Φαραὼ βασι- 21
λέως Αἰγύπτου συνέτριψα, καὶ ἰδοὺ οὐ κατεδεήθη τοῦ δοθῆναι ἴασιν, τοῦ
δοθῆναι ἐπ' αὐτὸν μάλαγμα, τοῦ δοθῆναι ἰσχὺν ἐπιλαβέσθαι μαχαίρας. 22 διὰ 22
τοῦτο τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ
συντρίψω τοὺς βραχίονας αὐτοῦ τοὺς ἰσχυροὺς καὶ τοὺς τεταμένους, καὶ
καταβαλῶ τὴν μάχαιραν αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ, 23 καὶ διασπερῶ Αἴ- 23
γυπτον εἰς τὰ ἔθνη καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας, 24 καὶ κατισχύσω 24
τοὺς βραχίονας βασιλέως Βαβυλῶνος καὶ δώσω τὴν ῥομφαίαν μου εἰς τὴν
χεῖρα αὐτοῦ, καὶ ἐπάξει αὐτὴν ἐπ' Αἴγυπτον καὶ προνομεύσει τὴν προνο-
μὴν αὐτῆς καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. 25 καὶ ἐνισχύσω τοὺς βραχίονας 25
βασιλέως Βαβυλῶνος, οἱ δὲ βραχίονες Φαραὼ πεσοῦνται· καὶ γνώσονται ὅτι
ἐγώ εἰμι κύριος, ἐν τῷ δοῦναι τὴν ῥομφαίαν μου εἰς χεῖρας βασιλέως Βα-
βυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν Αἰγύπτου. 26 καὶ διασπερῶ Αἴγυπτον εἰς 26
τὰ ἔθνη καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας, καὶ γνώσονται πάντες ὅτι ἐγώ
εἰμι κύριος.

## XXXI.

Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ τρίτῳ μηνὶ μιᾷ τοῦ μηνὸς
ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, εἰπὸν πρὸς Φαραὼ 2
βασιλέα Αἰγύπτου καὶ τῷ πλήθει αὐτοῦ Τίνι ὡμοίωσας σεαυτὸν ἐν τῷ ὕψει
σου; 3 ἰδοὺ Ἀσσοὺρ κυπάρισσος ἐν τῷ Λιβάνῳ καὶ καλὸς ταῖς παραφυάσι 3
καὶ ὑψηλὸς τῷ μεγέθει, εἰς μέσον νεφελῶν ἐγένετο ἡ ἀρχὴ αὐτοῦ, 4 ὕδωρ 4
ἐξέθρεψεν αὐτόν, ἡ ἄβυσσος ὕψωσεν αὐτόν, τοὺς ποταμοὺς αὐτῆς ἤγαγε
κύκλῳ τῶν φυτῶν αὐτοῦ, καὶ τὰ συστέματα αὐτῆς ἐξαπέστειλεν εἰς πάντα
τὰ ξύλα τοῦ πεδίου. 5 ἕνεκεν τούτου ὑψώθη τὸ μέγεθος αὐτοῦ παρὰ πάντα 5
τὰ ξύλα τοῦ πεδίου, καὶ ἐπλατύνθησαν οἱ κλάδοι αὐτοῦ ἀφ' ὕδατος πολλοῦ.
6 ἐν ταῖς παραφυάσιν αὐτοῦ ἐνόσσευσαν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ 6
ὑποκάτω τῶν κλάδων αὐτοῦ ἐγεννῶσαν πάντα τὰ θηρία τοῦ πεδίου, ἐν τῇ
σκιᾷ αὐτοῦ κατῴκησε πᾶν πλῆθος ἐθνῶν. 7 καὶ ἐγένετο καλὸς ἐν τῷ ὕψει 7
αὐτοῦ διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ, ὅτι ἐγενήθησαν αἱ ῥίζαι αὐτοῦ εἰς
ὕδωρ πολύ. 8 καὶ κυπάρισσοι τοιαῦται ἐν τῷ παραδείσῳ τοῦ θεοῦ, καὶ αἱ 8
πίτυες οὐχ ὅμοιαι ταῖς παραφυάσιν αὐτοῦ, καὶ ἐλάται οὐχ ἐγένοντο ὅμοιαι
τοῖς κλάδοις αὐτοῦ· πᾶν ξύλον ἐν τῷ παραδείσῳ τοῦ θεοῦ οὐχ ὡμοιώθη
αὐτῷ ἐν τῷ κάλλει αὐτοῦ 9 διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ, καὶ ἐζήλω- 9

---

17. om εν prius ... αι πολεις αιχμαλωτισθησονται pro αι γυν. ε. αιχμ. πορευσ. 18. εν ταφνας ... της ισχυος α. κ. αυτην ... αιχμ. αχθησονται 21. μου του δοθηναι ιασιν επ αυτον του δοθ. μαλαγμα 22. τ. τεταμενους και τους συντριβομενους 24. om και primum ... θησω pro δωσω ... τας χειρας 25. δουναι με 26. επιγνωσονται παντ. οι αιγυπτιοι XXXI. 3. post παραφυασιν add και πυκνος εν τη σκεπη ... και εις μεσον των νεφ. 4. post συστεμ. αυτης add ηγαγεν κυκλω των φυτων αυτου και 5. post κλαδοι αυτου add και υψωθησαν αι παραφυαδες αυτου ... εφ 6. ωσαν in εγεννωσαν rescriptum ... υπο την σκιαν αυτου 7. εγεννησαν αι 8. om και primum ... τοιαυτ. ουχ εγενηθησαν εν τω ... και πιτυες ... ομοιοι τ. κλαδοις ... ομοιωθη

Digitized by Google

10 σαν αὐτὸν τὰ ξύλα τοῦ παραδείσου τῆς τρυφῆς τοῦ θεοῦ. [10] διὰ τοῦτο τάδε
λέγει κύριος Ἀνθ' ὧν ἐγένου μέγας τῷ μεγέθει καὶ ἔδωκας τὴν ἀρχήν σου
11 εἰς μέσον νεφελῶν, καὶ εἶδον ἐν τῷ ὑψωθῆναι αὐτὸν [11] καὶ παρέδωκα αὐ-
12 τὸν εἰς χεῖρας ἄρχοντος ἐθνῶν, καὶ ἐποίησε τὴν ἀπώλειαν αὐτοῦ, [12] καὶ
ἐξωλόθρευσαν αὐτὸν ἀλλότριοι λοιμοὶ ἀπὸ ἐθνῶν καὶ κατέβαλον αὐτὸν ἐπὶ
τῶν ὀρέων· ἐν πάσαις ταῖς φάραγξιν ἔπεσαν οἱ κλάδοι αὐτοῦ, καὶ συνετρίβη
τὰ στελέχη αὐτοῦ ἐν παντὶ πεδίῳ τῆς γῆς, καὶ κατέβησαν ἀπὸ τῆς σκέπης
13 αὐτῶν πάντες οἱ λαοὶ τῶν ἐθνῶν καὶ ἠδάφισαν αὐτόν. [13] ἐπὶ τὴν πτῶσιν
αὐτοῦ ἀνεπαύσαντο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τὰ στελέχη αὐ-
14 τοῦ ἐγίνοντο πάντα τὰ θηρία τοῦ ἀγροῦ, [14] ὅπως μὴ ὑψωθῶσιν ἐν τῷ με-
γέθει αὐτῶν πάντα τὰ ξύλα τὰ ἐν τῷ ὕδατι· καὶ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν
εἰς μέσον νεφελῶν, καὶ οὐκ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν πρὸς αὐτά· πάντες
οἱ πίνοντες ὕδωρ, πάντες ἐδόθησαν εἰς θάνατον, εἰς γῆς βάθος, ἐν μέσῳ
15 υἱῶν ἀνθρώπων προσκαταβαινόντας εἰς βόθρον. [15] τάδε λέγει κύριος κύριος
Ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος, καὶ ἐπέστησα
τοὺς ποταμοὺς αὐτῆς καὶ ἐκώλυσα πλῆθος ὕδατος, καὶ ἐσκότασεν ἐπ' αὐ-
16 τὸν ὁ Λίβανος, πάντα τὰ ξύλα τοῦ πεδίου ἐπ' αὐτῷ ἐξελύθησαν. [16] ἀπὸ τῆς
φωνῆς τῆς πτώσεως αὐτοῦ ἐσείσθησαν τὰ ἔθνη, ὅτε κατεβίβαζον αὐτὸν εἰς
ᾅδου μετὰ τῶν καταβαινόντων εἰς λάκκον, καὶ παρεκάλουν αὐτὸν ἐν γῇ πάντα
τὰ ξύλα τῆς τρυφῆς καὶ τὰ ἐκλεκτὰ τοῦ Λιβάνου πάντα τὰ πίνοντα ὕδωρ.
17 [17] καὶ γὰρ αὐτοὶ κατέβησαν μετ' αὐτοῦ εἰς ᾅδου ἐν τοῖς τραυματίαις ἀπὸ
μαχαίρας, καὶ τὸ σπέρμα αὐτοῦ οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ ἐν
18 μέσῳ τῆς ζωῆς αὐτῶν ἀπώλοντο. [18] τίνι ὡμοιώθης; κατάβηθι καὶ καταβι-
βάσθητι μετὰ τῶν ξύλων τῆς τρυφῆς εἰς γῆς βάθος· ἐν μέσῳ ἀπεριτμήτων
κοιμηθήσῃ μετὰ τραυματιῶν μαχαίρας. οὕτως Φαραὼ καὶ τὸ πλῆθος τῆς
ἰσχύος αὐτοῦ, λέγει κύριος κύριος.

## XXXII.

Καὶ ἐγένετο ἐν τῷ δεκάτῳ ἔτει ἐν τῷ δεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς ἐγέ-
2 νετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, λάβε θρῆνον ἐπὶ Φαραὼ
βασιλέα Αἰγύπτου καὶ ἐρεῖς αὐτῷ Λέοντι ἐθνῶν ὡμοιώθης σὺ καὶ ὡς δρά-
κων ὁ ἐν τῇ θαλάσσῃ, καὶ ἐκεράτιζες τοῖς ποταμοῖς σου, καὶ ἐτάρασσες
3 ὕδωρ τοῖς ποσί σου καὶ κατεπάτεις τοὺς ποταμούς σου. [3] τάδε λέγει κύριος
Καὶ περιβαλῶ ἐπὶ σὲ δίκτυα λαῶν πολλῶν, καὶ ἀνάξω σε ἐν τῷ ἀγκίστρῳ
4 μου, [4] καὶ ἐκτενῶ σε ἐπὶ τὴν γῆν· πεδία πλησθήσεται, καὶ ἐπικαθιῶ ἐπὶ σὲ
πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐμπλήσω πάντα τὰ θηρία πάσης τῆς
5 γῆς· [5] καὶ δώσω τὰς σάρκας σου ἐπὶ τὰ ὄρη, καὶ ἐμπλήσω ἀπὸ τοῦ αἵματός
6 σου· [6] καὶ ποτισθήσεται ἡ γῆ ἀπὸ τῶν προχωρημάτων σου, ἀπὸ τοῦ πλή-
7 θους σου ἐπὶ τῶν ὀρέων, φάραγγας ἐμπλήσω ἀπὸ σοῦ. [7] καὶ κατακαλύψω ἐν

10. αδωναϊ κυριος ... των νεφελων 12. εξωλεθρευσαν ... επεσαν ... εδαφισαν 13. εγενοντο ... θηρια του rescripta 14. και ουκ εδωκαν ... αυτων προς αυτον ... υδωρ αλλα παντες ... εις γην βαθους εμμεσω 15. αδωναϊ κυριος Εν ... αδου· επεστησα επ αυτον την αβυσσον· και εκωλυσα τους ποτ. (sed -εστησα usq. πο- in rasura) αυτης και εκωλυσεν πλ. υδατος· και (και addidit**) επενθησεν αυτον ο λιβ.· και εξεστησαν επ αυτω παντα τα ... επ αυτω in rasura; antea plura 16. και εσεισθησαν εθνη απο τ. φ. τ. πτ. α. οτε ... εν γη κατω 17. μετα τραυματιων μαχαιρας ... παντες οι κατοικ. ... εμμεσω 18. ομοιωθης ... εις γην βαθους· εμμεσω ... παν το πλ. XXXII. 1. εν τω ενδεκατω ετ. εν τω δεκατω (*ενδεκ.? δωδεκ.?) 2. ο δρακων ο ... εκερ. τους ποταμους ... το υδωρ 3. αδωναϊ κυριος ... δικτυον μου (sed μ in rasura) και εν εκκλησια λαων πολλων και 4. πλησθησεται σου ... εμπλησω εκ σου 5. in f. add πασαν γην 6. χωρηματων σ. και απο

Digitized by Google

τῷ σβεσθῆναί σε οὐρανὸν καὶ συσκοτάσω τὰ ἄστρα αὐτοῦ, ἥλιον ἐν νεφέλῃ
καλύψω, καὶ σελήνη οὐ μὴ φάνῃ τὸ φῶς αὐτῆς. 8 πάντα τὰ φαίνοντα φῶς 8
ἐν τῷ οὐρανῷ συσκοτάσουσιν ἐπὶ σέ, καὶ δώσω σκότος ἐπὶ τὴν γῆν, λέγει
κύριος κύριος. 9 καὶ παροργιῶ καρδίαν λαῶν πολλῶν, ἡνίκα ἂν ἄγω αἰχμα- 9
λωσίαν σου εἰς τὰ ἔθνη, εἰς γῆν ἣν οὐκ ἔγνως. 10 καὶ στυγνάσουσιν ἐπὶ σὲ 10
ἔθνη πολλά, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐκστήσονται, ἐν τῷ πετᾶσθαι
τὴν ῥομφαίαν μου ἐπὶ πρόσωπα αὐτῶν, προςδεχόμενοι τὴν πτῶσιν αὐτῶν
ἀφ' ἡμέρας πτώσεώς σου. 11 ὅτι τάδε λέγει κύριος κύριος Ῥομφαία βασι- 11
λέως Βαβυλῶνος ἥξει σοι 12 ἐν μαχαίραις γιγάντων, καὶ καταβαλῶ τὴν ἰσχύν 12
σου, λοιμοὶ ἀπὸ ἐθνῶν πάντες καὶ ἀπολοῦσι τὴν ὕβριν Αἰγύπτου, καὶ συν-
τριβήσεται πᾶσα ἡ ἰσχὺς αὐτῆς. 13 καὶ ἀπολῶ πάντα τὰ κτήνη αὐτῆς ἀφ' 13
ὕδατος πολλοῦ, καὶ οὐ μὴ ταράξῃ αὐτὸ ποὺς ἀνθρώπου ἔτι, καὶ ἴχνος κτη-
νῶν οὐ μὴ καταπατήσῃ αὐτό. 14 οὕτως τότε ἡσυχάσει τὰ ὕδατα αὐτῶν, καὶ 14
οἱ ποταμοὶ αὐτῶν ὡς ἔλαιον πορεύσονται, λέγει κύριος. 15 ὅταν δῶ Αἴγυπτον 15
εἰς ἀπώλειαν καὶ ἐρημωθῇ ἡ γῆ σὺν τῇ πληρώσει αὐτῆς, ὅταν διασπερῶ
πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. 16 θρῆ- 16
νός ἐστι καὶ θρηνήσεις αὐτόν, καὶ αἱ θυγατέρες τῶν ἐθνῶν θρηνήσουσιν
αὐτὸν ἐπ' Αἴγυπτον, καὶ ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῆς θρηνήσουσιν αὐτήν,
λέγει κύριος κύριος. 17 καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνὸς 17
πεντεκαιδεκάτῃ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 18 Υἱὲ ἀν- 18
θρώπου, θρήνησον ἐπὶ τὴν ἰσχὺν Αἰγύπτου, καὶ καταβιβάσουσιν αὐτῆς τὰς
θυγατέρας τὰ ἔθνη νεκρὰς εἰς τὸ βάθος τῆς γῆς, πρὸς τοὺς καταβαίνοντας
εἰς βόθρον· 19 ἐν μέσῳ μαχαίρας τραυματιῶν πεσοῦνται μετ' αὐτοῦ, 20 καὶ 19 20
κοιμηθήσεται πᾶσα ἡ ἰσχὺς αὐτοῦ. 21 καὶ ἐροῦσί σοι οἱ γίγαντες Ἐν βάθει 21
βόθρου γίνου, τίνος κρείττων εἶ; καὶ κατάβηθι καὶ κοιμήθητι μετὰ ἀπεριτμή-
των ἐν μέσῳ τραυματιῶν μαχαίρας. 22 ἐκεῖ Ἀσσοὺρ καὶ πᾶσα ἡ συναγωγὴ 22
αὐτοῦ, πάντες τραυματίαι ἐκεῖ ἐδόθησαν, καὶ ἡ ταφὴ αὐτῶν ἐν βάθει βό-
θρου, καὶ ἐγενήθη ἡ συναγωγὴ αὐτοῦ περικύκλῳ τοῦ μνήματος αὐτοῦ, πάν-
τες οἱ τραυματίαι οἱ πεπτωκότες μαχαίρᾳ, 23 οἱ δόντες τὸν φόβον αὐτῶν ἐπὶ 23
γῆς ζωῆς. 24 ἐκεῖ Αἰλὰμ καὶ πᾶσα ἡ δύναμις αὐτοῦ περικύκλῳ τοῦ μνήμα- 24
τος αὐτοῦ, πάντες οἱ τραυματίαι οἱ πεπτωκότες μαχαίρᾳ καὶ οἱ καταβαί-
νοντες ἀπερίτμητοι εἰς γῆς βάθος, οἱ δεδωκότες αὐτῶν φόβον ἐπὶ γῆς ζωῆς·
καὶ ἐλάβοσαν τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων εἰς βόθρον 25 ἐν 25
μέσῳ τραυματιῶν. 26 ἐκεῖ ἐδόθησαν Μοσὸχ καὶ Θοβὲλ καὶ πᾶσα ἡ ἰσχὺς 26
αὐτοῦ περικύκλῳ τοῦ μνήματος αὐτοῦ, πάντες τραυματίαι αὐτοῦ, πάντες
ἀπερίτμητοι τραυματίαι ἀπὸ μαχαίρας, οἱ δεδωκότες τὸν φόβον αὐτῶν ἐπὶ
γῆς ζωῆς· 27 καὶ ἐκοιμήθησαν μετὰ τῶν γιγάντων τῶν πεπτωκότων ἀπ' αἰῶ- 27
νος, οἳ κατέβησαν εἰς ᾅδου ἐν ὅπλοις πολεμικοῖς καὶ ἔθηκαν τὰς μαχαίρας

7. τους αστερας του ουρανου ... η σεληνη ου δωσει το φαος αυτης 8. και παντα ... γην σου ... κυρ. κυρ. ο θεος 9. manus recens αγαγω; antea omissum erat ... εις την γην 10. om πολλα ... πετασθηναι ρομφαιαν ... προςωπον ... απο ημερας 11. αδωναϊ κυριος 13. ετι π. ανθρ. ... κτηνους 14. αδωναϊ κυριος 15. διασπειρω 16. θρηνησουσιν pro θρηνησεις 17. εγενετο ... ετει εν τω πρωτω μηνι 18. γην pro ισχυν 19. εξ υδατων ευπρεπους· καταβηθι· και κοιμηθητι μετα απεριτμητων· εμμεσω τραυματιων· μαχαιρα πεσ. μ. α. 21. ει καταβηθι ... εμμεσω 22. εδοθησαν· η ... συναγωγη αυτων ... ed. rom. αὐτοῦ. περικύκλῳ ... om οι 23. οι εδωκαν τας ταφας αυτης εν μηροις λακκου· και εγενηθη εκκλησια υπερκυκλω της ταφης αυτου· παντες αυτοι τραυματιαι πιπτοντες μαχαιρα οι δοντες τ. φ. α. ε. της ζ. 24. πεπτωκ. μαχαιραις ... εις γην βαθους ... τον φοβον αυτων επι της ζωης 25. εμμεσω ... ισχ. αυτων 26. om τραυματιαι απο ... επι της ζωης 27. γιγαντων πεπτωκοτες ... πολεμικοις αυτων· οι εθηκαν

Digitized by Google

αὐτῶν ὑπὸ τὰς κεφαλὰς αὐτῶν· καὶ ἐγενήθησαν αἱ ἀνομίαι αὐτῶν ἐπὶ τῶν
28 ὀστέων αὐτῶν, ὅτι ἐξεφόβησαν πάντας ἐν τῇ ζωῇ αὐτῶν. [28] καὶ σὺ ἐν μέσῳ
29 ἀπεριτμήτων κοιμηθήσῃ μετὰ τετραυματισμένων μαχαίρᾳ. [29] ἐκεῖ ἐδόθησαν
οἱ ἄρχοντες Ἀσσοὺρ οἱ δόντες τὴν ἰσχὺν αὐτοῦ εἰς τραῦμα μαχαίρας, οὗτοι
30 μετὰ τραυματιῶν ἐκοιμήθησαν, μετὰ καταβαινόντων εἰς βόθρον. [30] ἐκεῖ οἱ
ἄρχοντες τοῦ βοῤῥᾶ πάντες στρατηγοὶ Ἀσσούρ, οἱ καταβαίνοντες τραυματίαι,
σὺν τῷ φόβῳ αὐτῶν καὶ τῇ ἰσχύϊ αὐτῶν ἐκοιμήθησαν ἀπερίτμητοι μετὰ
τραυματιῶν μαχαίρας, καὶ ἀπήνεγκαν τὴν βάσανον αὐτῶν μετὰ τῶν κατα-
31 βαινόντων εἰς βόθρον. [31] ἐκείνους ὄψεται βασιλεὺς Φαραὼ καὶ παρακληθήσε-
32 ται ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῶν, λέγει κύριος κύριος· [32] ὅτι δέδωκα τὸν φόβον
αὐτοῦ ἐπὶ γῆς ζωῆς, καὶ κοιμηθήσεται ἐν μέσῳ ἀπεριτμήτων μετὰ τραυμα-
τιῶν μαχαίρας Φαραώ, καὶ πᾶν τὸ πλῆθος αὐτοῦ μετ᾽ αὐτοῦ, λέγει κύριος
κύριος.

## XXXIII.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, λάλησον τοῖς
υἱοῖς τοῦ λαοῦ σου καὶ ἐρεῖς πρὸς αὐτούς Γῆ ἐφ᾽ ἣν ἂν ἐπάγω ῥομφαίαν,
καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν καὶ δῶσιν αὐτὸν ἑαυτοῖς
3 εἰς σκοπόν, [3] καὶ ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν καὶ σαλπίσῃ τῇ
4 σάλπιγγι καὶ σημάνῃ τῷ λαῷ, [4] καὶ ἀκούσῃ ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλ-
πιγγος καὶ μὴ φυλάξηται, καὶ ἐπέλθῃ ἡ ῥομφαία καὶ καταλάβῃ αὐτόν, τὸ
5 αἷμα αὐτοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσται. [5] ὅτι τὴν φωνὴν τῆς σάλπιγγος
ἀκούσας οὐκ ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ᾽ αὐτοῦ ἔσται· καὶ οὗτος ὅτι
6 ἐφυλάξατο, τὴν ψυχὴν αὐτοῦ ἐξείλατο. [6] καὶ ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν
ἐρχομένην καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλ-
θοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν, αὕτη διὰ τὴν αὑτῆς ἀνομίαν ἐλήφθη,
7 καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. [7] καὶ σὺ υἱὲ ἀνθρώπου, σκο-
8 πὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον. [8] ἐν
τῷ εἰπεῖν με τῷ ἁμαρτωλῷ Θανάτῳ θανατωθήσῃ, καὶ μὴ λαλήσῃς τοῦ
φυλάξασθαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος τῇ ἀνομίᾳ
9 αὐτοῦ ἀποθανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. [9] σὺ δὲ
ἐὰν προαπαγγείλῃς τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐτοῦ ἀποστρέψαι ἀπ᾽ αὐτῆς, καὶ
μὴ ἀποστρέψῃ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, οὗτος τῇ ἀσεβείᾳ αὐτοῦ ἀποθανεῖται,
10 καὶ σὺ τὴν ψυχὴν σαυτοῦ ἐξῄρησαι. [10] καὶ σὺ υἱὲ ἀνθρώπου εἰπὸν τῷ οἴκῳ
Ἰσραήλ Οὕτως ἐλαλήσατε λέγοντες Αἱ πλάναι ἡμῶν καὶ αἱ ἀνομίαι ἡμῶν
11 ἐφ᾽ ἡμῖν εἰσί, καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα; [11] εἰπὸν
αὐτοῖς Ζῶ ἐγώ, τάδε λέγει κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς

---

27. οστων ... εξεφοβ. γιγαντας εν 28. συντριβηση και κοιμηθηση 29. εκει εδωμ και οι βασιλεις αυτης και παντες οι αρχοντες ασσυριοι οι δοντες τ. ισχ. αυτης εις τρ. μαχ. αυτοι εκοιμηθησαν μετα τραυμ. μαχαιρας· εκοιμηθ. μετα καταβ. ε. β. 30. εκ. παντες οι α. τ. β. παντες αυτοι παντες στρ. ... και εκοιμηθ. απ. μ. τετραυματισμενων μαχ. κ. ελαβον την 31. επι παση τη ισχυι α. τραυματιαι μαχαιρα φαραω και πασα η δυναμις αυτου λεγ. κυρ. ο θεος 32. φοβ. αυτων ε. της ζ. ... εμμεσω α. μ. τραυματιας ... om μετ αυτου ... κυρ. κυρ. ο θεος XXXIII. 2. επαγαγω κριμα αιματος ... εαυτοις σκοπον 3. σαλπισει 4. την φωνην ... και ελθουσα η ρομφ. καταβαλη ... επι την κεφαλην 5. εφυλ. την ψυχην αυτου· το αιμα α. επ αυτον 6. τω λαω τη σαλπιγγι ... εληµφθη ... αιμα αυτης εκ της 8. με τω ανομω ... και εαν μη λαλησης τους λογους του αποστηναι τον ανομον απο ... και το αιμα 9. του αποστρεψαι αυτον απ ... ουτος τη ανομια αυτου ... ψυχ. σου ερρυσω 10. εφ ημας 11. εγω, λεγει αδωναϊ (sed αδωναϊ add**) κυριος ... αμαρτωλου pro ασεβους

Digitized by Google

ὡς ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν. ἀποστροφῇ
ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;
[12] εἰπὸν πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου Δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται 12
αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ, καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ κακώσῃ αὐτὸν
ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· καὶ δίκαιος οὐ μὴ δύ-
νηται σωθῆναι. [13] ἐν τῷ εἰπεῖν με τῷ δικαίῳ Οὗτος πέποιθεν ἐπὶ τῇ δικαιο- 13
σύνῃ αὐτοῦ, καὶ ποιήσει ἀνομίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ οὐ μὴ ἀνα-
μνησθῶσιν, ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἐποίησεν, ἐν αὐτῇ ἀποθανεῖται. [14] καὶ ἐν 14
τῷ εἰπεῖν με τῷ ἀσεβεῖ Θανάτῳ θανατωθήσῃ, καὶ ἀποστρέψει ἀπὸ τῆς
ἁμαρτίας αὐτοῦ, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, [15] καὶ ἐνεχύρασμα ἀποδοῖ 15
καὶ ἁρπάγματα ἀποτίσει, ἐν προστάγμασι ζωῆς διαπορεύηται τοῦ μὴ ποιῆσαι
ἄδικον, ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ· [16] πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς 16
ἥμαρτεν οὐ μὴ ἀναμνησθῶσιν, ὅτι κρίμα καὶ δικαιοσύνην ἐποίησεν, ἐν αὐ-
ταῖς ζήσεται. [17] καὶ ἐροῦσιν οἱ υἱοὶ τοῦ λαοῦ σου Οὐκ εὐθεῖα ἡ ὁδὸς τοῦ 17
κυρίου. καὶ αὕτη ἡ ὁδὸς αὐτῶν οὐκ εὐθεῖα. [18] ἐν τῷ ἀποστρέψαι δίκαιον ἀπὸ 18
τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσει ἀνομίας, καὶ ἀποθανεῖται ἐν αὐταῖς. [19] καὶ 19
ἐν τῷ ἀποστρέψαι τὸν ἁμαρτωλὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ ποιήσει κρίμα
καὶ δικαιοσύνην, ἐν αὐτοῖς αὐτὸς ζήσεται. [20] καὶ τοῦτό ἐστιν ὃ εἴπατε Οὐκ 20
εὐθεῖα ἡ ὁδὸς κυρίου· ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ.
[21] καὶ ἐγενήθη ἐν τῷ δεκάτῳ ἔτει ἐν τῷ δωδεκάτῳ μηνί, πέμπτῃ τοῦ μηνὸς 21
τῆς αἰχμαλωσίας ἡμῶν, ἦλθε πρὸς μὲ ὁ ἀνασωθεὶς ἀπὸ Ἱερουσαλὴμ λέγων
Ἑάλω ἡ πόλις. [22] καὶ χεὶρ κυρίου ἐγενήθη ἐπ' ἐμὲ ἑσπέρας πρὶν ἐλθεῖν αὐ- 22
τόν, καὶ ἤνοιξέ μου τὸ στόμα ὡς ἦλθε πρὸς μὲ τὸ πρωΐ· καὶ ἀνοιχθὲν τὸ
στόμα μου οὐ συνεσχέθη ἔτι. [23] καὶ ἐγενήθη λόγος κυρίου πρὸς μὲ λέγων 23
[24] Υἱὲ ἀνθρώπου, οἱ κατοικοῦντες τὰς ἠρημωμένας ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ 24
λέγουσιν Εἷς ἦν Ἀβραὰμ καὶ κατέσχε τὴν γῆν, καὶ ἡμεῖς πλείους ἐσμέν,
ἡμῖν δέδοται ἡ γῆ εἰς κατάσχεσιν. [25] διὰ τοῦτο εἰπὸν αὐτοῖς [27] Τάδε λέγει 25 27
κύριος κύριος Ζῶ ἐγώ, εἰ μὴν οἱ ἐν ταῖς ἠρημωμέναις μαχαίραις πεσοῦνται,
καὶ οἱ ἐπὶ προσώπου τοῦ πεδίου τοῖς θηρίοις τοῦ ἀγροῦ δοθήσονται εἰς κα-
τάβρωμα, καὶ τοὺς ἐν ταῖς τετειχισμέναις καὶ τοὺς ἐν τοῖς σπηλαίοις θανάτῳ
ἀποκτενῶ. [28] καὶ δώσω τὴν γῆν ἔρημον, καὶ ἀπολεῖται ἡ ὕβρις τῆς ἰσχύος 28
αὐτῆς, καὶ ἐρημωθήσεται τὰ ὄρη τοῦ Ἰσραὴλ διὰ τὸ μὴ εἶναι διαπορευόμε-
νον. [29] καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος· καὶ ποιήσω τὴν γῆν αὐτῶν ἔρη- 29
μον, καὶ ἐρημωθήσεται διὰ πάντα τὰ βδελύγματα αὐτῶν ἃ ἐποίησαν. [30] καὶ 30
σὺ υἱὲ ἀνθρώπου, οἱ υἱοὶ τοῦ λαοῦ σου οἱ λαλοῦντες περὶ σοῦ παρὰ τὰ τείχη

---

11. ως το αποστρ. ... οδου αυτ. της πονηρας ... απο των οδων υμ. των πονηρων 12. και συ υιε ανθρωπου ειπον ... εξεληται ... ανομια ανομου ... δυνησεται σωθ. εν ημερα αμαρτιας αυτου 13. δικαιω Ζωη ζηση και ουτος ... και εαν ποιηση αδικιαν ... αυτου ας εποιησεν ου μη μνησθ. 14. αποστρεψη α. τ. ασεβειας α. κ. ποιηση 15. και ενεχυρον και αρπαγμα αποτισει ε. προσταγματι ... αποθανειται 16. ας εποιησεν ου μη μνησθωσιν ετι οτι ... εν αυτοις ζησ. 18. και ποιηση ανομιαν κ. α. εν αυτη 19. κ. ποιηση 20. εκαστον κατα τας οδους υμων ... ed. rom. κρινω ημας ... add in f. λεγει κυριος 21. εγενετο ... δωδεκατω ... ηλθεν ο ανασωθ. πρ. με απο ... *ut videtur om απο ιερουσ. 22. και εγενετο επ εμε χειρ κυρ. ε. π. ε. αυτ. προς με ... το στομ. μου εως ... μου το στ. ου συνεκλεισθη ετι 23. εγενετο 25. ειπε προς αυτους Ουτως ειπεν αδωναϊ κυριος· επι τω αιματι φαγεσθαι· και οφθαλμους υμων λημψεσθαι προς ιδωλα υμων· και αιμα εκχειται· και την γην κληρονομησεται [26] Εστητε επι τη ρομφαια υμων εποιησατε βδελυγμα· και ανηρ τον πλησιον αυτου εμιανατε· και την γην κληρονομησεται ουτως· 27. δια τουτο ειπον αυτοις Ταδε λεγει ... μαχαιρα 28. ερημωθησονται τα ορη ισρ. 30. και ελαλουν

Digitized by Google

καὶ ἐν ταῖς πυλῶσι τῶν οἰκιῶν, καὶ λαλοῦσιν ἄνθρωπος τῷ ἀδελφῷ αὐτοῦ
31 λέγοντες Συνέλθωμεν καὶ ἀκούσωμεν τὰ ἐκπορευόμενα παρὰ κυρίου. [31] ἔρχονται
πρὸς σὲ ὡς συμπορεύεται λαός, καὶ κάθηνται ἐναντίον σου καὶ ἀκούουσι τὰ
ῥήματά σου, καὶ αὐτὰ οὐ μὴ ποιήσουσιν, ὅτι ψεῦδος ἐν τῷ στόματι αὐτῶν
32 καὶ ὀπίσω τῶν μιασμάτων ἡ καρδία αὐτῶν. [32] καὶ γίνῃ αὐτοῖς ὡς φωνὴ
ψαλτηρίου ἡδυφώνου εὐαρμόστου, καὶ ἀκούσονταί σου τὰ ῥήματα καὶ οὐ μὴ
33 ποιήσουσιν αὐτά. [33] καὶ ἡνίκα ἐὰν ἔλθῃ, ἐροῦσιν Ἰδοὺ ἥκει, καὶ γνώσονται
ὅτι προφήτης ἦν ἐν μέσῳ αὐτῶν.

## XXXIV.

2 Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, προφήτευσον
ἐπὶ τοὺς ποιμένας τοῦ Ἰσραήλ, προφήτευσον καὶ εἰπὸν τοῖς ποιμέσι Τάδε
λέγει κύριος κύριος Ὦ ποιμένες Ἰσραήλ, μὴ βόσκουσιν ποιμένες ἑαυτούς; οὐ
3 τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; [3] ἰδοὺ τὸ γάλα κατέσθετε καὶ τὰ ἔρια
4 περιβάλλεσθε καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε. [4] τὸ
ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε καὶ τὸ
συντετριμμένον οὐ κατεδήσατε, καὶ τὸ πλανώμενον οὐκ ἀπεστρέψατε, καὶ τὸ
5 ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ. [5] καὶ διε-
σπάρη τὰ πρόβατά μου διὰ τὸ μὴ εἶναι ποιμένας, καὶ ἐγενήθη εἰς κατά-
6 βρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. [6] καὶ διεσπάρη τὰ πρόβατά μου ἐν παντὶ
ὄρει καὶ ἐπὶ πᾶν βουνὸν ὑψηλόν, καὶ ἐπὶ προσώπου τῆς γῆς διεσπάρη καὶ
7 οὐκ ἦν ὁ ἐκζητῶν οὐδὲ ὁ ἀποστρέφων. [7] διὰ τοῦτο ποιμένες ἀκούσατε λόγον
8 κυρίου [8] Ζῶ ἐγώ, λέγει κύριος κύριος, εἰ μὴν ἀντὶ τοῦ γενέσθαι τὰ πρόβατά
μου εἰς προνομήν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς κατάβρωμα πᾶσι τοῖς
θηρίοις τοῦ πεδίου παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ οὐκ ἐξεζήτησαν οἱ ποι-
μένες τὰ πρόβατά μου, καὶ ἐβόσκησαν οἱ ποιμένες ἑαυτοὺς τὰ δὲ πρόβατά
9 10 μου οὐκ ἐβόσκησαν· [9] ἀντὶ τούτου, ποιμένες, [10] τάδε λέγει κύριος κύριος Ἰδοὺ
ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐ-
τῶν, καὶ ἀποστρέψω αὐτοὺς τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ
βοσκήσουσιν ἔτι οἱ ποιμένες αὐτά· καὶ ἐξελοῦμαι τὰ πρόβατά μου ἐκ τοῦ
11 στόματος αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς ἔτι εἰς κατάβρωμα. [11] διότι τάδε
λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου καὶ ἐπισκέψομαι
12 αὐτά. [12] ὥςπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ ἐν ἡμέρᾳ ὅταν ᾖ γνόφος
καὶ νεφέλη ἐν μέσῳ προβάτων διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρό-
βατά μου καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου οὗ διεσπάρησαν ἐκεῖ ἐν
13 ἡμέρᾳ νεφέλης καὶ γνόφου. [13] καὶ ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ συνάξω
αὐτοὺς ἀπὸ τῶν χωρῶν, καὶ εἰςάξω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν, καὶ βοσκήσω
αὐτοὺς ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ ἐν ταῖς φάραγξι καὶ ἐν πάσῃ κατοικίᾳ τῆς
14 γῆς· [14] ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτούς, ἐν τῷ ὄρει τῷ ὑψηλῷ Ἰσραήλ.

---

30. ακουσομεν 31. και ερχονται ... εναντ. σου ο λαος μου· και ακουωσιν ... ποιησωσειν ... μιασμ. αυτων η καρδ. εστιν 32. κ. ακουοντες τα ρ. σ. ου μη 33. και εσται ηνικα ... εμμεσω XXXIV. 2. ειπον αυτοις Ταδε ... μη οι ποιμαινες βοσκουσιν εαυτ. ουχι 3. κατεσθιετε ... εσφαζεται ... ουκ εβοσκεται 4. το ησθενηκως ... το κακ. εχων ... επεστρεψαται 5. διεσπαρησαν ... εγενηθησαν ... in f. add και τοις πετεινοις του ουρανου 6. διεσπαρησαν ... επι παντα β. υψ. κ. ε. παντι προσωπω πασης της γ. 8. τα προβατα μου ... ζητων 8. θηρ. του αγρου ... εξεζ. τα πρ. μου οι ποιμ. 9. in f. add ακουσατε λογον κυριου 10. αδωναϊ κυριος Ιδου ... και ου μη βοσχησ. ... ουκ ετι εσοντ. αυτοις 11. κυρ. κυρ. ο θεος 12. ως επισκεπτετε ο π. ... εν ημερα γνοφου και νεφελης εμμεσω προβ. αυτου ... συναξω pro απελασω 13. εκ των χωρων 14. om εν ... post υψηλω add εν τω ορει

Digitized by Google

καὶ ἔσονται αἱ μάνδραι αὐτῶν ἐκεῖ καὶ κοιμηθήσονται, καὶ ἐκεῖ ἀναπαύ-
σονται ἐν τρυφῇ ἀγαθῇ, καὶ ἐν νομῇ πίονι βοσκηθήσονται ἐπὶ τῶν ὀρέων
Ἰσραήλ. 15 ἐγὼ βοσκήσω τὰ πρόβατά μου καὶ ἐγὼ ἀναπαύσω αὐτά, καὶ γνώ- 15
σονται ὅτι ἐγώ εἰμι κύριος. τάδε λέγει κύριος κύριος 16 Τὸ ἀπολωλὸς ζητήσω, 16
καὶ τὸ πλανώμενον ἀποστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ
ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὰ μετὰ κρίμα-
τος. 17 καὶ ὑμεῖς πρόβατα, τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ διακρινῶ ἀνὰ 17
μέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων. 18 καὶ οὐχ ἱκανὸν ὑμῖν 18
ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς ὑμῶν κατε-
πατεῖτε τοῖς ποσὶν ὑμῶν; καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ λοιπὸν
τοῖς ποσὶν ὑμῶν ἐταράσσετε; 19 καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν 19
ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπι-
νον; 20 διὰ τοῦτο τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ διακρινῶ ἀνὰ μέσον 20
προβάτου ἰσχυροῦ καὶ ἀνὰ μέσον προβάτου ἀσθενοῦς. 21 ἐπὶ ταῖς πλευραῖς 21
καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε, καὶ πᾶν
τὸ ἐκλεῖπον ἐξεθλίβετε. 22 καὶ σώσω τὰ πρόβατά μου, καὶ οὐ μὴ ὦσιν ἔτι 22
εἰς προνομήν, καὶ κρινῶ ἀνὰ μέσον κριοῦ πρὸς κριόν. 23 καὶ ἀναστήσω ἐπ᾿ 23
αὐτοὺς ποιμένα ἕνα καὶ ποιμανεῖ αὐτούς, τὸν δοῦλόν μου Δαυίδ, καὶ ἔσται
αὐτῶν ποιμήν, 24 καὶ ἐγὼ κύριος ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ Δαυὶδ ἄρχων 24
ἐν μέσῳ αὐτῶν· ἐγὼ κύριος ἐλάλησα. 25 καὶ διαθήσομαι τῷ Δαυὶδ διαθήκην 25
εἰρήνης, καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς, καὶ κατοικήσουσιν ἐν τῇ
ἐρήμῳ καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς. 26 καὶ δώσω αὐτοὺς περικύκλῳ τοῦ 26
ὄρους μου· καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας. 27 καὶ τὰ ξύλα τὰ ἐν 27
τῷ πεδίῳ δώσει τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ δώσει τὴν ἰσχὺν αὐτῆς, καὶ
κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἐν ἐλπίδι εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ
εἰμι κύριος, ἐν τῷ συντρῖψαι με τὸν ζυγὸν αὐτῶν· καὶ ἐξελοῦμαι αὐτοὺς ἐκ
χειρὸς τῶν καταδουλωσαμένων αὐτούς, 28 καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ 28
τοῖς ἔθνεσι, καὶ τὰ θηρία τῆς γῆς οὐκέτι μὴ φάγωσιν αὐτούς· καὶ κατοι-
κήσουσιν ἐν ἐλπίδι, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. 29 καὶ ἀναστήσω αὐ- 29
τοῖς φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι λιμῷ ἐπὶ τῆς γῆς, καὶ
ὀνειδισμὸν ἐθνῶν οὐ μὴ ἐνέγκωσιν ἔτι. 30 καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος 30
ὁ θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου. οἶκος Ἰσραήλ, λέγει κύριος κύριος, 31 πρό- 31
βατά μου καὶ πρόβατα ποιμνίου μού ἐστε, καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν,
λέγει κύριος κύριος.

## XXXV.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, ἐπίστρεψον 2
τὸ πρόσωπόν σου ἐπ᾿ ὄρος Σηειρ καὶ προφήτευσον εἰς αὐτό, 3 καὶ εἰπὸν αὐτῷ 3
Τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, ὄρος Σηειρ, καὶ ἐκτενῶ τὴν
χεῖρά μου ἐπὶ σὲ καὶ δώσω σε εἰς ἔρημον, καὶ ἐρημωθήσῃ, 4 καὶ ταῖς πό- 4
λεσί σου ἐρημίαν ποιήσω, καὶ σὺ ἔρημος ἔσῃ, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύ-

---

14. και εν νομη πιονι usque εγω ειμι κυρ. rescripta; antea pauciora ... ** ορεων του ισρ. 15. ** επιγνωσονται διοτι 16. εκζητησω ... πεπλανημενον επιστρεψω 17. τα προβατα ... κρειου και τραγου 18. της νομης τοις πο. υμ. κατεπ. 20. κυρ. κυρ. ο θεος 22. και ουκετι εσονται ετι εις 23. αναστ. αυτοις ποιμενα ετερον 24. εμμεσω 25. απολω pro αφανιω 26. κ. εσονται κυκλω τ. ο. μου· κ. αποστελω υετον ευλογ. αυτοις 27. ξυλ. του παιδιου αποδωσει τ. κ. αυτοις ... τον καρπον pro την ισχυν ... τον ζυγ. του κλοιου αυτων· εξελουμαι 28. ουκετι εσοντ. εν ... ουκετι μη πτοησει αυτους 30. του ισραηλ 31. και υμεις προβατα ... του ποιμνιου XXXV. 2. επι το ορος ... επ αυτο 3. om κυρ. alterum ... σε ερημον 4. και εν ταις

Digitized by Google

5 ριος, [5] ἀντὶ τοῦ γενέσθαι σε ἐχθρὰν αἰωνίαν, καὶ ἐνεκάθισας τῷ οἴκῳ Ἰσραὴλ
6 δόλῳ ἐν χειρὶ ἐχθρῶν μαχαίρᾳ ἐν καιρῷ ἀδικίας ἐπ' ἐσχάτων. [6] διὰ τοῦτο,
ζῶ ἐγώ, λέγει κύριος κύριος, εἰ μὴν εἰς αἷμα ἥμαρτες, καὶ αἷμα διώξεταί
7 σε. [7] καὶ δώσω ὄρος Σηεὶρ εἰς ἔρημον καὶ ἠρημωμένον, καὶ ἀπολῶ ἀπ' αὐ-
8 τοῦ ἀνθρώπους καὶ κτήνη, [8] καὶ ἐμπλήσω τῶν τραυματιῶν βουνούς σου καὶ
τὰς φάραγγάς σου, καὶ ἐν πᾶσι τοῖς πεδίοις σου τετραυματισμένοι μαχαίρᾳ
9 πεσοῦνται ἐν σοί. [9] ἐρημίαν αἰώνιον θήσομαί σε, καὶ αἱ πόλεις σου οὐ μὴ
10 κατοικηθῶσιν ἔτι, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος, [10] διὰ τὸ εἰπεῖν σε Τὰ
δύο ἔθνη καὶ αἱ δύο χῶραι ἐμαὶ ἔσονται, καὶ κληρονομήσω αὐτάς, καὶ κύριος
11 ἐκεῖ ἐστί. [11] διὰ τοῦτο, ζῶ ἐγώ, λέγει κύριος, καὶ ποιήσω σοι κατὰ τὴν
12 ἔχθραν σου, καὶ γνωσθήσομαί σοι ἡνίκα ἂν κρινῶ σε, [12] καὶ γνώσῃ ὅτι ἐγώ
εἰμι κύριος. ἤκουσα τῆς φωνῆς τῶν βλασφημιῶν σου, ὅτι εἶπας Τὰ ὄρη
13 Ἰσραὴλ ἔρημα ἡμῖν δέδοται εἰς κατάβρωμα, [13] καὶ ἐμεγαλοῤῥημόνησας ἐπ'
14 ἐμὲ τῷ στόματί σου, ἐγὼ ἤκουσα. [14] τάδε λέγει κύριος Ἐν τῇ εὐφροσύνῃ
15 πάσης τῆς γῆς ἔρημον ποιήσω σε, [15] ἔρημον ἔσῃ ὄρος Σηείρ, καὶ πᾶσα ἡ
Ἰδουμαία καὶ ἐξαναλωθήσεται, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν.

## XXXVI.

Καὶ σὺ υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τὰ ὄρη Ἰσραήλ, καὶ εἰπὸν τοῖς
2 ὄρεσι τοῦ Ἰσραὴλ Ἀκούσατε λόγον κυρίου [2] Τάδε λέγει κύριος κύριος Ἀνθ'
οὗ εἶπεν ἐφ' ὑμᾶς ὁ ἐχθρός Εὖγε ἔρημα αἰώνια εἰς κατάσχεσιν ἡμῖν ἐγε-
3 νήθη, [3] διὰ τοῦτο προφήτευσον καὶ εἰπόν Τάδε λέγει κύριος κύριος Ἀντὶ τοῦ
ἀτιμασθῆναι ὑμᾶς καὶ μισηθῆναι ὑμᾶς ὑπὸ τῶν κύκλῳ ὑμῶν τοῦ εἶναι ὑμᾶς
εἰς κατάσχεσιν τοῖς καταλοίποις ἔθνεσι, καὶ ἀνέβητε λάλημα γλώσσῃ καὶ εἰς
4 ὀνείδισμα ἔθνεσι, [4] διὰ τοῦτο ὄρη Ἰσραὴλ ἀκούσατε λόγον κυρίου Τάδε λέγει
κύριος τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς καὶ τοῖς χειμάῤῥοις καὶ ταῖς φάραγξι καὶ
τοῖς ἐξηρημωμένοις καὶ ἠφανισμένοις καὶ ταῖς πόλεσι ταῖς ἐγκαταλελειμμέ-
ναις, καὶ ἐγένοντο εἰς προνομὴν καὶ εἰς καταπάτημα τοῖς καταλειφθεῖσιν
5 ἔθνεσι περικύκλῳ. [5] διὰ τοῦτο τάδε λέγει κύριος κύριος Εἰ μὴν ἐν πυρὶ θυ-
μοῦ μου ἐλάλησα ἐπὶ τὰ λοιπὰ ἔθνη καὶ ἐπὶ τὴν Ἰδουμαίαν πᾶσαν, ὅτι
ἔδωκαν τὴν γῆν μου ἑαυτοῖς εἰς κατάσχεσιν μετ' εὐφροσύνης, ἀτιμάσαντες
6 ψυχὰς τοῦ ἀφανίσαι ἐν προνομῇ. [6] διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν τοῦ
Ἰσραήλ, καὶ εἰπὸν τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξι καὶ ταῖς
νάπαις Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ μου καὶ ἐν τῷ θυμῷ μου
7 ἐλάλησα, ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν ἐνέγκαι ὑμᾶς. [7] διὰ τοῦτο ἐγὼ ἀρῶ τὴν
χεῖρά μου ἐπὶ τὰ ἔθνη τὰ περικύκλῳ ὑμῶν, οὗτοι τὴν ἀτιμίαν αὐτῶν λή-
8 ψονται, [8] ὑμῶν δὲ ὄρη Ἰσραὴλ τὴν σταφυλὴν καὶ τὸν καρπὸν ὑμῶν κατα-
9 φάγεται ὁ λαός μου, ὅτι ἐλπίζουσι τοῦ ἐλθεῖν. [9] ὅτι ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, καὶ
10 ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ κατεργασθήσεσθε καὶ σπαρήσεσθε, [10] καὶ πληθυνῶ

---

5. αιωνιον ... δολ. εν καιρω εχθρ. εν χειρι μαχαιρας· εν 6. σε διωξεται 7. το ορος ... ερημωμενον 8. τραυμ. σου τους β. σ. κ. πασας τας 9. και ερημιαν 10. διοτι ειπας Τα ... εμαι εισιν ... και ο κυριος 11. κυριος κυριος κ. π. εν σοι κ. τ. εχθρ. σ. και κατα τον ζηλον σου ον εποιησας· εκ του μεμισηκεναι σε εν αυτοις· κ. γνωσθ. σ. η. εαν 12. ερημα· ημιν sic interpg. ... εις κατασχεσιν 13. εμεγαλορημονησας ... και εγω ηκουσα φησιν κυριος 14. om ερημ. ποι. σε ... ιδουμ. εξολεθρευθησεται κ. γν. XXXVI. 2. ανθ ων ε. ο εχθρος εφ υμας Ευγε ευγε 3. κυρ. κυρ. ο θεος ... υμας απο των εθνων των κυ. υμων τ. ε ημας ... κ. εγενεσθαι λαλημ. γλωσσης 4. φαραγξιν και ταις ναπαις ταις ερημωμεναις κ. ηφανισμεναις ... καταλελιμμεναις αι εγενοντο ... και καταπατημα ... τοις περικυκλω 5. om κυριος alterum ... εαυτοις την γην μου 6. λεγ. αδωναι κυρ. 7. ιδου εγω αιρω ... λημψονται 8. καρπον φαγεται 9. om οτι ... om εφ υμ. και ... om και σπαρησ.

Digitized by Google

ἐφ' ὑμᾶς ἀνθρώπους, πᾶν οἶκον Ἰσραὴλ εἰς τέλος· καὶ κατοικηθήσονται αἱ
πόλεις, καὶ ἡ ἠρημωμένη οἰκοδομηθήσεται. 11 καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀν- 11
θρώπους καὶ κτήνη, καὶ κατοικιῶ ὑμᾶς ὡς τὸ ἐν ἀρχῇ ὑμῶν, καὶ εὖ ποιήσω
ὑμᾶς ὥςπερ τὰ ἔμπροσθεν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος. 12 καὶ 12
γεννήσω ἐφ' ὑμᾶς ἀνθρώπους τὸν λαόν μου Ἰσραήλ, καὶ κληρονομήσουσιν
ὑμᾶς, καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν· καὶ οὐ μὴ προςτεθῆτε ἔτι ἀτεκνω-
θῆναι ἀπ' αὐτῶν. 13 τάδε λέγει κύριος κύριος Ἀνθ' ὧν εἰπάν σοι Κατέσθουσα 13
ἀνθρώπους εἶ, καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου ἐγένου, 14 διὰ τοῦτο ἀν- 14
θρώπους οὐκέτι φάγεσαι, καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνώσεις ἔτι, λέγει κύριος
κύριος. 15 καὶ οὐκ ἀκουσθήσεται οὐκέτι ἐφ' ὑμᾶς ἀτιμία ἐθνῶν, καὶ ὀνει- 15
δισμοὺς λαῶν οὐ μὴ ἀνενέγκητε ἔτι, λέγει κύριος κύριος. 16 καὶ ἐγένετο λόγος 16
κυρίου πρὸς μὲ λέγων 17 Υἱὲ ἀνθρώπου, οἶκος Ἰσραὴλ κατῴκησεν ἐπὶ τῆς 17
γῆς αὐτῶν, καὶ ἐμίαναν αὐτὴν ἐν τῇ ὁδῷ αὐτῶν καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν
καὶ ἐν ταῖς ἀκαθαρσίαις αὐτῶν, καὶ κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀποκαθημέ-
νης ἐγενήθη ἡ ὁδὸς αὐτῶν πρὸ προςώπου μου. 18 καὶ ἐξέχεα τὸν θυμόν μου 18
ἐπ' αὐτούς, 19 καὶ διέσπειρα αὐτοὺς εἰς τὰ ἔθνη, καὶ ἐλίκμησα αὐτοὺς εἰς 19
τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν ἔκρινα
αὐτούς. 20 καὶ εἰςῆλθον εἰς τὰ ἔθνη οὗ εἰςῆλθον ἐκεῖ, καὶ ἐβεβήλωσαν τὸ 20
ὄνομά μου τὸ ἅγιον ἐν τῷ λέγεσθαι αὐτούς Λαὸς κυρίου οὗτοι, καὶ ἐκ τῆς
γῆς αὐτοῦ ἐξεληλύθασιν. 21 καὶ ἐφεισάμην αὐτῶν διὰ τὸ ὄνομά μου τὸ ἅγιον, 21
ὃ ἐβεβήλωσαν οἶκος Ἰσραὴλ ἐν τοῖς ἔθνεσιν οὗ εἰςήλθοσαν ἐκεῖ. 22 διὰ τοῦτο 22
εἰπὸν τῷ οἴκῳ Ἰσραήλ Τάδε λέγει κύριος Οὐχ ὑμῖν ἐγὼ ποιῶ οἶκος Ἰσραήλ,
ἀλλ' ἢ διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβηλώσατε ἐν τοῖς ἔθνεσιν οὗ εἰςήλ-
θετε ἐκεῖ. 23 καὶ ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα τὸ βεβηλωθὲν ἐν τοῖς ἔθνε- 23
σιν, ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι
κύριος ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν κατ' ὀφθαλμοὺς αὐτῶν. 24 καὶ λήψομαι 24
ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν, καὶ εἰςάξω
ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. 25 καὶ ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ, καὶ καθαρι- 25
σθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ ἀπὸ πάντων τῶν εἰδώλων
ὑμῶν, καὶ καθαριῶ ὑμᾶς, 26 καὶ δώσω ὑμῖν καρδίαν καινήν, καὶ πνεῦμα 26
καινὸν δώσω ἐν ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς
ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην. 27 καὶ τὸ πνεῦμά μου δώσω ἐν 27
ὑμῖν, καὶ ποιήσω ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε, καὶ τὰ κρίματά
μου φυλάξησθε καὶ ποιήσητε. 28 καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς 28
πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς θεόν.
29 καὶ σώσω ὑμᾶς ἐκ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ καλέσω τὸν σῖτον 29
30 καὶ πληθυνῶ αὐτόν, καὶ οὐ δώσω ἐφ' ὑμᾶς λιμόν· καὶ πληθυνῶ τὸν καρ- 30
πὸν τοῦ ξύλου καὶ τὰ γεννήματα τοῦ ἀγροῦ, ὅπως ἂν μὴ λάβητε ὀνειδισμὸν
λιμοῦ ἐν τοῖς ἔθνεσι. 31 καὶ μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν τὰς πονηρὰς καὶ 31
τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ ἀγαθά, καὶ προςοχθιεῖτε κατὰ πρόσωπον αὐ-
τῶν ἐν ταῖς ἀνομίαις ὑμῶν καὶ ἐπὶ τοῖς βδελύγμασιν αὐτῶν. 32 οὐ δι' ὑμᾶς 32

---

10. αι πολ. υμων· και αιρημωμεναι οικοδομηθησονται 11. το εμπροσθ. 12. δωσω pro γεννησω ... προστεθησεσθαι 13. λεγ. αδωναϊ κυρ. ανθ 14. ατεκνωσει σε ουκετι λεγ. αδωναϊ κυριος 15. ονειδισμον εθνων ου μη ενεγκηται ε. λ. κυρ. ο θεος 17. κατωκησαν ... και εν ταις ακαθαρσιαις αυτων εμιαναν ... ιδωλοις ... αυτων κατα τ. α. της αφεδρου εγ. 18. in f. add περι του αιματος ου εξεχεαν εν τη γη και εν τοις ιδωλοις αυτων εμιαναν αυτην 19. τας οδους ... τας ανομιας pro τ. αμαρτιαν 20. εισηλθοσαν bis ... γης αυτων εξηλθοσαν 22. αδωναϊ κυριος ... εισηλθαται 23. αγιον pro μεγα ... εμμεσω ... κυριος λεγει αδωναϊ κυριος εν τω 24. λημψομαι 25. υδωρ καθαρον 27. φυλαξεσθαι κ. ποιησεται 30. γενηματα ... οπως μη λαβ. ετι ον. λιμου εν 31. και εν τοις βδ. υμων

Digitized by Google

ἐγὼ ποιῶ, λέγει κύριος, γνωστόν ἐστιν ὑμῖν. αἰσχύνθητε καὶ ἐντράπητε ἐκ
33 τῶν ὁδῶν ὑμῶν, οἶκος Ἰσραήλ. [33] τάδε λέγει ἀδωναῒ κύριος Ἐν ἡμέρᾳ ᾗ
καθαριῶ ὑμᾶς ἐκ πασῶν ἀνομιῶν ὑμῶν, καὶ κατοικιῶ τὰς πόλεις, καὶ οἰκο-
34 δομηθήσονται ἔρημοι, [34] καὶ ἡ γῆ ἠφανισμένη ἐργασθήσεται, ἀνθ᾽ ὧν ὅτι
35 ἠφανισμένη ἐγενήθη κατ᾽ ὀφθαλμοὺς παντὸς παροδεύοντος, [35] καὶ ἐροῦσιν Ἡ
γῆ ἐκείνη ἠφανισμένη ἐγενήθη ὡς κῆπος τρυφῆς, καὶ αἱ πόλεις αἱ ἔρημοι
36 καὶ ἠφανισμέναι καὶ κατεσκαμμέναι ὀχυραὶ ἐκάθισαν, [36] καὶ γνώσονται τὰ
ἔθνη, ὅσα ἂν καταλειφθῶσι κύκλῳ ὑμῶν, ὅτι ἐγὼ κύριος ᾠκοδόμησα τὰς
καθῃρημένας καὶ κατεφύτευσα τὰς ἠφανισμένας· ἐγὼ κύριος ἐλάλησα καὶ
37 ποιήσω. [37] τάδε λέγει ἀδωναῒ κύριος Ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ἰσραὴλ
38 τοῦ ποιῆσαι αὐτούς, πληθυνῶ αὐτοὺς ὡς πρόβατα ἀνθρώπους, [38] ὡς πρόβατα
ἅγια, ὡς πρόβατα Ἱερουσαλὴμ ἐν ταῖς ἑορταῖς αὐτῆς· οὕτως ἔσονται αἱ
πόλεις αἱ ἔρημοι πλήρεις προβάτων ἀνθρώπων, καὶ γνώσονται ὅτι ἐγὼ κύριος.

## XXXVII.

Καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι κύριος
καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων,
2 [2] καὶ περιήγαγέ με ἐπ᾽ αὐτὰ κυκλόθεν κύκλῳ, καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ
3 προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα. [3] καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώπου, εἰ
4 ζήσεται τὰ ὀστέα ταῦτα; καὶ εἶπα Κύριε κύριε, σὺ ἐπίστῃ ταῦτα. [4] καὶ εἶπε
πρός μέ Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς Τὰ ὀστᾶ τὰ
5 ξηρά, ἀκούσατε λόγον κυρίου [5] Τάδε λέγει κύριος τοῖς ὀστέοις τούτοις Ἰδοὺ
6 ἐγὼ φέρω ἐφ᾽ ὑμᾶς πνεῦμα ζωῆς, [6] καὶ δώσω ἐφ᾽ ὑμᾶς νεῦρα, καὶ ἀνάξω
ἐφ᾽ ὑμᾶς σάρκα, καὶ ἐκτενῶ ἐφ᾽ ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου εἰς
7 ὑμᾶς καὶ ζήσεσθε, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος. [7] καὶ προεφήτευσα
καθὼς ἐνετείλατό μοι. καὶ ἐγένετο ἐν τῷ ἐμὲ προφητεῦσαι, καὶ ἰδοὺ σεισμός,
8 καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. [8] καὶ ἴδον, καὶ
ἰδοὺ ἐπ᾽ αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ᾽ αὐτὰ δέρματα
9 ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν ἐπ᾽ αὐτοῖς. [9] καὶ εἶπε πρός μέ Προφήτευσον ἐπὶ
τὸ πνεῦμα, προφήτευσον υἱὲ ἀνθρώπου καὶ εἰπὸν τῷ πνεύματι Τάδε λέγει
κύριος Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς
10 τούτους, καὶ ζησάτωσαν. [10] καὶ προεφήτευσα καθότι ἐνετείλατό μοι· καὶ εἰσῆλ-
θεν εἰς αὐτοὺς τὸ πνεῦμα καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν,
11 συναγωγὴ πολλὴ σφόδρα. [11] καὶ ἐλάλησε κύριος πρὸς μὲ λέγων Υἱὲ ἀνθρώ-
που, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν, καὶ αὐτοὶ λέγουσι Ξηρὰ γέγονε
12 τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. [12] διὰ τοῦτο προ-
φήτευσον καὶ εἰπόν Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν,
καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ
13 Ἰσραήλ, [13] καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους
14 ὑμῶν τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου. [14] καὶ δώσω πνεῦμά

---

32. λεγ. κυρ. ο θεος γν. εσται υμ. ... in f. add λεγει κυριος 33. λεγ. κυρ. ο θεος Εν τη ημ. εκεινη ... πασ. των ανομ. ... αι ερημοι 34. η γη η ... διοδευοντος 35. εκεινη η 36. εγω ειμι κυριος ... οτι εγω κυρ. κυριος 37. λεγ. κυρ. κυριος ο θεος ... ζητημα θησομαι ... ποι. αυτοις 38. εγω ειμι κυρ. XXXVII. 1. εμμεσω 2. και ιδου ξηρ. σφ. 3. οστα ... επιστη αυτα 5. κυρ. κυριος ... φερω εις υμας 6. σαρκας ... πν. μου εφ υμας ... διοτι 7. επροφητευσα ... μοι κυριος ... εγενετο φωνη ... προφητευειν 8. ανεφυοντο ... δερμα ... εν αυτοις 9. Προφ. υιε ανθρ. προφ. επι το πν. και ειπον τω ... κυρ. κυριος Ελθε εκ τ. τ. ανεμων του ουρανου· ελθε το πνευμα και εμφ. 10. επροφητευσα καθως ... om το ... πνευμα ζωης ... συναγ. μεγαλη σφ. 12. ειπον προς αυτους ... αδωναι κυριος ... υμ. τα μνημ. 13. με υμας εκ τ. ταφ. υμων

Digitized by Google

μου εἰς ὑμᾶς καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώ-
σεσθε ὅτι ἐγὼ κύριος· λελάληκα καὶ ποιήσω, λέγει κύριος. [15]καὶ ἐγένετο 15
λόγος κυρίου πρὸς μὲ λέγων [16]Υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ ῥάβδον καὶ γρά- 16
ψον ἐπ' αὐτὴν τὸν Ἰούδαν καὶ τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προςκειμένους ἐπ'
αὐτόν· καὶ ῥάβδον δευτέραν λήψῃ σεαυτῷ καὶ γράψεις αὐτὴν τῷ Ἰωσήφ,
ῥάβδον Ἐφραῒμ καὶ πάντας τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προςτεθέντας πρὸς αὐ-
τόν. [17]καὶ συνάψεις αὐτὰς προςαλλήλας σαυτῷ, εἰς ῥάβδον μίαν τοῦ δῆσαι 17
ἑαυτάς, καὶ ἔσονται ἐν τῇ χειρί σου. [18]καὶ ἔσται ὅταν λέγωσι πρὸς σὲ οἱ 18
υἱοὶ τοῦ λαοῦ σου Οὐκ ἀναγγέλλεις ἡμῖν; τί ἐστι ταῦτά σοι; [19]καὶ ἐρεῖς 19
πρὸς αὐτούς Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ λήψομαι τὴν φυλὴν Ἰωσὴφ τὴν
διὰ χειρὸς Ἐφραῒμ καὶ τὰς φυλὰς Ἰσραὴλ τὰς προςκειμένας πρὸς αὐτόν,
καὶ δώσω αὐτοὺς ἐπὶ τὴν φυλὴν Ἰούδα, καὶ ἔσονται εἰς ῥάβδον μίαν τῇ
χειρὶ Ἰούδα. [20]καὶ ἔσονται αἱ ῥάβδοι ἐφ' αἷς σὺ ἔγραψας ἐπ' αὐταῖς ἐν τῇ 20
χειρί σου ἐνώπιον αὐτῶν, [21]καὶ ἐρεῖς αὐτοῖς Τάδε λέγει κύριος κύριος Ἰδοὺ 21
ἐγὼ λαμβάνω πάντα οἶκον Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν οὗ εἰςήλθοσαν ἐκεῖ,
καὶ συνάξω αὐτοὺς ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν καὶ εἰςάξω αὐτοὺς
εἰς τὴν γῆν τοῦ Ἰσραήλ, [22]καὶ δώσω αὐτοὺς εἰς ἔθνος ἐν τῇ γῇ μου καὶ 22
ἐν τοῖς ὄρεσιν Ἰσραήλ· καὶ ἄρχων εἷς ἔσται αὐτῶν, καὶ οὐκ ἔσονται ἔτι εἰς
δύο ἔθνη, οὐδὲ μὴ διαιρεθῶσιν οὐκέτι εἰς δύο βασιλείας, [23]ἵνα μὴ μιαίνων- 23
ται ἔτι ἐν τοῖς εἰδώλοις αὐτῶν. καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνο-
μιῶν αὐτῶν ὧν ἡμάρτοσαν ἐν αὐταῖς, καὶ καθαριῶ αὐτούς, καὶ ἔσονταί μοι
εἰς λαόν, καὶ ἐγὼ κύριος ἔσομαι αὐτοῖς εἰς θεόν. [24]καὶ ὁ δοῦλός μου Δαυὶδ 24
ἄρχων ἐν μέσῳ αὐτῶν, ἔσται ποιμὴν εἷς πάντων, ὅτι ἐν τοῖς προςτάγμασί
μου πορεύσονται, καὶ τὰ κρίματά μου φυλάξονται καὶ ποιήσουσιν αὐτά. [25]καὶ 25
κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ἰακώβ,
οὗ κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν, καὶ κατοικήσουσιν ἐπ' αὐτῆς αὐτοί.
καὶ Δαυὶδ ὁ δοῦλός μου ἄρχων εἰς τὸν αἰῶνα. [26]καὶ διαθήσομαι αὐτοῖς δια- 26
θήκην εἰρήνης, διαθήκη αἰωνία ἔσται μετ' αὐτῶν· καὶ θήσω τὰ ἅγιά μου
ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα, [27]καὶ ἔσται ἡ κατασκήνωσίς μου ἐν αὐτοῖς, 27
καὶ ἔσομαι αὐτοῖς θεός, καὶ αὐτοί μου ἔσονται λαός. [28]καὶ γνώσονται τὰ 28
ἔθνη ὅτι ἐγώ εἰμι κύριος ὁ ἁγιάζων αὐτούς, ἐν τῷ εἶναι τὰ ἅγιά μου ἐν
μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα.

## XXXVIII.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, στήρισον τὸ 2
Apoc. 20,8. πρόσωπόν σου ἐπὶ Γὼγ καὶ τὴν γῆν τοῦ Μαγὼγ ἄρχοντα Ῥώς, Μεσὸχ καὶ
Θοβέλ, καὶ προφήτευσον ἐπ' αὐτὸν [3]καὶ εἰπὸν αὐτῷ Τάδε λέγει κύριος κύ- 3
ριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ ἄρχοντα Ῥώς, Μεσὸχ καὶ Θοβέλ, [4]καὶ συνάξω σε 4
καὶ πᾶσαν τὴν δύναμίν σου, ἵππους καὶ ἱππεῖς ἐνδεδυμένους θώρακας πάν-

---

14. λεγει κυρ. κυριος 16. αυτης pro ισραηλ ... προς αυτον ... λημψη ... εφραιμ ... προςκειμενους pro προςτεθ. 17. σεαυτω ... δησαι αυτας 18. λεγοντες Ουκ απαγγελεις 19. αδωναϊ κυριος ... λημψομαι ... ιωσηφ δια χ. εφραιμ ... του ισραηλ ... του ιουδα ... μιαν εν τη 21. αδωναϊ κυρ. ο θεος 22. του ισραηλ ... εσται παντων αυτων κ. ο. εσ. ουκετι 23. ιδωλοις αυτ. εν οις ημαρτοσαν εν αυτοις· και εν τοις προςοχθεισμασιν αυτων· και εν πασαις ταις βασιλειαις αυτων· κ. ρυσ. 24. εμμεσω ... και ποιμην εις εσται παντων ... πορευσωνται ... φυλαξωνται 25. αυτοι· και οι υιοι αυτων και οι υιοι των υιων αυτων εως αιωνος· και ιδου δαυ. ο δ. μ. α. αυτων εσται εις τ. αι. 26. και διαθηκη ... εμμεσω 27. αυτοις εις θεον ... αυτοι εσοντ. μοι λαος 28. om τα εθνη ... εμμεσω ... in f. add λεγει κυριος XXXVIII. 2. μοσοχ 3. λεγ. αδωναϊ κυρ. Ιδου ε. ε. σε γωγ και αρχ. ... μοσοχ

Digitized by Google

5 τας συναγωγῇ πολλῇ, πέλται καὶ περικεφαλαῖαι καὶ μάχαιραι. 5 Πέρσαι καὶ
6 Αἰθίοπες καὶ Λίβυες, πάντες περικεφαλαίαις καὶ πέλταις, 6 Γομὲρ καὶ πάν-
τες οἱ περὶ αὐτόν, οἶκος τοῦ Θοργαμὰ ἀπ᾽ ἐσχάτου βορρᾶ καὶ πάντες οἱ
7 περὶ αὐτόν, καὶ ἔθνη πολλὰ μετὰ σοῦ. 7 ἑτοιμάσθητι, ἑτοίμασον σεαυτὸν σὺ
καὶ πᾶσα ἡ συναγωγή σου ἡ συνηγμένη μετὰ σοῦ, καὶ ἔσῃ μοι εἰς προφυ-
8 λακήν. 8 ἀφ᾽ ἡμερῶν πλειόνων ἑτοιμασθήσεται, καὶ ἐπ᾽ ἐσχάτου ἐτῶν ἐλεύ-
σεται καὶ ἥξει εἰς τὴν γῆν τὴν ἀπεστραμμένην ἀπὸ μαχαίρας, συνηγμένων
ἀπὸ ἐθνῶν πολλῶν, ἐπὶ γῆν Ἰσραὴλ ἣ ἐγενήθη ἔρημος δι᾽ ὅλου, καὶ οὗτος
9 ἐξ ἐθνῶν ἐξελήλυθε, καὶ κατοικήσουσιν ἐπ᾽ εἰρήνης ἅπαντες. 9 καὶ ἀναβήσῃ
ὡς ὑετός, καὶ ἥξεις ὡς νεφέλη κατακαλύψαι γῆν, καὶ ἔσῃ σὺ καὶ πάντες οἱ
10 περὶ σὲ καὶ ἔθνη πολλὰ μετὰ σοῦ. 10 τάδε λέγει κύριος κύριος Καὶ ἔσται ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ ἀναβήσεται ῥήματα ἐπὶ τὴν καρδίαν σου, καὶ λογιῇ λο-
11 γισμοὺς πονηροὺς 11 καὶ ἐρεῖς Ἀναβήσομαι ἐπὶ γῆν ἀπεῤῥιμμένην, ἥξω ἐπὶ
ἡσυχάζοντας ἐν τῇ ἡσυχίᾳ καὶ οἰκοῦντας ἐπ᾽ εἰρήνης, πάντας κατοικοῦντας
12 γῆν ἐν ᾗ οὐχ ὑπάρχει τεῖχος οὐδὲ μοχλοί, καὶ θύραι οὐκ εἰσὶν αὐτοῖς, 12 προνο-
μεῦσαι προνομὴν καὶ σκῦλα σκυλεῦσαι αὐτῶν, τοῦ ἐπιστρέψαι χεῖράς μου
εἰς τὴν ἠρημωμένην ἣ κατῳκίσθη, καὶ ἐπ᾽ ἔθνος συνηγμένον ἀπὸ ἐθνῶν
13 πολλῶν, πεποιηκότας κτήσεις, κατοικοῦντας ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς. 13 Σαββὰ
καὶ Δαιδὰν καὶ ἔμποροι Καρχηδόνιοι καὶ πᾶσαι αἱ κῶμαι αὐτῶν ἐροῦσί σοι
Εἰς προνομὴν τοῦ προνομεῦσαι σὺ ἔρχῃ καὶ σκυλεῦσαι σκῦλα, συνήγαγες
συναγωγήν σου λαβεῖν ἀργύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν τοῦ σκυ-
14 λεῦσαι σκῦλα. 14 διὰ τοῦτο προφήτευσον υἱὲ ἀνθρώπου καὶ εἰπὸν τῷ Γώγ
Τάδε λέγει κύριος Οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῷ κατοικισθῆναι τὸν λαόν
15 μου Ἰσραὴλ ἐπ᾽ εἰρήνης, ἐγερθήσῃ; 15 καὶ ἥξεις ἐκ τοῦ τόπου σου ἀπ᾽
ἐσχάτου βορρᾶ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ, ἀναβάται ἵππων πάντες, συναγωγὴ
16 μεγάλη καὶ δύναμις πολλή, 16 καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου Ἰσραὴλ ὡς
νεφέλη καλύψαι γῆν. ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἔσται, καὶ ἀνάξω σε ἐπὶ τὴν
γῆν μου, ἵνα γνῶσι πάντα τὰ ἔθνη ἐμέ, ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώ-
17 πιον αὐτῶν. 17 τάδε λέγει κύριος κύριος τῷ Γώγ Σὺ εἶ περὶ οὗ ἐλάλησα πρὸ
ἡμερῶν τῶν ἔμπροσθεν διὰ χειρὸς τῶν δούλων μου τῶν προφητῶν τοῦ Ἰσραήλ,
18 ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσι, τοῦ ἀναγαγεῖν σε ἐπ᾽ αὐτούς. 18 καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ἡμέρᾳ ᾗ ἂν ἔλθῃ Γὼγ ἐπὶ τὴν γῆν Ἰσραήλ,
19 λέγει κύριος κύριος, ἀναβήσεται ὁ θυμός μου 19 καὶ ὁ ζῆλός μου, ἐν πυρὶ
τῆς ὀργῆς μου ἐλάλησα, εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται σεισμὸς μέγας
20 ἐπὶ γῆς Ἰσραήλ, 20 καὶ σεισθήσονται ἀπὸ προσώπου κυρίου οἱ ἰχθύες τῆς
θαλάσσης καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τοῦ πεδίου καὶ πάντα
τὰ ἑρπετὰ τὰ ἕρποντα ἐπὶ τῆς γῆς καὶ πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ προσώπου
τῆς γῆς, καὶ ῥαγήσεται τὰ ὄρη καὶ πεσοῦνται αἱ φάραγγες, καὶ πᾶν τεῖχος
21 ἐπὶ τὴν γῆν πεσεῖται. 21 καὶ καλέσω ἐπ᾽ αὐτὸ καὶ πᾶν φόβον, λέγει κύριος·
22 μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσται. 22 καὶ κρινῶ αὐτὸν θανάτῳ
καὶ αἵματι καὶ ὑετῷ κατακλύζοντι καὶ λίθοις χαλάζης, καὶ πῦρ καὶ θεῖον

---

5. λιβυες και λυδοι· παντες εν περικ. 6. θεργαμα 7. ετ. και ετοιμασον ...οι συνηγμενοι 8. αφ ημ. πλ. ετων ... εσχατων ... πολλων εις την γην του ισραηλ ... και αυτος εξελ. εκ των εθν. 9. πεση pro εση 10. κυρ. κυρ. ο θεος 11. απεριμμενην ... εν ησυχια κ. κατοικουντας ... κατοικ. πολεις εν αις ουχ ... εισιν αυταις 12. σκυλευσαι σκυλα του ε. την χειρα ... κατοικισθη ... επι εθνος 13. σαβα ... οι εμποροι χαλκηδονος κ. π. αι χωραι αυτης ερ. σοι του προνομευσαι εις πρ. συ ... κτησεις 14. κυρ. κυριος ο θεος Ουχι εν ... εξεγερθηση 17. λεγ. αδωναι κυρ. ο θεος ... αφ ημερων 18. του ισραηλ ... κυρ. κυρ. ο θεος 19. ed. rom. εν π. τ. οργ. μου cum antecdd. conjg. ... επι της γης του ισρ. 20. του κυριου ... ραγησονται 21. επ αυτο παν φοβον μαχαιρας λεγ. κυρ. κυριος

Digitized by Google

βρέξω ἐπ' αὐτὸν καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ καὶ ἐπ' ἔϑνη πολλὰ μετ'
αὐτοῦ. [23] καὶ μεγαλυνϑήσομαι καὶ ἁγιασϑήσομαι καὶ ἐνδοξασϑήσομαι καὶ 23
γνωσϑήσομαι ἐναντίον ἐϑνῶν πολλῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.

## XXXIX.

Καὶ σὺ υἱὲ ἀνϑρώπου προφήτευσον ἐπὶ Γὼγ καὶ εἰπόν Τάδε λέγει κύριος
Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γὼγ ἄρχοντα Ῥώς, Μεσὸχ καὶ Θοβέλ, [2] καὶ συνάξω σε 2
καὶ καϑοδηγήσω σε καὶ ἀναβιβῶ σε ἐπ' ἐσχάτου τοῦ βορρᾶ, καὶ ἀνάξω σε
ἐπὶ τὰ ὄρη τὰ Ἰσραήλ. [3] καὶ ἀπολῶ τὸ τόξον σου ἀπὸ τῆς χειρός σου τῆς 3
ἀριστερᾶς καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρός σου τῆς δεξιᾶς, καὶ κατα-
βαλῶ σε [4] ἐπὶ τὰ ὄρη τὰ Ἰσραήλ, καὶ πεσῇ σὺ καὶ πάντες οἱ περὶ σέ, καὶ 4
τὰ ἔϑνη τὰ μετὰ σοῦ δοϑήσονται εἰς πλήϑη ὀρνέων· παντὶ πετεινῷ καὶ πᾶσι
τοῖς ϑηρίοις τοῦ πεδίου δέδωκά σε καταβρωϑῆναι. [5] ἐπὶ προσώπου τοῦ πε- 5
δίου πεσῇ, ὅτι ἐγὼ ἐλάλησα, λέγει κύριος. [6] καὶ ἀποστελῶ πῦρ ἐπὶ Γώγ, 6
καὶ κατοικηϑήσονται αἱ νῆσοι ἐπ' εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύ-
ριος. [7] καὶ τὸ ὄνομά μου τὸ ἅγιον γνωσϑήσεται ἐν μέσῳ λαοῦ μου Ἰσραήλ, 7
καὶ οὐ βεβηλωϑήσεται τὸ ὄνομά μου τὸ ἅγιον οὐκέτι, καὶ γνώσονται τὰ
ἔϑνη ὅτι ἐγώ εἰμι κύριος ἅγιος ἐν Ἰσραήλ. [8] ἰδοὺ ἥκει, καὶ γνώσῃ ὅτι ἔσται, 8
λέγει κύριος κύριος· αὕτη ἐστὶν ἡ ἡμέρα ἐν ᾗ ἐλάλησα. [9] καὶ ἐξελεύσονται 9
οἱ κατοικοῦντες τὰς πόλεις Ἰσραὴλ καὶ καύσουσιν ἐν τοῖς ὅπλοις, πέλταις
καὶ κοντοῖς καὶ τόξοις καὶ τοξεύμασι καὶ ῥάβδοις χειρῶν καὶ λόγχαις, καὶ
καύσουσιν ἐν αὐτοῖς πῦρ ἑπτὰ ἔτη· [10] καὶ οὐ μὴ λάβωσι ξύλα ἐκ τοῦ πε- 10
δίου οὐδὲ μὴ κόψωσιν ἐκ τῶν δρυμῶν, ἀλλ' ἢ τὰ ὅπλα κατακαύσουσι πυρί·
καὶ προνομεύσουσι τοὺς προνομεύσαντας αὐτούς, καὶ σκυλεύσουσι τοὺς σκυ-
λεύσαντας αὐτούς, λέγει κύριος. [11] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δώσω τῷ 11
Γὼγ τόπον ὀνομαστόν, μνημεῖον ἐν Ἰσραήλ, τὸ πολυάνδριον τῶν ἐπελϑόντων
πρὸς τῇ ϑαλάσσῃ, καὶ περιοικοδομήσουσι τὸ περιστόμιον τῆς φάραγγος,
[12] καὶ κατορύξουσιν ἐκεῖ τὸν Γὼγ καὶ πᾶν τὸ πλῆϑος αὐτοῦ, καὶ κληϑήσεται 12
τότε τὸ πολυάνδριον τοῦ Γώγ. [13] καὶ κατορύξουσιν αὐτοὺς οἶκος Ἰσραὴλ ἵνα 13
καϑαρισϑῇ ἡ γῆ ἐν ἑπταμήνῳ, καὶ κατορύξουσιν αὐτοὺς πᾶς ὁ λαὸς τῆς
γῆς, καὶ ἔσται αὐτοῖς ὀνομαστὸν ᾗ ἡμέρᾳ ἐδοξάσϑη, λέγει κύριος. [14] καὶ 14
ἄνδρας διὰ παντὸς διαστελοῦσιν ἐπιπορευομένους τὴν γῆν ϑάψαι τοὺς κατα-
λελειμμένους ἐπὶ προσώπου τῆς γῆς, καϑαρίσαι αὐτὴν μετὰ τὴν ἑπτάμηνον,
καὶ ἐκζητήσουσι. [15] καὶ πᾶς ὁ διαπορευόμενος τὴν γῆν καὶ ἰδὼν ὀστοῦν ἀν- 15
ϑρώπου οἰκοδομήσει παρ' αὐτῷ σημεῖον, ἕως ὅτου ϑάψωσιν αὐτὸ οἱ ϑάπτοντες
εἰς Γαὶ τὸ πολυάνδριον τοῦ Γώγ. [16] καὶ γὰρ τὸ ὄνομα τῆς πόλεως Πολυάν- 16
*Apoc. 19, 17 s. δριον. καὶ καϑαρισϑήσεται ἡ γῆ. [17] καὶ σὺ υἱὲ ἀνϑρώπου εἰπόν Τάδε λέγει 17
κύριος Εἰπὸν παντὶ ὀρνέῳ πετεινῷ καὶ πρὸς πάντα τὰ ϑηρία τοῦ πεδίου
Συνάχϑητε καὶ ἔρχεσϑε, συνάχϑητε ἀπὸ πάντων τῶν περικύκλῳ ἐπὶ τὴν ϑυ-
σίαν μου, ἣν τέϑυκα ὑμῖν ϑυσίαν μεγάλην ἐπὶ τὰ ὄρη Ἰσραήλ, καὶ φάγεσϑε
κρέα καὶ πίεσϑε αἷμα. [18] κρέα γιγάντων φάγεσϑε, καὶ αἷμα ἀρχόντων τῆς 18
γῆς πίεσϑε, κριοὺς καὶ μόσχους καὶ τράγους, καὶ οἱ μόσχοι ἐστεατωμένοι

---

22. επι εϑνη XXXIX. 1. κυρ. κυριος ... μοσοχ κ. ϑοβερ 2. αναβιβασω σε απ ... συναξω σ. ε. τ. ο. του ισρ. 3. εκ της χειρος 4. ορη του ισραηλ ... *om τα post εϑνη 5. κυριος κυριος 6. πυρ επι σε και κατοικισϑησονται 7. εμμεσω ... παντα τα εϑνη ... κυρ. κυριος ο αγιος ισραηλ 8. κυρ. κυρ. ο ϑεος 11. *om εν ισραηλ ... προς την ϑαλασσαν 12. κατορυξωσιν ... κληϑησ. το γαι το 13. κατορυξωσιν ... οικ. του ισρ. ... εις ονομαστον η ημ. η εδοξασϑην 14. πασαν την γην ... καταλελιμμ. ... εκζητ. ακριβως 15. και εσται πας ο δ. πασαν την ... παρ αυτο ... εις το γαι 17. ϑηρια του αγρου



Digitized by Google

19 πάντες. [19]καὶ φάγεσθε στέαρ εἰς πλησμονήν, καὶ πίεσθε αἷμα εἰς μέθην
20 ἀπὸ τῆς θυσίας μου ἧς ἔθυσα ὑμῖν. [20]καὶ ἐμπλησθήσεσθε ἐπὶ τῆς τραπέζης
μου ἵππον καὶ ἀναβάτην καὶ γίγαντα καὶ πάντα ἄνδρα πολεμιστήν, λέγει
21 κύριος. [21]καὶ δώσω τὴν δόξαν μου ἐν ὑμῖν, καὶ ὄψονται πάντα τὰ ἔθνη τὴν
22 κρίσιν μου ἣν ἐποίησα καὶ τὴν χεῖρά μου ἣν ἐπήγαγον ἐπ' αὐτούς. [22]καὶ
γνώσονται οἶκος Ἰσραὴλ ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ἀπὸ τῆς ἡμέρας
23 ταύτης καὶ ἐπέκεινα. [23]καὶ γνώσονται πάντα τὰ ἔθνη ὅτι διὰ τὰς ἁμαρτίας
αὐτῶν ᾐχμαλωτεύθησαν οἶκος Ἰσραήλ, ἀνθ' ὧν ἠθέτησαν εἰς ἐμέ, καὶ ἀπέ-
στρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ παρέδωκα αὐτοὺς εἰς χεῖρας τῶν
24 ἐχθρῶν αὐτῶν, καὶ ἔπεσαν πάντες μαχαίρᾳ. [24]κατὰ τὰς ἀκαθαρσίας αὐτῶν
καὶ κατὰ τὰ ἀνομήματα αὐτῶν ἐποίησα αὐτοῖς, καὶ ἀπέστρεψα τὸ πρόσωπόν
25 μου ἀπ' αὐτῶν. [25]διὰ τοῦτο τάδε λέγει κύριος κύριος Νῦν ἀποστρέψω αἰχμα-
λωσίαν ἐν Ἰακώβ, καὶ ἐλεήσω τὸν οἶκον Ἰσραήλ, καὶ ζηλώσω διὰ τὸ ὄνομα
26 τὸ ἅγιόν μου. [26]καὶ λήψονται τὴν ἀτιμίαν αὐτῶν καὶ τὴν ἀδικίαν ἣν ἠδί-
κησαν ἐν τῷ κατοικισθῆναι αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν ἐπ' εἰρήνης, καὶ οὐκ
27 ἔσται ὁ ἐκφοβῶν [27]ἐν τῷ ἀποστρέψαι με αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ συνα-
γαγεῖν με αὐτοὺς ἐκ τῶν χωρῶν τῶν ἐθνῶν, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς
28 ἐνώπιον τῶν ἐθνῶν, [28]καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν, ἐν
29 τῷ ἐπιφανῆναί με αὐτοῖς ἐν τοῖς ἔθνεσι. [29]καὶ οὐκ ἀποστρέψω οὐκέτι τὸ
πρόσωπόν μου ἀπ' αὐτῶν, ἀνθ' ὧν ἐξέχεα τὸν θυμόν μου ἐπὶ τὸν οἶκον
Ἰσραήλ, λέγει κύριος κύριος.

## XL.

Καὶ ἐγένετο ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλωσίας ἡμῶν,
ἐν τῷ πρώτῳ μηνὶ δεκάτῃ τοῦ μηνός, ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μετὰ
τὸ ἁλῶναι τὴν πόλιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου καὶ
2 ἤγαγέ με [2]ἐν ὁράσει θεοῦ εἰς τὴν γῆν Ἰσραήλ, καὶ ἔθηκέ με ἐπ' ὄρος
3 ὑψηλὸν σφόδρα, καὶ ἐπ' αὐτῷ ὡσεὶ οἰκοδομὴ πόλεως ἀπέναντι. [3]καὶ εἰσή-
γαγέ με ἐκεῖ, καὶ ἰδοὺ ἀνήρ, καὶ ἡ ὅρασις αὐτοῦ ἦν ὡσεὶ ὅρασις χαλκοῦ
στίλβοντος, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἦν σπαρτίον οἰκοδόμων καὶ κάλαμος μέ-
4 τρον, καὶ αὐτὸς εἱστήκει ἐπὶ τῆς πύλης. [4]καὶ εἶπε πρὸς μὲ ὁ ἀνήρ Ὃν
ἑώρακας υἱὲ ἀνθρώπου, ἐν τοῖς ὀφθαλμοῖς σου ἴδε καὶ ἐν τοῖς ὠσί σου
ἄκουε, καὶ τάξον εἰς τὴν καρδίαν σου πάντα ὅσα ἐγὼ δεικνύω σοι, διότι
ἕνεκα τοῦ δεῖξαί σοι εἰσελήλυθας ὧδε, καὶ δείξεις πάντα ὅσα σὺ ὁρᾷς τῷ
5 οἴκῳ τοῦ Ἰσραήλ. [5]καὶ ἰδοὺ περίβολος ἔξωθεν τοῦ οἴκου κύκλῳ, καὶ ἐν τῇ
χειρὶ τοῦ ἀνδρὸς κάλαμος τὸ μέτρον πηχῶν ἓξ ἐν πήχει καὶ παλαιστῆς, καὶ
διεμέτρησε τὸ προτείχισμα, πλάτος ἴσον τῷ καλάμῳ, καὶ τὸ ὕψος αὐτοῦ ἴσον
6 τῷ καλάμῳ. [6]καὶ εἰσῆλθεν εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς ἐν
7 ἑπτὰ ἀναβαθμοῖς, καὶ διεμέτρησε τὸ αἰλὰμ τῆς πύλης ἴσον τῷ καλάμῳ, [7]καὶ
τὸ θεὲ ἴσον τῷ καλάμῳ τὸ μῆκος καὶ ἴσον τῷ καλάμῳ τὸ πλάτος, καὶ τὸ
αἰλὰμ ἀνὰ μέσον τοῦ θεηλὰθ πηχῶν ἕξ· καὶ τὸ θεὲ τὸ δεύτερον ἴσον τῷ
καλάμῳ πλάτος καὶ ἴσον τῷ καλάμῳ μῆκος, καὶ τὸ αἰλὰμ πηχέων πέντε·
8 [8]καὶ τὸ θεὲ τὸ τρίτον ἴσον τῷ καλάμῳ μῆκος καὶ ἴσον τῷ καλάμῳ πλάτος,

---

20. αναβατην γιγαντα ... κυρ. κυριος 23. εχθρων ... επεσον 25. κυρ. κυρ. ο θεος ... αναστρεψω την αιχμ. ιακωβ 26. λημψομαι 27. ενωπιον εθνων πολλων XL. 1. αλωθηναι .... χειρ κυρ. επ εμε 2. γην του ισρ. ... επ ορους υψηλου ... επ αυτου 3. μετρον εν τη χειρι αυτου ... ιστηκει 4. om Ον ... εωρακας συ ... ιδε εν τοις ο. σ. και ... δικνυω ... παντας οσα ... οικω ισραηλ 5. πηχεων ... το πλατος 6. διεμετρησεν το θεε εξ ενθεν και εξ ενθεν· και το αιλαμ 7. ελαμ ... θεε pro θεηλαθ ... το πλατος ... om και ισ. τω καλ. μηκος ... το μηκος ... το πλατος ... in f. add εσωθεν ισον τω καλαμω

Digitized by Google

⁹καὶ τὸ αἰλὰμ τοῦ πυλῶνος πλησίον τοῦ αἰλὰμ τῆς πύλης πηχῶν ὀκτώ, 9
καὶ τὰ αἰλεῦ πηχῶν δύο· καὶ τὰ αἰλὰμ τῆς πύλης ἔσωθεν, ¹⁰καὶ τὰ θεὲ 10
τῆς πύλης τοῦ θεὲ κατέναντι, τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ μέτρον ἓν τοῖς
τρισίν, μέτρον ἓν τοῖς αἰλὰμ ἔνθεν καὶ ἔνθεν. ¹¹καὶ διεμέτρησε τὸ πλάτος 11
τῆς θύρας τοῦ πυλῶνος πηχῶν δέκα, καὶ τὸ εὖρος τοῦ πυλῶνος πηχῶν δε-
κατριῶν. ¹²καὶ πῆχυς ἐπισυναγόμενος ἐπὶ πρόσωπον τῶν θεεὶμ ἔνθεν καὶ ἔνθεν, 12
καὶ τὸ θεὲ πηχῶν ἓξ ἔνθεν καὶ πηχῶν ἓξ ἔνθεν. ¹³καὶ διεμέτρησε τὴν πύλην ἀπὸ 13
τοῦ τοίχου τοῦ θεὲ ἐπὶ τὸν τοῖχον τοῦ θεέ, πλάτος πήχεις εἴκοσι καὶ πέντε·
αὕτη πύλη ἐπὶ πύλην. ¹⁴καὶ τὸ αἴθριον τοῦ αἰλὰμ τῆς πύλης ἔξωθεν, πή- 14
χεις εἴκοσι θεεὶμ τῆς πύλης κύκλῳ. ¹⁵καὶ τὸ αἴθριον τῆς πύλης ἔξωθεν εἰς 15
τὸ αἴθριον αἰλὰμ τῆς πύλης ἔσωθεν πηχῶν πεντήκοντα. ¹⁶καὶ θυρίδες κρυπταὶ 16
ἐπὶ τὸ θεεὶμ καὶ ἐπὶ τὰ αἰλὰμ ἔσωθεν τῆς πύλης τῆς αὐλῆς κυκλόθεν· καὶ
ὡσαύτως τοῖς αἰλὰμ θυρίδας κύκλῳ ἔσωθεν, καὶ ἐπὶ τὸ αἰλὰμ φοίνικες ἔν-
θεν καὶ ἔνθεν. ¹⁷καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ 17
παστοφόρια καὶ περίστυλα κύκλῳ τῆς αὐλῆς, τριάκοντα παστοφόρια ἐν τοῖς
περιστύλοις, ¹⁸καὶ αἱ στοαὶ κατὰ νώτου τῶν πυλῶν, κατὰ τὸ μῆκος τῶν 18
πυλῶν τὸ περίστυλον τὸ ὑποκάτω. ¹⁹καὶ διεμέτρησε τὸ πλάτος τῆς αὐλῆς 19
ἀπὸ τοῦ αἰθρίου τῆς πύλης τῆς ἐξωτέρας ἔσωθεν ἐπὶ τὸ αἴθριον τῆς πύλης
τῆς βλεπούσης ἔξω, πήχεις ἑκατὸν τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἤγαγέ
με ἐπὶ βορρᾶν, ²⁰καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς βορρᾶν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ, 20
καὶ διεμέτρησεν αὐτήν, τό τε μῆκος αὐτῆς καὶ τὸ πλάτος, ²¹καὶ τὸ θεὲ 21
τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ τὸ αἰλεῦ καὶ τὰ αἰλαμμὼν καὶ τοὺς φοίνικας
αὐτῆς. καὶ ἐγένετο κατὰ τὰ μέτρα τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολὰς
πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ πηχῶν εἰκοσιπέντε τὸ εὖρος αὐτῆς.
²²καὶ αἱ θυρίδες αὐτῆς καὶ τὰ αἰλαμμὼν καὶ οἱ φοίνικες αὐτῆς καθὼς ἡ 22
πύλη ἡ βλέπουσα κατὰ ἀνατολάς. καὶ ἐν ἑπτὰ κλιμακτῆρσιν ἀνέβαινον ἐπ'
αὐτόν, καὶ τὰ αἰλαμμὼν ἔσωθεν. ²³καὶ πύλη τῇ αὐλῇ τῇ ἐσωτέρᾳ βλέπουσα 23
ἐπὶ πύλην τοῦ βορρᾶ ὃν τρόπον τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς.
καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις ἑκατόν. ²⁴καὶ ἤγαγέ 24
με κατὰ νότον, καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς νότον, καὶ διεμέτρησεν αὐτὴν
καὶ τὰ θεὲ καὶ τὰ αἰλεῦ καὶ τὰ αἰλαμμὼν κατὰ τὰ μέτρα ταῦτα. ²⁵καὶ 25
αἱ θυρίδες αὐτῆς καὶ τὰ αἰλαμμὼν κυκλόθεν καθὼς αἱ θυρίδες τοῦ αἰλάμ,
πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ πηχῶν εἰκοσιπέντε τὸ εὖρος αὐτῆς.
²⁶καὶ ἑπτὰ κλιμακτῆρες αὐτῇ καὶ αἰλαμμὼν ἔσωθεν, καὶ φοίνικες αὐτῇ, 26
εἷς ἔνθεν καὶ εἷς ἔνθεν ἐπὶ τὰ αἰλεῦ. ²⁷καὶ πύλη κατέναντι τῆς πύλης τῆς 27
αὐλῆς τῆς ἐσωτέρας πρὸς νότον. καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ
πύλην, πήχεις ἑκατὸν τὸ εὖρος πρὸς νότον. ²⁸καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν 28
τὴν ἐσωτέραν τῆς πύλης τῆς πρὸς νότον, καὶ διεμέτρησε τὴν πύλην κατὰ
τὰ μέτρα ταῦτα, ²⁹καὶ τὰ θεὲ καὶ τὰ αἰλεῦ καὶ τὰ αἰλαμμὼν κατὰ τὰ 29

8. και διεμετρησεν το ελαμ της πυλης πηχ. οκτ. 9. το αιλευ π. δεκα· κ. το αιλαμ 10. το θεε τ. πυλ. θεε ... τρισιν, και μετρ. εν τω ελαμ 11. πηχεων bis 12. κατα προσωπον τῶ θεε πηχεος ενος και πηχεος ενος οριον ενθεν κ. ενθεν ... πηχεων bis 13. απο του τειχους ... του θεε· πλατος εικοσιπεντε 14. πηχεις εικοσιπεντε · και το θεεμ της πυλ. κ. 15. εις το αιθρ. της πυλης του αιλαμ της πυλ. εσωθεν πηχεων οκτω 16. κρυπται επι τα θεε ... om και επι τα αιλαμ ... τοις αιλαμ θυριδες 17. και ιδου γαζοφυλακια 18. om αι ... τω υποκατω 19. κατ ανατολας ... εισηγαγεν 21. και τα ελεου και το ελαμμων ... κατ ανατολας ... πηχεων bis 22. κατ ανατολας ... επ αυτην 23. και τη πυλη τη αυτη (sed corr. est αυλη τη) ... κατ ανατολας 24. εισηγαγεν ... αιλαμμωθ ... μετρ. τα αυτα 25. αιλαμμωθ ... πηχεων bis 26. ελαμμωθ ... φοινικ. αυτης 27. εκατον και το ευρ. πρ. ν. πηχεις εικοσιπεντε 28. μετρ. τα αυτα 29. αιλαμμωθ



Digitized by Google

μέτρα ταῦτα, καὶ θυρίδες αὐτῇ καὶ τῷ αἰλαμμὼν κύκλῳ, πήχεις πεντήκοντα
31 τὸ μῆκος αὐτῆς, καὶ τὸ εὖρος πήχεις εἰκοσιπέντε [31] τοῦ αἰλὰμ εἰς τὴν αὐ-
32 λὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεῦ, καὶ ὀκτὼ κλιμακτῆρες. [32] καὶ
εἰςήγαγέ με εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολάς, καὶ διεμέτρησεν
33 αὐτὴν κατὰ τὰ μέτρα ταῦτα, [33] καὶ τὰ θεὲ καὶ τὰ αἰλεῦ καὶ τὰ αἰλαμμὼν
κατὰ τὰ μέτρα ταῦτα, καὶ θυρίδες αὐτῇ καὶ αἰλαμμὼν κύκλῳ, πήχεις πεν-
34 τήκοντα μῆκος αὐτῆς, καὶ εὖρος αὐτῆς πήχεις εἰκοσιπέντε. [34] καὶ αἰλαμμὼν
εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ φοίνικες ἐπὶ τοῦ αἰλεῦ ἔνθεν καὶ ἔνθεν,
35 καὶ ὀκτὼ κλιμακτῆρες αὐτῇ. [35] καὶ εἰςήγαγέ με εἰς τὴν πύλην τὴν πρὸς
36 βοῤῥᾶν, καὶ διεμέτρησε κατὰ τὰ μέτρα ταῦτα, [36] καὶ τὰ θεὲ καὶ τὰ αἰλεῦ
καὶ τὰ αἰλαμμὼν, καὶ θυρίδες αὐτῇ κύκλῳ, καὶ τὸ αἰλαμμὼν αὐτῆς πήχεις
37 πεντήκοντα μῆκος αὐτῆς, καὶ εὖρος πήχεις εἰκοσιπέντε, [37] καὶ τὰ αἰλαμμὼν
εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεῦ ἔνθεν καὶ ἔνθεν, καὶ
38 ὀκτὼ κλιμακτῆρες αὐτῇ. [38] τὰ παστοφόρια αὐτῆς καὶ τὰ θυρώματα αὐτῆς
39 καὶ τὰ αἰλαμμὼν αὐτῆς ἐπὶ τῆς πύλης τῆς δευτέρας ἔκρυσις, [39] ὅπως σφά-
40 ζωσιν ἐν αὐτῇ τὰ ὑπὲρ ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας. [40] καὶ κατὰ νώτου
τοῦ ῥύακος τῶν ὁλοκαυτωμάτων τῆς βλεπούσης πρὸς βοῤῥᾶν, δύο τράπεζαι
πρὸς ἀνατολὰς κατὰ νώτου τῆς δευτέρας, καὶ τοῦ αἰλὰμ τῆς πύλης δύο τρά-
41 πεζαι κατὰ ἀνατολάς. [41] τέσσαρες ἔνθεν καὶ τέσσαρες ἔνθεν κατὰ νώτου τῆς
πύλης, ἐπ' αὐτὰς σφάζουσι τὰ θύματα, κατέναντι τῶν ὀκτὼ τραπεζῶν τῶν
42 θυμάτων. [42] καὶ τέσσαρες τράπεζαι τῶν ὁλοκαυτωμάτων λίθιναι λελαξευμέναι
πήχεως καὶ ἡμίσους τὸ πλάτος, καὶ πήχεων δύο ἡμίσους τὸ μῆκος, καὶ ἐπὶ
πῆχυν τὸ ὕψος· ἐπ' αὐτὰ ἐπιθήσουσι τὰ σκεύη, ἐν οἷς σφάζουσιν ἐκεῖ τὰ
43 ὁλοκαυτώματα καὶ τὰ θύματα. [43] καὶ παλαιστὴν ἕξουσι γεῖσος λελαξευμένον
ἔσωθεν κύκλῳ, καὶ ἐπὶ τὰς τραπέζας ἐπάνωθεν στέγας τοῦ καλύπτεσθαι
44 ἀπὸ τοῦ ὑετοῦ καὶ ἀπὸ τῆς ξηρασίας. [44] καὶ εἰςήγαγέ με εἰς τὴν αὐλὴν τὴν
ἐσωτέραν, καὶ ἰδοὺ δύο ἐξέδραι ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, μία κατὰ νώτου
τῆς πύλης τῆς βλεπούσης πρὸς βοῤῥᾶν φέρουσα πρὸς νότον, καὶ μία κατὰ
45 νώτου τῆς πύλης τῆς πρὸς νότον βλεπούσης δὲ πρὸς βοῤῥᾶν. [45] καὶ εἶπε
πρὸς μέ Ἡ ἐξέδρα αὕτη ἡ βλέπουσα πρὸς νότον τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι
46 τὴν φυλακὴν τοῦ οἴκου, [46] καὶ ἡ ἐξέδρα ἡ βλέπουσα πρὸς βοῤῥᾶν τοῖς ἱε-
ρεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ θυσιαστηρίου· ἐκεῖνοί εἰσιν οἱ υἱοὶ
47 Σαδδοὺκ οἱ ἐγγίζοντες ἐκ τοῦ Λευὶ πρὸς κύριον λειτουργεῖν αὐτῷ. [47] καὶ διε-
μέτρησε τὴν αὐλὴν μῆκος πηχῶν ἑκατὸν καὶ εὖρος πήχεις ἑκατὸν ἐπὶ τὰ
48 τέσσαρα μέρη αὐτῆς, καὶ τὸ θυσιαστήριον ἀπέναντι τοῦ οἴκου. [48] καὶ εἰςή-
γαγέ με εἰς τὸ αἰλὰμ τοῦ οἴκου. καὶ διεμέτρησε τὸ αἲλ τοῦ αἰλὰμ πηχῶν
πέντε τὸ πλάτος ἔνθεν καὶ πηχῶν πέντε ἔνθεν, καὶ τὸ εὖρος τοῦ θυρώματος
πηχῶν δεκατεσσάρων, καὶ ἐπωμίδες τῆς θύρας τοῦ αἰλὰμ πηχῶν τριῶν

---

29. μετρ. τα αυτα ... και τα αιλαμμωθ κυκλω ... ευρος αυτης π. εικοσιπεντε· [30] και αιλαμμωθ κυκλω μηκος πεντε και εικοσι πηχεων και πλατος πεντε πηχεων 31. και αιλαμμων εις 32. κατ ανατολας 33. αιλαμμωθ ... μετρ. τα αυτα· και αι θυριδ. αυτης και τα αιλαμμωθ ... και το ευρος 34. αιλαμμωθ 36. αιλαμμωθ και αι θυριδες αυτης ... και τα αιλαμμωθ α. κυκλω πηχ. π. το μ. α. και ευρ. αυτης 37. και αιλαμμωθ ... τω ελευ 38. αιλαμμωθ ... in f. add εκει πλυνουσιν την ολοκαυτωσιν 39. εν δε τω αιλαμ της πυλης ζυο (corrige δυο) τραπεζαι ενθεν και δυο τραπεζαι ενθεν· εκ χρυσιου οπως σφαζωσιν την ολοκαυτωσιν και τα υπερ αμ. 40. ροαχος ... τραπεζαι· και η τραπεζαι κατ ανατολας 41. επ αυτα σφαξουσιν ... τραπεζων των θυμιαματων 42. πηχεος ... δυο και ημισους ... επ αυτας επιθησουσιν εν οις 43. εξωθεν κυκλω 46. σαδδουχ 47. πηχεων ... ευρος πηχεων ... τεσσερα 48. διεμετρησεν το αιλαμ πηχεων ... πηχεων semper

Digitized by Google

ἔνθεν καὶ πηχῶν τριῶν ἔνθεν. [49] καὶ τὸ μῆκος τοῦ αἰλὰμ πηχῶν εἴκοσι, καὶ 49
τὸ εὖρος πηχῶν δώδεκα· καὶ ἐπὶ δέκα ἀναβαθμῶν ἀνέβαινον ἐπ' αὐτό, καὶ
στῦλοι ἦσαν ἐπὶ τὸ αἰλάμ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν.

## XLI.

Καὶ εἰσήγαγέ με εἰς τὸν ναόν, ᾧ διεμέτρησε τὸ αἰλὰμ πηχῶν ἓξ τὸ
πλάτος ἔνθεν, [2] καὶ πηχῶν ἓξ τὸ εὖρος τοῦ αἰλὰμ ἔνθεν, καὶ τὸ εὖρος τοῦ 2
πυλῶνος πηχῶν δέκα, καὶ ἐπωμίδες τοῦ πυλῶνος πηχῶν πέντε ἔνθεν καὶ
πηχῶν πέντε ἔνθεν. καὶ διεμέτρησε τὸ μῆκος αὐτοῦ πηχῶν τεσσαράκοντα
καὶ τὸ εὖρος πηχῶν εἴκοσι. [3] καὶ εἰσῆλθεν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ 3
διεμέτρησε τὸ αἲλ τοῦ θυρώματος πηχῶν δύο, καὶ τὸ θύρωμα πηχῶν ἕξ,
καὶ τὰς ἐπωμίδας τοῦ θυρώματος πηχῶν ἑπτὰ ἔνθεν καὶ πηχῶν ἑπτὰ ἔν-
θεν. [4] καὶ διεμέτρησε τὸ μῆκος τῶν θυρῶν πηχῶν τεσσαράκοντα καὶ τὸ εὖ- 4
ρος πηχῶν εἴκοσι κατὰ πρόσωπον τοῦ ναοῦ. καὶ εἶπε Τοῦτο τὸ ἅγιον τῶν
ἁγίων. [5] καὶ διεμέτρησε τὸν τοῖχον τοῦ οἴκου πηχῶν ἓξ καὶ τὸ εὖρος τῆς 5
πλευρᾶς πηχῶν τεσσάρων κυκλόθεν, [6] καὶ πλευρὰ πλευρὸν ἐπὶ πλευρὸν τριά- 6
κοντα τρὶς δίς· καὶ διάστημα ἐν τῷ τοίχῳ τοῦ οἴκου ἐν τοῖς πλευροῖς κύ-
κλῳ τοῦ εἶναι τοῖς ἐπιλαμβανομένοις ὁρᾶν, ὅπως τὸ παράπαν μὴ ἅπτωνται
τῶν τοίχων τοῦ οἴκου. [7] καὶ τὸ εὖρος τῆς ἀνωτέρας τῶν πλευρῶν κατὰ τὸ 7
πρόςθεμα ἐκ τοῦ τοίχου, πρὸς τὴν ἀνωτέραν κύκλῳ τοῦ οἴκου, ὅπως δια-
πλατύνηται ἄνωθεν, καὶ ἐκ τῶν κάτωθεν ἀναβαίνωσιν ἐπὶ τὰ ὑπερῷα καὶ
ἐκ τῶν γεισῶν ἐπὶ τὰ τριώροφα, [8] καὶ τὸ θραὲλ τοῦ οἴκου ὕψος κύκλῳ διά- 8
στημα τῶν πλευρῶν ἴσον τῷ καλάμῳ πηχῶν ἕξ. διαστήματα [9] καὶ εὖρος 9
τοῦ τοίχου τῆς πλευρᾶς ἔξωθεν πηχῶν πέντε, καὶ τὰ ἀπόλοιπα τὰ ἀνὰ μέσον
τῶν πλευρῶν τοῦ οἴκου [10] καὶ ἀνὰ μέσον τῶν ἐξεδρῶν εὖρος πηχῶν εἴκοσι, 10
τὸ περιφερὲς τῷ οἴκῳ κύκλῳ. [11] καὶ αἱ θύραι τῶν ἐξεδρῶν ἐπὶ τὸ ἀπόλοι- 11
πον τῆς θύρας τῆς μιᾶς τῆς πρὸς βορρᾶν· καὶ ἡ θύρα ἡ μία πρὸς νότον,
καὶ τὸ εὖρος τοῦ φωτὸς τοῦ ἀπολοίπου πηχῶν πέντε πλάτος κυκλόθεν. [12] καὶ 12
τὸ διορίζον κατὰ πρόσωπον τοῦ ἀπολοίπου ὡς πρὸς θάλασσαν πηχῶν ἑβδο-
μήκοντα, πλάτος τοῦ τοίχου τοῦ διορίζοντος πηχῶν πέντε, εὖρος κυκλόθεν
καὶ μῆκος αὐτοῦ πηχῶν ἐνενήκοντα. [13] καὶ διεμέτρησε κατέναντι τοῦ οἴκου 13
μῆκος πηχῶν ἑκατόν, καὶ τὰ ἀπόλοιπα καὶ τὰ διορίζοντα καὶ οἱ τοῖχοι αὐ-
τῶν μῆκος πηχῶν ἑκατόν, [14] καὶ τὸ εὖρος κατὰ πρόσωπον τοῦ οἴκου καὶ τὰ 14
ἀπόλοιπα κατέναντι πηχῶν ἑκατόν. [15] καὶ διεμέτρησε μῆκος τοῦ διορίζοντος 15
κατὰ πρόσωπον τοῦ ἀπολοίπου τῶν κατόπισθεν τοῦ οἴκου ἐκείνου, καὶ τὰ
ἀπόλοιπα ἔνθεν καὶ ἔνθεν πηχῶν ἑκατὸν τὸ μῆκος. καὶ ὁ ναὸς καὶ αἱ γωνίαι
καὶ τὸ αἰλὰμ τὸ ἐξώτερον πεφατνωμένα. [16] καὶ αἱ θυρίδες δικτυωταί, ὑπο- 16
φαύσεις κύκλῳ τοῖς τρισὶν ὥστε διακύπτειν. καὶ ὁ οἶκος καὶ τὰ πλησίον ἐξυ-
λωμένα κύκλῳ, καὶ τὸ ἔδαφος καὶ ἐκ τοῦ ἐδάφους ἕως τῶν θυρίδων, καὶ
αἱ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς εἰς τὸ διακύπτειν. [17] καὶ ἕως πλησίον 17
τῆς ἐσωτέρας καὶ ἕως τῆς ἐξωτέρας, καὶ ἐφ' ὅλον τὸν τοῖχον κύκλῳ, ἐν τῷ

---

49. πηχεις bis ... επι τα αιλαμ XLI. 1. ναον και διεμ. ... πηχεις 2. πηχεις ... πηχεων bis ... πηχεις ter (inde ab ενθεν, και πηχ.) ... μηκος αυτης ... τεσσερακοντα και ευρος 3. το αιλαμ ... πηχεις quater 4. διεμ. το ευρος των θυρωματων πηχεις τεσσεραχ. και ευρος πηχεις ... και ειπεν προς με 5. πηχεις εξ ... πηχεις τεσσαρες 6. και τα πλευρα ... και τρις δις ... διαστεμα ... πλευροις του οικου κυκλω 7. προςθεμα εκ τ. οικου ... μεσων pro γεισων 8. και του θραελ ... πηχεων διαστημα 9. πηχεων ... απολοιπα ανα 10. και ευρος πηχεων ... του οικου κυκλω 11. και αι θυριδες ... πηχεων 12. πηχεων ter 13. πηχεων priore loco 15. διεμετρ. τον τοιχον του ... ed. rom. κατωπισθεν 17. ολ. τον οικον κυκλοθεν

Digitized by Google

18 ἔσωθεν καὶ ἐν τῷ ἔξωθεν, [18] γεγλυμμένα Χερουβίμ· καὶ φοίνικες ἀνὰ μέσον
19 Χεροὺβ καὶ ἀνὰ μέσον Χεροὺβ. δύο πρόσωπα τῷ Χεροὺβ, [19] πρόσωπον ἀν-
θρώπου πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, καὶ πρόσωπον λέοντος πρὸς τὸν
20 φοίνικα ἔνθεν καὶ ἔνθεν· διαγεγλυμμένος ὁ οἶκος κυκλόθεν [20] ἐκ τοῦ ἐδά-
φους ἕως τοῦ φατνώματος, τὰ Χερουβὶμ καὶ οἱ φοίνικες διαγεγλυμμένοι.
21 [21] καὶ τὸ ἅγιον καὶ ὁ ναὸς ἀναπτυσσόμενος τετράγωνα, κατὰ πρόσωπον τῶν
22 ἁγίων ὅρασις ὡς ὄψις [22] θυσιαστηρίου ξυλίνου, πηχῶν τριῶν τὸ ὕψος αὐτοῦ,
καὶ τὸ μῆκος πηχῶν δύο, καὶ τὸ εὖρος πηχῶν δύο· καὶ κέρατα εἶχε, καὶ ἡ
βάσις αὐτοῦ καὶ οἱ τοῖχοι αὐτοῦ ξύλινοι. καὶ εἶπε πρὸς μέ Αὕτη ἡ τράπεζα
23 ἡ πρὸ προςώπου κυρίου. καὶ δύο θυρώματα τῷ ναῷ, [23] καὶ δύο θυρώματα
24 τῷ ἁγίῳ, [24] τοῖς δυσὶ θυρώμασι τοῖς στροφωτοῖς· δύο θυρώματα τῷ ἑνί,
25 καὶ δύο θυρώματα τῇ θύρᾳ τῇ δευτέρᾳ. [25] καὶ γλυφὴ ἐπ' αὐτῶν, καὶ ἐπὶ τὰ
θυρώματα τοῦ ναοῦ Χερουβὶμ· καὶ φοίνικες κατὰ τὴν γλυφὴν τῶν ἁγίων,
26 καὶ σπουδαῖα ξύλα κατὰ πρόσωπον τοῦ αἰλὰμ ἔξωθεν, [26] καὶ θυρίδες κρυπταί.
καὶ διεμέτρησεν ἔνθεν καὶ ἔνθεν, εἰς τὰ ὀροφώματα τοῦ αἰλάμ, καὶ τὰ
πλευρὰ τοῦ οἴκου ἐζυγωμένα.

## XLII.

Καὶ εἰςήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν κατὰ ἀνατολὰς κατέναντι
τῆς πύλης τῆς πρὸς βοῤῥᾶν· καὶ εἰςήγαγέ με, καὶ ἰδοὺ ἐξέδραι πέντε ἐχό-
2 μεναι τοῦ ἀπολοίπου καὶ ἐχόμεναι τοῦ διορίζοντος πρὸς βοῤῥᾶν, [2] ἐπὶ πήχεις
3 ἑκατὸν μῆκος πρὸς βοῤῥᾶν, καὶ τὸ πλάτος πεντήκοντα, [3] διαγεγραμμέναι ὃν
τρόπον αἱ πύλαι τῆς αὐλῆς τῆς ἐσωτέρας, καὶ ὃν τρόπον τὰ περίστυλα τῆς
4 αὐλῆς τῆς ἐξωτέρας ἐστοιχισμέναι, ἀντιπρόςωποι στοαὶ τρισσαί. [4] καὶ κατέ-
ναντι τῶν ἐξεδρῶν περίπατος πηχῶν δέκα τὸ πλάτος, ἐπὶ πήχεις ἑκατὸν τὸ
5 μῆκος· καὶ τὰ θυρώματα αὐτῶν πρὸς βοῤῥᾶν, [5] καὶ οἱ περίπατοι οἱ ὑπερῷοι
ὡςαύτως. ὅτι ἐξείχετο τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περιστύ-
6 λου, καὶ τὸ διάστημα· οὕτως περίστυλον καὶ διάστημα, [6] καὶ οὕτως στοαὶ
δύο. διότι τριπλαῖ ἦσαν, καὶ στύλους οὐκ εἶχον καθὼς οἱ στῦλοι τῶν ἐξωτέ-
ρων· διὰ τοῦτο ἐξείχοντο τῶν ὑποκάτωθεν καὶ τῶν μέσων ἀπὸ τῆς γῆς.
7 [7] καὶ φῶς ἔξωθεν, ὃν τρόπον αἱ ἐξέδραι τῆς αὐλῆς τῆς ἐξωτέρας αἱ βλέ-
πουσαι ἀπέναντι τῶν ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν, μῆκος πηχῶν πεντήκοντα.
8 [8] ὅτι τὸ μῆκος τῶν ἐξεδρῶν τῶν βλεπουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν
ἦν πηχῶν πεντήκοντα, καὶ αὗταί εἰσιν αἱ ἀντιπρόςωποι ταύταις· τὸ πᾶν
9 πηχῶν ἑκατόν. [9] καὶ αἱ θύραι τῶν ἐξεδρῶν τούτων τῆς εἰςόδου τῆς πρὸς
10 ἀνατολὰς τοῦ εἰςπορεύεσθαι δι' αὐτῶν ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας [10] κατὰ
τὸ φῶς τοῦ ἐν ἀρχῇ περιπάτου· καὶ τὰ πρὸς νότον κατὰ πρόσωπον τοῦ
νότου, κατὰ πρόςωπον τοῦ ἀπολοίπου καὶ κατὰ πρόςωπον τοῦ διορίζον-
11 τος· καὶ αἱ ἐξέδραι [11] καὶ ὁ περίπατος κατὰ πρόςωπον αὐτῶν, κατὰ τὰ
μέτρα ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν καὶ κατὰ τὸ μῆκος αὐτῶν καὶ κατὰ τὸ
εὖρος αὐτῶν καὶ κατὰ πάσας τὰς ἐξόδους αὐτῶν καὶ κατὰ πάσας τὰς
ἐπιστροφὰς αὐτῶν καὶ κατὰ τὰ φῶτα αὐτῶν καὶ κατὰ τὰ θυρώματα
12 αὐτῶν, [12] τῶν ἐξεδρῶν τῶν πρὸς νότον, καὶ κατὰ τὰ θυρώματα ἀπ' ἀρ-
χῆς τοῦ περιπάτου ὡς ἐπὶ φῶς διαστήματος καλάμου, καὶ κατὰ ἀνατολὰς

17. εν τω εξ. μετρα [18] και γεγλυμμ. χερουβειν κ. φοινικες· και φοινιξ ανα μ. χερουβειμ χερουβ δυο πρ. των χερουβ 19. ολος ο οικ. κυκλ. 20. χερουβειν 21. αναπτυσσομενα 22. πηχεων ter ... τραπεζα κατα προςωπον 23. και τω αγιω δυο θυρωματα 24. τη δευτερα θυρα 25. χερουβειν 26. εξυλωμενα XLII. 1. εξωτεραν ... εξεδραι δεκαπεντε 2. κατα προςωπον επι ... πεντηκ. πηχεων 3. εστιχισμεναι 5. om το ... διαστεμα bis 6. om δυο ... των εξεδρων· δια 7. ον τροπ. και αι ... πηχεων 8. πηχεων bis ... om αι 10. του εν αρχη του 11. των εξεδρων ... βορραν· κατα 12. κατ ανατολας

Digitized by Google

τοῦ εἰςπορεύεσθαι δι' αὐτῶν. [13] καὶ εἶπε πρὸς μέ Αἱ ἐξέδραι αἱ πρὸς βοῤῥᾶν 13
καὶ αἱ ἐξέδραι αἱ πρὸς νότον, οὖσαι κατὰ πρόςωπον τῶν διαστημάτων, αὗ-
ταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγονται ἐκεῖ οἱ ἱερεῖς υἱοὶ Σαδδοὺκ
οἱ ἐγγίζοντες πρὸς κύριον τὰ ἅγια τῶν ἁγίων, καὶ ἐκεῖ θήσουσι τὰ ἅγια τῶν
ἁγίων καὶ τὴν θυσίαν καὶ τὰ περὶ ἁμαρτίας καὶ τὰ περὶ ἀγνοίας, διότι ὁ
τόπος ἅγιος. [14] οὐκ εἰςελεύσονται ἐκεῖ πάρεξ τῶν ἱερέων, οὐκ ἐξελεύσονται 14
ἐκ τοῦ ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διὰ παντὸς ἅγιοι ὦσιν οἱ
προςάγοντες· καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν ἐν οἷς λειτουργοῦσιν ἐν
αὐτοῖς, διότι ἅγιά ἐστι· καὶ ἐνδύσονται ἱμάτια ἕτερα ὅταν ἅπτωνται τοῦ
λαοῦ. [15] καὶ συνετελέσθη ἡ διαμέτρησις τοῦ οἴκου ἔσωθεν. καὶ ἐξήγαγέ με 15
καθ' ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς ἀνατολάς, καὶ διεμέτρησε τὸ ὑπό-
δειγμα τοῦ οἴκου κυκλόθεν ἐν διατάξει. [16] καὶ ἔστη κατὰ νώτου τῆς πύλης 16
τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ διεμέτρησε πεντακοσίους ἐν τῷ καλάμῳ
τοῦ μέτρου. [17] καὶ ἐπέστρεψε πρὸς βοῤῥᾶν καὶ διεμέτρησε τὸ κατὰ πρόςω- 17
πον τοῦ βοῤῥᾶ, πήχεις πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. [18] καὶ ἐπέ- 18
στρεψε πρὸς θάλασσαν καὶ διεμέτρησε τὸ κατὰ πρόςωπον θαλάσσης, πεντα-
κοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. [19] καὶ ἐπέστρεψε πρὸς νότον καὶ διεμέτρησε 19
κατέναντι τοῦ νότου, πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου, [20] τὰ τέσσαρα 20
μέρη τοῦ αὐτοῦ καλάμου. καὶ διέταξεν αὐτὸν καὶ περίβολον αὐτῶν κύκλῳ,
πεντακοσίων πρὸς ἀνατολὰς καὶ πεντακοσίων πηχῶν εὖρος, τοῦ διαστέλλειν
ἀνὰ μέσον τῶν ἁγίων καὶ ἀνὰ μέσον τοῦ προτειχίσματος τοῦ ἐν διατάξει
τοῦ οἴκου.

## XLIII.

Καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολάς, καὶ ἐξή-
γαγέ με· [2] καὶ ἰδοὺ δόξα θεοῦ Ἰσραὴλ ἤρχετο κατὰ τὴν ὁδὸν τὴν πρὸς 2
ἀνατολάς, καὶ φωνὴ τῆς παρεμβολῆς ὡς φωνὴ διπλασιαζόντων πολλῶν· καὶ
ἡ γῆ ἐξέλαμπεν ὡς φέγγος ἀπὸ τῆς δόξης κυκλόθεν. [3] καὶ ἡ ὅρασις ἣν ἴδον 3
κατὰ τὴν ὅρασιν ἣν ἴδον ὅτε εἰςεπορευόμην τοῦ χρῖσαι τὴν πόλιν· καὶ ἡ
ὅρασις τοῦ ἅρματος οὗ ἴδον κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ
Χοβάρ. καὶ πίπτω ἐπὶ πρόςωπόν μου, [4] καὶ δόξα κυρίου εἰςῆλθεν εἰς τὸν οἶ- 4
κον κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. [5] καὶ ἀνέλαβέ 5
με πνεῦμα καὶ εἰςήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ πλήρης
δόξης ὁ κυρίου οἶκος. [6] καὶ ἔστην, καὶ ἰδοὺ φωνὴ ἐκ τοῦ οἴκου λαλοῦντος 6
πρὸς μέ, καὶ ὁ ἀνὴρ εἱστήκει ἐχόμενός μου, [7] καὶ εἶπε πρὸς μέ Υἱὲ ἀνθρώ- 7
που, ἑώρακας τὸν τόπον τοῦ θρόνου μου καὶ τὸν τόπον τοῦ ἴχνους τῶν πο-
δῶν μου, ἐν οἷς κατασκηνώσῃ τὸ ὄνομά μου ἐν μέσῳ οἴκου Ἰσραὴλ τὸν
αἰῶνα· καὶ οὐ βεβηλώσουσιν οὐκέτι οἶκος Ἰσραὴλ τὸ ὄνομα τὸ ἅγιόν μου
αὐτοὶ καὶ οἱ ἡγούμενοι αὐτῶν ἐν τῇ πορνείᾳ αὐτῶν, καὶ ἐν τοῖς φόνοις τῶν
ἡγουμένων ἐν μέσῳ αὐτῶν, [8] ἐν τῷ τιθέναι αὐτοὺς τὸ πρόθυρόν μου ἐν τοῖς 8
προθύροις αὐτῶν καὶ τὰς φλιάς μου ἐχομένας τῶν φλιῶν αὐτῶν, καὶ ἔδω-
καν τὸν τοῖχόν μου ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν, καὶ ἐβεβήλωσαν τὸ
ὄνομα τὸ ἅγιόν μου ἐν ταῖς ἀνομίαις αὐτῶν αἷς ἐποίουν· καὶ ἐξέτριψα αὐ-

---

13. αι ουσαι ... διαστεματων ... οι υιοι ... om και εκει θησουσι τα αγια τ. αγιων ... in f. add εστιν 14. εισελευσεται ... ιερεων και ουχ 15. κατ ανατολας 16. κατ ανατολας 18. της θαλασσης 19. διεμετρ. κατα προςωπον του νοτου 20. εις τα τεσσαρα μ. τ. α. μετρου ... περιβ. αυτον κυκλω ... πηχεων XLIII. 1. κατ ανατολας 2. οδον της πυλης της βλεπουσης προς 2. δοξης κυριου 3. αρμ. ου ειδον κ. τ. ο. ου ειδον επι 4. κατ ανατολας 5. δοξης κυριου ο οικος 6. και ανηρ ιστηκει 7. εωρακ. υιε ανθρ. ... ed. rom. ποδ. μου; ... κατασκηνωσει ... εμμεσω του οικου ... εις τον αιωνα και ου μη ... ο οικος ... μου το αγιον ... εμμεσω 8. φλειας ... φλειων

Digitized by Google

9 τοὺς ἐν θυμῷ μου καὶ ἐν φόνῳ. [9]καὶ νῦν ἀπωσάσθωσαν τὴν πορνείαν αὐτῶν
καὶ τοὺς φόνους τῶν ἡγουμένων αὐτῶν ἀπ' ἐμοῦ, καὶ κατασκηνώσω ἐν μέσῳ
10 αὐτῶν τὸν αἰῶνα. [10]καὶ σὺ υἱὲ ἀνθρώπου δεῖξον τῷ οἴκῳ Ἰσραὴλ τὸν οἶ-
κον, καὶ κοπάσουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τὴν ὅρασιν αὐτοῦ καὶ
11 τὴν διάταξιν αὐτοῦ, [11]καὶ αὐτοὶ λήψονται τὴν κόλασιν αὐτῶν περὶ πάντων
ὧν ἐποίησαν. καὶ διαγράψεις τὸν οἶκον καὶ τὰς ἐξόδους αὐτοῦ καὶ τὴν ὑπό-
στασιν αὐτοῦ, καὶ πάντα τὰ προστάγματα αὐτοῦ καὶ πάντα τὰ νόμιμα αὐ-
τοῦ γνωριεῖς αὐτοῖς καὶ διαγράψεις ἐναντίον αὐτῶν, καὶ φυλάξονται πάντα
τὰ δικαιώματά μου καὶ πάντα τὰ προστάγματά μου καὶ ποιήσουσιν αὐτά.
12 [12]καὶ τὴν διαγραφὴν τοῦ οἴκου ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, πάντα τὰ ὅρια
13 αὐτοῦ κυκλόθεν ἅγια ἁγίων. [13]καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου ἐν
πήχει τοῦ πήχεως καὶ παλαιστῆς κόλπωμα βάθους ἐπὶ πῆχυν, καὶ πῆχυς
τὸ εὖρος, καὶ γεῖσος ἐπὶ τὸ χεῖλος αὐτοῦ κυκλόθεν, σπιθαμῆς. καὶ τοῦτο τὸ
14 ὕψος τοῦ θυσιαστηρίου [14]ἐκ βάθους τῆς ἀρχῆς τοῦ κοιλώματος αὐτοῦ πρὸς
τὸ ἱλαστήριον τὸ μέγα τοῦτο ὑποκάτωθεν, πηχῶν δύο, καὶ τὸ εὖρος πήχεως.
καὶ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα πήχεις τέσ-
15 σαρες, καὶ εὖρος πῆχυς. [15]καὶ τὸ ἀριὴλ πηχῶν τεσσάρων, καὶ ἀπὸ τοῦ
16 ἀριὴλ καὶ ὑπεράνω τῶν κεράτων πῆχυς. [16]καὶ τὸ ἀριὴλ πηχῶν δώδεκα μή-
17 κους, ἐπὶ πήχεις δώδεκα· τετράγωνον ἐπὶ τὰ τέσσαρα μέρη αὐτοῦ. [17]καὶ
τὸ ἱλαστήριον πηχῶν δεκατεσσάρων τὸ μῆκος, ἐπὶ πήχεις δεκατέσσαρας· τὸ
εὖρος ἐπὶ τέσσαρα μέρη αὐτοῦ, καὶ τὸ γεῖσος αὐτῷ κυκλόθεν κυκλούμενον
αὐτῷ ἥμισυ πήχεως, καὶ τὸ κύκλωμα αὐτοῦ πῆχυς κυκλόθεν· καὶ οἱ κλι-
18 μακτῆρες αὐτοῦ βλέποντες κατὰ ἀνατολάς. [18]καὶ εἶπε πρός μέ Υἱὲ ἀνθρώ-
που, τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ταῦτα τὰ προστάγματα τοῦ θυσια-
στηρίου ἐν ἡμέρᾳ ποιήσεως αὐτοῦ, τοῦ ἀναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώματα
19 καὶ προσχέειν πρὸς αὐτὸ αἷμα. [19]καὶ δώσεις τοῖς ἱερεῦσι τοῖς Λευίταις τοῖς
ἐκ τοῦ σπέρματος Σαδδοὺκ τοῖς ἐγγίζουσι πρὸς μέ, λέγει κύριος ὁ θεός, τοῦ
20 λειτουργεῖν μοι μόσχον ἐκ βοῶν περὶ ἁμαρτίας. [20]καὶ λήψονται ἐκ τοῦ αἵ-
ματος αὐτοῦ, καὶ ἐπιθήσουσιν ἐπὶ τὰ τέσσαρα κέρατα τοῦ θυσιαστηρίου καὶ
ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱλαστηρίου καὶ ἐπὶ τὴν βάσιν κύκλῳ, καὶ ἐξι-
21 λάσονται αὐτό. [21]καὶ λήψονται τὸν μόσχον τὸν περὶ ἁμαρτίας, καὶ κατα-
22 καυθήσεται ἐν τῷ ἀποκεχωρισμένῳ τοῦ οἴκου ἔξωθεν τῶν ἁγίων. [22]καὶ τῇ
ἡμέρᾳ τῇ δευτέρᾳ λήψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ ἁμαρτίας,
23 καὶ ἐξιλάσονται τὸ θυσιαστήριον καθότι ἐξιλάσαντο ἐν τῷ μόσχῳ. [23]καὶ μετὰ
τὸ συντελέσαι τὸν ἐξιλασμὸν προσοίσουσι μόσχον ἐκ βοῶν ἄμωμον καὶ κριὸν
24 ἐκ προβάτων ἄμωμον, [24]καὶ προσοίσετε ἐναντίον κυρίου· καὶ ἐπιῤῥίψουσιν οἱ
25 ἱερεῖς ἐπ' αὐτὰ ἅλα, καὶ ἀνοίσουσιν αὐτὰ ὁλοκαυτώματα τῷ κυρίῳ. [25]ἑπτὰ
ἡμέρας ποιήσεις ἔριφον ὑπὲρ ἁμαρτίας καθ' ἡμέραν καὶ μόσχον ἐκ βοῶν
26 καὶ κριὸν ἐκ προβάτων, ἄμωμα ποιήσουσιν [26]ἑπτὰ ἡμέρας· καὶ ἐξιλάσονται

---

9. πορνιαν ... εμμεσω αυτ. εις τον αιωνα 11. λημψονται ... οικον και την ετοιμασιαν αυτου· κ. τας εξ. α. και τας εισοδους αυτου· κ. την ... διαγραφεις εν. αυτ. 12. in f. add εισιν· ουτος ο νομος του οικου 13. το κολπωμα βαθος· πηχυς επι ... επι του χειλους 14. το μεγα το υποκατωθεν ... πηχεος ... in f. πηχεως pro πηχυς 16. δωδεκα πλατους τετραγωνον ... τεσσερα 17. επι πηχ. δεκατεσσαρες· το ευρ. τετραγωνον επι τα τεσσερα ... γισος αυτων ... κατ ανατολας 18. τα ολοκαυτωματα ... προς το αιμα 19. λευιταις εκ ... σαδδ. και τοις ... ο θεος του λευι· λευτουργειν μ. μοσχων 20. λημψονται ... τεσσερα 20. κυκλω· και περιραντιεις αυτο· κ. εξιλ. αυτον 21. λημψονται ... υπερ αμαρτιας 22. λημψονται ... δυο απο αιγων ... καθως εξιλ. 23. συντελ. σε ... εκ των προβατων ... επιριψουσιν ... αλας 25. εκ των προβ.

Digitized by Google

τὸ θυσιαστήριον καὶ καθαριοῦσιν αὐτό, καὶ πλήσουσι χεῖρας αὐτῶν. [27] καὶ 27
ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ
θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προς-
δέξομαι ὑμᾶς, λέγει κύριος.

## XLIV.

Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας
τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. [2] καὶ εἶπε κύριος 2
πρός μέ Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς μὴ
διέλθῃ δι᾽ αὐτῆς· ὅτι κύριος ὁ θεὸς Ἰσραὴλ εἰςελεύσεται δι᾽ αὐτῆς, καὶ
ἔσται κεκλεισμένη. [3] διότι ὁ ἡγούμενος οὗτος καθήσεται ἐν αὐτῇ τοῦ φαγεῖν 3
ἄρτον ἐναντίον κυρίου· κατὰ τὴν ὁδὸν αιλὰμ τῆς πύλης εἰςελεύσεται, καὶ
κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. [4] καὶ εἰςήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύ- 4
λης τῆς πρὸς βοῤῥᾶν κατέναντι τοῦ οἴκου· καὶ ἴδον, καὶ ἰδοὺ πλήρης δόξης
ὁ οἶκος τοῦ κυρίου, καὶ πίπτω ἐπὶ πρόςωπόν μου. [5] καὶ εἶπε κύριος πρὸς 5
μέ Υἱὲ ἀνθρώπου, τάξον εἰς τὴν καρδίαν σου, καὶ ἴδε τοῖς ὀφθαλμοῖς καὶ
τοῖς ὠσί σου ἄκουε πάντα ὅσα ἐγὼ λαλῶ μετὰ σοῦ, κατὰ πάντα τὰ προς-
τάγματα τοῦ οἴκου κυρίου καὶ πάντα τὰ νόμιμα αὐτοῦ· καὶ τάξεις τὴν καρ-
δίαν σου εἰς τὴν εἴςοδον τοῦ οἴκου κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ ἐν πᾶσι
τοῖς ἁγίοις. [6] καὶ ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς τὸν οἶκον 6
τοῦ Ἰσραήλ Τάδε λέγει κύριος ὁ θεός Ἱκανούσθω ὑμῖν ἀπὸ πασῶν τῶν
ἀνομιῶν ὑμῶν, οἶκος Ἰσραήλ, [7] τοῦ εἰςαγαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς ἀπερι- 7
τμήτους καρδίᾳ καὶ ἀπεριτμήτους σαρκί, τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου
καὶ βεβηλοῦν αὐτὰ ἐν τῷ προςφέρειν ὑμᾶς ἄρτους σάρκας καὶ αἷμα, καὶ
παρεβαίνετε τὴν διαθήκην μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν, [8] καὶ διετά- 8
ξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου. [9] διὰ τοῦτο τάδε λέγει κύ- 9
ριος ὁ θεός Πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ καὶ ἀπερίτμητος σαρκὶ
οὐκ εἰςελεύσεται εἰς τὰ ἅγιά μου ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν τῶν ὄντων ἐν
μέσῳ οἴκου Ἰσραήλ, [10] ἀλλ᾽ ἢ οἱ Λευῖται οἵτινες ἀφήλαντο ἀπ᾽ ἐμοῦ ἐν τῷ 10
πλανᾶσθαι τὸν Ἰσραὴλ ἀπ᾽ ἐμοῦ κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν· καὶ
λήψονται ἀδικίαν αὐτῶν, [11] καὶ ἔσονται ἐν τοῖς ἁγίοις μου λειτουργοῦντες θυ- 11
ρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ οἴκου καὶ λειτουργοῦντες τῷ οἴκῳ· οὗτοι σφάξουσι
τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα τῷ λαῷ, καὶ οὗτοι στήσονται ἐναντίον τοῦ
λαοῦ τοῦ λειτουργεῖν αὐτοῖς, [12] ἀνθ᾽ ὧν ἐλειτούργουν αὐτοῖς πρὸ προςώπου 12
τῶν εἰδώλων αὐτῶν, καὶ ἐγένετο τῷ οἴκῳ Ἰσραὴλ εἰς κόλασιν ἀδικίας· ἕνεκα
τούτου ἦρα τὴν χεῖρά μου ἐπ᾽ αὐτούς, λέγει κύριος ὁ θεός, [13] καὶ οὐκ ἐγ- 13
γιοῦσι πρὸς μὲ τοῦ ἱερατεύειν μοι, οὐδὲ τοῦ προςάγειν πρὸς τὰ ἅγια υἱῶν
τοῦ Ἰσραὴλ οὐδὲ πρὸς τὰ ἅγια τῶν ἁγίων μου· καὶ λήψονται ἀτιμίαν αὐ-
τῶν ἐν τῇ πλανήσει ᾗ ἐπλανήθησαν. [14] κατάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς 14
τοῦ οἴκου εἰς πάντα τὰ ἔργα αὐτοῦ, καὶ εἰς πάντα ὅσα ἂν ποιήσωσιν [15] οἱ 15
ἱερεῖς οἱ Λευῖται οἱ υἱοὶ τοῦ Σαδδοὺκ οἵτινες ἐφυλάξαντο τὰς φυλακὰς τῶν
ἁγίων μου ἐν τῷ πλανᾶσθαι οἶκον Ἰσραὴλ ἀπ᾽ ἐμοῦ· οὗτοι προςάξουσι πρὸς

---

26. καθαρισουσιν ... τας χειρας αυτης XLIV. 1. κατ ανατολας 2. om ουκ ανοιχθησεται ... του ισραηλ 3. ο ηγουμ. αυτης καθησεται 4. ο οικ. κυριου 5. οφθαλμ. σου ... προσταγματα οικου κ. κ. κατα παντα 6. οικος του ισραηλ 7. γενεσθαι ... αρτους μου και σαρκας 8. και ουκ εφυλαξατε την φυλακην των αγιων μου· κ. διεταξ. 9. εμμεσω 10. αφειλαντο ... τον ισρ. οι επλανηθησαν απ εμου ... λημψονται την ... τω οικω κυριου ... τα ολοκ. και τας θυσιας ... λαου λειτουργ. 12. εγεν. τω ισραηλ ... ενεκεν ... in f. add και λημψονται την ατιμιαν αυτων 13. προσαγαγειν ... υιων ισραηλ ... λημψονται την ατιμ. 14. και ταξουσιν αυτου (sic) φυλ. 15. τον οικον

Digitized by Google

μὴ τοῦ λειτουργεῖν μοι, καὶ στήσονται πρὸ προςώπου μου τοῦ προςφέρειν
16 μοι θυσίαν στέαρ καὶ αἷμα, λέγει κύριος ὁ θεός. [16] οὗτοι εἰςελεύσονται εἰς
τὰ ἅγιά μου, καὶ οὗτοι προςελεύσονται πρὸς τὴν τράπεζάν μου τοῦ λειτουρ-
17 γεῖν μοι, καὶ φυλάξουσι τὰς φυλακάς μου. [17] καὶ ἔσται ἐν τῷ εἰςπορεύεσθαι
αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας, στολὰς λινᾶς ἐνδύσονται· καὶ
οὐκ ἐνδύσονται ἔρια ἐν τῷ λειτουργεῖν αὐτοὺς ἀπὸ τῆς πύλης τῆς ἐσωτέρας
18 αὐλῆς. [18] καὶ κιδάρεις λινᾶς ἕξουσιν ἐπὶ ταῖς κεφαλαῖς αὐτῶν, καὶ περισκελῆ
19 λινᾶ ἕξουσιν ἐπὶ τὰς ὀσφύας αὐτῶν, καὶ οὐ περιζώσονται βίᾳ. [19] καὶ ἐν τῷ
ἐκπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν ἐκδύσονται
τὰς στολὰς αὐτῶν, ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς, καὶ θήσουσιν αὐ-
τὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων, καὶ ἐνδύσονται στολὰς ἑτέρας, καὶ οὐ μὴ
20 ἁγιάσωσι τὸν λαὸν ἐν ταῖς στολαῖς αὐτῶν. [20] καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυ-
ρήσονται, καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσι, καλύπτοντες καλύψουσι τὰς
21 κεφαλὰς αὐτῶν. [21] καὶ οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς ἐν τῷ εἰςπορεύεσθαι
22 αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. [22] καὶ χήραν καὶ ἐκβεβλημένην οὐ λή-
ψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ᾽ ἢ παρθένον ἐκ τοῦ σπέρματος Ἰσραήλ·
23 καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήψονται. [23] καὶ τὸν λαόν μου διδάξουσιν
ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ γνω-
24 ριοῦσιν αὐτοῖς. [24] καὶ ἐπὶ κρίσιν αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν·
τὰ δικαιώματά μου δικαιώσουσι, καὶ τὰ κρίματά μου κρινοῦσι, καὶ τὰ νό-
μιμά μου καὶ τὰ προςτάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται,
25 καὶ τὰ σάββατά μου ἁγιάσουσι. [25] καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ εἰςελεύσον-
ται τοῦ μιανθῆναι, ἀλλ᾽ ἢ ἐπὶ πατρὶ καὶ ἐπὶ μητρὶ καὶ ἐπὶ υἱῷ καὶ ἐπὶ
θυγατρὶ καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ, ἣ οὐ γέγονεν ἀνδρί, μιαν-
26 θήσεται. [26] καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας ἐξαριθμήσῃ αὐτῷ.
27 [27] καὶ ᾗ ἂν ἡμέρᾳ εἰςπορεύωνται εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τοῦ λειτουρ-
28 γεῖν ἐν τῷ ἁγίῳ, προςοίσουσιν ἱλασμόν, λέγει κύριος ὁ θεός. [28] καὶ ἔσται
αὐτοῖς εἰς κληρονομίαν. ἐγὼ κληρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ
29 δοθήσεται ἐν τοῖς υἱοῖς Ἰσραήλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. [29] καὶ τὰς θυ-
σίας καὶ τὰ ὑπὲρ ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας οὗτοι φάγονται, καὶ πᾶν
30 ἀφόρισμα ἐν τῷ Ἰσραὴλ αὐτοῖς ἔσται, [30] ἀπαρχαὶ πάντων καὶ τὰ πρωτότοκα
πάντων καὶ τὰ ἀφαιρέματα πάντα· ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν τοῖς
ἱερεῦσιν ἔσται. καὶ τὰ πρωτογεννήματα ὑμῶν δώσετε τῷ ἱερεῖ τοῦ θεῖναι
31 εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους ὑμῶν. [31] καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον
ἐκ τῶν πετεινῶν καὶ ἐκ τῶν κτηνῶν οὐ φάγονται οἱ ἱερεῖς.

## XLV.

Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ ἀφοριεῖτε ἀπαρ-
χὴν τῷ κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς, πέντε καὶ εἴκοσι χιλιάδας μῆκος καὶ εὖ-
2 ρος εἴκοσι χιλιάδας, ἅγιον ἔσται ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν. [2] καὶ
ἔσται ἐκ τούτου ἁγιάσματα πεντακόσιοι ἐπὶ πεντακοσίους τετράγωνον κυ-
3 κλόθεν καὶ πεντήκοντα πήχεις διάστημα αὐτῶν κυκλόθεν. [3] καὶ ἐκ ταύτης
τῆς διαμετρήσεως διαμετρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιάδας καὶ εὖρος
4 εἴκοσι χιλιάδας, καὶ ἐν αὐτῇ ἔσται ἅγια τῶν ἁγίων. [4] ἀπὸ τῆς γῆς ἔσται
τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ, καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουρ-

15. προςφερειν θυσιαν 17. ενδυσονται· ουκ ενδ. ερεα ... in f. add και εσω 18. επι ταις οσφυσειν 20. ου μη ξυρησονται ... ου μη ψιλ. ... καλυψωσιν 22. ου μη λημψονται ... λημψ. 23. ανα μ. καθαρου και ανα μεσον ακαθ. 25. αδελφω αυτου 26. εξαριθμησει 28. αυτοις pro αυτων 30. και απαρχαι ... παντα υμων · εκ παντων ... πρωτογενηματα XLV. 2. εις αγιασμα ... πηχεις πεντηκοντα 3. το αγιασμα των αγιων 4. αγιον απο της ... εγγιζουσιν εν αυτοις λειτ.

Digitized by Google

γεῖν τῷ κυρίῳ· καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους ἀφωρισμένους τῷ ἁγιασμῷ
αὐτῶν, 5 εἴκοσι καὶ πέντε χιλιάδας μῆκος, καὶ εὖρος εἴκοσι χιλιάδες· καὶ 5
τοῖς Λευίταις τοῖς λειτουργοῦσι τῷ οἴκῳ αὐτοῖς εἰς κατάσχεσιν πόλεις τοῦ
κατοικεῖν. 6 καὶ τὴν κατάσχεσιν τῆς πόλεως δώσεις πέντε χιλιάδας εὖρος, 6
καὶ μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων παντὶ
οἴκῳ Ἰσραὴλ ἔσονται. 7 καὶ τῷ ἡγουμένῳ ἐκ τούτου καὶ ἀπὸ τούτου εἰς τὰς 7
ἀπαρχὰς τῶν ἁγίων, εἰς κατάσχεσιν τῆς πόλεως, κατὰ πρόςωπον τῶν ἀπαρ-
χῶν τῶν ἁγίων καὶ κατὰ πρόςωπον τῆς κατασχέσεως τῆς πόλεως τὰ πρὸς
ϑάλασσαν καὶ ἀπὸ τῶν πρὸς ϑάλασσαν πρὸς ἀνατολάς· καὶ τὸ μῆκος ὡς μία
τῶν μερίδων ἀπὸ τῶν ὁρίων τῶν πρὸς ϑάλασσαν, καὶ τὸ μῆκος ἐπὶ τὰ ὅρια
τὰ πρὸς ἀνατολὰς τῆς γῆς. 8 καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν ἐν τῷ Ἰσραήλ, 8
καὶ οὐ καταδυναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι τοῦ Ἰσραὴλ τὸν λαόν μου,
καὶ τὴν γῆν κατακληρονομήσουσιν οἶκος Ἰσραὴλ κατὰ φυλὰς αὐτῶν. 9 τάδε 9
λέγει κύριος ϑεός Ἱκανούσϑω ὑμῖν οἱ ἀφηγούμενοι τοῦ Ἰσραήλ, ἀδικίαν καὶ
ταλαιπωρίαν ἀφέλεσϑε, κρίμα καὶ δικαιοσύνην ποιήσατε· ἐξάρατε καταδυνα-
στείαν ἀπὸ τοῦ λαοῦ μου, λέγει κύριος ϑεός. 10 ζυγὸς δίκαιος καὶ μέτρον δί- 10
καιον καὶ χοῖνιξ δικαία ἔσται ὑμῖν τοῦ μέτρου, 11 καὶ ἡ χοῖνιξ ὁμοίως μία 11
ἔσται τοῦ λαμβάνειν· τὸ δέκατον τοῦ γομὸρ χοῖνιξ, καὶ τὸ δέκατον τοῦ γομόρ,
πρὸς τὸ γομὸρ ἔσται τὸ ἴσον. 12 καὶ τὰ στάϑμια εἴκοσι ὀβολοί, πέντε σίκλοι, 12
πέντε καὶ σίκλοι, δέκα καὶ πεντήκοντα σίκλοι ἡ μνᾶ ἔσται ὑμῖν. 13 καὶ αὕτη 13
ἡ ἀπαρχὴ ἣν ἀφοριεῖτε, ἕκτον μέτρου ἀπὸ τοῦ γομὸρ τοῦ πυροῦ, καὶ τὸ ἕκτον
αὐτοῦ τοῦ οἶφι ἀπὸ τοῦ κόρου τῶν κριϑῶν. 14 καὶ τὸ πρόσταγμα τοῦ ἐλαίου 14
κοτύλην ἐλαίου ἀπὸ δέκα κοτυλῶν, ὅτι αἱ δέκα κοτύλαι εἰσὶ γομόρ. 15 καὶ 15
πρόβατον ἀπὸ τῶν προβάτων ἀπὸ δέκα ἀφαίρεμα ἐκ πασῶν τῶν πατριῶν
τοῦ Ἰσραήλ, εἰς ϑυσίας καὶ εἰς ὁλοκαυτώματα καὶ εἰς σωτηρίου τοῦ ἐξι-
λάσκεσϑαι περὶ ὑμῶν, λέγει κύριος ϑεός. 16 καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρ- 16
χὴν ταύτην τῷ ἀφηγουμένῳ τοῦ Ἰσραήλ. 17 καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται 17
τὰ ὁλοκαυτώματα καὶ αἱ ϑυσίαι καὶ αἱ σπονδαὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς
νουμηνίαις καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου Ἰσραήλ·
αὐτὸς ποιήσει τὰ ὑπὲρ ἁμαρτίας καὶ τὴν ϑυσίαν καὶ τὰ ὁλοκαυτώματα καὶ
τὰ τοῦ σωτηρίου τοῦ ἐξιλάσκεσϑαι ὑπὲρ τοῦ οἴκου Ἰσραήλ. 18 τάδε λέγει κύ- 18
ριος ϑεός Ἐν τῷ πρώτῳ μηνὶ μιᾷ τοῦ μηνὸς λήψεσϑε μόσχον ἐκ βοῶν ἄμω-
μον τοῦ ἐξιλάσασϑαι τὸ ἅγιον. 19 καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ 19
ἐξιλασμοῦ, καὶ δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας
τοῦ ἱεροῦ καὶ ἐπὶ τὸ ϑυσιαστήριον καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης τῆς αὐλῆς
τῆς ἐσωτέρας. 20 καὶ οὕτως ποιήσεις ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ· μιᾷ τοῦ μηνὸς 20
λήψῃ παρ' ἑκάστου ἀπόμοιραν, καὶ ἐξιλάσεσϑε τὸν οἶκον. 21 καὶ ἐν τῷ 21
πρώτῳ τεσσαρεςκαιδεκάτῃ τοῦ μηνὸς ἔσται ὑμῖν τὸ πάσχα ἑορτή· ἑπτὰ
ἡμέρας ἄζυμα ἔδεσϑε. 22 καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 22
ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς μόσχον ὑπὲρ

---

5. χιλιαδες μηκος και εικ. χιλιαδ. ευρος εσται τοις 6. τροπον και η ... τα προς ανατολας 9. κυρ. ο ϑεος ... του ισραηλ· τον λαον μου και την γην κατακληρονομησουσιν οικος του ισραηλ· αδικιαν ... και κριμα ... και εξαραται ... κυρ. ο ϑεος 10. ζυγον δικαιον 11. η χοινιξ το μετρον pro χοιν. κ. τ. δ. τ. γομορ ... εσται ισον 12. οι πεντε σικλοι πεντε και οι δεκα σικλοι 13. εκατον του μετρου απο ... εκτον του οιφι α. τ. γομορ κορου 14. τα προσταγματα .. απο των δεκα 15. προβατον εν απο τ. δεκα πρ. αφαιρ. ... εις σωτηριον του εξιλασασϑαι ... κυρ. ο ϑεος 17. σπ. εσονται εν ταις 18. κυρ. ο ϑεος ... λημψεσϑαι 19. λημψεται ... του αιμ. του μοσχου του ... φλειας bis 20. λημψη π. εκ. αγνοουντος και απο νηπιου· και εξιλ. 21. πρωτω μηνι 22. και υπερ του οικ.

Digitized by Google

23 ἁμαρτίας. [23]καὶ τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς ποιήσει ὁλοκαυτώματα τῷ
κυρίῳ, ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς ἀμώμους καθ' ἡμέραν τὰς ἑπτὰ ἡμέ-
24 ρας, καὶ ὑπὲρ ἁμαρτίας ἔριφον αἰγῶν καθ' ἡμέραν, καὶ θυσίαν. [24]καὶ πέμμα
τῷ μόσχῳ καὶ πέμματα τῷ κριῷ ποιήσεις, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι.
25 [25]καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ πεντεκαιδεκάτῃ τοῦ μηνὸς ἐν τῇ ἑορτῇ ποιήσεις
κατὰ τὰ αὐτὰ ἑπτὰ ἡμέρας, καθὼς τὰ ὑπὲρ τῆς ἁμαρτίας καὶ καθὼς τὰ
ὁλοκαυτώματα καὶ καθὼς τὸ μαναὰ καὶ καθὼς τὸ ἔλαιον.

## XLVI.

Τάδε λέγει κύριος θεός Ἡ πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ ἡ βλέπουσα
πρὸς ἀνατολὰς ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς· ἐν τῇ ἡμέρᾳ τῶν
2 σαββάτων ἀνοιχθῇ, καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας ἀνοιχθήσεται. [2]καὶ
εἰςελεύσεται ὁ ἀφηγούμενος κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης τῆς ἔσω-
θεν καὶ στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης, καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ
3 ὁλοκαυτώματα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ. [3]καὶ προςκυνήσει ἐπὶ τοῦ
προθύρου τῆς πύλης καὶ ἐξελεύσεται, καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ ἕως ἑσπέ-
ρας· καὶ προςκυνήσει ὁ λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης
4 καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις ἐναντίον κυρίου. [4]καὶ τὰ ὁλο-
καυτώματα προςοίσει ὁ ἀφηγούμενος τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων,
5 ἓξ ἀμνοὺς ἀμώμους καὶ κριὸν ἄμωμον [5]καὶ μαναά, πέμμα τῷ κριῷ, καὶ
6 τοῖς ἀμνοῖς θυσίαν δόμα χειρὸς αὐτοῦ, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι. [6]καὶ
ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μόσχον ἄμωμον καὶ ἓξ ἀμνούς, καὶ κριὸς ἄμω-
7 μος ἔσται, [7]καὶ πέμμα τῷ κριῷ καὶ πέμμα τῷ μόσχῳ ἔσται μαναά, καὶ
τοῖς ἀμνοῖς καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι.
8 [8]καὶ ἐν τῷ εἰςπορεύεσθαι τὸν ἀφηγούμενον κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς
9 πύλης εἰςελεύσεται, καὶ κατὰ τὴν ὁδὸν τῆς πύλης ἐξελεύσεται. [9]καὶ ὅταν
εἰςπορεύηται ὁ λαὸς τῆς γῆς ἐναντίον κυρίου ἐν ταῖς ἑορταῖς, ὁ εἰςπορευόμε-
νος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν προςκυνεῖν ἐξε-
λεύσεται κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον, καὶ ὁ εἰςπορευόμενος
κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον ἐξελεύσεται κατὰ τὴν ὁδὸν τῆς
πύλης τῆς πρὸς βορρᾶν· οὐκ ἀναστρέψει κατὰ τὴν πύλην εἰς ἣν εἰςελήλυ-
10 θεν, ἀλλ' ἢ κατ' εὐθὺ αὐτῆς ἐξελεύσεται. [10]καὶ ὁ ἀφηγούμενος ἐν μέσῳ
αὐτῶν ἐν τῷ εἰςπορεύεσθαι αὐτοὺς εἰςελεύσεται μετ' αὐτῶν, καὶ ἐν τῷ ἐκ-
11 πορεύεσθαι αὐτοὺς ἐξελεύσεται. [11]καὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύ-
ρεσιν ἔσται τὸ μαναὰ πέμμα τῷ μόσχῳ καὶ πέμμα τῷ κριῷ, καὶ τοῖς ἀμνοῖς
12 καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι. [12]ἐὰν δὲ
ποιήσῃ ὁ ἀφηγούμενος ὁμολογίαν ὁλοκαύτωμα σωτηρίου τῷ κυρίῳ, καὶ ἀνοίξῃ
ἑαυτῷ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολάς, καὶ ποιήσῃ τὸ ὁλοκαύτωμα
αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ ὃν τρόπον ποιεῖ ἐν τῇ ἡμέρᾳ τῶν σαβ-
13 βάτων· καὶ ἐξελεύσεται, καὶ κλείσει τὰς θύρας μετὰ τὸ ἐξελθεῖν αὐτόν. [13]καὶ
ἀμνὸν ἐνιαύσιον ἄμωμον ποιήσει εἰς ὁλοκαύτωμα καθ' ἡμέραν τῷ κυρίῳ,
14 πρωὶ ποιήσει αὐτόν. [14]καὶ μαναὰ ποιήσει ἐπ' αὐτῷ τὸ πρωὶ ἕκτον τοῦ μέ-
τρου, καὶ ἐλαίου τρίτον τοῦ εἶν τοῦ ἀναμῖξαι τὴν σεμίδαλιν μαναὰ τῷ κυ-
15 ρίῳ, πρόςταγμα διὰ παντὸς [15]ποιήσετε τὸν ἀμνόν· καὶ τὸ μαναὰ καὶ τὸ

---

23. ποιησεις 24. πεμμα τω κριω 25. πεντεκαιδ. ημερα ... το μαννα XLVI. 1. κυρ. ο θεος Πυλη ... εν δε τη η. τ. σ. σαββ. ανοιχθησεται 2. της εξωθεν 3. εναντ. του κυριου 4. το ολοκαυτωμα 5. μαννα ... της χειρος ... το ιν 6. μοσχον υιον βουχολιου αμωμον 7. μαννα ... ευποιη ... το ιν 9. και εσται οταν ... om της γης ... om βλεπουσης 9. πυλην ην εισεληλυθεν 10. εμμεσω ... εξελευσεται μετ αυτων 11. το μαννα ... κριω· τοις δε αμνοις ... το ιν 12. και ανοιξει ... κατ ανατολας 13. om εις 14. μαννα bis ... το τριτον τω ιν ... προςτ. αιωνιον δια 15. μαννα

Digitized by Google

ἔλαιον ποιήσετε τὸ πρωί, ὁλοκαύτωμα διὰ παντός. 16 τάδε λέγει κύριος θεός 16
Ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ ἐκ τῆς κληρονομίας
αὐτοῦ, τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις κληρονομία. 17 ἐὰν δὲ δῷ 17
δόμα ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέσεως,
καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ· πλὴν τῆς κληρονομίας τῶν υἱῶν αὐτοῦ αὐ-
τοῖς ἔσται. 18 καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ 18
τοῦ καταδυναστεῦσαι αὐτούς· ἐκ τῆς κατασχέσεως αὐτοῦ κατακληρονομήσει
τοῖς υἱοῖς αὐτοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου, ἕκαστος ἐκ τῆς κα-
τασχέσεως αὐτοῦ. 19 καὶ εἰσήγαγέ με εἰς τὴν εἴσοδον τῆς κατὰ νώτου τῆς 19
πύλης, εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων τὴν βλέπουσαν πρὸς βοῤῥᾶν,
καὶ ἰδοὺ ἐκεῖ τόπος κεχωρισμένος. 20 καὶ εἶπε πρὸς μέ Οὗτος ὁ τόπος ἐστὶν 20
οὗ ἑψήσουσιν ἐκεῖ οἱ ἱερεῖς τὰ ὑπὲρ ἀγνοίας καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ
ἐκεῖ πέψουσι τὸ μαναὰ τὸ παράπαν τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν
ἐξωτέραν τοῦ ἁγιάζειν τὸν λαόν. 21 καὶ ἐξήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐξω- 21
τέραν, καὶ περιήγαγέ με ἐπὶ τὰ τέσσαρα μέρη τῆς αὐλῆς, καὶ ἰδοὺ αὐλὴ
κατὰ τὰ κλίτη τῆς αὐλῆς, 22 κατὰ τὸ κλίτος αὐλή, αὐλὴ ἐπὶ τὰ τέσσαρα, 22
καὶ τῆς αὐλῆς αὐλὴ μικρὰ μήκους πηχῶν τεσσαράκοντα, καὶ εὖρος πηχῶν
τριάκοντα, μέτρον ἓν ταῖς τέσσαρσι. 23 καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς, κύκλῳ 23
ταῖς τέσσαρσι· καὶ μαγειρεῖα γεγονότα ὑποκάτω τῶν ἐξεδρῶν κύκλῳ. 24 καὶ 24
εἶπε πρὸς μέ Οὗτοι οἱ οἶκοι τῶν μαγείρων, οὗ ἑψήσουσιν ἐκεῖ οἱ λειτουρ-
γοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.

## XLVII.

Καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου, καὶ ἰδοὺ ὕδωρ ἐξεπορεύετο
ὑποκάτωθεν τοῦ αἰθρίου κατὰ ἀνατολάς, ὅτι τὸ πρόσωπον τοῦ οἴκου ἔβλεπε
κατὰ ἀνατολάς, καὶ τὸ ὕδωρ κατέβαινεν ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ ἀπὸ
νότου ἐπὶ τὸ θυσιαστήριον. 2 καὶ ἐξήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς 2
πρὸς βοῤῥᾶν, καὶ περιήγαγέ με τὴν ὁδὸν ἔξωθεν πρὸς τὴν πύλην τῆς αὐλῆς
τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλί-
τους τοῦ δεξιοῦ, 3 καθὼς ἔξοδος ἀνδρὸς ἐξεναντίας. καὶ μέτρον ἐν τῇ χειρὶ 3
αὐτοῦ· καὶ διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ
ἀφέσεως· 4 καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἕως τῶν 4
μηρῶν· καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ὕδωρ ἕως ὀσφύος. 5 καὶ διεμέ- 5
τρησε χιλίους, καὶ οὐκ ἠδύνατο διελθεῖν, ὅτι ἐξύβριζεν ὡς χειμάῤῥου ὃν οὐ
διαβήσονται. 6 καὶ εἶπε πρὸς μέ Ἑώρακας, υἱὲ ἀνθρώπου; καὶ ἤγαγέ με, 6
καὶ ἐπέστρεψέ με ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ 7 ἐν τῇ ἐπιστροφῇ μου· καὶ 7
ἰδοὺ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν καὶ ἔνθεν.
8 καὶ εἶπε πρὸς μέ Τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν Γαλιλαίαν τὴν 8
πρὸς ἀνατολάς, καὶ κατέβαινεν ἐπὶ τὴν Ἀραβίαν, καὶ ἤρχετο ἕως ἐπὶ τὴν
θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς, καὶ ὑγιάσει τὰ ὕδατα, 9 καὶ ἔσται 9

---

15. ποιησεται πρωι 16. αδωναϊ κυριος Εαν ... αυτου του εκ της ... κατασχ. αυτων αυτη εν κληρονομια 17. δομα εκ της κληρονομιας αυτου ενι των 18. του λαου αυτου καταδ. ... κατασχ. αυτ. απο της κληρονομιας αυτου κατακλ. ... εκαστος απο της 20. υπερ της αγν. κ. τα υπ. της αμαρτ. ... μαννα 21. τεσσερα ... κατα κλιτη της αυλης αυλη 22. κλιτ. αυλη· επι τα τεσσερα κλειτη της αυλης ... πηχεων τεσσεραχοντα ... πηχεων 23. μαγιρεια 24. μαγιρειων XLVII. 1. υποκατω τ. αι. του οικου κατ ανατολας ... επεβλεπεν κατ ανατολας ... κλειτους 2. κατ ανατολας ... κλειτους 4. κ. διεμ. εν τω μετρω ... κ. διεμ. χιλ. χειμαρρους 5. εξυβρ. το υδωρ υδωρ εως ροιζος χειμαρρου ο ου 6. Ει εωρακας ... απηγαγεν ... επεστρεψεν επι 7. om σφοδρα 8. της εκβολης

Digitized by Google

πᾶσα ψυχὴ τῶν ζῴων τῶν ἐκζεόντων, ἐπὶ πάντα ἐφ' ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ
ποταμός, ζήσεται· καὶ ἔσται ἐκεῖ ἰχθὺς πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ
τοῦτο, καὶ ὑγιάσει καὶ ζήσεται πᾶν ἐφ' ὃ ἂν ἔλθῃ ὁ ποταμός, ἐκεῖ ζήσε-
10 ται. [10] καὶ στήσονται ἐκεῖ ἁλιεῖς ἀπὸ Ἰνγαδεὶν ἕως Ἐναγαλλείμ· ψυγμὸς
σαγηνῶν ἔσται, καθ' ἑαυτὴν ἔσται· καὶ οἱ ἰχθύες αὐτῆς ὡς οἱ ἰχθύες τῆς
11 θαλάσσης τῆς μεγάλης, πλῆθος πολὺ σφόδρα. [11] καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ
καὶ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ οὐ μὴ ὑγιάσωσιν·
12 εἰς ἅλας δέδονται. [12] καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται, ἐπὶ τοῦ χείλους αὐ-
τοῦ ἔνθεν καὶ ἔνθεν· πᾶν ξύλον βρώσιμον οὐ μὴ παλαιωθῇ ἐπ' αὐτοῦ, οὐδὲ
μὴ ἐκλείπῃ ὁ καρπὸς αὐτοῦ· τῆς καινότητος αὐτοῦ πρωτοβολήσει, ὅτι τὰ
ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ταῦτα ἐκπορεύεται· καὶ ἔσται ὁ καρπὸς αὐτῶν
13 εἰς βρῶσιν, καὶ ἀνάβασις αὐτῶν εἰς ὑγίειαν. [13] τάδε λέγει κύριος θεός Ταῦτα
τὰ ὅρια κατακληρονομήσετε τῆς γῆς, ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ἰσραὴλ
14 πρόσθεσις σχοινίσματος. [14] καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος καθὼς ὁ
ἀδελφὸς αὐτοῦ, εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι τοῖς πατράσιν αὐτῶν,
15 καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ. [15] καὶ ταῦτα τὰ ὅρια τῆς γῆς
τῆς πρὸς βορρᾶν ἀπὸ θαλάσσης τῆς μεγάλης τῆς καταβαινούσης καὶ περι-
16 σχιζούσης, τῆς εἰσόδου Ἡμασελδάμ, [16] Μααβθηρὰς Ἑβραμηλιὰμ ἀνὰ μέσον
ὁρίων Δαμασκοῦ καὶ ἀνὰ μέσον ὁρίων Ἡμαθεί, αὐλὴ τοῦ Σαυνάν, αἵ εἰσιν
17 ἐπάνω τῶν ὁρίων Αὐρανίτιδος. [17] ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης· ἀπὸ
18 τῆς αὐλῆς τοῦ Αἰνάν, ὅρια Δαμασκοῦ, καὶ τὰ πρὸς βορρᾶν. [18] καὶ τὰ πρὸς
ἀνατολὰς ἀνὰ μέσον τῆς Λωρανίτιδος καὶ ἀνὰ μέσον Δαμασκοῦ καὶ ἀνὰ
μέσον τῆς Γαλααδίτιδος καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ Ἰσραήλ, ὁ Ἰορδάνης
διορίζει ἐπὶ τὴν θάλασσαν τὴν πρὸς ἀνατολὰς Φοινικῶνος· ταῦτα τὰ πρὸς
19 ἀνατολάς. [19] καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ Θαιμὰν καὶ Φοινικῶνος, ἕως
ὕδατος Μαριμὼθ Καδήμ, παρεκτεῖνον ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην.
20 [20] τοῦτο τὸ μέρος νότος καὶ λίψ, τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς μεγάλης
ὁρίζει, ἕως κατέναντι τῆς εἰσόδου Ἡμάθ, ἕως εἰσόδου αὐτοῦ· ταῦτά ἐστι
21 τὰ πρὸς θάλασσαν Ἡμάθ. [21] καὶ διαμερίσετε τὴν γῆν ταύτην αὐτοῖς, ταῖς
22 φυλαῖς τοῦ Ἰσραήλ. [22] βαλεῖτε αὐτὴν ἐν κλήρῳ ὑμῖν καὶ τοῖς προσηλύτοις
τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν, οἵτινες ἐγέννησαν υἱοὺς ἐν μέσῳ ὑμῶν, καὶ
ἔσονται ὑμῖν ὡς αὐτόχθονες ἐν τοῖς υἱοῖς τοῦ Ἰσραήλ· μεθ' ὑμῶν φάγονται
23 ἐν κληρονομίᾳ ἐν μέσῳ τῶν φυλῶν τοῦ Ἰσραήλ, [23] καὶ ἔσονται ἐν φυλῇ
προσηλύτων ἐν τοῖς προσηλύτοις τοῖς μετ' αὐτῶν· ἐκεῖ δώσετε κληρονομίαν
αὐτοῖς, λέγει κύριος θεός.

## XLVIII.

Καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς πρὸς βορρᾶν, κατὰ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζοντος ἐπὶ τὴν εἴσοδον τῆς Ἡμὰθ αὐλῆς τοῦ Αἰλάμ, ὅριον Δαμασκοῦ πρὸς βορρᾶν κατὰ μέρος Ἡμὰθ αὐλῆς·

9. επελθη pro ελθη 10. αλεεις απο ενγαδδειν εως εναγαλειμ ... καθ αυτην εστιν· και οι ιχθ. της θαλ. της μεγ. οι ιχθ. αυτης πληθ. πο. σφ. 11. και εστη διεκβολη ... αγιασωσιν 12. αναβησει ... παλαι. εξ αυτου ... της καινοτητος πρωτοβ. διοτι ... ed. rom. nec post εκλειπη nec post ο καρπ. αυτ. interpg. ... η αναβασεις ... υγιαν 13. κυρ. ο θεος 14. δουναι αυτην 15. της γης προς ... της θαλασσης ... ημαθ'ελδαμ 16. μαωσθηρας εφραμ'ηλειαμ ... α. μ. των οριων ημαθ και ανα μεσον των οριων δαμασκου ευναν και του ευναν αι εισιν επανω των ... in f. add κατα βορραν και το οριον αιμαθ το οριον βορρα 18. της ωρανιτιδος 19. καδης 20. διοριζει 21. και διεμετρησεν την ... αυτοις και ταις ... ed. rom. in f. non interpg. 22. τοις προσοικουσιν εμμεσω ... εμμεσω ... εσοντ. υμιν ως ... εμμεσω τ. υιων του 23. κυρ. ο θεος XLVIII. 1. κατα το μετρον της ... αυλ. του αιναν ... κατα το μερος

Digitized by Google

καὶ ἔσται αὐτοῖς τὰ πρὸς ἀνατολὰς ἕως πρὸς θάλασσαν Δάν, μία. 2 καὶ ἀπὸ 2
τῶν ὁρίων τοῦ Δὰν τὰ πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἀσσήρ, μία.
3 καὶ ἀπὸ τῶν ὁρίων Ἀσσὴρ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασ- 3
σαν Νεφθαλίμ, μία. 4 καὶ ἀπὸ τῶν ὁρίων Νεφθαλὶμ ἀπὸ ἀνατολῶν ἕως τῶν 4
πρὸς θάλασσαν Μανασσῆ, μία. 5 καὶ ἀπὸ τῶν ὁρίων Μανασσῆ ἀπὸ τῶν πρὸς 5
ἀνατολὰς τῶν πρὸς θάλασσαν Ἐφραίμ, μία. 6 καὶ ἀπὸ τῶν ὁρίων Ἐφραῒμ 6
ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ῥουβήν, μία. 7 καὶ ἀπὸ 7
τῶν ὁρίων Ῥουβὴν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἰούδα,
μία. 8 καὶ ἀπὸ τῶν ὁρίων Ἰούδα ἀπὸ τῶν πρὸς ἀνατολὰς ἔσται ἡ ἀπαρχὴ 8
τοῦ ἀφορισμοῦ πέντε καὶ εἴκοσι χιλιάδες εὖρος, καὶ μῆκος καθὼς μία τῶν
μερίδων ἀπὸ τῶν πρὸς ἀνατολὰς καὶ ἕως τῶν πρὸς θάλασσαν, καὶ ἔσται τὸ
ἅγιον ἐν μέσῳ αὐτῶν, 9 ἀπαρχὴν ἣν ἀφοριοῦσι τῷ κυρίῳ, μῆκος πέντε καὶ 9
εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι πέντε χιλιάδες. 10 τούτων ἔσται ἡ ἀπαρχὴ 10
τῶν ἁγίων τοῖς ἱερεῦσι, πρὸς βορρᾶν πέντε καὶ εἴκοσι χιλιάδες, καὶ πρὸς
θάλασσαν δέκα χιλιάδες, καὶ πρὸς νότον εἴκοσι καὶ πέντε χιλιάδες· καὶ τὸ
ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ αὐτοῦ 11 τοῖς ἱερεῦσι τοῖς ἡγιασμένοις υἱοῖς 11
Σαδδούκ, τοῖς φυλάσσουσι τὰς φυλακὰς τοῦ οἴκου, οἵτινες οὐκ ἐπλανήθησαν
ἐν τῇ πλανήσει υἱῶν Ἰσραὴλ ὃν τρόπον ἐπλανήθησαν οἱ Λευῖται. 12 καὶ ἔσται 12
αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς, ἅγιον ἁγίων ἀπὸ τῶν
ὁρίων τῶν Λευιτῶν. 13 τοῖς δὲ Λευίταις τὰ ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων, 13
μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος δέκα χιλιάδες· πᾶν τὸ μῆκος
πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι χιλιάδες. 14 οὐ πραθήσεται ἐξ 14
αὐτοῦ οὐδὲ καταμετρηθήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογεννήματα τῆς
γῆς, ὅτι ἅγιόν ἐστι τῷ κυρίῳ. 15 τὰς δὲ πέντε χιλιάδας τὰς περισσὰς ἐπὶ 15
τῷ πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσι, προτείχισμα ἔσται τῇ πόλει
εἰς τὴν κατοικίαν καὶ εἰς διάστημα αὐτοῦ. καὶ ἔσται ἡ πόλις ἐν μέσῳ αὐ-
τοῦ, 16 καὶ ταῦτα τὰ μέτρα αὐτῆς· ἀπὸ τῶν πρὸς βορρᾶν πεντακόσιοι καὶ 16
τετρακισχίλιοι, καὶ ἀπὸ τῶν πρὸς νότον πεντακόσιοι καὶ τέσσαρες χιλιάδες,
καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν
πρὸς θάλασσαν τετρακισχιλίους πεντακοσίους. 17 καὶ ἔσται διάστημα τῇ πόλει 17
πρὸς βορρᾶν διακόσιοι πεντήκοντα, καὶ πρὸς νότον διακόσιοι καὶ πεντήκοντα,
καὶ πρὸς ἀνατολὰς διακόσιοι πεντήκοντα, καὶ πρὸς θάλασσαν διακόσιοι πεν-
τήκοντα. 18 καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον τῶν ἀπαρχῶν τῶν ἁγίων 18
δέκα χιλιάδες πρὸς ἀνατολάς, καὶ δέκα χιλιάδες πρὸς θάλασσαν· καὶ ἔσον-
ται αἱ ἀπαρχαὶ τοῦ ἁγίου, καὶ ἔσται τὰ γεννήματα αὐτῆς εἰς ἄρτους τοῖς
ἐργαζομένοις τὴν πόλιν. 19 οἱ δὲ ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν ἐκ 19
πασῶν τῶν φυλῶν τοῦ Ἰσραήλ. 20 πᾶσα ἡ ἀπαρχὴ πέντε καὶ εἴκοσι χιλιά- 20
δες ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας· τετράγωνον ἀφοριεῖτε αὐτοῦ τὴν ἀπαρ-
χὴν τοῦ ἁγίου, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως. 21 τὸ δὲ περισσὸν τῷ 21
ἀφηγουμένῳ ἐκ τούτου, καὶ ἐκ τούτου ἀπὸ τῶν ἀπαρχῶν τοῦ ἁγίου, καὶ εἰς
τὴν κατάσχεσιν τῆς πόλεως ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας μῆκος, ἕως τῶν

---

2. οριων δαν προς α. εως προς ... ασηρ 3. ασηρ ... νεφθαλειμ 4. νεφθαλι απο των προς ανατολας εως ... μανναση 5. 6. εφραιμ 8. ανατολ. εως των προς θαλασσαν η απαρχη ... εμμεσω 9. απαρχη ην ... om μηκος ... ευρος εικ. και πεντε 10. θαλασσ. πλατος δεκα ... νοτον μηκος εικοσι ... εμμεσω 11. των υιων 12. απαρχων των αγιων· αγιον αγιων απο των απαρχων των λευιτ. 13. om τα 14. εξ αυτων ... πρωτογενηματα 15. εμμεσω 16. τετραχ. και πενταχοσιους 17. om διαχοσιοι primum, item om και προς νοτον usque θαλ. διαχ. πεντηχ. 18. γενηματα 21. του αφηγουμενου ... om και εκ τουτου ... απαρχων των αγιων ... πολεως κατα προσωπον επι εικ. και πεντε

Digitized by Google

ορίων τῶν πρὸς ἀνατολὰς καὶ πρὸς θάλασσαν, ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας
ἕως τῶν ὁρίων τῶν πρὸς θάλασσαν, ἐχόμενα τῶν μερίδων τοῦ ἀφηγουμέ-
νου· καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων καὶ τὸ ἁγίασμα τοῦ οἴκου ἐν μέσῳ
22 αὐτῆς. [22] καὶ παρὰ τῶν Λευιτῶν ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως ἐν μέσῳ
τῶν ἀφηγουμένων ἔσται ἀνὰ μέσον τῶν ὁρίων Ἰούδα καὶ ἀνὰ μέσον τῶν
23 ὁρίων Βενιαμίν, καὶ τῶν ἀφηγουμένων ἔσται. [23] καὶ τὸ περισσὸν τῶν φυλῶν,
24 ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Βενιαμίν, μία. [24] καὶ ἀπὸ
τῶν ὁρίων τῶν Βενιαμὶν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν
25 Συμεών, μία. [25] καὶ ἀπὸ τῶν ὁρίων τῶν Συμεὼν ἀπὸ τῶν πρὸς ἀνατολὰς
26 ἕως τῶν πρὸς θάλασσαν Ἰσσάχαρ, μία. [26] καὶ ἀπὸ τῶν ὁρίων τῶν Ἰσσάχαρ
27 ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ζαβουλών, μία. [27] καὶ ἀπὸ
τῶν ὁρίων τῶν Ζαβουλὼν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν
28 Γάδ, μία. [28] καὶ ἀπὸ τῶν ὁρίων τῶν Γὰδ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν
πρὸς λίβα, καὶ ἔσται τὰ ὅρια αὐτοῦ ἀπὸ Θαιμὰν καὶ ὕδατος Βαριμὼθ Κά-
29 δης, κληρονομίας, ἕως τῆς θαλάσσης τῆς μεγάλης. [29] αὕτη ἡ γῆ ἣν βαλεῖτε
ἐν κλήρῳ ταῖς φυλαῖς τοῦ Ἰσραήλ, καὶ οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει
30 κύριος θεός. [30] καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν, τετρακις-
31 χίλιοι καὶ πεντακόσιοι μέτρῳ. [31] καὶ αἱ πύλαι τῆς πόλεως ἐπ' ὀνόμασι φυ-
λῶν τοῦ Ἰσραήλ· πύλαι τρεῖς πρὸς βορρᾶν, πύλη Ῥουβὴν μία, καὶ πύλη
32 Ἰούδα μία, καὶ πύλη Λευὶ μία. [32] καὶ τὰ πρὸς ἀνατολὰς τετρακισχίλιοι καὶ
πεντακόσιοι· καὶ πύλαι τρεῖς, πύλη Ἰωσὴφ μία, καὶ πύλη Βενιαμὶν μία,
33 καὶ πύλη Δὰν μία. [33] καὶ τὰ πρὸς νότον τετρακισχίλιοι καὶ πεντακόσιοι μέ-
τρῳ· καὶ πύλαι τρεῖς, πύλη Συμεὼν μία, καὶ πύλη Ἰσσάχαρ μία, καὶ πύλη
34 Ζαβουλὼν μία. [34] καὶ τὰ πρὸς θάλασσαν τετρακισχίλιοι καὶ πεντακόσιοι
μέτρῳ· πύλαι τρεῖς, πύλη Γὰδ μία, καὶ πύλη Ἀσσὴρ μία, καὶ πύλη Νεφθα-
35 λὶμ μία. [35] κύκλωμα, δέκα καὶ ὀκτὼ χιλιάδες. καὶ τὸ ὄνομα τῆς πόλεως,
ἀφ' ἧς ἂν ἡμέρας γένηται, ἔσται τὸ ὄνομα αὐτῆς.

---

# ΔΑΝΙΗΛ.

2 Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ. [2] καὶ ἔλαβε
γυναῖκα ᾗ ὄνομα Σωσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ φοβουμένη
3 τὸν κύριον. [3] καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν
4 κατὰ τὸν νόμον Μωυσῆ. [4] καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ
παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ· καὶ πρὸς αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι
5 διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πάντων. [5] καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι
ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ δεσπότης ὅτι
ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν

---

21. θαλασσαν επι προσωπον επι ... οριων των πρ. ανατολας· και εχομενα ... εμμεσω 22. απο της κατασχεσεως pro και παρα ... και απο της ... εμμεσω ... βενιαμειν των 23. βενιαμειν 24. βενιαμειν 26. οριων ισσαχαρ 27. οριων ζαβουλων 28. οριων γαδ και εως προς λιβα· και εσται ορια ... εως θαλασσης 29. φυλαις ισραηλ ... κυρ. ο θεος 31. των φυλων ... τρις αι προς 32. βενιαμειν 34. και πυλαι τρις ... ασηρ ... νεφθαλειμ 35. γενηται· κυριος εκει εσται

Subscriptio: ιεζεκιηλ προφητης

---

Inscriptio: δανιηλ

2. σουσαννα 3. μωση

Digitized by Google

τὸν λαόν. 6 οὗτοι προσεκαρτέρουν ἐν τῇ οἰκίᾳ Ἰωακείμ, καὶ ἤρχοντο πρὸς 6
αὐτοὺς πάντες οἱ κρινόμενοι. 7 καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον 7
ἡμέρας, εἰςεπορεύετο Σωσάννα καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς
αὐτῆς. 8 καὶ ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθ' ἡμέραν εἰςπορευομέ- 8
νην καὶ περιπατοῦσαν, καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς. 9 καὶ διέστρεψαν τὸν 9
ἑαυτῶν νοῦν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν τοῦ μὴ βλέπειν εἰς τὸν
οὐρανὸν μηδὲ μνημονεύειν κριμάτων δικαίων. 10 καὶ ἦσαν ἀμφότεροι κατα- 10
νενυγμένοι περὶ αὐτῆς, καὶ οὐκ ἀνήγγειλαν ἀλλήλοις τὴν ὀδύνην ἑαυτῶν,
11 ὅτι ᾐσχύνοντο ἀναγγεῖλαι τὴν ἐπιθυμίαν αὐτῶν ὅτι ἤθελον συγγενέσθαι 11
αὐτῇ, 12 καὶ παρετηροῦσαν φιλοτίμως καθ' ἡμέραν ὁρᾶν αὐτήν. 13 καὶ εἶπαν 12 13
ἕτερος τῷ ἑτέρῳ Πορευθῶμεν δὴ εἰς οἶκον, ὅτι ἀρίστου ὥρα ἐστί· καὶ ἐξελ-
θόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων. 14 καὶ ἀνακάμψαντες ἦλθον ἐπὶ τὸ αὐτό, 14
καὶ ἀνετάζοντες ἀλλήλους τὴν αἰτίαν ὡμολόγησαν τὴν ἐπιθυμίαν αὐτῶν· καὶ
τότε κοινῇ συνετάξαντο καιρὸν ὅτε αὐτὴν δυνήσονται εὑρεῖν μόνην. 15 καὶ 15
ἐγένετο ἐν τῷ παρατηρεῖν αὐτοὺς ἡμέραν εὔθετον εἰςῆλθέ ποτε καθὼς χθὲς
καὶ τρίτης ἡμέρας μετὰ δύο μόνων κορασίων, καὶ ἐπεθύμησε λούσασθαι ἐν
τῷ παραδείσῳ, ὅτι καῦμα ἦν. 16 καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ πλὴν οἱ δύο πρε- 16
σβύτεροι κεκρυμμένοι καὶ παρατηροῦντες αὐτήν. 17 καὶ εἶπε τοῖς κορασίοις 17
Ἐνέγκατε δή μοι ἔλαιον καὶ σμήγματα, καὶ τὰς θύρας τοῦ παραδείσου κλεί-
σατε, ὅπως λούσωμαι. 18 καὶ ἐποίησαν καθὼς εἶπε, καὶ ἀπέκλεισαν τὰς θύ- 18
ρας τοῦ παραδείσου, καὶ ἐξῆλθαν κατὰ τὰς πλαγίας θύρας ἐνέγκαι τὰ προς-
τεταγμένα αὐταῖς, καὶ οὐκ εἴδοσαν τοὺς πρεσβυτέρους ὅτι ἦσαν κεκρυμμένοι.
19 καὶ ἐγένετο ὡς ἐξήλθοσαν τὰ κοράσια, καὶ ἀνέστησαν οἱ δύο πρεσβῦται 19
καὶ ἐπέδραμον αὐτῇ, 20 καὶ εἶπον Ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κέκλεινται, 20
καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπιθυμίᾳ σού ἐσμεν· διὸ συγκατάθου ἡμῖν,
καὶ γενοῦ μεθ' ἡμῶν. 21 εἰ δὲ μή, καταμαρτυρήσομέν σου ὅτι ἦν μετὰ σοῦ 21
νεανίσκος, καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ. 22 καὶ ἀνεστέ- 22
ναξε Σωσάννα καὶ εἶπε Στενά μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω,
θάνατός μοί ἐστιν· ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.
23 αἱρετώτερόν μοί ἐστι μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρ- 23
τεῖν ἐνώπιον κυρίου. 24 καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Σωσάννα· ἐβόησαν δὲ 24
καὶ οἱ δύο πρεσβῦται κατέναντι αὐτῆς. 25 καὶ δραμὼν ὁ εἷς ἤνοιξε τὰς θύ- 25
ρας τοῦ παραδείσου. 26 ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ παραδείσῳ οἱ ἐκ 26
τῆς οἰκίας, εἰςεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς αὐτῇ.
27 ἡνίκα δὲ εἶπαν οἱ πρεσβῦται τοὺς λόγους αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦ- 27
λοι σφόδρα, ὅτι πώποτε οὐκ ἐῤῥήθη λόγος τοιοῦτος περὶ Σωσάννης. 28 καὶ 28
ἐγένετο τῇ ἐπαύριον ὡς συνῆλθεν ὁ λαὸς πρὸς τὸν ἄνδρα αὐτῆς Ἰωακείμ,
ἦλθον οἱ δύο πρεσβῦται πλήρεις τῆς ἀνόμου ἐννοίας κατὰ Σωσάννης τοῦ
θανατῶσαι αὐτήν, καὶ εἶπαν ἔμπροσθεν τοῦ λαοῦ 29 Ἀποστείλατε ἐπὶ Σω- 29
σάνναν θυγατέρα Χελκίου ἥ ἐστι γυνὴ Ἰωακείμ. οἱ δὲ ἀπέστειλαν. 30 καὶ 30
ἦλθεν αὐτὴ καὶ οἱ γονεῖς αὐτῆς καὶ τὰ τέκνα αὐτῆς καὶ πάντες οἱ συγγε-
νεῖς αὐτῆς. 31 ἡ δὲ Σωσάννα ἦν τρυφερὰ σφόδρα καὶ καλὴ τῷ εἴδει. 32 οἱ 31 32
δὲ παράνομοι ἐκέλευσαν ἀποκαλυφθῆναι αὐτήν, ἦν γὰρ κατακεκαλυμμένη,
ὅπως ἐμπλησθῶσι τοῦ κάλλους αὐτῆς. 33 ἔκλαιον δὲ οἱ παρ' αὐτῆς καὶ πάντες 33

---

7. σουσαννα 10. απηγγελλον ... οδυν. αυτων 11. απαγγειλαι 13. ειπεν ... ωρα αριστου 15. εχθες 17. κορασιοις αυτης ... σμηγμα 18. καθως ειπεν post παραδεισου pon ... εξηλθον ... πλαγιους ... ουκ ειδαν 19. εξηλθον τα κορασια· ανεστησαν ... πρεσβυτεροι 22. σουσαννα ... εκφευσομαι 23. αιρετον ... αμαρτειν με 24. σουσαννα ... πρεσβυτεροι 26. οι απο της ... ιδειν τι το 27. πρεσβυτεροι ... ερρεθη ... σουσαννας 28. πρεσβυτεροι ... σουσαννας 29. σουσανναν 31. σουσαννα



Digitized by Google

34 οἱ ἰδόντες αὐτήν. 34 ἀναστάντες δὲ οἱ δύο πρεσβῦται ἐν μέσῳ τῷ λαῷ
35 ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτῆς. 35 ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς
36 τὸν οὐρανόν, ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα ἐπὶ κυρίῳ. 36 εἶπον δὲ οἱ
πρεσβῦται Περιπατούντων ἡμῶν ἐν τῷ παραδείσῳ μόνων εἰσῆλθεν αὕτη μετὰ
δύο παιδισκῶν, καὶ ἀπέκλεισε τὰς θύρας τοῦ παραδείσου καὶ ἀπέλυσε τὰς
37 παιδίσκας. 37 καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε
38 μετ' αὐτῆς. 38 ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου ἰδόντες τὴν ἀνο-
39 μίαν ἐδράμομεν ἐπ' αὐτούς· καὶ ἰδόντες συγγινομένους αὐτούς, 39 ἐκείνου μὲν
οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γενέσθαι διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς καὶ
40 ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι, 40 ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν
41 τίς ἦν ὁ νεανίσκος· 41 καὶ οὐκ ἠθέλησεν ἀγγεῖλαι ἡμῖν. ταῦτα μαρτυροῦμεν.
καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ καὶ κριταῖς,
42 καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν. 42 ἀνεβόησε δὲ φωνῇ μεγάλῃ Σωσάννα καὶ
εἶπεν Ὁ θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν
43 γενέσεως αὐτῶν, 43 σὺ ἐπίστασαι ὅτι ψευδῆ μου κατεμαρτύρησαν· καὶ ἰδοὺ
44 ἀποθνήσκω μὴ ποιήσασα μηδὲν ὧν οὗτοι ἐπονηρεύσαντο κατ' ἐμοῦ. 44 καὶ
45 εἰσήκουσε κύριος τῆς φωνῆς αὐτῆς. 45 καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ὁ
46 θεὸς ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου ᾧ ὄνομα Δανιήλ. 46 καὶ
47 ἐβόησε φωνῇ μεγάλῃ Ἀθῷος ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης. 47 ἐπέστρεψε δὲ
48 πᾶς ὁ λαὸς πρὸς αὐτὸν καὶ εἶπαν Τίς ὁ λόγος οὗτος ὃν σὺ λελάληκας; 48 ὁ
δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν Οὕτως μωροὶ οἱ υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρί-
49 ναντες οὐδὲ τὸ σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραήλ; 49 ἀναστρέ-
50 ψατε εἰς τὸ κριτήριον· ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς. 50 καὶ ἀνέ-
στρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς. καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι Δεῦρο
κάθισον ἐν μέσῳ ἡμῶν καὶ ἀνάγγειλον ἡμῖν, ὅτι σοὶ δέδωκεν ὁ θεὸς τὸ
51 πρεσβεῖον. 51 καὶ εἶπε πρὸς αὐτοὺς Δανιήλ Διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων
52 μακράν, καὶ ἀνακρινῶ αὐτούς. 52 ὡς δὲ διεχωρίσθησαν εἷς ἀπὸ τοῦ ἑνός,
ἐκάλεσε τὸν ἕνα αὐτῶν καὶ εἶπε πρὸς αὐτόν Πεπαλαιωμένε ἡμερῶν κακῶν,
53 νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις τὸ πρότερον 53 κρίνων κρίσεις ἀδί-
κους, καὶ τοὺς μὲν ἀθῴους κατακρίνων, ἀπολύων δὲ τοὺς αἰτίους, λέγοντος
54 τοῦ θεοῦ Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. 54 νῦν οὖν ταύτην εἴπερ εἶδες,
εἰπὸν ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ
55 σχῖνον. 55 εἶπε δὲ Δανιήλ Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ κεφαλήν· ἤδη
56 γὰρ ἄγγελος φάσιν θεοῦ λαβὼν παρὰ τοῦ θεοῦ σχίσει σε μέσον. 56 καὶ με-
ταστήσας αὐτὸν ἐκέλευσε προςαγαγεῖν τὸν ἕτερον. καὶ εἶπεν αὐτῷ Σπέρμα
Χαναὰν καὶ οὐκ Ἰούδα, τὸ κάλλος ἐξηπάτησέ σε, καὶ ἐπιθυμία διέστρεψε
57 τὴν καρδίαν σου. 57 οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι φοβού-
μεναι ὡμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν.
58 58 νῦν οὖν λέγε μοι ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ
59 δὲ εἶπεν Ὑπὸ πρῖνον. 59 εἶπε δὲ αὐτῷ Δανιήλ Ὀρθῶς ἔψευσαι καὶ σὺ εἰς
τὴν σεαυτοῦ κεφαλήν. μένει γὰρ ὁ ἄγγελος τοῦ θεοῦ τὴν ῥομφαίαν ἔχων
60 πρίσαι σε μέσον, ὅπως ἐξολοθρεύσῃ ὑμᾶς. 60 καὶ ἀνεβόησε πᾶσα ἡ συνα-
γωγὴ φωνῇ μεγάλῃ καὶ εὐλόγησαν τῷ θεῷ τῷ σῴζοντι τοὺς ἐλπίζοντας ἐπ'

---

34. πρεσβυτεροι εμμεσω του λαου ... επι της κεφαλης 35. επι τω κυριω 36. ειπαν ... πρεσβυτεροι ... κ. απελυσ. τ. παιδ. και απεκλεισ. τ. θ. τ. παραδ. 39. περικρατεις 41. απαγγειλαι 42. και ανεβοησεν φ. μ. σουσαννα 44. επηκουσεν ο θεος της 45. εξηγειρεν ο θεος 46. καθαρος εγω 48. εμμεσω 50. καθεισον ανα μεσω (sic) ... απαγγειλον ... εδωκεν ... το πρεσβυτεριον 53. λεγοντ. τ. κυριου 54. δενδρ. κατελαβες αυτ. 55. αγγ. του θεου λαβ. φασιν παρα 56. ουχ ιουδα ... και η επιθυμια 57. κακειναι 59. εξολεθρευσει 60. ανεβοησαν ... κ. εβοησαν τω θεω

αὐτόν. [61] καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβύτας, ὅτι συνέστησεν αὐτοὺς 61
Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας, καὶ ἐποίησαν αὐτοῖς
ὃν τρόπον ἐπονηρεύσαντο τῷ πλησίον, [62] ποιῆσαι κατὰ τὸν νόμον Μωυσῆ, 62
καὶ ἀπέκτειναν αὐτούς· καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
[63] Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ ᾔνεσαν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ 63
Ἰωακεὶμ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν αὐτῶν, ὅτι οὐχ εὑρέθη ἐν
αὐτῇ ἄσχημον πρᾶγμα. [64] καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ 64
τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα.

## I.

Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Ἰωακεὶμ βασιλέως Ἰούδα ἦλθε Ναβουχο-
δονόσορ ὁ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ ἐπολιόρκει αὐτήν. [2] καὶ 2
ἔδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ἰωακεὶμ βασιλέα Ἰούδα καὶ ἀπὸ μέρους
τῶν σκευῶν οἴκου τοῦ θεοῦ, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Σενναὰρ οἴκου τοῦ
θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐ-
τοῦ. [3] καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν 3
ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας Ἰσραὴλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασι-
λείας καὶ ἀπὸ τῶν φορθομμὶν [4] νεανίσκους οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος 4
καὶ καλοὺς τῇ ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γινώσκοντας γνῶσιν
καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστὶν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ
οἴκῳ ἐνώπιον τοῦ βασιλέως καὶ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν
Χαλδαίων. [5] καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν 5
ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ ποτοῦ αὐτοῦ, καὶ
θρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως.
[6] καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα Δανιὴλ καὶ Ἀνανίας καὶ Ἀζαρίας 6
καὶ Μισαήλ. [7] καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ Δανιὴλ Βαλ- 7
τάσαρ, καὶ τῷ Ἀνανίᾳ Σεδράχ, καὶ τῷ Μισαὴλ Μισάχ, καὶ τῷ Ἀζαρίᾳ
Ἀβδεναγώ. [8] καὶ ἔθετο Δανιὴλ εἰς τὴν καρδίαν αὐτοῦ ὡς οὐ μὴ ἀλισγηθῇ 8
ἐν τῇ τραπέζῃ τοῦ βασιλέως καὶ ἐν τῷ οἴνῳ ἀπὸ τοῦ ποτοῦ αὐτοῦ, καὶ
ἠξίωσε τὸν ἀρχιευνοῦχον ὡς οὐ μὴ ἀλισγηθῇ. [9] καὶ ἔδωκεν ὁ θεὸς τὸν Δα- 9
νιὴλ εἰς ἔλεον καὶ οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου. [10] καὶ εἶπεν ὁ ἀρ- 10
χιευνοῦχος τῷ Δανιήλ Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτά-
ξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν, μή ποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν
σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάσητε τὴν
κεφαλήν μου τῷ βασιλεῖ. [11] καὶ εἶπε Δανιὴλ πρὸς Ἀμελσάδ, ὃν κατέστησεν 11
ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιήλ, Ἀνανίαν, Μισαήλ, Ἀζαρίαν, [12] Πείρασον δὴ τοὺς 12
παῖδάς σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων καὶ φα-
γώμεθα, καὶ ὕδωρ πιώμεθα, [13] καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν 13
καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ
καθὼς ἐὰν ἴδῃς ποίησον μετὰ τῶν παίδων σου. [14] καὶ εἰσήκουσεν αὐτῶν, 14
καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. [15] καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν 15
ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια

---

61. δυο πρεσβυτερους 62. μωση 63. ηνεσαν τον θεον π. τ. θ. αυτ. σουσαννας ... συγγενων παντων οτι

Subscriptio: ορασις α. Sequitur inscriptio: ορασις β.

I. 1. om ὁ 2. σενναααρ οικον ... om θησαυρου 3. πορθομμειν 4. καλοι ... om εν τω οικω 6. εγενετο αυτοις ... κ. μισαηλ κ. αζαριας 7. βαρτασαρ (sed* omiserat) ... μισαχ 8. επι την καρδιαν ... οινω του 9. και εις οικτιρμ. 10. συνηλικεια 11. πρ. αμερσαρ ... επι δαν. και αν. και μισ. και αζ. 12. σπερματων της γης κ. φαγομεθα ... πιομεθα 13. ειδεαι bis ... εσθιοντων ... μετα τ. παιδαριων σ. 15. ειδεαι ... ισχυροι



Digitized by Google

16 τὰ ἔσθοντα τὴν τράπεζαν τοῦ βασιλέως. [16]καὶ ἐγένετο Ἀμελσὰδ ἀναιρούμε-
νος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν, καὶ ἐδίδου αὐτοῖς
17 σπέρματα. [17]καὶ τὰ παιδάρια ταῦτα, οἱ τέσσαρες αὐτοί, ἔδωκεν αὐτοῖς ὁ
θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ· καὶ Δανιὴλ
18 συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις. [18]καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ὧν
εἶπεν ὁ βασιλεὺς εἰςαγαγεῖν αὐτούς, καὶ εἰςήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος
19 ἐναντίον Ναβουχοδονόσορ. [19]καὶ ἐλάλησε μετ' αὐτῶν ὁ βασιλεύς, καὶ οὐχ
εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι Δανιὴλ καὶ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ
20 Ἀζαρίᾳ· καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως, [20]καὶ ἐν παντὶ ῥήματι σοφίας
καὶ ἐπιστήμης ὧν ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεὺς εὗρεν αὐτοὺς δεκαπλα-
σίονας παρὰ πάντας τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ
21 τῇ βασιλείᾳ αὐτοῦ. [21]καὶ ἐγένετο Δανιὴλ ἕως ἔτους ἑνὸς Κύρου τοῦ βασιλέως.

## II.

Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας ἐνυπνιάσθη Ναβουχοδονόσορ
ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ' αὐ-
2 τοῦ. [2]καὶ εἶπεν ὁ βασιλεὺς καλέσαι τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ
τοὺς φαρμακοὺς καὶ τοὺς Χαλδαίους τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια
3 αὐτοῦ· καὶ ἦλθαν, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως. [3]καὶ εἶπεν αὐτοῖς ὁ
βασιλεύς Ἠνυπνιάσθην, καὶ ἐξέστη τὸ πνεῦμά μου τοῦ γνῶναι τὸ ἐνύπνιον.
4 [4]καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ Συριστί Βασιλεῦ εἰς τοὺς αἰῶνας
ζῆθι· σὺ εἰπὸν τὸ ἐνύπνιον τοῖς παισί σου, καὶ τὴν σύγκρισιν ἀναγγελοῦμεν.
5 [5]ἀπεκρίθη ὁ βασιλεὺς τοῖς Χαλδαίοις Ὁ λόγος ἀπ' ἐμοῦ ἀπέστη· ἐὰν μὴ
γνωρίσητέ μοι τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν, εἰς ἀπώλειαν ἔσεσθε, καὶ οἱ
6 οἶκοι ὑμῶν διαρπαγήσονται. [6]ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ
γνωρίσητέ μοι, δόματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν λήψεσθε παρ' ἐμοῦ·
7 πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλατέ μοι. [7]ἀπεκρίθησαν
δεύτερον καὶ εἶπαν Ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ
8 τὴν σύγκρισιν ἀναγγελοῦμεν. [8]καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν Ἐπ' ἀλη-
θείας οἶδα ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι ἴδετε ὅτι ἀπέστη ἀπ'
9 ἐμοῦ τὸ ῥῆμα. [9]ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγείλητέ μοι, οἶδα ὅτι ῥῆμα
ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ ὁ καιρὸς
παρέλθῃ· τὸ ἐνύπνιόν μου εἴπατέ μοι, καὶ γνώσομαι ὅτι καὶ τὴν σύγκρισιν
10 αὐτοῦ ἀναγγελεῖτέ μοι. [10]ἀπεκρίθησαν οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως
καὶ λέγουσιν Οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς ὅστις τὸ ῥῆμα τοῦ βασι-
λέως δυνήσεται γνωρίσαι, καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοι-
11 οῦτον οὐκ ἐπερωτᾷ ἐπαοιδόν, μάγον καὶ Χαλδαῖον, [11]ὅτι ὁ λόγος ὃν ὁ βα-
σιλεὺς ἐπερωτᾷ βαρύς, καὶ ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐτὸν ἐνώπιον τοῦ
12 βασιλέως ἀλλ' οἱ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός. [12]τότε
ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀπολέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶ-
13 νος. [13]καὶ τὸ δόγμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτέννοντο· καὶ ἐζήτησαν

---

15. εσθιοντα 16. αμερσαρ ... in f. add τοις τεσσαρσιν παιδαριοις 17. om τα παιδ. ταυτα οι τεσσ. αυτοι 19. ουχ ευρεθησαν 20. om παση Subscriptio: ορασις β. Inscriptio: ορασις γ.

II. 1. βασιλειας ναβουχοδονοσορ ενυπν. ναβουχ. 2. ηλθον 3. Ενυπνιασθην 4. και ειπον οι 5. απ. ο βασ. και ειπεν ... εαν ουν μη ... συγκρισιν αυτου 6. δωρεαν ... λημψεσθαι 7. απεκρ. οι χαλδαιοι και ειπαν εκ δευτερου ... συγκρισιν αυτου 8. om και prius ... καθοτι οιδατε 9. απαγγειληται ... ενωπιον εμου ... om και ultimum 10. απεκριθ. παλιν ... οστ. δυνησ. το ρ. του β. γνωρ. ... τοιουτο ... μαγον χαλδαιον 11. αλλ η θεοι ... κατοικεια

Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀνελεῖν. [14] τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ 14
γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀναιρεῖν τοὺς
σοφοὺς Βαβυλῶνος, [15] Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ 15
ἀναιδὴς ἐκ προσώπου τοῦ βασιλέως; ἐγνώρισε δὲ ὁ Ἀριὼχ τὸ ῥῆμα τῷ Δα-
νιήλ. [16] καὶ Δανιὴλ ἠξίωσε τὸν βασιλέα ὅπως χρόνον δῷ αὐτῷ, καὶ τὴν 16
σύγκρισιν αὐτοῦ ἀναγγελῇ τῷ βασιλεῖ. [17] καὶ εἰςῆλθε Δανιὴλ εἰς τὸν οἶκον 17
αὐτοῦ, καὶ τῷ Ἀνανίᾳ καὶ τῷ Μισαὴλ καὶ τῷ Ἀζαρίᾳ τοῖς φίλοις αὐτοῦ τὸ
ῥῆμα ἐγνώρισε. [18] καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐρανοῦ ὑπὲρ 18
τοῦ μυστηρίου τούτου, ὅπως ἂν μὴ ἀπόλωνται Δανιὴλ καὶ οἱ φίλοι αὐτοῦ
μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος. [19] τότε τῷ Δανιὴλ ἐν ὁράματι τῆς 19
νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη. καὶ εὐλόγησε τὸν θεὸν τοῦ οὐρανοῦ Δα-
νιὴλ [20] καὶ εἶπεν Εἴη τὸ ὄνομα τοῦ θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ 20
ἕως τοῦ αἰῶνος, ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστί. [21] καὶ αὐτὸς ἀλλοιοῖ 21
καιροὺς καὶ χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σο-
φοῖς καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν. [22] αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπό- 22
κρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ᾽ αὐτοῦ ἐστί. [23] σοὶ ὁ 23
θεὸς τῶν πατέρων μου ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ δύναμιν δέ-
δωκάς μοι, καὶ ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ, καὶ τὸ ὅραμα τοῦ
βασιλέως ἐγνώρισάς μοι. [24] καὶ ἦλθε Δανιὴλ πρὸς Ἀριώχ, ὃν κατέστησεν ὁ 24
βασιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ Τοὺς σοφοὺς
Βαβυλῶνος μὴ ἀπολέσῃς, εἰςάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ τὴν
σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ. [25] τότε Ἀριὼχ ἐν σπουδῇ εἰςήγαγε τὸν Δα- 25
νιὴλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπεν αὐτῷ Εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς
αἰχμαλωσίας τῆς Ἰουδαίας ὅστις τὸ σύγκριμα τῷ βασιλεῖ ἀναγγελεῖ. [26] καὶ 26
ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε τῷ Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, Εἰ δύνα-
σαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ ἴδον καὶ τὴν σύγκρισιν αὐτοῦ; [27] καὶ ἀπε- 27
κρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπε Τὸ μυστήριον ὃ ὁ βασιλεὺς
ἐπερωτᾷ οὐκ ἔστι σοφῶν μάγων ἐπαοιδῶν γαζαρηνῶν ἀναγγεῖλαι τῷ βα-
σιλεῖ· [28] ἀλλ᾽ ἢ ἔστι θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισε 28
τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν. τὸ
ἐνύπνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου, τοῦτό
ἐστι, [29] βασιλεῦ· οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν τί δεῖ 29
γενέσθαι μετὰ ταῦτα, καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐγνώρισέ σοι ἃ δεῖ γε-
νέσθαι. [30] καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς 30
ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ᾽ ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ
βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας σου γνῷς. [31] σὺ βασι- 31
λεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, μεγάλη ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόςοψις
αὐτῆς ὑπερφερής, ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά.
[32] εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου χρηστοῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ 32
βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, [33] αἱ κνῆμαι σιδη- 33
ραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν καὶ μέρος δέ τι ὀστράκινον. [34] ἐθεώρεις 34
ἕως ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ
τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος.
[35] τότε ἐλεπτύνθησαν εἰςάπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, 35

---

14. αναιλειν 15. και επυνθανετο αυτου λεγων Αρχων ... η αναιδης αυτη εκ ... δε το ρημα αριωχ τω βασιλει 16. και εισηλθεν δανιηλ και ηξ. απο του βασιλεως ... απαγγειλη 18. om αν 19. τω δε pro τοτε τω ... ηυλογησεν 20. post συνεσις add και η ισχυς 23. εδωκας μοι και νυν εγν. 26. βαρτασαρ ... om ο ιδον 28. αλλ εστιν ο θεος 29. συ βασιλευ εθεωρεις· οι 30. om δε ... om τουτο 31. η οψεις 32. η εικων ... χρυσιου καθαρου, αι 33. σιδηρ. μερ. δε τι 34. εως ου ετμηθη 35. ο σιδηρος το οστρακον

Digitized by Google

ὁ χρυσός, καὶ ἐγένετο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὰ
τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς· καὶ ὁ λίθος ὁ
πατάξας τὴν εἰκόνα ἐγενήθη ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.
36 36 τοῦτό ἐστι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βα-
37 σιλέως. 37 σὺ βασιλεῦ βασιλεὺς βασιλέων, ᾧ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν
38 ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν 38 ἐν παντὶ τόπῳ ὅπου κατοικοῦσιν
οἱ υἱοὶ τῶν ἀνθρώπων, θηρία τε ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ καὶ ἰχθύας τῆς
θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων· σὺ εἶ
39 ἡ κεφαλὴ ἡ χρυσῆ. 39 καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων
σου, καὶ βασιλεία τρίτη ἥτις ἐστὶν ὁ χαλκός, ἣ κυριεύσει πάσης τῆς γῆς,
40 40 καὶ βασιλεία τετάρτη ἥτις ἔσται ἰσχυρὰ ὡς σίδηρος· ὃν τρόπον ὁ σίδηρος
41 λεπτύνει καὶ δαμάζει πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει. 41 καὶ ὅτι
εἶδες τοὺς πόδας καὶ τοὺς δακτύλους μέρος μέν τι ὀστράκινον, μέρος δέ τι
σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται
42 ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ. 42 καὶ οἱ
δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, μέρος
43 τι τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. 43 ὅτι
εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρ-
ματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς
44 ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου. 44 καὶ ἐν ταῖς ἡμέραις τῶν
βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἥτις εἰς τοὺς
αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθή-
σεται· λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας, καὶ αὕτη ἀναστήσεται
45 εἰς τοὺς αἰῶνας· 45 ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χει-
ρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν
χρυσόν. ὁ θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα·
46 καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. 46 τότε ὁ βασιλεὺς
Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ μα-
47 ναὰ καὶ εὐωδίας εἶπε σπεῖσαι αὐτῷ. 47 καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ
Δανιήλ Ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν αὐτός ἐστι θεὸς θεῶν καὶ κύριος τῶν
βασιλέων, ὁ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνάσθης ἀποκαλύψαι τὸ μυστή-
48 ριον τοῦτο. 48 καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιήλ, καὶ δόματα μεγάλα
καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶ-
49 νος καὶ ἄρχοντα σατραπῶν, ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος. 49 καὶ Δα-
νιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας
Βαβυλῶνος τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ
τοῦ βασιλέως.

## III.

Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυ-
σῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν
2 αὐτὴν ἐν πεδίῳ Δεειρᾶ ἐν χώρᾳ Βαβυλῶνος. 2 καὶ ἀπέστειλε συναγαγεῖν
τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους καὶ

---

35. εγενοντο ... ουκ ευρεθη 38. του ουρανου 39. ηττων σου ητις εστιν ο αργυρος ... τριτη η εστιν 40. τεταρτη εσται ισχ. ως ο ... ουτως π. λε. κ. δαμαζει 41. **οστρακινον κεραμεου 42. επ αυτης 43. προσκολλωμενος ... ουκ αναμιγν. τω οστρακω 44. ητις εις τον αιωνα ... **λεπτυνει δε και 45. ιδες 46. μαννα 47. κ. κυρ. των κυριων και βασιλευς των βασιλεων· αποκαλυπτων ... εδυνηθης 48. πολλα και μεγαλα ... σατραπων και επι 49. μισαχ αβδεναγω

Subscriptio: ορασις γ. Inscriptio: ορασις δ.

III. 1. om ο βασιλευς

Digitized by Google

τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν
εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος. [3]καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρα- 3
τηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες
τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ ὁ
βασιλεύς. καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος, [4]καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ 4
Ὑμῖν λέγεται λαοῖς, φυλαί, γλῶσσαι, [5]ᾗ ἂν ὥρᾳ ἀκούσητε φωνῆς σάλπιγ- 5
γος σύριγγός τε καὶ κιθάρας σαμβύκης τε καὶ ψαλτηρίου καὶ παντὸς γένους
μουσικῶν, πίπτοντες προςκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησε Ναβουχοδο-
νόσορ ὁ βασιλεύς· [6]καὶ ὃς ἂν μὴ πεσὼν προςκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβλη- 6
θήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [7]καὶ ἐγένετο ὅταν ἤκουον 7
οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης τε καὶ
ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοὶ φυλαὶ γλῶσ-
σαι προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.
[8]τότε προςήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους [9]τῷ βα- 8 9
σιλεῖ Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. [10]σὺ βασιλεῦ ἔθηκας δόγμα, πάντα 10
ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας,
σαμβύκης καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, [11]καὶ μὴ πεσὼν 11
προςκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσηται εἰς τὴν κάμινον τοῦ πυρὸς
τὴν καιομένην. [12]εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς 12
χώρας Βαβυλῶνος, Σεδρὰχ Μισὰχ Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν βασιλεῦ τῷ
δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστη-
σας οὐ προςκυνοῦσι. [13]τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγα- 13
γεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως.
[14]καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς Εἰ ἀληθῶς, Σεδράχ, Μι- 14
σάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ
ἔστησα οὐ προςκυνεῖτε; [15]νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε 15
τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης τε καὶ ψαλ-
τηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προςκυνήσητε
τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προςκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμ-
βληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι θεὸς
ὃς ἐξελεῖται ὑμᾶς ἐκ χειρός μου; [16]καὶ ἀπεκρίθησαν Σεδρὰχ Μισὰχ Ἀβ- 16
δεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ
τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. [17]ἔστι γὰρ θεὸς ἡμῶν ἐν οὐρανοῖς, 17
ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς
καιομένης, καὶ ἐκ τῶν χειρῶν σου βασιλεῦ ῥύσεται ἡμᾶς. [18]καὶ ἐὰν μή, 18
γνωστὸν ἔστω σοι βασιλεῦ ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι ᾗ
ἔστησας οὐ προςκυνοῦμεν. [19]τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ 19
ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδρὰχ Μισὰχ καὶ Ἀβδεναγώ, καὶ
εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως ἕως οὗ εἰς τέλος ἐκκαῇ. [20]καὶ 20

2. ελθειν εις τον αγκαινισμον (corrige εγκ.) τ. εικ. ης εστησεν ναβουχοδονοσορ ο βασιλευς 3. post βασιλευς add και συνηχθησαν οι τοπαρχαι ... ιστηκεισαν ... in f. add ης εστησεν ναβουχοδονοσορ 4. εθνη λαοι φυλ. γλ. 5. της φωνης της σαλπιγγος ... ψαλτηριου και συμφωνιας κ. παντος ... *om τη χρυση 6. om πεσων 7. οταν ηκουσαν ... ψαλτηριου και συμφωνιας και ... om φυλαι γλωσσαι ... η εστησεν 8. προσηλθαν ... διεβαλλον 9. και υποβαλοντες ειπον ναβουχοδονοσορ τω βασιλει 10. σαμβυκης τε κ. ψ. και συμφωνιας και 11. εμβληθησεται 12. σεδραχ μισαχ αβδ. οι ανδρες εκεινοι ουχ ... και τοις θεοις 13. τον σεδραχ μισαχ κ. τον αβδ. 14. σεδραχ μισαχ και αβδ. 15. om και παντος γεν. μουσικων ... πεσοντ. προσκυνειτε ... εστιν ο θεος ... εκ των χειρων μου 16. σεδραχ μισαχ 17. γαρ ο θεος ... εκ της χειρος σου 18. τη εικονι τη χρυση 19. ναβουχ. ο βασιλευς ... σεδραχ μισαχ αβδ. ... εως εις

Digitized by Google

ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε πεδήσαντας τὸν Σεδρὰχ Μισὰχ καὶ Ἀβδεναγὼ
21 ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. 21 τότε οἱ ἄνδρες ἐκεῖ-
νοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσιν,
22 καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, 22 ἐπεὶ
τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυεν· καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ.
23 23 καὶ οἱ τρεῖς οὗτοι, Σεδρὰχ Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς
καμίνου τῆς καιομένης πεπεδημένοι, καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς
ὑμνοῦντες τὸν θεὸν καὶ εὐλογοῦντες τὸν κύριον.

## (ΠΡΟΣΕΥΧΗ ΑΖΑΡΙΟΥ ΚΑΙ ΥΜΝΟΣ ΤΩΝ ΤΡΙΩΝ.)

1 1 Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ
2 ἐν μέσῳ τοῦ πυρὸς εἶπεν 2 Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν
3 καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. 3 ὅτι δίκαιος
εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας, καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ
4 ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια. 4 καὶ κρίματα ἀληθείας ἐποίη-
σας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν
πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα
5 διὰ τὰς ἁμαρτίας ἡμῶν. 5 ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ
6 σοῦ, 6 καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν οὐδὲ
συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν ἵνα εὖ ἡμῖν γένηται.
7 7 καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ
8 κρίσει ἐποίησας. 8 καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ ἐχθί-
στων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
9 9 καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγε-
10 νήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. 10 μὴ δὴ παραδῴης ἡμᾶς
11 εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, 11 καὶ
μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ
12 σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, 12 οἷς ἐλά-
λησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν
13 ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. 13 ὅτι δέσποτα ἐσμικρύνθημεν
παρὰ πάντα τὰ ἔθνη, καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς
14 ἁμαρτίας ἡμῶν. 14 καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης
καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα,
15 οὐδὲ τόπος τοῦ καρπῶσαι ἐναντίον σου καὶ εὑρεῖν ἔλεος. 15 ἀλλ' ἐν ψυχῇ
16 συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, 16 ὡς ἐν ὁλοκαυ-
τώσει κριῶν καὶ ταύρων καὶ ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ
θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται
17 αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί. 17 καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ,
18 καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου. 18 μὴ καταισχύνῃς ἡμᾶς,
ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ
19 ἐλέους σου. 19 καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ

20. σεδραχ μισαχ 21. περικνημ. και ενδυμασιν αυτων· και εμβληθησαν εις μεσον 22. υπερισχυσεν ... in f. add και τους ανδρας εκεινους τους βαλλοντας σεδραχ μισαχ αβδεναγω απεκτεινεν η φλοξ του πυρος 23. σεδραχ μισαχ αβδ. ... καμεινου (-ει- plerumque) του πυρος της ... εμμεσω

Deest inscriptio: Προσευχη usque τριων. 1. εμμεσω 2. αινετον 3. εποιησας ημιν 4. αγιαν σου την 5. αποσταντες 6. ουδε συνετηρ. videtur cum seqq. conjg. 7. om και π. ο. επηγ. ημιν 8. ανομων εχθειστων 9. om ημων ... εγενηθη 10. παραδως 12. οις ελαλ. προς αυτους 14. om ουδε προσφ. ουδε θυμιαμα ... ου τοπος ... ενωπιον σου 16. εν ολοκαυτωμασιν ... και ως εν μυριασιν ... γενεσθω θυσια ... ουκ εστιν

Digitized by Google

ὀνόματί σου, κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις
σου κακά, 20 καὶ καταισχυνθείησαν ἀπὸ πάσης τῆς δυναστείας, καὶ ἡ ἰσχὺς 20
αὐτῶν συντριβείη, 21 καὶ γνώτωσαν ὅτι σὺ εἶ κύριος, θεὸς μόνος καὶ ἔνδοξος 21
ἐφ' ὅλην τὴν οἰκουμένην. 22 καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται 22
τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στιππύον καὶ
κληματίδα. 23 καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρα- 23
κονταεννέα, 24 καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν 24
Χαλδαίων. 25 ὁ δὲ ἄγγελος κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν 25
εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, 26 καὶ 26
ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο
αὐτῶν τὸ καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς.
27 τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν 27
θεὸν ἐν τῇ καμίνῳ λέγοντες 28 ΕΥΛΟΓΗΤΟΣ εἶ, κύριε ὁ θεὸς τῶν πατέρων 28
ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. 29 καὶ εὐλογημένον 29
τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς
πάντας τοὺς αἰῶνας. 30 εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, 30
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. 31 εὐλογημένος εἶ ὁ ἐπι- 31
βλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβίμ, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος
εἰς τοὺς αἰῶνας. 32 εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου, καὶ ὑπερυ- 32
μνητὸς καὶ ὑπερυμνούμενος εἰς τοὺς αἰῶνας. 33 εὐλογητὸς εἶ ἐν τῷ στερεώ- 33
ματι τοῦ οὐρανοῦ, καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. 34 εὐλο- 34
γεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. 35 εὐλογεῖτε οὐρανοὶ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν 35
εἰς τοὺς αἰῶνας. 36 εὐλογεῖτε ἄγγελοι κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυ- 36
ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 37 εὐλογεῖτε ὕδατα καὶ πάντα τὰ ὑπεράνω τοῦ 37
οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 38 εὐλο- 38
γείτω πᾶσα ἡ δύναμις κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. 39 εὐλογεῖτε ἥλιος καὶ σελήνη τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυ- 39
ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 40 εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον, 40
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 41 εὐλογείτω πᾶς ὄμβρος καὶ 41
δρόσος τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 42 εὐλο- 42
γεῖτε πάντα τὰ πνεύματα τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. 43 εὐλογεῖτε πῦρ καὶ καῦμα τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ- 43
τὸν εἰς τοὺς αἰῶνας. 46 εὐλογεῖτε νύκτες καὶ ἡμέραι τὸν κύριον, ὑμνεῖτε καὶ 46
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 47 εὐλογεῖτε φῶς καὶ σκότος τὸν κύριον, 47
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 48 εὐλογεῖτε ψῦχος καὶ καῦμα 48
τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 49 εὐλογεῖτε πά- 49
χναι καὶ χιόνες τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
50 εὐλογεῖτε ἀστραπαὶ καὶ νεφέλαι τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν 50
εἰς τοὺς αἰῶνας. 51 εὐλογείτω ἡ γῆ τὸν κύριον, ὑμνείτω καὶ ὑπερυψούτω αὐ- 51
τὸν εἰς τοὺς αἰῶνας. 52 εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν κύριον, ὑμνεῖτε καὶ 52
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 53 εὐλογεῖτε πάντα τὰ φυόμενα ἐν τῇ 53

---

19. ενδιγνυμενοι 20. απο πασης δυναμεως και δυναστειας 21. om και prius ... κυριος ο θεος 22. διελειπον ... κληματιδας 23. διηχειτο ... τεσσεραχ. 26. ουχ ηψατο 29. om παντας 31. ο βλεπων ... επι των χερουβειμ ... υπεραινετος 32. υπερυψουμενος εις 33. ευλογημενος ... υπερυμνητος 37. υδατα παντα ... επανω 38. ευλογειτε πασαι αι δυναμεις 39. σελενη 41. ευλογειτε [44.] ευλογειτε ψυχος και καυσων τον κυριον· υμνειτε και υπερυψουται αυτον εις τους αιωνας. [45.] ευλογειτε δροσοι και νιφετοι τον κυριον· υμνειτε και υπερυψουται αυτον εις τους αιωνας. 48. παγος και ψυχος τον

Digitized by Google

54 γῆ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 54 (55) εὐλο-
γεῖτε θάλασσα καὶ ποταμοὶ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
55 τοὺς αἰῶνας. 55 (54) εὐλογεῖτε αἱ πηγαὶ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
56 αὐτὸν εἰς τοὺς αἰῶνας. 56 εὐλογεῖτε κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς
57 ὕδασι τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 57 εὐλο-
γεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
58 αὐτὸν εἰς τοὺς αἰῶνας. 58 εὐλογεῖτε πάντα τὰ θηρία καὶ τὰ κτήνη τὸν κύ-
59 ριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 59 εὐλογεῖτε υἱοὶ τῶν
60 ἀνθρώπων τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 60 εὐ-
λογεῖτε Ἰσραὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
61 61 εὐλογεῖτε ἱερεῖς τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶ-
62 νας. 62 εὐλογεῖτε δοῦλοι τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
63 αἰῶνας. 63 εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων τὸν κύριον, ὑμνεῖτε καὶ
64 ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 64 εὐλογεῖτε ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ
65 τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. 65 εὐλογεῖτε
Ἀνανία Ἀζαρία Μισαὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας· ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου, καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς·
ἐῤῥύσατο ἡμᾶς ἐκ μέσου καμίνου καιομένης φλογός, καὶ ἐκ μέσου πυρὸς
66 ἐῤῥύσατο ἡμᾶς. 66 ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα
67 τὸ ἔλεος αὐτοῦ. 67 εὐλογεῖτε πάντες οἱ σεβόμενοι τὸν κύριον τὸν θεὸν τῶν
θεῶν, ὑμνεῖτε καὶ ἐξομολογεῖσθε ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

(ΤΕΛΟΣ ΤΗΣ ΠΡΟΣΕΥΧΗΣ ΚΑΙ ΤΟΥ ΥΜΝΟΥ.)

24 24 καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν καὶ ἐθαύμασε, καὶ
ἐξανέστη ἐν σπουδῇ καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ Οὐχὶ ἄνδρας τρεῖς ἐβά-
λομεν εἰς τὸ μέσον τοῦ πυρὸς πεπεδημένους; καὶ εἶπον τῷ βασιλεῖ Ἀληθῶς,
25 βασιλεῦ. 25 καὶ εἶπεν ὁ βασιλεύς Ὅδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμέ-
νους καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐ-
26 τοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ. 26 τότε προσῆλθε Ναβου-
χοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ εἶπε
Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ
27 δεῦτε. καὶ ἐξῆλθον Σεδρὰχ Μισὰχ Ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός. 27 καὶ
συνάγονται οἱ σατράπαι καὶ οἱ στρατηγοὶ καὶ οἱ τοπάρχαι καὶ οἱ δυνάσται
τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώ-
ματος αὐτῶν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη, καὶ τὰ σαρά-
28 βαρα αὐτῶν οὐκ ἠλλοιώθη, καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς. 28 καὶ ἀπε-
κρίθη Ναβουχοδονόσορ ὁ βασιλεὺς καὶ εἶπεν Εὐλογητὸς ὁ θεὸς τοῦ Σεδρὰχ
Μισὰχ Ἀβδεναγώ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατο τοὺς παῖδας
αὐτοῦ, ὅτι ἐπεποίθεισαν ἐπ᾽ αὐτῷ, καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν
καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι μηδὲ προς-
29 κυνήσωσι παντὶ θεῷ ἀλλ᾽ ἢ τῷ θεῷ αὐτῶν. 29 καὶ ἐγὼ ἐκτίθεμαι τὸ δόγμα·
πᾶς λαὸς φυλὴ γλῶσσα ἢ ἐὰν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδρὰχ
Μισὰχ Ἀβδεναγώ, εἰς ἀπώλειαν ἔσονται καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν,

54. post 55. ponit. 54. θαλασσαι 58. ευλ. τα θηρια κ. παντα τα 60. ευλογειτω 61. ιερεις κυριου τον 62. δουλοι κυριου 64. om τη 65. εξειλατο ... εκ χαμεινου μεσης καιομενης ... πυρος ερυσατο. Post v. 67. desunt verba Τελος usque υμνου. 24. ενεβαλομεν εις μεσον ... ειπαν 25. ο βασ. Ιδου (ed. rom. Ὁ δὲ) εγω ... εμμεσω ... εστιν αυτοις 26. σεδραχ μισαχ ... om του υψιστου ... εξελθατε κ. δ. εξω ... σεδραχ μισαχ 27. σαραπαρα ... in f. add και προσεκυνησεν ο βασιλευς ενωπιον αυτων τω κυριω 28. om ο βασιλευς ... σεδραχ μισαχ ... om μηδε προσκυνησωσι 29. om το ... η αν ... σεδραχ μισαχ ... διαρπαγησονται pro εις διαρπ.

Digitized by Google

καθότι οὐκ ἔστι θεὸς ἕτερος ὅςτις δυνήσεται ῥύσασθαι οὕτως. [30] τότε ὁ βα- 30
σιλεὺς κατεύθυνε τὸν Σεδρὰχ Μισὰχ Ἀβδεναγὼ ἐν τῇ χώρᾳ Βαβυλῶνος, καὶ
ηὔξησεν αὐτοὺς καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων τῶν ἐν
τῇ βασιλείᾳ αὐτοῦ. [31] Ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς φυλαῖς 31
καὶ γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ Εἰρήνη ὑμῖν πληθυνθείη. [32] τὰ 32
σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ἐμοῦ ὁ θεὸς ὁ ὕψιστος ἤρεσεν ἐναν-
τίον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν, [33] ὡς μεγάλα καὶ ἰσχυρά· ἡ βασιλεία αὐτοῦ βα- 33
σιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

## IV.

Ἐγὼ Ναβουχοδονόσορ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου καὶ εὐθαλῶν.
[2] ἐνύπνιον ἴδον καὶ ἐφοβέρισέ με, καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ 2
αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάραξάν με. [3] καὶ δι' ἐμοῦ ἐτέθη δόγμα τοῦ 3
εἰςαγαγεῖν ἐνώπιόν μου πάντας τοὺς σοφοὺς Βαβυλῶνος ὅπως τὴν σύγκρισιν
τοῦ ἐνυπνίου γνωρίσωσί μοι. [4] καὶ εἰςεπορεύοντο οἱ ἐπαοιδοί, μάγοι, γαζαρη- 4
νοί, Χαλδαῖοι, καὶ τὸ ἐνύπνιον ἐγὼ εἶπα ἐνώπιον αὐτῶν· καὶ τὴν σύγκρισιν
αὐτοῦ οὐκ ἐγνώρισάν μοι, [5] ἕως ἦλθε Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ κατὰ 5
τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα θεοῦ ἅγιον ἐν ἑαυτῷ ἔχει. ᾧ εἶπα
[6] Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἐγὼ ἔγνων ὅτι πνεῦμα θεοῦ ἅγιον 6
ἐν σοί, καὶ πᾶν μυστήριον οὐκ ἀδυνατεῖ σε, ἄκουσον τὴν ὅρασιν τοῦ ἐνυ-
πνίου μου οὗ ἴδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν μοι. [7] ἐπὶ τῆς κοίτης μου 7
ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ.
[8] ἐμεγαλύνθη τὸ δένδρον καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ 8
οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ εἰς τὸ πέρας ἁπάσης τῆς γῆς· [9] τὰ φύλλα αὐ- 9
τοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ
ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ
κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ. [10] ἐθεώ- 10
ρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ εἲρ, καὶ ἅγιος
ἀπ' οὐρανοῦ κατέβη [11] καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν Ἐκκόψατε 11
τὸ δένδρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ καὶ ἐκτινάξατε τὰ φύλλα αὐ-
τοῦ καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ· σαλευθήτωσαν τὰ θηρία ὑποκά-
τωθεν αὐτοῦ καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ. [12] πλὴν τὴν φυὴν τῶν 12
ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ καὶ ἐν τῇ
χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ κοιτασθήσεται, καὶ μετὰ τῶν
θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς. [13] ἡ καρδία αὐτοῦ ἀπὸ τῶν 13
ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ
καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. [14] διὰ συγκρίματος εἲρ ὁ λόγος, καὶ ῥῆμα 14
ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες ὅτι κύριός ἐστιν ὁ ὕψιστος τῆς
βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτὴν καὶ ἐξουδένωμα
ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν. [15] τοῦτο τὸ ἐνύπνιον ὃ ἴδον ἐγὼ Ναβου- 15
χοδονόσορ ὁ βασιλεύς, καὶ σὺ Βαλτάσαρ τὸ σύγκριμα εἰπόν, ὅτι πάντες οἱ
σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι· σὺ

---

30. τοτε κατηυθυνεν ο βασιλευς τ. σεδραχ μισαχ αβδ. επι τα εργα της χωρας ... post κ. ηξιωσ. αυτ. repetit και ηξιωσεν αυτους ... των οντων εν ... post v. 30. add ορασις δ. — ορασις ε. 31. φυλαις γλωσσαις ... ed. rom. πληθυνθειη cum seqq. conjg., non item cod. alex. 33. εις γενεας γενεων IV. 1. ευθαλων επι του θρονου μου 2. συνεταραξαν 4. και οι χαλδαιοι ... ειπα εγω 5. εως ου ... και το ενυπνιον ενωπιον αυτου ειπα pro ω ειπα 6. βαρτασαρ ... εν εαυτω εχει pro εν σοι ... αδυνατησει ... om μου ου ιδον 7. εμμεσω 8. το δενδρ. εκεινο ... εις τα περατα πασης 10. εγρηγορος· και ιδου 11. καρπους pro κλαδους ... διασκ. τους καρπους αυτου 14. ο λογος, και λογος αγιων ... αναστησεται

Digitized by Google

16 δὲ Δανιὴλ δύνασαι, ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί. [16] τότε Δανιήλ, οὗ τὸ
ὄνομα Βαλτάσαρ, ἀπηνεώθη ὡςεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συν-
ετάρασσον αὐτόν. καὶ ἀπεκρίθη Βαλτάσαρ καὶ εἶπε Κύριε, τὸ ἐνύπνιον ἔστω
17 τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου. [17] τὸ δένδρον ὃ
εἶδες τὸ μεγαλυνθὲν καὶ τὸ ἰσχυκός, οὗ τὸ ὕψος ἔφθανεν εἰς τὸν οὐρανὸν
18 καὶ τὸ κῦτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν, [18] καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ
ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ, ὑποκάτω αὐτοῦ κατῴ-
κουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα
19 τοῦ οὐρανοῦ, [19] σὺ εἶ βασιλεῦ· ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγα-
λωσύνη σου ἐμεγαλύνθη καὶ ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ ἡ κυρεία σου εἰς
20 τὰ πέρατα τῆς γῆς. [20] καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἶρ καὶ ἅγιον καταβαίνοντα
ἀπὸ τοῦ οὐρανοῦ, καὶ εἶπεν Ἐκτίλατε τὸ δένδρον καὶ διαφθείρατε αὐτό,
πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ
καὶ ἐν χαλκῷ καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλι-
σθήσεται, καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ ἕως οὗ ἑπτὰ καιροὶ ἀλ-
21 λοιωθῶσιν ἐπ' αὐτόν· [21] τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα
22 ὑψίστου ἐστὶν ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα, [22] καὶ σὲ ἐκδιώ-
ξουσιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία σου,
καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ αὐλι-
σθήσῃ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σὲ ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ
23 ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. [23] καὶ
ὅτι εἶπαν Ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου, ἡ βασιλεία σου σοὶ
24 μένει ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον. [24] διὰ τοῦτο βασιλεῦ ἡ
βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι
καὶ τὰς ἀδικίας ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται μακρόθυμος τοῖς παρα-
25 πτώμασί σου ὁ θεός. [25] ταῦτα πάντα ἔφθασεν ἐπὶ Ναβουχοδονόσορ τὸν
26 βασιλέα. [26] μετὰ δωδεκάμηνον, ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Βαβυ-
27 λῶνι περιπατῶν, [27] ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν Οὐχ αὕτη ἐστὶ Βαβυλὼν
ἡ μεγάλη ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας, ἐν τῷ κράτει τῆς ἰσχύος
28 μου, εἰς τιμὴν τῆς δόξης μου; [28] ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως
ὄντος φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο Σοὶ λέγουσι, Ναβουχοδονόσορ βασιλεῦ, ἡ
29 βασιλεία παρῆλθεν ἀπὸ σοῦ, [29] καὶ ἀπὸ τῶν ἀνθρώπων σε ἐκδιώκουσι, καὶ
μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ
ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σὲ ἕως γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασι-
30 λείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. [30] αὐτῇ τῇ ὥρᾳ ὁ λόγος
συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη καὶ
χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ
ἐβάφη ἕως αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες αὐτοῦ
31 ὡς ὀρνέων. [31] καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς
ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπε-
στράφησαν, καὶ τῷ ὑψίστῳ ηὐλόγησα, καὶ τῷ ζῶντι εἰς τὸν αἰῶνα ᾔνεσα
καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία αὐτοῦ

---

15. εν σοι αγιον 16. βαρτασαρ ... post συνεταρασσ. αυτον add και απεκριθη ο βασιλευς και ειπεν· βαρτασαρ το ενυπνιον και η συγκρισις μη κατασπευσατω σε ... βαρτασαρ ... εστω το ενυπν. 17. ιδες ... εφθασεν 18. om και primum ... κατωκουν τα 19. κυριεια 20. ιδεν ... εκ του ουρανου ... εκτειλατε ... εασ. εν τη γη ... και χαλκω 22. κατοικεια ... ψωμισουσιν 23. ειπεν ... om των ριζων ... επουρανιον 24. αδικιας σου 27. om ο βασιλευς ... Ουκ αυτη 28. εν στοματι ... εκ του ουρανου ... η βασιλ. σου 29. εκδιωξουσιν ... εσται η κατοικεια ... ψωμισουσιν ... εως ου γνως ... και ω εαν 30. επι ναβουχ. τον βασιλεα ... εως ου αι 31. εις τους αιωνας

εἰς γενεὰν καὶ γενεάν, [32]καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλο- 32
γίσθησαν· καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ
ἐν τῇ κατοικίᾳ τῆς γῆς, καὶ οὐκ ἔστιν ὃς ἀντιποιήσεται τῇ χειρὶ αὐτοῦ καὶ
ἐρεῖ αὐτῷ Τί ἐποίησας; [33]αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν 33
ἐπ' ἐμέ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου
ἐπέστρεψεν ἐπ' ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με,
καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσε-
τέθη μοι. [34]νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω 34
τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι
αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται τα-
πεινῶσαι.

## V.

Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χι-
λίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος, [2]καὶ πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ 2
γεύσει τοῦ οἴνου τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγ-
κε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ
πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ
αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ. [3]καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ 3
τὰ ἀργυρᾶ ἃ ἐξήνεγκεν ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ ἔπι-
νον ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ
καὶ αἱ παράκοιτοι αὐτοῦ· [4]ἔπινον οἶνον, καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυ- 4
σοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους. [5]ἐν 5
αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου καὶ ἔγραφον κατέναντι τῆς
λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως, καὶ ὁ βασι-
λεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης. [6]τότε τοῦ βασι- 6
λέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν, καὶ
οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ συνεκρο-
τοῦντο. [7]καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰςαγαγεῖν μάγους Χαλδαίους 7
γαζαρηνούς, καὶ εἶπε τοῖς σοφοῖς Βαβυλῶνος Ὃς ἂν ἀναγνῷ τὴν γραφὴν
ταύτην καὶ τὴν σύγκρισιν γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης
ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει.
[8]καὶ εἰςεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν 8
γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ. [9]καὶ ὁ βασι- 9
λεὺς Βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐν αὐτῷ, καὶ οἱ
μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο. [10]καὶ εἰςῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον 10
τοῦ πότου καὶ εἶπε Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· μὴ ταρασσέτωσάν σε οἱ
διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω· [11]ἔστιν ἀνὴρ ἐν τῇ βα- 11
σιλείᾳ σου ἐν ᾧ πνεῦμα θεοῦ, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγό-
ρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ πατήρ
σου ἄρχοντα ἐπαοιδῶν μάγων Χαλδαίων γαζαρηνῶν κατέστησεν αὐτόν, [12]ὅτι 12

32. κατοικεια 34. κρισις
Subscriptio: ορασις ε. Inscriptio: ορασις ς.

V. 1. βαρτασαρ ... om μεγα ... μεγ. αυτ. ανδρασιν χειλιοις 3. ηχθη-σαν ... om του θεου ... κ. αι παραχ. α. κ. αι παλλαχ. α. 4. επινον οινον ed. rom. (item cod. alex. vidtr) cum antecdd. conjg. ... in f. add και τον θεον του αιωνος ουκ ηυλογησαν τον εχοντα εξουσιαν του πνευματος αυτων 7. Ος εαν ... συγκρισιν.αυτης ... εσται περι τον τραχ. αυτου 8. om παντες 9. πολυ εταραχθη ... ηλλ. επ αυτω ... συνεταρασσον αυτον 10. του ποτου· και απεκριθη η βασιλεισσα και ειπεν ... εις τους αιωνας 11. πν. θεου αγιον ... in f. repetit ο πατηρ σου ο βασιλευς

Digitized by Google

πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ φρόνησις καὶ σύνεσις ἐν αὐτῷ, συγκρίνων
ἐνύπνια καὶ ἀναγγέλλων κρατούμενα καὶ λύων συνδέσμους, Δανιήλ, καὶ ὁ
βασιλεὺς ἐπέθηκεν ὄνομα αὐτῷ Βαλτάσαρ· νῦν οὖν κληθήτω, καὶ τὴν σύγ-
13 κρισιν αὐτοῦ ἀναγγελεῖ σοι. [13] τότε Δανιὴλ εἰσήχθη ἐνώπιον τοῦ βασιλέως,
καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ Σὺ εἶ Δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμα-
14 λωσίας τῆς Ἰουδαίας ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου; [14] ἤκουσα περὶ
σοῦ ὅτι πνεῦμα θεοῦ ἐν σοὶ καὶ γρηγόρησις καὶ σύνεσις, καὶ σοφία περισσὴ
15 εὑρέθη ἐν σοί. [15] καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοὶ μάγοι γαζαρηνοὶ
ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι καὶ τὴν σύγκρισιν γνωρίσωσί μοι, καὶ οὐκ
16 ἠδυνήθησαν ἀναγγεῖλαί μοι. [16] καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι κρί-
ματα συγκρῖναι· νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι καὶ τὴν σύγ-
κρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς
17 ἔσται ἐπὶ τῷ τραχήλῳ σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις. [17] καὶ
εἶπε Δανιὴλ ἐνώπιον τοῦ βασιλέως Τὰ δόματά σου σοὶ ἔστω, καὶ τὴν δω-
ρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός, ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι καὶ τὴν
18 σύγκρισιν αὐτῆς γνωρίσω σοι, [18] βασιλεῦ. ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ
τὴν μεγαλωσύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσορ τῷ
19 πατρί σου, [19] καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ πάντες οἱ λαοὶ
φυλαὶ γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ· οὓς
ἠβούλετο αὐτὸς ἀνῄρει, καὶ οὓς ἠβούλετο αὐτὸς ἔτυπτεν, καὶ οὓς ἠβούλετο
20 αὐτὸς ὕψου, καὶ οὓς ἠβούλετο αὐτὸς ἐταπείνου. [20] καὶ ὅτε ὑψώθη ἡ καρδία
αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη
21 ἀπὸ τοῦ θρόνου τῆς βασιλείας καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ᾽ αὐτοῦ, [21] καὶ ἀπὸ
τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη,
καὶ μετὰ τῶν ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐ-
τόν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω
ὅτι κυριεύει ὁ θεὸς ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ
22 δώσει αὐτήν. [22] καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐταπείνωσας τὴν
23 καρδίαν σου κατενώπιον τοῦ θεοῦ· οὐ πάντα ταῦτα ἔγνως; [23] καὶ ἐπὶ τὸν
κύριον θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκαν
ἐνώπιόν σου, καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ αἱ παλλακαί σου καὶ αἱ
παράκοιτοί σου οἶνον ἐπίνετε ἐν αὐτοῖς· καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ
ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέ-
πουσι καὶ οἳ οὐκ ἀκούουσι καὶ οὐ γινώσκουσιν, ᾔνεσας, καὶ τὸν θεὸν οὗ ἡ
24 πνοή σου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας. [24] διὰ
τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς καὶ τὴν γραφὴν
25 ταύτην ἐνέταξε. [25] καὶ αὕτη ἡ γραφὴ ἐντεταγμένη Μανή, θεκέλ, φάρες.
26 [26] τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· μανή, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν
27 σου καὶ ἐπλήρωσεν αὐτήν· [27] θεκέλ, ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα·
28 29 [28] φάρες, διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. [29] καὶ
εἶπε Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν
χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐκήρυξε περὶ αὐτοῦ εἶναι

---

12. επεθ. αυτω ονομα 15. ενωπιον εμου ... om ταυτην ... συγκρισιν αυτης 16. συ δυνασαι κρ. συγκρινειν ... την γραφην ταυτην ... περι τον τραχηλον 17. τοτε απεκριθη δανιηλ ... σου συν σοι ... αναγνωσομαι τω βασιλει 18. etiam cod. alex. βασιλευ cum antecdd. conjg. videtur 19. εβουλετο quater ... υψοι 20. υπερηφανευεσθαι ... της βασιλ. αυτου 21. μετα οναγρων η κατοικεια ... κυριευει ο υψιστος ... ω εαν 22. om ουν ... ενωπιον 23. οικ. αυτου (αυτου in ed. rom. calamo suppletum) ηνεγκας ... οι παρακοιτοι ... om και οι ουκ ακουουσι ... εν τη χειρι 25. η γραφη η 29. περι αυτου του ειναι

Digitized by Google

αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ. [30] ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτά- 30
σαρ ὁ βασιλεὺς ὁ Χαλδαῖος, [31] καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβε τὴν βασιλείαν, 31
ὢν ἐτῶν ἑξήκοντα δύο.

## VI.

Καὶ ἤρεσεν ἐνώπιον Δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς βασιλείας σατρά-
πας ἑκατὸν εἴκοσι τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, [2] καὶ ἐπάνω 2
αὐτῶν τακτικοὺς τρεῖς, ὃς ἦν Δανιὴλ εἷς ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς
τοὺς σατράπας λόγον, ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται. [3] καὶ ἦν Δανιὴλ ὑπὲρ 3
αὐτούς, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ'
ὅλης τῆς βασιλείας αὐτοῦ. [4] καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρό- 4
φασιν εὑρεῖν κατὰ Δανιήλ· καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα καὶ ἀμ-
πλάκημα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν. [5] καὶ εἶπον οἱ τακτικοί Οὐχ 5
εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν εἰ μὴ ἐν νομίμοις θεοῦ αὐτοῦ. [6] τότε οἱ 6
τακτικοὶ καὶ οἱ σατράπαι παρέστησαν τῷ βασιλεῖ καὶ εἶπαν αὐτῷ Δαρεῖε
βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. [7] συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασι- 7
λείας σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει
βασιλικῇ καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως ὃς ἂν αἰτήσῃ αἴτημα παρὰ παντὸς
θεοῦ καὶ ἀνθρώπου ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμ-
βληθήσηται εἰς τὸν λάκκον τῶν λεόντων. [8] νῦν οὖν βασιλεῦ στῆσον τὸν ὁρι- 8
σμὸν καὶ ἔκθες γραφήν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Περσῶν καὶ Μήδων.
[9] τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα. [10] καὶ Δανιὴλ ἡνίκα 9 10
ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα, εἰςῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ αἱ θυρίδες
ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι Ἱερουσαλήμ, καὶ καιροὺς
τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος καὶ
ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν. [11] τότε 11
οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν καὶ εὗρον τὸν Δανιὴλ ἀξιοῦντα καὶ δεόμενον
τοῦ θεοῦ αὐτοῦ. [12] καὶ προσελθόντες λέγουσι τῷ βασιλεῖ Βασιλεῦ, οὐχ ὁρισμὸν 12
ἔταξας ὅπως πᾶς ἄνθρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου
αἴτημα ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς
τὸν λάκκον τῶν λεόντων; καὶ εἶπεν ὁ βασιλεύς Ἀληθινὸς ὁ λόγος, καὶ τὸ
δόγμα Μήδων καὶ Περσῶν οὐ παρελεύσεται. [13] τότε ἀπεκρίθησαν καὶ λέγου- 13
σιν ἐνώπιον τοῦ βασιλέως Δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς
Ἰουδαίας οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖ
παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα αὐτοῦ. [14] τότε ὁ βασιλεύς, ὡς τὸ ῥῆμα 14
ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξε-
λέσθαι αὐτόν, καὶ ἕως ἑσπέρας ἦν ἀγωνιζόμενος τοῦ ἐξελέσθαι αὐτόν. [15] τότε 15
οἱ ἄνδρες ἐκεῖνοι λέγουσι τῷ βασιλεῖ Γνῶθι βασιλεῦ ὅτι τὸ δόγμα Μήδοις
καὶ Πέρσαις τοῦ πᾶν ὁρισμὸν καὶ στάσιν ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ
παραλλάξαι. [16] τότε ὁ βασιλεὺς εἶπε, καὶ ἤγαγον τὸν Δανιὴλ καὶ ἐνέβαλον 16
αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων· καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιὴλ Ὁ θεός
σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε. [17] καὶ ἤνεγκαν λίθον καὶ 17
ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ
δακτυλίῳ αὐτοῦ καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλ-

---

29. βασιλεια αυτου. Post v. 29. add ορασις ς, et pergit ορασις ζ. 30. ανερηθη (sic) ... om ο βασ. ο χαλδ. 31. δαριος VI. 1. δαριου ... παση pro ολη 2. ων ην δανιηλ 3. περισσον ην επ αυτω 4. αμβλακημα 5. εν νομοις 6. δαριε 7. στασιν βασιλειχην ... αιτησηται ... ανθρωπων ... εμβληθησεται 8. om τον ... εχθες ... μηδων κ. περσων 9. δαριος 10. οικον εαυτου ... ηνεωγμεναι 12. ουχι ... αιτησηται 13. τω δογμ. σ. περι του ορισμου ου εταξας ... αιτειτε 14. αγωνιζομενος εξελ. 15. om αν ... στησει 16. om συ 17. ηνεγκεν ... επεθηκεν ... om ο βασιλευς

Digitized by Google

18 λοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ. [18]καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐ-
τοῦ καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰςήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος
ἀπέστη ἀπ' αὐτοῦ· καὶ ἔκλεισεν ὁ θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ
19 παρηνώχλησαν τῷ Δανιήλ. [19]τότε ὁ βασιλεὺς ἀνέστη τὸ πρωὶ ἐν τῷ φωτί,
20 καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων. [20]καὶ ἐν τῷ ἐγγίζειν αὐ-
τὸν τῷ λάκκῳ ἐβόησε φωνῇ ἰσχυρᾷ Δανιὴλ ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶν-
τος, ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, εἰ ἠδυνήθη ἐξελέσθαι σε ἐκ
21 στόματος τῶν λεόντων; [21]καὶ εἶπε Δανιὴλ τῷ βασιλεῖ Βασιλεῦ, εἰς τοὺς
22 αἰῶνας ζῆθι. [22]ὁ θεός μου ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἐνέφραξε τὰ
στόματα τῶν λεόντων, καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατέναντι αὐτοῦ εὐθύτης
23 εὑρέθη ἐμοί, καὶ ἐνώπιον δὲ σοῦ βασιλεῦ παράπτωμα οὐκ ἐποίησα. [23]τότε
ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ, καὶ τὸν Δανιὴλ εἶπεν ἀνενέγκαι ἐκ
τοῦ λάκκου. καὶ ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ
24 εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσεν ἐν τῷ θεῷ αὐτοῦ. [24]καὶ εἶπεν ὁ βασιλεύς,
καὶ ἠγάγοσαν τοὺς ἄνδρας τοὺς διαβαλόντας τὸν Δανιήλ, καὶ εἰς τὸν λάκκον
τῶν λεόντων ἐνεβλήθησαν αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν·
καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ
25 λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν. [25]τότε Δαρεῖος ὁ βασιλεὺς
ἔγραψε πᾶσι τοῖς λαοῖς φυλαῖς γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ Εἰ-
26 ρήνη ὑμῖν πληθυνθείη. [26]ἐκ προςώπου μου ἐτέθη δόγμα τοῦτο, ἐν πάσῃ
ἀρχῇ τῆς βασιλείας μου εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ προςώπου
τοῦ θεοῦ Δανιήλ, ὅτι αὐτός ἐστι θεὸς ζῶν καὶ μένων εἰς τοὺς αἰῶνας, καὶ
27 ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, καὶ ἡ κυρεία αὐτοῦ ἕως τέλους· [27]ἀν-
τιλαμβάνεται καὶ ῥύεται, καὶ ποιεῖ σημεῖα καὶ τέρατα ἐν τῷ οὐρανῷ καὶ
28 ἐπὶ τῆς γῆς, ὅςτις ἐξείλατο τὸν Δανιὴλ ἐκ χειρὸς τῶν λεόντων. [28]καὶ Δανιὴλ
κατηύθυνεν ἐν τῇ βασιλείᾳ Δαρείου καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.

## VII.

Ἐν ἔτει πρώτῳ τῷ Βαλτάσαρ βασιλέως Χαλδαίων Δανιὴλ ἐνύπνιον εἶδε,
καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον
2 αὐτοῦ ἔγραψεν [2]Ἐγὼ Δανιὴλ ἐθεώρουν, καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ
3 οὐρανοῦ προςέβαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, [3]καὶ τέσσαρα θηρία *Apoc. 13.
4 μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. [4]τὸ πρῶτον ὡςεὶ
λέαινα, καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ, ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐ-
τῆς· καὶ ἐξήρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία
5 ἀνθρώπου ἐδόθη αὐτῇ. [5]καὶ ἰδοὺ θηρίον δεύτερον ὅμοιον ἄρκῳ, καὶ εἰς
μέρος ἓν ἐστάθη, καὶ τρεῖς πλευραὶ ἐν τῷ στόματι αὐτῆς ἀνὰ μέσον τῶν
ὀδόντων αὐτῆς· καὶ οὕτως ἔλεγον αὐτῇ Ἀνάστηθι, φάγε σάρκας πολλάς.
6 [6]ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον ἕτερον ὡςεὶ πάρδαλις· καὶ αὐτῇ
πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ,
7 καὶ ἐξουσία ἐδόθη αὐτῇ. [7]ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον τέταρτον

---

18. ουκ εισηνεχθη ... ο υπνος αυτου εγενετο απ 20. τω λακκω τω δανιηλ ... φωνη μεγαλη ... om συ ... ει εδυνασθη 22. κατεναντιον αυτου ... εν εμοι 23. ουχ ευρεθη ... επιστευσεν τω 24. ηγαγον ... εβληθησαν 25. ο βασιλ. δαριος ... ed. rom. πασι pro παση 26. δογμα του εν ... ed. rom. εν παση etc. cum seqq. conjg. ... om αυτος ... κυριεια 27. εν ουρανω 28. δαριου

Subscriptio: ορασις ζ. Inscriptio: ορασις η.

VII. 1. om τω ... ιδεν· κ. αι ορασις ... om αυτου tertium 2. εθεωρουν εν οραματι της νυκτος ... προςεβαλλον 3. τεσσερα 4. εχουσα πτερα· και πτερα ... εξετειλη ... εξηγερθη απο 5. τρια πλευρα 6. τεσσερα ... εδοθη αυτω

Digitized by Google

φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ,
ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ
διάφορον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα
δέκα αὐτῷ. 8 προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν 8
ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξεῤῥιζώθη
ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ
* Apoc. κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα. 9 ἐθεώρουν ἕως ὅτου οἱ θρόνοι 9
20, 4. 11. ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ
χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν, ὁ θρόνος αὐτοῦ
* Apoc. φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. 10 ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν 10
7, 10. αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστή-
κεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. 11 ἐθεώρουν τότε 11
ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃ-
* Apoc. ρέθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.
19, 20. 12 καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχή, καὶ μακρότης ζωῆς ἐδόθη αὐ- 12
τοῖς ἕως καιροῦ καὶ καιροῦ. 13 ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ 13
Lc. 21, 27. pp. μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ
* Apoc. παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ προσηνέχθη αὐτῷ. 14 καὶ αὐτῷ ἐδόθη ἡ 14
14, 14. ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ καὶ γλῶσσαι
αὐτῷ δουλεύσουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ παρελεύσεται,
καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. 15 ἔφριξε τὸ πνεῦμά μου ἐν τῇ 15
ἕξει μου, ἐγὼ Δανιήλ, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με. 16 καὶ 16
προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ᾽ αὐτοῦ μαθεῖν
περὶ πάντων τούτων· καὶ εἶπέ μοι τὴν ἀκρίβειαν, καὶ τὴν σύγκρισιν τῶν
λόγων ἐγνώρισέ μοι. 17 ταῦτα τὰ θηρία τὰ τέσσαρα, τέσσαρες βασιλεῖαι 17
ἀναστήσονται ἐπὶ τῆς γῆς. 18 αἳ ἀρθήσονται, καὶ παραλήψονται τὴν βασι- 18
λείαν ἅγιοι ὑψίστου καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος τῶν αἰώνων. 19 καὶ 19
ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν
θηρίον, φοβερὸν περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ ὄνυχες αὐτοῦ χαλ-
κοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει.
* Apoc. 20 καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ 20
17, 12. ἑτέρου τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος τῶν πρώτων, ᾧ οἱ ὀφθαλμοὶ καὶ
στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν. 21 ἐθεώρουν, 21
καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς,
22 ἕως οὗ ἦλθεν ὁ παλαιὸς ἡμερῶν καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ 22
ὁ καιρὸς ἔφθασε καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. 23 καὶ εἶπε Τὸ θηρίον 23
τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βα-
σιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτὴν καὶ κατα-
κόψει. 24 καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω 24
αὐτῶν ἀναστήσεται ἕτερος ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ
τρεῖς βασιλεῖς ταπεινώσει, 25 καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς 25
ἁγίους ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον,
* Apoc. καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καί γε ἥμισυ καιροῦ.
12, 14.

---

7. περισσως παρα παντα τα θηρια τα εμπροσθεν αυτου· και κερατα (sed και κερατα in rasura; antea plura) δεκα αυτω· οι οδοντες α. σ. μεγαλαι ... δεκα κερατα 8. εμμεσω ... εξεριζωθη 9. om οι ... ωσει χιων λευκον 10. εκπορευομενος ειλκεν ... παριστηκεισαν 11. ων ελαλει pro των μεγαλων ... εως το θηρ. εκεινο ανηρεθη 12. η αρχη μετεστ. 13. ερχομ. ην και ... εφθασεν ενωπιον αυτου προσηγαγον αυτον 14. φυλαι γλωσσαι α. δουλευουσιν 17. τα θηρ. τα μεγαλα τα τεσσερα 18. παραλημψονται 19. διαφορον ... και οι ονυχες 20. των προτερων τρια· κερας εκεινο ω οι ... μειζω 21. ισχυεν 22. om ου ... των ημερων (23. καταχεψει) 24. οπισω αυτου 25. εως καιρου και καιρου και καιρων ... om γε

26 [26] καὶ τὸ κριτήριον ἐκάθισε, καὶ τὴν ἀρχὴν μεταστήσουσι τοῦ ἀφανίσαι καὶ
27 τοῦ ἀπολέσαι ἕως τέλους, [27] καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλω-
σύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις ὑψίστου·
καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύ- * Apoc. 11, 15.
28 σουσι καὶ ὑπακούσονται. [28] ἕως ὧδε τὸ πέρας τοῦ λόγου. ἐγὼ Δανιήλ, οἱ
διαλογισμοί μου ἐπὶ πολὺ συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη,
καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου διετήρησα.

## VIII.

Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ τοῦ βασιλέως ὅρασις ὤφθη
2 πρός μέ, ἐγὼ Δανιήλ, μετὰ τὴν ὀφθεῖσάν μοι τὴν ἀρχήν. [2] καὶ ἤμην ἐν
3 Σούσοις τῇ βάρει ἥ ἐστιν ἐν χώρᾳ Αἰλάμ, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ. [3] καὶ
ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐ-
βάλ, καὶ αὐτῷ κέρατα ὑψηλά· καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ
4 ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτων. [4] καὶ ἴδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασ-
σαν καὶ βορρᾶν καὶ νότον· καὶ πάντα τὰ θηρία οὐ στήσεται ἐνώπιον αὐτοῦ,
καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα
5 αὐτοῦ καὶ ἐμεγαλύνθη. [5] καὶ ἐγὼ ἤμην συνιῶν, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο
ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ οὐκ ἦν ἀπτόμενος τῆς γῆς,
6 καὶ τῷ τράγῳ κέρας μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. [6] καὶ ἦλθεν ἕως τοῦ κριοῦ
τοῦ τὰ κέρατα ἔχοντος, οὗ ἴδον ἑστῶς ἐνώπιον τοῦ Οὐβάλ, καὶ ἔδραμε πρὸς
7 αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ. [7] καὶ ἴδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ,
καὶ ἐξηγριάνθη πρὸς αὐτόν· καὶ ἔπαισε τὸν κριὸν καὶ συνέτριψεν ἀμφότερα
τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ· καὶ
ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ ἐξαιρού-
8 μενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. [8] καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως
σφόδρα· καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα, καὶ
ἀνέβη ἕτερα κέρατα τέσσαρα ὑποκάτω αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ
9 οὐρανοῦ. [9] καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρόν, καὶ ἐμεγαλύνθη
10 περισσῶς πρὸς τὸν νότον καὶ πρὸς τὴν δύναμιν, [10] καὶ ἐμεγαλύνθη ἕως τῆς
δυνάμεως τοῦ οὐρανοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐ-
11 ρανοῦ καὶ ἀπὸ τῶν ἄστρων, καὶ συνεπάτησαν αὐτά. [11] καὶ ἕως οὗ ὁ ἀρχι-
στράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν, καὶ δι' αὐτὸν θυσία ἐράχθη, καὶ
12 κατευωδώθη αὐτῷ· καὶ τὸ ἅγιον ἐρημωθήσεται. [12] καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν
13 ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ ἐποίησε, καὶ εὐωδώθη. [13] καὶ
ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος· καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι
Ἕως πότε ἡ ὅρασις στήσεται, ἡ θυσία ἡ ἀρθεῖσα καὶ ἡ ἁμαρτία ἐρημώ-
14 σεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθήσεται; [14] καὶ εἶπεν
αὐτῷ Ἕως ἑσπέρας καὶ πρωὶ ἡμέραι δισχίλιαι καὶ τετρακόσιαι, καὶ καθα-

---

26. καθεισῃ 27. και εδοθη 28. επι πολυ οι διαλ. μου ... ηλλοιωθη επ εμοι

Subscriptio: ορασις η. Inscriptio: ορασις θ.

VIII. 1. βαρτασαρ ... εγω δανιηλ bis habet ... ed. rom. μέ. ἐγώ et ἀρχήν, 2. post αιλαμ add και ιδον εν οραματι 3. και αυτω κερατα· και τα κερατα υψηλα ... το υψηλοτερον αναβαινεν 4. post νοτον add και λιβα ... στησονται 5. (τραχος ...) ο απτομενος ... κερας θεωρητον ανα μεσον 6. εστωτος ανα μεσον του 7. om αυτον primum ... εξηγριωθη ... εριψεν 8. τεσσερα 9. πρ. τον νοτον (sed τ. νοτ. in rasura) και προς ανατολην κ. πρ. τ. δ. 10. om και primum ... om απο secundum ... συνεπατηθη pro συνεπ. αυτα 11. εταραχθη· και εγενηθη και κατευοδωθη αυτω 12. εριφη ... και κατευοδωθη 13. om αγιου ... φελμωνι 14. τριακοσιαι

Digitized by Google

ρισθήσεται τὸ ἅγιον. [15]καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιήλ, τὴν ὅρασιν 15
καὶ ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ ὡς ὅρασις ἀνδρός. [16]καὶ 16
ἤκουσα φωνὴν ἀνδρὸς ἀνὰ μέσον τοῦ Οὐβάλ, καὶ ἐκάλεσε καὶ εἶπε Γαβριήλ,
συνέτισον ἐκεῖνον τὴν ὅρασιν. [17]καὶ ἦλθε καὶ ἔστη ἐχόμενος τῆς στάσεώς 17
μου· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόςωπόν μου·
καὶ εἶπε πρὸς μέ Σύνες υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις.
[18]καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ πίπτω ἐπὶ πρόςωπόν μου ἐπὶ τὴν γῆν, 18
καὶ ἥψατό μου καὶ ἔστησέ με ἐπὶ πόδας, [19]καὶ εἶπεν Ἰδοὺ ἐγὼ γνωρίζω 19
σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς· ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις.
[20]ὁ κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν. [21]ὁ 20 21
τράγος τῶν αἰγῶν βασιλεὺς Ἑλλήνων· καὶ τὸ κέρας τὸ μέγα ὃ ἦν ἀνὰ μέ-
σον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος. [22]καὶ τοῦ 22
συντριβέντος οὗ ἔστησαν τέσσαρα κέρατα ὑποκάτω, τέσσαρες βασιλεῖς ἐκ
τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτῶν. [23]καὶ ἐπ' 23
ἐσχάτων τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστή-
σεται βασιλεὺς ἀναιδὴς προσώπῳ καὶ συνιῶν προβλήματα· [24]καὶ κραταιὰ ἡ 24
ἰσχὺς αὐτοῦ, καὶ θαυμαστὰ διαφθερεῖ, καὶ κατευθυνεῖ καὶ ποιήσει, καὶ δια-
φθερεῖ ἰσχυροὺς καὶ λαὸν ἅγιον. [25]καὶ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθυνεῖ· 25
δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ
διαφθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται, καὶ ὡς ᾠὰ χειρὶ
συντρίψει. [26]καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωίας τῆς ῥηθείσης ἀλη- 26
*Apoc. 22, 10. θῶς ἐστί· καὶ σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς. [27]καὶ ἐγὼ 27
Δανιὴλ ἐκοιμήθην καὶ ἐμαλακίσθην, καὶ ἀνέστην καὶ ἐποίουν τὰ ἔργα τοῦ
βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιῶν.

## IX.

Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσουήρου, ἀπὸ τοῦ σπέρματος
τῶν Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ βασιλείαν Χαλδαίων, [2]ἐγὼ Δανιὴλ συνῆκα 2
ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερε-
μίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα
ἔτη. [3]καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεὸν τοῦ ἐκζητῆσαι 3
προςευχὴν καὶ δεήσεις ἐν νηστείαις καὶ σάκκῳ. [4]καὶ προσευξάμην πρὸς κύ- 4
ριον τὸν θεόν μου, καὶ ἐξωμολογησάμην καὶ εἶπα Κύριε ὁ θεὸς ὁ μέγας
καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγα-
πῶσί σε καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς σου· [5]ἡμάρτομεν, ἠδικήσαμεν, 5
ἠνομήσαμεν, καὶ ἀπέστημεν καὶ ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ
τῶν κριμάτων σου, [6]καὶ οὐκ εἰςηκούσαμεν τῶν δούλων σου τῶν προφητῶν, 6
οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς ἡμῶν καὶ ἄρχοντας ἡμῶν
καὶ πατέρας ἡμῶν καὶ πρὸς πάντα τὸν λαὸν τῆς γῆς. [7]σοὶ κύριε ἡ δικαιο- 7
σύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ Ἰούδα

---

17. εστη ανα μεσον της 18. εθαμβηθην και πιπτω ... ποδας μου 19. κ. ειπ. μοι ... *γνωριω ... εσχατου ... *της εορτης 20. ιδες ... περσ. κ. μηδ. 21. και ο τραγ. 22. εστησα (sic) υποκατω τεσσερα κερατα ... ισχ. αυτου 23. επ εσχατω 24. η ισχ. αυτ. και ουκ εν τη ισχυι αυτου· και 25. και ο ζυγος ... επι απωλεια 26. πρωινης ... αληθης
Subscriptio: ορασις θ. Inscriptio: ορασις ι.

IX. 1. ετει επει δαριου ... ασσουηρου (**videtur σ alterum improbasse) ... σπερματος μηδων 2. εν ετει ενι της βασιλειας αυτου εγω ... αριθμ. των ημερων 3. θεον του ουρανου του ... δεησιν ... in f. add και σποδω 4. προςηυξαμην πρ. κυρ. του ουρανου κ. εξομολογησαμην 5. ημαρτ. ηνομησ. ησεβησαμεν ηδικησ. και



Digitized by Google

καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ καὶ παντὶ Ἰσραὴλ, τοῖς ἐγγὺς καὶ τοῖς
μακρὰν ἐν πάσῃ τῇ γῇ οὗ διέσπειρας αὐτοὺς ἐκεῖ ἐν ἀθεσίᾳ αὐτῶν ᾗ ἠθέ-
8 τησαν. 8 ἐν σοὶ κύριέ ἐστιν ἡμῶν ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ
προσώπου καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν καὶ τοῖς πα-
9 τράσιν ἡμῶν, οἵτινες ἡμάρτομέν σοι. 9 κυρίῳ τῷ θεῷ ἡμῶν οἱ οἰκτιρμοὶ καὶ
10 οἱ ἱλασμοί, ὅτι ἀπέστημεν, 10 καὶ οὐκ εἰςηκούσαμεν τῆς φωνῆς κυρίου τοῦ
θεοῦ ἡμῶν πορεύεσθαι ἐν τοῖς νόμοις αὐτοῦ, οἷς ἔδωκε κατὰ πρόςωπον
11 ἡμῶν ἐν χερσὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν. 11 καὶ πᾶς Ἰσραὴλ παρέ-
βησαν τὸν νόμον σου καὶ ἐξέκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου· καὶ
ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν νόμῳ Μωυσέως
12 δούλου τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ. 12 καὶ ἔστησε τοὺς λόγους αὐτοῦ οὓς
ἐλάλησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, οἳ ἔκρινον ἡμᾶς ἐπαγαγεῖν
ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ κατὰ
13 τὰ γενόμενα ἐν Ἱερουσαλήμ· 13 καθὼς γέγραπται ἐν τῷ νόμῳ Μωυσῇ, πάντα
τὰ κακὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς· καὶ οὐκ ἐδεήθημεν τοῦ προςώπου κυρίου
τοῦ θεοῦ ἡμῶν ἀποστρέψαι ἀπὸ τῶν ἀδικιῶν ἡμῶν καὶ τοῦ συνιέναι ἐν
14 πάσῃ ἀληθείᾳ σου. 14 καὶ ἐγρηγόρησε κύριος καὶ ἐπήγαγεν αὐτὰ ἐφ' ἡμᾶς,
ὅτι δίκαιος κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ ἣν ἐποίησε,
15 καὶ οὐκ εἰςηκούσαμεν τῆς φωνῆς αὐτοῦ. 15 καὶ νῦν κύριε ὁ θεὸς ἡμῶν, ὃς
ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ ἐποίησας σε-
16 αυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτομεν, ἠνομήσαμεν. 16 κύριε, ἐν πάσῃ
ἐλεημοσύνῃ σου, ἀποστραφήτω δὴ ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς
πόλεώς σου Ἱερουσαλὴμ ὄρους ἁγίου σου· ὅτι ἡμάρτομεν, καὶ ἐν ταῖς ἀδι-
κίαις ἡμῶν καὶ τῶν πατέρων ἡμῶν Ἱερουσαλὴμ καὶ ὁ λαός σου εἰς ὀνει-
17 δισμὸν ἐγένετο ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν. 17 καὶ νῦν εἰςάκουσον κύριε ὁ
θεὸς ἡμῶν τῆς προσευχῆς τοῦ δούλου σου καὶ τῶν δεήσεων αὐτοῦ, καὶ ἐπί-
φανον τὸ πρόςωπόν σου ἐπὶ τὸ ἁγίασμά σου τὸ ἔρημον· ἕνεκεν σοῦ κύριε
18 18 κλῖνον ὁ θεός μου τὸ οὖς σου καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου
καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ
ὄνομά σου ἐπ' αὐτῆς· ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ῥιπτοῦμεν τὸν
οἰκτιρμὸν ἡμῶν ἐνώπιόν σου ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου τοὺς πολλούς,
19 κύριε. 19 εἰςάκουσον κύριε, ἱλάσθητι κύριε, πρόσχες κύριε· μὴ χρονίσῃς ἕνε-
κεν σοῦ, ὁ θεός μου, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου καὶ
20 ἐπὶ τὸν λαόν σου. 20 καὶ ἔτι ἐμοῦ λαλοῦντος καὶ προσευχομένου, καὶ ἐξαγο-
ρεύοντος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραήλ, καὶ
ῥιπτοῦντος τὸν ἔλεόν μου ἐναντίον τοῦ κυρίου τοῦ θεοῦ μου περὶ τοῦ ὄρους
21 τοῦ ἁγίου, 21 καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ προςευχῇ, καὶ ἰδοὺ ἀνὴρ Γαβριὴλ
ὃν ἴδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ πετόμενος, καὶ ἥψατό μου ὡςεὶ ὥραν θυ-
22 σίας ἑσπερινῆς. 22 καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ καὶ εἶπε Δανιήλ,
23 νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν. 23 ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε

7. κατοικουσιν ιερουσαλημ ... εν αθετησει α. η ηθ. σε κυριε 8. om εν ... om εστιν ημων 9. τω κυριω θεω ... απεστ. απο κυριου 10. om εν prius 11. εις ακουσαι ... μωσει δουλω 12. α pro οια ... κατα τα γεγραμμενα 13. εν νομω μωση 14. κυρ. ο θεος ημων επι την κακιαν και επηγαγεν ... om κυριος secundum 16. κυριε εν παση ... ιηλ (i. e. ισραηλ) pro ιλημ (i. e. ιερουσαλημ) ... ημαρτομεν εν ταις 17. εις ακουσον post ημων ... εινεκεν 18. και ανοιξον ... πολ. σου ιερουσαλημ εφ ... ημων ημεις ριπτουμεν 19. κυριε ακουσον· κυριε ιλασθ. κυριε προσχ. κυριε ποιησον και μη ... κυριε ο θε. μου 20. ετι μου ... μου τας αμ. μου και ... om του κυριου ... in fine add του θεου μου 21. ετι μου λαλ. και προςευχομενου εν τη προςευχη, ιδου 22. ed. rom. (non cod. alex.) extrema conjg. cum εν α. τ. δ. σου 23. om σου

Digitized by Google

λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ, καὶ
ἐννοήθητι ἐν τῷ ῥήματι καὶ σύνες ἐν τῇ ὀπτασίᾳ. [24] ἑβδομήκοντα ἑβδομάδες 24
συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ συντελε-
σθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ ἀπαλεῖψαι τὰς ἀδικίας,
καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ
σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. [25] καὶ γνώσῃ 25
καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερου-
σαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο·
καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος, καὶ ἐκκενωθήσονται
οἱ καιροί. [26] καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξηκονταδύο ἐξολοθρευθήσεται 26
χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ
σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, ἐκκοπήσονται ἐν κατακλυσμῷ καὶ ἕως τέ-
λους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς. [27] καὶ δυναμώσει διαθήκην 27
Mt. 24, 15. πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυ-
Mc. 13, 14. σία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως τῆς
συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

## X.

Ἐν ἔτει τρίτῳ Κύρου βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιήλ,
οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ· καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις με-
γάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. [2] ἐν ταῖς ἡμέραις ἐκείναις 2
ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν, [3] ἄρτον ἐπιθυμιῶν οὐκ 3
ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, καὶ ἄλειμμα
οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. [4] ἐν ἡμέρᾳ εἰ- 4
κοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου καὶ ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ
τοῦ μεγάλου, αὐτός ἐστι Τίγρις Ἐδδεκέλ. [5] καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ 5
ἴδον, καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδίν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη
*Apoc. ἐν χρυσίῳ Ὠφάζ, [6] καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσίς, καὶ τὸ πρόσωπον αὐτοῦ 6
1, 14 sq. ὡς ἡ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ
βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ
τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου. [7] καὶ ἴδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτα- 7
σίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ οὐκ ἴδον τὴν ὀπτασίαν, ἀλλ' ἢ ἔκστασις
μεγάλη ἐπέπεσεν ἐπ' αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ. [8] καὶ ἐγὼ ὑπελείφθην 8
μόνος καὶ ἴδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν
ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα
ἰσχύος. [9] καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν τῷ ἀκοῦσαί με 9
αὐτοῦ ἤμην κατανενυγμένος, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. [10] καὶ ἰδοὺ 10
χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου. [11] καὶ εἶπε πρός με 11
Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ
στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. καὶ ἐν τῷ λαλῆσαι

---

23. *om σοι ... συ ει 24. λαον σου ισραηλ ... αγιαν σου ... συντελεσαι ... σφραγισαι ορασιν αμαρτιας ... απαλειψ. τ. ανομιας 26. περιτειχος 26. εξολεθρευθησεται ... και εκκοπησονται ... συντετετμημενου 27. εν τω ημισυ ... post εβδομαδος add καταπαυσει θυσιαστηριον και θυσιαν και εως πτερυγιου απο αφανισμου· και εως συντελειας και σπουδης ταξει επι αφανισμου· και δυναμωσει διαθηκην πολλοις εβδομας μια· και εν τω ημισυ της εβδομαδος ... τον ιερον ... ερημωσεων εσται ... εως συντελειας
Subscriptio: ορασις ι. Inscriptio: ορασις ια.

X. 4. εικ. και τεταρτη ... ενδεκελ 6. θαρσεις ... ως ορασις αστραπης ... ως λαμπαδες 8. καγω ... εξεις pro δοξα 9. ακουσ. με φωνην ρηματων αυτου ημην 10. in f. add και ταρσους χειρων μου

12 αὐτὸν πρὸς μὲ τὸν λόγον τοῦτον ἀνέστην ἔντρομος. [12] καὶ εἶπε πρός μέ Μὴ
φοβοῦ Δανιήλ, ὅτι ἀπὸ τῆς πρώτης ἡμέρας ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ
συνεῖναι καὶ κακωθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου ἠκούσθησαν οἱ λόγοι
13 σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. [13] καὶ ὁ ἄρχων βασιλείας Περσῶν
εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν *Apoc. 12, 7.
ἀρχόντων ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος
14 βασιλείας Περσῶν, [14] καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου
15 ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. [15] καὶ ἐν τῷ λαλῆ-
σαι αὐτὸν μετ' ἐμοῦ κατὰ τοὺς λόγους τούτους ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ
16 τὴν γῆν καὶ κατενύγην. [16] καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν
χειλέων μου· καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα, καὶ εἶπα πρὸς τὸν
ἑστῶτα ἐναντίον μου Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν
17 ἐμοί, καὶ οὐκ ἔσχον ἰσχύν. [17] καὶ πῶς δυνήσεται ὁ παῖς σου, κύριε, λαλῆ-
σαι μετὰ τοῦ κυρίου μου τούτου; καὶ ἐγὼ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ
18 ἰσχύς, καὶ πνεῦμα οὐχ ὑπελείφθη ἐν ἐμοί. [18] καὶ προςέθετο καὶ ἥψατό μου
19 ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με [19] καὶ εἶπέ μοι Μὴ φοβοῦ ἀνὴρ ἐπι-
θυμιῶν, εἰρήνη σοι· ἀνδρίζου καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ
20 ἴσχυσα, καὶ εἶπα Λαλείτω ὁ κύριός μου, ὅτι ἐνίσχυσάς με. [20] καὶ εἶπεν Εἰ
οἶδας ἵνα τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ
ἄρχοντος Περσῶν· καὶ ἐγὼ εἰςεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρ-
21 χετο. [21] ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ
ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

## XI.

2 Καὶ ἐγὼ ἐν ἔτει πρώτῳ Κύρου ἔστην εἰς κράτος καὶ ἰσχύν. [2] καὶ νῦν
ἀλήθειαν ἀναγγελῶ σοι Ἰδοὺ ἔτι τρεῖς βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι,
καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ μετὰ τὸ κρα-
τῆσαι αὐτὸν τοῦ πλούτου αὐτοῦ ἐπαναστήσεται πάσαις βασιλείαις Ἑλλήνων.
3 [3] καὶ ἀναστήσεται βασιλεὺς δυνατός, καὶ κυριεύσει κυρείας πολλῆς, καὶ ποιή-
4 σει κατὰ τὸ θέλημα αὐτοῦ. [4] καὶ ὡς ἂν στῇ ἡ βασιλεία αὐτοῦ, συντριβή-
σεται καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καὶ οὐκ εἰς
τὰ ἔσχατα αὐτοῦ οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ ἣν ἐκυρίευσεν· ὅτι ἐκτιλή-
5 σεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέροις ἐκτὸς τούτων. [5] καὶ ἐνισχύσει ὁ βασι-
λεὺς τοῦ νότου· καὶ εἷς τῶν ἀρχόντων αὐτῶν ἐνισχύσει ἐπ' αὐτὸν καὶ κυ-
6 ριεύσει κυρείαν πολλήν. [6] καὶ μετὰ τὰ ἔτη αὐτοῦ συμμιγήσονται, καὶ θυγάτηρ
βασιλέως τοῦ νότου εἰςελεύσεται πρὸς βασιλέα τοῦ βορρᾶ τοῦ ποιῆσαι συν-
θήκας μετ' αὐτοῦ· καὶ οὐ κρατήσει ἰσχύος βραχίονος, καὶ οὐ στήσεται τὸ
σπέρμα αὐτοῦ, καὶ παραδοθήσεται αὕτη καὶ οἱ φέροντες αὐτήν, καὶ ἡ νεᾶ-
7 νις καὶ ὁ κατισχύων αὐτήν. ἐν τοῖς καιροῖς [7] ἀναστήσεται ἐκ τοῦ ἄνθους τῆς
ῥίζης αὐτῆς τῆς ἑτοιμασίας αὐτοῦ, καὶ ἥξει πρὸς τὴν δύναμιν, καὶ εἰςελεύ-
σεται εἰς τὰ ὑποστηρίγματα τοῦ βασιλέως τοῦ βορρᾶ, καὶ ποιήσει ἐν αὐτοῖς
8 καὶ κατισχύσει. [8] καί γε τοὺς θεοὺς αὐτῶν μετὰ τῶν χωνευτῶν αὐτῶν, πᾶν
σκεῦος ἐπιθυμητὸν αὐτῶν, ἀργυρίου καὶ χρυσίου, μετὰ αἰχμαλωσίας οἴσει

---

12. om οτι απο τ. πρ. ημερας ... και του κακωθηναι 13. ιστηκει ... και εικοσι και ... αρχοντων των πρωτων ... κατελειπον 14. om ετι η 16. om και ηνοιξα τ. στ. μου 17. πνοη pro πνευμα 20. κ. ειπ. μοι ... επιστρεφω ... μετα αρχοντων ... εξεπορευομην 21. υπερ τουτων αλλ ημιν μιχαηλ XI. 3. κυριας 4. κυριαν ... εκτειλησεται ... in f. add δοθησεται 5. και ενισχυσει επ αυτων (sic) εις των αρχ. αυτου ... κ. κυρ. κυριειας πολλης επ εξουσιας αυτου 6. αποσυμμιγησονσαι· κ. η θυγ. βασιλευς (sic) ... post καιροις interpg. 7r και αναστησεται ... επι της ετοιμασιας ... om εν 8. αυτων καταστρεψει μετα των

Digitized by Google

εἰς Αἴγυπτον, καὶ αὐτὸς στήσεται ὑπὲρ βασιλέα τοῦ βοῤῥᾶ. [9] καὶ εἰςελεύσε- 9
ται εἰς τὴν βασιλείαν τοῦ βασιλέως τοῦ νότου, καὶ ἀναστρέψει εἰς τὴν γῆν
αὐτοῦ. [10] καὶ οἱ υἱοὶ αὐτοῦ συνάξουσιν ὄχλον ἀνὰ μέσον πολλῶν, καὶ ἐλεύ- 10
σεται ἐρχόμενος καὶ κατακλύζων, καὶ παρελεύσεται καὶ καθίεται καὶ συμ-
προςπλακήσεται ἕως τῆς ἰσχύος αὐτοῦ· [11] καὶ ἀγριανθήσεται βασιλεὺς τοῦ 11
νότου, καὶ ἐξελεύσεται καὶ πολεμήσει μετὰ τοῦ βασιλέως τοῦ βοῤῥᾶ, καὶ
στήσει ὄχλον πολύν, καὶ παραδοθήσεται ὁ ὄχλος ἐν χειρὶ αὐτοῦ· [12] καὶ λή- 12
ψεται τὸν ὄχλον, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ καταβαλεῖ μυριάδας,
καὶ οὐ κατισχύσει. [13] καὶ ἐπιστρέψει ὁ βασιλεὺς τοῦ βοῤῥᾶ καὶ ἄξει ὄχλον 13
πολὺν ὑπὲρ τὸν πρότερον, καὶ εἰς τὸ τέλος τῶν καιρῶν ἐνιαυτῶν ἐπελεύσεται
εἰςόδια ἐν δυνάμει μεγάλῃ καὶ ἐν ὑπάρξει πολλῇ. [14] καὶ ἐν τοῖς καιροῖς 14
ἐκείνοις πολλοὶ ἐπαναστήσονται ἐπὶ βασιλέα τοῦ νότου, καὶ οἱ υἱοὶ τῶν λοι-
μῶν τοῦ λαοῦ σου ἐπαρθήσονται τοῦ στῆσαι ὅρασιν, καὶ ἀσθενήσουσι. [15] καὶ 15
εἰςελεύσεται βασιλεὺς τοῦ βοῤῥᾶ, καὶ ἐκχεεῖ πρόςχωμα καὶ συλλήψεται πό-
λεις ὀχυράς, καὶ οἱ βραχίονες τοῦ βασιλέως τοῦ νότου στήσονται, καὶ ἀνα-
στήσονται οἱ ἐκλεκτοὶ αὐτοῦ, καὶ οὐκ ἔσται ἰσχὺς τοῦ στῆναι. [16] καὶ ποιήσει 16
ὁ εἰςπορευόμενος πρὸς αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔστιν ἑστὼς
κατὰ πρόςωπον αὐτοῦ· καὶ στήσεται ἐν τῇ γῇ τοῦ Σαβεί, καὶ τελεσθήσεται
ἐν τῇ χειρὶ αὐτοῦ. [17] καὶ τάξει τὸ πρόςωπον αὐτοῦ εἰςελθεῖν ἐν ἰσχύϊ πά- 17
σης τῆς βασιλείας αὐτοῦ· καὶ εὐθεῖα πάντα μετ᾽ αὐτοῦ ποιήσει, καὶ θυγα-
τέρα τῶν γυναικῶν δώσει αὐτῷ διαφθεῖραι αὐτήν, καὶ οὐ μὴ παραμείνῃ,
καὶ οὐκ αὐτῷ ἔσται. [18] καὶ ἐπιστρέψει τὸ πρόςωπον αὐτοῦ εἰς τὰς νήσους 18
καὶ συλλήψεται πολλάς, καὶ καταπαύσει ἄρχοντας ὀνειδισμοῦ αὐτῶν, πλὴν
ὀνειδισμὸς αὐτοῦ ἐπιστρέψει αὐτῷ. [19] καὶ ἐπιστρέψει τὸ πρόςωπον αὐτοῦ εἰς 19
τὴν ἰσχὺν τῆς γῆς αὐτοῦ, καὶ ἀσθενήσει καὶ πεσεῖται, καὶ οὐχ εὑρεθήσε-
ται. [20] καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν τῆς βασιλείας ἐπὶ τὴν 20
ἑτοιμασίαν αὐτοῦ παραβιβάζων, πράσσων δόξαν βασιλείας. καὶ ἐν ταῖς ἡμέ-
ραις ἐκείναις ἔτι συντριβήσεται, καὶ οὐκ ἐν προςώποις οὐδὲ ἐν πολέμῳ
[21] στήσεται· ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ ἐξουδενώθη, καὶ οὐκ ἔδωκαν ἐπ᾽ αὐ- 21
τὸν δόξαν βασιλείας· καὶ ἥξει ἐν εὐθηνίᾳ, καὶ κατισχύσει βασιλείας ἐν ὀλι-
σθήμασι, [22] καὶ βραχίονες τοῦ κατακλύζοντος κατακλυσθήσονται ἀπὸ προςώπου 22
αὐτοῦ καὶ συντριβήσονται, καὶ ἡγούμενος διαθήκης· [23] καὶ ἀπὸ τῶν συνα- 23
ναμίξεων πρὸς αὐτὸν ποιήσει δόλον, καὶ ἀναβήσεται καὶ ὑπερισχύσει αὐτοὺς
ἐν ὀλίγῳ ἔθνει. [24] καὶ ἐν εὐθηνίᾳ καὶ ἐν πίοσι χώραις ἥξει, καὶ ποιήσει ἃ 24
οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ καὶ πατέρες τῶν πατέρων αὐτοῦ, προνομὴν
καὶ σκῦλα καὶ ὕπαρξιν αὐτοῖς διασκορπιεῖ, καὶ ἐπ᾽ Αἴγυπτον λογιεῖται λο-
γισμοὺς καὶ ἕως καιροῦ. [25] καὶ ἐξεγερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία 25
αὐτοῦ ἐπὶ βασιλέα τοῦ νότου ἐν δυνάμει μεγάλῃ, καὶ ὁ βασιλεὺς τοῦ νότου
συνάψει πόλεμον ἐν δυνάμει μεγάλῃ καὶ ἰσχυρᾷ σφόδρα· καὶ οὐ στήσονται,
ὅτι λογιοῦνται ἐπ᾽ αὐτὸν λογισμούς, [26] καὶ φάγονται τὰ δέοντα αὐτοῦ καὶ 26
συντρίψουσιν αὐτόν, καὶ δυνάμεις κατακλύσει, καὶ πεσοῦνται τραυματίαι πολ-
λοί. [27] καὶ ἀμφότεροι οἱ βασιλεῖς, αἱ καρδίαι αὐτῶν εἰς πονηρίαν, καὶ ἐπὶ 27

---

10. οχλον δυναμεων πολλων κ. εισελευσ. αρχομενος ... καθιειται ... προσυμπλακησονται 11. και αγρ. και ο βασιλ. τ. νοτου εξελ. ... μετα βασιλεως 12. λημψεται ... υπερυψωθησεται 13. εξει 15. ο βασιλευς ... συλλημψεται ... ου στησονται 16. και στησονται εν γη του σαββειρ ... συντελεσθησεται 17. του διαφθειραι 18. συλλημψεται ... καταχαυσει ... ο ονιδισμος 19. αρχην pro ισχυν 20. φυτον βασιλιας ... om ετι 21. στησεται· ita interpg., sed ed. rom. post αυτου interpg. 22. και κατακλυσθησονται 23. αυτου pro αυτους 24. πλιοσιν ... και οι πατ. των ... om αυτοις ... διασκορπισει ... διαλογισμους αυτου 25. και pro επι ... πολεμον και εν 26. συντριψ. αυτου

Digitized by Google

τραπέζῃ μιᾷ ψευδῆ λαλήσουσι, καὶ οὐ κατευθυνεῖ, ὅτι ἔτι πέρας εἰς καιρόν.
28 28 καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ ἐν ὑπάρξει πολλῇ, καὶ ἡ καρδία αὐτοῦ
29 ἐπὶ διαθήκην ἁγίαν, καὶ ποιήσει καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. 29 εἰς
τὸν καιρὸν ἐπιστρέψει καὶ ἥξει ἐν τῷ νότῳ, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη
30 καὶ ἡ ἐσχάτη. 30 καὶ εἰσελεύσονται ἐν αὐτῷ οἱ ἐκπορευόμενοι Κίτιοι, καὶ
ταπεινωθήσεται, καὶ ἐπιστρέψει καὶ θυμωθήσεται ἐπὶ διαθήκην ἁγίαν· καὶ
ποιήσει καὶ ἐπιστρέψει, καὶ συνήσει ἐπὶ τοὺς καταλιπόντας διαθήκην ἁγίαν.
31 31 καὶ σπέρματα ἐξ αὐτοῦ ἀναστήσονται καὶ βεβηλώσουσι τὸ ἁγίασμα τῆς
δυναστείας, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμόν, καὶ δώσουσι βδέλυγμα ἠφα-
32 νισμένων, 32 καὶ οἱ ἀνομοῦντες διαθήκην ἐπάξουσιν ἐν ὀλισθήμασι. καὶ λαὸς
33 γινώσκοντες θεὸν αὐτοῦ κατισχύσουσι καὶ ποιήσουσι, 33 καὶ οἱ συνετοὶ τοῦ
λαοῦ συνήσουσιν εἰς πολλά, καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν φλογὶ καὶ
34 ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ ἡμερῶν. 34 καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς
βοηθήσονται βοήθειαν μικράν, καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν
35 ὀλισθήμασι. 35 καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσι τοῦ πυρῶσαι αὐτοὺς καὶ
τοῦ ἐκλέξασθαι καὶ τοῦ ἀποκαλυφθῆναι ἕως καιροῦ πέρας, ὅτι ἔτι εἰς καιρόν,
36 36 καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ. καὶ ὁ βασιλεὺς ὑψωθήσεται καὶ με-* 2 Thess. 2, 4.
γαλυνθήσεται ἐπὶ πάντα θεόν, καὶ λαλήσει ὑπέρογκα, καὶ κατευθυνεῖ μέχρις
37 οὗ συντελεσθῇ ἡ ὀργή, εἰς γὰρ συντέλειαν γίνεται. 37 καὶ ἐπὶ πάντας θεοὺς
τῶν πατέρων αὐτοῦ οὐ συνήσει, καὶ ἐπιθυμίᾳ γυναικῶν, καὶ ἐπὶ πᾶν θεὸν
38 οὐ συνήσει, ὅτι ἐπὶ πάντας μεγαλυνθήσεται. 38 καὶ θεὸν Μαωζεὶμ ἐπὶ τόπου
αὐτοῦ δοξάσει, καὶ θεὸν ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ δοξάσει ἐν χρυσῷ
39 καὶ ἀργύρῳ καὶ λίθῳ τιμίῳ καὶ ἐν ἐπιθυμήμασι. 39 καὶ ποιήσει τοῖς ὀχυρώ-
μασι τῶν καταφυγῶν μετὰ θεοῦ ἀλλοτρίου καὶ πληθυνεῖ δόξαν, καὶ ὑποτάξει
40 αὐτοῖς πολλούς, καὶ γῆν διελεῖ ἐν δώροις. 40 καὶ ἐν καιροῦ πέρατι συγκερα-
τισθήσεται μετὰ τοῦ βασιλέως τοῦ νότου, καὶ συναχθήσεται ἐπ' αὐτὸν βα-
σιλεὺς τοῦ βορρᾶ ἐν ἅρμασι καὶ ἐν ἱππεῦσι καὶ ἐν ναυσὶ πολλαῖς, καὶ εἰσε-
41 λεύσονται εἰς τὴν γῆν καὶ συντρίψει καὶ παρελεύσεται. 41 καὶ εἰσελεύσεται
εἰς τὴν γῆν τοῦ Σαβαείμ, καὶ πολλοὶ ἀσθενήσουσι· καὶ οὗτοι διασωθήσονται
42 ἐκ χειρὸς αὐτοῦ, Ἐδὼμ καὶ Μωὰβ καὶ ἀρχὴ υἱῶν Ἀμμών. 42 καὶ ἐκτενεῖ
43 τὴν χεῖρα ἐπὶ τὴν γῆν, καὶ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν. 43 καὶ
κυριεύσει ἐν τοῖς ἀποκρύφοις τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου, καὶ ἐν πᾶσιν
ἐπιθυμητοῖς Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων, ἐν τοῖς ὀχυρώμασιν αὐτῶν.
44 44 καὶ ἀκοαὶ καὶ σπουδαὶ ταράξουσιν αὐτὸν ἐξ ἀνατολῶν καὶ ἀπὸ βορρᾶ· καὶ
45 ἥξει ἐν θυμῷ πολλῷ τοῦ ἀφανίσαι πολλούς, 45 καὶ πήξει τὴν σκηνὴν αὐτοῦ
Ἐφαδανῶ ἀνὰ μέσον τῶν θαλασσῶν εἰς ὄρος Σαβαεὶν ἅγιον· ἥξει ἕως μέ-
ρους αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτόν.

## XII.

Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας ὁ * Apoc. 20, 1 ss.
ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως, θλῖψις οἵα

---

29. και ως η εσχ. 30. οι εν αυτω και οι εκπ. ... καταλειποντας 31. και βραχιονες κ. σπερμ. ... το αγ. της δυναμεως ... τ. ενδελεχιστον ... ηφανισμενον 32. και λαοι ανομουντες δ. εξαξουσιν ... γινωσκων 33. συνετοι λαου μου 34. προστεθ. επ αυτους 35. αυτους του εκλεξασθαι ... post καιρον plene interpg. 36. κ. υψωθ. κ. μεγ. ο βασιλ. ... επι π. θε. και επι τον θεον των θεων ... γεινεται 37. om ου prius ... επιθυμιαν ... επι παντα θεον 38. μαωζει ... ου δοξασει και ..., δοξ. εν χρυσιω 40. και εν τω καιρω ... συναχθησ. μετ αυτου ... εισελευσεται 41. σαβαειν 42. τ. χειρα αυτου 43. τ. χρυσιου κ. τ. αργυριου και πασιν 44. του αφανισ. και του αναθεματισαι πολλ. 45. εφανδανω ... σαβειν ... και ηξει ε. μερ. ορους αυτου

Digitized by Google

οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐν τῇ γῇ ἕως τοῦ καιροῦ ἐκείνου. ἐν τῷ
*Joh. 5, 28 sq. καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ· [2]καὶ 2
πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν
*Mt. 13, 43. αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον· [3]καὶ οἱ συνιέν- 3
τες λάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν
πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας καὶ ἔτι. [4]καὶ σὺ Δανιὴλ ἔμφραξον 4
*Apoc. 10, 4. 22, 10. τοὺς λόγους καὶ σφράγισον τὸ βιβλίον ἕως καιροῦ συντελείας, ἕως διδαχθῶσι
πολλοὶ καὶ πληθυνθῇ ἡ γνῶσις. [5]καὶ ἴδον ἐγὼ Δανιήλ, καὶ ἰδοὺ δύο ἕτεροι 5
εἱστήκεισαν, εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ καὶ εἷς ἐντεῦθεν τοῦ
χείλους τοῦ ποταμοῦ. [6]καὶ εἶπε τῷ ἀνδρὶ τῷ ἐνδεδυμένῳ τὰ βαδδίν, ὃς ἦν 6
ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ, Ἕως πότε τὸ πέρας ὧν εἴρηκας τῶν θαυ-
μασίων; [7]καὶ ἤκουσα τοῦ ἀνδρὸς τοῦ ἐνδεδυμένου τὰ βαδδίν, ὃς ἦν ἐπάνω 7
τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ ὕψωσε τὴν δεξιὰν αὐτοῦ καὶ τὴν ἀριστερὰν
αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα ὅτι εἰς καιρὸν
καιρῶν καὶ ἥμισυ καιροῦ ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν γνώσονται
πάντα ταῦτα. [8]καὶ ἐγὼ ἤκουσα καὶ οὐ συνῆκα, καὶ εἶπα Κύριε, τί τὰ 8
ἔσχατα τούτων; [9]καὶ εἶπεν Δεῦρο Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφρα- 9
γισμένοι οἱ λόγοι ἕως καιροῦ πέρας· [10]ἐκλεγῶσι καὶ ἐκλευκανθῶσι καὶ πυ- 10
ρωθῶσι καὶ ἁγιασθῶσι πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι· καὶ οὐ συνήσουσι
πάντες ἄνομοι, καὶ οἱ νοήμονες συνήσουσι. [11]καὶ ἀπὸ καιροῦ παραλλάξεως 11
τοῦ ἐνδελεχισμοῦ καὶ δοθήσεται τὸ βδέλυγμα ἐρημώσεως ἡμέραι χίλιαι
διακόσιαι ἐνενήκοντα. [12]μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χι- 12
λίας τριακοσίας τριακονταπέντε. [13]καὶ σὺ δεῦρο καὶ ἀναπαύου· ἔτι γὰρ 13
ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν
σου, εἰς συντέλειαν ἡμερῶν.

## (ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ.)

[1]Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ 1
παρέλαβε Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. [2]καὶ ἦν Δανιὴλ συμβιωτὴς 2
τοῦ βασιλέως καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ. [3]καὶ ἦν εἴδωλον 3
τοῖς Βαβυλωνίοις ᾧ ὄνομα Βήλ, καὶ ἐδαπανῶντο εἰς αὐτὸν ἑκάστης ἡμέρας
σεμιδάλεως ἀρτάβαι δώδεκα καὶ πρόβατα τεσσαράκοντα καὶ οἴνου μετρηταὶ
ἕξ. [4]καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν καὶ ἐπορεύετο καθ' ἑκάστην ἡμέραν 4
προσκυνεῖν αὐτῷ, Δανιὴλ δὲ προσεκύνει τῷ θεῷ αὐτοῦ· καὶ εἶπεν αὐτῷ ὁ
βασιλεύς Διὰ τί οὐ προσκυνεῖς τῷ Βήλ; [5]ὁ δὲ εἶπεν Ὅτι οὐ σέβομαι εἴ- 5
δωλα χειροποίητα ἀλλὰ τὸν ζῶντα θεόν, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν. [6]καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Οὐ 6
δοκεῖ σοι Βὴλ εἶναι ζῶν θεός; ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει καὶ πίνει καθ' ἑκά-
στην ἡμέραν; [7]καὶ εἶπε Δανιὴλ γελάσας Μὴ πλανῶ, βασιλεῦ· οὗτος γὰρ 7
ἔσωθεν μέν ἐστι πηλός, ἔξωθεν δὲ χαλκός, καὶ οὐ βέβρωκεν οὐδέποτε.

---

XII. 1. αφ ης γεγ. εθν. επι της γης ... και εν τω ... πας ο ευρεθεις ο γεγραμμενος 2. εγερθησονται 3. εκλαμψουσιν 4. εμφραξ. το βιβλιον κ. σφρ. τους λογους 5. ιστηκεισαν 6. και ειπον ... τα βαδδι (v. 7. -δδιν) 7. οτι εις καιρον και καιρους και εις ημισυ ... συντελεσαι διασκ. λαου ηγιασμενου· και γνωσονται 8. καγω ... om τα 9. ed. rom. in f. non interpg. 10. om και εκλευκανθωσι ... και ανοησουσιν ανομοι· κ. ου νοησουσιν 11. αφ ου αναστη η θυσια δια παντος· και ετοιμασθη δοθηναι το βδελ. της ερημωσ. ημεραις χιλιαις διακοσιαις 12. ο υπομεινας 13. (δευρο ...) ημεραι εισιν εις ... και αναπαυση και αναστηση

Subscriptio: ορασις ια. Inscriptio: ορασις ιβ. Sed deest titulus: Βηλ και Δραχ.

3. ιδωλον ... δεκαδυο pro δωδεκα ... τεσσερακοντα 4. om εκαστην 5. κυριαν 7. αυτος γαρ ... ου βεβρωκ. ουδε πεπωκεν πωποτε

Digitized by Google

8 [8]θυμωθεὶς δὲ ὁ βασιλεὺς ἐκάλεσε τοὺς ἱερεῖς αὐτοῦ καὶ εἶπεν αὐτοῖς Ἐὰν
9 μὴ εἴποιτέ μοι τίς ὁ κατέσθων τὴν δαπάνην ταύτην, [9]ἀποθανεῖσθε· ἐὰν δὲ
δείξητε ὅτι Βὴλ κατεσθίει αὐτά, ὁ Δανιὴλ ἀποθανεῖται, ὅτι ἐβλασφήμησεν
10 εἰς τὸν Βήλ. καὶ εἶπε Δανιὴλ τῷ βασιλεῖ Γινέσθω κατὰ τὸ ῥῆμά σου. [10]καὶ
ἦσαν ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα ἐκτὸς γυναικῶν καὶ τέκνων· καὶ ἦλθεν ὁ
11 βασιλεὺς μετὰ Δανιὴλ εἰς τὸν οἶκον τοῦ Βήλ. [11]καὶ εἶπαν οἱ ἱερεῖς τοῦ Βὴλ
Ἰδοὺ ἡμεῖς ἀποτρέχομεν ἔξω, σὺ δὲ βασιλεῦ παράθες τὰ βρώματα καὶ τὸν
οἶνον κεράσας θές, καὶ ἀπόκλεισον τὴν θύραν καὶ σφράγισον τῷ δακτυλίῳ
12 σου. [12]καὶ ἐλθὼν πρωὶ ἐὰν μὴ εὕρῃς πάντα βεβρωμένα ὑπὸ τοῦ Βήλ, ἀπο-
13 θανούμεθα ἢ Δανιὴλ ὁ ψευδόμενος καθ' ἡμῶν. [13]αὐτοὶ δὲ κατεφρόνουν ὅτι
πεποιήκεισαν ὑπὸ τὴν τράπεζαν κεκρυμμένην εἴςοδον, καὶ δι' αὐτῆς εἰςε-
14 πορεύοντο διόλου καὶ ἀνήλουν αὐτά. [14]καὶ ἐγένετο ὡς ἐξήλθοσαν ἐκεῖνοι,
καὶ ὁ βασιλεὺς παρέθηκε τὰ βρώματα τῷ Βήλ· καὶ ἐπέταξε Δανιὴλ τοῖς
παιδαρίοις αὐτοῦ καὶ ἤνεγκαν τέφραν, καὶ κατέσεισαν ὅλον τὸν ναὸν ἐνώπιον
τοῦ βασιλέως μόνου· καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν καὶ ἐσφραγίσαντο
15 ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον. [16]οἱ δὲ ἱερεῖς ἦλθον τὴν νύκτα
κατὰ τὸ ἔθος αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ κατέ-
16 φαγον πάντα καὶ ἐξέπιον. [16]καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωί, καὶ Δανιὴλ
17 μετ' αὐτοῦ. [17]καὶ εἶπεν Σῶοι αἱ σφραγῖδες, Δανιήλ; ὁ δὲ εἶπε Σῶοι, βα-
18 σιλεῦ. [18]καὶ ἐγένετο ἅμα τῷ ἀνοῖξαι τὰς θύρας, ἐπιβλέψας ἐπὶ τὴν τράπε-
ζαν ὁ βασιλεὺς ἐβόησε φωνῇ μεγάλῃ Μέγας εἶ Βήλ, καὶ οὐκ ἔστι παρὰ σοὶ
19 δόλος οὐδὲ εἷς. [19]καὶ ἐγέλασε Δανιήλ, καὶ ἐκράτησε τὸν βασιλέα τοῦ μὴ
εἰςελθεῖν αὐτὸν ἔσω, καὶ εἶπεν Ἴδε δὴ τὸ ἔδαφος καὶ γνῶθι τίνος τὰ ἴχνη
20 ταῦτα. [20]καὶ εἶπεν ὁ βασιλεύς Ὁρῶ τὰ ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παι-
21 δίων. καὶ ὀργισθεὶς ὁ βασιλεὺς [21]τότε συνέλαβε τοὺς ἱερεῖς καὶ τὰς γυναῖ-
κας καὶ τὰ τέκνα αὐτῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας δι' ὧν εἰςε-
22 πορεύοντο καὶ ἐδαπάνων τὰ ἐπὶ τῆς τραπέζης. [22]καὶ ἀπέκτεινεν αὐτοὺς ὁ
βασιλεύς, καὶ ἔδωκε τὸν Βὴλ ἔκδοτον τῷ Δανιήλ· καὶ κατέστρεψεν αὐτὸν
καὶ τὸ ἱερὸν αὐτοῦ.

23 24 [23]Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι. [24]καὶ εἶ-
πεν ὁ βασιλεὺς τῷ Δανιὴλ Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλκοῦς ἐστίν; ἰδοὺ ζῇ
καὶ ἐσθίει καὶ πίνει· οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν οὗτος θεὸς ζῶν, καὶ
25 προςκύνησον αὐτῷ. [25]καὶ εἶπε Δανιὴλ Κυρίῳ τῷ θεῷ μου προςκυνήσω, ὅτι
26 οὗτός ἐστι θεὸς ζῶν· [26]σὺ δὲ βασιλεῦ δός μοι ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν
δράκοντα ἄνευ μαχαίρας καὶ ῥάβδου. καὶ εἶπεν ὁ βασιλεύς Δίδωμί σοι.
27 [27]καὶ ἔλαβεν ὁ Δανιὴλ πίσσαν καὶ στέαρ καὶ τρίχας, καὶ ἥψησεν ἐπὶ τὸ
αὐτὸ καὶ ἐποίησε μάζας, καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος· καὶ φα-
28 γὼν διεῤῥάγη ὁ δράκων. καὶ εἶπεν Ἴδετε τὰ σεβάσματα ὑμῶν. [28]καὶ ἐγέ-
νετο ὡς ἤκουσαν οἱ Βαβυλώνιοι, ἠγανάκτησαν λίαν, καὶ συνεστράφησαν ἐπὶ
τὸν βασιλέα καὶ εἶπαν Ἰουδαῖος γέγονεν ὁ βασιλεύς, τὸν Βὴλ κατέσπασε
29 καὶ τὸν δράκοντα ἀπέκτεινε, καὶ τοὺς ἱερεῖς κατέσφαξε. [29]καὶ εἶπαν ἐλθόν-
τες πρὸς τὸν βασιλέα Παράδος ἡμῖν τὸν Δανιήλ· εἰ δὲ μή, ἀποκτενοῦμεν
30 σὲ καὶ τὸν οἶκόν σου. [30]καὶ εἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα,

8. και θυμωθεις ο ... ειπηται ... κατεσθιων 9. αποδιξητε οτι ο βηλ ... αποθανειτε δανιηλ 10. οι ιερεις ... χωρεις γυν. και παιδιων 11. δακτυλω 12. ο ψευσαμενος 13. κατεφθονουν ... om δι 14. εξηλθον ... εσφραγισαν τω δακτυλιω 15. om αυτων post γυναικες 17. κ. ειπ. ο βασιλευς Σωαι αι 18. ο βασιλ. επι τ. τραπ. 19. και γελασας δανιηλ εκρατησεν ... om και ειπεν ... ειδε 21. συνελαβετο ... επι τη τραπεζη 23. μεγας εν τω τοπω 26. μαχαιρης 27. om ο ... στηρ ... Ιδου δη τα 28. ειπον ... τον βηλ κατεστρεψεν ... *κατετρεψεν pro κατεσφαξε 30. ιδεν

Digitized by Google

καὶ ἀναγκασθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ. [31] οἱ δὲ ἔβαλον 31
αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ. [32] ἦσαν δὲ ἐν 32
τῷ λάκκῳ ἑπτὰ λέοντες, καὶ ἐδίδοτο αὐτοῖς τὴν ἡμέραν δύο σώματα καὶ
δύο πρόβατα· τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα καταφάγωσι τὸν Δανιήλ. [33] καὶ 33
ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα καὶ
ἐνέθρυψεν ἄρτους εἰς σκάφην, καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς
θερισταῖς. [34] καὶ εἶπεν ὁ ἄγγελος κυρίου τῷ Ἀμβακούμ Ἀπένεγκε τὸ ἄριστον 34
ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων. [35] καὶ εἶπεν 35
Ἀμβακούμ Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα, καὶ τὸν λάκκον οὐ γινώσκω. [36] καὶ 36
ἐπελάβετο ὁ ἄγγελος κυρίου τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς κόμης
τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου, ἐν τῷ
ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. [37] καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων Δανιὴλ Δα- 37
νιήλ, λάβε τὸ ἄριστον ὃ ἀπέστειλέ σοι ὁ θεός. [38] καὶ εἶπε Δανιήλ Ἐμνή- 38
σθης γάρ μου, ὁ θεός, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε. [39] καὶ 39
ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀπεκατέστησε τὸν Ἀμβακοὺμ
παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ. [40] ὁ δὲ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ 40
πενθῆσαι τὸν Δανιήλ, καὶ ἦλθεν ἐπὶ τὸν λάκκον καὶ ἐνέβλεψε, καὶ ἰδοὺ
Δανιὴλ καθήμενος. [41] καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπε Μέγας εἶ κύριε ὁ 41
θεὸς τοῦ Δανιήλ, καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ. [42] καὶ ἔσπασεν αὐτόν, τοὺς 42
δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον, καὶ κατεβρώθησαν
παραχρῆμα ἐνώπιον αὐτοῦ.

---

# ΜΑΚΚΑΒΑΙΩΝ

## ΠΡΩΤΟΣ.

### I.

Καὶ ἐγένετο μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν Μακεδόνα,
ὃς ἐξῆλθεν ἐκ τῆς γῆς Χεττειείμ, καὶ ἐπάταξε τὸν Δαρεῖον βασιλέα Περ-
σῶν καὶ Μήδων, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ πρότερος ἐπὶ τὴν Ἑλλάδα.
[2] καὶ συνεστήσατο πολέμους πολλούς, καὶ ἐκράτησεν ὀχυρωμάτων πολλῶν, 2
καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς, [3] καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς καὶ ἔλαβε 3
σκῦλα πλήθους ἐθνῶν, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ· καὶ ὑψώθη καὶ
ἐπήρθη ἡ καρδία αὐτοῦ. [4] καὶ συνήγαγε δύναμιν ἰσχυρὰν σφόδρα, καὶ ἦρξε 4
χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον. [5] καὶ μετὰ 5
ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἔγνω ὅτι ἀποθνήσκει. [6] καὶ ἐκάλεσε τοὺς 6
παῖδας αὐτοῦ τοὺς ἐνδόξους τοὺς συντρόφους αὐτοῦ ἀπὸ νεότητος, καὶ διεῖ-
λεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ. [7] καὶ ἐβασίλευσεν Ἀλέ- 7
ξανδρος ἔτη δώδεκα, καὶ ἀπέθανε. [8] καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ ἕκαστος 8

---

30. om ο βασιλ. secundum 31. ενεβαλον 32. εδιδετο 33. και ουτος ηψησεν ... επορευθη 34. ειπεν αγγελος ... προς αμβακουμ 35. *δανιηλ pro αμβακουμ ... ουχ εωρακα ... in f. add που εστιν 36. ο αγγελος της χειρος αυτου 37. om αμβακουμ 38. εγκατελειπες 39. επι pro εις 41. πλην σου αλλος 42. ανεσπασεν
Subscriptio: τελος δανιηλ προφητου

---

Inscriptio: μακκαβαιων α
I. 1. χεττιειμ ... δαριον ... προτερον 2. om πολλων ... om της γης 4. συνηξεν ... τυραννιων 6. συνεκτροφους

Digitized by Google

9 ἐν τῷ τόπῳ αὐτοῦ. [9]καὶ ἐπέθεντο πάντες διαδήματα μετὰ τὸ ἀποθανεῖν
αὐτόν, καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐτῶν ἔτη πολλά, καὶ ἐπλήθυναν κακὰ ἐν
10 τῇ γῇ. [10]καὶ ἐξῆλθεν ἐξ αὐτῶν ῥίζα ἁμαρτωλὸς Ἀντίοχος Ἐπιφανής, υἱὸς
Ἀντιόχου βασιλέως, ὃς ἦν ὅμηρα ἐν τῇ Ῥώμῃ· καὶ ἐβασίλευσεν ἐν ἔτει
11 ἑκατοστῷ καὶ τριακοστῷ καὶ ἑβδόμῳ βασιλείας Ἑλλήνων. [11]ἐν ταῖς ἡμέραις
ἐκείναις ἐξῆλθον ἐξ Ἰσραὴλ υἱοὶ παράνομοι καὶ ἀνέπεισαν πολλοὺς λέγοντες
Πορευθῶμεν καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν,
12 ὅτι ἀφ' ἧς ἐχωρίσθημεν ἀπ' αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά. [12]καὶ ἠγα-
13 θύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν. [13]καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ
λαοῦ καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα· καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν ποιῆ-
14 σαι τὰ δικαιώματα τῶν ἐθνῶν. [14]καὶ ᾠκοδόμησαν γυμνάσιον ἐν Ἱεροσολύ-
15 μοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν. [15]καὶ ἐποίησαν ἑαυτοῖς ἀκροβυστίας καὶ
ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας, καὶ ἐζεύχθησαν τοῖς ἔθνεσι καὶ ἐπράθησαν
16 τοῦ ποιῆσαι τὸ πονηρόν. [16]καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐναντίον Ἀντιόχου, καὶ
ὑπέλαβε βασιλεῦσαι τῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βασιλείας.
17 [17]καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ, ἐν ἅρμασι καὶ ἐν ἐλέφασι καὶ
18 ἐν ἱππεῦσι καὶ ἐν στόλῳ μεγάλῳ. [18]καὶ συνεστήσαντο πόλεμον πρὸς Πτολε-
μαῖον βασιλέα Αἰγύπτου· καὶ ἐνετράπη Πτολεμαῖος ἀπὸ προσώπου αὐτοῦ καὶ
19 ἔφυγε, καὶ ἔπεσον τραυματίαι πολλοί. [19]καὶ κατελάβοντο τὰς πόλεις τὰς
20 ὀχυρὰς ἐν γῇ Αἰγύπτῳ, καὶ ἔλαβε τὰ σκῦλα γῆς Αἰγύπτου. [20]καὶ ἐπέστρε-
ψεν Ἀντίοχος μετὰ τὸ πατάξαι Αἴγυπτον ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ
καὶ τρίτῳ ἔτει· καὶ ἀνέβη ἐπὶ Ἰσραήλ, καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ
21 βαρεῖ. [21]καὶ εἰσῆλθον εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανείᾳ, καὶ ἔλαβε τὸ θυσια-
στήριον τὸ χρυσοῦν καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς,
22 [22]καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σπονδεῖα καὶ τὰς φιάλας καὶ
τὰς θυΐσκας τὰς χρυσᾶς καὶ τὸ καταπέτασμα καὶ τοὺς στεφάνους, καὶ τὸν
23 κόσμον τὸν χρυσοῦν τὸν κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ ἐλέπισε πάντα. [23]καὶ
ἔλαβε τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐπιθυμητά, καὶ ἔλαβε
24 τοὺς θησαυροὺς τοὺς ἀποκρύφους οὓς εὗρε. [24]καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς
τὴν γῆν αὐτοῦ· καὶ ἐποίησε φονοκτονίαν, καὶ ἐλάλησεν ὑπερηφανείαν με-
25 26 γάλην. [25]καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραὴλ ἐν παντὶ τόπῳ αὐτῶν. [26]καὶ
ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι, παρθένοι καὶ νεανίσκοι ἠσθένησαν, καὶ
27 τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη. [27]πᾶς νυμφίος ἀνέλαβε θρῆνον, καὶ
28 καθημένη ἐν παστῷ ἐγένετο ἐν πένθει. [28]καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοι-
29 κοῦντας αὐτήν· καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐνεδύσατο αἰσχύνην. [29]καὶ μετὰ
δύο ἔτη ἡμερῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορολογίας εἰς τὰς πόλεις
30 Ἰούδα· καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ. [30]καὶ ἐλάλησεν αὐτοῖς
λόγους εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐνεπίστευσαν αὐτῷ· καὶ ἐπέπεσεν ἐπὶ τὴν
πόλιν ἐξάπινα καὶ ἐπάταξεν αὐτὴν πληγὴν μεγάλην, καὶ ἀπώλεσε λαὸν πο-
31 λὺν ἐξ Ἰσραήλ. [31]καὶ ἔλαβε τὰ σκῦλα τῆς πόλεως καὶ ἐνεπύρισεν αὐτὴν
32 πυρί, καὶ καθεῖλε τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη αὐτῆς κύκλῳ· [32]καὶ ᾐχμα-
33 λώτευσαν τὰς γυναῖκας καὶ τὰ τέκνα, καὶ τὰ κτήνη ἐκληρονόμησαν. [33]καὶ
ᾠκοδόμησαν τὴν πόλιν Δαυὶδ τείχει μεγάλῳ καὶ ἰσχυρῷ, πύργοις ὀχυροῖς,
34 καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν. [34]καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν, ἄνδρας

---

10. επιφανεις ... του βασιλεως ... om εν secundum ... κ. εβδομ. κ. τριακ. 11. υιος παρανομος (sic) ... διαθωμεν ... υπ αυτων 13. εδωκαν 15. ακροβυστιαν ... εζευγισθησαν ... om του 16. ενωπιον αντιοχου ... γης pro της 17. om εν primum ... και ελεφανσιν 18. συνεστησατο ... **τον βασιλεα ... επεσαν 20. τεσσερακοστω ... επι ισραηλ και ιεροσολυμα 21. εισηλθεν ... υπερηφανια 22. σπονδια ... χρυσον 24. εποιησαν ... ελαλησαν υπερηφανιαν 27. θρηνον, καθημενη 29. om και ab initio ... φορολογειας 30. επιστευσαν 32. ηχμαλωτευσεν 33. μεγαλω κ. οχυρω

Digitized by Google

παρανόμους, καὶ ἐνίσχυσαν ἐν αὐτῇ. 35 καὶ παρέθεντο ὅπλα καὶ τροφάς, 35
καὶ συναγαγόντες τὰ σκῦλα Ἱερουσαλὴμ ἀπέθεντο ἐκεῖ, καὶ ἐγένοντο εἰς
μεγάλην παγίδα. 36 καὶ ἐγένετο εἰς ἔνεδρον τῷ ἁγιάσματι καὶ εἰς διάβο- 36
λον πονηρὸν τῷ Ἰσραὴλ διὰ παντός. 37 καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ 37
ἁγιάσματος, καὶ ἐμόλυναν τὸ ἁγίασμα. 38 καὶ ἔφυγον οἱ κάτοικοι Ἱερου- 38
σαλὴμ δι' αὐτούς, καὶ ἐγένετο κατοικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία
τοῖς γεννήμασιν αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτήν. 39 τὸ ἁγία- 39
σμα αὐτῆς ἠρημώθη ὡς ἔρημος, αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς πένθος,
τὰ σάββατα αὐτῆς εἰς ὀνειδισμόν, ἡ τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν. 40 κατὰ
τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἡ ἀτιμία αὐτῆς, καὶ τὸ ὕψος αὐτῆς ἐστρά- 40
φη εἰς πένθος. 41 καὶ ἔγραψεν ὁ βασιλεὺς Ἀντίοχος πάσῃ τῇ βασιλείᾳ αὐ- 41
τοῦ εἶναι πάντας λαὸν ἕνα, 42 καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νόμιμα αὐτοῦ. 42
καὶ ἐπεδέξατο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ βασιλέως. 43 καὶ πολλοὶ 43
ἀπὸ Ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ, καὶ ἔθυσαν τοῖς εἰδώλοις καὶ ἐβε-
βήλωσαν τὸ σάββατον. 44 καὶ ἀπέστειλεν ὁ βασιλεὺς βιβλία ἐν χειρὶ ἀγγέλων 44
εἰς Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, πορευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων
τῆς γῆς, 45 καὶ κωλῦσαι ὁλοκαυτώματα καὶ θυσίαν καὶ σπονδὴν ἐκ τοῦ 45
ἁγιάσματος, καὶ βεβηλῶσαι σάββατα καὶ ἑορτάς, 46 καὶ μιᾶναι ἁγίασμα καὶ 46
ἁγίους, 47 οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη καὶ εἰδωλεῖα, καὶ θύειν ὕεια καὶ 47
κτήνη κοινά, 48 καὶ ἀφιέναι τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους, βδελύξαι τὰς 48
ψυχὰς αὐτῶν ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει, 49 ὥστε ἐπιλαθέσθαι τοῦ 49
νόμου καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα. 50 καὶ ὃς ἂν μὴ ποιήσῃ κατὰ τὸ 50
ῥῆμα τοῦ βασιλέως, ἀποθανεῖται. 51 κατὰ πάντας τοὺς λόγους τούτους ἔγραψε 51
πάσῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα τὸν λαόν· καὶ
ἐνετείλατο ταῖς πόλεσιν Ἰούδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν. 52 καὶ συνη- 52
θροίσθησαν ἀπὸ τοῦ λαοῦ πρὸς αὐτοὺς πολλοί, πᾶς ὁ ἐγκαταλιπὼν τὸν νό-
μον, καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ, 53 καὶ ἔθεντο τὸν Ἰσραὴλ ἐν κρύφοις ἐν 53
παντὶ φυγαδευτηρίῳ αὐτῶν. 54 καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ Χασελεῦ τῷ 54
πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει ᾠκοδόμησαν βδέλυγμα ἐρημώ-
σεως ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐν πόλεσιν Ἰούδα κύκλῳ ᾠκοδόμησαν βω-
μούς. 55 καὶ ἐπὶ τῶν θυρῶν τῶν οἰκιῶν καὶ ἐν ταῖς πλατείαις ἐθυμίων. 56 καὶ 55 56
τὰ βιβλία τοῦ νόμου ἃ εὗρον ἐνεπύρισαν πυρὶ κατασχίσαντες. 57 καὶ ὅπου 57
εὑρίσκετο παρά τινι βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ
σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐτόν. 58 ἐν ἰσχύϊ αὐτῶν ἐποίουν οὕτως 58
τῷ Ἰσραὴλ τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσι. 59 καὶ 59
τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμὸν ὃς ἦν ἐπὶ τοῦ
θυσιαστηρίου. 60 καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ τέκνα αὐτῶν ἐθα- 60
νάτωσαν κατὰ τὸ πρόσταγμα. 61 καὶ ἐκρέμασαν τὰ βρέφη ἐκ τῶν τραχήλων 61
αὐτῶν, καὶ τοὺς οἴκους αὐτῶν προενόμευσαν, καὶ τοὺς περιτετμηκότας αὐ-
τοὺς ἐθανάτωσαν. 62 καὶ πολλοὶ ἐν Ἰσραὴλ ἐκραταιώθησαν καὶ ὠχυρώθησαν 62
ἐν ἑαυτοῖς τοῦ μὴ φαγεῖν κοινά. 63 καὶ ἐπελέξαντο ἀποθανεῖν ἵνα μὴ μιαν- 63

---

35. τροφην ... εγενετο 37. αγιασμα rescriptum 38. κατοικεια ... γενημασιν ... εγκατελειπον 39. om ἡ ... εξουθενωσιν 40. επληθυνθη ατιμασμος 41. om αντιοχος ... εις λαον 42. ενκαταλειπειν ... επεδεξαντο 43. ηυδοκησαν ... λατρια ... ιδωλοις ... ** αγιασμα pro σαββατ. 45. θυσιας 47. ωκοδομησαι ... ιδωλα ... υια 48. βεβηλωσαι 51. om παση 52. ενκαταλειπων 53. κρυφιοις 54. om τη ... τεσσερακοστω ... om και εκατοστω 55. θυριδων 57. ed. rom. (non item cod. alex.) αὐτὸν 58 ἐν ἰσχ. αὐτῶν. 58. ουτω 59. om τη 61. τους οικειους αυτων και τους ... om εθανατωσαν 62. εν ισρ. εκρεμασθησαν και οχυρωθησαν εν αυτοις 63. επεδεξαντο

Digitized by Google

θῶσι τοῖς βρώμασι καὶ μὴ βεβηλώσωσι διαθήκην ἁγίαν, καὶ ἀπέθανον.
64 [64]καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα.

## II.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθίας Ἰωάννου τοῦ Συμεὼν ἱε-
2 ρεὺς τῶν υἱῶν Ἰωαρὶβ ἀπὸ Ἱερουσαλὴμ καὶ ἐκάθισεν ἐν Μωδεΐν. [2]καὶ αὐτῷ
3 υἱοὶ πέντε, Ἰωαννὰν ὁ διακαλούμενος Καδδίς, [3]Σίμων ὁ καλούμενος Θασσί,
4 5 [4]Ἰούδας ὁ ἐπικαλούμενος Μακκαβαῖος, [5]Ἐλεάζαρ ὁ ἐπικαλούμενος Αὐαράν,
6 Ἰωνάθαν ὁ ἐπικαλούμενος Ἀπφοῦς. [6]καὶ εἶδε τὰς βλασφημίας τὰς γινομέ-
7 νας ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλήμ, [7]καὶ εἶπεν Οἴμοι, ἵνα τί τοῦτο ἐγεννή-
θην ἰδεῖν τὸ σύντριμμα τοῦ λαοῦ μου καὶ τὸ σύντριμμα τῆς πόλεως τῆς
ἁγίας, καὶ καθίσαι ἐκεῖ ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν καὶ τὸ ἁγίασμα
8 9 ἐν χειρὶ ἀλλοτρίων; [8]ἐγένετο ὁ ναὸς αὐτῆς ὡς ἀνὴρ ἄδοξος, [9]τὰ σκεύη τῆς
δόξης αὐτῆς αἰχμάλωτα ἀπήχθη, ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλα-
10 τείαις, οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ. [10]ποῖον ἔθνος οὐκ ἐκληρονό-
11 μησε βασιλείαν αὐτῆς, καὶ οὐκ ἐκράτησε τῶν σκύλων αὐτῆς; [11]πᾶς ὁ κόσμος
12 αὐτῆς ἀφῃρέθη, ἀντὶ ἐλευθέρας ἐγένετο εἰς δούλην. [12]καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν
καὶ ἡ καλλονὴ ἡμῶν καὶ ἡ δόξα ἡμῶν ἠρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ
13 14 ἔθνη. [13]ἵνα τί ἡμῖν ἔτι ζῆν; [14]καὶ διέῤῥηξε Ματταθίας καὶ υἱοὶ αὐτοῦ τὰ
15 ἱμάτια αὐτῶν, καὶ περιεβάλοντο σάκκους καὶ ἐπένθησαν σφόδρα. [15]καὶ ἦλθον
οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀποστασίαν εἰς Μωδεῒν τὴν
16 πόλιν ἵνα θυσιάσωσι. [16]καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ πρὸς αὐτοὺς προσῆλθον· καὶ
17 Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ συνήχθησαν. [17]καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ
βασιλέως καὶ εἶπον τῷ Ματταθίᾳ λέγοντες Ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ
18 ἐν τῇ πόλει ταύτῃ, καὶ ἐστηριγμένος ἐν υἱοῖς καὶ ἀδελφοῖς· [18]νῦν οὖν πρόσ-
ελθε πρῶτος καὶ ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα
τὰ ἔθνη καὶ οἱ ἄνδρες Ἰούδα καὶ οἱ καταλειφθέντες ἐν Ἱερουσαλήμ, καὶ
ἔσῃ σὺ καὶ ὁ οἶκός σου τῶν φίλων τοῦ βασιλέως, καὶ σὺ καὶ οἱ υἱοί σου
19 δοξασθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποστολαῖς πολλαῖς. [19]καὶ ἀπεκρίθη
Ματταθίας καὶ εἶπε φωνῇ μεγάλῃ Εἰ πάντα τὰ ἔθνη τὰ ἐν οἴκῳ τῆς βα-
σιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ ἀποστῆναι ἕκαστος ἀπὸ λατρείας
20 πατέρων αὐτοῦ, καὶ ᾑρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ, [20]ἀλλ' ἐγὼ καὶ οἱ
21 υἱοί μου καὶ οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν. [21]Ἵλεως
22 ἡμῖν καταλιπεῖν νόμον καὶ δικαιώματα. [22]τῶν λόγων τοῦ βασιλέως οὐκ
23 ἀκουσόμεθα τοῦ παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν ἢ ἀριστεράν. [23]καὶ
ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προσῆλθεν ἀνὴρ Ἰουδαῖος ἐν ὀφθαλ-
μοῖς πάντων θυσιάσαι ἐπὶ τοῦ βωμοῦ τοῦ ἐν Μωδεῒν κατὰ τὸ πρόσταγμα
24 τοῦ βασιλέως. [24]καὶ εἶδε Ματταθίας, καὶ ἐζήλωσε καὶ ἐτρόμησαν οἱ νεφροὶ
αὐτοῦ καὶ ἀνήνεγκε θυμὸν κατὰ τὸ κρίμα, καὶ δραμὼν ἔσφαξεν αὐτὸν ἐπὶ
25 τὸν βωμόν· [25]καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν ἀπέκτει-
26 νεν ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ τὸν βωμὸν καθεῖλε. [26]καὶ ἐζήλωσε τῷ νόμῳ
27 καθὼς ἐποίησε Φινεὲς τῷ Ζαμβρὶ υἱῷ Σαλώμ. [27]καὶ ἀνέκραξε Ματταθίας
ἐν τῇ πόλει φωνῇ μεγάλῃ λέγων Πᾶς ὁ ζηλῶν τῷ νόμῳ καὶ ἱστῶν διαθή-

---

63. βεβηλωσουσιν II. 1. ιωαρειμ ... μωδεειν 2. ιωαννης ο επικαλ. γαδδις 3. θασσις 4. καλουμενος 5. καλουμενος ... ιωναθας ο καλουμενος σαφφους 6. ιδεν 7. οιμμοι ... εγενηθην ιδ. τα συντριμματα ... εχθρων, το 8. ενδοξος 9. om αυτης primum ... πλατειαις αυτης 10. εκληρονομησεν βασιλεια και 11. εγεννηθη 12. αυτα εθνη 14. οι υιοι 15. μωδεειν 16. προσηλθαν 17. ειπαν 18. om ουν ... κ. οι αρχοντες ιουδα 19. λατριας 20. καγω pro αλλ εγω ... πορευσωμεθα 21. καταλειπειν 22. τον νομον του βασιλεως ... om του ... λατριαν 23. θυμιασαι ... βωμου εν μωδεειμ 24. ιδεν 26. φινεως 27. νομω ειστων

Digitized by Google

κην ἐξελθέτω ὀπίσω μου. 28 καὶ ἔφυγον αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ εἰς τὰ ὄρη, 28
καὶ ἐγκατέλιπον ὅσα εἶχον ἐν τῇ πόλει. 29 τότε κατέβησαν πολλοὶ ζητοῦντες 29
δικαιοσύνην καὶ κρίμα εἰς τὴν ἔρημον καθίσαι ἐκεῖ, 30 αὐτοὶ καὶ οἱ υἱοὶ 30
αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐπληθύνθη ἐπ' αὐ-
τοὺς τὰ κακά. 31 καὶ ἀνηγγέλη τοῖς ἀνδράσι τοῦ βασιλέως καὶ ταῖς δυνά- 31
μεσιν αἳ ἦσαν ἐν Ἱερουσαλὴμ πόλει Δαυὶδ ὅτι κατέβησαν ἄνδρες οἵτινες
διεσκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως εἰς τοὺς κρύφους ἐν τῇ ἐρήμῳ. 32 καὶ 32
ἔδραμον ὀπίσω αὐτῶν πολλοί· καὶ καταλαβόντες αὐτοὺς παρενέβαλον ἐπ'
αὐτούς, καὶ συνεστήσαντο πρὸς αὐτοὺς πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν σαββά-
των, 33 καὶ εἶπον πρὸς αὐτούς Ἕως τοῦ νῦν ἱκανόν· ἐξέλθετε καὶ ποιήσατε 33
κατὰ τὸν λόγον τοῦ βασιλέως καὶ ζήσεσθε. 34 καὶ εἶπον Οὐκ ἐξελευσόμεθα 34
οὐδὲ ποιήσομεν τὸν λόγον τοῦ βασιλέως τοῦ βεβηλῶσαι τὴν ἡμέραν τῶν
σαββάτων. 35 καὶ ἐτάχυναν ἐπ' αὐτοὺς πόλεμον. 36 καὶ οὐκ ἀπεκρίθησαν αὐ- 35 36
τοῖς, οὐδὲ λίθον ἐνετίναξαν αὐτοῖς, οὐδὲ ἐνέφραξαν τοὺς κρύφους, 37 λέγον- 37
τες Ἀποθάνωμεν πάντες ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ οὐρα-
νὸς καὶ ἡ γῆ ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς. 38 καὶ ἀνέστησαν ἐπ' αὐτοὺς ἐν 38
τῷ πολέμῳ τοῖς σάββασι, καὶ ἀπέθανον αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ
τὰ τέκνα αὐτῶν καὶ τὰ κτήνη αὐτῶν ἕως χιλίων ψυχῶν ἀνθρώπων. 39 καὶ 39
ἔγνω Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, καὶ ἐπένθησαν ἐπ' αὐτοὺς ἕως σφόδρα.
40 καὶ εἶπεν ἀνὴρ τῷ πλησίον αὐτοῦ Ἐὰν πάντες ποιήσωμεν ὡς οἱ ἀδελφοὶ 40
ἡμῶν ἐποίησαν, καὶ μὴ πολεμήσωμεν πρὸς τὰ ἔθνη ὑπὲρ τῶν ψυχῶν ἡμῶν
καὶ τῶν δικαιωμάτων ἡμῶν, νῦν τάχιον ἡμᾶς ἐξολοθρεύσουσιν ἀπὸ τῆς γῆς.
41 καὶ ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ λέγοντες Πᾶς ἄνθρωπος ὃς ἐὰν ἔλθῃ 41
πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων, πολεμήσωμεν κατέναντι
αὐτοῦ, καὶ οὐ μὴ ἀποθάνωμεν πάντες καθὼς ἀπέθανον οἱ ἀδελφοὶ ἡμῶν
ἐν τοῖς κρύφοις. 42 τότε συνήχθησαν πρὸς αὐτοὺς συναγωγὴ Ἰουδαίων ἰσχυ- 42
ροὶ δυνάμει ἀπὸ Ἰσραήλ, πᾶς ὁ ἑκουσιαζόμενος τῷ νόμῳ. 43 καὶ πάντες οἱ 43
φυγαδεύοντες ἀπὸ τῶν κακῶν προσετέθησαν αὐτοῖς καὶ ἐγένοντο αὐτοῖς εἰς
στήριγμα. 44 καὶ συνεστήσαντο δύναμιν, καὶ ἐπάταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ 44
αὐτῶν καὶ ἄνδρας ἀνόμους ἐν θυμῷ αὐτῶν· καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ
ἔθνη σωθῆναι. 45 καὶ ἐκύκλωσε Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, καὶ καθεῖλον 45
τοὺς βωμούς. 46 καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα ὅσα εὗρον ἐν 46
ὁρίοις Ἰσραὴλ ἐν ἰσχύϊ. 47 καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφανίας, καὶ 47
κατευοδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν. 48 καὶ ἀντελάβοντο τοῦ νόμου ἐκ χει- 48
ρὸς τῶν ἐθνῶν καὶ ἐκ χειρὸς τῶν βασιλέων, καὶ οὐκ ἔδωκαν κέρας τῷ ἁμαρ-
τωλῷ. 49 καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ Ματταθίου ἀποθανεῖν, καὶ εἶπε τοῖς 49
υἱοῖς αὐτοῦ Νῦν ἐστηρίχθη ὑπερηφανία καὶ ἐλεγμὸς καὶ καιρὸς καταστροφῆς
καὶ ὀργὴ θυμοῦ. 50 καὶ νῦν τέκνα ζηλώσατε τῷ νόμῳ, καὶ δότε τὰς ψυχὰς 50
ὑμῶν ὑπὲρ διαθήκης πατέρων ἡμῶν. 51 μνήσθητε τῶν πατέρων ἡμῶν τὰ 51
ἔργα ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐτῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ
en. 15, 6. ὄνομα αἰώνιον. 52 Ἀβραὰμ οὐχὶ ἐν πειρασμῷ εὑρέθη πιστός, καὶ ἐλογίσθη 52
o. 4, 3. αὐτῷ εἰς δικαιοσύνην; 53 Ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐν- 53
etc. τολήν, καὶ ἐγένετο κύριος Αἰγύπτου. 54 Φινεὲς ὁ πατὴρ ἡμῶν ἐν τῷ ζηλῶ- 54
σαι ζῆλον ἔλαβε διαθήκην ἱερωσύνης αἰωνίας. 55 Ἰησοῦς ἐν τῷ πληρῶσαι 55

28. ενκατελειπον 30. εσκληρυνθη επ αυτους 32. συνεστειλαντο 33. ειπαν ... om ικανον ... εξελθοντες ποιησατε 34. ειπαν ... ποιησωμεν ... om του secundum 37. οι παντες 40. προς τον πλησιον ... εις τα εθνη υπερ της ψυχης ... ολεθρευσουσιν 42. συναγωγη ασιδεων ισχυραι 44. αυτων· ανδρας 45. υιοι pro φιλοι ... τ. βωμ. αυτων 46. ευρεν 51. om εν ... δοξαν pro ονομα 52. αβρ. ουχ ... αυτω δικαιοσυνη 54. ιερωσυνης αγιας

Digitized by Google

56 λόγον ἐγένετο κριτὴς ἐν Ἰσραήλ. [56]Χάλεβ ἐν τῷ ἐπιμαρτύρασθαι ἐν τῇ ἐκ-
57 κλησίᾳ ἔλαβε γῆς κληρονομίαν. [57]Δαυὶδ ἐν τῷ ἐλέῳ αὐτοῦ ἐκληρονόμησε
58 θρόνον βασιλείας εἰς αἰῶνα αἰῶνος. [58]Ἡλίας ἐν τῷ ζηλῶσαι ζῆλον νόμου
59 ἀνελήφθη ἕως εἰς τὸν οὐρανόν. [59]Ἀνανίας Ἀζαρίας Μισαὴλ πιστεύσαντες
60 ἐσώθησαν ἐκ φλογός. [60]Δανιὴλ ἐν τῇ ἁπλότητι αὐτοῦ ἐρρύσθη ἐκ στόματος
61 λεόντων. [61]καὶ οὕτως ἐννοήθητε κατὰ γενεὰν καὶ γενεάν, ὅτι πάντες οἱ ἐλ-
62 πίζοντες ἐπ' αὐτὸν οὐκ ἀσθενήσουσι. [62]καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ
63 μὴ φοβηθῆτε, ὅτι ἡ δόξα αὐτοῦ εἰς κοπρίαν καὶ εἰς σκώληκας. [63]σήμερον
ἐπαρθήσεται καὶ αὔριον οὐ μὴ εὑρεθῇ, ὅτι ἔστρεψεν εἰς τὸν χοῦν αὐτοῦ,
64 καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο. [64]καὶ ὑμεῖς τέκνα ἰσχύσατε καὶ ἀνδρί-
65 ζεσθε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε. [65]καὶ ἰδοὺ Συμεὼν ὁ ἀδελ-
φὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ βουλῆς ἐστίν, αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας,
66 αὐτὸς ὑμῖν ἔσται εἰς πατέρα. [66]καὶ Ἰούδας Μακκαβαῖος ἰσχυρὸς δυνάμει
ἐκ νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται ἄρχων στρατιᾶς καὶ πολεμήσει πόλε-
67 μον λαῶν. [67]καὶ ὑμεῖς προςάξατε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς τοῦ νό-
68 μου, καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν. [68]ἀνταπόδοτε ἀνταπόδομα
69 τοῖς ἔθνεσι, καὶ προςέχετε εἰς τὰ προστάγματα τοῦ νόμου. [69]καὶ εὐλόγησεν
70 αὐτούς· καὶ προςετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. [70]καὶ ἀπέθανεν ἐν τῷ
ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει· καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐ-
τοῦ ἐν τάφοις πατέρων αὐτῶν ἐν Μωδεΐν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ
κοπετὸν μέγαν.

## III.

Καὶ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
2 [2]καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ πάντες ὅσοι ἐκολλήθησαν
3 τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον Ἰσραὴλ μετ' εὐφροσύνης. [3]καὶ
ἐπλάτυνε δόξαν τῷ λαῷ αὐτοῦ· καὶ ἐνεδύσατο θώρακα ὡς γίγας, καὶ συνε-
ζώσατο τὰ σκεύη αὐτοῦ τὰ πολεμικά, καὶ συνεστήσατο πολέμους σκεπάζων
4 παρεμβολὴν ἐν ῥομφαίᾳ. [4]καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ὡς
5 σκύμνος ἐρευγόμενος εἰς θήραν. [5]καὶ ἐδίωξεν ἀνόμους ἐξερευνῶν, καὶ τοὺς
6 ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισε. [6]καὶ συνεστάλησαν οἱ ἄνομοι ἀπὸ
τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας συνεταράχθησαν, καὶ
7 εὐοδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ. [7]καὶ ἐπίκρανε βασιλεῖς πολλούς, καὶ εὔ-
φρανε τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον
8 αὐτοῦ εἰς εὐλογίαν. [8]καὶ διῆλθεν ἐν πόλεσιν Ἰούδα, καὶ ἐξωλόθρευσεν ἀσε-
9 βεῖς ἐξ αὐτῆς, καὶ ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραήλ. [9]καὶ ὠνομάσθη ἕως
10 ἐσχάτου τῆς γῆς, καὶ συνήγαγεν ἀπολλυμένους. [10]καὶ συνήγαγεν Ἀπολλώ-
νιος ἔθνη καὶ ἀπὸ Σαμαρείας δύναμιν μεγάλην τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ.
11 [11]καὶ ἔγνω Ἰούδας καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ, καὶ ἐπάταξεν αὐτὸν
καὶ ἀπέκτεινεν αὐτόν· καὶ ἔπεσον τραυματίαι πολλοί, καὶ οἱ ἐπίλοιποι ἔφυ-
12 γον. [12]καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολλωνίου ἔλαβεν
13 Ἰούδας, καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέρας. [13]καὶ ἤκουσε Σήρων

---

56. om εν secundum ... γην 57. ελεει ... αιωνιας pro εις αι. αιωνος 58. ανελημφθη ως εις 60. ερυσθη 61. om και γενεαν 62. εις κοπρια 63. om αυριον ... επεστρεψεν 64. ισχυεται ... νομω υμων 66. ιουδ. ο μακκ. αυτος ισχυρ. εν δυναμει· αυτος εκ ... εσται εις αρχοντα ... πολεμησετε 67. προσαξεται 68. ανταποδιδοτε ... om τα 69. ηυλογησεν 70. τεσσερακοστω ... πατερων αυτου εν μωδεειν III. 3. τα σκ. τα πολ. αυτου· πολεμους συνεστ. 5. om λαον 7. επικραναν ... ηυφρανεν 8. εξωλεθρευσεν ασ. επ αυτης 10. σαμαριας 11. απεκτεινεν· και επεσον 12. ελαβον τα σκευη

Digitized by Google

ὁ ἄρχων τῆς δυνάμεως Συρίας ὅτι ἤθροισεν Ἰούδας ἄθροισμα καὶ ἐκκλη-
σίαν πιστῶν μετ' αὐτοῦ ἐκπορευομένων εἰς πόλεμον, 14 καὶ εἶπε Ποιήσω 14
ἐμαυτῷ ὄνομα καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ, καὶ πολεμήσω τὸν Ἰούδαν
καὶ τοὺς σὺν αὐτῷ τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως. 15 καὶ προσέ- 15
θετο τοῦ ἀναβῆναι· καὶ ἀνέβη μετ' αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ βοη-
θῆσαι αὐτῷ καὶ ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ. 16 καὶ ἤγγισαν ἕως 16
ἀναβάσεως Βαιθωρών· καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῶν ὀλιγοστός.
17 ὡς δὲ ἴδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον τῷ 17
Ἰούδᾳ Πῶς δυνησόμεθα ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον
ἰσχυρόν; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες σήμερον. 18 καὶ εἶπεν Ἰούδας 18
Εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων· καὶ οὐκ ἔστι δια-
φορὰ ἐναντίον τοῦ θεοῦ τοῦ οὐρανοῦ σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. 19 ὅτι 19
οὐκ ἐν πλήθει δυνάμεως νίκη πολέμου ἐστίν, ἀλλ' ἢ ἐκ τοῦ οὐρανοῦ ἡ
ἰσχύς. 20 αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ ἀνομίας τοῦ ἐξᾶ- 20
ραι ἡμᾶς καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν τοῦ σκυλεῦσαι ἡμᾶς·
21 ἡμεῖς δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν. 21
22 καὶ αὐτὸς συντρίψει αὐτοὺς πρὸ προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ φοβηθῆτε 22
ἀπ' αὐτῶν. 23 ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνήλατο εἰς αὐτοὺς ἄφνω, καὶ συνε- 23
τρίβη Σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ. 24 καὶ ἐδίωκον αὐτὸν 24
ἐν τῇ καταβάσει Βαιθωρὼν ἕως τοῦ πεδίου· καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς
ἄνδρας ὀκτακοσίους, οἱ δὲ λοιποὶ ἔφυγον εἰς γῆν Φυλιστιείμ. 25 καὶ ἤρξατο 25
ὁ φόβος Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἡ πτόησις ἐπιπίπτειν ἐπὶ τὰ
ἔθνη τὰ κύκλῳ αὐτῶν. 26 καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, 26
καὶ ὑπὲρ τῶν παρατάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος. 27 ὡς δὲ ἤκουσεν 27
Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ, καὶ ἀπέστειλε καὶ
συνήγαγε τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ, παρεμβολὴν ἰσχυρὰν
σφόδρα. 28 καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ καὶ ἔδωκεν ὀψώνια ταῖς δυ- 28
νάμεσιν αὐτοῦ εἰς ἐνιαυτόν, καὶ ἐνετείλατο εἶναι αὐτοὺς ἑτοίμους εἰς πᾶσαν
χρείαν. 29 καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν· καὶ οἱ φο- 29
ρολόγοι τῆς χώρας ὀλίγοι χάριν τῆς διχοστασίας καὶ πληγῆς ἧς κατεσκεύα-
σεν ἐν τῇ γῇ τοῦ ἆραι τὰ νόμιμα ἃ ἦσαν ἀφ' ἡμερῶν τῶν πρώτων. 30 καὶ 30
εὐλαβήθη μὴ οὐκ ἔχῃ ὡς ἅπαξ καὶ δὶς εἰς τὰς δαπάνας καὶ τὰ δόματα ἃ
ἐδίδου ἔμπροσθεν δαψιλεῖ χειρί, καὶ ἐπερίσσευσεν ὑπὲρ τοὺς βασιλεῖς τοὺς
ἔμπροσθεν. 31 καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα, καὶ ἐβουλεύσατο τοῦ 31
πορευθῆναι εἰς τὴν Περσίδα καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν καὶ συνα-
γαγεῖν ἀργύριον πολύ. 32 καὶ κατέλιπε Λυσίαν ἄνθρωπον ἔνδοξον καὶ ἀπὸ 32
γένους τῆς βασιλείας ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως ἀπὸ τοῦ ποταμοῦ
Εὐφράτου ἕως τῶν ὁρίων Αἰγύπτου, 33 καὶ τρέφειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ 33
ἕως τοῦ ἐπιστρέψαι αὐτόν. 34 καὶ παρέδωκεν αὐτῷ τὰς ἡμίσεις τῶν δυνά- 34
μεων καὶ τοὺς ἐλέφαντας· καὶ ἐνετείλατο αὐτῷ περὶ πάντων ὧν ἐβούλετο,
καὶ περὶ τῶν κατοικούντων τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ, 35 ἀποστεῖλαι ἐπ' 35
αὐτοὺς δύναμιν τοῦ ἐκτρῖψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ καὶ τὸ κατάλειμμα

---

13. μεθ αυτου και εκπορ. 14. και τους εξουδ. 15. om του αναβηναι ... om και tertium 16. ηγγισεν ... μεθωρων ... εις συναντ. αυτω 17. ιδαν ... εις συναντ. αυτω ειπαν ... τι pro πως ... τοσουτο· και ημεις 18. om του θεου 19. om ἤ 20. πρ. ημας πληθει 22. ημων· ημεις 23. επ αυτους 24. εδιωκ. αυτους ... βεθωρων 25. η πτοη επιπτεν 28. εις τον ενιαυτον ... ενετειλατο αυτοις εις ενιαυτον ειναι ετοιμους 29. ιδεν ... εξελειπεν ... οι φοροι της 30. εχει ... δαψιλη ... om και επερισσ. usque εμπροσθεν 31. εβουλευσαντο ... αργ. πολυν 32. κατελειπεν 34. παντων των κατοικουντων 35. εκρειψαι pro εκτριψαι ... καταλιμμα

36 Ἱερουσαλήμ, καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου, [36]καὶ κατοι-
κῆσαι υἱοὺς ἀλλογενεῖς ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν καὶ κατακληροδοτῆσαι
37 τὴν γῆν αὐτῶν. [37]καὶ ὁ βασιλεὺς παρέλαβε τὰς ἡμίσεις τῶν δυνάμεων
τὰς καταλειφθείσας καὶ ἀπῆρεν ἀπὸ Ἀντιοχείας ἀπὸ πόλεως βασιλείας αὐ-
τοῦ, ἔτους ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ· καὶ διεπέρασε τὸν
38 Εὐφράτην ποταμόν, καὶ διεπορεύετο τὰς ἐπάνω χώρας. [38]καὶ ἐπέλεξε Λυ-
σίας Πτολεμαῖον τὸν Δορυμένους καὶ Νικάνορα καὶ Γοργίαν ἄνδρας δυνα-
39 τοὺς τῶν φίλων τοῦ βασιλέως, [39]καὶ ἀπέστειλε μετ' αὐτῶν τεσσαράκοντα
χιλιάδας ἀνδρῶν καὶ ἑπτακισχιλίαν ἵππον τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ
40 καταφθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως. [40]καὶ ἀπῆραν σὺν πάσῃ
τῇ δυνάμει αὐτῶν, καὶ ἦλθον καὶ παρενέβαλον πλησίον Ἐμμαοὺμ ἐν τῇ γῇ
41 τῇ πεδινῇ [41]καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώρας τὸ ὄνομα αὐτῶν, καὶ ἔλα-
βον ἀργύριον καὶ χρυσίον πολὺ σφόδρα καὶ παῖδας, καὶ ἦλθον εἰς τὴν πα-
ρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς Ἰσραὴλ εἰς παῖδας· καὶ προςετέθησαν πρὸς
42 αὐτοὺς δύναμις Συρίας καὶ γῆς ἀλλοφύλων. [42]καὶ εἶδεν Ἰούδας καὶ οἱ
ἀδελφοὶ αὐτοῦ ὅτι ἐπληθύνθη τὰ κακά, καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν
τοῖς ὁρίοις αὐτῶν· καὶ ἐπέγνωσαν τοὺς λόγους τοῦ βασιλέως οὓς ἐνετείλατο
43 ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν καὶ συντέλειαν. [43]καὶ εἶπεν ἕκαστος πρὸς
τὸν πλησίον αὐτοῦ Ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν, καὶ πολε-
44 μήσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ τῶν ἁγίων. [44]καὶ συνηθροίσθη ἡ συνα-
γωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον, καὶ τοῦ προςεύξασθαι καὶ αἰτῆσαι
45 ἔλεον καὶ οἰκτιρμούς. [45]καὶ Ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος· οὐκ ἦν ὁ
εἰςπορευόμενος καὶ ἐκπορευόμενος ἐκ τῶν γεννημάτων αὐτῆς, καὶ τὸ ἁγίασμα
καταπατούμενον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι·
46 καὶ ἐξήρθη τέρψις ἐξ Ἰακώβ, καὶ ἐξέλιπεν αὐλὸς καὶ κινύρα. [46]καὶ συνή-
χθησαν καὶ ἤλθοσαν εἰς Μασσηφὰ κατέναντι Ἱερουσαλήμ, ὅτι τόπος προς-
47 ευχῆς εἰς Μασσηφὰ τὸ πρότερον τῷ Ἰσραήλ. [47]καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ
ἐκείνῃ, καὶ περιεβάλοντο σάκκους καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ
48 διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν· [48]καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου περὶ ὧν
49 ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν. [49]καὶ ἤνεγκαν τὰ
ἱμάτια τῆς ἱερωσύνης καὶ τὰ πρωτογεννήματα καὶ τὰς δεκάτας, καὶ ἤγειραν
50 τοὺς Ναζιραίους οἳ ἐπλήρωσαν τὰς ἡμέρας, [50]καὶ ἐβόησαν φωνῇ εἰς τὸν
51 οὐρανὸν λέγοντες Τί ποιήσωμεν τούτοις, καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν; [51]καὶ
τὰ ἅγιά σου καταπεπάτηται καὶ βεβήλωται, καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ
52 ταπεινώσει. [52]καὶ ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς· σὺ
53 οἶδας ἃ λογίζονται ἐφ' ἡμᾶς. [53]πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον
54 αὐτῶν ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν; [54]καὶ ἐσάλπισαν ταῖς σάλπιγξι καὶ
55 ἐβόησαν φωνῇ μεγάλῃ. [55]καὶ μετὰ τοῦτο κατέστησεν Ἰούδας ἡγουμένους
τοῦ λαοῦ χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους.
56 [56]καὶ εἶπον τοῖς οἰκοδομοῦσιν οἰκίας καὶ μνηστευομένοις γυναῖκας καὶ φυ-
τεύουσιν ἀμπελῶνας καὶ δειλοῖς, ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ
57 κατὰ τὸν νόμον. [57]καὶ ἀπῆρεν ἡ παρεμβολή, καὶ παρενέβαλε κατὰ νότον
58 Ἐμμαούμ. [58]καὶ εἶπεν Ἰούδας Περιζώσασθε. καὶ γίνεσθε εἰς υἱοὺς δυνα-
τούς, καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωὶ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις

35. το μνημοσ. αυτου 36. υιους αλλοτριους ... κατακληρονομησαι 37. αντιοχιας ... τεσσεραχοστου 38. om και secundum ... γοργειαν 39. τεσσεραχοντα ... επταχισχιλιον 40. παρεβαλον ... αμμαουν 41. πολυν ... προςεγενηθησαν ... δυναμεις 42. ιδεν ... παρεμβαλουσιν ... λογους της βασιλειας 43. ειπαν ... om και πολεμ. π. τ. λ. ημων 44. ηθροισθησαν η 45. γενηματων ... εν τοις εθνεσιν ... εξελειπεν 47. περιεβαλλοντο 49. πρωτογενηματα 55. δεκαδαρχους 56. ειπεν ... οικοδομ. οικειαν 57. παρενεβαλοσαν ... αμμαουμ 58. γενεσθαι εις

Digitized by Google

τοῖς ἐπισυνηγμένοις ἐφ' ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν. 59 ὅτι κρεῖσ- 59
σον ἡμᾶς ἀποθανεῖν ἐν τῷ πολέμῳ ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν
καὶ τῶν ἁγίων. 60 ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ, οὕτω ποιήσει. 60

## IV.

Καὶ παρέλαβε Γοργίας πεντακιςχιλίους ἄνδρας καὶ χιλίαν ἵππον ἐκλε-
κτήν, καὶ ἀπῆρεν ἡ παρεμβολὴ νυκτὸς 2 ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν 2
τῶν Ἰουδαίων καὶ πατάξαι αὐτοὺς ἄφνω, καὶ οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ
ὁδηγοί. 3 καὶ ἤκουσεν Ἰούδας, καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι 3
τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν Ἐμμαούμ, 4 ἕως ἔτι αἱ δυνάμεις ἐσκορ- 4
πισμέναι ἦσαν ἀπὸ τῆς παρεμβολῆς. 5 καὶ ἦλθε Γοργίας εἰς τὴν παρεμβο- 5
λὴν Ἰούδα νυκτός, καὶ οὐδένα εὗρε· καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι
εἶπε Φεύγουσιν οὗτοι ἀφ' ἡμῶν. 6 καὶ ἅμα τῇ ἡμέρᾳ ὤφθη Ἰούδας ἐν τῷ 6
πεδίῳ ἐν τριςχιλίοις ἀνδράσι· πλὴν καλύμματα καὶ μαχαίρας οὐκ εἶχον κα-
θὼς ἠβούλοντο. 7 καὶ εἶδον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν τεθωρακισμένην καὶ 7
ἵππον κυκλοῦσαν αὐτήν, καὶ οὗτοι διδακτοὶ πολέμου. 8 καὶ εἶπεν Ἰούδας 8
τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ Μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν, καὶ τὸ ὅρ-
μημα αὐτῶν μὴ δειλωθῆτε. 9 μνήσθητε πῶς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν 9
θαλάσσῃ ἐρυθρᾷ, ὅτε ἐδίωξεν αὐτοὺς Φαραὼ ἐν δυνάμει. 10 καὶ νῦν βοήσω- 10
μεν εἰς τὸν οὐρανόν, εἴ πως ἐλεήσει ἡμᾶς καὶ μνησθήσεται διαθήκης πα-
τέρων ἡμῶν, καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν
σήμερον, 11 καὶ γνώσεται πάντα τὰ ἔθνη ὅτι ἐστὶν ὁ λυτρούμενος καὶ σώ- 11
ζων τὸν Ἰσραήλ. 12 καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἴδον 12
αὐτοὺς ἐρχομένους ἐξεναντίας, 13 καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλε- 13
μον, καὶ ἐσάλπισαν οἱ μετὰ Ἰούδα 14 καὶ συνῆψαν, καὶ συνετρίβησαν τὰ 14
ἔθνη καὶ ἔφυγον εἰς τὸ πεδίον, 15 οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ· 15
καὶ ἐδίωξαν αὐτοὺς ἕως Γαζηρῶν καὶ ἕως τῶν πεδίων τῆς Ἰδουμαίας καὶ
Ἀζώτου καὶ Ἰαμνίας, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας τριςχιλίους. 16 καὶ 16
ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν, 17 καὶ 17
εἶπε πρὸς τὸν λαόν Μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξεναντίας
ἡμῶν, 18 καὶ Γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν· ἀλλὰ στῆτε 18
νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν καὶ πολεμήσατε αὐτούς, καὶ μετὰ ταῦτα
λήψετε τὰ σκῦλα μετὰ παῤῥησίας. 19 ἔτι λαλοῦντος Ἰούδα ταῦτα, ὤφθη μέ- 19
ρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους. 20 καὶ εἶδεν ὅτι τετρόπωνται, καὶ ἐμπυρίζουσι 20
τὴν παρεμβολήν· ὁ γὰρ καπνὸς θεωρούμενος ἐνεφάνιζε τὸ γεγονός. 21 οἱ δὲ 21
ταῦτα συνιδόντες ἐδειλώθησαν σφόδρα· συνιδόντες δὲ καὶ τὴν Ἰούδα παρεμ-
βολὴν ἐν τῷ πεδίῳ ἑτοίμην εἰς παράταξιν, 22 ἔφυγον πάντες εἰς γῆν ἀλλο- 22
φύλων. 23 καὶ ἀνέστρεψεν Ἰούδας ἐπὶ τὴν σκυλείαν τῆς παρεμβολῆς, καὶ 23
ἔλαβον χρυσίον πολὺ καὶ ἀργύριον καὶ ὑάκινθον καὶ πορφύραν θαλασσίαν καὶ
πλοῦτον μέγαν. 24 καὶ ἐπιστραφέντες ὕμνουν καὶ εὐλόγουν εἰς οὐρανὸν τὸν 24
κύριον, ὅτι καλόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 25 καὶ ἐγένετο σωτηρία 25
μεγάλη τῷ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 26 ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώ- 26

---

59. εν πολεμω η εφιδειν 60. ουτως IV. 5. χοργιας 6. αμα ημερα ... μαχαιραν 7. ιδον 8. διωθηται 9. ως εσωθησαν ... εδιωξαν 10. εις ουρανον ει θελησει ημας ... om ημων prius 11. γνωσονται 12. ιδαν α. εχομενους 13. εξηλθαν ... εσαλπ. οι παρα ιουλου 15. επεσαν ... γασηρων ... της ιουδαιας ... ιαννειας ... επεσαν ... εξ αυτ. in rasura 18. λαβετε σκυλα και μετα 19. ετι πληρουντος ιουλου ταυτα 20. ιδεν ... τετροπωται ... ο θεωρουμενος 21. ταυτα συνειδοτες ... συνειδοντ. δε και 23. ιουδας ανεστρεψεν ... ελαβεν χρ. και αργ. πολυν ... και θαλασσιαν 24. επιστρεψαντες ... ηυλογουν ... om τον κυριον ... om οτι secundum 25. εγενηθη



Digitized by Google

27 θησαν, παραγενηθέντες ἀπήγγειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα. [27] ὁ
δὲ ἀκούσας συνεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελε τοιαῦτα γεγόνει τῷ
28 Ἰσραὴλ, καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς τοιαῦτα ἐξέβη. [28] καὶ ἐν
τῷ ἐχομένῳ ἐνιαυτῷ συνελόχησεν ὁ Λυσίας ἀνδρῶν ἐπιλέκτων ἑξήκοντα χι-
29 λιάδας καὶ πενταχιςχιλίαν ἵππον ὥςτε ἐκπολεμῆσαι αὐτούς. [29] καὶ ἦλθον εἰς
τὴν Ἰδουμαίαν καὶ παρενέβαλον ἐν Βαιθσούροις· καὶ συνήντησεν αὐτοῖς Ἰού-
30 δας ἐν δέκα χιλιάσιν ἀνδρῶν. [30] καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυράν, καὶ
προςηύξατο καὶ εἶπεν Εὐλογητὸς εἶ ὁ σωτὴρ τοῦ Ἰσραὴλ ὁ συντρίψας τὸ
ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου σου Δαυὶδ, καὶ παρέδωκας τὴν
παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας Ἰωνάθαν υἱοῦ Σαοὺλ καὶ τοῦ αἴρον-
31 τος τὰ σκεύη αὐτοῦ. [31] σύγκλεισον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ
32 σου Ἰσραὴλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν. [32] δὸς
αὐτοῖς δειλίαν καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευθήτωσαν τῇ συν-
33 τριβῇ αὐτῶν. [33] κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγαπώντων σε, καὶ αἰνεσάτωσάν
34 σε πάντες οἱ εἰδότες τὸ ὄνομά σου ἐν ὕμνοις. [34] καὶ συνέβαλον ἀλλήλοις, καὶ
ἔπεσον ἐκ τῆς παρεμβολῆς Λυσίου εἰς πενταχιςχιλίους ἄνδρας, καὶ ἔπεσον
35 ἐξεναντίας αὐτῶν. [35] ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ συν-
τάξεως, τῆς δὲ Ἰούδα τὸ γεγενημένον θάρσος, καὶ ὡς ἕτοιμοί εἰσιν ἢ ζῆν
ἢ τεθνάναι γενναίως, ἀπῆρεν εἰς Ἀντιόχειαν καὶ ἐξενολόγει· καὶ πλεονάσας
36 τὸν γενηθέντα στρατὸν ἐλογίζετο πάλιν παραγενέσθαι εἰς τὴν Ἰουδαίαν. [36] εἶπε
δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰδοὺ συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν, ἀνα-
37 βῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι. [37] καὶ συνήχθη ἡ παρεμβολὴ
38 πᾶσα, καὶ ἀνέβησαν εἰς ὄρος Σιών. [38] καὶ ἴδον τὸ ἁγίασμα ἠρημωμένον καὶ
τὸ θυσιαστήριον βεβηλωμένον καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς
αὐλαῖς φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων, καὶ τὰ πα-
39 στοφόρια καθῃρημένα. [39] καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐκόψαντο κο-
40 πετὸν μέγαν, καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, [40] καὶ ἔπεσον
ἐπὶ πρόςωπον ἐπὶ τὴν γῆν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι τῶν σημασιῶν, καὶ
41 ἐβόησαν εἰς τὸν οὐρανόν. [41] τότε ἐπέταξεν Ἰούδας ἄνδρας πολεμεῖν τοὺς ἐν
42 τῇ ἄκρᾳ ἕως ἂν καθαρίσῃ τὰ ἅγια. [42] καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους θελητὰς
43 νόμου, [43] καὶ ἐκαθάρισαν τὰ ἅγια καὶ ἦραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς
44 τόπον ἀκάθαρτον. [44] καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώ-
45 σεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσι. [45] καὶ ἐπέπεσεν αὐτοῖς βουλὴ
ἀγαθὴ καθελεῖν αὐτό, μή ποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ
46 ἔθνη αὐτό· καὶ καθεῖλον τὸ θυσιαστήριον. [46] καὶ ἀπέθεντο τοὺς λίθους ἐν
τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ μέχρι τοῦ παραγενηθῆναι προφήτην
47 τοῦ ἀποκριθῆναι περὶ αὐτῶν. [47] καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νό-
48 μον, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον. [48] καὶ ᾠκο-
49 δόμησαν τὰ ἅγια καὶ τὰ ἐντὸς τοῦ οἴκου, καὶ τὰς αὐλὰς ἡγίασαν. [49] καὶ
ἐποίησαν σκεύη ἅγια καινά, καὶ εἰςήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστή-
50 ριον τῶν θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν ναόν. [50] καὶ ἐθυμίασαν ἐπὶ
τὸ θυσιαστήριον, καὶ ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυχνίας καὶ ἐφαί-
51 νοσαν ἐν τῷ ναῷ. [51] καὶ ἐπέθηκαν ἐπὶ τὴν τράπεζαν ἄρτους καὶ ἐξεπέτασαν

---

27. ακουσας παντα ... γεγονεν ... om τοιαυτα secundum 28. ερχομενω ... om ο λυσιας 29. βεθσουροις 30. ιδεν ... ο σωτηρ ισραηλ ... ιωναθου 31. ταυτην εις χειρας 33. καταβαλαι ... οι ιδοντες 34. συνεβαλλον ... επεσαν 35. τεθνηκεναι ... αντιοχιαν ... και πλεοναστον παλιν γεννηθεντα παραγενεσθαι 38. το αγιασμ. ημων 40. εις ουρανον 41. ανδρασιν ... om αν 45. επεσεν 47. ελαβεν ... ωκοδομησεν θυσιαστηριον 48. ηγιασεν 49. τα σκευη τα αγια ... των ολοκαυτωματων και θυμιαματων

Digitized by Google

τὰ καταπετάσματα, καὶ ἐτέλεσαν πάντα τὰ ἔργα ἃ ἐποίησαν. 52 καὶ ὤρθρι- 52
σαν τὸ πρωὶ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου, οὗτος ὁ μὴν
Χασελεῦ τοῦ ὀγδόου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους, 53 καὶ ἀνή- 53
νεγκαν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων τὸ
καινὸν ὃ ἐποίησαν. 54 κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν ἡμέραν ἐν ᾗ ἐβεβή- 54
λωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς καὶ κιθάραις καὶ κι-
νύραις καὶ ἐν κυμβάλοις. 55 καὶ ἔπεσον πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον, καὶ προσε- 55
κύνησαν καὶ εὐλόγησαν εἰς οὐρανὸν τὸν εὐοδώσαντα αὐτοῖς. 56 καὶ ἐποίησαν 56
τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἡμέρας ὀκτώ, καὶ προσήνεγκαν ὁλοκαυτώ-
ματα μετ' εὐφροσύνης, καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως. 57 καὶ 57
κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ ἀσπιδί-
σκαις, καὶ ἐνεκαίνισαν τὰς πύλας καὶ τὰ παστοφόρια καὶ ἐθύρωσαν αὐτά.
58 καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνει- 58
δος ἐθνῶν. 59 καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκ- 59
κλησία Ἰσραὴλ ἵνα ἄγωνται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς
καιροῖς αὐτῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτώ, ἀπὸ τῆς πέμπτης καὶ
εἰκάδος τοῦ μηνὸς Χασελεῦ, μετ' εὐφροσύνης καὶ χαρᾶς. 60 καὶ ᾠκοδόμησαν 60
ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιὼν κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους ὀχυ-
ρούς, μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτὰ ὡς ἐποίησαν
τὸ πρότερον. 61 καὶ ἐπέταξεν ἐκεῖ δύναμιν τηρεῖν αὐτό, καὶ ὠχύρωσαν αὐτὸ 61
τηρεῖν τὴν Βαιθσούραν τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς
Ἰδουμαίας.

## V.

Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ θυσια-
στήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ ὠργίσθησαν σφόδρα.
2 καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ τοὺς ὄντας ἐν μέσῳ αὐτῶν, 2
καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν. 3 καὶ ἐπολέμει Ἰούδας 3
πρὸς τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ Ἰδουμαίᾳ τὴν Ἀκραβαττίνην, ὅτι περιεκάθηντο
τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ συνέστειλεν αὐτοὺς
καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. 4 καὶ ἐμνήσθη τῆς κακίας υἱῶν Βαιὰν οἳ ἦσαν 4
τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς.
5 καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν ἐπ' αὐ- 5
τοὺς καὶ ἀνεθεμάτισεν αὐτούς, καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ
σὺν πᾶσι τοῖς ἐνοῦσι. 6 καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς Ἀμμών, καὶ εὗρε χεῖρα 6
κραταιὰν καὶ λαὸν πολὺν καὶ Τιμόθεον ἡγούμενον αὐτῶν, 7 καὶ συνῆψε πρὸς 7
αὐτοὺς πολέμους πολλούς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπά-
ταξεν αὐτούς. 8 καὶ προκατελάβετο τὴν Ἰαζὴρ καὶ τὰς θυγατέρας αὐτῆς, 8
καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν. 9 καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ 9
Γαλαὰδ ἐπὶ τὸν Ἰσραὴλ τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐ-
τούς· καὶ ἔφυγον εἰς Διάθεμα τὸ ὀχύρωμα. 10 καὶ ἀπέστειλαν γράμματα 10
πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγοντες Ἐπισυνηγμένα ἐστὶν ἐφ'
ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς, 11 καὶ ἑτοιμάζονται ἐλ- 11
θεῖν καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα εἰς ὃ κατεφύγομεν, καὶ Τιμόθεος
ἡγεῖται τῆς δυνάμεως αὐτῶν. 12 νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐ- 12

52. ο μην χασ· ελεου (sic) ... τεσσεραχοστου 54. καιρον κατα 55. ηυλογησαν ... ευοδ. αυτους 56. εγκαινιασμον 57. ασπιδισκας κ. ενεκενισεν 59. πασα εκκλησια ... om αἱ 60. ισχυρους 61. απεταξαν ... βεθσουρα V. 1. ωργισθη 3. εν τη ιουδαια την ακραβαττηνην ... τα αγκυλα 5. διεκλισθησαν υπ αυτους (sic) εις τους πυργους κ. παρεβαλεν (... ανεθ. εαυτους) 8. προκατελαβε την ιαζην 9. γαλααδιτι ... εις Δαθεμα 11. *και ετοιμαζοντες ... της παρεμβολης αυτων

Digitized by Google

13 τῶν, ὅτι πέπτωκεν ἐξ ἡμῶν πλῆθος. 13 καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄν-
τες ἐν τοῖς Τωβίου τεθανάτωνται, καὶ ᾐχμαλωτίκασι τὰς γυναῖκας αὐτῶν
καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευήν, καὶ ἀπώλεσαν ἐκεῖ ὡς μίαν χι-
14 λιαρχίαν ἀνδρῶν. 14 ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώσκοντο, καὶ ἰδοὺ ἄγγελοι ἕτεροι
παρεγένοντο ἐκ τῆς Γαλιλαίας διεῤῥηχότες τὰ ἱμάτια, ἀπαγγέλλοντες κατὰ
15 τὰ ῥήματα ταῦτα, 15 λέγοντες ἐπισυνῆχθαι ἐπ' αὐτοὺς ἐκ Πτολεμαΐδος καὶ
Τύρου καὶ Σιδῶνος καὶ πάσης Γαλιλαίας ἀλλοφύλων τοῦ ἐξαναλῶσαι ἡμᾶς.
16 16 ὡς δὲ ἤκουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη ἐκ-
κλησία μεγάλη βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐτῶν τοῖς οὖσιν
17 ἐν θλίψει καὶ πολεμουμένοις ὑπ' αὐτῶν. 17 καὶ εἶπεν Ἰούδας Σίμωνι τῷ
ἀδελφῷ αὐτοῦ Ἐπίλεξον σεαυτῷ ἄνδρας, καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελ-
φούς σου τοὺς ἐν τῇ Γαλιλαίᾳ· ἐγὼ δὲ καὶ Ἰωνάθαν ὁ ἀδελφός μου πο-
18 ρευσόμεθα εἰς τὴν Γαλααδῖτιν. 18 καὶ κατέλιπεν Ἰώσηφον τὸν τοῦ Ζαχαρίου
καὶ Ἀζαρίαν ἡγουμένους τοῦ λαοῦ μετὰ τῶν ἐπιλοίπων τῆς δυνάμεως ἐν τῇ
19 Ἰουδαίᾳ εἰς τήρησιν. 19 καὶ ἐνετείλατο αὐτοῖς λέγων Πρόστητε τοῦ λαοῦ τούτου,
20 καὶ μὴ συνάψητε πόλεμον πρὸς τὰ ἔθνη ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς. 20 καὶ
ἐμερίσθησαν Σίμωνι ἄνδρες τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν Γαλιλαίαν,
21 Ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν Γαλααδῖτιν. 21 καὶ ἐπορεύθη Σίμων
εἰς τὴν Γαλιλαίαν καὶ συνῆψε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη, καὶ συνε-
22 τρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ, 22 καὶ ἐδίωξεν αὐτοὺς ἕως τῆς πύλης
Πτολεμαΐδος· καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν εἰς τρισχιλίους ἄνδρας, καὶ ἔλαβε
23 τὰ σκῦλα αὐτῶν. 23 καὶ παρέλαβε τοὺς ἐν τῇ Γαλιλαίᾳ καὶ ἐν Ἀρβάττοις
σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις καὶ πάντα ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγεν εἰς
24 τὴν Ἰουδαίαν μετ' εὐφροσύνης μεγάλης. 24 καὶ Ἰούδας ὁ Μακκαβαῖος καὶ
Ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην καὶ ἐπορεύθησαν ὁδὸν
25 τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ. 25 καὶ συνήντησαν τοῖς Ναβαταίοις, καὶ ἀπήν-
τησαν αὐτοῖς εἰρηνικῶς, καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς
26 ἀδελφοῖς αὐτῶν ἐν τῇ Γαλααδίτιδι, 26 καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημ-
μένοι εἰσὶν εἰς Βόσσορα καὶ Βοσόρ, ἐν Ἀλέμοις, Χασφώρ, Μακὲδ καὶ Καρ-
27 ναΐν· πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι· 27 καὶ ἐν ταῖς λοιπαῖς
πόλεσι τῆς Γαλααδίτιδός εἰσι συνειλημμένοι, καὶ εἰς αὔριον τάσσονται παρεμ-
βάλλειν ἐπὶ τὰ ὀχυρώματα, καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάντας τούτους ἐν
28 ἡμέρᾳ μιᾷ. 28 καὶ ἀπέστρεψεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν
ἔρημον εἰς Βοσὸρ ἄφνω· καὶ κατελάβετο τὴν πόλιν, καὶ ἀπέκτεινε πᾶν ἀρ-
σενικὸν ἐν στόματι ῥομφαίας καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν, καὶ ἐνέ-
29 πρησεν αὐτὴν πυρί. 29 καὶ ἀπῆρεν ἐκεῖθεν νυκτὸς καὶ ἐπορεύετο ἕως ἐπὶ τὸ
30 ὀχύρωμα. 30 καὶ ἐγένετο ἑωθινὴ καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰδοὺ
λαὸς πολὺς οὗ οὐκ ἦν ἀριθμὸς αἴροντες κλίμακας καὶ μηχανὰς καταλαβέσθαι
31 τὸ ὀχύρωμα, καὶ ἐπολέμουν αὐτούς. 31 καὶ εἶδεν Ἰούδας ὅτι ἦρκται ὁ πό-
λεμος, καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη εἰς τὸν οὐρανὸν σάλπιγξι καὶ φωνῇ
32 μεγάλῃ. 32 καὶ εἶπε τοῖς ἀνδράσι τῆς δυνάμεως Πολεμήσατε σήμερον ὑπὲρ
33 τῶν ἀδελφῶν ὑμῶν. 33 καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξόπισθεν αὐτῶν, καὶ
34 ἐσάλπισαν ταῖς σάλπιγξι καὶ ἐβόησαν ἐν προσευχῇ. 34 καὶ ἐπέγνω ἡ παρεμ-
βολὴ Τιμοθέου ὅτι Μακκαβαῖός ἐστι, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ

---

13. τουβιου ... αιχμαλωτικασι ... **χιλιαδαν 15. επισυνηχθη ... και πασαν γαλιλαιαν 16. βουλευεσθαι ... υπ αυτου 17. σου εν τη 18. κατελειπεν ... ηγουμενον 22. εως των πολεων πτολεμ. 23. παρελαβεν αυτους εκ της γαλιλαιας ... αρβακτοις ... ηγαγον 25. συμβεβηκοτα 26. και βοσσορ εν αλαμοις χασφωρ μακεβ και καρνειν 27. συνειλημμενοι εις ... παρεμβαλειν ... παντας αυτους εν 30. πολυς ος ουκ 31. ιδεν ... *εις ουρανον (videtur), **εως του ουρανου ... κραυγη μεγαλη 32. αδελφ. ημων 33. εσαλπισεν 34. οτι ο μακκ.

ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
εἰς ὀκτακισχιλίους ἄνδρας. 35 καὶ ἀπέκλινεν εἰς Μασφὰ καὶ ἐπολέμησεν αὐ- 35
τήν, καὶ προκατελάβετο αὐτήν, καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς καὶ ἔλαβε
τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν αὐτὴν πυρί. 36 ἐκεῖθεν ἀπῆρε καὶ προκατε- 36
λάβετο τὴν Χασφών, Μακέδ, Βοσὸρ καὶ τὰς λοιπὰς πόλεις τῆς Γαλααδίτι-
δος. 37 μετὰ δὲ τὰ ῥήματα ταῦτα συνήγαγε Τιμόθεος παρεμβολὴν ἄλλην, καὶ 37
παρενέβαλε κατὰ πρόσωπον Ῥαφὼν ἐκ πέραν τοῦ χειμάῤῥου. 38 καὶ ἀπέστει- 38
λεν Ἰούδας κατασκοπεῦσαι τὴν παρεμβολήν· καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες
Ἐπισυνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, δύναμις
πολλὴ σφόδρα· 39 καὶ Ἄραβας μεμίσθωται εἰς βοήθειαν αὐτοῖς, καὶ παρενέ- 39
βαλον πέραν τοῦ χειμάῤῥου ἕτοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπο-
ρεύθη Ἰούδας εἰς συνάντησιν αὐτῶν. 40 καὶ εἶπε Τιμόθεος τοῖς ἄρχουσι τῆς 40
δυνάμεως αὐτοῦ, ἐν τῷ ἐγγίζειν Ἰούδαν καὶ τὴν παρεμβολὴν αὐτοῦ ἐπὶ τὸν
χειμάῤῥουν τοῦ ὕδατος, Ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερος, οὐ δυνησόμεθα
ὑποστῆναι αὐτόν, ὅτι δυνάμενος δυνήσεται πρὸς ἡμᾶς· 41 ἐὰν δὲ δειλωθῇ 41
καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν πρὸς αὐτὸν καὶ δυνησό-
μεθα πρὸς αὐτόν. 42 ὡς δὲ ἤγγισεν Ἰούδας ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, 42
ἔστησε τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάῤῥου καὶ ἐνετείλατο αὐτοῖς
λέγων Μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ᾽ ἐρχέσθωσαν πάντες
εἰς τὸν πόλεμον. 43 καὶ διεπέρασεν ἐπ᾽ αὐτοὺς πρότερος, καὶ πᾶς ὁ λαὸς 43
ὄπισθεν αὐτοῦ· καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη, καὶ
ἔῤῥιψαν τὰ ὅπλα αὐτῶν καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν Καρναΐν. 44 καὶ προ- 44
κατελάβοντο τὴν πόλιν, καὶ τὸ τέμενος ἐνεπύρισαν ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν
αὐτῷ· καὶ ἐτροπώθη ἡ Καρναΐν, καὶ οὐκ ἐδύναντο ἔτι ὑποστῆναι κατὰ
πρόσωπον Ἰούδα. 45 καὶ συνήγαγεν Ἰούδας πάντα Ἰσραὴλ τοὺς ἐν τῇ Γα- 45
λααδίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα
αὐτῶν καὶ τὴν ἀποσκευήν, παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν
Ἰούδα. 46 καὶ ἦλθον ἕως Ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἐπὶ τῆς εἰςόδου 46
ὀχυρὰ σφόδρα· οὐκ ἦν ἐκκλῖναι ἀπ᾽ αὐτῆς δεξιὰν ἢ ἀριστεράν, ἀλλ᾽ ἢ διὰ
μέσου αὐτῆς πορεύεσθαι. 47 καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως καὶ 47
ἐνέφραξαν τὰς πύλας λίθοις. 48 καὶ ἀπέστειλε πρὸς αὐτοὺς Ἰούδας λόγοις 48
εἰρηνικοῖς λέγων Διελευσόμεθα διὰ τῆς γῆς σου τοῦ ἀπελθεῖν εἰς τὴν γῆν
ἡμῶν, καὶ οὐδεὶς κακοποιήσει ὑμᾶς, πλὴν τοῖς ποσὶ παρελευσόμεθα. καὶ οὐκ
ἠβούλοντο ἀνοῖξαι αὐτῷ. 49 καὶ ἐπέταξεν Ἰούδας κηρῦξαι ἐν τῇ παρεμβολῇ 49
τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ἐστὶ τόπῳ. 50 καὶ παρενέβαλον οἱ ἄνδρες τῆς 50
δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν
νύκτα, καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ. 51 καὶ ἀπώλεσε πᾶν ἀρσενι- 51
κὸν ἐν στόματι ῥομφαίας, καὶ ἐξεῤῥίζωσεν αὐτὴν καὶ ἔλαβε τὰ σκῦλα αὐ-
τῆς, καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων. 52 καὶ διέβησαν 52
τὸν Ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον Βαιθσάν. 53 καὶ ἦν 53
Ἰούδας ἐπισυνάγων τοὺς ἐσχατίζοντας καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν
τὴν ὁδόν, ἕως οὗ ἦλθον εἰς γῆν Ἰούδα. 54 καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν 54
ἐν εὐφροσύνῃ καὶ χαρᾷ, καὶ προςήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ
αὐτῶν οὐθεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ. 55 καὶ ἐν ταῖς ἡμέραις αἷς ἦν 55
Ἰούδας καὶ Ἰωνάθαν ἐν τῇ Γαλαάδ, καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ

34. πληγη μεγαλη 35. μαασφα ... κατελαβετο ... εν πυρι 36. χασφωθ 38. κατασκοπησαι ... επισυνηγμενοι 39. αραβες μεμισθωνται ... παρεμβαλλουσιν 41. om in f. και δυνησομ. πρ. αυτον 42. om παντα ... αλλα ερχεσθωσαν 43. προς αυτους προτερον ... λαος αυτου εμπροσθεν αυτου ... εριψαν παντα τα 44. τοις ουσιν εν αυτω ... εδυνατο 46. μεγαλη αι της εισοδου ισχυρα 48. Διελευσομαι εις την γην σου 50. οι ανδρ. της πολεως 51. εξεριζωσεν ... σκυλα της πολεως 53. εως ηλθεν

Digitized by Google

56 Γαλιλαίᾳ κατὰ πρόσωπον Πτολεμαΐδος, [56] ἤκουσεν Ἰωσὴφ ὁ τοῦ Ζαχαρίου
καὶ Ἀζαρίας ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέμου οἷα
57 ἐποίησαν, [57] καὶ εἶπε Ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα καὶ πορευθῶμεν
58 πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν. [58] καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς
59 δυνάμεως τῆς μετ' αὐτῶν, καὶ ἐπορεύθησαν ἐπὶ Ἰάμνειαν. [59] καὶ ἐξῆλθε
Γοργίας ἐκ τῆς πόλεως καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πό-
60 λεμον. [60] καὶ ἐτροπώθη Ἰώσηφος καὶ Ἀζαρίας, καὶ ἐδιώχθησαν ἕως τῶν
ὁρίων τῆς Ἰουδαίας· καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ τοῦ Ἰσραὴλ
61 εἰς δισχιλίους ἄνδρας. [61] καὶ ἐγενήθη τροπὴ μεγάλη ἐν τῷ λαῷ Ἰσραήλ, ὅτι
62 οὐκ ἤκουσαν Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, οἰόμενοι ἀνδραγαθῆσαι. [62] αὐ-
τοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη σωτηρία
63 Ἰσραὴλ διὰ χειρὸς αὐτῶν. [63] καὶ ὁ ἀνὴρ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδο-
ξάσθησαν σφόδρα ἐναντίον παντὸς Ἰσραὴλ καὶ τῶν ἐθνῶν πάντων οὗ ἠκούετο
64 65 τὸ ὄνομα αὐτῶν. [64] καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφημοῦντες. [65] καὶ ἐξῆλ-
θεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἐπολέμουν τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ
γῇ πρὸς νότον, καὶ ἐπάταξε τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς, καὶ κα-
66 θεῖλε τὸ ὀχύρωμα αὐτῆς, καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν. [66] καὶ
ἀπῆρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων, καὶ διεπορεύετο τὴν Σαμάρειαν.
67 [67] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς ἐν πολέμῳ βουλόμενοι ἀνδραγαθῆσαι,
68 ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύτως. [68] καὶ ἐξέκλινεν Ἰούδας εἰς
Ἄζωτον γῆν ἀλλοφύλων, καὶ καθεῖλε τοὺς βωμοὺς αὐτῶν καὶ τὰ γλυπτὰ
τῶν θεῶν αὐτῶν κατέκαυσε πυρί, καὶ ἐσκύλευσε τὰ σκῦλα τῶν πόλεων, καὶ
ἐπέστρεψεν εἰς τὴν γῆν Ἰούδα.

## VI.

Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας καὶ ἤκουσεν
ὅτι ἐστὶν Ἐλυμαΐς ἐν τῇ Περσίδι πόλις ἔνδοξος πλούτῳ ἀργυρίῳ τε καὶ
2 χρυσίῳ. [2] καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, καὶ ἐκεῖ καλύμματα
χρυσᾶ καὶ θώρακες καὶ ὅπλα ἃ κατέλιπεν ἐκεῖ Ἀλέξανδρος ὁ Φιλίππου βα-
3 σιλεὺς ὁ Μακεδών, ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς Ἕλλησι. [3] καὶ ἦλθε καὶ
ἐζήτει καταλαβέσθαι τὴν πόλιν καὶ προνομεῦσαι αὐτήν, καὶ οὐκ ἠδυνάσθη,
4 ὅτι ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως. [4] καὶ ἀνέστησαν αὐτῷ εἰς πόλε-
μον, καὶ ἔφυγε καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης ἀποστρέψαι εἰς
5 Βαβυλῶνα. [5] καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν Περσίδα ὅτι τετρόπων-
6 ται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν Ἰούδα. [6] καὶ ἐπορεύθη Λυσίας
δυνάμει ἰσχυρᾷ ἐν πρώτοις, καὶ ἀνετράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπί-
σχυσαν ὅπλοις καὶ δυνάμει καὶ σκύλοις πολλοῖς οἷς ἔλαβον ἀπὸ τῶν παρεμ-
7 βολῶν ὧν ἐξέκοψαν. [7] καὶ καθεῖλον τὸ βδέλυγμα ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυ-
σιαστήριον τὸ ἐν Ἱερουσαλήμ, καὶ τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν
8 τείχεσιν ὑψηλοῖς καὶ τὴν Βαιθσούραν πόλιν αὐτοῦ. [8] καὶ ἐγένετο ὡς ἤκουσεν
ὁ βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη σφόδρα· καὶ ἔπε-
σεν ἐπὶ τὴν κοίτην, καὶ ἐνέπεσεν εἰς ἀρρωστίαν ἀπὸ τῆς λύπης ὅτι οὐκ
9 ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο. [9] καὶ ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαι-

---

56. ζαχαρια και ζαχαριας αρχ. των δυναμεων των ανδραγαθεσεων 57. ειπαν Ποιησομεν 58. ιαμνιαν 60. ετροπωθης ... λαου σου ισραηλ 61. om ισραηλ . . ιουδου ... in f. add (**ut videtur) αυτον 65. εν τη γη τη ... ενεπυρισεν 66. σαμαριαν 67. επεσαν ιερεις πολεμω β. αυτου ανδρ. εν τω αυτον εξελθ. εις τον. 68. om πυρι ... εις την ιουδαιαν VI. 1. εστιν εν ελυμες ... om τε 2. κατελειπεν ... ο του φιλιππου ο βασιλευς ... εβασιλευσεν τοις ελλησι πρωτος 3. καταλαβειν 4. απηλθεν εκειθεν 6. om και δυναμει κ. σκ. πολλεις 7. καθειλαν ... την βεθσουρα 8. αρρωστειαν

Digitized by Google

νίσθη ἐπ' αὐτὸν λύπη μεγάλη, καὶ ἐλογίσατο ὅτι ἀποθνήσκει. 10 καὶ ἐκάλεσε 10
πάντας τοὺς φίλους αὐτοῦ καὶ εἶπε πρὸς αὐτούς Ἀφίσταται ὁ ὕπνος ἀπὸ
τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης· 11 καὶ 11
εἶπα τῇ καρδίᾳ μου Ἕως τίνος θλίψεως ἦλθον καὶ κλύδωνος μεγάλου ἐν ᾧ
νῦν εἰμί; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου. 12 νῦν δὲ 12
μιμνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν Ἱερουσαλήμ, καὶ ἔλαβον πάντα τὰ
σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τὰ ἐν αὐτῇ, καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς
κατοικοῦντας Ἰούδα διὰ κενῆς. 13 ἔγνων οὖν ὅτι χάριν τούτων εὑρόν με τὰ 13
κακὰ ταῦτα· καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ ἐν γῇ ἀλλοτρίᾳ. 14 καὶ ἐκά- 14
λεσε Φίλιππον ἕνα τῶν φίλων αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς
βασιλείας αὐτοῦ. 15 καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν αὐτοῦ καὶ 15
τὸν δακτύλιον τοῦ ἀγαγεῖν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ καὶ ἐκθρέψαι αὐτὸν τοῦ
βασιλεύειν. 16 καὶ ἀπέθανεν ἐκεῖ Ἀντίοχος ὁ βασιλεὺς ἔτους ἐνάτου καὶ τεσ- 16
σαρακοστοῦ καὶ ἑκατοστοῦ. 17 καὶ ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ βασιλεύς, 17
καὶ κατέστησε βασιλεύειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, ὃν ἐξέθρεψε
νεώτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Εὐπάτορα. 18 καὶ οἱ ἐκ τῆς ἄκρας 18
ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύκλῳ τῶν ἁγίων, καὶ ζητοῦντες τὰ κακὰ
δι' ὅλου καὶ στήριγμα τοῖς ἔθνεσι. 19 καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι αὐτούς, 19
καὶ ἐξεκκλησίασε πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ' αὐτούς. 20 καὶ συνή- 20
χθησαν ἅμα καὶ περιεκάθισαν ἐπ' αὐτοὺς ἔτους πεντηκοστοῦ καὶ ἑκατο-
στοῦ, καὶ ἐποίησεν ἐπ' αὐτοὺς βελοστάσεις καὶ μηχανάς. 21 καὶ ἐξῆλθον ἐξ 21
αὐτῶν ἐκ τοῦ συγκλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινὲς τῶν ἀσεβῶν ἐξ
Ἰσραήλ, 22 καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπον Ἕως πότε οὐ ποιήσῃ 22
κρίσιν καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν; 23 ἡμεῖς εὐδοκοῦμεν δουλεύειν 23
τῷ πατρί σου καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις καὶ κατακολουθεῖν
τοῖς προστάγμασιν αὐτοῦ· 24 καὶ περικάθηνται εἰς τὴν ἄκραν υἱοὶ τοῦ λαοῦ 24
ἡμῶν χάριν τούτου καὶ ἀλλοτριοῦνται ἀφ' ἡμῶν, πλὴν ὅσοι εὑρίσκοντο ἀφ'
ἡμῶν ἐθανατοῦντο, καὶ αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο. 25 καὶ οὐχ ἐφ' 25
ἡμᾶς μόνον ἐξέτειναν χεῖρα ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν. 26 καὶ ἰδοὺ 26
παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἱερουσαλὴμ τοῦ καταλαβέσθαι
αὐτήν, καὶ τὸ ἁγίασμα καὶ τὴν Βαιθσούραν ὠχύρωσαν. 27 καὶ ἐὰν μὴ προ- 27
καταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα τούτων ποιήσουσι, καὶ οὐ δυνήσῃ τοῦ
κατασχεῖν αὐτῶν. 28 καὶ ὠργίσθη ὁ βασιλεὺς ὅτε ἤκουσε, καὶ συνήγαγε 28
πάντας τοὺς φίλους αὐτοῦ καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ καὶ τοὺς
ἐπὶ τῶν ἡνιῶν. 29 καὶ ἀπὸ βασιλειῶν ἑτέρων καὶ ἀπὸ νήσων θαλασσῶν ἦλ- 29
θον πρὸς αὐτὸν δυνάμεις μισθωταί. 30 καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐ- 30
τοῦ ἑκατὸν χιλιάδες τῶν πεζῶν καὶ εἴκοσι χιλιάδες ἵππων, καὶ ἐλέφαντες
δύο καὶ τριάκοντα εἰδότες πόλεμον. 31 καὶ ἦλθοσαν διὰ τῆς Ἰδουμαίας καὶ 31
παρενεβάλοσαν ἐπὶ Βαιθσούραν, καὶ ἐπολέμησαν ἡμέρας πολλὰς καὶ ἐποίη-
σαν μηχανάς, καὶ ἐξῆλθον καὶ ἐνεπύρισαν αὐτὰς ἐν πυρὶ καὶ ἐπολέμησαν
ἀνδρωδῶς. 32 καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας καὶ παρενέβαλεν εἰς Βαιθ- 32
ζαχαρία ἀπέναντι τῆς παρεμβολῆς τοῦ βασιλέως. 33 καὶ ὤρθρισεν ὁ βασιλεὺς 33

10. απο τ. οφθ. μ. ο υπνος 11. om μου prius 12. μνησκομαι ... τα αργυρα και τα χρυσα ... του εξαραι 13. om ουν ... αλλοτρεια 15. του μη βασιλευειν 16. τεσσεραχοστου 17. ευπατωρ 18. ζητουντες κακα ... στηρισμα 20. om και συνηχθ. usque επ αυτους ... βελοστασιας 21. εξ αυτου 22. ειπαν ... ποιησεις 24. οτι ου pro και περικαθ. usque υιοι ... χαρ. τουτου ηλλοτριουντο 26. βεθσουραν οχυρωσαν 27. δυνησει 28. τ. φιλ. αυτου αρχοντας δυναμεως αυτου ... μηνιων 29. βασιλεων 30. χιλιαδες πεζων ... των ιππων 31. επι βεθσουρα ... επι ημερας ... αυτους εν πυρι 32. 33. βεθζαχαρια

Digitized by Google

τὸ πρωὶ καὶ ἀπῆρε τὴν παρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν
Βαιθζαχαρία, καὶ διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον καὶ ἐσάλπι-
34 σαν ταῖς σάλπιγξι. [34] καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ μόρων
35 τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον. [35] καὶ διεῖλον τὰ θηρία εἰς τὰς
φάλαγγας, καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας τεθωρακισμέ-
νους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαῖαι χαλκαῖ ἐπὶ τῶν κεφαλῶν αὐτῶν,
36 καὶ πεντακόσιοι ἵπποι διατεταγμένοι ἑκάστῳ θηρίῳ ἐκλελεγμένοι. [36] οὗτοι
πρὸ καιροῦ οὗ ἐὰν ἦν τὸ θηρίον ἦσαν, καὶ οὗ ἐὰν ἐπορεύετο ἐπορεύοντο
37 ἅμα, οὐκ ἀφίσταντο ἀπ' αὐτοῦ. [37] καὶ πύργοι ξύλινοι ἐπ' αὐτοὺς ὀχυροὶ
σκεπαζόμενοι ἐφ' ἑκάστου θηρίου ἐζωσμένοι ἐπ' αὐτοῦ μηχαναῖς, καὶ ἐφ'
ἑκάστου ἄνδρες δυνάμεως δύο καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς καὶ
38 ὁ Ἰνδὸς αὐτοῦ. [38] καὶ τὴν ἐπίλοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησαν ἐπὶ τὰ
δύο μέρη τῆς παρεμβολῆς κατασείοντες καὶ καταφρασσόμενοι ἐν ταῖς φά-
39 ραγξιν. [39] ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς καὶ χαλκᾶς ἀσπίδας,
40 ἔστιλβε τὰ ὄρη ἀπ' αὐτῶν καὶ κατηύγαζεν ὡς λαμπάδες πυρός. [40] καὶ ἐξε-
τάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη καί τινες
41 ἐπὶ ταπεινά· καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως. [41] καὶ ἐσαλεύοντο πάν-
τες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν καὶ ὁδοιπορίας τοῦ πλήθους καὶ
συγκρουσμοῦ τῶν ὅπλων· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη σφόδρα καὶ ἰσχυρά.
42 [42] καὶ ἤγγισεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς παράταξιν, καὶ ἔπεσον
43 ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες. [43] καὶ εἶδεν Ἐλεάζαρ
ὁ Σαυαρὰν ἓν τῶν θηρίων τεθωρακισμένον θώρακι βασιλικῷ, καὶ ἦν ὑπερά-
44 γον πάντα τὰ θηρία, καὶ ὤφθη ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς. [44] καὶ ἔδω-
κεν ἑαυτὸν τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ καὶ περιποιῆσαι ἑαυτῷ ὄνομα αἰώ-
45 νιον. [45] καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος, καὶ ἐθανάτου
46 δεξιὰ καὶ εὐώνυμα, καὶ ἐσχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα. [46] καὶ εἰςέδυ
ὑπὸ τὸν ἐλέφαντα καὶ ὑπέθηκεν αὐτῷ καὶ ἀνεῖλεν αὐτόν, καὶ ἔπεσεν ἐπὶ
47 τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ. [47] καὶ ἴδον τὴν ἰσχὺν τῆς βασι-
48 λείας καὶ τὸ ὅρμημα τῶν δυνάμεων, καὶ ἐξέκλιναν ἀπ' αὐτῶν. [48] οἱ δὲ ἐκ
τῆς παρεμβολῆς τοῦ βασιλέως ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς Ἱερουσα-
λήμ· καὶ παρενέβαλεν ὁ βασιλεὺς εἰς τὴν Ἰουδαίαν καὶ εἰς τὸ ὄρος Σιών,
49 [49] καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐκ Βαιθσούρων· καὶ ἐξῆλθον ἐκ τῆς πό-
λεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ τοῦ συγκεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάβ-
50 βατον ἦν τῇ γῇ. [50] καὶ κατελάβετο βασιλεὺς τὴν Βαιθσούραν, καὶ ἀπέταξεν
51 ἐκεῖ φρουρὰν τηρεῖν αὐτήν. [51] καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολ-
λάς, καὶ ἔστησεν ἐκεῖ βελοστάσεις καὶ μηχανὰς καὶ πυρόβολα καὶ λιθόβολα
52 καὶ σκορπίδια εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας. [52] καὶ ἐποίησαν καὶ
αὐτοὶ μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν, καὶ ἐπολέμησαν ἡμέρας πολλάς.
53 [53] βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις διὰ τὸ ἕβδομον ἔτος εἶναι, καὶ οἱ
ἀνασωζόμενοι εἰς τὴν Ἰουδαίαν ἀπὸ τῶν ἐθνῶν κατέφαγον τὸ ὑπόλειμμα
54 τῆς παραθέσεως. [54] καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες ὀλίγοι, ὅτι κα-
τεκράτησεν αὐτῶν ὁ λιμός, καὶ ἐσκορπίσθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

---

34. ελεφανσιν 35. φαραγγας ... εφ εκαστω ... τεθωρακισμενοις ... πενταχοσια ιππος διατεταγμενη ... εκλελεγμενη 36. ου αν η το ... και ου αν ... επ αυτου 37. επ αυτους pro επ αυτου ... om δυναμεως ... πολεμ. επ αυτους 38. εστησεν ... φαλαγξιν 39. om και χαλκας 40. επι τα ταεπινα (corrige πετεινα) 41. συνκρουσμους 42. επεσαν 43. θωραξιν βασιλικοις 44. περιποιησαι αυτω 45. φαραγγος 47. ειδον ... τα ορμηματα 48. και pro οι δε ... ανεβεννον 49. om ειρηνην ... βεθσουρων ... εξηλθεν 50. ο βασιλευς ... βεθσουραν ... επαταξεν 53. εν τοις αγιοις (... αναγωζομενοι) ... υπολιμμα

Digitized by Google

55 καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος, ὃν κατέστησεν ὁ βασιλεὺς Ἀντίοχος ἔτι 55
ζῶν ἐκθρέψαι Ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐτόν, 56 ἀπέστρε- 56
ψεν ἀπὸ τῆς Περσίδος καὶ Μηδείας, καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ
βασιλέως μετ' αὐτοῦ, καὶ ὅτι ζητεῖ παραλαβεῖν τὰ πράγματα. 57 καὶ κατέ- 57
σπευσε τοῦ ἀπελθεῖν καὶ εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς
δυνάμεως καὶ τοὺς ἄνδρας Ἐκλείπομεν καθ' ἡμέραν, καὶ ἡ τροφὴ ἡμῖν
ὀλίγη, καὶ ὁ τόπος οὗ παρεμβάλλομέν ἐστιν ὀχυρός, καὶ ἐπίκειται ἡμῖν τὰ
τῆς βασιλείας. 58 νῦν οὖν δῶμεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις καὶ ποιήσω- 58
μεν μετ' αὐτῶν εἰρήνην καὶ μετὰ παντὸς ἔθνους αὐτῶν, 59 καὶ στήσωμεν 59
αὐτοῖς τοῦ πορεύεσθαι τοῖς νομίμοις αὐτῶν ὡς τὸ πρότερον· χάριν γὰρ τῶν
νομίμων αὐτῶν ὧν διεσκεδάσαμεν ὠργίσθησαν καὶ ἐποίησαν ταῦτα πάντα.
60 καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἀπέ- 60
στειλε πρὸς αὐτοὺς εἰρηνεῦσαι, καὶ ἐπεδέξαντο. 61 καὶ ὤμοσεν αὐτοῖς ὁ βα- 61
σιλεὺς καὶ οἱ ἄρχοντες· ἐπὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος. 62 καὶ εἰςῆλ- 62
θεν ὁ βασιλεὺς εἰς τὸ ὄρος Σιὼν καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου, καὶ
ἠθέτησε τὸν ὁρκισμὸν ὃν ὤμοσε, καὶ ἐνετείλατο καθελεῖν τὸ τεῖχος κυκλόθεν.
63 καὶ ἀπῆρε κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν, καὶ εὗρε Φίλιπ- 63
πον κυριεύοντα τῆς πόλεως, καὶ ἐπολέμησε πρὸς αὐτὸν καὶ κατελάβετο τὴν
πόλιν βίᾳ.

## VII.

Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθε Δημήτριος ὁ τοῦ
Σελεύκου ἐκ Ῥώμης, καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλίγοις εἰς πόλιν παραθαλασ-
σίαν καὶ ἐβασίλευσεν ἐκεῖ. 2 καὶ ἐγένετο ὡς εἰςεπορεύετο εἰς οἶκον βασιλείας 2
πατέρων αὐτοῦ, συνέλαβον αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν Λυσίαν ἄγειν
αὐτοὺς αὐτῷ. 3 καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα, καὶ εἶπε Μή μοι δείξητε τὰ 3
πρόσωπα αὐτῶν. 4 καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνάμεις, καὶ ἐκάθισε Δημή- 4
τριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ. 5 καὶ ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες 5
ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ἰσραήλ, καὶ Ἄλκιμος ἡγεῖτο αὐτῶν, βουλόμενος ἱερα-
τεύειν. 6 καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα λέγοντες Ἀπώλεσεν 6
Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισαν ἀπὸ
τῆς γῆς ἡμῶν. 7 νῦν οὖν ἀπόστειλον ἄνδρα ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω 7
τὴν ἐξολόθρευσιν πᾶσαν ἣν ἐποίησεν ἡμῖν καὶ τῇ χώρᾳ τοῦ βασιλέως, καὶ
κολασάτω αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς. 8 καὶ ἐπέλεξεν ὁ 8
βασιλεὺς τὸν Βακχίδην τῶν φίλων τοῦ βασιλέως κυριεύοντα ἐν τῷ πέραν τοῦ
ποταμοῦ καὶ μέγαν ἐν τῇ βασιλείᾳ καὶ πιστὸν τῷ βασιλεῖ. 9 καὶ ἀπέστειλεν 9
αὐτὸν καὶ Ἄλκιμον τὸν ἀσεβῆ, καὶ ἔστησεν αὐτῷ τὴν ἱερωσύνην, καὶ ἐνε-
τείλατο αὐτῷ ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς υἱοῖς Ἰσραήλ. 10 καὶ ἀπῆραν 10
καὶ ἦλθον μετὰ δυνάμεως πολλῆς εἰς γῆν Ἰούδα· καὶ ἀπέστειλεν ἀγγέλους
πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου. 11 καὶ 11
οὐ προςέσχον τοῖς λόγοις αὐτῶν· ἴδον γὰρ ὅτι ἦλθον μετὰ δυνάμεως πολλῆς.
12 καὶ ἐπισυνήχθησαν πρὸς Ἄλκιμον καὶ Βακχίδην συναγωγὴ γραμματέων 12
ἐκζητῆσαι δίκαια. 13 πρῶτοι οἱ Ἀσιδαῖοι ἦσαν ἐν υἱοῖς Ἰσραήλ, καὶ ἐπεζή- 13
τουν παρὰ αὐτῶν εἰρήνην. 14 εἶπαν γὰρ Ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος 14

---

55. ετι ζωντος αυτου 56. μηδιας ... τα των πραγματων 57. και κατεσπευδον και επενυσσοντο του ... ειπεν 60. επεδεξατο 61. εξηλθεν 62. ιδεν ... ενετ. και καθειλεν 63. απηραν ... αντιοχιαν VII. 1. om και εκατοστου 2. αγαγειν 5. αλκινος ηγειται 6. παντας τους φιλους σου ... εσκορπισεν 7. ειδετω τ. εξολεθρευσιν απασαν ... και εκολασατο 8. βαρακχιδην (... φυλων) 9. αλκειμον ... εστησαν 10. και απηλθεν (pro απηραν) και ηλθεν μετα ... και προς τους 11. προςειχον 12. αλκινον ... κακχιδην 13. και πρωτοι οι ασιδεοι ... παρ αυτων

Digitized by Google

15 Ἀαρὼν ἦλθεν ἐν ταῖς δυνάμεσι, καὶ οὐκ ἀδικήσει ἡμᾶς. [15]καὶ ἐλάλησε μετ'
αὐτῶν λόγους εἰρηνικούς, καὶ ὤμοσεν αὐτοῖς λέγων Οὐκ ἐκζητήσομεν ὑμῖν
16 κακὸν καὶ τοῖς φίλοις ὑμῶν. [16]καὶ ἐνεπίστευσαν αὐτῷ, καὶ συνέλαβεν ἐξ
αὐτῶν ἑξήκοντα ἄνδρας καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λό-
17 γον ὃν ἔγραψε [17]Σάρκας ὁσίων σου καὶ αἷματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἱε-
18 ρουσαλήμ, καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων. [18]καὶ ἐπέπεσεν αὐτῶν ὁ φόβος
καὶ ὁ τρόμος ἐπὶ πάντα τὸν λαόν, ὅτι εἶπαν Οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια
19 καὶ κρίσις· παρέβησαν γὰρ τὴν στάσιν καὶ τὸν ὅρκον ὃν ὤμοσαν. [19]καὶ
ἀπῆρε Βακχίδης ἀπὸ Ἱερουσαλὴμ καὶ παρενέβαλεν ἐν Βηζεθ, καὶ ἀπέστειλε
καὶ συνέλαβε πολλοὺς ἀπὸ τῶν ἀπ' αὐτοῦ αὐτομολησάντων ἀνδρῶν καί τι-
20 νας τοῦ λαοῦ, καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα. [20]καὶ κατέστησε
τὴν χώραν τῷ Ἀλκίμῳ, καὶ ἀφῆκε μετ' αὐτοῦ δύναμιν τοῦ βοηθεῖν αὐτῷ·
21 καὶ ἀπῆλθε Βακχίδης πρὸς τὸν βασιλέα. [21]καὶ ἠγωνίσατο Ἄλκιμος περὶ τῆς
22 ἀρχιερωσύνης. [22]καὶ συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ ταράσσοντες τὸν λαὸν
αὐτῶν καὶ κατεκράτησαν γῆν Ἰούδα, καὶ ἐποίησαν πληγὴν μεγάλην ἐν
23 Ἰσραήλ. [23]καὶ εἶδεν Ἰούδας πᾶσαν τὴν κακίαν ἣν ἐποίησεν Ἄλκιμος καὶ οἱ
24 μετ' αὐτοῦ ἐν υἱοῖς Ἰσραὴλ ὑπὲρ τὰ ἔθνη. [24]καὶ ἐξῆλθεν εἰς πάντα τὰ
ὅρια τῆς Ἰουδαίας κυκλόθεν, καὶ ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς
25 αὐτομολήσασι, καὶ ἀνεστάλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν. [25]ὡς δὲ
εἶδεν Ἄλκιμος ὅτι ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ
δύναται ὑποστῆναι αὐτούς, καὶ ἐπέστρεψε πρὸς τὸν βασιλέα καὶ κατηγόρη-
26 σεν αὐτῶν πονηρά. [26]καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόν-
των αὐτοῦ τῶν ἐνδόξων καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ἰσραήλ, καὶ
27 ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν. [27]καὶ ἦλθε Νικάνωρ εἰς Ἱερουσαλὴμ δυ-
νάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ
28 δόλου λόγοις εἰρηνικοῖς λέγων [28]Μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν·
29 ἥξω ἐν ἀνδράσιν ὀλίγοις ἵνα ὑμῶν ἴδω τὰ πρόσωπα μετ' εἰρήνης. [29]καὶ
ἦλθε πρὸς Ἰούδαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν
30 ἕτοιμοι ἐξαρπάσαι τὸν Ἰούδαν. [30]καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰούδᾳ ὅτι μετὰ
δόλου ἦλθεν ἐπ' αὐτόν· καὶ ἐπτοήθη ἀπ' αὐτοῦ, καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν
31 τὸ πρόσωπον αὐτοῦ. [31]καὶ ἔγνω Νικάνωρ ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ,
32 καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰούδᾳ ἐν πολέμῳ κατὰ Χαφαρσαλαμά. [32]καὶ
ἔπεσον τῶν παρὰ Νικάνορος ὡσεὶ πεντακισχίλιοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν
33 πόλιν Δαυίδ. [33]καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄρος
Σιών· καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυτέ-
ρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτω-
34 σιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως. [34]καὶ ἐμυκτήρισεν αὐτούς, καὶ
35 κατεγέλασεν αὐτῶν καὶ ἐμίανεν αὐτούς, καὶ ἐλάλησεν ὑπερηφάνως. [35]καὶ
ὤμοσε μετὰ θυμοῦ λέγων Ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ παρεμβολὴ
αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ ἐμπυριῶ
36 τὸν οἶκον τοῦτον. καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου. [36]καὶ εἰσῆλθον οἱ ἱερεῖς
καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ, καὶ ἔκλαυσαν
37 καὶ εἶπον [37]Σὺ κύριε ἐξελέξω τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου
38 ἐπ' αὐτῷ, εἶναι οἶκον προσευχῆς καὶ δεήσεως τῷ λαῷ σου. [38]ποίησον ἐκ-
δίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσέτωσαν

---

15. ειρηνικους λογους 16. κατα τους λογους ους 18. εις παντα 19. απο των μετ αυτου 21. αρχιεροσυνης 23. ιδεν ... αλκινος 24. και κυκλοθεν ... ανδρασιν και τοις ... του πορευθηναι εις χωραν 25. ιδεν ... οτι δυναται 26. εχχθραινοντα 28. ιδω υμων 30. ηβουληθη 31. om εν πολεμω ... χαρφαρσαραμα 32. επεσαν ... ως πεντακισχιλιους ανδρες (sic) 33. εξηλθαν 35. το νυν εις χ. μου ... om μεγαλου 36. ειπαν 37. om κυριε ... επ αυτον 38. πεσατωσαν

Digitized by Google

ἐν ῥομφαίᾳ· μνήσθητι τῶν δυςφημιῶν αὐτῶν, καὶ μὴ δῷς αὐτοῖς μονήν.
[39]καὶ ἐξῆλθε Νικάνωρ ἐξ Ἱερουσαλὴμ καὶ παρενέβαλεν ἐν Βαιθωρῶν, καὶ 39
συνήντησεν αὐτῷ δύναμις Συρίας. [40]καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν 40
τριςχιλίοις ἀνδράσι· καὶ προςηύξατο Ἰούδας καὶ εἶπεν [41]Οἱ παρὰ τοῦ βασι- 41
λέως Ἀσσυρίων ὅτε ἐδυςφήμησαν, ἐξῆλθεν ἄγγελός σου, κύριε, καὶ ἐπάταξεν
ἐν αὐτοῖς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. [42]οὕτω σύντριψον τὴν παρεμ- 42
βολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι ὅτι κακῶς
ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου, καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ. [43]καὶ 43
συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τριςκαιδεκάτῃ τοῦ μηνὸς Ἄδαρ, καὶ
συνετρίβη ἡ παρεμβολὴ Νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ.
[44]ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσε Νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐ- 44
τῶν ἔφυγον, [45]καὶ κατεδίωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ 45
ἐλθεῖν εἰς Γάζηρα, καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σάλπιγξι τῶν σημασιῶν.
[46]καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν καὶ ὑπερεκέρων 46
αὐτούς, καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους, καὶ ἔπεσον πάντες ῥομφαίᾳ, καὶ
οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. [47]καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομήν, 47
καὶ τὴν κεφαλὴν Νικάνορος ἀφεῖλον καὶ τὴν δεξιὰν αὐτοῦ ἣν ἐξέτεινεν ὑπερ-
ηφάνως, καὶ ἤνεγκαν καὶ ἐξέτειναν παρὰ τὴν Ἱερουσαλήμ. [48]καὶ εὐφράνθη 48
ὁ λαὸς σφόδρα, καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγά-
λης. [49]καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τὴν τρις- 49
καιδεκάτην τοῦ Ἄδαρ. [50]καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας. 50

## VIII.

Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ,
καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προςτιθεμένοις αὐτοῖς, καὶ ὅσοι ἂν προς-
έλθωσιν αὐτοῖς ἱστῶσιν αὐτοῖς φιλίαν, [2]καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ. καὶ διη- 2
γήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν ἐν
τοῖς Γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον·
[3]καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ Ἱσπανίας τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ 3
ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ. [4]καὶ κατεκράτησαν τοῦ τόπου παντὸς 4
τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ, καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ'
αὐτῶν σφόδρα· καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' αὐτοὺς ἀπ' ἄκρου
τῆς γῆς ἕως συνέτριψαν αὐτοὺς καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην,
καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ' ἐνιαυτόν. [5]καὶ τὸν Φίλιππον 5
καὶ τὸν Περσέα Κιτιέων βασιλέα καὶ τοὺς ἐπηρμένους ἐπ' αὐτοὺς συνέτρι-
ψαν αὐτοὺς ἐν πολέμῳ καὶ κατεκράτησαν αὐτῶν. [6]καὶ Ἀντίοχον τὸν μέγαν 6
βασιλέα τῆς Ἀσίας τὸν πορευθέντα ἐπ' αὐτοὺς εἰς πόλεμον ἔχοντα ἑκατὸν
εἴκοσι ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα, καὶ
συνετρίβη ἀπ' αὐτῶν. [7]καὶ ἔλαβον αὐτὸν ζῶντα, καὶ ἔστησαν αὐτοῖς διδό- 7
ναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν φόρον μέγαν, διδόναι ὅμηρα
καὶ διαστολὴν [8]καὶ χώραν τὴν Ἰνδικὴν καὶ Μήδειαν καὶ Λυδίαν καὶ ἀπὸ 8
τῶν καλλίστων χωρῶν αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐ-
τὰς Εὐμένει τῷ βασιλεῖ. [9]καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν 9
καὶ ἐξᾶραι αὐτούς, [10]καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέστειλαν ἐπ' αὐ- 10

---

39. παρενεβαλον εν βεθωρων 41. om ασσυριων ... om κυριε ... χιλιαδες 42. ουτως συνετριψεν ... ελαλησεν 44. ιδεν 45. ταις σαλπιγγει (sic) 46. επεσαν 47. αφιλαν 48. ηυφρανθη ... μεγαλην 49. αγαγειν κατ ενιαυτον ... τη τριςκαιδεκατη VIII. 1. εν ισχυι ... προςτεθειμενοις ... και οσοι εαν προτεθωσιν (sic) αυτόις και οσοι εαν προςελθ. αυτοις 2. ανδραγαθειας 3. σπανιας 4. συνετρ. αυτου· (sic) και επαταξεν 5. κιτιαιων ... αυτους πολεμω (6. εκαστον pro εκατον) 7. και διδοναι ομηρα 8. μηδιαν

Digitized by Google

τοὺς στρατηγὸν ἕνα καὶ ἐπολέμησαν πρὸς αὐτούς, καὶ ἔπεσον ἐξ αὐτῶν
τραυματίαι πολλοί, καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα
αὐτῶν, καὶ προενόμευσαν αὐτοὺς καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν καὶ
καθεῖλον τὰ ὀχυρώματα αὐτῶν, καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέ-
11 ρας ταύτης. [11] καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀν-
12 τέστησαν αὐτοῖς, κατέφθειραν καὶ ἐδούλωσαν αὐτούς. [12] μετὰ δὲ τῶν φίλων
αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν φιλίαν, καὶ κατεκρά-
τησαν τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακράν, καὶ ὅσοι ἤκουον τὸ ὄνομα
13 αὐτῶν ἐφοβοῦντο ἀπ' αὐτῶν. [13] ὅσοις δ' ἂν βούλωνται βοηθεῖν καὶ βασι-
λεύειν, βασιλεύουσιν· οὓς δ' ἂν βούλωνται μεθιστῶσι, καὶ ὑψώθησαν σφόδρα
14 [14] καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς αὐτῶν διάδημα, καὶ οὐ περιεβά-
15 λοντο πορφύραν ὥςτε ἁδρυνθῆναι ἐν αὐτῇ. [15] καὶ βουλευτήριον ἐποίησαν ἑαυ-
τοῖς, καὶ καθ' ἡμέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλευόμενοι διὰ
16 παντὸς περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν αὐτούς. [16] καὶ πιστεύουσιν ἑνὶ ἀν-
θρώπῳ τὴν ἀρχὴν αὐτῶν κατ' ἐνιαυτὸν καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν,
καὶ πάντες ἀκούουσι τοῦ ἑνός, καὶ οὐκ ἔστι φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς.
17 [17] καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου τοῦ Ἀκκὼς καὶ Ἰάσονα
υἱὸν Ἐλεαζάρου, καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην στῆσαι αὐτοῖς φιλίαν καὶ
18 συμμαχίαν, [18] καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ' αὐτῶν, ὅτι ἴδον τὴν βασιλείαν
19 τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ἰσραὴλ δουλείαν. [19] καὶ ἐπορεύθησαν
εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα, καὶ εἰςῆλθον εἰς τὸ βουλευτήριον
20 καὶ ἀπεκρίθησαν καὶ εἶπον [20] Ἰούδας ὁ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ
καὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς στῆσαι μεθ' ὑμῶν
συμμαχίαν καὶ εἰρήνην, καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν.
21 22 [21] καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν. [22] καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπι-
στολῆς ἧς ἀντέγραψεν ἐπὶ δέλτοις χαλκαῖς, καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ
23 εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης καὶ συμμαχίας. [23] Καλῶς γένοιτο
Ῥωμαίοις καὶ τῷ ἔθνει Ἰουδαίων ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ τῆς ξηρᾶς εἰς
24 τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐχθρὸς μακρυνθείη ἀπ' αὐτῶν. [24] ἐὰν δὲ ἐνστῇ
πόλεμος ἐν Ῥώμῃ προτέρᾳ ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυρείᾳ
25 αὐτῶν, [25] συμμαχήσει τὸ ἔθνος τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ
26 αὐτοῖς καρδίᾳ πλήρει· [26] καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ ἐπαρκέσουσι
σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥωμαίοις· καὶ φυλάξονται τὰ φυ-
27 λάγματα αὐτῶν οὐθὲν λαβόντες. [27] κατὰ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει Ἰουδαίων
συμβῇ προτέροις πόλεμος, συμμαχήσουσιν οἱ Ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐ-
28 τοῖς ὁ καιρὸς ὑπογραφῇ· [28] καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται σῖτος, ὅπλα,
ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν
29 καὶ οὐ μετὰ δόλου. [29] κατὰ τοὺς λόγους τούτους ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ
30 τῶν Ἰουδαίων. [30] ἐὰν δὲ μετὰ τοὺς λόγους τούτους βουλεύσωνται οὗτοι καὶ
οὗτοι προςθεῖναι ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προς-
31 θῶσιν ἢ ἀφέλωσιν ἔσται κύρια. [31] καὶ περὶ τῶν κακῶν ὧν ὁ βασιλεὺς Δημή-
τριος συντελεῖται εἰς αὐτοὺς ἐγράψαμεν αὐτῷ λέγοντες Διὰ τί ἐβάρυνας τὸν
32 ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους; [32] ἐὰν οὖν ἔτι

---

10. επεσαν ... ηχμαλωτισαν ... επρονομευσαν ... τα οχυρ. αυτ. και επρονομευσαν αυτους και κατεδ. 11. ανεστησαν ... εδουλωσαν αυτοις 12. συνετ. αυτοις φιλιαν ... ηκουσαν 13. οις δ αν ... βασιλευσουσιν 14. απασιν ... επεθεντο 15. ευκοσμ. εαυτους 16. **αρχειν pro την αρχην ... ουτε ζηλος 18. om απ ... δουλιαν 19. om και ειπον 20. ο και μακκαβ. 22. της γραφης ης αντεγραψαν ... δεκτοις ... απεστειλαν 23. των ιουδαιων 24. πολεμος ρωμη ... κυρια 26. εδοξεν ρωμη ... οθεν λαβοντες 28. om πλοια ... τα φυλαγμ. ταυτα και 29. τουτους ουτως

Digitized by Google

ἐντύχωσι κατὰ σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν, καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς.

## IX.

Καὶ ἤκουσε Δημήτριος ὅτι ἔπεσε Νικάνωρ καὶ αἱ δυνάμεις αὐτοῦ ἐν
πολέμῳ, καὶ προςέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκιμον ἐκ δευτέρου ἀποστεῖ-
λαι εἰς γῆν Ἰούδα, καὶ τὸ δεξιὸν κέρας μετ' αὐτῶν. 2 καὶ ἐπορεύθησαν ὁδὸν 2
τὴν εἰς Γάλγαλα, καὶ παρενέβαλον ἐπὶ Μαισαλὼθ τὴν ἐν Ἀρβήλοις, καὶ
προκατελάβοντο αὐτὴν καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. 3 καὶ τοῦ μη- 3
νὸς τοῦ πρώτου ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέ-
βαλον ἐπὶ Ἱερουσαλήμ, 4 καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βερέαν ἐν εἴκοσι 4
χιλιάσιν ἀνδρῶν καὶ διςχιλίᾳ ἵππῳ. 5 καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν
Ἐλεασά, καὶ τριςχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ' αὐτοῦ. 6 καὶ ἴδον τὸ πλῆθος 5 6
τῶν δυνάμεων ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐξεῤῥύησαν
πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ' ἢ ὀκτακόσιοι
ἄνδρες. 7 καὶ εἶδεν Ἰούδας ὅτι ἀπεῤῥύη ἡ παρεμβολὴ αὐτοῦ, καὶ ὁ πόλεμος 7
ἔθλιβεν αὐτόν· καὶ συνετρίβη τῇ καρδίᾳ ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐ-
τούς. 8 καὶ ἐξελύθη, καὶ εἶπε τοῖς καταλειφθεῖσιν Ἀναστῶμεν καὶ ἀναβῶμεν 8
ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. 9 καὶ 9
ἀπέστρεψαν αὐτὸν λέγοντες Οὐ μὴ δυνώμεθα, ἀλλ' ἢ σώζωμεν τὰς ἑαυτῶν
ψυχὰς τὸ νῦν, καὶ ἐπιστρέψωμεν μετὰ τῶν ἀδελφῶν ἡμῶν καὶ πολεμήσω-
μεν πρὸς αὐτούς, ἡμεῖς δὲ ὀλίγοι. 10 καὶ εἶπεν Ἰούδας Μή μοι γένοιτο ποιῆ- 10
σαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν ἀπ' αὐτῶν, καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν,
καὶ ἀποθάνωμεν ἐν ἀνδρείᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν καὶ μὴ καταλίπωμεν
αἰτίαν τῇ δόξῃ ἡμῶν. 11 καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς καὶ 11
ἔστησαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ
σφενδονηταὶ καὶ οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως, καὶ οἱ πρωταγω-
νισταὶ πάντες οἱ δυνατοί. 12 Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι, καὶ ἤγγι- 12
σεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν, καὶ ἐφώνουν ταῖς σάλπιγξι. 13 καὶ ἐσάλ- 13
πισαν οἱ παρὰ Ἰούδᾳ καὶ αὐτοὶ ταῖς σάλπιγξι, καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς
φωνῆς τῶν παρεμβολῶν· καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωΐθεν
ἕως ἑσπέρας. 14 καὶ εἶδεν Ἰούδας ὅτι Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμ- 14
βολῆς ἐν τοῖς δεξιοῖς, καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ.
15 καὶ συνετρίβη τὸ δεξιὸν κέρας ἀπ' αὐτῶν, καὶ ἐδίωκον ὀπίσω αὐτῶν ἕως 15
Ἀζώτου ὄρους. 16 καὶ εἰς τὸ ἀριστερὸν κέρας ἴδον ὅτι συνετρίβη τὸ δεξιὸν 16
κέρας, καὶ ἐπέστρεψαν κατὰ πόδας Ἰούδα καὶ τῶν μετ' αὐτοῦ ἐκ τῶν ὄπι-
σθεν. 17 καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἐκ τούτων 17
καὶ ἐκ τούτων. 18 καὶ Ἰούδας ἔπεσε, καὶ οἱ λοιποὶ ἔφυγον. 19 καὶ ἦραν Ἰω- 18 19
νάθαν καὶ Σίμων Ἰούδαν τὸν ἀδελφὸν αὐτῶν καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ
τῶν πατέρων αὐτοῦ ἐν Μωδεεὶμ, 20 καὶ ἔκλαυσαν αὐτὸν καὶ ἐκόψαντο αὐτὸν 20
πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθουν ἡμέρας πολλὰς καὶ εἶπον 21 Πῶς 21
ἔπεσε δυνατὸς σώζων τὸν Ἰσραήλ. 22 καὶ τὰ περισσὰ τῶν λόγων Ἰούδα καὶ 22
τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν ὧν ἐποίησε καὶ τῆς μεγαλωσύνης αὐτῶν

---

IX. 1. οτι εποιησεν νικανωρ κ. αι δ. α. πολεμον 2. παρενεβαλοσαν επι μεσσαλωθ ... απωλεσεν 3. ετους δευτερου ... παρενεβαλλον εις ιερ. 4. διςχιλιασιν ιππων 5. εν αλασα 6. εξερυησαν 7. ιδεν 8. υπεναντ. ημιν 9. δυνησωμεθα ... το νυν επιστρεψ. 10. om ει ... αποθανωμεν ανδρια ... καταλειπωμεν 13. κ. εσαλπισ. και ... ιουδου ... εσισθη η γη απο των παρ. αυτων ... συνηγμενος 14. ιδεν 15. εδιωκεν 16. και οι εις 17. επεσαν 19. τον αδελφ. αυτου ... εμ μωδεειμ 20. εκλαυσ. αυτ. εκει ... ειπαν 22. περισσεα ... ιουδου ... ανδραγαθειων ... μεγαλωσ. αυτου

23 οὐ κατεγράφη, πολλὰ γὰρ ἦν σφόδρα. 23 καὶ ἐγένετο μετὰ τὴν τελευτὴν
Ἰούδα ἐξέκυψαν οἱ ἄνομοι ἐν πᾶσι τοῖς ὁρίοις Ἰσραήλ, καὶ ἀνέτειλαν πάν-
24 τες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν. 24 ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς
25 μέγας σφόδρα, καὶ ηὐτομόλησεν ἡ χώρα μετ' αὐτῶν. 25 καὶ ἐξέλεξε Βακχί-
26 δης τοὺς ἀσεβεῖς ἄνδρας καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας. 26 καὶ
ἐξεζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους Ἰούδα, καὶ ἦγον αὐτοὺς πρὸς Βακχί-
27 δην· καὶ ἐξεδίκει ἐν αὐτοῖς καὶ ἐνέπαιζεν αὐτοῖς. 27 καὶ ἐγένετο θλῖψις με-
γάλη ἐν τῷ Ἰσραήλ, ἥτις οὐκ ἐγένετο ἀφ' ἧς ἡμέρας οὐκ ὤφθη προφήτης
28 ἐν αὐτοῖς. 28 καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰούδα καὶ εἶπον τῷ Ἰωνάθαν
29 29 Ἀφ' οὗ ὁ ἀδελφός σου Ἰούδας τετελεύτηκε, καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ
ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθροὺς καὶ Βακχίδην καὶ ἐν τοῖς ἐχθραίνουσι τοῦ
30 ἔθνους ἡμῶν. 30 νῦν οὖν σὲ ᾑρετισάμεθα σήμερον τοῦ εἶναι ἀντ' αὐτοῦ ἡμῖν
31 εἰς ἄρχοντα καὶ ἡγούμενον τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν. 31 καὶ ἐπε-
δέξατο Ἰωνάθαν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν ἥγησιν, καὶ ἀνέστη ἀντὶ Ἰούδα
32 τοῦ ἀδελφοῦ αὐτοῦ. 32 καὶ ἔγνω Βακχίδης, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.
33 33 καὶ ἔγνω Ἰωνάθαν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ καὶ πάντες οἱ μετ' αὐ-
τοῦ, καὶ ἔφυγον εἰς τὴν ἔρημον Θεκωέ, καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκ-
34 κου Ἀσφάρ. 34 καὶ ἔγνω Βακχίδης τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἦλθεν αὐ-
35 τὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ πέραν τοῦ Ἰορδάνου. 35 καὶ ἀπέστειλε
Ἰωνάθαν τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου, καὶ παρεκάλεσε τοὺς
Ναυαταίους φίλους αὐτοῦ παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν
36 πολλήν. 36 καὶ ἐξῆλθον υἱοὶ Ἰαμβρὶ ἐκ Μηδαβὰ καὶ συνέλαβον Ἰωάννην καὶ
37 πάντα ὅσα εἶχεν, καὶ ἀπῆλθον ἔχοντες. 37 μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγ-
γειλαν τῷ Ἰωνάθαν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ ὅτι οἱ υἱοὶ Ἰαμβρὶ ποι-
οῦσι γάμον μέγαν, καὶ ἄγουσι τὴν νύμφην ἀπὸ Ναδαβὰθ θυγατέρα ἑνὸς
38 τῶν μεγιστάνων μεγάλων τῶν Χαναὰν μετὰ παραπομπῆς μεγάλης. 38 καὶ
ἐμνήσθησαν Ἰωάννου τοῦ ἀδελφοῦ αὐτῶν, καὶ ἀνέβησαν καὶ ἐκρύβησαν ὑπὸ
39 τὴν σκέπην τοῦ ὄρους. 39 καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἴδον, καὶ
ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλή, καὶ ὁ νυμφίος ἐξῆλθε καὶ οἱ φίλοι αὐτοῦ
καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ τυμπάνων καὶ μουσικῶν
40 καὶ ὅπλων πολλῶν. 40 καὶ ἐξανέστησαν ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου οἱ περὶ
τὸν Ἰωνάθαν καὶ ἀπέκτειναν αὐτούς, καὶ ἔπεσον τραυματίαι πολλοὶ καὶ οἱ
41 ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος, καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν. 41 καὶ
μετεστράφη ὁ γάμος εἰς πένθος, καὶ ἡ φωνὴ μουσικῶν αὐτῶν εἰς θρῆνον.
42 42 καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελφοῦ αὐτῶν, καὶ ἀπέστρεψαν
43 εἰς τὸ ἕλος τοῦ Ἰορδάνου. 43 καὶ ἤκουσε Βακχίδης, καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν
44 σαββάτων ἕως τῶν κρηπίδων τοῦ Ἰορδάνου ἐν δυνάμει πολλῇ. 44 καὶ εἶπεν
Ἰωνάθαν τοῖς παρ' αὐτοῦ Ἀναστῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυ-
45 χῶν ἡμῶν, οὐ γάρ ἐστι σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. 45 ἰδοὺ γὰρ ὁ
πόλεμος ἐξεναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡμῶν· τὸ δὲ ὕδωρ τοῦ Ἰορδάνου
46 ἔνθεν καὶ ἔνθεν καὶ ἕλος καὶ δρυμός, οὐκ ἔστι τόπος τοῦ ἐκκλῖναι. 46 νῦν
47 οὖν κεκράξατε εἰς οὐρανὸν ὅπως διασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. 47 καὶ
συνῆψεν ὁ πόλεμος· καὶ ἐξέτεινεν Ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν

---

23. ιουδου 24. μεγαλη ... αυτομολησεν 25. βαχχειδης 26. εξηραυνων ... ιουδου ... εξεδικα αυτους ... ενεπεζον 27. προφητης αυτοις 28. ιουδου 31. την ητησιν ... ιουδου 32. βαχχειδης 33. ασφαλ 34. του ιορδανη 35. om ιωναθαν ... ναβατεους 36. οι υιοι ιαμβρειν 37. απηγγειλαν ιωναθαν ... οτι υιοι ιαμβριν ... των μεγαλ. μεγιστανων χανααν 39. ιδαν 40. om οι περι τ. ιωναθαν ... επεσαν ... τα σκευη αυτων 41. και φωνη 42. εις το ορος 44. ιωναθαν τοις αδελφοις αυτου 45. δρυμος· και ουκ

Digitized by Google

Βαχχίδην, καὶ ἐξέκλινεν ἀπ' αὐτοῦ εἰς τὰ ὀπίσω. [48] καὶ ἐνεπήδησεν Ἰωνά- 48
θαν καὶ οἱ μετ' αὐτοῦ εἰς τὸν Ἰορδάνην καὶ διεκολύμβησαν εἰς τὸ πέραν,
καὶ οὐ διέβησαν ἐπ' αὐτοὺς τὸν Ἰορδάνην. [49] καὶ διέπεσον παρὰ Βακχίδου 49
τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας. [50] καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ, καὶ 50
ᾠκοδόμησε πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν Ἱεριχὼ καὶ τὴν
Ἐμμαοὺμ καὶ τὴν Βαιθωρὼν καὶ τὴν Βαιθὴλ καὶ τὴν Θαμναθὰ Φαραθωνὶ
καὶ τὴν Τεφὼν ἐν τείχεσιν ὑψηλοῖς καὶ πύλαις καὶ μοχλοῖς. [51] καὶ ἔθετο 51
φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ Ἰσραήλ. [52] καὶ ὠχύρωσε τὴν πόλιν 52
τὴν ἐν Βαιθσούρᾳ καὶ τὴν Γάζαρα καὶ τὴν ἄκραν, καὶ ἔθετο ἐν αὐταῖς δυ-
νάμεις καὶ παραθέσεις βρωμάτων. [53] καὶ ἔλαβε τοὺς υἱοὺς τῶν ἡγουμένων 53
τῆς χώρας ὅμηρα, καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ἱερουσαλὴμ ἐν φυλακῇ.
[54] καὶ ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ μηνὶ τῷ δευτέρῳ ἐπέ- 54
ταξεν Ἄλκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς ἐσωτέρας, καὶ
καθεῖλε τὰ ἔργα τῶν προφητῶν καὶ ἐνήρξατο τοῦ καθαιρεῖν. [55] ἐν τῷ καιρῷ 55
ἐκείνῳ ἐπλήγη Ἄλκιμος καὶ ἐνεποδίσθη τὰ ἔργα αὐτοῦ, καὶ ἀπεφράγη τὸ
στόμα αὐτοῦ καὶ παρελύθη, καὶ οὐκ ἐδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντεί-
λασθαι περὶ τοῦ οἴκου αὐτοῦ. [56] καὶ ἀπέθανεν Ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνῳ 56
μετὰ βασάνου μεγάλης. [57] καὶ εἶδε Βακχίδης ὅτι ἀπέθανεν Ἄλκιμος, καὶ 57
ἀπέστρεψε πρὸς τὸν βασιλέα· καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἔτη δύο. [58] καὶ 58
ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες Ἰδοὺ Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ
ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες· νῦν οὖν ἄξομεν τὸν Βακχίδην, καὶ συλλή-
ψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ. [59] καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ. 59
[60] καὶ ἀπῆρε τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς, καὶ ἀπέστειλεν ἐπιστολὰς 60
λάθρα πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ἰουδαίᾳ ὅπως συλλάβωσι τὸν
Ἰωνάθαν καὶ τοὺς μετ' αὐτοῦ, καὶ οὐκ ἐδύναντο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ
βουλὴ αὐτῶν. [61] καὶ συνελάβοντο ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν 61
τῆς κακίας εἰς πεντήκοντα ἄνδρας καὶ ἀπέκτειναν αὐτούς. [62] καὶ ἐξεχώρησεν 62
Ἰωνάθαν καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ εἰς Βαιθβασὶ τὴν ἐν τῇ ἐρήμῳ, καὶ
ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς καὶ ἐστερέωσαν αὐτήν. [63] καὶ ἔγνω Βακ- 63
χίδης, καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ καὶ τοῖς ἐκ τῆς Ἰουδαίας παρήγ-
γειλε. [64] καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βαιθβασὶ καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας 64
πολλὰς καὶ ἐποίησε μηχανάς. [65] καὶ ἀπέλιπεν Ἰωνάθαν Σίμωνα τὸν ἀδελ- 65
φὸν αὐτοῦ ἐν τῇ πόλει καὶ ἐξῆλθεν εἰς τὴν χώραν, καὶ ἐξῆλθεν ἐν ἀριθμῷ.
[66] καὶ ἐπάταξεν Ὀδοαῤῥὴν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Φασι- 66
ρὼν ἐν τῷ σκηνώματι αὐτῶν, καὶ ἐξήρξατο τύπτειν καὶ ἀναβαίνειν ἐν δυνά-
μεσι. [67] καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἐνεπύρισαν 67
τὰς μηχανάς, [68] καὶ ἐπολέμησε πρὸς τὸν Βακχίδην· καὶ συνετρίβη ὑπ' αὐ- 68
τῶν, καὶ ἔθλιβον αὐτὸν σφόδρα, ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ
κενή. [69] καὶ ὠργίσθη θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις τοῖς συμβουλεύσασιν 69
αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν, καὶ ἀπέκτειναν ἐξ αὐτῶν πολλούς, καὶ ἐβου-
λεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ. [70] καὶ ἐπέγνω Ἰωνάθαν, καὶ ἀπέ- 70
στειλε πρὸς αὐτὸν πρέσβεις τοῦ συνθέσθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι
αὐτοῖς τὴν αἰχμαλωσίαν. [71] καὶ ἀπεδέξατο καὶ ἐποίησε κατὰ τοὺς λόγους 71
αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέρας τῆς

49. διεβησαν παρα βακχιδα 50. απεστρεψαν ... ωκοδομησαν ... βεθωρων ... βεθηλ ... φαραθων 51. εθεντο 52. ωχυρωσαν τ. πολ. και βεθσουραν και γαζαραν ... εθεντο 53. ελαβον ... εθεντο 54. ενατω τω pro εκατοστω ... επαταξεν αλκιμος 55. ηδυνατο 57. ιδεν 58. οι ανομοι παντες ... συλλημψεται 60. και τους συν αυτω ... ουκ ηδυνατο 61. συνελαβον ... απεκτεινεν 62. εις βεθβασι ... εστερεωσεν 64. βεθβασι 65. απελειπεν ... και ηλθεν αριθμω 66. οδομηρα ... αναβενιν εν ταις δυν. 68. επολεμησαν 69. ωργισθησαν



Digitized by Google

72 ζωῆς αὐτοῦ. [72] καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλώτευσε τὸ
πρότερον ἐκ γῆς Ἰούδα· καὶ ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ
73 οὐ προςέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρια αὐτῶν. [73] καὶ κατέπαυσε ῥομφαία ἐξ
Ἰσραήλ, καὶ ᾤκησεν Ἰωνάθαν ἐν Μαχμάς· καὶ ἤρξατο Ἰωνάθαν κρίνειν τὸν
λαόν, καὶ ἠφάνισε τοὺς ἀσεβεῖς ἐξ Ἰσραήλ.

## X.

Καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ τοῦ Ἀντιόχου
ὁ Ἐπιφανὴς καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐπεδέξαντο αὐτόν, καὶ ἐβασί-
2 λευσεν ἐκεῖ. [2] καὶ ἤκουσε Δημήτριος ὁ βασιλεύς, καὶ συνήγαγε δυνάμεις
3 πολλὰς σφόδρα, καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ εἰς πόλεμον. [3] καὶ ἀπέ-
στειλε Δημήτριος πρὸς Ἰωνάθαν ἐπιστολὰς λόγοις εἰρηνικοῖς ὥςτε μεγαλῦναι
4 αὐτόν· [4] εἶπε γὰρ Προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ' αὐτοῦ πρὶν ἢ θεῖ-
5 ναι αὐτὸν μετὰ Ἀλεξάνδρου καθ' ἡμῶν· [5] μνησθήσεται γὰρ πάντων τῶν
κακῶν ὧν συνετελέσαμεν πρὸς αὐτὸν καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἰς
6 τὸ ἔθνος αὐτοῦ. [6] καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις καὶ κατα-
σκευάζειν ὅπλα, καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ, καὶ τὰ ὅμηρα τὰ ἐν τῇ
7 ἄκρᾳ εἶπε παραδοῦναι αὐτῷ. [7] καὶ ἦλθεν Ἰωνάθαν εἰς Ἱερουσαλήμ, καὶ
ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ καὶ τῶν ἐκ τῆς ἄκρας.
8 [8] καὶ ἐφοβήθησαν φόβον μέγαν, ὅτε ἤκουσαν ὅτι ἔδωκεν αὐτῷ ὁ βασιλεὺς
9 ἐξουσίαν συναγαγεῖν δυνάμεις. [9] καὶ παρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωνάθαν
10 τὰ ὅμηρα, καὶ ἀπέδωκεν αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν· [10] καὶ ᾤκησεν Ἰωνά-
11 θαν ἐν Ἱερουσαλήμ, καὶ ἤρξατο οἰκοδομεῖν καὶ καινίζειν τὴν πόλιν. [11] καὶ
εἶπε πρὸς τοὺς ποιοῦντας τὰ ἔργα οἰκοδομεῖν τὰ τείχη καὶ τὸ ὄρος Σιὼν
12 κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν· καὶ ἐποίησαν οὕτως. [12] καὶ
ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν οἷς ᾠκοδόμησε Βακχίδης.
13 [13] καὶ κατέλιπεν ἕκαστος τὸν τόπον αὐτοῦ καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.
14 [14] πλὴν ἐν Βαιθσούρᾳ ὑπελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον καὶ
15 τὰ προστάγματα, ἦν γὰρ αὐτοῖς φυγαδευτήριον. [15] καὶ ἤκουσεν Ἀλέξανδρος
ὁ βασιλεὺς τὰς ἐπαγγελίας ὅσας ἀπέστειλε Δημήτριος τῷ Ἰωνάθαν, καὶ διη-
γήσαντο αὐτῷ τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας, ἃς ἐποίησεν αὐτὸς καὶ
16 οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους οὓς ἔσχον, [16] καὶ εἶπε Μὴ εὑρήσομεν
ἄνδρα τοιοῦτον ἕνα; καὶ νῦν ποιήσομεν αὐτὸν φίλον καὶ σύμμαχον ἡμῶν.
17 [17] καὶ ἔγραψεν ἐπιστολὰς καὶ ἀπέστειλεν αὐτῷ κατὰ τοὺς λόγους τούτους
18 19 λέγων [18] Βασιλεὺς Ἀλέξανδρος τῷ ἀδελφῷ Ἰωνάθαν χαίρειν. [19] ἀκηκόαμεν
περὶ σοῦ ὅτι ἀνὴρ δυνατὸς ἰσχύϊ καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος.
20 [20] καὶ νῦν καθεστάκαμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου καὶ φίλον βα-
σιλέως καλεῖσθαι, καὶ ἀπέστειλεν αὐτῷ πορφύραν καὶ στέφανον χρυσοῦν, καὶ
21 φρονεῖν τὰ ἡμῶν καὶ συντηρεῖν φιλίαν πρὸς ἡμᾶς. [21] καὶ ἐνεδύσατο Ἰωνάθαν
τὴν ἁγίαν στολὴν τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ἑορτῇ
22 σκηνοπηγίας, καὶ συνήγαγε δυνάμεις καὶ κατεσκεύασεν ὅπλα πολλά. [22] καὶ
23 ἤκουσε Δημήτριος τοὺς λόγους τούτους, καὶ ἐλυπήθη καὶ εἶπε [23] Τί τοῦτο
ἐποιήσαμεν ὅτι προέφθακεν ἡμᾶς ὁ Ἀλέξανδρος τοῦ φιλίαν καταθέσθαι τοῖς
24 Ἰουδαίοις εἰς στήριγμα; [24] γράψω αὐτοῖς κἀγὼ λόγους παρακλήσεως καὶ
25 ὕψους καὶ δομάτων, ὅπως ὦσι σὺν ἐμοὶ εἰς βοήθειαν. [25] καὶ ἀπέστειλεν

X. 1. πτολεμαϊδαν ... επεδεξατο 3. προς ιων. επιστ. δημητρ. 4. μετ αυτων 7. εν ιερουσαλημ 8. εδωκεν αυτοις 9. απεδωκαν 10. ηκουσεν ιων. 12. ο βακχιδης 13. κατελειπεν 14. εν βεθσουροις ... καταλειποντων 15. ο βασιλ. αλεξανδρος ... ανδραγαθειας ... εσχοσαν 16. ποιησωμεν 19. αγαθος ισχυι ... ημων φιλος 20. απεστειλαν 21. σκηνοπηγειας 23. του φιλ. καταλαβεσθαι 24. καγω αυτοις

Digitized by Google

αὐτοῖς κατὰ τοὺς λόγους τούτους Βασιλεὺς Δημήτριος τῷ ἔϑνει τῶν Ἰου-
δαίων χαίρειν. [26] ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συνϑήκας, καὶ ἐνεμεί- 26
νατε τῇ φιλίᾳ ἡμῶν καὶ οὐ προςεχωρήσατε τοῖς ἐχϑροῖς ἡμῶν, ἠκούσαμεν
καὶ ἐχάρημεν. [27] καὶ νῦν ἐμμείνατε ἔτι· τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν, 27
καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαϑὰ ἀνϑ' ὧν ποιεῖτε μεϑ' ἡμῶν, [28] καὶ ἀφήσο- 28
μεν ὑμῖν ἀφέματα πολλά, καὶ δώσομεν ὑμῖν δόματα. [29] καὶ νῦν ἀπολύω 29
ὑμᾶς, καὶ ἀφίημι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων καὶ τῆς τιμῆς
τοῦ ἁλὸς καὶ ἀπὸ τῶν στεφάνων, [30] καὶ ἀντὶ τοῦ τρίτου τῆς σπορᾶς 30
καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου τοῦ ἐπιβάλλοντός μοι λα-
βεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα τοῦ λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα
καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν προςτιϑεμένων αὐτῇ ἀπὸ τῆς Σαμαρείτιδος
καὶ Γαλιλαίας, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν αἰῶνα χρόνον.
[31] καὶ Ἱερουσαλὴμ ἤτω ἁγία καὶ ἀφειμένη καὶ τὰ ὅρια αὐτῆς, αἱ δεκάται 31
καὶ τὰ τέλη. [32] ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἱερουσαλήμ, καὶ 32
δίδωμι τῷ ἀρχιερεῖ ὅπως ἂν καταστήσῃ ἐν αὐτῇ ἄνδρας οὓς ἂν ἐκλέξηται
αὐτὸς τοῦ φυλάσσειν αὐτήν. [33] καὶ πᾶσαν ψυχὴν Ἰουδαίων τὴν αἰχμαλωτι- 33
σϑεῖσαν ἀπὸ γῆς Ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευϑέραν δω-
ρεάν· καὶ πάντες ἀφιέτωσαν τοὺς φόρους καὶ τῶν κτηνῶν αὐτῶν. [34] καὶ 34
πᾶσαι αἱ ἑορταὶ καὶ τὰ σάββατα καὶ νουμηνίαι καὶ ἡμέραι ἀποδεδειγμέ-
ναι, καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ ἑορτήν, ἔστωσαν
πᾶσαι αἱ ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν
τῇ βασιλείᾳ μου. [35] καὶ οὐχ ἕξει ἐξουσίαν οὐδεὶς πράσσειν καὶ παρενοχλεῖν 35
τινὰ αὐτῶν περὶ παντὸς πράγματος. [36] καὶ προγραφήτωσαν τῶν Ἰουδαίων 36
εἰς τὰς δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν, καὶ δοϑή-
σεται αὐτοῖς ξένια ὡς καϑήκει πάσαις ταῖς δυνάμεσι τοῦ βασιλέως. [37] καὶ 37
κατασταϑήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ βασιλέως τοῖς μεγάλοις,
καὶ ἐκ τούτων κατασταϑήσεται ἐπὶ χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς
πίστιν· καὶ οἱ ἐπ' αὐτῶν καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν καὶ πορευέ-
σϑωσαν τοῖς νόμοις αὐτῶν, καϑὰ καὶ προςέταξεν ὁ βασιλεὺς ἐν γῇ Ἰούδα.
[38] καὶ τοὺς τρεῖς νομοὺς τοὺς προςτεϑέντας τῇ Ἰουδαίᾳ ἀπὸ τῆς χώρας 38
Σαμαρείας, προςτεϑήτω τῇ Ἰουδαίᾳ πρὸς τὸ λογισϑῆναι τοῦ γενέσϑαι ὑφ'
ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας ἀλλ' ἢ τοῦ ἀρχιερέως. [39] Πτολεμαΐδα 39
καὶ τὴν προςκυροῦσαν αὐτῇ δέδωκα δόμα τοῖς ἁγίοις τοῖς ἐν Ἱερουσαλὴμ
εἰς τὴν προςήκουσαν δαπάνην τοῖς ἁγίοις. [40] κἀγὼ δίδωμι κατ' ἐνιαυτὸν δε- 40
καπέντε χιλιάδας σίκλων ἀργυρίου ἀπὸ τῶν λόγων τοῦ βασιλέως ἀπὸ τῶν
τόπων τῶν ἀνηκόντων. [41] καὶ πᾶν τὸ πλεονάζον ὃ οὐκ ἀπεδίδοσαν οἱ ἀπὸ 41
τῶν χρειῶν ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα
τοῦ οἴκου. [42] καὶ ἐπὶ τούτοις πεντακιςχιλίους σίκλους ἀργυρίου οὓς ἐλάμβανον 42
ἀπὸ τῶν χρειῶν τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ' ἐνιαυτόν, καὶ ταῦτα ἀφίε-
ται διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι. [43] καὶ ὅσοι ἐὰν φύ- 43
γωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ ὀφεί-
λοντες βασιλικὰ καὶ πᾶν πρᾶγμα, ἀπολελύσϑωσαν καὶ πάντα ὅσα ἐστὶν
αὐτοῖς ἐν τῇ βασιλείᾳ μου. [44] καὶ τοῦ οἰκοδομηϑῆναι καὶ τοῦ ἐπικαινισϑῆναι 44
τὰ ἔργα τῶν ἁγίων, καὶ ἡ δαπάνη δοϑήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως.
[45] καὶ τοῦ οἰκοδομηϑῆναι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὀχυρῶσαι κυκλόϑεν, καὶ 45
ἡ δαπάνη δοϑήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ οἰκοδομηϑῆναι τὰ

30. * τους καρπους ... σαμαριτιδος κ. γαλιλεας· απο ... εις τον απαντα χρονον 31. αφιεμενη 32. καταστη 33. και κτηνων 34. εν παση τη βασιλ. μου 35. ουκ εξει 37. εξ αυτων εστωσαν 38. σαμαριας 39. εις την προκαϑηκουσαν 41. απεδιδοσαν απο χριων ... δωσωσιν 42. χριων ως εν τοις πρωτοις ετεσιν του αγιου 43. οφιλων 45. οικοδομησαι τα τειχη εν τη ιερ.

34*

46 τείχη τὰ ἐν τῇ Ἰουδαίᾳ. [46] ὡς δὲ ἤκουσεν Ἰωνάθαν καὶ ὁ λαὸς τοὺς λόγους
τούτους, οὐκ ἐπίστευσαν αὐτοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κα-
47 κίας τῆς μεγάλης ἧς ἐποίησεν ἐν Ἰσραὴλ καὶ ἔθλιψεν αὐτοὺς σφόδρα. [47] καὶ
εὐδόκησαν ἐν Ἀλεξάνδρῳ, ὅτι αὐτὸς ἐγένετο αὐτοῖς ἀρχηγὸς λόγων εἰρηνι-
48 κῶν, καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας. [48] καὶ συνήγαγεν Ἀλέξανδρος
49 ὁ βασιλεὺς δυνάμεις μεγάλας καὶ παρενέβαλεν ἐξεναντίας Δημητρίου. [49] καὶ
συνῆψαν πόλεμον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ Δημητρίου· καὶ
50 ἐδίωξεν αὐτὸν ὁ Ἀλέξανδρος καὶ ἴσχυσεν ἐπ' αὐτούς. [50] καὶ ἐστερέωσε τὸν
πόλεμον σφόδρα ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ Δημήτριος ἐν τῇ ἡμέρᾳ
51 ἐκείνῃ. [51] καὶ ἀπέστειλεν Ἀλέξανδρος πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου
52 πρέσβεις κατὰ τοὺς λόγους τούτους λέγων [52] Ἐπεὶ ἀνέστρεψα εἰς γῆν βασι-
λείας μου, καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων μου καὶ ἐκράτησα τῆς ἀρχῆς,
53 καὶ συνέτριψα τὸν Δημήτριον καὶ ἐπεκράτησα τῆς χώρας ἡμῶν, [53] καὶ συνῆψα
πρὸς αὐτὸν μάχην, καὶ συνετρίβη αὐτὸς καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν,
54 καὶ ἐκαθίσαμεν ἐπὶ θρόνου βασιλείας αὐτοῦ· [54] καὶ νῦν στήσωμεν πρὸς ἑαυ-
τοὺς φιλίαν, καὶ νῦν δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα καὶ ἐπιγαμ-
55 βρεύσω σοι, καὶ δώσω σοὶ δόματα καὶ αὐτῇ ἄξιά σου. [55] καὶ ἀπεκρίθη
Πτολεμαῖος ὁ βασιλεὺς λέγων Ἀγαθὴ ἡμέρα ἐν ᾗ ἀνέστρεψας εἰς γῆν πατέ-
56 ρων σου καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐτῶν. [56] καὶ νῦν ποιήσω σοι
ἃ ἔγραψας, ἀλλ' ἀπάντησον εἰς Πτολεμαΐδα ὅπως ἴδωμεν ἀλλήλους, καὶ
57 ἐπιγαμβρεύσω σοι καθὼς εἴρηκας. [57] καὶ ἐξῆλθε Πτολεμαῖος ἐξ Αἰγύπτου,
αὐτὸς καὶ Κλεοπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ εἰσῆλθον εἰς Πτολεμαΐδα ἔτους
58 δευτέρου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ. [58] καὶ ἀπήντησεν αὐτῷ Ἀλέξανδρος
ὁ βασιλεύς, καὶ ἐξέδοτο αὐτῷ Κλεοπάτραν τὴν θυγατέρα αὐτοῦ, καὶ ἐποίησε
59 τὸν γάμον αὐτῆς ἐν Πτολεμαΐδι καθὼς οἱ βασιλεῖς ἐν δόξῃ μεγάλῃ. [59] καὶ
ἔγραψεν Ἀλέξανδρος ὁ βασιλεὺς τῷ Ἰωνάθαν ἐλθεῖν εἰς συνάντησιν αὐτῷ.
60 [60] καὶ ἐπορεύθη μετὰ δόξης εἰς Πτολεμαΐδα, καὶ ἀπήντησε τοῖς δυσὶ βασι-
λεῦσι· καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ τοῖς φίλοις αὐτῶν καὶ
61 δόματα πολλά, καὶ εὗρε χάριν ἐναντίον αὐτῶν. [61] καὶ ἐπισυνήχθησαν πρὸς
αὐτὸν ἄνδρες λοιμοὶ ἐξ Ἰσραήλ, ἄνδρες παράνομοι ἐντυχεῖν κατ' αὐτοῦ, καὶ
62 οὐ προσέσχεν αὐτοῖς ὁ βασιλεύς. [62] καὶ προσέταξεν ὁ βασιλεύς, καὶ ἐξέδυσαν
Ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕ-
63 τως. [63] καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ' αὐτοῦ, καὶ εἶπε τοῖς ἄρχουσιν
αὐτοῦ Ἐξέλθετε μετ' αὐτοῦ εἰς μέσον τῆς πόλεως, καὶ κηρύξατε τοῦ μη-
δένα ἐντυγχάνειν κατ' αὐτοῦ περὶ μηδενὸς πράγματος, καὶ μηδεὶς αὐτῷ
64 παρενοχλείτω περὶ παντὸς λόγου. [64] καὶ ἐγένετο ὡς ἴδον οἱ ἐντυγχάνοντες
τὴν δόξαν αὐτοῦ καθὼς ἐκήρυξαν καὶ περιβεβλημένον αὐτὸν πορφύραν, καὶ
65 ἔφυγον πάντες. [65] καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεύς, καὶ ἔγραψεν αὐτὸν τῶν
66 πρώτων φίλων, καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μεριδάρχην. [66] καὶ ἐπέστρε-
67 ψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ μετ' εἰρήνης καὶ εὐφροσύνης. [67] καὶ ἐν ἔτει
πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθε Δημήτριος υἱὸς Δημητρίου ἐκ
68 Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ. [68] καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βα-
69 σιλεύς, καὶ ἐλυπήθη σφόδρα, καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν. [69] καὶ κατέ-
στησε Δημήτριος Ἀπολλώνιον τὸν ὄντα ἐπὶ Κοίλης Συρίας, καὶ συνήγαγε
δύναμιν μεγάλην καὶ παρενέβαλεν ἐν Ἰαμνείᾳ, καὶ ἀπέστειλε πρὸς Ἰωνάθαν

46. επιστευσεν 47. ευδοχησαμεν αλεξανδρω 49. η παρεμβ. αλεξανδρου· κ. ε. αυτ. ο δημητριος 50. om τον 52. εις την βασιλειαν μου 54. και συνστησωμεν προς αυτον 56. αλλα απαντησον 57. και ηλθεν εις 58. εξεδετο 59. ο βασιλ. αλεξανδρος ιωναθη 60. δυνατα pro δοματα 61. συνηχθησαν επ αυτον 62. προσεταξεν αυτοις ... εξεδυσεν 63. εξελθατε ... κατα του σου ... ενοχλιτω 64. ειδον ... εκηρυξεν ... περιβ. αυτ. σινδονα 67. ο υιος ... αντιοχιαν

Digitized by Google

τὸν ἀρχιερέα λέγων 70 Σὺ μονώτατος ἐπαίρῃ ἐφ' ἡμᾶς, ἐγὼ δὲ ἐγενήθην 70
εἰς καταγέλωτα καὶ εἰς ὀνειδισμὸν διὰ σέ· καὶ διὰ τί σὺ ἐξουσιάζῃ ἐφ'
ἡμᾶς ἐν τοῖς ὄρεσι; 71 νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσί σου, κατά- 71
βηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ' ἐμοῦ
ἐστὶ δύναμις τῶν πόλεων. 72 ἐρώτησον καὶ μάθε τίς εἰμι καὶ οἱ λοιποὶ οἱ 72
βοηθοῦντες ἡμῖν, καὶ λέγουσιν Οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ πρόςωπον
ἡμῶν, ὅτι δὶς ἐτροπώθησαν οἱ πατέρες σου ἐν τῇ γῇ αὐτῶν, 73 καὶ νῦν οὐ 73
δυνήσῃ ὑποστῆναι τὴν ἵππον καὶ δύναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ
ἔστι λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ φυγεῖν. 74 ὡς δὲ ἤκουσεν Ἰωνάθαν 74
τῶν λόγων Ἀπολλωνίου, ἐκινήθη τῇ διανοίᾳ, καὶ ἐπέλεξε δέκα χιλιάδας ἀν-
δρῶν καὶ ἐξῆλθεν ἐξ Ἱερουσαλήμ, καὶ συνήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς
αὐτοῦ ἐπὶ βοήθειαν αὐτοῦ. 75 καὶ παρενέβαλεν ἐπὶ Ἰόππην, καὶ ἀπέκλεισαν 75
αὐτὸν ἐκ τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ, καὶ ἐπολέμησαν
αὐτήν. 76 καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, καὶ ἐκυρίευσεν Ἰωνάθαν 76
Ἰόππης. 77 καὶ ἤκουσεν Ἀπολλώνιος, καὶ παρενέβαλε τριςχιλίαν ἵππον καὶ 77
δύναμιν πολλήν, καὶ ἐπορεύθη εἰς Ἄζωτον ὡς διοδεύων καὶ ἅμα προῆγεν
εἰς τὸ πεδίον, διὰ τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου καὶ πεποιθέναι ἐπ' αὐτῇ.
78 καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτοῦ εἰς Ἄζωτον, καὶ συνῆψαν αἱ παρεμ- 78
βολαὶ εἰς πόλεμον. 79 καὶ ἀπέλιπεν Ἀπολλώνιος χιλίαν ἵππον ἐν κρυπτῷ κα- 79
τόπισθεν αὐτῶν. 80 καὶ ἔγνω Ἰωνάθαν ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ 80
καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολήν, καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν
λαὸν ἐκ πρωίθεν ἕως ἑσπέρας. 81 ὁ δὲ λαὸς εἱστήκει καθὼς ἐπέταξεν Ἰω- 81
νάθαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν. 82 καὶ εἵλκυσε Σίμων τὴν δύναμιν 82
αὐτοῦ καὶ συνῆψε πρὸς τὴν φάραγγα, ἡ γὰρ ἵππος ἐξελύθη, καὶ συνετρίβη-
σαν ὑπ' αὐτοῦ καὶ ἔφυγον. 83 καὶ ἡ ἵππος ἐσκορπίσθη ἐν τῷ πεδίῳ, καὶ 83
ἔφυγον εἰς Ἄζωτον καὶ εἰςῆλθον εἰς Βηθδαγὼν τὸ εἰδωλεῖον αὐτῶν τοῦ σω-
θῆναι. 84 καὶ ἐνεπύρισεν Ἰωνάθαν τὴν Ἄζωτον καὶ τὰς πόλεις τὰς κύκλῳ 84
αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὸ ἱερὸν Δαγὼν καὶ τοὺς συμφυγόν-
τας εἰς αὐτὸ ἐνεπύρισε πυρί. 85 καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ σὺν 85
τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακιςχιλίους. 86 καὶ ἀπῆρεν ἐκεῖθεν Ἰωνάθαν 86
καὶ παρενέβαλεν ἐπὶ Ἀσκάλωνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συνάντη-
σιν αὐτῷ ἐν δόξῃ μεγάλῃ. 87 καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ σὺν 87
τοῖς παρ' αὐτοῦ ἔχοντες σκῦλα πολλά. 88 καὶ ἐγένετο ὡς ἤκουσεν Ἀλέξαν- 88
δρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προςέθετο δοξάσαι τὸν Ἰωνάθαν.
89 καὶ ἀπέστειλεν αὐτῷ πόρπην χρυσῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι 89
τῶν βασιλέων, καὶ ἔδωκεν αὐτῷ τὴν Ἀκκαρὼν καὶ πάντα τὰ ὅρια αὐτῆς
εἰς κληροδοσίαν.

## XI.

Καὶ ὁ βασιλεὺς Αἰγύπτου ἤθροισε δυνάμεις πολλὰς ὡς τὴν ἄμμον τὴν περὶ
τὸ χεῖλος τῆς θαλάσσης καὶ πλοῖα πολλά, καὶ ἐζήτησε κατακρατῆσαι τῆς βα-
σιλείας Ἀλεξάνδρου δόλῳ καὶ προςθεῖναι αὐτὴν τῇ βασιλείᾳ αὐτοῦ. 2 καὶ ἐξῆλ- 2
θεν εἰς Συρίαν λόγοις εἰρηνικοῖς, καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων καὶ
συνήντων αὐτῷ, ὅτι ἐντολὴ ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ
τὸ πενθερὸν αὐτοῦ εἶναι. 3 ὡς δὲ εἰςεπορεύετο εἰς τὰς πόλεις ὁ Πτολεμαῖος, 3

---

70. και ονιδισμον ... om συ 72. εστιν ημιν 73. τοπος που φυγειν 75. αυτον οι εκ 77. προςηγεν ... και δια το ... επ αυτην 78. om ιωναθαν ... ante εις πολεμον repetit οπισω αυτου 79. απελειπεν ... ιππον κρυπτως 80. εκ πρ. εως διλης 81. ιστηκει 82. φαλαγγα ... απ αυτου κ. εφυγαν 83. ιδωλιον 84. το ιερ. δαγων και το ιερον αυτης ενεπυρισεν εν πυρι 86. παρενεβ. εισκαλωνα (sic) 87. om εις ιερουσαλημ 89. συγγενευσιν XI. 1. ως η αμμος η παρα το 3. πολεις πτολεμαϊδος

4 ἀπέτασσε τὰς δυνάμεις φρουρὰν ἐν ἑκάστῃ πόλει. 4 ὡς δὲ ἤγγισεν Ἀζώτου,
ἔδειξαν αὐτῷ τὸ ἱερὸν Δαγὼν ἐμπεπυρισμένον καὶ Ἄζωτον καὶ τὰ περιπόλια
αὐτῆς καθῃρημένα καὶ τὰ σώματα ἐῤῥιμμένα καὶ τοὺς ἐμπεπυρισμένους οὓς
ἐνεπύρισεν ἐν τῷ πολέμῳ, ἐποίησαν γὰρ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ.
5 5 καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν Ἰωνάθαν εἰς τὸ ψογῆσαι αὐτόν·
6 καὶ ἐσίγησεν ὁ βασιλεύς. 6 καὶ συνήντησεν Ἰωνάθαν τῷ βασιλεῖ εἰς Ἰόππην
7 μετὰ δόξης, καὶ ἠσπάσαντο ἀλλήλους καὶ ἐκοιμήθησαν ἐκεῖ. 7 καὶ ἐπορεύθη
Ἰωνάθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ καλουμένου Ἐλευθέρου,
8 καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ. 8 ὁ δὲ βασιλεὺς Πτολεμαῖος ἐκυρίευσε τῶν
πόλεων τῆς παραλίας ἕως Σελευκείας τῆς παραθαλασσίας, καὶ διελογίζετο
9 περὶ Ἀλεξάνδρου λογισμοὺς πονηρούς. 9 καὶ ἀπέστειλε πρέσβεις πρὸς Δημή-
τριον τὸν βασιλέα λέγων Δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ δώσω
σοι τὴν θυγατέρα μου ἣν ἔχει Ἀλέξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας
10 τοῦ πατρός σου. 10 μεταμεμέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζή-
11 τησε γὰρ ἀποκτεῖναί με. 11 καὶ ἐψόγησεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐ-
12 τὸν τῆς βασιλείας αὐτοῦ. 12 καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα ἔδωκεν
αὐτὴν τῷ Δημητρίῳ, καὶ ἠλλοιώθη τοῦ Ἀλεξάνδρου, καὶ ἐφάνη ἡ ἔχθρα
13 αὐτῶν. 13 καὶ εἰσῆλθε Πτολεμαῖος εἰς Ἀντιόχειαν καὶ περιέθετο δύο διαδή-
14 ματα περὶ τὴν κεφαλὴν αὐτοῦ, τὸ τῆς Ἀσίας καὶ Αἰγύπτου. 14 Ἀλέξανδρος
δὲ ὁ βασιλεὺς ἦν ἐν Κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν
15 οἱ ἀπὸ τῶν τόπων ἐκείνων. 15 καὶ ἤκουσεν Ἀλέξανδρος, καὶ ἦλθεν ἐπ' αὐ-
τὸν πολέμῳ· καὶ ἐξήγαγε Πτολεμαῖος τὴν δύναμιν καὶ ἀπήντησεν αὐτῷ ἐν
16 χειρὶ ἰσχυρᾷ, καὶ ἐτροπώσατο αὐτόν. 16 καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν Ἀρα-
17 βίαν τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ· ὁ δὲ βασιλεὺς Πτολεμαῖος ὑψώθη. 17 καὶ
ἀφεῖλε Ζαβδιὴλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλεξάνδρου καὶ ἀπέστειλε τῷ Πτο-
18 λεμαίῳ. 18 καὶ ὁ βασιλεὺς Πτολεμαῖος ἀπέθανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ
19 οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι. 19 καὶ
20 ἐβασίλευσε Δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ. 20 ἐν
ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ἰωνάθαν τοὺς ἐκ τῆς Ἰουδαίας τοῦ ἐκπο-
λεμῆσαι τὴν ἄκραν τὴν ἐν Ἱερουσαλήμ, καὶ ἐποίησεν ἐπ' αὐτὴν μηχανὰς
21 πολλάς. 21 καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ ἔθνος αὐτῶν ἄνδρες παράνο-
μοι πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλαν αὐτῷ ὅτι Ἰωνάθαν περικάθηται τὴν
22 ἄκραν. 22 καὶ ἀκούσας ὠργίσθη· ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλθεν εἰς
Πτολεμαΐδα καὶ ἔγραψεν Ἰωνάθαν τοῦ μὴ περικαθῆσθαι τῇ ἄκρᾳ καὶ τοῦ
23 ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς Πτολεμαΐδα τὴν ταχίστην. 23 ὡς δὲ
ἤκουσεν Ἰωνάθαν, ἐκέλευσε περικαθῆσθαι, καὶ ἐπέλεξε τῶν πρεσβυτέρων
24 Ἰσραὴλ καὶ τῶν ἱερέων, καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ. 24 καὶ λαβὼν ἀρ-
γύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα, ἐπορεύθη πρὸς
25 τὸν βασιλέα εἰς Πτολεμαΐδα καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. 25 καὶ ἐνετύγ-
26 χανον κατ' αὐτοῦ τινὲς ἄνομοι τῆς ἐκ τοῦ ἔθνους. 26 καὶ ἐποίησεν αὐτῷ ὁ
βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον
27 πάντων τῶν φίλων αὐτοῦ. 27 καὶ ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην καὶ ὅσα
ἄλλα εἶχε τίμια τὸ πρότερον, καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖ-

4. ενεπυρισμενον ... περιπολεια ... θιμωνιας 5. ψογισαι 8. πτολεμεος (ita plerumque) ... σελευχιας 9. δημητριον βασιλεα 11. εψογισεν 12. ηλλ. το προςωπον αλεξανδρου ... εφανη εχθρα 13. πτολεμεος (sic plerumque) ... αντιοχιαν ... περιεθετο το διαδημα της ασιας· και περιεθετο δυο διαδ. 14. ην εις κιλικιαν 15. εν πολεμω ... om την δυναμιν 18. οχυρωμ. αυτου απωλ. 20. εποιησαν 22. om τη ακρα 23. εδωκεν αυτον 24. και εταραξεν τα πλιονα pro και ετερα ξεν. πλειονα ... και εποpευθη ... εναντιον αυτου 25. των εκ του 27. αρχιεροσυνην

Digitized by Google

σθαι. [28]καὶ ἠξίωσεν Ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφορολό- 28
γητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν Σαμαρεῖτιν, καὶ ἐπηγγείλατο αὐτῷ
τάλαντα τριακόσια. [29]καὶ εὐδόκησεν ὁ βασιλεύς, καὶ ἔγραψε τῷ Ἰωνάθαν 29
ἐπιστολὰς περὶ πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον· [30]Βασιλεὺς Δη- 30
μήτριος Ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν καὶ ἔθνει Ἰουδαίων. [31]τὸ ἀντίγραφον 31
τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γε-
γράφαμεν καὶ πρὸς ὑμᾶς ὅπως εἰδῆτε· [32]Βασιλεὺς Δημήτριος Λασθένει τῷ 32
πατρὶ χαίρειν. [33]τῷ ἔθνει τῶν Ἰουδαίων φίλοις ἡμῶν καὶ συντηροῦσι τὰ 33
πρὸς ἡμᾶς δίκαια ἐκρίναμεν ἀγαθοποιῆσαι χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς
ἡμᾶς. [34]ἑστάκαμεν οὖν αὐτοῖς τά τε ὅρια τῆς Ἰουδαίας καὶ τοὺς τρεῖς νο- 34
μοὺς Ἀφαίρεμα καὶ Λύδδαν καὶ Ῥαμαθέμ, αἵτινες προσετέθησαν τῇ Ἰουδαίᾳ
ἀπὸ τῆς Σαμαρείτιδος, καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσι τοῖς θυσιά-
ζουσιν εἰς Ἱεροσόλυμα, ἀντὶ τῶν βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ᾿
αὐτῶν τὸ πρότερον κατ᾿ ἐνιαυτὸν ἀπὸ τῶν γεννημάτων τῆς γῆς καὶ ἀπὸ
τῶν ἀκροδρύων. [35]καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκα- 35
τῶν καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν, καὶ τὰς τοῦ ἁλὸς λίμνας, καὶ τοὺς
ἀνήκοντας ἡμῖν στεφάνους, πάντα ἐπαρκῶς παρίεμεν αὐτοῖς. [36]καὶ οὐκ ἀθε- 36
τηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον. [37]νῦν 37
οὖν ἐπιμέλεσθε τοῦ ποιῆσαι τούτων ἀντίγραφον, καὶ δοθήτω Ἰωνάθαν, καὶ
τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ. [38]καὶ εἶδε Δημήτριος ὁ βα- 38
σιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει, καὶ
ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν
ξένων δυνάμεων ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν· καὶ ἤχθραναν
αὐτῷ πᾶσαι αἱ δυνάμεις τῶν πατέρων αὐτοῦ. [39]Τρύφων δὲ ἦν τῶν παρὰ 39
Ἀλεξάνδρου τὸ πρότερον, καὶ εἶδεν ὅτι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσι
τοῦ Δημητρίου, καὶ ἐπορεύθη πρὸς Εἰμαλκουαὶ τὸν Ἄραβα, ὃς ἔτρεφε τὸν
Ἀντίοχον τὸ παιδάριον τὸ τοῦ Ἀλεξάνδρου. [40]καὶ προσήδρευεν αὐτῷ ὅπως 40
παραδοῖ αὐτὸν αὐτῷ, ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ· καὶ ἀπήγγει-
λεν αὐτῷ ὅσα συνετέλεσε Δημήτριος καὶ τὴν ἔχθραν ἣν ἐχθραίνουσιν αὐτῷ
αἱ δυνάμεις αὐτοῦ, καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς. [41]καὶ ἀπέστειλεν Ἰω- 41
νάθαν πρὸς Δημήτριον τὸν βασιλέα ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ Ἱε-
ρουσαλὴμ καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν· ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραήλ.
[42]καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν λέγων Οὐ μόνον ταῦτα ποιήσω 42
σοὶ καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω σὲ καὶ τὸ ἔθνος σου, ἐὰν εὐκαι-
ρίας τύχω. [43]νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας οἳ συμμαχή- 43
σουσιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου. [44]καὶ ἀπέστειλεν Ἰωνάθαν 44
ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύϊ αὐτῷ εἰς Ἀντιόχειαν, καὶ ἤλθοσαν πρὸς
τὸν βασιλέα, καὶ εὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. [45]καὶ ἐπι- 45
συνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλεως εἰς ἀνδρῶν δώδεκα
μυριάδας ἀνδρῶν, καὶ ἠβούλοντο ἀνελεῖν τὸν βασιλέα. [46]καὶ ἔφυγεν ὁ βα- 46
σιλεὺς εἰς τὴν αὐλήν, καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς
πόλεως καὶ ἤρξαντο πολεμεῖν. [47]καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ἰουδαίους 47

---

28. σαμαριτιν ... επηγγειλαντο 31. οπως ιδηται 33. της εαυτων ευνοιας 34. τα ορια ... αφερεμα κ. λυδδα κ. ραθαμειν προσετεθησαν ... σαμαριτιδος ... γενηματων ... και των ακροδυων (sic) 35. παντα επαρκεσομεν αυτοις 36. αθετησεται ουδεν ... νυν επι τον 37. επιμελεισθαι ... εν ορει ... τοπ. επιτηδειω επισημω 38. ιδεν ... ουθεν α. ανθεστηκει ... εκαστον ιδιον τοπον ... ηχθρασαν αυτων πασαι αι δυν. αι απο των 39. ιδεν ... καταγογγ. κατα του ... προς σινμαλκουη 40. απηγγειλαν 42. αλλ η δοξη 43. αποστειλας ημιν ανδρ. οι συμμ. μοι 44. ισχ. αυτων εις αντιοχιαν ... ηυφρανθη 45. πολ. ανδρας δωδεκα μυριαδας· και ηβουλ. 46. ηρξ. εκπολεμιν

Digitized by Google

ἐπὶ βοήθειαν, καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα, καὶ διεσπάρησαν
ἐν τῇ πόλει πάντες ἅμα· καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
48 εἰς μυριάδας δέκα, 48 καὶ ἐνεπύρισαν τὴν πόλιν, καὶ ἐλάβοσαν σκῦλα πολλὰ
49 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἔσωσαν τὸν βασιλέα. 49 καὶ ἴδον οἱ ἀπὸ τῆς πό-
λεως ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο, καὶ ἠσθένη-
σαν ταῖς διανοίαις αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως
50 λέγοντες 50 Δὸς ἡμῖν δεξιάς, καὶ παυσάσθωσαν οἱ Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς
51 καὶ τὴν πόλιν. 51 καὶ ἔῤῥιψαν τὰ ὅπλα καὶ ἐποίησαν εἰρήνην, καὶ ἐδοξάσθη-
σαν οἱ Ἰουδαῖοι ἐναντίον τοῦ βασιλέως καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βα-
52 σιλείᾳ αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ ἔχοντες σκῦλα πολλά. 52 καὶ
ἐκάθισε Δημήτριος ὁ βασιλεὺς ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχα-
53 σεν ἡ γῆ ἐνώπιον αὐτοῦ. 53 καὶ ἐψεύσατο πάντα ὅσα εἶπε, καὶ ἠλλοτριώθη
τῷ Ἰωνάθαν, καὶ οὐκ ἀνταπέδωκε κατὰ τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ,
54 καὶ ἔθλιβεν αὐτὸν σφόδρα. 54 μετὰ δὲ ταῦτα ἀπέστρεψε Τρύφων καὶ Ἀντίο-
χος μετ' αὐτοῦ παιδάριον νεώτερον· καὶ ἐβασίλευσε καὶ ἐπέθετο διάδημα.
55 55 καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις ἃς ἀπεσκόρπισε Δημή-
56 τριος, καὶ ἐπολέμησαν πρὸς αὐτόν, καὶ ἔφυγε καὶ ἐτροπώθη. 56 καὶ ἔλαβε
57 Τρύφων τὰ θηρία καὶ κατεκράτησεν Ἀντιοχείας. 57 καὶ ἔγραψεν Ἀντίοχος
ὁ νεώτερος τῷ Ἰωνάθαν λέγων Ἵστημί σοι τὴν ἀρχιερωσύνην, καὶ καθίστημί
58 σε ἐπὶ τῶν τεσσάρων νομῶν καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως. 58 καὶ
ἀπέστειλεν αὐτῷ χρυσώματα καὶ διακονίαν, καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πί-
59 νειν ἐν χρυσώμασι καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην χρυσῆν. 59 καὶ
Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε στρατηγὸν ἀπὸ τῆς κλίμακος Τύρου
60 ἕως τῶν ὁρίων Αἰγύπτου. 60 καὶ ἐξῆλθεν Ἰωνάθαν καὶ διεπορεύετο πέραν
τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ
δυνάμεις Συρίας εἰς συμμαχίαν, καὶ ἦλθεν εἰς Ἀσκάλωνα, καὶ ἀπήντησαν
61 αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐνδόξως. 61 καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν, καὶ
ἀπέκλεισαν οἱ ἀπὸ Γάζης, καὶ περιεκάθισε περὶ αὐτὴν καὶ ἐνεπύρισε τὰ
62 περιπόλια αὐτῆς πυρὶ καὶ ἐσκύλευσεν αὐτά. 62 καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης
τὸν Ἰωνάθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιάς, καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐ-
τῶν εἰς ὅμηρα καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ἱερουσαλήμ, καὶ διῆλθε τὴν
63 χώραν ἕως Δαμασκοῦ. 63 καὶ ἤκουσεν Ἰωνάθαν ὅτι παρῆσαν οἱ ἄρχοντες
Δημητρίου εἰς Κάδης τὴν ἐν τῇ Γαλιλαίᾳ μετὰ δυνάμεως πολλῆς, βουλόμε-
64 νοι μεταστῆσαι αὐτὸν τῆς χρείας. 64 καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν
65 αὐτοῦ Σίμωνα κατέλιπεν ἐν τῇ χώρᾳ. 65 καὶ παρενέβαλε Σίμων ἐπὶ Βαιθ-
66 σούρᾳ, καὶ ἐπολέμει αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν. 66 καὶ
ἠξίωσαν αὐτὸν τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς καὶ ἐξέβαλεν αὐτοὺς
67 ἐκεῖθεν, καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ' αὐτῇ φρουράν. 67 καὶ Ἰω-
νάθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ Γεννησάρ, καὶ ὤρ-
68 θρισαν τὸ πρωὶ εἰς τὸ πεδίον Νασώρ. 68 καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων
ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ, καὶ ἐξέβαλον ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν,
69 αὐτοὶ δὲ ἀπήντησαν ἐξεναντίας. 69 τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων
70 αὐτῶν καὶ συνῆψαν πόλεμον· καὶ ἔφυγον οἱ παρὰ Ἰωνάθαν πάντες, 70 οὐδὲ
εἷς κατελείφθη ἀπ' αὐτῶν, πλὴν Ματταθίας ὁ τοῦ Ἀβεσσαλώμου καὶ Ἰούδας
71 ὁ τοῦ Χαλφὶ ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων. 71 καὶ διέῤῥηξεν Ἰωνάθαν
τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθηκε γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ προσηύξατο.

---

47. om παντες αμα secundo loco 51. ερειψαν 52. ο βασιλ. δημητρ. 53. ουκ ανταπεδωκεν τας ευνοιας ... εθλιψεν 55. απεσκορακισεν 56. αντιοχιας 57. ο νεωτερος ιωναθα 61. εν πυρι ... εσκυλ. αυτας 62. om τον ... των αρχοντων 63. εις κηδες 64. κατελειπεν 65. εν βεθσουρα 66. επ αυτην φλουρα (sic) 67. του γεννησαρ 69. τοπων εαυτων ... παρα ιωναθου 70. αψαλωμου ... χαλφει 71. επεθετο

Digitized by Google

72 καὶ ὑπέστρεψε πρὸς αὐτοὺς πολέμῳ, καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔφυγον. 72
73 καὶ ἴδον οἱ φεύγοντες οἱ παρ' αὐτοῦ, καὶ ἐπέστρεψαν πρὸς αὐτόν, καὶ 73
ἐδίωκον μετ' αὐτοῦ ἕως Κάδης ἕως τῆς παρεμβολῆς αὐτῶν καὶ παρενέβαλον
ἐκεῖ. 74 καὶ ἔπεσον ἐκ τῶν ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισ- 74
χιλίους· καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλήμ.

## XII.

Καὶ εἶδεν Ἰωνάθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπέλεξεν ἄνδρας
καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι καὶ ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φι-
λίαν. 2 καὶ πρὸς Σπαρτιάτας καὶ τόπους ἑτέρους ἀπέστειλεν ἐπιστολὰς κατὰ 2
τὰ αὐτά. 3 καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ εἰςῆλθον εἰς τὸ βουλευτήριον 3
καὶ εἶπον Ἰωνάθαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν Ἰουδαίων ἀπέστειλεν
ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον.
4 καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν 4
αὐτοὺς εἰς γῆν Ἰούδα μετ' εἰρήνης. 5 καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστο- 5
λῶν ὧν ἔγραψεν Ἰωνάθαν τοῖς Σπαρτιάταις· 6 Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γε- 6
ρουσία τοῦ ἔθνους καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν Ἰουδαίων Σπαρ-
τιάταις τοῖς ἀδελφοῖς χαίρειν. 7 ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς 7
Ὀνίαν τὸν ἀρχιερέα παρὰ Δαρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν ὅτι ἐστὲ ἀδελ-
φοὶ ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑπόκειται. 8 καὶ ἐπεδέξατο Ὀνίας τὸν ἄνδρα 8
τὸν ἀπεσταλμένον ἐνδόξως, καὶ ἔλαβε τὰς ἐπιστολὰς ἐν αἷς διεσαφεῖτο περὶ
συμμαχίας καὶ φιλίας. 9 καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, παράκλησιν 9
ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡμῶν, 10 ἐπειράθημεν ἀποστεῖ- 10
λαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλ-
λοτριωθῆναι ὑμῶν· πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς
ἡμᾶς. 11 ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς 11
λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν ἐφ' ὧν προςφέρομεν θυ-
σιῶν καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶ καὶ πρέπον μνημονεύειν ἀδελ-
φῶν. 12 εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. 13 ἡμᾶς δὲ ἐκύκλωσαν πολλαὶ 12 13
θλίψεις καὶ πόλεμοι πολλοί, καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν.
14 καὶ οὐκ ἠβουλόμεθα οὖν παρενοχλεῖν ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ 14
φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις. 15 ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοή- 15
θειαν βοηθοῦσαν ἡμῖν, καὶ ἐῤῥύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐταπει-
νώθησαν οἱ ἐχθροὶ ἡμῶν. 16 ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου καὶ Ἀντί- 16
πατρον Ἰάσωνος, καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς
αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν προτέραν. 17 ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ 17
πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ'
ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν. 18 καὶ νῦν 18
καλῶς ποιήσετε ἀντιφωνήσοντες ἡμῖν πρὸς ταῦτα. 19 καὶ τοῦτο τὸ ἀντίγρα- 19
φον τῶν ἐπιστολῶν ὧν ἀπέστειλεν· 20 Ὀνιάρης βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ 20
ἱερεῖ μεγάλῳ χαίρειν. 21 εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰου- 21
δαίων ὅτι εἰσὶν ἀδελφοί, καὶ ὅτι εἰσὶν ἐκ γένους Ἀβραάμ. 22 καὶ νῦν ἀφ' οὗ 22
ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν.

---

72. επεστρεψεν 73. οι φυγοντες παρ XII. 1. ιδεν ... αναναιωσαι 2. τοπ. εταιρους ... κατα τ αυτα 3. επορευθησαν pro εισηλθον ... ειπαν ... απεστειλαν 5. τουτο αντιγραφον 6. του εθνους· και η γερουσια· και οι 7. δαριου 11. εν ταις εορταις και εν ταις 14. om και primum ... υμιν κ. τους λοιπους συμμαχους κ. φιλους 15. ουρανων ... ερυσθημεν 16. αντιμαχου ... ιασονος ... την προτερον 18. εποιησαται αντιφωνησαντες 19. επιστολων απεστειλαν 20. ονειαρης ... ονεια (... χαιρων) 21. αδελφ. εισιν ... εγ γενους

Digitized by Google

23 [23] καὶ ἡμεῖς δὲ ἀντιγράφομεν ὑμῖν, τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν
ἡμῖν ἐστί, καὶ τὰ ἡμῶν ὑμῖν ἐστιν· ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν
24 ὑμῖν κατὰ ταῦτα. [24] καὶ ἤκουσεν Ἰωνάθαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες Δη-
μητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι πρὸς αὐ-
25 τόν. [25] καὶ ἀπῆρεν ἐξ Ἱερουσαλὴμ καὶ ἀπήντησεν αὐτοῖς εἰς τὴν Ἀμαθῖτιν
χώραν· οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ.
26 [26] καὶ ἀπέστειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτῶν, καὶ ἀπέστρεψαν
καὶ ἀπήγγειλαν αὐτῷ ὅτι οὕτω τάσσονται ἐπιπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα.
27 [27] ὡς δὲ ἔδυ ὁ ἥλιος, ἐπέταξεν Ἰωνάθαν τοῖς παρ' αὐτοῦ γρηγορεῖν καὶ εἶ-
ναι ἐπὶ τοῖς ὅπλοις καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον δι' ὅλης τῆς νυκτός, καὶ
28 ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς. [28] καὶ ἤκουσαν οἱ ὑπεναντίοι
ὅτι ἡτοίμασται Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν
καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν, καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐ-
29 τῶν. [29] Ἰωνάθαν δὲ καὶ οἱ παρ' αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωί, ἔβλεπον γὰρ
30 τὰ φῶτα καιόμενα. [30] καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτῶν, καὶ οὐ κατέ-
31 λαβεν αὐτούς, διέβησαν γὰρ τὸν Ἐλεύθερον ποταμόν. [31] καὶ ἐξέκλινεν Ἰωνάθαν
ἐπὶ τοὺς Ἄραβας τοὺς καλουμένους Ζαβεδαίους, καὶ ἐπάταξεν αὐτοὺς καὶ
32 ἔλαβε τὰ σκῦλα αὐτῶν. [32] καὶ ἀναζεύξας ἦλθεν εἰς Δαμασκόν, καὶ διώδευ-
33 σεν ἐν πάσῃ τῇ χώρᾳ. [33] καὶ Σίμων ἐξῆλθε καὶ διώδευσεν ἕως Ἀσκάλωνος
καὶ τῶν πλησίον ὀχυρωμάτων, καὶ ἐξέκλινεν εἰς Ἰόππην καὶ προκατελάβετο
34 αὐτήν. [34] ἤκουσε γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ Δη-
35 μητρίου, καὶ ἔθετο ἐκεῖ φρουρὰν ὅπως φυλάσσωσιν αὐτήν. [35] καὶ ἐπέστρεψεν
Ἰωνάθαν καὶ ἐξεκκλησίασε τοὺς πρεσβυτέρους τοῦ λαοῦ, καὶ ἐβουλεύσατο
36 μετ' αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ, [36] καὶ προσυψῶσαι
τὰ τείχη Ἱερουσαλήμ, καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας καὶ
τῆς πόλεως εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὕτη κατὰ μόνας,
37 ὅπως μήτε ἀγοράζωσι μήτε πωλῶσι. [37] καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν
πόλιν, καὶ ἤγγισε τοῦ τείχους τοῦ χειμάῤῥου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπε-
38 σκεύασαν τὸ καλούμενον Χαφεναθά. [38] καὶ Σίμων ᾠκοδόμησε τὴν Ἀδιδὰ ἐν
39 τῇ Σεφήλᾳ, καὶ ὠχύρωσε θύρας καὶ μοχλούς. [39] καὶ ἐζήτησε Τρύφων βα-
σιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπὶ Ἀν-
40 τίοχον τὸν βασιλέα. [40] καὶ ἐφοβήθη μή ποτε οὐκ ἐάσῃ αὐτὸν Ἰωνάθαν, καὶ
μή ποτε πολεμήσῃ πρὸς αὐτόν· καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν Ἰωνάθαν
41 τοῦ ἀπολέσαι αὐτόν, καὶ ἀπάρας ἦλθεν εἰς Βαιθσάν. [41] καὶ ἐξῆλθεν Ἰωνά-
θαν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις
42 εἰς παράταξιν, καὶ ἦλθεν εἰς Βαιθσάν. [42] καὶ εἶδε Τρύφων ὅτι πάρεστιν
Ἰωνάθαν μετὰ δυνάμεως πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ' αὐτὸν εὐλαβήθη.
43 [43] καὶ ἐπεδέξατο αὐτὸν ἐνδόξως, καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐ-
τοῦ, καὶ ἔδωκεν αὐτῷ δόματα, καὶ ἐπέταξε ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν
44 αὐτῷ ὡς ἑαυτῷ. [44] καὶ εἶπε τῷ Ἰωνάθαν Ἵνα τί ἔκοψας πάντα τὸν λαὸν
45 τοῦτον πολέμου μὴ ἐνεστηκότος ἡμῖν; [45] καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς
οἴκους αὐτῶν, ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους οἵτινες ἔσονται μετὰ σοῦ,
καὶ δεῦρο μετ' ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ

23. κατα τα αυτα 25. αμαθειτιν ... του εμβατευσαι 26. παρεμβ. αυτου κ. επεστρεψαν ... ουτως 27. οπλοις· ετοιμαζεσθαι 28. την καρδιαν αυτων 30. κατεδιωξαν οπισω ... ουκ εκατελαβεν 31. ζαβαδεους 33. και τα πλησιον οχυρωματα 36. διαχωρησαι 37. om την πολιν ... και επεσεν του τειχους ... επεσκευασεν 39. χειρας 40. κ. ηυλαβηθη μη ποτε ... συλλαβειν αυτον του αποκτειναι· και ... εις βεθσα 41. τεσσερακοντα ... επιλελεγμεναι ... εις βεθσα 42. om ιωναθαν ... ηυλαβηθη 43. επεταξ. τοις φιλοις αυτου και ταις δυν. αυτου υπ. α. ωσαυτως 45. επιλεξον

Digitized by Google

λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς ἐπὶ τῶν
χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύσομαι· τούτου γὰρ χάριν πάρειμι. 46 καὶ ἐμ- 46
πιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε, καὶ ἐξαπέστειλε τὰς δυνάμεις, καὶ
ἀπῆλθον εἰς γῆν Ἰούδα. 47 κατέλιπε δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισχιλίους, ὧν 47
δισχιλίους ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ. 48 ὡς δὲ εἰσῆλ- 48
θεν Ἰωνάθαν εἰς Πτολεμαΐδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας καὶ
συνέλαβον αὐτόν, καὶ πάντας τοὺς εἰσελθόντας μετ' αὐτοῦ ἀπέκτειναν ἐν
ῥομφαίᾳ. 49 καὶ ἀπέστειλε Τρύφων δυνάμεις καὶ ἵππον εἰς τὴν Γαλιλαίαν 49
καὶ τὸ πεδίον τὸ μέγα τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ Ἰωνάθαν. 50 καὶ 50
ἐπέγνωσαν ὅτι συνελήφθη Ἰωνάθαν καὶ ἀπόλωλε καὶ οἱ μετ' αὐτοῦ, καὶ
παρεκάλεσαν ἑαυτούς, καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον.
51 καὶ ἴδον οἱ διώκοντες ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστί, καὶ ἐπέστρεψαν. 52 καὶ 51 52
ἦλθον πάντες μετ' εἰρήνης εἰς γῆν Ἰούδα, καὶ ἐπένθησαν τὸν Ἰωνάθαν καὶ
τοὺς μετ' αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα, καὶ ἐπένθησε πᾶς Ἰσραὴλ πέν-
θος μέγα. 53 καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρῖψαι αὐ- 53
τούς· εἶπαν γάρ Οὐκ ἔχουσιν ἄρχοντα καὶ βοηθοῦντα· νῦν οὖν πολεμήσωμεν
αὐτοὺς καὶ ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

## XIII.

Καὶ ἤκουσε Σίμων ὅτι συνήγαγε Τρύφων δύναμιν πολλὴν τοῦ ἐλθεῖν
εἰς γῆν Ἰούδα καὶ ἐκτρῖψαι αὐτήν. 2 καὶ εἶδε τὸν λαὸν ὅτι ἐστὶν ἔντρομος 2
καὶ ἔμφοβος, καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ καὶ ἤθροισε τὸν λαόν, 3 καὶ παρε- 3
κάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς Αὐτοὶ οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου
καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων,
καὶ τοὺς πολέμους καὶ τὰς στενοχωρίας ἃς εἴδομεν. 4 τούτου χάριν ἀπώλοντο 4
οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ἰσραήλ, καὶ κατελείφθην ἐγὼ μόνος. 5 καὶ 5
νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ
γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου. 6 πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου 6
καὶ περὶ τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν, ὅτι συν-
ήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖψαι ἡμᾶς ἔχθρας χάριν. 7 καὶ ἀνεζωοπύρησε 7
τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τῷ ἀκοῦσαι τῶν λόγων τούτων, 8 καὶ ἀπεκρίθησαν 8
φωνῇ μεγάλῃ λέγοντες Σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ἰούδα καὶ Ἰωνάθαν
τοῦ ἀδελφοῦ σου· 9 πολέμησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα ὅσα ἂν εἴπῃς 9
ἡμῖν ποιήσομεν. 10 καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστάς, καὶ 10
ἐτάχυνε τοῦ τελέσαι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὠχύρωσεν αὐτὴν κυκλόθεν.
11 καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν τοῦ Ἀβεσσαλώμου καὶ μετ' αὐτοῦ δύναμιν 11
ἱκανὴν εἰς Ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν
αὐτῇ. 12 καὶ ἀπῆρε Τρύφων ἀπὸ Πτολεμαΐδος μετὰ δυνάμεως πολλῆς εἰσελ- 12
θεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωνάθαν μετ' αὐτοῦ ἐν φυλακῇ. 13 Σίμων δὲ παρ- 13
ενέβαλεν ἐν Ἀδιδὰ κατὰ πρόσωπον τοῦ πεδίου. 14 καὶ ἐπέγνω Τρύφων ὅτι 14
ἀνέστη Σίμων ἀντὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ὅτι συνάπτειν αὐτῷ
μέλλει πόλεμον, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις λέγων 15 Περὶ ἀργυρίου 15
οὗ ὤφειλεν Ἰωνάθαν ὁ ἀδελφός σου εἰς τὸ βασιλικὸν δι' ἃς εἶχε χρείας

---

45. πολλας pro λοιπας 47. κατελειπεν (... μεθ εαυτους) ... ως pro ὧν 48. οι πτολεμαΐται ... τους συνελθοντας 49. εις γαλιλαιαν εις το ... ιωναθου 50. συνελημφθη ... om ιωναθαν ... συνεστρεμμενοι 51. εστιν αυτοις 52. επενθησεν ισραηλ 53. ανδρα αρχοντα ... εξαρουμεν XIII. 1. ιουδα του εκτριψαι 2. εκφοβος 3. ειπον ... και οικος ... om ας ειδομεν 7. ανεζωπυρισεν ... του λαου αυτου ακουσαι 8. ιωδου και ιωναθου 9. οσα εαν 10. οχυρωσεν (sed οχ in rasura) 11. αψαλωμου ... εις ιοππη ... εν αυτη οντας 13. εν αδιδοις 14. ιωναθου ... μελλει εις πολεμον 15. ιωναθαν αδελφος

Digitized by Google

16 συνέχομεν αὐτόν. 16 καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν καὶ δύο
τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀποστατήσῃ ἀφ' ἡμῶν, καὶ ἀφή-
17 σομεν αὐτόν. 17 καὶ ἔγνω Σίμων ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτόν, καὶ πέμπει
τὸ ἀργύριον καὶ τὰ παιδάρια μή ποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς τὸν λαόν,
18 18 λέγων ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον καὶ τὰ παιδάρια, καὶ ἀπώ-
19 λετο. 19 καὶ ἀπέστειλε τὰ παιδάρια καὶ τὰ ἑκατὸν τάλαντα, καὶ διεψεύσατο
20 καὶ οὐκ ἀφῆκε τὸν Ἰωνάθαν. 20 καὶ μετὰ ταῦτα ἦλθε Τρύφων τοῦ ἐμβα-
τεῦσαι εἰς τὴν χώραν καὶ ἐκτρῖψαι αὐτήν, καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς Ἄδωρα·
καὶ Σίμων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ
21 ἂν ἐπορεύετο. 21 οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς Τρύφωνα πρεσβευτὰς
κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ἐρήμου καὶ ἀποστεῖ-
22 λαι αὐτοῖς τροφάς. 22 καὶ ἡτοίμασε Τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν
ἐν τῇ νυκτὶ ἐκείνῃ· καὶ ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα·
23 καὶ ἀπῆρε καὶ ἦλθεν εἰς τὴν Γαλααδῖτιν. 23 ὡς δὲ ἤγγισε τῇ Βασκαμᾶ,
24 ἀπέκτεινε τὸν Ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ. 24 καὶ ἐπέστρεψε Τρύφων καὶ ἀπῆλ-
25 θεν εἰς τὴν γῆν αὐτοῦ. 25 καὶ ἀπέστειλε Σίμων καὶ ἔλαβε τὰ ὀστᾶ Ἰωνάθαν
τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψεν αὐτὰ ἐν Μωδεῒν πόλει τῶν πατέρων αὐτοῦ.
26 26 καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν
27 ἡμέρας πολλάς. 27 καὶ ᾠκοδόμησε Σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ
καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν
28 ὄπισθεν καὶ ἐκ τῶν ἔμπροσθεν. 28 καὶ ἔστησεν ἐπ' αὐτὰ ἑπτὰ πυραμίδας,
μίαν κατέναντι τῆς μιᾶς τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρσιν ἀδελ-
29 φοῖς. 29 καὶ ταύταις ἐποίησε μηχανήματα περιθεὶς στύλους μεγάλους, καὶ
ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον, καὶ παρὰ ταῖς παν-
οπλίαις πλοῖα ἐπιγεγλυμμένα εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων
30 τὴν θάλασσαν. 30 οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν Μωδεῒν ἕως τῆς ἡμέρας
31 ταύτης. 31 ὁ δὲ Τρύφων ἐπορεύετο δόλῳ μετὰ Ἀντιόχου τοῦ βασιλέως τοῦ
32 νεωτέρου καὶ ἀπέκτεινεν αὐτόν, 32 καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ καὶ περιέθετο
33 διάδημα τῆς Ἀσίας, καὶ ἐποίησε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς. 33 καὶ ᾠκο-
δόμησε Σίμων τὰ ὀχυρώματα τῆς Ἰουδαίας καὶ περιετείχισε πύργοις ὑψη-
λοῖς καὶ τείχεσι μεγάλοις καὶ πύλαις καὶ μοχλοῖς, καὶ ἔθετο βρώματα ἐν
34 τοῖς ὀχυρώμασι. 34 καὶ ἐπέλεξε Σίμων ἄνδρας καὶ ἀπέστειλε πρὸς Δημήτριον
τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις Τρύφωνος
35 ἦσαν ἁρπαγαί. 35 καὶ ἀπέστειλεν αὐτῷ Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λό-
γους τούτους, καὶ ἀπεκρίθη αὐτῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην
36 36 Βασιλεὺς Δημήτριος Σίμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ πρεσβυτέροις
37 καὶ ἔθνει Ἰουδαίων χαίρειν. 37 τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν βαΐνην ἣν
ἀπεστείλατε κεκομίσμεθα, καὶ ἕτοιμοί ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγά-
38 λην καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν τοῦ ἀφιέναι ὑμῖν ἀφέματα. 38 καὶ ὅσα
ἐστήκαμεν πρὸς ὑμᾶς ἕστηκε, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδομήκατε ὑπαρχέτω
39 ὑμῖν. 39 ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέ-
ρας, καὶ τὸν στέφανον ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ἱερου-
40 σαλήμ, μηκέτι τελωνείσθω. 40 καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς
τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέσθω ἀνὰ μέσον ἡμῶν εἰρήνη.

---

16. εκατον ταλαντα ... αποστατησει 17. παιδ. και μη ποτε 18. λεγοντες ... παιδαρια απωλετο 20. εις την πολιν ... om αν 21. απεστελλον πρεσβυτας και κατασπ. ... προς αυτον 22. ελθειν· και εν τη ν. εκ. ην χιων 23. της βασχαμα 25. εθαψ. αυτον εν μωδεειμ 27. λιθω ξυστω ... οπισθεν pro εμπροσθεν 28. om επ αυτα ... om τοις 30. μωδεειμ 32. το διαδημα 33. το οχυρωμα ... ante και πυλαις repetit και πυργοις 34. επελεξατο ... ησαν αρπασαι 37. την βαϊν ην ... αφιναι 38. εστησαμεν ... ωκοδομησατε 39. αφ. δε υμιν

[41] ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ 41
Ἰσραήλ. [42] καὶ ἤρξατο ὁ λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς καὶ συν- 42
αλλάγμασιν ἔτους πρώτου ἐπὶ Σίμωνος ἀρχιερέως μεγάλου καὶ στρατηγοῦ
καὶ ἡγουμένου Ἰουδαίων. [43] ἐν ταῖς ἡμέραις ἐκείναις παρενέβαλε Σίμων ἐπὶ 43
Γάζαν καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς, καὶ ἐποίησεν ἑλεπόλεις καὶ προςή-
γαγε τῇ πόλει, καὶ ἐπάταξε πύργον ἕνα καὶ κατελάβετο. [44] καὶ ἐξήλλοντο οἱ 44
ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει. [45] καὶ 45
ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος
διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν, καὶ ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες Σίμωνα
δεξιὰς αὐτοῖς δοῦναι, [46] καὶ εἶπον Μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν 46
ἀλλὰ κατὰ τὸ ἔλεός σου. [47] καὶ συνελύθη Σίμων αὐτοῖς καὶ οὐκ ἐπολέμησεν 47
αὐτούς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας ἐν
αἷς ἦν τὰ εἴδωλα, καὶ οὕτως εἰςῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν. [48] καὶ 48
ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν, καὶ κατῴκισεν ἐκεῖ ἄνδρας οἵτινες τὸν
νόμον ποιοῦσι, καὶ προςωχύρωσεν αὐτήν, καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ
οἴκησιν. [49] οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ἱερουσαλὴμ ἐκωλύοντο ἐκπορεύεσθαι καὶ 49
εἰςπορεύεσθαι εἰς τὴν χώραν, καὶ ἀγοράζειν καὶ πωλεῖν, καὶ ἐπείνασαν σφό-
δρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῇ λιμῷ. [50] καὶ ἐβόησαν πρὸς Σίμωνα 50
δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν καὶ ἐκαθά-
ρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων. [51] καὶ εἰςῆλθεν εἰς αὐτὴν τῇ τρίτῃ καὶ 51
εἰκάδι τοῦ δευτέρου μηνὸς ἔτους ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ
αἰνέσεως καὶ βαΐων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν
ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ. [52] καὶ ἔστησε 52
κατ᾽ ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ᾽ εὐφροσύνης· καὶ προςωχύ-
ρωσε τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν, καὶ ᾤκει ἐκεῖ αὐτὸς καὶ οἱ
παρ᾽ αὐτοῦ. [53] καὶ εἶδε Σίμων τὸν Ἰωάννην υἱὸν αὐτοῦ ὅτι ἀνήρ ἐστι, καὶ 53
ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων πασῶν, καὶ ᾤκει ἐν Γαζάροις.

## XIV.

Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συνήγαγε Δημή-
τριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ, καὶ ἐπορεύθη εἰς Μήδειαν τοῦ ἐπι-
σπάσασθαι βοήθειαν αὐτῷ ὅπως πολεμήσῃ τὸν Τρύφωνα. [2] καὶ ἤκουσεν Ἀρ- 2
σάκης ὁ βασιλεὺς τῆς Περσίδος καὶ Μηδείας ὅτι ἦλθε Δημήτριος εἰς τὰ
ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα.
[3] καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν Δημητρίου, καὶ συνέλαβεν αὐ- 3
τὸν καὶ ἤγαγεν αὐτὸν πρὸς Ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ. [4] καὶ ἡσύ- 4
χασεν ἡ γῆ Ἰούδα πάσας τὰς ἡμέρας Σίμωνος, καὶ ἐζήτησεν ἀγαθὰ τῷ
ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξουσία αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας
τὰς ἡμέρας. [5] καὶ μετὰ πάσης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν Ἰόππην εἰς λι- 5
μένα, καὶ ἐποίησεν εἴςοδον ταῖς νήσοις τῆς θαλάσσης. [6] καὶ ἐπλάτυνε τὰ ὅρια 6
τῷ ἔθνει αὐτοῦ, καὶ ἐκράτησε τῆς χώρας. [7] καὶ συνήγαγεν αἰχμαλωσίαν πολ- 7
λήν, καὶ ἐκυρίευσε Γαζάρων καὶ Βαιθσούρων καὶ τῆς ἄκρας· καὶ ἐξῆρε τὰς
ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ. [8] καὶ ἦσαν γεωρ- 8
γοῦντες τὴν γῆν αὐτῶν μετ᾽ εἰρήνης, καὶ ἡ γῆ ἐδίδου τὰ γεννήματα

---

41. ετους εκατοστου εβδομηκοστου ηρθη 43. om σιμων ... om ελεπολεις 44. εξηλλ. οι εν τη πολει 46. ειπαν ... η μην pro ημιν 47. αυτοις σιμων ... εκαθερισεν ... ιδωλα 48. κατοικισεν εν αυτη ανδρας ... προσοχυρωσεν 49. om και εισπορευεσθαι 50. εκαθερισεν 52. om μετ ευφροσυνης 53. ιδεν ... τον υιον XIV. 1. μηδιαν ... επισπασθαι β. εαυτω 2. ο βασιλευς περσιδος κ. μηδιας 4. om ιουδα 7. βεθσουρων 8. μετα ειρηνης ... γενηματα

Digitized by Google

9 αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν αὐτῶν. [9]πρεσβύτεροι ἐν ταῖς
πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι
10 ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου. [10]ταῖς πόλεσιν ἐχορήγησε βρώματα,
καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα
11 τῆς δόξης αὐτοῦ ἕως ἄκρου τῆς γῆς. [11]ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς γῆς,
12 καὶ εὐφράνθη Ἰσραὴλ εὐφροσύνην μεγάλην. [12]καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν
13 ἄμπελον αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. [13]καὶ
ἐξέλιπεν ὁ πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς συνετρίβησαν ἐν
14 ταῖς ἡμέραις ἐκείναις. [14]καὶ ἐστήρισε πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐ-
15 τοῦ· τὸν νόμον ἐξεζήτησε, καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν· [15]τὰ ἅγια
16 ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τῶν ἁγίων. [16]καὶ ἠκούσθη ἐν Ῥώμῃ ὅτι
17 ἀπέθανεν Ἰωνάθαν, καὶ ἕως Σπάρτης καὶ ἐλυπήθησαν σφόδρα. [17]ὡς δὲ
ἤκουσαν ὅτι Σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ' αὐτοῦ ἀρχιερεὺς καὶ ἐπι-
18 κρατεῖ τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ, [18]ἔγραψαν πρὸς αὐτὸν δέλ-
τοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν ἣν
19 ἔστησαν πρὸς Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ. [19]καὶ ἀνεγνώσθη-
20 σαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἱερουσαλήμ. [20]καὶ τοῦτο τὸ ἀντίγραφον τῶν
ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ Σπαρτιᾶται· Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πό-
λις Σίμωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι καὶ τῷ
21 λοιπῷ δήμῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν. [21]οἱ πρεσβευταὶ οἱ ἀποστα-
λέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ
22 τιμῆς, καὶ εὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. [22]καὶ ἀνεγράψαμεν τὰ ὑπ'
αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως Νουμήνιος Ἀντιόχου καὶ
Ἀντίπατρος Ἰάσωνος πρεσβευταὶ Ἰουδαίων ἦλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι
23 τὴν πρὸς ἡμᾶς φιλίαν. [23]καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐν-
δόξως, καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀποδεδειγμέ-
νοις τοῦ δήμου βιβλίοις, τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν.
24 τὸ δὲ ἀντίγραφον τούτων ἐγράψαμεν Σίμωνι τῷ ἀρχιερεῖ. [24]μετὰ ταῦτα
ἀπέστειλε Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην
25 ὁλκῆς μνῶν χιλίων εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν. [25]ὡς δὲ ἤκου-
σεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπον Τίνα χάριν ἀποδώσομεν Σίμωνι καὶ
26 τοῖς υἱοῖς αὐτοῦ; [26]ἐστήρισε γὰρ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος
τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ' αὐτῶν, καὶ
27 ἔστησαν αὐτῷ ἐλευθερίαν. [27]καὶ κατέγραψαν ἐν δέλτοις χαλκαῖς καὶ ἔθεντο
ἐν στήλαις ἐν ὄρει Σιών· καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς Ὀκτωκαι-
δεκάτῃ Ἐλούλ, ἔτους δευτέρου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ τοῦτο
28 τρίτον ἔτος ἐπὶ Σίμωνος ἀρχιερέως, [28]ἐν Σαραμέλ, ἐπὶ συναγωγῆς μεγά-
λης ἱερέων καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους καὶ τῶν πρεσβυτέρων τῆς χώρας
29 ἐγνώρισεν ἡμῖν, [29]ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ, Σίμων δὲ
ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰαρὶβ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν
ἑαυτοὺς τῷ κινδύνῳ καὶ ἀντέστησαν τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως
σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος, καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐ-
30 τῶν. [30]καὶ ἤθροισεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεύς,
31 καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. [31]καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν

---

• 9. εκοινολογουν 10. ονομασθη ... αχρου γης 11. ηυφρανθη 13. εξελειπεν πολεμων ... βασιλεις αυτων 16. ηκουσεν 18. και εγραψαν 19. ενωπιον εκκλησιας 21. ηυφρανθημεν 22. και αναγραψαμενοι ... ιασονος 23. τω δημω ... μνημοσ. εχειν ... εγραψαν 24. ολχην 25. ειπαν 26. •επολ. εχθρους τους 27. κατεγραψεν ... εν στηλη ... δευτερου εβδομηκοστου ... του αρχιερεως 28. των ιερεων 29. ιωαριβ δυο και οι 30. εγενη

Digitized by Google

ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρῖψαι τὴν χώραν αὐτῶν καὶ ἐκτεῖ-
ναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν. 32 τότε ἀνέστη Σίμων καὶ ἐπολέμησε περὶ 32
τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπάνησε χρήματα πολλὰ τῶν ἑαυτοῦ καὶ ὡπλο-
δότησε τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς ὀψώ-
νια, 33 καὶ ὠχύρωσε τὰς πόλεις τῆς Ἰουδαίας καὶ τὴν Βαίθσουραν τὴν ἐπὶ 33
τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ
ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας Ἰουδαίους. 34 καὶ Ἰόππην ὠχύρωσε τὴν ἐπὶ τῆς 34
θαλάσσης καὶ τὴν Γάζαρα τὴν ἐπὶ τῶν ὁρίων Ἀζώτου ἐν ᾗ ᾤκουν οἱ πολέ-
μιοι τὸ πρότερον ἐκεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια ἦν
πρὸς τὴν τούτων ἐπανόρθωσιν ἔθετο ἐν αὐτοῖς. 35 καὶ εἶδεν ὁ λαὸς τὴν πρᾶ- 35
ξιν τοῦ Σίμωνος καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποιῆσαι τῷ ἔθνει αὐτοῦ,
καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρχιερέα, διὰ τὸ αὐτὸν πεποιηκέναι
πάντα ταῦτα καὶ τὴν δικαιοσύνην καὶ τὴν πίστιν ἣν συνετήρησε τῷ ἔθνει
αὐτοῦ, καὶ ἐζήτησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ. 36 καὶ ἐν ταῖς ἡμέ- 36
ραις αὐτοῦ εὐοδώθη ἐν ταῖς χερσὶν αὐτοῦ τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς
χώρας αὐτῶν καὶ τοὺς ἐν τῇ πόλει Δαυὶδ τοὺς ἐν Ἱερουσαλήμ, οἳ ἐποίησαν
ἑαυτοῖς ἄκραν ἐξ ἧς ἐξεπορεύοντο καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων, καὶ ἐποίουν
πληγὴν μεγάλην ἐν τῇ ἁγνείᾳ. 37 καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους, 37
καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας καὶ τῆς πόλεως, καὶ ὕψωσε
τὰ τείχη Ἱερουσαλήμ. 38 καὶ ὁ βασιλεὺς Δημήτριος ἔστησεν αὐτῷ τὴν ἀρ- 38
χιερωσύνην κατὰ ταῦτα, 39 καὶ ἐποίησεν αὐτὸν τῶν φίλων αὐτοῦ, καὶ ἐδό- 39
ξασεν αὐτὸν δόξῃ μεγάλῃ. 40 ἤκουσε γὰρ ὅτι προσηγόρευνται οἱ Ἰουδαῖοι ὑπὸ 40
Ῥωμαίων φίλοι καὶ σύμμαχοι καὶ ἀδελφοί, καὶ ὅτι ἀπήντησαν τοῖς πρε-
σβευταῖς Σίμωνος ἐνδόξως, 41 καὶ ὅτι εὐδόκησαν οἱ Ἰουδαῖοι καὶ οἱ ἱερεῖς τοῦ 41
εἶναι Σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα ἕως τοῦ ἀναστῆναι
προφήτην πιστόν, 42 καὶ τοῦ εἶναι ἐπ' αὐτῶν στρατηγόν, καὶ ὅπως μέλοι 42
αὐτῷ περὶ τῶν ἁγίων καθιστάναι αὐτοὺς ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς
χώρας καὶ ἐπὶ τῶν ὅπλων καὶ ἐπὶ τῶν ὀχυρωμάτων, 43 καὶ ὅπως μέλοι αὐτῷ 43
περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γράφωνται ἐπὶ
τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περιβάληται
πορφύραν καὶ χρυσοφορῇ. 44 καὶ οὐκ ἐξέσται οὐδενὶ τοῦ λαοῦ καὶ τῶν ἱε- 44
ρέων ἀθετῆσαί τι τούτων καὶ ἀντειπεῖν τοῖς ὑπ' αὐτοῦ ῥηθησομένοις, καὶ
ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ, καὶ περιβάλλεσθαι πορφύ-
ραν καὶ ἐμπορποῦσθαι πόρπην χρυσῆν. 45 ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ ἢ 45
ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται. 46 καὶ εὐδόκησε πᾶς ὁ λαὸς θέσθαι Σί- 46
μωνι καὶ ποιῆσαι κατὰ τοὺς λόγους τούτους. 47 καὶ ἐπεδέξατο Σίμων καὶ 47
εὐδόκησεν ἀρχιερατεύειν καὶ εἶναι στρατηγὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων
καὶ ἱερέων καὶ τοῦ προστατῆσαι πάντων. 48 καὶ τὴν γραφὴν ταύτην εἶπον 48
θέσθαι ἐν δέλτοις χαλκαῖς καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν 49
τόπῳ ἐπισήμῳ, 49 τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, ὅπως
ἔχῃ Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ.

---

31. εκτρ. εις την ... τας χειρας 32. οπλοδοτησεν 33. βεθσουραν 34. την γαζαραν ... εν η ωκουσαν ... προς τη τουτ. επανορθωσει 35. πιστιν pro πραξιν ... πεποιηκ. αυτον ταυτα παντα ... εξεζητησεν 36. ακρας εξ ης ... εποιουσαν 37. κατωκησεν 40. ηκουσθη ... προςαγορευονται ιουδαιοι ... και οι αδελφοι 41. οτι οι ιουδ. κ. οι ιερ. ευδοκησαν τ. ειν. αυτων σιμ. 42. μελη ... καθιστ. δι αυτου επι 43. μελη ... περιβαλληται 44. εξεστι (sic) ουδενι ... περιβαλεσθαι 46. σιμωνι ποιησαι 47. *αρχιερευσαι, **αρχιερατευσαι 48. ειπαν ... και θησαι αυτας ... πιστω pro επισημω

Digitized by Google

## XV.

Καὶ ἀπέστειλεν ὁ Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως ἐπιστολὰς
ἀπὸ τῶν νήσων τῆς θαλάσσης Σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων καὶ
2 παντὶ τῷ ἔθνει. [2]καὶ ἦσαν περιέχουσαι τὸν τρόπον τοῦτον Βασιλεὺς Ἀντίο-
3 χος Σίμωνι ἱερεῖ μεγάλῳ καὶ ἐθνάρχῃ καὶ ἔθνει Ἰουδαίων χαίρειν. [3]ἐπειδὴ
ἄνδρες λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βούλομαι δὲ
ἀντιποιήσασθαι τῆς βασιλείας ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν πρότερον,
4 ἐξενολόγησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύασα πλοῖα πολεμικά, [4]βούλο-
μαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν ὅπως μετέλθω τοὺς κατεφθαρκότας τὴν
5 χώραν ἡμῶν καὶ τοὺς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ· [5]νῦν οὖν
ἵστημί σοι πάντα τὰ ἀφαιρέματα ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ
6 ὅσα ἄλλα δόματα ἀφῆκάν σοι. [6]καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμμα ἴδιον νό-
7 μισμα τῇ χώρᾳ σου, [7]Ἱερουσαλὴμ δὲ καὶ τὰ ἅγια εἶναι ἐλεύθερα· καὶ
πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδόμησας ὧν
8 κρατεῖς, μενέτω σοι· [8]καὶ πᾶν ὀφείλημα βασιλικὸν καὶ τὰ ἐσόμενα βασιλικὰ
9 ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον ἀφιέσθω σοι. [9]ὡς δ' ἂν κρατήσω-
μεν τῆς βασιλείας ἡμῶν, δοξάσομεν σὲ καὶ τὸ ἔθνος σου καὶ τὸ ἱερὸν δόξῃ
10 μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ γῇ. [10]ἔτους
τετάρτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Ἀντίοχος εἰς τὴν γῆν
πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους
11 εἶναι τοὺς καταλειφθέντας σὺν Τρύφωνι. [11]καὶ ἐδίωξεν αὐτὸν Ἀντίοχος ὁ
12 βασιλεύς, καὶ ἦλθε φεύγων εἰς Δωρᾶ τὴν ἐπὶ τῆς θαλάσσης. [12]εἶδε γὰρ ὅτι
13 συνῆκται ἐπ' αὐτὸν τὰ κακά, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. [13]καὶ παρεν-
έβαλεν Ἀντίοχος ἐπὶ Δωρᾶ, καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολε-
14 μιστῶν καὶ ὀκτακισχιλία ἵππος. [14]καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα
ἀπὸ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς καὶ τῆς θαλάσ-
15 σης, καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι. [15]καὶ ἦλθε
Νουμήνιος καὶ οἱ παρ' αὐτοῦ ἐκ Ῥώμης ἔχοντες ἐπιστολὰς τοῖς βασιλεῦσι
16 καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε [16]Λεύκιος ὕπατος Ῥωμαίων Πτο-
17 λεμαίῳ βασιλεῖ χαίρειν. [17]οἱ πρεσβευταὶ τῶν Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς
φίλοι ἡμῶν καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμα-
χίαν, ἀπεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν Ἰου-
18 19 δαίων. [18]ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων. [19]ἤρεσεν οὖν ἡμῖν
γράψαι τοῖς βασιλεῦσι καὶ ταῖς χώραις ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακά,
καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν καὶ τὴν χώραν αὐτῶν,
20 καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμοῦσιν αὐτούς. [20]ἔδοξε δὲ ἡμῖν δέξασθαι
21 τὴν ἀσπίδα παρ' αὐτῶν. [21]εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας
αὐτῶν πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς Σίμωνι τῷ ἀρχιερεῖ ὅπως ἐκδικήσῃ ἐν
22 αὐτοῖς κατὰ τὸν νόμον αὐτῶν. [22]καὶ τὰ αὐτὰ ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ
23 καὶ Ἀττάλῳ, Ἀριαράθῃ καὶ Ἀρσάκῃ, [23]καὶ εἰς πάσας τὰς χώρας, καὶ Σαμ-
ψάμῃ καὶ Σπαρτιάταις, καὶ εἰς Δῆλον καὶ εἰς Μύνδον καὶ εἰς Σικυῶνα καὶ
εἰς τὴν Καρίαν καὶ εἰς Σάμον καὶ εἰς τὴν Παμφυλίαν καὶ εἰς τὴν Λυκίαν

---

XV. 1. απεστειλεν αντιοχος 3. τινες ανδρες ... βουλευομαι ... το προτερον 5. οσα αλλα αφεφεματα 6. om και επετρεψα σοι ... της χωρας 7. κατεσκευασες 9. καταστησωμεν την βασιλειαν ... δοξασωμεν 10. των πατερων ... om τους καταλειφθ. 11. εις δωρα φευγ. τ. επι την θαλασσαν 12. ηδει γαρ οτι επισυνηκται επ αυτον κακα 14. συνεθλειβεν ... και απο της θαλασσης 17. ηλθαν πρ. υμας 18. πενταxισχιλιων 19. και τας χωρας αυτων και ινα μη συμμαχωσιν τοις πολεμωσιν αυτ. 21. τω σιμωνι ... εκδικησει αυτους 22. και τ αυτα ... ατταλω και αραθη 23. σαμψακη ... συκιωνα ... καριδα ... παμφυλιαν και λυκιαν

Digitized by Google

καὶ εἰς Ἁλικαρνασσὸν καὶ εἰς Ῥόδον καὶ εἰς Φασηλίδα καὶ εἰς Κῶ καὶ εἰς
Σίδην καὶ εἰς Ἄραδον καὶ εἰς Γόρτυναν καὶ Κνίδον καὶ Κύπρον καὶ Κυρή-
νην. 24 τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ. 25 Ἀντίοχος 24 25
δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρᾶ ἐν τῇ δευτέρᾳ, προσάγων διὰ παντὸς
αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς ποιούμενος, καὶ συνέκλεισε τὸν Τρύφωνα τοῦ
μὴ εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι. 26 καὶ ἀπέστειλεν αὐτῷ Σίμων δισχι- 26
λίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ καὶ ἀργύριον καὶ χρυσίον καὶ
σκεύη ἱκανά. 27 καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλ' ἠθέτησε πάντα ὅσα 27
συνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἠλλοτριοῦντο αὐτῷ. 28 καὶ ἀπέστειλε πρὸς 28
αὐτὸν Ἀθηνόβιον ἕνα τῶν φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ, λέγων Ὑμεῖς
κατακρατεῖτε τῆς Ἰόππης καὶ Γαζάρων καὶ τῆς ἄκρας τῆς ἐν Ἱερουσαλήμ,
πόλεις τῆς βασιλείας μου. 29 τὰ ὅρια αὐτῶν ἠρημώσατε, καὶ ἐποιήσατε πλη- 29
γὴν μεγάλην ἐπὶ τῆς γῆς, καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασιλείᾳ
μου. 30 νῦν οὖν παράδοτε τὰς πόλεις ἃς κατελάβεσθε, καὶ τοὺς φόρους τῶν 30
τόπων ὧν κατεκυριεύσατε ἐκτὸς τῶν ὁρίων τῆς Ἰουδαίας. 31 εἰ δὲ μή, δότε 31
ἀντ' αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου, καὶ τῆς καταφθορᾶς ἧς κατε-
φθάρκατε καὶ τῶν φόρων τῶν πόλεων ἄλλα τάλαντα πεντακόσια· εἰ δὲ μή,
παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς. 32 καὶ ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βα- 32
σιλέως εἰς Ἱερουσαλήμ, καὶ εἶδε τὴν δόξαν Σίμωνος καὶ κυλικεῖον μετὰ
χρυσωμάτων καὶ ἀργυρωμάτων καὶ παράστασιν ἱκανήν, καὶ ἐξίστατο, καὶ
ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ βασιλέως. 33 καὶ ἀποκριθεὶς Σίμων εἶπεν 33
αὐτῷ Οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν οὔτε ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ
τῆς κληρονομίας τῶν πατέρων ἡμῶν, ὑπὸ δὲ ἐχθρῶν ἡμῶν ἔν τινι καιρῷ
ἀκρίτως κατεκρατήθη. 34 ἡμεῖς δὲ καιρὸν ἔχοντες ἀντεχόμεθα τῆς κληρονο- 34
μίας τῶν πατέρων ἡμῶν. 35 περὶ δὲ Ἰόππης καὶ Γαζάρων ὧν αἰτεῖς, αὗται 35
ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην κατὰ τὴν χώραν ἡμῶν, τούτων δώσο-
μεν τάλαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ Ἀθηνόβιος λόγον. 36 ἀπέστρεψε 36
δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τούτους
καὶ τὴν δόξαν Σίμωνος καὶ πάντα ὅσα εἶδε, καὶ ὠργίσθη ὁ βασιλεὺς ὀργὴν
μεγάλην. 37 Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν εἰς Ὀρθωσιάδα. 38 καὶ κατέ- 37 38
στησεν ὁ βασιλεὺς τὸν Κενδεβαῖον στρατηγὸν τῆς παραλίας, καὶ δυνάμεις
πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ. 39 καὶ ἐνετείλατο αὐτῷ παρεμβαλεῖν κατὰ 39
πρόσωπον τῆς Ἰουδαίας, καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν Κεδρὼν καὶ
ὀχυρῶσαι τὰς πύλας, καὶ ὅπως πολεμήσῃ τὸν λαόν· ὁ δὲ βασιλεὺς ἐδίωκε
τὸν Τρύφωνα. 40 καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰάμνειαν, καὶ ἤρξατο τοῦ 40
ἐρεθίζειν τὸν λαὸν καὶ ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν καὶ αἰχμαλωτίζειν τὸν
λαὸν καὶ φονεύειν, 41 καὶ ᾠκοδόμησε τὴν Κεδρών· καὶ ἔταξεν ἐκεῖ ἱππεῖς 41
καὶ δυνάμεις, ὅπως ἐκπορευόμενοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς Ἰουδαίας καθὰ
συνέταξεν αὐτῷ ὁ βασιλεύς.

## XVI.

Καὶ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων καὶ ἀπήγγειλε Σίμωνι τῷ πατρὶ αὐ-
τοῦ ἃ συνετέλει Κενδεβαῖος. 2 καὶ ἐκάλεσε Σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς 2

---

23. αλικαρνασσον· και εις κω· και εις σιδην· κ. ε. αραδον και εις ροδον· και εις την βασιλειδαν και γορτυναν 24. εγραψεν 25. om μη 27. αλλα ηθετησεν ... εσυνεθετο ... ηλλοτριουτο 28. κοινολογησομενον ... γαζαρηνων ... ακρας εν 30. κατεκυρ. των οριων των εκ της ιουδ. 31. εκπολεμησουσιν 32. κυλικιον ... απηγγ. αυτοις 33. ακριτως εν τινι καιρω 34. κληρονομ. ημων και των 35. γαζαρηνων ετεις ... μεγαλην και τη γη ημων ... om αθηνοβιος 37. ορθωσιαν 38. επιστρατηγον 39. παρεμβαλλειν ... καιδρων κ. οχ. τ. πολεις ... πολεμη 41. την κεδρω

πρεσβυτέρους 'Ιούδαν καὶ 'Ιωάννην, καὶ εἶπεν αὐτοῖς 'Εγὼ καὶ οἱ ἀδελφοί
μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐπολεμήσαμεν τοὺς πολεμίους 'Ισραὴλ ἀπὸ
νεότητος ἕως τῆς σήμερον ἡμέρας, καὶ εὐοδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύ-
3 σασθαι τὸν 'Ισραὴλ πλεονάκις. [3] καὶ δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ ἐλέει
ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι· γίνεσθε ἀντ' ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου, καὶ
ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν, ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοή-
4 θεια ἔστω μεθ' ὑμῶν. [4] καὶ ἐπέλεξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν
πολεμιστῶν καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν ἐπὶ τὸν Κενδεβαῖον, καὶ ἐκοιμή-
5 θησαν ἐν Μωδεΐν. [5] καὶ ἀναστάντες τὸ πρωὶ ἐπορεύοντο εἰς τὸ πεδίον, καὶ
ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς πεζικὴ καὶ ἱππεῖς, καὶ ἦν χει-
6 μάῤῥους ἀνὰ μέσον αὐτῶν. [6] καὶ παρενέβαλε κατὰ πρόσωπον αὐτῶν αὐτὸς
καὶ ὁ λαὸς αὐτοῦ· καὶ εἶδε τὸν λαὸν δειλούμενον διαπερᾶσαι τὸν χειμάῤ-
ῥουν, καὶ διεπέρασε πρῶτος, καὶ ἴδον αὐτὸν οἱ ἄνδρες καὶ διεπέρασαν
7 κατόπισθεν αὐτοῦ. [7] καὶ διεῖλε τὸν λαὸν καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πε-
8 ζῶν· ἡ δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ σφόδρα. [8] καὶ ἐσάλπισαν ταῖς ἱεραῖς
σάλπιγξι, καὶ ἐτροπώθη Κενδεβαῖος καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον
ἐξ αὐτῶν τραυματίαι πολλοί· οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα.
9 [9] τότε ἐτραυματίσθη 'Ιούδας ὁ ἀδελφὸς 'Ιωάννου· 'Ιωάννης δὲ κατεδίωξεν
10 αὐτοὺς ἕως ἦλθεν εἰς Κεδρὼν ἣν ᾠκοδόμησε. [10] καὶ ἔφυγον ἕως εἰς τοὺς
πύργους τοὺς ἐν τοῖς ἀγροῖς 'Αζώτου, καὶ ἐνεπύρισεν αὐτὴν ἐν πυρί, καὶ
ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας δισχιλίους· καὶ ἀπέστρεψεν εἰς γῆν 'Ιούδα μετ'
11 εἰρήνης. [11] καὶ Πτολεμαῖος ὁ τοῦ 'Αβούβου ἦν καθεσταμένος στρατηγὸς εἰς
12 τὸ πεδίον 'Ιεριχώ, καὶ ἔσχεν ἀργύριον καὶ χρυσίον πολύ. [12] ἦν γὰρ γαμβρὸς
13 τοῦ ἀρχιερέως. [13] καὶ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι
τῆς χώρας, καὶ ἐβουλεύετο δόλῳ κατὰ Σίμωνος καὶ τῶν υἱῶν αὐτοῦ ἆραι
14 αὐτούς. [14] Σίμων δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντί-
ζων τῆς ἐπιμελείας αὐτῶν, καὶ κατέβη εἰς 'Ιεριχὼ αὐτὸς καὶ Ματταθίας
καὶ 'Ιούδας οἱ υἱοὶ αὐτοῦ ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ
15 ἐν μηνὶ ἑνδεκάτῳ, οὗτος ὁ μὴν Σαβάτ. [15] καὶ ὑπεδέξατο αὐτοὺς ὁ τοῦ
'Αβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον Δὼκ μετὰ δόλου ὃ ᾠκοδόμησε,
16 καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν, καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας. [16] καὶ ὅτε
ἐμεθύσθη Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη Πτολεμαῖος καὶ οἱ παρ' αὐ-
τοῦ, καὶ ἔλαβοσαν τὰ ὅπλα αὐτῶν καὶ ἐπεισήλθοσαν τῷ Σίμωνι εἰς τὸ συμ-
πόσιον, καὶ ἀπέκτειναν αὐτὸν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ καί τινας τῶν παι-
17 δαρίων αὐτοῦ. [17] καὶ ἐποίησεν ἀθεσίαν μεγάλην, καὶ ἀπέδωκε κακὰ ἀντὶ
18 ἀγαθῶν. [18] καὶ ἔγραψε ταῦτα Πτολεμαῖος, καὶ ἀπέστειλε τῷ βασιλεῖ ὅπως
ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν καὶ παραδῷ αὐτῷ τὴν χώραν αὐτῶν
19 καὶ τὰς πόλεις. [19] καὶ ἀπέστειλεν ἑτέρους εἰς Γάζαρα ἆραι τὸν 'Ιωάννην,
καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτὸν ὅπως
20 δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ δόματα, [20] καὶ ἑτέρους ἀπέστειλε κα-
21 ταλαβέσθαι τὴν 'Ιερουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱεροῦ. [21] καὶ προδραμών τις
ἀπήγγειλεν 'Ιωάννῃ εἰς Γάζαρα ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελ-
22 φοὶ αὐτοῦ, καὶ ὅτι ἀπέσταλκε καὶ σὲ ἀποκτεῖναι. [22] καὶ ἀκούσας ἐξέστη
σφόδρα, καὶ συνέλαβε τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν καὶ ἀπέ-

---

XVI. 2. τους πολεμους ισραηλ 3. γεινεσθαι ... ητω μεθ 4. μωδαειμ 5. παιζειχοι ... χειμαρρ. ην ... ειδον αυτον 7. εμμεσω 8. om ιεραις ... εξ αυτου 9. εως ελθειν ... οικοδομησεν 10. om εως ... εν τω αγρω ... επεσαν ... χιλειους ... εις την ιουδαιαν 13. και κατα των 14. τας επιμελιας ... και οι υιοι 15. ποτον μεγα 16. μετ pro παρ ... om δυο 17. αθεῖαν ... ανταπεδωκεν 18. om αυτω secundum 19. εταιρους 21. om τις (... ιωαννης)

Digitized by Google

κτεινεν αὐτούς, ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι. [23]καὶ τὰ λοιπὰ 23
τῶν λόγων Ἰωάννου καὶ τῶν πολέμων αὐτοῦ καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ
ὧν ἠνδραγάθησε, καὶ τῆς οἰκοδομῆς τῶν τειχέων ὧν ᾠκοδόμησε, καὶ τῶν
πράξεων αὐτοῦ, [24]ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης 24
αὐτοῦ, ἀφ' οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

---

# ΜΑΚΚΑΒΑΙΩΝ

## ΔΕΥΤΕΡΟΣ.

### I.

Τοῖς ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις χαίρειν. οἱ ἀδελφοὶ οἱ ἐν
Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας εἰρήνην ἀγαθήν.
[2]καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ θεὸς καὶ μνησθείη τῆς διαθήκης αὐτοῦ τῆς πρὸς 2
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν δούλων αὐτοῦ τῶν πιστῶν· [3]καὶ δῴη 3
ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα
καρδίᾳ μεγάλῃ καὶ ψυχῇ βουλομένῃ· [4]καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν 4
τῷ νόμῳ αὐτοῦ καὶ ἐν τοῖς προστάγμασι, καὶ εἰρήνην ποιήσαι, [5]καὶ ἐπα- 5
κούσαι ὑμῶν τῶν δεήσεων καὶ καταλλαγείη ὑμῖν, καὶ μὴ ὑμᾶς ἐγκαταλίποι
ἐν καιρῷ πονηρῷ. [6]καὶ νῦν ὧδέ ἐσμεν προσευχόμενοι περὶ ὑμῶν. [7]βασι- 6 7
λεύοντος Δημητρίου ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐννάτου ἡμεῖς οἱ Ἰουδαῖοι
γεγραφήκαμεν ὑμῖν ἐν τῇ θλίψει καὶ ἐν τῇ ἀκμῇ τῇ ἐπελθούσῃ ἡμῖν ἐν
τοῖς ἔτεσι τούτοις ἀφ' οὗ ἀπέστη Ἰάσων καὶ οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας
γῆς καὶ τῆς βασιλείας. [8]καὶ ἐνεπύρισαν τὸν πυλῶνα, καὶ ἐξέχεαν αἷμα 8
ἀθῷον· καὶ ἐδεήθημεν τοῦ κυρίου, καὶ εἰσηκούσθημεν, καὶ προσηνέγκαμεν
θυσίαν καὶ σεμίδαλιν, καὶ ἐξήψαμεν τοὺς λύχνους, καὶ προεθήκαμεν τοὺς
ἄρτους. [9]καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ Χασελεῦ μη- 9
νός. [10]ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ 10
ἐν τῇ Ἰουδαίᾳ καὶ ἡ γερουσία καὶ Ἰούδας Ἀριστοβούλῳ διδασκάλῳ Πτολε-
μαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους, καὶ τοῖς
ἐν Αἰγύπτῳ Ἰουδαίοις χαίρειν καὶ ὑγιαίνειν. [11]ἐκ μεγάλων κινδύνων ὑπὸ 11
τοῦ θεοῦ σεσωσμένοι μεγάλως εὐχαριστοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα
παρατασσόμενοι. [12]αὐτὸς γὰρ ἐξέβρασε τοὺς παραταξαμένους ἐν τῇ ἁγίᾳ 12
πόλει. [13]εἰς γὰρ τὴν Περσίδα γενόμενος ὁ ἡγεμὼν καὶ ἡ περὶ αὐτὸν ἀνυ- 13
πόστατος δοκοῦσα εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς Ναναίας ἱερῷ,
παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν Ναναίαν ἱερέων. [14]ὡς γὰρ συνοι- 14
κήσων αὐτῇ παρεγένετο εἰς τὸν τόπον ὅ τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι
χάριν τοῦ λαβεῖν τὰ χρήματα εἰς φερνῆς λόγον· [15]καὶ προθέντων αὐτὰ τῶν 15
ἱερέων τῆς Ναναίας, κἀκείνου προσελθόντος μετ' ὀλίγων εἰς τὸν περίβολον

---

22. εγνω ... εζητουσαν (23. ηνδραγαθην ... ωχοδομης) 24. επι βιβλιου

Subscriptio: μακκαβαιων α

Inscriptio: μακκαβαιων β

I. 2. μνησθηναι 5. υπακουσε ... εγκαταλειποι 7. ενατου ... γεγραφαμεν 8. εισηκουσθημεν· προσηνεγκαμεν ... εξηγαγεν pro εξηψαμεν 9. σκηνοπηγγειας 10. om εκατοστου ... om οι prius 12. παρατασσομενους 13. om γαρ ... γενομενος γαρ ... τω περι την 14. συνοικων ... τα χρημ. πλειονα εις 15. του ναναιου



Digitized by Google

16 τοῦ τεμένους, συγκλείσαντες τὸ ἱερόν, ὡς εἰςῆλθεν Ἀντίοχος, [16] ἀνοίξαντες
τὴν τοῦ φατνώματος κρυπτὴν θύραν βάλλοντες πέτρους συνεκεραύνωσαν τὸν
ἡγεμόνα, καὶ μέλη ποιήσαντες καὶ τὰς κεφαλὰς ἀφελόντες τοῖς ἔξω παρέῤ-
17 ῥιψαν. [17] κατὰ πάντα εὐλογητὸς ἡμῶν ὁ θεός, ὃς παρέδωκε τοὺς ἀσεβήσαν-
18 τας. [18] μέλλοντες οὖν ἄγειν ἐν τῷ Χασελεῦ πέμπτῃ καὶ εἰκάδι τὸν καθα-
ρισμὸν τοῦ ἱεροῦ, δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε
τῆς σκηνοπηγίας καὶ τοῦ πυρός, ὅτε Νεεμίας οἰκοδομήσας τό τε ἱερὸν καὶ
19 τὸ θυσιαστήριον ἀνήνεγκε θυσίαν. [19] καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤγοντο
οἱ πατέρες ἡμῶν, οἱ τότε εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ πυρὸς τοῦ θυ-
σιαστηρίου λαθραίως κατέκρυψαν ἐν κοιλώματι φρέατος τάξιν ἔχοντος ἀνύ-
20 δρου, ἐν ᾧ κατησφαλίσαντο ὥςτε πᾶσιν ἄγνωστον εἶναι τὸν τόπον. [20] διελ-
θόντων δὲ ἐτῶν ἱκανῶν, ὅτε ἔδοξε τῷ θεῷ, ἀποσταλεὶς Νεεμίας ὑπὸ τοῦ
βασιλέως τῆς Περσίδος τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάντων ἔπεμ-
ψεν ἐπὶ τὸ πῦρ· ὡς δὲ διεσάφησαν ἡμῖν μὴ εὑρηκέναι πῦρ ἀλλὰ ὕδωρ
21 παχύ, [21] ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν· ὡς δὲ ἀνηνέχθη τὰ τῶν
θυσιῶν, ἐκέλευσε τοὺς ἱερεῖς Νεεμίας ἐπιῤῥᾶναι τῷ ὕδατι τά τε ξύλα καὶ τὰ
22 ἐπικείμενα. [22] ὡς δὲ ἐγένετο τοῦτο καὶ χρόνος διῆλθεν ὅτε ἥλιος ἀνέλαμψε,
πρότερον ἐπινεφὴς ὤν, ἀνήφθη πυρὰ μεγάλη ὥςτε θαυμάσαι πάντας.
23 [23] προςευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δαπανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς
καὶ πάντες καταρχομένου Ἰωνάθου, τῶν δὲ λοιπῶν ἐπιφωνούντων ὡς Νεε-
24 μίου. [24] ἦν δὲ ἡ προςευχὴ τὸν τρόπον ἔχουσα τοῦτον Κύριε κύριε ὁ θεός,
ὁ πάντων κτίστης, ὁ φοβερὸς καὶ ἰσχυρὸς καὶ δίκαιος καὶ ἐλεήμων, ὁ μόνος
25 βασιλεὺς καὶ χρηστός, [25] ὁ μόνος χορηγός, ὁ μόνος δίκαιος καὶ παντοκράτωρ
καὶ αἰώνιος, ὁ διασώζων τὸν Ἰσραὴλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας τοὺς πα-
26 τέρας ἐκλεκτοὺς καὶ ἁγιάσας αὐτούς, [26] πρόςδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς
τοῦ λαοῦ σου Ἰσραήλ, καὶ διαφύλαξον τὴν μερίδα σου καὶ καθαγίασον.
27 [27] ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον τοὺς δουλεύοντας ἐν τοῖς
ἔθνεσι, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς ἔπιδε, καὶ γνώτωσαν τὰ ἔθνη
28 ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν. [28] βασάνισον τοὺς καταδυναστεύοντας καὶ ἐξυβρί-
29 ζοντας ἐν ὑπερηφανίᾳ. [29] καταφύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν
30 ἅγιόν σου, καθὼς εἶπε Μωυσῆς. [30] οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους.
31 [31] καθὼς δὲ ἀνηλώθη τὰ τῆς θυσίας καὶ τὸ περιλειπόμενον ὕδωρ, ὁ Νεεμίας
32 ἐκέλευσε λίθους μείζονας κατασχεῖν. [32] ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ ἀνήφθη·
33 τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς ἐδαπανήθη. [33] ὡς δὲ
φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ βασιλεῖ τῶν Περσῶν ὅτι εἰς
τὸν τόπον οὗ τὸ πῦρ ἀπέκρυψαν οἱ μεταχθέντες ἱερεῖς τὸ ὕδωρ ἐφάνη ἀφ'
34 οὗ καὶ οἱ περὶ τὸν Νεεμίαν ἥγνισαν τὰ τῆς θυσίας, [34] περιφράξας δὲ ὁ βα-
35 σιλεὺς ἱερὸν ἐποίησε, δοκιμάσας τὸ πρᾶγμα. [35] καὶ οἷς ἐχαρίζετο ὁ βασι-
36 λεὺς πολλὰ διάφορα ἐλάμβανε καὶ μετεδίδου. [36] προςηγόρευσαν δὲ οἱ περὶ
τὸν Νεεμίαν τοῦτο Νέφθαρ, ὃ διερμηνεύεται Καθαρισμός· καλεῖται δὲ παρὰ
τοῖς πολλοῖς Νεφθαεί.

---

15. τεμενου 16. om αφελοντες ... παραριψαντες 17. εδωκεν 18. om ουν ... διασαφεισαι ... αγηται σκηνοπηγειας ... νεεμειας ο οικοδ. το τε το ... θυσιας 19. ημων οι πατερες οι τε ευσεβεις ... εχοντες ανυδρον 20. απο του ... ως διεσαφισαν ... παχυν 21. αποβαψαντες ... νεεμειας επιραναι 22. om τουτο ... °ο pro οτε (ed. rom. ὅ, τε) ... om προτερον 23. των τε λοιπων ... νεεμειου 24. om κυριε alterum ... και ο ισχυρος 27. εφειδε ... om ει 29. μωσης 31. καταχειν 33. εκρυψαν ... νεεμειαν ηγν. τας θυσιας 35. om εχαριζετο 36. νεεμειαν ... νεφθαρ pro νεφθαει

Digitized by Google

## II.

Εὑρίσκεται δὲ ἐν ταῖς ἀπογραφαῖς Ἱερεμίας ὁ προφήτης ὅτι ἐκέλευσε
τοῦ πυρὸς λαβεῖν τοὺς μεταγινομένους, ὡς σεσήμανται, [2] καὶ ὡς ἐνετείλατο 2
τοῖς μεταγενομένοις ὁ προφήτης, δοὺς αὐτοῖς τὸν νόμον ἵνα μὴ ἐπιλάθωνται
τῶν προσταγμάτων τοῦ κυρίου, καὶ ἵνα μὴ ἀποπλανηθῶσι ταῖς διανοίαις,
βλέποντες ἀγάλματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ τὸν περὶ αὐτὰ κόσμον. [3] καὶ 3
ἕτερα τοιαῦτα λέγων, παρεκάλει μὴ ἀποστῆναι τὸν νόμον ἀπὸ τῆς καρδίας
αὐτῶν. [4] ἦν δὲ ἐν τῇ γραφῇ ὡς τὴν σκηνὴν καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ 4
προφήτης χρηματισμοῦ γενηθέντος αὐτῷ συνακολουθεῖν, ὡς δὲ ἐξῆλθεν εἰς
τὸ ὄρος οὗ ὁ Μωυσῆς ἀναβὰς ἐθεάσατο τὴν τοῦ θεοῦ κληρονομίαν. [5] καὶ 5
ἐλθὼν ὁ Ἱερεμίας εὗρεν οἶκον ἀντρώδη, καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν
καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος εἰςήνεγκεν ἐκεῖ, καὶ τὴν θύραν ἐνέ-
φραξε. [6] καὶ προςελθόντες τινὲς τῶν συνακολουθούντων ὥςτε ἐπισημήνασθαι 6
τὴν ὁδόν, καὶ οὐκ ἠδυνήθησαν εὑρεῖν. [7] ὡς δὲ ὁ Ἱερεμίας ἔγνω, μεμψάμε- 7
νος αὐτοῖς εἶπεν ὅτι καὶ ἄγνωστος ὁ τόπος ἔσται ἕως ἂν συναγάγῃ ὁ θεὸς
ἐπισυναγωγὴν τοῦ λαοῦ καὶ ἵλεως γένηται. [8] καὶ τότε ὁ κύριος ἀναδείξει 8
ταῦτα, καὶ ὀφθήσεται ἡ δόξα τοῦ κυρίου καὶ ἡ νεφέλη ὡς καὶ ἐπὶ Μωυσῇ
ἐδηλοῦτο, ὡς καὶ ὁ Σαλωμὼν ἠξίωσεν ἵνα ὁ τόπος καθαγιασθῇ μεγάλως.
[9] διεσαφεῖτο δὲ καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκε θυσίαν ἐγκαινισμοῦ καὶ τῆς 9
τελειώσεως τοῦ ἱεροῦ. [10] καθὼς καὶ Μωυσῆς προςηύξατο πρὸς κύριον, καὶ 10
κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ τὰ τῆς θυσίας ἐδαπάνησεν, οὕτως καὶ Σα-
λωμὼν προςηύξατο, καὶ καταβὰν τὸ πῦρ ἀνήλωσε τὰ ὁλοκαυτώματα. [11] καὶ 11
εἶπε Μωυσῆς Διὰ τὸ μὴ βεβρῶσθαι τὸ περὶ τῆς ἁμαρτίας ἀνηλώθη. [12] ὡς- 12
αύτως καὶ ὁ Σαλωμὼν τὰς ὀκτὼ ἡμέρας ἤγαγεν. [13] ἐξηγοῦντο δὲ καὶ ἐν 13
ταῖς ἀναγραφαῖς καὶ ἐν τοῖς ὑπομνηματισμοῖς τοῖς κατὰ τὸν Νεεμίαν τὰ
αὐτά, καὶ ὡς καταβαλλόμενος βιβλιοθήκην ἐπισυνήγαγε τὰ περὶ τῶν βασι-
λέων καὶ προφητῶν καὶ τὰ τοῦ Δαυὶδ καὶ ἐπιστολὰς βασιλέων περὶ ἀναθε-
μάτων. [14] ὡσαύτως δὲ καὶ Ἰούδας τὰ διαπεπτωκότα διὰ τὸν πόλεμον τὸν 14
γεγονότα ἡμῖν ἐπισυνήγαγε πάντα, καὶ ἔστι παρ᾽ ἡμῖν. [15] ὧν οὖν ἐὰν χρείαν 15
ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε. [16] μέλλοντες οὖν ἄγειν τὸν 16
καθαρισμὸν ἐγράψαμεν ὑμῖν· καλῶς οὖν ποιήσετε ἄγοντες τὰς ἡμέρας. [17] ὁ 17
δὲ θεὸς ὁ σώσας τὸν πάντα λαὸν αὐτοῦ, καὶ ἀποδοὺς τὴν κληρονομίαν πᾶσι
καὶ τὸ βασίλειον καὶ τὸ ἱεράτευμα καὶ τὸν ἁγιασμόν, [18] καθὼς ἐπηγγείλατο 18
διὰ τοῦ νόμου· ἐλπίζομεν γὰρ ἐπὶ τῷ θεῷ ὅτι ταχέως ἡμᾶς ἐλεήσει καὶ
ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν ἅγιον τόπον. ἐξείλετο γὰρ ἡμᾶς
ἐκ μεγάλων κακῶν, καὶ τὸν τόπον ἐκαθάρισε. [19] τὰ δὲ κατὰ τὸν Ἰούδαν τὸν 19
Μακκαβαῖον καὶ τοὺς τούτου ἀδελφοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγάλου κα-
θαρισμὸν καὶ τὸν τοῦ βωμοῦ ἐγκαινισμόν, [20] ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν 20
Ἐπιφανῆ καὶ τὸν τούτου υἱὸν Εὐπάτορα πολέμους, [21] καὶ τὰς ἐξ οὐρανοῦ 21
γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ φιλοτίμως ἀνδραγαθήσα-
σιν, ὥςτε τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν καὶ τὰ βάρβαρα πλήθη
διώκειν, [22] καὶ τὸ περιβόητον καθ᾽ ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνακομίσα- 22
σθαι, καὶ τὴν πόλιν ἐλευθερῶσαι, καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους
ἐπανορθῶσαι, τοῦ κυρίου μετὰ πάσης ἐπιεικείας ἵλεω γενομένου αὐτοῖς, 23

---

II. 1—4. inde ab οτι εκελευσεν usque συνακολουθειν omnia rescripta. 1. μεταγενομενους 2. περι αυτας 6. επισημανασθαι ... εδυνηθησαν 7. ιερεμειας ... συναγη ... ελεος 8. αναδιξη ... ως επι μωση 10. ουτως σαλωμων προςηυξ. προς κυριον 11. μωσης 12. **μετα pro τας · 13. νεεμειαν ... προφητων βιβλια 14. δια τον γεγον. πολεμ. ημ. επισυν. ταυτα· και 16. αγειν pro αγοντες 17. την κληρ. αυτου 18. ελεηση ... εξειλατο ... εκαθερισεν 19. μεγιστου pro μεγαλου 21. ως την 22. ιλεως

Digitized by Google

23 [23] τὰ ὑπὸ Ἰάσωνος τοῦ Κυρηναίου δεδηλωμένα διὰ πέντε βιβλίων, πειρασόμε-
24 θα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν. [24] συνορῶντες γὰρ τὸ χῦμα τῶν ἀριθμῶν
καὶ τὴν οὖσαν δυςχέρειαν τοῖς θέλουσιν εἰςκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διη-
25 γήμασι διὰ τὸ πλῆθος τῆς ὕλης, [25] ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀνα-
γινώσκειν ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν
26 εὐκοπίαν, πᾶσι δὲ τοῖς ἐντυγχάνουσιν ὠφέλειαν. [26] καὶ ἡμῖν μὲν τοῖς τὴν
κακοπάθειαν ἐπιδεδεγμένοις τῆς ἐπιτομῆς οὐ ῥάδιον, ἱδρῶτος δὲ καὶ ἀγρυ-
27 πνίας τὸ πρᾶγμα, [27] καθάπερ τῷ παρασκευάζοντι συμπόσιον καὶ ζητοῦντι
τὴν ἑτέρων λυσιτέλειαν οὐκ εὐχερὲς μέν, ὅμως διὰ τὴν τῶν πολλῶν εὐχα-
28 ριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν, [28] τὸ μὲν διακριβοῦν περὶ ἑκά-
στων τῷ συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ ἐπιπορεύεσθαι τοῖς ὑπογραμμοῖς
29 τῆς ἐπιτομῆς διαπονοῦντες. [29] καθάπερ γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι
τῆς ὅλης καταβολῆς φροντιστέον, τῷ δὲ ἐγκαίειν καὶ ζωγραφεῖν ἐπιχειροῦντι
30 τὰ ἐπιτήδεια πρὸς διακόσμησιν ἐξεταστέον, οὕτω δοκῶ καὶ ἐπὶ ἡμῖν. [30] τὸ
μὲν ἐμβατεύειν καὶ περὶ πάντων ποιεῖσθαι λόγον καὶ πολυπραγμονεῖν ἐν
31 τοῖς κατὰ μέρος τῷ τῆς ἱστορίας ἀρχηγέτῃ καθήκει· [31] τὸ δὲ σύντομον τῆς
λέξεως μεταδιώκειν καὶ τὸ ἐξεργαστικὸν τῆς πραγματείας παραιτεῖσθαι τῷ
32 τὴν μετάφρασιν ποιουμένῳ συγχωρητέον. [32] ἐντεῦθεν οὖν ἀρξώμεθα τῆς διη-
γήσεως, τοῖς προειρημένοις τοσοῦτον ἐπιζεύξαντες· εὔηθες γὰρ τὸ μὲν πρὸ
τῆς ἱστορίας πλεονάζειν, τὴν δὲ ἱστορίαν ἐπιτεμεῖν.

## III.

Τῆς ἁγίας τοίνυν πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης, καὶ τῶν
νόμων ἔτι κάλλιστα συντηρουμένων διὰ τὴν Ὀνίου τοῦ ἀρχιερέως εὐσέβειάν
2 τε καὶ μισοπονηρίαν, [2] συνέβαινε καὶ αὐτοὺς τοὺς βασιλεῖς τιμᾶν τὸν τόπον,
3 καὶ τὸ ἱερὸν ἀποστολαῖς ταῖς κρατίσταις δοξάζειν, [3] ὥςτε καὶ Σέλευκον τὸν
τῆς Ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων προςόδων πάντα τὰ πρὸς τὰς
4 λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα δαπανήματα. [4] Σίμων δέ τις ἐκ τῆς
Βενιαμὶν φυλῆς προστάτης τοῦ ἱεροῦ καθεσταμένος διηνέχθη τῷ ἀρχιερεῖ
5 περὶ τῆς κατὰ τὴν πόλιν παρανομίας. [5] καὶ νικῆσαι τὸν Ὀνίαν μὴ δυνάμε-
νος, ἦλθε πρὸς Ἀπολλώνιον Θρασαίου τὸν κατ' ἐκεῖνον τὸν καιρὸν Κοίλης
6 Συρίας καὶ Φοινίκης στρατηγόν. [6] καὶ προςήγγειλε περὶ τοῦ χρημάτων ἀμυ-
θήτων γέμειν τὸ ἐν Ἱεροσολύμοις γαζοφυλάκιον, ὥςτε τὸ πλῆθος τῶν δια-
φόρων ἀναρίθμητον εἶναι, καὶ μὴ προςήκειν αὐτὰ πρὸς τὸν τῶν θυσιῶν λό-
γον, εἶναι δὲ δυνατὸν ὑπὸ τὴν τοῦ βασιλέως ἐξουσίαν πεσεῖν ἅπαντα ταῦτα.
7 [7] συμμίξας δὲ ὁ Ἀπολλώνιος τῷ βασιλεῖ, περὶ τῶν μηνυθέντων αὐτῷ χρη-
μάτων ἐνεφάνισεν· ὁ δὲ προχειρισάμενος Ἡλιόδωρον τὸν ἐπὶ τῶν πραγμά-
των ἀπέστειλε δοὺς ἐντολὰς τὴν τῶν προειρημένων χρημάτων ἐκκομιδὴν
8 ποιήσασθαι. [8] εὐθέως δὲ ὁ Ἡλιόδωρος ἐποιεῖτο τὴν πορείαν, τῇ μὲν ἐμφά-
σει ὡς τὰς κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην πόλεις ἐφοδεύσων, τῷ πράγ-
9 ματι δὲ τὴν τοῦ βασιλέως πρόθεσιν ἐπιτελέσων. [9] παραγενηθεὶς δὲ εἰς Ἱερο-
σόλυμα καὶ φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀποδεχθείς, ἀνέθετο
περὶ τοῦ γεγονότος ἐμφανισμοῦ, καὶ τίνος ἕνεκεν πάρεστι διεσάφησεν· ἐπυν-

23. om τα ... κηρυναιου 26. επιδεδιγμενοις ... αγρυπνειας 27. om μεν ... ευχαριστειαν 28. της επιτ. ατονουντες 29. ενκαινιζειν ... ουτως δοκων και επι ημων 30. και περιπατον ποιεισθ. λογω ... εν ταις κατα ... αρχηγενετη 31. πραγματιας (... παραιτ. την των μεταφρ.) 32. επιτεμνειν III. 1. om τοινυν ... οτι pro ετι ... ονειου 3. παντα τας (sic) ... λειτουργειας ... επιβαλλοντας 4. βενιαμειν ... om περι ... αγορανομειας 6. αναριθμητον ... μη προσενεγκειν ... om απαντα 7. om ο ... προχειρησαμενος 8. πορειαν ... εφοδευσε ... επιτελειν 9. φιλοφρ. ο αρχιερευς ... διεσαφηνισεν

Digitized by Google

θάνετο δὲ εἰ ταῖς ἀληθείαις ταῦτα οὕτως ἔχοντα τυγχάνει. [10]τοῦ δὲ ἀρ- 10
χιερέως ὑποδείξαντος παραθήκας εἶναι χηρῶν τε καὶ ὀρφανῶν, [11]τινὰ δὲ 11
καὶ Ὑρκανοῦ τοῦ Τωβίου σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ κειμένου, οὐχ ὥςπερ
ἦν διαβάλλων ὁ δυςσεβὴς Σίμων, τὰ δὲ πάντα ἀργυρίου τετρακόσια τά-
λαντα, χρυσίου δὲ διακόσια· [12]ἀδικηθῆναι δὲ τοὺς πεπιστευκότας τῇ τοῦ 12
τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμημένου κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ
σεμνότητι καὶ ἀσυλίᾳ, παντελῶς ἀμήχανον εἶναι. [13]ὁ δὲ Ἡλιόδωρος, δι' ἃς 13
εἶχε βασιλικὰς ἐντολάς, πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναληπτέα ταῦτα
εἶναι. [14]ταξάμενος δὲ ἡμέραν εἰςῄει τὴν περὶ τούτων ἐπίσκεψιν οἰκονομή- 14
σων· ἦν δὲ οὐ μικρὰ καθ' ὅλην τὴν πόλιν ἀγωνία. [15]οἱ δὲ ἱερεῖς πρὸ τοῦ 15
θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαντες ἑαυτοὺς ἐπεκαλοῦντο εἰς
οὐρανὸν τὸν περὶ παραθήκης νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα
σῶα διαφυλάξαι. [16]ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν, τιτρώσκεσθαι 16
τὴν διάνοιαν· ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινε τὴν
κατὰ ψυχὴν ἀγωνίαν. [17]περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέος τι καὶ φρι- 17
κασμὸς σώματος, δι' ὧν πρόδηλον ἐγένετο τοῖς θεωροῦσι τὸ κατὰ καρδίαν
ἐνεστὸς ἄλγος. [18]οἱ δὲ ἐκ τῶν οἰκιῶν ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον 18
ἱκετείαν, διὰ τὸ μέλλειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον. [19]ὑπεζωσμέ- 19
ναι δὲ ὑπὸ τοὺς μαστοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς ἐπλήθυνον·
αἱ δὲ κατάκλειστοι τῶν παρθένων αἱ μὲν συνέτρεχον ἐπὶ τοὺς πυλῶνας, αἱ
δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων διεξέκυπτον. [20]πᾶσαι δὲ προ- 20
τείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐποιοῦντο τὴν λιτανείαν. [21]ἐλεεῖν δ' 21
ἦν τὴν τοῦ πλήθους παμμιγῆ πρόπτωσιν τήν τε τοῦ μεγάλως διαγωνιῶντος
ἀρχιερέως προςδοκίαν. [22]οἱ μὲν οὖν ἐπεκαλοῦντο τὸν παντοκράτορα θεὸν τὰ 22
πεπιστευμένα τοῖς πεπιστευκόσι σῶα διαφυλάσσειν μετὰ πάσης ἀσφαλείας.
[23]ὁ δὲ Ἡλιόδωρος τὸ διεγνωσμένον ἐπετέλει. [24]αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς 23 24
δορυφόροις κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος, ὁ τῶν πατέρων κύριος καὶ
πάσης ἐξουσίας δυνάστης ἐπιφάνειαν μεγάλην ἐποίησεν, ὥςτε πάντας τοὺς
κατατολμήσαντας συνελθεῖν, καταπλαγέντας τὴν τοῦ θεοῦ δύναμιν, εἰς ἔκλυ-
σιν καὶ δειλίαν τραπῆναι. [25]ὤφθη γάρ τις ἵππος αὐτοῖς φοβερὸν ἔχων τὸν 25
ἐπιβάτην καὶ καλλίστῃ σαγῇ διακεκοσμημένος, φερόμενος δὲ ῥύδην ἐνέσεισε
τῷ Ἡλιοδώρῳ τὰς ἐμπροσθίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυσῆν
πανοπλίαν ἔχων. [26]ἕτεροι δὲ δύο προεφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν 26
ἐκπρεπεῖς, κάλλιστοι δὲ τῇ δόξῃ, διαπρεπεῖς δὲ τὴν περιβολήν· οἳ καὶ πα-
ραστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως, πολλὰς ἐπιῤ-
ῥιπτοῦντες αὐτῷ πληγάς. [27]ἄφνω δὲ πεσόντα πρὸς τὴν γῆν καὶ πολλῷ 27
σκότει περιχυθέντα, συναρπάσαντες καὶ εἰς φορεῖον ἐνθέντες, [28]τὸν ἄρτι μετὰ 28
πολλῆς παραδρομῆς καὶ πάσης δορυφορίας εἰς τὸ προειρημένον εἰςελθόντα
γαζοφυλάκιον, ἔφερον ἀβοήθητον ἑαυτῷ καθεστῶτα, φανερῶς τὴν τοῦ θεοῦ
δυναστείαν ἐπεγνωκότες. [29]καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος καὶ 29
πάσης ἐστερημένος ἐλπίδος καὶ σωτηρίας ἔῤῥιπτο. [30]οἱ δὲ τὸν κύριον εὐλό- 30

---

10. παρακαταθηκας 11. του τωβιω ... ουχ ουτως διαβαλλων 12. αδικησαι τε ... ασυλεια 13. ιερος pro ηλιοδωρος ... αναλημπτεα 15. παρακαταθηκης 16. ειδεαν 17. γαρ επι τον ... δι ην προδηλον εγεινετο 18. οικειων ... ικετιαν ... μη μελλειν 19. επληθυνον ... διεκυπτον 20. λιταναιαν 21. ελεειν δε την ... αγωνιωντος 22. τον πανκρατη κυριον τα 24. ο των πνευματων και πασης 25. τοις pro τις ... εσισεν ... τας ενπροθεσει· ους οπλας (sic) 26. ετερε ... εφανησαν ... την γλωσσαν pro τη δοξη ... (εκτρεπεις et διατρεπεις ...) παρισταντες ... εμαστιγ. εαυτον ... επιριπτουντες 27. δε επεσον τα προς ... φοριον 28. αβοηθητ. αυτον τοις χολοις (sic) καθεστωτα φαν. την δυναστιαν επεγνωκοτα 29. ανεργειαν ... εριπτο

Digitized by Google

γουν τὸν παραδοξάζοντα τὸν ἑαυτοῦ τόπον· καὶ τὸ μικρῷ πρότερον δέους
καὶ ταραχῆς γέμον ἱερόν, τοῦ παντοκράτορος ἐπιφανέντος κυρίου, χαρᾶς καὶ
31 εὐφροσύνης ἐπεπλήρωτο. [31] ταχὺ δέ τινες τῶν τοῦ Ἡλιοδώρου συνήθων
ἠξίουν τὸν Ὀνίαν ἐπικαλέσασθαι τὸν ὕψιστον, καὶ τὸ ζῆν χαρίσασθαι τῷ
32 παντελῶς ἐν ἐσχάτῃ πνοῇ κειμένῳ. [32] ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεύς, μή
ποτε διάληψιν ὁ βασιλεὺς σχῇ, κακουργίαν τινὰ περὶ τὸν Ἡλιόδωρον ὑπὸ
τῶν Ἰουδαίων συντετελέσθαι, προσήγαγε θυσίαν ὑπὲρ τῆς τοῦ ἀνδρὸς σωτη-
33 ρίας. [33] ποιουμένου δὲ τοῦ ἀρχιερέως τὸν ἱλασμὸν οἱ αὐτοὶ νεανίαι πάλιν
ἐφάνησαν τῷ Ἡλιοδώρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν ἐστολισμένοι, καὶ στάν-
τες εἶπον Πολλὰς τῷ Ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας ἔχε, διὰ γὰρ αὐτόν σοι
34 κεχάρισται τὸ ζῆν ὁ κύριος· [34] σὺ δὲ ὑπ᾽ αὐτοῦ μεμαστιγωμένος διάγγελε
πᾶσι τὸ μεγαλεῖον τοῦ θεοῦ κράτος. ταῦτα δὲ εἰπόντες ἀφανεῖς ἐγένοντο.
35 [35] ὁ δὲ Ἡλιόδωρος θυσίαν ἀνενέγκας τῷ κυρίῳ καὶ εὐχὰς μεγίστας εὐξά-
μενος τῷ τὸ ζῆν περιποιήσαντι, καὶ τὸν Ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέ-
36 δευσε πρὸς τὸν βασιλέα. [36] ἐξεμαρτύρει δὲ πᾶσιν ἅπερ ἦν ὑπ᾽ ὄψιν τεθεα-
37 μένος ἔργα τοῦ μεγίστου θεοῦ. [37] τοῦ δὲ βασιλέως ἐπερωτήσαντος τὸν Ἡλιό-
δωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμφθῆναι εἰς Ἱεροσόλυμα,
38 ἔφησεν [38] Εἴ τινα ἔχεις πολέμιον ἢ πραγμάτων ἐπίβουλον, πέμψον αὐτὸν
ἐκεῖ, καὶ μεμαστιγωμένον αὐτὸν προσδέξῃ, ἐάνπερ καὶ διασωθείη, διὰ τὸ
39 περὶ τὸν τόπον ἀληθῶς εἶναί τινα θεοῦ δύναμιν. [39] αὐτὸς γὰρ ὁ τὴν κατοι-
κίαν ἐπουράνιον ἔχων ἐπόπτης ἐστὶ καὶ βοηθὸς ἐκείνου τοῦ τόπου, καὶ τοὺς
40 παραγινομένους ἐπὶ κακώσει τύπτων ἀπόλλυσιν. [40] καὶ τὰ μὲν κατὰ Ἡλιό-
δωρον καὶ τὴν τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώρησεν.

## IV.

Ὁ δὲ προειρημένος Σίμων ὁ τῶν χρημάτων καὶ τῆς πατρίδος ἐνδείκτης
γεγονὼς ἐκακολόγει τὸν Ὀνίαν, ὡς αὐτός τε εἴη τὸν Ἡλιόδωρον ἐπισεσει-
2 κὼς καὶ τῶν κακῶν δημιουργὸς καθεστηκώς. [2] καὶ τὸν εὐεργέτην τῆς πό-
λεως καὶ τὸν κηδεμόνα τῶν ὁμοεθνῶν καὶ ζηλωτὴν τῶν νόμων ἐπίβουλον
3 τῶν πραγμάτων ἐτόλμα λέγειν. [3] τῆς δὲ ἔχθρας ἐπὶ τοσοῦτον προβαινούσης
ὥστε καὶ διά τινος τῶν ὑπὸ τοῦ Σίμωνος δεδοκιμασμένων φόνους συντε-
4 λεῖσθαι, [4] συνορῶν ὁ Ὀνίας τὸ χαλεπὸν τῆς φιλονεικίας, καὶ Ἀπολλώνιον
μαίνεσθαι ὡς τὸν Κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν συναύξοντα τὴν
5 κακίαν τοῦ Σίμωνος, [5] ὡς τὸν βασιλέα διεκομίσθη, οὐ γινόμενος τῶν πολι-
τῶν κατήγορος, τὸ δὲ συμφέρον κοινῇ κατ᾽ ἰδίαν παντὶ τῷ πλήθει σκοπῶν.
6 [6] ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀδύνατον εἶναι τυχεῖν εἰρήνης ἔτι τὰ
7 πράγματα, καὶ τὸν Σίμωνα παῦλαν οὐ ληψόμενον τῆς ἀνοίας. [7] μεταλλάξαν-
τος δὲ τὸν βίον Σελεύκου, καὶ παραλαβόντος τὴν βασιλείαν Ἀντιόχου τοῦ
προσαγορευθέντος Ἐπιφανοῦς, ὑπενόθευσεν Ἰάσων ὁ ἀδελφὸς Ὀνίου τὴν ἀρ-
8 χιερωσύνην, [8] ἐπαγγειλάμενος τῷ βασιλεῖ δι᾽ ἐντεύξεως ἀργυρίου τάλαντα
ἑξήκοντα πρὸς τοῖς τριακοσίοις καὶ προσόδου τινὸς ἄλλης τάλαντα ὀγδοή-
9 κοντα. [9] πρὸς δὲ τούτοις ὑπισχνεῖτο καὶ ἕτερα διαγράψαι πεντήκοντα πρὸς
τοῖς ἑκατόν, ἐὰν συγχωρηθῇ διὰ τῆς ἐξουσίας αὐτοῦ γυμνάσιον καὶ ἐφηβίαν
10 αὐτῷ συστήσασθαι καὶ τοὺς ἐν Ἱεροσολύμοις Ἀντιοχεῖς ἀναγράψαι. [10] ἐπι-
νεύσαντος δὲ τοῦ βασιλέως καὶ τῆς ἀρχῆς κρατήσας, εὐθέως ἐπὶ τὸν Ἑλλη-

30. χριστου pro κυριου (χ̅υ̅ pro κ̅υ̅) ... επληρωτο 32. διαλημψιν 33. ειπαν Πολλα ονια ... το ζην κυριος 34. συ δε εξ ουρανου μεν μαστιγωμενος (sic) διαγγελλε 35. ανενεγκων τω θεω 38. διασωθη 39. απολλυει 40. κατ ηλιοδ. IV. 1. ως ουτος τε 4. συνορων ονιας ... μαιν. εως των κοιλης φυνικης και συριας ... συναυξαντο 5. προς pro ως ... διεχοσμηθη ... συμφοοον κοινη και κατ 6. ειρηνης επι τα ... λημψομενον 7. αρχιερωσυνην 9. υπεισχνοιτο ... διαγραφειν ... επιχορηγηθη 10. ευθεως προς τον

Digitized by Google

νικὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετῆγε. [11] καὶ τὰ κείμενα τοῖς Ἰουδαίοις 11
φιλάνθρωπα βασιλικὰ διὰ Ἰωάννου τοῦ πατρὸς Εὐπολέμου, τοῦ ποιησαμένου
τὴν πρεσβείαν ὑπὲρ φιλίας καὶ συμμαχίας πρὸς τοὺς Ῥωμαίους, παρώσατο·
καὶ τὰς μὲν νομίμους καταλύων πολιτείας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν.
[12] ἀσμένως γὰρ ὑπ' αὐτὴν τὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσε, καὶ τοὺς 12
κρατίστους τῶν ἐφήβων ὑποτάσσων ὑπὸ πέτασον ἤγεν. [13] ἦν δ' οὕτως ἀκμή 13
τις Ἑλληνισμοῦ καὶ πρόσβασις ἀλλοφυλισμοῦ διὰ τὴν τοῦ ἀσεβοῦς καὶ οὐκ
ἀρχιερέως Ἰάσωνος ὑπερβάλλουσαν ἀναγνείαν, [14] ὥστε μηκέτι περὶ τὰς τοῦ 14
θυσιαστηρίου λειτουργίας προθύμους εἶναι τοὺς ἱερεῖς, ἀλλὰ τοῦ μὲν ναοῦ
καταφρονοῦντες καὶ τῶν θυσιῶν ἀμελοῦντες ἔσπευδον μετέχειν τῆς ἐν πα-
λαίστρᾳ παρανόμου χορηγίας μετὰ τὴν τοῦ δίσκου πρόκλησιν, [15] καὶ τὰς μὲν 15
πατρῴους τιμὰς ἐν οὐδενὶ τιθέμενοι, τὰς δὲ Ἑλληνικὰς δόξας καλλίστας ἡγού-
μενοι. [16] ὧν χάριν περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις, καὶ ὧν ἐζήλουν τὰς 16
ἀγωγὰς καὶ καθάπαν ἤθελον ἐξομοιοῦσθαι, τούτους πολεμίους καὶ τιμωρη-
τὰς ἔσχον. [17] ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους οὐ ῥᾴδιον, ἀλλὰ ταῦτα ὁ 17
ἀκόλουθος καιρὸς δηλώσει. [18] ἀγομένου δὲ πενταετηρικοῦ ἀγῶνος ἐν Τύρῳ 18
καὶ τοῦ βασιλέως παρόντος, [19] ἀπέστειλεν Ἰάσων ὁ μιαρὸς θεωροὺς ἀπὸ Ἱε- 19
ροσολύμων Ἀντιοχεῖς ὄντας παρακομίζοντας ἀργυρίου δραχμὰς τριακοσίας εἰς
τὴν τοῦ Ἡρακλέους θυσίαν, ἃς καὶ ἠξίωσαν οἱ παρακομίσαντες μὴ χρῆσθαι
πρὸς θυσίαν διὰ τὸ μὴ καθήκειν, εἰς ἑτέραν δὲ καταθέσθαι δαπάνην. [20] ἔπεμ- 20
ψεν οὖν ταῦτα διὰ μὲν τὸν ἀποστείλαντα εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν,
ἕνεκεν δὲ τῶν παρακομιζόντων εἰς τὰς τῶν τριήρων κατασκευάς. [21] ἀποστα- 21
λέντος δὲ εἰς Αἴγυπτον Ἀπολλωνίου τοῦ Μενεσθέως διὰ τὰ πρωτοκλίσια Πτο-
λεμαίου τοῦ Φιλομήτορος βασιλέως, μεταλαβὼν Ἀντίοχος ἀλλότριον αὐτὸν
τῶν αὐτῶν γεγονέναι πραγμάτων, τῆς κατ' αὐτὸν ἀσφαλείας ἐφρόντιζεν·
ὅθεν εἰς Ἰόππην παραγενόμενος κατήντησεν εἰς Ἱεροσόλυμα. [22] μεγαλοπρε- 22
πῶς δὲ ὑπὸ τοῦ Ἰάσωνος καὶ τῆς πόλεως παραδεχθείς, μετὰ δᾳδουχίας καὶ
βοῶν εἰςπεπόρευται, εἶθ' οὕτως εἰς τὴν Φοινίκην κατεστρατοπέδευσε. [23] μετὰ 23
δὲ τριετῆ χρόνον ἀπέστειλεν Ἰάσων Μενέλαον τὸν τοῦ προσημαινομένου Σί-
μωνος ἀδελφόν, παρακομίζοντα τὰ χρήματα τῷ βασιλεῖ καὶ περὶ πραγμάτων
ἀναγκαίων ὑπομνηματισμοὺς τελέσοντα. [24] ὁ δὲ συσταθεὶς τῷ βασιλεῖ καὶ 24
δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας, εἰς ἑαυτὸν κατήντησε τὴν ἀρχιε-
ρωσύνην, ὑπερβαλὼν τὸν Ἰάσωνα τάλαντα ἀργυρίου τριακόσια. [25] λαβὼν δὲ 25
τὰς βασιλικὰς ἐντολὰς παρεγένετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων,
θυμοὺς δὲ ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων. [26] καὶ ὁ μὲν 26
Ἰάσων ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ' ἑτέρου φυγὰς
εἰς τὴν Ἀμμανῖτιν χώραν συνήλαστο. [27] ὁ δὲ Μενέλαος τῆς μὲν ἀρχῆς ἐκρά- 27
τει, τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων οὐδὲν εὐτάκτει· ποιουμέ-
νου δὲ τὴν ἀπαίτησιν Σωστράτου τοῦ τῆς ἀκροπόλεως ἐπάρχου, [28] πρὸς τοῦ- 28
τον γὰρ ἦν ἡ τῶν φόρων πρᾶξις, δι' ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασιλέως

---

10. ομ. μετεστησε 11. παρωσας ... νομιμας 12. om την ... εφ ημων pro εφηβων ... ηγαγεν 13. ην δε ουτ. αγκμη του ελλ. ... ειασονος ... αγνειαν 14. λειτουργειας ... αλλα τους μεν ναιω καταφρονουντας (sic) ... παλεστρη ... χορηγειας ... προςκλησιν 15. πατρωας ... τεθιμενοι ... καλλιστοις 16. ων και χαριν ... καθο απαν ... τους pro τουτους 19. μιερος ... ως απο ... αντιοχιας παρακομ. ... τριακοσιους ... οι παρακομιζοντες ... εις θυσιαν ... om δια το μη καθηκειν usque versu 20. ηρακλεους θυσιαν 20. ενεκα δε των παροντων εις ... τριηρεων 21. μενεσθεσεως ... πρωτοκλησια του φιλομητορος ... των αυτου γεγονοτων ... της καθ αυτον ... ιππην 22. μεγαλομερως ... ιασονος ... αποδεχθεις ... βοων εισεδεχθη ειθ 23. αναγκαιον ... τελεσοντας 24. κατηντησεν αρχιερ. υπερβαλλων 25. παρεγινετο 26. υπονομευθεις 28. των διαφορων

Digitized by Google

29 προςεκλήθησαν. [29] καὶ ὁ μὲν Μενέλαος ἀπέλιπε τῆς ἀρχιερωσύνης διάδοχον
Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν, Σώστρατος δὲ Κράτητα τὸν ἐπὶ τῶν Κυ-
30 πρίων. [30] τοιούτων δὲ συνεστηκότων συνέβη Ταρσεῖς καὶ Μαλλώτας στασιά-
31 ζειν διὰ τὸ Ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ δεδόσθαι. [31] θᾶττον
οὖν ὁ βασιλεὺς ἧκε καταστεῖλαι τὰ πράγματα, καταλιπὼν τὸν διαδεχόμενον
32 Ἀνδρόνικον τῶν ἐν ἀξιώματι κειμένων. [32] νομίσας δὲ ὁ Μενέλαος εἰληφέναι
καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ νοσφισάμενος ἐχαρίσατο τῷ
Ἀνδρονίκῳ, καὶ ἕτερα ἐτύγχανε πεπρακὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πό-
33 λεις. [33] ἃ καὶ σαφῶς ἐπεγνωκὼς ὁ Ὀνίας, παρήλεγχεν ἀποκεχωρηκὼς εἰς
34 ἄσυλον τόπον ἐπὶ Δάφνης τῆς πρὸς Ἀντιόχειαν κειμένης. [34] ὅθεν ὁ Μενέλαος
λαβὼν ἰδίᾳ τὸν Ἀνδρόνικον παρεκάλει χειρώσασθαι τὸν Ὀνίαν· ὁ δὲ παρα-
γενόμενος ἐπὶ τὸν Ὀνίαν καὶ πεισθεὶς ἐπὶ δόλῳ καὶ δεξιὰς μεθ' ὅρκων δούς,
καίπερ ἐν ὑποψίᾳ κείμενος, ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν, ὃν καὶ πα-
35 ραχρῆμα παρέκλεισεν οὐκ αἰδεσθεὶς τὸ δίκαιον. [35] δι' ἣν αἰτίαν οὐ μόνον
Ἰουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυςφόρουν ἐπὶ τῷ
36 τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ. [36] τοῦ δὲ βασιλέως ἐπανελθόντος ἀπὸ τῶν κατὰ
Κιλικίαν τόπων ἐνετύγχανον οἱ κατὰ πόλιν Ἰουδαῖοι, συμμισοπονηρούντων
37 καὶ τῶν Ἑλλήνων, ὑπὲρ τοῦ παρὰ λόγον τὸν Ὀνίαν ἀπεκτάνθαι. [37] ψυχικῶς
οὖν ὁ Ἀντίοχος ἐπιλυπηθεὶς καὶ τραγεὶς εἰς ἔλεον καὶ δακρύσας διὰ τὴν τοῦ
38 μετηλλαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν, [38] καὶ πυρωθεὶς τοῖς θυμοῖς
παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύραν περιελόμενος καὶ τοὺς χιτῶνας
περιῤῥήξας, περιαγαγὼν καθ' ὅλην τὴν πόλιν, ἐπ' αὐτὸν τὸν τόπον οὗπερ
εἰς τὸν Ὀνίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον ἀπεκόσμησε, τοῦ κυρίου τὴν
39 ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος. [39] γενομένων δὲ πολλῶν Ἱεροσολυμάτων κατὰ
τὴν πόλιν ὑπὸ τοῦ Λυσιμάχου μετὰ τῆς Μενελάου γνώμης, καὶ διαδοθείσης
ἔξω τῆς φήμης, ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον, χρυσωμάτων ἤδη
40 πολλῶν διενηνεγμένων. [40] ἐπεγειρομένων δὲ τῶν ὄχλων καὶ ταῖς ὀργαῖς διεμ-
πιμπλαμένων, καθοπλίσας ὁ Λυσίμαχος πρὸς τριςχιλίους κατήρξατο χειρῶν
ἀδίκων, προηγησαμένου τινὸς τυράννου προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ
41 ἧττον καὶ τὴν ἄνοιαν. [41] συνιδόντες δὲ καὶ τὴν ἐπίθεσιν τοῦ Λυσιμάχου,
συναρπάσαντες οἱ μὲν πέτρους, οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς παρακει-
μένης σποδοῦ δρασσόμενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ τὸν Λυσίμαχον.
42 [42] δι' ἣν αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐποίησαν, τινὰς δὲ καὶ κα-
τέβαλον, πάντας δὲ εἰς φυγὴν συνήλασαν, αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ τὸ
43 γαζοφυλάκιον ἐχειρώσαντο. [43] περὶ δὲ τούτων ἐνέστη κρίσις πρὸς τὸν Μενέ-
44 λαον. [44] καταντήσαντος δὲ τοῦ βασιλέως εἰς Τύρον, ἐπ' αὐτοῦ τὴν δικαιο-
45 λογίαν ἐποιήσαντο οἱ πεμφθέντες ἄνδρες τρεῖς ὑπὸ τῆς γερουσίας. [45] ἤδη δὲ
λελειμμένος ὁ Μενέλαος ἐπηγγείλατο χρήματα ἱκανὰ τῷ Πτολεμαίῳ τῷ
46 Δορυμένους πρὸς τὸ πεῖσαι τὸν βασιλέα. [46] ὅθεν ἀπολαβὼν ὁ Πτολεμαῖος εἴς
47 τι περίστυλον ὡς ἀναψύξοντα τὸν βασιλέα μετέθηκε. [47] καὶ τὸν μὲν τῆς ὅλης
κακίας αἴτιον Μενέλαον ἀπέλυσε τῶν κατηγορημάτων, τοῖς δὲ ταλαιπώροις
οἵτινες, εἰ καὶ ἐπὶ Σκυθῶν ἔλεγον, ἀπελύθησαν ἂν ἀκατάγνωστοι, τούτοις
48 θάνατον ἐπέκρινε. [48] ταχέως οὖν τὴν ἄδικον ζημίαν ὑπέσχον οἱ ὑπὲρ πόλεως
49 καὶ δήμων καὶ τῶν ἱερῶν σκευῶν προαγορεύσαντες. [49] δι' ἣν αἰτίαν καὶ

---

29. απελειπεν 30. διδοσθαι 31. καταλειπων 33. om ἃ ... ο ονειας απηνεγκεν ... προς αντιοχειας 34. δεξιασθεις μετ ορκων· δους δεξιαν· καιπερ 36. τ. ον. απεκτονησεν (sic) 37. υπολυπηθεις ... επι ελεος 38. περιρηξας ... om εις ... κολασασιν 39. ιεροσυληματων ... της του μενελαου 40. διεμπιπλαμενων ... τινος αυρανου ... αγνοιαν 41. συνειδοτες ... εποδου 42. δε κατεβαλον 43. επι τον 44. τρ. ανδρ. 45. λελιμμενος ... τω πτολεμ. δορυμενου πρ. το πεσαι 46. αναψυχοντα 47. κατηγορημενων ... om αν ... απεκρινεν 48. οι περι ... προηγορησαντες

Digitized by Google

Τύριοι μισοπονηρήσαντες τὰ πρὸς τὴν κηδείαν αὐτῶν μεγαλοπρεπῶς ἐχορή-
γησαν. [50] ὁ δὲ Μενέλαος διὰ τὰς τῶν κρατούντων πλεονεξίας ἔμενεν ἐπὶ τῆς 50
ἀρχῆς, ἐπιφυόμενος τῇ κακίᾳ, μέγας τῶν πολιτῶν ἐπίβουλος καθεστώς.

## V.

Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἔφοδον ὁ Ἀντίοχος εἰς Αἴγυ-
πτον ἐστείλατο. [2] συνέβη δὲ καθ᾽ ὅλην τὴν πόλιν σχεδὸν ἐφ᾽ ἡμέρας τεσσα- 2
ράκοντα φαίνεσθαι διὰ τοῦ ἀέρος τρέχοντας ἱππεῖς διαχρύσους στολὰς ἔχον-
τας καὶ λόγχας σπειρηδὸν ἐξωπλισμένους, [3] καὶ ἴλας ἵππων διατεταγμένας 3
καὶ προςβολὰς γινομένας καὶ καταδρομὰς ἑκατέρων καὶ ἀσπίδων κινήσεις καὶ
καμάκων πλήθη καὶ μαχαιρῶν σπασμοὺς καὶ βελῶν βολὰς καὶ χρυσῶν κό-
σμων ἐκλάμψεις καὶ παντοίους θωρακισμούς. [4] διὸ πάντες ἠξίουν ἐπ᾽ ἀγαθῷ 4
τὴν ἐπιφάνειαν γενέσθαι. [5] γενομένης δὲ λαλιᾶς ψευδοῦς ὡς μετηλλαχότος 5
τὸν βίον Ἀντιόχου, παραλαβὼν ὁ Ἰάσων οὐκ ἐλάττους τῶν χιλίων, αἰφνιδίως
ἐπὶ τὴν πόλιν συνετελέσατο ἐπίθεσιν· τῶν δὲ ἐπὶ τῷ τείχει συνελασθέντων
καὶ τέλος ἤδη καταλαμβανομένης τῆς πόλεως, ὁ Μενέλαος εἰς τὴν ἀκρόπο-
λιν ἐφυγάδευσεν. [6] ὁ δὲ Ἰάσων ἐποιεῖτο σφαγὰς τῶν πολιτῶν τῶν ἰδίων 6
ἀφειδῶς, οὐ συννοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν δυσημερίαν εἶναι τὴν
μεγίστην· δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν τρόπαια καταβάλλεσθαι,
[7] τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησε, τὸ δὲ τέλος τῆς ἐπιβουλῆς αἰσχύνην λαβών, 7
φυγὰς πάλιν εἰς τὴν Ἀμμανῖτιν ἀπῆλθεν. [8] πέρας οὖν κακῆς ἀναστροφῆς 8
ἔτυχεν ἐγκλεισθεὶς πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων τύραννον, πόλιν ἐκ πόλεως
φεύγων, διωκόμενος ὑπὸ πάντων καὶ στυγούμενος ὡς τῶν νόμων ἀποστάτης,
καὶ βδελυσσόμενος ὡς πατρίδος καὶ πολιτῶν δήμιος, εἰς Αἴγυπτον συνεβρά-
σθη. [9] καὶ ὁ συχνοὺς τῆς πατρίδος ἀποξενώσας ἐπὶ ξένης ἀπώλετο πρὸς Λα- 9
κεδαιμονίους ἀναχθείς, ὡς διὰ τὴν συγγένειαν τευξόμενος σκέπης. [10] καὶ ὁ 10
πλῆθος ἀτάφων ἐκρίψας ἀπένθητος ἐγενήθη, καὶ κηδείας οὐδ᾽ ἡςτινοςοῦν
οὔτε πατρῴου τάφου μετέσχε. [11] προςπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν γε- 11
γονότων, διέλαβεν ἀποστατεῖν τὴν Ἰουδαίαν· ὅθεν ἀναζεύξας ἐξ Αἰγύπτου
τεθηριωμένος τῇ ψυχῇ ἔλαβε τὴν μὲν πόλιν δορυάλωτον. [12] καὶ ἐκέλευσε 12
τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς ἐμπίπτοντας, καὶ τοὺς εἰς τὰς οἰκίας
ἀναβαίνοντας κατασφάζειν. [13] ἐγίνοντο δὲ νέων καὶ πρεσβυτέρων ἀναιρέσεις, 13
ἀνδρῶν τε καὶ γυναικῶν καὶ τέκνων ἀφανισμός, παρθένων τε καὶ νηπίων
σφαγαί. [14] ὀκτὼ δὲ μυριάδες ἐν ταῖς πάσαις ἡμέραις τρισὶ κατεφθάρησαν· 14
τέσσαρες μὲν ἐν χειρῶν νομαῖς, οὐχ ἧττον δὲ τῶν ἐσφαγμένων ἐπράθησαν.
[15] καὶ οὐκ ἀρκεσθεὶς δὲ τούτοις κατετόλμησεν εἰς τὸ πάσης τῆς γῆς ἁγιώ- 15
τατον ἱερὸν εἰςελθεῖν, ὁδηγὸν ἔχων τὸν Μενέλαον τὸν καὶ τῶν νόμων καὶ τῆς
πατρίδος προδότην γεγονότα. [16] καὶ ταῖς μιαραῖς χερσὶ τὰ ἱερὰ σκεύη λαμ- 16
βάνων, καὶ τὰ ὑπ᾽ ἄλλων βασιλέων ἀνατεθέντα πρὸς αὔξησιν καὶ δόξαν τοῦ
τόπου καὶ τιμὴν ταῖς βεβήλοις χερσὶ συσσύρων ἐπεδίδου. [17] καὶ ἐμετεωρίζετο 17
τὴν διάνοιαν ὁ Ἀντίοχος, οὐ συνορῶν ὅτι διὰ τὰς ἁμαρτίας τῶν τὴν πόλιν
οἰκούντων ἀπώργισται βραχέως ὁ δεσπότης, διὸ γέγονε περὶ τὸν τόπον παρό-

---

49. μισοπονηρευσαντες ... κηδιαν ... μεγαλομερως 50. επι τη αρχη V. 1. αφοδον 2. τεσσεραχοντα ... δια των αερων 3. ab initio add και μαχαιρων σπασμους eaque postea om ... ειλας ... χαματων ... χρυσεων 4. επιφανιαν γεγενησθαι 5. μετηλλαχοντος αντιοχ. τον βιον ... εφνιδειως 6. της πολεως pro των πολιτων ... την εις την συγγενεις (sic) ... ουχ ομοεθνων 7. παρηλθεν 8. καταστροφης ... υπο παντων· στυγουμενος ... εξεβρασθη 9. συνχνους 10. κηδιας ... ηστινος ... νομου pro ταφου 11. δοριαλωτον 12. εν ταις οιχειαις 13. εγεινετο ... αναιρεσις ανηβων ται και 14. *τεσσερας, **τεσσαρας ... νομοις 15. om και ab initio 16. μιαιρες ... **τα υπο πολλων ... ανασταθεντα ... συνσυρω omisso επεδιδου

Digitized by Google

18 ρασις. [18]εἰ δὲ μὴ συνέβαινε προενέχεσθαι πολλοῖς ἁμαρτήμασι, καθάπερ ὁ
Ἡλιόδωρος ὁ πεμφθεὶς ὑπὸ Σελεύκου τοῦ βασιλέως ἐπὶ τὴν ἐπίσκεψιν τοῦ
γαζοφυλακίου, οὗτος προαχθεὶς παραχρῆμα μαστιγωθεὶς ἀνετράπη τοῦ θρά-
19 σους. [19]ἀλλ' οὐ διὰ τὸν τόπον τὸ ἔθνος, ἀλλὰ διὰ τὸ ἔθνος τὸν τόπον ὁ
20 κύριος ἐξελέξατο. [20]διόπερ καὶ αὐτὸς ὁ τόπος συμμετασχὼν τῶν τοῦ ἔθνους
δυςπετημάτων γενομένων, ὕστερον εὐεργετημάτων ὑπὸ τοῦ κυρίου ἐκοινώνησε,
καὶ ὁ καταλειφθεὶς ἐν τῇ τοῦ παντοκράτορος ὀργῇ πάλιν ἐν τῇ τοῦ μεγάλου
21 δεσπότου καταλλαγῇ μετὰ πάσης δόξης ἐπανωρθώθη. [21]ὁ γοῦν Ἀντίοχος
ὀκτακόσια πρὸς τοῖς χιλίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα θᾶττον εἰς
Ἀντιόχειαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας τὴν μὲν γῆν πλωτὴν
22 καὶ τὸ πέλαγος πορευτὸν θέσθαι διὰ τὸν μετεωρισμὸν τῆς καρδίας. [22]κατέ-
λιπε δὲ καὶ ἐπιστάτας τοῦ κακοῦν τὸ γένος, ἐν μὲν Ἱεροσολύμοις Φίλιππον
τὸ μὲν γένος Φρύγα, τὸν δὲ τρόπον βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαν-
23 τος, [23]ἐν δὲ Γαριζὶν Ἀνδρόνικον, πρὸς δὲ τούτοις Μενέλαον, ὃς χείριστα
τῶν ἄλλων ὑπερῄρετο τοῖς πολίταις, ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας Ἰουδαίους
24 ἔχων διάθεσιν. [24]ἔπεμψε δὲ τὸν μυσάρχην Ἀπολλώνιον μετὰ στρατεύματος
διςμυρίων πρὸς τοῖς δισχιλίοις, προστάξας τοὺς ἐν ἡλικίᾳ πάντας κατασφά-
25 ξαι, τὰς δὲ γυναῖκας καὶ νεωτέρους πωλεῖν. [25]οὗτος δὲ παραγενόμενος εἰς
Ἱεροσόλυμα καὶ τὸν εἰρηνικὸν ὑποκριθεὶς ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέρας
τοῦ σαββάτου, καὶ λαβὼν ἀργοῦντας τοὺς Ἰουδαίους τοῖς ὑφ' ἑαυτὸν ἐξο-
26 πλησίαν παρήγγειλε. [26]καὶ τοὺς ἐξελθόντας πάντας ἐπὶ τὴν θεωρίαν συνεξε-
κέντησε, καὶ εἰς τὴν πόλιν σὺν τοῖς ὅπλοις εἰςδραμὼν ἱκανὰ κατέστρωσε
27 πλήθη. [27]Ἰούδας δὲ ὁ Μακκαβαῖος δέκατός που γενηθεὶς καὶ ἀναχωρήσας
εἰς τὴν ἔρημον, θηρίων τρόπον ἐν τοῖς ὄρεσι διέζη σὺν τοῖς μετ' αὐτοῦ, καὶ
τὴν χορτώδη τροφὴν σιτούμενοι διετέλουν πρὸς τὸ μὴ μετασχεῖν τοῦ μολυσμοῦ.

## VI.

Μετ' οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα Ἀθηναῖον
ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἐκ τῶν πατρῴων νόμων καὶ τοῖς τοῦ
2 θεοῦ νόμοις μὴ πολιτεύεσθαι, [2]μολῦναι δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν καὶ
προςονομάσαι Διὸς Ὀλυμπίου, καὶ τὸν ἐν Γαριζὶν, καθὼς ἐτύγχανον οἱ τὸν
3 τόπον οἰκοῦντες, Διὸς Ξενίου. [3]χαλεπὴ δὲ καὶ τοῖς ὄχλοις ἦν καὶ δυςχερὴς
4 ἡ ἐπίστασις τῆς κακίας. [4]τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ κώμων ἐπεπλήρωτο
ὑπὸ τῶν ἐθνῶν ῥαθυμούντων μεθ' ἑταιρῶν, καὶ ἐν τοῖς ἱεροῖς περιβόλοις γυ-
5 ναιξὶ πλησιαζόντων, ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον φερόντων. [5]τὸ δὲ θυ-
σιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο.
6 [6]ἦν δ' οὔτε σαββατίζειν οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν οὔτε ἁπλῶς
7 Ἰουδαῖον ὁμολογεῖν εἶναι. [7]ἤγοντο δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ
μῆνα τοῦ βασιλέως γενέθλιον ἡμέραν ἐπὶ σπλαγχνισμόν· γενομένης δὲ Διο-
νυσίων ἑορτῆς ἠναγκάζοντο οἱ Ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ Διο-
8 νύσῳ. [8]ψήφισμα δὲ ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας πόλεις Ἑλληνίδας, Πτο-
λεμαίων ὑποτιθεμένων τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν Ἰουδαίων ἄγειν καὶ

---

18. συνεβη προσενεχεσθαι ... καθαπερ ην ο 20. συνμετασχων του ... om υπο του κυριου ... εκοινωνησαν ... καταληφθεις 21. ο ουν ... εις την αντιοχιαν ... την μεν την πρωτην 22. κατελειπεν 23. γαριζειν ... μενελαος χειριστας ... απηχθη δε 24. δισμυριους δε τοις ... και τους νεωτερ. 26. ελθοντας ... κατεστησεν πληθη 27. ο και μακκαβαιος ... γεννηθεις ... αναχωρ. εν τοις ορεσιν θηρ. τροπ. διεζη VI. 1. απο των πατριων ... νομου 2. νεω ... γαριζει ... διοξενιου 3. τοις ολοις ην δυςχερ. 4. υπο τ. εθν. επεπληρουτο ... ετερων ... περιβολων ... εισφεροντων 5. τοις αποδιεσταλμενων 6. πατροους 7. ηγον ... om οι ιουδαιοι 8. αστυγεις ελληνιδας πολις πτολεμαιου υποθεμενου

Digitized by Google

σπλαγχνίζειν, [9] τοὺς δὲ μὴ προαιρουμένους μεταβαίνειν ἐπὶ τὰ Ἑλληνικὰ κα- 9
τασφάζειν. παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν. [10] δύο γὰρ γυναῖκες 10
ἀνηνέχθησαν περιτετμηκυῖαι τὰ τέκνα αὐτῶν· τούτων δὲ ἐκ τῶν μαστῶν
κρεμάσαντες τὰ βρέφη καὶ δημοσίᾳ περιαγαγόντες αὐτὰς τὴν πόλιν κατὰ
τοῦ τείχους ἐκρήμνισαν. [11] ἕτεροι δὲ πλησίον συνδραμόντες εἰς τὰ σπήλαια 11
λεληθότως ἄγειν τὴν ἑβδομάδα, μηνυθέντες τῷ Φιλίππῳ συνεφλογίσθησαν,
διὰ τὸ εὐλαβῶς ἔχειν βοηθῆσαι ἑαυτοῖς κατὰ τὴν δόξαν τῆς σεμνοτάτης
ἡμέρας. [12] παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ μὴ συστέλλε- 12
σθαι διὰ τὰς συμφοράς, λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλεθρον ἀλλὰ
πρὸς παιδείαν τοῦ γένους ἡμῶν εἶναι. [13] καὶ τὸ μὴ πολὺν χρόνον ἐᾶσθαι 13
τοὺς δυςσεβοῦντας, ἀλλ' εὐθέως περιπίπτειν ἐπιτιμίοις, μεγάλης εὐεργεσίας
σημεῖόν ἐστιν. [14] οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μα- 14
κροθυμῶν ὁ δεσπότης μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν
ἁμαρτιῶν κολάσαι, οὕτω καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι, [15] ἵνα μὴ πρὸς τέλος 15
ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστερον ἡμᾶς ἐκδικᾷ. [16] διόπερ οὐδέποτε 16
μὲν τὸν ἔλεον αὐτοῦ ἀφ' ἡμῶν ἀφίστησι· παιδεύων δὲ μετὰ συμφορᾶς οὐκ
ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν. [17] πλὴν ἕως ὑπομνήσεως ταῦθ' ἡμῖν εἰρήσθω· 17
δι' ὀλίγων δ' ἐλευστέον ἐπὶ τὴν διήγησιν. [18] Ἐλεάζαρός τις τῶν πρωτευόν- 18
των γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν καὶ τὴν πρόςοψιν τοῦ
προςώπου κάλλιστος τυγχάνων, ἀναχανὼν ἠναγκάζετο φαγεῖν ὕειον κρέας.
[19] ὁ δὲ τὸν μετ' εὐκλείας θάνατον μᾶλλον ἢ τὸν μετὰ μύσους βίον ἀναδεξά- 19
μενος, αὐθαιρέτως ἐπὶ τὸ τύμπανον προςῆγε, προπτύσας δέ, [20] καθ' ὃν ἔδει 20
τρόπον προςέρχεσθαι τοὺς ὑπομένοντας ἀμύνεσθαι, ὧν οὐ θέμις γεύσασθαι
διὰ τὴν πρὸς τὸ ζῆν φιλοστοργίαν. [21] οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγχνι- 21
σμῷ τεταγμένοι, διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν
ἀπολαβόντες αὐτὸν κατ' ἰδίαν παρεκάλουν, ἐνέγκαντα κρέα οἷς καθῆκον αὐ-
τῷ χρήσασθαι δι' αὐτοῦ παρασκευασθέντα, ὑποκριθῆναι δὲ ὡς ἐσθίοντα τὰ
ὑπὸ τοῦ βασιλέως προστεταγμένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν, [22] ἵνα τοῦτο 22
πράξας ἀπολυθῇ τοῦ θανάτου καὶ διὰ τὴν ἀρχαίαν πρὸς αὐτοὺς φιλίαν τύχῃ
φιλανθρωπίας. [23] ὁ δὲ λογισμὸν ἀστεῖον ἀναλαβὼν καὶ ἄξιον τῆς ἡλικίας καὶ 23
τῆς τοῦ γήρως ὑπεροχῆς καὶ τῆς ἐπικτήτου καὶ ἐπιφανοῦς πολιᾶς καὶ τῆς
ἐκ παιδὸς καλλίστης ἀνατροφῆς, μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομο-
θεσίας, ἀκολούθως ἀπεφήνατο, ταχέως λέγων προπέμπειν εἰς τὸν ᾅδην. [24] οὐ 24
γὰρ τῆς ἡμετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων
ὑπολαβόντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς ἀλλοφυλισμόν,
[25] καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν καὶ διὰ τὸ μικρὸν καὶ ἀκαριαῖον ζῆν 25
πλανηθῶσι δι' ἐμέ, καὶ μύσος καὶ κηλῖδα τοῦ γήρως κατακτήσομαι. [26] εἰ 26
γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς
τοῦ παντοκράτορος χεῖρας· οὔτε ζῶν οὔτε ἀποθανὼν ἐκφεύξομαι. [27] διόπερ 27
ἀνδρείως μὲν νῦν διαλλάξας τὸν βίον, τοῦ μὲν γήρως ἄξιος φανήσομαι, [28] τοῖς 28
δὲ νέοις ὑπόδειγμα γενναῖον καταλελοιπὼς εἰς τὸ προθύμως καὶ γενναίως
ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων ἀπευθανατίζειν. τοσαῦτα δὲ εἰπὼν ἐπὶ
τὸ τύμπανον εὐθέως ἦλθε. [29] τῶν δὲ ἀγόντων τὴν μικρῷ πρότερον εὐμένειαν 29

---

10. ανηχθησαν ... om αυτων 11. βοηθησαι αυτοις κατα δοξαν 12. παιδιαν 13. και γαρ το μη 13. τοις επιτιμοις 14. μαχρι ... κολαση· ουτως 16. om αυτου 17. ταυτ ημειν ... δε ελευστεον 18. om τυγχανων ... αναχενων ... υιον 20. αμυνασθαι ... om δια την 21. απολαμβανοντες ... ενεκαλουν ενεγκοντα ... χρασθαι ... υποκριναι ... τεταγμενα 22. τυχοι 23. γηρους ... επικτητους ... επιφ. πολιτειας ... αναστροφης 24. πολλοις των νεω et μεταβεβηναι (sic) 25. ακαιρεον ... πλανησθωσιν ... κατακτησωμαι 27. ανδριως 28. ειπως 29. αγ. προς αυτον την μικρω

Digitized by Google

πρὸς αὐτὸν εἰς δυςμένειαν μεταβαλόντων διὰ τὸ τοὺς προειρημένους λόγους,
30 ὡς αὐτοὶ διελάμβανον, ἀπόνοιαν εἶναι, [30] μέλλων δὲ ταῖς πληγαῖς τελευτᾶν,
ἀναστενάξας εἶπε Τῷ κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι φανερόν ἐστιν ὅτι
δυνάμενος ἀπολυθῆναι τοῦ θανάτου σκληρὰς ὑποφέρω κατὰ τὸ σῶμα ἀλγη-
δόνας μαστιγούμενος, κατὰ ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα
31 πάσχω. [31] καὶ οὗτος οὖν τοῦτον τὸν τρόπον μετήλλαξεν, οὐ μόνον τοῖς νέοις
ἀλλὰ καὶ τοῖς πλείστοις τοῦ ἔθνους τὸν ἑαυτοῦ θάνατον ὑπόδειγμα γενναιό-
τητος καὶ μνημόσυνον ἀρετῆς καταλιπών.

## VII.

Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλληφθέντας ἀναγκά-
ζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑείων κρεῶν ἐφάπτεσθαι, μά-
2 στιξι καὶ νευραῖς αἰκιζομένους. [2] εἷς δὲ αὐτῶν γενόμενος προήγορος οὕτως
ἔφη Τί μέλλεις ἐρωτᾶν καὶ μανθάνειν παρ' ἡμῶν; ἕτοιμοι γὰρ ἀποθνήσκειν
3 ἐσμὲν ἢ παραβαίνειν τοὺς πατρίους νόμους. [3] ἔκθυμος δὲ γενόμενος ὁ βασι-
4 λεὺς προσέταξε τήγανα καὶ λέβητας ἐκπυροῦν. [4] τῶν δὲ ἐκπυρωθέντων, πα-
ραχρῆμα τὸν γενόμενον αὐτῶν προήγορον προσέταξε γλωσσοτομεῖν καὶ περι-
σκυθίσαντας ἀκρωτηριάζειν, τῶν λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορών-
5 των. [5] ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον ἐκέλευσε τῇ πυρᾷ προσάγειν
ἔμπνουν καὶ τηγανίζειν· τῆς δὲ ἀτμίδος ἐφ' ἱκανὸν διαδιδούσης τοῦ τηγά-
νου, ἀλλήλους παρεκάλουν σὺν τῇ μητρὶ γενναίως τελευτᾶν, λέγοντες οὕτως
6 [6] Ὁ κύριος ὁ θεὸς ἐφορᾷ καὶ ταῖς ἀληθείαις ἐφ' ἡμῖν παρακαλεῖται, καθά-
περ διὰ τῆς κατὰ πρόςωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωυσῆς λέ-
7 γων Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. [7] μεταλλάξαντος δὲ τοῦ
πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον ἦγον ἐπὶ τὸν ἐμπαιγμόν, καὶ τὸ
τῆς κεφαλῆς δέρμα σὺν ταῖς θριξὶ περισύραντες ἐπηρώτων Εἰ φάγεσαι πρὸ
8 τοῦ τιμωρηθῆναι τὸ σῶμα κατὰ μέλος; [8] ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ
9 εἶπεν Οὐχί. διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβε βάσανον ὡς ὁ πρῶτος. [9] ἐν
ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε Σὺ μὲν ἀλάστωρ ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν
ἀπολύεις, ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νό-
10 μων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει. [10] μετὰ δὲ τοῦτον ὁ τρί-
τος ἐνεπαίζετο, καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε καὶ τὰς χεῖρας
11 εὐθαρσῶς προέτεινε, [11] καὶ γενναίως εἶπεν Ἐξ οὐρανοῦ ταῦτα κέκτημαι,
καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα, καὶ παρ' αὐτοῦ ταῦτα πάλιν
12 ἐλπίζω κομίσασθαι· [12] ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσ-
13 σεσθαι τὴν τοῦ νεανίσκου ψυχήν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο. [13] καὶ
τούτου δὲ μεταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι.
14 [14] καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη Αἱρετὸν μεταλλάσσοντα ὑπ'
ἀνθρώπων τὰς ὑπὸ τοῦ θεοῦ προσδοκᾶν ἐλπίδας πάλιν ἀναστήσεσθαι ὑπ'
15 αὐτοῦ· σοὶ μὲν γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται. [15] ἐχομένως δὲ τὸν
16 πέμπτον προσάγοντες ᾐκίζοντο. [16] ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν Ἐξουσίαν ἐν
ἀνθρώποις ἔχων φθαρτὸς ὢν ὃ θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν
17 ὑπὸ τοῦ θεοῦ καταλελεῖφθαι. [17] σὺ δὲ καρτέρει καὶ θεώρει τὸ μεγαλεῖον

---

29. η δυςμεν. δια των προειρημενων λογων ... υπελαμβανον 30. κατα σωμα 31. καταλειπων VII. 1. συλλημφθεντας ... υιων 2. προηγορος ειπεν μελλεις ... μανθανειν ημων ... εσμεν η πατρωους νομους παραβαινειν 4. παραχρ. εκπυρ. το γενομενον ... γλωσσοτιμειν 5. τοις λοιποις ... διδουσης 6. μωσης 7. περισυροντες επηρωτουν ει φαγεσθαι ... κατα μελος το σωμα 8. προσειπεν 9. εις αιων. ημας αναβιωσιν ζωης ημας αναστ. 10. προεβαλλεν ... ευθαρσεως 11. ταυτα κεκληται ... κομιζεσθαι 14. προς τω τελευταν ... μεταλλασσοντας απο 16. ειδων ... ο θελ. ποιεις φθαρτων 17. μεγαλιον

Digitized by Google

αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα σου βασανίσει. 18 μετὰ δὲ τοῦτον ἦγον 18
τὸν ἕκτον, καὶ μέλλων ἀποθνήσκειν ἔφη Μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι᾽
ἑαυτοὺς ταῦτα πάσχομεν ἁμαρτάνοντες εἰς τὸν ἑαυτῶν θεόν, διὸ ἄξια θαυ-
μασμοῦ γέγονε. 19 σὺ δὲ μὴ νομίσῃς ἀθῶος ἔσεσθαι, θεομαχεῖν ἐπιχειρήσας. 19
20 ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις ἀπολ- 20
λυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερε διὰ
τὰς ἐπὶ κύριον ἐλπίδας. 21 ἕκαστον δὲ αὐτῶν παρεκάλει τῇ πατρίῳ φωνῇ 21
γενναίῳ πεπληρωμένη φρονήματι, καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διε-
γείρασα, λέγουσα πρὸς αὐτούς 22 Οὐκ οἶδ᾽ ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοι- 22
λίαν, οὐδὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου
στοιχείωσιν οὐκ ἐγὼ διερύθμισα. 23 τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης, ὁ πλά- 23
σας ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευρὼν γένεσιν, καὶ τὸ πνεῦμα καὶ τὴν
ζωὴν ὑμῖν πάλιν ἀποδώσει μετ᾽ ἐλέους, ὡς νῦν ὑπεροράτε ἑαυτοὺς διὰ τοὺς
αὐτοῦ νόμους. 24 ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν ὀνειδίζου- 24
σαν ὑφορώμενος φωνήν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ μόνον διὰ λόγων
ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι᾽ ὅρκων ἐπίστου, ἅμα πλουτιεῖν καὶ
μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ τῶν πατρίων νόμων, καὶ φίλον ἕξειν
καὶ χρείας ἐμπιστεύσειν. 25 τοῦ δὲ νεανίου μηδαμῶς προσέχοντος, προσκαλε- 25
σάμενος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει τοῦ μειρακίου γενέσθαι σύμβουλον
ἐπὶ σωτηρίᾳ. 26 πολλὰ δὲ αὐτοῦ παραινέσαντος ἐπεδέξατο πείσειν τὸν υἱόν. 26
27 προσκύψασα δὲ αὐτῷ, χλευάσασα τὸν ὠμὸν τύραννον, οὕτως ἔφησε τῇ πα- 27
τρῴᾳ φωνῇ Υἱέ, ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα,
καὶ θηλάσασάν σε ἔτη τρία, καὶ ἐκθρέψασάν σε καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλι-
κίαν ταύτην καὶ τροφοφορήσασαν. 28 ἀξιῶ σε τέκνον, ἀναβλέψαντα εἰς τὸν 28
οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα, γνῶναι ὅτι ἐξ οὐκ ὄν-
των ἐποίησεν αὐτὰ ὁ θεός, καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτως γεγένηται.
29 μὴ φοβηθῇς τὸν δήμιον τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος ἐπίδε- 29
ξαι τὸν θάνατον, ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε.
30 ἔτι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε Τίνα μένετε; οὐχ ὑπακούω 30
τοῦ προστάγματος τοῦ βασιλέως· τοῦ δὲ προστάγματος ἀκούω τοῦ νόμου τοῦ
δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωυσέως. 31 σὺ δὲ πάσης κακίας εὑρετὴς 31
γενόμενος εἰς τοὺς Ἑβραίους οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ θεοῦ. 32 ἡμεῖς 32
γὰρ διὰ τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν. 33 εἰ δὲ χάριν ἐπιπλήξεως καὶ 33
παιδείας ὁ ζῶν κύριος ἡμῶν βραχέως ἐπώργισται, καὶ πάλιν καταλλαγήσε-
ται τοῖς ἑαυτοῦ δούλοις· 34 σὺ δέ, ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων μιαρώ- 34
τατε, μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς δούλους
αὐτοῦ ἐπαιρόμενος χεῖρα. 35 οὔπω γὰρ τὴν τοῦ παντοκράτορος ἐπόπτου θεοῦ 35
κρίσιν ἐκπέφευγας. 36 οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ὑπενέγκαντες 36
πόνον ἀεννάου ζωῆς ὑπὸ διαθήκην θεοῦ πεπτώκασι· σὺ δὲ τῇ τοῦ θεοῦ κρί-
σει δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας ἀποίσῃ. 37 ἐγὼ δὲ καθάπερ οἱ 37
ἀδελφοί μου καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νόμων, ἐπι-
καλούμενος τὸν θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι, καὶ σὲ μετὰ ἐτασμῶν
καὶ μαστίγων ἐξομολογήσασθαι διότι μόνος αὐτὸς θεός ἐστιν, 38 ἐν ἐμοὶ δὲ 38

---

17. βασανιει 18. μαλλον pro ματην ... αμαρτοντες ... om διο 20. αγαθη pro θαυμαστη 21. των ανθρωπων pro αυτων ... πεπληρωμενω ... θηλυ 23. αποδιδωσιν 24. ποιησιν και μεταθεμενον ... om νομων 25. γενεσθαι του μιρακιου 27. τη πατριω φωνη 28. οτι ουκ εξ οντων ... ουτω γινεται 29. αδελφων σου ... κομισαι με σε 30. καταλγηγουσης ... ουκ υπακουω ... δια μωσην 33. παιδιας 34. φρυττομενος αδειλοις ελπ. επι τους ουρανιους παιδας επαραμενος χειρα 36. επενεγκαντες ... αεναου 37. om μου ... τυχην ... επικαλουμενοι ... ειλεως

Digitized by Google

καὶ τοῖς ἀδελφοῖς μου στῆναι τὴν τοῦ παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ
39 σύμπαν ἡμῶν γένος δικαίως ἐπηγμένην. [39] ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς
τούτῳ παρὰ τοὺς ἄλλους χειρίστως ἀπήντησε, πικρῶς φέρων ἐπὶ τῷ μυκτη-
40 ρισμῷ. [40] καὶ οὗτος οὖν καθαρὸς τὸν βίον μετήλλαξε παντελῶς ἐπὶ τῷ κυ-
41 42 ρίῳ πεποιθώς. [41] ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησε. [42] τὰ μὲν οὖν
περὶ σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον δεδηλώσθω.

## VIII.

Ἰούδας δὲ ὁ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρεισπορευόμενοι λεληθότως
εἰς τὰς κώμας προσεκαλοῦντο τοὺς συγγενεῖς, καὶ τοὺς μεμενηκότας ἐν τῷ
2 Ἰουδαϊσμῷ προσλαβόμενοι συνήγαγον εἰς ἑξακισχιλίους. [2] καὶ ἐπεκαλοῦντο τὸν
κύριον ἐπιδεῖν ἐπὶ τὸν ὑπὸ πάντων καταπατούμενον λαόν, οἰκτεῖραι δὲ καὶ
3 τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων βεβηλωθέντα, [3] ἐλεῆσαι δὲ καὶ τὴν
καταφθειρομένην πόλιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι, καὶ τῶν καταβοών-
4 των πρὸς αὐτὸν αἱμάτων εἰσακοῦσαι, [4] μνησθῆναι δὲ καὶ τῆς τῶν ἀναμαρ-
τήτων νηπίων παρανόμου ἀπωλείας, καὶ περὶ τῶν γενομένων εἰς τὸ ὄνομα
5 αὐτοῦ βλασφημιῶν καὶ μισοπονηρῆσαι. [5] γενόμενος δὲ ἐν συστήματι ὁ Μακ-
καβαῖος ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν ἐγίνετο, τῆς ὀργῆς τοῦ κυρίου εἰς
6 ἔλεον τραπείσης. [6] πόλεις δὲ καὶ κώμας ἀπροσδοκήτως ἐρχόμενος ἐνεπίμπρα,
καὶ τοὺς ἐπικαίρους τόπους ἀπολαμβάνων οὐκ ὀλίγους τῶν πολεμίων ἐνίκα
7 τροπούμενος· [7] μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβουλὰς συνεργοὺς
8 ἐλάμβανε. καὶ λαλιά τις τῆς εὐανδρίας αὐτοῦ διεχεῖτο πανταχῆ. [8] συνορῶν
δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν ἐρχόμενον τὸν ἄνδρα, πυκνότερον
δὲ ἐν ταῖς εὐημερίαις προβαίνοντα, πρὸς Πτολεμαῖον τὸν Κοίλης Συρίας καὶ
9 Φοινίκης στατηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν. [9] ὁ δὲ
ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν πρώτων φίλων
ἀπέστειλεν, ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐλάττους τῶν δισμυρίων, τὸ σύμ-
παν τῶν Ἰουδαίων ἐξᾶραι γένος· συνέστησε δὲ αὐτῷ καὶ Γοργίαν ἄνδρα
10 στρατηγὸν καὶ ἐν πολεμικαῖς χρείαις πεῖραν ἔχοντα. [10] διεστήσατο δὲ ὁ Νι-
κάνωρ τὸν φόρον τῷ βασιλεῖ τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων ἐκ τῆς
11 τῶν Ἰουδαίων αἰχμαλωσίας ἐκπληρώσειν. [11] εὐθέως δὲ εἰς τὰς παραθα-
λασσίους πόλεις ἀπέστειλε προσκαλούμενος ἐπ' ἀγορασμὸν Ἰουδαϊκῶν σω-
μάτων, ὑπισχνούμενον ἐνενήκοντα σώματα ταλάντου παραχωρήσειν, οὐ προσ-
δεχόμενος τὴν παρὰ τοῦ παντοκράτορος μέλλουσαν παρακολουθήσειν ἐπ'
12 αὐτῷ δίκην. [12] τῷ δὲ Ἰούδᾳ προσέπεσε περὶ τῆς τοῦ Νικάνορος ἐφόδου·
13 καὶ μεταδόντος αὐτοῦ τοῖς σὺν αὐτῷ τὴν παρουσίαν τοῦ στρατοπέδου, [13] οἱ
δειλανδροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ θεοῦ δίκην διεδίδρασκον καὶ ἐξε-
14 τόπιζον ἑαυτούς. [14] οἱ δὲ τὰ περιλελειμμένα πάντα ἐπώλουν, ὁμοῦ δὲ τὸν
κύριον ἠξίουν ῥύσασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος πρὶν συντυ-
15 χεῖν πεπραμένους· [15] καὶ εἰ μὴ δι' αὐτούς, ἀλλὰ διὰ τὰς πρὸς τοὺς πατέρας
αὐτῶν διαθήκας, καὶ ἕνεκεν τῆς ἐπ' αὐτοὺς ἐπικλήσεως τοῦ σεμνοῦ καὶ
16 μεγαλοπρεποῦς ὀνόματος αὐτοῦ. [16] συναγαγὼν δὲ ὁ Μακκαβαῖος τοὺς περὶ

---

38. στησαι ... επι του συμπαν ... επημμενην 40. καθαρως ... om τον βιον 42. περι τους σπλ. VIII. 1. ο και μακκ. ... προσλαμβανομενοι 2. εφιδειν τον ... καταπονουμενον 3. εισοπαιδον γεινεσθαι ... καταβοουντων 4. και μνησθ. δε και ... αμαρτητων 5. ο μακκαβ. εν συστεματι ... τραπισιν 6. χωρας pro κωμας ... om ενικα 7. επιβολας ... λαλιαν της ευανδρειας α. διηχειτο 9. το παν της ιουδαιας ... και ευ πολεμικαις χριαις εχ. πειραν 11. προκαλουμενος ... ιουδαιων σωματων· υπισχνουμενος ... παρακολουθουσαν αυτω 12. om αυτου 13. εαυτους και εξετοπιζ. 14. περιλελιμμενα 15. ενεκα

Digitized by Google

αὐτὸν ὄντας τὸν ἀριθμὸν ἑξακισχιλίους παρεκάλει μὴ καταπλαγῆναι τοὺς πο-
λεμίους μηδὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως παραγινομένων ἐπ' αὐτοὺς ἐθνῶν
πολυπλήθιαν, ἀγωνίσασθαι δὲ γενναίως, [17] πρὸ ὀφθαλμῶν λαβόντας τὴν ἀνό- 17
μως εἰς τὸν ἅγιον τόπον συντετελεσμένην ὑπ' αὐτῶν ὕβριν καὶ τὸν τῆς ἐμ-
πεπαιγμένης πόλεως αἰκισμόν, ἔτι δὲ τὴν τῆς προγονικῆς πολιτείας κατά-
λυσιν. [18] οἱ μὲν γὰρ ὅπλοις πεποίθασιν ἅμα καὶ τόλμαις, ἔφησεν· ἡμεῖς δὲ 18
ἐπὶ τῷ παντοκράτορι θεῷ, δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ' ἡμᾶς καὶ τὸν
ὅλον κόσμον ἐν ἑνὶ νεύματι καταβαλεῖν, πεποίθαμεν. [19] προσαναλεξάμενος δὲ 19
αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀντιλήψεις, καὶ τὴν ἐπὶ Σεν-
ναχηρειμ τῶν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων, ὡς ἀπώλοντο, [20] καὶ τὴν 20
ἐν τῇ Βαβυλωνίᾳ τὴν πρὸς αὐτοὺς Γαλάτας παράταξιν γενομένην, ὡς οἱ
πάντες ἐπὶ τὴν χρείαν ἦλθον ὀκτακισχίλιοι σὺν Μακεδόσι τετρακισχιλίοις,
τῶν Μακεδόνων ἀπορουμένων, οἱ ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώ-
λεσαν διὰ τὴν γενομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέλειαν πολλὴν
ἔλαβον. [21] ἐφ' οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑτοίμους ὑπὲρ τῶν νό- 21
μων καὶ τῆς πατρίδος ἀποθνῄσκειν, τετραμερές τι τὸ στράτευμα ἐποίησε.
[22] τάξας καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας τάξεως, Σίμωνα 22
καὶ Ἰώσηφον καὶ Ἰωνάθαν, ὑποτάξας ἑκάστῳ χιλίους πρὸς τοῖς πεντακοσίοις,
[23] ἔτι δὲ καὶ Ἐλεάζαρον, παραγνοὺς τὴν ἱερὰν βίβλον καὶ δοὺς σύνθημα 23
θεοῦ βοηθείας, τῆς πρώτης σπείρας αὐτὸς προηγούμενος συνέβαλε τῷ Νικά-
νορι. [24] γενομένου δὲ αὐτοῖς τοῦ παντοκράτορος συμμάχου, κατέσφαξαν τῶν 24
πολεμίων ὑπὲρ τοὺς ἐνναχισχιλίους, τραυματίας δὲ καὶ τοῖς μέλεσιν ἀναπή-
ρους τὸ πλεῖστον μέρος τῆς τοῦ Νικάνορος στρατιᾶς ἐποίησαν, πάντας δὲ
φυγεῖν ἠνάγκασαν. [25] τὰ δὲ χρήματα τῶν παραγεγονότων ἐπὶ τὸν ἀγορασμὸν 25
αὐτῶν ἔλαβον· συνδιώξαντες δὲ αὐτοὺς ἐφ' ἱκανὸν ἀνέλυσαν ὑπὸ τῆς ὥρας
συγκλειόμενοι. [26] ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου, δι' ἣν αἰτίαν οὐκ ἐμακροθύ- 26
μησαν κατατρέχοντες αὐτούς. [27] ὁπλολογήσαντες δὲ αὐτοὺς καὶ τὰ σκῦλα 27
ἐκδύσαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο, περισσῶς εὐλογοῦντες
καὶ ἐξομολογούμενοι τῷ κυρίῳ τῷ διασώσαντι αὐτοὺς εἰς τὴν ἡμέραν ταύτην
ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς. [28] μετὰ δὲ τὸ σάββατον τοῖς ᾐκισμένοις καὶ 28
ταῖς χήραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ
τὰ παιδία ἐμερίσαντο. [29] ταῦτα δὲ διαπραξάμενοι καὶ κοινὴν ἱκετείαν ποιη- 29
σάμενοι, τὸν ἐλεήμονα κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὐτοῦ
δούλοις. [30] καὶ τῶν περὶ Τιμόθεον καὶ Βακχίδην συνεριζόντων ὑπὲρ τοὺς 30
δισμυρίους αὐτῶν ἀνεῖλον, καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγέ-
νοντο· καὶ λάφυρα πλεῖστα ἐμερίσαντο, ἰσομοίρους ἑαυτοὺς καὶ τοῖς ᾐκισμέ-
νοις καὶ ὀρφανοῖς καὶ χήραις, ἔτι δὲ καὶ πρεσβυτέροις ποιήσαντες. [31] ὁπλο- 31
λογήσαντες δὲ αὐτοὺς ἐπιμελῶς πάντα συνέθηκαν εἰς τοὺς ἐπικαίρους τό-
πους, τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν εἰς Ἱεροσόλυμα. [32] τὸν δὲ φυλάρχην 32
τῶν περὶ Τιμόθεον ἀνεῖλον, ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους
ἐπιλελυπηκότα. [33] ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι τοὺς ἐμπρήσαντας 33

---

16. οντας αριθμον ... καταπλαγ. τοις δεσμιοις μηδε ... παραγενομενων ... πολυπληθειαν 17. εμπεκειμενης 18. πεποιθοσιν ... εφησαν ... om εν ... καταλαβειν 19. αντιλημψεις ... om των secundum ... χειλιαδες 20. την προς τους γαλατας ... οι εξακισχειλιοι τας ... *ut videtur χιλιαδας ... γεινομενην 21. εποιησεν το στρατευμα 22. ταξας αδελφους ... ιωσηπον κ. ιωναθην 23. παραναγνους ... σπειρης 24. αναπειρους το πλειον ... στρατειας ... om εποιησαν ... φευγειν ... ηνηγκασεν (sic) 25. παραγενομενων ... απο της χωρας 26. σαββ. δικη δι ην ... εμαχροτονησαν 27. om αυτους 28. διεμερισαντο 29. ικετιαν 30. και τοις περι ... συνερισαντες ... λαφυρα πλειονος εμερ. εισομοιρ. αυτοις και 33. επινιχεια δε αγοντας



Digitized by Google

τοὺς ἱεροὺς πυλῶνας, Καλλισθένην καί τινας ἄλλους, ὑφῆψαν εἰς ἓν οἰκίδιον
34 πεφευγότας, οἵτινες ἄξιον τῆς δυςσεβείας ἐκομίσαντο μισθόν. [34]ὁ δὲ τριςαλι-
τήριος Νικάνωρ, ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶσιν τῶν Ἰουδαίων
35 ἀγαγών, [35]ταπεινωθεὶς ὑπὸ τῶν κατ' αὐτὸν νομιζομένων ἐλαχίστων εἶναι,
τῇ τοῦ κυρίου βοηθείᾳ τὴν δοξικὴν ἀποθέμενος ἐσθῆτα, διὰ τῆς μεσογείου,
δραπέτου τρόπον, ἔρημον ἑαυτὸν ποιήσας, ἧκεν εἰς Ἀντιόχειαν ὑπεράγαν
36 δυςημερήσας ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ. [36]καὶ ὁ τοῖς Ῥωμαίοις ἀνα-
δεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν Ἱεροσολύμοις αἰχμαλωσίας κατορθώσα-
σθαι κατήγγελλεν ὑπέρμαχον ἔχειν τὸν θεὸν τοὺς Ἰουδαίους, καὶ διὰ τὸν
τρόπον τοῦτον ἀτρώτους εἶναι τοὺς Ἰουδαίους, διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ'
αὐτοῦ προτεταγμένοις νόμοις.

## IX.

Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυκὼς ἀκόσμως
2 ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων. [2]εἰςεληλύθει γὰρ εἰς τὴν λεγομένην Περ-
σέπολιν, καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν πόλιν συνέχειν. διὸ δὴ τῶν πλη-
θῶν ὁρμησάντων ἐπὶ τὴν τῶν ὅπλων βοήθειαν ἐτράπησαν, καὶ συνέβη τρο-
πωθέντα τὸν Ἀντίοχον ὑπὸ τῶν ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι.
3 [3]ὄντι δὲ αὐτῷ κατ' Ἐκβάτανα προςέπεσε τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ
4 Τιμόθεον γεγονότα. [4]ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τὴν τῶν πεφυγαδευ-
κότων αὐτὸν κακίαν εἰς τοὺς Ἰουδαίους ἐναπερείσασθαι· διὸ συνέταξε τὸν
ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύειν τὴν πορείαν, τῆς ἐξ οὐρανοῦ
δὴ κρίσεως συνούσης αὐτῷ. οὕτω γὰρ ὑπερηφάνως εἶπε Πολυάνδριον Ἰου-
5 δαίων Ἱεροσόλυμα ποιήσω παραγενόμενος ἐκεῖ. [5]ὁ δὲ πανεπόπτης κύριος ὁ
θεὸς τοῦ Ἰσραὴλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ· ἄρτι δὲ αὐ-
τοῦ καταλήξαντος τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγη-
6 δὼν καὶ πικραὶ τῶν ἔνδον βάσανοι, [6]πάνυ δικαίως τὸν πολλαῖς καὶ ξενι-
7 ζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα. [7]ὁ δ' οὐδαμῶς τῆς ἀγε-
ρωχίας ἔληγεν· ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐπεπλήρωτο, πῦρ πνέων τοῖς
θυμοῖς ἐπὶ τοὺς Ἰουδαίους, καὶ κελεύων ἐποξύνειν τὴν πορείαν. συνέβη δὲ
καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος φερομένου ῥοίζῳ, καὶ δυςχερεῖ πτώματι
8 περιπεσόντα πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι. [8]ὁ δ' ἄρτι δο-
κῶν τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑπὲρ ἄνθρωπον ἀλαζο-
νείαν καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμενος ὕψη στήσειν, κατὰ γῆν γενόμε-
νος ἐν φορείῳ παρεκομίζετο, φανερὰν τοῦ θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύ-
9 μενος, [9]ὥςτε καὶ ἐκ τοῦ σώματος τοῦ δυςσεβοῦς σκώληκας ἀναζεῖν, καὶ
ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσι τὰς σάρκας αὐτοῦ διαπίπτειν, ὑπὸ δὲ τῆς
10 ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι τῇ σαπρίᾳ. [10]καὶ τὸν μικρῷ
πρότερον τῶν οὐρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐδύ-
11 νατο διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος. [11]ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς
ὑπερηφανίας λήγειν ὑποτεθραυσμένος, καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ μά-
12 στιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι. [12]καὶ μηδὲ τῆς ὀσμῆς
αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' ἔφη Δίκαιον ὑποτάσσεσθαι τῷ θεῷ, καὶ

33. τους ιερεις ... καλλισθενην υφ εις εν οικειον πεφευγοτα και τον αξιον (sic) ... εκομισατο 34. τριςαλητηριος ... ο τριςχιλιους 35. καθ αυτον ... τοπον ... αντιοχ. υπερ απαν ευημερηκως 36. om τον θεον ... τοις εαυτου προςτεταγμενοις IX. 1. εκ των περι την 4. ωετο και των ... καταλυειν τ.ποριαν ... ουτως ... πολυανδρειον 5. παντεποπτης 7. υπερηφανειας ... ποριαν ... δυςχερη 8. ο δ αντιδοκων ... om επιτασσειν ... υπερ ανθρωπων υπερηφανιαν κ. πλαστ. των ορεων ... υψι ... φοριω ... ενδειγνυμενος 9. την σαπρειαν 11. λεγειν (sic) τεθραυσμενος 12. ανεχεσθ. δυναμενος

μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπερηφάνως. [13] ηὔχετο δὲ ὁ μιαρὸς πρὸς 13
τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα δεσπότην, οὕτω λέγων, [14] τὴν μὲν ἁγίαν πόλιν, 14
ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ πολυάνδριον οἰκοδομῆσαι,
ἐλευθέραν ἀναδεῖξαι· [15] τοὺς δὲ Ἰουδαίους οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶ- 15
σαι οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις, πάντας αὐτοὺς ἴσους
Ἀθηναίοις ποιήσειν· [16] ὃν δὲ πρότερον ἐσκύλευσεν ἅγιον νεὼν καλλίστοις 16
ἀναθήμασι κοσμήσειν καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν, τὰς
δὲ ἐπιβαλλούσας πρὸς τὰς θυσίας συντάξεις ἐκ τῶν ἰδίων προςόδων χορηγή-
σειν· [17] πρὸς δὲ τούτοις καὶ Ἰουδαῖον ἔσεσθαι, καὶ πάντα τόπον οἰκητὸν 17
ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ θεοῦ κράτος. [18] οὐδαμῶς δὲ ληγόντων 18
τῶν πόνων, ἐπεληλύθει γὰρ ἐπ' αὐτὸν δικαία ἡ τοῦ θεοῦ κρίσις, τὰ κατ'
αὐτὸν ἀπελπίσας, ἔγραψε πρὸς τοὺς Ἰουδαίους τὴν ὑπογεγραμμένην ἐπιστο-
λήν, ἱκετηρίας τάξιν ἔχουσαν, περιέχουσαν δὲ οὕτως [19] Τοῖς χρηστοῖς Ἰου- 19
δαίοις τοῖς πολίταις πολλὰ χαίρειν καὶ ὑγιαίνειν καὶ εὖ πράττειν βασιλεὺς
καὶ στρατηγὸς Ἀντίοχος. [20] εἰ ἔρρωσθε, καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ 20
γνώμην ἐστὶν ὑμῖν, εὔχομαι μὲν τῷ θεῷ τὴν μεγίστην χάριν, εἰς οὐρανὸν
τὴν ἐλπίδα ἔχων. [21] κἀγὼ δὲ ἀσθενῶς διεκείμην, ὑμῶν τὴν τιμὴν καὶ τὴν 21
εὔνοιαν ἂν ἐμνημόνευον φιλοστόργως· ἐπανάγων ἐκ τῶν περὶ τὴν Περσίδα
τόπων καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν ἐχούσῃ, ἀναγκαῖον ἡγησάμην
φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας. [22] οὐκ ἀπογινώσκων τὰ κατ' ἐμαυτόν, 22
ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν ἀσθένειαν, [23] θεωρῶν δὲ ὅτι καὶ 23
ὁ πατὴρ καθ' οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν ἀνέδειξε
τὸν διαδεξόμενον, [24] ὅπως ἐάν τι παράδοξον ἀποβαίνῃ ἢ καὶ προςαγγελθῇ 24
τι δυσχερές, εἰδότες οἱ κατὰ τὴν χώραν ᾧ καταλέλειπται τὰ πράγματα μὴ
ἐπιταράσσωνται. [25] πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας 25
καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας προςδεχομένους τὸ ἀπο-
βησόμενον, ἀναδέδειχα τὸν υἱόν μου Ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνατρέ-
χων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις ὑμῶν παρακατετιθέμην καὶ
συνίστων· γέγραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα. [26] παρακαλῶ οὖν ὑμᾶς 26
καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ καὶ κατ' ἰδίαν ἕκαστον συν-
τηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν μου. [27] πέπεισμαι γὰρ αὐτὸν 27
ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει συμπεριε-
νεχθήσεσθαι ὑμῖν. [28] ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος τὰ χείριστα πα- 28
θών, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέ-
στρεψε τὸν βίον. [29] παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύντροφος αὐτοῦ, 29
ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα
εἰς Αἴγυπτον διεκομίσθη.

## X.

Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ κυρίου προάγοντος αὐτούς, τὸ
μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν, [2] τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς 2
ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον. [3] καὶ τὸν 3

---

12. οντα υπερηφανα φρονειν 13. μειερος ... ουτως 15. ως pro ους ... οιωνοβρωτους συν ... εκτριψαι 16. νεω καλλει τοις αναθ. 17. ιουδαιος ... επελευσασθαι καταγγελλοντας 18. εχουσαν ικετηρ. ταξιν 19. βασ. αντιοχ. κ. στρατηγ. 20. om ει ... γνωμ. εσται υμειν εις ουρανον την ελπιδα· εχων 21. om καγω usque διεκειμην ... om αν ... επαναγαγων ... κατα την περσιδος ... παντων υμων ασφ. 22. καθ εμαυτον 23. διαδεξαμενον 24. αποβαιη και προςαπελθη 25. της βασιλειας ... επεχοντ. και προςδοκωντας το ... om μου ... παρεκατετιθεμην 26. om μου 27. συνσταθεντα τη εμη 29. ευλαβηθεις X. 1. συν αυτω τω του 2. καθειλαν



Digitized by Google

νεὼν καθαρίσαντες ἕτερον θυσιαστήριον ἐποίησαν, καὶ πυρώσαντες λίθους καὶ
πῦρ ἐκ τούτων λαβόντες ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον, καὶ θυμίαμα
4 καὶ λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο. [4] ταῦτα δὲ ποιήσαν-
τες ἠξίωσαν τὸν κύριον πεσόντες ἐπὶ κοιλίαν μηκέτι περιπεσεῖν τοιούτοις
κακοῖς, ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιεικείας παιδεύε-
5 σθαι, καὶ μὴ βλασφήμοις καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι. [5] ἐν ᾗ δὲ
ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν
τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνός,
6 ὅς ἐστι Χασελεῦ. [6] καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων
τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν ἐν
7 τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι. [7] διὸ θύρ-
σους καὶ κλάδους ὡραίους ἔτι δὲ φοίνικας ἔχοντες, ὕμνους ἀνέφερον τῷ
8 εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον. [8] ἐδογμάτισαν δὲ μετὰ κοινοῦ
προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν
9 ἄγειν τάσδε τὰς ἡμέρας. [9] καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος
10 Ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε. [10] νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίο-
χον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ τῶν
11 πολέμων κακά. [11] αὐτὸς γὰρ παραλαβὼν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πρα-
γμάτων Λυσίαν τινά, Κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον.
12 [12] Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων τὸ δίκαιον συντηρεῖν προηγούμε-
νος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν, καὶ ἐπειρᾶτο
13 τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν. [13] ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων
πρὸς τὸν Εὐπάτορα, καὶ προδότης παρ' ἕκαστα ἀκούων διὰ τὸ τὴν Κύπρον
ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν καὶ πρὸς Ἀντίοχον τὸν Ἐπι-
φανῆ ἀναχωρῆσαι, μήτ' εὐγενῆ τὴν ἐξουσίαν ἔχων, ὑπ' ἀθυμίας φαρμα-
14 κεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον. [14] Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τό-
15 πων ἐξενοτρόφει, καὶ παρ' ἕκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει. [15] ὁμοῦ
δὲ τούτῳ καὶ οἱ Ἰδουμαῖοι, ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες, ἐγύμνα-
ζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ Ἱεροσολύμων προσλαβόμε-
16 νοι πολεμοτροφεῖν ἐπεχείρουν. [16] οἱ δὲ περὶ τὸν Μακκαβαῖον ποιησάμενοι
λιτανίαν καὶ ἀξιώσαντες τὸν θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν
17 Ἰδουμαίων ὀχυρώματα ὥρμησαν, [17] οἷς καὶ προσβαλόντες εὐρώστως ἐγκρατεῖς
ἐγένοντο τῶν τόπων, πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύναντο·
κατέσφαζον δὲ τοὺς ἐμπίπτοντας, ἀνεῖλον δὲ οὐχ ἧττον τῶν δισμυρίων.
18 [18] συμφυγόντων δὲ οὐκ ἔλαττον τῶν ἐννακισχιλίων εἰς δύο πύργους ὀχυροὺς
19 εὖ μάλα, καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας, [19] ὁ Μακκαβαῖος εἰς ἐπεί-
γοντας τόπους ἀπολιπὼν Σίμωνα καὶ Ἰώσηφον, ἔτι δὲ καὶ Ζακχαῖον καὶ
20 τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη. [20] οἱ
δὲ περὶ τὸν Σίμωνα φιλαργυρήσαντες ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπεί-
σθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυριάδας δραχμὰς λαβόντες εἴασάν τινας
21 διαρρυῆναι. [21] προσαγγελθέντος δὲ τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος, συν-
αγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυρίου πεπράκασι

3. ναιω ... θυσιας 4. παραπεσειν ... μετα επιεικειας ... om παι-δευεσθ. και 5. μηνος του χασελευ 7. ετι δε και φ. εχ. ηυχαριστουν τω ευοδ. καθαρισαι 8. εδογμ. τε ... αγ. τας δεκατας ημερας 10. τον υπατον αντιοχον ... συντεμν. τα συνεχοντα των πολεων κακα 11. ουτος γαρ παραλ. την 12. προς τους ιουδαιους ... γεγονυειαν προς αυτους αδικειαν επειρατο 13. μητε ευγενη τ. εξουσ. ευγεννυασιας φαρμακευσας ... εξελειπεν 14. των τροπων ... πρ. τους ιδιους επολ. 15. ομου δε τουτων ... φυγαδευσαντας 16. λιταναιαν 17. κατεσφ. τε 19. απολειπων ... ιωσηπον· ετι δε ζακχ. ... πολιορκειαν (etiam v. 18.) 20. μυριας 21. προσαγγελλοντες (sic) ... πεπραχαν

Digitized by Google

τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ' αὐτῶν ἀπολύσαντες. [22] τούτους μὲν οὖν 22
προδότας γενομένους ἀπέκτεινε, καὶ παραχρῆμα τοὺς δύο πύργους κατελά-
βετο. [23] τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος ἀπώλεσεν ἐν 23
τοῖς δυσὶν ὀχυρώμασι πλείους τῶν δισμυρίων. [24] Τιμόθεος δὲ ὁ πρότερον 24
ἡττηθεὶς ὑπὸ τῶν Ἰουδαίων, συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς καὶ
τοὺς τῆς Ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν ὡς δο-
ριάλωτον ληψόμενος τὴν Ἰουδαίαν. [25] οἱ δὲ περὶ τὸν Μακκαβαῖον, συνεγγί- 25
ζοντος αὐτοῦ, πρὸς ἱκετείαν τοῦ θεοῦ ἐτράπησαν, γῇ τὰς κεφαλὰς καταπά-
σαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες, [26] ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστη- 26
ρίου κρηπῖδα προςπεσόντες ἠξίουν ἵλεων αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς
ἐχθροῖς αὐτῶν καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος διασαφεῖ.
[27] γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα προῆγον ἀπὸ τῆς 27
πόλεως ἐπὶ πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις ἐφ' ἑαυτῶν ἦσαν.
[28] ἄρτι δὲ τῆς ἀνατολῆς διαδεχομένης προςέβαλον ἑκάτεροι, οἱ μὲν ἔγγυον 28
ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν κύριον καταφυγήν, οἱ
δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν. [29] γενομένης δὲ καρτε- 29
ρᾶς μάχης ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ' ἵππων χρυσοχαλίνων
ἄνδρες πέντε διαπρεπεῖς καὶ ἀφηγούμενοι τῶν Ἰουδαίων οἱ δύο. [30] καὶ τὸν 30
Μακκαβαῖον μέσον λαβόντες καὶ σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις ἄτρω-
τον διεφύλαττον, εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξερ-
ρίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ κατεκόπτοντο ταραχῆς πεπληρωμένοι.
[31] κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακοσίοις, ἱππεῖς δὲ ἑξακόσιοι. 31
[32] αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα 32
φρούριον, στρατηγοῦντος ἐκεῖ Χαιρέου. [33] οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἄσμε- 33
νοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας. [34] οἱ δὲ ἔνδον τῇ ἐρυμνό- 34
τητι τοῦ τόπου πεποιθότες ὑπεράγαν ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους
προΐεντο. [35] ὑποφαινούσης δὲ τῆς πέμπτης ἡμέρας εἴκοσι νεανίαι τῶν περὶ 35
τὸν Μακκαβαῖον πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς βλασφημίας, προςβαλόντες
τῷ τείχει ἀρρενωδῶς καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον. [36] ἕτεροι 36
δὲ ὁμοίως προςαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον ἐνεπίμπρων
τοὺς πύργους, καὶ πυρὰς ἀνάψαντες ζῶντας τοὺς βλασφήμους κατέκαιον· οἱ
δὲ τὰς πύλας διέκοπτον, εἰςδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο
τὴν πόλιν, [37] καὶ τὸν Τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέσφαξαν 37
καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνη. [38] ταῦτα δὲ διαπρα- 38
ξάμενοι, μεθ' ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ κυρίῳ τῷ μεγάλως
εὐεργετοῦντι τὸν Ἰσραὴλ καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

## XI.

Μετ' ὀλίγον δὲ παντελῶς χρόνον Λυσίας ἐπίτροπος τοῦ βασιλέως καὶ
συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων, λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι,
[2] συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν ἵππον πᾶσαν παρεγένετο ἐπὶ 2
τοὺς Ἰουδαίους, λογιζόμενος τὴν μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν,
[3] τὸ δὲ ἱερὸν ἀργυρολόγητον καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρατὴν δὲ 3

---

24. πρωτον ... λημψομενος 25. προς ικεσιαν ... om ετραπησαν 26. ιλεως ... εκθρευσαι τ. εκθροις ... καθως και ο 28. διαχεομενης προςεβαλλον ... οι μεν ουν εγγυον ... μετα αρετης της επι 29. γινομενης ... πεντε ανδρες 30. διεφυλασσον ... εναντιους ... εξεπιπτουν (sic) ... διεκοπτοντο 32. χερεου 33. ασμενως ... τεσσεραχοντα 34. προϊεντες 35. υποφανουσης ... ημερ. και εικοστης νεανιαι ... προβαλοντες ... θηριωδη 36. αναπτοντες 37. απολλοφανην 38. εξομολογησεως XI. 1. χρονισκον 2. απασαν παρεγεινετο

Digitized by Google

4 τὴν ἀρχιερωσύνην κατ' ἔτος ποιήσειν, [4]οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ θεοῦ
κράτος, πεφρενωμένος δὲ ταῖς μυριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱπ-
5 πέων καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα. [5]εἰςελθὼν δὲ εἰς τὴν Ἰουδαίαν καὶ
συνεγγίσας τῷ Βαιθσούρᾳ, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, ἀπὸ δὲ Ἱεροσολύμων
6 ἀπέχοντι ὡςεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν. [6]ὡς δὲ μετέλαβον οἱ περὶ τὸν
Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώματα, μετ' ὀδυρμῶν καὶ δακρύων
ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν κύριον, ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτη-
7 ρίαν τῷ Ἰσραήλ. [7]αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προ-
ετρέψατο τοὺς ἄλλους, ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς
8 αὐτῶν· ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. [8]αὐτόθι δὲ καὶ πρὸς τοῖς Ἱερο-
σολύμοις ὄντων, ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι, πανο-
9 πλίαν χρυσῆν κραδαίνων. [9]ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα θεόν,
καὶ ἐπεῤῥώσθησαν ταῖς ψυχαῖς οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ θῆρας τοὺς
10 ἀγριωτάτους, καὶ σιδηρᾶ τείχη τιτρώσκειν ὄντες ἕτοιμοι, [10]προςῆγον ἐν
διασκευῇ τὸν ἀπ' οὐρανοῦ σύμμαχον ἔχοντες, ἐλεήσαντος αὐτοὺς τοῦ κυρίου.
11 [11]λεοντηδὸν δὲ ἐντινάξαντες εἰς τοὺς πολεμίους κατέστρωσαν αὐτῶν χιλίους
πρὸς τοῖς μυρίοις, ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις· τοὺς δὲ πάντας
12 ἠνάγκασαν φυγεῖν. [12]οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διεσώθησαν,
13 καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων διεσώθη. [13]οὐκ ἄνους δὲ ὑπάρχων,
πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ ἑαυτὸν ἐλάσσωμα, καὶ συννοήσας
ἀνικήτους εἶναι τοὺς Ἑβραίους, τοῦ πάντα δυναμένου θεοῦ συμμαχοῦντος
14 αὐτοῖς, προςαποστείλας [14]ἔπεισε συλλύσεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις καὶ
15 διότι καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς ἀναγκάζειν γενέσθαι. [15]ἐπένευσε
δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν οἷς ὁ Λυσίας παρεκάλει τοῦ συμφέροντος φρον-
τίζων· ὅσα γὰρ ὁ Μακκαβαῖος ἐπέδωκε τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν
16 Ἰουδαίων, συνεχώρησεν ὁ βασιλεύς. [16]ἦσαν γὰρ αἱ γεγραμμέναι τοῖς Ἰου-
δαίοις ἐπιστολαὶ παρὰ μὲν Λυσίου περιέχουσαι τὸν τρόπον τοῦτον Λυσίας
17 τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν. [17]Ἰωάννης καὶ Ἀβεσσαλὼμ οἱ πεμφθέντες
παρ' ὑμῶν, ἐπιδόντες τὸν ὑπογεγραμμένον χρηματισμόν, ἠξίουν περὶ τῶν δι'
18 αὐτοῦ σημαινομένων. [18]ὅσα μὲν οὖν ἔδει καὶ τῷ βασιλεῖ προςενεχθῆναι
19 διεσάφησα, ἃ δὲ ἦν ἐνδεχόμενα συνεχώρησεν. [19]ἐὰν μὲν οὖν συντηρήσητε
τὴν εἰς τὰ πράγματα εὔνοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ὑμῖν
20 ἀγαθῶν γενέσθαι. [20]ὑπὲρ δὲ τῶν κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ
21 τοῖς παρ' ἐμοῦ διαλεχθῆναι ὑμῖν. [21]ἔῤῥωσθε. ἔτους ἑκατοστοῦ τεσσαρακο-
22 στοῦ ὀγδόου, Διοςκορινθίου εἰκοστῇ τετάρτῃ. [22]ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ
23 περιεῖχεν οὕτως Βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν. [23]τοῦ πα-
τρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος, βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταρά-
24 χους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν, [24]ἀκηκοότες τοὺς
Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ τὰ Ἑλληνικὰ μεταθέσει
ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας, καὶ διὰ τοῦτο ἀξιοῦντας συγχωρη-
25 θῆναι αὐτοῖς τὰ νόμιμα αὐτῶν· [25]αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς

3. κατα ετος την αρχιερ. 4. των πεδων 5. συνεγγισας βεθουρων ... ερυμνω χωριων· ιεροσολυμων δε ... σχοινους πεντε ... εθλειβον 6. μετα οδυρμων 7. πρωτ. ο μακχ. πρωτος ... *προσετρεψατο ... εξωρμεισαν 8. δε προς ... *om εφιππος 9. ανθρωπους· θηρας δε 10. προηγον 11. λεοντινον δε ... εξαχ. προς χειλιοις ... φευγειν 12. γυμνοι δε εσωθησαν 13. περι αυτον ελαττωμα ... om παντα 14. συλλυεσθαι 15. συνεχωρ. ο γραμματευς 16. om αἱ 19. om υμιν 20. υπερ δε τουτων κατα 21. τεσσερακοστου ... διοςκορινθ. τετραδι και ειχαδι 23. βουλομενου ... ιουδαιων pro ιδιων 24. εις τα ελληνικα ... αιρετιζοντας αξιουν συνχωρηθηναι ... om αυτων

Digitized by Google

ταραχῆς εἶναι, κρίνομεν τό τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι καὶ πολιτεύε-
σθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη. [26]εὖ οὖν ποιήσεις διαπεμψά- 26
μενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμετέραν προαίρεσιν
εὔθυμοί τε ὦσι καὶ ἡδέως διαγίνωνται πρὸς τὴν τῶν ἰδίων ἀντίληψιν.
[27]πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιαύτη ἦν· Βασιλεὺς Ἀντίο- 27
χος τῇ γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν. [28]εἰ ἔῤ- 28
ῥωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. [29]ἐνεφάνισεν ἡμῖν ὁ 29
Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. [30]τοῖς οὖν 30
καταπορευομένοις μέχρι τριακάδος Ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας,
[31]χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι καὶ νόμοις καθὰ καὶ 31
τὸ πρότερον, καὶ οὐδεὶς αὐτῶν κατ' οὐδένα τρόπον παρενοχληθήσεται περὶ
τῶν ἠγνοημένων. [32]πέπομφα δὲ καὶ τὸν Μενέλαον παρακαλέσοντα ὑμᾶς. 32
[33]ἔῤῥωσθε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ 33
δεκάτῃ. [34]ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχουσαν 34
οὕτως· Κόϊντος Μέμμιος, Τίτος Μάνλιος, πρεσβῦται Ῥωμαίων, τῷ δήμῳ
τῶν Ἰουδαίων χαίρειν. [35]ὑπὲρ ὧν Λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συνεχώ- 35
ρησεν ὑμῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν. [36]ἃ δὲ ἔκρινε προςανενεχθῆναι τῷ 36
βασιλεῖ, πέμψατέ τινα παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων, ἵνα ἐκθῶμεν
ὡς καθήκει ὑμῖν· ἡμεῖς γὰρ προςάγομεν πρὸς Ἀντιόχειαν. [37]διὸ σπεύσατε 37
καὶ πέμψατέ τινας, ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώμης. [38]ὑγιαί- 38
νετε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ.

## XII.

Γενομένων τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυσίας ἀπῄει πρὸς τὸν βασι-
λέα, οἱ δὲ Ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο. [2]τῶν δὲ κατὰ τόπον στρα- 2
τηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίου, ἔτι δὲ Ἱερώνυμος καὶ Δη-
μοφῶν, πρὸς δὲ τούτοις Νικάνωρ ὁ Κυπριάρχης, οὐκ εἴων αὐτοὺς εὐσταθεῖς
καὶ τὰ τῆς ἡσυχίας ἄγειν. [3]Ἰοππῖται δὲ τηλικοῦτο συνετέλεσαν τὸ δυςσέ- 3
βημα, παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἰουδαίους ἐμβῆναι εἰς τὰ
παρασταθέντα ὑπ' αὐτῶν σκάφη σὺν γυναιξὶ καὶ τέκνοις ὡς μηδεμιᾶς ἐνε-
στώσης πρὸς αὐτοὺς δυςμενείας. [4]κατὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα, 4
καὶ τούτων ἐπιδεξαμένων ὡς ἂν εἰρηνεύειν θελόντων καὶ μηδὲν ὕποπτον
ἐχόντων, ἐπαναχθέντας αὐτοὺς ἐβύθισαν, ὄντας οὐκ ἔλαττον τῶν διακοσίων.
[5]μεταλαβὼν δὲ Ἰούδας τὴν γεγονυῖαν εἰς τοὺς ὁμοεθνεῖς ὠμότητα, παραγ- 5
γείλας τοῖς περὶ αὐτὸν ἀνδράσι [6]καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν 6
θεόν, παρεγένετο ἐπὶ τοὺς μιαιφόνους τῶν ἀδελφῶν· καὶ τὸν μὲν λιμένα
νύκτωρ ἐνέπρησε καὶ τὰ σκάφη κατέφλεξε, τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξε-
κέντησε. [7]τοῦ δὲ χωρίου συγκλεισθέντος, ἀνέλυσεν ὡς πάλιν ἥξων καὶ τὸ 7
σύμπαν τῶν Ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα. [8]μεταλαβὼν δὲ καὶ τοὺς ἐν 8
Ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βουλομένους τρόπον τοῖς παροικοῦσιν Ἰουδαίοις,
[9]καὶ τοῖς Ἰαμνίταις νυκτὸς ἐπιβαλὼν ὑφῆψε τὸν λιμένα σὺν τῷ στόλῳ, 9
ὥστε φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ἱεροσόλυμα, σταδίων ὄντων

25. αποκαταστ. αυτοις 26. προς τη των ιδιων αντιλημψει 27. τοιαδε ην 28. om ει 29. om ὁ ... βουλομενος κατ. ημας ... * πρ. τ. ιουδαιοις 30. μετα τ. ιδιας 32. παρακαλεσαντα 33. τεσσερακοστου .. πεντεκαιδεκατη 34. επεμψαμεν ... μανιος 36. προςανενηνεχθαι ... ιν εχωμεν ως καθ. ημιν ... αντιοχιαν 38. τεσσερακοστου ... πεντεκαιδεκατη
XII. 1. γενομ. δε 2. γεννεου ... ευσταθειν και τας ησυχιας 3. ιοππειτε ... τους εν εαυτοις ... παρακατασταθεντα 4. μετα δε το ... αχθεντας 5. ο ιουδας 6. παραγενομενος ... αδελφων τον μεν 7. ανεχυσεν παλιν ... τον συμπαν 8. και τας εν ιαμνια ... κατοικουσιν 9. ωστε επιφαινεσθαι

Digitized by Google

10 διακοσίων τεσσαράκοντα. [10] ἐκεῖθεν δὲ ἀποσπασθέντων σταδίους ἐννέα, ποιου-
μένων τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον, προσέβαλον Ἄραβες αὐτῷ οὐκ ἐλάτ-
11 τους τῶν πεντακισχιλίων, ἱππεῖς δὲ πεντακόσιοι. [11] γενομένης δὲ καρτερᾶς
μάχης, καὶ τῶν περὶ τὸν Ἰούδαν διὰ τὴν παρὰ τοῦ θεοῦ βοήθειαν εὐημε-
ρησάντων, ἐλαττωθέντες οἱ Νομάδες Ἄραβες ἠξίουν δοῦναι τὸν Ἰούδαν δεξιὰν
αὐτοῖς, ὑπισχνούμενοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν
12 αὐτούς. [12] Ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς αὐτοὺς χρησίμους,
ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς· καὶ λαβόντες δεξιὰς εἰς τὰς σκηνὰς
13 αὐτῶν ἐχωρίσθησαν. [13] ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν καὶ
τείχεσι περιπεφραγμένην καὶ παμμιγέσιν ἔθνεσι κατοικουμένην, ὄνομα δὲ
14 Κάσπιν. [14] οἱ δ' ἔνδον πεποιθότες τῇ τῶν τειχέων ἐρυμνότητι τῇ τε τῶν
βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο τοῖς περὶ τὸν Ἰούδαν λοιδο-
15 ροῦντες καὶ προσέτι βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις. [15] οἱ δὲ περὶ
τὸν Ἰούδαν ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ κριῶν
καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν Ἱεριχὼ κατὰ τοὺς Ἰησοῦ χρό-
16 νους, ἐνέσεισαν θηριωδῶς τῷ τείχει. [16] καταλαβόμενοί τε τὴν πόλιν τῇ τοῦ
θεοῦ θελήσει, ἀμυθήτους ἐποιήσαντο σφαγάς, ὥστε τὴν παρακειμένην λί-
μνην, τὸ πλάτος ἔχουσαν σταδίων δύο, κατάρρυτον αἵματι πεπληρωμένην
17 φαίνεσθαι. [17] ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους πεντήκοντα
18 διήνυσαν εἰς τὸν Χάρακα πρὸς τοὺς λεγομένους Τουβιήνους Ἰουδαίους. [18] καὶ
Τιμόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλαβον, ἄπρακτόν τε ἀπὸ τῶν τόπων
19 ἐκλελυκότα, καταλελοιπότα δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ μάλα ὀχυράν. [19] Δω-
σίθεος δὲ καὶ Σωσίπατρος τῶν περὶ τὸν Μακκαβαῖον ἡγεμόνων ἐξοδεύσαντες
ἀπώλεσαν τοὺς ὑπὸ Τιμοθέου καταλειφθέντας ἐν τῷ ὀχυρώματι πλείους τῶν
20 μυρίων ἀνδρῶν. [20] ὁ δὲ Μακκαβαῖος διατάξας τὴν ἑαυτοῦ στρατιὰν σπειρη-
δόν, κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν, καὶ ἐπὶ τὸν Τιμόθεον ὥρμησεν
ἔχοντα περὶ αὐτὸν μυριάδας δώδεκα πεζῶν, ἱππεῖς δὲ χιλίους πρὸς τοῖς
21 πεντακοσίοις. [21] τὴν δὲ ἔφοδον μεταλαβὼν Ἰούδα, ὁ Τιμόθεος προσεξαπέ-
στειλε τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν ἄλλην ἀποσκευὴν εἰς τὸ λεγό-
μενον Καρνίον· ἦν γὰρ δυσπολιόρκητον καὶ δυσπρόσιτον τὸ χωρίον διὰ τὴν
22 τῶν πάντων τῶν τόπων στενότητα. [22] ἐπιφανείσης δὲ τῆς Ἰούδα σπείρας
πρώτης, καὶ γενομένου δέους ἐπὶ τοὺς πολεμίους φόβου τε ἐκ τῆς τοῦ πάντα
ἐφορῶντος ἐπιφανείας γενομένου ἐπ' αὐτούς, εἰς φυγὴν ὥρμησαν ἄλλος ἀλ-
λαχῇ φερόμενος, ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι καὶ ταῖς τῶν
23 ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι. [23] ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώτερον Ἰούδας,
24 συγκεντῶν τοὺς ἀλιτηρίους, διέφθειρέ τε εἰς μυριάδας τρεῖς ἀνδρῶν. [24] αὐτὸς
δὲ ὁ Τιμόθεος ἐμπεσὼν τοῖς περὶ τὸν Δωσίθεον καὶ Σωσίπατρον ἠξίου μετὰ
πολλῆς γοητείας ἐξαφεῖναι σῶον αὐτόν, διὰ τὸ πλειόνων μὲν γονεῖς ὧν δὲ
25 ἀδελφοὺς ἔχειν, καὶ τούτους ἀλογηθῆναι συμβήσεται εἰ ἀποθάνοι. [25] πιστώ-
σαντος δὲ αὐτοῦ διὰ πλειόνων τὸν ὁρισμὸν ἀποκαταστήσειν τούτους ἀπημάν-
26 τους, ἀπέλυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας. [26] ἐξελθὼν δὲ ἐπὶ

---

9. τεσσερακοντα 10. αποσπασαντες ... ποριαν ... επεβαλλον 11. ελαττονωθεντες ... om αραβες 12. υπεχωρησεν ... om αυτων 13. κασπειν 14. δε ενδον ... ευρυμνοτητι 15. om περι 16. σταδιους ... καταρρειν (*καταρρει) το αιμα 17. και προς τους ... τουβεινους 18. θεου (i. e. θ̅υ̅) pro ου ... απρακτ. τοτε εκ των 19. τους υπο τιμ. απωλεσαν 20. την περι αυτον στρατιαν ... ωρμησαν ... τρισχιλιους (sed τρις in rasura) και προς τοις επτακις χιλιοις 21. ιουδου προεξαπεστειλεν ο τιμοθ. τας γυν. και την αλλην ... δια την παντων 22. επιφανισις δε της ιουδου σπειρης πρωτου ... τα παντα ... επιφανιας γενομενης ... εις φυγειν 23. ευτονοτερον ον ιουδας ... αλητηριους διεφθειρεν δε 24. γοητιας ... ως ωον αυτον ... om ει αποθανοι 25. αποκαταστησαι

Digitized by Google

τὸ Καρνίον καὶ τὸ Ἀταργατεῖον κατέσφαξε μυριάδας σωμάτων δύο καὶ
πεντακιςχιλίους. 27 καὶ μετὰ τὴν τούτων τροπὴν καὶ ἀπώλειαν ἐπεστράτευ- 27
σεν Ἰούδας καὶ ἐπὶ Ἐφρὼν πόλιν ὀχυράν, ἐν ᾗ κατῴκει Λυσίας καὶ πάμ-
φυλα πλήθη· νεανίαι δὲ πρὸ τῶν τειχῶν καθεστῶτες ῥωμαλέοι ἀπεμάχοντο
εὐρώστως, ἐνθάδε ὀργάνων καὶ βελῶν πολλαὶ παραθέσεις ὑπῆρχον. 28 ἐπικα- 28
λεσάμενοι δὲ τὸν δυνάστην τὸν μετὰ κράτους συντρίβοντα τὰς τῶν πολεμίων
ἀλκάς, ἔλαβον τὴν πόλιν ὑποχείριον, καὶ κατέστρωσαν τῶν ἔνδον εἰς μυριά-
δας δύο καὶ πεντακιςχιλίους. 29 ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν ἐπὶ Σκυ- 29
θῶν πόλιν, ἀπέχουσαν ἀπὸ Ἱεροσολύμων σταδίους ἑξακοσίους. 30 ἀπομαρτυ- 30
ρησάντων δὲ τῶν ἐκεῖ κατοικούντων Ἰουδαίων, ἣν οἱ Σκυθοπολῖται ἔσχον
πρὸς αὐτοὺς εὔνοιαν, καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν
ἐποιοῦντο, 31 εὐχαριστήσαντες αὐτοῖς καὶ προςπαρακαλέσαντες, καὶ εἰς τὰ 31
λοιπὰ πρὸς τὸ γένος εὐμενεῖς εἶναι, παρεγένοντο εἰς Ἱεροσόλυμα τῆς τῶν
ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου. 32 μετὰ δὲ τὴν λεγομένην Πεντηκοστὴν 32
ὥρμησαν ἐπὶ Γοργίαν τὸν τῆς Ἰδουμαίας στρατηγόν. 33 ἐξῆλθε δὲ μετὰ 33
πεζῶν τριςχιλίων, ἱππέων δὲ τετρακοσίων, 34 καὶ παραταξαμένων συνέβη πε- 34
σεῖν ὀλίγους τῶν Ἰουδαίων. 35 Δωσίθεος δέ τις τῶν τοῦ Βακήνορος ἔφιππος 35
ἀνὴρ καὶ καρτερὸς εἴχετο τοῦ Γοργίου, καὶ λαβόμενος τῆς χλαμύδος ἦγεν
αὐτὸν εὐρώστως, καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν, τῶν ἱππέων
Θρᾳκῶν τινὸς ἐπενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθελόντος, διέφυγεν ὁ
Γοργίας εἰς Μαρισά. 36 τῶν δὲ περὶ τὸν Ἔσδριν ἐπὶ πλεῖον μαχομένων καὶ 36
κατακόπων ὄντων, ἐπικαλεσάμενος ὁ Ἰούδας τὸν κύριον σύμμαχον φανῆναι
καὶ προοδηγὸν τοῦ πολέμου, 37 καταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μεθ' 37
ὕμνων κραυγήν, ἀναβοήσας καὶ ἐνσείσας ἀπροςδοκήτως τοῖς περὶ τὸν Γορ-
γίαν, τροπὴν αὐτῶν ἐποιήσατο. 38 Ἰούδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἦγεν 38
εἰς Ὀδολλὰμ πόλιν· τῆς δὲ ἑβδομάδος ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν
ἁγνισθέντες αὐτόθι τὸ σάββατον διήγαγον. 39 τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ 39
τὸν Ἰούδαν καθ' ὃν τρόπον τὸ τῆς χρείας ἐγεγόνει, τὰ τῶν προπεπτωκότων
σώματα ἀνακομίσασθαι καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς
πατρῴους τάφους. 40 εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας 40
ἱερώματα τῶν ἀπὸ Ἰαμνείας εἰδώλων, ἀφ' ὧν ὁ νόμος ἀπείργει τοὺς Ἰου-
δαίους· τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούςδε πεπτωκέ-
ναι. 41 πάντες οὖν εὐλογήσαντες τοῦ δικαιοκρίτου κυρίου τοῦ τὰ κεκρυμμένα 41
φανερὰ ποιοῦντος, 42 εἰς ἱκετείαν ἐτράπησαν ἀξιώσαντες τὸ γεγονὸς ἁμάρ- 42
τημα τελείως ἐξαλειφθῆναι. ὁ δὲ γενναῖος Ἰούδας παρεκάλεσε τὸ πλῆθος
συντηρεῖν ἑαυτοὺς ἀναμαρτήτους εἶναι, ὑπ' ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ
τὴν τῶν προπεπτωκότων ἁμαρτίαν. 43 ποιησάμενός τε κατ' ἀνδραλογίαν κα- 43
τασκευάσματα εἰς ἀργυρίου δραχμὰς διςχιλίας, ἀπέστειλεν εἰς Ἱεροσόλυμα
προςαγαγεῖν περὶ ἁμαρτίας θυσίαν, πάνυ καλῶς καὶ ἀστείως πράττων, ὑπὲρ
ἀναστάσεως διαλογιζόμενος. 44 εἰ γὰρ μὴ τοὺς προπεπτωκότας ἀναστῆναι 44

---

26. ατεργατιον ... δυο πεντακιςχιλ. 27. μετα δε ... om ιουδας ... εν η παμφυλα εν αυτη πληθη· νεανιαι δε ρωμαλλιοι προ των τιχεων καθεστωτες (ed. rom. κατεστ.) ευρωστως απεμαχ. ενθα 28. ολκας ... υποχ. κατεστρωσαν δε ... δυο πεντακιςχιλ. 29. αναζ. τε 30. των εκει καθεστωτων ... σκυθοπολειται om εποιουντο 31. om αυτοις ... παρεγενηθησαν 34. παραταξαμενους δε 35. γοργειου ... και βουλομενου τον καταρ. λ. ζωγρειαν ... τινος θραχων ... διεφυγεν γοργειας 36. επικαλεσαμενος ιουδας ... φανην. και προοδ. φανηναι του 37. κραυγην ενσισας ... γοργειαν ... εποιησατο αυτων 38. ηκεν ... σαββ. διηγεν 39. καθ ον χρονον ... τα σωματα των προπεπτ. 40. ιαμνιας ιδωλων ... απηργει 41. τα του δικαιοκρ. 42. εις ειχεσιαν ... συντηρειν αυτους ... *εωρακοτες ... των προπ. αμαρτηματων 43. ανδρολογειον εις ... αστιως πραττειν ... αναλογιζομενος 44. ει μη γαρ

Digitized by Google

45 προςεδόκα, περισσὸν ἂν ἦν καὶ ληρῶδες ὑπὲρ νεκρῶν προςεύχεσθαι. 45 εἶτ'
ἐμβλέπων τοῖς μετ' εὐσεβείας κοιμωμένοις κάλλιστον ἀποκείμενον χαριστή-
ριον, ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια· ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν
ἐποιήσατο τῆς ἁμαρτίας ἀπολυθῆναι.

## XIII.

Τῷ δὲ ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει προςέπεσε τοῖς
περὶ τὸν Ἰούδαν, Ἀντίοχον τὸν Εὐπάτορα παραγενέσθαι σὺν πλήθεσιν ἐπὶ
2 τὴν Ἰουδαίαν, 2 καὶ σὺν αὐτῷ Λυσίαν τὸν ἐπίτροπον καὶ ἐπὶ τῶν πραγμά-
των, ἕκαστον ἔχοντα δύναμιν Ἑλληνικὴν πεζῶν μυριάδας ἕνδεκα καὶ ἱππεῖς
πενταχιςχιλίους τριακοσίους καὶ ἐλέφαντας εἰκοσιδύο, ἅρματα δὲ δρεπανη-
3 φόρα τριακόσια. 3 καὶ Μενέλαος δὲ συνέμιξεν αὐτοῖς, καὶ παρεκάλει μετὰ
πολλῆς εἰρωνείας τὸν Ἀντίοχον, οὐκ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος, οἰόμενος δὲ
4 ἐπὶ τῆς ἀρχῆς κατασταθήσεσθαι. 4 ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρε
τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδείξαντος τοῦτον
αἴτιον εἶναι πάντων τῶν κακῶν, προςέταξεν, ὡς ἔθος ἐστίν, ἐν τῷ τόπῳ
5 προςαπολέσαι ἀγαγόντας αὐτὸν εἰς Βέροιαν. 5 ἔστι δὲ ἐν τῷ τόπῳ πύργος
πεντήκοντα πηχῶν πλήρης σποδοῦ, οὗτος δὲ ὄργανον εἶχε περιφερὲς πάντο-
6 θεν ἀπόκρημνον εἰς τὴν σποδόν. 6 ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ὄντα, ἢ
καί τινων ἄλλων κακῶν ὑπεροχὴν πεποιημένον, ἅπαντες προςωθοῦσιν εἰς
7 ὄλεθρον. 7 τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν, μηδὲ τῆς γῆς τυ-
8 χόντα Μενέλαον πάνυ δικαίως. 8 ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν βω-
μὸν ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδός, ἐν σποδῷ τὸν θάνατον
9 ἐκομίσατο. 9 τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο, τὰ χεί-
ριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμενος τοῖς Ἰουδαίοις.
10 10 μεταλαβὼν δὲ Ἰούδας ταῦτα παρήγγειλε τῷ πλήθει δι' ἡμέρας καὶ νυ-
κτὸς ἐπικαλεῖσθαι τὸν κύριον, εἴ ποτε ἄλλοτε καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ
11 νόμου καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσι, 11 καὶ τὸν ἄρτι
βραχέως ἀνεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυςφήμοις ἔθνεσιν ὑποχειρίους γε-
12 νέσθαι. 12 πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιωσάντων τὸν ἐλεή-
μονα κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν καὶ προπτώσεως ἐφ' ἡμέρας τρεῖς
13 ἀδιαλείπτως, παρακαλέσας αὐτοὺς ὁ Ἰούδας ἐκέλευσε παραγίνεσθαι. 13 καθ'
ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενόμενος ἐβουλεύσατο πρὶν εἰςβαλεῖν τοῦ
βασιλέως τὸ στράτευμα εἰς τὴν Ἰουδαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρα-
14 τεῖς, ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ κυρίου βοηθείᾳ. 14 δοὺς δὲ τὴν
ἐπιτροπὴν τῷ κτίστῃ τοῦ κόσμου, παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως
ἀγωνίσασθαι μέχρι θανάτου περὶ νόμων, περὶ ἱεροῦ, πόλεως, πατρίδος, πο-
15 λιτείας, ἐποιήσατο περὶ Μωδεῒν τὴν στρατοπεδείαν. 15 δοὺς δὲ τοῖς περὶ αὐ-
τὸν σύνθεμα θεοῦ νίκης, μετὰ νεανίσκων ἀρίστων κεκριμένων ἐπιβαλὼν
νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλήν, ἐν τῇ παρεμβολῇ ἀνεῖλεν εἰς ἄνδρας τε-
τρακιςχιλίους, καὶ τὸν πρωτεύοντα τῶν ἐλεφάντων σὺν τῷ κατ' οἰκίαν ὄχλῳ
16 συνέθηκε, 16 καὶ τὸ τέλος τὴν παρεμβολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν,

---

44. περισσως και ληρωδες ... ευχεσθαι 45. ειτε ... ευχαριστηριον XIII. 1. τεσσερακοστω 2. ιππεων 3. συνεμιξεν δε αυτοις και μενελαος ... ηρωνιας ... επι σωτηριας 4. αιτιον των κακ. ειναι και παντων ... om αυτον 5. πηχεων ... σποδου οργανον δε ειχεν 6. om οντα ... πεποιημενων 7. τυγχανοντα 9. βεβαρημενος 10. επικαλεσασθαι ... ει ποτε και 12. επι ημερας 13. το στρατ. του βασιλεως επι την ιουδ. γενεσθαι ... τη του θεου 14. τω κυριω του κοσμου ... περι νομων ιερου ... πολιτιας· περι δε μωδιειμ εποιησατο την στρατιαν 15. αναδους ... συνθημα θεου νικην ... αυλην την παρεμβολην ... διςχιλιους ... οντι pro οχλω 16. δους pro δεους

Digitized by Google

καὶ ἐξέλυσαν εὐημεροῦντες. [17] ὑποφαινούσης δὲ ἤδη τῆς ἡμέρας τοῦτ' ἐγε- 17
γόνει, διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ κυρίου σκέπην. [18] ὁ δὲ βασιλεὺς εἰ- 18
ληφὼς γεῦσιν τῆς τῶν Ἰουδαίων εὐτολμίας, κατεπείρασε διὰ μεθόδων τοὺς
τόπους. [19] καὶ ἐπὶ Βαιθσούρᾳ φρούριον ὀχυρὸν τῶν Ἰουδαίων προςῆγεν καὶ 19
ἐτροποῦτο, προςέκρουεν, ἠλαττονοῦτο. [20] τοῖς δὲ ἔνδον Ἰούδας τὰ δέοντα 20
εἰςέπεμψε. [21] προςήγγειλε δὲ τὰ μυστήρια τοῖς πολεμίοις Ῥόδοκος ἐκ τῆς 21
Ἰουδαϊκῆς τάξεως· ἀνεζητήθη δὲ καὶ κατελήφθη καὶ κατεκλείσθη. [22] ἐδευ- 22
τερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν Βαιθσούρᾳ, δεξιὰν ἔδωκεν, ἔλαβεν, ἀπῄει,
προςέβαλε τοῖς περὶ τὸν Ἰούδαν, ἥττων ἐγένετο, [23] μετέλαβεν ἀπονενοῆσθαι 23
τὸν Φίλιππον ἐν Ἀντιοχείᾳ τὸν ἀπολελειμμένον ἐπὶ τῶν πραγμάτων, συνε-
χύθη· τοὺς Ἰουδαίους παρεκάλεσεν, ὑπετάγη καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς δι-
καίοις· συνελύθη καὶ θυσίαν προςήγαγεν, ἐτίμησε τὸν νεὼ καὶ τὸν τόπον
ἐφιλανθρώπησε, [24] καὶ τὸν Μακκαβαῖον ἀπεδέξατο· κατέλιπε στρατηγὸν ἀπὸ 24
Πτολεμαΐδος ἕως τῶν Γεῤῥηνῶν ἡγεμονίδην. [25] ἦλθεν εἰς Πτολεμαΐδα· ἐδυς- 25
φόρουν περὶ τῶν συνθηκῶν οἱ Πτολεμαεῖς, ἐδείναζον γὰρ ὑπὲρ ὧν ἠθέλησαν
ἀθετεῖν τὰς διαστάλσεις. [26] προςῆλθεν ἐπὶ τὸ βῆμα Λυσίας, ἀπελογήσατο 26
ἐνδεχομένως, συνέπεισε, κατεπράΰνεν, εὐμενεῖς ἐποίησεν, ἀνέζευξεν εἰς Ἀν-
τιόχειαν· οὕτω τὰ τοῦ βασιλέως τῆς ἐφόδου καὶ τῆς ἀναζυγῆς ἐχώρησε.

## XIV.

Μετὰ δὲ τριετῆ χρόνον προςέπεσε τοῖς περὶ τὸν Ἰούδαν Δημήτριον τὸν
τοῦ Σελεύκου διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰςπλεύσαντα μετὰ πλήθους
ἰσχυροῦ καὶ στόλου, [2] κεκρατηκέναι τῆς χώρας ἐπανελόμενον Ἀντίοχον καὶ 2
τὸν τούτου ἐπίτροπον Λυσίαν. [3] Ἄλκιμος δέ τις προγενόμενος ἀρχιερεύς, 3
ἑκουσίως δὲ μεμολυμμένος ἐν τοῖς τῆς ἐπιμιξίας χρόνοις, συννοήσας ὅτι καθ'
ὁντιναοῦν τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία, οὐδὲ πρὸς ἅγιον θυσιαστήριον
ἔτι πρόςοδος, [4] ἧκε πρὸς τὸν βασιλέα Δημήτριον πρώτῳ καὶ πεντηκοστῷ καὶ 4
ἑκατοστῷ ἔτει, προςάγων αὐτῷ στέφανον χρυσοῦν καὶ φοίνικα, πρὸς δὲ τού-
τοις τῶν νομιζομένων θαλλῶν τοῦ ἱεροῦ, καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν
ἔσχε. [5] καιρὸν δὲ λαβὼν τῆς ἰδίας ἀνοίας συνεργόν, προςκληθεὶς εἰς συνέ- 5
δριον ὑπὸ τοῦ Δημητρίου, καὶ ἐπερωτηθεὶς ἐν τίνι διαθέσει καὶ βουλῇ
καθεστήκασιν οἱ Ἰουδαῖοι, πρὸς ταῦτα ἔφη [6] Οἱ λεγόμενοι τῶν Ἰουδαίων 6
Ἀσιδαῖοι, ὧν ἀφηγεῖται Ἰούδας ὁ Μακκαβαῖος, πολεμοτροφοῦσι καὶ στα-
σιάζουσιν, οὐκ ἐῶντες τὴν βασιλείαν εὐσταθείας τυχεῖν. [7] ὅθεν ἀφελόμενος 7
τὴν προγονικὴν δόξαν, λέγω δὴ τὴν ἀρχιερωσύνην, δεῦρο νῦν ἐλήλυθα.
[8] πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρονῶν, δεύτερον δὲ 8
καὶ τῶν ἰδίων πολιτῶν στοχαζόμενος· τῇ μὲν γὰρ τῶν προειρημένων ἀλο-
γιστίᾳ τὸ σύμπαν ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ. [9] ἕκαστα δὲ τούτων ἐπε- 9
γνωκὼς σὺ βασιλεῦ καὶ τῆς χώρας καὶ τοῦ περιισταμένου γένους ἡμῶν προ-
νοήθητι, καθ' ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρωπίαν. [10] ἄχρι 10
γὰρ Ἰούδας περίεστιν, ἀδύνατον εἰρήνης τυχεῖν τὰ πράγματα. [11] τοιούτων 11
δὲ ῥηθέντων ὑπὸ τούτου, θᾶττον οἱ λοιποὶ φίλοι δυςμενῶς ἔχοντες τὰ πρὸς
τὸν Ἰούδαν προσεπύρωσαν τὸν Δημήτριον. [12] προςκαλεσάμενος δὲ εὐθέως 12

17. τουτο ... αυτω τω κυριω 18. γευμα 19. βαιθσουροις φρ. ολιγον ... προςηγεν ετροπουτο προςνεκρουσεν (sic) ηλαττονουτο 21. ανεζητηθη και κατελημφθη 22. βαιθσουροις 23. αντιοχια ... απολελιμμενον 24. επεδεξατο ... κατελειπεν ... γεννηρων 25. εδυςφορων ... εδιλιαζον γαρ υπεραγαν ηθελησαν 26. και κατεπραΰνεν ... τα της εφοδου του βασιλεως (sed haec omnia **addidit) XIV. 3. αλκειμος ... προγεγονως ... μεμολυσμενος ... αμιξιας ... προς το αγιον 4. ηλθεν ... ως πρωτω και εκατοστω και πεντηκοστω ... τοις νομιζομενοις 5. καθεστηκεν 7. λεγων δε την αρχ. δευτερον νυν 3. στοχασαμενος 9. τουτως ... προςνοηθητι 12. προχειρησαμενος δε

Νικάνορα τὸν γενόμενον ἐλεφαντάρχην, καὶ στρατηγὸν ἀναδείξας τῆς Ἰου-
13 δαίας ἐξαπέστειλε, 13 δοὺς ἐντολάς, αὐτὸν μὲν τὸν Ἰούδαν ἐπανελέσθαι,
τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι, καταστῆσαι δὲ Ἄλκιμον ἀρχιερέα τοῦ μεγί-
14 στου ἱεροῦ. 14 τὰ δὲ ἐκ τῆς Ἰουδαίας πεφυγαδευκότα τὸν Ἰούδαν ἔθνη συνέ-
μισγον ἀγεληδὸν τῷ Νικάνορι, τὰς τῶν Ἰουδαίων ἀτυχίας καὶ συμφορὰς
15 ἰδίας εὐημερίας δοκοῦντες ἔσεσθαι. 15 ἀκούσαντες δὲ τὴν τοῦ Νικάνορος
ἔφοδον καὶ τὴν ἐπίθεσιν τῶν ἐθνῶν, καταπασάμενοι γῆν ἐλιτάνευον τὸν
ἄχρι αἰῶνος συστήσαντα τὸν ἑαυτοῦ λαόν, ἀεὶ δὲ μετ' ἐπιφανείας ἀντιλαμ-
16 βανόμενον τῆς ἑαυτοῦ μερίδος. 16 προστάξαντος δὲ τοῦ ἡγουμένου ἐκεῖθεν
17 εὐθέως ἀνέζευξαν, καὶ συμμίσγουσιν αὐτοῖς ἐπὶ κώμην Δεσσαού. 17 Σίμων δὲ
ὁ ἀδελφὸς Ἰούδα συμβεβληκὼς ἦν τῷ Νικάνορι, βραχέως δὲ διὰ τὴν αἰφνί-
18 διον τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς. 18 ὅμως δὲ ἀκούων ὁ Νικάνωρ ἣν
εἶχον οἱ περὶ τὸν Ἰούδαν ἀνδραγαθίαν καὶ ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶ-
19 σιν εὐψυχίαν, ἐπευλαβεῖτο τὴν κρίσιν δι' αἱμάτων ποιήσασθαι. 19 διόπερ
ἔπεμψε Ποσιδώνιον καὶ Θεόδοτον καὶ Ματταθίαν δοῦναι καὶ λαβεῖν δεξιάς.
20 20 πλείονος δὲ γενομένης περὶ τούτων ἐπισκέψεως, καὶ τοῦ ἡγεμόνος τοῖς
πλήθεσιν ἀνακοινωσαμένου, καὶ φανείσης ὁμοψήφου γνώμης, ἐπένευσαν ταῖς
21 συνθήκαις. 21 ἐτάξαντο δὲ ἡμέραν ἐν ᾗ κατ' ἰδίαν ἥξουσιν εἰς τὸ αὐτό. καὶ
22 προῆλθε, καὶ παρ' ἑκάστου διαφόρους ἔθεσαν δίφρους. 22 διέταξεν Ἰούδας
ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις, μή ποτε ἐκ τῶν πολεμίων αἰ-
23 φνιδίως κακουργία γένηται, τὴν ἁρμόζουσαν ἐποιήσαντο κοινολογίαν. 23 διέ-
τριβε δὲ ὁ Νικάνωρ ἐν Ἱεροσολύμοις καὶ ἔπραττεν οὐθὲν ἄτοπον, τοὺς δὲ
24 συναχθέντας ἀγελαίους ὄχλους ἀπέλυσε. 24 καὶ εἶχε τὸν Ἰούδαν διὰ παντὸς
25 ἐν προσώπῳ, ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο· 25 παρεκάλεσεν αὐτὸν γῆμαι
26 καὶ παιδοποιήσασθαι· ἐγάμησεν, εὐστάθησεν, ἐκοινώνησε βίου. 26 ὁ δὲ Ἄλ-
κιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ τὰς γενομένας συνθήκας, ἀνα-
λαβὼν ἧκε πρὸς τὸν Δημήτριον καὶ ἔλεγε τὸν Νικάνορα ἀλλότρια φρονεῖν
τῶν πραγμάτων· τὸν γὰρ ἐπίβουλον τῆς βασιλείας Ἰούδαν διάδοχον ἀναδέ-
27 δειχεν ἑαυτοῦ. 27 ὁ δὲ βασιλεὺς ἔκθυμος γενόμενος καὶ ταῖς τοῦ παμπονήρου
ἐρεθισθεὶς διαβολαῖς, ἔγραψε Νικάνορι φάσκων ὑπὲρ μὲν τῶν συνθηκῶν βα-
ρέως φέρειν, κελεύων δὲ τὸν Μακκαβαῖον δέσμιον ἐξαποστέλλειν ταχέως εἰς
28 Ἀντιόχειαν. 28 προσπεσόντων δὲ τούτων τῷ Νικάνορι, συνεκέχυτο καὶ δυσφό-
29 ρως ἔφερεν, εἰ τὰ διεσταλμένα ἀθετήσει μηδὲν τἀνδρὸς ἠδικηκότος. 29 ἐπεὶ
δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐτήρει στρατηγήματι τοῦτ'
30 ἐπιτελέσαι. 30 ὁ δὲ Μακκαβαῖος αὐστηρότερον διεξάγοντα συνιδὼν τὸν Νικά-
νορα πρὸς αὐτὸν καὶ τὴν εἰθισμένην ἀπάντησιν ἀγριωτέραν ἐσχηκότα, νοή-
σας οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀλίγους τῶν
31 περὶ ἑαυτὸν συνεκρύπτετο τὸν Νικάνορα. 31 συγγνοὺς δὲ ὁ ἕτερος ὅτι γεν-
ναίως ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται, παραγενόμενος ἐπὶ τὸ μέγιστον καὶ
ἅγιον ἱερόν, τῶν ἱερέων τὰς καθηκούσας θυσίας προσαγόντων, ἐκέλευσε
32 παραδιδόναι τὸν ἄνδρα. 32 τῶν δὲ μεθ' ὅρκων φασκόντων μὴ γινώσκειν

---

12. τον νικανορα 13. δους επιστολας ... τον ιουδα 14. οι δε επι της ιουδ. πεφυγαδευκοτες 15. ελιτανευσαν ... τον αυτου λαον ... αντιλαμβανομενος 16. αναζευξας συνμισσει ... λεσσαου 17. βραδεως ... εφνηδιον 18. ανδραγαθειαν ... περι της πατριδος ... υπευλαβειτο 20. του ηγουμενου ... ομοιοψηφου 21. προηλθεν παρ εκαστου διφραξ· εθεσαν διφρ. 22. εφνιδιως 23. om δε 26. λαβων ... βασιλειας αυτου ... απεδιξεν ... om εαυτου 27. και τοις του πανπονηρου διαβολ. ερεθισθ. ... φασκων post συνθηκων ponit ... εις αντιοχιαν ταχ. 28. αθετησιν 29. του pro τουτ 30. διεξαγαγοντα ... τα προς αυτον ... ηθισμενην ... αγροικοτερον ... περι αυτον 31. συγνους 32. γινωσκων

Digitized by Google

που ποτ' ἐστὶν ὁ ζητούμενος, [33] προτείνας τὴν δεξιὰν εἰς τὸν νεὼ ταῦτα ὤμοσε 33
Ἐὰν μὴ δέσμιόν μοι τὸν Ἰούδαν παραδῶτε, τόνδε τοῦ θεοῦ σηκὸν εἰς πε-
δίον ποιήσω, καὶ τὸ θυσιαστήριον κατασκάψω, καὶ ἱερὸν ἐνταῦθα τῷ Διο-
νύσῳ ἐπιφανὲς ἀναστήσω. [34] τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν. οἱ δὲ ἱερεῖς προ- 34
τείναντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλοῦντο τὸν διὰ παντὸς ὑπέρμαχον
τοῦ ἔθνους ἡμῶν, ταῦτα λέγοντες [35] Σὺ κύριε τῶν ὅλων ἀπροσδεὴς ὑπάρ- 35
χων, εὐδόκησας ναὸν τῆς σῆς κατασκηνώσεως ἐν ἡμῖν γενέσθαι. [36] καὶ νῦν 36
ἅγιε παντὸς ἁγιασμοῦ κύριε διατήρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προς-
φάτως κεκαθαρισμένον οἶκον. [37] Ῥαζὶς δέ τις τῶν ἀπὸ Ἱεροσολύμων πρεσβυ- 37
τέρων ἐμηνύθη τῷ Νικάνορι ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων
καὶ κατὰ τὴν εὔνοιαν πατὴρ τῶν Ἰουδαίων προςαγορευόμενος. [38] ἦν γὰρ 38
ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμιξίας κρίσιν εἰςενηνεγμένος Ἰουδαϊσμοῦ, καὶ
σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ παραβεβλημένος μετὰ πάσης ἐκτε-
νίας. [39] βουλόμενος δὲ Νικάνωρ πρόδηλον ποιῆσαι ἣν εἶχε πρὸς τοὺς Ἰου- 39
δαίους δυςμένειαν, ἀπέστειλε στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλλαβεῖν
αὐτόν. [40] ἔδοξε γὰρ ἐκεῖνον συλλαβὼν τούτοις ἐργάσασθαι συμφοράν. [41] τῶν 40 41
δὲ πληθῶν μελλόντων τὸν πύργον καταλαβέσθαι καὶ τὴν αὐλαίαν θύραν βια-
ζομένων, καὶ κελευόντων πῦρ προςάγειν καὶ τὰς θύρας ὑφάπτειν, περικατά-
ληπτος γενόμενος ὑπέθηκεν ἑαυτῷ ξίφος, [42] εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ 42
τοῖς ἀλιτηρίοις ὑποχείριος γενέσθαι καὶ τῆς ἰδίας εὐγενείας ἀναξίως ὑβρι-
σθῆναι. [43] τῇ δὲ πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ ἀγῶνος σπουδήν, 43
καὶ τῶν ὄχλων εἴσω τῶν θυρωμάτων εἰςβαλόντων, ἀναδραμὼν γενναίως ἐπὶ
τὸ τεῖχος κατεκρήμνισεν ἑαυτὸν ἀνδρείως εἰς τοὺς ὄχλους. [44] τῶν δὲ ταχέως 44
ἀναποδισάντων γενομένου διαστήματος ἦλθε κατὰ μέσον τὸν κενεῶνα. [45] ἔτι 45
δὲ ἔμπνους ὑπάρχων καὶ πεπυρωμένος τοῖς θυμοῖς, ἐξαναστὰς φερομένων
κρουνηδὸν τῶν αἱμάτων καὶ δυςχερῶν ὄντων τῶν τραυμάτων, δρόμῳ τοὺς
ὄχλους διελθὼν καὶ στὰς ἐπί τινος πέτρας ἀποῤῥωγάδος, [46] παντελῶς ἔξαιμος 46
ἤδη γενόμενος, προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκατέραις ταῖς χερσὶν ἐνέ-
σεισε τοῖς ὄχλοις, καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς ζωῆς καὶ τοῦ
πνεύματος ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι, τόνδε τὸν τρόπον μετήλλαξεν.

## XV.

Ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ἰούδαν ὄντας ἐν τοῖς κατὰ
Σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς καταπαύσεως ἡμέρᾳ μετὰ πάσης
ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν. [2] τῶν δὲ κατ' ἀνάγκην συνεπομένων αὐτῷ Ἰου- 2
δαίων, λεγόντων Μηδαμῶς οὕτως ἀγρίως καὶ βαρβάρως ἀπολέσῃς, δόξαν δὲ
ἀπομέρισον τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα ἐφορῶντος μεθ' ἁγιότητος
ἡμέρᾳ. [3] ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν εἰ ἔστιν ἐν οὐρανῷ δυνάστης ὁ 3
προςτεταχὼς ἄγειν τὴν τῶν σαββάτων ἡμέραν; [4] τῶν δὲ ἀποφηναμένων 4
Ἔστιν ὁ κύριος ζῶν αὐτὸς ἐν οὐρανῷ δυνάστης, ὁ κελεύσας ἀσκεῖν τὴν
ἑβδομάδα· [5] ὁ δὲ ἕτερος Κἀγώ, φησί, δυνάστης ἐπὶ τῆς γῆς ὁ προστάσσων 5
αἴρειν ὅπλα καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. ὅμως οὐ κατέσχεν ἐπιτελέ-
σαι τὸ σχέτλιον αὐτοῦ βούλημα. [6] καὶ ὁ μὲν Νικάνωρ μετὰ πάσης ἀλαζο- 6
νείας ὑψαυχενῶν διεγνώκει κοινὸν τῶν περὶ τὸν Ἰούδαν συστήσασθαι τρό-
παιον. [7] ὁ δὲ Μακκαβαῖος ἦν ἀδιαλείπτως πεποιθὼς μετὰ πάσης ἐλπίδος 7

33. επι τον νεω ωμοσεν ταυτα ... τονδε τον του ... διανυσω 35. ηυδοκησας ... σκηνωσεως 36. κεκαθερισμενον 37. ραζεις 38. κρισις 40. ενεργασασθαι 41. περικαταλημπτος ... υπεθηκε εαυτω το ξιφος 42. αλητηριοις (item ed. rom.) ... εσω ... εισβαλλοντων ... ανδρωδως 45. των τραυματων οντων ... διελθοντων ... απορρωγος 46. γεινομενος ... τα αυτα αυτω XV. 2. κατα αναγκην 3. τρισαλητηριος ... ο δυναστης 4. των δ αποφεναμενων 5. τα οπλα 6. πασης ασφαλειας ευψαυχενων ... συστησ. τροπον

Digitized by Google

8 ἀντιλήψεως τεύξασθαι παρὰ τοῦ κυρίου. [8]καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ
δειλιᾶν τὴν τῶν ἐθνῶν ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐ-
τοῖς ἀπ' οὐρανοῦ βοηθήματα καὶ τὰ νῦν προσδοκᾶν τὴν παρὰ τοῦ παντο-
9 κράτορος ἐσομένην αὐτοῖς νίκην καὶ βοήθειαν. [9]καὶ παραμυθούμενος αὐτοὺς
ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν, προςυπομνήσας δὲ αὐτοὺς καὶ τοὺς ἀγῶ-
10 νας οὓς ἦσαν ἐκτετελεκότες, προθυμοτέρους αὐτοὺς κατέστησε. [10]καὶ τοῖς
θυμοῖς διεγείρας αὐτούς, παρήγγειλεν ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν
11 ἀθεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν. [11]ἕκαστον δὲ αὐτῶν καθοπλίσας οὐ
τὴν ἀσπίδων καὶ λογχῶν ἀσφάλειαν, ὡς τὴν ἐν τοῖς ἀγαθοῖς λόγοις παρά-
κλησιν, καὶ προςεξηγησάμενος ὄνειρον ἀξιόπιστον ὕπαρ τι πάντας εὔφρανεν.
12 [12]ἦν δὲ ἡ τούτου θεωρία τοιάδε, Ὀνίαν τὸν γενόμενον ἀρχιερέα ἄνδρα κα-
λὸν καὶ ἀγαθόν, αἰδήμονα μὲν τὴν ἀπάντησιν, πρᾶον δὲ τὸν τρόπον καὶ
λαλιὰν προϊέμενον πρεπόντως, καὶ ἐκ παιδὸς ἐκμεμελετηκότα πάντα τὰ τῆς
ἀρετῆς οἰκεῖα, τοῦτον τὰς χεῖρας προτείναντα κατεύχεσθαι τῷ παντὶ τῶν
13 Ἰουδαίων συστήματι. [13]εἶθ' οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ δια-
φέροντα, θαυμαστὴν δέ τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν
14 ὑπεροχήν. [14]ἀποκριθέντα δὲ τὸν Ὀνίαν εἰπεῖν Ὁ φιλάδελφος οὗτός ἐστιν ὁ
πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως Ἱερεμίας ὁ τοῦ
15 θεοῦ προφήτης. [15]προτείναντα δὲ τὸν Ἱερεμίαν τὴν δεξιὰν παραδοῦναι τῷ
16 Ἰούδᾳ ῥομφαίαν χρυσῆν, διδόντα δὲ προςφωνῆσαι τάδε [16]Λάβε τὴν ἁγίαν
17 ῥομφαίαν δῶρον παρὰ τοῦ θεοῦ, δι' ἧς θραύσεις τοὺς ὑπεναντίους. [17]παρα-
κληθέντες δὲ τοῖς Ἰούδα λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ' ἀρετὴν
παρορμῆσαι καὶ ψυχὰς νέων ἐπανορθῶσαι, διέγνωσαν μὴ στρατοπεδεύεσθαι,
γενναίως δὲ ἐμφέρεσθαι καὶ μετὰ πάσης εὐανδρίας ἐμπλακέντες κρῖναι τὰ
18 πράγματα, διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυνεύειν. [18]ἦν
γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων ἔτι δὲ ἀδελφῶν καὶ συγγενῶν ἐν ἥττονι
μέρει κείμενος αὐτοῖς ἀγών, μέγιστος δὲ καὶ πρῶτος ὁ περὶ τοῦ καθηγιασμέ-
19 νου ναοῦ φόβος. [19]ἦν δὲ καὶ τοῖς ἐν τῇ πόλει κατειλημμένοις οὐ πάρεργος
20 ἀγωνία ταρασσομένοις τῆς ἐν ὑπαίθρῳ προςβολῆς. [20]καὶ πάντων ἤδη προς-
δοκώντων τὴν ἐσομένην κρίσιν, καὶ ἤδη συμμιξάντων τῶν πολεμίων καὶ
τῆς στρατιᾶς ἐκταγείσης, καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκαταστα-
21 θέντων, τῆς τε ἵππου κατὰ κέρας τεταγμένης, [21]συνιδὼν ὁ Μακκαβαῖος τὴν
τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποικίλην παρασκευὴν τήν τε
τῶν θηρίων ἀγριότητα, προτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλέσατο
τὸν τερατοποιὸν κύριον τὸν κατόπτην, γινώσκων ὅτι οὐκ ἔστι δι' ὅπλων ἡ
22 νίκη, καθὼς δὲ ἂν αὐτῷ κριθείη τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην. [22]ἔλεγε
δὲ ἐπικαλούμενος τόνδε τὸν τρόπον Σὺ δέσποτα ἀπέστειλας τὸν ἄγγελόν σου
ἐπὶ Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας, καὶ ἀνεῖλες ἐκ τῆς παρεμβολῆς
23 Σενναχηρεὶμ εἰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. [23]καὶ νῦν δυνάστα τῶν
οὐρανῶν ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος καὶ τρόμον.
24 [24]μεγέθει βραχίονός σου καταπλαγείησαν οἱ μετὰ βλασφημίας παραγενόμε-
25 νοι ἐπὶ τὸν ἅγιόν σου λαόν. καὶ οὗτος μὲν ἐν τούτοις ἔληξεν. [25]οἱ δὲ περὶ
26 τὸν Νικάνορα μετὰ σαλπίγγων καὶ παιάνων προςῆγον. [26]οἱ δὲ περὶ τὸν
27 Ἰούδαν μετ' ἐπικλήσεως καὶ εὐχῶν συνέμιξαν τοῖς πολεμίοις. [27]καὶ ταῖς

---

7. αντιλημψεως 8. εχοντες δε ... εισομενην ... om και βοηθειαν 9. προςυμνησας 10. παρεπιδιγνυς 11. εκαστος δε ... προςηγησαμενος ... υπερ τι παντας ηυφρανεν 12. αρετης ιδια 15. om τον 17. ιουδου ... επανδρωσε ... στρατευεσθαι ... ευτανδρειας 18. om αγων 20. προςμειξαντων ... της δε ιππου 21. θηριων επι μερος ευκαιρον αγριοτητα· ανατεινας χειρας ... om τον κατοπτην ... om η νικη ... δε εαν αυτω χρειθη 22. ανειλεν 23. τροπον 24. καταπλαγεησαν ... παραγεινομενοι 26. μετα επικλησεως

Digitized by Google

μὲν χερσὶν ἀγωνιζόμενοι, ταῖς δὲ καρδίαις πρὸς τὸν θεὸν εὐχόμενοι, κατέ-
στρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων, τῇ τοῦ θεοῦ με-
γάλως εὐφρανθέντες ἐπιφανείᾳ. [28] γενόμενοι δὲ ἀπὸ τῆς χρείας καὶ μετὰ 28
χαρᾶς ἀναλύοντες, ἐπέγνωσαν προπεπτωκότα Νικάνορα σὺν τῇ πανοπλίᾳ.
[29] γενομένης δὲ κραυγῆς καὶ ταραχῆς, εὐλόγουν τὸν δυνάστην τῇ πατρίῳ 29
φωνῇ. [30] καὶ προσέταξεν ὁ καθ' ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς 30
ὑπὲρ τῶν πολιτῶν, ὁ τὴν τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας, τὴν
τοῦ Νικάνορος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ φέρειν εἰς
Ἱεροσόλυμα. [31] παραγενόμενος δὲ ἐκεῖ καὶ συγκαλέσας τοὺς ὁμοεθνεῖς καὶ 31
τοὺς ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας.
[32] καὶ ἐπιδειξάμενος τὴν τοῦ μιαροῦ Νικάνορος κεφαλὴν καὶ τὴν χεῖρα τοῦ 32
δυσφήμου, ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ παντοκράτορος οἶκον ἐμεγαλαύχησε,
[33] καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς Νικάνορος ἐκτεμὼν ἔφη κατὰ μέρος δώ- 33
σειν τοῖς ὀρνέοις, τὰ δὲ ἐπίχειρα τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι.
[34] οἱ δὲ πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ κύριον, λέγοντες 34
Εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον. [35] ἐξέδησε δὲ τὴν τοῦ 35
Νικάνορος κεφαλὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσι καὶ φανερὸν τῆς τοῦ κυ-
ρίου βοηθείας σημεῖον. [36] καὶ ἐδογμάτισαν πάντες μετὰ κοινοῦ ψηφίσματος 36
μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε τὴν ἡμέραν, ἔχειν δὲ ἐπίσημον τὴν
τρισκαιδεκάτην τοῦ δωδεκάτου μηνός, Ἄδαρ λέγεται τῇ Συριακῇ φωνῇ, πρὸ
μιᾶς ἡμέρας τῆς Μαρδοχαϊκῆς ἡμέρας. [37] τῶν οὖν κατὰ Νικάνορα χωρη- 37
σάντων οὕτω, καὶ ἀπ' ἐκείνων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ
τῶν Ἑβραίων, καὶ αὐτὸς αὐτόθι καταπαύσω τὸν λόγον. [38] καὶ εἰ μὲν καλῶς 38
καὶ εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς καὶ με-
τρίως, τοῦτο ἐφικτὸν ἦν μοι. [39] καθάπερ γὰρ οἶνον κατὰ μόνας πίνειν, ὡσαύ- 39
τως δὲ καὶ ὕδωρ πάλιν πολέμιον· ὃν δὲ τρόπον οἶνος ὕδατι συγκερασθεὶς
ἡδὺς καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτω καὶ τὸ τῆς κατασκευῆς τοῦ
λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει. ἐνταῦθα δὲ ἔσται
ἡ τελευτή.

# ΜΑΚΚΑΒΑΙΩΝ
## ΤΡΙΤΟΣ.
### I.

Ὁ δὲ Φιλοπάτωρ μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ' αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου, παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε καὶ ἱππικαῖς αὐτοῦ, καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβὼν ἐξώρμησε μέχρι τῶν κατὰ Ῥαφίαν τόπων, ὅπου παρεμ-

27. om καρδιαις ... επιμελεια 28. πανοπλεια 30. περιφερειν 31. συνκαλεσαμενος τ. ομοεθνους 32. επιδεξαμενος ... μιαιρου ... εκτετινας 33. om δωσειν ... τα δ επιχειρα 35. προτομην pro κεφαλην 36. εδογματ. δε ... τη κυριακη φωνη 37. ουτως ... τον λογ. καταπαυσων 38. και ειπεν (pro ει μεν) καλως ευθεικτως 39. om γαρ ... συνκερασθ. ηδη και ... ουτως

Subscriptio: ιουδα του μακκαβαιου πραξεων επιστολη

Inscriptio: μακκαβαιων λογος γ

I. 1. παρα των αναχομ. μαθων ... γεινομενην των επ αυτου ... παιζικαις και ιππικαις και την αδ.

Digitized by Google

2 βεβλήκεισαν οἱ περὶ Ἀντίοχον. [2] Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν
διανοηθείς, παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν
τὰ κράτιστα, διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνήν, ὡς μόνος
3 κτεῖναι αὐτὸν καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. [3] τοῦτον δὲ διαγαγὼν
Δωσίθεος ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν
τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέ-
4 κλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν. [4] γενομένης
δὲ καρτερᾶς μάχης, καὶ τῶν πραγμάτων μᾶλλον ἐῤῥωμένων τῷ Ἀντιόχῳ,
ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρεκάλει, μετὰ οἴκτου καὶ
δακρύων τοὺς πλοκάμους λελυμένη, βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ
γυναιξὶ θαῤῥαλέως, ἐπαγγελλομένη δώσειν νικήσασιν ἑκάστῳ δύο μνᾶς χρυ-
5 σίου. [5] καὶ οὕτω συνέβη τοὺς ἀντιπάλους ἐν χειρονομίαις διαφθαρῆναι, πολ-
6 λοὺς δὲ καὶ δοριαλώτους συλληφθῆναι. [6] κατακρατήσας δὲ τῆς ἐπιβουλῆς
7 ἔκρινε τὰς πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. [7] ποιήσας δὲ τοῦτο καὶ τοῖς
8 τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε. [8] τῶν
δὲ Ἰουδαίων διαπεμψαμένων πρὸς αὐτὸν ἀπὸ τῆς γερουσίας, καὶ τῶν πρε-
σβυτέρων τοὺς ἀσπασομένους αὐτὸν καὶ ξένια κομιοῦντας καὶ ἐπὶ τοῖς συμ-
βεβηκόσι συγχαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα
9 πρὸς αὐτοὺς παραγενέσθαι. [9] διακομισθεὶς δὲ εἰς Ἱεροσόλυμα καὶ θύσας τῷ
μεγίστῳ θεῷ καὶ χάριτας ἀποδιδούς, καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιήσας, καὶ
δὴ παραγενόμενος εἰς τὸν τόπον, καὶ τῇ σπουδαιότητι καὶ εὐπρεπείᾳ κατα-
10 πλαγείς, [10] θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐταξίαν, ἐνεθυμήθη βουλεύσα-
11 σθαι εἰςελθεῖν εἰς τὸν ναόν. [11] τῶν δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι τοῦτο,
διὰ τὸ μηδὲ τοῖς ἐκ τοῦ ἔθνους ἐξεῖναι εἰςιέναι μηδὲ πᾶσι τοῖς ἱερεῦσιν
ἀλλ' ἢ μόνῳ τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ, καὶ τούτῳ ἅπαξ κατ' ἐνιαυ-
12 τόν, οὐδαμῶς ἠβούλετο πείθεσθαι. [12] τοῦ τε νόμου παραναγνωσθέντος οὐδα-
μῶς ἀπέλιπε προφερόμενος ἑαυτόν, δεῖν εἰςελθεῖν λέγων Καὶ εἰ ἐκεῖνοι ἐστέ-
13 ρηνται ταύτης τῆς τιμῆς, ἐμὲ οὐ δεῖ. [13] καὶ ἐπυνθάνετο διὰ τίνα αἰτίαν
14 εἰςερχόμενον αὐτὸν εἰς πᾶν τέμενος οὐθεὶς ἐκώλυσε τῶν παρόντων. [14] καί τις
15 ἀπρονοήτως ἔφη κακῶς αὐτὸ τοῦτο τερατεύεσθαι. [15] γενομένου δέ φησι τού-
του διά τινα αἰτίαν, οὐχὶ πάντως εἰςελεύσεσθαι καὶ θελόντων αὐτῶν καὶ μή;
16 [16] τῶν δὲ ἱερέων ἐν ταῖς ἁγίαις ἐσθήσεσι προπεσόντων, καὶ δεομένων τοῦ
μεγίστου θεοῦ βοηθεῖν τῇ ἐνεστώσῃ ἀνάγκῃ, καὶ τὴν ὁρμὴν τοῦ κακῶς ἐπι-
βαλλομένου μεταθεῖναι, κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν ἐμπλησάντων,
17 [17] οἱ κατὰ τὴν πόλιν ἀπολιπόμενοι ταραχθέντες ἐξεπήδησαν, ἄδηλον τιθέμε-
18 νοι τὸ γινόμενον. [18] αἵ τε κατάκλειστοι παρθένοι ἐν θαλάμοις σὺν ταῖς τε-
κούσαις ἐξώρμησαν, καὶ σποδῷ καὶ κόνει τὰς κεφαλὰς πασάμεναι, γόων τε
19 καὶ στεναγμῶν τὰς πλατείας ἐνεπίμπλων. [19] αἱ δὲ καὶ προςαρτίως ἐσταλμέ-
ναι, τοὺς πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν αἰδῶ
20 παραλείπουσαι δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσταντο. [20] τὰ δὲ νεογνὰ τῶν

---

2. *τοπων pro οπλων 3. διαγων 4. τους πολεμους λελυμενη ... και ταις γυναιξιν 5. και τ ουτως ... χειρονομειαις ... ροδιαλωτους (sic; ed. rom. δωριαλωτους) ... συλλημφθηναι 7. απονειμα 8. χαρησομενους 9. τω πιστω θεω ... τω τοπον ποιησας ... ευσεβεια καταπληγεις 10. εις τον ναον εισελθειν 11. μηδε τοις εθνεσιν εισιεναι ... κατ ενιαυτ. απαξ· ο δε ουδαμως επιθετο 12. παραγνωσθεντος ουδ ως απελειπεν ... εμε δε 13. ατινα pro δια τινα ... αυτον εισερχομενον εις παν τε τεμενος 15. γεινομενου ... παντων 16. εν πασαις ταις αισθησεσιν προςπεσοντων ... τοις ενεστωσιν· και την 17. απολειπομενοι 18. εξωρμ. και απεδωκαν κονει τας κομας πασαμεναι· που γε και στεν. ενεμπιπλων τας πλατ. 19. προς απαν νυν διατεταγμενην και την ... οιπ εν τη πολει

Digitized by Google

τέκνων αἵ τε πρὸς τούτοις μητέρες καὶ τιθηνοὶ παραλιποῦσαι ἄλλως καὶ ἄλ-
λως, αἱ μὲν κατ᾽ οἴκους, αἱ δὲ κατὰ τὰς ἀγυιάς, ἀνεπιτρέπτως εἰς τὸ παν-
υπέρτατον ἱερὸν ἠθροίζοντο. 21 ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγομένων ἡ 21
δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ᾽ ἐκείνου κατεγχειρουμένοις. 22 σύν τε τούτοις οἱ 22
τῶν πολιτῶν θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον αὐτοῦ ἐπικειμένου καὶ τὸ
τῆς προθέσεως αὐτοῦ ἐκπληροῦν διανοουμένου. 23 φωνήσαντες δὲ τὴν ὁρμὴν 23
ἐπὶ τὰ ὅπλα ποιήσασθαι καὶ θαῤῥαλέως ὑπὲρ τοῦ πατρῴου νόμου τελευτᾶν,
ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύτητα, μόλις τε ὑπό τε τῶν γεραιῶν καὶ
τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως ἔστησαν στάσιν.
24 καὶ τὸ μὲν πλῆθος ὡς ἔμπροσθεν ἐν τούτοις ἀνεστρέφετο δεόμενον. 25 οἱ 24 25
δὲ περὶ τὸν βασιλέα πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ
νοῦν ἐξιστάνειν τῆς ἐντεθυμημένης βουλῆς. 26 θρασυνθεὶς δὲ καὶ πάντα πα- 26
ραπέμψας, ἤδη καὶ πρόςβασιν ἐποιεῖτο, τέλος ἐπιθήσειν δοκῶν τῷ προειρη-
μένῳ. 27 ταῦτ᾽ οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες ἐτράπησαν εἰς τὸ 27
σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κράτος ἔχοντα, τοῖς παροῦσιν ἐπα-
μῦναι, μὴ παριδόντα τὴν ἄνομον καὶ ὑπερήφανον πρᾶξιν. 28 ἐκ δὲ τῆς πυ- 28
κνοτάτης τε καὶ ἐμπόνου τῶν ὄχλων συναγομένης κραυγῆς ἀνείκαστός τις
ἦν βοή. 29 δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους ἀλλὰ καὶ τὰ τείχη καὶ 29
τὸ πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων ἀντὶ
τῆς τοῦ τόπου βεβηλώσεως.

## II.

Ὁ μὲν οὖν ἀρχιερεὺς Σίμων ἐξεναντίας τοῦ ναοῦ κάμψας τὰ γόνατα
καὶ τὰς χεῖρας προτείνας εὐτάκτως ἐποιήσατο τὴν δέησιν τοιαύτην 2 Κύριε 2
κύριε βασιλεῦ τῶν οὐρανῶν καὶ δέσποτα πάσης κτίσεως, ἅγιε ἐν ἁγίοις,
μόναρχε, παντοκράτωρ, πρόσχες ἡμῖν καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βε-
βήλου θράσει καὶ σθένει πεφρυαγμένου. 3 σὺ γὰρ ὁ κτίσας τὰ πάντα καὶ 3
τῶν ὅλων ἐπικρατῶν δυνάστης δίκαιος εἶ, καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ
πράσσοντάς τι κρίνεις. 4 σὺ τοὺς ἔμπροσθεν ἀδικίαν ποιήσαντας, ἐν οἷς καὶ 4
γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει πεποιθότες, διέφθειρας, ἐπαγαγὼν αὐτοῖς
ἀμέτρητον ὕδωρ. 5 σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους Σοδομίτας, διαδήλους 5
ταῖς κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας, παράδειγμα τοῖς ἐπι-
γινομένοις καταστήσας. 6 σὺ τὸν θρασὺν Φαραώ, καταδουλωσάμενον τὸν λαόν 6
σου τὸν ἅγιον Ἰσραήλ, ποικίλαις καὶ πολλαῖς δοκιμάσας τιμωρίαις ἐγνώρι-
σας τὴν σὴν δυναστείαν· ἐφ᾽ αἷς ἐγνώρισας τὸ μέγα σου κράτος. 7 καὶ 7
ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασι καὶ ὄχλων πλήθει ἐπέκλυσας βάθει θαλάσσης,
τοὺς δὲ ἐμπιστεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι σώους
διεκόμισας. 8 οἳ καὶ συνειδότες ἔργα σῆς χειρὸς ᾔνεσάν σε τὸν παντοκράτορα. 8
9 σὺ βασιλεῦ, κτίσας τὴν ἀπέραντον καὶ ἀμέτρητον γῆν, ἐξελέξω τὴν πόλιν 9
ταύτην, καὶ ἁγιάσας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι τῷ τῶν ἁπάντων
ἀπροσδεεῖ, καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ σύστασιν ποιησά-
μενος αὐτοῦ πρὸς δόξαν τοῦ μεγάλου καὶ ἐντίμου ὀνόματός σου. 10 καὶ ἀγα- 10
πῶν τὸν οἶκον τοῦ Ἰσραὴλ ἐπηγγείλω δὴ ὅτι ἐὰν γένηται ἡμῶν ἀποστροφὴ

---

20. παραλειπουσαι ... και μεν κατοικους αι δεκα τας ... ανεπιστρεπτως 21. συλλεγεντων 22. οι περι των ... om αυτου secundum 23. υπο του πατρωου ... μολις δε ... παρησαν στασιν 24. om εν 25. επιβουλης 26. παντας ... ηδη· και προςβασ. ηδη 27. ταυτα ουν 29. η δοκειν
II. 1. om versum primum 2. πασης της ... ασθενει πρεφρυασμενους (sic) 3. συ γαρ ει ο ... τι πρασσοντας 4. om και prius ... αυτους 5. αδηλους 6. εδοκιμασας ... την σην δυναμιν 8. συνιδοντες 9. ηγιασας ... εις σον ονομα σοι 10. επηγγειλω· διοτι 9. απερατον



Digitized by Google

καὶ καταλάβῃ ἡμᾶς στενοχωρία, καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶ-
11 12 μεν, εἰςακούσῃ τῆς δεήσεως ἡμῶν. 11 καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός. 12 ἐπεὶ
δὲ πλεονάκις θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν τῇ ταπει-
13 νώσει, καὶ ἐῤῥύσω αὐτοὺς ἐκ μεγάλων κινδύνων, 13 ἰδοὺ δὴ νῦν, ἅγιε βα-
σιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας καταπονούμεθα, καὶ
14 ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν καὶ παρείμεθα ἐν ἀδυναμίαις. 14 ἐν δὲ τῇ
ἡμετέρᾳ καταπτώσει ὁ θρασὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι
τὸν ἐπὶ τῆς γῆς ἀναδεδειγμένον τῷ ὀνόματι τῆς δόξης σου ἅγιον τόπον.
15 15 τὸ μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ ἀνέφικτος ἀνθρώποις
16 ἐστίν. 16 ἀλλ' ἐπεὶ εὐδόκησας τὴν δόξαν σου ἐν τῷ λαῷ σου Ἰσραήλ, ἡγία-
17 σας τὸν τόπον τοῦτον. 17 μὴ ἐκδικήσῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ
εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει, ἵνα μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐ-
18 τῶν μηδὲ ἀγαλλιάσωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν, λέγοντες 18 Ἡμεῖς
κατεπατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι τῶν
19 προςοχθισμάτων. 19 ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν καὶ διασκέδασον τὰς ἀμ-
20 πλακίας ἡμῶν, καὶ ἐπίφανον τὸ ἔλεός σου κατὰ τὴν ὥραν ταύτην. 20 ταχὺ
προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, καὶ δὸς αἰνέσεις ἐν στόματι τῶν
καταπεπτωκότων καὶ συντετριμμένων τὰς ψυχάς, ποιήσας ἡμῖν εἰρήνην.
21 21 ἐνταῦθα ὁ πάντων ἐπόπτης θεὸς καὶ πρὸ πάντων ἅγιος ἐν ἁγίοις, εἰςα-
κούσας τῆς ἐνθέσμου λιτανείας, τὸν ὕβρει καὶ θράσει μεγάλως ἐπηρμένον
22 ἐμάστιξεν αὐτόν, 22 ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτὸν ὡς κάλαμον ὑπὸ ἀνέ-
μου, ὥςτε κατ' ἐδάφους ἄπρακτον ἔτι καὶ τοῖς μέλεσι παραλελυμένον μηδὲ
23 φωνῆσαι δύνασθαι δικαίᾳ περιπεπλεγμένον κρίσει. 23 ὅθεν οἵ τε φίλοι καὶ
οἱ σωματοφύλακες αὐτοῦ ταχεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλαβοῦσαν αὐ-
τὸν εὔθυναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, ταχέως αὐτὸν ἐξείλκυσαν
24 ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ. 24 ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος
ἑαυτὸν οὐδαμῶς εἰς μετάμελον ἦλθεν ἐπιτιμηθείς, μετ' ἀπειλῆς δὲ πικρᾶς
25 ἀνέλυσε. 25 διακομισθεὶς δὲ εἰς τὴν Αἴγυπτον καὶ τὰ τῆς κακίας ἐπαύξων,
διὰ δὲ τῶν προαποδεδειγμένων συμποτῶν καὶ ἑταίρων τοῦ παντὸς δικαίου
26 κεχωρισμένων, 26 οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγείαις διηρκέσθη, ἀλλὰ
καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν ὥςτε δυςφημίας ἐν τοῖς τόποις συνί-
στασθαι, καὶ πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθεσιν
27 καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει. 27 προέθετο δὲ δημοσίᾳ κατὰ τοῦ
ἔθνους διαδοῦναι ψόγον. καὶ ἐπὶ τοῦ κατὰ τὴν αὐλὴν πύργου στήλην ἀνα-
28 στήσας ἐξεκόλαψε γραφήν, 28 μηδένα τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν
εἰσιέναι, πάντας δὲ τοὺς Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν
29 ἀχθῆναι, τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι, 29 τού-
τους τε ἀπογραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ σῶμα παρασήμῳ
Διονύσου κισσοφύλλῳ, οὓς καὶ καταχωρίσαι εἰς τὴν προσυνεσταλμένην αὐ-
30 θεντίαν. 30 ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνηται, ὑπέγραψεν, ἐὰν δέ
τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς κατὰ τὰς τελετὰς μεμυημένοις ἀνα-
31 στρέφεσθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦσιν εἶναι. 31 ἔνιοι μὲν οὖν ἐπὶ
πόλεως τὰς τῆς πόλεως εὐσεβείας ἐπιβάθρας στυγοῦντες εὐχερῶς ἑαυτοὺς

---

10. τοπον ημων δ. 11. om ει 12. πλεον. και θλιβ. ... εκ μελων (sic) κακων 13. ιδου δε νυν 15. κατοικητηρ. 16. αλλα επ. 17. αγαλλιασονται 19. αμβλακειας 20. om ημας ... εν τω στοματι 21. θεος και προπατωρ αγιος 22. ed. rom. καθ' ἐδάφους ... πεπληγμενον 23. και σωματοφυλακ. οξειαν ιδοντες 24. αναλεξ. αυτον ... μετα απ. δε πικρ. θεμενος ανεδυσεν 25. κακιας επαυτων (sic) δια τε των 27. om δε ... ψογον· επι ... εκολαψεν 28. επι τα ιερα ... 29. τους pro τουτους ... *χαρασσασθε ... διονυσω ... προκαταχωρισαι 30. κατα τελετας μεμοιημενοις 31. οιμ ουν ... τα (correctum τας) τ. πολ. ευσεβ. επιβαθρα στυγουνται

Digitized by Google

ἐδίδοσαν, ὡς μεγάλης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ
βασιλεῖ συναναστροφῆς. [32] οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν καὶ οὐ 32
διέστησαν τῆς εὐσεβείας, τά τε χρήματα περὶ τοῦ ζῆν ἀντικαταλλασσόμενοι
ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν. [33] εὐέλπιδες δὲ κα- 33
θειστήκεισαν ἀντιλήψεως τεύξεσθαι, καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδε-
λύσσοντο καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον καὶ τῆς κοινῆς συναναστρο-
φῆς καὶ εὐχρηστίας ἐστέρουν.

## III.

Ἃ καὶ μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐχόλησεν ὥστε οὐ μόνον
τοῖς κατ' Ἀλεξάνδρειαν διοργίζεσθαι, ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως
ἐναντιωθῆναι καὶ προστάξαι σπεύσαντας συναγαγεῖν πάντας ἐπὶ τὸ αὐτὸ
καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι. [2] τούτων δὲ οἰκονομουμένων φήμη 2
δυσμενὴς ἐξηχεῖτο κατὰ τοῦ γένους ἀνθρώποις συμφρονοῦσιν εἰς κακοποίησιν,
ἀφορμῆς διδομένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόν-
των. [3] οἱ δὲ Ἰουδαῖοι τὴν μὲν πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιά- 3
στροφον ἦσαν διαφυλάσσοντες, [4] σεβόμενοι δὲ τὸν θεὸν καὶ τῷ τούτου νόμῳ 4
πολιτευόμενοι χωρισμὸν ἐποίουν ἐπί τινων καὶ καταστροφάς· δι' ἣν αἰτίαν
ἐνίοις ἀπεχθεῖς ἐφαίνοντο. [5] τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες τὴν 5
συναναστροφὴν ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθειστήκεισαν. [6] τὴν μὲν οὖν 6
περὶ τοῦ γένους ἐν πᾶσι θρυλλουμένην εὐπραξίαν οἱ ἀλλόφυλοι οὐδαμῶς διη-
ριθμήσαντο. [7] τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν διάστασιν ἐθρύλ- 7
λουν, φάσκοντες μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδους τοὺς
ἀνθρώπους γενέσθαι, δυσμενεῖς δὲ εἶναι καὶ μέγα τι τοῖς πράγμασιν ἐναν-
τιουμένους· καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ. [8] οἱ δὲ κατὰ τὴν πόλιν Ἕλ- 8
ληνες οὐδὲν ἠδικημένοι, ταραχὴν ἀπροσδόκητον περὶ τοὺς ἀνθρώπους θεω-
ροῦντες καὶ συνδρομὰς ἀπροσκόπους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον,
τυραννικὴ γὰρ ἦν ἡ διάθεσις, παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον, καὶ με-
ταπεσεῖσθαι ταῦτα ὑπελάμβανον. [9] μὴ γὰρ οὕτως παροραθήσεται τηλικοῦτο 9
σύστημα μηδὲν ἠγνοηκώς. [10] ἤδη δὲ καί τινες γείτονές τε καὶ φίλοι καὶ 10
συμπραγματευόμενοι, μυστικῶς τινὰς ἐπισπώμενοι, πίστεις ἐδίδουν συνασπιεῖν
καὶ πᾶν ἐκτενὲς προσοίσεσθαι πρὸς ἀντίληψιν. [11] ἐκεῖνος μὲν οὖν τῇ κατὰ 11
τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος καὶ οὐ καθορῶν τὸ τοῦ μεγίστου θεοῦ
κράτος, ὑπολαμβάνων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ, ἔγραψε κατ'
αὐτῶν ἐπιστολὴν τήνδε [12] Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ' Αἴγυ- 12
πτον καὶ κατὰ τόπον στρατηγοῖς καὶ στρατιώταις χαίρειν καὶ ἐρρῶσθαι.
[13] ἔρρωμαι δὲ καὶ ἐγὼ αὐτὸς καὶ τὰ πράγματα ἡμῶν. [14] ἐκ τῆς εἰς τὴν 13 14
Ἀσίαν γενομένης ἡμῖν ἐπιστρατείας, ἧς ἴστε καὶ αὐτοὶ τῇ τῶν θεῶν πρὸς
ἡμᾶς ἀπροπτώτῳ συμμαχίᾳ καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ κατὰ λόγον ἐπ' ἄρι-
στον τέλος ἀχθείσης, [15] ἡγησάμεθα μὴ βίᾳ δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ 15
φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ κατοικοῦντα Κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη
εὐποιῆσαί τε ἀσμένως, [16] καὶ τοῖς κατὰ πόλεσιν ἱεροῖς ἀπονείμαντες προσό- 16

---

33. ευελπ. τε καθιστηκεισαν αντιλημψεως τευξασθαι  III. 1. εξεχολησεν ... κατα αλεξ. οργιζεσθαι ... σπευδοντας  2. οικοδομουμενων ... εξεχειτο ... συμφορανουσιν ... δεδιδομενης  3. φυλασσοντες  4. επι τω καταστροφας ... αινιοι  6. θρυλουμενην  7. εθρυλουν ... γεινεσθαι ... περιηψαντο φοβω  8. περι τους ανδρας ... γεινομενας ... εσθανον  9. ουτω παροραθησεσθαι ... συστεμα ... ηγνοηκος  10. αντιλημψιν  11. υπολαμβανειν δε  12. πτολεμεος  13. αυτος εγω  14. om εκ ... επιστρατιας ... om προς ημας ... om και τη ημ. δε ρωμη ... λογ. επι τελος  15. φιλανθρωπεια ... ευποιησαντες μενως (sic)

θους πλείστας προήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα, ἀναβάντες τιμῆσαι τὸ
17 ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀνοίας. [17] οἱ δὲ λόγῳ μὲν
τὴν ἡμετέραν ἀποδεξάμενοι παρουσίαν, τῷ δὲ πράγματι νόθως, προθυμη-
θέντων ἡμῶν εἰςελθεῖν εἰς τὸν ναὸν αὐτῶν καὶ τοῖς ἐκπρεπέσι καὶ καλλί-
18 στοις ἀναθήμασι τιμῆσαι, [18] τύφοις φερόμενοι παλαιοτέροις εἶρξαν ἡμᾶς τῆς
εἰςόδου, ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς, δι' ἣν ἔχομεν πρὸς ἅπαντας
19 ἀνθρώπους φιλανθρωπίαν. [19] τὴν δὲ αὐτῶν εἰς ἡμᾶς δυςμένειαν ἔκδηλον κα-
θιστάντες, ὡς μονώτατοι τῶν ἐθνῶν βασιλεῦσι καὶ τοῖς ἑαυτῶν εὐεργέταις
20 ὑψαυχενοῦντες, οὐδὲν γνήσιον βούλονται φέρειν. [20] ἡμεῖς δὲ τῇ τούτων ἀνοίᾳ
συμπεριενεχθέντες καὶ μετὰ νίκης διακομισθέντες, καὶ εἰς τὴν Αἴγυπτον τοῖς
21 πᾶσιν ἔθνεσι φιλανθρώπως ἀπαντήσαντες, καθὼς ἔπρεπεν ἐποιήσαμεν. [21] ἐν
δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους αὐτῶν ἀμνησικακίαν ἅπασι γνωρίζοντες,
διά τε τὴν συμμαχίαν καὶ τὰ πεπιστευμένα μετὰ ἁπλότητος αὐτοῖς ἀρχῆ-
θεν μύρια πράγματα τολμήσαντες ἐξαλλοιῶσαι, ἐβουλήθημεν καὶ πολιτείας
αὐτοὺς Ἀλεξανδρέων καταξιῶσαι καὶ μετόχους τῶν ἀεὶ ἱερέων καταστῆσαι.
22 [22] οἱ δὲ τοὐναντίον ἐκδεχόμενοι καὶ τῇ συμφύτῳ κακοηθείᾳ τὸ καλὸν ἀπω-
23 σάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύοντες, [23] οὐ μόνον ἀπεστρέψαντο
τὴν ἀτίμητον πολιτείαν, ἀλλὰ καὶ βδελύσσονται λόγῳ τε καὶ σιγῇ τοὺς ἐν
αὐτοῖς ὀλίγους πρὸς ἡμᾶς γνησίως διακειμένους, παρ' ἕκαστα ὑφορώμενοι διὰ
τῆς δυςκλεεστάτης ἐμβιώσεως διὰ τάχους ἡμᾶς καταστρέψαι τὰ κατορθώ-
24 ματα. [24] διὸ καὶ τεκμηρίοις καλῶς πεπεισμένοι, τούτους κατὰ πάντα δυς-
νοεῖν ἡμῖν τρόπον, καὶ προνοούμενοι μή ποτε αἰφνιδίου μετέπειτα ταραχῆς
ἐνστάσης ἡμῖν τοὺς δυςσεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους
25 ἔχωμεν πολεμίους, [25] προστετάχαμεν ἅμα τῷ προςπεσεῖν τὴν ἐπιστολὴν τήνδε
αὐθωρὶ τοὺς ἐννεμομένους σὺν γυναιξὶ καὶ τέκνοις μετὰ ὕβρεων καὶ σκυλμῶν
ἀποστεῖλαι πρὸς ἡμᾶς ἐν δεσμοῖς σιδηροῖς πάντοθεν κατακεκλεισμένους, εἰς
26 ἀνήκεστον καὶ δυςκλεῆ πρέποντα δυςμενέσι φόνον. [26] τούτων γὰρ ὁμοῦ κο-
λασθέντων διειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ πράγματα
27 ἐν εὐσταθείᾳ καὶ βελτίστῃ διαθέσει κατασταθήσεσθαι. [27] ὃς δ' ἂν σκεπάσῃ
τινὰ τῶν Ἰουδαίων ἀπὸ γεραιοῦ μέχρι νηπίου μέχρι τῶν ὑπομασθίων, αἰ-
28 σχίστοις βασάνοις ἀποτυμπανισθήσεται πανοικί. [28] μηνύειν δὲ τὸν βουλόμε-
νον, ἐφ' ᾧ τὴν οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὔθυναν λήψεται, καὶ ἐκ
τοῦ βασιλικοῦ ἀργυρίου δραχμὰς δισχιλίας καὶ τῆς ἐλευθερίας τεύξεται καὶ
29 στεφανωθήσεται. [29] πᾶς δὲ τόπος οὗ ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμενος
Ἰουδαῖος, ἄβατος καὶ πυριφλεγὴς γινέσθω, καὶ πάσῃ θνητῇ φύσει κατὰ
30 πάντα ἄχρηστος φανήσεται εἰς τὸν ἀεὶ χρόνον. [30] καὶ ὁ μὲν τῆς ἐπιστολῆς
τύπος οὕτως ἐγέγραπτο.

## IV.

Πάντῃ δὲ ὅπου προςέπιπτε τοῦτο τὸ πρόσταγμα δημοτελὴς συνίστατο
τοῖς ἔθνεσιν εὐωχία μετὰ ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς ἂν τῆς προκατεσκιῤῥω-
μένης αὐτοῖς πάλαι κατὰ διάνοιαν, μετὰ παῤῥησίας συνεκφαινομένης ἀπε-
2 χθείας. [2] τοῖς δὲ Ἰουδαίοις ἀνήκεστον πένθος ἦν καὶ πανόδυρτος μετὰ δα-

---

16. προςηχθημεν 17. *την ημετ. αποδ. την ημετεραν ... ανθημασιν 18. λειπομενοι 21. om τολμησαντες 23. υφορ. μετα της ... πραγματα pro κατορθωμ. 24. εφνηδιου ... εστασης 25. αυθωρει ... συν ταις γυναιξει ... υβρεως 26. διεληφαμεν ... και τη βελτιστη 27. νηπ. και μεχρι τ. υπομαστιαιων εχθισταις ... πανοικια 28. λημψεται ... βασιλειου ... om αργυριου ... om τευξεται και 29. πυριφλεγης ... καθαπαν IV. 1. τ. εθνεσ. ουν ευωχεια ... προκατεσχειρωμενης ... νυν εκφενομενης 2. αλεκτον πενθος ... πανοδυρκτος

Digitized by Google

χρύων βοή, στεναγμοῖς πεπυρωμένης τῆς αὐτῶν πάντοθεν καρδίας, ὀλοφυρο-
μένων τὴν ἀπροσδόκητον ἐξαίφνης ἐπικριθεῖσαν αὐτοῖς ὀλεθρίαν. [3]τίς νομὸς 3
ἢ πόλις ἢ τίς τὸ σύνολον οἰκητὸς τόπος ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων
ἐπ' αὐτοῖς οὐκ ἐμπιπλῶντο; [4]οὕτω γὰρ μετὰ πικρᾶς καὶ ἀνοίκτου ψυχῆς 4
ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο, ὥστε ἐπὶ ταῖς
ἐξάλλοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν, λαμβάνοντας πρὸ τῶν ὀφθαλμῶν
τὸν κοινὸν ἔλεον καὶ λογιζομένους τὴν ἄδηλον τοῦ βίου καταστροφήν, δα-
κρύειν αὐτῶν τρισάθλιον ἐξαποστολήν. [5]ἤγετο γὰρ γεραιῶν πλῆθος πολιᾷ 5
πεπυκασμένων, τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπικύφων, ἀνατροπῆς
ὁρμῇ βιαίας, ἁπάσης αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμένων πορείαν. [6]αἱ 6
δὲ ἄρτι πρὸς βίου κοινωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες, ἀντὶ
τέρψεως μεταλαβοῦσαι γόους καὶ κόνει τὴν μυροβραχῆ πεφυρμέναι κόμην,
ἀκαλύπτως δὲ ἀγόμεναι, θρῆνον ἀνθ' ὑμεναίων ὁμοθυμαδὸν ἐξῆρχον, ὡς
ἐσπαραγμέναι σκυλμοῖς ἀλλοεθνέσι. [7]δέσμιαι δὲ δημόσιαι μέχρι τῆς εἰς τὸ 7
πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας. [8]οἵ τε τούτων συζυγεῖς βρόχοις ἀντὶ 8
στεφέων τοὺς αὐχένας περιπεπλεγμένοι μετὰ ἀκμαίας καὶ νεανικῆς ἡλικίας,
ἀντὶ εὐωχίας καὶ νεωτερικῆς ῥᾳθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας
ἐν θρήνοις διῆγον, παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον. [9]κατήχθη- 9
σαν δὲ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις, οἱ μὲν τοῖς ζυγοῖς
τῶν πλοίων προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ τοὺς πόδας ἀρρήκτοις κα-
τησφαλισμένοι πέδαις, [10]ἔτι καὶ τῷ καθύπερθε πυκνῷ σανιδώματι διακει- 10
μένῳ τὸ φέγγος ἀποκλειόμενοι, ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμοὺς
ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνωσι. [11]τούτων δὲ ἐπὶ τὴν 11
λεγομένην σχεδίαν ἀχθέντων καὶ τοῦ παράπλου περανθέντος, καθὼς ἦν δε-
δογματισμένον τῷ βασιλεῖ, προσέταξεν αὐτοὺς ἐν τῷ πρὸ τῆς πόλεως ἱππο-
δρόμῳ παρεμβαλεῖν ἀπλέτῳ καθεστῶτι περιμέτρῳ καὶ πρὸς παραδειγματισμὸν
ἄγαν εὐκαιροτάτῳ καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν καὶ
τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν, πρὸς τὸ μηδὲ
ταῖς δυνάμεσιν αὐτοῦ κοινωνεῖν μηδὲ τὸ σύνολον καταξιῶσαι περιβόλων.
[12]ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁμοεθνεῖς κρυβῇ ἐκ- 12
πορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν,
[13]διοργισθεὶς προσέταξε καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς ὡς 13
ἐκείνοις ποιῆσαι, μὴ λειπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας,
[14]ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ ὀνόματος· οὐ γὰρ τὴν ἔμπροσθε βραχεῖ 14
προδεδηλωμένην τῶν ἔργων κατάπονον λατρείαν, στρεβλωθέντας δὲ ταῖς παρηγ-
γελμέναις αἰκίαις τὸ τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. [15]ἐγίνετο μὲν 15
οὖν ἡ τούτων ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρίας ἀπὸ
ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας
τεσσαράκοντα. [16]μεγάλως δὲ καὶ διηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμένος, 16
συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος, πεπλανημένῃ πόρρω τῆς
ἀληθείας φρενὶ καὶ βεβήλῳ στόματι, τὰ μὲν κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς
λαλεῖν ἢ ἀρήγειν ἐπαινῶν, εἰς δὲ τὸν μέγιστον θεὸν τὰ μὴ καθήκοντα λα-

---

2. πεπυρωμ. παντοθεν αυτων της καρδιας ... αυτοις επικριθ. 3. οικτιστος ... om ουκ εμπιπλ. 4. ουτως ... πικρειας ανοικτου ... την δυσαθλιον 5. γερων πληρης πολιας ... επικουφον ... προς εξιαν καταχρωμεν (sic) 6. μυροβραιχη ... σκυμνοις 7. δημοσια 8. οι δε τουτων συνζυγεις βροχους ... ακμαιας νεανικης ... ευωχειας 9. αγομενοις 10. κατυπερθε ... om το φεγγ. αποκλειομενοι 11. *περαθεντος ... απλατω ... παραδιγματισμον ... εκδημειαν ... om μηδε posterius *... περιβολω 12. ακλαιη 14. ονομ. ουκ εις την εμπροσθεν ... κατατροπον λατρειαν· στρεβλωθεντα δε παρηγγελμ. ακειαις 15. προσεδρειας ... τεσσερακοντα 16. ιδωλων συνιστ. πεπληρωμενη (... φρονει) ... στοματι· κωφα ... om τον μεγιστ. θεον

17 λῶν. [17] μετὰ δὲ τὸ προειρημένον τοῦ χρόνου διάστημα προςηνέγκαντο οἱ
γραμματεῖς τῷ βασιλεῖ, μηκέτι ἰσχύειν τὴν τῶν Ἰουδαίων ἀπογραφὴν ποιεῖ-
18 σθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθύν, [18] καίπερ ὄντων κατὰ τὴν χώραν
ἔτι τῶν πλειόνων, τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων, τῶν δὲ καὶ
κατὰ τόπον, ὡς ἀδυνάτου καθεστῶτος πᾶσι τοῖς ἐπ' Αἴγυπτον στρατηγοῖς.
19 [19] ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον ὡς δεδωροκοπημένοις εἰς μηχανὴν
20 τῆς ἐκφυγῆς, συνέβη σαφῶς αὐτὸν περὶ τούτου πεισθῆναι, [20] λεγόντων μετὰ
ἀποδείξεως, καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς γραφικοὺς καλάμους ἐν οἷς
21 ἐχρῶντο ἐκλελοιπέναι. [21] τοῦτο δὲ ἦν ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς Ἰου-
δαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου.

## V.

Τότε προςκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων ἐπιμε-
2 λείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ καὶ χόλῳ κατὰ πᾶν ἀμετάθετος, [2] ἐκέλευ-
σεν ὑπὸ τὴν ἐπερχομένην ἡμέραν δαψιλέσι δράκεσι λιβανωτοῦ καὶ οἴνῳ
πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτίσαι, ὄντας τὸν ἀριθμὸν πεντα-
κοσίους, καὶ ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ εἰςαγαγεῖν πρὸς
3 συνάντησιν τοῦ μόρου τῶν Ἰουδαίων. [3] ὁ μὲν τάδε προστάσσων ἐτρέπετο
πρὸς τὴν εὐωχίαν, συναγαγὼν τοὺς μάλιστα τῶν φίλων καὶ τῆς στρατιᾶς
4 ἀπεχθῶς ἔχοντας πρὸς τοὺς Ἰουδαίους. [4] ὁ δὲ ἐλεφαντάρχης τὸ προςταγὲν
5 ἀραρότως Ἕρμων συνετέλει. [5] οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέ-
ραν ἐξιόντες τὰς τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας τήν τε λοιπὴν ἐμηχα-
νῶντο περὶ αὐτοὺς ἀσφάλειαν, ἔννυχον δόξαντες ὁμοῦ λήψεσθαι τὸ φῦλον
6 πέρας τῆς ὀλεθρίας. [6] οἱ δὲ πάσης σκέπης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνε-
σιν Ἰουδαῖοι, διὰ τὴν πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην,
7 [7] τὸν παντοκράτορα κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμονα θεὸν
αὐτῶν καὶ πατέρα, δυςκαταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπεκαλέσαντο,
8 δεόμενοι [8] τὴν κατ' αὐτῶν μεταστρέψαι βουλὴν ἀνοσίαν καὶ ῥύσασθαι αὐ-
τοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παρὰ πόδας ἐν ἑτοίμῳ μόρου.
9 10 [9] τούτων μὲν οὖν ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν. [10] ὁ δὲ Ἕρμων
τοὺς ἀνηλεεῖς ἐλέφαντας ποτίσας πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορη-
γίας καὶ τοῦ λιβάνου μεμεστωμένους, ὄρθριος ἐπὶ τὴν αὐλὴν παρῆν περὶ
11 τούτων προςαγγεῖλαι τῷ βασιλεῖ. [11] τοῦτο δ' ἀπ' αἰῶνος χρόνου κτίσμα κα-
λὸν ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν οἷς ἂν
12 αὐτὸς θελήσῃ ὕπνου μέρος ἀπέστειλε πρὸς τὸν βασιλέα. [12] καὶ ἡδίστῳ καὶ
βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ δεσπότου, τῆς ἀθέσμου μὲν προθέσεως
πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευσμένος.
13 [13] οἱ δὲ Ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες τὸν ἅγιον ᾔνουν
θεὸν αὐτῶν, καὶ πάλιν ἠξίουν τὸν εὐκατάλλακτον δεῖξαι τῆς μεγαλοσθενοῦς
14 αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις. [14] μεσούσης δὲ ἤδη τῆς δεκάτης
ὥρας σχεδὸν ὁ πρὸς ταῖς κλήσεσι τεταγμένος, ἀθρόους τοὺς κλητοὺς ἰδών,
15 ἔνυξε προςελθὼν τὸν βασιλέα. [15] καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμ-
16 ποσίας καιρὸν ἤδη παρατρέχοντα, τὸν περὶ τούτων λόγον ποιούμενος. [16] ὃν ὁ
βασιλεὺς λογισάμενος, καὶ τραπεὶς εἰς τὸν πότον ἐκέλευσε τοὺς παραγεγονό-
17 τας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνακλιθῆναι αὐτοῦ. [17] οὗ καὶ γενομένου,

---

17. προηνεγκαντο 18. ετι κατα την χωραν ... κατα τον τοπον ... δυ-
νατου 19. περι τουτ. πιστωθηναι V. 2. ερχομενην ... δαψελεσι ...
αφθονως χορηγεια 5. ταλαιπωρουντων ... λημψεσθαι 9. η λιτανια εκτε-
νως αναιβενεν εις τον ουρ. 10. χορηγειας 11. το δε απ αιωνος κτισμα
χρονου ... θελησει ... εις τον βασιλεα 12. κατησχεθη 13. οι τε ιουδαιοι
... ευκαταλακτον ... δειξαι μεγαλοσθ. εαυτου 14. om της 16. παραγεγον.
επι την συμποσιαν αντ. ανακλειναι

παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτοὺς τὸ παρὸν τῆς συμποσίας ἐπὶ πολὺ γε-
ραιρομένους εἰς εὐφροσύνην καταθέσθαι μέρος. [18] ἐπὶ πλεῖον δὲ προβαινούσης 18
τῆς ὁμιλίας, τὸν Ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεὺς μετὰ πικρᾶς ἀπειλῆς
ἐπυνθάνετο τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ Ἰουδαῖοι τὴν παροῦσαν ἡμέραν
περιβεβιωκότες; [19] τοῦ δὲ ὑποδείξαντος νυκτὸς τὸ προσταγὲν ἐπὶ τέλος ἀγηο- 19
χέναι, καὶ τῶν φίλων αὐτῷ προσμαρτυρησάντων, [20] τὴν ὠμότητα χείρονα 20
Φαλάριδος ἐσχηκὼς ἔφη τῷ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερ-
θέτως δὲ εἰς τὴν ἐπιτέλλουσαν ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέ-
φαντας ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀφανισμόν. [21] εἰπόντος δὲ τοῦ βα- 21
σιλέως, ἀσμένως πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες εἰς
τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσε. [22] καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο 22
τὸν χρόνον τῆς νυκτὸς ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις
δοκοῦσιν ἐμπαιγμούς. [23] ἄρτι δὲ ἀλεκτρυὼν ἐκεκράγει ὄρθριος, καὶ τὰ θη- 23
ρία καθωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. [24] τὰ δὲ κατὰ 24
τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν, προσδοκῶντα
τὴν πρωίαν μετὰ σπουδῆς. [25] οἱ δὲ Ἰουδαῖοι κατὰ τὸν ἀμερῆ ψυχουλκού- 25
μενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν μέλεσι γοεροῖς τείνοντες τὰς χεῖρας
εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ μεγίστου θεοῦ πάλιν αὐτοῖς βοηθῆσαι συντόμως.
[26] οὔπω δὲ ἡλίου βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως τοὺς φίλους ἐκδε- 26
χομένου, ὁ Ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρό-
θυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖσθαι. [27] τοῦ δὲ ἀποδεξαμένου καὶ κατα- 27
πλαγέντος ἐπὶ τῇ παρανόμῳ ἐξόδῳ, κατὰ πᾶν ἀγνωσίᾳ κεκρατημένος ἐπυν-
θάνετο τί τὸ πρᾶγμα ἐφ' οὗ τοῦτο αὐτῷ μετὰ σπουδῆς τετέλεσται; [28] τοῦτο 28
δὲ ἦν ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύοντος θεοῦ, τῶν πρὶν αὐτῷ μεμηχανη-
μένων λήθην κατὰ διάνοιαν ἐντεθεικότος. [29] ὁ δὲ Ἕρμων ὑπεδείκνυε καὶ 29
πάντες οἱ φίλοι, τὰ θηρία καὶ τὰς δυνάμεις ἡτοιμάσθαι βασιλεῦ κατὰ τὴν
σὴν ἐκτενῆ πρόθεσιν. [30] ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαρεῖ χόλῳ, διὰ 30
τὸ περὶ τούτων προνοίᾳ θεοῦ διεσκεδάσθαι πᾶν αὐτοῦ τὸ νόημα, ἐνατενίσας
μετὰ ἀπειλῆς εἶπεν [31] Εἴ σοι γονεῖς παρῆσαν ἢ παίδων γοναί, τήνδε θηρσὶν 31
ἀγρίοις ἐσκεύασαν ἂν δαψιλῆ θοῖναν ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προ-
γόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων.
[32] καίπερ εἰ μὴ διὰ τὴν τῆς συντροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν 32
ἀντὶ τούτων ἐστερήθης. [33] οὕτως ὁ Ἕρμων ἀπροσδόκητον καὶ ἐπικίνδυνον 33
ὑπήνεγκεν ἀπειλήν, καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη. [34] ὁ καθεὶς 34
δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροισμένους ἀπέλυσαν ἕκαστον
ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. [35] οἵ τε Ἰουδαῖοι τὰ παρὰ τοῦ βασιλέως ἀκούσαν- 35
τες τὸν ἐπιφανῆ θεὸν καὶ βασιλέα τῶν βασιλέων ᾔνουν, καὶ τῆσδε τῆς βοη-
θείας αὐτοῦ τετευχότες. [36] κατὰ δὲ τούτους τοὺς νόμους ὁ βασιλεὺς συστη- 36
σάμενος πάλιν τὸ συμπόσιον εἰς εὐφροσύνην τραπῆναι παρεκάλει. [37] τὸν δὲ 37
Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπε Ποσάκις σοι δεῖ περὶ τούτων
αὐτῶν προστάττειν, ἀθλιώτατε; [38] τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς 38

---

18. δε προσκοπτουσης της ο. τ. ε. προσκαλεσαμενος ... πικριας ... ιασθησαν οι ιουδ. την περιουσαν 19. οτι νυκτος ... ηγιοχεναι ... φιλ. αυτων προσμαρτ. 20. φαιλαριδος ... το της σημερον ... ειχεν ... υποστελλουσαν 21. συνεσαντες 23. αρεκτρυων εκεκραγεν 25. πολυδακρυν ικετιαν 26. ουπου δε ... κατεπειροντο ... επικαλει ... υποδιγνυς 27. επι τη ανομω ... κατα παντα ... επυνθαν. οτι το διασαφουμενον ετι αυτω 28. om ἡ 29. υπεδικνυεν ο ερμων ... ητοιμασται 30. διεσκεδασεν παν αυτου νοημα 31. οσοι γονεις ... γονοι ... om αν ... αποδεδιγμενων 32. συστροφιας στοργης 33. om και primum 34. ασχολειαν 35. θεον κυριον βασιλεα των βασιλευοντων 36. δε τους αυτους νομους ... συστησ. παν το συμπ. 37. ποσακις δε δι σοι περι τ. α. σοι πρ.

Digitized by Google

39 τὴν αὔριον ἐπὶ τὸν τῶν Ἰουδαίων ἀφανισμόν. [39] οἱ δὲ συνανακείμενοι συγ-
40 γενεῖς, τὴν ἄστατον διάνοιαν αὐτοῦ θαυμάζοντες, προεφέροντο τάδε [40] Βασι-
λεῦ, μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη τρίτον αὐ-
τοὺς ἀφανίσαι καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ
41 σοὶ δεδογμένα; [41] ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ, καὶ πληθύ-
42 ουσα συστροφαῖς ἤδη καὶ κινδυνεύει πολλάκις διαρπασθῆναι. [42] ὅθεν ὁ κατὰ
πάντα Φάλαρις βασιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας, καὶ τὰς γινομένας πρὸς
ἐπισκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐδὲν ἡγού-
μενος, ἀτελέστατον ἐβεβαίωσεν ὅρκον, ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως
43 πέμψειν εἰς ᾅδην ἐν γόνασι καὶ ποσὶ θηρίων ᾐκισμένους, [43] ἐπιστρατεύσαντα
δὲ ἐπὶ τὴν Ἰουδαίαν ἰσόπεδον πυρὶ καὶ δόρατι θήσεσθαι διὰ τάχους, καὶ
τὸν ἄβατον αὐτῶν ἡμῖν ναὸν πυρὶ πρηνέα ἐν τάχει, καὶ τῶν συντελούντων
44 ἐκεῖ θυσίας ἔρημον τὸν ἅπαντα χρόνον καταστήσειν. [44] τότε περιχαρεῖς ἀνα-
λύσαντες οἱ φίλοι καὶ συγγενεῖς μετὰ πίστεως διέτασσον τὰς δυνάμεις ἐπὶ
45 τοὺς εὐκαιροτάτους τόπους τῆς πόλεως πρὸς τήρησιν. [45] ὁ δὲ ἐλεφαντάρχης
τὰ θηρία σχεδὸν εἰπεῖν εἰς κατάστημα μανιῶδες ἀγηοχώς, εὐωδεστάτοις
46 πόμασιν οἴνου λελιβανωμένου φοβεραῖς κατεσκευασμένα σκευαῖς, [46] περὶ τὴν
ἕω, τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπποδρόμου καταμε-
μεστωμένης, εἰσελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ προκείμενον ὤτρυνε τὸν βασι-
47 λέα. [47] ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας δυσσεβῆ φρένα παντὶ τῷ βάρει σὺν τοῖς
θηρίοις ἐξώρμησε, βουλόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεάσα-
σθαι τὴν ἐπίπονον καὶ ταλαίπωρον τῶν προσεσημαμμένων καταστροφήν.
48 [48] ὡς δὲ τῶν ἐλεφάντων ἐξιόντων περὶ πύλην καὶ τῆς συνεπομένης ἐνόπλου
δυνάμεως τῆς τε τοῦ πλήθους πορείας κονιορτὸν ἰδόντες καὶ βαρυηχῆ θόρυ-
49 βον ἀκούσαντες οἱ Ἰουδαῖοι, [49] ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην δόξαντες
εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας, εἰς οἶκτον καὶ γόους τραπέντες
κατεφίλουν ἀλλήλους, περιπλεκόμενοι τοῖς συγγενέσιν ἐπὶ τοὺς τραχήλους ἐπι-
πίπτοντες, γονεῖς παισὶ καὶ μητέρες νεάνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς
50 ἔχουσαι βρέφη τελευταῖον ἕλκοντα γάλα. [50] οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμπρο-
σθεν αὐτῶν γεγενημένας ἀντιλήψεις ἐξ οὐρανοῦ συνιδόντες, πρηνεῖς ὁμοθυ-
51 μαδὸν ῥίψαντες ἑαυτοὺς καὶ τὰ νήπια χωρίσαντες τῶν μαστῶν, [51] ἀνεβόησαν
φωνῇ μεγάλῃ σφόδρα τὸν τῆς ἁπάσης δυνάμεως δυνάστην ἱκετεύοντες, οἰ-
κτεῖραι μετὰ ἐπιφανείας αὐτοὺς ἤδη πρὸς πύλαις ᾅδου καθεστῶτας.

## VI.

Ἐλεάζαρος δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέων, ἐν πρε-
σβείῳ τὴν ἡλικίαν ἤδη λελογχὼς καὶ πάσῃ τῇ κατὰ τὸν βίον ἀρετῇ κε-
κοσμημένος, τοὺς περὶ αὐτὸν καταστείλας πρεσβυτέρους ἐπικαλεῖσθαι τὸν
2 ἅγιον θεὸν προσηύξατο τάδε [2] Βασιλεῦ μεγαλοκράτωρ, ὕψιστε, παντοκράτωρ
3 θεέ, τὴν πᾶσαν διακυβερνῶν ἐν οἰκτιρμοῖς κτίσιν, [3] ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα,
ἐπὶ ἡγιασμένου τέκνα Ἰακώβ, μερίδος ἡγιασμένης σου λαὸν ἐν ξένῃ γῇ ξέ-
4 νον ἀδίκως ἀπολλύμενον, πάτερ. [4] σὺ Φαραὼ πληθύνοντα ἅρμασι, τὸ πρὶν

39. ασταθη 40. om αλογους ... αναλυων τας οικιας δεδογμ. 42. φαλαρεις ... αλογιστειας ... γεινομενας ... ατελεστ. βεβαιως ορκον 43. δορατι στησεσθαι ... ημιν αυτων ... πρην εν ταχει των ... θυσιαν εις τον απαντα 44. προς την τηρησιν 45. σχεδ. ως ειπεν εις καταστεμα ... αγιοχως ... οινω λελιβανωμενω φοβερως κεκοσμημενα κατασκευαις 46. καταμεμεστωμενοις 47. φρεναν 48. επι πυλην ... επομενης ... πορειας 49. αθλειοτατης ... εχοντες βρεφη ... ελκονται· [50] αλλ ου 50. αντιλημψεις ... πρινεις 51. om δυναμεως VI. 1. ιουδαιων pro ιερεων ... και προσηυξατο 2. υψιστα 3. επ ηγιασμενου ... om πατερ 4. υπο pro συ ... τον πριν

Digitized by Google

Αἰγύπτου ταύτης δυνάστην, ἐπαρθέντα ἀνόμῳ θράσει καὶ γλώσσῃ μεγαλοῤ-
ῥήμονι, σὺν τῇ ὑπερηφάνῳ στρατιᾷ ποντοβρόχους ἀπώλεσας, φέγγος ἐπιφά-
νας ἐλέους Ἰσραὴλ γένει. 5 σὺ τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα Σεν- 5
ναχηρεὶμ βαρὺν Ἀσσυρίων βασιλέα, δόρατι τὴν πᾶσαν ὑποχείριον ἤδη λαβόντα
γῆν καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου πόλιν, βαρέα λαλοῦντα κόμπῳ
καὶ θράσει δέσποτα ἔθραυσας, ἔκδηλον δεικνὺς ἔθνεσι πολλοῖς τὸ σὸν κράτος.
6 σὺ τοὺς κατὰ τὴν Βαβυλωνίαν τρεῖς ἑταίρους, πυρὶ τὴν ψυχὴν αὐθαιρέτως 6
δεδωκότας εἰς τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς, διάπυρον δροσίσας κάμινον ἐῤ-
ῥύσω μέχρι τριχὸς ἀπημάντους, φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις.
7 σὺ τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥιφέντα θηρσὶ βορὰν Δανιὴλ εἰς 7
φῶς ἀνήγαγες ἀσινῆ. 8 τόν τε βυθοτρεφοῦς ἐν γαστρὶ κήτους Ἰωνᾶν τηκό- 8
μενον ἀφειδῶς ἀπήμαντον πᾶσιν οἰκείοις ἀνέδειξας, πάτερ. 9 καὶ νῦν, μισύβρι, 9
πολυέλεε, τῶν ὅλων σκεπαστά, τὸ τάχος ἐπιφάνηθι τοῖς ἀπὸ Ἰσραὴλ γένους,
ὑπὸ δὲ ἐβδελυγμένων ἀνόμων ἐθνῶν ὑβριζομένοις. 10 εἰ δὲ ἀσεβείαις κατὰ 10
τὴν ἀποικίαν ὁ βίος ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς ἀπὸ ἐχθρῶν χειρός,
ὡς προαιρῇ δέσποτα ἀπόλεσον ἡμᾶς μόρῳ. 11 μὴ τοῖς ματαίοις οἱ ματαιό- 11
φρονες εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σου ἀπωλείᾳ λέγοντες Οὐδὲ
ὁ θεὸς αὐτῶν ἐῤῥύσατο αὐτούς. 12 σὺ δὲ ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν ἔχων 12
ἅπασαν, αἰώνιε, νῦν ἔπιδε· ἐλέησον ἡμᾶς τοὺς καθ᾽ ὕβριν ἀνόμων ἀλόγιστον
ἐκ τοῦ ζῆν μεθιστανομένους ἐν ἐπιβούλων τρόπῳ. 13 πτηξάτω δὲ ἔθνη σὴν 13
δύναμιν ἀνίκητον σήμερον, ἔντιμε, δύναμιν ἔχων ἐπὶ σωτηρίᾳ Ἰακὼβ γέ-
νους. 14 ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων καὶ οἱ τούτων γονεῖς μετὰ 14
δακρύων. 15 δειχθήτω πᾶσιν ἔθνεσιν ὅτι μεθ᾽ ἡμῶν εἶ, κύριε, καὶ οὐκ ἀπέ- 15
στρεψας τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν, ἀλλὰ καθὼς εἶπας ὅτι οὐδ᾽ ἐν τῇ γῇ
τῶν ἐχθρῶν αὐτῶν ὄντων ὑπερεῖδες αὐτούς, οὕτως ἐπιτέλεσον, κύριε. 16 τοῦ 16
δὲ Ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασιλεὺς σὺν τοῖς θηρίοις
καὶ παντὶ τῷ τῆς δυνάμεως φρυάγματι κατὰ τὸν ἱππόδρομον παρῆγε. 17 καὶ 17
θεωρήσαντες οἱ Ἰουδαῖοι μέγα εἰς οὐρανὸν ἀνέκραξαν, ὥστε καὶ τοὺς παρα-
κειμένους αὐλῶνας συνηχήσαντας ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ τῷ
στρατοπέδῳ. 18 τότε ὁ μεγαλόδοξος παντοκράτωρ καὶ ἀληθινὸς θεός, ἐπιφά- 18
νας τὸ ἅγιον αὐτοῦ πρόσωπον, ἠνέῳξε τὰς οὐρανίους πύλας, ἐξ ὧν δεδοξα-
σμένοι δύο φοβεροειδεῖς ἄγγελοι κατέβησαν φανεροὶ πᾶσι πλὴν τοῖς Ἰουδαίοις,
19 καὶ ἀντέστησαν καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς καὶ 19
δειλίας, καὶ ἀκινήτοις ἔδησαν πέδαις. 20 καὶ ὑπόφρικον καὶ τὸ τοῦ βασιλέως 20
σῶμα ἐγενήθη, καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον ἔλαβε. 21 καὶ ἀπέ- 21
στρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνόπλους δυνάμεις, καὶ κατεπάτουν
αὐτὰς καὶ ὠλόθρευον. 22 καὶ μετεστράφη τοῦ βασιλέως ἡ ὀργὴ εἰς οἶκτον 22
καὶ δάκρυα ὑπὲρ τῶν ἔμπροσθεν αὐτῷ μεμηχανημένων. 23 ἀκούσας γὰρ τῆς 23
κραυγῆς καὶ συνιδὼν πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετὰ
ὀργῆς τοῖς φίλοις διηπειλεῖτο λέγων 24 Παραβασιλεύετε καὶ τυράννους ὑπερ- 24
βεβήκατε ὠμότητι, καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς
ἤδη καὶ τοῦ πνεύματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμφέροντα
τῇ βασιλείᾳ. 25 τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀχυρώ- 25

---

4. μεγαλορημονει 5. συ δεσποτα 6. τοις καινοις ... ερρυσσω (sic) 7. βορα 8. τηχομενον αφιδων ... αναδειξας 9. μεισοῦβρει ... διχαστα· ταχος ... τοις αγιοις ισραηλ γενους υπο εβδελ. 10. ω προαιρη 11. ερυσατο 12. μεθισταμενους 13. σημερον εν τινι με δυναμει εχ. επι σωτηριαν 15. ειπας ουδε εν ... υπεριδον 17. συνηχθησαντας αχ. πτοην ποιησαι 18. και παντοχρατωρ 21. κατεπατουν αυτους κ. ωλεθρευον 22. μεμηχανευμενων 23. μετ οργης 24. υπερβεβηκοτες 25. της του κρατησαντος

Digitized by Google

26 ματα τῆς οἰκίας ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε; [26] τίς τοὺς
ἐξ ἀρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέροντας πάντων ἐθνῶν καὶ τοὺς
χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδεγμένους κινδύνους οὕτως ἀθέσμοις
27 περιέβαλεν αἰκίαις; [27] λύσατε, ἐκλύσατε ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ' εἰ-
28 ρήνης ἐξαποστείλατε, τὰ προπεπραγμένα παραιτησάμενοι. [28] ἀπολύσατε τοὺς
υἱοὺς τοῦ παντοκράτορος ἐπουρανίου θεοῦ ζῶντος, ὃς ἀφ' ἡμετέρων μέχρι
τοῦ νῦν προγόνων ἀπαραπόδιστον μετὰ δόξης εὐστάθειαν παρέχει τοῖς ἡμε-
29 τέροις πράγμασιν. [29] ὁ μὲν οὖν ταῦτα ἔλεξεν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυ-
θέντες τὸν ἅγιον σωτῆρα θεὸν αὐτῶν εὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφευ-
30 γότες. [30] εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν ἀπαλλαγεὶς τὸν ἐπὶ τῶν προσόδων
προσκαλεσάμενος ἐκέλευσεν οἴνους τε καὶ τὰ λοιπὰ πρὸς εὐωχίαν ἐπιτήδεια
τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέρας ἑπτά, κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν
τὸν ὄλεθρον ἀναλαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτήρια ἄγειν.
31 [31] τότε οἱ πρὶν ἐπονείδιστοι καὶ πλησίον τοῦ ᾅδου, μᾶλλον δ' ἐπ' αὐτῷ
βεβηκότες, ἀντὶ πικροῦ καὶ δυςαιάκτου μόρου κώθωνα σωτήριον συστησά-
μενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατε-
32 μέρισαν πλήρεις χαρμονῆς. [32] καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος
ἀνέλαβον ᾠδὴν πάτριον, τὸν σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες θεόν· οἰμω-
γήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι χοροὺς συνίσταντο εὐφροσύνης εἰρη-
33 νικῆς σημεῖον. [33] ὡςαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμπόσιον βαρὺ
συναγαγὼν ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλομερῶς ἐπὶ τῇ πα-
34 ραδόξῳ γενηθείσῃ αὐτῷ σωτηρίᾳ. [34] οἵ τε πρὶν εἰς ὄλεθρον καὶ οἰωνοβρώτους
αὐτοὺς ἔσεσθαι τιθέμενοι, μετὰ χαρᾶς ἀπογραψάμενοι κατεστέναξαν, αἰσχύ-
νην ἐφ' ἑαυτοῖς περιβαλλόμενοι καὶ τὴν πυρίπνουν τόλμαν ἀκλεῶς ἐσβεσμέ-
35 νοι. [35] οἵ τε Ἰουδαῖοι, καθὼς προειρήκαμεν, συστησάμενοι τὸν προειρημένον
36 χορὸν μετ' εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον. [36] καὶ
κοινὸν ὁρισάμενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς
γενεάς, τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χά-
37 ριν καὶ λιχνείας, σωτηρίας δὲ τῆς διὰ θεὸν γενομένης αὐτοῖς. [37] ἐνέτυχον
38 δὲ τῷ βασιλεῖ τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι. [38] ἀπογράφονται
δὲ αὐτοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ Παχὼν ἕως τῆς τετάρτης τοῦ
Ἐπιφί, ἐπὶ ἡμέρας τεσσαράκοντα, συνίστανται δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ
39 πέμπτης τοῦ Ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις τρισίν, [39] ἐν αἷς καὶ μεγαλοδόξως
ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν ὅλων δυνάστης ἀπταίστους αὐτοὺς ἐῤῥύσατο
40 ὁμοθυμαδόν. [40] εὐωχοῦντο δὲ πάνθ' ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι
τῆς τεσσαρεςκαιδεκάτης, ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς ἀπο-
41 λύσεως αὐτῶν. [41] συναινέσας τε αὐτοὺς ὁ βασιλεὺς ἔγραψεν αὐτοῖς τὴν ὑπο-
γεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς μεγαλοψύχως τὴν
ἐκτενίαν ἔχουσαν

## VII.

Βασιλεὺς Πτολεμαῖος ὁ Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον στρατηγοῖς καὶ
2 πᾶσι τοῖς τεταγμένοις ἐπὶ πραγμάτων χαίρειν καὶ ἐῤῥῶσθαι. [2] ἐῤῥώμεθα δὲ

---

26. κατα παντας ... επιδεδιγμενους ... αθεσμως 27. τα προςτεταγμενα 28. ευσταθειαν μετα δοξης προφερει 29. εξελεξεν ... ηυλογουν ... εκπεφυγοτες 30. om απαλλαγεις ... αγαγειν 31. οι το πριν ... δε επ ... δυςαταχτου ... κλισιας κατεμερισαντο 32. θρηνων ... πατρειον τον ισραηλ· ορα· και τερατοποιον ... οιμωγην δε 33. συναγων ... αυτων σωτηρεια 34. οινοβρωτους ... και μετα χαρας ... περιβαλομενοι και πυροπνουν τολμ. ακμαιως 35. προειρ. χρονον 38. επιφει (postea επιφι) 39. ο των παντων 41. συνενεσας δε αυτοις VII. 1. om ο

Digitized by Google

καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κατευθύναντος ἡμῖν τοῦ μεγάλου θεοῦ τὰ
πράγματα καθὼς προαιρούμεθα. [3] τῶν φίλων τινὲς κακοηθείᾳ πυκνότερον 3
ἡμῖν παρακείμενοι συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰουδαίους
συναθροίσαντας σύστημα κολάσασθαι ξενιζούσαις ἀποστατῶν τιμωρίαις, [4] προς- 4
φερόμενοι μή ποτε εὐσταθήσειν τὰ πράγματα ἡμῶν δι' ἣν ἔχουσιν οὗτοι
πρὸς πάντα τὰ ἔθνη δυσμένειαν, μέχρις ἂν συντελεσθῇ τοῦτο. [5] οἳ καὶ δεσμίους 5
καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον δὲ ὡς ἐπιβού-
λους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν, νόμου
Σκυθῶν ἀγριοτέραν ἐμπεπορπημένοι ὠμότητα. [6] ἡμεῖς δὲ ἐπὶ τούτοις σκλη- 6
ρότερον διαπειλησάμενοι, καθ' ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν
μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι, καὶ τὸν ἐπουράνιον θεὸν ἐγνωκότες ἀσφα-
λῶς ὑπερησπικότα τῶν Ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διὰ παντὸς ὑπερ-
μαχοῦντα, [7] τήν τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προ- 7
γόνους ἡμῶν εὔνοιαν ἀναλογισάμενοι δικαίως ἀπολελύκαμεν πάσης καθ'
ὁντινοῦν αἰτίας τρόπον, [8] καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια 8
ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος, μήτε
ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον. [9] γινώσκετε γὰρ ὅτι κατὰ τού- 9
των ἐάν τι κακοτεχνήσωμεν πονηρὸν ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύνολον,
οὐκ ἄνθρωπον ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως θεὸν ὕψιστον ἀντικεί-
μενον ἡμῖν ἐπ' ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως διὰ παντὸς
ἕξομεν. ἔρρωσθε. [10] λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἐσπούδασαν εὐ- 10
θέως γενέσθαι περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ
γένους τῶν Ἰουδαίων τὸν ἅγιον θεὸν αὐθαιρέτως παραβεβηκότας καὶ τοῦ
θεοῦ τὸν νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως, [11] προφερόμε- 11
νοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα, μηδέποτε εὐ-
νοήσειν μηδὲ τοῖς τοῦ βασιλέως πράγμασιν. [12] ὁ δὲ τἀληθὲς αὐτοὺς λέγειν 12
παραδεξάμενος καὶ συναινέσας ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς
παραβεβηκότας τοῦ θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ πάντα τὸν ὑπὸ τὴν
βασιλείαν αὐτοῦ τόπον μετὰ παρρησίας ἄνευ πάσης βασιλικῆς ἐξουσίας ἢ
ἐπισκέψεως. [13] τότε κατευφημήσαντες αὐτόν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς 13
καὶ πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ ἀλληλούια μετὰ χαρᾶς ἀνέλυσαν. [14] τότε 14
τὸν ἐμπεσόντα τῶν μεμιασμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἐκολάζοντο καὶ
μετὰ παραδειγματισμῶν ἀνῄρουν. [15] ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς 15
τριακοσίους ἄνδρας, καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους χει-
ρωσάμενοι. [16] αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν θεὸν ἐσχηκότες, παντελῆ σω- 16
τηρίας ἀπόλαυσιν εἰληφότες, ἀνέζευξαν ἐκ τῆς πόλεως παντοίοις εὐωδεστά-
τοις ἄνθεσι κατεστεμμένοι μετ' εὐφροσύνης καὶ βοῆς, ἐν αἴνοις καὶ παμμέ-
λεσιν ὕμνοις εὐχαριστοῦντες τῷ θεῷ τῶν πατέρων αὐτῶν αἰωνίῳ σωτῆρι τοῦ
Ἰσραήλ. [17] παραγενηθέντες δὲ εἰς Πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν 17
τοῦ τόπου ἰδιότητα ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτοὺς ὁ στόλος κατὰ κοι-
νὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτά, [18] ἐκεῖ ἐποίησαν πότον σωτήριον, τοῦ βα- 18

---

2. κατευθυνοντος ... τα προσταγματα 3. κατα κακοηθειαν ... τα συστηματα κολαζεσθαι ξεν. αποσταντων 4. προφερομενοι μηδεποτε ... om παντα ... μεχρι αν 5. ενπεπηρμενοι 6. χαριζομενοι ... συμμαχουντα 7. δι ην εχουσιν βεβ. πρ. ημας 8. εν παντι τροπω μηθεν ... μητε ονιδιζοντος 9. επ εκδικησιν 10. om γενεσθαι ... τον βασιλεως ... παραβεβ. του ... τυχ. δια την της 11. τοις τ. βασιλ. προσταγμασιν 12. παραινεσας ... εξολεθρευσωσιν ... υπο της βασιλειας ... εξουσ. και επισκ. 13. τον το αλληλ. 14. ουτοι τε τον εμπ. τ. μεμιαμμενων ... οδον απεκτεννον ... παραδιγματ. 15. ανδρας ην και ... om τους 16. σωτ. απολυσιν εσχηκοτες ανεζευξεν ... ''om εν ... πατ. αυτων αγιων σοι του ισρ. 17. ροδοφωνον (?) 18. ποτον σωτηριου

Digitized by Google

σιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ ἕως
19 εἰς τὴν ἰδίαν οἰκίαν. [19] καταχθέντες δὲ μετ' εἰρήνης ἐν ταῖς πρεπούσαις
ἐξομολογήσεσιν ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ
20 τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους. [20] ἃς καὶ ἀνιερώσαντες ἐν
στήλῃ κατὰ τὸν τῆς συμποσίας τόπον, προσευχῆς καθιδρύσαντες ἀνέλυσαν
ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς, διά τε γῆς καὶ θαλάσσης καὶ ποταμοῦ ἀνα-
21 σωζόμενοι τῇ τοῦ βασιλέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν, [21] καὶ πλείστην
ἢ ἔμπροσθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης καὶ φόβου, τὸ
22 σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων. [22] καὶ πάντα τὰ ἑαυτῶν
πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς, ὥστε τοὺς ἔχοντάς τι μετὰ φόβου μεγί-
στου ἀποδοῦναι αὐτοῖς, τὰ μεγαλεῖα τοῦ μεγίστου θεοῦ ποιήσαντος τελείως
23 ἐπὶ σωτηρίᾳ αὐτῶν. [23] εὐλογητὸς ὁ ῥύστης Ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους.
Ἀμήν.

---

18. εως επι την 20. καθυδρυσαντες ... εκαστον εις την [21] εμπροσθεν εν τοις 22. φορου pro φοβου ... μεγαλεια του μεγαλου θεου ... τελεως

Subscriptio: μακκαβαιων γ.

# Δ Α Ν Ι Η Λ

## ΚΑΤΑ ΤΟΥΣ Ο̅.

### I.

Ἐπὶ βασιλέως Ἰωακεὶμ τῆς Ἰουδαίας ἔτους τρίτου παραγενόμενος
Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ ἐπολιόρκει αὐτήν.
2 καὶ παρέδωκεν αὐτὴν κύριος εἰς χεῖρας αὐτοῦ καὶ Ἰωακεὶμ τὸν βασιλέα 2
τῆς Ἰουδαίας καὶ μέρος τι τῶν ἱερῶν σκευῶν τοῦ κυρίου, καὶ ἀπήνεγκεν
αὐτὰ εἰς Βαβυλῶνα εἰς γῆν Σεναὰρ εἰς οἶκον τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη,
καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδωλείῳ αὐτοῦ. 3 καὶ εἶπεν ὁ βασιλεὺς Ἀβιεσδρὶ 3
τῷ ἑαυτοῦ ἀρχιευνούχῳ ἀγαγεῖν αὐτῷ ἐκ τῶν υἱῶν τῶν μεγιστάνων τοῦ
Ἰσραὴλ καὶ ἐκ τοῦ βασιλικοῦ γένους καὶ ἐκ τῶν ἐπιλέκτων 4 νεανίσκους 4
ἀμώμους καὶ εὐειδεῖς καὶ ἐπιστήμονας ἐν πάσῃ σοφίᾳ καὶ γραμματικοὺς
καὶ συνετοὺς καὶ σοφοὺς καὶ ἰσχύοντας, ὥστε εἶναι ἐν τῷ οἴκῳ τοῦ βασιλέως,
καὶ διδάξαι αὐτοὺς γράμματα καὶ διάλεκτον Χαλδαϊκήν, 5 καὶ δίδοσθαι 5
αὐτοῖς ἔκθεσιν ἐκ τοῦ οἴκου βασιλέως καθ' ἑκάστην ἡμέραν καὶ ἀπὸ τῆς
βασιλικῆς τραπέζης καὶ ἀπὸ τοῦ οἴνου οὗ πίνει ὁ βασιλεύς, καὶ ἐκπαιδεῦσαι
αὐτοὺς ἔτη τρία, καὶ ἐκ τούτων στῆσαι ἔμπροσθεν τοῦ βασιλέως. 6 καὶ ἦσαν 6
ἐκ τοῦ γένους τῶν υἱῶν Ἰσραὴλ τῶν ἀπὸ τῆς Ἰουδαίας Δανιήλ, Ἀνανίας,
Μισαήλ, Ἀζαρίας. 7 καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ μὲν 7
Δανιὴλ Βαλτάσαρ, τῷ δὲ Ἀνανίᾳ Σεδράχ, καὶ τῷ Μισαὴλ Μισάχ, καὶ τῷ
Ἀζαρίᾳ Ἀβδεναγώ. 8 καὶ ἐνεθυμήθη Δανιὴλ ἐν τῇ καρδίᾳ ὅπως μὴ ἀλισγηθῇ 8
ἐν τῷ δείπνῳ τοῦ βασιλέως καὶ ἐν ᾧ πίνει οἴνῳ, καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον
ἵνα μὴ συμμολυνθῇ. 9 καὶ ἔδωκε κύριος τῷ Δανιὴλ τιμὴν καὶ χάριν ἐναντίον 9
τοῦ ἀρχιευνούχου. 10 καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιήλ Ἀγωνιῶ τὸν κύ- 10
ριόν μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν,
ἵνα μὴ ἴδῃ τὰ πρόσωπα ὑμῶν διατετραμμένα καὶ ἀσθενῆ παρὰ τοὺς συν-
τρεφομένους ὑμῖν νεανίας τῶν ἀλλογενῶν, καὶ κινδυνεύσω τῷ ἰδίῳ τραχήλῳ.
11 καὶ εἶπεν Δανιὴλ Ἀβιεσδρὶ τῷ ἀναδειχθέντι ἀρχιευνούχῳ ἐπὶ τὸν Δανιὴλ 11
Ἀνανίαν Μισαὴλ Ἀζαρίαν, 12 Πείρασον δὴ τοὺς παῖδάς σου ἐφ' ἡμέρας δέκα, 12
καὶ δοθήτω ἡμῖν ἀπὸ τῶν ὀσπρίων τῆς γῆς ὥστε κάπτειν καὶ ὑδροποτεῖν.
13 καὶ ἐὰν φανῇ ἡ ὄψις ἡμῶν διατετραμμένη παρὰ τοὺς ἄλλους νεανίσκους 13
τοὺς ἐσθίοντας ἀπὸ τοῦ βασιλικοῦ δείπνου, καθὼς ἐὰν θέλῃς οὕτω χρῆσαι
τοῖς παισί σου. 14 καὶ ἐχρήσατο αὐτοῖς τὸν τρόπον τοῦτον καὶ ἐπείρασεν 14
αὐτοὺς ἡμέρας δέκα. 15 μετὰ [δὲ] τὰς δέκα ἡμέρας ἐφάνη ἡ ὄψις αὐτῶν 15
καλὴ καὶ ἡ ἕξις τοῦ σώματος κρείσσων τῶν ἄλλων νεανίσκων τῶν ἐσθιόντων
τὸ βασιλικὸν δεῖπνον. 16 καὶ ἦν Ἀβιεσδρὶ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ 16

---

I. 2. Syr. om. εἰς γ. Σεναάρ ... codex et Syr. ※ (cod. om. signum) εἰς οἶκον τ. θ. αὐτοῦ ⁄. (Syr. om. signum) καὶ τὰ σκεύη ⁄. 4. codex ἐνειδεῖς teste Romano editore 5. cod. apud Holm. om. ἀπό prius 10. Syr. om. τῶν ἀλλογενῶν 13. cod. ap. Holm. θέλεις 15. δέ, quod in cod. deest, e Syro petitum est.

Digitized by Google

17 τὸν οἶνον αὐτῶν, καὶ ἀντεδίδου αὐτοῖς ἀπὸ τῶν ὀσπρίων. [17] καὶ τοῖς νεανί-
σκοις ἔδωκεν ὁ κύριος ἐπιστήμην καὶ σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμ-
ματικῇ τέχνῃ, καὶ τῷ Δανιὴλ ἔδωκε σύνεσιν ἐν παντὶ ῥήματι καὶ ὁράματι
18 καὶ ἐνυπνίοις καὶ ἐν πάσῃ σοφίᾳ. [18] μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπέταξεν
ὁ βασιλεὺς εἰςαγαγεῖν αὐτούς, καὶ εἰςήχθησαν ἀπὸ τοῦ ἀρχιευνούχου πρὸς
19 τὸν βασιλέα Ναβουχοδονόσορ. [19] καὶ ὡμίλησεν αὐτοῖς ὁ βασιλεύς, καὶ οὐχ
εὑρέθη ἐν τοῖς σοφοῖς ὅμοιος τῷ Δανιὴλ καὶ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ Ἀζαρίᾳ.
20 καὶ ἦσαν παρὰ τῷ βασιλεῖ, [20] καὶ ἐν παντὶ λόγῳ καὶ συνέσει καὶ παιδείᾳ,
ὅσα ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεύς, κατέλαβεν αὐτοὺς σοφωτέρους δεκα-
πλασίως ὑπὲρ τοὺς σοφιστὰς καὶ τοὺς φιλοσόφους τοὺς ἐν πάσῃ τῇ βασιλείᾳ
αὐτοῦ· καὶ ἐδόξασεν αὐτοὺς ὁ βασιλεὺς καὶ κατέστησεν αὐτοὺς ἄρχοντας,
καὶ ἀνέδειξεν αὐτοὺς σοφοὺς παρὰ πάντας τοὺς αὐτοῦ ἐν πράγμασιν ἐν πάσῃ
21 τῇ γῇ αὐτοῦ καὶ ἐν τῇ βασιλείᾳ αὐτοῦ. [21] καὶ ἦν Δανιὴλ ἕως τοῦ πρώτου
ἔτους τῆς βασιλείας Κύρου βασιλέως Περσῶν.

## II.

Καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονόσορ συνέβη εἰς
ὁράματα καὶ ἐνύπνια ἐμπεσεῖν τὸν βασιλέα καὶ ταραχθῆναι ἐν τῷ ἐνυπνίῳ
2 αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ' αὐτοῦ. [2] καὶ ἐπέταξεν ὁ βασιλεὺς
εἰςενεχθῆναι τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς τῶν
Χαλδαίων ἀναγγεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια αὐτοῦ· καὶ παραγενόμενοι
3 ἔστησαν παρὰ τῷ βασιλεῖ. [3] καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς Ἐνύπνιον ἑώρακα
4 καὶ ἐκινήθη μου τὸ πνεῦμα· ἐπιγνῶναι οὖν θέλω τὸ ἐνύπνιον. [4] καὶ ἐλάλησαν
οἱ Χαλδαῖοι πρὸς τὸν βασιλέα Συριστί Κύριε βασιλεῦ, [εἰς] τὸν αἰῶνα ζῆθι·
ἀνάγγειλον τὸ ἐνύπνιόν σου τοῖς παισί σου, καὶ ἡμεῖς σοι φράσομεν τὴν
5 σύγκρισιν αὐτοῦ. [5] ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπε τοῖς Χαλδαίοις Ὁ λόγος
ἀπ' ἐμοῦ ἀπέστη· διότι ἐὰν μὴ ἀπαγγείλητέ μοι ἐπ' ἀληθείας τὸ ἐνύπνιον
καὶ τὴν τούτου σύγκρισιν δηλώσητέ μοι, παραδειγματισθήσεσθε καὶ ἀναλη-
6 φθήσεται ὑμῶν τὰ ὑπάρχοντα εἰς τὸ βασιλικόν. [6] ἐὰν δὲ τὸ ἐνύπνιον δια-
σαφήσητέ μοι καὶ τὴν τούτου σύγκρισιν ἀναγγείλητε, λήψεσθε δόματα
παντοῖα καὶ δοξασθήσεσθε ὑπ' ἐμοῦ· δηλώσατέ μοι τὸ ἐνύπνιον καὶ κρίνατε.
7 [7] ἀπεκρίθησαν δὲ ἐκ δευτέρου λέγοντες Βασιλεῦ, τὸ ὅραμα εἰπὸν καὶ οἱ
8 παῖδές σου κρινοῦσι πρὸς ταῦτα. [8] καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς Ἐπ' ἀλη-
θείας οἶδα ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθάπερ ἑωράκατε ὅτι ἀπέστη
9 ἀπ' ἐμοῦ τὸ πρᾶγμα· καθάπερ οὖν προστέταχα, οὕτως ἔσται. [9] ἐὰν μὴ τὸ
ἐνύπνιον ἀπαγγείλητέ μοι ἐπ' ἀληθείας καὶ τὴν τούτου σύγκρισιν δηλώσητε,
θανάτῳ περιπεσεῖσθε· συνείπασθε γὰρ λόγους ψευδεῖς ποιήσασθαι ἐπ' ἐμοῦ,
ἕως ἂν ὁ καιρὸς ἀλλοιωθῇ. νῦν οὖν ἐὰν τὸ ῥῆμα εἴπητέ μοι, ὃ τὴν νύκτα
10 ἑώρακα, γνώσομαι ὅτι καὶ τὴν τούτου κρίσιν δηλώσετε. [10] καὶ ἀπεκρίθησαν
οἱ Χαλδαῖοι ἐπὶ τοῦ βασιλέως ὅτι οὐδεὶς τῶν ἐπὶ τῆς γῆς δυνήσεται εἰπεῖν
τῷ βασιλεῖ ὃ ἑώρακε, καθάπερ σὺ ἐρωτᾷς, καὶ πᾶς βασιλεὺς καὶ πᾶς δυνά-
στης τοιοῦτο πρᾶγμα οὐκ ἐπερωτᾷ πάντα σοφὸν καὶ μάγον καὶ Χαλδαῖον·
11 [11] καὶ ὁ λόγος ὃν ζητεῖς, βασιλεῦ, βαρύς ἐστι καὶ ἐπίδοξος, καὶ οὐδείς ἐστιν
ὃς δηλώσει ταῦτα τῷ βασιλεῖ, εἰ μή τις ἄγγελος, οὗ οὐκ ἔστι κατοικητήριον

---

17. cod. et Syr. καὶ (Syr. ÷ καὶ) ἐν π. σοφίᾳ /. 20. cod. et Syr. ÷ σοφωτέρους /. 20. cod. et Syr. ÷ καὶ ἐδόξασεν αὐτοὺς --- βασιλείᾳ αὐτοῦ /. II. 4. εἰς e Syro est, fortasse excidit in ed. Rom. 5. cod. et Syr. ⁜ ὁ λόγος --- ἀπέστη /. ... cod. ap. Holm. παραδειγματήσεσθε 6. Syr. δηλώσατέ μοι οὖν 8. cod. et Syr. ÷ καθάπερ οὖν (cod. rursus ÷) προστέτ. οὕτ. ἔσται /. 9. cod. et Syr. ÷ καὶ τὴν τούτ. σύγκρ. δηλώσητε /. et ÷ ὃ τὴν νύκτ. ἑώρακα /. 10. cod. ap. Holm. ἐπὶ τὸν βασιλέα 11. cod. et Syr. ÷ καὶ ἐπίδοξος /.

μετὰ πάσης σαρκός· ὅθεν οὐκ ἐνδέχεται γενέσθαι καθάπερ οἴει. [12]τότε 12
ὁ βασιλεὺς στυγνὸς γενόμενος καὶ περίλυπος προςέταξεν ἐξαγαγεῖν πάντας
τοὺς σοφοὺς τῆς Βαβυλωνίας, [13]καὶ ἐδογματίσθη πάντας ἀποκτεῖναι· ἐζητήθη 13
δὲ ὁ Δανιὴλ καὶ πάντες οἱ μετ' αὐτοῦ χάριν τοῦ συναπολέσθαι. [14]τότε 14
Δανιὴλ εἶπε βουλὴν καὶ γνώμην, ἣν εἶχεν, Ἀριώχῃ τῷ ἀρχιμαγείρῳ τοῦ
βασιλέως, ᾧ προςέταξεν ἐξαγαγεῖν τοὺς σοφιστὰς τῆς Βαβυλωνίας, [15]καὶ 15
ἐπυνθάνετο αὐτοῦ λέγων Ἄρχων τοῦ βασιλέως, περὶ τίνος δογματίζεται
πικρῶς παρὰ τοῦ βασιλέως; τότε τὸ πρόσταγμα ἐσήμανεν ὁ Ἀριώχης τῷ
Δανιήλ. [16]ὁ δὲ Δανιὴλ εἰςῆλθε ταχέως πρὸς τὸν βασιλέα, καὶ ἠξίωσεν ἵνα 16
δοθῇ αὐτῷ χρόνος παρὰ τοῦ βασιλέως, καὶ δηλώσῃ πάντα ἐπὶ τοῦ βασιλέως.
[17]τότε ἀπελθὼν Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ τῷ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ 17
Ἀζαρίᾳ τοῖς συνεταίροις ὑπέδειξε πάντα, [18]καὶ παρήγγειλε νηστείαν καὶ δέησιν 18
καὶ τιμωρίαν ζητῆσαι παρὰ τοῦ κυρίου τοῦ ὑψίστου περὶ τοῦ μυστηρίου
τούτου, ὅπως μὴ ἐκδοθῶσι Δανιὴλ καὶ οἱ μετ' αὐτοῦ εἰς ἀπώλειαν ἅμα
τοῖς σοφισταῖς Βαβυλῶνος. [19]τότε τῷ Δανιὴλ ἐν ὁράματι ἐν αὐτῇ τῇ νυκτὶ 19
τὸ μυστήριον τοῦ βασιλέως ἐξεφάνη εὐσήμως· τότε Δανιὴλ εὐλόγησεν τὸν
κύριον τὸν ὕψιστον, καὶ ἐκφωνήσας εἶπεν [20]Ἔστω τὸ ὄνομα τοῦ κυρίου τοῦ 20
μεγάλου εὐλογημένον εἰς τὸν αἰῶνα, ὅτι ἡ σοφία καὶ ἡ μεγαλωσύνη αὐτοῦ
ἐστί, [21]καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, μεθιστῶν βασιλεῖς καὶ 21
καθιστῶν, διδοὺς σοφοῖς σοφίαν καὶ σύνεσιν τοῖς ἐν ἐπιστήμῃ οὖσιν,
[22]ἀποκαλύπτων τὰ βαθέα καὶ σκοτεινά, καὶ γινώσκων τὰ ἐν τῷ σκότει καὶ 22
τὰ ἐν τῷ φωτί, καὶ παρ' αὐτῷ κατάλυσις. [23]σοί, κύριε τῶν πατέρων μου, 23
ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ φρόνησιν ἔδωκάς μοι καὶ νῦν ἐσή-
μανάς μοι ὅσα ἠξίωσα τοῦ δηλῶσαι τῷ βασιλεῖ πρὸς ταῦτα. [24]εἰσελθὼν 24
δὲ Δανιὴλ πρὸς τὸν Ἀριὼχ τὸν κατασταθέντα ὑπὸ τοῦ βασιλέως ἀποκτεῖναι
πάντας τοὺς σοφιστὰς τῆς Βαβυλωνίας εἶπεν αὐτῷ Τοὺς μὲν σοφιστὰς τῆς
Βαβυλωνίας μὴ ἀπολέσῃς, εἰςάγαγε δέ με πρὸς τὸν βασιλέα, καὶ ἕκαστα
τῷ βασιλεῖ δηλώσω. [25]τότε Ἀριὼχ κατὰ σπουδὴν εἰςήγαγε τὸν Δανιὴλ πρὸς 25
τὸν βασιλέα καὶ εἶπεν αὐτῷ ὅτι εὕρηκα ἄνθρωπον ⟦σοφὸν⟧ ἐκ τῆς αἰχμαλω-
σίας τῶν υἱῶν τῆς Ἰουδαίας, ὃς τῷ βασιλεῖ δηλώσει ἕκαστα. [26]ἀποκριθεὶς 26
δὲ ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ, ἐπικαλουμένῳ δὲ Χαλδαϊστὶ Βαλτάσαρ,
Δυνήσῃ δηλῶσαί μοι τὸ ὅραμα ὃ εἶδον καὶ τὴν τούτου σύγκρισιν; [27]ἐκφω- 27
νήσας δὲ ὁ Δανιὴλ ἐπὶ τοῦ βασιλέως εἶπε Τὸ μυστήριον ὃ ἑώρακεν ὁ βασι-
λεύς, οὐκ ἔστι σοφῶν καὶ φαρμακῶν καὶ ἐπαοιδῶν καὶ γαζαρηνῶν ἡ δήλωσις,
[28]ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ ἀνακαλύπτων μυστήρια, ὃς ἐδήλωσε τῷ βασιλεῖ 28
Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν· [29]καὶ ἀνακαλύ- 29
πτων μυστήρια ἐδήλωσέ σοι ἃ δεῖ γενέσθαι. [30]κἀμοὶ δὲ οὐ παρὰ τὴν σοφίαν 30
τὴν οὖσαν ἐν ἐμοὶ ὑπὲρ πάντας τοὺς ἀνθρώπους τὸ μυστήριον τοῦτο ἐξεφάνθη,
ἀλλ' ἕνεκεν τοῦ δηλωθῆναι τῷ βασιλεῖ ἐσημάνθη μοι· ἃ ὑπέλαβες τῇ καρδίᾳ
σου, ἐν γνώσει. [31]καὶ σὺ βασιλεῦ ἑώρακας, καὶ ἰδοὺ εἰκὼν μία, καὶ ἦν 31
ἡ εἰκὼν ἐκείνη μεγάλη σφόδρα, καὶ ἡ πρόςοψις αὐτῆς ὑπερφερὴς ἑστήκει
ἐναντίον σου, καὶ ἡ πρόςοψις τῆς εἰκόνος φοβερά. [32]καὶ ἦν ἡ κεφαλὴ αὐτῆς 32

---

11. ἐνδέχ. ap. Holm., ἂν δέχ. ed. Rom. 15. codex et Syr. ⋇ ἄρχων τοῦ βασιλέως /. 18. codex et Syr. ÷ καὶ τιμωρίαν ζητῆσαι /. 19. ἐξεφάνη ap. Holm., -φάνθη ed. Rom. 21. Syr. καὶ διδοὺς 25. σοφόν ap. Holm. deest. 28. 29. Syr. post ἐπ' ἐσχ. τ. ἡμερῶν haec addit: βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· τὸ ἐνύπνιον καὶ τὸ ὅραμα τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου τοῦτό ἐστι. σὺ βασιλεῦ κείμενος ἐπὶ τῆς κοίτης σου ἑώρακας πάντα ὅσα δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν. 30. Extrema vario modo sanare studuerunt, Segaarius ἵνα γνώσῃ, Michaelis ἵνα γνώσῃς, Hahnius ἐπιγνώσει pro ἐν γνώσει reponentes. Postremum prioribus omnino praestat. 32. ἡ: ed. Rom. praetermisit.

Digitized by Google

ἀπὸ χρυσίου χρηστοῦ, τὸ στῆθος καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ κοιλία καὶ
33 οἱ μηροὶ χαλκοῖ· 33 τὰ δὲ σκέλη σιδηρᾶ, οἱ πόδες μέρος μέν τι σιδήρου,
34 μέρος δέ τι ὀστράκου. 34 ἑώρακας ἕως ὅτου ἐτμήθη λίθος ἐξ ὄρους ἄνευ
χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους
35 καὶ κατήλεσεν αὐτά. 35 τότε λεπτὰ ἐγένετο ἅμα ὁ σίδηρος καὶ τὸ ὄστρακον
καὶ ὁ χαλκὸς καὶ ὁ ἄργυρος καὶ τὸ χρυσίον, καὶ ἐγένετο ὡσεὶ λεπτότερον
ἀχύρου ἐν ἅλωνι, καὶ ἐῤῥίπισεν αὐτὰ ὁ ἄνεμος ὥστε μηδὲν καταλειφθῆναι
ἐξ αὐτῶν, καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο ὄρος μέγα καὶ ἐπάταξε
36 πᾶσαν τὴν γῆν. 36 τοῦτο τὸ ὅραμα καὶ τὴν κρίσιν δὲ ἐροῦμεν ἐπὶ τοῦ βασι-
37 λέως. 37 Σὺ βασιλεῦ βασιλεὺς βασιλέων, καὶ σοὶ ὁ κύριος τοῦ οὐρανοῦ τὴν
ἀρχὴν καὶ τὴν βασιλείαν καὶ τὴν ἰσχὺν καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκεν
38 ἐν πάσῃ τῇ οἰκουμένῃ· 38 ἀπὸ ἀνθρώπων καὶ θηρίων ἀγρίων καὶ πετεινῶν
οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης παρέδωκεν ὑπὸ τὰς χεῖράς σου
39 κυριεύειν πάντων· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. 39 καὶ μετὰ σὲ ἀναστήσεται
βασιλεία ἐλάττων σου, καὶ τρίτη βασιλεία ἄλλη χαλκῆ ἣ κυριεύσει πάσης
40 τῆς γῆς, 40 καὶ βασιλεία τετάρτη ἰσχυρὰ ὡς ὁ σίδηρος, ὥσπερ ὁ σίδηρος
ὁ δαμάζων πάντα, καὶ ὡς ὁ σίδηρος πᾶν δένδρον ἐκκόπτων· καὶ σεισθή-
41 σεται πᾶσα ἡ γῆ. 41 καὶ ὡς ἑώρακας τοὺς πόδας αὐτῆς καὶ τοὺς δακτύλους
μέρος μέν τι ὀστράκου κεραμικοῦ, μέρος δέ τι σιδήρου, βασιλεία ἄλλη
διμερὴς ἔσται ἐν αὐτῇ, καθάπερ εἶδες τὸν σίδηρον ἀναμεμιγμένον ἅμα τῷ
42 πηλίνῳ ὀστράκῳ. 42 καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν,
μέρος δέ τι ὀστράκινον· μέρος δέ τι τῆς βασιλείας ἔσται ἰσχυρὸν καὶ μέρος
43 τι ἔσται συντετριμμένον. 43 καὶ ὡς εἶδες τὸν σίδηρον ἀναμεμιγμένον ἅμα τῷ
πηλίνῳ ὀστράκῳ, συμμιγεῖς ἔσονται εἰς γένεσιν ἀνθρώπων, οὐκ ἔσονται δὲ
ὁμονοοῦντες οὔτε εὐνοοῦντες ἀλλήλοις, ὥσπερ οὐδὲ ὁ σίδηρος δύναται συγ-
44 κραθῆναι τῷ ὀστράκῳ. 44 καὶ ἐν τοῖς χρόνοις τῶν βασιλέων τούτων στήσει
ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἄλλην, ἥτις ἔσται εἰς τοὺς αἰῶνας καὶ οὐ
φθαρήσεται· καὶ αὕτη ἡ βασιλεία ἄλλο ἔθνος οὐ μὴ ἐάσῃ, πατάξει δὲ καὶ
45 ἀφανίσει τὰς βασιλείας ταύτας· καὶ αὐτὴ στήσεται εἰς τὸν αἰῶνα, 45 καθάπερ
ἑώρακας ἐξ ὄρους τμηθῆναι λίθον ἄνευ χειρῶν, καὶ συνηλοίησε τὸ ὄστρακον
τὸν σίδηρον καὶ τὸν χαλκὸν καὶ τὸν ἄργυρον καὶ τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας
ἐσήμανε τῷ βασιλεῖ τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ ἀκριβὲς τὸ
46 ὅραμα καὶ πιστὴ ἡ τούτου κρίσις. 46 τότε Ναβουχοδονόσορ ὁ βασιλεὺς πεσὼν
ἐπὶ πρόσωπον χαμαὶ προσεκύνησε τῷ Δανιήλ, καὶ ἐπέταξε θυσίας καὶ σπον-
47 δὰς ποιῆσαι αὐτῷ. 47 καὶ ἐκφωνήσας ὁ βασιλεὺς πρὸς τὸν Δανιὴλ εἶπεν
Ἐπ' ἀληθεῖ ἐστιν ὁ θεὸς ὑμῶν θεὸς τῶν θεῶν καὶ κύριος τῶν βασιλέων,
ὁ ἐκφαίνων μυστήρια κρυπτὰ μόνος, ὅτι ἐδυνάσθης δηλῶσαι τὸ μυστήριον
48 τοῦτο. 48 τότε ὁ βασιλεὺς Ναβουχοδονόσορ Δανιὴλ μεγαλύνας καὶ δοὺς δωρεὰς
μεγάλας καὶ πολλὰς κατέστησεν ἐπὶ τῶν πραγμάτων τῆς Βαβυλωνίας, καὶ
ἀπέδειξεν αὐτὸν ἄρχοντα καὶ ἡγούμενον πάντων τῶν σοφιστῶν Βαβυλωνίας.
49 49 καὶ Δανιὴλ ἠξίωσε τὸν βασιλέα ἵνα καταστάθῶσιν ἐπὶ τῶν πραγμάτων
τῆς Βαβυλωνίας Σεδράχ, Μισάχ, Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ βασι-
λικῇ αὐλῇ.

---

36. Syr. καὶ τ. κρίσιν δὲ αὐτοῦ  38. codex et Syr. ÷ καὶ τῶν ÷ (Syr. om. signum) ἰχθ. τ. θαλάσσης /.  40. codex et Syr. ἰσχυρὰ ⁜ ὡς ὁ σίδηρος /. rursusque codex καὶ ⁜ ὡς ὁ σίδηρος [/.] πᾶν  41. codex et Syr. ⁜ καὶ τ. δακτύλ. (Syr. addit αὐτῆς) /. (cod. om. signum) . . . Syr. post διμερὴς ἔσται addit ἀπὸ τῆς ῥίζης τοῦ σιδήρου ἔσται  42. Syr. om. δέ secundum.  48. codex et Syr. ÷ Ναβουχοδονόσορ /. . . . Syr. κατέστ. αὐτὸν ἐπὶ

Digitized by Google

## III.

Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ βασιλεὺς διοικῶν πόλεις καὶ
χώρας καὶ πάντας τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ Ἰνδικῆς ἕως Αἰθιο-
πίας ἐποίησεν εἰκόνα χρυσῆν, τὸ ὕψος αὐτῆς πηχῶν ἑξήκοντα, καὶ τὸ πλάτος
αὐτῆς πηχῶν ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ τοῦ περιβόλου χώρας Βαβυ-
λωνίας. ² καὶ Ναβουχοδονόσορ βασιλεὺς βασιλέων καὶ κυριεύων τῆς οἰκου- 2
μένης ὅλης ἀπέστειλεν ἐπισυναγαγεῖν πάντα τὰ ἔθνη, φυλὰς καὶ γλώσσας,
σατράπας καὶ στρατηγούς, τοπάρχας καὶ ὑπάτους, διοικητὰς καὶ τοὺς ἐπ' ἐξου-
σιῶν κατὰ χώραν, καὶ πάντας τοὺς κατὰ τὴν οἰκουμένην, ἐλθεῖν εἰς τὸν
ἐγκαινισμὸν τῆς εἰκόνος τῆς χρυσῆς, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.
³ τότε συνήχθησαν ὕπατοι, στρατηγοί, τοπάρχαι, ἡγούμενοι, τύραννοι, μεγάλοι 3
ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν τοῦ ἐλθεῖν εἰς τὸν ἐγκαι-
νισμὸν τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ἔστησαν οἱ
προςγεγραμμένοι κατέναντι τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ. ⁴ καὶ ὁ 4
κήρυξ ἐκήρυξε τοῖς ὄχλοις Ὑμῖν παραγγέλλεται, ἔθνη καὶ χῶραι, λαοὶ καὶ
γλῶσσαι, ⁵ ὅτ' ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγος καὶ κιθάρας, 5
σαμβύκης καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες
προςκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησε Ναβουχοδονόσορ βασιλεύς·
⁶ καὶ πᾶς ὃς ἂν μὴ πεσὼν προςκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβαλοῦσιν αὐτὸν εἰς 6
τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. ⁷ καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤκουσαν 7
πάντα τὰ ἔθνη τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμ-
βύκης τε καὶ ψαλτηρίου καὶ παντὸς ἤχου μουσικῶν, πίπτοντα πάντα τὰ
ἔθνη φυλαὶ καὶ γλῶσσαι προσεκύνησαν τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησε
Ναβουχοδονόσορ ὁ βασιλεὺς κατέναντι τούτου. ⁸ ἐν ἐκείνῳ τῷ καιρῷ προς- 8
ελθόντες ἄνδρες Χαλδαῖοι διέβαλον τοὺς Ἰουδαίους, ⁹ καὶ ὑπολαβόντες εἶπον 9
Ναβουχοδονόσορ τῷ βασιλεῖ Κύριε βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι. ¹⁰ σὺ βασιλεῦ 10
προςέταξας καὶ ἔκρινας, ἵνα πᾶς ἄνθρωπος ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς
σάλπιγγος σύριγγός τε καὶ σαμβύκης κιθάρας ψαλτηρίου καὶ παντὸς ἤχου
μουσικῶν, πεσὼν προςκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ¹¹ καὶ ὃς ἂν μὴ πεσὼν 11
προςκυνήσῃ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. ¹² εἰσὶ 12
δέ τινες ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τῆς χώρας τῆς Βαβυλωνίας,
Σεδρὰχ Μισὰχ Ἀβδεναγώ, οἱ ἄνθρωποι ἐκεῖνοι οὐκ ἐφοβήθησάν σου τὴν
ἐντολὴν καὶ τῷ εἰδώλῳ σου οὐκ ἐλάτρευσαν καὶ τῇ εἰκόνι σου τῇ χρυσῇ ᾗ
ἔστησας οὐ προσεκύνησαν. ¹³ τότε Ναβουχοδονόσορ θυμωθεὶς ὀργῇ προςέταξεν 13
ἀγαγεῖν τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ· τότε οἱ ἄνθρωποι ἤχθησαν πρὸς
τὸν βασιλέα. ¹⁴ οὓς καὶ συνιδὼν Ναβουχοδονόσορ ὁ βασιλεὺς εἶπεν αὐτοῖς 14
Διὰ τί, Σεδρὰχ Μισὰχ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι

---

III. 1. codex et Syr. ÷ Ἔτους ὀκτωκαιδ. /. et ÷ διοικῶν πολ. (cod. repetit h. l. ÷) καὶ --- ἕως Αἰθιοπίας /. ... verba ἑξήκοντα κ. τ. πλ. α. π. in ed. Rom. male exciderunt. 2. codex et Syr. ÷ βασιλέων (Syr. βασιλεύων) ÷ (hoc signum Syr. om.) καὶ κυρ. τ. οἰκ. ÷ (Syr. om. sign.) ὅλης /. rursusque ÷ π. τὰ ἔ. (h. l. ed. Rom. add. και contra cod. ap. Holm.) φυ ÷ (Syr. om. sign.) λὰς κ. γλώσσας /. ... καί ante στρατ. ex cod. ap. Holm. 3. codex et Syr. ※ τότε συνήχθ. --- τοῦ ἐλθεῖν (Syr. om. τ. ἐ.) --- ὁ βασιλεύς /. (cod. /. ÷) ... Syr. οἱ προγεγραμμένοι ... codex et Syr. ※ ἧς ἔστ. Ναβ. /. 6. codex et Syr. ※ αὐτῇ τ. ὥρᾳ /. (cod. sign. om.) 7. codex et Syr. ※ σύριγγ. τε (Syr. om.) κ. κιθ. σαμβ. ※ (Syr. om. sign.) τε κ. ψαλτ. /., item ※ ὁ βασιλεύς /. (cod. om. sign.) 9. codex et Syr. ※ Ναβ. τῷ βασιλεῖ /. (cod. om. sign.) 10. codex et Syr. ※ σύριγγ. τε κ. σαμβ. ※ (Syr. om. sign.) κιθάρ. ψαλτ. /.



Digitized by Google

15 τῇ χρυσῇ, ἣν ἔστησα, οὐ προσκυνεῖτε; [15] καὶ νῦν εἰ μὲν ἔχετε ἑτοίμως ἅμα
τῷ ἀκοῦσαι τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλ-
τηρίου καὶ συμφωνίας καὶ παντὸς ἤχου μουσικῶν πεσόντες προσκυνῆσαι τῇ
εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα· εἰ δὲ μή γε, γινώσκετε ὅτι μὴ προσκυνησάντων
ὑμῶν αὐθωρὶ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ
16 ποῖος θεὸς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; [16] ἀποκριθέντες δὲ Σεδρὰχ
Μισὰχ Ἀβδεναγὼ εἶπαν τῷ βασιλεῖ Ναβουχοδονόσορ Βασιλεῦ, οὐ χρείαν
17 ἔχομεν ἡμεῖς ἐπὶ τῇ ἐπιταγῇ ταύτῃ ἀποκριθῆναί σοι. [17] ἔστι γὰρ θεὸς ἐν
οὐρανοῖς εἷς κύριος ἡμῶν, ὃν φοβούμεθα, ὅς ἐστι δυνατὸς ἐξελέσθαι ἡμᾶς
ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου βασιλεῦ
18 ἐξελεῖται ἡμᾶς. [18] καὶ τότε φανερόν σοι ἔσται, βασιλεῦ, ὅτι οὔτε τῷ εἰδώλῳ
σου λατρεύομεν οὔτε τῇ εἰκόνι σου τῇ χρυσῇ, ἣν ἔστησας, οὐ προσκυνοῦμεν.
19 [19] τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ καὶ ἡ μορφὴ τοῦ προσώπου αὐτοῦ
ἠλλοιώθη ἐπὶ Σεδρὰχ Μισὰχ καὶ Ἀβδεναγώ, καὶ ἐπέταξε καῆναι τὴν κάμινον
20 ἑπταπλασίως παρ' ὃ ἔδει αὐτὴν καῆναι, [20] καὶ ἄνδρας ἰσχυροτάτους τῶν
ἐν τῇ δυνάμει ἐπέταξε συμποδίσαντας τὸν Σεδρὰχ Μισὰχ Ἀβδεναγὼ ἐμβαλεῖν
21 εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [21] τότε οἱ ἄνδρες ἐκεῖνοι συνεπο-
δίσθησαν ἔχοντες τὰ ὑποδήματα αὐτῶν καὶ τὰς τιάρας αὐτῶν ἐπὶ τῶν κεφα-
λῶν αὐτῶν σὺν τῷ ἱματισμῷ αὐτῶν καὶ ἐβλήθησαν εἰς τὴν κάμινον τοῦ πυρὸς
22 τὴν καιομένην, [22] ἐπειδὴ τὸ πρόσταγμα τοῦ βασιλέως ἤπειγε· καὶ ἡ κάμινος
ἐξεκαύθη ὑπὲρ τὸ πρότερον ἑπταπλασίως, καὶ οἱ ἄνδρες οἱ προχειρισθέντες
συμποδίσαντες αὐτοὺς καὶ προσαγαγόντες τῇ καμίνῳ ἐνεβάλοσαν εἰς αὐτήν.
23 [23] τοὺς μὲν οὖν ἄνδρας τοὺς συμποδίσαντας τοὺς περὶ τὸν Ἀζαρίαν ἐξελθοῦσα
ἡ φλὸξ ἐκ τῆς καμίνου ἐνεπύρισε καὶ ἀπέκτεινεν, αὐτοὶ δὲ συνετηρήθησαν.
24 [24] οὕτως οὖν προσηύξατο Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαήλ, καὶ ὕμνησαν
τῷ κυρίῳ, ὅτε αὐτοὺς ὁ βασιλεὺς προσέταξεν ἐμβληθῆναι εἰς τὴν κάμινον.
25 [25] στὰς δὲ Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐξωμο-
λογεῖτο τῷ κυρίῳ ἅμα τοῖς συνεταίροις αὐτοῦ ἐν μέσῳ τῷ πυρὶ ὑποκαιομένης
26 τῆς καμίνου ὑπὸ τῶν Χαλδαίων σφόδρα, καὶ εἶπαν [26] Εὐλογητὸς εἶ, κύριε
ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς
27 τοὺς αἰῶνας, [27] ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ
ἔργα σου ἀληθινὰ καὶ αἱ ὁδοί σου εὐθεῖαι καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί,
28 [28] καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν καὶ [ἐπὶ] τὴν
πόλιν σου τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ. διότι ἐν ἀληθείᾳ
29 καὶ κρίσει ἐποίησας πάντα ταῦτα διὰ τὰς ἁμαρτίας ἡμῶν, [29] ὅτι ἡμάρτομεν
ἐν πᾶσι καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι,
30 [30] καὶ τῶν ἐντολῶν τοῦ νόμου σου οὐχ ὑπηκούσαμεν οὐδὲ συνετηρήσαμεν
31 οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. [31] καὶ νῦν
πάντα ὅσα ἡμῖν ἐπήγαγες καὶ πάντα ὅσα ἐποίησας ἡμῖν ἐν ἀληθινῇ κρίσει
32 ἐποίησας, [32] καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἡμῶν ἀνόμων καὶ
ἐχθίστων ἀποστατῶν καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

---

15. μέν om. cod. ap. Holm. ... cod. et Syr. ※ σύρ. τε --- συμφωνίας /. et ÷ (cod. om.) τῇ χρυσῇ /. 17. cod. et Syr. ÷ ἐν οὐρανοῖς (Syr. -νῷ) εἷς κύριος /. et ※ τῆς καιομένης /. 18. cod. et Syr. ※ βασιλεῦ /. 19. Syrus (non item cod. Chis.) ※ ἐπὶ Σεδρ. Μισ. κ. Ἀβδεναγώ /. 20. Codex et Syr. ※ τὸν Σεδρ. Μισ. (Syr. add. καὶ) Ἀβδ. /. 21. codex ※ τοῦ πυρ. τὴν καιομένην (/. deest), Syr. τοῦ πυρ. ※ τὴν καιομένην /. 23. Syr. om. μέν 24. Syr. προσηύξαντο 26. Syr. ut videtur καὶ αἰνετός, καί 27. Syr. pro ἀληθιναί legisse videtur ἀλήθεια 28. ἐπὶ ex Syro est, in cod. enim desideratur.

Digitized by Google

33 καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, αἰσχύνη καὶ ὄνειδος ἐγενήϑη 33
τῶν δούλων σου καὶ τῶν σεβομένων σε. 34 μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ 34
τὸ ὄνομά σου καὶ μὴ διασκεδάσῃς σου τὴν διαϑήκην. 35 καὶ μὴ ἀποστήσῃς 35
τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ
Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, 36 ὡς ἐλάλησας πρὸς 36
αὐτοὺς λέγων πολυπληϑῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήϑει καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς ϑαλάσσης. 37 ὅτι, 37
δέσποτα, ἐσμικρύνϑημεν παρὰ πάντα τὰ ἔϑνη, καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ
τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν· 38 καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ 38
ἄρχων καὶ προφήτης οὐδὲ ἡγούμενος οὐδὲ ὁλοκαύτωσις οὐδὲ ϑυσία οὐδὲ προς-
φορὰ οὐδὲ ϑυμίαμα οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου 39 καὶ εὑρεῖν ἔλεος, 39
ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι τεταπεινωμένῳ προςδεχϑείημεν.
40 ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, 40
οὕτω γενέσϑω ἡμῶν ἡ ϑυσία ἐνώπιόν σου σήμερον καὶ ἐξιλάσαι ὄπισϑέν σου,
ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιϑόσιν ἐπὶ σοί, καὶ τελειῶσαι ὄπισϑέν σου.
41 καὶ νῦν ἐξακολουϑοῦμεν ἐν ὅλῃ καρδίᾳ ἡμῶν καὶ φοβούμεϑά σε καὶ ζητοῦ- 41
μεν τὸ πρόςωπόν σου. 42 μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεϑ' ἡμῶν 42
ἔλεος κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆϑος τοῦ ἐλέους σου, 43 καὶ 43
ἐξελοῦ ἡμᾶς κατὰ τὰ ϑαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, κύριε·
44 καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ 44
καταισχυνϑείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
45 γνώτωσαν ὅτι σὺ εἶ μόνος κύριος ὁ ϑεὸς καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκου- 45
μένην. 46 καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως 46
καίοντες τὴν κάμινον. καὶ ἡνίκα ἐνεβάλοσαν τοὺς τρεῖς εἰς ἅπαξ εἰς τὴν κά-
μινον, καὶ ἡ κάμινος ἦν διάπυρος κατὰ τὴν ϑερμασίαν αὐτῆς ἑπταπλασίως·
καὶ ὅτε αὐτοὺς ἐνεβάλοσαν, οἱ μὲν ἐμβάλλοντες αὐτοὺς ἦσαν ὑπεράνω αὐτῶν,
οἱ δὲ ὑπέκαιον ὑποκάτωϑεν αὐτῶν νάφϑαν καὶ στυπίον καὶ πίσσαν καὶ κληματ-
ίδα, 47 καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα, 47
48 καὶ διεξώδευσεν καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. 48
49 ἄγγελος δὲ κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον 49
καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, 50 καὶ ἐποίησε τὸ μέσον 50
τῆς καμίνου ὡσεὶ πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καϑόλου
τὸ πῦρ, καὶ οὐκ ἐλύπησε καὶ οὐ παρηνώχλησεν αὐτούς. 51 ἀναλαβόντες δὲ 51
οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλόγουν καὶ ἐξύψουν
τὸν ϑεὸν ἐν τῇ καμίνῳ λέγοντες 52 Εὐλογητὸς εἶ, κύριε ὁ ϑεὸς τῶν πατέρων 52
ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένον τὸ
ὄνομα τῆς δόξης σου τὸ ἅγιον καὶ ὑπεραινετὸν καὶ ὑπερυψωμένον εἰς πάντας
τοὺς αἰῶνας. 53 εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερ- 53
υμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. 54 εὐλογητὸς εἶ ἐπὶ ϑρόνου δόξης 54
τῆς βασιλείας σου, καὶ ὑμνητὸς καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας. 55 εὐλο- 55
γητὸς εἶ ὁ βλέπων ἀβύσσους, καϑήμενος ἐπὶ Χερουβίμ, καὶ αἰνετὸς καὶ
δεδοξασμένος εἰς τοὺς αἰῶνας. 56 εὐλογητὸς εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, 56

---

33. Syr. ἐγενήϑη τοῖς δούλοις σ. κ. τοῖς σεβομένοις σε 35. Syr. om. διά alterum ... Syr. pro ἅγιον habet λαόν 36. Syr. ※ πολυ /. πληϑῦναι et ※ τῷ πλήϑει /. addito signo nominis Theodotionis. 40. codex et Syr. ÷ καὶ τελειῶσαι ὀπ. σου /. 41. Syr. ※ ἡμῶν /. cum nomine Theod. 42. codex et Syr. ※ (cod. om. hoc signum) ἔλεος /. 46. Verba καὶ οὐ διέλιπον --- καίοντ. τ. κάμινον apud Syr. in margine tantum inter varias lectiones adnotantur. 51. codex et Syr. ÷ καὶ ἐξύψουν /. 52. Syr. αἰνετὸς κ. ὑψούμενος legisse videtur. 54. Syr. ※ δόξης /. cum nomine Theod. 56. codex et Syr. ※ τοῦ οὐρανοῦ /. (/. om. in cod.)



Digitized by Google

57 καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. [57] εὐλογεῖτε πάντα τὰ ἔργα
τοῦ κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
58 [58] εὐλογεῖτε ἄγγελοι κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
59 τοὺς αἰῶνας. [59] εὐλογεῖτε οὐρανοὶ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
60 εἰς τοὺς αἰῶνας. [60] εὐλογεῖτε ὕδατα καὶ πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ τὸν
61 κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [61] εὐλογεῖτε πᾶσαι
αἱ δυνάμεις κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
62 αἰῶνας. [62] εὐλογεῖτε ἥλιος καὶ σελήνη τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
63 αὐτὸν εἰς τοὺς αἰῶνας. [63] εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε
64 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [64] εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος
65 τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [65] εὐλογεῖτε
πάντα τὰ πνεύματα τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
66 αἰῶνας. [66] εὐλογεῖτε πῦρ καὶ καῦμα τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
67 αὐτὸν εἰς τοὺς αἰῶνας. [67] εὐλογεῖτε ῥῖγος καὶ ψῦχος τὸν κύριον, ὑμνεῖτε καὶ
68 ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [68] εὐλογεῖτε δρόσοι καὶ νιφετοὶ τὸν κύριον,
69 ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [69] εὐλογεῖτε πάγοι καὶ ψῦχος
70 τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [70] εὐλογεῖτε πάχναι
71 καὶ χιόνες τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [71] εὐλο-
γεῖτε νύκτες καὶ ἡμέραι τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
72 αἰῶνας. [72] εὐλογεῖτε φῶς καὶ σκότος τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
73 αὐτὸν εἰς τοὺς αἰῶνας. [73] εὐλογεῖτε ἀστραπαὶ καὶ νεφέλαι τὸν κύριον, ὑμνεῖτε
74 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [74] εὐλογείτω ἡ γῆ τὸν κύριον, ὑμνείτω
75 καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας. [75] εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν κύριον,
76 ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [76] εὐλογεῖτε πάντα τὰ φυόμενα
ἐπὶ τῆς γῆς τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
77 [77] εὐλογεῖτε ὄμβροι καὶ αἱ πηγαὶ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
78 εἰς τοὺς αἰῶνας. [78] εὐλογεῖτε θάλασσαι καὶ ποταμοὶ τὸν κύριον, ὑμνεῖτε καὶ
79 ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [79] εὐλογεῖτε κήτη καὶ πάντα τὰ κινούμενα
ἐν τοῖς ὕδασι τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
80 [80] εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
81 αὐτὸν εἰς τοὺς αἰῶνας. [81] εὐλογεῖτε πάντα τὰ θηρία καὶ τὰ κτήνη τετράποδα
καὶ θηρία τῆς γῆς τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
82 [82] εὐλογεῖτε οἱ υἱοὶ τῶν ἀνθρώπων τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
83 εἰς τοὺς αἰῶνας. [83] εὐλογεῖτε Ἰσραὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
84 αὐτὸν εἰς τοὺς αἰῶνας. [84] εὐλογεῖτε ἱερεῖς δοῦλοι κυρίου τὸν κύριον, ὑμνεῖτε
85 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [85] εὐλογεῖτε δοῦλοι τὸν κύριον,
86 ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. [86] εὐλογεῖτε πνεύματα καὶ
ψυχαὶ δικαίων τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
87 [87] εὐλογεῖτε ὅσιοι καὶ ταπεινοὶ καρδίᾳ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
88 αὐτὸν εἰς τοὺς αἰῶνας. [88] εὐλογεῖτε Ἀνανία Ἀζαρία Μισαὴλ τὸν κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου
καὶ ἔσωσεν ἡμᾶς ἐκ χειρὸς θανάτου, καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ μέσου καιομένης
89 φλογὸς καὶ ἐκ τοῦ πυρὸς ἐλυτρώσατο ἡμᾶς. [89] ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι
90 χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. [90] εὐλογεῖτε πάντες οἱ σεβόμενοι
τὸν κύριον τὸν θεὸν τῶν θεῶν, ὑμνεῖτε καὶ ἐξομολογεῖσθε, ὅτι εἰς τὸν αἰῶνα

---

58. Syr. om. κυρίου 60. Syr. ⋇ καὶ /. πάντα τὰ ἐπάνω 62. Syr. ⋇ εὐλογεῖτε --- εἰς τ. αἰῶνας /. 70. Syr. πάχνη 77. Syr. ⋇ ὄμβρ. καὶ /. cum nomine Theod. 80. Syr. om. πάντα 81. Syr. om. πάντα usque κτήνη 83. Syr. εὐλόγει 84. Syr. om. δοῦλοι κυρίου 90. Syr. ⋇ τὸν κύριον /. ... codex et Syr. ÷ καὶ εἰς τὸν (h. l. cod. repetit ÷) αἰῶνα τῶν αἰώνων /. (cod. om. sign.)

Digitized by Google

τὸ ἔλεος αὐτοῦ καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων. [91] Καὶ ἐγένετο ἐν τῷ 91
ἀκοῦσαι τὸν βασιλέα ὑμνούντων αὐτῶν καὶ ἑστὼς ἐθεώρει αὐτοὺς ζῶντας,
τότε Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐθαύμασε, καὶ ἀνέστη σπεύσας καὶ εἶπεν
τοῖς φίλοις αὐτοῦ Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς μέσον τοῦ πυρὸς πεπηδη-
μένους; καὶ εἶπον τῷ βασιλεῖ Ἀληθῶς, βασιλεῦ. [92] καὶ εἶπεν ὁ βασιλεύς 92
Ἰδοὺ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους περιπατοῦντας ἐν τῷ πυρί, καὶ
φθορὰ οὐδεμία ἐγενήθη ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου· ὁμοίωμα
ἀγγέλου θεοῦ. [93] καὶ προσελθὼν ὁ βασιλεὺς πρὸς τὴν θύραν τῆς καμίνου 93
καιομένης τῷ πυρὶ ἐκάλεσεν αὐτοὺς ἐξ ὀνόματος Σεδράχ, Μισάχ, Ἀβδεναγώ,
οἱ παῖδες τοῦ θεοῦ τῶν θεῶν τοῦ ὑψίστου, ἐξέλθετε ἐκ τοῦ πυρός. οὕτως
οὖν ἐξῆλθον οἱ ἄνδρες ἐκ μέσου τοῦ πυρός. [94] καὶ συνήχθησαν οἱ ὕπατοι 94
τοπάρχαι καὶ ἀρχιπατριῶται καὶ οἱ φίλοι τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς
ἀνθρώπους ἐκείνους, ὅτι οὐχ ἥψατο τὸ πῦρ τοῦ σώματος αὐτῶν καὶ αἱ τρίχες
αὐτῶν οὐ κατεκάησαν καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθησαν οὐδὲ ὀσμὴ
τοῦ πυρὸς ἦν ἐν αὐτοῖς. [95] ὑπολαβὼν δὲ Ναβουχοδονόσορ ὁ βασιλεὺς εἶπεν 95
Εὐλογητὸς κύριος [θεὸς] τοῦ Σεδρὰχ Μισὰχ Ἀβδεναγώ, ὃς ἀπέστειλε τὸν
ἄγγελον αὐτοῦ καὶ ἔσωσε τοὺς παῖδας αὐτοῦ τοὺς ἐλπίζοντας ἐπ' αὐτόν·
τὴν γὰρ προσταγὴν τοῦ βασιλέως ἠθέτησαν καὶ παρέδωκαν τὰ σώματα
αὐτῶν εἰς ἐμπυρισμόν, ἵνα μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι θεῷ ἑτέρῳ
ἀλλ' ἢ θεῷ αὐτῶν. [96] καὶ νῦν ἐγὼ κρίνω ἵνα πᾶν ἔθνος καὶ πᾶσαι φυλαὶ 96
καὶ πᾶσαι γλῶσσαι, ὃς ἂν βλασφημήσῃ εἰς τὸν κύριον τὸν θεὸν Σεδρὰχ
Μισὰχ Ἀβδεναγώ, διαμελισθήσεται καὶ ἡ οἰκία αὐτοῦ δημευθήσεται, διότι
οὐκ ἔστι θεὸς ἕτερος ὃς δυνήσεται ἐξελέσθαι οὕτως. [97] οὕτως οὖν [ὁ] βασιλεὺς 97
τῷ Σεδρὰχ Μισὰχ Ἀβδεναγὼ ἐξουσίαν δοὺς ἐφ' ὅλης τῆς χώρας κατέστησεν
αὐτοὺς ἄρχοντας.

⟦[98] Ἀρχὴ τῆς ἐπιστολῆς ΝΑΒΟΥΧΟΔΟΝΟΣΟΡ ὁ βασιλεὺς πᾶσι τοῖς 98
λαοῖς φυλαῖς καὶ γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ, Εἰρήνη ὑμῖν
πληθυνθείη. [99] τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ἐμοῦ ὁ θεὸς 99
ὁ ὕψιστος ἤρεσεν ἐναντίον μου ἀναγγεῖλαι ὑμῖν, ὡς μεγάλα καὶ ἰσχυρά·
[100] ὡς μεγάλη καὶ ἰσχυρὰ ἡ βασιλεία αὐτοῦ· ἡ βασιλεία αὐτοῦ βασιλεία 100
αἰώνιος, ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.⟧

## IV.

Ἔτους ὀκτωκαιδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ εἶπεν Εἰρηνεύων
ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθηνῶν ἐπὶ τοῦ θρόνου μου. [2] ἐνύπνιον εἶδον 2
καὶ εὐλαβήθην, καὶ φόβος μοι ἐπέπεσεν. [3] (7) ἐπὶ τῆς κοίτης μου ἐκάθευδον, 3
καὶ ἰδοὺ δένδρον ὑψηλὸν φυόμενον ἐπὶ τῆς γῆς, καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη,
καὶ οὐκ ἦν ἄλλο ὅμοιον αὐτῷ. [4] (9) οἱ κλάδοι αὐτοῦ τῷ μήκει ὡς σταδίων 4
τριάκοντα, καὶ ὑποκάτω αὐτοῦ ἐσκίαζον πάντα τὰ θηρία τῆς γῆς, καὶ ἐν
αὐτῷ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνόσσευον· ὁ καρπὸς αὐτοῦ πολὺς καὶ ἀγαθὸς

---

91. codex et Syr. ÷ Καὶ ἐγένετο --- αὐτοὺς ζῶντας /. 91 sq. codex et Syr. ※ (cod. male ÷ ※) Οὐχὶ ἄνδρας --- κ. εἶπ. ὁ βασιλεύς /. 92. Syr. λελυμένους καὶ περιπατ. 93. Syr. ἐξ ὀνομάτων αὐτῶν 95. θεὸς e Syro est (cf. vers. 96.) ... ἐλπίζ. ex Holm., ed. Rom. ἐλπίσαντας ... Syr. τὸ σῶμα αὐτῶν ... codex et Syr. ※ εἰς ἐμπυρισμόν /. 97. ὁ ex Holm. 98 sqq. codex et Syr. ※ Ἀρχὴ τ. ἐπιστ. (haec omnia Syr. om.) Ναβουχ. --- ὡς μεγάλα καὶ ἰσχυρά· ÷ ὡς μεγάλη κ. ἰσχ. ἡ βασ. αὐτοῦ /. (rursus haec inter ÷ et /. posita omittit Syrus) --- εἰς γεν. κ. γενεάν /. (cod. om. /.) Haec revera huc non quadrant, quum infra (post 4, 34.) locum suum obtineant: certe enim non utroque loco scribi potuerunt. IV. 1. codex et Syr. ÷ Ἔτους ὀκτ. τ. βασ. /. 2. cod. ap. Holm. om. ἐν. εἶδ. 3. Syr. ※ ἐπὶ τ. κοίτ. μου /. posteaque om. καί post γῆς

Digitized by Google

5 καὶ ἐχορήγει πᾶσι τοῖς ζώοις. [5] (8) καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη, ἡ κορυφὴ
αὐτοῦ ἤγγισεν ἕως τοῦ οὐρανοῦ καὶ τὸ κῦτος αὐτοῦ ἕως τῶν νεφελῶν πληροῦν
τὰ ὑποκάτω τοῦ οὐρανοῦ· ὁ ἥλιος καὶ ἡ σελήνη ἦν, ἐν αὐτῷ ᾤκουν καὶ
6 ἐφώτιζον πᾶσαν τὴν γῆν. [6] (10) ἐθεώρουν ἐν τῷ ὕπνῳ μου, καὶ ἰδοὺ ἄγγελος
7 ἀπεστάλη ἐν ἰσχύϊ ἐκ τοῦ οὐρανοῦ, [7] (11) καὶ ἐφώνησε καὶ εἶπεν αὐτῷ
Ἐκκόψατε αὐτὸ καὶ καταφθείρατε αὐτό· προστέτακται γὰρ ἀπὸ τοῦ ὑψίστου
8 ἐκριζῶσαι καὶ ἀχρειῶσαι αὐτό. [8] (12) καὶ οὕτως εἶπε Ῥίζαν μίαν ἄφετε αὐτοῦ
ἐν τῇ γῇ, ὅπως μετὰ τῶν θηρίων τῆς γῆς ἐν τοῖς ὄρεσι χόρτον ὡς βοῦς
9 νέμηται, [9] (13) καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἀλλοιωθῇ
10 καὶ ἑπτὰ ἔτη βοσκηθῇ σὺν αὐτοῖς, [10] (14) ἕως ἂν γνῷ τὸν κύριον τοῦ οὐρανοῦ
ἐξουσίαν ἔχειν πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅσα ἂν
11 θέλῃ ποιεῖν ποιεῖ ἐν αὐτοῖς. [11] (15) ἐνώπιόν μου ἐξεκόπη ἐν ἡμέρᾳ μιᾷ, καὶ
ἡ καταφθορὰ αὐτοῦ ἐν ὥρᾳ μιᾷ τῆς ἡμέρας, καὶ οἱ κλάδοι αὐτοῦ ἐδόθησαν
εἰς πάντα ἄνεμον, καὶ εἱλκύσθη καὶ ἐρρίφη, καὶ τὸν χόρτον τῆς γῆς ἤσθιε,
καὶ εἰς φυλακὴν παρεδόθη, καὶ ἐν πέδαις καὶ ἐν χειροπέδαις χαλκαῖς ἐδέθη
ὑπ' αὐτῶν. σφόδρα ἐθαύμασα ἐπὶ τούτοις, καὶ ὁ ὕπνος ἀπέστη ἀπὸ τῶν
ὀφθαλμῶν μου. (5. 6.) καὶ ἀναστὰς τὸ πρωὶ ἐκ τῆς κοίτης μου ἐκάλεσα
τὸν Δανιὴλ τὸν ἄρχοντα τῶν σοφιστῶν καὶ τὸν ἡγούμενον τῶν κρινόντων
τὰ ἐνύπνια, καὶ διηγησάμην αὐτῷ τὸ ἐνύπνιον, καὶ ὑπέδειξέ μοι πᾶσαν
12 τὴν σύγκρισιν αὐτοῦ. [12] (16) μεγάλως δὲ ἐθαύμασεν ὁ Δανιὴλ καὶ ὑπόνοια
κατέσπευδεν αὐτόν· καὶ φοβηθεὶς τρόμου λαβόντος αὐτὸν καὶ ἀλλοιωθείσης
τῆς ὁράσεως αὐτοῦ, κινήσας τὴν κεφαλὴν ὥραν μίαν ἀποθαυμάσας ἀπε-
κρίθη μοι φωνῇ πραείᾳ Βασιλεῦ, τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε καὶ
13 ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου ἐπέλθοι. [13] (17) τὸ δένδρον τὸ ἐν τῇ γῇ
14 πεφυτευμένον, οὗ ἡ ὅρασις μεγάλη, σὺ εἶ, βασιλεῦ. [14] (18) καὶ πάντα τὰ
πετεινὰ τοῦ οὐρανοῦ τὰ νοσσεύοντα ἐν αὐτῷ· ἡ ἰσχὺς τῆς γῆς καὶ τῶν
ἐθνῶν καὶ τῶν γλωσσῶν πασῶν ἕως τῶν περάτων τῆς γῆς καὶ πᾶσαι αἱ
15 χῶραι σοὶ δουλεύουσι. [15] (19) τὸ δὲ ἀνυψωθῆναι τὸ δένδρον ἐκεῖνο καὶ ἐγγίσαι
τῷ οὐρανῷ καὶ τὸ κῦτος αὐτοῦ ἅψασθαι τῶν νεφελῶν· σὺ βασιλεῦ ὑψώθης
ὑπὲρ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ προσώπου πάσης τῆς γῆς,
ὑψώθη σου ἡ καρδία ὑπερηφανίᾳ καὶ ἰσχύϊ ὑπὲρ τὰ πρὸς τὸν ἅγιον καὶ
τοὺς ἀγγέλους αὐτοῦ· τὰ ἔργα σου ὤφθη καθότι ἐξηρήμωσας τὸν οἶκον τοῦ
16 θεοῦ τοῦ ζῶντος ἐπὶ ταῖς ἁμαρτίαις τοῦ λαοῦ τοῦ ἡγιασμένου. [16] (20) καὶ
ἡ ὅρασις ἣν εἶδες, ὅτι ἄγγελος ἐν ἰσχύϊ ἀπεστάλη παρὰ τοῦ κυρίου, καὶ ὅτι
εἶπεν ἐξᾶραι τὸ δένδρον καὶ ἐκκόψαι· ἡ κρίσις τοῦ θεοῦ τοῦ μεγάλου ἥξει
17 ἐπὶ σέ, [17] (21) καὶ ὁ ὕψιστος καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπὶ σὲ κατατρέχουσιν,
18 [18] (22) εἰς φυλακὴν ἀπάξουσί σε, καὶ εἰς τόπον ἔρημον ἀποστελοῦσί σε.
19 [19] (23) καὶ ἡ ῥίζα τοῦ δένδρου ἡ ἀφεθεῖσα, ἐπεὶ οὐκ ἐξεριζώθη· ὁ τόπος
τοῦ θρόνου σού σοι συντηρηθήσεται εἰς καιρὸν καὶ ὥραν. ἰδοὺ ἐπὶ σὲ ἑτοιμά-
ζονται, καὶ μαστιγώσουσί σε καὶ ἐπάξουσι τὰ κεκριμένα ἐπὶ σέ. κύριος ζῇ
20 ἐν οὐρανῷ καὶ ἡ ἐξουσία αὐτοῦ ἐπὶ πάσῃ τῇ γῇ. [20] (24) αὐτοῦ δεήθητι περὶ
τῶν ἁμαρτιῶν σου καὶ πάσας τὰς ἀδικίας σου ἐν ἐλεημοσύναις λύτρωσαι,
ἵνα ἐπιείκεια δοθῇ σοι καὶ πολυήμερος γένῃ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας σου,
21 καὶ μὴ καταφθείρῃ σε. [21] (25) τούτους τοὺς λόγους ἀγάπησον· ἀκριβὴς γάρ μου

---

5. codex et Syr. ÷ καὶ ἡ ὅρασις αὐτοῦ - - - πᾶσαν τ. γῆν /. (cod. om. /. sed ad marginem horum verborum ∾ appositum habet; Syr. vero om. extrema inde ab ἐν αὐτῷ ᾤκουν) 8. cod. ap. Holm. om. τῶν; v. 10. habet θέλει 11. Syr. post τὸν (ap. Holm. om.) χόρτον τῆς γῆς addita habet μετὰ τῶν θηρίων τῆς γῆς ... Syr. ἐπὶ πᾶσι τούτοις ... ὁ ὕπν. ex Holm., ed. Rom. add. μου 12. Syr. κιν. τὴν κεφ. αὐτοῦ 14. δουλεύουσι: ita ex Holm., ed. Rom. -σουσι 16. Syr. pro ἥξει expressit ἥκει 19. ἐπί: ap. Holm. ἐν

Digitized by Google

ὁ λόγος καὶ πλήρης ὁ χρόνος σου. Καὶ ἐπὶ συντελείᾳ τῶν λόγων Ναβουχο-
δονόσορ ὡς ἤκουσε τὴν κρίσιν τοῦ ὁράματος, τοὺς λόγους ἐν τῇ καρδίᾳ
συνετήρησε. 22 (26) Καὶ μετὰ μῆνας δώδεκα ὁ βασιλεὺς ἐπὶ τῶν τειχῶν τῆς 22
πόλεως μετὰ πάσης τῆς δόξης αὐτοῦ περιεπάτει καὶ ἐπὶ τῶν πύργων αὐτῆς
διεπορεύετο, καὶ ἀποκριθεὶς εἶπεν 23 (27) Αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν 23
ἐγὼ ᾠκοδόμησα, καὶ οἶκος βασιλείας μου ἐν ἰσχύϊ κράτους μου κληθήσεται
εἰς τιμὴν τῆς δόξης μου. 24 (28) ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως 24
ὄντος, καὶ ἐπὶ συντελείας τοῦ λόγου αὐτοῦ φωνὴν ἐκ τοῦ οὐρανοῦ ἤκουσε Σοὶ
λέγεται, Ναβουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία Βαβυλῶνος ἀφῄρηταί σου καὶ
ἑτέρῳ δίδοται ἐξουθενημένῳ ἀνθρώπῳ ἐν τῷ οἴκῳ σου. ἰδοὺ ἐγὼ καθίστημι
αὐτὸν ἐπὶ τῆς βασιλείας σου, καὶ τὴν ἐξουσίαν σου καὶ τὴν δόξαν σου καὶ
τὴν τρυφήν σου παραλήψεται, ὅπως ἐπιγνῷς ὅτι ἐξουσίαν ἔχει ὁ θεὸς τοῦ
οὐρανοῦ ἐν τῇ βασιλείᾳ τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν βούληται δώσει αὐτήν·
ἕως δὲ ἡλίου ἀνατολῆς βασιλεὺς ἕτερος εὐφρανθήσεται ἐν τῷ οἴκῳ σου, καὶ
κρατήσει τῆς δόξης σου καὶ τῆς ἰσχύος σου καὶ τῆς ἐξουσίας σου. 25 (29) καὶ 25
οἱ ἄγγελοι διώξονταί σε ἐπὶ ἔτη ἑπτά, καὶ οὐ μὴ ὀφθῇς οὐδ᾽ οὐ μὴ λαλήσῃς
μετὰ παντὸς ἀνθρώπου, χόρτον ὡς βοῦν σε ψωμίσουσι καὶ ἀπὸ τῆς χλόης
τῆς γῆς ἔσται ἡ νομή σου· ἰδοὺ ἀντὶ τῆς δόξης σου δήσουσί σε, καὶ τὸν
οἶκον τῆς τρυφῆς σου καὶ τὴν βασιλείαν σου ἕτερος ἕξει. 26 (30) ἕως δὲ πρωὶ 26
πάντα τελεσθήσεται ἐπὶ σέ, Ναβουχοδονόσορ βασιλεῦ Βαβυλῶνος, καὶ οὐχ
ὑστερήσει ἀπὸ πάντων τούτων οὐδέν. 27 Ἐγὼ Ναβουχοδονόσορ, βασιλεὺς 27
Βαβυλῶνος, ἑπτὰ ἔτη ἐπεδήθην, χόρτον ὡς βοῦν ἐψώμισάν με καὶ ἀπὸ
τῆς χλόης τῆς γῆς ἤσθιον. [[ (31) καὶ μετὰ ἔτη ἑπτὰ ἔδωκα τὴν ψυχήν μου
εἰς δέησιν, καὶ ἠξίωσα περὶ τῶν ἁμαρτιῶν μου κατὰ πρόσωπον κυρίου τοῦ
θεοῦ τοῦ οὐρανοῦ, καὶ περὶ τῶν ἀγνοιῶν μου τοῦ θεοῦ τῶν θεῶν τοῦ μεγάλου
ἐδεήθην·]] 28 (30) καὶ αἱ τρίχες μου ἐγένοντο ὡς πτέρυγες ἀετοῦ, οἱ ὄνυχές μου 28
ὡσεὶ λέοντος, ἠλλοιώθη ἡ σάρξ μου καὶ ἡ καρδία μου, γυμνὸς περιεπάτουν
μετὰ τῶν θηρίων τῆς γῆς. [[ ἐνύπνιον εἶδον καὶ ὑπόνοιαί με εἰλήφασι, καὶ
διὰ χρόνου ὕπνος με ἔλαβε πολὺς καὶ νυσταγμὸς ἐπέπεσέ μοι.]] 29 (31) καὶ ἐπὶ 29
συντελείᾳ τῶν ἑπτὰ ἐτῶν ὁ χρόνος μου τῆς ἀπολυτρώσεως ἦλθε, καὶ αἱ
ἁμαρτίαι μου καὶ αἱ ἄγνοιαί μου ἐπληρώθησαν ἐναντίον τοῦ θεοῦ τοῦ οὐρανοῦ·
καὶ ἐδεήθην περὶ τῶν ἀγνοιῶν μου τοῦ θεοῦ τῶν θεῶν τοῦ μεγάλου, καὶ
ἰδοὺ ἄγγελος εἷς ἐκάλεσέ με ἐκ τοῦ οὐρανοῦ λέγων Ναβουχοδονόσορ, δού-
λευσον τῷ θεῷ τοῦ οὐρανοῦ τῷ ἁγίῳ καὶ δὸς δόξαν τῷ ὑψίστῳ· τὸ βασίλειον
τοῦ ἔθνους σου σοὶ ἀποδίδοται. 30 (33) ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκατεστάθη 30
ἡ βασιλεία μου ἐμοὶ καὶ ἡ δόξα μου ἀπεδόθη μοι. 31 (34) τῷ ὑψίστῳ ἀνθο- 31
μολογοῦμαι καὶ αἰνῶ, τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας
καὶ τοὺς ποταμοὺς καὶ πάντα τὰ ἐν αὐτοῖς ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι
αὐτός ἐστι θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ βασιλεὺς τῶν βασιλέων,
ὅτι αὐτὸς ποιεῖ σημεῖα καὶ τέρατα καὶ ἀλλοιοῖ καιροὺς καὶ χρόνους, ἀφαιρῶν
βασιλείας βασιλέων καὶ καθιστῶν ἑτέρους ἀντ᾽ αὐτῶν. 32 ἀπὸ τοῦ νῦν αὐτῷ 32
λατρεύσω, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ τρόμος εἴληφέ με, καὶ πάντας τοὺς
ἁγίους αὐτοῦ αἰνῶ· οἱ γὰρ θεοὶ τῶν ἐθνῶν οὐκ ἔχουσιν ἐν ἑαυτοῖς ἰσχὺν
ἀποστρέψαι βασιλείαν βασιλέως εἰς ἕτερον βασιλέα, καὶ ἀποκτεῖναι καὶ ζῆν
ποιῆσαι, καὶ ποιῆσαι σημεῖα καὶ θαυμάσια μεγάλα καὶ φοβερὰ καὶ ἀλλοιῶσαι

24. Syr. om. ἔτι usq. ὄντος ... καὶ ἐπί ex Holm. (et Syro) est; ed. Rom. om. καί 25. Syr. om. ἐπί ... τὴν βασιλείαν cum Syro scripsimus, codice τῆς βασιλείας exhibente. 27 sq. verba duplicatis uncis a nobis inclusa orationis contextum perturbare in promtu est. 30. codex et Syr. ἡ βασ. μου ÷ (ita Syrus; codex vero ÷ μου) ἐμοὶ --- ἀπεδόθη μοι /. 31. βασιλείας βασιλέων cum Syro scripsimus, in codice scriptum est βασιλείαν βασιλέων

Digitized by Google

ὑπερμεγέθη πράγματα, καθὼς ἐποίησεν ἐν ἐμοὶ ὁ θεὸς τοῦ οὐρανοῦ καὶ
ἠλλοίωσεν ἐπ' ἐμοὶ μεγάλα πράγματα. ἐγὼ πάσας τὰς ἡμέρας τῆς βασι-
λείας μου περὶ τῆς ψυχῆς μου τῷ ὑψίστῳ θυσίας προςοίσω εἰς ὀσμὴν εὐω-
δίας τῷ κυρίῳ, καὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσω ἐγὼ καὶ ὁ λαὸς καὶ
τὸ ἔθνος μου καὶ αἱ χῶραί μου αἱ ἐν τῇ ἐξουσίᾳ μου. καὶ ὅσοι ἐλάλησαν
εἰς τὸν θεὸν τοῦ οὐρανοῦ καὶ ὅσοι ἂν καταληφθῶσι λαλοῦντές τι, τούτους
33 κατακρινῶ θανάτῳ. [33]Ἔγραψε δὲ ὁ βασιλεὺς Ναβουχοδονόσορ ἐπιστολὴν
ἐγκύκλιον πᾶσι τοῖς κατὰ τόπον ἔθνεσι καὶ χώραις καὶ γλώσσαις πάσαις
ταῖς οἰκούσαις ἐν πάσαις ταῖς χώραις γενεαῖς καὶ γενεαῖς. Κυρίῳ τῷ θεῷ
τοῦ οὐρανοῦ αἰνεῖτε, καὶ θυσίαν καὶ προςφορὰν προςφέρετε αὐτῷ ἐνδόξως.
ἐγὼ βασιλεὺς βασιλέων ἀνθομολογοῦμαι αὐτῷ ἐνδόξως, ὅτι οὕτως ἐποίησε
μετ' ἐμοῦ· ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐκάθισέ με ἐπὶ τοῦ θρόνου μου καὶ τῆς
ἐξουσίας μου καὶ τῆς βασιλείας μου· ἐν τῷ λαῷ μου ἐκράτησα καὶ ἡ μεγαλω-
34 σύνη μου ἀποκατεστάθη μοι. [34]Ναβουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς ἔθνεσι
καὶ πάσαις ταῖς χώραις καὶ πᾶσι τοῖς οἰκοῦσιν ἐν αὐταῖς, Εἰρήνη ὑμῖν
πληθυνθείη ἐν παντὶ καιρῷ. καὶ νῦν ὑποδείξω ὑμῖν τὰς πράξεις ἃς ἐποίησε
μετ' ἐμοῦ ὁ θεὸς ὁ μέγας· ἔδοξε δέ μοι ἀποδεῖξαι ὑμῖν καὶ τοῖς σοφισταῖς
ὑμῶν ὅτι ἔστι θεός, καὶ τὰ θαυμάσια μεγάλα αὐτοῦ· τὸ βασίλειον αὐτοῦ
βασίλειον εἰς τὸν αἰῶνα, ἡ ἐξουσία αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς. καὶ ἀπέ-
στειλεν ἐπιστολὰς περὶ πάντων τῶν γενηθέντων αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ
πᾶσι τοῖς ἔθνεσι τοῖς οὖσιν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

## V.

⟦(1)Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δοχὴν μεγάλην ἐν ἡμέρᾳ ἐγκαινισμοῦ
τῶν βασιλείων αὐτοῦ, [καὶ ἀπὸ τῶν μεγιστάνων αὐτοῦ] ἐκάλεσεν ἄνδρας
δισχιλίους. (4)ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Βαλτάσαρ ἀνυψούμενος ἀπὸ τοῦ οἴνου καὶ
καυχώμενος ἐπῄνεσε πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τοὺς χωνευτοὺς καὶ
γλυπτοὺς ἐν τῷ πότῳ αὐτοῦ, καὶ τῷ θεῷ τῷ ὑψίστῳ οὐκ ἔδωκεν αἴνεσιν.
(5)ἐν αὐτῇ τῇ νυκτὶ ἐξῆλθον δάκτυλοι ὡςεὶ ἀνθρώπου καὶ ἐπέγραψαν ἐπὶ
τοῦ τοίχου οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ λύχνου Μανή,
φάρες, θεκέλ. ἔστι δὲ ἡ ἑρμηνεία αὐτῶν ΜΑΝΗ ἠρίθμηται, ΦΑΡΕΣ ἐξῆρται,
1 ΘΕΚΕΛ ἕσταται.⟧ [1]Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησεν ἑστιατορίαν μεγάλην
2 τοῖς ἑταίροις αὐτοῦ. [2]καὶ ἔπινεν οἶνον, καὶ ἀνυψώθη ἡ καρδία αὐτοῦ, καὶ
εἶπεν ἐνέγκαι τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τοῦ οἴκου τοῦ θεοῦ,
ἃ ἤνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἀπὸ Ἱερουσαλήμ, καὶ οἰνοχοῆσαι
3 ἐν αὐτοῖς τοῖς ἑταίροις αὐτοῦ. [3]καὶ ἠνέχθη, καὶ ἔπινον ἐν αὐτοῖς καὶ
4 ηὐλόγουν τὰ εἴδωλα τὰ χειροποίητα αὐτῶν, [4]καὶ τὸν θεὸν τοῦ αἰῶνος οὐκ
5 εὐλόγησαν τὸν ἔχοντα ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. [5]ἐν αὐτῇ τῇ ὥρᾳ
ἐκείνῃ ἐξῆλθον δάκτυλοι ὡςεὶ χειρὸς ἀνθρώπου καὶ ἔγραψαν ἐπὶ τοῦ τοίχου
τοῦ οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ φωτὸς ἔναντι τοῦ βασι-
6 λέως Βαλτάσαρ, καὶ εἶδε χεῖρα γράφουσαν· [6]καὶ ἡ ὅρασις αὐτοῦ ἠλλοιώθη,
καὶ φόβοι καὶ ὑπόνοιαι αὐτὸν κατέσπευδον. ἔσπευσεν οὖν ὁ βασιλεὺς καὶ
ἐξανέστη καὶ ἑώρα τὴν γραφὴν ἐκείνην, καὶ οἱ συνεταῖροι κύκλῳ αὐτοῦ

---

32. ὁ λαὸς καὶ τό ex Holm.: ed. Rom. ὁ λα. μου, τό 33. Cf. 3, 98 sqq. Verba Κυρίῳ usque ἀποκατεστάθη μοι, ad orationem quae litteras praecedit pertinere videntur. 34. μεγ. αὐτ. ex Holm., ed. Rom. α. μ. V. Omnia quae duplicatis uncis circumdedimus, ab ipsa interpretatione aliena esse videntur. Ceterum cum aliis scripsimus (1) βασιλείων pro βασιλειῶν, item (4) ἀνυψούμενος (ex Holm.), πότῳ, (5) λύχνου, pro codicis scriptura ἐνυψ., τόπῳ, λύχνους; verba vero καὶ ἀπὸ τ. μεγ. αὐτ. e Syro adsumpsimus. 2. Syr. καί ante οἰνοχοῆσαι om. 4. ἐξουσ. ex Holm., ed. Rom. τὴν ἐξ.

Digitized by Google

ἐκαυχῶντο. 7 καὶ ὁ βασιλεὺς ἐφώνησε φωνῇ μεγάλῃ καλέσαι τοὺς ἐπαοιδοὺς 7
καὶ φαρμακοὺς καὶ Χαλδαίους καὶ γαζαρηνούς, ἀπαγγεῖλαι τὸ σύγκριμα
τῆς γραφῆς. καὶ εἰςεπορεύοντο ἐπὶ θεωρίαν ἰδεῖν τὴν γραφήν, καὶ τὸ σύγ-
κριμα τῆς γραφῆς οὐκ ἠδύναντο συγκρῖναι τῷ βασιλεῖ. τότε ὁ βασιλεὺς
ἐξέθηκε πρόςταγμα λέγων Πᾶς ἀνὴρ ὃς ἂν ὑποδείξῃ τὸ σύγκριμα τῆς γραφῆς,
στολιεῖ αὐτὸν πορφύραν καὶ μανιάκην χρυσοῦν περιθήσει αὐτῷ, καὶ δοθή-
σεται αὐτῷ ἐξουσία τοῦ τρίτου μέρους τῆς βασιλείας. 8 καὶ εἰςεπορεύοντο οἱ 8
ἐπαοιδοὶ καὶ οἱ φαρμακοὶ καὶ γαζαρηνοί, καὶ οὐκ ἠδύνατο οὐδεὶς τὸ σύγ-
κριμα τῆς γραφῆς ἀπαγγεῖλαι. 9 τότε ὁ βασιλεὺς ἐκάλεσε τὴν βασίλισσαν 9
περὶ τούτου σημείου, καὶ ὑπέδειξεν αὐτῇ ὡς μέγα ἐστί, καὶ ὅτι πᾶς ἄν-
θρωπος οὐ δύναται ἀπαγγεῖλαι τῷ βασιλεῖ τὸ σύγκριμα τῆς γραφῆς. 10 τότε 10
ἡ βασίλισσα ἐμνήσθη πρὸς αὐτὸν περὶ τοῦ Δανιήλ, ὃς ἦν ἐκ τῆς αἰχμαλω-
σίας τῆς Ἰουδαίας, 11 καὶ εἶπε τῷ βασιλεῖ Ὁ ἄνθρωπος ἐπιστήμων ἦν καὶ 11
σοφὸς καὶ ὑπερέχων πάντας τοὺς σοφοὺς Βαβυλῶνος, καὶ πνεῦμα ἅγιον ἐν
αὐτῷ ἐστί, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου τοῦ βασιλέως συγκρίματα
ὑπέρογκα ὑπέδειξε Ναβουχοδονόσορ τῷ πατρί σου. 13 τότε Δανιὴλ εἰςήχθη 13
πρὸς τὸν βασιλέα, καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν αὐτῷ 16 Ὦ Δανιήλ, 16
δύνῃ μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς γραφῆς; καὶ στολιῶ σε πορφύραν καὶ
μανιάκην χρυσοῦν περιθήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου μέρους τῆς
βασιλείας μου. 17 τότε Δανιὴλ ἔστη κατέναντι τῆς γραφῆς καὶ ἀνέγνω, 17
καὶ οὕτως ἀπεκρίθη τῷ βασιλεῖ Αὕτη ἡ γραφή Ἠρίθμηται, κατελογίσθη,
ἐξῆρται· καὶ ἔστη ἡ γράψασα χείρ, καὶ αὕτη ἡ σύγκρισις αὐτῶν. 23 βασιλεῦ, 23
σὺ ἐποιήσω ἑστιατορίαν τοῖς φίλοις σου καὶ ἔπινες οἶνον, καὶ τὰ σκεύη τοῦ
οἴκου τοῦ θεοῦ τοῦ ζῶντος ἠνέχθη σοι καὶ ἐπίνετε ἐν αὐτοῖς, σὺ καὶ οἱ
μεγιστᾶνές σου, καὶ ᾐνέσατε πάντα τὰ εἴδωλα τὰ χειροποίητα τῶν ἀνθρώπων,
καὶ τῷ θεῷ τῷ ζῶντι οὐκ εὐλογήσατε, καὶ τὸ πνεῦμά σου ἐν τῇ χειρὶ αὐτοῦ,
καὶ τὸ βασίλειόν σου αὐτὸς ἔδωκέ σοι, καὶ οὐκ εὐλόγησας αὐτὸν οὐδὲ
ᾔνεσας αὐτῷ. 26 τοῦτο τὸ σύγκριμα τῆς γραφῆς Ἠρίθμηται ὁ χρόνος σου 26
τῆς βασιλείας· 27 ἀπολήγει ἡ βασιλεία σου, συντέτμηται καὶ συντετέλεσται 27
28 ἡ βασιλεία σου· τοῖς Μήδοις καὶ τοῖς Πέρσαις δίδοται. 29 τότε Βαλτάσαρ 28 29
ὁ βασιλεὺς ἐνέδυσε τὸν Δανιὴλ πορφύραν καὶ μανιάκην χρυσοῦν περιέθηκεν
αὐτῷ, καὶ ἔδωκεν ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους τῆς βασιλείας αὐτοῦ.
30 καὶ τὸ σύγκριμα ἐπῆλθε Βαλτάσαρ τῷ βασιλεῖ, καὶ τὸ βασίλειον ἐξῆρται 30
ἀπὸ τῶν Χαλδαίων καὶ ἐδόθη τοῖς Μήδοις καὶ τοῖς Πέρσαις.

## VI.

Καὶ Ἀρταξέρξης ὁ τῶν Μήδων παρέλαβε τὴν βασιλείαν, καὶ Δαρεῖος (5,31)
πλήρης τῶν ἡμερῶν καὶ ἔνδοξος ἐν γήρει. (1) καὶ κατέστησε σατράπας ἑκατὸν
εἴκοσι ἑπτὰ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, 2 καὶ ἐπ' αὐτῶν ἄνδρας τρεῖς 2
ἡγουμένους αὐτῶν· καὶ Δανιὴλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν, 3 ὑπὲρ πάντας 3
ἔχων ἐξουσίαν ἐν τῇ βασιλείᾳ. 4 καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύραν καὶ 4
μέγας καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, καθότι ἦν ἔνδοξος καὶ ἐπι-
στήμων καὶ συνετός, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ, καὶ εὐοδούμενος ἐν ταῖς
πραγματείαις τοῦ βασιλέως αἷς ἔπρασσε. τότε ὁ βασιλεὺς ἐβουλεύσατο κατα-
στῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ [[καὶ τοὺς δύο ἄνδρας,

23. codex ⁒ (sic) καὶ οὐκ usq. αὐτῷ [/.] 27. ed. Rom. συντ.· 28 ἡ β. σ.· contra Holm. et Syr. VI. 4. cod. ap. Holm. σύνεσις ... cod. et Syr. ÷ καὶ εὐοδούμενος (cod. εὐ ÷) ἐ. τ. πρ. τ. βασ. /. ... verba duplicatis uncis a nobis inclusa non recte habent; Segaario videbantur ad v. 3. trahenda esse, ita ut scriberetur ὑπὲρ πάντας καὶ τοὺς δύο etc.; sed potius ex margine irrepsisse videntur, ubi poterat scriptum esse: καὶ ὑπὲρ τοὺς etc.

Digitized by Google

οῦς κατέστησε μετ' αὐτοῦ, καὶ σατράπας ἑκατὸν εἴκοσι ἑπτά ]. ὅτε δὲ ἐβου-
λεύσατο ὁ βασιλεὺς καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ,
5 [5]τότε βουλὴν καὶ γνώμην ἐβουλεύσαντο ἐν ἑαυτοῖς οἱ δύο νεανίσκοι πρὸς
ἀλλήλους λέγοντες, ἐπεὶ οὐδεμίαν ἁμαρτίαν οὐδὲ ἄγνοιαν ηὕρισκον κατὰ τοῦ
Δανιήλ, περὶ ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ εἶπαν Δεῦτε
στήσωμεν ὁρισμὸν καθ' ἑαυτῶν, ὅτι πᾶς ἄνθρωπος οὐκ ἀξιώσει ἀξίωμα καὶ
οὐ μὴ εὔξηται εὐχὴν ἀπὸ παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ
Δαρείου τοῦ βασιλέως· εἰ δὲ μή, ἀποθανεῖται· ἵνα ἡττήσωσι τὸν Δανιὴλ
ἐναντίον τοῦ βασιλέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. ᾔδεισαν γὰρ
ὅτι Δανιὴλ προσεύχεται καὶ δεῖται κυρίου τοῦ θεοῦ αὐτοῦ τρὶς τῆς ἡμέρας.
6 [6]τότε προσήλθοσαν οἱ ἄνθρωποι ἐκεῖνοι καὶ εἶπαν ἐναντίον τοῦ βασιλέως
7 [7]Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν, ὅτι πᾶς ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν
ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ
9 Δαρείου τοῦ βασιλέως, ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων. [9]καὶ οὕτως
10 ὁ βασιλεὺς Δαρεῖος ἔστησε καὶ ἐκύρωσεν. [10]ἐπιγνοὺς δὲ Δανιὴλ τὸν ὁρισμὸν
ὃν ἔστησε κατ' αὐτοῦ, θυρίδας ἤνοιξεν ἐν τῷ ὑπερῴῳ αὐτοῦ κατέναντι
Ἱερουσαλὴμ καὶ ἔπιπτεν ἐπὶ πρόσωπον αὐτοῦ τρὶς τῆς ἡμέρας, καθὼς ἐποίει
11 ἔμπροσθεν, καὶ ἐδεῖτο. [11]καὶ αὐτοὶ ἐτήρησαν τὸν Δανιήλ, καὶ κατελάβοσαν
12 αὐτὸν εὐχόμενον τρὶς τῆς ἡμέρας καθ' ἑκάστην ἡμέραν. [12]τότε οὗτοι οἱ ἄν-
θρωποι ἐνέτυχον τῷ βασιλεῖ καὶ εἶπαν Δαρεῖε βασιλεῦ, οὐχ ὁρισμὸν ὡρίσω
ἵνα πᾶς ἄνθρωπος μὴ εὔξηται εὐχὴν μηδὲ ἀξιώσῃ ἀξίωμα παρὰ παντὸς
θεοῦ ἕως ἡμερῶν τριάκοντα ἀλλὰ παρὰ σοῦ, βασιλεῦ, εἰ δὲ μή, ῥιφήσεται
13 εἰς τὸν λάκκον τῶν λεόντων; [13]ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν αὐτοῖς
Ἀκριβὴς ὁ λόγος, καὶ μενεῖ ὁ ὁρισμός. καὶ εἶπον αὐτῷ Ὁρκίζομέν σε τοῖς
Μήδων καὶ Περσῶν δόγμασιν, ἵνα μὴ ἀλλοιώσῃς τὸ πρόσταγμα μηδὲ θαυ-
μάσῃς πρόσωπον, καὶ ἵνα μὴ ἐλαττώσῃς τι τῶν εἰρημένων, ἀλλὰ καὶ κολάσῃς
τὸν ἄνθρωπον ὃς οὐκ ἐνέμεινε τῷ ὁρισμῷ τούτῳ. καὶ εἶπεν Οὕτως ποιήσω
14 καθὼς λέγετε, καὶ ἕστηκέ μοι τοῦτο. [14]καὶ εἶπαν Ἰδοὺ εὕρομεν Δανιὴλ τὸν
φίλον σου εὐχόμενον καὶ δεόμενον τοῦ προσώπου τοῦ θεοῦ αὐτοῦ τρὶς τῆς
ἡμέρας. [[καὶ λυπούμενος ὁ βασιλεὺς εἶπε ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον
τῶν λεόντων, κατὰ τὸν ὁρισμὸν ὃν ἔστησε κατ' αὐτοῦ.]] τότε ὁ βασιλεὺς
σφόδρα ἐλυπήθη ἐπὶ τῷ Δανιήλ, καὶ ἐβοήθει τοῦ ἐξελέσθαι αὐτὸν ἕως
15 δυσμῶν ἡλίου ἀπὸ τῶν χειρῶν τῶν σατραπῶν, [15]καὶ οὐκ ἠδύνατο ἐξελέσθαι
16 αὐτὸν ἀπ' αὐτῶν. [16]ἀναβοήσας δὲ Δαρεῖος ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ
Ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς τρὶς τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε
17 ἐκ χειρὸς τῶν λεόντων· ἕως πρωὶ θάῤῥει. [17][καὶ λυπούμενος ὁ βασιλεὺς εἶπε
ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων, κατὰ τὸν ὁρισμὸν ὃν ἔστησε
κατ' αὐτοῦ.] τότε Δανιὴλ ἐῤῥίφη εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἠνέχθη
λίθος καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν
τῷ δακτυλίῳ ἑαυτοῦ καὶ ἐν τοῖς δακτυλίοις τῶν μεγιστάνων αὐτοῦ, ὅπως
μὴ ἀπ' αὐτῶν ἀρθῇ ὁ Δανιὴλ ἢ ὁ βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τοῦ λάκκου.
18 [18]τότε ὑπέστρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ καὶ ηὐλίσθη νήστης,

---

7. cod. ap. Holm. παρ. παντ. τοῦ θεοῦ ... post λεόντων Syrus sic pergit: καὶ ἠξίωσαν τὸν βασιλέα ἵνα στήσῃ τὸν ὁρισμὸν καὶ μὴ ἀλλοιώσῃ αὐτόν, ὅτι ᾔδεισαν ὅτι Δανιὴλ προσεύχεται καὶ δεῖται τρὶς τῆς ἡμέρας, ἵνα ἡττηθῇ ἐνώπιον τοῦ βασιλέως καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. His potest versus 8. constitui. 13. δέ ap. Holm. om. 14. 17. Verba uncinis inclusa et codex et Syrus v. 14. exhibent; transferenda nobis cum Hahnio in v. 17. videbantur. 14. ἐπὶ τῷ ex Holm., ed. Rom. ἐπὶ τόν 17. Syr. pro ἔστησε habet ἔστησαν, sed cf. supra v. 9. ... codex et Syr. ÷ ἢ ὁ βασ. α. ἀ. ἐ. τ. λάκκου ⁄.

Digitized by Google

καὶ ἦν λυπούμενος περὶ τοῦ Δανιήλ. τότε ὁ θεὸς τοῦ Δανιὴλ πρόνοιαν ποιού-
μενος αὐτοῦ ἀπέκλεισε τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ
Δανιήλ. [19] καὶ ὁ βασιλεὺς Δαρεῖος ὤρθρισε πρωὶ καὶ παρέλαβε μεθ' ἑαυτοῦ 19
τοὺς σατράπας, καὶ πορευθεὶς ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου τῶν λεόν-
των. [20] τότε ὁ βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ 20
λέγων Ὦ Δανιήλ, εἰ ἄρα ζῇς, καὶ ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς,
σέσωκέ σε ἀπὸ τῶν λεόντων καὶ οὐκ ἠχρείωκάν σε; [21] τότε Δανιὴλ ἐπήκουσε 21
φωνῇ μεγάλῃ καὶ εἶπεν [22] Βασιλεῦ, ἔτι εἰμὶ ζῶν, καὶ σέσωκέ με ὁ θεὸς ἀπὸ 22
τῶν λεόντων, καθότι δικαιοσύνη ἐν ἐμοὶ εὑρέθη ἐναντίον αὐτοῦ· καὶ ἐναν-
τίον δὲ σοῦ, βασιλεῦ, οὔτε ἄγνοια οὔτε ἁμαρτία εὑρέθη ἐν ἐμοί· σὺ δὲ
ἤκουσας ἀνθρώπων πλανώντων βασιλεῖς καὶ ἔρριψάς με εἰς τὸν λάκκον τῶν
λεόντων εἰς ἀπώλειαν. [23] τότε συνήχθησαν πᾶσαι αἱ δυνάμεις καὶ εἶδον τὸν 23
Δανιὴλ ὡς οὐ παρηνώχλησαν αὐτῷ οἱ λέοντες. [24] τότε οἱ δύο ἄνθρωποι ἐκεῖνοι 24
οἱ καταμαρτυρήσαντες τοῦ Δανιὴλ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα
αὐτῶν ἐρρίφησαν τοῖς λέουσι, καὶ οἱ λέοντες ἀπέκτειναν αὐτοὺς καὶ ἔθλασαν
τὰ ὀστᾶ αὐτῶν. [25] τότε Δαρεῖος ἔγραψε πᾶσι τοῖς ἔθνεσι καὶ γλώσσαις καὶ 25
χώραις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ λέγων [26] Πάντες οἱ ἄνθρωποι 26
οἱ ὄντες ἐν τῇ βασιλείᾳ μου ἔστωσαν προςκυνοῦντες καὶ λατρεύοντες τῷ θεῷ
τοῦ Δανιήλ· αὐτὸς γάρ ἐστι θεὸς μένων καὶ ζῶν εἰς γενεὰς γενεῶν ἕως τοῦ
αἰῶνος. [27] ἐγὼ Δαρεῖος ἔσομαι αὐτῷ προςκυνῶν καὶ δουλεύων πάσας τὰς 27
ἡμέρας μου· τὰ γὰρ εἴδωλα τὰ χειροποίητα οὐ δύνανται σῶσαι ὡς ἐλυτρώ-
σατο ὁ θεὸς τοῦ Δανιὴλ τὸν Δανιήλ. [28] καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη 28
πρὸς τὸ γένος αὐτοῦ, καὶ Δανιὴλ κατεστάθη ἐπὶ τῆς βασιλείας Δαρείου,
καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτοῦ.

## VII.

Ἔτους πρώτου βασιλεύοντος Βαλτάσαρ χώρας Βαβυλωνίας Δανιὴλ ὅραμα
εἶδε παρὰ κεφαλὴν ἐπὶ τῆς κοίτης αὐτοῦ. τότε Δανιὴλ τὸ ὅραμα, ὃ εἶδεν,
ἔγραψεν εἰς κεφάλαια λόγων. [2] Ἐπὶ τῆς κοίτης μου ἐθεώρουν καθ' ὕπνους 2
νυκτός, καὶ ἰδοὺ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ ἐνέπεσον εἰς τὴν θάλασσαν
τὴν μεγάλην. [3] καὶ τέσσαρα θηρία ἀνέβαινον ἐκ τῆς θαλάσσης διαφέροντα 3
ἓν παρὰ τὸ ἕν· [4] τὸ πρῶτον ὡσεὶ λέαινα ἔχουσα πτερὰ ὡσεὶ ἀετοῦ· ἐθεώρουν 4
ἕως ὅτου ἐτίλη τὰ πτερὰ αὐτῆς καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν
ἀνθρωπίνων ἐστάθη καὶ ἀνθρωπίνη καρδία ἐδόθη αὐτῇ. [5] καὶ ἰδοὺ μετ' αὐτὴν 5
ἄλλο θηρίον ὁμοίωσιν ἔχον ἄρκου, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ ἐστάθη, καὶ
τρία πλευρὰ ἦν ἐν τῷ στόματι αὐτῆς ἐν μέσῳ ὀδόντων αὐτῆς, καὶ οὕτως
εἶπεν Ἀνάστα, κατάφαγε σάρκας πολλάς. [6] καὶ μετὰ ταῦτα ἐθεώρουν θηρίον 6
ἄλλο ὡσεὶ πάρδαλιν, καὶ πτερὰ τέσσαρα ἐπέτεινον ἐπάνω αὐτοῦ καὶ τέσσαρες
κεφαλαὶ τῷ θηρίῳ· [7] μετὰ δὲ ταῦτα ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς θηρίον 7
τέταρτον φοβερόν, καὶ ὁ φόβος αὐτοῦ ὑπερφέρων ἰσχύϊ, ἔχον ὀδόντας σιδη-
ροῦς μεγάλους, ἐσθίον καὶ κοπανίζον, κύκλῳ τοῖς ποσὶ περιπατοῦν, διαφόρως
χρώμενον παρὰ πάντα τὰ πρὸ αὐτοῦ θηρία· εἶχε δὲ κέρατα δέκα, καὶ βουλαὶ
πολλαὶ ἐν τοῖς κέρασιν αὐτοῦ. [8] καὶ ἰδοὺ ἄλλο ἓν κέρας ἀνεφύη ἀνὰ μέσον 8
αὐτῶν μικρὸν ἐν τοῖς κέρασιν αὐτοῦ, καὶ τρία τῶν κεράτων τῶν πρώτων
ἐξηράνθησαν δι' αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὥςπερ ὀφθαλμοὶ ἀνθρώπινοι ἐν
τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἐποίει πόλεμον πρὸς τοὺς

---

20. σύ ex Holm., ed. Rom. om. 22. ἐν αὐτ. ap. Holm. om. ... Syr. om. καί ante ἔρριψας 28. codex et Syr. ÷ καὶ Δανιὴλ κατ. ἐ. τ. β. Δαρείου /. VII. 1. Syr. παρὰ κεφαλ. αὐτοῦ 5. codex et Syr. ⋇ ἐν μέσῳ ὀδ. αὐτῆς /. 6. Syr. in fine versus add. καὶ γλῶσσα ἐδόθη αὐτῷ 8. codex et Syr. ÷ καὶ ἐπ. πόλ. πρ. τ. ἁγίους /.

Digitized by Google

9 ἁγίους. [9] ἐϑεώρουν ἕως ὅτε ϑρόνοι ἐτέϑησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάϑητο
ἔχων περιβολὴν ὡσεὶ χιόνα, καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον
λευκὸν καϑαρόν, ὁ ϑρόνος ὡσεὶ φλὸξ πυρός, τροχοὶ αὐτοῦ πῦρ καιόμενον,
10 ποταμὸς πυρὸς ἕλκων, [10] καὶ ἐξεπορεύετο κατὰ πρόσωπον αὐτοῦ ποταμὸς
πυρός· χίλιαι χιλιάδες ἐϑεράπευον αὐτὸν καὶ μύριαι μυριάδες παρειστήκεισαν
11 αὐτῷ, καὶ κριτήριον ἐκάϑισε καὶ βίβλοι ἠνεῴχϑησαν. [11] ἐϑεώρουν τότε τὴν
φωνὴν τῶν λόγων τῶν μεγάλων ὧν τὸ κέρας ἐλάλει. Θεωρῶν ἤμην, καὶ
ἀπετυμπανίσϑη τὸ ϑηρίον, καὶ ἀπώλετο τὸ σῶμα αὐτοῦ καὶ ἐδόϑη εἰς καῦσιν
12 πυρός. [12] καὶ τοὺς κύκλῳ αὐτοῦ ἀπέστησε τῆς ἐξουσίας αὐτῶν, καὶ χρόνος
13 ζωῆς ἐδόϑη αὐτοῖς ἕως χρόνου καὶ καιροῦ. [13] ἐϑεώρουν ἐν ὁράματι τῆς νυκτός,
καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνϑρώπου ἤρχετο, καὶ ὡς
14 παλαιὸς ἡμερῶν παρῆν, καὶ οἱ παρεστηκότες παρῆσαν αὐτῷ. [14] καὶ ἐδόϑη
αὐτῷ ἐξουσία καὶ τιμὴ βασιλική, καὶ πάντα τὰ ἔϑνη τῆς γῆς κατὰ γένη
καὶ πᾶσα δόξα αὐτῷ λατρεύουσα· καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος,
15 ἥτις οὐ μὴ ἀρϑῇ, καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ φϑαρῇ. [15] καὶ ἀκη-
διάσας ἐγὼ Δανιὴλ ἐν τούτοις ἐν τῷ ὁράματι τῆς νυκτός, ἐτάρασσόν με οἱ
16 διαλογισμοί μου, [16] προσῆλϑον πρὸς ἕνα τῶν ἑστώτων καὶ τὴν ἀκρίβειαν
ἐζήτουν παρ' αὐτοῦ ὑπὲρ πάντων τούτων. ἀποκριϑεὶς δὲ λέγει μοι καὶ τὴν
17 κρίσιν τῶν λόγων ἐδήλωσέ μοι [17] Ταῦτα τὰ ϑηρία τὰ μεγάλα εἰσὶ τέσσαρες
18 βασιλεῖαι, αἳ ἀπολοῦνται ἀπὸ τῆς γῆς· [18] καὶ παραλήψονται τὴν βασιλείαν
ἅγιοι ὑψίστου, καὶ καϑέξουσι τὴν βασιλείαν ἕως τοῦ αἰῶνος τῶν αἰώνων.
19 [19] τότε ἤϑελον ἐξακριβώσασϑαι περὶ τοῦ ϑηρίου τοῦ τετάρτου τοῦ διαφϑεί-
ροντος πάντα καὶ ὑπερφόβου, καὶ ἰδοὺ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ
ὄνυχες αὐτοῦ χαλκοῖ, κατεσϑίοντος πάντας κυκλόϑεν καὶ περιπατοῦντος τοῖς
20 ποσί, [20] καὶ περὶ τῶν δέκα κεράτων αὐτοῦ τῶν ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ
ἑνὸς τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ ἐξέπεσαν δι' αὐτοῦ τρία, καὶ τὸ κέρας
ἐκεῖνο εἶχεν ὀφϑαλμοὺς καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ πρόσοψις αὐτοῦ
21 ὑπερέφερε τὰ ἄλλα. [21] καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον
22 πρὸς τοὺς ἁγίους καὶ τροπούμενον αὐτούς, [22] ἕως τοῦ ἐλϑεῖν τὸν παλαιὸν τῶν
ἡμερῶν, καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ ὑψίστου, καὶ ὁ καιρὸς ἐδόϑη
23 καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι. [23] καὶ ἐρρέϑη μοι περὶ τοῦ ϑηρίου τοῦ
τετάρτου, ὅτι βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς γῆς, ἥτις διοίσει παρὰ πᾶσαν
τὴν γῆν, καὶ καταφάγεται πᾶσαν τὴν γῆν καὶ ἀναστατώσει αὐτὴν καὶ κατα-
24 λεανεῖ αὐτήν. [24] καὶ τὰ δέκα κέρατα τῆς βασιλείας δέκα βασιλεῖς στήσονται·
καὶ ὁ ἄλλος βασιλεὺς μετὰ τούτους στήσεται, καὶ αὐτὸς διοίσει κακοῖς ὑπὲρ
25 τοὺς πρώτους καὶ τρεῖς βασιλεῖς ταπεινώσει, [25] καὶ ῥήματα εἰς τὸν ὕψιστον
λαλήσει καὶ τοὺς ἁγίους τοῦ ὑψίστου κατατρίψει, καὶ προσδέξεται ἀλλοιῶσαι
καιροὺς καὶ νόμον, καὶ παραδοϑήσεται πάντα εἰς τὰς χεῖρας αὐτοῦ ἕως καιροῦ
26 καὶ καιρῶν καὶ ἕως ἡμίσους καιροῦ. [26] καὶ ἡ κρίσις καϑίσεται, καὶ τὴν ἐξου-
27 σίαν ἀπολοῦσι, καὶ βουλεύσονται μιᾶναι καὶ ἀπολέσαι ἕως τέλους. [27] καὶ τὴν
βασιλείαν καὶ τὴν ἐξουσίαν καὶ τὴν μεγαλειότητα αὐτῶν καὶ τὴν ἀρχὴν
πασῶν τῶν ὑπὸ τὸν οὐρανὸν βασιλειῶν ἔδωκε λαῷ ἁγίῳ ὑψίστῳ βασιλεῦσαι

---

9. Syr. ὁ ϑρόν. αὐτοῦ ... codex et Syr. ※ τροχοὶ αὐτοῦ - - - ἕλκων /. (cod. /. om.) 11. Syr. ※ ϑεωρῶν ἤμην /. 13. codex παρῆσαν — (sic) αὐτῷ 14. codex et Syr. ※ καὶ (cod. h. l. repetit ※) τιμὴ βασιλική /. 15. codex et Syr. ※ ἐτάρασσ. με οἱ διαλ. μου /. (sed Syr. om. οἱ διαλ. μου) 18. Syr. ἕως τ. αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος τῶν αἰώνων 19. cod. ap. Holm. et Syr. κατεσϑίοντες et καταπατοῦντες 20. Syr. ἐπὶ τ. κεφ. αὐτοῦ καὶ περὶ τοῦ 22. τῶν ex Holm., ed. Rom. om. 23. codex et Syr. ※ καὶ καταφάγ. πᾶσ. τ. γῆν /. 24. Syr. ἐκ τῆς βασιλείας 27. Syr. ἁγίῳ ὑψίστου

Digitized by Google

βασιλείαν αἰώνιον, καὶ πᾶσαι ἐξουσίαι αὐτῷ ὑποταγήσονται καὶ πειθαρχή-
σουσιν αὐτῷ ἕως καταστροφῆς τοῦ λόγου. 28 ἐγὼ Δανιὴλ σφόδρα ἐκστάσει 28
περιειχόμην, καὶ ἡ ἕξις μου διήνεγκεν ἐμοί, καὶ τὸ ῥῆμα ἐν καρδίᾳ μου
ἐστήριξα.

## VIII.

Ἔτους τρίτου βασιλεύοντος Βαλτάσαρ ὅρασις ἣν εἶδον ἐγὼ Δανιὴλ μετὰ
τὸ ἰδεῖν με τὴν πρώτην. 2 καὶ εἶδον ἐν τῷ ὁράματι τοῦ ἐνυπνίου μου, ἐμοῦ 2
ὄντος ἐν Σούσοις τῇ πόλει, ἥτις ἐστὶν ἐν Ἐλυμαΐδι χώρᾳ, καὶ εἶδον ἐν
ὁράματι ἔτι ὄντος μου πρὸς τῇ πύλῃ Αἰλάμ· 3 ἀναβλέψας εἶδον κριὸν ἕνα 3
μέγαν ἑστῶτα ἀπέναντι τῆς πύλης, καὶ εἶχε κέρατα, καὶ τὰ κέρατα ὑψηλά,
καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινε. 4 μετὰ δὲ 4
ταῦτα εἶδον τὸν κριὸν κερατίζοντα πρὸς ἀνατολὰς καὶ πρὸς βοῤῥᾶν καὶ πρὸς
δυσμὰς καὶ μεσημβρίαν, καὶ πάντα τὰ θηρία οὐχ ἔστησαν ὀπίσω αὐτοῦ,
καὶ οὐκ ἦν ὁ ῥυόμενος ἐκ τῶν χειρῶν αὐτοῦ, καὶ ἐποίει ὡς ἤθελε καὶ ὑψώθη.
5 καὶ ἐγὼ διενοούμην, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ δυσμῶν ἐπὶ προςώπου 5
τῆς γῆς [καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς], καὶ ἦν τοῦ τράγου κέρας ἓν θεω-
ρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ· 6 καὶ ἦλθεν ἐπὶ τὸν κριὸν τὸν τὰ 6
κέρατα ἔχοντα, ὃν εἶδον ἑστῶτα πρὸς τῇ πύλῃ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν
θυμῷ ὀργῆς. 7 καὶ εἶδον αὐτὸν προςάγοντα πρὸς τὸν κριόν, καὶ ἐθυμώθη 7
ἐπ᾽ αὐτόν, καὶ ἐπάταξεν τὸν κριὸν καὶ συνέτριψε τὰ δύο κέρατα αὐτοῦ, καὶ
οὐκ ἔτι ἦν ἰσχὺς ἐν τῷ κριῷ στῆναι κατέναντι τοῦ τράγου· καὶ ἐσπάραξεν
αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνέτριψεν αὐτόν, καὶ οὐκ ἦν ὁ ῥυόμενος τὸν κριὸν
ἀπὸ τοῦ τράγου. 8 καὶ ὁ τράγος τῶν αἰγῶν κατίσχυσε σφόδρα, καὶ ὅτε 8
κατίσχυσε συνετρίβη αὐτοῦ τὸ κέρας τὸ μέγα, καὶ ἀνέβη ἕτερα τέσσαρα
κέρατα κατόπισθεν αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ· 9 καὶ ἐξ 9
ἑνὸς αὐτῶν ἀνεφύη κέρας ἰσχυρὸν ἕν, καὶ κατίσχυσε καὶ ἐπάταξεν ἐπὶ
μεσημβρίαν ἐπὶ νότον καὶ ἐπ᾽ ἀνατολὰς καὶ ἐπὶ βοῤῥᾶν, 10 καὶ ὑψώθη ἕως 10
τῶν ἀστέρων τοῦ οὐρανοῦ· καὶ ἐῤῥάχθη ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων καὶ
ἀπὸ αὐτῶν κατεπατήθη, 11 ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχμαλωσίαν· 11
καὶ δι᾽ αὐτὸν τὰ ὄρη τὰ ἀπ᾽ αἰῶνος ἐῤῥάχθη, καὶ ἐξῄρθη ὁ τόπος αὐτῶν
καὶ θυσία, καὶ ἔθηκεν αὐτὴν ἕως χαμαὶ ἐπὶ τὴν γῆν, καὶ εὐωδώθησαν καὶ
ἐγενήθη, καὶ τὸ ἅγιον ἐρημωθήσεται. 12 καὶ ἐγενήθησαν ἐπὶ τῇ θυσίᾳ αἱ 12
ἁμαρτίαι, καὶ ἐῤῥίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ ἐποίησε καὶ εὐωδώθη. 13 καὶ 13
ἤκουον ἑτέρου ἁγίου λαλοῦντος· καὶ εἶπεν ὁ ἕτερος ἅγιος τῷ φελμουνὶ τῷ
λαλοῦντι Ἕως τίνος τὸ ὅραμα στήσεται καὶ ἡ θυσία ἡ ἀρθεῖσα καὶ ἡ ἁμαρτία
ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα; 14 καὶ 14
εἶπεν αὐτῷ Ἕως ἑσπέρας καὶ πρωὶ ἡμέραι δισχίλιαι τριακόσιαι, καὶ καθαρι-
σθήσεται τὸ ἅγιον. 15 καὶ ἐγένετο ἐν τῷ θεωρεῖν με, ἐγὼ Δανιὴλ τὸ ὅραμα 15
ἐζήτουν διανοηθῆναι, καὶ ἰδοὺ ἔστη κατεναντίον μου ὡς ὅρασις ἀνθρώπου.
16 καὶ ἤκουσα φωνὴν ἀνθρώπου ἀνὰ μέσον τοῦ Οὐλαΐ καὶ ἐκάλεσε καὶ εἶπεν 16
Γαβριήλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. καὶ ἀναβοήσας εἶπεν ὁ ἄνθρωπος
Ἐπὶ τὸ πρόςταγμα ἐκεῖνο ἡ ὅρασις. 17 καὶ ἦλθε καὶ ἔστη ἐχόμενός μου τῆς 17

---

27. cod. in marg. ἕως ὧδε τὸ πέρας τοῦ λόγου VIII. 2. codex et Syr. χώρᾳ, ※ καὶ εἶδ. ἐν ὁράματι ↙. 3. codex et Syr. ※ καὶ τὰ κέρ. ὑψηλά ↙. 5. Verba καὶ οὐκ ἦν απτ. τ. γῆς e Syro sunt ... codex et Syr. ※ θεωρητόν ↙ ... αὐτοῦ cum Syro pro αὐτῶν scripsimus. 7. codex et Syr. ἐπάταξ. (Syr. add. αὐτόν) ※ τὸν κριόν ↙. 9. Syr. om. ἐπὶ νότον 11. Syr. εὐωδώθη reddit. 11. Diversa h. l. in unum conflata videntur. 13. codex et Syr. ὁ ἕτερος ※ (cod. om. sign.) ἅγιος ↙. 14. Syr. δισχίλ. καὶ τριακ. 16. codex (et Syr.) ÷ καὶ ἀναβ. εἶπ. ὁ ἄνθρ. (h. l. repetit ÷) ἐπὶ τὸ πρ. ἐκ. ἡ ὅρασις ↙.

Digitized by Google

στάσεως· καὶ ἐν τῷ ἔρχεσθαι αὐτὸν ἐθορυβήθην καὶ ἔπεσα ἐπὶ πρόσωπόν μου·
καὶ εἰπέ μοι Διανοήθητι, υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς ὥραν καιροῦ τοῦτο τὸ
18 ὅραμα. [18]καὶ λαλοῦντος αὐτοῦ μετ' ἐμοῦ ἐκοιμήθην ἐπὶ πρόσωπον χαμαί,
19 καὶ ἁψάμενός μου ἤγειρέ με ἐπὶ τοῦ τόπου, καὶ εἰπέ μοι [19]Ἰδοὺ ἐγὼ ἀπαγ-
γέλλω σοι ἃ ἔσται ἐπ' ἐσχάτου τῆς ὀργῆς τοῖς υἱοῖς τοῦ λαοῦ σου· ἔτι γὰρ
20 εἰς ὥρας καιροῦ συντελείας μενεῖ. [20]τὸν κριὸν ὃν εἶδες τὸν ἔχοντα τὰ κέρατα,
21 βασιλεὺς Μήδων καὶ Περσῶν ἐστί· [21]καὶ ὁ τράγος τῶν αἰγῶν βασιλεὺς τῶν
Ἑλλήνων ἐστί· καὶ τὸ κέρας τὸ μέγα τὸ ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ,
22 αὐτὸς ὁ βασιλεὺς ὁ πρῶτος. [22]καὶ τὰ συντριβέντα καὶ ἀναβάντα ὀπίσω
αὐτοῦ τέσσαρα κέρατα, τέσσαρες βασιλεῖς τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται,
23 οὐ κατὰ τὴν ἰσχὺν αὐτῶν. [23]καὶ ἐπ' ἐσχάτου τῆς βασιλείας αὐτῶν πληρου-
μένων τῶν ἁμαρτιῶν αὐτῶν ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, διανοού-
24 μενος αἰνίγματα· [24]καὶ στερεωθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ οὐκ ἐν τῇ ἰσχύϊ
αὐτοῦ, καὶ θαυμαστῶς φθερεῖ καὶ εὐοδωθήσεται καὶ ποιήσει, καὶ φθερεῖ
25 δυνάστας καὶ δῆμον ἁγίων· [25]καὶ ἐπὶ τοὺς ἁγίους τὸ διανόημα αὐτοῦ, καὶ
εὐοδωθήσεται τὸ ψεῦδος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ὑψωθή-
σεται, καὶ δόλῳ ἀφανιεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας ἀνδρῶν στήσεται καὶ
26 ποιήσει συναγωγὴν χειρὸς καὶ ἀποδώσεται. [26]τὸ ὅραμα τὸ ἑσπέρας καὶ πρωὶ
ηὑρέθη ἐπ' ἀληθείας· καὶ νῦν πεφραγμένον τὸ ὅραμα, ἔτι εἰς ἡμέρας πολλάς.
27 [27]Ἐγὼ Δανιὴλ ἀσθενήσας ἡμέρας πολλάς, καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν
βασιλικά, καὶ ἐξελυόμην ἐπὶ τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμενος.

## IX.

Ἔτους πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς τῆς Μηδικῆς,
2 οἳ ἐβασίλευσαν ἐπὶ τὴν βασιλείαν τῶν Χαλδαίων· [2]τῷ πρώτῳ ἔτει τῆς
βασιλείας αὐτοῦ ἐγὼ Δανιὴλ διενοήθην ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν
ἐτῶν, ὅτε ἐγένετο πρόσταγμα τῇ γῇ ἐπὶ Ἱερεμίαν τὸν προφήτην ἐγεῖραι
3 εἰς ἀναπλήρωσιν ὀνειδισμοῦ Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. [3]καὶ ἔδωκα τὸ
πρόσωπόν μου ἐπὶ κύριον τὸν θεὸν εὑρεῖν προσευχὴν καὶ ἔλεος ἐν νηστείαις
4 καὶ σάκκῳ καὶ σποδῷ. [4]καὶ προσηυξάμην πρὸς κύριον τὸν θεόν, ἐξωμολογη-
σάμην καὶ εἶπα Ἰδοὺ κύριε, σὺ εἶ ὁ θεὸς ὁ μέγας καὶ ὁ ἰσχυρὸς καὶ ὁ
φοβερός, τηρῶν τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε καὶ τοῖς
5 φυλάσσουσι τὰ προστάγματά σου· [5]ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν,
6 καὶ ἀπέστημεν καὶ παρέβημεν τὰς ἐντολάς σου καὶ τὰ κρίματά σου, [6]καὶ
οὐκ ἠκούσαμεν τῶν παίδων σου τῶν προφητῶν, οἳ ἐλάλησαν ἐπὶ τῷ ὀνό-
ματί σου ἐπὶ τοὺς βασιλεῖς ἡμῶν καὶ δυνάστας ἡμῶν καὶ πατέρας ἡμῶν
7 καὶ παντὶ ἔθνει ἐπὶ τῆς γῆς. [7]σοὶ κύριε ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη
τοῦ προσώπου, κατὰ τὴν ἡμέραν ταύτην, ἀνθρώποις Ἰούδα καὶ καθημένοις
ἐν Ἱερουσαλὴμ καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ τῷ ἔγγιστα καὶ τῷ ἀπωτέρω ἐν
πάσαις ταῖς χώραις, εἰς ἃς διεσκόρπισας αὐτοὺς ἐκεῖ ἐν τῇ πλημμελείᾳ ᾗ
8 ἐπλημμέλησαν ἐναντίον σου. [8]δέσποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου καὶ
τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς δυνάσταις καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρ-
9 τομέν σοι. [9]τῷ κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ σοῦ,
10 [10]καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν κατακολουθῆσαι τῷ
νόμῳ αὐτου, ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡμῶν διὰ τῶν παίδων σου τῶν
11 προφητῶν. [11]καὶ πᾶς Ἰσραὴλ ἐγκατέλιπε τὸν νόμον σου καὶ ἀπέστησαν τοῦ
μὴ ἀκοῦσαι τῆς φωνῆς σου· καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα καὶ ὁ ὅρκος

---

22. τὰ συντριβ. ex Holm., ed. Rom. τοῦ -βέντος 26. cod. ÷ τὸ ὅραμα τὸ (nil praeterea) ... ἔτι ex Holm., ed. Rom. add. γάρ IX. 2. ἐγεῖραι ap. Holm. om. 4. Syr. καὶ ἐξωμολογησάμην 8. τοῖς sec. ex Holm., ed. Rom. om. 10. αὐτοῦ ex Holm., ed. Rom. σου

Digitized by Google

ὁ γεγραμμένος ἐν τῷ νόμῳ Μωσῆ παιδὸς τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ,
[12] καὶ ἔστησεν ἡμῖν τὰ προστάγματα αὐτοῦ, ὅσα ἐλάλησεν ἐφ' ἡμᾶς καὶ 12
ἐπὶ τοὺς κριτὰς ἡμῶν, ὅσα ἔκρινας ἡμῖν ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα,
οἷα οὐκ ἐγενήθη ὑπὸ τὸν οὐρανὸν καθότι ἐγενήθη ἐν Ἱερουσαλήμ· [13] κατὰ 13
τὰ γεγραμμένα ἐν διαθήκῃ Μωσῆ, πάντα τὰ κακὰ ἐπῆλθεν ἡμῖν· καὶ οὐκ
ἐξεζητήσαμεν τὸ πρόσωπον κυρίου θεοῦ ἡμῶν ἀποστῆναι ἀπὸ τῶν ἁμαρτιῶν
ἡμῶν καὶ διανοηθῆναι τὴν δικαιοσύνην σου, κύριε. [14] καὶ ἠγρύπνησε κύριος 14
ὁ θεὸς ἐπὶ τὰ κακὰ καὶ ἐπήγαγεν ἐφ' ἡμᾶς, ὅτι δίκαιος κύριος ὁ θεὸς ἡμῶν
ἐπὶ πάντα ὅσα ἂν ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ. [15] καὶ νῦν, 15
δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐξ Αἰγύπτου τῷ
βραχίονί σου τῷ ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα κατὰ τὴν ἡμέραν ταύτην,
ἡμάρτομεν, ἠγνοήκαμεν. [16] δέσποτα, κατὰ τὴν δικαιοσύνην σου ἀποστραφήτω 16
ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἱερουσαλήμ, ὄρους τοῦ
ἁγίου σου· ὅτι ἐν ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέρων
ἡμῶν Ἱερουσαλὴμ καὶ ὁ δῆμός σου, κύριε, εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς περι-
κύκλῳ ἡμῶν. [17] καὶ νῦν ἐπάκουσον, δέσποτα, τῆς προσευχῆς τοῦ παιδός σου 17
καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐπιβλεψάτω τὸ πρόσωπόν σου ἐπὶ τὸ ὄρος τὸ
ἅγιόν σου τὸ ἔρημον ἕνεκεν τῶν δούλων σου, δέσποτα. [18] πρόσχες κύριε 18
τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἴδε τὴν
ἐρήμωσιν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπεκλήθη τὸ ὄνομά σου ἐπ' αὐτῆς·
οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς δεόμεθα ἐν ταῖς προσευχαῖς ἡμῶν
ἐνώπιόν σου, ἀλλὰ διὰ τὸ σὸν ἔλεος, κύριε, σὺ ἱλάτευσον. [19] κύριε, ἐπά- 19
κουσον καὶ ποίησον, καὶ μὴ χρονίσῃς ἕνεκα σεαυτοῦ, δέσποτα, ὅτι τὸ
ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου Σιὼν καὶ ἐπὶ τὸν λαόν σου Ἰσραήλ.
[20] Καὶ ἕως ἐγὼ ἐλάλουν προσευχόμενος καὶ ἐξομολογούμενος τὰς ἁμαρτίας μου 20
καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραήλ, καὶ δεόμενος ἐν ταῖς προσευχαῖς
ἐναντίον κυρίου θεοῦ μου καὶ ὑπὲρ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ ἡμῶν,
[21] καὶ ἔτι λαλοῦντός μου ἐν τῇ προσευχῇ μου, καὶ ἰδοὺ ὁ ἀνήρ, ὃν εἶδον 21
ἐν τῷ ὕπνῳ μου τὴν ἀρχήν, Γαβριὴλ τάχει φερόμενος προσήγγισέ μοι ἐν
ὥρᾳ θυσίας ἑσπερινῆς, [22] καὶ προσῆλθε καὶ ἐλάλησε μετ' ἐμοῦ καὶ εἶπε Δανιήλ, 22
ἄρτι ἐξῆλθον ὑποδεῖξαί σοι διάνοιαν. [23] ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε 23
πρόσταγμα παρὰ κυρίου, καὶ ἐγὼ ἦλθον ὑποδεῖξαί σοι, ὅτι ἐλεεινὸς εἶ, καὶ
διανοήθητι τὸ πρόσταγμα. [24] ἑβδομήκοντα ἑβδομάδες ἐκρίθησαν ἐπὶ τὸν 24
λαόν σου καὶ ἐπὶ τὴν πόλιν Σιὼν συντελεσθῆναι τὴν ἁμαρτίαν καὶ τὰς
ἀδικίας σπανίσαι καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ διανοηθῆναι τὸ ὅραμα
καὶ δοθῆναι δικαιοσύνην αἰώνιον, καὶ συντελεσθῆναι τὰ ὁράματα καὶ προ-
φήτην, καὶ εὐφρᾶναι ἅγιον ἁγίων. [25] καὶ γνώσῃ καὶ διανοηθήσῃ καὶ εὐφραν- 25
θήσῃ καὶ εὑρήσεις προστάγματα ἀποκριθῆναι, καὶ οἰκοδομήσεις Ἱερουσαλὴμ
πόλιν κυρίῳ. [26] καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑξήκοντα δύο ἀποστα- 26
θήσεται χρῖσμα καὶ οὐκ ἔσται, καὶ βασιλεία ἐθνῶν φθερεῖ τὴν πόλιν καὶ
τὸ ἅγιον μετὰ τοῦ χριστοῦ, καὶ ἥξει ἡ συντέλεια αὐτοῦ μετ' ὀργῆς καὶ ἕως

---

16. Syr. εἰς ὀνειδισμὸν ἐγένετο 17. Syr. αὐτοῦ pro μου 18. Syr. om. ἐπ' αὐτῆς ... Syr. ἐπὶ τῇ δικαιοσύνῃ ... Syr. σὺ ἱλάτευσον ἡμῖν 23. ed. Rom. ἐλεηνός ... Syr. in fine versus add. καὶ διενοήθην τὸ πρόσταγμα. 24. Syr. τὴν ἀδικίαν σπανίσαι ... Syr. ÷ καὶ δοθ. δικαιοσύνην αἰώνιον /. ... codex et Syr. τὰ ὁράματα (Syr. τὸ ὅραμα) ⋇ καὶ (cod. rursus add. ⋇) προφήτην /. (sed /. in cod. plane deest et in Syro post εὐφρᾶναι ponitur) 26. 27. Textum horum duorum versuum confusum et corruptum esse apparet. Vario modo restitutio temptata est. Tenendum videtur, verba καὶ πάλιν ἐπιστρέψει usque κατ. συντ. καιρῶν post priorem numerum καὶ μετὰ ἑπτ. κ. ἑβδ. κ. ἑξ. δύο collocanda esse, tum vero altero numero

Digitized by Google

27 καιροῦ συντελείας ἀπὸ πολέμου πολεμηθήσεται. [27]καὶ δυναστεύσει ἡ διαθήκη
εἰς πολλούς, καὶ πάλιν ἐπιστρέψει καὶ ἀνοικοδομηθήσεται εἰς πλάτος καὶ
μῆκος καὶ κατὰ συντέλειαν καιρῶν, καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα καιροὺς
καὶ ξβ' ἐτῶν ἕως καιροῦ συντελείας πολέμου, καὶ ἀφαιρεθήσεται ἡ ἐρήμωσις
ἐν τῷ κατισχῦσαι τὴν διαθήκην ἐπὶ πολλὰς ἑβδομάδας, καὶ ἐν τῷ τέλει τῆς
ἑβδομάδος ἀρθήσεται ἡ θυσία καὶ ἡ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν
ἐρημώσεων ἔσται ἕως συντελείας, καὶ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

## X.

Ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως Περσῶν πρόσταγμα
ἐδείχθη τῷ Δανιήλ, ὃς ἐπεκλήθη τὸ ὄνομα Βαλτάσαρ· καὶ ἀληθὲς τὸ ὅραμα
καὶ τὸ πρόσταγμα, καὶ τὸ πλῆθος τὸ ἰσχυρὸν διανοηθήσεται τὸ πρόσταγμα,
2 καὶ διενοήθην αὐτὸ ἐν ὁράματι. [2]ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην
3 πενθῶν τρεῖς ἑβδομάδας· [3]ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος
οὐκ εἰςῆλθεν εἰς τὸ στόμα μου, ἔλαιον οὐκ ἠλειψάμην, ἕως τοῦ συντελέσαι με
4 τὰς τρεῖς ἑβδομάδας τῶν ἡμερῶν. [4]καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ
εἰκάδι τοῦ μηνὸς τοῦ πρώτου, καὶ ἐγὼ ἤμην ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ
5 τοῦ μεγάλου, ὅς ἐστι Τίγρις, [5]καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ
ἰδοὺ ἄνθρωπος εἷς ἐνδεδυμένος βύσσινα καὶ τὴν ὀσφὺν περιεζωσμένος βυσσίνῳ,
6 καὶ ἐκ μέσου αὐτοῦ φῶς, καὶ τὸ στόμα αὐτοῦ ὡςεὶ θαλάσσης, [6]καὶ τὸ
πρόςωπον αὐτοῦ ὡςεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡςεὶ λαμ-
πάδες πυρός, καὶ οἱ βραχίονες αὐτοῦ καὶ οἱ πόδες ὡςεὶ χαλκὸς ἐξαστράπτων,
7 καὶ φωνὴ λαλιᾶς αὐτοῦ ὡςεὶ φωνὴ θορύβου. [7]καὶ εἶδον ἐγὼ Δανιὴλ τὴν
ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οἱ ἄνθρωποι οἱ ὄντες μετ' ἐμοῦ οὐκ εἴδοσαν
τὴν ὅρασιν ταύτην, καὶ φόβος ἰσχυρὸς ἐπέπεσεν ἐπ' αὐτοὺς καὶ ἀπέδρασαν
8 ἐν σπουδῇ. [8]καὶ ἐγὼ κατελείφθην μόνος καὶ εἶδον τὴν ὅρασιν τὴν μεγάλην
ταύτην, καὶ οὐ κατελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἰδοὺ πνεῦμα ἐπεστράφη
9 ἐπ' ἐμὲ εἰς φθοράν, καὶ οὐ κατίσχυσα. [9]καὶ οὐκ ἤκουσα τὴν φωνὴν λαλιᾶς
10 αὐτοῦ· ἐγὼ ἤμην πεπτωκὼς ἐπὶ πρόςωπόν μου ἐπὶ τὴν γῆν. [10]καὶ ἰδοὺ
χεῖρα προςήγαγέ μοι καὶ ἤγειρέ με ἐπὶ τῶν γονάτων ἐπὶ τὰ ἴχνη τῶν
11 ποδῶν μου, [11]καὶ εἶπέν μοι Δανιήλ, ἄνθρωπος ἐλεεινὸς εἶ, διανοήθητι τοῖς
προστάγμασιν οἷς ἐγὼ λαλῶ ἐπὶ σέ, καὶ στῆθι ἐπὶ τοῦ τόπου σου, ἄρτι
γὰρ ἀπεστάλην ἐπὶ σέ· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ τὸ πρόσταγμα
12 τοῦτο ἔστην τρέμων. [12]καὶ εἶπεν πρὸς μέ Μὴ φοβοῦ, Δανιήλ, ὅτι ἀπὸ τῆς
ἡμέρας τῆς πρώτης ἧς ἔδωκας τὸ πρόςωπόν σου διανοηθῆναι καὶ ταπεινω-
θῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου, εἰςηκούσθη τὸ ῥῆμά σου, καὶ ἐγὼ
13 εἰςῆλθον τῷ ῥήματί σου. [13]καὶ ὁ στρατηγὸς βασιλέως Περσῶν ἀνθειστήκει
ἐναντίον μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόν-
των τῶν πρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ αὐτὸν ἐκεῖ κατέλιπον μετὰ
14 τοῦ στρατηγοῦ βασιλέως Περσῶν, [14]καὶ εἶπέν μοι Ἦλθον ὑποδεῖξαί σοι τί

---

inserto καὶ μετὰ ἑ. κ. ἑ. καιρ. κ. ξβ' ἐτῶν (Syr. rectius ἔτη) pergendum ἀποσταθήσεται χρῖσμα usque πολεμηθήσεται. Difficilius vero est antiquum reliquorum invenire ordinem. Proxime huc quadrant, ut iam Segaarius monuit, ἕως καιροῦ συντ. πολέμου, καὶ ἀφαιρ. ἡ ἐρήμωσις, quorum priora Hahnio delenda videbantur. Reliqua idem sic sanavit ut expunctis verbis ἐν τῷ κατ. τ. δ. ἐπὶ πολλούς (pro πολλάς), quippe ex altera versione ad verba καὶ δυνατ. ἡ διαθ. ε. πολλοὺς appositis, pro ἑβδομάδας corrigeret ἑβδομάδα. 27. codex ÷ ἐπὶ τὴν ἐρήμωσιν [/.], Syr. ÷ βδέλυγμα - - - ἐ. τ. ἐρήμωσιν /. X. 1. codex et Syr. ÷ αὐτὸ ἐν ὁράματι /. 3. τὰς cod. ap. Holm. om. 5. Syr. καὶ τ. ὀσφ. αὐτοῦ περιεζ. ἦν 6. Syr. κ. οἱ πόδ. αὐτοῦ 11. ed. Rom. ἐλεηνός 12. Syr. καὶ εἰςηκούσθη 13. βασιλέως sec. ex Holm., ed. Rom. τοῦ βασ.

Digitized by Google

ὑπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτου τῶν ἡμερῶν, ἔτι γὰρ ὅρασις εἰς
ἡμέρας. [15] καὶ ἐν τῷ αὐτὸν λαλῆσαι μετ' ἐμοῦ τὰ προστάγματα ταῦτα ἔδωκα 15
τὸ πρόςωπόν μου ἐπὶ τὴν γῆν καὶ ἐσιώπησα. [16] καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς 16
ἀνθρώπου ἥψατό μου τῶν χειλέων, καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα,
καὶ εἶπα τῷ ἑστηκότι ἀπέναντί μου Κύριε, καὶ ὡς ὅρασις ἐπεστράφη ἐπὶ
τὸ πλευρόν μου ἐπ' ἐμέ, καὶ οὐκ ἦν ἐπ' ἐμοὶ ἰσχύς. [17] καὶ πῶς δυνήσεται 17
ὁ παῖς λαλῆσαι μετὰ τοῦ κυρίου αὐτοῦ; καὶ ἐγὼ ἠσθένησα, καὶ οὐκ ἔστιν
ἐν ἐμοὶ ἰσχὺς καὶ πνεῦμα οὐ κατελείφθη ἐν ἐμοί. [18] καὶ προςέθηκε καὶ 18
ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ κατίσχυσέ με [19] καὶ εἶπέν μοι 19
Ἄνθρωπος ἐλεεινὸς εἶ, μὴ φοβοῦ, ὑγίαινε, ἀνδρίζου καὶ ἴσχυε. καὶ ἐν τῷ
λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα καὶ εἶπα Λαλησάτω ὁ κύριός μου, ὅτι
ἐνίσχυσέ με. [20] καὶ εἶπεν πρὸς μέ Γινώσκεις τί ἦλθον πρὸς σέ; καὶ νῦν 20
ἐπιστρέψω διαμάχεσθαι μετὰ τοῦ στρατηγοῦ βασιλέως τῶν Περσῶν· καὶ
ἐγὼ ἐξεπορευόμην, καὶ ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰςεπορεύετο. [21] καὶ μάλα 21
ὑποδείξω σοι τὰ πρῶτα ἐν ἀπογραφῇ ἀληθείας· καὶ οὐδεὶς ἦν ὁ βοηθῶν
μετ' ἐμοῦ ὑπὲρ τούτων ἀλλ' ἢ Μιχαὴλ ὁ ἄγγελος.

## XI.

Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέν μοι ἐνισχῦσαι
καὶ ἀνδρίζεσθαι. [2] καὶ νῦν ἦλθον τὴν ἀλήθειαν ὑποδεῖξαί σοι· ἰδοὺ τρεῖς βασι- 2
λεῖς ἀνθεστήκασιν ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ
πάντας· καὶ ἐν τῷ κατισχῦσαι αὐτὸν ἐν τῷ πλούτῳ αὐτοῦ ἐπαναστήσεται παντὶ
βασιλεῖ Ἑλλήνων. [3] καὶ στήσεται βασιλεὺς δυνατός, καὶ κυριεύσει κυρείας πολλῆς, 3
καὶ ποιήσει καθὼς ἂν βούληται. [4] καὶ ἐν τῷ ἀναστῆναι αὐτὸν συντριβήσεται 4
ἡ βασιλεία αὐτοῦ καὶ μερισθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ,
οὐ κατὰ τὴν ἀλκὴν αὐτοῦ οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ ἣν ἐδυνάστευσεν,
ὅτι ἀποσταθήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέρους διδάξει ταῦτα. [5] καὶ ἐνι- 5
σχύσει βασιλείαν Αἰγύπτου, καὶ εἷς ἐκ τῶν δυναστῶν κατισχύσει αὐτὸν καὶ
δυναστεύσει· δυναστεία μεγάλη ἡ δυναστεία αὐτοῦ. [6] καὶ εἰς συντέλειαν 6
ἐνιαυτῶν ἄξει αὐτούς· καὶ εἰςελεύσεται βασιλεὺς Αἰγύπτου εἰς τὴν βασιλείαν
τὴν βοῤῥᾶ ποιήσασθαι συνθήκας, καὶ οὐ μὴ κατισχύσει, ὅτι ὁ βραχίων
αὐτοῦ οὐ στήσει ἰσχύν, καὶ ὁ βραχίων αὐτοῦ ναρκήσει καὶ τῶν συμπορευο-
μένων μετ' αὐτοῦ, καὶ μενεῖ εἰς ὥρας. [7] καὶ ἀναστήσεται φυτὸν ἐκ τῆς 7
ῥίζης αὐτοῦ καθ' ἑαυτόν, καὶ ἥξει ἐπὶ τὴν δύναμιν αὐτοῦ ἐν ἰσχύϊ αὐτοῦ
βασιλεὺς βοῤῥᾶ, καὶ ποιήσει ταραχὴν καὶ κατισχύσει, [8] καὶ τοὺς θεοὺς 8
αὐτῶν καταστρέψει μετὰ τῶν χωνευτῶν αὐτῶν, καὶ τοὺς ὄχλους αὐτῶν
μετὰ τῶν σκευῶν τῶν ἐπιθυμημάτων αὐτῶν, τὸ ἀργύριον καὶ τὸ χρυσίον,
ἐν αἰχμαλωσίᾳ ἀποίσουσιν εἰς Αἴγυπτον, καὶ ἔσται ἔτος βασιλεῖ βοῤῥᾶ.
[9] καὶ εἰςελεύσεται εἰς βασιλείαν βασιλεὺς Αἰγύπτου ἡμέρας, καὶ ἐπιστρέψει 9
εἰς τὴν γῆν αὐτοῦ. [10] καὶ ὁ υἱὸς αὐτοῦ καὶ ἐρεθισθήσεται καὶ συνάξει 10
συναγωγὴν ὄχλου πολλοῦ, καὶ εἰςελεύσεται κατ' αὐτὴν κατασύρων, παρελεύ-
σεται καὶ ἐπιστρέψει· [11] καὶ παροξυνθήσεται ἐπὶ πολὺ καὶ ὀργισθήσεται 11
βασιλεὺς Αἰγύπτου, καὶ ἐξελεύσεται καὶ πολεμήσει μετὰ βασιλέως βοῤῥᾶ,
καὶ στήσει ὄχλον πολύν, καὶ παραδοθήσεται ἡ συναγωγὴ εἰς τὰς χεῖρας
αὐτοῦ· [12] καὶ λήψεται τὴν συναγωγήν, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, 12
καὶ ταράξει πολλοὺς καὶ οὐ μὴ φοβηθῇ. [13] καὶ ἐπιστρέψει βασιλεὺς βοῤῥᾶ 13

---

14. Syr. ἔτι γὰρ ὥρα εἰς 19. ed. Rom. rursus ἐλεηνός 20. Syr. εἰς τί ἦλθον XI. 5. Syr. καὶ δυναστεύσει δυναστείᾳ μεγάλη ἡ δυν. αὐτ. 6. cod. ap. Holm. βοῤῥᾶν 9. Syr. ※ βασιλεὺς /. ... εἰς ex Holm., ed. Rom. ἐπί 11. codex et Syr. ※ καὶ ἐξελεύσεται /. et ※ καὶ στήσει ὄχλ. πολύν /. ... παραδοθήσεται: ita cod. ap. Holm., ed. Rom. -θήσει



Digitized by Google

καὶ συνάξει πόλεως συναγωγὴν μείζονα παρὰ τὴν πρώτην κατὰ συντέλειαν
καιροῦ ἐνιαυτοῦ, καὶ εἰςελεύσεται εἰς αὐτὴν ἐπ᾿ αὐτὸν ἐν ὄχλῳ πολλῷ καὶ
14 ἐν χρήμασι πολλοῖς. [14] καὶ ἐν τοῖς καιροῖς ἐκείνοις διάνοιαι ἀναστήσονται
ἐπὶ τὸν βασιλέα Αἰγύπτου, καὶ ἀνοικοδομήσει τὰ πεπτωκότα τοῦ ἔθνους σου
15 καὶ ἀναστήσεται εἰς τὸ ἀναστῆσαι τὴν προφητείαν, καὶ προςκόψουσι. [15] καὶ
ἐπελεύσεται βασιλεὺς βοῤῥᾶ, καὶ ἐπιστρέψει τὰ δόρατα αὐτοῦ καὶ λήψεται
τὴν πόλιν τὴν ὀχυράν, καὶ οἱ βραχίονες βασιλέως Αἰγύπτου στήσονται μετὰ
τῶν δυναστῶν αὐτοῦ, καὶ οὐκ ἔσται αὐτῷ ἰσχὺς εἰς τὸ ἀντιστῆναι αὐτῷ.
16 [16] καὶ ποιήσει ὁ εἰςπορευόμενος ἐπ᾿ αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ
ἔσται ὁ ἀνθεστηκὼς ἐναντίον αὐτοῦ· καὶ στήσεται ἐν τῇ χώρᾳ [θελήσεως],
17 καὶ ἐπιτελεσθήσεται πάντα ἐν ταῖς χερσὶν αὐτοῦ. [17] καὶ δώσει τὸ πρόςωπον
αὐτοῦ ἐπελθεῖν βίᾳ τὸ ἔργον αὐτοῦ, καὶ συνθήκας μετ᾿ αὐτοῦ ποιήσεται,
καὶ θυγατέρα ἀνθρώπου δώσει αὐτῷ εἰς τὸ φθεῖραι αὐτήν, καὶ οὐ πείσεται
18 καὶ οὐκ ἔσται. [18] καὶ δώσει τὸ πρόςωπον αὐτοῦ ἐπὶ τὴν θάλασσαν καὶ λήψεται
πολλούς, καὶ ἐπιστρέψει ὀργὴν ὀνειδισμοῦ αὐτῶν ἐν ὅρκῳ κατὰ τὸν ὀνει-
19 δισμὸν αὐτοῦ. [19] ἐπιστρέψει τὸ πρόςωπον αὐτοῦ εἰς τὸ κατισχῦσαι τὴν χώραν
20 αὐτοῦ, καὶ προςκόψει καὶ πεσεῖται, καὶ οὐχ εὑρεθήσεται. [20] καὶ ἀναστήσεται
ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας εἰς ἀνάστασιν, ἀνὴρ τύπτων δόξαν
21 βασιλέως, [21] καὶ ἐν ἡμέραις ἐσχάταις συντριβήσεται, καὶ οὐκ ἐν ὀργῇ οὐδὲ
ἐν πολέμῳ· καὶ ἀναστήσεται ἐπὶ τὸν τόπον αὐτοῦ εὐκαταφρόνητος, καὶ οὐ
δοθήσεται ἐπ᾿ αὐτὸν δόξα βασιλέως, καὶ ἥξει ἐξάπινα, κατισχύσει βασιλεὺς
22 ἐν κληροδοσίᾳ αὐτοῦ, [22] καὶ τοὺς βραχίονας τοὺς συντριβέντας συντρίψει ἀπὸ
23 προςώπου αὐτοῦ. [23] καὶ μετὰ τῆς διαθήκης καὶ δήμου συνταγέντος μετ᾿ αὐτοῦ
24 ποιήσει ψεῦδος, καὶ ἐπὶ ἔθνος ἰσχυρὸν ἐν ὀλιγοστῷ ἔθνει. [24] ἐξάπινα ἐρημώσει
πόλιν, καὶ ποιήσει ὅσα οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ οὐδὲ οἱ πατέρες τῶν
πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ χρήματα αὐτοῖς δώσει, καὶ ἐπὶ
τὴν πόλιν τὴν ἰσχυρὰν διανοηθήσεται, καὶ οἱ λογισμοὶ αὐτοῦ εἰς μάτην.
25 [25] καὶ ἐγερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὸν βασιλέα
Αἰγύπτου ἐν ὄχλῳ πολλῷ, καὶ ὁ βασιλεὺς Αἰγύπτου ἐρεθισθήσεται εἰς πόλεμον
ἐν ὄχλῳ ἰσχυρῷ σφόδρα λίαν· καὶ οὐ στήσεται, ὅτι διανοηθήσεται ἐπ᾿ αὐτὸν
26 διάνοια. [26] καὶ καταναλώσουσιν αὐτὸν μέριμναι αὐτοῦ καὶ ἀποστρέψουσιν
αὐτόν, καὶ παρελεύσεται καὶ κατασυριεῖ, καὶ πεσοῦνται τραυματίαι πολλοί.
27 [27] καὶ δύο βασιλεῖς μόνοι δειπνήσουσιν ἐπὶ τὸ αὐτὸ καὶ ἐπὶ μιᾶς τραπέζης
φάγονται, καὶ ψευδολογήσουσι καὶ οὐκ εὐοδωθήσονται· ἔτι γὰρ συντέλεια
28 εἰς καιρόν. [28] καὶ ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ ἐν χρήμασι πολλοῖς, καὶ
ἡ καρδία αὐτοῦ ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου, ποιήσει καὶ ἐπιστρέψει ἐπὶ
29 τὴν χώραν αὐτοῦ· [29] εἰς καιρὸν ἐπιστρέψει καὶ εἰςελεύσεται εἰς Αἴγυπτον,
30 καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχάτη. [30] καὶ ἥξουσι Ῥωμαῖοι καὶ ἐξώ-
σουσιν αὐτὸν καὶ ἐμβριμήσονται αὐτῷ, καὶ ἐπιστρέψει καὶ ὀργισθήσεται ἐπὶ
τὴν διαθήκην τοῦ ἁγίου· καὶ ποιήσει καὶ ἐπιστρέψει καὶ διανοηθήσεται
31 ἐπ᾿ αὐτοὺς ἀνθ᾿ ὧν ἐγκατέλιπον τὴν διαθήκην τοῦ ἁγίου. [31] καὶ βραχίονες
παρ᾿ αὐτοῦ στήσονται καὶ μιανοῦσι τὸ ἅγιον τοῦ φόβου, καὶ ἀποστήσουσι
32 τὴν θυσίαν καὶ δώσουσι βδέλυγμα ἐρημώσεως, [32] καὶ ἐν ἁμαρτίαις διαθήκης
μιανοῦσιν ἐν σκλήρῳ λαῷ. καὶ ὁ δῆμος ὁ γινώσκων ταῦτα κατισχύσουσι

14. ap. Holm. ἀναστῆναι 16. θελήσεως e Syro est, quod rectum esse testantur Hier. et Theodoret. et codicis a Montefalc. excussi ad h. l. nota ... πάντα: ita ap. Holm. et Syr., ed. Rom. add. τά 17. Syr. πᾶν τὸ ἔργον αὐτοῦ 25. Syr. non διάνοια sed διανοίᾳ legit 26. παρελεύσεται cum Syro scripsimus; in cod. est παρελεύσονται 29. codex et Syr. ※ ἐπιστρέψει /. 30. codex et Syr. ÷ καὶ ἐπιστρ. καὶ ὀργισθήσεται /. 32. Segaarius pro ἐν σκληρῷ λαῷ reponi voluit ἐν κληροδοσίᾳ, similiter Hahnius ἐν κλήρῳ.

Digitized by Google

καὶ ποιήσουσι, [33]καὶ ἐννοούμενοι τοῦ ἔθνους συνήσουσιν εἰς πολλούς, καὶ 33
προςκόψουσι ῥομφαίᾳ καὶ παλαιωθήσονται ἐν αὐτῇ, καὶ ἐν αἰχμαλωσίᾳ καὶ
ἐν προνομῇ ἡμερῶν κηλιδωθήσονται. [34]καὶ ὅτ' ἂν συντρίβωνται, συνάξουσιν 34
ἰσχὺν βραχεῖαν, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτοὺς πολλοὶ ἐπὶ πόλεως καὶ
πολλοὶ ὡς ἐν κληροδοσίᾳ. [35]καὶ ἐκ τῶν συνιέντων διανοηθήσονται εἰς τὸ 35
καθαρίσαι ἑαυτοὺς καὶ εἰς τὸ ἐκλεγῆναι καὶ εἰς τὸ καθαρισθῆναι ἕως καιροῦ
συντελείας· ἔτι γὰρ καιρὸς εἰς ὥρας. [36]καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ 36
ὁ βασιλεύς, καὶ παροργισθήσεται καὶ ὑψωθήσεται ἐπὶ πάντα θεόν, καὶ ἐπὶ
τὸν θεὸν τῶν θεῶν ἔξαλλα λαλήσει, καὶ εὐοδωθήσεται ἕως ἂν συντελεσθῇ
ἡ ὀργή· εἰς αὐτὸν γὰρ συντέλεια γίνεται. [37]καὶ ἐπὶ τοὺς θεοὺς τῶν πατέρων 37
αὐτοῦ οὐ μὴ προνοηθῇ, καὶ ἐν ἐπιθυμίᾳ γυναικὸς οὐ μὴ προνοηθῇ, ὅτι ἐν
παντὶ ὑψωθήσεται, καὶ ὑποταγήσεται αὐτῷ ἔθνη ἰσχυρά. [38]ἐπὶ τὸν τόπον 38
αὐτοῦ κινήσει, καὶ θεὸν ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ τιμήσει ἐν
χρυσίῳ καὶ ἀργυρίῳ καὶ λίθῳ πολυτελεῖ. [39]καὶ ἐν ἐπιθυμήμασι ποιήσει 39
πόλεων καὶ εἰς ὀχύρωμα ἰσχυρὸν ἥξει μετὰ θεοῦ ἀλλοτρίου· οὗ ἐὰν ἐπιγνῷ,
πληθυνεῖ δόξαν καὶ κατακυριεύσει αὐτοῦ ἐπὶ πολὺ καὶ χώραν ἀπομεριεῖ εἰς
δωρεάν. [40]καὶ καθ' ὥραν συντελείας συγκερατισθήσεται αὐτῷ ὁ βασιλεὺς 40
Αἰγύπτου, καὶ ἐποργισθήσεται αὐτῷ βασιλεὺς βορρᾶ ἐν ἅρμασι καὶ ἐν ἵπποις
πολλοῖς καὶ ἐν πλοίοις πολλοῖς, καὶ εἰςελεύσεται εἰς χώραν Αἰγύπτου. [41]καὶ 41
ἐπελεύσεται εἰς τὴν χώραν μου, καὶ πολλαὶ σκανδαλισθήσονται· καὶ αὗται
σωθήσονται ἀπὸ χειρὸς αὐτοῦ, Ἐδὼμ καὶ Μωὰβ καὶ κεφάλαιον υἱῶν Ἀμμών.
[42]καὶ ἀποστελεῖ χεῖρα αὐτοῦ ἐν ταῖς γαίαις, καὶ ἐν χώρᾳ Αἰγύπτου οὐκ 42
ἔσται ἐν αὐτῇ διασωζόμενος. [43]καὶ κρατήσει τοῦ τόπου τοῦ χρυσίου καὶ 43
τοῦ τόπου τοῦ ἀργυρίου καὶ πάσης τῆς ἐπιθυμίας Αἰγύπτου, καὶ Λίβυες
καὶ Αἰθίοπες ἔσονται ἐν τῷ ὄχλῳ αὐτοῦ. [44]καὶ ἀκοὴ ταράξει αὐτὸν ἀπὸ 44
ἀνατολῶν καὶ βορρᾶ, καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυρῷ καὶ ῥομφαίᾳ ἀφανίσαι
καὶ ἀποκτεῖναι πολλούς, [45]καὶ στήσει αὐτοῦ τὴν σκηνὴν τότε ἀνὰ μέσον 45
τῶν θαλασσῶν καὶ τοῦ ὄρους τῆς θελήσεως τοῦ ἁγίου· καὶ ἥξει ὥρα τῆς
συντελείας αὐτοῦ, καὶ οὐκ ἔσται ὁ βοηθῶν αὐτῷ.

## XII.

Καὶ κατὰ τὴν χώραν ἐκείνην παρελεύσεται Μιχαὴλ ὁ ἄγγελος ὁ μέγας
ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· ἐκείνη ἡ ἡμέρα θλίψεως, οἵα οὐκ
ἐγενήθη ἀφ' οὗ ἐγενήθησαν ἕως τῆς ἡμέρας ἐκείνης· καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
ὑψωθήσεται πᾶς ὁ λαὸς ὃς ἂν εὑρεθῇ ἐγγεγραμμένος ἐν τῷ βιβλίῳ. [2]καὶ πολλοὶ 2
τῶν καθευδόντων ἐν τῷ πλάτει τῆς γῆς ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον,
οἱ δὲ εἰς ὀνειδισμόν, οἱ δὲ εἰς διασπορὰν καὶ αἰσχύνην αἰώνιον· [3]καὶ οἱ συνιέν- 3
τες φανοῦσιν ὡς φωστῆρες τοῦ οὐρανοῦ, καὶ οἱ κατισχύοντες τοὺς λόγους μου
ὡςεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [4]καὶ σὺ Δανιὴλ 4
κάλυψον τὰ προστάγματα καὶ σφράγισαι τὸ βιβλίον ἕως καιροῦ συντελείας,
ἕως ἂν ἀπομανῶσιν οἱ πολλοὶ καὶ πλησθῇ ἡ γῆ ἀδικίας. [5]καὶ εἶδον ἐγὼ 5
Δανιήλ, καὶ ἰδοὺ δύο ἕτεροι εἱστήκεισαν, εἷς ἔνθεν τοῦ ποταμοῦ καὶ εἷς
ἔνθεν. [6]καὶ εἶπα τῷ ἑνὶ τῷ περιβεβλημένῳ τὰ βύσσινα τῷ ἐπάνω [[τοῦ ὕδατος 6
τοῦ ποταμοῦ]] Πότε οὖν συντέλεια ὧν εἴρηκάς μοι τῶν θαυμαστῶν καὶ ὁ
καθαρισμὸς τούτων; [7]καὶ ἤκουσα τοῦ περιβεβλημένου τὰ βύσσινα, ὃς ἦν 7

---

35. cod. ap. Holm. καθαρισθῆναι ἑαυτοὺς εἰς  37. Syr. ἐπὶ τὸν θεόν ... Hier.: *pro eo quod nos --- et erit in concupiscentiis feminarum, LXX transtulerunt et concupiscentiis mulierum non subiacebit.*  38. Syr. κινήσεται scribi iubet.  41. 42. codex et Syr. ※ καὶ πολλαὶ σκ. κ. αὐτ. σωθ. ἀ. χειρὸς (Syr. χειρῶν) αὐτοῦ --- ἐν ταῖς γαίαις ⁄.  XII. 6. Syr. et cod. ap. Holm. om. τοῦ ὕδατος τοῦ ποταμοῦ ... codex et Syr. ÷ καὶ ὁ καθαρ. τούτων ⁄.



Digitized by Google

ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ, ἕως καιροῦ συντελείας, καὶ ὕψωσε τὴν
δεξιὰν καὶ τὴν ἀριστερὰν εἰς τὸν οὐρανόν, καὶ ὤμοσε τὸν ζῶντα εἰς τὸν
αἰῶνα θεὸν ὅτι εἰς καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἡ συντέλεια χειρῶν
8 ἀφέσεως λαοῦ ἁγίου, καὶ συντελεσθήσεται πάντα ταῦτα. [8] καὶ ἐγὼ ἤκουσα
καὶ οὐ διενοήθην παρ' αὐτὸν τὸν καιρόν, καὶ εἶπα Κύριε, τίς ἡ λύσις τοῦ
9 λόγου τούτου, καὶ τίνες αἱ παραβολαὶ αὗται; [9] καὶ εἶπέ μοι Ἀπότρεχε Δανιήλ,
ὅτι κατακεκαλυμμένα καὶ ἐσφραγισμένα τὰ προστάγματα, ἕως ἂν πειρασθῶσι
10 καὶ ἁγιασθῶσι πολλοί, [10] καὶ ἁμάρτωσιν οἱ ἁμαρτωλοὶ καὶ οὐ μὴ διανοηθῶσι
11 πάντες οἱ ἁμαρτωλοί, καὶ οἱ διανοούμενοι προςέξουσιν· [11] ἀφ' οὗ ἂν ἀπο-
σταθῇ ἡ θυσία διὰ παντὸς καὶ ἑτοιμασθῇ δοθῆναι τὸ βδέλυγμα τῆς ἐρημώ-
12 σεως, ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. [12] μακάριος ὁ ἐμμένων, καὶ
13 συνάξει εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε. [13] καὶ σὺ βάδιζον,
ἀναπαύου· ἔτι γάρ εἰσιν ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ
ἀναπαύσῃ καὶ ἀναστήσῃ ἐπὶ τὴν δόξαν σου εἰς συντέλειαν ἡμερῶν.

---

# ΣΟΥΣΑΝΝΑ.

2 Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ. [2] καὶ
ἔλαβε γυναῖκα ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ
3 φοβουμένη τὸν κύριον· [3] καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, καὶ ἐδίδαξαν τὴν
4 θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωυσῆ. [4] καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα,
καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ· καὶ πρὸς αὐτὸν προς-
5 ήγοντο οἱ Ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πάντων. [5] καὶ ἀπεδείχθησαν
δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν
ὁ δεσπότης ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ
6 ἐδόκουν κυβερνᾶν τὸν λαόν. [6] καὶ ἤρχοντο κρίσεις ἐξ ἄλλων πόλεων πρὸς
7 αὐτούς. [7] οὗτοι ἰδόντες γυναῖκα ἀστείαν τῷ εἴδει, γυναῖκα ἀδελφοῦ αὐτῶν ἐκ
τῶν υἱῶν Ἰσραὴλ ὄνομα Σουσάνναν, θυγατέρα Χελκίου, γυναῖκα Ἰωακείμ,
8 περιπατοῦσαν ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς τὸ δειλινόν, [8] καὶ ἐπι-
9 θυμήσαντες αὐτῆς [9] διέστρεψαν τὸν νοῦν αὐτῶν καὶ ἐξέκλιναν τοὺς ὀφθαλ-
μοὺς αὐτῶν τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν μηδὲ μνημονεύειν κριμάτων
10 δικαίων. [10] καὶ ἀμφότεροι ἦσαν κατανενυγμένοι περὶ αὐτῆς, καὶ ἕτερος τῷ
ἑτέρῳ οὐ προςεποιεῖτο τὸ κακὸν τὸ ἔχον αὐτοὺς περὶ αὐτῆς, οὐδὲ ἡ γυνὴ
12 ἔγνω τὸ πρᾶγμα τοῦτο. [12] καὶ ὡς ἐγένετο ὄρθρος, ἐρχόμενοι ἔκλεπτον ἀλλή-
λους σπεύδοντες, τίς φανήσεται αὐτῇ πρότερος καὶ λαλήσει πρὸς αὐτήν.

---

8. τίνες cum Syro et cod. ap. Holm. pro τίνος, quod in ed. Rom. legitur. 11. Cum Syro scripseris ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα. 13. codex et Syr. ÷ ἔτι γὰρ --- εἰς ἀναπλ. συντελείας ↙.

Subscriptum est in codice: δανιὴλ κατὰ τοὺς ο'· ἐγράφη ἐξ ἀντιγράφου ἔχοντος τὴν ὑποσημείωσιν ταύτην· ἐγράφη ἐκ τῶν τετραπλῶν, ἐξ ὧν καὶ παρετέθη:

---

1—5. Verba Καὶ ἦν ἀνὴρ --- ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ in codice praepositos habent lemniscos (※), in Syro obelos ÷; praeterea in illo additum est monogramma quod ASTh i. e. Aquilam Symmachum et Theodotionem significare videtur, in hoc vero litterae S et Th adduntur quibus omnino Symmachus et Theodotion significantur. 8 sq. Syr. ἐπεθύμησαν αὐτῆς διαστρέφοντες

Digitized by Google

[13]καὶ ἰδοὺ αὕτη κατὰ τὸ εἰωθὸς περιεπάτει, καὶ ὁ εἷς τῶν πρεσβυτέρων 13
ἐληλύθει, καὶ ἰδοὺ ὁ ἕτερος παρεγένετο, καὶ εἷς τὸν ἕτερον ἀνέκρινε λέγων
Τί σὺ οὕτως ὄρθρου ἐξῆλθες οὐ παραλαβών με; [14]καὶ ἐξωμολογήσαντο πρὸς 14
ἀλλήλους ἑκάτερος τὴν ὀδύνην αὐτοῦ. [19]καὶ εἶπεν εἷς τῷ ἑτέρῳ Πορευθῶμεν 19
πρὸς αὐτήν· καὶ συνθέμενοι προσῆλθοσαν αὐτῇ καὶ ἐξεβιάζοντο αὐτήν. [22]καὶ 22
εἶπεν αὐτοῖς ἡ Ἰουδαία Οἶδα ὅτι ἐὰν πράξω τοῦτο θάνατός μοί ἐστι, καὶ
ἐὰν μὴ πράξω οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν· [23]κάλλιον δέ με μὴ 23
πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώπιον κυρίου. [28]οἱ δὲ 28
παράνομοι ἄνδρες ἀπέστρεψαν ἀπειλοῦντες ἐν ἑαυτοῖς καὶ ἐνεδρεύοντες ἵνα
θανατώσουσιν αὐτήν· καὶ ἐλθόντες ἐπὶ τὴν συναγωγὴν τῆς πόλεως οὗ παρῴκουν,
καὶ συνήδρευσαν οἱ ὄντες ἐκεῖ πάντες οἱ υἱοὶ Ἰσραήλ. [29]καὶ ἀναστάντες οἱ 29
δύο πρεσβύτεροι καὶ κριταὶ εἶπαν Ἀποστείλατε ἐπὶ Σουσάνναν, θυγατέρα
Χελκίου, ἥτις ἐστὶ γυνὴ Ἰωακείμ. οἱ δὲ εὐθέως ἐκάλεσαν αὐτήν. [30]ὡς δὲ 30
παρεγενήθη ἡ γυνὴ σὺν τῷ πατρὶ ἑαυτῆς καὶ τῇ μητρί, καὶ οἱ παῖδες καὶ
αἱ παιδίσκαι αὐτῆς ὄντες τὸν ἀριθμὸν πεντήκοντα παρεγένοντο, καὶ τὰ παιδία
Σουσάννας τέσσαρα. [31]ἦν δὲ ἡ γυνὴ τρυφερὰ σφόδρα. [32]καὶ προςέταξαν 31 32
οἱ παράνομοι ἀποκαλύψαι αὐτήν, ἵνα ἐμπλησθῶσι κάλλους ἐπιθυμίας αὐτῆς.
[33]καὶ ἔκλαιοσαν οἱ παρ' αὐτῆς πάντες καὶ ὅσοι αὐτὴν ᾔδεισαν πάντες. 33
[34]ἀναστάντες δὲ οἱ πρεσβύτεροι καὶ κριταὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ 34
τῆς κεφαλῆς αὐτῆς. [35]ἡ δὲ καρδία αὐτῆς ἐπεποίθει ἐπὶ κυρίῳ τῷ θεῷ αὐτῆς, 35
καὶ ἀνακύψασα ἔκλαυσεν ἐν αὐτῇ λέγουσα Κύριε ὁ θεὸς ὁ αἰώνιος, ὁ εἰδὼς
τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ οἶδας ὅτι οὐκ ἐποίησα ἃ πονηρεύονται
οἱ ἄνομοι οὗτοι ἐπ' ἐμοί. καὶ εἰςήκουσε κύριος τῆς δεήσεως αὐτῆς. [36]οἱ δὲ 36
δύο πρεσβύτεροι εἶπαν Ἡμεῖς περιεπατοῦμεν ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς
αὐτῆς, [37]καὶ κυκλοῦντες τὸ στάδιον εἴδομεν ταύτην ἀναπαυομένην μετὰ 37
ἀνδρός, καὶ στάντες ἐθεωροῦμεν αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις, [38]καὶ αὐτοὶ 38
οὐκ ᾔδεισαν ὅτι εἱστήκαμεν. τότε συνειπάμεθα ἀλλήλοις λέγοντες Μάθωμεν
τίνες εἰσὶν οὗτοι. [39]καὶ προςελθόντες ἐπέγνωμεν αὐτήν· ὁ δὲ νεανίσκος ἔφυγε 39
συγκεκαλυμμένος. [40]ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν αὐτήν Τίς ὁ ἄν- 40
θρωπος; καὶ οὐκ ἀπήγγειλεν ἡμῖν τίς ἦν. ταῦτα μαρτυροῦμεν. [41]καὶ ἐπί- 41
στευσεν αὐτοῖς ἡ συναγωγὴ πᾶσα ὡς πρεσβυτέρων ὄντων καὶ κριτῶν τοῦ
λαοῦ. [42]καὶ ἰδοὺ ἄγγελος κυρίου, ἐκείνης ἐξαγομένης ἀπολέσθαι, καὶ ἔδωκεν 42
ὁ ἄγγελος, καθὼς προςετάγη, πνεῦμα συνέσεως νεωτέρῳ ὄντι Δανιήλ. [48]δια- 48
στείλας δὲ Δανιὴλ τὸν ὄχλον καὶ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν Οὕτως μωροὶ
υἱοὶ Ἰσραὴλ οὐκ ἀνακρίναντες οὐδὲ τὸ σαφὲς ἐπιγνόντες ἀπεκτείνατε θυγατέρα
Ἰσραήλ; [51]καὶ νῦν διαχωρίσατέ μοι αὐτοὺς ἀπ' ἀλλήλων μακρὰν ἵνα ἐτάσω 51
αὐτούς. ὡς δὲ διεχωρίσθησαν, εἶπε Δανιὴλ τῇ συναγωγῇ Νῦν μὴ βλέψητε
ὅτι οὗτοί εἰσι πρεσβύτεροι, λέγοντες Οὐ μὴ ψεύσονται, ἀλλὰ ἀνακρινῶ αὐτοὺς
κατὰ τὰ ὑποπίπτοντά μοι. [52]καὶ ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ προςήγαγον 52
τὸν πρεσβύτερον τῷ νεωτέρῳ· καὶ εἶπεν αὐτῷ Δανιὴλ Ἄκουε, ἄκουε, πεπα-
λαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασί σου αἱ ἁμαρτίαι, ἃς ἐποίεις τὸ πρότερον,
[53]πιστευθεὶς ἀκούειν καὶ κρίνειν κρίσεις θάνατον ἐπιφερούσας, καὶ τὸν μὲν 53
ἀθῶον κατέκρινας, τοὺς δὲ ἐνόχους ἠφίεις, τοῦ κυρίου λέγοντος Ἀθῶον καὶ
δίκαιον οὐκ ἀποκτενεῖς. [54]νῦν οὖν ὑπὸ τί δένδρον καὶ ποταπῷ τοῦ παρα- 54
δείσου τόπῳ ἑώρακας αὐτοὺς ὄντας σὺν ἑαυτοῖς; καὶ εἶπεν ὁ ἀσεβὴς Ὑπὸ
σχῖνον. [55]εἶπε δὲ ὁ νεώτερος Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ ψυχήν· ὁ γὰρ 55
ἄγγελος κυρίου σχίσει σου τὴν ψυχὴν σήμερον. [56]καὶ τοῦτον μεταστήσας 56

---

19. εἷς cum Syro scripsimus, quum codex habeat τις. 28. Syr. ἦλθον pro ἐλθόντες exprimit. 30. ita omnino (cum Syro) legendum; ex cod. editum est πεντηκοστοί 35. Syr. καὶ τρὶς ἀνακύψασα

Digitized by Google

εἶπε προςαγαγεῖν αὐτῷ τὸν ἕτερον, καὶ τούτῳ δὲ εἶπεν Διὰ τί διεστραμμένον
τὸ σπέρμα σου ὡς Σιδῶνος καὶ οὐχ ὡς Ἰούδα; τὸ κάλλος σε ἠπάτησεν,
57 ἡ μικρὰ ἐπιϑυμία. [57] καὶ οὕτως ἐποιεῖτε ϑυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι
φοβούμεναι ὡμίλουσαν ὑμῖν· ἀλλ' οὐ ϑυγάτηρ Ἰούδα ὑπέμεινε τὴν νόσον
58 ὑμῶν ἐν ἀνομίᾳ ὑπενεγκεῖν. [58] νῦν οὖν λέγε μοι Ὑπὸ τί δένδρον καὶ ἐν ποίῳ
τοῦ κήπου τόπῳ κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ
59 πρῖνον. [59] καὶ εἶπεν Δανιήλ Ἁμαρτωλέ, νῦν ὁ ἄγγελος κυρίου τὴν ῥομφαίαν
60 ἕστηκεν ἔχων, ἕως ὁ λαὸς ἐξολοϑρεύσει ὑμᾶς, ἵνα καταπρίσῃ σε. [60] καὶ πᾶσα
ἡ συναγωγὴ ἀνεβόησεν ἐπὶ τῷ νεωτέρῳ, ὡς ἐκ τοῦ ἰδίου στόματος ὁμολόγους
61 αὐτοὺς κατέστησεν ἀμφοτέρους ψευδομάρτυρας. [61] καὶ ὡς ὁ νόμος διαγορεύει
62 ἐποίησαν αὐτοῖς, καϑὼς ἐπονηρεύσαντο κατὰ τῆς ἀδελφῆς, [62] καὶ ἐφίμωσαν
αὐτοὺς καὶ ἐξαγαγόντες ἔρριψαν εἰς φάραγγα· τότε ὁ ἄγγελος κυρίου ἔρριψε
63 πῦρ διὰ μέσου αὐτῶν, καὶ ἐσώϑη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [63] διὰ
64 τοῦτο οἱ νεώτεροι ἀγαπητοὶ Ἰακὼβ ἐν τῇ ἁπλότητι αὐτῶν. [64] καὶ ἡμεῖς
φυλασσώμεϑα εἰς υἱοὺς δυνατοὺς νεωτέρους· εὐσεβοῦσι γὰρ νεώτεροι, καὶ
ἔσται ἐν αὐτοῖς πνεῦμα ἐπιστήμης καὶ συνέσεως εἰς αἰῶνα αἰῶνος.

# ΕΚ ΠΡΟΦΗΤΕΙΑΣ ΑΜΒΑΚΟΥΜ ΥΙΟΥ ΙΗΣΟΥ ΕΚ ΤΗΣ ΦΥΛΗΣ ΛΕΥΙ.

Ἄνϑρωπός τις ἦν ἱερεύς, ᾧ ὄνομα Δανιήλ, υἱὸς Ἄβαλ, συμβιωτὴς τοῦ
2 βασιλέως Βαβυλῶνος. [2] καὶ ἦν εἴδωλον Βήλ, ὃ ἐσέβοντο οἱ Βαβυλώνιοι·
ἀνηλίσκετο δὲ αὐτῷ καϑ' ἑκάστην ἡμέραν σεμιδάλεως ἀρτάβαι δεκαδύο
3 καὶ πρόβατα τέσσαρα καὶ ἐλαίου μετρηταὶ ἕξ. [3] καὶ ὁ βασιλεὺς ἐσέβετο
αὐτόν, καὶ ἐπορεύετο ὁ βασιλεὺς καϑ' ἑκάστην ἡμέραν καὶ προςεκύνει αὐτῷ,
Δανιὴλ δὲ προςηύχετο πρὸς κύριον· καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ Διὰ τί
4 οὐ προςκυνεῖς τῷ Βήλ; [4] καὶ εἶπε Δανιὴλ πρὸς τὸν βασιλέα Οὐδένα σέβομαι
ἐγὼ εἰ μὴ κύριον τὸν ϑεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα
5 πάσης σαρκὸς κυρείαν. [5] εἶπεν δὲ ὁ βασιλεὺς αὐτῷ Οὗτος οὖν οὐκ ἔστι ϑεός;
6 οὐχ ὁρᾷς ὅσα εἰς αὐτὸν δαπανᾶται καϑ' ἑκάστην ἡμέραν; [6] καὶ εἶπεν αὐτῷ
Δανιὴλ Μηδαμῶς μηδείς σε παραλογιζέσϑω· οὗτος γὰρ ἔσωϑεν μὲν πήλινός
ἐστιν, ἔξωϑεν δὲ χαλκοῦς· ὀμνύω δέ σοι κύριον τὸν ϑεὸν τῶν ϑεῶν, ὅτι
7 οὐδὲν βέβρωκε πώποτε οὗτος. [7] καὶ ϑυμωϑεὶς ὁ βασιλεὺς ἐκάλεσε τοὺς
προεστηκότας τοῦ ἱεροῦ καὶ εἶπεν αὐτοῖς Παραδείξατε τὸν ἐσϑίοντα τὰ
8 παρασκευαζόμενα τῷ Βήλ· εἰ δὲ μή γε, ἀποϑανεῖσϑε, [8] ἢ Δανιὴλ ὁ φάσκων
μὴ ἐσϑίεσϑαι αὐτὰ ὑπ' αὐτοῦ. οἱ δὲ εἶπαν Αὐτὸς ὁ Βὴλ ἐστιν ὁ κατεσϑίων
αὐτά. εἶπε δὲ Δανιὴλ πρὸς τὸν βασιλέα Γινέσϑω οὕτως· ἐὰν μὴ παραδείξω
ὅτι οὐκ ἐστὶν ὁ Βὴλ ὁ κατεσϑίων ταῦτα, ἀποϑανοῦμαι καὶ πάντες οἱ

61. Syr. ἐποίησεν et ἀδελφῆς αὐτῶν    63. Syr. οἱ νεώτεροι Ἰακὼβ ἀγαπητοί

6. Syr. ÷ ὀμνύω δέ --- ϑεῶν /.

Digitized by Google

παρ' ἐμοί. 9ἦσαν δὲ τῷ Βὴλ ἱερεῖς ἑβδομήκοντα χωρὶς γυναικῶν καὶ τέκνων· 9
ἤγαγον δὲ τὸν βασιλέα εἰς τὸ εἰδωλεῖον, 10καὶ παρετέθη τὰ βρώματα ἐνώ- 10
πιον τοῦ βασιλέως καὶ τοῦ Δανιήλ, καὶ οἶνος κερασθεὶς εἰςηνέχθη καὶ παρετέθη
τῷ Βήλ. 11καὶ εἶπε Δανιήλ Σὺ αὐτὸς ὁρᾷς ὅτι κεῖται ταῦτα, βασιλεῦ· 11
12σὺ οὖν ἐπισφραγίσεις τὰς κλεῖδας τοῦ ναοῦ, ἐπὰν κλεισθῇ. ἤρεσε δὲ ὁ 12
λόγος τῷ βασιλεῖ. 13ὁ δὲ Δανιὴλ ἐκέλευσε τοὺς παρ' αὐτοῦ ἐκβαλόντας πάντας 13
ἐκ τοῦ ναοῦ καταστῆσαι ὅλον τὸν ναὸν σποδῷ, οὐδενὸς τῶν ἐκτὸς αὐτοῦ
εἰδότος. καὶ τότε σφραγισάμενος τὸν ναὸν ἐκέλευσε σφραγίσαι τῷ τοῦ βασι-
λέως δακτυλίῳ καὶ τοῖς δακτυλίοις τινῶν ἐνδόξων ἱερέων· καὶ ἐγένετο οὕτως.
14καὶ ἐγένετο τῇ ἐπαύριον παρεγένοντο ἐπὶ τὸν τόπον· οἱ δὲ ἱερεῖς τοῦ Βὴλ 14
διὰ ψευδοθυρίδων εἰςελθόντες κατεφάγοσαν πάντα τὰ παρακείμενα τῷ Βὴλ
καὶ ἐξέπιον τὸν οἶνον. 15καὶ εἶπεν Δανιὴλ Ἐπίδετε τὰς σφραγῖδας ὑμῶν εἰ 15
μένουσιν, ἄνδρες ἱερεῖς, καὶ σὺ δὲ βασιλεῦ, σκέψαι μή τί σοι ἀσύμφωνον
γεγένηται. 16καὶ εὗρον ὡς ἦν σφραγίς, καὶ ἀπέβαλον τὴν σφραγῖδα. 17καὶ 16 17
ἀνοίξαντες τὰς θύρας εἴδοσαν δεδαπανημένα πάντα τὰ παρατεθέντα καὶ τὰς
τραπέζας κενάς· καὶ ἐχάρη ὁ βασιλεύς, καὶ εἶπε πρὸς τὸν Δανιὴλ Μέγας
ἐστὶν ὁ Βήλ, καὶ οὐκ ἔστι παρ' αὐτῷ δόλος. 18καὶ ἐγέλασε Δανιὴλ σφόδρα 18
καὶ εἶπε τῷ βασιλεῖ Δεῦρο ἴδε τὸν δόλον τῶν ἱερέων. καὶ εἶπε Δανιὴλ Βασιλεῦ,
ταῦτα τὰ ἴχνη τίνος ἐστιν; 19καὶ εἶπεν ὁ βασιλεὺς Ἀνδρῶν καὶ γυναικῶν 19
καὶ παιδίων. 20καὶ ἐπῆλθεν ἐπὶ τὸν οἶκον ἐν ᾧ ἦσαν οἱ ἱερεῖς καταγινόμενοι, 20
καὶ εὗρεν τὰ βρώματα τοῦ Βὴλ καὶ τὸν οἶνον· καὶ ἐπέδειξε Δανιὴλ τῷ
βασιλεῖ τὰ ψευδοθύρια, δι' ὧν εἰςπορευόμενοι οἱ ἱερεῖς ἐδαπάνων τὰ παρατι-
θέμενα τῷ Βήλ. 21καὶ ἐξήγαγεν αὐτοὺς ὁ βασιλεὺς ἐκ τοῦ Βηλίου καὶ παρέ- 21
δωκεν αὐτοὺς τῷ Δανιήλ, καὶ τὴν δαπάνην τὴν εἰς αὐτὸν ἔδωκε τῷ Δανιήλ,
τὸν δὲ Βὴλ κατέστρεψεν.

22Καὶ ἦν δράκων ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐσέβοντο οἱ Βαβυλώνιοι. 22
23καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιὴλ Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλκοῦς ἐστίν; 23
ἰδοὺ ζῇ καὶ ἐσθίει καὶ πίνει, προςκύνησον αὐτῷ. 25καὶ εἶπεν Δανιὴλ Βασιλεῦ, 25
δός μοι τὴν ἐξουσίαν, καὶ ἀνελῶ τὸν δράκοντα ἄνευ σιδήρου καὶ ῥάβδου.
καὶ συνεχώρησεν αὐτῷ ὁ βασιλεὺς καὶ εἶπεν αὐτῷ Δέδοταί σοι. 26καὶ λαβὼν 26
Δανιὴλ πίσσης μνᾶς τριάκοντα καὶ στέαρ καὶ τρίχας ἥψησεν ἐπὶ τὸ αὐτὸ
καὶ ἐποίησε μάζαν, καὶ ἐνέβαλεν εἰς τὸ στόμα τοῦ δράκοντος· καὶ φαγὼν
διεῤῥάγη. καὶ ἔδειξεν αὐτὸν τῷ βασιλεῖ λέγων Οὐ ταῦτα σέβεσθε, βασιλεῦ;
27καὶ συνήχθησαν οἱ ἀπὸ τῆς χώρας πάντες ἐπὶ τὸν Δανιὴλ καὶ εἶπαν 27
Ιουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέστρεψε καὶ τὸν δράκοντα ἀπέκτεινεν.
29καὶ ἰδὼν ὁ βασιλεὺς ὅτι ἐπισυνήχθη ὁ ὄχλος τῆς χώρας ἐπ' αὐτόν, ἐκάλεσε 29
τοὺς συμβιωτὰς αὐτοῦ καὶ εἶπεν Δίδωμι τὸν Δανιὴλ εἰς ἀπώλειαν. 31ἦν δὲ 31
λάκκος ἐν ᾧ ἐτρέφοντο λέοντες ἑπτά, οἷς παρεδίδοντο οἱ ἐπίβουλοι τοῦ
βασιλέως, καὶ ἐχορηγεῖτο αὐτοῖς καθ' ἑκάστην ἡμέραν τῶν ἐπιθανατίων
σώματα δύο. 30καὶ ἐνεβάλοσαν τὸν Δανιὴλ οἱ ὄχλοι εἰς ἐκεῖνον τὸν λάκκον, 30
ἵνα καταβρωθῇ καὶ μηδὲ ταφῆς τύχῃ. καὶ ἦν ἐν τῷ λάκκῳ Δανιὴλ ἡμέρας ἕξ.
32καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἦν Ἀμβακοὺμ ἔχων ἄρτους ἐντεθρυμ- 32
μένους ἐν σκάφῃ ἐν ἑψήματι καὶ στάμνον οἴνου κεκερασμένου, καὶ ἐπορεύετο
εἰς τὸ πεδίον πρὸς τοὺς θεριστάς. 33καὶ ἐλάλησεν ἄγγελος κυρίου πρὸς 33
Ἀμβακοὺμ λέγων Τάδε λέγει σοι κύριος ὁ θεός Τὸ ἄριστον ὃ ἔχεις ἀπένεγκε
Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων ἐν Βαβυλῶνι. 34καὶ εἶπεν Ἀμβακούμ 34
Κύριε ὁ θεός, οὐχ ἑώρακα τὴν Βαβυλῶνα, καὶ τὸν λάκκον οὐ γινώσκω
ποῦ ἐστίν. 35καὶ ἐπιλαβόμενος αὐτοῦ ὁ ἄγγελος κυρίου τοῦ Ἀμβακοὺμ τῆς 35

---

20. Syr. εὗρον 22. Syr. ἐσέβοντο αὐτόν 26. Syr. μάζας 31. Syr.
÷ ἦν /. 33. Syr. τῷ Δανιὴλ et εἰς Βαβυλῶνα

Digitized by Google

κόμης αὐτοῦ τῆς κεφαλῆς ἔθηκεν αὐτὸν ἐπάνω τοῦ λάκκου τοῦ ἐν Βαβυλῶνι.
36 [36] καὶ εἶπεν Ἀμβακοὺμ πρὸς Δανιὴλ Ἀναστὰς φάγε τὸ ἄριστον ὃ ἀπέστειλέ σοι
37 κύριος ὁ θεός. [37] καὶ εἶπεν Δανιὴλ Ἐμνήσθη γάρ μου κύριος ὁ θεὸς ὁ μὴ
38 ἐγκαταλείπων τοὺς ἀγαπῶντας αὐτόν. [38] καὶ ἔφαγε Δανιήλ· ὁ δὲ ἄγγελος
κυρίου κατέστησε τὸν Ἀμβακοὺμ ὅθεν αὐτὸν ἔλαβε τῇ αὐτῇ ἡμέρᾳ, ὁ δὲ
39 κύριος ὁ θεὸς ἐμνήσθη τοῦ Δανιήλ. [39] ἐξῆλθε δὲ ὁ βασιλεὺς μετὰ ταῦτα
πενθῶν τὸν Δανιήλ, καὶ ἐγκύψας εἰς τὸν λάκκον ὁρᾷ αὐτὸν καθήμενον.
40 [40] καὶ ἀναβοήσας εἶπεν ὁ βασιλεύς Μέγας ἐστὶ κύριος ὁ θεός, καὶ οὐκ ἔστι
41 πλὴν αὐτοῦ ἄλλος. [41] καὶ ἐξήγαγεν ὁ βασιλεὺς τὸν Δανιὴλ ἐκ τοῦ λάκκου,
καὶ τοὺς αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον ἐνώπιον τοῦ
Δανιήλ, καὶ κατεβρώθησαν.

Digitized by Google

# INDEX.

## TOM. I.


| | Pag. |
|---|---|
| Γένεσις (Genesis) | 1 |
| Ἔξοδος (Exodus) | 63 |
| Λευιτικόν (Leviticus) | 113 |
| Ἀριθμοί (Numeri) | 151 |
| Δευτερονόμιον (Deuteronomium) | 201 |
| Ἰησοῦς Ναυή (Josua) | 248 |
| Κριταί (Judicum liber) | 282 |
| Ῥούθ (Ruth) | 322 |
| Βασιλειῶν α' (1. Samuelis) | 326 |
| Βασιλειῶν β' (2. Samuelis) | 369 |
| Βασιλειῶν γ' (1. Regum) | 406 |
| Βασιλειῶν δ' (2. Regum) | 454 |
| Παραλειπομένων α' (1. Chronicorum) | 494 |
| Παραλειπομένων β' (2. Chronicorum) | 533 |
| Ἔσδρας α' (*1. Esdras s. Esdras graecus) | 578* |
| Ἔσδρας β' (Esdras) | 598 |
| Νεεμίας (Nehemias) | 611 |
| Τωβίτ (*Tobias) | 633* |
| Ἰουδίθ (*Judith) | 645* |
| Ἐσθήρ (Esther et *Additamenta Esther) | 664 |


## TOM. II.


| | |
|---|---|
| Ἰώβ (Iobus) | 1 |
| Ψαλμοί (Psalmi) | 37 |
| Παροιμίαι (Proverbia) | 112 |
| Ἐκκλησιαστής (Ecclesiastes s. Coheleth) | 137 |
| Ἆσμα (Canticum canticorum) | 148 |
| Σοφία Σαλωμών (*Sapientia Salomonis) | 152* |
| Σοφία Σειράχ (*Siracides s. Ecclesiasticus) | 168* |
| Ὠσηέ (Hoseas) | 213 |
| Ἀμώς (Amos) | 222 |
| Μιχαίας (Micha) | 229 |
| Ἰωήλ (Joel) | 234 |
| Ὀβδιού (Obadia) | 238 |
| Ἰωνᾶς (Jonas) | 239 |
| Ναούμ (Nahum) | 242 |
| Ἀμβακούμ (Habacuc) | 244 |


Digitized by Google

| | Pag. |
|---|---|
| Σοφονίας (Zephania) | 247 |
| Ἀγγαῖος (Haggaeus) | 249 |
| Ζαχαρίας (Zacharias) | 252 |
| Μαλαχίας (Malachias) | 263 |
| Ἡσαΐας (Esaias) | 267 |
| Ἱερεμίας (Jeremias) | 326 |
| Βαρούχ (*Baruch) | 398* |
| Θρῆνοι Ἱερεμίου (Threni) | 404 |
| Ἐπιστολὴ Ἱερεμίου (*Epistola Jeremiae) | 411 |
| Ἰεζεκιήλ (Ezechiel) | 414 |
| Δανιήλ (Daniel) | 480 |
| (*Susanna) | 480* |
| (Daniel) | 483 |
| (*Asariae et trium puerorum canticum) | 488* |
| (*Bel et Draco) | 505* |
| Μακκαβαίων α΄ (*1. Maccabaeorum) | 507* |
| Μακκαβαίων β΄ (*2. Maccabaeorum) | 547* |
| Μακκαβαίων γ΄ (*3. Maccabaeorum) | 575* |
| Δανιὴλ κατὰ τοὺς ō | 589 |

*) Asterisco distincti sunt libri qui ecclesiis evangelicis dicuntur apocryphi. Additamenta apocrypha ad librum Esther in ipso textu libri Esther asterisco notata sunt.

Lipsiae, impressit F. A. Brockhaus.

Digitized by Google

Digitized by Google

Digitized by Google

| | | | |
|---|---|---|---|
| | [illegible] Nisan | = ½ (March + April) | [illegible] |
| | Zif | = ½ (April + May) | |
| | Sivan | = ½ (May + June) | Pentecost |
| | Thammuz | = ½ (June + July) | |
| | Ab | = ½ (July + Aug) | |
| | Elul | = ½ (Aug + Sept) | |
| | Tizri | = ½ (Sept + Oct) | [illegible] |
| | Marchesvan or Bul | = ½ (Oct + Novem) | |
| | Chisleu | = ½ (Nov + Dec) | Feast of Dedication |
| | Thebeth | = ½ (Dec + Jan) | |
| | Sebat | = ½ (Jan + Feb) | |
| | Adar | = ½ (Feb + Mar) | |

Digitized by Google

Digitized by Google

Digitized by Google

PRINCETON UNIVERSITY LIBRARY PAIR>

32101 019367505

PRINCETON UNIVERSITY LIBRARY

*This book is due on the latest date stamped below. Please return or renew by this date.*

JUN 15 1999

CARREL USE 1992-1993

JUN 15 2000

DUE JAN 24 1994

CARREL USE 2002-2003

CARREL USE 2003-2004

DUE JUN 15 1999

JUN 15 2000

Digitized by Google

Digitized by Google

Digitized by Google